SANCTI PATRIS NOSTRI IOANNIS CHRYSOSTOMI... HOMILIAE ET COMMENTARII...

Ioannes : Chrysostomus santo (santo), ...

SANCTI PATRIS NOSTRI

IOANNIS CHRYSOSTOMI ARCHIEPISCOPI CONSTANTINOPOLITANI

Homiliæ & Commentarij in Psalmos Dauidis, in Esaiam, & de aliquot alijs Prophetarum locis.

Nunc primum Græcè & Latinè coniunctim editi, ex Bibliotheca Regis Christianissimi, impensa & subsidio quorumdam Galliæ Antistitum.

FRONTO DVCÆVS BVRDEGALENSIS, SOCIETATIS IESV Theologus, variantes lectiones ex Mnss. Codicib. erutas selegit, veterem interpretationem editarum olim Homiliarum recensuit, aliarum nouam edidit, vtramque Notis illustrauit.



LVTETIAE PARISIORVM,
Typis Regiis, apud CLAVDIVM MORELLVM, via Iacobæa, ad insigne Fontis.
CIↃ. IↃ. CXIV.
EX REGIS PRIVILEGIO.

CATALOGVS OPERVM S. IOANNIS CHRYSOSTOMI QVÆ

hoc volumine continentur, in quo aſteriſco notantur quæ nunc primum Latinitate donata in lucem prodeunt.

ΣΥΝΑΓΩΓΗ ΤΩΝ ΘΕΟΠΝΕΥΣΤΩΝ ΨΑΛΜΩΝ ΤΟΥ ΜΑΚΑΡΙΟΥ

καὶ ἁγίου Δαβίδ, ὧν ἐξηγήσατο καὶ ἡρμήνευσεν ὁ ἐν ἁγίοις πατὴρ ἡμῶν Ἰωάννης ὁ μέγας Χρυσόστομος· ἀπέκρυψε δὲ, ἢ ἀπώλεσεν ὅ τε χρόνος, καὶ φθόνος τῶν ἀνοήτων ἀνθρώπων· ἐπ' ἐσχάτων δὲ τούτοις ἀνερευνήσας φιλόθεός τις ἀνὴρ, καὶ φιλόχριστος, καὶ οἷον ἐρανισάμενος, ὄντας σποράδην τοὺς παρόντας μόνους συλλέξας, εἰς μίαν συνήγαγε βίβλον· οὓς νῦν εἰς κοινὴν τράπεζαν παραθεὶς τοῖς ἐρασταῖς τῶν πνευματικῶν αὐτοῦ καὶ θείων λογίων ἀφθόνως ἐντρυφᾷν συγκαλεῖ.

COLLECTIO DIVINITVS INSPIRATORVM PSALMORVM

beati ac sancti Dauidis, quos sanctus pater noster, magnus Joannes Chrysostomus exposuit & interpretatus est, occultauit autem vel perdidit cùm tempus ipsum, tum imperitorum hominum inuidia: sed nouissimis diebus cum vir quidam pius & Christi amantissimus hos perquisiuisset, & tanquam emendicasset, antea dispersos, præsentes solos collegit & in vnum librum compegit: quos nunc velut in communi mensa spiritualium eius ac diuinorum eloquiorum amatoribus apponit, & inuitat, vt iis affatim se oblectent.

Ex interpretatione GENTIANI HERVETI & aliorum recognita emendata & aucta à FRONTONE DVCÆO Societatis IESV Theologo.

Ψαλμὸς τέταρτος.	Ψαλ. μγ'.	Psalmus quartus.	Psal. XLIII.
Ψαλμὸς πέμπτος.	Ψαλ. μδ'.	Psalmus V.	Psal. XLIV.
Ψαλ. ϛ'.	Ψαλ. με'.	Psal. VI.	Psal. XLV.
Ψαλ. ζ'.	Ψαλ. μϛ'.	Psal. VII.	Psal. XLVI.
Ψαλ. η'.	Ψαλ. μζ'.	Psal. IIX.	Psal. XLVII.
Ψαλ. θ'.	Ψαλ. μη'.	Psal. IX.	Psal. XLVIII.
Ψαλ. ι'.	Ψαλ. μθ'.	Psal. X.	Psal. XLIX.
Ψαλ. ια'.	Ψαλ. ρη'.	Psal. XI.	Psal. CVIII.
Ψαλ. ιβ'.	Ψαλ. ρθ'.	Psal. XII.	Psal. CIX.
Ψαλ. μα'.	Ψαλ. ρι'.	Psal. XLI.	Psal. CX.

Psal.cxi.	Psal.cxxxii.	Ψαλ.ρια'.	Ψαλ.ρλβ'.
Psal.cxii.	Psal.cxxxiii.	Ψαλ.ριβ'.	Ψαλ.ρλγ'.
Psal.cxiii.	Psal.cxxxiv.	Ψαλ.ριγ'.	Ψαλ.ρλδ'.
Psal.cxiv.	Psal.cxxxv.	Ψαλ.ριδ'.	Ψαλ.ρλε'.
Psal.cxv.	Psal.cxxxvi.	Ψαλ.ριε'.	Ψαλ.ρλϛ'.
Psal. cxvi.	Psal.cxxxvii.	Ψαλ.ριϛ'.	Ψαλ.ρλζ'.
Psal.cxvii.	Psal.cxxxviii.	Ψαλ.ριζ'.	Ψαλ.ρλη'.
Psal. cxix.	Psal.cxxxix.	Ψαλ.ριθ'.	Ψαλ.ρλθ'.
Psal.cxx.	Psal.cxl.	Ψαλ.ρκ'.	Ψαλ.ρμ'.
Psal.cxxi.	Psal.cxli.	Ψαλ.ρκα'.	Ψαλ.ρμα'.
Psal.cxxii.	Psal.cxlii.	Ψαλ.ρκβ'.	Ψαλ.ρμβ'.
Psal.cxxiii.	Psal.cxliii.	Ψαλ.ρκγ'.	Ψαλ.ρμγ'.
Psal.cxxiv.	Psal.cxliv.	Ψαλ.ρκδ'.	Ψαλ.ρμδ'.
Psal.cxxv.	Psal.cxlv.	Ψαλ.ρκε'.	Ψαλ.ρμε'.
Psal.cxxvi.	Psal.cxlvi.	Ψαλ.ρκϛ'.	Ψαλ.ρμϛ'.
Psal.cxxvii.	Psal.cxlvii.	Ψαλ.ρκζ'.	Ψαλ.ρμζ'.
Psal.cxxviii.	Psal.cxlviii.	Ψαλ.ρκη'.	Ψαλ.ρμη'.
Psal.cxxix.	Psal.cxlix.	Ψαλ.ρκθ'.	Ψαλ.ρμθ'.
Psal.cxxx.	Psal.cl.	Ψαλ.ρλ'.	Ψαλ.ρν'.
Psal.cxxxi.		Ψαλ.ρλα'.	

Εἰς τὸν γ΄. ψαλμόν. ΨΑΛΜΟΣ ΤΩ ΔΑΒΙΔ, ΟΠΟΤΕ ΑΠΕΔΙΔΡΑΣΚΕΝ ΑΠΟ ΠΡΟΣΩΠΟΥ ΑΒΕΣΣΑΛΩΜ ΤΟΥ ΥΙΟΥ αὐτοῦ. Κύριε τί ἐπληθύνθησαν οἱ θλίβοντές με;

IN TERTIVM PSALMVM.

PSALMVS DAVID, CVM FVGERET A FACIE ABSALOM FILII SVI. DOMINE quid multiplicati sunt qui tribulant me?

GENTIANO HERVETO INTERPRETE.

ΕΠΙΝΙΚΙΟΥΣ μὲν ἀνδριάντας οἱ βασιλεῖς τοῖς στρατηγοῖς νικήσασιν ἀνατιθέασι· νικηφόρους δὲ εἰκόνας καὶ στήλας ἐγείρουσιν ἄρχοντες ἡνιόχοις καὶ ἀθληταῖς, καὶ τῷ ἐπιγράμματι ὡς στόματι κήρυκα τῆς νίκης τὴν ὕλην ἐργάζονται. ἄλλοι δὲ πάλιν ἐν βίβλοις καὶ γράμμασι τοὺς ἐπαίνους τοῖς νικηταῖς γράφουσι, τὴν ἑαυτῶν ἐν τῷ ἐπαίνῳ δύναμιν ἰσχυροτέραν τῶν ἐπαινουμένων δεῖξαι θέλοντες· καὶ λογογράφοι, καὶ ζωγράφοι, καὶ χαλκευταὶ, καὶ λιθογλύπται, καὶ δῆμοι, καὶ ἄρχοντες, καὶ πόλεις, καὶ χῶραι τοὺς νικητὰς θαυμάζουσιν· οὐδεὶς δὲ φεύγοντος καὶ μὴ πολεμήσαντος εἰκόνας ἔγραψε, καθάπερ νῦν ὁ Δαβίδ. ψαλμὸς γὰρ τῷ Δαβὶδ, ἐν τῷ ἀποδιδράσκειν αὐτὸν ἀπὸ προσώπου Ἀβεσσαλὼμ τοῦ υἱοῦ αὐτοῦ. καὶ πότε ὁ δραπέτης ἐγκωμίων ἄξιος; πότε δὲ ὁ φυγὰς ἐπιγραμμάτων ἐντός; τοὺς δραπέτας γράμμασιν ἰχνεύουσιν, οὐκ ἐπιγράμμασι θαυμάζουσιν. ἀλλὰ μάθε τὴν αἰτίαν ἀδελφὲ τῆς γραφῆς, καὶ ἀσφάλισαί σου τὴν ψυχήν· γενέσθω σοι ἡ ἱστορία βίου κατόρθωσις, ἔστω σοι ὁ τοῦ δικαίου διωγμὸς διανοίας στηριγμός. μάθε γὰρ διὰ τί ἐδιώκετο Δαβὶδ ὑπὸ τοῦ Ἀβεσσαλὼμ, ἵν᾽ ὡς θεμέλιον τὸ πρᾶγμα εὑρὼν οἰκοδομήσῃς τὸν φόβον

A DVCIBVS exercitus victoriam assecutis Reges ponunt statuas in honorē victoriæ: aurigis verò & athletis imagines & colūnas eorum victorię testes excitant Principes, & inscriptione tanquam ore efficiunt, vt materia victoriam prædicet. Alij rursus in libris & scriptis, victorum laudem describunt, suas in laudando vires iis qui laudantur maiores volentes ostendere. B Et pictores, & statuarij, & sculptores, & populi, & Principes, & ciuitates, & pagi, victores admirantur. Nemo autem fugientis, cuiusque qui non bellum gessit, descripsit imaginem, vt nunc Dauid. Est enim Psalmus Dauid, dum fugeret à facie Absalonis filij sui. (2. Reg. 15.) Et quādo laude dignus habitus est qui fugit? Quando dignus est habitus exul, cuius nomen inscriberetur? Fugitiuos scriptis literis persequuntur, non honorant inscriptionibus. Sed disce, ô frater, causam inscriptionis, & animam C tuam confirma, & in tuto colloca. Sit tibi historiæ narratio, vitæ tuæ correctio. Sit iusti persecutio, mentis stabilimentum. Disce enim cur Dauid persequeretur Absalon, vt cùm rei fundamentum inueneris, timore Domini

ædificeris. Quemadmodum enim absque fundamento inualida & imbecilla est ædificatio: ita nisi inuento scopo ac instituto scriptura est inutilis. Beati Dauid fuit hoc institutum, per propositum Psalmum vitam docere & castigare, vt nihil vnquam mali faciat, nec leges Dei contemnat, ne peccatori ea eueniant, quæ sibi euenerunt. Fugiebat filium suum Dauid, quoniam castitatem fugerat: fugiebat filium, quoniam matrimonium pudicum violauerat. Fugiebat filium, quoniam legem Dei quæ dicit: Non occides, non adulterabis, fugerat. Quoniam enim alienam agnam in domum suam introduxerat, & eius pastorem interfecerat, qui erat in domo sua agnus, pastorem cornu petebat. Alienæ domui bellum intulit, & ex domo sua in ipsum bellum excitatum est. Non est meum cogitatum, ipsius Dei dictum est. Vbi autem Deus est qui interpretatur, nemo est qui contradicat. Quod enim aduersus Dauid filius suus ideo insurrexerit, quoniam Vriam interfecit, & vxorem eius accepit, audi Deum per Prophetam Nathan Dauid dicentem: Ego vnxi te regem super Israel, & erui te de manu Saul. Ego dedi tibi omnia quæ erant domini tui, & domum Israel & Iuda: & si parua sunt hæc, adijciam tibi multò maiora. Quare ergo contempsisti verbum Domini, vt faceres malum in conspectu meo? Vriam Hebræum percussisti gladio, & vxorem illius accepisti in vxorem tibi, & interfecisti eum gladio. Quamobrem non recedet gladius de domo tua in æternum. Alienam domum gladio diuisisti: gladiũ aduersus te fundã in domo tua. Ecce ego suscitabo aduersus te mala de domo tua. Nõ aliunde, nec foris, sed ex domo tua. Vnde est fons peccati, illinc est plaga supplicij. quia ergo à præcepto Domini fugitiuus exulq. fuerat, propterea filium fugiebat. Psalmus Dauid dum fugeret à facie Absalon filij sui, bellique narratione, melior est causa belli suscepti, vt cum iusti lapsum viderimus, caueamus ne cadamus, & eiusmodi supplicium fugiamus. Multi enim vel in hodiernum vsque diem bella habent in ædibus, & hic quidem oppugnatur ab vxore, ille

Exod.20. Matt.19. Marc.10.

2.Reg.12.

A τοῦ Θεοῦ. ὡς γὰρ ἄνευ θεμελίου σαθρὰ ἡ οἰκοδομή· οὕτως ἄνευ τῆς εὑρέσεως τοῦ σκοποῦ οὐκ ὠφελεῖ ἡ γραφή. σκοπὸν εἶχεν ὁ μακάριος Δαβὶδ, διὰ τοῦ προκειμένου ψαλμοῦ παιδεῦσαι τὸν βίον καὶ σωφρονίσαι, μηδέποτε κακοποιεῖν καὶ καταφρονεῖν τῶν νόμων τοῦ Θεοῦ, ἵνα μὴ ὁ ἁμαρτήσας τοιαῦτα πάθῃ, οἷα καὶ αὐτὸς ἔπαθε. ἔφευγε τὸν υἱὸν αὐτοῦ ὁ Δαβὶδ, ἐπειδὴ τὴν ἁγνείαν ἔφυγεν· ἔφυγε τὸν υἱὸν, ἐπειδὴ τὸν σώφρονα γάμον ἐνύβρισεν· ἔφυγε τὸν υἱὸν, ἐπειδὴ τὸν νόμον τοῦ Θεοῦ τὸν λέγοντα, οὐ φονεύσεις, οὐ μοιχεύσεις ἔφυγεν. ἐπειδὴ γὰρ ἀλλοτρίαν ἀμνάδα

B εἰς τὸν οἶκον αὐτοῦ εἰσήγαγε, καὶ τὸν ταύτης ποιμένα ἀπέκτεινεν, ὁ ἐκ τοῦ οἴκου αὐτοῦ ἀμνὸς τὸν ποιμένα ἐκεράτιζεν. ἀλλότριον οἶκον ἐπολέμησε, καὶ ἐκ τοῦ ἰδίου οἴκου ἐπηγέρθη αὐτῷ ὁ πόλεμος. οὐκ ἔστιν ἐμὸν τὸ νόημα, Θεοῦ ἐστι τὸ ἀπόφθεγμα· ὅπου δὲ Θεὸς ὁ ἑρμηνεύων, οὐδεὶς ὁ ἀντιλέγων. ὅτι γὰρ διὰ τοῦτο ἐπηγέρθη τῷ Δαβὶδ ὁ υἱὸς αὐτοῦ, ἐπειδὴ τὸν Οὐρίαν ἐφόνευσε, καὶ τὴν γυναῖκα αὐτοῦ ἔλαβεν, ἄκουσον τοῦ Θεοῦ διὰ τοῦ προφήτου Νάθαν πρὸς τὸν Δαβὶδ λέγοντος· ἐγώ ἔχρισά σε βασιλέα

C ἐπὶ τὸν Ἰσραὴλ, καὶ ἐξειλόμην σε ἐκ χειρὸς Σαοὺλ, καὶ ἔδωκά σοι τὰ πάντα τοῦ κυρίου σου, τὸν οἶκον Σαοὺλ, καὶ Ἰούδα, καὶ εἰ ὀλίγα σοι ἐστὶ προσθήσω σοι καθὼς ταῦτα, καὶ τί ὅτι ἐξουδένωσας τὸν κύριον τοῦ ποιῆσαι τὸ πονηρὸν ἐνώπιόν μου; τὸν Οὐρίαν τὸν Χετταῖον ἐπάταξας ἐν ῥομφαίᾳ καὶ τὴν γυναῖκα αὐτοῦ ἔλαβες ἑαυτῷ εἰς γυναῖκα, καὶ νῦν οὐκ ἐξαρθήσεται ῥομφαία ἐκ τοῦ οἴκου σου εἰς τὸν αἰῶνα. τὸν ἀλλότριον οἶκον ῥομφαίᾳ ἐδιχοτόμησας, τὴν κατὰ σοῦ ῥομφαίαν χαλκεύσω ἐν τῷ οἴκῳ σου. ἰδοὺ ἐγὼ

D ἐξεγερῶ ἐπί σε κακὰ ἐκ τοῦ οἴκου σου, οὐκ ἔξωθέν ποθεν, ἀλλ' ἐκ τοῦ οἴκου σου· ὅθεν ἡ πηγὴ τῆς ἁμαρτίας, ἐκεῖθεν ἡ πληγὴ τῆς τιμωρίας. ἐπεὶ οὖν τῆς ἐντολῆς τοῦ Θεοῦ δραπέτης καὶ φυγὰς ἐγένετο, διὰ τοῦτο τὸν υἱὸν ἀπεδίδρασκε. ψαλμὸς τῷ Δαβὶδ ἐν τῷ ἀποδιδράσκειν αὐτὸν ἀπὸ προσώπου Ἀβεσαλὼμ τοῦ υἱοῦ αὐτοῦ, καὶ κρείττων τῆς τοῦ πολέμου ἐξηγήσεως ἡ αἰτία τῆς τοῦ πολέμου ὑποθέσεως, ἵνα τὸ ὄλισθον τοῦ δικαίου θεασάμενοι ἀσφαλισώμεθα τὸ πτῶμα, καὶ φύγωμεν τὴν ὁμοίαν βάσανον. πολλοὶ γὰρ καὶ εἰς τὴν σήμερον πολέμους ἐν τοῖς οἴκοις ἔχουσι, καὶ ὁ μὲν ὑπὸ γυναικὸς πολεμεῖται, ὁ δὲ ὑπὸ

τέκνου πολιορκεῖται, ἄλλος ὑπὸ ἀδελφοῦ, καὶ ἕτερος ὑπὸ οἰκέτου δαμάζεται, καὶ ἕκαστος ἀκηδιᾷ, καὶ δυσχεραίνει καὶ μάχεται, καὶ πολεμεῖ, καὶ πολεμεῖται· καὶ οὐδεὶς ἑαυτὸν λογίζεται ἐννοῶν, ὅτι εἰ μὴ ἁμαρτίας ἔσπειρεν, οὐκ ἂν ἐν τῷ οἴκῳ αὐτοῦ ἄκανθαι καὶ τρίβολοι ἀνέβησαν· εἰ μὴ σπινθῆρας ἁμαρτιῶν ἔκρυψεν, οὐκ ἂν ὁ οἶκος ἀνεπυρίζετο. ὅτι γὰρ ἁμαρτιῶν εἰσι καρποὶ τὰ οἰκεῖα κακὰ, καὶ δημίους ἐμφυλίους κατὰ τῶν ἁμαρτανόντων χειροτονεῖ ὁ Θεὸς, μάρτυς ἡ θεία γραφὴ, ἧς οὐδὲν ἰσχυρότερον. πολεμεῖ σε ἡ γυνὴ, εἰσελθόντι ὡς θηρίον ἀπαντᾷ, τὴν γλῶσσαν ὡς μάχαιραν ἀκονᾷ· λυπηρὸν μὲν τὸ πρᾶγμα, ὅτι ἡ βοηθὸς ἀντίπαλος γέγονεν· ὅμως ἑαυτὸν ἐρεύνησον, μή πως ἐν νεότητι εἰς γυναῖκα ἐνεωτέρισας, καὶ τὸ εἰς γυναῖκα τραῦμα διὰ γυναικὸς θεραπεύεται, καὶ τὴν ἀλλοτρίαν σηπεδόνα ἡ ἰδία χειρουργεῖ, κἂν ἀγνοῇ ἡ τέμνουσα, ἀλλ' οἶδεν ὁ ἰατρὸς Θεός. αὐτὸς γὰρ αὐτῇ ὡς σιδήρῳ κατὰ σοῦ ἐχρήσατο. καὶ ὥσπερ τὸ σίδηρον οὐκ οἶδεν ὃ ἐνεργεῖ, τὴν δὲ διὰ τοῦ σιδήρου θεραπείαν οἶδεν ὁ ἰατρός· οὕτω κἂν ἀγνοῇ ἡ γυνὴ ἡ πλήττουσα, καὶ ὁ ἀνὴρ ὁ πληττόμενος τὴν αἰτίαν τῆς πληγῆς, ἀλλ' ὁ Θεὸς ὡς ἰατρὸς οἶδε τὸ συμφέρον. ὅτι δὲ ἡ γυνὴ πονηρὰ ἁμαρτιῶν ἐστι κόνδυλος, μάρτυς ἡ θεία γραφή. τί γὰρ λέγει ἄκουσον, γυνὴ πονηρὰ ἀνδρὶ ἁμαρτωλῷ δοθήσεται. ὡς πικρὰ ἀντίδοτος αὐτῷ δοθήσεται, τοὺς χυμοὺς τῶν ἁμαρτιῶν ἀναλίσκουσα. ὅτι δὲ καὶ τὸ ὑπὸ τέκνων πολιορκεῖσθαι, ἁμαρτιῶν ἐστι βάσανος, μάρτυς ὁ Δαβὶδ, διὰ τὴν παράνομον κοίτην ὑπὸ τοῦ υἱοῦ αὐτοῦ Ἀβεσσαλὼμ πολεμούμενος ὡς ὁ λόγος ἔδειξεν. ὅτι δὲ καὶ ἀδελφοὶ ἀδελφοῖς δι' ἁμαρτίας ἐπολέμησαν, μάρτυς ἡ βίβλος τῶν κριτῶν. ὅτε γὰρ εἰς τὴν παλλακίδα τοῦ ὁδοιπόρου οἱ τῆς φυλῆς Βενιαμὶν ἐξεπόρνευσαν, ἡ δὲ τὴν ἄμετρον ὕβριν μὴ ἐνεγκοῦσα ἀπέθανεν, αἱ ἕνδεκα φυλαὶ τὴν μίαν ἐπολέμησαν, καὶ ἐπειδὴ αἱ ἕνδεκα φυλαὶ ἀπὸ Θεοῦ ἀπέστησαν, καὶ εἰς τὰ εἴδωλα ἐξεπόρνευσαν, ὑπὸ τῆς μιᾶς φυλῆς αἱ ἕνδεκα ἐνικήθησαν, καὶ πλεονάκις νικηθεῖσαι ὑπὸ τῆς μιᾶς, ἅπαξ αὐτὴν ἐνίκησαν, καὶ ἀδελφοὶ ἀδελφοῖς ἐπολέμησαν, ἐπειδὴ ὁ Θεὸς διὰ τὰς ἁμαρ-

A verò obsidetur à filio: alius autem à fratre, & alius domatur à famulo, & vnusquisque angitur & affligitur, & pugnat, & bellum gerit, & bello vexatur, & nemo subducta ratione apud se cogitat, quòd nisi peccata seminasset, non in domo sua spinæ & tribuli succreuissent: nisi peccatorum scintillas occultasset, domus non conflagraret. quòd enim peccatorum fructus sunt mala propria, & domesticos lictores Deus in peccatores elegit, testis est scriptura, qua ad faciendam fidem nihil est validius. Vxor tecum bellum B gerit, ingresso tanquam fera occurrit, linguam tanquam gladium acuit. Res Res quidem valde molesta ac difficilis, quòd auxiliatrix aduersaria facta est: teipsum tamen examina, nunquid in iuuentute in mulierem noui quid attentaris, & quod mulieri à te vulnus inflictum est, curetur per mulierem, & alienum vlcus propria vxor, chirurgi officio fungens, medicetur: & quamuis quæ secat ignoret, noui tamen Deus medicus. Ipse enim ea tanquam ferro aduersus te vsus est: & quemadmodum ferrum nescit quid C agat, futuram autem per ferrum medelam nouit medicus: ita etiam licet ignoret vxor quæ ferit, & maritus qui feritur, causam ictus: Deus tamen vt medicus nouit quid conferat. Quòd autem mulier mala sit peccatorum colaphus, testis est sacra scriptura. quid enim dicat audi: Mulier mala viro peccatori dabitur. Ei dabitur tanquam amarum antidotum, quod peccatorum malos humores consumat. Quòd autem etiam obsideri à filijs, sit peccatorum supplicium, testis est Dauid, qui propter nefarium congressum à suo filio Absalon bello impetitur, vt D superius ostendimus. Quòd autem etiam fratres aduersus fratres propter peccata bellũ gesserunt, testis est liber Iudicum. Quando enim in viatoris concubinam fornicati sunt, qui erant tribus Benjamin, illa autem cùm immensam non tulisset contumeliã, mortua est: vndecim tribus aduersus vnam bellum gesserunt: & quia vndecim tribus à Deo defecerant, & fornicatæ fuerant in idola, vndecim tribus ab vna tribu victæ sunt, & sæpe ab vna victæ semel illam vicerunt, & fratres bellum gesserunt, quandoquidem Deus pro-

Esa. 9. & vlt. Rom. 2.

Iud. 19. & 20.

pter peccata eorum intermediam peccati maceriam sustulit. Quoniam enim vna tribus in mulierem fornicata, vndecim autem tribus in idola fornicatæ fuerant, & hi & illi à Deo exterminati sunt, sicut scriptum est: Exterminasti omnem qui fornicatur à te. Fratres ergo aduersus fratres propter peccata bella gesserunt. Si te fratres oppugnant, non tantum de illis ingemiscas, quantum apud teipsum rationem ineas & inquiras propter quænam peccata tui fratres tui sint hostes. Non quòd omnes propter peccata à fratribus oppugnentur: Ioseph enim oppugnabatur à fratribus, & non omnino propter peccata: & Iob vxor insidiabatur, & non omnino propter peccata: sed quòd longè plures homines propter peccata habemus bella domestica. Nonnunquam etiam amici in inimicos conuertuntur propter peccata, & qui olim amabant, oderunt & auersantur, Deo tale odium immittente propter eas quas nouit rationes. Ita enim in Psalmo centesimo quarto scriptum est de Ægyptiis: Conuertit cor eorum vt odirent populum eius. Non datum autem esset à Deo odium, nisi prius malè amassent. Quibus amicitia comparabat exitium, iis odium erat occasio virtutis. Iam verò serua quoque & obedientia corpora sæpe propter peccatum insurrexere in dominum. Vide enim Adam cùm nondum peccasset, bestias tanquam seruas & obedientes habentē, & eis tanquam seruis nomina imponētem: Postquam autem aspectum peccato commaculauit, & tunc bestiæ eum non cognoscebant, & quæ seruæ erant ei, hostes euaserunt, & quemadmodum canis qui in domo est, ei seruit, qui eum alit, & eum timet ac reueretur, sed si eum repente viderit vultu fuligine atrato vel personatum, aggreditur tanquam alienum, & cogitat eum dilacerare: ita etiam Adam quamdiu purum seruauit vultum factum ad imaginem Dei, bestiæ ei tanquam seruæ parebant. Quando autem vultum fœdauit inobedientia, non agnoscentes dominum, tanquam alienum eum odio habebant. Seruorum itaque insurrectio est peccatorum retributio. Iustus Daniel, & leones agnouerunt dominum. Viderunt eum non gustasse peccatum,

Psal. 72.

Gen. 30.

Gen. 1. & 2.

Eccl. 7.

Sap. 3.

Genes. 1.

Dan. 6.

3. Reg. 13.

A τίας αὐτῶν ἦρε τὸ τῆς ἁμαρτίας μεσότειχον. ἐπειδὴ γὰρ ἡ μία φυλὴ εἰς τὴν γυναῖκα ἐπόρνευσεν, αἱ δὲ ἕνδεκα φυλαὶ εἰς τὰ εἴδωλα ἐξεπόρνευσαν, καὶ οὗτοι κἀκεῖνοι ὑπὸ Θεοῦ ἐξωλοθρεύθησαν ὡς γέγραπται, ἐξωλόθρευσας πάντα τὸν πορνεύοντα ἀπὸ σοῦ. ὥστε ἀδελφοὶ ἀδελφοῖς ἐπολέμησαν δι' ἁμαρτίας. ὑπὸ ἀδελφῶν πολεμούμενος, μὴ τοσοῦτον κατ' ἐκείνων στέναζε, ὅσον ἑαυτὸν λογίζου, καὶ ἀνέταζε ζητῶν διὰ ποίας ἁμαρτίας οἱ ἀδελφοὶ πολέμιοι· οὐχ ὅτι πάντες δι' ἁμαρτίας ὑπὸ ἀδελφῶν πολεμοῦνται. καὶ γὰρ ὁ Ἰωσὴφ ὑπὸ τῶν

B ἀδελφῶν ἐπολεμεῖτο, καὶ οὐ πάντως διὰ ἁμαρτήματα, καὶ ὁ Ἰὼβ ὑπὸ γυναικὸς ἐπεβουλεύετο, καὶ οὐ πάντως διὰ ἁμαρτήματα, ἀλλ' ὅτι οἱ πλείονες τῶν ἀνθρώπων διὰ ἁμαρτίας οἰκιακοὺς πολεμίους ἔχομεν. ἔστιν ὅτε καὶ φίλοι εἰς ἐχθροὺς διὰ ἁμαρτίας τρέπονται, καὶ οἱ πάλαι ἀγαπῶντες μισοῦσι καὶ ἀποστρέφονται, τοῦ Θεοῦ τὸ τοιοῦτον μῖσος δι' οὓς οἶδε λόγους ἐμβάλλοντος. οὕτω γὰρ ἐν τῷ ἑκατοστῷ τετάρτῳ ψαλμῷ γέγραπται περὶ τῶν Αἰγυπτίων· μετέστρεψε τὴν καρδίαν αὐτῶν τοῦ μισῆσαι τὸν λαὸν αὐτοῦ. οὐκ ἂν δὲ τὸ μῖσος ἀπὸ

C Θεοῦ ἐδόθη, εἰ μὴ πρότερον κακῶς ἐφιλίαζον. οἷς γὰρ ἡ φιλία ἀπωλείας πρόξενος, τούτοις τὸ μῖσος ἀρετῆς ὑπόθεσις. ἀλλὰ καὶ τὰ δοῦλα καὶ ὑπήκοα σώματα πολλάκις διὰ ἁμαρτίας τῇ δεσποτείᾳ ἐπανέστησαν. βλέπε γὰρ τὸν Ἀδὰμ μηδέπω ἁμαρτήσαντα, καὶ τὰ θηρία ὡς δοῦλα καὶ ὑπήκοα ἔχοντα, καὶ ὡς δούλοις αὐτοῖς καλοῦντα ὀνόματα. ὅτε δὲ τὴν ὄψιν τῇ ἁμαρτίᾳ ἐσπίλωσε, τότε τὰ θηρία αὐτὸν οὐκ ἐγνώριζον, καὶ τὰ δοῦλα πολέμια κατ' αὐτοῦ γεγόνασι. καὶ ὥσπερ ὁ ἐν τῇ

D οἰκίᾳ κύων δουλεύει τῷ τρέφοντι, καὶ φοβεῖται τοῦτον καὶ τέθηπεν· ἐὰν δὲ ἄφνω ἠσβολωμένην ἔχοντα τὴν ὄψιν θεάσηται, ἢ προσωπεῖον ἀλλότριον ἐν τῇ ὄψει φέροντα, ὡς ξένῳ ἐπέρχεται καὶ σπαράξαι βούλεται· οὕτως ὁ Ἀδὰμ ἐφ' ὅσον τὸ κατ' εἰκόνα Θεοῦ πρόσωπον καθαρὸν ἐτήρει, οἱ θῆρες αὐτῷ ὡς δοῦλοι ὑπέκειντο. ὅτε δὲ τὸ πρόσωπον τῇ παρακοῇ ἐσπίλωσε, μὴ γνωρίζοντα τὸν δεσπότην ὡς ξένον ἤχθραινον· ὥστε καὶ δούλων ἐπαναστάσεις, ἁμαρτιῶν εἰσὶν ἀντιδόσεις. δίκαιος ὁ Δανιὴλ, καὶ οἱ λέοντες τὴν δεσποτείαν ἐγνώρισαν· εἶδον ἁμαρτίας ἄγευστον,

καὶ ἀφῆκαν τιμωρίας ἄμοιρον· ἥμαρτε προφήτης ψευσάμενος, καὶ εὗρεν αὐτὸν ὁ λέων ἐν τῇ ὁδῷ, καὶ ἐθανάτωσεν· ἠσβολώθη τοῦ ψεύδους, καὶ ὁ λέων οὐκ ἐγνώρισεν. εἰ προφήτην εἶδεν ἂν ὡς τὸν Δανιὴλ ἐτίμησεν· ψευδοπροφήτην εὗρε, καὶ ὡς ξένῳ ἐπέδραμεν· ὁ δεσπότης ἐψεύσατο, καὶ ὁ δοῦλος τὴν δεσποτείαν ἠρνήσατο. καὶ τί λέγω περὶ τῶν οἰκειακῶν κακῶν, ὁπότε καὶ αὐτὸ ἡμῶν τὸ σῶμα τὸ πάντων ἡμῖν οἰκειότερον καὶ προσφιλέστερον, ἔστιν ὅτε καὶ αὐτὸ ἁμαρτάνοντας ἡμᾶς πολεμεῖ, διὰ πυρετῶν καὶ νόσων καὶ ἀλγηδόνων ἀμυνόμενον; καὶ τὸ δοῦλον σῶμα τὴν δέσποιναν ψυχὴν μαστίζει ἁμαρτήσασαν, οὐχ ὅτι τοῦτο βούλεται, ἀλλ' ὅτι τοῦτο ποιεῖν κελεύεται; καὶ μάρτυς ὁ Χριστὸς τῷ ἰαθέντι παραλυτικῷ λέγων· ἴδε, ὑγιὴς γέγονας, μηκέτι ἁμάρτανε, ἵνα μή σοι χεῖρόν τι γένηται· μαθόντες οὖν ἀδελφοὶ ὅτι καὶ οἰκειακοὶ καὶ συγγενικοὶ καὶ δουλικοὶ πόλεμοι, καὶ αἱ τοῦ σώματος νόσοι, καὶ τὰ πολλὰ διὰ ἁμαρτίας γίνονται, τὴν πηγὴν τῶν κακῶν τὴν ἁμαρτίαν ἀναστείλωμεν, καὶ οἱ χείμαρροι τῶν παθῶν οὐ ῥέουσιν, ἀλλ' οἱ ποταμοὶ τῶν τοῦ Θεοῦ ὑδάτων τὴν ψυχὴν εὐφραίνουσιν. ἐπεὶ οὖν καὶ Δαβὶδ ὡς ἀλλοτρίαν βασιλείαν τὴν ὕπανδρον ἔλαβε· βασιλεία γὰρ παντὶ ἀνδρὶ ἡ ὁμόψυχος γυνή, καὶ οὐχ οὕτως ὁ βασιλεὺς τὴν πορφύραν καὶ τὸ διάδημα, ὡς ὁ ἀνὴρ τὴν γυναῖκα ἀγαπᾷ· διὰ τοῦτο ὁ ἐκ τῆς γυναικὸς αὐτοῦ ἐπανέστη τύραννος, ἁρπάσαι θέλων τὴν βασιλείαν τοῦ πατρός. βίᾳ ἥρπασε, καὶ βίαν ὑπέμεινε, καὶ ὁ λάθρα ἁμαρτήσας, φανερῶς ἐθριαμβεύετο· καὶ ὁ ἐν κρυφῇ τραυματιζόμενος, ἐπὶ πάντων χειρουργούμενος διὰ τὸν εἰπόντα Θεόν, σὺ ἐποίησας ἐν κρυπτῷ, ἐγὼ δὲ ποιήσω ἐν τῷ φανερῷ, καὶ ἐνώπιον τοῦ ἡλίου τούτου· ὅμως οὐκ εἰς τέλος προῆλθε τὰ τῆς κακίας τοῦ Ἀβεσαλώμ, καὶ δικαίως, ἵνα μὴ οἱ πατραλῷαι νόμον πατροκτονίας τὴν πρᾶξιν ἔχωσιν. ὑπουργήσας δὲ ὡς δήμιος, ὡς καταδίκος ἐφονεύετο· καὶ ὥσπερ τὰ ἐν τοῖς θεάτροις θηρία ἄλλοις μὲν ἐπέρχονται, ὑπὸ ἄλλων δὲ φονεύονται· οὕτω καὶ ὁ Ἀβεσαλὼμ τῷ Δαβὶδ ἐπελθών, ὑπὸ τοῦ Ἰωὰβ ἐφονεύετο, καὶ ἐπὶ δένδρου ὑψηλοῦ ἐκρέματο, ὁ κατὰ τοῦ πατρὸς ὑψούμενος, κατείχετο καὶ ὑπὸ φυτοῦ, ὁ τῇ ῥίζῃ μαχόμενος, καὶ ὁ κλάδος ὑπὸ τοῦ κλάδου ἐδέδετο,

A & eum supplicij expertem reliquerunt. Peccauit Propheta mentitus, & leo eum in via inuentum morte affecit. Erat mendacij fuligine atratus, & leo eum non cognouit. Si prophetam vidisset, vt Danielem, eum honorasset: inuenit pseudoprophetam, & tanquam alienum inuasit. Dominus mentitus est, & seruus negauit dominium. Et quid dico de malis domesticis, quando ipsum etiam nostrum corpus, quod est nobis omnibus familiarius & charius, quandoque nobiscum peccantibus bellum gerit, per febres, & morbos, & dolores nos oppugnans, & seruum corpus B dominam animam quæ peccauit flagellat, non quòd hoc velit, sed quòd hoc iubeatur facere? Huius testis est Christus, qui curato dicit Paralytico: Ecce sanus factus es, noli amplius peccare, ne quid deterius tibi contingat. Cùm ergo didicerimus fratres, quòd & domestica, & intestina & seruilia bella, & morbi etiam corporis sæpe fiunt per peccatum, peccatum fontem malorum reprimamus, & si torrentes animi perturbationum non fluunt, fluuij tamen aquarum Dei oblectant animũ. Quo- C niam ergo Dauid mulierem, quæ erat in mariti potestate, tanquam alienum regnum occupauerat: (cuilibet enim viro regnum est concors coniunx, & non sic rex purpuram & diadema, vt vir vxorem diligit) propterea qui ex vxore natus ei erat filius, insurrexit tyrannus, volens arripere regnum patris. Vi rapuit, & vim passus est: & qui clanculum peccauerat, de eo palam triumphus actus est, & qui erat occultò vulneratus, chirurgi manum coram omnibus passus est, propter Deum qui dixerat: Tu fecisti absconditè: ego autem D faciam in aperto, & in conspectu solis huius. Absalonis tamen scelus non ei ad finem vsque processit: & meritò, ne parricidæ hoc facinus tenerent pro lege parricidij. Cum autem tanquam lictor deseruijsset, interfectus est, vt qui esset damnatus: & quemadmodum quæ sunt in theatris belluæ, alios quidem inuadunt, ab aliis verò interficiuntur: ita etiam Absalon Dauid aggressus, à Ioab occisus est, & in arbore sublimi suspensus est, qui aduersus patrem erigebatur, & à planta detinebatur, qui cum radice pugnabat, & victus erat à ramo ramus,

Matth. 9.

2. Reg. 12.

2. Reg. 18.

qui erat à paterna affectione abruptus: & capite tenebatur, qui genitoris caput auferre contendebat, & tanquam fructus pendebat ab arbore, qui naturæ agricolam volebat excindere, & in corde iaculo confossus est, illic occisus, vbi cædem parabat. Et tunc videri poterat spectaculum admirabile. Mulo enim equitans, ex pilorum coma à coma arboris tenebatur, & coma tenebat coma tyrannum, illic eum contundens, vbi diadema paternum gestare contendebat. Poterat ergo videri Absalon suspensus in medio cœli & terræ. Cœlum eum non admittebat. Si enim primum rebellem eiecit diabolum, quomodo ipsum rebellem secundum admisisset? Terra eum aduersabatur, non ferens pollui passib. parricidæ. Si enim Dathan deuorauit, qui contra Mosen erat locutus, & os suum aperuit aduersus eũ qui os improbè aperuerat: quomodo potuisset ferre pedes currentes aduersus genitorem? Cùm ergo sublimis in arbore penderet, eum aggressus est Ioab primus dux exercitus, & in cor excordis tres sagittas infixit, illic cum feriens, vbi erat receptaculum iniquitatis, & cùm in arbore sublimis penderet, pulchrum epitaphium ei Dauid cecinit: Vidi impium superexaltatum & elatum tanquam cedros Libani: & transiui, & ecce non erat. Psalmus Dauid, quando fugiebat à persona Absalon filij sui. Fugiebat autem, non vt qui timeret, sed vt qui filium caneret occidere. Etenim parcebat tanquam filio, sed qui cum eo erant, non pepercerunt tanquam rebelli. Vnde Dauid, cùm filius eum persequeretur, & propter ipsum Semei eum maledictis insectaretur, ipse quidem patientia vsus est. Quoniam autem multi aduersus eum offendebantur, & maximè qui vna cum Absalone insurgebant, & deinceps aduersus eum erigebantur tanquam cuius nulla esset cura ac prouidentia, dicentes: Desertus est nunc Dauid absque auxilio penitus, nunc discessit ab eo Deus, vt etiam aliquando à Saule; quemadmodum enim tunc discessit à Saule, & fuit cum Dauid: ita nunc discessit à Dauid, & est cum Absalone: insurgamus, inuadamus, non est ei salus in Deo.

Esa. 14. 1 Pet. 2. Num. 16. Psal. 36. 35. 2. Reg. 16.

A τῆς πατρικῆς διαθέσεως ἀποκλώμενος, καὶ ἀπὸ τῆς κεφαλῆς ἐκρατεῖτο, ὁ τὴν κεφαλὴν τοῦ γεννήσαντος λαβεῖν ἐπιχειρούμενος, καὶ ὡς καρπὸς ἀπὸ τοῦ φυτοῦ ἐκρέματο, ὁ τὸν γεωργὸν τῆς φύσεως τεμεῖν βουλόμενος, καὶ εἰς τὴν καρδίαν ἐτοξεύετο, ἐκεῖ φονευόμενος, ὅπου τὸν φόνον ἐμελέτησε. καὶ ἦν ἰδεῖν τότε παράδοξον θέαμα· ὡς γὰρ ἐπὶ τῆς ἡμιόνου ἐλαύνων, ἀπὸ τῆς κόμης τῶν τριχῶν ἀπὸ τῆς κόμης τοῦ δένδρου κατείχετο, καὶ ἡ κόμη τῆς κόμης κατεῖχε τὸν τύραννον, ἐκεῖ αὐτὸν κονδυλίζουσα, ὅπου τὸ πατρικὸν διάδημα φορέσαι ἐσπούδαζεν. ἦν οὖν θεάσασθαι μέσον οὐρανοῦ καὶ γῆς Ἀβεσαλὼμ B κρεμάμενον· ὁ οὐρανὸς αὐτὸν οὐκ ἐδέχετο· εἰ γὰρ τὸν πρῶτον ἀντάρτην ἔρριψε τὸν διάβολον, πῶς ἂν τὸν δεύτερον ἀντάρτην ἐδέξατο; ἡ γῆ αὐτὸν ἀπεστρέφετο, μὴ φέρουσα μιαίνεσθαι πατραλῴου βήμασιν. εἰ γὰρ τὸν Δαθὰν κατὰ Μωσέως λαλήσαντα κατέπιε, καὶ τὸ στόμα αὐτῆς ἤνοιξε κατὰ τοῦ κακῶς τὸ στόμα ἀνοίξαντος, πῶς εἶχε βαστάσαι πόδας κατὰ γονέων τρέχοντας; ὡς οὖν ἐπὶ τοῦ δένδρου ὑψηλὸς ἐκρέματο, ἐπῆλθεν αὐτῷ Ἰωὰβ ὁ ἀρχιστράτηγος, καὶ τρεῖς ἀκίδας εἰς τὴν καρδίαν τοῦ ἀκαρδίου ἐνέπηξεν, C ἐκεῖ αὐτὸν πλήττων, ὅπου τῆς ἀνομίας ἡ θήκη· καὶ ὡς ὑψηλὸς ἐπὶ τοῦ δένδρου ἐκρέματο, καλὸν ἐπιτάφιον αὐτῷ ὁ Δαβὶδ ὑπέψαλλεν. εἶδον τὸν ἀσεβῆ ὑπερυψούμενον καὶ ἐπαιρόμενον, ὡς τὰς κέδρους τοῦ Λιβάνου, καὶ παρῆλθον, καὶ ἰδοὺ οὐκ ἦν. ψαλμὸς τῷ Δαβίδ, ὅτε ἀπεδίδρασκε ἀπὸ προσώπου Ἀβεσαλὼμ τοῦ υἱοῦ αὐτοῦ, ἀπεδίδρασκε δὲ οὐχ ὡς δεδοικὼς μένος, ἀλλὰ φονεῦσαι τὸν υἱὸν εὐλαβούμενος, καὶ γὰρ αὐτὸς ὡς τέκνου ἐφείδετο, ἀλλ' οἱ σὺν αὐτῷ οὐκ αὖ ὡς ἀντάρτου ἐφείσαντο. ὅθεν ὁ Δα- D βὶδ ὑπὸ τοῦ υἱοῦ διωκόμενος, καὶ ὑπὸ τοῦ Σεμεεὶ δι' αὐτὸν λοιδορούμενος, αὐτὸς μὲν ἐμακροθύμει· ἐπεὶ δὲ πολλοὶ κατ' αὐτοῦ ἐσκανδαλίζοντο, καὶ μάλιστα οἱ τῷ Ἀβεσαλὼμ συναιρόμενοι, καὶ λοιπὸν ὡς ἀπρονοήτου κατεπανίσταντο λέγοντες, ἔρημος νῦν ὁ Δαβὶδ ἀβοήθητος παντελῶς, νῦν ἀπέστη ἀπ' αὐτοῦ ὁ Θεὸς ὡς καὶ ἀπὸ τοῦ Σαοὺλ ποτε· ὥσπερ γὰρ τότε ἀπὸ τοῦ Σαοὺλ ἀπέστη, καὶ γέγονε μετὰ τοῦ Δαβίδ, οὕτω νῦν ἀπὸ τοῦ Δαβὶδ ἀπέστη, καὶ γέγονε μετὰ τοῦ Ἀβεσαλὼμ, καὶ ἐπιθησώμεθα, ἐπιθώμεθα, οὐκ ἔστι σωτηρία αὐτῷ ἐν τῷ Θεῷ.

ἐπειδὴ ταῦτα ἔλεγον, ἐπὶ τούτοις ὁ Δαβὶδ πλέον ἀλγήσας ἢ ἐπὶ τοῖς τοῦ παιδὸς σκιρτήμασιν, ἐπερωτᾷ τὸν Θεόν· κύριε τί ἐπληθύνθησαν οἱ θλίβοντές με; περιπέφραγμαι τοῖς πειρασμοῖς, περιέχομαι τοῖς χειμάρροις τῶν κακῶν, κατέβη ἡ ἐπικίνδυνος βροχὴ, ἦλθον οἱ τῶν πολεμίων ποταμοὶ, ἔπνευσαν οἱ ἄνεμοι τῶν πνευμάτων τῶν πονηρῶν, προσέρρηξαν μου τῇ οἰκίᾳ μετακινῆσαι θέλοντες τὴν ψυχήν μου ἀπὸ σοῦ. ἀλλὰ τεθεμελιωμένος ἐπὶ τὴν πέτραν τῆς πίστεως οὐ πίπτω, ἀλλὰ προσπίπτω, ἵνα μάθω κύριε, τί ἐπληθύνθησαν οἱ θλίβοντές με. ὁ ἐξ ἐμοῦ, κατ᾽ ἐμοῦ, ἀλλὰ σὺ ὑπὲρ ἐμοῦ. τὰ ἐμὰ σπλάγχνα ἐμὲ πολεμεῖ. ὁ ἐμὸς λαὸς ὀπίσω Ἀβεσσαλὼμ, τὸ ἐμὸν στρατόπεδον ὁπλίζεται κατ᾽ ἐμοῦ. τὰ πρόβατά μου λύκοι γεγόνασι, καὶ λέοντες οἱ ἀρνοὶ, καὶ κύνες λυσσῶντες οἱ ἀμνοὶ, καὶ ταῦροι κεραΐζουσι οἱ κριοί· οὐ δι᾽ ἐμαυτὸν λυποῦμαι, ἀλλὰ τὴν τούτων ἀπώλειαν θρηνῶ.

A Quoniam autem hæc dicebant, hæc ægrius ferens Dauid, quàm filij insultus, Deum interrogat, *Domine quid multiplicati sunt qui tribulant me?* Circumseptus sum tentationibus, circumdor torrentibus malorum, descendit periculosus laqueus, venerunt flumina hostium, venti spirarunt, in meam domum irruperunt, volentes animam meam à te dimouere, sed fundatus supra petram fidei non cado, sed procumbo, vt di-B scam: Domine quid multiplicati sunt qui tribulant me? Qui ex me genitus est, contra me est, sed tu es pro me. Mea mecum viscera bellum gerunt, meus populus post Absalonem, meus contra me armatur exercitus. Oues meæ lupi facti sunt, & leones agni, & canes rabie perciti agnelli, & tauri cornu petentes arietes: non propter meipsum afficior tristitia, sed illorum doleo exitium.

A

Sancti patris nostri

IOANNIS CHRYSOSTOMI ARCHIEPISCOPI Constantinopolitani Expositio in Psalmum IV. *Cum inuocarem exaudiuit me Deus iustitiæ meæ.*

NON hæc dicit Propheta, vt solùm intelligamus eum fuisse exauditum: sed vt discamus quomodo ipsi quoque Deum inuocantes, citò poterimus exaudiri, & ante finem orationis postulatum consequi. Non dixit enim: Postquam ego inuocaui, exaudiuit me, me, sed, Cùm inuocarem. Nam ipsius quoque Dei est eiusmodi promissio, dum alicubi dicit ei qui inuocat: Te adhuc loquente dicam: Ecce adsum. Non solet enim Deo persuadere verborum multitudo, sed pura anima, & rectè factorum seu bonorum operum ostensio. Eis itaque qui improbè quidem viuunt, verborum autem prolixitate se eum placare existimant, vide quid dicat: Quando multiplicabitis orationem, non exaudiam vos. Si extenderitis manus, auertam oculos meos à vobis. Ante alia itaque omnia oportet eum qui precatur habere fiduciam, & postulatum omnino consequetur. Et ideo non dixit Propheta, Exaudiuit me, sed, Iustitiam meam: suam in Deum fiduciam ostendens, & quòd cùm ea semper ad eum accedit. Nec verò putet quispiam eum dum hæc dicit se iactare & gloriosè loqui. Non enim hæc dicit se volens extollere, sed doctrinam quandam & admonitionem communem valde vtilem afferens. Ne dicat enim quispiam, ille fuit exauditus, quoniam erat Dauid, ego verò non exaudiar, quo-

Esa.58.9.

Esa.1.15.

Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν

ΙΩΑΝΝΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ τοῦ Χρυσοστόμου ἑρμηνεία εἰς τὸν δ' ψαλμόν.

Ἐν τῷ ἐπικαλεῖσθαί με εἰσήκουσέ με ὁ θεὸς τῆς δικαιοσύνης μου.

B

ΟΥΧ ἵνα ἁπλῶς μάθωμεν, ὅτι ἠκούσθη, ταῦτα φθέγγεται ὁ προφήτης· ἀλλ' ἵνα παιδευθῶμεν πῶς καὶ αὐτοὶ καλοῦντες τὸν θεὸν ἀκουσθῆναι δυνησόμεθα ταχέως, καὶ πρὸ τοῦ τέλους τῆς εὐχῆς τὴν αἴτησιν λαβεῖν. οὐ γὰρ εἶπε μετὰ τὸ ἐπικαλέσασθαί με εἰσήκουσέ μου, ἀλλ' ἐν τῷ ἐπικαλεῖσθαί με. C καὶ γὰρ καὶ αὐτοῦ τοῦ θεοῦ τοιαύτη τίς ἐστιν ὑπόσχεσις λέγοντός που πρὸς τὸν ἐπικαλούμενον, ἔτι λαλοῦντός σου ἐρῶ, ἰδοὺ πάρειμι. οὐ γὰρ δὴ ῥημάτων πλῆθος πείθειν τὸν θεὸν εἴωθεν, ἀλλὰ καθαρὰ ψυχὴ καὶ ἔργων ἀγαθῶν ἐπίδειξις. πρὸς γοῦν τοὺς ἐν πονηρίᾳ μὲν ζῶντας, προσδοκῶντας δὲ τῷ μήκει τῶν ῥημάτων δυσωπεῖν αὐτὸν, ὅρα τί φησιν· ὅταν πληθύνητε τὴν δέησιν, οὐκ εἰσακούσομαι ὑμῶν. ἐὰν ἐκτείνητε τὰς χεῖρας, ἀποστρέψω τοὺς ὀφθαλμούς μου ἀφ' ὑμῶν. D ἄρα πρὸ τῶν ἄλλων ἁπάντων παῤῥησίαν δεῖ τὸν εὐχόμενον ἔχειν, καὶ πάντως ἕψεται τὰ τῆς αἰτήσεως. διά τοι τοῦτο καὶ ὁ προφήτης οὐκ εἶπεν εἰσήκουσεν ἐμοῦ, ἀλλὰ τῆς δικαιοσύνης μου, τὴν πρὸς τὸν θεὸν αὐτοῦ παῤῥησίαν δεικνὺς, καὶ ὡς μετὰ ταύτης αὐτῷ προσῄει διὰ παντός. μηδεὶς δὲ αὐτὸν μεγαληγορεῖν ἡγείσθω ταῦτα λέγοντα. οὐ γὰρ ἑαυτὸν ἐπᾶραι βουλόμενος ταῦτά φησιν, ἀλλὰ διδασκαλίαν τινὰ καὶ παραίνεσιν κοινὴν πολὺ κέρδος ἔχουσαν εἰσάγων. ἵνα γὰρ μή τις λέγῃ, ὅτι ἐκεῖνος ἠκούσθη ἐπειδὴ Δαβὶδ ἦν, ἐγὼ δὲ οὐκ εἰσα-

κουσθήσομαι ἐπειδὴ μικρὸς καὶ εὐτελής εἰμι, δείκνυσιν, ὅτι οὔτε ἐκεῖνος ἁπλῶς ἀκούει, οὔτε σὺ παρακούει εἰκῆ καὶ ὡς ἔτυχεν, ἀλλὰ πανταχοῦ τῶν πραγμάτων ἐστὶν ἀκριβὴς θεωρός. κἂν ταῦτα ἔχῃς τὰ δυνάμενά σοι συνηγορῆσαι, εἰσακουσθήσῃ πάντως, ὥσπερ ἂν μὴ ἔχῃς, οὐδ' ἂν Δαβὶδ ᾖς, πεῖσαι δυνήσῃ τὸν θεόν. καὶ καθάπερ οἱ φιλοχρήματοι, οὔτε πρὸς ἀξίαν, οὔτε πρὸς ἕτερον οὐδὲν βλέπουσιν, ἀλλ' ἢ τοὺς ἀργύριον ἔχοντας μόνον, καὶ ὡς πάντα ἀνύσοντες ἄπιασι πρὸς αὐτοὺς, οὕτω καὶ ὁ θεὸς ἐπειδὴ δικαιοσύνης ἐστὶν ἐραστής, ὃς ἂν μετὰ ταύτης ἔλθῃ πρὸς αὐτὸν, οὐκ ἀπελεύσεται κενός, ὥσπερ οὖν ὁ ταύτης χωρὶς καὶ τοῖς ἐναντίοις ἐμφυρόμενος, κἂν μυρία παρακαλῇ, πλέον οὐδὲν ἐργάσεται, τὸ πείθειν οὐκ ἔχων μεθ' ἑαυτοῦ· ὥστε εἰ βούλει τι παρὰ θεοῦ αἰτεῖν, ταύτην προσλαβὼν ἄπιθι. δικαιοσύνην δὲ ἐνταῦθα μὴ μέρος ἀρετῆς εἶναι νόμιζε, ἀλλ' ὁλόκληρον καὶ καθολικήν. οὕτω καὶ ὁ Ἰὼβ δίκαιος ἦν πᾶσαν ἀρετὴν ἔχων ἀνθρωπίνην οὐ τοῦτο μὲν ἀπεχόμενος τοῦ πονηροῦ, ἑτέρου δὲ ἀντεχόμενος. οὕτω καὶ ἡμεῖς δίκαιον σταθμὸν τοῦτο λέγομεν τὸ πανταχοῦ ἴσον· οὐκ ἐὰν χρυσὸν μὲν ἐξ ἴσου ἱστᾶν δύνηται, μόλυβδον δὲ ἐναντίως, ἀλλὰ τὸ ἐν ἁπάσαις ὕλαις τὴν ἰσότητα παρεχόμενον. καὶ μέτρον πάλιν, τὸ πανταχοῦ ἴσον. οὕτω καὶ ὁ Ἰὼβ δίκαιος ἦν πανταχοῦ ἴσος ὤν. οὐδὲ γὰρ ἐν χρήμασι τὴν ἰσότητα ταύτην ἐφύλαττε μόνον, ἀλλὰ καὶ ἐν τοῖς ἄλλοις ἅπασιν, οὐδαμοῦ τὸ μέτρον ὑπερβαίνων. οὐδ' ἂν ἔχοι τις εἰπεῖν, ὅτι ἐν χρήμασι μὲν τὴν ἰσονομίαν ἔστεργεν, ἐν δὲ τῇ πρὸς τοὺς πλησίον ὁμιλίᾳ τὸ μέτρον ὑπερέβαινεν, ἀλαζών τις καὶ ὑπερόπτης ὤν. καὶ γὰρ καὶ τοῦτο ἐκ πολλῆς τῆς ἐπιμελείας ἔφευγε. διὸ καὶ ἔλεγεν· εἰ δὲ καὶ ἐφαύλισα κρίμα θεράποντός μου ἢ θεραπαίνης κρινομένων πρός με, ἢ οὐχ ὡς ἐγὼ ἐγινόμην καὶ αὐτοὶ ἐγίνοντο. ἄρα καὶ τοῦτο ἀδικία μεγίστη, τὸ ἀλαζόνα εἶναι καὶ πλεονεκτικόν. ὥσπερ γὰρ πλεονέκτην λέγομεν τὸν τὰ τῶν ἄλλων βουλόμενον λαβεῖν, καὶ τοῖς οἰκείοις οὐκ ἀρκούμενον· οὕτω καὶ ἀλαζονικὸν λέγομεν, ὅταν πλέον ἀπαι-

niam sum pusillus & abiectus: ostendit quòd nec illum audit quomodocumque, nec te non audit temerè & nulla ductus ratione, sed semper res & facta exactè contemplatur. Quæ si habueris, & eorum possis vti defensione, omnino exaudieris. Quemadmodum si non habueris, nec si Dauid quidem fueris, poteris Deo persuadere: & quemadmodum auari qui studio tenentur pecuniæ, nec dignitatem, nec aliquid aliud respiciunt, nisi eos tantum qui habent pecuniam, & ad eos, tanquam nihil non effecturi, accedunt: ita etiam Deus, quandoquidem est amator iustitiæ, quicunque cum ea ad ipsum accesserit, non recedet vacuus, quemadmodum qui ea caret, & ijs quæ sunt illi contraria, inquinatur: quantumuis prolixè oret & obsecret, nihilo plus efficiet, cùm non sit penes eum persuadere. Quamobrem si apud Deum velis aliquid efficere, ea accepta proficiscere. Iustitiam autem ne hîc esse partem virtutis existimes, sed integrã, & vniuersam, & omnibus numeris absolutam. Ita etiam erat Iob iustus, vt qui humanam omnem haberet virtutem, non qui ab hoc quidem malo abstineret, illud verò retineret. Ita etiam nos iustam stateram esse dicimus, quæ omni ex parte æqua est: non si aurum quidem possit ex æquo statuere, secus autem plumbum, sed quæ in quauis materia æquitatem exhibet, & rursus mensurã, quæ est omni ex parte æqua. Ita etiam erat Iob iustus, qui erat æquus ex omni parte. Neque enim in pecunia solùm eam seruabat æquitatem, sed etiam in alijs omnibus, modum nunquam excedens. Nec possit dicere quispiam quòd in pecunia quidem diligebat æquitatem, in congressione autem & sermone cum propinquis modum excedebat, vt qui esset superbus & arrogans. Hoc enim summo studio fugiebat. Et ideo dicebat. Quòd si etiam contempsi iudicium *Iob.31.13.* serui mei vel ancillæ, cum litigarent mecum: vel non sicut ego fui, fuerũt & ipsi. Et hoc ergo etiã iniustitia est, esse superbum & arrogantem, & plura habendi cupiditatis seu auaritiæ vitium. Quemadmodum enim auarum esse dicimus qui vult in ea quæ sunt aliorum inuadere, nec suis est contentus: ita etiam superbum & arrogantem, quando

plus exigit quàm quod homini debetur à proximo, quando quis seipsum quidē in omni honore collocat, alium verò habet despectui. Hoc autem non aliunde oritur, quàm ex iniustitia. Quòd enim hoc sit iniustitia, ex hoc considera. Et te & illum fecit Deus, & tibi omnia dedit cum illo communia & ex æquo. Quomodo ergo eum expellis, & spolias honore quem Deus dedit, & ad societatem non admittis, sed omnia tibi tribuis, & non solùm in pecunia, sed etiam in honore eum facis pauperem? Deus dedit vnam vtrique essentiam: æquali principatu, æquali scilicet creationis honore dignatus est. Illud enim, Faciamus hominem, est commune vniuerso generi. Quomodo ergo eum exturbas à bonis paternis, ad summam humilitatem redigens, & quod est commune, tanquam tibi proprium vindicans? Sed talis non erat beatus Propheta, & ideo audacter & liberè dicebat: Exaudiit iustitiam meam. Ita etiam Paulus seipsum adducit in medium, non se efferens, nec intumescens, sed se alijs exemplar proponens, quemadmodum quando dicit: Volo omnes homines esse sicut & meipsum in continentia. Ita etiam Dauid in tempore quo postulabat, fortitudinem suam quæ ei diuinitus obtigerat, in medium adducit, dicens se & vrsos suffocasse, & leones strangulasse, non seipsum quidē sic extollens, absit: sed ea ratione procurans vt sibi fides haberetur. Et si habeo iustitiam, dicet fortasse quispiam, quid opus est oratione, cùm & rès ipsa ad omnia rectè gerenda sufficiat: & qui daturus est, sciat quibusnam opus habemus? Quoniam oratio non est paruum vinculum dilectionis in Deum, quæ cum eo colloqui nos assuefacit, & ad sapientiæ studium nos deducit. Si enim qui cum magno aliquo & admirabili viro multum versatur, ex eius consuetudine maximum fructum accipit, quantò magis qui cum Deo perpetuam habet consuetudinem? Sed nescimus vt oportet quodnam sit commodum orationis, quandoquidem nec eam exactè attendimus, nec ea ex Dei legibus vtimur. Sed homines quidem aliquos allocuturi, qui sunt nobis superiores, vbi & habitum, & incessum, & amictum, & omnia composuerimus,

Gen. 1. 21.

1. Cor. 7. 7.

1. Reg. 17. 34.

A τὴν ὀφειλομένην αὐτῷ παρὰ τοῦ πλησίον· ὅταν τις ἑαυτὸν μὲν ἐν πάσῃ καθιστᾷ τιμῇ, ἕτερον δὲ ἀτιμάζῃ. τοῦτο δὲ οὐδαμόθεν ἑτέρωθεν γίνεται ἢ ἐξ ἀδικίας. ὅτι γὰρ ἀδικία τοῦτο, σκόπει ἐντεῦθεν. καί σε ὁ θεὸς κἀκεῖνον ἐποίησε, καὶ πάντα σοι κοινὰ καὶ ἴσα δέδωκε πρὸς αὐτόν. πῶς οὖν αὐτὸν ἐκβάλλεις καὶ ἀποστερεῖς τῆς τιμῆς, ἥνπερ ἔδωκεν ὁ θεός, καὶ οὐκ ἀφίης εἶναι κοινωνόν, ἀλλὰ τὸ πᾶν σὸν ποιεῖς, οὐκ ἐν χρήμασι μόνον, ἀλλὰ καὶ ἐν δόξῃ ποιεῖς αὐτὸν πένητα; μίαν ἑκατέροις ὁ θεὸς οὐσίαν ἐχαρίσατο· τῆς αὐτῆς ἠξίωσε προεδρίας, B τῆς ἴσης πλάσεως. τὸ γὰρ, ποιήσωμεν ἄνθρωπον, κοινὸν τοῦ γένους παντός. πῶς οὖν αὐτὸν τῆς πατρῴας ἐκβάλλεις οὐσίας, εἰς ἐσχάτην εὐτέλειαν κατάγων, καὶ τὸ κοινὸν ἰδιοποιούμενος; ἀλλ' οὐχ ὁ μακάριος προφήτης τοιοῦτος. διὸ καὶ μετὰ παρρησίας ἔλεγεν, εἰσήκουσε τῆς δικαιοσύνης μου. οὕτω καὶ Παῦλος παράγει πολλάκις ἑαυτὸν εἰς τὸ μέσον, οὐκ ἐπαίρων, οὐδὲ φυσῶν, ἀλλὰ τοῖς ἄλλοις ὑπόδειγμα γινόμενος· ὡς ὅταν λέγῃ, θέλω πάντας ἀνθρώπους εἶναι ὡς καὶ ἐμαυτὸν ἐν ἐγκρατείᾳ. C οὕτω καὶ ὁ Δαβὶδ ἐν καιρῷ καλοῦντι, τὴν ἀνδρείαν τὴν ἑαυτοῦ τὴν ἐκ τῆς τοῦ θεοῦ γενομένην ῥοπῆς εἰς μέσον ἄγει, λέγων, ὅτι καὶ ἄρκτους ἔπνιγε, καὶ λέοντας ἠγκαλίζετο· οὐκ ἐπαίρων ἑαυτὸν οὐδὲ τοῦτο, μὴ γένοιτο, ἀλλ' οἰκονομῶν ἑαυτῷ ἐντεῦθεν τὸ ἀξιόπιστον. καὶ εἰ ἔχω δικαιοσύνην, φησίν, ἴσως ἐρεῖ τις, τίς χρεία εὐχῆς, ἀρκοῦντος τοῦ πράγματος ἅπαντα κατορθοῦν, καὶ τοῦ μέλλοντος διδόναι εἰδότος ὧν δεόμεθα; ὅτι οὐ μικρὸς σύνδεσμος τῆς πρὸς θεὸν ἀγάπης ἡ εὐχή, συνήθειαν D ἡμῖν ἐμποιοῦσα τῆς πρὸς αὐτὸν ὁμιλίας, καὶ εἰς φιλοσοφίαν ἄγουσα. εἰ γὰρ ἀνθρώποις συγγινόμενος θαυμαστοῖς, πολλὰ καρποῦται ἐκ τῆς συνουσίας, πολλῷ μᾶλλον ὁ θεῷ διηνεκῶς ὁμιλῶν. ἀλλ' οὐκ ἴσμεν τῆς εὐχῆς τὸ κέρδος ὡς χρή, ἐπειδὴ μηδὲ προσέχομεν αὐτῇ μετὰ ἀκριβείας, μηδὲ χρώμεθα κατὰ τοὺς τοῦ θεοῦ νόμους. ἀλλ' ἀνθρώποις μὲν μέλλοντες διαλέγεσθαί τισι τῶν ὑπὲρ ἡμᾶς, καὶ σχῆμα, καὶ βάδισμα, καὶ στολὴν, καὶ πάντα ῥυθμίσαντες εἰς τὸ δέον, οὕτω διαλεγ-

λεγόμεθα· Θεῷ δὲ προσιόντες χασμώμεθα, κνώμεθα, περιστρεφόμεθα, ῥαθυμοῦμεν· τῶν γονάτων χαμαὶ κειμένων, ἐπὶ τῆς ἀγορᾶς πλανώμεθα. εἰ δὲ μετὰ τῆς προσηκούσης εὐλαβείας, καὶ ὡς Θεῷ διαλέξεσθαι μέλλοντες, οὕτω προσήειμεν· τότε ἂν ἔγνωμεν, καὶ πρὸ τοῦ λαβεῖν ἅπερ ᾐτοῦμεν, ἡλίκον κέρδος καρπούμεθα. ἄνθρωπος γὰρ Θεῷ παιδευθεὶς διαλέγεσθαι, ὡς εἰκὸς τὸν τῷ Θεῷ διαλεγόμενον, ἄγγελος ἔσται λοιπόν. οὕτως ἀπολύεται τῶν δεσμῶν τοῦ σώματος ἡ ψυχή· οὕτω μετάρσιος αὐτῷ γίνεται ὁ λογισμός· οὕτω μετοικίζεται πρὸς τὸν οὐρανόν· οὕτως ὑπερορᾷ τῶν βιωτικῶν· οὕτω παρ' αὐτὸν ἵσταται τὸν θρόνον βασιλικόν, κἂν πένης ᾖ, κἂν οἰκέτης, κἂν ἰδιώτης, κἂν ἀμαθής. οὐ γὰρ γλώττης ζητεῖ κάλλος ὁ Θεός, οὐδὲ ῥημάτων συνθήκην, ἀλλὰ ψυχῆς ὥραν. κἂν ἐκείνη φθέγγηται τὰ αὐτῷ δοκοῦντα, τὸ πᾶν αἰτήσας ἄπεισιν. ὁρᾷς πόση εὐκολία; ἐπὶ μὲν γὰρ τῶν ἀνθρώπων τὸν προσιόντα τινὶ καὶ ῥητορικὸν εἶναι χρή, καὶ κολακεῦσαι τοὺς περὶ τὸν ἄρχοντα πάντας ἱκανόν, καὶ πολλὰ ἕτερα ἐπινοῆσαι, ὥστε γενέσθαι εὐπρόσδεκτον. ἐνταῦθα δὲ οὐδενὸς δεῖται, ἀλλὰ γνώμης μόνης νηφούσης, καὶ οὐδὲν τὸ κωλῦον εἶναι ἐγγὺς τοῦ Θεοῦ. Θεὸς γὰρ ἐγγίζων ἐγώ εἰμι, καὶ οὐ Θεὸς πόρρωθεν. ὥστε τὸ μακρὰν γενέσθαι, ἀφ' ἡμῶν γίνεται. αὐτὸς γὰρ ἀεὶ πλησίον ἐστί. καὶ τί λέγω ὅτι ῥητορείας οὐ δεόμεθα; πολλάκις οὐδὲ φωνῆς δεόμεθα. κἂν γὰρ ἐν τῇ καρδίᾳ φθέγξῃ, καὶ καλέσῃς αὐτὸν ὡς χρή, ῥᾳδίως ἐπινεύσει καὶ τοῦτο. οὕτω καὶ Μωϋσέως ἤκουσεν· οὕτω καὶ Ἄννης. οὐ παρέστηκε στρατιώτης ἀποσοβῶν· οὐ δορυφόρος τὸν καιρὸν διακόπτων· οὐκ ἔστιν εἰπεῖν, νῦν οὐ δυνατὸν προσελθεῖν, μετὰ ταῦτα παραγενοῦ· ἀλλ' ὅταν ἔλθῃς, ἕστηκεν ἀκούων, κἂν ἐν καιρῷ ἀρίστου, κἂν ἐν καιρῷ δείπνου, κἂν ἐν αὐτῇ τῇ ἀωρίᾳ, κἂν ἐν ἀγορᾷ, κἂν ἐν ὁδῷ, κἂν ἐν θαλάμῳ· κἂν ἔνδον ἐν δικαστηρίῳ ἄρχοντι παρεστῇς, καὶ καλέσῃς αὐτόν, τὸ κωλῦον οὐδὲν ἐπινεῦσαι τῇ αἰτήσει, ἂν ὡς χρὴ καλέσῃς. οὐκ ἔστιν εἰπεῖν, δέδοικα προσελθεῖν, καὶ δεηθῆναι· ὁ ἐχθρός μου παρέστηκεν. ἀλλὰ καὶ τοῦτο ἀνῄρηται τὸ κώλυμα. οὔτε γὰρ ἐχθρὸν προσέχει,

A ita vt oportet alloquimur: ad Deum autem accedentes, hiamus, fricamus, nos huc & illuc versamus, negligentes, ac socordes sumus, hnmi genibus flexis, per forum oberramus. Quòd si cum ea qua par est reuerentia, & tanquam cum Deo locuturi accederemus, tunc sciremus etiam antequã acciperemus quæ petimus, quantum lucri faciamus. Homo enim qui cum Deo loqui didicit, vt par est eum, qui cum Deo loquitur, erit deinceps angelus, ita liberatur anima à vinculis corporis, ita ei ratio in altum tollitur, ita è terris migrans in cœlis habitat, ita quæ ad vitam hanc B pertinent, despicit: ita apud ipsum thronum regium sistitur; etiamsi sit pauper, si famulus, si priuatus, si indoctus: non quærit enim Deus linguæ elegantiam, nec verborum compositionem, sed animæ pulchritudinem, & si illa ea quæ ipsi placent loquatur, tota re effecta recedit. Vides quanta facilitas. In hominibus quidẽ oportet eum qui ad aliquem accedit, esse dicendi facultate præditum, & posse blanditiis sibi conciliare omnes asseclas principis, & multa alia excogitare, vt gratus & C acceptus esse possit. Hic autem nullo alio, preterquam sola sobria & vigilanti mente opus est, & nihil est quod prohibeat quo minus prope Deum simus. Deus enim appropinquans ego sum, & non Deus procul. Quamobrem quòd longè abest, à nobis proficiscitur. Ipse enim semper propè est. Et quid dico nos non opus habere dicendi facultate? Sæpenumero ne voce quidem opus habemus. Nam si vel in corde locutus fueris, & eum vt oportet vocaueris, vel tunc quoque facilè annuet. Ità & Mosem audiuit. Ita etiam Annam. D Non assistit miles qui expellat, non satelles, qui tempus interrumpat, non est qui dicat: Non est nunc tempus accedendi, veni postea. Sed quãdo veneris, stat audiens, etiamsi tempore prandij, etiamsi tempore cœnæ, etiamsi nocte intempesta, etiamsi in foro, etiamsi in via, etiamsi in cubili, etiamsi intus in iudicio apud magistratum fueris, & eum vocaueris, nihil vetat quominus tuam petitionem audiat, si ritè vocaueris. Non potes dicere: Vereor accedere & orare, adest meus inimicus. At hoc etiam impedimentum ablatum est. Neque enim inimicum tuum attendit,

1.Cor.2.

Quàm exorabilis Deus.

Hier.3.

Num.12. Sam.1.

nec tuam interrumpit petitionem: sed semper & assiduè cum potes interpellare, & nulla adest difficultas: neque enim opus est ianitoribus qui te introducant, non dispensatoribus, procuratoribus, custodibus, aut amicis, sed quando ipse per teipsum accesseris, tunc maximè te audiet, tunc quando neminem rogaueris. Non ita ergo eum per alios placamus orantes, sicut per nosipsos. Cùm enim nostram expetat amicitiam, omnia etiam facit, vt nos ei confidamus: quando viderit nos hoc per nosipsos facientes, tunc maximè annuit. Ita etiam fecit in Chananæa, & cùm Petrus quidem & Iacobus accederent pro illa, non annuit. Cùm ea autem permaneret, quod petebatur dedit protinus. Etsi enim visus est parum differre, non hoc fecit vt protelaretur muliercula, sed vt eam magis coronaret, & eius assiduitatem magis sibi familiarem redderet. Meditemur ergo nos quoque Deum interpellare. Discamus quomodo ea sit facienda interpellatio. Non est eundum in Musæum, non sunt consumendæ pecuniæ, nec sunt conducendi pædagogi, rhetores, & sophistæ, neque verò multum temporis consumendum est, vt hanc dicendi artem discas, sed solùm voluisse sufficit, & ars perfecta euasit. Et nec pro te solùm poteris dicere in eo iudicio, sed etiam pro multis aliis. Et quisnam est scopus? quod institutum artis huius iudicialis? Modus orationis. Sobria mente, animo contrito, cum fontibus lachrymarum ad eum accedere, nihil quod ad hanc vitam pertineat petere, futura concupiscere, pro spiritalibus interpellare, inimicis non male precari, acceptam iniuriam memoria non tenere, omnes perturbationes ex animo expellere, cõterentem cor ita accedere, cupiditates contrahere ac moderatum esse, mansuetudinem exercere, & linguam ad bene loquendum conuertere, cum nullo pro rebus improbis conspirare, nihil habere commune cum communi orbis terrarum hoste, cum diabolo, inquam. In eum enim qui pro aliis cum rege loquitur, & cum eius inimicis communicat, externæ etiam leges animaduertũt. Et tu ergo si vis & pro te, & pro alijs dicere, fac vt hac in re maximé te rectè geras, vt nihil commune

Matth. 22. Marc. 11. Matth. 15.

Sap. 8. Psal. 50. Thren. 2. Matth. 6. Rom. 12. Iudith. 9. Ephes. 4. Coloss. 4. Tob. 12. 1. Cor. 6.

A καὶ διακόπτει σου τὴν αἴτησιν· ἀλλ' ἀεὶ καὶ διηνεκῶς ἐντυγχάνειν δύνασαι, καὶ δυσκολία οὐδεμία πρόσεστιν. οὔτε γὰρ χρεία τῶν προσαγαγόντων θυρωρῶν, οἰκονόμων, ἐπιτρόπων, φυλάκων, ἢ φίλων· ἀλλ' ὅταν αὐτὸς δι' ἑαυτοῦ προσέλθῃς, τότε μάλιστα ἀκούσεταί σου, τότε, ὅταν μηδενὸς δεηθῇς. οὐχ οὕτως οὖν αὐτὸν δυσωποῦμεν δι' ἑτέρων ἀξιοῦντες, ὡς δι' ἡμῶν αὐτῶν. ἐπειδὴ γὰρ τῆς ἡμετέρας ἐρᾷ φιλίας, καὶ πάντα ποιεῖ, ὥστε ἡμᾶς αὐτῷ θαῤῥεῖν· ὅταν ἴδῃ δι' ἑαυτῶν τοῦτο ποιοῦντας, τότε μάλιστα B ἐπινεύει. οὕτω καὶ ἐπὶ τῆς Χαναναίας ἐποίησε. καὶ Πέτρου μὲν καὶ Ἰακώβου προσιόντων ὑπὲρ αὐτῆς, οὐκ ἐπένευσεν· ἐπιμενούσης δὲ ταύτης, τὸ αἰτηθὲν ταχέως ἔδωκεν. εἰ γὰρ καὶ μικρὸν ἔδοξεν ἀναβάλλεσθαι, οὐχ ἵνα ὑπερθῆται τὸ γύναιον, ἀλλ' ἵνα μειζόνως στεφανώσῃ, καὶ μᾶλλον αὐτῆς οἰκειώσηται τὴν προσεδρείαν τοῦτο πεποίηκε. μελετήσωμεν τοίνυν καὶ ἡμεῖς ἐντυγχάνειν Θεῷ· μάθωμεν, πῶς δεῖ ταύτην ποιεῖσθαι τὴν ἐντυχίαν. οὐκ εἰς μουσεῖον ἀπιέναι δεῖ, οὐδὲ χρήματα ἀναλίσκειν, οὐδὲ παιδαγωγοὺς μισθοῦσθαι, καὶ ῥήτορας καὶ σοφιστάς, οὐ- C δὲ χρόνον πολὺν δαπανᾶν, ὥστε μαθεῖν τὴν ῥητορείαν ταύτην· ἀλλ' ἀρκεῖ θελῆσαι μόνον, καὶ τὰ τῆς τέχνης ἀπήρτισται. καὶ οὐχ ὑπὲρ σαυτοῦ δυνήσῃ μόνον ἐν τῷ δικαστηρίῳ τούτῳ τούτῳ λέγειν, ἀλλὰ καὶ ὑπὲρ ἑτέρων πολλῶν. καὶ τίς ὁ τῆς δικανικῆς ταύτης σκοπός; ὁ τῆς εὐχῆς τρόπος. τὸ νηφούσῃ διανοίᾳ, τὸ συντετριμμένῃ ψυχῇ, τὸ μετὰ πηγῶν δακρύων αὐτῷ προσιέναι, τὸ μηδὲν αἰτεῖν βιωτικόν, τὸ τῶν μελλόντων ἐρᾶν, τὸ ὑπὲρ τῶν πνευματικῶν ποιεῖσθαι τὴν ἔντευξιν, τὸ μὴ κατεύχεσθαι τῶν ἐχθρῶν, τὸ μηδενὶ μνησικακεῖν, τὸ D πάντα ἐκβάλλειν ἀπὸ τῆς ψυχῆς τὰ πάθη, τὸ συντρίβοντα τὴν καρδίαν οὕτω προσιέναι, τὸ συνεστάλθαι, τὸ πολλὴν τὴν ἐπιείκειαν μελετᾶν καὶ τὴν γλῶτταν πρὸς εὐφημίαν τρέπειν, τὸ μηδενὶ τῶν πονηρῶν συνίστασθαι πραγμάτων, τὸ μηδὲν κοινὸν ἔχειν πρὸς τὸν κοινὸν τῆς οἰκουμένης ἐχθρόν, λέγω δὴ τὸν διάβολον. τῷ γὰρ ὑπὲρ ἑτέρων λέγοντα βασιλεῖ, καὶ τοῖς ἐχθροῖς ἐκείνου κοινολογούμενον καὶ οἱ ἔξωθεν νόμοι τιμωροῦσι. καὶ σὺ τοίνυν, εἰ βούλει καὶ ὑπὲρ σαυτοῦ καὶ ὑπὲρ ἑτέρων λέγειν, τοῦτο δὴ μάλιστα κατόρθωσον,

ὃ μηδὲν κοινὸν ἔχει πρὸς τὸν κοινὸν τῆς οἰκουμένης ἐχθρόν. οὕτω γὰρ ἔσῃ δίκαιος· καὶ δίκαιος ὢν, ἀκουσθήσῃ, τοιαύτην ἔχων συνήγορον. ἐν θλίψει ἐπλάτυνάς μοι. οὐκ εἶπε, παρήγαγες τὰς θλίψεις, οὐδὲ, ἀνεῖλες τοὺς πειρασμοὺς, ἀλλ' ἀφῆκας ἑστάναι, καὶ ἐπλάτυνάς μοι. ὃ γὰρ εὐμήχανον τοῦ Θεοῦ καὶ ὃ εὔπορον κἀντεῦθεν μάλιστα δείκνυται, οὐκ ἐν τῷ περιελκεῖν τὰς θλίψεις μόνον, ἀλλὰ καὶ ἐν τῷ μενουσῶν αὐτῶν πολλὴν παρέχειν τὴν ῥᾳστώνην. τοῦτο καὶ τοῦ Θεοῦ δείκνυσι τὴν ἰσχὺν, καὶ τοὺς ἐμπίπτοντας φιλοσοφωτέρους ἐργάζεται, ὅταν καὶ εὐρυχωρία ἢ παραμυθουμένη τὴν θλιβομένην ψυχὴν, καὶ ἡ θλίψις μὴ καταλύηται σφίγγουσα ταύτην ῥαθυμοῦσαν, καὶ πάσης ἀπαλλάττουσα ὀλιγωρίας. καὶ πῶς, φησιν, ἐν θλίψει γένοιτ' ἂν πλατυσμός; ὡς ἐν τῇ καμίνῳ τῶν τριῶν παίδων, ὡς ἐν τῷ λάκκῳ τῶν λεόντων. οὐ γὰρ ἔσβεσε τὴν φλόγα, καὶ τότε ἐποίησεν αὐτοὺς ἐν εὐρυχωρίᾳ εἶναι· οὐδὲ ἀπέκτεινε τοὺς λέοντας, καὶ ὃ τηνικαῦτα αὐτὸν κατέστησεν ἐν ἀδείᾳ· ἀλλὰ κἀκεῖ τῆς καμίνου σφοδρῶς ἀναπτομένης, καὶ ἐνταῦθα τῶν θηρίων παραμενόντων, οἱ δίκαιοι πολλῆς ἀπέλαυον τῆς ῥᾳστώνης. ἔστι δὲ καὶ ἑτέρως εὐρυχωρίαν εἰπεῖν· οἷον ὅταν ὑπὸ τῶν πειρασμῶν ἡ ψυχὴ θλιβομένη τῶν παθῶν ἀπαλλάττηται, καὶ τῶν νοσημάτων τῶν πολλῶν. τότε γὰρ μάλιστα τῆς εὐρυχωρίας ἀπολαύει. πολλοὶ γὰρ ἐν εὐημερίᾳ μένοντες ἔρωτας ἔχουσιν ἀτοπωτάτους, θλίβοντας αὐτῶν τὴν ψυχὴν, τῶν χρημάτων, καὶ σωμάτων, καὶ ἑτέρων τοιούτων ἀτόπων· εἰς θλίψιν δὲ ἐμπεσόντες, πάντων ἐλευθεροῦνται ἐκείνων, καὶ γίνονται ἐν εὐρυχωρίᾳ. καὶ καθάπερ οἱ ἐν πυρετοῖς ὄντες, ἕως μὲν ἀπολαύουσι τῶν ἐπιθυμιῶν τῶν ἀκαίρων, τραπέζης λέγω πληθούσης, καὶ ἀκράτου, καὶ τοιούτων ἑτέρων, μειζόνως στενοχωροῦνται· εἰ δὲ βουληθεῖεν ἑαυτοὺς ὀλίγον θλίψαντες καρτερῆσαι, πολλῆς ἀπολαύουσι τῆς εὐρυχωρίας, καὶ ὃ πρὶν ἀποθέμενοι καθαρᾷ λοιπὸν ἐντρυφῶσιν ὑγιείᾳ. οὕτω καὶ ἐπὶ τῶν πραγμάτων συμβαίνει. οὐδὲν γὰρ οὕτω ποιεῖν ἄνεσιν εἴωθεν, ὡς θλίψις, τῶν βιωτικῶν ἀπάγουσα πάντων.

A habeas cum communi hoste orbis terrarum. Ita enim fiet, vt sis iustus: & cum fueris iustus, audiêris, vt qui talem habeas patronam. *In tribulatione dilatasti mihi.* Non dixit, Non adduxisti afflictiones, neq. sustulisti tentationes, sed stare permisisti & dilatasti mihi. Quanta sit enim Dei solertia, & quàm facilis liberandi facultas, hinc maximè ostenditur, non solùm in eo quòd non inducat afflictiones, sed etiam in eo quòd his manentibus eas non toleratu difficiles efficiat. Hoc & Dei ostendit B potentiam, & qui in eas incidunt, sapientiæ reddit studiosiores, quando & latitudo fuerit quæ afflictam animam consolatur, & afflictio non dissoluitur, quæ & negligentem astringit, & ab omni contemptu liberat. Et quomodo in afflictione, inquit, fuerit dilatatio? Quemadmodum in trium puerorum fornace, quemadmodum in lacu leonum. Non enim extinxit flammam, & tunc fecit vt ipsi essent in campo libero & aperto: neque occidit leones, & tunc securos eos reddidit: sed & illic fornace vehementer ardente, & his C feris manentibus, iusti difficultatis molestiam non senserunt, sed tuti & securi fuere. Potest etiam aliter accipi dilatatio, vtpote quando anima à tentationibus oppressa liberatur à perturbationibus, & multis ægritudinibus: tunc enim maximè libero & aperto campo fruitur. Multi enim quamdiu manent in rebus secundis, grauissimis ac turpissimis tenentur amoribus, qui affligunt eorum animam, pecuniarum, corporum, & eiusmodi aliorum, quæ sunt absurda & valde aliena: sed postquam in afflictionem inciderunt, li- D berantur ab illis omnibus, & in liberum & apertum campum euadunt: & quemadmodum qui febre laborant, quamdiu quidem intempestiuis fruuntur voluptatibus, lauta, inquam, & referta mensa & vino mero, & huiusmodi aliis, in maiores coguntur angustias. Sed si voluerint paulisper seipsos affligentes sustinere, læti & liberi campi magnum fructum percipiunt, & eo quod eos angebat deposito, iucundè deinceps in pura sanitate versantur. Ita etiam in rebus & negociis vsuenit. Nihil enim æquè relaxate consueuit, vt afflictio quæ abducit ab omnibus quæ ad hanc vitam pertinent.

2. Cor. 12.

Dan. 3.

Dan. 6.

Quomodo existimas Iudæos fuisse in A afflictione etiam quando erant res eorum secundæ? An non hæc febricitantis animæ ægritudinéque confectæ & vexatæ, est dicere: Fac nobis deos qui nos præcedant? Moses enim hic qui eduxit nos de terra Ægypti, nescimus quid ei factum sit. Aut non illa verba animæ quæ tenetur studio sapientiæ, & à perturbationibus ad hanc vitam pertinentibus respirat, quando afflicti tam vehementer orarunt, vt ipsum Dei auxilium attraxerint? Iã verò hic ipse quoque Propheta quando versabatur in remissione & quiete, quodammodo affli- B gebatur, ab improba cupiditate in angustias coactus & laceratus. Quando autem versatus est in afflictione, scitis quomodo fuerit in remissione, & animi quiete: neque enim eum ignis attigit, sed etiam flamma vniuersa extincta est. Nihil enim æque affligit, ac si anima obsideatur à perturbationibus. Aliæ enim extrinsecus incidunt, hæ verò intus nascuntur, & hæc est maxima afflictio: Etiã si nos vexet mũdus, nos autẽ ipsos nõ vexemus, nihil nobis fuerit molestũ. In nostra potestate situm est vt vel affligamur, vel non affligamur. Vt autem C discas etiã ex voce Apostolica quàm latus & liber cãpus oriatur ex afflictione, audi ipsum Paulum dicentem fructum afflictionis: Tribulatio autem patientiam operatur. Patientia autem probationem. Probatio verò spem. Spes autem non confundit. Ineffabilem vidisti latitudinem? Vidisti portum lætitiæ? Patientiam, inquit, efficit afflictio. Quid enim homine fortissimo, & qui omnia facilè ferre potest, patientius? Quid probato autem fuerit fortius? Quid autem conferri potest cum ea quæ hinc oritur, delectatione? Dicit D enim nobis tres voluptates quæ hinc oriuntur, patientiam, probationem, & spem futurorum bonorum. De his nunc philosophans Propheta dicebat: In tribulatione dilatasti mihi. Quoniam enim dixit: Exaudiit me Deus, dicit, quonam modo exaudiit. Non in pecuniis: nihil enim petebat eiusmodi. Non vt vinceret inimicos: nam neque hæc postulabat. Sed in relaxatione quæ in medio afflictionis exorta est. *Miserere mei, & exaudi orationem meam.*

Exod.32.1.

Rom.5.3.

A πῶς οἴει τοὺς Ἰουδαίους γεγενῆσθαι ἐν θλίψει, καὶ ὅτε ἦσαν ἐν εὐημερίᾳ; ἢ οὐχὶ πυρεττούσης ταῦτα ψυχῆς καὶ ἀλυούσης καὶ ῥιπταζομένης, τὸ λέγειν, ποίησον ἡμῖν θεοὺς, οἳ προπορεύσονται ἡμῶν. ὁ γὰρ Μωϋσῆς οὗτος, ὃς ἐξήγαγεν ἡμᾶς ἐκ τῆς Αἰγύπτου, οὐκ οἴδαμεν τί γέγονεν αὐτῷ; ἢ οὐχὶ ἐκεῖνα φιλοσοφούσης ψυχῆς καὶ ἀναπνεούσης ἐκ τῶν βιωτικῶν παθῶν τὰ ῥήματα, ὅτε τοσαύτην ἐπεδείξαντο τὴν εὐχὴν θλιβόμενοι, ὡς αὐτὴν ἐπισπάσασθαι τοῦ Θεοῦ τὴν ῥοπήν; αὐτὸς δὲ ὁ προφήτης οὗτος, ὅτε B ἦν ἐν ἀνέσει, πῶς ἐθλίβη ὑπὸ τῆς πονηρᾶς ἐπιθυμίας στενοχωρούμενος καὶ σπαρασσόμενος; ὅτε δὲ ἐν θλίψει γέγονεν, ἴστε πῶς γέγονεν ἐν ἀνέσει. οὔτε γὰρ ἥψατο αὐτοῦ τὸ πῦρ, ἀλλὰ καὶ ἡ φλὸξ ἅπασα κατεσβέσθη. οὐδὲν γὰρ οὕτω ποιεῖ θλίψιν, ὡς τὸ πολιορκεῖσθαι τὴν ψυχὴν ὑπὸ τῶν παθῶν. αἱ μὲν γὰρ ἄλλαι, ἔξωθεν προσπίπτουσιν· αἱ δὲ, ἔνδοθεν φύονται· καὶ αὕτη μάλιστά ἐστιν ἡ πολλὴ θλίψις. κἂν ὁ κόσμος ἡμᾶς λυπῇ, ἡμεῖς δὲ ἑαυτοὺς μὴ λυπῶμεν, οὐδὲν ἔσται ἡμῖν δεινόν. ἄρα ἐν ἡμῖν τὸ θλίβεσθαι, καὶ μὴ θλίβεσθαι. ἵνα δὲ μάθῃς καὶ ἀπὸ τῆς C ἀποστολικῆς φωνῆς, πόση ἀπὸ τῆς θλίψεως εὐρυχωρία γίνεται, ἄκουσον αὐτοῦ τοῦ Παύλου τὸν καρπὸν λέγοντος τῆς θλίψεως· ἡ δὲ θλίψις ὑπομονὴν κατεργάζεται· ἡ δὲ ὑπομονὴ δοκιμήν· ἡ δὲ δοκιμὴ ἐλπίδα· ἡ δὲ ἐλπὶς οὐ καταισχύνει. εἶδες εὐρυχωρίαν ἄφατον; εἶδες λιμένα εὐφροσύνης; ὑπομονὴν, φησιν, ἡ θλίψις κατεργάζεται. τί γὰρ ἀνδρὸς καρτερικωτάτου, καὶ πάντα δυναμένου ῥᾳδίως φέρειν, ἀνεκτότερον; τί δὲ δοκίμου γένοιτ᾽ ἂν ἰσχυρότερον; τί δὲ τῆς ἐντεῦθεν τρυφῆς ἴσον; τρεῖς γὰρ ἡμῖν ἡ- D δονὰς ἐντεῦθεν λέγει τικτομένας, τὴν ὑπομονὴν, τὴν δοκιμὴν, καὶ τὴν ἐλπίδα τῶν μελλόντων ἀγαθῶν. περὶ τούτων νῦν φιλοσοφῶν ὁ προφήτης ἔλεγεν· ἐν θλίψει ἐπλάτυνάς μοι. ἐπειδὴ γὰρ εἶπεν, εἰσήκουσέ μου ὁ Θεὸς, λέγει ἐν ποίῳ τρόπῳ εἰσήκουσεν· οὐκ ἐν χρήμασιν, οὐδὲν γὰρ ἐζήτει τοιοῦτον· οὐχ ἵνα ἐχθρῶν κρατήσῃ· οὐδὲ γὰρ ταῦτα ᾔτει· ἀλλ᾽ ἐν ἀνέσει τῇ ἐν μέσῳ τῆς θλίψεως γενομένῃ. οἰκτείρησόν με, καὶ εἰσάκουσον τῆς προσευχῆς μου.

τί λέγεις; ἄνω δικαιοσύνης μέμνησαι, ἐνταῦθα οἰκτιρμοῦ καὶ ἐλέου· καὶ ποῦ ταῦτα ἀκόλουθα ἂν εἴη; πολλὴν μὲν οὖν, καὶ σφόδρα τοῖς προτέροις συνημμένην. κἂν γὰρ μυρία κατορθώσωμεν, ἀπὸ οἰκτιρμῶν ἀκουόμεθα καὶ φιλανθρωπίας. κἂν πρὸς αὐτὴν ἀνέλθωμεν τῆς ἀρετῆς τὴν κορυφὴν, ἀπὸ ἐλέους σωζόμεθα. ἐντεῦθεν μανθάνομεν ὅτι μετὰ τῆς δικαιοσύνης, χρεία καὶ γνώμης συντετριμμένης. κἂν γὰρ ἁμαρτωλός τις ὢν μετὰ ταπεινοφροσύνης εὔξηται, ὅπερ ἐστὶ μέρος ἀρετῆς, μεγάλα ἀνύσαι δυνήσεται. κἂν δίκαιος ὢν μετ' ἀλαζονείας προσίῃ, πάντων ἐκπεσεῖται τῶν ἀγαθῶν. ἀμφότερα τὰ ὑποδείγματα ὁ τελώνης καὶ ὁ Φαρισαῖος ἐδίδαξαν. δεῖ τοίνυν καὶ τρόπον εὐχῆς εἰδέναι. τίς δὲ τρόπος τῆς εὐχῆς; μάθε ἀπὸ τοῦ τελώνου, καὶ μὴ αἰσχυνθῇς τοῦτον λαβεῖν διδάσκαλον, τὸν οὕτω τοῦτο κατορθώσαντα, ὡς ἀπὸ ψιλῶν ῥημάτων τὸ πᾶν ἀνύσαι. ἐπειδὴ γὰρ ἡ διάνοια αὐτῷ καλῶς παρεσκευασμένη ἦν, ἤρκεσε ῥῆμα ἓν ἀνοῖξαι αὐτῷ τὸν οὐρανόν. πῶς δὲ ἦν παρεσκευασμένη; ἐταλάνιζεν ἑαυτὸν, τὸ στῆθος ἔτυπτεν, οὐδὲ ἀναβλέψαι εἰς τὸν οὐρανὸν ἠνείχετο. ἂν οὕτω καὶ σὺ μέλλῃς εὔχεσθαι, πτεροῦ κουφοτέραν ἐργάσῃ τὴν εὐχήν. εἰ γὰρ ὁ ἁμαρτωλὸς δίκαιος γέγονεν ἀπὸ τῆς εὐχῆς, ἐννόησον ὁ δίκαιος ἡλίκος ἔσται, εἰ τοιαύτην προσάγειν μάθοι δέησιν. διὰ δὴ τοῦτο οὐδὲ ἐνταῦθα ἁπλῶς ἑαυτὸν τέθεικεν, ἀλλὰ τὴν προσευχὴν αὐτοῦ· ἄνω τὴν δικαιοσύνην, ἐνταῦθα τὴν προσευχὴν, λέγων, οἰκτείρησόν με, καὶ εἰσάκουσον τῆς προσευχῆς μου. οὕτω καὶ ὁ Κορνήλιος ἠκούσθη, ἐπειδὴ ταύτην εἶχε συνήγορον. αἱ προσευχαί σου, καὶ αἱ ἐλεημοσύναι σοῦ, φησιν, ἀνέβησαν ἐνώπιον τοῦ Θεοῦ· εἰκότως. τὰ γὰρ ἔργα ἐστὶ τὰ ἀκουόμενα, καὶ τὰ κατορθώματα· οὐχ ἁπλῶς δὲ αἱ εὐχαὶ, ἀλλ' αἱ κατὰ νόμον τοῦ Θεοῦ γινόμεναι εὐχαί. καὶ τίνες εἰσὶν αὗται; αἱ ταῦτα αἰτοῦσαι, ἃ τῷ Θεῷ πρέπει διδόναι, αἱ μὴ τἀναντία τοῖς αὐτοῦ νόμοις αὐτὸν παρακαλοῦσαι. καὶ τίς οὕτω τολμηρός, φησιν, ὡς τὸν Θεὸν ἀξιοῦν τἀναντία τοῖς αὐτοῦ νόμοις ποιεῖν; ὁ κατὰ τῶν ἐχθρῶν αὐτὸν παρακαλῶν. τοῦτο γὰρ παρὰ τὸν νόμον τὸν ὑπ' αὐτοῦ κείμενον. αὐτὸς γάρ φησιν, ἀφίετε τοῖς ὀφειλέταις ὑμῶν· σὺ δὲ

A Quid dicis? Meministi superius iustitiæ, hic miserationis & misericordiæ. Et quamnam hæc habent consequentiam? Pulchram, & prioribus admodum connexam. Nam etiamsi innumerabilia rectè fecerimus, à miserationibus & clementia audimur. Etiamsi ad ipsum virtutis fastigium peruenerimus, seruamur à misericordia. Hinc discimus quòd cum iustitia, mente quoque contrita opus est. Etenim licet sit peccator, si cum humilitate orauerit, quæ est pars virtutis, magna B poterit efficere: & licet sit iustus, si cum arrogantia accesserit, à bonis omnibus excidet. Vtriusque exempla nos docuerunt Publicanus & Pharisæus. Oportet itaque scire etiam modum orandi. Quomodo autem sit orandum, disce à Publicano: nec te pudeat eo vti magistro, qui hac in re adeò se præclarè gessit, vt solis verbis vniuersum effecerit. Quia enim erat mens ei rectè parata, suffecit vel verbum vnum ad cœlum ei aperiendum. Quomodo autem erat parata? seipsum miserum clamabat, pectus tundebat, ne cœlum C quidem aspicere audebat. Si tu quoque ita oraueris, vel penna leuiorem reddes orationem. Si enim peccator, iustus ab oratione factus est, considera cuiusmodi erit iustus, si talem orationem offerre didicerit. Et ideo ne hîc quidem seipsum absolutè posuit; sed orationem suam: superius iustitiam, hîc orationem meam. *Miserere mei & exaudi orationem meam.* Ita etiam exauditus est Cornelius, quoniam eius patrocinio vsus est. Orationes tuæ, & eleemosynæ tuæ, inquit, ascende- D runt coram Deo. Et meritò. Opera enim sunt quæ exaudiuntur, & rectè facta. Non absolutè autem orationes, sed orationes quæ fiunt ex lege Dei. Et quænam sunt eæ? Quæ ea petunt quæ Deum dare conuenit, quæ ab ipso non postulant quæ sunt eius legibus repugnantia. Et quis est, inquit, adeò audax, vt ea velit Deum facere, quæ repugnāt eius legibus? Qui aduersus inimicos eū rogat, hoc enim est præter legē quæ ab eo lata est. Ipse enim dixit: Dimittite debitorib. vestris. tu autē

Matth. 18.

Act. 10.

Matth. 6.

eum ipſum, qui tibi iubet condonare, aduerſus inimicos inuocas? Ecquid hac amentia fuerit deterius? Oportet eum qui orat habere habitum, mentem, & ſenſum ſupplicis: cur aliam ergo perſonam induis, nempe accuſationis? Quomodo enim poteris veniam tuorum peccatorum aſſequi, quando rogas vt Deus puniat peccata aliorum? Sit itaque oratio manſueta, placida, iucundo & molli vultu prædita. Talis eſt quæ cum lenitate fit, nec aduerſus inimicos, quemadmodum contraria, ebriæ & deliranti cuipiam mulieri, & inſtar apri efferatæ eſt ſimilis. Quocirca ad cœlum ei non datur aditus. Non enim eſt eiuſmodi ea quæ fit cum manſuetudine: quæ habet aliquid canorum & lene, dignúmque regiis auribus, ſuaue, concinnum, ac numeroſum. Quamobrem non expellitur è theatro, ſed corona redimita recedit, etenim habet auream citharam, veſtem auream. Qua de cauſa delectat etiam iudicem & habitu, & aſpectu, & voce. Propterea nullus eam exturbat à cœleſtibus ſedibus. Vniuerſum enim illud theatrum incredibili lætitia afficit. Hæc eſt digna cœlis oratio. Hæc eſt lingua Angelorum, quando nihil acerbum, iucunda autem omnia loquitur, quando pro iis qui faciunt iniuriam, & probris perſequuntur, venit ſupplicans, tunc aſtant etiam Angeli magno audientes cum ſilentio, & poſtquam loqui deſierit, ei applaudere, laudare, admirari non ceſſant. Talem nos quoque afferamus orationem, & omnino exaudiemur: & quando ad Deum accedimus, ne id eſſe exiſtimemus theatrum, ſed ex vniuerſo orbe terrarum, vel potius ex ſupernis populis cœleſtibus collectum: & regem in medio ſedere, qui vult noſtram audire orationem, & faciamus vt res ſit comparata ad demonſtrationem. Nullus ſit citharœdus, nullus lyricen, qui ita ſe exerceat ſcenam ingreſſurus, timens ne quid inſuaue & inconcinnum canat, vt nos ingreſſuri theatrum Angelorum. Plectrum autem ſit nobis lingua, quæ nihil iniucundum, ſed numeroſum & modulatum dicat, cùm ea qua par eſt cogitatione, & ad Deum accedentes, & rogantes, & orantes,

A αὐτὸν τὸν κελεύοντά σοι συγχωρῆσαι, κατὰ τῶν ἐχθρῶν καλεῖς; καὶ τί γένοιτ᾽ ἂν τῆς ἀνοίας ταύτης χεῖρον; ἱκέτου σχῆμα καὶ γνώμην καὶ φρόνημα τὸν εὐχόμενον ἔχειν δεῖ. τί τοίνυν ἑτέρου προσωπεῖον σαυτῷ περιτίθης, τὸ τῆς κατηγορίας; πῶς γὰρ δυνήσῃ τῶν οἰκείων ἁμαρτημάτων λαβεῖν συγγνώμην, ὅταν τὴν τοῖς ἑτέροις πεπλημμελημένων τιμωρεῖν τὸν Θεὸν ἀξιοῖς εἶναι; ἔστω τοίνυν ἡ εὐχὴ ἥμερος, γαληνή, χαρίεν ἔχουσα πρόσωπον, καὶ ἁπαλόν. τοιαύτη γὰρ ἡ μετὰ πραότητος, καὶ μὴ κατ᾽ ἐχθρῶν γινομένη· ὡς ἥγε ἐναντία μεθυούσῃ τινὶ καὶ B παραπαιούσῃ ἔοικε γυναικί, συῒ δὲ τινὶ καὶ ἀγρίᾳ. διὸ καὶ ἄβατος αὐτῇ ὁ οὐρανός. ἀλλ᾽ οὐχ ἡ μετὰ πραότητος τοιαύτη· ἀλλ᾽ ἔχει τι λιγυρόν, καὶ προσηνές, καὶ βασιλικῶν ἄξιον ἀκοῶν, ἡδὺ καὶ ἐναρμόνιον καὶ ἐμμελές. διὸ δὴ οὐκ ἐκβάλλεται τοῦ θεάτρου, ἀλλ᾽ ἐστεφανωμένη ἄπεισι. καὶ γὰρ χρυσῆν ἔχει κιθάραν, χρυσῆν τὴν στολήν. διὸ καὶ τέρπει τὸν δικαστήν, καὶ τῷ σχήματι, καὶ τῷ βλέμματι, καὶ τῇ φωνῇ. διὰ ταῦτα οὐδεὶς αὐτὴν ἀπελαύνει τῶν οὐρανίων ἀψίδων. ἅπαν γὰρ ἐκεῖνο τὸ θέατρον ἐξίστησι C τῇ εὐφροσύνῃ. αὕτη τῶν οὐρανῶν ἀξία ἡ εὐχή· αὕτη τῶν ἀγγέλων ἡ γλῶττα, ὅταν μηδὲν πικρόν, πάντα δὲ προσηνῆ φθέγγηται· ὅταν ὑπὲρ τῶν ἀδικούντων καὶ ἐπηρεαζόντων προσφέρηται τὴν ἱκετηρίαν ποιουμένη, τότε καὶ οἱ ἄγγελοι παρεστήκασι μετὰ πολλῆς ἀκούοντες τῆς σιγῆς, καὶ μετὰ τὸ παύσασθαι, κροτοῦντες αὐτήν, ἐπαινοῦντες, θαυμάζοντες οὐ διαλιμπάνουσι. τοιαύτην καὶ ἡμεῖς προσαγάγωμεν εὐχήν, καὶ πάντως ἀκουσθησόμεθα. καὶ ὅταν προσίωμεν τῷ Θεῷ, μὴ νομίσωμεν εἶναι θέατρον D τοιοῦτον, ἀλλ᾽ ἐκ τῆς οἰκουμένης ἁπάσης, μᾶλλον δὲ καὶ ἐκ τῶν ἄνω δήμων τῶν οὐρανίων συνειλεγμένον, καὶ ἐν μέσῳ τὸν βασιλέα καθῆσθαι, βουλόμενον ἡμῶν ἐπακοῦσαι τῆς εὐχῆς· καὶ ἐπίδειξιν τὸ πρᾶγμα ποιησώμεθα. μηδεὶς ἔστω κιθαρῳδὸς, μηδὲ λυρῳδὸς οὕτως ἐναγώνιος, μέλλων ἐν σκηναῖς εἰσιέναι, καὶ δεδοικὼς μή τι ἀπηχὲς ἀνακρούσηται, ὡς ἡμεῖς μέλλοντες εἰσιέναι εἰς τὸ τῶν ἀγγέλων θέατρον. πλῆκτρον δὲ ἡμῖν ἔστω ἡ γλῶττα, μηδὲν ἀηδὲς φθεγγομένη, ἀλλ᾽ ἐμμελὲς καὶ ἐναρμόνιον μετὰ διανοίας τῆς προσηκούσης· καὶ προσιόντες τῷ Θεῷ, καὶ παρακαλοῦντες καὶ δεόμενοι,

ὑπὲρ τῶν ἐχθρῶν ἀνακρουσώμεθα τὴν ἱκετηρίαν· οὕτω γὰρ καὶ ὑπὲρ ἡμῶν αὐτῶν ἀκουσθησόμεθα. αὕτη ἡ φωνὴ καταισχύνει δαίμονας, αὕτη παρρησίαν ἡμῖν δίδωσιν· αὕτη καταισχύνει τὸν διάβολον καὶ ἀναχωρεῖν ποιεῖ. οὐ γὰρ οὕτως ἄνθρωπον φοβεῖται ὁ δαίμων, τὸν ἐκβάλλοντα αὐτὸν καὶ ἐλαύνοντα ἐξ ἑτέρου ἀνθρώπου, ὡς ἄνθρωπον ὀργῆς κρατοῦντα, καὶ θυμοῦ περιγινόμενον. ἐπεὶ καὶ τοῦτο δαίμων ἐστὶ χαλεπός, καὶ τούτους μᾶλλον ἢ τοὺς δαιμονῶντας ταλανίζειν χρή. τὸ μὲν γὰρ δαιμονᾷν εἰς γέενναν οὐκ ἐμβάλλει· τὸ δὲ ὀργίζεσθαι καὶ μνησικακεῖν, αὐτῆς ἐκβάλλει τῆς βασιλείας τῶν οὐρανῶν. ἂν οὕτω ῥυθμίσωμεν τὴν εὐχὴν, δυνησόμεθα μετὰ παρρησίας λέγειν καὶ ἡμεῖς τῷ θεῷ, εἰσάκουσον τῆς προσευχῆς μου. ὥστε οὐχ ἑαυτὸν ὠφελήσεις μόνον, καὶ προοδοποιήσεις σου τῇ ἱκετηρίᾳ, ἀλλὰ καὶ τὸν ἀκούοντα θεὸν εὐφρανεῖς ἄξιόν τι τῶν αὐτοῦ ἐπιταγμάτων αἰτῶν, διὸ καὶ ῥᾳδίως ἐπινεύσει. τοῦτο ἄξιον τῆς υἱοθεσίας ἐκείνης· τοῦτο μάλιστα τὸν χαρακτῆρα ἐκεῖνον δείκνυσι. γίνεσθε, φησιν, οἰκτίρμονες, ὡς ὁ πατὴρ ὑμῶν ὁ ἐν τοῖς οὐρανοῖς· καὶ πάλιν, εὔχεσθε ὑπὲρ τῶν ἐπηρεαζόντων ὑμᾶς, ὅπως γένησθε ὅμοιοι τοῦ πατρὸς ὑμῶν τοῦ ἐν οὐρανοῖς. τί τοίνυν ταύτης τῆς εὐχῆς ἴσον; αὕτη οὐκ ἀγγέλοις, οὔτε ἀρχαγγέλοις, ἀλλ' αὐτῷ τῷ βασιλεῖ ὅμοιον ποιεῖ. ὁ δὲ τῷ βασιλεῖ ὅμοιος γενόμενος κατὰ τὸ ἐγχωροῦν, ἐννόησον ὅσης ἀπολαύσεται τῆς παρρησίας ἐν ταῖς εὐχαῖς. υἱοὶ ἀνθρώπων, ἕως πότε βαρυκάρδιοι; ἵνα τί ἀγαπᾶτε ματαιότητα, καὶ ζητεῖτε ψεῦδος; πρὸς τίνας ἀποτείνει τὸν λόγον, καὶ ποιεῖται τὴν ἐπιτίμησιν, καὶ ἐπάγει τὴν συμβουλήν; τίνας υἱοὺς ἀνθρώπων καλεῖ; τοὺς ἐν πονηρίᾳ ζῶντας, τοὺς πρὸς κακίαν ἐπιρρεπεῖς. τί δή ποτε; ἡμεῖς γὰρ οὐχ υἱοὶ ἀνθρώπων; τῇ φύσει μὲν ἀνθρώπων υἱοί, τῇ χάριτι δὲ οὐκ ἔτι, ἀλλ' υἱοὶ θεοῦ. εἰ γοῦν καὶ τὴν εἰκόνα τὴν κατ' ἀρετὴν τὴν πρὸς αὐτὸν διατηρήσαιμεν, ἀκέραιον ἡμῖν ἔσται τὸ δῶρον. τοὺς γὰρ γενομένους υἱοὺς θεοῦ διὰ τῆς χάριτος, καὶ διὰ τῆς πολιτείας ταύτην δεῖ χαρακτηρίζειν τὴν εἰκόνα. ὅτι δὲ τοὺς βιωτικωτέρους, καὶ πρὸς κακίαν ῥέποντας, υἱοὺς ἀνθρώπων καλεῖ, ἄκουσον. ἰδόντες δὲ οἱ υἱοὶ τοῦ θεοῦ τὰς θυγατέρας τῶν

A pro inimicis primùm fides pulsemus: ita enim pro nobis quoque ipsis exaudiemur. Hæc vox dæmones pudore afficit. Hæc dat nobis liberam loquendi potestatem. Hæc pudore afficit diabolum, & facit vt secedat. Neque enim dæmon ita eum metuit, qui eum expellit & eijcit ex alio homine, vt hominem qui iram vincit, & animo imperat: nam hoc ipsum quoque est sæuus dæmon; & ij potius quàm qui à dæmone vexantur, miseri dicendi sunt. A dæmone enim vexari, non immittit in gehennā: irasci autem, & acceptæ iniuriæ meminisse, expellit ab ipso regno cœlorum. B Si orationem ita composuerimus, poterimus nos quoque Deo fidenter dicere: Exaudi orationē meam. Quare non solùm teipsum iuuabis & promouebis tua supplicatione, sed Deum etiam audientem delectabis, vt qui eius præceptis aliquid dignum petas. Quocirca etiam facilè annuet. Hoc illa adoptione dignum est, hoc illum maximè characterem ostendit: Estote, inquit, misericordes, sicut & pater vester qui est in cœlis. Et rursus: Orate pro ijs qui vobis insultant C & vos iniuria afficiunt, vt sitis similes patris vestri, qui est in cœlis. Quid ergo potest cum hac oratione conferri? Hæc non Angelis, nec Archangelis, sed ipsi regi facit similem. Qui autem regi, quantum licet, fuerit factus similis, considera quanta vtetur fiducia & loquendi libertate in orationibus? *3. Filij hominum, quousque graui corde? Vt quid diligitis vanitatem, & quæritis mendacium?* Ad quósnam dirigit orationem, & increpat, & subiungit consilium? Quósnam vocat filios hominum? Eos qui viuunt in improbitate, qui sunt procliues ad vitium. D Quamobrem? Nos enim non filij hominum, natura quidem hominum filij, gratia autem non amplius, sed Dei filij. Si ergo etiam eius imaginem quæ est ex virtute conseruauerimus, erit nobis donum integrum. Eos enim qui Dei filij facti sunt per gratiam, etiam per vitæ suæ institutionē eam oportet imaginem exprimere. Quòd autem eos qui vitæ curis paulò plus dediti, & sunt ad vitium propensi, vocat filios hominum, audi: Videntes autē filij Dei filias

Luc. 6.36. Matt. 5.45.

Luc. 6.

Matth. 5.

Filij hominum.

Ioan. 1.2.

Gen. 6.

hominum.' Atqui contrarium, inquit, dixisti. Nequaquam. Dei enim filios hic vocauit, eos qui antea ex viris bonis nati fuerant, & Dei honorem perceperant, deinde mutati erant, & euaserant deteriores, & suum honorem perdiderant. Vt enim magis amplificaret eorum reprehensionem, eorum honorem reuocauit in memoriam, maximum esse crimen ostendens, quòd cùm tales essent, & orti ex talibus, ad tantam se præcipitassent improbitatem. Et rursus Deus: Ego dixi, dij estis, & filij altissimi omnes. Vos autem vt homines morimini. Et considera Prophetæ prudentiam. Cùm prius ostendisset Dei potentiam, facultatem, solertiam, benignitatem & clementiam, quòd in afflictione dilatat, quòd miserans annuit: deinde mente agitans effusum in hominibus vitium, & tyrannidem impietatis: tanquam animi mœrore coactus, conuertit sermonem ad eos qui in vitiis vitam degunt, propemodum dicens: Cùm talem habeatis Deum, adeò benignum, adeò clementem, adeò potentem, quomodo declinastis ad impietatem? Vide autem quanta etiam cum ira, lenitate: quanta Philosophia, admonitio plena sit. Quid enim dicit? Filij hominum, quousque graui corde? Hoc est eius qui grauiter inuehitur etiam ex temporis diuturnitate. Si enim Dei beneficentiam ab initio non considerasse scelus est: quomodo vllam veniam consequetur, qui in veritate tamdiu hallucinatur? Quid est autem esse graui corde? Graues corde sunt, qui sunt crasso corde, carnales, affixi terræ, vitium persequentes, improbitatem exercentes, libidine & voluptate corrupti ac marcidi. Talis est enim homo carnalis, & vitam eorum reprehendens, ostendit fontem impietatis, significans hoc eis esse maximo impedimento, quò minus ad alta dogmata perueniant. Nihil enim facit cor adeò graue, vt libido, & ad ea quæ ad hanc vitam pertinent affectio, & terræ affixum esse. Quod tale est, non errauerit qui cor luteũ appellauerit, & ideo id graue vocauit, & id dixit esse causam malorũ, quod cùm aurigæ locũ teneat, non solùm equũ habenis nõ cohibeat, sed etiam cum eo trahẽte deorsum præcipitet, & cùm oporteat carnẽ alatã, & se in altum erigentẽ efficere, & in cœlũ

Psalm. 81.

A ἀνθρώπων. καὶ μὴν τὸ ἐναντίον, φησὶν, εἴρηκας. οὐδαμῶς. υἱοὺς γὰρ Θεοῦ ἐνταῦθα ἐκάλεσε τοὺς πρὸ τούτου ἐξ ἐναρέτων ὄντας ἀνδρῶν, καὶ τὴν τοῦ Θεοῦ τιμὴν ἀπολελαυκότας· εἶτα μεταβεβλημένους, καὶ γεγονότας χείρους, καὶ προδεδωκότας αὐτῶν τὴν τιμήν. ὥστε γὰρ αὐξῆσαι αὐτῶν τὴν κατηγορίαν, ἀνεμνήσθη αὐτῶν τῆς τιμῆς, μέγιστον εἰς ἐγκλήματος ὑπόθεσιν δεικνὺς ὄν, τὸ τοιούτους ὄντας καὶ ἐκ τοιούτων πρὸς τοιαύτην κατενεχθῆναι κακίαν. καὶ πάλιν ὁ Θεός· ἐγὼ εἶπα, θεοί ἐστε, καὶ υἱοὶ ὑψίστου πάντες· ὑμεῖς δὲ ὡς ἄνθρωποι ἀποθνήσκετε. καὶ ὅρα τοῦ προ-

B φήτου τὴν σύνεσιν. δείξας πρότερον τοῦ Θεοῦ τὴν ἰσχὺν, καὶ τὸ εὔπορον, καὶ τὸ εὐμήχανον, καὶ τὸ χρηστὸν, καὶ τὸ φιλάνθρωπον, ὅτι ἐν θλίψει πλατύνει, ὅτι ἐλεῶν ἐπινεύει· εἶτα ἐννοῶν τὴν κεχυμένην ἐν ἀνθρώποις κακίαν, καὶ τῆς ἀσεβείας τὴν τυραννίδα, καθάπερ ἀποπνιγόμενος ἀπὸ τῆς ἀθυμίας, τρέπει τὸν λόγον πρὸς τοὺς ἐν πονηρίᾳ ζῶντας, μονονουχὶ λέγων· ὅτι τοιοῦτον ἔχοντες Θεὸν, οὕτω χρηστὸν, οὕτω φιλάνθρωπον, οὕτω δυνατὸν, πῶς εἰς ἀσέβειαν ἐξεκλίνατε; καὶ ὅρα τὴν παραίνεσιν, πόσης μετὰ τοῦ θυμοῦ

C γέμει καὶ τῆς πρᾳότητος, πόσης τῆς φιλοσοφίας. τί γάρ, φησιν; υἱοὶ ἀνθρώπων, ἕως πότε βαρυκάρδιοι; ἐνταῦθα σφόδρα ἐστὶ καθαπτομένου καὶ ἀπὸ τοῦ χρόνου. εἰ γὰρ τὸ ἐξ ἀρχῆς μὴ συνιδεῖν τοῦ Θεοῦ τὴν εὐεργεσίαν, ἔγκλημα· ποίας ἕξει συγγνώμης, ὁ μέχρι τοσούτου πρὸς τὴν ἀλήθειαν τυφλώττων; τί δέ ἐστι βαρυκάρδιοι; παχυκάρδιοι, σαρκικοὶ, τῇ γῇ προσηλωμένοι, κακίαν διώκοντες, πονηρίαν μελετῶντες, ταῖς ἡδυπαθείαις κατασπώμενοι. τοιοῦτος γὰρ ὁ σαρκικὸς ἄνθρωπος. καὶ διαβάλλων αὐτῶν τὸν βίον, δεί-

D κνυσι τὴν πηγὴν τῆς ἀσεβείας, δηλῶν ὅτι τοῦτο μάλιστά ἐστι τὸ πρὸς τὰ δόγματα αὐτοῖς ἐμποδίζον τὰ ὑψηλά. οὐδὲν γὰρ οὕτω βαρεῖαν καρδίαν ποιεῖ, ὡς ἐπιθυμία πονηρά, καὶ ἡ πρὸς τὰ βιωτικὰ συμπάθεια, καὶ τὸ προσηλῶσθαι τῇ γῇ. τὴν τοιαύτην οὐκ ἄν τις ἁμάρτοι πηλίνην καρδίαν προσειπών. διὸ καὶ βαρεῖαν αὐτὴν ἐκάλεσε· καὶ τῶν κακῶν αἴτιον τοῦτο ἔφησεν εἶναι, ὅτι ἡνιόχου τάξιν ἐπέχουσα, οὐ μόνον οὐ κατέχει τὸν ἵππον ταῖς ἡνίαις, ἀλλὰ καὶ αὐτὴ καταφέρεται συρομένη· καὶ δέον πτερῶν τὴν σάρκα, καὶ μετάρσιον ἐργάζεσθαι, καὶ πρὸς τὸν οὐρανὸν

ἀνάγειν, ἡ δὲ συγκαθέλκεται τῷ βαρυτάτῳ τῶν νοσημάτων φορτίῳ. ὅταν οὖν ὁ ἡνίοχος τοιοῦτος ᾖ, ἢ ὁ κυβερνήτης, ποία σωτηρίας ἐλπίς; ὥσπερ ὅταν λέγῃ, εἰ τὸ φῶς τὸ ἐν σοὶ σκότος ἐστὶ, τὸ σκότος πόσον; ὁ κυβερνήτης μεθύῃ, καὶ τῶν κυμάτων καὶ τῶν πνευμάτων τὸ ἄτακτον μιμῆται, πῶς σωθήσεται ἡ ναῦς; τί οὖν δύναται κούφην τὴν ψυχὴν ποιεῖν; βίος θαυμαστὸς, τὸ πρὸς μηδὲν τῶν ἐνταῦθα κεχηνέναι, μηδὲ τοῖς ποσὶν αὐτοῦ προσδεσμεῖν τὰ κάτω φερόμενά τε καὶ φέροντα. τῶν μὲν γὰρ σωμάτων τὰ μὲν κάτω φέρεσθαι εἴωθεν, οἷον λίθοι, καὶ ξύλα, καὶ πάντα τὰ τοιαῦτα· τὰ δὲ ἄνω, οἷον πῦρ, καὶ πνεῦμα, καὶ πτερῶν φύσις κούφων. ἂν οὖν τι τῶν κάτω φερόντων τῷ κούφῳ προσδήσῃς, οὐδὲν τῶν πτερῶν ὄφελος, οὐδὲ τοῦ πνεύματος, τοῦ βάρους ὑπερβαίνοντος τὴν συμμετρίαν, καὶ νικῶντος καὶ περιγινομένου. οὕτω καὶ πόδας ἂν ἔχῃ τις βεβαρημένους, ἢ χυμοῦ πονηροῦ ἐπισρέοντος, ἢ ἑτέρου τινὸς νοσήματος, οὐδὲν ὄφελος αὐτῷ τοῦ λοιποῦ σώματος ὄντος κούφου. εἰ δὲ ἐπὶ σωμάτων τοῦτο, πολλῷ μᾶλλον ἐπὶ καρδίας. μὴ τοίνυν ποιῶμεν αὐτὴν βαρεῖαν, ἵνα μὴ κατὰ τὰ πλοῖα τὰ πολλὴν ἔχοντα τὴν ψάμμον καταποντίζηται. ἐν ἡμῖν γὰρ τοῦτο. οὐ γὰρ τῇ φύσει τοιαύτη ἐστὶν, ἀλλὰ τῇ φύσει γέγονε κούφη καὶ ἀνωφερὴς, ἡμεῖς δὲ αὐτὴν παρὰ φύσιν βαρεῖαν ποιοῦμεν. διὸ καὶ ὁ προφήτης ἐγκαλεῖ. Εἰ δὲ φυσικὸν ἦν, οὐκ ἂν ἐνεκάλεσεν. ὥσπερ οὖν κατὰ φύσιν ἡμῖν τὸ βαδίζειν, ἂν δὲ βαρυνώμεθα τὰ γόνατα, παρὰ φύσιν γίνεται τὸ πρᾶγμα, πεπεδημένων ἡμῶν· οὕτω καὶ ἐπὶ τῶν ποδῶν τῆς διανοίας, λέγω δὴ τῶν λογισμῶν, συμβαίνειν εἴωθεν. ἵνα τί ἀγαπᾶτε ματαιότητα, καὶ ζητεῖτε ψεῦδος; ἐνταῦθα καὶ τὰ εἰδωλικά μοι δοκεῖ λέγειν, καὶ τὸν ἐν πονηρίᾳ βίον. μάταιον γὰρ ἐκεῖνο λέγεται τὸ κενὸν, ὅταν ὄνομα μὲν ᾖ, πρᾶγμα δὲ μὴ ᾖ. οὕτω παρὰ τοῖς Ελλησιν ὀνόματα μὲν θεῶν πολλὰ, πράγματα δὲ οὐδαμοῦ. καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως· ὄνομα πλούτου, πρᾶγμα δὲ οὐδαμοῦ· καὶ ὄνομα δόξης, πρᾶγμα δὲ οὐδαμοῦ· ὄνομα δυναστείας, καὶ μένει ψιλὸν τὸ ὄνομα. τίς οὖν οὕτως ἀνόητος, ὡς ὀνόματα ζητεῖν πραγμάτων ἔρημα, καὶ τὰ διάκενα διώκειν, ἃ φεύγειν δεῖ; ἢ οὐ τοιαῦται καὶ αἱ ἡδοναὶ τοῦ βίου, καὶ εὐπερ-

A sustollere, id verò cum ægritudinum grauissimo onere pessundatur. Quādo ergo vel auriga, vel gubernator talis fuerit, quænam est spes salutis? Quemadmodum quando dicit, si lux quæ in te est, tenebræ sunt, quantæ sunt tenebræ? Quando est gubernator ebrius, & fluctuum ac ventorum imitatur inconstantiam ac perturbationem, quomodo fieri potest vt nauis seruetur? Quid ergo potest leuem animā efficere? Vita admirabilis ad nihil eorum quæ hîc sunt aspirare, nec pedibus suis quicquam alligare eorum quæ deorsum & feruntur, & ferunt, potest. Ex corporiB bus enim alia quidem deorsum ferri solent, vt lapides, & ligna, & quæ sunt eiusmodi: alia verò sursum, vt ignis, & spiritus, & pluma natura sua leuis. Si quid ergo eorū quæ deorsum feruntur, ei quod leue est alligaueris, nulla est alarum nec spiritus vtilitas, cùm cōmoderationem excedat, superet, & vincat grauitas. Ita etiā si quis pedes habuerit aggrauatos, vel propter malos affluētes humores, vel propter aliquā aliam ęgritudinē, nihil eum iuuerit si sit reliquum corpus leue. Si autem hoc est in corpoC ribus, multò magis in corde. Ne faciamus ergo id graue, ne quemadmodum nauigia, quæ nimium habent saburræ, demergatur. In nostra enim hoc potestate situmest. Non enim est talis natura, sed leuis natura & sursum tendens facta est: nos autem ipsam præter naturam grauem facimus, & ideo Propheta quoque reprehendit: si autem natura talis esset, nequaquam reprehendisset. Quemadmodū ergo secundùm naturā nobis est ingredi, sed si aggrauata fuerint nobis genua, res fit præter naturam, cùm nos simus impediti: ita etiam D in pedibus mentis, dico autem cogitationibus, vsuuenire solet. Vt quid diligitis vanitatem, & quæritis mendacium? Hîc & simulachra, & vitam quæ in improbitate versatur, videtur mihi dicere. Vanum enim illud dicitur, quod est inane, quando nomen quidem fuerit, res nequaquam. Ita apud Græcos nomina quidē deorum multa, res verò minimè: & in aliis similiter, nomen diuitiarum, res autem minimè, & nomen gloriæ, res verò minimè: nomen potentiæ, & remanet solum nomen. Quis est ergo adeò excors, vt quærat nomina quæ rebus destituuntur? &

Matt. 6. 23

Coloss. 3.

A persequatur inania, quæ oportet fugere? An non vitę voluptates & felicitates tales sunt? Nónne omnia mentiũtur, & decipiũt? Etiamsi dixeris gloriã, etiamsi diuitias, etiamsi potentiam, omnia sunt vanitas. Et ideo dixit etiã Ecclesiastes: Vanitas vanitatum, & omnia vanitas. Propterea dolore afficitur Propheta, dũ in vita videt tantã amentiã: perinde enim est ac si quis cùm videat quépiam lucem fugientem, tenebras autem persequentem, ei dicit: Cur hoc facis adeò absurdũ & pręter ratione? Ita enim ipse: Cur diligitis vanitatẽ, & quæritis mendaciũ? *Et scitote quoniã mirificauit Dominus sanctum suũ.* B Alius interpres dicit, sed scitote, quoniã fecit admirabilem. Vidisti Prophetæ sapientiã: Vndénam eos adducit ad Dei cognitionẽ? à quadã parte manifestissima & moribus magis cognitis, nempe seipsum in mediũ adducens. Ego, inquit, seruus sum Dei veri, à me ergo eius discite potentiã, virtutẽ, prouidentiam. Non est enim hoc paruum, quod etiã ex creaturis euadit manifestum. Propheta, quando de eius prouidentia disserit, cùm ad Solem, & cœlũ, & terrã, & aërem feratur, & ex ordine eorum quæ videntur opificẽ prædicet, C eam quoque tractat orationẽ, quæ ab eius seruis, & iis quæ ex eo accidunt, sumitur. Quod quidẽ etiam in Abraham vsuuenit. Ei enim dicebant, Scimus quòd à Deo venis nobis rex. Vnde scitis? Ex victoria, ex triumphis, ex bellis. Hoc etiam in Iudæis accidit. Miracula enim quæ pro eis facta sunt, vniuersæ terrę timorẽ attulerunt, quod etiã tunc dixit meretrix illa Hierichuntina: Cecidit in nos timor vestrũ & tremor. Vna est ergo via ea quæ est per creaturas. D Alia verò, eáq. vel manifestior, quæ est per seruos: Et hanc Deus à multis retro seculis doctrinam disseminauit in vnaquaque generatione. Ægyptios itaque docuit ex Abrahã, Persas rursus ex eodem. Ismaëlitas, ex eius nepotibus, & alios innumerabiles, & per Iacob eos qui habitant in Mesopotamia. Vides vniuersum orbẽ terrarũ futurum fuisse à sanctis doctũ, si modò ipsi voluissent? Quinetiã ante eos, diluuiũ & linguarũ confusio, ad excitandã eorum mentem satis fuerant. Ne enim quod euenerat, temporis diuturnitate obliuioni traderetur, locus appellationem accipit: &

Eccl.1.

Genes.23.6.

Rahab.

Iosu.2.9.

Rom.1.

γίας; οὐ πάντα ψεύδεται καὶ ἀπατᾷ; κἂν δόξαν εἴπῃς, κἂν πλοῦτον, κἂν δυναστείαν, πάντα ματαιότης. διὸ καὶ ὁ ἐκκλησιαστὴς ἔλεγε, ματαιότης ματαιοτήτων· τὰ πάντα ματαιότης. διὰ δὴ ταῦτα ὀδυνᾶται ὁ προφήτης, τοσαύτην ἀλογίαν ὁρῶν ἐν τῷ βίῳ. ὥσπερ γὰρ ἂν εἴ τις ἰδὼν τινα φεύγοντα φῶς, διώκοντα δὲ σκότος, λέγῃ· ἵνα τί τοῦτο ποιεῖς τὸ παράλογον; οὕτω καὶ αὐτός· ἵνα τί ἀγαπᾶτε ματαιότητα, καὶ ζητεῖτε ψεῦδος; καὶ γνῶτε ὅτι ἐθαυμάστωσε κύριος τὸν ὅσιον αὐτοῦ. ἕτερος ἑρμηνευτής φησιν, ἀλλὰ γνῶτε ὅτι ἐθαυμάστωσεν. εἶδες σοφίαν προφήτου, πόθεν αὐτοὺς ἀνάγει πρὸς τὴν θεογνωσίαν; ἀπὸ σαφεστάτου μέρους καὶ τρόπου γνωριμωτέρου, ἑαυτὸν εἰς μέσον παραθείς· ἐγὼ δοῦλός εἰμι, φησί, τοῦ Θεοῦ τοῦ ἀληθοῦς· ἀπ᾽ ἐμοῦ τοίνυν μάθετε αὐτοῦ τὴν δύναμιν, τὴν ἰσχύν, τὴν κηδεμονίαν. οὐ μικρὸν γὰρ τοῦτο τὸ κεφάλαιον εἰς θεογνωσίαν ἄγον. ποιεῖ μὲν γὰρ τοῦτο φανερὸν καὶ ἀπὸ τῶν κτισμάτων ὁ προφήτης, ὅταν περὶ τῆς προνοίας αὐτοῦ διαλέγηται, ἐπὶ τὸν ἥλιον καὶ τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ τὸν ἀέρα φερόμενος, καὶ ἀπὸ τῆς ἐν τοῖς ὁρωμένοις εὐταξίας τὸν δημιουργὸν ἀνακηρύττων· κινεῖ δὲ καὶ τὸν ἀπὸ τῶν δούλων αὐτοῦ λόγον, καὶ τῶν ἀπ᾽ αὐτοῦ συμβαινόντων· ὃ δὴ καὶ ἐπὶ τοῦ Ἀβραὰμ γέγονεν. ἔλεγον γὰρ αὐτῷ, οἴδαμεν, φησίν, ὅτι ἀπὸ τοῦ Θεοῦ ἡμῖν ἥκεις βασιλεύς. πόθεν οἴδατε; ἀπὸ τῆς νίκης, ἀπὸ τῶν τροπαίων, ἀπὸ τῶν πολέμων. τοῦτο καὶ ἐπὶ τῶν Ἰουδαίων συνέβη. τὰ γὰρ θαύματα τὰ ὑπὲρ αὐτῶν γενόμενα, πᾶσαν τὴν γῆν εἰς φόβον ἐνέβαλεν· ὅπερ καὶ ἡ πόρνη ποτὲ ἡ Ἱεριχουντία ἔλεγεν· ὅτι ἐπέπεσεν ἐφ᾽ ἡμᾶς ὁ φόβος ὑμῶν καὶ ὁ τρόμος. μία τοίνυν ὁδὸς ἡ διὰ τῶν κτισμάτων· ἑτέρα καὶ σαφεστέρα, ἡ διὰ τῶν δούλων· καὶ ταύτην ἄνωθεν ὁ Θεὸς κατέσπειρε καθ᾽ ἑκάστην γενεὰν τὴν διδασκαλίαν. τοὺς γοῦν Αἰγυπτίους ἐπαίδευσεν ἀπὸ τοῦ Ἀβραάμ, τοὺς Πέρσας ἀπὸ τοῦ αὐτοῦ· πάλιν τοὺς Ἰσμαηλίτας ἀπὸ τῶν ἐκγόνων, καὶ ἑτέρους μυρίους· καὶ διὰ τοῦ Ἰακὼβ ἑτέρους, τοὺς ἐν τῇ μέσῃ τῶν ποταμῶν. εἶδες ἅπασαν τὴν οἰκουμένην παιδευομένην, εἴγε ἤθελον, ἀπὸ τῶν ἁγίων. καὶ πρὸ τούτων δὲ ὁ κατακλυσμός, ἡ τῶν γλωσσῶν διάχυσις, ἱκανὰ διαναστῆσαι αὐτῶν τὴν διάνοιαν. ἵνα γὰρ μὴ διὰ τὸν χρόνον εἰς λήθην ἐμπέσῃ τὸ συμβάν, ὁ τόπος λαμβάνει τὴν προσηγορίαν, καὶ Βα-

Βαβυλὼν ἐντεῦθεν λέγεται, ἀπὸ τῆς συγχύσεως τῶν γλωττῶν· ἵνα ὁ ἀκροατὴς ἀπὸ τῆς προσηγορίας ὁδηγούμενος, ἐπὶ τὴν ἀρχὴν ἔλθῃ τῶν συμβάντων, καὶ μάθῃ τοῦ Θεοῦ τὴν ἰσχύν. οὕτω καὶ οἱ τὴν δύσιν οἰκοῦντες πάντες πάντα ἐμάνθανον, κατ' ἐμπορίαν Αἰγυπτίοις συγγινόμενοι. ἄλλως δὲ, ἐν ἀρχαῖς καὶ ἐν προοιμίοις οὐδὲ πολλὰ ἔθνη κατὰ τὸ μέρος τῆς οἰκουμένης ἐκείνης ἦν· ἀλλ' ἡ πολυανθρωπία καὶ ἡ πολυοχλία ἐν τοῖς μέρεσι τοῖς κατὰ τὴν ἀνατολὴν συνειστήκει. καὶ γὰρ καὶ ὁ Ἀδὰμ ἐκεῖθεν ἐξῆλθε, καὶ τὸ γένος τοῦ Νῶε ἐκεῖ διέτελε, καὶ μετὰ τὸν πύργον ἐκεῖ ἦσαν, καὶ ἀνεστρέφοντο ἐπὶ πλεῖον κατὰ ἀνατολάς. ἀλλ' ὅμως καθ' ἑκάστην γενεὰν διδασκάλους αὐτοῖς κατέστησεν ὁ Θεὸς, τὸν Νῶε, τὸν Ἀβραὰμ, τὸν Ἰσαὰκ, τὸν Ἰακὼβ, τὸν Μελχισεδέκ. διὸ καὶ ὁ προφήτης ἐντεῦθεν ἀπὸ τῶν εἰς τοὺς ἁγίους γινομένων διανίστησι τοὺς ἐν πονηρίᾳ ζῶντας, λέγων· γνῶτε ὅτι ἐθαυμάστωσε κύριος τὸν ὅσιον αὐτοῦ. τί ἐστιν ἐθαυμάστωσε; θαυμαστὸν ἐποίησεν, ἐπίσημον, λαμπρὸν, περιφανῆ τὸν ἀνακείμενον αὐτῷ. ἀπὸ τοῦ δούλου τοίνυν καὶ τῶν εἰς αὐτὸν συμβαινόντων μάνθανε τοῦ δεσπότου τὴν δύναμιν. οὐκ εἶπε, δέδωκεν ἀγαθὸν μόνον, ἀλλ' ἐθαυμάστωσε, δηλῶν ὅτι δέδωκε μετὰ πολλοῦ τοῦ θαύματος, μετὰ πολλῆς τῆς παραδοξοποιΐας. οὕτω καὶ ἐπὶ τοῦ Ἀβραὰμ γέγονεν. οὐ γὰρ μόνον τὴν γυναῖκα ἔδωκεν ἀνέπαφον, ἀλλὰ καὶ θαυμαστὸν αὐτὸν κατεσκεύασεν· ὡς μὴ μόνον ἐν τῷ μὴ παθεῖν τι δεινὸν εἶναι αὐτῷ τὴν δωρεὰν, ἀλλὰ καὶ ἐν τῷ λαμπρὸν γενέσθαι κατὰ τὴν Αἴγυπτον. τὸ μὲν γὰρ διὰ τὴν αὐτοῦ δικαιοσύνην ἐγένετο, τὸ μηδὲν ἀηδὲς παθεῖν· τὸ δὲ διὰ τὴν ἐκείνων ὠφέλειαν, τὸ μετὰ παραδοξοποιΐας ἐκεῖθεν ἐπανελθεῖν. τοῦτο ἐπὶ τῶν τριῶν παίδων, τοῦτο ἐπὶ τῶν λεόντων συνέβη, τοῦτο ἐπὶ τοῦ κήτους καὶ τοῦ Ἰωνᾶ, καὶ πανταχοῦ μετὰ θαύματος σώζει, οὐχ ἁπλῶς πάντας, ἀλλὰ τὸν ὅσιον. εἶδες πῶς μετὰ τῆς θεογνωσίας, καὶ βίου ἀκριβοῦς παραίνεσιν ποιεῖται, παιδεύων μὴ μόνον ἐν τῇ χρηστότητι τοῦ Θεοῦ, ἀλλὰ καὶ ἐν τῇ τῶν οἰκείων ἔργων ἀρετῇ τὰς ἐλπίδας ἔχειν τῆς σωτηρίας. κύριος εἰσακούσεταί μου ἐν τῷ κεκραγέναι με πρὸς αὐτόν. εἰπὼν ὅτι ἐθαυμάστωσεν, οὐχ ἵσταται μέχρι τούτων, ἀλλὰ καὶ ἕτερον εὐημερίας εἶδος λέγει. ποῖον δὴ τοῦτο; τὸ διηνεκῶς ἔχειν τὸν Θεὸν σύμμαχον καὶ βοηθὸν, καὶ πανταχοῦ παριστάμενον. οὐ γὰρ

A exinde Babylon ex linguarum confusione dicitur, vt auditor ab ipsa appellatione deductus, ad eorum quæ euenerunt principium deueniat, & Dei virtutem intelligat. Ita etiam qui habitabant in Occidente, omnes omnia discebant, cum mercatoribus Ægyptiis versantes. Quanquam alioqui in principio ne multæ quidem gentes erant in illa regione: sed maxima hominum frequentia ac turbæ multitudo erat in partibus Orientis. Etenim & Adam illinc egressus est, & genus Noë illic versabatur, & post turrim B illic erant, & vt plurimum versabantur in Oriente. Sed tamen in vnaquaque generatione Deus illis doctores constituit, Noë, Abraham, Isaac, Iacob, Melchisedech. Quamobrem hic quoque Propheta, ex iis quæ in sanctos fiunt, eos qui in improbitate ac scelere viuūt, excitat, dicens: Scitote quòd mirificauit Dominus sanctum suum. Quid est, mirificauit? fecit admirabilem, insignem, clarum, conspicuum, eum qui est ipsi dedicatus. Ex seruo ergo, & iis quæ ipsi accidunt, domini discite potentiam. Non dixit solùm, Bonum de- C dit, sed admirabilem fecit, significans cum dedisse cum magno miraculo, & præter fidem & opinionem. Ita etiam in Abrahā factum est. Non solùm enim dedit vxorem intactam, sed eum etiam reddidit admirabilem. Vt non solùm donum in eo cōsisteret quòd nihil graue passus sit, sed etiam in eo quòd clarus in Ægypto euaserit. Propter eius enim iustitiam factum est, vt nihil molestum illi fieret. Propter aliorum autem vtilitatē, vt admirabiliter & præter opinionem illinc rediret. Hoc in tri- D bus pueris, hoc in leonibus accidit, hoc in ceto, & in Iona, & vndequaq. seruat cum miraculo, sed non quemlibet absolutè, sed sanctum. Vidisti quomodo cum Dei cognitione ad vitam quoque exactam exhortatur, docens non solùm in Dei benignitate, sed in propriorum etiam sanctorum virtute, spem salutis ponere? *Dominus exaudiet me cùm clamauero ad eum.* Postquam dixit quòd eum fecerit admirabilem, non in his subsistit: sed dicit etiam aliud genus fœlicitatis. Quodnam autem hoc est? Deum habere perpetuò adiutorem & auxiliatorem, & vbique præsentem. Non enim

Gen. 20.
Dan. 3.
Dan. 6.

hoc semel facit, & bis, & ter, sed perpetuò, inquit, si ipsum inuocemus. Et vide rursus hic etiam celeritatem. Quemadmodum enim dixit superius: Cùm inuocarem, exaudiuit me Deus iustitiæ meæ: ita etiam hic, Dum clamauero ad eum. Quomodo, ergo, inquit, non audiuntur multi? Quoniam petunt inutilia. Hic enim melius est non fuisse exauditum quam exauditum fuisse. Quare etiã si exaudiamur, non propterea lætemur: sed & quando non exaudimur, etiã propterea Deum glorificemus. Vel enim inutilia petentes non exaudimur, & eo quòd non accepimus, lucrifacimus. Vel negligenter petimus, & in dono differendo Deus, vt nos illi assideamus, subtilem init rationem: & hoc etiã non est exiguũ lucrum. Si enim vos, inquit, nostis dare bona data filijs vestris, multò magis Deus qui scit dare & quando dare, & quid dare oporteat. Nam Paulus etiam petiuit, & non accepit. Petebat enim aliquid inutile: & Moses, & nec illi quidem Deus annuit. Ne ergo deficiamus, quãdo nõ exaudimur, nec tristitia afficiamur & torpeamus, sed assidentes & petentes permaneamus. Agit enim Deus omnia vtiliter. *Irascimini, & nolite peccare: Quæ dicitis in cordibus vestris, in cubilibus vestris compungite.* Quod antè dixi, id etiam nunc dico. Quoniam ad Dei cognitionem eos est deducturus, liberat animum ab ægritudinibus. Scit enim vitam corruptam ac deprauatam esse impedimento, quo minus sublimia dogmata assequamur. Quòd quidem Paulus quoque innuens dicebat: Non potui loqui vobis tanquam spiritualibus, sed tanquam carnalibus. Et rursus: infantibus in Christo: lac vobis potum dedi, non cibum. Et rursus: De quo est nobis multus sermo & explicatu difficilis, quoniam estis hebetes auditu. Et Esaias rursus: Quærit me populus iste: & scire vias meas cupiunt, vt populus qui iustitiam fecerit, & Dei iudicium non reliquerit. Et Osee: Seminate vobisipsis in iustitiam, illuminate lucem cognitionis. Et Christus docens dicebat, Omnis qui mala facit, odit lucem, & non venit ad lucem. Et rursus: Quomodo potestis credere, gloriam à vobis inuicem accipientes, & gloriam quæ est à solo

Matt. 7. 11. — 2. Cor. 12. — 1. Cor. 3. 1. & 2. — Hebr. 5. — Esa. 58. — Oseæ 10. 12 — Ioan. 3. 20.

A ἅπαξ τοῦτο ποιεῖ καὶ δὶς καὶ τρὶς, ἀλλὰ διηνεκῶς, φησιν, ἐὰν αὐτὸν καλῶμεν. καὶ ὅρα πάλιν κἀνταῦθα τὸ τάχος. ὥσπερ γὰρ ἄνω ἔλεγεν, ἐν τῷ ἐπικαλεῖσθαί με, εἰσήκουσέ μου ὁ Θεὸς τῆς δικαιοσύνης μου· οὕτω καὶ ἐνταῦθα, ἐν τῷ κεκραγέναι με πρὸς αὐτόν. πῶς οὖν οὐκ ἀκούονται πολλοί, φησι; διὰ τὸ ἀσύμφορα αἰτεῖν. ἐνταῦθα γὰρ τὸ μὴ ἀκουσθῆναι τοῦ ἀκουσθῆναι βέλτιον. ὥστε κἂν ἀκουώμεθα, μὴ διὰ τοῦτο χαίρωμεν· ἀλλὰ καὶ ὅταν μὴ ἀκουώμεθα, καὶ διὰ τοῦτο δοξάζωμεν. ἢ γὰρ ἀσύμφορα αἰτοῦντες οὐκ ἀκουόμεθα, καὶ τῷ μὴ λαβεῖν B κερδαίνομεν· ἢ ῥαθύμως αἰτοῦμεν, καὶ τῇ μελλήσει τῆς δόσεως τὴν προσεδρείαν ἡμῶν ὁ Θεὸς σοφίζεται. καὶ τοῦτο δὲ οὐ μικρὸν κέρδος. εἰ γὰρ ὑμεῖς, φησιν, οἴδατε δόματα ἀγαθὰ διδόναι τοῖς τέκνοις ὑμῶν, πολλῷ μᾶλλον ὁ Θεὸς ἡμῶν, ἐπιστάμενος τὸ δοῦναι, καὶ τὸ πότε δοῦναι, καὶ τὸ τί δοῦναι. ἐπεὶ καὶ Παῦλος ᾔτησε, καὶ οὐκ ἔλαβεν, ἀσύμφορον γὰρ ᾔτει, καὶ Μωϋσῆς, καὶ οὐδὲ ἐκείνῳ ἐπένευσεν ὁ Θεός. μὴ τοίνυν ἀποστῶμεν, ὅταν μὴ ἀκουώμεθα, μηδὲ ἀλύωμεν καὶ ναρκῶμεν, ἀλλ' ἐπιμένωμεν τῇ προσεδρείᾳ καὶ τῇ αἰτήσει. πάντα C γὰρ συμφερόντως ὁ Θεὸς ἐργάζεται. ὀργίζεσθε, καὶ μὴ ἁμαρτάνετε. ἃ λέγετε ἐν ταῖς καρδίαις ὑμῶν, ἐπὶ ταῖς κοίταις ὑμῶν κατανύγητε. ὅπερ ἔμπροσθεν εἶπον, τοῦτο καὶ νῦν λέγω. ἐπειδὴ γὰρ πρὸς θεογνωσίαν αὐτοὺς μέλλει χειραγωγεῖν, ἀπαλλάττει τὴν ψυχὴν τῶν νοσημάτων. οἶδε γὰρ, ὅτι βίος διεφθαρμένος, κώλυμα τῆς τῶν ὑψηλῶν δογμάτων ἀκριβείας γίνεται. ὅπερ οὖν καὶ Παῦλος αἰνιττόμενος ἔλεγεν· οὐκ ἠδυνήθην ὑμῖν λαλῆσαι ὡς πνευματικοῖς, ἀλλ' ὡς σαρκικοῖς, καὶ πάλιν· ὡς νηπίοις ἐν Χριστῷ· γάλα D ὑμᾶς ἐπότισα, οὐ βρῶμα. καὶ πάλιν· περὶ οὗ πολὺς ἡμῖν ὁ λόγος καὶ δυσερμήνευτος, ἐπεὶ νωθροί ἐστε τὴν ἀκοήν. καὶ ὁ Ἡσαΐας πάλιν· ζητοῦ με ὁ λαὸς οὗτος, καὶ γνῶναί μου τὰς ὁδοὺς ἐπιθυμοῦσιν, ὡς λαὸς δικαιοσύνην πεποιηκὼς καὶ κρίσιν Θεοῦ μὴ ἐγκαταλελοιπώς. καὶ Ὠσηέ· σπείρατε ἑαυτοῖς εἰς δικαιοσύνην, φωτίσατε φῶς γνώσεως. καὶ ὁ Χριστὸς διδάσκων ἔλεγε· πᾶς ὁ φαῦλα πράσσων, μισεῖ τὸ φῶς, καὶ οὐκ ἔρχεται πρὸς τὸ φῶς. καὶ πάλιν· πῶς δύνασθε πιστεύειν δόξαν παρ' ἀλλήλων λαμβάνοντες, καὶ τὴν δόξαν τὴν παρὰ τοῦ μόνου Θεοῦ

Θεοῦ οὐ ζητοῦντες; καὶ πάλιν· ταῦτα εἶπον οἱ γονεῖς αὐτοῦ, ὅτι ἐφοβοῦντο τοὺς Ἰουδαίους, ἵνα μὴ ἀποσυνάγωγοι γένωνται. καὶ πάλιν· πολλοὶ δὲ ἐπίστευσαν εἰς αὐτὸν, καὶ διὰ τοὺς Φαρισαίους οὐχ ὡμολόγουν. καὶ πανταχοῦ ἴδοι τις ἂν τὸν διεφθαρμένον βίον πρὸς δογμάτων ἀκρίβειαν ἐμπόδιον γινόμενον. ὥσπερ γὰρ λήμη τῇ τῶν ὀφθαλμῶν διειδεῖ κόρῃ προσιζάνουσα ἐπισκοτεῖ καὶ θολοῖ τὸ φωτίζον· οὕτω δὴ καὶ λογισμὸς ὑπὸ πονηρίας κατειλημμένος σκοτοῖ καὶ πηροῖ τὴν διάνοιαν. διὸ καὶ ὁ προφήτης τοῦτο εἰδὼς λέγει· ὀργίζεσθε, καὶ μὴ ἁμαρτάνετε. οὐ γὰρ τὴν ὀργὴν ἀναιρεῖ, χρησίμη γάρ· οὐδὲ τὸν θυμὸν ἐκκόπτει, καὶ γὰρ ὠφέλιμος κατὰ τῶν ἀδικούντων γινόμενος καὶ κατὰ τῶν ῥαθύμων, ἀλλὰ τὴν ἄδικον ὀργὴν, τὸν ἄλογον θυμόν. καὶ καθάπερ ὁ Μωϋσῆς εἰς τὸν ἠθικὸν ἐμπεσὼν λόγον, ἀπὸ τούτου πρώτου τῆς νομοθεσίας τὴν ἀρχὴν ποιεῖται, λέγων, οὐ φονεύσεις, οὕτω δὴ καὶ οὗτος· ἀλλὰ καὶ πλεῖον οὗτος, ὅσῳ καὶ μᾶλλον τὰ τῆς εὐσεβείας γνωριμώτερα ἦν. ὁ μὲν γὰρ τὸν φόνον ἐκκόπτει· οὗτος δὲ καὶ τὴν μητέρα τοῦ φόνου, τὴν ὀργὴν, καὶ τὴν ῥίζαν, καὶ τὴν πηγὴν οὖσαν τοῦ κακοῦ ἀνατέλλει. διὸ καὶ ὁ Χριστὸς καταστέλλων τὴν ὀργὴν, ἔλεγεν· ὁ ὀργιζόμενος τῷ ἀδελφῷ αὐτοῦ εἰκῆ, ἔνοχος ἔσται εἰς τὴν γέενναν τοῦ πυρός. εἶδες πανταχοῦ μέτρα· ὀργίζεσθε καὶ μὴ ἁμαρτάνετε· ὁ ὀργιζόμενος εἰκῆ. ἔστι γὰρ καὶ δικαίως ὀργίζεσθαι. ἐπεὶ καὶ Παῦλος ὠργίσθη τῷ Ἐλύμᾳ, καὶ Πέτρος τῇ Σαπφείρᾳ. ἀλλ' οὐκ ἂν εἴποιμι τοῦτο ὀργὴν ἁπλῶς, ἀλλὰ φιλοσοφίαν, καὶ κηδεμονίαν, καὶ οἰκονομίαν. ὀργίζεται καὶ πατὴρ υἱῷ, ἀλλὰ κηδόμενος. ἐκεῖνός ἐστιν ὁ ὀργιζόμενος εἰκῆ, ὁ ἑαυτὸν ἐκδικῶν· ὁ δὲ τὰ ἑτέρων διορθῶν, οὗτος πάντων ἐστὶν ἡμερώτερος. ἐπεὶ καὶ ὁ Θεὸς, ἐπειδὰν λέγηται ὀργίζεσθαι, οὐχ ἑαυτῷ ἀμυνόμενος ὀργίζεται, ἀλλ' ἡμᾶς διορθούμενος. τοῦτον τοίνυν καὶ ἡμεῖς μιμώμεθα. τὸ μὲν γὰρ οὕτως ἐπιεικὲς, θεῖον· τὸ δὲ ἑτέρως, ἀνθρώπινον. ἀλλ' ὁ Θεὸς οὐ ταύτῃ ἡμῶν διέστηκε μόνον, ᾗ δικαίως ὀργίζεται, ἀλλ' ὅτι οὐδὲ πάθος περὶ Θεόν ἐστιν ἡ ὀργή. μὴ τοίνυν μηδὲ ἡμεῖς ὀργιζώμεθα εἰκῆ. καὶ γὰρ διὰ τοῦτο ἐνετέθη ἡμῖν ἡ ὀργὴ, οὐχ ἵνα ἁμαρτάνωμεν, ἀλλ' ἵνα ἑτέρους ἁμαρτάνοντας κωλύωμεν· οὐχ ἵνα πάθος καὶ νόσημα γένηται, ἀλλ' ἵνα παθῶν φάρμακον. ἐννόησον τοίνυν κακίας ὑπερβολὴν,

Deo non quærentes? Et rursus: Hæc dicebant parentes eius, quia timebant Iudæos, ne expellerentur à synagoga. Et rursus: Multi autem crediderunt in ipsum, & propter Pharisæos non confitebantur. Et vbique videri potest vita praua ac corrupta ad perfectionem dogmatum afferre impedimentum. Quemadmodum enim lema perspicuę oculorum pupillæ insidens, id quod illustrat, obscurat & obtenebrat: ita etiam cogitatio, quam obsedit, & occupauit vitium, obtenebrat mentem & excæcat. Quocirca cùm id etiam sciret propheta, dicit: Irascimini, & nolite peccare. Non enim tollit iram, est namque vtilis, nec excindit excandescentiam: prodest enim aduersus eos qui faciunt iniuriam, & aduersus negligentes, sed eam quæ iniustè mouetur, excandescentiam, quæ nulla ratione regitur. Et quemadmodum Moses cùm in sermonem de moribus incidisset, ex eo primò quæ ferebatur, legis ducit initium, dicens: Non occides: ita hic etiam, sed hic amplius, quò magis ei erat nota vera pietas. Ille enim euellit cædem: hic verò iram, quæ cædis mater est, radix & fons est mali reprimę. Quocirca Christus etiam iram comprimens ac refrænans, dicebat: Qui irascitur fratri suo temerè, erit obnoxius in gehennam ignis. Vidisti vbique modum, irascimini, & nolite peccare. Qui irascitur temerè (licet enim etiam iustè irasci. Nam & Paulus Elymæ succensuit, & Petrus Sapphiræ. Sed id non iram dixerim absolutè, sed philosophiã, curam, & œconomiam. Irascitur etiam pater filio, sed eius curam gerens.) Ille est qui temerè irascitur, qui seipsum vlciscitur. Qui autẽ aliena corrigit, is est omnium mansuetissimus. Nam Deus etiã quando dicitur irasci, non seipsum vindicans irascitur, sed nos corrigens. Eum ergo nos quoque imitemur. Ita enim se gerere, diuinũ est, aliter verò humanum. Sed Deus non eò solùm à nobis differt, quòd iustè irascitur, sed quòd nec in Deo quidem iræ est perturbatio. Nec nos ergo temerè irascamur. Ira enim in nobis ideo insita est, non vt peccemus, sed vt alios peccantes prohibeamus, non vt fiat animi perturbatio & ægritudo, sed vt sit ægritudinum & perturbationum remedium. Cogita apud te quàm sit insigne vitium,

Ioan.5.44. Ioan.9.22. Ioan.12.42. Sap.1. Esa.19. 1.Cor.1. Exod.20. Matth.5. Ira qualis cita. Act.13. Act.5.

quando medicamentum, venenum efficitur: quando per quod aliorum vulneribus medendum est, per id vulnera infligimus: quemadmodum si quis accepto ferro, vt quæ in aliis putrefacta sunt excindat, seipsum vbique concidat, se per totum corpus saucians: vel gubernator per clauum cymbam submergat, per quem ventorum impetentium impetum oportebat cohibere. Huiusmodi est etiam ira vtile instrumentum, vt nostram excitet somnolentiam, vt animum nostrum intendat, viresque & robur addat: vt nos acriores efficiat, vt pro his indignemur qui sunt affecti iniuria, vel ad pœnas de insidiatoribus sumendas nos moueat. Ea de causa dicit: Irascimini, & nolite peccare. Quòd si hoc fieri non posset, minimè præcessisset. Quæ enim fieri non possunt, nemo præcipit. Legem itaque afferens Apostolicam, & philosophiam Euangelicam, cùm eadem dixisset quæ Christus, aliam adiicit admonitionem, quæ sic dicit: Quæ dicitis in cordibus vestris, in cubilibus vestris compungite. Quid est quod dictum est? Videtur enim esse obscurum. Post cœnam, inquit, quando itis dormitum, quando estis decubituri, & nullo præsente multa quies & silentium, & nemine interturbante profunda tranquillitas, excita iudicium tuæ conscientiæ, ab ipsa rationem exige, & quæ interdiu mala cepisti consilia, vel dolos construens, vel propinquum circumueniens, vel praua desideria suscipiens, ea cùm in illius quietis tempore in medium adduxeris, & improbis illis cogitationibus conscientiam iudicem dederis, eas fodica & dilania, & de eis pœnam sume, torque cogitationem quæ peccauit. Id enim sibi vult illud: Compungite, pro eo quod est, Pungite, stimulate, quæ in cordibus vestris dixistis interdiu. Hoc est, mala quæ cogitastis consilia, ea in cordibus vestris, in tempore illius quietis punite, in ea animaduertite: quando neque amicus interturbat, nec famulus irritat, nec turba negotiorum vrget, tunc vitæ interdiu actæ rationem exigite. Et cur non dixit, verborum & factorum, sed malarũ cogitationum? Hoc docens ex abundanti. Si enim mala sunt castiganda consilia, vt non in opus exeant:

A ὅταν τὸ φάρμακον δηλητήριον γένηται, ὅταν δι' οὗ τὰ ἑτέρων τραύματα διορθοῦν χρὴ, διὰ τούτου τραύματα ἐργαζώμεθα· ὥσπερ ἂν εἴ τις σίδηρον λαβὼν, ἵνα τὰς ἑτέρων σηπεδόνας ἐκκόπτῃ, ἑαυτὸν εἰκῇ κατακόπτῃ, πανταχοῦ τοῦ σώματος ἕλκη ποιῶν· ἢ κυβερνήτης ὢν διὰ τῶν οἰάκων καταδύῃ τὸ σκάφος, δι' ὧν τῶν ἀτάκτων πνευμάτων τὴν ῥύμην ἐκκόπτειν ἔδει. Τοιοῦτόν τι καὶ ἡ ὀργή ἐστιν, ὄργανον χρήσιμον, ἵνα τὸ νωθρὸν ἡμῶν διεγείρῃ· ἵνα τόνον ἐντιθῇ τῇ ψυχῇ· ἵνα σφοδροτέρους ἐργάζηται πρὸς τὰς ὑπὲρ τῶν ἀδικουμένων ἀγα-
B νακτήσεις· ἵνα τιμωροὺς ποιῇ τοῖς ἐπιβούλοις. Διὰ δὴ τοῦτό φησιν, ὀργίζεσθε, καὶ μὴ ἁμαρτάνετε. Εἰ δὲ μὴ ἦν δυνατὸν τοῦτο, οὐκ ἂν ἐπέταξε. τὰ γὰρ ἀδύνατα οὐδεὶς ἐπιτάττει. εἰσάγων τοίνυν νόμον ἀποστολικὸν, καὶ φιλοσοφίαν εὐαγγελικὴν, καὶ τὰ αὐτὰ εἰπὼν ἅπερ καὶ ὁ Χριστὸς, ἑτέραν προστίθησι παραίνεσιν οὕτω λέγων· ἃ λέγετε ἐν ταῖς καρδίαις ὑμῶν, ἐπὶ ταῖς κοίταις ὑμῶν κατανύγητε. τί ἐστι τὸ εἰρημένον; δοκεῖ γὰρ ἀσαφὲς εἶναι. ἐν τῷ καιρῷ τῷ μετὰ τὰ δεῖπνα, φησὶν, ἡνίκα ἂν πρὸς ὕ-
C πνον ἀπίητε, ἡνίκα ἂν μέλλητε κατακλίνεσθαι, τοῦ μηδενὸς παρόντος πολλὴ ἡ ἡσυχία, βαθεῖα ἡ γαλήνη μηδενὸς διενοχλοῦντος, τὸ δικαστήριον ἔγειρον τοῦ συνειδότος, εὐθύνας ἀπαίτησον αὐτὸ, καὶ ἃ μεθ' ἡμέραν ἐβουλεύσω πονηρὰ, ἢ δόλους ῥάπτων, ἢ τὸν πλησίον ὑποσκελίζων, ἢ ἐπιθυμίας δεχόμενος διεφθαρμένας, ταῦτα ἐν τῷ καιρῷ τῆς ἡσυχίας ἐκείνης εἰς μέσον ἀγαγὼν, καὶ τὸ συνειδὸς ἐπιστήσας τοῖς ἀτόποις τούτοις λογισμοῖς, κατάξαινε αὐτοὺς, καὶ δίκην ἀπαίτει· κατάτεινε τὴν ἁμαρτήσασαν διάνοιαν.
D τοῦτο γάρ ἐστι τὸ, κατανύγητε· αὐτὴ τοῦ νύξατε, κεντήσατε. ἅπερ εἴπατε ἐν ταῖς καρδίαις ὑμῶν μεθ' ἡμέραν, τουτέστιν, ἃ ἐλογίσασθε πονηρὰ βουλεύματα, ταῦτα ἐν ταῖς κοίταις ὑμῶν, ἐν τῷ καιρῷ τῆς ἡσυχίας ἐκείνης κολάσατε, τιμωρήσασθε. ὅταν μήτε φίλος ἐνοχλῇ, μήτε οἰκέτης παροξύνῃ, μήτε πραγμάτων ὄχλος ἐπείγῃ, τότε τῶν μεθ' ἡμέραν βεβιωμένων ποιεῖσθε λόγον. καὶ διὰ τί μὴ εἶπε ῥημάτων καὶ ἔργων, ἀλλ' ἐνθυμημάτων πονηρῶν; ἐκ περιουσίας τοῦτο παιδεύων. Εἰ γὰρ τὰ πονηρὰ βουλεύματα δεῖ κολάζειν, ὥστε μὴ εἰς ἔργον ἐξιέναι,

πολλῷ μᾶλλον ὑπὲρ τῶν ἔργων καὶ τῶν ῥημάτων ἐπιστρέφειν δεῖ τὴν ψυχήν. τοῦτο καθ' ἑκάστην γινέσθω τὴν ἡμέραν, καὶ μὴ πρότερον καθυπνώσῃς, ἄνθρωπε, ἕως ἂν ἀναλογίσῃ τὰ μεθ' ἡμέραν σοι πεπλημμελημένα· καὶ πάντως ὀκνηρότερος ἔσῃ τῇ ἐπιούσῃ πρὸς τὸ ταῦτα αὖθις ἐπιχειρῆσαι. καὶ ὅπερ ἐπὶ τῶν ἀργυρείων ποιεῖς, καὶ οὐκ ἀνέχῃ δύο παρελθεῖν ἡμέρας, καὶ μὴ θεῖναι πρὸς τὸν οἰκέτην λόγον, ὥστε μὴ σύγχυσιν γενέσθαι τῇ λήθῃ· τοῦτο καὶ ἐπὶ τῶν πράξεων ποίει καθ' ἑκάστην ἡμέραν· ἐν ἑσπέρᾳ λογοθέσιον ἀπαίτει τὴν ψυχήν, καὶ καταδίκαζε τὸν ἡμαρτηκότα λογισμόν, ἀνάρτησον ὡς ἐπὶ ξύλου, καὶ βασάνισον, καὶ παράγγελλε μηκέτι τοῖς αὐτοῖς ἐπιχειρεῖν. εἶδες ἰατρείαν ἀρίστην, πῶς καὶ προφυλακτικοῖς καὶ διορθωτικοῖς κέχρηται φαρμάκοις. τὸ μὲν γὰρ παραγγέλλειν μὴ περιπίπτειν εἰς ἁμαρτήματα, προφυλακτικοῦ φαρμάκου χώραν ἐπέχει· τὸ, ὀργίζεσθε, καὶ μὴ ἁμαρτάνετε. τὸ δὲ, ἃ λέγετε ἐν ταῖς καρδίαις ὑμῶν, ἐπὶ ταῖς κοίταις ὑμῶν κατανύγητε, διορθωτικοῦ. μετὰ γὰρ τὸ ἁμαρτεῖν, πάλιν ἐπάγει φάρμακα, παρ' αὐτοῦ τοῦ ἁμαρτόντος τὴν ἰατρείαν εἰσάγων. ποιώμεθα τοίνυν τὴν ἰατρείαν ταύτην, οὐδεμίαν δυσκολίαν ἔχουσαν· εἰ δὲ οὐκ ἀνέχεται ἡ ψυχὴ μεμνῆσθαι τῶν πλημμελημάτων, αἰσχυνομένη καὶ ἐρυθριῶσα, εἰπὲ πρὸς αὐτήν· οὐδέν σοι κέρδος ἀπὸ τοῦ μὴ μνημονεύειν, ἀλλὰ καὶ πολλὴ ἡ βλάβη. ἐὰν γὰρ μὴ μνημονεύσῃς κατὰ σαυτὴν νῦν, τότε πρὸ τῶν ἁπάντων ὀφθαλμῶν κείσεταί σοι τὰ ἁμαρτήματα. ἂν δὲ νῦν ἀναλογίσῃ ταῦτα, κἀκείνων ἀπαλλαγήσῃ ταχέως, καὶ ἑτέροις οὐ περιπεσῇ ῥᾳδίως. ἡ γὰρ ψυχὴ δεδοικυῖα τὴν ἑσπερινὴν δίκην, μὴ πάλιν ὑπὸ τὴν αὐτὴν ἀλῷ ψῆφον, καὶ καταστείνηται, καὶ μαστίζηται, ὀκνηροτέρα γίνεται περὶ τὴν ἁμαρτίαν. καὶ τοσοῦτον τὸ κέρδος τοῦ πράγματός ἐστιν, ὅτι μῆνα μόνον ἂν συνεχῶς αὐτὸ ποιήσωμεν, ἐν ἕξει λοιπὸν ἀρετῆς ἑαυτοὺς καταστήσομεν. μὴ δὴ περιίδωμεν τοσοῦτον καλόν. ὁ γὰρ τοῦτο ἐνταῦθα καθίσας τὸ δικαστήριον, οὐ δώσει πικρὰς εὐθύνας ἐκεῖ. εἰ γὰρ ἑαυτοὺς ἐκρίνομεν, οὐκ ἂν ἐκρινόμεθα· κρινόμενοι δὲ ὑπὸ κυρίου παιδευόμεθα, φησὶν, ἵνα μὴ σὺν τῷ κόσμῳ κατακριθῶμεν. ἵν' οὖν μὴ κατακριθῶμεν, τοῦτο ἐργαζώμεθα. θύσατε θυσίαν δικαιοσύνης, καὶ ἐλπίσατε ἐπὶ κύριον. εἶδες ἀκολουθίαν συμβουλῆς ἀρίστης; εἶδες παραίνεσιν ἀπηρτισμένην;

A multò magis pro factis & dictis oportet angi animo. Hæc fiant singulis diebus, nec prius dormieris ô homo, quàm mente versaueris quæ à te interdiu perperam acta sunt: & die sequẽti eris omnino tardior ad ea ipsa rursus aggrediẽda, & quod facis in pecunia, nec finis vt duo dies prætereant, quin cum famulo rationem ineas, ne confusionem inducat obliuio. hoc etiam fac in actionibus: singulis diebus vesperi ab anima rationem exige, & cogitationem quæ peccauit, condemna, eam veluti in ligno suspende, & torque, & iube ne amplius ea aggrediatur. B Vidisti optimam medendi rationem, quomodo & præseruatoriis & correctoriis medicamentis vsus est. Præcipere enim ne in peccata incidas, præseruatorij medicamẽti locum obtinet, nempe irascimini, & nolite peccare: illud autem: Quæ dicitis in cordibus vestris, in cubilibus vestris compungite, correctorij. Postquam enim peccauit, adhibet rursus medicamenta ab ipso qui peccauit accepta medicina. Hac ergo vtamur medicina, quæ nihil habet omnino difficultatis. C Sin autem non sustinet anima meminisse peccatorum, erubescens & pudore suffusa, dic illi: Nihil lucrifacis, si nõ memineris: sed magnum potius damnum accipis. Si enim non nunc apud te memineris, tunc ante omnium oculos tua statuentur peccata. Sin autem nũc ea supputaueris, & ab illis citò liberaberis, & in alia non facilè incides. Anima enim hesternum verita iudicium, ne eandem rursus subeat sententiam, si torqueatur, & flagelletur, reddetur ad peccatum tardior: & ex ea re tantum e-D rit emolumentum, quòd si id vno solo mense fecerimus, in perfecto virtutis habitu nosipsos constituemus. Ne tantum itaque bonum neglexerimus. Qui enim hoc iudicium hic statuerit, acerbas illic pœnas non dabit. Si enim nosipsos iudicaremus, non vtique iudicaremur. A domino autem iudicari erudimur, inquit, ne cum mundo condemnemur. Ne ergo condemnemur, hoc faciamus. *Sacrificate sacrificium iustitiæ, & sperate in Domino.* Vidisti consequentiam optimi consilij? Vidisti perfectam admonitionem?

Esa. 43. Marc. 5.

Psal. 113.

1. Corint. 11. 31.

Postquam enim propter peccata vnũquemque pupugit, & ad eadem rursus aggredienda tardiores effecit, & iudicium quod non potest corrumpi constituit, & actæ vitæ rationem exegit, ita ad virtutis actionem deducit. Neque enim sufficit si à malis abstineamus, sed oportet etiam bonorum accedere actiones. Quocirca etiam progrediens admonet, dicens: Declina à malo, & fac bonum. Non solùm enim improbitatis actio, sed etiam à virtute cessatio, vt puniamur, efficit. Nam & illi qui esurientem non pauerunt, & sitienti potum non dederunt: & qui nudum non vestierunt, non furati sunt, nec auari fuerunt, nec bona aliena ceperunt: sed quia non fecerunt eleemosynam, propterea pœnæ immortali dati sunt, & supplicio, cuius nullus est finis. Ex quo intelligimus quòd abstinere à malis non satis est nobis ad salutem, nisi adsit etiam bonorum possessio, & virtutis actio. Propterea ergo etiam propheta, cùm & ab improbitate per compunctionem abduxisset, & ad virtutis actionem aptiorem fecisset, & duritiam mentis emollisset, & eam per compunctionem teneram reddidisset, incipit verba facere de iustitia, & dicit: Sacrificate sacrificium iustitiæ, & sperate in Domino. Quid est, sacrificate sacrificium iustitiæ? Persequimini iustitiam, offerte iustitiam, hoc est maximum Deo donum, hoc est acceptum sacrificium. Hæc oblatio valde grata est, non oues & vitulos sacrificare, sed quæ sunt iusta facere. Vides ecclesiasticæ vitæ instituendæ rationem multis retro seculis fuisse ante descriptam, & pro illis sensibilibus ea quæri, quæ cadunt sub intelligentiam. Iustitiam autem hic, sicut ante dixi, non singularem aliquam dicit virtutem, sed vniuersam: quemadmodum etiam virum iustum vocamus, qui omnem in se virtutem continet. Hoc sacrificium non eget pecunia, non gladio, non altari, non igne, non resoluitur in fumum, cinerem, & nidorem, sed animo eius qui offert contentum est. Ei nec est paupertas obstaculum, nec mendicitas impedimentum, non locus, nec aliquid eiusmodi, sed vbicunque fueris, id offerre poteris, cùm ipse sis & sacerdos, & altare, & gladius, & hostia.

Matth. 25. — *Esa. 1.* — *Iustitia nomine virtutem.*

A κατανύξας γὰρ ἐπὶ τοῖς ἁμαρτήμασι, καὶ ποιήσας ὀκνηροτέρους πρὸς τὸ τοῖς αὐτοῖς ἐπιχειρῆσαι πάλιν, καὶ τὸ δικαστήριον ἀναστήσας τὸ ἀδέκαστον, καὶ τῶν βεβιωμένων εὐθύνας ἀπαιτήσας, οὕτως ἐπὶ τὴν τῆς ἀρετῆς ἐργασίαν ἄγει. οὐδὲ γὰρ ἀρκεῖ μόνον ἡ ἀποχὴ τῶν κακῶν, ἀλλὰ δεῖ προσεῖναι καὶ τὴν ἐργασίαν τῶν ἀγαθῶν. διὸ καὶ προϊὼν παραινεῖ λέγων, ἔκκλινον ἀπὸ κακοῦ, καὶ ποίησον ἀγαθόν. καὶ γὰρ ἡ ἀργία τῆς ἀρετῆς, κόλασιν οἶδε προξενεῖν, οὐχ ἡ ἐργασία τῆς πονηρίας μόνον. ἐπεὶ κἀκεῖνοι οἱ πεινῶντα μὴ θρέ-B ψαντες, μηδὲ διψῶντα ποτίσαντες, μηδὲ γυμνὸν περιβαλόντες, οὐχ ἥρπασαν, οὐκ ἐπλεονέκτησαν, οὐ τὰ ἀλλότρια ἔλαβον· ἀλλ' ἐπειδὴ ἐλεημοσύνην οὐκ εἰργάσαντο, διὰ τοῦτο τῇ ἀθανάτῳ παραδίδονται κολάσει, καὶ τιμωρίᾳ πέρας οὐκ ἐχούσῃ. ὅθεν μανθάνομεν, ὅτι οὐ τὸ ἀπέχεσθαι κακῶν ἀρκεῖ σωτηρίας ἡμῖν, ἐὰν μὴ προσῇ καὶ τῶν ἀγαθῶν ἡ κτῆσις, καὶ τῆς ἀρετῆς ἡ ἐργασία. διὰ τοι τοῦτο καὶ ὁ προφήτης ἀπαγαγὼν τῆς πονηρίας διὰ τῆς κατανύξεως, καὶ ποιήσας ἐπιτηδειότερον πρὸς τὴν τῆς ἀρετῆς ἐργασίαν, καὶ τὸ σκληρὸν τῆς διανοίας καταμαλάξας, ἁπα-C λήν τε αὐτὴν ἀπὸ τῆς κατανύξεως ἐργασάμενος, τὸν περὶ δικαιοσύνης εἰσάγει λόγον, καί φησι, θύσατε θυσίαν δικαιοσύνης, καὶ ἐλπίσατε ἐπὶ κύριον. τί ἐστι θύσατε θυσίαν δικαιοσύνης; δικαιοσύνην μετέρχεσθε, δικαιοσύνην προσφέρετε. τοῦτο μέγιστον τῷ Θεῷ δῶρον, αὕτη θυσία δεκτή, αὕτη προσφορὰ πολλὴν ἔχουσα τὴν ἀρέσκειαν, οὐ τὸ πρόβατα θύειν, καὶ μόσχους, ἀλλὰ τὸ δίκαια πράττειν. ὁρᾷς τῆς ἐκκλησίας τὴν πολιτείαν ἄνωθεν προδιαγραφομένην, καὶ ἀντὶ τῶν αἰσθητῶν ἐκείνων τὰ νοητὰ ζητούμενα. δικαιοσύνην δὲ ἐνταῦθα, καθάπερ ἔμπροσθεν εἶπον, οὐ τὴν D μερικὴν ἀρετὴν φησιν, ἀλλὰ τὴν καθόλου· καθὸ καὶ δίκαιον ἄνθρωπον καλοῦμεν, τὸν ἅπασαν ἐν ἑαυτῷ ἔχοντα τὴν ἀρετήν. αὕτη ἡ θυσία οὐ χρημάτων δεῖται, οὐ μαχαίρας, οὐ θυσιαστηρίου, οὐ πυρός· οὐκ εἰς καπνὸν διαλύεται καὶ τέφραν καὶ κνίσσαν, ἀλλ' ἀρκεῖται τῇ γνώμῃ τοῦ προσάγοντος αὐτήν. ταύτῃ οὔτε πενία κώλυμα γίνεται, οὔτε πτωχεία ἐμποδίζει, οὐ τόπος, οὐκ ἄλλο τῶν τοιούτων οὐδέν· ἀλλ' ὅπουπερ ἂν ᾖς, θύειν αὐτὴν δυνήσῃ, αὐτὸς καὶ ὁ ἱερεὺς, καὶ θυσιαστήριον, καὶ μάχαιρα, καὶ ἱερεῖον γενόμενος.

τοιαῦτα γὰρ τὰ νοερὰ καὶ πνευματικά· πλείονα ἔχει τὴν εὐκολίαν, οὐδεμιᾶς δεόμενα τῆς ἔξωθεν ἐργασίας. καὶ ἐλπίσατε ἐπὶ κύριον. ἕτερός φησι, καὶ πεποίθατε τῷ κυρίῳ. ὁ γὰρ διὰ τῆς δικαίας πολιτείας ἵλεων αὐτὸν κτησάμενος καὶ εὐμενῆ, μεγίστην ἔχει συμμαχίαν, ἀχείρωτον τὴν βοήθειαν, πολλὴν ἐκεῖθεν τὴν ῥοπήν. εἶδες τῆς θυσίας τὸν καρπὸν παρὰ θύραις ὄντα; εἶδες εὐθέως βλαστάνοντα ἀθρόον τὸν ἀγαθῶν τὸν θησαυρόν; ὁ γὰρ τὸν Θεὸν ἔχων σύμμαχον, τίνα φοβηθήσεται λοιπόν; οὐδένα. καὶ τοῦτο δὲ οὐ μικρὰ ἀρετή, τὸ ἐπ' αὐτῷ θαρρεῖν, καὶ ἐπ' αὐτῷ πεποιθέναι. μετὰ δὲ τῆς δικαιοσύνης καὶ ταύτην ἡμᾶς ἀπαιτεῖ τὴν ἀρετήν, τὸ ἐπ' αὐτῷ πεποιθέναι, τὸ ἐπ' αὐτῷ ἐλπίζειν, τὸ μηδενὶ τῶν βιωτικῶν θαρρεῖν· ἀλλὰ πάντων ἑαυτὸν ἀποστήσαντα ἐκεῖ προσηλῶσαι τὴν διάνοιαν. τὰ μὲν γὰρ τοῦ παρόντος βίου πράγματα ὀνείρασιν ἔοικε καὶ σκιαῖς, καὶ τούτων ἐστὶν ἀσθενέστερα, ὁμοῦ τε φαινόμενα καὶ ἀφιπτάμενα, καὶ ἐν αὐτῷ τῷ παρεῖναι πολλοὺς ἐμποιοῦντα τοὺς θορύβους τοῖς ἔχουσιν· ἡ δὲ ἐπὶ Θεὸν ἐλπὶς, ἀθάνατος, ἄτρεπτος, ἀκίνητος, μεταβολὴν οὐ δεχομένη, ἐν ἀσφαλείᾳ πάσῃ καθιστῶσα καὶ ἄμαχον ποιοῦσα τὸν αὐτῇ μετὰ ἀκριβείας καὶ τῆς προσηκούσης διαθέσεως χρώμενον. πολλοὶ λέγουσι, τίς δείξει ἡμῖν τὰ ἀγαθά; ἐσημειώθη ἐφ' ἡμᾶς τὸ φῶς τοῦ προσώπου σου κύριε. ἀπαρτίσας τὴν περὶ τῶν ἠθῶν παραίνεσιν, καὶ τῇ θεογνωσίᾳ προσαγαγὼν, καὶ πάντα κινήσας τρόπον τὸν δυνάμενον διαναστῆσαι τῶν πεπλανημένων τὴν διάνοιαν, καὶ μάλιστα ἀπὸ τῶν ἀνακειμένων αὐτῷ, καὶ τῆς εἰς αὐτοὺς προνοίας, δείξας αὐτοῦ τὴν κηδεμονίαν, ἀντίθεσίν τινα παρὰ τῶν ἀσθενεστέρων καὶ παχυτέρων εἰσαγομένην τίθησι, καὶ λέγει· πολλοὶ λέγουσι, τίς δείξει ἡμῖν τὰ ἀγαθά; οὐχ οἱ ὀλίγοι, οἱ γνήσιοι καὶ δόκιμοι καὶ φιλοσοφεῖν εἰδότες ταῦτα λέγουσιν, ἀλλὰ τὸ κεχυμένον πλῆθος, τὸ ἀδιάκριτον, τὸ ἀνοίᾳ προσηλωμένον. τί δέ ἐστιν, ὅ φησι, τίς δείξει ἡμῖν τὰ ἀγαθά; εἰσί τινες οἱ λέγοντες, οἱ μὲν τοῦ Θεοῦ διαβάλλοντες τὴν πρόνοιαν, οἱ δὲ ἡδονῆς ὄντες ἐρασταὶ, ἀνέσεως καὶ πλούτου, δόξης καὶ δυναστείας, οἱ καὶ ἐρῶντες αὐτῶν τοιαῦτά φασι· ποῦ τὰ ἀγαθὰ τοῦ Θεοῦ;

A Talia enim sunt quæ ad mentem pertinent & sunt spiritalia, plurimum habent facilitatis, vt quæ nulla externa operatione egeant. Et sperate in Domino. Alius dicit: Et confidite in Domino. Qui enim per iustam vitæ institutionem Deum sibi propitium & clementem reddiderit, maximam habet opitulationem, auxilium inexpugnabile, & plurimum illinc præsidium. Vidisti fructum sacrificij, qui est in foribus? Vidisti celerrimè germinantem densum & constipatum bonorum thesaurum? Qui enim Deum habet auxi- B liatorem, quémnam timebit amplius? Nullum. Iam verò hoc quoque est non parua virtus, ipso fretum, bono animo esse, & in ipso confidere, sed cum iustitia: & à nobis hanc virtutem exigit, vt in eo confidamus, vt in eo speremus, vt in nulla re quæ ad hanc vitam pertinet confidamus, sed nos ab omnibus seiungentes, cogitationem omnem illic defigamus. Res enim vitæ præsentis sunt vmbris & somniis similes, & sunt etiam iis imbecilliores, vt quæ simul appareant & auolēt: & interea dum adsunt, iis qui illas habent, multum turbæ ac C molestiæ afferūt. Spes autem in Deum est immortalis, immutabilis, immobilis, quæ nullam suscipit conuersionem, quæ omni ex parte tutum reddit, & inexpugnabilem eum efficit, qui ea, qua par est, exacta cura & affectione vtitur. *Multi dicunt quis ostendet nobis bona? Signatum est super nos lumen vultus tui Domine.* Postquam de moribus perfecit admonitionem, & ad Dei adduxit cognitionem, & omnem versauit rationem, quæ potest erigere mentem eorum qui aberrarunt, & maximè ex iis qui illi sunt D dedicati, & ex eius in eos prouidentia, curam eius ostendit, ponit quandā obiectionem quę fit ab imbecillioribus ac crassioribus, & dicit: Multi dicūt, Quis ostendet nobis bona? Non pauci, qui sunt veri, probi, ac synceri, & norunt philosophari, hæc dicunt, sed cōfusa & & promiscua multitudo, quæ ignorationi & stultitiæ affixa est. quid est autē quod dicit? Quis ostendet nobis bona? Sunt quidā qui dicunt, alij quidem Dei prouidentiam accusantes, alij verò voluptatis amatores, socordiæ, opum, gloriæ, & potentiæ, qui etiam hæc amantes, dicunt talia: Vbi sunt bona Dei?

Iob.8 & 14 Sap.2.14.

Ego sum in mendicitate, & morbo, & calamitate, & extremis malis, probris, & contumeliis: alius autem in fœlicitate, voluptate, deliciis, potentia, gloria, & diuitiis: & alij quidem hæc bona tantùm requirunt, ea quæ verè sunt bona prætermittentes, virtutem, inquam, & studium sapientiæ. Alij verò, vt antè dixi, Dei etiam prouidentiam ex eo criminantur. Vbi est Dei prouidentia, cùm tanta sit in vita confusio, cùm plures in mendicitate & inopia & in extremis malis degant? Quod est signum eius curationis? Qui autem hæc dicunt, perinde faciunt, ac si quis clarissimo meridie quærat solem videre, & dubitet de luce. Quod ostendens Propheta, & quamprimum afferens solutionem, dixit. *Signatum est super nos lumen vultus tui Domine.* Non dixit, Apparuit. non dixit, Resplenduit, sed, Signatum est: significans quòd quemadmodum quod in fronte signatum est, est omnibus manifestum, nec fieri potest vt id aliquem lateat: nec visum luce plenum & radios potest quis ignorare: ita, inquit, nec tuam prouidentiam. Quemadmodum enim lux signata, hoc est, impressa, & insculpta, est manifesta omnibus: ita etiam prouidentia tuæ benignitatis. Lucem enim hic dicit, defensionem, curationem, auxilium, prouidentiam. Deinde cùm hoc pronunciasset, subiungit etiam probationem. Quámnam autem? *Dedisti lætitiam in corde meo.* Postquam inconsideratam reprehendit multitudinem, ex iis qui sapiunt & sani sunt, Dei probat prouidentiam, & dicit: Dedisti lætitiam in corde meo, hoc est, docuisti me philosophari, res quæ ad hanc vitam pertinent aspernari, ea scire quæ sunt vera ac permanentia, vt bona spe ducerer effecisti, ad futuram vitam manu duxisti, ante bonorum perceptionem, me in spem bonorum erexisti. Si quis enim pecuniæ, vel etiam alicuius maximi regni hæres futurus, non solùm tempore perceptionis, sed etiam antequam ea experiatur, erigitur expectatione, ex spe magnam voluptatem perpetuò capiens, cogita qualem cum esse consentaneum est, qui expectat regnum viuens & immortale, &

A ἐγὼ ἐν πτωχείᾳ, καὶ νόσῳ, καὶ ταλαιπωρίᾳ, καὶ τοῖς ἐσχάτοις δεινοῖς, καὶ ἐπηρείαις, καὶ συκοφαντίαις· ἕτερος δὲ ἐν εὐημερίᾳ, καὶ τρυφῇ, καὶ δυναστείᾳ, καὶ δόξῃ, καὶ πλούτῳ· καὶ οἱ μὲν ταῦτα μόνον ζητοῦσι τὰ ἀγαθὰ, τὰ ὄντως ἀγαθὰ παρατρέχοντες, ἀρετὴν λέγω καὶ φιλοσοφίαν· οἱ δὲ, ὅπερ ἔφθην εἰπὼν, καὶ τὴν τοῦ Θεοῦ πρόνοιαν ἐντεῦθεν διαβάλλουσι, λέγοντες· ποῦ ἡ τοῦ Θεοῦ πρόνοια, τοσαύτης συγχύσεως ἐν τῷ βίῳ γινομένης, καὶ τῶν πλειόνων ἐν πτωχείᾳ καὶ πενίᾳ καὶ τοῖς ἐσχάτοις ὄντων κακοῖς; τί τεκμήριον αὐτοῦ τῆς
B κηδεμονίας; ταὐτὸν γὰρ ποιοῦσιν οἱ ταῦτα λέγοντες, ὥσπερ ἂν εἴ τις ἐν σταθερᾷ μεσημβρίᾳ καὶ καθαρᾷ τὸν ἥλιον ἰδεῖν ἐπιζητοίη, καὶ ἀμφιβάλλοι περὶ τοῦ φωτός. ὅπερ δεικνὺς ὁ προφήτης, καὶ ταχίστην ἐπάγων τὴν λύσιν, ἔλεγεν, ἐσημειώθη ἐφ' ἡμᾶς τὸ φῶς τοῦ προσώπου σου κύριε. οὐκ εἶπεν, ἐφάνη, οὐκ εἶπεν, ἔλαμψεν, ἀλλ' ἐσημειώθη, δηλῶν ὅτι ὥσπερ τὸ ἐν μετώπῳ σεσημειωμένον πᾶσι κατάδηλόν ἐστι, καὶ οὐκ ἔστιν οὐδένα αὐτὸ λαθεῖν, οὐδὲ ὄψιν φωτὸς γέμουσαν καὶ ἀφιεῖσαν ἀκτῖνας δύναταί τις ἀγνοῆσαι· οὕτω, φησὶν, οὐ-
C δὲ τὴν πρόνοιαν τὴν σήν. ὥσπερ γὰρ φῶς σεσημειωμένον, τουτέστιν, ἐντετυπωμένον καὶ ἐγκεχαραγμένον ἐν προσώπῳ, πᾶσίν ἐστι κατάδηλον· οὕτω καὶ ἡ πρόνοια τῆς φιλανθρωπίας τῆς σῆς. φῶς γὰρ ἐνταῦθα, τὴν ἀντίληψιν φησι, τὴν κηδεμονίαν, τὴν συμμαχίαν, τὴν πρόνοιαν. εἶτα ἀποφηνάμενος τοῦτο, καὶ ἀπόδειξιν ἐπάγει. ποίαν δὴ ταύτην; ἔδωκας εὐφροσύνην εἰς τὴν καρδίαν μου. διαβαλὼν τὸ ἀλόγιστον πλῆθος, ἀπὸ τῶν νοῦν ἐχόντων ὑγιαινόντων, τὴν ἀπόδειξιν ποιεῖται τῆς τοῦ Θεοῦ προνοίας. καὶ, φη-
D σιν, ἔδωκας εὐφροσύνην εἰς τὴν καρδίαν μου· τουτέστι φιλοσοφεῖν με ἐπαίδευσας, ὑπερορᾶν τῶν βιωτικῶν πραγμάτων, εἰδέναι τὰ ἀληθῆ καὶ μένοντα· χρησταῖς ἐμετεώρησας ἐλπίσι, πρὸς τὴν μέλλουσαν ζωὴν ἐχειραγώγησας· πρὸ τῆς ἀπολαύσεως τῶν ἀγαθῶν, τῇ προσδοκίᾳ τῶν ἀγαθῶν ἀνεπτέρωσας. καλῶς οὕτως εἶπεν. εἰ γὰρ κληρονομεῖν τις μέλλων χρήματα, ἢ καὶ εἰς ἀρχὴν ἰέναι μεγίστην, οὐ κατὰ τὸν καιρὸν τῆς ἀπολαύσεως μόνον, ἀλλὰ καὶ πρὸ τῆς πείρας ὀρθοῦται τῇ προσδοκίᾳ, πάντα τὸν χρόνον τρυφῶν ὑπὸ τῆς ἐλπίδος· ἐννόησον πῶς εἰκὸς εἶναι τὸν τὴν βασιλείαν προσδοκῶντα ζῶσαν καὶ ἀθάνατον, καὶ τὰ

ἀγαθὰ ἐκεῖνα, ἃ οὔτε ὀφθαλμὸς εἶδεν, οὔτε οὖς A ἤκουσεν, οὔτε ἐπὶ καρδίαν ἀνθρώπου ἀνέβη. διὰ τοῦτό φησιν· ἔδωκας εὐφροσύνην εἰς τὴν καρδίαν μου. ὅτε περ μεγίστης προνοίας ἦν, τότε ἡτοιμάσαι ἐκεῖνα καὶ εὐτρεπίσαι. εἰ δὲ οἱ παχύτεροι, καὶ σάρξ ὄντες, καὶ τῇ γῇ προσηλωμένοι, τούτοις οὐ προσέχουσιν, οὐ παρὰ τὸν ὑπεσχημένον, ἀλλὰ παρὰ τὴν ἐκείνων ἀγνωμοσύνην ἡ ταραχὴ καὶ ὁ θόρυβος γίνεται. καὶ οὐκ εἶπεν ἁπλῶς, ἔδωκας εὐφροσύνην, ἀλλ', εἰς τὴν καρδίαν μου, δηλῶν ὅτι οὐκ ἐν τοῖς ἔξωθεν ἡ εὐφροσύνη, οὔτε ἐν ἀνδραπόδοις, οὔτε ἐν χρυσῷ καὶ ἀργύρῳ, οὐκ ἐν ἱματίοις, οὐκ ἐν τραπέζῃ πληθούσῃ, οὔτε ἐν B δυναστείας μεγέθει, οὔτε ἐν οἰκίας μεγέθει. αὕτη γὰρ ἡ εὐφροσύνη οὐ καρδίας, ἀλλ' ὀφθαλμῶν μόνον. πολλοὶ γοῦν τῶν ταῦτα κεκτημένων, ἀβίωτον τὸν βίον εἶναι νομίζουσι, καὶ κάμινον ἀθυμίας ἐν τῇ ψυχῇ περιφέρουσιν, ὑπὸ τοῦ πλήθους τῶν φροντίδων περιαντλούμενοι, καὶ τοῖς συνεχέσι πιεζόμενοι φόβοις. ἀλλ' ἐμοί, φησιν, οὐκ ἐν τούτοις ἡ εὐφροσύνη, ἀλλ' ἐν τῇ καρδίᾳ τῇ νοερᾷ, ἐν τῇ διανοίᾳ τῇ ἀσωμάτῳ, καὶ τὰ ἀσώματα φανταζομένῃ. ὥστε εἰ τὰ παρόντα σε εὐφραίνει, καὶ ἀπὸ τούτων τὴν πρόνοιαν μανθάνεις τοῦ C Θεοῦ· πολλῷ μᾶλλον ἀπὸ τῶν μελλόντων καταμάνθανε, ὅσῳ καὶ ἀμείνω ἐκεῖνα, καὶ μονιμώτερα, καὶ ἀναφαίρετα. εἰ γὰρ τὸ ἐν πλούτῳ σε εἶναι καὶ εὐημερίᾳ πείθει εἶναι τοῦ Θεοῦ τὴν πρόνοιαν· πολλῷ μᾶλλον τὸ ἐν οὐρανῷ πλουτεῖν, εἰς ταύτην σε ἐναγέτω τὴν πειθώ. εἰ δὲ λέγοις, καὶ τίνος ἕνεκεν ἐν ἐλπίσι ταῦτα ἀπόκειται καὶ ἔστιν ἀφανῆ; ἐκεῖνο ἂν εἴποιμι· ὅτι μάλιστα μὲν ἡμεῖς οἱ πιστοὶ τῶν φανερῶν τούτων φανερώτερα εἶναι νομίζομεν τὰ ἐν ἐλπίσι. τοιαύτη γὰρ τῆς πίστεως ἡ πληροφορία. εἰ δὲ λέγοις πάλιν, τίνος ἕνεκεν D ἐνταῦθα οὐκ ἀπολαμβάνομεν τὰς ἀμοιβάς; ἐκεῖνο ἂν εἴποιμι· ὅτι οὗτος μέν ὁ τῶν σκαμμάτων καιρός, καὶ τῶν ἀγώνων, ἐκεῖνος δὲ τῶν στεφάνων καὶ τῶν βραβείων. καὶ τοῦτο δὲ τῆς τοῦ Θεοῦ κηδεμονίας ἔργον ἐγένετο, τὸ τοὺς μὲν πόνους καὶ τοὺς ἱδρῶτας τῷ βραχεῖ τούτῳ καὶ ἐπικήρῳ συγκληρῶσαι βίῳ· τὰ δὲ βραβεῖα καὶ τοὺς στεφάνους τῷ ἀθανάτῳ καὶ ἀγήρῳ παρεκτεῖναι αἰῶνι. ἄλλως δέ, καὶ ἡνίκα μὲν ἀσθενέστερον οἱ πολλοὶ διέκειντο καὶ τὰ αἰσθητὰ ταῦτα ἔδωκεν αὐτοῖς ἀγαθά. τὸν γοῦν Ἰουδαίων τὸν δῆμον διὰ τοιαύτης ἦγε πολιτείας. καὶ γὰρ

bona illa quæ nec oculus vidit, nec auris audiuit, nec in cor hominis ascenderunt. Propterea inquit, dedisti lætitiam in corde meo. Quod maximæ erat prouidentiæ, illa tunc prouidisti & præparasti. Quòd si ij qui sunt crassiores, carni & terræ affixi, hæc non attendunt; non ex eo qui est pollicitus, sed ex illorum vecordia turba & tumultus oritur. Et non dixit simpliciter & absolutè, Dedisti lætitiam, sed, In cor meum, ostendens non esse in rebus externis lætitiam, nec in mancipiis, nec in auro, nec in argento, non in vestibus, non in lauta & opipara mensa, nec in potentiæ magnitudine, nec in domus laxitate. Hæc enim lætitia non est cordis, sed solùm oculorum. Multi ergo eorum qui hæc possident, vitam non esse vitalem existimant, & angoris fornacem in animo circumferunt, à curarum multitudine exhausti, & continuis timoribus oppressi. Sed mihi, inquit, non est in his lætitia, sed in corde intelligente, in mente incorporea, & ea quæ sunt incorporea cogitante. Quare si te delectant præsentia, & ex iis Dei prouidentiam cognoscis, multò magis eam disce ex futuris quæ sunt illa & præstantiora, & diuturniora, & quæ auferri non possunt. Si quòd diuitiis affluas & prospere agas, id tibi persuadet esse Dei prouidentiam, multò magis id tibi persuadeant quæ sunt in cœlo diuitiæ. Si autem dicas: Quare sunt hæc in spe sita, & non apparent? hoc dixerim, quòd maximè nos quidem fideles ea quæ in spe sita sunt, his quæ sunt manifesta manifestiora ducimus. Talis enim est Dei certitudo. Quòd si rursus dicas: Qua de causa hic retributiones non accipimus? illud dicam. Hoc est quidem tempus stadiorum & certaminum, illud verò coronarum & præmiorum. Quin etiam & hoc quoque Dei est curationis effectus, labores quidem & sudores breui hac & fluxa vita circumscribere, præmia autem & coronas in vitam æternam extendere. Alioqui autem etiam quando multi erant imbecillioris animi, sensibilia quoque hæc eis bona dedit. Populum itaque Iudaicum per eam vitæ agendæ rationem deduxit. Etenim eis af-

1.Cor.2.9.

Matth.17. 1.Cor.2.

Eccles.2.

Matth. Luc.12.

1.Tim.4.

Deut. 28. Esa. 1.

fluebant diuitiæ, & ad senium vsque vita producebatur, & omnis morbus procul aberat, & hostium internecio, & pax alta, & triumphi, & victoriæ, fœlixque bonorum liberorum multitudo, & quæcumque eiusmodi aderant, iis qui Deo parebant. Postquàm autem accessit dominus noster Iesus Christus, in cœlum nos vocans, & quæ hic sunt, despicere persuadens, illorúmque nobis amorem immittens, & ab iis quæ ad hanc vitam pertinent nos seiungens, hæc meritò in angustum contracta sunt: in illis autem vniuersæ sunt sitæ diuitiæ, vt qui iam perfecti euaserimus. Nam etiam in pueris, iis quidem qui sunt adhuc paulò minores, patres præbent eiusmodi, calceos, vestes, aureas quasdam bracteas, & armillas: postquam autem creuerint, illis eis ablatis, dant alia maiora, bene dicendi in suggestu gloriam, in ciuitate splendorem, in aula imperatoria loquendi libertatem, magistratus & principatus, eos ab omni puerili ambitione abducentes. Ita etiam fecit Deus, nos à paruis illis & puerilibus abducens, ea quæ sunt in cœlis pollicitus est. Ne hæc ergo quæ fluunt & prætercurrunt admireris, nec sis pusilli & abiecti animi. Quanquam nec iis quidem ex omnino defectum reliquit. Quoniam enim eos qui carne tecti erant, & in corpore versabantur, ne iis quidem penitus priuatos esse oportebat, hæc quoque nobis affatim suppeditat. Et ideo Propheta cùm altam illam & philosophicam prouidentiæ speciem agitasset, & dixisset. Dedisti lætitiam in corde meo, subiungit hoc quoque dicens: [8]. *A fructu frumenti, & vini, & olei sui multiplicati sunt.* Hoc autem cùm dicit, non paruam inde tangit partem eius prouidentiæ, quæ cernitur in iis quæ sub aspectum cadunt. Quando enim dicit frumentum, & vinum, & oleum, & quæ est in his abundantiam, dicit & pluuiam, & bonam temporum temperationem, & terræ in vtero conceptionem, & pariendi nixum, & partum, & aërem diffusum, & solis cursum, & lunæ ambitus, & numerosam stellarum choream, & æstatem, & hyemem, & autumnum, & ver, & agri colendi artem, & instrumentorum aptitudinem, aliarúmque artium examen. Nisi hæc enim omnia concurrerint, fieri non potest vt fructus perfi-

Matt. 19. Marc. 10. Luc. 18.

A πλοῦτος αὐτοῖς ἐπέῤῥει, καὶ πρὸς γῆρας ἐξετείνετο ἡ ζωή, καὶ πᾶν νόσημα ἐκποδὼν ἦν· καὶ πολεμίων ἀναίρεσις, καὶ εἰρήνη βαθεῖα, καὶ τρόπαια καὶ νίκαι, καὶ εὐπαιδία, καὶ πολυπαιδία πειθομένοις τῷ Θεῷ, καὶ πάντα τὰ τοιαῦτα προσῆν. ἐπεὶ δὲ παρεγένετο ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστός, εἰς τὸν οὐρανὸν ἡμᾶς καλῶν, καὶ τῶν ἐνταῦθα πείθων καταφρονεῖν, καὶ τῶν ἐκείνων ἔρωτα ἐναποτιθέμενος, καὶ ἀπαλλάττων ἡμᾶς τῶν βιωτικῶν· εἰκότως ταῦτα συνέσταλται, ἐν δὲ ἐκείνοις ἅπας ὁ πλοῦτος, ἅτε τελείων ἡμῶν γενομένων. ἐπεὶ καὶ ἐπὶ τῶν παιδίων, τοῖς μὲν μικροτέροις ἔτι τοιαῦτα οἱ πατέρες παρέχουσιν, ὑποδήματα καὶ ἱμάτια, καὶ χρυσία, καὶ ψέλλια· ἐπειδὰν δὲ αὐξηθῶσι, ταῦτα ἀφελόντες αὐτῶν, ἕτερα μείζονα διδόασι, τὴν ἐπὶ τοῦ βήματος εὐδοκίμησιν, τὴν ἐν τῇ πόλει λαμπρότητα, τὴν ἐν ταῖς βασιλικαῖς αὐλαῖς παῤῥησίαν, ἀρχὰς καὶ δυναστείας, πάσης αὐτοὺς ἀπάγοντες τῆς παιδικῆς φιλοτιμίας. οὕτω δὴ καὶ ὁ Θεὸς ἐποίησε· τῶν μικρῶν ἐκείνων καὶ παιδικῶν ἡμᾶς ἀπάγων, τὰ ἀπὸ τῶν οὐρανῶν ἐπηγγείλατο. ἐκκοπῶ μὴ πρὸς ταῦτα ἐC κτόπσσο τὰ ῥέοντα καὶ παρατρέχοντα, μηδὲ μικροψύχει. οὐδὲ τούτων ἄμοιρόν σε ἀφῆκεν. ἐπειδὴ γὰρ τοὺς σάρκα περικειμένους, καὶ σώματι συστρεφομένους, οὐδὲ τούτων ἐκτὸς εἶναι ἔδει, καὶ ταῦτα πλουσίως ἡμῖν χορηγεῖ· διὰ δὴ τοῦτο καὶ ὁ προφήτης κινήσας τῆς προνοίας ἐκεῖνο τὸ εἶδος τὸ ὑψηλὸν καὶ φιλόσοφον, καὶ εἰπών, ἔδωκας εὐφροσύνην εἰς τὴν καρδίαν μου, ἐπάγει καὶ τοῦτο λέγων· ἀπὸ καρποῦ σίτου, καὶ οἴνου, καὶ ἐλαίου αὐτῶν ἐπληθύνθησαν. τοῦτο δὲ εἰπὼν οὐ μικρὸν μέρος D αὐτοῦ τῆς προνοίας ἐντεῦθεν κινεῖ, τῆς καὶ ἐν τοῖς ὁρωμένοις φαινομένης. ὅταν γὰρ εἴπῃ, σῖτον καὶ οἶνον, καὶ ἔλαιον, καὶ τὴν ἐν τούτοις ἀφθονίαν· καὶ ὑετοὺς λέγει, καὶ ὡρῶν εὐκρασίαν, καὶ γῆς λοχείας, καὶ ὠδῖνας, καὶ τόκον, καὶ ἀέρος χύσιν, καὶ ἡλίου δρόμον, καὶ σελήνης περιόδους, καὶ ἄστρων χορείαν, καὶ θέρος, καὶ χειμῶνα, καὶ μετόπωρον, καὶ ἔαρ, καὶ γεωργικὴν τέχνην, καὶ ὀργάνων ἐπιτηδειότητα, καὶ ἑτέρων τεχνῶν ἑσμόν. ἂν μὴ γὰρ ταῦτα ἅπαντα συνδράμῃ, οὐχ οἷόν τε τοὺς καρποὺς

τελεσφορηθεῖσαι, ὥστε εἰς ἀκμὴν ἐλθεῖν. ὅταν οὖν εἴπῃ σῖτον, καὶ οἶνον, καὶ ἔλαιον, δίδωσι τῷ σοφῷ ἀφορμὴν καὶ ἀπὸ μέρους τὸ πᾶν νοεῖν, πέλαγος ἀναπετάσας τῆς ἐν τοῖς αἰσθητοῖς φαινομένης τοῦ Θεοῦ προνοίας. Διὰ δὴ τοῦτο καὶ ὁ Παῦλος δημηγορῶν που, καὶ περὶ τῆς προνοίας αὐτοῦ διαλεγόμενος, ἐντεῦθεν ἐκίνει τὸν λόγον λέγων· διδοὺς ὑετοὺς καὶ καιροὺς καρποφόρους, ἐμπιπλῶν τροφῆς καὶ εὐφροσύνης τὰς καρδίας ἡμῶν. ἐπειδὴ δὲ ἀπέριττός ἐστιν ὁ προφήτης, παρεὶς ἅπαντα τὰ ἄλλα εἰπεῖν, ὀπώρας, ἀκρόδρυα, γένη φυτῶν, γένη σπερμάτων, γένη βοτανῶν, λειμώνων, ἀνθῶν, παραδείσων, καὶ ὅσα ἄλλα ἐστὶ, τὰ συνεκτικὰ τίθησι, τὰ καὶ πρὸς τὴν ζωὴν ἡμῖν ἀναγκαῖα, ἀπὸ τούτων κἀκεῖνα ποιῶν κατάδηλα. ἅπερ οὐδὲ ἁπλῶς ἡμῖν δίδωσιν, ἀλλὰ μετὰ πλήθους, καὶ καθ' ἕκαστον ἐνιαυτόν. Εἰ δέ ποτε καὶ συστέλλει, καὶ ἐν τούτῳ πάλιν τὴν πρόνοιαν ἑαυτοῦ δείκνυσιν, ἀφυπνίζων τὴν ῥαθυμίαν τῶν πολλῶν, καὶ διεγείρων αὐτοὺς πρὸς τὸ ἐπιζητῆσαι παρ' αὐτοῦ ταῦτα τὰ ἀγαθά. Εἰ δέ τινες λέγοιεν, ὅτι οὐ τοῦ Θεοῦ τὸ διδόναι ὑετὸν, ἀλλὰ τῶν εἰδώλων· ἐρώμεθα αὐτοὺς, πόθεν τοῦτο δῆλον; ὅτι οἱ ποιηταί, φησιν, εἰρήκασιν, ὅτι Ζεύς ἐστιν ὁ ὕων. ἀλλ' οὗτοι αὐτοὶ εἰρήκασιν, ὅτι καὶ μοιχός ἐστι, καὶ παίδων φθορεὺς, καὶ πατραλοίας, καὶ ἕτερα τούτων οὐκ ἐλάττονα ἐγκλήματα. ἀλλ' οὐκ ἔστι, φησὶν, ἀληθῆ. οὐκοῦν οὐδὲ τὸ ὕειν. εἰ γὰρ τοῦτο δέχῃ, κἀκεῖνά σε ἀνάγκη δέξασθαι. Εἰ δὲ ἐκεῖνα ἐκβάλλεις, καὶ τοῦτο μετ' ἐκείνων. ἡμεῖς γὰρ, ἐπειδὰν παρεχώμεθα μάρτυρας τῆς τοῦ Θεοῦ δυνάμεως, πάντα τὰ ὑπ' αὐτῶν λεγόμενα, περὶ αὐτοῦ δεχόμεθα. Οὐκοῦν ἀνάγκη σε καὶ μοιχὸν αὐτὸν καταδέξασθαι, καὶ τὰ ἄλλα πάντα τὰ ὑπ' αὐτῶν λεγόμενα περὶ αὐτοῦ, καὶ ἐκ τούτου μανθάνειν, ὅτι πόῤῥω θείας δυνάμεως τὰ τοιαῦτα ἐγκλήματα, καὶ οὐκ ἂν εἴη Θεὸς ὁ τοιοῦτος. ἀλλ' ὁ μῦθος αὐτὸς ἑαυτῷ περιπίπτει, καὶ τὸ ψεῦδος ὑφ' ἑαυτοῦ ἐλέγχεται καὶ μὴ βουλομένων ὑμῶν, τοῦτο καταδέξασθαι, καὶ καθόλου τοὺς ποιητὰς ἐκβάλλει. ὅτι δὲ ἐκβληθέντων ἐκείνων, πάντα οἰχήσεται τὰ ὑμέτερα, δῆλον. καὶ γὰρ τὰ ὀνόματα αὐτῶν ἐκεῖνοι εὑρήκασι, καὶ ἐπέθηκαν· ὃ καί τις τῶν παρ' ὑμῖν φι-

A ciantur, & ad maturitatem perueniant. Quando ergo dicit frumẽtum, & vinũ, & oleum, dat sapienti occasionem ex parte totum intelligendi, aperto mari prouidentiæ quæ apparet in sensilibus. Quocirca etiam Paulus alicubi concionans, & de eius prouidentia disserens, hinc verba facere aggreditur, dicens: Qui dat pluuias, & tempora fructifera, qui implet nutrimento & lætitia corda nostra. Quoniam autem Propheta fugit quæ sunt superuacanea, prætermissis aliis omnibus, fructibus, baccis, generibus plantarum, generibus seminum, generibus herbarum, B pratorum, florum, hortorum, & quæcunque sunt alia: ea ponit quæ sunt continentia, & ad vitam nostram necessaria, ex his illa quoque manifesta faciens. Quæ nec dat nobis solummodo, sed cum magna copia ac multitudine, & singulis annis. Quòd si ea etiam quandoque contrahit, & dat parcius, in eo etiam rursus ostendit suam prouidentiam, multorum socordiam expergefaciens, & eos excitans ad hæc bona ab ipso petenda. Sin autem dicant aliqui non esse Dei dare pluuiam, sed C simulachrorum: eos interrogemus vndénam hoc constabit? Quia poëtæ, inquiunt, dixerunt Iouem esse qui pluit. Sed illi ipsi dixerunt eum esse & adulterum, & pædicon &, & parricidam, alia quoq. non minora his crimina illi ascribentes. At non sunt, inquit, vera. Ergo nec quòd pluat. Si hoc enim admittis, illa quoque admittere necesse est. Si illa autem reijcis, & hæc quoque cum illis. Nos enim quotiescunque testes præbemus diuinæ potentiæ, quæcunque ab eis de illo dicuntur, suscipimus. Necesse est ergo te admittere D illum quoque esse adulterum, & reliqua omnia quæ de ipso ab illis dicuntur, & ex eo discere quòd eiusmodi crimina sunt longè à diuina potestate remota, & qui talis est nequaquam fuerit Deus, sed fabula ipsa sibiipsi repugnat, & mendacium à seipso conuincitur, etiamsi nolitis hoc admittere, & poëtas prorsus eijcit. Quod illis autem eiectis omnia vestra sint peritura, clarum est. Ipsorum enim nomina inuenerunt illi & imposuerunt, quod etiam ex vestris quidam dixit philo-

Act. 14. 17.

Plato in Crat. & Iulius Pollux.

sophis. Quòd si illis relictis ad allegorias confugeris, te illud interrogabo, Quid est Iupiter? Est feruens, inquit, substantia, & pars quæ superat aërem, & quam appellant ætherem, ex eo quòd ferueat & vrat. Non est ergo ratiocinandi nec discernendi potestate prædita, sed expers rationis substantia. Quòd enim natura aëris nec rationem habet, nec ratiocinationem, cuiuis est apertum, & nemo est qui hoc nesciat, etiamsi minus, quàm lapis, sensus habeat. Quare iam de medio sublatus est Iupiter & eius deleta substãtia. Si enim aër est Iupiter, aër autem est id quod iam diximus, ex eo quoque interibit fabula. Si autem est aër, nec fuit alicuius pater, nec aliquam peperit substãtiam, cuiusmodi confingunt Solem, quem etiam vocant Apollinem, & eum dicũt esse eius filium: nec enim sol habet rationem, nec mentem, nec cogitationẽ, sed ipsum etiã est opus naturale, quod agitur & circumfertur lege, quam ei Deus in principio posuit. Quanquam alioqui nec pluere est ætheris, sed nubium, quæ aquam suscipiũt vel ex mari, vel ex aquis quæ ab alto super cœlũ feruntur, vt dicunt Prophetæ. Sin autem fidem non habes Prophetis, signa aperta & manifesta præbemus, quæ maximè ostendunt eos fuisse à Deo inspiratos, & nihil nobis disseruisse, quod è domo sua afferrent, sed diuina illa gratia & supercœlesti afflatos. Quæcunque enim ab eis dicta sunt, finem sunt assecuta, & omnia ad rerum veritatem euenerunt, seu vetera, seu noua velis accipere. Nam & quæ de Iudæis à Prophetis dicta sunt, omnia finem ceperunt, quorum etiam exitus fuit omnibus manifestus: & quæ de Christo in nouo, quæ maximè ostendunt diuinam esse vtramque scripturam. Si autem sunt diuina, quæ de Deo in ea dicta sunt, ea vera sunt omnia. Ne dubita igitur de Dei prouidentia, sed eius curam quam gerit, admirare, quòd cùm sint boni & mali, orbem terrarum & solem omnibus permittit, & omnibus dat pluuias. Quòd si sinit aliquos degere in mendicitate & inopia, id facit vt animam illorum corrigat, sapientiæ studiosiorem animam efficiens. Scitis enim, scitis apertè, quòd diuitiæ quidem iis qui

Psal.17.& 12. *2.Pet.1.* *Matt.5.*

A λοσόφοι εἴρηκεν. Εἰ δὲ ἀφεὶς ἐκείνους, ἐπὶ τὰς ἀλληγορίας δράμοις, ἐκεῖνό σε ἐρήσομαι· τί ποτέ ἐστιν ὁ Ζεύς; ἡ ζέουσα, φησίν, οὐσία καὶ τὸ ὑπὲρ τὸν ἀέρα μέρος, ὃ καὶ αἰθέρα καλοῦσι παρὰ τὸ ζέειν καὶ καίειν. Οὐκοῦν οὐκ ἔστι λογική τις οὐσία καὶ διακριτική, ἀλλ' ἄλογος. ὅτι γὰρ τοῦ ἀέρος φύσις οὔτε λόγον ἔχει, οὔτε λογισμόν, πάντῃ που δῆλόν ἐστι, καὶ πᾶς τοῦτο οἶδε, κἂν λίθων ἀναισθητότερός τις ᾖ. ὥστε ἀνῄρηται τέως ὁ Ζεύς, καὶ ἡ οὐσία αὐτοῦ ἠφάνισται. Εἰ γὰρ ἀήρ ἐστιν ὁ Ζεύς, ὁ δὲ ἀὴρ τοῦτό ἐστιν, ὅπερ εἰρήκαμεν, κἀντεῦθεν ὁ μῦθος οἰχήσεται. B Εἰ δὲ ἀήρ, οὔτε πατὴρ ἐγένετό τινος, οὔτε ἔτεκέ τινα οὐσίαν, οἵαν ἀναπλάττουσι τὸν ἥλιον, ὃν καὶ Ἀπόλλωνα καλοῦσι, καὶ υἱὸν αὐτοῦ λέγουσιν εἶναι· οὔτε γὰρ ἥλιος λογισμόν τινα ἔχει, οὔτε διάνοιαν καὶ νοῦν, ἀλλὰ καὶ αὐτὸ φυσικόν ἐστιν ἔργον, ἀγόμενον καὶ περιφερόμενον τῷ νόμῳ, ὃ παρὰ τὴν ἀρχὴν αὐτῷ ἔταξεν ὁ Θεός. ἄλλως δὲ οὐδὲ τὸ ὕειν τοῦ αἰθέρος ἐστίν, ἀλλὰ τῶν νεφελῶν δεχομένων τὸ ὕδωρ ἢ ἀπὸ τῆς θαλάσσης, ἢ τῶν ὑδάτων τῶν ὑπὲρ τὸν οὐρανὸν ἄνωθεν φερομένων, καθάπερ οἱ προφῆ- C ταί φασιν. Εἰ δὲ ἀπιστεῖς τοῖς προφήταις, σημεῖα φανερὰ καὶ δῆλα παρεχόμεθα, ἃ μάλιστα δείκνυσιν αὐτοὺς θεοπνεύστους γενομένους, καὶ οὐδὲν οἴκοθεν διαλεχθέντας ἡμῖν, ἀλλ' ἀπὸ τῆς θείας ἐκείνης καὶ ὑπερουρανίου χάριτος ἐμπνευσθέντας. πάντα γὰρ τὰ ὑπ' αὐτῶν εἰρημένα τέλος ἔχει, καὶ πάντα πρὸς τὴν τῶν πραγμάτων ἀλήθειαν ἐξέβη, ἄν τε τὰ παλαιά, ἄν τε τὰ καινὰ βούλει μεταχειρίζειν. τά τε γὰρ περὶ Ἰουδαίων εἰρημένα τοῖς προφήταις, ἅπαντα τέλος ἔλαβεν, ὧν καὶ ἡ ἔκ- D βασις ἅπασι δήλη γέγονε· τά τε περὶ τοῦ Χριστοῦ ἐν τῇ καινῇ, ἃ μάλιστα δείκνυσι θείαν ἑκατέραν οὖσαν τὴν γραφήν. Εἰ δὲ θεῖα, καὶ τὰ ἐν αὐτῇ περὶ Θεοῦ εἰρημένα ἀληθῆ πάντα. μὴ τοίνυν ἀμφίβαλλε περὶ τῆς τοῦ Θεοῦ προνοίας, ἀλλὰ θαύμαζε αὐτοῦ τὴν κηδεμονίαν· ὅτι καὶ τῶν πονηρῶν ὄντων καὶ ἀγαθῶν, τὴν οἰκουμένην καὶ τὸν ἥλιον πᾶσιν ἀνῆκε, καὶ τοὺς ὑετοὺς δίδωσιν. εἰ δέ τινας ἀφίησιν εἶναι ἐν πτωχείᾳ καὶ πενίᾳ, διορθῶν αὐτῶν τὴν ψυχὴν ἀφίησι, φιλοσοφωτέραν τὴν γνώμην ἐργαζόμενος. ἴστε γάρ, ἴστε σαφῶς, ὅτι ὁ μὲν πλοῦτος

τοῖς μὴ προσέχουσι, πονηρίας ἐστὶν ὑπηρέτης· ἡ δὲ πενία, φιλοσοφίας ἐστὶ μήτηρ· καὶ ταῦτα δείκνυσι καθ' ἑκάστην ἡμέραν τὰ πράγματα. πόσοι τῶν πενήτων τῶν πλουτούντων εἰσὶ συνετώτεροί τε καὶ φιλοσοφώτεροι, καὶ τὰ σώματα ὑγιεινότεροι, τῆς πενίας αὐτοῖς καὶ τὴν σάρκα καὶ τὴν ψυχὴν διορθουμένης; Ἐν εἰρήνῃ ἐπὶ τὸ αὐτὸ κοιμηθήσομαι, καὶ ὑπνώσω, ὅτι σὺ κύριε κατὰ μόνας ἐπ' ἐλπίδι κατῴκισάς με. ἰδοὺ καὶ ἄλλο προνοίας εἶδος οὐ μικρόν, τὸ εἰρήνης ἀπολαύειν τοὺς ἀνακειμένους Θεῷ. εἰρήνη γὰρ τοῖς ἀγαπῶσι τὸν νόμον σου, καὶ οὐκ ἔστιν αὐτοῖς σκάνδαλον. οὐδὲν γὰρ οὕτως εἰρήνην ποιεῖν εἴωθεν, ὡς ἡ τοῦ Θεοῦ γνῶσις καὶ ἡ τῆς ἀρετῆς κτῆσις, τὸν ἔνδοθεν τῶν παθῶν ἐξοικίζουσα πόλεμον, καὶ οὐκ ἀφεῖσα αὐτὸν πρὸς ἑαυτὸν διαστασιάζειν τὸν ἄνθρωπον. ὡς εἴγε μὴ ταύτης ἀπολαύοι τῆς εἰρήνης, κἂν ἐν βαθυτάτῃ εἰρήνῃ ᾖ ἔξωθεν, κἂν μηδεὶς πολέμιος αὐτὸν βάλλῃ, τῶν ὑπὸ τὴν οἰκουμένην πάντων ἐστὶν ἀθλιώτερος. οὐ γὰρ οὕτω Σκύθαι, οὐδὲ Θρᾷκες, οὐ Σαυρομάται, καὶ Ἰνδοί, καὶ Μαῦροι, καὶ ὅσα ἄγρια ἔθνη πολεμεῖν εἰώθασιν, ὡς λογισμὸς ἀτοπώτατος ἐνδομυχῶν τῇ ψυχῇ, καὶ ἐπιθυμία ἀκόλαστος, καὶ χρημάτων ἔρως, καὶ δυναστείας πόθος, καὶ τῶν βιωτικῶν πραγμάτων ἡ προσπάθεια· καὶ εἰκότως. ἐκεῖνος μὲν γὰρ ἔξωθεν ὁ πόλεμος, αὕτη δὲ ἔνδον ἐστὶν ἡ μάχη. ὅτι δὲ τὰ ἔνδοθεν τικτόμενα τῶν ἔξωθεν προσβαλλόντων ἐστὶ χαλεπώτερα, καὶ μᾶλλον διαφθείρειν εἴωθε, τοῦτο ἐπὶ πάντων ἐστὶν ἰδεῖν. καὶ γὰρ καὶ ξύλου φύσιν σκώληξ ἔνδον τικτόμενος μᾶλλον διαφθείρει, καὶ σώματος δύναμιν καὶ ὑγείαν τῶν ἔξωθεν φυομένων τὰ ἔνδοθεν βλαστάνοντα νοσήματα μειζόνως λυμαίνεται· καὶ πόλεις οὐχ οὕτως οἱ ἔξωθεν πολέμιοι, ὡς οἱ ἐμφύλιοι καταλύουσιν. οὕτω δὴ καὶ ψυχὴν οὐχ οὕτω τὰ ἔξωθεν προσιόντα μηχανήματα, ὡς τὰ ἔνδοθεν τικτόμενα νοσήματα λυμαίνεσθαι πέφυκεν. ἀλλ' ἐάν τις τὸν φόβον τοῦ Θεοῦ ἔχων, μετ' ἀκριβείας τοῦτον καταλύσῃ τὸν πόλεμον, καὶ κοιμήσῃ τὰ πάθη, καὶ τὰ θηρία τὰ ποικίλα ἐκεῖνα τῶν ἀτόπων λογισμῶν ἀποπνίξας, μὴ ἐμφωλεύειν παρασκευάσῃ, οὗτος καθαρωτάτης καὶ βαθυτάτης ἀπολαύσεται εἰρήνης. ταύτην τὴν εἰρήνην ἐλθὼν ὁ Χριστὸς ἐχαρίσατο· ταύτην

non attendunt, sunt vitiorum ministræ: paupertas autem, mater philosophiæ, eáque res ipsæ indicant quotidie. Quot pauperes sunt diuitibus prudentiores, & sapientiæ amantiores, & corpore saniores, cùm paupertas eis & carnem, & animam corrigat? 9. *In pace in idipsum dormiam & requiescam. Quoniam tu Domine singulariter in spe constituisti me.* Vide etiam aliam non paruam speciem prouidentię, quòd pace fruantur qui sunt Deo dedicati. Pax est enim iis, qui legem tuam diligunt, & non est ipsis offendiculum. (Psal. 118. 164.) Nihil enim æquè solet pacem facere ac Dei cognitio, & virtutis possessio, quæ animi perturbationum internum bellum domo procul eiicit: nec permittit vt homo cum seipso seditiones agitet. Sanè si hac pace non fruatur, etiamsi sit extrinsecus summa pax, etiamsi nullus eum hostis inuadat, est omnium qui viuunt in terra miserrimus. Neque enim Scythæ, nec Thraces, nec Sarmatæ, nec Indi, nec Mauri, nec quæcunque sunt feræ gentes, tam atrox bellum gerunt, quàm improba ac nefaria cogitatio, quæ versatur in penetralibus animi, & quæ non castigatur intemperans libido, & amor pecuniæ, & potentiæ vehemens desiderium, & in res quæ ad hanc vitam pertinent, affectio. Et meritò. Illud enim est bellum externum, hoc verò est internum prælium. Quòd autem quæ intus nascuntur, sunt iis quæ extrinsecus inuadunt, grauiora, & interitum magis afferre solent, hoc licet videre in omnibus. Etenim & ligni naturam vermis qui est intus magis corrumpit: & vires & sanitatem corporis, morbi qui intus procreantur, plus lædunt, quàm qui extrinsecus adueniunt, & ciuitates non tam externi quàm interni, & qui sunt eiusdem generis hostes perdunt: ita etiam animæ non tam externæ quę in eam inuadunt machinationes, quàm quæ intus oriuntur ægritudines, perniciem afferunt. Sed si quis timorem Dei habens, hoc bellum perfectè sedauerit, & perturbationes animi composuerit, & varias illas improbarum cogitationum belluas suffocans, non permiserit vt in antris delitescant, is purissima & altissima pace fruetur. Hanc pacem Christus veniens largitus est. Hac

Luc. 2.
Ephes. 1.

etiam Paulus precatus est fidelibus, dicens in singulis epistolis: Gratia vobis & pax à Deo patre nostro. Qui hanc enim habet pacem, non solùm barbarum & hostem, sed ne ipsum quidem diabolum extimescit, sed vniversam ridet dæmonum phalangem, & est omnibus hominibus tranquillior & animo alacrior, vt qui non paupertate prematur, non morbo & mala valetudine grauetur, non aliquo eorum quæ humanitus inopinatò accidunt, perturbetur, propterea quòd valentem & sanam habeat animam, quæ hæc potest præclarè & facillimè administrare ac temperare. Et vt sciatis hoc esse verum, sit aliquis inuidus, & nemo cum eo bellum gerat, quid iuuat? Ipse enim cum seipso bellum gerit, quouis ense penetrantiores in se cogitationes acuens, in omnibus quæ videntur offendens, & in singulis qui occurrunt hominibus seipsum saucians, in nullum beneuolo & grato animo præditus, sed omnes illos tanquam hostes intuens. Quæ est ergo illi pacis externæ vtilitas, quando ille furens & rabie percitus, & communis naturæ hostis, circumcursat tantum, internum bellum gestans, & mille telis ac sagittis confodi, atque adeò potius millies mortē pati optans, quàm videre quempiam ex iis qui sunt eiusdem generis, in bona esse existimatione, aut paulò fœlicius agere? Teneatur rursus alius pecuniæ cupiditate, innumerabilia bella, pugnas, & seditiones in sua conflat anima: & tumultu ac perturbatione exagitatus, ne potest quidem paululum respirare. At non is qui est liber ab eiusmodi perturbationibus, hoc modo affectus est: sed in tranquillo potu sedet, se studij sapientiæ voluptatibus explens, & nullam eiusmodi molestiam sustinens. Quocirca hac quoque prouidentia fruens Propheta dicebat: In pace in idipsum dormiam & requiescam, innuens quòd ei qui hanc non habet pacem, ne communis quidem omnium portus est apertus, sed is quoque obstructus est, nempe quietis & noctis. Huiusmodi enim perturbationes etiam eam quæ à natura datur securitatem profligant, alia grauiori tyrannide somni tyrannidem omnino deturbantes. Inuidi enim, auari, &

A καὶ ὁ Παῦλος τοῖς πιστοῖς ἐπηύχετο, καθ' ἑκάστην ἐπιστολὴν λέγων· χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ πατρὸς ἡμῶν. ὁ γὰρ τὴν εἰρήνην ταύτην ἔχων, οὐ μόνον βαρβάρους καὶ πολεμίους, ἀλλ' οὐδὲ αὐτὸν τὸν διάβολον δέδοικεν· ἀλλὰ πάσης τῆς τῶν δαιμόνων φάλαγγος καταγελᾷ, καὶ πάντων ἀνθρώπων ἐστὶν εὐθυμότερος· οὐ πενίᾳ πιεζόμενος, οὐ νόσῳ καὶ ἀρρωστίᾳ βαρούμενος, οὐκ ἄλλῳ τινὶ τῶν ἀνθρωπίνων πραγμάτων τῶν ἀδοκήτως προσπιπτόντων θορυβούμενος· διὰ τὸ τὴν ψυχὴν, τὴν δυναμένην ταῦτα μετ' ἀκριβείας διαθεῖναι καὶ εὐκολίας B ἁπάσης, ἐρρωμένην καὶ ὑγιαίνουσαν ἔχειν. καὶ ἵνα μάθητε ὅτι τοῦτο ἐστὶν ἀληθές· ἔστω τις βάσκανος, καὶ μηδεὶς αὐτῷ πολεμείτω· τί τὸ ὄφελος; αὐτὸς γὰρ ἑαυτῷ πολεμεῖ, πάντων ξιφῶν ὀξυτέρους καθ' ἑαυτοῦ θήγων λογισμούς, πᾶσι τοῖς ὁρωμένοις προσπταίων, καὶ καθ' ἕκαστον τῶν ἐντυγχανόντων ἀνθρώπων τιτρώσκων ἑαυτὸν, καὶ πρὸς οὐδένα ἡδέως ἔχων, ἀλλὰ κοινοὺς πολεμίους πάντας ὁρῶν. τί οὖν ὄφελος τῆς ἔξωθεν εἰρήνης τούτῳ, ὅταν αὐτὸς λυττῶν καὶ μαινόμενος, καὶ κοινὸς τῆς φύ- C σεως ὢν ἐχθρὸς περιέρχηται τοσοῦτον ἔνδοθεν φέρων πόλεμον, καὶ μυρία τόξα καὶ βέλη, μᾶλλον δὲ μυρίους θανάτους εὐχόμενος, ἢ ἰδεῖν τινα τῶν ὁμογενῶν εὐδοκιμοῦντα καὶ εὐημερίας ἀπολαύοντα; πάλιν ἕτερος ὑπὸ χρημάτων ἐπιθυμίας κατεχόμενος, μυρίους πολέμους καὶ μάχας καὶ στάσεις εἰς τὴν ἑαυτοῦ συνάγει ψυχὴν, καὶ ἐν θορύβῳ καὶ ταραχῇ ὢν, οὐδὲ μικρὸν ἀναπνεῦσαι δύναται. ἀλλ' οὐχ ὁ τούτων ἀπηλλαγμένος τῶν παθῶν οὕτω διάκειται, ἀλλ' ἐν γαληνῷ κάθηται λιμένι, ἐντρυ- D φῶν τῇ φιλοσοφίᾳ, καὶ οὐδεμίαν ὑπομένων ἀηδίαν τοιαύτην. διὸ δὴ καὶ ταύτης ἀπολαύων τῆς προνοίας ὁ προφήτης ἔλεγεν· ἐν εἰρήνῃ ἐπὶ τὸ αὐτὸ κοιμηθήσομαι, καὶ ὑπνώσω· δηλῶν, ὅτι τῷ μὴ ταύτην ἔχοντι τὴν εἰρήνην, οὐδὲ ὁ κοινὸς λιμὴν ἅπασιν ἀνέῳκται, ἀλλὰ καὶ οὗτος προσκέχωσται, ὁ τοῦ ὕπνου καὶ τῆς νυκτός. τὰ γὰρ πάθη ταῦτα καὶ τὴν ἀπὸ τῆς φύσεως ἄδειαν δεδομένην διαφθείρει, ἑτέρᾳ τυραννίδι χαλεπωτέρᾳ τὴν τοῦ ὕπνου τυραννίδα παντελῶς καθαιρούμενα. οἱ γὰρ φθονεροὶ, καὶ βάσκανοι

βάσκανοι καὶ πλεονέκται καὶ ἅρπαγες τοῦτον τὸν πόλεμον πανταχοῦ περιφέροντες, καὶ τοὺς πολεμίους ἔνδον ἔχοντες ἐγκαθημένους, ὅπουπερ ἂν ἀπέλθωσι, φυγεῖν οὐ δύνανται τὴν μάχην· ἀλλὰ κἂν οἴκοι μένωσι, κἂν ἐπὶ κλίνης κέωνται, νέφη βελῶν, καὶ θορύβους κυμάτων βιαιοτέρους, καὶ σφαγὰς, καὶ κραυγὰς, καὶ οἰμωγὰς, καὶ ἕτερα πολλῷ τῶν ἐν τοῖς πολεμίοις συμβαινόντων χαλεπώτερα ὑπομένουσιν. ἀλλ' οὐχ ὁ δίκαιος οὕτως· ἀλλὰ καὶ ἐγρηγορὼς τρυφᾷ, καὶ ἐν καιρῷ τῆς νυκτὸς μετὰ πολλῆς τῆς ἡδονῆς τὸν ὕπνον δέχεται. τί δέ ἐστιν, ἐπὶ τὸ αὐτό; συνηγμένος πρὸς ἐμαυτὸν, φησὶ, συνεσταλμένος· οὐ σχιζόμενος εἰς μυρίας φροντίδας, οὐδὲ τὰ τοῦ δεῖνος καὶ τοῦ δεῖνος μεριμνῶν, οὐδὲ εἰς τὴν οἰκουμένην διατεμνόμενος ταῖς φροντίσιν· ἀλλὰ τὰ ἐμαυτοῦ λογιζόμενος, καὶ τὰ ἐμοὶ διαφέροντα, καὶ ἃ μάλιστά ἐστιν ἀνθρώπῳ προσήκοντα. ὅτι σὺ κύριε κατὰ μόνας ἐπ' ἐλπίδι κατῴκισάς με. ὃ δὲ λέγει, τοιοῦτόν ἐστι· τῇ τῶν μελλόντων ἐλπίδι καὶ τῇ προσδοκίᾳ τῇ εἰς σὲ πάντα μου τὰ πάθη κατέστειλα. καθάπερ καὶ Παῦλός φησι· τὸ γὰρ παραυτίκα ἐλαφρὸν τῆς θλίψεως, καθ' ὑπερβολὴν εἰς ὑπερβολὴν αἰώνιον βάρος δόξης κατεργάζεται ἡμῖν, μὴ σκοπούντων ἡμῶν τὰ βλεπόμενα, ἀλλὰ τὰ μὴ βλεπόμενα. οὐ γάρ ἐστιν οὐδὲν φορτικὸν πρᾶγμα, ὃ μὴ γίνεται ῥᾷον τῇ ἐλπίδι τῆς εὐδοκιμήσεως τῆς κατὰ Θεόν. διὰ τοῦτό φησιν· ἐπ' ἐλπίδι κατῴκισάς με. καὶ τὸ κατὰ μόνας δὲ, οὐ μικρᾶς διδασκαλίας ἀρετή. τί δέ ἐστι, κατὰ μόνας; τῶν πονηρῶν χωρίς. τὴν γὰρ εἰρήνην ταύτην κατώρθωσά, φησι, πρὸς σὲ, καὶ κατὰ μόνας οἰκῶ φεύγων τοὺς διεφθαρμένους. καὶ μάλα εἰκότως. καθάπερ γὰρ σώματα πολλάκις ἀπὸ τοῦ τῶν ἀέρων τῶν διεφθαρμένων λύμης ἀπόλλυνται· οὕτω δὲ καὶ ψυχὴ πολλάκις ἐδέξατο βλάβην ἀπὸ τῆς τῶν πονηρῶν συνουσίας. καὶ καθάπερ ὀφθαλμὸς ὑγιαίνων, ὅταν νοσοῦντα ἴδῃ, πλήττεται, καὶ ὁ ψώρας ἐμπεπλησμένος μεταδίδωσι καὶ τοῖς ὑγιαίνουσιν· οὕτω δὴ συμβαίνει πολλάκις καὶ ἐπὶ τῆς συνουσίας τῶν πονηρῶν ἀνθρώπων. διὰ τοῦτο καὶ ὁ Χριστὸς παραινεῖ οὐ μόνον φεύγειν τοὺς τοιούτους, ἀλλὰ καὶ ἐκτέμνειν, οὕτω λέγων· εἰ δὲ ὁ ὀφθαλμός σου ὁ δεξιὸς σκανδαλίζει σε, ἔξελε αὐτὸν, καὶ βάλε ἀπὸ σοῦ· οὐ δὴ περὶ ὀφθαλμοῦ λέγων,

raptores hoc bellum vndiquaque circumferentes, & intus ſedentes inimicos habentes, quocunque receſſerint, pugnam non poſſunt effugere. Sed etſi domi maneant, etſi in lecto iaceant, telorum nubes, & tumultus vndis violentiores, cædes & vociferationes, querelas & eiulationes, & alia multò iis quæ inter hoſtes accidunt, grauiora ſuſtinent. At non ſic iuſtus, ſed & vigilans delectatione fruitur, & nocturno tempore cũ magna voluptate ſomnum capit. Quid eſt autem, In idipſum? In meipſum, inquit, totus coactus & conuerſus, non in curas innumerabiles diuiſus, non quæ ſunt huius vel illius cogitans, nec in orbem terrarum ſollicitudines diſpertiens, ſed quæ mea ſunt cogitans, & quæ mihi vtilia, & quæ ſunt homini maximè conuenientia. Quia tu Domine ſingulariter in ſpe conſtituiſti me. Quod autem dicit, eſt eiuſmodi. Propter ſpem futurorum, & expectationem quæ eſt in te, omnes animi mei perturbationes compreſſi. Sicut etiã dicit Paulus: Quod eſt enim in præſentia admodum leue afflictionis, inſigniter in ſublimitate æternum pondus gloriæ nobis operatur, nõ conſiderantibus nobis quæ videntur, ſed quæ non videntur. Nulla enim res eſt adeò difficilis, quæ non fiat facillima ſpe futuræ à Deo bonæ exiſtimationis: propterea dicit: In ſpe conſtituiſti me. Et illud, ſingulariter, non eſt paruæ virtus doctrinæ. Quid eſt autem ſingulariter? ſeorſum ab improbis. Hanc enim pacem, inquit, apud te præclarè habui, & ſeparatim habito, fugiens homines improbos ac corruptos. Et iure profecto. Quemadmodum enim corpora ſæpe à corrupti aëris lue infecta pereunt: ita etiam anima ſæpe damnum accepit ex malorum congreſſione: & quemadmodum ſanus oculus quando laborantem aſpexerit, afficitur, & qui eſt ſcabie refertus, iis etiam qui ſani ſunt, eam impertit: ita etiam ſæpe contingit in conſuetudine improborum hominum. Et ideo etiã ſuaſit Chriſtus non ſolùm eos qui ſunt tales fugere, ſed etiam excindere, ſic dicens: Si oculus tuus dexter te ſcandalizat, erue eum, & eijce à te, non dicens de oculo,

2. Cor. 4. 17.

Matt. 5. 29.

quid enim mali fecerit oculus, si sit sanus animus? sed de amicis necessariis, & qui sunt nobis loco horum membrorum, & nos lædunt, hæc constituit, iubens eorum etiam amicitiam contemnere, vt sua salus efficiatur tutior. Quamobrem ipse etiam rursus progrediens, dicit: Non sedi cum consilio vanitatis, & cum iniquè agentibus non ingrediar. Quinetiam Hieremias eum dicit beatum, qui sedet separatim, & tollit iugum ab adolescentia. Iam verò etiam prouerbia multa de ea re verba faciunt, dicentia & suadentia omnibus, non solùm declinare, sed etiam resilire ab iis qui mala consulunt, & non cum illis versari. Si enim quæ sunt naturalia, sæpe mutant naturam ex mala consuetudine: quantò magis quæ sunt arbitraria & nostræ voluntatis? Color enim & sanitas inest nobis natura: sed ea nonnunquam corrumpuntur ex alio habitu contrario, & rursus appetitus ciborum, & eum sæpe perdimus vitio ægritudinum, multa etiam alia licet videre eiusmodi quæ accidunt. Quòd si ea quæ sunt naturalia, mouentur, multò magis ea quæ sunt voluntatis, quò facilius mutantur ad vtrumlibet. Ne parum damni afferre existimemus malorum consuetudinem: sed ante omnia eos qui tales sunt vitemus, etiamsi sint vxores, etiamsi amici, etiamsi quilibet. Nam hoc etiam malum illos perdidit, Salomonem, inquam, & Sampsonem. Quinetiam totum genus Iudaicum sic periit. Neque enim feræ ita pungunt, vt hominum improbitas. Illæ enim venenum apertè præ se ferunt: hi autem insensibiliter & absque vllo strepitu virus quotidie immittunt, de animi robore quotidie paulatim detrahentes. Quocirca etiam impudicum aspectum Deus amolitur, dicens: Qui respexerit mulierem ad concupiscendum eam, iam mœchatus est in corde suo: propterea quòd sit facile & procliue exitium. Tu autem si in ciuitate aliqua sis habitaturus, de aëre curiosè inquiris, an non sit salubris, non temperatus, non siccus: de anima autem rationem initurus, non es sollicitus de eorum consuetudine, qui cum ea sunt congressuri:

Psal.25.4.

Thren.3.27

Matt.5.28.

A τί γὰρ ἂν ἀδικήσειεν ὀφθαλμὸς διανοίας ὑγιαινούσης; ἀλλὰ περὶ φίλων ἀναγκαίων καὶ ἐν τάξει τῶν μελῶν τούτων ἡμῖν ὄντων καὶ βλαπτόντων ἡμᾶς, ταῦτα ἐνομοθέτησε, κελεύων καὶ τὴν φιλίαν τῶν τοιούτων ἀτιμάζειν, ὥστε τὴν σωτηρίαν τὴν ἑαυτῶν ἀσφαλεστέραν ποιεῖν. διὸ καὶ αὐτὸς πάλιν προϊὼν λέγει· οὐκ ἐκάθισα μετὰ συνεδρίου ματαιότητος, καὶ μετὰ παρανομούντων οὐ μὴ εἰσέλθω. καὶ ὁ Ἱερεμίας δὲ μακαρίζει τὸν κατὰ μόνας καθεζόμενον, καὶ αἴροντα τὸν ζυγὸν ἐκ νεότητος. καὶ αἱ παροιμίαι πολλοὶ ὑπὲρ τούτου ποιοῦνται λόγον, B πᾶσι παραινοῦσαι καὶ λέγουσαι μὴ μόνον ἐκκλίνειν, ἀλλὰ καὶ ἀποπηδᾶν ἀπὸ τῶν πονηρὰ συμβουλευόντων, καὶ μηδὲ ἐγχρονίζειν αὐτοῖς. εἰ γὰρ τὰ φυσικὰ μεταβάλλεται πολλάκις ἡμῖν ἀπὸ κακῆς ὁμιλίας· πόσῳ μᾶλλον τὰ τῆς προαιρέσεως; τὸ, τι γὰρ κατὰ φύσιν ἡμῖν πρόσεστι, καὶ τὸ ὑγιαίνειν· ἀλλ' ἔστιν ὅτε διαφθείρεται ταῦτα ἐξ ἑτέρας ἕξεως ἐναντίας, καὶ τὸ ὀρέγεσθαι πάλιν σιτίων· καὶ τοῦτο πολλάκις ἀπωλέσαμεν ἀπὸ κακίας νοσημάτων· καὶ ἄλλα πολλὰ τοιαῦτά ἐστιν ἰδεῖν συμβαίνοντα. εἰ δὲ τὰ τῆς φύσεως κινεῖται, πολλῷ μᾶλλον τὰ τῆς C προαιρέσεως, ὅσῳ καὶ εὐκολωτέραν ἔχει τὴν ἐπὶ θάτερα μεταβολήν. μὴ δὴ μικρὸν εἶναι νομίζωμεν τὴν τῶν κακῶν συνουσίαν εἰς βλάβην, ἀλλὰ περὶ τῶν ἄλλων ἁπάντων φεύγωμεν τοὺς τοιούτους, κἂν γυναῖκες ὦσι, κἂν φίλοι, κἂν ὁστισοῦν. ἐπεὶ καὶ τοὺς μεγάλους ἐκείνους τοῦτο ἀπώλεσε, Σολομῶντα λέγω, καὶ Σαμψών· καὶ ἔθνος δὲ ὁλόκληρον τὸ Ἰουδαϊκὸν οὕτω διέφθαρτο. οὐ γὰρ οὕτω θηρία πλήττειν εἰώθεν, ὡς πονηρία ἀνθρώπων. ἐκεῖνα μὲν γὰρ D φανερὸν ἔχει τὸν ἰόν· οὗτοι δὲ ἀνεπαισθήτως καὶ ἀψοφητὶ καθ' ἑκάστην ἡμέραν ἐνιᾶσι τὴν λύμην, κατὰ μικρὸν ὑποσύροντες τὸ εὔτονον τῆς ἀρετῆς. διὰ τοῦτο καὶ τὴν ἀκόλαστον ὄψιν ὁ Θεὸς ἀπετείχισε, λέγων· ὁ ἐμβλέψας γυναικὶ πρὸς τὸ ἐπιθυμῆσαι, ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ, διὰ τὸ εὔκολον καὶ εὐπείρατον τῆς ἀπωλείας. σὺ δὲ εἰ μὲν πόλιν μέλλεις οἰκεῖν, πολλὰ περὶ ἀέρων πολυπραγμονεῖς, εἰ μὴ νοσώδης, εἰ μὴ δύσκρατος, εἰ μὴ αὐχμηρός· ψυχῆς δὲ μέλλων ποιεῖσθαι λόγον, οὐ περιεργάζῃ τὴν συνουσίαν τῶν μελλόντων ὁμιλεῖν αὐτῇ·

ἀλλ' ἁπλῶς καὶ ὡς ἔτυχε πᾶσιν αὐτὴν ἐπιτρέπεις. καὶ ποίας τεύξῃ συγγνώμης, εἰπέ μοι, οὕτως αὐτῆς καταφρονῶν; πόθεν γὰρ οἴει τοὺς τὰς ἐρήμους κατειληφότας θαυμαστούς τινας καὶ λαμπροὺς γίνεσθαι; οὐκ ἐπειδὴ θορύβους καὶ ἀγορὰς φεύγουσι, καὶ τοῦ καπνοῦ τῶν ἐν τῷ μέσῳ πραγμάτων μακρὰν ἑαυτοὺς ἐσκήνωσαν; τούτους καὶ αὐτὸς ζήλωσον, ἐπὶ μέσης πόλεως ἐρημίας διώκων. πῶς δὲ ἔσται τοῦτο; ἐὰν τοὺς πονηροὺς φεύγῃς, ἐὰν τοὺς ἀγαθοὺς διώκῃς. οὕτω γὰρ πλείονα καρπώσῃ τῶν ἐν ταῖς ἐρήμοις ἀσφάλειαν, οὐκ ἐν τῇ τῶν βλαπτόντων φυγῇ μόνον, ἀλλὰ καὶ ἐν τῇ τῶν ὠφελούντων κοινωνίᾳ. ἂν γὰρ φεύγῃς μὲν τοὺς πονηρούς, διώκῃς δὲ τοὺς ἀγαθούς, ἑκατέρωθέν σοι τὰ τῆς ἀρετῆς αὐξηθήσεται, καὶ τὰ τῆς κακίας οἰχήσεται. ἵν' οὖν τοῦτο γένηται, ταῦτα ποιῶμεν, πειθόμενοι τῷ ψαλμῳδῷ λέγοντι· ὅτι σὺ κύριε κατὰ μόνας ἐπ' ἐλπίδι κατῴκισάς με. *

* ἐνταῦθα δὲ καταπαύσω τὸν λόγον, ἱκανῶς, οἶμαι, τὰς λύσεις ἀποδοὺς τῶν ζητουμένων, ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ſed temerè & inconſideratè eam omnibus permittis? Dic tu mihi, quomodo veniam aſſequeris, qui eam ſic negligis? Vndénam exiſtimas eos qui deſerta incoluerũt, admirabiles & claros euadere? nónne quòd ſtrepitus & fora fugiant, nónne quòd longè à fumo negotiorũ, quæ ſunt in medio, ſe collocarint. Eos ipſe quoque imitare, in media ciuitate ſolitudinem perſequens. Quomodo autem hoc erit? Si fugias improbos, & ſi bonos ſequaris. Ita enim maiorem percipies ſecuritatem, quàm qui in deſertis habitant, non ſolùm in iis fugiendis qui lædunt, ſed etiam in communicando cum iis qui proſunt. Si enim malos quidem fugias, bonos autem ſequaris, vtrinque & virtus augeſcet, & decreſcet vitium. Vt hoc ergo fiat, hæc faciamus, parentes pſalmographo, qui dicit: Tu Domine ſingulariter in ſpe conſtituiſti me. *

* Hic verò finem dicendi faciam, cum abundè, opinor, propoſitas quæſtiones ſoluerimus in Chriſto Ieſu domino noſtro, cui gloria & imperium nunc & ſemper & in ſecula ſeculorum, Amen.

In Psalmum v.

IN FINEM PRO HÆREDE.

Psalmus David.

Verba mea auribus percipe Domine, intellige clamorem meum.

Videamus primum quæ sit hæreditas, & si ea ad nos quoque pertinet: deinde tempus quo datur. Est enim absurdum si deferatur quidem nobis ex testamento hæreditas, tanquam quæ ad nos pertineat, de ea esse sollicitos, & curiosè indagare, & scripta inquirere, & pecuniam soluere, & ad tabulas accedere, & quæ in iis scripta sunt exscribere, & omnem adhibere diligentiam: hic autem productis in medium spiritualib. testamentis, & omnib. libris apertis, esse socordem ac negligentem, idque cùm non sit sensibilis hæreditas. Accedamus ergo, & aperiamus tabulas & iis quæ scripta sunt incumbamus, & videamus quibusnam de causis hæc nobis relicta sit hæreditas, & quæ sit natura hæreditatis. Non enim reliquit nobis hæreditatem purè & absolutè, sed sub quadam conditione. Quænam autem ea est? Qui me diligit, inquit, præcepta mea seruabit. Et rursus: Qui non tollit crucem suam, & sequitur me. & plura alia, quæ in testamento scripta sunt. Discamus etiam tempus quo eam sumus accepturi. Non est enim præsens, sed futura, vel potius & præsens, & futura. Quærite enim regnum Dei, & hæc omnia adijcientur vobis, tunc autem perfecta & integra dabitur hæreditas. Quoniam enim præsens vita est incerta & instabilis, & sumus adhuc imperfectiores: quod externi faciunt legislatores, vt iis qui ad plenam ac perfectam ætatem peruenerint, paterna bona tradant, hoc etiam facit Deus. Postquam in virum perfectum, & mensurá ætatis occurrerimus, & ad vitam ab omni interitu alienam transierimus, tunc illam

Ioan. 14. 23
Mat. 10. 38

Luc. 12.

ΕΙΣ ΤΟΝ ε΄. ΨΑΛΜΟΝ.

ΕΙΣ ΤΟ ΤΕΛΟΣ ΥΠΕΡ ΚΛΗΡΟΝΟΜΟΥΣΗΣ.

Ψαλμὸς τῷ Δαβίδ.

Τὰ ῥήματά μου ἐνώτισαι κύριε σύνες τῆς κραυγῆς μου.

B ΠΡΟΤΕΡΟΝ ἴδωμεν τίς ἡ κληρονομία, καὶ εἰ αὕτη καὶ ἡμῖν ἐπιβάλλει· ἔπειτα τὸν χρόνον καθ' ὃν δίδοται. καὶ γὰρ ἄτοπον, διαθήκης μὲν χρημάτων ἡμῖν ἀπαγγελθείσης, ὡς προσηκόντως ἡμῖν τοῦ κλήρου, περιεργάζεσθαι καὶ πολυπραγμονεῖν, καὶ τὰ γράμματα ἐπιζητεῖν, καὶ ἀργύριον καταβάλλειν, καὶ χαρτίοις προσιέναι, καὶ ἀντιγράφειν τὰ ἐγγεγραμμένα, καὶ πᾶσαν ἐπιδείκνυσθαι σπουδήν· ἐνταῦθα δὲ τῶν διαθηκῶν πνευματικῶν εἰς μέσον προκειμένων, καὶ τῶν βίβλων πασῶν ἀνεῳγμένων, C ῥαθυμεῖν καὶ ἀναπεπτωκέναι, καὶ ταῦτα τῆς κληρονομίας οὐκ οὔσης αἰσθητῆς. προσιῶμεν τοίνυν, καὶ ἀνοίγωμεν τὰ γραμματεῖα, καὶ ἐγκύπτωμεν τοῖς ἐγγεγραμμένοις, καὶ ἴδωμεν ἐπὶ τίσιν ἡμῖν ὁ κλῆρος οὗτος καταλέλειπται, καὶ τίς ἡ τοῦ κλήρου φύσις. οὐ γὰρ ἁπλῶς κατέλιπεν ἡμῖν τὸν κλῆρον, ἀλλ' ἐφ' αἱρέσει τινί. ποία δὴ αὕτη; ὁ ἀγαπῶν με, φησί, τὰς ἐντολάς μου τηρήσει. καὶ πάλιν, ὃς οὐκ αἴρει τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθεῖ ὀπίσω μου· καὶ ἕτερα πλείονα, ἅπερ τῇ διαθήκῃ ἐγγέγραπται. μάθωμεν δὲ D καὶ τὸν χρόνον, καθ' ὃν μέλλομεν ταῦτα ἀπολαμβάνειν. οὐ γὰρ ὁ παρὼν ἐστιν, ἀλλ' ὁ μέλλων· μᾶλλον δὲ καὶ ὁ παρὼν καὶ ὁ μέλλων. ζητεῖτε γὰρ τὴν βασιλείαν τοῦ Θεοῦ, καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν· τότε δὲ ὁλόκληρον τότε. ἐπειδὴ γὰρ ὁ παρὼν βίος ἐπίκηρος, καὶ ἀτελέστεροι ἔτι διακείμεθα, ὅπερ ποιοῦσιν οἱ ἔξωθεν νομοθέται, καὶ τελείοις γενομένοις ἐγχειρίζουσι τὴν πατρῴαν οὐσίαν, τοῦτο καὶ ὁ Θεὸς ἐργάζεται. ἐπειδὰν εἰς ἄνδρα τέλειον καὶ μέτρον ἡλικίας καταντήσωμεν, καὶ πρὸς τὸν ἀκήρατον μεταστῶμεν βίον, τότε ἡμῖν

ἐγχειρίζει τὸν κλῆρον ἐκεῖνον. τέως δὲ διέθετο, καὶ τὰ γράμματα ἡμῖν κατέλιπε, καὶ τίνα πράττοντες ἐπιτευξόμεθα τῆς κληρονομίας εἶπεν, ὥστε μὴ ἐκπεσεῖν, μηδὲ ἀποκληρονόμους γενέσθαι. εἰ δέ τινας θορυβεῖ τὸ μηδέπω τελείους ἡμᾶς εἶναι, καὶ ὑποπτεύει τὰ εἰρημένα, ἀκουέτωσαν Παύλου λέγοντος· ὅτε ἤμην νήπιος, ὡς νήπιος ἐλάλουν, ὡς νήπιος ἐφρόνουν, ὡς νήπιος ἐλογιζόμην· ὅτε δὲ γέγονα ἀνήρ, κατήργηκα τὰ τοῦ νηπίου, περὶ τοῦ παρόντος καὶ τοῦ μέλλοντος αἰῶνος διαλεγόμενος. καὶ πάλιν, μέχρις οὗ καταντήσωμεν οἱ πάντες εἰς ἄνδρα τέλειον, εἰς μέτρον ἡλικίας. ἐν μὲν γὰρ τῷ παρόντι βίῳ φησί, καθάπερ παρά τροφῷ τινι, τῇ κτίσει ταύτῃ ἀνατρεφόμεθα· ἐπειδὰν δὲ μέλλωμεν εἰς τὴν δεσποτικὴν ἄγεσθαι οἰκίαν, τὰ ἱμάτια ἀπαμφιεννύμενοι τῆς φθορᾶς, καὶ ἀφθαρσίαν ἀναλαμβάνοντες, πρὸς ἑτέραν μεθιστάμεθα λῆξιν. αὕτη ἡ διαθήκη· καὶ ἀποκληρονόμους πολλοὺς ἠπείλησε ποιεῖν, ἐὰν ἀνάξιοι γένωνται τῶν αἱρέσεων τῶν ἐγγεγραμμένων. ἀλλ' ἴδωμεν καὶ τίς ἐστιν ὁ κλῆρος λοιπόν. ἃ μήτε ὀφθαλμὸς εἶδε, μήτε οὖς ἤκουσε, μήτε ἐπὶ καρδίαν ἀνθρώπου ἀνέβη. πῶς τοίνυν ἐμέλλομεν τὴν χρῆσιν τούτων λαμβάνειν ἐν τῷ παρόντι βίῳ, ὧν καὶ ἡ γνῶσις ὑπερβαίνει τὴν διάνοιαν τὴν ἡμετέραν; διὰ τοῦτο ἡμῖν ἐκεῖ τεταμίευται. καὶ ὅρα τὴν κηδεμονίαν τὴν πολλήν. τοὺς μὲν πόνους τῇ παρούσῃ συνεκλήρωσε ζωῇ, ὥστε τῇ βραχύτητι τοῦ χρόνου συγκαταλυθῆναι τὸ ἐπίμοχθον· τὰ δὲ ἀγαθὰ ἐν τῷ μέλλοντι ἐταμιεύσατο αἰῶνι, ὥστε τῷ ἀγήρῳ συμπαρεκτείνεσθαι τὰς ἀμοιβάς. ἐκείνην τὴν λῆξιν καὶ βασιλείαν καλεῖ. εἰ γὰρ καὶ ὑπερβαίνει λόγον, ἀλλ' ὅμως κατὰ τὸ ἐγχωροῦν ἡμῖν ἀκοῦσαι, παρῃνίξατο τὰ μέλλοντα, νῦν μέν, ὅπερ ἔφθην εἰπών, βασιλείαν καλῶν, νῦν δὲ γάμον, νῦν ἀρχήν, ἀπὸ τῶν φαιδρῶν τῶν παρ' ἡμῖν ὀνομάτων παρανοίγων ἡμῖν τὴν περὶ ἐκείνων ἔννοιαν, τὴν αἰώνιον δόξαν, τὴν ἀκήρατον μακαριότητα, τὴν μετὰ Χριστοῦ διαγωγήν, ἧς οὐδὲν ἂν γένοιτο ἴσον. τίνες δὲ καὶ αἱ αἱρέσεις τῆς ἐκκλησίας, μᾶλλον δὲ τῆς κληρονομίας; οὐδὲν φορτικὸν ἔχουσαι. ἃ θέλετε ἵνα, φησί, ποιῶσιν ὑμῖν οἱ ἄνθρωποι, ταῦτα καὶ ὑμεῖς ποιεῖτε αὐ-

A nobis tradit hæreditatem. Interea autem testatus est, & scripturas nobis reliquit, & dixit quænam facientes assequemur hæreditatem, vt ab ea non excidamus, neque exhæredes efficiamur. Quòd si perturbetur aliqui, quòd nos nondum sumus perfecti, & suspecta eis sint quæ dicta sunt, audiant Paulum dicentem: Quando eram paruulus, loquebar vt paruulus, sapiebam vt paruulus, cogitabam vt paruulus: quando autem factus sum vir, euacuaui quæ erant paruuli, loquendo de præsenti & futuro seculo. Et rursus: Donec oc- B currerimus omnes in virum perfectum, in mensuram ætatis. In vita enim præsenti, inquit, veluti apud nutricem quandam creatura hac alimur. Quando autem in domum Domini deducemur, exuentes vestes corruptionis, & assumentes incorruptibilitatem, ad aliam vitæ conditionem tunc traducemur. Hoc testamentum multos etiam exhæredes futuros minatum est, si conditionibus in eo scriptis indigni fuerint. Sed videamus deinceps quænam sit hæreditas. Quæ nec oculus vidit, nec auris audiuit, nec in cor homi- C nis ascenderunt. Quomodo ergo in præsenti vita eorum sumus vsum percepturi, quorum vel cognitio nostram cogitationem superat? Propterea ea illic nobis sunt reposita. Vide autem multam curam eius ac prouidentiam. Labores quidem vitæ præsenti attribuit, vt eius breuitate vnà etiam terminaretur molestia: bona autem in futurum seculum reseruauit, vt remunerationes extenderentur cum æternitate quæ est expers senij. Illam conditionem vocat etiam regnum. Etsi enim orationem superant, quantum tamen nobis licet audire, ænigmaticè D futura significauit, nunc quidem, vt iam dixi, regnum vocans, nunc autem nuptias, nunc autem imperium, ex splendidis quæ sunt apud nos nominibus, ad illa cogitanda nobis viam aperiens, æternam gloriam, ab interitu alienam beatitudinem, cum Christo conuersationem, cui nihil potest conferri. Quænam sunt autem conditiones Ecclesiæ, vel potius hæreditatis? Quæ nihil habent difficultatis. Quæ vultis, inquit, vt faciant vobis homines, ea vos etiam ipsis facite.

1. Cor. 13. 11. *Ephes. 4. 13.* *1. Cor. 2. 9.* *Matt. 7. 1. 2.* *Matth. 22. 25.* *1. Tim. 6. & Apoc. 2.* *Matth. 7.*

Vides quomodo nihil alienum attulerit, sed ea quæ natura prius constituerat? Quæ vis, inquit, vt propinqui tui in te faciant, ea ipse quoque fac. Vis laudari? lauda. Non vis aliquid tibi furto surripi? ne furare. Vis honorari? honora. Vis misericordiam assequi? miserere. Vis amari? ama. Vis non malè audire? nec tu malè dixeris. Vide autem quàm accuratè locutus est. Non dixit: Quæcunque non vultis vt faciāt, nec vos facite, sed, quæ vultis. Quoniam duæ sunt viæ quæ dicunt ad virtutem, vna quidem, liberatio à vitio: alia verò, virtutis actio: hanc proponit, per hanc illam etiam manifestans, & illam quidam obscurè significauit cùm dixit: Quod odisti, alij ne feceris: hanc verò manifestè declarauit dicens: Quæcunque vultis vt faciant vobis homines, & vos ipsis facite. Est etiam alia conditio. Quænam ea est? Diligere proximum, sicut seipsum. Quid esse possit hoc facilius? Odisse enim graue est, & turbas ac tumultus excitans. Amare autem, facile est & expeditum. Si enim dixisset, Vos cùm homines sitis, diligite bestias, præceptum fuisset difficile. Si autem qui homines sunt, homines amare iussit, vbi & substantiæ similitudo, & cognatio, & ipsius naturæ admonitio plurimum momenti afferunt ad diligendum, quidnam habeat difficultatis? Quod fit etiam in leonibus & lupis. Nam apud illos etiam naturæ cognatio conciliat amicitiam. Quamnam ergo poterimus afferre excusationem, qui leones quidem mansuefacimus, & in iisdem nobiscum ædibus collocamus: quod est autem eiusdem nobiscum generis non attrahimus? Non videtis quòd multi propter hæreditatem senes venantes circumcursant, & senectutis omnia mala tolerant, cùm sint iuuenes, vegetoque ac luxurianti corpore, podagram, & alios qui senectuti accidunt morbos, mucum, ac screatum, quòd illis perpetuò assideant? Atqui illic sunt pecuniæ, & spes incerta, hic autem cœlum, & ante cœlum Deo fuisse gratum. Quæ est autem hæres? Inscriptio enim dicit, Pro hærede: Ecclesia, & eius plenitudo. De qua dicit Paulus: Despondi vos vni viro virginem castam exhibere Christo. Et Ioannes: qui habet sponsam, sponsus est.

Ad virtutem via duæ. Matt. 22.

2. Cor. 11. 2. Ioan. 3. 29.

A τῆς. ὁρᾷς πῶς οὐδὲν ξένον ἐπεισήγαγεν, ἀλλ' ἃ προλαβοῦσα ἡ φύσις ἐνομοθέτησεν; ἅπερ αὐτὸς, φησι, βούλεσθαι θέλεις παρὰ τοῦ πλησίον εἰς σὲ, ταῦτα καὶ αὐτὸς ἐργάσαι. θέλεις ἐπαινεῖσθαι; ἐπαίνει. θέλεις μὴ ἁρπάζεσθαι; μὴ ἅρπαζε. θέλεις τιμᾶσθαι; τίμα. θέλεις ἐλεεῖσθαι; ἐλέει. θέλεις φιλεῖσθαι; φίλει. θέλεις μὴ ἀκούειν κακῶς; μηδὲ σὺ εἴπῃς. καὶ ὅρα τὴν ἀκρίβειαν. οὐκ εἶπεν, ὅσα οὐ θέλετε ἵνα ποιῶσι, μηδὲ ὑμεῖς ποιεῖτε, ἀλλ' ἃ θέλετε. ἐπειδὴ γὰρ δύο εἰσὶν ὁδοὶ πρὸς ἀρετὴν ἄγουσαι, μία μὲν ἡ ἀπαλλαγὴ τῆς κα- B κίας, ἑτέρα δὲ ἡ ἐργασία τῆς ἀρετῆς, ταύτην προστίθησι, διὰ ταύτης κἀκείνην δήλην ποιῶν. καὶ τὴν μὲν ᾐνίξατο τῷ λέγειν, ὃ μισεῖς, ἄλλῳ μὴ ποιήσῃς· τὴν δὲ σαφῶς ἐδήλωσεν εἰπὼν, ὅσα θέλετε ἵνα ποιῶσιν ὑμῖν οἱ ἄνθρωποι, καὶ ὑμεῖς ποιεῖτε αὐτοῖς. ἔστι καὶ ἄλλη αἵρεσις. ποία δὲ αὕτη; τὸ ἀγαπᾶν τὸν πλησίον, ὡς ἑαυτόν. τί τούτου γένοιτ' ἂν εὐκολώτερον; τὸ γὰρ μισεῖν, ἐπαχθὲς καὶ θορύβους ἐμποιοῦν· τὸ δὲ φιλεῖν, εὔκολον καὶ ῥᾴδιον. C καὶ γὰρ εἰ μὲν εἶπεν, ἄνθρωποι ὄντες φιλεῖτε θηρία, δύσκολον ἦν τὸ ἐπίταγμα· εἰ δὲ ἀνθρώπους ὄντας ἀνθρώπους φιλεῖν ἐκέλευσεν, ἔνθα καὶ τὸ ὁμοιούσιον καὶ συγγενὲς πολλὴν εἰσφέρει ῥοπὴν, καὶ παρὰ τῆς φύσεως ἡ παραίνεσις, ποίαν ἂν ἔχοι δυσκολίαν; ὅπερ καὶ ἐπὶ λεόντων καὶ λύκων. καὶ γὰρ καὶ ἐκεῖ τὸ συγγενὲς τῆς φύσεως, ἀγωγὸν εἰς φιλίαν ἐστί. ποίαν οὖν ἕξομεν ἀπολογίαν, λέοντας μὲν ἡμεροῦντες καὶ ἑαυτοῖς συνοικίζοντες, τὸ δὲ ὁμογενὲς μὴ ἐπισπώμενοι; οὐχ ὁρᾶτε, ὅτι πολλοὶ διὰ κληρονομίαν γέροντας περιίασιν D ἀγρεύοντες, καὶ πάντων τῶν τοῦ γήρως ἀνέχονται κακῶν νέοι ὄντες καὶ σφριγῶντες, ποδαλγίας, καὶ τῶν ἄλλων τῶν ἐν τῷ γήρᾳ νοσημάτων, καὶ κορύζης, διὰ τὸ προσεδρεύειν διηνεκῶς; καίτοι χρήματά ἐστιν ἐκεῖ, καὶ ἄδηλος ἐλπίς· ἐνταῦθα δὲ οὐρανὸς, καὶ πρὸ τοῦ οὐρανοῦ τὸ εὐαρεστῆσαι Θεῷ. τίς δὲ ἡ κληρονομοῦσα; ὑπὲρ τῆς κληρονομούσης γάρ φησιν ἡ προγραφή, ἡ ἐκκλησία, καὶ τὸ πλήρωμα αὐτῆς· περὶ ἧς λέγει Παῦλος· ἡρμοσάμην ὑμᾶς ἑνὶ ἀνδρὶ παρθένον ἁγνὴν παραστῆσαι τῷ Χριστῷ. καὶ ὁ Ἰωάννης· ὁ ἔχων τὴν νύμφην, νυμφίος ἐστίν.

ἀλλ' ὁ μὲν νυμφίος μετὰ τὰς πρώτας ἡμέρας καταλύει τὸ σφοδρὸν τοῦ ἔρωτος· ὁ δὲ ἡμέτερος νυμφίος μένει διηνεκῶς ἡμᾶς ἀγαπῶν, καὶ ἐπιτείνων τὸν πόθον· ὅπερ δηλῶν ὁ Ἰωάννης νυμφίον καλεῖ, ὅτε ἀκμάζοντες οἱ πόθοι. οὐ διὰ τοῦτο δὲ μόνον νυμφίον ἐκάλεσεν, ἀλλ' ὅτι καὶ πάντας ἓν σῶμα εἶναι βούλεται καὶ μίαν ψυχὴν κατὰ τὸν τῆς ἀρετῆς λόγον καὶ τὸν τῆς ἀγάπης· καὶ ὅτι καθάπερ ἡ νύμφη πάντα ποιεῖ πρὸς ἀρέσκειαν τοῦ ἀνδρὸς, οὕτω καὶ ἡμᾶς διὰ παντὸς τοῦ βίου τοιούτους εἶναι χρή. οἷα ἡ νύμφη κατὰ τὴν ἡμέραν ἐκείνην ἐπὶ τῆς παστάδος καθέζεται, ἓν μεμνημένη μόνον ὅπως ἀρέσῃ τῷ νυμφίῳ· οὕτω δὴ καὶ ἡμεῖς ἐπὶ τοῦ βίου τούτου προσκαθήμενοι ἓν σκοπῶμεν, τοῦ νυμφίου τὴν ἀρέσκειαν· καὶ τὴν τῆς νύμφης εὐταξίαν διατηρῶμεν. Ταύτης τῆς νύμφης καὶ ὁ Δαβὶδ μέμνηται λέγων· παρέστη ἡ βασίλισσα ἐκ δεξιῶν σου, ἐν ἱματισμῷ διαχρύσῳ περιβεβλημένη, πεποικιλμένη ἐν κροσσωτοῖς χρυσοῖς. θέλεις αὐτῆς καὶ τὰ ὑποδήματα ἰδεῖν; ἄκουσον Παύλου τοῦ νυμφαγωγοῦ λέγοντος· ὑποδησάμενοι τοὺς πόδας ἐν ἑτοιμασίᾳ τοῦ εὐαγγελίου τῆς εἰρήνης. θέλεις αὐτῆς ἰδεῖν καὶ τὴν ζώνην, ὡς καὶ ὑπὸ ἀληθείας σύγκειται; ὁ αὐτός σε διδάξει· περιζωσάμενοι τὴν ὀσφὺν ὑμῶν ἐν ἀληθείᾳ. θέλεις ἰδεῖν αὐτῆς καὶ τὸ κάλλος; καὶ τοῦτο μαθήσῃ παρ' αὐτοῦ· μὴ ἔχουσα σπίλον ἢ ῥυτίδα. ἄκουε καὶ ὁ ἐκκλησιαστὴς τί περὶ ταύτης λέγει· ὅλη καλὴ εἶ ἡ πλησίον μου, καὶ μῶμος οὐκ ἔστιν ἐν σοί. θέλεις ἰδεῖν καὶ τοὺς πόδας; ὡς ὡραῖοι οἱ πόδες τῶν εὐαγγελιζομένων τὴν εἰρήνην, καὶ εὐαγγελιζομένων τὰ ἀγαθά· καὶ τὸ δὴ θαυμαστὸν καὶ ἐκπλήξεως γέμον, ὅτι καὶ κοσμήσας τοῦτον τὸν τρόπον αὐτὴν οὐκ ἦλθε τὴν δόξαν αὐτοῦ ἐπιδεικνύμενος, ἵνα μὴ τῇ ὑπερβολῇ τοῦ κάλλους ἐκπλήξῃ αὐτὴν καὶ παράφορα ἐργάσηται, ἀλλ' ἔρχεται ἱμάτιον περιβεβλημένος, οἷον ἡ νύμφη· μετέχεται γὰρ αἵματος καὶ σαρκὸς παραπλησίως αὐτῇ· καὶ οὐκ αὐτὴν ἄνω καλεῖ, ἀλλ' αὐτὸς πρὸς αὐτὴν παραγίνεται, τηρῶν κἀνταῦθα τὸν τοῦ νυμφίου τὸν νόμον τὸν πρὸς τὴν νύμφην αὐτὸν ἄγοντα. ὅπερ καὶ Μωϋσῆς ἔλεγεν· ἀντὶ τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα, καὶ προσκολληθήσεται πρὸς τὴν γυναῖκα αὐτοῦ. καὶ ὁ Παῦλος· τὸ μυστήριον τοῦτο μέγα ἐστίν· ἐγὼ δὲ λέγω εἰς Χριστὸν καὶ εἰς τὴν ἐκκλησίαν.

A ſponſus quidem poſt primos dies remittit amoris vehementiam: ſponſus autem noſter nos amat perpetuò, & auget amorem. Quod innuens Ioannes vocat ſponſum, quando maximè vigent amores. Non ſolùm autem propterea ſponſum vocauit: ſed etiam quòd vult omnes vnum eſſe corpus, & vnam animam, ratione virtutis & amoris: & quòd quemadmodum ſponſa omnia facit vt viro placeat: ita nos etiam tales eſſe oportet per totã vitam. Quemadmodum ſponſa in illo die ſedet in cubili, id vnum tantummodo B cogitans, quomodo viro placeat: ita etiam nos in hac vita ſedentes, vnum ſolum ſpectemus, vt ſponſo placeamus, & ſponſæ modeſtiam ac decorem conſeruemus. Huius ſponſæ Dauid quoque meminit, dicens: Aſtitit regina à dextris tuis in veſtitu deaurato, circumdata varietate in fimbriis aureis. *Pſal.44.11.* Vis videre eius calceos? Audi Paulum paranymphum, qui dicit: Calceati pedes in præparatione Euangelij pacis. *Epheſ.6.15.* Vis etiam videre eius zonam, & quomodo compoſita eſt ex veritate? Ille ipſe te docebit. Accincti lũbos veſtros C in veritate. *Epheſ.5.27* Vis etiam videre eius pulchritudinem? Id ab eodem quoque diſces. Non habens maculam vel rugam. Audi etiam quid de ea dicat Eccleſiaſtes: Tota pulchra es propinqua mea, & macula non eſt in te. *Cant.4.7.* Vis etiam videre pedes? Quàm ſpecioſi pedes euangelizantium pacem, inquit Paulus. *Rom.10.15* Et quod eximium eſt, & admiratione digniſſimum cum eam ſic exornaſſet, non venit gloriam ſuam oſtendens, ne inſigni ſua pulchritudine eam obſtupefaceret & amentem redderet, ſed D venit eodem indutus indumento quo ſponſa: participat enim æquè ac ipſa carni & ſanguini, nec ipſe eam ſurſum vocat, ſed ipſe ad eam accedit, ſeruans hîc quoque ſponſi legem, quæ ſponſum ad ſponſam adducit, quod etiam dixit Moſes: Pro eo relinquet homo patrem & matrem ſuam *Gen. 2.* & adhærebit vxori ſuæ. Et Paulus: *Epheſ.5.32* Sacramentum hoc magnum eſt. Ego autem dico in Chriſto & Eccleſia.

Cùm ergo veniſſet in eius habitaculum, & eam inueniſſet ſordidam, ſqualidam, nudam, ſanguine inquinatam, lauit, vnxit, abluit, veſte induit, id quod in nullo alio poteſt inueniri. Cùm ipſe ipſi fuiſſet indumentum, eam ſublatam ſurſum ducit. Ei parata eſt hæreditas. Quid ergo de ipſa dicit Propheta? Multa: eſt enim eius patronus, & multa eorum quæ ei ſunt euentura prædixit & proclamauit, quemadmodum de ſponſo, de ſponſalibus, & deductione ad ſponſum, de bonis quæ ſunt ei euentura. Propterea hic etiam pro ipſa loquitur, & incipiens, ſicut iſti patroni & oratores in iudiciis, dicit quemnam ſua oratione defendat, dicens ſe verba facere pro hærede. Quid autem petat hæres, audiamus. *Verba mea auribus percipe Domine.* Sponſum vocat dominum, hoc eſt enim ſponſæ prudentis officium. Si enim hoc fit in iis qui ſunt eiuſdem ſubſtantiæ, & vxor maritum vocat dominum: multò magis in Chriſto & Eccleſia, vbi eſt etiam natura dominus. Ita ergo eum vocat dominũ, non tantùm vt ſponſum, ſed etiã vt verè dominum, & eum ad preces audiendas attrahit. Quoniam enim eſt ei propoſita hæreditas, hæc autem hæreditas non aliâs effectum ſortitur, quàm ſi quæ ſibi ſunt præcepta rectè fecerit, orat & obſecrat vt ei opem ferat, vt quæ ſunt propoſita perficiat, & non excidat ab hæreditate, dicit itaque: Verba mea auribus percipe Domine. & hoc dicit audacter & liberè, quoniam ea petit quæ ipſe etiam dare vult. Quemadmodum ſi quis ea petat quæ eo qui ſit daturus indigna ſunt, non poteſt eam petere gratiam. Quando oratur aduerſus inimicos, quando aduerſus eos qui moleſtia aliqua affecerunt, ea non ſunt verba hominis, ſed diaboli. Si iurare enim eſt diabolo (quod enim eſt his amplius, à Malo eſt) clarum eſt quòd etiam precari aduerſus inimicos. Si ergo dicas: Verba mea auribus percipe, dic ea verba quæ ſunt hominis manſueti ac humani, & qui nihil habet diabolicum. *Intellige clamorem meum.* Clamorem hìc dicit, non vocis intentionem, ſed mentis affectionem. Nam Moſi etiam tacenti dixit: Quid clamas ad me? Non dixit, Quid oras ad me, ſed, quid clamas ad me?

Matt. 5. 37

Clamor quid propriè.

Exod. 14.

A ἐλθὼν τοίνυν εἰς τὸ καταγώγιον αὐτῆς, καὶ εὑρὼν ῥυπῶσαν, αὐχμῶσαν, γυμνὴν, πεφυρμένην αἵματι, ἔλουσεν, ἤλειψεν, ἔθρεψεν, ἐνέδυσεν ἱμάτιον, οἷον εὑρεθῆναι ἕτερον οὐκ ἔνι, αὐτὸς αὐτῇ γενόμενος περιβολὴ, καὶ λαβὼν αὐτὴν οὕτως ἀνάγει. ταύτῃ ἡ κληρονομία ἡτοίμασται. τί οὖν ὑπὲρ αὐτῆς φησιν ὁ προφήτης; πολλά· συνήγορος γάρ ἐστιν αὐτῆς, καὶ τὰ πλείονα τῶν αὐτῇ συμβησομένων προεῖπε καὶ προανεφώνησεν· οἷον περὶ τοῦ νυμφίου, περὶ τῆς νυμφαγωγίας, περὶ τῶν ἀγαθῶν τῶν διαδεξομένων αὐτήν. διὰ δὴ τοῦτο καὶ ἐνταῦθα ὑπὲρ αὐτῆς ποιεῖται B τὸν λόγον, καὶ ἀρχόμενος, καθάπερ οἱ συνήγοροι οὗτοι οἱ ῥήτορες, οἱ ἐν τοῖς δικαστηρίοις λέγει ὑπὲρ τίνος ποιεῖται τὴν δικαιολογίαν, ὅτι ὑπὲρ τῆς κληρονομούσης. καὶ τί αἰτεῖ ἡ κληρονομοῦσα, ἀκούσωμεν. τὰ ῥήματά μου ἐνώτισαι κύριε. τὸν νυμφίον κύριον καλεῖ. καὶ γὰρ τοῦτο νύμφης εὐγνώμονος ἔργον. εἰ γὰρ ἐπὶ τῶν ὁμοουσίων τοῦτο συμβαίνει, καὶ κύριον τὸν ἄνδρα καλεῖ ἡ γυνή· πολλῷ μᾶλλον ἐπὶ τῆς ἐκκλησίας καὶ τοῦ Χριστοῦ, ὅπου καὶ φύσει κύριός ἐστιν. οὕτω γοῦν αὐτὸν οὐχ ὡς νυμφίον καλεῖ κύριον μόνον, ἀλλὰ C καὶ ὡς δεσπότην, καὶ ἐπισπᾶται αὐτὸν πρὸς τὴν δέησιν. ἐπειδὴ γὰρ κληρονομία αὐτῇ πρόκειται, ἡ κληρονομία δὲ αὕτη, εἰ κατορθώσειε τὰ ἐπιταχθέντα, εἰς ἔργον ἐκβαίνει· παρακαλεῖ καὶ δεῖται σύμμαχον αὐτῇ γενέσθαι, ὥστε ἀνύσαι τὰ προκείμενα, καὶ μὴ ἐκπεσεῖν τοῦ κλήρου. διὸ καί φησι· τὰ ῥήματά μου ἐνώτισαι κύριε. καὶ μετὰ παρρησίας λέγει τοῦτο, ἐπειδὴ τοιαῦτα αἰτεῖ, ἅπερ καὶ αὐτὸς διδόναι βούλεται. ὡς ἐάν τις τοιαῦτα αἰτῇ ἀνάξια τοῦ παρέχοντος, οὐ δύναται ταύτην αἰτεῖν τὴν χάριν· ὅταν κατ' ἐχθρῶν εὔχηται, ὅταν D κατὰ τῶν λελυπηκότων. ταῦτα οὐκ ἔστιν ἀνθρώπου, ἀλλὰ διαβόλου τὰ ῥήματα. εἰ γὰρ τὸ ὀμνύναι ἐκ τοῦ διαβόλου ἐστὶ, καὶ γὰρ τὸ περιττὸν τούτων ἐκ τοῦ πονηροῦ ἐστιν, εὔδηλον ὅτι καὶ τὸ κατ' ἐχθρῶν εὔχεσθαι. ἐὰν τοίνυν λέγῃς· τὰ ῥήματά μου ἐνώτισαι, ἐκεῖνα φθέγξαι, ἃ ἀνθρώπου ῥήματά ἐστιν ἡμέρου καὶ φιλανθρώπου καὶ οὐδὲν ἔχοντος διαβολικόν. σύνες τῆς κραυγῆς μου. κραυγὴν ἐνταῦθα, οὐ τὸν τόνον φησὶ τῆς φωνῆς, ἀλλὰ τῆς διανοίας τὴν διάθεσιν. ἐπεὶ καὶ τῷ Μωσεῖ σιγῶντι ἔλεγε, τί βοᾷς πρός με; οὐκ εἶπε, τί εὔχῃ πρός με; ἀλλὰ, τί βοᾷς πρός με;

ἐπειδὴ μετὰ σφοδρᾶς διαθέσεως αὐτῷ προσῄει. ἵνα γοῦν μάθῃς ὅτι καὶ ἐνταῦθα οὐ τὴν κραυγὴν λέγει, ἀλλὰ τὴν διάθεσιν τῆς διανοίας, καὶ τὴν σπουδὴν τὴν συντεταμένην, οὐκ εἶπεν ἄκουσον τῆς κραυγῆς μου, ἀλλὰ τί; σύνες. τουτέστι κατάμαθε. εἰ γὰρ καὶ ἀνθρωπίνοις κέχρηται ῥήμασιν, ἀλλὰ καὶ ἐν αὐτοῖς τοῖς ἀνθρωπίνοις τὸ εὐπαρεστάλμενον δηλοῖ. πρόσχες τῇ φωνῇ τῆς δεήσεώς μου. πάλιν τὴν ἔνδον λέγει φωνήν. οὕτω καὶ Ἄννα ἐβόα. καὶ οὐχ ἁπλῶς εἶπε, πρόσχες τῇ φωνῇ τῆς εὐχῆς μου, ἀλλὰ τῆς δεήσεώς μου. τὸν γὰρ εὐχόμενον ἱκέτου δεῖ περικεῖσθαι σχῆμα καὶ γνώμην. ὁ γὰρ ἱκέτης οὐ κατηγόρου ῥήματα ἀναλαμβάνει· ὁ δὲ ἐχθροῦ κατευχόμενος, κατήγορος μᾶλλόν ἐστιν, ἢ ἱκέτης. εἶδες πῶς προσέστησε τὴν εὐχὴν, ἐπειδὴ ἀξίαν αὐτὴν ἐποιεῖτο τοῦ ἀκουσθῆναι; οὕτω καὶ ἡμεῖς, ὅταν εὐχώμεθα καὶ βουλώμεθα ἀκούεσθαι, πρῶτον αὐτὴν καθιστῶμεν, ἵνα ἡ εὐχὴ, καὶ μὴ κατηγορία γένηται, καὶ κατὰ τοὺς νόμους τοὺς ἐκείνου, οὕτως αὐτὴν εἰσάγωμεν. ὁ βασιλεύς μου καὶ ὁ Θεός μου. ὅπερ ὁ προφήτης συνεχῶς λέγει, μᾶλλον δὲ ὅπερ ἐξαίρετον τοῦ Ἀβραὰμ ἦν, καθὼς ὁ Παῦλός φησι· δι᾽ ἣν αἰτίαν οὐκ ἐπαισχύνεται ὁ Θεὸς καλεῖσθαι αὐτῶν· τοῦτο αὐτὴ διείληφε, καὶ τῷ πόθῳ κατώρθωσεν. οὐ γὰρ εἶπεν ἁπλῶς, βασιλεὺς, ἀλλ᾽ ὁ βασιλεύς μου καὶ ὁ Θεός μου, τὸν ἔρωτα ἐνδεικνυμένη τὸν αὐτῆς. εἶτα καὶ τὰς αἰτίας τίθησι, δι᾽ ἃς ἀξιοῖ αὐτὴν ἀκουσθῆναι. ποῖαι δὲ εἰσιν αὗται; ὅτι πρὸς σὲ προσεύξομαι κύριε. τίς, φησιν, οὐχὶ τῷ Θεῷ προσεύχεται; πολλοὶ δοκοῦσι μὲν τῷ Θεῷ προσεύχεσθαι· πρὸς δὲ ἀνθρώπων ἐπίδειξιν τοῦτο ποιοῦσιν. ἀλλ᾽ οὐχ αὕτη· ἀλλὰ πρὸς Θεὸν αὐτὴν ἀνετείνετο, τὰ ἀνθρώπινα πάντα ἀφεῖσα. τὸ πρωῒ εἰσακούσῃ τῆς φωνῆς μου. ὁρᾷς σπουδὴν καὶ κατανενυγμένην ψυχήν; ἐκ προοιμίων τῆς ἡμέρας, φησὶ, τοῦτο ἔργον ποιοῦμαι. ἀκουέτωσαν οἱ μετὰ μυρία ἔργα τότε ἐπὶ τὴν εὐχὴν ἐρχόμενοι. ἀλλ᾽ οὐχ αὕτη· ἀλλ᾽ ἐκ προοιμίων τῆς ἡμέρας τὰς ἀπαρχὰς ἐδίδου τῷ Θεῷ. δεῖ γὰρ, φησι, φθάνειν τὸν ἥλιον ἐπ᾽ εὐχαριστίαν σου, καὶ πρὸ ἀνατολῆς φωτὸς ἐντυγχάνειν σοι. σὺ δὲ ἐπὶ μὲν βασιλέως οὐκ ἂν ἀνάσχοιο τὸν ἐλάττονα πρὸ σοῦ προλαβόντα προσκυνῆσαι· νυνὶ δὲ

A quoniam cum vehementi affectione ad eum accesserat. Vt ergo scires quòd hic quoque non dicit clamorem, sed mentis affectionem, & intensum studium, non dixit: Auribus percipe clamorem meum: sed quid? Intellige, hoc est, disce, seu cognosce. Etsi enim humanis verbis vsus est, sed in ipsis tamen verbis humanis quod rectè repræsentatur, significat. 2. *Intende voci supplicationis meæ.* Dicit rursus vocem internam. Ita etiam clamabat Anna. Et non dixit simpliciter & absolutè, Intende voci orationis meæ, sed, supplicationis meæ: eum enim qui orat, oportet & habitum, & mentem supplicis induere. Qui enim supplex est, non suscipit verba accusatoris. Qui autem inimico malè precatur, est accusator potius, quàm supplex. Vidisti quomodo orationem attulit, quando eam fecit dignam quæ audiretur? ita etiam nos quando oramus, & volumus exaudiri, eam primum ita comparemus, vt sit oratio, & non accusatio, & latis ab eo legibus conuenienter eam introducamus. *Rex meus & Deus meus.* Quod frequenter dicit Propheta, vel potius quod erat Abrahæ vt eximium attributum, vt dicit Paulus, (qua de causa non erubescit Deus, Deus eorum vocari) hoc ipsa sibi assumpsit, & desiderio impulsa præclarè vsurpauit. Non enim dixit, rex absolutè, sed rex meus, & Deus meus, amorem suum indicans. Deinde autem affert causas, propter quas vult eam exaudiri. Quænam autem sunt eæ? 3. *Quoniam ad te orabo Domine.* Quis, inquit, Deum non orat? Multi videntur quidem Deum orare: sed id faciunt, vt se ostentent hominibus. At non hæc, sed ad Deum ferebatur, humanis rebus omnibus dimissis. *Mane exaudies vocem meam.* Vides vehemens studium, & contritū animum? A principio diei, inquit, hoc ago. Audiant qui post innumerabilia opera tandem veniunt ad orationem. At non ipsa, sed ab initio diei dabat Deo primitias. Oportet enim, inquit, ad gratias tibi agendas solem præuenire, & ante ortum lucis te interpellare. Tu autem coram Imperatore quidem minimè patiaris eum qui est inferior ante te adorare? nunc autem sole oriente

Exod. 14.
Sam. 1.
Hebr. 11.16
Matth. 6.
Sap. 16. 28

ipse dormis, & cedis primo loco creaturæ, nec omnem creaturam præuenis, quæ propter te facta est: nec ei agis gratias, sed cùm surgis, manus & faciem lauas, animam autem immundam negligis. Nescis quòd sicut corpus aqua, ita oratione mundatur anima? laua ergo ante corpus animam: multæ illi insident vitiorum maculæ, eas expellemus per orationem. Si enim os nostrum ita munierimus, diurnæ actionis pulchrum iecerimus fundamentum. *Mane astabo tibi, & videbo.* Astabo tibi, non loco, inquit, sed factis. Qui enim est eiusmodi, is propè Deum esse potest. Vt enim propè simus, vel procul, ex eo euenit: Deus enim est vbique.

Sap.7.8. *Quoniam non Deus volens iniquitatem tu es.* Alius interpres dicit: Et considerabo quòd non Deus volens iniquitatem tu es. 5. *Neque habitabit iuxta te malignus.* Simulachra hic innuit, quòd his delectarentur, & omni iniquitate, & rebus improbis. Neque habitabit iuxta te malignus. Non erit tibi amicus, non erit tibi vicinus. *Neque permanebunt iniusti ante oculos tuos.* Ostendit hic Deum odisse malos, docens eos qui illi propinqui esse volent, seipsos tales reddere, nempe quòd non alia ratione prope eum esse liceat. Si enim viro bono non possit esse propinquus, qui ab eo discrepet moribus: ei multò magis. Quòd enim improbi non possint esse probis propinqui, audi quid dicant

Sap.2.15. de iusto: Grauis est nobis etiam dum videtur. Ita Ioannes vel agens in carcere, cùm ne videretur quidem, molestus erat Herodiadi, licet tantum ab eo mulier abesset: post mortem autem, etiam illius qui tunc erat tyranni vexabat conscientiam. Nemo ergo eorum qui ex virtute viuunt, se graue aliquid pati existimet, etiamsi improbi ei insidientur. Qui enim malè faciunt, ij patiuntur. 6. *Odisti omnes qui operantur iniquitatem, perdes omnes qui loquuntur mendacium. 7. Virum sanguinum & dolosum abominabitur Dominus.* Hæc dicuntur non vt solum audiamus, sed etiam vt doceamur hæc assiduè audientes, & sponsi moribus congruere,

ἡλίου προσκυνοῦντος καθεύδεις αὐτός, καὶ ἀναχωρεῖς τῇ κτίσει τῆς προεδρίας, καὶ οὐ φθάνεις ἅπασαν τὴν κτίσιν τὴν διὰ σὲ γενομένην, οὐδὲ ἀποδίδως αὐτῷ τὰ εὐχαριστήρια· ἀλλ' ἀναστάμενος καὶ ὄψιν περικλύζεις καὶ χεῖρας, τὴν δὲ ψυχὴν περιορᾷς ἀκάθαρτον. οὐκ οἶσθα, ὅτι καθάπερ ὕδατι σῶμα, οὕτω δι' εὐχῆς ἡ ψυχὴ καθαίρεται; νίψον τοίνυν πρὸ τοῦ σώματος τὴν ψυχήν. πολλαὶ λῦμαι προσίστανται αὐτῇ κακίας· ταύτας ἀποθώμεθα διὰ τῆς δεήσεως. ἂν γὰρ οὕτω τὸ στόμα τειχίσωμεν, καλὸν θεμέλιον τῆς καθημερινῆς πράξεως καταβαλοῦμεν. Τὸ πρωῒ παραστήσομαί σοι, καὶ ἐπόψομαι. Παραστήσομαί σοι, οὐ τόπῳ, φησίν, ἀλλ' ἔργοις. ὁ γὰρ τοιοῦτος ἐγγὺς γενέσθαι δύναται τοῦ Θεοῦ. τὸ γὰρ ἐγγὺς καὶ τὸ μακρὰν ἐντεῦθεν συμβαίνει. ὁ γὰρ Θεὸς πανταχοῦ ἐστι. Παραστήσομαί σοι, καὶ ἐπόψομαι, ὅτι οὐχὶ Θεὸς θέλων ἀνομίαν σὺ εἶ. ἕτερος ἑρμηνευτής φησι· καὶ σκοπήσω, ὅτι οὐχὶ Θεὸς θέλων ἀνομίαν σὺ εἶ. Οὐδὲ παροικήσει σοι πονηρευόμενος. ἐνταῦθα τὰ εἴδωλα αἰνίττεται· ὅτι τούτοις ἔχαιρον, καὶ παρανομίᾳ πάσῃ καὶ τοῖς ἄλλοις τοῖς ἐν πονηρίᾳ πράγμασιν. Οὐδὲ παροικήσει σοι πονηρευόμενος. οὐκ ἔσται σοι, φησί, φίλος, οὐκ ἔσται σοι πλησίον. Οὐδὲ διαμενοῦσι παράνομοι κατέναντι τῶν ὀφθαλμῶν σου. τὸ μισοπόνηρον τοῦ Θεοῦ ἐνταῦθα δείκνυσι, διδάσκων τοὺς ἐγγὺς αὐτοῦ γενομένους τοιούτους ἑαυτοὺς κατασκευάζειν, ὡς οὐκ ἐνὸν ἄλλως γενέσθαι ἐγγύς. εἰ γὰρ ἀνθρώπῳ χρηστῷ οὐκ ἄν τις δύναιτο γενέσθαι πλησίον τοῖς τρόποις διεστηκὼς αὐτοῦ, πολλῷ μᾶλλον τούτῳ. ὅτι γὰρ οὐ δύνανται ἐναρέτων ἀνδρῶν ἐγγὺς γενέσθαι οἱ πονηροί, ἄκουσον τί φησι περὶ τοῦ δικαίου· Βαρύς ἐστιν ἡμῖν καὶ βλεπόμενος. οὕτω καὶ Ἰωάννης τὸ δεσμωτήριον οἰκῶν καὶ μὴ ὁρώμενος ἐλύπει τὴν Ἡρωδιάδα, καίτοι τοσοῦτον αὐτοῦ ἀφεστήκει τὸ γύναιον. μετὰ δὲ τὴν τελευτὴν, καὶ τοῦ τυράννου τότε ἐκείνου τὸ συνειδὸς κατέσειε. μηδεὶς τοίνυν τῶν ἐν ἀρετῇ ζώντων ἡγείσθω τι πάσχειν δεινόν, κἂν ἐπιβουλεύηται παρὰ τῶν πονηρῶν. οἱ γὰρ πάσχοντες κακῶς, οἱ ποιοῦντές εἰσιν. Ἐμίσησας πάντας τοὺς ἐργαζομένους τὴν ἀνομίαν, ἀπολεῖς πάντας τοὺς λαλοῦντας τὸ ψεῦδος· ἄνδρα αἱμάτων καὶ δόλιον βδελύσσεται κύριος. ταῦτα λέγεται, οὐχ ἵνα ἀκούσωμεν μόνον, ἀλλ' ἵνα καὶ παιδευώμεθα ταῦτα συνεχῶς ἀκούοντες καὶ τοῖς τρόποις τοῦ νυμφίου ἁρμόζεσθαι,

καὶ πλησίον αὐτοῦ γίνεσθαι· ὡς ἂν μὴ ταῦτα ᾖ, ἐρημούμεθα τῆς ἄνωθεν ῥοπῆς, οὗ οὐδὲν ἂν γένοιτο χεῖρον. ἐμίσησας πάντας τοὺς ἐργαζομένους τὴν ἀνομίαν· κἂν δοῦλος ᾖ, φησι, κἂν ἐλεύθερος, κἂν βασιλεὺς, κἂν ὁστισοῦν. οὐ γὰρ ἀπὸ τῶν ἀξιωμάτων, ἀλλ᾽ ἀπὸ τῆς ἀρετῆς τοὺς φίλους ἐκκρίνειν ὁ Θεὸς εἴωθεν. ἀλλ᾽ ἐπειδὴ πολλοὶ τῶν παχυτέρων οὐδὲν ἡγοῦνται τὸ μῖσος εἶναι, ἄκουσον πῶς ἐπήγαγε καὶ κολάσεως φόβον, εἰπών· ἀπολεῖς πάντας τοὺς λαλοῦντας τὸ ψεῦδος· ἐπὶ τὸ παχύτερον τὴν ἀμφιτομουμένων τὸν λόγον μεταθείς. οὐ γὰρ μέχρι τοῦ μίσους ἵσταται τὰ τῆς τιμωρίας, καί τοι καὶ τοῦτο ἄφατος κόλασις· ἀλλὰ καὶ πάντας ἀπολεῖ τοὺς λαλοῦντας τὸ ψεῦδος. καί τοι καὶ τὸ πρότερον χαλεπὸν, καὶ γεέννης χεῖρον· τὸ μισηθῆναι παρὰ Θεοῦ· ἀλλὰ πρὸς μὲν τοὺς συνιέναι δυναμένους ἐκεῖνο ἔθηκε· πρὸς δὲ τοὺς παχυτέρους, καὶ τοῦτο προσέθηκε. μὴ τοίνυν θορυβηθῇς ἄνθρωπε, μηδὲ ταράττου, ἐπειδὰν ἴδῃς τινὰς ψευδομένους, ἁρπάζοντας, πλεονεκτοῦντας, καὶ μηδὲν πάσχοντας δεινόν. ἔσται γὰρ πάντως τοῦτο. τοιαύτη γὰρ ἡ τοῦ Θεοῦ φύσις· ἀποστρέφεται πονηρίαν, μισεῖ τε αὐτὴν ἀεὶ, καὶ ἀπεχθάνεται. τοὺς δὲ λαλοῦντας τὸ ψεῦδος ἐνταῦθα λέγει, τοὺς ἐν πονηρίᾳ βιοῦντας, τοὺς τὰ ψευδῆ πράγματα διώκοντας, τοὺς περὶ ἡδονὰς, τοὺς περὶ γαστριμαργίαν, τοὺς περὶ πλεονεξίαν ἐπτοημένους. οἶδε γὰρ πάντα ταῦτα ψευδῆ καλεῖν. ἄνδρα αἱμάτων καὶ δόλιον βδελύσσεται κύριος. τὸν φονικὸν ἐνταῦθά φησι, τὸν ἐπιβουλεύοντα, τὸν ὕπουλον, τὸν ἄλλα μὲν ἐπὶ στόματος φέροντα, ἕτερα δὲ ἐπὶ τῆς διανοίας· τὸν περικείμενον προσωπεῖον ἐπιεικείας, τὰ δὲ λύκου ἐπιδεικνύμενον, οὗ χεῖρον ἂν γένοιτο οὐδέν. ὁ μὲν γὰρ δῆλος ἐχθρὸς, καὶ εὐφύλακτος γένοιτ᾽ ἄν· ὁ δὲ συγκαλύπτων τὴν πονηρίαν καὶ χρώμενος τῇ κακίᾳ, δυσφώρατος ὢν πολλὰ ἐργάζεται τὰ δεινά. διὰ τοῦτο καὶ ὁ Χριστὸς, ἡνίκα ἂν παραγίνοιντο, νήφειν ἐκέλευσεν. ἔρχονται γὰρ πρὸς ὑμᾶς ἐν ἐνδύμασι προβάτων, ἔσωθεν δέ εἰσι λύκοι ἅρπαγες. ἐγὼ δὲ ἐν τῷ πλήθει τοῦ ἐλέους σου εἰσελεύσομαι εἰς τὸν οἶκόν σου. ἐπειδὴ γὰρ ἀπὸ τοιούτων ἡ ἐκκλησία συνειλέκτο, Ἑλλήνων, μάγων, ἀνδροφόνων, γοήτων, ψευστῶν, ἀπατεώνων, εἶπε δὲ ὅτι μισεῖς καὶ ἀποστρέφῃ, δεικνῦσα, ὅτι οὐχ αὕτη

A & ei esse propinqui. Si enim hæc non fiant, superno auxilio deficimur, quo nihil potest esse deterius. Odisti omnes qui operãtur iniquitatem. Siue seruus, inquit, fuerit, siue liber, siue rex, siue quicunq. fuerit: nõ enim ex dignitate, sed ex virtute solet Deus amicos eligere. Sed quoniam nõnulli paulò crassiores odiũ nihil esse existimant: audi quomodo etiã supplicij timorẽ induxerit. Perdes omnes qui loquuntur mendacium, ad id quod est in peccatoribus crassius orationem transferens. Non enim vsque ad odium subsistit suppli-B cium, etsi hoc quoque sit punitio ineffabilis, sed etiam perdet omnes qui loquuntur mendacium. Quanquam prius quoque graue est, & gehenna deterius odio haberi à Deo, sed ad eos quidem qui possunt intelligere, illud posuit: ad crassiores verò hoc quoque adiecit. Ne ergo perturberis ô homo neque obstrepas, quando videris aliquos mentientes, rapientes, in bona aliorum inuadentes, qui tamen nihil mali patiuntur: hoc enim erit omnino. Talis est enim Dei natura, auersatur improbitatem, eam C odit & abhorret. Loquentes autem mendacium hic dicit eos qui malè viuunt, eos qui res fallaces persequuntur, eos qui libidini, gulæ, & auaritiæ sunt dediti. Hæc enim omnia solet appellare mendacia, seu falsa: *Virum sanguinum & dolosum abominabitur Dominus.* Hominem hic dicit qui cæde delectatur, qui insidiatur, qui est fraudulentus & versipellis, qui aliud quidem habet in ore, aliud in pectore, qui mansuetudinis quidem ac comitatis personam induit, sed se factis lupum o-D stendit, quo nihil posset esse deterius. Apertus enim inimicus potest facilè caueri: qui autem malitiam quidem celat, & vtitur malitia, cùm non possit facilè deprehendi, plurima mala facit. Quocirca Christus etiam, quando illi accesserint, sobrios & attentos nos esse iubet. Veniunt enim ad vos, inquit, in vestimẽtis ouium: intus autem sunt lupi rapaces. [8] *Ego autem in multitudine misericordiæ tuæ, introibo in domũ tuam.* Quoniã enim ex eiusmodi hominibus collecta erat ecclesia, Gẽtilibus, magis, homicidis, præstigiatoribus, mendacibus, impostoribus: dixerat autẽ, Odisti & auersaris: ostendens quòd ipsa non ex

ψεῦδος vtrumque sonat.

Matt. 7. 15.

iustitia & rectè factis, sed ex illius clementia ab illis liberata in penetralia introducta est, subiunxit: Ego autem in multitudine misericordiæ tuæ introibo in domum tuam: Ne quis enim dicat: Quomodo ergo tu, quæ hæc & illa fecisti, seruata es? dixit modum salutis: Propter magnam, inquit, clementiam, propter ineffabilem bonitatem seruata sum: sed sunt nonnulli, qui nec misericordiam quidem admittunt, immedicabili morbo affecti, cuiusmodi sunt Iudæi. Gratia enim & misericordia, etsi sit gratia & misericordia, volentes tamen & gratiam habentes seruat, non eos qui effrænata audacia repugnant, & donum non volunt suscipere, quales fuerunt Iudæi, de quibus etiam dicit Paulus, quòd ignorantes Dei iustitiam, & propriam iustitiam quærentes statuere, iustitiæ Dei non fuere subiecti. Deinde quoniam de Deo dixit, de seipso quoque loquitur. *Adorabo ad templum sanctum tuum in timore tuo.* Vbi enim gratiam accepero, tunc, inquit, mea offeram, hoc tibi sacrificium offeram. Adorabo ad templum sanctum tuum in timore tuo. Non sicut, inquit, multi qui orant, fricantes, hiantes, torpescentes, sed cum timore, inquit, & tremore. Qui enim sic orat, omne vitium deponit, ad omnē virtutem deducitur, Deum sibi reddit propitium. *9. Domine deduc me in iustitia tua propter inimicos meos.* Dixit laudes Dei, dixit in malos odiū, benignitatem, clementiam. Dixit suam salutem. Dixit quomodo seruata sit. Dixit postquam seruata fuit quænam attulerit, vitia auersata est, ad virtutem deduxit: iis etiam qui malè viuunt, bonam spem dedit, si voluerint conuerti, vt qui possint misericordiam consequi: conuertit sermonem ad petitionem, quæ deinceps dicit: Domine deduc me in iustitia tua, per hæc docens auditorem prius hymnos ac laudes Deo offerre, & pro beneficiis acceptis gratias agere, & tunc quæ vult petere, & pro iis quæ acceperit rursus agere gratias. Sed videamus quænam ea sunt quæ petit, num aliquid eorum quæ ad hanc vitam pertinent? num quid temporale ac momentaneum? num quid eorum quæ præterfluunt? Num de diuitiis loquitur? num de gloria? num de potentia? num de vlciscendis inimicis? Nihil

Rom. 10. 3.

κατὰ δικαιοσύνην καὶ κατορθώματα, ἀλλὰ κατὰ φιλανθρωπίαν ἀπαλλαγεῖσα ἐκείνων εἰς τὰ ἐνδότατα εἰσήγετο, ἐπήγαγεν· ἐγὼ δὲ ἐν τῷ πλήθει τοῦ ἐλέους σου εἰσελεύσομαι εἰς τὸν οἶκόν σου. ἵνα γὰρ μή τις λέγῃ· πῶς οὖν σὺ ἡ τὰ καὶ τὰ ἐργασαμένη ἐσώθης; εἶπε τὸν τρόπον τῆς σωτηρίας· ὅτι διὰ τὴν πολλὴν φιλανθρωπίαν, διὰ τὴν ἄφατον ἀγαθότητα ἐσώθην. ἀλλ' εἰσί τινες, οἳ οὐδὲ ἔλεον προσίενται, ἀνίατα νοσοῦντες, οἷοι ἦσαν οἱ Ἰουδαῖοι. εἰ γὰρ χάρις καὶ ὁ ἔλεος, κἂν χάρις ᾖ καὶ ἔλεος, ἀλλὰ τοὺς βουλομένους καὶ χάριν ἔχοντας σώζει, οὐ τοὺς ἀφηνιάζοντας καὶ μὴ βουλομένους δέξασθαι τὴν δωρεάν, οἷοι γεγόνασιν οἱ Ἰουδαῖοι· περὶ ὧν καὶ Παῦλος ἔλεγεν, ὅτι ἀγνοοῦντες τὴν τοῦ Θεοῦ δικαιοσύνην, καὶ τὴν ἰδίαν δικαιοσύνην ζητοῦντες στῆσαι, τῇ δικαιοσύνῃ τοῦ Θεοῦ οὐχ ὑπετάγησαν. εἶτα ἐπειδὴ εἶπε τὰ τοῦ Θεοῦ, λέγει καὶ τὰ παρ' ἑαυτῆς· προσκυνήσω πρὸς ναὸν ἅγιόν σου ἐν φόβῳ σου. ὅταν γὰρ χάριτος ἀπολαύσω, καὶ τὰ παρ' ἐμαυτῆς εἰσενέγκω, ταύτην εἰσοίσω σοι τὴν θυσίαν, φησί· προσκυνήσω πρὸς ναὸν ἅγιόν σου ἐν φόβῳ σου· οὐ καθάπερ οἱ πολλοὶ τῶν εὐχομένων, κνώμενοι, χασμώμενοι, ναρκῶντες, ἀλλὰ μετὰ φόβου καὶ τρόμου, φησίν. ὁ γὰρ οὕτως εὐχόμενος, πᾶσαν κακίαν ἀποτίθεται, πρὸς πᾶσαν ἀρετὴν χειραγωγεῖται, τὸν Θεὸν ἵλεων καθίστησιν ἑαυτῷ. κύριε, ὁδήγησόν με ἐν τῇ δικαιοσύνῃ σου ἕνεκα τῶν ἐχθρῶν μου. εἶπε τοὺς ὕμνους τοῦ Θεοῦ, τὸ μισοπόνηρον, τὸ φιλάνθρωπον, τὸ κηδεμονικόν, εἶπε τὴν ἑαυτῆς σωτηρίαν· εἶπε τὸν τρόπον καθ' ὃν ἐσώθη, εἶπε τίνα μετὰ τὸ σωθῆναι αὕτη εἰσήγαγεν· ἀπέστρεψε κακίας, ἐχειραγώγησε πρὸς ἀρετήν, χρηστὰς ὑπέφηνεν ἐλπίδας καὶ τοῖς ἐν πονηρίᾳ ζῶσιν, εἴγε βουληθῶσι μεταβληθῆναι, ὡς ἐλέους δυναμένους τυχεῖν· τρέπει τὸν λόγον εἰς αἴτησιν λοιπὸν λέγουσα· κύριε, ὁδήγησόν με ἐν τῇ δικαιοσύνῃ σου, διὰ τούτων παιδεύουσα τὸν ἀκροατὴν πρότερον ὕμνους ἀναφέρειν εἰς τὸν Θεόν, καὶ εὐχαριστεῖν ἐφ' οἷς εὖ πέπονθε· καὶ τότε ἃ βούλεται αἰτεῖν· καὶ πάλιν εὐχαριστεῖν, ἐφ' οἷς ἂν λάβοι. ἀλλ' ἴδωμεν καὶ τίνα ἐστὶν ἃ αἰτεῖ. μὴ γάρ τι βιωτικόν; μή τι ἐπίκηρον; μή τι τῶν παραρρεόντων; μὴ περὶ πλούτου διαλέγεται; μὴ περὶ δόξης; μὴ περὶ δυναστείας; μὴ περὶ τιμωρίας ἐχθρῶν;

οὐδέ·

A οὐδὲν τούτων. ἀλλὰ τί; κύριε, ὁδήγησόν με ἐν τῇ δικαιοσύνῃ σου ἕνεκα τῶν ἐχθρῶν μου. ὁρᾷς πῶς οὐδὲν ἐπίκηρον αἰτεῖ, καὶ πῶς δεῖται τῆς ἄνωθεν συμμαχίας; οἱ γὰρ ταύτην ὁδεύοντες τὴν ὁδὸν, ἐκείνης μάλιστα δέονται τῆς ῥοπῆς. δικαιοσύνην δὲ ἐνταῦθα, τὴν καθολικήν φησιν ἀρετήν. καὶ καλῶς εἶπεν, ἐν τῇ δικαιοσύνῃ σου. ἔστι γὰρ καὶ ἀνθρώπων δικαιοσύνη, ἡ ἀπὸ τῶν νόμων τῶν ἔξωθεν, ἀλλ' εὐτελὴς καὶ οὐκ ἔχουσα τὸ τέλειον καὶ ἀπηρτισμένον, καὶ ἐξ ἀνθρωπίνων συγκειμένη λογισμῶν. ἐγὼ δὲ τὴν σὴν αἰτῶ δικαιοσύνην, τὴν ἀπὸ σοῦ κατενηνεγμένην, τὴν εἰς τὸν οὐρανὸν χειραγωγοῦσαν, καὶ τὴν συμμαχίαν, ὥστε ταύτην ἐπισπάσασθαι τὴν δικαιοσύνην. καλῶς δὲ εἶπε καὶ τὸ, ὁδήγησον. ὁδὸς γὰρ ὁ παρὼν βίος, δεόμενος τῆς ἄνωθεν χειραγωγίας. εἰ γὰρ εἰς πόλιν μέλλοντες εἰσιέναι, δεόμεθα τοῦ γνωρίζοντος ἡμῖν τὴν ὁδὸν· πολλῷ μᾶλλον εἰς τὸν οὐρανὸν ἀποδημεῖν μέλλοντες, χρείαν ἔχομεν τῆς ἄνωθεν ῥοπῆς, ἵνα καὶ δείξῃ καὶ στηρίξῃ καὶ χειραγωγήσῃ. πολλαὶ γὰρ ἀτραποὶ αἱ ἐκτρέπουσαι. διὰ τοῦτο ἐχώμεθα τῆς δεξιᾶς τοῦ Θεοῦ. ἕνεκα τῶν ἐχθρῶν μου. πολλοὶ συνέστησαν, φησι, πολέμιοι βουλόμενοί μου παρεκκλῖναι τὰ διαβήματα, καὶ πλανῆσαι, καὶ πρὸς ἑτέραν ὁδὸν ἀγαγεῖν. ἐπεὶ οὖν τοιαῦται αἱ ἐπιβουλαὶ, τοιαῦται αἱ ἔφοδοι, ὁδήγησόν με αὐτός. τῆς γὰρ παρὰ σοῦ χρείαν ἔχω συμμαχίας. ἀλλὰ τὸ μὲν ὁδηγηθῆναι, αὐτοῦ γίνεται· τὸ δὲ ἄξιον εἶναι τοῦ κρατηθῆναι ὑπὸ τῆς χειρὸς ἐκείνης, τῆς ἡμετέρας γενέσθω σπουδῆς. ἂν γὰρ ᾖς ἀκάθαρτος, οὐ κατέχει σε ἡ χεὶρ ἐκείνη· ἂν ᾖς πλεονέκτης, ἂν ἑτέραν τινὰ κηλῖδα ἔχῃς. κατεύθυνον ἐνώπιόν σου τὴν ὁδόν μου. τουτέστι, δήλην μοι ποίησον, σαφῆ, γνωρίμην· ὀρθοτόμησον αὐτὴν παρ' ἐμοί. ἕτερος δὲ ἑρμηνευτὴς εἶπεν· ὁμάλισον ἔμπροσθέν μου τὴν ὁδόν σου. τουτέστι, ῥᾳδίαν ποίησον, εὔκολον. ὅτι οὐκ ἔστιν ἐν τῷ στόματι αὐτῶν ἀλήθεια, ἡ καρδία αὐτῶν ματαία. ἐμοὶ δοκεῖ καὶ περὶ τῶν ἐν πλάνῃ διαγόντων ταῦτα λέγειν, τό, τε στόμα διαβάλλουσα, καὶ τὴν διάνοιαν ὡς ἐρήμην παντὸς ἀγαθοῦ· καὶ περὶ τῶν ἐν πονηρίᾳ ζώντων. τάφος ἀνεῳγμένος ὁ λάρυγξ αὐτῶν. ἤτοι τὸ φονικὸν ἐνταῦθα λέγει, ἢ τὸ νεκρὰ προσφέρειν δόγματα, καὶ δυσώδη. οὐκ ἂν τις ἁμάρτοι, καὶ τῶν αἰσχρὰ φθεγγομένων ῥήματα τὰ στόματα οὕτω καλέσας, τάφον ἀνεῳγμένον.

horum. Sed quid? Domine deduc me in iustitia tua propter inimicos meos. Vides quomodo nihil petit fluxum & caducum,& quomodo supernum rogat auxiliũ? Qui enim ea via ingrediuntur, eo maximè auxilio indigent. Iustitiam autem hic dicit vniuersam virtutem. Et rectè dixit, Tuam iustitiã. Est enim etiam hominum iustitia, quæ ex externis legibus proficiscitur, sed vilis, & quę nihil habet perfectum & absolutum, & cõstat ex humanis cogitationibus. Ego autem tuam peto iustitiam, quę à te delata est, quæ deducit in cœlum, & auxi- B lium vt hanc iustitiam mihi conciliem. Rectè autẽ dixit illud, Deduc me. Præsens enim vita via est, quæ vt à manu superna deducatur, opus habet. Si enim vrbẽ ingressuri opus habemus aliquo, qui viam nobis indicet, multò magis in cœlum peregrinaturi opus habemus superno auxilio, vt indicet, confirmet, & deducat. Multæ enim sunt semitæ quæ diuertunt. Propterea dexterã Dei teneamus. Propter inimicos meos: multi, inquit, conspirarũt inimici, volentes gressus meos diuertere, & in errorem abducere, & in aliã viam ducere. Quia C ergo tales sunt insidiæ, tales inuasiones, ipse me deduc. Tuo enim auxilio egeo. Nam vt in via quidẽ deducamur, eius est: vt autem digni simus vt illa manu teneamur, nostræ sit diligẽtiæ. Si fueris enim immundus, non te tenet illa manus: si fueris auarus, si aliquam aliam habens maculam. *Dirige in conspectu tuo viam meã.* Hoc est, fac mihi eam claram, apertam, notam: fac vt ea sit apud me certa & recta. Alius autem interpres dixit: Complana ante me viam tuam, hoc est, redde planã ac facilem. 10. *Quo-* D *niam non est in ore eorum veritas, cor eorum vanum est.* Mihi videtur hæc dicere & de iis qui in errore versantur, & os & mentem accusans, vt omni bono defectam, & de iis qui viuunt in scelere. *Sepulchrum patens est guttur eorum.* Vel hominum cęde delectari, vel mortua & malè olentia dogmata proferre hîc dicit. Non aberrauerit quispiam, si etiam eorum qui obscœna verba loquuntur, ora patens sepulchrum appellauerit.

Iustitia virtus omnis.

E

Ille enim fœtor est sensibili multò grauior, qui quidem ex animæ putrefactione oritur: sunt etiam auarorum ora talia, quando nihil aliud, proferunt quàm cædes & rapinas. Ne sit ergo os tuum sepulchrum, sed thesaurus. Thesauri enim multum à sepulchris differunt, quòd illa quidem corrumpunt quod acceperint, isti verò conseruant. (Sap. 6.) Habe ergo tu quoque diuitias studij sapientiæ, quæ perpetuò permanent, sed non maleolentiam aliquam & putrefactionem. Et non dixit simpliciter & absolutè sepulchrum, sed patens, vt etiam significet maiorem esse abominationem. Cùm enim oporteret eos huiusmodi verba celare, illi etiam proferunt, vt suũ magis morbum ostendant. Et in mortuis quidem corporibus contrarium facientes, terræ tradimus: hi autem in his verbis faciũt contrarium, & quod in imò corde celare oporteret, & suffocare, proferentes, & multos offendentes, & omnibus videnda proponentes: sed eos qui tales sunt, quæso abigamus. Si enim mortua corpora extra vrbem sepelimus, multò magis eos qui verba mortua, & qui talia proferunt, & ne tegere aut obumbrare quidem volunt, longè amandare oportet. Huiusmodi enim ora sunt communis ciuitatis pernicies. *Linguis suis dolose agebant.* Vidisti aliud genus improbitatis. Hi quidem dolum in mente sua celant, blandis verbis vtentes: alij autem adeo sunt vafri & astuti, vt in ipsis verbis improbitatem obtegant, fraudésque & insidias construant. *Iudica illos Deus, 12. excidant à cogitationibus suis.* Vide hic etiam quàm sit mitis oratio. Non enim dixit: Puni, sed iudica eos, & fac cessare à vitio, fac vt sint irrita eorum consilia, quod etiam pro ipsis est orare, vt non vltra progrediatur eorum improbitas. *Secundùm multitudinem impietatum eorum expelle eos, quoniam irritauerunt te Domine.* Hoc est, Non sunt mihi curæ ea quæ mihi facta sunt: sed doleo propter ea quæ tibi fecerunt. Hoc est enim in primis pij & sapientis animi, suas quidem nolle vlcisci: sed Dei iniurias vehementer persequi. Multi faciunt his contraria, quæ in Deum quidem facta sunt contemnentes, quæ in se autem peccata sunt acerrimè vindicãtes,

A πολὺ γὰρ τῆς αἰσθητῆς δυσωδίας ἐκείνη χαλεπωτέρα, ἀπὸ σηπεδόνος τικτομένη ψυχῆς. καὶ τῶν πλεονεκτῶν τὰ στόματα τοιαῦτα· ὅταν μηδὲν ὑγιὲς προσφέρωσιν, ἀλλὰ φόνους καὶ ἁρπαγάς. μὴ τοίνυν ἔστω τάφος τὸ στόμα σου, ἀλλὰ θησαυρός. πολὺ γὰρ οἱ θησαυροὶ διενηνόχασι τῶν τάφων· ὅτι ἐκεῖνοι μὲν φθείρουσιν ὅπερ ἂν λάβωσιν, οὗτοι δὲ διατηροῦσιν. ἔχε τοίνυν καὶ σὺ πλοῦτον φιλοσοφίας ἀεὶ μένοντα, ἀλλὰ μὴ δυσωδίαν τινὰ καὶ σηπεδόνα. καὶ οὐχ ἁπλῶς εἶπε, τάφος, ἀλλ' ἀνεῳγμένος, ὥστε τὴν πλείονα δηλῶσαι τὴν βδελυγμίαν γίνεσθαι. δέον γὰρ κρύπτειν B τὰ τοιαῦτα ῥήματα, οἱ δὲ καὶ ἐκφέρουσιν, ὥστε μᾶλλον αὐτῶν τὴν νόσον ἐνδείκνυσθαι. καὶ ἐπὶ μὲν τῶν νεκρῶν σωμάτων τὸ ἐναντίον ποιοῦντες, τῇ γῇ παραδίδομεν· οὗτοι δὲ ἐπὶ τῶν ῥημάτων τούτων τὸ ἐναντίον ἐργάζονται, καί, ὃ δέον καταχρύπτειν κάτω, ἐν τῷ βάθει τῆς καρδίας καὶ ἀποπνίγειν, ἐκφέροντες, καὶ πολλοὺς παραβλάπτοντες, καὶ προτιθέντες πᾶσιν ὁρᾶν. ἀλλ' ἐλαύνωμεν τοὺς τοιούτους παρακαλῶ. εἰ γὰρ τὰ νεκρὰ σώματα ἔξω τῆς πόλεως καταθάπτομεν· πολλῷ μᾶλλον τοὺς τὰ νεκρὰ ῥήματα, καὶ τοὺς C τὰ τοιαῦτα ἐκφέροντας, καὶ οὐδὲ συσκιάσαι βουλομένους πόρρω που κατοικίζειν χρή· ἐπεὶ κοινὴ τῆς πόλεως λύμη, τὰ τοιαῦτα στόματά ἐστι. ταῖς γλώσσαις αὐτῶν ἐδολιοῦσαν. εἶδες ἕτερον κακίας εἶδος. οἱ μὲν ἐν τῇ διανοίᾳ κατακρύπτουσι τὸν δόλον, ῥήματα προσηνῆ προσφέροντες· οἱ δὲ τοσαύτῃ κέχρηνται τῇ δεινότητι, ὡς ἐν αὐτοῖς τοῖς ῥήμασι συσκιάζειν τὴν πονηρίαν, καὶ ῥάπτειν δόλους καὶ ἐπιβουλάς. κρῖνον αὐτοὺς ὁ Θεός, ἀποπεσάτωσαν ἀπὸ τῶν διαβουλιῶν αὐτῶν. ὅρα κἀνταῦθα τὴν ἡμερότητα τῆς εὐ- D χῆς. οὐ γὰρ εἶπε, κόλασον, ἀλλὰ κρῖνον αὐτοὺς καὶ παῦσον τῆς πονηρίας· ἀνήνυτα αὐτῶν ποίησον τὰ μηχανήματα. ὅπερ καὶ ὑπὲρ αὐτῶν εὔχεσθαί ἐστι, τοῦ μηκέτι προϊέναι τὰ τῆς κακίας αὐτοῖς. κατὰ τὸ πλῆθος τῶν ἀσεβειῶν αὐτῶν ἔξωσον αὐτούς, ὅτι παρεπίκρανάν σε κύριε, τουτέστιν, οὐδέν μοι μέλει τῶν εἰς ἐμὲ γινομένων, ἀλλ' ὑπὲρ τῶν σῶν ἀλγῶ. τοῦτο γὰρ μάλιστα φιλοσόφου ψυχῆς, ὑπὲρ μὲν τῶν οἰκείων μὴ ἀμύνεσθαι· ὑπὲρ δὲ τῶν εἰς Θεὸν γινομένων σφόδρα ἐπεξιέναι. τούτων τἀναντία πολλοὶ ποιοῦσι, τὰ μὲν τοῦ Θεοῦ παρορῶντες, τὰ δὲ ἑαυτῶν μετὰ πολλῆς ἐκδικοῦντες τῆς σφοδρότητος.

ἀλλ' οὐχ οἱ ἅγιοι οὕτως, ἀλλὰ σφοδροὶ ἠμυνεσὶ τῶν εἰς Θεὸν γινομένων ἦσαν, τὰ δὲ ἑαυτῶν παρεώρων. καὶ εὐφρανθήτωσαν πάντες οἱ ἐλπίζοντες ἐπὶ σέ. ὅρα τῆς εὐχῆς τὸ κέρδος. κἀκεῖνοι βελτίους ἔσονται, καὶ στήσονται τῆς πονηρίας· καὶ ἕτεροι πολλῆς ἀπολαύσονται τῆς ἡδονῆς, τήν τε ἐκείνων μεταβολὴν ὁρῶντες, καὶ τὴν εἰς τὸ βέλτιον μετάθεσιν, καὶ ἑτέρους σπουδαιοτέρους ταύτῃ γινομένους. εἰς αἰῶνα ἀγαλλιάσονται, καὶ κατασκηνώσεις ἐν αὐτοῖς. αὕτη μάλιστα ἡ χαρὰ διηνεκής. ὡς αἵγε ἄλλαι, τῶν ποταμίων ῥευμάτων οὐδὲν ἄμεινον διάκεινται, ὁμοῦ τε φαινόμεναι καὶ παραρρέουσαι· ἡ δὲ κατὰ Θεὸν εὐφροσύνη μένει καὶ πέπηγε, διαρκής τέ ἐστι καὶ μόνιμος, οὐδεμιᾷ τῶν ἀδοκήτων περιστάσεων διακοπτομένη, ἀλλ' ὑψηλοτέρα γινομένη δι' αὐτῶν τῶν κωλυόντων. ἐπεὶ καὶ οἱ ἀπόστολοι ἐμαστιγοῦντο, καὶ ἔχαιρον· καὶ ὁ Παῦλος ἐθλίβετο, καὶ ἐσκίρτα· τελευτᾶν ἔμελλε, καὶ κοινωνοὺς ἐκάλει τῆς ἡδονῆς, λέγων· ἀλλ' εἰ καὶ σπένδομαι ἐπὶ τῇ θυσίᾳ καὶ λειτουργίᾳ τῆς πίστεως ὑμῶν, χαίρω καὶ συγχαίρω πᾶσιν ὑμῖν. τὸ δὲ αὐτὸ καὶ ὑμεῖς χαίρετε καὶ συγχαίρετέ μοι. τοῖς οὕτως ἡδομένοις ὁ Θεὸς ἐνοικεῖ. διὸ καὶ αὐτὴ οὕτω φησίν· εἰς αἰῶνα ἀγαλλιάσονται, καὶ κατασκηνώσεις ἐν αὐτοῖς. τοῦτο αὐτὸ καὶ ὁ Χριστὸς δηλῶν ἔλεγε, τὸ ἀκατάλυτον τῆς ἡδονῆς ἐμφαίνων· πάλιν ὄψομαι ὑμᾶς, καὶ τὴν χαρὰν ὑμῶν οὐδεὶς λαμβάνει. καὶ Παῦλος πάλιν· πάντοτε χαίρετε, ἀδιαλείπτως προσεύχεσθε. καὶ καυχήσονται ἐν σοὶ οἱ ἀγαπῶντες τὸ ὄνομά σου. τούτοις γὰρ μάλιστά ἐστι καυχᾶσθαι μόνοις, τούτοις χαίρειν, τούτοις εὐφραίνεσθαι. ὡς ὅγε ἐπὶ τοῖς βιωτικοῖς καλλωπιζόμενος, οὐδὲν διενήνοχε τῶν ἐν ὀνείρῳ τρυφώντων. τί γὰρ, εἰπέ μοι, τῶν ἀνθρωπίνων τοιοῦτόν ἐστιν, ὥστε παρέχειν καυχᾶσθαι; ῥώμη σώματος; ἀλλ' οὐκ ἔστι προαιρέσεως τὸ κατόρθωμα, διὸ καὶ τοῦ καυχᾶσθαι ἐστέρηται· ἄλλως δὲ, καὶ μαραίνεται καὶ διαπίπτει ταχέως, πολλάκις δὲ καὶ τὸν ἔχοντα ἔβλαψεν, οὐκ εἰς δέον ταύτῃ χρησάμενον. τοῦτο καὶ ἐπὶ ὥρας καὶ ἐπὶ εὐμορφίας ἐστὶν εἰπεῖν, καὶ ἐπὶ πλούτου, καὶ ἐπὶ δυναστείας, καὶ ἐπὶ τρυφῆς, καὶ ἐπὶ πάντων τῶν βιωτικῶν. τὸ δὲ ἐπὶ τῷ Θεῷ καυχᾶσθαι, καὶ τῇ ἀγάπῃ τῇ εἰς αὐτὸν, κόσμος ἁπάντων μείζων,

A At non sic sancti, sed eorum quidem quæ in Deum fiebant, erant acerrimi vindices: quæ in se autem, negligebant. 13. *Et lætentur omnes qui sperant in te.* Vide lucrum orationis. Et illi meliores euadent, & desistent à vitiis: & alij magna voluptate afficientur, videntes illorum mutationem, & ad id quod est melius conuersionem, & alios ea ratione fieri meliores. *In æternum exultabunt; & habitabis in eis.* Hoc est maximè gaudium perpetuum. Alia enim gaudia nihilo sunt stabiliora quàm fluuiorum flucta, quæ simul ac videntur præterfluunt. B Quæ est autem ex Deo lætitia, manet, firmísque hæret radicibus, & est sufficiens, perpetua ac stabilis, quæ nullis inopinatis ac inexpectatis casibus interrumpitur, sed per ea quæ prohibent maior & sublimior redditur. Nam & Apostoli flagellis cedebantur, & gaudebant, & Paulus affligebatur, & exultabat. Moriturus erat, & gaudij participes appellabat. Sed etsi delibor propter sacrificium & ministerium fidei vestræ, gaudeo & collætor cum vobis omnibus. Itidem & vos gaudete, & mecum collætamini. Cum iis qui ita C lætantur, Deus habitat. Quamobrem ipse quoque dicit; In æternum exultabunt, & habitabis in eis. Hoc ipsũ Christus etiã significans, dicebat, ostendens eam voluptatem minimè posse cessare. Rursus videbo vos, & gaudiũ vestrum nemo tollit. Et rursus Paulus; Semper gaudete, assiduè orate. 14. *Et gloriabuntur in te qui diligunt nomen tuum.* His enim solis licet maximè gloriari, his gaudere, his lætari. Nam qui de iis quæ ad hanc vitã pertinẽt gloriatur, ac sibi placet, is nihil differt ab iis qui in somno voluptate fruũtur. Quid enim mihi, dic quæso, ex D rebus humanis est eiusmodi, vt de eo quis possit verè ac solidè gloriari? Vires corporis? Sed vt eas validas habeamus, non est nostri arbitrij, & ideo non est quòd gloriemur, & alioqui flaccescunt & excidunt celeriter, & sæpe etiam lædunt eum qui est iis præditus, si iis non vt oportet vtatur. Hoc etiam videri potest & in pulchritudine, & in diuitiis, & in potentia, & voluptate, & omnibus quę ad hanc vitam pertinent. In Deo autem gloriari & in amore in ipsum, est ornatus omnium maximus,

Ioh. 10. 1. Cor. 7. Ioan. 16. Philip. 4. Act. 5.

Philip. 2. 17

Ioan. 16. 22 1. Thess. 5. 5 1. Tim. 5.

& splendor qui innumerabilia superat diademata, etiamsi sit captiuus, & in vincula coniectus qui gloriatur. Hic ornatus, non morbo, non senio, non rerum vicissitudine, non temporum varietate, non ipsa denique morte interrumpitur: sed tunc etiam magis resplendet. *Quoniam tu benedices iusto.* Quoniam multi ex iis qui ita affecti sunt, probris ac maledictis ab hominibus appetuntur, ac irridentur, & maxime qui virtutem persequuntur: ne quis ex crassioribus propterea animum abijciat, vide quomodo eius mentem fulcit, & sustentat, dicens: Quoniam tu benedices iusto. Quid enim damni accipit, si homines contemnant, & vniuersus orbis terrarum, quando dominus angelorum eum laudat & prædicat? quemadmodum si ipse non benedicat, etsi omnes laudent, qui terram & mare habitant, ei nihil prodest. Hoc ergo omni ratione consideremus, vt ipse nos prædicet, ipse nos coronet. Quòd si fiat, sumus omnibus excelsiores, etiamsi in paupertate, etiamsi in morbo, etiamsi in extremis malis simus. Nam etiam beatus Iob, & in sterquilinio sedens, & vulnerum sanie exulceratus, & innumerabilibus scatens vermium fontibus, & illa indignissima patiens, vt qui à seruis conspueretur, eique ab amicis & inimicis, & ab vxore insidiæ tenderentur, & ad inopiam, famem, & immedicabilem ægritudinem illam esset redactus, erat omnium beatissimus, quoniam Deus ei benedicebat, dicens: (Iob.1.1.) Homo à reprehensione alienus, iustus, verus, pius, & ab omni re mala abstinens. *Domine vt scuto bonæ voluntatis tuæ coronasti nos.* Rursus desiit in gratiarum actione, quibus gratiæ aguntur hymnos offerens. Quod est autem scutum bonæ voluntatis? scutum optimum, arma optima ac pulcherrima. Quod autem dicit, tale est: nos optimo auxilio muniisti. Alius autem interpres, qui dicit, Coronabis ipsum, de iusto dixit, vt doceret, Coronabis ipsum iustum, hoc est, Bona tua voluntas est illi pro armis, iisque præstantissimis: vel illud, Optimo auxilio iustum munis, & neque eius pulchritudo priuata est securitate, neque eius securitas gloria deficitur.

καὶ λαμπρότης ὑπερβαίνουσα μυρία διαδήματα, κἂν δεσμώτης ὁ καυχώμενος ᾖ. οὗτος ὁ κόσμος οὐ νόσῳ, οὐ γήρᾳ, οὐ πραγμάτων περιστάσει, οὐκ ἀνωμαλίᾳ καιρῶν, οὐκ αὐτῷ διατέμνεται τῷ θανάτῳ, ἀλλὰ καὶ τότε διαλάμπει μειζόνως. ὅτι σὺ εὐλογήσεις δίκαιον. ἐπειδὴ πολλοὶ τῶν οὕτω διακειμένων παρὰ ἀνθρώπων κακίζονται καὶ καταγελῶνται, καὶ μάλιστα οἱ ἀρετὴν μετιόντες· ἵνα μηδεὶς τῶν παχυτέρων ἐκ τούτων καταπίπτῃ, ὅρα πῶς ἀνέχει τὴν διάνοιαν αὐτοῦ, λέγων· ὅτι σὺ εὐλογήσεις δίκαιον. τί γὰρ βλάβος ἀνθρώπων καταφρονούντων καὶ τῆς οἰκουμένης ἁπάσης, ὅταν ὁ τῶν ἀγγέλων δεσπότης ἐπαινῇ καὶ ἀνακηρύττῃ; ὥσπερ οὖν αὐτοῦ μὴ εὐλογοῦντος, κἂν ἅπαντες ἐπαινῶσιν οἱ γῆν οἰκοῦντες καὶ θάλασσαν, οὐδὲν ὄφελος. τοῦτο τοίνυν πανταχοῦ σκοπῶμεν, ὅπως αὐτὸς ἡμᾶς ἀνακηρύξῃ, ὅπως αὐτὸς στεφανώσῃ. κἂν τοῦτο ᾖ, πάντων ἐσμὲν ὑψηλότεροι, κἂν ἐν πενίᾳ, κἂν ἐν νόσῳ, κἂν ἐν τοῖς ἐσχάτοις ὦμεν κακοῖς. ἐπεὶ καὶ ὁ μακάριος Ἰὼβ καὶ ἐν κοπρίᾳ καθήμενος καὶ τῷ ἰχῶρι τῶν τραυμάτων ἑλκώμενος, καὶ μυρίας βρύων πηγὰς σκωλήκων, καὶ τὰ ἀνήκεστα πάσχων ἐκεῖνα, καὶ παρὰ οἰκετῶν ἐμπτυόμενος, καὶ παρὰ φίλων, καὶ παρὰ ἐχθρῶν, καὶ παρὰ γυναικὸς ἐπιβουλευόμενος, καὶ εἰς πενίαν, καὶ εἰς λιμόν, καὶ εἰς ἀρρωστίαν τὴν ἀνήκεστον ἐκείνην κατενεχθείς, πάντων μακαριώτερος ἦν, πῶς; ἐπειδὴ ὁ Θεὸς αὐτὸν ηὐλόγει λέγων· ἄνθρωπος ἄμεμπτος, δίκαιος, ἀληθινός, θεοσεβής, ἀπεχόμενος ἀπὸ παντὸς πονηροῦ πράγματος. κύριε, ὡς ὅπλῳ εὐδοκίας ἐστεφάνωσας ἡμᾶς. πάλιν εἰς εὐχαριστίαν κατέληξεν, εὐχαριστηρίους ἀναφέρων ὕμνους τῷ Θεῷ. τί δέ ἐστιν ὅπλον εὐδοκίας; ὅπλον ἄριστον, ὅπλον κατὰ γνώμην Θεοῦ, ὅπλον κάλλιστον. ὃ δὲ λέγει τοιοῦτόν ἐστι· συμμαχίᾳ καλλίστῃ ἡμᾶς ἐτείχισας. ἕτερος δὲ λέγων ἑρμηνευτής, στεφανώσεις αὐτόν, περὶ τοῦ δικαίου εἰρῆσθαι τοῦτο διδάσκει· ὅτι στεφανώσεις αὐτὸν τὸν δίκαιον, τουτέστιν, ἡ σὴ εὐαρέστησις ἀντὶ ὅπλου γίνεται, καὶ ὅπλου καλλίστου· ἢ ἐκεῖνο· ὅτι συμμαχίᾳ καλλίστῃ τειχίζεις τὸν δίκαιον, καὶ οὔτε τὸ κάλλος αὐτοῦ ἀσφαλείας ἐστέρηται, οὔτε ἡ ἀσφάλεια αὐτοῦ δόξης ἐστὶν ἔρημος.

τί γὰρ ἰσχυρότερον ἀνδρὸς, τί δὲ ὡραιότερον τοῦ ὑπὸ τῆς ἄνω δεξιᾶς τειχιζομένου; οὗτος ὁ στέφανος καὶ ἀπὸ ἐλέους πλέκεται, καθάπερ ὁ αὐτὸς Δαβὶδ ἀλλαχοῦ φησι· τὸν στεφανοῦντά σε ἐν ἐλέει καὶ οἰκτιρμοῖς. οὗτος καὶ ἀπὸ δικαιοσύνης, καθάπερ ὁ Παῦλος· λοιπὸν ἀπόκειταί μοι ὁ τῆς δικαιοσύνης στέφανος. ἔστι καὶ χάριτος στέφανος, ὥσπερ ἕτερος λέγει· στεφάνῳ δὲ χαρίτων ὑπερασπίσει σου. ἔστι δὲ καὶ στέφανος δόξης, καθάπερ Ἡσαΐας, ἔσται, λέγων, ὁ στέφανος τῆς ἐλπίδος ὁ πλακεὶς τῆς δόξης. πάντα γὰρ ταῦτα ὁ στέφανος ἔχει, φιλανθρωπίαν, δικαιοσύνην, χάριν, δόξαν, εὐπρέπειαν. Θεοῦ γάρ ἐστι τὸ δῶρον, ποικίλην περιφέρον τὴν χάριν. ἔστι καὶ ἀφθαρσίας στέφανος, καθάπερ φησὶ Παῦλος· ἐκεῖνοι μὲν ἵνα φθαρτὸν στέφανον λάβωσιν, ἡμεῖς δὲ ἄφθαρτον. ὃ τοίνυν ἐνταῦθα λέγει, τοῦτό ἐστιν· ἀσφαλείᾳ καὶ δόξῃ ἡμᾶς περιέβαλες. τοιαῦτα γὰρ τὰ τοῦ Θεοῦ δῶρα, ἰσχυρὰ, καὶ εὐπρεπείας γέμοντα· τοιοῦτοι οἱ στέφανοι. ἐπὶ μὲν γὰρ τῶν ἀνθρώπων οὐκ ἔστι τοῦτο· ἀλλ' ὁ μὲν ἐν δόξῃ, οὐκ ἀσφαλὴς πάντως· ὁ δὲ ἐν ἀσφαλείᾳ, οὐκ ἐν δόξῃ πάντως, οὐδὲ ῥᾳδίως ἂν συμβαίη ταῦτα· εἰ δὲ καὶ συμβαίη, ταχέως ἀποσύρεται. οἷόν τι λέγω. οἱ ἐν δυναστείαις ὄντες, λαμπροὶ μὲν καὶ περιφανεῖς, οὐκ ἐν ἀσφαλείᾳ δέ· ἀλλὰ δι' αὐτὸ μὲν οὖν τοῦτο μάλιστα ἐν ἐπισφαλεῖ χωρίῳ καθεστήκασι, διὰ τὸ μέγεθος τῆς δόξης. οἱ ἀπερριμμένοι καὶ εὐκαταφρόνητοι, ἐν ἀσφαλείᾳ μὲν διὰ τὸ μὴ γνωρίζεσθαι, οὐκ ἐν τιμῇ δέ· ἀλλὰ δι' αὐτὸ μὲν οὖν τοῦτο μάλιστα ἐν ἀτιμίᾳ, διὰ τὸ ἐν ἀσφαλείᾳ εἶναι. ἐπὶ δὲ τοῦ Θεοῦ οὐκ ἔστι τοῦτο· ἀλλ' ἀμφότερα μετὰ πολλῆς συντρέχει τῆς ὑπερβολῆς καὶ δόξα καὶ ἀσφάλεια. ἐννοήσαντες τοίνυν τῶν ἀγαθῶν τὸ μέγεθος, καὶ πρό γε πάντων ὅσον ἐστὶν ἀγαθὸν ἀρέσκειν Θεῷ, ὅπερ καὶ ὅπλον, καὶ δόξα, καὶ ἀσφάλεια, καὶ τὰ μυρία ἀγαθὰ, μεθ' ὑπομονῆς τρέχωμεν τὸν προκείμενον ἡμῖν ἀγῶνα, καὶ μὴ ἀναπέσωμέν ποτε, μηδὲ γυμνοὶ τῶν ὅπλων φανῶμεν. τοῦτο γὰρ τοῦ πολέμου τούτου τὸ εἶδος οὐκ ἀνέχεται ἄοπλον στρατιώτην ἰδεῖν· ἀλλὰ τότε λύεται ἡ παρασκευὴ, ὅταν λυθῇ τὸ θέατρον· λύεται δὲ τὸ θέατρον, ὅταν ἀπολύηται τοῦ σώματος ἡ ψυχή.

A Quid enim fortius, quid rursus formosius eo viro, qui à superna dextra munitur? Hæc corona etiam ex misericordia contexitur, quemadmodum ipse Dauid dicit alibi: Qui te coronat in misericordia & miserationibus. *Psal.102.4* Hæc etiam ex iustitia, quemadmodum dicit Paulus, de cætero mihi est reposita iustitiæ corona. *1.Tim.4.8* Est etiam corona gratiæ, sicut dicit alius: Corona autem gratiarum defendet te. *Eccli.31.3.* Iam verò est etiam corona gloriæ, sicut dicit Esaias: Erit corona spei, ex gloria contexta. *Esa 28.5 iuxta 70. interpret.* Corona enim habet hæc omnia, benignitatem, iustitiam, gratiam, gloriam, decorem. B Est enim Dei donum, quod variam producit gratiam. Est etiam incorruptionis corona, quemadmodum dicit Paulus: Illi quidem vt corruptibilem coronam accipiant, nos autem immortalem. *1.Cor.9.25* Hoc est ergo quod hic dicit, securitate & gloria nos coronasti. Talia sunt enim Dei dona valida, & decore plena: tales sunt coronæ: at in hominibus non ita est: sed qui est quidem in gloria, non est omnino securus. Qui est autem in securitate, non est C omnino in gloria, nec hæc facilè euenerint. Quòd si etiam euenerint, celeriter auferuntur. Dico verbi gratia: Qui sunt potentes, & summos gerunt magistratus, sunt quidem splendidi & illustres, sed non sunt securi, imò vel eo maximè nomine in lubrico & periculoso loco versantur, propter gloriæ magnitudinem. Qui autem sunt abiecti & viles, sunt quidem securi, eò quòd non cognoscantur, sed sed eo ipso sunt vel maximè inglorij quòd sint in securitate. In Deo autem non ita est: sed vtraque insigniter concurrunt D & gloria & securitas. Considerantes itaque bonorum magnitudinem, & ante omnia quàm sit bonum Deo esse gratum, quod est & arma, & gloria, & securitas, & alia innumerabilia, *Hebr.2.* ad certamen nobis propositum curramus cum tolerantia, nec vnquam animo deficiamus, nec vnquam videamur inermes. Hoc enim belli genus non patitur, vt miles videatur sine armis: sed tunc demum dimittitur apparatus, quando fuerit theatrum dissolutum: soluitur autem theatrum, quãdo anima soluitur à corpore.

Quare quamdiu hic sumus, pugnare est, & domi sedentes, & in forum euntes, & prandentes, & ægrotos, & sanos. Morbi enim tempore, huius maximè pugnæ tempus est, quando dolores vndique conturbant animam, quando tristitiæ obsident, quando adest diabolus incitans, vt acerbum aliquod verbum dicamus. Tunc maximè nos muniri oportet, tegi lorica, clypeo, galea, & armis cæteris, & perpetuò Deo gratias agere. Hæc sunt grauissima quæ in diabolum torquentur tela, hic est ictus in dæmonem certissimus, tunc sunt coronæ splendidissimæ. Nam etiam beatum Iob (nihil enim vetat quò minus ad eum rursus confugiamus) hoc maximè clarum reddidit, hoc maximis laudibus affecit, hoc coronauit, quòd tempore tentationis, morbi, & paupertatis, immutabili animo apparuerit, & mente immobilis, quibus gratias ageret, Deo verba obtulit, & spirituale illud sacrificium. Erant enim sacrificium verba eius, quæ dixit, Dominus dedit, Dominus abstulit: sicut Domino placuit, ita factum est: sit nomen Domini benedictum in secula. Quod quidem nos quoque semper faciamus, in tentationibus, in calamitatibus, in insidiis, Deum gloria & honore afficientes, & perpetuò benedicentes. Quoniam ei gloria in secula seculorum. Amen.

Iob 1.21.

ὥστε ἕως ἂν ἐνταῦθα ὦμεν, πυκτεύειν ἀνάγκη καὶ οἴκοι καθημένους, καὶ εἰς ἀγορὰν ἐμβάλλοντας, καὶ ἀριστοποιουμένους, καὶ νοσοῦντας, καὶ ὑγιαίνοντας. ἐν γὰρ τῷ καιρῷ τῆς νόσου μάλιστα τῆς μάχης ταύτης ὁ καιρός, ὅταν ὀδύναι πάντοθεν θορυβῶσι τὴν ψυχήν, ὅταν ἀλγηδόνες πολιορκῶσιν, ὅταν ὁ διάβολος ἐφεστήκῃ παροξύνων εἰπεῖν τι ῥῆμα πικρόν· τότε δὴ μάλιστα ἀσφαλίζεσθαι δεῖ, φράττεσθαι τῷ θώρακι, τῇ ἀσπίδι, τῷ κράνει, τοῖς ἄλλοις ὅπλοις, καὶ διηνεκῶς εὐχαριστεῖν τῷ Θεῷ. ταῦτα χαλεπὰ κατὰ τοῦ διαβόλου βέλη, αὕτη καιρία κατὰ τοῦ δαίμονος πληγή, τότε μάλιστα λαμπροὶ οἱ στέφανοι. ἐπεὶ καὶ τὸν μακάριον Ἰώβ· οὐδὲν γὰρ κωλύει πάλιν εἰς αὐτὸν καταφυγεῖν· τοῦτο μάλιστα λαμπρὸν ἀπέφηνε, τοῦτο ἀνεκήρυξε, τοῦτο ἐστεφάνωσεν, ὅτι ἐν καιρῷ πειρασμοῦ καὶ νόσου καὶ πενίας ἀπερίτρεπτον φανῆναι τὴν γνώμην, ἄσειστον τὴν διάνοιαν, ὅτι εὐχαριστήρια τῷ Θεῷ ἀνενεγκεῖν ῥήματα, καὶ τὴν πνευματικὴν ἐκείνην θυσίαν. θυσία γὰρ ἦν τὰ ῥήματα αὐτοῦ, ἅπερ ἔλεγεν· ὁ κύριος ἔδωκεν, ὁ κύριος ἀφείλετο· ὡς τῷ κυρίῳ ἔδοξεν, οὕτω καὶ ἐγένετο· εἴη τὸ ὄνομα κυρίου εὐλογημένον εἰς τοὺς αἰῶνας. ὃ δὴ καὶ ἡμεῖς ἀεὶ ποιῶμεν ἐν πειρασμοῖς, ἐν περιστάσεσιν, ἐν ἐπιβουλαῖς, δοξάζοντες τὸν Θεόν, καὶ εὐλογοῦντες διηνεκῶς· ὅτι αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

IN PSALMVM VI.

Domine, ne in furore tuo arguas me, neque in ira tua corripias me.

QVANDO furorem & irã de Deo audieris, nihil humanum suspiceris. Sunt enim verba quibus se accõmodat, & ad captum nostrum demittit. Deus enim ab his omnibus liber est. Ita autem loquitur vt in crassiorum cadat intelligentiam. Nam nos quoque quando loquimur cum barbaris, illorum lingua vtimur: & si

ΕΙΣ ΤΟΝ ϛʹ. ΨΑΛΜΟΝ.

Κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με, μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς με.

ΟΤΑΝ ἀκούσῃς θυμὸν καὶ ὀργὴν ἐπὶ Θεοῦ, μηδὲν ἀνθρώπινον ὑποπτεύσῃς. συγκαταβάσεως γάρ ἐστι τὰ ῥήματα. καὶ γὰρ τὸ θεῖον ἁπάντων τούτων ἀπήλλακται. διαλέγεται δὲ οὕτως, ὥστε καθάψασθαι τῆς τῶν παχυτέρων διανοίας. ἐπεὶ καὶ ἡμεῖς, ὅταν βαρβάροις διαλεγώμεθα, τῇ ἐκείνων χρώμεθα γλώττῃ· καὶ

πρὸς παιδίον φθεγγώμεθα, συμψελλίζομεν, κἂν μυριάκις ὦμεν σοφοὶ, πρὸς τὴν ἐκείνου συγκαταβαίνομεν ταπεινότητα. καὶ τί θαυμαστὸν, εἰ ἐν ῥήμασι τοῦτο ποιοῦμεν, ὅπου γε καὶ ἐν πράγμασι, καὶ χεῖρας δάκνοντες, καὶ θυμὸν ὑποκρινόμενοι, ὥστε διορθῶσαι τὸ παιδίον; οὕτω δὴ καὶ ὁ Θεὸς καθάψασθαι τῶν παχυτέρων βουλόμενος, τοιούτοις κέχρηται ῥήμασιν. οὐ γὰρ πρὸς τὴν ἀξίαν τὴν ἑαυτοῦ φθέγγεσθαι ἐσπούδαζεν, ἀλλὰ πρὸς τὴν ὠφέλειαν τῶν ἀκουόντων. ἐπεὶ καὶ τὸ ἀόργητον αὐτοῦ ἀλλαχοῦ πάλιν δεικνὺς, ἔλεγε· μὴ ἐμὲ αὐτοὶ παροργίζουσιν, οὐχὶ δὲ ἑαυτούς; σὺ δὲ πῶς ἐβούλου αὐτὸν διαλέγεσθαι τοῖς Ἰουδαίοις, ὅτι οὐκ ὀργίζεται, οὐδὲ μισεῖ τοὺς πονηρούς; καὶ γὰρ τὸ μῖσος πάθος ἐστὶν, οὐδὲ ἐφορᾷ τὰ ἀνθρώπινα. καὶ γὰρ τὸ ὁρᾷν ἀπὸ τῶν σωμάτων εἴληπται. οὐδὲ ἀκούει· καὶ γὰρ καὶ τοῦτο ἀπὸ τῆς σαρκός. ἀλλ' ἀπὸ τούτου πονηρὸν ἂν δόγμα ἐπήχθη ἕτερον, τὸ ἀπρονόητα εἶναι τὰ πάντα· καὶ φθέγγοντες τὰ τοιαῦτα ἀκούειν περὶ Θεοῦ, καὶ τὸ ὅλως εἶναι Θεὸν πολλοὶ ἂν τῶν τότε ἠγνόησαν. τούτου δὲ ἀγνοηθέντος, πάντες ἂν ἀπώλοντο· ἐκείνου δὲ τοῦ δόγματος εἰσαχθέντος, ταχέως καὶ ἡ διόρθωσις ἐπεγίνετο. ὁ μὲν γὰρ πεισθεὶς ὅτι ἔστι Θεὸς, κἂν μὴ τὴν ἀξίαν ἔχῃ περὶ αὐτοῦ ὑπόνοιαν, ἀλλὰ παχύτερόν τι ὑποπτεύῃ, τῷ χρόνῳ πεισθήσεται, ὅτι οὐδὲν τοιοῦτον περὶ Θεόν· ὁ δὲ πεισθεὶς ὅτι οὐ προνοεῖ, οὐδὲ μέλει αὐτῷ τῶν ὄντων, οὐδ' ὅτι ἔστι, τί κερδανεῖ ἀπὸ τοῦ τῆς ἀπαθείας λόγου; διὰ δὴ τοῦτο, ἐκεῖνο αὐτοῖς διαλεχθεὶς πρότερον, ἐπειδὴ ἀνεπείθετο αὐτοῖς τὴν περὶ τοῦ εἶναι αὐτὸν δόξαν, διακαθαίρει πάλιν κατὰ μικρὸν αὐτοὺς, ἀνάγων ἐπὶ τοῦτο τὸ δόγμα, τὰ ὑψηλότερα περὶ αὐτοῦ φθεγγόμενος, καὶ τὸν περὶ τῆς ἀπαθείας αὐτοῦ κινῶν λόγον. καὶ γάρ φησιν ὁ ἕτερος προφήτης· οὐ πεινάσει, οὐδὲ κοπιάσει. καὶ ὁ εἰπὼν ἄνω, ὅτι ὀργίζεται, αὐτὸς πάλιν δεικνὺς, ὅτι ἀπαθὲς τὸ θεῖον, ἐπάγει· μὴ ἐμὲ αὐτοὶ παροργίζουσιν, οὐχὶ δὲ ἑαυτούς; καὶ ὁ εἰπὼν, ὅτι ἐν τῷ ναῷ ἐστιν, ὁ αὐτὸς πάλιν φησίν· ὅτι οὐκ ἄνθρωπος ἐν σοὶ ἅγιος, καὶ οὐκ εἰσελεύσομαι εἰς πόλιν, τουτέστιν, οὐ περιέχομαι τόπῳ. εἰ δὲ μὴ πᾶσιν ἐπεξῆλθε, τῷ συ-

A cum puero loquimur, vnà cum eo balbutimus: & vt millies docti simus, ad humilitatem illius nos demittimus. Et quid mirum si hoc in verbis facimus, quando id etiam in rebus fit à nobis: vt qui & manus mordeamus, & iram simulemus, vt infantem corrigamus? Ita etiam Deus crassiores afficere volens, talibus verbis vsus est. Non enim pro sua dignitate loqui studuit, sed pro auditorum vtilitate. Nam se non esse iræ obnoxium alicubi rursus ostendens, dicebat: Nunquid me ad *Hier.7.19.* iram prouocant, non autem seipsos?

B Tu autem quomodo velles ipsum disserere cum Iudæis, cùm neque irascatur, nec odio habeat malos? Odium *Odium.* enim est animi perturbatio, nec humana respicit. Videre enim ex corpore sumptum est, neque audit: nam hoc quoque est ex carne, sed si ei attributæ non essent quæ sunt hominibus propriæ affectiones, ex hoc malum aliud dogma inductū esset, nempe non regi omnia à Dei prouidentia: & dum talia de Deo audire recusarent, multi ex ijs, qui tunc erant, omnino Deum

C esse ignorassent: eo autem ignorato, omnia perijssent. Illo autem humanarum, inquam, affectionum Deo attributarum dogmate introducto, eius celeriter fieri poterat correctio. Cui enim persuasum est Deum esse, etsi non habeat eam quam par est de Deo sententiam, sed quid de eo crassius suspicetur: tempore quidem certè ei persuadebitur, nihil tale in Deum cadere. Qui autem habet persuasum eius nullam esse prouidentiam, nec vllam eorum quæ sunt curam gerere, imò ne-

D esse quidem, quid eum iuuerit si tractetur de Dei impatibilitate? Illa ipsa de causa, cùm prius cum illis disseruisset, postquam eis persuasit, vt eum esse opinarentur, paulatim eos rursus expurgat, ad hoc dogma euehens, de eo loquens sublimius, & eum esse ab affectione remotum oratione pertractās. Dicit enim alius propheta: Nō esuriet, *Esa.40.28* neque laborabit: & qui eum irasci dixerat, idem rursus ostēdens Deum esse impatibilem, subiungit: Nunquid me *Hier.7.19.* ipsi ad iram prouocant, non autem seipsos? & qui dixerat eū esse in templo, rursus dicit: Non est homo in te san- *Osee11.9.* ctus, & non ingrediar in ciuitatem, hoc est, loco non contineor. Quòd si non omnibus conceditur, at pruden-

tiori quidem certè reliquit cogitandum, quòd qui à tyrannicis liber est affectionibus, & sine quibus non licet viuere, ab aliis multò magis liber est. Dicit itaque: Num eris vt homo dormiens? & vbique tractat ac loquitur de impatibilitate. Quare hic quoq; quando furorem aut excandescentiam audieris, ne putes esse affectionē. Si enim homines qui sapientiæ studium meditantur, quoad eius fieri potest, ab ira alieni permanent: multò magis illa substantia, quę est ab interitu & corruptione libera, & quæ nec dici, nec comprehendi potest. Non vides quòd etiam medici dum secant, vel vrunt, non ira adducti id faciunt: sed quod male affectum est corrigunt, scopum sibi proponentes, non irascentes ægrotis, sed eorum miserentes, & à morbis liberantes? Quando ergo dicit: Ne in furore tuo arguas me: hoc dicit, Ne pœnas sumas de meis peccatis, nec mea delicta persequaris. *Miserere mei Domine, quoniam infirmus sum.* Hac voce omnes egemus, etiāsi innumerabilia rectè & ex virtute fecerimus, & vel ad summam peruenerimus iustitiam. Quocirca ipse etiam procedens rursus dicit: Non iustificabitur in conspectu tuo omnis viuens: & illud: Si iniquitates obseruaueris, quis sustinebit? & Paulus: Nihil mihi conscius sum, sed non in hoc iustificatus sum. Et alius: Quis gloriabitur purum habere cor, vel quis asseret se esse mundum à sorde? Omnes ergo egemus misericordia: sed non omnes digni sumus misericordiam assequi. Nam etsi sit misericordia, dignū tamē requirit, quemadmodum ipse dicebat Mosi: Miserebor cuius miserebor: & miserabor quē miserabor. Qui ergo fecit aliquid, propter quod sit dignus misericordiam assequi, dicet: Miserere mei. Qui autem ab illius gratiæ assecutione se deturbauit, frustra dicet: Miserere. Si enim esset peruentura ad omnes misericordia, nemo supplicio afficeretur. Quanquam habet ipsa quoque aliquod iudicium, & eum qui dignus & aptus est vt ea fruatur, requirit. Multi ergo sæpe eadem peccata admiserūt, & non easdem tamen pœnas dederunt, vt qui alias haberent culpas quæ ea præcesserant: & si vultis, in hac nunc immoremur oratione. Peccarunt Iudæi omnes, & fuerunt idololatræ, sed non omnes

Hier.14.9. 1.Tim.6. Psal.142.2. Psal.129.3. 1.Cor.4.4. Prou.20.9. Exod.33.19. Psal.13. Rom.3.

A νεωτέρῳ ἔδωκε νοῆσαι ἀπὸ τῶν εἰρημένων, ὅτι ὁ τῶν τυραννικῶν παθῶν ἀπηλλαγμένος καὶ ὧν ἄνευ ζῆν οὐκ ἔστι, πολλῷ μᾶλλον τῶν ἄλλων ἠλευθέρωται. διὸ καί φησι, μὴ ἔσῃ ὡς ἄνθρωπος ὑπνῶν; ὃ πανταχοῦ τὸν περὶ ἀπαθείας ἀνακινεῖ λόγον. ὥστε κἀνταῦθα, ὅταν ἀκούσῃς θυμὸν, μὴ πάθος νόμιζε. εἰ γὰρ ἄνθρωποι φιλοσοφεῖν μελετῶντες, κατὰ τὸ ἐγχωροῦν ἀόργητοι διαμένουσι, πολλῷ μᾶλλον ἡ ἀνώλεθρος οὐσία ἐκείνη καὶ ἄφθαρτος καὶ ἄρρητος καὶ ἀκατάληπτος. οὐχ ὁρᾷς, ὅτι καὶ ἰατροὶ B τέμνοντες ἢ καίοντες, οὐ θυμῷ τοῦτο ποιοῦσιν, ἀλλὰ σκοπῷ τῆς διορθώσεως; οὐκ ὀργιζόμενοι τοῖς κάμνουσιν, ἀλλ' ἐλεοῦντες αὐτοὺς, καὶ τῶν νοσημάτων ἀπαλλάττοντες; ὅταν οὖν εἴπῃ, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με, τοῦτο λέγει· μὴ ἀπαιτήσῃς με δίκην τῶν ἡμαρτημένων, μηδὲ ἐπεξέλθῃς τοῖς πεπλημμελημένοις. ἐλέησόν με κύριε, ὅτι ἀσθενής εἰμι. ταύτης πάντες δεόμεθα τῆς φωνῆς, κἂν μυριάκις ὦμεν μυρία κατωρθωκότες, κἂν πρὸς ἄκραν ἥκοντες δικαιοσύνην. διὸ καὶ αὐτὸς προϊὼν πάλιν φησίν· οὐ δικαιωθήσεται ἐνώπιόν σου C πᾶς ζῶν. καὶ τό· ἐὰν ἀνομίας παρατηρήσῃ, τίς ὑποστήσεται; καὶ ὁ Παῦλος· οὐδὲν ἐμαυτῷ σύνοιδα, ἀλλ' οὐκ ἐν τούτῳ δεδικαίωμαι. καὶ ἕτερος· τίς καυχήσεται ἁγνὴν ἔχειν τὴν καρδίαν; ἢ τίς παρρησιάσεται καθαρὸς εἶναι ἀπὸ ῥύπου; πάντες τοίνυν ἐλέους δεόμεθα, ἀλλ' οὐ πάντες ἄξιοί ἐσμεν τοῦ ἐλεεῖσθαι. καὶ γὰρ εἰ καὶ ἔλεός ἐστιν, ὅμως τὸν ἄξιον ἐπιζητεῖ· καθάπερ αὐτὸς πρὸς Μωϋσῆν ἔφη, ἐλεήσω ὃν ἂν ἐλεῶ, καὶ οἰκτειρήσω ὃν ἂν οἰκτείρω. ὁ μὲν οὖν ἄξιόν τι τοῦ ἐλεηθῆναι ποιή- D σας, ἐρεῖ, ἐλέησόν με· ὁ δὲ ἐκβαλὼν ἑαυτὸν τοῦ ταύτης τυχεῖν τῆς συγγνώμης, μάτην ἐρεῖ, τὸ, ἐλέησον. εἰ γὰρ ἐφ' ἅπαντας ἔμελλεν ὁ ἔλεος ἔρχεσθαι, οὐδεὶς ἂν ἐκολάσθη. ἀλλὰ καὶ οὗτος ἔχει τινὰ κρίσιν, καὶ τὸν ἄξιον ἐπιζητεῖ, καὶ τὸν ἐπιτήδειον, ὥστε αὐτοῦ ἀπολαῦσαι. πολλοὶ γοῦν πολλάκις τοῖς αὐτοῖς ἁμαρτήμασιν ὑπεύθυνοι γεγόνασι, καὶ οὐ τὴν αὐτὴν ἔδοσαν δίκην, ἑτέρας ἔχοντες αἰτίας παρισαμένας αὐτῶν. καὶ, εἰ βούλεσθε, τούτῳ νῦν ἐνδιατρίψωμεν τῷ λόγῳ. ἥμαρτον Ἰουδαῖοι πάντες, καὶ εἰδωλολάτρησαν· ἀλλ' οὐ πάντες τὴν

αὐτὴν ἔδοσαν δίκην. ἀλλ' οἱ μὲν ἔπεσον, οἱ δὲ συγγνώμης ἀπήλαυσαν. ἐν γὰρ τοῖς ἁμαρτήμασιν οὐχ ἡ φύσις ζητεῖται μόνον τοῦ γεγενημένου, ἀλλὰ καὶ ἡ γνώμη, καὶ ὁ καιρός, καὶ ἡ αἰτία, καὶ τὰ μετὰ τὴν ἁμαρτίαν· εἰ οἱ μὲν ἐνέμειναν, οἱ δὲ μετενόησαν, καὶ εἰ ἐκ περιστάσεως, καὶ εἰ κατὰ ἀπάτην, καὶ κατὰ μελέτην. καὶ πολλά ἐστι τὰ ζητούμενα, καὶ καιροῦ διαφορά, καὶ πολιτείας κατάστασις. οἷόν τι λέγω· ἥμαρτον οἱ ἐν τῇ παλαιᾷ, ἁμαρτάνουσι καὶ οἱ ἐν τῇ καινῇ· οὐ τὴν αὐτὴν δὲ διδόασιν ἀμφότεροι δίκην, ἀλλ' οὗτοι χαλεπωτέραν. καὶ τοῦτο δηλῶν ὁ Παῦλος ἔλεγεν· ἀθετήσας τις νόμον Μωϋσέως, χωρὶς οἰκτιρμῶν ἐπὶ δυσὶν ἢ τρισὶ μάρτυσιν ἀποθνήσκει. πόσῳ, δοκεῖτε, χείρονος ἀξιωθήσεται τιμωρίας ὁ τὸν υἱὸν τοῦ Θεοῦ καταπατήσας, καὶ τὸ αἷμα τῆς διαθήκης κοινὸν ἡγησάμενος; ὅταν δὲ εἴπῃ, πόσῳ δοκεῖτε χείρονος ἀξιωθήσεται τιμωρίας, ἐπιτεταμένην δείκνυσι τὴν κόλασιν. ἥμαρτον οἱ πρὸ τοῦ νόμου, καὶ οἱ ἐν τῷ νόμῳ. πάλιν οἱ πρότεροι ἡμερωτέραν διδόασι δίκην· καὶ τοῦτο δηλῶν ἔλεγεν· ὅσοι γὰρ ἀνόμως ἥμαρτον, ἀνόμως καὶ ἀπολοῦνται. τὸ ἀνόμως, οὐχὶ χαλεπώτερον, ἀλλ' ἡμερώτερον. καὶ ὅσοι ἐν νόμῳ ἥμαρτον, διὰ νόμου κριθήσονται. τί δή ποτε; ὅτι οἱ μὲν τὴν φύσιν ἔχουσι κατήγορον· οἱ δὲ μετὰ τῆς φύσεως καὶ τὸν νόμον. καὶ ὅσῳ πλείονος ἀπήλαυσαν τῆς διδασκαλίας, τοσούτῳ μείζονα ὑποστήσονται κόλασιν. πάλιν καὶ ἀπὸ τῶν ἀξιωμάτων τὸ αὐτό ἐστιν ἰδεῖν συμβαῖνον. καὶ δῆλον ἀπὸ τῆς θυσίας. ὑπὲρ παντὸς γὰρ τοῦ λαοῦ τοσαύτη προσεφέρετο θυσία ἁμαρτόντος, ὅση ὑπὲρ τοῦ ἱερέως μόνου· δηλοῦντος τοῦ λόγου, ὅτι ὅσῳ μεῖζον τὸ ἀξίωμα, τοσούτῳ χαλεπωτέρα καὶ ἡ κόλασις ἐν οἷς ἁμαρτάνουσι. διὰ δὴ τοῦτο ἡ μὲν ἁπλῶς πορνεύσασα, ἀνῃρεῖτο· ἡ δὲ τοῦ ἱερέως θυγάτηρ κατεκαίετο. ἔστι καὶ ἑτέρωθεν ἰδεῖν συγγνώμην καὶ ἐπίτασιν τιμωρίας γινομένην. οἷον, ὅταν τις ἁμαρτών, ἐνταῦθα δῷ δίκην, ἕτερος δὲ τρυφῆς ἀπολαύσῃ. ὁ μὲν γὰρ μείζονα ἐκεῖ, ὁ δὲ ἐλάττονα ὑποστήσεται τιμωρίαν, ἐὰν μὴ ἐνταῦθα πάντα ἀπολύσηται. καὶ τοῦτο δηλῶν ὁ Χριστὸς εἰσάγει τὸν Ἀβραὰμ λέγοντα τῷ πλουσίῳ· ἀπέλαβες τὰ ἀγαθά σου, ἐκεῖνος δὲ τὰ κακά· καὶ νῦν οὗτος παρακαλεῖται, σὺ

A easdem pœnas dedere, ſed alij quidem ceciderunt, alij verò veniam ſunt aſſecuti. In peccatis enim non quæritur ſolùm natura eius quod factum eſt: ſed etiam animus, & tempus, & cauſa: & poſt peccatum, ſi hi quidem perſeuerarunt, illos verò pœnituit, & ſi caſu, ſi ex fraude, & ſi dedita opera. Et multa ſunt quæ quæruntur, & temporis differentia, & ſtatus reipublicæ. Vt exempli gratia: Peccarunt qui erant ſub veteri, peccant etiam qui ſunt ſub nouo teſtamento: ſed non dederunt vtrique eaſdem pœnas, imò hi B grauiores. Et hoc Paulus ſignificans, dicebat: Qui legem Moſis fecit irritam, ſub duobus vel tribus teſtibus moritur: quantò putatis, deteriori ſupplicio dignus habebitur, qui filium Dei conculcauerit, & ſanguinem teſtamenti communem exiſtimauerit? Quando autem dicit, quantò deteriori ſupplicio dignus habebitur, intenſum oſtendit ſupplicium. Peccarunt qui legem præceſſerunt, & qui erant in lege. Rurſus priores pœnas leuiores luerunt. Hoc autem ſignificans, dicebat: Quicunque enim ſine C lege peccauerunt, ſine lege & peribunt. Illud, ſine lege, ſignificat leuius, non grauius. Et, Quicunque in lege peccarunt, per legem iudicabuntur. Quare? Quoniam illi quidem habent quæ eos accuſat, naturam. Hi verò cum natura etiam legem, & quò plus doctrinæ acceperunt, eò maius ſubibunt ſupplicium. Rurſus etiam ex authoritate licet hoc videre euenire. Idque perſpici poteſt ex ſacrificio. Pro vniuerſo certè qui peccarat populo tantum offerebatur ſacrificium, quan- D tum pro ſolo ſacerdote. Id autem ſignificat, quòd quò maior eſt authoritas, eò eſt grauius eorum qui peccant, ſupplicium. Ea de re quæ ſimpliciter quidem fornicata erat, de medio tollebatur: ſacerdotis autem filia comburebatur. Poſſumus etiam aliunde videre & veniam, & grauitatem augeri ſupplicij, vt cùm quiſque peccauit, hic pœnas dederit, alius autem ſe voluptate expleuerit. Ille enim illic maiores: hic verò minores pœnas dabit, ſi nò hic fuerit omnino abſolutus. Et id ſignificans Chriſtus, inducit Abraham dicentem diuiti: Recepiſti bona tua, hic verò mala, & nunc hic conſolationē accipit,

Heb. 10. 28.

Rom. 2. 12

Leuit. 4.

Luc. 16. 25.

verò cruciaris. Sed hic quidem sibi integrum reseruauit supplicium, & ideo grauiter fuit punitus: alij autem non integrum, sed ex parte, & ideo leuius puniuntur. Viderit etiam quispiam supplicij differentiam ex magna intelligentia & ex simplicitate, vt quando dicit: Seruus qui nouit voluntatem Domini sui, & non fecerit, vapulabit multis. Qui autem nō nouit, nec fecit, vapulabit paucis. Multa etiam alia inuenerit quispiam quæ faciunt differentiam punitionis, & differentiam misericordiæ & benignitatis. Considera autem id etiam in eo qui primus homo factus est. Peccauit Eua, peccauit etiā Adam. Vnum autem erat peccatum. Ambo enim de fructu comederunt. Ambo autem non easdem pœnas dederunt. Occidit Cain, & occidit Lamech, & hic quidem misericordi[illegible]m est assecutus, ille verò punitus est. Collegit quispiam ligna sabbato, & nullam veniam est assecutus. Dauid occidit, & adulterium commisit, & salutem est consecutus. In his ergo quærendis immoremur: multò est enim melius hæc inquirere, quàm nugas & conuentus qui fiunt in foris attendere. Non solùm enim hæc inuenire, sed etiam quærere, magnum est lucrum, etsi non inueniamus. Cogemur enim in his immorari, & vniuersum tempus, in his consumere. Cur ergo (oportet enim ad prius institutam redire orationem) cùm omnes Iudæi vitulum conflassent, alij quidem puniti sunt: alij verò minimè? Quòd illi quidem pœnitentia ducti sunt, & ipsam naturā ignorarunt, cum propter pietatē propinquos necarunt: illi verò perseuerarunt. Quare fuit quidem peccatum æquale: sed quæ cōsecuta sunt, non fuere æqualia. Quare autem & in Adam, & in Eua non fuit idem supplicium, etsi fuerit idem peccatum? Quòd non idē est à muliere deceptum esse, & à serpente. Itaque Paulus illud appellauit deceptionem, dicens: Adam non fuit deceptus, mulier autē decepta fuit in trāsgressione. Cur autem is qui ligna collegerat, non est assecutus veniam? Quoniā erat maxima iniquitatis præceptum statim ab initio transgredi, & oportebat aliis magnum timorem immitti. Hoc etiam in Sapphira & Anania accidit. Et nos itaque quando pec-

Luc. 12. 47 — Genes. 3. — Gen. 4. — Num 15. — 2. Reg. 11. — Exod. 32. — 1. Tim. 2. 14. — Num. 15. — Act. 5.

A δὲ ὀδυνᾶσαι. ἀλλ' ἐκεῖνος μὲν ὁλόκληρον ἀπέθετο τὴν τιμωρίαν, δι' ἃ ἔπαθε κακῶς· ἕτεροι δὲ οὐχ ὁλόκληρον, ἀλλ' ἐκ μέρους· διὸ καὶ ἡμερώτερον κολάζονται. ἴδοι δὲ ἄν τις καὶ ἀπὸ συνέσεως ἐπιτεταμένης καὶ ἀπὸ ἀφελείας διαφορὰν γινομένην κολάσεως, ὅταν λέγῃ· ὁ δοῦλος ὁ εἰδὼς τὸ θέλημα τοῦ κυρίου αὐτοῦ, καὶ μὴ ποιήσας, δαρήσεται πολλάς· ὁ δὲ μὴ εἰδὼς, μηδὲ ποιήσας, δαρήσεται ὀλίγας. καὶ πολλὰ ἕτερα εὕροι τις ἂν τὰ ποιοῦντα διαφορὰν κολάσεως, καὶ διαφορὰν ἐλέους καὶ φιλανθρωπίας. B σκόπει δὲ καὶ ἐπὶ τοῦ πρωτοπλάστου. ἥμαρτεν ἡ Εὔα· ἥμαρτε καὶ ὁ Ἀδὰμ, καὶ τὸ ἁμάρτημα ἕν. ἀμφότεροι γὰρ ἔφαγον ἀπὸ τοῦ ξύλου, οὐκ ἀμφότεροι δὲ τὴν αὐτὴν ἔδοσαν δίκην. ἔσφαξεν ὁ Κάϊν, καὶ ἔσφαξεν ὁ Λάμεχ· καὶ ὁ μὲν ἠλεεῖτο, ὁ δὲ ἐκολάζετο. συνέλεξέ τις ἐν σαββάτῳ ξύλα, καὶ οὐδεμιᾶς ἔτυχε συγγνώμης· ὁ Δαβὶδ ἐφόνευσε καὶ ἐμοίχευσε, καὶ ἀπήλαυσε σωτηρίας. ἐνδιατρίβωμεν τοίνυν τοῖς ζητήμασι. πολλῷ γὰρ βέλτιον ταῦτα ἀναζητεῖν, ἢ φλυαρίαις καὶ συλλό- C γοις τοῖς ἐν ἀγοραῖς προσηλῶσθαι. οὐ γὰρ τὸ εὑρεῖν μόνον τὰ τοιαῦτα, ἀλλὰ καὶ τὸ ζητεῖν μέγα κέρδος ἐστὶ, κἂν μὴ εὕρωμεν. ἀναγκασθησόμεθα γὰρ ἐν τούτοις ἀπασχολεῖσθαι, καὶ τὸν καιρὸν πάντα ἐν αὐτοῖς δαπανᾶν. τίνος οὖν ἕνεκεν; δεῖ γὰρ ἐπὶ τὸν πρότερον ἀναδραμεῖν λόγον· μοσχοποιησάντων ἁπάντων τῶν Ἰουδαίων, οἱ μὲν ἐκολάζοντο, οἱ δὲ οὐκ ἐκολάζοντο; ὅτι οἱ μὲν μετενόησαν, καὶ τὴν φύσιν αὐτὴν ἠγνόησαν διὰ τὴν εὐλάβειαν τοὺς οἰκείους κατασφάξαντες· οἱ δὲ ἐνέμειναν. ὥστε τὸ μὲν ἁμάρτη- D μα, ἴσον· τὰ δὲ μετὰ ταῦτα, οὐκ ἴσα. τίνος δὲ ἕνεκεν καὶ ἐπὶ τοῦ Ἀδὰμ καὶ τῆς Εὔας οὐχ ἡ αὐτὴ τιμωρία, εἰ καὶ αὐτὴ ἡ ἁμαρτία; ὅτι οὐκ ἦν ἴσον τὸ ὑπὸ γυναικὸς ἀπατηθῆναι, καὶ ὑπὸ ὄφεως. διόπερ ἐκεῖνο ἀπάτην ὁ Παῦλος ἐκάλεσε, λέγων· ὁ Ἀδὰμ οὐκ ἠπατήθη, ἡ δὲ γυνὴ ἀπατηθεῖσα ἐν παραβάσει γέγονε. τίνος δὲ ἕνεκεν καὶ ὁ τὰ ξύλα συλλέξας οὐκ ἔτυχε φιλανθρωπίας; ὅτι πολλῆς παρανομίας ἦν, τὸ ἐκ προοιμίων εὐθέως παραβῆναι τὸ πρόσταγμα· καὶ ἔδει καὶ τοῖς ἄλλοις φόβον ἐντεθῆναι πολύν. τοῦτο καὶ ἐπὶ τῆς Σαπφείρας καὶ Ἀνανίου γέγονε. καὶ ἡμεῖς τοίνυν ὅταν ἁμαρ-

τηρῶμεν, σκοπῶμεν, εἰ ἄξιοι ἐλέους ἐσμέν· εἰ ἐποιήσαμέν τι ὥστε ἐλεηθῆναι· εἰ μετενοήσαμεν· εἰ βελτίους ἐγενόμεθα· εἰ ἀπέστημεν. καὶ γὰρ τὸν μεταμελόμενον σωθῆναι, ἐξ ἐλέους ἐστὶ σωθῆναι. οὕτω γοῦν καὶ ἐνταῦθα ἀξιοῖ ἐντεῦθεν σωθῆναι, ἀπὸ τῶν δακρύων, ἀπὸ τῶν θρήνων. λούσω γάρ, φησι, καθ' ἑκάστην νύκτα τὴν κλίνην μου· ἐν δάκρυσί μου τὴν στρωμνήν μου βρέξω. τουτέστιν ἀπὸ τῆς κατανύξεως ἐταράχθη τὰ ὀστᾶ μου, καὶ ἡ ψυχή μου ἐταράχθη σφόδρα. οὐκ εὐθέως αὐτὰ λέγει, ἀλλ' ἐπὶ τὸ εὐόλισθον τῆς φύσεως καταφεύγει, λέγων· ἐλέησόν με κύριε, ὅτι ἀσθενής εἰμι. οὕτως εἶπε, δηλῶν ὅτι οὐκ ἀρκεῖ μόνον τοῦτο. εἰ γὰρ ἤρκει, πάντες ἂν ἐντεῦθεν ἐσώθημεν. πάντες γάρ ἐσμεν ἄνθρωποι. ἐμοὶ δέ, εἰ δεῖ ἀκριβέστερόν τι περὶ τούτου εἰπεῖν· τάχα οὐδὲ τοῦτο λέγειν δοκεῖ· ἀλλὰ τὴν ἀσθένειαν τὴν ἐκ τῶν πειρασμῶν ἐγγινομένην αἰνίττεται, οὐ μικρὸν καὶ τοῦτο δικαίωμα εἰς τὸ τυχεῖν ἐλέους καὶ φιλανθρωπίας προβαλλόμενος. τοῦτο γοῦν καὶ προϊὼν ἠνίξατο λέγων· ἐπαλαιώθην ἐν πᾶσι τοῖς ἐχθροῖς μου. εἰδέναι γὰρ καὶ θλῖψις μετ' εὐχαριστίας φερομένη, πολλῆς φιλανθρωπίας ὑπόθεσιν παρέχει, καὶ ἵλεω τὸν Θεὸν ποιεῖ. ταύτην τοίνυν μοι δοκεῖ καὶ ἐνταῦθα αἰνίττεσθαι, λέγων· ἴασαί με κύριε, ὅτι ἐταράχθη τὰ ὀστᾶ μου· καὶ ἡ ψυχή μου ἐταράχθη σφόδρα. οὐκ εἶπεν, ἄφες μοι, οὐδὲ ἔνδος μοι, ἀλλ' ἴασαι. τὰ γὰρ πρότερα ἀξιοῖ τραύματα ἀφανισθῆναι. ὀστᾶ δὲ ἐνταῦθα, τὴν ἰσχὺν ἅπασαν λέγει· ταραχὴν δέ, τὴν πληγήν, τὴν κόλασιν, τὴν τιμωρίαν. ἴασαί με κύριε, ὅτι ἐταράχθη τὰ ὀστᾶ μου, καὶ ἡ ψυχή μου ἐταράχθη σφόδρα. ὥσπερ οὖν ἐπὶ τῶν ἰατρῶν τρία ταῦτά ἐστι, μᾶλλον δὲ τέσσαρα, ἢ καὶ πέντε, ὁ ἰατρός, ἡ τέχνη, ὁ κάμνων, τὸ νόσημα, τῶν φαρμάκων ἡ δύναμις, καὶ παράταξίς τις γίνεται καὶ μάχη· ἂν μὲν γὰρ μετὰ τοῦ ἰατροῦ καὶ τῆς τέχνης καὶ τῶν φαρμάκων καὶ ἡ προαίρεσις ᾖ τοῦ κάμνοντος, ἐκράτησαν τοῦ νοσήματος· ἂν δὲ ἀφῇ τὸ μετ' ἐκείνων παρατάξασθαι ὁ κάμνων, πρὸς τὴν ἀρρωστίαν ἑαυτὸν ἐξάγει· ἢ κἂν μὴ μετ' ἐκείνης παρατάξηται πρὸς τὸν ἰατρὸν καὶ τὰ φάρμακα καὶ πρὸς τὴν τέχνην, ἀπήνεγκεν ἑαυτόν, οὕτω δὴ καὶ ἐφ' ἡμῶν συμβαίνει· μᾶλλον

A camus, consideremus, an simus digni misericordia, si quid fecimus vt misericordiam assequamur, si pœnitentia ducti sumus, si meliores euasimus, si destitimus. Nam qui dum pœnitentia ductus est, salutem est assecutus, eo ipso seruatus est à Dei misericordia. Ita ergo hic etiam vult ex eo seruari, ex lachrymis, ex lamentationibus ac planctibus. Lauabo enim, inquit, per singulas noctes lectum meum, lachrymis meis stratum meum rigabo. Id est, ex compunctione Conturbata sunt ossa mea, & anima mea turbata est valde. Non hoc statim dicit, sed ad naturæ ad labendum procliuitatem confu-B git, dicens: Miserere mei Domine, quoniam infirmus sum. Ita dicit ostendens hoc non solum sufficere: si enim sufficeret, omnes ex eo seruati essent, omnes enim sumus homines. Mihi autem, si de eo aliquid exactius dicendum est, fortasse ne hoc quidem videtur dicere, sed significat imbecillitatem quæ proficiscitur ex tentationibus, ad misericordiam assequendam & clementiam, hanc quoque non paruam rationem afferens. Hoc quidem certè etiam in progressu significauit, dicens: C inueterauí inter omnes inimicos meos. Afflictio enim quæ cum gratiarum actione toleratur, solet magnam præbere ansam misericordiæ, & Deum reddere propitium. Hanc ergo mihi etiam videtur significare, dicens: 3. *Sana me Domine, quoniam conturbata sunt ossa mea,* 4. *& anima mea turbata est valde.* Non dixit: Remitte mihi, neque condona mihi, sed sana. Rogat enim vt priora deleantur vulnera. Ossa autem hîc dicit vniuersam virtutem. Turbationem autem, ictum, pœnam, suppli-D cium. Sana me Domine, quoniam conturbata sunt ossa mea, & anima mea turbata est valde. Quemadmodum ergo in medicis tria sunt, vel potius quatuor, vel etiam quinque: medicus, ars, ægrotus, morbus, vis medicamentorum, & existit quædam pugna ac conflictus. Si enim cum medico, arte, & medicamentis, accedit etiam voluntas ægroti, morbum vincunt. Si autem cum illis stare in acie desierit, ægrotus ad infirmitatem seipsum reducit: vel etiam seipsum interficit, si cũ illa aduersus medicum, medicamenta, & artem in acie steterit. Ita etiam in nobis accidit, imò

Ossa quæ.

Attende hæc.

potius non sic, sed multò admirabilius. Sub medicis enim, sæpe etiam cum morbo, & cum arte, & cum medicamentis stat ægrotus, & tamen nihil prodest, cùm & natura imbecilla facta sit, & ars hæsitauerit, nec exitum inuenerit, & vis medicamentorum aliquo casu effugerit. In Deo autem hoc non est, sed si cum medico steteris, omnino sanari vlcus oportet. Non est enim ars humana, vt dubitet: sed diuina facultas, quæ & naturas, & morbos, & improbitatem, & omne denique vitium superat. Et ideo hic quoque cùm ad Deum tanquam ad medicum accessisset, dicebat: Sana me Domine, quoniam conturbata sunt ossa mea. Nonnulli autem dicunt eum hîc dicere conturbationem illam quæ fit ex peccato.

Probatio per simile. Quemadmodum enim quando venti vehementes mari incubuerint, omnia turbant, & quæ est in profundo arena sursum fertur, & qui nauigant, in magno versantur periculo: ita etiam in nobis turbatur anima, mouetur corpus: omnia complentur tempestate: & plena est nobis deinceps cymba tumultus ac perturbationis, & densæ tenebræ, & pereunt omnia propriis locis relictis, & est maxima cõfusio. Hoc maximè & in libidinosis solet cupiditatibus euenire, hoc etiam in ira, & in calamitatibus. Hæc enim omnia conturbant, & ossa, & animam, & pupillæ inuertũtur, & nec oculi quidem ritè intuentur: sed quemadmodũ perturbato auriga, equi insolenter feruntur: ita etiam conturbata ratione omnia confunduntur, omnia inuertuntur, & proprium locum amittunt. Quomodo autem hæc fiat perturbatio, dicere etiam necesse est. Non enim quemadmodum in mari ex ventorum impetu, ita etiam in anima ex inopinato casu, sed ex nostra socordia euenit. Nã vt vel fiat, vel non fiat, ipsi in causa sumus. Vt, verbi gratia, exorta cupiditate, nisi tu flammam excitaueris, fornax non accenditur, nisi materiæ dederis alimentum. Non accenditur autem fornax, nisi de speciosis vultibus curiosè inuestigaris, nisi de aliena pulchritudine fueris nimium, sollicitus, nisi in theatra iniquitatis ascenderis. Nisi enim carnem deliciis ac lautitiis pinguefeceris, nisi vino rationem obrueris, flamma non excitatur,

Prou. 20. Luc. 16.

A δὲ οὐχ οὕτως, ἀλλὰ πολλῷ παραδοξότερον. ἐπὶ μὲν γὰρ τῶν ἰατρῶν πολλάκις καὶ μετὰ τοῦ νοσήματος, καὶ μετὰ τῆς τέχνης, καὶ μετὰ τῶν φαρμάκων ὁ κάμνων ἵσταται, καὶ οὐδὲν ὤνησε, τῆς φύσεως ἀσθενησάσης, καὶ τῆς τέχνης ἀπορησάσης, καὶ τῆς δυνάμεως δραπετευσάσης ἔκ τινος ἐπηρείας· ἐπὶ δὲ τοῦ Θεοῦ, οὐκ ἔνι τοῦτο, ἀλλ' ἐὰν στῇς μετὰ τοῦ ἰατροῦ, πάντως δεῖ θεραπευθῆναι τὸ ἕλκος. οὐ γάρ ἐστιν ἀνθρωπίνη τέχνη, ἵνα ἀπορήσῃ, ἀλλὰ θεία δύναμις, ἡ καὶ φύσεων καὶ νοσημάτων καὶ πονηρίας καὶ πάσης B περιγινομένη κακίας. διὰ δὴ τοῦτο καὶ οὗτος ὥσπερ ἰατρῷ τῷ Θεῷ προσελθὼν καὶ ἀποδυρόμενος, ἔλεγεν· ἴασαί με κύριε, ὅτι ἐταράχθη τὰ ὀστᾶ μου. τινὲς δέ φασιν ἐνταῦθα ταραχὴν ἐκείνην λέγειν, τὴν ἐκ τῆς ἁμαρτίας γινομένην. καθάπερ γὰρ ὅταν πνεύματα ῥαγδαῖα εἰς πέλαγος ἐμπέσῃ, πάντα ταράττει, καὶ ἡ βυθία ἄνω φέρεται ψάμμος, καὶ οἱ πλέοντες ἐν κινδύνῳ γίνονται· οὕτω δὴ καὶ ἐφ' ἡμῶν ταράττεται ἡ ψυχὴ, κινεῖται τὸ σῶμα, πάντα πληροῦται τοῦ χειμῶνος, καὶ μεστὸν ἡμῖν τὸ σκάφος λοιπὸν ταραχῆς, καὶ σκότος πολὺ, καὶ πάντα οἴχεται ἀπολιμπάνοντα C τὸν οἰκεῖον τόπον, καὶ πολλὴ ἡ σύγχυσις. τοῦτο μάλιστα καὶ ἐν ἐπιθυμίαις ἀσελγείας συμβαίνειν εἴωθε· τοῦτο καὶ ἐν θυμῷ καὶ ἐν συμφοραῖς. πάντα γὰρ ταῦτα ταράττει καὶ ψυχὴν καὶ ὀστᾶ, καὶ αἱ κόραι διαστρέφονται, καὶ οὐδὲ οἱ ὀφθαλμοὶ κατὰ τάξιν βλέπουσιν· ἀλλ' ὥσπερ ἡνιόχου θορυβηθέντος, ἀτάκτως οἱ ἵπποι φέρονται· οὕτω τοῦ λογισμοῦ διαταραχθέντος, πάντα συγχεῖται, πάντα διαστρέφεται, καὶ τὴν ἰδίαν ὁδὸν ἀπόλλυσι. πῶς δὲ αὕτη γίνεται ἡ ταραχὴ, ἀναγκαῖον καὶ τοῦτο εἰπεῖν. οὐ γὰρ ὥσπερ ἐν θαλάττῃ παρὰ τὴν τῶν πνευμάτων ἐμβολὴν, οὕτω καὶ ἐν τῇ ψυχῇ παρά D τινα ἀδόκητον περίστασιν, ἀλλὰ παρὰ τὴν ἡμετέραν ῥαθυμίαν συμβαίνει. καὶ γὰρ τοῦ γενέσθαι καὶ τοῦ μὴ γενέσθαι ἡμεῖς αἴτιοι. οἷόν τι λέγω. τῆς ἐπιθυμίας ἐγειρομένης, ἂν μὴ σὺ τὴν φλόγα ἀνάψῃς, οὐ καίεται ἡ κάμινος, ἂν μὴ τροφὴν παράσχῃς τῇ ὕλῃ· οὐκ ἀνάπτεται δὲ ἡ κάμινος, ἂν μὴ τὰς εὐμόρφους ὄψεις περιεργάσῃ, ἂν μὴ τὰ ἀλλότρια κάλλη πολυπραγμονήσῃς, ἂν μὴ εἰς θέατρα παρανομίας ἀναβαίνῃς. ἂν γὰρ μὴ πιαίνῃς τρυφῇ τὴν σάρκα, ἂν μὴ καταποντίσῃς οἴνῳ τὸν λογισμόν, οὐκ αἴρεται ἡ φλὸξ,

οὐκ

οὐκ ἀνάπτεται ἡ κάμινος, οὐ γίνεται χαλεπώτερον τὸ θηρίον, οὐ διατέμνεται καθάπερ ὑπὸ πνευμάτων ἀγρίων τῆς διανοίας τὸ καθαρόν. Ἀρκεῖ οὖν ταῦτα, φησι, πρὸς τὸ διαφυγεῖν τὴν φλόγα τῆς ἁμαρτίας; οὐκ ἀρκεῖ ταῦτα καὶ μόνα· ἀλλὰ καὶ ἕτερα δεῖ προστεθῆναι, εὐχὰς διηνεκεῖς, ἁγίων συνουσίας, νηστείας συμμέτρου, δίαιταν λιτήν, ἀσχολίας ἀναγκαίας, πρὸ τῶν ἄλλων ἁπάντων τοῦ Θεοῦ τὸν φόβον, τὴν μέλλουσαν κρίσιν, τὰς ἀφορήτους κολάσεις, τὰς ἐπαγγελίας τῶν ἀγαθῶν. Διὰ τούτων ἁπάντων δυνάσαι χαλινῶσαι τὴν λυττῶσαν ἐπιθυμίαν, καὶ στῆσαι τὴν κυμαινομένην θάλατταν. Καὶ σὺ κύριε ἕως πότε; ἐπίστρεψον κύριε, ῥῦσαι τὴν ψυχήν μου. Σῶσόν με ἕνεκεν τοῦ ἐλέους σου. Συνεχῶς τὸ κύριε τίθησιν, ὥσπερ τι δικαίωμα προβαλλόμενος συγχωρήσεως καὶ χάριτος. καὶ γὰρ ἡ μεγίστη ἡμῶν ἐλπὶς αὕτη, ἡ ἄφατος αὐτοῦ φιλανθρωπία, καὶ τὸ τοιοῦτον εἶναι αὐτὸν προσέχειν εἰς συγχώρησιν. Τὸ δὲ ἕως πότε, οὐκ ἀποδυσπετοῦντός ἐστιν, οὐδὲ δυσχεραίνοντος, ἀλλ' ὀδυνωμένου καὶ ἀλγοῦντος, καὶ οὐ φέροντος τὸν ἀπὸ τῶν πειρασμῶν ὄγκον. Ἐπίστρεψον κύριε, ῥῦσαι τὴν ψυχήν μου. Δύο ἐνταῦθα τίθησι, τό, τε ἐπιστρέψαι αὐτόν, καὶ τὸ ῥύσασθαι τὴν ψυχήν μου. Τοῦτο γὰρ μάλιστα τοῖς δικαίοις περιεσπούδαστον, τὸ καταλλάξασθαι αὐτὸν καὶ ἵλεων εἶναι καὶ εὐμενῆ καὶ μὴ ἀποστρέφεσθαι (τούτῳ γὰρ καὶ ἕτερον ἕπεται, τὸ σωθῆναι τὴν ψυχήν) οὐχ ὡς πολλοὶ τῶν ἀνθρώπων καὶ μάλιστα τῶν παχυτέρων ἓν μόνον ἐπιζητοῦσιν, ὅπως τῆς παρούσης ἀπολαύοιεν εὐημερίας. Ἀλλ' οὐκ ἐκεῖνοι οὕτως· ἀλλ' ὅπως τῆς σωτηρίας τῆς κατὰ ψυχὴν ἀπολαύσαιεν, ἧς οὐδὲν προτιμότερον αὐτοῖς ἦν. Ὅτι οὐκ ἔστιν ἐν τῷ θανάτῳ ὁ μνημονεύων σου· ἐν δὲ τῷ ᾅδῃ, τίς ἐξομολογήσεταί σοι; Ὅρα πόσας τίθησιν αἰτίας σωτηρίας· ὅτι ἀσθενής εἰμι, φησιν, ὅτι ἐταράχθη τὰ ὀστᾶ μου, ὅτι παρὰ τοῦ κυρίου ταῦτα αἰτῶ, ὅτι οὐκ ἔστιν ἐν τῷ θανάτῳ ὁ μνημονεύων σου· οὐ τοῦτο λέγων, ὅτι μέχρι τοῦ παρόντος τὰ ἡμέτερα (ἄπαγε· οἶδε γὰρ τὸν περὶ τῆς ἀναστάσεως λόγον) ἀλλ' ὅτι μετὰ τὴν ἐντεῦθεν ἀποδημίαν ἡ μετάνοια καιρὸν οὐκ ἂν ἔχοι. Ἐπεὶ καὶ ὁ πλούσιος ἐξωμολογεῖτο καὶ μετενόει, ἀλλ' οὐδὲν ὠφελεῖτο διὰ τὴν ἀκαιρίαν. Καὶ αἱ παρθένοι δὲ ἠθέλησαν λαβεῖν ἔλαιον, ἀλλ' οὐδεὶς αὐταῖς ἔδωκε.

fornax non accenditur, non euadit bellua ferocior, non tanquam à ventis immanibus excinditur cogitationis puritas. Hæc ergo, inquit, ad euitandam peccati flammam sufficiunt? Non sufficiunt hæc sola, sed oportet etiam alia accedere, orationes assiduas, sanctorum consuetudinem, ieiunium commoderatum, victum tenuem, necessaria exercitia, ante alia autem omnia Dei timorem, futurum iudicium, supplicia intolerabilia, bonorum promissiones. Per hæc omnia refrænanda est cupiditas rabie exagitata, & sedandum est mare commotum fluctibus. *Sed tu Domine vsquequo?* 5. *Conuertere Domine, & eripe animam meam, saluum me fac propter misericordiam tuam.* Ponit assiduè illud, Domine, veluti quandam rationem adducens gratiæ & condonationis: est enim hæc nostra spes maxima, eius ineffabilis clementia ac benignitas, & quod suapte natura sit propensus ad condonandum. Illud autem, Vsquequo, non est grauiter ac molestè ferentis, sed dolentis ac mœrentis, & non ferentis molem tentationum. Conuertere Domine, & eripe animam meam. Duo hic ponit, & ipsum conuerti, & eripere animam. Hoc enim à iustis maximo studio contenditur, vt ipse reconcilietur, & sit benignus ac propitius, & non auersetur. Hoc enim etiam aliud consequitur, nempe vt seruetur anima, non quemadmodum multi homines, & maximè crassiores, vnum solùm requirunt, vt præsenti fruantur prosperitate. At non illi sic, sed vt salutem animæ consequantur, qua nihil est eis antiquius. 6. *Quoniam non est in morte qui memor sit tui, in inferno autem quis confitebitur tibi?* Vide quot affert causas salutis. Quoniam infirmus sum, inquit, quoniam conturbata sunt ossa mea, quoniam hæc peto à domino, quoniam non est in morte qui memor sit tui. Non hoc dicens, vitam nostram vltra id quod præsens est non progredi & extendi, absit: nouit enim resurrectionem, sed quòd, postquam hinc excesserimus, non datur locus pœnitentiæ. Diues enim & confitebatur, & ducebatur pœnitentia, sed nihil ei proderat, quoniam tempus præterierat. Voluerunt etiam virgines accipere oleum, sed nemo eis dedit.

Luc. 16.

Matt. 25.

A Hoc ergo vult hic etiam, vt hic peccata eluamus: vt in terribili tribunali liberè ac fidenter loqui possimus. Deinde docès auditorem, quòd cum Dei clementia oportet etiam nostra consequi; nam & si imbecillitatem adducamus, si turbationem, si Dei bonitatem, si hoc etiam ipsum quod dixit: nostra autem his non accedant, nobis nihil prodest. Vide quidnam subiungit. 7. *Laboraui in gemitu meo, lauabo per singulas noctes lectum meum, lachrymis meis stratum meum rigabo.* Audiant qui sunt humiles & abiecti, qualem rex & purpura indutus ostenderet pœnitentiam: audiamus, compungamur. Non solummodo laborabat, sed laborabat gemens, non tantùm lachrymatus est, sed etiam lachrymis lectum lauit, non vno aut duobus aut tribus diebus, sed etiam singulis noctibus, & non solùm dicit præteritum, sed etiam futurum. Ne puteris enim quòd cùm hæc semel fecisset, deinceps se quieti tradiderit, & laxamento vsus sit: sed hoc assiduè fecit per totam vitam, non sicut nos, qui vno die vt plurimum laborantes, atque adeò ne vno quidem, nos ipsos risui, voluptati, & otio tradimus. At non ille: sed in lachrymis perpetuò agebat. Hanc nos etiam imitemur confessionem. Si enim noluerimus hic flere, illic omnino necesse est flere & eiulari: illic quidem inutiliter, hic autem cum emolumento: & illic quidem cum ignominia ac dedecore: hic verò decorè admodum & honestè. Quod enim necesse sit hoc fieri, audi quid dicat Christus: Illic erit fletus & stridor dentium. At non ita qui hic flent: sed magnam consequentur consolationem. Beati enim qui lugent, quoniam hi consolationem accipient. Væ vobis diuitibus, quoniam accipitis consolationem vestram. Audant qui lectos habent argenteos, qualis erat lectus regis, non ex gemmis conflatus, non auro contextus, sed ablutus lachrymis. Et noctes huic erant, non quietis, sed noctes fletuum & lamentationum. Quoniam interdiu eum multæ curæ circumsistebant, quod alij quietis ac relaxamenti tempus sumunt, id ille ducebat tempus confessionis, tunc acrius lamentans. Bonum est enim semper flere,

Hortatur ad pœnitentiam paradigmate.

Matth. 8. 12.
Luc. 13. 30.
Matth. 5. 4.
Luc. 6. 24.

A τοῦτο τοίνυν ἀξιοῖ καὶ οὗτος, ἐνταῦθα ἀπονίψασθαι τὰ ἁμαρτήματα, ὥστε ἐπὶ τοῦ φοβεροῦ βήματος παῤῥησίας ἀπολαῦσαι. εἶτα παιδεύων τὸν ἀκροατὴν, ὅτι μετὰ τὸ τοῦ Θεοῦ φιλανθρωπίας δεῖ καὶ τὰ ἡμέτερα ἕπεσθαι· ἄν τε γὰρ τὴν ἀσθένειαν προβαλλώμεθα, ἄν τε τὴν ταραχὴν, ἄν τε τοῦ Θεοῦ τὴν ἀγαθότητα, ἄν τε αὐτὸ δὴ τοῦτο, ὃ ἔλεγε· τὰ δὲ παρ' ἡμῶν μὴ προσκέηται, οὐδὲν ἡμῖν ὄφελος· ὅρα τί ἐπάγει· ἐκοπίασα ἐν τῷ στεναγμῷ μου, λούσω καθ' ἑκάστην νύκτα τὴν κλίνην μου· ἐν δάκρυσί μου τὴν στρωμνήν μου βρέξω. ἀκουέτωσαν B οἱ ἐν εὐτελείᾳ ζῶντες, οἵαν ὁ βασιλεὺς καὶ πορφυρίδα περικείμενος μετάνοιαν ἐπεδείκνυτο. ἀκούσωμεν, κατανυγῶμεν. οὐχ ἁπλῶς ἔκαμεν, ἀλλὰ καὶ ἐκοπίασε στενάζων. οὐχ ἁπλῶς ἐδάκρυσεν, ἀλλὰ καὶ ἔλουσε τὴν κλίνην· οὐ μίαν καὶ δευτέραν καὶ τρίτην ἡμέραν, ἀλλὰ καὶ καθ' ἑκάστην νύκτα· καὶ οὐ τὸ παρελθὸν μόνον λέγει, ἀλλὰ καὶ τὸ μέλλον. μὴ γὰρ δὴ νομίσητε, ὅτι ταῦτα ποιήσας ἅπαξ, πρὸς ἄνεσιν ἑαυτὸν λοιπὸν ἀφῆκεν, ἀλλὰ διηνεκῶς τοῦτο πράττων διετέλει διὰ πάσης τῆς ζωῆς. οὐ καθάπερ ἡμεῖς, οἱ μίαν C ἐργαζόμενοι τοῦτο πολλάκις ἡμέραν, ἢ οὐδὲ μίαν, εἰς γέλωτα καὶ τρυφὴν καὶ ἄνεσιν ἑαυτοὺς ἐκδιδόμεν. ἀλλ' οὐκ ἐκεῖνος· ἀλλ' ἐν δάκρυσι διηνεκέσι διετέλει. ταύτην δὴ καὶ ἡμεῖς μιμώμεθα τὴν ἐξομολόγησιν. εἰ γὰρ μὴ βουληθείημεν κλαῦσαι ἐνταῦθα, ἀνάγκη πάντως ἐκεῖ ὀδύρεσθαι καὶ κλαίειν· ἐκεῖ μὲν ἀνόητα, ἐνταῦθα δὲ μετὰ κέρδους· καὶ ἐκεῖ μὲν μετ' αἰσχύνης, ἐνταῦθα δὲ μετ' εὐκοσμίας πολλῆς. ὅτι γὰρ ἀνάγκη τοῦτο γενέσθαι, ἄκουσον τί φησιν ὁ Χριστός. ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων. ἀλλ' οὐχ οἱ ἐνταῦθα D κλαίοντες οὕτως· ἀλλὰ πολλῆς ἀπολαύσονται τῆς παρακλήσεως. μακάριοι γὰρ οἱ πενθοῦντες, ὅτι αὐτοὶ παρακληθήσονται. οὐαὶ ὑμῖν τοῖς πλουσίοις, ὅτι ἀπέχετε τὴν παράκλησιν ὑμῶν. ἀκουέτωσαν οἱ τὰς ἀργυρᾶς κλίνας ἔχοντες, οἵα τοῦ βασιλέως ἦν ἡ κλίνη· οὐ λιθοκόλλητος, οὐ χρυσόπαστος, ἀλλὰ δάκρυσι λελουμένη. τούτῳ αἱ νύκτες, οὐκ ἀναπαύσεως, ἀλλὰ θρήνων καὶ ὀδυρμῶν νύκτες ἦσαν. ἐπειδὴ ἐν ἡμέρᾳ πολλαὶ περιέστασαν αὐτὸν φροντίδες· ὃν ἅπαντες ἀνέσεως ποιοῦνται καιρὸν, τοῦτον ἐκεῖνος ἐξομολογήσεως ἐποιεῖτο, θερμότερον θρηνῶν τότε. καλὸν μὲν γὰρ ἀεὶ τὸ κλαίειν,

μάλιστα δὲ ἐν καιρῷ τῆς νυκτὸς, ὅτε οὐδεὶς ὁ ἐκκρούων τῆς θαυμαστῆς ταύτης ἡδονῆς· ἀλλ' ἔξεστιν ἐμφορηθῆναι ταῖς βουλομένοις μετὰ πάσης ἀδείας. ἴσασιν οἱ πεῖραν λαβόντες ὃ λέγω, ὅσην εὐφροσύνην ἔχουσιν αὗται τῶν δακρύων αἱ πηγαί. ταῦτα τὰ δάκρυα τὸ ἄσβεστον πῦρ σβέσαι δύναται, τὸν ποταμὸν ἐκεῖνον τὸν παρὰ τοῦ βήματος ἑλκόμενον. διὰ τοῦτο καὶ ὁ Παῦλος ἐδάκρυε τριετίαν νύκτα καὶ ἡμέραν, τὰ ἀλλότρια διορθούμενος πάθη, ἡμεῖς δὲ οὐδὲ τὰ οἰκεῖα· ἀλλὰ γέλωτι καὶ τρυφῇ ἑαυτοὺς ἐκδιδόντες, τὴν νύκτα κάρῳ βαθεῖ καταχωννύμεθα. καὶ οἱ μὲν ὕπνῳ θανάτῳ προσεοικότι προσηλῶνται· οἱ δὲ ἀγρυπνίας θανάτου χαλεπωτέρας ἀγρυπνοῦσι, τόκους καὶ δανείσματα καὶ τὰς ἑτέρων ἀναλογιζόμενοι κατ' ἐκεῖνον τὸν καιρὸν ἐπιβουλάς· ἀλλ' οὐχ οἱ νήφοντες, ἀλλὰ τὰς ἑαυτῶν γεωργοῦσι ψυχάς, ὥσπερ ὑετῷ τοῖς δάκρυσι κεχρημένοι τούτοις, καὶ τὰ σπέρματα τῆς ἀρετῆς αὔξοντες. πάσῃ κακίᾳ καὶ ἀσελγείᾳ ἄβατός ἐστιν εὐνὴ τοιαῦτα δάκρυα δεχομένη. ὁ τὰ τοιαῦτα δάκρυα σταλάζων οὐδὲν ἡγεῖται τὰ ἐπὶ τῆς γῆς, ἀλλὰ πάσης πολιορκίας ἀπαλλάττει τὴν ψυχήν, τοῦ ἡλίου λαμπροτέραν καθίστησι τὴν διάνοιαν. καὶ μή με νομίσητε πρὸς μοναχοὺς ταῦτα λέγειν μόνον· καὶ γὰρ πρὸς βιωτικοὺς ἡ παραίνεσις, καὶ πρὸς τούτους μᾶλλον, ἢ ἐκείνους. οὗτοι γὰρ μάλιστα οἱ δεόμενοι τῶν τῆς μετανοίας φαρμάκων. ὁ τοιαῦτα θρηνῶν, ἀναστήσεται λιμένος γαληνότερον τὴν ψυχὴν ἄμεινον ἔχων, πάντα ἐκβάλλων τὰ πάθη, πολλῆς πεπληρωμένος τῆς εὐφροσύνης. εἰς οἶκον Θεοῦ μετὰ παρρησίας ἀπαντήσεται ὁ τοιοῦτος· τῷ πλησίον μεθ' ἡδονῆς διαλέξεται. οὐ θυμὸς γὰρ ἐνδομυχεῖ, οὐκ ἐπιθυμία φλέγει, οὐκ ἔρως χρημάτων, οὐ φθόνος, οὐκ ἄλλο τῶν τοιούτων οὐδέν. πάντα γὰρ ταῦτα, καθάπερ θηρία ἐμφωλεύοντα, καταδῦναι διὰ τῆς νυκτὸς ὁ στεναγμὸς ἐκεῖνος καὶ τὰ δάκρυα παρεσκεύασεν. ἐταράχθη ἀπὸ θυμοῦ ὁ ὀφθαλμός μου. εἶδες ψυχὴν συντετριμμένην; εἰπὼν τὴν μετάνοιαν, λέγει πάλιν τὰ πάθη, τὸν θόρυβον τὸν ἐν τῇ διανοίᾳ, τὸν φόβον τὸν ἀπὸ τῆς ὀργῆς τοῦ Θεοῦ ἐγγινόμενον. ὀφθαλμὸν γὰρ ἐνταῦθα τὸν τῆς ψυχῆς φησι, τὸ διορατικὸν ἐκεῖνο καὶ λογικόν, ὅπερ ἡ ἔννοια τῶν οἰκείων ἁμαρτημάτων ταράττειν εἴωθεν. ἐπειδὴ γὰρ διὰ παντὸς πρὸ τῶν ὀφθαλμῶν εἶχε τὰ πλημμελήματα,

A maximè autem tempore noctis, quando nullus est qui hanc admirabilem voluptatem excutiat, sed licet volenti ea liberrimè expleri. Sciunt qui eius quod dico fecere periculum, quantam lætitiam habeant hi fontes lachrymarum. Hæ lachrymæ possunt extinguere ignẽ inexpugnabilem; fluuium illum qui trahitur ante tribunal. Propterea Paulus etiam triennio fleuit noctu & die, alienas affectiones corrigens, nos autem ne nostra quidem, sed nosipsos risui ac voluptati dedentes, tota nocte graui somno & crapula obruimur. Et B hi quidem somno morti simili sunt affixi: alij verò agunt morte grauiores vigilias, fœnora, & vsuras, & in alios insidias eo tempore animo agitantes. At non ij qui sunt sani & sobrij, sed suas colunt animas, his lachrymis tanquam imbre vtentes, & semina virtutis augentes. Nulli vitio & libidini erit aditus ad lectũ eius, qui lachrymas eiusmodi suscipit. Qui enim tales fundit lachrymas, nihili ducit quæ sunt in terra, sed liberat animũ ab omni obsidione, mentẽ reddit vel sole clariorẽ. Nec me existimaueritis solis hęc dicere Monachis, C etiam ad eos qui rebus ad hanc vitam pertinentibus attenti sunt, habetur hæc exhortatio, & ad hos potius, quàm ad illos. Hi enim sunt qui maximè indigent pœnitentiæ pharmacis. Qui hoc modo lamentatur, surget animo melius affecto & composito, quàm sit portus tranquillus, omnes animi perturbationes expellens, omni refertus lætitia in domum Dei liberè & securè ingredietur, cum propinquo iucundè colloquetur, nõ eum vexat ira in internis penetralibus, non inflãmat cupiditas, non D amor pecuniæ, nõ inuidia, non aliquid aliud eiusmodi. Hęc enim omnia vt tãquam belluæ in cauernis abstrusæ delitescerent, nocturnus ille gemitus & lachrymæ effecerunt. [8] *Turbatus est à furore oculus meus.* Vidisti contritã animam? Postquam dixit pœnitentiam, dicit rursus perturbationes animi, conturbationem quæ est in mente, timorem qui ex ira Dei procedit. Oculum enim hîc dicit oculum animæ, perspicacitatem illam & ratiocinandi facultatem, quam solet perturbare suorum peccatorum cogitatio. Quia enim sua delicta ante oculos perpetuò habebat,

Act. 20. 31

A Dei etiam iram apud se cogitabat, timore affectus, non omnis doloris penitus expers, sicut multi: sed horrens & contremiscens. Talis conturbatio est mater tranquillitatis: talis metus, est fundamentum securitatis. Qui ita est conturbatus, omnem tempestatem expellit. Qui tali non est anima præditus, graues fluctus subibit, & quemadmodum nauigium non saburratum, violentorum ventorum impetui relictum celeriter submergitur: ita etiam quæ nullo doloris sensu tangitur, exposita est innumerabilibus perturbationibus. Quocirca etiam beatus Paulus dicebat, ostendens hanc affectionem: Qui omni doloris sensu priuati seipsos tradiderunt impudicitiæ, in operationem omnis immunditiæ, in auaritia. Et quemadmodum gubernator, quandiu pro nauigantibus sollicitudine vexatur, omnes reddit quietos ac tranquillos: sed si ab ea liberatus dormiat, magnam affert perturbationem: ita etiam homo, qui horret quidem, tremit, & perturbatur, quietam reddit suam cogitationem: qui autem socordiæ somno seipsum tradidit, efficit vt cymba obruatur. *Inueteraui inter omnes inimicos meos.* Quid est inueteraui? Debilitatus sum, inquit, ab inimicis meis. Vita enim nostra versatur in certamine. & innumerabilibus inimicis plena est, qui etiam efficiuntur potentiores, quādo in peccata inciderimus. Quamobrem omnia sunt facienda vt eorum manus effugiamus, & ne eis vnquā reconciliemur. Hoc est enim nobis securitatis maximæ fundamentū. Horum inimicorum phalangem Paulus significans, dicebat: Non est nobis colluctatio cum carne & sanguine, sed cum principatibus, cum potestatibus, cum mundi rectoribus tenebrarum huius sæculi. Cùm ergo talis sit phalanx inimicorum, semper & perpetuò in armis esse oportet, & fugere peccatorum insultus. Nihil enim facit adeò inueterare, vt natura peccati. Quamobrem Paulus quoque volens inueterationem, quæ ex eo fit amoliri, dicebat: Ne conformemini huic seculo sed transformemini renouatione mentis vestræ. Quando ergo à peccato inueteraueris, renoua teipsum per pœnitentiam. 9. *Discedite à me omnes*

Collatio. — *Ephes.4.19* — *Iob.7.* — *Ephes.6.12* — *Rom.12.2.*

καὶ τοῦ Θεοῦ τὴν ὀργὴν ἀνελογίζετο, ἐν φόβῳ ὤν, οὐκ ἀναλγήτως ζῶν, καθάπερ οἱ πολλοί, ἀλλὰ ἀγωνιῶν καὶ τρέμων. ἡ τοιαύτη ταραχὴ, γαλήνης μήτηρ ἐστίν· ὁ τοιοῦτος φόβος, ἀδείας ὑπόθεσις· ὁ οὕτω τεταραγμένος, πάντα χειμῶνα ἐκβάλλει· ὁ τοιαύτην οὐκ ἔχων τὴν ψυχὴν, χαλεπὸν κλυδώνιον ὑποστήσεται. καὶ ὥσπερ πλοῖον ἀνερμάτιστον τῇ τῶν ἀγρίων πνευμάτων ἐκδοθὲν ῥύμῃ ταχέως καταποντίζεται· οὕτω καὶ ψυχὴ ἀναλγήτως ζῶσα, μυρίοις περίκειται πάθεσι. διὸ καὶ ὁ μακάριος Παῦλος B τοῦτο τὸ πάθος ἐνδεικνύμενος, ἔλεγεν· οἵτινες ἀπηλγηκότες, ἑαυτοὺς παρέδωκαν τῇ ἀσελγείᾳ εἰς ἐργασίαν ἀκαθαρσίας πάσης ἐν πλεονεξίᾳ. καὶ καθάπερ κυβερνήτης, ἕως ἂν ταῖς φροντίσι ταῖς ὑπὲρ τῶν πλεόντων ταράττηται, πάντας ἐν γαλήνῃ καθίστησιν· ἂν δὲ ταύτης ἀπαλλαγεὶς καθεύδῃ, ταραχὴν ἐπάγει μεγάλην· οὕτω δὴ καὶ ὁ ἄνθρωπος ὁ μὲν ἀγωνιῶν καὶ τρέμων καὶ ταραττόμενος, ἐν ἡσυχίᾳ τὴν ἑαυτοῦ καθίστησι διάνοιαν· ὁ δὲ ὕπνῳ τῆς ῥαθυμίας ἑαυτὸν παραδοὺς, ὑποβρύχιον τὸ σκάφος ἐργάζεται. ἐπαλαιώθην ἐν πᾶσι τοῖς ἐχθροῖς C μου. τί ἐστιν ἐπαλαιώθην; ἠσθένησα, φησιν, ὑπὸ τῶν ἐχθρῶν μου. καὶ γὰρ ἐναγώνιος ἡμῶν ὁ βίος, καὶ μυρίων ἐχθρῶν ἡ ζωὴ ἡμῖν ἐμπέπλησται, οἵτινες καὶ ἰσχυρότεροι γίνονται, ἐπειδὰν ἁμαρτήμασι περιπέσωμεν. διὸ πάντα χρὴ ποιεῖν, ὥστε διαφυγεῖν αὐτῶν τὰς λαβὰς, καὶ μηδέποτε πρὸς αὐτοὺς καταλλάττεσθαι. αὕτη γὰρ ἡμῖν μεγίστης ἀσφαλείας ὑπόθεσις. τούτων τῶν ἐχθρῶν τὴν φάλαγγα δηλῶν ὁ Παῦλος, ἔλεγεν· οὐκ ἔστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα, καὶ σάρκα, ἀλλὰ πρὸς τὰς ἀρχὰς, πρὸς τὰς ἐξουσίας, πρὸς τοὺς κοσμοκράτορας τοῦ D σκότους τοῦ αἰῶνος τούτου. ἐπεὶ οὖν τοιαύτη ἡ τῶν πολεμίων φάλαγξ, ἀεὶ καὶ διηνεκῶς ὁπλίζεσθαι χρὴ, καὶ φεύγειν τῶν ἁμαρτημάτων τὰς ἐφόδους. οὐδὲν γὰρ οὕτω παλαιοῦν εἴωθεν, ὡς ἁμαρτίας φύσις. διόπερ καὶ ὁ Παῦλος τὴν ἐντεῦθεν παλαίωσιν γινομένην ἀποτίθεσθαι κελεύων, ἔλεγε· μὴ συσχηματίζεσθε τῷ αἰῶνι τούτῳ, ἀλλὰ μεταμορφοῦσθε τῇ ἀνακαινώσει τοῦ νοὸς ὑμῶν. ὅταν οὖν ὑπὸ τῆς ἁμαρτίας παλαιωθῇς, ὑπὸ τῆς μετανοίας ἀνακαίνισον σεαυτόν. ἀπόστητε ἀπ' ἐμοῦ πάντες

οἱ ἐργαζόμενοι τὴν ἀνομίαν, ὅτι εἰσήκουσε κύριος τῆς φωνῆς τοῦ κλαυθμοῦ μου. ἤκουσε κύριος τῆς δεήσεώς μου, κύριος τὴν προσευχήν μου προσεδέξατο. οὐ μικρὰ καὶ αὕτη ὁδὸς εἰς ἀρετὴν ἄγουσα, τὸ φεύγειν τοὺς πονηρούς. ὅπερ μετὰ τοσαύτης ὑπερβολῆς καὶ ὁ Χριστὸς ἀπαιτεῖ παρ' ἡμῶν, ὡς τοὺς ἐν τάξει μελῶν ἡμῖν ἀναγκαιοτάτους ὄντας φίλους κελεύειν ἐκκόπτειν, ὅταν ἡμᾶς σκανδαλίζωσι, καὶ βλάβην τινὰ ἡμῖν αὐτῶν ἡ συνουσία φέρῃ. ἐὰν γάρ, φησιν, ὁ ὀφθαλμός σου σκανδαλίζῃ σε, ἔξελε αὐτόν· καὶ ἐὰν ἡ χείρ σου σκανδαλίζῃ σε, ἔκκοψον αὐτήν, καὶ βάλε ἀπὸ σοῦ· οὐ περὶ μελῶν λέγων, ἄπαγε· ἀλλὰ περὶ φίλων γνησίων, ὧν δεῖ τὰς φιλίας ἀτιμάζειν, ὅταν μήτε αὐτοῖς κέρδος μήτε ἡμῖν γίνηται, ἀλλὰ βλάβη. ταύτην δὴ τὴν ἀρετὴν κατορθώσας καὶ οὗτος, οὐ μόνον οὐκ ἐδίωκε τὰς τοιαύτας συνουσίας, ἀλλὰ καὶ προσεκελεύετο τούτοις ἀποπηδᾶν ἑαυτοῦ. τοῦτο τῆς μετανοίας ὁ καρπός· τοῦτο τῶν δακρύων τὸ κέρδος. ἡ γὰρ οὕτω συντετριμμένη διάνοια, οὐδεμιᾷ λοιπὸν παρανομίᾳ κατέχεται. τοῦτο δὴ καὶ ἡμεῖς ποιῶμεν. κἂν αὐτὸ τὸ διάδημα ἤ τις περικείμενος, βλάπτῃ δὲ ἡμᾶς, ἀτιμάζωμεν αὐτοῦ τὴν φιλίαν. οὐδὲν γὰρ εὐτελέστερον ἀνδρὸς καὶ βασιλεύοντος, ὅταν κακίᾳ συζῇ· ὥσπερ οὐδὲν βασιλικώτερον καὶ δεσμώτου, ὅταν ἀρετὴν ᾖ κεκτημένος. ὅτι εἰσήκουσε κύριος τῆς φωνῆς τοῦ κλαυθμοῦ μου. οὐκ εἶπεν, ὅτι εἰσήκουσε τῆς φωνῆς μου ἁπλῶς, ἀλλὰ τῆς φωνῆς τοῦ κλαυθμοῦ μου. ὁρᾷς πῶς καὶ τὰ παρ' ἑαυτοῦ μετὰ πολλῆς εἰσάγει τῆς δαψιλείας, καὶ φωνήν, καὶ κλαυθμόν; φωνὴν ἐνταῦθα, οὐ τὸν τόνον λέγων τῆς κραυγῆς, ἀλλὰ τὴν διάθεσιν τῆς διανοίας· καὶ κλαυθμόν, οὐ τὸν ἀπὸ τῶν ὀφθαλμῶν μόνον, ἀλλὰ καὶ τὸν ἀπὸ τῆς ψυχῆς. ὁ γὰρ μετάνοιαν εἰσάγων, καὶ παρὰ τοῦ Θεοῦ ἀκουόμενος, εὐκόλως καὶ τοῦτο δύναται κατορθῶσαι τὸ ἀγαθόν, τὸ διακρούεσθαι τῶν πονηρῶν τὰς συνουσίας. αἰσχυνθήτωσαν καὶ ἐκταραχθήτωσαν πάντες οἱ ἐχθροί μου· ἀποστραφήτωσαν καὶ καταισχυνθήτωσαν σφόδρα διὰ τάχους. αὕτη ἡ εὐχὴ μεγίστην ἔχει ὠφέλειαν, τό, τε αἰσχυνθῆναι λέγω, καὶ τὸ εἰς τοὐπίσω ἀπελθεῖν. οἱ γὰρ κακῶς τρέχοντες, εἰ καταισχυνθεῖεν, καὶ εἰς τὰ ὀπίσω ἀπέλθοιεν, παύσονται τῆς πονηρίας. ὥσπερ γὰρ εἰ ἄνθρωπον ἴδωμεν κατὰ κρημνοῦ φερόμενον,

A *qui operamini iniquitatem, quoniam exaudiuit Dominus vocem fletus mei.* 10. *Exaudiuit Dominus deprecationem meam: Dominus orationem meam suscepit.* Non est hæc quoque parua via ad virtutem deducens, malos fugere, quod quidem Christus quoque à nobis cum tanto excessu exigit, vt etiam amicos qui maximè necessariorum nobis membrorum loco sunt, iubeat excindere, quãdo nos scandalizant, & nobis aliquid damni affert eorum consuetudo. Si oculus, inquit, te scandalizat, erue ipsum: & si manus te scandalizat, excinde ipsam, & eijce à B te, non dicens de membris, absit: sed de veris & necessariis amicis, quorum sunt aspernandæ amicitiæ, quando nec nobis, nec ipsis sunt vtiles, sed damnosæ. Ex hac virtute se rectè gerens hic quoque non solùm nõ persequebatur tales familiaritates & cõgressiones, sed etiam eas iubebat à se resilire. Hic est fructus pœnitentiæ, hoc est lucrum lachrymarum. Mens enim quæ ita est contrita, nulla deinceps libidine tenetur. Hoc ipsum nos quoque faciamus: & si sit quispiã vel ipso diademate redimitus, nos autem lædat, aspernemur eius ami-C citiam. Nihil est enim viro vilius (etsi sit rex) quando est vitio deditus, quemadmodum nihil est vel captiuo regalius ac magnificentius, quandiu virtutem possederit. Quoniam exaudiuit Dominus vocem fletus mei. Non dixit, Exaudiit vocem meam simpliciter, sed vocem fletus mei. Vides quomodo sua largè & copiosè proferat, & vocem & fletum, vocem hîc dicens, non intensionem clamoris, sed affectionẽ animi: & fletum non eum solùm qui profluit ex oculis, sed etiam eum qui ex anima. Qui enim inducit pœnitentiã, & à Deo D exauditur, hoc etiam bonum potest præclarè consequi, vt consuetudinem improborum amoueat. 11. *Erubescant & conturbentur omnes inimici mei, conuertantur & erubescant valde velociter.* Hæc oratio maximam habet vtilitatem, pudefieri, inquã, & retrocedere. Qui enim male currunt si erubescant, & retrocedant, à nequitia desistent. Quemadmodum enim si viderimus hominem in præcipitio & præruptis locis ingredientem,

Matt. 5. Oculus eruendus quomodo.

ne vlterius procedat retinebimus, dicentes: Homo, quò ferris? Occurret tibi præcipitiũ quod ante est: ita etiam hic vult malos retrocedere. Ita etiam furentem equum nisi quis citò repres-serit, citò peribit. Ita etiam medici, ser-pentis alicuius venenum sæpe serpens & in totum corpus emanans maxima celeritate, ne vlterius progrediatur, si-stunt, eius vitium incidentes. Hoc autem nos quoque faciamus, & quod in nobis est, vitium maxima celeritate reprimamus, ne vlterius progrediens morbum augeat. Neglecta enim peccatorum vulnera sæpe maiora euadunt, & nec vsque ad vulnera solùm sistit morbus & infirmitas, sed sæpe etiam mortem parit immortalem, quemadmodum etiam si ab initio parua sustulerimus, nec magna consequentur. Considera autem, Qui meditatus est non facere iniuriam, nec sciet pugnare. Qui pugnare nesciet, se etiam rectè geret in amicitia. Qui se in amicitia rectè geret, non habebit inimicum. Qui autem non habet inimicum, sed habet charitatem, habebit omnem virtutem. Ne priora ergo negligamus, ne mala in maius crescant. Iudas si pecuniæ amorem coërcuisset, non venisset ad sacrilegium: si illud compressisset, non ad colophonem (vt aiunt) malorum prosiluisset. Et ideo Christus quoque non solum fornicationem & adulterium, sed impudicum etiam obtutum reprimit, radicem ab imò euellens, vt facilius possit superari vitium. Hoc etiam faciebat Iudæis crassius quidem, & tanquam per ænigma: loquebatur enim cum carnalioribus, sed tamen faciebat. Quomodo? Non permittebat vt in bestiis vlla esset coniunctio ex diuersis generibus, non sinebat comesse sanguinem brutorum, non permittebat tenere pignora post vesperum, magna per hæc mala reprimens: per primum quidem initum masculorum, per secundum autem cædes, per tertium autem crudelitatem & inhumanitatem. Sed nunc omnia passim & impudenter fiunt, & ideo omnia susque dèque aguntur & feruntur. Quando ergo paruam animi perturbationem susceperis, ne eam neglexeris, quòd parua sit, sed consydera quòd id quod ex ea

Ephes. 5. Coloss. 3. Matth. 5. Deut. 22. Deut. 12. Deut. 24.

A ἀναχαιτίζομεν αὐτὸν τῆς προσωτέρω φορᾶς, λέγοντες, ἄνθρωπε, ποῦ φέρῃ; κρημνὸς ἔμπροσθεν ἀπαντήσεται· οὕτω δὴ καὶ οὗτος ἀξιοῖ τοὺς κακοὺς πάλιν εἰς τοὐπίσω ἀναδραμεῖν. οὕτω καὶ ἵππον μαινόμενον ἂν μὴ ταχέως τις ἀνακρούσηται, ταχέως ἀπόλλυται. οὕτω καὶ ἰατροὶ ἰὸν ἑρπετοῦ τινος πολλάκις ἐπινεμόμενον ἅπαν τὸ σῶμα, μετὰ πολλοῦ τοῦ τάχους τῆς προσωτέρω φορᾶς ἱστῶσιν, ἐγκόπτοντες αὐτοῦ τὴν κακίαν. τοῦτο δὴ καὶ ἡμεῖς ποιῶμεν, καὶ τὴν ἐν ἡμῖν κακίαν ἀναστέλλωμεν μετὰ πολλοῦ τοῦ τάχους, ἵνα μὴ B προϊοῦσα αὔξῃ τὴν νόσον. καὶ γὰρ ἀμελούμενα, μείζονα γίνεται τῶν ἁμαρτημάτων τὰ τραύματα, καὶ οὐ μέχρι τραυμάτων ἵσταται τὰ τῆς νόσου καὶ τῆς ἀρρωστίας, ἀλλὰ καὶ θάνατον τίκτει τὸν ἀθάνατον· ὥσπερ ἂν ἐξ ἀρχῆς καὶ τὰ μικρὰ ἀνέλωμεν, οὐδὲ τὰ μεγάλα ἕψεται. σκόπει δέ· ὁ μελετήσας μὴ ὑβρίζειν, οὐδὲ μάχεσθαι εἴσεται· ὁ μὴ εἰδὼς μάχεσθαι, καὶ τὸ φιλεῖν κατορθώσει· ὁ κατορθώσας τὸ φιλεῖν, ἐχθρὸν οὐχ ἕξει· ὁ δὲ ἐχθρὸν οὐκ ἔχων, ἀλλὰ τὴν ἀγάπην ἐπιδεικνύμενος, ἅπασαν κατορθώσει τὴν ἀρετήν. μὴ δὴ τῶν προτέρων ἀμελῶμεν, ἵνα μὴ πρὸς C τὸ μεῖζον αἴρηται τὰ κακά. ὁ Ἰούδας, εἰ τὸ χρημάτων ἐρᾶν ἐκόλασεν, οὐκ ἂν εἰς ἱεροσυλίαν ἦλθε. ταύτην εἰ κατέσχεν, οὐκ ἂν εἰς τὸν κολοφῶνα τῶν κακῶν ἐξεπήδησε. διὰ τοῦτο καὶ ὁ Χριστὸς οὐ τὴν πορνείαν μόνον, οὐδὲ τὴν μοιχείαν, ἀλλὰ καὶ τὴν ἀκόλαστον ὄψιν ἀναστέλλει, τὴν ῥίζαν κάτωθεν διασπῶν, ὥστε καὶ εὐκολώτερον εἶναι περιγενέσθαι τῆς πονηρίας. τοῦτο καὶ ἐπὶ τῶν Ἰουδαίων ἐποίει, παχύτερον μὲν καὶ ὡς δι' αἰνιγμάτων, ἐπεὶ πρὸς σαρκωδεστέρους ὁ λόγος ἦν, ἐποίει δ' οὖν ὅμως. πῶς, καὶ D τίνι τρόπῳ; οὐκ ἠφίει ἐν κτήνεσι γίνεσθαί τινα μῖξιν ἐκ διαφόρων γενεῶν· οὐκ ἠφίει αἷμα ἐσθίειν ἀλόγων· οὐκ ἠφίει ἐνέχυρα κατέχειν μετὰ τὴν ἑσπέραν, μεγάλα ἐκ τούτων ἀναστέλλων κακά· διὰ μὲν τοῦ προτέρου, τὴν ἀρρενομιξίαν· διὰ δὲ τοῦ δευτέρου, τοὺς φόνους· διὰ δὲ τοῦ τρίτου, τὴν ὠμότητα καὶ τὴν ἀπανθρωπίαν. ἀλλὰ νῦν πάντα ἀναιδῶς καὶ μετὰ πολλῆς πράττεται τῆς ἀναισχυντίας. διὰ τοῦτο πάντα ἄνω καὶ κάτω γέγονεν. ὅταν μὲν τοίνυν μικρὸν καταδέξῃ πάθος, μὴ τοῦτο ἴδῃς ὅτι μικρόν, ἀλλ' ἐννόησον, ὅτι τὸ ἐξ αὐτοῦ τε-

φόλμνον τὰ μέγιστα τίκτει δεινά. καὶ γὰρ ἐπειδὰν ἴδωμεν ἐν οἰκίᾳ σπινθῆρα ἀναφθέντα μικρὸν, θορυβούμεθα καὶ ταραττόμεθα. οὐ γὰρ τῷ προοιμίῳ προσέχομεν, ἀλλ' ἀπὸ τοῦ προοιμίου τὸ τέλος λογιζόμενοι, θορυβούμεθα καὶ περιτρέχομεν, ὥστε ὁλόκληρον σβέσαι τὴν κάμινον. τούτου τοῦ πυρὸς σφοδρότερον ἐπινέμεται ψυχὴν ἡ κακία. διὸ δεῖ προκαταλαβεῖν. ἐὰν γὰρ ῥαθυμήσωμεν, δυσχολωτέρα γίνεται ἡ διόρθωσις. τοῦτο καὶ ἐπὶ πλοίου συμβαῖνον ἴδοι τις ἄν, καὶ τοὺς ναύτας θορυβουμένους, οὐχ ὅταν ἴδωσι τὴν θάλατταν ὑπερέχουσαν, ἀλλὰ καὶ ὅταν μέλλουσαν τοῦτο ποιεῖν. μὴ τοίνυν ὦμεν ῥάθυμοι τοῖς μικροῖς ἁμαρτήμασιν, ἀλλὰ μετὰ πολλῆς αὐτὰ ἀναστέλλωμεν τῆς σφοδρότητος, ἵνα τῶν μειζόνων ἀπαλλαγῶμεν, καὶ τῶν μελλόντων ἐπιτύχωμεν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ιησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. Αμήν.

A alitur, maxima mala parit. Etenim postquam in domo aliqua parum ſtupę accenſum viderimus, conturbamur, & tumultum mouemus: non enim attendimus initium: ſed ex initio finem conſiderantes, mouemur, & concurrimus vt totum caminum extinguamus. Hoc igne vehementius, animam exedit vitium. Oportet itaque præuenire. Nam ſi fuerimus negligentes, id correctu euadet difficilius. Hoc viderit quiſpiam euenire etiam in nauigio, & conturbari nautas, non quando ma- B re iam ſuperare, ſed quando id facturum eſſe viderint. Ne ſimus ergo in paruis peccatis ſocordes, ſed ea reprimamus cum magna vehementia, vt liberemur à maioribus, & bona futura conſequamur, gratia & benignitate domini noſtri Ieſu Chriſti. Cui gloria in ſecula. Amen.

ΕΙΣ ΤΟΝ ΠΙΙ. ΨΑΛΜΟΝ. C

ΨΑΛΜΟΣ ΤΩι ΔΑΒΙΔ, ΟΝ ΗΣΕ ΤΩι ΚΥΡΙΩι ὑπὲρ τῶν λόγων Χουσὶ υἱοῦ Ιεμενεῖ.

Κύριε ὁ Θεός μου, ἐπὶ σοὶ ἤλπισα· σῶσόν με ἐκ πάντων τῶν διωκόντων με, καὶ ῥῦσαί με.

ΕΔΕΙ μὲν οὕτως ἀκριβῶς τὰς γραφὰς καὶ τὴν ἱστορίαν εἰδέναι τὴν γνῶσιν, ὡς μὴ δεῖσθαι ἡμᾶς μακροτέρου λόγου πρὸς τὴν τούτων διδασκαλίαν· ἐπειδὴ δὲ οἱ μὲν ὑπὸ βιωτικῶν πραγμάτων ἀσχολούμενοι, οἱ δὲ ῥαθυμίᾳ ἑαυτοὺς ἐκδιδόντες ἀνήκοοι τούτων εἰσὶν, ἀνάγκη πρὸς τὸ μῆκος τὸν λόγον ἐξαγαγεῖν, τὴν ὑπόθεσιν τοῦ ψαλμοῦ λέγοντας. ἀλλὰ προσέχετε μετ' ἀκριβείας. τίς οὖν ἐστιν ἡ ὑπόθεσις; ψαλμὸς τῷ Δαβίδ,

IN PSALMVM VII.

PSALMVS DAVID, QVEM CANTAVIT DOMINO pro verbis Chuſi filij Iemini.

Domine Deus meus in te ſperaui: ſaluum me fac ab omnibus perſequentibus me, & libera me.

D OPORTERET quidem ſcripturarum & hiſtoriarũ adeò exactè habere cognitionem, vt non egeremus longiori oratione ad earum doctrinam; ſed quoniam alij quidem in rebus, quę ad victũ pertinent occupati, alij verò ſeipſos ſocordiæ dedentes, ea non audiuerunt, neceſſe eſt paulò longiori vti oratione, pſalmi argumentum dicentes, ſed attẽdite diligenter, quódnam ſit argumentum. Pſalmus Dauid

quem cecinit Domino. Alius Psalmus A pro ignorantia Dauid. Alius Ignoratio Dauid, & pro Chusi, Æthiope, inquit. Sed sic etiam obscura sunt, quæ dicta sunt, quòd vos historiam ignoretis. Sed quoniam non oportet solùm reprehendere, sed etiam docere, operæpretium est, vt narrationem aggrediamur. Quis ergo sit hic Chusi filius Iemini, & quænam sint verba eius, pro quibus Deo cecinit hoc canticum Dauid, hinc deinceps dicendum est, ab initio ducta oratione. Abslalon fuit filius Dauid, iuuenis incontinens & perditus. Is aliquando insurrexit aduersus patrem, eóque regno, & domo, B & patria eiecto, pro illo ipse tenebat omnia, & neque naturam, nec educationem, nec ætatem, nec quæ præcesserant respiciebat, aut reuerebatur, sed erat adeò, vt semel dicam, crudelis, & immitis, & bellua potius quàm homo, vt his omnibus perruptis obicibus, ipsis naturæ insultaret legibus, & turba omnia ac tumultu compleret: tunc enim omnia euertebantur decreta naturæ, hominum reuerentia, in Deum pietas ac religio, humanitas & misericordia, alimentorum remuneratio, & in senectutem reuerentia. Nam etsi C nolebat eum reuereri vt patrem, saltem reuereri oportebat vt senẽ. Quòd si canos negligebat, certè vt benefactorem. Quòd si nec sic quidem, vt eum quidem certè qui nullam fecerat iniuriam: sed amor principatus hanc omnem eiecit reuerentiam, & vt homo fera esset, effecit. Et hic quidem beatus, qui & genuerat, & aluerat, tanquam qui è patria migrasset, errabat in alienis finibus, & quæ ex his sequuntur malis opprimebatur: ille verò in bonis paternis voluptatem explebat. D Cùm res ergo ita se haberent, & cum illo instructi essent exercitus, & tyranno vrbes parerent, quidam Chusi vir probus, Dauid amicus, suam in eum amicitiam perpetuò conseruauit in hac mutatione temporum, & cùm sæpe eum vidisset errantem in solitudine, dirupit tunicam, aspersit se cinere, acerbè fleuit & miserabiliter, & cùm nihil aliud posset, lachrymarum assert consolationem: non erat enim amicus temporum, nec potentiæ, sed virtutis, & ideo licet regno eiectus esset, non

1. Reg. 15.

Attende vim ambitionis.

ὃν ᾖσε τῷ κυρίῳ. ἄλλος· ψαλμὸς ὑπὲρ ἀγνοίας τοῦ Δαβίδ. ἄλλος· ἀγνόημα τοῦ Δαβίδ· καὶ ἀντὶ τοῦ Χουσὶ, Αἰθίοπός φησιν. ἀλλὰ καὶ οὕτως ἀσαφῆ τὰ εἰρημένα, τῷ τὴν ἱστορίαν ὑμᾶς ἀγνοεῖν. ἐπεὶ δὲ οὐκ ἐγκαλεῖν δεῖ μόνον, ἀλλὰ καὶ διδάσκειν, ἀναγκαῖον ἅψασθαι τοῦ διηγήματος. τίς οὖν ὁ Χουσὶ ἐστὶν ὁ υἱὸς Ιεμενεί, καὶ τίνες οἱ λόγοι αὐτοῦ, ὑπὲρ ὧν ᾖσε τῷ Θεῷ τὴν ᾠδὴν ταύτην ὁ Δαβὶδ, ἐντεῦθεν ἤδη λεκτέον, εἰς ἀρχὴν ἀνάγοντα τὸν λόγον. Ἀβεσαλὼν, υἱὸς ἐγένετο τοῦ Δαβὶδ, νέος ἀκόλαστος καὶ διεφθαρμένος. οὗτος ἐπαναστὰς ποτὲ τῷ πατρὶ καὶ τῆς βασιλείας αὐτὸν, καὶ τῆς οἰκίας, καὶ τῆς πατρίδος ἐκβαλὼν, αὐτὸς ἀντ' ἐκείνου κατεῖχεν ἅπαντα, καὶ οὔτε τὴν φύσιν, οὔτε τὴν ἀνατροφὴν, οὐ τὴν ἡλικίαν, οὐ τὰ προλαβόντα ᾐδεῖτο· ἀλλ' οὕτως ἦν καθάπαξ ὠμὸς καὶ ἀπηνὴς καὶ θηρίον μᾶλλον, ἢ ἄνθρωπος, ὡς ἅπαντα ταῦτα διαῤῥήξας τὰ κωλύματα, αὐτοῖς ἐπιπηδῆσαι τοῖς τῆς φύσεως νόμοις, καὶ ταραχῆς ἐμπλῆσαι ἅπαντα καὶ θορύβου. καὶ γὰρ πάντα ἀνετρέπετο τότε, φύσεως ὅροι, ἀνθρώπων αἰδὼς, ἡ πρὸς Θεὸν εὐλάβεια, φιλανθρωπία καὶ ἔλεος, τροφείων ἀμοιβαὶ, καὶ ἡ πρὸς τὸ γῆρας αἰδώς. εἰ γὰρ καὶ μὴ ὡς πατέρα αἰδεσθῆναι ἠβούλετο, ὡς γεγηρακότα ἐχρῆν· εἰ δὲ καὶ τῆς πολιᾶς ἠμέλει, ὡς εὐεργέτην αἰσχυνθῆναι· εἰ δὲ μηδὲ οὕτως, ὡς μηδὲν ἠδικηκότα. ἀλλ' ὁ τῆς φιλαρχίας ἔρως πᾶσαν ταύτην ἐξέβαλε τὴν αἰδῶ, καὶ θηρίον τὸν ἄνθρωπον ἐποίησε. καὶ ὁ μὲν μακάριος ἐστὶ καὶ γεννησάμενος καὶ ἀναθρεψάμενος, ἀλήτης, καὶ φυγὰς κατὰ τὴν ἔρημον ἐπλανᾶτο, καθάπερ μετανάστης, ἐν ὑπερορίᾳ, καὶ τοῖς ἐντεῦθεν πιεζόμενος κακοῖς· ἐκεῖνος δὲ ἐνετρύφα τοῖς τοῦ πατρὸς ἀγαθοῖς. τῶν τοίνυν πραγμάτων ἐν τούτοις ὄντων, καὶ τῶν στρατοπέδων μετ' ἐκείνου τεταγμένων, καὶ τῶν πόλεων ὑπὸ τὸν τύραννον οὐσῶν, Χουσί τις ἄνθρωπος ἐπιεικὴς, φίλος ὢν τοῦ Δαβὶδ ἔμενε τὴν πρὸς αὐτὸν φιλίαν διατηρῶν ἐν τῇ τῶν καιρῶν τούτων μεταβολῇ· καὶ ἰδὼν αὐτὸν ἀνθρωπον κατὰ τὴν ἔρημον πλανώμενον, διέῤῥηξε τὸν χιτωνίσκον, κατεπάσατο τέφραν, ἀνῴμωξε πικρὸν καὶ ἐλεεινὸν· καὶ ἐπειδὴ μηδὲν ἠδύνατο, τὴν ἀπὸ τῶν δακρύων εἰσφέρει παραμυθίαν. οὐ γὰρ ἦν τῶν καιρῶν φίλος, οὐδὲ τῆς δυναστείας, ἀλλὰ τῆς ἀρετῆς. διὰ τοῦτο, τῆς ἀρ-

χῆς μεταπεσούσης, τὴν φιλίαν οὐ μετέβαλεν. ἰδὼν τοίνυν αὐτὸν ὁ Δαβὶδ ταῦτα ποιοῦντα, φησὶ πρὸς αὐτόν· φίλου μὲν καὶ ταῦτα, καὶ γνησίως πρὸς ἡμᾶς διακειμένου· ὀνήσει δὲ οὐδὲν ἡμᾶς. ἀλλὰ δεῖ τι βουλεύσασθαι καὶ σκοπῆσαι, ὅπως ἂν λυθῇ τὰ καταλαβόντα δεινὰ, καὶ ἀπαλλαγήν τινα εὕρωμεν τῶν συμφορῶν. ταῦτα εἰπὼν, εἰσηγεῖται γνώμην ἐκείνῳ τοιαύτην. ἀπελθὼν πρὸς τὸν υἱὸν τὸν ἐμὸν, καὶ φίλου πρόσωπον ὑποδὺς, διασκέδασόν μοι τὰς ἐκείνου βουλὰς, καὶ τοῦ Ἀχιτόφελ τὴν βουλὴν ἄκυρον ποίησον. ὁ δὲ Ἀχιτόφελ ὅσος τοῦ τυράννου τότε ἐκράτει, δεινὸς μὲν ὢν τὰ πολεμικὰ, δεινὸς δὲ καὶ στρατηγῆσαι ἐν πολέμῳ καὶ μάχῃ, διὸ καὶ τοῦ τυράννου μᾶλλον αὐτὸν ὁ Δαβὶδ ἐδεδοίκει. οὕτως ἦν δεινὸς ἐν ταῖς γνώμαις ὁ ἀνήρ. ταῦτα ἀκούσας ἐκεῖνος ἐπείσθη, καὶ οὐδὲν μικρόψυχον ἐλογίσατο, οὐδὲ ἄνανδρον, οὐδὲ εἶπε, τί δὲ ἂν ἁλῶ; τί δὲ ἂν ἀποκαλυφθῇ μοι τὸ προσωπεῖον; τί δὲ ἂν φωραθῇ τὸ δρᾶμα τῆς ὑποκρίσεως; δεινὸς ὁ Ἀχιτόφελ· ἴσως καὶ τοῦτο ἐλέγξει, καὶ ποιήσει κατάφωρον, καὶ ἀπολοῦμαι εἰκῆ καὶ μάτην. οὐδὲν τῶν τοιούτων ἐννοήσας, εἰς τὸ στρατόπεδον ἐπεπήδησε τοῦ τυράννου, τὸ πᾶν ἐπὶ τὸν Θεὸν ῥίψας, καὶ εἰς μέσους ἑαυτὸν ἀφῆκε τοὺς κινδύνους. ταῦτά μοι εἴρηται, οὐχ ἵνα ἐπαινέσωμεν μόνον, ἀλλ' ἵνα καὶ τὰ ἀλγεινὰ, καὶ ὅσα πέπονθεν ὁ Δαβὶδ καταμάθωμεν, καὶ ὅσα ἕτερα ἀπὸ τῆς ἱστορίας δυνατὸν καρπώσασθαι κέρδη, καὶ ταῦτα εἰς μέσον ἀγάγωμεν. ἰδοὺ γὰρ, ὃ συνεχῶς ἐπιζητεῖται παρὰ τῶν πολλῶν, διὰ τί δίκαιοι θλίβονται, πονηροὶ δὲ εἰσὶν ἐν ἀνέσει; τοῦτο ἐνταῦθά ἐστιν εὑρεῖν. ὁ μὲν γὰρ δίκαιος ἐν συμφοραῖς ἦν· ὁ δὲ μιαρὸς καὶ πατραλοίας καὶ τῆς φύσεως αὐτῆς ἐχθρὸς καὶ πολέμιος, ἐν εὐπραγίᾳ καὶ βασιλικαῖς αὐλαῖς. ἀλλ' οὔτε ἐκεῖνος ἐντεῦθεν ἐκέρδαινέ τι, οὔτε ὁ ἅγιος οὗτος ἐβλάπτετο. ἀλλ' ὁ μὲν ἐγίνετο μείζοσι θλίψεσιν ὑπεύθυνος· ὁ δὲ λαμπρότερον διέλαμπε, καθάπερ χρυσὸς ἐν καμίνῳ, τῇ θλίψει καθαρώτερος γινόμενος. τοῦτο δὴ πρῶτον ἐντεῦθεν μάνθανε, μὴ ταράττεσθαι ἐν ταῖς τοιαύταις δυσημερίαις, ὅταν ἴδῃς ἐπὶ τῶν δικαίων συμβαινούσας· ἕτερον μετὰ τοῦτο, μὴ μεθίστασθαι πρὸς τοὺς καιροὺς, ἀλλ' εἰδέναι φιλίας νόμους· τρίτον, τὸ καὶ κινδύνων κατατολμᾶν

A mutarat amicitiam. Cùm ergo videret Dauid eum hæc ita facientem, dicit ei. Sunt hæc quidem amici, & eius qui in nos synceré affectus est: sed nihil nos iuuabunt: sed consultandum est, & aliquid excogitandum, vt quibus impliciti sumus, mala expediantur, & inueniamus rationem nos liberandi ab his calamitatibus. Hæc cùm dixisset, talem illi suam dixit sententiam: Vade ad filium meum, & amici suscepta persona disturba mihi illius consilia, & fac vt sit irritum Achitophelis consilium. Hic autem Achitophel, apud tyrannum tunc omnia poterat, rei quidem B militaris valde peritus, & qui in bello & prælio imperatoris partes præclaré poterat sustinere, & ideo Dauid eum plus timebat quàm tyrannum, tantum ingenio valebat & prudentia. His auditis ille paruit, nec vllam pusilli aut abiecti animi cogitationem suscepit, nec humile aut ignauum quid dixit, vtpote, Quid si fuero deprehensus? Quid si detecta fuerit mihi persona? Quid si fuerit deprehensus actus simulationis? Callidus Achitophel hoc fortasse conuincet & deprehendet, & te- C merè ac frustra illic peribo. Horum nihil reputans, se in castra tyranni proripuit, vniuersæ rei cura in Deum coniecta, & seipsum in media immisit pericula. Hæc omnia à me dicta sunt, non solùm vt laudemus, sed vt & quæcunque Dauid tristia euenerunt, quæcunque passus est, discamus, & quæcunque alia commoda possunt ex historia percipi, ea etiam in medium adducamus. Vide enim quòd assiduè à multis inquiritur, Cur iusti affliguntur, improbi autem in quiete ac otio versantur? hoc hic inuenire possumus. D Iustus enim versabatur in calamitatibus, scelleratus autem, & parricida, & ipsius naturæ inimicus & hostis, in fœlicitate agebat, & palatiis regis: sed nec ille quidquã ex eo lucrabatur, neq; sanctus hic lædebatur, sed ille quidem euasit maioribus obnoxius afflictionibus: hic autem clarior & splendidior f.ctus est: vt aurum in fornace, redditus afflictione purior. Hinc ergo primùm hoc disce, ne conturberis in huiusmodi rebus aduersis, cùm videas etiam iustis id euenire. Aliud autem postea, ne muteris pro tempore, sed noris leges amicitiæ. Tertium, vt etiam pericula

Documenta quatuor.

audeas adire pro virtute. Quartum, vt etiam in rebus dubiis & afflictis bona ſpe ſis prædictus, Dei auxilium expectans. Ille enim Chuſi non caſtra reſpiciebat, non tyranni timorem, non equorum multitudinem, non armatorum phalanges, non quòd vrbes iam antè captæ fuerant, non Dauid ſolitudinem & imbecillitatem, ſed vnum ſolùm reſpiciens inexpugnabile Dei auxilium, & illius beneuolentiam, ita vtraſque partes dijudicauit: & illas quidem inuenit impotentes & inualidas, has verò firmas & potentes. Ille enim iniuſtè faciebat, hic verò cum iuſto ſeipſum ſeruabat. Cùm ergo ſtaret, non vbi multitudo hominum, ſed vbi erat virtutis præſidium, opem Dei ad ſe attraxit. Hæc dico, vt nos quoque, etſi ſint imbecilli à quorum parte ſtat ius, illorum partes tueamur: licet ſint potentes qui faciunt iniuriam, ſocietatem illorum fugiamus. Vitium enim, etſi ſecum habeat vniuerſum orbem terrarum, eſt omnium maximè imbecillum. Virtus autem, etſi ſola ſit, eſt omnium potentiſſima: habet enim Deum ſecum ſtantem. Quis ergo ſeruare poteſt eum qui à Deo oppugnatur? Quis autem poteſt perdere eum, cui ipſe fert auxilium? Hæc autem omnia ſapienter conſiderans Chuſi, bona ſpe concepta venit quò mittebatur: & poſtquam aſtitit, cùm vidiſſet tyrannum ad equitantem, acceſſit. Ille autem cùm frequenter eum vidiſſet, & eſſet imperandi cupiditate ebrius, non diligenter examinauit: ſed illum irridens, & probris impetens, Abi, inquit, cum tuo ſocio, ne in animum quidem inducens vt nomen diceret, tantum erat odium, & inimicitiæ. Cui Chuſi nihil commotus nec cõturbatus dicit: Quando Deus erat cum ipſo, illi bene volebam: quoniam autem nunc tecum eſt, cõſequens eſt vt tuas partes ſequar. Hoc tyranno magnos ſpiritus fecit, tumidúmque reddidit, & re non diligenter examinata: nam vir leuis credit ſermoni cuilibet, quod illi etiam vſuuenit, & inimicis apertus, ipſum ſtatim inter intimos admittit, & in primorum amicorum refert numerum. Deus autem præſens, & quæ fiebant regens, omnia diſpenſabat, & propoſito de bello conſilio, cùm alij alia dicerent de eo de quo conſultabatur, an ſtatim

2.Reg.16.

A ὑπὲρ τῆς ἀρετῆς· τέταρτον, ὅτι καὶ ἐν τοῖς ἀπόροις εὔελπις εἶ, τὴν παρὰ τοῦ Θεοῦ συμμαχίαν ἀναμένοντα. ἐπεὶ καὶ ὁ Χουσὶ τότε ἐκεῖνος οὐ τὸ στρατόπεδον εἶδεν, οὐ τοῦ τυράννου τὸν φόβον, οὐ τῶν ἵππων τὸ πλῆθος, οὐ τὰς φάλαγγας τῶν ὁπλιτῶν, οὐ τὸ προκατειλῆφθαι τὰς πόλεις, οὐ τὴν ἐρημίαν τοῦ Δαβὶδ, οὐ τὴν μόνωσιν καὶ τὴν ἀσθένειαν· ἀλλ' εἰς ἓν μόνον ἰδὼν, τὴν ἄμαχον τοῦ Θεοῦ συμμαχίαν καὶ τὴν εὔνοιαν τὴν ἐκείνου, οὕτω τὰ μέρη ἑκάτερα ἔκρινε, καὶ εὗρε τὸ μὲν ἀσθενὲς, τὸ δὲ B ἰσχυρόν. ὁ μὲν γὰρ ἀδίκως ἐποίει, ὁ δὲ μετὰ τοῦ δικαίου ἑαυτὸν ἐφύλαττε. στὰς τοίνυν, οὐχ ἔνθα πλῆθος ἀνθρώπων, ἀλλ' ἔνθα ἀρετῆς συμμαχία, οὕτως ἐπεσπάσατο τὸν Θεόν. Ταῦτα λέγω, ἵνα καὶ ἡμεῖς, κἂν ἀσθενεῖς ὦσιν οἱ τὰ δίκαια ἔχοντες, τὰ ἐκείνων θεραπεύωμεν· κἂν ἰσχυροὶ οἱ ἀδικοῦντες, φεύγωμεν αὐτῶν τὴν συμμαχίαν. ἡ μὲν γὰρ κακία, κἂν τὴν οἰκουμένην ἔχῃ μεθ' ἑαυτῆς, πάντων ἐστὶν ἀσθενεστέρα· ἡ δὲ ἀρετὴ, κἂν μεμονωμένη τύχῃ, πάντων ἐστὶ δυνατωτέρα. τὸν γὰρ Θεὸν ἔχει μεθ' ἑ- C αυτῆς ἱστάμενον. τίς οὖν σῶσαι δυνήσεται τὸν ὑπὸ Θεοῦ πολεμούμενον; τίς δὲ ἀπολέσαι τὸν ὑπ' ἐκείνου βοηθούμενον; Ταῦτα δὴ πάντα φιλοσοφῶν ὁ Χουσὶ, καὶ γενόμενος εὔελπις, ἀπῆλθεν ἔνθα ἐπέμπετο. καὶ ὡς ἐπέστη, ἰδὼν εἰσελαύνοντα τὸν τύραννον, προσῆλθεν· ὁ δὲ ἰδὼν αὐτὸν ἀθρόον, καὶ τῇ φιλαρχίᾳ μεθύων, οὐκ ἐξήτασεν ἀκριβῶς, ἀλλ' ἐπισκώπτων αὐτὸν καὶ ὀνειδίζων, ἄπιθι, φησι, μετὰ τοῦ ἑταίρου σου, οὐδὲ τὸ ὄνομα ὑπομείνας εἰπεῖν, ὑπὸ μίσους καὶ ἀπεχθείας πολλῆς. πρὸς ὃν ὁ Χουσὶ οὐδὲν D διαταραχθεὶς, οὐδὲ διαθορυβηθεὶς, φησιν· ὅτε ἦν ὁ Θεὸς μετ' αὐτοῦ, τὰ ἐκείνου ἐφρόνουν· ἐπειδὴ δὲ μετὰ σοῦ νῦν ἐστιν, ἀκόλουθον θεραπεύειν τὰ σά. ἐπῆρε τοῦτο τὸν τύραννον, καὶ ἐφύσησε, καὶ οὐδὲν ἐξετάσας ἀκριβὲς, κοῦφος γὰρ ἀνὴρ πιστεύει παντὶ λόγῳ, ὃ δὴ κἀκεῖνος ἔπαθε· καὶ τοῖς ἐναντίοις ἐκτραχηλιασθεὶς, εὐθέως αὐτὸν εἰς τοὺς γνησίους εἰσάγει, καὶ εἰς τοὺς πρώτους ἐγγράφει τῶν φίλων. τὸ δὲ πᾶν ὁ Θεὸς ᾠκονόμει, παρὼν καὶ στρατηγῶν τοῖς γινομένοις. καὶ λοιπὸν βουλῆς προχειρισθείσης περὶ πολέμου, καὶ ἑτέρων ἕτερα εἰσηγουμένων περὶ τοῦ, πότερον εὐθέως ἐπιθέσθαι χρὴ, ἢ μι-

χρόνον ἀναβαλλομένους· προσελθὼν ὁ Ἀχιτόφελ, ὁ δεινὸς ἐκεῖνος συμβουλεῦσαι καὶ γνώμην εἰσενεγκεῖν, τοιαύτην εἰσηγεῖται τὴν συμβουλὴν λέγων· παραλειπομένῳ νῦν καὶ παρεσκευασμένῳ ἐπιθώμεθα τῷ πατρὶ τῷ σῷ. καὶ γὰρ μὴ συγχωρήσαντες μηδὲ μικρὸν αὐτὸν στῆναι, οὕτως ἂν ἕλωμεν. ἂν γὰρ ἀπαρασκευάστῳ ὄντι νῦν ἐπιθώμεθα, οὐδεὶς εἰς ἡμῖν ἔσται πόνος. ταῦτα ἀκούσας ὁ τύραννος, καλεῖ καὶ τὸν Χουσὶ τὸν αὐτομολήσαντα ἐν ὑποκρίσει πρὸς αὐτὸν, καὶ μεταδίδωσι καὶ αὐτῷ τοῦ τῆς βουλῆς λόγου· ὅπερ οὐκ ἦν κατὰ ἀκολουθίαν ἀνθρωπίνην, τὸν ἀρτίως ἐλθόντα, τοῦτον οὕτω τιμῆσαι, καὶ νομίσαι ἀξιόπιστον εἶναι, ὡς καὶ συμβουλῆς ἀξιοῦν πραγμάτων ἕνεκεν τοιούτων. ἀλλ' (ὅπερ ἔφθην εἰπὼν) ὅταν ὁ Θεὸς στρατηγῇ, καὶ τὰ δύσκολα εὔκολα γίνεται. καὶ εἰσάγεται ὁ Χουσὶ, καὶ μεταδίδωσιν αὐτῷ παρρησίας, καὶ ἀξιοῖ λέγειν τὸ παριστάμενον. τί οὖν ὁ Χουσί; οὐδέποτέ, φησι, διήμαρτεν ὁ Ἀχιτόφελ. εἶδες συνέσεως ἀνδρός; οὐκ εὐθέως αὐτοῦ τὴν γνώμην ἐκβάλλει, ἀλλὰ μετ' ἐγκωμίου. θαυμάσας γὰρ αὐτὸν πρότερον, ὡς ἐν τοῖς ἔμπροσθεν χρόνοις χρησίμως συμβουλεύοντα, οὕτω τὴν παροῦσαν κακίζει γνώμην. ὃ δὲ λέγει τοιοῦτόν ἐστι· θαυμάζω πῶς νῦν διήμαρτεν. οὐ γάρ μοι δοκεῖ συμφέρειν εἶναι ὁ λογισμός. ἂν μὲν γὰρ νῦν ἐπιθώμεθα, καθάπερ ἄρκτος παροιστρῶσα, θυμοῦ γέμων ὁ πατήρ σου, καὶ ἀπεγνωκὼς τῆς ἑαυτοῦ ζωῆς, καὶ ἐνακμαζούσῃ τῇ ὀργῇ πολεμῶν, οὐδένα τῆς ἑαυτοῦ σωτηρίας ποιήσεται λόγον, καὶ μετὰ πολλῆς ἐμπεσεῖται τῆς σφοδρότητος ἡμῖν. εἰ δὲ μικρὸν ἐνδώσωμεν, μετὰ πλείονος ἐπιθησόμεθα τῆς παρασκευῆς, καὶ μείζονος τῆς ἀσφαλείας, καὶ ἀπονητὶ καὶ μετ' εὐκολίας πάσης, ὥσπερ ἐν σαγήνῃ λαβόντες αὐτὸν, οὕτως ἐπιλαμβανόμεθα. ἐπαινεῖ τὴν γνώμην ὁ Ἀβεσσαλὼμ, καὶ λυσιτελεστέραν εἶναι ἔφησεν αὐτῷ. ταῦτα δὲ ἔλεγεν ὁ Χουσὶ, βουλόμενος δοῦναι καιρὸν τῷ Δαβὶδ, ὥστε στῆναι μικρὸν καὶ ἀναπνεῦσαι, καὶ στράτευμα συναγαγεῖν. οὕτω τοίνυν ἐκβαλὼν τοῦ Ἀχιτόφελ τὴν γνώμην, διά τινων κεκρυμμένων ἀνδρῶν πέμψας ἀπήγγειλεν ἅπαντα τῷ Δαβὶδ, καὶ ὅτι τὴν αὐτοῦ γνώμην ἐκύρωσεν ὁ τύραννος τὴν φέρουσαν τῷ Δαβὶδ τὴν νί-

A inuadere, an parum differre oporteret, accedens ille Achitophel, qui consilio plurimum valebat, & sententiam suam proferens hoc dedit consilium dicens: Afflictum nunc & perturbatum patrem tuum inuadamus. Nam si ei respirandi nullum tempus dederimus, ita eum de medio tollemus. Si enim eum imparatum nunc aggrediamur, res citra vllum laborem à nobis transigetur. Hæc cùm audisset tyrannus, vocat etiam Chusi, qui ad ipsum transfugerat per simulationem, & eum facit eius quod

B petebatur consilij participem, quod non erat humanæ rationi consentaneum, vt eum qui recenter venerat, tanto honore afficeret, & fide dignum existimaret, vt etiam de rebus eiusmodi eum esse vellet consiliarium: sed sicut antè dixi, quando Deus est dux, etiam quæ sunt difficilia, euadunt facilia. Introducitur Chusi, & facit ei liberam dicendi potestatem, & vult eum dicere de eo quod proponitur. Quid verò Chusi? Nunquam, inquit, aberrauit Achitophel. Vides prudentiam viri. Non reprehendit

C statim eius sententiam, sed cum laude. Eum enim laudans quòd opportunum antea consilium dedisset, ita præsentem vituperat sententiam. Quod autem dicit, tale est, Miror quomodo nunc errauerit: non mihi enim videtur esse vtile consilium. Si eum enim nunc inuaserimus, tanquam vrsus rabie percitus, ira plenus pater tuus, & de vita desperans, & cùm summa pugnans indignatione, suæ salutis nullam ducet rationem, & maximo impetu in nos irruet. Quòd si parum cesserimus, eum cum maiori-

D bus & instructioribus copiis aggrediemur, & longe tutius, & citra vllum laborem, & cum maxima facilitate eum veluti laqueo implicatum capiemus & adducemus. Laudat Absalon sententiam, & hæc dicit esse sibi vtiliora. Hæc autem dicebat Chusi, Dauid volens dare tempus vt se parum recrearet, ac respiraret, & cogeret exercitum. Ita ergo repudiata Achitophelis sententia, per viros aliquot secretos mittens, omnia Dauidi renunciauit, quòd tyrannus suam confirmarat sententiam, quæ Dauidi afferebat victo-

2. Reg. 17. 23.

Idem.

1.Reg.18. riam. Quod ita etiam accidit. Cùm enim illi parum spatij dedisset, paratus Dauid eum inuasit, fusísque ac fugatis hostibus, victoriam retulit. Quod cùm pro sua prudentia & ingenij solertia videret Achitophel, & ex eo exitum intellexisset, nempe quòd hæc sententia Absaloni afferebat exitium, non ferens contumeliam, recedens aptato laqueo se suffocauit, & ita vitam finiuit. *O dignam Achitophelis necem.* Hæc itaque omnia cùm didicisset Dauid, psalmum scribit, quibus gratias agit Deo, hymnos offerens, & totum stratagema Deo tribuens. Quocirca incipiens sic dicit, *Domine Deus meus in te speraui, saluum me fac.* Non in Chusi, nec in humana sapientia, nec in illius prudentia, nec in meo consilio, sed in te. Ita nos etiam faciamus, etiamsi per homines à nobis aliquid præclarè geratur, Deo gratias agamus, tam pro iis quæ per nos, quàm quæ per alios nobis euenerunt beneficiis. Si enim ita faciamus, nihil erit graue, nec difficile, quod etiam faciebat Dauid, propemodum dicens: Non in verbis Chusi habebam spem salutis, sed in tuo auxilio. Vide autem cum quãta loquitur affectione, sicut solet facere. Non enim dixit: Dominus Deus: sed, domine Deus meus. *Psal.62.2.* & alibi: Deus, Deus meus ad te de luce vigilo. Etenim cum omnibus eo opus habebat: seorsum autem ac separatim propter insigne desiderium. Ita etiam Deus hoc ipsum facit iniustis, & cùm sit omnium Deus, se dicit separatim esse Deum iustorum, Ego Deus Abraham, & Deus Isaac, & Deus Iacob. *Exod.3.6.* Vide autem eius sapientiam, cùm dixisset, Domine Deus meus in te speraui: non dixit, Puni hostem, tolle de medio inimicum: sed quod suum est tantum quærit, & dicit: Saluum me fac, hoc est, ne permittas vt malè patiar ab omnibus persequentibus me, & libera me. Vide quomodo ne malè quidẽ patiens, nominatim meminit parricidæ, & naturam in calamitate agnoscens, & in bello respiciens filium, & in periculis non obliuiscens viscerum. Tanta erat in filios pietas & charitas, vel potius tanta erat eius sapientia. Non enim tyrannis naturæ, sed animi potius mansuetudo eum talem reddebat, & plus

A κίων. οὕτω γοῦν καὶ ἐγένετο. ἐπειδὴ γὰρ μικρὸν ἐνέδωκε, παρασκευασάμενος ὁ Δαβὶδ ἐπέθετο, καὶ τὸ τρόπαιον ἔστησεν. ὅπερ ὁ Ἀχιτόφελ ἀπὸ πολλῆς συνέσεως καὶ ὀξύτητος συνιδὼν, καὶ ἐντεῦθεν ἤδη τὸ τέλος καταμαθὼν, ὅτι ὄλεθρος ἦν τῷ Ἀβεσαλὼμ αὕτη ἡ γνώμη, οὐκ ἐνεγκὼν τὴν ἐντεῦθεν ἐπήρειαν, ἀπελθὼν βρόχον ἀνῆψε καὶ ἀπήγξατο, καὶ οὕτω τὸν βίον κατέλυσε. ταῦτα τοίνυν ἅπαντα μαθὼν ὁ Δαβὶδ, γράφει τὸν ψαλμὸν, εὐχαριστηρίους ὕμνους τῷ Θεῷ διαφέρων, καὶ τὸ πᾶν αὐτῷ ἀναθεὶς στρατήγημα. διὸ καὶ ἀρχόμενος οὕτω πώς φησι· B κύριε ὁ Θεός μου, ἐπὶ σοὶ ἤλπισα, σῶσόν με. οὐκ ἐπὶ τῷ Χουσὶ, οὐδὲ ἐπὶ τῇ ἀνθρωπίνῃ σοφίᾳ, οὐδὲ τῇ συνέσει τῇ ἐκείνου, οὐδὲ ἐπὶ τῇ ἐμῇ γνώμῃ, ἀλλ' ἐπὶ σοί. τοῦτο τοίνυν καὶ ἡμεῖς ποιῶμεν, κἂν δι' ἀνθρώπων ἡμῖν κατόρθωμά τι γένηται, ὑπὲρ τούτων εὐχαριστῶμεν τῷ Θεῷ, καὶ τῶν δι' ἡμῶν καὶ τῶν δι' ἑτέρων ἡμῖν εὐεργετημάτων γενομένων. ἂν γὰρ οὕτω ποιῶμεν, οὐδὲν ἔσται δύσκολον οὐδὲ σκολιόν. ὃ δὴ καὶ ὁ Δαβὶδ ἐποίει, μονονουχὶ λέγων· οὐκ ἐν τοῖς ῥήμασι τοῦ Χουσὶ τὴν ἐλπίδα τῆς C σωτηρίας εἶχον, ἀλλ' ἐν τῇ συμμαχίᾳ τῇ σῇ. καὶ ὅρα μεθ' ὅσης διαθέσεως φθέγγεται· ὅπερ αὐτῷ συνήθες ποιεῖν. οὐ γὰρ εἶπε, κύριε ὁ Θεός· ἀλλὰ κύριε ὁ Θεός μου. καὶ ἀλλαχοῦ· ὁ Θεὸς ὁ Θεός μου, πρὸς σὲ ὀρθρίζω. καὶ γὰρ καὶ μετὰ πάντων αὐτοῦ χρείαν εἶχεν· ἰδιαζόντως δὲ, διὰ τὴν ὑπερβολὴν τοῦ πόθου. οὕτω καὶ ὁ Θεὸς ἐπὶ τῶν δικαίων τοῦτο ποιεῖ· καὶ κοινὸς ἁπάντων ὢν Θεὸς, ἰδιαζόντως ἑαυτὸν τῶν δικαίων εἶναι λέγει. ἐγὼ ὁ Θεὸς Ἀβραὰμ, καὶ ὁ Θεὸς Ἰσαὰκ, καὶ ὁ Θεὸς Ἰακώβ. καὶ ὅρα φιλόσοφον γνώμην. D εἰπὼν, κύριε ὁ Θεός μου, ἐπὶ σοὶ ἤλπισα, οὐκ εἶπε, κόλαζε τὸν πολέμιον, ἄνελε τὸν ἐχθρόν· ἀλλὰ τί; τὸ ἑαυτοῦ ζητεῖ μόνον, καὶ λέγει. σῶσόν με (τουτέστι, μὴ ἀφῇς με κακῶς παθεῖν) ἐκ πάντων τῶν διωκόντων με, καὶ ῥῦσαί με. ὅρα πῶς οὐδὲ πάσχων κακῶς, ὀνομαστὶ μέμνηται τοῦ πατραλοίου, καὶ ἐν τῇ συμφορᾷ τὴν φύσιν ἐπιγινώσκων, καὶ ἐν τῷ πολέμῳ τὸν υἱὸν ὁρῶν, καὶ ἐν τοῖς κινδύνοις τῶν σπλάγχνων οὐκ ἐπιλανθανόμενος. οὕτω φιλόπαις ἦν καὶ φιλόστοργος· μᾶλλον δὲ οὕτω φιλόσοφος. οὐ γὰρ ἡ τῆς φύσεως τυραννὶς, ἀλλ' ἡ τῆς γνώμης ἡμερότης τοιοῦτον αὐτὸν ἐποίει εἶναι μᾶλλον, καὶ τῷ στρατοπέδῳ τὸ

πλέον

πλέον ἐλογίζετο, ἢ τῷ τυράννῳ. διὰ τοῦτό φη-
σι, Σῶσόν με ἐκ πάντων τῶν διωκόντων με,
καὶ ῥῦσαί με. ὁρᾷς πῶς οὐδὲ ἐκείνων σφο-
δρῶς μέμνηται; οὐ γὰρ εἶπεν, ἐκ τῶν πολε-
μούντων, τῶν τὰ ἐμὰ διαρπαζόντων, τῶν
ἐντρυφώντων τοῖς βασιλείοις τοῖς ἐμοῖς, ἀλλὰ
τῶν διωκόντων με. μήποτε ἁρπάσῃ ὡς λέων
τὴν ψυχήν μου, μὴ ὄντος λυτρουμένου, μηδὲ
σώζοντος. καὶ μὴν στρατόπεδα συνέλεξε, καὶ
πολλοὺς εἶχε μεθ' ἑαυτοῦ. πῶς οὖν λέγει, μὴ ὄν-
τος λυτρουμένου, μηδὲ σώζοντος; ὅτι οὐδὲ ἐν
συμμαχίας ἡγεῖται μέρει τὴν οἰκουμένην ἅ-
πασαν, εἰ μὴ τῆς ἄνωθεν ἀπολαύσῃ ῥοπῆς· οὐ-
δὲ ἐν ἐρημίᾳ εἶναι, εἰ καὶ μόνος ᾖ, τῆς ἐκείνου
μετέχων συμμαχίας. διὸ καὶ ἔλεγεν· οὐ σώζε-
ται βασιλεὺς διὰ πολλὴν δύναμιν, καὶ γίγας
οὐ σωθήσεται ἐν πλήθει ἰσχύος αὐτοῦ. τινὲς δὲ κατ'
ἀναγωγὴν τὴν ῥῆσιν ταύτην ἐκλαμβάνοντες,
λέοντα καὶ διώκοντας, διάβολον καὶ δαίμονας
εἶναί φασιν. ἐπειδὴ γὰρ εἶδε τὸν υἱὸν ἁρπαγέντα
ὑπ' αὐτοῦ καὶ καταποθέντα, ἀξιοῖ μηδέποτε
τοῦτο παθεῖν αὐτός. καὶ λέγει καὶ τὴν αἰτίαν, δι'
ἣν ἐκεῖνος τοῦτο ἔπαθε. τίς δὲ ἡ αἰτία; διὰ τῆς
κακίας, φησί, τὴν συμμαχίαν τοῦ Θεοῦ ἀπέ-
στησεν ἀπ' ἑαυτοῦ. διὰ τοῦτο λέγει, μὴ ὄντος λυ-
τρουμένου, μηδὲ σώζοντος. ὅτι δὲ λέων ὁ διά-
βολος λέγεται παρὰ τῆς γραφῆς, ἄκουσον λεγού-
σης αὐτῆς· ὁ ἐχθρὸς ὑμῶν διάβολος περιέρχεται
ὡς λέων, ὠρυόμενος καὶ ζητῶν τίνα καταπίῃ. καὶ
αὐτὸς δέ φησιν ὁ προφήτης ἀλλαχοῦ· καὶ καταπα-
τήσεις λέοντα καὶ δράκοντα. πολύτροπον γὰρ τὸ θη-
ρίον. ἀλλ' ἐὰν νήφωμεν, ὁ λέων οὗτος καὶ δράκων
πηλοῦ παντὸς εὐτελέστερος ἔσται· καὶ οὐδὲ ἐξ εὐ-
θείας πρὸς ἡμᾶς παρατάξεται, ἀλλὰ κἂν πα-
ρατάξηται, καταπατηθήσεται. πατεῖτε γάρ,
φησιν, ἐπάνω ὄφεων καὶ σκορπίων. περίεισι μὲν γὰρ
μετὰ πολλοῦ τοῦ θυμοῦ, καθάπερ λέων. ἂν δὲ
προσβάλλῃ τοῖς τὸν Χριστὸν ἔχουσι, καὶ τὸν σταυ-
ρὸν ἐπὶ τοῦ μετώπου, καὶ τὸ πῦρ τοῦ πνεύματος, καὶ
τὴν λαμπάδα τὴν οὐδέποτε σβεννυμένην, οὐδὲ
ἀντιβλέψαι δυνήσεται, ἀλλὰ νῶτα δοὺς οἰχήσε-
ται, οὐδὲ μεταστραφῆναι τολμῶν. καὶ ἵνα μάθῃς ὅ-
τι οὐ κόμπος τὰ εἰρημένα, σκόπει μοι τὸν Παῦ-
λον. ἄνθρωπος μὲν γὰρ ἦν καὶ αὐτός· ἀλλ' οὕτως
αὐτὸν ἐδεδοίκει ὁ λέων οὗτος, ὡς τὰ ἱμάτια αὐτοῦ
καὶ τὰς σκιὰς φεύγειν. εἰκότως· τὴν γὰρ Χριστοῦ

A exercitui imputabat, quàm tyranno: & ideo dicit: Ab omnibus persequētibus me, & libera me. Vide quomodo non admodum inuidiosè meminit illorum. Non enim dixit, Ex iis qui mecum belligerantur, ex iis qui mea diripiunt, ex iis qui per summam libidinem meæ regiæ insultant, & se omnibus explent voluptatibus: sed, A persequentibus me. *Nequando rapiat vt leo animam meam, dum non est qui redimat, neque qui saluum faciat.* Atqui collegit exercitum, & multos secum habuit. quomodo ergo dicit,
B Dum non est qui redimat, neque qui saluum faciat? Quoniam ne vniuersum quidem orbem terrarum auxilij loco habet, nisi opem diuinam fuerit assecutus, nec se esse ducit in solitudine, licet solus sit, si sit illius auxilij particeps. Et ideo dicebat, Non saluatur rex per multam potentiam, & gigas non saluabitur in multitudine virtutis suæ. Nonnulli autem hoc dictum anagogicè accipientes, leonem & persequentes dicunt esse diabolum & dæmones. Quoniam enim videbat filium ab ipso raptum & deuoratū, rogat ne idipsum
C quoque ei accidat, & dicit etiam causam propter quā hoc illi accidit. Quænam est autem causa? Propter vitium, inquit, à se Dei auxilium auertit. Propterea dicit, Dum non est qui redimat, neque qui saluum faciat. Quòd autem leo dicitur diabolus, audi ex scriptura, quæ dicit: Inimicus vester diabolus circumit vt leo rugiens, & quærens quem deuoret. Quin etiam ipse propheta dicit alibi: Et cōculcabis leonem & draconē. Est enim bellua multiplex, sed si sapuerimus, hic leo & draco erit quouis luto vilior, & nec aduersus nos
D quidem diriget aciem. Sin autem direxerit, conculcabitur. Ambulate enim, inquit, super serpentes & scorpiones. Circumit enim cum multa ira tanquam leo, sed si eos inuaserit qui Christum habent, & crucem in fronte, & ignem spiritus, & lampadem quæ nunquam extinguitur, ne quidem attollere oculos contrà poterit, sed verso tergo recedet, ne conuerti quidem audens. Et ne gloriosa tantùm putes verba esse quæ dicta sunt, considera mihi Paulum. Nam ipse quoque homo erat, sed eum ita leo iste pertimescebat, vt vestes eius & vmbram fugeret. Merito, Christi enim

Psal.32.16.

Leo diabolus. 1.Petr.5.8.

Ps.90.13.

Luc.10.19.

Probat paradigmate.

fragrantiam ex eo spirantem & ascendentem non ferebat, & ad lampadem virtutis respicere non poterat. *Domine Deus meus si feci istud, si est iniquitas in manibus meis.* Hoc perpetuò seruandum est, vt non solummodo oremus, sed ita oremus, vt etiam exaudiamur. Non enim sufficit oratio ad efficiendum id quod est propositū, nisi eam composuerimus sicut Deo videtur. Nam orauit etiam Pharisæus, & eum nihil iuuit, & Iudæi rursus orarunt, sed orātibus ipsis Deus auertebatur: neque enim orabant, vt orare oportet, & ideo iussi sumus eam afferre orationem, quæ maximè possit exaudiri. Hoc etiam ostendit in præcedenti oratione, se non simpliciter & absolutè rogare vt audiretur, sed postquam sua attulisset. Quænam autem erant ea? hæc, Lauabo per singulas noctes lectum meū, in lachrymis stratum meum rigabo. & illud, Laboraui in gemitu meo. & hoc, Discedite à me omnes qui operamini iniquitatem, & illud, Conturbatus est à furore oculus meus. Hæc enim omnia ad Deum attrahēdum satis sunt, luctus, lachrymæ, gemitus, resilire ab improbis, eiúsque pertimescere & horrere sententiam. Et alibi dixit: Exaudiuit Deus iustitiam meam, in tribulatione dilatasti mihi. Hac enim ratione fit, vt exaudiamur. Primùm quidem, ex eo quòd digni sumus accipere. Deinde, ex eo quòd ex Dei legibus oremus. Tertiò, ex eo quòd assiduè. Quartò, ex eo quòd nihil petamus eorum quæ ad hanc vitam pertinent. Quintò, ex eo quòd petimus ea quæ sunt vtilia. Sextò, ex eo quòd quæ nostra sunt omnia afferamus. Vide ergo multos, qui sic exaudiuntur. Cornelium ex vita: Syrophœnissam, ex assiduitate: Salomonem, ex modo petitionis. Propterea enim, inquit, quòd non petisti pecunias, neque animas inimicorum tuorum: Publicanum, ex humilitate, & alios ex alia ratione. Quemadmodum ergo efficitur ex his vt audiamur: ita etiam alia ratione fit, vt non exaudiantur, licet iusti sint, qui petant. quid enim fuit Paulo iustius? Sed quoniam petiuit quæ erant inutilia, nō fuit exauditus, pro eo, inquit, ter dominum rogaui, & dixit mihi: Sufficit tibi gratia mea. Quid verò Mose? Sed nec ille exauditus est, Deo dicente: Satis tibi sit.

Luc.18.1. Esa.1.15.

Gratia Dei conciliatrices.

Psal.4.1.

Orandi formula.

Act.10.4.

Matt.15.22

3.Reg.3.11.

Luc.18.14.

2.Cor.12.8.

Deut.3.26

A εὐωδίαν ἐξ αὐτοῦ πνέουσαν καὶ ἀνιοῦσαν οὐκ ἔφερε, καὶ πρὸς τὴν λαμπάδα ἀντιβλέψαι οὐκ ἴσχυσε τῆς ἀρετῆς. Κύριε ὁ Θεός μου, εἰ ἐποίησα τοῦτο, εἰ ἔστιν ἀδικία ἐν χερσί μου. πανταχοῦ δεῖ τοῦτο παρατηρεῖν, ὅτι οὐχ ἁπλῶς εὔχεσθαι δεῖ μόνον, ἀλλ' οὕτως εὔχεσθαι, ὥστε καὶ ἀκούεσθαι. οὐ γὰρ ἀρκεῖ εὐχὴ τὸ προκείμενον ἀνύσαι, ἐὰν μὴ οὕτως αὐτὴν ποιώμεθα ὡς τῷ Θεῷ δοκεῖ. ἐπεὶ καὶ ὁ Φαρισαῖος ηὔξατο, καὶ οὐδὲν ὤνησε, καὶ Ἰουδαῖοι πάλιν ηὔχοντο, ἀλλ' ἀπεστρέφετο ὁ Θεὸς εὐχομένων αὐτῶν· οὐ γὰρ ηὔχοντο, ὡς εὔχεσθαι ἔδει. διὰ τοῦτο B καὶ εὐχὴν ἐκελεύσθημεν εὔχεσθαι τὴν μάλιστα ἀκουσθῆναι δυναμένην. τοῦτο καὶ ἐν τῇ πρὸ ταύτης εὐχῇ ἐδήλωσεν, οὐχ ἁπλῶς ἀξιῶν ἀκουσθῆναι, ἀλλὰ μετὰ τοῦ τὰ ἑαυτοῦ εἰσενεγκεῖν. τίνα δὲ ταῦτα ἦν; τό, Λούσω καθ' ἑκάστην νύκτα τὴν κλίνην μου, ἐν δάκρυσί μου τὴν στρωμνήν μου βρέξω. τό, Ἐκοπίασα ἐν τῷ στεναγμῷ μου. τό, Ἀπόστητε ἀπ' ἐμοῦ πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν. τό, Ἐταράχθη ἀπὸ θυμοῦ ὁ ὀφθαλμός μου. ταῦτα γὰρ πάντα ἱκανὰ τὸν Θεὸν ἐπισπάσασθαι· θρῆνοι, δάκρυα, C στεναγμοί, καὶ τὸ τῶν πονηρῶν ἀποπηδᾶν, καὶ τὸ δεδοικέναι καὶ τρέμειν αὐτοῦ τὴν ψῆφον. καὶ ἀλλαχοῦ ἔλεγεν· Εἰσήκουσέ μου ὁ Θεὸς τῆς δικαιοσύνης μου· ἐν θλίψει ἐπλάτυνάς με. τὸ γὰρ ἀκούεσθαι, οὕτω γίνεται· πρῶτον μὲν οὖν, ἐκ τοῦ ἀξίους εἶναι λαβεῖν· ἔπειτα, ἐκ τοῦ κατὰ τοὺς νόμους τοῦ Θεοῦ εὔχεσθαι· τρίτον, ἐκ τοῦ συνεχῶς· τέταρτον, ἐκ τοῦ μηδὲν βιωτικὸν αἰτεῖν· πέμπτον, ἐκ τοῦ τὰ συμφέροντα ζητεῖν· ἕκτον, ἐκ τοῦ τὰ παρ' ἑαυτῶν εἰσφέρειν ἅπαντα. ὅρα γοῦν πολλοὺς οὕτως ἀκουομένους· τὸν Κορνήλιον ἀπὸ τοῦ D βίου· τὴν Συροφοίνισσαν ἀπὸ τῆς προσεδρείας· τὸν Σολομῶντα ἀπὸ τοῦ τρόπου τῆς αἰτήσεως, ἀνθ' ὧν γὰρ οὐκ ᾔτησας χρήματα, οὐδὲ ψυχάς, φησιν, ἐχθρῶν σου· τὸν τελώνην ἀπὸ τῆς ταπεινοφροσύνης· ἑτέρους ἑτέρωθεν. ὥσπερ οὖν ἐκ τούτων τὸ ἀκούεσθαι γίνεται, οὕτως ἑτέρωθεν τὸ μὴ ἀκουσθῆναι, κἂν δίκαιοι ὦσιν οἱ αἰτοῦντες. τί γὰρ Παύλου δικαιότερον γέγονεν; ἀλλ' ἐπειδὴ ἀσύμφορα ᾔτησεν, οὐκ ἠκούσθη. ὑπὲρ τούτου, φησί, τρὶς τὸν Κύριον παρεκάλεσα, καὶ εἶπέ μοι, Ἀρκεῖ σοι ἡ χάρις μου. τί δὲ Μωϋσέως; πάλιν δικαιότερον; ἀλλ' οὐδὲ ἐκεῖνος ἠκούετο, λέγοντος τοῦ Θεοῦ· ἱκανούσθω σοι.

ἐπειδὴ γὰρ ᾔτει εἰς τὴν γῆν τῆς ἐπαγγελίας εἰσελθεῖν (ἀσύμφορον δὲ τοῦτο ἦν) οὐκ ἐπέτρεψεν ὁ Θεός. μετὰ τούτων καὶ ἕτερόν ἐστι τὸ ποιοῦν μὴ ἀκούεσθαι, ὅταν τοῖς ἁμαρτήμασιν ἐπιμένοντες εὐχώμεθα. ὃ καὶ περὶ Ἰουδαίων ἔλεγεν ὁ Θεὸς τῷ Ἱερεμίᾳ· μὴ προσεύχου περὶ τοῦ λαοῦ τούτου. ἢ οὐχ ὁρᾷς τί οὗτοι ποιοῦσιν; οὐκ ἀπέστησαν, φησί, τῆς ἀσεβείας, καὶ σὺ ὑπὲρ αὐτῶν δέησιν ἀναφέρεις; διὸ οὐκ εἰσακούσομαί σου. πάλιν ὅταν κατ' ἐχθρῶν αἰτῶμεν, οὐ μόνον οὐκ ἀκουόμεθα, ἀλλὰ καὶ παροξύνομεν. φάρμακον γάρ ἐστιν ἡ εὐχή. ἀλλ' ἐὰν μὴ εἰδῶμεν τὸ φάρμακον πῶς ἐπιθεῖναι χρή, οὐδὲ τὴν ὄνησιν αὐτοῦ καρπούμεθα. ἴδωμεν τοίνυν τί καὶ οὗτος εὐχόμενός φησι· κύριε ὁ Θεός μου, εἰ ἐποίησα τοῦτο. τί ἐστιν, εἰ ἐποίησα τοῦτο; ὃ πάσχω, φησίν, εἰ ἐπανέστην πατρί, εἰ παρηνόμησα οὕτως. ἀλλ' οὐδὲ ἐνταῦθα ὀνομαστὶ πάλιν ἀνέχεται τὸν ἀδικήσαντα εἰπεῖν· ἀλλ' ὑπὲρ τοῦ παιδὸς αἰσχύνεται καὶ ἐρυθριᾷ. ὥσπερ ἂν εἴ τις εὐγενὴς ἄνθρωπος τὴν ἑαυτοῦ γυναῖκα μοιχευομένην ὁρῶν, μηδὲ ὀνομαστὶ τὸ ἁμάρτημα εἰς τὸ μέσον ἀγαγεῖν καταδέχοιτο· οὕτω δὴ καὶ οὗτος, οὐκ εἶπεν, εἰ κατεξανέστην τοῦ γεγεννηκότος, εἰ πατραλῴας ἐγενόμην· ἀλλὰ εἰ ἐποίησα τοῦτο. καὶ τί λέγω τοῦτο, φησί; ποία γὰρ ἀρετὴ τὸ μὴ γενέσθαι πατραλῴαν, ὅπερ οὐδὲ ἐν τοῖς θηρίοις ἴδοι τις ἄν; εἰ ἔστιν ἀδικία ἐν χερσί μου. οὐ λέγω περὶ τῆς ἀδικίας ταύτης· ἀλλ' οὐδὲ ἑτέρα ἂν εὑρεθείη, φησίν, οὖσα ἐν χερσί μου ἀδικία. ταῦτα δὲ λέγει, οὐ μεγαληγορῶν, ἀλλ' εἰς ἀνάγκην ἐμπεσὼν τοῦ τὰ ἑαυτοῦ κατορθώματα εἰπεῖν. ἀλλ' οὐδὲ οὕτω που μέγα τοῦτο πρὸς τὸ μέλλον ῥηθήσεσθαι. τί δὲ τοῦτό ἐστιν; εἰ ἀνταπέδωκα τοῖς ἀνταποδιδοῦσί μοι κακά, φησί. πρόσεχε μετὰ ἀκριβείας. οὐ γὰρ τὸ τυχόν ἐστι τὸ εἰρημένον. καλὸν μὲν γὰρ τὸ μὴ ἀδικεῖν· πολλῷ δὲ μεῖζον, καὶ φιλοσόφου ψυχῆς, τὸ τὸν ἀδικοῦντα μὴ ἀμύνεσθαι. καίτοι γε ὁ νόμος τοῦτο παρεῖχεν, ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ κελεύων, καὶ ὀδόντα ἀντὶ ὀδόντος ἐκκόπτειν. καὶ οὐκ ἦν παράβασις νόμου τὸ γινόμενον. ἀλλ' οὕτω φιλόσοφος ἦν οὗτος, ὡς μὴ μόνον μὴ παραβαίνειν τὸν νόμον, ἀλλὰ καὶ ἐκ πολλοῦ τοῦ περιόντος ὑπερβαίνειν, καὶ ὑπὲρ τὰ σκάμματα πηδᾶν. οὐ γὰρ ἐνόμιζεν ἀρκεῖν εἰς ἀρετήν, εἰ μὴ καὶ ὑπερακοντίσειε τὰ προστάγματα.

A Quia enim petebat ingredi in terram promissionis: hoc autem erat inutile, non permisit Deus. Cum his etiam est aliud, quod facit non exaudiri, quando in peccatis perseuerãtes oramus. Quod etiam de Iudæis dixit Deus Hieremiæ: Ne deprecare pro hoc populo. An non vides quid hi faciunt? ab impietate non defecerunt, & tu offers pro eis preces, sed te non exaudiam. Rursus, quando contra inimicos petimus, nõ solum nõ exaudimur, sed etiã irritamus: est enim oratio medicamentũ: sed si nesciamus quomodo sit adhibẽdum medicamen- B tum, vtilitatẽ ex eo non capiemus. Videamus ergo quid hic etiã orans dicit, Domine Deus meus, si feci istud. Quid est, si hoc feci? Quod patior, inquit, Si insurrexi aduersus patrem, si sic me iniquè gessi. Sed ne hic quidẽ, eũ qui fecit iniuriã, dicere nominatim in animum inducit, sed pro filio erubescit & pudore afficitur. Quemadmodum si quis vir generosus videns vxorem suam adulterari, ne nominatim quidem eius delictum in medium proferre sustineat: ita hic etiam. Non dixit, Si insurrexi aduersus eum qui genuit, si fui parricida: C sed, si feci hoc. Et quid hoc dico, inquit? cuiusmodi enim est virtus, non fuisse parricidam, quod nec in feris quidem cernitur? Si est iniquitas in manibus meis. Non dico de hac iniquitate: sed nec alia, inquit, inuenietur esse in meis manibus iniquitas. Hæc autem dicit, non glorians, nec se magnificè extollens, sed quæ à se rectè facta erant coactus dicere. Sed nec hoc quidem magnum est, si conferatur cum eo quod est dicendum. Quid hoc autem est? *Si reddidi retribuentibus mihi* D *mala*, inquit. Attende diligenter. Non est enim vulgare quod dicitur. Præclarum quidem est iniuriam non facere, sed multò præclarius, & sapientis est animi, non vlcisci eum qui facit iniuriam. Atqui hoc quidem lex concedebat, iubens oculum pro oculo, & dentem pro dente excindere; nec sic lex transiliebatur, sed hic tanto erat studio sapientiæ præditus, vt non solùm legem non transgrederetur, sed etiam ex nimia quadam abundantia eam longè superaret, ac fossas, vt est in prouerbio, transiliret. Non enim existimabat sufficere ad virtutem, nisi etiam iussa longo interuallo superaret.

Hier. 7. 15.

Oratio medicamentũ.

Deut. 19. 21.

1.Cor.9.14 Quemadmodum ergo fecit etiam Paulus, qui ex Euangelio iubebatur viuere, & non viuebat, ſed ſine ſumptu prædicabat Euangelium: ita etiam beatus Dauid, cùm lex ei permitteret vlciſci inimicos, non ſe continuit intra hunc modum, ſed eum longè etiam ſuperauit. A nobis autem hoc non ſolùm exigitur, vt non retribuamus, ſed Matt.5.44 etiam vt benefaciamus. Orate enim, inquit, pro iis qui vos offendunt, benefacite iis qui vos oderunt. In Dauid autem non paruum eſt non vlciſci, ſed etiam multò eſt maius quàm ſit legis præceptum. Et ideo dicit: Si hoc feci, ſi eſt iniquitas in manibus meis: Si reddidi retribuentibus mihi mala. In filio enim vel ipſa natura prohibebat, ſed ſi alios, inquit, iniuria affeci, vel etiam vltus ſum. Quámnam ergo nos veniam conſequemur, & quam afferemus excuſationem, qui poſt Chriſti aduentum nón peruenimus ad menſuram eorum, qui viuebant ſub veteri teſtamento, idque cùm à nobis longè Matt.5.20 maiora exigantur? Niſi enim abundauerit, inquit, iuſtitia veſtra pluſquam Phariſæorum, non intrabitis in regnum cœlorum. Quemadmodum enim non eſt æqualis is qui ſe in lege rectè gerit, ei qui in iiſdem ſe rectè geſſit ante legem: ita nec qui in gratia ei, qui ſub lege, ſed etiam ex tempore magna fit differentia. Hoc oſtendens Paulus & in vitio, & in virtute, vide quomodo illos quoque magis admiratur, & hos maiori ſupplicio dignos eſſe pronun-Rom.2.14 ciat, ita dicens: Quando enim gentes, quæ legem non habent, natura quæ ſunt legis faciunt, ij legem non habentes ſunt ſibiipſis lex. Vides quomodo eos, qui ſine lege ſe rectè gerunt, laudat & prædicat? Vide ruſſus quomodo eos etiam, qui peccant in gratia, oſtendit eſſe dignos maiori ſupplicio iis qui peccant in lege, ſic dicens: Qui Heb.10.28 irritam fecit legem Moſis, ſine miſericordia ſub duobus vel tribus teſtibus moritur: quantò putatis, deteriori ſupplicio dignus habebitur qui filium Dei conculcauit, & ſanguinem teſtamenti communem exiſtimauit? Et ruſſus, eos qui ante legem, iis qui in legè tranſgreſſi ſunt, minori ſupplicio dignos eſſe Rom.2.12 oſtendens: Quicunque, inquit, ſine lege peccauerunt, ſine lege & peribunt, hoc eſt, mitius, vt qui legem non habeant accuſatricem, ſed naturam tantum.

A ὥσπερ οὖν καὶ Παῦλος ἐποίει, κελευόμενος ἐκ τοῦ εὐαγγελίου ζῆν, καὶ μὴ ζῶν, ἀλλ' ἀδάπανον τιθεὶς τὸ εὐαγγέλιον· οὕτω τοίνυν καὶ ὁ μακάριος Δαβίδ, τοῦ νόμου διδόντος ἀμύνεσθαι τὸν ἀδικοῦντα, οὐκ ἔμεινεν ἐν τῷ μέτρῳ τούτῳ, ἀλλὰ καὶ ὑπερηκόντισεν. ἡμεῖς δὲ οὐ τοῦτο ἀπαιτούμεθα μόνον τὸ μὴ ἀνταποδιδόναι, ἀλλὰ καὶ τὸ εὐεργετεῖν. εὔχεσθε γάρ, φησιν, ὑπὲρ τῶν ἐπηρεαζόντων ὑμᾶς· καλῶς ποιεῖτε τοῖς μισοῦσιν ὑμᾶς. ἐπὶ δὲ τοῦ Δαβὶδ οὐ μικρὸν τὸ μὴ ἀμύνεσθαι, ἀλλὰ καὶ πολλῷ μεῖζον τοῦ νομικοῦ παραγγέλματος. διό φησι, εἰ ἐποίησα τοῦτο· εἰ B ἔστιν ἀδικία ἐν χερσί μου· εἰ ἀνταπέδωκα τοῖς ἀνταποδιδοῦσί μοι κακά. ἐπὶ μὲν γὰρ τοῦ παιδὸς, καὶ ἡ φύσις ἐκώλυεν· ἀλλ' εἰ ἑτέρους, φησὶν, ἠδίκησα, ἢ καὶ ἠμυνάμην. ποίαν οὖν λοιπὸν συγγνώμην ἡμεῖς, ποίαν δὲ ἀπολογίαν, μετὰ τὴν τοῦ Χριστοῦ παρουσίαν μὴ φθάνοντες εἰς τὰ μέτρα τῶν ἐν τῇ παλαιᾷ πολιτευομένων, καὶ ταῦτα πολλὴν περιουσίαν ἀπαιτούμενοι; ἐὰν γὰρ μὴ περισσεύσῃ, φησὶν, ἡ δικαιοσύνη ὑμῶν πλέον τῶν Φαρισαίων, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. ὥσπερ γὰρ οὐκ ἔστιν ἴσος C ὁ ἐν τῷ νόμῳ τὰ αὐτὰ κατορθῶν τῷ πρὸ τοῦ νόμου· οὕτως οὔτε ὁ ἐν τῇ χάριτι τῷ ἐν τῷ νόμῳ· ἀλλὰ καὶ ἀπὸ τοῦ καιροῦ πολλὴ γίνεται ἡ διαφορά. τοῦτο δεικνὺς ὁ Παῦλος καὶ ἐπὶ τῆς κακίας, καὶ ἐπὶ τῆς ἀρετῆς, ὅρα κἀκείνους πῶς μειζόνως θαυμάζει, καὶ τούτους μείζονος τιμωρίας ἀξίους ἀποφαίνει εἶναι, οὕτω λέγων· ὅταν γὰρ ἔθνη τὰ μὴ νόμον ἔχοντα, φύσει τὰ τοῦ νόμου ποιῇ, οὗτοι νόμον μὴ ἔχοντες, ἑαυτοῖς εἰσι νόμος. εἶδες πῶς τοὺς χωρὶς νόμου κατορθοῦντας ἐπαινεῖ καὶ ἀνακηρύττει; ὅρα πάλιν καὶ τοὺς ἐν τῇ χάριτι ἁμαρτάνοντας D πῶς μείζονος κολάσεως ἀξίους εἶναι δείκνυσι τῶν ἐν τῷ νόμῳ διαμαρτόντων, οὕτω λέγων· ἀθετήσας τις νόμον Μωϋσέως, χωρὶς οἰκτιρμῶν ἐπὶ δυσὶν ἢ τρισὶ μάρτυσιν ἀποθνήσκει· πόσῳ (δοκεῖτε) χείρονος ἀξιωθήσεται τιμωρίας ὁ τὸν υἱὸν τοῦ Θεοῦ καταπατήσας, καὶ τὸ αἷμα τῆς διαθήκης κοινὸν ἡγησάμενος; καὶ πάλιν τοὺς πρὸ τοῦ νόμου, ἐλάττονος δεικνὺς τιμωρίας ἀξίους εἶναι τῶν ἐν τῷ νόμῳ παραβαινόντων, ὅσοι, φησὶν, ἀνόμως ἥμαρτον, ἀνόμως καὶ ἀπολοῦνται· τουτέστιν, ἡμερώτερον, οὐκ ἔχοντες τὸν νόμον κατήγορον, ἀλλὰ τὴν φύσιν μόνον·

ὅσοι δὲ ἐν νόμῳ ἥμαρτον, διὰ νόμου κριθήσονται· τουτέστι βαρύτερον, ἔχοντες μετὰ τῆς φύσεως καὶ τὸν νόμον κατήγορον. ἀποπέσοιμι ἄρα ἀπὸ τῶν ἐχθρῶν μου κενός. καταδιώξαι ἄρα ὁ ἐχθρὸς τὴν ψυχήν μου, καὶ καταλάβοι. εἶδες παῤῥησίαν δικαίου καὶ ἄριστον συνειδός; εἰ γὰρ μὴ σφόδρα ἑαυτῷ ἐθάῤῥει, οὐκ ἂν τοιαῦτα ἐπηρᾶτο. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν. εἰ ἠδίκησα, εἰ ἠμυνάμην· τὰ καὶ τὰ πάθοιμι. καὶ καθ' ἑαυτοῦ τὴν ψῆφον ἐκφέρει· καὶ οὐκ ἀξιοῖ κατὰ τὸ μέτρον κριθῆναι, ἀλλὰ πολλῷ μᾶλλον ὑπὲρ τὴν ἀξίαν διδόναι τὴν δίκην· καὶ ὑπεύθυνον ἑαυτὸν ποιεῖ κολάσει, ἧς ὁ νόμος αὐτὸν εἴργει. καὶ ὅρα ποία ταύτη· ἀποπέσοιμι, φησιν, ἀπὸ τῶν ἐχθρῶν μου κενός. καταδιώξαι ἄρα ὁ ἐχθρὸς τὴν ψυχήν μου, καὶ καταλάβοι, καὶ καταπατήσαι εἰς γῆν τὴν ζωήν μου, καὶ τὴν δόξαν μου εἰς χοῦν κατασκηνώσαι. τουτέστιν, ἄτιμον, ἀνώνυμον ἀπολέσαι, μετὰ τῆς ζωῆς μου καὶ τὴν δόξαν μου διαφθείρειε. τί ἐστι, καὶ τὴν δόξαν μου εἰς χοῦν κατασκηνώσαι; ταπεινώσαι, πατήσαι· γενοίμην ἕτοιμος τοῖς ἐχθροῖς, φησι. τί γένοιτ' ἂν μιαρώτερον τοῦ Ἀβεσαλώμ, ὅστις πατέρα, καὶ πατέρα τοιοῦτον, οὕτως ἥμερον καὶ ἐπιεικῆ ἐδίωκεν, ἀσελγὴς ὢν καὶ ἀκόλαστος καὶ ὑβριστής; τί οὖν; οὐκ ἀπέδωκε τοῖς ἀνταποδιδοῦσιν αὐτῷ κακά, οὐδὲ ἐμνησικάκησεν; οὐδαμῶς. κἂν ἐξετάσῃς τὴν Σαοὺλ τὴν ἱστορίαν, τότε μάλιστα ὄψει ταύτην τὴν φωνὴν διαλάμπουσαν. τὸν γὰρ μετὰ μυρίας εὐεργεσίας καὶ τρόπαια καὶ τὰς νίκας ἀδικοῦντα καὶ ἐπιβουλεύοντα, καὶ ἀνελεῖν καθ' ἑκάστην ἐπιθυμοῦντα τὴν ἡμέραν, λαβὼν εἰς χεῖρας καὶ ἅπαξ καὶ δὶς καὶ πολλάκις καθεύδοντα, καὶ καθάπερ ἐν δεσμωτηρίῳ συγκεκλεισμένον, καὶ δορυφόρων ἔρημον, πολλῶν ἐγκελευομένων σφάξαι καὶ ἀνελεῖν, ἐφείσατο, καὶ τῆς ὀργῆς ἐκράτησε· καὶ ταῦτα εἰδὼς, ὅτι ἀφεὶς αὐτὸν διαφυγεῖν, πολέμιον ἀφήσει ἑαυτῷ καὶ ἐχθρὸν ἀκατάλλακτον. ἀλλ' ὅμως οὔτε ἡ μνήμη τῶν παρελθόντων, οὔτε ὁ φόβος τῶν μελλόντων, οὔτε ἄλλο τῶν τοιούτων οὐδὲν εἰς τὴν σφαγὴν αὐτὸν ἐξήγαγεν ἐκείνην· ἀλλ' ἐφιλοσόφει, καὶ τῆς χειρὸς ἐκράτει, καὶ τὸν θυμὸν ἐχαλίνου· καὶ ᾑρεῖτο κινδυνεύειν καὶ ἐπιβουλεύεσθαι μᾶλλον,

A Quicunque autem in lege peccarunt, per legem iudicabuntur, hoc est, habentes grauiorem etiam cum natura legem accusatricem. *Decidam meritò ab inimicis meis inanis. Persequatur inimicus animam meam, & comprehendat, & conculcet in terra vitam meam, & gloriam meam in puluerem deducat.* Vidisti iusti fiduciam, & optimam conscientiam? Nisi enim valde sibi confidisset, non esset talia imprecatus. Quod autem dicit, est eiusmodi. Si feci iniuriam, si me vltus sum, hæc & illa patiar, & in seipsum fert sententiam, & non postulat vt B pro modo rei iudicetur, sed multò magis vt supra meritum luat pœnas, & seipsum reddit illi supplicio obnoxiũ, à quo ipsum lex prohibet. Vide autem quodnam sit illud. Decidam, inquit, ab inimicis meis inanis. Persequatur inimicus animam meam, & comprehendat, & conculcet in terra vitam meam, & gloriam meam in puluerem deducat. Hoc est, Me inglorium, & bonæ famæ & existimationis expertem perdat, & simul cum vita mea meam quoque gloriam destruat. Quid est, Et gloriam meam in pulC uerem deducat? humiliet, conculcet, efficiar, inquit, meis inimicis expositus. Quid possit esse Absalon sceleratius, qui patrem, & talem patrem, adeò mansuetum & mitem persequebatur, cùm esset impudicus, petulans, & contumeliosus? Quid ergo? Num reddidit retribuentibus ei mala? num reuocauit in memoriam quas acceperat iniurias? Nequaquam, & si examinaueris Saulis historiam, tunc maximè videbis illam vocem esse claram & illustrem. Cùm enim eum qui post innumerabilia beneficia, & trophæa, D & victorias, ei iniuriam faciebat, & insidias tendebat, & quotidie cupiebat de medio tollere, & semel, & bis, & ter, & sæpe dormientem, & tanquam in carcere inclusum, & satellitibus destitutum in manus accepisset, multisque eum iuberent occidere & de medio tollere, ei pepercit, & iram vicit, idque cùm sciret, quòd eum dimittens, hostem esset, & irreconciliabilem inimicum dimissurus. Sed tamen neque memoria præteritorum, nec metus futurorum, neque vllum aliud eiusmodi, eum ad illam cædem faciendam impulit: sed sapientia vsus est, & manum continuit, & iram refrænauit, & maluit periculum adire, & insidiis appeti,

Attende mansuetudinem Dauidis.

& à patria & libertate excidere, quàm inimicum, qui nulla de causa ei insidiabatur, qui post innumerabilia beneficia ei mortem moliebatur, occidere, & de medio tollere. Ex multis quoque aliis potest cognosci bonus eius & innocens animus, & ideo multa sibi imprecatur, eáque grauia, ac difficilia, vt re infecta rediret, vt inimici eius sint pro arbitrio compotes, vt moriatur inglorius, vt hoc patiatur ab inimicis, quod videtur esse morte multò grauius, & ideo nihil homo non molitur, vt post mortè possit eius esse memoria. Vide igitur quot sibi imprecatur, vt frustra laboret, vt ab inimicis vincatur, vt moriatur, vt ne morte quidem communi, vt eius etiam memoria deleatur, vt cum ignominia: non tot & tanta sibi imprecaturus, nisi conscientiæ vehementer confideret. Quòd si illi erat inimicus, non potest in eum culpa conferri, neque enim ipse præbuit occasionem. Quam enim dedit filio occasionem? quam Saul? non illum, cùm, quæ mortem mererentur, fecisset, ad tempus castigatum reduxit, & restituit: hunc autem mortem ei machinantem, in manus sæpe acceptum seruauit? Non ergo respice an inimicos habuerit, sed an eos ipse fecerit? Neque enim Christus hoc iussit, nos non habere inimicos, sed non odisse: hoc enim est in nostra potestate, illud verò omnino non est. Ne autem sine causa odio habeamus, non est in nostra potestate, sed in eorum qui oderunt. Improbi enim bonos nulla omnino de causa odisse consueuere. Etenim Christum quoque sine causa odio habuerunt, quemadmodum dicit: Oderunt me gratis. Et Apostoli habuerunt inimicos pseudoapostolos, & Prophetæ falsos Prophetas. Non est enim hoc spectandum, vt non habeamus inimicos, ut ne iustè, & ne cum causa, vt licet millies odio habeamur, non habeamus odio, neque auersemur. In hoc enim inimicitiæ consistunt, vt odio habeamus, & auersemur. Quando ergo odio habeor, & odio non habeo, ille me inimicum, non ego eum habeo. Quando ei bene precor, quando ei volo benefacere, quomodo ego illi sum inimicus? Propterea dicebat Paulus: Si possibile est quod est in vobis, cū omnibus hominibus pacem habentes.

2. Reg. 16. 11. & seq. 1. Reg. 24. 7. 1. Reg. 24. 26.

Penes nos est non odisse.

Psal. 34. 12.

Rom. 12. 18

A καὶ τῆς πατρίδος αὐτῆς ἐκπεσεῖν καὶ τῆς ἐλευθερίας, ἢ τὸν ἐχθρὸν τὸν εἰκῇ καὶ μάτην αὐτῷ ἐπιβουλεύοντα, τὸν μετὰ μυρίας εὐεργεσίας φονῶντα, σφάξαι καὶ ἀνελεῖν. καὶ ἐξ ἑτέρων δὲ πλειόνων ἐστὶν ἰδεῖν τὴν φιλόσοφον αὐτοῦ διάνοιαν. διὸ καὶ ἐπαρᾶται αὐτῷ πολλὰ καὶ χαλεπά· οἷον τὸ ἄπρακτον ἐπανελθεῖν· τὸ τοὺς ἐχθροὺς κρατῆσαι μετὰ πολλῆς τῆς ἐξουσίας αὐτοῦ· τὸ ἀνώνυμον ἀποθανεῖν· τὸ παρὰ πολεμίων τοῦτο παθεῖν, ὃ πολὺ τοῦ θανεῖν χαλεπώτερον εἶναι δοκεῖ. διὸ καὶ μυρία μηχανήματα ποιεῖ, B πρὸς τὸ μετὰ τὴν τελευτὴν μνημονεύεσθαι. ὅρα τοίνυν ὅσα ἑαυτῷ ἐπαρᾶται· τὸ ἀνήνυτα ποιεῖν, τὸ ὑπὸ τῶν ἐχθρῶν ἡττηθῆναι, τὸ ἀποθανεῖν, τὸ μηδὲ κοινῇ τῇ τελευτῇ, τὸ καὶ τὴν μνήμην αὐτοῦ ἐξαλειφθῆναι, τὸ μετὰ ἀτιμίας· οὐκ ἂν τοσαῦτα ἑαυτῷ ἐπαρασάμενος, εἰ μὴ σφόδρα ἐθάῤῥει τῷ συνειδότι. εἰ δὲ ἐχθρὸν εἶχεν, οὐδὲν τοῦτο ἐκείνῳ ἔγκλημα· οὐ γὰρ αὐτὸς παρεῖχε λαβάς. ποίαν γὰρ λαβὴν ἔδωκε τῷ παιδί; ποίαν τῷ Σαοὺλ; οὐχὶ τὸν μὲν ἄξια τιμωρίας πράξαντα, πρὸς καιρὸν σωφρονίσας, ἐπανήγαγε καὶ ἀνεκτήσατο· τὸν δὲ C φονῶντα κατ' αὐτοῦ, πολλάκις εἰς χεῖρας λαβὼν διέσωσε; μὴ τοίνυν τοῦτο σκόπει, εἰ ἐχθροὺς εἶχεν, ἀλλ' εἰ αὐτὸς αὐτοὺς κατεσκεύασεν. οὔτε γὰρ ὁ Χριστὸς τοῦτο ἐκέλευσε, τὸ μὴ τοὺς ἐχθροὺς ἔχειν (τούτου γὰρ οὐκ ἐσμὲν κύριοι) ἀλλὰ τὸ μὴ μισεῖν. τούτου γὰρ ἡμεῖς κύριοι· ἐκείνου δὲ οὐ πάντως. τοῦ δὲ μισεῖσθαι εἰκῇ, οὐκ ἐν ἡμῖν ἡ ἐξουσία κεῖται, ἀλλ' ἐν τοῖς μισοῦσι. καὶ γὰρ οἱ πονηροὶ τοὺς ἀγαθοὺς μισεῖν εἰώθασιν εἰκῇ καὶ μάτην. καὶ γὰρ καὶ τὸν Χριστὸν ἐμίσουν εἰκῇ, καθὼς λέγει· ἐμίσησάν με δωρεάν. καὶ οἱ ἀπόστολοι τοὺς ψευδαποστόλους εἶχον D ἐχθρούς, καὶ οἱ προφῆται τοὺς ψευδοπροφήτας. οὐ γὰρ τοῦτο δεῖ σκοπεῖν, ὅπως μὴ σχοίημεν ἐχθρούς, ἀλλ' ὅπως μὴ δικαίως μηδὲ εὐλόγως· καὶ ὅπως, κἂν μυριάκις μισώμεθα, μὴ μισῶμεν, μηδὲ ἀποστρεφώμεθα. ἔχθρα γὰρ τοῦτό ἐστι, τὸ μισεῖν καὶ ἀποστρέφεσθαι. ὅταν οὖν μισῶμαι καὶ μὴ μισῶ, ἐκεῖνός με ἐχθρὸν, οὐκ ἐγὼ τοῦτον ἔχω. ὅταν εὔχωμαι, ὅταν εὐεργετεῖν βούλωμαι, πῶς τὸν τοιοῦτον ἐχθρὸν ἔχω; διὰ τοῦτο ὁ Παῦλος ἔλεγεν· εἰ δυνατὸν, τὸ ἐξ ὑμῶν, μετὰ πάντων ἀνθρώπων εἰρηνεύοντες.

τὰ ἡμέτερα τοίνυν εἰσφέρωμεν, καὶ αὐτῷ τούτῳ ἀρκοῦντα τὸν ἔπαινον ἕξομεν. τίνα δέ ἐστι τὰ ἡμέτερα; οἷόν τι λέγω. μισεῖ ὁ δεῖνα καὶ ἐπολεμεῖ; σὺ φίλει καὶ εὐεργέτει. ὑβρίζει καὶ λοιδορεῖται; σὺ εὐλόγει καὶ ἐπαίνει. ἀλλ᾽ οὐ λύει τὴν ἔχθραν ἐκεῖνος οὕτως; οὐκοῦν πλείονά σοι δίδωσι τὸν μισθόν. οἱ γὰρ κακοὶ ὅσῳ ἂν θεραπευόμενοι μὴ καταλύωσι τὸν πόλεμον, λαμπροτέρας ἡμῖν προξενοῦσι τὰς ἀμοιβάς, καὶ ἑαυτοὺς ἀσθενεστέρους ποιοῦσιν. ὁ μὲν γὰρ μισῶν, καὶ μὴ διαλύων τὴν ἔχθραν, τήκεται, διαφθείρεται, διηνεκεῖ συζῇ πολέμῳ· ὁ δὲ τούτων ἀνώτερος τῶν βελῶν, ἔξω τῶν τρικυμιῶν ἕστηκε· καὶ ἑαυτὸν παρ᾽ ἐκείνου τὰ μέγιστα ὠφελεῖ, ἐν τῷ σπουδάζειν ἐκείνῳ καταλλάττεσθαι, καὶ μὴ πολεμεῖν, ἑαυτὸν ἀπαλλάττων πολέμου καὶ μάχης. φεύγωμεν τοίνυν πολεμεῖν ἑτέροις, καὶ τὴν ῥίζαν τούτων ἀνέλωμεν, κενοδοξίαν, φιλαργυρίαν. ἢ γὰρ διὰ χρήματά τις ἐχθρός ἐστιν, ἢ διὰ δόξαν κενήν. ἐὰν δὲ τούτων ὦμεν ἀνώτεροι, καὶ τοῦ ἁλίσκεσθαι ἔχθρᾳ ἐσόμεθα ἀνώτεροι. κἂν ὑβρίσῃ τοίνυν, φέρε γενναίως. ἑαυτὸν γάρ, οὐ σὲ ὕβρισε. κἂν πλήξῃ, μὴ ἀντιτείνῃς τὴν δεξιάν. αὐτὸς γάρ ἐστιν ὁ πληττόμενος, σὲ μὲν τῇ χειρί, ἑαυτὸν δὲ τῷ θυμῷ παίων, καὶ πονηρὰν παρὰ πάντων λαμβάνων δόξαν. εἰ δὲ δοκεῖ σοι ταῦτα δύσκολα εἶναι· ἐννόησον, ὅτι εἰ μαινόμενός σού τις τὸ ἱμάτιον περιέρρηξε, τίνα ἂν ἔφης πάσχειν κακῶς; σὲ τὸν παθόντα, ἢ ἐκεῖνον τὸν ποιήσαντα; εὔδηλον ὅτι ἐκεῖνον. εἶτα, ἔνθα μὲν τὸ ἱμάτιον διαρρήγνυται, ὁ ποιήσας τοῦ παθόντος χαλεπώτερα πέπονθεν· ἔνθα δὲ καρδία διαρρήγνυται (ὁ γὰρ θυμὸς τοῦτο ποιεῖ) οὐκ ἐκεῖνον ἡγήσῃ μείζονα πεπονθέναι δεινά σου τοῦ μηδὲν ὑπομείναντος; μὴ γὰρ δὴ τοῦτο εἴπῃς, ὅτι τὸ ἱμάτιον τὸ σὸν διέρρηξεν, ἀλλ᾽ ὅτι πρότερον τὴν ἑαυτοῦ καρδίαν διέρρηξεν. ὥσπερ γὰρ ἴκτερος οὐκ ἂν γένοιτο, μὴ τῆς χολῆς διαρραγείσης, καὶ τοὺς οἰκείους ὅρους ὑπερβάσης· οὕτως οὐκ ἂν θυμὸς ἄμετρος γένοιτο, μὴ τῆς καρδίας διαρραγείσης. ὥσπερ οὖν ἂν ἴδῃς τινὰ ἰκτέρῳ κατεχόμενον, κἂν μυρία ἐργάσηται δεινά, οὐκ ἂν ἕλοιο πρὸς σεαυτὸν ἐπισπάσασθαι τὸ νόσημα· οὕτω καὶ ἐπὶ τοῦ θυμοῦ, μὴ ζηλοῦ μηδὲ μιμοῦ τὴν κακίαν, ἀλλ᾽ ἐλέει

Nostra ergo afferamus, & ex hoc ipso sufficientem laudem referemus. Quænam sunt autem nostra? vt verbi gratia. Hic odio te habet, & bellum gerit: tu ama, & eum beneficio affice. Probris & maledictis appetit: tu benedic & lauda. Sed ne sic quidem soluit inimicitias: maiorem igitur tibi affert mercedem. Mali enim, quò magis à nobis obseruati bellum nolunt componere, eò nobis splendidiorem remunerationem comparant, & se reddunt imbecilliores. Qui enim odio habet, & non reconciliatur, colliquatur, tabescit, & in perpetuo bello versatur. Qui est autem his telis superior, stat remotus à magnis tempestatibus, & sibiipsi ante illum maximè prodest, studet illi reconciliari, & non cum eo bellū gerere, seipsum à bello & pugna liberans. Fugiamus ergo inter nosipsos bellum gerere, & eorum radicem de medio tollamus, vanam gloriam & auaritiam. Vel enim propter pecunias est inimicus quispiam: vel propter vanam gloriam. Quòd si iis fuerimus superiores, etiam ne nos apprehendant inimicitiæ, euademus superiores. Etsi ergo contumelia affecerit, magno fer & forti animo: seipsum enim, non te affecit iniuria, & si percusserit, ne dextram contrà tendas. Ipse est enim qui feritur, te quidem manu, seipsum verò ira pulsans, & sibi malam ab omnibus existimationem cōparans. Quòd si hæc tibi videntur esse difficilia, considera. Si quis furiosus vestem tuam vndique lacerarit, quemnam dixeris malis affici: téne qui passus es, an illum qui fecit? Clarum est quòd illum. Ergóne vbi vestis quidē discinditur, qui fecit, passo grauiora passus est: vbi autem cor rumpitur (hoc enim facit ira) non illum grauiora esse passum putabis te, qui ne tantillum quidem passus es? Neque enim hoc dixeris, quòd vestem tuā disrupit, sed quòd prius cor suum. Quemadmodum enim non fuerit morbus regius, nisi bilis disrupta sit, & proprios limites transilierit: ita vehemens ira tibi non fuerit, si non fuerit cor disruptum. Quemadmodum ergo si videris aliquē regio morbo teneri, etsi mala fecerit innumerabilia, morbum ad te nolis attrahere: ita etiam in ira. Ne æmulare, nec imitare vitium, sed illius potius mi-

Collatio Physica.

ſerere, qui quam in ſe habet, non frænat belluam, ſibíque prius damnum affert & exitium. Quòd enim qui tales ſunt ſibiipſis damnum afferunt, licet audire multos, qui huiuſmodi pugnas & lites componunt, dicentes, & eos admonentes: Parce tibiipſi, facis tibi iniuriam. Tale enim eſt vitium: eum qui ipſum parit, ſolum damno afficit, omnia ſúſque déque mouens & agitans. Ne ergo volentes alios vlciſci, ipſi à portu excidamus. Neque enim ſi quiſpiam nauem fracturus, & ſubmergendus, te in terra ſedentem contumeliis afficeret, ex eo dolorem caperes, nec è terra excedens, cum eo eſſe velles naufragij particeps. Hoc ergo apud te reputa, quòd qui te contumelia afficit, & probris inſectatur, tanquam turbine & procella aliqua agitatus ſubmergitur, in iræ naufragium incidens, tu autem qui fers fortiter, & in portu, & in littore agis ſuauiter. Sed ſi ad eandem deferaris contentionem, non illum, ſed teipſum demerſiſti. *Exurge domine in ira tua, exaltare in finibus inimicorum tuorum.* Hoc ita dixit, oſtendens quod poteſt etiam ſurgere non in ira, quando dicit: Surge domine, ſerua me Deus meus. Cùm autem audis: Exurge, nihil corporale ſuſpiceris. Quemadmodum enim ſedere non dictum eſt in Deo corporaliter, ita nec hoc. Tu enim, inquit, ſedens in ſeculum. Quid eſt ergo, quod ſignificat per ſeſſionem? firmitatem, immobilitatem, & naturæ ſtabilitatem, atque conſtantiam. Quod quidem ſignificauit etiam per id quod ei ex aduerſo opponitur. Cùm enim dixiſſet, Tu ſedens in ſeculum, ſubiunxit, Vos autem pereuntes in ſeculum. Quemadmodum ergo ſedere non eſt corporale: ita nec etiam ſurgere, ſed illic quidem ſtabilitas, hîc autem puniendi vis & conſumendi poteſtas. Sedere autem ſignificat etiam nonnunquam iudicandi facultatem, vt quando dicit: Sediſti ſuper thronum, qui iudicas iuſtitiam. & Daniel: Throni poſiti ſunt, & ſedit iudicium. Eſt etiam regale ſedere, vt quando dicit: Thronus tuus Deus in ſeculum ſeculi. Virga rectitudinis, virga regni tui. Vnde illud, Sede à dextris meis, ſignificat æqualitatem honoris. Quid eſt autem, In ira tua? Id quoque ita rurſus accipiendum eſt, vt Deo conueniat, eúm-

A ſimili argumentum.

Pſal. 9.6.

Pſal. 18.10

Pſal. 91.

Sedes, iudiciaria poteſtas.

Pſal. 9.4.

Dan. 7.9.

Pſal. 44.8.

Pſ. 109.1.

Ira Dei.

κἀκεῖνον τὸν οὐ χαλινοῦντα τὸ ἐν αὐτῷ θηρίον, ἀλλὰ πρότερον ἑαυτὸν λυμαινόμενον καὶ διαφθείροντα. ὅτι γὰρ ἑαυτοὺς οἱ τοιοῦτοι λυμαίνονται, ἀκοῦσαί ἐστι πολλῶν τῶν τὰς τοιαύτας διαλυόντων μάχας, τῶν παραινούντων αὐτοῖς· σαυτοῦ φεῖσαι· σαυτὸν ἀδικεῖς. τοιοῦτον γὰρ ἡ κακία· τὸν τίκτοντα αὐτὴν λυμαίνεται μόνον, πάντα ἄνω καὶ κάτω ποιοῦσα. μὴ τοίνυν βουλόμενοι ἀμύνεσθαι ἑτέρους, αὐτοὶ τοῦ λιμένος ἐκπέσωμεν. οὐδὲ γὰρ εἴ τις μέλλων ναυαγεῖν καὶ ὑποβρύχιος γίνεσθαι, ὑβρίσει σε ἐπὶ τῆς γῆς καθήμενον, ἤλγησας ἄν, οὐδὲ ἐξελθὼν τῆς γῆς ἐκοινώνησας αὐτῷ τοῦ ναυαγίου. τοῦτο τοίνυν ἀναλογίζου· ὅτι ὁ μὲν ὑβρίζων σε καὶ παροινῶν, ὥσπερ ἰλίγγῳ τινὶ, ἢ καταιγίδι καταποντιζόμενος, ὑποβρύχιος γίνεται τῷ τοῦ θυμοῦ ναυαγίῳ περιπεσών· σὺ δὲ ὁ φέρων γενναίως, ἐν λιμένι καὶ περὶ αἰγιαλὸν τρυφᾷς. ἐὰν δὲ πρὸς τὸν αὐτὸν ἐξενεχθῇς αὐτῷ ζῆλον, οὐκ ἐκεῖνον, ἀλλὰ σαυτὸν κατεπόντισας. ἀνάστηθι κύριε ἐν ὀργῇ σου, ὑψώθητι ἐν τοῖς πέρασι τῶν ἐχθρῶν σου. τοῦτο οὕτως εἶπε, δηλῶν ὅτι ἔστι, καὶ οὐκ ἐν ὀργῇ, ἀναστῆναι· ὡς ὅταν λέγῃ· ἀνάστα κύριε, σῶσόν με ὁ Θεός μου. ἀκούων δὲ τὸ ἀνάστα, μηδὲν σωματικὸν ὑποπτεύσῃς. ὥσπερ γὰρ τὸ καθῆσθαι ἐπὶ Θεοῦ οὐ σωματικῶς εἴρηται, οὕτως οὐδὲ τοῦτο. σὺ γὰρ, φησι, καθήμενος εἰς τὸν αἰῶνα. τί οὖν ἐστιν, ὃ διὰ τῆς καθέδρας αἰνίττεται; τὸ ἑδραῖον, τὸ πεπηγὸς, τὸ βέβαιον τῆς φύσεως, τὸ μόνιμον· ὅπερ οὖν καὶ διὰ τῆς ἀντιδιαστολῆς ἐδήλωσεν. εἰπὼν γὰρ, σὺ καθήμενος εἰς τὸν αἰῶνα, ἐπήγαγεν, ἡμεῖς δὲ ἀπολλύμενοι εἰς τὸν αἰῶνα. ὥσπερ οὖν τὸ καθῆσθαι οὐ σωματικὸν, οὕτως οὐδὲ τὸ ἀναστῆναι. ἀλλ' ἐκεῖ μὲν τὸ ἑδραῖον, ἐνταῦθα δὲ τὸ τιμωρητικὸν, τὸ ἀναλωτικόν. ἔστι δὲ ὅπου δηλοῖ τὸ καθῆσθαι καὶ τὸ δικαστικόν· ὡς ὅταν λέγῃ· ἐκάθισας ἐπὶ θρόνου ὁ κρίνων δικαιοσύνην. καὶ ὁ Δανιήλ· θρόνοι ἐτέθησαν, καὶ τὸ κριτήριον ἐκάθισε. ἔστι καὶ τὸ βασιλικόν· ὡς ὅταν λέγῃ· ὁ θρόνος σου, ὁ Θεὸς, εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. ῥάβδος εὐθύτητος ἡ ῥάβδος τῆς βασιλείας σου. ὅθεν καὶ τὸ κάθου ἐκ δεξιῶν μου, τὸ ἰσότιμον ἐνδείκνυται. τί δέ ἐστι τὸ, ἐν ὀργῇ σου; καὶ τοῦτο πάλιν θεοπρεπῶς ἐκληπτέον. ὀρ-

γὴ γὰρ τοῦ Θεοῦ, οὐ πάθος, ἀλλὰ τιμωρία ἐστὶ κόλασις. ὑψώθητι ἐν τοῖς πέρασι τῶν ἐχθρῶν σου. ἄλλος φησὶν, ἐν θυμῷ ἐπὶ τοὺς ἐχθρούς σου. ἕτερος, ἐν χόλῳ τῶν θλιβόντων με. ἕτερος, ἐν αὐταρθρεσίαις ἐνδεσμούντων. ὁ δὲ Ἑβραῖος τὸ, ἐν τοῖς πέρασι, βεβαρώθ φησιν. ὅρα πάλιν πῶς ἐνταῦθα οὐχ ἑαυτῷ ἀμύνει, ἀλλ' ὑπὲρ τῆς τοῦ Θεοῦ δόξης ταῦτα λέγει. οὐ γὰρ ἁπλῶς εἶπε, κόλασον τοὺς ἐχθρούς μου, ἢ τοὺς ἐχθρούς σου· ἀλλ' ὑψώθητι. καὶ πῶς ὑψοῦται ὁ ὑψηλὸς, καὶ ἀεὶ ὢν ὕψιστος; τὸ γὰρ ὕψος αὐτοῦ τῆς φύσεως οὔτε ἐλαττοῦται, οὔτε προσλαμβάνει τι. τέλειος γάρ ἐστι καὶ ἀνενδεὴς, καὶ ἀεὶ ὡσαύτως ἔχων. πῶς οὖν, καὶ τίνι τρόπῳ ὑψοῦται; ὑψοῦται ἐν ταῖς διανοίαις τῶν πολλῶν. ἐπειδὴ ἐμακροθύμησε πολλάκις τοῖς μεγάλα ἡμαρτηκόσιν· οἱ δὲ ἐχθροὶ οὐ μακροθυμίας ἐνόμιζον εἶναι, ἀλλὰ ταπεινώσεως τοῦτο καὶ ἀσθενείας. ὥστε καὶ ταπεινοῦται, ἀλλ' οὐκ ἐν τῷ πράγματι, ἀλλ' ἐν τῇ διανοίᾳ ἐκείνων. καθάπερ γὰρ ὁ ἥλιος ἀμυδρὸς φαίνεται τοῖς ἀσθενοῦσι τὰς ὄψεις· οὕτω δὴ καὶ ὁ Θεὸς ἀσθενὴς καὶ ταπεινὸς ἐν ταῖς διανοίαις ἐκείνων. ἀλλ' ὥσπερ ὁ ἥλιος οὕτω νομίζεται, οὐκ ἔστι δὲ ἀμυδρὸς, ἀλλὰ τῆς ἀσθενείας ἐκείνων τὸ πάθος· οὕτω καὶ ὁ Θεὸς, κἂν τοῦτο ὑποπτεύηται, οὐκ ἔστιν ἀσθενὴς, ἀλλὰ τῆς ἐκείνων ἀνοίας τὸ σύμπτωμα. τί οὖν φησιν ὁ δίκαιος; ὑψώθητι καὶ παρὰ τοῖς ἐχθροῖς ἡμῶν, ἐπέξελθε καὶ δεῖξόν σου τὴν ἰσχὺν, ἵνα οἱ νομίζοντες εἶναί σε ταπεινὸν, ἀφ' ὧν πάσχουσιν, ἴδωσί σου τὴν δόξαν. εἶδες αὐτοῦ τὸν σκοπὸν οὐ τὸ ἑαυτοῦ ζητοῦντος, ἀλλὰ τὸ τοῦ Θεοῦ. τὸ δὲ, ἐν τοῖς πέρασιν, οἱ μὲν φασιν, ἐν ταῖς κεφαλαῖς, οἱ δὲ, μηδεὶς διαφύγοι τῶν ἐχθρῶν. μεγάλη δὲ ἀρετὴ τοῦ δικαίου, ὅταν τοὺς αὐτοὺς ἐχθροὺς ἔχῃ τῷ Θεῷ, καὶ τοὺς ἐχθροὺς φίλους. ὥσπερ κακία μεγάλη, ὅταν τοὺς τοῦ Θεοῦ φίλους ἐχθροὺς ἔχῃ, καὶ τοὺς ἐχθροὺς φίλους. ὥσπερ οὖν ὁ Θεὸς ἐχθροὺς ἔχειν λέγεται, οὐ μισῶν, οὐδὲ ἀποστρεφόμενος αὐτοὺς, ἀλλὰ τὰς πράξεις αὐτῶν τὰς πονηρὰς βδελυττόμενος· οὕτω καὶ ὁ δίκαιος ἐχθροὺς ἔχει, οὐκ ἀμυνόμενος αὐτοὺς, ἀλλὰ τὴν πονηρίαν ἀποστρεφόμενος. καὶ ἐξεγέρθητι, κύριε ὁ θεός μου ἐν προστάγματι ᾧ ἐνετείλω. ἄλλος φησὶν, ἐν κρίματι. καὶ συναγωγὴ λαῶν κυκλώσει σε. ἄλλος φησὶ, κυκλώσεταί σε. καὶ ὑπὲρ ταύτης εἰς ὕψος ἐπίστρεψον, κύριε.

A que deceat. Ira enim Dei, non est animi perturbatio, sed punitio. *Exaltare in finibus inimicorum tuorum.* Alius dicit, In ira aduersus inimicos tuos. Alius, In bile eorum qui me affligunt. Alius in dilationibus alligantium. Hebræus autem id quod est, in finibus, dicit *bebaroth.* Vide quomodo rursus nõ se vlciscitur, sed hæc dicit pro Dei gloria. Non enim dixit solummodo, Puni inimicos meos, vel tuos, sed, Exaltare. Et quomodo exaltatur altus, & qui est semper altissimus? Eius enim naturæ altitudo nec B crescit, nec minuitur: est enim perfectus & nullius rei indigẽs, & qui semper similiter & eodẽ modo se habet. Quomodo ergo, & quanam ratione exaltatur? Exaltatur in multorum mentibus. Quemadmodum sæpe lenitate & longanimitate vsus est in eos, qui grauia peccata cõmiserant. Inimici autem existimabant hoc non esse longanimitatis, sed humilitatis & imbecillitatis. Quocirca etiam humiliatur, non re quidem ipsa, sed illorum cogitatione: quemadmodum enim sol videtur esse obscurus & sublustris iis qui laborant oculis: ita C Deus videtur esse infirmus & imbecillus in eorũ mentibus. Sed quemadmodum sol ita existimatur, non est autem sublustris & opacus, sed est affectio illorum imbecillitatis: ita etiã Deus, etiãsi hoc existimetur, nõ est imbecillus, sed id ex illorum insipientia accidit. Quid ergo dicit iustus? Exaltare etiã apud inimicos meos. Persequere, & vires tuas ostende, vt qui te humilẽ existimant, ex iis quæ patiuntur, tuã videant gloriam. Vidisti eius institutũ, nõ id quod suum, sed quod Dei est quærentis. Illud autẽ, In finibus, alij quidẽ dicunt, In capiti- D bus. Alij autẽ, nullus fugiat inimicorũ. Magna est autem iusti virtus, quando eosdẽ habet Dei inimicos, & eosdem amicos: quemadmodũ magnum vitium, quãdo Dei amicos, & inimicos amicos habeat. Quemadmodũ ergo Deus dicitur habere inimicos, non odio habens, neque eos auersans, sed improbas eorum actiones abhorrẽs: ita etiam iustus habet inimicos, non eos vlciscens, sed improbitatem auersans. *Et exurge domine Deus meus in præcepto quod mandasti.* Alius dicit, In iudicio. *Et Synagoga populorũ circundabit te.* Alius dicit, Circundet te. *Et propter hanc in altum regredere Domine.*

Eccle 18. Malach. 2. Psal. 109. Rom. 2.

Iusti ad Deum collatio.

Alius dicit, *Et supra ipsam in altum conuertere.* Hebræus autem illud, super ipsam, dicit: *Oualea.* Quid est, in præcepto quod mandasti? Vt opem feramus, inquit, iis qui afficiuntur iniuria, & non negligamus eos quibus struuntur insidiæ. Quod tu ergo nobis lege constituisti, hoc etiam factis nobis exprime. Alij autem dicunt etiam aliud, quòd promisit se inimicum fore inimicis eius. *Et Synagoga populorum circundabit te.* Nihil humanum ne hic quidem suspiceris. Etsi enim tales sunt dictiones, sunt tamen sensa quæ Deo conueniant. Quid est ergo: Circundabit te? Pro eo quod est canet tibi, laudabit te, bonis & honorificis te verbis affatim prosequetur. Quoniam enim hoc per choros faciebant, in orbem circunsistentes in templo & in altari, & ita gratiarum actiones offerebant: ex ipsa standi forma laudationem eorum significauit. Quod autem dicit, tale est. Persequere, fer auxilium. Hoc te & apud inimicos reddet excelsum, & vt tuus populus multis te laudibus & hymnis afficiat, efficiet. Vide quomodo non quod suum, sed quod est Dei quærit vbique. Vult enim ipsum & apud inimicos, & apud suos gloria & honore affici. *Et pro ipsa in altum conuerte.* Pro ipsa. Quanam? Synagoga, inquit, hoc est, propter ipsam in altū conuerte, exalta nos, extolle nos, fac vt sint res altæ & excelsæ, fac vt sit clarior & illustris, reduc eam ad priorem prosperitatem. Vide autem quomodo vbique precibus doctrinam admisceat. Etenim cùm prius dixisset, Miserere mei, & exaudi me, conuertit sermonem ad consilium, sic dicens: Filij hominum quousque graui corde? Et hic cùm dixisset, In altum conuerte domine, subiungit, *Dominus iudicabit populos.* Alius autem dicit, dominus iudicabit, docens eos qui omnia casu & temerè fieri putant, rebus quandam præesse prouidentiam, quæ eorum quæ fiunt rationem exigit. Iudicium autem hic dicit, & futurum, & præsens. Illic enim ipsum erit & vniuersum, & manifestum: hic autem ex parte etiam sumit pœnas, & socordiores excitans, & infideliores attrahens ad cogitandam vniuersi prouidentiam.

9\. *Iudica me Domine secundùm iustitiam meam.* Alius dicit, secundùm ius meum.

A ἄλλος φησί, καὶ ἐπάνω αὐτῆς εἰς τὸ ὕψος ὑπόστρεψον. ἄλλος· καὶ ἐπὶ ταύτῃ εἰς ὕψος ἐπίστρεψον. ὁ δὲ Ἑβραῖος, τὸ ὑπὲρ ταύτης, φησὶν οὐαλεά. τί ἐστιν, ἐν προστάγματι ᾧ ἐνετείλω; ὥστε βοηθεῖν τοῖς ἀδικουμένοις, καὶ μὴ περιορᾷν, φησί, τοὺς ἐπιβουλευομένους. ὅπερ οὖν ἡμῖν ἐνομοθέτησας, τοῦτο καὶ αὐτὸς διὰ τῶν ἔργων ἡμῖν ἀπόδος. τινὲς δὲ καὶ ἕτερόν φασιν, ὅτι ἐπηγγείλατο μὴ ἐχθραίνειν τοῖς ἐχθροῖς αὐτοῦ. καὶ συναγωγὴ λαῶν κυκλώσει σε. μηδὲν ἀνθρώπινον μηδὲ ἐνταῦθα ὑπόπτευε. κἂν γὰρ αἱ λέξεις τοιαῦται, ἀλλὰ τὰ νοήματα θεοπρεπῆ. B τί οὖν ἐστι τὸ, κυκλώσει σε; αὐτὶ τοῦ ᾄσεταί σοι, ὑμνήσει σε, εὐφημίαν οἴσει σοι πολλήν. ἐπειδὴ γὰρ διὰ χορῶν τοῦτο ἐποίουν, κύκλῳ περιϊστάμενοι ἐν τῷ ναῷ καὶ ἐν τῷ θυσιαστηρίῳ, καὶ οὕτω τὰς εὐχαριστίας ἀνέφερον, ἀπὸ τοῦ σχήματος τῆς στάσεως αὐτῶν τὴν εὐφημίαν ᾐνίξατο. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· ἐπέξελθε, βοήθησον. τοῦτο γάρ σε καὶ παρὰ τοῖς ἐχθροῖς ὑψηλὸν ποιήσει, καὶ παρὰ τοῦ λαοῦ σου πολλὰς οἴσει τὰς εὐφημίας. ὅρα πῶς οὐ τὸ αὐτοῦ ζητεῖ, ἀλλὰ τὸ τοῦ Θεοῦ πανταχοῦ. βούλεται γὰρ καὶ παρὰ τοῖς ἐχθροῖς, καὶ παρὰ τοῖς οἰκείοις C αὐτὸν δοξάζεσθαι. καὶ ὑπὲρ ταύτης εἰς ὕψος ἐπίστρεψον. ὑπὲρ ταύτης, τίνος; τῆς συναγωγῆς, φησί. τουτέστι, διὰ ταύτην εἰς ὕψος ἐπίστρεψον· ὕψωσον ἡμᾶς, ἀνάγαγε ἡμᾶς, ὑψηλὰ ποίησον τὰ πράγματα, λαμπροτέραν αὐτὴν καὶ περιφανῆ ποίησον, ἐπὶ τὴν προτέραν αὐτὴν εὐπραγίαν ἐπανάγαγε. ὅρα δὲ πανταχοῦ ταῖς ἱκετηρίαις ἀναμιγνύντα καὶ διδασκαλίαν. καὶ γὰρ πρὸ τούτου εἰπών, οἰκτείρησόν με, καὶ εἰσάκουσόν μου, τρέπει τὸν λόγον εἰς συμβουλήν, οὕτω λέγων· υἱοὶ ἀνθρώπων ἕως πότε βαρυκάρδιοι; καὶ ἐνταῦθα εἰπών, εἰς ὕψος ἐπίστρεψον, κύριε, ἐπάγει· D κύριος κρινεῖ λαούς. ἄλλος δέ φησι, κύριος δικάσει. διδάσκει τοὺς νομίζοντας ἁπλῶς καὶ ὡς ἔτυχεν ἅπαντα φέρεσθαι, ὅτι πρόνοιά τις ἐφέστηκε τοῖς πράγμασιν, ἀπαιτοῦσα εὐθύνας τῶν γινομένων. κρίσιν δὲ ἐνταῦθα τήν τε μέλλουσαν λέγει, τήν τε παροῦσαν. ἐκεῖ μὲν γὰρ καθόλου καὶ ἡ σαφὴς ἐκείνη· ἐκ μέρους δὲ καὶ ἐνταῦθα ἀπαιτεῖ δίκας, τοὺς ῥαθυμοτέρους διεγείρων, καὶ τοὺς ἀπιστοτέρους ἐφελκόμενος εἰς τὴν ἔννοιαν τῆς περὶ τοῦ παντὸς προνοίας. κρῖνόν με, κύριε, κατὰ τὴν δικαιοσύνην μου. ἄλλος, κατὰ τὸ δίκαιόν μου.

καὶ κατὰ τὴν ἀκακίαν μου ἐπ᾽ ἐμοί. συντελεσθήτω δὴ πονηρία ἁμαρτωλῶν. ἄλλος φησὶν, ἀπαρτισθήτω κάκωσις κατὰ τῶν ἀσεβῶν. καὶ κατευθυνεῖς δίκαιον. ἄλλος, καὶ ἑδράσεις δίκαιον. πῶς ὁ λέγων ἀλλαχοῦ, μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου, ἐνταῦθά φησι, κρῖνόν με κατὰ τὴν δικαιοσύνην μου; ὅτι ἕτερον τοῦτο, καὶ ἕτερον ἐκεῖνο. ἐκεῖ μὲν γὰρ λέγων, μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου, μὴ κριθῇς σὺ πρὸς ἐμὲ, δηλοῖ, μηδὲ πρὸς ἀντιπαραθέσιν τῶν εὐεργεσιῶν τῶν παρὰ σοῦ τὸν ἐμὸν βίον ἐξετάσῃς. διὸ καὶ ἐπήγαγεν, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν, τουτέστι, πρὸς σὲ κρινόμενος. ἐνταῦθα δὲ οὐ τοῦτό φησιν. οὐ γὰρ πρὸς αὐτὸν κρίνεσθαι βούλεται, ἀλλὰ πρὸς ἑαυτόν. διὸ καὶ κατὰ τὴν δικαιοσύνην μου εἶπε, τουτέστι, κατὰ τὴν δικαιοσύνην τὴν ἐμήν. δικαιοσύνην δὲ ἐνταῦθα λέγει, τὸ μὴ ἄρξαι χειρῶν ἀδίκων· ὅπερ ἔλεγεν ἀνωτέρω, εἰ ἐποίησα τοῦτο, καὶ τὰ ἑξῆς. τὸ αὐτὸ δὲ τοῦτο δηλοῖ τὸ, κατὰ τὴν ἀκακίαν μου, κατὰ τοῦτο βούλομαι κριθῆναί, φησι. πολλὴ καὶ ἐνταῦθα ἡ παῤῥησία τοῦ δικαίου. ταῦτα δὲ λέγει εἰς ἀνάγκην ἐμπεσών. ποίαν δὲ ταύτην; ὅτι πονηρὰν παρὰ πολλοῖς ἀνοήτοις, ἀφ᾽ ὧν ἔπασχεν, ἐκτᾶτο δόξαν. οἱ γὰρ πολλοὶ τῶν ἀνοήτων, ἀπὸ τῶν συμφορῶν καὶ τὸν βίον διαβάλλειν εἰώθασιν· ὅπερ καὶ ἐπὶ τοῦ Ἰὼβ γέγονε. διὸ καὶ ἔλεγον, μηδὲν αὐτῷ συνειδότες πονηρὸν, οὐκ ἄξια ὧν ἡμάρτηκας μεμαστίγωσαι, καὶ τὸν Παῦλον δὲ πονηρόν τινα καὶ κακοῦργον ᾤοντο εἶναι οἱ βάρβαροι, ἐπειδὴ ἡ ἔχις εἴχετο αὐτοῦ τῆς χειρός. διὸ καὶ ἔλεγον, σωθέντα τὸν ἄνθρωπον τοῦτον ἐκ τῆς θαλάσσης ἡ δίκη ζῆν οὐκ εἴασε. καὶ ὁ Σεμεεὶ δὲ ἀνδροφόνον ἐκάλει τὸν Δαβὶδ, ἀπὸ τῆς συμφορᾶς ταύτην τὴν πονηρὰν περὶ αὐτοῦ φέρων ψῆφον. ἵν᾽ οὖν καὶ ὑμεῖς μὴ τοῦτο πάθητε, φέρε, μικρὸν περὶ τούτων διαλεχθῶμεν. καὶ γὰρ πολλῶν ἀκούω λεγόντων· εἰ ἐφίλει ὁ Θεὸς τοὺς πένητας, οὐκ ἂν εἴασεν εἶναι πένητας· ἑτέρων πάλιν, ὅταν ἴδωσί τινα ἀῤῥωστίᾳ καὶ νόσῳ μακρᾷ παλαίοντα· ποῦ αἱ ἐλεημοσύναι τοῦ δεῖνος; ποῦ δὲ αἱ εὐεργεσίαι; ἵν᾽ οὖν μὴ τοιαῦτα ἁμαρτάνητε, τὸν περὶ τούτων διευκρινήσωμεν λόγον. εἰ γὰρ ἄνθρωπος νοῦν ἔχων, οὔτε μισάγαθος, οὔτε φιλοπόνηρος γίνοιτ᾽ ἄν, πῶς σὺ τολμᾷς τοιαῦτα λέγειν περὶ κυρίου;

A Et secundùm innocentiam meam super me. 10. *Consummetur nequitia peccatorum.* Alius dicit, Peragatur vexatio aduersus impios. *Et diriges iustum.* Alius, Et stabilies iustum. Qui fit vt qui alibi dicat, Non intres in iudicium cum seruo tuo, hic dicat: Iudica me secundùm iustitiam meam? Quòd hoc aliud, & illud aliud sit. Illic enim dicens, Non intres in iudicium cum seruo tuo, significat, ne tu mecum iudicio contenderis, ne meam vitam, eam cum tuis beneficiis conferendo, examinaueris. Et ideo subiunxit etiam: Quia non iusti-B ficabitur in conspectu tuo omnis viuens, hoc est, si tecum in iudicio contendat. Hic autem non hoc dicit. Non vult enim in iudicio cum ipso contendere, sed secum. Et ideo dicit, secundùm iustitiam meam, hoc est, secundùm iustitiam quæ mea est. Iustitiam autem hic dicit, non affecisse aliquem iniuria, quod dixit superius, si hoc feci, & quæ sequutur. Idem autem significat illud, secundùm innocentiam meam, secundùm hoc, inquit, volo iudicari. Magna est autem etiam hic iusti fiducia. Hæc autem dicit coactus.

C Et quomodo? Quòd multi stulti ex iis, quæ patiebatur, malam de eo opinionem ceperant. Plerique enim stulti ex iis quæ accidunt calamitatibus, solent etiam vitã criminari. Quod etiam ipsi Iob accidit. Quocirca ei etiam dicebant, cùm nihil scirent ab eo malè factum: Non dignè pro peccatis tuis flagellatus es. Paulum quoque sceleratum aliquem & maleficum existimabant Barbari, quoniam vipera eius manum apprehenderat, & ideo dicebant: Seruatum ex mari vltio non finit hunc hominem viuere. Porrò D autem Semei quoque Dauid vocabat homicidam, propter calamitatem, hanc nefariam de eo ferens sentẽtiam. Ne ergo idipsum quoque vobis accidat, age de his paulisper disseramus. Multos enim audio dicentes: Si Deus amaret pauperes, non sineret esse pauperes. Rursus alios, vbi quempiam viderint infirmitate vel morbo conflictari diuturno: Vbi sunt illius eleemosynæ? Vbi eius benefacta? Ne in his ergo peccetis, de his clarè & distinctè dicamus: si enim homo qui sapit, nec bonos odisse, nec malos amare potest: quomodo tu audes de Domino dicere,

Cõsumetur obscurè.

Quæstiuncula.

Psal.142.2.

Iustitia Dauidis quæ.

Act.28.4.

2.Reg.16.7.

In calũniatores prouidentiæ diuinæ.

quòd eos qui sunt in paupertate odit Deus, etsi sint virtute præditi: diuites autem, etsi sint vitiosi & scelerati, diligit, maledicũ & blasphemũ os aperiens neque grauitatem absurditatis animaduertis? Ne ergo pecces in talibus, disce quid Deus amat & odit. Quem ergo amat Deus? Eum qui mandata eius seruat. Eum enim amabo, inquit, & veniã ad eum. non eum qui est diues, nõ eum eum qui sanus est, sed qui paret meis præceptis. Quemnam autem odit & auersatur? Eum qui præcepta non facit. Quando ergo videris aliquem, qui præcepta eius non seruat, etiamsi sanus sit, etiamsi opibus affluat, refer eum in numerum eorum, qui odio habentur. Virum autem bonũ & virtute præditum, etiamsi ægrotum videris & inopia oppressum, inter eos qui amantur annumera. Non enim in his cõsistit amicitia, sed in illis. An non vides etiam in iis rebus quæ ad vitam præsentẽ pertinent, Regum amicos in bellis maxima adire pericula, & accipere vulnera, & peregrè proficisci? Non audiuisti quod scriptum est: Quem diligit Dominus, castigat: flagellat autem omnem filiũ quem recipit? At multi, inquit, offenduntur hæc videntes. Non propter ipsos, sed propter suam stultitiam. Non datur enim hic nobis laborũ remuneratio, sed sunt est. hic quidem stadium & arena: postea autem erunt præmia & coronæ. In tempore ergo luctæ & certaminis, ne quæras quietem & animi remissionem: nec cõfundas tempora. At multi sunt, inquit, imbecilliores, sed Deus his etiã prouidit, & permisit vt multi etiam iusti hic quoq; in prosperitate agerent, non propter illos, sed propter imbecilliores. Quare etsi te offendunt qui sunt in afflictione, ædificent rursus qui in quiete vitã degunt: & si te supplantant scelesti, qui rebus vtuntur secundis, te erigant & recreent qui torquentur ac puniuntur. Non audiuisti Christum dicentem: In mundo afflictionem habebitis? Quid ergo quæritis quietem, cùm ille hæc dixerit? Non audiuisti eum dicentem: Mundus gaudebit, vos autem tristitia afficiemini? Proinde consentaneum esset offendi insipientiores, si iis quæ dixi euenirent cõtraria: sin autem omnia eueniunt ex consequentia, cur ergo offenderis? Est cur, inquit, Deus ita decreuit? Ne inquire, nec sis nimium

Ioan.14.21

Confirmatio.

Hebr.11.6.

Ioan.16.33 & 16. 20.

A ὅτι τοὺς ἐν πενίᾳ, κἂν ἐν ἀρετῇ ὦσι, μισεῖ ὁ Θεός, τοὺς δὲ ἐν πλούτῳ, κἂν ἐν κακίᾳ, φιλεῖ, βλάσφημον στόμα διανοίγεις, καὶ οὐκ ἐννοεῖς τῆς ἀτοπίας τὸ μέγεθος; ἵν' οὖν μὴ τοιαῦτα ἁμαρτάνῃς, μάθε τί φιλεῖ ὁ Θεὸς καὶ μισεῖ. τίνα τοίνυν φιλεῖ; τὸν τὰς ἐντολὰς αὐτοῦ τηροῦντα (τοῦτον γὰρ ἀγαπήσω, φησί, καὶ ἐλευσόμεθα πρὸς αὐτόν) οὐ τὸν πλουτοῦντα, οὐ τὸν ὑγιαίνοντα, ἀλλὰ τὸν ὑπακούοντα τοῖς ἐμοῖς προστάγμασι. τίνα δὲ μισεῖ καὶ ἀποστρέφεται; τὸν μὴ ποιοῦντα τὰς ἐντολὰς αὐτοῦ. ὅταν τοίνυν ἴδῃς τινὰ τὰς ἐντολὰς αὐτοῦ μὴ ποιοῦντα, κἂν ὑγιαίνῃ, κἂν πλούτῳ B περιρρέηται, ἐν τοῖς μισουμένοις αὐτὸν τίθει· τὸν δὲ ἐνάρετον, κἂν νοσοῦντα ἴδῃς, κἂν πεινώμενον, ἐν τοῖς φιλουμένοις ἀρίθμει. οὐ γὰρ ἐν τούτοις τὰ τῆς φιλίας, ἀλλ' ἐν ἐκείνοις. ἢ οὐχ ὁρᾷς καὶ ἐπὶ τῶν βιωτικῶν, τοὺς τῶν βασιλέων φίλους, μάλιστα τούτους προκινδυνεύοντας ἐν πολέμοις, καὶ τραύματα ἔχοντας, καὶ ἀποδημίας στελλομένους; οὐκ ἤκουσας, ὅτι ὃν ἀγαπᾷ κύριος, παιδεύει, μαστιγοῖ δὲ πάντα υἱόν, ὃν παραδέχεται; ἀλλὰ πολλοὶ σκανδαλίζονται, φησι, ταῦτα ὁρῶντες. οὐ δι' αὐτοὺς, ἀλλὰ C διὰ τὴν οἰκείαν ἄνοιαν. οὐ γὰρ ἐνταῦθα ἡ ἀντίδοσις ἡμῖν τῶν πόνων· ἀλλὰ τὰ μὲν ἐνταῦθα σκάμματα· τὰ δὲ μετὰ ταῦτα ἔπαθλα καὶ στέφανοι. μὴ ζήτει τοίνυν ἐν καιρῷ τῶν παλαισμάτων καὶ ἐν ἡμέρᾳ παγκρατίου, τὴν ἄνεσιν καὶ τὴν ἄδειαν· μηδὲ σύγχει τοὺς καιρούς. ἀλλ' ἀσθενέστεροι πολλοί, φησίν, εἰσίν. ἀλλὰ καὶ τούτων προενόησεν ὁ Θεός· καὶ εἴασε πολλοὺς καὶ τῶν δικαίων ἐν εὐπραγίᾳ καὶ ἐνταῦθα· οὐ δι' ἐκείνους, ἀλλὰ διὰ τοὺς ἀσθενεστέρους. ὥστε εἰ καὶ σκανδαλίζουσί σε οἱ ἐν θλίψει, οἰκοδο- D μείτωσάν σε οἱ ἐν ἀνέσει· καὶ εἰ ὑποσκελίζουσί σε οἱ ἐν εὐπραγίᾳ τῶν πονηρῶν, ἀνορθούτωσάν σε οἱ ἐν κολάσει καὶ τιμωρίᾳ. οὐκ ἤκουσας τοῦ Χριστοῦ λέγοντος, ἐν τῷ κόσμῳ θλίψιν ἕξετε; τί τοίνυν ζητεῖς ἄνεσιν, ἐκείνου ταῦτα εἰπόντος; οὐκ ἤκουσας αὐτοῦ λέγοντος, ὁ κόσμος χαρήσεται, ὑμεῖς δὲ λυπηθήσεσθε; ὥστε εἰκὸς ἦν σκανδαλίζεσθαι τοὺς ἀνοητοτέρους, εἰ τὰ ἐναντία ἐγίνετο ὧν εἶπεν. εἰ δὲ κατὰ ἀκολουθίαν πάντα προβαίνει, τίνος ἕνεκεν σκανδαλίζῃ; καὶ τίνος ἕνεκεν, φησιν, οὕτω διετύπωσεν ὁ Θεός; μὴ ἐξέταζε, μηδὲ πολυπραγμόνει.

περιεργαζόμενος. οὐδὲ γὰρ ἐρεῖ τὸ πλάσμα τῷ πλάσαντι· τί με ἐποίησας οὕτω; διὰ τοῦτο καὶ ὁ προφήτης ἐπιτιμᾷ τοῖς Ἰουδαίοις, ὅτι μυρίων γέμοντες κακῶν, τοῦ Θεοῦ τὰς ὁδοὺς περιειργάζοντο, λέγων· γνῶναί μου τὰς ὁδοὺς ἐπιθυμοῦσιν, ὡς λαὸς δικαιοσύνην πεποιηκὼς, καὶ κρίσιν Θεοῦ αὐτοῦ μὴ ἐγκαταλελοιπώς· ὅμοιον ποιοῦντες, ὥσπερ ἂν εἴ τις οἰκέτης προσκεκρουκὼς, καὶ μυρίων ὑπεύθυνος ὢν ἐγκλημάτων, παρεὶς τὸ λῦσαι τὴν ὀργὴν τοῦ δεσπότου, εὐθύνας αὐτὸν ἀπαιτοίη, τί δήποτε τοῦτο πεποίηκε. μὴ δὴ ταῦτα ζήτει, ἀφεὶς τὸ κλαίειν καὶ θρηνεῖν καὶ τὰ οἰκεῖα ἀπονίπτεσθαι κακά. Ταῦτα λέγω, οὐχ ὡς ἀπορῶν τὸν λόγον εἰπεῖν· ἀλλὰ βουλόμενός σε ἀπὸ τῆς πολυπραγμοσύνης ταύτης, εἰς τὴν περὶ τῆς οἰκείας σωτηρίας μέριμναν ἐμβαλεῖν. τίνος οὖν ἕνεκεν οὕτως ἐπέταξε; τοῦ γένους φειδόμενος τοῦ τῶν ἀνθρώπων. τὸν μὲν γὰρ πόνον ἐνταῦθα συνεκλήρωσεν, ἔνθα βραχὺς ὁ βίος· τοὺς δὲ στεφάνους εἰς τὸ μέλλον ἐταμιεύσατο, ἔνθα ἀγήρως καὶ ἀτελεύτητος ὁ αἰών. καὶ ὁ μὲν πόνος ἐστὶ ταχέως παραλύεται καὶ παρατρέχει· ἐκεῖνα δὲ ἀθάνατα μένει, οὐδέποτε πέρας ἔχοντα. ἄλλως δὲ καὶ γυμνάζει τὰς ψυχὰς εἰς τὸ τῆς ἀρετῆς φίλτρον. ὅταν μὲν γὰρ καὶ μετὰ πόνων αὐτὴν αἱρῆται, μηδέποτε ἔπαθλον λαμβάνουσα, μελετᾷ διακεῖσθαι πρὸς αὐτὴν μετὰ πολλῆς τῆς ἀκριβείας· ὅταν δὲ καὶ μεθ' ἡδονῆς τὴν κακίαν φύγῃ, μηδέποτε κόλασιν ὑπομένουσα, γυμνάζεται μισεῖν αὐτὴν καὶ ἀποστρέφεσθαι. ὥστε ἀπὸ τούτου καὶ ἕξιν λήψεται τῆς ἀπεχθείας τῆς πρὸς τὴν πονηρίαν, καὶ τῆς ἀγάπης τῆς πρὸς τὴν ἀρετήν. ἔστι καὶ ἕτερος λόγος. ποῖος δὲ ἐστί; ὅτι μάλιστα πρὸς φιλοσοφίαν ἡ θλίψις ἀλείφει, καὶ ἰσχυροτέρους ποιεῖ. καὶ μετὰ τούτου πάλιν ἄλλος. ποῖος δὲ ἐστί; βούλεται παιδεῦσαι τῶν παρόντων ὑπερορᾷν, καὶ μὴ προσηλῶσθαι, μηδὲ συνδεδέσθαι αὐτοῖς. διὰ δὴ τοῦτο καὶ θλίψεις συνεκλήρωσε καὶ πόνους, καὶ τὰ χρηστὰ αὐτὰ καὶ φαιδρὰ εὐκατάλυτα πεποίηκε. συντελεσθήτω δὴ πονηρία ἁμαρτωλῶν, καὶ κατευθυνεῖς δίκαιον. τί ἐστι, συντελεσθήτω; ἐπάγαγε, φησι, τιμωρίας, καὶ στῆσον αὐτοὺς τῆς κακίας. καθάπερ γὰρ αἱ σηπεδόνες πικροῖς εἴκουσι φαρμάκοις, καὶ καύσεσι καὶ τομαῖς· οὕτω καὶ ἡ πονηρία ὑπὸ τιμωρίας κωλύεται. Ταῦτ' οὖν εἰδότες, οὐ τοὺς τιμωρουμένους, οὐδὲ τοὺς κολαζομένους δακρύειν χρή,

A curiosus. Neque enim dicit figmentum figulo: cur me sic fecisti? Propterea etiam propheta increpat Iudæos, quòd cùm innumerabilibus essent malis referti, Dei vias nimis curiosè scrutarentur, dicens: Scire vias meas desiderant, tanquam populus qui fecit iustitiam, & iudicium Dei sui non reliquit, perinde faciẽtes, ac si quis seruus qui offenisset, & innumerabiliũ esset reus criminum, mittens studium adhibere vt sedetur ira domini, exigat ab eo rationem, cur sic fecerit. Ne hæc itaque inquiras, prætermittens flere, & lugere, & tua pecca- B ta abluere. Hæc dico non quòd non possim rationem dicere, sed volens te ab hac nimis curiosa inuestigatione ad salutis tuæ curam traducere. Cur ergo sic iussit? Humano generi parcens. Labores enim hic, vbi breuis est vita, attribuit, coronas autem in futurum reseruauit, vbi senij expers est æuum, & nunquam finiendum. Et hic quidem labor celeriter soluitur & præterfluit, illa autem manent æterna, & nunquam desitura. Alioqui autem exercet etiam animas ad amorem virtutis. quando enim vel cum laboribus ipsam eligit, nun- C quam præmium accipiens, meditatur in eã exactissimè affici: quando autem etiam cum voluptate fugit vitium, supplicium nunquam sustinens, ad ipsum odio habendum & auersandum exercetur. Vnde fiet vt ex hoc accipiat habitum & odij aduersus improbitatẽ, & amoris in virtutem. Est etiã alia ratio. Quænam autem ea est? Quòd afflictio nos vel maximè vngit, cõfirmat, & fortiores reddit ad studium sapientiæ. Et cum hac etiã alia. Quęnam autẽ ea est? Vult nos docere præsentia despicere, & nõ eis esse affixos & alligatos. Propterea D afflictionem attribuit & laborem: quæ autẽ bona sunt & iucunda, vt facilè soluerentur, effecit. *Consummetur nequitia peccatorũ, & diriges iustum.* Quid est consummetur? Infer, inquit, suppliciũ, & cessare facies illos à vitio. Quemadmodũ enim vlcera putrida cedunt amaris medicamẽtis, vsturis, & sectionibus: ita etiam à supplicio arcetur improbitas. Cùm hęc ergo intelligamus, nõ oportet eos flere qui puniuntur & supplicio afficiuntur:

Rom. 9. 20

Esa. 58. 2.

1. Cor. 4.

Collatio Physica. Prou. 14.

H

sed eos qui peccantes nullas omnino pœnas luunt. Primùm enim malum est, peccare: secundum autem, si peccantibus nulla adhibeatur medicina. Imò vel hoc primum iure dixerit quispiam, & longè grauius. Quemadmodũ enim non graue est ægrotare: sed eum qui ægrotat non curari, nec eum qui vlcere putrido laborat, simpliciter & absolutè deflemus: sed qui laborat quidem, sed iacet neglectim, nec habet medicum qui ei manus adhibeat, eum autem qui scinditur & vritur, dixerimus iter ad sanitatem ingredi, non respicientes dolorem qui ex sectione, sed ad sanitatem, quæ ex ea oritur. Ita etiam oportet nos in anima affici, lugere quidem & deflere, non eos qui puniuntur: trahuntur enim ad sanitatem: sed eos qui cum peccant, non dant pœnas. Et si pœnæ, inquit, peccata prohibent, cur non inquit, quotidie damus pœnas nostrorum peccatorum? Quoniam si hoc factum esset, præreptum fuisset humanum genus, & sublatum esset tempus pœnitentiæ. Cõsidera in Paulo. Si enim ille dedisset persecutionis pœnas, & fuisset sublatus, quomodo habuisset tempus agendi pœnitentiam, & post pœnitentiam, faciendi bona innumerabilia, & vniuersum pene terrarum orbem deducendi ab errore ad veritatem? Non vides etiam medicos, quando quis multis est affectus vulneribus, non tantam adhibere medicinam, quantam postulat natura vulnerum, sed quantam ferunt vires eius, qui est sauciatus, ne, dum vulneribus medentur, ægrotum de medio tollant? Ea de causa Deus nec omnes simul punit, nec omnes pro meritis, sed sensim & aliquantum cedens, & sæpe vnum puniens, multos per illum castigauit. Hoc etiam sæpe fit in corpore. Vnius membri abscissio, pluribus aliis præbuit sanitatem. Vide autem charitate plenam iusti animam, quomodo vbique quærit quod est communiter vtile, & vt peccatum de medio tollatur, non vt sumat pœnas de inimicis, sed vt inimici cessent ab improbitate Hoc ergo semper spectemus, vt sistatur vitium, & lugeamus eos qui illo tenentur, etiamsi sericis vestibus sint induti: eósque è diuerso beatos iudicemus, qui sunt virtute prædit,

A ἀλλὰ τοὺς ἁμαρτάνοντας ἀτιμωρητί. πρῶτον μὲν γὰρ κακὸν, τὸ ἁμαρτάνειν· δεύτερον δὲ, τὸ ἁμαρτάνοντας μηδεμιᾶς τυγχάνειν θεραπείας. μᾶλλον δὲ καὶ τοῦτο πρῶτον εἴποι τις ἂν δικαίως, καὶ πολλῷ χαλεπώτατον. ὥσπερ γὰρ οὐ τὸ νοσεῖν χαλεπὸν, ἀλλὰ τὸν νοσοῦντα μὴ θεραπεύεσθαι· οὐδὲ τὸν ἔχοντα σηπεδόνα θρηνοῦμεν ἁπλῶς, ἀλλὰ τὸν ἔχοντα καὶ εἰκῇ κείμενον, καὶ μὴ τυγχάνοντα ἰατρικῶν χειρῶν· τὸν δὲ τεμνόμενον, καὶ καιόμενον οὕτω φαμὲν ἂν πρὸς ὑγείαν ὁδεύειν, οὐ τὴν ἀπὸ τῆς τομῆς ὀδύνην βλέποντες, ἀλλὰ τὴν ἀπὸ τῆς τομῆς ὑγείαν· οὕτω καὶ ἐπὶ B τῆς ψυχῆς διακεῖσθαι χρὴ, οὐχὶ τοὺς κολαζομένους (καὶ γὰρ πρὸς ὑγείαν ἕλκονται) ἀλλὰ τοὺς ἁμαρτάνοντας ἀτιμωρητὶ θρηνεῖν καὶ πενθεῖν. καὶ εἰ αἱ τιμωρίαι τῆς πονηρίας εἰσὶ κωλυτικαί, φησι, τίνος ἕνεκεν οὐ καθ᾽ ἑκάστην ἡμέραν διδόαμεν δίκην τῶν ἡμαρτημένων; ὅτι εἰ τοῦτο ἐγεγόνει, προανηρπάσθη ἂν τὸ γένος τῶν ἀνθρώπων, καὶ ὁ τῆς μετανοίας καιρὸς ἀνῄρητο. σκόπει γοῦν ἐπὶ τοῦ Παύλου. εἰ γὰρ ἐκεῖνος ἔδωκε δίκην τῆς διώξεως, καὶ ἀνῃρέθη, πῶς ἂν ἔσχε καιρὸν μετανοῆσαι; καὶ μετὰ τὴν μετά- C νοιαν τὰ μυρία ἐργάσασθαι ἀγαθὰ, καὶ πᾶσαν ὡς εἰπεῖν τὴν οἰκουμένην ἀπὸ τῆς πλάνης ἐπὶ τὴν ἀλήθειαν χειραγωγῆσαι; οὐχ ὁρᾷς καὶ τοὺς ἰατροὺς, ὅταν τις πολλὰ περικέηται τραύματα, οὐ τοσαύτην ἐπάγοντας θεραπείαν, ὅσην ἀπαιτεῖ τῶν τραυμάτων ἡ φύσις, ἀλλ᾽ ὅσην φέρει τῆς δυνάμεως ἡ ὑπόστασις, ἵνα μὴ τὰ τραύματα θεραπεύσαντες τὸν κάμνοντα ἀπενέγκωσι; διὰ δὴ τοῦτο ὁ Θεὸς οὔτε πάντας ὁμοῦ κολάζει, οὔτε πάντας κατ᾽ ἀξίαν, ἀλλ᾽ ἠρέμα, καὶ ἐνδιδούς· καὶ πολλάκις D ἕνα τιμωρούμενος, δι᾽ ἐκείνου πολλοὺς ἐσωφρόνισε. τοῦτο καὶ ἐπὶ τοῦ σώματος γίνεται πολλάκις· ἑνὸς ἐκκοπὴ μέλους ἑτέροις πλείοσιν ὑγείαν παρέσχεν. ὅρα δὲ τοῦ δικαίου τὴν φιλόστοργον ψυχὴν, πῶς πανταχοῦ τὸ κοινῇ συμφέρον ζητεῖ, καὶ τῆς κακίας τὴν ἀναίρεσιν· οὐχ ἵνα αὐτὸς δίκην λάβῃ παρὰ τῶν ἐχθρῶν, ἀλλ᾽ ἵνα οἱ ἐχθροὶ παύσωνται τῆς πονηρίας. τοῦτο τοίνυν πανταχοῦ σκοπῶμεν, ὅπως σαφῆ τὰ τῆς κακίας, καὶ θρηνῶμεν τοὺς ἐν ταύτῃ ὄντας, κἂν σηρικὰ ὦσι περικείμενοι ἱμάτια· καὶ μακαρίζωμεν τοὺς ἐν ἀρετῇ,

κἂν πενίᾳ ἐσχάτῃ παλαίωσιν, ἀπὸ τῶν ἔξωθεν εἰς τὴν διάνοιαν ἑκατέρων εἰσιόντες. τότε γὰρ ὀψόμεθα τοῦ μὲν τὸν πλοῦτον, τοῦ δὲ τὴν πενίαν. τί γὰρ, εἰ λαμπρὰν στολὴν ἔξωθεν περιβέβληται; τί τῶν ἐργαστηρίων διενήνοχε, καὶ τῶν ξύλων τῶν αἰρόντων αὐτά; τί τῶν λαμβανόντων αὐτὰ πωλεῖν ἐστὶν εὐπορώτερος; ἀλλ' οὐχ ὁ τοῦ δικαίου πλοῦτος τοιοῦτος, ἀλλὰ μόνιμος καὶ πεπηγώς. εἰ δὲ οὐκ αἰσθάνονται οἱ πλουτοῦντες ἐν πενίᾳ ὄντες, οὐδὲν θαυμαστόν. οὐδὲ οἱ φρενίτιδι κατεχόμενοι αἴσθησιν τῆς νόσου λαμβάνουσι, καὶ διὰ τοῦτο μάλιστά εἰσιν ἐλεεινοὶ, οὐ μακαριστοί. εἰ γὰρ ᾔσθοντο, κἂν πρὸς τὸν ἰατρὸν ἔτρεχον· νῦν δὲ τῆς κακίας τοῦτο τὸ χαλεπώτατον, ὅτι ἐν αὐτῇ ὄντες, οὐδ' ὅτι εἰσὶν ἐν αὐτῇ, συνορῶσι. μὴ δὴ τοῦτο ἴδῃς, ὅτι χαίρει πλουτῶν ὁ πλούσιος· ἀλλὰ δι' αὐτὸ τοῦτο μάλιστα. αὐτὸν δάκρυσον, ὅτι οὐδὲ αἰσθάνεται, ἐν ὅσῳ κεῖται κακῷ. οὐ γὰρ ἀνθρώπινον, τὸ ἐπὶ τούτοις ἀγάλλεσθαι, ἀλλ' ἀλογίας ἐσχάτης. καὶ κατευθυνεῖς δίκαιον. τί ἐστι τοῦτο; τῶν γὰρ πονηρῶν κολαζομένων, φησὶ, προσεκτικώτεροι οἱ δίκαιοι γίνονται. ὥστε δύο ἐντεῦθεν τὰ ἀγαθά· ἐκεῖνοί τε γὰρ τῆς πονηρίας ἀφίστανται, καὶ οὗτοι τῇ ἀρετῇ μᾶλλον προσέρχονται. ὥσπερ γὰρ ὑγιαίνων ἄνθρωπος ἰδών τινα καιόμενον, προσεκτικώτερος περὶ τὴν ὑγίειαν γίνεται· οὕτω δὴ καὶ ἐνταῦθα. καὶ γὰρ πολλοὶ τῶν τότε ἐσκανδαλίζοντο, καὶ τῶν δοκούντων ἑαυτοῖς προσέχειν, ἐπὶ τῇ τῶν πονηρῶν εὐπραγίᾳ, ἀτελέστερον ἔτι διακείμενοι. διὸ καὶ οὗτος ἀλλαχοῦ ἔλεγε· παρ' ὀλίγον ἐξεχύθη τὰ διαβήματά μου, ὅτι ἐζήλωσα ἐπὶ τοῖς ἀνόμοις. ἄλλος δὲ πάλιν· τί ὅτι ὁδὸς ἀσεβῶν εὐοδοῦται; καὶ ὁ Ἰὼβ δὲ πολλὰ τοιαῦτα ἐζήτει. ἀλλὰ τότε μὲν ἀτελέστερον διακείμενοι, ταῦτα ἔφασκον οἱ φάσκοντες, καὶ ἐζήτουν οἱ ζητοῦντες· νῦν δὲ οὐδεμιᾶς συγγνώμης ἄξιος ὁ τούτοις θορυβούμενος, ὁ τοσαῦτα φιλοσοφεῖν μαθὼν, καὶ περὶ τῶν μελλόντων τοιαῦτα δόγματα δεξάμενος, καὶ τὸν περὶ γεέννης, καὶ τὸν περὶ βασιλείας σαφέστερον διδαχθεὶς λόγον, καὶ ὅτι τὰ κατ' ἀξίαν ἕκαστος ἐκεῖ ἀπολήψεται. ἐτάζων καρδίας καὶ νεφροὺς ὁ Θεὸς δίκαιος. ἡ βοήθειά μου παρὰ τοῦ Θεοῦ τοῦ σώζοντος τοὺς εὐθεῖς τῇ καρδίᾳ. ἄλλος, ὁ ἐταστὴς καρδιῶν καὶ νεφρῶν ὁ Θεὸς δίκαιος, ὁ ὑπερασπιστής μου. καὶ ἕτερος, ὁ Θεὸς δίκαιος.

A etiamsi cum extrema inopia colluctentur, ab externis cogitationem vtriusque subeuntes. Tunc enim videbimus huius quidem diuitias, illius verò inopiam. Quid enim si splendida veste extrinsecus est indutus? quid differt ab officinis & lignis quæ eam ferunt? Qua in re est iis locupletior, qui eam vendendam accipiunt? Sed non iusti sunt eiusmodi diuitiæ, sed firmæ, & stabiles. Quòd si non sentiunt diuites se esse in paupertate, nihil mirum. Nec ij etiam malum sentiunt, qui laborant phrenesi: & propterea sunt maximè B miserandi, non beati ducendi. Si enim sentirent, ad medicum accurrerent: nunc autem hoc est in vitio grauissimum, quòd cùm in eo sint, ne se quidem in eo esse sentiant. Ne hoc respexeris, quod se esse diuitem lætatur diues, sed propter hoc ipsum vel maximè eum defle, quòd ne sentiat quidem in quanto malo versetur. Non est enim humanum, sed à ratione maximè alienum, propterea exultare. Et diriges iustum. Quid hoc est? Punitis enim malis, inquit, fiunt iusti attentiores. Proinde duo hinc bona oriun- C tur. Nam & illi à vitio desistunt, & hi ad virtutem magis accedunt. Quemadmodum enim homo sanus cùm videt quempiam vri aut secari, redditur attentior ad sanitatem: ita hic etiam. Etenim multi eorũ qui tunc erant, offendebantur, etiam eorũ qui videbantur seipsos attendere, propter malorum prosperitatem adhuc imbecillius affecti. Quapropter hic etiam alibi dicit: Propemodum effusi sunt gressus mei, quoniam æmulatus sum propter iniquos. Alius autem rursus: Quare D via impiorum prosperatur? Quinetiam Iob multa quærebat eiusmodi. Sed tunc quidem imperfectius affecti dicebant, hæc dicentes, & quærebant quærentes: nunc autem nulla est dignus venia, qui his perturbatur: qui tot & tanta philosophiæ scita didicit, & de futuris talia decreta accepit, & de gehenna & regno apertius edoctus est, & quod illic unusquisque accipiet pro meritis. *Scrutans corda & renes Deus iustus. 11. Adiutorium meum à Domino, qui saluos facit recto corde* Alius: Examinator cordium & renum Deus, iustus defensor meus. Et alius: Deus iustus.

Ex pœna impij duo bona.

Psal. 72. Hier. 12.

Iob. 12. 21.

Septuaginta autem ita dixerunt: Scrutans corda & renes Deus, iustum auxilium meum à Deo. Dixit eum esse iudicaturum orbem terræ, dicit deinceps etiam quomodo sit iudicaturus. Dixit cum non egere testibus, non probationibus, non demonstrationibus, non scriptis aut instrumentis, aut alio eiusmodi. Ipse est enim qui scit etiam quæ sunt arcana. Ne dicat ergo stultus quispiam: Et quomodo iudicabit mundum, qui est tantus? Qui enim fecit, cùm non esset, is factum iudicabit. Renes autem hic dicit mentis arcana, quæ sunt intima, quæ sunt profundissima ex positura partis. Quid est, scrutans? Quod alius dixit, probans. Etsi sint autem humanæ dictiones, sunt tamen sensa Deo conuenientia. Quemadmodum enim Paulus cùm dicit, Qui autem scrutatur corda, scrutari ponit, pro apertè scire: etiam hic scrutans, pro perfectè cognoscente. Porrò autem examinare est etiam nudare, quod est perfectæ scientiæ: vt etiam dicit Paulus: Omnia autem sunt nuda & resupinata oculis eius. Iustum auxilium meum. Alius: Iustus defensor meus. Quid est, iustum auxilium meum à Deo? Iure ac merito mihi continget à Deo: nihil enim peto iniustum. Quare si supernum auxilium impetrare volumus, ea sunt petenda, quæ etiam iusti habent rationem: vt natura petitionis attrahamus auxilium eius, qui seruat rectos corde. Hoc est eius officium, hæc est ei consuetudo. Quoniam ergo nec ego eum iniuria prouocaui, nec vlcisci desidero: propterea mihi iustum fuerit à Deo auxilium. Hæc ergo cùm sciamus, nihil petamus eiusmodi, quod vetet donationem. Quando enim contra inimicos petieris, non est iustum tuum quod petis auxilium; est enim contrarium legi eius, qui præbet. Itidem etiam quando diuitias, quando pulchritudinem, quando aliquid aliud quod ad hanc vitam pertinet, quod præterfluit, petiueris, id est contrarium philosophiæ animæ. Petamus ergo, vt etiā consequamur. 12. *Deus iudex iustus, fortis, & patiens, & iram non inferens per singulos dies.* Alius dicit: Fremēs quotidie. Hebræus autē, in omni vita. Et alius: minās, fremēs, nō puniens. Quod autē dicit, est eiusmodi.

Prou.10. Hier.17.

Renes.

Rom.8. Scrutatio Dei est eius scientia. Hebr.4.13. Examē denudatio.

Matt.5. Rom.2.

A οἱ ἑβδομήκοντα δὲ οὕτως εἶπον, ἐτάζων καρδίας καὶ νεφροὺς ὁ Θεός. δικαία ἡ βοήθειά μου παρὰ τοῦ Θεοῦ. εἶπεν ὅτι κρινεῖ τὴν οἰκουμένην· λέγει λοιπὸν καὶ πῶς κρινεῖ. εἶπεν ὅτι οὐ μαρτύρων δεόμενος, οὐκ ἐλέγχων, οὐκ ἀποδείξεως, οὐ γραμματείων, οὐκ ἄλλου τῶν τοιούτων οὐδενός. αὐτὸς γάρ ἐστιν ὁ τὰ ἀπόρρητα ἐπιστάμενος. μὴ τοίνυν λεγέτω τις τῶν ἀνοήτων, καὶ πῶς κρινεῖ τὸν κόσμον τοσοῦτον ὄντα; ὁ γὰρ ποιήσας οὐκ ὄντα, καὶ γενόμενον κρινεῖ. νεφροὺς δὲ ἐνταῦθα, τὰ ἀπόρρητα τῆς διανοίας λέγει, B τὰ ἐνδότατα, τὰ βαθύτατα, ἀπὸ τῆς θέσεως τοῦ μορίου αἰνιξάμενος. τί ἐστιν ἐτάζων; ὅπερ ἄλλος εἶπε, δοκιμάζων. εἰ δὲ καὶ ἀνθρώπιναι αἱ λέξεις, ἀλλὰ θεοπρεπῆ τὰ νοήματα. ὥσπερ γὰρ ὁ Παῦλος λέγων, ὁ δὲ ἐρευνῶν τὰς καρδίας, τὸ ἐρευνᾶν, ἀντὶ τοῦ σαφῶς εἰδέναι, τέθεικεν· οὕτω καὶ ἐνταῦθα, τὸ ἐτάζων, ἀντὶ τοῦ ἀκριβῶς ἐπίστασθαι. καὶ τὸ βασανίσαι δὲ τὸ γυμνάσαι ἐστίν, ὅπερ ἀκριβοῦς ἐστιν ἐπιστήμης καὶ γνώσεως· ὡς καὶ Παῦλός φησι, πάντα δὲ γυμνὰ καὶ τετραχηλισμένα τοῖς ὀφθαλμοῖς αὐτοῦ. δικαία ἡ βοή- C θειά μου. ἄλλος, δίκαιος ὁ ὑπερασπιστής μου. τί ἐστι, δικαία ἡ βοήθειά μου παρὰ τοῦ Θεοῦ; δικαίως ἂν γένοιτό μοι, φησί, παρὰ τοῦ Θεοῦ. οὐδὲν γὰρ ἄδικον αἰτῶ. ὥστε εἰ μέλλοιμεν ἀπολαύειν συμμαχίας τῆς ἄνωθεν, τοιαῦτα αἰτεῖν δεῖ, ἃ καὶ τὸν τοῦ δικαίου λόγον ἔχει· ἵνα τῇ φύσει τῆς αἰτήσεως τὴν ῥοπὴν ἐπισπασώμεθα τοῦ σώζοντος τοὺς εὐθεῖς τῇ καρδίᾳ. τοῦτο ἔργον αὐτῷ, τοῦτο ἔθος αὐτῷ. ἐπεὶ οὖν οὔτε ἐγὼ οὐκ ἦρξα χειρῶν ἀδίκων, οὐδὲ ἀμύνασθαι ἐπιθυμῶ, διὰ τοῦτο δικαία ἂν γένοιτο ἡ βοή- D θειά μου παρὰ τοῦ Θεοῦ. ταῦτα οὖν εἰδότες, μηδὲν τοιοῦτον αἰτῶμεν, ὃ κωλύει τὴν δόσιν. ὅταν γὰρ κατὰ ἐχθρῶν αἰτῇς, οὐκ ἔστι δικαία ἡ βοήθειά σου. ἐναντία γάρ ἐστι τῷ νόμῳ τοῦ παρέχοντος. κἂν πλοῦτον αἰτῇς, κἂν κάλλος αἰτῇς, κἂν ὁποιονοῦν τοιοῦτον αἰτῇς βιωτικόν, παραρρέον, καὶ ἐναντίον τῇ τῆς ψυχῆς φιλοσοφίᾳ. αἰτῶμεν τοίνυν ὥστε καὶ ἐπιτυχεῖν. ὁ Θεὸς κριτὴς δίκαιος, καὶ ἰσχυρός, καὶ μακρόθυμος, καὶ μὴ ὀργὴν ἐπάγων καθ᾽ ἑκάστην ἡμέραν. ἄλλος φησίν, ἐμβριμώμενος κατὰ πᾶσαν ἡμέραν. ὁ δὲ Ἑβραῖος, κατὰ πᾶσαν ζωήν. καὶ ἄλλος, ἀπειλούμενος, ἐμβριμώμενος, οὐ κολάζων.

εἰ δίκαιος, πάντως βουλήσεται τοὺς ἀδίκους κολάσαι· εἰ ἰσχυρὸς, πάντως δυνήσεται. καὶ ποῦ; φησι, τὰ τῆς φιλανθρωπίας, εἰ κατὰ τὸ δίκαιον κρινεῖ; πρῶτον μὲν, ἐν τῷ μὴ κατὰ πόδας ἐπάγειν τὴν δίκην, μᾶλλον δὲ πρὸ τούτου, ἐν τῷ πάντα ἀφεῖναι τὰ ἁμαρτήματα διὰ λουτροῦ παλιγγενεσίας· δεύτερον δὲ ἐν τῷ καὶ μετάνοιαν δοῦναι. ἂν γὰρ ἐννοήσῃς ὅτι καθ' ἑκάστην ἁμαρτάνομεν ἡμέραν, τότε μάλιστα ὄψει αὐτοῦ τὸ ἄφατον μέγεθος τῆς φιλανθρωπίας· ὃ δὴ καὶ ἐμφαίνων ἐπήγαγε, λέγων· ὁ Θεὸς κριτὴς δίκαιος καὶ ἰσχυρὸς καὶ μακρόθυμος. ἀπορεῖς, ἐπεὶ καὶ δύναται καὶ βούλεται, τίνος ἕνεκεν οὐ κολάζει; μάνθανε, φησιν, ὅτι μακρόθυμος, καὶ μὴ ὀργὴν ἐπάγων καθ' ἑκάστην ἡμέραν. ἵνα γὰρ μή τις τῶν ἀνοήτων νομίσῃ, ὅτι δι' ἀσθένειαν οὐκ ἐπεξέρχεται, δείκνυσι τῆς μελλήσεως τὴν αἰτίαν· ὅτι μεγάλα καὶ ἡ μακροθυμία μέτρα ἔχει. ἐπειδὴ γὰρ διὰ τοῦτο μακροθυμεῖ, εἰς μετάνοιάν σε ἄγων, ὅταν ἀπὸ τοῦ φαρμάκου τούτου μηδὲν κερδάνῃς, καὶ ἐπεξέρχεται. ἄρα καθ' ἑκάστην ἡμέραν τοῦ κολάζεσθαί ἐσμεν ἄξιοι. οὐδὲ γὰρ, ἂν μὴ τοῦτο ᾖ, ὡς μέγα τι τέθεικε, τὸ μὴ ὀργὴν ἐπάγων καθ' ἑκάστην ἡμέραν· ἀλλ' ὡς τῶν πραγμάτων μὲν τοῦτο ἀπαιτούντων, τῆς δὲ τοῦ Θεοῦ φιλανθρωπίας ἐπεχούσης τὴν ἀξίαν κόλασιν, οὕτω φησιν. εἶδες καὶ ἐνταῦθα πῶς τὸ ἀνεπαχθὲς τοῦ Θεοῦ δείκνυσι, καὶ τὴν κόλασιν ὀργὴν λέγει; οὐδεὶς γὰρ ὀργὴν ἐπάγει ἑτέρῳ· ἀλλὰ τὴν μὲν ὀργὴν αὐτὸς ἔχει, τὴν δὲ κόλασιν ἐπάγει ἑτέρῳ. οὐδὲν οὖν ἄλλο, ἢ τὴν κόλασιν δηλοῖ, τῷ εἰπεῖν, καὶ μὴ ὀργὴν ἐπάγων καθ' ἑκάστην ἡμέραν. καὶ πῶς, φησι, καθ' ἑκάστην ἡμέραν; εἰσελθέτω ἕκαστος εἰς τὸ ἑαυτοῦ συνειδὸς, καὶ τότε ὄψεται. ἵνα γὰρ παρῶ τὰ ἀπόρρητα ἑκάστου ἁμαρτήματα, ταῦτα δὲ τὰ κοινὰ τίς διαφεύξεται; ποῖα δὴ ταῦτα; ποία ἐστὶν ἡμέρα, ἣ μὴ ῥαθύμως εὐχόμεθα καὶ μετὰ πολλῆς ὀλιγωρίας; ὅτι δὲ τοῦτο ὀργῆς ἄξιον, δῆλον ἐντεῦθεν. εἰπὲ γάρ μοι· εἰ δικαστῇ χασμώμενος προσῆλθες, καὶ διελέχθης, οὐκ ἄν σε εὐθέως δίκην ἀπῄτησε, καὶ εἰς τὴν ὑπερορίαν μετέστησε; ναί, φησιν· ἄνθρωπος γάρ ἐστι. καὶ τί τοῦτο; ἄνθρωπος μὲν γὰρ ὑβρισθεὶς, οὐκ ἂν εἴη δίκαιος ἀγανακτεῖν (παρὰ γὰρ τοῦ ὁμοτίμου ὑβρίσθη) ὁ δὲ Θεὸς ὑβριζόμενος, δικαίως ἂν ἐπαγάγοι τὴν δίκην.

A Si est iustus, volet omnino punire iniquos. Si fortis, omnino poterit. Et vbi, inquit, est clementia, si ex iusto iudicabit? Primùm quidem in eo, quòd non statim pœnas infligat, vel potius in eo, quòd ante omnia peccata remiserit per lauacrum regenerationis. Secundò autem in eo, quòd etiam dederit pœnitentiam. *Rom. 6.* Si enim cogitaueris, quòd *Rom. 2.* peccamus quotidie, tunc maximè videbis ineffabilem eius clementiæ magnitudinem. Quod quidem etiam significans, subiungit, dicens: Deus iudex iustus, fortis, & patiens. Dubitas cur cùm B velit & possit, nō puniat? Disce, inquit, quòd est patiens, & non inferens iram per singulos dies. Ne quis enim stultus existimet quòd propter imbecillitatem non vlciscitur: ostendit causam dilationis, quòd magna habeat spatia, & magnam mensuram patientia. Quia enim propterea mitis est & patiens, te adducens ad pœnitentiam, quando nihil tibi prodest hoc medicamentum, etiam vlciscitur. Nos ergo quotidie digni sumus qui puniamur. Nisi enim ita esset, non tanquam magnum quid posuisset illud: Non inferens iram per sinC gulos dies, sed tanquam rebus quidem hoc postulantibus, Dei autem clementia iustam sustinente punitionem, hoc dicit. Vide quomodo hic etiam ostēdit Deum à molestia alienum, & iram appellat punitionem. *Ira Dei, punitio.* Nemo enim iram infert alij: sed ipse quidem habet iram, suppliciū autem infert alij. Nihil ergo significat aliud quàm punitionem, cùm dicit, Et non inferens iram per singulos dies. Et quomodo dicit per singulos? Ingrediatur vnusquisque suam conscientiam, & tunc videbit. Vt enim prætermittam arcana vniuscuiusque D peccata, hæc quidem communia quis effugiet? Quænam autem ea sunt? Quis est dies in quo non socorditer oremus, & cum magna negligentia? Quòd autem hoc etiam ira dignum sit, hinc sciri potest. Dic enim mihi, si ad iudicem oscitans accessisses, & conuiciatus esses, nō de te statim sumpsisset pœnas, *Probatio per simile.* & misisset in exilium? Certè, inquis: homo enim est. Et quid tum? si enim homo affectus est contumelia, non fuerit æquum vt irascatur: ab eo enim contumelia affectus est, qui est ei honore æqualis. Deus autem contumelia affectus, iure supplicium intulerit.

Matt. 15. Maius enim est hoc peccatum eo, quod fit in hominem. Et homo quidem hoc facit, quærens quod suum est: Deus autem quod est tuum. Quamobrem vel hoc nomine iustius irascatur. Non est enim æquale, eos contemnere qui sua quærunt, & eum qui quæ tua. Hoc maiorem enim iram meretur, quando nec ea quidem petiturus, quæ tibi vtilia sunt, sapis. Quis est autem qui non fratrem contumelia sine causa affecerit? Nec mihi dixeris, seruum affecit contumelia. In Christo enim nec masculus, Galat. 5. 28. nec fœmina, nec seruus est, nec liber. Quis porro proximum non accusauit, nec est mentitus? quis mulierem non aspexit impudicis oculis? quis non inuidit? quis non inani gloria laborauit? quis non locutus est verbum otiosum? Hæc autem omnia pœnæ sunt obnoxia. Et si in iis quidem quæ ad vitam pertinent, non versantes, essemus diligentes in spiritualibus, venia digni essemus: nunc autem hæc quoque nobis prærepta est defensio. Etenim in illis quidem sumus vigilantes: in his verò planè supini. Ne autem qui audiunt eum esse patientem, fiant negligentiores, subiunxit: 13. *Nisi conuersi fueritis, gladium suum vibrabit.* Alius autem dicit: *Ensem suum acuet. Arcum suum tetendit, & parauit ipsum.* Alius dicit: *Intendet.* 14. *Et in eo parauit vasa mortis, sagittas suas ardentibus effecit.* Alius dicit: *Ad ardendum.* Quid ad hæc dicent qui Deum dicunt humana esse forma præditum, ex eo quòd dicatur habere manus, pedes, & oculos? Suntne in supernis cœli regionibus arcus, & tela, & cos, & gladius, & pharetra? Atqui dicit alius: Dum tu respexisti, turbabuntur à te montes Ps. 103. 32. terræ. Et hic ipse: Qui respicit in terram, & facit eam tremere. Quòd si qui terram solùm aspicit, lapidum naturam liquefacit: quantò magis hoc ipsum Iaco. 1. poterit in hominibus? Cur ergo qui solo obtutu potest orbem terrarum e- Psal. 94. 4. uertere, imò qui sola voluntate: qui enim per solam eum fecit voluntatem, clarum est quòd sola potest eum vo- Esa. 40. 21 luntate tollere: dicitur gladium & arcum habere? Si enim in manu eius sunt fines terræ, & qui in ea habitant, vt locustæ: & omnes gentes tanquam gutta à cado, & tanquam trutinæ momentum reputabuntur: iam verò Angelus

A μείζων γὰρ αὕτη ἡ ἁμαρτία τῆς εἰς ἄνθρωπον. καὶ ὁ μὲν ἄνθρωπος τὸ ἑαυτοῦ ζητῶν τοῦτο ποιεῖ· ὁ δὲ Θεὸς τὸ σόν. ὥστε κατὰ τοῦτο, ἄξιον πολὺ μᾶλλον ἀγανακτήσεως. οὐ γάρ ἐστιν ἴσον καταφρονεῖν τῶν τὰ ἑαυτῶν ζητούντων, καὶ τοῦ τὰ σά. τοῦτο γὰρ μείζονος ὀργῆς ἄξιον, ὅταν μηδὲ αἰτεῖν μέλλων τὰ σοὶ συμφέροντα, νήφῃς. τίς δέ ἐστιν, ὃς οὐχ ὕβρισε τὸν ἀδελφὸν εἰκῇ; μὴ γάρ μοι εἴπῃς, ὅτι οἰκέτην ὕβρισεν. ἐν γὰρ Χριστῷ, οὐκ ἄρσεν, οὐ θῆλυ, οὐ δοῦλος, οὐκ ἐλεύθερός ἐστι. τίς πάλιν ὃς οὐ κατηγόρησεν, οὐδὲ ἐψεύσατο; ὃς οὐκ εἶδεν ἀκολάστοις ὀφθαλμοῖς B γυναῖκα; ὃς οὐκ ἐβάσκηνεν; ὃς οὐκ ἐκενοδόξησεν; ὃς οὐκ ἐφθέγξατο ῥῆμα ἀργόν; πάντα δὲ ταῦτα ὑπὸ κόλασιν κεῖται. καὶ εἰ μὲν περὶ τὰ βιωτικὰ μὴ ὄντες σπουδαῖοι, μηδὲ ἐν τοῖς πνευματικοῖς ἦμεν, συγγνώμης ἂν ἦμεν ἄξιοι· νῦν δὲ καὶ ταύτης ἀπεστερήμεθα τῆς ἀπολογίας. καὶ γὰρ ἐν ἐκείνοις μὲν ἐγρηγορότες ἐσμέν, ἐν τούτοις δὲ ἀναπεπτωκότες. ὥστε δὲ μὴ ἀκούοντας, ὅτι μακρόθυμος, ῥαθυμοτέρους γενέσθαι, ἐπήγαγεν· ἐὰν μὴ ἐπιστραφῆτε, τὴν ῥομφαίαν αὐτοῦ στιλβώ- C σει. ἕτερος δέ φησι, τὴν μάχαιραν αὐτοῦ ἀκονήσει. τὸ τόξον αὐτοῦ ἐνέτεινε, καὶ ἡτοίμασεν αὐτό. ἄλλος φησίν, ἐκτενεῖ. καὶ ἐν αὐτῷ ἡτοίμασε σκεύη θανάτου. τὰ βέλη αὐτοῦ τοῖς καιομένοις ἐξειργάσατο. ἄλλος φησίν, εἰς τὸ καίειν. τί ἐνταῦθα ἐροῦσιν οἱ ἀνθρωπόμορφον τὸν Θεὸν λέγοντες, ἐκ τοῦ λέγεσθαι χεῖρας καὶ πόδας καὶ ὀφθαλμοὺς ἔχειν; ἆρα τόξα ἄνω, καὶ βέλη, καὶ ἀκόνη, καὶ μάχαιρα, καὶ φαρέτρα; καὶ μὴν ἄλλος φησίν, ἐν τῷ ἐπιβλέψαι σε, ταραχθήσονται ἐπὶ τὰ ὄρη. καὶ αὐτὸς δέ, ὁ ἐπι- D βλέπων ἐπὶ τὴν γῆν, καὶ ποιῶν αὐτὴν τρέμειν. εἰ δὲ ὁρῶν μόνον τὴν γῆν καὶ λίθων τήκει φύσιν, πολλῷ μᾶλλον ἐπ᾽ ἀνθρώπων τοῦτο δυνήσεται. τίνος οὖν ἕνεκεν ἀπὸ τοῦ μόνον ἰδεῖν, καταστρέψαι δυνάμενος τὴν οἰκουμένην, μᾶλλον δὲ ἀπὸ τοῦ ἐθελῆσαι μόνον (ὁ γὰρ θελήματι μόνον ποιήσας αὐτήν, εὔδηλον ὅτι καὶ θελήματι μόνῳ ἀνελεῖν δύναται) λέγεται ῥομφαίαν ἔχειν καὶ τόξον; εἰ γὰρ ἐν τῇ χειρὶ αὐτοῦ τὰ πέρατα τῆς γῆς, καὶ οἱ ἐνοικοῦντες ἐν αὐτῇ, ὡς ἀκρίδες· καὶ πάντα τὰ ἔθνη ὡς σταγὼν ἀπὸ κάδου, καὶ ὡς ῥοπὴ ζυγοῦ λογισθήσεται· καὶ ὁ ἄγγελος δὲ αὐτοῦ

ἐξελθών, ἐν βραχείᾳ καιροῦ ῥοπῇ ἑκατὸν ὀγδοήκοντα πέντε χιλιάδας ἀνεῖλε (τί λέγω ἄγγελος;) μυῖαι καὶ κάμπαι καὶ σκώληκες τὸ τῶν Αἰγυπτίων στρατόπεδον ἀπώλεσαν· ποῦ τόξου αὐτόθι χρεία; ποῦ δὲ μαχαίρας; τίνος οὖν ἕνεκεν ταῦτα εἴρηται; διὰ τὴν τῶν ἀκουόντων παχύτητα· καὶ ὥστε τοῖς ὀνόμασι τοῖς συνήθεσι τῶν ὅπλων καταπλῆσαι αὐτῶν τὴν διάνοιαν. οὗ γὰρ ἐν τῇ χειρὶ ἡ πνοὴ πάντων ἡμῶν, καὶ οὗ κατὰ πρόσωπον ψύχους αὐτοῦ οὐδαμῶς τις ὑποστήσεται, πῶς ὅπλων δεῖ τούτῳ; ἀλλ' (ὅπερ ἔφθην εἰπὼν) διὰ τὴν παχύτητα καὶ τὴν ἀναισθησίαν τῶν ἀκουόντων οὕτω ταῦτα εἴρηται. τί δέ ἐστι, καὶ στιλβώσει; ἀκονήσει. ἆρα οὖν καὶ ἀκόνης χρεία; καὶ ἰὸς περὶ τὴν μάχαιραν; καὶ τίς ἂν ταῦτα νοῦν ἔχων ἀνέξεται οὕτως ἐκλαβεῖν ὡς εἴρηται; ἀλλ' (ὅπερ ἔφθην εἰπὼν) τὴν τιμωρίαν διὰ πάντων σχηματίζει· καὶ ἐπὶ τὰ παχύτερα πρόεισιν, ὥστε καὶ τοὺς σφόδρα ἀνοήτους συνιδεῖν, ὅτι οὐ δεῖ ταῖς λέξεσι προσκαθῆσθαι, ἀλλὰ θεοπρεπεῖς ἐννοίας ἐκ τούτων λαμβάνειν. ὥστε εἴ τις ἀπορεῖ τίνος ἕνεκεν θυμὸς εἴρηται περὶ Θεοῦ καὶ ὀργή, πολλῷ μᾶλλον τούτων ἕνεκεν ἀπορήσει. εἰ δὲ ταῦτα οὐχ ὡς εἴρηται ἐκληπτέον, ἀλλὰ θεοπρεπῶς, εὔδηλον, ὅτι καὶ τὰ περὶ θυμοῦ καὶ ὀργῆς· ἡ δὲ παχύτης τῶν λέξεων, ὥστε καθικέσθαι τῆς τῶν ἀκροατῶν παχύτητος. διά τοι τοῦτο οὐδὲ τοῖς εἰρημένοις ἠρκέσθη, ἀλλ' ἔτι πρόεισιν ἐπὶ τὸ ἀνθρωπινώτερον, τὸν φόβον αὔξων. οὐ γὰρ ῥομφαίαν αὐτὸν ἔχοντα εἰσάγει μόνον, ἀλλὰ καὶ ὁπλιζόμενον. ἐπεὶ γὰρ οὐχ ὁμοίως τις φοβεῖται ἀκούων, ὅτι ἀκονᾶται ἡ μάχαιρα, καὶ ὅτι τὸ τόξον μετὰ χεῖρας, ἀπὸ τῶν ἀνθρωπίνων σχημάτων καταπλήττει τὴν διάνοιαν τῶν ἀκουόντων, λέγων, τὸ τόξον αὐτοῦ ἐνέτεινε, καὶ ἡτοίμασεν αὐτό· φοβῶν τὸν ἀκούοντα, ὁμοῦ καὶ τὴν μακροθυμίαν καὶ τὴν ὀργὴν ἐνδεικνύμενος. οὐ γὰρ εἶπεν ἀφῆκεν, οὐδὲ ἐβόλησεν, ἀλλ' ἐνέτεινε καὶ ἡτοίμασε· τουτέστιν, ἕτοιμός ἐστι πρὸς τὴν ἄφεσιν. καὶ τί θαυμάζεις, εἰ ἐν τῇ παλαιᾷ οὕτως εἴρηται, ὅπουγε καὶ ἐν τῇ καινῇ Ἰουδαίοις διαλεγόμενος ὁ Ἰωάννης τοιοῦτόν τι λέγει; ἤδη δὲ καὶ ἡ ἀξίνη πρὸς τὴν ῥίζαν τῶν δένδρων κεῖται. τί οὖν; δρυτόμον ὁ Θεὸς μιμεῖται ἀξίνῃ κόπτοντα ξύλα; καὶ ἀξίνην ἐκληπτέον καὶ ξύλα; ἄπαγε· ὥσπερ οὐδὲ ἄχυρα καὶ σῖτον,

A quoque ab eo egressus, breui momento temporis centum octogintaquinque millia interfecit. Quid dico Angelus? Muscæ, erucæ, & vermes Ægyptiorum exercitum perdiderunt: vbi illic arcu opus est, vbi gladio? Cur ergo hæc dicta sunt? Propter auditorum crassitudinem, & vt his consuetis armorum nominibus eorum mentem terreant. Cuius enim in manu est omnium nostrum spiritus, & à cuius frigoris facie nullus sustinebit, quomodo hic armis indiget? Sed vt dixi antea, hæc propter auditorum crassitu-B dinem & tarditatem ita dicta sunt. Quid est autem, Et vibrabit? vel acuet. Coténe opus est? & est rubigo in gladio? & quisnam qui sapiat, hæc ita accipere sustinebit, vt dicta sunt? Sed vt antè dixi, per omnia describit punitionem, & procedit ad ea quæ sunt crassiora, vt etiam qui sunt valde stulti, intelligant non esse insistendum dictionibus, sed quæ Deo conuenient sensa, esse ex iis accipienda. Quare si quis dubitat qua de causa excandescentia & ira de Deo dicta est: multò magis propter hæc dubitauerit. Sin C autem hæc non sunt accipienda vt dicta sunt, sed ita vt Deo conueniant: clarum est quòd etiam ira & excandescentia. Crassæ autem sunt dictiones, vt auditorum penetrent crassitudinem. Et ideo nec iis quidem quæ dicta sunt. fuit contentus: sed terrorem adaugens, adhuc more magis humano procedit. Non solùm enim inducit eum habentem gladium, sed etiam armatum. Quia enim non æquè quis metuit audiens acui gladium, & audiens arcum esse in ma-D nibus: ex figuris humanis mentem auditorum concutit, dicens: Arcum suum tetendit, & parauit illum, auditorem terrens, simul & patientiam eius, & iram indicans. Non enim dixit, Immisit, nec iaculatus est: sed, Intendit & parauit, hoc est, est paratus ad emittendum. Et quid miraris si sic in veteri dictum est, cùm etiam in nouo Ioannes cum Iudæis tale quid dicat? Iam autem ad radicem arboris securis posita est, Quid ergo? Lignicidámne Deus imitatur securi ligna scindentem, & hic & securis accipienda est, & ligna? Absit, quemadmodum nec paleæ, nec frumentum,

4. Reg. 19. 35.

Exod. 3. 4. & 5.

Cur hæc Deo tribuantur.

Psal. 147. 6.

Luc 3. 9.

[Matt. 3.12.] quando dicit : Cuius ventilabrum in manu eius, & mundabit aream suam, & frumentum quidem congregabit in horreum suum, paleam autem comburet igne inextinguibili. Quæ est ergo [Securis, Arbores, Palea.] securis? Punitio, supplicium. Quæ verò sunt arbores? Homines. Quænam verò paleæ? Mali. Quod verò frumentum? Boni. Quid autem ventilabrum? Discretio. Ita etiam hîc, gladius, arcus, & sagittæ, pœna est & supplicium. Deinde dilationem, & abesse quidem pœnam, sed non longè, adesse autem in foribus, per intendisse & parasse ostendit. Instrumenta autem mortis dicit sagittas, quemadmodum instrumenta agriculturæ, ea quibus terra colitur, & nauigationis, quæ ad nauigandum conferunt, & textrinæ, quibus texitur: ita etiam mortis instrumenta, quæ mortem efficiunt. Deinde interpretans quænam sunt instrumenta mortis, subiungit, sagittas suas ostendens celeritatem supplicij quando voluerit. [Ardentes.] Quid est autem ardentibus? Iis qui puniuntur, iis qui dant pœnas. Vides quòd omnia per translationem & emphasim dicta sunt, & vt per hæc cuncta augeretur timor? Quod enim dicit, tale est: Parauit supplicia iis qui sunt puniendi. Sed si non sic dixisset, non ita terruisset: nunc autem cùm sagittarum, & gladij, & arcus, & immissionis, & intensionis, & instrumentorum mortis, & incendij meminit, nominum varietate metum incussit. Deinde rursus metum consolatus, subiunxit, Ardentibus. Ne quis enim insipientior existimaret in omnes eum manus dirigere, & armatum esse, subiunxit, Ardentibus. Quod etiam Paulus significat de magistratu, [Rom. 13.4.] dicens: Non enim frustra gladium portat. Quòd si in magistratibus gladius hoc facit, & terret: multò magis in Deo. Porrò autem hoc est non vulgaris clementiæ argumentum, per verba terrere, & pœnâ amplificare, ne reipsa eam experiamur. Propterea enim intendit, propterea parauit, propterea sagittas imposuit, propterea se parat ad supplicium, ne veniat ad supplicium. Orationem autē reddit grauiorem per vibrauit quidem, supplicij vehementiam & celeritatem, per intēdit autem,

A ὅταν λέγῃ· οὗ τὸ πτύον ἐν τῇ χειρὶ αὐτοῦ, καὶ διακαθαριεῖ τὴν ἅλωνα αὐτοῦ, καὶ τὸν μὲν σῖτον συνάξει εἰς τὴν ἀποθήκην αὐτοῦ, τὸ δὲ ἄχυρον κατακαύσει πυρὶ ἀσβέστῳ. τίς οὖν ἐστιν ἡ ἀξίνη; ἡ τιμωρία καὶ ἡ κόλασις. τίνα δὲ τὰ δένδρα; οἱ ἄνθρωποι. τίνα δὲ τὰ ἄχυρα; οἱ φαῦλοι. τίς ὁ σῖτος; οἱ χρηστοί. τί τὸ πτύον; ἡ διάκρισις. οὕτω καὶ ἐνταῦθα ῥομφαία καὶ τόξον καὶ βέλη, ἡ κόλασις καὶ ἡ τιμωρία ἐστίν. εἶτα τὴν μέλλησιν, καὶ τὸ ἀφεστηκέναι μὲν τὴν τιμωρίαν, μὴ πολὺ δὲ ἀφεστηκέναι, ἀλλ' ἐπὶ θύραις εἶναι, B τὸ τεῖναι καὶ ἑτοιμάσαι παρέστησε. σκεύη δὲ θανάτου, τὰ βέλη φησίν. ὥσπερ σκεύη γεωργίας τὰ γεωργίαν ποιοῦντα· καὶ ναυτιλίας, τὰ πλεῖν ἡμᾶς παρασκευάζοντα· καὶ ὑφαντικῆς, τὰ ὑφαίνειν ποιοῦντα· οὕτω καὶ θανάτου σκεύη, τὰ θάνατον ἐργαζόμενα. εἶτα ἑρμηνεύων τίνα ἐστὶ τὰ σκεύη τοῦ θανάτου, ἐπάγει τὰ βέλη αὐτοῦ, δηλοῖ τὸ τάχος τῆς τιμωρίας, ὅταν βουληθῇ. τί δέ ἐστι, τοῖς καιομένοις; τοῖς τιμωρουμένοις, τοῖς κολαζομένοις. ὁρᾷς ὅτι πάντα μεταφορικῶς εἴρηται καὶ ἐμφατικῶς, καὶ ὥστε διὰ πάντων αὐξηθῆναι τὸν φόβον; ὃ γὰρ λέγει τοιοῦ- C τόν ἐστιν. ἡτοίμασε τὰς τιμωρίας τοῖς μέλλουσι τιμωρεῖσθαι. ἀλλ' εἰ μὴ οὕτως εἶπεν, οὐκ ἂν οὕτως ἔπληξε· νῦν δὲ βελῶν καὶ ῥομφαίας, καὶ τόξων, καὶ ἀφέσεως, καὶ τάσεως, καὶ σκευῶν θανάτου καὶ ἐμπρησμοῦ μνημονεύσας, τῇ ποικιλίᾳ τῶν ὀνομάτων ἐπέτεινε τὴν ἀγωνίαν. εἶτα παραμυθούμενος πάλιν τὸν φόβον, ἐπήγαγε, τοῖς καιομένοις. ἵνα γὰρ μὴ νομίσῃ τις τῶν ἀνοητοτέρων, ἐπὶ πάντας αὐτὸν ἄγειν τὴν χεῖρα, καὶ κατὰ πάντων ὡπλίσθαι, ἐπήγαγε, τοῖς καιομένοις. ὅπερ καὶ ὁ Παῦλος αἰνίττεται περὶ ἄρχοντος λέγων· οὐ γὰρ εἰκῇ τὴν μάχαιραν φο- D ρεῖ. εἰ δὲ ἐπὶ τῶν ἀρχόντων ἡ μάχαιρα τοῦτο ποιεῖ καὶ φοβεῖ, πολλῷ μᾶλλον ἐπὶ τοῦ Θεοῦ. καὶ τοῦτο δὲ οὐ τῆς τυχούσης φιλανθρωπίας, τὸ διὰ τῶν ῥημάτων φοβεῖν καὶ ἐξογκοῦν τὴν τιμωρίαν, ὥστε μὴ γενέσθαι ἐν πείρᾳ τῶν πραγμάτων. διὰ γὰρ τοῦτο ἐνέτεινε, διὰ τοῦτο ἡτοίμασε, διὰ τοῦτο ἐνέθηκε τὰ βέλη, διὰ τοῦτο πρὸς τὴν τιμωρίαν εὐτρεπίζεται, ἵνα μὴ ἔλθῃ πρὸς τὴν τιμωρίαν. καὶ ἐξογκοῖ τὸν λόγον, τῷ μὲν στιλβώσει, τὴν σφοδρότητα καὶ τὴν ὀξύτητα τῆς τιμωρίας ἐμφαίνων· τῷ δὲ ἐνέ-

τεινε, τὴν ἐγγύτητα· τῷ δὲ ἡτοίμασε, τὸ πάντως ἐσόμενον, εἰ μὴ μεταβάλοιντο· τῷ δὲ τοῖς καιομένοις, τοὺς ὑπευθύνους ἐνδεικνύμενος· ἵνα διὰ πάντων παιδευθέντες, ἀναστείλωσι τὴν πονηρίαν. εἰ δὲ θυμοῦ ταῦτα ἦν καὶ ὀργῆς, οὐκ ἂν, οἷς ἔμελλεν ἐπιθήσεσθαι, προεῖπεν. ὁ γὰρ θυμὸς οὐκ ἀνέχεται τοῦτο· ἀλλὰ καὶ τοὐναντίον ποιεῖ, καὶ μάλιστα ὅταν ἐν αὐτῇ λοιπὸν ᾖ τῇ ἀκμῇ, καὶ τῇ κολάσει, καὶ τῇ κατασκευῇ τῆς τιμωρίας. οἱ γοῦν πολέμιοι καὶ βουλόμενοι τὴν τιμωρίαν ἐπαγαγεῖν, οὐ μόνον οὐ λέγουσιν, ἀλλὰ καὶ κρυπτόμενοι ἐπιτίθενται, ὥστε μὴ μαθόντας τοὺς κολάζεσθαι μέλλοντας, φυλάξασθαι. ἀλλ' οὐχ ὁ Θεὸς οὕτως, ἀλλὰ τοὐναντίον ἅπαν· καὶ προλέγει, καὶ ἀναβάλλεται, καὶ φοβεῖ διὰ ῥημάτων, καὶ πάντα ποιεῖ, ὥστε μὴ ἐπαγαγεῖν ἃ ἠπείλησε. τοῦτο καὶ ἐπὶ Νινευιτῶν ἐποίησε. καὶ γὰρ καὶ ἐκεῖ τόξον ἐνέτεινε, καὶ τὴν ῥομφαίαν ἐστίλβωσε, καὶ τὰ βέλη ἡτοίμασε, καὶ τὴν πληγὴν οὐκ ἐπήγαγεν. ἢ οὐ δοκεῖ σοι τὰ ῥήματα τοῦ προφήτου τόξον εἶναι καὶ βέλος καὶ ῥομφαίας ἠκονημένης, ὅταν λέγῃ· ἔτι τρεῖς ἡμέραι, καὶ Νινευὴ καταστραφήσεται; ἀλλ' οὐκ ἀφῆκε τὸ βέλος. οὐδὲ γὰρ διὰ τοῦτο ηὐτρέπιστο ἵνα ἀφεθῇ, ἀλλ' ἵνα ἐναποτεθῇ. οἱ μὲν γὰρ στρατιῶται διὰ τοῦτο ὁπλίζονται, ἵνα κολάσωσιν· ὁ δὲ Θεὸς οὐχ οὕτως· ἀλλ' ἵνα τῷ φόβῳ σωφρονεστέρους ποιήσας, ἀνάσχῃ τῆς τιμωρίας τὴν χεῖρα. μὴ τοίνυν θορυβώμεθα. φιλανθρωπίας γὰρ πολλῆς ὁ τῶν ῥημάτων φόβος. καὶ ὅσῳ ἂν ἀφορητότερα λέγῃ, τοσούτῳ ἀπὸ πολλῆς ἡμερότητος ταῦτα φθέγγεται. ἐπεὶ καὶ πατέρες, ὅταν μὴ βούλωνται κολάζειν τοὺς παῖδας, διὰ τῶν ῥημάτων τὴν ὀργὴν αἴρουσιν. οὕτω καὶ αὐτὸς, ἐπεὶ μὴ βούλεται κολάζειν, ἐξοικεῖ διὰ ῥημάτων τὸν φόβον. λέγει καὶ γέενναν ἑτοιμάσαι, ἵνα μὴ βάλῃ εἰς γέενναν. διά τοι τοῦτο καὶ πολλοὶ λόγοι περὶ τιμωρίας τοῖς εὐαγγελίοις ἐναπόκεινται, καὶ πλείους, ἢ οἱ περὶ βασιλείας. ἐπειδὴ γὰρ ἐπὶ τῶν ἀναισθητοτέρων οὐχ οὕτως ἡ τῶν ἀγαθῶν ἀπαγγελία, ὡς ὁ τῶν λυπηρῶν φόβος ἐφέλκεται πρὸς ἀρετὴν, καὶ ἀπάγει τῆς κακίας, διὰ δὴ τοῦτο τούτοις πλέον ἐμφιλοχωρεῖ, καὶ συνεχῶς αὐτὰ τίθησι. μὴ τοίνυν ἀγχώμεθα ἀκούοντες φορτικῶν ῥημάτων (πολὺ γὰρ κέρδος ἔχουσιν) ἀλλ' ἐννοοῦντες αὐτοῦ καὶ τὴν μακροθυμίαν καὶ τὴν δικαιοκρισίαν, μήτε ἀπογινώσκωμεν τῆς σωτηρίας (μακρόθυμος γάρ ἐστι) μήτε ἀθυμῶμεν (δίκαιος

A propinquitatem: per appropinquauit verò, id quod omnino futurum est, si non fuerint mutati: per ardentibus autem, reos ostendens, vt per hæc omnia docti, improbitatem reprimant. Quòd si hæc essent furoris & excandescentiæ, non prædixisset eis, quod est inuasurus. Ita enim non hoc facit, sed cõtrarium, & maximè quando ad summum peruenerit, & supplicio ac supplicij apparatui imminet. Hostes certè, & qui volunt supplicium infligere, non modo id non dicunt, sed etiam id celantes inuadunt, ne qui sunt puniendi, si resciuerint, caueant. B At non sic Deus, sed contrà omnino, & prædicit, & differt, & verbis terret, & nihil non facit, vt quæ minatur, non afferat. Hoc etiam fecit in Niniuitis. Nam illic quoque arcum tetendit, & gladium vibrauit, & iacula parauit, & ictum non inflixit. An non tibi videntur verba Prophetæ esse arcus, & telum, & gladius acutus, quando dicit: Adhuc tres dies, & Niniue subuertetur? Sed telum non emisit, non enim ideo erat apparatum vt emitteretur, sed vt reponeretur. C Nam milites quidem ea de causa armantur, vt puniant: Deus autem non sic, sed vt cùm reddiderit metu modestiores, abstineat manum à supplicio. Ne ergo conturbemur: est enim terror verborum maximæ clementiæ, & quò dicit intolerabiliora, eò illa ex maiori dicit mansuetudine. Nam patres etiam quando nolunt punire filios, verbis iram attollunt. Ita ipse etiam, quia non vult punire, verbis metum reddit grauiorem. Dicit etiam se parasse gehennam, ne mittat in gehennam, & ideo etiam in Euangelijs multa dicuntur de sup- D plicio, ac plura quàm de regno. Quia enim in iis qui minus sentiunt, non tam bonorum promissio, quàm tormentorum metus adducit ad virtutem, & abducit à vitio: propterea in iis magis immoratur, & ea ponit assiduè. Ne ergo molestia afficiamur, dum grauia verba audimus (magnum enim lucrum in se continent) sed eius considerantes & patientiam, & iustum iudicium, ne de salute desperemus, est enim patiens, neque tristi animo simus, est

Esa. 38. Sopho. 2. Matt. 13. 24. Luc. 13. Ionæ 3. 4.

Matt. 10. 18.

enim iustus, hîc quidem multam ostendens patientiam, illic autem eos qui non hîc lucrifecerunt, experiundo tradens supplicio. Quod ne fiat, hîc iam supplicium depellamus. 15. *Ecce parturit iniustitiam.* Hebræus autem pro parturiit, Iebal. *Concepit dolorem.* Alius: *Et cum concepisset. Et peperit iniquitatem.* Alius: *mendacium.* 16. *Lacum aperuit, & effodit eum, & incidit in foueam quam fecit.* Alius: *In interitum quem fecit.* Dicit Deum esse paratum ad supplicium. Dicit eum immittere supplicia, hoc castigauit, & modestum reddidit auditorem, vt qui supernam iram ei impendêre ostenderit: eum deinceps docet etiam ex rebus ipsis ostendens vel ante supplicium, ipsum vitium esse pœnam. quod quidem etiam Paulus demonstrans, dicebat: Et mercedem quam oportebat erroris in se recipientes. & adducit in medium eos qui extrema à vitio passi sunt. Quia enim multi ex crassioribus tunc maximè solent reprimi, & moderatiores effici, quando eos qui passi sunt viderint: propterea ipse quoque eos adducit in medium. Ita etiam facit Christus, qui cùm de gehenna multum disseruisset, eos etiam qui illuc mittuntur, in medium adducit, vt diuitem qui erat tempore Lazari, virgines fatuas, eum insuper qui vnum talentum absconderat, & in præsenti vita eos qui in turri obruti fuerant, & quorum sanguinem Pilatus miscuit cum sacrificiis. Ita etiam Petrus cùm de gehenna multum disseruisset, eos tunc maximè perculit, quando punitos adduxit in medium, & ante oculos ostendit Ananiæ & Sapphiræ supplicium. Quod quidem fecit etiam Paulus in mago. Porrò autem hoc etiam alio quoque modo confirmat, quando eorum qui in solitudine fuerant meminit, sic dicens: Nolo vos ignorare fratres, quòd omnes patres nostri sub nube fuerunt, & omnes in Mose baptizati sunt, & cibum spiritualem comederût, & potum spiritualem biberût, sed non in pluribus eorum complacitû est Deo, sed perierunt, & ceciderunt. quia enim disseruit de futuris, de gehêna inquam, pœna, & supplicio, ex præteritis, eorum quoque affert probationem, eos qui puniti sunt adducens in medium, hos quidem à serpentibus, illos verò ab

Rom. 1. 27. — *Luc. 16. 19.* — *Matth. 25. 1. 24.* — *Luc. 13. 1.* — *Act. 5. 1.* — *Act. 13. 11.* — *1. Cor. 10. 1.*

A γάρ ἐστι) ἐνταῦθα μὲν πολλὴν τὴν μακροθυμίαν ἐνδεικνύμενος, ἐκεῖ δὲ τοὺς μὴ κερδάναντας ἐντεῦθεν τῇ πείρᾳ τῆς κολάσεως παραδιδούς. ὅπερ ἵνα μὴ γένηται, ἀποκρουσώμεθα ἐντεῦθεν ἤδη τὴν τιμωρίαν. ἰδοὺ ὠδίνησεν ἀδικίαν. ὁ δὲ Ἑβραῖος, ἀντὶ τοῦ ὠδίνησεν, ἰεβάλ. συνέλαβε πόνον· ἄλλος, καὶ κυήσας. καὶ ἔτεκεν ἀνομίαν· ἄλλος, ψεῦδος. λάκκον ὤρυξε, καὶ ἀνέσκαψεν αὐτόν, καὶ ἐμπεσεῖται εἰς βόθρον ὃν εἰργάσατο. ἄλλος, εἰς διαφθορὰν ἣν εἰργάσατο. εἶπεν ὅτι παρεσκεύασται πρὸς τιμωρίαν ὁ Θεός· εἶπεν ὅτι ἐπαφίησι τὰς κολάσεις. ἐσωφρόνισε τοῦτον τὸν ἀκροατήν, τὴν ἄνωθεν ὀργὴν ἐπικρεμάσας. B παιδεύει λοιπὸν καὶ ἀπὸ τῶν πραγμάτων αὐτῶν, δεικνὺς ὅτι καὶ πρὸ τῆς τιμωρίας αὐτὴ ἡ κακία κόλασις. ὅπερ οὖν καὶ ὁ Παῦλος ἐνδεικνύμενος ἔλεγε· καὶ τὴν ἀντιμισθίαν, ἣν ἔδει, τῆς πλάνης ἐν ἑαυτοῖς ἀπολαμβάνοντες· καὶ ἄγει εἰς μέσον τοὺς τὰ ἔσχατα παθόντας ὑπὸ τῆς κακίας. ἐπειδὴ γὰρ εἰώθασιν οἱ πολλοὶ τῶν παχυτέρων τότε μάλιστα σωφρονίζεσθαι, ὅταν τοὺς πεπονθότας ἴδωσι· διὰ τοῦτο καὶ αὐτοὺς εἰς μέσον ἄγει. οὕτω καὶ ὁ Χριστὸς ποιεῖ. πολλὰ περὶ γεέννης διαλεχθείς, C καὶ τοὺς ἐκεῖ βαλλομένους εἰς μέσον ἄγει, τὸν πλούσιον τὸν ἐπὶ Λαζάρου· τὰς παρθένους τὰς μωράς· τὸν τὸ τάλαντον τὸ ἓν καταχρύψαντα· καὶ ἐν τῷ παρόντι βίῳ, τοὺς ἐν τῷ πύργῳ καταχωσθέντας, καὶ ὧν τὸ αἷμα Πιλάτος ἀνέμιξε ταῖς θυσίαις. οὕτω καὶ Πέτρος πολλὰ περὶ γεέννης διαλεχθείς, τότε μάλιστα αὐτοὺς ἐξέπληξεν, ὅτε τοὺς κολασθέντας εἰς μέσον ἤγαγε, καὶ παρ' ὀφθαλμῶν τὴν τιμωρίαν ἔδειξε τοῦ Ἀνανίου καὶ τῆς Σαπφείρας. ὅπερ οὖν καὶ Παῦλος ἐποίει ἐπὶ τοῦ μάγου. καὶ ἑτέρως δὲ τοῦτο D κατασκευάζει τὸ τοιοῦτον, ὅτε τῶν ἐν τῇ ἐρήμῳ μέμνηται, λέγων οὕτως· οὐ θέλω ὑμᾶς ἀγνοεῖν, ἀδελφοί, ὅτι οἱ πατέρες ἡμῶν πάντες ὑπὸ τὴν νεφέλην ἦσαν, καὶ πάντες εἰς τὸν Μωϋσῆν ἐβαπτίσθησαν, καὶ βρῶμα πνευματικὸν ἔφαγον, καὶ πόμα πνευματικὸν ἔπιον. ἀλλ' οὐκ ἐν τοῖς πλείοσιν αὐτῶν ηὐδόκησεν ὁ Θεός, ἀλλ' ἀπώλοντο καὶ κατέπεσον. ἐπειδὴ γὰρ περὶ μελλόντων διελέγετο, γεέννης λέγω, καὶ κολάσεως, καὶ τιμωρίας, ἀπὸ τῶν παρελθόντων καὶ τὴν περὶ ἐκείνων ἀπόδειξιν φέρει, αὐτοὺς τοὺς κολασθέντας εἰς μέσον ἄγων, τοὺς ὑπὸ τῶν ὄφεων, τοὺς ὑπὸ

τοῦ ὀλοθρευτοῦ. ὃ δὴ καὶ ἐνταῦθα ποιεῖ ὁ Δαβίδ, εἴτε περὶ τοῦ Ἀχιτόφελ, εἴτε περὶ τοῦ Ἀβεσσαλὼμ λέγων. τινὲς μὲν οὖν περὶ τοῦ Ἀχιτόφελ φασὶν εἰρῆσθαι. οὐ γὰρ ἦν τοῦ αὐτοῦ λέγειν, φείσασθέ μοι τοῦ παιδαρίου Ἀβεσσαλώμ· καὶ μετὰ τὸ πάθος, τίς δώῃ μοι θάνατον ἀντὶ σοῦ; καὶ ταῦτα νῦν λέγειν. ἀλλ' ἐκεῖνα μὲν ὑπὸ τῆς φύσεως κατεχόμενος ἔλεγε· νῦν δὲ ὑπὸ τοῦ πνεύματος ἔνθους γενόμενος. πλὴν εἴτε περὶ τοῦ Ἀβεσσαλώμ, εἴτε περὶ τοῦ Ἀχιτόφελ εἴρηται, σκεπτέον τὰ εἰρημένα. οὐ γὰρ πολύς μοι περὶ τῶν προσώπων ὁ λόγος. τί οὖν ἐντεῦθεν μανθάνομεν; δείκνυσιν, ὅτι ὀρύσσων βόθρον τῷ πλησίον, εἰς αὐτὸν ἐμπεσεῖται· καὶ καθάπερ αἱ ὠδίνουσαι γυναῖκες ὑπὸ τῶν ὠδίνων διακόπτονται· οὕτω καὶ ὁ δόλον ἐργαζόμενος, πρὶν ἢ τὸν πλησίον ἀδικῆσαι, αὐτὸς διακόπτεται καὶ ὀδυνᾶται, καὶ οὐχ ὡς ἔτυχεν, ἀλλὰ μετὰ πολλῆς τῆς δριμύτητος. διὸ καὶ τὸ πικρὸν τῆς ὀδύνης παραστῆσαι βουλόμενος, ὠδῖνα τὸ πρᾶγμα ἐκάλεσεν. ὅπου γὰρ ἂν βούληται ἡ γραφὴ ἀφόρητόν τινα ἡμῖν ὀδύνην ἐνδείξασθαι, τῷ ὀνόματι τῆς ὠδῖνος αὐτὴν ὑπογράφει. διὸ καὶ ἀλλαχοῦ φησιν, ὠδῖνες ἔλαβον κατοικοῦντας Φυλιστιείμ, τουτέστι, φόβος, τρόμος, πόνος, ὀδύνη. καὶ πάλιν ὁ Παῦλος· ὅταν δὲ λέγωσιν, εἰρήνη καὶ ἀσφάλεια, τότε αὐτοῖς αἰφνίδιος ἐφίσταται ὄλεθρος, ὥσπερ ἡ ὠδὶν τῇ ἐν γαστρὶ ἐχούσῃ. ἐνταῦθα δύο αἰνίττεται, καὶ τὸ ἀφόρητον, καὶ τὸ ἀπροσδόκητον. καὶ ὁ Ἐζεκίας, ὅτι ἥκει ἡ ὠδὶν τῇ τικτούσῃ, ἰσχὺν δὲ οὐκ ἔχει τοῦ τεκεῖν, τὸν ἀφόρητον αὐτοῦ φόβον καὶ πόνον διὰ τῆς ὠδῖνος ἐνδεικνύμενος· οὕτω δὴ καὶ ἐνταῦθα ὁ προφήτης. κἂν γὰρ μυριάκις πονηρός τις ᾖ, τὸ κριτήριον τοῦ συνειδότος οὐ διαφθείρεται (φυσικὸν γάρ ἐστι, καὶ παρὰ τοῦ Θεοῦ ἡμῖν τὴν ἀρχὴν ἐντεθέν) κἂν μυρία φιλονεικήσωμεν, ἐφέστηκεν ἐκεῖνο καταβοῶν, κολάζον, καταδικάζον, καὶ οὐκ ἔστιν οὐδεὶς τῶν ἐν κακίᾳ ζώντων, ὃς οὐ μυρίας ὀδύνας ὑπομένει, καὶ βουλευόμενος τὰ κακά, καὶ εἰς ἔργον ἐκφέρων τὴν βουλήν. τί γὰρ τοῦ Ἀχαὰβ πονηρότερον; ἀλλ' ὅμως ἐκεῖνος ἐπιθυμήσας τοῦ ἀμπελῶνος, ἐννόησον πόσην ὀδύνην εἶχε. βασιλεὺς γὰρ ὢν καὶ πάντων κρατῶν, καὶ οὐδένα ἔχων ἀντιλέγοντα, ἐπειδὴ τοῦ συνειδότος τὴν ψῆφον οὐκ ἤνεγκεν, εἰσῆλθε σκυθρωπάζων, κάτω κύπτων, συγκεχυμένος, πολ-

A exterminatore. Quod quidem hic quoque facit Dauid, vel de Achitophele dicens, vel de Absalone. Nonnulli itaque dicunt dicta esse de Achitophele. Non enim erat eiusdem dicere: Parcite mihi filiolo meo Absaloni, & post casū: Quis dederit mihi mortem pro te? & hæc nunc dicere: sed illa quidem dicebat instigante natura, nunc verò afflatus à spiritu. Sed siue de Absalone, siue de Achitophele dicta fuerunt, consideranda sunt, quæ dicta sunt. Neque enim de personis à me magnopere agendum est. Quid ergo ex hoc loco discimus? Ostendit quòd qui propinquo B fodit foueam, ipse in eam incidet: & quemadmodum mulieres parturientes à doloribus discerpuntur: ita etiam qui facit dolum, priusquam propinquum iniuria afficiat, ipse discerpitur, & cruciatur, & non leui aliquo, sed vehementissimo dolore afficitur. Quocirca cùm vellet acerbitatem doloris ostendere, rem parturitionis nomine appellauit. Quando enim vult scriptura intolerabilem aliquem dolorem ostendere, partus doloris eum nomine describit. Proinde alibi dicit: Pariendi dolores ceperunt habitātes Philistiim, C hoc est, timor, tremor, labor, & dolor. Et rursus Paulus: Quando autem dixerint, Pax & securitas, tunc eis repentinus imminet interitus, queādmodum dolor pariendi ei quæ vterū gerit. Hic duo significat, & esse intolerabile, & esse inopinatum. Et Ezechias. Venit dolor parienti, nō habet autē virtutem pariendi, intolerabilem eius timorem per dolorem partus indicans. Ita etiam hic propheta. Etsi enim sit quis millies improbus, non interit iudicium conscientiæ: est enim naturale, & à D Deo nobis ab initio insitum. Etiam si in infinitum contendamus, instat illud vociferans, castigans, condemnans, & nemo est eorum qui scelerate viuunt, qui non innumerabiles dolores sustineat, & cum de malis consultat, & cum consilium in opus educit. Quid enim Achab sceleratius? sed tamen cùm ille vineam concupiisset, considera quantum dolem senserit. Itaque cum rex esset, & omnia dominatu teneret, nec vllus esset qui ei contradiceret, quoniam conscientiæ non ferebat sententiam, ingressus est tristis, deorsum inclinatus, confusus, in

1.Reg.18.5 · Osee 13. · 1.Reg.5. · 1.Thess.5. · 4.Reg.10. · Esa.37.3. · Esa.57. · 3.Reg.21.4

ipso aspectu caliginem ferens, conscientiæ condemnationis indicium vultu denuntians, nec valens tegere, quam animo conceperat tristitiam. Ita ergo fuit vel ab vxore deprehensus. Proditor quidem certè, qui in tantum scelus impegerat, cùm non posset ferre iudicij conscientiæ dolorem, adaptato sibi laqueo vitam finiit. Quemadmodum ergo qui improbè viuit, tanta patitur: ita qui vitam ex virtute instituit, tranquillitate & mente minimè perturbata fruitur. Considera autem. Si voluerit quis vlcisci quempiam, vel prior iniuriam facere, vide quot mala patitur. Furore repletur, ab ira discerpitur, mouet innumerabiles fluctus cogitationum, mille vias ingreditur, inuadit timor, pauor, ac tremor, quomodo offendet, quomodo vlciscetur, & ante cum quem est iniuria affecturus, seipsum perdit. Qui autem iram expulit, ab his omnibus liber est, & iure certè. Hoc enim est in eius potestate, & vniuersum confecit: at illud non itidem, sed & oportunitate opus est, & loco, & dolo, & maleficio, & armis, & machinationibus, & offensionibus, & adulatione, & securitate, & simulatione. Vides quàm facilis res sit virtus, difficilis autem vitium: quemadmodum illa quidem est tranquilla, hoc vero turba & tumultu refertum? Hoc ergo describens dicebat Propheta: Ecce parturiit iniustitiam, concepit dolorem, & peperit iniquitatem. Ex hoc ostendit iniustitiam non esse nobis secundùm naturam, sed esse quid alienum, & ideo graue est, & donec ab eo fuerimus liberati: nobis dolores immittit. Nam fœtus etiam donec perficitur, secundum natura ventri adhæret: propterea & manet, & dolorem non habet. Postquam autem perfectus fuerit, si intus maneat, mora est præter naturam: vnde etiam fiunt partus dolores. Quapropter vexata natura eum conatur extrudere, vt quæ vniuersum fecerit ac perfecerit, & ferre non possit amplius. Sed illic quidem prius fit conceptio, & ac deinceps dolor partus: hic autem primum parturiit, ac deinde concepit & peperit. Quid autem hoc sibi vult? Quod illic quidem in tempore partus est dolor, hic autè dolor est à principio? Simulac enim quis-

Act. 1. 18. — *Embryoni intelligit.* — *Parturitio cur hic conceptione prior.*

A λὴν ἀχλὴν ἐπὶ τῆς ὄψεως φέρων, τῆς ἀπὸ τοῦ συνειδότος καταδίκης τὸν ἔλεγχον ἐπὶ τοῦ προσώπου κηρύττων, καὶ οὐ δυνάμενος συσκιάσαι τὴν ἀπὸ τῆς ἀθυμίας ἐγγενομένην αὐτοῦ ὀδύνην. οὕτω γοῦν καὶ ἀπὸ τῆς γυναικὸς ἐγένετο κατάφωρος. ὁ μέν τοι προδότης ὁ πρὸς τοσαύτην ἐξοκείλας πονηρίαν, ἐπειδὴ τὴν ὀδύνην οὐκ ἤνεγκε τὴν ἀπὸ τοῦ κριτηρίου τοῦ συνειδότος, καὶ βρόχον ἀνῆψε, καὶ οὕτω τὸν βίον κατέλυσεν. ὥσπερ οὖν ὁ ἐν πονηρίᾳ τοσαῦτα πάσχει, οὕτως ὁ ἐν ἀρετῇ γαλήνης ἀπολαύει B καὶ ἀταράχου διανοίας. σκόπει δέ· εἰ βουληθείη τις ἵνα ἀμύνασθαι, ἢ ἄρξαι χειρῶν ἀδίκων, ὅρα πόσα πάσχει δεινά. πληροῦται θυμοῦ, διακόπτεται ὑπὸ ὀργῆς, μυρία κύματα κινεῖ λογισμῶν, ὁδοὺς ἔρχεται μυρίας, φόβος ἔπεισι καὶ ἀγωνία καὶ τρόμος, τοῦ θυμοῦ διακόπτοντος, τοῦ φόβου κατασείοντος, πῶς ἐπιτύχῃ, πῶς ἐπεξέλθῃ· καὶ πρὸ τοῦ μέλλοντος ἀδικεῖσθαι, ἑαυτὸν ἀπόλλυσιν. ὁ δὲ ἐκβαλὼν τὴν ὀργὴν, ἁπάντων ἀπήλλακται τούτων· καὶ μάλα εἰκότως. τούτου γὰρ αὐτὸς κύριός ἐστι, καὶ τὸ πᾶν ἀπήρτισεν· ἐκείνου δὲ οὐκ ἔτι, ἀλλὰ C καὶ καιροῦ χρεία, καὶ τόπου, καὶ δόλου, καὶ κακουργίας, καὶ ὅπλων, καὶ μηχανημάτων, καὶ προσκρουσμάτων, καὶ κολακείας, καὶ δουλείας, καὶ ὑποκρίσεως. ὁρᾷς πῶς εὔκολον ἡ ἀρετὴ, δύσκολον δὲ ἡ κακία; πῶς τὸ μὲν ἀτάραχον, τὸ δὲ θορύβων γέμον; ταύτην τοίνυν ὑπογράφων ὁ προφήτης ἔλεγεν· ἰδοὺ ὠδίνησεν ἀδικίαν, συνέλαβε πόνον, καὶ ἔτεκεν ἀνομίαν. ἐντεῦθεν δείκνυται, ὅτι οὐ κατὰ φύσιν ἡμῖν ἡ ἀδικία, ἀλλὰ καὶ ἀλλότριόν τι. διὸ καὶ βαρύνει, καὶ ἕως ἂν ἀπαλλαγῶμεν, ὠδῖσι περιβάλλει. ἐπεὶ καὶ τὸ ἔμβρυον ἕως ἂν ἀπαρτίζηται, κατὰ φύσιν ἔγκειται τῇ γαστρὶ (διὰ τοῦτο καὶ μένει, καὶ πόνον οὐκ ἔχει) μετὰ D τὸ τελεσθῆναι, ἐὰν ἔνδον μένῃ, παρὰ φύσιν ἐστὶν ἡ διατριβὴ, ὅθεν καὶ ὠδῖνες γίνονται). διόπερ ἡ φύσις ἐνοχλουμένη βιάζεται ἐξωθήσασθαι, ἅτε ἐργασαμένη τὸ πᾶν καὶ ἀπαρτίσασα, καὶ οὐκ ἔτι δυναμένη φέρειν. ἀλλ' ἐκεῖ μὲν, πρῶτον σύλληψις γίνεται, καὶ τότε ὠδίς· ἐνταῦθα δὲ πρῶτον ὠδίνησε, καὶ τότε συνέλαβε καὶ ἔτεκε. τί οὖν ἐστιν εἰπεῖν; ὅτι ἐκεῖ ἐν καιρῷ τοῦ τόκου ἡ ὠδὶς, ἐνταῦθα δὲ μὲν ἐξ ἀρχῆς ἡ ὠδίς. ὁμοῦ τε γὰρ ἐβουλεύσατό τις τὶ πονηρὸν καὶ πρὶν ἢ πρᾶξαι τῇ

ξαι τῇ διανοίᾳ, θόρυβος, καὶ ταραχὴ κατὰ τὴν διάνοιαν. ἐπὶ μὲν γὰρ τῆς γυναικὸς ὃ καταβληθὲν ἅπαξ σπέρμα, αὐτὸ καὶ διαπλάττεται πρὸς τὴν σύστασιν τοῦ τικτομένου. ἐπὶ δὲ τῶν δόλους ῥαπτόντων σήμερον ἕτερος κατεβλήθη ὁ λογισμὸς, καὶ πάλιν αὔριον ἕτερος· καὶ μυρίαι καταβολαὶ τῶν πονηρῶν τούτων σπερμάτων, καὶ καθ' ἑκάστην ἡμέραν συλλήψεις καὶ ὠδῖνες διαφθείρουσαι τὴν ταῦτα τίκτουσαν διάνοιαν. οὐ γὰρ τοιοῦτος ὁ τόκος, οἷος ἐπὶ τῶν γυναικῶν. ἀλλ' ὥσπερ ἐπὶ τῶν ἐχιδνῶν τὴν μήτραν διασπῶσι, καὶ τὰ πλευρὰ διακόπτοντα τὰ παιδία πρόεισιν· οὕτω καὶ ἐπὶ τῶν δόλων καὶ ἐπὶ τῆς ἀδικίας. ἀλλὰ κἂν μυρία φιλονεικήσωμεν, οὐ δυνησόμεθα παραστῆσαι τῷ λόγῳ τὴν ἀηδίαν, ἣν ὑπομένουσιν οἱ κακοί. διὸ καί τις φησίν· ὁ δὲ κακὸς μόνος ἀντλήσει τὰ κακά. τί γὰρ χαλεπώτερον καὶ ἀλγεινότερον τοῦ βασκαίνοντος, τοῦ ἐπιβουλεύοντος, τοῦ τῶν ἀλλοτρίων ἐφιεμένου; δημίου παντὸς χαλεπώτερον τὰ πάθη ταῦτα τὴν ψυχὴν καταξαίνει. ὥστε εἰκότως ὠδῖνας ἐκάλεσε τοὺς τοιούτους λογισμούς. ἀλλ' ὥσπερ αἱ γυναῖκες ἀπὸ συνουσίας τίκτουσι, κἂν μὲν ὑγιῆ τὰ σώματα ᾖ, τοιαῦτα εἰκότως καὶ τὰ τικτόμενα, ἂν δὲ διεφθαρμένα, μιμεῖται τῶν γονέων τὴν φύσιν· οὕτω καὶ ἐπὶ τῶν λογισμῶν. κἂν μὲν ἀγαθοῖς συγγένῃ, τοιαῦτα ἔσται καὶ τὰ ἔκγονα, ἂν δὲ πονηροῖς, καὶ μὴ προσέχῃς, πολλὴν ἐκεῖθεν λήψῃ τὴν λύμην. ἄκουσον γοῦν ὁ προφήτης τί φησιν· ἀπὸ τοῦ φόβου σου ἐν γαστρὶ ἐλάβομεν, καὶ ὠδινήσαμεν, καὶ ἐτέκομεν πνεῦμα σωτηρίας. ἐπὶ δὲ τῶν ἐκ τοῦ διαβόλου· ὠὰ ἀσπίδων ἔῤῥηξαν, καὶ ἱστὸν ἀράχνης ὑφαίνουσι. φύγωμεν τοίνυν τοὺς πονηρούς. πῶς γὰρ οὐκ ἄτοπον, ἐξὸν ἀπὸ τῶν τοῦ Θεοῦ προσταγμάτων καὶ συλλαβεῖν καὶ τεκεῖν, μὴ βούλεσθαι, ἀλλὰ τὰς τῶν πονηρῶν συνουσίας διώκειν· ταὐτὸν ποιοῦντας, ὥσπερ ἂν γυναῖκα ἔχουσαν ἐξουσίαν βασιλεῖ συναφθῆναι, μὴ ἀνέχοιτο, ἀλλ' ἀντ' ἐκείνου λῃστὴν καὶ τοιχωρύχον αἱροῖτο λαβεῖν σύνοικον; λάκκον ὤρυξε, καὶ ἀνέσκαψεν αὐτὸν, καὶ ἐμπεσεῖται εἰς βόθρον, ὃν εἰργάσατο. πάλιν τῇ μεταφορᾷ κέχρηται, ὥσπερ διὰ τῆς ὠδῖνος τὸν πόνον δηλῶν, οὕτω διὰ τοῦ λάκκου τὸ δυσαπάλλακτον ἐνδεικνύμενος. καὶ ἐμπεσεῖται εἰς βόθρον, ὃν εἰργάσατο· ὅπερ ἕτερός φησιν, ὁ ὀρύσσων βόθρον τῷ πλησίον αὐτοῦ, ἐμπεσεῖται εἰς αὐτόν.

piam de malo consultauit, etiam priusquam in cogitatione concreuerit, tumultus ac turba est in cogitatione. In muliere enim deiectum semel semen, ipsum etiam formatur: in iis autem qui dolos construunt, hæc hodie deiecta est cogitatio, & cras rursus alia, & sunt innumerabiles malorum seminum deiectiones, & sunt singulis diebus conceptiones, & partus dolores, qui perimunt cogitationem, à qua ista pariuntur. Non enim talis partus, qualis est in mulieribus, sed quemadmodum in viperis, vterum discerpunt, & latera dilaniantes fœtus procedunt: ita etiam in fraudibus & in iniustitia. Sed quantumuis contendamus, non poterimus oratione explicare molestiam ac dolorem, quem improbi sustinent. Et ideo dicit quispiam: Exhauriet verò malus solus mala. Quid enim eo, qui inuidet, grauius, & dolentius eo qui insidiatur? eo qui aliena concupiscit? Quouis carnifice grauius perturbationes hæ mentem excruciant. Meritò ergo dolores partus has vocauit cogitationes. Sed quemadmodum mulieres ex congressione pariunt, & si sunt sana quidem corpora, talia sunt etiam quæ nascuntur, sin autem corrupta parentum naturam imitantur, ita etiam in cogitationibus: & si cum bonis verseris, tales quoque erunt tui fœtus. Sin autem cum malis, & non attendas, magnum illinc quoque damnum capies. Audi ergo quid dicat propheta: A timore tuo in vtero concepimus, & parturiuimus, & peperimus spiritum salutis. In iis autem qui ex diabolo: Oua aspidum fregerunt, & araneæ telam texuerunt. Fugiamus ergo improbos. Quomodo enim non est absurdum, cùm liceat ex Dei præceptis & concipere, & parere, id nolle, sed improborum persequi congressiones, sed perinde facere ac si mulier, in cuius est potestate cum rege coniungi, non sustineat, sed pro illo latronem & murorum perfossorem velit habere coniugem? Lacum aperuit & effodit eum, & incidit in foueam quam fecit. Vsus est rursus translationibus, quemadmodum per parturitionem, dolorem: ita per lacum, difficilem liberationem indicans. Et incidet in foueam quam fecit. Quod alius dicit: Qui fodit foueam proximo suo, incidet in ipsam.

Iniquitas partus viperinus. — *Prou. 9.12.* — *Collatio.* — *Esa. 26.17.* — *Esa. 59.5.* — *Prou. 26.27.*

Porrò autem hoc quoque Dei benignitatis est & clementiæ, insidiis talem tribuere naturam, vt retia conuertantur in ipsos insidiatores, vt ideo desistant cum proximo belligerare, & ei parare insidias. Hoc etiam in Mose accidit. Qui enim esset perimendus, conseruatus est: Pharao autem per viam quam aduersus infantes machinatus est, per eam periit. Cùm enim iussisset infantes interimi, coëgit matrem Mosis infantem propter metum exponere. Cùm autem filia Pharaonis fiscellam scirpeam de fluuio sustulisset, & infantem inuenisset, eum nutriit: auctus autem ille omnes perdidit. Hinc & Dei maximè elucet solertia, & improbis magna castigatio, & iis qui effugiunt, voluptas. Ita etiam in Ioseph accidit. Cùm enim eum fratres in seruitutem coniecissent, passi sunt, quæ passi sunt, & eum quidem nihil læserunt, sed etiam iuuerunt: ipsi autem tragœdiam illam sustinuerunt. Cùm multa autem possint dici eiusmodi, considera etiam in aliis. Aliena inuasit aliquis? seipsum perdidit. Eum enim, in cuius bona inuasit, sæpe etiam iuuit; suam autem animam prodidit. Fecit aliquis iniuriam? ense seipsum confodit. Non enim malè affectum esse, sed malè affecisse, hoc verò est malè pati. Et ideo Paulus quoque suadebat iniuria potius affici, quàm afficere: & Christus alapis impeti, & non contra impetere, sed etiam seipsum ad patiendum offerre. Hoc est maximæ virtutis, hoc efficit tolerantiam, hoc fortem reddit animam, hoc omnibus animi perturbationibus potentiorem efficit. Qui enim alij iniuriam facit, vel eum verberat, aut contumelia afficit, ipse priùs ab animi pertubatione victus, & in seruitutem redactus, tunc videtur proximo iniuriam facere: ipse autem grauiora passus est, in extremam redactus seruitutem. *Conuertetur dolor eius in caput eius, & in verticem ipsius iniquitas eius descendet.* Et de Achitophele & de Absalone hæc dicta esse dicunt. Vtriusque enim caput descendit ad supplicium. Ille enim laqueo vsus vitam finiit, hic verò cùm sub arborem venisset, & coma fuisset suspēsus, illic longo tempore pependit.

Marginal notes: Exod. 2. — Exod. 14. — Gen. 37. vsque ad finem libri. — 1. Cor. 6. 7. Matt. 5. 39 Luc. 6. — 2. Reg. 17. 2. Reg. 18.

A καὶ τοῦτο δὲ τῆς τοῦ Θεοῦ φιλανθρωπίας, τὸ τοιαύτην συγκληρῶσαι τῇ ἐπιβουλῇ τὴν φύσιν, ὥστε εἰς τοὺς ἐπιβουλεύοντας περιτρέπεσθαι τὰ δίκτυα, ἵνα καὶ ἐντεῦθεν ἀποστῶσι τῆς κατὰ τοῦ πλησίον μάχης καὶ μηχανῆς. τοῦτο καὶ ἐπὶ τοῦ Μωσέως γέγονεν· ὁ μὲν γὰρ μέλλων ἀναιρεῖσθαι διεσώθη· ὁ δὲ Φαραὼ διὰ τῆς ὁδοῦ, ἧς κατὰ τῶν παίδων ἐμηχανήσατο, δι' αὐτῆς ἀπώλετο. κελεύσας γὰρ ἀναιρεῖσθαι τὰ παιδία, ἠνάγκασε τὴν μητέρα Μωϋσέως ἔκθετον διὰ τὸ δέος ποιῆσαι τὸ βρέφος· καὶ ἀπὸ τοῦ ποταμοῦ ἀνελομένη τὴν θίβην ἡ θυγάτηρ B τοῦ Φαραὼ, καὶ εὑροῦσα τὸ βρέφος ἀνέθρεψε, καὶ αὐξηθεὶς ἐκεῖνος, πάντας ἀπώλεσεν. ἐντεῦθεν καὶ ἡ εὐμηχανία τοῦ Θεοῦ μάλιστα διαλάμπει, καὶ τοῖς πονηροῖς πολὺς ὁ σωφρονισμὸς, καὶ τοῖς διαφεύγουσιν ἡ ἡδονή. οὕτω καὶ ἐπὶ τοῦ πανκάλου Ἰωσὴφ γέγονεν. ἐμβαλόντες γὰρ αὐτὸν εἰς δουλείαν, οἱ ἀδελφοὶ ἔπαθον ἅπερ ἔπαθον. καὶ τὸν μὲν ἔβλαψαν οὐδὲν, ἀλλὰ καὶ ὤνησαν· αὐτοὶ δὲ τὴν τραγῳδίαν ἐκείνην ὑπέμειναν. καὶ πολλὰ τοιαῦτα λέγειν ἔξον, σκόπει καὶ ἐπὶ τῶν ἄλλων. ἐπλεονέκτησέ τις; ἑαυτὸν ἀπώλεσε. τὸν μὲν γὰρ πλεονεκτηθέντα πολλάκις καὶ ὤνησε, τὴν δὲ ἑαυτοῦ ψυχὴν προὔδωκεν. C ἠδίκησέ τις; ἑαυτῷ τὸ ξίφος περιέπειρεν. οὐ γὰρ τὸ παθεῖν κακῶς, ἀλλὰ τὸ ποιῆσαι κακῶς, τοῦτο μάλιστά ἐστι τὸ πάσχειν κακῶς. διὰ τοῦτο καὶ Παῦλος παρῄνει μᾶλλον ἀδικεῖσθαι, καὶ μὴ ἀδικεῖν. καὶ ὁ Χριστὸς, ῥαπίζεσθαι καὶ μὴ ἀντιρραπίζειν, ἀλλὰ καὶ παρέχειν ἑαυτὸν εἰς τὸ πάσχειν. τοῦτο μεγίστης ἰσχύος, τοῦτο ὑπομονὴν ἐργάζεται, τοῦτο ἰσχυρὰν τὴν ψυχὴν κατασκευάζει, τοῦτο τῶν παθῶν ἀνώτερον ποιεῖ. ὁ γὰρ ἀδικῶν ἕτερον, D ἢ τύπτων, ἢ ὑβρίζων, πρότερον αὐτὸς ὑπὸ τοῦ πάθους χειρωθεὶς, καὶ αἰχμάλωτος γενόμενος, τότε δοκεῖ τὸν πλησίον ἀδικεῖν, αὐτὸς δὲ χαλεπώτερα πέπονθε, τὴν ἐσχάτην δουλείαν δουλεύσας. ἐπιστρέψει ὁ πόνος αὐτοῦ εἰς κεφαλὴν αὐτοῦ, καὶ ἐπὶ κορυφὴν αὐτοῦ ἡ ἀδικία αὐτοῦ καταβήσεται. καὶ περὶ τοῦ Ἀχιτόφελ, καὶ περὶ τοῦ Ἀβεσσαλὼμ ταῦτα εἰρῆσθαί φασιν· ἀμφοτέρων γὰρ ἡ κεφαλὴ εἰς τιμωρίαν κατέβη. ὁ μὲν γὰρ ἀγχόνῃ χρησάμενος, οὕτω τὸν βίον κατέλυσεν· ἐκεῖνος δὲ ὑπὸ τὸ δένδρον ἐλθὼν, καὶ ἐξαρτηθεὶς ὑπὸ τῆς κόμης, πολὺν ἐκρέματο χρόνον.

οὕτω καὶ Ἰούδας ἀγχόνῃ τὸν βίον κατέλυσεν, εἰδὼς ὅτι ἐπὶ κακῷ τῆς αὐτοῦ κεφαλῆς πάντα εἰργάσατο. καὶ ὁ Ἀχιτόφελ νοήσας ὅτι πάντως περιέσται ὁ Δαβίδ, ἀπελθὼν ἀπήγξατο· καὶ ὁ Ἀβεσσαλὼμ ἄκων ἐκρέματο, καὶ οὐκ εὐθέως ἀνῃρεῖτο, ἀλλ᾽ ὥσπερ ἐν δικαστηρίῳ πρότερον ἀνηρτήθη, καὶ τῷ ξύλῳ προσηλώθη· καὶ τοῦ Θεοῦ τὴν ψῆφον ἄνωθεν φέροντος, ἐπὶ πολὺ ἐκρέματο χρόνον, ὑπὸ τοῦ συνειδότος λοιπὸν μαστιγούμενος. αὐτὸς μὲν γὰρ ἐπεθύμει τὴν δεξιὰν τῷ λαιμῷ βαπτίσαι τῷ πατρικῷ, ὁ δὲ πατὴρ καὶ οὕτω φείσασθαι αὐτοῦ παρῄνει τοῖς στρατιώταις. καὶ οὕτως οὐκ ἦν κενοδοξίας τὸ λεγόμενον, ὅτι καὶ μετὰ θάνατον ἀποδύρεται. καὶ ἵνα μάθῃς ὅτι οὐκ ἀνθρωπίνης ἦν σπουδῆς τὸ γινόμενον, ἀλλ᾽ ὅλον θεῖον ἦν τὸ δικαστήριον, τρίχες καὶ ξύλον αὐτὸν ἔδησαν, καὶ ζῶον ἄλογον προέδωκε, καὶ ἀντὶ μὲν σχοινίου ἡ κόμη, ἀντὶ δὲ ξύλου τὸ δένδρον γέγονεν, ἀντὶ δὲ στρατιώτου προσήγαγεν αὐτὸν ἡ ἡμίονος. καὶ σκόπει τὸ παράδοξον. τοιαῦτα παθόντος, οὐδεὶς ἐτόλμησε προσελθεῖν τῶν αὐτοῦ, καὶ καθελεῖν αὐτὸν, τοσαύτης γινομένης σχολῆς. καὶ οὕτω γὰρ ὁ Θεὸς ᾠκονόμει, ὥστε μήτε καθαιρεθῆναι, μήτε δεδεμένον ἀπενεχθῆναι τῷ πατρί· ἐπειδὴ τὰ πατρικὰ σπλάγχνα πέρα τοῦ μέτρου τὴν φειδὼ ἐπεδείκνυτο. καὶ τὸ δὴ θαυμαστότερον· ὅτι ὁ καταλλάξας αὐτῷ τὸν πατέρα, οὗτος αὐτὸν ἀνεῖλε, μονονουχὶ κατήγορος σφοδρὸς ἐπιστάς. ἀλλ᾽ ἀνῄρει μὲν οὗτος, ἐψηφίζετο δὲ ὁ Θεός. ὅτι γὰρ ἄνωθεν ἡ ψῆφος κατεφέρετο, ἄκουσον αὐτοῦ, τοῦτο πῶς παρέστησεν. εἰπὼν γὰρ, ἐπὶ κορυφὴν ἡ ἀδικία αὐτοῦ καταβήσεται, φησὶν, ἐξομολογήσομαι τῷ κυρίῳ κατὰ τὴν δικαιοσύνην αὐτοῦ, καὶ ψαλῶ τῷ ὀνόματι κυρίου τοῦ ὑψίστου. εὐχαριστήσομεν, φησὶν, οὐ τοῖς ἑτέρων χαίρων σφαγαῖς, ἀλλὰ τοῦ Θεοῦ τὴν ψῆφον ἀποδεχόμενος. καὶ τίς δύναται αὐτῷ εὐχαριστῆσαι κατὰ τὴν δικαιοσύνην αὐτοῦ; τίς γὰρ αὐτὸν αἰνέσει, ὡς ἔστιν; οὐδείς. τί ἐστι, κατὰ τὴν δικαιοσύνην αὐτοῦ; ἀντὶ τοῦ, ἐπὶ τῇ δικαιοσύνῃ αὐτοῦ. καὶ ᾄσω τῷ κυρίῳ τῷ ὑψίστῳ. αὐτοῦ γάρ ἐστι τὰ νικητήρια· αὐτοῦ τὰ τρόπαια, οὐκ ἐμά. καθάπερ γὰρ ἐπὶ τῶν πολέμων, βασιλέως νικήσαντος, χοροὺς στήσαντες ᾄδουσιν, εἰς ἐκεῖνον τὰς εὐφημίας ἀναφέροντες· οὕτω κἀγὼ ποιήσω, φησί. διὰ τοῦτο οὐκ εἶπεν, ἐξομολογοῦμαι, ἀλλ᾽ ἐξομολογήσομαι, δηλῶν, ὅτι οὐδὲ μετὰ τὸ τυχεῖν

A Ita etiam Iudas laqueo vitam finiit, *Act. 1.* sciēs se hæc omnia fecisse in perniciem sui capitis: & Achitophel cùm animaduertisset omnino futurum vt Dauid vinceret, seipsum suffocauit: Absalon autem inuitus pependit, & non statim de medio sublatus est, sed tanquam in iudicio priùs suspensus est, & ligno affixus, & Deo è superis ferente sentētiam, longo tempore pependit, à conscientia deinceps flagellatus. Ipse enim cupiebat in patris gulam dexterā intingere: pater autem vel sic rogabat milites, vt B ei parcerent. A vana autē gloria (quod dixi) erat adeò alienus, vt etiam post mortem eum lugeret. Et vt scias quod factum est, non fuisse humanæ industriæ, sed totum fuisse diuini iudicij, capilli & lignum eum alligarunt, & brutum eum animal tradidit, & pro fune quidem coma, pro ligno autem arbor extitit: pro milite autem eum adduxit mulus. Considera autem id quod est admirabile. Cùm hæc passus est, nemo suorum ad eum accedere ausus est, ipsumque, inde detrahere, cùm tantum fuisset temporis spatium. Hoc au- C tem Deus prouiderat, vt neque detraheretur, nec vinctus ad patrem afferretur, quoniam paterna viscera ei parci velle vltra modum indicauerant: & quod est admirabilius, qui patrem ei reconciliauit, is ipsum interfecit, propemodum instans vehemens accusator: sed is quidem eum occidit, Deus autem tulit sententiam. Quòd enim è superis lata sit sententia, audi quomodo id ipse ostēderit. Cùm enim dixisset: Et in verticem ipsius iniquitas eius descendet, dicit: *Confitebor domino secundum iustitiam eius, & psallam nomini Domini altis-* D *simi.* Gratias agam, inquit, non aliorum gaudens cædibus, sed Dei sententiam suscipiens. Et quis potest ei gratias agere secundùm iustitiam eius? Quis autem eum laudabit, sicut est? Nullus. Quid est secundùm iustitiam eius? Pro eo quod est, propter iustitiam eius. Et psallā Domino altissimo. Eius est enim victoria, eius trophæa, nō mea. Quemadmodum enim in bellis cùm rex vicit, choros ducentes canunt laudes in eum conferentes: ita ego quoque faciam, inquit, propterea non dixit, Confiteor: sed, Confitebor: significans quòd nec postquam est assecutus,

Secundùm propter.

bonorum obliuiscitur: nec fit negligentior, sed est diligens, & vigilat: nō quòd Deus iis indigeat, sed quòd hoc sit nobis vtile & commodum. Quemadmodum enim accipiebat sacrificia, non egens sacrificiis, (Si enim esuriero, inquit, non dicam tibi) sed homines deducens ad ipsius honorem: ita etiam hymnos laudésque suscipit, nostra laudatione nō egens, sed nostram salutem desiderans. Deo enim magnæ curæ est vt in virtute crescamus. Nihil autē æquè facit in virtute crescere, atque cum Deo assiduè versari & colloqui, eique perpetuò gratias agere & psallere. Psallit autē Deo, iustum eius iudicium admirans, & patientiā. Et vbi, inquit, eius est patientia interfecto tyranno? Longè certè maxima. Longo enim tēpore eum dimisit, vt veniret ad pœnitentiam: & regiam tenendam dedit, vt cùm videret domum in qua creuerat, & educatus fuerat, & patris signa, ad pœnitentiam veniret. Si enim nō fuisset immanis bestia, nec cor habuisset lapideum, omnia illa sufficiebant ad illum reducendum: mensa cuius cum patre erat particeps, domus, sedilia, vbi verba eum reconciliauerant, cùm talem cædem fecisset. Cum his erant etiam alia, quæ ad eum emolliendum sufficiebant. Audiuerat enim eum exulem sedibus incertis errare, & mala grauia tolerare. Quòd si ne hæc quidē eum molliebant, oportebat ea quæ Achitopheli euenerāt, eum castigare, laqueum, mortem: vt per hæc omnia veniret ad pœnitentiam. Neque enim ignorabat quę amico acciderant. Quam autē culpam in patrē conferēs, hæc faciebat? Quòd eum ab aspectu remouit? Sed eo nomine debebat eum admirari & suspicere, quòd cùm fratrem interfecisset, eum molli & leni animo tulisset. Sed cùm nihil ei posset dari crimini, sed importuna teneretur cupiditate, idque cum pater esset iam senex, & esset expectatio in foribus, ne tantillum quidem expectauit. Quomodo autem non cogitauit, quòd etiamsi vicisset, miserrimam omnium vitam esset acturus, cùm esset scelerosus, immundus, & execrandus? Vbi nunc sunt qui deflent paupertatem? Qua non paupertate, quo non morbo, quo non dolore sunt hæc longè grauiora? Nihil tale dixit apud se, neque indignatus est, nec lamentatus est, dicens:

Psal. 49.

2. Reg. 13.

A τῶν ἀγαθῶν ἐπιλανθάνεται, οὐδὲ γίνεται ῥαθυμότερος· ἀλλὰ νήφει καὶ ἐγρήγορεν· οὐκ ἐπειδὴ ὁ Θεὸς τούτου δεῖται, ἀλλ' ἐπειδὴ ἡμῖν τοῦτο χρήσιμον καὶ κερδαλέον. ὥσπερ γὰρ θυσίας ἐλάμβανεν, οὐχὶ δεόμενος θυσιῶν (ἐὰν γὰρ πεινάσω, φησὶν, οὐ μή σοι εἴπω) ἀλλ' ἐνάγων τοὺς ἀνθρώπους εἰς τὴν αὐτοῦ τιμήν· οὕτω καὶ ὕμνους δέχεται, οὐ δεόμενος τῆς παρ' ἡμῶν εὐφημίας, ἀλλ' ἐπιθυμῶν τῆς ἡμῶν σωτηρίας. Θεῷ γὰρ περισπούδαστον ἡμῶν ἐπίδοσις ἡ κατ' ἀρετήν. οὐδὲν δὲ οὕτως ἐπιδιδόναι ποιεῖ εἰς ἀρετὴν, ὡς τὸ συνεχῶς ὁμιλεῖν Θεῷ, καὶ διη-

B νεκῶς εὐχαριστεῖν καὶ ψάλλειν τῷ Θεῷ. ψάλλει δὲ τῷ Θεῷ, ἐκπληττόμενος αὐτοῦ τὴν δικαιοκρισίαν, τὴν μακροθυμίαν. καὶ ποῦ, φησὶν, ἡ μακροθυμία, ἀναιρεθέντος τοῦ τυράννου; πολλὴ μὲν οὖν καὶ μεγάλη. καὶ γὰρ ἀφῆκεν αὐτὸν πολὺν χρόνον, ὥστε εἰς μετάνοιαν ἐλθεῖν· καὶ τὰ βασίλεια κατέχειν ἔδωκεν, ἵνα τὴν οἰκίαν ἰδὼν, εἰς ἣν ηὐξήθη καὶ ἐτράφη, καὶ τὰ τοῦ πατρὸς σύμβολα, εἰς μετάνοιαν ἔλθῃ. εἰ γὰρ μὴ θηρίον ἦν, καὶ λιθίνην εἶχε ψυχὴν, ἱκανὰ πάντα ἐκεῖνα αὐτὸν ἐπαναγαγεῖν· ἡ τράπε-

C ζα, καθ' ἣν ἐκοινώνει τῷ πατρὶ, ὁ οἶκος, τὰ συνέδρια, ἔνθα οἱ λόγοι αὐτὸν κατήλλαξαν φόνον τοιοῦτον πεποιηκότα. μετὰ τούτων, καὶ ἕτερα ἦν ἱκανὰ αὐτὸν μαλάξαι. καὶ γὰρ ἤκουσεν ὅτι φυγὰς καὶ ἀλήτης περιήρχετο, ὅτι πολλὰ ἔπασχε δεινά. εἰ δὲ μὴ ταῦτα ἐμάλαξεν, ἔδει αὐτὸν τὰ τοῦ Ἀχιτόφελ σωφρονίσαι (ἡ ἀγχόνη, ὁ θάνατος) ὥστε διὰ πάντων ἐλθεῖν εἰς μετάνοιαν. οὐδὲ γὰρ ἠγνόησε τὰ τοῦ φίλου. τί δὲ καὶ ἔχων ἐγκαλεῖν τῷ πατρὶ ταῦτα ἐποίει; ὅτι ἐξ ὄψεως αὐτὸν πεποίηκεν; ἀλλ' ἔδει

D διὰ τοῦτο καὶ θαυμάσαι, καὶ ἀποδέξασθαι, ὅτι ἀδελφοκτόνον γενόμενον ἡμέρως ἤνεγκεν. ἀλλ' οὐδὲν ἔχων ἐγκαλεῖν, ἀλλ' ἐπιθυμίᾳ ἀλλοις ἀκαίρῳ, καὶ ταῦτα λοιπὸν γέροντος ὄντος τοῦ πατρὸς, καὶ ἐπὶ θύραις τῆς προσδοκίας οὔσης, οὐκ ἀνέμεινεν οὐδὲ μικρόν. πῶς δὲ οὐκ ἐνενόησεν, ὅτι καὶ νικήσας πάντων ἀθλιώτερον ἕξει βίον, ἐναγὴς ὢν καὶ ἀκάθαρτος, καὶ ἀπὸ τοῦ ἐπαράτου; ποῦ νῦν εἰσιν οἱ πενίαν ὀδυρόμενοι; πόσης ταῦτα πενίας οὐ χαλεπώτερα; πόσης νόσου; πόσης ὀδύνης; οὐκ εἶπεν οὐδὲν τοιοῦτον πρὸς ἑαυτὸν, ἀλλ' οὐδὲ ἀπεδυσπέτησεν, οὐδὲ ἐθρήνησε λέγων·

καλῶς γε ἀπολαμβάνω τὰς ἀμοιβάς, ὁ ἐν τῷ νόμῳ αὐτοῦ μελετῶν ἡμέρας καὶ νυκτός, ὁ ἐν ἀξιώματι τοσούτῳ, πάντων γενόμενος ταπεινότερος· ὁ τῶν ἐχθρῶν φεισάμενος, εἰς χεῖρας ἀκολάστου παιδὸς ἐξεδόθην. οὐδὲν τοιοῦτον οὐκ εἶπεν, οὐκ ἐνενόησεν, ἀλλ' ἔφερεν ἅπαντα μετὰ φιλοσοφίας, μίαν ἔχων παραμυθίαν ἐν τοῖς γινομένοις, τὸ τῷ Θεοῦ ταῦτα εἰδότος γίνεσθαι. καθάπερ καὶ οἱ τρεῖς παῖδες ἔλεγον· καὶ ἐὰν μή, γνωστὸν ἔστω σοι, βασιλεῦ, ὅτι τοῖς Θεοῖς σου οὐ λατρεύομεν, καὶ τῇ εἰκόνι τῇ χρυσῇ, ᾗ ἔστησας, οὐ προσκυνοῦμεν. εἰ δέ τις εἶπε πρὸς αὐτούς, καὶ ποίᾳ ἐλπίδι ἀποθνήσκετε; τί προσδοκῶντες, τί δὲ ἐλπίζοντες μετὰ τὸν θάνατον, μετὰ τὸ πῦρ; (οὐδέπω γὰρ τῆς ἀναστάσεως ἦν ἡ προσδοκία) ἤκουσεν ἄν· ὅτι αὕτη μεγίστη ἡμῖν ἀντίδοσις, τὸ διὰ Θεὸν ἀποθανεῖν· οὕτω καὶ αὐτὸς μεγίστην ταύτην ἡγεῖτο παραμυθίαν, τὸ τὸν Θεὸν εἰδότα ταῦτα μὴ κωλύειν. καὶ γὰρ ἐραστὴς μυριάκις ἂν ἕλοιτο ὑπὲρ ἐρωμένης κατασφαγῆναι, καὶ μηδὲν μετὰ θάνατον προσδοκῶν παρ' ἐκείνης. οὕτω δὴ καὶ ἡμᾶς δεῖ, μὴ βασιλείας προσδοκίᾳ, μηδὲ ἄλλῃ τινὶ τῶν μελλόντων ἀγαθῶν ἐλπίδι, ἀλλὰ δι' αὐτὸν τὸν Θεὸν πάντα πράττειν. ἀλλ' οὕτως εἰσὶ πολλοὶ καὶ ἔτι ἀναπεπτωκότες, καὶ νωθροί, ὅτι οὐδὲ μετὰ μισθοῦ τῆς ἀρετῆς ἐφίενται. καὶ ὁ μὲν Θεὸς καὶ βασιλείαν ἐπαγγελλόμενος, οὐκ ἀκούεται· ὁ δὲ διάβολος γέενναν προξενῶν, φιλεῖται. τί ταύτης τῆς μανίας χαλεπώτερον; καὶ τί λέγω γέενναν; καὶ πρὸ τῆς γεέννης ἐνταῦθα ὀδύνην, καὶ αἰσχύνην, καὶ γέλωτα ἐπάγων καὶ μυρίας κολάσεις, πολλοὺς ἔχει τοὺς προστρέχοντας. ἐννόησον γοῦν τὸν μοιχόν, πῶς ἀθλιώτερος πάντων ζῇ, καὶ πρὸ τῆς γεέννης πάντα ὑποπτεύων, καὶ τὰς σκιὰς τρέμων, πρὸς οὐδένα ἐλευθέροις ἀποβλέπων ὀφθαλμοῖς, ἀλλὰ πάντας δεδοικώς, τοὺς εἰδότας, τοὺς οὐκ εἰδότας, ξίφη βλέπων ἠκονημένα, θανάτους ἐπηρτημένους, δημίους, δικαστήρια. τί τοιοῦτον ἡ σωφροσύνη ἔχει, κἂν μυρίους πόνους ἔχῃ; οὐκ ἀεὶ ἐν ἡδονῇ ὁ σώφρων, ἀεὶ δὲ ἐν ὀδύνῃ ὁ μοιχός, καὶ ἐν σκότῳ; οὕτω καὶ ἐπὶ τῶν ἄλλων ἐστὶν ἰδεῖν τῶν ἡττωμένων ὀργῆς, καὶ τῶν κρατούντων ὀργῆς· τῶν ἁρπαζόντων, καὶ τῶν τὰ ἑαυτῶν διδόντων διὰ τὸν Θεόν, ἢ μᾶλλον εἰπεῖν προϊεμένων. οἱ μὲν γὰρ ἐν λιμένι κάθηνται· οἱ δὲ

A Egregiam verò refero mercedem, qui in eius lege die & nocte meditor: qui cùm in tanta essem authoritate, nunc sum omnium abiectissimus. Qui peperci inimicis, in petulantis filij sum manus traditus: nihil tale dixit, nec cogitauit, sed omnia sapienti & forti animo ferebat: in his quæ fiebant, vnam habens consolationem, quòd Deo hæc sciente fierent. Quemadmodum tres quoque pueri dicebant: Sin minus, notum sit tibi rex, quòd deos tuos non colimus, & statuam tuã auream, quam statuisti, non adoramus. Si quis autem eis dixisset: Et qua tandem spe mori- B mini? quid expectantes, quid verò sperantes post mortem, per ignem? (Resurrectionis enim nondum erat expectatio) audiuisset: Hæc est maxima remuneratio, mori propter Deum. ita hic etiam maximum existimabat solatium, Deum hæc scientem non prohibere. Amator enim vel millies pro amica moreretur, quamuis post mortem nihil ab ea expectaret. Ita etiam nos oportet non propter regni expectationem, nec propter aliquam spem futurorum bonorũ, sed propter ipsum Deum omnia pati. Sed sunt multi adeò ignaui & su- C pini, vt ne cum mercede quidem virtutem expetant. Et Deus quidem qui regnum promittit, non auditur: qui gehennam autem procurat diabolus, amatur. Quid hac est insania grauius? quid autem dixi procurare gehennam, etiam ante gehennam hîc dolorem, risum & ignominiam, & innumerabilia adducens supplicia, multos habet, qui ad ipsum accurrunt. Considera quomodo adulter vel ante gehennam est omnium miserrimus, omnia suspicans, vel ad vmbram contremiscens, ad D nullum liberis respiciens oculis, sed omnes pertimescens, & qui sciunt, & qui nesciunt, acutos videns gladios, mortes impendentes, lictores, iudicia. Quid tale habet temperantia, etsi labores habeat innumerabiles? Non est semper in voluptate continens: in dolore autem semper est adulter, atque in tenebris? Ita etiam videre possumus in aliis, qui vincuntur ab ira, & qui iram vincunt: in iis qui rapiunt, & in iis qui sua propter Deum donant vel (vt verius dicam) profundunt. Hi enim sedent in portu, illi verò

Dan. 3. 18.

Confirmatio à simili.

Enantiosis. Matt. 19. 25.

in præsentium malorum euripum detrusi, quotidie circumcursant. Præter hæc autem, quando qui est maximè auarus, se iam viderit esse prouectæ ætatis, neque luxuriæ suæ præsentia bona sufficere ad fruendum, & mortem timet imminentem, considera quanta patitur. At non qui est virtute præditus, sed tunc gaudet & oblectatur cum ad senectutem peruenerit, cùm eius non pereat, sed potius germinet & efflorescat fruitio. Adulteris itaque, & incontinentibus, & auaris, & helluonibus senectus affert, vt ab illis fruendis excidant: bonis autem maiorem tum fruendi facultatem. Quare vel ante gehennam hoc vel ad mentem vexandam sufficerit. Hæc ergo cogitantes, fugiamus vitium, sectemur virtutem, Deum amemus, non propter ea quæ sunt eius, sed propter ipsum. Ita enim in præsenti vita ingrediemur via, quæ ducit ad virtutem, quę est angusta quidem natura, sed viatorum voluntate & instituto lata redditur. Ad cuius fastigij cacumen nobis detur peruenire gratia & clementia domini nostri Iesu Christi, cui gloria in secula seculorum, Amen.

Conclusio parænetica.

Matth. 7. Prov. 4.

A εἰς τὸν εὔριπον τῶν παρόντων ἐξενεχθέντες κακῶν, καθ' ἑκάστην περιέρχονται τὴν ἡμέραν. χωρὶς δὲ τούτων, ὅταν ἡλικίας προβαίνουσαν ὁ πλεονεξίᾳ συζῶν καὶ ἀκολασίᾳ οὐκ ἀρκοῦσαν αὐτῷ πρὸς ἀπόλαυσιν ἔχῃ, καὶ τοῦ θανάτου τὸν φόβον ἐπικείμενον, ἐννόησον οἷα πάσχει δεινά. ἀλλ' οὐχ ὁ ἐν ἀρετῇ· ἀλλὰ τότε μᾶλλον χαίρει καὶ εὐφραίνεται, ὅταν εἰς γῆρας ἐλάσῃ, οὐ καταμαραινομένης αὐτῷ τῆς ἀπολαύσεως, ἀλλὰ μᾶλλον ἀνθούσης. τοῖς μὲν οὖν μοιχοῖς, καὶ ἀκολάστοις, καὶ πλεονέκταις, καὶ γαστριμάργοις B ἔκπτωσις τῆς ἀπολαύσεως ἐκείνων, τὸ γῆρας· τοῖς δὲ, ἀρετὴν μετιοῦσι ἐπίτασις τῆς ἀπολαύσεως τότε γίνεται. ὥστε καὶ πρὸ τῆς γεέννης, καὶ πρὸ τῶν ἐντεῦθεν δμιαρῶν, ἱκανὸν καὶ τοῦτο κατασεῖσαι τὴν διάνοιαν. ταῦτα οὖν ἐννοοῦντες, φεύγωμεν κακίαν, ἑλώμεθα ἀρετὴν, φιλῶμεν τὸν Θεὸν, μὴ διὰ τὰ αὐτοῦ, ἀλλὰ δι' αὐτόν. οὕτω γὰρ κατὰ τὸν παρόντα βίον καὶ τὴν κατ' ἀρετὴν ὁδεύσομεν ὁδὸν, στενὴν μὲν οὖσαν τῇ φύσει, εὐρεῖαν δὲ τῇ προαιρέσει τῶν ὁδοιπόρων γινομένην· ἧς γένοιτο πάντας ἡμᾶς C εἰς τὸ ἄκρον ἐλθεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων Ἀμήν.

IN PSALMVM VIII.

IN FINEM PRO TORcularibus. *Alius*, Triumphale pro torcularibus. *Alius*, victoriæ effectori, pro gitthitide. Hebræus autem Lamamuazeah alhanathih.

Domine dominus noster, quàm admirabile est nomen tuum in vniuersa terra. Alius, *Quàm magnum est nomen tuum.*

In priore psalmo dixerat: Confitebor domino secúdum iustitiam eius, & psallam nomini domini altissimi: hic implet quod promiserat, ei hymnum offerens. Et in illo

ΕΙΣ ΤΟΝ ΠΙΙΙ. ΨΑΛΜΟΝ.

ΕΙΣ ΤΟ ΤΕΛΟΣ ΥΠΕΡ ΤΩΝ ΛΗΝΩΝ· Ἄλλος, ΕΠΙνίκιον ὑπὲρ τῶν ληνῶν· ἄλλος, τῷ νικοποιῷ ὑπὲρ τῆς γετθίτιδος· D ὁ δὲ Ἑβραῖος, Λαμαναατή. ἄλλος, ἀγεθθίθ.

Κύριε ὁ κύριος ἡμῶν, ὡς θαυμαστὸν τὸ ὄνομά σου ἐν πάσῃ τῇ γῇ. ἄλλος, τί μέγα τὸ ὄνομά σου.

ΕΝ τῷ πρὸ τούτου ψαλμῷ ἔλεγεν· ἐξομολογήσομαι τῷ κυρίῳ κατὰ τὴν δικαιοσύνην αὐτοῦ, καὶ ψαλῶ τῷ ὀνόματι κυρίου τοῦ ὑψίστου· ἐνταῦθα τὴν ὑπόσχεσιν πληροῖ, ὕμνον ἀναφέρων αὐτῷ. καὶ

ἐν ἐκείνῳ μὲν, ὡς ἐξ ἑνός ἐστι προσώπου τὰ λεγόμενα. κύριε γὰρ ὁ Θεός μου, φησιν, ἐπὶ σοὶ ἤλπισα, σῶσόν με. ἐνταῦθα δὲ, ὡς ἐκ πολλῶν. κύριε γὰρ, φησιν, ὁ κύριος ἡμῶν, ὡς θαυμαστὸν τὸ ὄνομά σου. ἀλλὰ παρέχετε σιγὴν, καὶ μετὰ ἀκριβείας ἀκούετε. εἰ γὰρ ἐν θεάτρῳ χορῶν ᾀδόντων σατανικὰ, πολλὴ γίνεται ἡσυχία, ὥστε τὰ ὀλέθρια ἐκεῖνα δέξασθαι μέλη· καίτοι, τοῦ μὲν χοροῦ ἐκ μίμων καὶ ὀρχηστῶν συνισταμένου ἀνδρῶν, χοροστατοῦντος δὲ παρ' αὐτοῖς βεβήλου τινὸς καὶ κιθαρῳδοῦ, τοῦ δὲ μέλους σατανικοῦ καὶ ὀλεθρίου τυγχάνοντος, ᾀδομένου δὲ μιαροῦ καὶ πονηροῦ δαίμονος· ἐνταῦθα ἔνθα ὁ μὲν χορὸς ἐξ ἁγίων ἀνδρῶν, ὁ δὲ χοροστάτης ἐστὶν ὁ προφήτης, τὸ δὲ μέλος, οὐχὶ ἐκ σατανικῆς ἐνεργείας, ἀλλ' ἐκ πνευματικῆς χάριτος, ὁ δὲ ᾀδόμενος, οὐχὶ δαίμων, ἀλλὰ Θεός· πῶς οὐ πολλὴν δεῖ παρέχειν τὴν ἡσυχίαν, καὶ μετὰ φρίκης ἀκούειν; καὶ γὰρ συγχορευταὶ γεγόναμεν τῶν ἄνω δυνάμεων. καὶ γὰρ καὶ οἱ ἄνω χοροὶ, καὶ τὰ Χερουβὶμ καὶ τὰ Σεραφὶμ τοῦτο ἔργον ἔχουσι, τὸ διηνεκῶς ὑμνεῖν τὸν Θεόν. ἐκ τούτων τῶν χορῶν καὶ ἐπὶ τῆς γῆς ἐφάνησαν μετὰ τῶν ἀγραυλούντων ποιμένων ᾄδοντες. ἀκούσωμεν τοίνυν καὶ ταύτης τῆς ᾠδῆς. οἱ μὲν τὸν βασιλέα ὑμνοῦντες τὸν ἐπὶ γῆς, περὶ ἀρχῆς αὐτοῦ διαλέγονται, περὶ τῶν τροπαίων, περὶ τῆς νίκης, καὶ τὰ ἔθνη λέγουσι τὰ ἡττηθέντα, πορθητὰς καλοῦντες αὐτοὺς, καὶ βαρβάρων νικητὰς, καὶ ὅσα τοιαῦτα. τοιαύτην τινὰ ᾠδὴν καὶ ὁ μακάριος οὗτος ᾄδει. νίκην γὰρ διηγεῖται καὶ τρόπαιον, καὶ πολέμων κατάλυσιν, οὐχὶ τοιούτων, ἀλλὰ πολλῷ χαλεπωτέρων. καὶ ὅρα πῶς ἄρχεται· κύριε ὁ κύριος ἡμῶν. τῶν μὲν γὰρ ἄλλων τῶν οὐ πιστευόντων εἰς αὐτὸν, ἑνὶ τρόπῳ κύριός ἐστιν, ἡμῶν δὲ διπλῷ· τῷ τε ἐξ οὐκ ὄντων ποιῆσαι, τῷ τε γνωσθῆναι παρ' ἡμῶν. καὶ ὅρα πῶς ἐκ προοιμίων τίθησι τὸ κεφάλαιον τῆς εὐεργεσίας. ἂν γὰρ μάθῃς πῶς σου κύριος γέγονεν, ὅτι ἀπηλλοτριωμένους καὶ ἐχθρούς τινας καὶ νεκρωθέντας ᾠκειώσατο καὶ ἐζωοποίησεν· ὄψει καλῶς ὅτι τὸ κεφάλαιον τῆς εὐεργεσίας. τοῦτο τοίνυν ἐκπληττόμενος ὁ προφήτης, φησίν· ὡς θαυμαστὸν τὸ ὄνομά σου; τουτ' ἔστι, σφόδρα θαυμαστόν. πόσοι δὲ

A quidem sunt ea, quæ dicuntur, tanquam ex vna persona. Domine enim Deus meus, inquit, in te speraui, saluum me fac. Hic autem tanquam ex persona multorum. Domine enim, inquit, Deus noster, quàm admirabile est nomen tuum. Sed præbete silentium, & attentè audite. Si enim cùm in theatro chori canunt satanici, summa est quies, & maximum silentium, vt perniciosa percipiantur illa cantica: idque cum ex mimis & saltatoribus conflatus sit chorus, profanus autem quidam apud illos citharœdus chorum ducat, dum carmen satanicum ac per- B niciosum concinitur, quo nefarius ac sceleratus dæmon celebratur: hic vbi chorus quidem est ex viris sanctis: qui autem chorum ducit, est propheta: canticum autem ac melodia non est ex operatione satanæ, sed est ex gratia spiritus: qui autem canitur, non est dæmon, sed Deus: quomodo non est summum adhibendum silentium, & cum veneratione & summa reuerentia audiendum? Chorum enim ducimus vnà cum supernis potestatibus. Supernorum enim chorum Cherubim & Se- C raphim hoc est munus, Deum assiduè laudare, & hymnis celebrare. Ex his choris etiam in terra apparuerunt cum vigilantibus pastoribus canentes. Audiamus ergo hoc quoque canticum. Qui terrenum quidem regem laudant cum eo loquuntur de imperio, de trophæis, de victoria, & dicunt gentes, quæ ab eo victæ sunt, vocantes eos expugnatores, & barbarorum victores, & quæcunque sunt eiusmodi. Huiusmodi canticum canit etiam hîc beatus. Narrat enim victoriam, & trophæum, & bella confecta, non quidem talia, D sed his multò difficiliora. Vide autem quomodo incipit, Domine Deus noster. Aliorum enim, qui non credunt in ipsum, vno modo est dominus: noster verò simplici ratione, & quòd nos ex iis quæ non erant, fecerit, & quòd agnoscatur à nobis. Ac vide quomodo statim à principio ponit summam beneficij. Si enim didiceris quomodo dominus tuus factus sit, quòd abalienatos, & inimicos, & morte affectos, familiares effecerit, & viuificauerit, pulchrè videbis summam beneficij. Hoc ergo admirans propheta, dicit: Quàm admirabile est nomen tuum, hoc est valdè admirabile. Quàm admirabile autem

tum à mi. Argumen- nois.

Luc. 2.

sit, non dixit: neque enim dimetiri potuit, sed tantùm amplificationem & hyperbolen attulit. Vbi sunt qui Dei essentiam curiosè peruestigant? Si enim cùm nomen eius dixisset, adeò admiratus est, vt obstupesceret: quomodo venia eis dabitur qui se dicunt nosse Dei essentiam, cùm ne propheta quidem quàm sit admirabile eius nomen, cognoscere potuerit? Quàm admirabile est nomen tuum. In nomine enim tuo mors victa & fracta est, vincti sunt dæmones, cœlum apertum est, fores paradisi patuerunt, spiritus demissus est: serui, facti sunt liberi: inimici, filij: alieni, hæredes: homines, angeli. Quid dico angeli? Deus homo factus est, & homo Deus: cœlum accepit naturam è terra sumptam, terra eum suscepit qui sedet super Cherubim cum exercitu angelico: quæ intercedebat maceria, diruta est, sublata est sepes: quæ diuisa & disiuncta erant, vnita sunt: tenebræ sunt extinctæ: lux resplenduit, mors absorpta est. Hæc omnia cogitans, & longè his plura propheta exclamat, dicens: Quàm admirabile est nomen tuum in vniuersa terra. Vbi nunc sunt Iudæi, qui sunt impudentes aduersus veritatem? Libenter enim eos interrogarem de quonam hæc dicuntur. De omnipotente, inquient. Sed non erat nomen eius admirabile in vniuersa terra. Testatur Esaias dicens: Propter vos blasphematur nomen meum inter gentes. Si autem qui eum colebant, in causa erant vt ipse blasphemaretur, vbi erat admirabile? Quòd enim natura sit amirabile, clarum est: apud homines autem non erat tunc pluribus admirabile, sed & vile & aspernandum. Sed non sic nunc: quia quando accessit vnigenitus filius, vbique nomen eius est admirabile cum Christo. Ab ortu Solis, inquit, vsque ad occasum glorificatum est nomẽ meum in gentibus. Et rursus: In omni loco offertur incensum nomini meo, & sacrificium mundum. Vos autem ipsum prophanatis. Et alius, Impleta est vniuersa terra cognitione Domini. Et rursus: Venient dicentes, patres nostri falsa idola possedernnt Vides hæc omnia dicta esse de filio, factum est enim eius nomẽ admirabile in vniuersa terra.

1.Cor.15. Ephes.4. Act.4. 2.Cor.5. Rom.8. Tit.3. Ioan.1. 1.Cor.15. Esa.52.8. Nomẽ Dei admirabile cum Christo. Psal.112. Mal.1.11. Esa.11.9. Hier.16.18.

A θαυμαστόν, οὐκ εἶπεν (οὐδὲ γὰρ μετρῆσαι ἴσχυσεν) ἀλλὰ τὴν ἐπίτασιν προσέθηκε, καὶ τὴν ὑπερβολήν. ποῦ οἱ τὴν οὐσίαν περιεργαζόμενοι τοῦ Θεοῦ; εἰ γὰρ τὸ ὄνομα αὐτοῦ εἰπὼν, οὕτως ἐθαύμασεν, ὡς ἐκπλαγῆναι· τίνα ἂν χρείαν ἔχοιεν συγγνώμης, τὴν οὐσίαν αὐτοῦ λέγοντες εἰδέναι, τοῦ προφήτου μηδὲ πόσον ἐστὶ θαυμαστὸν τὸ ὄνομα δυναμένου μαθεῖν; ὡς θαυμαστὸν τὸ ὄνομά σου; ἐν γὰρ τῷ ὀνόματι τούτῳ θάνατος ἐλύθη, δαίμονες ἐδέθησαν, οὐρανὸς ἀνεῴχθη, παραδείσου θύραι ἀνεπετάσθησαν, πνεῦμα κατεπέμφθη, B οἱ δοῦλοι γεγόνασιν ἐλεύθεροι, οἱ ἐχθροὶ, υἱοὶ, οἱ ἀλλότριοι, κληρονόμοι, οἱ ἄνθρωποι, ἄγγελοι. τί λέγω, ἄγγελοι; Θεὸς ἄνθρωπος γέγονε, καὶ ἄνθρωπος Θεός· ὁ οὐρανὸς ἐδέξατο τὴν φύσιν τὴν ἀπὸ τῆς γῆς· ἡ γῆ ἐδέξατο τὸν ἐπὶ τῶν Χερουβεὶμ καθήμενον μετὰ τῆς στρατιᾶς ἀγγελικῆς. τὸ μεσότοιχον ἀνῃρέθη, ὁ φραγμὸς ἐλύθη, τὰ διεστῶτα ἡνώθη, τὸ σκότος ἐσβέσθη, τὸ φῶς ἔλαμψεν, ὁ θάνατος κατεπόθη. ταῦτα πάντα ἐννοῶν καὶ τὰ τούτων πλείονα ὁ προφήτης, ἀνεβόα λέγων· ὡς θαυμαστὸν τὸ ὄνομά σου ἐν πάσῃ τῇ γῇ; ποῦ νῦν οἱ C Ἰουδαίων παῖδες, οἱ πρὸς τὴν ἀλήθειαν ἀναισχυντοῦντες; ἡδέως γὰρ αὐτοὺς ἂν ἐροίμην, περὶ τίνος ταῦτα λέγονται; περὶ τοῦ παντοκράτορος, φήσουσιν. ἀλλ' οὐκ ἦν αὐτοῦ θαυμαστὸν τὸ ὄνομα ἐν πάσῃ τῇ γῇ. καὶ μάρτυς Ἡσαΐας λέγων· ὅτι δι' ὑμᾶς τὸ ὄνομά μου βλασφημεῖται ἐν τοῖς ἔθνεσιν. εἰ δὲ οἱ θεραπεύοντες αὐτὸν, αἴτιοι τοῦ βλασφημεῖσθαι αὐτὸν ἐγίνοντο, ποῦ ἦν θαυμαστόν; ὅτι μὲν γὰρ τῇ φύσει θαυμαστὸν, δῆλον· παρὰ δὲ ἀνθρώποις τότε οὐ θαυμαστὸν τοῖς πλείοσιν, ἀλλὰ καὶ εὐκαταφρόνητον. D ἀλλ' οὐχὶ νῦν οὕτως· ἀλλ' ὅτε ὁ μονογενὴς υἱὸς παρεγένετο, πανταχοῦ τὸ ὄνομα αὐτοῦ θαυμαστὸν μετὰ τοῦ Χριστοῦ. ἀπὸ ἀνατολῶν ἡλίου, φησὶ, μέχρι δυσμῶν τὸ ὄνομά μου δεδόξασται ἐν τοῖς ἔθνεσι. καὶ πάλιν· ἐν παντὶ τόπῳ θυμίαμα προσάγεται τῷ ὀνόματί μου, καὶ θυσία καθαρά· ὑμεῖς δὲ βεβηλοῦτε αὐτό. καὶ ἄλλος· ἐπληρώθη ἡ σύμπασα γῆ τοῦ γνῶναι τὸν κύριον. καὶ πάλιν· ἥξουσι λέγοντες, ψευδῆ οἱ πατέρες ἡμῶν ἐκτήσαντο εἴδωλα. ὁρᾷς ὅτι περὶ τοῦ υἱοῦ τὰ εἰρημένα πάντα ἐστίν; αὐτοῦ γὰρ θαυμαστὸν τὸ ὄνομα ἐν πάσῃ τῇ γῇ ἐγένετο.

ὅτι ἐπήρθη ἡ μεγαλοπρέπειά σου ὑπεράνω τῶν οὐρανῶν. ἄλλος, ὃς ἔταξας τὸν ἔπαινόν σου ὑπεράνω τῶν οὐρανῶν. ἐπειδὴ γὰρ τῆς γῆς ἐμνημόνευσε, μετάγει τὸν λόγον καὶ ἐπὶ τὸν οὐρανόν. ὅπερ εἴωθεν ἀεὶ ποιεῖν, πᾶσαν τὴν οἰκουμένην δεικνὺς εὐφημοῦσαν τὸν ἑαυτῆς δεσπότην· τοῦτο δὴ καὶ ἐνταῦθα δεικνὺς λέγει, θαυμαστὸν κάτω, θαυμαστὸν ἄνω. οὐ γὰρ ἄνθρωποι μόνον, ἀλλὰ καὶ ἄγγελοι ὑμνοῦσι τὰ γεγενημένα, καὶ ὑπὲρ τῶν εἰς ἀνθρώπους εὐεργεσιῶν χάριτας ὁμολογοῦσιν· ὃ δὴ καὶ ἐποίησαν ἐκ προοιμίων χοροὺς στησάμενοι ἐπὶ τῆς γῆς. ἢ τοίνυν τοῦτο λέγει, ὅτι καὶ ἄγγελοι ᾄδουσιν, ἢ τὸ μέγεθος αὐτοῦ παραστῆσαι βούλεται. ὅταν γάρ τι μέγα λέγειν ἐθέλῃ ἡ γραφή, τὰ διαστήματα τῶν στοιχείων τούτων εἰς μέσον ἄγει· ὡς ὅταν λέγῃ, κατὰ τὸ ὕψος τοῦ οὐρανοῦ ἀπὸ τῆς γῆς. καὶ πάλιν, καθ' ὅσον ἀπέχουσιν ἀνατολαὶ ἀπὸ δυσμῶν, ἐμάκρυνεν ἀφ' ἡμῶν τὰς ἀνομίας ἡμῶν. ἐνταῦθα τοίνυν ἐκπλήττεται τὰ γεγενημένα, πῶς μεγάλα, πῶς ὑπέρογκα. τὴν γὰρ οὐσίαν τὴν πάντων κατωτέραν, ἀνωτέρω πάντων ἔταξεν. ἐκ στόματος νηπίων καὶ θηλαζόντων κατηρτίσω αἶνον. ἄλλος, ἐκ στόματος βρεφῶν ἐθεμελίωσας κράτος. ἄλλος, συνεστήσω ἰσχύν. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· ὅτι τὴν ἰσχύν σου ἐντεῦθεν μάλιστα ἔδειξας, τὴν δύναμιν τὴν ἄμαχον κινήσας, καὶ τὴν ψελλίζουσαν γλῶτταν πρὸς τὴν δοξολογίαν ἐκείνην τρανώσας. τὴν γὰρ παίδων τὴν ὑμνολογίαν τὴν ἐν τῷ ἱερῷ γενομένην, ταύτην προαναφωνεῖ νῦν. καὶ τί δή ποτε τὰ ἄλλα παραδραμὼν θαύματα, νεκρῶν ἀνάστασιν, λεπρῶν κάθαρσιν, δαιμόνων δίωξιν, τοῦ τῶν παίδων μέμνηται θαύματος; ὅτι ἐκεῖνα μὲν καὶ πρὸ τούτου γέγονε, κἂν μὴ οὕτως, ἀλλ' ὅμως γέγονε· καὶ εἶχέ τινα κοινωνίαν, εἰ καὶ μὴ τρόπον. καὶ γὰρ νεκρὸς ἠγέρθη ὑπὸ τοῦ Ελισσαίου, καὶ λεπρὸς ἐκαθαρίσθη· καὶ δαίμων ἠλάθη ὑπὸ τοῦ Δαβίδ, ὅτε ὁ Σαοὺλ ἐδαιμόνα· χορὸς δὲ παιδίων θηλαζόντων οὐδέποτε πρότερον ἐφθέγξατο. ἵν' οὖν μὴ ἀναισχυντῇ ὁ Ιουδαῖος, λέγων περὶ τῶν ἐν τῇ παλαιᾷ ταῦτα εἰρῆσθαι, ἐπιλέξατο σημεῖον τότε πρῶτον καὶ μόνον γινόμενον. ἄλλως δέ, καὶ ἐκ τῶν ἀποστόλων τὰ γινόμενα. καὶ γὰρ οὗτοι νήπιοι σφόδρα ὄντες, καὶ τῶν ἰχθύων αὐτῶν ἀφωνότεροι, τὴν οἰκουμένην ἅπα-

A *Quoniam eleuata est magnificentia tua super cœlos.* Alius, *Qui posuisti laudem tuam super cœlos.* Quia enim terræ meminit, transfert etiam orationem in cœlum, quod semper consueuit facere, ostendens vniuersum orbem terrarum laudare suum dominum. Hoc etiam hic ostendens dicit: Admirabile infra, admirabile suprà. Non solùm enim homines, sed etiam angeli laudant ea quæ facta sunt, & pro eius in homines beneficiis agunt gratias, quod etiam fecerunt in principio, cùm in terris choros duxerunt. Vel hoc ergo dicit, quòd B canunt etiam angeli, vel vult eius ostendere magnitudinem. quando enim scriptura vult aliquid magnum dicere, distantiam horum elementorum adducit in medium, vt quando dicit: Secundùm altitudinem cœli à terra. Et rursus: Quantum distat ortus ab occasu, longè fecit à nobis iniquitates nostras. Hic ergo admiratur quàm magna sint & quàm grandia quæ facta sunt omnia, cùm omnium infimam substantiam effecit omnibus superiorem. 3. *Ex ore infantium & lactentium perfecisti laudem.* Alius, C *Ex ore infantium & lactentium fundasti fortitudinem.* Alius, *Constituisti robur.* Quod autem dicit, est eiusmodi. Potentiam tuam ex hoc maximè ostendisti, quòd vires imbelles moueris, & linguam balbutientem ad illam glorificationem, claram & expeditam feceris. Quæ enim facta est à pueris in templo, hymnorum decantationem hîc dicit. Et quamnam ob causam, aliis prætermissis miraculis, mortuorum resurrectione, leprosorum mundatione, dæmonum expulsione, nunc puerorum miraculi meminit? Quoniam illa quidem etiam antè facta D sunt, & si non sic, tamen facta sunt, & aliquid inter se commune habuerunt, licet non modum. Suscitatus est enim mortuus sub Elisæo, & leprosus mundatus, & dæmon per Dauid expulsus est, quando Saul inuadebatur à dæmone. Chorus autem infantium & lactentium nunc primum locutus est. Ne ergo imprudenter se gereret Iudæus, dicens hæc dicta esse de iis quæ facta sunt in veteri, elegit signum quod tunc primum & solum factum est, & alioqui quæ fiebant, erant figura ac typus Apostolorũ. Nam cùm ij essent valde infantes, & magis muti quam ipsi pisces, vni-

Luc. 2.

Psal. 102. 11.

Matth. 21. 15.

4. Reg. 4. 31

4. Reg. 5. 14.

1. Reg. 16. 23.

uersum orbem terrarum irretierunt. Quòd autem hoc sit maximè Dei virtus & potentia, vide etiam Prophetam hoc de patre dicentem. Cum Mose enim loquens dicit: Quis fecit mutum & surdum, videntem & cæcum? Et rursus: Qui dat linguas expeditas iis, qui sunt impeditioris linguæ. Et rursus: Dominus dat mihi linguam disciplinæ, vt sciam quando oporteat loqui sermonem. Iam verò dicit etiam in principio: Agite descendamus, & confundamus ipsorum linguas. Magna ergo est & valida demonstratio. In aliis enim, etsi præter rationem, aliqua tamen suspecta habebant qui sunt impudentes: hic autem nihil potuerunt dicere, cùm ipsa per se nuda natura contenderet. Et ideo nō dixit simpliciter infantium, ne quis innocentes & simpliciores eum dicere putaret, sed subiunxit, Et lactentium, ætatem cibi adiectione exprimens. Non enim dixit solummodo infantium, sed etiam vbera sugentium, qui nondum solidi cibi fuerunt participes. Non est ergo hoc solùm admirabile, quòd vocem, eámque claram & expressam emiserint, sed etiam quòd plenam bonis innumerabilibus. Quæ enim Apostoli nondum nouerant, ea pueri laudibus hymnísque celebrabant. Ex hoc etiam aliquid aliud significat, nempe oportere eos qui ad dogmata accedunt, animo pueros effici. Si quis enim non susceperit regnum cœlorum vt puellus, inquit, non potest ipsum ingredi. *Propter inimicos tuos.* Dicit etiam causam cur hoc miraculum factum sit. Alia enim non propter inimicos facta sunt, sed vt accedentes beneficium acciperent, & alij docerentur: hoc autem non solum propterea factum est, sed vt obruerentur ora inimicorum. Quos etiam alius clarius significans, dicit: Propter alligantes te. Ij enim eum alligarunt ductum ad crucem. *Vt destruas inimicum & vltorem.* Alius, Vt compescas inimicum, & qui seipsum vlciscitur, populum hîc dicens Iudaicum. Christum enim expellebant vt inimicum, præ se ferebant autem hoc facere tanquam patrem vlciscentes. Et ideo hanc illis excusationem auferens, dicebat: Qui me odit, odit & patrem. Et rursus: Qui credit in me, credit in eum qui

Exod.4.11.
Esa.50.4.
Gen.11.7.
Matt.18.3.
Aquila interpretatio.
Ioan.15.23.

A σαν ἐσαγήνευσαν, ὅτι δὲ τοῦτο δύναμις Θεοῦ μάλιστά ἐστιν, ὅρα καὶ ἐν τῇ παλαιᾷ τοῦτο περὶ τοῦ πατρὸς αὐτοῦ λέγοντα τὸν προφήτην. τῷ γὰρ Μωϋσῇ διαλεγόμενός φησι, τίς ἐποίησε δύσκωφον καὶ κωφὸν, βλέποντα καὶ τυφλόν; καὶ πάλιν· διδοὺς γλώσσας τρανὰς μογιλάλοις. καὶ πάλιν· κύριος δίδωσί μοι γλῶσσαν παιδείας, τοῦ γνῶναι ἡνίκα δεῖ εἰπεῖν λόγον. καὶ ἐν ἀρχῇ δέ φησι· δεῦτε, καταβάντες συγχέωμεν αὐτῶν τὰς γλώσσας. μεγάλη τοίνυν καὶ ἰσχυρὰ ἡ ἀπόδειξις. ἐπὶ μὲν γὰρ τῶν ἄλλων, εἰ καὶ παρα-

B λόγως, ὅμως ὑπώπτευόν τινα οἱ ἀναισχυντοῦντες· ἐνταῦθα δὲ οὐδὲν εἶχον εἰπεῖν, αὐτῆς καθ' ἑαυτὴν τῆς φύσεως γυμνῆς ἀγωνιζομένης. διὰ δὲ τοῦτο οὐδὲ ἁπλῶς εἶπε, νηπίων, ἵνα μή τις τοὺς ἀκεραίους αὐτὸν καὶ τοὺς ἁπλουστέρους λέγειν νομίσῃ· ἀλλ' ἐπήγαγε, καὶ θηλαζόντων, τῇ προσθήκῃ τῆς τραπέζης τὴν ἡλικίαν χαρακτηρίζων. οὐχ ἁπλῶς γάρ φησι νηπίων, ἀλλὰ τῶν ὑπομαζίων, τῶν μηδέποτε στερεᾶς τροφῆς μεταλαβόντων. οὐ τοίνυν τοῦτο μόνον ἐστὶ τὸ θαυμαστὸν, ὅτι φωνὴν ἀφῆκαν, καὶ φωνὴν τετρανωμένην, ἀλλ' ὅτι καὶ μυ-

C ρίων γέμουσαν ἀγαθῶν. ἅπερ γὰρ οἱ ἀπόστολοι οὐδέπω ᾔδεισαν, ταῦτα τὰ παιδία ὕμνουν. ἀπὸ τούτου καὶ ἕτερόν τι αἰνίττεται· ὅτι δεῖ τοῖς δόγμασι προσιόντας, παιδία γίνεσθαι τῇ διανοίᾳ. ἂν γὰρ μή τις δέξηται τὴν βασιλείαν τῶν οὐρανῶν ὡς παιδίον, φησὶν, οὐ δύναται εἰσελθεῖν εἰς αὐτήν. ἕνεκεν τῶν ἐχθρῶν σου. λέγει καὶ τὴν αἰτίαν δι' ἣν τοῦτο γέγονε τὸ θαῦμα. τὰ μὲν γὰρ ἄλλα οὐ τῶν ἐχθρῶν ἕνεκεν ἐγίνετο, ἀλλ' ὥστε προσιόντας ἀπολαύειν εὐεργεσίας, καὶ ἑτέρους παιδεύεσθαι· τοῦτο δὲ οὐ διὰ τοῦτο γέγονε μόνον, ἀλλ' ὥστε καὶ ἐπιστομισθῆναι τοὺς ἐχθρούς·

D οὓς καὶ ἕτερος, ἀκριβέστερον αὐτοὺς δηλῶν, φησι, διὰ ἐνδεσμοῦντάς σε. αὐτοὶ γὰρ ἦσαν δήσαντες αὐτὸν ἐπὶ τὸν σταυρὸν ἀγαγόντες. τοῦ καταλῦσαι ἐχθρὸν καὶ ἐκδικητήν. ἄλλος, ὥστε παῦσαι ἐχθρὸν, καὶ τιμωροῦντα ἑαυτῷ, τὸν λαὸν τὸν Ἰουδαϊκὸν ἐνταῦθα λέγων. ἤλαυνον μὲν γὰρ ὡς ἐχθρὸν τὸν Χριστὸν, προσεποιοῦντο δὲ τὸν πατέρα ἐκδικοῦντες τοῦτο ποιεῖν. διὰ τοῦτο, ταύτης αὐτοὺς ἀποστερῶν τῆς ἀπολογίας, ἔλεγεν· ὁ ἐμὲ μισῶν, καὶ τὸν πατέρα μου μισεῖ. καὶ πάλιν· ὁ πιστεύων εἰς ἐμὲ, πιστεύει εἰς τὸν πέμψαν-

τά με· ἄνω καὶ κάτω συνάπτων τῇ πρὸς ἑαυτὸν τιμῇ καὶ ὕβρει τὸν πατέρα. καὶ ὅρα τὴν ἀκρίβειαν τοῦ προφήτου. οὐκ εἶπε, τοῦ κολάσαι, ἀλλὰ τοῦ καταλῦσαι· ὅπερ ὁ ἕτερος σαφέστερον δηλοῖ, λέγων, τοῦ παῦσαι, τουτέστι, τὴν ἀναισχυντίαν αὐτῶν ἀνελεῖν, οὐ τοῦ διδάξαι. ἀδιόρθωτα γὰρ ἐνόσουν. ὁρῶντες γοῦν τοιοῦτον θαῦμα, καὶ μηδὲν ἔχοντες ἀντειπεῖν, πρὸς αὐτὸν ἐπεστρέφοντο λέγοντες· οὐκ ἀκούεις τί οὗτοι λέγουσιν; δέον λοιπὸν προσκυνῆσαι, θαυμάσαι· οἱ δὲ ἐν ἀμηχανίᾳ ἦσαν πολλῇ· καὶ ὀφείλοντες ἀλλήλοις λέγειν ἕκαστος τῷ πλησίον, οὐκ ἀκούεις τί οὗτοι λέγουσιν; ἀφέντες ἑαυτοὺς τῷ Χριστῷ ἔλεγον. καὶ τίνος ἕνεκεν οὐκ ἀγγέλων ἠνέχθη φωνή; ὅτι ἐκεῖνο μὲν φάντασμα αὐτοῖς ἔδοξεν ἂν εἶναι· πρὸς τοῦτο δὲ οὐδὲν εἶχον ἀντειπεῖν. τί δὲ ἔλεγον τὰ παιδία; οὐδὲν φορτικόν, οὐδὲ ἐπαχθές, οὐδὲ ἱκανὸν αὐτοὺς πλῆξαι, ἀλλὰ μάλιστα τὴν συμφωνίαν τὴν πρὸς τὸν πατέρα δηλοῦν. εὐλογημένος, ἔλεγον, ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου. τότε μὲν οὖν κατέλυσεν αὐτῶν τὴν ἀναισχυντίαν ἀπὸ τῆς χρήσεως, ὕστερον δὲ τὴν πόλιν· καὶ μέρος οὐδέν ἐστι τῆς οἰκουμένης τῶν Ἰουδαϊκῶν ἄπειρον συμφορῶν, ἀλλ᾽ ὥσπερ σῶμα ἀνάπηρον, πανταχοῦ διαδίδοται, τὰ τραύματα ἐπιδεικνύμενον. καὶ καθάπερ οἱ δικασταὶ πολλοὺς τῶν ἀνδροφόνων ἐπειδὰν ἀνέλωσιν, ἕνα ἀνασκολοπίζουσιν, ἵνα καὶ τελευτησάντων αὐτῶν, ὥσπερ νεωστὶ γεγενημένου τοῦ πάθους σωφρονίζῃ τοὺς ζῶντας· οὕτω δὴ καὶ ἐνταῦθα, οὐ τελευτήσαντας, ἀλλὰ ζῶντας παράδειγμα πᾶσιν ἐποίησε, διασπείρας αὐτούς· καὶ οἱ μίαν οἰκοῦντες χώραν, νῦν πανταχοῦ τῆς γῆς εἰσὶ διεσπαρμένοι. κἂν ἐρωτήσῃς τὴν αἰτίαν, οὐδεμίαν ἄλλην εὑρήσεις, ἀλλ᾽ ἢ τὸ σταυρῶσαι τὸν Χριστόν. διὰ τί γὰρ οὕτως, εἰπέ μοι, τοῦτο μὴ γέγονεν; ἀλλ᾽ εἰ καὶ γέγονέ ποτε, εἰς ἔθνος ἓν ἀφωρίσθησαν, καὶ ἐπὶ ἔτεσιν ὀλίγοις· νυνὶ δὲ οὐχ οὕτως, ἀλλ᾽ ἀπέραντα κολάζονται. κἂν ἐρωτήσῃς αὐτούς, διὰ τί ἐσταυρώσατε τὸν Χριστόν; λέγουσιν, ὡς πλάνον καὶ γόητα ὄντα. οὐκοῦν ὑπὲρ τούτου τιμηθῆναι ἔδει, καὶ πλείονα χώραν προσλαβεῖν, ὡς ἀρέσαντας τῷ Θεῷ. ὁ γὰρ πλάνον καὶ γόητα καὶ ἀντίθεον ἀνελών, ἐχθρὸν τοῦ Θεοῦ ἀνεῖλεν. ὁ δὲ ἐχθρὸν ἀνελών, εὐ-

me misit: honori suo & iniuriæ semper patrem coniungens. Vide autem quàm accuratè locutus sit Propheta. Non dixit, Vt punias, sed vt destruas. quod alius clariùs significat, dicens: Vt cessare facias, hoc est, vt eorum de medio tollas impudentiam, non vt doceas: laborabant enim morbo qui corrigi non poterat. Cùm ergo tale viderent miraculum, & nihil possent contradicere, in ipsum conuertebantur, dicentes: Non audis qui hi dicant? Et cùm oporteret deinceps adorare & admirari, erant valdè perplexi & incerti quid agerent, & cùm deberent vnusquisque inter se dicere, Non audis, quid hi dicunt? id seipsis dimissis Christo dicebant. Et cur non emissa est vox angelorum? Quòd illud quidem, visum seu spectrum eis potuisset videri, ad hoc autem nihil poterant contradicere. Quid autem dicebant pueri? Nihil graue aut importunũ, nec quod eos iure posset percellere, sed quod eius cum patre cõsensionem maximè significaret. Benedictus, dicebãt, qui venit in nomine domini. Tunc ergo eorum coërcuit impudentiã, postea autem vrbem quoque eorum euertit, nec est vlla pars totius orbis terrarum, quæ sit Iudæorum calamitatis expers, sed quemadmodum qui corpore est mutilo, vndiquaque circumcursat sua vulnera ostentans: & quemadmodum iudices cùm multos homicidas de medio sustulerint, vnum furcæ affigunt, vt vt vel ipsis mortuis, tanquam recenter inflictum supplicium viuos coërceat & & in officio cõtineat: ita hic etiam non mortuos, sed viuos omnibus exẽplum proposuit, eos quoquouersus dispergens, & qui vnam habitabãt regionem, nunc sunt dispersi per totum orbem terrarum. Etsi causam rogaueris, nullam aliam inuenies, quàm quòd Christum crucifixerint. Cur enim, dic mihi, hoc ita factum non est? Sed & si id aliquando factum est, in vnam gentem exterminati sunt, & ad paucos annos. Nunc autem non sic, sed infinito supplicio puniuntur. Et si eos rogaueris: Cur Christũ crucifixistis? dicunt: quòd esset impostor & præstigiator. Vos ergo oportebat propterea honorari, & fines vestros propagari, vt qui Deo fecissetis rem gratam. Qui enim impostorem & præstigiatorem, & Dei aduersarium de medio sustulerit, is Dei hostem sustulit. Qui autem hostem sustulit,

Ioan.12. 44.

Matt.21.

Elegans homœosis.

Pulchrè reuincit Iudæos.

Num. 25. 13.

is iure optimo laudetur. Nunc autem Phinees quidem quòd vnam meretricem interfecit, tantam laudem à Deo est consecutus, vt sacerdotio & tanto honore dignus habitus fuerit: vos autem, quos multò maiori honore affici oporteret, si modò impostorem occidissetis, non modò nullo honore afficimini, sed, quod longè est grauius, errones & exules, nullámque certam sedem aut patriam habentes, huc & illuc obitis. Hoc ergo nulla alia de causa passi estis, quàm quòd defensorem ac benefactorem, & veritatis doctorem crucifixistis. Si fuisset enim impostor ac seductor, & Dei aduersarius, & cùm Deus non esset, voluisset esse Deus, & patris honorem ad seipsum attraxisset, & Phinee, & Samuele, & illis omnibus oportuit vos magis honorari, qui legis defendendæ tantum zelum ostenderetis. Nunc autem quod nũquam passi estis, cùm idola coleretis, cùm impij essetis, cùm filios interficeretis, hoc nunc passi estis, & nulla datur ratio vos liberandi à malis, & errones, exules, vagabundi, & Romanorum legibus seruiẽtes, terram & mare obitis, migrantes, nullásque certas sedes, vrbes aut domos habẽtes, & in seruitutem redacti, & à patria, & à sacerdotio, & ab omnibus quę priùs habebatis, expulsi estis, in mediis barbaris & gentibus innumerabilibus dispersi, omnibus hominibus exosi, execrandi, & omnibus ad iniuriam accipiendam expositi. Et meritò quidem. Non enim præmia accepistis, quòd Dei inimicum occideritis: hoc mera est insania & nugæ. Quæ enim nunc patimini, nõ sunt eorum qui Dei inimicos, occidunt, sed eorum qui amicos interimũt. Sed nos, ô amice, inquit, hæc non dicimus. Propter nostra peccata hæc patimur. Nũc confitemini increduli, & quænam peccata cedo? Nũquid nunc primùm peccastis? nunc certè mitiores & moderatiores euasistis. Sed nondum hoc agimus: at vos illud libenter interrogarem, quamobrem priùs semper peccantes, Dei benignitatem & clementiam sensistis, nunc autem non itidem, & quod est admirabilius, nunc minora peccata committentes? Tunc enim & Beelphegor initiabamini, & vitulum adorastis, & filios occidistis, & filias de medio sustulistis, idque cùm vobis signa abundè suppeterent, nunc autem cùm nec videatis mare diuidi, nec

Esa. 63. Ioan. 8.

Num. 25. Exod. 32. Psal. 105. Ezech. 16. Exod. 14.

A εὐδοκιμεῖν ἂν εἴη δίκαιος. νῦν δὲ ὁ μὲν Φινεὲς, ἵνα μίαν ἀνέλῃ πόρνην, οὕτως εὐδοκίμησε παρὰ τῷ Θεῷ, ὡς καὶ ἱερωσύνης ἀξιωθῆναι, καὶ τοσαύτης τιμῆς· ὑμεῖς δὲ, οἱ μᾶλλον ἐκείνου ὀφείλοντες εὐδοκιμεῖν πολλῷ, εἴγε πλάνον ἀνείλετε, χαλεπώτερα ἀλῆται καὶ ἀπόλιδες περιάγετε πανταχοῦ. ὥστε οὐ δι' ἄλλο τι ταῦτα πεπόνθατε, ἀλλ' ἢ ὅτι προστάτην καὶ εὐεργέτην καὶ ἀληθείας διδάσκαλον ἐσταυρώσατε. Εἰ γὰρ πλάνος ἦν καὶ ἀντίθεος, καὶ, ὢν Θεὸς, Θεὸς εἶναι ἐβούλετο, καὶ τὸ τοῦ πατρὸς σέβας εἰς B ἑαυτὸν ἐπεσπᾶτο· καὶ τοῦ Φινεὲς, καὶ τοῦ Σαμουὴλ, καὶ πάντων ἐκείνων μᾶλλον ὑμᾶς εὐδοκιμῆσαι ἔδει, τοσοῦτον ὑπὲρ τῶν νόμων ζηλώσαντας. νυνὶ δὲ, ἃ μηδέποτε πεπόνθατε εἰδωλολατροῦντες, ἀσεβοῦντες, παῖδας σφάζοντες, ταῦτα πεπόνθατε νῦν, καὶ λύσις οὐδεμία τῶν δεινῶν, καὶ ἀλῆται, καὶ φυγάδες καὶ πλάνοι καὶ νόμοις Ῥωμαίων δουλεύοντες, μετέρχεσθε γῆν καὶ θάλατταν, μετανάσται καὶ ἀπόλιδες, ἄοικοι καὶ ἐξηνδραποδισμένοι, ἐλευθερίας καὶ πατρίδος καὶ ἱερωσύνης καὶ πάντων τῶν προτέρων ἐκβεβλημένοι, ἐν μέσοις βαρβάροις καὶ μυ- C ρίοις ἔθνεσι διεσπαρμένοι, μισούμενοι παρὰ πάντων ἀνθρώπων, βδελυροὶ, καὶ πᾶσιν εἰς τὸ κακῶς παθεῖν προκείμενοι. πάνυ γε· οὐ γὰρ ἐλάβετε τὰ ἔπαθλα, ὅτι τοῦ Θεοῦ τὸν ἐχθρὸν ἐσφάξατε. μανία ταῦτα καὶ λῆρος. ἃ γὰρ πάσχετε νῦν, οὐ τοὺς ἐχθροὺς τοῦ Θεοῦ ἀναιρούντων ἐστὶν, ἀλλὰ τοὺς φίλους διαχειρωσαμένων. ἀλλ' ὦ τᾶν ταῦτα οὐ λέγομεν, φασί· διὰ τὰς ἁμαρτίας ταῦτα πάσχομεν. νῦν ἐξομολογεῖσθε οἱ ἀπειθεῖς. καὶ ποίας ἁμαρτίας, εἰπέ μοι; μὴ γὰρ νῦν πρῶτον ἡμαρτήκατε; νῦν μὲν οὖν D καὶ ἐπιεικέστεροι γεγόνατε. ἀλλὰ μήπω τοῦτο. ἀλλ' ἐκεῖνο ἂν ὑμᾶς ἐροίμην· τίνος ἕνεκεν ἀεὶ ἁμαρτάνοντες πρότερον ἐτυγχάνετε φιλανθρωπίας παρὰ Θεοῦ, νῦν δὲ οὐκέτι, καὶ τὸ δὴ παραδοξότερον, ὅτι καὶ ἐλάττονα νῦν ἁμαρτάνοντες; τότε μὲν γὰρ καὶ τῷ Βεελφεγὼρ ἐτελεῖσθε, καὶ μόσχον προσεκυνήσατε, καὶ τοὺς υἱοὺς ἐσφάξατε, καὶ τὰς θυγατέρας ὁμοῦ ἀνείλετε, καὶ ταῦτα σημείων ἀπολαύοντες· νῦν δὲ οὐ θάλατταν ὁρῶντες σχιζομένην, οὐ πέ-

οὐ πέτραν ῥηγνυμένην, οὐ προφήτας παραγινομένους, οὐ τῆς συνήθους ἀπολαύοντες προνοίας, ὅμως μείζονα ἐπιδείκνυσθε τὴν ἐπιείκειαν. τί δή ποτε οὖν, ὅτε καὶ τὰ ἁμαρτήματα ἐλάττονα, καὶ ἡ σωφροσύνη πλείων, μείζων ἡ κόλασις καὶ ἡ τιμωρία; οὐκ εὔδηλον καὶ τοῖς σφόδρα ἀνοήτοις, ὅτι ἐπέκεινα μεῖζον τὸ νῦν ἁμάρτημα; ἕως μὲν γὰρ εἰς τοὺς δούλους ἡμαρτάνετε, ἐτυγχάνετε συγγνώμης, προφήτας ἀναιροῦντες καὶ λιθάζοντες· ἐπειδὴ δὲ εἰς τὸν δεσπότην τὰς χεῖρας ἐξετείνατε, ἀνίατον γέγονεν ὑμῖν τὸ ἕλκος λοιπόν. διὰ τετρακόσια λοιπὸν ἔτη παρῆλθον, ἀφ' οὗ καὶ αὐτὸ τῆς πόλεως τὸ ἔδαφος ἠφάνισται, ἡ ἱερωσύνη ἀνῄρηται, ἡ βασιλεία λέλυται, τὰ τῶν φυλῶν συγκέχυται, πάντα τὰ σεμνὰ ἐκεῖνα καὶ λαμπρὰ ἠφάνισται, καὶ οὐδὲ ἴχνος παρ' ὑμῖν· ὅπερ οὐδέποτε γέγονεν. ἀλλ' ἐν ἀρχῇ μὲν, καὶ τοῦ ναοῦ καθῃρημένου, οἱ προφῆται παρέμενον, καὶ πνεύματος χορηγίαι, καὶ θαύματα· νυνὶ δὲ, ἵνα σαφῶς μάθητε ὅτι ὁ Θεὸς ὑμᾶς ἀπέστραπται διηνεκῶς, καὶ ταῦτα ἀνῄρηται), καὶ δουλεία, καὶ αἰχμαλωσία, καὶ πάντων ἔκπτωσις, κατέλαβε καὶ (τὸ πάντων χαλεπώτερον) Θεοῦ ἐγκατάλειψις· καὶ ταυτὸν πεποίηκεν ὁ Θεὸς, οἷον ἂν εἴ τις δοῦλον ἀγνώμονα πολλάκις μαστιχθέντα καὶ μὴ διορθωθέντα, ἀποδύσας τῶν ἱματίων, γυμνὸν, ἔρημον, ἀλήτην ἀφῇ πλανᾶσθαι προσαιτοῦντα καὶ ἐλαυνόμενον πανταχοῦ. πρότερον δὲ, οὐ τοιαῦτα τὰ ὑμέτερα, ἀλλὰ καὶ προφῆται παρ' ὑμῖν, καὶ ἐν Αἰγύπτῳ καὶ ἐν Βαβυλῶνι καὶ ἐν ἐρήμῳ· Μωϋσῆς ἐν Αἰγύπτῳ, ἐν Βαβυλῶνι Δανιὴλ καὶ Ἰεζεκιήλ, ἐν Αἰγύπτῳ πάλιν Ἱερεμίας· καὶ θαύματα ἐπὶ θαύμασι, καὶ λαμπρότερον τὸ ἔθνος ἐγίνετο, τῶν παρ' ὑμῖν αἰχμαλώτων βασιλέων ὑψηλοτέρων γενομένων. ἀλλὰ νῦν πάντα ἐκεῖνα οἴχεται· καὶ ἡ τιμωρία χαλεπωτέρα τῶν προτέρων, οὐ μόνον τῷ μήκει τοῦ χρόνου, ἀλλὰ καὶ τῇ πολλῇ ἐγκαταλείψει. τίνος οὖν ἕνεκεν, εἰπέ μοι, ὅτι μείζονα ἡμαρτάνετε, τοσαύτης ἀπελαύετε προνοίας· ὅτι δὲ, ὥς φατε, καὶ ἐζηλώσατε ὑπὲρ τοῦ νόμου, χείρονα ἐπάθετε; ἀπὸ γὰρ τούτου ἀδικίαν καταγινώσκετε τοῦ Θεοῦ, ὅτι ἁμαρτάνοντας μὲν ἐτίμα, κατορθοῦντας δὲ ἠτίμασεν. εἰ γὰρ πλάνον ἀνείλετε, ὥς φατε, καὶ κατωρθώσατε.

A nec petram frangi, nec adesse Prophetas, nec vestri consuetam sentiatis prouidentiam, maior tamen appareat probitas, & vitæ moderatio, quænam est causa, quòd quãdo minus peccatis, & maior est vestra modestia, maior est pœna ac supplicium? An non vel stultis clarum est, id ideo fieri, quoniam maius est vestrum nunc peccatum? Quamdiu enim in seruos peccastis, veniam estis assecuti, vt cùm Prophetas interficeretis, & lapidibus impeteretis, sed postquam manus in dominum iniecistis, vobis deinceps euasit vlcus im- B medicabile, & ideo quadringenti iam anni præterierunt, ex quo ciuitatis vel ipsum solum periit, sublatum est sacerdotium, regnum abruptum, confusæ tribus, præclara illa & magnifica euanuerunt, & ne vestigium quidem est apud vos reliquum, quod nunquam antè factum est. Sed in principio quidem cùm dirutum esset templum, remanebant Prophetæ, & suppeditationes spiritus, & miracula: nunc autem vt clarè intelligatis Deum vos esse perpetuò auersatum, ea quoque sublata sunt: & seruitus, & captiuitas, & rerum C omnium euersio, & (quod est omnium difficillimum) Dei vos inuasit derelictio, & perinde fecit Deus, vt si quis seruum ingratum, sæpe flagris cæsum & non correctum, vestibus exutum, nudum, desertum, vagabundum errare permitteret, mendicantem, & vndique eiectum. Antea autem res vestræ non ita se habebant, sed apud vos erant prophetæ, & in Ægypto, & Babylone, & in deserto. Moses in Ægypto, in Babylone Daniel & Ezechiel, in Ægypto rursus Hieremias: & miracula adiecta miraculis, clariórque & illustrior gens D euasit, vt quæ apud vos captiuis regibus esset superior. Sed nunc illa omnia perierunt, & supplicium est grauius prioribus, non solùm propter longitudinem temporis, sed etiam propterea quòd estis vndiquaque derelicti. Quanam ergo de causa, dic quæso, quando plura peccabatis, tanta vestri erat cura ac prouidentia: quando autem pro lege zelo accensi estis, passi estis grauiora? Ex hoc enim Deum damnatis iniustitiæ, quòd peccatores quidem honoraret, eos autem qui se rectè & ex virtute gerebant ignominia affecerit. Si enim impostorem, vt dicitis, sustulistis, vos rectè ac præclarè gessistis.

Inuehitur Chrysost. in impios Iudaos.

Hebr. 11. Attende atatẽ Chrysost.

Argumentũ à simili. Esa. 64. & seq. & Matt. 13.

Psal. 150. Hier 7. & 4. Reg 17.

Vel si iustus est Deus, vt certè est iustus, clarum est vestra nunc esse grauiora peccata. Si autem nunc nec impij estis, nec filios (vt antè) sacrificatis, quodnam est aliud peccatum, propter quod grauiora passi estis? An non est euidens, quòd crucifixio est veluti quidam colophon & summa omnis malorum? Hoc magis vos perdidit quàm idolorum cultus, vituli conflatio, & filiorum occisio. Non enim paria sunt hæc, filium suum interficere, & dominum suum crucifigere. Propterea quando filios quidem occidebas, veniam es consecutus: sed quando Dei filium & tuum dominum occidisti, puniris deinceps absque vlla venia.

Quot anni ab exitu ex Ægypto ad Christum.

Quot sunt anni ab exitu ex Ægypto vsque ad aduentum Christi? mille & quingenti puto, & plures. Quomodo ergo in his omnibus vos peccantes passus est: nunc autem vos abiecit, quando maximè coronare oportuit, etsi multa peccassetis? Præclarum enim esset vestrum facinus, si impostorem occidissetis. Cum hoc autem nunc & sabbata obseruare videmini, & idola minimè adoratis, & alia seruare magno studio contenditis. Quando ergo & vita vestra est melior, & tam præclarum, vt dicitis, facinus fecistis, tunc vltima patimini. Quid hac insania fuerit deterius? Quid hac dementia, quòd cùm vos defendere velitis, blasphemiis & maledictis Deum insectamini? Si enim quod aduersus Christum peccastis, non est illis omnibus deterius, sed id à vobis, vt dicitis, iustè & rectè factum est: cur vos quidem punit, sic rectè vos gerentes, peccantibus autem pepercit? Hoc non solùm Deus, sed nec vllus homo mentis compos facere in animum induxerit. Sed quid ad hæc dicunt? Deiecti sumus, vt essemus orbis terræ doctores. Nugæ sunt hæc, & ineptiæ. Eos enim qui futuri sunt doctores, se priùs rectè gessisse oportuit, & tunc ad id mitti: cuiusmodi fuerunt Prophetæ & Apostoli. Cùm autem ipsi sint peruersi, & omni vitio referti, quomodo ad docendum processerunt? Videamus ergo qualis eorum fuerit vita quæ præcessit. Inueniemus enim eos belluis fuisse immaniores. Nam & parricidæ, & liberorum interfectores, idolorúmque cultores, & alienorum bonorum occupatores fuere: eorum autem sunt plenæ prophetiæ.

A ἢ εἰ δίκαιος ὁ Θεὸς (ὥσπερ οὖν καὶ δίκαιος) εὔδηλον ὅτι τὰ νῦν ἁμαρτήματα ὑμῶν χαλεπώτερα. εἰ δὲ οὔτε ἀσεβεῖτε νῦν, οὔτε τέκνα θύετε, ὡς πρὸ τοῦ, ποῖον ἄλλο ἁμάρτημά ἐστι δι' ὃ χαλεπώτερα ἐπάθετε; ἢ εὔδηλον, ὅτι τὸ τοῦ σταυροῦ τόλμημα, ὁ κολοφὼν τῶν κακῶν; τοῦτο καὶ εἰδωλολατρείας, καὶ μοσχοποιίας, καὶ παιδοκτονίας μᾶλλον ὑμᾶς ἀπώλεσεν. οὐ γάρ ἐστιν ἴσον, υἱὸν σφάξαι τὸν ἑαυτοῦ, καὶ δεσπότην τὸν ἑαυτοῦ σταυρῶσαι. διὰ τοῦτο, ὅτε μὲν τοὺς υἱοὺς ἐσφάττετε, φιλανθρωπίας ἀπελαύετε· ὅτε δὲ τὸν τοῦ Θεοῦ τὸν B υἱὸν καὶ σὸν δεσπότην, ἀσύγγνωστα λοιπὸν κολάζῃ. πόσα ἔτη ἀπὸ τῆς ἐξόδου τῆς κατ' Αἴγυπτον, ἕως τῆς τοῦ Χριστοῦ παρουσίας; οἶμαι χίλια πεντακόσια εἶναι καὶ πλείονα. πῶς οὖν ἐν τούτοις ἅπασιν ἁμαρτάνοντας ὑμᾶς ἔφερε· νῦν δὲ ὑμᾶς ἔρριψεν, ὅτε μάλιστα στεφανῶσαι ἔδει, κἂν πολλὰ ἡμαρτηκότες ἦτε; τὸ γὰρ κατόρθωμα ὑμῶν πολὺ μέγιστον ἦν, εἴγε πλάνον ἐσφάξατε. μετὰ δὲ τούτου, καὶ σάββατα δοκεῖτε φυλάττειν νῦν, καὶ εἴδωλα οὐ προσκυνεῖτε, καὶ τὰ ἄλλα φιλονεικεῖτε διατηρεῖν. ὅτε τοίνυν καὶ ὁ βίος ὑμῶν βελτίων, καὶ τὸ κατόρθωμα, ὥς φατε, τοσοῦτον, C τότε τὰ ἔσχατα πάσχετε. τί ταύτης τῆς μανίας γένοιτ' ἂν χεῖρον; τί τῆς ἀνοίας, ὅτι ὑπὲρ ὑμῶν αὐτῶν ἀπολογήσασθαι βουλόμενοι, εἰς τὸν Θεὸν βλασφημεῖτε; εἰ γὰρ οὐ μεῖζον τὸ ἁμάρτημα τὸ κατὰ Χριστοῦ πάντων ἐκείνων, ἀλλὰ καὶ δικαίωμα, ὥς φατε, καὶ κατόρθωμα, τί δή ποτε κατορθοῦντας μὲν κολάζει, ἁμαρτανόντων δὲ ἐφείδετο; τοῦτο γὰρ οὐχ ὁ Θεός, ἀλλ' οὐδ' ἂν ἄνθρωπος ὅστις δήποτε νοῦν ἔχων ἀνάσχοιτο ἂν ποιῆσαι. ἀλλὰ τί φασι πρὸς ταῦτα; ἐρρίφημεν, ἵνα καὶ διδάσκαλοι γενώμεθα τῆς οἰκουμένης. λῆρος ταῦτα καὶ φλυαρίαι. τοὺς γὰρ μέλλοντας εἶναι D διδασκάλους, πρότερον αὐτοὺς κατωρθωκέναι δεῖ, καὶ τότε πέμπεσθαι εἰς τοῦτο· οἷοι ἦσαν οἱ προφῆται, οἱ ἀπόστολοι. ὅταν δὲ αὐτοὶ διεστραμμένοι ὦσι, καὶ πάσης γέμοντες κακίας, πῶς ἂν εἰς τὸ διδάσκειν ἐξεπέμφθησαν; ἴδωμεν τοίνυν οἷος αὐτῶν καὶ ὁ πρὸ τοῦ βίος. εὑρήσομεν γὰρ θηρίων ὄντας χαλεπωτέρους. καὶ γὰρ πατραλοῖαι, καὶ παιδοκτόνοι, καὶ εἰδωλολάτραι, πλεονέκται γεγόνασι· καὶ τούτων εἰσὶν αἱ προφητεῖαι πλήρεις.

καὶ τὸ μὲν λάγνον ὑμῶν Ἱερεμίας δηλῶν, ἔλεγεν· A ἵπποι θηλυμανεῖς ἐγενήθησαν· ἕκαστος ἐπὶ τὴν γυναῖκα τοῦ πλησίον ἐχρεμέτιζε. τί ταύτης τῆς ἀκαθαρσίας χεῖρον; οὐ γὰρ ὡς ἄνθρωποι συνεγίνοντο ταῖς ἀλλήλων γυναιξί· διὸ καὶ τὴν μανίαν αὐτῶν χρεμετισμὸν ἐκάλεσε. καὶ οὐχὶ πορνείαν μόνον, ἀλλὰ καὶ μοιχείαν αὐτοῖς ἐγκαλεῖ, καὶ ταύτην ἀναιδῆ γινομένην, καθάπερ ἐπὶ τῶν ἀλόγων. ἕτερος δὲ προφήτης φησίν· εἰσῆλθον πρὸς τὴν γυναῖκα ποιοῦντες παραπετάσματα, υἱὸς καὶ πατὴρ πρὸς τὴν αὐτὴν παιδίσκην. B διὰ τοῦτο οὖν διδασκάλους, εἰπέ μοι, ἔπεμψεν ὑμᾶς, ἵνα μάθωμεν πορνείας καὶ μοιχείας, καὶ ὅτι δεῖ τὴν αὐτὴν εὐνὴν ἔχειν πατέρα καὶ υἱόν; τί δὲ ὁ Ἰεζεκιήλ; οὐδὲ κατὰ τὰ νόμιμα τῶν ἐθνῶν ἐποιήσατε, φησί. τοὺς οὖν ἐθνῶν χείρους, τούτους ἔπεμψε διδασκάλους, εἰπέ μοι; τὰς δὲ μιαιφονίας αὐτῶν, τίς ἂν ἐνέγκοι; υἱοὺς γὰρ καὶ θυγατέρας κατέσφαξαν τοῖς δαιμονίοις, καὶ κατέκαιον αὐτούς. δείκνυσι καὶ τοῦτο ὁ Δαβὶδ λέγων· καὶ ἔσφαξαν τοὺς υἱοὺς αὐτῶν καὶ τὰς θυγατέρας αὐτῶν τοῖς δαιμονίοις. διὰ ταῦτα οὖν ἀπέστειλεν, ἵνα μάθῃ τοῦτο τῶν ἀνθρώπων ἡ φύσις, ὅτι υἱοὺς δεῖ κατασφάττειν, C καὶ θυγατέρας; οὐκ αἰσχύνεσθε, οὐδὲ ἐγκαλύπτεσθε τοιαύτας ληρῳδίας συντιθέντες; καὶ γὰρ ἕτερός φησιν· αἵματα ἐφ' αἵμασι μίσγουσι· καὶ ἀρὰ, καὶ ψεῦδος, καὶ κλοπὴ, καὶ φόνος, καὶ μοιχεία κέχυται ἐπὶ τῆς γῆς. ἄλλος δέ· ὅτι ὄψις πόρνης ἐγένετό σοι, ἀπηναισχύντησας πρὸς πάντας. ἕτερος πάλιν· οἱ ἄρχοντες ὑμῶν ὡς λύκοι τῆς Ἀραβίας. ἄλλος πάλιν· οὐκ ἔστιν ὁ συνιῶν, οὐκ ἔστιν ὁ ἐκζητῶν τὸν Θεόν· πάντες ἐξέκλιναν, ἅμα ἠχρειώθησαν. ταῦτα οὖν ἐξήλθετε διδάσκοντες, ἀναισχυντίαν, ἄνοιαν, πορνείαν, μοι- D χείας, φόνους, πᾶσαν κακίας ὁδόν; οὐ παύεσθε ἀναγκάζοντες ἡμᾶς τὰ κακὰ ὑμῶν ἐκπομπεύειν; ὑμεῖς οἱ αἰρόμενοι ἐκ κοιλίας, καὶ παιδευόμενοι ἕως γήρως· ὑμεῖς οἱ τυφλοὶ, καὶ εἰς βόθυνον ἀλλήλους ἐμβάλλοντες. τυφλὸς γὰρ τυφλὸν, φησιν, ἐὰν ὁδηγῇ, ἀμφότεροι εἰς βόθυνον ἐμπεσοῦνται. οἱ καθ' ἑκάστην προφητῶν ἀπολαύοντες, καὶ μηδέποτε βελτίους γινόμενοι, ἑτέρων ἐμέλλετε διδάσκαλοι εἶναι; οὐ παύεσθε τοιαῦτα ληροῦντες, καὶ ἐπιγνώσεσθε ὑμῶν τὴν κακίαν; τοῦτο γὰρ ὑμᾶς ἀπώλεσεν ἀεί,

A Ac vestram quidem libidinem ac incontinentiam significans Hieremias, [*Hier.5.8.*] dicebat: Equi in equas insanientes facti sunt: vnusquisque hinniebat ad vxorẽ proximi. Quid hac fuerit peius immunditia? Non enim vt homines cum suis inuicem vxoribus coibant, & ideo eorum furorem appellauit hinnitum. Nec eos solum arguit fornicationis, sed eos etiam accusat adulterij, quod etiam ab eis impudenter admittebatur, quemadmodum in brutis. Alius autem Propheta dicit: Ingressi [*Amos 2.7.*] sunt ad mulierem facientes aulæa, filius & pater, ad eandem puellam. B Propterea ergo dic quæso, vos misit doctores, vt fornicationes & adulteria disceremus, & quòd oportet patrem & filium idem inire cubile? Quid verò Ezechiel? [*Ezech.5.*] Ne secundum gentium quidem legitima fecistis, inquit. Eos ergo qui erant deteriores gentibus, dic mihi, doctores misit? Factas autem ab eis cædes quis ferre possit? Filios enim & filias mactarunt dæmoniis, & eos combusserunt. Hoc autem Dauid quoque ostendit, dicens: Et mactarunt filios [*Psal.105.*] suos & filias suas dæmoniis. Propterea C ergo misit, vt hoc disceret natura hominum, quòd oportet filios & filias mactare dæmoniis? Non erubescitis, nec pudore suffusi vos tegitis, cùm huiusmodi nugas comminiscamini. Alius enim dicit: Sanguinem miscent sanguini: & execratio, & mendacium, & [*Osee 4.2.*] furtum, & adulterium fusum est super terram. Alius autem: facta est tibi facies meretricis, erga omnes fuisti impudens. [*Hier.3.3.*] Alius rursus: Principes vestri tanquam lupi Arabiæ. [*Ezech.22.27.*] Alius rursus: Non est intelligens, non est requirens Deum. [*Psal.13.3.*] Omnes declinauerunt, simul D inutiles facti sunt. Egressi ergo estis vt hæc doceretis, impudentiam, amentiam, fornicationes, adulteria, cædes, omnem viam improbitatis? Non cessatis nos cogere vestra mala traducere. [*Esa.46.3. iuxta 70. Interpret.*] Vos estis qui portamini ex vtero, & [*Psal.70.*] docemini vsque ad senectutem. Vos estis ceci, & qui vos inuicem in foueam [*Matt.15.14 Luc.6.39.*] præcipitatis. Cæcus enim, inquit, si cæcum ducat, ambo in foueam cadent. Qui prophetas semper habuistis, & nunquam facti estis meliores, futuri estis aliorum doctores? Non cessatis hæc nugari, & vestram agnoscitis culpam? Hoc enim semper vos perdidit,

quòd vestrorum malorum nolitis fundamentum cognoscere. Propterea quod faciunt iudices, qui iubent vt eos qui flagris cæduntur, sequantur qui clament & dicant, cur cædantur, si fures, si raptores: ita etiam Deus vos quoquouersus traducens, iussit sequi prophetas, qui causam dicerent supplicij. Vbique enim terrarum vnà vobiscum vincti sunt, qui etiam nunc adhuc vobis inclamant. Et si in synagogas ingrediaris, audies assiduè eos hæc verba dicere. Et Dauid quidem describens illud (quod latrocinij instar habebat) Caiphæ iudicium, dicit vos propterea periisse. Cùm enim dixisset, dirumpamus vincula eorum, & abijciamus à nobis iugum ipsorum, subiunxit: Tunc loquetur ad eos in ira sua, & in furore suo conturbabit eos. Esaias autem cùm dixisset ouem ductam esse ad occisionem, subiunxit: Et dabo improbos pro sepultura eius, & diuites pro morte eius: & rursus alibi de vinea loquens: Expectaui vt faceret iustitiam: fecit autem iniquitatem, & non iustitiam, sed clamorem. Quemnam autem clamorem? Crucifige, Crucifige. Et subiungit: Propterea diruam sepem eius, & erit in cõculcationem: & mandabo nubibus vt non pluant super ipsam pluuiam. Non propterea ergo dispersi estis, sed propterea quæ in cruce ausi estis, idque manifestum est ex prophetis. Et vt scias Christi virtutem, & vt ex vobis ipsis discatis, quæ non didicistis à prophetis, vide res quoque ipsas id testantes. Quod enim vos lex non docuit, hoc ex redundanti copia fecit Christi potentia. Quandiu enim legem habuistis, & occidebatis, & filios mactabatis, & adulterabatis: postquam autem illuxit sol iustitiæ, de vestris malis multum decessit, & moderatius vitam instituistis, correcti per vestram in nos æmulationem. Propterea vos dispersit, vt sciretis quantam in terris plantarit rempublicam: & templum soluit, vos vel inuitos à vitio abducens: & vbi templum fuit solutum, illic etiam Christus sepultus est, vt propter illius sepulchrum recedentes, viderent etiam trophæum illius potentiæ, & verbum stare quod dicit:

Psal. 2. 3. — Esa. 53. 7. — Esa. 5. 7. — Matt. 27. — Luca 23. 21 — Ezech. 23. 37.

A τὸ μὴ βούλεσθαι εἰδέναι μηδὲ τῶν ἁμαρτημάτων ὑμῶν τὴν ὑπόθεσιν. διὰ δὴ τοῦτο, ὅπερ ποιοῦσιν οἱ δικασταὶ, κελεύοντες ἕπεσθαι τοῖς μαστιγουμένοις τοὺς ἐπιβοῶντας καὶ λέγοντας τῶν μαστίγων τὰς αἰτίας, μὴ κλέπτειν, μὴ ἁρπάζειν· οὕτω δὴ καὶ ὁ Θεὸς πανταχοῦ πομπεύων ὑμᾶς, ἐκέλευσεν ὑμῖν ἕπεσθαι τοὺς προφήτας λέγοντας τὴν αἰτίαν τῆς τιμωρίας. πανταχοῦ γὰρ τῆς οἰκουμένης ὑμῖν εἰσὶ συνδεδεμένοι, ὅπου καὶ νῦν ἐπιβοῶντες ὑμῖν. κἂν εἰσέλθῃς εἰς τὰς συναγωγὰς, ἀκούσῃ αὐτῶν ταῦτα τὰ ῥήματα συνεχῶς λεγόντων. καὶ ὁ μὲν Δαβὶδ φησὶ (τὸ δικαστήριον B ἐκεῖνο τὸ λῃστρικὸν ὑπογράφων τοῦ Καϊάφα) ὅτι διὰ τοῦτο ἀπολώλατε. εἰπόντων γὰρ, διαῤῥήξωμεν τοὺς δεσμοὺς αὐτῶν, καὶ ἀποῤῥίψωμεν ἀφ' ἡμῶν τὸν ζυγὸν αὐτῶν, ἐπήγαγε· τότε λαλήσει πρὸς αὐτοὺς ἐν ὀργῇ αὐτοῦ, καὶ ἐν τῷ θυμῷ αὐτοῦ ταράξει αὐτούς. ὁ δὲ Ἡσαΐας εἰπὼν, ὅτι ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη, ἐπήγαγε· καὶ δώσω τοὺς πονηροὺς ἀντὶ τῆς ταφῆς αὐτοῦ, καὶ τοὺς πλουσίους ἀντὶ τοῦ θανάτου αὐτοῦ. καὶ πάλιν ἀλλαχοῦ περὶ τοῦ ἀμπελῶνος διαλεγόμενος· ἔμεινα, ἵνα ποιήσῃ δικαιο- C σύνην, ἐποίησε δὲ ἀνομίαν, καὶ οὐ δικαιοσύνην, ἀλλὰ κραυγήν. ποίαν δὲ κραυγήν; σταύρωσον, σταύρωσον. καὶ ἐπάγει· διὰ τοῦτο καθελῶ τὸν φραγμὸν αὐτοῦ, καὶ ἔσται εἰς καταπάτημα· καὶ ἐντελοῦμαι ταῖς νεφέλαις τοῦ μὴ βρέξαι εἰς αὐτὸν ὑετόν. οὐ διὰ τοῦτο τοίνυν διεσπάρητε, ἀλλὰ διὰ τὰ τολμηθέντα ἐν τῷ σταυρῷ· καὶ τοῦτο ἀπὸ τῶν προφητῶν δῆλον. καὶ ἵνα μάθητε τοῦ Χριστοῦ τὴν δύναμιν, καὶ ἵνα διδαχθῆτε δι' ἑαυτῶν, ἅπερ οὐκ ἐπαιδεύθητε διὰ τῶν προφητῶν, ὁρᾶτε γοῦν καὶ τὰ πράγματα μαρτυροῦν- D τα. ὅπερ γὰρ ὁ νόμος ὑμᾶς οὐκ ἐπαίδευσε, τοῦτο ἐκ περιουσίας ἡ τοῦ Χριστοῦ δύναμις ἐποίησεν. ἕως μὲν γὰρ εἴχετε τὸν νόμον, καὶ ἐφονεύετε, καὶ ἐπαιδοκτονεῖτε, καὶ ἐμοιχεύετε· ἐπειδὴ δὲ ὁ τῆς δικαιοσύνης ἥλιος ἔλαμψε, καὶ τῶν ὑμετέρων πολλὰ ἠλαττώθη κακῶν, καὶ ἐπιεικέστερον μετήλθετε βίον, ζήλῳ τῷ πρὸς ἡμᾶς διορθωθέντες. διὰ τοῦτο ὑμᾶς διέσπειρεν, ἵνα εἰδῆτε ἡλίκην πολιτείαν ἐφύτευσεν ἐπὶ τῆς γῆς. καὶ τὸν ναὸν ἔλυσεν, ἀπάγων ὑμᾶς καὶ ἄκοντας τῆς κακίας. καὶ ἔνθα ὁ ναὸς κατελύθη, ἐκεῖ καὶ ὁ Χριστὸς ἐτάφη, ἵνα διὰ τὸν ἐκείνου τάφον ἀπιόντες καὶ τὸ τρόπαιον ἴδωσι τῆς αὐτοῦ δυνάμεως, καὶ τὸν λόγον ἑστῶτα τὸν λέγοντα·

οὐ μὴ μείνῃ λίθος ἐπὶ λίθον ὧδε. πανταχοῦ γὰρ αὐτοῦ τὰ τρόπαια, καὶ τὰ ὑπομνήματα τῆς δυνάμεως. εἰ δὲ, ὥς φατε, ἀσεβὴς ἦν καὶ ἀντίθεος, εἰ καὶ μυρία ἡμαρτήκατε, οὐδὲ οὕτω κολασθῆναι ἔδει· εἰ δὲ καὶ ἔδει, οὐ τότε· ἵνα μή τις νομίσῃ, ὅτι ὑπὲρ ἐκείνου τίνετε δίκην. ἢ οὐκ ἠκούσατε τοῦ Θεοῦ λέγοντος, ὅτε ἐν τῇ αἰχμαλωσίᾳ ἦτε· ὅτι οὐ δι' ὑμᾶς ἐγὼ ποιῶ, ἀλλὰ δι' ἐμὲ, ἵνα μὴ τὸ ὄνομά μου βεβηλωθῇ; καίτοι τότε ἐπετέτατο ὑμῶν ἡ κακία. ἀλλ' ὅμως, φησὶν, ἵνα μὴ νομίσωσιν οἱ βάρβαροι ἀσθενῆ με εἶναι, ἀφίημι τὰ ἁμαρτήματα ὑμῶν, καὶ σώζω ὑμᾶς. εἶτα τότε μὲν παρανομοῦντας ἔσωζεν, ἵνα μὴ τὸ ὄνομα αὐτοῦ βεβηλωθῇ· νυνὶ δὲ οὐκ ἂν τοῦτο ἐποίησεν; εἰ γὰρ καὶ μυρία ἡμαρτήκατε, οὐδὲν τοιοῦτον ἔδει παθεῖν, εἴγε πλάνος ἦν ὁ Χριστὸς, ἵνα μή τις νομίσῃ δι' ἐκεῖνον ταῦτα πεπονθέναι· ἀλλὰ καὶ σωθῆναι ἐχρῆν· εἰ δὲ καὶ ἔδει, ὅπερ ἔφθην εἰπὼν, οὐ τότε. νυνὶ δὲ ὁμοῦ ταῦτα γέγονεν. ὅτε γὰρ ὁ σταυρὸς προεχώρησε, μετὰ μικρὸν ἐξῆλθον οἱ ἀπόστολοι, καὶ εὐθέως χαλεπὸς ἀνερριπίσθη πόλεμος κατὰ τῆς πόλεως ἐκείνης· καὶ τὸ ἐν τοῖς εὐαγγελίοις, τὸ, οὐαὶ ταῖς θηλαζούσαις καὶ ἐν γαστρὶ ἐχούσαις, καὶ πάντα ἐκεῖνα ἐπὶ τῶν ἔργων ἐξέβη· καὶ τὸ, τότε ἔσται θλίψις, οἵα οὐδέποτε γέγονεν, ἐπληρώθη. καὶ γὰρ καὶ γυναῖκες τέκνα ἤσθιον, καὶ γαστέρας ἀνέρρηγνυσαν νεκρῶν οἱ πολέμιοι, καὶ πῦρ πανταχοῦ βαρβαρικὸν διενέμετο, καὶ αἵματος πάντα ἦν μεστὰ, καὶ τραγῳδίαι καιναὶ, καὶ ἡ οἰκουμένη πᾶσα τῶν Ἰουδαϊκῶν κακῶν ἐμπέπληστο. ταῦτ' οὖν ἐννοοῦντες, ἐπίγνωτε τὸν ὑμέτερον δεσπότην. οὐχὶ προφήτας ἐσφάξατε; μὴ ἐπάθετέ τι τοιοῦτον; οὐ θυσιαστήρια κατεσκάψατε; μὴ συνέβη τις ὑμῖν τοιαύτη συμφορά; οὐχὶ μόσχον προσεκυνήσατε, καὶ τῷ Βελφεγὼρ ἐτελέσθητε, καὶ τὴν φύσιν ἠγνοήσατε; μὴ ἐλάβετε πεῖραν τοιούτων πολεμίων; οὐκ ἐν μέσαις ταῖς εὐεργεσίαις ἀγνωμονοῦντες ἐσώζεσθε; πόθεν οὖν ὑμῖν τὰ κακὰ ἀπέραντα; ἆρ' οὐχὶ πρόδηλον, ὅτι ἐπειδὴ τὸ ἁμάρτημα εἰς τὸν δεσπότην ἐπλημμελήθη, οὐκ εἰς τοὺς δούλους; ὅθεν ὑμῖν οὐδὲ λύσις ἐστὶ τῶν κατεχόντων ὑμᾶς κακῶν, οὐδὲ ἔσται. εἰ γὰρ ἦν, προεῖπον ἂν οἱ προφῆται. νυνὶ δὲ τὴν αἰχμαλωσίαν εἶπον, τὴν δὲ ἐπάνοδον οὐδαμοῦ·

A Non manebit hîc lapis super lapidem. Vbique enim sunt eius trophæa & monimenta potentiæ. Sin autem erat, vt dicitis, impius, & Dei aduersarius, etsi innumerabilia peccata fecissetis, ne sic quidem puniri oportebat: & si oportebat, at non tunc: ne quis existimaret vos pro illo pœnas luere. An non audistis Deum dicentem, quando eratis in captiuitate: Non propter vos facio, sed propter me, ne meum nomen profanetur? Arqui tunc erat maior vestra improbitas: sed tamen, inquit, ne existiment barbari me esse imbecillum, dimitto vestra peccata, & con- B seruo vos. Deinde tunc quidem vos iniquè vos gerentes seruauit, ne eius nomen profanaretur: nunc autem hoc non fecisset? Etsi enim vel innumerabilia peccata fecissetis, vos nihil oportuit pati eiusmodi, si fuisset impostor Christus, ne quis existimaret vos illa propter ipsum esse passos, sed etiam conseruatos vos esse oportuit: & si, vt iam dixi, vos pati oportuit, at non tunc. Nunc autem hæc simul facta sunt. Quando enim crux processit, paulò post exierunt apostoli, & difficile bel- C lum aduersus illam ciuitatem suscitatum est, & quod est in euangeliis: Væ lactantibus & prægnantibus, & omnia illa exitum sortita sunt: & illud: Tunc erit tribulatio, qualis nunquam antè fuit, impletum est. Nam & mulieres filios comederunt, & hostes perfregerũt ventres mortuorum, & ignis barbaricus est omnia depopulatus, & omnia erant plena sanguine, & nouæ tragœdiæ, & vniuersus orbis terrarum refertus erat malis Iudaicis. Hæc ergo apud vos cogitantes, vestrum dominum agnoscite. An non prophetas occidistis? D nunquid tale quid passi estis? Non altaria diruistis? nunquid talis vobis contigit calamitas? Non vitulum adorastis, & Beelphegor estis initiati, & naturam ignorastis? Nunquid tales hostes experti estis? An non vel in mediis beneficiis immemores & ingrati seruati estis? Vnde ergo innumerabilia in vos mala profecta sunt? An non clarum est ex eo, quòd in dominum ausi estis peccare, non in seruos? Vnde nec est vobis à malis quæ vos inuasere, liberatio, nec erit. Si enim esset, eam prædixissent prophetæ. Nunc autem dixerunt quidem captiuitatem, sed nõ reditum,

Matt.24. 2.

Ezech. 36. 21.

Matth.24. 19.

Luc. 21. 23.
Ioseph. de bell. Iud.

Exod 32. 6.
Num. 25. 2.

licet bona suppliciis assiduè admiscentes, & tēpora definientes. Etenim Hieremias definiit septuaginta annos, & Daniel similiter septuaginta hebdomadas & dimidium. Quin etiam prædictū est eos quadringentis & triginta annis in Ægypto seruituros. Huius autem captiuitatis nusquam scitum est tempus, nec finis, sed relicta est vestra domus deserta, & quotidie res vestræ deterius procedunt. Hæc omnia attentè apud vos cōsiderantes, & quæ breuiter dicta sunt fusius tractantes (Da enim sapienti occasionem, & erit sapientior) illorū impudentiam immemorémque & ingratū animū poteritis refellere. 4. *Quoniam videbo cælos tuos opera digitorum tuorū.* Alius, *Video enim cælos. Lunam, & stellas, quæ tu fundasti.* Alius, Parasti. Alius, Stabilisti. Cùm dixisset, Destruxisti inimicos, splendidæ huius victoriæ affert probationem. Tu enim, inquit, qui crucifixus es, qui de medio sublatus es, apparuisti orbis terrarum creator & opifex. Propterea dicit: Videbo cœlos tuos, significans multos non antea cognouisse, postea quidem certè omnes scient. Et cur non vniuersas orbis terræ partes persecutus est? Quod eorum quæ videbantur opportuniora persecutus, de aliis docere minimè opus habuit. Adeò ergo destructi sunt inimici, vt qui ab eis expellebatur, & ab eis de medio sublatus est, omnium quæ videbantur apparuerit opifex. Et quare non dit, Manuum tuarum: sed, Digitorum tuorum? minimæ operationis opus ostendens ea quæ videntur, & admirabilitatem opificij, quòd suspensæ stellæ non cadant: etsi natura fundamentorum exigat, vt infernè non supernè iaciantur: sed opifex qui est optimus artifex, & qui facit admirabilia, in his quæ apparent, plura fecit supra naturæ consequentiam. Et quare nihil dicit de potestatibus incorporeis & inde quoque ostendit eius creationem? Quod nimirum hoc interim et propositum fuerit, vt ipsi discerent de iis quæ apparebant. Et propterea eius quoque pater cùm sursque déque cum Iudæis loqueretur, non dicit: Ego feci Angelos & Cherubim, sed, Ego cœlum extendi: manus mea ter-

Hier. 29. 10. Dan. 9. Gen. 15. Matth. 23. 38. Prov. 9. 9. 1. Tim. 3. Symmachus. Theodotio. Esa. 48. 13.

A καί τοι συνεχῶς ταῖς κολάσεσι τὰ χρηστὰ ἀναμιγνύντες, καὶ χρόνους ὁρίζοντες, καὶ γὰρ ὁ Ἱερεμίας ἑβδομήκοντα ἔτη ὥρισε. καὶ ὁ Δανιὴλ ὁμοίως, τρεῖς ἑβδομάδας καὶ ἥμισυ· καὶ ἐν Αἰγύπτῳ τετρακόσια τριάκοντα ἔτη ἐρρήθη ὅτι δουλεύσουσι. περὶ δὲ τῆς αἰχμαλωσίας ταύτης, οὐδαμοῦ κεῖται χρόνος, οὐδὲ πέρας, ἀλλ' ἀφεῖται ὁ οἶκος ὑμῶν ἔρημος, καὶ καθ' ἑκάστην ἡμέραν ἐπὶ τὸ χεῖρον τὰ ὑμέτερα πρόεισι. ταῦτα πάντα μετὰ ἀκριβείας ἀναλογιζόμενοι παρ' ἑαυτοῖς, καὶ τὸν λόγον ἐκ τούτων πλατύ- B νοντες (δίδου γὰρ σοφῷ ἀφορμὴν, καὶ σοφώτερος ἔσται) τὴν ἀναισχυντίαν αὐτῶν καὶ τὴν ἀγνωμοσύνην ἐλέγχειν δυνήσεσθε. ὅτι ὄψομαι τοὺς οὐρανούς ἔργα τῶν δακτύλων σου. ἄλλος, ὁρῶ γὰρ τοὺς οὐρανούς. σελήνην καὶ ἀστέρας, ἃ σὺ ἐθεμελίωσας. ἄλλος, ἡτοίμασας. ἄλλος, ἥδρασας. εἰπὼν, ὅτι κατέλυσας τοὺς ἐχθροὺς, καὶ τὴν ἀπόδειξιν παρέχει τῆς λαμπρᾶς ταύτης νίκης. σὺ γὰρ, φησιν, ὁ σταυρωθεὶς, ὁ ἀναιρεθεὶς, ἀνεφάνης τῆς οἰκουμένης δημιουργός. διὰ τοῦτό, φησιν, ὄψομαι τοὺς οὐρανούς· δηλῶν, ὅτι ἔμπροσθεν οὐ πολλοὶ τοῦτο ᾔδεσαν, ὕστερον μέν- C τοι πάντες εἴσονται. καὶ τίνος ἕνεκεν οὐκ ἐπῆλθεν ἅπαντα τῆς οἰκουμένης τὰ μέρη; ὅτι τὰ καιριώτερα τῶν ὁρωμένων ἐπελθὼν, οὐδὲν ἔδει τῆς περὶ τῶν ἄλλων διδασκαλίας. εἰς τοσοῦτον τοίνυν κατελύθησαν οἱ ἐχθροὶ, ὡς τὸν παρ' αὐτῶν ἐλαυνόμενον καὶ ἀναιρεθέντα, ἀναφανῆναι τῶν ὁρωμένων ἁπάντων δημιουργόν. καὶ τίνος ἕνεκεν οὐκ εἶπε, τῶν χειρῶν σου, ἀλλὰ τῶν δακτύλων σου; τῆς ἐλαχίστης ἐνεργείας ἔργον δεικνὺς τὰ ὁρώμενα, καὶ τὸ παράδοξον τῆς δημιουργίας, ὅτι κρεμασθέντες οὐκ ἐκπίπτουσιν οἱ ἀ- D στέρες. καί τοί γε οὐχ αὕτη τῶν θεμελίων ἡ φύσις, ἄνω κρεμᾶσθαι, ἀλλὰ κάτω κεῖσθαι πέφυκεν. ἀλλ' ὁ ἀριστοτέχνης δημιουργὸς καὶ παράδοξα ποιῶν, ἐν τοῖς φαινομένοις τὰ πλείονα ὑπὲρ φύσεως ἀκολουθίαν ἐποίησε. καὶ διατί μηδὲν περὶ ἀσωμάτων δυνάμεων διαλέγεται, καὶ ἐκεῖθεν δείκνυσιν αὐτοῦ τὴν δημιουργίαν; ὅτι τέως τὸ σπουδαζόμενον τοῦτο ἦν, περὶ τῶν φαινομένων αὐτοὺς μαθεῖν. διὰ τοῦτο καὶ ὁ πατὴρ αὐτοῦ ἄνω καὶ κάτω Ἰουδαίοις διαλεγόμενος, οὐ λέγει· ἐγὼ τοὺς ἀγγέλους ἐποίησα, καὶ τὰ Χερουβίμ· ἀλλ' ἐγὼ τὸν οὐρανὸν ἐξέτεινα, ἡ χείρ μου ἐθεμελίωσε τὴν

γῆν· ἡ δεξιά μου ἐστερέωσε· καὶ πάντα ἀεὶ τὸν λόγον ἐν τοῖς φαινομένοις ἀναλίσκει, πρὸς τὴν σωτηρίαν τῶν ἀκουόντων ἅπαντα πραγματευόμενος. παχύτεροι γὰρ ὄντες, ἀπὸ τῶν φαινομένων μᾶλλον ἐνήγοντο, ἢ ἀπὸ τῶν ἀοράτων. διὰ τοῦτο καὶ Παῦλος εἰσιὼν ἀεὶ καὶ δημηγορῶν, ἀπὸ τῆς φαινομένης κτίσεως προοιμιάζεται λέγων· ὁ Θεὸς ὁ ποιήσας τὸν οὐρανὸν καὶ τὴν γῆν, καὶ τὴν θάλασσαν, καὶ πάντα τὰ ἐν αὐτοῖς· καὶ ἀπὸ τῶν ὄμβρων τῶν ἐτησίων, καὶ ἀπὸ τοῦ γένους τοῦ τῶν ἀνθρώπων ἀεὶ ποιεῖται τὸν λόγον. ἂν γὰρ εἴπω ὅτι τὰ Χερουβὶμ ἐποίησε, διπλῆς μοι χρεία κατασκευῆς, ὅτι τέ ἐστι Χερουβίμ, καὶ ὅτι ἐποίησεν· ἐπὶ δὲ τῶν ὁρωμένων, μόνον ὅτι ἐποίησεν ἀναγκαζόμεθα ἀποδεῖξαι. διὸ καὶ εὐκολώτερος ὁ λόγος. τὴν γὰρ ὄψιν ἔχει μαρτυρίαν τῶν λεγομένων. καὶ γὰρ τὸ μέγεθος, καὶ τὸ κάλλος, τὴν χρῆσιν, καὶ τὴν θέσιν, καὶ τὴν εὐρυθμίαν ὁρᾷ ὁ ἀκροατής· ὥστε ἕν μοι τὸ σπουδαζόμενον δεῖξαι, ὅτι ὁ Θεὸς αὐτὸ εἰργάσατο. καὶ τίνος ἕνεκεν οὐχὶ τοῦ ἡλίου ἐμνήσθη, ἀλλὰ τῆς σελήνης καὶ τῶν ἀστέρων; μάλιστα μὲν οὖν τοῦτο εἰπών, κἀκεῖνο ᾐνίξατο. ἐπειδὴ γάρ τινες ἀποσχίζουσι τῆς δημιουργίας τοῦ Θεοῦ τὴν νύκτα, διὰ τῆς σελήνης αὐτὴν ἐνέφηνε, δεικνὺς ὅτι καὶ ταύτης δημιουργός ἐστιν. οὐ μικρὰ δὲ καὶ ἡ τῶν ἀστέρων ποικιλία, καὶ ἡ τῶν σεληναίων δρόμων ἀπόδειξις. τί ἐστιν ἄνθρωπος, ὅτι μιμνήσκῃ αὐτοῦ, ἢ υἱὸς ἀνθρώπου, ὅτι ἐπισκέπτῃ αὐτόν; ἄλλος, τί ὁ κατ' ἄνδρα, ὅτι μνημονεύεις αὐτοῦ; ἄλλος ἀντὶ τοῦ, ἐπισκέπτῃ αὐτόν, ἐπισκέψῃ αὐτόν, φησιν. εἰπὼν περὶ τῆς δημιουργίας, καὶ ἐκ μέρους τὴν πᾶσαν αἰνιξάμενος, ἐμβάλλει λοιπὸν εἰς τὸν περὶ τῆς προνοίας τῶν ἀνθρώπων λόγον. κἀκεῖνα μὲν γὰρ τὰ εἰρημένα, διὰ τὸ γένος τὸ ἡμέτερον· ἀλλὰ καὶ τὰ τῆς κηδεμονίας, ἧς ἔχεται. ἡ γὰρ κτίσις ἅπασα διὰ τὸν ἄνθρωπον. πλὴν ἀλλὰ καὶ ἕτερον εἶδος ἀνακινεῖ προνοίας. καὶ οὐχ ἁπλῶς εἰς τοῦτον ἐμβάλλει τὸν λόγον, ἀλλὰ μετὰ πολλῆς τῆς εὐγνωμοσύνης, ὑπὲρ τῆς οἰκουμένης εὐχαριστῶν, καὶ τὴν καθόλου λέγων εὐεργεσίαν, καὶ τῆς οἰκονομίας τῆς εἰς αὐτὸν γεγενημένης τὸ μέγεθος παριστῶν. εἰ γὰρ πρὸ τούτου οὐδὲν ἦν, πολλῷ μᾶλλον ὅτε ὁ Χριστὸς παρεγένετο, μετὰ τοσαῦτα καὶ τηλικαῦτα ἁμαρτήματα. καὶ δείκνυσιν ὅτι οὐκ ἔξω φειδοῦς ἡ παρουσία τοῦ Χριστοῦ, ἀλλ' οὐκ

ram fundauit, dextra mea firmauit: & omnem semper orationem consumit in iis quæ apparent, omnia agens ad salutem auditorum. Cùm enim essent crassiores, magis ducebantur ab iis quę videntur, quàm ab iis quæ sub visum non cadunt. Propterea Paulus quouue semper ingrediens & concionans, ducit exordiũ à creatura quæ videtur, dicẽs: Deus qui fecit cœlũ & terrã, & mare & omnia quę in eis sũt, & à pluuiis annuis & à genere hominũ ducit exordiũ orationis. Si enim dixero eum fecisse Cherubim, duo erunt mihi probanda, quòd sunt Cherubim, & quòd ea fecerit. In iis autem quæ videntur, cogor solùm ostendere eum illa fecisse: quocirca est etiam oratio facilior: habet enim visum, testem eorũ quæ dicuntur: videt enim auditor magnitudinem, pulchritudinem, & vsum, constantémque ac numerosum cursum. In hoc ergo est solum mihi studium ponendum, vt ostendam id Deum fecisse. Et quare non meminit solis, sed lunæ, & stellarum? Hoc cùm dixit, illud quoque significauit. Quoniam enim nonnulli à Dei opificio noctem separant, per lunam eam ostendit, dicens eum etiam huius esse opificem. Non est autem parua stellarũ varietas, & lunarium cursuum demonstratio. 5. *Quid est homo quòd memor es eius, aut filius hominis quòd visitas eum?* Alius, Quid est ad hominem pertinẽs, quòd eius recordaris? Alius pro visitas eum, dicit, Visitabis. Postquam dixit de opificio, & vniuersum ex parte significauit, infert deinceps sermonem de prouidentia hominum. Nam illa etiam quæ dicta sunt, sunt propter genus nostrum, quinetiam ea, quam aggreditur, cura & prouidentia: vniuersa enim creatura propter hominem. Verum enimuerò aliud quoque genus pertractat prouidentiæ, & non temere de his dicere aggreditur, sed valde prudenter & & gratè, pro toto orbe terrarum agens gratias, & vniuersum dicens beneficium, & ostendens magnitudinem eius dispensationis in hominem. Si enim nihil erat antea, multò magis quando Christus accessit post tot & tanta peccata: & ostendit Christi aduentum ita fuisse, vt ei parceret, &

Ordo cognitionis & progressus.

Act.17.14

Aquila v. ed.

is à summa proficisceretur clementia. Nam tanquam optimus aliquis medicus, sanis relictis venit ad nos, qui morbo laborabamus, qui nihil eramus. Hoc ergo ostendens, dicebat: Quid est homo? Pro eo quod est, Nihil est, est quid vile. Ad tantam enim respiciens Dei curam & prouidentiam, & ad ea quæ fecit pro salute hominum, valde stupet & admiratur, cur eum tanta sit prouidentia dignatus. Considera enim esse propter ipsum omnia quæ videntur. Propter ipsum, quæ ab Adam vsque ad eius aduentum dispensata & administrata sunt. Propter ipsum, paradisus & præcepta, pœnæ & miracula, suppliciaque & beneficia post legem. Propter ipsum Dei filius homo factus est. Nam quid attinet dicere futura quæ est consecuturus? Hæc ergo omnia reputans, dicit: Quid tam magnum est homo, quòd tot & tantis dignus fuerit habitus? Si quis enim considerauerit quot & quanta propter ipsum facta sunt & fiant, & quanta sit postea percepturus, multo horrore implebitur, & tunc clarè videbit quantæ curæ Deo sit hoc animal. 6. *Minuisti eum paulominus ab angelis.* Alius, Paulo minus à Deo. Alius, Paululum quiddam à Deo, Hæbræus autem *Outhasreou mat meeloim*. Hîc meminit condemnationis, & veteris peccati, mortem in medium adducens. Quin eam quoque soluit, cùm venisset vnigenitus. *Gloria honore coronasti eum.* Alius, Gloria & authoritate coronabis ipsum. Licet quidem hæc & historicè, licet & anagogicè accipere. Dicit enim & eius imperium, quòd ei cùm factus est, traditum est. Dicit etiam quæ bona consecutus sit post aduentum Christi. In principio enim audiit: Tremor & metus vestri erit super omnes bestias terræ, &, Imperent piscibus maris. Post hæc autem: Calcate super serpentes & scorpiones. Sed his dimissis, contexit orationem ex humilioribus, relinquens illa consideranda iis qui possunt cernere acutius. Gloria enim maior & honor ea sunt, quæ fiunt in nouo testamento, quando habet Christum caput, quando eius corpus efficitur, quando fit frater & cohæres, & conformis eius corpori, quando maiorem

Hic elohim pro regibus, Hebræi interpretantur. Alij, pro Deo, vt Hieron. Ecclesia, ab Angelis.

Gen. 9. 2.
Luc. 10. 19.

A πολλῆς φιλανθρωπίας. καὶ γὰρ καθάπερ τις ἄριστος ἰατρὸς, τοὺς ὑγιαίνοντας ἀφεὶς, ἦλθε πρὸς ἡμᾶς τοὺς κάμνοντας, οὐδὲν ὄντας. τοῦτο γοῦν παριστῶν ἔλεγε· τί ἐστιν ἄνθρωπος; ἀντὶ τοῦ, οὐδέν ἐστιν, εὐτελές τί ἐστι. πρὸς γὰρ τὴν τοσαύτην προνοίαν ἀφορῶν, καὶ τὴν τοιαύτην τοῦ Θεοῦ κηδεμονίαν, καὶ τὰς πραγματείας, ἃς ἐπραγματεύσατο διὰ τὴν σωτηρίαν τοῦ τῶν ἀνθρώπων γένους, σφόδρα ἐκπλήττεται καὶ θαυμάζει, τί δή ποτε τοσαύτης ἠξίωσεν αὐτὸν προνοίας. ἐννόησον γὰρ ὅτι δι᾽ αὐτὸν τὰ ὁρώμενα πάντα· B δι᾽ αὐτὸν τὰ ἀπὸ Ἀδὰμ, ἕως τῆς παρουσίας αὐτοῦ οἰκονομηθέντα· δι᾽ αὐτὸν παράδεισος, καὶ ἐντολαὶ, καὶ κολάσεις, καὶ θαύματα, καὶ τιμωρίαι, καὶ εὐεργεσίαι, μετὰ τὸν νόμον· δι᾽ αὐτὸν ὁ υἱὸς τοῦ Θεοῦ ἄνθρωπος ἐγένετο. τί ἄν τις εἴποι τὰ μέλλοντα, ὧν ἀπολαύειν μέλλει; ταῦτα τοίνυν ἅπαντα ἀναλογιζόμενος λέγει· τί τοσοῦτόν ἐστιν ἄνθρωπος, ὅτι τοσούτων ἠξιώθη; ἐὰν γάρ τις ἐννοήσῃ πόσα δι᾽ αὐτὸν γέγονε καὶ γίνεται, καὶ πόσων ἀπολαύσεται μετὰ ταῦτα, φρίκης ἐμπλησθήσεται πολλῆς, καὶ τότε ὄψεται καλῶς, πῶς τῷ Θεῷ τουτὶ περισπούδαστον τὸ ζῶον. ἠλάττωσας αὐτὸν βραχύ C τι παρ᾽ ἀγγέλους. ἕτερος, βραχύ τι παρὰ Θεόν. ἄλλος, ὀλίγον παρὰ Θεόν. ὁ δὲ Ἑβραῖος· Οὐθασρηου μάτ μηελωείμ. ἐνταῦτα τῆς καταδίκης ἀνέμνησε καὶ τῆς ἁμαρτίας τῆς παλαιᾶς, τὸν θάνατον εἰς μέσον ἀγαγών. ἀλλὰ καὶ τοῦτον ὁ μονογενὴς ἐλθὼν ἔλυσε. δόξῃ καὶ τιμῇ ἐστεφάνωσας αὐτόν. ἄλλος, δόξῃ καὶ ἀξιώματι στέψεις αὐτόν. ἔστι μὲν καὶ κατὰ ἱστορίαν, ἔστι δὲ καὶ κατὰ ἀναγωγὴν ταῦτα ἐκλαβεῖν. λέγει γὰρ αὐτοῦ καὶ τὴν ἀρχὴν, ἣν ἐνεχειρίσθη γενόμενος· λέγει καὶ τὰ μετὰ ταῦτα ἀγαθὰ, ὧν μετὰ τὴν παρουσίαν τοῦ Χριστοῦ ἀπήλαυσε. παρὰ μὲν γὰρ τὴν ἀρχὴν D ἤκουσεν· ὁ τρόμος ὑμῶν καὶ ὁ φόβος ὑμῶν ἐπὶ πάντα τὰ θηρία τῆς γῆς· καὶ, ἀρχέτωσαν τῶν ἰχθύων τῆς θαλάσσης. μετὰ δὲ ταῦτα· πατεῖτε ἐπάνω ὄφεων καὶ σκορπίων. ἀλλὰ ταῦτα ἀφεὶς, ἀπὸ τῶν ταπεινοτέρων ὑφαίνει τὸν λόγον, ἐκεῖνα συνιδεῖν καταλιμπάνων τοῖς ὀξύτερον δυναμένοις ὁρᾷν. ἡ γὰρ δόξα ἡ μείζων καὶ ἡ τιμὴ, τὰ ἐπὶ τῆς καινῆς διαθήκης γενόμενα· ὅταν κεφαλὴν ἔχῃ τὸν Χριστὸν, ὅταν εἰς τὸ σῶμα αὐτοῦ τελῇ, ὅταν ἀδελφὸς καὶ συγκληρονόμος γίνηται καὶ σύμμορφος τοῦ σώματος αὐτοῦ, ὅταν μείζονα

A Μωϋσέως λαμβάνει δόξαν, ὥσπερ ὁ Παῦλος ἐδήλωσε, δεικνὺς ὅτι, οὐ καθάπερ Μωϋσῆς ἐτίθει κάλυμμα, ἀλλὰ πάντες ἀνακεκαλυμμένῳ προσώπῳ τὴν δόξαν τοῦ Θεοῦ κατοπτριζόμεθα. διὸ καὶ λέγει· οὐ γὰρ δεδόξασται τὸ δεδοξασμένον ἐν τούτῳ τῷ μέρει, ἕνεκεν τῆς ὑπερβαλλούσης δόξης. Ταύτην οὖν φησιν ὁ προφήτης τὴν δόξαν κατὰ ἀναγωγήν. τί γὰρ ταύτης ἴσον, ὅταν συγχορεύωμεν ἀγγέλοις, ὅταν εἰς υἱοθεσίαν ἀγώμεθα, ὅταν μηδὲ τοῦ μονογενοῦς ὑπὲρ ἡμῶν φείδηται; ποίας ἁλουργίδος; ποίου διαδήματος ταῦτα οὐ λαμπρότερα, ὅταν θανάτου καταγελῶμεν, ὅταν πρὸς τὴν τῶν ἀσωμάτων δυνάμεων ἀπάθειαν B μεθορμιζώμεθα, οἱ ἠτιμασμένοι πρὸ τούτου, καὶ ἄδοξοι, καὶ βδελυροί; ὁ Ἀδὰμ οὔτε κακόν τι, οὔτε ἀγαθὸν ἐργασάμενος, ἐτιμήθη εὐθέως γενόμενος (πῶς γὰρ ἂν εἰργάσατο ὁ μὴ ὤν;) ἡμεῖς δὲ μυρία ἐργασάμενοι δεινὰ, πολλῷ πλείονος ἀπελαύσαμεν τιμῆς. οὐκ ἔτι, φησὶ, λέγω ὑμᾶς δούλους. ὑμεῖς γὰρ φίλοι μου ἐστέ. οὐκ ἔτι ἡμᾶς ἐπαισχυνόμενοι ἄγγελοι, ἀλλὰ καὶ διακονοῦσι πρὸς τὴν ἡμετέραν σωτηρίαν. καὶ γὰρ πρὸς Φίλιππον ἦλθεν ἄγγελος, καὶ πρὸς ἑτέρους πολλούς· καὶ εὐηγγελίζοντο ἀνθρώποις. οὐκ ἐπὶ γῆς δὲ κληρονόμοι, C ἀλλὰ κοινωνοὶ τῶν οὐρανίων ἀγαθῶν ἐσμεν, καὶ μέτοχοι τοῦ Χριστοῦ, καὶ εἰς κοινωνίαν καλούμεθα τοῦ μονογενοῦς. ταῦτα πάντα διὰ τῆς δόξης καὶ τῆς τιμῆς αἰνίττεται. διὸ καὶ ἕτερος ἔλεγε, δόξῃ καὶ τιμῇ στέψεις αὐτὸν, τὸ μέλλον προαναφωνῶν. καὶ κατέστησας αὐτὸν ἐπὶ τὰ ἔργα τῶν χειρῶν σου. ἄλλος, ἐξουσιάζειν ἐποίησας αὐτὸν τῶν ἔργων τῶν χειρῶν σου. πάντα ὑπέταξας ὑποκάτω τῶν ποδῶν αὐτοῦ· πρόβατα καὶ βόας ἁπάσας, ἔτι δὲ καὶ τὰ κτήνη τοῦ πεδίου. ἄλλος, τὰ ἄγρια. τὰ πετεινὰ τοῦ οὐρανοῦ, καὶ τοὺς ἰχθύας D τῆς θαλάσσης· τὰ διαπορευόμενα τρίβους θαλασσῶν. κύριε ὁ κύριος ἡμῶν, ὡς θαυμαστὸν τὸ ὄνομά σου ἐν πάσῃ τῇ γῇ. ὥσπερ περὶ δημιουργίας διαλεγόμενος, οὐ τῶν ἄνω δυνάμεων ἅπτεται μόνον, ἀλλὰ καὶ ἐπὶ αἰσθητὰ κατάγει τὸν λόγον· οὕτω καὶ περὶ τιμῆς τῆς εἰς ἀνθρώπους γενομένης διδάσκων, αἰνιξάμενος ἐκεῖνα τὰ ἀπόρρητα καὶ ἀσώματα, ἅπερ ἀπηριθμήσατο, νῦν τοῖς αἰσθητοῖς ἐνδιατρίβει πλέον, ἅπερ σαφέστερα ἐκείνων ἦν τοῖς παχυτέροις. τίνα δὲ ταῦτα ἦν; ἡ ἀρχὴ ἡ ἐπίγειος αὐτῷ δοθεῖσα, καὶ τὸ

A Mose accipit gloriam, ſicut ſignificauit Paulus, oſtendens quòd non quemadmodum Moſes imponebat velamẽ, ſed omnes reuelata facie Domini gloriam contemplamur: & ideo dicit: Nõ enim glorificatũ eſt, quod glorificatum eſt in hac parte, propter excellentẽ gloriam. Hanc ergo gloriã dicit propheta per anagogen. Quid enim eſt cum ea conferendum, quando ſimul cum angelis choros ducimus, quando in filios adoptamur, quando nec vnigenito quidem pro nobis parcitur? Qua non purpura, quo non diademate ſunt hæc longè ſplendidiora, quando mortem B irridemus, quando ad poteſtatum incorporearum impatibilitatem traducti ſumus, qui prius eramus contempti, inglorij, & execrandi? Adam cùm nec boni nec mali quid feciſſet, ſtatim honoratus eſt cùm primum factus eſt. Quomodo enim feciſſet, qui non erat? Nos autem qui mala fecimus innumerabilia, longe ſumus maiorem honorem aſſecuti. Non amplius, inquit, dico vos ſeruos: vos enim amici mei eſtis. Non amplius noſtri cauſa pudore ſuffunduntur angeli, ſed etiam noſtræ ſaluti deſeruiunt. Nam & ad C Philippum venit angelus, & ad multos alios: & euangelium nunciabant hominibus. Non in terra autem hæredes, ſed ſumus bonorum cœleſtium, & Chriſti participes, & vocamur ad communionem vnigeniti. Hæc omnia per gloriam & honorem ſignificat. Quamobrem dicit etiam alius: Gloria & honore coronabis eum, prædicens quod futurum eſt. *Et conſtituiſti eum ſuper opera manuum tuarum.* Alius, Feciſti vt haberet poteſtatem operum manuum tuarum. 7. *Omnia ſubiecisti ſub pedibus eius.* D *Oues & boues vniuerſas, inſuper & pecora campi.* Alius, feras. 8. *Volucres cœli, & piſces maris, qui perambulant ſemitas maris.* 9. *Domine Dominus noſter, quam admirabile eſt nomen tuum in vniuerſa terra.* Quemadmodum cùm de creatione loquitur, non ſolùm ſupernas attingit poteſtates, ſed etiam orationem deducit ad ſenſibilia: ita etiam cùm docet de honore habito hominibus, cùm tantum ſignificaſſet illa arcana & incorporea quæ enumerauit, nunc amplius immoratur in ſenſibilibus. Quænam autem ea ſunt? Terrenum illi datum imperiũ.

2.Cor.3.13.
2.Cor.3.10
Ioan.15.14.
Act.8.25.
Luc.2.10.
1.Cor.1.9.
Aquila.
Theod.
Symmach.

Est autem admirabile, & quod maximè significauit, quòd cum honoratum ante trãsgressionem, ne post peccatum quidem priuauit honore. Minuisti enim, inquit, cum paulominus ab angelis, hoc est, morte condemnasti, cùm peccasset. non tamen postquam eum morte condemnasti, dono eum spoliasti: & propterea postquam illud dixit, hoc ponit, ostendens inenarrabilem Dei clementiam, quòd vel diminutum propter suam transgressionem, permisit esse gloriæ honore coronatum nec ei abrogauit imperium. Si autem parum quid detraxit, hoc est etiam eius prouidentiæ. Nam ante inobedientiam dominabatur bestiis: post inobedientiam autem de hac potestate aliquantum detractum est. Nam nunc etiam dominatur eis aliquibus artibus, sed cum timore ac tremore. Nam nec totum imperium sustulit, nec totum reliquit, sed quæcunque erant ei quidem ad alimentum & exercitium necessariæ, subiectas esse permisit: quæ autem sunt efferatiores, non itidem, vt ex sua cum illis contentione, primi parentis Adæ veteris peccati admoneretur. Vnde etiam ex eo quòd nõ valde nobis subijciuntur, magnum lucrum accedit. Quid enim nos iuuaret, si leonem nostræ potestati obnoxium & & mansuefactum haberemus? Quid nobis prodesset, si pardum haberemus cicurem? Nihil nisi ad arrogantiam tantum & superbiam: propterea has quidem permisit esse exemptas ab imperio: quæ sunt autem nobis vtiles, effecit mansuetas, bouem arantem, & ouem amicientem nostri nuditatem corporis, & iumenta apta ad ea vehenda quæ importari aut exportari possunt, aues & pisces vt esset nobis mensa lautior. Quemadmodum enim cùm quis exhæredat filium, non priuat eum omnibus, sed parte aliqua, vt se corrigat, ita etiã Deus. Imò non sic, sed contrà potius. Homo enim, qui exhæredat, maiori parte priuat, minorem verò relinquit: Deus autem maiori relicta, exigua priuauit portiuncula, idq; ad eius vtilitatem, ne alia omnia facilè superaret. Sed hoc ipsum est etiam Dei prouidentiæ, qui hominis sapientiam excitans, & arrogantiam deprimens, & intempestiuum otium interrumpens,

Hominis imperiũ in bestias cur imminutũ sit.

Rationem confirmat à simili.

δὴ θαυμαστὸν, καὶ ὃ μάλιστα ἠνίξατο· ὅτι τιμηθέντα αὐτὸν πρὸ τῆς παραβάσεως, οὐδὲ μετὰ τὴν ἁμαρτίαν ἐξέβαλε τῆς τιμῆς. ἠλάττωσας γάρ, φησιν, αὐτὸν βραχύ τι παρ' ἀγγέλους, τουτέστι, θανάτῳ κατεδίκασας ἁμαρτόντα· οὐ μὴν ἐπειδὴ θανάτῳ κατεδίκασας, ἐγύμνωσας αὐτὸν τῆς δωρεᾶς. διά τοι τοῦτο, ἐκεῖνο εἰπὼν, τότε τοῦτο τίθησι, δεικνὺς ἄφατον τοῦ Θεοῦ τὴν φιλανθρωπίαν, ὅτι καὶ ἐλαττωθέντα αὐτὸν διὰ τὴν οἰκείαν παράβασιν, ἀφῆκεν ἐστεφανῶσθαι τῇ τιμῇ τῆς δόξης, καὶ τῆς ἀρχῆς οὐ παρέλυσεν. εἰ δὲ μικρόν τι ὑφεῖλε, καὶ τοῦτο τῆς κηδεμονίας αὐτοῦ. πρὸ μὲν γὰρ τῆς παρακοῆς, καὶ θηρίων ἐκράτει· μετὰ δὲ τὴν παρακοὴν, ὀλίγον δὴ τῆς ἐξουσίας ταύτης ἀπετέμετο. κρατεῖ μὲν γὰρ αὐτῶν καὶ νῦν τέχναις τισὶ, μετὰ φόβου δὲ καὶ τρόμου. οὔτε γὰρ πᾶσαν ἀφείλετο τὴν ἀρχὴν, οὔτε πᾶσαν εἴασεν· ἀλλ' ὅσα μὲν αὐτῷ πρὸς τροφὴν καὶ ἐργασίαν ἦν ἐπιτήδεια, εἴασεν ὑποκεῖσθαι· τὰ δὲ θηριωδέστερα οὐκ ἔτι, ἵνα ὑπομιμνήσκηται, ἐκ τῆς τούτων ἀγωνίας, τῆς παλαιᾶς ἁμαρτίας τῆς τοῦ προπάτορος Ἀδάμ. ὥστε καὶ ἀπὸ τοῦ μὴ σφόδρα ἡμῖν ὑποτάττεσθαι, μέγα κέρδος ἐγίνετο. τί γὰρ ὄφελος ἐκ τοῦ λέοντα ἔχειν ὑποχείριον καὶ χειροήθη; τί δὲ πλέον ἀπὸ τοῦ πάρδαλιν ἔχειν τιθασσόν; οὐδὲν, ἀλλ' ἢ ἀλαζονεία μόνον καὶ ἀπόνοια. διὰ δὴ τοῦτο, ταῦτα μὲν εἴασεν ἔξω μένειν τῆς ἀρχῆς, τὰ δὲ χρήσιμα ἡμῖν χειροήθη πεποίηκε· βοῦν ἀροτριῶντα, καὶ πρόβατον περιβάλλον τὴν τοῦ σώματος γύμνωσιν, καὶ κτήνη πρὸς τὴν τῶν ἀγωγίμων μετακομιδὴν ἐπιτήδεια, ὄρνιθας καὶ ἰχθύας, ὥστε καὶ τράπεζαν ἡμῖν εἶναι δαψιλεστέραν. καθάπερ γάρ τις υἱὸν ἀποκληρονόμον ποιῶν, οὐ πάντων ἐκβάλλει, ἀλλὰ μέρους τινὸς, ἵνα σωφρονίσῃ, οὕτω δὴ καὶ ὁ Θεός· μᾶλλον δὲ οὐχ οὕτως, ἀλλ' ἀπεναντίας. ὁ μὲν γὰρ ἄνθρωπος ἀποκληρονόμον ποιῶν, τοῦ πλείονος ἐκβάλλει μέρους, τὸ δὲ ἔλαττον ἀφίησιν· ὁ δὲ Θεὸς τὸ πλέον ἀφεὶς, ὀλίγου τινὸς ἐξέβαλε· καὶ τοῦτο πρὸς ὠφέλειαν, ἵνα μὴ πάντων ἀκύρως περιγίγνηται τῶν ἄλλων. ἀλλὰ καὶ τοῦτο τῆς τοῦ Θεοῦ κηδεμονίας. τὴν γὰρ σοφίαν αὐτοῦ θήγων, καὶ τὸ φρόνημα καθαιρῶν, καὶ τὴν ἄκαιρον σχολὴν

ἐκκόπτων (ἐπειδὴ πάντα μετ' εὐκολίας ἔχων ἐξετραχηλίσθη) ἀνέμιξέ τινα καὶ δυσκολίαν τῇ χρήσει τοῦ βίου, καὶ οὔτε πάντα μετὰ καμάτου, οὔτε πάντα ἄνευ καμάτου καρποῦσθαι αὐτὸν εἴασεν· ἀλλὰ τὰ μὲν πρὸς χρείας πόνου χωρὶς καὶ ἱδρώτων ἀφῆκεν αὐτὸν ἔχειν, τὰ δὲ πρὸς τρυφὴν, μετὰ πόνου καὶ ἱδρῶτος, βουλόμενος καὶ ταύτην ἡμῖν ὑποτέμνεσθαι τὴν πολλὴν ἄδειαν. Εἰ δὲ λέγοι τις· τί δὲ τῶν ἀγρίων ὄφελος ζώων; ἐροῦμεν· πρῶτον μὲν ψυχῆς ταπεινοφροσύνην ἐργάζεται, καὶ ἐναγώνιον ποιεῖ τὸν ἄνθρωπον, καὶ τὸν σφόδρα ἀλαζόνα τῆς οἰκείας ἀναμιμνήσκει φύσεως, ὅταν τὸ ἄλογον αὐτῷ φοβερὸν ᾖ. πολλὰ δὲ καὶ σώμασι κάμνουσιν ἐκ τούτων φάρμακα γίνεται. ὁ δὲ ταῦτα ἐρωτῶν, τί δή ποτε γέγονε τὰ ἄγρια θηρία, ἐρωτήσει καὶ τί δή ποτε φλέγμα καὶ χολὴ ἐν ἡμῖν; καὶ γὰρ καὶ ταῦτα, ἂν παροξυνθῇ, θηρίου χαλεπώτερον ἔξεισι, καὶ τὸ σῶμα πάντῃ λυμαίνεται. καὶ θυμὸς δὲ ἡμῖν ἔγκειται, καὶ ἐπιθυμία πάλιν· καὶ ταῦτα θηρίων χαλεπώτερον λυμαινόμενα μὴ κατείργοντας αὐτὰ καὶ χαλινοῦντας. καὶ τί λέγω θυμὸν καὶ ὀργὴν, ὅπου γε καὶ ὁ ὀφθαλμὸς ὁ ἡμέτερος θηρίων χεῖρον περιέβαλε πάθεσιν, εἰς ἔρωτα πικρὸν περιπείρας; ἀλλ' οὐ διὰ τοῦτο ἐροῦμεν, διὰ τί ταῦτα γέγονεν· ἀλλὰ καὶ χάριν εἰσόμεθα πάντων ἕνεκεν τῷ δεσπότῃ. ὅπερ γάρ ἐστιν ἱμὰς τῷ παιδὶ, τοῦτο θηρίον ἀνθρώποις. Εἰ γὰρ τοσούτοις συνεχόμενοι δεινοῖς εἰς τοσαύτην ἀπόνοιαν οἱ πλείους αἴρονται, ἂν καὶ τοῦτο περιέλῃς τὸν χαλινὸν, ἐννόησον ποῦ τὰ τῆς κακίας προβήσεται. διὰ τοῦτο καὶ τὸ σῶμα ἡμῖν οὕτω κατεσκεύασται, ἐπίνοσον, παθητὸν, ὑπὸ μυρίων πολιορκούμενον κακῶν· καὶ ἡ γῆ μετὰ πόνων τὰ αὐτῆς δίδωσι· καὶ ὁ βίος ἅπας ἱδρώτων γέμει. ἐπειδὴ παιδευτήριον ὁ παρὼν βίος ἐστὶ, καὶ ἄνεσις καὶ σχολὴ τοὺς πλείονας τῶν ἀνθρώπων ἀπόλλυσι, διὰ τοῦτο καὶ ἀσχολίαν καὶ πόνον ἡμῖν ἀνέμιξεν, ἵνα ὥσπερ ὑπό τινων χαλινῶν τὸ ἐγρηγορμένον τῆς διανοίας κολάζηται. σὺ δὲ σκόπει πῶς καὶ τὰ νηχόμενα διὰ τοῦ βάθους τῶν ὑδάτων, καὶ

A (si enim ei omnia cum facilitate succederent, supinus & dissolutus euasisset) comparando rerum vsui admiscuit quandam difficultatem, & nec omnibus cum labore, nec omnibus sine labore frui permisit illi: sed quæ ad vsum quidem sunt, sine labore & sudore habere permisit: quæ verò sunt ad delicias, cum labore & sudore: volens hanc quoque nobis nimiam præcidi securitatem. Si quis autem dicat, & quis est nobis vsus ferarum? Dicemus: Primùm quidem, animæ humilitatem B efficiunt, & vt homo se exerceat, & ad certamen comparet, in causa sunt: & vel valde arrogantem, propriæ naturæ admonent, quandoquidem brutum est ei terribile. Iam verò laborantibus quoque corporibus multa ex his fiunt medicamenta. Qui hæc autem interrogat, curnam feræ factæ sint, interrogabit etiam cur in nobis sit bilis & pituita? Nam ea quoque si incitata fuerint, exeunt fera vehementius ac perniciosius, totique corpori exitium afferũt. Porrò autem nobis quoque inest ira & cupiditas, quæ ipsis quoque feris grauius C nobis incommodum afferunt, nisi eas coërceamus & refrænemus. Quid autem dico animum & iram, cùm ipse etiam noster oculus in peiores, quàm feræ, affectiones nos præcipitet, vt qui nos in amorem acerbum totos configat? Sed non propterea dicemus, cur hæc facta sunt, sed etiam pro omnibus Deo gratias agemus. Quod enim est puero scutica, hoc est fera hominibus. Si enim cùm vel tot rebus asperis & difficilibus contineantur, plerique tamen in tantam extolluntur arrogantiam: si hoc etiam frænum ademeris, considera D quò sit tandem processura improbitas. Ea de causa datum est nobis corpus adeò valetudinarium, morbisque obnoxium, patibile, quod obsidetur à malis innumerabilibus: & terra, quæ sua sunt, producit cum laboribus: & vniuersa vita plena est sudoribus, quoniam præsens vita est veluti quoddam gymnasium, seu locus in quo exercentur pueri: otiũmque & remissio plerosque perdit homines, propterea nobis laborem & inquietudinem admiscuit, vt tanquam à quibusdam frænis castigetur acrimonia mentis & vigilantia. Tu autem considera quomodo ea etiamquæ natant per profunditatem aquarum, &

Ferarum vsus quis.

A simili confirmat.

Gen. 3. 17. Iob. 5. 7.

quæ in ſublime tollũtur, per artem tibi Dominus ſubiecerit. Et cur non omnia quæ videntur, perſecutus eſt, plantas arbores, & ſemina? Ex parte totum ſignificauit, & ſtudioſis, de iis quod dicerent, reliquit. Et rurſus in eundem deſinit finem, ex quo cœperat. Domine dominus noſter, & ante probationem, & poſt probationem eadem verba ponens. Perſeueremus ergo nos quoque eadem aſſiduè dicere, admirantes eius prouidentiam, ſuſpicientes ſapientiam, clementiam, & quam noſtri gerit prouidentiam. Et hæc quidē à nobis dicta ſunt ad interpretationem: ſi autem vultis, rem maiori quoque contentione agamus, & Iudæos rogemus, vbinā vocem pueri emiſerint? vbi autē inimicū talis vox deſtruxerit? quādo autem eius nomen fuerit admirabile? Sed aliud tempus, quàm hoc, non poterunt dicere, quod ſole clarius oſtendit vim veritatis. Et ideo dicit: Videbo cœlos opera digitorum tuorum, & tamen iam dixerat Moſes: Fecit Deus cœlum & terrā. Sed aduerſus Iudæos quidem ſufficiūt & hæc, & quæ antè dicta ſunt: ſed quoniam qui illorum dogmata, ſi dematur circumciſio, æmulantur, Pauli Samoſateni aſſeclæ dicunt Chriſtum fuiſſe ab eo tempore, ex quo ex Maria proceſſit: illos etiam rogemus, quomodo ſi ab eo tempore erat Chriſtus, cœlos fabricatus eſt? Eundem enim hîc eſſe dicit, qui ex ore infantium & lactentium laudem perfecit, & qui cœlos fabricatus eſt. Si autem eſt cœlorum opifex, reſtat vt fuerit ante cœlos, & nec duxit initium ex Maria, imò erat ante Mariam. Conſidera autem Prophetæ ſapientiam. Non enim eum ſolummodo inducit opificem, ſed etiam fabricantem cum magna facilitate. Et ideo dicit: Videbo cœlos opera digitorum tuorum, non quòd habeat Deus digitos, ſed minimæ eſſe operationis oſtendens quæ videntur, familiaribus nobis & conſuetis nominibus docens, quæ ſunt ſupra nos. Nam etiam quando dicit: Qui metitur cœlum palmo, & terram pugillo: non pugillum & palmum ſignificans, hæc dicit, ſed volens Dei infinitā oſtendere potentiā. Quomodo ergo audent nonnulli filium dicere adminiſtrum?

Gen.1.1.
De hoc Euſebius in Eccleſ. hiſt.
Hebr.13.8.
Eſa.40.12

A τὰ εἰς ὕψος αἰρόμενα ὑπέταξέ σοι διὰ τῆς τέχνης ὁ δεσπότης. καὶ τί δή ποτε οὐ πάντα ἐπῆλθε τὰ ὁρώμενα, καὶ φυτὰ καὶ σπέρματα καὶ δένδρα; ἀπὸ μέρους τὸ πᾶν ᾐνίξατο, καὶ τοῖς φιλομαθέσι τὸν περὶ τούτων ἀφῆκε λόγον. καὶ πάλιν εἰς τὸ αὐτὸ καταλύει τέλος, ὅθεν καὶ ἤρξατο· κύριε ὁ κύριος ἡμῶν· καὶ περὶ τῆς ἀποδείξεως, καὶ μετὰ τὴν ἀπόδειξιν, τὰ αὐτὰ τιθεὶς ῥήματα. μένωμεν τοίνυν διηνεκῶς καὶ ἡμεῖς τὰ αὐτὰ λέγοντες, θαυμάζοντες αὐτοῦ τὴν κηδεμονίαν, ἐκπληττόμενοι τὴν σοφίαν, τὴν φιλανθρωπίαν, τὴν ὑπὲρ ἡμῶν πρόνοιαν. B καὶ ταῦτα μὲν ἡμῖν εἰς ἑρμηνείαν εἴρηται. εἰ δὲ βούλεσθε, καὶ ἀγωνιστικώτερον τὸν λόγον μεταχειρισώμεθα, καὶ ἐρώμεθα Ἰουδαίους, ποῦ παιδία φωνὴν ἦσε; ποῦ δὲ κατέλυσεν ἐχθρὸν ἡ τοιαύτη φωνή; πότε δὲ θαυμαστὸν γέγονεν αὐτοῦ τὸ ὄνομα; ἀλλ' οὐκ ἂν ἔχοιεν ἕτερον καιρὸν εἰπεῖν, ἢ τοῦτον, ὃς ἡλίου φανώτερον δείκνυσι τῆς ἀληθείας τὴν δύναμιν. διὰ τοῦτό φησιν· ὄψομαι τοὺς οὐρανοὺς ἔργα τῶν δακτύλων σου. καί τοι γε Μωϋσῆς ἤδη εἶπεν, ὅτι ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν. C ἀλλὰ πρὸς μὲν Ἰουδαίους ἀρκεῖ καὶ ταῦτα, καὶ τὰ ἔμπροσθεν εἰρημένα. ἐπειδὴ δὲ οἱ χαρεῖς περιτομῆς τὰ ἐκείνων μιμούμενοι καὶ ζηλοῦντες, οἱ Παύλου τοῦ Σαμοσατέως, ἐκ τότε φασὶν εἶναι τὸν Χριστόν, ἐξ οὗ ἀπὸ Μαρίας προῆλθεν, ἐρώμεθα κἀκείνους· πῶς, εἰ ἐκ τότε ἦν ὁ Χριστός, τοὺς οὐρανοὺς ἐδημιούργησε; τὸν γὰρ αὐτόν φησιν εἶναι τοῦτον, τὸν ἐκ στόματος νηπίων καὶ θηλαζόντων καταρτισάμενον αἶνον, καὶ τὸν ἐργασάμενον τοὺς οὐρανούς. εἰ δὲ δημιουργὸς τῶν οὐρανῶν, πρεσβύτερος τῶν οὐρανῶν λοιπόν· καὶ οὐκ D ἀπὸ Μαρίας ἔσχε τὴν ἀρχήν, ἀλλὰ καὶ πρὸ τῆς Μαρίας ἦν. καὶ σκόπει τοῦ προφήτου τὴν σοφίαν. οὐ γὰρ ἁπλῶς δημιουργὸν αὐτὸν εἰσάγει, ἀλλὰ καὶ μετὰ πολλῆς τῆς εὐκολίας δημιουργοῦντα. διό φησιν· ὄψομαι τοὺς οὐρανοὺς ἔργα τῶν δακτύλων σου· οὐχ ὅτι δακτύλους ἔχει Θεός, ἀλλὰ τῆς ἐλαχίστης ἐνεργείας τὰ ὁρώμενα δεικνύς, τοῖς συντρόφοις ἡμῖν ὀνόμασι τὰ ὑπὲρ ἡμᾶς διδάσκων. ἐπεὶ καὶ ὅταν λέγῃ, ὁ μετρῶν τὸν οὐρανὸν σπιθαμῇ, καὶ τὴν γῆν δρακί· οὐ δράκα καὶ σπιθαμὴν δηλῶν ταῦτα λέγει, ἀλλὰ τὸ ἄπειρον τῆς τοῦ Θεοῦ δυνάμεως παραστῆσαι βουλόμενος. πῶς οὖν τολμῶσί τινες ὑπουργὸν λέγειν τὸν υἱόν; ὁ γὰρ

A ὁ γὰρ μηδὲ ὅλην αὐτοῦ τὴν ἐνέργειαν κινήσας, ὅτε τὸν οὐρανὸν ἔδει ποιῆσαι· τί λέγω ὅλην; ἀλλ' οὐδὲ τὴν ἐλαχίστην, ἀλλὰ τὸ μικρότατον· πῶς ἂν εἴη ὑπουργὸς οὗτος; πῶς ὑπουργὸς, εἰ ἅπερ ὁ πατὴρ ποιεῖ, ταῦτα καὶ ὁ υἱὸς ὁμοίως ποιεῖ; ποῦ γὰρ τὸ ὁμοίως, εἰ ὁ μὲν ὑπουργὸς, ὁ δὲ δημιουργός; πῶς δὲ αὐτοῦ τὰ ἔργα εἶναί φησι, ποτὲ μὲν λέγων, κατ' ἀρχὰς σὺ, κύριε, τὴν γῆν ἐθεμελίωσας, καὶ ἔργα τῶν χειρῶν σού εἰσιν οἱ οὐρανοί· ἐνταῦθα δὲ, ὅτι ὄψομαι τοὺς οὐρανοὺς ἔργα τῶν δακτύλων σου; οὐ γὰρ τῶν ὑπουργῶν, ἀλλὰ τῶν δημιουργῶν τὰ ἔργα· B κἂν ὑπουργός ᾖ τις, οὐκ ἐκείνῳ λογίζεται τὸ ἔργον, ἀλλὰ τῷ δημιουργήσαντι. ἄρα καὶ τὰ ἔμπροσθεν εἰρημένα τῷ Μωϋσεῖ, περὶ τοῦ υἱοῦ εἴρηται, τὸ, ἐν ἀρχῇ ἐποίησεν ὁ θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν· καὶ τὸ, ἀρχέτωσαν τῶν ἰχθύων τῆς θαλάσσης. οὗτος γὰρ ὁ καταρτίσας ἐκ στόματος νηπίων καὶ θηλαζόντων αἶνον, αὐτὸς τὸν ἄνθρωπον ἐπεσκέψατο. ἃ μὲν οὖν περὶ τοῦ πατρὸς ὁ Μωϋσῆς λέγει, Παῦλος εἰς τὸν υἱὸν ἐκλαμβάνει, πολλὴν τὴν ἰσότητα δεικνύς. ὅταν οὖν ἀδιάφορον ᾖ τοῖς ἁγίοις τὰ περὶ τοῦ πατρὸς λεγόμενα τῷ υἱῷ λογίζεσθαι, καὶ τὰ περὶ C τοῦ υἱοῦ τῷ πατρὶ (πάντα γὰρ δι' αὐτοῦ ἐγένετο) ποῦ ὅλως τὸ ὄνομα τοῦ ὑπουργοῦ κεῖται; οὐδαμοῦ τοῦτο ἴδοι τις ἄν. ναί, φησιν, εἴρηται, δι' αὐτοῦ. τί οὖν, ὅτι περὶ τοῦ πατρὸς τὸ αὐτὸ εἴρηται; καὶ ἄκουσον πῶς. πιστὸς ὁ Θεὸς, δι' οὗ ἐκλήθητε εἰς κοινωνίαν τοῦ υἱοῦ αὐτοῦ. καὶ πάλιν, Παῦλος ἀπόστολος Ἰησοῦ Χριστοῦ διὰ θελήματος Θεοῦ. καὶ πάλιν· ὅτι δι' αὐτοῦ, καὶ ἐξ αὐτοῦ, καὶ εἰς αὐτὸν τὰ πάντα. τίνος δὲ ἕνεκεν αὐτὸν ὑπουργὸν φατέ; ἵνα τιμήσωμεν τὸν πατέρα. καὶ μὴν ὁ υἱός φησιν· ἵνα πάντες τιμῶσι τὸν υἱὸν, καθὼς τιμῶσι τὸν D πατέρα. ὁ γὰρ μὴ τιμῶν τὸν υἱὸν, εὔδηλον ὅτι οὐδὲ τὸν πατέρα. τί οὖν, φησι, πατέρα τὸν υἱὸν ἐρῶ; οὐχί. οὐ γὰρ εἶπεν, ἵνα πατέρα με λέγητε· ἀλλὰ τί; ἵνα υἱὸν μένοντα, ὡς τὸν πατέρα τιμᾶτε. ἂν δὲ πατέρα εἴπῃς τὸν υἱὸν, πάντα συνέχεας. μενούσης τοίνυν ταύτης τῆς ἰδιότητος, τὰ τῆς τιμῆς κοινά ἐστι. διὰ γὰρ τοῦτο υἱὸν εἶπε καὶ πατέρα, ἵνα μὴ συγχέητε τὰς ὑποστάσεις. εἰ δὲ μὴ ἦν ἡ αὐτὴ οὐσία, πῶς ἂν ἴσην τὴν τιμὴν ἀπῄτησε; τίνος οὖν ἕνεκεν, φησι, πολλὰ ταπεινὰ φθέγγεται ὁ Χριστός;

Qui enim ne vniuersam quidem suam mouit operationem, quando cœlum facere oportuit? Quid dico totam? sed qui ne minimam quidem, sed quod erat vel maximè pusillum, quomodo fuerit administer? Quomodo administer si quæ facit pater, ea quoque facit filius similiter? Vbi est enim illud similiter, si hic quidem est administer, ille verò opifex? Quomodo autem dicit eius esse opera, aliquando quidem dicens, Domine tu ab initio terram fundasti, & opera manuum tuarum sunt cœli: hic verò, Videbo cœlos opera digitorum tuorum? Non enim administrorum sunt opera, sed opificum: & si quis sit administer, non illi attribuitur opus, sed ei qui fabricatur. Ergo ea etiam quę ante à Mose dicta sunt, dicta sunt de filio, nempe illud: In principio fecit Deus cœlum & terram. & illud: dominentur piscibus maris. Is enim enim qui perfecit laudem ex ore infantium & lactentium, is visitauit hominem. Quæ ergo de patre dicit Moses, ea Paulus de filio accipit, magnam æqualitatem ostendens. Cùm ergo liceat sanctis, quæ de patre dicuntur, indiscriminatim filio tribuere, & quæ de filio, patri (omnia enim per ipsum facta sunt) vbi administri nomen omnino situm est? Hoc nusquam viderit quispiam. Imò, inquit, dictum est, per ipsum. Quid, quòd hoc ipsum etiam de patre dictum est? Audi autem quomodo. Fidelis Deus, per quem vocati estis in societatem filij sui. Et rursus: Paulus Apostolus Iesu Christi per voluntatem Dei. Et rursus: Quoniam per ipsum, & ex ipso, & in ipsum omnia. Quanam ergo de causa eum dicitis administrum? Vt patrem honoremus, inquiunt. Atqui dicit filius: Vt omnes honorent filiū, sicut honorant patrem. qui autem non honorat filium, clarum est quòd nec patrē. Quid ergo, inquit, patrem dicam filium? Nequaquam. Non enim dicit: Vt me dicatis patrem: sed quid? Vt filium manentem, honoretis vt patrem. Quòd si patrem dixeris filium, omnia confuderis. Manente ergo hac proprietate, est honor cōmunis. Propterea enim dixit filium & patrem, ne confunderetis personas seu hypostases. Si autem non esset eadem substantia, quomodo æqualem honorem exegisset? Quanam ergo de causa dicit Christus multa abiecta & humilia?

Ioan.5.19.
Psal.101.26.
Genes.1.
Hebr.2.2.
1.Cor.1.9.
1.Tim.1.1.
Rom.11.36
Ioan.5.23.
Sabellij error.

L

Et nos docens humilitatem, & propter indumentum carnis, & propter stuporem Iudæorum, & quòd oporteat genus hominum deducere paulatim ad cognitionem, & quòd essent imperfecti auditores, & alioqui sæpe loquitur ad auditorum existimationem. Sublimiora enim sunt ea quæ sunt solius dignitatis, vel potius quodcunque de Deo dixeris, est longè illa substantia inferius, & ad demissionem, ad auditorúmque captum se accommodans. Quid vis enim dicere, Magnus Deus? Atqui hoc est paruum, si de Deo dicatur. Magnum enim, quantumuis sit magnum, est finitum: sed Deus est infinitus. Et hoc etiam paruum est, si de Deo dicatur. Quod enim finem non habet, scio: sed quid sit, aut vbi sit, nescio. Et si sapientem, & si bonum dixeris, & hæc infinita, nihil de illa substantia dixisti pro dignitate, sed verbo adesse oportet sensum Deo dignum. Si hæc ergo adeò magna dignitatem non ostendunt: quomodo venia digni fuerint qui hæc quoque manca & mutila efficere conantur? Fugiamus ergo eorum conuenticula, & cùm didicerimus vnigeniti ante secula essentiam, creandi facultatem, authoritate præditam potestatem, nec vllam eius esse à patre diuersitatem, œconomiæ demissionem, multiplicem eius in nos curæ prouidentiam (hæc enim omnia, & his plura, thesaurus qui in Psalmo situs est, eos docet qui diligenter attendunt) dogmata exactè custodiamus, & conuersationem iis dignam ostendamus, vt bona futura assequamur. Quibus nos dignos esse concedatur gratia & benignitate Domini nostri Iesu Christi, cum quo patri vnà cum sancto Spiritu honor & gloria in secula seculorum.

καὶ ταπεινοφροσύνην παιδεύων, καὶ διὰ τὴν τῆς σαρκὸς περιβολήν, καὶ διὰ τὴν τῶν Ἰουδαίων ἀναισθησίαν, καὶ διὰ τὸ δεῖν κατὰ μικρὸν ἐνάγειν εἰς γνῶσιν τὸ τῶν ἀνθρώπων γένος, καὶ διὰ τὸ ἀτελὲς τῶν ἀκουόντων. ἄλλως τε, καὶ πρὸς τὴν ὑπόνοιαν πολλάκις τῶν ἀκροωμένων φθέγγεται. τὰ γὰρ ὑψηλότερα, τῆς ἀξίας μόνης ἐστί· μᾶλλον δέ, ὅπερ ἂν λέγῃς περὶ Θεοῦ, πολλῷ σφόδρα καταδεέστερον τῆς οὐσίας ἐκείνης, καὶ συγκαταβάσεώς ἐστι. τί γὰρ βούλει εἰπεῖν; μέγας ὁ Θεός; ἀλλὰ τοῦτο μικρὸν περὶ Θεοῦ λεγόμενον. τὸ γὰρ μέγα, οἷον ἂν ᾖ μέγα, πεπερασμένον ἐστίν· ἀλλ' ἄπειρος ὁ Θεός. καὶ τοῦτο μικρὸν περὶ Θεοῦ λεγόμενον. ὅτι μὲν γὰρ πέρας οὐκ ἔχει, οἶδα· ἀλλ' οὐδ' ὅ, τί ἐστιν, οὐδὲ ποῦ ἐπίσταμαι. κἂν σοφὸν εἴπῃς, κἂν ἀγαθὸν εἴπῃς, καὶ ταῦτα ἄπειρα, οὐδὲν περὶ τῆς οὐσίας ἐκείνης ἄξιον εἴρηκας, ἀλλὰ δεῖ θεοπρεπῆ τῷ ῥήματι προσεῖναι ἔννοιαν. εἰ τοίνυν τὰ οὕτω μεγάλα τὴν ἀξίαν οὐ παρίστησι· καὶ τίνος ἂν εἶεν συγγνώμης ἄξιοι οἱ καὶ ταῦτα κολοβοῦν πειρώμενοι; φύγωμεν τοίνυν αὐτῶν τοὺς συλλόγους· καὶ μαθόντες τοῦ μονογενοῦς τὴν προαιώνιον ὕπαρξιν, τὴν δημιουργικὴν δύναμιν, τὴν ἐξουσίαν τὴν αὐθεντικήν, τὸ ἀπαράλλακτον αὐτοῦ τὸ πρὸς τὸν πατέρα, τῆς οἰκονομίας τὴν συγκατάβασιν, τῆς περὶ ἡμᾶς κηδεμονίας τὴν πολυειδῆ πρόνοιαν (ταῦτα γὰρ ἅπαντα καὶ τούτων πλείονα ὁ θησαυρὸς ὁ ἐν τῷ ψαλμῷ κείμενος διδάσκει τοὺς μετ' ἀκριβείας προσέχοντας) διατηρῶμεν τῶν δογμάτων τὴν ἀκρίβειαν, καὶ πολιτείαν ἀξίαν ἐπιδειξώμεθα, ἵνα καὶ τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἀξιωθῆναι, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ, ἅμα τῷ ἁγίῳ πνεύματι τιμὴ καὶ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΕΙΣ ΤΟΝ ΠΙΙΙΙ. ΨΑΛΜΟΝ.

ΕΙΣ ΤΟ ΤΕΛΟΣ ΥΠΕΡ ΤΩΝ ΚΡΥΦΙΩΝ ΤΟΥ υἱοῦ, ψαλμὸς τῷ Δαβίδ. ἄλλος, ἐπινίκιον ὑπὲρ τοῦ θανάτου τοῦ υἱοῦ ᾆσμα τῷ Δαβίδ. ἄλλος, νεανιότητος τοῦ υἱοῦ.

Ἐξομολογήσομαί σοι, κύριε, ἐν ὅλῃ καρδίᾳ μου, διηγήσομαι πάντα τὰ θαυμάσιά σου.

Μακρὸς ἐστὶν ὁ ψαλμός. καὶ τοῦτο δὲ τῆς σοφίας τοῦ πνεύματος. οὔτε γὰρ πάντας βραχεῖς ἐποίησεν, οὔτε πάντας εἰς μῆκος ἐξέτεινεν· ἀλλ' ἐποίκιλε καὶ τῷ μέτρῳ τὸ βιβλίον, τῷ μὲν μήκει διεγείρων τὴν ῥαθυμίαν, τῇ δὲ βραχύτητι διαναπαύων τὸν κάματον. ἐξομολογήσομαί σοι, κύριε, ἐν ὅλῃ καρδίᾳ μου, διηγήσομαι πάντα τὰ θαυμάσιά σου. διπλοῦν δὲ τῆς ἐξομολογήσεως εἶδός ἐστιν. ἡ γὰρ τῶν οἰκείων ἁμαρτημάτων ἐστὶ κατάγνωσις, ἢ εὐχαριστία εἰς τὸν Θεόν. ἐνταῦθα μέντοι τὴν εὐχαριστίαν δηλοῖ. τί δέ ἐστιν, ἐν ὅλῃ καρδίᾳ μου; μετὰ προθυμίας ἁπάσης, μετὰ σπουδῆς, φησίν. οὐχ ὑπὲρ εὐημερίας, ἀλλὰ καὶ ἐπὶ τοῖς ἐναντίοις. τοῦτο γὰρ μάλιστα εὐχαρίστου, τοῦτο φιλοσόφου ψυχῆς, τὸ καὶ ἐν τοῖς λυπηροῖς εὐχαριστεῖν, τὸ ὑπὲρ ἁπάντων δοξάζειν, μὴ μόνον ὑπὲρ τῶν εὐεργεσιῶν, ἀλλὰ καὶ ὑπὲρ τῶν τιμωριῶν. τοῦτο γὰρ πλείονος μισθοῦ πρόξενον. ἐπὶ μὲν γὰρ τῶν ἀγαθῶν, εὐχαριστῶν χρέος ἀποδέδωκας· ἐπὶ δὲ τῶν κακῶν, τὸν Θεὸν ὀφειλέτην κατέστησας. ὁ μὲν γὰρ εὖ παθὼν, καὶ χάριν εἰδὼς, ἀπέδωκε τὴν ὀφειλήν· ὁ δὲ κακῶς παθὼν, καὶ δοξάζων, ὄφλημα κατεσκεύασεν. ἀντὶ τῆς εὐχαριστίας οὖν ταύτης, πολλὰ ἕτερα ἀγαθὰ ἀποδίδωσιν ὁ Θεὸς καὶ τότε καὶ νῦν. ὥστε οὐδὲ αἴσθησιν ληψόμεθα τῶν δεινῶν. οὐδεὶς γὰρ ὑπὲρ ὧν

IN PSALMVM IX.

IN FINEM PRO OCCVLTIS FILII, Psalmus Dauid. *Alius*, Triumphale pro morte filij canticum Dauid. *Alius*, iuuentutis filij.

1. *Confitebor tibi Domine in toto corde meo, narrabo omnia mirabilia tua.*

LONGVS est hic Psalmus. Hoc autem est etiam sapientiæ spiritus. Neque enim fecit omnes breues, neque omnes fecit prolixos, sed multiplici mensura hunc librum variauit, longitudine quidem socordiam excitans, breuitate autem leuans laborem. Confitebor tibi Domine in toto corde meo, narrabo omnia mirabilia tua. Duplex est genus confessionis. Vel est enim propriorum peccatorum cōdemnatio, vel in Deum gratiarum actio. Hic quidem significat gratiarum actionem. Quid est autem, In toto corde meo? Cum omni alacritate animi, cum studio, inquit. Non pro rerum prospero successu, sed etiam propter contraria. Hoc enim est maximè grati animi, hoc sapientiæ studiosi, in rebus etiam asperis & aduersis gratias agere, pro omnibus gloria Deum afficere, non solum pro beneficiis, sed etiam pro suppliciis: hoc enim maiorem mercedem cōciliat. Nam in bonis quidem gratias agens, reddidisti debitum: in malis autem, Deum constituisti debitorem. Qui enim beneficio affectus est, & agit gratias, reddit debitum: qui autem malè affectus est, & gloria afficit, is debitum acquirit. Multa alia bona Deus & tunc, & nunc reddit. Quare nec malorum quidem sensus ad nos perueniet. Nemo enim de iis

Confessio duplex.

Ephes. 5. 1. Thess. 5.

dolore afficitur, pro quibus Deo agit gratias. Quocirca aliud quoque hinc lucrifaciemus, quòd ægritudinem animi discutiemus. Quando enim priuatus fueris pecuniis, & gratias egeris, non tantū te mordere potest damnum, quantum lætitia afficit gratiarum actio. Hoc diabolo lethale vulnus infligit: hoc reddit animam studio sapientiæ præditam: hoc de rebus præsentibus verum comparat iudicium. Multi enim homines non habent veram de his quæ hîc sunt, sententiam, & ideo anguntur. Ita etiā qui insaniunt, ea sæpe pertimescunt, quæ non sunt terribilia, & sæpe formidant ea quæ nō subsistunt, & vmbras fugiunt. Hi sunt similes, iis qui damnū pecuniæ metuūt. Non est enim naturæ metus, sed liberæ voluntatis. Si enim esset res molesta, oporteret omnes dolere qui priuati sunt. Si autē non omnes quibus ea periit, dolent, non est hoc vtique rei naturæ, sed imperfecti animi. Quemadmodum enim in tenebris sæpe quis vel funem timuerit, serpentem esse ratus, & omnia habet suspecta, & amicos hostes esse existimat: ita etiam quos inuasit defectio rationis, tanquam profundis quibusdam capti tenebris, rerum naturam non cognoscunt, sed voluuntur in luto, nec fœnum existimant esse fœnum: & pleni auaritia tetrum odorem non sentiunt. quod si fortè recesserint, tunc scient. Et quemadmodum qui deformis mulieris amore capti sunt, postquā à morbo conualuerint, tunc sciunt deformitatem: ita etiam qui tenentur amore pecuniæ. Et quomodo, inquit, potero cessare ab amore? Vtar rursus eodem exemplo. Quemadmodum qui deformem amat mulierem, si assiduè quidem cum ea habeat consuetudinem, accendit fornacem: sin autem parū seipsum seiūxerit, paulatim effluit affectio: ita etiam tu parum per secede, paulum cōcede, & paruum illud erit multū interuallū. Incipe tantūm rectè facere. Habes domū superfluā? Vende, & da iis qui indigent, non hoc reputans, quòd eam à te alienas, sed quòd eam magis propriam efficis. Non sumptum considera, sed emolumentum, non quòd ea hîc priuaris, sed quòd eius illic dominus efficeris. Ita etiam perpetuò poteris narrare Dei miracula. Hoc enim dicit psalmus ab initio.

Metus non naturæ est, sed voluntatis.

Collatio elegans.

A χάριν οἶδε τῷ Θεῷ, ὑπὲρ τούτων ἀλγεῖ. ὥστε καὶ ἕτερον καρπωσόμεθα κέρδος, τὸ διακρούεσθαι τὴν ἀθυμίαν. ὅταν γὰρ ἀποστερηθῇς χρημάτων καὶ εὐχαριστήσῃς, οὐ τοσοῦτόν σε ἡ ζημία δύναται δάκνειν, ὅσον ἡ εὐχαριστία εὐφραίνει. τοῦτο τῷ διαβόλῳ καιρία πληγή· τοῦτο ποιεῖ τὴν διάνοιαν φιλόσοφον· τοῦτο τὴν ἀληθινὴν περὶ τῶν παρόντων πραγμάτων ἐγκατασκευάζει κρίσιν. πολλοὶ γὰρ τῶν ἀνθρώπων, οὐ τὴν οὖσαν ψῆφον ἔχουσι περὶ τῶν ἐνταῦθα· διὸ καὶ ἀθυμοῦσιν. οὕτω καὶ οἱ μαινόμενοι B φοβοῦνται τὰ οὐ φοβερὰ, καὶ τὰ οὐχ ὑφεστῶτα πολλάκις δεδοίκασι, καὶ τὰς σκιὰς φεύγουσι. τούτοις ἐοίκασι καὶ οἱ χρημάτων ζημίαν δεδοικότες. οὐ γὰρ τῆς φύσεως ὁ φόβος, ἀλλὰ τῆς προαιρέσεως. εἰ γὰρ τὸ πρᾶγμα ἦν λυπηρὸν, πάντας ἔδει ἀλγεῖν τοὺς ἀπεστερημένους· εἰ δὲ μὴ πάντες ἀλγοῦμεν ἀποτυγχάνοντες, οὐκ ἔτι τῆς τοῦ πράγματος φύσεως, ἀλλὰ τῆς ἀτελοῦς διανοίας. καθάπερ γὰρ ἐν σκότει πολλάκις καὶ σχοινίον τις ἰδὼν, ὄφιν νομίσας, καὶ πάντα ὑποπτεύει, καὶ τοὺς φίλους πολεμίους ἡγεῖται· οὕτω καὶ οἱ ἀλογίᾳ κατεχόμενοι, ὥσπερ τινὶ C σκότῳ βαθεῖ ἁλόντες, οὐκ ἐπιγινώσκουσι τῶν πραγμάτων τὴν φύσιν, ἀλλ' ἐγκυλινδοῦνται τῷ βορβόρῳ, καὶ τὸν χόρτον οὐχ ἡγοῦνται χόρτον εἶναι· καὶ τῆς φιλαργυρίας ἐμπεπλησμένοι, οὐκ αἰσθάνονται τῆς δυσωδίας· ἂν δὲ ἀποστῶσι, τότε εἴσονται. καὶ καθάπερ οἱ γυναικὸς ἀμόρφου ἐρῶντες, ὅταν παύσωσι τὸ νόσημα, τότε ἐπίστανται τὸ εἰδεχθές· οὕτω καὶ οἱ τῆς φιλαργυρίας ἐρασταί. καὶ πῶς δυνησόμεθα, φησὶ, παῦσαι τὸν ἔρωτα; πάλιν τῷ αὐτῷ ὑποδείγματι χρησόμεθα. ὥσπερ ὁ τῆς ἀμόρφου γυναι- D κὸς ἐρῶν, ἐὰν μὲν διηνεκῶς συγγίνηται αὐτῇ, ἀνάπτει τὴν κάμινον, ἐὰν δὲ μικρὸν ἑαυτὸν ἀποστήσῃ, κατὰ μικρὸν ὑπορρεῖ τὸ πάθος· οὕτω καὶ σὺ, μικρὸν ἀπόστηθι, ὀλίγον εἶξον· καὶ τὸ μικρὸν, ἔσται πολὺ διάστημα. μόνον ἄρξαι τοῦ κατορθώματος. ἔχεις οἰκίαν περιττήν; ἀπόδου, καὶ δὸς τοῖς δεομένοις, μὴ ἐκεῖνο λογιζόμενος, ὅτι ἀλλοτριοῖς ταύτην, ἀλλ' ὅτι μᾶλλον οἰκειοῖς. μὴ τὸ ἀνάλωμα, ἀλλὰ τὴν πρόσοδον σκόπει· μὴ ὅτι ἀποστερῇ αὐτῆς ἐνταῦθα, ἀλλ' ὅτι κύριος αὐτῆς ἐκεῖ γίνῃ. οὕτω καὶ διηγεῖσθαι τὰ θαυμάσια τοῦ Θεοῦ δυνήσῃ διαπαντός. τοῦτο γὰρ ἐξ ἀρχῆς ὁ ψαλμὸς λέγει.

ὡς ὅγε φιλοχρήματος, οὐ σφόδρα τούτῳ ἐνδιατρίβειν δύναται. διὰ παντὸς γὰρ τόκους μεριμνᾷ, συναλλάγματα, συγγραφάς, ὠνία, διαθήκας, τιμὰς ἀγρῶν, τιμὰς οἰκιῶν, κέρδη, καπηλείας, καὶ διηγούμενος καὶ φροντίζων οὐ παύεται. ὅπου δὲ ὁ θησαυρὸς τοῦ ἀνθρώπου, ἐκεῖ καὶ ἡ καρδία αὐτοῦ. ταῦτα φθέγγεται, ταῦτα μεριμνᾷ· καὶ καθάπερ οἰκέται τὰ τῶν δεσποτῶν μεριμνῶσιν, οὕτω καὶ οὗτος τὰ τοῦ δεσπότου μεριμνᾷ; τί ἐπέταξε· τί ἤνυσται; τί οὐδέπω ἤνυσται, μέλλει δέ; διὰ δὴ τοῦτο παραινῶ, τῆς πολιορκίας ἐκείνης ἀπαλλαγέντα τούτοις ἐνδιατρίβειν τοῖς διηγήμασι, τὰ καθ' ἑκάστην ἡμέραν γινόμενα θαυμάσια τοῦ Θεοῦ διηγούμενον, τὰ ἴδια, καὶ τὰ κοινὰ, τὰ εἰς πάντας, καὶ τὰ εἰς ἕνα ἕκαστον. γέμει γὰρ ὁ ἐν τῷ βίῳ τούτων τῶν διηγημάτων· καὶ ὅθεν ἂν ἄρξῃ, λαμπρότερον ὄψει τὸ προοίμιον ἀναβρύον· ἄν τε ἀπὸ τοῦ οὐρανοῦ, ἄν τε ἀπὸ τῆς γῆς, ἄν τε ἀπὸ τοῦ ἀέρος, ἄν τε ἀπὸ τῶν ἀλόγων, ἂν ἀπὸ σπερμάτων, ἂν ἀπὸ φυτῶν· ἂν τὰς παλαιὰς θέλῃς διηγήσασθαι δωρεὰς, ἂν τὰς πρὸ τοῦ νόμου, ἂν τὰς ἐν τῷ νόμῳ, ἂν τὰ ἐν τῇ χάριτι, ἂν τὰ μετὰ τὴν ἐντεῦθεν ἀποδημίαν, ἂν τὰ ἐν αὐτῷ τῷ θανάτῳ, μυρία εὑρήσεις πελάγη ταῦτα διηγημάτων. πόσης οὖν οὐκ ἂν εἴη ἀνοίας, τοσαῦτα ἔχοντας διηγεῖσθαι, δι' ὧν καὶ ἡδονὴ καὶ κέρδος καὶ ὠφέλεια τῆς ψυχῆς ἐγγίνεται, τῷ βορβόρῳ τὸν λογισμὸν ἀναφύρειν, περὶ πλεονεξίας καὶ ἁρπαγῆς διηγούμενον; καὶ εἰ βούλει, τὰ ἄνω ἀφέντες περὶ τῆς γῆς διαλεχθῶμεν, τοῦ μεγέθους αὐτῆς, τῆς θέσεως, τῆς χρήσεως, τῆς φύσεως, τῶν ὠδίνων τῶν διηνεκῶν, τῶν γεννημάτων τῶν ἐξ αὐτῆς τῶν ποικίλων καὶ διαφόρων, τῶν σπερμάτων, τῶν βοτανῶν, τῶν φυτῶν, τῶν ἀνθέων, τῶν λειμώνων, τῶν παραδείσων. ἀπὸ τούτων πάλιν τέμνωμεν τῷ λόγῳ ἑκάστου δένδρου τὸ σχῆμα, τὴν θέσιν, τὸ ὕψος, τὴν εὐωδίαν, τὸν καρπὸν, τὸν καιρὸν, τὴν διακονίαν, τὰ ἄλλα πάντα ἀναλογιζόμενοι, αὐτῆς τῆς γῆς τὴν κάρπιμον, τὴν ἄκαρπον. οὐδὲν γὰρ αὐτῆς ἄχρηστον. καὶ γὰρ ἡ μὲν σίδηρον, ἡ δὲ χαλκὸν, ἡ δὲ χρυσὸν, ἡ δὲ ἄργυρον ἤνεγκεν· ἡ δὲ ἀρώματα, ἡ δὲ φάρμακα καὶ ποικίλα καὶ παντοδαπά. τί ἄν τις εἴποι τῶν ὑδάτων τὴν χρείαν, τῶν ποτίμων, τῶν ἁλμυρῶν; τῶν ὀρῶν τὴν χρῆσιν, τῶν ποικίλων μαρμάρων τὰ μέταλλα, τὰς πηγὰς τὰς ἐν αὐτοῖς, τὰ δένδρα τὰ πρὸς ὀροφὰς ἐπιτήδεια καὶ οἰκοδομάς; ταῦτα πάντα τῆς ἐρήμου καρπός.

A Nam qui tenetur amore pecuniæ, non valde potest in ea re versari: nam perpetuò meditatur vsuras, contractus, syngraphas, venalia, testamenta, agrorũ pretia, domorum pretia, lucra, cauponationes & narrare, & cogitare nõ cessat. Vbi est autem thesaurus hominis, illic est etiam cor eius. Hæc loquitur, hæc meditatur, & quemadmodum serui ea quæ sunt dominorum meditantur, ita hic etiam ea meditatur quę sunt Domini. Quid iussit? Quid perfectum est? Quid nondum perfectum est, sed est perficiendum? Quocirca te adhor- B tor, vt ab illa obsessione liberatus, verseris in his narrationibus, narrans Dei miracula quæ fiunt quotidie, quæ priuatim, quæ communiter, quæ in omnes, quæ in vnumquemque. Plena est enim vita his narrationibus, & vndequaque incœperis, videbis luculẽtum emanare prooemium, siue à cœlo, siue à terra, siue ab aëre, siue à brutis, siue à seminibus, siue à plantis & arboribus, si velis dona antiqua recensere, si quæ legem antecesserunt, si quæ fuerunt in lege, si quæ sunt in gratia, si quæ post ex hoc loco excessum, si quæ in ipsa mor- C te, inuenies immensum pelagus narrationum. Quantæ est ergo stultitiæ, cùm tot narrari possint per quæ voluptas, lucrum, & vtilitas possit animæ accedere, luto rationem inquinare, de auaritia & rapina narrantem? Quòd si velis, supernis relictis de terra disseramus, de eius magnitudine, positione, vsu, natura, assiduis parturitionibus, rebus variis, & diuersis quæ ex ea gignuntur, seminibus, herbis, plantis, floribus, pratis, hortis. Ab his rursus arboris vniuscuiusque figuram ratione diuidamus, positionem, altitudinem, bonum odo- D rem, fructum, tempus, ministerium, alia omnia mente reuoluentes, ipsius terræ & eam quæ est ferax, & quæ sterilis. Eius enim nihil est inutile. Etenim hæc quidem ferrum, illa verò æs: hæc aurum, illa tulit argentum: hæc aromata, illa verò medicamenta varia & omnis generis. Quid, attinet dicere naturam aquarum, potabilium, salsarum, vsum montium, metalla variorum marmorum, fontes qui sunt in ipsis, arbores quæ sunt aptæ ad tecta & ædificia?

Matt. 6. 21.

Hæc omnia sunt fructus solitudinis, hæc & animalia & omnes feras alit. Nam quid attinet dicere lacus, montes, fluuios? Quemadmodum enim mulieres quæ pepererunt, fontem lactis profundentes, natis præbent alimentum: ita etiam terra hortis & viridariis fluuios & fontes tanquam mammas porrigens, ea affatim irrigat. Sed in mulieribus quidem oportet infantem ad mammam accedere: hæc autem ipsa extendit vbera, vndique ea ex alto demittens. Est etiam alius vsus solitudinis. Est enim aptior ad sanitatem corporis, vt quæ præbet puriorem inspirandum aërem, & vniuersum orbem terræ ex alto circumspiciendum, & in solitudine philosophandum, & à vitæ curis parumper respirandum. Quid opus est commorare aues quæ canunt, & animalium quæ capiuntur, vitam? Habet etiam alium vsum eremus: sæpe enim prædiis murorum vicem præbuit, habens montes in altum erectos, voragines, & præcipitia. Quid enim dixerit quispiam herbas quæ in ipsis nascuntur, quæ laborantibus corporibus magnam opem afferunt? Si autem desertorum & montium tantus est vsus, tantaque ex eis bonorum est suppeditatio: si ad terram veneris arabilem, & supinos campos, considera quantos videbis fontes narrationum. Quemadmodum enim in nostro corpore hæc quidem sunt ossa, illa verò nerui, alia autem carnes: ita etiam in terra alia quidem sunt montes, alia verò voragines, alia verò pinguia prædia. Sunt hæc autem omnia vtilia. Sed quid dico terram, quæ tantum est elementum? Si vnius arboris velis dicere figuram, vsum, fructum, folia, tempus, alia omnia, magnam videbis narrationem, si montium situm, si alia omnia. Si autem hunc ipsum hominem oratione persequaris, & ipsius corporis formationem, hinc rursus inuenies immensum pelagus narrationū. In his ergo versemur, hinc erit nobis voluptas maxima, hinc lucrum maximum, hinc ineffabile sapientiæ studium. Qua de re hoc significans, subiunxit: 2. *Lætabor & exultabo in te, & psallam nomini tuo altissime.* Alius, Canam nomen tuum. Non est hoc paruum genus philosophiæ, lætari in Domino. Qui enim in Deo vt oportet lætatur,

Solitudinis commodum.

A αὕτη καὶ ζῶα, καὶ θηρία πάντα τρέφει. τί ἄν τις εἴποι τὰς λίμνας, τὰς πηγάς, τοὺς ποταμούς; καθάπερ γὰρ αἱ τεκοῦσαι γυναῖκες, πηγὴν γάλακτος περιχέουσαι τοῖς ἐκγόνοις παρέχουσι τροφήν· οὕτω δὴ καὶ ἡ γῆ, κήποις καὶ παραδείσοις ὥσπερ μαστοὺς ἐκτείνουσα τοὺς ποταμοὺς καὶ τὰς πηγάς, πολλὴν παρέχει τὴν ἀρδείαν. ἀλλ' ἐπὶ μὲν τῶν γυναικῶν, τὸ παιδίον δεῖ πρὸς τὴν θηλὴν ἐλθεῖν· ἐνταῦθα δέ, αὐτὴ τοὺς μαστοὺς ἐκτείνει πανταχοῦ ἀπὸ ὑψηλοῦ καταφέρουσα. ἔχει καὶ ἑτέραν χρῆσιν ἡ ἔρημος. καὶ γὰρ πρὸς τὴν τοῦ σώματος ὑγείαν ἐπιτηδειοτέρα. B καθαρώτερον παρέχουσα ἀναπνεῖν τὸν ἀέρα, καὶ τὴν οἰκουμένην ἀφ' ὑψηλοῦ πᾶσαν περισκοπεῖν, καὶ τῇ ἐρημίᾳ ἐμφιλοσοφεῖν, καὶ τῶν ἐν τῷ βίῳ φροντίδων ὀλίγον διαπνεῖν. τί ἄν τις εἴποι τοὺς ὄρνιθας τοὺς ᾠδικούς, τῶν ἁλωσίμων ζώων τὴν διαγωγήν; ἔχει καὶ ἑτέραν χρείαν ἡ ἔρημος. πολλάκις γὰρ ἀντὶ τειχῶν ταῖς χώραις γέγονε, πρὸς ὕψος ἔχουσα ἀνατεταμένα ὄρη, καὶ φάραγγας, καὶ κρημνούς. τί ἄν τις εἴποι τὰς βοτάνας τὰς ἐν αὐταῖς τικτομένας, σώμασι κάμνουσι πολλὴν εἰσφερούσας τὴν λειτουργίαν; C εἰ δὲ ἐρήμων καὶ ὀρῶν τοσαύτη ἡ χρεία, τοσαύτη τῶν ἀγαθῶν ἡ χορηγία· εἰ πρὸς τὴν ἀρόσιμον ἔλθοις, καὶ τὰ ὕπτια πεδία, ἐννόησον πόσας ὄψει τὰς πηγὰς τῶν διηγημάτων. καθάπερ γὰρ ἐν τῷ σώματι τῷ ἡμετέρῳ, τὰ μέν ἐστιν ὀστᾶ, τὰ δὲ νεῦρα, τὰ δὲ σάρκες· οὕτω καὶ ἐν τῇ γῇ, τὰ μὲν ὄρη, τὰ δὲ φάραγγες, τὰ δὲ λιπαρὰ χωρία· πάντα δὲ ταῦτα χρήσιμα. τί λέγω τὴν γῆν, τοσοῦτον στοιχεῖον; ἑνὸς δένδρου μόνου εἰ βουληθείης εἰπεῖν τὸ σχῆμα, τὴν χρείαν, τὸν καρπόν, τὰ φύλλα, τὸν καιρόν, τὰ ἄλλα πάντα, πολὺ ὄψει τὸ διήγημα. D εἰ τῶν ὀρῶν τὴν θέσιν, εἰ τὰ ἄλλα ἅπαντα, εἰ τὸν ἄνθρωπον αὐτὸν ἐπέλθοις τῷ λόγῳ, καὶ τὴν διάπλασιν αὐτοῦ τοῦ σώματος· μυρία πάλιν κἀνταῦθα πελάγη εὕροις διηγημάτων. τούτοις τοίνυν ἐνδιατρίβωμεν· ἐντεῦθεν ἡμῖν ἔσται ἡδονὴ μεγίστη, ἐντεῦθεν κέρδος, ἐντεῦθεν φιλοσοφία ἄφατος. διὸ καὶ τοῦτο δηλῶν ἐπήγαγεν· εὐφρανθήσομαι καὶ ἀγαλλιάσομαι ἐν σοί. ἄλλος, καὶ γαυριάσω. ψαλῶ τῷ ὀνόματί σου, ὕψιστε. ἄλλος, ᾄσω τὸ ὄνομά σου. οὐ μικρὸν τοῦτο φιλοσοφίας εἶδος, τὸ εὐφραίνεσθαι ἐπὶ τῷ Θεῷ. ὁ γὰρ ἐπὶ τῷ Θεῷ εὐφραινόμενος, ὡς χρή,

πᾶσαν ἐκβάλλει βιωτικὴν ἡδονήν. τί δέ ἐστιν, εὐφρανθήσομαι ἐν σοί; τοιοῦτον, φησιν, ἔχων δεσπότην· τοῦτό μοι ἡδονή, τοῦτό μοι ἀγαλλίασις. εἴ τις οἶδε ταύτην τὴν ἡδονήν, ὡς εἰδέναι χρή, ἑτέρας ἡδονῆς οὐκ αἰσθάνεται. τοῦτο γὰρ ἡδονὴ κυρίως· ὡς τά γε ἄλλα πάντα, ὀνόματα μόνον ἐστὶν ἡδονῆς πράγματος ἔρημα. αὕτη τὸν ἄνθρωπον μετάρσιον ἐργάζεται· αὕτη τοῦ σώματος ἀπαλλάττει τὴν ψυχήν· αὕτη πρὸς οὐρανὸν πτεροῖ· αὕτη τῶν βιωτικῶν ὑψηλότερον ποιεῖ· αὕτη κακίας ἀπαλλάττει. καὶ μάλα εἰκότως. εἰ γὰρ οἱ σώματα λαμπρὰ φιλοῦντες, οὐδενὸς ἐπαισθάνονται τῶν ἐν τῷ βίῳ, ἀλλ' ἑνὸς μόνου εἰσὶ, τῆς ἐρωμένης ὄψεως· ὁ Θεὸν φιλῶν, καθὼς φιλεῖν δεῖ, τίνος αἰσθήσεται λοιπὸν ἢ χρηστοῦ τῶν ἐν τῷ βίῳ τούτῳ, ἢ λυπηροῦ; οὐδενός· ἀλλ' ἔσται πάντων ἀνώτερος, ἀθάνατα τρυφῶν· ἐπεὶ καὶ ὁ φιλούμενος τοιοῦτος. οἱ μὲν γὰρ τὰ ἄλλα φιλοῦντες, ταχέως καὶ ἄκοντες εἰς λήθην μεταβάλλονται, ἀπολλυμένων τῶν φιλουμένων καὶ μαραινομένων· οὗτος δὲ ὁ ἔρως, ἄπειρος, ἀτελεύτητος, καὶ τὴν ἡδονὴν μείζονα ἔχων, καὶ τὸ κέρδος πλέον· καὶ τούτῳ πάλιν ψυχαγωγῶν τὸν φιλοῦντα, τῷ μηδέποτε καταλύεσθαι. ψαλῶ τῷ ὀνόματί σου, ὕψιστε. τοῦτο μάλιστα φιλοῦντος ἔθος. γὰρ οἱ ἐρῶντες, εἰς τοὺς φιλουμένους ᾄσματα ᾄδουσι· κἂν μὴ ὁρῶσιν ἐκείνους, διὰ τῆς ᾠδῆς ἑαυτοὺς παραμυθοῦνται. οὕτω δὴ καὶ ὁ προφήτης ποιεῖ. ἐπεὶ τὸν Θεὸν ἰδεῖν οὐ δυνατὸν, ᾄσματα ποιεῖ εἰς αὐτὸν, διὰ τῶν ᾠδῶν αὐτῷ συγγινόμενος, καὶ τὸν πόθον ἀνάπτων, καὶ αὐτὸν δοκῶν ὁρᾶν. μᾶλλον δὲ διὰ τοῦ ᾄδειν καὶ ὑμνεῖν, εἰς πόθον ἀνάπτει πολλούς. ὥσπερ γὰρ οἱ φιλοῦντες, ἐγκώμια τῶν φιλουμένων λέγουσι, καὶ τὰ ὀνόματα αὐτῶν περιφέρουσιν· οὕτω δὴ καὶ οὗτος, ψαλῶ τῷ ὀνόματί σου, ὕψιστε. ὅρα πῶς ἑαυτὸν τῆς γῆς διήρτησε, καὶ πρὸς ἐκείνην ἀνεκρέμασεν ὅλην ἑαυτοῦ τὴν οὐσίαν, ἀναθεὶς ἑαυτὸν τῷ Θεῷ. διὰ τοῦτο συνεχῶς αὐτοῦ τὸ ὄνομα περιστρέφει. καὶ γὰρ καὶ τοῦτο τοῦ φιλοῦντος ἔθος. ἐν τῷ ἀποστραφῆναι τὸν ἐχθρόν μου εἰς τὰ ὀπίσω, ἀσθενήσουσι καὶ ἀπολοῦνται ἀπὸ προσώπου σου. ἄλλος, ἀνατραπέντων τῶν ἐχθρῶν μου ὀπίσω, προσκοψάντων καὶ ἀπολομένων ἐκ προσώπου σου. καὶ τοῦτο μάλιστα φιλοῦντός ἐστι, τὸ τὰς εὐεργεσίας λέγειν διὰ παντὸς, καὶ ἐγκαλλωπίζεσθαι

A omnem sæcularem expellit voluptatem. Quid est autem, Lætabor in te? Cùm talem habeam dominum, hoc est mihi voluptas, hoc est exultatio. Si quis hanc nouit ita vt nosse oportet, non sentit aliam voluptatem. Hoc enim est propriè voluptas: alia verò omnia sola sunt voluptatis nomina, re ipsa defecta. Hæc sublimem & excelsum hominem efficit. Hæc animam liberat à corpore: hæc efficit, vt ad cœlum aspiret: hæc terrenis, & iis quæ ad victum pertinent, altiorem constituit: hæc à vitiis liberat. B Et meritò. Si enim qui pulchra ac præclara amant corpora, nihil eorum sentiunt, quæ ad vitam pertinent, sed in vno solo amicæ aspectu versantur: qui Deum amat vt oportet, quidnam deinceps vel boni, vel mali sentit eorum, quæ sunt in vita? Nihil, sed erit iis omnibus superior, se rerum immortalium voluptate perfundens. Talis enim est, qui ab eis amatur. Qui enim amant alia, vel inuiti citò traducuntur ad obliuionem, cùm intereant & flaccescant quæ amantur: hic amor est infinitus, qui non potest desinere, qui & maio- C rem habet voluptatem, & plus lucri: & hoc ipso amantem delectat, & recreat, quòd nunquam dissoluitur. Canam nomini tuo altissime. Hoc solet maximè fieri ab amante. Qui enim amant, canunt in amantes cantica, etsi illos non videant, & per canticum seipsos consolantur. Ita etiam facit Propheta, quoniam Deus videri non potest, facit in ipsum cantica, per cantus cum ipso congrediens, & desiderium accendens, & ipsum se videre existimans. Vel potius cantabo hymnísque celebrando multorum inflammat D desiderium. Quemadmodum enim qui amant, eorum quos amant celebrant encomia, & ipsorum nomina circumferunt: ita hic etiam, Psallam, inquit, nomini tuo altissime. Vide quomodo seipsum è terra erexit, & sui materiam ad illam essentiam extulerit, seipsum Deo dedicans, & ideo versat eius nomen assiduè: is est enim mos amantis. 3. *Cum conuersus fuerit inimicus meus retrorsum, infirmabuntur, & peribunt à facie tua.* Alius, Cùm conuersi fuerint inimici mei: retrò, offenderint, & perierint à facie tua. Hic quoque est mos amantis, perpetuò dicere beneficia, & in iis sibi placere:

Argumentum ex collatione.

A simili argumentum.

hoc enim ab amore proficiscitur, & ipsum rursus amorem accendit. Non aberrauerit autem quispiam, si dixerit eum hic etiam dicere inimicos, qui mente solùm percipiuntur. Nam ij quoque auertuntur, quãdo generosam animam inuenerint. Quemadmodum enim hasta quæ in clypeum incidit, si mollis quidem sit, eum excindit: duro autem & repugnanti nihil facit, sed reflexa acie vana & inutilis excidit: ita etiam vsuuenit in anima. Si mollem enim & delicatam inuenerint tela quæ mittuntur à diabolo, in profundum peruadunt: sin autem duram & validiorem, & ipse abit re infecta, & ei nihil mali facit, duóque, imò verò tria ex eo capiuntur commoda. Nam ipsam nihil lædit, sed reddit etiam fortiorem, & ipse ex eo imbecillior euadit. Considera autem quomodo Dei virtutem prædicat. Infirmabuntur, inquit, & peribunt à facie tua. Rursus cùm audis faciem, nihil suspiceris corporeum. Hic enim operationem, eius apparitionem, & eius virium facilitatem significat: sicut alibi dicit: Qui respicit terram, & facit eam tremere: ita hic etiam idem dicit. Sufficit enim solus obtutus ad perdendos improbos. Si enim sanctorum præsentia facit vires dæmonum imbecillas, multò magis Dei. Si eius fulgor apparens omnes terrore afficit, considera illam potentiam ab interitu alienam, quomodo terret, quomodo perdit improbos. Vidisti genus hymnorum? vidisti modum glorificationis, & quemadmodum eius narrat potentiam? Non paruum autem hinc docet dogma philosophiæ, cùm dixit, Psallam nomini tuo altissime. Cum conuersus fuerit inimicus meus retrorsum. Quodnam verò hoc est? Quòd non solùm in afflictionibus, sed etiam in rebus quietioribus se moderatè gessit & sapienter. Multi enim malis humiles effecti, redduntur meliores: bonis autem socordiores & ignauiores: quod quidem dicit de Iudæis, progrediens. Quando occidebat ipsos, tunc quærebant ipsum. Sed non est hic eiusmodi, imò etiam in rebus secundis moderatus est, & vigilans. Non est autem hoc parum ad sapientiæ studium. 4. *Quoniam fecisti iudicium meum, & causam meam.* Alius, Iudicasti pro me. Sedisti super thronum qui iudicas iustitiam.

Elegans homœosis. — *Iacobi 4.* — *Psal. 103. 32. Act. 16. Collatio.* — *Psal. 77. 38.*

ταύτης. ἀπό τε γὰρ φίλτρου τοῦτο γίνεται, καὶ αὐτὸ πάλιν ἀνάπτει τὸ φίλτρον. οὐκ ἂν δέ τις ἁμάρτοι εἰπὼν καὶ νοητοὺς ἐχθροὺς ἐνταῦθα αὐτὸν λέγειν. ἀποστρέφονται γὰρ καὶ οὗτοι, ὅταν ψυχὴν γενναίαν εὕρωσι. καθάπερ γὰρ εἰς ἀσπίδα ἐμπεσὸν δόρυ, μαλακὴν μὲν οὖσαν διατέμνει· σκληρὰν δὲ καὶ ἀντίτυπον οὐδὲν ἐργάζεται, ἀλλὰ τῆς αἰχμῆς ἀνακαμφθείσης ἐκπίπτει· οὕτω δὴ καὶ ἐπὶ τῆς ψυχῆς συμβαίνει. ἂν μὲν γὰρ μαλακὴν εὕρῃ καὶ χαῦνον, τὰ παρὰ τοῦ διαβόλου πεμπόμενα βέλη, διαδύεται εἰς τὸ βάθος· ἐὰν δὲ σκληρὰν καὶ ἰσχυροτέραν, αὐτός τε ἄπρακτος ἄπεισι, καὶ εἰς ταύτην οὐδὲν εἰργάσατο δεινόν· καὶ δύο γίνεται κέρδη, μᾶλλον δὲ καὶ τρία. αὐτήν τε γὰρ οὐδὲν ἔβλαψεν, ἀλλὰ καὶ ἰσχυροτέραν ἐποίησεν· αὐτός τε ἀσθενέστερος ἐντεῦθεν γέγονε. σκόπει δὲ πῶς ἀνακηρύττει τοῦ Θεοῦ τὴν ἰσχύν. ἀσθενήσουσι, φησὶ, καὶ ἀπολοῦνται ἀπὸ προσώπου σου. πάλιν πρόσωπον ἀκούων, μηδὲν σωματικὸν ὑποπτεύσῃς. ἐνταῦθα γὰρ τὴν ἐνέργειαν, τὴν ἐπιφάνειαν αὐτοῦ δηλοῖ, τὴν εὐκολίαν αὐτοῦ τῆς ἰσχύος· ὡς ἀλλαχοῦ φησιν· ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν, καὶ ποιῶν αὐτὴν τρέμειν. οὕτω δὴ καὶ ἐνταῦθα τὸ αὐτό φησιν. ἀρκεῖ γὰρ μόνη ἡ ἐποπτεία ἀπολέσαι τοὺς πονηρούς. εἰ γὰρ ἁγίων παρουσία ἀσθενῆ δαιμόνων ποιεῖ τὴν ἰσχὺν, πολλῷ μᾶλλον Θεοῦ. εἰ ἡ ἀστραπὴ αὐτοῦ φαινομένη καταπλήττει πάντας, ἐννόησον τὴν δύναμιν τὴν ἀνώλεθρον ἐκείνην, πῶς καταπλήττει, πῶς ἀπόλλυσι τοὺς πονηρούς. εἶδες ὕμνων εἶδος; εἶδες δοξολογίας τρόπον, καὶ πῶς περὶ τῆς δυνάμεως αὐτοῦ διηγεῖται; οὐ μικρὸν κἀντεῦθεν παιδεύει φιλοσοφίας δόγμα, τῷ εἰπεῖν, ψαλῶ τῷ ὀνόματί σου, ὕψιστε. ἐν τῷ ἀποστραφῆναι τὸν ἐχθρόν μου εἰς τὰ ὀπίσω. ποῖον δὴ τοῦτο; ὅτι οὐ μόνον ἐν ταῖς θλίψεσιν, ἀλλὰ καὶ ἐν ταῖς ἀνέσεσιν ἔνηφε. πολλοὶ μὲν γὰρ ὑπὸ τῶν κακῶν ταπεινούμενοι, σπουδαιότεροι γίνονται· ὑπὸ δὲ τῶν ἀγαθῶν, ῥαθυμότεροι καὶ χαυνότεροι· ὃ περὶ τῶν Ἰουδαίων προϊὼν λέγει· ὅταν ἀπέκτεινεν αὐτοὺς, τότε ἐξεζήτουν αὐτόν. ἀλλ' οὐχ οὗτος τοιοῦτος· ἀλλὰ καὶ ἐν εὐημερίαις νήφει, καὶ διεγήγερται. οὐ μικρὸν εἰς φιλοσοφίαν δὲ τοῦτο. ὅτι ἐποίησας τὴν κρίσιν μου καὶ τὴν δίκην μου. ἄλλος, ὑπερεδίκασάς μου· ἐκάθισας ἐπὶ θρόνου ὁ κρίνων δικαιοσύνην.

ἐπετίμησας ἔθνεσι, καὶ ἀπώλετο ὁ ἀσεβής. ἄλλος, ἀπώλεσας. τὸ ὄνομα αὐτοῦ ἐξήλειψας εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. ὅρα πάλιν τὴν φιλοσοφίαν τοῦ ἀνδρός, πῶς οὐκ αὐτὸς ἀμύνεται τοὺς ἐχθρούς, ἀλλὰ τῷ Θεῷ παραχωρεῖ τῆς δίκης, τὸ ἀποστολικὸν τηρῶν παράγγελμα· μὴ ἑαυτοὺς ἐκδικοῦντες. οὐ τοῦτο δὲ μόνον ἐστὶν ἰδεῖν, ἀλλ' ὅτι καὶ ἀδίκως ταῦτα ἔπαθεν. εἰ μὴ γὰρ ἀδίκως ἔπαθεν, οὐκ ἂν ὁ Θεὸς ἐπεξῆλθεν. ἐκάθισας ἐπὶ θρόνου ὁ κρίνων δικαιοσύνην. ἀνθρωπινώτερον φθέγγεται, θρόνον καὶ καθέδραν λέγων. τὸ δέ, ὁ κρίνων δικαιοσύνην, τὸ συνήθες τοῦ Θεοῦ, καὶ ἐξαίρετον αὐτοῦ τῆς οὐσίας φησίν. ἐπὶ μὲν γὰρ τῶν ἀνθρώπων τοῦτο οὐκ ἔστιν εἰπεῖν. οὐ γὰρ πάντως κρίνουσι δικαιοσύνην, κἂν μυριάκις ὦσι δίκαιοι, ποτὲ μὲν ἀγνοίᾳ, ποτὲ δὲ ῥᾳθυμίᾳ ἀγνοοῦντες τὸ δίκαιον. ὁ δὲ Θεὸς τούτων ἁπάντων ἀπηλλαγμένος, καὶ εἰδώς, καὶ βουλόμενος δικαίαν ἐκφέρει τὴν ψῆφον. τὸ οὖν, ἐκάθισας ἐπὶ θρόνου, ἐδίκασας ἐστιν, ἐπεξῆλθες, ἤμυνας. ἐπετίμησας ἔθνεσι, καὶ ἀπώλετο ὁ ἀσεβής. ὁρᾷς πῶς οὐχ ὅπλων αὐτῷ δεῖ, οὐ μαχαίρας, οὐ τόξων καὶ βελῶν, ἀλλ' ἀνθρωπινώτερον ἐκεῖνα εἴρηται. ἀρκεῖ γὰρ ἐπιτιμῆσαι τῷ Θεῷ, καὶ ἀπολέσθαι τοὺς κολάζεσθαι μέλλοντας. ἵνα δὲ μάθῃς αὐτοῦ τὴν ἰσχύν, ἄκουε καὶ τῶν ἑξῆς. τὸ ὄνομα αὐτοῦ ἐξήλειψας εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. προρρίζους ἀπώλεσας, ἀνέσπασας, οὕτως ἠφάνισας, ὡς καὶ τὴν μνήμην αὐτῶν συναπολέσθαι. τοῦ ἐχθροῦ ἐξέλιπον αἱ ῥομφαῖαι εἰς τέλος. ἄλλος, τὰ ἐρείπια. ὁ δὲ Ἑβραῖος, Αρβώθ. καὶ πόλεις καθεῖλες. τί ἐστι τοῦτο; ὅτι τὰς μηχανὰς αὐτοῦ καὶ τὰς βουλὰς ἀναλώσας, φησίν, ἔρημον αὐτὸν τῶν οἰκείων ὅπλων ἐποίησας. τοιοῦτον γὰρ ἡ ὀργὴ τοῦ Θεοῦ. πάντα ἀφανίζει καὶ ἀπόλλυσιν. ἢ ὅπερ ἕτερος ἑρμηνευτὴς διδάσκει, ἔρημα εἰπών· ὅτι οὐ τὰς πόλεις αὐτῶν μόνον, ἀλλὰ καὶ τὰς ἐρήμους ἠφάνισας, καὶ πόλεις καθεῖλες. οὕτω γὰρ ὁ δίκαιος ἐπολέμει, οὕτω κατέβαλε τοὺς ἐναντίους, οὐχ ὅπλοις καὶ δόρασι κεχρημένος, ἀλλὰ τὴν παρὰ τοῦ Θεοῦ ῥοπὴν ἔχων. διὰ τοῦτο καὶ ὁ πόλεμος αὐτῷ λαμπρὸς καὶ περιφανής, καὶ κατὰ κράτος ἡ νίκη. ἀπώλετο τὸ μνημόσυνον αὐτῶν μετ' ἤχου. ἄλλος, σὺν αὐτοῖς. ὁ δὲ Ἑβραῖος, Εμ. τί ἐστι μετ' ἤχου; ἢ τὴν πανωλεθρίαν, φησίν, ἢ τὸ διαλύειν τῶν κακῶν.

A 5. *Increpasti gentes, & periit impius.* Alius, Perdidisti. *Nomen eius delesti in æternum, & in seculum seculi.* Vide rursus viri philosophiam, quemadmodum non ipse vlciscitur inimicos, sed Deo concedit iudicium, seruans præceptum Apostolicum, Non vos ipsos vlciscentes. (Rom. 12. 9.) Non hoc autem solùm videre possumus, sed quòd hæc etiam iniustè passus est. Nisi enim iniustè esset passus, ea Deus non esset persecutus. Sedisti super thronum, qui iudicas iustitiam. Humano more loquitur, dicens thro- B num & cathedram. Illud autem, Qui iudicas iustitiam, id dicit quod est Deo consuetum, & est eius substantiæ præcipuum. In hominibus enim non licet hoc dicere. Non iudicant enim iustitiam, etsi millies iusti sint, vt qui aliquando quidem propter iustitiam, aliquando verò propter socordiam, quod iustum est, ignorent. Deus verò qui ab his omnibus liber est, & sciens & volens iustam fert sententiam. Illud ergo, Sedisti super thronum, iudicasti, significat, persecutus es, vltus es. Increpasti gentes, & periit impius. Vides C quomodo armis Deo non opus est, non gladio, non arcu, non sagittis: sed illa humano more dicta sunt. Deo enim sufficit increpare & perdere eos qui puniendi sunt. Vt autem eius potentiam intelligas, audi etiam quæ sequuntur. Nomen eorum delesti in æternum & in seculum seculi. Radicitus perdidisti, cōuulsisti, ita deleuisti, vt eorum etiam perierit memoria. 6. *Inimici defecerunt frameæ in finem.* (Framea bis pennis, culter.) Alius, Ruinæ. Hebræus autem *Arboth.* Et ciuitates destruxisti. Quid hoc est? Machinis, inquit, & consiliis cōsumptis, eum propriis armis de- D stituisti. Talis est enim ira Dei. Omnia delet, & perdit. Vel quod alius docet interpres, dicens, Deserta, id est, non solùm eorū ciuitates, sed ipsa etiam deserta deleuisti, & vrbes diruisti: ita enim iustus bellum gerebat, ita aduersarios prosternebat, non vtens armis & hastis, sed Dei fretus auxilio, propterea, ei quoque bellum est prçclarū & insigne, & vi parta est victoria. 7. *Periit eorum memoria cū sonitu.* Alius, Cum ipsis. Hebræus autem *Em.* Quid est cum sonitu? Vel dicit internecionē, vel malorum mœrorem.

Porrò autem hoc est etiam Dei prouidentiæ, quòd non facit hoc latenter, vt aliorum calamitatibus alij reddantur meliores, significat ergo manifestum exitium. *Et Dominus in æternum permanet.* Alius, Sedet. Sedere enim sæpe ponitur pro stabili & permanente substantia, vt declarat etiam Hieremias, dicens: Tu sedes in seculum seculi.

Baruch 3.1. 2. Reg. 14. Iacobi 4.

Et Hebræus hîc *Iesch* Propheta hoc dicit assiduè in hominum interitu, ostendens interminatam eius esse substantiam, & quòd hominum quidem genus est caducum & momentaneum, illius autem substantia & magnificentia finē nunquam accipit. Hoc autem facit timorem incutiens, vt duabus de causis eum timeant, & propter magnitudinem gloriæ, & propter vilitatem propriæ substantiæ, & vt semper manentem, & vt mirandum in modum punientem. Quòd si aliquid etiam oportet dicere anagogicè, id non est recusandum. Alia enim possumus etiam contemplari: alia verò ita sunt solum intelligenda,

Genes. 1.1.

sicut dicta sunt, quemadmodum illud: Fecit Deus cœlum & terram. Alia verò aliter quàm habeant dictiones, quemadmodum: Cerua amicitiæ, & hinnulus gratiarum tuarum, tecum habeat

Prou. 5.19.

Ibidem.

consuetudinem. Et rursus: Sint tibi soli quæ habes, & nemo alienus sit tibi particeps. Et rursus: Fons aquæ sit tibi soli. Hoc enim si intellexeris, id quod scriptum est, & non verba quidem fugias, sensum autē persequaris, erit valde inhumanū, vt ne aquam quidem illi impertiaris. Sed hîc quidem loquitur de vxore, vt ea fruamur cum temperantia, fontem vocans eam, & ceruam, propter puritatem congressus coniugalis. Et hîc quidē hoc modo. Alicubi verò & quod scriptū est accipiendum est, & quod ex eo significatur, quemadmodū est illud:

Ioan. 3.14.

Sicut serpentem exaltauit Moses. Credendum est enim hoc factum esse: factum est enim: & quod ex eo significatur in figuram Christi. Ita hîc etiam nō aberrauerit quispiam, si quæ dicta sunt, acceperit de iis quæ euenerunt Iudęis, hæc nēpe, Sedisti super thronū qui iudicas iustitiā. Increpasti gētes, & periit impius: nomē eius delesti in seculū & in seculū seculi. Inimici defecerūt frameę in finem, & ciuitates eorum destruxisti: periit memoria eorū cum sonitu. Calamitas enim eorū qui Christum crucifi-

καὶ τοῦτο δὲ τῆς τοῦ Θεοῦ κηδεμονίας, τὸ μὴ λανθανόντως ταῦτα ποιεῖν· ἵνα ταῖς ἑτέρων συμφοραῖς καὶ ἕτεροι γίνωνται βελτίους. τὸ περιφανὲς οὖν δηλοῖ τῆς ἀπωλείας. καὶ ὁ κύριος εἰς τὸν αἰῶνα μένει. ἄλλος, καθέζεται. τὸ γὰρ καθῆσθαι, πολλαχοῦ ἐπὶ τοῦ μονίμου τῆς οὐσίας κεῖται· ὡς καὶ Ἱερεμίας δηλοῖ λέγων, σὺ καθήμενος εἰς τὸν αἰῶνα. καὶ ὁ Ἑβραῖος ἐνταῦθα Ἰησοῦ φησι. συνεχῶς τοῦτο λέγει ὁ προφήτης ἐπὶ τῆς ἀπωλείας τῶν ἀνθρώπων, δεικνὺς αὐτοῦ τὸ ἀτελεύτητον τῆς οὐσίας, καὶ ὅτι τὸ μὲν τῶν ἀνθρώπων γένος ἐπίκηρον· ἡ δὲ ἐκείνου οὐσία καὶ ἡ μεγαλωσύνη ἀτελεύτητος. τοῦτο δὲ ποιεῖ τὸν φόβον ἐπιτείνων, ἵνα ἑκατέρωθεν ὦσιν αὐτὸν τρέμοντες· καὶ διὰ τὸ μέγεθος αὐτοῦ τῆς δόξης, καὶ διὰ τὸ εὐτελὲς τῆς οἰκείας οὐσίας· καὶ ὡς ἀεὶ μένοντα, καὶ ὡς ἀεὶ μεθ' ὑπερβολῆς κολάζοντα. εἰ δὲ χρή τι καὶ κατὰ ἀναγωγὴν εἰπεῖν, οὐ παραιτητέον. τὰ μὲν γάρ ἐστι καὶ θεωρῆσαι· τὰ δὲ οὕτω δεῖ νοεῖν ὡς εἴρηται μόνον· ὡς τὸ, ἐν ἀρχῇ ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν. τὰ δὲ ἀπεναντίας τῆς λέξεσιν· ὡς τὸ, ἔλαφος φιλίας, καὶ πῶλος σῶν χαρίτων ὁμιλείτω σοι. καὶ πάλιν· ἔστω σοι μόνῳ ὑπάρχοντα, καὶ μηδεὶς ἀλλότριος μεταλαβέτω σοι. καὶ πάλιν· ἡ πηγή σου τοῦ ὕδατος σοὶ ἔστω μόνῳ. τοῦτο γὰρ, ἂν τὸ κείμενον νοήσῃς, καὶ μὴ φύγῃς μὲν τὸ ῥῆμα, διώκῃς δὲ τὸ νόημα, καὶ πολλῆς ἀπανθρωπίας ἐστὶ, τὸ μηδὲ ὕδατος αὐτῇ μεταδοῦναι. ἀλλ' ἐνταῦθα περὶ γυναικὸς ὁ λόγος, ὥστε αὐτῆς ἀπολαύειν μετὰ σωφροσύνης, πηγὴν καλῶν αὐτὴν καὶ ἔλαφον, διὰ τὸ καθαρὸν τῆς τοῦ γάμου συνουσίας. καὶ ἐνταῦθα μὲν οὕτως· ἀλλαχοῦ δὲ δεῖ καὶ τὸ κείμενον δέχεσθαι, καὶ τὸ ἐξ αὐτοῦ δηλούμενον· ὡς ἔχει τὸ, καὶ καθὼς τὸν ὄφιν ὕψωσε Μωϋσῆς. καὶ γὰρ τοῦτο δεῖ πιστεύειν ὅτι ἐγένετο (ἐγένετο γὰρ) καὶ τὸ ἐξ αὐτοῦ, εἰς τύπον Χριστοῦ. οὕτω καὶ ἐνταῦθα, οὐκ ἄν τις ἁμάρτοι εἰς τὰ Ἰουδαϊκὰ ἐκλαμβάνων τὰ εἰρημένα· ἐκάθισας ἐπὶ θρόνου ὁ κρίνων δικαιοσύνην. ἐπετίμησας ἔθνεσι, καὶ ἀπώλετο ὁ ἀσεβής· τὸ ὄνομα αὐτοῦ ἐξήλειψας εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. τοῦ ἐχθροῦ ἐξέλιπον αἱ ῥομφαῖαι εἰς τέλος, καὶ πόλεις καθεῖλες. ἀπώλετο τὸ μνημόσυνον αὐτοῦ μετ' ἤχου. ἥ τε γὰρ συμφορὰ αὐτῶν τῶν τὸν Χριστὸν σταυρωσάν-

των, πανταχοῦ τῆς οἰκουμένης καταδήλος, αἵ τε πόλεις αὐτῶν καθῃρέθησαν, τοῦ τε διαβόλου ἐξέλιπε τὰ μηχανήματα, τῆς τοῦ Χριστοῦ κηδεμονίας τὰ πάντα καταλαβούσης. ἀλλὰ ταῦτα τοῖς φιλομαθέσι καταλιπόντες ἁρμόζειν, τῶν προκειμένων ἐχώμεθα. ἡτοίμασεν ἐν κρίσει τὸν θρόνον αὐτοῦ. ἄλλος, ἥδρασεν εἰς κρίσιν. καὶ αὐτὸς κρινεῖ τὴν οἰκουμένην ἐν δικαιοσύνῃ· κρινεῖ λαοὺς ἐν εὐθύτητι. εἶδες πῶς κατὰ μικρὸν ἀνάγει τὸν λόγον; ἐπειδὴ γὰρ θρόνου ἐμνημόνευσε, δείκνυσι τοῦ θρόνου τὴν φύσιν, οὐκ ἀπὸ ξύλων συγκειμένην, οὐδὲ τινος ὕλης, ἀλλ' ἀπὸ δικαιοσύνης. ἐν γὰρ τῇ δικαιοσύνῃ, φησὶν, ἵδρυται. κρινεῖ τὴν οἰκουμένην ἐν δικαιοσύνῃ. καὶ τὰ παρόντα καὶ τὰ μέλλοντα προαναφωνεῖ. ἡ μὲν γὰρ καθόλου κρίσις, ἐκεῖ τεταμίευται· ἡ δὲ ἐκ μέρους, καὶ ἐνταῦθα πολλὰ ἐργάζεται, ὥστε μὴ τοὺς ἀναισθήτους ἀπρονόητα εἶναι νομίζειν τὰ ὄντα. εἰ δὲ μὴ πάντες ἐνταῦθα τοὺς στεφάνους ἀπολαμβάνουσι, μὴ θαυμάσῃς. ἡτοίμασε γὰρ ἡμέραν ἐν ᾗ μέλλει κρίνειν τὴν οἰκουμένην· τὸ δὲ παρὸν, στάδιον καὶ ἀγὼν καὶ παλαίσματα. διὰ δὲ τοῦτο οὐ πάντες τὰ κατ' ἀξίαν ἀπολαμβάνουσιν, ἀλλὰ τοῖς τε κατορθοῦσιν ἐκεῖ τεταμίευται δῶρα, τοῖς τε καταπίπτουσιν αἱ κολάσεις· ἐνταῦθα δὲ ἀνοχὴ καὶ μακροθυμία, ὥστε διὰ μετανοίας ἀπονίψασθαι τὰ ἡμαρτημένα. ἀλλ' οὐκ ἐκεῖ τοῦτο. ἐπεὶ καὶ ἀνδροφόνος, ἕως μὲν ἂν ᾖ ἐν ταῖς ὁδοῖς, κύριός ἐστι μεταβαλέσθαι, καὶ ἀπαλλαγῆναι κολάσεως· ἐπειδὰν δὲ ὑπὸ τὴν ψῆφον ἔλθοι τοῦ δικαστοῦ, ξίφος λοιπὸν καὶ δήμιος καὶ βάραθρα. οὕτω καὶ ἐνταῦθα. ἕως μὲν ἂν ἐν τῷ βίῳ τούτῳ ὦμεν τῷ παρόντι, δυνατὸν διαφυγεῖν τὴν τιμωρίαν μεταβαλλομένους· ἐκεῖ δὲ ἀπελθόντες, ἀνήνυτα οἰμώξομεν. ἡτοίμασε γὰρ ἐν κρίσει τὸν θρόνον αὐτοῦ. εἰ δέ τις καὶ τὸ, ἡτοίμασεν, οὕτως ἐκλάβοι ὡς εἴρηται, οὐχ ἁμαρτήσεται. πάντα γὰρ προεσκευασμένα, καὶ τὰ τῶν κολάσεων, καὶ τὰ τῶν στεφάνων, καὶ τὰ τῆς ψήφου. οὐκ ἔστι μέλλησις, οὐδὲ χρόνος, οὐδὲ βραδύτης παρὰ τῷ Θεῷ, ὅταν οἱ ζῶντες οὐ μὴ φθάνωσι τοὺς κοιμηθέντας, ὥσπερ ὁ Παῦλος λέγει, ὅτι ἡμεῖς οἱ ζῶντες οἱ περιλειπόμενοι εἰς τὴν παρουσίαν τοῦ κυρίου, οὐ μὴ φθάσωμεν τοὺς κοιμηθέντας. κρινεῖ λαοὺς ἐν εὐ-

A xerunt, est omnibus manifesta, & ciuitates eorum sunt dirutæ, & diaboli machinæ defecerunt, cùm Christi cura ac prouidentia omnia susceperit. Sed hæc relinquentes adaptanda studiosis, ea quæ sunt proposita persequamur.

Coloss. 2. Heb. 2.

8. *Parauit in iudicio thronum suum.* Alius, Stabiliit ad iudicium. *Et ipse iudicabit orbem terræ in iustitia, iudicabit populos in rectitudine.* Vidisti quomodo paulatim attollit orationem? Quoniam enim throni meminit, ostendit throni naturam, non ex lignis, nec ex aliqua materia compositam, sed ex iustitia. In iustitia enim, inquit, collocatus est: iudicabit orbem B terræ in iustitia. Et præsentia, & quæ futura sunt, prædicit. Generale enim iudicium illic est reseruatum: singulare autem etiam hic multa facit, ne stolidi existimarent ea quæ sunt, non regi Dei prouidentia. Quòd si non hic omnes coronas accipiunt, ne mireris. Parauit enim diem, in quo est iudicaturus orbem terræ: in præsentia autem stadium, luctas, & certamina. Propterea non recipiunt hic omnes pro meritis, sed iis qui se rectè gerunt, dona sunt illic reposita: & iis qui secus, suppli- C cia. Hic autem est lenitas, & patientia, vt per pœnitentiam abstergamus peccata. Sed illic non ita. Homicida enim, quamdiu est in via, potest mutari, & liberari supplicio: sed postquam deductus est ad accipiendam iudicis sententiam, restat deinceps ensis, & lictor, & barathrum. Ita etiam hic. Quamdiu fuerimus quidem in vita præsenti, possumus vitare supplicium, si mutemur: postquam autem illuc discesserimus, frustra lachrymabimur. *Parauit enim in iu-* D *dicio thronum suum.* Si quis autem etiam illud, parauit, acceperit vt dictum est, non peccabit. Omnia enim sunt parata, & supplicia, & coronæ, & sententia. Non est cunctatio, nec tempus, nec tarditas apud Deum: quandoquidem qui viuunt, non præuenient eos qui dormierunt, quemadmodum dicit Paulus: Nos qui viuimus, qui reliqui sumus in aduentum Domini, non præueniemus eos qui dormierunt. Iudicabit populos in rectitudine.

Rom. 2. Matth. 25.

Hier. 18. Ezech. 33.

Sap. 5. Heb. 10.

1 Thess. 4. 15.

Vide sapientiam Prophetæ, quomodo dicit præsentia, quomodo futura. Præsentia, Increpasti gentes, & periit impius. Futura, Parauit in iudicio thronum suum. Et ipse iudicabit orbem terræ in iustitia. Hoc autem facit, vt qui illis non credunt, ex præsentibus argumenta accipiant. 9. *Et factus est Dominus refugium pauperi.* Alius, Attrito. Alius, Confracto. Vocat assiduè seipsum & pauperem, & mendicum, licet regiam teneret. Ita etiam alibi: Ego autem mendicus sum & pauper. Sciebat enim, & clarè sciebat omnia humana esse vmbra imbecilliora, & nihil esse nobis virtute magis proprium: reliqua autem omnia esse similia foliis extrinsecus appositis. Quòd enim virtus sit nobis propria, ex hoc clarum est, Quocunque recesserimus, eam circumferimus: illa autem non itidem. Hoc est ergo nobis magis proprium, alia autem sunt remotiora. Quemadmodum ergo eum dicimus proprium ac necessarium, qui est nobis propinquior: ita etiam hanc pecuniis dicimus magis propriam, quoniam nobis semper est propinquior. Considera autem mihi eius gratum & sapientiæ studiosum animum. Cùm enim haberet & equos, & castra, & alia innumerabilia, illis omnibus missis supernum accersit auxilium, & suam ei salutem fert acceptam. Non enim dixit: Fuerunt mihi castra refugium meum, nec pecunia, nec muri: sed fuit Dominus refugium pauperi. Ipse me, inquit, in tuto collocauit: nihil enim conferri potest cum hoc refugio, quod & ad facilitatis & securitatis rationem attinet. Aliis enim refugiis possunt afferri insidiæ, nec possunt in promptu inueniri, sed & tempore, & loco innumerabilibus arcentur circumstantiis. Hoc autem, vtpote quod propè sit, inuenies, si id tantùm exactè quæsieris. Te enim adhuc loquente dicet, Ecce adsum. Et, Deus appropinquans ego sum, & non Deus procul. Nec cursu ergo, nec peregrinatione nobis opus est, sed vel domi sedentes hoc possumus euocare auxilium. Et aliquando quidem liberat à periculis: aliquando autem eos ipsos reddit præclaros & potentiores aduersariis, & vtrunque in tempore conuenienti. Quando enim se mode-

Illis nempe futuris.

Psalm. 39. 23.

Matt. 24. Matth. 7. Ioan. 13.

Esa. 58. 9. Hier. 23.

A φύτην. ὅρα σοφίαν προφήτου, πῶς λέγει τὰ παρόντα, πῶς τὰ μέλλοντα. τὰ παρόντα, ἐπετίμησας ἔθνεσι, καὶ ἀπώλετο ὁ ἀσεβής· τὰ μέλλοντα, ἡτοίμασεν ἐν κρίσει τὸν θρόνον αὐτοῦ· καὶ αὐτὸς κρινεῖ τὴν οἰκουμένην ἐν δικαιοσύνῃ. τοῦτο δὲ ποιεῖ, ἵνα οἱ ἐκείνοις ἀπιστοῦντες, ἀπὸ τῶν παρόντων λάβωσι τὴν ἀπόδειξιν. καὶ ἐγένετο κύριος καταφυγὴ τῷ πένητι. ἄλλος, τῷ ἐπιτετριμμένῳ. ἄλλος, τῷ τεθλασμένῳ. συνεχῶς ἑαυτὸν καὶ πένητα καὶ πτωχὸν καλεῖ, καί τοί γε ἐν βασιλείοις ὤν. οὕτω καὶ ἀλλαχοῦ· ἐγὼ δὲ πτωχός

B εἰμι καὶ πένης. ᾔδει γάρ, ᾔδει σαφῶς, ὅτι τὰ ἀνθρώπινα πάντα σκιᾶς ἀδρανέστερα, καὶ ὅτι οὐδὲν ἡμῖν οὕτως οἰκεῖον ὡς ἀρετή· τὰ δὲ ἄλλα πάντα φύλλοις ἔοικεν ἔξωθεν περικειμένοις. ὅτι γὰρ ἀρετὴ οἰκεῖον, δῆλον ἐντεῦθεν. ὅπου ἐὰν ἀπέλθωμεν, ταύτην περιφέρομεν· ἐκεῖνα δὲ οὐκ ἔτι. οὐκοῦν τοῦτο ἡμῖν οἰκειότερον, τὰ δὲ ἄλλα πόῤῥωθεν. ὥσπερ οὖν οἰκεῖον λέγομεν τὸν πλησίον ἡμῖν ὄντα· οὕτω δὴ καὶ ταύτην τῶν χρημάτων οἰκειοτέραν καλοῦμεν, ἐπειδὴ πλησίον ἐστὶν ἡμῶν ἀεί. θέα δέ μοι αὐτοῦ καὶ τὴν εὐγνωμοσύνην, καὶ τὴν φιλόσοφον ψυχήν. καὶ γὰρ

C ἵππους ἔχων, καὶ στρατόπεδα, καὶ μυρία ὅσα, πάντα ἐκεῖνα ἀφεὶς, τὴν ἄνωθεν ἐπισπᾶται ῥοπήν, καὶ αὐτῇ τὴν σωτηρίαν ἀνατίθησιν. οὐ γὰρ εἶπεν, ἐγένετό μοι στρατόπεδα καταφυγή μου, οὐδὲ χρήματα, οὐδὲ τείχη· ἀλλ' ἐγένετο κύριος καταφυγὴ τῷ πένητι. αὐτός με, φησὶν, ἐν ἀσφαλείᾳ κατέστησεν· οὐδὲν γὰρ ταύτης ἴσον τῆς καταφυγῆς, καὶ εἰς εὐκολίας καὶ ἀσφαλείας λόγον. τὰς μὲν γὰρ ἄλλας καταφυγὰς καὶ ἐπιβουλεύεσθαι ἔνι, καὶ ταχέως εὑρεῖν οὐκ ἔνι καὶ ἐξ ἑτοίμου, ἀλλὰ καὶ

D χρόνῳ καὶ τόπῳ καὶ μυρίαις κωλύονται περιστάσεσι· ταύτην δὲ πλησίον οὖσαν εὑρίσκεις, μόνον ἐὰν μετὰ ἀκριβείας ἐπιζητήσῃς. ἔτι γὰρ λαλοῦντός σου ἐρεῖ, ἰδοὺ πάρειμι. καὶ, Θεὸς ἐγγίζων ἐγώ εἰμι, καὶ οὐ Θεὸς πόῤῥωθεν. οὐ τοίνυν δεῖ δρόμου ἡμῖν οὐδὲ ἀποδημίας, ἀλλὰ καὶ οἴκοι καθημένοις ταύτην ἐπισπᾶσθαι τὴν καταφυγήν ἔνι. καὶ ποτὲ μὲν ἐξαιρεῖ τῶν κινδύνων· ποτὲ δὲ καὶ αὐτοὺς ποιεῖ λαμπροτέρους, καὶ τῶν ἐχθρῶν δυνατωτέρους· καὶ ἀμφότερα ἐν καιρῷ τῷ προσήκοντι. ὅταν γὰρ μετριάζωσιν οἱ ἀπολαύοντες,

τις, ἀμφότερα δίδωσιν. Εἰ δὲ μὴ σφόδρα τοῦτο ἔχοιεν τὸ κατόρθωμα, μέχρι τοῦ ἑνὸς ἵστανται, ὥστε μὴ τῇ προσθήκῃ τοῦ δευτέρου εἰς ἀπόνοιαν αὐτοὺς ἐλθεῖν. ἵνα δὲ μάθῃς ὅτι πολλάκις τοῦτο εἰς ἀπόνοιαν αἴρει· ὁ Ἐζεκίας ἐντεῦθεν ἐπήρθη. ἀλλ' ὅμως οὐδὲ οὕτως αὐτὸν παρεῖδεν· ἀλλ' ἐπειδὴ ἡ τῆς νίκης εὐημερία ἐπῆρεν αὐτοῦ τὴν διάνοιαν, τὴν ἀπὸ τῆς ἀρρωστίας αὐτῷ διόρθωσιν ἐπήγαγε. Βοηθὸς ἐν εὐκαιρίαις, ἐν θλίψεσι. τί ἐστιν, ἐν εὐκαιρίαις; εἰς καιρόν, φησιν, ἐπικαίρως. διπλῆν λέγει τὴν εὐκαιρίαν, ὅτι καὶ βοηθεῖ, καὶ ὅτι εἰς καιρόν. εὐκαιρίαν γὰρ ἐνταῦθα, τὴν θλίψιν λέγει. τί δήποτε; ὅτι φιλοσοφίας μήτηρ ἐστί, καὶ τοῦ Θεοῦ μάλιστα ἐπισπᾶται τὴν ῥοπήν. τότε ῥαθυμία αἴρεται, καὶ διάχυσις· τότε σπουδαιότεροι περὶ τὰς ἱκετηρίας γινόμεθα. καὶ καθάπερ ὁ χειμὼν ἐπιτήδειος καιρὸς πρὸς γεωργίαν ἐστὶ τῆς γῆς· οὕτως ἡ θλίψις πρὸς ἐπιμέλειαν τῆς ψυχῆς. ἀεὶ μὲν γὰρ δεόμεθα αὐτοῦ τῆς βοηθείας, καὶ ἐν εὐημερίαις ὄντες· τότε δὲ μάλιστα, ὅταν ἐν θλίψεσιν ὦμεν. ἐνταῦθα καὶ ἕτερόν τι ᾐνίξατο· ὅτι δεῖ καὶ ἡμᾶς ἐνεργοὺς εἶναι. ὁ γὰρ βοηθῶν τῷ ἐργαζομένῳ βοηθεῖ. οὐ τοίνυν ἡμᾶς ἀναπεπτωκέναι δεῖ, ἀλλὰ καὶ ἱκετηρίαν εἰσφέρειν, καὶ ἐλεημοσύνας, καὶ τὰ παρ' ἑαυτῶν ἅπαντα. ἐπεὶ καὶ σύμμαχοι τοῖς πολεμοῦσι βοηθοῦσιν, οὐχὶ τοῖς ἀναπεπτωκόσι καὶ ἀργοῦσιν. εἰ τοίνυν βούλει τῆς τοῦ Θεοῦ συμμαχίας ἀπολαύειν, μηδέποτε τὰ παρὰ σαυτοῦ προδῷς. οὕτω καὶ ὁ Ἰὼβ ἐβοηθεῖτο, ἑστὼς καὶ παγκρατιάζων· οὕτω καὶ οἱ ἀπόστολοι ἐνεργοὶ ὄντες. Καὶ ἐλπισάτωσαν ἐπὶ σὲ οἱ γινώσκοντες τὸ ὄνομά σου. ἄλλος, καὶ πεποιθήσουσιν, συνεχῶς τοῦτο ποιεῖ ὁ προφήτης, ἀπὸ εὐχῆς εἰς παραίνεσιν τρέπων τὸν λόγον, κοινὸς διδάσκαλος ὢν τῆς οἰκουμένης, καὶ τὸν θησαυρὸν εἰς τὸ μέσον προτιθεὶς τῆς φιλοσοφίας. καλῶς εἶπεν, ἐλπισάτωσαν οἱ γινώσκοντες τὸ ὄνομά σου. οἱ γὰρ εἰδότες σέ, φησι, καὶ τὴν ἀντίληψίν σου, καὶ τὴν συμμαχίαν, ἱκανὴν ἄγκυραν ἔχουσι τὴν ἐλπίδα τὴν ἐπὶ σέ, ἱκανὴν συμμαχίαν, καὶ πύργον ἀρραγῆ, οὐ τὴν λύσιν μόνον ἐπαγγελλόμενον τῶν δεινῶν, ἀλλ' οὐδὲ παροῦσι τοῖς δεινοῖς θορυβεῖσθαι συγχωροῦντα.

A ſtè gerunt qui id aſſequuntur, dat vtrunque. Sin autem in eo non ſe rectè geſſerint, intra vnum ſubſiſtit, nè alterius additamento nimis fiant arrogantes. Vt autem ſcias id ſæpe in cauſa eſſe vt in inſolentiam efferantur homines, Ezechias ea de cauſa elatus eſt. (*Eſa.38.a.*) ſed ne ſic quidem eum contempſit, ſed quoniam victoriæ ſucceſſus mentem eius extulerat, immiſit infirmitatem, quæ eum corrigeret. *Adiutor in opportunitatibus, in tribulatione.* (*Opportunitas duplex. 1.Cor.6.*) Quid eſt in opportunitatibus? In tempore, in- B quit, opportuno. Duplicem dicit opportunitatem, quòd & fert auxilium, & quòd in tempore. Opportunitatem enim hîc dicit afflictionem. Qua de re? Quòd ſit mater ſtudij ſapientiæ, & maximè diuinum attrahat auxilium. Tunc ſublata eſt ſocordia, & nimia diſſolutio, tunc ſupplicationibus vacamus diligentius. Et quemadmodum hyems eſt tempus opportunum ad terræ agriculturam: ita etiam afflictio ad curam & ſtudium animæ. Eius enim ſemper opus habemus auxilio, etſi ſint nobis res ſecundæ. Tunc C autem maximè ſentimus auxilium, quando verſamur in afflictionibus. Hic etiam aliquid aliud ſignificauit, nempe quòd oportet nos operari. Qui enim fert auxilium, ei fert qui operatur. Non oportet ergo otioſos eſſe, & animo deficere, ſed & preces afferre, & eleemoſynas, & omnia quæ à nobis ipſis afferri poſſunt. Qui enim in bello ſocij ſunt, iis qui pugnant opem ferunt, non iis qui animo deficiunt, & ſe dedunt otio. Si vis ergo Dei opem aſſequi, nunquam quæ tua ſunt prodideris. Ita Iob latum eſt auxilium D ſtanti, & fortiter dimicanti: ita etiam Apoſtolis pulchrè laborantibus. 10. *Et ſperent in te qui nouerunt nomen tuum.* Alius, Et confident. Propheta hoc facit aſſiduè, à precatione ad exhortationem orationem conuertens, vt qui ſit communis doctor orbis terrarum, & Philoſophiæ theſaurum proponens in medium. Pulchrè autem dixit: Sperent in te qui nouerunt nomen tuum. (*Rom.5. 1.Cor.1.*) Qui te nouerunt, inquit, & auxilium & defenſionem tuam, ſatis validam habent anchoram, ſpem quam in te habent, ſatis validum auxilium, & turrim infractam, cum, qui non ſolùm pollicetur liberationem à malis, ſed ne præſentibus quidem difficultatibus perturbari permittit.

Qui enim est liberatus ab humanis, & à superna spe dependet, non solùm asciscit sibi celerrimam à malis liberationem, sed ne in ipsis quidem malis vexatur & perturbatur, vt cui ferat auxilium spes illius anchoræ. Ita ergo tres pueri non solùm liberati sunt à fornace, sed ne dum in fornace quidem versarentur, conturbabantur. Norant enim quòd sibi aderat à Deo auxilium. Et ideo alius dicit: Et confident, pro eo quod est, habebunt fiduciam. Perturbationum enim principio longè maior est cautio, quæ ex spe in Deum oritur. Illæ enim sunt humanæ, hoc verò diuinum & inexpugnabile. Quandoquidem dixit eum fuisse adiutorem, & fuisse refugium: dicit etiam quomodo fit. Quomodo autem est? quando in eum assiduè sperare perseueramus. Quòd si non statim soluit difficultates, hoc quoque fit pro tua probatione. Quemadmodum enim cùm posset non permittere, vt te inuaderent, permittit tamen, vt te faciant robustiorem: ita etiam cùm posset ab initio soluere, rursus cunctatur & differt, tuam augens constantiam, & tuam spem exercens, & tuam in ipsum affectionem reddens vehementiorem, & neque semper permittit opprimi, ne deficiamus, nec semper quiescere & relaxari, ne collabamur. *Quoniam non dereliquisti quærentes te Domine.* Alius: Non enim reliquisti. Ita etiam dicit alius: Respicite antiquas generationes, & quis sperauit in Domino, & pudore affectus est? aut quis inuocauit Dominum, & dereliquit ipsum? Et quomodo, inquit, quæritur Deus qui est vbique? Studio, & animi promptitudine, & si ab iis omnibus quæ ad victum pertinent, liberemur. Sæpe enim cum ante oculos & in manibus habeamus, nescimus, sed circumcursamus sæpe quærentes quæ tenemus, quando mens aliò versa fuerit. Quomodo ergo Deum quærere possumus? Quando illuc animum intendimus, quando ab iis quæ ad hanc vitam pertinent, fuerimus liberati. Qui enim quærit, omnia ex anima eijciens, venit ad illud quod quærit. Nec oportet solū quærere, sed etiā exquirere. Qui exquirit, nō ipse solùm quærit, sed aliorum etiā ope vtitur, vt inueniat quod quærit.

Daniel. 3. — *Eccli. 2. 11.* — *Quærendus Deus & exquirendus.*

A ὁ γὰρ τῶν ἀνθρωπίνων ἀπηλλαγμένος, καὶ τῆς ἄνωθεν ἐλπίδος ἑαυτὸν ἀρτήσας, οὐ μόνον ταχίστην ἐπάγεται τὴν ἀπαλλαγὴν τῶν δεινῶν, ἀλλ' οὐδ' ἐν αὐτοῖς τοῖς δεινοῖς θορυβεῖται καὶ ταράττεται, τῇ ἐλπίδι τῆς ἀγκύρας ἐκείνης βοηθούμενος. οὕτω γοῦν καὶ οἱ τρεῖς παῖδες οὐ μόνον ἀπηλλάττοντο τῆς καμίνου, ἀλλ' οὐδὲ ἐν τῇ καμίνῳ διατρίβοντες ἐθορυβοῦντο. ᾔδεσαν γὰρ τὴν παρὰ τοῦ Θεοῦ συμμαχίαν. διό τοι τοῦτο ἕτερός φησι· καὶ πεποιθήσουσιν, ἀντὶ τοῦ, θαρρήσουσι. πολλῷ γὰρ μείζων τῆς ἀρχῆς τῆς ἀπὸ τῶν θορύβων ἡ ἀπὸ τῆς ἐλπίδος τῆς εἰς τὸν Θεόν. B τὰ μὲν γὰρ ἀνθρώπινα, ἡ δὲ θεία καὶ ἄμαχος. ἐπειδὴ εἶπεν, ὅτι ἐγένετο βοηθὸς, ὅτι ἐγένετο καταφυγὴ, δείκνυσι καὶ πῶς γίνεται. πῶς οὖν γίνεται; ὅταν μένωμεν διηνεκῶς εἰς αὐτὸν ἐλπίζοντες. εἰ δὲ μὴ εὐθέως λύει τὰ δεινὰ, καὶ τοῦτο ὑπὲρ τῆς σῆς γίνεται δοκιμῆς. ὥσπερ γὰρ δυνάμενος μὴ ἀφεῖναι ἐπελθεῖν, ἀφίησιν, ἵνα στερρότερον ἐργάζηται· οὕτω καὶ δυνάμενος ἐκ προοιμίων λῦσαι, μέλλει καὶ ἀναβάλλεται πάλιν, ἐπιτείνων σου τὴν εὐτονίαν, καὶ τὴν ἐλπίδα γυμνάζων, καὶ τὴν πρὸς αὐτὸν διάθεσιν σπουδαιοτέραν ποιῶν. C καὶ οὔτε ἀεὶ θλίβεσθαι συγχωρεῖ, ἵνα μὴ ἀποκάμωμεν, οὔτε ἀεὶ ἀνεῖσθαι, ἵνα μὴ ἀναπέσωμεν. ὅτι οὐκ ἐγκατέλιπες τοὺς ἐκζητοῦντάς σε, κύριε. ἄλλος· οὐ γὰρ ἐγκατέλιπες. οὕτω καὶ ἕτερός φησιν, ἐμβλέψατε εἰς ἀρχαίας γενεὰς, καὶ ἴδετε, τίς ἤλπισεν ἐπὶ κύριον, καὶ κατῃσχύνθη; ἢ τίς ἐπεκαλέσατο αὐτὸν, καὶ ἐγκατέλιπεν αὐτόν; καὶ πῶς ζητεῖται ὁ Θεός, φησιν, ὁ πανταχοῦ ὤν; σπουδῇ καὶ προθυμίᾳ, καὶ ἀπαλλαγῇ τῶν βιωτικῶν ἁπάντων. D πολλὰ γὰρ παρ' ὀφθαλμῶν καὶ ἐν χερσὶν ἔχοντες οὐκ ἴσμεν, ἀλλὰ περιερχόμεθα ζητοῦντες πολλάκις ἃ κατέχομεν, ὅταν πρὸς ἑτέροις ἡ διάνοια τετραμμένη ᾖ. πῶς οὖν ἔστι ζητεῖν τὸν Θεόν; ὅταν ἐκεῖ τὴν διάνοιαν συντείνωμεν, ὅταν τῶν βιωτικῶν ἀπαλλαγῶμεν. καὶ γὰρ ὁ ζητῶν, πάντα ἐκβαλὼν τῆς ψυχῆς, πρὸς ἐκεῖνο τὸ ζητούμενον ἔρχεται. καὶ οὐχ ἁπλῶς ζητεῖν χρὴ, ἀλλὰ καὶ ἐκζητεῖν. ὁ ἐκζητῶν, οὐκ αὐτὸς ζητεῖ μόνον, ἀλλὰ καὶ ἑτέρους λαμβάνει βοηθοὺς, ὥστε εὑρεῖν τὸ ζητούμενον.

ἀλλ' ἐπὶ μὲν τῶν βιωτικῶν πολλάκις ζητήσαντες, οὐχ εὕρομεν· ἐπὶ δὲ τῶν πνευματικῶν οὐκ ἔνι τοῦτο, ἀλλὰ ἀνάγκη πᾶσα τὸν ζητοῦντα εὑρεῖν. ἂν γὰρ ἐξέλθωμεν μόνον ἐπὶ τὸ ζητῆσαι, οὐκ ἀφίησιν ἡμᾶς πολλὰ κόπτεσθαι ὁ Θεός. διὰ τοῦτο λέγει· πᾶς ὁ ζητῶν εὑρίσκει. ψάλατε τῷ κυρίῳ τῷ κατοικοῦντι ἐν Σιών. ἄλλος, τῷ καθημένῳ. ἀναγγείλατε ἐν τοῖς ἔθνεσι τὰ ἐπιτηδεύματα αὐτοῦ. ἄλλος, φησὶν ἐν τοῖς λαοῖς τὰ μηχανήματα αὐτοῦ. τί λέγεις; οὗ ὁ οὐρανὸς θρόνος καὶ ἡ γῆ ὑποπόδιον, οὗ ἐν τῇ χειρὶ τὰ πέρατα τῆς γῆς, οὗτος ἐν Σιὼν οἰκεῖ; ναί. οἴκησιν γὰρ ἐνταῦθα οὐ τὸ περικλείεσθαι λέγει (ἀπέραντος γὰρ αὐτοῦ ἡ μεγαλωσύνη) ἀλλὰ τὴν οἰκειότητα τὴν πρὸς τὸν τόπον, καὶ τὸ οἰκείως ἔχειν πρὸς αὐτόν, διὰ τὸ τοὺς Ἰουδαίους διὰ τῆς συγκαταβάσεως ταύτης πρὸς αὐτὸν ἐπισπᾶσθαι. ἐπεὶ καὶ οἰκία διὰ τοῦτο λέγεται ἐφ' ἡμῶν, διὰ τὸ οἰκείως ἡμᾶς ἔχειν πρὸς αὐτήν. καὶ ἐν ἡμῖν δὲ οἰκεῖν λέγεται, οὐ περιεχόμενος ὑφ' ἡμῶν, ἀλλ' οἰκείως πρὸς ἡμᾶς ἔχων. Σιὼν δὲ κατὰ ἀναγωγὴν ἡ ἐκκλησία λέγεται. προσεληλύθατε γὰρ ὄρει Σιών, καὶ ἐκκλησίᾳ πρωτοτόκων. καὶ εἰκότως ὄρος ἡ ἐκκλησία, διὰ τὸ βέβαιον, καὶ πάγιον, καὶ ἄσειστον. καθάπερ γὰρ ὄρος σαλεῦσαι οὐ δυνατόν, οὕτως οὐδὲ τὴν τοῦ Θεοῦ τὴν ἐκκλησίαν. ἀναγγείλατε ἐν τοῖς ἔθνεσι τὰ ἐπιτηδεύματα αὐτοῦ. κήρυκας εἶναι βούλεται τῶν εὐεργεσιῶν τοῦ Θεοῦ, καὶ μηδέποτε αὐτοῦ καταχρύπτειν τὰς εὐεργεσίας. καὶ τοῦτο πανταχοῦ ζητεῖ, διά τε τοὺς λέγοντας, διά τε τοὺς ἀκούοντας. καὶ γὰρ καὶ τούτοις κέρδος, κἀκείνοις, ἐὰν προσέχωσιν. ὅτι ὁ ἐκζητῶν τὰ αἵματα αὐτῶν ἐμνήσθη. εἶδες τὰ ἐπιτηδεύματα ποῖα λέγει; τὰς εὐεργεσίας. ἐνταῦθα καὶ μέγα τι αἰνίττεται δόγμα· ὅτι οὐκ ἔστι φόνος ἀτιμώρητος τελούμενος, ἀλλ' ἐκδικεῖται πάντως. ὃ καὶ ἐν τῇ Γενέσει Μωϋσῆς δείκνυσι, λέγων· τὸ αἷμα ὑμῶν ἐκζητήσω. τοῦτο τῆς ἀπείρου προνοίας δεῖγμα, τῆς ἐκτεταμένης αὐτοῦ κηδεμονίας. εἰ δὲ μὴ κατὰ πόδας ἐκζητεῖ, μὴ θαυμάζῃς. δίδωσι γὰρ τοῖς ἁμαρτωλοῖς μετανοίας ἀφορμήν. οὐκ ἐπελάθετο τῆς κραυγῆς τῶν πενήτων. ὅρα πάλιν τοὺς πένητας εὐδοκιμοῦντας. οὐχ ἁπλῶς δὲ λέγει τοὺς πένητας· ἀλλ' ἐκείνους τοὺς πτωχοὺς τῷ πνεύματι, καθὼς ὁ Χριστός φησιν.

A Sed in iis quidem quæ ad hanc vitam pertinent, cùm ſæpe quæſiuerimus, non inuenimus. In ſpiritualibus autem hoc non licet, ſed omnino neceſſe eſt. vt qui quærit, inueniat. Si enim ad quærendum tantum egreſſi fuerimus, non permittit Deus vt nos multum vexemur: & ideo dicit: Omnis qui quærit, inuenit. 11. *Pſallite Domino qui habitat in Sion.* Alius, qui ſedet. *Annunciate inter gentes ſtudia eius.* Alius dicit, In populis machinationes eius. Quid dicis? Cuius cœlum ſedes eſt, & terra ſcabellum pedum: cuius in manu ſunt fines terræ, is habitat in Sion? Certè. B Habitationem enim hîc dicit, non loco circumcludi (eſt enim infinita eius magnitudo) ſed peculiarem affectionem ad locum, & peculiariter in eum affici, vt Iudæos per hanc ſui demiſſionem ad ſe attraheret. Propterea enim noſtra quoque domus eſſe dicitur, quòd peculiariter in eam afficiamur. Iam verò in nobis quoque habitare dicitur, non quòd à nobis comprehendatur, ſed quòd propriè ac peculiariter in nos afficiatur. Sion autem eccleſia anagogicè dicitur. Acceſſiſtis C enim ad montem Sion, & Eccleſiam primogenitorum. Et meritò mons eſt Eccleſia, quòd ſit firma, & ſtabilis, nec poſſit conquaſſari. Quemadmodum enim mons non poteſt labefactari, ita nec Dei Eccleſia. Annunciate inter gentes ſtudia eius. Vult eos eſſe præcones Dei beneficiorū, & nunquam eius celare beneficia. Et hoc dicit vbique, tam propter eos qui dicunt, quàm propter eos qui audiunt. Nam & hi, & illi lucrifaciunt, ſi attenderint. 12. *Quoniam requirens ſanguinem eorum recordatus eſt.* Vidiſti quænam dicat eorum ſtudia? D beneficia. Hîc etiam magnum quoddam dogma ſignificat, non perpetrari vllam cædem, de qua pœnæ non ſumantur, & quæ non vindicetur. Quod etiam Moſes oſtendit in Geneſi, dicens: Sanguinem veſtrum requiram. Hoc eſt indicium infinitæ eius prouidentiæ, ingentiſque & prolixæ curæ. Si autem non ſtatim requirit, ne mireris: dat enim peccatoribus tempus pœnitentiæ. *Non eſt oblitus clamorem pauperum.* Vide rurſus eſſe in honore pauperes. Non autem dicit ſimpliciter & abſolutè pauperes: ſed illos qui ſunt pauperes ſpiritu, ſicut dicit Chriſtus.

Matth.7.a
Habitatio Dei quo intelligatur.
Sion eccleſia.
Hebr.12.
Eccleſia, vt mons, per ſimile.
Gen.9.
Rom.2.4
Matt.5.a

Ij enim maximè exaudiuntur dum orant, qui sunt corde humili & contrito. Hic autem duo ponit, & orationem, & humilitatem. Ad quem enim, inquit, respiciam, nisi super humilem, & quietum, & timentem verba mea? Vbique autem orationis vehiculum inuenitur humilitas. Prope enim est Dominus contritis corde. Oportet itaque eum qui orat, maximè liberari à tumore ac fastu. Quod etiam quærit Paulus, dicens: Absque ira & disceptatione. Rectè dixit, Clamorem, mentis affectionem, non autem vocis intētionem. Eo autem quod dixit, Non est oblitus, significauit eos inuocare assiduè, & tamen ne tantillum quidem assequi. Quid est ergo quod dicit? Ne putetis Deum esse oblitum, & propterea non esse persecutum: eius enim est proprium, ea quæ sunt eiusmodi quærere, etiamsi nemo roget: quando autem rogant, & qui rogant sunt humiles, multò magis. 13. *Miserere mei Domine, vide humilitatem meam de inimicis meis.* 14. *Qui exaltas me de portis mortis, vt annunciem omnes laudationes tuas in portis filiæ Sion.* Alius, Hymnorum decantationes tuas. Alius, laudes tuas. Vide eum perpetuò orationi affixum. A malis enim liberatus, & in tuto collocatus, non cessat rursus orare, dicens: Miserere mei, & rogare eum pro futuris. Semper enim egemus Dei prouidentia, maximè autem dum liberamur à malis. Aliud enim bellum excipit priori difficilius, socordiæ, & arrogantiæ; tunc enim spirat vehementius diabolus. Quare maximè postquam liberati sumus à malis, illo opus habemus auxilio, vt facilè res secundas feramus. Nam Iudæi quoque ab Ægyptiis liberati, grauiori bello vexabantur, arrogantia & socordia. Tunc itaque maximè moriebantur, vt qui non possent rectè ducere exercitum. Quia enim nec aduersus ingluuiem, nec aduersus pusilli abiectique animi vitium fortiter in acie steterunt, sed Ægyptiorum vitia sunt æmulati, ea illos perdiderunt. Dauid quoque cùm & à Saulis difficultatibus, & ab aliis omnibus hostibus fuisset liberatus: postquam quietem & laxamētum assecutus est, difficilius bellum passus est incontinentis cupiditatis,

1.Tim.2.8.

Exod.16.3.

1.Reg.11.2

οὗτοι γὰρ μάλιστα ἀκούονται εὐχόμενοι, οἱ ταπεινοὶ τῇ καρδίᾳ, καὶ συντετριμμένοι. δύο δὲ ἐνταῦθα τίθησι, καὶ εὐχήν, καὶ ταπεινοφροσύνην. ἐπὶ τίνα γὰρ ἐπιβλέψω, φησίν, ἀλλ' ἢ ἐπὶ τὸν ταπεινόν, καὶ ἡσύχιον, καὶ τρέμοντά μου τοὺς λόγους; καὶ πανταχοῦ ὄχημα εὐχῆς εὑρίσκεται ταπεινοφροσύνη. ἐγγὺς γὰρ κύριος τοῖς συντετριμμένοις τῇ καρδίᾳ. ὥστε φλεγμονῆς δεῖ μάλιστα ἀπηλλάχθαι τὸν εὐχόμενον. ὃ καὶ Παῦλος ζητεῖ, λέγων· χωρὶς ὀργῆς καὶ διαλογισμοῦ. καλῶς εἶπε, τῆς κραυγῆς τῶν πενήτων, κραυγὴν λέγων τὴν διάθεσιν τῆς διανοίας, οὐ τὸν τόνον τῆς φωνῆς. τῷ δὲ εἰπεῖν, οὐκ ἐπελάθετο, ἐδήλωσεν ὅτι συνεχῶς ἐκάλουν ἐκεῖνοι, καὶ οὐκ ἐκ προοιμίων ἐτύγχανον. τί τοίνυν ἐστίν, ὃ λέγει; μὴ νομίσητε ὅτι ἐπελάθετο ὁ Θεός, καὶ διὰ τοῦτο οὐκ ἐπεξῆλθε. καὶ γὰρ αὐτοῦ ἴδιον τὸ τὰ τοιαῦτα ζητεῖν, καὶ μηδενὸς παρακαλοῦντος· ὅταν δὲ παρακαλῶσι, καὶ ταπεινοὶ οἱ παρακαλοῦντες ὦσι, πολλῷ πλέον. ἐλέησόν με, κύριε, ἴδε τὴν ταπείνωσίν μου ἐκ τῶν ἐχθρῶν μου· ὁ ὑψῶν με ἐκ τῶν πυλῶν τοῦ θανάτου, ὅπως ἂν ἐξαγγείλω πάσας τὰς αἰνέσεις σου ἐν ταῖς πύλαις τῆς θυγατρὸς Σιών. ἄλλος, τὰς ὑμνήσεις σου. ἄλλος, τοὺς ἐπαίνους σου. ὅρα αὐτὸν διηνεκῶς τῇ εὐχῇ προσηλωμένον. καὶ γὰρ ἀπαλλαγεὶς τῶν δεινῶν, καὶ ἐν ἀσφαλείᾳ γενόμενος, οὐκ ἀφίσταται τοῦ πάλιν εὔχεσθαι, λέγων, ἐλέησόν με, καὶ ὑπὲρ τῶν μελλόντων αὐτὸν παρακαλῶν. ἀεὶ μὲν γὰρ δεόμεθα τῆς τοῦ Θεοῦ προνοίας· μάλιστα δὲ ἐν τῇ τῶν κακῶν ἀπαλλαγῇ. ἕτερος γὰρ διαδέχεται πόλεμος τοῦ προτέρου χαλεπώτερος, ὁ τῆς ἀπονοίας· καὶ σφοδρότερον τότε ὁ διάβολος πνεῖ. ὥστε μάλιστα μετὰ τὸ ἀπαλλαγῆναι τῶν κακῶν, δεόμεθα τῆς ῥοπῆς ἐκείνης, ἵνα εὐκόλως τὰς εὐημερίας ἐνέγκωμεν. ἐπεὶ καὶ Ἰουδαῖοι τῶν Αἰγυπτίων ἀπαλλαγέντες, ἐν χαλεπωτέρῳ ἦσαν πολέμῳ, τῇ ἀπονοίᾳ καὶ τῇ ῥᾳθυμίᾳ. τότε γοῦν μάλιστα καὶ ἀπέθανον, μὴ δυνηθέντες στρατηγῆσαι καλῶς. ἐπειδὴ γὰρ οὔτε πρὸς λαιμαργίαν, οὔτε πρὸς μικροψυχίαν ἔστησαν γενναίως, ἀλλὰ τῶν Αἰγυπτίων τὰ πάθη ἐζήλωσαν, ταῦτα αὐτοὺς ἀπώλεσε. καὶ ὁ Δαβὶδ ἐπὶ τοῦ Σαοὺλ ἀπαλλαγεὶς τῶν δεινῶν, καὶ τῶν ἄλλων πολεμίων, ἐπειδὴ ἀδείας ἀπέλαυσε, χαλεπώτερον ὑπέστη πόλεμον, τὸν τῆς ἀκολάστου ἐπιθυμίας,

ὃς δὴ καὶ μειζόνως αὐτὸν ἐκόλασε. διὸ δὴ μάλιστα τότε χρὴ φοβεῖσθαι, ὅταν τῶν δεινῶν ἀπαλλαγώμεθα. καθάπερ γὰρ θηρίον δεδεμένον οὐχ οὕτω φοβούμεθα, ὡς ἀφεθέν· οὕτω δὴ καὶ τὴν κακίαν οὐχ οὕτως ἐν θλίψει δεδοικέναι χρὴ (τότε γὰρ δέδεται τῇ ἀθυμίᾳ καὶ τοῖς ἄλλοις δεσμοῖς) ἀλλὰ μετὰ τὴν ἄνεσιν τότε χρὴ δεδοικέναι. διὰ δὴ τοῦτο ὄψει πολλάκις τοὺς εὐπραγίας μείζονα τῶν κακῶν ἐργαζομένους δεινά. οὕτω καὶ Ἐζεκίας μετὰ τὸ τρόπαιον ἔμελλεν ἀπόλλυσθαι. διὸ καὶ αὐτὸς ἀλλαχοῦ φησιν· ἀγαθόν μοι, ὅτι ἐταπείνωσάς με. καὶ τὸν ἔλεον ζητεῖ πάλιν μετὰ τὴν ἀπαλλαγήν, καὶ τίθησι δικαίωμα τοῦ ἐλέους, ὃ πάθοι κακῶς. ἴδε γὰρ τὴν ταπείνωσίν μου ἐκ τῶν ἐχθρῶν μου. καὶ ἕτερον πάλιν· ὁ ὑψῶν με ἐκ τῶν πυλῶν τοῦ θανάτου. καὶ γὰρ προστάτην καὶ κηδεμόνα καταφεύγω, καὶ ἀεί μοι χεῖρα παρέχοντα. εἶδες αὐτὸν ἐν τῇ αἰτήσει τῶν μελλόντων εὐχάριστον ὑπὲρ τῶν προελθόντων γινόμενον, καὶ διπλῆν λέγοντα εὐεργεσίαν; οὐ γὰρ εἶπεν, ὁ ἀπαλλάττων με τῶν πυλῶν τοῦ θανάτου, ἀλλ', ὁ ὑψῶν με. οὐ γὰρ μέχρι τοῦ λῦσαι τὰ δεινὰ ἵσταται ἡ εὐεργεσία τοῦ Θεοῦ, ἀλλὰ καὶ θαυμαστοὺς ἐποίησε, καὶ ἐπιδόξους, καὶ λαμπροτέρους, καὶ ὑψηλούς. καὶ οὐκ εἶπεν, ἐκ τῆς πύλης, ἀλλ' ἐκ τῶν πυλῶν, τὸ πολὺ τῶν κινδύνων δηλῶν. ὅπως ἂν ἐξαγγείλω πάσας τὰς αἰνέσεις σου ἐν ταῖς πύλαις τῆς θυγατρὸς Σιών. ὃ ποιεῖν τοῖς ἄλλοις παραινεῖ, τοῦτο καὶ αὐτὸς ποιεῖ· ἀναγγείλατε γάρ, φησιν, ἐν τοῖς ἔθνεσι τὰ ἐπιτηδεύματα αὐτοῦ· τοῦτο καὶ ἐγὼ νῦν ἐργάζομαι· καὶ οὐκ ἐργάζομαι ἁπλῶς, ἑνὸς παρόντος καὶ δύο καὶ τριῶν, ἀλλ' ἐν μέσῳ θεάτρῳ. ἀγαλλιάσομαι ἐπὶ τῷ σωτηρίῳ σου. τοῦτό μοι στέφανος, τοῦτό μοι διάδημα, τὸ διὰ σοῦ στῆσαι τρόπαιον, τὸ διὰ σοῦ σωτηρίας ἀπολαῦσαι. οὕτω δὴ καὶ ἡμεῖς μὴ πάντως σωθῆναι ζητήσωμεν, μὴ πάντως ἀπαλλαγῆναι τῶν δεινῶν παντὶ τρόπῳ, ἀλλὰ κατὰ Θεόν. τοῦτο δὲ λέγω, διὰ τοὺς ἐπαοιδαῖς χρωμένους ἐν ταῖς νόσοις, καὶ ἑτέρας μαγγανείας ἐπιζητοῦντας εἰς παραμυθίαν τῆς ἀρρωστίας. τοῦτο γὰρ οὐχὶ σωθῆναί ἐστιν, ἀλλ' ἀπολέσθαι. ἡ γὰρ μεγίστη σωτηρία, τὸ διὰ τοῦ Θεοῦ σωθῆναι. ἐνεπάγησαν ἔθνη ἐν διαφθορᾷ, ᾗ ἐποίησαν. ἄλλος, ἐβαπτίσθησαν. διαφθορὰν τὴν κακίαν λέγει. οὐδὲν γὰρ οὕτω διαφθείρει, ὡς κακία. οὐδὲν γὰρ

A quod eum etiam maiori supplicio affecit. Quocirca tunc maxime timendum est, quando fuerimus liberati ab ærumnis. Quemadmodum enim alligatam bestiam non ita timemus vt emissam: ita etiam vitium non est ita timendum in afflictione; tunc enim alligatum est animæ ægritudine, & aliis vinculis: sed post quietem & remissionem maxime timendum est. Et ideo sæpe videbis prosperos rerum successus maiora mala facere quàm res aduersas. Ita etiam Ezechias fusis fugatisque hostibus erat periturus. Quo- B circa ipse quoque alibi dicit: Bonum quòd me humiliasti. Quærit autem misericordiam etiam post liberationem: & affert causam petitionis misericordiæ, quòd male sit affectus. Vide enim humilitatem meam de inimicis meis. Et aliam rursus, *Qui exaltas me de portis mortis.* Ad eum enim qui auxiliatur, & mei curam gerit, & semper manus mihi præbet, confugio. Vidisti eum in futurorum petitione pro præteritis etiam gratias agere, & duplex dicere beneficium? Non enim dixit, qui liberas me de portis mortis, sed, C qui exaltas me. Non enim in eorum malis tantum soluendis substitit Dei beneficium: sed fecit eos etiam admirabiles, insignes, & clariores. Non dixit autem, ex porta, sed ex portis, multa pericula significans. *Vt annunciem omnes laudationes tuas in portis filiæ Sion.* Quod suasit aliis facere, ipse facit. Annunciate enim, inquit, inter gentes studia eius. Hoc ego quoque nunc faciam: & non solummodo faciam vno præsente vel duobus vel tribus, sed in medio theatro. 15. *Exultabo in salutari tuo.* Hoc est mihi corona, hoc diade- D ma, propter te trophæum erigere, propter te salutem adipisci. Ita etiam nos quoque quæramus non omnino seruari, non omnino à malis liberari, sed per Deum. Hoc autem dico propter eos qui in morbis vtuntur incantationibus, & alias exquirunt imposturas & præstigias ad suam leuandam ægritudinem. Hoc enim non est seruari, sed perire. Maxima enim salus est, per Deum esse seruatum. *Infixæ sunt gentes in interitu quem fecerunt.* Alius, immersæ sunt. Interitum siue corruptionē dicit vitiū: nihil enim æquè corrūpit, vt vitiū. Improbo enim

Homo à Deo derelictus.

4. Reg. 14.
Psal. 118. 71.

homine nihil est imbecillius, propriis armis capitur, quemadmodum ferrum à rubigine, & lana à tinea, ita etiam improbus à vitio. Vnde etiam ante supplicium quod à Deo infertur, ipsum vitium ab eo qui id facit pœnas exigit. Quia enim multa de superna iustitia disseruit, & de Dei auxilio, ipsum autem non statim venit, sed cunctatur & differt, & hoc multos efficit ignauiores, ostendit esse in foribus supplicium, & malos id perpeti, sicut dicit etiam Paulus: Et mercedem quam oportuit erroris sui in seipsis recipientes. Vide autem quàm propriè vtatur dictionibus, Infixæ sunt, hoc est, per vim retentæ sunt, sunt eis ineuitabiles paratæ insidiæ. Et rursus, 16. *In laqueo isto quem fecerunt, comprehensus est pes eorum.* Vinculis, inquit, quæ solui nequeunt, astringuntur improbi. Hæc Apostolis & Iudæis vsuuenerunt. Quando enim bellum gerebant cum Apostolis, illos quidem nihil lædebant: malis autem innumerabilibus seipsos implicabant, ciuitate, & libertate, & aliis omnibus euersi, & crescebat quidem prædicatio, disperdebantur autem, qui parabant insidias. Et qui tres pueros in Babylonicam fornacem immiserunt, ab ea rursus capti sunt. Quod etiam in Daniele factum est. Sed in Daniele quidem hoc meritò accidit, ipsi enim ipsum iniecerunt. In tribus autem pueris quidnã est in causa, quòd cùm rex peccasset, ij qui stabant ante fornacem, puniuntur? Quoniam ij quoque qui fuere combusti, Regis iussui inseruierunt, & auream statuam adorarunt. *In laqueo quem absconderunt.* Vide quomodo ostenderit inenarrabilem eorum esse vituperationem. Quia enim quod fiebat, erat plenum ignominia, ideo celant, & conantur latere: 17. *Cognoscitur Dominus iudicia faciens.* Alius, Cognitus est iudicium faciens. Hoc est, puniens, vlciscẽs, persequens. Vidisti aliud genus beneficij ex castigatione? Non solùm enim, inquit, facit eos meliores qui castigantur, sed facit etiam, vt Dei cognitionis eluceat ratio, & ex eo magis videtur hominum curam gerere. Cùm itaque permisit gregem porcorum deturbari, & in mari, & in mari submergi, tunc admiratione maxima perculsi sunt.

Rom.2. Rom.1.27. Act.5. Rom.5. Rom.10. Coloss.1. Dan 3. Dan.6. *Ab exemplo.* Marc.5.15. Luc.8. 2.Cor.9.

ἀσθενέστερον τοῦ πονηροῦ· τοῖς οἰκείοις ὅπλοις ἁλίσκεται. ὥσπερ ὁ σίδηρος ὑπὸ τοῦ ἰοῦ, καὶ τὸ ἔριον ὑπὸ τοῦ σητός· οὕτω καὶ ὁ πονηρὸς ὑπὸ τῆς κακίας. ὥστε καὶ πρὸ τῆς παρὰ τοῦ Θεοῦ τιμωρίας, αὐτὴ ἡ κακία τὸν ἐργάτην ἀπαιτεῖ δίκην. ἐπειδὴ γὰρ πολλὰ περὶ τῆς ἄνω δίκης διελέχθη καὶ περὶ τῆς τοῦ Θεοῦ ῥοπῆς, αὕτη δὲ οὐ κατὰ πόδας ἔπεισιν, ἀλλὰ μέλλει πολλάκις καὶ ἀναβάλλεται, καὶ τοῦτο τοὺς πολλοὺς ῥαθυμοτέρους ποιεῖ· δείκνυσιν ἐπὶ θύραις τὴν τιμωρίαν οὖσαν, καὶ ταύτην τοὺς πονηροὺς ὑπομένειν. καθάπερ καὶ ὁ Παῦλός φησι· καὶ τὴν ἀντιμισθίαν, ἣν ἔδει τῆς πλάνης αὐτῶν, ἐν ἑαυτοῖς ἀπολαμβάνοντες. καὶ ὅρα πῶς κυρίως κέχρηται ταῖς λέξεσιν. ἐνεπάγη, φησί· τουτέστι, κατὰ κράτος κατεσχέθη, ἄφυκτος αὐτοῖς γέγονεν ἡ ἐπιβουλή. καὶ πάλιν, ἐν παγίδι ταύτῃ, ᾗ ἔκρυψαν, συνελήφθη ὁ πούς αὐτῶν. δεσμοῖς ἀλύτοις, φησίν, οἱ πονηροὶ περιπείρονται. ταῦτα ἐπὶ τῶν ἀποστόλων καὶ ἐπὶ τῶν Ἰουδαίων γέγονεν. ὅτε γὰρ τοῖς ἀποστόλοις ἐπολέμουν, ἐκείνους μὲν οὐδὲν ἔβλαπτον· ἑαυτοὺς δὲ μυρίοις περιέβαλον κακοῖς, πόλεως, καὶ ἐλευθερίας, καὶ τῶν ἄλλων ἁπάντων ἐκπίπτοντες. καὶ τὸ μὲν κήρυγμα ηὐξάνετο, οἱ δὲ ἐπιβουλεύοντες κατελύοντο. καὶ οἱ τοὺς τρεῖς παῖδας ἐμβαλόντες εἰς τὴν Βαβυλωνίαν κάμινον, ὑπ' αὐτῆς πάλιν ἑάλωσαν· ὃ δὴ καὶ ἐπὶ τοῦ Δανιὴλ γέγονεν. ἀλλ' ἐπὶ μὲν τοῦ Δανιὴλ τοῦτο εἰκότως γέγονεν (αὐτοὶ γὰρ αὐτὸν ἐνέβαλον) ἐπὶ δὲ τῶν τριῶν παίδων, τί δήποτε, τοῦ βασιλέως ἁμαρτόντος, οἱ περὶ τὴν κάμινον ἑστῶτες οὗτοι κολάζονται; ὅτι καὶ οἱ καταφλεχθέντες οὗτοι ἦσαν τῷ ἐπιτάγματι τοῦ τυράννου ὑπηρετήσαντες, καὶ τῇ εἰκόνι τῇ χρυσῇ προσκυνήσαντες. ἐν παγίδι, ᾗ ἔκρυψαν. ὅρα πῶς ἔδειξεν ἄφατον οὖσαν αὐτῶν τὴν κατηγορίαν. ἐπειδὴ γὰρ αἰσχύνης γέμον ἦν τὸ γινόμενον, διὰ τοῦτο κρύπτουσι, καὶ λανθάνειν πειρῶνται. γινώσκεται κύριος κρίματα ποιῶν. ἄλλος, ἐγνώσθη κρίμα ποιήσας. τουτέστι, κολάζων, ἐκδικῶν, ἐπεξιών. εἶδες ἕτερον εἶδος εὐεργεσίας ἀπὸ κολάσεως; οὐ γὰρ δὴ μόνον φησὶ τοὺς κολαζομένους σπουδαιοτέρους ποιεῖ, ἀλλὰ καὶ τὸν αὐτοῦ θεογνωσίας ἐκλάμπειν παρασκευάζει τὸν λόγον. καὶ ἴδοι τις ἂν μᾶλλον αὐτὸν ἐντεῦθεν ἐπιστρέφοντα τοὺς ἀνθρώπους ὅτε γοῦν κατὰ τοῦ κρημνοῦ εἴασεν ἐνεχθῆναι τὴν ἀγέλην τῶν χοίρων καὶ καταποντισθῆναι εἰς τὴν θάλασσαν, τότε μάλιστα

πλάγησαν· καὶ ἐν τῇ παλαιᾷ οἱ Ἰουδαῖοι, ὅτε ἀπέκτεινεν αὐτούς, τότε ἐξεζήτουν αὐτὸν καθώς φησιν ὁ προφήτης. καὶ τί δή ποτε τοῦτο οὐ συνεχῶς ποιεῖ μᾶλλον; ὅτι οὐ βούλεται βιαιότερον, ἀλλὰ καὶ προαιρετικώτερον τὰ τῆς ἀρετῆς κατορθοῦσθαι, καὶ μᾶλλον εὐεργετουμένους ἢ κολαζομένους. καὶ πόσῳ, φησὶ, βέλτιον, ἀνάγκῃ εἶναι ἀγαθὸν ἢ προαιρέσει κακόν; οὐκ ἔστιν ἀγαθὸν εἶναι ἀνάγκῃ. ὁ μὲν γὰρ τῷ δεσμῷ γενόμενος καλὸς, οὐκ ἔσται ἀεί ποτε καλὸς, ἀλλὰ τῆς ἀνάγκης ἀπαλλαγεὶς, ἐπανήξει πρὸς τὴν κακίαν. ὁ δὲ παιδαγωγούμενος ὥστε προαιρέσει γενέσθαι καλὸς, γενόμενος πάγιος μένει. ἐν τοῖς ἔργοις τῶν χειρῶν αὐτοῦ συνελήφθη ὁ ἁμαρτωλός. οὐ τῶν χειρῶν τοῦ Θεοῦ εἶπεν, ἀλλὰ τῶν χειρῶν τοῦ ἁμαρτωλοῦ. εἶδες πῶς ποικίλλει τὸν λόγον, καὶ τὴν ἄνωθεν φέρων τιμωρίαν, καὶ τὴν ἀπὸ τῆς κακίας ἐπάγων δίκην; πῶς τὴν ἄνωθεν τιμωρίαν; γινώσκεται κύριος, φησι, κρίματα ποιῶν. πῶς τὴν ἀπὸ τῆς κακίας δίκην; ἐνεπάγησαν ἔθνη ἐν διαφθορᾷ, ᾗ ἐποίησαν. καὶ πάλιν τὴν ἀπὸ τῆς πονηρίας· ἐν τοῖς ἔργοις τῶν χειρῶν αὐτοῦ συνελήφθη ὁ ἁμαρτωλός. οὔτε γὰρ μόνην τὴν παρὰ τοῦ Θεοῦ λέγει τιμωρίαν, ἐπειδὴ μέλλει πολλάκις καὶ βραδύνει· οὔτε μόνην τὴν ἀπὸ τῆς κακίας, ἐπειδὴ πολλοὶ ταύτῃ καὶ ἐμφιλοχωροῦσιν· ἀλλ' ἑκατέρωθεν ἀσφαλίζεται τὸν λόγον. διό φησιν, ἐν τοῖς ἔργοις τῶν χειρῶν αὐτοῦ συνελήφθη. ἄλλος, ταρσῶν αὐτοῦ. μὴ τοίνυν νόμιζε ἑτέρῳ κατασκευάζειν τὰ μηχανήματα, ὅταν ἐπιβουλεύῃς. σεαυτῷ γὰρ πλέκεις τὰ δίκτυα. ᾠδὴ διαψάλματος. ἄλλος, φθογγὴ ἀεί. ἄλλος, μελῴδημα ἀεί. ὁ δὲ Ἑβραῖος, ἐγαών σέλ. ἀποστραφήτωσαν οἱ ἁμαρτωλοὶ εἰς τὸν ᾅδην, πάντα τὰ ἔθνη τὰ ἐπιλανθανόμενα τοῦ Θεοῦ. ἄλλος, ἀναστρέψουσι. πάλιν τοῖς αὐτοῖς ἐπιμένει, δεικνὺς ὅτι ἡ κακία τὴν κόλασιν ἔχει συγκεκληρωμένην, καὶ ἡ ἀσέβεια θάνατον τίκτει, καὶ ἡ ἁμαρτία κινδύνους. ὅτι οὐκ εἰς τέλος ἐπιλησθήσεται ὁ πτωχός, ἡ ὑπομονὴ τῶν πενήτων οὐκ ἀπολεῖται εἰς τέλος. ἄλλος ἑρμηνευτής φησιν· οὐ γὰρ εἰς τέλος ἡ προσδοκία τῶν πρᾳέων ἐπιλησθήσεται. καλῶς εἶπεν, εἰς τέ-

A Porrò autem in veteri quoque testamento Iudæi, quando eos occidebat, tunc eum quærebant, quemadmodum dicit Propheta. Et cur non hoc facit frequentius? Quoniam vult nos non per vim & compulsionem, sed per liberam eligendi voluntatem ex virtute nos gerere, & beneficio potius affectos quàm punitos. Et quantò, dicet quispiam, melius est esse necessitate bonũ, quàm malum libero eligendi arbitrio? Non potest esse bonum quod fit necessitate. Qui enim vinculo illaqueatus bonus est, nunquã erit semper bonus, B sed à necessitate liberatus reuertetur ad vitium. Qui autem ita instituitur, vt sua sponte & libera eligendi potestate fiat bonus, cùm bonus factus fuerit, constans manet & stabilis. *In operibus manuum suarum comprehensus est peccator.* Non dixit, manuum Dei, sed manuum peccatoris. Vidisti quomodo variat orationem, & quod à superis infertur supplicium inferens, & pœnas quæ ex vitio infliguntur, inducens? Quomodo supplicium quod infertur à superis? Cognoscitur, inquit, Dominus iudicia faciens. Quomodo pœnas quæ infli- C guntur à peccato? Infixæ sunt gentes in interitu quem fecerunt. Et rursus ea quæ proficiscuntur ab improbitate, in operibus manuum suarum comprehensus est peccator. Non enim dicit solum supplicium quod à Deo proficiscitur, quoniam sæpe cunctatur & differt: neque solum quod à vitio, quoniam multi in eo libenter versantur, sed vtrinque confirmat orationem. Et ideo dicit, in operibus manuũ suarum comprehensus est. Alius, Plantarum suarum. Ne ergo existimes te machinationẽ in alium moliri, quando struis D alicui insidias, tibi enim ipsi contexis retia. Cantus diapsalmatis. Alius, Vox semper. Alius, Modulatio semper. Hebræus autem *engaon sel.* 18. *Conuertantur peccatores in infernum, omnes gentes quæ obliuiscuntur Deum.* Alius, Conuertentur. In iisdem rursus persistit, ostendens vitium habere suppliciũ constitutum, & impietatẽ parere mortem, & peccatum pericula. 19. *Quoniam non in finem obliuio erit pauperis, patientia pauperum non peribit in finem.* Alius interpres dicit, Non enim in finem mitium expectatio tradetur obliuioni. Pulchrè dixit, in

Psal. 77. 34.

finem: ostendens non semper quæri remissionem & laxamentum. Si enim semper futura sit quies & remissio, vbinam ostendetur patientia? Quod autem dicit, est eiusmodi. Pœnas dabunt improbi, & extrema patientur. Neque enim Deus patietur, vt iis qui iniuria afficiuntur, perpetuæ parentur insidiæ. Per hoc & eos consolatur, & illos terret, & Dei ostendit clementiam, quòd hos quidem mora reddit probatiores: illos verò trahit ad pœnitentiam. Vide autem quomodo rursus pauperes in honore habentur, pauperes non absolutè, sed qui sunt contriti corde. Ij enim sunt vel maximè apti ad patientiam, vel ea potius se inuicem constituunt, humilitas patientiam, patientia humilitatem. Si quis autem dixerit, & quomodo est paupertas humilitas? dicemus eam esse aptiorem ad virtutem. Qui est enim diues, animi ægritudine afficitur & conturbatur. Qui autem pauper est, omnia fert facilè, vt qui in paupertate veluti in quadam palæstra frequenter exerceatur. Et ideo Christus quoque dicebat, difficile esse cum diuitiis regnum cœlorum ingredi. Quid est autem patientia pauperum non peribit in finem? Nunquam, inquit, peribit, sed propriũ fructum omnino recipiet. Quod quidem non semper euenit in iis rebus quæ ad victum pertinent, sed finem non consequuntur pereuntibus laboribus. Nam & agricola expectat, & mercator: sæpe autem propter aëris intemperiem vterque à fructu sui laboris excidunt. In Deo autem non ita fit, sed necesse est omnino finem consequi. Hoc autem non paruam affert consolationem, semper de fine confidere. 20. *Exurge Domine, non confortetur homo.* Alius, Non audax euadat. *Iudicentur gentes in conspectu tuo.* Alius, Et in facie tua. Postquam dixit vitium, quod plures homines inuadit, & narrauit hominum improbitatem, rapinas, auaritiam, cædes hominum, rogat Deum pro auxilio eorum qui afficiuntur iniuria. Talia sunt enim sanctorum viscera, vt non solùm sint de se solliciti, sed perinde ac si vna sit domus orbis terrarum, vel vnum corpus multitudo hominum, ita precantur Dominum. Exurge Domine, ne confortetur ho-

Paupertas aduersitatem aptior.

Matt. 19.

Matt. 5.

A λος· δείκνυς ὅτι οὐκ ἀεὶ ἄνεσιν τις ἐπιζητεῖ. πόθεν γὰρ διαδειχθήσεται τὰ τῆς ὑπομονῆς, εἰ ἀεὶ ἄνεσις μέλλοι εἶναι; ὃ δὲ λέγει, τοιοῦτόν ἐστι· δίκην δώσουσιν οἱ πονηροί, καὶ τὰ ἔσχατα πείσονται. οὐ γὰρ ἀνέξεται ὁ Θεὸς διὰ παντὸς τοὺς ἀδικουμένους ἐν ἐπιβουλαῖς εἶναι. ἐντεῦθεν καὶ τούτους παραμυθεῖται, κἀκείνους φοβεῖ, καὶ τοῦ Θεοῦ δείκνυσι τὴν φιλανθρωπίαν· ὅτι καὶ ἡ μέλλησις τοὺς μὲν δοκιμωτέρους ἐργάζεται, τοὺς δὲ εἰς μετάνοιαν ἕλκει. ὅρα πάλιν τοὺς πένητας εὐδοκιμοῦντας· πένητας οὐχ ἁπλῶς, ἀλ- B λὰ τοὺς συντετριμμένους τῇ καρδίᾳ. οὗτοι γὰρ μάλιστά εἰσι καὶ πρὸς ὑπομονὴν ἐπιτήδειοι. μᾶλλον δὲ ἄλληλα συγκατασκευάζει ταῦτα, ἡ ταπεινοφροσύνη τὴν ὑπομονήν, ἡ ὑπομονὴ τὴν ταπεινοφροσύνην. εἰ δέ τις εἴποι, καὶ πῶς πενία, ἡ ταπεινοφροσύνη; ἐκεῖνο ἐροῦμεν· ὅτι αὕτη ἐπιτηδειοτέρα πρὸς ἀρετήν. ὁ μὲν γὰρ πλουτῶν ἀλύει, καὶ θορυβεῖται· ὁ δὲ πένης πάντα ῥᾳδίως φέρει, καθάπερ ἐν παλαίστρᾳ τῇ πενίᾳ πολλάκις γυμναζόμενος. διὰ τοῦτο καὶ ὁ Χριστὸς ἔλεγεν, ὅτι δύσκολον μετὰ πλούτου εἰς τὴν βασιλείαν εἰσελθεῖν. τί C ἐστιν, ἡ ὑπομονὴ τῶν πενήτων οὐκ ἀπολεῖται εἰς τέλος; οὐδέποτε, φησιν, ἀλλὰ πάντως ἀπολήψεται τὸν οἰκεῖον καρπόν. ὅπερ ἐπὶ τῶν βιωτικῶν οὐκ ἔνι, ἀλλ' ἐκπίπτει τοῦ τέλους πολλάκις, τῶν πόνων ἀπολωλότων. καὶ γὰρ καὶ γεωργὸς ἀναμένει, καὶ ἔμπορος· πολλάκις δὲ ὑπὸ τῆς τῶν ἀέρων ἀνωμαλίας ἀμφότεροι τοῦ καρποῦ τῶν πόνων ἐκπίπτουσιν. ἐπὶ δὲ τοῦ Θεοῦ οὐκ ἔνι τοῦτο· ἀλλὰ ἀνάγκη πάντως ἀπολαῦσαι τοῦ τέλους. οὐ μικρὸν δὲ τοῦτο εἰς D παραμυθίας λόγον, τὸ θαρρεῖν ἀεὶ περὶ τοῦ τέλους. ἀνάστηθι κύριε, μὴ κραταιούσθω ἄνθρωπος. ἄλλος, μὴ θρασυνέσθω. κριθήτωσαν ἔθνη ἐνώπιόν σου. ἄλλος, καὶ κατὰ πρόσωπόν σου. εἰπὼν τὴν κακίαν τὴν κατέχουσαν τοὺς πλείους τῶν ἀνθρώπων, καὶ διηγησάμενος τὴν πονηρίαν, τὰς ἁρπαγάς, τὰς πλεονεξίας, τὰς ἀνδροφονίας, παρακαλεῖ τὸν Θεὸν ὑπὲρ τῆς τῶν ἀδικουμένων βοηθείας. τοιαῦτα γὰρ τῶν ἁγίων τὰ σπλάγχνα, μὴ τὰ ἑαυτῶν μεριμνᾶν μόνον, ἀλλ' ὥσπερ περὶ μιᾶς οἰκίας, τῆς οἰκουμένης, ἢ σώματος ἑνός, τοῦ τῶν ἀνθρώπων πλήθους, οὕτω παρακαλεῖν τὸν Θεόν. ἀνάστηθι κύριε, μὴ κραταιούσθω

ἄνθρωπος. τί δέ ἐστιν, ἀνάστηθι κύριε; ἐπέξελθε, φησί, βοήθησον, κόλασον τοὺς ἀδικοῦντας. καὶ καλῶς τοῖς ὀνόμασι γυμνοῖς ἐχρήσατο, εἰπών, ἀνάστηθι, καὶ μὴ κραταιούσθω ἄνθρωπος· ὥστε δηλῶσαι, ὅτι ὁ εὐτελής, ὁ ἀπὸ γῆς, ὁ τέφρα καὶ σποδός. κριθήτωσαν ἔθνη ἐνώπιόν σου. τί ἐστι τοῦτο; δότωσαν δίκην, φησί, τῶν ἁμαρτημάτων· οὐ γεγόνασι τῇ μακροθυμίᾳ βελτίους· ἀπαίτησον εὐθύνας τῶν τετολμημένων. κατάστησον, κύριε, νομοθέτην ἐπ' αὐτούς. γνώτωσαν ἔθνη, ὅτι ἄνθρωποί εἰσι. διάψαλμα, ἄλλος, ἀεί. τί ἐστι, κατάστησον νομοθέτην αὐτοῖς; ἐπεί, φησι, καθάπερ ἐν αὐτονομίᾳ πάντα πράττουσι, μὴ θέλοντες διδόναι δίκην, ἐπέξελθε, καὶ γινέσθω αὐτοῖς ἡ τιμωρία ἀντὶ νουθεσίας. τοῦτο καὶ ἕτερος δηλῶν, εἶπε, κατάστησον, κύριε, φόβημα αὐτοῖς. ὅρα πῶς οὐ κόλασιν αὐτῶν ἐπιζητεῖ, ἀλλὰ νουθεσίαν, καὶ διόρθωσιν, καὶ τὸ μὴ παρανόμως ζῆν. ἔσται γὰρ ἡ τιμωρία αὐτοῖς, φησιν, ἀντὶ νουθεσίας· οὐκ αὐτοῖς δὲ μόνον, ἀλλὰ καὶ ἑτέροις. καὶ ἵνα μάθῃς ὅσον τὸ κέρδος, καὶ πῶς καταστέλλει νόσημα, ἄκουε τοῦ ἑξῆς. γνώτωσαν ἔθνη, φησίν, ὅτι ἄνθρωποί εἰσιν. ὃ δὲ λέγει τοιοῦτόν ἐστι· πολλοὶ καὶ τοῦτο ἀπολωλέκασιν, ἐπελάθοντο τῆς φύσεως, εἰς μανίαν ἐξώκειλαν, ἠγνόησαν ἑαυτούς. καὶ καλῶς προσέθηκε, τὸ ἀεί, ἵνα δηλώσῃ, ὅτι οὐκ ἐν ταῖς δυσπραγίαις μόνον, ἀλλὰ καὶ ἐν ταῖς εὐημερίαις. ἀλλὰ γὰρ ἂν κολάσῃς αὐτοὺς νῦν, ἔχοντες τὸν φόβον ἀκμάζοντα, καὶ τὴν μνήμην τῶν συμβεβηκότων δεινῶν, κἂν εἰς εὐημερίαν ἔλθωσιν, εἴσονται τὴν ἑαυτῶν φύσιν. ὁρᾷς πῶς ὑπὲρ αὐτῶν ποιεῖται τὴν δέησιν, καὶ τὴν μανίαν ἀξιοῖ διορθωθῆναι; τὸ γὰρ ἑαυτοὺς ἀγνοεῖν, ἐσχάτης μανίας, καὶ φρενίτιδος χαλεπώτερον. τὸ μὲν γὰρ ἀνάγκης νόσημα, τὸ δὲ διεφθαρμένης προαιρέσεως. ἵνα τί, κύριε, ἀφέστηκας μακρόθεν, ὑπερορᾷς ἐν εὐκαιρίαις, ἐν θλίψεσι; ταῦτά φησιν ὁ προφήτης, ἐκ προσώπου τῶν θλιβομένων παρακαλῶν καὶ δεόμενος, οὐκ ἐγκαλῶν· μὴ γένοιτο. ἐπεὶ καὶ πολλοὶ τῶν θλιβομένων ὑπὸ τῆς ὀδύνης πρὸ τοῦ προσήκοντος καιροῦ ἀξιοῦσι γενέσθαι τὴν κρίσιν· καθάπερ οἱ τεμνόμενοι, μηδέπω τελείας γενομένης τῆς τομῆς, παρακαλοῦσι τὸν ἰατρὸν ἀποστῆσαι τὴν χεῖρα· ἐπιβλαβῆ μὲν χάριν αἰτοῦντες, τὸ δὲ μὴ φέρειν

A mo. Quid est autem, Surge Domine? Persequere, inquit, fer opem, puni eos qui faciunt iniuriam. Et egregiè nudis nominibus vsus est, cùm dixit, Surge, & non confortetur homo: vt significet quòd vilis, quòd terrenus, quòd puluis & cinis. Iudicentur gentes in conspectu tuo. Quid hoc est? Dent, inquit, pœnas suorum peccatorum. Non redditi sunt meliores patientia, audacium inceptorum ab eis rationem exposce. 21. *Constitue Domine legislatorem super eos. Et sciant gentes* B *quoniam homines sunt.* Diapsalma. Alius, semper. Quid est, Constitue Domine legislatorem super ipsos? Quoniam, inquit, omnia faciunt perinde ac si essent sui iuris, nolentes dare pœnas, persequere, & fit eis supplicium pro admonitione. Hoc alius quoque significans, dicebat: Constitue Domine eis timorem. Vide quomodo non quærit vt puniantur, sed vt admoneantur, & corrigantur, & non viuant iniquè. Erit enim, inquit, eis supplicium loco admonitionis, non eis tantùm, sed etiam aliis. Et vt scias quantum ex eo C fiat lucrum, & quomodo morbum reprimat, audi quod deinceps sequitur. Et sciant gentes quòd homines sunt; quod autem dicit, hoc est. Multi hoc etiam perdiderunt, naturæ obliti sunt, in furorem impegerunt, seipsos ignorarunt. Et pulchrè adiecit illud, Semper, vt significaret non solùm in rebus aduersis, sed etiam in secundis. Verumenimuerò si eos nunc punieris habentes magnum timorem, & memoriam malorum quæ eis euenerunt, etiamsi eis prosperè res successerint, scient suam naturam. Vides quomodo D facit pro eis orationem, & eorum vult furorem corrigi. Seipsos enim ignorare, est extremæ amentiæ, & phrenesi grauius. Hoc enim est morbus necessitatis: illud verò deprauatæ & corruptæ voluntatis. 22. *Vt quid Domine recessisti longè, despicis in opportunitatibus, in tribulationibus?* Hęc dicit Propheta orans & supplicans ex persona eorum qui affliguntur, non autem accusans. Absit. Nam multi eorum qui affliguntur, præ dolore cupiunt ante tempus conueniens, fieri iudicium: quemadmodum qui secantur, nondum perfecta sectione rogant medicum, vt manum abstineat, damnosam quidē gratiam petentes, eò autē quod

Ignoratio ne grauior phrenitide.

non ferant dolorem, hoc agentes. Sæpe autem apud medicos vociferantur, Torsisti me, perdidisti me, me de medio sustulisti. Hæc autem verba non ex mente, sed ex dolore procedunt. Ita etiam dicunt multi pusilli & abiecti animi, in afflictionibus laborem non ferentes. Sophonias quoq; tali oratione vtitur. Sed hæc quidem in Veteri, quando erant certamina illorum infirmitati accommodata: longè autē absunt à Noui Philosophia. 23. *Dum superbit impius, incenditur pauper: comprehenduntur in consiliis quæ cogitant.* 24. *Quoniam laudatur peccator in desideriis animæ suæ, & iniquus benedicitur.* 25. *Exacerbauit Dominum peccator.* Propheta, imposita sibi persona supplicis, & rogans pro iis qui afficiuntur iniuria, dicit etiam affectiones quæ venerunt, quæ sunt humanæ imbecillitatis, nempe quòd ante punitionem angitur & excruciatur is, cui fit iniuria, non ferens prosperitatem improbi. Non est autem paruum hoc quoque suppliciū. Deinde rogat vt dent pœnas, & eorum in seipsos vertatur insidiæ. Dicit etiam intolerabile genus improbitatis. quodnam autem hoc est? Quoniam laudatur peccator in desideriis animæ suæ. Pro iis pro quibus se abscondere, pro quibus erubescere oportebat, pro iis in admiratione habetur, pro iis laudatur. Quomodo autem poterit huic deinceps remedium adhiberi, quando laudatur vitium? Hoc autem nunc quoque fit. Hic in admiratione habetur, vt qui sit potens, ille verò, vt qui vlciscatur inimicos: alius verò vt prudēs, quoniam omnium bona coegit: & quando seipsum perdiderit, eum dicūt seipsum inuenisse, & alij alia dicunt: de spiritualibus autem rebus ne verbum quidem. Nequaquam laudatur qui est negotiorum & litium fugitantior, nec paupertatis amator: sed qui est rei faciēdæ cupidus, cauponator, adulator, qui seruili est ingenio, qui pro nulla re vtili nullū non genus obit ministerij. Hæc deflet Propheta, quòd vitium ita inualuerit, vt sibi placeat & blādiatur, & quod est grauius, vt minimè erubescat: nec solū seipsum laudat propter ea quę facit, sed habet etiam alios laudatores. Quid hac autem insania fuerit deterius? Exacerbauit Dominum peccator. Alius, Irritauit Dominum peccator. Alius, Quoniam cùm laudauit iniquus secundum

τὰς ὀδύνας, τοῦτο πάσχοντες. καὶ πολλάκις πρὸς τοὺς ἰατροὺς βοῶσιν, ἐβασάνισάς με, ἀπώλεσάς με, ἀνεῖλές με· ἀλλ᾽ οὐκ ἔστι ταῦτα τῆς διανοίας ῥήματα, ἀλλὰ τῆς ὀδύνης. οὕτω δὴ πολλοὶ καὶ τῶν μικροψύχων ἐν ταῖς θλίψεσι λέγουσι, τοὺς πόνους οὐ φέροντες. καὶ ὁ Σοφονίας δὲ τοιοῦτόν τινα μεταχειρίζει λόγον. ἀλλὰ ταῦτα ἐν τῇ παλαιᾷ, ὅτε σύμμετρα ἦν τὰ σκάμματα· τῆς δὲ ἐν τῇ καινῇ πόρρω ταῦτα φιλοσοφίας. ἐν τῷ ὑπερηφανεύεσθαι τὸν ἀσεβῆ, ἐμπυρίζεται ὁ πτωχός. συλλαμβάνονται ἐν διαβουλίοις, οἷς διαλογίζονται. ἄλλος, συλληφθήτωσαν. ὅτι ἐπαινεῖται ὁ ἁμαρτωλὸς ἐν ταῖς ἐπιθυμίαις τῆς ψυχῆς αὐτοῦ, καὶ ὁ ἀδικῶν εὐλογεῖται. παρώξυνε τὸν κύριον ὁ ἁμαρτωλός. ἱκέτου σχῆμα περιθεὶς ἑαυτῷ προφήτης, καὶ ὑπὲρ τῶν ἀδικουμένων παρακαλῶν, λέγει καὶ τὰ πάθη τὰ συμβαίνοντα, ἅπερ ἀσθενείας ἐστὶν ἀνθρωπίνης· ὅτι περὶ τῆς κολάσεως καὶ τῆς τιμωρίας ὀδυνᾶται ὁ ἀδικούμενος, οὐ φέρων τὴν εὐημερίαν τοῦ πονηροῦ. οὐ μικρὰ δὲ καὶ τοῦτο τιμωρία. εἶτα ἀξιοῖ δοῦναι αὐτοὺς δίκην, καὶ αὐτοὺς περιτραπῆναι ταῖς ἐπιβουλαῖς αὐτῶν· καὶ λέγει κακίας εἶδος ἀφόρητον. ποῖον δὴ τοῦτο; ὅτι ἐπαινεῖται ὁ ἁμαρτωλὸς ἐν ταῖς ἐπιθυμίαις τῆς ψυχῆς αὐτοῦ. ἐφ᾽ οἷς ἐγκαλύπτεσθαι ἔδει, ἐφ᾽ οἷς, φησιν, αἰσχύνεσθαι, ὑπὲρ τούτων θαυμάζεται, ἐπαινεῖται. πῶς δ᾽ ἂν γένοιτο τούτου ἴασις λοιπὸν, ὅταν ἐπαινῆται ἡ κακία; καὶ γὰρ καὶ νῦν τοῦτο γίνεται. ὁ δεῖνα θαυμάζεται ὡς δυνάστης· ὁ δεῖνα ὡς ἐχθροὺς ἀμυνόμενος· ὁ δεῖνα ὡς φρόνιμος, ἐπειδὴ τὰ πάντων συνήγαγε· καὶ ὅτε ἀπολέσῃ ἑαυτὸν, λέγουσιν, εὗρεν ἑαυτόν· καὶ ἕτεροι ἄλλα φασί. καὶ οὐδεὶς περὶ πνευματικῶν λόγος αὐτοῖς. οὐδαμοῦ ἀπράγμων ἐπαινεῖται ταχέως, οὐδὲ ὁ πενίας ἐραστής· ἀλλ᾽ ὁ χρηματιστής, ὁ κάπηλος, ὁ κόλαξ, ὁ δουλοπρεπὴς ὑπομένων διακονίας ὑπὲρ οὐδενὸς χρησίμου. ταῦτα θρηνεῖ ὁ προφήτης, ὅτι οὕτως ἐκράτησεν ἡ κακία, ὡς καὶ ἐγκαλλωπίζεσθαι, καὶ παρρησιάζεσθαι, καὶ τὸ δὴ χαλεπώτερον, ὅτι οὐκ αἰσχύνεται. οὐδὲ μόνον αὐτὸς ἑαυτὸν ἐπαινεῖ ἐπὶ τοῖς γινομένοις, ἀλλὰ καὶ ἑτέρους ἔχει τοὺς ἐπαινέτας. τί ταύτης γένοιτ᾽ ἂν χεῖρον τῆς μανίας; παρώξυνε τὸν κύριον ὁ ἁμαρτωλός. ἄλλος δέ φησιν, ὅτι αἰνέσας ὁ παράνομος κατὰ τὴν ἐπι-

θυμίαις τῆς ψυχῆς αὐτοῦ, καὶ πλεονέκτης εὐλογήσας, παρώξυνε τὸν κύριον· ὅταν ὑψωθῇ ὁ θυμὸς αὐτοῦ, οὐκ ἐκζητεῖ. ἄλλος, ὅτι ὕμνησεν ἐπὶ πόθῳ ψυχῆς αὐτοῦ, καὶ πλεονέκτης εὐλογήσας, διέσυρε κύριον. ἀσεβὴς κατὰ μετεωρισμὸν θυμοῦ αὐτοῦ οὐ μὴ ἐκζητήσῃ. οἱ δὲ ἑβδομήκοντα, παρώξυνε τὸν κύριον ὁ ἁμαρτωλός. κατὰ τὸ πλῆθος τῆς ὀργῆς αὐτοῦ οὐκ ἐκζητήσει. εἶδες ποῦ προῆλθε τὰ τῆς κακίας; τί λέγω, φησὶν, ὅτι τοὺς πτωχοὺς λυπεῖ; αὐτὸν τὸν Θεὸν παροξύνει· καὶ κατὰ τὸ πλῆθος τῆς ὀργῆς αὐτοῦ, οὐκ ἐκζητήσει, λέγει, τὸν Θεόν. ἄλλος δὲ περὶ τοῦ ἀσεβοῦς τοῦτο δείκνυσιν ὄν, λέγων, τὸν μετεωρισμὸν αὐτοῦ, τουτέστι, τῆς ἀπονοίας, τῆς ἀλαζονείας. εἶδες μανίας ἐπίτασιν, καὶ διαφθοράν; πρὸς τοὺς ὁμοφύλους ἐστὶν ἐχθρὸς καὶ πολέμιος, τῆς ἀρετῆς ἠλλοτριωμένος, τῆς κακίας ἐραστὴς καὶ ἐπαινέτης. καὶ καλῶς ἕτερος εἶπεν· οὐκ ἔστι Θεὸς πάσαις ἐννοίαις αὐτοῦ· δηλῶν, ὅτι οὐκ ἐκζητεῖ τὸν Θεὸν, ὅτι σκότους ἐμπέπλησται, ὅτι οὐκ ἔχει τὸν φόβον ἐκείνου πρὸ ὀφθαλμῶν· ἀλλ' ὥσπερ ἡ λήμη σκοτοῖ τὴν κόρην, οὕτως ἡ πονηρία τὴν διάνοιαν, καὶ κατὰ κρημνῶν φέρει. οὐκ ἔστι Θεὸς ἐνώπιον αὐτοῦ. ἄλλος, δι' ὅλων τῶν ἐνθυμημάτων αὐτοῦ. βεβηλοῦνται αἱ ὁδοὶ αὐτοῦ ἐν παντὶ καιρῷ. ἀνταναιρεῖται τὰ κρίματά σου ἀπὸ προσώπου αὐτοῦ. ἄλλος, ἦρται ἡ κρίσις σου. εἶδες τῆς κακίας τὸν καρπόν; σβέννυται αὐτοῦ τὸ φῶς· πηροῦνται οἱ διαλογισμοί· αἰχμάλωτος δίδοται τῇ πονηρίᾳ. ὥσπερ γὰρ ὁ πεπηρωμένος εἰς βάραθρα πίπτει συνεχῶς· οὕτω δὴ καὶ αὐτὸς, ἐπειδὴ τοῦ Θεοῦ τὸν φόβον οὐκ ἔχει πρὸ τῶν ὀφθαλμῶν, διὰ παντὸς ἐν κακίᾳ διατρίβει· οὐχὶ νῦν μὲν ἐν ἀρετῇ, νῦν δὲ ἐν κακίᾳ, ἀλλ' ἀεὶ ἐν κακίᾳ, καὶ οὐδὲ τῆς γεέννης μέμνηται, οὐδὲ τῆς μελλούσης κρίσεως, οὐδὲ τῶν εὐθυνῶν· ἀλλ' ὥσπερ χαλινὸν ἅπαντα ταῦτα τὰ βοηθήματα ἐκβαλὼν, καθάπερ πλοῖον ἀνερμάτιστον πονηροῖς ἐκδίδοται πνεύμασι καὶ κύμασιν ἀγρίοις, οὐδενὸς ὄντος τοῦ παιδαγωγοῦντος αὐτοῦ τὴν διάνοιαν. εἶδες τὸν πονηρὸν ἐν αὐτῇ τῇ κακίᾳ τὴν δίκην ὑπέχοντα; τί γὰρ ἵππου ἀχαλινώτου; τί δὲ πλοίου ἀνερματίστου; τί δὲ ἀνθρώπου πεπηρωμένου χαλεπώτερον; ἀλλὰ τούτων ἁπάντων ἀθλιώτερος ὁ ἐν κακίᾳ ζῶν, τὸ ἀπὸ τοῦ φόβου τοῦ Θεοῦ φῶς σβέσας, καὶ αἰχ-

A desiderium animæ suæ, & auarus benedixit, irritauit Dominum. Quando exaltata fuerit ira eius, non quærit. Alius, Quia laudauit in desiderio animæ suæ, & auarus qui benedixit, detraxit Domino. Impius secundùm exaltationem iræ suæ nõ exquiret. Septuaginta autem, Exacerbauit Dominum peccator, secundum multitudinem iræ suæ non quæret. Vidisti quo vitiũ processerit. Quid dico, inquit, quòd pauperes molestia afficit? Ipsum Deum irritat. *Et secundum multitudinem iræ suæ non quæret*, inquit, *Dominum*. Alius au-
B tem hoc ostendit esse de impij exaltatione, hoc est, arrogantia, insolentia. Vidisti insignem & perditam insaniam? Est iis qui sunt eiusdem gentis ac generis, hostis & inimicus, à virtute alienus amator vitij atque laudator. Et pulchrè dixit alius, Non est Deus in omnibus eius cogitationibus, significans eum Deum non quærere, plenum esse tenebris, non habere illius timorem præ oculis, sed quemadmodum lema obscurat pupillam, ita etiam improbitas fert mentẽ vel per præcipitia. 26. *Non est Deus in conspectu eius.* Alius,
C Per omnes cogitationes eius. *Inquinatæ sunt vitæ illius in omni tempore*, 27. *Auferuntur iudicia tua à facie eius.* Alius, Sublatum est iudicium tuum. Vidisti fructum vitij, lux eius extinguitur, orba redditur ratio, traditur captiuus improbitati. Quemadmodum enim qui est luminibus orbus, frequenter incidit in barathra: ita hic etiam, quoniam Dei timorem non habet præ oculis, in vitio perpetuo versatur, non nunc quidem in virtute, nunc autem in vitio, sed semper in vitio, & nec gehennæ meminit nec futuri iudicij, nec red-
D dendæ rationis: sed his omnibus auxiliis tanquam fræno excussis, tanquam nauis minimè saburrata, traditur malis spiritibus & sæuis fluctibus, cùm nullus sit qui eius animum regat & instituat. *Metaphora.* Vidisti malum in ipso etiã vitio pœnas luere? Quid enim equo effræni, quid naue cui deest saburra, quid oculis orbo homine grauius? Sed his omnibus miserior est qui viuit in vitio, vt qui extincta luce, quæ ex Dei timore proficiscitur, captiuus

sit traditus. *Omnium inimicorum suorum dominabitur.* 28 *Dixit enim in corde suo: Non mouebor a generatione in generationem sine malo.* Alius, Omnes inimicos suos ventilat, dicens in corde suo: Non conuertar à generatione in generationem. Non enim ero in afflictione. Vidisti arrogantiam? Vidisti inenarrabilem perditionem? Vidisti quòd paulatim augetur exitium? Vidisti quomodo quę sunt beata apud stultos, verè plena sunt multa miseria, & quomodo obruuntur? Laudatur in peccatis, benedicitur in maleficiis. Hoc est primum barathrum, quòd satis est vel ad præcipitandū eum qui non aduertit. Et ideo magis sunt admittendi qui accusant & corrigunt, quàm qui laudant & ad interitum blandiuntur. Hi enim corrumpunt stolidos, & ad maius vitium propellunt, quemadmodum qui hunc peccatorem insufflarunt, exercuerunt ad arrogantiam. Et ideo Paulus quoque hoc ipsum dicit Corinthiis, de eo qui erat fornicatus: Et vos inflati estis, & non potius luxistis? Eum qui peccat, multum lugere, non laudare oportet. Vidisti peruersum vitium, quòd non solum non accusatur, sed etiam laudibus afficitur? Hic ex propria arrogantia amplificauit laudum improbitatem. Oblitus est timoris Dei, & iudiciorum eius. Hinc etiam propriæ est naturæ oblitus. Qui enim iudiciorū Dei obliuiscitur, sui ipsius quoque tandem obliuiscitur. Vide ergo quæ cogitat, *Non mouebor in generationem, & generationem, sed ero sine malo.* Quid est hac cogitatione stultus, vt qui homo est, & interitui obnoxius, & caducis ac momētaneis rebus implicatus, & innumerabilibus mutationibus subiectus, talia imaginetur? Vndénam autem hoc fit? Ex stultitia. Quando enim vir stultus multis rebus secundis vsus fuerit, & inimicos vicerit, & ab omnibus laudatur, & in admiratione habetur, omnium miserrimus efficitur. Eo enim quòd non expectat mutationem, res quidem secundas fert modestè, & si res ei aduersæ euenerint, cùm sit inexercitatus, nec eas sit vnquam meditatus, turbatur & tumultuatur. Sed non sic Iob, sed etiam rebus in secundis res aduersas quotidie sperabat: & ideo dicebat: Metus quem timebā, venit mihi, & quem timueram,

Peccatori nō abblandiendum.

1.Cor.5.2.

Confirmat exemplo. Iob.3.25.

A μάλιστα ἐκδοθείς. πάντων τῶν ἐχθρῶν αὐτοῦ κατακυριεύσει. εἶπε γὰρ ἐν καρδίᾳ αὐτοῦ· οὐ μὴ σαλευθῶ ἀπὸ γενεᾶς εἰς γενεὰν ἄνευ κακοῦ. ἄλλος, πάντας τοὺς ἐχθροὺς αὐτοῦ ἐκφυσᾷ, λέγων ἐν καρδίᾳ αὐτοῦ· οὐ περιτραπήσομαι εἰς γενεὰν καὶ γενεάν. οὐ γὰρ ἔσομαι ἐν κακώσει. εἶδες τὴν ἀπόνοιαν; εἶδες τὴν ἄφατον ἀπώλειαν; εἶδες τὸν κατὰ μικρὸν αὐξανόμενον ὄλεθρον; εἶδες τὰ παρὰ τοῖς ἀνοήτοις μακάρια, τὰ πολλῆς ἀθλιότητος γέμοντα, καὶ πῶς καταδύεται; ἐπαινεῖται ἐν τοῖς ἁμαρτήμασιν, εὐλογεῖται ἐν ταῖς ἀδικίαις. B πρῶτον βάραθρον τοῦτο, καὶ ἱκανὸν ἐκτραχηλίσαι τὸν μὴ προσέχοντα. διὸ δὴ μᾶλλον τοὺς αἰτιωμένους καὶ διορθουμένους ἀποδέχεσθαι χρή, ἢ τοὺς ἐπαινοῦντας καὶ ἐπ' ὀλέθρῳ κολακεύοντας. τοὺς γὰρ βλᾶκας οὗτοι διαφθείρουσι, καὶ πρὸς μείζονα ὠθοῦσι κακίαν· καθάπερ καὶ τοῦτον τὸν ἁμαρτωλὸν ἐμφυσήσαντες, ἐπαιδοτρίβησαν εἰς ἄνοιαν. διὸ καὶ Παῦλος Κορινθίοις τοῦτο αὐτὸ λέγει ἐπὶ τοῦ πορνεύσαντος· καὶ ὑμεῖς πεφυσιωμένοι ἐστέ, καὶ οὐχὶ μᾶλλον ἐπενθήσατε; πολλὰ τὸν ἁμαρτάνοντα πενθεῖν, οὐκ ἐπαινεῖν δεῖ. εἶδες διεστραμμένην κα- C κίαν, ὅτι μὴ μόνον οὐκ ἐγκαλεῖται, ἀλλὰ καὶ εὐφημεῖται; ἐντεῦθεν ἀπὸ τῆς οἰκείας ἀνοίας καὶ τῶν ἐπαίνων ἐπέτεινε τὴν πονηρίαν, ἐπελάθετο τοῦ φόβου τοῦ Θεοῦ, τῶν κριμάτων αὐτοῦ· ἐντεῦθεν ἐπελάθετο καὶ τῆς οἰκείας φύσεως. ὁ γὰρ τῶν κριμάτων ἐπιλανθανόμενος τοῦ Θεοῦ, καὶ ἑαυτὸν λοιπὸν ἀγνοεῖ τῷ χρόνῳ. ὅρα γοῦν οἷα λογίζεται. οὐ μὴ σαλευθῶ εἰς γενεὰν, καὶ γενεάν, ἀλλ' ἔσομαι ἄνευ κακοῦ. τί ταύτης ἀνοητότερον τῆς διανοίας, ἄνθρωπον ὄντα, καὶ ἐπίκηρον, καὶ τοῖς προσκαίροις συμπεπλεγμένον πράγμασι, καὶ D μυρίαις μεταβολαῖς ὑποκείμενον, τοιαῦτα φαντάζεσθαι; πόθεν δὲ τοῦτο γίνεται; ἐκ τῆς ἀνοίας. ὅταν γὰρ ἀνόητος ἀνὴρ πολλῆς ἀπολαύῃ τῆς εὐημερίας, καὶ τῶν ἐχθρῶν κρατῇ, καὶ ἐπαινῆται, καὶ θαυμάζηται, πάντων ἀθλιώτερος γίνεται. τῷ γὰρ μὴ προσδοκᾷν μεταβολήν, οὔτε τὰς εὐημερίας σωφρόνως φέρει, εἴς τε δυσημερίαν ἐμπεσών, ἀγύμναστος καὶ ἀμελέτητος ὤν, ταράττεται καὶ θορυβεῖται. ἀλλ' οὐχ ὁ Ἰὼβ οὕτως· ἀλλὰ καὶ ἐν τῇ εὐημερίᾳ, καθ' ἑκάστην ἡμέραν δυσημερίαν ἤλπιζε. διὸ καὶ ἔλεγε· φόβος γὰρ, ὃν ἐφοβούμην, ἦλθέ μοι, καὶ ὃν ἐδεδοίκειν, συνήν-

συμβέβηκέ μοι. οὔτε εἰρήνευσα, οὔτε ἡσύχασα, οὔτε ἀνεπαυσάμην, ἦλθε δέ μοι ὀργή. διὸ καὶ ἕτερος ἔλεγε· μνήσθητι καιροῦ λιμοῦ, ἐν καιρῷ πλησμονῆς· πτωχείας καὶ ἐνδείας, ἐν ἡμέρᾳ πλούτου. ἀλλ' οὐκ ἐννοεῖ καθάπαξ διαφθαρείς, οὐ τὰ ἀνθρώπινα ἐπισκέπτεται, ἀλλ' ἀκίνητα αὐτῷ εἶναι νομίζει διὰ τῆς εὐπραγίας· ὅπερ ἐσχάτης ἀνοίας καὶ διαφθορᾶς ὑπόθεσις, καὶ ἐξωλείας ἐστὶν ἀφορμή. μὴ δὴ μακάριζε τοὺς πλουτοῦντας, τοὺς τῶν ἐχθρῶν περιγινομένους, τοὺς ἐπαινουμένους ἐπὶ τούτοις. μεγάλα γὰρ ταῦτα βάραθρα καὶ κρημνοὶ τοῖς οὐ προσέχουσι, πρὸς αὐτὸν καταρρίπτοντα τῆς ἀσεβείας τὸν πυθμένα. οὗ ἀρᾶς τὸ στόμα αὐτοῦ γέμει καὶ πικρίας καὶ δόλου· ὑπὸ τὴν γλῶσσαν αὐτοῦ κόπος καὶ πόνος. ἄλλος, ἀνωφελές. ἐγκάθηται ἐνέδρᾳ μετὰ πλουσίων ἐν ἀποκρύφοις τοῦ ἀποκτεῖναι ἀθῷον. ἄλλος. ἐνεδρεύων παρὰ τὰς αὐλάς. οἱ ὀφθαλμοὶ αὐτοῦ εἰς τὸν πένητα ἀποβλέπουσιν· ἐνεδρεύει ἐν ἀποκρύφῳ ὡς λέων ἐν τῇ μάνδρᾳ αὐτοῦ. ἄλλος, ὡς ἐν τῷ περιφράγματι αὐτοῦ. ἐνεδρεύει τοῦ ἁρπάσαι πτωχόν, ἁρπάσαι πτωχὸν ἐν τῷ ἑλκῦσαι αὐτόν. ἄλλος, ἐν ἑλκυσμῷ αὐτοῦ. ἐν τῇ παγίδι αὐτοῦ ταπεινώσει αὐτόν. ἄλλος, ἐν τῇ σαγήνῃ. κύψει καὶ πεσεῖται ἐν τῷ αὐτὸν κατακυριεῦσαι τῶν πενήτων. ἄλλος, ὁ δὲ θλασθεὶς καμφθήσεται ἐπιπεσόντος αὐτοῦ μετὰ τῶν ἰσχυρῶν αὐτοῦ τοῖς ἀσθενέσιν. εἶδες καὶ θηρίον αὐτὸν γινόμενον; καθάπερ γὰρ θηρίον ὑπογράφων ὁ προφήτης, οὕτω περὶ αὐτοῦ διαλέγεται, τοὺς δόλους, τὰς ἐνέδρας, τὰς ἐπιβουλὰς ἐκπομπεύων. τί τούτου γένοιτ' ἂν ἀθλιώτερον, τί δὲ πενέστερον, ὅταν τῶν τοῦ πένητος δέηται χρημάτων; τοῦτον οὖν (εἰπέ μοι) πλούσιον φήσομεν; οὐκοῦν καὶ τὸν κλέπτην, καὶ τὸν τοιχωρύχον. ἄπαγε, φησί. τί γὰρ εἰ καὶ μὴ διορύττει δικαστήρια; τί γὰρ εἰ καὶ μὴ νυκτὸς ἔπεισιν, ἀλλὰ μετὰ δόλου, κατασβεννὺς τὸ φῶς τοῦ δικάζοντος; τί γὰρ εἰ μὴ καθευδόντων ἐπέρχεται, ἀλλ' ἐγρηγορότων ἁπάντων; οὗτος γὰρ ἰταμώτερος. ἐπεὶ καὶ τῶν λῃστῶν τοὺς μεθ' ἡμέραν κλέπτοντας μᾶλλον κολάζουσιν οἱ νόμοι. εἶδες πενίαν· εἶδες ὠμότητα· πενίαν, ὅτι τῶν τοῦ πένητος ἐπιθυμεῖ· ὠμότητα, ὅτι οὐδὲ τῇ συμφορᾷ ἐπικλᾶται· ἀλλ' ὃν ἐλεεῖν δεῖ καὶ διορθοῦν τῆς πενίας, τοῦτον ἐπιτρίβει· ἀλλ' ὅμως οὐκ ἀτιμώρητα ταῦτα ἐργάζεται· ἀλλ' ὅταν κρατήσῃ,

A occurrit mihi, nec in pace egi, nec quieui, nec cessaui, venit tamen mihi ira. Et ideo alius dicebat: Memento temporis famis in tempore abundantiæ, paupertatis & inopiæ in die diuitiarum. Sed hic quidem semel corruptus non considerat humana, sed propter fœlicem rerum successum ea esse immobilia existimat: quod est extremæ stultitiæ & corruptelæ argumentum, & occasio interitus. Ne beatos existima eos qui sunt diuites, eos qui vincunt inimicos, eos qui propterea laudantur. Magna sunt hæc barathra & præcipitia, quæ homines incautos

Eccli. 18. 25

B ad ipsum impietatis profundum deijciunt. 29. *Cuius os maledictione plenum est, & amaritudine, & dolo. Sub lingua eius labor & dolor.* Alius, inutile. 30. *Sedet in insidiis cum diuitibus in occultis, vt interficiat innocentem.* Alius, insidians apud aulas. 31. *Oculi eius in pauperem respiciunt. Insidiatur in abscondito quasi leo in spelunca sua.* Alius, In septo suo. 32. *Insidiatur vt rapiat pauperem, vt rapiat pauperem, dum attrahit eum.* Alius, in tractione eius. 39. *In laqueo suo humiliabit eum.* Alius, in sagena. *Inclinabit se & cadet, cùm dominatus fuerit pauperum.* Alius,

C Confractus autem inflectetur, cùm is irruerit cum fortibus suis in imbecillos. Vidisti eum etiam effectum esse feram, immanémque belluam? Eum enim tanquam feram describens Propheta, ita de eo loquitur, dolos, fraudes, insidias traducens. Quid eo potest esse miserius, quid pauperius, cùm pauperis egeat pecuniis? Hunc ergo (dic quæso) dicemus diuitem? Ergo etiam furem & murorum effossorem. Absit, inquit. Quid enim si noctu fora non perfodit? Quid si non noctu ag-

D greditur, sed cum dolo iudicis lumen extinguit? Quid enim si non dormientibus, sed vigilantibus omnibus? Hic est enim impudentior. Ex furibus enim leges eos grauius puniunt, qui interdiu furantur. Vidisti paupertatem, vidisti crudelitatem? Paupertatem, quòd bona pauperis concupiscit: crudelitatē verò quòd nec calamitate quidem frangitur: sed cuius misereri, & cui subuenire oportebat, paupertate opprimit. Nec tamen hæc faciet impune: sed quando præualuerit,

Corruptor iudicis fure peior.

quando sibi visus fuerit esse superior, A quando se putarit esse inexpugnabilem, tunc peribit: vt & Dei videatur vincendi facilitas, & pauperum patientia, & huius corrigendi difficultas, & Dei lenitatis tolerantia. Propterea non è vestigio persequitur iustitia, Deo per patientiam vocante eum ad pœnitentiam, sed quando nihil lucrifacit lenitate & patientia, tunc eum per supplicium admonet. Hi enim qui iniuria affecti sunt, nihil læsi sunt: sed etiam meliores & clariores afflictione facti sunt, Deus autem suam ostendit patientiam, vt qui sustinuerit & tolerauerit, cum patientia autem potentiam, B & rei gerendæ facultatem: quòd quando is esset seipso potentior, tunc temporis ipsum superat: hic vero cùm mansisset incorrigibilis, vltimum dat supplicium. Hoc autem non parum facit ad corrigendos eos, qui abutuntur rebus secundis. Ne ergo quando viceris inimicos, & omnia tibi secunda fuerint, confidas improbè viuens, sed tunc magis pertimescas. Augetur enim vitium, tollitur tibi defensio, præciditur, & aufertur venia, si malus maneas. 34. *Dixit enim in corde suo oblitus est Deus. Auertit faciem suam, ne videat in finem.* C Vide in quantum barathrum perditionis descendit, qualia dogmata colligit: quæ propter impudentiam quidem non audet efferre, ea autem apud se versat, pugnans cum veritate, & quæ sunt sole clariora, propter mentis suæ orbitatem, adumbrans. 35. *Exurge Domine Deus & exaltetur manus tua. Ne obliuiscaris pauperum.* Alius, Exalta manum tuam. 36. *Propter quid irritauit impius Deum? Dixit enim in corde suo, non requiret.* 37. *Vides quoniam tu laborem & dolorem consideras, vt tradas eos in manus tuas.* Alius, D Vidisti, quia tu laborem & iracundiam inspectabis. Alius, vt dentur in manus tuas. Iniquus quidem hæc dicit, raptor, auarus, vtpote qui non det pœnas: Propheta autem eius euertens dogmata, de Dei patientia amplè loquitur. Ille enim dicit: Auertit faciem suam, ne videat in finem: hic autem contrà: Et vides, & consideras, & es patiēs, donec ij ceciderint in manus tuas.

A ὅταν δόξῃ περιγενέσθαι, ὅταν ἀχείρωτος εἶναι νομίσῃ, τότε ἀπόλλυται· ἵνα καὶ τοῦ Θεοῦ τὸ εὐμήχανον φαίνηται, καὶ τῶν πενήτων ἡ ὑπομονὴ, καὶ τούτου τὸ ἀδιόρθωτον, καὶ τῆς τοῦ Θεοῦ μακροθυμίας ἡ ἀνεξικακία. διὰ τοῦτο οὐ παρὰ πόδας ἡ δίκη ἕπεται, τοῦ Θεοῦ διὰ τῆς μακροθυμίας καλοῦντος αὐτὸν εἰς μετάνοιαν· ἀλλ' ὅταν μηδὲν ἀπὸ τῆς μακροθυμίας κερδάνῃ, τότε αὐτὸν ἀπὸ τῆς τιμωρίας νουθετεῖ. οὗτοι μὲν γὰρ ἀδικηθέντες, οὐδὲν ἐβλάβησαν· ἀλλὰ καὶ βελτίους ἐγένοντο καὶ λαμπρότεροι B ἀπὸ τῆς θλίψεως· ὁ δὲ Θεὸς τὴν μακροθυμίαν τὴν ἑαυτοῦ ἐπεδείξατο, ἀναμένων καὶ ἀνεξικακήσας, μετὰ δὲ τῆς μακροθυμίας καὶ τὴν ἰσχὺν, καὶ τὸ εὔπορον· ὅτι ὅταν ἑαυτοῦ ᾖ δυνατώτερος, τότε αὐτοῦ περιγίνεται, οὗτος δὲ ἀδιόρθωτος μείνας, τὴν ἐσχάτην δίδωσι δίκην. οὐ μικρὸς δὲ οὗτος σωφρονισμὸς τοῖς εὐημεροῦσι. μὴ τοίνυν, ὅταν κρατήσῃς τῶν ἐχθρῶν, καὶ πάντα σοι ἐξ οὐρίας φέρηται, θάῤῥει ζῶν ἐν πονηρίᾳ· ἀλλὰ τότε μᾶλλον δέδιθι. καὶ γὰρ αὔξεται τὰ τῆς πονηρίας, ἀφαιρεῖταί σοι τὰ τῆς ἀπολογίας, ἐκκόπτεταί σοι τὰ τῆς συγγνώμης μένοντι C πονηρῷ. εἶπε γὰρ ἐν καρδίᾳ αὐτοῦ, ἐπιλέλησται ὁ Θεός· ἀπέστρεψε τὸ πρόσωπον αὐτοῦ, τοῦ μὴ βλέπειν εἰς τέλος. ἴδε πρὸς ὅσον βάραθρον ἀπωλείας κάτεισιν, οἷα δόγματα συνάγει, ἃ διὰ τὸ ἀναίσχυντον ἐξενεγκεῖν μὲν οὐ τολμᾷ, παρ' ἑαυτῷ δὲ στρέφει, πρὸς τὴν ἀλήθειαν μαχόμενος, καὶ τὰ ἡλίου φανερώτερα συσκιάζων διὰ τὴν πήρωσιν τῆς ἑαυτοῦ διανοίας. ἀνάστηθι κύριε ὁ Θεός μου, ὑψωθήτω ἡ χείρ σου. μὴ ἐπιλάθῃ τῶν πενήτων σου εἰς τέλος. ἄλλος, ἔπαρον τὴν χεῖρά σου. ἕνεκεν τίνος παρώργισεν ὁ ἀσεβὴς τὸν Θεόν; εἶπε γὰρ ἐν καρδίᾳ αὐτοῦ, D οὐκ ἐκζητήσει. βλέπεις ὅτι σὺ πόνον καὶ θυμὸν κατανοεῖς, τοῦ παραδοῦναι αὐτὸν εἰς χεῖράς σου. ἄλλος, εἶδες ὅτι σὺ πόνον καὶ παροργισμὸν ἐπιβλέψῃς, τοῦ δοῦναι ἐν χειρί σου. ἄλλος, ἵνα δοθῶσιν εἰς χεῖράς σου. ὁ μὲν παράνομος ταῦτά φησιν, ὁ ἁρπάζων, ὁ πλεονεκτῶν, ὡς μὴ διδοὺς δίκην. ὁ δὲ προφήτης ἀναιρῶν αὐτοῦ τὰ δόγματα, τὸν περὶ τῆς μακροθυμίας ἀναπληροῖ λόγον. ἐκεῖνος μὲν γάρ φησιν· ἀπέστρεψε τὸ πρόσωπον αὐτοῦ, τοῦ μὴ βλέπειν εἰς τέλος. αὐτὸς δὲ ἀπονοίας καὶ βλέπεις, καὶ κατανοεῖς, καὶ μακροθυμεῖς, ἕως ἂν αὐτοὶ ἐμπέσωσιν εἰς χεῖράς σου.

τί ἐστιν, ἕως ἂν αὐτοὶ δοθῶσιν εἰς χεῖράς σου; ἀνθρωπινώτερον εἴρηκεν. ὃ δὲ λέγει τοῦτό ἐστιν· ἀναμένεις, ἀνεξικακεῖς, ὥστε τῇ ὑπερβολῇ τῆς πονηρίας αὐτοὺς παραδοθῆναι. δυνατὸς μὲν γὰρ εἶ καὶ ἐξ ἀρχῆς ἑλεῖν, καὶ χειρώσασθαι· ἀλλ' ἄφατόν σου τῆς ἀνεξικακίας τὸ πέλαγος, ὁρῶντος καὶ οὐκ ἐπεξιόντος, ἀλλ' ἀναμένοντος αὐτοὺς εἰς μετάνοιαν. εἰ δὲ μὴ βούλονται, τότε κολάζεις, ὅταν μηδὲν ἐκ τῆς μακροθυμίας κερδαίνωσι. ὅτι γὰρ πολὺς αὐτῷ τῶν ἀδικουμένων ὁ λόγος, ἄκουσον πῶς αὐτὸ διὰ τῶν ἑξῆς κατασκευάζει. Σοὶ ἐγκαταλέλειπται ὁ πτωχός, ὀρφανῷ σὺ ἦσθα βοηθός. ἄλλος, σὺ ἐγένου. ἄλλος, σὺ ἔσῃ. ὃ δὲ λέγει τοιοῦτόν ἐστι· τοῦτο ἔργον σόν, τοῦτο ἐξαίρετον σόν. οὐκ ἂν δὲ τὸ ἑαυτοῦ εἴασε καὶ προδέδωκεν. ὡς γὰρ τεχνίτου τὸ οἰκοδομεῖν, καὶ κυβερνήτου τὸ εὐθύνειν τὸ σκάφος, καὶ ἡλίου τὸ φωτίζειν· οὕτω δὴ καὶ σὸν τὸ ὀρφανῶν περιΐστασθαι, τὸ πτωχοῖς χεῖρα ὀρέγειν. οὐδεὶς οὕτω προστάτης τούτων, ἀλλὰ σὺ μόνος. τὸ γάρ, ἐγκαταλέλειπται, τοῦτο παρίστησιν. οὐδείς, φησίν, ἄλλος, ἀλλὰ σὺ μόνος ὀρφανῶν καὶ πτωχῶν προστάτης. συντρίψον τὸν βραχίονα τοῦ ἁμαρτωλοῦ καὶ πονηροῦ. ζητηθήσεται ἡ ἁμαρτία αὐτοῦ, καὶ οὐ μὴ εὑρεθῇ δι' αὐτήν. ἄλλος, ἐκζητηθήτω ἡ ἀσέβεια αὐτοῦ, ἵνα μὴ εὑρεθῇ αὐτός. οὐχ ἁπλῶς τὸν ἁμαρτωλὸν ἀξιοῖ συντριβῆναι, ἀλλὰ τὴν ἰσχύν, τὴν δυναστείαν, τὸ ὑπέκκαυμα αὐτοῦ τῆς πονηρίας. εἶτα ἀξιοῖ εὐθύνας αὐτὸν ὑποσχεῖν, καὶ λόγον δοῦναι τῶν πεπραγμένων. καὶ δεικνὺς τὸ μέγεθος τῆς ἀδικίας, φησίν· ἂν τοῦτο γένηται, οὐδὲ στῆναι δυνήσεται, οὐδὲ φανεῖται, ἀλλ' ἀπολεῖται, οἰχήσεται, πρόρριζος ἀφανισθήσεται, τῶν πεπραγμένων αὐτῷ ἐξεταζομένων. μηδεὶς οὖν ὀρφανίαν θρηνείτω, μηδεὶς πτωχείαν. ὅσῳ γὰρ ἐπιτείνηται ταῦτα, τοσούτῳ τὰ τῆς βοηθείας αὐξηθήσεται τοῦ Θεοῦ. μηδεὶς ἐπὶ δυναστείᾳ μεγαφρονείτω, μηδὲ φυσάσθω. ἐπισφαλὲς γὰρ τοῦτο τὸ χωρίον καὶ κατάκρημνον, καὶ τοὺς μὴ προσέχοντας περιτρέπει μετ' εὐκολίας πολλῆς. Βασιλεύσει κύριος εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. ἐνταῦθα πρὸς τοὺς θορυβουμένους καὶ ταραττομένους, διὰ τὸ μὴ δοῦναι δίκην εὐθέως τοὺς ἁμαρτάνοντας, ἀποκρίνεται· τί, φησί, φοβῇ; τί δέδοικας; μὴ γὰρ πρόσκαιρος ὁ δικαστής; μὴ γὰρ τέλος ἔχει τὰ τῆς βασιλείας αὐτοῦ;

A Quid est, donec traditi fuerint in manus tuas? Dixit more humano. Hoc est autem quod dixit: Expectas, toleras, vt insigni tradantur improbitat. Poteras enim vel à principio eos subigere & euertere, sed immēsum est pelagus tuę tolerantiæ, videntis, & non persequentis, sed expectantis eos ad pœnitentiam. Quòd si nolunt, tunc punis, quando nihil ad eos redit lucri ex tua patientia. Quòd enim magnam habeat rationem eorum, qui iniuria afficiuntur, audi quomodo per ea, quæ sequuntur, confirmat. 38. *Tibi derelictus est pauper, orphano tu eris adiutor.* B Alius, Tu fuisti. Alius, Tu eris. Quod autem dicit, tale est. Hoc est opus tuum, hoc est officium tuum egregium. Quod autem suum est, non omiserit, nō prodiderit. Quemadmodum enim est artificis ædificare, & gubernatoris nauem dirigere, & solis illuminare: ita etiam tuum est subuenire orphanis, manus præbere pauperibus. Nemo est qui sic eorum curam gerat, sed tu solus. Hoc enim significat illud, Derelictus est. Nullus, inquit, alius, sed tu solus orphanorum & pauperum curam geris. 39. *Contere brachium peccatoris & maligni. Quæretur peccatum illius, & non inuenietur.* C Alius, Quæratur impietas ipsius, vt non inueniatur ipse. Non vult peccatorem absolutè conteri, sed vires, potentiam, & eius improbitatis fomitem: deinde vult eum eorum, quæ fecit, reddere rationem: & ostendens iniuriæ magnitudinem, dicit: Si hoc fecerit, ne stare quidem poterit, nec apparebit, sed peribit, interibit, radicitus delebitur, iis, quæ fecit, examinatis. Nemo ergo orbitatem defleat, nemo paupertatem. Quò enim ea maiora fuerint, eò magis D eum Deus auxilio dignabitur. Nemo de potestate sibi magnificè placeat, nec intumescat. Locus enim est lubricus, & præceps, & eos qui non attendunt, facillimè subuertit. 40. *Dominus regnabit in æternum, & in seculum seculi.* Hic respondet eis qui perturbātur, eò quòd peccatores non statim pœnas dederint. Quid times? inquit. Quid formidas? Num enim iudex est temporaneus? num enim finem habet regnum eius?

Quàm densus est in homæosibus.

Esa. 14. 23.

Ezech. 28. 29.

Luc. 1.

etsi enim nunc non det pœnas, qui inuasit dominatum, qui est raptor, qui auarus, omnino tamen dabit. Manet enim qui exigit, & regnat perpetuò. *Peribitis gentes de terra illius.* 41. *Desiderium pauperum exaudisti Domine. Præparationem cordis eorum audiuit auris tua.* Alius, Propositum cordis eorum audiuit auris tua. Alius, Præparabis cor eorum ad attendendum auri tuæ. 42. *Iudicare pupillo & humili: vt non apponat vltrà magnificare se homo super terram.* Alius, Vt iudices pupillum & oppressum. Vides Prophetam malorum maiorem curam gerere? Est enim eorum maximè malè pati. Is enim qui iniuria afficitur, accipit damnum pecuniæ, ille autem versatur in rerum maximarum periculo. Quid tum enim si non sentiunt ægritudinem, qua vexantur? eò magis crescit eorum stupor, & eo nomine magis oportet eorum misereri. Nam pueri etiam terribiliū nullam ducunt rationem: sed sæpe etiam in ignem manus immittunt, personas autem inanes videndo pertimescunt. His sunt auari similes, qui paupertatem quidem verentur, quæ non modò terribilis non est, sed fundamentum potius est securitatis, iniustas autem diuitias, & alienorum bonorum inuasionem multi faciunt, quod est quouis igne terribilius. Semper enim malum est auaritia. Vt ea ergo excindatur, semper rogat Propheta, minans, terrens, Deum rogans, vt exurgat ad puniendum talem mentis stuporem. Et ideo subiungit dicens: Peribitis gentes de terra illius. minans illis interitum, & rogans vt sit adiutor & vindex eorum, qui iniuria afficiuntur: vt & hi respirent, illi verò castigentur. Nemo ergo opum & facultatum copiam persequatur. Multa hinc mala oriuntur iis qui non attendunt, arrogantia, socordia, inuidia, vana gloria, & alia multò his maiora. Sed vt ab his omnibus malis liberemini, radicem excindite. Si enim ea non maneat, mala germina non germinant. Et ideo hæc dicta sunt, non solùm vt audiamus, sed etiam vt corrigamur, & multam in Christo Iesu virtutem exhibeamus, cui gloria & imperium, in sæcula sæculorum, Amen.

Antithesis sententiosa. Confirmat.

1.Tim. 2. Ex diuitiis iniustis parta, mala.

A κἂν μὴ νῦν δῷ δίκην ὁ δυνάστης, ὁ ἅρπαξ, ὁ πλεονέκτης, δώσει πάντως. μένει γὰρ ὁ ἀπαιτῶν, καὶ βασιλεύει διηνεκῶς. ἀπόλεσθε ἔθνη ἐκ τῆς γῆς αὐτοῦ. τὴν ἐπιθυμίαν τῶν πενήτων εἰσήκουσας, κύριε· τὴν ἑτοιμασίαν τῆς καρδίας αὐτῶν προσέσχε τὸ οὖς σου. ἄλλος, τὴν πρόθεσιν τῆς καρδίας αὐτῶν ἠκροάσατο τὸ οὖς σου. ἄλλος, ἑτοιμάσεις καρδίας αὐτῶν, προσέσχεν οὖς σου. κρῖναι ὀρφανῷ καὶ ταπεινῷ, ἵνα μὴ προσθῇ ἔτι τοῦ μεγαλαυχεῖν ἄνθρωπος ἐπὶ τῆς γῆς. ἄλλος, κρῖναι ὀρφανῷ καὶ τεθλασμένῳ. ὁρᾷς τὸν προφήτην B τὴν πλείονα λόγον ὑπὲρ τῶν πονηρῶν ἐπιμελείας ποιούμενον; τούτων γὰρ μάλιστα τὸ κακῶς πάσχειν. τοῖς μὲν γὰρ ἀδικουμένοις, χρημάτων ἡ ζημία· τοῖς δὲ, περὶ τῶν ἐσχάτων ὁ κίνδυνος. τί γὰρ εἰ καὶ μὴ αἰσθάνονται τῆς ἀρρωστίας ἔνθα εἰσίν; ἐπίτασις τοῦτο ἀναισθησίας· καὶ διὰ τοῦτο μάλιστα αὐτοὺς χρὴ ἐλεεῖν· τοῦτο ἀτελοῦς διανοίας. ἐπεὶ καὶ τὰ παιδία τῶν μὲν φοβερῶν οὐδένα ποιοῦνται λόγον, ἀλλὰ καὶ πυρὶ πολλάκις ἐπαφιᾶσι τὰς χεῖρας· προσωπεῖα δὲ διάκενα δεδίττονται καὶ τρέμουσιν ὁρῶντα. τούτοις ἐοίκασιν οἱ C πλεονέκται, πενίαν μὲν δεδιότες, ὅπερ οὐκ ἔστι φοβερὸν, ἀλλὰ καὶ ἀσφαλείας ὑπόθεσις· πλοῦτον δὲ ἄδικον καὶ πλεονεξίαν περὶ πολλοῦ ποιούμενοι, ὃ πυρός ἐστι παντὸς φοβερώτερον. πανταχοῦ γὰρ ἡ πλεονεξία κακόν. ταύτην τοίνυν διὰ παντὸς ἐκκόπτειν παρακαλεῖ ὁ προφήτης, ἀπειλῶν, φοβῶν, τὸν Θεὸν παρακαλῶν ἐπὶ τὴν κόλασιν ἀναστῆναι τῆς τοιαύτης ἀναλγησίας. διὸ καὶ ἐπάγει λέγων· ἀπόλεσθε ἔθνη ἐκ τῆς γῆς αὐτοῦ, πανωλεθρίαν αὐτοῖς ἀπειλῶν, καὶ ἀξιῶν γενέσθαι βοηθὸν καὶ ἔκδικον τῶν ἀδικου- D μένων, ὥστε καὶ τούτους ἀναπνεῦσαι, κἀκείνους σωφρονισθῆναι. μηδεὶς τοίνυν διωκέτω χρημάτων περιουσίαν. πολλὰ ἐντεῦθεν τοῖς μὴ προσέχουσι τίκτεται κακά· ἀπόνοια, ῥαθυμία, φθόνος, κενοδοξία, καὶ ἕτερα πολλῷ πλείονα τούτων. ἀλλ' ἵνα ἀπαλλαγῆτε τούτων ἁπάντων, τὴν ῥίζαν ἐκκόψατε. μὴ μενούσης γὰρ αὐτῆς, οὐ βλαστάνει τὰ πονηρὰ βλαστήματα. διὰ τοῦτο καὶ ταῦτα εἴρηται· οὐχ ἵνα ἀκούωμεν μόνον, ἀλλ' ἵνα καὶ διορθώμεθα, καὶ πολλὴν τὴν ἀρετὴν ἐν Χριστῷ Ἰησοῦ ἐπιδειξώμεθα· ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΕΙΣ ΤΟΝ Δ. ΨΑΛΜΟΝ.

ΕΙΣ ΤΟ ΤΕΛΟΣ ΤΩι ΔΑΒΙΔ. Ἄλλος, ΕΠΙΝΙΚΙΟΝ τοῦ Δαβίδ. ἄλλος, τῷ νικοποιῷ.

ΕΠΙ τῷ κυρίῳ πέποιθα, πῶς ἐρεῖτε τῇ ψυχῇ μου, μεταναστεύου ἐπὶ τὰ ὄρη ὡς στρουθίον; ἄλλος, ἀναστατοῦ εἰς τὰ ὄρη ὡς στρουθίον. ἄλλος, μετακινοῦ. ὅτι ἰδοὺ οἱ ἁμαρτωλοὶ ἐνέτειναν τόξον· ἡτοίμασαν βέλη εἰς φαρέτραν, τοῦ κατατοξεῦσαι ἐν σκοτομήνῃ τοὺς εὐθεῖς τῇ καρδίᾳ. ἄλλος, ὡς ἐν ζόφῳ. ὅτι ἃ σὺ κατηρτίσω, αὐτοὶ καθεῖλον. ἄλλος, ὅτι οἱ θεσμοὶ καταλυθήσονται. ἄλλος, ὅτι αἱ διδασκαλίαι συντριβήσονται. μεγάλη τῆς ἐπὶ τὸν κύριον ἐλπίδος ἡ δύναμις, φρούριον ἀχείρωτον, τεῖχος ἄμαχον, συμμαχία ἀκαταγώνιστος, λιμὴν εὔδιος, πύργος ἀκαταμάχητος, ὅπλον ἀήττητον, δύναμις ἄμαχος καὶ ἐκ τῶν ἀπόρων εὑρίσκουσα πόρον. διὰ ταύτης ἄοπλοι τῶν ὡπλισμένων, καὶ γυναῖκες ἀνδρῶν περιεγένοντο, καὶ παῖδες τῶν τὰ πολεμικὰ μεμελετηκότων ἰσχυρότεροι μετὰ πολλῆς τῆς εὐκολίας ἀνεφάνησαν. καὶ τί θαυμαστὸν εἰ πολεμίων ἐκράτησαν, ὅπου γε καὶ αὐτοῦ τοῦ κόσμου περιεγένοντο; τὰ γὰρ στοιχεῖα τὴν οἰκείαν ἀγνοήσαντα φύσιν, πρὸς τὸ χρήσιμον ἐκείνοις μετεβάλλοντο· καὶ τὰ θηρία οὐκ ἔτι θηρία ἦν, οὐδὲ ἡ κάμινος κάμινος. ἡ γὰρ εἰς τὸν Θεὸν ἐλπὶς πάντα μεταρρυθμίζει. ὀδόντες τεθηγμένοι, καὶ δεσμωτήριον στενόν, φύσεως ἀγριότης, καὶ λιμὸς ὀπλίζων τὴν φύσιν, διάφραγμα οὐδαμοῦ, καὶ στόματα τοῦ σώματος πλησίον τοῦ προφήτου· ἀλλ' ἡ εἰς τὸν Θεὸν ἐλπὶς χαλινοῦ παντὸς ἰσχυροτέρα, εἰς τὰ στόματα ἐμπεσοῦσα, εἰς τοὐπίσω ταῦτα ἀνεῖλκε. ταῦτα δὴ καὶ οὗτος φιλοσοφῶν, ἔλεγε πρὸς τοὺς κελεύοντας αὐτὸν φυγεῖν καὶ δραπετεῦσαι, καὶ ἀπὸ τῆς τῶν τόπων ἀσφαλείας τὴν σωτηρίαν ἑαυτοῦ πορίζεσθαι· ἐπὶ τῷ κυρίῳ πέποιθα· πῶς ἐρεῖτε τῇ ψυχῇ μου; τί λέγεις; τὸν τῆς οἰκουμένης δεσπότην ἔχω σύμμαχον· τὸν

B

C

D

IN PSALMVM X.

IN FINEM DAVID. Alius, *Triumphale Dauid.* Alius, *victoriæ effectori.*

IN Domino confido, quomodo dicetis animæ meæ: Transmigra in montem sicut passer? Alius, Transi in montes sicut passer. Alius, Transmouere. 2. *Quoniam ecce peccatores intenderunt arcum, parauerunt, sagittas suas in pharetra, Vt sagittent in obscuro rectos corde.* Alius, Quasi in caligine. *Quoniam quæ tu perfecisti destruxerunt.* Alius, Quoniam leges dissolutæ sunt. Alius, Quoniam doctrinæ confringentur. Magnæ sunt vires spei in Dominum, præsidium quod non potest superari: portus tranquillus, turris quæ nequit expugnari, arma insuperabilia, vires inuictæ, & quæ in rebus difficillimis & impeditissimis exitum inueniunt. Per eam, inermes armatos, & mulieres viros superauerunt: & pueri, iis qui in rebus bellicis exercitati fuerant, facilè superiores fuere. Quid mirum autem si hostes vicerunt, quando ipsum quoque mundum superarunt? Elementa enim propriam ignorantia naturam, ad id quod erat illis vtile, mutata sunt, & feræ non erant amplius feræ, nec fornax fornax. Omnia enim componit spes in Deum. Dentes erant acuti, & arctus carcer, naturæ immanitas, & fames naturam irritans: nusquam autem erat quod eas arceret septum, & ora Prophetæ corpori erant proxima: sed spes in Deum, quæ est quouis fræno potentior, in ora earum irruens, eas retrò trahebat. Eadem ipse quoque philosophatus, dicebat iis qui eum iubebant effugere, & ex locorum tutela sibi salutem parare: In Domino confido, quo modo dicetis animæ meæ, Quid dicis? Eum qui est orbis terræ dominus, habeo adiutorem: eum qui

Hebr. 8. Iudic. 4. 1. Reg. 17. Iudith. 13.

Daniel. 3. Dan. 6.

vbique omnia facilè facit, habeo ducem, & à partibus meis stantem, & me mittis ad terram inhabitabilem, & ex solitudine cautionem comparas? Maiúsne fuerit ex solitudine auxilium, quàm ex eo qui omnia potest quàm facillimè? Quid me pulchrè armatum, tãquam nudum & inermem ad fugam incitas, & transmigrare iubes? Deinde eum quidem qui habet exercitum, murísque & armis munitus est, non iuberes fugere in desertum, sed videreris ridiculus esse si hæc consuleres. Eum autem qui habet secum orbis terræ dominum exterminas, & mittis in exilium, & iubes trãsmigrare propter bellum, quod peccatores inferunt? Cum his enim quæ dicta sunt, hæc etiam alia causa est, cur non fugiam. Quando enim & Deus fert auxilium, & peccatores sunt ij, qui bellum gerunt, quomodo non longè est omnium stultissimus, qui iubet imitari auium timiditatem? Non consideras quomodo exercitus, qui contra me stat in acie, est vilior aranea? Si enim Imperatoris terreni inimicus, vbicunque fuerit, in periculo viuit, timet, & contremiscit: multò magis Dei vniuersorum. Quocunque enim venerit, omnes habet inimicos, atque adeò ipsam etiam creaturam. Quemadmodum enim amicos eius & elementa & bestiæ metuunt, & omnis creatura reueretur: ita inimicum & hostem bello petunt & execrantur vel ipsa etiam insensilia. Et ideo illos quidem prius quàm vel terram tangerent, feræ confecerunt: hos verò ignis consumpsit. At habent arcus & pharetram, & eis parata sunt omnia: Pararunt enim, inquit, ea in pharetra: sed nullæ sunt eorum vires, nec eos propterea timemus. Nam neque si viderem quempiam qui haberet arcum solutum, timerem. Quid enim iuuant arma, si non sit virtus? Nec hîc ergo, si non adsit Dei beneuolentia. At dolos struunt, & non rectâ aggrediuntur, & propterea eos maximè rideo, quòd sagittant in tenebris. Nihil enim imbecillius viro qui struit insidias. Non opus habet vt armis aliorum capiatur: sed cadit manu propria, & sua ipsius fraude euertitur. Quid ergo possit esse eo imbecillius, quando capitur à propriis

Iob.42.2. Sap.11.12.

Sap.5.19. Collatio.

A πανταχοῦ εὐκόλως ἐργαζόμενον πάντα, ἐκεῖνον στρατηγοῦντα ἔχω καὶ παριστάμενον· καὶ πρὸς τὴν ἀοίκητόν με πέμπεις, καὶ ἀπὸ τῆς ἐρημίας μοι συνάγεις τὴν ἀσφάλειαν; μὴ γὰρ μείζων ἡ τῆς ἐρημίας βοήθεια τοῦ πάντα δυναμένου μετ' εὐκολίας ἁπάσης; τί με τὸν ὡπλισμένον ἰσχυρῶς, καθάπερ γυμνὸν καὶ ἄοπλον διαπτοεῖν παρασκευάζεις, καὶ μετανάστην εἶναι κελεύεις; εἶτα τὸν μὲν στρατόπεδον ἔχοντα, καὶ τείχεσι πεφραγμένον καὶ ὅπλοις, οὐκ ἂν ἐκέλευσας καταφυγεῖν ἐπὶ τὴν ἔρημον, δηλαδὴ
B καταγέλαστος ἂν ἐφαίνης ταῦτα συμβουλεύων· τὸν δὲ ἔχοντα τὸν τῆς οἰκουμένης δεσπότην μεθ' ἑαυτοῦ ἐξορίζεις καὶ φυγαδεύεις, καὶ μετανάστην ποιεῖς, διὰ τὸν παρὰ τῶν ἁμαρτωλῶν πόλεμον; μετὰ γὰρ τῶν εἰρημένων, καὶ τοῦτο ἕτερον δικαίωμα ἔχω τοῦ μὴ φεύγειν. ὅταν γὰρ καὶ ὁ Θεὸς βοηθῇ, καὶ ἁμαρτωλοὶ οἱ πολεμοῦντες, πῶς οὐ τὴν ἐσχάτην ὀφλισκάνει ἀγροικίαν ὁ συμβουλεύων τῶν ὀρνίθων μιμεῖσθαι τὸ ψοφοδεές; οὐκ ἐννοεῖς τὸ ἀντιπαρατεταγμένον μοι στρατόπεδον, πῶς ἀράχνης εὐτελέστερον; εἰ γὰρ ὁ τοῦ βασιλέως ἐχθρὸς τοῦ ἐπιγείου, ὅπου
C ἂν παραγένηται, ἐπισφαλῶς ζῇ, καὶ δέδοικε, καὶ τρέμει· πολλῷ μᾶλλον ὁ τοῦ τῶν ὅλων Θεοῦ. ὅπου γὰρ ἂν ἀφίκηται, πάντας ἔχει πολεμίους, καὶ αὐτὴν τὴν κτίσιν. καθάπερ γὰρ τοὺς φίλους αὐτοῦ καὶ τὰ στοιχεῖα καὶ τὰ θηρία δέδοικε, καὶ πᾶσα ἡ κτίσις αἰδεῖται· οὕτω τὸν ἐχθρὸν καὶ πολέμιον, καὶ τὰ ἀναίσθητα πολεμεῖ καὶ διαπτύει. διά τοι τοῦτο τοὺς μὲν, πρὶν ἢ τοῦ ἐδάφους ἅψασθαι, διειργάσαντο τότε οἱ θῆρες· τοὺς δὲ τὸ πῦρ κατηνάλωσεν. ἀλλὰ τόξα καὶ φαρέτραν ἔχουσι, καὶ παρεσκευασμένα αὐτοῖς ἅπαντα. ἡτοίμασαν γὰρ αὐτὰ, φησιν, εἰς φαρέτραν. ἀλλ' οὐ-
D δεμία τούτων ἰσχὺς, οὐδὲ ἐντεῦθεν δεδιττόμεθα. οὐδὲ γὰρ εἴ τινα ἐκλελυμένον εἶδον τόξον ἔχοντα, ἔδεισα ἄν. τί γὰρ ὄφελος ὅπλων, ἰσχύος οὐκ οὔσης; οὐ τοίνυν οὐδὲ ἐνταῦθα, τῆς παρὰ τοῦ Θεοῦ εὐνοίας ἀπούσης. ἀλλὰ δόλους ῥάπτουσι, καὶ οὐκ ἐξ εὐθείας προσέρχονται. διὰ τοῦτο μάλιστα αὐτῶν καταγελῶ, ὅτι ἐν σκοτομήνῃ βάλλουσιν. οὐδὲν γὰρ ἀσθενέστερον ἀνδρὸς ἐπιβουλεύοντος. οὐ δεῖται τοῖς ἑτέρων ὅπλοις ἁλῶναι, ἀλλ' ὑπὸ τῆς οἰκείας πίπτει χειρὸς, καὶ τῷ ἑαυτοῦ περιτρέπεται δόλῳ. τί δ' ἂν γένοιτ' ἂν ἀσθενέστερον, ὅταν ὑπὸ

τῶν οἰκείων μηχανημάτων αἱρῆται; μετὰ δὲ τούτων ἔστι καὶ ἕτερον εἰπεῖν· ὅτι οὐχ ἁμαρτωλοὶ μόνον τοὺς ὑπὸ Θεοῦ βοηθουμένους καὶ μετὰ δόλου πολεμοῦσιν· ἀλλ' ὅτι καὶ πρὸς τοὺς ἀνθρώπους, καὶ οὐδὲν αὐτοὺς ἠδικηκότας. οὐχ ὡς ἔτυχε δὲ καὶ τοῦτο αὐτοὺς ἀσθενεῖς ἐργάζεται. καθάπερ γὰρ οἱ πρὸς κέντρα λακτίζοντες, ἐκεῖνα μὲν οὐδὲν ἔβλαψαν, τοὺς δὲ ἑαυτῶν πόδας ᾕμαξαν· οὕτω δὴ καὶ οὗτοι. μετὰ δὲ τούτων, καὶ ἑτέρα τις αἰτία καταλύουσα αὐτῶν τὴν ἰσχὺν τοῦ πολέμου ἐστί. ποία δὴ αὕτη; ὅτι ἃ σὺ κατηρτίσω, αὐτοί, φησι, καθεῖλον. ὃ δὲ λέγει, τοιοῦτόν ἐστι. σοὶ πολεμοῦσι καὶ μάχονται, τὸν νόμον σου καὶ τὰ προστάγματά σου καθαιροῦντες. καὶ γὰρ τὰ σὰ προστάγματα καθελεῖν ἐπιχειροῦσι, καὶ ταῦτα κατηρτισμένα. ἢ τοῦτό φησιν, ἢ ὅτι καὶ παραβάται τοῦ νόμου εἰσί. καὶ αὕτη δὲ οὐ μικρὰ ἀσθενείας ὑπόθεσις, τὸ τὰ σὰ μὴ φυλάξαντας, οὕτως εἰς πόλεμον ἰέναι. διὰ γὰρ τοῦτο καὶ εὐθέσι πολεμοῦσι, καὶ δόλους ῥάπτουσιν, ἐπειδὴ τῶν σῶν οὐκ ἀκούουσι προσταγμάτων. διηγησάμενος τοίνυν περὶ τῆς ἀσθενείας τῶν πολεμίων, καὶ ταύτην δείξας (οὐκ ἀπὸ τούτων, ἀφ' ὧν ἕτεροι, ἀλλ' ἀφ' ὧν αὐτῷ πρέπον ἦν (οὐ γὰρ εἶπε, χρήματα οὐκ ἔχουσιν, οὐδὲ φρούρια, οὐδὲ συμμάχους, οὐδὲ πόλεις, οὐδ' ὅτι πολέμων εἰσὶν ἄπειροι, ἀλλὰ πάντα ταῦτα παραδραμὼν καὶ διαπτύσας ὡς οὐδὲν ὄντα, καὶ εἰπὼν ὅτι παράνομοί εἰσιν, ὅτι πολεμοῦσι τοῖς οὐδὲν ἠδικηκόσι, ὅτι τὰ τοῦ Θεοῦ καθαιροῦσι) λέγει λοιπὸν καὶ τὴν τῶν δικαίων παράταξιν, κἀντεῦθεν δείκνυσι τὸ ἐκείνων εὐχείρωτον. οὕτω καὶ ἡμεῖς τὸν ἰσχυρὸν καὶ τὸν ἀσθενῆ δοκιμάζωμεν· ἀλλὰ μὴ ἀφ' ὧν οἱ καταγέλαστοι τῶν ἀνθρώπων φοβοῦνται, ἐκ τούτων μᾶλλον φοβώμεθα. τί γάρ φασι; δεινός ἐστι, πονηρός ἐστι, χρημάτων ὄγκον περιβέβληται καὶ δυναστείαν. διὰ τοῦτο μάλιστα αὐτοῦ καταγελῶ. ταῦτα γὰρ εἴδη ἀσθενείας ἐστίν. ἀλλ' οἶδεν ἐπιβουλεύειν, φησί· πάλιν ἕτερον εἶδος μοι λέγεις ἀσθενείας. τί οὖν ὅτι πολλοὶ περιγίνονται τοιοῦτοι ὄντες; ἐπειδὴ σὺ καλῶς πυκτεύειν οὐκ οἶδας· ἐπειδὴ καὶ σὺ ὑπὲρ τῶν αὐτῶν παγκρατιάζεις, ἀφ' ὧν ἐκεῖνοι γίνονται ἀσθενέστεροι, περὶ δόξης καὶ δυναστείας. φεῦγε τοῦ ἀγῶνος τὴν ὑπόθεσιν, καὶ ἑτέρωθεν βάλλε τοὺς ἐπιόντας, ἐπιεικείᾳ τὸν

A machinationibus? Cum his autem possumus etiam aliud dicere, quòd non solùm bellum gerunt aduersus eos, quibus Deus fert auxilium, idque cum dolo: sed quòd etiam aduersus innocentes, & qui eos nulla affecerunt iniuria. Hoc autem eos non parum reddit imbecillos. Quemadmodum enim qui aduersus stimulos calcitrant, illos quidem non lædunt, sed suos pedes cruentant: ita hi etiam. Cum his autem alia quoque causa est, quæ belli eorum vires frangit. Quænam autem ea est? 3. *Quoniam quæ perfecisti, inquit, destruxerunt.* B Quod autem dicit, est eiusmodi. Tecum bellum gerunt & præliantur, legem tuam & præcepta tua destruentes. Præcepta enim tua eáque perfecta conantur destruere. Vel hoc dicit, vel quòd etiam sunt legis transgressores. Iam verò hoc quoque est non paruum argumentum imbecillitatis, quòd qui tua præcepta non custodierunt, in bellum proficiscuntur. Propterea enim & cum rectis bellum gerunt, & dolos struunt, quoniam tua præcepta non audiunt. Postquam igitur narrauit hostium imbecillitatem, eámque ostendit C non ex iis ex quibus alij, sed ex his quæ sibi conueniebant, (non enim dixit, Pecunias non habent, non præsidia, nec socios, nec vrbes, nec quòd sunt rei militaris imperiti, sed his omnibus prętermissis & repudiatis, vt quæ nihil essent, cùm dixisset eos esse iniquos, & bellum gerere cum iis qui nullam fecerant iniuriam, & quæ Dei sunt destruere) dicit deinceps iustorum aciem, ex eo ostendens quàm sint hostes expugnatu faciles. Ita nos etiam eum qui est potens & imbecillus, examinemus, sed non propter ea maximè D timeamus, propter quæ timent homines ridiculi. Quid enim dicunt? Est terribilis, improbus, ingenti pecunia & opibus munitus. Propterea eum maximè rideo. Hæc enim sunt genera imbecillitatis. At scit, inquit, tendere insidias. Rursus mihi dicis aliud genus imbecillitatis. Quid est ergo in causa quòd multi vincunt, qui tales sunt? quoniam tu rectè pugnare nescis. Quoniam tu quoque de eis decertas, ex quibus illi fiunt imbecilliores, nempe de gloria & potentia. Fuge causam certaminis, & alia parte feri eos qui te inuadunt, arrogantem moderatione ac

Simili confirmat.

Formula Christi agonis inuadi.

lenitate, auarum paupertate, incontinentem continentia, inuidum humanitate: & ita eum vinces facilè. Sed, sicut prius dixi, dum narrarem imbecillitatem hostium, vide quomodo iusti quoque dicit armaturam. Subiungit enim: *Iustus autem quid fecit?* Hoc est, Cùm illi autem sic instruerent aciem, quæris vndenam se iustus armauerit? Audi: 4. *Dominus in templo sancto suo: Dominus in cœlo sedes eius.* Vides quàm paucis eius narrauit auxilium. Quid fecerit rogas? Ad Dominum confugit qui est in cœlis, qui est vbique præsens. Non arcum intendit: nec pharetram parauit sicut ille, nec aciem instruxit in occulto: sed his omnibus spem in Deum in omnes obiecit, & cum illis opposuit, qui nullo horum indiget, non loco, non tempore, non armis, non pecuniis, sed solo nutu omnia peragit. Vidisti inexpugnabile, expeditúmque & facile auxilium? *Oculi eius in pauperem respiciunt, palpebræ eius interrogant filios hominum. Dominus interrogat iustum & impium. Qui autem diligit iniquitatem, odit animam suam.* Alius, Palpebræ eius probant. Alius, Dominus iustus examinator. Alius, Iustum probat & impium, & eum qui amat iniusta, odit anima eius. Alius, Qui amat iniustitiam, odio habet animam suam. Vidisti paratum adiutorem, promptum opitulatorem, vbique præsentem, omnia videntem, omnia respicientem: cuius hoc maximè munus est, etsi nullus eum roget, prouidere, curam gerere, eos qui iniuriam faciunt prohibere, iis quibus fit iniuria succurrere, illorum rectè facta remunerare, his pro peccatis supplicia infligere? Nihil ergo ignorat: oculi enim eius orbem terræ respiciunt. Non solùm autem hoc, sed etiam ea vult corrigere. Et ideo alius quoque hoc ipsum significans dicebat, Iustus. Si enim iustus, non inducet in animum vt hæc temerè fieri permittat. Auersatur malos, laudat iustos. Deinde quod in priori Psalmo dicebat, ostendens satis esse vitium ad ipsos consumendos, hoc hic etiam significans, subiunxit: Qui autem amat iniustitiam, odit animam suam. Est enim animæ inimicum vitium, infestū, & perniciosum. Quare

Hebr.4.

Rom.1.2.

Psal.118.

Hier.23.

A ἀλαζόνα, πυνία τὸν πλεονέκτην, ἐγκρατεία τὸν ἀκόλαστον, φιλοφροσύνη τὸν φθονερόν· καὶ οὕτως αὐτῶν περιέσῃ ῥᾳδίως. ἀλλ᾽, ὅπερ ἔφθην εἰπών, διηγησάμενος τὴν ἀσθένειαν τῶν ἀντιδίκων, ὅρα πῶς καὶ τοῦ δικαίου λέγει τὴν πανοπλίαν. ἐπάγει γάρ· ὁ δὲ δίκαιος τί ἐποίησε; τουτέστιν· ἐκείνων οὕτω παραταττομένων, ζητεῖς πόθεν ὡπλίσατο ὁ δίκαιος; ἄκουε· κύριος ἐν ναῷ ἁγίῳ αὐτοῦ· κύριος ἐν οὐρανῷ ὁ θρόνος αὐτοῦ. εἶδες πῶς συντόμως τὴν συμμαχίαν αὐτοῦ διηγήσατο; τί ἐποίησεν ἐρωτᾷς; ἐπὶ τὸν Θεὸν κατέφυγε τὸν ἐν τῷ οὐρανῷ, τὸν πανταχοῦ παρόντα. B οὐ τόξα ἔτεινεν, οὐδὲ φαρέτραν ἡτοίμαζε, καθάπερ ἐκεῖνος, οὐδὲ ἐν σκοτομήνῃ παρετάξατο· ἀλλὰ πάντα ταῦτα ἀφεὶς, τὴν εἰς τὸν Θεὸν ἐλπίδα πᾶσιν ἐπετείχισε, καὶ τούτων αὐτοῖς ἀντέστησε, τὸν οὐδενὸς τούτων δεόμενον οὐ καιρῶν, οὐ τόπων, οὐχ ὅπλων, οὐ χρημάτων, ἀλλὰ νεύματι πάντα ἀνύοντα. εἶδες συμμαχίαν ἀμαχόν τε, καὶ εὔκολον, καὶ ῥᾳδίαν; οἱ ὀφθαλμοὶ αὐτοῦ εἰς τὸν πένητα ἐπιβλέπουσι, τὰ βλέφαρα αὐτοῦ ἐξετάζει τοὺς υἱοὺς τῶν ἀνθρώπων. κύριος ἐξετάζει τὸν δίκαιον καὶ τὸν ἀσεβῆ, ὁ δὲ ἀγα- C πῶν τὴν ἀδικίαν, μισεῖ τὴν ἑαυτοῦ ψυχήν. ἄλλος, τὰ βλέφαρα αὐτοῦ δοκιμάζει. ἄλλος, κύριος δίκαιος ἐξεταστής. ἄλλος, δίκαιον δοκιμάζει καὶ ἀσεβῆ, καὶ ἀγαπῶντα ἄδικα ἐμίσησεν ἡ ψυχὴ αὐτοῦ. ἄλλος, ὁ ἀγαπῶν ἀδικίαν, μισεῖ τὴν ἑαυτοῦ ψυχήν. εἶδες σύμμαχον παρεσκευασμένον, βοηθὸν εὐτρεπισμένον, πανταχοῦ παρόντα, πάντα ὁρῶντα, πάντα βλέποντα, τοῦτο ἔργον ἔχοντα μάλιστα, κἂν μηδεὶς ὁ παρακαλῶν ᾖ, προνοεῖν, κήδεσθαι, κωλύειν ἀδικοῦντας, βοηθεῖν ἀδικουμένοις, τοῖς μὲν ἀποδιδόναι τὰς ἀ- D μοιβὰς τῶν κατορθωμάτων, τοῖς δὲ πιθέναι τὰς τιμωρείας τῶν ἁμαρτημάτων; οὐδὲν οὖν ἀγνοεῖ. οἱ γὰρ ὀφθαλμοὶ αὐτοῦ ἐπιβλέπουσι τὴν οἰκουμένην. οὐκ ἐπίσταται δὲ μόνον, ἀλλὰ καὶ βούλεται αὐτὰ διορθοῦν. διὸ καὶ ἕτερος τοῦτο αὐτὸ δηλῶν εἶπε, δίκαιος. εἰ γὰρ δίκαιος, οὐκ ἀνέξεται ταῦτα ἁπλῶς περιορᾶν γινόμενα. ἀποστρέφεται τοὺς πονηροὺς, ἐπαινεῖ τοὺς δικαίους. εἶτα ὅπερ ἐν τῷ προτέρῳ ψαλμῷ ἔλεγε, δεικνὺς ὅτι καὶ αὐτὴ ἡ κακία ἱκανὴ αὐτοὺς ἀναλῶσαι, τοῦτο καὶ ἐνταῦθα δηλῶν ἐπήγαγεν· ὁ δὲ ἀγαπῶν τὴν ἀδικίαν, μισεῖ τὴν ἑαυτοῦ ψυχήν. πολέμιον γὰρ τῇ ψυχῇ πονηρία, ἐχθρὸν καὶ ὀλέθριον· ὥστε καὶ περὶ τῆς

κολάσεως, δίκην δίδωσιν ὁ πονηρός. εἶδες πῶς A διαλαβόντες πανταχόθεν δείκνυσι τοὺς ἐπιβουλευομένους, ὅταν καὶ τοιοῦτον ἔχῃ σύμμαχον, καὶ ἐκεῖνοι ὑπὸ τῶν οἰκείων ὅπλων ἁλίσκωνται, δι' ὧν φράττονται, διὰ τούτων δαπανώμενοι, καὶ ἑαυτοὺς βλάπτοντες. εἶδες τῆς συμμαχίας τὴν εὐκολίαν; οὐ γὰρ δεῖ βαδίσαι που, καὶ δραμεῖν, οὐδὲ χρήματα ἀναλῶσαι, τοῦ Θεοῦ πανταχοῦ παρόντος, καὶ πάντα ὁρῶντος. ἐπιβρέξει ἐπὶ ἁμαρτωλοὺς παγίδας. πῦρ καὶ θεῖον καὶ πνεῦμα καταιγίδος, ἡ μερὶς τοῦ ποτηρίου αὐτῶν. ὅτι δίκαιος κύριος, καὶ δικαιοσύνας ἠγάπησεν, εὐθύτητας εἶδε τὸ πρόσωπον αὐτοῦ. ἄλλος, ὕσει ἐπὶ παρανόμους ἄν- B θρακας. ἄλλος, εὐθύτητας ὄψεται τὸ πρόσωπον αὐτῶν, τουτέστι, τῶν δικαίων, ἢ αὐτοῦ, τοῦ Θεοῦ. εἰπὼν τὴν ἀπὸ τῆς κακίας δίκην, ἐπειδὴ ταύτης πολλοὶ καταφρονοῦσι, λοιπὸν καταπλήττει τὴν τῶν πονηρῶν διάνοιαν ἀπὸ τῆς ἄνωθεν φερομένης πληγῆς, ἐμφατικῶς τῷ λόγῳ χρώμενος, καὶ διὰ φοβερῶν ὀνομάτων προϊών. πῦρ γὰρ καὶ θεῖον, καὶ πνεῦμα καταιγίδος, καὶ ἄνθρακας αὐτοῖς ἄνωθεν λέγει ὕσειν· τῇ μεταφορᾷ τῶν λέξεων, τὸ ἄφυκτον τῆς τιμωρίας, τὸ δαψιλὲς τῆς κολάσεως, τὸ εὔκολον τῆς πληγῆς, τὸ δαπανητικὸν παρα- C στῆσαι βουλόμενος. τί ἐστιν ἡ μερὶς τοῦ ποτηρίου αὐτῶν; τοῦτο αὐτοῖς κλῆρος, φησι, τοῦτο κτῆμα, τούτῳ ἐνδιατρίψουσιν, ἐν τούτοις δαπανηθήσονται. εἶτα καὶ ἡ αἰτία· ὅτι ὁ πάντα ἐφορῶν, οὐκ ἀνέξεται ταῦτα ἀτιμωρητὶ παραδραμεῖν. ὅπερ καὶ ἕτερος προφήτης φησί· καθαρὸς ὁ ὀφθαλμός σου τοῦ μὴ ὁρᾷν πονηρὰ, καὶ ἐπιβλέπειν ἐπὶ πόνους οὐ δυνήσῃ· τοῦτο καὶ ἐνταῦθα παρίστησι λέγων· ὅτι δίκαιος κύριος, καὶ δικαιοσύνας ἠγάπησε. τοῦτο τοῦ Θεοῦ μάλιστα ἐξαίρετον, ἀποδέξασθαι τὰ δίκαια, τὴν ὀρθότητα· καὶ οὐκ ἂν ἀνάσχοιτο εἰς D τέλος τῶν ἑτέρως γινομένων. διὰ δὴ τοῦτο ἀρχόμενος τοῦ ψαλμοῦ ἔλεγεν· ἐπὶ τῷ κυρίῳ πέποιθα, πῶς ἐρεῖτε τῇ ψυχῇ μου, μεταναστεύου ἐπὶ τὰ ὄρη ὡς στρουθίον; οἱ μὲν γὰρ ἐν τοῖς βιωτικοῖς πεποιθότες, οὐδὲν ἄμεινον τοῦ στρουθίου διάκεινται, ὃ τῇ ἐρημίᾳ θαῤῥοῦν, εὐχείρωτον ἅπασι γίνεται. τοιοῦτος ὁ χρήμασιν ἐλπίζων. καθάπερ ὁ στρουθὸς καὶ ὑπὸ παιδίων ἁλίσκεται, καὶ ἰξοῦ, καὶ παγίδος, καὶ μυρίοις ἑτέροις· οὕτω καὶ ὁ πλουτῶν, καὶ ὑπὸ οἰκείων καὶ ὑπὸ πολεμίων ἐπιβουλεύεται· καὶ ἐκείνου μᾶλλον ἐπισφαλέστερον ζῇ,

A vel ante supplicium dat pœnas improbus. Vidisti quomodo vndique ostendit aduersarios facilè capi posse, cùm & talem habeat adiutorem, & à propriis illi armis vincantur, per quæ muniuntur, per ea se consumentes, & seipsos lædentes? Vidisti auxilij facilitatem? Neque enim aliquò eundum, nec currendum est, nec consumendæ pecuniæ, cùm Deus sit vbique præsens, & omnia videat. 7. *Pluet super peccatores laqueos, ignis, & sulphur, & spiritus procellarum, pars calicis eorum.* 8. *Quoniam iustus Dominus, & iustitias dilexit, æquitatem vidit vultus eius.* Alius, Pluet B super iniquos carbones. Alius, Rectitudines videbit vultus eorum, hoc est, iustorum, vel etiam ipsius Dei. Postquam dixit supplicium quod ex vitio oritur, quoniam multi id contemnunt: mentem deinceps improborum concutit, & ictu qui supernè infertur, emphatica, & rem exprimente oratione vtens, & per nomina terribilia procedens. Ignem enim, & sulphur, & spiritum procellarum, & carbones dicit eis supernè pluiturum, dictionum translatione pœnam ineuitabilem, supplicij profusionem, feriendi C facilitatem, & consumptricem vim volens ostendere. Quid est, pars calicis eorum? Hæc, inquit, est sors eorum, hæc possessio: in eo versabuntur, in eo consumentur. Deinde causam quoque affert, quòd qui omnia respicit, non permittit vt hæc impunè abeant. Quod alius etiā dicit Propheta: Purus oculus tuus, ne videat mala, & super labores respicere non poteris. Hoc hîc quoque ostendit dicens: Quoniam iustus Dominus, & iustitias dilexit. Hoc Dei est eximium, quæ iusta sunt admit- D tere, æquitatē amplecti: nec quæ aliter fiunt, vnquam sustinuerit. Propterea Psalmū incipiens, dicebat: In Domino confido, quomodo dicitis animæ meæ, Transmigra in montes sicut passer? Qui enim in rebus terrenis, & iis quę ad hanc vitam pertinent, cōfidunt, nihilò melius afficiuntur quàm passer, qui fidēs solitudini, facilè capi potest ab omnibus. Talis est qui sperat in pecuniis: quemadmodum passer & à pueris, & à visco capitur, & à laqueis, & ab aliis innumerabilibus: ita etiam qui est diues, & suorum, & hostiū petitur insidiis: & in maiore quàm ille versatur periculo,

Abac. 1. 13.

Passeris in montes emigratio.

Collatio passeris & diuitis.

vt qui multos habeat, qui viscum adhibent, & ante illos malas cupiditates, & est semper transmigrator, semper tempori seruiens, & lictorum iras pertimescens, & Imperatoris indignationem, & adulatorum insidias, & fraudes amicorum: & cùm hostes irruerint, plus quàm omnes contremiscit: & cùm est pax, suspicatur insidiatores: neque enim habet diuitias stabiles, & quæ auferri nequeunt: & ideo semper volat & transmigrat, montes & deserta persequens, versans in caligine, & in meridie crassas habens tenebras, & dolos struens. Sed non talis est iustus. Viæ enim iustorum resplendent instar lucis, neque enim insidias parare, neque iniuriam facere constituunt, sed quietum & remissum habent animum. Illi autem dolos semper struentes, semper sunt in metu & in tenebris, sicut latrones, & murorum perfossores, & adulteri: & interdiu vident tenebras, cùm sit eorum anima timore conturbata. Quomodo ergo possint hæ discuti tenebræ? Si te ab his omnibus seiunxeris, & à Dei spe pependeris, etsi sis millies peccator. Respicite enim, inquit, ad antiquas generationes, & videte quis sperauit in Dominum, & confusus est? Non dixit, Iustus: sed quis? etsi sit, inquit, peccator. Hoc enim admirabile, quòd etiã peccatores anchoram hanc tenentes, sunt ab omnibus inexpugnabiles. Hoc est enim maximæ in Deum affectionis, quando tot malis oppressus, in eius benignitate habueris fiduciam. Quemadmodum enim est execrandus qui sperat in homine, ita etiam beatus est qui sperat in Deo. Ab omnibus ergo te seiũgens, hanc tene anchoram. Deus enim omnia intuetur, & quæ iusta sunt iudicat, & non solùm iudicat, sed etiam ad opus deducit: & ideo postquam dixit de eius iustitia, ostendit etiam supplicium per ignem, per procellam. Hoc autem facit illorum curam gerens, & per supplicium reddens modestiores. Omnibus ergo de causis ad eum accedamus, & perpetuo ad eum respiciamus. Ita enim etiam omnia bona consequemur, in Christo Iesu Domino nostro, cui gloria in secula seculorum, Amen.

Prou. 4.19. — *Eccli. 2.14.* — *Spes, anchora.* — *Hier. 17. A contrario collatio.*

A πολλοὺς ἔχων τοὺς ἰξεύοντας, καὶ πρὸ ἐκείνων, πονηρὰς ἐπιθυμίας· καὶ μετανάστης ἐστὶν, ἀεὶ μετὰ τῶν καιρῶν ἱστάμενος, καὶ δημίων ὀργὰς δεδοικὼς, καὶ βασιλέως θυμὸν, καὶ κολάκων ἐπιβουλὰς, καὶ φίλων δόλους. καὶ πολεμίων ἐπιστάντων, μᾶλλον πάντων τρέμει, καὶ εἰρήνης οὔσης, ὑφορᾶται τοὺς ἐπιβούλους. οὐ γὰρ ἔχει πλοῦτον μόνιμον καὶ ἀναφαίρετον. διὰ τοῦτο ἀεὶ πέτεται καὶ μετανίσταται, τὰς ἐρήμους διώκων καὶ τὰ ὄρη, ἐν σκοτομήνῃ διάγων, καὶ παχὺ σκότος ἐν μεσημβρίᾳ μέσῃ ἔχων, καὶ δόλους ῥάπτων. ἀλλ'
B οὐχ ὁ δίκαιος τοιοῦτος. αἱ γὰρ τῶν δικαίων ὁδοὶ, ὁμοίως φωτὶ λάμπουσιν. οὔτε γὰρ ἐπιβουλεύειν αἱροῦνται, οὔτε ἀδικεῖν, ἀλλ' ἀνειμένην ψυχὴν ἔχουσιν. οὗτοι δὲ ἀεὶ δόλους ῥάπτοντες, ἀεὶ ἐν σκότῳ καὶ φόβῳ εἰσὶ, καθάπερ οἱ λῃσταὶ καὶ οἱ τοιχωρύχοι καὶ οἱ μοιχοί· καὶ ἐν ἡμέρᾳ σκότος ὁρῶσι, τῆς ψυχῆς αὐτῶν ὑπὸ δέους βαλλομένης. πῶς οὖν ἂν διασκεδασθείη τὸ σκότος τοῦτο; εἰ πάντων τούτων ἑαυτὸν ἀποστήσας, ἐκκρεμασθείης τῆς ἐλπίδος τοῦ Θεοῦ, κἂν μυριάκις ἁμαρτωλὸς ᾖς. ἐμβλέψατε γὰρ, φησιν, εἰς ἀρ-
C χαίας γενεὰς, καὶ ἴδετε, τίς ἤλπισεν ἐπὶ κύριον, καὶ κατῃσχύνθη; οὐκ εἶπε, δίκαιος· ἀλλὰ, τίς; κἂν ἁμαρτωλὸς, φησι. τὸ γὰρ θαυμαστὸν τοῦτό ἐστιν, ὅτι καὶ ἁμαρτωλοὶ ταύτης ἐχόμενοι τῆς ἀγκύρας, πᾶσιν εἰσιν ἀχείρωτοι. τοῦτο γὰρ μάλιστα διαθέσεως τῆς πρὸς τὸν Θεὸν, ὅταν τοσούτοις κακοῖς βεβαρημένος, θαῤῥήσῃς αὐτοῦ τῇ φιλανθρωπίᾳ. ὥσπερ γὰρ ἐπικατάρατος ὁ ἐλπίζων ἐπὶ ἄνθρωπον, οὕτω μακάριος ὁ ἐλπίζων ἐπὶ Θεόν. πάντων τοίνυν ἀποστήσας σαυτὸν, ταύτης ἔχου τῆς ἀγκύρας. καὶ γὰρ ἐφορᾷ πάντα ὁ
D Θεὸς, καὶ κρίνει τὰ δίκαια, καὶ οὐ κρίνει μόνον, ἀλλὰ καὶ εἰς ἔργον ἐξάγει. διὰ τοῦτο εἰπὼν αὐτοῦ περὶ τῆς δικαιοσύνης, ἔδειξε καὶ τὴν τιμωρίαν, διὰ τοῦ πυρὸς, διὰ τῆς καταιγίδος· καὶ τοῦτο δὲ ποιεῖ, κηδόμενος ἐκείνων, καὶ διὰ τῆς κολάσεως σωφρονεστέρους ποιῶν. πάντων οὖν ἕνεκεν προσίωμεν αὐτῷ, καὶ διηνεκῶς βλέπωμεν πρὸς αὐτὸν ὁρῶντες. οὕτω γὰρ καὶ πάντων ἐπιτευξόμεθα τῶν ἀγαθῶν ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΕΙΣ ΤΟΝ ΙΑ. ΨΑΛΜΟΝ.

ΕΙΣ ΤΟ ΤΕΛΟΣ ΥΠΕΡ τῆς ὀγδόης. Ἄλλος, τῷ νικοποιῷ ὑπὲρ τῆς ὀγδόης. ὁ δὲ Ἑβραῖος, ἀσεμινίθ, φησι.

Σῶσόν με, κύριε, ὅτι ἐκλέλοιπεν ὅσιος, ὅτι ὠλιγώθησαν αἱ ἀλήθειαι ἀπὸ τῶν υἱῶν τῶν ἀνθρώπων. ἄλλος, ὅτι ἐπεράνθησαν πιστοὶ ἀπὸ υἱῶν ἀνθρώπων.

ΔΥΣΚΟΛΟΝ μὲν ἀρετὴ καὶ δυσκατόρθωτον καὶ καθ' ἑαυτό· μάλιστα δὲ, ὅταν ἐν σπάνει τῶν ἀγαθῶν ἀνδρῶν ὁ ἐργαζόμενος ᾖ. καθάπερ γὰρ φέρει μὲν ὁδοιπορία πόνον, πολλῷ δὲ πλέον ὅταν μόνος ὁ ὁδοιπόρος ᾖ, καὶ μηδένα τὸν κοινωνοῦντα τῆς ὁδοιπορίας ἔχῃ· οὕτω δὴ καὶ ἐνταῦθα. οὐδὲ γὰρ μικρὸν ἀδελφῶν κοινωνία καὶ παράκλησις. διὸ καὶ Παῦλός φησι· κατανοοῦντες ἑαυτοὺς εἰς παροξυσμὸν ἀγάπης καὶ καλῶν ἔργων. διὰ δὴ τοῦτο μάλιστα τοὺς παλαιοὺς μακαρίζειν ἄξιον, οὐχ ὅτι κατώρθωσαν ἀρετὴν, ἀλλ' ὅτι καὶ αὐχμοῦ πολλοῦ τῆς ἀρετῆς ὄντος, καὶ τῶν κατορθούντων οὐδαμοῦ φαινομένων. τοῦτο γοῦν καὶ ἡ γραφὴ αἰνιττομένη ἔλεγε· Νῶε δίκαιος, τέλειος ἐν τῇ γενεᾷ αὐτοῦ. διὰ τοῦτο τὸν Ἀβραὰμ θαυμάζομεν, διὰ τοῦτο τὸν Λὼτ, διὰ τοῦτο τὸν Μωϋσέα, ὅτι καθάπερ ἐν βαθείᾳ νυκτὶ ἀστέρες ἐφαίνοντο, καὶ μεταξὺ τῶν ἀκανθῶν ῥόδα, καὶ ἐν μυρίοις λύκοις πρόβατα, τὴν ἐναντίαν πᾶσιν ὁδεύοντες ὁδὸν, καὶ μὴ διακοπτόμενοι. εἰ γὰρ ἐπὶ πλήθους αὐτὸ τοῦτο δυσκολίαν φέρει, καὶ πολλῶν τὴν ἐναντίαν ποιουμένων, ὁ μόνος ἀπεναντίας τοῦ πλήθους βαδίζων, πολλὰ ὑπομένει πράγματα· καὶ εἰ ἐν ναυτιλίᾳ δὲ χαλεπὸν, τοῦ ῥοθίου τὴν ἐναντίαν φερομένου, πρὸς τὴν ἐναντίαν τὸ πλοῖον ἰθύνειν· πολλῷ μᾶλλον ἐπὶ τῆς ἀρετῆς. διὰ δὴ τοῦτο καὶ ὁ δίκαιος οὗτος, ἅτε δὴ μόνος αὐτῆς ἐπειλημμένος, πάντων τὴν ἐναντίαν βαδιζόντων, ἐπὶ τὴν

IN PSALMVM XI.

IN FINEM PRO octaua. *Alius*, victoriæ effectori pro octaua. Hebræus autem *Asiminith* inquit.

1 *Saluum me fac Domine, quoniam defecit sanctus: quoniam diminutæ sunt veritates à filiis hominum.* Alius, *Quoniam finiti sunt fideles à filiis hominum.*

ARDVA quidem res est virtus, & per se difficilis, maximè autem quando qui operatur, est in magna bonorum virorum paucitate. Quemadmodum enim viæ quidem ingressus affert laborem, multò magis autem quando fuerit solus viator, & nullum habet viæ comitem: ita hic etiam. Non parua enim res est fratrum societas, & adhortatio. Et ideo dicit etiam Paulus: Considerantes vos ipsos ad prouocationem dilectionis & bonorum operum. Et ideo sunt vel maximè beati iudicandi veteres, non quòd rectè & ex virtute se gesserint, sed quòd tum, cùm magna esset virtutis sterilitas, & nusquam apparerent, qui se rectè gererent. Hoc ergo significans quoque scriptura dicebat: Noë iustus perfectus in generatione sua. Propterea admiramur Abraham, propterea Lot, propterea Mosem, quòd veluti in profunda nocte stellæ apparebant, & tanquam rosæ inter spinas, & oues inter lupos innumerabiles, vt qui viam omnibus contrariam ingrederentur, & cœptum iter minimè interrumperent. Si hoc ipsum enim est difficile in multitudine: & qui multis contrarium iter ingredientibus ipse solus contra tendit, magnis afficitur molestiis, & si in nauigatione est difficile, cùm fluctus & æstus contra feratur, nauem in contrarium dirigere: multò magis in virtute. Propterea hic quoque iustus, vt qui solus eam apprehendisset, cæteris contra tendentibus,

Hebr.10. 24.

Gen.6.9.

Metaphora

A simili.

confugit ad Dei prouidentiam, dicens: A Saluum me fac Domine. Nihil ergo hic aliud quàm hoc significat: Superna mihi manu opus est, cœlesti ope, & illo diuino auxilio. Cùm enim viam ingrediar omnibus contrariam, magna mihi opus est prouidentia. Et non dixit: Saluum me fac, quoniam non est sanctus: sed, quoniam defecit sanctus, ostendens eos etiam qui erant, periisse, postquam inualuit vitium, & morbus superior factus est. Hoc Paulus quoque timet dicens: Nescitis quod parum fermenti totam massam fermẽtat? Et rursus: Corrumpunt bonos mores colloquia praua. Quid est autem, Diminutæ B sunt veritates? Multæ sunt veritates. Quemadmodũ in coloribus & aliis generibus alia quidẽ sunt vera, alia falsa, & est purpura vera, & purpura falsa, & in croco, & in lapidibus, & in aromatibus, & aliis eiusmodi: ita etiam in virtutibus. Veritas enim est quod verè est: mendacium autem quod non est. quoniam ergo hęc inuersa & obscurata fuerant, non quòd suam perdiderant substantiam, sed quòd ab hominibus fusa & fugata fuerant: propterea non dixit solum, Diminutæ sunt, sed adiecit, A fi- C liis hominum, hoc ipsum volens significare. Considera autem. Est ornatus verus, est etiam falsus. Quis est ergo verus ornatus? qui est in anima. Quis est autem falsus? qui est in corpore. Sunt diuitiæ veræ, sunt etiam falsæ. Falsæ, pecuniarum: veræ, rectè factorum. Est lætitia hæc quidem vera, illa verò falsa, & pulchritudines, & potentiæ, & gloriæ. Sed maxima pars hominum, horum veritate relicta, quæ falsa sunt persequitur: quemadmodum enim est homo verus & falsus: verus quidem, qui viuit & operatur: falsus D autem qui pictus est: ita etiam videre possumus in virtutibus. 2. *Vana locuti sunt vnusquisque ad proximum suum. Labia dolosa in corde, & locuti sunt mala.* Alius dixit, in corde alio & alio loquitur. Duo hic dicit vitia, & quòd vana locuti sunt, & quòd proximo suo. Vel ea quæ falsa sunt dicit vana, vel ea quæ sunt superflua & inutilia. Tale quid etiam dicit Paulus, cùm dicit: Nementimini adinuicem, & quod est omomnium grauissimum, quod omnes erant corrupti. Et ideo non dixit, hic, vel ille, sed vnusquisque. Neque enim

1.Cor.5.6. *1.Cor.15.33* *Elegans hominis.* *Ornatus duplex. Diuitiæ. Lætitia.* *Coloss.3.9.*

A τοῦ Θεοῦ προνοίαν καταφεύγει, λέγων· Σῶσόν με, Κύριε. οὐδὲν οὖν ἄλλο, ἢ τοῦτο ἐντεῦθεν δηλοῖ· τῆς ἄνωθέν μοι χρεία χειρὸς, τῆς ῥοπῆς τῆς ἐκ τῶν οὐρανῶν, τῆς συμμαχίας ἐκείνης. τὴν γὰρ ἐναντίαν πᾶσιν ὁδεύων ὁδὸν, πολλῆς δέομαι τῆς προνοίας. καὶ οὐκ εἶπε, Σῶσόν με ὅτι οὐ γέγονεν ὅσιος, ἀλλ' ὅτι ἐκλέλοιπεν ὅσιος· δεικνὺς ὅτι καὶ οἱ ὄντες ἀπώλοντο, ἐπειδὴ ἐπεκράτησεν ἡ κακία, καὶ περιεγένετο ἡ νόσος. τοῦτο καὶ Παῦλος φοβεῖται λέγων· Οὐκ οἴδατε ὅτι μικρὰ ζύμη ὅλον τὸ φύραμα ζυμοῖ; καὶ πάλιν· Φθείρουσιν ἤθη χρηστὰ ὁμιλίαι κακαί. τί ἐστιν, ὠλιγώθησαν αἱ ἀλήθειαι; πολλαί εἰσιν αἱ ἀλήθειαι. B καθάπερ ἐπὶ τῶν χρωμάτων, καὶ τῶν ἄλλων εἰδῶν, τὰ μέν ἐστιν ἀληθῆ, τὰ δὲ ψευδῆ, καὶ ἔστι πορφύρα ἀληθὴς, καὶ πορφύρα ψευδὴς, καὶ ἐπὶ τῶν λίθων, καὶ ἐπὶ ἀρωμάτων, καὶ ἐπὶ ἑτέρων τοιούτων· οὕτω δὴ καὶ ἐπὶ τῶν ἀρετῶν. ἀλήθεια γὰρ τὸ ὄντως ὂν, ψεῦδος δὲ τὸ μὴ ὄν. ἐπεὶ οὖν ταῦτα διέστραπτο καὶ ἠμαύρωτο, οὐ τὴν ὑπόστασιν ἀπολέσαντα ἐξ ἑαυτῶν, ἀλλ' ὑπὸ τῶν ἀνθρώπων φυγαδευθέντα· διὰ τοῦτο οὐκ εἶπε μόνον, ὅτι ὠλιγώθησαν αἱ ἀλήθειαι, ἀλλ', ἀπὸ τῶν υἱῶν C τῶν ἀνθρώπων, προσέθηκε, τοῦτο αὐτὸ δηλῶσαι βουλόμενος. σκόπει δέ· ἔστι κόσμος ἀληθὴς, ἔστι καὶ ψευδής. τίς οὖν ὁ ἀληθὴς κόσμος; ὁ περὶ ψυχήν· τίς δὲ ψευδής; ὁ περὶ σῶμα. ἔστι πλοῦτος ἀληθὴς, ἔστι καὶ ψευδής. ψευδὴς ὁ τῶν χρημάτων· ἀληθὴς ὁ τῶν κατορθωμάτων. ἔστιν εὐφροσύνη, ἡ μὲν ψευδὴς, ἡ δὲ ἀληθής· καὶ κάλλη, καὶ δυναστεῖαι, καὶ δόξαι. ἀλλ' οἱ πλείους τῶν ἀνθρώπων τὴν ἀλήθειαν τούτων ἀφέντες, τὰ ψευδῆ διώκουσιν. ὥσπερ γάρ ἐστιν ἄνθρωπος ἀληθὴς καὶ ψευδής· ἀληθὴς μὲν ὁ D ζῶν καὶ ἐνεργῶν, ψευδὴς δὲ ὁ γεγραμμένος· οὕτω δὴ καὶ ἐπὶ τῶν ἀρετῶν ἐστιν ἰδεῖν. Μάταια ἐλάλησεν ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ. χείλη δόλια, ἐν καρδίᾳ καὶ ἐν καρδίᾳ ἐλάλησαν κακά. ἄλλος, φησὶν, ἐν καρδίᾳ ἄλλῃ καὶ ἄλλῃ λαλεῖ. δύο κακίας λέγει ἐνταῦθα· καὶ ὅτι μάταια ἐλάλησαν, καὶ ὅτι πρὸς τὸν πλησίον· ἢ τὰ ψευδῆ μάταιά φησι. ἢ τὰ περιττὰ καὶ ἀνόητα. τοιοῦτόν τι καὶ ὁ Παῦλός φησι λέγων· Μὴ ψεύδεσθε εἰς ἀλλήλους· καὶ τὸ δὴ χαλεπώτερον, ὅτι πάντες ἦσαν διεφθαρμένοι. διὸ οὐκ εἶπεν, ὁ δεῖνα, καὶ ὁ δεῖνα, ἀλλ' ἕκαστος. οὐδὲ γὰρ ἦν ἁπλῶς

ἁπλῶς ἐπιπόλαιος ἦν ἡ κακία, ἀλλὰ κάτωθεν, καὶ ἀπὸ καρδίας. ἐν καρδίᾳ καὶ ἐν καρδίᾳ· ὅπερ ἕτερος ἑρμηνευτής, ἐν καρδίᾳ ἄλλῃ καὶ ἄλλῃ, εἶπε, διδάσκων ὅτι πολλὴ διπλόη αὐτῶν ἐν καρδίᾳ. τοῦτο πολεμίων πάντων πικρότερον. οἱ μὲν γάρ εἰσι φανεροὶ καὶ δῆλοι, ὅθεν καὶ εὐφύλακτοι γίνονται· οὗτοι δὲ ἕτερον προσωπεῖον περιβαλλόμενοι, καὶ ἕτεροι ὄντες, δυσφώρατοι τοῖς ἐπιβουλευομένοις καθίστανται, τῶν τὰ ξίφη κρυπτόντων ὄντες πολλῷ χαλεπώτεροι. ἐξολοθρεύσαι κύριος πάντα τὰ χείλη τὰ δόλια, καὶ γλῶσσαν μεγαλοῤῥήμονα. τοὺς εἰπόντας τὴν γλῶσσαν ἡμῶν μεγαλυνοῦμεν. ἄλλος, δυναστεύσομεν. τὰ χείλη ἡμῶν παρ' ἡμῖν ἐστιν· ἄλλος, σὺν ἡμῖν πάρεστι. τίς ἡμῶν κύριός ἐστιν; ἄλλος, τίς κυριεύσει ἡμῶν; εἶδες κηδεμονίαν προφήτου, πῶς ὑπὲρ αὐτῶν εὔχεται; οὐ γὰρ δὴ κατ' αὐτῶν ἐστι τὸ εἰρημένον, ἀλλ' ὑπὲρ αὐτῶν. οὐ γὰρ εἶπεν αὐτοὺς ἀπολέσαι, ἀλλὰ τὴν κακίαν ἀφανισθῆναι. οὐ γὰρ εἶπεν ἐξολοθρεύσαι κύριος αὐτούς, ἀλλὰ τὰ χείλη τὰ δόλια. καὶ πάλιν, οὐχὶ τὴν οὐσίαν, ἀλλὰ τὴν γλῶτταν, τὴν ἀπόνοιαν, τὸν δόλον ἀναιρεθῆναι ἀξιοῖ, τὴν ὑπερηφανίαν ἐκκοπῆναι. κωμῳδῶν δὲ αὐτῶν τὴν ἄνοιαν φησί, τὰ χείλη ἡμῶν παρ' ἡμῖν ἐστι. τίς ἡμῶν κύριός ἐστι; μαινομένων καὶ παραφρονούντων τὰ ῥήματα. διὸ δὴ τοῦτο ὁ Παῦλος ἀπεναντίας αὐτοῖς φθεγγόμενος παραινεῖ· οὐκ ἐστὲ ἑαυτῶν, τιμῆς ἠγοράσθητε· καὶ κελεύει μηδὲ ἑαυτοῖς ζῆν. οὐ σά ἐστι τὰ χείλη, φησίν, ἀλλὰ τοῦ δεσπότου. αὐτὸς γὰρ ἐποίησεν αὐτά, αὐτὸς κατεσκεύασεν, αὐτὸς ζωὴν ἐνέπνευσεν. ἀλλὰ σὺ ἔχεις; ἀλλ' οὐ πάντως ἔχομεν ταῦτα ἡμέτερα· ἐπεὶ καὶ χρήματα ἔχομεν, ἑτέρων παρακαταθεμένων· καὶ γῆν μισθούμεθα, ἑτέρων ἡμῖν δεδωκότων. οὕτω δὴ καί σοι ταῦτα ἐμίσθωσεν ὁ Θεός, οὐχ ἵνα ἀκάνθας φέρῃς, ἀλλ' ἵνα σπέρματα εἰς τὸ χρήσιμον μεταβάλῃς· οὐχ ἵνα ἀπόνοιαν, οὐχ ἵνα δόλον, ἀλλ' ἵνα ταπεινοφροσύνην, ἀλλ' ἵνα εὐφημίαν, ἀλλ' ἵνα ἀγάπην ποιήσῃς δι' αὐτῶν βλαστάνειν· καὶ ὀφθαλμοὺς ἔδωκεν, οὐχ ἵνα ἀκόλαστα βλέπῃς, ἀλλ' ἵνα σωφροσύνῃ αὐτοὺς καλλωπίζῃς· καὶ χεῖρας, οὐχ ἵνα πλήττῃς, ἀλλ' ἵνα ἐλεῇς. πῶς δὲ καὶ λέγεις, ὅτι τὰ χείλη ἡμῶν παρ' ἡμῖν ἐστιν, ὅταν τῆς ἁμαρτίας αὐτὰ ποιῇς δοῦλα, ὅταν τῆς πορνείας, ὅταν τῆς ἀκαθαρσίας; τίς ἡμῶν κύριός ἐστιν; ὢ διαβολικοῦ ῥήματος,

erat tantum vitium, quod natabat in superficie: sed erat in profundo, & in corde. In corde & in corde: quod alius interpres dixit, In corde alio & alio: docens esse magnam in corde duplicitatem. Hoc est omnibus hostibus acerbius. Illi enim sunt aperti, vnde etiam facilè possunt caueri: hi verò cùm aliam personam præ se ferant, & sint aliud, ab iis quibus tendunt insidias, non facilè deprehenduntur, multò grauiores iis qui gladios abscondunt. 3. *Disperdet Dominus vniuersa labia dolosa, & linguam magniloquam.* 4. *Qui dixerunt: Linguam nostram magnificabimus.* Alius, dominabimur. *Labia nostra apud nos sunt.* Alius, adsunt nobiscum. *Quis noster Dominus est?* Alius, Quis nostri dominabitur? Vidisti quomodo eorum curam gerit Propheta, quomodo pro eis orat? Neque enim contra ipsos est id quod dictum est, sed pro ipsis. Neque enim orauit vt perderentur, sed vt eorum vitium de medio tolleretur. Non dixit enim, perdet ipsos Dominus, sed labia dolosa. Et rursus, non substantiam, sed linguam, arrogantiam, fraudem vult auferri, superbiam excindi. Irridens autem eorum stultitiam, dicit: Labia nostra apud nos sunt. Quis noster Dominus est? Insanorum & mente captorum verba. Et ideo Paulus contrà ac ij, loquens, suadet: Non estis vestri, pretio empti estis, & iubet eos non sibiipsis viuere. Non sunt tua labia, sed Domini. Ipse enim ea fecit, ipse construxit, ipse vitam inspirauit. At tu habes. Sed non omnia quæ habemus, nostra sunt. Pecunias enim habemus, quas alij apud nos deposuerunt: & agros conductos habemus, quos alij nobis dederunt. Ita hæc etiam tibi locauit Christus, non vt feras spinas, sed vt conuertas semina ad id quod est vtile: non vt arrogantiam, non vt dolum, sed vt humilitatem, & laudem, ac benedictionem, vt dilectionem facias per ea germinare. Et dedit oculos, non vt impudicè aspicias: sed vt ipsos ornes temperantia: & manus, non vt ferias, sed vt miserearis. quomodo autem dicis, labia nostra sunt apud nos, quando ea peccati serua feceris, quando fornicationis, quando immunditiæ? Quis est noster dominus? O verbum diabolicum!

Cordium magna duplicitas.

1.Cor.6.19
Rom.14.7.
2.Cor.5.9.

O animam dæmoniacam! Vides, ô homo, vniuersam creaturam prædicare domini tui potentiam, sapientiam, curam, prouidentiam, corpus tuum, animam, vitam, quæ sub aspectum cadunt, & quæ non cadunt, omnia propemodum vocem emittentia laudare potentiam artificis, & dicis: Quis dominus noster est? Hoc est furoris, hoc stuporis, hoc corrupti animi. Propterea sunt mala innumerabilia. Sed hi quidem dicunt: Quis est noster dominus? Alij autem Dominum quidem confitentur, iudicium autem & pœnas propositas auferunt, breui iucunditate magnum sibi ementes supplicium, & dum volunt se recreare, quod gehennæ non meminerint, per hanc securitatem metúsque vacuitatem in magnum interitus se barathrum imprudentes immittunt. Et ideo rogo vt gehennæ memineris, de gehenna loquaris. Ita animam tuam compone, pulchrámque ac decoram effice. Magna enim horum verborum vtilitas. Non enim Deus eam temere minatus est, atque manifestam hinc reddit: sed id fecit vt metu meliores redderet. Et ideo diabolus omnia facit & molitur, eius volens auferre memoriam. Noli eam è memoria eijcere: nec dicas, Quid me importuna afficiam tristitia? Importuna erit tristitia, quando angeris in gehenna. Hoc est tempus tristitiæ, non illud: & hoc ostendit diues sub Lazaro, cui nihil profuerunt innumerabiles, quibus afficiebantur, molestiæ. Si autem in tempore doluisset, non ea passus esset, quæ passus est. 5. *Propter miseriam inopum, & gemitum pauperum nunc exurgam, dicit Dominus.* 6. *Ponam in salutari, fiducialiter agam in ipso.* Alius, Ponam salutare apertum. Disce quanta sit virtus humilitatis. Pauperum patientia, pauperum inquam eorum, qui sunt contriti corde, est quòd malè patiantur, defensio. Non enim vitam, nec virtutem, sed malorum perpessionem dicit Deum excitare, & eum ad supplicium & vindictam euocare. Tanta res est, si tibi fiat iniuria, eam ferre forti animo, tantam Deus curam gerit eorum qui afficiuntur contumeliis, maximæ defensionis loco est calamitas, & mala pati. Magna est vis eiulatus, quæ supernum euocat auxilium. Timete, quicunque pauperes iniuria afficitis.

Luc. 16. 23.

Adhortatio ad patientiam.

A ὢ ψυχῆς δαιμονιώδους. ὁρᾷς, ἄνθρωπε, τὴν κτίσιν ἅπασαν ἀνακηρύττουσαν τοῦ δεσπότου σου τὴν ἰσχὺν, τὴν σοφίαν, τὴν κηδεμονίαν, τὴν πρόνοιαν· τὸ σῶμά σου, τὴν ψυχὴν, τὴν ζωὴν, τὰ ὁρώμενα, τὰ ἀόρατα, ἅπαντα σχεδὸν εἰπεῖν φωνὴν ἀφιέντα καὶ ἀνακηρύττοντα τοῦ δημιουργοῦ τὴν δύναμιν καὶ λέγεις, τίς ἡμῶν κύριός ἐστι; τοῦτο μανίας, τοῦτο παραπληξίας, τοῦτο διεφθαρμένης ψυχῆς. διὰ τοῦτο τὰ μυρία κακά. ἀλλ' οὗτοι μὲν λέγουσι, τίς ἡμῶν κύριός ἐστιν; ἄλλοι μὲν τὸν μὲν δεσπότην ὁμολογοῦσι, τὸν δὲ B περὶ τῆς κρίσεως ἀναιροῦσι λόγον καὶ τῆς κολάσεως, βραχείας χάριτος μεγάλην ὠνούμενοι κόλασιν, καὶ βουλόμενοι τῷ μὴ μεμνῆσθαι γεέννης παραμυθεῖσθαι ἑαυτοὺς, λανθάνουσι διὰ τῆς ἀφοβίας ταύτης εἰς τὸ βάραθρον ἑαυτοὺς τῆς ἀπωλείας ἐμβάλλοντες. διὸ παρακαλῶ καὶ μεμνῆσθαι γεέννης, καὶ διαλέγεσθαι περὶ γεέννης· οὕτω διάπλαττε εὐμορφίαν τὴν ψυχήν. πολὺ γὰρ τὸ χρήσιμον τῶν λόγων τούτων. οὐδὲ γὰρ ἁπλῶς ἠπείλησεν αὐτὴν ὁ Θεὸς καὶ ἐντεῦθεν ἤδη δήλην ἐποίησεν, ἀλλ' ἵνα τῷ φόβῳ ποιήσῃ βελτίους. διὰ τοῦτο καὶ ὁ διάβολος C πάντα ποιεῖ καὶ πραγματεύεται, ἐξαιρεῖν αὐτῆς τὴν μνήμην βουλόμενος. μὴ τοίνυν ἔκβαλλε τὴν μνήμην, μηδὲ λέγε· τί λυπῶ ἐμαυτὸν παρὰ καιρόν; παρὰ καιρὸν λύπη; ἐκεῖνό ἐστι παρὰ καιρὸν ἀλγεῖν, ὅταν ἐν τῇ γεέννῃ ἀλγῇς. τῆς λύπης ὁ καιρὸς οὗτος, οὐκ ἐκεῖνος. καὶ τοῦτο δείκνυσιν ὁ πλούσιος ὁ ἐπὶ Λαζάρου, ὃς μυρία λυπηθεὶς οὐδὲν ὤνησεν. εἰ δὲ εὐκαίρως ἤλγησεν, οὐκ ἂν ἔπαθεν, ἅπερ ἔπαθεν. ἕνεκεν τῆς ταλαιπωρίας τῶν πτωχῶν, καὶ τοῦ στεναγμοῦ τῶν πενήτων, νῦν ἀναστήσομαι, λέγει κύριος. θήσομαι ἐν σωτηρίῳ, παρρησιάσομαι D ἐν αὐτῷ. ἄλλος, τάξω σωτήριον ἐμφανές. μάθε πόση τῆς ταπεινοφροσύνης ἡ ἰσχύς. τῶν πενήτων ἡ δύναμις (πενήτων λέγω, τῶν τὴν διάνοιαν συντετριμμένων) τὸ κακῶς πάσχειν ἐστὶν ἡ ἀντίληψις. οὐδὲ γὰρ βίον ἐνταῦθά φησιν, οὐδὲ ἀρετὴν, ἀλλὰ τὸ πάσχειν κακῶς, φησι, τοῦτο ἀνίστησι τὸν Θεὸν, καὶ ἐκκαλεῖται πρὸς τιμωρίαν καὶ ἄμυναν. τοσοῦτόν ἐστι τὸ ἀδικούμενον φέρειν γενναίως· τοσαύτη τῶν ἐπηρεαζομένων παρὰ τοῦ Θεοῦ ἡ πρόνοια. ἀντὶ μεγίστης συνηγορίας ἡ συμφορὰ καὶ τὸ πάσχειν κακῶς γινομένη. μεγάλη τοῦ στεναγμοῦ ἡ ἰσχὺς, τὴν ἄνωθεν καλοῦσα ῥοπήν. φοβήθητε ὅσοι τοὺς πένητας ἀδικεῖτε.

ἔχετε δύναμιν ὑμεῖς, καὶ πλοῦτον, καὶ χρήματα, καὶ δικαστῶν εὔνοιαν; ἀλλ' ἔχουσιν ἐκεῖνοι πάντων ἰσχυρότερον ὅπλον, τοὺς στεναγμοὺς καὶ τοὺς θρήνους, καὶ αὐτὸ τὸ ἀδικεῖσθαι, ὅπερ τὴν ἐκ τῶν οὐρανῶν ἐπισπᾶται συμμαχίαν. τοῦτο τὸ ὅπλον οἰκίας διορύττει, τοῦτο θεμελίους κατέσκαψε, τοῦτο πόλεις ἀνεῖλε, τοῦτο ὁλόκληρα ἔθνη κατεπόντισε· στεναγμοὺς ἀδικουμένων ἀνθρώπων λέγω. αἰδεῖται τὴν εὐγνωμοσύνην αὐτῶν ὁ Θεός, ὅταν κακῶς πάσχοντες μηδὲν πονηρὸν ἐκφέρωσι ῥῆμα, στενάζωσι δὲ μόνον, καὶ ἀποδύρωνται τὰ οἰκεῖα κακά. τί δέ ἐστι, θήσομαι ἐν σωτηρίῳ, παῤῥησιάσομαι ἐν αὐτῷ; μετὰ παῤῥησίας, φησίν, αὐτῶν περιστήσομαι φανερῶς καὶ δήλως, ὥστε πάντας μαθεῖν. καὶ πότε οὐ φανερῶς σώζει; ἔστιν ὅτε οὐ φανερῶς, ἀλλὰ λάθρα. οὐδὲ γὰρ δεῖται τῆς παρὰ ἀνθρώπων δόξης. νυνὶ δὲ ἐπειδὴ εἰκὸς ἦν τοὺς ἐχθροὺς τοὺς αὐτῶν ἐπεμβαίνειν, ἐναλλέσθαι, ὀνειδίζειν αὐτοῖς, ὡς οὐκ ἔχουσι Θεὸν βοηθόν· ὥστε κἀκείνους σωφρονισθῆναι, καὶ γενέσθαι βελτίους, τῇ πείρᾳ μαθόντας τοῦ δεσπότου τὴν συμμαχίαν, φανερῶς ποιήσομαι τὴν ὑπὲρ αὐτῶν σωτηρίαν, φησί. τὰ λόγια κυρίου, λόγια ἁγνά· ἀργύριον πεπυρωμένον, δοκίμιον τῇ γῇ. καὶ ποία αὕτη ἀκολουθία πρὸς τὰ εἰρημένα; πολλή, καὶ συνεχής. μὴ γὰρ δὴ νομίσητε ταῦτα, φησίν, ἁπλῶς εἰρῆσθαι, μηδὲ ἀπειλὴν εἶναι περιττήν· καθαρὰ αὐτοῦ ἐστι τὰ ῥήματα, ἀπηλλαγμένα ψεύδους· ὥσπερ γὰρ ὁ ἄργυρος ὁ πεπυρωμένος, οὐδὲν ἀλλότριον ἔχει καὶ νόθον· οὕτω καὶ τοῦ Θεοῦ τὰ ῥήματα, ἅπερ ἂν εἴπῃ, πάντως ἐκβῆναι δεῖ. διό φησι· τὰ λόγια κυρίου λόγια ἁγνά, ἀργύριον πεπυρωμένον, δοκίμιον τῇ γῇ. ἄλλος, πεπυρωμένον, χωροῦν τῇ γῇ. ὁ δὲ Ἑβραῖος ἀντὶ τοῦ, χωροῦν τῇ γῇ, Βαδὴλ λάαρες εἶπε, τουτέστι, τὸ χυνόμενον, τὸ ῥέον ἐν τῇ γῇ. κεκαθαρισμένον ἑπταπλασίως. εἶδες πῶς δείκνυσι τὸ ἀψευδές, τὸ ἀληθές, τῇ εἰκόνι τῆς ὕλης. ὥσπερ γὰρ ἐκεῖνο τὸ χυθέν, τὸ πυρωθέν, τὸ πολλάκις τοῦτο παθὸν ἀλλότριόν ἐστιν ἀλλοτρίας ὕλης, ἐκκεκαθαρμένον μετὰ ἀκριβείας· οὕτως ἡ ἀπόφασις τοῦ Θεοῦ. σύ, κύριε, φυλάξεις ἡμᾶς καὶ διατηρήσεις ἡμᾶς ἀπὸ τῆς γενεᾶς ταύτης, καὶ εἰς τὸν αἰῶνα. ἄλλος, φυλάξεις αὐτούς. ἄλλος, φυλάξεις αὐτά, καὶ διατηρήσεις ἡμᾶς ἀπὸ τῆς γενεᾶς ταύτης, καὶ εἰς τὸν αἰῶνα.

Habetis vos potentiam, opes, & pecuniam, & iudicum beneuolentiam: sed habent illi arma omnium validissima, luctus, & eiulatus, & illud ipsum iniuria affici, quæ è cœlis auxilium attrahunt. Hæc arma domos effodiunt, hæc fundamenta euertunt, hæc integras gentes submergunt: gemitus dico eorum, qui afficiuntur iniuria. Bonum ac pium eorum animum Deus reueretur, quando mala patientes, nullum malum verbum proferunt, solùm autem gemunt, & sua mala deplorant. Quid est autem, Ponam in salutari, fiducialiter agam in ipso? Cum fiducia, inquit, apertè & manifestè eos defendam, vt omnes intelligant. Et quandónam non conseruat eos palam & manifestè? Nonnunquam id facit non manifestè, sed clam, neque enim opus habet vt ab hominibus gloria afficiatur; nunc autem quoniam erat verisimile inimicos eos insectari, eisque insultare, & eis exprobrare quòd Deum non haberent adiutorem: vt illi quoque castigarentur, & fierent meliores, cùm experientia didicissent Domini auxilium: apertè, inquit, faciam pro eis salutem. 7. *Eloquia Domini eloquia casta, argentum igne examinatum, probatum terræ.* Et quomodo sunt hæc iis quæ dicta sunt consequentia? pulchrè admodum. Ne hæc enim, inquit, existimetis temerè dicta esse, inanésque & superuacaneas esse minas. Sunt enim pura eius verba, à mendacio libera. Quemadmodum enim argentum ignitum nihil habet alienum & adulterinum: ita etiam Dei verba, quæ dixerit, omnino euenire oportet. Et ideo dicit: Eloquia Domini, eloquia casta, argentum igne examinatum probatum terræ. Alius, Ignitum cedens terræ. Hebræus autem pro eo quod est, cedens terræ, dixit, *Badil laares*, hoc est, fusum, in terram fluens, *Purgatum septuplum.* Vidisti quomodo quod verum est, & à mendacio alienum, per similitudinem materiæ ostenderit? Quemadmodum enim illud fusum, ignitum, & hoc sæpe passum, est ab aliena materia alienum, exactissimè purgatum: ita etiam Dei prolata sententia. 8. *Tu, Domine, seruabis nos, & custodies nos ab hac generatione & in seculum.* Alius, Custodies ipsos. Alius, Custodies ipsa, & conseruabis nos ab hac generatione & in seculū.

Alius, Cum generatione, quæ est in sæculum. 9. *In circuitu impij ambulant.* Alius, Ambulabunt. Alius, In circuitu impiorum ambulabunt. *Secundum altitudinem tuam multiplicasti filios hominum.* Alius, Quando exaltati fuerint viles filiorum hominum. Alius, secundum altitudinem paruo empti filiis hominum. Hebræus autem *charm zolloth lebne Adam.* Tu Domine custodies nos & conseruabis nos. Vide eum frequenter, imò verò assiduè ad Deum confugere, & ab eo auxilium petere: est enim potẽtissimum auxilium, quod nullo tempore interrumpitur. Nulla re, inquit, humana opus habemus. Tu enim es, inquit, qui perpetuò custodis. Quid est autem, In circuitu impij ambulant? Secundum Septuaginta quidem ita dicendum est, Etiam si impij nos circumcirca obsideant, nihil graue patiemur, nos enim conseruas, & extollis, clarósque & illustres reddis. Si alium autem interpretem sequamur, hoc dicendum est, impij extrudentur, quando viles ex filiis hominum exaltaueris. Hoc est, quando nos, qui viles teputamur & contempti, humiliatos gloria affeceris, seiunges ipsos & expelles. Quid est autem, Secundum altitudinem tuam? Pro eo quod est, Similes tui effecisti, quatenus fieri potest vt homo sit similis. Faciamus enim, inquit, hominem ad imaginem & similitudinem nostram. Quod ipse enim est in cœlo, nos in terra: & quemadmodum supernè nullus est eo superior, ita nullus in terra est huic animali virtute similis. Estote, inquit, similes patris vestri, qui est in cœlis. Quinetiam nominis quoq; sui nos fecit participes. Ego dixi, inquit, dij estis, & filij excelsi omnes. Et rursus, constitui te Deum Pharaonis, & fecit esse opificem corporeorum. Et tunc quidem mutat Moses creaturam: nunc autem alij alia elementa: nobis autem iussit nos ipsos Deo templum extruere. Etsi ergo non fabriceris cœlum, Dei tamen templum fabricaris. Propterea enim cœlum quoque est splendidum, quoniam habet Deum in ipso habitantem: imò verò per Christum nos vnà quoque suscitauit, & nos considere fecit in dextris in cœlis, & dedit, vt maiora faceremus iis, quæ ipse fecit. Signa enim, inquit,

Gen.1.25. Matt.5.45. Psal.81.6. Exod.7.1. 1.Cor.6. Ephes.2.6. Ioan.14.12.

ἄλλος, ἅμα τῇ γενεᾷ τῇ αἰωνίᾳ. κύκλῳ οἱ ἀσεβεῖς περιπατοῦσιν. ἄλλος, περιπατήσουσιν. ἄλλος, κύκλῳ ἀσεβῶν ἐμπεριπατήσουσι. κατὰ τὸ ὕψος σου ἐπολυώρησας τοὺς υἱοὺς τῶν ἀνθρώπων. ἄλλος, ὅταν ὑψωθῶσιν οἱ εὐτελεῖς τῶν υἱῶν τῶν ἀνθρώπων. ἕτερος, κατὰ τὸ ὕψος εὐωνισμένοι τοῖς υἱοῖς τῶν ἀνθρώπων. ὁ δὲ Ἑβραῖος, Χάρμ ζολλώ, φησι, λεβνὴ Ἀδάμ. σὺ κύριε φυλάξεις ἡμᾶς, καὶ διατηρήσεις ἡμᾶς. ὅρα συνεχῶς, μᾶλλον δὲ διηνεκῶς ἐπὶ τὸν Θεὸν καταφεύγοντα, κἀκεῖθεν ζητοῦντα τὴν συμμαχίαν. καὶ γὰρ παμαλκὴς ἡ βοήθεια, οὐδενὶ διακοπτομένη χρόνῳ. οὐδενὸς τῶν ἀνθρωπίνων δεόμεθα, φησι· σὺ γὰρ ὁ φυλάττων εἶ διηνεκῶς. τί δέ ἐστι, κύκλῳ οἱ ἀσεβεῖς περιπατοῦσι; κατὰ μὲν τοὺς ἑβδομήκοντα, οὕτω λεκτέον· ὅτι κἂν κυκλώσωσιν οἱ ἀσεβεῖς, οὐδὲν πεισόμεθα. καὶ γὰρ φυλάττεις ἡμᾶς, καὶ μετεωρίζεις, καὶ ἐνδόξους ποιεῖς. κατὰ δὲ τὸν ἕτερον ἑρμηνευτὴν τοῦτο ῥητέον, ὅτι οἱ ἀσεβεῖς ἐξωσθήσονται, ὅταν τοὺς εὐτελεῖς τοὺς υἱοὺς τῶν ἀνθρώπων ὑψώσῃς. τουτέστιν, ὅταν ἡμᾶς τοὺς νομιζομένους εἶναι εὐκαταφρονήτους, τοὺς τεταπεινωμένους δοξάσῃς, ἀποστήσεις αὐτοὺς καὶ διακρούσῃ. τί δέ ἐστι, κατὰ τὸ ὕψος σου; ἀντὶ τοῦ, ὁμοίους σου ἐποίησας, ὡς ἀνθρώπῳ δυνατὸν εἶναι ὅμοιον. ποιήσωμεν γὰρ ἄνθρωπον κατ' εἰκόνα, φησὶν, ἡμετέραν, καὶ καθ' ὁμοίωσιν. ὅπερ γάρ ἐστιν αὐτὸς ἐν οὐρανῷ, τοῦτο ἡμεῖς ἐπὶ τῆς γῆς· καὶ ὥσπερ οὐδεὶς αὐτοῦ ἀνώτερος ἄνω, οὕτως οὐδεὶς ἐπὶ τῆς γῆς τοῦ ζώου τούτου κατὰ ἀρετὴν ὅμοιος. γίνεσθε, φησιν, ὅμοιοι τοῦ πατρὸς ὑμῶν τοῦ ἐν οὐρανοῖς. καὶ τοῦ ὀνόματος δὲ ἡμῖν μεταδέδωκεν· ἐγὼ εἶπα, θεοί ἐστε, φησι, καὶ υἱοὶ ὑψίστου πάντες. καὶ πάλιν· τέθεικά σε θεὸν Φαραώ. καὶ δημιουργὸν εἶναι ἐποίησε, τῶν σωματικῶν καὶ ἀσωμάτων. καὶ νῦν μὲν τὴν κτίσιν ὁ Μωϋσῆς μεταβάλλει· νῦν δὲ ἕτεροι ἕτερα στοιχεῖα· ἡμῖν δὲ ἐπέταξε ναὸν αὐτῷ κτίζειν ἡμᾶς αὐτούς. κἂν τοίνυν οὐ δημιουργῇς οὐρανὸν, ἀλλὰ δημιουργεῖς ναὸν Θεοῦ. ἐπεὶ καὶ οὐρανὸς διὰ τοῦτο λαμπρὸς, ἐπειδὴ Θεὸν ἔχει κατοικοῦντα ἐν αὐτῷ· μᾶλλον δὲ διὰ Χριστοῦ καὶ ἡμᾶς. συνήγειρε γάρ, φησι, καὶ συνεκάθισεν ἡμᾶς ἐν δεξιᾷ ἐν τοῖς οὐρανοῖς· καὶ μείζονα ἔδωκε ποιεῖν ὧν αὐτὸς ἐποίησε. τὰ γὰρ σημεῖα, φησιν,

ἃ ἐγὼ ποιῶ, κἀκεῖνος ποιήσει, καὶ μείζονα τούτων A ποιήσει. καὶ ἐπὶ τῆς παλαιᾶς, ὁ μὲν τὴν θάλασσαν μετέβαλεν· ὁ δὲ τὸν ἥλιον ἐχαλίνου· ὁ δὲ τὴν σελήνην μένειν ἐκέλευσεν· ὁ δὲ πάλιν εἰς ἑαυτὸν τὰς ἀκτῖνας ἀπέστρεφεν· οἱ δὲ παῖδες ἐν τῇ καμίνῳ τοῦ στοιχείου τὴν ἐνέργειαν ἐπέδησαν, καὶ μεμηνυῖα ἡ φλὸξ ἐσίγα, καὶ δεδεμένη ἐσύριζεν. οἴδε καὶ θηρία αἰδεῖσθαι Θεοῦ φίλους· κἂν λιμὸς ἀναγκάζῃ, φιλοσοφώτερα γίνεται. αἰδείσθωσαν οἱ γαστρίμαργοι τὴν ἐγκράτειαν τῶν θηρίων· λέοντες εἶδον τὸν Δανιὴλ, καὶ ἐφιλοσόφησαν· ἡμεῖς τὸν υἱὸν τοῦ Θεοῦ βλέποντες B ἐρχόμενον πρὸς ἡμᾶς, οὐ φιλοσοφοῦμεν. εἵλοντο ἐκεῖνοι διαφθαρῆναι λιμῷ, καὶ μὴ ἅψασθαι τοῦ σώματος τοῦ ἁγίου· ἡμεῖς ὁρῶντες γυμνὸν τὸν Χριστὸν περιερχόμενον καὶ λιμῷ τηκόμενον, οὐδὲ τὰ περιττὰ προϊέμεθα, ἀλλ' ἐν περιουσίᾳ ζῶντες, περιορῶμεν τοὺς ἁγίους. ἡ γῆ πάλιν ἑτέρῳ Θεοῦ φίλῳ τοσαῦτα προσήνεγκε δῶρα ἐκ τῶν οἰκείων κόλπων, τοσαύτην φορὰν, ὅσην οὐδέποτε ἔμπροσθεν. καὶ τί θαυμάζεις, εἰ αὐτοὶ αἰδέσιμοι ἦσαν, ὅπου γε καὶ τὰ ἱμάτια αὐτῶν, καὶ αἱ σκιαὶ δαίμοσιν ἦσαν φοβεραὶ, καὶ θανάτῳ, καὶ νοσήμασι; καὶ ἄγγελοι ᾐδέσθησαν ἀνθρώπους, καὶ ἐτίμησαν μεθ' ὑπερβολῆς. πῶς γὰρ οὐκ ἔμελλον, οὓς ὁ δεσπότης αὐτῶν ἐτίμα; καὶ ἐν τῇ παλαιᾷ, καὶ ἐν τῇ καινῇ τοῦτό ἐστιν ἰδεῖν. διὰ τοῦτο λέγει· κατὰ τὸ ὕψος σου ἐπολυώρησας τοὺς υἱοὺς τῶν ἀνθρώπων. ἐννοήσαντες τοίνυν τὸ μέγεθος τῆς τιμῆς, ἀξίαν παρεχώμεθα τὴν ὑπὲρ ταύτης ἀμοιβὴν, ἵνα μὴ τῆς τιμῆς ὑπερβολὴ, ἐφόδιον ἡμῖν τιμωρίας γένηται, ἧς ῥυσθείημεν ἅπαντες οἵ τε διδάσκοντες ταῦτα, καὶ οἱ μανθάνοντες ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ πρέπει πᾶσα δόξα D τιμὴ καὶ προσκύνησις εἰς τοὺς αἰῶνας τῶν αἰώνων, Ἀμήν.

A quæ ego facio, ipse quoque faciet, & maiora his faciet. Et in veteri testamento hic quidem mare mutauit: ille verò solem frænauit: alius lunam iussit manere: alius autem rursus in se radios auertit: pueri autem in fornace elementi operationem alligarunt, & flamma insaniens silebat, & alligata sibilabat. Norunt etiam feræ reuereri Dei amicos: & licet fames vrgeat, modestiores tamen fiunt. Qui sunt gulæ dediti, reuereantur ferarum abstinentiam. Leones viderunt Danielem, & moderatiores effecti sunt: nos ad nos venientem B tem filium Dei videntes, sapientiores non reddimur. Maluerunt illi fame perire, quàm sanctum corpus tangere: nos nudum Christum & fame confectum circuire videntes, ne ea quidem quæ sunt superuacanea, dimittimus, sed in summa rerum affluentia viuentes, sanctos despicimus. Terra rursus alij Dei amico tanta dona ex suo sinu protulit, & tantam fertilitatem, quantam nunquam antea. Et quid miraris si ipsi erant venerabiles, cùm & vestes eorum, & vmbræ dæmonibus, & morti, & morbis essent formidabi- C les? Quinetiam Angeli quoque reueriti sunt, & insigniter honorarunt homines. Quidni enim honorarent, quos ipse Dominus honorabat? Hoc autem videri potest & in nouo, & in veteri testamento. Et ideo dicit: Secundùm altitudinem tuam multiplicasti filios hominum. Cùm ergo considerauerimus honoris magnitudinem, quam par est, præbeamus pro ea remunerationem, ne nobis habitus honor insignis, sit nobis viaticum futuri supplicij: à quo vtinam liberemur omnes & qui docemus ista & qui discimus, in Christo D Iesu Domino nostro, quem decet omnis gloria & adoratio in sæcula sæculorum, Amen.

Genes. 7. Iosue 10. 2. Paral. 4. 4. Reg. 20. Daniel. 3. Dan. 8. Matth 25. Iob. vlt. Act. 19. 12. Act. 5. 15. Gen. 18. 5. 19. 3. Exod. 14. 19. Iudic. 2. Marc. 16. 5. Act. 8. 25. 10. 12.

IN PSALMVM XII.

IN FINEM PSALmus Dauid. *Alius*, Pro victoria canticum Dauid.

1 *Vsquequo Domine obliuisceris me in finem?* Alius, obliuisceris me perfectè. Alius, ad contentionem. *Vsquequo auertis faciem tuam à me?* Alius, abscondis.
2. *Quamdiu ponam consilia in anima mea?* Alius, statuam sententias. *Dolores in corde meo per diem & noctem.* Alius, sollicitudinem in cogitatione mea per diem.

NON est hoc paruum bonum, sentire Dei obliuionem. Obliuionem autem ne existimes esse affectionem, sed derelictionem. Multi certè quibus hoc accidit, hoc ipsum neque norunt, neque deflent. Hic autem beatus non solùm hoc nouerat, sed tempus etiam animo reputabat. Illud enim, Vsquequo, est eius qui magnum tempus ostendit: & ideo defłet ac luget. Tu autem considera quomodo de nulla re terrena, & quæ ad hanc vitam pertineat, angatur, non de pecuniis, non de gloria, sed vbique de Dei beneuolentia. Et vndénam nouit, inquit, Deum esse sui oblitum? Quoniam nouerat etiam quando meminerat, & apertè sciebat quid sit quidem obliuio, quid verò memoria. Non quemadmodū vulgus hominum quando sunt diuites, quando apud homines gloriam assequuntur, quando eis omnia fœliciter succedunt, quando vincunt inimicos, tunc existimant Deū eorum meminisse, & ideo nec sciunt, quando Deus eorum obliuiscitur. Qui enim signum memoriæ nesciunt, nec norunt etiam signum obliuionis. Sicenim non norunt signa amicitiæ, nec inimicitiarum etiam signa norunt. Mul-

Obliuio Dei.

Enantiosis.

ΕΙΣ ΤΟΝ ΔΙΙ. ΨΑΛΜΟΝ.

ΕΙΣ ΤΟ ΤΕΛΟΣ ΨΑΛμὸς τῷ Δαβίδ. Ἄλλος, ἐπινίκιος ᾠδὴ τοῦ Δαβίδ.

Ἕως πότε, κύριε, ἐπιλήσῃ μου εἰς τέλος; ἄλλος, ἐκλανθάνῃ μου τέλεον. ἄλλος, εἰς νῖκος. ἕως πότε ἀποστρέφεις τὸ πρόσωπόν σου B ἀπ' ἐμοῦ; ἄλλος, κρύπτεις. ἕως τίνος θήσομαι βουλὰς ἐν ψυχῇ μου; ἄλλος, τάξω γνώμας. ὀδύνας ἐν καρδίᾳ μου ἡμέρας, καὶ νυκτός. ἄλλος, μέριμναι ἐν τῇ διανοίᾳ μου καθ' ἡμέραν.

ΟΥ μικρὸν καὶ τοῦτο ἀγαθὸν, τὸ λαμβάνειν αἴσθησιν τῆς τοῦ Θεοῦ λήθης. λήθην δὲ μὴ πάθος εἶναι νόμιζε, ἀλλὰ C τὴν ἐγκατάλειψιν. πολλοὶ γοῦν τοῦτο παθόντες, οὐδὲ αὐτὸ τοῦτο ἴσασιν, οὐδὲ ὀδύρονται· οὗτος δὲ ὁ μακάριος, οὐ μόνον αὐτὸ ᾔδει, ἀλλὰ καὶ τὸν χρόνον ἀνελογίζετο. τὸ γὰρ, ἕως πότε, δεικνῦντος ἐστὶ μακρὸν ὄντα τὸν χρόνον. διὰ τοῦτο καὶ ὀδύρεται, καὶ θρηνεῖ. σὺ δέ μοι σκόπει πῶς οὐδαμοῦ βιωτικοῦ τινος ἕνεκεν ἀλγεῖ, οὐχ ὑπὲρ χρημάτων, οὐχ ὑπὲρ δόξης, ἀλλ' ὑπὲρ τῆς εὐνοίας πανταχοῦ. καὶ πόθεν, φησὶν, ἔγνω ὅτι ἐπελάθετο αὐτοῦ ὁ Θεός; ἐπειδὴ ᾔδει καὶ πότε D ἐμέμνητο, καὶ σαφῶς ἠπίστατο τί μὲν λήθη, τί δὲ μνήμη. οὐ καθάπερ οἱ πολλοὶ τῶν ἀνθρώπων ὅταν πλουτῶσιν, ὅταν εὐδοκιμῶσι παρὰ τοῖς ἀνθρώποις, ὅταν αὐτοῖς κατὰ ῥοῦν ἅπαντα φέρηται, ὅταν τῶν ἐχθρῶν κρατῶσι, τότε νομίζουσι μεμνῆσθαι αὐτῶν τὸν Θεόν· διὰ τοῦτο οὔτε, πότε αὐτῶν ἐπιλανθάνεται, ἴσασιν. οἱ γὰρ τῆς μνήμης τὸ σημεῖον οὐκ εἰδότες, οὐδὲ τὸ τῆς λήθης ἐπίστανται. εἰ γὰρ τὰ τῆς φιλίας σύμβολα οὐκ ἐπίστανται, οὐδὲ τὰ τῆς ἔχθρας γινώ-

σχοῦσι. πολλῶν γὰρ τῶν ταῦτα ἐχόντων ἐπιλανθάνεται ὁ Θεός, καὶ μάλιστα τούτων· τῶν δὲ ἐν τοῖς ἐναντίοις ὄντων μέμνηται πολλάκις. μνήμην γὰρ οὐδὲν οὕτω ποιεῖ παρὰ Θεῷ, ὡς τὸ ἀγαθόν τι ποιεῖν, τὸ νήφειν, τὸ ἐγρηγορέναι, τὸ ἀρετῆς ἐπιμελεῖσθαι· ὥσπερ οὖν λήθην οὐδὲν ἕτερον, ὡς τὸ ἐν ἁμαρτίαις εἶναι καὶ πλεονεξίαις καὶ ἁρπαγαῖς. καὶ σὺ τοίνυν, ἀγαπητέ, ὅταν ἐν συμφοραῖς ᾖς, μὴ λέγε, ὅτι ἐπελάθετό μου ὁ Θεός· ἀλλ' ὅταν ἐν ἁμαρτίαις ᾖς, καὶ πάντα σοι κατὰ ῥοῦν φέρηται. ἂν γὰρ τοῦτο ᾖς εἰδώς, ταχέως ἀποστήσῃ τῶν πονηρῶν πραγμάτων. ἕως πότε ἀποστρέφεις τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ; τοῦτο ἐπιτεταμένη λήθη. ἀπὸ γὰρ τῶν ἀνθρωπίνων σχημάτων τοῦ Θεοῦ τὰς ἐνεργείας δείκνυσι, καὶ τὴν ὀργὴν αὐτοῦ καὶ τὴν κόλασιν χαρακτηρίζει. ἀποστρέφει δὲ πάλιν ὁ Θεὸς τὸ πρόσωπον αὐτοῦ, ὅταν ἀνάξια πράττωμεν τῶν ἐπιταγμάτων τῶν αὐτοῦ. ὅταν γὰρ ἐκτείνητε, φησι, τὰς χεῖρας ὑμῶν, ἀποστρέψω τοὺς ὀφθαλμούς μου ἀφ' ὑμῶν. εἶτα καὶ ἡ αἰτία· αἱ γὰρ χεῖρες ὑμῶν, αἵματος πλήρεις. ἀλλὰ καὶ τοῦτο πάλιν κηδεμονίας πολλῆς, καὶ ἡ ἐγκατάλειψις, καὶ ἡ ἀποστροφὴ τοῦ προσώπου. ποιεῖ δὲ τοῦτο, ἵνα σφοδρότερον ἡμᾶς ἐπισπάσηται. ἐπεὶ καὶ ἐραστὴς μανικὸς τὸν ἐρώμενον ὑπερορῶντα ἀφίησι καὶ ἐγκαταλιμπάνει, οὐκ ἐκβάλλων αὐτὸν τῆς διανοίας, ἀλλ' ἐπιστρέψαι αὐτὸν βουλόμενος, καὶ ἑαυτῷ συνάψαι. εἰπὼν δὲ τὴν ἀποστροφήν, λέγει καὶ τὴν λήθην, καὶ τὰ ἐξ αὐτῆς αὐτῷ προσγινόμενα. τίνα δὲ ταῦτά ἐστιν; ἃ ἐπάγει, λέγων· ἕως τίνος θήσομαι βουλὰς ἐν ψυχῇ μου; ὥσπερ γὰρ ὁ τοῦ λιμένος ἐξελθὼν πανταχοῦ πλανᾶται, καὶ ὁ τοῦ φωτὸς ἀποστερηθεὶς πολλοῖς προσπταίει· οὕτω δὴ καὶ ὁ εἰς λήθην ἐμπεσὼν τοῦ Θεοῦ, φροντίσι, καὶ μερίμναις, καὶ ὀδύναις ἐκδίδοται διηνεκῶς. οὐ μικρὸν δὲ καὶ τοῦτο εἰς τὸ τὸν Θεὸν ἐπιστρέψαι πρὸς ἑαυτόν, τὸ μεριμνᾶν, τὸ φροντίζειν, τὸ τήκεσθαι, τὸ ὀδυνᾶσθαι, τὸ λόγον ποιεῖσθαι αὐτοῦ τῆς ἀποστροφῆς. ὃ καὶ Παῦλος Κορινθίοις γράφων, περὶ ἑαυτοῦ φησι· καὶ τίς ἐστιν ὁ εὐφραίνων με, εἰ μὴ ὁ λυπούμενος ἐξ ἐμοῦ; οὐ μικρὸν γὰρ τοῦτο, ἀγαπητέ, κέρδος, τὸ αἰσθάνεσθαι τῆς ἀποστροφῆς τοῦ Θεοῦ, τὸ ἀλγεῖν, τὸ ὀδυνᾶσθαι. οὕτω γὰρ αὐτὸν ταχέως πρὸς ἡμᾶς

Quorum Deus maximè meminerit & obliuiscatur etiam.

torum enim qui hæc habent, Deus obliuiscitur, atque adeò eorum maximè: eorum autem qui in rebus aduersis versantur, sæpe meminit. Nihil enim apud Deum æquè memoriam parit, ac boni aliquid facere, quàm esse sobrium ac vigilantem, virtutis curam gerere: quemadmodum nihil æquè obliuionis causa est, vt esse in peccatis, auaritiæque & rapinæ esse deditum. Et tu ergo, ô dilecte, quando in aliqua fueris calamitate, ne dicas, Deus mei oblitus est: sed quando fueris in peccatis, omnia tibi feliciter succedunt. Si hoc enim cognoueris, à rebus malis agendis citò recedes. Vsquequo auertis faciem tuam à me? Hoc est maxima obliuio, ex humanis enim figuris ostendit Dei operationes, & eius iram & punitionem exprimit. Deus autem rursus faciem suam auertit, quando facimus, quæ sunt indigna eius præceptis. Quando enim extenderitis, inquit, manus vestras, auertam oculos meos à vobis. Deinde causa subiungitur. Manus enim vestræ sanguine plenæ sunt. Hæc ipsa autem derelictio, & vultus auersio, magnæ est curæ ac prouidentiæ. Hoc autem facit, vt nos ad se vehementius attrahat. Nam etiam is qui est insano amore captus, eum qui amatur contemnentem dimittit ac derelinquit, non animo quidem expellens, sed ipsum volens ad se conuertere, & sibi coniungere. Postquam autem dixit auersionem, dicit etiam obliuionem, & quæ sibi ex ea euenerunt. Quænam autem ea sunt? Ea quæ subiungit, dicens: Quamdiu ponam consilia in anima mea? Quemdmodum enim qui è portu egressus est, vbique vagatur, & qui luce priuatus est, in multis offendit, ita etiam qui in Dei obliuionem incidit, curis, sollicitudinibus, ac doloribus perpetuò angitur. Hoc autem non parum confert ad Deum conuertendum ad seipsum, curis & sollicitudinibus angi, doloréque & tristitia extabescere, auersionis eius rationé ducere. Quod etiam Paulus scribens ad Corinthios, dicit de seipso: Et quis est qui me lętitia afficiat, nisi qui ex me tristitia afficitur? Hoc enim non parum lucri est, ô dilecte, sentire Dei auersionem, dolere, tristitia affici. Ita enim ipsum ad nos celeriter

Esa.1.15.

A simili cõfirmatio.

Collatio.

2.Cor.2.2.

conuertemus. 3. *Vsquequo exaltabitur inimicus meus super me? Respice, exaudi me Domine Deus meus.* 4. *Illumina oculos meos, ne vnquam obdormiam in mortem.* Quemadmodum enim cùm retinet ac defendit nos Deus, & stat à nobis, quæ molestiam afferunt longe recedunt: ita etiam cùm recessit & oblitus est, & anima discerpitur, & cor dolore angitur, & qui vexant insultant, & sunt omnia scopuli ac præcipitia. Hæc autem vtiliter permittuntur, vt per omnia stimulati, qui sunt socordiores, maiori studio redeant eò, vnde exciderunt. Erudiet enim, inquit, te defectio tua, & vitium tuum te redarguet, Dei itaque derelictio est species prouidentiæ. Quando enim qui prouidet, & curam gerit, contemnitur, parumper dimittit & derelinquit, vt tunc expulsa socordia, negligentes fiant diligentiores. Respice, inquit, vide inimicum meum, qui exaltatur supra me: & si non propter meam miseriam, saltem propter illius arrogantiam & superbiam exaudi me. Et quid petis? Vt vincas inimicos? Non hoc dicit, sed vt illuminentur oculi cordis, vt expellantur tenebræ, quæ sunt offusæ perspicaci animæ facultati, & intelligentiæ oculum obscurarunt. Hoc peto, Illumina oculos meos. *Nequando dicat inimicus meus*, Cùm me viderit deturbatum ad mortem peccati. *Ita præualui aduersus eum.* Ipsum superaui, quod volebam videre, hoc mihi accidit. Quid est, præualui aduersus ipsum? Etsi per se non est fortis, contra me quidem certè est fortis. Nostri victoria ei affert vires, eúmque reddit potentem, & validum, & inexpugnabilem. Vides quòd quando peccamus, non solùm nosipsos dedecore afficimus, perdimus, ad mortem cogimus, sed, eo quòd victi sumus, inimicos nostros validos potentésque prædicamus, nec hoc solùm, sed etiam eos in magna lætitia & exultatione collocamus. Papæ quantæ est stultitiæ, quanti stuporis, aduersariis aduersus seipsos ferre auxilium, & iis, qui animam nostram excrucient & affligunt, lætitiæ caussam & exultationis afferre? Vide quot absurda. Cùm inimicum vincere oporteret, imbecillæ enim factæ sunt eius rhomphææ, in finem, inquam,

Altera lectio.

Hier. 2. 19. iuxta 70. Ieb. 15.

Hosti, cum vincimur, fortiorem efficimus.

ἐπιστρέψομεν. ἕως πότε ὑψωθήσεται ὁ ἐχθρός μου ἐπ' ἐμέ; ἐπίβλεψον, εἰσάκουσόν μου, κύριε ὁ Θεός μου. φώτισον τοὺς ὀφθαλμούς μου, μή ποτε ὑπνώσω εἰς θάνατον. ὥσπερ γὰρ ἀντεχομένου τοῦ Θεοῦ καὶ μεθ' ἡμῶν ὄντος, τὰ λυποῦντα ἐκποδὼν ἅπαντα γίνεται· οὕτως ἀποστάντος καὶ ἐπιλαθομένου, καὶ ψυχὴ διασχίζεται, καὶ καρδία ὀδυνᾶται, καὶ οἱ λυποῦντες ἐπεμβαίνουσι, καὶ πάντα κρημνοὶ καὶ σκόπελοι. συγχωρεῖται δὲ ταῦτα συμφερόντως, ὥστε διὰ πάντων διακονουμένους τοὺς ῥαθυμοτέρους σπουδαιοτέρων ἐπιμελεῖσθαι, ὅθεν ἐξέπεσον. παιδεύσει γάρ σε, φησὶν, ἡ ἀποστασία σου, καὶ ἡ κακία σου ἐλέγξει σε. ὥστε καὶ ἡ ἐγκατάλειψις τοῦ Θεοῦ προνοίας εἶδός ἐστιν. ὅταν γὰρ ὁ προνοῶν καὶ κηδόμενος καταφρονῆται, ἀφίησι μικρὸν καὶ ἐγκαταλιμπάνει, ἵνα τότε τῆς ῥαθυμίας ἐκβληθείσης, σπουδαιότεροι οἱ ὀλίγωροι γένωνται· ἐπίβλεψόν φησιν. ἴδε τὸν ἐχθρὸν ὑψούμενον ἐπ' ἐμέ. καὶ εἰ μὴ διὰ τὴν ἐμὴν ταλαιπωρίαν, ἀλλὰ διὰ τὴν ἐκείνου ἀλαζονείαν καὶ ἀπόνοιαν· εἰσάκουσόν μου. καὶ τί αἰτεῖς; κρατῆσαι τῶν ἐχθρῶν; οὐ τοῦτό φησιν, ἀλλὰ φωτισθῆναι τοὺς τῆς καρδίας ὀφθαλμοὺς, ἀποδιωχθῆναι τὸ σκότος τὸ ἐπιχυθέν μου τῷ διορατικῷ τῆς ψυχῆς, καὶ σκοτίσαν τὸν νοητὸν ὀφθαλμόν· τοῦτο αἰτῶ, φώτισον τοὺς ὀφθαλμούς μου. μή ποτε εἴπῃ ὁ ἐχθρός μου ἰδών με κατενεχθέντα εἰς τὸν τῆς ἁμαρτίας θάνατον· οὕτως ἴσχυσα πρὸς αὐτόν· κατεκράτησα αὐτοῦ, ὅπερ ἤθελον ἰδεῖν γέγονέ μοι· τί ἐστιν ἴσχυσα πρὸς αὐτόν; ὅτι εἰ καὶ μὴ ἁπλῶς ἰσχυρός ἐστιν, ἀλλὰ πρὸς ἐμὲ ἰσχυρὸς γέγονεν, ἡ ἡμῶν ἧττα ἰσχὺν αὐτῷ περιέθηκεν, ἰσχυρὸν ἀπέφηνε, καὶ κραταιὸν ἀκαταμάχητον. ὁρᾷς, ὅτι ὅταν ἁμαρτάνωμεν, οὐ μόνον ἑαυτοὺς καταισχύνομεν, ἀπολλύμεθα, εἰς θάνατον ἐμβαλλόμεθα, ἀλλὰ καὶ τοὺς ἐχθροὺς κραταιοὺς, καὶ δυνατοὺς, δι' ὧν ἡττήμεθα, ἀνακηρύττομεν. καὶ οὐ μόνον τοῦτο, ἀλλὰ καὶ ἐν ἀγαλλιάσει, καὶ εὐφροσύνῃ αὐτοὺς καθιστῶμεν. βαβαὶ πόσης ἀνοίας, πόσης παραπληξίας τὸ τοῖς πολεμίοις καθ' ἑαυτῶν συμμαχεῖν, καὶ τοῖς λυποῦσι, καὶ θλίβουσιν ἡμῶν τὴν ψυχὴν, εὐφραίνεσθαι, καὶ ἀγαλλιᾶσθαι παρασκευάζειν. ὅρα πόσα ἄτοπα. δέον νικᾶν τὸν ἐχθρόν· ἠσθένησαν γὰρ αἱ ῥομφαῖαι αὐτοῦ εἰς τέλος, καὶ ἀπώ-

λετο ὁ ἀσεβής. διὸ νικῶν ἡττώμεθα· καὶ οὐ μόνον τοῦτο, ἀλλὰ καὶ κραταιὸν, καὶ ἰσχυρὸν ἀποφαινόμεθα. καὶ οὐδὲ μέχρι τούτου ἵσταται ἡμῖν καὶ τὰ τῆς μανίας, καὶ τὰ τῆς ἐσχάτης νόσου, ἀλλὰ καὶ τὰ εἰς εὐφροσύνην αὐτοῦ, καὶ ἀγαλλίασιν παρασκευαζόμεθα· οὕτως ἐσχάτη μέθη, καὶ κακὸν ἔσχατον ἡ ἁμαρτία. ἀγαλλιάσονται ἐὰν σαλευθῶ. τρία διηγήματα προστάττει εἰς τὸ δυσωπῆσαι ὁ προφήτης τὸν δεσπότην· ὅπως ἐπιβλέψῃ, καὶ ἐπιστρέψῃ τὸ πρόσωπον αὐτοῦ ἐπ' αὐτὸν, καὶ εἰσακούσῃ τῆς δεήσεως αὐτοῦ, τὸ κράτος, καὶ τὴν ἰσχὺν τῶν ἐχθρῶν, καὶ πρὸ τούτου τὸ ὕψωμα, καὶ τὴν ἔπαρσιν αὐτῶν, καὶ τρίτον τὴν εὐφροσύνην, καὶ ἀγαλλίασιν αὐτῶν, μονονουχὶ λέγων, ὡς εἰ μὴ διὰ τὴν ἐμὴν δέησιν, διὰ τὴν ἐμὴν ταλαιπωρίαν ἐπιστρέφῃς μοι τὸ πρόσωπόν σου κύριε, ἀλλ' οὖν διὰ τὴν ἀλαζονείαν τῶν ἐχθρῶν. διότι ἐπὶ ἰσχύϊ φρονοῦσι μέγα· διότι ἐπιχαίρουσι τοῖς κακοῖς μου, καὶ ἐπιγελῶσί μου τῷ πτώματι. εἰσάκουσόν μου, φώτισον τοὺς ὀφθαλμούς μου, ἄφελε τὸν βαθὺν ὕπνον ἐπὶ ταῖς ἐμαῖς ἁμαρτίαις, ὃν ὑπνώσας παρὰ βραχὺ, πρὸς τὸν τῆς ψυχῆς ἀπενύσταξα θάνατον. εἰ γὰρ μόνον ἀπὸ τῆς σῆς ἀσφαλείας σαλευθῶ, χαρὰ αὐτοῖς, καὶ μεγαλαυχία, καὶ ἰσχὺς τοῦτο νομίζεται· καὶ τούτῳ μεγαλοφρονοῦσι, καὶ εἰσὶν ἀφόρητοι· ἂν δὲ εἰς θάνατον κατενεχθῶ, τί οὐκ ἂν οὗτοι ποιήσειαν; ὁρᾷς τὸν προφήτην, πῶς ἡγεῖται μεγίστην ζημίαν, καὶ οὐδὲν κολάσεως, καὶ τιμωρίας ἔλαττον τὸ εὐφρᾶναι τὸν κοινὸν ἐχθρὸν, τὸ ἰσχυρὸν αὐτὸν ὀφθῆναι, τὸ ὑψηλὸν δόξαι. εἰ γὰρ καὶ μέγιστα, καὶ ἀφόρητα ἡγεῖτο ταῦτα κακὰ, οὐκ ἂν αὐτὰ προὐβάλλετο εἰς παράκλησιν τοῦ Θεοῦ, καὶ πρὸς τὸ ἐπισπάσασθαι τὴν εὐμένειαν αὐτοῦ. οὕτω ποιῶμεν καὶ ἡμεῖς, καὶ σκοπῶμεν, καὶ ἀγωνιζώμεθα, ὅπως μὴ ὑψώσωμεν τὸν ἐχθρὸν, ὅπως μὴ ἰσχυρὸν δείξωμεν, ὅπως μὴ εὐφράνωμεν, ἀλλὰ τοὐναντίον, καὶ ταπεινὸν, καὶ ἐξουθενημένον, καὶ ἀσθενῆ, καὶ κατηφῆ, καὶ σκυθρωπὸν ἐργασώμεθα. ἂν γὰρ κατορθοῦντας ἴδῃ τοὺς ἁμαρτάνοντας, πάντα ἅμα ταῦτα γίνεται. ἐγὼ δὲ ἐπὶ τῷ ἐλέει σου ἤλπισα. τί οὖν κατορθώσας ταῦτα αἰτεῖς; ἐπιβλέψαι πάλιν εἰς σὲ, εἰσακοῦσαί σου τῆς δεήσεως, φωτισθῆναί σου τῆς διανοίας τοὺς ὀφθαλμούς. πόθεν δή σοι ταῦτα; οἱ μὲν ἄλλοι,

A cùm vincere oporteret, vincimur, nec id solùm, sed etiam validum ac potentem reddimus: & nec cousque sistit extrema dementia & summus morbus noster, sed quæ ei etiam lætitiam & exultationem afferant, comparamus. Reuera est extrema ebrietas, & summum malum, peccatum. *Qui tribulant me, si motus fuero, exultabunt.* Tres causas affert Propheta, vt Dominum moueat, vt respiciat, & faciem suam conuertat, & eius orationem exaudiat: vires inimicorum: & ante id erectio- B nem, & eorum exaltationem: & tertium, lætitiam & exultationem ipsorum, propemodum dicens: Si non propter meam orationem, nec propter meam miseriam conuertis ad me faciem tuam Domine: saltem propter inimicorum arrogantiam, eò quòd suas vires ostentant, & sibi valde placent: quoniam meis malis lætantur, & casum meum irrident. Exaudi me, illumina oculos meos. Aufer grauem somnum in peccatis meis: quo sopitus propemodum ad animæ mortem dormitando deductus sum. Si enim à secu- C ritate tua tantum emotus fuero, eis lætitia, & gloria, & virtus hoc ducitur, & hoc nomine se iactant, & sibi valde placent: & sunt intolerabiles. Si autem ad mortem fuero deductus, quid ij non fecerint? Vides quàm magnum damnum existimet Propheta, & nihilominus quàm pœnam ac supplicium, communem inimicum lætitia afficere, & vt ipse potens excelsusque videatur efficere. Si enim hæc non existimaret mala maxima & intolerabilia, non hæc proposuisset ad Deum placandum, & ad sui beneuolentiam attrahendum. D Ita etiam nos faciamus, & consideremus, & contendamus ne inimicum exaltemus, ne potentem faciamus, ne lætitia afficiamus, sed contrà & humilem, & abiectum, & imbecillum tristémque & demissum reddamus. Si enim eos qui peccant, rectè & ex virtute se gerere viderit, hæc omnia simul fiunt. 6. *Ego autem in misericordia tua speraui.* Quid ergo rectè fecisti vt petas, vt rursus te respiciat, vt tuam orationem exaudiat, vt tuæ mentis oculi illuminentur? Vndénam autem hæc tibi speras futura? Dicant quidem, inquit,

alij, si quid possint dicere: ego autem vnum scio, vnum dico, omnem spem meam in illo colloco: illud mihi propono, misericordiam tuam, tuam clementiam. *Ego autem*, inquit, *in misericordia tua speraui.* Vidisti Prophetæ humilitatem? Vidisti pium & gratum viri animum? Licet posset innumerabilia à se rectè facta dicere, & per ea Deum exorare, eorum nihil dicit, sed ad solam confugit Dei misericordiam. Vnde clarum est, quòd cùm hæc dicit, nempe, si feci illud, si retribui mala pro bonis, & quæ sunt huiusmodi: in magnam adductus necessitatem hæc dicit. Quæ si non adsit, nihil dicit illorum, sed misericordiam & Dei clementiam pro omni supplicatione proponit: deinde confidens fore vt spe non frustraretur, subiunxit, *Exultabit cor meum in salutari tuo.* Vidisti animam bene sperantem? Petiit, & priusquam acceperit, tanquam qui accepisset, agit gratias, & Deo canit hymnum, & omnia facit quæ prædicta sunt. Vndénam autem est tam bona spe præditus? Ex pio & grato animo, ex magno & vehementi studio petitionis, sciebat eum qui sic peteret, à Deo exaudiri, ex magno cordis calore & agitatione. Quemadmodum ergo qui segniter & negligenter petunt, etiam cùm acceperint, vix donationem sentiunt: ita qui cum intenso studio & vehementi animi contentione petunt, etiam priusquam acceperint, ex magna & pura sua affectione perinde ac si accepissent, donum sentiunt, diuina eis gratia lætitiã antea immittente: & propterea agunt gratias, & ab accipiendo non longè absunt. Exultabit cor meum in salutari tuo. Hoc, inquit, meam animam lætitia afficit, quòd à te salutem assequatur: lætatur anima mea, quòd eius sis salus. Vidisti exultationem, & exultationem, inimicorum exultationem propter lapsum, & exultationem animæ propter propriam salutem? Illa est improbi: hæc est eorum qui conseruantur. Illa est exitium & eius qui videbatur exultare, & eius propter quod exultabat: hæc est salus & restitutio eius qui exultat. Hac ergo exultatione & lætitia lætemur & exultemus: illam autem fugiamus & auersemur. *Cantabo Domino qui bona tribuit mihi, & psallam nomini*

Attēde Dauidis gratitudinem.

Antithesis ex collatione.

Gratiarum actio ante beneficij acceptionem.

Psalm. 12.

A φησὶν, εἴ τι καὶ εἰπεῖν ἔχοιεν, λεγέτωσαν· ἐγὼ δὲ ἓν οἶδα, ἓν λέγω, ἐκεῖ μου πᾶσαν ἤρτησα τὴν ἐλπίδα, ἐκεῖνο προβάλλομαι, τὸ ἔλεός σου, τὴν φιλανθρωπίαν σου. ἐγὼ δὲ, φησιν, ἐπὶ τῷ ἐλέει σου ἤλπισα. εἶδες ταπεινοφροσύνην προφήτου; εἶδες εὐγνωμοσύνην ἀνδρός; καὶ μυρία κατορθώματα ἔχων, καὶ δι' αὐτῶν δυνάμενος δυσωπῆσαι τὸν Θεὸν, οὐδὲν τούτων λέγει, ἀλλ' ἐπὶ μόνον τὸ ἔλεος τοῦ Θεοῦ καταφεύγει. ὥστε δῆλον ὅτι καὶ ὅτε ταῦτα λέγει, ὡς τό· εἰ ἐποίησα τοῦτο· εἰ ἀνταπέδωκα, καὶ τὰ τοιαῦτα εἰς πολλὴν ἀνάγκην τοῦ εἰπεῖν ἐμπεσὼν, B ταῦτα λέγει· ἧς μὴ παρούσης οὐδὲν ἐκείνων φησὶν, ἀλλὰ τὸ ἔλεος καὶ τὴν φιλανθρωπίαν τοῦ Θεοῦ, ἀντὶ πάσης ἱκετηρίας προβάλλεται. εἶτα πεποιθὼς, ὅτι τῆς ἐλπίδος οὐ ψευσθήσεται, ἐπάγει· ἀγαλλιάσεται ἡ καρδία μου ἐπὶ τῷ σωτηρίῳ σου. εἶδες εὔελπιδα ψυχήν; ᾔτησε, καὶ πρὶν ἢ λάβῃ, ὡς λαβὼν εὐχαριστεῖ, καὶ ᾄδει τῷ Θεῷ, καὶ πάντα τὰ προειληφότα διαπράττεται. πόθεν δὲ οὕτως ἦν εὔελπις; ἀπὸ πολλῆς εὐγνωμοσύνης, ἀπὸ πολλῆς σπουδῆς τῆς περὶ τὴν αἴτησιν· ᾔδει ὅτι οὕτως αἰτουμένου Θεὸς εἰσακούει, C ἀπὸ πολλῆς τῆς ἐν τῇ καρδίᾳ θέρμης, καὶ κινήσεως. ὥσπερ οὖν οἱ νωθεῖς, καὶ παρειμένως αἰτούμενοι, καὶ λαβόντες μόλις τῆς δωρεᾶς ἐπαισθάνονται, οὕτως οἱ συνεπιτεταμένοι προθυμίᾳ, καὶ σπουδῇ τὴν αἴτησιν ποιούμενοι, καὶ πρὸ τοῦ λαβεῖν, ἀπὸ τῆς κατ' αὐτοὺς σφοδρᾶς, καὶ καθαρᾶς διαθέσεως, ὡς λαβόντες ἔχουσι τοῦ δώρου συναίσθησιν, τῆς θείας αὐτοῖς χάριτος τὴν εὐφροσύνην προεντιθείσης, καὶ εὐχαριστοῦσι διὰ τοῦτο, καὶ τοῦ λαβεῖν ἐγγὺς καθεστήκασιν. ἀγαλλιάσεται ἡ καρδία μου ἐπὶ τῷ σωτηρίῳ σου. τοῦτό, φησι, τὴν ἐμὴν εὐφραίνει ψυχὴν, τὸ παρὰ σοῦ D τῆς σωτηρίας τυχεῖν. τὴν ψυχὴν εὐφραίνει, ὅτι ταύτης εἶ σὺ σωτηρία· εἶδες ἀγαλλίασιν; καὶ ἀγαλλίασιν ἐχθρῶν ἐπὶ πτώματι, καὶ ἀγαλλίασιν ψυχῆς ἐπὶ οἰκείᾳ σωτηρίᾳ. ἐκείνη τοῦ πονηροῦ, αὕτη τῶν σωζομένων. ἐκείνη λύμη καὶ τοῦ δοκοῦντος ἀγαλλιᾶσθαι, καὶ ἐφ' ᾧ ἠγαλλιᾶτο· αὕτη σωτηρία καὶ ἀνάκλησις τοῦ ἀγαλλιωμένου. ταύτην τὴν ἀγαλλίασιν, καὶ εὐφροσύνην εὐφρανθῶμεν, καὶ ἀγαλλιασώμεθα, ἐκείνην δὲ φύγωμεν, καὶ βδελυξώμεθα. ᾄσω τῷ κυρίῳ τῷ εὐεργετήσαντί με· καὶ ψαλῶ τῷ ὀνόματι

κυρίου τοῦ ὑψίστου. μνημόσυνον, φησὶ, τῆς εὐεργεσίας ταύτης, ᾠδὴν ἀναθήσω τῷ κυρίῳ, ὅτι εὐηργέτησέ με, ἐταπείνωσε τὸν ἐχθρὸν, αἰσχύνης ἐπλήρωσεν, ἀσθενῆ ἀπήλεγξεν· εἰσήκουσε τῆς δεήσεώς μου, ἐπέστρεψε τὸ πρόσωπον αὐτοῦ ἐπ' ἐμὲ, τὴν ἀχλὺν, καὶ τὸν ζόφον, δι' ὧν πρὸς τὸν θάνατον ἐφερόμην, διασκεδάσας, καὶ ἐπὶ τῷ σωτηρίῳ αὐτοῦ ἀγαλλιώμενος, ὥσπερ τι μνημεῖον ἀνεξάλειπτον, τὴν ᾠδὴν ταύτην τῶν εἰς ἐμὲ εὐεργετημάτων, ἀνατίθημι, οὐ νῦν μόνον ᾄδων αὐτὴν, καὶ ἀνελίσσων τοῖς λογισμοῖς τὰς εὐεργεσίας, ἀλλὰ καὶ εἰς τὸν ἑξῆς χρόνον, ᾄσω καὶ ψαλῶ τῷ ὀνόματι κυρίου. ἀνεπίληστον ἐν τῇ ψυχῇ περιφέρων τῆς εὐεργεσίας τὸ μέγεθος· ἡ τοιαύτη τοίνυν ψυχὴ οὐ μόνον κακοῖς ἐμπεσοῦσα ῥύεται ῥᾳδίως τῶν κακῶν, ἀλλὰ καὶ ἀσφαλεστέρα γίνεται εἰς τὸ μηκέτι τοῖς ὁμοίοις περιπεσεῖν. ὅταν γὰρ ἐπὶ μνήμης ἀεὶ φέρῃ τὴν εὐεργεσίαν, δῆλον ὅτι καὶ τὰ δυσχερῆ ἐπὶ μνήμης ἔχει, ὧν ἀπαλλαγεῖσα ἔτυχε τῆς εὐεργεσίας, ἔχουσα δὲ καὶ τὴν μνήμην τῶν κακῶν, ἀναλογίζεται ἐπιμελῶς, πόθεν ταῦτα συνέπεσεν αὐτῇ, καὶ διὰ ποίαν αἰτίαν, εἰς τὸ τοιοῦτον συνηνέχθη κακὸν, καὶ ἀναλογιζομένη λοιπὸν τειχίζει πανταχόθεν ἑαυτήν· ἵνα μὴ ἐπὶ τὰς ὁμοίας περιενεχθῇ συμφοράς. οὕτω τε λοιπὸν τὸν ἑαυτῆς βίον καλῶς ῥυθμίζων, παιδαγωγῶν, καὶ τῷ ῥυσαμένῳ πολλὴν ὁμολογεῖ τὴν χάριν· ὥσπερ εὗρε ῥύστην, οὕτω καὶ φύλακα διὰ παντὸς ἔχειν ἐν τοῖς μέλλουσιν ἐξαιτούμενος. ταύτην ζηλώσωμεν καὶ ἡμεῖς, κἄν τινι περιπέσωμεν ἁμαρτήματι, ταχέως ἀνανήψωμεν, καὶ ποιησώμεθα τὸ πταῖσμα πρόφασιν ἀσφαλείας, καὶ ἀφορμὴν τοῦ μηκέτι ἁμαρτάνειν. πῶς οὖν ποιήσεις; ἔχεις διδάσκαλον τὸν Δαβίδ. ἥμαρτες, μὴ νυστάξῃς ἐπὶ τῇ ἁμαρτίᾳ, ἀλλὰ διανάστηθι· ἐννόησον αὐτίκα, ὅτι ἀπέστρεψεν ὁ Θεὸς τὸ πρόσωπον ἀπὸ σοῦ, ὅτι ἐπελάθετό σου. εἶτα κλαῦσον, στέναξον, λοῦσον καθ' ἑκάστην νύκτα τὴν κλίνην σου δάκρυσι, ἀποπήδησον ἀπὸ τῶν ἐργαζομένων τὴν ἀνομίαν. καὶ ταῦτα γὰρ μαθήματα τοῦ Δαβίδ· εἰπὲ μετ' αὐτοῦ, ἕως πότε κύριε ἐπιλήσῃ μου εἰς τέλος; ἕως πότε ἀποστρέφεις τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ; εἰπὲ μὴ τῇ γλώσσῃ, ἀλλὰ πολὺ πρότερον τῇ καρδίᾳ· εἰπὲ ταῦτα· εἰπὲ καὶ τὰ ἄλλα δικαιώματα τοῦ Δαβίδ. ὅταν εἴπῃς πάντα,

A *Domini altißimi.* Mominentum, inquit, huius beneficij canticum Deo offeram, quòd me beneficio affecit, inimicum humilem & abiectum reddidit, ignominia & dedecore impleuit, imbecillum esse conuicit, meam exaudiit orationem, in me vultum suum conuertit, discussa caligine & tenebris per quas ad mortem ferebar, & propter eius salutare exultans, tanquam aliquod monumentum indelebile, hoc canticum eius in me beneficiorum dedico, non nunc solùm hoc canens, & beneficia eius apud me mente versans, sed etiam in posterum cantabo & psallam B nomini tuo, nulla vnquam obliuione delendam beneficij magnitudinem animo circumferens. Talis ergo anima malis irretita non solum à malis liberatur, sed etiam fit tutior, vt non amplius in similia incidat. Quando enim beneficium semper habet in memoria, clarum est quòd malorum quoque recordatur, à quibus liberata beneficium fuit consecuta. Cùm autem mala memoria teneat, diligenter apud se reputat, vndénam ea sibi euenerint, & propter quam causam in tantum malum C fuerit deturbata, & deinceps id reputans, seipsam vndique munit, ne in tales recidat calamitates, & ita deinceps suam vitam rectè componens & instituens, ei qui liberauit, magnas agit gratias, quemadmodum inuenit liberatorem, ita vt etiam custodem in futurum habeat postulans. Hanc nos quoque imitemur, & si in aliquod peccatum inciderimus, ad nos citò redeamus, faciamus vt lapsus sit occasio securitatis, & argumentum & impulsio non amplius peccandi. Quomodo ergo facies? Habes Dauid præ- D ceptorem. Peccauisti, ne dormias in peccato, sed exurge, & statim apud te cogita quòd Deus à te faciem auerterit, quòd tui oblitus sit, deinde plora, ingemisce, laua per singulas noctes lectum tuum lachrymis, citò recede ab iis qui operantur iniquitatem. Nam hæc quoque sunt Dauidis præcepta. Dic cum ipso: Vsquequo Domine obliuisceris mei in finem? Vsquequo auertis faciem tuam à me? Dic non lingua, sed corde multò antè. Dic alias Dauid quoque rationes. Quando dixeris omnia, spe-

ra in misericordia eius, spera ne hæsitaueris. Qui enim hæsitat, inquit, est similis vndæ maris, quæ vento excitatur & agitatur. Ne ergo existimet qui est eiusmodi, se aliquid à Deo accepturum. Vir enim duplici corde, est instabilis in omnibus viis suis. Spera ergo in eius misericordia, nihil hæsitans, & postulatum omnino consequeris. Postquam autem consecutus fueris, ne sis accepti immemor, & ingratus in benefactorem, sed fac monimentum eius beneficij, & pro gratiarum actione ei dedica canticum. Non potes ipse fortè componere, conuoca pauperes, eorum linguas commodatò accipe, & tibi eas compara. Scias eum lubentius id auditurum, quàm canticum Dauidicum, quod illi pro te cecinerint. Quemadmodum enim quod ex diuersis est chordis constitutum, iucundiorem emittit modulationem, quàm quod ex vnica: ita etiam quod est ex diuersis pauperibus, Deo qui audit vocem pauperum, iucundum quid resonabit & amabile. Erige tibi ipsi & Deo huiusmodi monimentum: ei quidem monimentum beneficij: tibi verò ostensionem gratiarum actionis grati animi & memoris, signum perpetuæ memoriæ, quam in corde semper habens infixam, corrige tuam vitam: imò verò corrigamus, vt simus digni hæreditate bonorum quæ illic sunt, in Christo Iesu Domino nostro: cui gloria & potentia in secula seculorum, Amen.

Iacob. 1. — *Ibidem.* — *Luc. 14.* — *Elegans homœosis.*

A ἔλπισον ἐπὶ τὸ ἔλεος αὐτοῦ, ἔλπισον μὴ διακριθῇς. ὁ γὰρ διακρινόμενος φησὶν ἔοικε κλύδωνι θαλάσσης ἀνεμιζομένῳ, καὶ ῥιπιζομένῳ. μὴ γὰρ οἰέσθω, φησὶν, ὁ τοιοῦτος, ὅτι λήψεταί τι παρὰ τοῦ Θεοῦ. ἀνὴρ γὰρ δίψυχος, ἀκατάστατος ἐν πάσαις ταῖς ὁδοῖς αὐτοῦ. ἔλπισον οὖν ἐπὶ τὸ ἔλεος αὐτοῦ, μηδὲν διακριθεὶς, καὶ τεύξῃ πάντως τῆς αἰτήσεως. τυχὼν δὲ μὴ γένῃ ἀγνώμων περὶ τὸν εὐεργέτην, καὶ ἀχάριστος, ἀλλὰ ποίησον μνημεῖον τῆς εὐεργεσίας, καὶ ἀνάθες αὐτὸν εὐχάριστον τῷ δεσπότῃ ᾠδὴν, ἴσως αὐτὸς οὐκ B οἶδας συνθεῖναι, σύγκαλεσον τοὺς πένητας, καὶ χρῆσαι τὰς γλώσσας αὐτῶν σοι παρασκεύασον. εὖ ἴσθι ὅτι ἥδιον τῆς Δαβιδικῆς ᾠδῆς ταύτην ἀκούσεται. ἣν ὑπὲρ σοῦ ἐκεῖνοι μελῳδήσουσιν. ὥσπερ γὰρ ἡ ἀπὸ διαφόρων χορδῶν τῆς μονήρους, ἥδιον μέλος ἀποτελεῖ, οὕτω καὶ ἡ τῶν πενήτων ἐκ διαφόρων οὖσα τῷ εἰσακούοντι τῆς φωνῆς τῶν πενήτων Θεῷ, ἡδύ τι καὶ ἐράσμιον ἠχήσει. στῆσον σεαυτῷ καὶ Θεῷ τοιοῦτον μνημεῖον, αὐτῷ μὲν ὑπόμνημα τῆς εὐεργεσίας, σεαυτῷ δὲ ἀπόδειξιν τῆς εὐχαριστίας, τῆς εὐγνωμοσύνης, σύμβολον τῆς διηνεκοῦς μνήμης, C ἣν ἐγκάρδιον ἔχων ἀεὶ, κατεύθυνέ σου τὸν βίον. μᾶλλον δὲ κατευθύνωμεν, ἵνα γενώμεθα καὶ τῆς ἐκεῖθεν ἄξιοι κληρουχίας τῶν ἀγαθῶν, ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν· ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

IN PSALMVM XLI.

QVEMADMODVM DESIDERAT CERVVS AD fontes aquarum. Et quanam de causa Psalmus in vitam introductus canitur cum cantico. Et de Dei lenitate ac patientia.

Vos quidem nos nuper admirabamini, quando verba fecimus de Melchisedech, propter eorum, quæ dicta sunt, prolixitatem: ego autem vos

Εἰς τὸν μα' ψαλμόν.

D ΟΝ ΤΡΟΠΟΝ ΕΠΙΠΟΘΕΙ Η ΕΛΑΦΟΣ ΕΠΙ τὰς πηγὰς τῶν ὑδάτων. καὶ τίνος χάριν ὁ ψαλμὸς εἰς τὸν βίον εἰσενεχθεὶς μετ' ᾠδῆς ψάλλεται, καὶ περὶ τῆς τοῦ Θεοῦ μακροθυμίας.

ΥΜΕΙΣ μὲν ἡμᾶς ἐθαυμάζετε πρῴην, ὅτε τὸν περὶ τοῦ Μελχισεδὲκ ἐκινήσαμεν λόγον, ἐπὶ τῷ μήκει τῶν εἰρημένων· ἐγὼ δὲ ὑμᾶς ἐθαυ-

ἐθαύμαζον ἐπὶ τῇ τῆς ἀκροάσεως προθυμίᾳ τε καὶ συνέσει, καὶ ὅτι μακροτέρου τοῦ λόγου προελθόντος, μέχρι τέλους παρηκολουθήσατε ἡμῖν· καί τοί γε οὐ μακρὸς ἦν ὁ λόγος μόνον, ἀλλὰ καὶ δυσχέρειαν εἶχε πολλήν. ἀλλ' οὔτε τὸ μῆκος, οὔτε ἡ δυσκολία τὴν ὑμετέραν ἤλεγξε προθυμίαν. φέρε οὖν, ὑμῖν ἀμοιβὴν ἀποδῶμεν ἐκείνου τοῦ πόνου, σαφεστέραν πρὸς ὑμᾶς σήμερον ποιησάμενοι τὴν διάλεξιν. οὐδὲ γὰρ ἐπιτείνειν ἀεὶ δεῖ τὴν διάνοιαν τῶν ἀκροατῶν (διαῤῥήγνυται γὰρ ταχέως) οὔτε χαλᾷν ἀεὶ καὶ ἀνιέναι, καὶ γὰρ ἐντεῦθεν ἀργοτέρα γίνεται πάλιν. διὸ ποικίλλειν χρὴ τὸ τῆς διδασκαλίας εἶδος, καὶ νῦν μὲν πανηγυρικωτέρων, νῦν δὲ ἀγωνιστικωτέρων ἅπτεσθαι λόγων. ὥσπερ οὖν τότε ἔλεγον, ὅτι οἱ ποιμένες τῶν λύκων ἐπιόντων τῇ ποίμνῃ, τὴν σύριγγα ἀφέντες, τὴν σφενδόνην μεταχειρίζονται· οὕτω νῦν δὲ παρελθουσῶν τῶν ἑορτῶν τῶν Ἰουδαϊκῶν, οἱ λύκων ἁπάντων εἰσὶ χαλεπώτεροι, τὴν σφενδόνην πάλιν ἀφέντες, ἐπὶ τὴν σύριγγα ἐπανίωμεν· καὶ τοὺς ἀγωνιστικωτέρους ἀναπαύσαντες λόγους, ἑτέρων τινῶν σαφεστέρων ἁψώμεθα, τὴν κιθάραν αὐτὴν τοῦ Δαβὶδ μεταχειριζόμενοι, καὶ τὴν ὑπακοὴν εἰς μέσον ἄγοντες, ἣν ἅπαντες ὑπεψάλαμεν σήμερον. τίς οὖν ἐστιν ἡ ὑπακοή; ὃν τρόπον ἐπιποθεῖ ἡ ἔλαφος ἐπὶ τὰς πηγὰς τῶν ὑδάτων, οὕτως ἐπιποθεῖ ἡ ψυχή μου πρὸς σὲ ὁ Θεός. μᾶλλον δὲ ἀναγκαῖον εἰπεῖν πρότερον, τίνος ἕνεκεν ὁ ψαλμὸς εἰς τὸν βίον εἰσηνέχθη τὸν ἡμέτερον, καὶ μετ' ᾠδῆς μάλιστα αὕτη ἡ προφητεία λέγεται. τίνος οὖν ἕνεκεν λέγεται μετ' ᾠδῆς, ἀκούσατε. πολλοὺς τῶν ἀνθρώπων κατιδὼν ὁ Θεὸς ῥαθυμοτέρους ὄντας, καὶ πρὸς τὴν τῶν πνευματικῶν ἀνάγνωσιν δυσχερῶς ἔχοντας, καὶ τὸν ἐκεῖθεν οὐχ ἡδέως ὑπομένοντας κάματον· ποθεινότερον ποιῆσαι τὸν πόνον βουλόμενος, καὶ τοῦ καμάτου τὴν αἴσθησιν ὑποτεμέσθαι, μελῳδίαν ἀνέμιξε τῇ προφητείᾳ, ἵνα τῷ ῥυθμῷ τοῦ μέλους ψυχαγωγούμενοι πάντες, μετὰ πολλῆς τῆς προθυμίας τοὺς ἱεροὺς ἀναπέμπωσιν αὐτῷ ὕμνους. οὐδὲν γὰρ, οὐδὲν οὕτως ἀνίστησι ψυχὴν, καὶ πτεροῖ, καὶ τῆς γῆς ἀπαλλάττει, καὶ τῶν τοῦ σώματος ἀπολύει δεσμῶν, καὶ φιλοσοφεῖν ποιεῖ, καὶ πάντων καταγελᾷν τῶν βιωτικῶν, ὡς μέλος συμφωνίας, καὶ ῥυθμῷ συγκείμενον θεῖον ᾆσμα,

A admirabar propter vestram in audiendo attentionem & sapientiam, & quòd cùm prolixior se obtulisset oratio, nos ad finem vsque consecuti estis. Quanquam non ea quidem solùm erat prolixa oratio, sed magnam etiam in se habebat difficultatem. Sed neque prolixitas, nec rei difficultas retardauit vestram animi promptitudinem. Age ergo vos pro illo labore remuneremur, apertius & dilucidius hodie vobiscum colloquentes. Neque enim est semper intendendus auditorum animus, facile B enim dirrumpitur: nec rursus semper remittendus ac relaxandus, hinc enim rursus redditur otiosior, & ideo vtendum est vario docendi genere: & nunc quidem populariori, & ad delectandam concionem accommodatiori oratione vtendum est, nunc autem acriori, & ad contendendum aptiori. Quemadmodum ergo tunc dicebam, quòd dum lupi gregem inuadunt, relicta fistula, fundam in manum sumunt pastores: ita nunc dum festa Iudæorum præterierunt, qui sunt quibusuis lupis immaniores, relicta rursus funda, re- C deamus ad fistulam: & à contentiosiore dicendi genere cessantes, aliqua alia apertiora aggrediamur, ipsius Dauid citharam in manum sumentes, & quæ audita sunt, in medium adducentes, quæ que omnes hodie cecinimus. Quænam igitur audita sunt? 1. *Quemadmodum desiderat ceruus ad fontes aquarum, ita desiderat anima mea ad te Deus.* Imò verò primum est necessarium dicere, quanam de causa Psalmus in nostram vitam est introductus, & cum cantico maximè hæc dicitur prophetia. Quanam ergo de causa dicatur cum cantico, audi. D Cùm Deus vidisset multos homines esse socordiores, nec ad legenda spiritualia lubenter accedere, nec qui inde capitur laborem tolerare, volens gratiorem laborem efficere, eiúsque sensum præscindere, admiscuit prophetiam melodiæ, vt omnes versus cantici numero delectati, cum magna animi alacritate ac promptitudine sacrosei hymnos emittant. Nihil enim animã æquè erigit, & alatam quodámodo efficit, & à terra liberat, & exoluit à vinculis corporis, & amore sapientiç afficit, & vt res omnes ad hanc vitam pertinentes irrideat perficit, vt versus modulatus, & diuinum canticum numero cõpositum.

Varietas attentionē parit.

Hemaxosti elegans.

Idem Basilius in proœmio Psalmorum.

Musica vis. Nostra certè natura vsque adeò delectatur canticis & carminibus, & tantam cum eis habet necessitudinem, & conuenientiam, vt vel infantes ab vberibus pendentes, si fleant & affligentur, ea ratione sopiantur. *Similibus confirmat.* Nutrices quidem certè quæ eos gestant in vlnis, sæpe abeuntes & redeuntes, & quædam puerilia eis carmina decantantes, supercilia eorum ita sopiunt. Quocirca sæpe quoque viatores meridie agentes iugalia animalia, hoc faciunt, canentes, itineris molestiã illis canticis consolantes. Nec solum viatores, sed etiam agricolæ vuas in torculari calcantes, vindemiantes, & vites colentes, & quodcunque aliud opus facientes, sæpe cantant. Nautæ quoque remos impellẽtes hoc faciunt. Iam verò mulieres quoque texentes, & confusa stamina radio discernentes, sæpe quidem & per se singulæ, sæpe autem etiam omnes concorditer vnam quandam melodiam concinunt. Hoc autem faciunt & mulieres, & viatores, & agricolæ, & nautæ, qui ex opere faciendo suscipitur, laborem cantu consolari volentes, vtpote quòd anima, si carmen & canticum audierit, molesta & difficilia sit facilius toleratura. Quoniam ergo hoc genus delectationis est nostræ animæ valde cognatum & familiare, ne dæmones lasciua & meretricia cantica introducentes, omnia euerterent, Psalmos Deus opposuit, vt ex ea re simul caperetur voluptas & vtilitas. *Psalmi cur inuenti.* Ex externis enim canticis damnum, & exitium, & multa grauia inuehuntur. Nam cùm quæ sunt in his canticis lasciuiora & iniquiora, partibus animæ insederint, eam imbecilliorẽ, redderint & molliorem: ex Psalmis autem spiritualibus lucri quidem plurimum, maxima autem vtilitas insignísque sanctificatio, & omnis philosophiæ occasio processerit, cùm & verba animam expient, & sanctus Spiritus in canentis animã celeriter aduolet. quod enim qui canunt cũ intelligentia, vocent spiritus gratiam, audi quid dicat Paulus: *Ephes. 5. 17.* Nolite inebriari vino, in quo est luxuria: sed implemini spiritu. Subiungit autem etiam quænam sit implendi ratio: *Psallendum cum intelligentia.* Canentes & psallentes in cordibus vestris Domino. Quid est in cordibus vestris?

A Οὕτω γοῦν ἡμῶν ἡ φύσις πρὸς τὰ ᾄσματα καὶ τὰ μέλη ἡδέως ἔχει καὶ οἰκείως, ὡς καὶ τὰ ὑπομάζια παιδία κλαυθμυριζόμενα καὶ δυσχεραίνοντα, οὕτω κατακοιμίζεσθαι. αἱ γοῦν τίτθαι ἐν ταῖς ἀγκάλαις αὐτὰ βαστάζουσαι, πολλάκις ἀπιοῦσαί τε καὶ ἐπανιοῦσαι, καί τινα αὐτοῖς κατεπᾴδουσαι ᾄσματα παιδικὰ, οὕτως αὐτῶν τὰ βλέφαρα κατακοιμίζουσι. διὰ τοῦτο καὶ ὁδοιπόροι πολλάκις κατὰ μεσημβρίαν ἐλαύνοντες ὑποζύγια, ᾄδοντες τοῦτο ποιοῦσι, τὴν ἐκ τῆς ὁδοιπορίας ταλαιπωρίαν ταῖς ᾠδαῖς ἐκείναις παραμυθούμενοι. B οὐχ ὁδοιπόροι δὲ μόνον, ἀλλὰ καὶ γηπόνοι ληνοβατοῦντες, καὶ τρυγῶντες, καὶ ἀμπέλους θεραπεύοντες, καὶ ἄλλο ὁτιοῦν ἐργαζόμενοι, πολλάκις ᾄδουσι· καὶ ναῦται κωπηλατοῦντες, τοῦτο ποιοῦσιν. ἤδη δὲ καὶ γυναῖκες ἱστουργοῦσαι, καὶ τῇ κερκίδι τοὺς στήμονας συγκεχυμένους διακρίνουσαι, πολλάκις μὲν καὶ καθ' ἑαυτὴν ἑκάστη, πολλάκις δὲ καὶ συμφώνως ἅπασαι, μίαν τινὰ μελῳδίαν ᾄδουσι. ποιοῦσι δὲ τοῦτο καὶ γυναῖκες, καὶ ὁδοιπόροι, καὶ γηπόνοι, καὶ ναῦται, τῷ ᾄσματι τὸν ἐκ τῶν ἔργων πόνον παραμυθήσασθαι σπουδάζοντες, C ὡς τῆς ψυχῆς, εἰ μέλους ἀκούσειε καὶ ᾠδῆς, ῥᾷον ἅπαντα ἐνεγκεῖν δυναμένης τὰ ὀχληρὰ καὶ ἐπίπονα. ἐπεὶ οὖν οἰκείως ἡμῖν πρὸς τοῦτο ἔχει τὸ εἶδος τῆς τέρψεως ἡ ψυχή· ἵνα μὴ πορνικὰ ᾄσματα οἱ δαίμονες εἰσάγοντες ἅπαντα ἀνατρέπωσι, τοὺς ψαλμοὺς ἐπετείχισεν ὁ Θεὸς, ὥστε ὁμοῦ καὶ ἡδονὴν τὸ πρᾶγμα καὶ ὠφέλειαν εἶναι. ἀπὸ μὲν γὰρ τῶν ἔξωθεν ᾀσμάτων, βλάβη, καὶ ὄλεθρος, καὶ πολλὰ ἂν εἰσαχθείη δεινά (τὰ γὰρ ἀσελγέστερα καὶ παρανομώτερα τῶν ᾀσμάτων τούτων τοῖς τῆς ψυχῆς μέρεσιν D ἐγγινόμενα, ἀσθενεστέραν αὐτὴν καὶ μαλακωτέραν ποιοῦσιν) ἀπὸ δὲ τῶν ψαλμῶν τῶν πνευματικῶν, πολὺ μὲν τὸ κέρδος, πολλὴ δὲ ἡ ὠφέλεια, πολὺς δὲ ὁ ἁγιασμὸς, καὶ πάσης φιλοσοφίας ὑπόθεσις γένοιτ' ἂν, τῶν τε ῥημάτων τὴν ψυχὴν ἐκκαθαιρόντων, τοῦ τε ἁγίου πνεύματος τῇ τὰ τοιαῦτα ψαλλούσῃ ταχέως ἐφιπταμένου ψυχῇ. ὅτι γὰρ οἱ μετὰ συνέσεως ψάλλοντες τὴν τοῦ πνεύματος καλοῦσι χάριν, ἄκουσον τί φησιν ὁ Παῦλος· μὴ μεθύσκεσθε οἴνῳ, ἐν ᾧ ἐστιν ἀσωτία, ἀλλὰ πληροῦσθε ἐν πνεύματι. ἐπήγαγε δὲ καὶ τὸν τρόπον τῆς πληρώσεως. ᾄδοντες καὶ ψάλλοντες ἐν ταῖς καρδίαις ὑμῶν τῷ κυρίῳ. τί ἐστιν, ἐν ταῖς καρδίαις ὑμῶν;

μετὰ συνέσεως, φησίν· ἵνα μὴ τὸ στόμα μὲν λαλῇ τὰ ῥήματα, ἡ διάνοια δὲ ἔξω διατρέχῃ πανταχοῦ πλανωμένη, ἀλλ' ἵνα ἀκούῃ ἡ ψυχὴ τῆς γλώττης. Καὶ καθάπερ ἔνθα μὲν βόρβοροι, χοῖροι τρέχουσιν· ἔνθα δὲ ἀρώματα καὶ θυμιάματα, μέλιτται κατασκηνοῦσιν· οὕτως ἔνθα μὲν ᾄσματα πορνικὰ, δαίμονες ἐπισωρεύονται· ἔνθα δὲ μέλη πνευματικὰ, ἡ τοῦ πνεύματος ἐφίπταται χάρις, καὶ τὸ στόμα καὶ τὴν ψυχὴν ἁγιάζει. Ταῦτα λέγω, οὐχ ἵνα ἐπαινῆτε μόνον, ἀλλ' ἵνα καὶ παῖδας καὶ γυναῖκας τὰ τοιαῦτα διδάσκητε ᾄσματα ᾄδειν, οὐκ ἐν ἱστοῖς μόνον, B οὐδὲ ἐν τοῖς ἄλλοις ἔργοις, ἀλλὰ μάλιστα ἐν τραπέζῃ. ἐπειδὴ γὰρ ὡς τὰ πολλὰ ἐν συμποσίοις ὁ διάβολος ἐφεδρεύει, μέθην, καὶ ἀδηφαγίαν ἔχων αὐτῷ συμμαχοῦσαν, καὶ γέλωτα ἄτακτον, καὶ ψυχὴν ἀνειμένην, μάλιστα τότε δεῖ καὶ πρὸ τραπέζης, καὶ μετὰ τράπεζαν ἐπιτειχίζειν αὐτῷ τὴν ἀπὸ τῶν ψαλμῶν ἀσφάλειαν, καὶ κοινῇ μετὰ τῆς γυναικὸς καὶ τῶν παίδων ἀναστάντας ἀπὸ τοῦ συμποσίου, τοὺς ἱεροὺς ᾄδειν ὕμνους τῷ Θεῷ. εἰ γὰρ ὁ Παῦλος μάστιγας ἔχων ἀφορήτους ἐπικειμένας, καὶ ξύλῳ προσδεδεμένος, καὶ δεσμωτήριον οἰκῶν, ἐν μέσῃ νυκτὶ, ὅτε μάλιστα γλυC κὺς ὁ ὕπνος ἐφίσταται πᾶσι· μετὰ τοῦ Σίλα διετέλει τὸν Θεὸν ὑμνῶν, καὶ οὔτε ἀπὸ τοῦ τόπου, οὔτε ἀπὸ τοῦ καιροῦ, οὔτε ἀπὸ τῆς φροντίδος, οὔτε ἀπὸ τῆς τυραννίδος τοῦ ὕπνου, οὔτε ἀπὸ τῆς ἀλγηδόνος τῶν πόνων ἐκείνων, οὔτε ἄλλοθεν οὐδαμόθεν ἠναγκάσθη καθυφεῖναι τῆς μελῳδίας· πολλῷ μᾶλλον ἡμᾶς εὐφραινομένους, καὶ τῶν ἀγαθῶν ἀπολαύοντας τοῦ Θεοῦ, εὐχαριστηρίους ὕμνους ἀναπέμπειν αὐτῷ χρὴ, ἵνα κἄν τι γένηται παρὰ τῆς μέθης καὶ τῆς ἀδηφαγίας ἄτοπον εἰς τὴν ψυχὴν τὴν ἡμετέραν, τῆς ψαλ- D μῳδίας ἐπεισελθούσης, ἀποπηδήσῃ πάντα ἐκεῖνα τὰ ἄτοπα καὶ πονηρὰ βουλεύματα· καὶ καθάπερ πολλοὶ τῶν πλουτούντων τὴν σπογγιὰν βαλσάμου πλήσαντες οὕτω τὰς τραπέζας ἀπομάττουσιν, ἵνα εἴ τις ἀπὸ τῶν ἐδεσμάτων γένηται κηλὶς, περισυρεῖσα καθαρὰν δείξῃ τὴν τράπεζαν· οὕτω δὴ καὶ ἡμεῖς ποιῶμεν, ἀντὶ βαλσάμου τὸ στόμα ἐμπλήσαντες μελῳδίας πνευματικῆς, ἵνα εἴ τις ἐγένετο κηλὶς ἀπὸ τῆς ἀδηφαγίας ἐν τῇ ψυχῇ, διὰ τῆς μελῳδίας ἀποσμήξωμεν ἐκείνης, καὶ λέγωμεν κοινῇ στάντες· εὔφρανας ἡμᾶς, κύριε, ἐν τῷ ποιήματί σου, καὶ ἐν τοῖς ἔργοις τῶν χειρῶν σου ἀγαλλιασόμεθα. καὶ εὐχὴ μετὰ τῆς ψαλμῳδίας προσκείσθω, ἵνα μετὰ τῆς ψυχῆς καὶ τὴν οἰκίαν αὐτὴν ἁγιάζωμεν. ὥσπερ γὰρ οἱ μίμους,

A Cum intelligentia, inquit. Vt non os quidem, inquit, verba loquatur, mens autem extra versetur vndiquaque diuagans: sed vt lingua ab anima audiatur. Et quemadmodum vbi quidem est cœnum, eò porci concurrunt: vbi autem sunt aromata & suffitus, apes illic habitant: ita vbi sunt quidem meretricia cantica, illic congregantur dæmones: vbi autem cantica spiritualia, illuc aduolat Spiritus gratia, & os sanctificat & animam. Hæc dico, non vt vos tantùm laudetis, sed vt filios & vxores doceatis talia cantare cantica, non solum B in texendo aliòve opere faciendo, sed maximè in mensa. Quum enim diabolus vt plurimum insidietur in cõuiuiis, cùm & ebrietatis, & ingluuiei, risúsque profusi, & remissi animi auxilio vtatur: tunc maximè oportet & ante mensam, & in mensa, se munire Psalmorum præsidio, & simul cum vxore ac liberis surgentes à conuiuio, hymnos sacros Deo canere. Si enim Paulus (cui intolerabilia flagella imminebant) cùm ligno alligatus in carcere habitaret, media nocte, quando est omnibus somnus iucundis- C simus, cum Sila Deum perpetuò laudabat, & nec locus, nec tempus, nec sollicitudines, nec somni tyrannis, nec illi labores, nec dolores, nec quidquã aliud eum coëgit modulationem illam intermittere: multò magis nos qui iucundè viuimus, & Dei bonis fruimur, hymnos, quibus Deo gratiæ agantur, oportet emittere, vt si vel ebrietas, vel ingluuies nostræ animæ, turpe aut absurdũ quid fecerit, vbi ingressa fuerit psalmodia, omnia illa mala & improba consilia resiliant: & quemadmodum nonnulli diuites impleta balsamo spongia mensas abstergunt: vt si ex cibis vlla remãserit D macula ex tracta puram mensam ostendant: ita nos quoque faciamus, pro balsamo os implentes melodia spirituali: vt si ex saturitate vlla in anima macula remanserit, eam per illam modulationem abstergamus, & communiter omnes stantes dicamus: Delectasti nos Domine in factura tua, & in operibus manuum tuarũ exultabimus. Post psalmodiam autẽ addatur etiã oratio, vt cum anima ipsam quoq; domum sanctificemus. Quemadmodũ enim qui mimos,

A contrario.

Contra nostri tẽporis pseudoprophetas.

Conuiuiorum cantio.

Act.16.25.

simili probat, ab epulis gratiarũ actionem reddendã.

Psal.91.5.

& saltatores, & mulieres meretrices introducunt in conuiuia, dæmones & diabolum illuc vocant, & domos suas implent bellis innumerabilibus, (hinc certè zelotypiæ, adulteria, stupra, & alia innumerabilia) ita qui vocant Dauid cum cithara, intus Christum per ipsum vocant. Vbi autem est Christus, nullus dæmon quidem ingredi, vel potius ne obiter quidem inspicere ausus fuerit: pax autem & dilectio, & omnia tanquam ex fontibus bona promanauerint. Illi domum suam faciunt theatrum, tu ecclesiam fac tuam domunculã. Vbi enim est Psalmus & oratio, & chorea prophetarum, & pius canentium animus, non aberrauerit quispiam, qui hunc cœtum dixerit ecclesiam. Etiamsi vim verborum non noueris, doce interea ipsum os verba dicere. Sanctificatur enim etiam lingua per verba, quando ea dicuntur prompto & alacri animo. Si nosipsos deduxerimus ad hanc consuetudinem, nec nostra sponte, nec per socordiam pulchrum hoc pretermittemus ministeriũ, more vel inuitos nos cogente hunc Dei cultum quotidie peragere. In hac modulatione, seu quis fuerit senio confectus, seu iuuenis voce aspera, seu omnis penitus numeri ignarus, nihil ei vitio dabitur. Quod enim hîc quæritur, est sobria anima, mens vigilans, cor compunctum, valida ratio, expurgata conscientia: si hæc habens, ingressus fueris in sanctum Dei chorum, iuxta ipsum Dauid stare poteris. Hic non est opus cithara, neque neruis extensis, neque plectro, nec arte, nec vllis instrumentis: sed si velis, teipsum efficies citharam, cùm carnis membra mortificaueris, & animæ cum corpore pulchrum concentum effeceris. Quando enim non concupierit caro aduersus spiritum, sed illius iussis cesserit, & eam tandem duxerit in viam optimam, & maxime admirabilem, ita melodiam efficies spiritualem. Non hîc opus est arte, quæ longo tempore perficitur: sed bona tantum voluntate, & generoso animi instituto opus est, & breui tempore periti euademus. Non opus est loco, non opus est tempore, sed vel in omni loco, & omni tempore licet mente canere. Nam siue in foro ambules, siue iter ingrediaris, siue cum amicis confideas,

Galat.5.17.

Psal.33.1. Malac.1.11

A καὶ ὀρχηστὰς, καὶ πόρνας γυναῖκας εἰς τὰ συμπόσια εἰσάγοντες, δαίμονας καὶ τὸν διάβολον ἐκεῖ καλοῦσι, καὶ μυρίων πολέμων τὰς αὐτῶν ἐμπιπλῶσιν οἰκίας (ἐντεῦθεν γοῦν ζηλοτυπίαι καὶ μοιχεῖαι καὶ πορνεῖαι καὶ τὰ μυρία δεινὰ) οὕτως οἱ τὸν Δαβὶδ καλοῦντες μετὰ τῆς κιθάρας, ἔνδον τὸν Χριστὸν δι᾽ αὐτοῦ καλοῦσιν. ὅπου δὲ ὁ Χριστὸς, δαίμων μὲν οὐδεὶς ἐπεισελθεῖν, μᾶλλον δὲ παρακύψαι τολμήσειέ ποτε· εἰρήνη δὲ καὶ ἀγάπη καὶ πάντα ὥσπερ ἐκ πηγῶν ἥξει τὰ ἀγαθά. ἐκεῖνοι ποιοῦσι θέατρον τὴν οἰκίαν αὐτῶν· σὺ ποίησον
B ἐκκλησίαν τὸ δωμάτιόν σου. ἔνθα γὰρ ψαλμὸς, καὶ εὐχὴ, καὶ προφητῶν χορεία, καὶ διάνοια τῶν ᾀδόντων θεοφιλὴς, οὐκ ἄν τις ἁμάρτοι τὴν σύνοδον ταύτην προσειπὼν ἐκκλησίαν. κἂν μὴ εἰδῇς τὴν δύναμιν τῶν ῥημάτων, αὐτὸ τέως καὶ στόμα παίδευσον τὰ ῥήματα λέγειν. ἁγιάζεται γὰρ καὶ διὰ ῥημάτων ἡ γλῶττα, ὅταν μετὰ προθυμίας ταῦτα λέγῃ). ἐὰν εἰς ταύτην ἑαυτοὺς καταστήσωμεν τὴν συνήθειαν, οὐδὲ ἑκόντες, οὐδὲ ῥαθυμοῦντές ποτε προησόμεθα τὴν καλὴν ταύτην λειτουργίαν, τοῦ ἔθους καὶ ἄκοντας ἡμᾶς ἀναγκάζοντος καθ᾽ ἑκάστην ἡμέραν τὴν καλὴν ταύτην ἐπιτελεῖν λα-
C τρείαν. ἐπὶ τῆς μελῳδίας ταύτης, κἂν γεγηρακώς τις ᾖ, κἂν νέος, κἂν δασύφωνος, κἂν ῥυθμοῦ παντὸς ἄπειρος, οὐδὲν ἔγκλημα γίνεται. τὸ γὰρ ζητούμενον ἐνταῦθα, ψυχὴ νήφουσα, διεγηγερμένη διάνοια, καρδία κατανενυγμένη, λογισμὸς ἐρρωμένος, συνειδὸς ἐκκεκαθαρμένον. ἐὰν ταῦτα ἔχων εἰσέλθῃς εἰς τὸν ἅγιον τοῦ Θεοῦ χορὸν, παρ᾽ αὐτὸν δυνήσῃ στῆναι τὸν Δαβίδ. ἐνταῦθα οὐ χρεία κιθάρας, οὐδὲ νεύρων τεταμένων, οὔτε πλήκτρου καὶ τέχνης, οὐδὲ ὀργάνων τινῶν· ἀλλ᾽ ἐὰν θέλῃς, σὺ σαυτὸν ἐργάσῃ κιθάραν, νεκρώσας τὰ μέλη τῆς σαρκὸς, καὶ πολλὴν τῷ σώματι πρὸς τὴν ψυχὴν
D ποιήσας τὴν συμφωνίαν. ὅταν γὰρ μὴ ἐπιθυμῇ κατὰ τοῦ πνεύματος ἡ σάρξ, ἀλλ᾽ εἴκῃ τοῖς ἐπιτάγμασι τοῖς ἐκείνου, καὶ εἰς πέρας ἄγῃ ταύτην ἐπὶ τὴν ἀρίστην καὶ θαυμαστὴν ὁδὸν, οὕτως ἐργάσῃ μελῳδίαν πνευματικήν. οὐ χρεία τέχνης ἐνταῦθα χρόνῳ μακρῷ κατορθουμένης, ἀλλὰ προαιρέσεως δεῖ γενναίας μόνον, καὶ δεξώμεθα τὴν ἐμπειρίαν ἐν βραχείᾳ καιροῦ ῥοπῇ. οὐ χρεία τόπου, οὐ χρεία χρόνου, ἀλλὰ καὶ ἐν παντὶ τόπῳ, καὶ ἐν παντὶ καιρῷ ψάλλειν ἔξεστι κατὰ διάνοιαν. κἂν γὰρ ἐν ἀγορᾷ βαδίζῃς, κἂν ἐν ὁδοῖς ᾖς, κἂν φίλοις συνεδρεύῃς,

ἔξεστι διεγεῖραι τὴν ψυχὴν, ἔξεστι σιγῶντα βοᾷν. οὕτω καὶ ὁ Μωϋσῆς ἐβόα, καὶ ὁ Θεὸς ἤκουσε. κἂν χειροτέχνης ἧς, ἐν ἐργαστηρίῳ καθήμενος καὶ ἐργαζόμενος, δυνήσῃ ψάλλειν. κἂν στρατιώτης ᾖς, ἐν δικαστηρίῳ προσεδρεύων, δυνήσῃ τὸ αὐτὸ τοῦτο ποιεῖν. ἔξεστι καὶ χωρὶς φωνῆς ψάλλειν, τῆς διανοίας ἔνδον ἠχούσης. οὐ γὰρ ἀνθρώποις ψάλλομεν, ἀλλὰ Θεῷ τῷ δυναμένῳ καὶ καρδίας ἀκοῦσαι, καὶ εἰς τὰ ἀπόρρητα τῆς διανοίας ἡμῶν εἰσελθεῖν. καὶ τοῦτο Παῦλος ἐνδεικνύμενος βοᾷ, λέγων· αὐτὸ τὸ πνεῦμα ἐντυγχάνει ὑπὲρ ἡμῶν στεναγμοῖς ἀλαλήτοις. ὁ δὲ ἐρευνῶν τὰς καρδίας, οἶδε τί τὸ φρόνημα τοῦ πνεύματος, ὅτι κατὰ Θεὸν ἐντυγχάνει ὑπὲρ ἁγίων. τοῦτο δὲ ἔλεγεν, οὐχ ὅτι τὸ πνεῦμα ἐστέναζεν, ἀλλ' ὅτι οἱ πνευματικοὶ ἄνδρες, οἱ τὰ χαρίσματα τοῦ πνεύματος ἔχοντες, ὑπὲρ τῶν πλησίον εὐχόμενοι, καὶ τὰς ἱκετηρίας ἀναφέροντες, μετὰ κατανύξεως καὶ στεναγμῶν τοῦτο ἐποίουν. τοῦτο καὶ ἡμεῖς ποιῶμεν, καὶ καθ' ἑκάστην ἡμέραν ἐντυγχάνωμεν τῷ Θεῷ διά τε ψαλμῶν καὶ εὐχῶν. ἵνα δὲ μὴ τὰ ῥήματα μόνον προσφέρωμεν, ἀλλὰ τὴν δύναμιν αὐτὴν εἰδῶμεν τῶν ῥήσεων, φέρε, τὸ προοίμιον αὐτὸ τοῦ ψαλμοῦ εἰς μέσον ἀγάγωμεν. τί οὖν ἐστι τὸ προοίμιον; ὃν τρόπον ἐπιποθεῖ ἡ ἔλαφος ἐπὶ τὰς πηγὰς τῶν ὑδάτων, οὕτως ἐπιποθεῖ ἡ ψυχή μου πρὸς σὲ, ὁ Θεός. τοιοῦτον τῶν ἐρώντων τὸ ἔθος, μὴ κατέχειν σιγῇ τὸν ἔρωτα, ἀλλ' εἰς τοὺς πλησίον ἐκφέρειν, καὶ λέγειν ὅτι φιλοῦσι. θερμὸν γάρ τι πρᾶγμα τῆς ἀγάπης ἡ φύσις, καὶ σιγῇ στέγειν αὐτὴν οὐκ ἂν ἀνέχοιτο ἡ ψυχή. διὰ τοῦτο καὶ Παῦλος ἔλεγε Κορινθίοις φιλῶν· τὸ στόμα ἡμῶν ἀνέῳγε πρὸς ὑμᾶς, Κορίνθιοι· τουτέστι, στέγειν καὶ σιγῇ κατέχειν τὴν ἀγάπην οὐ δύναμαι, ἀλλὰ διὰ παντὸς ὑμᾶς, καὶ πανταχοῦ, καὶ ἐπὶ τῆς διανοίας, καὶ ἐπὶ τῆς γλώττης περιφέρω. οὕτω καὶ ὁ μακάριος οὗτος φιλῶν τὸν Θεὸν, καὶ καιόμενος ἐν τῷ φίλτρῳ, οὐκ ἀνέχεται σιγᾶν, ἀλλά ποτε μέν φησιν· ὃν τρόπον ἐπιποθεῖ ἡ ἔλαφος ἐπὶ τὰς πηγὰς τῶν ὑδάτων, οὕτως ἐπιποθεῖ ἡ ψυχή μου πρὸς σὲ, ὁ Θεός· ποτὲ δὲ, ὁ Θεὸς, ὁ Θεός μου, πρὸς σὲ ὀρθρίζω. ἐδίψησέ σε ἡ ψυχή μου, ὡς γῆ ἄβατος καὶ ἄνυδρος καὶ ἔρημος. οὕτω γὰρ ἕτερος τῶν ἑρμηνευτῶν εἶπεν. ἐπειδὴ γὰρ λόγῳ παραστῆσαι τὸν ἔρωτα οὐκ ἴσχυε, περιέρχεται ζητῶν ὑπόδειγμα, ἵνα κἂν οὕτω τὸ φίλτρον ἡμῖν ἐνδείξηται, καὶ κοινωνοὺς ποιήσῃ τοῦ ἔρωτος. πειθώμεθα τοίνυν αὐτῷ, καὶ μάθωμεν οὕτως ἐρᾷν. καὶ μή μοι λεγέτω τις·

A licet excitare animum, licet vel tacenti clamare. Ita etiam Moses clamabat, & Deus audiebat. Etsi fueris opifex, poteris in officina sedens & operãs psallere. Etsi miles sis, aut sedeas in iudicio, poteris hoc ipsum facere. Licet etiam sine voce psallere, cùm mens intus resonet. Nõ enim hominib. canimus, sed Deo, qui potest vel corda audire, & in mẽtis nostræ arcana ingredi. Hoc quoq. Paulus ostẽdẽs vociferatur dicens: Ipse spiritus interpellat pro nobis gemitib. inenarrabilibus. Qui autẽ scrutatur corda, scit quid desideret spiritus, quòd secũ- B dũ Deũ postulet pro sanctis. Hoc autẽ dicebat, nõ quòd spiritus gemeret, sed quòd viri spiritales, qui habẽt dona spiritus, pro propinquis orantes, & supplicationes offerẽtes, hoc facerent cũ cõpũctione & gemitibus. Hoc nos quoq. faciamus, & quotidie Deũ interpellemus per Psalmos & orationes. Ne autẽ verba solùm offeramus, sed ipsam etiã sciamus vim dictionũ, age ipsum huius Psalmi prooemiũ in mediũ adducamus. Quod est ergo prooemiũ? Quemadmodũ desiderat ceruus ad fontes aquarũ, ita desiderat anima mea ad te Deus. Hic C est mos amãtiũ, amorẽ silẽtio nõ celare, sed enũtiare vicinis, & dicere se amare. Ardens enim res est natura dilectionis, nec potest anima sustinere, vt eã silẽtio teneat. Et ideo amãs quoq. Paulus dicebat Corinthiis: Os nostrum ad vos apertũ est, Corinthij. Hoc est, nõ possum cõtinere, & silẽtio premere dilectionẽ, sed vos semper & vbique, & in mẽte & in lingua circũfero. Ita etiã hic beatus Deũ amãs, & ardẽs in amore, nõ potest in animũ inducere vt taceat, sed aliquãdo quidẽ dicit: Quemadmodũ desiderat ceruus ad fontes aquarũ, ita deside- D rat anima mea ad te Deus. Aliquando autem, Deus, Deus meus ad te de luce vigilo. Sitiuit ad te anima mea, sicut terra inaccessa sine aqua, & deserta. Ita enim dixit alius interpres. Quoniam enim non potest oratione amorẽ ostendere, huc & illuc obit quærens exemplũ, vt vel ea ratione nobis suum amorem indicet, & amoris nos faciat participes. Ei ergo credamus, & sic amare ediscamus. Nec dicat mihi quispiam:

Exod.14.

Rom.8.25.

Gemitus spiritus quis sit.

Orditur exegesim à simili.

2.Cor.6.11.

Exemplis confirmat.

Psal.62.1.

Et quomodo possum amare Deum, quem non video? Multos enim amamus, licet eos non videamus, quemadmodum amicos nostros peregrè profectos, vel filios, vel parentes, vel cognatos & necessarios: nec ad id vllum affert nobis impedimentum quòd eos non videamus, imò verò hoc ipsum magis accendit amorem, & auget desiderium. Et ideo de Mose quoque dicens Paulus, quod relictis thesauris & opibus, regnique claritate, & omni alio in Ægypto splendore, maluit cum Iudæis affligi. Deinde nos causam docens, quòd hæc omnia faceret propter Deum, adiecit: Inuisibilem enim tanquam videns sustinuit. Non vides Deum, sed vides eius creaturas, vides eius opera, cœlum, & terram, & mare. Qui autem diligit, si delicti opus viderit, si calceum, si vestem, si quoduis aliud, accenditur. Non vides Deum, sed vides eius famulos, amicos, viros inquam sanctos, & qui habent apud eum fiduciam. Illos nunc obserua & cole, & habebis non leue solatium tui desiderij. Etenim in hominibus non solùm nostros amicos, sed eos etiam qui ab illis amantur, amare consueuimus. Et sicut dixerit quispiam ex iis qui amantur à nobis, hunc vel illum diligo, & si is beneficio aliquo fuerit affectus, ego me beneficium accepisse existimo: omnia facimus & procuramus, vt perinde ac si dilectum videremus, ita omne in eum studium ostendamus: hoc ipsum in Christo quoque præclarè facere possumus. Dixit: Diligo pauperes: & si ij boni aliquid acceperint, perinde ac si ipse recepissem, reddo remunerationem. Pro eis colendis & subleuandis nihil non faciamus: imò verò in ipsos omnes nostras facultates effundamus, credentes per ipsos Deum alere. Quòd enim dum ij aluntur, ipse alitur, audi quid dicat Christus: Esurientem me vidistis, inquit, & aluistis: sitientem, & potum dedistis: nudum, & me operuistis, multásque dedit nobis rationes quibus possimus nostrum solari desiderium. Iam verò aliàs quoque tria sunt quæ amorem apud nos efficere consueuerunt, forma corporis, magnitudo beneficij, vel quòd ab eo amemur. Vnumquodque enim eorum per se potest in nobis amorem procreare.

Hebr. 11. 25

Matth. 19. 21.

Matt. 25. 35

Amorem tria conciliant.

A καὶ πῶς δυνάμεθα φιλεῖν τὸν Θεὸν, ὃν οὐ βλέπομεν; καὶ γὰρ πολλοὺς οὐχ ὁρῶντες φιλοῦμεν, οἷον τοὺς ἐν ἀποδημίᾳ φίλους ὄντας ἡμῖν, ἢ παῖδας καὶ πατέρας, ἢ συγγενεῖς καὶ οἰκείους· καὶ οὐδὲν γίνεται κώλυμα ἐκ τοῦ μὴ ὁρᾷν, ἀλλ' αὐτὸ δὴ τοῦτο μάλιστα ἐκκαίει τὸ φίλτρον, αὔξει τὸν πόθον. διὰ τοῦτο καὶ περὶ Μωϋσέως λέγων ὁ Παῦλος, ὅτι καταλιπὼν θησαυροὺς, καὶ πλοῦτον, καὶ βασιλείας περιφάνειαν καὶ τὴν ἄλλην ἅπασαν λαμπρότητα τὴν ἐν Αἰγύπτῳ, εἵλετο μετὰ τῶν Ἰουδαίων κακουχεῖσθαι. εἶτα τὴν αἰτίαν ἡμᾶς διδάσκων, ὅτι δὴ ταῦτα πάντα ἐποίει διὰ τὸν Θεὸν, προσέθηκε· τὸν γὰρ ἀόρατον ὡς ὁρῶν ἐκαρτέρει. οὐχ ὁρᾷς τὸν Θεὸν, ἀλλ' ὁρᾷς τὰ δημιουργήματα, ὁρᾷς αὐτοῦ τὰ ἔργα, οὐρανὸν, καὶ γῆν, καὶ θάλατταν. ὁ δὲ φιλῶν, κἂν ἔργον ἴδῃ τοῦ φιλουμένου, κἂν ὑπόδημα, κἂν ἱμάτιον, κἂν ὁποιονοῦν ἕτερον, διαθερμαίνεται. οὐχ ὁρᾷς τὸν Θεὸν, ἀλλ' ὁρᾷς αὐτοῦ τοὺς οἰκέτας, τοὺς φίλους, τοὺς ἁγίους ἄνδρας λέγω καὶ παῤῥησίαν ἔχοντας. θεράπευσον ἐκείνους νῦν, καὶ ἕξεις τοῦ πόθου παραμυθίαν οὐ τὴν τυχοῦσαν. καὶ γὰρ ἐπ' ἀνθρώπων, οὐχὶ τοὺς φίλους ἡμῶν μόνον, C ἀλλὰ καὶ τοὺς ὑπ' ἐκείνων φιλουμένους φιλεῖν εἰώθαμεν. κἂν εἴπῃ τις τῶν ἐρωμένων τῶν ἡμετέρων, ὅτι τὸν δεῖνα φιλῶ, κἂν ἐκεῖνός τι πάθῃ χρηστὸν, ἐγὼ τῆς εὐεργεσίας ἀπολαύειν νομίζω· πάντα ποιοῦμεν καὶ πραγματευόμεθα, ὥσπερ αὐτὸν τὸν ἐρώμενον ὁρῶντες, οὕτω πᾶσαν περὶ ἐκεῖνον ἐπιδείξασθαι σπουδήν. ἔξεστι τοῦτο καὶ ἐπὶ τοῦ Χριστοῦ κατορθῶσαι νῦν. εἶπεν, ὅτι τοὺς πένητας φιλῶ· κἂν οὗτοί τι πάθωσιν ἀγαθὸν, ὡς αὐτὸς ἀπολελαυκὼς, οὕτως ἀποδίδωμι τὴν ἀμοιβήν. πάντα ποιήσωμεν ὑπὲρ τῆς εἰς D αὐτοὺς θεραπείας· μᾶλλον δὲ πάντα τὰ ὄντα κενώσωμεν εἰς αὐτοὺς, πιστεύοντες διὰ τούτων τὸν Θεὸν τρέφειν. ὅτι γὰρ αὐτὸς τρέφεται τούτων τρεφομένων, ἄκουσον τοῦ Χριστοῦ τί φησι. πεινῶντά με γὰρ εἴδετε, φησὶ, καὶ ἐθρέψατε· διψῶντα, καὶ ἐποτίσατε· γυμνὸν καὶ περιεβάλετε· καὶ πολλὰς ἡμῖν ἔδωκε τοῦ παραμυθίας τὸν πόθον τὸν ἡμέτερον. ἄλλως δὲ τὸν ἔρωτα τὸν πρὸς ἡμᾶς τρία ταῦτα ποιεῖν εἴωθεν, ἢ εὐμορφία σώματος, ἢ εὐεργεσίας μέγεθος, ἢ τὸ φιλεῖσθαι παρ' αὐτοῦ. ἓν γὰρ ἕκαστον αὐτῶν καθ' ἑαυτὸ δύναται ἐμποιεῖν φίλτρον

ἰμᾶν. καὶ γὰρ μηδὲν ὦμεν εὖ παθόντες παρά τι-
νος, ἀκούωμεν δὲ ὅτι φιλεῖ ἡμᾶς διατελεῖ,
ἐπαινεῖ ἡμᾶς, καὶ θαυμάζων, εὐθέως αὐτῷ
συγκολλώμεθα, καὶ στέργομεν ὡς εὐεργέτην. ἐπὶ
τοῦ Θεοῦ δὲ οὐχὶ ταῦτα μόνον, ἀλλὰ καὶ τὰ τρία
ταῦτα ἐστὶν ἰδεῖν μετ' ὑπερβολῆς τοσαύτης, ὅσην
οὐδεὶς λόγος παραστῆσαι δυνήσεται. καὶ πρῶτον
τὸ κάλλος τῆς μακαρίας ἐκείνης, καὶ ἀκηράτου
φύσεως ἐκείνης ἀμήχανον οὕτω πῶς ἐστι, καὶ
ἄμαχον, καὶ πάντα ὑπερβαῖνον λόγον, καὶ πᾶσαν
ἐκφεῦγον διάνοιαν. κάλλος δὲ ὅταν ἀκούσῃς, μη-
δὲν σωματικὸν ὑποπτεύσῃς ἀγαπητέ, ἀλλὰ ἀ-
σώματόν τινα δόξαν καὶ μεγαλοπρέπειαν ἄ-
φραστον. τοῦτον οὖν ὁ προφήτης ἐκφαίνων ἔ-
λεγε· καὶ τὰ Σεραφεὶμ εἱστήκεισαν κύκλῳ αὐτοῦ,
καὶ ταῖς μὲν δυσὶ πτέρυξι κατεκάλυπτον τὸ
πρόσωπον, ταῖς δὲ δυσὶ κατεκάλυπτον τοὺς
πόδας, ταῖς δὲ δυσὶν ἐπέτοντο καὶ ἔκραζον ἅ-
γιος, ἅγιος, ἅγιος, ἀπὸ τῆς ἐκπλήξεως ἀπὸ τοῦ
θαύματος, ἀπὸ τῆς εὐπρεπείας ἐκείνης, ἀπὸ τῆς
δόξης. καὶ πάλιν ὁ Δαβὶδ κατανοήσας αὐτὸ τοῦ-
το, τὸ κάλλος (καὶ τὴν δόξαν ἐκπλαγεὶς) τῆς
μακαρίας ἐκείνης φύσεως ἔλεγε· περίζωσαι
τὴν ῥομφαίαν σου ἐπὶ τὸν μηρόν σου δυνατέ, τῇ
ὡραιότητί σου καὶ τῷ κάλλει σου. διὰ τοῦτο καὶ
Μωϋσῆς ἐπεθύμει πολλάκις αὐτὸν ἰδεῖν τῷ
φίλτρῳ τρωθεὶς τούτῳ καὶ τῆς δόξης ἐκείνης ἐ-
ρῶν. διὰ τοῦτο καὶ Φίλιππος ἔλεγε· δεῖξον ἡ-
μῖν τὸν πατέρα καὶ ἀρκεῖ ἡμῖν. μᾶλλον δὲ ὅ-
σαν ἂν εἴπωμεν, οὐδὲ μικρόν, οὐδὲ ἀμυδρὸν
ἴχνος τι τῆς εὐπρεπείας ἐκείνης παραστῆσαι δυ-
νησόμεθα. ἀλλὰ τὰς εὐεργεσίας βούλει καταλ-
λέξωμεν; ἀλλ' οὐδὲ ταύτας λόγος παραστῆσαι
δυνήσεται. διὰ τοῦτο ὁ Παῦλος ἔλεγε· χάρις
δὲ τῷ κυρίῳ ἐπὶ τῇ ἀνεκδιηγήτῳ αὐτοῦ δωρεᾷ.
καὶ πάλιν ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤ-
κουσε, καὶ ἐπὶ καρδίαν τοῦ ἀνθρώπου οὐκ ἀνέ-
βη, ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν; καὶ
πάλιν· ὦ βάθος πλούτου, καὶ σοφίας, καὶ γνώσεως
Θεοῦ, ὡς ἀνεξερεύνητα τὰ κρίματα αὐτοῦ, καὶ
ἀνεξιχνίαστοι αἱ ὁδοὶ αὐτοῦ. ἀλλὰ τὸ φίλτρον ὃ
περὶ ἡμᾶς ἐνεδείξατο ποῖος παραστήσει λόγος;
τοῦτο γοῦν ἐκπληττόμενος ὁ Ἰωάννης ἔλεγεν·
οὕτω γὰρ ἠγάπησεν ὁ Θεὸς τὸν κόσμον, ὅτι υἱὸν
αὐτοῦ τὸν μονογενῆ ἔδωκεν. εἰ δὲ βούλει καὶ ἀκοῦ-
σαι αὐτοῦ τῶν ῥημάτων, καὶ τὸν πόθον μαθεῖν, ἄκουσον

A Etsi enim nullũ beneficium ab aliquo acceperimus, solùm autem audiamus eum nos perpetuò amare, vt qui nos laudet & admiretur, ei confestim conglutinamur, & tanquam benefactorem diligimus. In Deo autem non hoc solum, sed hæc etiam tria videre licet tanta, & tam insignia, vt nulla ea possit explicare oratio. Et primùm pulchritudo illius beatæ, & ab interitu alienæ naturæ, res est quædam infinita, & nulla ratione superabilis, quæ omnem excedit rationem, & omnem effugit cogitationem. Quando autem B pulchritudinem audieris, nihil corporeum suspiceris, ô dilecte, sed gloriam quandam incorpoream, & magnificentiam ineffabilem. Hanc itaque declarans Propheta dicebat: Et Seraphim stabant in circuitu eius, & duabus quidem pennis vultum tegebant, duabus autem volabant, & clamabant, Sanctus, Sanctus, Sanctus, ex stupore, ex admiratione, ex illo decore, ex magnificentia, ex gloria. Et rursus Dauid cùm mente apprehendisset hanc ipsam beatæ illius naturæ pulchritudinem & gloriam obstupuisset, dicebat: Accin- C gere gladio tuo super femur tuum valide, specie tua & pulchritudine tua. Propterea Moses illum sæpe cupiebat videre, hoc amore sauciatus, & illam amans gloriam. Quocirca dicebat quoque Philippus: Ostende nobis patrem, & sufficit nobis. Vel potius quæcunque dixerimus, ne paruum quidem, imò ne exile quidem vestigium illius decoris poterimus explicare. Sed vis beneficia enumeremus? ne ea quidem poterit oratio consequi: & ideo dicebat Paulus: Gratia autem Domino propter donum eius inenarrabile. Et rur- D sus, quæ oculus non vidit, & auris non audiuit, & in cor hominis non ascenderunt, quæ Deus præparauit iis qui ipsum diligunt? Et rursus: O altitudo diuitiarum, & sapientiæ, & scientiæ Dei, quàm inscrutabilia sunt iudicia eius, & imperuestigabiles viæ eius. Eius autem in nos amorem quænam explicarit oratio? Eum certè admirans dicebat Ioannes: Sic enim Deus dilexit mundum, vt filium suum daret vnigenitum. Quòd si vis eius verba audire, & cognoscere desiderium, audi

Pulchritudo Dei.

Esa.6.2.

Psal.44.4.

Exod.33.

Ioan.14.8.

2.Cor.9.15

1.Cor.2.

Rom.11.

Ioan.3.

Esa. 49. 15. quid dicat per Prophetam: Nunquid obliuiſcetur mulier miſereri natorum vteri ſui? Quòd ſi eorum etiam obliuiſcatur mulier, ego tamen non obliuiſcar tui. Et ſicut hic dicebat: Quemadmodum deſiderat ceruus ad fontes aquarum, ita deſiderat anima mea ad te Deus: Ita etiam dicit Chriſtus: *Matt. 23. 37.* Quemadmodum congregat gallina pullos ſuos ſub alis, ita volui congregare filios veſtros, & noluiſtis. Et rur-*Pſ. 102. 13.* ſus: Sicut miſeretur pater filiorum ſuorum, miſertus eſt Dominus eorum *Ibidem.* qui ipſum timent. Et rurſus: Secundum altitudinem cœli à terra confirmauit Dominus miſericordiam ſuam ſuper timentes ipſum. Et quemadmodum Propheta exemplis vtitur, vt ſuum oſtendat deſiderium: ita etiam Deus vtitur quibuſdam exemplis, vt ſignificet nobis ſuum amorem noſtræ ſalutis. Et Propheta quidem dixit ceruam ſitientem, & terram aduſtam: Deus autem gallinarum in pullos charitatem, & patrum curam ac ſollicitudinem, & cœli à terra altitudinem, & matrum miſericordiam, non quòd ſolùm tantum amet, quantum mater filium, ſed quoniam his definitionibus, regulis, & exemplis non ſunt apud nos alia maiora ſigna & argumenta amicitiæ. Nam quòd nos non ſolùm tantum amat, quantum mater pia filios, ſed etiam multò magis, audi quid *Esa. 49. 15.* dicat: Quòd ſi etiã oblita fuerit mater filiorum ſuorum, ego tamen tui non obliuiſcar. Hoc autem dicebat ſignificans ſuum in nos deſiderium eſſe omni charitate naturali ardentius. Hæc autem omnia apud teipſum conſidera, & amorem vehementem accendes, clarámque flammam & reſplendentem charitatis efficies. Quoniam ergo nihil apud nos homines æquè ſolet accendere amicitiam, vt aſſiduè meminiſſe beneficiorum quæ accepimus: hoc *Beneficia Domini.* etiam in Deo faciamus. Apud nos conſideremus quæcunque fecit propter nos, ipſum cœlum, terram, mare, aërem: quæ in terra ſunt, arbores, varios flores, iumenta, reptilia: ea quæ ſunt in mari: quæ in aëre medio: aſtra quæ ſunt in cœlo, Solem, lunam, & vt ſemel dicam, omnia quæ videntur, fulgura, temporum pulchrum ordinem, diei & noctis ſucceſſionem, annuas conuerſiones. Animam inſpirauit, rationem donauit,

A τί φησι διὰ τοῦ προφήτου· μὴ ἐπιλήσεται γυνὴ τοῦ ἐλεῆσαι τὰ ἔκγονα τῆς κοιλίας αὐτῆς; εἰ δὲ καὶ ἐπιλάθοιτο ταῦτα γυνή, ἀλλ᾽ ἐγὼ οὐκ ἐπιλήσομαί σου. καὶ καθάπερ οὗτος ἔλεγεν· ὃν τρόπον ἐπιποθεῖ ἡ ἔλαφος ἐπὶ τὰς πηγὰς τῶν ὑδάτων· οὕτως ἐπιποθεῖ ἡ ψυχή μου πρὸς σὲ ὁ Θεός· οὕτω καὶ ὁ Χριστός φησι· ὃν τρόπον ἐπισυνάγει ὄρνις τὰ ἑαυτῆς νοσσία, οὕτως ἠθέλησα ἐπισυνάξαι τὰ τέκνα ὑμῶν, καὶ οὐκ ἠθελήσατε· καὶ πάλιν, καθὼς οἰκτείρει πατὴρ υἱούς, οὕτως ᾠκτείρησε κύριος τοὺς φοβουμένους αὐτόν· καὶ κατὰ τὸ ὕψος τοῦ οὐρανοῦ ἀπὸ τῆς γῆς ἐκρα-B ταίωσε κύριος τὸ ἔλεος αὐτοῦ ἐπὶ τοὺς φοβουμένους αὐτόν. καὶ καθάπερ ὁ προφήτης ὑπόδειγμα ζητεῖ, ἵνα τὸν πόθον ἐνδείξηται τὸν ἑαυτοῦ· οὕτως καὶ ὁ Θεὸς ὑποδείγμασί τισι κέχρηται, ἵνα ἡμῖν δηλώσῃ τὸν ἔρωτα, ὃν περὶ τῆς ἡμετέρας σωτηρίας ἔχει. καὶ ὁ μὲν προφήτης ἔλαφον εἶπε διψῶσαν, καὶ γῆν ἐκκεκαυμένην· ὁ δὲ Θεὸς ὀρνίθων περὶ νεοττοὺς φιλοστοργίαν, καὶ πατέρων κηδεμονίαν, καὶ ὕψος οὐρανοῦ ἀπὸ γῆς, καὶ εὐσπλαγχνίαν μητέρων, οὐκ ἐπειδὴ τοσοῦτον φιλεῖ μόνον ὅσον μήτηρ παῖδα, ἀλλ᾽ ἐπειδὴ τούτων τῶν C ὅρων καὶ τῶν κανόνων καὶ ὑποδειγμάτων, οὐκ ἔστι παρ᾽ ἡμῖν ἕτερα μείζονα φιλίας τεκμήρια. ἐπεὶ οὐ τοσοῦτον φιλεῖ ἡμᾶς μόνον ὅσον παιδία μήτηρ φιλόστοργος, ἀλλὰ πολλῷ πλέον, ἄκουσον τί φησιν· εἰ γὰρ καὶ ἐπιλάθοιτο, φησί, γυνὴ τῶν ἐκγόνων αὐτῆς, ἀλλ᾽ ἐγὼ οὐκ ἐπιλήσομαί σου. τοῦτο δὲ ἔλεγε δηλῶν, ὅτι πάσης φιλοστοργίας θερμότερος ὁ περὶ ἡμᾶς αὐτοῦ πόθος ἐστίν. ταῦτα δὴ πάντα συλλέγων ἀναλογίζου πρὸς ἑαυτόν, καὶ θερμὸν ἀνάψεις τὸν ἔρωτα, καὶ λαμπρὰν ἐργάσῃ τὴν φλόγα. ἐπεὶ οὖν τὰς φι-D λίας καὶ ἐφ᾽ ἡμῶν τῶν ἀνθρώπων οὐδὲν οὕτως ἐκκαίειν εἴωθεν, ὡς τὸ μεμνῆσθαι τῶν εὐεργεσιῶν, ὧν ἀπηλαύσαμεν, καὶ ἐπὶ τοῦ Θεοῦ τοῦτο ποιῶμεν· ἀναλογισώμεθα πόσα δι᾽ ἡμᾶς ἐποίησεν, αὐτὸν τὸν οὐρανόν, τὴν γῆν, τὴν θάλατταν, τὸν ἀέρα, τὰ ἐν τῇ γῇ φυτὰ καὶ ἄνθη τὰ ποικίλα καὶ κτήνη, καὶ ἑρπετά, τὰ ἐν τῇ θαλάττῃ, τὰ ἐν ἀέρι μέσῳ, τὰ ἄστρα τὰ ἐν οὐρανῷ, τὸν ἥλιον, τὴν σελήνην, τὰ ὁρώμενα ἁπλῶς ἅπαντα, τὰς ἀστραπάς, τῶν ὡρῶν τὴν εὐταξίαν, ἡμέρας καὶ νυκτὸς διαδοχήν, τὰς ἐτησίους τροπάς, ψυχὴν ἐνέπνευσε, λόγον ἐχαρί-

σατο, ἀρχῇ τετίμηκε μεγίστῃ· ἀγγέλους ἀπέστειλε, προφήτας ἔπεμψεν, ὕστερον τὸν υἱὸν αὐτοῦ τὸν μονογενῆ, καὶ μετ' ἐκεῖνα πάλιν, καὶ αὐτὸς παρακαλεῖ καὶ δι' ἑαυτοῦ καὶ διὰ τοῦ μονογενοῦς παιδὸς, ἵνα σὺ σωθῇς, καὶ οὐ παύεται Παῦλος πρεσβεύων ὡς τοῦ Θεοῦ παρακαλοῦντος δι' ἡμῶν, δεόμεθα ὑπὲρ Χριστοῦ, καταλλάγητε τῷ Θεῷ· καὶ οὐδὲ ἐνταῦθα ἔστη, ἀλλὰ καὶ ἀπὸ τῆς φύσεως τῆς σῆς λαβὼν ἀπαρχὴν, ἐκάθισεν ἄνω πάσης ἀρχῆς καὶ ἐξουσίας καὶ δυνάμεως, καὶ παντὸς ὀνόματος ὀνομαζομένου οὐ μόνον ἐν τῷ αἰῶνι τούτῳ, ἀλλὰ καὶ ἐν τῷ μέλλοντι. ἀληθῶς εὔκαιρον νῦν εἰπεῖν· τίς λαλήσει τὰς δυναστείας τοῦ κυρίου· ἀκουστὰς ποιήσει πάσας τὰς αἰνέσεις αὐτοῦ; κἀκεῖνο πάλιν· τί ἀνταποδώσω τῷ κυρίῳ περὶ πάντων, ὧν ἀνταπέδωκέ μοι; τί γὰρ ταύτης ἴσον γένοιτ' ἂν τῆς τιμῆς, ἀλλ' ἢ ὅταν ἡ ἀπαρχὴ τοῦ γένους ἡμῶν τοῦ τοσαῦτα προσκεκρουκότος, τοῦ ἠτιμωμένου, ἐν ὕψει τοσούτῳ κάθηται, καὶ τοσαύτης ἀπολαύῃ τιμῆς; μὴ τὰς κοινὰς δὲ μόνον εὐεργεσίας, ἀλλὰ καὶ τὰς ἰδίας ἀνάλεγε, οἷον εἴ ποτε συκοφαντίᾳ περιπεσὼν ἀπηλλάγης τῆς κατηγορίας· εἴ ποτε ἀωρίᾳ καὶ μεσονυκτίῳ λῃσταῖς περιτυχὼν διέφυγες ἐκείνων τὰς ἐπιβουλάς· εἴ ποτε ζημίαν ἐπενεχθεῖσαν ἀπεδύσω· εἰ νοσήματι περιπεσὼν χαλεπῷ παραμυθίας ἔτυχες. πάντα ἀνάλεγε τὰ παρὰ πᾶσαν σου τὴν ζωὴν γενόμενα εὐεργετήματα τοῦ Θεοῦ, καὶ πολλὰ πάντως εὑρήσεις, οὐ παρὰ πᾶσαν τὴν ζωὴν μόνον, ἀλλὰ καὶ ἐν ἡμέρᾳ μιᾷ, καὶ εἰ ἐβούλετο ὁ Θεὸς πάσας τὰς καθ' ἑκάστην ἡμέραν εὐεργεσίας, ἃς ἡμᾶς εὐεργετεῖ ἀγνοούντων ἡμῶν καὶ οὐκ εἰδότων εἰς μέσον θεῖναι, οὐδ' ἂν ἀριθμῆσαι αὐτὰς δυνηθείημεν· πόσοι δαίμονες εἰς τὸν ἀέρα φέρονται τοῦτον; πόσαι ἐναντίαι δυνάμεις; εἰ μόνον ἐπέτρεψεν αὐτοῖς τὴν ὄψιν τὴν ἑαυτῶν δεῖξαι τὴν φοβερὰν ἐκείνην καὶ ἀτερπῆ, οὐκ ἂν ἐξέστημεν; οὐκ ἂν ἀπωλόμεθα; οὐκ ἂν διεφθάρημεν; ταῦτα δὴ πάντα ἀναλογιζόμενοι, καὶ τὰ ἁμαρτήματα ἑαυτῶν, ὅσα ἑκόντες, ὅσα ἀγνοοῦντες σφαλλόμεθα, καὶ γὰρ καὶ τοῦτο οὐ μικρὸν εἰς εὐεργεσίας λόγον, μὴ καθ' ἑκάστην ἡμέραν ἐπεξιέναι τὸν Θεὸν τοῖς πλημμελήμασι τοῖς ἡμετέροις· δυνησόμεθα φιλεῖν τὸν Θεόν. ὅταν γὰρ εὐνοή-

maximo honorauit imperio. Misit angelos, misit Prophetas, postea misit filium suum vnigenitum. Et post illa rursus ipse quoque [& per se, & per filium vnigenitum hortatur vt tu serueris: nec cessat Paulus in hodiernum vsque diem dicere: Pro Christo legatione fungimur, nempe Deo per nos hortante, obsecramus pro Christo, reconciliamini Deo. Et ne hic quidem constitit, sed ex tua natura acceptas primitias considere fecit super omnem principatum, potestatem, & dominatum, & omne nomen quod nominatur non solùm in hoc seculo, sed etiam in futuro. Nunc verè est opportunum dicere: Quis loquetur potentias Domini, & auditas faciet omnes laudationes eius? Et illud rursus: Quid retribuam domino pro omnibus quæ retribuit mihi? Quid enim potest cum hoc honore conferri, quando primitiæ generis nostri (quod in tam multis offendit, quod ignominia & dedecore affectum est) in tanta sedent altitudine, tantoque honore nunc fruuntur? Nec verò communia solùm beneficia, sed etiam propria & priuata apud te reputa, quemadmodum si quando fuisses delatus per calumniam, absolutus es ab accusatione: si quando cum media & intempesta nocte incidisses in latrones, effugisti illorum insidias: si quando ex damno tibi illato te expediueris, si cum in morbum grauem incidisses, refectus & recreatus es. Reputa quæ per totam tuam vitam accepisti à Deo beneficia, omnino ea permulta inuenies, non solùm in tota vita, sed vel in vno die: si vellet Deus omnia beneficia, quibus nos quotidie afficit imprudentibus nobis & nescientibus, in medium afferre, ne ea quidem enumerare possemus. Quot dæmones feruntur per hunc aërem? quot aduersæ potestates? Si ergo eis solùm permitteret terribilem illum suum & horrendum aspectum nobis ostendere, an non mente dimoueremur? an non periremus? an non omnino interiremus? Hæc omnia reputantes, & peccata quæcunque vel sponte, vel inscientes admittimus, (nam hoc quoque non est paruum reputandum beneficium, quòd non singulis diebus Deus nostra persequitur delicta) poterimus Deum diligere. Quando enim

2. Cor. 5. 20.

Psal. 105. 2.

Psal. 115. 12

cogitaueris quot peccata quotidie committis, & quot singulis diebus beneficia accipis, quanta Dei lenitate & clementia frueris, & quòd si Deus voluisset quotidie de tuis peccatis pœnas sumere, ne breui quidem tempore vixisses, prout dicit Propheta: Si iniquitates obseruaueris Domine, Domine quis sustinebit? ei ages gratias, & nihil erit tibi graue ac molestum eorum quæ acciderint: sed videbis, quòd etiamsi innumerabilia longè grauiora accidissent, nondum tamen dedisses pœnas quas merueras: & ita affectus magnum accendes desiderium, & poteris dicere cum Propheta: Quemadmodum desiderat ceruus ad fontes aquarum, ita desiderat anima mea ad te Deus. Est autem operæpretium quærere, quanam de causa hoc animal in medium adduxerit. Ceruus est quodammodo sitibundus, & ideo frequenter currit ad fontes aquarum. Efficitur autem sitibundus & à natura, & ex eo quòd serpentes comedat, & illorum alatur corporibus. Ergo tu hoc quoque fac. Serpentem, qui intelligentia apprehenditur, comede, peccatum humi prosterne, & poteris sitire Dei desideriū. Quemadmodum enim mala conscientia efficit nos sordidos, & adducit nos ad desperationem: ita si nostra peccata humi prostrauerimus, si improbitatem expurgauerimus, poterimus respicere ad spirituale desiderium, & cum magna animi promptitudine Deum vocare, & vehementiorem amorem accendere, nec verbis solùm, sed etiam factis hæc quæ audita sunt canere. Propterea enim Psalmos nobis cecinit ille beatus, vel potius gratia spiritus, non vt verba tantùm dicamus, sed eos factis quoque meditemur. Ne ergo existimes te propterea huc ingredi, vt verba tantùm dicas, sed vt quando canis, ea quæ pronuntiantur pacta conuenta esse arbitreris. Quando enim dixeris: Quemadmodum desiderat ceruus ad fontes aquarum, ita desiderat anima mea ad te Deus: cum Deo pactum fecisti, scripsisti syngrapham absque charta & atramento, voce professus te ipsum diligere plus omnibus, & nihil ei præferre, eiúsque amore ardere. Si ergo egressus videris formosam aliquam & impudicam mulierem te inescantem, & ad sui amorem

Psal. 129. 3.

Ceruus sitibundus.

Collatio ex contrariis. Prov. 18. Esa. 26.

A στης, ὅσα καθ᾽ ἑκάστην ἁμαρτάνεις τὴν ἡμέραν, ὅσα καθ᾽ ἑκάστην εὐεργετῇ τὴν ἡμέραν, ὅσης ἀπολαύεις μακροθυμίας, ὅσης ἀνέσεως, καὶ ὅτι εἰ καθ᾽ ἑκάστην ὁ Θεὸς ἐπεξήει, οὐδὲ βραχὺν ἂν ἔζησας χρόνον κατὰ τὸν προφήτην τὸν λέγοντα· ἐὰν ἀνομίας παρατηρήσῃς κύριε, κύριε τίς ὑποστήσεται· αὐτῷ χάριτας εἴσῃ καὶ ἐπ᾽ οὐδενὶ δυσχερανεῖς τῶν προσπιπτόντων· ἀλλ᾽ ὄψει, ὅτι κἂν μυρία πάθῃς οὐδέπω τὴν ἀξίαν ἀπέδωκας δίκην, καὶ οὕτω διακείμενος πολλὴν τὸν πόθον ἀνάψεις, καὶ δυνήσῃ κατὰ τὸν
B προφήτην λέγειν· ὃν τρόπον ἐπιποθεῖ ἡ ἔλαφος ἐπὶ τὰς πηγὰς τῶν ὑδάτων, οὕτως ἐπιποθεῖ ἡ ψυχή μου πρὸς σὲ ὁ Θεός. ἄξιον δὲ ἐξετάσαι, τί δήποτε τοῦτο τὸ ζῶον εἰς μέσον παρήγαγε. διψαλέον πώς ἐστιν ἡ ἔλαφος· καὶ διὰ τοῦτο συνεχῶς τρέχει ἐπὶ τὰς πηγὰς τῶν ὑδάτων. διψαλέον δὲ γίνεται τῆς φύσεως καὶ ἀπὸ τοῦ τοὺς ὄφεις κατεσθίειν, καὶ τοῖς ἐκείνων τρέφεσθαι σώμασι. καὶ σὺ τοίνυν τοῦτο ποίησον· τὸν νοητὸν ὄφιν κατάφαγε· ἐδάφισον τὴν ἁμαρτίαν, καὶ δυνήσῃ διψᾶν τὸν τοῦ Θεοῦ πόθον. καθάπερ γὰρ τὸ πονηρὸν συνειδὸς ῥυπαροὺς ἡμᾶς ἐργάζε-
C ται, καὶ εἰς ἀπόγνωσιν ἡμᾶς ἐμβάλλει· οὕτως ἂν ἐδαφίσωμεν ἡμῶν τὰς ἁμαρτίας, ἂν ἐκκαθάρωμεν τὴν πονηρίαν, δυνησόμεθα διαβλέψαι εἰς τὸν πνευματικὸν πόθον, καὶ μετὰ πολλῆς τῆς προθυμίας καλεῖν τὸν Θεὸν, καὶ τὸ φίλτρον σφοδρότερον ἀνάπτειν, καὶ μὴ διὰ ῥημάτων μόνον, ἀλλὰ καὶ δι᾽ αὐτῶν τῶν ἔργων ταύτην ὑποψάλλειν τὴν ὑπακοήν. καὶ γὰρ διὰ τοῦτο τοὺς ψαλμοὺς ἡμῖν ᾖσεν ὁ μακάριος ἐκεῖνος, μᾶλλον δὲ ἡ τοῦ πνεύματος χάρις, οὐχ ἵνα τὰ ῥήματα λέγωμεν μόνον, ἀλλ᾽ ἵνα καὶ δι᾽ αὐτῶν
D τῶν ἔργων αὐτοὺς μελετῶμεν. μὴ τοίνυν οἰηθῇς διὰ τοῦτο ἐνταῦθα εἰσιέναι, ἵνα τὰ ῥήματα εἴπῃς μόνον, ἀλλ᾽ ἵνα ὅταν ὑποψάλλῃς συνθήκας εἶναι νομίσῃς τὴν ὑπακοήν. ὅταν γὰρ εἴπῃς, ὃν τρόπον ἐπιποθεῖ ἡ ἔλαφος ἐπὶ τὰς πηγὰς τῶν ὑδάτων, οὕτως ἐπιποθεῖ ἡ ψυχή μου πρὸς σὲ ὁ Θεός· συνέθου τῷ Θεῷ· γραμματεῖον ἔγραψας ἄνευ χάρτου καὶ μέλανος, διὰ τῆς φωνῆς ὡμολόγησας, πάντων αὐτὸν μᾶλλον φιλεῖν, καὶ οὐδὲν αὐτοῦ προκρίνεσθαι, καὶ καίεσθαι τῷ περὶ αὐτὸν ἔρωτι. ἂν τοίνυν ἐξελθὼν ἴδῃς γυναῖκα εὔμορφον τινὰ καὶ ἀκόλαστον δε-

δελεάζουσάν σε καὶ πρὸς τὸν ἔρωτα τὸν ἑαυτῆς A καλοῦσαν, εἰπὲ πρὸς αὐτήν· οὐ δύναμαί σοι ἀκολουθῆσαι, συνθήκας ἔθηκα πρὸς τὸν Θεὸν παρόντων τῶν ἀδελφῶν, τῶν ἱερέων, τῶν διδασκάλων, ὡμολόγησα, καὶ ὑπεσχόμην διὰ τῆς ὑπακοῆς οὕτως αὐτὸν φιλεῖν, ὃν τρόπον ἐπιποθεῖ ἡ ἔλαφος ἐπὶ τὰς πηγὰς τῶν ὑδάτων, δέδοικα παραβῆναι τὰς συνθήκας. ἐκείνου λοιπὸν μέλεταί μοι τοῦ ἔρωτος. ἐὰν ἴδῃς ἀργύρεον ἐπὶ τῆς ἀγορᾶς κείμενον, ἢ ἱμάτια χρυσᾶ, ἑτέρους σοβοῦντας, οἰκέτας ἔχοντας, καὶ ἵππους χρυσοχαλίνους, μηδὲν πάθῃς ὑπὸ τῆς φαντασίας ἐκείνης, ἀλλὰ πάλιν ἔπᾳδε σεαυτῷ, καὶ εἰπὲ πρὸς τὴν ψυχὴν B τὴν σήν. πρὸ μικροῦ ὑπεψάλλομεν, ὃν τρόπον ἐπιποθεῖ ἡ ἔλαφος ἐπὶ τὰς πηγὰς τῶν ὑδάτων, οὕτως ἐπιποθεῖ ἡ ψυχή μου πρὸς σὲ ὁ Θεός· καὶ οἰκειωσάμεθα τὸ γράμμα, καὶ ἡμέτερον αὐτὸ ἐποιησάμεθα εἶναι. μηδὲν οὖν φιλῶμεν τῶν βιωτικῶν τούτων, ἵνα ἀκέραιος ἡμῖν ὁ ἔρως ἐκεῖνος μείνῃ, καὶ μὴ σχιζόμενος ἀσθενέστερος γένηται. οὗτος ὁ πλοῦτος ἅπαντα πλοῦτον, ἅπαντα θησαυρόν, πᾶσαν εὐδοκίμησιν, πᾶσαν δόξαν, πᾶσαν περιφάνειαν ἡμῖν χαρίσασθαι δυνήσεται. τοῦτον κατέχωμεν, καὶ οὐδενὸς ἑτέρου C δεησόμεθα. εἰ γὰρ οἱ τὸν αἰσχρὸν τοῦτον ἔρωτα φιλοῦντες, καὶ κόρης περιεχόμενοι πολλάκις δυσμόρφου τινός, καὶ πατέρων ἀπειλούντων καὶ φίλων ὀνειδιζόντων, καὶ ἑτέρων πολλῶν διαβαλλόντων, οὐδὲ ἐπιστρέφονται, ἀλλὰ πρὸς ἐκείνην εἰσὶ τεταμμένοι, καὶ οἰκίας καταφρονοῦσι, καὶ κλήρου πατρῴου, καὶ δόξης, καὶ εὐδοκιμήσεως, καὶ φίλων παραινέσεως, μεγάλην νομίζοντες ἔχειν παραμυθίαν τούτων ἁπάντων, ἂν εὐδοκιμῶσι παρὰ τῇ ἐρωμένῃ μόνῃ, κἂν εὐτελὴς ᾖ· κἂν ἄτιμος· κἂν εἴ τις οὖν ἐκείνη· D οἱ τὸν Θεὸν φιλοῦντες ὡς χρή, πότε αἰσθήσονται τῶν ἀνθρωπίνων, ἢ τῶν λαμπρῶν, ἢ τῶν λυπηρῶν; οὐδὲ ὄψονται μὲν οὖν τὰς φαντασίας τοῦ παρόντος βίου, πρὸς ἐκεῖνον τεταμένοι τὸν ἔρωτα, ἀλλὰ πάσης μὲν καταγελάσονται τῆς εὐημερίας, πάσης δὲ ὑπερόψονται δυσπραγίας προσδεδεμένοι τῷ πόθῳ τοῦ Θεοῦ, καὶ οὐδὲν ἄλλο ὁρῶντες, ἀλλ' ἢ ἐκεῖνον μόνον, καὶ πανταχοῦ αὐτὸν φανταζόμενοι, καὶ πάντων μακαριωτέρους ἑαυτοὺς εἶναι νομίζοντες, κἂν ἐν πενίᾳ, κἂν ἐν ἀτιμίᾳ, κἂν ἐν δεσμοῖς, κἂν ἐν

pellicientem, dic ei: Non possum te sequi, cum Deo pactum feci, & præsentibus fratribus, sacerdotibus, doctoribus, professus sum & promisi per ea, quæ pronunciata sunt, eum ita diligere, quemadmodum desiderat ceruus ad fontes aquarum. Vereor pacta conuenta transgredi, illum vnum deinceps amorem meditor. Si videris argentum in foro situm, aut vestes aureas, alios gloriosè incedentes, stipatos famulis, & habentes equos frænis auratis, nec te moueat illa pompa, sed tibi rursus cane, & dic tuæ animæ: Paulò antè cecinimus: Quemadmodum desiderat ceruus ad fontes aquarum, ita desiderat anima mea ad te Deus, & quod scriptum est, nobis attribuimus, idque nostrum esse fecimus. Nihil ergo amemus eorum quæ ad hanc vitam pertinent, vt ille amor nobis purus maneat & integer, & ne diuisus fiat imbecillior. Hæ diuitiæ omnes diuitias, omnem thesaurum, omnem gloriam, omnem existimationem, omnem claritatem nobis largiri poterunt. Eas obtineamus, & nulla re alia egebimus. Si enim qui turpi amore tenentur, & alicuius puellæ sæpe etiam deformis ardore incenduntur, nec parentum minas, nec amicorum conuitia, nec aliorum multorum quidquam curant reprehensionem, sed ad illam tanquam ad scopum tendentes, & domum despiciunt, & paternam hæreditatem, gloriam, & existimationem, & amicorum adhortationes contemnunt, æstimantes se magnam habere horum omnium consolationem, si apud amicam tantùm in pretio & honore fuerint, licet sit vilis, licet famosa, & quæcunque denique ea fuerit: qui Deum vt oportet diligunt, sentiéntne vnquam quæ sunt inter homines aut præclara aut molesta? Nec præsentis quidem vitæ pompam apprehendent, vt qui ad illum amorem dirigantur, sed omnem quidem ridebunt prosperitatem, & res omnes aduersas contemnent, vt qui sint alligati Dei desiderio, & nihil aliud cernant præterquam illum solum, & eum semper cogitent, & se esse omnibus beatiores existiment. Licet in paupertate, licet in ignominia, licet in vinculis, licet in afflictio-

Attende quàm creber sit & densus in similitudinibus.

Rom. 8. Philip. 3. 2. Cor. 12.

nibus, licet sint in extremis malis, in omnibus quæ patiuntur, existimabunt melius secum agi, quàm cum regibus, admirabilem quandam habentes consolationem, quòd ea patiantur propter eum quem diligunt. Quocirca Paulus quoque cùm esset in quotidianis mortibus, in carceribus, in naufragiis, in solitudinibus, in flagellis, in innumerabilibus aliis suppliciis, gaudebat, exultabat, & gloriabatur: & nunc quidem dicebat: Non solum autem in spe gloriæ Dei, sed etiam gloriamur in afflictionibus, nunc autem rursus: Gaudeo in passionibus, & adimpleo quæ desunt afflictionibus Christi, in carne mea, & gratiam eam rem vocat, ita confitens, & dicens: Nobis ita gratis à Christo donatum est, vt non solùm in ipsum credamus, sed vt etiam pro ipso patiamur. Nos quoque studeamus esse eodem animo, & omnes quæ incidunt molestias, placidè & lubenter feramus. Ferre autem poterimus, si Deum ita amauerimus, vt amauit Propheta. Non solùm enim ex his quæ iam audita sunt, eius amorem videre possumus, sed etiam ex eis quæ consequuntur. Cùm enim dixisset: Quemadmodum desiderat ceruus ad fontes aquarum, ita desiderat anima mea ad te Deus, subiunxit, dicens: 3. *Sitiuit anima mea ad Deum fortem viuum. Quando veniam & apparebo ante faciem Dei?* Non dixit: Amauit anima mea Deum viuum, neque dilexit anima mea Deum viuum: sed vt ostenderet affectionem, amorem sitim vocauit, vtrunque nobis significans, & ardorem amoris, & eiusdem perpetuitatem. Quemadmodum enim qui sitiunt, non hoc in vno die patiuntur, & duobus, & tribus, sed per totam vitam, ad hoc nos ducente natura: ita etiam beatus ille, & omnes sancti, non vno solùm die fuerunt in compunctione, sicut multi homines, nec duobus, nec tribus (hoc enim non est mirandum) sed assiduè & singulis diebus religiosè amare perseuerabant, & amorem augebant. Quod quidem ipse quoque significans dicebat: Sitiuit anima mea ad Deum fortem viuum, simul & causam volens dicere, & osten-

1. Cor. 11. *Rom. 5. 3.* *Coloss. 1. 24* *Philip. 1. 29*

A θλίψεσι, κἂν ἐν τοῖς ἐσχάτοις ὦσι κακοῖς, τῶν βασιλευόντων αὐτοὺς ἄμεινον ἡγήσονται διακεῖσθαι, ἐν πᾶσιν, οἷς ἂν πάσχωσι, θαυμαστήν τινα παραμυθίαν ἔχοντες, τὸ διὰ τὸν ποθούμενον ταῦτα πάσχειν. Διὰ τοῦτο καὶ Παῦλος ἐν καθημερινοῖς θανάτοις ὤν, ἐν δεσμωτηρίοις, ἐν ναυαγίοις, ἐν ἐρημίαις, ἐν μάστιξιν, ἐν μυρίαις ἑτέραις κολάσεσιν, ἔχαιρε, καὶ ἠγαλλιᾶτο, καὶ ἐσκίρτα καὶ ἐκαυχᾶτο, καὶ νῦν μὲν ἔλεγεν ὅτι οὐ μόνον δὲ ἐπ᾽ ἐλπίδι τῆς δόξης τοῦ Θεοῦ, ἀλλὰ καὶ ἐν ταῖς θλίψεσι καυχώμεθα· νῦν δὲ πάλιν· ὅτι χαίρω ἐν τοῖς παθήμασι καὶ ἀνταναπληρῶ τὰ
B ὑστερήματα τῶν θλίψεων τοῦ Χριστοῦ ἐν τῇ σαρκί μου, καὶ χάριν τὸ πρᾶγμα καλεῖ ὁμολογῶν οὕτω καὶ λέγων· ὅτι ἡμῖν οὕτως ἐχαρίσθη ἀπὸ τοῦ Χριστοῦ οὐ μόνον τὸ εἰς αὐτὸν πιστεύειν, ἀλλὰ καὶ τὸ ὑπὲρ αὐτοῦ πάσχειν. τοιαύτην οὖν καὶ ἡμεῖς σπουδάσωμεν γνώμην ἔχειν, καὶ μεθ᾽ ἡδονῆς πάντα φέρωμεν τὰ προσπίπτοντα λυπηρά· δυνησόμεθα δὲ φέρειν, ἂν τὸν Θεὸν φιλήσωμεν ὡς ὁ προφήτης ἐφίλησεν. οὐ γὰρ δὴ μόνον ἀπὸ τῆς ὑπακοῆς, ταύτης ἐστὶν ἰδεῖν αὐτοῦ τὸ φίλτρον, ἀλλὰ καὶ ἀπὸ τῶν ἑξῆς ῥημάτων.
C εἰπὼν γάρ, ὃν τρόπον ἐπιποθεῖ ἡ ἔλαφος ἐπὶ τὰς πηγὰς τῶν ὑδάτων, οὕτως ἐπιποθεῖ ἡ ψυχή μου πρὸς σε ὁ Θεός μου, ἐπήγαγε λέγων· ἐδίψησεν ἡ ψυχή μου πρὸς τὸν Θεὸν τὸν ἰσχυρὸν τὸν ζῶντα, πότε ἥξω, καὶ ὀφθήσομαι τῷ προσώπῳ τοῦ Θεοῦ; οὐκ εἶπεν, ἐφίλησεν ἡ ψυχή μου τὸν Θεὸν τὸν ζῶντα, οὐδ᾽ ἠγάπησεν ἡ ψυχή μου τὸν Θεὸν τὸν ζῶντα, ἀλλ᾽ ἵνα τὴν διάθεσιν ἐνδείξηται, δίψος ἐκάλεσε τὸ φίλτρον, ἀμφότερα ἡμῖν δηλῶν, τότε διακαὲς τῆς ἀγάπης, καὶ τὸ διηνεκὲς τοῦ ἔρωτος. καθάπερ γὰρ
D οἱ διψῶντες, οὐκ ἐν μιᾷ τοῦτο πάσχουσιν ἡμέρᾳ καὶ δύο καὶ τρισίν, ἀλλὰ καὶ διὰ παντὸς τοῦ βίου, τῆς φύσεως ἐπὶ τοῦτο αὐτοὺς ἀγούσης· οὕτω δὴ καὶ ὁ μακάριος ἐκεῖνος καὶ πάντες οἱ ἅγιοι, οὐκ ἐν μιᾷ μόνον ἡμέρᾳ ἐν κατανύξει ἐγένοντο, καθάπερ πολλοὶ τῶν ἀνθρώπων, οὐδὲ ἐν δυσὶ καὶ τρισί· τοῦτο γὰρ οὐδὲ θαυμαστόν, ἀλλὰ καὶ διηνεκῶς καὶ καθ᾽ ἑκάστην ἡμέραν ἐρῶντες διετέλουν μετ᾽ εὐλαβείας, καὶ τὴν ἀγάπην ἐπέτεινον. ἅπερ οὖν καὶ αὐτὸς ἐμφαίνων ἔλεγεν· ἐδίψησεν ἡ ψυχή μου πρὸς τὸν Θεὸν τὸν ἰσχυρὸν τὸν ζῶντα, ὁμοῦ καὶ τὴν αἰτίαν θέλων εἰπεῖν, καὶ διά σε βουλόμενος

μένος δεῖξαι πῶς ἄν τις τὸν Θεὸν οὕτως φιλήσῃ. διὰ γὰρ τῶν ἑξῆς τοῦτο ἐδήλωσεν, εἰπὼν ὅτι ἐδίψησεν ἡ ψυχή μου πρὸς τὸν Θεὸν, καὶ ἐπαγαγὼν τὸν ζῶντα, μονονουχὶ παραινῶν καὶ ἐμβοῶν πᾶσι τοῖς πρὸς τὰ βιωτικὰ πράγματα κεχηνόσι· τί περὶ σώματα μαίνεσθε; τί σωμάτων ἐρᾶτε; τί δόξης ἐπιθυμεῖτε; τί τρυφῆς ἐφίεσθε; οὐδὲν τούτων μένει καὶ ζῇ διηνεκῶς, ἀλλὰ διαῤῥεῖ καὶ παρέρχεται καὶ σκιᾶς εἰσιν οὐ διαμενώτερα, καὶ ὀνείρων ἀπατηλότερα, καὶ τῶν ἐαρινῶν ἀνθῶν εὐφθαρτότερα, τὰ μὲν μετὰ τῆς παρούσης καταλιμπάνοντα ζωῆς, τὰ δὲ καὶ πρὸ τῆς ἐνταῦθα καταλυόμενα; ἄπιστος αὐτῶν ἡ κτῆσις, ἀβέβαιος ἡ ἀπόλαυσις, ὀξύῤῥοπος ἡ μεταβολή, ἐπὶ τοῦ Θεοῦ δὲ οὐδὲν τοιοῦτόν ἐστιν, ἀλλὰ ζῇ καὶ μένει διηνεκῶς ἐκεῖνος, οὔτε ἀλλοίωσιν οὔτε τροπὴν τινα δεχόμενος. ἀφέντες τοίνυν τὰ πρόσκαιρα καὶ ἐφήμερα τὸν αἰώνιον καὶ διηνεκῆ φιλῶμεν. οὐ γάρ ἐστιν ἐκεῖνον φιλοῦντα καταισχυνθῆναι ποτέ· οὐκ ἔστιν ἐκπεσεῖν· οὐκ ἔστιν ἔρημον γενέσθαι τοῦ φιλουμένου. χρήματα μὲν ὁ φιλῶν, ἢ τελευτῆς ἐπελθούσης, ἢ καὶ πρὸ τῆς τελευτῆς γυμνοῦται τῶν ποθουμένων, καὶ δόξης τις ἐρῶν τῆς παρούσης τὸ αὐτὸ πάσχει· πολλάκις δὲ καὶ τὸ τῶν σωμάτων κάλλος πολὺ τῶν εἰρημένων καταςβέννυται θᾶττον, καὶ πάντα ἁπλῶς τὰ βιωτικὰ πρόσκαιρα καὶ ἐφήμερα, καὶ πρὶν ἢ παραγενέσθαι καὶ φανῆναι, εὐθέως ἀποπηδᾷ. ὁ δὲ τῶν πνευματικῶν ἔρως τοὐναντίον ἅπαν ἀκμάζει διηνεκῶς, καὶ ἀνθεῖ, καὶ γῆρας οὐκ οἶδεν, οὐδὲ παλαιότητα δέχεται, οὐδὲ μεταβολῇ τινι καὶ τροπῇ καὶ ἀδηλίᾳ τοῦ μέλλοντός ἐστιν ὑπεύθυνος, ἀλλὰ καὶ ἐνταῦθα τοὺς κεκτημένους ὠφελεῖ, καὶ περιβάλλει πάντοθεν, καὶ ἀπελθόντας ἐντεῦθεν οὐκ ἀφίησιν, ἀλλὰ καὶ συναποδημεῖ καὶ συμμεθίσταται τούτοις, καὶ τῶν φωστήρων αὐτῶν λαμπροτέρους αὐτοὺς ἀποφαίνει κατὰ τὴν ἡμέραν ἐκείνην. ἅπερ οὖν εἰδὼς καὶ ὁ μακάριος Δαβὶδ φιλῶν διετέλει, καὶ τὸν ἔρωτα οὐκ ἠνέσχετο κατέχειν ἔνδον, ἀλλὰ πάντῃ τρόπῳ δεῖξαι τοῖς ἀκούουσιν ἠπείγετο τὸ πῦρ ὅπερ ἔνδον αὐτὸν συνεῖχεν. εἰπὼν γὰρ ἐδίψησεν ἡ ψυχή μου

A dere quomodo quis Deum amauerit. Hoc enim declarauit per ea quæ sequuntur, cùm dixit: Sitiuit anima mea ad Deum, & subiunxit, viuum: propemodum suadens & vociferans omnibus qui rebus huius vitæ inhiant: Quid in corpora insanitis? Quid corpora amatis? Quid gloriam desideratis? Quid concupiscitis voluptatem? Nihil eorum manet & viuit perpetuò, sed diffluit & præterit, & est vmbra vanius, & somnis fallacius, & citius quàm verni flores corrumpitur & interit: Quidni enim citius corrumpi dicam & interire, cùm alia quidem nos relinquant simul cum vita præsenti: alia B etiam antè dissoluantur? Incerta est eorum possessio, instabilis eorum vsus & fruitio, velox est mutatio: in Deo autem nihil est eiusmodi, sed viuit quidem & manet perpetuò, nullam mutationem, nec vllam conuersionem suscipiens. Caducis ergo & momentaneis relictis, eum qui est æternus & perpetuus, amemus. Neque enim fieri potest, vt qui illum amat, pudore vnquam afficiatur: fieri non potest vt ab eo excidat: fieri non potest vt eo quem C amat, destituatur. Qui amat quidem pecunias, vel morte adueniente, vel etiam ante mortem euadit nudus ab iis quæ desiderat. Ei quoque qui præsentem amat gloriam, idipsum sæpe accidit. Porrò autem corporum quoque pulchritudo iis quæ prædicta sunt, multò citius extinguitur: & omnia quæ ad hanc vitam, vt semel dicam, pertinent, sunt caduca & momentanea, & priusquam adsint & appareant, protinus resiliunt. Spiritualium autem amor contrà se habet, assiduè viget & floret, non nouit senium, non suscipit D vetustatem, nec vlli mutationi, & conuersioni, & incertitudini futurorum est obnoxius, sed hîc etiam iuuat eos qui possident, & eos vndiquaque vallat, & eos qui ex vita excesserint, non dimittit, sed vna cum his peregrinatur, & vnà cum his recedit, & ipsis luminaribus eos reddit illo die clariores. Quæ quidem sciens quoque beatus Dauid, in Dei amore perseuerauit, & amorem intus continere non sustinuit, sed iis qui audiunt, omni ratione ignem ostendere contendit, quo intus ardebat. Cùm enim dixisset: Sitiuit anima

Eccles. 1. 1. Cor. 7.

Malac. 1. 1. Tim. 6.

Iob. 1. Ezech. 7. Luc. 12.

mea ad Deum fortem vivum, subiunxit: Quando veniam & apparebo ante faciem Dei? Vide ardentem hominem, vide inflammatum. Sciens enim se cùm hinc recesserit, eum esse visurum, ne expectat quidem dilationem: moram enim non patitur, sed hic nobis spiritum ostendit Apostolicum. Etenim ille quoque ingemiscebat propter diuturnitatem huius peregrinationis. Idipsum huic quoque usuuenit. Et ideò dicebat: Quando veniam & apparebo ante faciem Dei? Et si esset quidem priuatus aliquis, humilisque & abiectus, & viuens in paupertate, magnum quidem esset vel sic vitam præsentem contemnere: sed non esset adeò magnum vt nunc est, vt qui rex est, & tantis fruitur deliciis, tantæque est gloriæ particeps, & est innumerabiles victorias consecutus, multáque bella vicit, & est omni ex parte clarus, insignis & illustris, hæc quidem omnia irrideat, diuitias, & gloriam, & omnes delicias, ad futura autem aspiret & inhiet: hoc est magni cuiusdam & excelsi animi, hoc est animæ quæ tenetur studio sapientiæ, & cœlesti amore verè capta est. Eum nos quoque imitemur, & ne præsentia admiremur, vt admiremur futura: vel potius admiremur futura, ne admiremur præsentia. Si enim in illis cogitandis perpetuò versemur, & regnum cœlorum, immortalitatem, vitam quæ nunquam desinet, quæ ducenda est cum Angelis choream, futuram cum Christo conuersationem, gloriam illam quæ nunquam interit aut corrumpitur, vitam autem ab omni dolore liberam apud nosipsos consideremus, & quòd lachrymæ, probra, maledicta, & mors, labor, & tristitia, senectus, morbus, ægritudo, paupertas, & calumnia, viduitas, peccatum, & condemnatio, pœna & supplicium, & si quid est aliud in vita præsenti molestum & acerbum, ea omnia expulsa sunt: loco autem eorum introducta sunt, pax, lenitas, mansuetudo, dilectio, lætitia, gloria, honor, splendor, & alia, quæ ne posset quidem oratio consequi, nihil nos rerum capiet præsentium, sed poterimus nos quoque dicere cum Propheta, Quando veniam & apparebo ante faciem Dei: & ita affectos

2. Cor. 5.

Esa. 64. 1. Cor. 2.

A πρὸς τὸν Θεὸν τὸν ἰσχυρὸν τὸν ζῶντα, ἐπήγαγε, πότε ἥξω, καὶ ὀφθήσομαι τῷ προσώπῳ τοῦ Θεοῦ; ὅρα καιόμενον τὸν ἄνθρωπον· ὅρα ἐμπεπυρωμένον· εἰδὼς ὅτι ἐντεῦθεν ἀπελθὼν αὐτὸν ὄψεται, οὐδὲ τὴν ἀναβολὴν διαφέρει· οὐ στέγει τὴν ὑπέρθεσιν, ἀλλὰ ἀποστολικὸν ἡμῖν ἐνταῦθα δείκνυσι φρόνημα. καὶ γὰρ ἐκεῖνος ἔστενεν ἐπὶ τῇ μελλήσει τῆς ἐντεῦθεν ἀποδημίας· καὶ οὗτος δὲ αὐτὸ τοῦτο ἔπασχε. διὰ τοῦτο ἔλεγε· πότε ἥξω καὶ ὀφθήσομαι τῷ προσώπῳ τοῦ Θεοῦ; καὶ εἰ μὲν ἰδιώτης τις ἦν καὶ εὐτελὴς, καὶ ταπεινὸς, καὶ ἐν πενίᾳ ζῶν, μέ- B γα μὲν καὶ οὕτως τὸ τῆς παρούσης καταφρονῆσαι ζωῆς· πλὴν οὐχ οὕτω μέγα καθάπερ νῦν τὸν βασιλεύοντα καὶ τοσαύτης ἀπολαύοντα τρυφῆς, τοσαύτης μετέχοντα δόξης, νίκας ἀνῃρημένον μυρίας, καὶ πολλοὺς νικήσαντα πολέμους, καὶ λαμπρὸν ὄντα καὶ ἐπίδοξον πανταχοῦ, πάντων μὲν καταγελᾷν τούτων, καὶ πλούτου καὶ δόξης, καὶ τρυφῆς ἁπάσης, κεχηνέναι δὲ πρὸς τὰ μέλλοντα, τοῦτο μεγαλοψύχου τινός ἐστι διανοίας, τοῦτο φιλοσόφου ψυχῆς C καὶ πρὸς τὸν οὐράνιον ἐπτερωμένης ἔρωτα. τοῦτον δὲ καὶ ἡμεῖς μιμησώμεθα, καὶ μὴ θαυμάζωμεν τὰ παρόντα, ἵνα θαυμάσωμεν τὰ μέλλοντα, μᾶλλον δὲ θαυμάσωμεν τὰ μέλλοντα, ἵνα μὴ θαυμάσωμεν τὰ παρόντα. ἂν γὰρ διηνεκῶς ταῖς περὶ ἐκείνων ἐννοίαις ἐνδιατρίβωμεν, καὶ τὴν βασιλείαν τῶν οὐρανῶν, τὴν ἀθανασίαν, τὴν ζωὴν, τὴν ἀτελεύτητον, τὴν μετὰ ἀγγέλων χορείαν, τὴν μετὰ Χριστοῦ διατριβὴν, τὴν ἀκήρατον δόξαν ἐκείνην, τὴν πάσης ἀπηλλαγμένην ὀδύνης ζωὴν, ἀναλογισώμεθα πρὸς ἑαυτοὺς καὶ ἐνορῶμεν, ὅ- D τι καὶ δάκρυα, καὶ ὀνείδη, καὶ λοιδορίαι, καὶ θάνατος, καὶ ἀθυμίαι, καὶ πόνος, καὶ γῆρας, καὶ νόσος, καὶ ἀῤῥωστία, καὶ πενία, καὶ συκοφαντία, καὶ χηρεία, καὶ ἁμαρτία, καὶ κατάγνωσις, καὶ κόλασις, καὶ τιμωρία, καὶ εἴ τι ἕτερον κατὰ τὸν παρόντα βίον ἐστὶ λυπηρὸν καὶ ἀηδὲς, ταῦτα πάντα ἀπελήλαται, ἀντεισενήνεκται δὲ ἀντὶ τούτων εἰρήνη, πρᾳότης, ἐπιείκεια, ἀγάπη, χαρὰ, δόξα, τιμὴ, λαμπρότης, τὰ ἄλλα, ὅσα οὐδὲ λόγος παραστῆσαι δυνήσεται, οὐδὲν ἡμᾶς τῶν παρόντων αἱρήσεται, ἀλλὰ καὶ ἡμεῖς δυνησόμεθα λέγειν κατὰ τὸν προφήτην· πότε ἥξω, καὶ ὀφθήσομαι τῷ προσώπῳ τοῦ Θεοῦ, καὶ οὕτω διακείμενοι,

οὔτε εἰς ἀπόνοιαν ἀπὸ τῆς τοῦ βίου λαμπρότητος, οὔτε εἰς ἀθυμίαν ἀπὸ τῆς λυπηρᾶς ἐμπεσούμεθα, οὐ φθόνος· οὐ κενοδοξία, οὐκ ἄλλο τι τῶν τοιούτων ἡμᾶς αἱρήσεταί ποτε. μὴ τοίνυν ἁπλῶς ἐνταῦθα εἰσίωμεν, μηδὲ τὰς ὑπακοὰς ἀφωσιωμένοι ὑπακούωμεν, ἀλλὰ ἀντὶ βακτηρίας αὐτὰς λαβόντες ἐξέλθωμεν. ἀρκεῖ δὲ ἕκαστος στίχος πολλὴν ἡμῖν ἐνθεῖναι φιλοσοφίαν, καὶ εἰς τὰ δόγματα ἐξορθῶσαι, καὶ εἰς τὸν βίον ὠφελῆσαι τὰ μέγιστα· κἂν μετ' ἀκριβείας ἑκάστην διερευνήσωμεν ῥῆσιν, μεγάλα καρπωσόμεθα ἀγαθά. οὔτε γὰρ πενίαν, οὔτε ἀσχολίαν, οὔτε ὄκνον δεῖ ἐνταῦθα προβάλλεσθαι. κἂν γὰρ πένης ᾖς, καὶ διὰ τὴν πενίαν ἀπορῇς βιβλίων, ἢ βιβλία μὲν ἔχῃς, σχολῆς δὲ μὴ ἀπολαύσῃς, τὰς ὑπακοὰς μόνον διατήρησόν μοι τῶν ψαλμῶν, ἃς ἐνταῦθα ὑπέψαλλες οὐχ ἅπαξ, οὐ δὶς, οὐ τρὶς, ἀλλὰ καὶ πολλάκις, καὶ μεγάλην ἀπελθὼν λήψῃ τὴν παραμυθίαν. ὅρα γοῦν ἡ ὑπακοὴ αὕτη πόσον ἡμῖν ἤνοιξε θησαυρόν. καὶ μή μοι λεγέτω τις, ὅτι πρὸ τῆς ἑρμηνείας οὐκ εἶδον αὐτῆς τὴν δύναμιν, ἐπεὶ καὶ πρὸ τῆς ἑρμηνείας πάντη τῷ ἀκούοντι, καὶ ὅπως ἂν βουλομένῳ προσέχειν εὐσυνόπτος ἡ ὑπακοή. εἰ γὰρ μόνον ἐπαιδεύσας σαυτὸν λέγειν· ὃν τρόπον ἐπιποθεῖ ἡ ἔλαφος ἐπὶ τὰς πηγὰς τῶν ὑδάτων, οὕτως ἐπιποθεῖ ἡ ψυχή μου πρὸς σὲ ὁ Θεός. ἐδίψησεν ἡ ψυχή μου πρὸς Θεὸν τὸν ἰσχυρὸν τὸν ζῶντα, πότε ἥξω, καὶ ὀφθήσομαι τῷ προσώπῳ τοῦ Θεοῦ; καὶ πρὸ τῆς ἑρμηνείας δύναται πᾶσαν φιλοσοφίαν ἐνθεῖναι, οὐκ αὐτὴ δὲ μόνον. ἀλλὰ καὶ ἑκάστη ὑπακοὴ τὸν αὐτὸν ἡμῖν προξενεῖται πλοῦτον· κἂν εἴπῃς πάλιν μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν κύριον, καὶ δυνηθεὶς ἰδεῖν τί ἐστιν ὃ λέγεις, οὐ τὸν πλουτοῦντα, οὐ τὸν ἄρχοντα, οὐ τὸν εὔμορφον, οὐ τὸν ῥώμῃ κεκοσμημένον, οὐ τὸν οἰκίας ἔχοντα λαμπρὰς, οὐ τὸν ἐν δυναστείαις ὄντα, οὐ τὸν ἐν βασιλείοις τρεφόμενον, οὐκ ἄλλον οὐδένα. ἀλλὰ τὸν ἐν εὐλαβείᾳ, τὸν ἐν φιλοσοφίᾳ, τὸν ἐν φόβῳ Θεοῦ ζῶντα ζηλώσεις· οὐ μόνον διὰ τὰ μέλλοντα, ἀλλὰ καὶ δι' αὐτὰ τὰ παρόντα. καὶ γὰρ καὶ ἐνταῦθα οὗτος ἐκείνου δυνατώτερος. εἰ γὰρ δή ποτε νόσος ἐπέστη,

nec res splendidæ & secundæ nos efferent, nec insolentes efficient: nec quæ sunt molesta ac grauia, tristitia afficiēt, non inuidia, non vana gloria, non aliquid aliud nos vnquam expugnabit. Ne huc ergo temere ingrediamur, neque perfunctoriè audiamus, sed ea quæ audita fuerint pro baculo sumentes, egrediamur. Sufficit autem vnusquisque versus ad nobis comparandum plurimum philosophię, & ad corrigendum dogmatum sententiam, & ad afferendum maximam vitæ vtilitatem: & si vnamquamque dictionem exactè perscrutemur, admodum vberes inde fructus colligemus. Neque enim paupertatem, nec negotia, nec tarditatem hic opus est pretexere. Etsi enim sis pauper, & propter paupertatē libris careas, vel libros quidem habeas, non suppetat autem tibi otium, mihi tantum obserua quæ ex Psalmo audiisti, quem hic cecinisti, non semel, non bis, non ter, sed sæpe, & ex eo magnam capies consolationem. Vide ergo vel ipsa Psalmi auditio quantum nobis thesaurum aperuerit. Nec mihi dicat quispiam, Ante interpretationē nesciebam, quid valeret. Nam etiam ante interpretationem omni tempore, à volente vtcunque animum adhibere, bene potest intelligi quod auditur. Si enim teipsum solummodo docueris dicere, Quemadmodum desiderat ceruus ad fontes aquarum, ita desiderat anima mea ad te Deus. Sitiuit anima mea ad Deum fortem viuum: quando veniam & apparebo ante faciem Dei? id vel ante interpretationem suffecerit tibi ad omnem introducendam philosophiam. Nec hæc solum, sed etiam vnaquæque Psalmorum auditio easdem nobis suppeditabit diuitias. Nā si rursus dixeris: Beatus qui timet Dominum: & potueris scire quidnam sit id quod dicis: non diuitem, non principem, non formosum, non eum qui valet viribus, nō eum qui ædes possidet magnificas, non eum qui gerit magistratus, non eum qui in regia nutritur, nullum deniq; alium nisi eum qui est pius ac religiosus, qui studio sapientię tenetur, qui Deū timet, beatum duces, non solum propter futura, sed etiam propter præsentia. Nam etiam in hac vita hic quoque est illo potentior. Nam si morbus quandoque inuaserit,

Psal. 111. 1.

ille quidem indutus purpura, nihil à satellitibus & superbo illo exteriori apparatu iuuatur ad solandam ægritudinem, sed & domesticis, & parentibus, & omnibus præsentibus, & aureis vestibus super eum positis & substratis, iacet ille ardens veluti in fornace. Qui est autem pius, & Deum timet, non patre, non seruo, non vllo alio præsente, postquam in cœlum non sæpe, sed bis & ter suspexit, omnem illam fornacem extinxit. Hoc etiam viderit quispiam euenire in rebus aduersis, & omnibus quæ inopinatò accidunt, eos quidem qui diuitiis affluunt, clarique sunt & insignes, turbari: eos autem qui sunt pij, & sapientiæ studiosi, omnia ferre facilè & placidè. Iam verò ante ea omnia, si nihil graue euenerit, eius qui Deum timet, conscientia est & maiori, & synceriori voluptate plena, quàm diuitis anima. Ille enim etsi externa voluptate fruatur, grauius affligitur omnibus qui fame vexantur, dum sua mala in memoriā redigit, & cum mala viuit conscientia: hic autem licet necessariò alimento careat, erit tranquilliori & alacriori animo, quàm ij qui fruuntur omnibus deliciis, vt qui bona spe alatur, & suorum rectè factorum remunerationes quotidie expectet. Sed ne lōgiori vtens oratione, videar afferre molestiam, relinquens iis qui sunt paulò studiosiores, legendam vnamquamque Psalmi auditionem, & quæ in eo sita est, scrutandam potentiam, hic finiam orationem, illa suadens vestræ dilectioni, vt non hinc frustra egrediamini, sed quæ audita fuerint, tanquam margaritas sumentes, ea domi perpetuò conseruetis & meditemini, amicisque & vxoribus ea omnia dicatis: & si vlla vos vexet animi perturbatio, si excitetur cupiditas, si ira, aut quæuis alia à ratione aliena perturbatio, ea assiduè canatis: vt & in hac vita magna tranquillitate fruamur, & in futura vita bona æterna consequamur, gratia & benignitate Domini nostri Iesu Christi, per quem & cum quo gloria Patri & sancto Spiritui nunc & semper & in secula seculorum. Amen.

Prou. 12. 1. Cor 4. 2 Cor. 4.

Metaphora.

ὁ μὲν τὴν ἁλουργίδα ἔχων, οὐδὲν ἀπὸ τῶν δορυφόρων, καὶ τῆς πολλῆς φαντασίας εἰς τὴν παραμυθίαν ὠφελεῖται τῆς ἀρρωστίας, ἀλλὰ καὶ οἰκείων, καὶ πατέρων, καὶ πάντων παρόντων, καὶ χρυσῶν ἱματίων ἐπικειμένων καὶ ὑποκειμένων, ὥσπερ ἐν καμίνῳ κεῖται καιόμενος· ὁ δὲ ἐν εὐλαβείᾳ ζῶν, καὶ τὸν Θεὸν φοβούμενος οὐ πατέρος, οὐκ οἰκέτου, οὐκ ἄλλου τινὸς παρόντος ἀναβλέψας εἰς τὸν οὐρανὸν οὐ πολλάκις, ἀλλὰ καὶ δὶς καὶ τρὶς πᾶσαν τὴν κάμινον ἐκείνην ἔσβεσε. τοῦτο δὲ καὶ ἐν ταῖς περιστάσεσι καὶ ἐν τοῖς ἀδοκήτοις πᾶσι συμβαῖνον ἴδοι τις ἄν, τοὺς μὲν ἐν πλούτῳ καὶ περιφανείᾳ θορυβουμένους, τοὺς δὲ ἐν εὐλαβείᾳ καὶ φιλοσοφίᾳ ἀταράχως ἅπαντα φέροντας. καὶ πρὸ τούτων δὲ πάντων, κἂν μηδὲν συμπέσῃ δεινὸν, πλείονος ὁ συνειδὸς τοῦ φοβουμένου τὸν Θεὸν καὶ καθαρωτέρας ἡδονῆς γέμει τῆς τοῦ πλουτοῦντος ψυχῆς. ἐκεῖνος μὲν γὰρ εἰ καὶ τῆς ἔξωθεν ἀπολαύει τρυφῆς, τῶν ἐν λιμῷ ζώντων ἁπάντων χαλεπώτερον διακείσεται τὰ οἰκεῖα ἑαυτὸν ἀναμιμνήσκων κακὰ καὶ πονηρῷ συζῶν συνειδότι· οὗτος δὲ κἂν τῆς ἀναγκαίας ἀπορῇ τροφῆς τῶν πάσης ἀπολαυόντων τρυφῆς εὐθυμότερος ἔσται, ἐλπίσι χρησταῖς συντρεφόμενος, καὶ τὰς ἀμοιβὰς τῶν οἰκείων κατορθωμάτων καθ' ἑκάστην προσδοκῶν τὴν ἡμέραν. ἵνα δὲ μὴ μακρύνων τὸν λόγον δόξω ἐνοχλεῖν τοῖς φιλοπονωτέροις, καταλιπὼν ἑκάστην ἐκλέγειν ὑπακοὴν, καὶ τὴν ἐναποκειμένην αὐτῇ δύναμιν διερευνᾶσθαι, ἐνταῦθα καταλύσω τὸν λόγον, ἐκεῖνα παραινέσας ὑμῶν τῇ ἀγάπῃ, μὴ ἁπλῶς ἐνταῦθα εἰσιέναι, ἀλλ' ὥσπερ μαργαρίτας τὰς ὑπακοὰς λαμβάνοντας διατηρεῖν, καὶ μελετᾷν οἴκοι διηνεκῶς καὶ πρὸς φίλους καὶ πρὸς γυναῖκας ἅπαντα ταῦτα λέγειν· κἂν πάθος ἐνοχλῇ, κἂν ἐπιθυμία διαναστῇ· κἂν θυμὸς, κἂν ἄλλο ὁποιονοῦν ἕτερον πάθος ἀλογώτατον αὐτὰς ἐπᾴδειν συνεχῶς· ἵνα καὶ κατὰ τὸν παρόντα βίον γαλήνης πολλῆς ἀπολαύσωμεν, καὶ εἰς τὴν μέλλουσαν ζωὴν τῶν αἰωνίων ἀγαθῶν ἐπιτύχωμεν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ πατρὶ ἡ δόξα ἅμα τῷ ἁγίῳ πνεύματι, δόξα κράτος τιμὴ, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἰς τὸν μγʹ ψαλμόν.

ΤΩι ΝΙΚΟΠΟΙΩι ΤΟΙΣ ΥΙΟΙΣ ΚΟΡΕ.

Ὁ Θεὸς ἡμῶν ἐν τοῖς ὠσὶν ἡμῶν ἠκούσαμεν, οἱ πατέρες ἡμῶν ἀνήγγειλαν ἡμῖν· ἔργον ὃ εἰργάσω ἐν ταῖς ἡμέραις αὐτῶν, ἐν ἡμέραις ἀρχαίαις. ἄλλος, ἑρμηνευτής φησιν, ἐν ἡμέραις ταῖς πρίν. ἄλλος, ταῖς ἀρχῆθεν. B

ΤΟΝ ψαλμὸν τοῦτον λέγει μὲν ὁ προφήτης· λέγει δὲ οὐκ ἐκ προσώπου οἰκείου, ἀλλ' ἐκ προσώπου τῶν Μακκαβαίων, τὰ ἐν ἐκείνῳ τῷ χρόνῳ ἐσόμενα διηγούμενος, καὶ προαναφωνῶν. τοιοῦτοι γὰρ οἱ προφῆται, ἅπαντας περιτρέχουσι τοὺς χρόνους, τοὺς παρελθόντας, τοὺς παρόντας, τοὺς μέλλοντας. τίνες δὲ οὗτοι οἱ Μακκαβαῖοι, καὶ τί πεπόνθασι, καὶ τί κατώρθωσαν, ἀναγκαῖον πρότερον εἰπεῖν, ὥστε καὶ τῆς ὑποθέσεως τὰ λεγόμενα γενέσθαι σαφέστερα. οὗτοι γὰρ ἐπελθόντος Ἀντιόχου τοῦ λεγομένου Ἐπιφανοῦς, καὶ πάντα διαφθείραντος, καὶ πολλοὺς τῶν τότε βιασαμένου τὴν πολιτείαν ἐξορχήσασθαι τὴν πατρῴαν, διέμειναν οὐδὲν ὑπὸ τῶν πειρασμῶν παραβλαβέντες ἐκείνων, καὶ ὅτε μὲν βαρὺς ὁ πόλεμος ἐπῄει, καὶ οὐδὲν πλέον ἐργάσασθαι ἠδύναντο, ἔκρυπτον ἑαυτούς· ἐπεὶ καὶ οἱ ἀπόστολοι. τοῦτο ἐποίουν, οὐκ ἀεὶ φερόμενοι ἐν τῷ μέσῳ ἐπεπήδων τοῖς κινδύνοις· ἀλλ' ἔστιν ὅτε καὶ φεύγοντες καὶ λανθάνοντες ὑπεχώρουν. ἐπειδὴ δὲ μικρὸν ἀνέπνευσαν, καθάπερ τινὲς σκύλακες γενναῖοι, ἐκπηδήσαντες ἐκ τῶν σπηλαίων, καὶ προκύψαντες ἐκ τῶν καταδύσεων ἔγνωσαν μηκέτι μόνους ἑαυτοὺς διασώζειν, ἀλλὰ καὶ ἑτέρους ὅσους οἷοί τε ἦσαν, καὶ τὴν πόλιν καὶ τὴν χώραν διιόντες ἅπασαν ἀνελέγοντο πάντας, ὅσους ηὕρισκον ὑγιεῖς διαμείναντας· πολλοὺς δὲ καὶ τῶν κεκμηκότων καὶ διεφθαρμένων, ἀνέκτῶντο, πάλιν πείθοντες ἐπὶ τὸν πάτριον C D

In Psalmvm xliii.

VICTORIÆ EFFECTORI FILIIS CORE.

1 *Deus auribus nostris audiuimus, patres nostri annunciauerunt nobis, opus quod operatus es in diebus eorum, & in diebus antiquis.* Alius, In diebus prioribus. Alius, In diebus ab initio.

HVNC Psalmũ dicit quidem Propheta, dicit autem non ex persona propria, sed ex persona Macchabæorum, narrans & prædicens quæ futura erant in illo tempore. Tales enim sunt Prophetæ, omnia tempora percurrunt, præsentia, præterita, futura. Quinam sunt autem hi Macchabæi, quidque passi sunt, & quid fecerunt, necessarium est primùm dicere, vt sint apertiora quæ in argumento dicuntur. Ij enim, cùm inuasisset Iudæam Antiochus, qui dictus est Epiphanes, & omnia deuastasset, & multos qui tunc erant, à patriis institutis resilire coëgisset, permanserunt illæsi ab illis tentationibus: & quando graue quidem bellum ingruebat, nec quidquam poterant facere quod prodesset, se abscondebant: nam hoc quoque fecerunt Apostoli. Non enim semper apparentes in media irruebant pericula, sed nonnunquam & fugientes & latentes secedebant. Postquam autem parum respirarunt, tanquam generosi quidam catuli ex antris exilientes, & è latebris emergentes, statuerunt non se amplius solos seruare, sed etiam alios, quotcunque possent: & ciuitatem & omnem regionem obeuntes, collegerunt quotquot inuenerunt adhuc sanos & integros: & multos etiam qui laborabant, & corrupti erant, in statum pristinum redegerunt, eis persuadentes, redire ad legem pa-

Macchab. 1.

Ioan. 18.

triam. Deum enim dicebant esse benignum & clementem, nec vnquam adimere salutem, quæ proficiscitur ex pœnitentia. Hæc autem dicentes, habuerunt delectum fortium virorum. Non enim pro vxoribus, liberis, & ancillis, patriæque euersione & captiuitate, sed pro lege & patria republica pugnabant. Eorum autem dux erat Deus. Cùm ergo aciem dirigerent, & suas animas prodigerent, fundebant aduersarios, non armis fidentes, sed loco omnis armaturæ pugnæ causam sufficere ducentes. Ad bellum autem euntes, non tragœdias excitabant, non pæana canebant, sicut nonnulli faciunt: non adsciuerunt tibicines, vt fit in aliis castris, sed Dei supernè auxilium inuocabant, vt adesset, opem ferret, & manum præberet, propter quem bellum gerebant, pro cuius gloria decertabant. Videamus ergo quid hæc castra Dei loquantur, quæ sunt spirituali munita auxilio, cùm sunt hostes aggressura. Deus auribus nostris audiuimus. Quia enim nonnulli eorum qui cum ipsis stabant in acie, Antiochi multitudinem, instructam aciem, & victoriam videntes, & quòd omnia primo impetu cepisset, propriámque imbecillitatem & paucitatem considerantes, molliores erant & imbecilliores, eorum animos spiritúsque excitans, & ostendens quòd in Dei ductu vniuersum situm est, & absque exercitu, si is opem ferat, potest parari victoria, instar precationis compositam suasionem & exhortationem facit ad commilitones, & Deum alloquens, eos promptiores reddit & alacriores. Non est autem hæc parua pars adhortationis. Neque enim tantum virium habuisset ad eos conuersa oratio, sicut ad Deum directa. Et ideo procedens dixit: Non in gladio suo possederunt terram, & dextra eorum non saluauit eos. Hoc est enim eius qui eos recreat & reficit, qui sunt molliori & imbecilliori animo ad labores suspiciendos, qui quærunt victoriam ex humana consequentia. Omnis ergo hæc precatio, est ad milites adhortatio, quæ iubet vniuersa in Deum conijcere, statuereque ex spe in illum pendere victoriam. Cur autem non dixit absolutè, Audiuimus, sed nostris auribus audiuimus? Quanam enim

Audire auribus.

A νόμον ἐπιδραμεῖν. τὸν γὰρ Θεὸν φιλάνθρωπον εἶναι ἔφασκον, καὶ μηδέποτε τὴν ἐκ τῆς μετανοίας ἀναιρεῖν σωτηρίαν. ταῦτα δὲ λέγοντες, στρατόπεδα κατέλεγον ἀνδρῶν γενναίων. οὐδὲ γὰρ ὑπὲρ γυναικῶν καὶ παίδων καὶ παιδισκῶν, καὶ ἀναστάσεως καὶ ἀνδραποδισμοῦ τῆς πατρίδος, ἀλλ' ὑπὲρ νόμου καὶ πολιτείας ἐμάχοντο πατρῴας· ἐστρατήγει δὲ αὐτοῖς ὁ Θεός. παραταξάμενοι τοίνυν, καὶ τὰς ψυχὰς αὐτῶν ἐπιδόντες, κατέλυον τοὺς ἐναντίους, οὐχ ὅπλοις θαρροῦντες, ἀλλ' ἀντὶ πάσης πανοπλίας ἀρκεῖσθαι ἔχοντες τὴν τῆς μάχης ὑπόθεσιν. ἰόντες τοίνυν B εἰς τὸν πόλεμον, οὐκ ἐτραγῴδουν, οὐ παιᾶνας ᾖδον καθάπερ τινὲς ποιοῦσιν, οὐδὲ τοὺς αὐλητὰς παρεσκεύαζον, καθάπερ ἐν ἄλλοις στρατοπέδοις· ἀλλὰ τὸν Θεὸν ἄνωθεν ἐκάλουν παρεῖναι καὶ συμμαχεῖν, καὶ χεῖρα ὀρέγειν τὸν Θεόν, δι' ὃν ἐπολεμοῦντο, ὑπὲρ οὗ τῆς δόξης ἠγωνίζοντο. ἴδωμεν τοίνυν τί φθέγγεται τὸ τοῦ Θεοῦ τοῦτο στρατόπεδον, τὸ τῇ πνευματικῇ φραττόμενον βοηθείᾳ, μέλλον ἐπιέναι τοῖς πολεμίοις. ὁ Θεὸς ἐν τοῖς ὠσὶν ἡμῶν ἠκούσαμεν. ἐπειδὴ γάρ τινες τῶν συντεταγμένων αὐτοῖς, τό τε πλῆθος, καὶ τὴν C παράταξιν ὁρῶντες τὴν Ἀντιόχου, καὶ τὴν νίκην, καὶ ὅτι πάντα ἐξ ἐπιδρομῆς ἐλάμβανον, τήν τε οἰκείαν ἀσθένειαν καὶ ὀλιγότητα λογιζόμενοι, μαλακώτεροι ἦσαν καὶ ἀσθενέστεροι, διεγείρων αὐτῶν τὰ φρονήματα, καὶ δεικνὺς ὅτι τὸ πᾶν ἐπὶ τῇ στρατηγίᾳ κεῖται τοῦ Θεοῦ, καὶ χωρὶς στρατοπέδων, συμμαχοῦντος αὐτοῦ, δυνατὸν περιγενέσθαι, ἐν εὐχῆς τάξει τινὰ παραίνεσιν καὶ συμβουλὴν ποιεῖται πρὸς τοὺς στρατιώτας, καὶ τῷ Θεῷ διαλεγόμενος προθυμοτέρους ἐκείνους ἐργάζεται. οὐ μικρὸν δὲ τοῦτο παρακλήσεως μέρος. οὐδὲ γὰρ ἂν ἴσχυσεν ὁμοίως D ὁ λόγος πρὸς ἐκείνους τεταγμένος, καὶ πρὸς τὸν Θεὸν ἀποτεινόμενος. διὸ δὴ καὶ τοῦτο προϊὼν ἔλεγεν· οὐκ ἐπὶ τῇ ῥομφαίᾳ αὐτῶν ἐκληρονόμησαν γῆν, καὶ ἡ δεξιὰ αὐτῶν οὐκ ἔσωσεν αὐτούς. τοῦτο γὰρ τοὺς ἀσθενεστέρους πρὸς τοὺς πόνους διακειμένους ἦν ἀνακτωμένου, τοὺς κατὰ τὴν ἀνθρωπίνην ἀκολουθίαν ζητοῦντας τὴν νίκην. πᾶσα τοίνυν ἡ εὐχὴ αὕτη προτροπὴ τοῖς στρατιώταις ἐστί, τὸ πᾶν ἐπὶ τὸν Θεὸν ῥίψαι κελεύουσα, καὶ ἐξαρτῆσαι τῆς ἐκεῖθεν ἐλπίδος τὴν νίκην. διὰ τί δὲ οὐκ εἶπεν· ἠκούσαμεν ἁπλῶς· ἀλλ' ἐν τοῖς ὠσὶν ἡμῶν ἠκούσαμεν; ποίῳ γὰρ ἑτέ-

ρᾳ μέρει τῆς ἀκοῆς τοῦ σώματος; ἆρα μὴ περιττολογία τὰ λεγόμενα; μὴ γένοιτο· ἀλλὰ κοινὸν ἔθος τῶν ἀνθρώπων ἐστὶν, ὅταν τινὰ διηγῶνται, ὑπὲρ ὧν εἰσι πεπληροφορημένοι, καὶ περὶ μεγάλων τινῶν καὶ ὑπερόγκων ποιῶνται τὴν διήγησιν, πρὸς τοὺς οὔπω μὴ σφόδρα πεπληροφορημένους προστιθέασιν ἀεὶ τὰ ὦτα, φάσκοντες τοῖς ὠσὶν ἀκηκοέναι, οὐκ ἐπὶ ταύτης τῆς ἐνεργείας μόνον, ἀλλὰ καὶ ἐπὶ τῶν ἄλλων τὸ αὐτὸ ποιεῖν εἰώθαμεν μάρτυρας καλοῦντες αὐτὰς τὰς αἰσθήσεις· πιστουμένων τοίνυν ἐστὶ τὴν ἀκρόασιν, τὸ τῶν ὤτων τὴν προσθήκην ποιεῖν. ἐπεὶ καὶ ἐπὶ ὀφθαλμῶν καὶ χειρῶν τὸ αὐτὸ ποιοῦμεν, ὡς ὅταν λέγωμεν· ταῖς χερσὶν ἡμῶν ἐψηλαφήσαμεν· καὶ οἱ ἀπόστολοι ἔλεγον ἃ ἑωράκασιν οἱ ὀφθαλμοὶ ἡμῶν· ἃ αἱ χεῖρες ἡμῶν ἐψηλάφησαν. ὅρα δὲ αὐτοὺς ἐκ προοιμίων ἐντεῦθεν τὴν ἀρετήν· τοσαῦτα καὶ τηλικαῦτα παθόντες δεινὰ διὰ τὸν Θεὸν, πατρίδος ἐκπεσόντες, ἐλευθερίας, κινδύνοις περιπεπτωκότες, ἄλλοι δὲ καὶ φυγάδες γενόμενοι, τὰ ὄρη καὶ τὰς ἐρημίας διώκοντες, οὐδὲν τούτων φασὶ τέως, ὅτι τὸ καὶ τὸ ἐπάθομεν διά σε, βοήθησον ἡμῖν. ἀλλ' ὡς ἔρημοι τῶν δικαιολογιῶν τούτων, καὶ οὐκ ἔχοντες ἐξ οἰκείων κατορθωμάτων παρρησίαν, οὕτως εἰς τὰ τοῖς προγόνοις ὑπηργμένα παρὰ τοῦ Θεοῦ καταφεύγουσι. τὸ μὲν γὰρ τοὺς οὐκ ἔχοντας παρρησίαν ταῦτα ποιεῖν θαυμαστὸν οὐδὲν, τῆς ἀνάγκης αὐτοὺς εἰς τοῦτο ἑλκούσης· τὸ δὲ ἐκείνους τοὺς δυναμένους μεγάλα φθέγξασθαι ἀπὸ τῶν ἑαυτῶν κατορθωμάτων μὴ ἀπὸ τούτων ἀξιοῦν σώζεσθαι, ἀλλ' ἀπὸ τῆς τοῦ Θεοῦ φιλανθρωπίας, ἧς καὶ οἱ πατέρες ἀπήλαυσαν, τοῦτο ἐστὶ τῆς πολλῆς ταπεινοφροσύνης αὐτῶν σημεῖον. οὐ μικρὰν δὲ κἀντεῦθεν ἑαυτοῖς προθυμίας κατασκευάζουσιν ὑπόθεσιν. ἀρκεῖ γὰρ τοῦ Θεοῦ καὶ ἡ προσηγορία μόνη μυρίους καταλῦσαι πολέμους. οἱ πατέρες ἡμῶν διηγήσαντο ἡμῖν. ἀκούσατε ὅσοι τῶν παίδων ἀμελεῖτε τῶν ὑμετέρων, ὅσοι διαβολικὰ μελίσματα ᾄδοντας περιορᾶτε, τῶν δὲ θείων διηγημάτων ἀμελεῖτε. ἀλλ' οὐχ οὗτοι τοιοῦτοι, ἀλλὰ διηνεκῶς ἐν τοῖς διηγήμασι τῶν τοῦ Θεοῦ κατορθωμάτων τὸν βίον ἀνήλισκον· καὶ διπλοῦν ἐποίουν τὸ κέρδος. οἵ τε γὰρ εὖ παθόντες ἐν μνήμῃ τῶν εὐεργεσιῶν ὄντες, βελτίους ἐγίνοντο· οἵ τε ἐκείνων ἔκγονοι, οὐ μικρὰν θεογνωσίας ὑπόθεσιν ἐκ τῶν διηγημάτων ἐλάμ-

alia corporis parte auditur? Nunquid quæ dicuntur, sunt superuacanea? Absit. Sed hic est mos communis hominum, qui quando aliqua narrant, de quibus sunt facti certiores, & res magnas & magni ponderis referunt, iis, quibus ea non sunt vsqueadeo certa, aures semper adiiciunt, dicentes se auribus audiuisse. Non in hac autem solùm actione, sed etiam in aliis hoc ipsum facere consueuimus, nostros ipsorum sensus producentes in testimonium. Est ergo eorum qui volunt fidem facere auditori, aures adiungere. Nam in oculis etiam, & in manibus hoc ipsum facimus, vt quando dicimus: Manibus nostris palpauimus. Porrò autem etiam dicebant Apostoli: Quæ viderunt oculi nostri, & manus nostræ contrectauerunt. Vide autem eorum vel hinc ex procemio virtutem, qui cùm tot & tanta propter Deum passi essent, à patria & libertate excidissent, pericula adiissent, alij autem in exilium acti, montes & solitudines persequerentur, nihil eorum interim dicunt, videlicet, Hoc & illud passi sumus propter te, da nobis auxilium: sed tanquam hæc eis deessent, quæ iure afferre possent, nec fiduciam ex suis factis haberent, ad ea, quæ Deus maioribus illorum fecerat, confugiunt. Eos enim qui fiduciam non habent, hæc facere non est mirandum, cùm eos ad hoc trahat necessitas: Quòd autem illi, qui propterea quòd rectè fecerunt, magnificè loqui possint, noluntex iis seruari, sed ex Dei benignitate, qua in patres vsus est, hoc est magnum argumentum eorum humilitatis: prompti autem & alacris sui animi non paruam hinc quoque causam statuunt. Sufficit enim Dei vel sola appellatio ad profliganda bella innumerabilia. Patres nostri annuntiauerunt nobis. Audite quotquot vestrorum filiorum nullam curam geritis: quicunque carmina diabolica canentes, contemnitis diuinas narrationes. Sed non hi eiusmodi, sed in narrationibus præclarorum Dei factorum vitam assiduè consumebant, & duplex lucrum faciebant. Nam & qui beneficio affecti erant, dum beneficiorum recordarentur, meliores fiebant: & qui ex illis descenderant, non paruum Dei cognitionis argumentum sume-

Palpare manibus. Videre oculis. 1.Ioan.1.

Patres officij sui monentur.

Historiarũ sacrarum vtilitas.

bant ex his narrationibus, & incitabantur, ad imitandam virtutem. Eis enim libri erant ora eorũ, qui ipsos genuerãt, omnisque schola & omnis diatriba has habebat narrationes, quibus nihil erat iucundius, nihil conducibilius. Si enim rerũ solum narrationes, fabulæque, & figmenta solent sæpe multos consolari auditores: multò magis hæc quæ magnam ostendebant beneficentiam, potentiam, sapientiam, curam, & vnà cum voluptate auditorem excitabãt, & meliorem reddebant. Qui enim dum fiebant, interfuerãt, & visu exceperant, ea auditui tradebant, & ad fidem faciendam non minus valebat auditus, quàm visus. Non minus enim credebant ij qui nõ adfuerant, nec viderãt, quàm ij qui adfuerant & viderant. Hoc quoq. eos non parum exercebat ad fidem. Videamus autẽ quid narrarunt, & nunquid similis argumenti meminerunt. Qui enim est aliquid rogaturus, & postulatũ consecuturus, ex data aliis gratia eum oportet petere similia. Quod autẽ dico, est eiusmodi.

Paradigma

Petit aliquis famulus à nobis donum: si ostẽderit alium quoq. id accepisse, maximam affert rationem, cur id debeat accipere, nisi exemplum lædat differentia. Differentiam autem dico personæ, vel rei. Si enim qui accepit, talis sit, qualis qui petit, & id quod petitur, simile, consistit exemplum. Sin autem ille quidem iure accepit, hic autem non itidem, postulatione maiori erit opus. Necesse est autem id quod dico, manifestum facere ex scripturis.

Matth. 15. 26.

Chananæa postquam audiit, Non est bonum accipere panem filiorum, & dare canibus, dicit: Etiam Domine: Nam & catuli edunt de micis mensæ dominorum suorum.

1. Cor. 9. 12

Et Paulus rursus scribens, dicebat: Si alij vestræ potestatis sunt participes, multò magis nos: ex personæ differentia se plus iuris habere ostendens.

Phil. 7.

Et rursus scribens ad Philemonem, dicebat: Quia viscera sanctorum requieuerunt per te fratér: propter quod multam fiduciam habẽs in Christo Iesu imperandi tibi, quod ad rem pertinet, propter charitatem magis obsecro. Hic est ex æquo exemplum. Quando enim primus fuerit qui accepit: veluti quandam secũdo fenestram aperit, si similis sit qui est petiturus, vel vel si eadem petat. Non solum autem

A βαινον τούτων, καὶ πρὸς ἀρετῆς ζῆλον ἐνήγοντο. βιβλία γὰρ ἦν αὐτοῖς τὰ στόματα τῶν γεγεννηκότων· καὶ πᾶσα σχολὴ, καὶ πᾶσα διατριβὴ ταῦτα εἶχε τὰ διηγήματα, ὧν οὐδὲν τερπνότερον, οὔτε κερδαλεώτερον ἦν. Εἰ γὰρ ἁπλῶς διηγήματα πραγμάτων, καὶ μῦθοι, καὶ πλάσματα ψυχαγωγεῖν εἰώθασι πολλάκις τοὺς ἀκροατάς· πολλῷ μᾶλλον ταῦτα πολλὴν ἐνδεικνύντα τὴν εὐεργεσίαν, τὴν δύναμιν, τὴν σοφίαν, τὴν κηδεμονίαν, καὶ μετὰ τῆς ἡδονῆς ἀνίστα τὸν ἀκροατὴν, καὶ σπουδαιότερον ἐποίει. οἱ γὰρ παρόντες τοῖς γινομένοις, καὶ ὄψει παραλαβόντες ἀκοῇ B παρεδίδοσαν, καὶ ἦν ἡ ἀκοὴ τῆς ὄψεως ὁμοίως πρὸς πίστιν ἴση. τῶν γὰρ παρόντων καὶ θεωμένων οὐχ ἧττον ἐπίστευον οἱ μὴ παρόντες καὶ θεώμενοι· οὐ μικρὸν δὲ καὶ τοῦτο εἰς πίστιν ἄλειμμα ἦν. ἴδωμεν δὲ τί διηγήσαντο, καὶ εἰ ὑποθέσεως ὁμοίας μέμνηνται. καὶ γὰρ τὸν μέλλοντά τινος δεῖσθαι, καὶ τῆς αἰτήσεως ἐπιτυγχάνειν ἐκ τῆς ἑτέροις δοθείσης χάριτος ὅμοια αἰτεῖν ἐκείνῳ χρή. ὃ δὲ λέγω, τοιοῦτόν ἐστιν· οἷον, αἰτεῖ τις ἡμᾶς οἰκέτης δωρεάν· ἂν δείξῃ καὶ ἕτερον εἰληφότα τὴν αὐτὴν, μέγιστον δικαίωμα τὴν αὐτὴν τοῦ λα- C βεῖν προβάλλεται πλὴν ἐὰν μὴ τῇ διαφορᾷ τὸ παράδειγμα βλάπτηται. διαφορὰν δὲ λέγω προσώπου ἢ πράγματος. ἐὰν μὲν γὰρ ὁ εἰληφὼς ᾖ τοιοῦτος, οἷος ὁ αἰτῶν· καὶ τὸ αἰτούμενον ὅμοιον, ἕστηκε τὸ ὑπόδειγμα· ἂν δὲ ἐκεῖνος δικαίως μὲν λαβεῖν, οὗτος δὲ οὐκ ἔτι, μείζονος χρεία τῆς παρακλήσεως. ἀναγκαῖον δὲ καὶ ἀπὸ τῶν γραφῶν, ὃ λέγω, ποιῆσαι σαφές· ἡ Χαναναία ἐπειδὴ ἤκουσεν, οὐκ ἔστι καλὸν λαβεῖν τὸν ἄρτον τῶν τέκνων, καὶ δοῦναι τοῖς κυναρίοις, φησί, ναὶ κύριε· καὶ γὰρ τὰ κυνάρια ἐσθίει ἐκ τῶν ψιχίων D τῆς τραπέζης τῶν κυρίων αὐτῶν. καὶ Παῦλος γράφων ἔλεγεν· εἰ ἄλλοι τῆς ἐξουσίας ὑμῶν μετέχουσι, πολλῷ μᾶλλον ἡμεῖς, ἐνταῦθα μεῖζον τὸ δικαίωμα ἀπὸ τῆς τοῦ προσώπου διαφορᾶς ποιῶν. καὶ πάλιν Φιλήμονι γράφων ἔλεγεν· ὅτι τὰ σπλάγχνα τῶν ἁγίων ἀναπέπαυται διὰ σοῦ ἀδελφέ· διὸ πολλὴν ἐν Χριστῷ παρρησίαν ἔχων ἐπιτάσσειν σοι τὸ ἀνῆκον, διὰ τὴν ἀγάπην μᾶλλον παρακαλῶ. ἐνταῦθα ἐκ τοῦ ἴσου τὸ παράδειγμα. ὅταν γὰρ πρῶτος ᾖ τις εἰληφώς· ὥσπερ τινὰ τῷ δευτέρῳ θύραν ἀνοίγνυσιν, ἂν ᾖ ὅμοιος ὁ μέλλων αἰτεῖν, ἢ τὰ αὐτὰ αἰτοίη. οὐ μόνον δὲ

ἐκ τῶν ἑτέροις δεδομένων, ἀλλὰ καὶ ἐκ τῶν ἡμῖν αὐτοῖς ἤδη ὑπαρξάντων ἡ παράκλησις πολλάκις ἰσχυρὰ γίνεται, ὃ καὶ Παῦλος ἐποίει Φιλιππησίοις γράφων καὶ λέγων· ὅτι καὶ ἐν Θεσσαλονίκῃ καὶ ἅπαξ καὶ δὶς εἰς τὴν χρείαν μοι ἐπέμψατε. διά τοι τοῦτο πολλοὶ πολλοῖς διδόντες τοῦτο παρεγγυῶσι μὴ ἐξειπεῖν ἑτέροις· ἵνα μὴ ἡ εἰς τὸν ἕνα γενομένη χάρις πολλοὺς ἐπεγείρῃ τῷ δεδωκότι τοὺς αἰτοῦντας. ὥσπερ οὖν οὐκ ἔχοντες καταφυγεῖν εἰς τὴν διαχώρησιν τοῦ δόντος ἅπαξ, εἰ μὴ καὶ ἑτέροις δοίη. ἀλλ' ἄνθρωποι μὲν εἰκότως ἅτε ἐκ τοῦ διδόναι γινόμενοι πενέστεροι τοῦτο κελεύουσιν· ὁ δὲ Θεὸς τοὐναντίον καὶ ἀνακηρύττει καὶ βοᾷ τὰ ἑτέροις δεδομένα εἰς τὸ καὶ ἑτέροις παρασχεῖν πρόφασιν τοῦ πάλιν αὐτὸν αἰτῆσαι. τῷ γὰρ διδόναι μείζων αὐτοῦ ὁ πλοῦτος δείκνυται· διό φησιν ὁ Παῦλος, ὁ πλουτῶν εἰς πάντας, καὶ ἐπὶ πάντας τοὺς ἐπικαλουμένους αὐτόν. εἶδες καινήν τινα φύσιν πλούτου; ταύτην καὶ σὺ μιμοῦ τὴν φιλοτιμίαν. ὅταν γὰρ ἀναλώσῃς τὸν ἀποκείμενον πλοῦτον, τότε μᾶλλον αὐτὸν αὐξήσεις· ἂν δὲ κατορύξῃς, τότε μᾶλλον ἠλάττωσας. καὶ τί θαυμαστόν, εἰ ἐπὶ τῶν πνευματικῶν τοῦτο συμβαίνει, ὅπου γε καὶ ἐπὶ τῶν σωματικῶν οὕτω γίνεται; καὶ γὰρ ἂν φειδόμενός τις τὸν σῖτον οἴκοι κείμενον μὴ δαπανήσῃ, μηδὲ εἰς ἀρούρας ἐκβάλῃ, τῷ στόματι τῶν σκωλήκων αὐτὸν ἐξέδωκεν· ἂν δὲ σκορπίσῃ, πλείονα τὸν ἀμητὸν ἐργάζεται. ἀκούσατε ὅσοι πρὸς τὴν ἐλεημοσύνην ἐστὲ ὀκνηροί· ἀκούσατε οἱ τὸν πλοῦτον ὑμῖν ἐλαττοῦντες τῇ φυλακῇ· ἀκούσατε οἱ τῶν ὄναρ πλουτούντων οὐδὲν διακείμενοι ἄμεινον. ὀνείρατος γὰρ οὐδὲν ἄμεινον τὰ παρόντα. ἀλλ' ὥσπερ οἱ καθ' ὕπνους φανταζόμενοι χρήματα ἔχειν, κἂν τῶν ταμιείων γένωνται τῶν βασιλικῶν κύριοι, πάντων εἰσὶ πενέστεροι γενομένης ἡμέρας· οὕτω καὶ ἐπὶ τοῦ βίου τοῦ παρόντος ὁ μηδὲν ἀγαγεῖν ἐκεῖ δυνηθεὶς πάντων ἔσται πενέστερος, κἂν τὰ πάντων ᾖ κεκτημένος. ὄναρ γὰρ ἐπλούτησε μόνον. εἰ τοίνυν βούλει μοι δεῖξαι τὸν εὔπορον, τότε μοι δεῖξον, (ὅταν ἡμέρα γένηται)· ὅταν εἰς τὴν πατρίδα ἀπέλθωμεν ἐκείνην· νῦν δὲ οὐκ ἀνέξομαι τὸν πλούσιον διαγινώσκειν καὶ τὸν πένητα. οὐ γάρ ἐστιν ἀλήθεια πραγμάτων, ἀλλ' ὀνομάτων χάρις καὶ εὐφημία μᾶλλον. καθάπερ γὰρ τοὺς τυφλοὺς καλοῦσιν οἱ πολλοὶ πολυβλέποντας, ἀλλ' οὐκ

ex iis, quæ aliis data sunt, sed ex iis etiã quæ in nos ipsos antea collata sunt, fit sæpe valida postulatio: quod etiam fecit Paulus scribens ad Philippenses, & dicens: Quoniam & Thessalonicam semel & iterum quod mihi vsui futurum erat, misistis. Et ideo multi qui multis donant, hoc præcipiunt, ne id dicant aliis: ne in vnum facta gratia, ei qui dedit, multos petitores excitet, vtpote quòd non possit subterfugium inuenire qui dedit, quo minus det aliis. Et hoc quidem meritò iubent homines, vt qui dando fiant pauperiores: Deus autem contrà prædicat & proclamat ea quæ dat aliis, vt aliis etiam præbeat occasionem rursus ab eo petendi. Dando enim maiores eius ostenduntur diuitiæ. Et ideo dicit Paulus: Qui diues est in omnes, & super omnes inuocantes eum. Vidisti nouam quandam naturam diuitiarum? eam tu quoque imitare magnificentiam. Quando enim opes repositas consumpseris, tunc ipsas magis augebis. Si autem infoderis, ipsas tunc magis diminues. Et quid mirum si hoc accidit in spiritualibus, cùm hoc fiat etiam in carnalibus? Si quis enim propter parsimoniam frumentum domi situm non consumpserit, nec in terram iecerit, id vermibus exedendum tradit. Sin autem disperserit, maiorem messem colliget. Audite quotquot estis tardi ad eleemosynam. Audite qui vobis diuitias seruando diminuitis. Audite qui nihilo melius affecti estis, quàm qui sunt in somniis diuites. Quæ sunt enim præsentia, sunt somnio nihilo meliora. Sed quemadmodum qui in somnis sibi videntur habere pecunias, licet fuerint regiæ gazæ domini, cùm dies illuxerit, sunt omnium pauperrimi: ita etiam in vita præsenti, qui nihil illuc auferre potuerit, est omnium pauperrimus, licet omnia possederit. In somniis enim solum est diues. Si velis ergo mihi ostendere diuitem, tunc mihi ostende quando fuerit dies, quando in illam patriam recesserimus: nunc autem non potero discernere diuitem & pauperem. Non enim est rerum veritas, sed potius splendida & speciosa vocabula. Quemadmodum enim nonnulli appellant cæcos Græcè πολυβλέποντας, hoc est, mul-

Philip. 4. 16.

Rom. 10.

Prouer. 3.

Matth. 19. Marc 10. Luc. 18.

Collatio elegans.

tum videntes, licet res nomen non sequatur, imò ij sunt maximè non videntes: ita etiam nomen diuitum hic dico circumferri eorum qui nihil illic possident. Quando enim hic diues fuerit, tunc eum scio maximè esse pauperem. Nisi enim esset valde pauper, non valde ditesceret. Quemadmodum enim cæcum, nisi omnino esset excæcatus, non appellassent ipsum πολυβλέποντα, hoc est, multum videntem: ita hic etiam putandum est. Deposita ergo deceptione nominum, veritatem rerum arripiamus. Res enim non consistunt in nominibus, sed rerum naturæ effingunt nomina ex propria substantia. Hic vocatur diues, sed non est. Et quomodo non est, quando multum argenti, multum auri, & lapides preciosi, & vestes aureæ, & omnia alia ei affluunt? Quoniam non aurum, nec vestes, nec pecuniæ, sed eleemosyna facit diuitem. Hæc enim sunt fœnum, hæc ligna & stipula. Quarumnam enim, dic quæso, vestium amictus illum ad terribile illud tribunal nudum stantem operire poterit? Quod pertimescēs Paulus dicebat: Si quidem induti, nō nudi reperiemur. Quænam pecuniæ eum venientem in periculum poterunt eximere? Quinam famuli poterunt adesse domino qui flagellatur? Quænam domus? quinam lapides pretiosi? Quænam balnea poterūt abstergere sordes susceptas ex peccatis? Quousque vosipsos seducitis? Quousque rerum veritatem non cernitis, sed somniis inhiatis, cum propè atque adeò in foribus sit iudicium? Sed reuertamur ad ea quæ sunt proposita. *Patres nostri annuntiauerunt nobis, 2. opus quod fecisti in diebus eorum, in diebus antiquis.* Potest etiam hoc verbum sumi anagogicè. Etsi enim illis patres narrauerunt, tamen nobis etiam dedit Dei gratia, vt quæ illis facta sunt, per sancti Spiritus aduentū disceremus. Quomodo autem poterit quispiam hæc sumere anagogicè? Si ea trahat ad præclara nouæ gratiæ facinora, quòd in cœlum sublati sumus, quòd regno digni sumus habiti, quòd Deus homo factus est, quòd soluit intermedium sepis maceriam. Sed redeamus ad historiam. Opus quod operatus es in diebus ipsorum, in diebus antiquis. Meminit cuiusdam antiquæ narrationis, & quæ præclarè olim facta sunt adducit.

Diuites, maximè pauperes.

1.Cor.1.

2.Cor.5.

Ephes.2.
Ioan.1.
Ephes.2.

A ἀκολουθεῖ τῷ ὀνόματι τὸ πρᾶγμα, ἀλλ' οὗτοι μάλιστά εἰσιν οἱ μὴ ὁρῶντες. οὕτω δὴ καὶ τὸ τῶν πλουσίων ὄνομα περιφέρεσθαι ἐνταῦθά φημι τῶν οὐδὲν ἐκεῖ κεκτημένων. ὅταν γὰρ ἐνταῦθα πλουτῇ· τότε μάλιστα οἶδα ὅτι πένης ἐστίν. εἰ γὰρ μὴ σφόδρα πένης ἦν· οὐκ ἂν σφόδρα ἐπλούτει. ὥσπερ γὰρ ὁ πηρός, εἰ μὴ καθόλου τετύφλωτο, οὐκ ἂν αὐτὸν πολυβλέποντα ἐκάλεσαν· οὕτω δὴ ἐνταῦθα λογιστέον. ἀποθέμενοι οὖν τῶν ὀνομάτων τὴν ἀπάτην ἀντιλαβώμεθα τῶν πραγμάτων τὴν ἀλήθειαν. οὐ γὰρ ἐν B ὀνόμασι τὰ πράγματα ἕστηκεν, ἀλλ' αἱ τῶν πραγμάτων φύσεις τὰ ὀνόματα κατὰ τὴν οἰκείαν ὑπόστασιν πλάττουσιν. ὁ δεῖνα πλούσιος καλεῖται, ἀλλ' οὐκ ἔστι. καὶ πῶς οὐκ ἔστιν, ὅταν πολὺς μὲν ἄργυρος, πολὺ δὲ χρυσίον, καὶ λίθοι τίμιοι, καὶ ἱμάτια χρυσᾶ, καὶ τὰ ἄλλα πάντα αὐτῷ περιρρέῃ; ὅτι οὐ χρυσίον, οὐδὲ ἱμάτια, οὐδὲ χρήματα, ἀλλ' ἐλεημοσύνη ποιεῖ πλούσιον. ταῦτα γὰρ χόρτος, ταῦτα ξύλα καὶ καλάμη· ἐπεὶ ποῖον ἱμάτιον, εἰπέ μοι, τότε τὸν γυμνὸν ἑστῶτα ἐπὶ τοῦ φοβεροῦ βήματος ἐκείνου περιβαλεῖν δυνήσεται; ὅπερ καὶ Παῦ- C λος δεδοικὼς ἔλεγεν· εἴπερ καὶ ἐνδυσάμενοι, οὐ γυμνοὶ εὑρεθησόμεθα. ποῖα χρήματα τὸν κινδυνεύοντα ἐξελέσθαι δυνήσεται; ποῖοι οἰκέται μαστιζομένῳ παραστῆναι τῷ δεσπότῃ; ποῖαι οἰκίαι; ποῖοι λίθοι πολύτιμοι; ποῖα βαλανεῖα τὸν ῥύπον ἀποσμῆξαι δυνήσεται τὸν ἐκ τῶν ἁμαρτημάτων; μέχρι τίνος ἑαυτοὺς ἀπατᾶτε; μέχρι τίνος οὐ διαβλέπετε τῶν πραγμάτων τὴν ἀλήθειαν, ἀλλ' ἐπὶ τὰ ὀνείρατα κεχήνατε ἐγγὺς καὶ ἐπὶ θύραις τῆς κρίσεως οὔσης; ἀλλ' ἐπὶ τὰ προκείμενα ἐπανίωμεν. οἱ πατέρες ἡμῶν ἀνήγγειλαν ἡ- D μῖν, ἔργον ὃ εἰργάσω ἐν ταῖς ἡμέραις αὐτῶν, ἐν ἡμέραις ἀρχαίαις. ἔξεστι δὲ ἡμῖν τοῦτο εἰπεῖν κατὰ ἀναγωγὴν τὸ ῥῆμα. εἰ γὰρ καὶ ἐκείνοις οἱ πατέρες διηγήσαντο, ἀλλὰ καὶ ἡμῖν ἡ τοῦ Θεοῦ χάρις ἔδωκε διὰ τῆς ἐπιφοιτήσεως τοῦ πνεύματος μαθεῖν τὰ ἐκείνων. πῶς δὲ ἄν τις κατὰ ἀναγωγὴν αὐτὰ ἐκλάβοι εἰς τὰ τῆς καινῆς χάριτος ἕλκων κατορθώματα; ὅτι πρὸς τὸν οὐρανὸν ἀνήχθημεν· ὅτι βασιλείας ἠξιώθημεν, ὅτι Θεὸς ἄνθρωπος γέγονε, τὸ μεσότοιχον τοῦ φραγμοῦ λύσας. ἀλλ' ἴωμεν ἐπὶ τὴν ἱστορίαν λοιπόν. ἔργον ὃ εἰργάσω ἐν ταῖς ἡμέραις αὐτῶν, ἐν ἡμέραις ἀρχαίαις. παλαιοῦ τινος διηγήματος μέμνηται, καὶ ἀρχαῖα παράγει κατορθώματα·

τίνος ἕνεκεν οὐ νέου τινὸς μέμνηται καὶ προσφάτου; ὅτι παρὰ μὲν ἀνθρώποις εἰκότως τῶν προφητῶν ποιούμεθα διήγησιν, καὶ ἀπὸ τούτων αὐτοὺς ἐπισπώμεθα, ἅτε τῆς μνήμης αὐτοῖς ἐξασθενούσης. παρὰ δὲ τῷ Θεῷ, ᾧ πάντα γνωστὰ ὁμοίως καὶ τὰ παλαιὰ καὶ τὰ νέα. ἰδοὺ γάρ, φησι, σὺ ἔγνως τὰ ἔσχατα καὶ τὰ ἀρχαῖα. οὐδὲν διαφέρει δ' ἄν τε παλαιόν τις, ἄν τε νέον εἴπῃ διήγημα, μόνον οἰκεῖον τῷ ὑποκειμένῳ ἔστω. ποῖον οὖν φησι διήγημα ἀρχαῖον· καὶ ποῖον λέγειν βούλεται ἀκούσωμεν. ἡ χείρ σου ἔθνη ἐξωλόθρευσέ φησι, καὶ κατεφύτευσας αὐτούς· ἐκάκωσας λαούς, καὶ ἐξέβαλες αὐτούς. ἆρα ἐπέγνωτε ποῖον λέγει πόλεμον, ποίαν νίκην, ποῖον τρόπαιον, ἢ τῆς παρ' ἡμῶν ἔτι δεῖσθε ἑρμηνείας; ἤδη μὲν οἶμαι πολλοὺς συνεωρακέναι τὸ λεγόμενον· διὰ δὲ τοὺς ἀγνοοῦντας ἀναγκαῖον καὶ τὰ παρ' ἡμῶν προσθεῖναι. ποίων οὖν τροπαίων μέμνηται; ποίων κατορθωμάτων; τῶν ἐν Αἰγύπτῳ, τῶν ἐν τῇ ἐρήμῳ, τῶν ἐν τῇ γῇ τῆς ἐπαγγελίας· μᾶλλον δὲ τῶν ἐν τῇ ἐπαγγελίᾳ. οὐ γὰρ οἱ ἐξ Αἰγύπτου ἐξελθόντες οὗτοι καὶ τῆς Παλαιστίνης ἐπέτυχον, ἀλλὰ πάντες ἔπεσον ἐν τῇ ἐρήμῳ. ὅτε γοῦν οἱ ἐξ ἐκείνων τεχθέντες, καὶ οἱ ἐν τῇ ἐρήμῳ τραφέντες, εἰσίεσαν εἰς Παλαιστίνην, φησίν, οὐκ ἐδέησεν αὐτοῖς ὅπλων· ἀλλ' αὐτοβοεὶ τὰς πόλεις εἷλον, καὶ διαβάντες τὸν Ἰορδάνην τὴν πρώτην αὐτοῖς ἀπαντήσασαν πόλιν τὴν Ἱεριχώ, καθάπερ χορεύοντες μᾶλλον, ἢ πολεμοῦντες κατέσεισαν. κεκοσμημένοι γὰρ ὅπλοις οὐχ ὡς ἐν μάχαις, ἀλλ' ὡς ἐν πανηγύρει καὶ χορείᾳ ἐξῄεσαν, αὐτῇ καλλωπισμοῦ μᾶλλον ἢ ἀσφαλείας τὰ ὅπλα περιθέμενοι, καὶ τὰς ἱερὰς στολὰς περικείμενοι, καὶ προηγουμένους ἔχοντες τοῦ στρατοπέδου τοὺς Λευΐτας ἐκύκλουν τὸ τεῖχος. καὶ ἦν ἰδεῖν θέαμα θαυμαστὸν καὶ παράδοξον, χιλιάδας τοσαύτας στρατοπέδων ἐν τάξει καὶ ῥυθμῷ βαινόντων, ἐν ἡσυχίᾳ καὶ κόσμῳ πολλῷ, ὡς οὐδενὸς παρόντος μετὰ τῆς ἁρμονίας ἐκείνης τῶν σαλπίγγων τὸ πᾶν κατορθούντων· αἰσχυνέσθωσαν οἱ θορυβοῦντες ἐν ἐκκλησίᾳ. εἰ γὰρ ἔνθα σάλπιγγες ἦχον, τοσαύτη ἦν εὐταξία, ἔνθα αὐτὸς ὁ Θεὸς φθέγγεται), τίνος τεύξονται συγγνώμης οἱ διὰ τῶν οἰκείων θορύβων, τῆς ἐκείνων ἀκοῆς τὴν ἀκρίβειαν ἐκκρούοντες; ἀλλὰ τίνος ἕνεκεν, φησίν, οὐκ ἐμνημόνευσε τῶν

Et cur non alicuius noui & recentis meminit? Quoniam apud homines quidem iure ea quę sunt prophetarum, narramus: & per ea ipsos attrahimus, vtpote quòd sit eis imbecilla memoria. Deo autem æquè sunt omnia cognita, & vetera, & noua. Ecce enim, inquit, tu cognouisti omnia antiqua & nouissima, vltima & prima. *Psal. 138. 5.* Nihil autem refert an veterem, an nouam narrationem dixerit, modò sit proposito conueniens. Quamnam autem vult antiquam dicere narrationem? Audiamus. 3. *Manus tua gentes disperdidit, & plantasti eos: afflixisti populos, & expulisti eos.* Agnouistísne quodnam bellum dicat, quam victoriam, quod trophæum? Opúsne habetis, vt id à nobis declaretur? Existimo quidem multos iam intellexisse quod dicitur. Propter eos autem qui ignorãt, necesse est aliquid nostrum addere. Quorumnam ergo trophæorum, quorumnam facinorum meminit? Eorum quæ in Ægypto, eorum quæ in deserto, eorum quæ in terra promissionis facta sunt, vel potius eorum quæ in promissione. *Num. 14. Heb. 3.* Neque enim ij qui ex Ægypto egressi sunt, ij peruenerunt in Palæstinam, sed omnes ceciderunt in deserto. Quãdo ergo qui ex illis nati sunt, & qui in deserto sunt educti, ingressi sunt in Palæstinam, inquit, eis nõ fuit opus armis, sed vel ipso solo clamore vrbes ceperũt: *Præter Iosue & Caleb.* & cùm Iordanem transiissent, primam vrbem quæ eis occurrit, Hiericho, saltantium potius, quàm bellantiũ ritu diruerunt. *Iosue 6.* Armati enim, non tanquam ad pugnã, sed tanquã ad festiuitatẽ ac choreã egressi sunt, ornatus potius gratia, quàm vt tutiores essent, armis instructi, & sacris vestibus induti, & habentes Leuitas, qui castra præcedebãt, muros cinxerunt. Et videri poterat spectaculũ admirabile, & penè incredibile, tot millia exercitus certo ordine & numerosè incedẽtia, in silentio summo, honestéque ac decorè, perinde ac si nullus adesset, cum illo tubarum concentu & modulatione omnia rectè gessisse. Erubescãt qui tumultuãtur in ecclesia. *Exclamatio ab exemplo.* Si enim vbi tubæ resonabãt, tam pulcher erat ordo, & tãta moderatio: vbi Deus ipse loquitur, quamnam veniã assequentur, qui propter suos tumultus impediũt, ne quæ dicũtur, exaudiãtur? Sed cur, inquit, non meminit eorũ qui

excesserunt ex Ægypto? Quoniam omnes ceciderunt, quoniam pœnas dederunt. Cur autem omnes perierunt? Quoniam valde peccarunt. Hic autem aliud quoque prouidit, vt qui Palæstinam erant occupaturi, mala quæ erant in Ægypto, non vidissent, omnem nempe superstitionem, & omnem impietatem, & vt tantæ improbitatis nullum magistrum haberent. Eos enim ita præoccuparat Ægyptiorũ consuetudo, & eos ita ceperat, vt post tot miracula ne in deserto quidem purè erroris reliquias abstergerent. Quòd si etiam accepissent Chananæos prioribus deteriores magistros, quò non erupisset eorum impietas? Et ideo eos qui nati erant, continuit in deserto, donec ad virorum ætatem peruenissent eorum filij. Hæc autem loquimur non è domo nostra desumpta, sed producta è scripturis. Nam per Ezechielem Deus hoc ipsum eis exprobrat, quòd cum eos in desertum eduxisset, & multùm cum eis disseruisset, non audiebatur. Sed qua de causa iussit eos armis indui, cùm essent aggressuri Hiericho? Fuisset enim admirabilius, si hoc fecissent sine armis. Maximè ergo cùm iubeat aliquid humanum facere, & aliquod sensile auxilium accipere, hoc facit se demittens ad eorum imbecillitatem. Quid potuerunt enim arma efficere ad muros diruendos? Quid verò clangor tubarum? Si enim fuisset bellum aduersus homines, fuisset aliquod momentũ in armis reponendum: sin autem erant casura mœnia, curnam armis induuntur? Porrò autem in Gedeone quoque, qui capti sunt, erant numero æquales iis qui non capti sunt, omnes enim manifesti fuerunt. Quamobrem ergo hæc fiunt? Vt qui hæc iubentur, ad fidem deducantur. Anima enim quæ coalita est corpori, & nihil vnquam vidit incorporeum, & sensibilibus inhiat, ab iis quæ videntur, ad ea quæ mente comprehenduntur, deduci opus habebat. Vnde etiã Prophetis de Deo loquentibus opus fuit humanorum membrorum meminisse, non vt illam naturam à corruptione & interitu alienam, ad membrorum figuras formarent ac effingerent, sed vt animam in sensilibus cum corpore enutritam, ex humanis docerent secreta quæ sunt supra hominem. Quoniam ergo

Cur filij Israel tamdiu in deserto retenti.
Ezech. 20.
Iudic. 6.
Anagoge.
Rom. 1.

A ἐξ Αἰγύπτου; ἐπειδὴ πάντες ἔπεσον, ἐπειδὴ δίκην ἔδοσαν. τίνος δὲ ἕνεκεν πάντες ἀπώλοντο; ἐπειδὴ τὰ μεγάλα ἥμαρτον· ἐντεῦθεν δὲ καὶ ἕτερον ᾠκονόμει τούτοις μέλλοντας τὴν Παλαιστίνην ἀπολαμβάνειν, ἀθεάτους εἶναι τῶν ἐν Αἰγύπτῳ κακῶν, τῆς δεισιδαιμονίας, τῆς ἀσεβείας ἁπάσης, καὶ μηδένα διδάσκαλον ἔχειν τῆς τοσαύτης πονηρίας. οὕτω γὰρ προκατείχοντο τῇ τῶν Αἰγυπτίων συνηθείᾳ· οὕτως ἦσαν ἁλόντες, ὡς μετὰ τοσαῦτα θαύματα μηδὲ ἐν τῇ ἐρήμῳ ἀποτρίψασθαι καθαρῶς τῆς πλάνης τὰ λείψανα. Εἰ δὲ καὶ Χαναναίους ἔλαβον διδασκάλους τῶν προτέρων χαλεπωτέρους, B ποῦ οὐκ ἂν ἐξώκειλε τὰ τῆς ἀσεβείας αὐτοῖς; διὰ δὴ τοῦτο κατεῖχεν αὐτοὺς ἐπὶ τῆς ἐρήμου τοὺς τεχθέντας, ἕως εἰς ἀνδρῶν ἡλικίαν ἦλθε τὰ ἔκγονα τὰ ἐκείνων. καὶ ταῦτα οὐκ οἴκοθεν φθεγγόμενοι λέγομεν, ἀλλ' ἀπὸ τῶν γραφῶν ἀποδεικνύοντες. διὰ γὰρ τοῦ Ἰεζεκιὴλ τοῦτο αὐτὸ ὀνειδίζει αὐτοῖς, ὅτι εἰς τὴν ἔρημον αὐτοὺς ἀγαγὼν καὶ πολλὰ διαλεχθεὶς οὐκ ἠκούετο. ἀλλὰ τίνος ἕνεκεν ὅπλα αὐτοὺς περικεῖσθαι ἐκέλευσε μέλλοντας προσιέναι τῇ Ἱεριχῷ; θαυμαστότερον γὰρ ἦν εἰ χωρὶς ὅπλων τοῦτο ἐποίησαν. C μάλιστα μὲν οὖν κἂν κελεύῃ τι ποιεῖν ἀνθρώπινον, καὶ προσλαμβάνειν τινὰ συμμαχίαν αἰσθητήν, συγκαθιεὶς αὐτῶν τῇ ἀσθενείᾳ τοῦτο ποιεῖ. τί γὰρ ἠδύνατο ὅπλων περιβολὴ πρὸς τείχους καταβολήν; τί δὲ σαλπίγγων ἠχή; εἰ μὲν γὰρ πρὸς ἀνθρώπους ὁ πόλεμος ἦν, εἶχε τις τινα ῥοπὴν ἐν τοῖς ὅπλοις λογίζεσθαι· εἰ δὲ τεῖχος ἔμελλε καταπίπτειν, τίνος ἕνεκεν ὅπλα περίκεινται; καὶ ἐπὶ τοῦ Γεδεὼν δὲ πάλιν οἱ εἰλημμένοι τῶν μὴ εἰλημμένων ἦσαν ἴσοι· πάντες γὰρ ἦσαν δῆλοι. D τίνος οὖν ἕνεκεν ταῦτα γίνεται; ὥστε εἰς πίστιν αὐτοὺς ἀγαγεῖν τοὺς ταῦτα κελευομένους. ἡ γὰρ ψυχὴ συντραφεῖσα σώματι, καὶ οὐδὲν ἀσώματον ἰδοῦσα ποτέ, ἐν πρὸς τὰ αἰσθητὰ κεχηνυῖα, ἀπὸ τῶν ὁρωμένων ἐπὶ τὰ νοητὰ χειραγωγηθῆναι ἐδεῖτο· ὅθεν καὶ τοῖς προφήταις περὶ Θεοῦ διαλεγομένοις ἐγένετο χρεία ἀνθρωπίνων μνησθῆναι μελῶν, οὐχ ἵνα τὴν ἀκήρατον ἐκείνην φύσιν εἰς μελῶν σχήματα συμπλάσωσιν, ἀλλ' ἵνα τὴν αἰσθητοῖς συντραφεῖσαν ψυχήν, ἐκ τῶν ἀνθρωπίνων τὰ ὑπὲρ ἄνθρωπον παιδεύσωσι δόγματα. ἐπεὶ οὖν καὶ

ἡ ἐνέργεια

ἡ ἐνέργεια τοῦ Θεοῦ νοητόν τι ἐστιν, ἵνα μὴ ἀπιστήσωσιν οἱ τότε, τίθησι καὶ αἰσθητόν. εἰ γὰρ εἶπεν, ὅτι ἐν ἑπτὰ ἡμέραις καταστραφήσεται ἡ πόλις ἡσυχαζόντων ὑμῶν, καὶ μηδὲν ἐργαζομένων, ἴσως ἂν πολλοὶ ἠπίστησαν· νυνὶ δὲ καθάπερ ὑποβάθραν τινὰ τῇ διανοίᾳ τῇ ἀνθρωπίνῃ τὰ ἐπιτάγματα ταῦτα ὑποτίθησι. καὶ ἵνα μὴ νομίσητε στοχασμόν τινα εἶναι τὸ λεγόμενον, ἱστορίαν τινὰ ὑμῖν παλαιὰν πιστουμένην τὸν λόγον διηγήσασθαι βούλομαι. Νεεμάν τις ἦν Σύρος· οὗτος ὑπὸ λέπρας ἁλοὺς, καὶ αἰσχυνόμενος τῷ πάθει, ὡς ὑπὲρ μεγίστων κινδύνων, ἔρχεται εἰς τὴν Παλαιστίνην· δεῖ γὰρ ἐπιτεμεῖν τὸν λόγον· λύσιν βουλόμενος εὑρεῖν τοῦ κακοῦ παρὰ τοῦ προφήτου. ἐλθὼν τοίνυν καὶ πρὸς τῇ θύρᾳ τοῦ ἀνδρὸς στὰς, ἐκάλει τὸν ἰατρόν· ὁ δὲ ὑπήκουσε μέν· οὐ μὴν ἐξῆλθεν· ἀλλ᾽ ἀπέστειλε πρὸς αὐτὸν κελεύων βαπτίζεσθαι ἐν τῷ Ἰορδάνῃ ποταμῷ. ὁ δὲ ἐπειδὴ τὸ πρόσταγμα ἦν κοῦφον, πολὺ τὸ αἰσθητὸν ἔχον, καὶ οὐχ ὑψηλῆς δεόμενον διανοίας, οὐκ ἐπείσθη. ἀλλὰ τί φησίν; ἐγὼ ἔλεγον, ὅτι ἐξελεύσεται καὶ ἐπιθήσει αὐτοῦ τὴν χεῖρα, καὶ ἐπικαλέσεται τὸν Θεὸν αὐτοῦ, καὶ ἀποσυνάξει τὴν λέπραν. ὁρᾷς τὴν ψυχὴν, πῶς αἰσθητοῦ τινος ἐδεήθη σχήματος; τὸ γὰρ μὴ νομίσαι τοῦ ἰατροῦ τὸ πρόσταγμα ἀρκεῖν, ἀλλὰ δεηθῆναι χειρὸς, τῆς ἀσθενείας ἦν τοῦ θεραπευομένου. πολλὰ δὲ καὶ ἕτερα ἐντεῦθεν ἡμῖν λύεται. διὰ τοῦτο καὶ ὁ Χριστὸς οὐ πανταχοῦ λόγῳ ἰᾶται, ἀλλὰ καὶ τῇ χειρὶ, καὶ γὰρ ἔβαλε τὴν χεῖρα εἰς τὸ στόμα καὶ εἰς τὴν γλῶτταν, καὶ ἀλλαχοῦ μὲν λόγῳ μόνῳ, ἀλλαχοῦ δὲ θελήματι, καὶ πάντα ποιῶν τοὺς προσιόντας ἰᾶτο. τίνος οὖν ἕνεκεν τοῦτο ἐποίει; διὰ τὴν ἀσθένειαν τῶν προσιόντων. καὶ ἵνα μάθῃς, ὅτι διὰ τὴν ἀσθένειαν αὐτῶν τοῦτο ἐγίνετο, τοὺς μὴ δεομένους τῶν τοιούτων ἐπῄνει. ἀμὴν γὰρ λέγω ὑμῖν, φησιν, ὅτι οὐδὲ ἐν τῷ Ἰσραὴλ τοσαύτην πίστιν εὗρον. ἐπειδήπερ αὐτὸν οὐχ εἵλκυσεν εἰς τὴν οἰκίαν ὁ ἑκατόνταρχος, ἀλλ᾽ ἔφησεν ἀρκεῖν αὐτῷ τὸ πρόσταγμα. ἐπὶ οὖν τοῦ Ἐζεκίου οὐδὲν τοιοῦτον γίνεται, ἀλλὰ πρόρρησις μόνη, καὶ οὐδὲν ἀνθρώπινον παρελαμβάνετο· διά τοι τοῦτο καὶ ἐπὶ τῆς τὴν γυναῖκα ζηλοτυποῦντος παχύτερόν τι πρᾶγμα ἐπετάττετο. εἰ δὲ βούλει κατ᾽ ἀναγωγὴν ἐκλαβεῖν ταῦτα· πάντα γὰρ ταῦτα τύποι συνέβαινον ἐκείνοις φησίν·

A Dei operatio est aliquid quod apprehenditur intelligẽtia: ne qui tũc erant, non crederent, ponit etiã aliquid sensibile. Si enim dixisset: In septem diebus euertetur vrbs vobis quiescentibus, & nihil facientibus: fortasse multi nõ credidissent, nunc autẽ hæc præcepta, veluti quoddã fundamentum, humanæ mẽti subijcit. Et ne id quod dicitur, existimetis esse solummodo coniecturam, volo vobis narrare veterem historiam quæ confirmat quod dicitur. Naaman erat quidam Syrus. Eum cùm lepra inuasisset, & propter eum morbũ erubesceret, vt qui in maximo periculo versa- B retur, venit in Palæstinam (breuitate enim vtendum est) volens à Propheta liberari hoc malo. Cùm ergo venisset, & in viri foribus cõstitisset, vocauit medicum. Ille autẽ exaudiit quidem, non tamen est egressus, sed tantùm misit, iubens eum tingi in fluuio Iordane. Ille autem quoniam erat leue mandatum, multũ habens ex sensibili, & quod non habebat opus sublimi cogitatione, non credidit. Sed quid dicit? Ego dicebam, quoniam egredietur ad me, & imponet manũ suam, & inuocabit Deum suum, C & curabit lepram. Vides quomodo anima opus habuerit re aliqua sensibili. Non existimauit enim iussum medici sufficere, sed manu opus fuisse, quod erat imbecillitatis eius, qui curabatur. Porrò autem multa quoque alia hinc soluuntur. Et ideo Christus quoq; non semper verbo sanat, sed etiam manu, immisit enim manũ in os & in linguam: & alicubi quidem verbo solo, alicubi autem voluntate solum omnia faciens, curabat eos qui accedebant. Quare ergo hoc faciebat? Propter imbecillitatẽ eorum qui accedebant. Et vt scias hoc D factum fuisse propter eorum imbecillitatem, laudabat eos qui eiusmodi rebus minimè opus haberent. Amẽ enim, inquit, dico vobis, nõ inueni tantam fidẽ in Israel: quandoquidem non traxit eum in domum suam Centurio, sed dixit eius iussum sufficere. In Ezechia itaque nihil tale fit, sed est solummodo prædictio, & nihil humanum assumptum est: & ideo in eo quoque qui vxoris zelotypia laborat, iussa est res aliqua crassior. Quod si velis hæc quoque sumere anagogicè (omnia enim, inquit, hæc in figura eueniebant illis:

Probatio à exemplo.

4.Reg.5.

Matth.7. Marc.7.

Matth.8.

4.Reg.18.

Num.5.

1. Cor. 10. 11. scripta sunt autem ad correctionem nostram, ad quos fines seculorum deuenerunt) cogita apud te optimos ecclesiæ doctores pro tuba oratione vtentes, & aduersariorum mœnia diruentes, & populum integra & perfecta Iesu armatura armatum. Septem autē dierum numerus iam antè nobis soluit sabbatum. Neque enim eiusmodi legis præcepta principaliter data sunt. Et ideo de sacrificiis quidem dicit: Quis enim ea requisiuit è manibus vestris? Et rursus: Nunquid vota & carnes sanctæ auferent peccata tua? Et rursus: Nunquid hostias & sacrificia obtulistis mihi in deserto quadraginta annis? Et rursus: Cur mihi affers thus ex Saba, & cinamomum de terra longinqua? Et rursus: Sacrificium & oblationem noluisti. Et rursus: Nūquid holocausta & sacrificia vult Deus, Et rursus: Si voluisses sacrificiū, dedisse. Et rursus: Auditio bona super sacrificiū. Et rursus festa eijciens, inquit: Odio habui, repuli festa vestra. Aufer à me sonum canticorū tuorum, & cantum organorum tuorum nō exaudiam, & diem magnum nō sustineo, & ieiunium, & ferias odit anima mea. Et rursus: Non est hoc ieiunium quod elegi. Rursus quoq; dicebat Ezechiel: Dabo vobis præcepta non bona, in quibus non viuetis in ipsis. Ita etiam sabbatum hic soluitur. Sed cur dicit: Quis hæc requisiuit de manibus vestris? Hoc vobis relinquo soluendum. Poteritis autem talia inuenire, si puram vitam egeritis. Si enim Cornelium propter vitam optimam vocauit ad arcanorum cognitionem, & Eunuchum propterea quòd studiosè legeret, fecit etiam cognoscere: multò magis eos qui iam fidem assecuti sunt, si rectā vitam ostenderint, docebit quæ sunt manifestiora. Quemadmodum enim vita immunda est impedimento, quo minus ea cognoscantur, vt dicit Paulus: Non potui loqui vobis tanquam spiritualibus, quoniam lites sunt in vobis & contentiones: & rursus Esaias: Scire vias meas desiderabunt, vt populus qui fecit iustitiam: ita etiam vita munda deducit, & quærendi studium. Quærite enim, inquit, & inuenietis. Quinetiam parabola eius qui petit panes ab amico, qui iam dormiebat, hoc ostendit. Propterea Salomon quoque quoniam petiit spiritalia, ea etiam accepit, quæ non petiit.

Marginal references: Esa. 1. 12. — Hier. 11. 15. — Amos 5. 25. — Hier. 6. 20. — Psal. 39. — 1. Reg. 15. — Psal. 50. — Esa. 1. — Amos 5. — Esa. 58. 5. — Ezech. 20. 25. — Act. 10. — Act. 8. — 1. Cor. 3. — Esa. 58. — Luc. 11. 9. — 3. Reg. 3.

A ἐγράφη δὲ πρὸς νουθεσίαν ἡμῶν, εἰς οὓς τὰ τέλη τῶν αἰώνων κατήντησεν· ἐννόει τοὺς ἀρίστους τῶν διδασκάλων τῆς ἐκκλησίας ἀντὶ σάλπιγγος τῷ λόγῳ χρωμένους, καὶ τὰ τῶν ἐναντίων τείχη καταβάλλοντας, καὶ τοὺς λαοὺς ὡπλισμένους τῇ τοῦ Ἰησοῦ πανοπλίᾳ. ὁ δὲ τῶν ἑπτὰ ἡμερῶν ἀριθμὸς τὸ σάββατον ἡμῖν προδιαλύει· οὐ γὰρ προηγουμένως ἐδόθησαν αἱ τοιαῦται τοῦ νόμου ἐντολαί. διὰ τοῦτο περὶ μὲν τῶν θυσιῶν φησι· τίς γὰρ ἐξεζήτησε ταῦτα ἐκ τῶν χειρῶν ὑμῶν; καὶ πάλιν· μὴ εὐχαὶ καὶ κρέα ἅγια ἀφαιρήσουσι τὰς ἁμαρτίας σου; καὶ πάλιν· B μὴ σφάγια καὶ θυσίας προσηνέγκατέ μοι ἐν τῇ ἐρήμῳ ἔτη τεσσαράκοντα; καὶ πάλιν· ἵνα τί μοι λίβανον ἐκ Σαβὰ φέρεις, καὶ κινάμωμον ἐκ γῆς μακρόθεν; καὶ πάλιν· θυσίαν καὶ προσφορὰν οὐκ ἠθέλησας· καὶ πάλιν· μὴ ὁλοκαυτώματα καὶ θυσίας θέλει ὁ Θεός, ἢ τὸ ὑπακούειν αὐτοῦ; καί, εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν. καὶ πάλιν· ἀκοὴ ἀγαθὴ ὑπὲρ θυσίαν· καὶ τὰς ἑορτὰς ἐκβάλλων, φησί· μεμίσηκα, ἀπῶσμαι τὰς ἑορτὰς ὑμῶν. ἀπόστησον ἀπ' ἐμοῦ ἦχον ᾠδῶν σου, καὶ ψαλμῶν ὀργάνων σου οὐκ ἀ- C κούσομαι, καὶ ἡμέραν μεγάλην οὐκ ἀνέχομαι, καὶ νηστείαν καὶ ἀργίαν μισεῖ ἡ ψυχή μου· καὶ πάλιν, οὐκ αὕτη ἡ νηστεία, ἣν ἐξελεξάμην. καὶ ὁ Ἰεζεκιὴλ πάλιν ἔλεγε· δώσω προστάγματα οὐ καλά, ἐν οἷς οὐ ζήσεσθε ἐν αὐτοῖς. οὕτω καὶ τὸ σάββατον ἐνταῦθα λύει. ἀλλὰ διὰ τί λέγει· τίς ἐξεζήτησε ταῦτα ἐκ τῶν χειρῶν ὑμῶν; τοῦτο ὑμῖν καταλιμπάνω λῦσαι· δυνήσεσθε δὲ τὰ τοιαῦτα εὑρίσκειν, ἂν βίον ἐπιδείξησθε καθαρόν. εἰ γὰρ τὸν Κορνήλιον διὰ βίον ἄριστον ἐκάλεσεν ἐπὶ τὴν τῶν ἀπορρήτων γνῶσιν, καὶ τὸν εὐνοῦχον διὰ τὸ ἀναγι- D νώσκειν σπουδαίως ἐποίησε, καὶ γνῶναι, πολλῷ μᾶλλον ὑμᾶς τοὺς ἤδη τῆς πίστεως ἀπολαύσαντας βίον ὀρθὸν ἐπιδειξαμένους διδάξει τὰ σαφέστερα. ὥσπερ γὰρ ὁ ἀκάθαρτος βίος ἐμποδίζει τῇ τούτων γνώσει, καθάπερ ὁ Παῦλος φησίν· οὐκ ἠδυνήθην ὑμῖν λαλῆσαι, ὡς πνευματικοῖς, ἐπειδὴ ἔρεις ἐν ὑμῖν εἰσι καὶ ζῆλοι. καὶ ὁ Ἡσαΐας πάλιν· γνῶναί μου τὰς ὁδοὺς ἐπιθυμήσουσιν ὡς λαὸς δικαιοσύνην πεποιηκώς· οὕτως ὁ καθαρὸς βίος ὁδηγεῖ καὶ ἡ σπουδὴ ἡ περὶ τὸ ζητεῖν· ζητεῖτε γάρ φησι καὶ εὑρήσετε· καὶ ἡ παραβολὴ δὲ ἡ περὶ τοῦ καθεύδοντος ἤδη φίλου τοὺς ἄρτους αἰτοῦντος, τοῦτο δείκνυσι. διὰ τοῦτο καὶ ὁ Σολομών, ἐπειδὴ πνευματικὰ ᾔτησε, καὶ ἅπερ οὐκ ᾔτησεν ἔλαβεν.

ὅταν δὲ καὶ προσεδρία, καὶ πνευματικὴ αἴτησις, καὶ βίος καθαρὸς παρῇ, ἐννόησον πόση ἔσται εὐκολία πρὸς τὸ λαβεῖν. καίτοι γε προσεδρία καθ' ἑαυτὴν ἴσχυσε μόνον. λέγω γὰρ ὑμῖν, φησιν, εἰ καὶ μὴ διὰ τὸ εἶναι αὐτοῦ φίλον, μὴ δώσει αὐτῷ, διά γε τὴν ἀναίδειαν δώσει αὐτῷ. ἀλλ' ἐπανέλθωμεν ἐπὶ τὸ προκείμενον. ἔργον ὃ εἰργάσω ἐν ταῖς ἡμέραις αὐτῶν, ἐν ἡμέραις ἀρχαίαις. ἡ χεὶρ σου ἔθνη ἐξωλόθρευσε καὶ κατεφύτευσας αὐτούς. ὅρα πῶς τῇ λέξει κυρίως κέχρηται. οὐ γὰρ μέχρι νίκης καὶ ἥττης τὰ πράγματα, φησιν, ἔστησας τότε· ἀλλὰ περαιτέρω πάντα προῆλθε· καίτοι γε πρὸ τούτου οὐκ ἴσα τὰ τῆς παρατάξεως ἦν. οἱ μὲν γὰρ κατεῖχον, οἱ δὲ ἐπήλυδες ἦσαν· ἀλλ' ὅμως τοσαύτη γέγονεν ἡ μεταβολή, ὡς τοὺς μὲν προρρίζους ἀνασπασθῆναι, τοὺς δὲ γενέσθαι πολίτας καὶ οἰκήτορας. διὰ τοῦτο ἐπ' ἐκείνων μέν φησιν· ἡ χεὶρ σου ἔθνη ἐξωλόθρευσεν· ἐπὶ δὲ τῶν Ἰουδαίων κατεφύτευσε. χεῖρα δὲ τὴν δύναμιν αὐτοῦ φησιν. εἰ δὲ ἐκείνους ἔξωθεν ἐπιόντας, καὶ οὐ πόλιν, οὐκ οἰκίαν ἔχοντας, οὐκ ὅπου ὁρμήσωσι καὶ στῶσιν, οὕτω ταχέως ἀπέδειξε τῶν ἔνδον οἰκούντων δυνατωτέρους, πολλῷ μᾶλλον ἡμᾶς τῶν πατρῴων ἐκβεβλημένους οὐ περιόψεται φησί. τί δέ ἐστι τὸ ἐφύτευσας; ἔπηξας. τὸ γὰρ πεφυτευμένον μόνιμον καὶ πεπηγὸς γίνεται. τί οὖν οὐ μετέστησαν εἰπέ μοι; οὐκ ἀπήχθησαν εἰς ἀλλοτρίους τόπους; ἀλλ' οὐ παρὰ τὴν ἀσθένειαν τοῦ καταθέντος, ἀλλὰ παρὰ τὴν κακίαν τῶν φυτευθέντων. εἰ γὰρ μὴ τὰ παρ' αὐτῶν ἐνεπόδισεν, οὐδὲν ἂν ἐκώλυσε μεῖναι ἐπὶ τῆς οἰκίας. ἐκάκωσας λαούς, καὶ ἐξέβαλες αὐτούς. τινὲς περὶ τῶν Αἰγυπτίων τοῦτό φασι λέγεσθαι· καὶ γὰρ κἀκείνους τιμωρίας ἀπῄτησεν, ἐν ἑκατέρῳ τὴν ἑαυτοῦ δύναμιν ἐπιδεικνύμενος, καὶ ἐν τῷ τοὺς πολεμίους ἀφαιρεῖν καὶ ἐν τῷ τοὺς οἰκείους συγκροτεῖν. οὐ γὰρ ἐν τῇ ῥομφαίᾳ αὐτῶν ἐκληρονόμησαν γῆν. ἄλλος φησίν, οὐ γὰρ ἐν τῇ μαχαίρᾳ αὐτῶν ἐκληρονόμησαν τὴν γῆν· οὐδὲ ὁ βραχίων αὐτῶν ἔσωσεν αὐτούς· ἀλλ' ἡ δεξιά σου, καὶ ὁ βραχίων σου, καὶ ὁ φωτισμὸς τοῦ προσώπου σου. ἄλλος φησί, τὸ φῶς. ὅτι ηὐδόκησας ἐν αὐτοῖς. καὶ μὴν ὡπλισμένοι πάντες ἐκράτουν ἐν τοῖς πολεμίοις. ὡπλισμένοι μέν, ἀλλ' οὐκ ἦν ὅπλων τὸ ἔργον, ἀλλὰ τοῦ στρατηγοῦντος Θεοῦ. ὁρᾷς πῶς ἐν τάξει εὐχῆς ὑφαίνει τὴν συμβουλήν, παραινῶν τὸ πᾶν ἐπὶ τὸν Θεὸν ῥίπτειν; πῶς δὲ τὸ πρᾶγμα κληρονομίας καλεῖ,

A Quando autem & assiduitas, & spiritualis petitio, & pura vita adfuerit, cogita apud te quanta erit accipiendi facilitas. Atqui vel ipsa per se sola assiduitas plurimum potuit. Dico enim, inquit, vobis, etsi non propterea quòd sit eius amicus, ei dabit: propter impudentiam tamen eius dabit ei. Sed reuertamur ad propositum. *Opus quod operatus es in diebus ipsorũ, in diebus antiquis.* 3. *Manus tua gentes disperdidit, & plantasti eos.* Vide quàm propriè dictione vsus est. Non eò, inquit, solùm rem deduxisti, vt illi quidem vincerent, hi verò vincerentur: B sed omnia longiùs processerunt, licet antea quoque nõ ęquo certamine res gereretur. Illi enim possidebant, hi verò erant aduenę: sed tamẽ tanta facta est mutatio, vt illi quidẽ radicitus euellerẽtur: hi verò fierẽt ciues & habitatores. Et ideo de illis quidẽ dicit: Manus tua gẽtes disperdidit: de Iudæis autem, plantauit. Manũ autem, dicit eius potẽtiã. Quòd si eos qui aliũde adueniebãt, & nec vrbẽ, nec domũ habebãt in qua sedes figerent, aut in quam se reciperẽt, reddidit tam cito potentiores iis qui intus habitabant: multò magis nos pater- C nis bonis eiectos nõ despiciet. Quid est autem, Plantasti? Fixisti. Quod est enim plantatum, fit firmum & stabile. Quid igitur, dic quæso, non migrarunt? non abducti sunt in loca aliena? Abducti sunt certè, sed non propter imbecillitatem eius qui collocauerat, sed propter vitium eorum qui plantati sunt. Nisi enim quæ fecerant, fuissent eis impedimento, nihil vetuisset quo minus domi manerẽt. Afflixisti populos, & expulisti eos. Nonnulli dicunt hæc dici de Ægyptijs. Mihi autẽ videtur hoc quoq; di- D ctũ esse de gẽtibus. Nam de illis quoq; sumpsit suppliciũ, in vtroque suã ostendens potẽtiã, in delendis scilicet inimicis, & suis confirmandis. 4. *Non enim in gladio suo possederunt terram.* Alius, Non enim in ense suo possederũt terram. *Et brachium eorũ non saluauit eos. Sed dextera tua, & brachiũ tuũ & illuminatio vultus tui.* Alius inquit, Lux. *Quoniã cõplacuisti in eis.* Atqui vincebãt omnes armati in bellis. Armati quidẽ, verum id nõ armorũ vi fiebat, sed Dei virtute, qui exercitui præerat. Vides quomodo loco orationis adtexit consiliũ, suadens vt omnia in Deũ conijciãt, eiúsq; arbitrio permittant? Quomodo autem terrã vocat hæreditatem,

Luc. 11.

Manus Dei.

cùm patres, aui, & proaui terram non obtinuerint, sed alio & alio tempore consumpti sunt? Quia fuit facta patribus promissio. Veni, inquit, in terram, quam tibi ostendero, &, dabo tibi terram, & semini tuo. [Gen. 12. Gen. 15.] Cùm autem dixisset dexteram & brachium, quoniam paulò crassius meminit dictionum, vide quomodo attollit orationem, rursus subiungens, & dicens: Et illuminatio vultus tui, hoc est, defensio, prouidentia. Velle enim & adesse illis solum suffecerit. Deinde etiam causam: Quoniam complacuisti in eis. Hoc est, quoniam dilexisti eos, quoniam voluisti. Res itaque quæ fiebant, erant gratiæ, non rectè factorum, nec id ex propria virtute assecuti sunt, sed ex Dei benignitate. 5. *Tu es ipse rex meus & Deus meus, qui mandas salutes Iacob.* Alius, Manda de salute Iacob. Et quænam est hæc consequentia? Magna quidem cum his quæ dicta sunt. Quod enim dicit, est eiusmodi. Nos ab illis originem duximus: & tu Deus ille ipse es, qui & tunc, & nunc illa fecisti. Vndenam ergo est tanta mutatio? Non enim alius quidem ille Deus, tu verò alius, sed tu idem ipse es. Neque verò rursus tu quidem es, ego verò alium Deū mihi adscribo, sed tu es rex meus, & Deus meus. Ab imperio tuo non resiluimus, alium ducem non inscripsimus. Qui mandas salutes Iacob. Hoc est, & Deus idem, & eadem est prouidentia. Vndenam est ergo rerum mutatio? quis est ergo, qui mandat? qui præcipit, qui iubet Iacob vt seruetur. Hic rursus ostendit magnam auxilij facilitatem, & maximam potestatem. Sed neque parentis, nempe Iacob, temerè meminit, sed vt causam suam magis probet, eius virtutem adducit, volens sibi Deum reddere propitium. 6. *In te inimicos nostros ventilabimus cornu.* Et tu idem es, inquit, & prouidentia eadem, & nos nostra tibi ascribimus, & eisdem armis vsi sumus. Hoc enim sibi vult illud: In te inimicos nostros ventilabimus cornu. Alius autem dicit: Eos qui nos affligunt, cornu petemus. *Et in nomine tuo spernemus insurgentes in nos.* Alius, Conculcabimus. quid, inquit, dico in te? Vel nomen tuum solum inuocare sufficit ad omnia egregiè peragenda. Non dixit enim vincemus, vel superabimus: sed, nihili ducemus,

τῶν πατέρων, καὶ τῶν πάππων, καὶ τῶν ἐπιπάππων οὐ κατεσχηκότων τὴν γῆν, ἀλλ' ἐν ἑτέροις δαπανηθέντων καιροῖς; ὅτι πρὸς τοὺς πατέρας ἦν ἡ ἐπαγγελία. δεῦρο γάρ, φησιν, εἰς τὴν γῆν, ἣν ἄν σοι δείξω, καὶ σοὶ δώσω τὴν γῆν, καὶ τῷ σπέρματί σου. εἰπὼν δὲ δεξιὰν καὶ βραχίονα, ἐπὶ παχυτέρων ἐμνήσθη λέξεων, ὅρα πῶς ἀνάγει τὸν λόγον, πάλιν ἐπάγων, καὶ λέγων· καὶ ὁ φωτισμὸς τοῦ προσώπου σου, ἡ ἀντίληψις, ἡ πρόνοια. τὸ γὰρ βουληθῆναι, τὸ παρεῖναι ἤρκεσε μόνον αὐτοῖς. εἶτα καὶ ἡ αἰτία· ὅτι ηὐδόκησας ἐν αὐτοῖς· ὅτι ἠγάπησας αὐτούς· ὅτι ἠβουλήθης. ὥστε χάριτος ἦν, οὐ κατορθωμάτων τὰ πράγματα, οὐδὲ ἐξ οἰκείας ἀρετῆς ἐπέτυχον, ἀλλ' ἐκ τῆς τοῦ Θεοῦ φιλανθρωπίας. σὺ εἶ αὐτὸς ὁ βασιλεύς μου, καὶ ὁ Θεός μου, ὁ ἐντελλόμενος τὰς σωτηρίας Ἰακώβ. ἄλλος, ἔντειλαι περὶ τῆς σωτηρίας τοῦ Ἰακώβ. καὶ ποία αὕτη ἡ ἀκολουθία; πολλὴ μὲν πρὸς τὰ εἰρημένα. ὃ γὰρ λέγει, τοῦτό ἐστιν· ἡμεῖς ἐκείνων ἔκγονοι, καὶ σὺ ὁ Θεὸς ὁ αὐτὸς ὁ τότε καὶ νῦν ἐκεῖνα ἐργασάμενος· πόθεν οὖν ἡ τοσαύτη μεταβολή; οὐ γὰρ δὴ ἄλλος μὲν ἐκείνοις ὁ Θεός, ἄλλος δὲ σύ, ἀλλὰ σὺ εἶ ὁ αὐτός· οὐδὲ αὖ πάλιν σὺ μὲν εἶ ὁ αὐτός, ἐγὼ δὲ ἄλλον ἐπιγράφομαι Θεόν· ἀλλὰ σὺ εἶ ὁ βασιλεύς μου, καὶ ὁ Θεός μου· οὐκ ἀπεπηδήσαμεν σοῦ τῆς ἀρχῆς, οὐκ ἐπεγραψάμεθα προστάτην ἕτερον. ὁ ἐντελλόμενος τὰς σωτηρίας Ἰακώβ. τουτέστι καὶ ὁ Θεὸς ὁ αὐτός, καὶ ἡ πρόνοια ἡ αὐτή; πόθεν οὖν ἡ μεταβολὴ τῶν πραγμάτων; τί δέ ἐστιν ὁ ἐντελλόμενος; ὁ κελεύων, ὁ διαγγέλλων σώζεσθαι τὸν Ἰακώβ. ἐνταῦθα πάλιν τὴν εὐκολίαν τῆς συμμαχίας παρίστησι, καὶ τὴν ἐξουσίαν τὴν πολλήν, καὶ οὐδὲ ἁπλῶς τοῦ προγόνου μέμνηται· ἀλλ' ἀντὶ δικαιώματος τὴν ἀρετὴν αὐτοῦ προβάλλεται δυσωπῆσαι τὸν Θεὸν βουλόμενος. ἐν σοὶ τοὺς ἐχθροὺς ἡμῶν κερατιοῦμεν· καὶ σὺ ὁ αὐτός, καὶ ἡ πρόνοια ἡ αὐτή, καὶ ἡμεῖς σε ἐπιγραφόμεθα, καὶ τοῖς αὐτοῖς ὅπλοις κεχρήμεθα. τοῦτο γάρ ἐστιν· ἐν σοὶ τοὺς ἐχθροὺς ἡμῶν κερατιοῦμεν. ἄλλος δέ φησι, τοὺς θλίβοντας ἡμᾶς κερατιοῦμεν. καὶ ἐν τῷ ὀνόματί σου ἐξουδενώσομεν τοὺς ἐπανισταμένους ἡμῖν. ἄλλος φησί, συμπατήσομεν. τί λέγω, φησίν, ἐν σοί; ἀρκεῖ τὸ ὄνομά σου καλέσαι μόνον, καὶ πάντα ἀνύσαι μετ' εὐκολίας. οὐδὲ γὰρ εἶπε κρατήσομεν, ἢ περιεσόμεθα, ἀλλ' ἐξουδενώσομεν,

οὐδὲ ἡγησόμεθα αὐτούς τι εἶναι φησίν, οὐδὲ φοβηθησόμεθα· ἀλλ' ὡς οὐδὲν ὄντας διώξομεν, ὅπερ δηλῶν ἕτερος ἑρμηνευτὴς ἔλεγε· καταπατήσομεν, τὴν κατὰ κράτος νίκην, τὴν χωρὶς ἀγωνίας παράταξιν, τὴν χωρὶς φόβου μάχην δηλῶν. οὐ γὰρ ἐπὶ τῷ τόξῳ μου ἐλπιῶ, ἄλλος φησί, πέποιθα, καὶ ἡ ῥομφαία μου οὐ σώσει με. καὶ τίνος ἕνεκεν κέχρησαι τούτοις; τί δὲ καθοπλίζῃ, καὶ τόξον καὶ μάχαιραν μεταχειρίζῃ; ὅτι οὕτως ἐκέλευσεν ὁ Θεός· διὰ δὴ τοῦτο κέχρημαι μὲν αὐτοῖς, τὸ δὲ πᾶν ἐπ' αὐτὸν ῥίπτω· οὕτω πολεμεῖν τοῖς αἰσθητοῖς ἐχθροῖς ἐπαιδεύοντο ἀπὸ τῆς ἄνωθεν ῥοπῆς φραττόμενοι· οὕτω τοῖς νοητοῖς. καὶ σὺ τοίνυν ὅταν τῷ διαβόλῳ πολεμῇς, λέγε· οὐ τοῖς ὅπλοις μου θαρρῶ· τουτέστιν, οὐ τῇ ἐμῇ ἰσχύϊ, οὐδὲ ταῖς ἐμαῖς δικαιοσύναις, ἀλλὰ τῷ ἐλέει τοῦ Θεοῦ. οὕτω καὶ Δανιὴλ ἔλεγεν· οὐκ ἐν ταῖς δικαιοσύναις ἡμῶν ἐπιρρίπτομεν ἡμεῖς τὸν ἔλεον ἡμῶν ἔμπροσθέν σου. ἔσωσας γὰρ ἡμᾶς ἐκ τῶν θλιβόντων ἡμᾶς, καὶ τοὺς μισοῦντας ἡμᾶς κατῄσχυνας. ἄλλος, ὅτι ἔσωσας ἡμᾶς. τί δεῖ λέγειν τὰ παλαιά φησι καὶ τὰ τῶν προγόνων; ἡμεῖς αὐτοὶ πολλὰ τῆς σῆς προνοίας ἐνέχυρα ἔχομεν καὶ τρόπαια λαμπρὰ ἀπαριθμεῖν, καὶ νίκας ἐπαλλήλους καὶ θαυμαστὰς καὶ παραδόξους δυνάμεθα. διὰ γὰρ τοῦτο εἶπε κατῄσχυνας· οὐ γὰρ ἁπλῶς ἡμᾶς ἐξείλου, οὐδὲ ἁπλῶς ἐξήρπασας, ἀλλὰ μετὰ τῆς αἰσχύνης τῶν ἐπιόντων ἡμῖν. ἐν τῷ Θεῷ ἐπαινεθησόμεθα ὅλην τὴν ἡμέραν· καὶ ἐν τῷ ὀνόματί σου ἐξομολογησόμεθα εἰς τὸν αἰῶνα. ἄλλος φησί, τὸν Θεὸν ὑμνοῦμεν κατὰ πᾶσαν ἡμέραν. τὰ μὲν γὰρ τῆς νίκης παρελήλυθε, τὰ δὲ τῆς εὐεργεσίας ἡμῖν μένει. ὅλην γὰρ τὴν ἡμέραν πᾶσαν λέγει τὴν ζωήν. οὐ γὰρ παυόμεθα ὑμνοῦντες καὶ ἐγκαλλωπιζόμενοί σου ταῖς συμμαχίαις. τοῦτο γὰρ ἡμῶν δόξα· τοῦτο καύχημα, ἐν τούτῳ πρὸς ἅπαντας φιλοτιμούμεθα· οὐχ ὅτι πόλιν ἔχομεν μεγάλην καὶ θαυμαστήν, οὐδ' ὅτι πρῶτοι νικῶμεν, ὅτι ῥώμῃ σώματος περιγινόμεθα· ἀλλ' ὅτι Θεὸν ἔχομεν ἀληθῆ, ἐν τούτῳ καυχώμεθα· οὐχ ὅταν βοηθῇς ἡμῖν μόνον, ἀλλὰ καὶ ὅταν ἐγκαταλιμπάνῃς. τοῦτο γάρ ἐστιν ὅλην τὴν ἡμέραν· καθάπερ καὶ Παῦλος φησί·

nec eos esse aliquid putabimus. Hoc enim sibi vult illud: In te inimicos nostros ventilabimus, & in nomine tuo nihili ducemus insurgẽtes in nos. Non enim existimabimus eos esse aliquid, nec perterrebimur; sed tanquam qui nihil sunt, persequemur. Quod significans alius interpres, dixit: Conculcabimus, per vim partam victoriam, instructam absque certamine aciem, pugnam sine metu ostendens. 7. *Non enim in arcu meo sperabo.* Alius, Confidam. *Et gladius meus non saluabit me.* Et quare his vsus es? Cur autem armaris, & arcum & gladium tractas? Quoniam ita iussit Deus noster, propterea eis vsus sum: vniuersum autem in eum conijcio, & eius arbitrio permitto. Ita docebantur bellare cum inimicis sensibilibus, superno auxilio muniti. Ita etiam cum iis, quos sola apprehendit intelligentia. Tu quoque quãdo aduersus diabolum bellum geris, dic ita: Non confido meis armis, hoc est, non meæ virtuti, nec meæ iustitiæ, sed Dei misericordiæ. Ita etiam dicebat Daniel. Non in iustitiis nostris prosternimus miserationem nos nostram ante te. 8. *Saluasti enim nos de affligentibus nos, & odientes nos confudisti.* Alius, Quia seruasti nos. Quid opus est, inquit, dicere vetera, & quæ facta sunt à maioribus? Nos, inquit, ipsi habemus multa pignora prouidentiæ, & gloriosa trophæa, frequentésque & admirabiles & incredibiles victorias enumerare possumus. Propterea enim dixit, & odientes nos confudisti, ostendens eum nõ solum nos liberasse, nec tantummodo eripuisse, sed cum magno dedecore eorum qui nos inuadebant. 9. *In Deo laudabimur tota die, & in nomine tuo confitebimur in sæculum.* Alius inquit, Deum laudamus toto die. Victoria quidem, inquit, præteriit, nobis autem manet gratiarum actio. Totum enim diem dicit, totam vitam. Non enim cessamus, inquit, tuum laudare & celebrare auxilium. Hæc est enim nostra gloria. Hac gloriatione in eo apud omnes nos iactamus, non quòd ciuitatem magnam habemus & admirabilem, nec quòd primi vincimus, nec quòd viribus corporis sumus superiores: sed quòd verum Deum habemus, in hoc gloriamur. Non solùm quando nobis bene vis, sed etiam quando relinquis. Hoc enim est, tota die: sicut etiam dicit Paulus:

Dan 9.18. Prosternimus preces ante faciem tuam.

Dies pro vita.

Gal.6.14. Mihi autem absit gloriari, nisi in cruce Christi. Nulla est enim, nulla, inquam, est alia eiusmodi gloria. Quocirca rursus dicit: Non solùm autem, sed etiam gloriantes in Deo. Nihil enim potest conferri cum hac gloriatione. Nemo ergo se iactet & glorietur propter diuitias, nemo propter ea quæ ad hanc vitam pertinent, sed propter hoc solùm, quòd habeat Deum dominum. *1.Cor.1. 2.Cor.10. A minori.* Hoc est omni libertate melius, hoc est ipsis cœlis præstantius. Si enim huius vel illius dici, gloriandi occasionem sæpe attulit apud homines: cogita quantam afferat gloriam Dei dici. Quocirca Paulus quoque hoc pro magna authoritate posuit, dicens: *Gala.5.24.* Qui autem Christi sunt, carnem crucifixerunt cum vitiis & cōcupiscentiis. Diapsalma. Alius, Semper. Hebræus autem *selah.* 10. *Nunc autem repulisti nos, & confudisti nos.* Alius, Tametsi repulisti nos. Alius, Sed ad hæc reiecisti. *Et non egrederis Deus in virtutibus nostris.* Alius, Et non progrederis in militiis nostris. Repulsionē enim statim pudor sequitur, & ad mala patienda esse omnibus expositum. *Copia.* Copias autem hic appellat eorum exercitus, quandoquidē in eis est regis potentia: cùm Deus hoc summo consilio prouiderit, vt esset hoc principi, & iis qui eius reguntur imperio, vinculum. Nam & rex iis opus habet qui eius iussis pareant, & hi eo qui illis præsit: & alter alterius auxilio indiget. Ne aliqua enim esset arrogantia, effecit Deus vt magna sæpe paruis egerent. *Doctrinam probat à minori.* Hoc ipsum fecit etiam in rebus inanimis. Labantem enim columnam subiectus sæpe calculus firmam stabilémque præstitit, & nauigium in quo quamplurimi sunt vectores, paruus clauus dirigit, & liberat à periculis. Quid est autem, Tametsi repulisti nos? Licet, inquit, tot & tanta passi simus, à te non deficimus, te laudantes, gloria afficientes, & in te gloriantes. 11. *Auertisti nos retro post inimicos nostros. Et qui oderunt nos, diripiebant sibi.* Alius, Posuisti nos extremos cuiusuis inimici. Vide quomodo mala verbis extollit, & calamitatem verbis amplificat, ostendens eos etiamsi essent peccatores, satis tamen pœnarum dedisse. Hoc etiā fecerunt pueri ex redundanti quadam copia, in fornace tunc canentes & dicentes: *Dan.3.* Tradidisti nos in manus

A ἐμοὶ δὲ μὴ γένοιτο καυχᾶσθαι, εἰ μὴ ἐν τῷ σταυρῷ τοῦ Χριστοῦ. οὐ γάρ ἐστιν, οὐκ ἔστιν ἑτέρα δόξα τοιαύτη. διὸ καὶ πάλιν ἔλεγεν, οὐ μόνον δὲ ἀλλὰ καὶ καυχώμενοι ἐν τῷ Θεῷ. οὐδὲν γὰρ ἴσον τούτου τοῦ καυχήματος. μηδεὶς τοίνυν ἐπὶ πλούτῳ μεγαφρονείτω· μηδεὶς ἐπί τινι τῶν βιωτικῶν, ἀλλ' ἐπὶ τούτῳ μόνον, ἐπὶ τῷ τὸν Θεὸν ἔχειν δεσπότην. τοῦτο πάσης ἐλευθερίας ἄμεινον, τοῦτο τῶν οὐρανῶν αὐτῶν βέλτιον. εἰ γὰρ τὸ ἀκούειν τοῦ δεῖνος καὶ τοῦ δεῖνος καύχημα πολλάκις ἤνεγκε παρ' ἀνθρώποις, ἐννόησον τὸ ἀκούειν B τοῦ Θεοῦ ἡλίκην φέρει δόξαν. διὸ καὶ ὁ Παῦλος ἀντὶ μεγάλου ἀξιώματος τέθεικε τοῦτο λέγων· οἱ δὲ τοῦ Χριστοῦ τὴν σάρκα ἐσταύρωσαν. Διάψαλμα, ἄλλος ἀεί. ὁ δὲ Ἑβραῖος τοῦτο σελ λέγει. νυνὶ δὲ ἀπώσω καὶ κατῄσχυνας ἡμᾶς. ἄλλος φησί, καίτοι ἀπώσω. ἄλλος, καί γε ἀπώσω. ἄλλος, ἀλλὰ πρὸς τούτοις ἀπεβάλου· καὶ οὐκ ἐξελεύσῃ ὁ Θεὸς ἐν ταῖς δυνάμεσιν ἡμῶν. ἄλλος, καὶ οὐ προέρχῃ ἐν ταῖς στρατεύσεσιν ἡμῶν. τῷ γὰρ ἀπωσμῷ αἰσχύνη εὐθέως ἕπεται, καὶ τὸ πᾶσι προκεῖσθαι πρὸς τὸ πάσχειν C κακῶς. δυνάμεις δὲ ἐνταῦθα τὰ στρατόπεδα αὐτῶν καλεῖ, ἐπειδὴ ἐν αὐταῖς ἡ τοῦ βασιλέως δύναμις· καὶ τοῦτο καλῶς τοῦ Θεοῦ οἰκονομήσαντος, ὥστε σύνδεσμον εἶναι τῷ ἄρχοντι καὶ τοῖς ἀρχομένοις. ὅ τε γὰρ βασιλεὺς δεῖται τῶν ὑπηκόων, καὶ οὗτοι τοῦ προεστῶτος, καὶ ἀλλήλων ἐν χρείᾳ καθεστήκασι πολλῇ. ὥστε γὰρ μὴ εἶναι ἀπόνοιαν, τὰ μεγάλα πολλάκις τῶν μικρῶν δεῖσθαι ὁ Θεὸς παρεσκεύασε. τοῦτο καὶ ἐπὶ τῶν ἀψύχων ἐποίησε. πολλάκις γοῦν κίονα σαλευόμενον ψηφὶς ὑποτεθεῖσα ἔστησε, καὶ μυριάγω-D γον πλοῖον μικρὸν πηδάλιον ἰθύνει, καὶ κινδύνων ἀπαλλάττει. τί δέ ἐστι· καίτοι ἀπώσω ἡμᾶς; ὅτι καὶ τοιαῦτα παθόντες οὐκ ἀφιστάμεθά σου, δοξολογοῦντες, ὑμνοῦντες, ἐν σοὶ καλλωπιζόμενοι. ἀπέστρεψας ἡμᾶς εἰς τὰ ὀπίσω παρὰ τοὺς ἐχθροὺς ἡμῶν. καὶ οἱ μισοῦντες ἡμᾶς διήρπαζον ἑαυτοῖς. ἄλλος φησίν, ἔταξας ἡμᾶς ἐσχάτους παντὸς ἐναντίου. ὅρα πῶς ἐπαίρει τὰ δεινὰ τῷ λόγῳ, καὶ ἐκτραγῳδεῖ τὴν συμφοράν, δεικνύς, ὅτι εἰ καὶ ἁμαρτωλοὶ σφόδρα ἦσαν, δίκην δεδώκασιν ἱκανήν. τοῦτο καὶ οἱ παῖδες ἐκ περιουσίας ποιοῦσιν ἐν τῇ καμίνῳ τότε ᾄδοντες, καὶ λέγοντες· παρέδωκας ἡμᾶς εἰς χεῖρας

ἐχθρῶν ἀνόμων ἐχθίστων ἀποστατῶν, καὶ βασιλεῖ ἀδίκῳ καὶ πονηροτάτῳ παρὰ πᾶσαν τὴν γῆν. καὶ πάλιν· ἐσμικρύνθημεν παρὰ πάντα τὰ ἔθνη, καί ἐσμεν ταπεινοὶ ἐν πάσῃ τῇ γῇ. τοῦτο καὶ ἐνταῦθα δηλοῖ μονονουχὶ λέγων· πάντων γεγόναμεν ἀτιμότεροι, ἐπειδὴ τῆς σῆς ἐγυμνώθημεν προνοίας, καὶ οὐδὲ μέχρι τούτων ἔστη τὰ δεινά, ἀλλὰ καὶ νομὴ γεγόναμεν τοῖς πολεμίοις κατ' ἐξουσίαν ἡμᾶς διανεμομένοις. τοῦτο γάρ ἐστι· διήρπαζον ἑαυτοῖς οὐδενὸς ὄντος τοῦ κωλύοντος· ἔδωκας ἡμᾶς ὡς πρόβατα βρώσεως, καὶ ἐν τοῖς ἔθνεσι διέσπειρας ἡμᾶς. ἄλλος φησίν, ἐλίκμησας ἡμᾶς. τί ἐστιν ὡς πρόβατα βρώσεως· εὐεπιχειρήτους ποιήσας, εὐτελεῖς δείξας. ἔστι γὰρ πρόβατα κτήσεως τὰ πρὸς γονὴν ἐπιτήδεια, τὰ δὲ διὰ τὸ γῆρας ἢ τὸ ἄγονον, εἰς βρῶσιν μόνον ἐστὶ χρήσιμα, καὶ τὸ δὴ χαλεπώτερον τὸ καὶ εἰς τὰ ἔθνη διαιρεθῆναι, ὃ πάντων αὐτοῖς βαρύτερον ἦν, τὸ μηδὲ τὸν νόμον δύνασθαι μετὰ ἀκριβείας φυλάττειν ἐκεῖ, καὶ τῆς πατρῴας ἐκπεπτωκέναι πολιτείας. καὶ οὐδὲ εἰς ἓν ἔθνος· ἀλλὰ πανταχοῦ φησι, καὶ πρὸς ἓν μόνον ἐσμὲν ἕτοιμοι τὸ παθεῖν κακῶς, ἀμύνασθαι δὲ ἢ ἀνταίρειν χεῖρας οὐδὲ ἰσχύομεν. τοῦτο γὰρ ἡ τῶν προβάτων εἰκὼν δηλοῖ, ἀπέδου τὸν λαόν σου ἄνευ τιμῆς. ἄλλος φησίν, ἐν οὐχ ὑπάρξει. ἄλλος, οὐχ ὑπάρξεως· καὶ οὐκ ἦν πλῆθος ἐν τοῖς ἀλλάγμασιν ἡμῶν. ἄλλος φησί· καὶ οὐ πολλὴν ἐποίησας τὴν τιμὴν αὐτῶν· ὃ δὲ λέγει τοιοῦτόν ἐστι. καὶ γὰρ σφόδρα ἀσαφὲς εἶναι δοκεῖ τὸ ῥητόν, ἀλλὰ προσέχετε, ἵνα μετὰ συνέσεως ψάλλητε. τί οὖν ἐστι τὸ λεγόμενον; τὸ εὐτελὲς αὐτῶν καὶ οὐδαμινὸν παρίστησιν ὡς οὐδενὸς ὄντας ἀξίους, ὡς εὐώνους καὶ εὐκαταφρονήτους οὕτως ἡμᾶς εἴασας. καὶ τοῦτο ἀπὸ τῆς συνηθείας τῆς ἀνθρωπίνης φησίν. ἔθος γὰρ ἡμῖν τὰ ἄτιμα καὶ τὰ εὐτελῆ καὶ ἄνευ τιμῆς διδόναι· ὧν δὲ πολὺς ἡμῖν ὁ λόγος, κἂν ἀποδώμεθα, πολλῆς ἀποδιδόμεθα τιμῆς· ὧν δὲ οὐ πολὺς λόγος ἡμῖν, ταῦτα καὶ δωρεὰν παρέχομεν· τῶν γοῦν οἰκετῶν τοὺς ἀγνώμονας οἱ μὲν τῆς ἡμισείας τιμῆς· οἱ δὲ τούτους ἀπέδοντο μὴ λαβόντες μηδέν. εἰ δὲ τοῦ ἐλάττονος παραχωρῆσαι τιμῆς δείκνυσι τὴν εὐτέλειαν τοῦ πιπρασκομένου· τὸ μηδὲ τιμὴν λαβεῖν, ἀλλ' ἄνευ τιμῆς, πολλῷ μᾶλλον. τοῦτο οὖν φησιν· ὥσπερ ἂν εἴ τις

A inimicorum noſtrorum peſſimorum, præuaricatorúmque, & regi iniuſto, & peſſimo vltra omnem terram. Et rurſus: Imminuti ſumus plus quàm omnes gentes, ſumúſque humiles in vniuerſa terra. Hoc ipſum hîc quoque ſignificat propemodum dicens: Omnibus hominibus viliores & abiectiores redacti ſumus, quandoquidem ſumus tua nudati prouidentia: & nec eouſque quidem mala noſtra ſteterunt, ſed etiam præda facti ſumus inimicis, qui nos ſuo arbitrio diuidebant. Hoc enim ſibi vult: Diripiebant ſibiipſis, hoc eſt, nullo pro- B hibente. 12. *Dediſti nos tanquam oues eſcarum, & in gentibus diſperſiſti nos.* Alius, Ventilaſti, aut cribraſti nos. Quid eſt, tanquam oues deuorationis? Id eſt, Feciſti nos, inquit, ad inuadendum facillimos, nos viles eſſe oſtendens. Sunt enim aliquæ oues acquiſitionis, quæ ſunt aptæ ad generandũ: ſunt verò aliæ, quæ propter ſenium, vel propter ſterilitatẽ ſunt tantum vtiles ad comedendum. Et id quod eſt acerbiſſimum, & omnium grauiſſimũ, nempe in gentes eſſe diſperſos, illis eò erat grauius, quòd ne legem quidem poſſent illic accuratè & perfectè C ſeruare, & quòd à patriæ reipublicæ inſtitutis excidiſſent. Et nõ in vnam gentem, ſed vbique, inquit, diſperſi ſumus, & ad vnũ ſolum, nẽpe malè patiẽdum, parati ſumus: vlciſci autem, aut manus extollere nõ poſſumus. Hoc enim ſignificat ſimilitudo ouiũ. 13. *Vendidiſti populũ tuum ſine pretio.* Alius, In non ſubſtantia. Alius, Non ſubſtãtiæ. *Et nõ fuit multitudo in cõmutationibus noſtris.* Alius, Et nõ multũ feciſti pretiũ eorũ: quod autẽ ait eſt eiuſmodi. Videtur enim dictũ eſſe valde obſcurum: ſed attendite, vt pſallatis D cũ intelligentia. Quid eſt ergo quod dicitur? Quàm ſint viles & abiecti oſtẽdit, nempe nullius pretij. Tanquã vilis, inquit, pretij, abiectóſq; & contemnẽdos nos dimiſiſti. Hoc autẽ dicit more humano. Solemus enim quæ parui fiũt, & ſunt vilia, dare vel ſine pretio. Quæ autem magni facimus, ea ſi vẽdamus, magno pretio vẽdimus: quæ verò parui, ea vel gratis damus. Improbos itaq; ſeruos alij quidem dimidio pretio, alij verò nullo accepto pretio vendiderunt. Si minori autem pretio tradere, oſtendit quàm ſit vile quod venditur: nullo dato pretio accipere, ſed ſine pretio, multò magis. Hoc ergo dicit, Perinde ac ſi

Ibidem.

Ab ouibus ducta ſimilitudo.

Ex collatione confirmatio.

homo quispiam rebus suis cedat sine pretio, ita etiam ipse nos tanquam nullius pretij dimisisti, nos valde contempsisti. Hoc itaque significat etiam per id quod subiungit: Et non fuit multitudo in commutationibus nostris. Hoc est, In emptione nostra. Et ideo dicit alius, In appretiatione nostra. Pretium enim est, quæ datur permutatio. Sæpe enim seruum damus, & aurum vel argentum accipimus. 24. *Posuisti nos in opprobrium vicinus nostris, subsannationem & derisum his qui in circuitu nostro sunt.* Alius dicit, Pompa iis qui in circuitu nostro sunt. 15. *Posuisti nos in similitudinem in gentibus.* Graue est hoc supplicium & intolerabile, ab impiis maximè probris affici, ab inimicis hæc pati, esse circumcirca qui eis insultent, & eos vndiquaque circumiri ab iis qui probra ingerunt. Quid est autem parabola? Narratio, probrum. Erant enim circumcirca quidam scelerati, nullóque sensu præditi, qui non solùm non miserebantur, sed probris etiam & contumeliis afficiebant, quod eos maximè angebat. Mihi autem videtur hic dicere Arabes, qui prope eos habitabant. *Commotionē capitis in populis.* Alius, Transmotionem: Hebræus autem matnoud. Vel hoc ergo dicit, Transmouisti nos. Vel per gestum motus capitis, ostendit valdè lætantis insolentiam. 16. *Tota die verecundia mea contra me est.* Alius, Ignominia mea. *Et confusio faciei meæ cooperuit me, à voce exprobrantis & obloquentis.* Alius, Et maledicentis. *A facie inimici & persequentis.* Hæc supplicia eos magis cruciabant. Quoniam enim eis semper & assiduè eueniebant res secundæ, & hostes vincebant, omnium tunc ora aperta sunt cùm ipsi cecidissent, afflictíque & prostrati essent: & nec respirare quidem poterant, sed perpetuum supplicium expectabant. 18. *Hæc omnia venerunt super nos, nec obliti sumus te: & iniquè non egimus in testamento tuo.* Alius, Nec fraudem fecimus pacto tuo. Nos, inquit, aliis contraria via ingressi sumus. Illi enim, antequam res vllæ aduersæ euenissent, prostrati sunt: nos autem etiam post res aduersas grauésque calamitates, firmo & immobili animo constitimus. Hæc autē dicunt, vt bono sint animo, & bonam spem concipiant qui cum eis sunt,

Symmachus.

A ἄνθρωπος ἄνευ τιμῆς ἐκςαίη τῶν αὑτοῦ, οὕτω καὶ αὐτὸς ὡς ἀτίμους ἡμᾶς εἴασας, καταφρονήσας ἡμῶν σφόδρα. τοῦτο γοῦν καὶ ἐν τῇ ἐπαγωγῇ δηλοῖ εἰπών· καὶ οὐκ ἦν πλῆθος ἐν τοῖς ἀλλάγμασιν ἡμῶν. τουτέστιν, ἐν τῇ ὠνῇ ἡμῶν. διὸ καὶ ἕτερός φησιν, ἐν τῇ τιμήσει ἡμῶν. τουτέστιν ἐν τῇ πράσει ἡμῶν. ἡ γὰρ τιμὴ, ἄλλαγμά ἐστι. δίδομεν γὰρ οἰκέτην πολλάκις, καὶ λαμβάνομεν ἀργύριον καὶ χρυσίον. ἔθου ἡμᾶς ὀνειδισμὸν τοῖς γείτοσιν ἡμῶν, μυκτηρισμὸν καὶ χλευασμόν. ἄλλος λέγει, πομπὴν τοῖς κύκλῳ ἡμῶν. ἔθου ἡμᾶς εἰς παραβολὴν ἐν τοῖς ἔθνεσι.

B χαλεπὴ αὕτη τιμωρία καὶ ἀφόρητος μάλιστα τὸ παρὰ τῶν ἀσεβῶν ὀνειδίζεσθαι, τὸ παρὰ ἐχθρῶν ταῦτα πάσχειν, καὶ κύκλῳ περικεῖσθαι τοὺς ἐπεμβαίνοντας αὐτοῖς καὶ πανταχόθεν αὐτοὺς περιβεβλῆσθαι ὑπὸ τῶν ὀνειδιζόντων· τί δέ ἐστι παραβολή; διήγημα ὄνειδος. καὶ γὰρ μιαροί τινες, καὶ ἀναίσθητοι ἦσαν οἱ κύκλῳ οὐ μόνον οὐκ ἐλεοῦντες, ἀλλὰ καὶ ὀνειδίζοντες, ὃ δὴ μάλιστα αὐτοὺς ἔδακνεν· ἐνταῦθα δέ μοι τοὺς Ἄραβας λέγειν δοκεῖ, τοὺς ἐγγύτατα αὐτοῖς οἰκοῦντας. κίνησιν κεφαλῆς ἐν τοῖς λαοῖς. ἄλλος φησὶ, με-

C τακίνημα· ὁ δὲ Ἑβραῖος μαθνούδ. ἢ τοῦτό φησιν, ὅτι μετεκίνησας ἡμᾶς, ἢ διὰ τοῦ σχήματος τῆς κινήσεως τῆς κεφαλῆς, τοῦ σφόδρα ἐφηδομένου τὴν ἀπόνοιαν ἐνδείκνυται. ὅλην τὴν ἡμέραν ἡ ἐντροπή μου κατεναντίον μου ἐστί. ἄλλος φησὶν, ἡ ἀσχημοσύνη μου· καὶ ἡ αἰσχύνη τοῦ προσώπου μου ἐκάλυψέ με, ἀπὸ φωνῆς ὀνειδίζοντος καὶ καταλαλοῦντος. ἄλλος φησὶ, καὶ βλασφημοῦντος. ἀπὸ προσώπου ἐχθροῦ καὶ ἐκδιώκοντος. ταῦτα τῶν τιμωριῶν μᾶλλον αὐτοὺς ἔδακνεν. ἐπειδὴ γὰρ ἀεὶ καὶ συνεχῶς εὐη-

D μερίας ἀπήλαυον, καὶ τῶν πολεμίων ἐκράτουν, τὰ πάντων τότε ἠνοίχθη στόματα πεσόντων αὐτῶν καὶ ὑποσκελισθέντων, καὶ οὐδὲ ἀνακύψαι εἶχον, ἀλλὰ διηνεκῆ τιμωρίαν ὑπέμενον. ταῦτα πάντα ἦλθεν ἐφ' ἡμᾶς, καὶ οὐκ ἐπελαθόμεθά σου, καὶ οὐκ ἠδικήσαμεν ἐν διαθήκῃ σου. ἄλλος, οὐδὲ παρελογισάμεθα τὴν συνθήκην σου· ἀπεναντίας τοῖς ἄλλοις φησὶν, ἡμεῖς ἤλθομεν. ἐκεῖνοι μὲν γὰρ καὶ πρὸ τῶν δεινῶν ὑπεσκελίσθησαν· ἡμεῖς δέ φησι καὶ μετὰ τὰ δεινὰ ἐστήκαμεν ἀπερίτρεπτον τὴν γνώμην ἔχοντες. ταῦτα δὲ λέγουσιν εὐέλπιδας ποιοῦντες τοὺς ὄντας

μετ' αὐτῶν. διὰ δὴ τοῦ Δανιὴλ καὶ τῶν τριῶν A παίδων λεγόντων· ἡμάρτομεν, ἠνομήσαμεν· οὗτοι λέγουσιν· οὐκ ἠδικήσαμεν ἐν διαθήκῃ σου, ἐπαίροντες τὰ φρονήματα τῶν συστρατιωτῶν. εἰ γὰρ τὰ μέγιστα πεπόνθαμεν φησὶ, καὶ ἔγγονοι τῶν τὰ μεγάλα εὐηργετημένων ἐσμὲν, καὶ ἐν ταῖς συμφοραῖς οὐκ ἐξεκλίναμεν, πολλῆς σωτηρίας ἡμῖν ἐστιν ἐλπίς. ὅπερ οὖν ἐξ ἀρχῆς ἔλεγον, τοῦτο καὶ νῦν φημι, ὅτι αἱ εὐχῆς τάξει τὰ φρονήματα αὐτῶν ἀλείφουσιν, ὡσανεὶ πρὸς αὐτοὺς ἔλεγον· τίνος ἕνεκεν ἀπεγνώκατε τῆς σωτηρίας; Θεὸν ἔχομεν τὸν προϊστάμενον ἡμῶν· εἰ καί τι ἡμῖν ἡμάρτηται, δίκην ἔδομεν ἱκανήν· ἐν τοῖς B πειρασμοῖς ἔστημεν γενναίως· τὸν ἀεὶ καὶ ἁμαρτωλῶν προϊστάμενον ὁδηγὸν ἔχομεν, διὰ τοῦτο δεῖ τὸ τέλος προσδοκᾶν χρηστόν. τί δέ ἐστιν, οὐκ ἠδικήσαμεν ἐν διαθήκῃ σου; τουτέστιν, οὐκ ἠδικήσαμεν περὶ ταῦτα, ἃ ἐπιστεύθημεν, ἀλλ' ἐφυλάξαμεν μετὰ ἀκριβείας. καὶ γὰρ μεγίστη ἀδικία ἐστὶν, ὅταν τὸν νόμον τις παραβαίνῃ τὸν ἀμύνοντα, τὸν οὐκ ἐῶντα οὐδὲ παρὰ τῶν πλησίον ἀδικεῖσθαι, καὶ τὴν κακίαν κωλύοντα· ὅταν περὶ τὸν τοσαῦτα παρέχοντα ἀγαθὰ ἀγνωμονῇ· καὶ οὐκ ἀπέστη εἰς τὰ C ὀπίσω ἡ καρδία ἡμῶν. ἄλλος φησὶν, οὐκ ἀπεχώρησε. καὶ οὐκ ἐξέκλινας τὰς τρίβους ἡμῶν ἀπὸ τῆς ὁδοῦ σου. ἄλλος φησὶν, οὐδὲ μετεκλίθη τὰ ὑποφθοιῶντα ἡμᾶς. ἄλλος, καὶ οὐκ ἀπεστράφη εἰς τὰ ὀπίσω ἡ καρδία ἡμῶν, καὶ ἔκλινε βήματα ἡμῶν, ὅπερ ἔμπροσθεν εἴρηκε, τοῦτο καὶ ἐνταῦθα λέγει, ὅτι ἐν τοσούτῳ κλύδωνι κακῶν οὐδὲ μικρὸν παρεκαλύφθησαν. ὥσπερ γὰρ ὁ νόμος εἰς τὰ ἔμπροσθεν ἄγει· οὕτως ἡ παρανομία εἰς τὰ ὀπίσω μεθίστησι, καὶ ὥσπερ ὁ νόμος τὴν ὀρθὴν ὁδὸν βαδίζειν κελεύει· οὕτως ἡ πα- D ρανομία πρὸς τὴν ἔρημον καὶ ἄβατον τὸν ἄνθρωπον μεθίστησιν. ὁδὸν οὖν, τὸν νόμον φησὶν ἐνταῦθα· τὸ δὲ ἐξέκλινας, ὅπερ οἱ ἄλλοι λέγουσιν, οὐδὲ μετεκλίθη τὰ ὑποφθοιῶντα ἡμᾶς ἀπὸ τῆς ὁδοῦ σου, ὁ Ἑβραῖος φησὶν· ουαθετ ασυραιου μιννι ορακ· εἰ δὲ κατὰ τοὺς ἑβδομήκοντα βουληθείη τις ἑρμηνεῦσαι, καὶ οὐ κατὰ τοὺς ἄλλους, τὸ ἐξέκλινας τὰς τρίβους ἡμῶν ἀπὸ τῆς ὁδοῦ σου τοῦτό ἐστιν ὅτι ἀπῴκησας τοῦ ναοῦ σου, καὶ ἐν ἀλλοτρίᾳ εἶναι πεποίηκας· ὅπερ οὐκ εἴα τὰς λατρείας ἐπιτελεῖσθαι. ὅτι ἐταπείνωσας ἡμᾶς

A hortantes. Et ideo cùm Daniel & tres pueri dicunt: Peccauimus, iniustè fecimus: hi dicunt: Non iniquè egimus in testamento tuo: commilitonum animos & spiritus excitantes. Si enim, inquit, maxima passi sumus, & ab eis originem ducimus, qui magnis affecti sunt beneficiis, & in calamitatibus minimè declinauimus, spes est nobis magnæ salutis. Quod ergo dixi à principio, hoc quoque nunc dico, quòd loco orationis eis addunt animos, perinde ac si eis dicerent: Quanam de causa spem salutis abiecistis? Deum habemus qui nos defendit: & si quid pec- B cauimus, satis pœnarum pendimus: in tentationibus fortiter restitimus: eum qui peccatorum semper curam gerit, viæ ducem habemus, & ideo bonus exitus est nobis omnino expectandus. Quid est autem: Non iniquè fecimus in testamento tuo? Hoc est, non iniquè nos gessimus in iis quæ nobis credita sunt, sed ea perfectè custodiuimus. Est enim maxima iniquitas, quando quis transgreditur legem quæ vindicat, quæ non finit vt vel à propinquis iniuria afficiamur, & vitium prohibet, C quando quis est ingratus in eum qui tot nobis bona præbet. 19. *Et non recessit retro cor nostrum.* Alius, Non abscessit. *Et non declinasti semitas nostras à via tua.* Alius, nec inclinata sunt quæ nos erigunt. Alius, Et non auersum est retro cor nostrum, nec declinarunt gressus nostri à via tua. Quod prius dixit, hoc etiam hîc dicit, quòd in tantis malorum fluctibus ne tantillum quidem labarunt. Pulchrè autem sic dicit. Quemadmodum enim lex ducit in anteriora, ita iniquitas retro statuit: & quemadmodum lex iubet re- D cta via ingredi, ita etiam iniquitas traducit hominem in locum desertum & inaccessum. Viam ergo hîc dicit legem. Illud autem, declinasti, quod alij dicunt, Nec inclinata sunt quæ nos erigunt, à via tua: Hebræus dicit, *Vathet adschurenu mini archeca.* Si quis autem velit sequi interpretationem Septuaginta, & non aliorum, illud, Declinasti semitas nostras à via tua, hoc est, procul à templo tuo nos collocasti, & in aliena terra fecisti habitare, quod non permittebat, vt tuus cultus perageretur. 20. *Quoniam humiliasti nos*

Dan. 3.

A' cōtrario expositio.

Antithesis ex collatione.

Via, lex.

in loco afflictionis. Alius, in loco inhabitato. Alius, In loco Sirenum. *Et cooperuit nos umbra mortis.* Alius, Obstruxisti nos. Hæc mihi esse videtur redditio, eò quòd superius dictum sit, vbi mala narrabant dicentes: Et confusio faciei meæ cooperuit me, à voce exprobrantis & obloquentis, quoniam humiliasti nos: si quis ita acceperit vt referatur ad illud, Declinasti semitas nostras à via tua: habet hic consequentiam conuenientem sensus quem diximus. Significat enim quomodo eos à viis suis repulerit, legibus inquam & institutis, quòd eos in loca deserta abduxerit, & inter inimicos dimiserit. Hoc enim significat illud: Cooperuit nos vmbra mortis, pericula dicens, quę mortem pariũt, & quibus mors est proxima, quemadmodum dolores mortis, & inferorũ portas vocat scriptura. Inevitabilia autẽ esse mala hic per vmbrã & operimẽtum ostẽdit, & quæ nec vllã liberationẽ, & ne minimã quidẽ inuenire possint respirationẽ. 21. *Si obliti sumus nomen Dei nostri, & si expandimus manus nostras ad Deum alienum:* 22. *Nunquid Deus requiret ista? Ipse enim nouit abscondita cordis.* Hoc est bonorum seruorum, malè patientes dominum colere & obseruare. Hæc sunt documẽta philosophiæ. Hic etiam docent auditores non simulare, sed Deum toto corde adorare. Nouit enim, inquit, abscondita cordis. Hæc autem dicunt, eos terrentes, ne quid Deo indignum cogitent. Vide autem magnum virtutis incrementum: subiungit enim dicens: *Quoniam propter te mortificamur tota die: æstimati sumus sicut oues occisionis.* Magnum est enim & manere Dei cultores, & ad alium non defecisse: multò autem maius est, cùm mors assiduè, & quotidiana pericula immineant, talem conseruare dilectionem. Considera autem quantum sit genus philosophiæ, cùm ipse quoque Paulus eo vtatur, Apostolicorum periculorum procellas enumerans in epistola ad Romanos. Quot ergo hi coronis digni fuerint, quando in veteri ad eandem mensuram certaminum, quæ suscipienda erant in nouo, peruenerint? Quod enim dicit Paulus, Quotidie morior, hi hoc quoque, non experientia, nec euentu, sed animo.

Vmbra mortis. *Rom. 8.* *1. Cor. 15.*

A ἐν τόπῳ κακώσεως. ἄλλος φησὶν, ἀοικήτῳ. ἄλλος, ἐν τόπῳ Σειρήνων. καὶ ἐπεκάλυψεν ἡμᾶς σκιὰ θανάτου. ἄλλος λέγει, ἐπώμασας ἡμᾶς. αὕτη μοι δοκεῖ ἡ ἀνταπόδοσις πρὸς τὰ ἄνω εἶναι, ἐν οἷς τὰ κακὰ διηγοῦνται λέγοντες, ἡ αἰσχύνη τοῦ προσώπου μου ἐκάλυψέ με· ἀπὸ φωνῆς ὀνειδίζοντος καὶ καταλαλοῦντος· ὅτι ἐταπείνωσας ἡμᾶς· εἰ μή τοι πρὸς τὸ ἐξέκλινας τὰς τρίβους ἡμῶν ἀπὸ τῆς ὁδοῦ σου· λάβοι τις αὐτὸ, ἐνταῦθα ἀκολουθίαν ἔχει κατὰ τὴν ἔννοιαν, ἣν εἰρήκαμεν. δηλοῖ γὰρ πῶς ἐκ τῶν τρίβων αὐτοῦ ἀπώσατο αὐτοὺς· τῆς πολιτείας λέγω B καὶ τῶν νομίμων· τὸ εἰς τόπους ἐρήμους ἐπαγαγεῖν, καὶ μεταξὺ πολεμίων ἀφεῖναι. τοῦτο γάρ ἐστι τὸ ἐκάλυψεν ἡμᾶς σκιὰ θανάτου· τοὺς κινδύνους λέγων τοὺς θάνατον τίκτοντας, καὶ ὧν πλησίον οἱ θάνατοι, ὥσπερ καὶ ὠδῖνας θανάτου καὶ πύλας ᾅδου ἡ γραφὴ καλεῖ, καὶ τὸ ἄφυκτον τῶν δεινῶν διά τε τῆς σκιᾶς, καὶ τῆς ἐπικαλύψεως ἐνταῦθα παρέστησε. οὐδὲ ἦν τινα διάλυσιν εὑρεῖν, οὐδὲ ἀναπνοὴν μικρὰν δυνάμενα· εἰ ἐπελαθόμεθα τοῦ ὀνόματος τοῦ Θεοῦ ἡμῶν, καὶ εἰ διεπετάσαμεν τὰς χεῖρας ἡμῶν πρὸς Θεὸν ἀλλότριον, οὐχὶ ὁ Θεὸς ἐκζητήσει ταῦτα; αὐ- C τὸς γὰρ γινώσκει τὰ κρύφια τῆς καρδίας. τοῦτο οἰκετῶν εὐγνωμόνων τὸ κακῶς πάσχοντας μένειν τὸν δεσπότην θεραπεύοντας· ταῦτα φιλοσοφίας διδάγματα· ἐνταῦθα καὶ τοὺς ἀκούοντας παιδεύουσι μὴ ὑποκρίνεσθαι, ἀλλ' ἐν ὅλῃ καρδίᾳ τὸν Θεὸν θεραπεύειν. οἶδε γάρ, φησι, τὰ ἀπόρρητα τῆς διανοίας. ταῦτα δὲ λέγουσι φοβοῦντες αὐτοὺς, ὥστε μηδὲν λογίσασθαι ἀνάξιον Θεοῦ. ὅρα καὶ τὴν ἐπίδοσιν ἀρετῆς πολλήν· ἐπάγει γὰρ λέγων· ὅτι ἕνεκέν σου θανατούμεθα ὅλην τὴν ἡμέραν· ἐλογί- D σθημεν ὡς πρόβατα σφαγῆς. μέγα μὲν γὰρ καὶ τὸ μένειν θεραπεύοντας τὸν Θεὸν, καὶ μὴ πρὸς ἕτερον ἀποπηδῆσαι· τὸ δὲ πολλῷ μεῖζον τὸ συνεχῶν θανάτων καὶ καθημερινῶν κινδύνων ἐπικειμένων διατηρεῖν τὴν τοιαύτην ἀγάπην. καὶ ἐννόησον ὅσον φιλοσοφίας εἶδός ἐστιν· ὅπου γε καὶ ὁ Παῦλος αὐτῷ κέχρηται, τὰς νιφάδας τῶν ἀποστολικῶν κινδύνων ἀπαριθμούμενος ἐν τῇ πρὸς Ῥωμαίους ἐπιστολῇ. πόσων οὖν ἂν εἶεν ἄξιοι στεφάνων οὗτοι, ὅταν ἐν τῇ παλαιᾷ φαίνωνται πρὸς τὸ αὐτὸ μέτρον φθάσαντες τῶν ἐν τῇ καινῇ ἀγωνισμάτων; ὃ γὰρ φησιν ὁ Παῦλος καθ' ἡμέραν ἀποθνήσκω, τοῦτο καὶ οὗτοι, οὐχὶ τῇ πείρᾳ, οὔτε τῷ τέλει, ἀλλὰ τῇ

γνώμη. Διὰ τί δέ φησιν, ἕνεκέν σου; ὅτι ἐξῆν ἡμῖν φησι μεταταξασθαι καὶ ἀφεῖναι τὴν πατρῴαν πολιτείαν, καὶ εἶναι ἐν ἀσφαλείᾳ· ἀλλ' αἱρούμεθα πάσχειν κακῶς μᾶλλον καὶ τὰ πατρῷα φυλάττειν, ἢ εἰρήνης ἀπολαύειν μετὰ τὸ τῶν πατρῴων ἐκπεσεῖν. ἐλογίσθημεν ὡς πρόβατα σφαγῆς· οὕτως ἡμᾶς εὐκόλως ἀναιροῦσιν. ἐνταῦθα δὲ καὶ τὴν ἐπιείκειαν αὐτῶν ἐνδείκνυται. ἀλλ' ὅμως οὕτως εὐκόλως προχειριζόμενοι μένομεν, ἀπερίτρεπτον τὴν γνώμην ἔχοντες. ἐνταῦθα καὶ τοῦ Θεοῦ τὴν δύναμιν ἄξιον ἐκπλαγῆναι, ὅτι τοὺς οὕτω προχειριζομένους ὡς πρόβατα σφαγῆς διετήρησε, καὶ καθ' ἡμέραν ἀποθνήσκοντας οὐκ ἀφῆκεν ἐμπεσεῖν εἰς θάνατον. ἐξεγέρθητι, ἵνα τί ὑπνοῖς κύριε; ἄλλος φησίν, ἵνα τί ὡς ὑπνῶν εἶ; ἄλλος, ἐξυπνίσθητι. ἄλλος, ἐξύπνησον. ἀνάστηθι καὶ μὴ ἀπώσῃ εἰς τέλος· ἵνα τί τὸ πρόσωπόν σου ἀποστρέφεις; ἕτερος· κρύπτεις· ἐπιλανθάνῃ τῆς πτωχείας ἡμῶν, καὶ τῆς θλίψεως ἡμῶν· ἄλλος τῆς κακίας ἡμῶν. ὃ δὲ λέγει τοιοῦτόν ἐστι. δύνασαι λῦσαι τὰ κακά· οὐδὲ γὰρ παρὰ ἀσθένειαν σὴν ταῦτα γίνεται, ἀλλὰ παρὰ τὴν συγχώρησιν. ὕπνον γὰρ ἐνταῦθα τὴν ἡσυχίαν φησί, καὶ ἀνάστασιν, τὴν ἀνταπόδοσιν, καὶ πρόσωπον τὴν ἀντίληψιν, τὴν πρόνοιαν, τὴν κηδεμονίαν, τὴν συμμαχίαν. ἵνα τί ἐπιλανθάνῃ τῆς πτωχείας ἡμῶν; ὅρα πάλιν εὐγνωμοσύνην. οὐκ εἶπε τῶν κατορθωμάτων· οὐκ εἶπε τῆς ἀπεριτρέπτου γνώμης· οὐκ εἶπε τῆς ἐν πειρασμοῖς δοκιμασθείσης ψυχῆς, ἀλλ' ὅτι μὲν ὑπὲρ ἑαυτῶν ἀπολογοῦνται, ἐκεῖνα τιθέασιν. ὅταν δὲ τὴν συμμαχίαν ζητῶσιν, ἀφ' ὧν οἱ καταδίκοι, ἀπὸ τούτων ἀξιοῦσι σώζεσθαι. ἐπειδὴ δίκην ἔδοσαν, φησίν. ἐπειδὴ τὰ ἔσχατα πεπόνθασι. τοῦτο καὶ Παῦλος ποιεῖ πολλάκις καὶ ἕτεροι τῶν προφητῶν. καὶ ταῦτα ἔλεγον οὗτοι, οὐδέπω περὶ γεέννης εἰδότες οὐδέν, οὐδὲ περὶ βασιλείας, οὐδὲ τοιαῦτα διδαχθέντες φιλοσοφεῖν, καὶ πάντα ἔφερον ῥᾳδίως. ὅτι ἐταπεινώθη εἰς χοῦν ἡ ψυχὴ ἡμῶν· ἐκολλήθη εἰς γῆν ἡ γαστὴρ ἡμῶν. ἐπειδὴ γὰρ ἐπιλανθάνῃ τῆς πτωχείας ἡμῶν εἶπεν· τουτέστι τῆς κακώσεως, λέγει λοιπὸν τὴν κάκωσιν. ὃ δὲ λέγει τοῦτό ἐστιν· ἀπολώλαμεν, κατωρύγημεν, τῶν νεκρῶν οὐδὲν ἄμεινον διακείμεθα. δικαίως δ' ἄν τις εἴποι, καὶ τῶν τοῖς πράγμασι προστετηκότων τὴν ψυχήν, εἰς χοῦν τεταπεινῶσθαι, καὶ τῶν γαστριμάργων εἰς τὴν γῆν τὴν γαστέρα

Quare autem dicit, Propter te? Licebat nobis, inquit, deficere, & à patriæ reipublicæ institutis recedere, & tutos esse, sed malumus malè pati, & patria instituta seruare, quàm postquam à patriis institutis exciderimus, in pace vitam agere. Æstimati sumus tanquam oues occisionis. Tam facilè, inquit, nos interimunt. Hic autem ostendit eorum mansuetudinem. Sed tamen quamuis simus tam facilè expositi, firmo tamen & immobili animo permanemus. Hîc etiam iure admiranda est potentia, quòd eos qui tanquam occisionis oues erant expositi, conseruauerit, & quotidie morientes non siuerit in mortẽ incidere. 23. *Exurge, quare obdormis domine?* Alius, Quare es tanquam dormiens? Alius, Expergiscere. Alius, Euigila. *Exurge, & ne repellas in finẽ.* 24. *Quare faciẽ tuam auertis?* Alius, Abscondis? *Obliuisceris inopiæ nostræ & tribulationis nostræ?* Alius, Miseriæ nostræ. Quod autem dicit, est eiusmodi. Potes mala soluere: neque enim propter tuam imbecillitatem, sed ex tua permissione hæc fiunt. Somnum hic dicit quietem; & exurrectionem, retributionem; & faciem, protectionem, prouidentiam, curam, auxilium. Cur obliuisceris inopiæ nostræ? Vide rursus pium & gratum animum. Non dixit, Rectè factorum, non dixit, Animi firmi & immobilis, non dixit, Animæ probatæ in tentationibus. Sed quando se quidam defendunt, illa ponunt: quando autem petunt auxilium, ex iis, vt salui fiant postulant, ex quibus ij, qui sunt condemnati. Quoniam, inquit, satis pœnarum dederunt, quoniam extrema passi sunt. Hoc etiam sæpe facit Paulus, & alij prophetæ. Atque hæc hi dicebant, cùm nihil adhuc scirent nec de gehenna, nec de regno, nec vllam adhuc talem didicissent philosophiam, & omnia facilè ferebant. 25. *Quoniam humiliata est in puluere anima nostra. Conglutinatus est in terra venter noster.* Quoniam enim dixit: Obliuisceris inopiæ nostræ, hoc est, afflictionis, dicit deinceps afflictionem. Quod autem dicit, tale est, Periimus, defessi sumus, nihilo meliori sumus conditione, quàm mortui. Iure autem dixerit quispiam eorum etiam qui rebus præsentibus affixi sunt, animam in terram esse humiliatam: eorúmque qui gulæ seruiunt, ventrem esse terræ aggluti-

1.Cor.4. 1.Cor.6.

Somnus.

1.Cor.4. 2.Cor.1. 4.6. & Esa.25.64. Thren 1. 2.65. Dan.3.94

natum. Etenim qui amore quoque vinctus tenetur, & luto inhiat, & incorpoream quæ in se est, facultatem cineri mancipat, iure hæc pati dicatur. Quid enim aliud est pulchritudo corporis, nisi puluis & lutum, atque adeo quidpiam his etiam deformius ac tetrius? Quòd si fidem non habes, considera sepulchra hominum, & videbis lutum & puluerem. Quando enim facies vitam præsentem exuerit, tunc apparet id quod est, imò verò etiam ante mortem, quando senectus inuaserit, quando morbus afflixerit, tunc videbis id quod apparet; est enim lutum: sed vt peritus artifex, vel ex vili & nullius pretij materia fecit ingentem oriri pulchritudinem, non vt forniceris, sed vt tibi suam ostenderet sapientiam. Ne ergo artifici iniuriam feceris, nec commiseris, vt eius sapientiæ opus, stupri & impudicitiæ à te fiat materia. Formam eousque mirare, vt gloria & honore afficias artificem, vlterius autem ne progrediare, animi perturbationem excitans. Pulchrum opus: is ergo qui fecit, est adorandus, non contumelia & probro afficiendus. Siquis, dic quæso, auream alicuius statuam & regiam imaginem cœno, & aliis eiusmodi fœdauerit, nónne vltimū luerit supplicium? Si autem qui inter homines stultè & scelerate se gerit, tanti reus est supplicij: qui Dei opus tanta affecit ignominia, quid tandem patietur: & maximè quando qui hæc facit, habet vxorem? Ne mihi enim dixeris naturæ cupiditatem. Propterea enim permissum fuit matrimonium, ne vltra proprios terminos progredereris. Vide enim quanto quanto dignus eris supplicio. Nam Deus tuæ quieti & honori prospexit, vt & naturæ rabiem per vxorem compesceres, & hoc absque vllo periculo faceres, & ab omni turpitudine & dedecore liberareris. Tu autem eum, qui tantam tui curam gerit ex redundanti quadam & exuberanti copia, iniuria afficis. Dic enim mihi quæso, si noluisset lege lata statuere matrimonium, quantam vim, & quantum cruciatum sustinuisses? Cùm ergo oporteat te ei gratias agere, & gloria afficere, quòd tibi maximam laboris partem amputauerit, dum tibi non vulgare solatium excogitauit: tu per summum ingrati animi crimen eum contumelia afficis,

Pulchritudo corporis, lutum.

In fornicatores.

Forma pulchritudo quatenus admirāda.

Hebr. 10.

Matrimonium cur permissum.

A κεκόλληται. καὶ γὰρ ὁ ἔρωτι προσδεδεμένος, καὶ πρὸς τὸν πηλὸν κεχηνὼς, καὶ τὴν ἀσώματον δύναμιν τὴν ἐν αὐτῷ καταδουλοῖ τῇ σποδῷ, εἰκότως ἂν ταῦτα λέγοιτο πάσχειν. τί γάρ ἐστιν ἄλλο κάλλος σώματος, ἀλλ᾽ ἢ χοῦς καὶ πηλός· μᾶλλον δὲ καὶ τούτων εἰδεχθέστερον; εἰ δὲ ἀπιστεῖς, περιεργάζου τὰς τάφους τῶν ἀνθρώπων, καὶ ὄψει τὸν πηλὸν καὶ τὴν κόνιν. ὅταν γὰρ ἀποθῆται τὸ πρόσωπον τὴν παροῦσαν ζωὴν, τότε φαίνεται ὅπερ ἐστί· μᾶλλον δὲ καὶ πρὸ τῆς τελευτῆς. ὅταν γὰρ τὸ γῆρας ἐπέλθοι, ὅταν ὁ νόσος ἐπισκήψῃ, τότε ὄψει τὸ φαινόμενον· πηλὸς γάρ ἐστιν, B ἀλλ᾽ ὡς σοφὸς δημιουργὸς καὶ ἐξ εὐτελοῦς ὕλης κάλλος ἀμήχανον ἐποίησεν ἐπιγενέσθαι, οὐχ ἵνα πορνεύσῃς, ἀλλ᾽ ἵνα τῆς οἰκείας σοφίας ἀπόδειξίν σοι παράσχῃ. μὴ τοίνυν ὑβρίσῃς τὸν τεχνίτην, μηδὲ τὸ ἔργον αὐτοῦ τῆς σοφίας ἀσελγείας καὶ πορνείας ὑπόθεσιν ποιοῦ. μέχρι τοσούτου θαύμαζε τὴν ὥραν, μέχρι τοῦ δοξάσαι τὸν τεχνίτην. περαιτέρω δὲ μὴ προέλθῃς τὸ πάθος ἀλείφων. καλὸν τὸ ἔργον, ἐκεῖνον τὸν ἐργασάμενον προσκύνει, ἀλλ᾽ οὐχ ὑβρίζειν χρή. εἴ τις εἰπέ μοι χρυσοῦν ἀνδριάντα τινὸς καὶ εἰκόνα βασιλικὴν C λαβὼν κατέχρισε βορβόρῳ καὶ ἑτέροις τοιούτοις, οὐκ αὐτὴν ἐσχάτην ἔδωκε δίκην; εἰ δὲ ὁ ἐν τοῖς ἀνθρωπίνοις ἀγνώμων τοσαύτης ὑπεύθυνός ἐστι τιμωρίας, ὁ τὸ ἔργον τοῦ Θεοῦ τοσαύτῃ περιβαλὼν ἀτιμίᾳ, τί πείσεται, καὶ μάλιστα ὅταν καὶ γυναῖκα ἔχων φαίνηται ὁ ταῦτα ποιῶν; μὴ γάρ μοι λέγε τῆς φύσεως τὴν ἐπιθυμίαν. διὰ τοῦτο γὰρ γάμος ἐπετράπη, ἵνα μὴ πέρα τῶν οἰκείων ὅρων προβαίνῃς. ἴδε γὰρ ὅσης ἄξιος εἶ τιμωρίας. ὁ μὲν γὰρ Θεὸς καὶ τῆς ἀναπαύσεώς σου καὶ τῆς δόξης προενόησεν, ἵνα ἐκλύσῃς τὴν λύτ- D ταν τῆς φύσεως διὰ τῆς γυναικὸς, καὶ ἀκινδύνως τοῦτο ποιῇς, καὶ πάσης ἀπαλλαγῇς ἀσχημοσύνης· σὺ δὲ τὸν οὕτω σου προνοοῦντα ἐκ περιουσίας ὑβρίζεις. εἰπὲ γάρ μοι εἰ μὴ ἐβουλήθη νομοθετῆσαι γάμον, πόσην ἂν ὑπέστης βίαν, πόσην κόλασιν; δέον οὖν σε εὐχαριστεῖν καὶ δοξάζειν, ὅτι τὸ πλέον ὑπετέμετό σοι τῶν πόνων παραμυθίαν οὐ τὴν τυχοῦσαν ἐπινοήσας· σὺ δὲ ἐνυβρίζεις ἀγνωμόνως, καὶ αἰσ-

ἀσχημονεῖς, καὶ τοὺς κειμένους ὑπερβαίνεις ὅ-
ρους, καὶ τὴν ἑαυτοῦ καταισχύνεις δόξαν. οὐκ
ἀκούεις Παύλου λέγοντος, καὶ νῦν, καὶ ἐν τῷ
μέσῳ βοῶντος· φεύγετε τὴν πορνείαν· μᾶλλον
δὲ τοῦ Χριστοῦ τοῦ τὴν ἐκείνου ψυχὴν κινοῦν-
τος; τί καταμανθάνεις κάλλος ἀλλότριον; τί
περιεργάζῃ πρόσωπον οὐ σόν; τί φέρῃ κατὰ
κρημνῶν; τί τοῖς δικτύοις ἐμβάλλεις σαυτόν;
τείχισόν σου τοὺς ὀφθαλμούς· περίφραξόν σου
τὸ ὄμμα· θὲς νόμον τοῖς ὀφθαλμοῖς· ἄκουσον
ἀπειλοῦντος τοῦ Χριστοῦ καὶ τὴν ἀκόλαστον ὄψιν
ἐν ἴσῳ μοιχείας κρίνοντος. τί τῆς ἡδονῆς ὄφε-
λος, ὅταν σκώληκα τίκτῃ; ὅταν διηνεκῆ φό-
βον; ὅταν ἀθάνατον τῷ δράσαντι τιμωρίαν; πό-
σῳ βέλτιον μικρὸν ἀνασχόμενον τῆς βίας τῆς
ἀπὸ τῶν ἡμετέρων λογισμῶν, διαπαντὸς ἐν
ἀνέσει εἶναι, ἢ ὀλίγα χαρισάμενον ταῖς ἀτό-
ποις ἐπιθυμίαις ἀθάνατα τιμωρεῖσθαι; μὴ
τέκνα, μὴ ποιεῖτε οὕτως· οὐκ ἀγαθὴ ἡ ἀκοή,
ἣν ἐγὼ ἀκούω περὶ ὑμῶν. οἶδα πρὸς τίνας ὁ
λόγος ἀποτείνεται, οὐ πρὸς ἅπαντας· ἀλλ'
ἔνθα ἂν εὕρῃ τὸ τραῦμα, ἐκεῖ ἐπάγει τὸ φάρ-
μακον. τί τὸν γάμον ὑβρίζεις; τί τὴν εὐνὴν ἀ-
δικεῖς; τί τὸ μέλος τὸ σὸν ἐπηρεάζεις; τί τὴν
δόξαν σου καταισχύνεις; ἔκκοψον τὸ πάθος· ἄ-
νελε τὰς τρυφάς· τρυφὴ καὶ μέθη πηγαὶ πορ-
νείας, ἂν τῇ ἀνέσει μὴ χρήσῃ εἰς δέον, ἐπάγει σοι
θλῖψιν· ἄκουσον τί ἔπαθον οἱ Ἰουδαῖοι πορνεύ-
σαντες, οἱ μὴ μεταλαβόντες σώματος Χρι-
στοῦ, οἱ τραπέζης μὴ ἀπολαύσαντες πνευμα-
τικῆς, μηδὲ πορνεύωμεν φησί, καθώς τινες αὐ-
τῶν ἐπόρνευσαν, καὶ ἔπεσον ἐν μιᾷ ἡμέρᾳ εἴκο-
σι τρεῖς χιλιάδες. ἀνάστα κύριε, βοήθησον ἡμῖν
καὶ λύτρωσαι ἡμᾶς ἕνεκεν τοῦ ὀνόματός σου. ἄλ-
λος, στῆθι ἀντιλαμβανόμενος ἡμῶν, καὶ ῥῦσαι ἡ-
μᾶς διὰ τὸ ἔλεός σου. ὅρα πῶς τὸν λόγον κα-
τέκλεισαν· μετὰ μυρία αὐτῶν κατορθώματα,
πόθεν ἀξιοῦσι σώζεσθαι ἀπὸ ἐλέους; ἀπὸ φι-
λανθρωπίας; διὰ τὸ ὄνομα τοῦ Θεοῦ. τί ἐστιν,
ἕνεκεν τοῦ ὀνόματός σου; ἵνα μὴ αὐτὸ βεβηλω-
θῇ, ὃ καὶ αὐτὸς πολλάκις λέγει· ὅτι ποιῶ ἕνε-
κεν ὀνόματός μου; ἴδες ταπεινοφροσύνην καὶ
συντετριμμένην διάνοιαν; καὶ πόθεν ἀξιοῦ-
σι σωθῆναι ἀπὸ φιλανθρωπίας, ἀπὸ ἐλέους,

A omnem pudorem exuis, terminos tibi præscriptos transilis, & tuam ipsius gloriam probro afficis? Non audis Paulum & nunc, & in medio clamantem: Fugite fornicationem: vel potius Christum, qui eius mouet animum? Cur alienam ediscis pulchritudinem? Cur de vultu non tuo curiosè scrutaris? Cur fertis per præcipitia? Cur retibus teipsum illaqueas? Oppone murum tuis oculis, tuos oculos obstrue, impone legem tuis oculis. Audi Christum minantem; & impudicum aspectum tanquam adulterium condemnantem. Quid te iuuat voluptas, B quando ea vermem parit, quando metum perpetuum, quando immortale ei qui fecerit, supplicium? Quantò est melius dum nostrarum cogitationum vim parumper sustinemus, frui perpetua animi quiete & tranquillitate, quàm dum nefariis nostris cupiditatibus paulum indulgemus, immortali cruciatu affici? Ne, ô filij, ne ita faciatis. Non bona est fama quam de vobis audio. Scio ad quos dirigatur oratio, non ad omnes: sed vbi vulnus inuenerit, illic medicamen- C tum adhibet. Cur matrimonium violas? cur cubile iniuria afficis? cur membrum tuum probro persequeris? cur famæ tuæ maculam & ignominiam inuris? Excinde animi perturbationem, tolle delicias. Deliciæ enim & ebrietas sunt fons fornicationis. Si otio & animi remissione non vtaris vt oportet, id affert tibi afflictionem. Audi quid passi sint Iudæi, qui fornicati fuerant, qui corporis Christi non fuerant participes, qui spiritualis mensæ fructum nō perceperant. Nec fornicemur, inquit, sicut nōnulli eorum fornicati sunt, & ceciderunt in vno die D viginti tria millia. 26. *Exurge domine, adiuua nos, & redime nos propter nomen tuum.* Alius, Sta nos defendens, & libera nos propter misericordiam tuam. Vide quomodo cōcluserunt orationem: post innumerabilia quæ ab eis rectè & ex virtute facta fuerant, vndenam salutem assequi æquum censent? à misericordia, à benignitate & clementia, propter nomen Dei. Quid est, Propter nomen tuum? Ne ipsum profanetur, quod ipse etiam sæpe dicit: Facio propter nomen meum. Vidisti humilitatem & contritum animum. Et vndenam petunt salutem? A clementia, à misericordia,

1. Cor. 6.
Matth. 5.
Rom. 8.
1. Reg. 2.
1. Cor. 6.
Eccl. 47.
Exod. 8.
1. Cor. 10.
1. Cor. 3.

tanquam quibus rectè facta deficerent, A & nullam iustam salutis causam afferre possent, licet tot & tanta pericula laboresque susceptos iactare possent, ad Deum cuncta referebant. Nos quoque, qui in gratia sumus, eos imitemur, & Deo gloriam emittamus. Cui gloria & potentia nunc, & semper, & in secula seculorum, Amen.

ὡς οἱ ἔρημοι κατορθωμάτων, ὡς οἱ μηδέν τι ἔχοντες δικαίωμα σωτηρίας, καί τοι τοσούτοις κεχρημένοι πόνοις καὶ κινδύνοις, εἰς τὸν Θεὸν τὸ πᾶν ἀνέφερον. Τούτους δὴ καὶ ἡμεῖς οἱ ἐν τῇ χάριτι μιμησώμεθα, καὶ δόξαν ἀναπέμψωμεν τῷ Θεῷ, ᾧ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

In Psalmum XLIIII.

PRO VICTORIA PRO B floribus filiorum Core. *Alius*, Victoriæ effectori propter lilia filiorum Core. *Hebræus pro liliis dicit* alsosanim. Intelligentiæ canticum in dilectum. *Alius*, Scientis canticum propter amicitiam. *Alius*, Dilectis: *Hebræus autem dicit*, Idithoth. *Septuaginta autem* in finem pro his qui commutabuntur, filiis Core, ad intellectum, Canticum C pro dilecto.

Εἰς τὸν μδ' ψαλμόν.

ΥΠΕΡ ΤΩΝ ΑΝΘΩΝ τῶν υἱῶν Κορέ. ἄλλος, τῷ νικοποιῷ ἐπὶ τοῖς κρίνοις τῶν υἱῶν Κορέ. ὁ δὲ Ἑβραῖος ἀντὶ τοῦ κρίνοις ἀλσωσανεὶμ λέγει· συνέσεως ᾆσμα εἰς τὸν ἀγαπητόν. ἄλλος ἐπιστήμονος ᾆσμα πρὸς φιλίας. ἄλλος, τοῖς ἠγαπημένοις· ὁ δὲ Ἑβραῖος, ἰδιθὼθ φησιν· οἱ δὲ ἑβδομήκοντα εἰς τὸ τέλος ὑπὲρ τῶν ἀλλοιωθησομένων τοῖς υἱοῖς Χορὲ εἰς σύνεσιν ᾠδὴ ὑπὲρ τοῦ ἀγαπητοῦ.

Eructauit cor meum verbum bonum. Alius, Expromsit. Alius, Motum est cor meum verbo bono.

Ἐξηρεύξατο ἡ καρδία μου λόγον ἀγαθόν· ἄλλος, ἐξείρπυσεν. ἄλλος, ἐκινήθη καρδία μου λόγῳ ἀγαθῷ.

VELLEM nunc adesse omnes Iudæos & Gentiles, & hoc libro à Iudæis accepto, D psalmum ita legere. Neque enim ignoratis, & in iudiciis, & vbique tunc maximè à suspicione remotum esse rerum testimonium, quando id fertur ab inimicis. Vt hoc ergo hodie quoque eueniat, exhibeamus testimonium ex veteri, vt & Iudæi, & Gentiles pudore afficiantur. Iudæi quidem legentes, & non intelligentes: Gentiles verò videntes libros nobis offerri ab inimicis. Neque enim poterunt

Testimonium inimicorum minimè suspectum.

Βουλόμην παρεῖναι νῦν Ἰουδαίους ἅπαντας, καὶ Ἕλληνας· καὶ τὸ βιβλίον τοῦτο παρὰ Ἰουδαίων λαβὼν, οὕτως ἀναγνῶναι τὸν ψαλμόν. ἴστε γὰρ δή που τοῦτο, ὅτι καὶ ἐν τοῖς δικαστηρίοις καὶ πανταχοῦ τότε μάλιστα ἀνύποπτος ἡ μαρτυρία τῶν πραγμάτων γίνεται, ὅταν παρὰ τῶν ἐχθρῶν αὕτη φέρηται. ἵν' οὖν καὶ σήμερον τοῦτο συμβαίη, ἀπὸ τῆς παλαιᾶς παρεχώμεθα τὴν μαρτυρίαν, ἵνα καὶ Ἰουδαῖοι καὶ Ἕλληνες καταισχυνθῶνται. Ἰουδαῖοι μὲν ἀναγινώσκοντες καὶ οὐ γινώσκοντες· Ἕλληνες δὲ ὁρῶντες παρὰ τῶν ἐχθρῶν τὰ βιβλία ἡμῖν φερόμενα. οὐ γὰρ δήπου

πεπλάσθαι παρ' ἡμῶν αὐτὰ δυνήσονται λέγειν, οὐχ ἡμῶν, ἀλλὰ τῶν τὸν Χριστὸν σταυρωσάντων τὰ βιβλία παρεχομένων ἡμῖν τὰ περὶ τῆς αὐτοῦ δυνάμεως διαλεγόμενα. ἀλλ' εἴτε παρεῖσιν, εἴτε μὴ παρεῖσιν οὗτοι, ἡμεῖς τὸ ἡμέτερον ποιήσωμεν, καὶ τῆς ἑρμηνείας ἁψώμεθα· εἰς γὰρ τὸν Χριστὸν ὁ ψαλμὸς ἐστὶν ἀναγέγραπται· διὸ καὶ εἰς τὸν ἀγαπητὸν, καὶ ὑπὲρ τῶν ἀλλοιωθησομένων τὴν ἐπιγραφὴν ἔχει. ἀλλοίωσιν γὰρ μεγάλην ἡμῖν ἐστὶν εἰργάσατο, καὶ πραγμάτων μεταβολὴν καὶ μετάστασιν. ταύτην τὴν ἀλλοίωσιν δηλῶν καὶ ὁ Παῦλος ἔλεγεν· ὥστε εἴ τις ἐν Χριστῷ καινὴ κτίσις. διὸ καὶ ἀρχόμενος οὕτω φησίν· Εἶπεν ἡ καρδία μου. ἐπειδὴ γὰρ οὐδὲν ἀνθρώπινον ἦν τῶν λεγομένων, ἀλλ' οὐράνια καὶ πνευματικὰ διηγεῖσθαι ἔμελλε, καὶ οὐκ ἐξ οἰκείας εὑρήσεως, ἀλλ' ἐκ θείας ἐνεργείας, τῷ ὀνόματι τῆς ἐρυγῆς τοῦτο παρίστησιν. ἐρευγόμεθα γὰρ οὐχ ὅτε βουλόμεθα· τὸν μὲν γὰρ λόγον τοῦτον φθεγγόμεθα ὅτε θέλομεν, καὶ λέγομεν, καὶ κατέχομεν· τὴν δὲ ἐρυγὴν οὐχ ὁμοίως. δεικνὺς τοίνυν ὅτι οὐκ ἀνθρωπίνης σπουδῆς ἐστι τὰ λεγόμενα, ἀλλὰ θείας ἐπιπνοίας τῆς κινούσης αὐτὸν, ἐρυγὴν τὴν προφητείαν ἐκάλεσεν. ὥσπερ γὰρ ἐπὶ τῆς ἐρυγῆς τῆς τῶν σιτίων ποιότητός ἐστι τὸ γινόμενον, οὕτω καὶ ἐπὶ τῆς πνευματικῆς διδασκαλίας. τοιαῦτα τοίνυν ἠρεύγετο, οἷα καὶ ἐσιτεῖτο. ὅρα δὲ καὶ ἀλλαχοῦ ἕτερον προφήτην αἰσθητῇ εἰκόνι ταύτην παραβάλλοντα τὴν ἐνέργειαν, καὶ ἐσθίοντα τὴν κεφαλίδα τοῦ βιβλίου καὶ μεθ' ἡδονῆς ἐσθίοντα. ἐγένετο γάρ φησιν, ἐν τῷ στόματί μου ὡς μέλι γλυκάζον. ἐπεὶ οὖν ἐδέχοντο τὴν πνευματικὴν χάριν, τοιαῦτα καὶ ἠρεύγοντο· ὅτι γὰρ οὐ περὶ ἐρυγῆς ὁ λόγος τῆς αἰσθητῆς ταύτης, οὐδὲ περὶ σιτίων, ἄκουσον τί ἐρεύγεται, καὶ τίς ἐστιν ὁ ἐρευγόμενος. οὐχ ὁ στόμαχος ὁ τὰ σιτία δεχόμενος, ἀλλ' ἡ καρδία. ἐξηρεύξατο γάρ φησιν, ἡ καρδία μου· καὶ τί ἐρεύγεται; οὐ σῖτον οὐδὲ ποτὸν, ἀλλὰ τὰ συγγενῆ τῇ τραπέζῃ λόγον ἀγαθὸν, τὸν περὶ τοῦ μονογενοῦς· ἐστὶ γὰρ μάλιστα ἀγαθός· ἦλθον γάρ, φησιν, οὐχ ἵνα κρίνω τὸν κόσμον, ἀλλ' ἵνα σώσω τὸν κόσμον· πάντα προσηνῆ, πάντα κολάσεως ἀπηλλαγμένα· ἐρεύγεται δὲ τοιαῦτα, ἐπειδὴ τὴν καρδίαν αὐτοῦ ἐξεκάθαρεν. ὥσπερ γὰρ ἡ γαστὴρ ὅταν μὲν ῥυπαρῶν γέμῃ χυμῶν συγγενῆ τούτοις ἐρεύγεται· ὅταν δὲ ὑγιεινή τις οὖσα τυγχάνῃ, κατάλληλον ποιεῖται τὴν ἐρυγήν.

ea à nobis esse conficta, cùm non nos, sed qui Christum crucifixerunt, libros nobis præbeant, qui de eius potestate loquuntur. Sed siue adsunt, siue nō, nos nostrum officium faciamus, & aggrediamur interpretationē. Hic enim psalmus in Christum est inscriptus, & ideo habet inscriptionē, In dilectum, &, Pro his qui commutabuntur. Is enim nobis magnam fecit mutationem, rerúmque cōuersionē, ac traductionē. Hanc mutationem significās quoque Paulus dicebat: quare si qua in Christo noua creatura. Et ideo non dicit in principio, Dixit cor meum. Quoniam enim eorum quæ dicebantur, nihil erat humanum, sed cœlestia ac spiritualia erat narraturus, eáque non ex propria inuentione, sed ex diuina operatione, eructationis nomine hoc significat. Eructam^9 enim, non quando volumus, sed sermonē loquimur quādo volumus, eúmque & dicimus, & reprimimus: eructationem autem non itidem. Ostendens itaque quę dicuntur, non esse humani studij, sed diuinæ inspirationis, quæ eū incitabat, eructationem prophetiam appellauit. Quemadmodū enim in eructatione id quod fit, oritur ex qualitate ciborum: ita etiam in doctrina spirituali. Talia ergo eructabat, qualia comedebat. Vide autem alibi quoque aliū prophetam hanc operationē similitudine sensibili exprimentem, & volumen libri comedentē, idq; cum voluptate. Fuit enim, inquit, in ore meo tanquam mel dulce. Quia ergo spiritualem gratiam acceperunt, eis quoq; similia eructarunt. quod enim nec de hac eructatione sensibili, nec de cibis agatur, audi quidnam eructet, & quis ille sit qui eructat? Non stomachus, qui est ciborū receptaculum, sed cor. Eructauit enim, inquit. cor meum. Et quid eructat? Non cibum, nec potum, sed quæ sunt mensæ cognata & consimilia. Bonum verbum, nempe de vnigenito. Is est enim maximè bonus. Veni enim, inquit, non vt iudicem mundum, sed vt mundum saluum faciam. Omnia mitia ac mansueta, omnia supplicio libera. Eructat autem talia, quoniam cor suum expurgauit. Quemadmodum enim ventriculus quando sordidis succis fuerit plenus, eis cognata & consimilia eructat: sed quando sanus fuerit, ei quoque conuenientem edit eructationem.

2. Cor. 5.

Eructatio prophetia.

Ezech. 3.

Ioan. 3.

Confirmat simile.

cùm patres, aui, & proaui terram non A obtinuerint, sed alio & alio tempore consumpti sunt? Quia fuit facta patribus promissio. Veni, inquit, in terram, quam tibi ostendero, &, dabo tibi terram, & semini tuo. Cùm autem dixisset dexteram & brachium, quoniam paulò crassius meminit dictionum, vide quomodo attollit orationem, rursus subiungens, & dicens: Et illuminatio vultus tui, hoc est, defensio, prouidentia. Velle enim & adesse illis solum suffecerit. Deinde etiam causam: Quoniam complacuisti in eis. Hoc est, quoniam dilexisti eos, quoniam voluisti. B Res itaque quæ fiebant, erant gratiæ, non rectè factorum, nec id ex propria virtute assecuti sunt, sed ex Dei benignitate. *5. Tu es ipse rex meus & Deus meus, qui mandas salutes Iacob.* Alius, Manda de salute Iacob. Et quænam est hæc consequentia? Magna quidem cum his quæ dicta sunt. Quod enim dicit, est eiusmodi. Nos ab illis originem duximus: & tu Deus ille ipse es, qui & tunc, & nunc illa fecisti. Vndenam ergo est tanta mutatio? Non enim alius quidem ille Deus, tu verò alius, C sed tui idem ipse es. Neque verò rursus tu quidem es, ego verò alium Deũ mihi adscribo, sed tu es rex meus, & Deus meus. Ab imperio tuo non resiluimus, alium ducem non inscripsimus. Qui mandas salutes Iacob. Hoc est, & Deus idem, & eadem est prouidentia. Vndenam est ergo rerum mutatio? quis est ergo, qui mandat? qui præcipit, qui iubet Iacob vt seruetur. Hic rursus ostendit magnam auxilij facilitatem, & maximam potestatem. Sed neque parentis, nempe Iacob, temerè meminit, sed vt causam suam magis probet, eius virtutem adducit, volens D sibi Deum reddere propitium. *6. In te inimicos nostros ventilabimus cornu.* Et tu idem es, inquit, & prouidentia eadem, & nos nostra tibi ascribimus, & eisdem armis vsi sumus. Hoc enim sibi vult illud: In te inimicos nostros ventilabimus cornu. Alius autem dicit: Eos qui nos affligunt, cornu petemus. *Et in nomine tuo spernemus insurgentes in nos.* Alius, Conculcabimus. Quid, inquit, dico in te? Vel nomen tuum solum inuocare sufficit ad omnia egregiè peragenda. Non dixit enim vincemus, vel superabimus: sed, nihili ducemus,

Gen. 12.
Gen. 15.

A τῶν πατέρων, καὶ τῶν πάππων, καὶ τῶν ἐπιπάππων οὐ κατεσχηκότων τὴν γῆν, ἀλλ' ἐν ἑτέρῳ δαπανηθέντων καιρῷ; ὅτι πρὸς τοὺς πατέρας ἦν ἡ ὑπόσχεσις. δεῦρο γάρ, φησιν, εἰς τὴν γῆν, ἣν ἄν σοι δείξω, καὶ σοὶ δώσω τὴν γῆν, καὶ τῷ σπέρματί σου. εἰπὼν δὲ δεξιὰν καὶ βραχίονα, ἐπειδὴ παχυτέρων ἐμνήσθη λέξεων, ὅρα πῶς ἀνάγει τὸν λόγον, πάλιν ἐπάγων, καὶ λέγων· καὶ ὁ φωτισμὸς τοῦ προσώπου σου, ἡ ἀντίληψις, ἡ πρόνοια. τὸ γὰρ βουληθῆναι, τὸ παρεῖναι ἤρκεσε μόνον αὐτοῖς. εἶτα καὶ ἡ αἰτία· ὅτι ηὐδόκησας ἐν αὐτοῖς· ὅτι ἠγάπησας αὐτούς· ὅτι B ἠβουλήθης. ὥστε χάριτος ἦν, οὐ κατορθωμάτων τὰ πράγματα, οὐδὲ ἐξ οἰκείας ἀρετῆς ἐπέτυχον, ἀλλ' ἐκ τῆς τοῦ Θεοῦ φιλανθρωπίας. σὺ εἶ αὐτὸς ὁ βασιλεύς μου, καὶ ὁ Θεός μου, ὁ ἐντελλόμενος τὰς σωτηρίας Ἰακώβ. ἄλλος, ἔντειλαι περὶ τῆς σωτηρίας τοῦ Ἰακώβ. καὶ ποία αὕτη ἡ ἀκολουθία; πολλὴ μὲν πρὸς τὰ εἰρημένα. ὃ γὰρ λέγει, τοῦτό ἐστιν· ἡμεῖς ἐκείνων ἔκγονοι, καὶ σὺ ὁ Θεὸς ὁ αὐτὸς ὁ τότε καὶ νῦν ἐκεῖνα ἐργασάμενος· πόθεν οὖν ἡ τοσαύτη μεταβολή; οὐ γὰρ δὴ ἄλλος μὲν ἐκεῖνος ὁ Θεός, C ἄλλος δὲ σύ, ἀλλὰ σὺ εἶ ὁ αὐτός· οὐδὲ αὖ πάλιν σὺ μὲν εἶ ὁ αὐτός, ἐγὼ δὲ ἄλλον ἐπιγράφομαι Θεόν· ἀλλὰ σὺ εἶ ὁ βασιλεύς μου, καὶ ὁ Θεός μου· οὐκ ἀπεπηδήσαμέν σου τῆς ἀρχῆς, οὐκ ἐπεγραψάμεθα προστάτην ἕτερον. ὁ ἐντελλόμενος τὰς σωτηρίας Ἰακώβ. τουτέστι καὶ ὁ Θεὸς ὁ αὐτός, καὶ ἡ πρόνοια ἡ αὐτή· πόθεν οὖν ἡ μεταβολὴ τῶν πραγμάτων; τί δέ ἐστιν ὁ ἐντελλόμενος; ὁ κελεύων, ὁ παραγγέλλων σώζεσθαι τὸν Ἰακώβ. ἐνταῦθα πάλιν τὴν εὐκολίαν τῆς συμμαχίας παρίστησι, καὶ τὴν ἐξουσίαν τὴν πολλήν, D καὶ οὐδὲ ἁπλῶς τοῦ προγόνου μέμνηται· ἀλλ' αὐτὰ δικαιώματα τὴν ἀρετὴν αὐτοῦ προβάλλεται δυσωπῆσαι τὸν Θεὸν βουλόμενος. ἐν σοὶ τοὺς ἐχθροὺς ἡμῶν κερατιοῦμεν· καὶ σὺ ὁ αὐτός, καὶ ἡ πρόνοια ἡ αὐτή, καὶ ἡμεῖς σε ἐπιγραφόμεθα, καὶ τοῖς αὐτοῖς ὅπλοις κεχρήμεθα. τοῦτο γάρ ἐστιν· ἐν σοὶ τοὺς ἐχθροὺς ἡμῶν κερατιοῦμεν. ἄλλος δέ φησι, τοὺς θλίβοντας ἡμᾶς κερατιοῦμεν. καὶ τῷ ὀνόματί σου ἐξουδενώσομεν τοὺς ἐπανισταμένους ἡμῖν. ἄλλος φησί, συμπατήσομεν. τί λέγω, φησίν, ἐν σοί; ἀρκεῖ τὸ ὄνομά σου καλέσαι μόνον, καὶ πάντα ἀνύσαι μετ' ὑπερβολῆς. οὐδὲ γὰρ εἶπε κρατήσομεν, ἢ περιεσόμεθα, ἀλλ' ἐξουδενώσομεν,

οὐδὲ ἡγησόμεθα αὐτούς τι εἶναι φησὶν, οὐδὲ φοβηθησόμεθα· ἀλλ' ὡς οὐδὲν ὄντας διώξομεν, ὅπερ δηλῶν ἕτερος ἑρμηνευτὴς ἔλεγε· καταπατήσομεν, τὴν κατὰ κράτος νίκην, τὴν χωρὶς ἀγωνίας παράταξιν, τὴν χωρὶς φόβου μάχην δεικνύς. οὐ γὰρ ἐπὶ τῷ τόξῳ μου ἐλπιῶ, ἄλλος φησὶ, πέποιθα, καὶ ἡ ῥομφαία μου οὐ σώσει με. καὶ τίνος ἕνεκεν κέχρησαι τούτοις; τί δὲ καθοπλίζῃ, καὶ τόξον καὶ μάχαιραν μεταχειρίζῃ; ὅτι οὕτως ἐκέλευσεν ὁ Θεός· διὰ δὴ τοῦτο κέχρημαι μὲν αὐτοῖς, τὸ δὲ πᾶν ἐπ' αὐτὸν ῥίπτω· οὕτω πολεμεῖν τοῖς αἰσθητοῖς ἐχθροῖς ἐπαιδεύοντο ἀπὸ τῆς ἄνωθεν ῥοπῆς φραττόμενοι· οὕτω τοῖς νοητοῖς. καὶ σὺ τοίνυν ὅταν τῷ διαβόλῳ πολεμῇς, λέγε· οὐ τοῖς ὅπλοις μου θαρρῶ· τουτέστιν, οὐ τῇ ἐμῇ ἰσχύϊ, οὐδὲ ταῖς ἐμαῖς δικαιοσύναις, ἀλλὰ τῷ ἐλέει τοῦ Θεοῦ. οὕτω καὶ Δανιὴλ ἔλεγεν· οὐκ ἐν ταῖς δικαιοσύναις ἡμῶν ἐπιῤῥίπτομεν ἡμεῖς τὸν ἔλεον ἡμῶν ἔμπροσθέν σου. ἔσωσας γὰρ ἡμᾶς ἐκ τῶν θλιβόντων ἡμᾶς, καὶ τοὺς μισοῦντας ἡμᾶς κατῄσχυνας. ἄλλος, ὅτι ἔσωσας ἡμᾶς. τί δεῖ λέγειν τὰ παλαιά φησι καὶ τὰ τῶν προγόνων; ἡμεῖς αὐτοὶ πολλὰ τῆς σῆς προνοίας ἐνέχυρα ἔχομεν καὶ τρόπαια λαμπρὰ ἀπαριθμεῖν, καὶ νίκας ἐπαλλήλους καὶ θαυμαστὰς καὶ παραδόξους δυνάμεθα. διὰ γὰρ τοῦτο εἶπε κατῄσχυνας· οὐ γὰρ ἁπλῶς ἡμᾶς ἐξείλου, οὐδὲ ἁπλῶς ἐξήρπασας, ἀλλὰ μετὰ τῆς αἰσχύνης τῶν ἐπιόντων ἡμῖν. ἐν τῷ Θεῷ ἐπαινεσθησόμεθα ὅλην τὴν ἡμέραν· καὶ ἐν τῷ ὀνόματί σου ἐξομολογησόμεθα εἰς τὸν αἰῶνα. ἄλλος φησὶ, τὸν Θεὸν ὑμνοῦμεν κατὰ πᾶσαν ἡμέραν. τὰ μὲν γὰρ τῆς νίκης παρελήλυθε, τὰ δὲ τῆς εὐχαριστίας ἡμῖν μένει. ὅλην γὰρ τὴν ἡμέραν πᾶσαν λέγει τὴν ζωήν. οὐ γὰρ παυόμεθα ὑμνοῦντες καὶ ἐγκαλλωπιζόμενοί σου ταῖς συμμαχίαις. τοῦτο γὰρ ἡμῶν δόξα· τοῦτο καύχημα, ἐν τούτῳ πρὸς ἅπαντας φιλοτιμούμεθα· οὐχ ὅτι πόλιν ἔχομεν μεγάλην καὶ θαυμαστὴν, οὐδ' ὅτι πρῶτοι νικῶμεν, ὅτι ῥώμῃ σώματος περιγινόμεθα· ἀλλ' ὅτι Θεὸν ἔχομεν ἀληθῆ, ἐν τούτῳ καυχώμεθα· οὐχ ὅταν βοηθῇς ἡμῖν μόνον, ἀλλὰ καὶ ὅταν ἐγκαταλιμπάνῃς. τοῦτο γάρ ἐστιν ὅλην τὴν ἡμέραν· καθάπερ καὶ Παῦλος φησίν·

nec eos esse aliquid putabimus. Hoc enim sibi vult illud: In te inimicos nostros ventilabimus, & in nomine tuo nihili ducemus insurgẽtes in nos. Non enim existimabimus eos esse aliquid, nec perterrebimur, sed tanquam qui nihil sunt, persequemur. Quod significans alius interpres, dixit: Conculcabimus, per vim partam victoriam, instructam absque certamine aciem, pugnam sine metu ostendens. 7. *Non enim in arcu meo sperabo.* Alius, Confidam. *Et gladius meus non saluabit me.* Et quare his vsus es? Cur autem armaris, & arcum & gladium tractas? Quoniam ita iussit Deus noster, propterea eis vsus sum: vniuersum autem in eum conijcio, & eius arbitrio permitto. Ita docebantur bellare cum inimicis sensibilibus, superno auxilio muniti. Ita etiam cum iis, quos sola apprehendit intelligentia. Tu quoque quãdo aduersus diabolum bellum geris, dic ita: Non confido meis armis, hoc est, non meæ virtuti, nec meæ iustitiæ, sed Dei misericordiæ. Ita etiam dicebat Daniel. Non in iustitiis nostris prosternimus miserationem nos nostram ante te. 8. *Saluasti enim nos de affligentibus nos, & odientes nos confudisti.* Alius, Quia seruasti nos. Quid opus est, inquit, dicere vetera, & quæ facta sunt à maioribus? Nos, inquit, ipsi habemus multa pignora prouidentiæ, & gloriosa trophæa, frequentésque & admirabiles & incredibiles victorias enumerare possumus. Propterea enim dixit, & odientes nos confudisti, ostendens eum nõ solum nos liberasse, nec tantummodo eripuisse, sed cum magno dedecore eorum qui nos inuadebant. 9. *In Deo laudabimur tota die, & in nomine tuo confitebimur in sæculum.* Alius inquit, Deum laudamus toto die. Victoria quidem, inquit, præteriit, nobis autem manet gratiarum actio. Totum enim diem dicit, totam vitam. Non enim cessamus, inquit, tuum laudare & celebrare auxilium. Hæc est enim nostra gloria. Hac gloriatione in eo apud omnes nos iactamus, non quòd ciuitatem magnam habemus & admirabilem, nec quòd primi vincimus, nec quòd viribus corporis sumus superiores: sed quòd verum Deum habemus, in hoc gloriamur. Non solùm quando nobis bene vis, sed etiam quando relinquis. Hoc enim est, tota die: sicut etiam dicit Paulus:

Dan 9.18. Prosternimus preces ante faciem tuam.

Dies pro vita.

Gal.6.14. Mihi autem absit gloriari, nisi in cruce Christi. Nulla est enim, nulla, inquam, est alia eiusmodi gloria. Quocirca rursus dicit: Non solùm autem, sed etiam gloriantes in Deo. Nihil enim potest conferri cum hac gloriatione. Nemo ergo se iactet & glorietur propter diuitias, nemo propter ea quæ ad hanc vitam pertinent, sed propter hoc solùm, quòd habeat Deum dominum. Hoc est omni libertate melius, hoc est ipsis cœlis præstantius. *1.Cor.1. 2.Cor.10. A minori.* Si enim huius vel illius dici, gloriandi occasionem sæpe attulit apud homines: cogita quantam afferre gloriam Dei dici. Quocirca Paulus quoque hoc pro magna authoritate posuit, dicens: Qui autem Christi sunt, carnem crucifixerunt cum vitiis & cōcupiscentiis. *Gala.5.24.* Diapsalma. Alius, Semper. Hebræus autem *selah.* 10. *Nunc autem repulisti nos, & confudisti nos.* Alius, Tametsi repulisti nos. Alius, Sed ad hæc reiecisti. *Et non egredieris Deus in virtutibus nostris.* Alius, Et non progredieris in militiis nostris. Repulsionē enim statim pudor sequitur, & ad mala patienda esse omnibus expositum. Copias autem hîc appellat eorum exercitus, *Copia.* quandoquidē in eis est regis potentia: cùm Deus hoc summo consilio prouiderit, vt esset hoc principi, & iis qui eius reguntur imperio, vinculum. Nam & rex iis opus habet qui eius iussis pareant, & hi eo qui illis præsit: & alter alterius auxilio indiget. Ne aliqua enim esset arrogantia, effecit Deus vt magna sæpe paruis egerent. Hoc ipsum fecit etiam in rebus inanimis. *Doctrinam probat à minori.* Labantem enim columnam subiectus sæpe calculus firmam stabilémque præstitit, & nauigium in quo quamplurimi sunt vectores, paruus clauus dirigit, & liberat à periculis. Quid est autem, Tametsi repulisti nos? Licet, inquit, tot & tanta passi simus, à te non deficimus, te laudantes, gloria afficientes, & in te gloriantes. 11. *Auertisti nos retrò post inimicos nostros. Et qui oderunt nos, diripiebant sibi.* Alius, Posuisti nos extremos cuiusuis inimici. Vide quomodo mala verbis extollit, & calamitatem verbis amplificat, ostendens eos etiamsi essent peccatores, satis tamen pœnarum dedisse. Hoc etiā fecerunt pueri ex redundanti quadam copia, in fornace tunc canentes & dicentes: Tradidisti nos in manus *Dan.3.*

A ἐμοὶ δὲ μὴ γένοιτο καυχᾶσθαι, εἰ μὴ ἐν τῷ σταυρῷ τοῦ Χριστοῦ. οὐ γάρ ἐστιν, οὐκ ἔστιν ἑτέρα δόξα τοιαύτη. διὸ καὶ πάλιν ἔλεγεν, οὐ μόνον δέ· ἀλλὰ καὶ καυχώμενοι ἐν τῷ Θεῷ. οὐδὲν γὰρ ἴσον τούτου τοῦ καυχήματος. μηδεὶς τοίνυν ἐπὶ πλούτῳ μεγαφρονείτω· μηδεὶς ἐπί τινι τῶν βιωτικῶν, ἀλλ᾽ ἐπὶ τούτῳ μόνον, ἐπὶ τῷ τὸν Θεὸν ἔχειν δεσπότην. τοῦτο πάσης ἐλευθερίας ἄμεινον, τοῦτο τῶν οὐρανῶν αὐτῶν βέλτιον. εἰ γὰρ τὸ ἀκούειν τοῦ δεῖνος καὶ τοῦ δεῖνος καύχημα πολλάκις ἤνεγκε παρ᾽ ἀνθρώποις, ἐννόησον τὸ ἀκούειν B τοῦ Θεοῦ ἡλίκην φέρει δόξαν. διὸ καὶ ὁ Παῦλος ἀντὶ μεγάλου ἀξιώματος τέθεικε τοῦτο λέγων· οἱ δὲ τοῦ Χριστοῦ τὴν σάρκα ἐσταύρωσαν. διάψαλμα, ἄλλος ἀεί. ὁ δὲ Ἑβραῖος τοῦτο σέλα λέγει. νυνὶ δὲ ἀπώσω καὶ κατῄσχυνας ἡμᾶς. ἄλλος φησί, καίτοι ἀπώσω. ἄλλος, καί γε ἀπώσω. ἄλλος, ἀλλὰ πρὸς τούτοις ἀπέβαλου· καὶ οὐκ ἐξελεύσῃ ὁ Θεὸς ἐν ταῖς δυνάμεσιν ἡμῶν. ἄλλος, καὶ οὐ προέρχῃ ἐν ταῖς στρατεύσεσιν ἡμῶν. τῷ γὰρ ἀπωσμῷ αἰσχύνη εὐθέως ἕπεται, καὶ τὸ πᾶσι προκεῖσθαι πρὸς τὸ πάσχειν C κακῶς. δυνάμεις δὲ ἐνταῦθα τὰ στρατόπεδα αὐτῶν καλεῖ, ἐπειδὴ ἐν αὐταῖς ἡ τοῦ βασιλέως δύναμις· καὶ τοῦτο καλῶς τοῦ Θεοῦ οἰκονομήσαντος, ὥστε σύνδεσμον εἶναι τῷ ἄρχοντι καὶ τοῖς ἀρχομένοις. ὅ τε γὰρ βασιλεὺς δεῖται τῶν ὑπηκόων, καὶ οὗτοι τοῦ προεστῶτος, καὶ ἀλλήλων ἐν χρείᾳ καθεστήκασι πολλῇ. ὥστε γὰρ μὴ εἶναι τινὰ ἀπόνοιαν, τὰ μεγάλα πολλάκις τῶν μικρῶν δεῖσθαι ὁ Θεὸς παρεσκεύασε. τοῦτο καὶ ἐπὶ τῶν ἀψύχων ἐποίησε. πολλάκις γοῦν κίονα σαλευόμενον ψηφὶς ὑποτεθεῖσα ἔστησε, καὶ μυριάγω- D γον πλοῖον μικρὸν πηδάλιον ἰθύνει, καὶ κινδύνων ἀπαλλάττει. τί δέ ἐστι· καίτοι ἀπώσω ἡμᾶς; ὅτι καὶ τοιαῦτα παθόντες οὐκ ἀφιστάμεθά σου, δοξολογοῦντες, ὑμνοῦντες, ἐν σοὶ καλλωπιζόμενοι. ἀπέστρεψας ἡμᾶς εἰς τὰ ὀπίσω παρὰ τοὺς ἐχθροὺς ἡμῶν. καὶ οἱ μισοῦντες ἡμᾶς διήρπαζον ἑαυτοῖς. ἄλλος φησίν, ἔταξας ἡμᾶς ἐσχάτους παντὸς ἐναντίου. ὅρα πῶς ἐπαίρει τὰ δεινὰ τῷ λόγῳ, καὶ ἐκτραγῳδεῖ τὴν συμφοράν, δεικνύς, ὅτι εἰ καὶ ἁμαρτωλοὶ σφόδρα ἦσαν, δίκην δεδώκασιν ἱκανήν. τοῦτο καὶ οἱ παῖδες ἐκ περιουσίας ποιοῦσιν ἐν τῇ καμίνῳ τότε ᾄδοντες, καὶ λέγοντες· παρέδωκας ἡμᾶς εἰς χεῖρας

ἐχθρῶν ἀνόμων ἐχθίστων ἀποστατῶν, καὶ βασιλεῖ ἀδίκῳ καὶ πονηροτάτῳ παρὰ πᾶσαν τὴν γῆν. καὶ πάλιν· ἐσμικρύνθημεν παρὰ πάντα τὰ ἔθνη, καὶ ἐσμὲν ταπεινοὶ ἐν πάσῃ τῇ γῇ. τοῦτο καὶ ἐνταῦθα δηλοῖ μονονουχὶ λέγων· πάντων γεγόναμεν ἀτιμότεροι, ἐπειδὴ τῆς σῆς ἐγυμνώθημεν προνοίας, καὶ οὐδὲ μέχρι τούτων ἔστη τὰ δεινὰ, ἀλλὰ καὶ νομὴ γεγόναμεν τοῖς πολεμίοις κατ' ἐξουσίαν ἡμᾶς διανεμομένοις. τοῦτο γάρ ἐστι· διήρπαζον ἑαυτοῖς οὐδενὸς ὄντος τοῦ κωλύοντος· ἔδωκας ἡμᾶς ὡς πρόβατα βρώσεως, καὶ ἐν τοῖς ἔθνεσι διέσπειρας ἡμᾶς. ἄλλος φησὶν, ἐλίκμησας ἡμᾶς. τί ἐστιν ὡς πρόβατα βρώσεως· εὐεπιχείρητους ποιήσας, εὐτελεῖς δείξας. ἔστι γὰρ πρόβατα κτήσεως τὰ πρὸς γονὴν ἐπιτήδεια, τὰ δὲ διὰ τὸ γῆρας ἢ τὸ ἄγονον, εἰς βρῶσιν μόνον ἐστὶ χρήσιμα, καὶ τὸ δὴ χαλεπώτερον τὸ καὶ εἰς τὰ ἔθνη διασπαρῆναι, ὃ πάντων αὐτοῖς βαρύτερον ἦν, τὸ μηδὲ τὸν νόμον δύνασθαι μετ' ἀκριβείας φυλάττειν ἐκεῖ, καὶ τῆς πατρῴας ἐκπεπτωκέναι πολιτείας. καὶ οὐδὲ εἰς ἓν ἔθνος· ἀλλὰ πανταχοῦ φησι, καὶ πρὸς ἓν μόνον ἐσμὲν ἕτοιμοι τὸ πάσχειν κακῶς, ἀμύνεσθαι δὲ ἢ ἀνταίρειν χεῖρας οὐδὲ ἰσχύομεν. τοῦτο γὰρ ἡ τῶν προβάτων εἰκὼν δηλοῖ, ἀπέδου τὸν λαόν σου ἄνευ τιμῆς. ἄλλος φησὶν, ἐν οὐχ ὑπάρξει. ἄλλος, οὐχ ὑπάρξεως· καὶ οὐκ ἦν πλῆθος ἐν τοῖς ἀλλάγμασιν ἡμῶν. ἄλλος φησί· καὶ οὐ πολλὴν ἐποίησας τὴν τιμὴν αὐτῶν· ὃ δὲ λέγει τοιοῦτόν ἐστι. καὶ γὰρ σφόδρα ἀσαφὲς εἶναι δοκεῖ τὸ ῥητὸν, ἀλλὰ προσέχετε, ἵνα μετὰ συνέσεως ψάλλητε. τί οὖν ἐστι τὸ λεγόμενον; τὸ εὐτελὲς αὐτῶν καὶ οὐδαμινὸν παρίστησιν ὡς οὐδενὸς ὄντας ἀξίους, ὡς εὐώνους καὶ εὐκαταφρονήτους οὕτως ἡμᾶς εἴασας. καὶ τοῦτο ἀπὸ τῆς συνηθείας τῆς ἀνθρωπίνης φησίν. ἔθος γὰρ ἡμῖν τὰ ἄτιμα καὶ τὰ εὐτελῆ καὶ ἄνευ τιμῆς διδόναι· ὧν δὲ πολὺς ἡμῖν ὁ λόγος, κἂν ἀποδώμεθα, πολλῆς ἀποδιδόμεθα τιμῆς· ὧν δὲ οὐ πολὺς λόγος ἡμῖν, ταῦτα καὶ δωρεὰν παρέχομεν· τῶν γοῦν οἰκετῶν τινὲς ἀγοράσαντες οἱ μὲν τῆς ἡμισείας τιμῆς· οἱ δὲ τούτους ἀπέδοντο μὴ λαβόντες μηδέν. εἰ δὲ τοῦ ἐλάττονος παραχωρῆσαι τιμῆς δείκνυσι τὴν εὐτέλειαν τοῦ πιπρασκομένου· τὸ μηδὲ τιμὴν λαβεῖν, ἀλλ' ἄνευ τιμῆς, πολλῷ μᾶλλον τοῦτο οὖν φησιν· ὥσπερ ἂν εἴ τις

A inimicorum nostrorum pessimorum, præuaricatorúmque, & regi iniusto, & pessimo vltra omnem terram. Et rursus: Imminuti sumus plus quàm omnes gentes, sumúsque humiles in vniuersa terra. Hoc ipsum hîc quoque significat propemodum dicens: Omnibus hominibus viliores & abiectiores redacti sumus, quandoquidem sumus tua nudati prouidentia: & nec eousque quidem mala nostra steterunt, sed etiam præda facti sumus inimicis, qui nos suo arbitrio diuidebant. Hoc enim sibi vult: Diripiebant sibiipsis, hoc est, nullo pro- B hibente. 12. *Dedisti nos tanquam oues escarum, & in gentibus dispersisti nos.* Alius, Ventilasti, aut cribrasti nos. Quid est, tanquam oues deuorationis? Id est, Fecisti nos, inquit, ad inuadendum facillimos, nos viles esse ostendens. Sunt enim aliquæ oues acquisitionis, quæ sunt aptæ ad generandũ: sunt verò aliæ, quæ propter senium, vel propter sterilitatẽ sunt tantum vtiles ad comedendum. Et id quod est acerbissimum, & omnium grauissimũ, nempe in gentes esse dispersos, illis eò erat grauius, quòd ne legem quidem possent illic accuratè & perfectè C seruare, & quòd à patriæ reipublicæ institutis excidissent. Et nõ in vnam gentem, sed vbique, inquit, dispersi sumus, & ad vnũ solum, nẽpe malè patiẽdum, parati sumus: vlcisci autem, aut manus extollere nõ possumus. Hoc enim significat similitudo ouiũ. 13. *Vendidisti populũ tuum sine pretio.* Alius, In non substantia. Alius, Non substãtiæ. *Et nõ fuit multitudo in cõmutationibus nostris.* Alius, Et nõ multũ fecisti pretiũ eorũ: quod autẽ ait est eiusmodi. Videtur enim dictũ esse valde obscurum: sed attendite, vt psallatis D cũ intelligentia. Quid est ergo quod dicitur? Quàm sint viles & abiecti ostẽdit, nempe nullius pretij. Tanquã vilis, inquit, pretij, abiectósq; & contemnẽdos nos dimisisti. Hoc autẽ dicit more humano. Solemus enim quæ parui fiũt, & sunt vilia, dare vel sine pretio. Quæ autem magni facimus, ea si vẽdamus, magno pretio vẽdimus: quæ verò parui, ea vel gratis damus. Improbos itaq; seruos alij quidem dimidio pretio, alij verò nullo accepto pretio vendiderunt. Si minori autem pretio tradere, ostendit quàm sit vile quod venditur: nullo dato pretio accipere, sed sine pretio, multò magis. Hoc ergo dicit, Perinde ac si

Ibidem.

Ab ouibus ducta similitudo.

Ex collatione confirmatio.

homo quispiam rebus suis cedat sine pretio, ita etiam ipse nos tanquam nullius pretij dimisisti, nos valde contempsisti. Hoc itaque significat etiam per id quod subiungit: Et non fuit multitudo in commutationibus nostris. Hoc est, In emptione nostra. Et ideo dicit alius, In appretiatione nostra. Pretium enim est, quæ datur permutatio. Sæpe enim seruum damus, & aurum vel argentum accipimus. 14. *Posuisti nos in opprobrium vicinis nostris, subsannationem & derisum his qui in circuitu nostro sunt.* Alius dicit, Pompã iis qui in circuitu nostro sunt. 15. *Posuisti nos in similitudinem in gentibus.* Graue est hoc supplicium & intolerabile, ab impiis maximè probris affici, ab inimicis hæc pati, esse circumcirca qui eis insultent, & eos vndiquaque circumiri ab iis qui probra ingerunt. Quid est autem parabola? Narratio, probrum. Erant enim circumcirca quidam scelerati, nulloque sensu præditi, qui non solùm non miserebantur, sed probris etiam & contumeliis afficiebant, quod eos maximè angebat. Mihi autem videtur hic dicere Arabes, qui prope eos habitabant. *Commotionẽ capitis in populis.* Alius, Transmotionem. Hebræus autem *matnoud.* Vel hoc ergo dicit, Transmouisti nos. Vel per gestum motus capitis, ostendit valdè lætantis insolentiam. 16. *Tota die verecundia mea contra me est.* Alius, Ignominia mea. *Et confusio faciei meæ cooperuit me, à voce exprobrantis & obloquentis.* Alius, Et maledicentis. *A facie inimici & persequentis.* Hæc supplicia eos magis cruciabant. Quoniam enim eis semper & assiduè eueniebant res secundæ, & hostes vincebant, omnium tunc ora aperta sunt cùm ipsi cecidissent, afflictique & prostrati essent: & nec respirare quidem poterant, sed perpetuum supplicium expectabant. 18. *Hæc omnia venerunt super nos, nec obliti sumus te: & iniquè non egimus in testamento tuo.* Alius, Nec fraudem fecimus pacto tuo. Nos, inquit, aliis contraria via ingressi sumus. Illi enim, antequam res vllæ aduersæ euenissent, prostrati sunt: nos autem etiam post res aduersas grauésque calamitates, firmo & immobili animo constitimus. Hæc autẽ dicunt, vt bono sint animo, & bonam spem concipiant qui cum eis sunt,

Symmachus.

A ἄνθρωπος αὐτῶν τιμῆς ἐκσταίη τῶν αὐτοῦ, οὕτω καὶ αὐτὸς ὡς ἀτίμους ἡμᾶς εἴασας, κατεφρόνησας ἡμῶν σφόδρα. τοῦτο γοῦν καὶ ἐν τῇ ἐπαγωγῇ δηλοῖ εἰπών· καὶ οὐκ ἦν πλῆθος ἐν τοῖς ἀλλάγμασιν ἡμῶν. τουτέστιν, ἐν τῇ ὠνῇ ἡμῶν. διὸ καὶ ἕτερός φησιν, ἐν τῇ τιμήσει ἡμῶν. τουτέστιν ἐν τῇ πράσει ἡμῶν. ἡ γὰρ τιμὴ, ἄλλαγμά ἐστι. δίδομεν γὰρ οἰκέτην πολλάκις, καὶ λαμβάνομεν ἀργύριον καὶ χρυσίον. ἔθου ἡμᾶς ὀνειδισμὸν τοῖς γείτοσιν ἡμῶν, μυκτηρισμὸν καὶ χλευασμόν. ἄλλος λέγει, πομπὴν τοῖς κύκλῳ ἡμῶν. ἔθου ἡμᾶς εἰς παραβολὴν ἐν τοῖς ἔθνεσι. B χαλεπὴ αὕτη τιμωρία καὶ ἀφόρητος μάλιστα τὸ παρὰ τῶν ἀσεβῶν ὀνειδίζεσθαι, τὸ παρ' ἐχθρῶν ταῦτα πάσχειν, καὶ κύκλῳ περικεῖσθαι τοὺς ἐπεμβαίνοντας αὐτοῖς καὶ πανταχόθεν αὐτοὺς περιβεβλῆσθαι ὑπὸ τῶν ὀνειδιζόντων· τί δέ ἐστι παραβολή; διήγημα ὄνειδος. καὶ γὰρ μιαροί τινες, καὶ ἀναίσθητοι ἦσαν οἱ κύκλῳ οὐ μόνον οὐκ ἐλεοῦντες, ἀλλὰ καὶ ὀνειδίζοντες, ὃ δὴ μάλιστα αὐτοὺς ἔδακνεν· ἐνταῦθα δέ μοι τοὺς Ἄραβας λέγειν δοκεῖ, τοὺς ἐγγύτερον αὐτοῖς οἰκοῦντας. κίνησιν κεφαλῆς ἐν τοῖς λαοῖς. ἄλλος φησὶ, μεC τακίνημα· ὁ δὲ Ἑβραῖος μαλνουδ. ἢ τοῦτό φησιν, ὅτι μετεκίνησας ἡμᾶς, ἢ διὰ τοῦ σχήματος τῆς κινήσεως τῆς κεφαλῆς, τοῦ σφόδρα ἐφηδομένου τὴν παροινίαν ἐνδείκνυται. ὅλην τὴν ἡμέραν ἡ ἐντροπή μου κατεναντίον μού ἐστι. ἄλλος φησὶν, ἡ ἀσχημοσύνη μου· καὶ ἡ αἰσχύνη τοῦ προσώπου μου ἐκάλυψέ με, ἀπὸ φωνῆς ὀνειδίζοντος καὶ καταλαλοῦντος. ἄλλος φησὶ, καὶ βλασφημοῦντος. ἀπὸ προσώπου ἐχθροῦ καὶ ἐκδιώκοντος. ταῦτα τῶν τιμωριῶν μᾶλλον αὐτοὺς ἔδακνεν. ἐπεὶ γὰρ ἀεὶ καὶ συνεχῶς εὐηD μερίας ἀπήλαυον, καὶ τῶν πολεμίων ἐκράτουν, τὰ πάντων τότε ἠνοίχθη στόματα πεσόντων αὐτῶν καὶ ὑποσκελισθέντων, καὶ οὐδὲ ἀνακύψαι εἶχον, ἀλλὰ διηνεκῆ τιμωρίαν ὑπέμενον. ταῦτα πάντα ἦλθεν ἐφ' ἡμᾶς, καὶ οὐκ ἐπελαθόμεθά σου, καὶ οὐκ ἠδικήσαμεν ἐν διαθήκῃ σου. ἄλλος, οὐδὲ παρελογισάμεθα τὴν συνθήκην σου· ἀπεναντίας τοῖς ἄλλοις φησὶν, ἡμεῖς ἤλθομεν. ἐκεῖνοι μὲν γὰρ καὶ πρὸ τῶν δεινῶν ὑπεσκελίσθησαν· ἡμεῖς δέ φησι καὶ μετὰ τὰ δεινὰ ἑστήκαμεν ἀπερίτρεπτον τὴν γνώμην ἔχοντες. ταῦτα δὲ λέγουσιν εὐέλπιδας ποιοῦντες τοὺς ὄντας

μετ' αὐτῶν. διὰ δὴ τοῦ Δανιὴλ καὶ τῶν τριῶν παίδων λεγόντων· ἡμάρτομεν, ἠνομήσαμεν· οὗτοι λέγουσιν· οὐκ ἠδικήσαμεν ἐν διαθήκῃ σου, ἐπαίροντες τὰ φρονήματα τῶν συστρατιωτῶν. εἰ γὰρ τὰ μέγιστα πεπόνθαμεν φησί, καὶ ἔγγονοι τῶν τὰ μεγάλα εὐηργετημένων ἐσμέν, καὶ ἐν ταῖς συμφοραῖς οὐκ ἐξεκλίναμεν, πολλῆς σωτηρίας ἡμῖν ἔσται ἐλπίς. ὅπερ οὖν ἐξ ἀρχῆς ἔλεγον, τοῦτο καὶ νῦν φημι, ὅτι ἐν εὐχῆς τάξει τὰ φρονήματα αὐτῶν ἀλείφουσιν, ὡσανεὶ πρὸς αὐτοὺς ἔλεγον· τίνος ἕνεκεν ἀπεγνώκατε τῆς σωτηρίας; Θεὸν ἔχομεν τὸν προϊστάμενον ἡμῶν· εἰ καί τι ἡμῖν ἡμάρτηται, δίκην ἔδομεν ἱκανήν· ἐν τοῖς πειρασμοῖς ἔστημεν γενναίως· τὸν ἀεὶ καὶ ἁμαρτωλῶν προϊστάμενον ὁδηγὸν ἔχομεν, διὰ πάντοθεν δεῖ τὸ τέλος προσδοκᾶν χρηστόν. τί δέ ἐστιν, οὐκ ἠδικήσαμεν ἐν διαθήκῃ σου; τουτέστιν, οὐκ ἠδικήσαμεν περὶ ταῦτα, ἃ ἐπιστεύθημεν, ἀλλ' ἐφυλάξαμεν μετ' ἀκριβείας. καὶ γὰρ μεγίστη ἀδικία ἐστίν, ὅταν τὸν νόμον τις παραβαίνῃ τὸν ἀμυνόντα, τὸν οὐκ ἐῶντα οὐδὲ παρὰ τῶν πλησίον ἀδικεῖσθαι, καὶ τὴν κακίαν κωλύοντα· ὅταν περὶ τὸν τοσαῦτα παρέχοντα ἀγαθὰ ἀγνωμονῇ. Καὶ οὐκ ἀπέστη εἰς τὰ ὀπίσω ἡ καρδία ἡμῶν. ἄλλος φησίν, οὐκ ἀπεχώρησε. Καὶ οὐκ ἐξέκλινας τὰς τρίβους ἡμῶν ἀπὸ τῆς ὁδοῦ σου. ἄλλος φησίν, οὐδὲ μετεκλίθη τὰ ἀνορθοῦντα ἡμᾶς. ἄλλος, καὶ οὐκ ἀπεστράφη εἰς τὰ ὀπίσω ἡ καρδία ἡμῶν, καὶ ἔκλινε βήματα ἡμῶν, ὅπερ ἔμπροσθεν εἴρηκε, τοῦτο καὶ ἐνταῦθα λέγει, ὅτι ἐν τοσούτῳ κλύδωνι κακῶν οὐδὲ μικρὸν παρεσαλεύθησαν. ὥσπερ γὰρ ὁ νόμος εἰς τὰ ἔμπροσθεν ἄγει· οὕτως ἡ παρανομία εἰς τὰ ὀπίσω μεθίστησι, καὶ ὥσπερ ὁ νόμος τὴν ὀρθὴν ὁδὸν βαδίζειν κελεύει· οὕτως ἡ παρανομία πρὸς τὴν ἔρημον καὶ ἄβατον τὸν ἄνθρωπον μεθίστησιν. ὁδὸν οὖν, τὸν νόμον φησὶν ἐνταῦθα· τὸ δὲ ἐξέκλινας, ὅπερ οἱ ἄλλοι λέγουσιν, οὐδὲ μετεκλίθη τὰ ἀνορθοῦντα ἡμᾶς ἀπὸ τῆς ὁδοῦ σου, ὁ Ἑβραῖος φησίν· οὐαθὲτ ἀσυραινοῦ μιμιεραχ· εἰ δὲ κατὰ τοὺς ἑβδομήκοντα βουληθείη τις ἑρμηνεῦσαι, καὶ οὐ κατὰ τοὺς ἄλλους, τὸ ἐξέκλινας τὰς τρίβους ἡμῶν ἀπὸ τῆς ὁδοῦ σου τοῦτό ἐστιν ὅτι ἀπῴκισας τοῦ ναοῦ σου, καὶ ἐν ἀλλοτρίᾳ εἶναι πεποίηκας· ὅπερ οὐκ εἴα τὰς λατρείας ἐπιτελεῖσθαι. ὅτι ἐταπείνωσας ἡμᾶς

A hortantes. Et ideo cùm Daniel & tres pueri dicunt: Peccauimus, iniustè fecimus: hi dicunt: Non iniquè egimus in testamento tuo: commilitonum animos & spiritus excitantes. Si enim, inquit, maxima passi sumus, & ab eis originem ducimus, qui magnis affecti sunt beneficiis, & in calamitatibus minimè declinauimus, spes est nobis magnæ salutis. Quod ergo dixi à principio, hoc quoque nunc dico, quòd loco orationis eis addunt animos, perinde ac si eis dicerent: Quanam de causa spem salutis abiecistis? Deum habemus qui nos defendit: & si quid pec- B cauimus, satis pœnarum pendimus: in tentationibus fortiter restitimus: eum qui peccatorum semper curam gerit, viæ ducem habemus, & ideo bonus exitus est nobis omnino expectandus. Quid est autem: Non iniquè fecimus in testamento tuo? Hoc est, non iniquè nos gessimus in iis quæ nobis credita sunt, sed ea perfectè custodiuimus. Est enim maxima iniquitas, quando quis transgreditur legem quæ vindicat, quæ non sinit vt vel à propinquis iniuria afficiamur, & vitium prohibet, C quando quis est ingratus in eum qui tot nobis bona præbet. 19. *Et non recessit retro cor nostrum.* Alius, Non abscessit. *Et non declinasti semitas nostras à via tua.* Alius, nec inclinata sunt quæ nos erigunt. Alius, Et non auersum est retro cor nostrum, nec declinarunt gressus nostri à via tua. Quod prius dixit, hoc etiam hîc dicit, quòd in tantis malorum fluctibus ne tantillum quidem labarunt. Pulchrè autem sic dicit. Quemadmodum enim lex ducit in anteriora, ita iniquitas retro statuit: & quemadmodum lex iubet re- D cta via ingredi, ita etiam iniquitas traducit hominem in locum desertum & inaccessum. Viam ergo hîc dicit legem. Illud autem, declinasti, quod alij dicunt, Nec inclinata sunt quæ nos erigunt, à via tua: Hebræus dicit, *vathet adschurenu mini archeca.* Si quis autem velit sequi interpretationem Septuaginta, & non aliorum, illud, Declinasti semitas nostras à via tua, hoc est, procul à templo tuo nos collocasti, & in aliena terra fecisti habitare, quod non permittebat, vt tuus cultus perageretur. 20. *Quoniam humiliasti nos*

Dan 3.

A contrariis expositio.

Antithesis ex collatione.

Via, lex.

in loco afflictionis. Alius, in loco inhabitato. Alius, In loco Sirenum. *Et cooperuit nos vmbra mortis.* Alius, Obstruxisti nos. Hæc mihi esse videtur redditio, eò quòd superius dictum sit, vbi mala narrabant dicentes: Et confusio faciei meæ cooperuit me, à voce exprobrantis & obloquentis, quoniam humiliasti nos: si quis ita acceperit vt referatur ad illud, Declinasti semitas nostras à via tua: habet hic consequentiam conuenientem sensus quem diximus. Significat enim quomodo eos à viis suis repulerit, legibus inquam & institutis, quòd eos in loca deserta abduxerit, & inter inimicos dimiserit. Hoc enim significat illud: Cooperuit nos vmbra mortis, pericula dicens, quę mortem pariũt, & quibus mors est proxima, quemadmodum dolores mortis, & inferorũ portas vocat scriptura. Ineuitabilia autẽ esse mala hic per vmbrã & operimẽtum ostẽdit, & quæ nec vllã liberationẽ, & ne minimã quidẽ inuenire possint respirationẽ. 21. *Si obliti sumus nomen Dei nostri, & si expandimus manus nostras ad Deum alienum: 22. Nunquid Deus requiret ista? Ipse enim nouit abscondita cordis.* Hoc est bonorum seruorum, malè patientes dominum colere & obseruare. Hæc sunt documẽta philosophiæ. Hic etiam docent auditores non simulare, sed Deum toto corde adorare. Nouit enim, inquit, abscondita cordis. Hæc autem dicunt, eos terrentes, ne quid Deo indignum cogitent. Vide autem magnum virtutis incrementum: subiungit enim dicens: *Quoniam propter te mortificamur tota die: æstimati sumus sicut oues occisionis.* Magnum est enim & manere Dei cultores, & ad alium non defecisse: multò autem maius est, cùm mors assiduè, & quotidiana pericula immineant, talem conseruare dilectionem. Considera autem quantum sit genus philosophiæ, cùm ipse quoque Paulus eo vtatur, Apostolicorum periculorum procellas enumerans in epistola ad Romanos. Quot ergo hi coronis digni fuerint, quando in veteri ad eandem mensuram certaminum, quæ suscipienda erant in nouo, peruenerint? Quod enim dicit Paulus, Quotidie morior, hi hoc quoque, non experientia, nec euentu, sed animo.

Vmbra mortis. — *Rom. 8.* — *1. Cor. 15.*

A ἐν τόπῳ κακώσεως. ἄλλος φησὶν, ἀοικήτῳ. ἄλλος, ἐν τόπῳ Σειρήνων. καὶ ἐπεκάλυψεν ἡμᾶς σκιὰ θανάτου. ἄλλος λέγει, ἐπώμασας ἡμᾶς. αὕτη μοι δοκεῖ ἡ ἀνταπόδοσις πρὸς τὰ ἄνω εἶναι, ἐν οἷς τὰ κακὰ διηγοῦνται λέγοντες, ἡ αἰσχύνη τοῦ προσώπου μου ἐκάλυψέ με· ἀπὸ φωνῆς ὀνειδίζοντος καὶ καταλαλοῦντος· ὅτι ἐταπείνωσας ἡμᾶς· εἰ μέντοι πρὸς τὸ ἐξέκλινας τὰς τρίβους ἡμῶν ἀπὸ τῆς ὁδοῦ σου· λάβοι τις αὐτὸ, ἐνταῦθα ἀκολουθίαν ἔχει κατὰ τὴν ἔννοιαν, ἣν εἰρήκαμεν· δηλοῖ γὰρ πῶς ἐκ τῶν τρίβων αὐτοὺς ἀπώσατο αὐτοῖς· τῆς πολιτείας λέγω B καὶ τῶν νομίμων· τὸ εἰς τόπους ἐρήμους ἐπαγαγεῖν, καὶ μεταξὺ πολεμίων ἀφεῖναι. τοῦτο γάρ ἐστι τὸ ἐκάλυψεν ἡμᾶς σκιὰ θανάτου· τοὺς κινδύνους λέγων τοὺς θάνατον τίκτοντας, καὶ ὧν πλησίον οἱ θάνατοι, ὥσπερ καὶ ὠδῖνας θανάτου καὶ πύλας ᾅδου ἡ γραφὴ καλεῖ, καὶ τὸ ἄφυκτον τῶν δεινῶν διά τε τῆς σκιᾶς, καὶ τῆς ἐπικαλύψεως ἐνταῦθα παρέστησεν. οὐδὲ μὴν τινα διαφυγεῖν εὑρεῖν, οὐδὲ ἀναπνοὴν μικρὰν δυνάμενα· εἰ ἐπελαθόμεθα τοῦ ὀνόματος τοῦ Θεοῦ ἡμῶν, καὶ εἰ διεπετάσαμεν τὰς χεῖρας ἡμῶν πρὸς Θεὸν C ἀλλότριον, οὐχὶ ὁ Θεὸς ἐκζητήσει ταῦτα; αὐτὸς γὰρ γινώσκει τὰ κρύφια τῆς καρδίας. τοῦτο οἰκετῶν εὐγνωμόνων τὸ κακῶς πάσχοντας μένειν τὸν δεσπότην θεραπεύοντας· ταῦτα φιλοσοφίας διδάγματα· ἐνταῦθα καὶ τοὺς ἀκούοντας παιδεύουσι μὴ ὑποκρίνεσθαι, ἀλλ' ἐν ὅλῃ καρδίᾳ τὸν Θεὸν θεραπεύειν. οἶδε γάρ, φησι, τὰ ἀπόρρητα τῆς διανοίας. ταῦτα δὲ λέγουσι φοβοῦντες αὐτοὺς, ὥστε μηδὲν λογίσασθαι ἀνάξιον Θεοῦ. ὅρα καὶ τὴν ἐπίδοσιν ἀρετῆς πολλήν· ἐπάγει γὰρ λέγων· ὅτι ἕνεκά σου θανατούμεθα ὅλην τὴν ἡμέραν· ἐλογί- D σθημεν ὡς πρόβατα σφαγῆς. μέγα μὲν γὰρ καὶ τὸ μένειν θεραπεύοντας τὸν Θεὸν, καὶ μὴ πρὸς ἕτερον ἀποπηδῆσαι· τὸ δὲ πολλῷ μεῖζον τὸ συνεχῶν θανάτων καὶ καθημερινῶν κινδύνων ἐπικειμένων διατηρεῖν τὴν τοιαύτην ἀγάπην. καὶ ἐννόησον ὅσον φιλοσοφίας εἶδος ἐστίν· ὅπου γε καὶ ὁ Παῦλος αὐτῷ κέχρηται, τὰς νιφάδας τῶν ἀποστολικῶν κινδύνων ἀπαριθμούμενος ἐν τῇ πρὸς Ῥωμαίους ἐπιστολῇ. πόσων οὖν ἂν εἶεν ἄξιοι στεφάνων οὗτοι, ὅταν ἐν τῇ παλαιᾷ φαίνωνται πρὸς τὸ αὐτὸ μέτρον φθάσαντες τῶν ἐν τῇ καινῇ ἀγωνισμάτων; ὃ γὰρ φησὶν ὁ Παῦλος καθ' ἡμέραν ἀποθνήσκω, τοῦτο καὶ οὗτοι, οὐχὶ τῇ πείρᾳ, οὔτε τῷ τέλει, ἀλλὰ τῇ

γνώμη. Διὰ τί δέ φησιν, ἕνεκέν σου; ὅτι ἐξῆν ἡμῖν φησι μετατάξασθαι καὶ ἀφεῖναι τὴν πατρῴαν πολιτείαν, καὶ εἶναι ἐν ἀσφαλείᾳ· ἀλλ' αἱρούμεθα πάσχειν κακῶς μᾶλλον καὶ τὰ πατρῷα φυλάττειν, ἢ εἰρήνης ἀπολαύειν μετὰ τὸ τῶν πατρῴων ἐκπεσεῖν. ἐλογίσθημεν ὡς πρόβατα σφαγῆς· οὕτως ἡμᾶς εὐκόλως ἀναιροῦσιν. ἐνταῦθα δὲ καὶ τὴν ἐπιείκειαν αὐτῶν ἐνδείκνυται. ἀλλ' ὅμως οὕτως εὐκόλως προκείμενοι μένομεν, ἀπερίτρεπτον τὴν γνώμην ἔχοντες. ἐνταῦθα καὶ τοῦ Θεοῦ τὴν δύναμιν ἄξιον ἐκπλαγῆναι, ὅτι τοὺς οὕτω προκειμένους ὡς πρόβατα σφαγῆς διετήρησε, καὶ καθ' ἡμέραν ἀποθνήσκοντας οὐκ ἀφῆκεν ἐμπεσεῖν εἰς θάνατον. ἐξεγέρθητι, ἵνα τί ὑπνοῖς κύριε; ἄλλος φησίν, ἵνα τί ὡς ὑπνῶν εἶ; ἄλλος, ἐξυπνίσθητι. ἄλλος, ἐξύπνησον. ἀνάστηθι καὶ μὴ ἀπώσῃ εἰς τέλος· ἵνα τί τὸ πρόσωπόν σου ἀποστρέφεις; ἕτερος· κρύπτεις· ἐπιλανθάνῃ τῆς πτωχείας ἡμῶν, καὶ τῆς θλίψεως ἡμῶν· ἄλλος τῆς κακίας ἡμῶν. ὃ δὲ λέγει τοιοῦτόν ἐστι. δύνασαι λῦσαι τὰ κακά· οὐδὲ γὰρ παρὰ ἀσθένειαν σὴν ταῦτα γίνεται, ἀλλὰ παρὰ τὴν συγχώρησιν. ὕπνον γὰρ ἐνταῦθα τὴν ἡσυχίαν φησί, καὶ ἀνάστασιν, τὴν ἀνταπόδοσιν, καὶ πρόσωπον τὴν ἀντίληψιν, τὴν πρόνοιαν, τὴν κηδεμονίαν, τὴν συμμαχίαν. ἵνα τί ἐπιλανθάνῃ τῆς πτωχείας ἡμῶν; ὅρα πάλιν εὐγνωμοσύνην. οὐκ εἶπε τῶν κατορθωμάτων· οὐκ εἶπε τῆς ἀπεριτρέπτου γνώμης· οὐκ εἶπε τῆς ἐν πειρασμοῖς δοκιμασθείσης ψυχῆς, ἀλλ' ὅταν μὲν ὑπὲρ ἑαυτῶν ἀπολογῶνται, ἐκεῖνα τιθέασιν. ὅταν δὲ τὴν συμμαχίαν ζητῶσιν, ἀφ' ὧν οἱ καταδίκοι, ἀπὸ τούτων ἀξιοῦσι σώζεσθαι. ἐπειδὴ δίκην ἔδοσαν, φησίν, ἐπειδὴ τὰ ἔσχατα πεπόνθασι. τοῦτο καὶ Παῦλος ποιεῖ πολλάκις καὶ ἕτεροι τῶν προφητῶν. καὶ ταῦτα ἔλεγον οὗτοι, οὐδέπω περὶ γεέννης εἰδότες οὐδέν, οὐδὲ περὶ βασιλείας, οὐδὲ τοιαῦτα διδαχθέντες φιλοσοφεῖν, καὶ πάντα ἔφερον ῥᾳδίως. ὅτι ἐταπεινώθη εἰς χοῦν ἡ ψυχὴ ἡμῶν· ἐκολλήθη εἰς γῆν ἡ γαστὴρ ἡμῶν. ἐπειδὴ γὰρ ἐπιλανθάνῃ τῆς πτωχείας ἡμῶν εἶπεν· τουτέστι τῆς κακώσεως, λέγει λοιπὸν τὴν κάκωσιν. ὃ δὲ λέγει τοῦτό ἐστιν, ἀπολώλαμεν, κατωρύγημεν, τῶν νεκρῶν οὐδὲν ἄμεινον διακείμεθα. δικαίως δ' ἂν τις εἴποι, καὶ τῶν τοῖς παροῦσι προσετηκότων τὴν ψυχήν, εἰς χοῦν τεταπεινῶσθαι, καὶ τῶν γαστριμάργων εἰς τὴν γῆν τὴν γαστέρα

quare autem dicit, Propter te? Licebat nobis, inquit, deficere, & à patriæ reipublicæ institutis recedere, & tutos esse, sed malumus malè pati, & patria instituta seruare, quàm postquam à patriis institutis exciderimus, in pace vitam agere. Æstimati sumus tanquam oues occisionis. Tam facilè, inquit, nos interimunt. Hîc autem ostendit eorum mansuetudinem. Sed tamen quamuis simus tam facilè expositi, firmo tamen & immobili animo permanemus. Hîc etiam iure admiranda est potentia, quòd eos qui tanquam occisionis oues erant expositi, conseruauerit, & quotidie morientes non siuerit in mortē incidere. 23. *Exurge, quare obdormis domine?* Alius, Quare es tanquam dormiens? Alius, Expergiscere. Alius, Euigila. *Exurge, & ne repellas in finē.* 24. *Quare faciē tuam auertis?* Alius, Abscondis? *Obliuisceris inopiæ nostræ & tribulationis nostræ?* Alius, Miseriæ nostræ. Quod autem dicit, est eiusmodi. Potes mala soluere: neque enim propter tuam imbecillitatem, sed ex tua permissione hæc fiunt. Somnum hîc dicit quietem; & exurrectionem, retributionem; & faciem, protectionem, prouidentiam, curam, auxilium. Cur obliuisceris inopiæ nostræ? Vide rursus pium & gratum animum. Non dixit, Rectè factorum, non dixit, Animi firmi & immobilis, non dixit, Animæ probatæ in tentationibus. Sed quando se quidam defendunt, illa ponunt: quando autem petunt auxilium, ex iis, vt salui fiant postulant, ex quibus ij, qui sunt condemnati. Quoniam, inquit, satis pœnarum dederunt, quoniam extrema passi sunt. Hoc etiam sæpe facit Paulus, & alij prophetæ. Atque hæc hi dicebant, cùm nihil adhuc scirent nec de gehenna, nec de regno, nec vllam adhuc talem didicissent philosophiam, & omnia facilè ferebant. 25. *Quoniam humiliata est in puluere anima nostra. Conglutinatus est in terra venter noster.* Quoniam enim dixit: Obliuisceris inopiæ nostræ, hoc est, afflictionis, dicit deinceps afflictionem. Quod autem dicit, tale est, Periimus, defessi sumus, nihilo meliori sumus conditione, quàm mortui. Iure autem dixerit quispiam eorum etiam qui rebus præsentibus affixi sunt, animam in terram esse humiliatam: eorúmque qui gulæ seruiunt, ventrem esse terræ agglutinatum

1. Cor. 4.
1. Cor. 6.

Somnus.

1. Cor. 4.
2. Cor. 1. 4. 6. &
Esa. 25. 64.
Thren. 1. 2. 65.
Dan. 3. 91.

natum. Etenim qui amore quoque vinctus tenetur, & luto inhiat, & incorpoream quæ in se est, facultatem cineri mancipat, iure hæc pati dicatur. Quid enim aliud est pulchritudo corporis, nisi puluis & lutum, atque adeò quidpiam his etiam deformius ac terrius? Quòd si fidem non habes, considera sepulchra hominum, & videbis lutum & puluerem. Quando enim facies vitam præsentem exuerit, tunc apparet id quod est, imò verò etiam ante mortem, quando senectus inuaserit, quando morbus afflixerit, tunc videbis id quod apparet; est enim lutum: sed vt peritus artifex, vel ex vili & nullius pretij materia fecit ingentem oriri pulchritudinem, non vt fornicteris, sed vt tibi suam ostenderet sapientiam. Ne ergo artifici iniuriam feceris, nec commiseris, vt eius sapientiæ opus, stupri & impudicitiæ à te fiat materia. Formam eousque mirare, vt gloria & honore afficias artificem, vlterius autem ne progrediare, animi perturbationem excitans. Pulchrum opus: is ergo qui fecit, est adorandus, non contumelia & probro afficiendus. Siquis, dic quæso, auream alicuius statuam & regiam imaginem cœno, & aliis eiusmodi fœdauerit, nónne vltimũ luerit supplicium? Si autem qui inter homines stultè & sceleratè se gerit, tanti reus est supplicij: qui Dei opus tanta affecit ignominia, quid tandem patietur: & maximè quando qui hæc facit, habet vxorem? Ne mihi enim dixeris naturæ cupiditatem. Propterea enim permissum fuit matrimonium, ne vltra proprios terminos progredereris. Vide enim quanto quanto dignus eris supplicio. Nam Deus tuæ quieti & honori prospexit, vt & naturæ rabiem per vxorem compesceres, & hoc absque vllo periculo faceres, & ab omni turpitudine & dedecore liberareris. Tu autem eum, qui tantam tui curam gerit ex redundanti quadam & exuberanti copia, iniuria afficis. Dic enim mihi quæso, si noluisset lege lata statuere matrimonium, quantam vim, & quantum cruciatum sustinuisses? Cùm ergo oporteat te ei gratias agere, & gloria afficere, quòd tibi maximam laboris partem amputauerit, dum tibi non vulgare solatium excogitauit: tu per summum ingrati animi crimen eum contumelia afficis,

Pulchritudo corporis, lutum.

In fornicatores.

Forma pulchritudo quatenus admiranda.

Hebr. 10.

Matrimonium cur permissum.

A κεκολλῆσθαι. καὶ γὰρ ὁ ἔρωτι προσδεδεμένος, καὶ πρὸς τὸν πηλὸν κεχηνὼς, καὶ τὴν ἀσώματον δύναμιν τὴν ἐν αὐτῷ καταδουλῶν τῇ σποδῷ, εἰκότως ἂν ταῦτα λέγοιτο πάσχειν. τί γάρ ἐστιν ἄλλο κάλλος σώματος, ἀλλ' ἢ χοῦς καὶ πηλός· μᾶλλον δὲ καὶ τούτων εἰδεχθέστερον; εἰ δὲ ἀπιστεῖς, περιεργάζου τοὺς τάφους τῶν ἀνθρώπων, καὶ ὄψει τὸν πηλὸν καὶ τὴν κόνιν. ὅταν γὰρ ἀποθῆται τὸ πρόσωπον τὴν παροῦσαν ζωὴν, τότε φαίνεται, ὅπερ ἐστί· μᾶλλον δὲ καὶ πρὸ τῆς τελευτῆς. ὅταν γὰρ τὸ γῆρας ἐπέλθοι, ὅταν ὁ νόσος ἐπισκήψῃ, τότε ὄψει τὸ φαινόμενον· πηλὸς γάρ ἐστιν, ἀλλ'
B ὡς σοφὸς δημιουργὸς καὶ ἐξ εὐτελοῦς ὕλης κάλλος ἀμήχανον ἐποίησεν ἐπιγενέσθαι, οὐχ ἵνα πορνεύσῃς, ἀλλ' ἵνα τῆς οἰκείας σοφίας ἀπόδειξίν σοι παράσχῃ. μὴ τοίνυν ὑβρίσῃς τὸν τεχνίτην, μηδὲ τὸ ἔργον αὐτοῦ τῆς σοφίας ἀσελγείας καὶ πορνείας ὑπόθεσιν ποιοῦ. μέχρι τοσούτου θαύμαζε τὴν ὥραν, μέχρι τοῦ δοξάσαι τὸν τεχνίτην, περαιτέρω δὲ μὴ προέλθῃς τὸ πάθος ἀλείφων. καλὸν τὸ ἔργον, προσκύνει τὸν ἐργασάμενον προσκυνεῖ, ἀλλ' οὐχ ὑβρίζειν χρή. εἴ τις εἰπέ μοι χρυσοῦν ἀνδριάντα τινὸς καὶ εἰκόνα βασιλικὴν
C λαβὼν κατέχρισε βορβόρῳ καὶ ἑτέροις τοιούτοις οὐκ αὐτὴν ἐσχάτην ἔδωκε δίκην; εἰ δὲ ὁ ἐν τοῖς ἀνθρωπίνοις ἀγνώμων τοσαύτης ὑπεύθυνός ἐστι τιμωρίας, ὁ τὸ ἔργον τοῦ Θεοῦ τοσαύτῃ περιβαλὼν ἀτιμίᾳ, τί πείσεται, καὶ μάλιστα ὅταν καὶ γυναῖκα ἔχων φαίνηται ὁ ταῦτα ποιῶν; μὴ γάρ μοι λέγε τῆς φύσεως τὴν ἐπιθυμίαν. διὰ τοῦτο γὰρ γάμος ἐπετράπη, ἵνα μὴ πέρα τῶν οἰκείων ὅρων προβαίνῃς. ἴδε γὰρ ὅσης ἄξιος ἔσῃ τιμωρίας. ὁ μὲν γὰρ Θεὸς καὶ τῆς ἀναπαύσεώς σου καὶ τῆς δόξης προενόησεν, ἵνα ἐκλύσῃς τὴν λύτ-
D ταν τῆς φύσεως διὰ τῆς γυναικὸς, καὶ ἀκινδύνως τοῦτο ποιῇς, καὶ πάσης ἀπαλλαγῇς ἀσχημοσύνης· σὺ δὲ τὸν οὕτω σου προνοοῦντα ἐκ περιουσίας ὑβρίζεις. εἰπὲ γάρ μοι εἰ μὴ ἐβουλήθη νομοθετῆσαι γάμον, πόσην ἂν ὑπέστης βίαν; πόσην κόλασιν; δέον οὖν σε εὐχαριστεῖν καὶ δοξάζειν, ὅτι τὸ πλέον ὑπετέμετό σοι τῶν πόνων παραμυθίαν οὐ τὴν τυχοῦσαν ἐπινοήσας· σὺ δὲ ἐνυβρίζεις ἀγνωμόνως, καὶ ἀναι-

διαισχύνεις, καὶ τοὺς κειμένους ὑπερβαίνεις ὅρους, καὶ τὴν ἑαυτοῦ καταισχύνεις δόξαν. Οὐκ ἀκούεις Παύλου λέγοντος, καὶ νῦν, καὶ ἐν τῷ μέσῳ βοῶντος· φεύγετε τὴν πορνείαν· μᾶλλον δὲ τοῦ Χριστοῦ τοῦ τὴν ἐκείνου ψυχὴν κινοῦντος; τί καταμανθάνεις κάλλος ἀλλότριον; τί περιεργάζῃ πρόσωπον οὐ σόν; τί φέρῃ κατὰ κρημνῶν; τί τοῖς δικτύοις ἐμβάλλεις σαυτόν; τείχισόν σου τοὺς ὀφθαλμούς· περίφραξόν σου τὸ ὄμμα· θὲς νόμον τοῖς ὀφθαλμοῖς· ἄκουσον ἀπειλοῦντος τοῦ Χριστοῦ καὶ τὴν ἀσελγῆ ὄψιν ἐν ἴσῳ μοιχείας κρίνοντος. τί τῆς ἡδονῆς ὄφελος, ὅταν σκώληκα τίκτῃ; ὅταν διηνεκῆ φόβον; ὅταν ἀθάνατον τῷ δράσαντι τιμωρίαν, πόσῳ βέλτιον μικρὸν ἀναςχομένους τῆς βίας τῆς ἀπὸ τῶν ἡμετέρων λογισμῶν, διαπαντὸς ἐν ἀνέσει εἶναι, ἢ ὀλίγα χαριζομένους ταῖς ἀτόποις ἐπιθυμίαις ἀθάνατα τιμωρεῖσθαι; μὴ τέκνα, μὴ ποιεῖτε οὕτως· οὐκ ἀγαθὴ ἡ ἀκοὴ, ἣν ἐγὼ ἀκούω περὶ ὑμῶν. οἶδα πρὸς τίνας ὁ λόγος ἀποτείνεται, οὐ πρὸς ἅπαντας· ἀλλ' ἔνθα ἂν εὕρῃ τὸ τραῦμα, ἐκεῖ ἐπάγει τὸ φάρμακον. τί τὸν γάμον ὑβρίζεις; τί τὴν εὐνὴν ἀδικεῖς; τί τὸ μέλος τό σου ἐπηρεάζεις; τί τὴν δόξαν σου καταισχύνεις; ἔκκοψον τὸ πάθος· ἄνελε τὰς τρυφάς· τρυφὴ καὶ μέθη πηγαὶ πορνείας, ἂν τῇ ἀνέσει μὴ χρήσῃ εἰς δέον, ἐπάγει σοι θλίψιν· ἄκουσον τί ἔπαθον οἱ Ἰουδαῖοι πορνεύσαντες, οἱ μὴ μεταλαβόντες σώματος Χριστοῦ, οἱ τραπέζης μὴ ἀπολαύσαντες πνευματικῆς, μηδὲ πορνεύωμεν φησὶ, καθώς τινες αὐτῶν ἐπόρνευσαν, καὶ ἔπεσον ἐν μιᾷ ἡμέρᾳ εἰκοσι τρεῖς χιλιάδες. ἀνάστα κύριε, βοήθησον ἡμῖν καὶ λύτρωσαι ἡμᾶς ἕνεκεν τοῦ ὀνόματός σου. ἄλλος, στῆθι ἀντιλαμβανόμενος ἡμῶν, καὶ ῥῦσαι ἡμᾶς διὰ τὸ ἔλεός σου. ὅρα ποῦ τὸν λόγον κατέκλεισαν· μετὰ μυρία αὐτῶν κατορθώματα, πόθεν ἀξιοῦσι σώζεσθαι ἀπὸ ἐλέους; ἀπὸ φιλανθρωπίας; διὰ τὸ ὄνομα τοῦ Θεοῦ. τί ἐστιν, ἕνεκεν τοῦ ὀνόματός σου; ἵνα μὴ αὐτὸ βεβηλωθῇ, ὃ καὶ αὐτὸς πολλάκις λέγει· ὅτι ποιῶ ἕνεκεν ὀνόματός μου; ἴδες ταπεινοφροσύνην καὶ συντετριμμένην διάνοιαν; καὶ πόθεν ἀξιοῦσι σωθῆναι ἀπὸ φιλανθρωπίας, ἀπὸ ἐλέους,

A omnem pudorem exuis, terminos tibi præſcriptos tranſilis, & tuam ipſius gloriam probro afficis? Non audis Paulum & nunc, & in medio clamantem: Fugite fornicationem: vel potius Chriſtum, qui eius mouet animum? Cur alienam ediſcis pulchritudinem? Cur de vultu non tuo curioſè ſcrutaris? Cur ferris per præcipitia? Cur retibus teipſum illaqueas? Oppone murum tuis oculis, tuos oculos obſtrue, impone legem tuis oculis. Audi Chriſtum minantem; & impudicum aſpectum tanquam adulterium condemnantem. Quid te iuuat voB luptas, quando ea vermem parit, quando metum perpetuum, quando immortale ei qui fecerit, ſupplicium? Quantò eſt melius dum noſtrarum cogitationum vim parumper ſuſtinemus, frui perpetua animi quiete & tranquillitate, quàm dum nefariis noſtris cupiditatibus paululum indulgemus, immortali cruciatu affici? Ne, ô filij, ne ita faciatis. Non bona eſt fama quam de vobis audio. Scio ad quos dirigatur oratio, non ad omnes: ſed vbi vulnus inuenerit, illic medicamenC tum adhibet. Cur matrimonium violas? cur cubile iniuria afficis? cur membrum tuum probro perſequeris? cur famæ tuæ maculam & ignominiam inuris? Excinde animi perturbationem, tolle delicias. Deliciæ enim & ebrietas ſunt fons fornicationis. Si otio & animi remiſſione non vtaris vt oportet, id affert tibi afflictionem. Audi quid paſſi ſint Iudæi, qui fornicati fuerant, qui corporis Chriſti non fuerant participes, qui ſpiritualis menſæ fructum nō perceperant. Nec fornicemur, inquit, ſicut nōnulli eorum forD nicati ſunt, & ceciderunt in vno die viginti tria millia. 26. *Exurge domine, adiuua nos, & redime nos propter nomen tuum.* Alius, Sta nos defendens, & libera nos propter miſericordiam tuam. Vide quomodo cōcluſerunt orationem: poſt innumerabilia quæ ab eis rectè & ex virtute facta fuerant, vndenam ſalutem aſſequi æquum cenſent? à miſericordia, à benignitate & clementia, propter nomen Dei. Quid eſt, Propter nomen tuum? Ne ipſum profanetur, quod ipſe etiam ſæpe dicit: Facio propter nomen meum. Vidiſti humilitatem & contritum animum. Et vndenam petunt ſalutem? A clementia, à miſericordia,

1. Cor. 6. *Matth. 5.* *Rom. 8.* *1 Reg. 1.* *1. Cor. 6.* *Eccl. 47.* *Exod. 2.* *1. Cor. 10.* *1. Cor. 3.*

πεπλάσθαι παρ' ἡμῶν αὐτὰ δυνήσονται λέγειν, οὐχ ἡμῶν, ἀλλὰ τῶν τὸν Χριστὸν σταυρωσάντων τὰ βιβλία παρεχομένων ἡμῖν τὰ περὶ τῆς αὐτοῦ δυνάμεως διαλεγόμενα. ἀλλ' εἴτε παρεῖσιν, εἴτε μὴ παρεῖσιν οὗτοι, ἡμεῖς τὸ ἡμέτερον ποιήσωμεν, καὶ τῆς ἑρμηνείας ἁψώμεθα· εἰς γὰρ τὸν Χριστὸν ὁ ψαλμὸς ἐστὶν ἀναγέγραπται· διὸ καὶ εἰς τὸν ἀγαπητὸν, καὶ ὑπὲρ τῶν ἀλλοιωθησομένων τὴν ἐπιγραφὴν ἔχει. ἀλλοίωσιν γὰρ μεγάλην ἡμῖν ἐστὶν εἰργάσατο, καὶ πραγμάτων μεταβολὴν καὶ μετάστασιν. ταύτην τὴν ἀλλοίωσιν δηλῶν καὶ ὁ Παῦλος ἔλεγεν· ὥστε εἴ τις ἐν Χριστῷ καινὴ κτίσις. διὸ καὶ ἀρχόμενος οὕτω φησίν· Εἶπεν ἡ καρδία μου. ἐπειδὴ γὰρ οὐδὲν ἀνθρώπινον ἦν τῶν λεγομένων, ἀλλ' οὐράνια καὶ πνευματικὰ διηγεῖσθαι ἔμελλε, καὶ οὐκ ἐξ οἰκείας εὑρήσεως, ἀλλ' ἐκ θείας ἐνεργείας, τῷ ὀνόματι τῆς ἐρυγῆς τοῦτο παρίστησιν. ἐρευγόμεθα γὰρ οὐχ ὅτε βουλόμεθα· τὸν μὲν γὰρ λόγον τοῦτον φθεγγόμεθα ὅτε θέλομεν, καὶ λέγομεν, καὶ κατέχομεν· τὴν δὲ ἐρυγὴν οὐχ ὁμοίως. δείκνυς τοίνυν ὅτι οὐκ ἀνθρωπίνης σπουδῆς ἐστι τὰ λεγόμενα, ἀλλὰ θείας ἐπιπνοίας τῆς κινούσης αὐτὸν, ἐρυγὴν τὴν προφητείαν ἐκάλεσεν. ὥσπερ γὰρ ἐπὶ τῆς ἐρυγῆς τῆς τῶν σιτίων ποιότητός ἐστι τὸ γινόμενον, οὕτω καὶ ἐπὶ τῆς πνευματικῆς διδασκαλίας. τοιαῦτα τοίνυν ἤρευγετο, οἷα καὶ ἐσιτεῖτο. ὅρα δὲ καὶ ἀλλαχοῦ ἕτερον προφήτην αἰσθητῇ εἰκόνι ταύτην παραβάλλοντα τὴν ἐνέργειαν, καὶ ἐσθίοντα τὴν κεφαλίδα τοῦ βιβλίου καὶ μεθ' ἡδονῆς ἐσθίοντα. ἐγένετο γάρ φησιν, ἐν τῷ στόματί μου ὡς μέλι γλυκάζον. ἐπεὶ οὖν ἐδέχοντο τὴν πνευματικὴν χάριν, τοιαῦτα καὶ ἤρεύγοντο· ὅτι γὰρ οὐ περὶ ἐρυγῆς ὁ λόγος τῆς αἰσθητῆς ταύτης, οὐδὲ περὶ σιτίων, ἄκουσον τί ἐρεύγεται, καὶ τίς ἐστιν ὁ ἐρευγόμενος. οὐχ ὁ στόμαχος ὁ τὰ σιτία δεχόμενος, ἀλλ' ἡ καρδία. ἐξηρεύξατο γάρ φησιν, ἡ καρδία μου· καὶ τί ἐρεύγεται; οὐ σῖτον οὐδὲ ποτὸν, ἀλλὰ τὰ συγγενῆ τῇ τραπέζῃ λόγον ἀγαθὸν, τὸν περὶ τοῦ μονογενοῦς· ἔστι γὰρ μάλιστα ἀγαθός· ἦλθον γάρ, φησιν, οὐχ ἵνα κρίνω τὸν κόσμον, ἀλλ' ἵνα σώσω τὸν κόσμον· πάντα προσηνῆ, πάντα κολάσεως ἀπηλλαγμένα· ἐρεύγεται δὲ τοιαῦτα, ἐπειδὴ τὴν καρδίαν αὐτοῦ ἐξεκάθαρεν. ὥσπερ γὰρ ἡ γαστὴρ ὅταν μὲν ῥυπαρῶν γέμῃ χυμῶν συγγενῆ τούτοις ἐρεύγεται· ὅταν δὲ ὑγιεινή τις οὖσα τυγχάνῃ, κατάλληλον ποιεῖται τὴν ἐρυγήν·

ea à nobis esse conficta, cùm non nos, sed qui Christum crucifixerunt, libros nobis præbeant, qui de eius potestate loquuntur. Sed siue adsunt, siue nõ, nos nostrum officium faciamus, & aggrediamur interpretationẽ. Hic enim psalmus in Christum est inscriptus, & ideo habet inscriptionẽ, In dilectum, &, Pro his qui commutabuntur. Is enim nobis magnam fecit mutationem, rerúmque cõuersionẽ, ac traductionẽ. Hanc mutationem significãs quoque Paulus dicebat: quare si qua in Christo noua creatura. Et ideo non dicit in principio, Dixit cor meum. Quoniam enim eorum quæ dicebantur, nihil erat humanum, sed cœlestia ac spiritualia erat narraturus, eáque non ex propria inuentione, sed ex diuina operatione, eructationis nomine hoc significat. Eructamus enim, non quando volumus, sed sermonẽ loquimur quãdo volumus, eúmque & dicimus, & reprimimus: eructationem autem non itidem. Ostendens itaque quę dicuntur, non esse humani studij, sed diuinæ inspirationis, quæ eũ incitabat, eructationem prophetiam appellauit. Quemadmodũ enim in eructatione id quod fit, oritur ex qualitate ciborum: ita etiam in doctrina spirituali. Talia ergo eructabat, qualia comedebat. Vide autem alibi quoque aliũ prophetam hanc operationẽ similitudine sensibili exprimentem, & volumen libri comedentẽ, idq; cum voluptate. Fuit enim, inquit, in ore meo tanquam mel dulce. Quia ergo spiritualem gratiam acceperunt, eis quoq; similia eructarunt. Quod enim nec de hac eructatione sensibili, nec de cibis agatur, audi quidnam eructet, & quis ille sit qui eructat? Non stomachus, qui est ciborũ receptaculum, sed cor. Eructauit enim, inquit, cor meum. Et quid eructat? Non cibum, nec potum, sed quæ sunt mensæ cognata & consimilia. Bonum verbum, nempe de vnigenito. Is est enim maximè bonus. Veni enim, inquit, non vt iudicem mundum, sed vt mundum saluum faciam. Omnia mitia ac mansueta, omnia supplicio libera. Eructat autem talia, quoniam cor suum expurgauit. Quemadmodum enim ventriculus quando sordidis succis fuerit plenus, eis cognata & consimilia eructat: sed quando sanus fuerit, ei quoque conuenientem edit eructationem:

2. Cor. 5.

Eructatio prophetia.

Ezech. 3.

Ioan. 3.

Confirmat simile.

ita etiam cor Prophetæ postquam fuit à peccatis liberum, accepit gratiam Spiritus, & eructat verbum bonum. Hinc etiam aliquid aliud discimus, quòd Prophetæ non erant sicut Vates. Illic enim quando dæmon animam inuaserit, orbat mentem ac cogitationem, & rationem obscurat, & ita omnia ore suo loquuntur, mente nihil intelligente eorum, quæ loquuntur, non secus ac si tibia aliqua inanimata loquatur. Hoc etiam dixit aliquis eorum qui sunt apud ipsos Philosophorum, ita dicens: Quemadmodum ij qui responsa canunt, & vates, multa quidem dicunt, eorum autem quæ dicunt, nihil sciunt. Sed non ita facit sanctus Spiritus, sed permittit vt cor cognoscat quæ dicuntur. Si enim non cognosceret, quomodo diceret quod eructat verbum bonum? Dæmon enim, vtpote hostis & inimicus, cùm hominum natura bellum gerit: Spiritus autem sanctus, vt qui nostri curam gerat, & beneficio afficiat, facit, vt qui eum suscipiunt, sint sensus participes, & cum illorum intelligentia reuelat quæ dicuntur. *Dico ego opera mea regi.* Quænam dicit opera? Prophetiam. Quemadmodum enim fabri ærarij opus est facere dolabram, & ædificatoris domum facere, & nauium fabricatoris nauem compingere: ita est etiam Prophetæ, texere prophetiam. Quod enim hoc quoque sit opus, audi Christum dicentem de Apostolis: Dignus est operarius mercede sua. Et Paulus: Maximè qui laborant in verbo & doctrina. Si enim non erat opus, quomodo habuit laborem? Quid est enim hoc opere præstantius? Quid verò vtilius? Et omnibus artibus sublimius est. Quodnam est ergo opus quod dicit? Hic hymnus, hæc prophetia. Non dixit autem cuinam regi, significans se dicere Deo vniuersorum. Quemadmodum enim quãdo dicimus regem Persarum, non simpliciter & absolutè regem dicimus, sed adijcimus, Persarum, ita etiam Armeniorum; quando autem nostrum dicimus, non habemus opus additamento, sed sufficit nobis regem dicere: ita etiam Propheta, quoniam loquebatur de eo qui verè rex erat, satis habet si dicat regi. Quemadmodum enim cùm dicimus omnipotentem,

Vt Propheta differt à Vate.

1. Reg. 9. Dan. 10. Ephes. 6.

A simili.

Luc. 10. 1. Tim. 5.

Cõparatio elegans.

Altera confirmatio.

A οὕτω καὶ ἡ καρδία τοῦ προφήτου, ἐπειδὴ ἁμαρτημάτων ἦν ἀπηλλαγμένη, πνεύματος ἐδέξατο χάριν, καὶ λόγον ἐρεύγεται ἀγαθόν. ἐντεῦθεν καὶ ἕτερόν τι μανθάνομεν, ὅτι οἱ προφῆται οὐχ ὡς οἱ μάντεις ἦσαν. ἐκεῖ μὲν γὰρ ὁ δαίμων ὅταν εἰς τὴν ψυχὴν ἐμπέσοι, πηροῖ τὴν διάνοιαν, καὶ σκοτοῖ τὸν λογισμόν, καὶ οὕτως ἅπαντα φθέγγονται, οὐδὲν τῶν λεγομένων ἐπισταμένης τῆς διανοίας αὐτῶν, ἀλλ' οἷον αὐλοῦ τινος ἀψύχου φθεγγομένου. τοῦτο καί τις τῶν παρ' αὐτοῖς φιλοσόφων ἔφη οὕτως εἰπών· ὥσπερ οἱ χρησμῳδοὶ, καὶ οἱ θεομάντεις λέγουσι μὲν πολλὰ, ἴσασι δὲ μηδὲν ὧν λέγουσιν. B ἀλλ' οὐ τὸ πνεῦμα τὸ ἅγιον οὕτω ποιεῖ, ἀλλὰ τὴν καρδίαν ἀφίησιν εἰδέναι τὰ λεγόμενα. εἰ γὰρ μὴ ᾔδει, πῶς ἔλεγε, ὅτι λόγον ἀγαθόν; ὁ μὲν γὰρ δαίμων καθάπερ ἐχθρὸς καὶ πολέμιος, πολεμεῖ τῇ φύσει τῇ ἀνθρωπίνῃ· τὸ δὲ πνεῦμα τὸ ἅγιον, καθάπερ κηδόμενον, καὶ εὐεργετοῦν, κοινωνοὺς τῆς γνώμης τοὺς δεχομένους ποιεῖ, καὶ μετὰ τῆς ἐκείνων διανοίας ἀποκαλύπτει τὰ λεγόμενα. λέγω ἐγὼ τὰ ἔργα μου τῷ βασιλεῖ. ἄλλος, τὰ ποιήματά μου. ἔργα ποῖα φησί; τὴν προφητείαν. καθάπερ γὰρ τοῦ χαλκέως ἔργον, C τὸ σκέπαρνον ἐργάσασθαι, καὶ τοῦ οἰκοδόμου τὸ οἰκίαν ποιῆσαι, καὶ τοῦ ναυπηγοῦ τὸ ναῦν συγκολλῆσαι· οὕτω καὶ τοῦ προφήτου τὸ προφητείαν ὑφαίνειν. ὅτι γὰρ καὶ τοῦτο ἔργον ἐστὶν, ἄκουσον τοῦ Χριστοῦ λέγοντος περὶ τῶν ἀποστόλων· ἄξιος ὁ ἐργάτης τοῦ μισθοῦ αὐτοῦ. καὶ Παῦλος· μάλιστα οἱ κοπιῶντες ἐν λόγῳ καὶ διδασκαλίᾳ. εἰ δὲ μὴ ἔργον ἦν, πῶς κόπον εἶχε; τί γὰρ τοῦ ἔργου τούτου τιμιώτερον; τί δὲ χρησιμώτερον, πασῶν τῶν τεχνῶν ἐστιν ἀνώτερον. τί οὖν ἐστι τὸ ἔργον ὃ λέγει τῷ βασιλεῖ; τὸν ὕ-D μνον τοῦτον, τὴν προφητείαν ταύτην, καὶ οὐκ εἶπε ποίῳ βασιλεῖ, δηλῶν ὅτι τῷ Θεῷ τῶν ὅλων. ὥσπερ γὰρ ὅταν λέγωμεν τὸν Περσῶν βασιλέα, οὐχ ἁπλῶς βασιλέα καλοῦμεν, ἀλλὰ τὸν τῶν Περσῶν προστίθεμεν, καὶ τὸν τῶν Ἀρμενίων ὁμοίως· ὅταν δὲ τὸν ἡμέτερον λέγωμεν, οὐ δεόμεθα προσθήκης, ἀλλ' ἀρκούμεθα τῷ εἰπεῖν βασιλέα· οὕτω καὶ ὁ προφήτης, ἐπειδὴ περὶ τοῦ ὄντως βασιλέως ἔλεγεν, ἀρκεῖται τῷ εἰπεῖν βασιλεῖ. ὥσπερ γὰρ παντοκράτορα εἰπόντες,

οὐ δεόμεθα προσθήκης, διὰ τὸ μὴ εἶναι ἕτερον παντοκράτορα· οὕτω βασιλέα λέγοντες, οὐ δεόμεθα ἑτέρας προσθήκης, διὰ τὸ μὴ εἶναι ἕτερον βασιλέα Θεόν. ἄλλως δὲ καὶ ὁ λέγων βασιλεὺς ἦν. ὅθεν δῆλον ὅτι οὐ περὶ ἀνθρώπου ἔλεγεν, ἀλλὰ περὶ τοῦ τῶν ὅλων Θεοῦ· διὰ τοῦτο οὐκ εἶπε βασιλεῖ, ἀλλὰ τῷ βασιλεῖ, τῇ προσθήκῃ τοῦ ἄρθρου τὴν κυριότητα ἀφορίσας. εἶτα πάλιν δεικνὺς ὅτι οὐκ ἀνθρωπίνης ἦν ἐννοίας τὰ λεγόμενα καὶ μελέτης καὶ συνθήκης, ἀλλὰ θείας χάριτος, καὶ τὴν γλῶτταν μόνην αὐτὸς ἐδάνεισεν, ἐπήγαγεν· Ἡ γλῶσσά μου κάλαμος γραμματέως ὀξυγράφου. ὁ δὲ κάλαμος ταῦτα γράφει, ἅπερ ἂν ἡ κατέχουσα αὐτὸν κελεύῃ χείρ· ἕτερος δέ φησιν· Ἡ γλῶσσά μου ὡς γραφεῖον γραφέως ταχινοῦ. τί βούλεται τὸ ταχινοῦ, ἵνα κἀντεῦθεν τὴν χάριν δείξῃ· ὁ μὲν γὰρ οἴκοθεν φθεγγόμενος μέλλει καὶ βραδύνει μελετῶν, συντιθεὶς ἐμποδιζόμενος ἐν ἀγνοίᾳ καὶ ἀμαθίᾳ καὶ μελλήσει· καὶ πολλά ἐστι τὰ λυμαινόμενα τῷ τάχει τοῦ λόγου· ὅταν δὲ πνεῦμα κινῇ τὴν διάνοιαν, οὐδὲν τὸ κωλῦον, ἀλλ' ὥσπερ ὕδατος ῥύμη πολλῷ τῷ ῥοίζῳ φερομένη προέρχεται, οὕτω καὶ ἡ τοῦ Πνεύματος χάρις μετὰ πολλῆς τῆς ταχυτῆτος πρόεισι πάντα λεῖα, πάντα εὔπορα προφέρουσα· εἶτα πάλιν αὐτὸ τοῦτο διακαθαίρων καὶ δεικνὺς οὐδὲν ἀνθρώπινον ὂν τῶν λεγομένων ἐπήγαγεν· ὡραῖος κάλλει παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων. τινὲς μὲν οὖν περὶ τῆς γλώττης εἰρῆσθαι τοῦτο λέγουσιν, ὅτι κάλαμος ὡραῖος κάλλει· ἐμοὶ δὲ δοκεῖ λοιπὸν περὶ τοῦ Χριστοῦ λέγειν αὐτόν. διὸ καὶ ἕτερός φησιν, ἑρμηνευτής· κάλλει ἐκαλλωπίσθης ἀπὸ υἱῶν ἀνθρώπων. εἰς γὰρ αὐτὸν τρέπει τὸν λόγον ὑπὸ πολλῆς θερμότητος καὶ τῆς περὶ αὐτὸν διαθέσεως, ὡς καὶ Ἰακὼβ ἔλεγεν· ἐκ βλαστοῦ υἱέ μου ἀνέβης· ἀναπεσὼν ἐκοιμήθης ὡς λέων. ἔνθους γὰρ γενόμενος αὐτῷ λοιπὸν διαλέγεται καὶ πρὸς αὐτὸν ἀποτείνει τὸν λόγον· τοῦτο δὲ οὐ κατὰ σύγκρισίν φησιν· οὐ γὰρ εἶπεν ὡραιότερος, ἀλλ' ὡραῖος παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων. ἄλλο τοῦτό φησι, τὸ κάλλος παρ' ἐκεῖνο· καὶ σκόπει πῶς τὸν περὶ τῆς οἰκονομίας πρῶτον κινεῖ λόγον. ὅτι δὲ περὶ τῆς οἰκονομίας ἐστὶ τοῦτο, δῆλον ἐκ τῶν ἑξῆς. εἰπὼν γὰρ ὡραῖος κάλλει παρὰ

A nulla opus habemus adiectione, quoniam non est alius omnipotens: ita etiam cùm regem dicimus, non habemus opus alia adiectione, quòd non sit alius rex Deus. Alioqui autem is qui id dicebat, rex erat. Vnde clarum est eum non de homine dicere, sed de Deo vniuersorum: & ideo non dixit Græcè βασιλεῖ, sed, τῷ βασιλεῖ, adiectione articuli peculiarem dominationem ostendens. Deinde rursus declarans quæ dicuntur, non esse ab homine excogitata, meditata & composita, sed ea esse diuinæ gratiæ, & se tantùm linguam eis commodasse, subiunxit: B

2. *Lingua mea calamus scribæ velociter scribentis.* Calamus autem ea scribit, quæ iubet manus eius qui eum tenet. Alius autem dicit, Lingua mea vt stylus scribæ celeris. Quid sibi vult illud, Celeris? Vt ex eo quoque ostendat gratiam. Qui enim aliquid domo prolatum loquitur, differt & cunctatur, meditans, componens, impeditus ignoratione, inscitia, & dilatione: & multa sunt quæ velocitatem sermonis interturbant. Quando autem mentem mouet Spiritus, nihil est quod impediat: C sed quemadmodum aquæ impetus, cùm magno murmure præcipitat, progreditur: ita gratia Spiritus cum magna celeritate procedit, omnia leuia, plana & expedita proferens: Deinde hoc ipsum rursus expurgans, & ostendens nihil esse humanum eorum quæ dicuntur, subiunxit: 3. *Speciosus forma præ filiis hominum.* Nonnulli quidem dicunt hoc dictum esse de lingua, quòd sit calamus speciosus forma: Mihi autem videtur eum deinceps de Christo dicere. Et ideo alius quoque dicit interpres: Pulcritudine ornatus es à filiis D hominum. Magno enim ardore & summa in eum affectione percitus, ad eum conuertit orationem: quemadmodum Iacob quoque dicebat: Ex germine meo fili mi, ascendisti, recumbens dormiisti vt leo. A Deo enim afflatus, cum eo deinceps loquitur, & ad ipsum dirigit orationem. Hoc autem dicit non per comparationem: non enim dixit speciosior, sed speciosus forma præ filiis hominum. Hæc pulchritudo est alia ab illa. Considera autem quomodo primum loquitur de humanæ naturæ susceptione. Quòd autem de ea loquatur, ostendunt quæ sequuntur. Cùm enim dixisset, speciosus forma

Gen. 49. 9.

præ filiis hominum, subiunxit: *Diffusa est gratia in labiis tuis*. Deus autem non habet labia, sed de humanæ naturæ susceptione agitur. Alius autẽ interpres, dicens: Refusa est gratia labiis tuis, hoc fecit apertius. Illud autem est, Refusa est, velut si diceret quispiam, Quæ erat intus, scaturiit, emanauit. Quomodo ergo dicit alius Propheta: Vidimus ipsum,& non habuit speciem, nec pulchritudinem, sed speciem eius indecoram, diminutam præter filios hominum? Non dicit de deformitate, absit: sed de eius contemptione. Cùm enim semel humanitatis personam suscepisset, quæcũque erant vilia & contemnenda peruasit, vt qui nec sibi matrem reginam asciuerit, nec tempore incunabulorum ac fasciarum in lecto aureo positus sit, sed in præsepi: nec in magnifica domo fuerit educatus, sed in fabri lignarij humili domuncula. Et rursus cùm discipulos assumeret, non oratores, & philosophos accepit, & reges: sed piscatores & publicanos:& tenuem hanc vitam persequebatur, nec domum habens, nec vestibus preciosis indutus, nec delicata & lauta mensa fruens, sed ab alijs nutritus, probris affectus, contemptus, eiectus & fugatus. Hæc autem faciebat ex superabundanti quadam copia humanum fastum conculcans. Quoniam ergo nil magnificum nec gloriosum præ se ferebat, & nec vllos comites habebat, nec satellites, imò verò nõnunquam etiam solus obibat, sicut quilibet è populo, propterea ille quidem dicit, Vidimus ipsum, & non habuit speciem, nec pulchritudinem: hic autem, speciosus forma præ filiis hominum, significans gratiam, sapientiam, doctrinam, miracula. Deinde describens eius pulchritudinem, dicit: Diffusa est gratia in labiis tuis. Vides eum hæc dicere de humana ab eo suscepta natura. Quæ est autem hæc gratia? Per quam docuit, per quam fecit miracula. Gratiam hic dicit, eam quæ venit ad carnem. Super quem, inquit, videris spiritum descendentem tanquam columbam,& manentem super ipsum, is est qui baptizat. Omnis enim gratia effusa est in illud templum. Non dat enim illi Spiritum in mensura. Nos enim de eius plenitudine accepimus: illud autem templum integram & vniuersam accepit gratiam. Hoc Esaias quoque significans,

Esa. 53.2. — Vt verè fuerit Christus pauper. — Luc. 2. — Matth. 4. — Matth. 9. — Matt. 8. — Luc. 9. — Esa. 53.2. — Matth. 3. — Marc. 1. — Ioan. 1. — Ibidem.

A τοὺς υἱοὺς τῶν ἀνθρώπων, ἐπήγαγεν· ἐξεχύθη χάρις ἐν χείλεσί σου. χείλη δὲ ὁ Θεὸς οὐκ ἔχει, ἀλλὰ τῆς οἰκονομίας ἐστὶν ὁ λόγος. ἕτερος δὲ ἑρμηνευτὴς εἰπών· ἀνεχύθη χάρις τοῖς χείλεσί σου, σαφέστερον τοῦτο ἐποίησε. τί δέ ἐστιν ἀνεχύθη, ἢ ὡς ἂν εἴποι τις, ἢ ἔνδον οὖσα ἀνέβλυσεν, ἐπήγασε. πῶς οὖν ἕτερος προφήτης λέγει· εἴδομεν αὐτόν, καὶ οὐκ εἶχεν εἶδος οὐδὲ κάλλος, ἀλλὰ τὸ εἶδος αὐτοῦ ἄτιμον ἐκλεῖπον παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων; οὐ περὶ ἀμορφίας λέγων, μὴ γένοιτο, ἀλλὰ περὶ τοῦ εὐκαταφρονήτου· κα-
B ταδεξάμενος γὰρ ἅπαξ γενέσθαι ἄνθρωπος, διὰ τῶν εὐτελῶν ἁπάντων διῆλθεν, οὔτε μητέρα βασιλίδα ἐπιγραψάμενος, οὔτε ἐν χρυσῷ τῶν σπαργάνων ἐπὶ κλίνης τεθεὶς χρυσῆς, ἀλλ᾿ ἐν φάτνῃ, οὔτε ἐν οἰκίᾳ τραφεὶς πολυτελεῖ, ἀλλ᾿ ἐν εὐτελεῖ τέκτονος δωματίῳ· καὶ λαβὼν μαθητὰς πάλιν, οὐ ῥήτορας καὶ φιλοσόφους καὶ βασιλέας ἔλαβεν· ἀλλ᾿ ἁλιέας καὶ τελώνας, καὶ τὸν βίον τὸν λοιπὸν τοῦτον μετήει, οὔτε οἰκίαν ἔχων, οὔτε ἱμάτια περιβεβλημένος πολυτελῆ· οὔτε τραπέζης ἀπολαύων τοιαύτης, ἀλλὰ παρ᾿
C ἑτέρων τρεφόμενος· ὑβριζόμενος, καταφρονούμενος, ἐλαυνόμενος, διωκόμενος. ταῦτα δὲ ἐποίει ἐκ πολλῆς τῆς περιουσίας τὸν τῦφον πατῶν τὸν ἀνθρώπινον. ἐπεὶ οὖν οὔτε φαντασίαν τινὰ καὶ κόμπον περιεβέβλητο, οὔτε ἀκολούθους εἶχε καὶ δορυφόρους· ἀλλ᾿ ἔστιν ὅτε καὶ μόνος περιῄει ὡς εἷς τῶν πολλῶν, διὰ τοῦτο ἐκεῖνος μέν φησιν· εἴδομεν αὐτὸν καὶ οὐκ εἶχεν εἶδος οὔτε κάλλος. οὗτος δέ φησιν, ὡραῖος κάλλει παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων· τὴν χάριν δηλῶν, τὴν σοφίαν, τὴν διδασκαλίαν, τὰ θαύματα. εἶτα ὑπο-
D γράφων τὴν ὡραιότητα, φησίν· ἐξεχύθη χάρις ἐν χείλεσί σου. ὁρᾷς ὅτι ἐπὶ τῆς οἰκονομίας ὁ λόγος; τί δέ ἐστιν αὕτη ἡ χάρις; δι᾿ ἧς ἐδίδασκε· δι᾿ ἧς ἐθαυματοποίει· τὴν χάριν ἐνταῦθα λέγει τὴν ἐλθοῦσαν ἐπὶ τὴν σάρκα· ἐφ᾿ ὃν ἂν ἴδῃς τὸ πνεῦμα φησὶ καταβαῖνον ὡσεὶ περιστερὰν, καὶ μένον ἐπ᾿ αὐτόν, οὗτός ἐστιν ὁ βαπτίζων. πᾶσα γὰρ ἡ χάρις ἐξεχύθη εἰς τὸν ναὸν ἐκεῖνον. οὐ γὰρ ἐν μέτρῳ δίδωσιν ἐκείνῳ τὸ πνεῦμα· ἡμεῖς μὲν γὰρ ἐκ τοῦ πληρώματος αὐτοῦ ἐλάβομεν· ὁ δὲ ναὸς ἐκεῖνος, ὁλόκληρον τὴν χάριν ἔλαβε. τοῦτο καὶ ὁ Ἡσαΐας δη-

λαῒ ἔλεγεν· ἀναπαύσηται ἐπ' αὐτὸν πνεῦμα A σοφίας καὶ συνέσεως· πνεῦμα βουλῆς καὶ ἰσχύος· πνεῦμα γνώσεως καὶ εὐσεβείας, πνεῦμα φόβου Θεοῦ ἐμπλήσει αὐτόν. ἀλλ' ἐκεῖ μὲν ὁλόκληρος ἡ χάρις· ἐπὶ δὲ τῶν ἀνθρώπων, μικρόν τι, καὶ ῥανὶς ἀπὸ τῆς χάριτος ἐκείνης. διὰ τοῦτο οὐκ εἶπε· δίδωμι τὸ πνεῦμα, ἀλλ' ἐκχεῶ ἀπὸ τοῦ πνεύματός μου ἐπὶ πᾶσαν σάρκα. τοῦτο γοῦν καὶ ἐξέβη· πᾶσα γὰρ ἡ οἰκουμένη ἐκ τοῦ πνεύματος ἐδέξατο ἐκείνου· ἤρξατο μὲν γὰρ ἐκ Παλαιστίνης τὸ δῶρον· παρῆλθε δὲ εἰς Αἴγυπτον, εἰς Φοινίκην τὴν τῶν Σύρων· τὴν Κιλίκων, τὸν Εὐ- B φράτην, τὴν μέσην τῶν ποταμῶν, τὴν Καππαδοκῶν, τὴν Γαλατῶν, τὴν Σκυθῶν, τὴν Θρᾳκῶν, τὴν Ἑλλάδα, τὴν Γάλλων, τὴν Ἰταλῶν, τὴν Λιβύην ἅπασαν, τὴν Εὐρώπην, τὴν Ἀσίαν, εἰς αὐτὸν τὸν Ὠκεανόν· καὶ τί δεῖ τὰ πολλὰ λέγειν; ὅσην ἥλιος ἐφορᾷ γῆν, τοσαύτην ἐπῆλθεν ἡ χάρις αὕτη καὶ ἡ σταγὼν αὕτη, καὶ ἡ ῥανὶς τοῦ πνεύματος· τὴν οἰκουμένην ἅπασαν ἐνέπλησε τῆς γνώσεως. διὰ ταύτης τὰ σημεῖα ἐγίνετο· τὰ ἁμαρτήματα πάντων ἐλύετο. ἀλλ' ὅμως ἡ ἐν τοσούτοις κλίμασι δεδομένη χάρις, μέρος τι τῆς δωρεᾶς ἐστι καὶ ἀῤῥαβών. δοὺς γάρ, C φησι, τὸν ἀῤῥαβῶνα τοῦ πνεύματος ἐν ταῖς καρδίαις ἡμῶν· τὸ μέρος λέγει τῆς ἐνεργείας. οὐ γὰρ δὴ ὁ παράκλητος μερίζεται· ὅρα δὲ τὴν πηγὴν ὅση τις. ᾧ μὲν γὰρ διὰ τοῦ πνεύματος δίδοται λόγος σοφίας· ἑτέρῳ δὲ λόγος γνώσεως κατὰ τὸ αὐτὸ πνεῦμα, ἑτέρῳ δὲ πίστις. ἄλλῳ δὲ χαρίσματα ἰαμάτων· ἄλλῳ δὲ ἐνεργήματα δυνάμεων ἐν τῷ αὐτῷ πνεύματι· ἄλλῳ δὲ προφητεία· ἑτέρῳ δὲ διακρίσεις πνευμάτων, ἑτέρῳ δὲ γένη γλωσσῶν, καὶ τοσαῦτα χαρίσματα, ἐν τοσούτοις ἔθνεσιν ἡ ἐν τῷ βαπτίσματι χάρις ἐπὶ τὴν γῆν, D ἅπασαν ἐξέτεινε· καὶ πάντα ταῦτα ἡ ῥανὶς τοῦ πνεύματος ἐργάζεται. ὅτι γὰρ ῥανὶς ἦν, ἐδήλωσε τῷ εἰπεῖν ἐκχεῶ ἀπὸ τοῦ πνεύματός μου· καὶ τῷ ἀῤῥαβῶνα καλέσαι. διὰ γὰρ τούτου δῆλον ὅτι μικρόν τι τοῦ παντὸς ἐδόθη. διὰ τοῦτο καὶ Ἰωάννης τοῦτο αὐτὸ δηλῶν ἔλεγεν· ἐκ τοῦ πληρώματος αὐτοῦ ἡμεῖς πάντες ἐλάβομεν, ἐκ τοῦ ὑπερβλύζοντος, ὡς ἂν εἴποι τις, ἐκ τοῦ περιττεύοντος, ἐκ τοῦ ὑπερεκχεομένου πάντες ἐλάβομεν. ἐννόησον τοίνυν πνεύματος χάριν, πῶς ἐστι πάναρκης, ποσαύτην οἰκουμένην ἐπὶ τοσούτοις ἀρκοῦσα χρόνοις, καὶ οὐδὲ οὕτω περιγράφεται, οὔτε ἀναλίσκεται, ἀλλὰ πάντας μὲν ἐμπίπλησι πλούτου καὶ χάριτος,

dicebat, Requiescet super ipsum Spiritus sapientiæ & intelligentiæ, Spiritus consilij & virtutis, Spiritus scientiæ & pietatis. Spiritus timoris Dei implebit ipsum. Sed illic quidem est integra & vniuersa gratia: in hominibus autem parum quid, & gutta ex illa gratia. Propterea non dixit, Do spiritum, sed, Effundam de spiritu meo super omnem carnem. Hoc itaque euenit. Omnis enim orbis terrarum accepit ex illo Spiritu. Incœpit enim donum à Palæstina, processit autem in Ægyptum, in Phœniciam, Syriam, Ciliciam, Euphratem, Mesopotamiam, Cappadociam, Galatiam, Scythiam, Thraciam, Græciam, Galliam, Italiam, omnem Libyam, Europiam, Asiam, in ipsum Oceanum. Quid longiori oratione opus est? Quantum terræ sol respicit, tantum peruasit hæc gratia: & hæc gutta ac stilla Spiritus impleuit vniuersum orbem terrarum scientia. Per eam signa fiebant, omnium peccata soluebantur. Gratia tamen quæ data est in tot regionibus, est aliqua tantum pars & arrha doni. Dans enim, inquit Apostolus, arrham spiritus in cordibus nostris, hoc est, partem operationis. Spiritus enim non diuiditur. Vide autem quantus sit fons. Alij enim per Spiritum datur sermo sapientiæ, alij verò sermo scientiæ secundùm eundem Spiritum, alij verò fides, alij autem gratiæ curationum, alij verò operationes potestatum in eodẽ Spiritu, alij autem prophetiæ, alij verò discretiones Spirituũ, alij autem genera linguarum. Tot gratias in tot gentes, quæ in baptismo suscepta est gratia in vniuersum terrarum orbem extendit. Hæc autẽ omnia facit stilla Spiritus. Quòd enim stilla esset, declarauit cùm dixit: Effundam de Spiritu meo, & cum arrhã appellauit. Per hoc enim clarũ est parum quid ex toto datum esse. Quocirca Ioannes quoque hoc ipsum significãs, dicebat: Ex plenitudine eius nos omnes accepimus: Ex eo quod, vt ita dixerim, superfluebat, ex eo quod redundabat, ex eo quod superestundebatur, omnes accepimus. Cõsidera ergo quàm sit omni ex parte sufficiens potestas Spiritus, quæ vniuerso orbi terrarũ tanto tẽpore sufficit, & neque circũscribitur, nec consumitur, sed omnes quidem implet opibus & gratia:

2.Cor.1.

1.Cor.12.

Ioel 2.28.

Ioan.1.

ipsa verò minimè consumitur. Deinde quoniam nomen spiritus multa nomina complectitur (nam & Angelus, & anima, & ventus hoc dicitur, & multa alia) subiunxit, de Spiritu meo. Quemadmodum ergo hominis spiritui intercedit cum homine cognatio, ita etiam Dei Spiritui, sed ei nihilo secius manenti in propria hypostasi. Idque Paulus significans, dicebat: Quis enim hominum nouit quæ sunt hominis, nisi spiritus hominis qui in ipso est? Ita etiam quæ sunt Dei, nemo nouit, nisi Spiritus Dei, non confundens hypostases seu personas, absit: sed nobilitatem Spiritus significans. Quanta ergo est ipsius animæ cum seipsa consensio, tanta est Spiritus cum patre cognatio. Quemadmodū ergo filius quoque dicitur sermo aut verbum, nec est tamen eiusmodi vt non subsistat, sed per id cognoscimus quæ sit eius cum patre cognatio: ita etiam Spiritus Dei, dicitur Spiritus, nec tamen non subsistit. Et quemadmodum quoniam est proprius ac germanus patris filius, propterea nobis largitur adoptionem filiorum: ita etiam Spiritus, quoniam sua natura est ex Dei substantia, dona nobis præbet. Nam homo quoque quandoquidem natura homo est, propterea potest hominis pingere imaginem. *Propterea benedixit te Deus in æternum.* Alius dicit, Huius rei gratia. Vides quomodo ex vehementi affectione ad ipsum orationem dirigit? Ea de causa alibi quoq; non simpliciter & absolutè futura prædicit, sed præ se ferens figuram intentati criminis: vt quando dicit, Quare fremuerunt gentes, & populi meditati sunt inania? Ita etiam hic, dicens: Propterea benedixit te Deus in æternum. Cùm enim nec de eius ortu, nec de educatione, nec de aliis quidquam dixisset, hic obiter de eo loquitur. Qua de re? Quod omnia quidem dicere per ordinem ac consequentiam, est Euangelistarum, & ideo illa eis reseruauit, hoc enim erat officium illorum narrationis, prophetiæ verò munus est partes aliquas sumere, & de iis disserere. Et ideo prophetæ quoque hoc vbique faciunt. Nam pauca quædam quæ ad historiam pertinent, iniicientes, & adumbrantes, recedunt. Et ideo hic quoque, Benedixit te Deus, inquit, in æternum, sic dicens eius verba fuisse plena tanta gratia. Considera ergo virtutem gratiæ.

Spiritus vt variè accipitur.

1.Cor.2.11

Rom.8.

Psal.2.1.

Prophetæ & Euangelistæ differentia.

A αὐτὴ δὲ οὐδαμοῦ δαπανᾶται. εἶτα ἐπειδὴ πολυώνυμόν τί ἐστι τὸ ὄνομα τοῦ πνεύματος· καὶ γὰρ καὶ ἄγγελος, καὶ ψυχὴ, καὶ ἄνεμος τοῦτο καλεῖται, καὶ ἕτερα πλείονα, ἐπήγαγεν ἀπὸ τοῦ πνεύματός μου. ὥσπερ οὖν ἀνθρώπου πνεῦμα συγγενές ἐστι τοῦ ἀνθρώπου· οὕτω καὶ τὸ τοῦ Θεοῦ, ἀλλ' ἐν ἰδίᾳ ὑποστάσει μένον. καὶ τοῦτο δηλῶν ὁ Παῦλος ἔλεγε· τίς γὰρ οἶδεν ἀνθρώπων τὰ τοῦ ἀνθρώπου εἰ μὴ τὸ πνεῦμα τοῦ ἀνθρώπου τὸ ἐν αὐτῷ· οὕτω καὶ τὰ τοῦ Θεοῦ οὐδεὶς οἶδεν, εἰ μὴ τὸ πνεῦμα τοῦ Θεοῦ. οὐ συγχέων τὰς ὑποστάσεις, μὴ γένοιτο· ἀλλὰ τὴν εὐγένειαν τοῦ
B πνεύματος δηλῶν. ὅση γοῦν ψυχῆς αὐτῆς πρὸς ἑαυτὴν ἡ συμφωνία· τοσαύτη τοῦ πνεύματος πρὸς τὸν πατέρα ἡ συγγένεια. ὥσπερ οὖν καὶ ὁ υἱὸς λόγος λέγεται· ἀλλ' οὐκ ἀνυπόστατος, ἀλλὰ διὰ τοῦτο τὸ πρὸς τὸν πατέρα συγγενὲς ἵνα μάθωμεν· οὕτω καὶ τὸ πνεῦμα τοῦ Θεοῦ, πνεῦμα λέγεται, ἀλλ' οὐκ ἀνυπόστατον. καὶ ὥσπερ ἐπειδὴ γνήσιός ἐστιν υἱὸς τοῦ πατρὸς, διὰ τοῦτο υἱοθεσίαν ἡμῖν χαρίζεται· οὕτω καὶ τὸ πνεῦμα, ἐπειδὴ φύσει τῆς οὐσίας ἐστὶ τοῦ Θεοῦ. τὰ χαρίσματα ἡμῖν παρέχει. ἐπεὶ καὶ ἄνθρωπος, ἐπειδὴ φύσει ἄνθρωπός ἐστι, διὰ τοῦτο γράψαι δύνα-
C ται εἰκόνα ἀνθρώπου. διὰ τοῦτο εὐλόγησέ σε ὁ Θεὸς εἰς τὸν αἰῶνα. ἄλλος λέγει, ἐπὶ τούτῳ. ὁρᾷς πῶς δι' ὅλου πρὸς αὐτὸν ἀποτείνεται ἐκ διαθέσεως; διὰ τοῦτο καὶ ἀλλαχοῦ οὐχ ἁπλῶς προφητεύει, ἀλλ' ἐν σχήματι ἐγκλήματος, ὡς ὅταν λέγῃ· ἵνα τί ἐφρύαξαν ἔθνη καὶ λαοὶ ἐμελέτησαν κενά· οὕτω δὴ καὶ ἐνταῦθα λέγων, διὰ τοῦτο εὐλόγησέ σε ὁ Θεὸς εἰς τὸν αἰῶνα. οὐδὲν γὰρ περὶ τῆς γεννήσεως αὐτοῦ διαλεχθεὶς, οὐδὲ περὶ ἀναστροφῆς, οὐδὲ περὶ τῶν ἄλλων· ἐντεῦθεν
D ἐμβάλλει τὸν περὶ αὐτοῦ λόγον. τί δή ποτε; ὅτι τὸ μὲν ἅπαντα κατ' ἀκολουθίαν λέγειν, τῶν εὐαγγελιστῶν ἐστι, διὸ καὶ ἐκείνοις αὐτὰ ἐτήρησε καὶ τῆς ἐκείνων διηγήσεως ἦν. προφητείας δὲ ἐστὶν ἔργον μέρη τινὰ ἀπολαμβάνειν καὶ περὶ τούτων διαλέγεσθαι. διὰ δὴ τοῦτο οἱ προφῆται πανταχοῦ τοῦτο ποιοῦσιν. ὀλίγα τινὰ εἰς τὴν ἱστορίαν ἐμβάλλοντες καὶ συσκιάζοντες ἀναχωροῦσι. διὰ τοῦτο καὶ ἐνταῦθα εὐλόγησέ σε φησὶν, ὁ Θεὸς εἰς τὸν αἰῶνα· οὕτως εἰπὼν, ὅτι τοσαύτης χάριτος ἔγεμεν αὐτοῦ τὰ ῥήματα. σκόπει γοῦν τὴν δύναμιν τῆς χάριτος. περιπορεύε-

τό ποτε παρὰ τὴν θάλασσαν, καὶ εὑρίσκει Ἰάκωβον καὶ Ἰωάννην, καὶ λέγει αὐτοῖς· δεῦτε ὀπίσω μου, καὶ ποιήσω ὑμᾶς ἁλιεῖς ἀνθρώπων. οἱ δὲ καὶ τὸν πατέρα ἀφέντες, καὶ τὰ δίκτυα ἠκολούθησαν αὐτῷ. εἶτα ἄλλοτε πᾶσι τοῖς μαθηταῖς λέγων· μὴ καὶ ὑμεῖς θέλετε ὑπάγειν; λέγει αὐτῷ Πέτρος· κύριε ῥήματα ζωῆς αἰωνίου ἔχεις, καὶ ἡμεῖς πεπιστεύκαμεν καὶ ἐγνώκαμεν ὅτι σὺ εἶ ὁ Χριστὸς ὁ υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος· καὶ πρὸς τίνα ἀπελευσόμεθα; τί λέγω τοὺς μαθητάς; αὐτοὶ οἱ Φαρισαῖοι ἀποστείλαντες ὑπηρέτας, ἤκουον λεγόντων· οὐδέ ποτε ἐλάλησεν οὕτως ἄνθρωπος, ὡς οὗτος ὁ ἄνθρωπος. καὶ ἕτεροι πάλιν ἔλεγον, οὐδέ ποτε ἐφάνη οὕτως ἐν τῷ Ἰσραήλ. καὶ ἐξεπλήσσοντο, φησὶν, ὅτι ἐδίδασκεν αὐτοὺς ὡς ἐξουσίαν ἔχων, καὶ οὐχ ὡς οἱ γραμματεῖς αὐτῶν καὶ οἱ Φαρισαῖοι. εἰ δὲ βούλει μαθεῖν καὶ σὺ τὴν χάριν, ἄκουε τῶν ἐπιταγμάτων αὐτοῦ τὸν ὄγκον, καὶ ὄψει ταύτης τὴν δύναμιν· ἐὰν μή τις ἀποτάξηται πᾶσιν, ἔτι δὲ μισήσῃ, καὶ τὴν ἑαυτοῦ ψυχὴν, φησὶν, οὐκ ἔστι μου ἄξιος· ἀλλ' ὅμως ἴσχυσεν ὁ λόγος ἔργον γενέσθαι· τοσαύτη ἦν αὐτοῦ ἡ χάρις. καί τοι τί ψυχῆς οἰκειότερον; ἀλλὰ καὶ αὕτη καταπεφρόνηται διὰ τὸ πρόσταγμα τὸ ἐκείνου. σὺ δὲ ἀκούων, εὐλόγησέ σε ὁ Θεὸς, μὴ καταπέσῃς, μηδὲ ταπεινόν τι ἐννοήσῃς. ὅπερ γὰρ ἔφθην εἰπὼν, περὶ τῆς σαρκὸς ὁ λόγος ἐστὶ, τῆς χείλη ἐχούσης, περὶ τῆς δεχομένης τὴν χάριν, περὶ τῆς δεχομένης τὴν εὐλογίαν. ὁ γὰρ Θεὸς εὐλογίας οὐ δεῖται, οὐδὲ χάριτος. ἀνενδεὲς γάρ τὸ θεῖον. ὥσπερ γάρ ὁ πατὴρ ἐγείρει φησὶ, τοὺς νεκροὺς καὶ ζωοποιεῖ, οὕτω καὶ ὁ υἱὸς οὓς θέλει ζωοποιεῖ. καὶ πάλιν· τὰ ἔργα ἃ ἐκεῖνος ποιεῖ, ταῦτα καὶ ὁ υἱὸς ὁμοίως ποιεῖ. καὶ πάλιν· καθὼς γινώσκει με ὁ πατὴρ, κἀγὼ γινώσκω τὸν πατέρα. τὸ γάρ οὕτω καὶ τὸ ὁμοίως καὶ τὸ καθὼς, ἀπαραλλαξίας ἐστίν· ἀλλ' ἐνταῦθα περὶ τῆς οἰκονομίας ὁ λόγος. ἀκούομεν δὲ καὶ αὐτοῦ πάλιν λέγοντος· διὰ τοῦτό με ὁ πατὴρ ἀγαπᾷ, ὅτι ἐγὼ τὴν ψυχήν μου τίθημι ὑπὲρ τῶν προβάτων. ἆρα οὖν πρὸ τούτου αὐτὸν οὐκ ἠγάπα; πῶς οὖν ἔλεγεν· οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητός; ἀλλὰ θέλων δεῖξαι τὸ μέγεθος τοῦ κατορθώματος τοῦτο τέθεικεν.

A Deambulabat quandoque prope mare, & inuenit Iacobum & Ioannem, & dicit eis: Venite post me, & faciam vos piscatores hominum. Illi verò & patre, & retibus relictis, eum statim secuti sunt. Deinde etiam cùm alibi diceret omnibus Apostolis: Nunquid vos quoque vultis recedere? dicit ei Petrus: Domine, verba vitæ æternæ habes, & nos credidimus & cognouimus quòd tu es Christus filius Dei viui: & ad quem abibimus? Quid dico discipulos? Ipsi Pharisæi cùm misissent ministros, audierunt eos dicentes: Nunquam homo B sic locutus est, vt hic homo. Et alij rursus dicebant, Nunquam sic visum est in Israël. Et mirabantur, inquit, quòd eos doceret tanquam habens potestatem, & non vt scribæ ipsorum & Pharisæi. Si velis autem tu quoque scire gratiam, considera quanti sint ponderis & momenti eius præcepta, & videbis eius potentiam. Nisi quis renunciauerit omnibus, & præterea animam suam odio habuerit, inquit, non est me dignus, sermo tamen tantum potuit, vt in opus exiret, & reuera id fieret: tanta erat eius gratia. C Quid est maiori nobiscum familiaritate ac necessitudine coniunctum, quàm anima? Atqui ipsa quoque contemptui habita est propter illius iussum. Tu autem cùm audis, Benedixit te Deus, ne labaris, nec humile & abiectum quidpiam cogitaueris. Quemadmodum enim iam ante dixi, de carne loquitur, quæ habet labia, quæ gratiam suscipit, quæ suscipit benedictionem: Deus enim nec benedictione opus habet, nec gratia. Nam Deus nullius rei indiget. Quemadmodum enim, inquit, pater suscitat mortuos, & viuificat: ita etiam quos D vult filius viuificat. Et rursus: Opera quæ ille facit, ea quoque facit filius similiter. Et rursus: Sicut cognoscit me pater, & ego quoque cognosco patrem. Illud enim, sic, & similiter, & sicut, significant eum esse per omnia similem: sed hic de humana natura quam susceperat, agitur. Audimus autem ipsum quoque rursus dicentem: Propterea pater me diligit, quia ego pono animam meam pro ouibus. Nunquid eũ non diligebat antea? quomodo ergo dixit: Hic est filius meus dilectus? Sed hoc posuit volens ostendere quantũ & quàm præclarũ ab eo fieret facinus.

Matth. 4.
Ioan. 6.68.
Ioan. 7.
Matt. 9.
Matt. 7.
Matt. 1.
Luc. 14.32.
Ioan. 5.
Ibidem.
Ioan. 14.
Sic, similiter.
Ioan. 10. 17.
Matt. 3.

Sicut ergo illic in reddendâ ratione est causa aliqua, ita etiam hic quoque causa est manifesta. Hac enim de causa prius dixit: Speciosus forma præ filiis hominum. Et: Diffusa est gratia in labiis tuis. Et: Propterea benedixit te Deus in æternum, id suscepta humanitati adscribens, vt quando rursus humanum quid dicturus sit, & quod sit eius dignitate inferius, ne labaris, sed cognoscas de quonam loquatur. Ita etiam Iacob humanitatis susceptæ consilium significans, dicebat: Gratiosi eius oculi sicut vinum, & candidi eius dentes sicut lac. Diuinitas autem non habet dentes. Alius quoque propheta dicit: Percutiet terram verbo oris sui, & spiritu labiorum tollet impium, eadem dicens cum Paulo dicente: Quem dominus consumet spiritu oris sui, & abolebit apparitione suæ præsentiæ. Ne tu ergo cùm hæc audiens, contemnas, ostendit tibi vires diuinitatis. Neque enim carnem diuidit à diuinitate, neque diuinitatem à carne, non substantias confundens, absit: sed vnionem ostendens. Propterea dicit: Benedixit te Deus in æternum. Quis est autem modus benedictionis? Assistunt Angeli, Archangeli, throni, dominationes, principatus, potestates, laudibus celebrantes. Omnis terra à finibus in fines Deum incarnatum canit, & laudibus afficit. Primus enim Adam repletus fuit execratione, hic autem contrà multa benedictione. Ille audiit, Maledictus tu in operibus tuis, & qui eum secutus est rursus: Maledictus, qui facit opus Dei negligenter. Et: Maledictus, qui non permanet in omnibus quæ scripta sunt in libro hoc. Et: Maledictus, qui pendet in ligno. Vides quot maledictiones. Ab his omnibus liberauit Christus factus maledictum. Quemadmodum enim seipsum humiliauit, vt te exaltaret, & mortuus est, vt te redderet immortalem: ita etiã factus est maledictum, vt tu implereris benedictione. Quid potest conferri cum hac benedictione, quando per maledictionem largitur benedictionem? Neque enim ipse opus habuit benedictione, sed eam tibi donat. Quemadmodum enim quando dico eum fuisse humiliatum, non dico mutationem, sed humanæ susceptæ naturæ demissioné:

Genes. 49. *Esa. 11.* *2. Thess. 2.* *Christus vt benedicatur.* *1. Cor. 15.* *Genes. 3.* *Hier. 48.* *Deut. 27.* *Deut. 21.* *Galat. 3.*

A ὥσπερ οὖν ἐκεῖ ἡ αἰτιολογία ἔχει τινὰ αἰτίαν· οὕτω καὶ ἐνταῦθα, ἡ αἰτία δήλη. διὰ γὰρ τοῦτο προλαβὼν εἶπεν· ὡραῖος κάλλει παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων. καὶ, ἐξεχύθη χάρις ἐν χείλεσί σου. καὶ, διὰ τοῦτο εὐλόγησέ σε ὁ Θεὸς εἰς τὸν αἰῶνα, εἰς τὸν τῆς οἰκονομίας ἕλκων λόγον, ἵνα ὅταν μέλλῃ τι πάλιν λέγειν, τῆς αὐτοῦ ἀξίας καταδεὲς, μὴ καταπέσῃς, ἀλλ᾽ ἴδῃς περὶ τίνος ὁ λόγος. οὕτω καὶ Ιακὼβ τὴν οἰκονομίαν δηλῶν μετὰ τὸ πολλὰ εἰπεῖν ἔλεγε· χαροποιοὶ οἱ ὀφθαλμοὶ αὐτοῦ ὡς οἶνος, καὶ λευκοὶ οἱ ὀδόντες αὐτοῦ ἢ γάλα. ὀδόντας δὲ ἡ θεότης οὐκ ἔχει. B καὶ ἄλλος προφήτης φησί· πατάξει τὴν γῆν λόγῳ τοῦ στόματος αὐτοῦ, καὶ πνεύματι χειλέων ἀνελεῖ ἀσεβῆ· τὰ αὐτὰ τῷ Παύλῳ φθεγγόμενος λέγοντι· ὃν ὁ κύριος ἀναλώσει τῷ πνεύματι τοῦ στόματος αὐτοῦ, καὶ καταργήσει τῇ ἐπιφανείᾳ τῆς παρουσίας αὐτοῦ. ἵν᾽ οὖν μὴ ἀκούσας σὺ ταῦτα καταφρονήσῃς, δείκνυσί σοι τῆς θεότητος τὴν ἰσχύν. οὐδὲ γὰρ τὴν σάρκα διαιρεῖ τῆς θεότητος, οὔτε τὴν θεότητα τῆς σαρκὸς, οὐχὶ τὰς οὐσίας συγχέων· μὴ γένοιτο, ἀλλὰ τὴν ἕνωσιν δεικνύς. διὰ τοῦτό φησιν· εὐλόγησέ σε ὁ Θεὸς εἰς τὸν αἰῶνα. C τίς δὲ τῆς εὐλογίας ὁ τρόπος; ἄγγελοι, ἀρχάγγελοι παρεστήκασι, θρόνοι, κυριότητες, ἀρχαὶ, ἐξουσίαι ὕμνον ἀναπέμποντες, πᾶσα ἡ γῆ ἀπὸ περάτων εἰς τὰ πέρατα δοξολογεῖ καὶ ὑμνεῖ τὸν σαρκωθέντα Θεόν. ὁ μὲν γὰρ πρῶτος Αδὰμ, μυρίας ἀνεπλήσθη κατάρας· οὗτος δὲ ἀπεναντίας ἐκείνῳ πολλῆς τῆς εὐλογίας. ἐκεῖνος ἤκουσεν, ἐπικατάρατος σὺ ἐν τοῖς ἔργοις σου· καὶ ὁ μετ᾽ ἐκεῖνον πάλιν, καὶ ἐπικατάρατος ὁ ποιῶν τὰ ἔργα κυρίου ἀμελῶς· καὶ ἐπικατάρατος, ὃς οὐκ ἐμμένει πᾶσι τοῖς γεγραμμένοις ἐν τῷ βιβλίῳ D τούτῳ· καὶ ἐπικατάρατος ὁ κρεμάμενος ἐπὶ ξύλου. ὁρᾷς πόσαι κατάραι; τούτων ἠλευθέρωσέ σε ὁ Χριστὸς γενόμενος κατάρα. ὥσπερ γὰρ ἐταπείνωσεν ἑαυτὸν, ἵνα σε ὑψώσῃ, καὶ ἀπέθανεν, ἵνα σε ἀθάνατον ἐργάσηται· οὕτω καὶ κατάρα ἐγένετο, ἵνα σε εὐλογίας ἐμπλήσῃ. τί τῆς εὐλογίας ταύτης ἴσον, ὅταν διὰ κατάρας εὐλογίαν χαρίζηται; οὐ γὰρ αὐτὸς ἐδεήθη εὐλογίας, ἀλλά σοι ταύτην δίδωσιν. ὥσπερ γὰρ ὅταν εἴπω, ὅτι ἐταπεινώθη, οὐ μεταβολὴν λέγω, ἀλλὰ τῆς οἰκονομίας τὴν συγκατάβασιν.

οὕτω καὶ ὅταν εἴπω ὅτι ηὐλογήθη, οὐ τοῦτο λέγω, ὅτι ἐδεήθη εὐλογίας, ἀλλὰ πάλιν τῆς οἰκονομίας δείκνυμι τὴν συγκατάβασιν. ηὐλογήθη τοίνυν ἡ ἀνθρωπίνη φύσις· Χριστὸς γὰρ ἐγερθεὶς ἐκ νεκρῶν, οὐκ ἔτι ἀποθνήσκει, οὐδὲ κατάρᾳ ὑπόκειται· μᾶλλον δὲ οὐδὲ πρὸ τούτου ὑπέκειτο· ἀλλ᾽ ἀνέλαβε τὴν κατάραν, ἵνα σε ταύτης ἀπαλλάξῃ. περίζωσαι τὴν ῥομφαίαν σου ἐπὶ τὸν μηρόν σου δυνατέ. ἄλλος, ζῶσαι μάχαιράν σου ἐπὶ μηρόν. ἄλλος, περίθου ὡς μάχαιράν σου ἐπὶ τὸν μηρόν. τῇ ὡραιότητί σου καὶ τῷ κάλλει σου. ἄλλος φησὶ, τὸν ἔπαινόν σου καὶ τὸ ἀξίωμά σου. ἄλλος, ἐπὶ δοξότητί σου καὶ δι᾽ εὐπρέπειαν σου. τίς ἡ μεταβολὴ, καὶ τίς ἡ μετάστασις τῶν ῥημάτων; περὶ γὰρ διδασκάλου διαλεγόμενος· τοῦτο γάρ ἐστι τὸ ἐξεχύθη χάρις ἐν χείλεσί σου· ἐξαίφνης ἡμῖν βασιλέα καθωπλισμένον ὑπογράφει· καὶ οὐκ ἐν τάξει προφητείας, ἀλλ᾽ ἐν τάξει ἱκετηρίας. οὐ γὰρ εἶπε περιζώσεται τὴν ῥομφαίαν αὐτοῦ· ἀλλὰ ἀξιοῖ καί φησι, περίζωσαι τὴν ῥομφαίαν σου. Εἶτα καὶ τῇ ὁπλίσει ταύτῃ κάλλος ἀναμίγνυσι, νῦν μὲν ὁπλίτην δηλῶν, νῦν δὲ ὡραϊζόμενον· τῇ γὰρ ὡραιότητί σου φησὶ, καὶ τῷ κάλλει σου. εἶτα τοξότην· τὰ βέλη γάρ σου φησὶν ἠκονημένα δυνατέ. καὶ πάλιν νικητὴν καὶ τροπαιοῦχον, λαοὶ ὑποκάτω σου φησὶ, πεσοῦνται ἐν καρδίᾳ τῶν ἐχθρῶν τοῦ βασιλέως. καὶ τοῦτον δὲ αὐτὸν πάλιν εἰσάγει· μύροις χριόμενον τὸν ὁπλίτην, καὶ βασιλέα, καὶ τοξότην, καὶ νικητήν. σμύρνα γάρ, φησι, καὶ στακτὴ, καὶ κασία ἀπὸ τῶν ἱματίων σου. τίς οὖν κοινωνία ὅπλοις καὶ μύροις; χρίσει, καὶ ῥομφαίᾳ; διδασκαλίᾳ καὶ πολέμῳ; τόξοις, καὶ ὡραϊσμῷ; τὰ μὲν γάρ ἐστιν εἰρήνης σύμβολα· τὰ δὲ μάχης καὶ παρατάξεως. τίς οὖν ἐστιν ὁ εἰρηνικὸς ὁμοῦ καὶ πολεμικός; ὁ μύρον στάζων, καὶ ὅπλοις φραττόμενος· ὁ προϊὼν ἀπὸ βάρεων ἐλεφαντίνων, καὶ μυρίους βάλλων τῶν ἐχθρῶν, καὶ τοσαύτας ἐργαζόμενος σφαγάς; πῶς λύσομεν τὴν ἀπορίαν ταύτην; ἂν γνῶμεν ἀκριβῶς ὅτι καὶ περὶ τοῦ πατρὸς αὐτοῦ ταῦτα λέγεται. καὶ γὰρ καὶ αὐτὸν εἰσάγει ὁ προφήτης ἀλλαχοῦ ὁπλιζόμενον, ὡς ὅταν λέγῃ· ἐὰν μὴ ἐπιστραφῆτε, τὴν ῥομφαίαν αὐτοῦ στιλβώσει· τὸ τόξον αὐτοῦ ἐνέτεινε, καὶ ἡτοίμασεν αὐτὸ, καὶ ἐν αὐτῷ ἡτοίμασε σκεύη θανάτου.

ita etiam quando dixero eum esse benedictum, non hoc dico, quòd ei fuerit opus benedictione, sed rursus ostendo demissionem humanæ susceptæ naturæ. Benedicta fuit ergo humana natura: Christus enim à mortuis excitatus, nō moritur amplius, nec est maledicto obnoxius: imò verò nec antè quidem erat obnoxius, sed suscepit maledictū, vt te ab eo liberaret. 4. *Accingere gladio tuo super femur tuum potentissime.* Alius, cinge ensem tuum super femur. Alius, circumpone veluti gladium tuum super femur. *Specie tua & pulchritudine tua.* Alius, laudem tuam & authoritatem tuam. Alius, gloria & decore tuo. Quęnam est hæc mutatio, & quænam verborum translatio? Cùm enim de doctore loqueretur, (hoc enim sibi vult illud, diffusa est gratia in labiis tuis) armatum regem nobis repentè describit, nec ita vt locum teneat prophetiæ, sed vt locum supplicationis. Non dixit enim: Accingere gladium suum, sed rogat, & dicit, Accingere gladio tuo: deinde huic etiam armaturæ admiscet pulchritudinem, nunc quidem grauis armaturæ militem significans, nunc verò venustum hominē ac speciosum. Specie enim, inquit, tua, & pulchritudine tua. Deinde sagittarium. Sagittæ enim, inquit, tuæ acutæ, potentissime. Et rursus victorem & triumphatorem: Populi, inquit, sub te cadent in corde inimicorum regis. Porrò autem eundem rursus inducit vnguentis delibutum, qui est miles grauis armaturæ, & rex, & sagittarius, & victor. Myrrha enim, inquit, & gutta, & casia à vestimentis tuis. Quid ergo commune inter se habent arma & vnguenta, oleum & gladius, doctrina & bellum, arcus & pulchritudo? Hæc enim sunt signa pacis, illa verò prælij & instructæ aciei? Quis ergo est simul & pacis amicus, & rei militari deditus? cui distillat vnguentum, & armis est munitus? Quis procedit ex domibus eburneis, & hostes fundit innumerabile, & maximam stragem facit? Quomodo soluemus hanc dubitationem, nisi rectè sciamus hæc quoque dici de patre? Nam ipse quoque propheta eum alibi armatum introducit, vt quando dicit: Nisi conuersi fueritis, gladium suum vibrabit: arcum suum tetendit, & parauit ipsum, & in eo parauit vasa mortis. Et rursus

Rom. 6. 9.

Quæstio per antithesin.

Psal. 7. 13.

Sap. 5. 19. alibi: Induet thoracem iustitiam. Vide autem eandem quoque authoritatem. Quemadmodum enim illic dicit, Gladium suum vibrabit, non ab alio iussus, sed ipse ex seipso: ita hîc etiam, sagittæ potentis acutæ, populi sub te cadent in corde inimicorum regis. Deinde ostendens eum omnia ex sua authoritate facere, dicit: Deducet te mirabiliter dextera tua. Non aliunde, inquit, operationem suscipis, sed ipse tibi ipsi sufficis. Audi autem ipsum quoque pacis Deum dicentem discipulis: Non veni pacem in terram mittere, sed gladium. *Matt. 10. 34.* Et rursus: Ignem *Luc. 12. 49* veni mittere in terram, & quid volo nisi vt accendatur? Hic autem de eodem dicens, quomodo sit venturus dicit: Descendet sicut pluuia in vellus, *Psal. 71. 6.* & tanquam gutta quæ distillat super terram. Hæc dico, vt attenti sitis & vigilantes, & quæ ex dictionibus significantur, diligenter sumentes, soluatis apud vos dubitationem. *Solutio.* Hæc enim nomina significant eius operationes. Ita ergo hîc quoque cùm audieris, Accingere gladio tuo super femur tuum potentissime, existima esse nomen eius operationis. Ita etiam arcus & sagittas. *Ira Dei correctiua & punitio.* Quemadmodum enim scriptura dicit Deum irasci, non perturbationem animi ei tribuens, sed per hanc dictionem, punientem eius operationem ostendens, & quæ sunt crassiora attingens, ita idipsum significat arma dicens. Quia enim non per nosipsos, sed per alia instrumenta punitur, volens eius punientem ostendere facultatem, id per noimia nobis nota significauit, non vt arma in Deo cogitemus, sed vt significantius & cum maiori emphrasi eius punitionem audiamus. At multi, inquit, ex hoc loco læsi sunt: sed temerè, & à propria inscitia: maximè enim cùm Deum audirent, debebant intelligere id dictum esse tropicè & figuratè. Nunc verò nec per alia quidem verba neglexit scriptura docere Deum esse impatibilem. Audi ergo quomodo alibi docet, quàm sit ei facile sumere supplicium, dicens: Exurgat Deus, & *Psal. 64.* dissipentur inimici eius. Nunquid opus est armis? Nunquid gladio? Suffi- *Psal. 103.* cit, inquit, solùm si exurrexerit. Sed *Psal. 17.* hoc quoque rursus est crassum, & ideo

καὶ πάλιν ἀλλαχοῦ· ἐνδύσεται θώρακα δικαιοσύνην. ὅρα δὲ καὶ αὐθεντίας τὴν αὐτήν. ὥσπερ γὰρ ἐκεῖ φησι, τὴν ῥομφαίαν αὐτοῦ στιλβώσει, οὐ παρά τινος κελευσθείς, ἀλλ' αὐτὸς ἀφ' ἑαυτοῦ, οὕτω καὶ ἐνταῦθα· τὰ βέλη τοῦ δυνατοῦ ἠκονημένα, λαοὶ ὑποκάτω σου πεσοῦνται ἐν καρδίᾳ τῶν ἐχθρῶν τοῦ βασιλέως. εἶτα δεικνύς, ὅτι οἴκοθεν πάντα ποιεῖ, λέγει· ὁδηγήσει σε θαυμαστῶς ἡ δεξιά σου. οὐχ ἑτέρωθεν, φησιν, ἐνέργειαν δέχῃ, ἀλλ' αὐτὸς ἑαυτῷ ἀρκεῖς. ἄκουε δὲ καὶ αὐτοῦ λέγοντος τοῦ τῆς εἰρήνης Θεοῦ πρὸς τοὺς μαθητάς· οὐκ ἦλθον βαλεῖν εἰρήνην ἐπὶ τὴν γῆν, ἀλλὰ μάχαιραν. καὶ πάλιν· πῦρ ἦλθον βαλεῖν ἐπὶ τὴν γῆν, καὶ τί θέλω εἰ ἤδη ἀνήφθη; ἐνταῦθα δὲ περὶ αὐτοῦ λέγων, πῶς ἥξει, φησί· καταβήσεται ὡς ὑετὸς ἐπὶ πόκον, καὶ ὡσεὶ σταγὼν ἡ στάζουσα ἐπὶ τὴν γῆν. ταῦτα λέγω, ἵνα διεγηγερμένοι ἦτε, καὶ τὰ ἀπὸ τῶν λέξεων σημαινόμενα μετὰ ἀκριβείας ἐκλαμβάνοντες, λύητε παρ' ἑαυτοῖς τὴν ἀπορίαν. ταῦτα γὰρ τὰ ὀνόματα τῶν ἐνεργειῶν αὐτοῦ ἐστι σημαντικά. οὕτω τοίνυν καὶ ἐνταῦθα ὅταν ἀκούσῃς περιζώσασθαι τὴν ῥομφαίαν σου ἐπὶ τὸν μηρόν σου δυνατέ, τῆς ἐνεργείας αὐτοῦ εἶναι ὄνομα νόμιζε καὶ τὰ τόξα καὶ τὰ βέλη. ὥσπερ γὰρ ὀργίζεσθαι τὸν Θεὸν ἡ γραφὴ λέγει, οὐ πάθος αὐτῷ περιάπτουσα, ἀλλὰ διὰ τῆς λέξεως ταύτης τὴν ἐνέργειαν αὐτοῦ τὴν κολαστικὴν παριστῶσα, καὶ τῶν παχυτέρων καθαπτομένη· οὕτω καὶ τὰ ὅπλα λέγουσα τοῦτο δηλοῖ. ἐπειδὴ γὰρ ἡμεῖς οὐ δι' ἑαυτῶν, ἀλλὰ δι' ἑτέρων ὀργάνων τιμωρούμεθα· θέλων δεῖξαι τὴν τιμωρητικὴν αὐτοῦ δύναμιν, διὰ τῶν γνωρίμων ἡμῖν ὀνομάτων ἐδήλωσεν· οὐχ ἵνα ὅπλα περὶ Θεὸν νοήσωμεν· ἀλλ' ἵνα ἐμφαντικώτερον τὴν κόλασιν αὐτοῦ ἀκούσωμεν. ἀλλὰ πολλοί φησιν ἐντεῦθεν ἐβλάβησαν· ἀλλ' εἰκῆ καὶ μάτην καὶ ὑπὸ τῆς οἰκείας ἀνοίας. μάλιστα μὲν γὰρ ἀκούοντες Θεόν, ὤφειλον συνιέναι, ὅτι τροπικώτερον εἴρηται· νυνὶ δὲ οὐ διὰ ῥημάτων ἑτέρων αὐτοὺς παιδεῦσαι τὸ ἀπαθὲς τοῦ Θεοῦ ἠμέλησεν ἡ γραφή. ἄκουσον γοῦν ἀλλαχοῦ πῶς αὐτοῦ δείκνυσι τὴν εὐκολίαν τῆς τιμωρίας, λέγων· ἀναστήτω ὁ Θεός, καὶ διασκορπισθήτωσαν οἱ ἐχθροὶ αὐτοῦ. μὴ χρεία ὅπλων; μὴ χρεία ῥομφαίας; ἀρκεῖ μόνον, φησίν, ἡ ἀνάστασις. ἀλλὰ καὶ τοῦτο πάλιν παχύ· διὸ πολλαχοῦ

λαχοῦ λέγει· ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν, καὶ ποιῶν αὐτὴν τρέμειν. καὶ πάλιν, ἀπὸ προσώπου αὐτοῦ ἐσαλεύθη ἡ γῆ, ἀλλὰ καὶ τοῦτο παχύ· ἄκουσον τὸ ὑψηλότερον· πάντα ὅσα ἠθέλησεν ἐποίησεν· ἀρκεῖ γὰρ αὐτῷ τὸ θελῆσαι μόνον. σκόπει δὲ πῶς καὶ ἐν αὐτοῖς τοῖς παχυτέροις τούτοις δείκνυσι τὸ ἀνενδεὲς τοῦ Θεοῦ. οὐ γὰρ πρότερον ὅπλων ἐμνημόνευσεν, ἕως ὅτε δυνατὸν αὐτὸν ἐκάλεσε. καὶ πάλιν καταλέξας τὰ ὅπλα, ὅλην τὴν νίκην τῇ δεξιᾷ αὐτοῦ ἐλογίσατο, τουτέστι τῇ φύσει αὐτοῦ καὶ τῇ δυνάμει αὐτοῦ, ὅπερ καὶ ἄλλος προφήτης δηλῶν ἔλεγεν· ἡ ἀρχὴ αὐτοῦ ἐπὶ τοῦ ὤμου αὐτοῦ· οὐχ ἵνα ὦμον νοήσῃς, μὴ γένοιτο· ἀλλ' ἵνα εἰδῇς ὅτι οὐ δεῖται ἑτέρων Θεὸς συμμαχίας. περίζωσαι τὴν ῥομφαίαν σου ἐπὶ τὸν μηρόν σου δυνατέ· τῇ ὡραιότητί σου καὶ τῷ κάλλει σου. τί οὖν ἐνταῦθα λέγει; διὰ τῶν παχυτέρων ὀνομάτων τούτων τὴν ἐνέργειαν αὐτοῦ δείκνυσι, δι' ἧς τὴν οἰκουμένην κατώρθωσε, δι' ἧς τὸν πόλεμον ἔλυσε, καὶ τὸ τρόπαιον ἔστησε. καὶ γὰρ πόλεμος ἦν χαλεπός· πολέμων ἁπάντων ὁ πικρότατος· οὐ βαρβάρων πολεμούντων, ἀλλὰ τῶν δαιμόνων ἐπιβουλευόντων καὶ τὴν οἰκουμένην διαφθειρόντων ἅπασαν. διὰ δὴ τοῦτο καὶ ὁ Ἡσαΐας ἔλεγε· καὶ τῶν ἰσχυρῶν μεριεῖ τὰ σκῦλα· καὶ πάλιν πνεῦμα κυρίου ἐπ' ἐμέ· οὗ ἕνεκεν ἔχρισέ με, εὐαγγελίσασθαι πτωχοῖς ἀπέσταλκέ με, κηρύξαι αἰχμαλώτοις ἄφεσιν. διὰ δὴ τοῦτο καὶ Παῦλος πανταχοῦ τῶν ἐπιστολῶν προγράφων ἔλεγε· χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ πατρὸς ἡμῶν. καὶ πάλιν· αὐτὸς γάρ ἐστιν ἡ εἰρήνη ἡμῶν ὁ ποιήσας τὰ ἀμφότερα ἕν· ἵνα δὲ μὴ ἀκούων περίζωσαι τὴν ῥομφαίαν σου μάχαιραν νομίσῃς αἰσθητήν, ἄκουε τῶν ἑξῆς. εἰπὼν γὰρ περίθου τὴν μάχαιράν σου, ἐπήγαγε, τῇ ὡραιότητί σου, καὶ τῷ κάλλει σου. τουτέστιν, ἡ μάχαιρα ἡ ὡραιότης αὐτοῦ, καὶ τὸ κάλλος αὐτοῦ καὶ ἡ δόξα καὶ τὸ ἀξίωμα, καὶ ἡ δόξα, καὶ ἡ μεγαλωσύνη, καὶ ἡ μεγαλοπρέπεια. οὐδενὸς γὰρ δεῖται ἡ οὐσία ἐκείνη εἰς τὸ κατορθῶσαι τὰ προκείμενα· ἀνενδεὴς γάρ ἐστι. παρακαλεῖ τοίνυν ὁ προφήτης, ὑπὲρ τῆς οἰκουμένης εἰς πόλεμον αὐτὸν ἐξάγων. εἶτα ἀπὸ τῶν ὑψηλῶν πάλιν, ἐπὶ τὰ παχύτερα κατάγει τὸν λόγον. εἰπὼν γὰρ μάχαιραν καὶ μηρόν, ἀνῆλθεν εἰς τὴν ὡραιότητα· καὶ πάλιν ἐκεῖθεν κάτεισιν ἐπὶ τὰ σωματικώτερα, καί φησιν·

A sæpe dicit: Qui respicit super terram, & facit eam tremere. Et rursus: A facie eius commota est terra. Atqui hoc quoque est crassum. Audi ergo rursus id quod est sublimius. Omnia quæcunque voluit fecit: ei enim solùm voluisse sufficit. Vide autem quomodo in his etiam crassioribus ostendit Deum nullius rei egere. Neque enim prius armorum meminit, quàm eum potentem vocauerit, & rursus cùm arma enumerasset, omnem victoriã eius dextræ adscripsit, hoc est, eius naturæ & potẽtiæ. Quod alius quoq. propheta significãs, dicebat: Principatus eius super humerum eius, non vt humerum intelligas, B absit: sed vt scias Deum non egere aliorum auxilio. Accingere gladio tuo super femur tuum potentissime, specie tua & pulchritudine tua. Quid hic igitur dicit? Per hæc crassiora nomina ostendit eius operationem, per quam orbem terrarum rexit, per quam bellum confecit, & trophæum erexit. Erat enim bellum grauissimum, & omnium bellorum acerbissimum, in quo non barbari bellum gerebant, sed dæmones tendebant insidias, & vniuerso C orbi terrarum afferebant exitium. quocirca Esaias quoque dicebat: Et fortium diuidet spolia. Et rursus alibi: Spiritus domini super me, qua de causa vnxit me: ad euangelizandum pauperibus misit me, ad prædicandam captiuis remissionem. Quamobrem Paulus vbique in principio Epistolarum scribens dicebat: Gratia vobis & pax à Deo patre nostro. Et rursus: Ipse enim est pax nostra, qui fecit vtraque vnum. Ne autem dum audis, Accingere gladio tuo, ensem intelligas sensilem, audi quæ sequuntur. Cùm D enim dixisset, cinge te gladio, subiunxit, Specie tua, & pulchritudine tua: hoc est gladius, species eius, pulchritudo, & authoritas, gloria, maiestas, & magnificentia. Nullius enim illa indiget substantia ad ea rectè gerenda, quæ fuerint proposita: est enim nullius indiga. Eum ergo adhortatur propheta, pro vniuerso orbe terrarum eum ad bellum educens. Deinde à sublimibus orationem rursus deducit ad crassiora. Cùm enim dixisset gladium & femur, ascendit ad speciem & pulchritudinem: & illinc rursus descendit ad ea quæ sunt magis corporea, & dicit:

Psal. 113. Sap. 12.

Esa. 9. 6.

Esa. 53. 12.

Esa. 61. 1.

Rom. 1. 7.

Ephes. 2. 14.

5. *Intende, prosperè procede, & regna.* Cùm autem dixit, intende, arcum significauit & sagittam. Deinde ostendens rursus eum armis non egere, subiunxit, prosperè procede, & regna. Alius autẽ interpres dicit, promoue. Regnum autẽ hic dicit, quod cùm aduenisset, administrauit extremis temporibus, asciscendo in familiaritatem & scientiam. Hæc autem verba indicant prophetæ desiderium videntis iam quæ erant ab eo facienda, & vniuersum orbem terræ, qui deducebatur ad veritatem: & ideo tropo vsus est, nempe præcipiente & exhortante figura dictionis. Consueuerunt enim minores, quando sunt acri maiorum inflammati studio, his vti dictionibus. *Propter veritatem, & mansuetudinem, & iustitiam.* Aduerbio veritatis vtitur. Vides quomodo seipsam interpretatur scriptura, & ostendit victoriam versari in intelligentia, & esse spiritualem. Qui enim meminit armorum, gladij, & arcuum, quomodo hic meminit mansuetudinis? Quid enim commune inter se habent bellum & mansuetudo, pugna & clementia? Permultum quidem certè, si quis rectè expenderit. Nam & Dauid & Moses erant mites: & ideo de illo quidem dicit scriptura: Memento domine Dauid, & omnis mansuetudinis eius. De Mose autem: Erat Moses mitissimus omnium hominum qui erant super terram, tamen videntur ij qui erant omnium mitissimi, omnium maximè vlcisci. Sed si vultis, dicamus prius de eorum mansuetudine. Cùm hic beatus cepisset sæpe Saulem, & esset in eius potestate eũ de medio tollere, manum in eum non immisit: quinetiam cùm alij ipsum incitarent, ei pepercit, & iram repressit. Iam verò cùm Semei eum contumelia afficeret, & eius calamitati tunc insultaret, vellentq; duces transire, & maledicum hominem probris eiusmodi insectantem interimere, qualia profert verba omni sapientia plena? Illum quoque parricidam & incontinentem adolescentem, quomodo suis commendat ducibus, dicens: Parcite mihi filiolo Absaloni? Quando autem in principio loquebatur cum fratribus ei inuidentibus propter futuram victoriã, cogita quàm mansuetè loquitur dicens: Nunquid non verbum est?

Psal. 131. *Num. 12.* *1. Reg. 24. 26.* *2. Reg. 16.* *2. Reg. 18.*

A καὶ ἔντεινε, καὶ κατευοδοῦ, καὶ βασίλευε. Εἰπὼν δὲ ἔντεινε, τὸ τόξον ἡμῖν ἐδήλωσε καὶ τὸ βέλος· εἶτα δεικνὺς πάλιν, ὅτι οὐχ ὅπλων αὐτῷ δεῖ, ἐπήγαγε, καὶ κατευοδοῦ καὶ βασίλευε. ἕτερος δὲ ἑρμηνευτής φησι, προέκοπτε· βασιλείαν δὲ ἐνταῦθα λέγει τὴν ἐλθοῦσαν κατόρθωσιν ἐν ὑστάτοις καιροῖς· τὴν καταικείωσιν καὶ γνῶσιν. ταῦτα δὲ τὰ ῥήματα τοῦ πόθου μάλιστά ἐστι τοῦ προφητικοῦ ὁρῶντος ἤδη τὰ κατορθώματα καὶ τὴν οἰκουμένην πρὸς ἀλήθειαν χειραγωγουμένην. διὰ τοῦτο τρόπῳ παρακελευομένῳ B κέχρηται τῷ σχήματι τῆς λέξεως. ἔθος γὰρ καὶ τοῖς ἐλάττοσιν, ὅταν διαθερμαινόμενοι πρὸς τοὺς μείζους ὦσι, ταύταις κεχρῆσθαι ταῖς λέξεσιν. ἕνεκεν ἀληθείας καὶ πραότητος καὶ δικαιοσύνης, ἐπιρρήματι ἀληθείας χρῆται. ὁρᾷς πῶς ἑαυτὴν ἑρμηνεύει ἡ γραφή, καὶ δείκνυσι νοερὰν οὖσαν τὴν νίκην; ὁ γὰρ ὅπλων μνημονεύσας καὶ ῥομφαίας καὶ τόξων, πῶς πραότητος ἐνταῦθα μέμνηται; ποία γὰρ κοινωνία πραότητι καὶ πολέμῳ; ἐπιεικείᾳ καὶ μάχῃ; πολλὴ μὲν οὖν, ἐάν τις ἀκριβῶς ἐξετάσῃ· ἐπεὶ C καὶ Δαβὶδ, καὶ Μωυσῆς πρᾶοι ἦσαν. διὸ περὶ μὲν ἐκείνου, φησὶν, ἡ γραφή. μνήσθητι κύριε τοῦ Δαβὶδ καὶ πάσης τῆς πραότητος αὐτοῦ. περὶ δὲ Μωυσέως, ὅτι ἦν πραότατος Μωυσῆς πάντων ἀνθρώπων τῶν ἐπὶ τῆς γῆς. ἀλλ' ὅμως φαίνονται οὗτοι οἱ πάντων πραότατοι, μάλιστα πάντων ἀμυνόμενοι. ἀλλ' εἰ βούλεσθε πρότερον τὴν πραότητα αὐτοῦ εἴπωμεν. πολλάκις λαβὼν ὁ μακάριος ἐκεῖνος τὸν Σαοὺλ, καὶ γενόμενος κύριος ἀνελεῖν, οὐκ ἐπήγαγε τὴν χεῖρα· ἀλλὰ καὶ ἑτέρων ἐγκελευομένων ἐφείσατο, D καὶ τὸν θυμὸν ἐχάλασε. καὶ τοῦ Σεμεεὶ δὲ τοιαῦτα ὑβρίζοντος, καὶ τῇ συμφορᾷ δὲ τότε ἐπεμβαίνοντος ἐκείνου, καὶ τῶν στρατηγῶν ἀξιούντων διαβῆναι καὶ ἀποτεμεῖν τὸν ὑβριστὴν τοιαῦτα ἐμπαροινοῦντα, πάσης σοφίας γέμοντα φθέγγεται ῥήματα; τὸν δὲ πατραλοίαν ἐκεῖνον καὶ ἀκόλαστον νεανίσκον, πῶς παρακατατίθεται τοῖς ἑαυτοῦ στρατηγοῖς λέγων· Φείσασθαί μοι τοῦ παιδαρίου Ἀβεσαλώμ; ὅτε δὲ ἐν προοιμίοις πρὸς τοὺς ἀδελφοὺς διελέγετο διαφθονουμένους καὶ βασκαίνοντας διὰ τὴν ἐσομένην νίκην, ἐννόησον πῶς πραέως διαλέγεται, μὴ οὐχὶ ῥῆμα ἐστὶ λέγειν;

τί δὲ Μωϋσῆς; ὑπὲρ τῶν λιθασάντων αὐτὸν· ὑπὲρ τῶν ἀνελόντων τό γε εἰς αὐτοὺς ἧκον· ἄκουσον τί φησιν· Εἰ μὲν ἀφεῖς αὐτοῖς τὴν ἁμαρτίαν, ἄφες. εἰ δὲ μή, κἀμὲ ἐξάλειψον ἐκ τῆς βίβλου ἧς ἔγραψας. ἑτέρων δὲ πάλιν αὐτὸν εἰς ζῆλον κινούντων καὶ παροξυνόντων εἰς ἀγανάκτησιν, τὰ φιλόσοφα ἐκεῖνα ῥήματα λέγων· τίς δῴη πάντα τὸν λαὸν κυρίου προφήτας εἶναι; ὑπὲρ δὲ τῆς ἀδελφῆς πάλιν λοιδορησάσης αὐτὸν, ὅσην τίθεται τὴν ἱκετηρίαν; καὶ πολλαχόθεν ἑτέρωθεν ἴδοι τις ἂν αὐτοῦ τὴν πρᾳότητα, ὅτε καὶ τῆς γῆς ἐκπεσὼν, καὶ εἰς τὴν Παλαιστίνην κωλυθεὶς εἰσελθεῖν, μετὰ πάσης ἐπιεικείας διαλέγεται τοῖς Ἰουδαίοις. ἀλλ' ὅμως οὗτος ὁ πρᾶος, τὸν Δαθὰν, καὶ Ἀβειρὼν καὶ Κορὲ ἠξίωσε καταποθῆναι, ἡνίκα τῇ ἱερωσύνῃ ἐπετόλμησαν, ὑπὸ τῆς γῆς, καὶ τοὺς ἄλλους ἐμπρησθῆναι, ὅτε προσήνεγκαν πῦρ ἀλλότριον, καὶ ὁ Δαβὶδ δὲ τὸν Γολιὰθ κατήνεγκεν ὁ πρᾶος, καὶ τὸ στρατόπεδον ἤλασε, καὶ τὴν νίκην ἤρατο. τοῦτο γὰρ μάλιστά ἐστι πρᾴου, τὰ μὲν εἰς ἑαυτὸν ἀφεῖναι, τοῖς δὲ ἀδικουμένοις ἀμύνειν· καθάπερ καὶ ὁ Χριστὸς ἐποίησεν. Εἰς γὰρ τὸν σταυρὸν ἀναβὰς ἔλεγε· πάτερ ἄφες αὐτοῖς· οὐ γὰρ οἴδασι τί ποιοῦσι· καὶ θρηνῶν πάλιν τὴν Ἱερουσαλὴμ ἔλεγε· ποσάκις ἠθέλησα ἐπισυναγεῖν τὰ τέκνα ὑμῶν, καὶ οὐκ ἠθελήσατε· ἰδοὺ ἀφίεται ὁ οἶκος ὑμῶν ἔρημος. καὶ ῥαπιζόμενος, οὐκ ἀντερράπισεν· ἀλλ' ἀπολογεῖται τῷ ῥαπίζοντι· καὶ δαιμονῶν καλούμενος, δαίμονας ἐξέβαλε· καὶ πλάνος καὶ ἀντίθεος καλούμενος, εἰς βασιλείαν αὐτοὺς ἐχειραγώγει· καὶ τοῖς μαθηταῖς ἐκέλευε πανταχοῦ μαστιγοῦσθαι, διώκεσθαι, ἐλαύνεσθαι, καὶ τὴν ἐλάττω καταδέχεσθαι τάξιν. ὁ γὰρ θέλων ἐν ὑμῖν εἶναι πρῶτος, φησὶν, ἔστω ὑμῶν διάκονος. καὶ τὸ ὑπόδειγμα οἴκοθεν ἐπῆγε λέγων· καθάπερ ὁ υἱὸς τοῦ ἀνθρώπου οὐκ ἦλθε διακονηθῆναι, ἀλλὰ διακονῆσαι καὶ δοῦναι τὴν ψυχὴν αὐτοῦ λύτρον ἀντὶ πολλῶν. Εἰ δὲ ἐλαύνει δαίμονας καὶ πολεμεῖ τῷ διαβόλῳ καὶ τὴν πλάνην ἀναιρεῖ, καὶ τοῦτο μάλιστα πρᾳότητός ἐστι, τὸ τὴν κακίαν μὲν πᾶσαν λύειν, τοὺς δὲ κατεχομένους ἐλευθεροῦν, τοὺς ἐπιβουλεύοντας δαίμονας ἀναστέλλειν,

A Quid verò Moses? pro iis qui eum lapidibus petierant, pro iis qui eum, quod in eis erat, de medio sustulerant, audi quid dicat: Si peccatum quidem eis dimittis, dimitte: sin minus, me quoque dele de libro quem scripsisti. Cùm alij rursus eum mouerent ad æmulationem, & incitarent ad iram, pulchra illa & sapientiæ plena verba locutus est, dicens: Quis det totum populum domini prophetas esse? Pro sorore autē rursus, quæ eum maledictis incesserat, quàm suppliciter precatur? Ex multis quoque aliis locis videri potest eius mansuetudo, quando etiam B è terra eiectus, & in Palæstinam ingredi prohibitus, cum omni comitate & mansuetudine Iudæos alloquitur. Sed tamen hic mitis, vt Dathan, Abiron & Core, cùm in sacerdotium inuasissent, à terra absorberentur, & alij exurerentur, quandoquidem ignem alienum obtulerant, æquum existimauit. Dauid quoque ille mansuetus, & Goliath prostrauit, & exercitum fugauit, & retulit victoriam. Hoc est enim vel maximè mansueti, suas quidem iniurias remittere, eos autem qui- C bus fit iniuria, defendere: quemadmodum Christus quoque fecit. Cùm enim in crucem ascendisset, dicebat: Pater, ignosce eis, nesciunt enim quid faciunt. Et Hierusalem rursus deflens, dicebat: Quoties volui congregare filios vestros, & noluistis: ecce relinquetur domus vestra deserta. Et cùm impactus esset ei colaphus, non colaphum contra impegit, sed ei qui impegerat, se excusat: & cùm appellaretur dæmoniacus, eijciebat dæmones: & cùm vocaretur planus, & impius, & Dei aduersarius, in regnum eos suum D ducebat. Discipulis quoque iussit vt vbique flagellarentur, persecutionem paterentur, expellerentur, minoremque & inferiorem locum diligerent. Qui enim vult in vobis esse primus, inquit, sit vester minister. Domesticum autem subiunxit exemplum, dicens: Sicut filius hominis non venit ministrari, sed ministrare, & dare animam suam redemptionem pro multis. Quòd si expellit dæmones, & cum diabolo bellum gerit, & errorem tollit de medio, hoc quoque est maximæ mansuetudinis, omne quidem vitium abolere,

1.Reg 17. Exod.17. Exod.32 32. Num.11.29 Num.12. Num.16. 1.Reg.17. Luc. 23. Matth. 23. Ioan.18. Ioan. 7. Matt.4. 8. 12. Matt.5. Ioan.15. Matt.20.

eos autem qui ab illo detinentur liberare, insidiantes dæmones coërcere, & qui ab eis probris affecti fuerint, à malis eripere. Quid est autem, propter veritatem, & mansuetudinem, & iustitiam tuam? Dixit bellum, dixit instructam aciem, ostendit armatum militem, dicit deinceps quæ pulchra & præclara in regno suo gesserit, genus trophæi, conditionem & naturam victoriæ. Alij enim omnes homines regnantes, vel pro ciuitatibus, vel pro opibus, vel pro inimicitiis, vel pro vana gloria bellum gerunt: ipse autem propter nullum eorum, sed propter veritatem, vt eam plantet in terra: & propter mãsuetudinem, vt qui sunt feris immaniores, mansuetos efficiat: & propter iustitiam, vt in quos tyrannidem exercet iniquitas, eos iustos faciat, primum quidem ex gratia, deinde ex rectè factis. *Et deducet te mirabiliter dextera tua.* Alius, & illuminabit te super terribilia dextera tua. Alius, & ostendet tibi terribilia dextera tua. Vidisti quomodo rursus nobis aperuit dignitatem eius qui hæc præclara facit? Quemadmodum enim cùm superius dixisset arma, & gladium, ascendit ad speciem ac pulchritudinem, & ad incorporeas intelligentias deduxit auditorem: ita cùm rursus descendisset ad id quod est crassius, nempe arcus & sagittas, paulatim rursus erigit auditorẽ, belli causas referens, veritatẽ, mãsuetudinem, iustitiam. Deinde rursus modũ quoque victoriæ. Quisnã autem est is? Et deducet te, inquit, mirabiliter dextera tua. Quod autẽ dicit, tale est. Ipsa sibiipsi natura sufficit, ipsa sibiipsi sufficit potentia ad videndum quæ sunt agenda, & finem eis imponẽdum. Rectè autem dixit alius, terribilis dextera tua, sunt enim valde terribilia & horrore plena quæ gessit, mors deleta est, perfracti sunt inferi, paradisus fuit apertus, cœlum patuit, obstructa sunt ora dæmonibus, inferna cum supernis commixta sunt, Deus homo factus est, homo sedit in throno regio, aperta est spes resurrectionis, immortales expectationes, ineffabilium bonorum vsusfructus, & alia quæcunque per suum aduentum pulchrè & præclarè gessit: & ideo dixit, Ostendet tibi terribilia dextera tua, ostendens sibiipsi sufficere naturam & potentiam ad ea inuenienda & perficienda, quæ fuerant proposita.

Opera Christi terribilia. 1. Cor. 11. Hebr. 2.

A τοὺς δὲ ἐπηρεασθέντας ἀπαλλάττειν τῶν δεινῶν. τί δέ ἐστιν, ἕνεκεν ἀληθείας καὶ πραότητος καὶ δικαιοσύνης; εἶπε τὸν πόλεμον· εἶπε τὴν παράταξιν· ἔδειξε τὸν ὁπλίτην, λέγει λοιπὸν τῆς βασιλείας αὐτοῦ τὰ κατορθώματα· λέγει τοῦ τροπαίου τὸ εἶδος· λέγει τῆς νίκης τὴν φύσιν. οἱ μὲν γὰρ ἄλλοι πάντες ἄνθρωποι βασιλεύοντες πολεμοῦσιν, ἢ πόλεων ἕνεκεν, ἢ χρημάτων, ἢ ἐχθρῶν, ἢ κενοδοξίας· αὐτὸς δὲ δι' οὐδὲν τούτων, ἀλλ' ἕνεκεν ἀληθείας, ἵνα αὐτὴν ἐν τῇ γῇ φυτεύσῃ· καὶ πραότητος, ἵνα θηρίων ὄντας χαλεπωτέρους, πράους ἐργάσηται· καὶ δικαιοσύνης, ἵνα B τοὺς ὑπὸ τῆς ἀνομίας τυραννουμένους, δικαίους ποιήσῃ, πρότερον μὲν ἀπὸ χάριτος, δεύτερον δὲ καὶ ἀπὸ κατορθωμάτων. καὶ ὁδηγήσει σε θαυμαστῶς ἡ δεξιά σου. ἄλλος, καὶ φωτιεῖ σε ἐπὶ φοβερὰ ἡ δεξιά σου. ἄλλος, καὶ ὑποδείξει σοι φοβερὰ ἡ δεξιά σου. εἶδες πῶς πάλιν παρήνοιξεν ἡμῖν τοῦ τὰ τοιαῦτα κατορθοῦντος τὸ ἀξίωμα; ὥσπερ γὰρ ἀνωτέρω εἰπὼν ὅπλα καὶ ῥομφαίαν, ἐπὶ τὴν ὡραιότητα ἀνέβη, καὶ πρὸς τὰς ἀσωμάτους ἐννοίας τὸν ἀκροατὴν ἤγαγεν· οὕτω πάλιν ἐπὶ τὸ παχύτερον καταβὰς τὰ τόξα καὶ τὰ βέλη, κατὰ μικρὸν ἀνάγει πάλιν τὸν ἀ- C κροατὴν λέγων τοῦ πολέμου τὰς αἰτίας, ἀλήθειαν καὶ πραότητα καὶ δικαιοσύνην· εἶτα πάλιν καὶ τὸν τρόπον τῆς νίκης· ποῖον δὲ τοῦτον; καὶ ὁδηγήσει σε φησὶ, θαυμαστῶς ἡ δεξιά σου· ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· αὐτὴ ἑαυτῇ ἀρκεῖ ἡ φύσις· αὐτὴ ἑαυτῇ ἀρκεῖ ἡ δύναμις εἰς τὸ καὶ ἰδεῖν τὰ πρακτέα, καὶ τέλος αὐτοῖς ἐπιθεῖναι· καὶ καλῶς ἕτερος εἶπε, φοβερὰ ἡ δεξιά σου, πολὺ γὰρ φοβερὰ τὰ κατορθώματα καὶ φρίκης γέμοντα· θάνατος ἐ- D λύθη· ᾅδης ἀνερράγη, παράδεισος ἀνεῴχθη· ὁ οὐρανὸς ἀνεπετάσθη· δαίμονες ἐπεστομίσθησαν, ἀνεμίγη τὰ κάτω τοῖς ἄνω, Θεὸς ἄνθρωπος γέγονεν, ἄνθρωπος ἐπὶ βασιλικοῦ κάθηται θρόνου· ἀναστάσεως ἐλπίδες ἠνοίγησαν, ἀθάνατοι προσδοκίαι, ἀγαθῶν ἀπορρήτων ἀπολαύσεις, τὰ ἄλλα ὅσα διὰ τῆς αὐτοῦ παρουσίας κατώρθωσε· διὰ δὴ τοῦτο εἶπεν, ὑποδείξει σοι φοβερὰ ἡ δεξιά σου, δεικνὺς ὅτι ἀρκεῖ ἑαυτῇ ἡ φύσις φησὶ, καὶ ἡ δύναμις εἰς τὸ καὶ εὑρεῖν καὶ ἀνύσαι τὰ προκείμενα.

οἱ δὲ ἑβδομήκοντά φασιν, ὁδηγήσει σε θαυμαστῶς ἡ δεξιά σου, τουτέστιν, οὐ μόνον τὰ κατορθώματα δεῖ θαυμάζειν, ἀλλ' ὅτι καὶ παραδόξως κατωρθώθη. διὰ θανάτου γὰρ θάνατος ἐλύθη. διὰ κατάρας κατάρα ἀνῃρέθη, καὶ εὐλογία ἐδόθη· διὰ βρώσεως ἐξεβλήθημεν παραδείσου, διὰ βρώσεως εἰσήχθημεν πάλιν· παρθένος ἡμᾶς ἐξήγαγε παραδείσου, διὰ παρθένου ζωὴν εὕρομεν αἰώνιον· δι' ὧν κατεκρίθημεν, διὰ τούτων ἐστεφανώθημεν. ταῦτα τοίνυν ἐννοῶν ὁ προφήτης ἔλεγεν· ὁδηγήσει σε θαυμαστῶς ἡ δεξιά σου· μή τι ὅπλων χρεία; μή τι ῥομφαίας; μή τι τόξων καὶ βελῶν; εἶδες πῶς αὐτάρκης αὐτὴ ἑαυτῇ ἡ φύσις, ἡ δύναμις; ἀλλ' ὅρα πάλιν αὐτὸν καθάπερ ἄριστον χορευτὴν πάλιν ἀπὸ τῶν ὑψηλῶν, ἐπὶ τὰ παχύτερα καταβαίνοντα· τὰ βέλη σου ἠκονημένα δυνατέ· λαοὶ ὑποκάτω σου πεσοῦνται, ἐν καρδίᾳ τοῦ βασιλέως· ἄλλος φησί· κατὰ καρδίας οἱ ἐχθροὶ τοῦ βασιλέως. ὅρα πάλιν· ὅτε βελῶν ἐμνημόνευσε, πῶς τὸ ῥῆμα τοῦ δυνατοῦ προσέλαβεν· ἵνα μάθῃς, ὅτι οὐ βελῶν δεῖται, ἀλλ' αὐτὸς ἑαυτῷ ἀρκεῖ. ἡ δὲ ἀκολουθία αὕτη ἐστί. τὰ βέλη σου ἠκονημένα δυνατέ· ἐν καρδίᾳ τῶν ἐχθρῶν τοῦ βασιλέως. τὸ δὲ λαοὶ ὑποκάτω σου πεσοῦνται· παρέγκειται μέσον. ἐνταῦθα τοίνυν διπλῆ εἶναι μοι δοκεῖ ἡ ἐξήγησις, ἢ γὰρ τὴν ἅλωσίν, φησι, τὴν Ἰουδαϊκὴν, καὶ τὸν τῆς πόλεως ἀνδραποδισμὸν καὶ τὴν πανωλεθρίαν, ἢ κατὰ ἀναγωγὴν τὴν τοῦ λόγου δύναμιν βέλη καλεῖ. καὶ γὰρ βελῶν ὀξύτερον τὴν οἰκουμένην περιῆλθεν ἅπασαν, καὶ τῶν πρὸ τούτου ἐχθρῶν τοῦ βασιλέως τῆς καρδίας ἥψατο, οὐχ ἵνα ἀνέλῃ, ἀλλ' ἵνα ἐπισπάσηται, ὅπερ καὶ ἐπὶ Παύλου γέγονεν. οὐ γὰρ ἄν τις ἁμάρτοι τὸ ῥῆμα ἐκεῖνο βέλος εἰπών, ὅπερ ἐξ οὐρανοῦ ἀκοντισθὲν ἥψατο τῆς καρδίας τοῦ πρὸ τούτου ἐχθροῦ, καὶ φίλον ἐποίησε. λαοὶ ὑποκάτω σου πεσοῦνται. εἶδες τοῦ πολέμου τὸ κατόρθωμα; τὴν προσαγωγὴν τῶν πρὸ τούτου στασιαζόντων; τὴν διδασκαλίαν; τὴν κατήχησιν; ἡ γὰρ πρόσπτωσις αὕτη καὶ τὸ ὑποκάτω αὐτοῦ, πᾶσιν ὕψους ἐστὶν ὑπόθεσις καὶ ῥίζα· ἀπαλλάξας γὰρ αὐτοὺς ἀπονοίας καὶ κενοῦ τύφου, καὶ τῆς τῶν δαιμόνων πλάνης ἑαυτῷ ὑπέταξεν. οὕτω καὶ ἕτερος προφήτης δείκνυσιν αὐτὸν ᾑμαγμένον, οὕτω λέγων·

A Septuaginta autem dicunt, deducet te mirabiliter dextera tua, hoc est, non solùm mirari oportet, quòd res pulchras & præclaras gesserit, sed quòd eas præter hominum expectationem & opinionē gesserit. Per mortem enim mors deleta est, per maledictum, maledictum sublatum est, & data benedictio: per esum nuper eiecti fueramus, per esum rursus introducti fuimus. Virgo nos paradiso expulit, per virginem vitam æternam inuenimus. Per quæ condemnati sumus, per ea sumus coronati. Hæc ergo animo agitans propheta, di- B cebat: Deducet te mirabiliter dextera tua. Nunquid opus est armis? Nunquid gladio? Nunquid arcu & sagittis? Vidisti quomodo ipsa natura, ipsa potentia, est sibiipsi sufficiens? Sed vide eum tanquam saltatorem optimum rursus à sublimibus descendere ad crassiora.

Hebr. 2. 9. 1 Cor. 15. Galat. 3.

Ioan. 6.

6. *Sagittæ tuæ*, inquit, *acutæ potentissime. Populi sub te cadent in corde inimicorum regis.* Alius, in corde inimici regis. Vide rursus quando meminit sagittarum, quomodo potentis verbum accepit, vt scias eum non egere sagittis, sed ipsum sibiipsi sufficere. Hæc est autem conse- C quentia seu contextus. Sagittæ tuæ acutæ potens, in corde inimicorum regis. Illud autem, populi sub te cadent, in medio interponitur. Hic ergo mihi esse videtur duplex expositio. Vel enim dicit Iudaicam captiuitatem, & ciuitatis euersionem & interitum, vel per anagogen vim verbi vocat sagittas. Quibusvis enim sagittis velocius peruasit orbem terrarum, & eorum qui prius erant inimici, cor tetigit, nō vt interficeret, sed vt ad se attraheret. Quod etiam in Paulo vsuuenit. Non enim aberrauerit quispiam? si dixerit illud verbum sagittam, quòd è cœlis emis- D sum tetigit cor eius, qui prius erat inimicus, & amicum reddidit. Populi sub te cadent. Vidisti quàm rectè bellum gestum sit? quomodo reconciliati fuerint qui prius erant seditiosi? quomodo docti? quomodo initiati? Ipse enim casus, & esse sub illo, est omnibus fundamentum & radix altitudinis. Cùm enim eos liberasset ab arrogantia, & ab inani fastu & gloria, & ab errore dæmonum, eos sibiipsi subiunxit. Ita etiam alius propheta cum ostendit cruentatum, cùm sic dicit:

Sagitta verbi vis efficax.

Quis hic est qui venit ex Edom? rubedo vestimentorum eius ex Bosor? *Esa. 63. 1.* Nusquam illic arma, arcus & sagittæ, sed vestes, verbum quidem paulò crassius, sed hoc tamen subtilius: & tamen illic quoque in ea crassitudine erigit sensim orationem ad res incorporeas. Quoniam enim rogat propheta vndenam rubræ vestes, dicit: Torcular calcaui solus, ostendens victoriæ facilitatem, & quòd nullum habuerit qui ei opem ferret, sed ipse sibiipsi suffecerit. Quemadmodum enim hic dicit: Deducet te mirabiliter dextera tua: ita etiam illic: Torcular calcaui solus. *Simile. Sap. 11.* Quemadmodum enim facile est ei qui ingreditur torcular, calcare botos: ita etiam Deo facere quæ voluerit, imò ne sic quidem, sed longè facilius. 7. *Sedes tua Deus in seculum seculi. Virga directionis, virga regni tui.* 8. *Dilexisti iustitiam, & odisti iniquitatem. Propterea vnxit te Deus, Deus tuus oleo lætitiæ præ consortibus tuis.* Alius, Thronus tuus, Deus, æternus, & vltra. Hebræus autem dicit illud, Deus, Deus tuus *elohim, eloach.* *Christi æternitas.* Quid hic dixerit Iudæus? De quonam enim hæc dicuntur? Quid verò hæreticus? Si dixerit enim dici de patre, Sedes tua Deus in seculum seculi, quomodo ei conueniet, quod deinceps sequitur: Propterea vnxit te Deus, Deus tuus? Neque enim pater est Christus, neque ipse vnctus est. Vnde clarum est eum loqui de vnigenito, de quo prius quoque dictum est, de quo dixit etiam Esaias: Et eius regni non erit finis. *Esa. 9. 7.* Sed illud quæsierit fortasse quispiam, cur nunc loquitur de diuinitate, cùm de humanæ naturæ susceptione antea verba fecerit? Quoniam idipsum quoque facit Matthæus. *Matth. 1.* A carne enim incipit, & ita exorditur: Liber generationis Iesu Christi. Similiter etiam Lucas & Marcus: Ioannes autem solus aliter. Cùm enim prius dixisset de diuinitate, In principio erat verbum, & verbum erat apud Deum, & Deus erat verbum, & de ea multum disseruisset, tunc dixit: Et verbum caro factum est, & habitauit in nobis. *Ioan. 1.* Quod si secus ac alij, Euangelij scriptione vsus est, sic quoque magnam inter ipsos ostendit consensionem. Et quomo-

Τίς οὗτος ὁ παραγινόμενος ἐξ Ἐδώμ; ἐρύθημα ἱματίων αὐτοῦ ἐκ Βοσόρ; οὐδαμοῦ ὅπλα ἐκεῖ καὶ τόξα καὶ βέλη, ἀλλ' ἱμάτια, παχύτερον μὲν τὸ ῥῆμα· πλὴν τούτου λεπτότερον· ὅμως καὶ ἐν τῇ παχύτητι, κἀκεῖ κατὰ μικρὸν πρὸς τὰ ἀσώματα ἀνάγει τὸν λόγον. ἐπειδὴ γὰρ ἐρωτᾷ ὁ προφήτης πόθεν ἐρυθρὰ τὰ ἱμάτια, φησί· ληνὸν ἐπάτησα μονώτατος, τὴν εὐκολίαν δεικνὺς τῆς νίκης, καὶ τὸ μηδένα ἔχειν τὸν συνεργοῦντα αὐτῷ, ἀλλ' ὅτι αὐτὸς ἑαυτῷ ἤρκεσεν. ὥσπερ γὰρ ἐνταῦθα φησίν, ὁδηγήσει σε θαυμαστῶς ἡ δεξιά σου· οὕτω καὶ ἐκεῖ· ληνὸν ἐπάτησα μονώτατος. ὃν τρόπον γὰρ τῷ ληνοβάτῃ ῥᾴδιον καταπατεῖν τοὺς βότρυς· οὕτω τῷ Θεῷ ἐργάσασθαι, ἅπερ ἂν ἐθέλῃ, μᾶλλον δὲ οὐδὲ οὕτως, ἀλλὰ καὶ πολλῷ πλεῖον. ὁ θρόνος σου ὁ Θεὸς εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. ῥάβδος εὐθύτητος, ἡ ῥάβδος τῆς βασιλείας σου. ἠγάπησας δικαιοσύνην, καὶ ἐμίσησας ἀνομίαν. διὰ τοῦτο ἔχρισέ σε ὁ Θεὸς, ὁ Θεός σου ἔλαιον ἀγαλλιάσεως, παρὰ τοὺς μετόχους σου. ἄλλος, ὁ θρόνος σου, ὁ Θεὸς, αἰώνιος, καὶ ἔτι. ὁ δὲ Ἑβραῖος φησί, τὸ ὁ Θεὸς, ὁ Θεός σου, ἐλωείμ, ἐλωάχ. τί ἐνταῦθα εἴποι ὁ Ἰουδαῖος; περὶ τίνος τὰ λεγόμενα; τί δὲ ὁ αἱρετικός; εἰ γὰρ δὴ λέγοι περὶ τοῦ πατρὸς λέγεσθαι ὁ θρόνος σου Θεὸς εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, πῶς ἁρμόσει αὐτῷ τὸ ἑξῆς· διὰ τοῦτο ἔχρισέ σε ὁ Θεὸς, ὁ Θεός σου. οὐ γὰρ δὴ ὁ πατήρ ἐστιν ὁ Χριστὸς, οὐδὲ αὐτὸς κέχρισται. ὅθεν δῆλον ὅτι περὶ τοῦ μονογενοῦς ὁ λόγος, περὶ οὗ καὶ τὰ ἔμπροσθεν εἴρηται· ὅπερ καὶ ὁ Ἡσαΐας ἔλεγεν· ὅτι τῆς βασιλείας αὐτοῦ οὐκ ἔσται τέλος. ἀλλ' ἴσως ἄν τις ἐκεῖνο ζητήσειε, τί δή ποτε νῦν περὶ τῆς θεότητος διαλέγεται, πρότερον περὶ τῆς οἰκονομίας ποιησάμενος τὸν λόγον; ὅτι καὶ ὁ Ματθαῖος οὕτω ποιεῖ. ἀπὸ γὰρ τῆς σαρκὸς ἄρχεται, καὶ προοιμιάζεται οὕτω· βίβλος γενέσεως Ἰησοῦ Χριστοῦ. ὁμοίως καὶ Λουκᾶς καὶ Μάρκος· ὁ Ἰωάννης δὲ μόνος ἑτέρως. πρότερον γὰρ περὶ τῆς θεότητος εἰπών, ἐν ἀρχῇ ἦν ὁ λόγος, καὶ ὁ λόγος ἦν πρὸς τὸν Θεόν, καὶ Θεὸς ἦν ὁ λόγος, καὶ πολλὰ περὶ αὐτῆς διαλεχθεὶς, τότε εἶπε· καὶ ὁ λόγος σὰρξ ἐγένετο, καὶ ἐσκήνωσεν ἐν ἡμῖν. εἰ δὲ καὶ ἀπεναντίας τοῖς ἄλλοις ἐχρήσατο τῇ γραφῇ τοῦ εὐαγγελίου, ἀλλὰ καὶ οὕτω μεγάλην πρὸς αὐτοὺς τὴν συμφωνίαν ἐπέδειξε. καὶ πῶς ἂν ἔχοι

λόγοι φησὶν, ἐν τῷ ἐναντίῳ συμφωνίαν εἶ); οὐκ οἶσθα ὅτι καὶ τὸ ἐσθίειν τῷ μὴ ἐσθίειν ἐναντίον ἐστί· καὶ τὸ πίνειν, τῷ μὴ πίνειν· τὸ δοῦναι, τῷ μὴ δοῦναι; πολλάκις δὲ καὶ ἰατρὸς πολλὰ τοιαῦτα ποιεῖ, οὐχ ἑαυτῷ μαχόμενος, ἀλλὰ καὶ σφόδρα συμφωνῶν, πρὸς γὰρ ἓν ὁρᾷ τέλος τοῦ κάμνοντος τὴν ὑγείαν. τοῦτο δὴ καὶ ἐπὶ τῶν εὐαγγελιστῶν γέγονεν. ἐπεὶ καὶ τὸ θέρος ἀπεναντίας τοῦ χειμῶνός ἐστιν, ἀλλὰ πρὸς ἓν βλέπει τέλος, τὴν τῶν καρπῶν ἀκμὴν, καὶ εὐθηνίαν. καὶ ὁ κόσμος ἅπας ἐξ ἐναντίων συνέστηκεν, ἀλλὰ πολλὴν εἰς τὴν ζωὴν τὴν ἡμετέραν ἐπιδείκνυται τὴν συμφωνίαν. καὶ πρὸς τὸν Ἰωάννην δὲ ἀπεναντίας ὁ Χριστὸς ἦλθεν. ὁ μὲν γὰρ ἤσθιεν· ὁ δὲ οὐκ ἤσθιεν. ἦλθε γὰρ Ἰωάννης, φησὶ, μήτε ἐσθίων, μήτε πίνων, καὶ λέγουσι δαιμόνιον ἔχει. ἦλθεν ὁ υἱὸς τοῦ ἀνθρώπου ἐσθίων καὶ πίνων, καὶ λέγουσιν, ἰδοὺ ἄνθρωπος φάγος, καὶ οἰνοπότης. ἀλλ' εἰ καὶ ἐναντία ἦν τὰ γινόμενα, ἀλλ' ὅμως πρὸς ἓν ἔβλεπε τέλος τῶν μελλόντων σαγηνεύεσθαι τὴν σωτηρίαν. οὕτω δὴ καὶ ἡ τάξις αὕτη ἡ περὶ τῆς θεότητος καὶ περὶ τῆς οἰκονομίας, εἰ καὶ ἀπεναντίας τοῖς ἄλλοις γέγονε παρὰ Ἰωάννου· ἀλλ' ὅμως σφόδρα συμφώνως αὐτοῖς. καὶ πῶς; ἐγὼ λέγω· ὅτι παρὰ μὲν τὴν ἀρχὴν οὐδέπω τοῦ λόγου σπαρέντος, ἀκόλουθον ἦν τῷ τῆς οἰκονομίας ἐνδιατρίβειν λόγῳ, καὶ περὶ τῆς σαρκὸς γυμνάζειν διδασκαλίαν ἀπὸ τῶν παχυτέρων καὶ αἰσθητῶν προοιμιαζομένους. ἐπειδὴ δὲ ἐπάγη τὰ τῆς γνώσεως, καὶ ἐδέξαντο τὸ κήρυγμα, λοιπὸν εὔκαιρον ἦν ἄνωθεν ἄρχεσθαι. διὰ τοῦτο καὶ οἱ προφῆται, εἴποτε περὶ αὐτοῦ διαλέγονται, ἀπὸ τῆς οἰκονομίας ποιοῦνται τὴν ἀρχὴν, καὶ τὰ προοίμια. ὅρα γοῦν ὁ Μιχαίας πῶς κάτωθεν ἄρχεται. καὶ σὺ Βηθλεέμ γῆ Ἰούδα, οὐδαμῶς ἐλαχίστη εἶ ἐν τοῖς ἡγεμόσιν Ἰούδα. ἐκ σοῦ γὰρ ἐξελεύσεται ἡγούμενος, ὅστις ποιμανεῖ τὸν λαόν μου τὸν Ἰσραήλ. καί τοι οὐχ ἡ θεότης ἦν ἀπὸ τῆς Βηθλεὲμ, ἀλλ' ἡ σάρξ. ἀλλ' οὐκ ἐναπέμεινε τούτῳ μόνῳ, ἀλλὰ καὶ ἀνέβη πρὸς τὴν θεότητα, λέγων· καὶ ἡ ἔξοδος αὐτοῦ ἀπ' ἀρχῆς ἐξ ἡμερῶν αἰῶνος, καὶ ὁ Ἡσαΐας πάλιν· ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ ἕξει, καὶ τέξεται υἱὸν, καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ Ἐμμανουὴλ, ὅ ἐστι μεθερμηνευόμενον μεθ' ἡμῶν ὁ Θεός. ὁρᾷς πῶς

A do, inquit, fuerit rationi cõsentaneum, vtrũ in eo, quod est contrarium, consensio? An nescis quòd comedere repugnat ei, quod est non comedere: & bibere ei, quod est non bibere: & dare ei, quod est non dare? Sæpe autem medicus quoque multa facit eiusmodi, non secum pugnans, sed sibi valde consentiens: vnum enim sibi finem proponit, ægroti sanitatem. Hoc ipsum etiam vsuuenit in Euangelistis. Nam æstas quoque est hyemi contraria, vnum tamen habet finem, perfectionem & maturitatem fructuum. Iam verò vniuersus quoque mundus constat ex contra-B riis, sed multum ad vitæ nostræ vsum consensum ostendit. Quinetiam Christus quoque via Ioanni contraria ingressus est. Ille enim comedebat, hic verò non comedebat. Venit enim, inquit, Ioannes, neque comedens, neque bibens, & dicunt, dæmonium habet. Venit filius hominis bibens & comedens, & dicũt, Ecce homo vorax, & vinipotor. Sed etsi erant quæ fiebant cõtraria, vnum tamen finem respiciebãt, nempe eorum qui sagena erant capiendi, salutem. Ita etiã hic ordo diuinitatis C & humanæ susceptæ naturæ, etsi secus ac ab aliis, ab Ioanne introductus est, id tamen eis valde conuenienter factum est. Et quomodo? Dico ego, quòd in principio quidem cum sermo nondum esset disseminatus, consentaneum erat versari in explicanda humanitate, & de carne doctrinam aperire, à crassioribus & sensilib. ducentes exordiũ: sed postquam introducta fuerat sciẽtia, & prædicationem iam susceperant, erat deinceps tempus opportunum ab alto inchoãdi. Quamobrem & prophetæ quoque si quando de eo disserunt, ab hu-D manæ naturæ susceptione incipiunt, & exordiũ ducunt. Vide itaq. quomodo Michęas ab infimo orditur: Et tu Bethleem terra Iuda, nequaquã es minima in principibus Iuda. Ex te enim mihi egredietur dux, qui pascet populũ meũ Israël. Atqui nõ erat diuinitas ex Bethleem, sed caro. Sed non permãsit in hoc solo, sed ad diuinitatẽ etiam ascendit, dicẽs: Et egressus eius ab initio ex dieb. seculi. Et rursus Esaias: Ecce virgo in vtero concipiet, & pariet filiũ, & vocabũt nomen eius Emmanuël, quod est interpretatũ, Nobiscũ Deus. Vides quomo-

Scilicet elementum.
Luc. 7.
Matth. 11.
1. Cor. 3.
Mich. 5. 2
Esa. 7. 14.

do is quoque à carne ascendit ad diuinitatem? Et rursus alibi considera hoc ipsum ab eo fuisse factum. Dicit enim: Puellus natus est nobis, filius, & datus est nobis, & vocatur nomen eius magni consilij Angelus admirabilis consiliarius, Deus, fortis, potens, princeps pacis, pater futuri seculi. Vides quomodo rursus à puero carnísque susceptione, veluti per quosdam gradus ascendens, sistit in diuinitate. Ita etiam pater eius cognitus est primùm ex creaturis. Inuisibilia enim eius, inquit Paulus, à creatione mundi operibus intellecta, conspiciŭtur. Et ideo ipse quoque seipsum sæpe effingit in specie sensibili, paulatim euehens humanum genus ad intelligentias incorporeas. Et quid miraris si in dogmatibus hoc consilio & hac œconomia vsus sit, cùm in præceptis & mandatis hoc ipsum faciat? Quocirca propheta quoque sic hoc in loco oratione vsus est, à carne ad diuinitatem ascendens: (labia enim sunt carnis) & à diuinitate rursus ad carnem descendens, & varietate orationis vtens ad salutem Catechumenorum. Sedes tua Deus in seculum seculi. Sedem hîc non solummodo sedem, sed regnum significat. Hic ergo eam dicit æternam, alibi autem etiam altam. Vidi enim, inquit, Dominum sedentem super thronum excelsum. Et rursus: Quoniam alta sedes tua. Alius quoque propheta vidit eum sedentem super thronum gloriæ. Dauid autem ostendit etiam thronum humanitatis. Misericordia enim, inquit, & iudicium correctio sedis eius. Hæc omnia de eius regno dicta sunt, quòd scilicet fine careat: hoc enim est, In seculum seculi, quòd gloriosum, quòd excelsum, quòd potens & validum. Rursus quòd sit expers principij, quando dicit, Regnum tuum, regnum omnium seculorum. Quemadmodum autem thronus est regni signum: ita etiam virga, & regni, & iurisdictionis. Et ideo dicit: Virga directionis, virga regni tui. Purum enim illic est quod iustum est, purum est quod est rectum, nihil illic adumbratum. Audiant qui insaniunt, & sunt emotæ mentis, imò verò qui sunt eis deteriores. Quinam autem sunt hi? Qui diuinam prouidentiam reprehendunt, & dicunt: Cur

Esa. 9. 6.

Rom. 1. 20.

Esa. 1.

Dan. 7.

Psal. 144. 13.

Psal. 44. 7.

Prouidentiæ diuinæ reprehensores & indagatores redarguit.

A καὶ σὺ ἀπὸ τῆς σαρκὸς πρὸς τὴν θεότητα ἀνέβη; καὶ πάλιν ἀλλαχοῦ σκόπει τοῦτο αὐτὸ γινόμενον. Φησὶ γάρ, ὅτι παιδίον ἐγεννήθη ἡμῖν υἱός, καὶ ἐδόθη ἡμῖν, καὶ καλεῖται τὸ ὄνομα αὐτοῦ μεγάλης βουλῆς ἄγγελος, θαυμαστὸς σύμβουλος, Θεὸς ἰσχυρός, ἐξουσιαστής, ἄρχων εἰρήνης, πατὴρ τοῦ μέλλοντος αἰῶνος. ὁρᾷς πῶς πάλιν ἀπὸ τοῦ παιδίου, καὶ τῆς κατὰ σάρκα οἰκονομίας, ὥσπερ διά τινων βαθμῶν ἀναβαίνων ἵσταται περὶ τὴν θεότητα; οὕτω καὶ ὁ πατὴρ αὐτοῦ ἐγνωρίσθη ἀπὸ τῆς κτίσεως πρῶτον. τὰ γὰρ ἀόρατα αὐτοῦ, φησὶν ὁ Παῦλος, ἀπὸ τῆς κτίσεως κόσμου τοῖς ποιήμασι νοούμενα καθορᾶται. B διὰ δὴ τοῦτο καὶ αὐτὸς σχηματίζει πολλάκις ἑαυτὸν εἰς αἰσθητὴν ὄψιν, κατὰ μικρὸν ἐνάγων τὸ γένος τῶν ἀνθρώπων ἐπὶ τὰς ἀσωμάτους ἐννοίας. καὶ τί θαυμάζεις, εἰ ἐπὶ τῶν δογμάτων οὕτως ἐχρήσατο τῇ οἰκονομίᾳ, ὅπου γε καὶ ἐπὶ τῶν παραγγελμάτων καὶ ἐπὶ τῶν ἐντολῶν αὐτὸ τοῦτο ποιεῖ; διὰ δὴ τοῦτο καὶ ὁ προφήτης οὕτως ἐνταῦθα κέχρηται τῷ λόγῳ, ἀπὸ τῆς σαρκὸς ἐπὶ τὴν σάρκα ἀναβαίνων· τὰ γὰρ χείλη τῆς σαρκός ἐστι· καὶ ἀπὸ τῆς θεότητος πάλιν ἐπὶ τὴν σάρκα κατελθών, καὶ τῇ ποικιλίᾳ τοῦ C λόγου πρὸς τὴν τῶν κατηχουμένων χρώμενος σωτηρίαν· ὁ θρόνος σου ὁ Θεὸς εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. θρόνον ἐνταῦθα οὐ θρόνον λέγων, ἀλλὰ τὴν βασιλείαν. ἐνταῦθα μὲν αἰώνιον λέγει, ἀλλαχοῦ δὲ ὑψηλόν. εἶδον γάρ, φησι, τὸν κύριον καθήμενον ἐπὶ θρόνου ὑψηλοῦ. καὶ πάλιν ὅτι ὑψηλὸς σου θρόνος. καὶ ἄλλος δὲ προφήτης βλέπει καθήμενον ἐπὶ θρόνου δόξης, ὁ δὲ Δαβὶδ καὶ φιλανθρωπίας τὸν θρόνον δείκνυσιν. ἔλεος γάρ, φησι, καὶ κρίσις κατόρθωσις τοῦ θρόνου αὐτοῦ. ταῦτα δὲ περὶ τῆς βασιλείας αὐτοῦ εἴρηται ὅτι ἀ- D τελεύτητος· τοῦτο γάρ ἐστιν, εἰς αἰῶνα αἰῶνος, ὅτι ἔνδοξος, ὅτι ὑψηλή, ὅτι κραταιὰ καὶ ἰσχυρά. πάλιν ὅτι ἄναρχος, ὅταν λέγῃ· ἡ βασιλεία σου, βασιλεία πάντων τῶν αἰώνων. ὥσπερ οὖν ὁ θρόνος τῆς βασιλείας σύμβολον, οὕτω καὶ ἡ ῥάβδος, καὶ τῆς βασιλείας, καὶ τῆς δικαστικῆς ἐξουσίας. διό φησι· ῥάβδος εὐθύτητος, ἡ ῥάβδος τῆς βασιλείας σου. καθαρὸν γὰρ ἐκεῖ τὸ δίκαιον· καθαρὸν ἐκεῖ τὸ ὀρθόν, οὐδὲν ἐκεῖ ἐπισκιαζόμενον. ἀκουέτωσαν οἱ μαινόμενοι, καὶ παραπλῆγες· μᾶλλον δὲ οἱ τούτων χείρονες. τίνες δὲ εἰσὶν οὗτοι; οἱ τῇ τοῦ Θεοῦ προνοίᾳ ἐγκαλοῦντες, καὶ λέγοντες· διὰ τί τὸ

καὶ τὸ οὕτω γέγονε; πῶς γὰρ οὐκ ἄτοπον τέκτονι μὲν παρακαθήμενον, καὶ διακλῶντα ξύλα, καὶ διαπρίζοντα θεώμενον μὴ ἀπαιτεῖν λόγον, μηδὲ εὐθύνας, καὶ ἰατρὸν τέμνοντα καὶ καίοντα σάρκα, καὶ ἐν οἰκίσκῳ κατακλείοντα, καὶ λιμῷ ἄγχοντα τὸν κάμνοντα, μήτε τῶν παρεστώτων τινὰ, μηδὲ αὐτὸν τὸν πάσχοντα περιεργάζεσθαι τὰ γινόμενα, καὶ κυβερνήτην τείνοντα σχοινίον, καὶ χαλῶντα ἱστία καὶ πάλιν ἀνιέντα καὶ βαπτίζοντα τοῖχον νεὼς, μὴ πολυπραγμονεῖν, μηδὲ περιεργάζεσθαι καθ᾽ ἕκαστον τῶν δημιουργῶν τούτων, ἀλλ᾽ ἡσυχάζειν καὶ σιγᾷν, καίτοιγε πολλάκις αὐτῶν διαμαρτανόντων περὶ τὴν τέχνην· τὴν δὲ ἄφατον σοφίαν, τὴν ἄφατον φιλανθρωπίαν, τὴν κηδεμονίαν τὴν ἀπέραντον ταύτην περιεργάζεσθαι καὶ πολυπραγμονεῖν; καὶ πόσης ταῦτα οὐκ ἄξια μανίας; καὶ βοηθῆσαι μὲν καὶ προέσθαι χρήματα ὑπὲρ ἀδικουμένων, καὶ πενομένων, οὐκ ἂν ῥᾳδίως ἕλοιντο· ἐξετάζουσι δὲ δι᾽ ὅλου. διατί ὁ δεῖνα πένης· διατί ὁ δεῖνα πτωχός· διατί ὁ δεῖνα πλούσιος· πονηρὲ δοῦλε καὶ ἀνόητε, οὐ κύπτεις κάτω, οὐδὲ καταγινώσκεις σαυτοῦ, οὐδὲ ἐπιτίθης χαλινὸν τῇ γλώσσῃ, οὐδὲ καταστέλλεις τὴν διάνοιαν, οὐδὲ ἀφεὶς τὸ ταῦτα πολυπραγμονεῖν, τὴν περιεργίαν ταύτην ἐπὶ τὸν βίον στρέφεις τὸν σόν; διάκυψον εἰς τὰ πεπραγμένα σοι, εἰς τὸ πέλαγος τῶν ἁμαρτημάτων, καὶ εἰ περίεργος εἶ καὶ πολυπράγμων ἀπαίτησον ἑαυτὸν εὐθύνας τῶν ῥημάτων, τῶν πραγμάτων ὧν κακῶς εἶπες, ὧν κακῶς ἐποίησας· νῦν δὲ σαυτὸν ἀνεξέταστον ἀφεὶς, καίτοιγε τῆς ῥᾳθυμίας ταύτης κόλασιν φερούσης· τῆς δὲ πολυπραγμοσύνης σωτηρίαν τοῦ Θεοῦ κάθῃ δικάζων, καὶ προστιθεὶς σου τοῖς ἁμαρτήμασιν. οὐκ ἀκούεις τοῦ προφήτου πρὸς αὐτὸν λέγοντος, ὅτι ῥάβδος εὐθύτητος ἡ ῥάβδος τῆς βασιλείας σου; καὶ ἑτέρου πάλιν· τὸ κρίμα αὐτοῦ ὡς φῶς ἐξελεύσεται. εἰ δὲ οὐκ οἶσθα ἀκριβῶς πάντα τὰ τοῦ δεσπότου, καὶ διὰ τοῦτο αὐτὸν δόξασον· διὰ τοῦτο μάλιστα αὐτὸν προσκύνησον· διὰ τὸ ἄφατον τῆς μεγαλωσύνης, διὰ τὸ ἀκατάληπτον αὐτοῦ τῆς προνοίας, διὰ τὸ ποικίλον αὐτοῦ καὶ σοφὸν τῆς κηδεμονίας· ἠγάπησας δικαιοσύνην καὶ ἐμίσησας ἀνομίαν. ἐπειδὴ γὰρ εἶπεν αὐτοῦ τὰ κατορθώματα, τὰς νίκας, τὰ τρόπαια, τῆς οἰκουμένης τὴν σωτηρίαν, ὅτι ἀληθείας αὐτὴν ἐνέπλησεν, ὅτι πρᾳότητος, ὅτι

A hoc & illud sic factum est? Quomodo enim non absurdum, vt qui fabro quidem assidet, & ligna frangentem & secantem contemplatur, ab eo rationem non exigat: & dum medicus scindit & vrit carnem, & in domuncula ægrotum includit, & fame excruciat, nec vllus astantium, nec ipse qui laborat, de iis quæ fiunt, curiosè inuestigat: & dum gubernator tendit funem, velúmque & intendit, & rursus remittit, & nauis partem inundat, nemo sit curiosus, nec in vnoquoque horum opificum inquirat & sciscitetur, sed taceat & quiescat, quamuis ij B in arte sæpe peccent: de ineffabili, infinita & interminata cura ac prouidentia, curiosè indaget? Quantæ hæ sunt insaniæ? Et opem quidem ferre, vel pecunias erogare pro iis, quibus fit iniuria, & sunt pauperes, non facilè inueniuntur qui velint, perpetuò autem inquirunt, cur hic pauper, cur ille mendicus, & cur alter sit diues. Serue nequam & stolide, cur non oculos demittis, & teipsum condemnas, & fræno linguæ iniecto, mentem tuam reprimis, & mittens de tantis rebus C curiosè inquirere, hanc anxiam indagationem in tuam vitam conuertis? Respice ea quæ fecisti, respice mare peccatorum: & si es curiosus & anxius inquisitor, exige à teipso verborum quæ malè dixisti, & rerum quas malè fecisti, rationem. Nunc autem tui quidem ipsius prætermissa examinatione, licet hæc quidem socordia supplicium afferat, curiosa autem indagatio salutem, sedes Deum in ius vocans, tuis peccatis alia adiiciens. Non audis prophetam ei dicentem: Virga directionis, virga regni tui? Et rursus D alius: Iudicium eius, inquit, tanquam lux exibit. Quòd si non nosti omnia quæ sunt tui domini, propterea eum gloria affice, propterea eum maximè adora, propter ineffabilem eius maiestatem, propter incomprehensibilem eius prouidentiam, propter variam ac sapientem eius curationem. Dilexisti iustitiam, & odisti iniquitatem. Postquam superius dixit præclara eius facta, victorias, trophæa, salutem orbis terrarum, quòd eam veritate repleuit, quòd mansuetudine, quòd iusti-

Adhortatio.

Psal. 44. 7.

Soph 3. 5.

tia. ostendens fuisse orationi consentaneum vt hæc fierent, loquitur deinceps de dignitate eius qui illa fecit, monstrans eum fuisse Deum, regem fine carentem, incorruptum iudicem, iustorum amatorem, malis infensum. Quoniam enim, inquit, est eiusmodi, propterea talia ab eo facta sunt. Nemo ergo de his dubitet. Qui enim ea fecit, ea fecit cùm & posset & vellet. Postquam ergo dixit quæ sunt alta de diuinitate, reuertitur ad loquendum de carne, & dicit: Propterea vnxit te Deus, Deus tuus. Alius dicit, Propter hoc vnxit te. Propterea, quòd in iis quæ dicta sunt, te rectè gesseris, iniquitatem eieceris, iustitiam plantaueris, & quæ fecisti feceris. Tu autem ne conturberis dum audis quòd hæc patri attribuat. Non enim id facit, vt eum priuet rectè factis, sed vt ea quæ sunt filij, patri adscribat, qui ea etiam quæ sunt patris, sua esse dicit. Omnia enim, inquit, mea tua sunt. *Ioan. 17. 11.* Nam de resurrectione quoque Paulus quidem disserens, dicit: Deus ipsum suscitauit à mortuis. *Galat. 1.* Ioannes autem: Soluite templum hoc, & in tribus diebus excitabo ipsum. *Ioan. 2. 19.* Quid est autem oleum lætitiæ? Atqui Christus nusquam vnctus est oleo, sed Spiritu sancto. *Ioan. 3.* Et ideo adiecit, præ consortibus tuis: hoc ipsum significans neminem ita vnctum fuisse vt ipse. Multi enim fuerunt ante ipsum fuerunt ante ipsum Christi, id est, vncti, sed nemo sic: sicut etiam agni multi, sed ipse eximius: sic & multi filij, sed ipse vnigenitus. sunt enim omnia eius eximia, non ea solùm quæ pertinent ad diuinitatem, sed ea etiam quæ ad humanitatem. Nemo enim vnctus est tali spiritu. Si id autem appellat oleum, ne mireris. Nam cum propheta loquitur paulò obscurius, & magis ænigmaticè. Rectè autem dixit, Exultationis, vt ostenderet id esse lætitiæ. *Galat. 5.* Fructus enim spiritus est dilectio, gaudium, pax. Alius autem dicit, oleo venustatis. Hebræus autem Sason, hoc est, elegantiæ, gloriæ, ornamenti. Sin autem sit lætitiæ, id quoque verum est. Quemadmodum ergo cùm audiuisti gladium, gladium non intelligis: & cùm arcum & sagittas, non arcus & sagittas, sed eius operationem qui hæc fecit, vt iam antè dixi: ita cùm oleum audieris, ne oleum solum arbitrare, sed vnctionem intellige. Oleum enim erat

A δικαιοσύνης, δείκνυσιν ὅτι οὐδὲν ἀπεικὸς ταῦτα γενέσθαι. διαλέγεται λοιπὸν περὶ τοῦ ἀξιώματος τοῦ κατωρθωκότος, ὅτι Θεός, ὅτι βασιλεύς, ὅτι ἀτελεύτητος, ὅτι δικαστὴς ἀδέκαστος, ὅτι τῶν δικαίων ἐραστής, ὅτι μισοπόνηρος. ἐπεὶ τοιοῦτός ἐστιν φησι, διὰ τοῦτο τοιαῦτα αὐτῷ κατώρθωται. μηδεὶς τοίνυν ἀπιστείτω φησίν. ὁ γὰρ κατορθώσας τοσαῦτα καὶ δυνάμενος καὶ βουλόμενος ταῦτα κατώρθωσε. τὰ τῆς θεότητος ὑψηλὰ γοῦν αὐτοῦ εἰπὼν πάλιν ἐπὶ τὴν σάρκα κατάγει τὸν λόγον, καὶ φησί· διὰ τοῦτο ἔχρισέ σε ὁ Θεὸς ὁ Θεός σου. ἄλλος φησὶν ἐπὶ τούτῳ ἤλειψέ σε. B ἐπὶ τῷ κατορθῶσαι τὰ εἰρημένα φησὶν ἀνομίαν ἐκβαλεῖν, δικαιοσύνην φυτεῦσαι, ποιῆσαι ἅπερ ἐποίησας. σὺ δὲ μὴ θορυβηθῇς ἀκούων, ὅτι ταῦτα τῷ πατρὶ λογίζεται. οὐ γὰρ αὐτὸν ἀποστερῶν τῶν κατορθωμάτων ταῦτά φησι, ἀλλὰ τὰ τοῦ παιδὸς, τῷ πατρὶ ἀνατιθείς. ὥσπερ καὶ τὰ τοῦ πατρὸς αὐτοῦ φησιν εἶναι. πάντα γὰρ τὰ ἐμὰ σά ἐστιν, καὶ τὰ σὰ ἐμά. ἐπεὶ καὶ περὶ τῆς ἀναστάσεως ὁ μὲν Παῦλος διαλεγόμενος λέγει, ὅτι ὁ Θεὸς αὐτὸν ἤγειρεν ἐκ νεκρῶν. ὁ δὲ Ἰωάννης φησί· λύσατε τὸν ναὸν τοῦτον καὶ ἐν C τρισὶν ἡμέραις ἐγερῶ αὐτόν. τί δέ ἐστιν ἔλαιον ἀγαλλιάσεως; καὶ μὴν ἐλαίῳ ὁ Χριστὸς οὐδαμοῦ ἐχρίσθη, ἀλλὰ πνεύματι ἁγίῳ. διὰ τοῦτο προσέθηκε παρὰ τοὺς μετόχους σου· πολλοὶ μὲν γὰρ παρ᾽ αὐτοῦ Χριστοί· οὕτως δὲ οὐδεὶς, ὥσπερ πολλοὶ ἀμνοί, αὐτὸς δὲ ἐξαίρετος· οὕτω πολλοὶ υἱοί, αὐτὸς δὲ ὁ μονογενής. πάντα γὰρ τὰ αὐτοῦ ἐξαίρετα· οὐ τὰ τῆς θεότητος μόνον, ἀλλὰ καὶ τὰ τῆς οἰκονομίας· πνεύματι γὰρ οὐδεὶς ἐχρίσθη τοιούτῳ. εἰ δὲ ἔλαιον αὐτὸ καλεῖ, (προφήτης ὢν αἰνιγματωδέστερον διαλέγεται). D καὶ καλῶς εἶπεν ἀγαλλιάσεως, ἵνα δείξῃ, ὅτι εὐφροσύνης· ὁ γὰρ καρπὸς τοῦ πνεύματος ἀγάπη, χαρά, εἰρήνη. ἄλλος δὲ ἐλαίῳ ἀγλαϊσμοῦ εἶπεν. ὁ δὲ Ἑβραῖος Σασὼν τουτέστι καλλωπισμοῦ, δόξης, κόσμου. εἰ δὲ καὶ εὐφροσύνης, καὶ τοῦτο ἀληθές. ὥσπερ οὖν ῥομφαίαν ἀκούσας, οὐ ῥομφαίαν νοεῖς, καὶ βέλη καὶ τόξα, οὐ τόξα καὶ βέλη, ἀλλὰ τὴν ἐνέργειαν αὐτοῦ τὴν τοιαῦτα κατορθώσασαν, ἅπερ προεῖπον· οὕτω καὶ ἔλαιον ἀκούσας μὴ ἔλαιον νόμιζε, ἀλλὰ τὴν χρῖσιν νόει. καὶ γὰρ

τὸ ἔλαιον, σύμβολον τοῦ πνεύματος ἦν, καὶ τὸ προηγούμενον καὶ ἀναγκαῖον, τὸ πνεῦμα ἦν. τούτου τοίνυν τοιούτου ὄντος, μηδὲν ἀμφίβαλε Χριστὸν αὐτὸν καλεῖν· ἐπεὶ καὶ ὁ Ἀβραὰμ Χριστὸς ἐκαλεῖτο καὶ οἱ προφῆται, ἀλλ' οὐ πάντες ἐλαίῳ ἐχρίσθησαν· ὥσπερ ὅταν λέγῃ· μὴ ἅπτεσθε τῶν χριστῶν μου, καὶ ἐν τοῖς προφήταις μου μὴ πονηρεύεσθε· πότε δὲ ἐχρίσθη ὁ Χριστός; ὅτε ὡς ἐν εἴδει περιστερᾶς τὸ πνεῦμα ἦλθεν ἐπ' αὐτόν. μετόχους δὲ ἐνταῦθα, πάντας καλεῖ τοὺς πνευματικούς, καθάπερ Ἰωάννης φησίν. ἡμεῖς πάντες ἐκ τοῦ πληρώματος αὐτοῦ ἐλάβομεν· περὶ δὲ αὐτοῦ, οὐκ ἐκ μέτρου δίδωσι τὸ πνεῦμα ὁ Θεός. καὶ πάλιν, ἐκχεῶ ἀπὸ τοῦ πνεύματός μου ἐπὶ πᾶσαν σάρκα. ἐκεῖ δὲ οὐκ ἀπὸ τοῦ πνεύματος. ἀλλ' ὁλόκληρον τὸ πνεῦμα ἦλθε, διὸ καὶ ἔφησεν· οὐκ ἐκ μέτρου δίδωσιν ὁ Θεὸς τὸ πνεῦμα. σμύρνα καὶ στακτὴ καὶ κασία ἀπὸ τῶν ἱματίων σου. ἄλλος, εἰς τὸν ἱματισμόν σου. ἄλλος, πάντα τὰ ἱμάτιά σου. τινὲς μὲν οὖν φασι, τὸν τάφον αἰνίττεσθαι διὰ τούτων τὸν προφήτην, ἄλλοι δὲ τὸ ἐνηλλαγμένον τῆς χρίσεως δηλοῦν. οὐ γὰρ ἐκ τούτων τῶν μύρων τὸ χρῖσμα συνεκεῖτο τὸ παλαιόν, ἀλλ' ἐξ ἑτέρων. καὶ ἵνα μάθῃς, ὅτι ἕτερος χρίσεως τρόπος ἐστὶν ὅτι, τῇ διαφορᾷ τῶν ὑλῶν τὴν διαφορὰν τῆς ἐνεργείας ἐδήλωσε. τὸ δὲ ἀπὸ τῶν ἱματίων σου δείκνυσιν· ὅτι καὶ τὰ ἱμάτια αὐτοῦ τῆς χάριτος ἔγεμεν. οὕτω γοῦν ἡ αἱμόρροος τοὺς τῶν αἱμάτων ἔστησε κρουνοὺς τοῦ κρασπέδου ἁψαμένη. εἴτε δὲ τοῦτο, εἴτε ἐκεῖνο ἐκληπτέον, οὐδεὶς κωλύει λόγος. ἀμφότερα γὰρ ἐμοὶ ἀποδεκτά. ὥσπερ οὖν· οὐδὲν γὰρ κωλύει πάλιν τὰ αὐτὰ λέγειν· τόξον καὶ ῥομφαίαν ἀκούων καὶ ὅσα τοιαῦτα, οὐκ αἰσθητῶς ἀκούεις· οὕτω μηδὲ σμύρναν μηδὲ κασίαν, ἀκούσας αἰσθητῶς νοήσῃς, ἀλλὰ νοερῶς. ἀπὸ βάρεων ἐλεφαντίνων ἐξ ὧν εὔφρανάν σε θυγατέρες βασιλέων ἐν τῇ τιμῇ σου. ἄλλος φησίν, ἀπὸ ναῶν ἐλεφαντίνων, ὅθεν εὔφρανάν σε. ἄλλος, ἐν τοῖς ἐνδόξοις σου. εἰπὼν ἃ κατώρθωσε, λέγει καὶ τὴν ἀπὸ τῶν κατορθωμάτων αὐτοῦ ἀκολουθήσασαν τιμήν· ὅτι ἐν ναοῖς μέλλει προσκυνεῖσθαι πολυτίμοις. τὸ γὰρ παλαιὸν αὕτη μάλιστα ἡ ὕλη τιμία, καὶ περισπούδαστος ἦν ἡ ἀπὸ τῶν ἐλεφαντίνων. διὸ καὶ ἄλλος προφήτης ἔλεγεν· οὐαὶ οἱ καθεύδοντες

signum Spiritus, res autem principalis & necessaria erat Spiritus. Cùm hoc ergo ita se habeat, ne dubita eum vocare Christum: nam Abraham quoque appellabatur Christus, & prophetæ: sed non omnes oleo vncti sunt: quemadmodum cùm dicit: Nolite tangere Christos meos, & in prophetis meis nolite malignari. Quando autẽ vnctus est Christus? Quando tanquam in columbæ specie Spiritus super eum venit. Participes autem aut consortes hîc vocat omnes spirituales, quemadmodum Ioannes dicit: Nos omnes ex plenitudine eius accepimus. De ipso autem: Non ad mensuram dat Spiritum Deus. Et rursus: Effundam de Spiritu meo super omnem carnem. Illic autem non ex Spiritu, sed totus venit Spiritus: & ideo dixit, Non ad mensuram dat Deus Spiritum. 9. *Myrrha, & gutta, & casia a vestimentis tuis.* Alius, In vestimentum tuum. Alius, In omnes vestes tuas. Nonnulli quidem dicunt prophetam per hæc significare sepulturam, nonnulli vero specierum varietatem indicare diuersitatem vnctionis. Neque enim fiebat olim vnctio ex his vnguentis, sed ex aliis. Et vt scias hunc fuisse olim alium modum vnctionis, per differentiam materiarum significauit differentiam operationis. Illud autem, A vestimentis tuis, ostendit eius quoque vestes fuisse plenas gratia. Quę itaque sanguinis profluuio laborabat, sanguinis riuos repressit, cùm vestis fimbriam attigisset. Siue hoc ergo, siue illud sit accipiendum, nulla prohibet ratio, sunt enim à me vtraque admittenda. Quemadmodum ergo (nihil enim prohibet eadem rursus dicere) cùm arcum & gladium audis, & quæ sunt eiusmodi, non ea audis sensibiliter: ita nec cùm myrrham aut casiam audiueris, ea sensibiliter intelliges, sed ad intelligentiam referes. 10. *A domibus eburneis, ex quibus delectauerunt te filiæ regum in honore tuo.* Alius dicit, A templis eburneis, vnde delectauerunt te, dum te honorant. Alius, In gloriosis tuis. Postquam dixit quæ rectè gessit, dicit etiam honorem qui præclara eius facta consecutus est, nempe quòd in pretiosissimis templis sit adorandus. Antiquitus enim hæc materia erat pretiosissima, & magno studio conquirebatur, nempe eburnea. Vnde etiam dicebat alius Propheta: Væ qui dormitis in lectis

Christi vocati sunt multi.

Psal. 104.

Quando vnctus Christus. Matth. 3. Marc. 1. Ioan. 1. Ioan. 3. Ioel. 2. Act. 2.

Matth. 9.

Eboris pretium apud antiquos.

Amos 6. 4

eburneis. Et rursus ostendit quòd prædicatio non perueniet solummodo ad priuatos, sed reginas etiam subijciet, ædesque illi magnificas extruent. Hæc iam videntur re ipsa fieri. Volens enim propheta ostendere vim prædicationis, dicit quomodo ceperit, quomodo subiecerit mulieres, viros, priuatos, diuites, eos ipsos quibus erant redimita capita diadematibus, & eorum vxores, vt templa Deo vbique excitarent. Deinde quoniam deinceps ad hæc dicenda digressus est, de his fusius dicere exorditur, eos qui illum colunt, & qui ei supplicant describens. Et cùm ostendisset quomodo populi sub eo cadunt, quomodo cor ipsorum tetigit, quomodo inimicos superauit, quomodo eum deduxit dextera, quomodo veritatem, mansuetudinem, & iustitiam plantauit: rursus quoque metaphorica oratione vsus est, veluti in imagine ac similitudine ecclesiam describens, & quæ postea dixerunt Apostoli: hic quidem dicens: Despondi vos vni viro virginem castam exhibere Christo: ille autem: Qui habet sponsam, sponsus est. Alius vero: Simile est regnum cœlorum homini regi, qui fecit nuptias filio suo. Ea hîc quoque prædicit, introducens simul sponsam & reginam: & ideo dicit, *Astitit regina à dextris tuis.* Alius, stabilita est, hoc est firmiter stetit, stetit immobiliter. Quod alibi dicit Christus: Portæ inferi non præualebunt aduersum eam. Vidisti insignem honorem? vidisti summam dignitatem: quæ conculcata, & quæ in infimum locum deturbata fuerat, in quantam extulerit altitudinem, vt ei assisteret? Cognouisti, quæ erat captiua, alienata, meretrix scelerata & execranda, ad quantam dignitatem ascenderit? cum ministratoriis potestatibus astitit. Filius enim, vt qui sit honore æqualis, sedet à dextris: ipsa verò stetit. Quamuis enim sit regina, est tamen creatæ substantiæ. Quomodo ergo dicit Paulus: Conresuscitauit & consedere nos fecit in cœlestibus in Christo Iesu? Sed attende quàm exactè loquatur. Non dixit solummodo: Conresuscitauit & cõsedere fecit: sed, in Christo, hoc est, per Christum. Quoniam enim, inquit, caput nostrum est supra: nos autem corpus, cùm superius sedeat nostrum caput, nos quoque honoris participes fuimus, & stetimus. *In vestitu deaurato,*

1 Cor. 11. 2. Ioan. 3. 29. Matt. 22. 2. Matth. 16. Psal. 109. Ephes. 2. In Christo, per Christum.

A ἐπὶ κλινῶν ἐλεφαντίνων. καὶ δείκνυσι πάλιν ὅτι τὸ κήρυγμα οὐκ ἰδιωτῶν ἅψεται μόνον, ἀλλὰ καὶ βασιλείας ὑποτάξει, καὶ ἀναστήσουσιν αὐτῷ οἴκους πολυτίμους. Ταῦτα ἤδη ὁρᾶται ἐπὶ τῶν πραγμάτων γενόμενα. Βουλόμενος γὰρ ὁ προφήτης δεῖξαι τοῦ κηρύγματος τὴν ἰσχὺν λέγει, πῶς εἷλε, πῶς ἐχειρώσατο γυναῖκας, ἄνδρας, ἰδιώτας, πλουσίους, αὐτοὺς τοὺς τὰ διαδήματα περικειμένους, καὶ τὰς συνοικούσας αὐτοῖς ὡς πανταχοῦ ναοὺς ἐγείρειν τῷ Θεῷ. εἶτα ἐπειδὴ λοιπὸν εἰς τοῦτον ἐξέβη λόγον πλατύτερον αὐτὸν ὑφαίνει τοὺς θεραπευτὰς αὐτοῦ καὶ ἱκέτας ὑπο-
B γράφων, καὶ πῶς λαοὶ ὑπέπεσον δείκνυς, πῶς τῆς καρδίας τῶν ἐχθρῶν περιεγένετο, πῶς ἡ δεξιὰ αὐτοῦ κατευώδωσεν αὐτόν· πῶς ἀλήθειαν καὶ πρᾳότητα καὶ δικαιοσύνην κατεφύτευσε· καὶ πάλιν μεταφορικῶς κέχρηται τῷ λόγῳ, ὥσπερ ἐν εἰκόνι τὴν ἐκκλησίαν ὑπογράφων, καὶ ἅπερ μετὰ ταῦτα οἱ ἀπόστολοι εἰρήκασιν, ὁ μὲν λέγων· ἡρμοσάμην ὑμᾶς ἑνὶ ἀνδρὶ παρθένον ἁγνὴν παραστῆσαι τῷ Χριστῷ· ὁ δὲ λέγων· ὁ ἔχων τὴν νύμφην, νυμφίος ἐστίν· ὁ δὲ λέγων· ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν, ἀνθρώπῳ βασιλεῖ, ὅστις
C ἐποίησε γάμους τῷ υἱῷ αὐτοῦ. Ταῦτα καὶ οὗτος προαναφωνεῖ, τὴν νύμφην εἰσάγων ὁμοῦ καὶ βασιλίδα· διὸ φησι, παρέστη ἡ βασίλισσα ἐκ δεξιῶν σου. ἄλλος, ἐστηλώθη, τουτέστι βεβαίως ἔστη, ἀκινήτως ἔστη, ὅπερ ὁ Χριστὸς ἀλλαχοῦ φησιν· ὅτι πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς. εἶδες τιμῆς ὑπερβολήν; εἶδες ὄγκον ἀξιώματος; τὴν πεπατημένην, τὴν κάτω συρομένην· εἰς ὅσον ὕψος ἀνήγαγεν, ὥστε αὐτῷ παρεστάναι; ἔγνως, ἡ αἰχμάλωτος, ἡ ἀπηλλοτριωμένη, ἡ πόρνη, ἡ ἐναγής, εἰς ὅσον ἀνέβη ἀξίωμα; μετὰ τῶν λει-
D τουργικῶν παρέστηκε δυνάμεων. ὁ μὲν γὰρ υἱός, ἅτε ὁμότιμος ὤν, ἐκ δεξιῶν κάθηται, αὕτη δὲ ἕστηκεν. Εἰ γὰρ καὶ βασίλισσά ἐστιν, ἀλλὰ κτιστῆς οὐσίας ἐστί. πῶς οὖν ὁ Παῦλος φησί· συνήγειρε καὶ συνεκάθισεν ἡμᾶς ἐν τοῖς ἐπουρανίοις ἐν Χριστῷ Ἰησοῦ; ἀλλὰ πρόσεχε τῇ ἀκριβείᾳ. οὐκ ἁπλῶς εἶπε συνήγειρε καὶ συνεκάθισεν· ἀλλ᾽, ἐν Χριστῷ, τουτέστι, διὰ Χριστοῦ. ἐπειδὴ γάρ, ἡ κεφαλή, ἡμῶν ἄνω φησίν ἐστιν, ἡμεῖς δὲ σῶμα τῆς κεφαλῆς ἄνω καθημένης, καὶ ἡμεῖς τῆς τιμῆς μετέχομεν, εἰ καὶ ἑστήκαμεν. ἐν ἱματισμῷ διαχρύσῳ περιβεβλημένη, πεποι-

πεποικιλμένη. ἄλλος, ἐν διαδήματι χρυσοῦ ἐκ Σουφείρ. ὥσπερ ἐπὶ τοῦ βασιλέως οὐ τόξα καὶ βέλη νοοῦμεν, οὕτω μηδὲ ἐπὶ τῆς νύμφης ἱμάτια νόει· ἀλλὰ διὰ τῶν αἰσθητῶν θεοπρεπῆ νοήματα ἐκλάμβανε. ἵνα γὰρ μηδέν τι τοιοῦτόν τις ὑποπτεύσῃ, ἐπήγαγε λέγων· πᾶσα ἡ δόξα τῆς θυγατρὸς τοῦ βασιλέως ἔσωθεν. καίτοι μὲν τὰ ἱμάτια μάλιστα πάντων ἔξωθεν, καὶ χάριν τῶν ὁρωμένων ἐστίν. ἀλλ' ὅταν ἡ σωματικά· ὅταν δὲ περὶ πνευματικῶν ὁ λόγος ᾖ, ἔνδον στρέφε τὸ ὄμμα τῆς διανοίας. τοῦτο τὸ ἱμάτιον, ὁ βασιλεὺς ὕφηνε, καὶ ἐνέδυσεν αὐτὴν διὰ τοῦ βαπτίσματος. ὅσοι γάρ φησιν εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε. πρὸ γὰρ τούτου, γυμνὴ ἦν καὶ ἀσχημονοῦσα, προκειμένη πᾶσι τοῖς παραπορευομένοις ὁδόν· ἀφ' οὗ δὲ τὸ ἱμάτιον ἐνεδύσατο τοῦτο, πρὸς τὸ ὕψος ἀνηνέχθη ἐκεῖνο, καὶ τῆς ἐκ δεξιῶν στάσεως ἠξιώθη. καλῶς δὲ αὐτὸ καὶ ποικίλον φησίν. οὐ γὰρ μονοειδὲς τὸ ἱμάτιον. οὐ γὰρ ἐκ χάριτός ἐστι σωθῆναι μόνον, ἀλλὰ χρεία καὶ τῆς πίστεως, καὶ μετὰ τὴν πίστιν καὶ ἀρετῆς· ἀλλὰ νῦν οὐ περὶ ἱματίων ὁ λόγος. οὐδὲ γὰρ τῷ πνεύματι τοσαύτη σπουδὴ ἦν, ὥστε ἱμάτια γυναικὸς διαγράφειν χρυσᾶ. εἰ γὰρ ταῖς καλλωπιζομέναις γυναιξὶν ὁ Ἠσαΐας ἐγκαλεῖ, καὶ πανταχοῦ τὰ τῆς τρυφῆς ἐκβέβληται, πῶς ἂν ἐνταῦθα ἐπῄνεσε γυναῖκα καλλωπιζομένην; ἄκουσον θύγατερ καὶ ἴδε, καὶ κλῖνε τὸ οὖς σου καὶ ἐπιλάθου τοῦ λαοῦ σου καὶ τοῦ οἴκου τοῦ πατρός σου, καὶ ἐπιθυμήσει ὁ βασιλεὺς τοῦ κάλλους σου. ἄλλος φησίν· ἵνα ἐπιθυμήσῃ, ὅτι αὐτός ἐστι κύριός σου. ἄλλος, αὐτὸς γάρ κύριός σου, καὶ προσκυνήσουσιν αὐτῷ. ἄλλος, καὶ προσκύνει αὐτῷ. καὶ θυγάτηρ Τύρου ἐν δώροις. ἄλλος, ἡ δὲ θυγάτηρ κραταιὰ δῶρα οἴσει. τὸ πρόσωπόν σου λιτανεύσουσιν οἱ πλούσιοι τοῦ λαοῦ. ὁρᾷς πῶς οὐδὲν αἰσθητόν; πῶς οὐδὲν σωματικόν, ἀλλὰ πάντα νοερά; πῶς γὰρ ἡ νύμφη θυγάτηρ αὐτοῦ ἐστι; πῶς δὲ ἡ θυγάτηρ νύμφη; ἐπὶ μὲν γὰρ τῶν σωματικῶν οὐκ ἔνι τοῦτο, ἀλλ' ἕτερον τοῦτο, καὶ ἕτερον ἐκεῖνο. ἐπὶ δὲ τοῦ Θεοῦ ἀμφότερα ἔνι. αὐτὸς γὰρ αὐτὴν ἀνεγέννησε διὰ τοῦ βαπτίσματος, αὐτὸς αὐτὴν καὶ ἡρμόσατο. ἄκουσον θύγατερ, καὶ ἴδε.

A *circumdata varietate.* Alius, In diademate auri de Suphir. Quemadmodum in rege non arcus & sagittas intelligimus ita nec in sponsa vestes intellige, sed per ea quæ sunt sensibilia, accipe sensa, quæ Deo conueniant. Ne quis enim tale quid suspicetur, subiunxit dicens: Omnis gloria filiæ regis ab intus. Atqui vestes sunt omnium maximè extrinsecus, & propter eos qui vident. Sed hoc ita se habet, quando sunt res corporeæ: quando vero agitur de rebus spiritualibus, conuerte intrò mentis oculos. Hanc vestem rex texuit, eaque illam per baptismum B induit. Quotquot enim, inquit, in Christum baptizati estis, Christum induistis. Antea enim erat nuda, turpis & inhonesta, exposita omnibus qui transibant per viam. Ex quo autem illam vestem induit, euecta est ad illam altitudinem, & vt à dextris staret, digna fuit habita. Pulchrè autem ipsam quoque describit varietatem. Non constat enim vestis ex vno tantùm genere. Neque enim licet seruari tantummodo ex gratia, sed fide quoque opus est: & post fidem, virtute. Nunc C autem non agitur de vestibus. Neque enim Spiritus tantum in eo studium ponebat, vt aureas vestes mulieris describeret. Si enim mulieres quæ se exornant, reprehendit Esaias, & vbique expulsæ sunt deliciæ: quomodo hîc ornatam mulierem laudauerit? 11. *Audi filia, & vide, & inclina aurem tuam, & obliuiscere populum tuum, & domum patris tui:* 12. *Et concupiscet rex decorem tuum.* Alius ait, vt concupiscat. *Quoniam ipse est dominus tuus.* Alius, Ipse enim est dominus tuus. *Et adorabunt ipsum.* Alius, Et adora ipsum. 13. *Et filia Tyri in muneD ribus.* Alius, Filia autem valida dona feret. *Vultum tuum deprecabuntur omnes diuites plebis.* Vides quomodo nihil est sensibile? quomodo nihil corporeum, sed referuntur omnia ad intelligentiam? Quomodo enim sponsa est eiusdem filia? Quomodo autem filia sponsa? in rebus quidem corporeis hæc non insunt, sed hoc quidem aliud, & illud aliud: in Deo autem insunt vtraque. Ipse enim & ipsam regenerauit per baptismum, & ipse quoque eam despondit. Audi filia, & vide.

De Ophir aurifera terra. Iosephus 8.

Vestes spirituales.

Galat. 3. 27.

Gratia. Virtus. Galat. 5.

Esa. 3.

Ecclesia & filia & sponsa.

Duo ei præbuit: & doctrinam, quæ per verba traditur: & visum, qui & per miracula, & per fidem suscipitur: & hæc quidem dedit, illa verò pollicitus est. Audi ergo verba mea, vide mea miracula, & mea opera, & meas ferad monitiones. Vide autem quale det prius præceptum. Obliuiscere populi tui, & domus patris tui. Quia enim eam despondit ex gentibus, hoc ei prius præcipit, vt illam consuetudinem ex animo deleat, è memoria eximat, à mente eijciat, non solùm ea fugiendo, sed ne eorum quidem recordando. Et obliuiscere populi tui, & domus patris tui. Quando autem dicit & populum & domum, intelligit omnia quæ illic ab eis fiunt, & quod ad vitam, & quod ad dogmata decretáque pertinet. Et concupiscet rex decorem tuum. Vides eum non loqui de pulchritudine corporis, si enim hæc feceris, tunc, inquit, eris pulchra. Hæc enim non facit pulchritudo corporea. Atqui inter infideles videmus corpoream pulchritudinẽ, & ex Gentilibus formosas mulieres: sed vt scias eum nõ loqui de pulchritudine corporis, eam dicit cõstitui ex eius obedientia, obediẽtia autem non constituit pulchritudinem corporis, sed animæ. Si enim hæc, inquit, feceris, tunc eris pulchra, tunc eris sponso grata & amabilis. Quoniam ipse est dominus tuus. En pater, qui & sponsus, & dominus apparuit. Quoniam enim iussit vt à parentibus recederet, populi obliuisceretur, consuetudinem expelleret, ostendit maximam & iustissimam esse causam, cur ea præciperet, magnámque esse rationis consequentiam, idque debere fieri. Si enim idem pater tuus, idem sponsus, & idem dominus: æquum est vt ab illis omnibus te seiungas, & teipsam illi dedices. Non dixit autem, Quoniam ipse est pater tuus, sed, Quoniam ipse est dominus tuus, vt ea ratione eam maximè feriat: quoniam qui est dominus & pater tuus, voluit quoque sponsus fieri. Imò verò illud ipsum quoque factum esse dominum, summæ est benignitatis & clementiæ: vt quæ erat serua dæmonum, & conculcabatur ab errore, eam suam esse vellet. Non solùm autem ancillam, sed filiam fecit, & sponsam. Obliuiscere populi tui,

Decorem, pulchritudinem.

A δύο αὐτῇ παρέσχε, καὶ διδασκαλίαν τὴν διὰ τῶν ῥημάτων, καὶ ὄψιν τὴν διὰ τῶν θαυμάτων, καὶ τὴν διὰ τῆς πίστεως· καὶ τὰ μὲν ἔδωκε· τὰ δὲ ἐπηγγείλατο. ἄκουσον τοίνυν τῶν ῥημάτων τῶν ἐμῶν. ἴδε μου τὰ θαύματα καὶ τὰ ἔργα, καὶ ἀνέχου τῶν παραινέσεων. καὶ ὅρα ποῖον παράγγελμα ποιεῖται πρότερον. ἐπιλάθου τοῦ λαοῦ σου καὶ τοῦ οἴκου τοῦ πατρός σου. ἐπειδὴ γὰρ αὐτὴ ἐξ ἐθνῶν συνῴκισεν, τοῦτο αὐτῇ πρότερον παραγγέλλει ἀποξέσαι τὴν συνήθειαν ἐκείνην, ἀποστῆσαι τῆς μνήμης, ἐκβαλεῖν αὐτὰ τῆς διανοίας, μὴ μόνον αὐτὰ φυγεῖν, ἀλλὰ μηδὲ μεμνῆσθαι αὐτῶν παραινῶν. B καὶ ἐπιλάθου τοῦ λαοῦ σου, καὶ τοῦ οἴκου τοῦ πατρός σου. ὅταν δὲ εἴπῃ καὶ λαὸν καὶ οἶκον, πάντα τὰ ἐκεῖ παραλαμβάνων λέγει περὶ αὐτῶν, καὶ βίον καὶ δόγματα. καὶ ἐπιθυμήσει ὁ βασιλεὺς τοῦ κάλλους σου. ὁρᾷς ὅτι οὐ περὶ σωματικοῦ κάλλους ὁ λόγος. ἂν γὰρ ταῦτα ποιήσῃς, τότε ἔσῃ καλή· τότε ὁ βασιλεὺς ἐπιθυμήσει τοῦ κάλλους σου. καὶ μὴν σωματικὸν κάλλος ταῦτα οὐκ ἐργάζεται. καὶ γὰρ ἐν ἀπίστοις ὁρῶμεν κάλλος σωματικόν, καὶ γυναῖκας εὐμόρφους Ἑλληνίδας οὔσας. ἀλλ' ἵνα μάθῃς, ὅτι οὐ C περὶ σωματικοῦ κάλλους ὁ λόγος, ἐκ τῆς ὑπακοῆς αὐτῆς συνίστασθαι τοῦτό φησιν· ἡ ὑπακοὴ δὲ οὐ τὸ σωματικὸν κάλλος συνίστησιν, ἀλλὰ τὸ ψυχικόν. ἐὰν γὰρ ταῦτα ποιήσῃς φησί, τότε ἔσῃ καλή, τότε ἐπέραστος τῷ νυμφίῳ. ὅτι αὐτός σου ἐστὶ κύριος· ἰδοὺ ὁ πατὴρ καὶ δεσπότης καὶ νυμφίος ἀνεφάνη. ἐπειδὴ γὰρ ἐπέταξεν ἀποστῆναι πατέρων, ἐπιλαθέσθαι λαῶν, ἐκβαλεῖν τὴν συνήθειαν, δείκνυσι τῶν ἐπιταγμάτων τὸ δικαίωμα μέγιστον ὄν, καὶ πολλὴν οὖσαν τὴν ἀκολουθίαν τοῦ λόγου, καὶ ὀφεῖλον τοῦτο γενέσθαι. εἰ γὰρ D καὶ πατήρ σου αὐτὸς καὶ νυμφίος αὐτός, καὶ κύριος αὐτός, δίκαιον ἂν εἴη πάντων ἐκείνων ἀποστᾶσαν, τούτῳ ἑαυτὴν ἀναθεῖναι. καὶ οὐκ εἶπεν, ὅτι αὐτός σου ἐστὶ πατήρ· ἀλλ' ὅτι αὐτός σου ἐστὶ κύριος καὶ δεσπότης καὶ πατήρ, ἵνα ταύτῃ μάλιστα αὐτῆς καθίκηται· ὅτι καὶ ὁ κύριος καὶ δεσπότης καὶ πατήρ σου εἵλετο γενέσθαι καὶ νυμφίος· μᾶλλον δὲ καὶ αὐτὸ τὸ γενέσθαι κύριον πολλῆς κηδεμονίας ἐστὶ καὶ φιλανθρωπίας, τὴν δαιμόνων δούλην, καὶ ὑπὸ τῆς πλάνης πατουμένην ταύτην ἐλέσθαι ἑαυτῷ. εἰ γὰρ οὐ μόνον δούλην, ἀλλὰ καὶ θυγατέρα καὶ νύμφην ἐποίησεν. ἐπιλάθου τοῦ λαοῦ σου,

καὶ τοῦ οἴκου τοῦ πατρός σου. οὐ γὰρ πρὸς ἀλλότριόν τινα ἔρχῃ, ἀλλὰ πρὸς τὸν ποιήσαντά σε, καὶ πάντων ἐκείνων οἰκειότερον, καὶ κηδόμενόν σου καὶ φροντίζοντα. αὐτὸς γάρ σου κύριος καὶ πατήρ, καὶ πάντα αὐτός σοι δέδωκε. καὶ προσκυνήσουσιν αὐτῷ· καὶ θυγάτηρ Τύρου ἐν δώροις. ποία αὕτη ἀκολουθία; καὶ σφόδρα ἀρίστη· προτροπῆς γὰρ εἶδος τοῦτο μέγιστον. πρόσελθε, φησί, καὶ γὰρ μεγάλη αὐτοῦ ἡ ἰσχύς· καὶ πάντες αὐτῷ ὑπακούσονται. καὶ ἀφεὶς τὴν οἰκουμένην εἰπεῖν ὁ προφήτης· τὴν γείτονα λέγει πόλιν τὴν ἐν ἀσεβείᾳ κατεχομένην, τὴν ἀκρόπολιν τοῦ διαβόλου, τὴν ὄνομα μέγα ἔχουσαν ἐπὶ πολυτελείᾳ, ἀπὸ τοῦ μέρους τὸ ὅλον αἰνιττόμενος. ἐμοὶ δὲ δοκεῖ καὶ τὴν ἀσέβειαν πᾶσαν οὕτω καλέσαι καὶ τὴν ἀσωτίαν. οἶδε γὰρ ἀπὸ πόλεων τρόπους χαρακτηρίζειν, ὡς ὅταν λέγῃ, ἀκούσατε λόγον κυρίου ἄρχοντες Σοδόμων, ἐνωτίσασθε νόμον Θεοῦ ὑμῶν λαὸς Γομόῤῥας. καὶ μὴν πρὸς Ἰουδαίους διελέγετο. ἀλλ᾽ ἐπειδὴ τὰ Σοδόμων ἔπραττον, ἀπὸ τοῦ ὀνόματος τῶν Σοδόμων καλεῖ αὐτούς. καὶ τί θαυμάζεις, εἰ ἀπὸ πατρίδος αὐτοὺς οὕτω καλεῖ, ὅπου γε καὶ πατέρας αὐτοῖς τοιούτους δίδωσι λέγων· ὁ πατήρ σου Ἀμοῤῥαῖος καὶ ἡ μήτηρ σου Χετταία; καὶ οὐδὲ ἐνταῦθα ἵστησι τὴν κατηγορίαν, ἀλλὰ καὶ ἐπὶ θηρία ἐξάγει τὸν λόγον. ἐν μὲν τῇ καινῇ οὕτω λέγουσα γραφή· ὄφεις γεννήματα ἐχιδνῶν· καὶ πάλιν ἐν τῇ παλαιᾷ· ὠὰ ἀσπίδων ἔῤῥηξαν, καὶ ἱστὸν ἀράχνης ὑφαίνουσι. καὶ ἀλλαχοῦ· οὐχ ὡς υἱοὶ Αἰθιόπων ὑμεῖς ἐστε ἐμοί; οὕτω δὴ καὶ ἐνταῦθα τοὺς ἐν ἀσεβείᾳ καὶ ἀσελγείᾳ βεβιωκότας Τυρίους ἐκάλεσεν. ἀλλὰ καὶ τούτων περιέσομαι φησὶ καὶ κρατήσω, καὶ οὕτω κρατήσω ὡς καὶ προσκυνεῖν αὐτούς, καὶ οὐχ ἁπλῶς προσκυνεῖν, ἀλλὰ καὶ δῶρα προσφέρειν καὶ ἀπαρχάς, ὅπερ μέγιστον εἶδος λατρείας ἐστὶ καὶ τῆς μετ᾽ ὑπερβολῆς ὑπακοῆς σημεῖον. τὸ πρόσωπόν σου λιτανεύσουσιν οἱ πλούσιοι τοῦ λαοῦ. τί ἐστι λιτανεύσουσι; τιμήσουσι, δοξάσουσιν οἱ μεγάλοι καὶ ὑψηλοὶ νῦν. καὶ γὰρ ἐν τῇ ἐκκλησίᾳ, τοῦτο γίνεται· τοὺς ἐν ἀρετῇ ζῶντας τιμῶσι, θεραπεύουσιν ἅπαντες, κἂν πλουτῶσι, καὶ ἀξιώμασιν ὦσι κομῶντες. πάσης γὰρ εὐπορίας, μείζων ἀρετή, καὶ τὴν ἐκκλησίαν ὁρᾷ τε παρὰ πάντων τιμωμένην.

A & domus patris tui. Non enim venis ad alienum quempiam, sed ad eum qui te fecit, & est omnibus illis tibi propinquior, & de te est sollicitus, tuique curam gerit. Ipse enim est dominus tuus & pater, & ipse omnia tibi dedit. (*Act. 17.*) Et adorabunt eum: & filia Tyri in muneribus. Quænam est hæc consequentia? Vel optima: est enim optimum genus adhortationis. Accede, inquit, sunt enim maximæ eius vires, & omnes ei obedient. Mittens autem propheta dicere orbem terrarum, dicit propin- (*Amos 1. Esa. 23.*) B quam ciuitatem, quæ morbo impietatis tunc maximè laborabat, & erat arx diaboli, & de cuius opibus & magnificentia fama erat maxima, ex parte totum significans. Mihi autem videtur omnem impietatem & luxuriam sic vocare: solet enim mores ex vrbibus exprimere, vt quando dicit: Audite verbum Domini principes Sodomorum. Audite legem Dei vestri, populus Gomorrhæ. (*Mores ex vrbibus exprimuntur. Esa. 1. 10.*) Atqui alloquebatur Iudæos: sed quoniam ea faciebant quæ fiebant à Sodomitis, eos appellat à nomine Sodomorum. Et quid miraris si C eos sic appellat ex patria, cùm eis quoque det patres eiusmodi, dicens: Pater tuus est Amorrhæus, & mater tua Cettæa? (*Ezech. 16.*) Et ne hic quidem sistit eorum accusationem, sed etiam ad feras vsque deducit orationẽ, in nouo quidem testamento sic dicens scriptura: Serpentes genimina viperarum. (*Luc. 3. 7.*) Et rursus in veteri: Oua aspidum ruperunt, & telam araneæ texunt. (*Esa. 59. 5.*) Et alibi: Nunquid non sicut filij Æthiopum vos estis mihi? (*Amos 9. 7.*) Ita hic etiam eos qui impiè & libinosè vixerunt, Tyrios appellauit, sed etiam eos, inquit, superabo, & in eos domi- D natum obtinebo, & ita obtinebo, vt ipsi me adorent: & non solummodo adorent, sed munera etiam & primitias offerant, quod est maximum genus adorationis, & signum summæ obedientiæ. Vultum tuum deprecabuntur diuites plebis. Quid est deprecabuntur? Honore & gloria afficient, qui magni sunt & excelsi. (*Virtuti sua eximia.*) Hoc enim nunc fit in ecclesia, eos qui ex virtute vitam agunt, omnes honorant, colunt, licet sint & opibus & authoritate insignes. Omnibus enim copiis & facultatibus est maior virtus. Videre autem ecclesiam quæ honoratur ab omnibus.

Rectè verò dixit, Vultum tuum, hoc A est, gloriam tuam, formam & pulchritudinem tuam. Deinde quoniam vultus meminit, & vestium, & pulchritudinis, ne quis crassior sentiret aliquid sensibile, subiunxit dicens: *Omnis gloria filiæ regis ab intus.* Mentem, inquit, ingredere, edisce pulchritudinem animæ, de illis tecum loquor: & si vestem dico, & si pulchritudinem dico, & si fimbrias dico, & si aurata dico, & si dico quodcumque sit eiusmodi, de mente loquor, doctrina est de anima, est de virtute quod dicitur, de interna gloria. Rursus deducit B orationem ad corporeas similitudines, postquam crassum auditorem correxit iis quæ dicta sunt. *In fimbriis aureis, circumamicta, variegata.* Alius, per aureas armillas variè induta. Nomine auri virtutem rursus vocans. Ita

1. Cor. 3. 12: etiam dicit Paulus: Si quis superædificat super hoc fundamentum, aurum, argentum, lapides pretiosos, ligna, fœnum, stipulam: virtutem & vitium, harum materiarum appellatione ostendens. Ne enim existimares hæc esse id, quod situm est interitus, non permittit C vt quæ sunt externa visione apprehendas, sed intrà trahit cogitationem.

Collatio.: Quemadmodum enim corpus his indutum, pulchrum apparet: ita ornatur anima si sit virtute induta.

15. *Adducentur regi virgines post eam.* Alius, Sequentur. Alius, Offerentur. *Proximæ eius afferentur tibi.*

16. *Afferentur in lætitia & exultatione. Adducentur in templum regis.*

Virginitatis flos, vestis ecclesiæ.: Vidisti vestes, fimbrias? vidisti amictum aureum, florem virginitatis? is est vestis ecclesiæ. Considera autem mihi quàm accuratè loquatur Propheta. Quia enim non statim cùm primum consti- D tuta est ecclesia, floruit bonum virginitatis, sed aliquanto pòst tempore, propterea ipse quoque postea id ponit, nempe postquam ea oblita fuerit populi, & domus patris, & induta fuerit illo ornatu, & specie ac pulchritudine refulserit. Et ideo dicit: Post eam propinquæ eius afferentur. Propinquæ non loco tantùm, sed & moribus & dogmatibus cum ea congruentes. Hæreticorum enim virgines non rectè dixeris virgines,

A καὶ καλῶς εἶπε τὸ πρόσωπόν σου, τουτέστι, τὴν δόξαν σου, τὸ κάλλος σου, τὴν εὐμορφίαν σου. εἶτα ἐπειδὴ τοῦ προσώπου ἐμνήσθη, καὶ ἱματίων, καὶ κάλλους, ἵνα μή τις τῶν παχυτέρων αἰσθητόν τι νοήσῃ, ἐπήγαγε λέγων, πᾶσα ἡ δόξα τῆς θυγατρὸς τοῦ βασιλέως ἔσωθεν. πρὸς τὴν διάνοιαν εἴσελθε φησι, τὸ κάλλος καταμάνθανε τῆς ψυχῆς, περὶ ἐκείνων διαλέγομαί σοι, κἂν ἱματισμὸν εἴπω, κἂν κάλλος εἴπω, κἂν χρύσιον εἴπω, κἂν κρόσσους, κἂν χρυσᾶ εἴπω, κἂν ὁποιονοῦν τοιοῦτον ἕτερον, περὶ διανοίας ὁ λόγος, περὶ ψυχῆς ἡ διδασκαλία, περὶ B ἀρετῆς τὸ λεγόμενον, περὶ τῆς ἔνδον δόξης. διὰ δὴ τοῦτο πάλιν θαρρούντως ἐπὶ τὰς σωματικὰς εἰκόνας ἄγει τὸν λόγον, ἅπαξ διορθωσάμενος τὸν παχὺν ἀκροατὴν τοῖς εἰρημένοις. ἐν κροσσωτοῖς χρυσοῖς περιβεβλημένη, πεποικιλμένη. ἄλλος, διὰ σφιγκτήρων χρυσῶν ἠμφιεσμένη ποικίλα, πάλιν τῷ ὀνόματι τοῦ χρυσοῦ τὴν ἀρετὴν καλέσας. οὕτω καὶ Παῦλος φησίν· εἴ τις ἐποικοδομεῖ ἐπὶ τὸν θεμέλιον τοῦτον χρυσὸν, ἢ ἄργυρον, λίθους τιμίους, ξύλα, χόρτον, καλάμην, τὴν ἀρετὴν, καὶ τὴν κακίαν, ταῖς προσηγορίαις τῶν ὑλῶν τούτων ἡμῖν παρίσας. ἵνα γὰρ C μὴ ταῦτα νομίσῃς τὸ ἔσωθεν κείμενον οὐκ ἀφίησί σε τὰ ἔξω φαντάζεσθαι, ἀλλ᾽ ἕλκει τὴν διάνοιαν ἔνδον. ὥσπερ γὰρ σῶμα φαίνεται καλὸν τούτοις περιβεβλημένον· οὕτω ψυχὴ καλλωπίζεται ἀρετὴν ἐνδεδυμένη. ἀπενεχθήσονται τῷ βασιλεῖ παρθένοι ὀπίσω αὐτῆς. ἄλλος, ἀκολουθήσουσιν. ἄλλος, διενεχθήσονται. αἱ πλησίον αὐτῆς ἀπενεχθήσονταί σοι. (ἀπενεχθήσονται ἐν εὐφροσύνῃ καὶ ἀγαλλιάσει· ἀχθήσονται) εἰς ναὸν βασιλέως. εἶδες τὰ ἱμάτια τὰ κροσσωτά; εἶδες τὴν D χρυσῆν στολὴν, τῆς παρθενίας τὸ ἄνθος; τοῦτο τῆς ἐκκλησίας τὸ ἱμάτιον. καὶ θέα μοι τοῦ προφήτου τὴν ἀκρίβειαν. ἐπειδὴ γὰρ οὐκ εὐθέως τῆς ἐκκλησίας συστάσης τὸ τῆς παρθενίας ἤνθησε καλὸν, ἀλλ᾽ ὕστερον καὶ μετὰ χρόνον τινὰ, διὰ τοῦτο καὶ αὐτὸς μετὰ ταῦτα τίθησιν αὐτό. μετὰ τὸ ἐπιλαθέσθαι αὐτὴν τοῦ λαοῦ καὶ τοῦ οἴκου τοῦ πατρὸς, καὶ ἐνδύσασθαι τὸν κόσμον ἐκεῖνον, καὶ λάμψαι τῷ κάλλει· διό φησιν, ὀπίσω αὐτῆς αἱ πλησίον αὐτῆς ἀπενεχθήσονται· αἱ πλησίον, οὐ τόπῳ ἁπλῶς, ἀλλὰ καὶ τρόπῳ, καὶ τοῖς δόγμασιν αὐτῇ συνᾴδουσαι, ὡς τάς γε τῶν αἱρετικῶν οὐκ ἄν τις εἴποι παρθένους,

οὐ γάρ εἰσι πλησίον τῆς βασιλίδος. ἀπενεχθήσονται ἐν εὐφροσύνῃ καὶ ἀγαλλιάσει. ὅρα τὸ ἀποστολικὸν ἐνταῦθα διαλάμπον, καὶ τὴν ἀπόφασιν ἐκείνην διαδεικνυμένην καὶ ἐν τῷ προφήτῃ. ποίαν δὴ ταύτην; ὅτι θλῖψιν τῇ σαρκὶ ἕξουσιν αἱ γαμούμεναι. ὥσπερ γὰρ ἐκεῖναι θλῖψιν, οὕτως αὗται ἀγαλλίασιν καὶ εὐφροσύνην. αἱ μὲν γὰρ τέκνα, καὶ ἄνδρα, καὶ οἰκίαν, καὶ οἰκέτας, καὶ συγγενεῖς καὶ κηδεστὰς καὶ γαμβροὺς, καὶ ἔγγονα, καὶ πολυπαιδίαν καὶ ἀπαιδίαν μεριμνᾶν ἀναγκάζονται. οὐδὲ γὰρ καιρὸς νῦν τὰς συμφορὰς ὑπογράφειν τοῦ γάμου. ἡ δὲ παρθένος, ἐσταυρωμένη, καὶ τῶν παρόντων ἀπαλλαγεῖσα, καὶ τῶν βιωτικῶν φροντίδων ἀνωτέρα γενομένη, καὶ τὸν εὔριπον διαδῦσα, καὶ πρὸς τὸν οὐρανὸν καθ' ἑκάστην βλέπουσα τὴν ἡμέραν, ἀπολαύει τῆς χαρᾶς τοῦ πνεύματος, ἐντρυφᾷ τῇ ἀγαλλιάσει. οὐ τὰ παρόντα δὲ μόνον ὁ προφήτης, ἀλλὰ καὶ τὰ μέλλοντα αἰνίττεται, ὅταν φαιδρὰς καὶ λαμπρὰς ἔχουσαι λαμπάδας, ἀπαντῶσι τὸν νυμφίον ὑποδεχόμεναι. ναὸν δὲ ἐνταῦθα βασιλέως, τὰ βασίλεια, καὶ νυμφῶνα τὰς παστάδας λέγει. ἀντὶ τῶν πατέρων σου ἐγεννήθησαν υἱοί σου. ἄλλος, ἔσονταί σοι υἱοί σου. ἐπεὶ ἄνω λαοῦ καὶ πατρὸς ἐμνήσθη λέγων, ἐπιλάθου τοῦ λαοῦ σου, καὶ τοῦ οἴκου τοῦ πατρός σου, δείκνυσιν ὅτι πολλῆς ἀπολαύσεται καὶ κατ' αὐτὸ τὸ μέρος εὐημερίας τοῦτο ἐπήγαγεν· ἔστι γὰρ μήτηρ μυρίων παίδων ἡ στεῖρα, ὥστε εἰ καὶ γονέων ἀπεστάθης, ἀλλ' οἱ τῶν παίδων χοροὶ οὕτως ἐπίδοξοι, οὕτω λαμπροὶ καὶ περιφανεῖς ἔσονται, ὡς πᾶσαν ἐμπλῆσαι τὴν οἰκουμένην. ἐμοὶ δὲ δοκεῖ τοὺς ἀποστόλους λέγειν, τοὺς διδασκάλους, ἐν αὐτῇ γενομένους. εἶτα ὑπογράφων αὐτῶν τὴν δύναμιν καὶ τὴν ἰσχὺν, καὶ τὴν δόξαν, φησί· καταστήσεις αὐτοὺς ἄρχοντας ἐπὶ πᾶσαν τὴν γῆν. ἆρα ταῦτα ἑρμηνείας δεῖται; οὐκ ἔγωγε οἶμαι, ὥσπερ οὐδὲ ὁ ἥλιος, ὅτε φαιδρός ἐστι, τὰ δὲ εἰρημένα, τούτου φανερώτερα. καὶ γὰρ τὴν οἰκουμένην ἅπασαν ἐπέδραμον οἱ ἀπόστολοι, καὶ πάντων ἀρχόντων ἄρχοντες ἐγένοντο κυριώτεροι, βασιλέων δυνατώτεροι. οἱ μὲν γὰρ βασιλεῖς ζῶντες κρατοῦσι, τελευτήσαντες δὲ καταλύονται· οὗτοι δὲ τελευτήσαντες μᾶλλον κρατοῦσι. καὶ τὰ μὲν τῶν βασιλέων νόμιμα, εἴσω τῶν οἰκείων ὅρων ἔχει τὴν ἰσχὺν,

A neque enim sunt propinquæ reginæ. Afferentur in lætitia & exultatione. Vide hic dictum Apostolicum resplendere, & illam enunciationem ostendi etiam in Propheta. Quænam autem ea est? Tribulationem carnis habebunt, quæ nubunt. Quemadmodum autem illæ afflictionem, ita hæ lætitiam & exultationem. Illæ enim filios, & maritum, & domum, & famulos, cognatos, & soceros & generos, & nepotes, liberorum multitudinem, eorundémque vel defectum, vel orbitatem curare coguntur. Neque enim nunc tempus est describendi calamitates matri- B monij. Virgo autem crucifixa, & à præsentibus liberata, & curis ad hanc vitam pertinentibus effecta superior, & euripo traiecto, in cœlum quotidie suspiciens, fruitur gaudio spiritus, perfunditur exultatione. Non solùm autem præsentia Propheta, sed etiam futura significat, quando pulchras & splendidas lampades habentes, fiunt obuiam sponsum excipientes. Templum autem regis hic vocat regiam, & sponsi thalamum appellat cubilia. 17. *Pro patribus tuis nati sunt filij tui.* Alius, Erunt tibi filij tui. Quoniam su- C perius meminit populi & parentum, dicens: Obliuiscere populi tui, & domus patris tui: ostendens in hoc quoque omnia ei fausta & prospera futura, hoc subiunxit: Quæ enim erat sterilis, est mater filiorum innumerabilium. Quamobrem etiam si auulsa es à parentibus, at tuorum filiorum chori erunt adeò clari, insignes & illustres, vt omnem orbem terrarum impleant. Mihi autem videtur dicere Apostolos, qui fuerunt in ea doctores. Deinde describens eorum vires, poten- D tiam, & gloriam, dicit: *Constitues eos principes super omnem terram.* Egéntne hæc interpretatione? Ego quidem minimè existimo, quemadmodum nec sol, quando est splendidus. Quæ autem dicta sunt, eo clariora sunt. Vniuersum enim orbem terrarum peruaserunt Apostoli, & omnibus principibus fuerunt magis propriè principes, regibus potentiores. Reges enim dum viuunt, dominatum obtinent: iis autem mortuis, intercidit dominatus. Et regum quidem leges ratæ sunt & validæ intra eorum fines,

1. Cor. 7. 28.

Matth. 25.

Ecclesia olim sterilis, nunc mater est filiorum innumerabilium.

Psal. 18.

Marc. vlt.

Antithesis. Apostolorũ dignitas.

iussa autem piscatorum per vniuersum orbem terræ extensa sunt. Imperator Romanorum Persis non posset ferre leges: nec Persarum rex posset ferre leges Romanis. Hi autem Palæstini, & Persis, & Romanis, & Thracibus, & Scythis, & Indis, & Mauris, & vniuerso denique orbi terrarum leges dederunt. Nec solùm dum ij viuerent, firmæ & ratæ fuerunt, sed his etiam mortuis confirmatæ sunt: & qui eas leges acceperunt, mallent animam millies profundere, quàm ab illis desciscere. 18. *Memor ero nominis tui in omni generatione & generatione.* 19. *Propterea populi confitebuntur tibi in æternum, & in seculum seculi.* Alius, Reuocabo in memoriam nomen tuum in vnaquaque generatione. Propterea populi laudabunt te perpetuò. Alius, Propter hoc populi confitebuntur tibi. Dixit magnitudinem principatus, à longitudine terræ, à latitudine orbis terrarum, à multitudine gentium quæ subiectæ sunt. Dicit etiam aliunde eius authoritatem, quòd non solùm extendetur per vniuersum orbem terrarum, sed etiam per vniuersum æuum. Immortalis enim, inquit, erit tui memoria, descripta in libris nostris, descripta in rebuspublicis, descripta in præceptis. Vide quomodo suæ quoque Prophetiæ prædicit perpetuitatem. Cùm enim dixit: Memor ero nominis tui domine in omni generatione & generatione, hoc significauit. Etsi ego, inquit, mortuus fuero, te tamen cantabo vel moriens. Corpus enim dissoluetur: literæ autem manent, & lex perpetua. Propterea populi confitebuntur tibi. Vnde cœperat, illic desinit, nempe in Christo. Propterea. Propter quaznam? Quòd tot & tanta rectè gesseris, quòd tales principes constitueris, quòd vitium exegeris, quòd virtutem plantaueris, quòd nostram naturam desponderis, quòd hæc bona ineffabilia feceris, vniuersus orbis terræ tibi laudem offeret, non in breui tempore, nec in decem, & viginti, & centum annis, nec in parte orbis terrarum, sed terra & mare, quæ est habitabilis regio, & quæ non habitabilis, per omne æuum canent gratias agentes pro bonis quæ à te acceperunt. Pro his autem omnibus nos quoque gratias agamus benigno & clementi Christo.

A τὰ δὲ τῶν ἁλιέων προστάγματα πανταχοῦ τῆς οἰκουμένης ἐξετάθη. ὁ Ῥωμαίων βασιλεὺς οὐκ ἂν δυνήσαιτο νομοθετεῖν Πέρσαις, οὐδὲ ὁ Περσῶν Ῥωμαίοις· οἱ δὲ Παλαιστινοὶ οὗτοι, καὶ Πέρσαις, καὶ Ῥωμαίοις, καὶ Θρᾳξὶ, καὶ Σκύθαις, καὶ Ἰνδοῖς, καὶ Μαύροις, καὶ πάσῃ τῇ οἰκουμένῃ νόμους ἔθηκαν, καὶ οὐχὶ ζώντων αὐτῶν ἐκρατήθησαν μόνον, ἀλλὰ καὶ τελευτησάντων· καὶ μυριάκις ἂν ἕλοιντο οἱ νομοθετηθέντες τὴν ψυχὴν ἀφεῖναι ἢ τῶν νόμων ἀποστῆναι ἐκείνων. μνησθήσομαι τοῦ ὀνόματός σου ἐν πάσῃ γενεᾷ

B καὶ γενεᾷ. διὰ τοῦτο λαοὶ ἐξομολογήσονταί σοι εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. ἕτερός φησιν, ἀναμνήσω τὸ ὄνομά σου καθ' ἑκάστην γενεάν. διὰ τοῦτο λαοὶ ὑμνήσουσί σε διηνεκῶς. ἄλλος, ἐπὶ τούτῳ λαοὶ ἐξομολογήσονταί σοι. εἶπε τὸ μέγεθος τῆς ἀρχῆς ἀπὸ τοῦ μήκους τῆς γῆς, ἀπὸ τοῦ πλάτους τῆς οἰκουμένης, ἀπὸ τοῦ πλήθους τῶν ἐθνῶν τῶν ὑποταγέντων. λέγει καὶ ἑτέρωθεν αὐτῆς τὸ ἀξίωμα, ὅτι οὐ πανταχοῦ τῆς οἰκουμένης ἐκταθήσεται μόνον, ἀλλὰ καὶ πανταχοῦ τοῦ αἰῶνος. ἀθάνατος γὰρ, ἔσται φησὶν, ἡ μνήμη σου, ἀνάγραπτος ἐν ταῖς

C βίβλοις ταῖς ἡμετέραις, ἀνάγραπτος ἐν ταῖς πολιτείαις, ἀνάγραπτος ἐν τοῖς προστάγμασιν. ὅρα πῶς καὶ τῆς οἰκείας προφητείας τὸ διαρκὲς προφητεύει. εἰπὼν γὰρ, μνησθήσομαι τοῦ ὀνόματός σου ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ, τοῦτο ἐδήλωσε. κἂν ἐγὼ τελευτήσω φησὶν, ἀλλ' ᾄσομαι εἰς σὲ καὶ τελευτῶν. τὸ μὲν γὰρ σῶμα διαλυθήσεται, τὰ δὲ γράμματα μένει, καὶ ὁ νόμος διαρκής. διὰ τοῦτο λαοὶ ἐξομολογήσονταί σοι. ὅθεν ἤρξατο, ἐνταῦθα κατέλυσεν, εἰς τὸν Χριστόν. διὰ τοῦτο, ποῖον; ὅτι

D τοσαῦτα κατώρθωσας· ὅτι τοιούτους ἄρχοντας ἐπέστησας· ὅτι κακίαν ἤλασας· ὅτι ἀρετὴν ἐφύτευσας, ὅτι τὴν φύσιν ἥρμοσας τὴν ἡμετέραν· ὅτι τὰ ἀπόρρητα ταῦτα εἰργάσω ἀγαθά· πᾶσά σοι οἰκουμένη, ὕμνον ἀνοίσει, οὐκ ἐν βραχεῖ χρόνῳ, οὐδὲ ἐν δέκα, καὶ εἴκοσι, καὶ ἑκατὸν ἔτεσιν, οὐδὲ ἐν μέρει τῆς οἰκουμένης, ἀλλὰ γῆ καὶ θάλαττα, οἰκουμένη τε καὶ ἀοίκητος διαπαντὸς τοῦ αἰῶνος ᾄσονται χάριν ὁμολογοῦντες ἐπὶ τοῖς ἀγαθοῖς τοῖς γεγενημένοις. ὑπὲρ δὴ τούτων ἁπάντων, καὶ ἡμεῖς εὐχαριστήσωμεν τῷ φιλανθρώπῳ Χριστῷ,

δι' οὗ καὶ μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ A ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Εἰς τὸν με' ψαλμόν.

ΕΙΣ ΤΟ ΤΕΛΟΣ ΥΠΕΡ ΤΩΝ ΥΙΩΝ ΚΟΡΕ, ΥΠΕΡ τῶν κρυφίων. ἄλλος, τῷ νικοποιῷ τῶν υἱῶν Κορέ. ἄλλος, ὑπὲρ νεοτήτων ᾆσμα. B

Ὁ Θεὸς ἡμῶν καταφυγὴ, καὶ δύναμις, βοηθὸς ἐν θλίψεσι, ταῖς εὑρούσαις ἡμᾶς σφόδρα. ἄλλος, ἐν θλίψεσιν εὑρισκόμενος. Διὰ τοῦτο οὐ φοβηθησόμεθα ἐν τῷ ταράσσεσθαι τὴν γῆν, καὶ μετατίθεσθαι ὄρη ἐν καρδίαις θαλασσῶν.

Τὴν συνήθη κέχρηται φιλοσοφίᾳ ὁ προφήτης, τῶν μὲν βιωτικῶν ἀπάγων πραγμάτων, εἰς δὲ τὴν ἐλπίδα τὴν ἄνωθεν ἀνάγων τὸν ἀκροατήν. C μὴ γάρ μοι ὅπλα καὶ τείχη καὶ τάφρους εἴπῃς φησὶ, μηδὲ περιουσίαν χρημάτων, καὶ πολεμικὴν ἐμπειρίαν, καὶ πλῆθος ἵππων, μηδὲ τόξα, καὶ βέλη, καὶ θώρακας, μηδὲ συμμάχων πλήθη, καὶ στρατιωτῶν φάλαγγας, μηδὲ σώματος ἰσχὺν, καὶ πολεμίων πεῖραν. πάντα ταῦτα ἀράχνης καὶ σκιᾶς ἀσθενέστερα. ἀλλ' εἰ βούλει τὴν ἄμαχον ἰδεῖν δύναμιν, D τὴν καταφυγὴν τὴν ἀχείρωτον, τὸ φρούριον τὸ ἄσυλον, τὸν πύργον τὸν ἄσειστον, ἐπὶ τὸν Θεὸν κατάφυγε, ἐκείνου ἐπισπῶ τὴν ἰσχύν. καὶ καλῶς εἶπεν ὁ Θεὸς ἡμῶν, ἡ καταφυγὴ, καὶ δύναμις, δεικνὺς ὅτι ποτὲ μὲν φεύγοντες νικῶμεν, ποτὲ δὲ ἱστάμενοι καὶ πολεμοῦντες, καὶ γὰρ ἀμφότερα ταῦτα δεῖ ποιεῖν, καὶ ὀπίσω χωρεῖν, καὶ ἐκκλίνειν. τοῦτο καὶ Παῦλος ἐποίει, ποτὲ μὲν ὑποχωρῶν, ποτὲ δὲ ἐπεμβαίνων τοῖς ἐναντιουμένοις τῷ λόγῳ τῆς ἀληθείας. τοῦτο καὶ ὁ Χριστὸς ἐποίει διδάσκων ἡμᾶς, τοῦτο καὶ ἡμᾶς δεῖ ποιεῖν,

Per quem, & cum quo patri gloria simul cum sancto Spiritu, nunc, & semper, & in secula seculorum, Amen.

IN PSALMVM XLV.

IN FINEM PRO FILIIS CORE, PRO ARCANIS. *Alius*, Victoriæ effectori filiorum Core. *Alius*, Pro adolescentiis canticum.

Deus noster refugium & virtus, adiutor in tribulationibus, quæ inuenerunt nos nimis. Alius, in afflictionibus inuentus. 3. *Propterea non timebimus dum turbabitur terra, & transferentur montes in cor maris.*

SOLITA vtitur philosophia Propheta, à rebus quidem ad hanc vitam pertinentibus nos abducens, in spem autem supernam auditorem erigens. Ne mihi, inquit, dixeris arma, muros, & fossas, nec pecuniæ copiam, nec rei militaris scientiam, nec equorum multitudinem, nec arcus, sagittas, & loricas, nec sociorum vires, nec militum phalanges, nec robur corporis, & hostium experientiam. Sunt enim hæc omnia araneæ tela & vmbra imbecilliora. Sed si velis videre copias inexpugnabiles, refugium insuperabile, præsidium quod non diripi, turrem quæ labefactari non potest, ad Deum confuge, vires illas attrahe. Rectè autem dixit, Deus refugium nostrum, & virtus: ostendens quòd aliquãdo quidem fugientes vincimus, aliquando autem stantes & pugnantes. Vtrunque enim oportet facere, & contrà tendere, & declinare. Hoc etiam faciebat Paulus, aliquando quidem cedens, aliquando autem insultans iis qui aduersabantur verbo veritatis. Hoc quoque Christus faciebat nos docens. Hoc quoque nos oportet fa-

Act.13.14.

Matth.2. Ioan.8.10. Luc.11.

cere, & rectè cognoscere opportunitatem temporis, & orare quidem ne ingrediamur in tentationem, vt vult illud dictum Euangelicum: vbi autem aduenerit, non esse molli & ignauo animo, sed fortiter resistere. Adiutor in tribulationibus, quæ inuenerunt nos nimis. Quod sæpe dixi, nunc quoque dico: non prohibet quo minus veniant afflictiones, sed vbi aduenerint, assistit, nos frugi & probos efficiens. Illud autem nimis, aut valde, attribuendum est ei quod est, Adiutor. Neque enim leue, sed insigne fert auxilium, plus præbens solatij ex ope lata, quàm sit suscepta molestia ex afflictionibus. Non enim quantum malorum conditio postulat, tantum nobis præbet auxilium, sed longè maius. Propterea non timebimus, inquit, dum turbabitur terra. Vides quomodo maius & longè copiosius fert auxilium? Non solùm enim dixit, Non capiemur, nec cademus, sed ne id quidem patiemur, quod est naturæ proprium, vt terreamur & timeamus. Vndenam autem hoc euenit? Ex eo quòd fit copiosum auxilium. Terram autem hic, & montes, & cor maris, non dicit elementa, sed eorum nomine intolerabilia pericula significat. Etsi omnia, inquit, videamus confusa, etiamsi perturbationem planè intolerabilem, etsi ea omnia euenire quæ nunquam facta fuerunt, etiam si ipsam, vt ita dicam, creaturam cum seipsa collidi, & ipsius naturæ terminos moueri, & omnia ex ipsis conuelli fundamentis, & prima elementa confundi, & omnium denique rerum maximam fieri perturbationem, non modo non vincemur, sed ne timebimus quidem. In causa autem est quòd omnium horum dominus opem fert, manum porrigit & assistit. Si autem vel his euenientibus minimè cederemus, nec molles aut ignaui redderemur: multò magis si nos inimici inuadant, & in nos aciem dirigant. 4. *Sonuerunt & conturbatæ sunt aquæ eorum. Conturbati sunt montes in fortitudine eius.* Alius, Sonantibus & turbatis aquis, & concussis montibus in glorificatione eius. Postquam dixit se non veriturum, ne si omnia quidem confringantur ac collidantur, deinceps differit de eius potentia, quòd scilicet sint vires eius inexpugnabiles. Et meritò, inquit, non timuerimus, &

Cor maris quid vocet.

A καὶ εἰδέναι μετὰ ἀκριβείας καιρῶν ἐπιτηδειότητα, καὶ εὔχεσθαι μὲν μὴ εἰσελθεῖν εἰς πειρασμὸν κατὰ τὸ λόγιον ἐκεῖνο τὸ εὐαγγελικόν, παραγενομένου δὲ, μὴ μαλακίζεσθαι, ἀλλ' ἑστάναι γενναίως. Βοηθὸς ἐν θλίψεσι ταῖς εὑρούσαις ἡμᾶς σφόδρα. ὃ πολλάκις εἶπον, τοῦτο καὶ νῦν λέγω· οὐ κωλύει τὰς θλίψεις ἐπελθεῖν, ἀλλὰ παραγινομένων παρίσταται, χρησίμους ἡμᾶς ἐργαζόμενος καὶ δοκίμους. τὸ δὲ σφόδρα τῷ βοηθὸς προσυπακουστέον, τοῦτο γὰρ οὐχ ὡς ἔτυχε βοηθεῖ, ἀλλὰ μετὰ τῆς ὑπερβολῆς *πλείονα παρέχων B τὴν ἀπὸ τῆς συμμαχίας παράκλησιν, τῆς ἀπὸ τῶν θλίψεων ὀδύνης. οὐ γὰρ ὅσον ἀπαιτεῖ τῶν δεινῶν ἡ φύσις, τοσαύτην ἡμῖν παρέχει τὴν συμμαχίαν, ἀλλὰ πολλῷ πλείονα. διὰ τοῦτο οὐ φοβηθησόμεθά φησιν, ἐν τῷ ταράσσεσθαι τὴν γῆν. ὁρᾷς πῶς πλείονα παρέχει τὴν βοήθειαν, καὶ ἐκ πολλῆς τῆς περιουσίας; οὐ γὰρ εἶπεν, οὐ μόνον οὐχ ἁλωσόμεθα, οὐδὲ πεσούμεθα, ἀλλ' οὐδὲ ὃ κοινὸν τῆς φύσεώς ἐστι πεισόμεθα, τὸ φοβηθῆναι καὶ δεῖσαι. πόθεν δὲ τοῦτο γίνεται; ἐκ τοῦ τὴν συμμαχίαν ἐκ περιουσίας ἐπιέναι. γῆν δὲ ἐνταῦθα καὶ ὄρη, καὶ καρδίας θαλασσῶν, C οὐ τὰ στοιχεῖα φησὶν, ἀλλὰ τῷ ὀνόματι τούτων τοὺς ἀφορήτους κινδύνους αἰνίττεται. κἂν πάντα ἴδωμεν συγκεχυμένα, φησὶ, κἂν ταραχὴν ἀφόρητον, κἂν ταῦτα συμβαίνοντα, ἃ μηδέποτε γέγονε, κἂν αὐτὴν ὡς ἂν εἴποι τις τὴν κτίσιν συρρηγνυμένην ἑαυτῇ, καὶ τοὺς τῆς φύσεως κινουμένους ὅρους, καὶ πάντα ἐκ βάθρων ἀνασπώμενα, καὶ τὰ πρῶτα στοιχεῖα συγχεόμενα, καὶ τοσαύτην γινομένην ταραχὴν, οὐ μόνον οὐχ ἁλωσόμεθα, ἀλλ' οὐδὲ δεισόμεθα. τὸ δὲ αἴτιον, ὅτι ὁ πάντων τούτων δεσπότης βοηθεῖ, καὶ D χεῖρα ὀρέγει, καὶ παρίσταται· εἰ δὲ τούτων γενομένων, οὐκ ἂν ἐνδοίημεν, οὐδὲ καταμαλακισθείημεν, πολλῷ μᾶλλον ἐπιόντων τῶν ἐχθρῶν, καὶ τῶν πολεμίων παρατατομένων. ἤχησαν, καὶ ἐταράχθησαν τὰ ὕδατα αὐτῶν, ἐταράχθησαν τὰ ὄρη ἐν τῇ κραταιότητι αὐτοῦ. ἄλλος φησίν· ἠχούντων καὶ θολουμένων τῶν ὑδάτων, καὶ σειομένων ὀρέων ἐν τῷ ἐνδοξασμῷ αὐτοῦ. εἰπὼν ὅτι οὐ δεισόμεθα συρρηγνυμένων ἁπάντων περὶ τῆς δυνάμεως αὐτοῦ διαλέγεται, ὅτι ἄμαχος αὐτοῦ ἡ ἰσχύς. καὶ εἰκότως, φησὶν, οὐ δεδοίκαμεν, καὶ ὅταν

ἀεὶ ποιεῖ, νῦν μὲν ἀπὸ τῆς κτίσεως, νῦν δὲ ἀπὸ τῶν τοῖς ἀνθρώποις συμβαινόντων ἀνακηρύττων αὐτοῦ τὴν ἰσχὺν, τοῦτο καὶ ἐνταῦθα ποιεῖ. ὃ δὲ λέγει τοιοῦτόν ἐστι. σείει πάντα, σαλεύει, μετατίθησιν, ὅταν βούληται· οὕτως αὐτῷ ῥᾴδια καὶ εὔκολα πάντα. ἐμοὶ δὲ δοκεῖ τὰ πλήθη ἐνταῦθα αἰνίττεσθαι τῶν ἀνδρείων, καὶ τοὺς ὑψηλοὺς τῶν πολεμίων, καὶ τὸν ἄπειρον λαὸν τῶν ἐναντίων. τοσαύτη γὰρ αὐτοῦ ἡ δύναμίς φησιν, ὡς ἁπλῶς νεῦσαι, καὶ ταῦτα πάντα γίνεσθαι. πῶς οὖν δυνάμεθα φοβεῖσθαι τοιοῦτον ἔχοντες δεσπότην; Διάψαλμα. ἄλλος, ἀεί. τοῦ ποταμοῦ τὰ ὁρμήματα. ἄλλος, διαιρέσεις. ὁ δὲ Ἑβραῖος φαλαγαύ· εὐφραίνουσι τὴν πόλιν τοῦ Θεοῦ. ἡγίασε τὸ σκήνωμα αὐτοῦ ὁ ὕψιστος. ἄλλος φησί· τὸ ἅγιον τῆς κατασκηνώσεως τοῦ ὑψίστου· ὁ Θεὸς ἐν μέσῳ αὐτῆς, καὶ οὐ σαλευθήσεται. βοηθήσει αὐτῇ ὁ Θεὸς τὸ πρὸς πρωῒ πρωΐ. ἄλλος φησὶ, περὶ τὸν ὄρθρον. ἄλλος, τὸ νεῦσαι πρωΐας. εἰπὼν περὶ τῆς δυνάμεως αὐτοῦ, καὶ τῆς ἰσχύος, καὶ ὅτι ῥᾴδια αὐτῷ πάντα εἰς τὴν τῆς Ἰουδαϊκῆς προνοίας ὑπόθεσιν, μετατίθησι τὸν λόγον, τὰ δεδομένα αὐτοῖς ἀγαθὰ διὰ βραχέων λέξεων παριστάς. ἔστι γὰρ ὁ οὕτω δυνατὸς, ὁ οὕτως ἰσχυρὸς καὶ φοβερὸς, καὶ πάντα ἄγων καὶ φέρων, ὁ πάντα σείων καὶ κινῶν, καὶ μετατιθεὶς καὶ μεθιστὰς, μυρίων τὴν πόλιν ἡμῶν ἐνέπλησεν ἀγαθῶν. ποταμὸς γὰρ ἐνταῦθα, τὸ δαψιλὲς τῆς χορηγίας τῶν ἄνωθεν δωρεῶν, καὶ τὸ ἀκώλυτον καὶ τὸ ἐκκεχυμένον παρέστησεν. ὡσανεὶ ἔλεγε· καθάπερ ἐκ πηγῶν τινῶν ἄφθονα ἐπιρρεῖ τὰ ἀγαθά. ὥσπερ γὰρ ποταμὸς εἰς μυρία σχιζόμενος μέρη, τὴν ὑποκειμένην ἄρδει χώραν· οὕτως ἡ τοῦ Θεοῦ πρόνοια πανταχόθεν ἐπιρρεῖ, δαψιλῶς φερομένη, καὶ ῥοιζηδὸν ἐπιοῦσα, καὶ πάντα πληροῦσα· οὐκ ἀσφάλειαν δὲ παρέχει μόνον ἡμῖν, οὐδὲ βοήθειαν ἄρραγῆ, ἀλλὰ καὶ πνευματικὴν χαράν. διό φησιν· ἡγίασε τὸ σκήνωμα αὐτοῦ ὁ ὕψιστος. καὶ τοῦτο δὲ εὐεργεσίας αὐτὸ μέρος οὐ μικρὸν, τὸ σκήνωμα αὐτοῦ καλέσαι τὸν τόπον. καὶ οὐχ ἁπλῶς τέθεικε τὸ ὁ ὕψιστος. ὁ γὰρ οὕτως ὑψηλὸς, ὁ μηδενὶ τόπῳ περιεχόμενος, ἡ ἄφραστος οὐσία κατηξίωσε σκήνωμα αὐτοῦ καλέσαι τὴν πόλιν ἡμετέραν, καὶ πάντοθεν αὐτὴν συνέχει. τοῦτο γάρ ἐστιν ἐν μέσῳ αὐτῆς, ὡς καὶ ἀλλαχοῦ λέ-

A quod semper facit, nunc quidem ex creaturis, nunc verò ex iis quæ hominibus accidunt, vires eius prædicans: hoc ipsum hîc quoque facit. Quod autem dicit, est eiusmodi. Omnia concutit, labefacit, transfert quãdo voluerit, adeò sunt illi omnia prompta & procliuia. Mihi autem videtur hîc significare multitudinem virorum fortium, & præstantissimos hostium, & infinitum populum aduersariorum. Tanta est enim, inquit, eius potestas, vt si tantũmodo annuat, hæc omnia fiant. Quomodo ergo poterimus timere qui talem habemus dominum? Diapsalma. Alius, semper. B 5. *Fluminis impetus* Alius, diuisiones. Hebræus autem, phalagau. *Lætificant ciuitatem Dei: sanctificauit tabernaculum suum altissimus.* Alius ait, Sanctum habitationis altissimi. 6. *Deus in medio eius, & non commouebitur. Adiuuabit eam Deus manè diluculo.* Alius dicit, Circa matutinũ. Alius, Cũ hora matutina respicit. Postquam dixit de eius potestate & virtute, & quòd sunt ei omnia facilia, ad Iudæorum, quam gerit, prouidentiæ argumentum conuertit orationẽ, paucis dictionibus ostendens quæ bona eis data fuerint. C Hic enim, qui est adeò fortis, adeò potens, qui omnia fert & agit, qui omnia mouet, cõcutit, & transfert ac traducit, impleuit ciuitatem nostram bonis innumerabilibus. Fluuius enim hîc, profusam, copiosam, & inoffensam bonorũ supernorum suppeditationem ostẽdit; perinde ac si diceret: Tanquam ex fontibus, omnia nobis bona profluunt: quemadmodum enim fluuius qui scinditur in multas partes, subiectam regionem irrigat: ita Dei prouidentia omni ex parte influit, abunde promanans, cum susurro perfluens, & omnia im- D plens. Non solum autem præbet nobis securitatem, certũmque & infractum auxiliũ, sed etiam spirituale gaudium: & ideo dicit: Sanctificauit tabernaculum suum altissimus. Quinetiam hoc ipsum est non parua pars beneficij, tabernaculum suum, locum nostrum vocare. Neque enim temere posuit illud, Altissimus. Qui est ergo adeò altus, qui nullo loco comprehenditur, qui est substantia inestabilis, dignatus est vocare nostram ciuitatem suum tabernaculum, eámq; omni ex parte continet. Hoc enim sibi vult illud, In medio nostri: quemadmodum etiam dicit

Omnia Deo procliuia.

Hiron. Sanctum tabernaculum altiss.

Fluuius.

Dei prouidentia cum fluuio confertur.

Matt. 28. alibi: Ecce ego vobiscum sum. Vndique eam coërcet & exercet: & ideo non modò nihil graue patietur, sed ne commouebitur quidem. Causa autem est, quòd celerrimum assequitur auxilium, vtpote quod sit promptum & paratum. Hoc enim sibi vult illud, Mane diluculo: quod non differtur, nec protrahitur, sed est semper recens & vegetum, & in tempore opportuno. 7. *Conturbatæ sunt gentes.* Alius, simul congregatæ sunt gentes. *Inclinata sunt regna. Dedit vocem suam altissimus, mota est terra.* Ostendit hîc vim eius auxilij. Non enim quibuslibet inuadentibus, sed regibus, gentibus vndequaque coëuntibus, vnam ciuitatem circundantibus & obsidentibus, non modò nihil graue ab eis passa est, sed etiam vicit, superauit, & euertit eos qui inuadebant. Hoc enim sibi vult illud, Inclinata sunt regna, dedit vocem suam altissimus. perinde ac si dixeris, Vel ipso solo clamore cepit vrbes, verbum quidem crassum, & quod humano more dictum est. Neque enim vincit Deus voce & clamore, sed solo nutu & voluntate: sed tamen ex his quoque crassioribus eum sustollens, aliis altiorem dictionem excogitauit. Quia enim eum semper introducit armatum, ostendens illa omnia dicta esse metaphoricè, & tropicè, & vt se ad nostrum captum accommodaret (Deus enim nullo eorum indiget) subiunxit: Dedit vocem suam, & commota est terra, ostendens ipsum non solum vrbes, gentes, & regiones, sed ipsum etiam elementum concutere. Solet autem terram quoque vocare multitudinem, vt quando dicit: Et erat omnis terra labrum vnum. (Gen. 11.) 8. *Dominus virtutum nobiscum. Susceptor noster Deus Iacob.* Hebræus autem pro eo quod est, virtutum, dixit sabaoth. Vide quomodo à terra tollit orationem, ad infinitos angelorum cœtus, ad gentes archangelorum, ad supernas potestates. Quid enim mihi dicis castra, & barbaros, & homines qui pereunt? Considera eius vires, ex regno quod in cœlis obtinet: quot inuisibiliũ potestatum exercitus sub se habeat instructos. Rectè autẽ eos appellauit virtutes, vires eorum ostendens: sed etiam dicit alibi: Potentes virtute, facientes verbum eius. (Psal. 148. 4. Reg. 19.) Etenim vnus Angelus cùm aliquando esset egressus, centum octogintaquinque

γῇ· ἰδοὺ ἐγὼ μεθ' ὑμῶν εἰμι. πανταχόθεν αὐτὴν συγκροτεῖ· διὰ τοῦτο οὐ μόνον οὐδὲν πείσεται δεινὸν, ἀλλ' οὐδὲ σαλευθήσεται. καὶ τὸ αἴτιον, ὅτι ταχίστης ἀπολαύει τῆς συμμαχίας, ἑτοίμης, καὶ παρεσκευασμένης οὔσης. τοῦτο γάρ ἐστι τὸ πρωΐ· οὐ μελλούσης, οὐδὲ βραδυνούσης, ἀλλὰ νεαρᾶς ἀεὶ, καὶ ἀκμαζούσης, καὶ ἐν καιρῷ τῷ προσήκοντι. ἐταράχθησαν ἔθνη. ἄλλος, συνήχθησαν ἔθνη. ἔκλιναν βασιλεῖαι. ἔδωκε φωνὴν αὐτοῦ ὁ ὕψιστος· ἐσαλεύθη ἡ γῆ. δείκνυσιν αὐτοῦ τῆς βοηθείας ἐνταῦθα τὴν δύναμιν. οὐ γὰρ δὴ τῶν τυχόντων ἐπιόντων, ἀλλὰ βασιλέων, ἐθνῶν πανταχόθεν συνιόντων, κυκλούντων, πολιορκούντων πόλιν μίαν, οὐ μόνον οὐδὲν ἔπαθεν ὑπ' αὐτῶν δεινὸν, ἀλλὰ καὶ περιεγένετο, καὶ ἐκράτησε, καὶ περιέτρεψε τοὺς ἐπιόντας. τοῦτο γάρ ἐστι τὸ ἔκλιναν βασιλεῖαι, ἔδωκε φωνὴν αὐτοῦ ὁ ὕψιστος. ὡς ἂν εἴποι τις, αὐτοβοεὶ τὰς πόλεις εἷλε. παχὺ μὲν τὸ ῥῆμα, καὶ ἀνθρωπινώτερον εἰρημένον. οὐδὲ γὰρ φωνῇ καὶ βοῇ ὁ Θεὸς νικᾷ, ἀλλὰ νεύματι μόνῳ καὶ βουλήματι. ἀλλ' ὅμως ἀπὸ τῶν παχυτέρων αὐτὸν ἀνάγων, τὴν ἄλλων ὑψηλοτέραν ἐπινοήσει λέξιν. ἐπειδὴ γὰρ ἀεὶ ὁπλιζόμενον αὐτὸν εἰσάγει δεικνὺς, ὅτι πάντα ἐκεῖνα μεταφορικῶς εἴρηται, καὶ τροπικώτερον, καὶ συγκαταβατικώτερον, ὁ γὰρ Θεὸς οὐδενὸς τούτων δεῖται, ἐπήγαγεν· ἔδωκε φωνὴν αὐτοῦ, καὶ ἐσαλεύθη ἡ γῆ, δεικνὺς, ὅτι οὐ μόνον πόλεις καὶ ἔθνη, καὶ χώρας, ἀλλὰ καὶ αὐτὸ τὸ στοιχεῖον διασείει. οἶδε δὲ καὶ γῆν τὰ πλήθη καλεῖν, ὡς ὅταν λέγῃ, καὶ ἦν πᾶσα ἡ γῆ χεῖλος ἕν. κύριος τῶν δυνάμεων μεθ' ἡμῶν. ἀντιλήπτωρ ἡμῶν ὁ Θεὸς Ἰακώβ. ὁ δὲ Ἑβραῖος ἀντὶ τοῦ τῶν δυνάμεων σαβαὼθ εἶπεν. ὅρα πῶς ἀπὸ τῆς γῆς ἀνάγει τὸν λόγον ἐπὶ τὸν οὐρανὸν, εἰς τοὺς ἀπείρους τῶν ἀγγέλων δήμους, εἰς τὰ ἔθνη τῶν ἀρχαγγέλων, εἰς τὰς δυνάμεις τὰς ἄνω. τί γάρ μοι λέγεις στρατόπεδα, καὶ βαρβάρους, καὶ ἀνθρώπους ἀπολλυμένους φησίν; ἐννόησον αὐτοῦ τὴν ἰσχὺν, ἀπὸ τῆς ἐν τοῖς οὐρανοῖς βασιλείας, ὅσα στρατόπεδα τῶν ἀοράτων δυνάμεων, ὑφ' ἑαυτῷ τεταγμένα ἔχει. καὶ καλῶς δυνάμεις ἐκάλεσε, τὴν ἰσχὺν αὐτῶν ἐνδεικνύμενος. ὅπερ καὶ ἀλλαχοῦ φησι· δυνατοὶ ἰσχύϊ ποιοῦντες τὸν λόγον αὐτοῦ. καὶ γὰρ εἷς ἄγγελος ποτὲ ἐξελθὼν, ἑκατὸν ὀγδοήκοντα πέντε

χιλιάδας ἀνεῖλε. τί οὖν εἰ δυνατὸς μέν ἐστιν, οὐ βούλεται δὲ ἡμῖν χεῖρα ὀρέξαι; ἀλλὰ μηδὲ τοῦτο δείσῃς φησί· διὰ τοῦτο ἐπήγαγεν, ἀντιλήπτωρ ἡμῶν. καὶ βούλεται καὶ δύναται· μὴ τοίνυν φοβοῦ. τί οὖν εἰ ἡμεῖς ἀνάξιοι; ἀλλὰ πατρῴαν πρὸς αὐτὸν ἔχομεν φιλανθρωπίαν. διὸ καὶ τοῦτο προστιθεὶς ἔλεγεν, ὁ Θεὸς Ἰακώβ· ἀεὶ τοῦτο τὸ ἔθος αὐτοῦ φησιν ἄνωθεν, καὶ ἐξ ἀρχῆς. διάψαλμα. ἄλλος, ἀεί. δεῦτε καὶ ἴδετε τὰ ἔργα τοῦ Θεοῦ, ἃ ἔθετο τέρατα ἐπὶ τῆς γῆς. τόξον συντρίψει, καὶ συνθλάσει ὅπλον. ἄλλος λέγει, συνέκλασε, καὶ θυρεοὺς κατακαύσει ἐν πυρί. ἄλλος, καὶ ἁμάξας ἐμπρήσει ἐν πυρί. εἰπὼν περὶ τῆς γῆς, περὶ τῆς θαλάσσης, περὶ τῶν ὀρῶν, περὶ τῆς πνευματικῆς χορηγίας, τῆς εἰς αὐτοὺς γεγενημένης, περὶ τῆς συμμαχίας. πάλιν ἐκτείνει τὴν ὑπόθεσιν πρὸς τοὺς θεατάς, ἐπὶ τὰ τρόπαια αὐτοὺς καλῶν μετὰ ἡδονῆς πολλῆς, καὶ τῆς πρὸς τὸν δεσπότην διαθέσεως, καὶ τὰς νίκας ἀναγορεύων, ἃς ὑπὲρ αὐτῶν εἰργάσατο. καὶ καλῶς εἶπε τέρατα, οὐκ εἶπε νίκας καὶ τρόπαια. οὐ γὰρ κατὰ ἀκολουθίαν ἐγίνετο τὰ γινόμενα, οὐδὲ ὅπλοις καὶ δυνάμει σωμάτων τὰ τῆς μάχης ἐκρίνετο, ἀλλὰ Θεοῦ νεύματι τῶν πραγμάτων δηλούντων, ὅτι αὐτὸς ἦν ὁ στρατηγῶν. ἐπειδὴ γὰρ οἱ ἀσθενεῖς τοὺς δυνατοὺς ἐνίκων, οἱ ὀλίγοι τοὺς πολλούς, οἱ κεκρατημένοι τοὺς κρατοῦντας, καὶ παρ' ἐλπίδα τὰ πράγματα ἐγίνετο, εἰκότως αὐτὰ τέρατα καλεῖ, ἅτε παραδόξως συμβαίνοντα, καὶ πανταχοῦ τῆς γῆς ἐκτεταμένα. τοῦτο δὲ οὐκ ἄν τις ἁμάρτοι καὶ κατὰ ἀναγωγὴν ἐκλαβών, καὶ εἰς τὸν παρόντα καιρόν. καὶ γὰρ πόλεμον χαλεπὸν κατέλυσε τὸν τῶν δαιμόνων, καὶ πανταχοῦ τῆς οἰκουμένης τὴν εἰρήνην ἐξέτεινε, καὶ τὸν αἰσθητὸν δὲ αὐτῶν πόλεμον συγκατέβαλεν. ὅπερ καὶ ὁ Ἡσαΐας δηλῶν ἔλεγε· συντρίψουσι τὰς μαχαίρας αὐτῶν εἰς ἄροτρα, καὶ τὰς ζιβύνας αὐτῶν εἰς δρέπανα, καὶ οὐ λήψεται ἔθνος ἐπ' ἔθνος μάχαιραν, καὶ οὐ μὴ μάθωσιν ἔτι πολεμεῖν. πρὸ μὲν γὰρ τῆς τοῦ Χριστοῦ παρουσίας, πάντες ἄνθρωποι ὅπλα ἐπέφερον, καὶ οὐδεὶς ἀτελὴς ταύτης τῆς λειτουργίας ἦν, καὶ πόλεις πρὸς τὰς πόλεις ἐμάχοντο, καὶ πανταχοῦ τὰ τῶν πολέμων συνεκροτεῖτο· νῦν δὲ τὸ πλέον τῆς οἰκουμένης ἐν εἰρήνῃ, πάντων ἐν ἀδείᾳ καὶ τέχνας μετιόντων, καὶ γῆν ἐργαζομένων, καὶ θάλατταν πλεόντων, ὀλίγοι δέ εἰσι τὸ στρατιωτ-

millia sustulit. Quid igitur, si est quidem potens, non vult autem nobis manum præbere? Atqui ne hoc timueris. Propterea enim subiunxit, Susceptor noster. Et vult ergo, & potest: ne ergo timeas. Quid si nos sumus indigni? Sed habemus à patribus traditam eius in nos benignitatem. Hoc itaque significans, dixit, Deus Iacob: quasi diceret, Ab alto, & ab initio hæc fuit semper eius consuetudo. Diapsalma: Alius, Semper. 9. *Venite & videte opera Domini, quæ posuit prodigia super terram, auferens bella vsque ad fines terræ.* 10. *Arcum conteret, & confringet arma.* Alius, Confregit, *& clypeos comburet igni.* Alius, Et currus comburet in igni. Postquam dixit de terra, de mari, de montibus, de spirituali quæ ipsis facta est suppeditatione, de auxilio, apud spectatores rursus argumentum amplificat, eos vocans ad trophæa ex magna voluptate, & summa in dominum affectione, & narrans victorias quas pro eis obtinuit. Rectè autem dixit, Prodigia, non autem victorias & trophæa. Non enim quæ fiebant, ex certo ordine fiebant, & quadam consequentia: nec armis & virtute corporum decernebatur prælium, sed Dei nutu, rebus significantibus eum esse Imperatorem. Quoniam enim potentes vincebantur ab imbecillis, multi à paucis, qui dominatum obtinebant, ab iis qui eis parebant, & res præter spem succedebant, ea iure vocat prodigia, vt quæ admirabiliter & præter spem eueniebant, & vbique terrarum sparsa fuerant. Non aberrauerit autem quispiam, si hoc per anagogen ad præsens etiam tempus desumpserit. Difficilè enim dæmonum bellum confecit, & per vniuersum orbem terræ pacem extendit. Quin etiam quod sub sensum cadit, eorũ bellum depulit. Quod Esaias quoque significãs dicebat: Contundent gladios suos in aratra, & lanceas suas in falces: & non sumet gens aduersus gentem gladium: & non discent amplius bellare. Ante Christi enim aduentum, omnes homines arma capiebant, & nullus erat ab hoc munere immunis, & ciuitates pugnabant aduersus ciuitates, & bello vbique confligebatur: nunc autem maior pars terræ degit in pace, omnibus securè & artes exercentibus, & terram colentibus, & mare nauigantibus: sunt autem

Diapsalma, pro quo Hebræi habẽt, Sela in seculum.

Prodigia.

Esa. 2.

Pax terræ per Christũ allata.

pauci milites, qui pro aliis omnibus aciem instruunt. Quinetiam eorum quoque nullus esset vsus reliquus, si quæ decet faceremus, & non opus haberemus, vt commonefieremus ab afflictionibus. Ignem autem hic vocat eius iram, & dicit rem quæ accidit, quòd scilicet arma eorum & currus cōbusserunt, cùm eos per vim vicissent, quod etiam dicit Ezechiel, & quicunque sunt studiosi, nouerunt historiam.

Ignis, ira Dei.

Ezec. 39.9.

11. *Vacate & videte, quoniam ego sum Deus. Exaltabor in gentibus, & exaltabor in terra.* Alius, Curamini, & cognoscite. Alius, Sinite vt cognoscatis: Hebræus autem dicit, *ouarphou ouadou*. Hic mihi videtur gentes alloqui, propemodum hoc dicens: Nouistis quidem eius vires, & potentiam, quæ vbique terrarum se extendit. Opus est autem vobis otio, opus est sano animo. Hoc autem significat etiam illud, Sinite. vos enim hortor vt errorem dimittatis, à priori vitæ instituto recedatis, à rerum improbarum, quæ vos detinent, caligine respiretis: vt deducti à doctrina miraculorum, quietóque animo præditi, Deum vniuersorum agnoscatis. Neque enim miracula solùm sufficiunt, nisi adsit pius & gratus animus. Nam apud Iudæos quoque facta sunt miracula, nec ex eis quidquam emolumenti ad illorum salutem allatum est. Quemadmodum enim non sufficiunt solis radij, nisi oculus quoque fit purus & sanus: ita ne hic quidem solummodo miracula sufficiunt. Quocirca cùm de illis disseruisset, hortatur eos qui sunt ex illis capturi vtilitatem, vt resipiscant à malis quæ eos captos detinent, vt possint cognoscere Deum vniuersorum. Vacate, & videte, quoniam ego sum Deus, non simulachra, nec statuæ. Vacate igitur, & multa euidentissima vobis argumenta ostendam. Hoc enim sibi vult illud, Exaltabor in gentibus, & exaltabor in terra, hoc est, per opera vobis magnus & excelsus ostendar. Habet enim propriam altitudinem pura illa, & ab interitu aliena, & ineffabilis natura. Sed quoniam vos eam non perspicitis, eam vobis per opera ostendam. Non solùm autem in Palæstina, nec solùm Hierosolymis, sed etiam apud vos gentes. Ita ergo exaltatur, eos vincens ac superans, miracula faciens Baby-

A καὶ περὶ τῶν ἄλλων ἁπάντων τεταγμένον. καὶ τούτου δὲ αὖ ἡ χρεία κατελύθη, εἰ τὰ προσήκοντα ἐπράττομεν, καὶ μὴ ἐδεόμεθα τῆς ἀπὸ τῶν θλίψεων ὑπομνήσεως. πῦρ δὲ ἐνταῦθα τὴν ὀργὴν αὐτοῦ καλεῖ, καὶ πρᾶγμα συμβεβηκὸς λέγει, ὅτι τὰ ὅπλα αὐτῶν κατέκαυσεν, κατὰ κράτος νικήσαντες, καὶ τὰ ἅρματα, ὅπερ Ἰεζεκιὴλ φησί· καὶ ὅσοι φιλομαθεῖς ἴσασι τὴν ἱστορίαν. σχολάσατε, καὶ γνῶτε, ὅτι ἐγώ εἰμι ὁ Θεός. ὑψωθήσομαι ἐν τοῖς ἔθνεσι, ὑψωθήσομαι ἐν τῇ γῇ. ἄλλος φησίν· ἰάθητε καὶ γνῶτε. ἄλλος, ἐάσατε, ἵνα γνῶτε. B ὁ δὲ Ἑβραῖος φησὶν οὐαρφοὺ οὐαδοῦ. ἐνταῦθά μοι δοκεῖ πρὸς τὰ ἔθνη διαλέγεσθαι, μονονουχὶ τοῦτο λέγων· ἔγνωτε μὲν αὐτοῦ τὴν ἰσχύν φησι, καὶ τὴν δύναμιν τὴν πανταχοῦ τῆς οἰκουμένης ἐκτεταμένην. δεῖ δὲ ὑμῖν σχολῆς, δεῖ δὲ ὑμῖν ὑγιαινούσης ψυχῆς. καὶ τὸ ἐάσατε δὲ τοῦτο αὐτὸ δηλοῖ. παραινεῖ γὰρ αὐτοῖς, ὥστε ἀφεῖναι τὴν πλάνην, ἀπαλλάγητε τῆς προτέρας ἀναστροφῆς, ἀναπνεύσατε ἐκ τῆς ἀχλύος τῶν κατεχόντων ὑμᾶς πονηρῶν πραγμάτων, ἵνα ἀπὸ τῆς τῶν θαυμάτων διδασκαλίας χειραγωγούμενοι καὶ τὴν ψυχὴν σχολάζουσαν ἔχοντες, ἐπιγνῶτε τὸν τῶν ὅλων C Θεόν. οὐδὲ γὰρ ἀρκεῖ τὰ θαύματα μόνον, ἐὰν μὴ καὶ ψυχὴ εὐγνώμων ᾖ. ἐπεὶ καὶ ἐπὶ τῶν Ἰουδαίων ἐγένετο θαύματα, καὶ οὐδὲν πλέον ἐγένετο πρὸς τὴν σωτηρίαν ἐκείνων. ὥσπερ γὰρ οὐκ ἀρκοῦσιν αἱ τοῦ ἡλίου ἀκτῖνες, ἐὰν μὴ καὶ ὁ ὀφθαλμὸς καθαρὸς ᾖ, καὶ ὑγιαίνων· οὕτω δὴ οὐδὲ ἐνταῦθα τὰ θαύματα μόνον ἀρκεῖ. διὸ δὴ περὶ ἐκείνων διαλεχθεὶς παραινεῖ τοῖς μέλλουσιν αὐτῶν καρποῦσθαι τὴν ὠφέλειαν, ἀναπνεῦσαι ἐκ τῶν κατεχόντων αὐτοὺς κακῶν, ὥστε μαθεῖν τὸν Θεὸν τὸν ἐπὶ τῶν ὅλων. σχολάσατε καὶ γνῶτε, ὅτι ἐγώ εἰμι ὁ Θεός, οὐ τὰ εἴδω- D λα οὐδὲ τὰ ξόανα· σχολάσατε τοίνυν, καὶ πολλὰς ὑμῖν παρέξομαι τὰς ἀποδείξεις. τοῦτο γάρ ἐστι, τὸ ὑψωθήσομαι ἐν τοῖς ἔθνεσιν, ὑψωθήσομαι ἐν τῇ γῇ. τουτέστι διὰ τῶν ἔργων ὑμῖν δειχθήσομαι μέγας καὶ ὑψηλός. ἔχει μὲν γὰρ τὸ οἰκεῖον ἡ φύσις ὕψος, ἡ ἀκήρατος ἐκείνη καὶ ἄφραστος. ἐπεὶ δὲ τοῦτο ὑμεῖς οὐ συνορᾶτε, καὶ διὰ τῶν ἔργων ὑμῖν αὐτὸ ἐπιδείξω. οὐ μόνον δὲ ἐν τῇ Παλαιστίνῃ, οὐδὲ μόνον ἐν Ἱεροσολύμοις, ἀλλὰ καὶ παρὰ ὑμῖν τοῖς ἔθνεσιν. οὕτω γοῦν ὑψοῦται κρατῶν αὐτῶν καὶ περιγινόμενος, θαύματα ἐργαζόμενος ἐν

ἐν Βαβυλῶνι, θαύματα ἐν Αἰγύπτῳ, θαύματα ἐν ἐρήμῳ, θαύματα πανταχοῦ τῆς οἰκουμένης, ὡς πανταχόθεν αὐτοὺς διδασκαλίαν ἔχειν τῆς αὐτοῦ γνώσεως. κύριος τῶν δυνάμεων μεθ' ἡμῶν, ἀντιλήπτωρ ἡμῶν ὁ Θεὸς Ἰακώβ. ἔστι τοίνυν ὁ Θεὸς πανταχοῦ μέγας, ὁ πανταχοῦ ὑψηλὸς, ἔστιν ἀεὶ μεθ' ἡμῶν ἕστηκε. μηδὲν οὖν φοβεῖσθε, μηδὲ ταράττεσθε οὕτως ἔχοντες ἄμαχον δεσπότην, ᾧ πρέπει πᾶσα τιμὴ καὶ δόξα σὺν τῷ ἀνάρχῳ καὶ ζωοποιῷ αὐτοῦ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

A lone, miracula in Ægypto, miracula in deserto, miracula per vniuersum orbem terrarum, vt illi vndique habeant doctrinam eius cognitionis. *Dominus virtutum nobiscum, susceptor noster Deus Iacob.* Hic est ergo Deus, qui est vbique magnus, qui est vbique excelsus, is semper stetit nobiscum. Ne ergo timeatis, neque conturbemini, cùm habeatis dominum adeò inexpugnabilem: quem decet gloria, honor, & magnificentia, cum patre principij experte, & viuifico suo Spiritu, nunc, & semper, & in secula seculorum, Amen.

B

Εἰς τὸν μϛ' ψαλμόν.

ΕΙΣ ΤΟ ΤΕΛΟΣ ΥΠΕΡ τῶν υἱῶν Κορέ. ἄλλος δὲ, τῷ νικοποιῷ τῶν υἱῶν Κορέ.

Πάντα τὰ ἔθνη κροτήσατε χεῖρας. ἄλλος, χερί. ἀλαλάξατε τῷ Θεῷ ἐν φωνῇ ἀγαλλιάσεως. ἕτερός φησι, σημάνατε ἐν φωνῇ εὐφημίας. ὅτι κύριος ὕψιστος, φοβερὸς, βασιλεὺς μέγας ἐπὶ πᾶσαν τὴν γῆν. C

Τ ΗΣ αὐτῆς ὑποθέσεως καὶ ἔστιν ὁ ψαλμὸς ἔχεται, νίκας λέγων καὶ τὰ τρόπαια τὰ κατὰ τῶν πολεμίων συμβεβηκότα, καὶ τὴν οἰκουμένην πᾶσαν καλῶν εἰς τὴν ὑπὲρ τῶν γεγενημένων εὐφημίαν. ἀλλ' ἴσως τισὶν D ἀνάξιον εἶναι δοκεῖ τῆς τοῦ θείου πνεύματος παραινέσεως τὸ προοίμιον, καὶ ἡ τοιαύτη παρακέλευσις, κρότοι, καὶ πάταγοι, καὶ ὀλολυγαί. οὐ γὰρ τοῖς ἐν τῷ σεμνῷ τούτῳ διδασκαλείῳ συνιοῦσι προσήκει ἴσως ταῦτα, ἐρεῖ τις, ἀλλὰ τοῖς ἐν σκηνῇ, καὶ συμποσίοις ἠσχολημένοις τὸ κροταλίζειν, καὶ ταῖς χερσὶ πατάσσειν· ἀνδράσι δὲ ὑπὸ τῆς τοῦ πνεύματος χάριτος παιδευομένοις ἡσυχία καὶ εὐταξία πρέπει. τί τοίνυν βούλεται ὁ λόγος, καὶ τίνα τὴν ὀλολυγὴν, καὶ τίνα τὸν κρότον φησί; καὶ γὰρ καὶ συνήθεις τοῦτο τοῖς ἐν παρατάξει πολέμου,

IN PSALMVM XLVI.

IN FINEM, PRO FILIIS Core. *Alius*, Victoriæ effectori filiorum Core.

Omnes gentes plaudite manibus. Alius, Manu. *Iubilate Deo in voce exultationis.* Alius, Significate in voce laudationis. *Quoniam dominus excelsus, terribilis, rex magnus super omnem terram.*

H IC etiam psalmus idem tangit argumentum, dicens victorias & trophæa quæ cõtra hostes sibi pararunt, & vniuersum orbem terrarum vocãs ad ea laudanda, quæ gesta sunt. Sed nõnullis fortasse videtur prooemiũ esse indignũ diuini Spiritus hortatione, & eiusmodi incitatio, plausus, strepitus, & iubilationes. Neq; enim is, qui in hunc venerandũ locum, ad docendũ cõstitutum, coëunt, hæc (dixerit quispiam) conueniunt, sed iis quidem qui in scena & conuiuiis versantur, pulsare & plaudere manibus: viris autem qui docentur à gratia Spiritus, conuenit quies, ordo, & moderatio. Quid ergo vult significare quod hic dicitur, & quemnam plausum inquit? Consueuerunt enim hoc facere, qui instructa acie prælio sunt decertaturi, iubilare

Iubilar & plausum mutuum in procinctu.

X

inquã,&manib. maximos plusus edere, ad hostes perterrendos: à pacato autem & tranquillo animo est hoc alienum. Psalmus autem iubet vtrumque, & plaudere manibus, & iubilare. Quid est ergo quod dictum est? Nihil aliud ostendit quod dicitur, nisi voluptatem, & signum victoriæ significat. Nam alibi quoque propheta inducit fluuios pulsantes manibus. Fluuij, dicens, plaudent manibus in idipsum. Esaias autem arbores quoque adducit hoc facientes. Hic ipse autem rursus, & montes, & colles exilientes: non vt hoc intelligamus, quòd montes & colles exiliant: nec vt plaudentes fluuios, vel manus habentes: hoc est enim extremæ amentiæ, sed vt summam discamus voluptatem. Ita etiam possumus videre in hominibus. Et cur non dixit, Gaudete, & exilite, sed pulsate & iubilate? Vt nobis insignem ostendat voluptatem.

Psal.97. Esa.55. Psal.113.

Quemadmodum enim Christus quando dicit, Tu autem quando ieiunas, vnge caput tuum, & faciem tuam laua: non hoc dicit, iubens vt vngamur: (nemo enim nostrum hoc facit) sed vt ostendamus gaudium, lætúmque & alacrem animum. Iubet enim vt lætus ieiunet, tristitiam non præ se ferens. Ita etiam hîc quoque non hoc iussi sumus, nempe plaudere manibus, & iubilare, sed dum psallimus, lætari, & voluptate affici. Iure autem sumpserit quispiam psalmum per anagogen, sumpta historia. Nam etsi initium ac procemium ducit à sensibilibus, ad ea tamen quæ versantur in intelligentia, deducit auditorem. Quod enim antea dixi, nunc quoque dico. Alia quidem ita sunt accipienda vt dicta sunt: alia verò aliter quàm præ se ferunt quæ dicta sunt: quemadmodum se habet in illo: Lupi & oues simul pascentur. Non accipimus enim lupos & oues, nec paleas, bouem & taurum, sed mores hominum per similitudinem brutorum exprimimus. Alia verò sunt accipienda dupliciter, vt & sensibilia intelligamus, & quæ in intelligentia versantur, suscipiamus: quemadmodum in anagoge & sublimi contemplatione filij Abraham. Filiũ enim oblatũ fuisse scimus, verùm aliquid etiã aliud, quod latet in intelligẽtia, per filium excerpimus, nẽpe crucẽ. Et rursus in pecude illa in Ægypto,

Matt.6.17

Scriptura sacra vt accipienda.

Esa.11.65.

Esa.1.6. & 65.25.

Gen.22.

Exod.3.

A καὶ μάχης, ποιεῖν, ἀλαλάζειν λέγω, καὶ μέγα κροτεῖν πρὸς τὸ καταπλῆξαι τοὺς πολεμίους· γαληναίας δὲ ψυχῆς τοῦτο ἀλλότριον· ὁ δὲ ψαλμὸς ἀμφότερα διακελεύεται, καὶ κροτεῖν, καὶ ἀλαλάζειν. τί ποτ' οὖν ἐστὶ τὸ εἰρημένον; οὐδὲν ἕτερον, ἀλλ' ἡδονὴν ἐνδείκνυται καὶ νίκης σύμβολον. ἐπεὶ καὶ ἑτέρωθι ὁ προφήτης τοὺς ποταμοὺς εἰσάγει κροτοῦντας· ποταμοί, φησι, κροτήσουσι χειρὶ ἐπὶ τὸ αὐτό. ὁ δὲ Ἡσαΐας, καὶ δένδρα τοῦτο ποιοῦντα εἰσάγει. αὐτὸς δὲ οὗτος πάλιν, καὶ ὄρη σκιρτῶντα, καὶ βουνούς· οὐχ ἵνα τοῦτο νοήσωμεν, ὅτι τὰ ὄρη σκιρτᾷ καὶ βουνοί· οὐδ' ἵνα ποB ταμοὺς κροτοῦντας, καὶ χεῖρας ἔχοντας· τοῦτο γὰρ ἐσχάτης ἀνοίας· ἀλλ' ἵνα τὴν ὑπερβολὴν τῆς ἡδονῆς μάθωμεν. οὕτω δὴ καὶ ἐπὶ τῶν ἀνθρώπων ἐστὶν ἰδεῖν. καὶ διατί μὴ εἶπε χαίρετε, καὶ σκιρτήσατε, ἀλλὰ κροτήσατε, καὶ ἀλαλάξατε; τὴν μεθ' ὑπερβολῆς ἡμῖν ἡδονὴν ἐνδεικνύμενος. ὥσπερ γὰρ Χριστὸς ὅταν λέγῃ, ὅταν νηστεύῃς, ἄλειψαί σου τὴν κεφαλήν, καὶ τὸ πρόσωπόν σου νίψαι, οὐκ ἀλοιφὴν κελεύει γίνεσθαι· οὐδεὶς γὰρ ἡμῶν τοῦτο ποιεῖ· ἀλλὰ τὴν ἡδονὴν ἐνδείκνυσθαι, καὶ τὸ φαιδρὸν τῆς διαC νοίας. κελεύει γὰρ γεγηθότα νηστεύειν μὴ σκυθρωπάζοντα· οὕτω δὴ καὶ ἐνταῦθα, οὐ τοῦτο ἐπιτάγημεν ὥστε κροτεῖν τὰς χεῖρας, ἀλλ' ἥδεσθαι, καὶ εὐφραίνεσθαι ψάλλοντες. δικαίως δ' ἄν τις τὸν ψαλμὸν κατ' ἀναγωγὴν μᾶλλον ἐκλάβοι τῆς ἱστορίας ἀνώτερος γενόμενος. εἰ γὰρ καὶ τὴν ἀρχὴν καὶ τὸ προοίμιον ἀπὸ τοῦ αἰσθητοῦ ἔχει, ἀλλ' ὅμως ἐπὶ τὰ νοητὰ χειραγωγεῖ τὸν ἀκροατήν. ὅπερ γὰρ καὶ ἔμπροσθεν εἶπον, τοῦτο καὶ νῦν ἐρῶ, τὰ μὲν ὡς εἴρηται ἐκληπτέον· τὰ δὲ ἀπεναντίας τοῖς κειμένοις, οἷα ὡς ἔD χει ἐπ' ἐκείνου· λύκοι καὶ ἄρνες ἅμα βοσκηθήσονται. οὐ γὰρ δὴ λύκους καὶ ἄρνας ἐκληψόμεθα, οὐδὲ ἄχυρα, καὶ βοῦν, καὶ ταῦρον, ἀλλὰ τὰ τῶν ἀνθρώπων ἤθη διὰ τῆς τῶν ἀλόγων εἰκόνος χαρακτηρίζομεν. τὰ δὲ κατὰ διπλῆν ἐκδοχήν, τά τε αἰσθητὰ νοοῦντες, καὶ τὰ νοητὰ ἐκδεχόμενοι· ὥσπερ ἐπὶ τῆς ἀναγωγῆς τοῦ υἱοῦ τοῦ Ἀβραάμ. ὅτι γὰρ ὁ υἱὸς ἀνηνέχθη ἴσμεν, καὶ ἕτερόν τι ἐγκεκρυμμένον τῷ νοήματι ἐκλέγομεν διὰ τοῦ υἱοῦ, τὸν σταυρόν. καὶ ἐπὶ τοῦ προβάτου δὲ τοῦ ἐν Αἰγύπτῳ·

πάλιν ὁμοίως τοῦ πάθους τὴν εἰκόνα χαρακτηρίζομεν. τοῦτο δὴ καὶ ἐνταῦθα ποιεῖν χρή. οὐδὲ γὰρ περὶ Ἀραβίων ἁπλῶς ὁ λόγος, καὶ τῶν γειτόνων, ἀλλὰ πάντα τὰ ἔθνη καλεῖ. ὅτι κύριος ὕψιστος, φοβερὸς, βασιλεὺς μέγας ἐπὶ πᾶσαν τὴν γῆν. ἀνίστησι τοίνυν ἐκ προοιμίων τὸν ἀκροατὴν πρὸς τοσοῦτον ὄγκον εὐαγγελίων καλῶν, καὶ πρὸς τὴν τῆς οἰκουμένης πανήγυριν, καὶ θείαν τινὰ καὶ πνευματικὴν ἑορτὴν, καὶ τὴν ἐκ τῶν οὐρανῶν κατενεχθεῖσαν μυσταγωγίαν. διὰ δὴ τοῦτο, κροτήσατέ φησι. τουτέστι χαρῆτε, σκιρτήσατε. καὶ γὰρ καὶ ὁ εὐαγγελικὸς λόγος τοῦτο παρακελεύεται λέγων, σκιρτήσατε, οὐ πάντως παρακελευόμενος ἐξάλλεσθαι, καὶ πηδᾶν· τοῦτο γὰρ ἀνελεύθερον· ἀλλὰ τῆς χαρᾶς τὸ ἐπιτεταμένον δηλῶν. καὶ γὰρ πολλῆς ἡδονῆς ἄξιον τὸ γενόμενον. ὅσην γὰρ ὁ ἥλιος ἐφορᾷ γῆν, ὁ εὐαγγελικὸς λόγος ἐπέδραμε, καὶ πᾶσα ἐσώθη ἡ οἰκουμένη, καὶ τῆς λατρείας τῆς Ἰουδαϊκῆς, οἱ περὶ τὴν τύπου τῇ πλάνῃ κατεχόμενοι, μείζονα ἐπεδείξαντο φιλοσοφίαν. πάντα τὰ ἔθνη κροτήσατε χεῖρας, τὰς μιαρὰς ἐκείνας περὶ τούτου φησὶν, τὰς ἐναγεῖς, τὰς αἵματι μολυνομένας, καθ' ἑκάστην ἡμέραν διὰ τῶν ἀκαθάρτων θυσιῶν, δι' ὧν παῖδας ἐσφάξατε, καὶ τὰ αἰσχρὰ ἐτολμήσατε, καὶ κατὰ τῆς φύσεως αὐτῆς ἐχωρείσατε, διὰ τούτων κροτήσατε νῦν. ἀλαλάξατε τῷ Θεῷ ἐν φωνῇ ἀγαλλιάσεως, διὰ τῆς γλώττης ἐκείνης, δι' ἧς ἐγεύσασθε τῶν ἐναγῶν, δι' ἧς τὰ βλάσφημα ἐξηνέγκατε ῥήματα, διὰ ταύτης ἀλαλάξατε τὴν ἐπινίκιον ᾠδήν. καὶ γὰρ ἔθος τοῖς στρατοπέδοις, ὅταν κλίνῃ τῶν ἐναντίων τὸ στρατόπεδον, μηκέτι τῇ ὑστάτῃ χρήσασθαι μάχῃ, ἀλλ' ὁμοφώνῳ βοῇ καὶ ἀλαλαγμῷ τὰς ἤδη καταβληθείσας αὐτῶν κατασείειν ψυχάς· ὅπερ ἐστὶ νίκης λαμπρᾶς καὶ τροπαίου μέγιστον τεκμήριον· ὅταν μὴ χερσὶν ὁ πόλεμος κρίνηται, ἀλλ' ἡ βοὴ, καὶ ἀντὶ χειρῶν, καὶ ἀντὶ ὅπλων ἀρκεῖ. τὸ μὲν οὖν ἔργον, ἅπαν τοῦ Χριστοῦ γέγονε· τὸν γὰρ χαλεπὸν τοῦτον αὐτὸς κατέλυσε πόλεμον, δήσας τὸν ἰσχυρὸν καὶ τὰ σκεύη αὐτοῦ διαρπάσας. φιλάνθρωπος δὲ ὢν, τοὺς οὐδὲν πονέσαντας, τούτους ποιεῖ τῆς νίκης καὶ τῶν τροπαίων ἀπολαύειν, καὶ τὴν ἐπινίκιον παρασκευάζει διαφέρειν φωνὴν, καθάπερ τοὺς κατωρθωκότας αὐτοὺς καὶ κρατήσαντας. διὸ καὶ βοῶμεν ἅπαντες, οὐκ ἄσημόν τινα φωνὴν,

A passionis rursus similitudinem similiter exprimimus. Hoc ipsum hic quoque faciendum est. Neque enim loquitur solum de Arabibus & vicinis, sed vocat omnes gentes. Quoniam dominus excelsus, & terribilis, & rex magnus super omnem terram. Statim ergo à principio auditorem excitat, ad bonorum nuntiorum tantam vocans magnitudinem, & ad publicam totius orbis terræ concionem, diuinúmque ac spirituale quoddam festum, & quod deportatum est ex cœlis peragendum mysterium. B Et ideo dicit: Plaudite manibus, hoc est, gaudete, exilite. Nam hoc quoque sermo iubet euangelicus, dicens, Exultate: non omnino iubens saltare & exilire: hoc est enim illiberale: sed vehementiam lætitiæ significans. Quod enim fit, magnam meretur lætitiam. Quantum enim terræ sol respicit, sermo peruasit Euangelicus, & seruatus est vniuersus orbis terræ: & qui ab errore antea detinebantur, Iudaico cultu maiorem ostendêre philosophiam. Et ideo dicit: Omnes gentes plaudite manibus. Illis, C inquit, antea sceleratis, illis impiis & execrandis, quæ per immunda sacrificia quotidie polluebantur, quibus filios occidebatis, & turpia patrabatis, & aduersus ipsam naturam contendebatis, eis nunc plaudite manibus, iubilate Deo in voce exultationis. Lingua illa, qua execranda gustastis, qua verba impia & blasphema protulistis, ea iubilate canticum victoriæ. Solent enim exercitus, quando inclinat exercitus hostium, non vti extrema victoria, sed concordi voce & clamore fractos iam & abiectos, eorum animos D conquassare, quod est claræ victoriæ, & trophæi maximi argumentum, quando bellum non manibus, sed clamore decernitur, ísque loco manuum & armorum sufficit. Hoc ergo fuit vniuersum Christi opus. Difficile enim hoc bellum ipse confecit, forti alligato, suppellectile eius vasísque ablatis. Cùm sit autem benignus & clemens, eos qui nihil laborauerant, victoriæ frui facit & trophæis, & ad epinicion offerendum eos præparat, perinde ac si ipsi se rectè gessissent, & vicissent. Quocirca omnes quoque clamamus, non voce aliqua obscura ac confusa,

Matth. 5. Luc. 6.

Psal. 106.

Iubilatio à simili.

Marc. 3. Luc. 11.

sed clarissima & significantissima: Vbi est mors stimulus tuus? Vbi est inferne nunc tua victoria? Et rursus: Ascendit Deus in iubilo. Hoc enim in hoc psalmo dictum est. Et rursus alibi: Ascendisti in altum, captiuam cepisti captiuitatem, accepisti dona in hominibus. Obtulerunt etiam aliquando Iudæi hymnum pro victoria, quando in mari fuit demersus Ægyptiorum exercitus, dicentes: Canamus domino: gloriosè enim glorificatus est. Sed nostrum est multò maius, non Ægyptiis demersis, sed dæmonibus: non Pharaone superato, sed diabolo: non armis captis sensibilibus, sed sublato vitio: non in rubro mari, sed in lauacro regenerationis: non egredientibus in terram promissionis, sed in cœlum tendentibus: non manna comedentibus, sed dominico corpore vescentibus: non aquam è petra bibentibus, sed sanguinem è latere. Et ideo dicit: Plaudite manibus, quòd liberati à lignis & à lapidibus, cœlos, & cœlos cœlorum transcenderitis, & ad ipsam regiam sedem steteritis. Iubilate ergo Deo, hoc est, illi offerte gratiarum actionē, illi victoriam, illi trophæum. Non est bellum humanum, nec pugna sensibilis: nec pro aliquo eorum quæ ad hanc vitam pertinent, decertatur, sed pro cœlis ipsis, & iis quæ sunt in cœlis. Ipse suis auspiciis suóque ductu hoc bellum confecit: nobis autem victoriam impertiit. Quoniam dominus excelsus, terribilis, rex magnus super omnem terram. Vbi nunc sunt qui detrahunt gloriæ vnigeniti? Ecce rex magnus dicitur filius, quod de patre dictum est: Ne iuraueris enim, inquit, neque in cœlo, quoniam est sedes eius: neque in Hierusalem, quia est ciuitas regis. Et rursus alibi: Deus fortis, potens, quod est rex. Quando ergo audieris crucifixum esse dominum, fuisse sepultum, ad inferiores terræ partes descendisse, ne labaris, nec angaris: est enim altissimus, & natura altissimus. Quod est autem altum natura, ab altitudine minimè vnquam recesserit, nec si humile quidem fuerit: sed etiam in eius humilitate eius altitudo manet & ostenditur. Nam vel mortuus maximè ostendit suam in mortem potentiam. Lux in tenebris lucet, inquit, & tenebræ eam non comprehenderunt:

1. Cor. 15. 55. — Psal. 67. 19. — Ephes. 4. 8. — Exod. 15. 1. — Exod. 16. — Ioan. 6. — Exod. 17. — Ioan. 19. — Matth. 5. — Esa. 23. — Esa. 9. — Matth. 27. — Marc. 15.

A ἀλλὰ καὶ σφόδρα εὔσημον· ποῦ σου θάνατε τὸ κέντρον; ποῦ σου ᾅδη τὸ νῖκος; καὶ πάλιν ἀνέβη ὁ Θεὸς ἐν ἀλαλαγμῷ. τοῦτο γὰρ ἐν τῷ ψαλμῷ τούτῳ εἴρηται. καὶ πάλιν ἀλλαχοῦ· ἀνέβης εἰς ὕψος, ᾐχμαλώτευσας αἰχμαλωσίαν, ἔλαβες δόματα ἐν ἀνθρώποις. ἀνήνεγκαν ποτὲ καὶ Ἰουδαῖοι ἐπινίκιον φωνὴν, ὅτε τῶν Αἰγυπτίων τὸ στρατόπεδον κατεποντίζετο, λέγοντες· ᾄσωμεν τῷ κυρίῳ· ἐνδόξως γὰρ δεδόξασται. ἀλλ' ἡ ἡμετέρα πολλῷ μείζων, οὐκ Αἰγυπτίων, ἀλλὰ τῶν δαιμόνων καταποντισθέντων· οὐ τοῦ Φαραὼ, ἀλλὰ τοῦ διαβόλου νικηθέντος· οὐ τῶν ὅπλων B ληφθέντων, τῶν αἰσθητῶν, ἀλλὰ τῆς κακίας ἀναιρεθείσης· οὐκ ἐν ἐρυθρᾷ θαλάσσῃ, ἀλλ' ἐν τῷ λουτρῷ τῆς παλιγγενεσίας· οὐκ εἰς τὴν γῆν τῆς ἐπαγγελίας ἐξιόντων, ἀλλ' εἰς τὸν οὐρανὸν μεθορμιζομένων· οὐ μάννα ἐσθιόντων, ἀλλὰ σῶμα σιτουμένων δεσποτικόν· οὐχ ὕδωρ πινόντων ἀπὸ πέτρας, ἀλλ' αἷμα ἀπὸ πλευρᾶς. διὰ τοῦτό φησι· κροτήσατε χεῖρας, ὅτι λίθων ἀπαλλαγέντες καὶ ξύλων, ὑπερέβητε τοὺς οὐρανοὺς, καὶ τοὺς οὐρανοὺς τῶν οὐρανῶν, καὶ παρ' αὐτὸν ἔστητε τὸν θρόνον τὸν βασιλικόν. ἀλαλάC ξατε τοίνυν τῷ Θεῷ, τουτέστιν, ἐκείνῳ τὴν εὐχαριστίαν ἐνέγκατε, ἐκείνῳ τὴν νίκην, ἐκείνῳ τὸ τρόπαιον. οὐκ ἀνθρώπινος ὁ πόλεμος οὐδὲ αἰσθητὴ ἡ μάχη· οὐδὲ ὑπέρ τινος τῶν βιωτικῶν ὁ ἀγὼν, ἀλλ' ὑπὲρ τῶν οὐρανῶν αὐτῶν, καὶ τῶν ἐν οὐρανοῖς. αὐτὸς τὸν πόλεμον ἐστρατήγησε τοῦτον, καὶ ἡμῖν τῆς νίκης μετέδωκεν. ὅτι κύριος ὕψιστος, φοβερὸς, βασιλεὺς μέγας, ἐπὶ πᾶσαν τὴν γῆν. ποῦ νῦν εἰσιν οἱ τοῦ μονογενοῦς τὴν δόξαν καθαιροῦντες; ἰδοὺ βασιλεὺς μέγας ὁ υἱὸς λέγεται, ὃ περὶ τοῦ πατρὸς εἴρηται· μὴ ὀμόσῃς γὰρ, φησι, μήτε ἐν τῷ D οὐρανῷ, ὅτι θρόνος αὐτοῦ ἐστι· μήτε εἰς τὰ Ἱεροσόλυμα, ὅτι πόλις ἐστὶ τοῦ βασιλέως. καὶ ἀλλαχοῦ πάλιν· Θεὸς ἰσχυρὸς, ἐξουσιαστὴς, ὅπερ ἐστὶ βασιλεύς. ὅταν τοίνυν ἀκούσῃς ὅτι ἀνεσκολοπίσθη σου ὁ δεσπότης, ὅτι ἐκρεμάσθη ἐν τῷ σταυρῷ, ὅτι ἐτάφη, ὅτι κατῆλθεν εἰς τὰ κατώτερα μέρη τῆς γῆς, μηδενὶ καταπέσῃς, μηδὲ ἀδημονήσῃς· ὕψιστος γάρ ἐστι, καὶ ὕψιστος φύσει. τὸ δὲ ὑψηλὸν φύσει, οὐκ ἄν ποτε μετασταίη τοῦ ὕψους, οὐδ' ἂν γένοιτο ταπεινόν· ἀλλὰ καὶ ἐν τῇ ταπεινώσει αὐτοῦ, μένει τὸ ὕψος καὶ διαδείκνυται· ἐπεὶ καὶ ἀποθανὼν, τότε μάλιστα τὴν κατὰ τοῦ θανάτου ἰσχὺν ἔδειξε. τὸ φῶς ἐν τῇ σκοτίᾳ φαίνει, φησὶ, καὶ ἡ σκοτία αὐτὸ οὐ κατέλαβεν·

οὕτω δὴ καὶ τὸ ὕψος αὐτοῦ ἐν τῇ ταπεινότητι ἐφάνη. ὅρα γοῦν αὐτὸν ἐν τῷ ᾅδῃ ὄντα, καὶ τὰ ὑψηλὰ ἅπαντα σείοντα. ὁ γὰρ ἥλιος τότε τὰς ἀκτῖνας ἀπέστρεψε, πέτραι ἐσχίζοντο, τὸ καταπέτασμα ἐρρήγνυτο, ἐσαλεύετο ἡ γῆ, Ἰούδας ἀπήγχετο, Πιλάτος καὶ ἡ τούτου γυνὴ ἐθορυβοῦντο, αὐτὸς ὁ δικάζων ἀπελογεῖτο. ὅταν τοίνυν ἀκούσῃς ὅτι ἐδέθη καὶ ἐμαστιγώθη, μὴ συγχυθῇς· ἀλλ' ὅρα αὐτὸν καὶ ἐν τῷ δεσμῷ τὴν ἰσχὺν ἐπιδεικνύμενον. εἶπε, τίνα ζητεῖτε; καὶ πάντας ἔρριψεν ὑπτίους. εἶδες πῶς φοβερὸς, φωνῇ μόνῃ καὶ νεύματι τοσαῦτα ἐργαζόμενος; ὅταν δὲ ἴδῃς αὐτὸν νεκρὸν, ἐννόησον τὸν λίθον αἰρόμενον· τοὺς ἀγγέλους τοὺς μετὰ φόβου παραμένοντας τῷ τάφῳ· τὸν ᾅδην λυόμενον· τὸν θάνατον τηκόμενον· τοὺς δεσμώτας ἀπολυόμενον· καὶ τότε ὄψει αὐτοῦ τὸ φοβερόν. εἰ δὲ ἐν τῷ καιρῷ τῆς ἀτιμίας τοσαῦτα ἐπεδείξατο, ἐν οὐρανῷ, ἐν γῇ, ἐν ᾅδῃ, τίνα οὐκ ἐπιδείξηται ἐν τῷ καιρῷ τῆς μελλούσης παρουσίας; ἄκουσον τῶν δαιμόνων ἐν τῷ καιρῷ τῆς ταπεινώσεως τί λέγουσι, τῶν ἀφριζόντων, τῶν δεσμὰ διαλυόντων, τῶν ἄβατον ποιούντων τὴν ὁδόν· τί ἡμῖν καὶ σοὶ υἱὲ τοῦ Θεοῦ; ἦλθες ὧδε πρὸ καιροῦ βασανίσαι ἡμᾶς; εἰ τοίνυν ταῦτα τότε, ὅταν παραγένηται, καὶ αἱ δυνάμεις τῶν οὐρανῶν σαλεύωνται, καὶ ὁ ἥλιος μεταστραφῇ εἰς σκότος, καὶ ἡ σελήνη οὐ δώσῃ τὸ φῶς αὐτῆς, τί ἐροῦσι; διὰ τοῦτό φησιν· ὁ ὕψιστος, φοβερός. μᾶλλον δὲ, τί ἄν τις ἄξιον εἴποι, τὴν ἡμέραν ἐκείνην διηγούμενος, ὅταν πέμπῃ τοὺς ἀγγέλους πανταχοῦ τῆς οἰκουμένης, ὅταν πάντα σείηται, ὅταν ἡ γῆ κλονῆται τὴν παρακαταθήκην τῶν νεκρῶν ἀποδιδοῦσα, ὅταν τὰ μυρία σώματα ἐγείρηται, ὅταν ὁ οὐρανὸς συστέλληται καθάπερ τι καταπέτασμα συστελλόμενον· ὅταν τὸ βῆμα τιθῆται τὸ φοβερὸν, ὅταν ποταμοὶ τοῦ πυρὸς ἕλκωνται, ὅταν αἱ βίβλοι ἀνοίγωνται, ὅταν ἑκάστου τὰ ἐν σκότῳ πεπραγμένα εἰς μέσον ἄγῃ· ὅταν αἱ ἀφόρητοι κολάσεις ἐκφῆναι καὶ τιμωρίαι, ὅταν αἱ ἀπειληφόροι δυνάμεις, ὅταν αἱ ῥομφαῖαι ἐσπασμέναι, ὅταν αἱ πρὸς τὴν γέενναν ἀπαγωγαὶ, ὅταν πάντα τὰ ἀξιώματα λύηται, καὶ βασιλέων, καὶ στρατηγῶν, καὶ ὑπάτων, καὶ ὑπάρχων, ὅταν τοσοῦτος δῆμος ἀγγέλων παρῇ, ὅταν τάγματα μαρτύρων,

A ita etiam in humilitate eius altitudo apparuit. Vide ergo ipsum, dum esset apud inferos, vel alta quæuis concutientem. Sol enim tunc auertebat radios, petræ findebantur, & velum templi abrumpebatur, terra mouebatur, Iudas suffocabatur, Pilatus & eius vxor terrebantur, ipse iudex se defendebat. Quando ergo audieris eum vinctum esse, & flagris cæsum, ne confundaris: sed vide eum ostendentem potentiam vel in ipsis vinculis. Dixit enim, Quem quæritis? & omnes humi supinos prostrauit. Vides quàm sit ter- [Ioan. 18.]
B ribilis, qui sola voce & nutu tanta faciat? Quando ergo videris eum mortuum, fac animo cogites sublatum lapidem: Angelos qui cum metu ad sepulchrum maneant: inferos qui refringuntur: mortem quæ consumitur: captiuos liberantem: & tunc cernes quàm sit terribilis. Si autem in ipso ignominiæ tempore tanta fecit, in cœlo, in terra, apud inferos: quid non faciet tempore futuri sui aduentus? Audi quid dicant dæmones tempore humilitatis, spumantes vincula soluentes, inuia via ingredientes: Quid no- [Ioan. 10.] [Osee 13.] [Matth. 8.]
C bis & tibi fili Dei? Venisti huc ante tempus torquere nos? Si ergo hæc tunc, quando adueniet, & potestates cœlorum concutientur, & sol conuersus fuerit in tenebras, & luna non dabit lucem suam, quid dicent? Propterea dicit: Excelsus, terribilis. Vel potius, quid quis pro dignitate dixerit, diem illum narrans, quando mittet Angelos per vniuersum orbem terræ, quando omnia concutientur, quando terra mouebitur, reddens mortuorum depositum, quando innumerabilia cor- [Matth. 24.] [1. Cor. 15.]
D pora excitabuntur, quando cœlum veluti velum aliquod contrahetur, quando statuetur terribile tribunal, quando fluuij ignis trahentur, quãdo libri aperientur, quando quæ ab vnoquoque in tenebris facta fuerint, in medium producentur, quando illæ intolerabiles pœnæ ac supplicia, quãdo minabundæ potestates, quando stricti gladij, quando erit abductio in gehennam, quando omnis peribit authoritas regum, imperatorum, & consulum, & præsidium, quando adfuerit tantus Angelorum populus, quando Martyrum, [Dan. 7.] [1. Cor. 4.]

Prophetarum, Apostolorum, Sacerdotum, Monachorum examina, quando illa ineffabilia præmia, quando brauia, quando coronæ, quando bona, quæ omnem mentem superant? Quæ oratio hæc explicare poterit? Si enim creationem propheta perscrutus, defatigatus est, & resiliit, dicens: Quàm magnificata sunt opera tua domine, & Paulus vnum genus perscrutans prouidentiæ, exclamauit, dicens: O altitudo diuitiarum: quid dixerit quispiam diem illum describens? Hæc omnia cum præuidisset propheta, dicebat: Dominus excelsus, terribilis, rex magnus super omnẽ terram, orbis salutem ostendens. Erat itaque etiam antea magnus, sed ignorabatur. Mundus enim per ipsum factus est, & mundus, inquit, ipsum non cognouit. Nunc autem hoc quoque præclarè gessit, quod nos sibi familiaritate iungendo rex magnus effectus est. Quidni enim magnus, qui pauperes, piscatores, illiteratos, idiotas, numero vndecim, obscuros, peregrinos, piscibus magis mutos, vnicam tunicam habentes, calceis carentes, nudos, per vniuersum orbem terrarum misit, & veluti mandato omnes cepit. Hoc est verè esse regem magnum: qui vniuersum orbem terræ errore liberauit, & breui temporis momento veritatem reduxit, & diaboli tyrannidem sustulit. Qui etiam antequam essent qui ei parerent, erat rex magnus, non habens in seruis vim imperij, non in specie ac vestibus, sed in ipsa natura. Ego enim, inquit, ad hoc natus sum. Hoc est esse regem magnum, qui non habet honorẽ extrinsecus allatum, qui nulla re opus habet, vt sit, rex, qui facit omnia quæcunque vult. Euntes enim, inquit, docete omnes gentes, & sermo in opus exibat: Volo, mundare. Tibi dico, dæmonium surdum, egredere ab ipso. Tace, os obstrue. Ite in ignem æternũ qui paratus est diabolo. Adeste, estе hæredes parati vobis regni, ante constitutionem mundi. Vides vbique potestatem, vides facultatem ac potentiam. Ita enim cepit eos qui paruerunt, vt persuaserit vel animã potius profundere, quàm quod iussum est transilire. Rex enim habet honorem ab iis, qui eius subijciuntur ditioni: hic autem præbet honorem iis, qui ei obediunt: & ideo illud quidẽ est solum nomen, hoc

Psal. 91. 6. — *Rom. 11. 33.* — *Ioan. 1.* — *1. Cor. 1.* — *Matth. 10.* *Luc. 10.* *Esa. 9.* — *Ioan. 18. 37* — *Luc. 5.* *Marc. 7.* *& 9.* — *Matth. 25.*

A προφητῶν, ἀποστόλων, ἱερέων, μοναχῶν, ὅταν τὰ ἔπαθλα ἐκεῖνα τὰ ἀπόρρητα, ὅταν βραβεῖα, ὅταν οἱ στέφανοι, ὅταν τὰ ἀγαθὰ τὰ ὑπερβαίνοντα τὸν νοῦν; τίς παραστήσει τοῦτο λόγος; Εἰ γὰρ τὴν κτίσιν ἐπιὼν ὁ προφήτης ἀπέκαμε, καὶ ἀπεπήδησε, λέγων· ὡς ἐμεγαλύνθη τὰ ἔργα σου κύριε· καὶ ἓν εἶδος ἀνερευνῶν προνοίας ὁ Παῦλος ἐβόησεν εἰπών· ὦ βάθος πλούτου, τί ἄν τις εἴποι, τὴν ἡμέραν ἐκείνην ὑπογράφων; Ταῦτα ἅπαντα προειδὼν ὁ προφήτης, ἔλεγε· κύριος ὕψιστος, φοβερὸς, βασιλεὺς μέγας ἐπὶ πᾶσαν τὴν γῆν, τὴν οἰκουμενικὴν σωτηρίαν
B ἐμφαίνων. ἦν μὲν οὖν καὶ πρὸ τούτου βασιλεὺς μέγας, ἀλλ' ἠγνοεῖτο. ὁ γὰρ κόσμος δι' αὐτοῦ ἐγένετο, καὶ ὁ κόσμος αὐτὸν οὐκ ἔγνω. νυνὶ δὲ καὶ τοῦτο κατώρθωσε, καὶ κατὰ τὴν οἰκείωσιν ἡμῶν τὸ γενέσθαι βασιλεὺς μέγας. πῶς γὰρ οὐ μέγας, ὁ πένητας ἁλιεῖς, ἀγραμμάτους, ἰδιώτας, ἕνδεκα τὸν ἀριθμὸν, ἀσήμους, ἀπόλιδας, ἰχθύων ἀφωνοτέρους, μονοχίτωνας, ἀνυποδέτους, γυμνοὺς, πανταχοῦ τῆς οἰκουμένης ἀποστείλας, καὶ ὥσπερ ἐξ ἐπιτάγματος πάντας λαβών; τοῦτο ἀληθῶς βασιλεὺς μέγας, ὅταν οἰκουμένην
C τῆς πλάνης ἐκκαθάρας, καὶ τὴν ἀλήθειαν ἐπαναγαγὼν ἐν βραχείᾳ καιροῦ ῥοπῇ, καὶ τοῦ διαβόλου τὴν τυραννίδα καθελών, καὶ πρὸ τῶν ὑπηκόων μέγας βασιλεὺς, οὐκ ἐν τοῖς δούλοις ἔχων τῆς ἀρχῆς τὴν ἰσχὺν, οὐκ ἐν σχήματι καὶ ἱματίοις, ἀλλ' ἐν αὐτῇ τῇ φύσει. ἐγὼ γὰρ, φησιν, εἰς τοῦτο γεγέννημαι. τοῦτο βασιλεὺς μέγας, ὁ μὴ ἐπείσακτον ἔχων τὴν τιμὴν, ὁ μηδενὸς δεόμενος, ἵνα ᾖ βασιλεὺς, ὁ πάντα ποιῶν, ὅσα βούλεται. πορευθέντες γὰρ, φησι, μαθητεύσατε πάντα τὰ ἔθνη, καὶ ὁ λόγος ἔργον
D ἐγίνετο. θέλω, καθαρίσθητι. σοὶ λέγω τὸ δαιμόνιον τὸ κωφὸν, ἔξελθε ἀπ' αὐτοῦ. σιώπα, πεφίμωσο. πορεύεσθε εἰς τὸ πῦρ τὸ ἡτοιμασμένον τῷ διαβόλῳ· δεῦτε κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν πρὸ καταβολῆς κόσμου. ὁρᾷς πανταχοῦ τὴν ἐξουσίαν; ὁρᾷς τὴν δύναμιν; οὕτω γὰρ εἷλε ὑπακούσαντας, ὡς πεῖσαι τὴν ψυχὴν προέσθαι μᾶλλον, ἢ τὸ ἐπιταχθὲν παρελθεῖν. ὁ μὲν γὰρ βασιλεὺς παρ' αὐτῶν τῶν ὑπηκόων ἔχει τὰς τιμάς· οὗτος δὲ τοῖς ὑπηκόοις παρέχει τὴν τιμήν. διὰ δὴ τοῦτο, ἐκεῖνο μὲν ὄνομα μόνον ἐστὶν, ἐκεῖνο δὲ πρᾶγμα. βα-

σιλεὺς μέγας ἐστὶν, ὃς τὴν οἰκουμένην ἅπασαν καὶ οὐρανὸν ἐποίησε, καὶ βαρβάρους φιλοσοφεῖν παρεσκεύασε, καὶ ἀγγέλους μιμεῖσθαι προὔτρεψεν, ὑπέταξε λαοὺς ἡμῖν, καὶ ἔθνη ὑπὸ τοὺς πόδας ἡμῶν. ὢ τοῦ θαύματος· τοὺς σταυρώσαντας, τούτους ἔπεισε προσκυνεῖν, τοὺς ὑβρίζοντας, τοὺς βλασφημοῦντας, τοὺς λίθοις προσηλωμένους, τούτους ἐδίδαξε καὶ ψυχὰς προΐεσθαι κατὰ τὸ αὐτῷ δοκοῦν. οὐ γὰρ τῶν ἀποστόλων ἦν τὸ κατόρθωμα, ἀλλὰ τοῦ προοδοποιοῦντος αὐτοῖς, καὶ τὴν αὐτῶν κινοῦντος ψυχήν. πῶς γὰρ ὁ ἁλιεὺς, ἢ ὁ σκηνοποιὸς τοσαύτην ἂν μετέθηκεν οἰκουμένην, ἀλλ' ἢ τὰ ἐκείνου ῥήματα, πάντα ταῦτα καθῄρει τὰ κωλύματα; καὶ γόητας, καὶ τυράννους, καὶ ῥήτορας, καὶ φιλοσόφους, καὶ πάντας τοὺς ἀντισταμένους καθάπερ κόνιν ἀποσοβοῦντες, καὶ καπνὸν διαλύοντες, οὕτως ἔσπειραν τῆς ἀληθείας τὸ φῶς, οὐχ ὅπλοις οὐδὲ χρημάτων περιουσίᾳ, ἀλλὰ λόγῳ κεχρημένοι ψιλῷ· μᾶλλον δὲ οὐκ ἦν ψιλὸς ὁ λόγος, ἀλλ' ἔργου παντὸς δυνατώτερος. πῶς οὖν; ἐκάλουν τὸ ὄνομα τοῦ σταυρωθέντος, καὶ ὁ θάνατος ἐδραπέτευε, καὶ δαίμονες ἐφυγαδεύοντο, νοσήματα ἐλύετο, λῶβαι σωμάτων διωρθοῦντο, κακία ἀπηλαύνετο, κίνδυνοι ἠφανίζοντο, καὶ στοιχεῖα μετεβάλλοντο. ὅταν οὖν λέγωσιν ἡμῖν, διατί μὴ ἐβοήθησεν ἑαυτῷ ἐπὶ τοῦ σταυροῦ; τοῦτο λέγωμεν, ὅτι τοῦτο θαυμαστότερον ἦν. οὐ γὰρ ἦν ἴσον ἐκ τοῦ σταυροῦ κατελθεῖν, καὶ μετὰ τὸ σταυρωθῆναι ἐπὶ τῷ ὀνόματι αὐτοῦ τοσούτους ἀναστῆσαι νεκρούς. ὅτι γὰρ καὶ τότε ἑκὼν ἔμεινεν, ἐκ τῶν μετὰ ταῦτα ἔδειξεν. ὁ γὰρ ἑτέρους ἐπελθόντα τὸν θάνατον ἐκβαλὼν, πολλῷ μᾶλλον ἐξ ἑαυτοῦ πρὶν ἢ ἐπελθεῖν διακρούσασθαι ἠδύνατο, καὶ ὁ ἑτέροις παρέχων ζωὴν, πολλῷ μᾶλλον ἑαυτῷ παρασχεῖν ἠδύνατο, ὅπερ καὶ ἐποίησε μετὰ τρεῖς ἡμέρας ἐγερθεὶς ἐκ πολλῆς τῆς περιουσίας· καὶ τοῦτο διὰ τῶν μετὰ ταῦτα ἔδειξεν. ἐπειδὰν γὰρ τὸ ὄνομα αὐτοῦ ἐπὶ σωμάτων ἀλλοτρίων φαίνηται τοσαύτην ἔχον ἰσχὺν, ὡς καλούμενον φυγαδεῦσαι τὸν θάνατον, οὐδεὶς ἀμφιβάλλειν δύναιτ' ἂν, ὅτι καὶ ἐν τῷ οἰκείῳ πολλὴν ἂν τὴν ἰσχὺν ἐπεδείξατο, καὶ τὸν θάνατον ὑπέταξεν· ὑπέταξε λαοὺς ἡμῖν καὶ ἔθνη ὑπὸ τοὺς πόδας ἡμῶν. ὅρα τοῦ προφήτου τὴν σοφίαν, πάντα μετὰ ἀκριβείας λέγοντος. ὃ γὰρ μετὰ ταῦτα ἔλεγον οἱ ἀπόστολοι. τί ὑμῖν

A uero res. Magnus est rex, qui vniuersum orbem terræ, cœlum fecit, & vt barbari philosophi fierent, & Angelos imitarentur, curauit: populos nobis subiecit, & gentes sub pedibus nostris. O miraculum! Eis qui crucifixerant, adorare persuasit: eos qui contumeliis afficiebant, qui insectabantur maledictis, qui lapidibus affixi fuerant, docuit vel suas animas profundere, prout ei videbatur. Non enim hoc ab Apostolis gerebatur, sed ab eo qui illos præcedebat, & mouebat eorum animum. Quo B modo enim piscator, vel tabernaculorum constructor, tantum terræ habitabilis orbem ita mutasset, nisi illius verba impedimenta omnia sustulissent? Et præstigiatores, & tyrannos, & oratores, & philosophos, & omnes denique qui qui resistebant, tanquam puluerem discutientes, instar fumi euanescere facientes, ita veritatis lucem seminauerunt, non armis, nec vi pecuniæ, sed solo ac simplici sermone vtentes. Imò vero non erat simplex sermo, sed erat quouis opere potentior. Quo tandem pacto? Inuocabant nomen crucifixi, & C mors fugiebat, fugabantur dæmones, morbi propulsabantur, quæ erant in corporibus mutila ac vitiata, corrigebantur, pericula protinus recedebant, & mutabantur eleméta. Quando ergo nobis dixerint: Cur non opem sibi tulit in cruce? hoc dicamus: Quoniam hoc erat admirabilius. Neque sunt paria, ex cruce descendisse: & postquã fuit crucifixus, tot esse mortuos eius nomine suscitatos. Quòd enim tunc sua sponte manserit, ostẽdit ex iis quæ sunt postea consecuta. Qui enim mortẽ, quæ alios inuaserat, expulit: multò magis à seipso, D priusquam inuaderet, propulsare poterat: & qui aliis vitam præbet, multò magis sibiipsi præbere poterat. Quod etiam triduo pòst fecit, ex redundanti quadã copia suscitatus. Id autẽ ostẽdit per ea quæ postea secuta sunt. Quando ergo eius nomen visum est habere tantam virtutẽ in alienis corporibus, vt inuocatum mortẽ fugauerit, nemo possit dubitare, quòd etiã in proprio corpore magnam potentiam ostẽdisset, & mortem sibi subiunxisset. 4. *Subiecit populos nobis, & gentes sub pedibus nostris.* Vide sapientiam Prophetæ, qui omnia accuratè dicit, & exquisitè. Quod enim postea dixerũt Apostoli, Quid nos

Luc. 23.

1. Cor. 2.

Marc. vlt.

Act. 3. 16. 20.

Christus cur de cruce non descenderit.

Ioan 20.

intuemini, quasi nostra virtute aut pietate fecerimus vt hic ambularet? ab alto petitum dicit Propheta. Illud autem, Sub pedibus, id quod subiectum erat ostendit, vel potius magnam subiectionem. Si vis autem scire quanta subiectio esset, audi. Quotquot, inquit, possessores agrorũ aut domorum erant, vendentes afferebant pretia eorum quę vendebantur, & ponebant ante pedes Apostolorum. Alij autem cum pecuniis animam quoque profuderũt. Qui, inquit, pro anima mea suas ceruices supposuerunt. De aliis quoque scribẽs dicebat: Si possibile, inquit, oculos vestros effodissetis, & dedissetis mihi. Porrò autẽ ad Corinthios quoque scribens dicebat Paulus. Ecce enim hoc ipsum secundum Deum tristitia affici, quantum in vobis studium effecit, imò defensionem, imò indignationem, imò timorem, imò desiderium, imò æmulationem, imò vindictam: eos vsque adeò verebãtur & pertimescebant. Et Lucas rursus scribens, dicebat: Cæterorum autem nemo audebat se coniungere illis, sed magnificabat eos populus. Et rursus: Quid vultis? in virga veniam ad vos, an in charitate, & spiritu lenitatis? Vidisti authoritatẽ & potestatem? Hæc autem omnia fecit illud verbum, quod dixit eos emittens: Ego vobiscum sum. Ipse impedimenta omnia remouebat, ante eos ambulans: ipse plana omnia & procliuia reddebat, & quæ erant difficilia, faciebat facilia. Atqui erant omnia plena bellis, omnia scopulis & præcipitiis, & nusquam licebat pedem figere, nec sistere: obstructi erant omnes portus, omnis domus clausa, omnes aures obturatæ: & tamen cùm primum ingressi & locuti fuerant, diruebant omnia hostium propugnacula, vt & ipsas animas profunderent, & innumerabilia pericula sustinerent pro iis quæ dicta fuerant. 5. *Elegit nobis hæreditatem suam, speciem Iacob quam dilexit.* Alius, Glorificationem Iacob. Vide quàm sit accurata exactáq; prophetia. Superius quidem dixit: Subiecit nobis populos & gentes. Iudæi et primùm accesserunt, primùm ter mille, deinde quinquies mille, & postea gentes. Ipse enim rursus dicebat: Et alias oues habeo, & illas me adducere oportet, & fiet vnus pastor, & vnum ouile. Deinde ne quis

Marginal references: Act. 3. 11. — Act. 4. 34. — Rom. 16. 4. — 2. Cor 7. 11 — Act. 5. 13. — 1. Cor. 4. 21 — Matth. 28. 20. — Act. 2. 3. — Ioan. 10.

A προσεῖχες ὡς ἰδίᾳ δυνάμει ἢ εὐσεβείᾳ πεποιηκόσι τοῦ περιπατεῖν αὐτόν, τοῦτο ἄνωθεν ὁ προφήτης λέγει· τὸ δὲ ὑπὸ τοὺς πόδας, τὸ ὑποτεταγμένον δηλοῖ, μᾶλλον δὲ τὴν πολλὴν ὑποταγήν. καὶ εἰ βούλει μαθεῖν τῆς ὑποταγῆς τὴν ἐπίτασιν, ἄκουσον, ὅσοι κτήτορες φησὶ, χωρίων οἰκιῶν ὑπῆρχον, πωλοῦντες ἔφερον τὰς τιμὰς τῶν πιπρασκομένων, καὶ ἐτίθουν παρὰ τοὺς πόδας τῶν ἀποστόλων. ἕτεροι δὲ μετὰ τῶν χρημάτων καὶ τὴν ψυχὴν προΐεντο. οἵτινες γάρ φησιν, ὑπὲρ τῆς ψυχῆς μου τὸν ἑαυτῶν τράχηλον ὑπέθηκαν. καὶ περὶ ἑτέρων δὲ γράφων ἔλεγεν, ὅτι B εἰ δυνατὸν, τοὺς ὀφθαλμοὺς ὑμῶν ἐξορύξαντες ἂν ἐδώκατέ μοι. καὶ Κορινθίοις δὲ ἐπιστέλλων ἔλεγεν ὁ Παῦλος· ἰδοὺ γὰρ αὐτὸ τοῦτο τὸ κατὰ Θεὸν λυπηθῆναι ὑμᾶς, πόσην κατειργάσατο ἐν ὑμῖν σπουδὴν, ἀλλὰ ἀπολογίαν, ἀλλὰ ἀγανάκτησιν, ἀλλὰ φόβον, ἀλλὰ ἐπιπόθησιν, ἀλλὰ ζῆλον, ἀλλ' ἐκδίκησιν· οὕτως αὐτοὺς ἔτρεμον καὶ ἐδεδοίκεισαν. καὶ Λουκᾶς πάλιν γράφων ἔλεγε· καὶ τῶν λοιπῶν οὐδεὶς ἐτόλμα κολλᾶσθαι αὐτοῖς, ἀλλ' ἐμεγάλυνεν αὐτοὺς ὁ λαός· καὶ πάλιν· τί θέλετε; ἐν ῥάβδῳ ἔλθω πρὸς ὑμᾶς, ἢ ἐν C ἀγάπῃ, πνεύματί τε πρᾳότητος; εἶδες αὐθεντίαν καὶ ἐξουσίαν; ταῦτα δὲ πάντα τὸ ῥῆμα ἐκεῖνο ἐποίει, ὅπερ εἴρηκε πέμπων αὐτούς· ὅτι ἐγὼ μεθ' ὑμῶν εἰμι. αὐτὸς τὰ κωλύματα καθῄρει ἔμπροσθεν αὐτῶν προβαδίζων· αὐτὸς ἅπαντα ἐξωμάλιζε, καὶ τὰ δύσκολα ἐποίει ῥᾴδια. καίτοι πάντα πολέμων ἔγεμε, πάντα κρημνῶν καὶ σκοπέλων, καὶ οὐδὲ ὅπου ἐρεῖσαι πόδα ἐνῆν, οὐδὲ στῆναι. πάντες οἱ λιμένες προκατεχωσμένοι ἦσαν, πᾶσα οἰκία ἀποκεκλεισμένη, πάντων τὰ ὦτα ἐμπεφραγμένα. ἀλλ' ὅμως ὁμοῦ τε εἰσήεσαν, D καὶ ἐφθέγγοντο, καὶ πάντα κατελύοντο τῶν πολεμίων τὰ ὀχυρώματα, ὡς καὶ αὐτὰς τὰς ψυχὰς προΐεσθαι, καὶ μυρίους λοιπὸν ἀνέχεσθαι κινδύνους ὑπὲρ τῶν εἰρημένων. ἐξελέξατο ἡμῖν τὴν κληρονομίαν ἑαυτοῦ, τὴν καλλονὴν Ἰακὼβ, ἣν ἠγάπησεν. ἄλλος, τὸν ἐνδοξασμὸν Ἰακώβ. ὅρα προφητείας ἀκρίβειαν· ἀνωτέρω μὲν οὖν ἔλεγεν, ὑπέταξε λαοὺς ἡμῖν καὶ ἔθνη. καὶ γὰρ Ἰουδαῖοι πρῶτον προσῆλθον, πρῶτον τρισχίλιοι, εἶτα πεντακισχίλιοι, καὶ μετὰ ταῦτα τὰ ἔθνη. καὶ γὰρ αὐτὸς πάλιν ἔλεγε· καὶ ἄλλα ἔχω πρόβατα· κἀκεῖνά με δεῖ ἀγαγεῖν, καὶ γενήσεται μία ποίμνη, εἷς ποιμήν. εἶτα ἵνα μὴ

ἀκούσας τὸ ἐξελέξατο ἡμῖν τὴν κληρονομίαν ἑαυτῷ διαπορῇ τις, καὶ διαπορῆται, καὶ λέγῃ· πῶς οὖν Ἰουδαῖοι νῦν ἀπιστοῦσι; τῇ ἐπιδιορθώσει τὴν ἀπορίαν ἔλυσε· μάλιστα μὲν γὰρ τὸ αὐτοῦ μέρος, κἀκείνους ἐξελέξατο, καὶ τὸ εἰς αὐτὸν ἧκον, οὐδὲν ἀφῆκεν. εἰ δὲ καὶ τὸ τέλος ἐπιζητοίης, ἄκουε τῶν ἑξῆς, ἐπάγει γάρ· τὴν καλλονὴν Ἰακὼβ ἣν ἠγάπησεν. ἐνταῦθα γάρ μοι τοὺς πιστοὺς δοκεῖ λέγειν, ὅπερ ὁ Παῦλος δηλῶν ἔλεγεν· οὐχ οἷον δὲ ὅτι ἐκπέπτωκεν ὁ λόγος τοῦ Θεοῦ. οὐ γὰρ πάντες οἱ ἐξ Ἰσραήλ, οὗτοι Ἰσραήλ, ἀλλ' ἐν Ἰσαὰκ κληθήσεταί σοι σπέρμα· τουτέστιν, ὅτι οὐ τὰ τέκνα τῆς σαρκὸς, ταῦτα τέκνα τοῦ Θεοῦ, ἀλλὰ τὰ τέκνα τῆς ἐπαγγελίας λογίζεται εἰς σπέρμα. καλλονὴ δὲ τοῦ λαοῦ, εἰκότως ἂν οἱ πιστοὶ λέγοιντο. τί γὰρ ὡραιότερον ἐκείνων τῶν πιστευσάντων; κληρονομίαν δὲ αὐτοῦ καλεῖ τὸ ἔθνος, οὐχ ὡς τῶν ἄλλων ἀμελήσας ποτὲ, ἀλλὰ τὴν ἐπίτασιν τῆς περὶ αὐτοὺς ἀγάπης, καὶ τὴν οἰκείωσιν καὶ τῆς προνοίας τὴν προσθήκην ἐπιδεικνύμενος. καὶ ἵνα μάθῃς τὴν ἀκρίβειαν τὴν προφητικὴν, ὅρα πῶς τῇ τῶν πολλῶν κέχρηται λέξει, ᾗ ἐπὶ τῶν ὠνίων οἱ πολλοὶ χρῶνται. πολλοὶ γὰρ πολλάκις ὠνούμενοί τι καλὸν ἐκεῖνα λέγουσι τὰ τῶν ἄλλων ὑπερέχοντα. δεικνὺς τοίνυν ὅτι οὐ πάντες σωθήσονται, φησι, τὴν καλλονὴν Ἰακώβ. ταῦτα καὶ ἐν τοῖς εὐαγγελίοις δείκνυται διὰ μυρίων παραβολῶν. ἀνέβη ὁ Θεὸς ἐν ἀλαλαγμῷ· οὐκ εἶπεν ἀνεβιβάσθη, ἀλλ' ἀνέβη· δεικνὺς ὅτι οὐχ ἑτέρου τινὸς χειραγωγοῦντος ἀνέβη, ἀλλ' αὐτὸς ταύτην ὁδεύων τὴν ὁδόν. ὁ μὲν γὰρ Ἠλίας οὐδὲ τοσαύτην ἐλθὼν ὅσην ὁ Χριστὸς, ἐφ' ἑτέρας ἤγετο δυνάμεως. οὐ γὰρ ἦν ἀνθρωπίνης φύσεως δύνασθαι ξένην ὁδεύειν ὁδόν· ὁ δὲ μονογενὴς ἀνέβη οἰκείᾳ ἐξουσίᾳ. διὰ δὴ τοῦτο καὶ ὁ Λουκᾶς οὕτως ἔλεγε· καὶ ἦσαν ἀτενίζοντες πορευομένου αὐτοῦ εἰς τὸν οὐρανόν· οὐκ εἶπεν ἀναλαμβανομένου αὐτοῦ, οὐδὲ βασταζομένου. πορεία γὰρ αὐτοῦ ἰδία τὸ γινόμενον ἦν. εἰ δὲ πρὸ τοῦ σταυροῦ ἐπὶ τῶν ὑδάτων ἐφέρετο, παθητὸν ἔτι καὶ βαρὺ περικείμενος σῶμα, τί θαυμαστὸν, εἰ καὶ μετὰ τὸ ἄφθαρτον αὐτὸ λαβεῖν, τὸν ἀέρα ἔτεμνε; ποῦ δὲ ἐν ἀλαλαγμῷ; τίς ἠλάλαξεν ὅτε ἀνέβη; καί τοι σιγῇ τοῦτο ἐγένετο, καὶ ἕνδεκα παρόντων μαθητῶν μόνων. ὁρᾷς ὅτι οὐχ ἁπλῶς δεῖ ταῖς λέξεσιν ἐκ-

A cùm audierit, Elegit nobis hæreditatem sibi, dubitet & angatur, & dicat: Quomodo ergo non credunt nunc Iudæi? correctione soluit dubitationem, [1.Tim.2.] maxime enim (quod ad se attinet) eos elegit, & quantum ad ipsum quidem spectat, nullum reliquit. Quòd si finem quoque requiras, audi ea quæ sequuntur. Subiungit enim, Speciem Iacob, quam dilexit. Hic autem mihi videtur fideles dicere, quod quidem Paulus significans, dicebat: Non autem quòd exciderit verbum Dei, nō enim omnes [Rom. 9. 6.] qui sunt ex Israel, sunt Israel, sed in B Isaac vocabitur tibi semen, hoc est, Non qui sunt filij carnis, ij sunt filij Dei: sed qui sunt filij promissionis, æstimantur in semine. Species autem seu pulchritudo populi iure dicantur fideles. Quid est enim speciosius illis qui [Gentes cur hereditas Christi.] crediderunt? Hæreditatem autem suam vocat gentem, non quòd aliquando genitum nullam curam gesserit, sed vehementem in eos dilectionem, & cum eis coniunctionem, & prouidentiæ accessionem ostendens. Et vt scias quàm sit accurata exactáque prophetia, vide quomodo vtitur dictione vulgi, qua vulgus vtitur in rebus quæ emuntur. C Sæpe enim plærique aliquid ementes, [Matth.13. 18. 20.21. 22.] pulchritudinem illa esse dicūt, quæ reliquis antecellunt. Ostendens ergo nō omnes seruandos, dicit, speciē Iacob. Hæc etiam ostenduntur in Euangeliis per innumerabiles parabolas. 6. *Ascendit Deus in iubilo.* Non dixit, Assūptus est, aut deductus est, sed, ascendit, vt ostenderet eū ascendisse nullo alio cum ducente, sed ipsum hanc viā esse ingressū. Helias enim qui non eò, quò Christus [Marc.4.12] processerat, ducebatur ab alia potestate. Non erat enim humanæ naturæ via D aliena ingredi. Vnigenitus autē ascendit propria potestate. Quocirca Lucas quoq. sic dicebat: Et fixis oculis intuebātur, cùm ille iret in cœlū. Non dixit, [4.Reg.2. Act.1.] Cùm ipse assumeretur, nec, Cùm portaretur: erat enim eius proprius incessus, quod fiebat. Si autē antequam crucifigeretur, ferebatur super aquas, adhuc patibili & graui corpore circundatus: quid mirum si postquam sumpsit ab interitu alienū, aërem secuerit? Vbi autē in iubilo? quis iubilauit, quādo ascēdit? Atqui hoc silentio factū est, & vndecim solùm præsentibus discipulis. Vides non oportere dictiones simpliciter & vno

tantùm modo accipere, sed scire quid ex eis significetur? Quemadmodum enim dixi in proœmio psalmi, iubilus aliquid aliud significat, nempe victoriã, trophæum. Quod ergo hic dicit, In iubilo, hoc est, ascendit in victoria, cùm mortem vicisset, peccatum deiecisset, dæmones fugauisset, errorem expulisset, omnia in melius mutasset, in antiquam patriam, imò verò longè meliorem, nostram naturã deduxisset. Cùm enim aduenisset, nemo ei restitit, non peccati tyrannis, non mortis potentia, non vis maledicti, non interitus, non vitij vehementia, non aliquid aliud eiusmodi: sed cùm hæc omnia tanquam araneam perfregisset, & dæmonum cateruas, & neruos diaboli, & hæc omnia fudisset ac profligasset, ascendit rebus rectè gestis, vt voluit. Quocirca Paulus quoque eius trophæum narrans, dicebat: Cùm expoliasset principatus ac potestates, traduxit liberè de eis in seipso triumphans. Et rursus: Deleuit quod erat aduersus nos chirographum in decretis, quod erat nobis cõtrarium: & ipsum de medio sustulit, affigens illud cruci. *Dominus in voce tubæ.* Idem rursus significat, hoc est, in præclara victoria. Hîc autem est aliud quoque intelligendum, nempe id fuisse clarum, apertum, illustre. Atqui nullus id tunc nouit, cùm fieret, sed tam euasit manifestum, quàm si tuba cecinisset, atque adeò multò magis. Illud enim quod tunc clanculum factum est, nemo ferè eorum qui orbem terræ habitant ignorauit: sed ipsum perinde reuelauit rerum natura, ac si tuba cecinisset, atque adeò multò magis. Neque enim tuba canens ita omnes vocasset ad illud spectaculum, sicut postea rerum vox ostendit ascensum, magis etiam quàm tonitru rem claram efficiens. Neque enim tonitru ita vocasset orbem terræ, vt rerum ostensio eos, qui tunc erant, & qui postea erant futuri. Tonitru enim est tantum manifestum præsentibus, ipsa verò omnibus generationibus, tuba clarius, & tonitru apertius ostendit quod factum est. Nec verò aberraueris, si tubas vocaueris ora Apostolorũ, non tubas quidem æreas, sed auro pretiosiores, & gemmis magnificẽtiores. Cur

Iubilus. — *Ioan 12. Ephes. 4.* — *Collatio.* — *Coloss. 2. 15* — *Matth. 24. Rom. 10.*

A λαμβάνειν, ἀλλ' εἰδέναι τὸ ἐξ αὐτῶν σημαινόμενον; ὅπερ γὰρ ἐν προοιμίῳ τοῦ ψαλμοῦ ἔλεγον, ὅτι ἕτερόν τι ὁ ἀλαλαγμὸς δηλοῖ, τὴν νίκην, τὸ τρόπαιον. ὃ τοίνυν ἐνταῦθα φησίν, ἐν ἀλαλαγμῷ, τοῦτό ἐστιν· ὅτι ἐν νίκῃ ἀνέβη περιγενόμενος θανάτου, καταρρίψας τὴν ἁμαρτίαν, τοὺς δαίμονας ἐπιστομίσας, τὴν πλάνην ἐκβαλών, πάντα μεταβαλὼν πρὸς τὸ βέλτιον, πρὸς τὴν ἀρχαίαν πατρίδα, μᾶλλον δὲ πρὸς πολλῷ βελτίονα τὴν φύσιν ἀναγαγὼν τὴν ἡμετέραν. οὐδεὶς γὰρ αὐτῷ παραγινομένῳ B ἀντέστη, οὐχ ἁμαρτίας τυραννίς, οὐ θανάτου δύναμις, οὐ κατάρας ἰσχύς, οὐ φθορᾶς, οὐ κακίας ἐπίτασις, οὐκ ἄλλο τῶν τοιούτων οὐδέν· ἀλλὰ πάντα ταῦτα ὥσπερ ἀράχνιον διαρρήξας, καὶ δαιμόνων φάλαγγας καὶ διαβόλου νεῦρα, καὶ ἅπαντα ταῦτα διαλύσας, ἀνῆλθε κατορθώσας ἅπερ ἐβούλετο. διὸ καὶ ὁ Παῦλος αὐτοῦ τὸ τρόπαιον διηγούμενος, ἔλεγεν· ἀπεκδυσάμενος τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας, ἐδειγμάτισεν ἐν παρρησίᾳ, θριαμβεύσας αὐτοὺς ἐν αὐτῷ, καὶ πάλιν ἐξαλείψας τὸ καθ' ἡμῶν χειρόγραφον ἐν τοῖς δόγμασιν, ὃ ἦν ὑπεναντίον ἡμῖν, καὶ αὐτὸ ἦρεν C ἐκ τοῦ μέσου προσηλώσας αὐτὸ τῷ σταυρῷ. κύριος ἐν φωνῇ σάλπιγγος. πάλιν τὸ αὐτὸ δηλοῖ, τουτέστιν, ἐν νίκῃ λαμπρᾷ. ἐνταῦθα δὲ καὶ ἕτερόν τι νοητέον, τὸ περιφανές, τὸ σαφές, τὸ διωλύγιον. καί τοι γε οὐδεὶς ἔγνω τοῦτο γινομένου, ἀλλ' οὕτως ἐγένετο σαφές, ὡς σάλπιγγος ἠχούσης, μᾶλλον δὲ καὶ πολλῷ πλέον. ἐκεῖνο γὰρ τὸ λάθρα γενόμενον τότε, οὐδεὶς σχεδὸν τῶν οἰκούντων τὴν οἰκουμένην ἠγνόησεν, ἀλλ' οὕτως αὐτὸ ἐξεκάλυψε τῶν πραγμάτων ἡ φύσις, ὡς σάλπιγγος ἠχούσης· μᾶλλον δὲ καὶ πολλῷ πλέον. οὐ γὰρ δὴ οὕτω σάλπιγξ ἠχοῦσα ἅπαντας ἂν ἐκάλεσεν ἐπὶ τὴν D θέαν ἐκείνην, ὡς μετὰ ταῦτα ἡ τῶν πραγμάτων φωνὴ τὴν ἀνάβασιν ἔδειξε, βροντῆς ἁπάσης ἰσχυρότερον κατάδηλον τὸ πρᾶγμα ποιήσασα. οὐδὲ γὰρ ἂν βροντὴ οὕτω τὴν οἰκουμένην ἐκάλεσεν, ὡς ἡ τῶν πραγμάτων ἐπίδειξις. τούς τε ὄντας τότε, τούς τε μετὰ ταῦτα ἐσομένους. ἡ μὲν γὰρ βροντὴ τοῖς παροῦσιν ἐστὶ κατάδηλος· αὕτη δὲ πάσαις γενεαῖς σάλπιγγος λαμπροτέρα, καὶ βροντῆς σαφέστερον ἐπιδείκνυται τὸ γεγενημένον. οὐκ ἂν δέ τις ἁμάρτοι σάλπιγγας τὰ στόματα τῶν ἀποστόλων εἰπών, οὐχὶ χαλκηλάτους σάλπιγγας, ἀλλὰ χρυσίου τιμιωτέρας, καὶ λίθων πολυτελεστέρας. διὰ τί οὖν

οὐκ εἶπε σάλπιγγος, ἀλλ' ἐν φωνῇ σάλπιγγος; τὸ ὁμόψυχον αὐτῶν δηλῶν, καθάπερ καὶ ὁ Παῦλος λέγει· εἴτε οὖν ἐγώ, εἴτε ἐκεῖνοι οὕτω κηρύσσομεν. καὶ πάλιν· τοῦ δὲ πλήθους τῶν πιστευσάντων ἦν ἡ καρδία, καὶ ἡ ψυχὴ μία· ἐσάλπιζον δὲ οὐκ εἰς πόλεμον καλοῦντες, ἀλλὰ τὰ νικητήρια εὐαγγελιζόμενοι. καθάπερ γὰρ ἐπὶ τῶν στρατοπέδων, ὅταν εἰς πόλεμον εἰσίωσι μετὰ τῶν σημείων προηγοῦνται αἱ σάλπιγγες διεγείρουσαι τοὺς παρόντας, οὐ τῇ ὄψει, ἀλλὰ καὶ τῇ ἀκοῇ, οὕτω καὶ τότε ἐγένετο· τῶν ἀποστόλων εἰσιόντων εἰς ἑκάστην πόλιν ἤχουν αἱ σάλπιγγες, καὶ πρὸς τὴν ἀκρόασιν ἅπαντες ἐξεχέοντο. ψάλατε τῷ Θεῷ ἡμῶν, ψάλατε· ψάλατε τῷ βασιλεῖ ἡμῶν, ψάλατε. ὅτι βασιλεὺς πάσης τῆς γῆς ὁ Θεός, ψάλατε συνετῶς· ἐβασίλευσεν ὁ Θεὸς ἐπὶ τὰ ἔθνη. διηγησάμενος τοίνυν τὸ μέγεθος τοῦ κατορθώματος καλεῖ τὴν οἰκουμένην ἐπὶ τὴν εὐφημίαν μετὰ πολλῆς τῆς σπουδῆς, διὸ καὶ διπλασιασμῷ κέχρηται. καὶ οὐχ ἁπλῶς καλεῖ ψάλλειν, ἀλλὰ μετὰ πολλῆς τῆς συνέσεως. τί ἐστι ψάλατε συνετῶς; καταμαθόντες, φησί, τὰ γεγενημένα, ἐννοήσαντες τὸ μέγεθος τῶν κατορθωμάτων. ἐμοὶ δὲ δοκεῖ καὶ ἕτερόν τι αἰνίττεσθαι, διὰ τοῦ εἰπεῖν συνετῶς, τὸ μὴ φωνῇ μόνον, ἀλλὰ καὶ ἔργοις ψάλλειν, τὸ μὴ γλώττῃ μόνον, ἀλλὰ καὶ βίῳ. ἐβασίλευσε γάρ, φησιν, ὁ Θεὸς ἐπὶ τὰ ἔθνη. ἄλλος φησίν, ἐπεβασίλευσε τῶν ἐθνῶν· καὶ ποίαν βασιλείαν ἐνταῦθα φησίν; οὐκ ἐκείνην τὴν κατὰ τὸν τῆς δημιουργίας λόγον, ἀλλὰ ταύτην τῆς οἰκειώσεως. ἐβασίλευσε μὲν γὰρ καὶ πρὸ τούτου πάντων, ἅτε δημιουργὸς καὶ ποιητὴς ὤν· νυνὶ δὲ καὶ ἑκόντων καὶ χάριν εἰδότων, ὅπερ μεγίστης εὐφημίας ἄξιον καὶ πολλοῦ τοῦ θαύματος, ὅτι ὁ πρὸ τούτου ὑβριζόμενος ὑπὸ Ἰουδαίων τοσαύτην παρεσκεύασε γενέσθαι τὴν μεταβολήν, ὡς πανταχοῦ τῆς οἰκουμένης ᾄδεσθαι, καὶ οἱ μήτε προφήτας ἀναγνόντες, μήτε νόμῳ συντραφέντες, ἀλλὰ καὶ θηριώδεις τὸν τρόπον ὄντες, ἀθρόον μετεβάλλοντο, καὶ πάντα ἐκεῖνα ῥίψαντες τὰ τῆς πλάνης, ὑπετάγησαν, οὐχὶ δύο καὶ τρία καὶ τέσσαρα ἔθνη καὶ δέκα, ἀλλ' οἱ πανταχοῦ τῆς οἰκουμένης οἰκοῦντες. ὁ Θεὸς κάθηται ἐπὶ θρόνου ἁγίου αὐτοῦ. τί ἐστι κάθηται ἐπὶ θρόνου; βασιλεύει, κρατεῖ, καὶ καλῶς εἶπεν ἁγίου. οὐ

A ergo non dixit, in tuba, sed, in voce tubæ? Significans eorum concordiam, & animi consensionem, sicut etiam dicit Paulus: Siue ergo ego, siue illi, sic prædicamus. Et rursus: Multitudinis autem credentiũ erat cor vnum, & anima vna: tuba autem canebant, non ad bellum incitantes, sed prædicantes & annuntiantes victoriam. quemadmodum enim in castris, quando cum signis in aciem prodeunt, præcedunt tubæ quæ præsentes excitant, non aspectu solùm, sed etiam auditu: ita tunc factum est: ingredietibus Apostolis in vnamquamB que ciuitatem, tubæ sonabant, & ad audiendũ omnes effundebantur. 7. *Psallite Deo nostro, psallite: psallite regi nostro, psallite.* 8. *Quoniam rex omnis terræ Deus, psallite sapienter:* 9. *Regnauit Deus super gentes.* Postquam igitur narrauit quàm magna sint, & quàm præclara quæ gessit, vniuersum orbem terræ vocat ad eum laudibus celebrãdum, cum magno studio & diligẽtia. Vsus est idcirco repetitione seu cõduplicatione. Nec inuitat solummodo ad psallendum: sed ad psallendum cum magna sapientia. Quid est, psallite sapienter? Cùm quæ, inquit, faC cta sunt, didiceritis, considerantes rerum gestarum magnitudinem. Mihi autem videtur etiam aliquid aliud obscurè significare, cùm dixit, sapienter, non voce tantũ, sed etiã factis psallere, non lingua tantũ, sed etiã vita. Regnauit Deus enim super gentes inquit: & quodnam hîc regnum dicit? Non illud quod obtinet ratione creationis, sed hoc quod ratione eius, ad quam eas asciuit, familiaritatis ac necessitudinis. Fuit enim rex omnium etiam antehac, vt qui esset opifex & effector: nunc auD tem & lubentium, & gratias habẽtium; quod quidem est maxima laude dignũ, & in primis admirandum, quòd qui prius contumelia afficiebatur à Iudæis, effecit, vt tanta fieret mutatio, vt vbiq; caneretur: & qui nec Prophetas legerant, nec in lege educati fuerant, imò verò planè erant ferinis moribus, repentè mutati sunt, & omnibus illis abiectis erroribus, se ei submiserunt, non duæ, aut tres, aut quatuor, aut decem gentes, sed qui vniuersum orbem terrarum incolebant. *Deus sedet super sanctam sedem suam.* Quid est, sedet super sedem? Regnat, inquit, imperium obtinet. Rectè autem dixit, sanctam. Non solùm

Vox tubæ Apostoli. *1. Cor. 15.* *Act. 4. 32.*

Tubarum vsus in bello.

Psallite sapienter.

Sedere Dei quid. *Sanctè regnare.*

enim regnat, sed etiam sanctè regnat. Quid est sanctè regnat? Purè: homines enim qui veniunt ad hunc principatum, ea potestate ad iniuriam faciendam vtuntur. Ille autem principatus est ab omni re eiusmodi intactus, purus, & sanctus. Neque enim fraus, neque aliquid eiusmodi, illud iudicium corrumpit & circumuenit, sed est purum, syncerum, quacunque puritate fulgens clarius, resplendens inestabili gloria. 10. *Principes populorum congregati sunt cum Deo Abraham. Quoniam Dei fortes terræ vehementer eleuati sunt.* Hic ostendit quomodo fuerit extensum Euangelium, quod non solùm priuatos attigit, sed eos etiam qui sunt redimiti diademate, & sedent in throno regio. Deinde ostendens eum esse Deum noui & veteris testamenti, dicit: Cum Deo Abraham, pro eo quod est, ille ipse qui & nostrorum maiorum Deus est, & qui illis etiam legem dedit. Et ideo dicebat Hieremias: Dabo vobis testamentum nouum, non secundùm testamentum quod dedi patribus vestris in die quo ego apprehendi manū eorum, vt educere eos de terra Ægypti, ostendens vnum & eundem esse legislatorem & noui, & veteris testamenti. Et Baruch rursus dicebat. Hic est Deus noster, non reputabitur alius præter ipsum. Inuenit omnem viam scientiæ, & dedit eam Iacob filio suo, & Israël dilecto suo. Postea autem in terra visus est, & cum hominibus conuersatus est, significans quòd qui legem dedit, is est qui fuit incarnatus: & is qui fuit incarnatus, legem dedit: hoc etiam dixit Propheta. Congregati sunt, inquit, cum Deo Abraham. Hebræus autem pro eo quod est, cum Deo *Em eloi* Abraham. Et quomodo, quæso, hoc factum est? Quoniam Dei fortes terræ vehementer eleuati sunt. Quinam sunt autem fortes Dei, nisi Apostoli, fideles omnes? Quoniam enim potentia eorum vsque adeò resplenduit, omnes vicerunt: rectè autem eos appellauit fortes. Quidni enim fortes, qui aduersum orbem terræ aciem instruxerunt, aduersus dæmones, aduersus diabolum, aduersus populos, aduersus ciuitates, aduersus gentes, aduersus tyrannos, aduersus tormenta ac supplicia, aduersus sartagines, aduersus fornaces, aduersus consuetu-

Deut. 10. Act. 10. Rom. 2.

Hier. 31. 31.

Baruch. 3. 36.

A γὰρ δὴ βασιλεύει μόνον, ἀλλὰ καὶ ἁγίως βασιλεύει. τί ἐστιν ἁγίως βασιλεύει; καθαρῶς. ἄνθρωποι μὲν γὰρ ἐπὶ τὴν ἀρχὴν ἐρχόμενοι ταύτην, αὐτῇ τῇ δυνάμει πρὸς ἀδικίαν κέχρηνται. ἐκείνη δὲ ἀνέπαφος ἡ ἀρχὴ παντὸς τοιούτου καθαρά τε ἁγία. οὐδὲ γὰρ ἀπάτη, οὐδὲ ἄλλο τι τῶν τοιούτων τὸ δικαστήριον ἐκεῖνο διαφθείρει καὶ παραλογίζεται, ἀλλ' ἔστι καθαρὸν, εἰλικρινὲς, πάσης ἐπέκεινα καθαρότητος, ἀπαστράπτον, διαλάμπον ἀφάτῳ τῇ δόξῃ. ἄρχοντες λαῶν συνήχθησαν μετὰ τοῦ Θεοῦ Ἀβραάμ. ὅτι τοῦ Θεοῦ οἱ κραταιοὶ τῆς γῆς σφόδρα ἐπήρθησαν. ἐνταῦθα
B δείκνυσι τὴν ἐπίτασιν τοῦ εὐαγγελίου· ὅτι οὐχ ἰδιωτῶν ἥψατο μόνον, ἀλλὰ καὶ αὐτῶν τῶν τὸ διάδημα ἐχόντων, καὶ τῶν ἐπὶ τοῦ θρόνου καθημένων τοῦ βασιλικοῦ. εἶτα δεικνὺς αὐτὸν ὄντα καινῆς καὶ παλαιᾶς ἕνα Θεόν φησι· μετὰ τοῦ Θεοῦ Ἀβραὰμ ἀντὶ τοῦ, αὐτός ἐστιν ὁ καὶ τῶν προπατόρων Θεὸς, ὁ καὶ τὸν νόμον ἐκείνοις δεδωκώς. διὸ καὶ Ἱερεμίας ἔλεγε· διαθήσομαι ὑμῖν διαθήκην καινὴν, οὐ κατὰ τὴν διαθήκην, ἣν διεθέμην τοῖς πατράσιν ὑμῶν, ἐν ἡμέρᾳ ἐπιλαβομένου μου τῆς χειρὸς αὐτῶν ἐξαγαγεῖν αὐτοὺς ἐκ γῆς Αἰ-
C γύπτου, δεικνὺς ὅτι καὶ καινῆς καὶ παλαιᾶς εἷς καὶ ὁ αὐτός ἐστι νομοθέτης. καὶ ὁ Βαρούχ πάλιν ἔλεγεν, οὗτος ὁ Θεὸς ἡμῶν, οὐ λογισθήσεται ἕτερος πρὸς αὐτόν. ἐξεῦρε πᾶσαν ὁδὸν ἐπιστήμης, καὶ ἔδωκεν αὐτὴν Ἰακὼβ τῷ παιδὶ αὐτοῦ, καὶ Ἰσραὴλ τῷ ἠγαπημένῳ ὑπ' αὐτοῦ· μετὰ δὲ ταῦτα ἐπὶ τῆς γῆς ὤφθη, καὶ τοῖς ἀνθρώποις συνανεστράφη, δεικνὺς ὅτι ὁ τὸν νόμον δεδωκὼς, αὐτός ἐστιν ὁ σαρκωθείς· καὶ ὁ σαρκωθεὶς αὐτὸς καὶ τὸν νόμον δέδωκε. τοῦτο καὶ ὁ προφήτης λέγει· συνήχθησαν μετὰ τοῦ Θεοῦ φησιν Ἀβραάμ. ὁ δὲ
D Ἑβραῖος ἀντὶ τοῦ μετὰ τοῦ Θεοῦ ἔμ ἐλωί Ἀβραάμ. καὶ πῶς, τοῦτο γέγονε; ὅτι τοῦ Θεοῦ οἱ κραταιοὶ τῆς γῆς σφόδρα ἐπήρθησαν. τίνες δὲ οἱ κραταιοὶ τοῦ Θεοῦ; οἱ ἀπόστολοι, οἱ πιστοὶ πάντες. ἐπειδὴ γὰρ τοσοῦτον ἔλαμψεν ἡ δύναμις αὐτῶν, φησιν, ἐκράτησαν ἁπάντων. καὶ καλῶς αὐτοὺς κραταιοὺς ἐκάλεσε. πῶς γὰρ οὐ κραταιοὶ, οἱ πρὸς ἅπασαν τὴν οἰκουμένην παραταξάμενοι, πρὸς τοὺς δαίμονας, πρὸς τὸν διάβολον, πρὸς δήμους, πρὸς πόλεις, πρὸς ἔθνη, πρὸς τυράννους, πρὸς τιμωρίας, πρὸς κολάσεις, πρὸς τήγανα, πρὸς καμίνους, πρὸς συνηθείας,

νίκησαν, παρὰ φύσεως τυραννίδα, καὶ πάντα καθελόντες, καὶ ὑψηλότεροι πάντων γενόμενοι, καὶ μηδενὶ χειρωθέντες; πῶς οὐ κραταιοὶ, καὶ μετὰ τελευτὴν τοσαύτην ἐπιδεικνύμενοι τὴν ἰσχύν; πῶς οὐ κραταιοὶ, ὧν τὰ ῥήματα ἀδάμαντός ἐστι στερρότερα, καὶ οὐδεὶς αὐτὰ χρόνος ἤλεγξεν, ἀλλὰ καὶ καθ' ἑκάστην ἐπιδίδωσι τὴν ἡμέραν, τοῦ εὐαγγελικοῦ κηρύγματος πάντη καὶ πανταχοῦ διατρέχοντος εἰς τὰ τῆς οἰκουμένης πληρώματα; ὑπὲρ δὴ τούτων ἁπάντων εὐχαριστήσωμεν τῷ φιλανθρώπῳ Θεῷ. ὅτι αὐτῷ ἡ δόξα καὶ τὸ κράτος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

A dinem, aduersus naturæ tyrannidem, & omnia diruebant, & superiores omnibus euadebant, & à nullo vincebantur? Quomodo non fortes, qui vel post mortem, tantam ostendunt virtutem? Quomodo non fortes, quorum verba sunt quouis adamante duriora, nec vllum ea tempus aboleuit, sed quotidie maius incrementum suscipiunt: dum omnes vbique orbis terrarum oras euangelica prædicatio peruadit? Pro his omnibus benigno & clementi Deo gratias agamus. Quoniam ei gloria, & potentia, nunc, & semper, & in B secula seculorum, Amen.

Εἰς τὸν μζ' ψαλμόν.

ΩΔΗ ΨΑΛΜΟΥ ΤΟΙΣ ΥΙΟΙΣ ΚΟΡΕ.

Μέγας κύριος καὶ αἰνετὸς σφόδρα, ἐν πόλει τοῦ Θεοῦ ἡμῶν, ἐν ὄρει ἁγίῳ αὐτοῦ. εὐριζῶν ἀγαλλιάματι πάσης τῆς γῆς. ἕτερος φησὶ, καλῷ βλαστήματι, χάρματι πάσης τῆς γῆς. ἄλλος, ἀπ' ἀρχῆς ἀφωρισμένῳ ἀγλαΐσματι πάσης τῆς γῆς.

C

ΚΑΙ ἐνταῦθα ἀπαλλαγὴν πολέμων, καὶ μάχης ἐλευθερίαν δηλοῖ. ἐπειδὴ γὰρ ἐπανελθόντες ἀπὸ τῆς Βαβυλωνίων, καὶ τῆς μακρᾶς ἀπαλλαγέντες αἰχμαλωσίας, τὴν πατρῴαν ἀπέλαβον γῆν, καὶ πολλοὺς διέφυγον πολέμους, εὐχαριστοῦντες ὑπὲρ πάντων τῷ τούτων αἰτίῳ τῶν ἀγαθῶν, τούτους ᾄδουσι τοὺς ὕμνους καὶ φασί· μέγας κύριος καὶ αἰνετὸς σφόδρα. τὸ μὲν μέγας λέγουσι, τὸ δὲ πόσον οὐκέτι. οὐδεὶς γὰρ τοῦτο ἐπίσταται, διὸ καὶ ἐπήγαγε, καὶ αἰνετὸς σφόδρα. τῆς γὰρ μεγαλωσύνης αὐτοῦ οὐκ ἔστι πέρας. ὃ δὲ λέγει τοιοῦτόν ἐστι· δοξάζειν αὐτὸν δεῖ, καὶ αἰνεῖν μόνον, καὶ τοῦτο μεθ' ὑπερβολῆς ἁπάσης· αἰνεῖν δὲ αὐτὸν καὶ διὰ τὸ μέγεθος τῆς οὐσίας τὸ ἄπειρον τοῦτο καὶ ἀκατάληπτον, καὶ διὰ τὴν ὑπερβολὴν τῶν εὐεργεσιῶν τῶν εἰς ἡμᾶς.

IN PSALMVM XLVII.

CANTICVM PSALMI FILIIS CORE.

Magnus Dominus & laudabilis nimis, in ciuitate Dei nostri, in monte sancto eius. 3. Bene radicibus firmans exultatione vniuersæ terræ. Alius dicit, pulchro germine, gaudio vniuersæ terræ. Alius, ab initio præscripto splendore vniuersæ terræ.

HIC quoque significat liberationem à bellis & pugnis. Quoniam enim à Babylone reuersi, & à longa captiuitate liberati, terram D paternã receperunt, & multa bella euaserũt, pro his omnib. Deo horũ bonorũ authori gratias agentes, hos hymnos canunt. Dicunt autem: Magnus Dominus, & laudabilis valde. Magnus quidẽ dicunt, sed quàm magnus, non dicunt, hoc enim nemo scit, & ideo subiunxit: Et laudabilis valdè. Non est enim finis eius magnitudinis. Quod autem dicit, est eiusmodi: oportet eum tantùm gloria afficere, & laudare, idque supra omnem modum: laudare autem eum propter hanc infinitam & incomprehensibilem essentiæ magnitudinem, & propter summa eius in nos beneficia.

Psalmi cantici. Hier. speciosa germine.

Nam & voluit, & potuit quæ voluit. In ciuitate Dei nostri, in monte sancto suo. Quid dicis? Illic eius laudem concludis, qui est magnus, qui laudabilis, in ciuitate & in monte? Non hic dico, inquit, sed quòd nos eum ante alios cognouimus. Vel propterea ergo dixit illud, in ciuitate Dei nostri, vel volens ostendere, quòd per magnitudinem eorum quæ ibi facta sunt, ostensa est eius magnitudo & gloria: quòd qui erant captiui, qui disiecti, qui contempti, qui in regione hostili veluti in carcere detinebantur, vt ij adeò repente clari essent, procurauit: vt & qui eos vicerant, superarent, & ad priorem redirent prosperitatem, & antiquus patriæ status eis restitueretur. Ostendit enim, inquit, ipsum etiam creaturarum quæ videntur, magnitudo: sed quoniam complures antiquitus erant paulò insipientiores, cognitionem, quæ ex inimicis & ex victoria oritur, adijcit mirabilia hæc trophæa assiduè erigens, & vt in melius fieret mutatio, efficiens, & præter spem & expectationem omnem eiusmodi miracula faciens. Hanc autem vocat eius ciuitatem, non alias eius priuans prouidentia, sed vt eam ostenderet, quod ad cognitionis rationem attinet, aliis fuisse longè priorem. Illæ enim eius dici poterant ratione tantum opificij, hæc verò etiam ratione familiaritatis & necessitudinis, & quòd hæc omnia illic fierent miracula. Tunc itaque ea dicebatur Dei ciuitas, nunc autem nos omnes Dei dicimur. Qui enim Christi sunt, inquit, carnem crucifixerunt cum vitiis & concupiscentiis. Vidisti summam & intentissimam virtutem? Et ideo appellabatur quoque mons Dei, quoniam Deus illic colebatur. Bene radicibus firmans exultatione vniuersæ terræ. Dictum valde obscurum, & ideo oportet attendere. Ei enim, qui cursim legit & perfunctoriè, magnam affert dubitationem: qui id autem diligenter persequitur, videbit consequentiam, & pulcherrimam sententiarum connexionem: Quod enim dicit, est eiusmodi: Magnus Dominus in ciuitate Dei nostri, in monte sancto suo bene radicans, hoc est, bene radicibus firmans, & eam pulchrè firmans ac stabiliens in gaudio & lætitia totius orbis terrarum.

Sap 12.

Galat.5.24

A καὶ γὰρ ἠβουλήθη, καὶ ἴσχυσεν ἅπερ ἠβουλήθη. ἐν πόλει τοῦ Θεοῦ ἡμῶν ἐν ὄρει ἁγίῳ αὐτοῦ. τί λέγεις; ἐκεῖ συγκλείεις αὐτοῦ τὸν αἶνον, τοῦ μεγάλου, τοῦ αἰνετοῦ, ἐν τῇ πόλει καὶ ἐν τῷ ὄρει; οὐ τοῦτο λέγω φησὶν, ἀλλ' ὅτι ἡμεῖς παρὰ τῶν ἄλλων αὐτὸν ἐπέγνωμεν. ἢ διὰ τοῦτο οὖν εἶπε τό, ἐν πόλει τοῦ Θεοῦ ἡμῶν, ἢ ὅτι διὰ τῶν εἰς αὐτὴν γινομένων θαυμάτων ἐδείχθη αὐτοῦ ἡ μεγαλωσύνη, καὶ ἡ δόξα, ὅτι δὴ τοὺς αἰχμαλώτους, τοὺς ἀπερριμμένους, τοὺς εὐκαταφρονήτους, τοὺς καθάπερ ἐν τάφῳ τῇ πολεμίᾳ κατεχομένους γῇ, τούτους ἀθρόον οὕτως ἐκλάμψαι παρεσκεύασεν, ὡς τῶν κρατησάντων περιγενέσθαι, καὶ B ἐπανελθεῖν, καὶ πρὸς τὴν προτέραν εὐημερίαν ἐπαναγαγεῖν, καὶ τὸ παλαιὸν τῆς πατρίδος ἀποδοῦναι σχῆμα. δείκνυσι μὲν γὰρ αὐτοῦ, φησι, καὶ τὸ μέγεθος τῶν κτισμάτων τῶν ὁρωμένων, ἀλλ' ἐπειδὴ οἱ πλείους ἀνοητότεροι διέκειντο τὸ παλαιὸν, προστίθησι καὶ τὴν ἀπὸ τῶν πολεμίων καὶ τὴν ἀπὸ τῆς νίκης γνῶσιν, τὰ παράδοξα ταῦτα τρόπαια συνεχῶς ἱστὰς, καὶ τὴν ἐπὶ τὸ βέλτιον μεταβολὴν ἐργαζόμενος, καὶ παρ' ἐλπίδα καὶ προσδοκίαν ἅπασαν, τὰ τοιαῦτα θαυματουργῶν. C πόλιν δὲ αὐτοῦ καλεῖ οὐ τὰς ἄλλας ἀποστερῶν αὐτοῦ τῆς προνοίας, ἀλλὰ δεικνὺς τούτους πλέον τι τῶν ἄλλων ἔχοντας κατὰ τὸν τῆς γνώσεως λόγον. ἐκεῖναι μὲν γὰρ κατὰ τὸν τῆς δημιουργίας μόνον λόγον αὐτοῦ ἂν λέγοιντο· αὕτη δὲ καὶ κατὰ τὸν τῆς οἰκειώσεως, καὶ διὰ τὸ πάντα αὐτόθι τὰ θαύματα γίνεσθαι. τότε μὲν οὖν ἡ πόλις ἐλέγετο τοῦ Θεοῦ· νῦν δὲ πάντες ἡμεῖς τοῦ Θεοῦ λεγόμεθα. οἱ γὰρ τοῦ Χριστοῦ, φησι, τὴν σάρκα ἐσταύρωσαν σὺν τοῖς παθήμασι, καὶ ταῖς ἐπιθυμίαις. εἶδες ἀρετῆς ἐπίτασιν; διὰ τοῦτο καὶ ὄ- D ρος ἐλέγετο τοῦ Θεοῦ, ἐπειδὴ ὁ Θεὸς ἐκεῖ ἐθεραπεύετο. εὐριζῶν ἀγαλλιάματι πάσης τῆς γῆς. πολλὴ ἡ ἀσάφεια τοῦ ῥητοῦ, διὸ προσέχειν δεῖ. τῷ μὲν γὰρ ἁπλῶς ἀναγινώσκοντι πολλὴν τὴν ἀπορίαν ποιεῖ, ὁ δὲ μετὰ ἀκριβείας αὐτὰ ἐπιὼν, ὄψεται τὴν ἀκολουθίαν, καὶ τὴν σφόδρα ἀκριβῆ τῶν νοημάτων· ὃ γὰρ λέγει, τοιοῦτόν ἐστι· μέγας κύριος ἐν πόλει τοῦ Θεοῦ ἡμῶν, ἐν ὄρει ἁγίῳ αὐτοῦ εὐριζῶν, τουτέστι, καλῶς ῥιζῶν, καλῶς πηγνὺς, καλῶς βεβαιῶν αὐτὴν ἐν χαρᾷ καὶ εὐφροσύνῃ πάσης τῆς οἰκουμένης.

τοῦτο καὶ ἄλλος αἰνιττόμενος, ἀφωρισμένῳ ἀγλαΐσματι πάσης τῆς γῆς εἶπεν. ἀγλάϊσμα γὰρ αὐτὴν πάσης τῆς οἰκουμένης καὶ εὐφροσύνης ἐποίησεν. ἐκεῖθεν γὰρ ἡ πηγὴ τῆς εὐσεβείας, καὶ τῆς θεογνωσίας αἱ ῥίζαι καὶ αἱ ἀρχαί. τοιαύτην τοίνυν οὖσαν αὐτὴν ἐῤῥίζωσε, καὶ καλῶς ἔπηξεν ἐπὶ κόσμῳ τῆς οἰκουμένης, ἐπὶ ἀγαλλιάματι, ἐπὶ χαρᾷ πάσης τῆς γῆς. ὁ γὰρ διδασκαλεῖον τῆς γῆς τὰ Ἱεροσόλυμα τότε ἦν, καὶ οἱ βουλόμενοι χαρᾶς ἀπολαύειν, καὶ καλλωπίζεσθαι, καὶ κοσμεῖσθαι, ἐντεῦθεν τὰ δέοντα ἐμάνθανον. διὸ καὶ τοῦτο δηλῶν οὐ ῥιζῶν εἶπεν, ἀλλ' εὖ ῥιζῶν. εἰ δὲ βούλει αὐτὸ καὶ κατὰ ἀναγωγὴν λαβεῖν, ὄψει τῶν πραγμάτων τὴν ἀλήθειαν. ἐντεῦθεν γὰρ τὸ ἀγαλλίαμα πανταχοῦ τῆς οἰκουμένης γέγονεν· ἐντεῦθεν εὐφροσύνη καὶ ἡ χαρά· ἐντεῦθεν αἱ πηγαὶ τῆς φιλοσοφίας, ἔνθα Χριστὸς ἐσταυρώθη, ὅθεν οἱ ἀπόστολοι ἐξώρμησαν· ἐκ γὰρ Σιὼν ἐξελεύσεται νόμος, καὶ λόγος κυρίου ἐξ Ἱερουσαλήμ· καὶ ῥίζας δὲ ἀθανάτους ἡ χαρὰ αὐτὴ ἔχει. ὄρη Σιὼν τὰ πλευρὰ τοῦ βοῤῥᾶ. ἄλλος φησίν, ὄρη Σιὼν οἱ μηροὶ τοῦ βοῤῥᾶ. ὁ δὲ Ἑβραῖος ἄρ Σιὼν ἰερχθὴ σαφουν. τίνος ἕνεκεν, εἰπέ μοι, τοῦ βοῤῥᾶ μνημονεύει νῦν, καὶ τοῦ τόπου τὴν θέσιν ὑπογράφει; ἐπειδὴ ἐντεῦθεν συνεχῶς ὁ πόλεμος αὐτοῖς ἀνεῤῥιπίζετο τῶν βαρβάρων ἐπιόντων, καὶ συνεχῶς οἱ προφῆται τοῦτο λέγουσι, τὸν ἀπὸ βοῤῥᾶ καλοῦντες, καὶ λέβητα ἐκεῖθεν καιόμενον ὑπογράφουσιν. οὕτω γὰρ ἡ Περσῶν χώρα κεῖται πρὸς τὴν Παλαιστίνην. θαυμάζων τοίνυν τὸ γεγενημένον τοῦτο ἐπήγαγε δηλῶν, ὅτι ταύτην τὴν συνεχῶς ἐκεῖθεν ἐνοχλουμένην ἀχείρωτον ἐποίησας. ὥσπερ γὰρ εἴ τις λέγοι περὶ σώματος, ὅτι τὸ μέρος ἐκεῖνο τὸ ἀσθενὲς ἰσχυρότερον εἰργάσω, τοῦτο δὴ καὶ αὐτὸς ἐνταῦθα αἰνίττεται λέγων· ὅθεν οἰμωγαὶ καὶ δάκρυα· ὅθεν ὑπόθεσις τῶν συμφορῶν, ταῦτα ἡδονῆς τὰ μέρη ἐμπέπλησται, ταῦτα εὐθυμίας. ὅθεν ἀπειλαὶ καὶ φόβοι καὶ κίνδυνοι, ἐντεῦθεν χαρὰ καὶ εὐφροσύνη, καὶ οὐδεὶς ἐκεῖνο λοιπὸν δέδοικε τὸ μέρος τῆς κτίσεως τὸ βορειότερον, οὐδεὶς κάμνει, οὐδεὶς ὑφορᾶται, ἀλλὰ πάντες ἐν εὐφροσύνῃ, συῤῥιζωθέντος αὐτῇ ἐν ἡδονῇ. ἡ πόλις τοῦ βασιλέως τοῦ μεγάλου, ὁ Θεὸς ἐν ταῖς βάρεσιν αὐτῆς γινώσκεται, ὅταν ἀντιλαμβάνηται αὐτῆς. ἄλλος, ἐγνώσθη. ἄλλος, ὁ Θεὸς

A Hoc etiā alius obscurè significās, dixit, præscripto splendore vniuersæ terræ. Eam enim fecit splendorē & lętitiā vniuersæ terræ. Illinc enim est fōs pietatis, & radices & principia Dei cognitionis. Hanc ergo, cùm talis esset, radicibus actis confirmauit, ac stabiliuit propter ornamentum totius orbis terrarum, propter exultationē, propter gaudium totius terræ. Doctrinæ enim terræ officina, ludúsque litterarius, erant tunc Hierosolyma, & qui volebant frui gaudio, cultúmque & ornamentum capere, hinc ea quæ bona & honesta erant, B discebant. Et ideo hoc significans, non dixit, Radicibus firmans, sed, Bene firmans radicibus. Quod si velis idipsum accipere anagogicè, videbis rerum veritatem: hinc enim processit exultatio per vniuersum orbem terrarum, hinc processit gaudium & lætitia, hinc emanarunt fontes Philosophiæ, vbi Christus fuit crucifixus, vnde profecti sunt Apostoli. Ex Sion enim, inquit, egredietur lex, & verbum Domini ex Hierusalem: habet autem hoc gaudium radices immortales. *Montes Sion latera* C *Aquilonis.* Alius, montes Sion femora Aquilonis. Alius, femora Aquilonis. Græcè οἱ μηροὶ, Hebræus autem, *Ar Sion ierchthe Saphoun.* qua de causa quęso meminit nūc Aquilonis, & situm loci nobis describit? quoniam assiduè bellum hinc suscitabatur, inuadentibus barbaris, & Prophetæ hoc dicunt assiduè, ab Aquilone appellantes, & lebetem illinc feruentem describunt, ita enim sita est regio Persarum, si habeatur ratio Palæstinæ: quod factum admirans, hoc subiunxit, id significans: eam quæ illinc assiduè vexabatur, fecisti inexpugnabilem: perinde enim ac si quis D diceret de corpore, partem illam imbecillam fecisti valētiorem: hoc etiam hic ipse obscurè significat, dicens: vnde luctus & lachrymæ, vnde origo calamitatum, eæ partes impletæ sunt voluptate, alacritatéque animi ac tranquillitate. Vnde minæ, metus, & pericula, hinc gaulium & lætitia: nec vllus deinceps metuit Aquilonarem illam partem creaturæ, nemo animi angitur, nemo suspicatur, sed omnes degunt in lætitia, cùm eius radices fixeris in voluptate. *Ciuitas regis magni,* 4. *Deus in domibus eius cognoscitur, cum suscipiet ipsam.* Alius, cognita est. Alius, Deus

Esa. 2.

Esa. 2. 3.

Esa. 2. 3.

Hier. 1. 13.

in regiis eius cognoscetur ad munimentum. Alius, Deus in palatiis eius cognitus est ad eripiendam eam. Prædicat eius authoritatem, laudem, coronam, dicens: ciuitas regis magni. Deinde ostendens quomodo sit ciuitas regis magni, adiungit, Deus in domibus eius cognoscitur, magnam ostendens prouidentiam, & quòd eam totam omni ex parte seruat, non illius tantum totius curam gerens, sed etiam in vnamquamque domum suam ostendens prouidentiam. Nobis enim etiam absque eo est cognitus, inimicis autem ex eo suam ostendit virtutem. Tempore enim Ezechiæ, cùm barbarorum nubes eam inuasisset, & eam veluti sagena circumdedisset, recesserunt suis mortuis maxima ex parte relictis. Quinetiam multi quoque alij eam sæpe ingressi, ignominia affecti recesserunt. Hæc, inquit, omnia gesta sunt Dei prouidentia, eámque præclaram & insignem fecerunt. Non solùm autẽ quòd præclarè, sed etiã quòd adeò præclara facta sint, magna euasit. 5. *Quoniam ecce Reges terræ congregati sunt, conuenerunt in vnum.* Alius, Ecce enim Reges simul instructi sunt. 6. *Ipsi videntes sic admirati sunt, conturbati sunt, cõmoti sunt.* 7. *Tremor apprehendit eos. Ibi dolores vt parturientis, in spiritu vehementi.* Alius, Per ventum violentum. Alius, ardoris. *Conteres naues Tharsis.* Alius, Confringes. Hebræus autem, *thessaber.* Hic narrat bellum, bellum difficile, & vndique conflatum, & clariorem victoriam. Quoniam enim dixit illum eam suscipere, & eius curam gerere, ostendit deinceps quomodo eam suscipit & defendit. Nam cum innumerabiles gentes eam inuasissent (hoc enim significat per regum multitudinem) & non solùm inuasissent, sed etiam congregati aciem instruxissent, res eiusmodi gestæ sunt, vt ipsi abirent obstupefacti ob ea quæ tanto miraculo facta sunt. Ita enim bellum conficiebatur, vt ipsi horrore ac torpore pleni recederent, & cum magna animi perturbatione resilirent, dum multi paucos, & hi qui ordines instruxerant, diuisos timerent: nec secus afficerentur quàm mulier quæ parturit. Vnde clarum erat bellum non fuisse gestum humanis viribus,

1. Reg. 19.

Lacerabis, destrues.

A ἐν τοῖς βασιλείοις αὐτῆς γνωσθήσεται εἰς ὀχύρωμα. ἄλλος, ὁ Θεὸς ἐν ταῖς βάρεσιν αὐτῆς ἐγνώσθη εἰς τὸ ἐξελέσθαι αὐτήν. ἀνακηρύττει αὐτῆς τὸ ἀξίωμα, τὴν εὐφημίαν, τὸν στέφανον, λέγων, ἡ πόλις τοῦ βασιλέως τοῦ μεγάλου. εἶτα δεικνὺς πῶς ἐστὶ πόλις τοῦ βασιλέως τοῦ μεγάλου, ἐπάγει, ἐν ταῖς βάρεσιν αὐτῆς γινώσκεται, τὴν πολλὴν πρόνοιαν ἐνδεικνύμενος, ὅτι ὅλην δι' ὅλης σώζει, οὐχ ὁλοκλήρου μόνον αὐτῆς κηδόμενος, ἀλλὰ καὶ καθ' ἑκάστην οἰκίαν ἐπιδεικνύμενος αὐτοῦ τὴν πρόνοιαν. ἡμῖν μὲν γὰρ καὶ χωρὶς τούτου γνώριμος, τοῖς δὲ ἐχθροῖς ἐκ B τούτων αὐτοῦ τὴν ἰσχὺν ἔδειξε. καὶ γὰρ ἐπὶ τοῦ Ἐζεκίου νέφος βαρβάρων ἐπελθὸν, καὶ πᾶσαν αὐτὴν καθάπερ ἐν σαγήνῃ κυκλώσαντες, ἀπῆλθον τὸ πλέον αὐτῶν καταλιπόντες νεκρούς, καὶ ἕτεροι δὲ πολλοὶ πολλάκις εἰς αὐτὴν εἰσελθόντες, ἀτιμωθέντες ἀνεχώρησαν. ταῦτα δὲ πάντα τῇ τοῦ Θεοῦ προνοίᾳ κατωρθώθη φησὶ, καὶ λαμπρὰν αὐτὴν ἐποίησεν. οὐ τὸ λαμπρὰ δὲ μόνον, ἀλλὰ καὶ τὸ οὕτω λαμπρὰ γενέσθαι μεγάλη γέγονεν, ὅτι ἰδοὺ οἱ βασιλεῖς τῆς γῆς συνήχθησαν, διῆλθοσαν ἐπὶ τὸ αὐτό. ἄλλος φησὶν, ἰδοὺ οἱ βασιλεῖς συνετάξαντο· αὐτοὶ ἰδόντες οὕ- C τως ἐθαύμασαν, ἐταράχθησαν, ἐσαλεύθησαν, τρόμος ἐπελάβετο αὐτῶν. ἐκεῖ ὠδῖνες ὡς τικτούσης, ἐν πνεύματι βιαίῳ. ἄλλος φησὶ, δι' ἀνέμου βιαίου. ἄλλος, καύσωνος, συντρίψεις πλοῖα Θαρσεῖς. ἄλλος, κατεάξεις. ὁ δὲ Ἑβραῖος θεσσαβέρ. ἐνταῦθα πόλεμον διηγεῖται χαλεπὸν καὶ συγκεκροτημένον πάντοθεν, καὶ νίκην λαμπροτέραν. ἐπεὶ γὰρ εἶπεν, ὅτι ἀντιλαμβάνεται αὐτῆς, καὶ πολλὴν ἐπιδείκνυται πρόνοιαν, δείκνυσι λοιπὸν καὶ πῶς ἀντελαμβάνετο. μυρίων γὰρ ἐθνῶν ἐπελθόντων D τοῦτο γὰρ διὰ πλήθους τῶν βασιλέων δηλοῖ· καὶ οὐχ ἁπλῶς ἐπελθόντων, ἀλλὰ συγκεκροτημένων, καὶ συντεταγμένων, τοιαῦτα γέγονε πράγματα, ὡς αὐτοὺς θαυμαστοὺς γενομένους τῶν παραδόξων αὐτῶν ἀπελθεῖν. οὕτω γὰρ ὁ πόλεμος ἐτρέποντο, ὡς νάρκης καὶ φρίκης ἐμπλησθέντας αὐτοὺς ἀναχωρεῖν, καὶ μετὰ πολλῆς τῆς ἀγωνίας ἀποπήδαν οἱ πολλοὶ τοὺς ὀλίγους δεισαντες, οἱ συντεταγμένοι τοὺς διῃρημένους, καὶ ὠδινούσης γυναικὸς οὐδὲν ἄμεινον διέκειντο. ὅθεν δῆλον ὡς οὐ κατὰ ἀκολουθίαν ἀνθρωπίνην ὁ πόλεμος κατωρθοῦτο.

ἀλλὰ Θεὸς ἦν ὁ τὴν μάχην στρατηγῶν, ὁ καὶ τὰ φρονήματα αὐτῶν οὐ μόνον καταβάλλων, ἀλλὰ καὶ τὴν διάνοιαν αὐτῶν καταστείων, καὶ ὠδῖνας αὐτοῖς ἐντιθεὶς, καὶ ἄρρητον φόβον ἐν αὐτοῖς ἐργαζόμενος. καὶ ταὐτὸν γέγονεν, οἷον ἂν εἰ στόλου πολλοῦ ναυτικοῦ συνελθόντος, πνεῦμα ἐμπεσὸν χαλεπὸν συνέτριψε πάντα τὰ πλοῖα, καὶ κατέδυσε τὰς τριήρεις, καὶ πολλὴν ἀθρόον ἐμβάλοι τὴν ταραχήν. ἐνταῦθα γάρ μοι διὰ τοῦ ὑποδείγματος τούτου τό τε εὔκολον τῆς νίκης δοκεῖ δηλοῦν, καὶ τῆς ταραχῆς τὴν ὑπερβολήν. καὶ γὰρ ναυτικῷ χρησάμενοι στόλῳ, καὶ οὗτοι παραγινόμενοι ἐκ μακρᾶς τινος καὶ ἀλλοτρίας χώρας ὥσπερ τινὶ πνεύματι βιαίῳ τῇ ὀργῇ τοῦ Θεοῦ πάντες ἀπώλοντο. διὸ καὶ τὸν τόπον δηλῶν ὅθεν ἦλθον, ἐπήγαγε τὸ Θαρσεῖς. οὕτω γὰρ καὶ ὁ Ἑβραῖος ἐδήλωσε διὰ τῆς λέξεως, ἣν καὶ παρεθήκαμεν ὑμῖν χάριν εἰς τὴν ἀνάγνωσιν τοῦ ῥητοῦ. ἢ τοῦτο τοίνυν ἐστὶν εἰπεῖν, ἢ ἐκεῖνο ὃ ἔμπροσθεν εἶπον, ὅτι ὥσπερ τὰ πλοῖα Θαρσεῖς ἄνεμος χαλεπὸς ἐμπεσὼν συνέτριψε πολλάκις, οὕτω δὴ τὰ πλήθη ἐκεῖνα συνετάραξεν ὁ Θεός. καθάπερ ἠκούσαμεν, οὕτω καὶ εἴδομεν ἐν πόλει κυρίου τῶν δυνάμεων, ἐν πόλει τοῦ Θεοῦ ἡμῶν. εἶδες πῶς τὸ ἀνώτερον ἐξηγεῖται τὸ εὖ ῥιζῶν; οὐ γὰρ εἶπεν εὖ ῥιζώσας, ἀλλ᾽ εὖ ῥιζῶν, τουτέστι διηνεκῶς προορῶν, διηνεκῶς κηδόμενος, διηνεκῶς τειχίζων. εἰπὼν γὰρ τὰ συμβάντα τότε ἐπὶ τὰ παλαιὰ διηγήματα ἀνάγει τὸν λόγον, δεικνὺς ὅτι ταῦτα ἐκείνων συγγενῆ. ἃ γὰρ εἴδομεν, φησὶν, ἐπὶ τῶν ῥημάτων, ταῦτα ἐπὶ τῶν ἔργων ἑωράκαμεν, τὰς νίκας, τὰ τρόπαια τοῦ Θεοῦ, τὴν κηδεμονίαν, τὰ παράδοξα θαύματα. οὐ γὰρ διέλιπεν ὁ Θεὸς ἀεὶ ταῦτα ἐργαζόμενος· ὥστε αὐτοῦ ἐστὶ καὶ κινδύνων ἀπαλλάττειν, καὶ πρὸς θεογνωσίαν χειραγωγεῖν. καὶ καλῶς ὁ προφήτης ἐμνημόνευσε τῶν πρὸ πολλοῦ τοῦ χρόνου γινομένων. ἔδει γὰρ καὶ ἀπὸ τῶν παλαιῶν διηγημάτων, καὶ ἀπὸ τῶν νεαρῶν παιδεύεσθαι ἔργων, ὥστε τοὺς ταχυτέρους αὐτῶν ἀπὸ τῶν γινομένων καὶ τοῖς ἤδη γεγενημένοις πιστεύειν, καὶ διπλοῦν καρποῦσθαι τὸ κέρδος, καὶ τὴν ἀκοὴν αὐτοῖς ἀντὶ ὄψεως γίνεσθαι. ὁ Θεὸς ἐθεμελίωσεν αὐτὴν εἰς τὸν αἰῶνα. ὑπελάβομεν ὁ Θεὸς τὸ ἔλεός σου ἐν μέσῳ τοῦ λαοῦ σου. ἕτερος, εἰκάσαμεν ὁ Θεὸς τὸ ἔλεός σου ἐν μέσῳ τοῦ λαοῦ σου.

A ſed Deum fuiſſe ducem in committendo prælio, qui non ſolum ſpiritus eorum deprimebat, ſed etiam mentem eorum conquaſſabat, & eis dolores immittebat, & ineffabilem timorem afferebat, & perinde accidit ac ſi magna claſſe congregata, vehemens ventus irruens, omnes naues contriuiſſet, & triremes demerſiſſet, & magnam repente perturbationem inieciſſet. Hic enim mihi videtur per hoc exemplum & victoriæ facilitatem, & perturbationis magnitudinem velle ſignificare. Nam hi quoque cum magnam claſſem B paraſſent, & ex longinqua aliqua & aliena regione veniſſent, veluti quodam vehementi vento omnes ira Dei perierunt. Et ideo locum quoque ſignificans vnde venerunt, ſubiunxit illud, Tharſis. Ita etiam ſignificauit Hebræus per dictionem, quam veſtra cauſa adiecimus in lectione contextus. Vel hoc ergo dici poteſt, vel illud quod antè dixi, quòd quemadmodum naues Tharſis vehemens ventus irruens ſæpe contriuit: ita etiam multitudinem illam Deus conturbauit: *9. Sicut audiuimus, ſic vidimus in ciuitate Domini* C *virtutum, in ciuitate Dei noſtri.* Vides quomodo exponit id quod eſt ſuperius, Bene radicans, aut, bene radicibus firmans? Non dixit enim, Qui bene radicauit, ſed, Bene radicans, hoc eſt, aſſiduè prouidens, aſſiduè curam gerens, aſſiduè muniens. Poſtquam enim dixit quæ tunc contigerunt, ad res antiquas narrandas rurſus conuertit orationem, oſtendens hæc habere magnam cum illis cognationẽ. Quæ enim, inquit, verbis audiuimus, ea factis vidimus, victorias Dei, trophæa, curam ac prouidentiam, & quæ opinionem ſuperant miracula. Deus enim nunquam D intermiſit hęc facere. Eius ergo eſt & liberare à periculis, & deducere ad Dei cognitionem. Rectè autem meminit Propheta eorum, quæ longo antè tempore facta ſunt. Oportebat enim & ex veteribus narrationibus, & ex nouis factis doceri, vt qui erant ex eis craſſiores, ex iis quæ fiebant, iis quoque quæ facta erant crederent, & duplex lucrum facerent, & eſſet eis auditio pro viſu. *Deus fundauit eam in æternum. 10. Suſcepimus Deus miſericordiam tuam in medio populi tui.* Alius, Coniecimus Deus miſericordiam tuam in medio populi tui.

Confirmati homœoſ.

Hebræus autem *dimenu hasedeca*. Secundum nomen tuum Deus, sic etiam laus tua in fines terræ. Quoniam enim dixit, Quæ audiuimus, ea & vidimus: dicit & quidnam audierit, & quid viderit. Quid ergo audiuit & vidit? Quòd Dei gratia reddit ciuitatem firmam, validam & inconcussam. Hoc est enim ei fundamentum, hoc robur, hoc eam facit inexpugnabilem, non humanæ opes & auxilium, non vis armorum, nec turres & mœnia. Sed quid? Deus eã regit & continet. Hoc enim eos maximè doceri oportuit, & Propheta assiduè illos eò deduxit. 10. *Suscepimus Deus misericordiam tuam in medio populi tui.* Quid est, suscepimus? Sperauimus, expectauimus, cognouimus tuã humanitatem & clementiam. Quoniam enim dixit, Fundauit, radicauit, muniit, ostendens tantam prouidentiam non proficisci ex meritis eorum qui eam assequuntur, sed procedere ex bonitate eius qui illa facit, & simul volens fastum eorũ comprimere, sic dixit, hoc propemodum dicens: Tuæ sunt misericordiæ hæc præclara facinora, tuæ gloriæ, tuæ bonitatis. Et ideo subiunxit: 11. *Secundum nomen tuum Deus: sic & laus tua Deus in fines terræ.* Laus, inquit, tua facit res adeò præclaras, magnas, & admirabiles, adeò excelsas & gloriosas. Non enim ad mensuram curam gessisti eorum quos beneficio afficis, nec propter eorum merita, sed pro tua magnitudine. Laus ergo tua, hoc est, tui celebratio, quæ ex operibus profecta est, fecit vt præclara tua facta exaudirentur. Facta enim fuerunt in Palæstina, sed propter ingentem eorum magnitudinem peruenerunt ad extremos fines orbis terrarum, & qui erant procul remoti, ea sciebant. Quæ facta itaque fuerant in Ægypto, meretrix Hierichuntina sciebat melius iis, qui interfuerant. Rursus quæ in Palæstina euenerant, ij quoque qui in regione Persarum habitabant, prædicabant. Quæ rursus gesta fuerant in Perside, qui in extremis finibus terræ agebant, nouerant. Quapropter rex quoque misit literas per vniuersum orbem terræ, prædicans ea quæ in fornace euenerant. Et ideo hic quoque cum dixisset, Laus tua in fines terræ, subiunxit: *Iustitia plena est dextera tua.* Quod enim assiduè facere consueuit, vt ab iis quæ fiunt hominibus, ascendat

Iosu. 2.

Daniel. 6.

A ὁ δὲ Ἑβραῖος ἠχαλάχ δεμμλωοδ. κατὰ τὸ ὄνομά σου ὁ Θεὸς, οὕτω καὶ ἡ αἴνεσίς σου ἐπὶ τὰ πέρατα τῆς γῆς. ἐπειδὴ εἶπεν· ἃ ἠκούσαμεν, ταῦτα καὶ εἴδομεν, λέγει καὶ τί ἤκουσε, καὶ τί εἶδε. τί οὖν ἤκουσε, καὶ τί εἶδε; ὅτι ἰσχυροτέραν καὶ ἀῤῥαγῆ ἡ τοῦ Θεοῦ χάρις τὴν πόλιν ἐργάζεται. τοῦτο γὰρ αὐτῇ θεμέλιος, τοῦτο ἰσχὺς, τοῦτο ἀχείρωτον αὐτὴν ποιεῖ, οὐχ αἱ ἀνθρώπινη συμμαχία καὶ βοήθεια, οὔτε ὅπλων ἰσχὺς, οὐδὲ πύργοι καὶ τείχη, ἀλλὰ τί; ὁ Θεὸς αὐτὴν διακρατεῖ. τοῦτο γὰρ μάλιστα παιδεύεσθαι αὐτοὺς ἔδει, καὶ πρὸς τοῦτο αὐτοὺς ὁ προφήτης ἐνάγει διηνεκῶς.

B ὑπελάβομεν ὁ Θεὸς τὸ ἔλεός σου ἐν μέσῳ τοῦ λαοῦ σου. τί ἐστιν ὑπελάβομεν; ἠλπίσαμεν, προσεδοκήσαμεν, ἔγνωμεν τὴν φιλανθρωπίαν τὴν σήν. ἐπειδὴ γὰρ εἶπεν, ἐθεμελίωσεν, ἐῤῥίζωσεν, ἐτείχισε, δεικνὺς ὅτι ἡ τοσαύτη πρόνοια οὐ κατὰ τὴν ἀξίαν τῶν ἀπολαβόντων, ἀλλὰ κατὰ τὴν ἀγαθότητα τοῦ ποιοῦντος γέγονε, καὶ ἅμα θέλων τὸν τῦφον αὐτῶν καταστεῖλαι οὕτως εἶπε μονονουχὶ τοῦτο λέγων· σοῦ τοῦ ἐλέους ἐστὶ ταῦτα τὰ κατορθώματα, τῆς δόξης τῆς σῆς, τῆς ἀγαθοσύνης τῆς σῆς. διὸ καὶ ἐπήγαγε, κατὰ

C τὸ ὄνομά σου ὁ Θεὸς, οὕτω καὶ ἡ αἴνεσίς σου ἐπὶ τὰ πέρατα τῆς γῆς· ἡ αἴνεσίς σου φησὶ τὰ κατορθώματα. οὕτω μεγάλα ποιεῖ καὶ θαυμαστὰ, οὕτως ὑψηλὰ καὶ ἔνδοξα. οὐ γὰρ κατὰ τὸ μέτρον τῶν εὐεργετουμένων ὁ Θεὸς τὴν κηδεμονίαν ἐπιδείκνυσο, οὐδὲ κατὰ τὴν ἀξίαν, ἀλλὰ κατὰ τὸ μέγεθος τὸ σόν. ἡ αἴνεσις τοίνυν, τουτέστιν ἡ εὐφημία ἡ ἀπὸ τῶν ἔργων, τὰ κατορθώματα ἐποίησεν ἐξακουσθῆναι. ἐγίνετο μὲν γὰρ ἐν τῇ Παλαιστίνῃ, διὰ δὲ τὸ μέγεθος καὶ τὸν ὄγκον αὐτῶν τῆς οἰκουμένης κατελάμβανε τὰς ἐσχατιὰς, καὶ οἱ πόῤῥωθεν ὄντες

D πάντα ἐμάνθανον. τὰ γοῦν ἐν Αἰγύπτῳ γενόμενα ἡ Ἱεριχουντία πόρνη τῶν παρόντων ἀκριβέστερον ᾔδει. πάλιν τὰ ἐν Παλαιστίνῃ συμβαίνοντα, καὶ οἱ τὴν Περσῶν χώραν οἰκοῦντες ἀνεκήρυττον· τὰ ἐν αὐτῇ τῇ Περσίδι οἱ πρὸς τὰ πέρατα τῆς γῆς ὄντες ἐγίνωσκον. διὰ δὴ τοῦτο καὶ ὁ βασιλεὺς διὰ γραμμάτων ἔπεμπε πανταχοῦ τῆς οἰκουμένης ἀνακηρύττων τὰ ἐν τῇ καμίνῳ. διὰ τοῦτο καὶ ἐνταῦθα εἰπὼν, καὶ ἡ αἴνεσίς σου ἐπὶ τὰ πέρατα τῆς γῆς, ἐπήγαγε, δικαιοσύνης πλήρης ἡ δεξιά σου. ὅπερ γὰρ ἔθος αὐτῷ ποιεῖν συνεχῶς, ἀπὸ τῶν εἰς ἀνθρώπους γινομένων

ἀναβαίνειν ἐπὶ τὰ προσόντα αὐτοῦ τῇ φύσει, τοῦτο καὶ ἐπὶ τοῦ παρόντος ποιεῖ· οὐχ ἵνα ἐπιγινόμενα νοήσωμεν· μὴ γένοιτο· ἀλλ' ἐπειδὴ ἀσθενὴς ὁ λόγος καὶ ἡ γλῶττα ἡ ἀνθρωπίνη, δεῖ θεοπρεπῆ τινα ἔννοιαν προστεθῆναι τῷ λόγῳ· τὰ προσόντα οὖν τῇ φύσει τοῦ θεοῦ ταῦτα λέγει, τὰ συνουσιωμένα αὐτῷ. τίνα δὲ ταῦτά ἐστι; δικαιοσύνης πλήρης φησὶν ἡ δεξιά σου. δείκνυσι γὰρ ὅτι οὐ τῆς ἀξίας ἐστὶ τῶν εὐεργετουμένων τὰ γινόμενα, ἀλλὰ τῆς οὐσίας τῆς αὐτοῦ, ἐπειδὴ αὐτὴ αὐτοῦ ἡ οὐσία δικαιοσύνῃ χαίρει, φιλανθρωπίᾳ εὐφραίνεται. τοῦτο ἔργον αὐτοῦ· τοῦτο ἔθος αὐτῷ, καὶ διὰ τοῦτο τοσαύτης ἀπήλαυον εὐεργεσίας. ὥσπερ γὰρ τοῦ πυρὸς τὸ θερμαίνειν, καὶ ἡλίου τὸ φωτίζειν· οὕτω δὴ καὶ αὐτοῦ τὸ εὐεργετεῖν· οὐχ οὕτω δέ, ἀλλὰ καὶ πολλῷ μᾶλλον. διὸ καὶ οὕτως εἶπε, δικαιοσύνης πλήρης ἡ δεξιά σου· τὸ δαψιλές, τὸ συνουσιωμένον αὐτῷ δηλῶν. εὐφρανθήτω ὄρος Σιών, καὶ ἀγαλλιάσθωσαν αἱ θυγατέρες τῆς Ἰουδαίας ἕνεκεν τῶν κριμάτων σου κύριε. ἄλλος φησί, διὰ κρίσεις σου. κυκλώσατε Σιών, καὶ περιλάβετε αὐτήν. ἄλλος, καὶ περιέλθετε. διηγήσασθε ἐν τοῖς πύργοις αὐτῆς. ἕτερος, ἀριθμήσατε τοὺς πύργους αὐτῆς. ἄλλος, ἐπαινέσατε. θέσθε τὰς καρδίας ὑμῶν εἰς τὴν δύναμιν αὐτῆς. ἕτερος εἰς τὸν περίβολον, τὴν εὐπορίαν, καὶ καταδιέλεσθε τὰς βάρεις αὐτῆς. ἕτερος, διαμετρήσατε τὰ βασίλεια αὐτῆς. ὅπως ἂν διηγήσησθε εἰς γενεὰν ἑτέραν. ἄλλος, γενεᾷ μεταγενεστέρᾳ. ὅτι οὗτός ἐστιν ὁ Θεὸς ἡμῶν εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. αὐτὸς ποιμανεῖ ἡμᾶς εἰς τοὺς αἰῶνας. τί δήποτε ταῦτα παρακελεύεται, περιελθεῖν τὴν πόλιν, ἀριθμεῖν τοὺς πύργους, προσέχειν ταῖς οἰκοδομαῖς, τὴν εὐπρέπειαν αὐτῆς ἀναλογίζεσθαι, τοὺς περιβόλους αὐτῆς, καὶ τὰ τείχη ψηφίζειν, τὰς οἰκίας καὶ τὰ βασίλεια μετρεῖν, οὐ χρεία τῆς παρ' ἡμῶν ἑρμηνείας, αὐτὸς ἑαυτὸν ὁ λόγος σαφηνίζει. εἰπὼν γὰρ ταῦτα καὶ τὴν αἰτίαν εὐθέως προσέθηκε. ποίαν δὴ ταύτην; ὅπως ἂν διηγήσησθέ φησιν, εἰς γενεὰν ἑτέραν. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· ἐμπλήσθητε ἡδονῆς, χαίρετε, σκιρτήσατε· ἀλλὰ μὴ ἁπλῶς, μηδὲ ὡς ἔτυχεν, ἀλλὰ μετὰ ἀκριβείας καταμάθετε αὐτῆς τὴν ἰσχύν. ἐπειδὴ γὰρ ἐρείπιον γέγονεν, ἐπειδὴ πρόρριζος ἀνεσπάσθη, καὶ τὸ ἔδαφος αὐτῆς σχεδὸν ἀπώλετο, καὶ ἀπέγνωσαν τὴν ἐπὶ τὸ βέλτιον αὐτῆς με-

A ad ea quæ adsunt ipsius naturæ, hoc etiam fecit in præsentia: non vt aliqua Deo accedere aut recedere cogitemus, absit: sed quoniã est imbecillus sermo & lingua humana, oportet ei quod dicitur Deo conuenientem afferre sententiam. Quę ergo Dei naturæ adsunt, ea dicit, quæ sunt eius substantiæ coniuncta, & vt eo verbo vtar, consubstantiata. Quænam autem ea sunt? Iustitia, inquit, plena est dextera tua. Ostendit enim ea quæ fiunt, non esse ex meritis eorum quos beneficio afficit, sed ex sua B substantia, quoniam ipsa eius substantia delectatur iustitia, lætatur benignitate & clementia. Hoc est eius munus, hæc est eius consuetudo. & ideo tanta accipiebant ab eo beneficia. Quemadmodum enim ignis est calefacere, & solis illustrare: ita etiam eius est benefacere, imò verò ne sic quidem, sed longè amplius. Et ideo sic quoque dixit: Iustitia plena est terra, eius affluentiam, illámque eius esse substantiæ coniunctam; &, si ita dici possit, consubstantiatam significans. 12. *Lætetur mons Sion, & exultet filiæ Iudææ, propter iudicia tua Domine.* C Alius, ob iudicia tua. 13. *Circundate Sion, & complectimini eam.* Alius, Et obite. *Narrate in turribus eius.* Alius, Numerate turres eius. Alius, Laudate. 14. *Ponite corda vestra in virtute eius.* Alius, In ambitum. Alius, In abundantiam. *Et distribuite domos eius.* Alius, Dimetimini regias eius. *Vt enarretis in progenie altera.* Alius, In generatione posteriori. 15. *Quoniam hic est Deus noster in seculum & in seculum seculi: Ipse reget nos in secula.* Quanam de causa hæc præcipit, circuire ciuitatem, numerare turres, attendere ædificia, considerare eius decorem, domos D & palatia metiri, non opus est nostra interpretatione, sed oratio ipsa seipsam explicat. Cùm enim hæc dixisset, causam quoque statim adiecit. Quamnam? Vt enarretis in progenie altera. Quod autem dicit, hoc est: Impleamini gaudio, lętemini, exultetis. Sed non leuiter ac obiter, sed accuratè & diligenter eius vires intellige. Quoniam enim fuit diruta, quoniam radicitus conuulsa, & eius solum propemodum interiit, & desperarunt fore vt ea in melius

Eccl. 18.

Iustitia Deo cohæret coessentialiter.

Collatio à minori.

mutaretur, adeò vt dicerent: Aruerunt ossa nostra, lassati sumus, cōsumpti sumus, nec expectabant fore vt eam reciperent: eam tamen receperunt, & non talem qualem amiserāt, sed longè meliorem, clariorem, atque illustriorem, maiorem, ditiorem, potentiorem, & magnificentiorem in ædificiis, in rebus venalibus, in copiis, in facultatibus. Erit enim, inquit, vltima gloria domus huius supra priorem. Adhortatur populum, & propemodū hæc dicit: Ecce hæc ciuitas, de qua erat omnis spes abiecta, quæ diruta & euersa fuerat, quomodo in splendidiorem speciem statúmque restituta est? Hæc ergo ipsa discite, eius ædificationem, splendorem, claritatem, vt cùm hinc Dei virtutem didiceritis, nempe quemadmodum cuius nulla erat spes relicta, eam maiorem fecerit: narretis posteris vestris Dei potentiam, & perpetuam eius prouidentiam, & quod nostri curam semper gerit, nos regit, & defendit. Hæ enim narrationes posteris quoque erunt magnæ argumentum philosophiæ, & occasio exactissimæ Dei cognitionis, & studij virtutis. Quamobrem iubet illos eam obire, vt sint perfecti doctores suorū posterorum. Quocirca nos quoque semper & continuò considerantes, ciuitatem nostram Hierusalem mente versemus, ac pulchritudinem eius nobis ob oculos perpetuò ponamus, quæ regis seculorum est metropolis, in qua iustorum sunt spiritus, chori Patriarcharum, Apostolorum, omniúmque sanctorum, vbi stabilia sunt cuncta non prætereuntia, vbi decora sunt immortalia, & quæ sub aspectum non cadunt, quæ solis iis hæreditate consequi licet, qui caducarum & fluxarum penitus obliti fuerint harum secularium curarum, opum scilicet ac deliciarum, & damnosarum diaboli voluptatum, fraternū autem amorem, & hospitalitatem erga pauperes, & charitatem in proximum in dies augent, atque acceptas iniurias ex animo condonant, vt cum hac ratione honestè atque: vt Deo acceptum est, vitam traduxerimus, regni cœlorum hæreditatem cernamus, in ipso Christo domino nostro, cui gloria, & imperium vna cum Patre, & Spiritu sancto nunc & semper, & in secula seculorum, Amen.

Agg. 2. 10.

A τάβολον, ὡς λέγειν· ξηρὰ γέγονε τὰ ὀστᾶ ἡμῶν. διαπεφωνήκαμεν, παραπλώμεθα, καὶ οὐ προσεδόκων αὐτὴν ἀπολήψεσθαι. ἀπέλαβον δὲ αὐτήν, καὶ οὐ τοιαύτην, οἵαν ἀπέβαλον, ἀλλὰ πολλῷ βελτίονα καὶ λαμπροτέραν, καὶ περιφανεστέραν, καὶ μείζονα, καὶ εὐπορωτέραν, καὶ δυνατωτέραν, καὶ εὐρυτέραν ἐν ταῖς οἰκοδομαῖς, ἐν τοῖς ὠνίοις, ἐν τῇ δυνάμει, ἐν τῇ τῆς ὑποστάσεως περιουσίᾳ. ἔσται γάρ, φησιν, ἡ ἐσχάτη δόξα τοῦ οἴκου τούτου, ὑπὲρ τὴν ἔμπροσθεν. παραινεῖ τῷ λαῷ ταῦτα λέγων· ἰδοὺ ἡ πόλις αὕτη, ἡ ἀπεγνωσμένη, ἡ ἀπηλπισμένη, ἡ ἐρείπιον οὖσα, πῶς ἐπὶ λαμπρότερον ἐπανῆλθε σχῆμα; αὐτὰ οὖν ταῦτα καταμάθετε, τὴν οἰκοδομὴν αὐτῆς, τὴν λαμπρότητα, τὴν περιφάνειαν, ἵνα κἀντεῦθεν μαθόντες τοῦ Θεοῦ τὴν ἰσχύν, πῶς τὴν ἀπεγνωσμένην μείζονα ἐποίησε, διηγήσησθε τοῖς ἐγγόνοις ὑμῶν τὴν δύναμιν τοῦ Θεοῦ, τὸ διαρκὲς αὐτοῦ τῆς προνοίας· ὅτι διαπαντὸς ἔλαβεν ἡμῶν κηδόμενος, καὶ προϊστάμενος καὶ ποιμαίνων. ταῦτα γὰρ τὰ διηγήματα καὶ τοῖς μετὰ ταῦτα κἀκείνοις πολλῆς ἔσται φιλοσοφίας ὑπόθεσις καὶ θεογνωσίας ἀκριβεστάτης ἀφορμή, καὶ ἀρετῆς ἐπιμελείας. διὰ ταῦτα αὐτὴν περιϊέναι κελεύει· ἵνα ἀκριβεῖς διδάσκαλοι τῶν ἐγγόνων γένωνται τῶν ἑαυτῶν. διὰ δὴ καὶ ἡμεῖς ἀεὶ καὶ διηνεκῶς ἀποσχολοῦντες ἐν νῷ ἔχωμεν τὴν πόλιν ἡμῶν Ἱερουσαλήμ, αὐτῆς τὰ κάλλη διαπαντὸς φανταζόμενοι, ἥτις ἐστὶ μητρόπολις τοῦ βασιλέως τῶν αἰώνων, ἐν ᾗ πνεύματα δικαίων, χοροὶ πατριαρχῶν, ἀποστόλων, καὶ πάντων ἁγίων· ἔνθα πάντα ἀστασίαστα, καὶ μὴ παρερχόμενα· ἔνθα τὰ ἄφθαρτα καὶ ἀθέατα κάλλη, ἃ μόνοις ἔξεστι κληρονομῆσαι τοῖς παντελῶς λήθην ποιησαμένοις τῶν φθαρτῶν τούτων καὶ προσκαίρων βιωτικῶν μεριμνῶν, πλούτου λέγω, καὶ τρυφῆς, καὶ τῶν ἐπιβλαβῶν ἡδονῶν τοῦ διαβόλου. τὴν δὲ φιλαδελφίαν καὶ τὴν φιλοξενίαν πρὸς τοὺς δεομένους καθ' ἑκάστην τὴν ἡμέραν αὔξοντες, ἀγάπην τὴν πρὸς τὸν πλησίον καὶ τὴν ἐκ τῆς καρδίας συγχώρησιν τοῦ λελυπηκότος, ἵν' οὕτω καλῶς καὶ εὐαρέστως βιοτεύοντες, κληρονόμοι γενοίμεθα τῆς τῶν οὐρανῶν βασιλείας ἐν αὐτῷ Χριστῷ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

A

Εἰς τὸν μη΄ ψαλμόν.

ΕΙΣ ΤΟ ΤΕΛΟΣ ΤΟΙΣ υἱοῖς Κορέ. ἄλλος, ἐπινίκιος.

Ἀκούσατε ταῦτα πάντα τὰ ἔθνη. ἄλλος, ἀκούσατε τοῦτο. ἐνωτίσασθε πάντες οἱ κατοικοῦντες τὴν οἰκουμένην. ἄλλος, τὴν ἐγκατάδυσιν. ἄλλος φησί, τὴν κατάδυτον· ὁ δὲ Ἑβραῖος ὀλδ'. οἵ τε γηγενεῖς καὶ οἱ υἱοὶ τῶν ἀνθρώπων. ἄλλος, ἥ τε ἀνθρωπότης. προσέτι δὲ καὶ υἱοὶ ἑκάστου ἀνδρός· ἐπὶ τὸ αὐτὸ πλούσιος καὶ πένης. ἄλλος, ὁμοῦ.

B

ΜΕΓΑΛΑ τινὰ καὶ ἀπόρρητα μέλλει διαλέγεσθαι νῦν ἡμῖν ὁ προφήτης. οὐδὲ γὰρ ἂν τοὺς πανταχοῦ τῆς γῆς ἐκάλεσεν εἰς ἀκρόασιν, οὐδ' ἂν τὸ τῆς οἰκουμένης ἐκάθισε θέατρον, εἰ μὴ μέγα τι καὶ λαμπρὸν, καὶ τοῦ μεγέθους συλλόγου ἄξιον ἐρεῖν ἡμῖν ἔμελλεν. οὐκέτι γὰρ ὡς Ἰουδαίοις προφητεύων τοῖς τὴν Παλαιστίνην οἰκοῦσι διαλέγεται· ἀλλ' ὥσπερ τις ἀπόστολος καὶ εὐαγγελιστὴς πρὸς ἅπασαν τὴν τῶν ἀνθρώπων φύσιν ἀποτείνει τὸν λόγον. ὁ μὲν γὰρ νόμος ἐν μιᾷ γωνίᾳ τῆς οἰκουμένης τὸ ἔθνος ἐπαίδευσε· ὁ λόγος δὲ τοῦ κηρύγματος πανταχοῦ τῆς γῆς ἐνηχεῖτο, καὶ αὐτὸν ἐξέτεινε τοσαύτην ἐπελθὼν χώραν, ὅσην καὶ ὁ ἥλιος ἔπεισιν. ἐκεῖνα μὲν γὰρ παιδαγωγία τις ἦν καὶ εἰσαγωγή, καὶ διακονία κατακρίσεως καὶ θανάτου· ταῦτα δὲ χάρις καὶ εἰρήνη. ἐπεὶ οὖν ἅπαν τὸ γένος εἰς τὴν ἀκρόασιν συνεκάλεσε, δεῦρο δὴ καὶ ἡμεῖς παραγενώμεθα, καὶ ἴδωμεν τί βούλεται ἡμῖν ὁ ψαλμῳδὸς εἰπεῖν, ὁ κοινὸς τοῦ γένους τῶν ἀνθρώπων προστάτης. κἂν βάρβαροί τινες ὦσι, κἂν σοφοί, κἂν ἰδιῶται; ναί, κελεύει γὰρ πάντας αὐτοὺς παραγενέσθαι. διὰ δὲ τοῦτο ἀρχόμενος καὶ εἶπε πάντα τὰ ἔθνη, καὶ πάλιν ἐπέτεινε, λέγων· οἵ τε γηγενεῖς καὶ οἱ υἱοὶ τῶν ἀν-

C

D

IN PSALMVM XLVIII.

IN FINEM FILIIS Core. *Alius*, Epinicion.

Audite hæc omnes gentes. Alius, Autem, halad. *Quique terrigenæ, & qui habitatis orbem.* Alius, subterraneam terram. Alius dicit, Quæ in imo est. Hebræus audite hoc. *Auribus percipite omnes filij hominum.* Alius, Et humanitas, & præterea filij vniuscuiusque viri. *Simul in vnum diues & pauper.* Alius, Pariter.

MAGNA quædam & arcana nobis nunc est dicturus Propheta. Neque enim quotquot sunt vbique terrarum ad audiendum vocasset, nec totius orbis theatrū exciuisset, nisi magnum quid, & præclarum, & tanti conuentus magnitudine dignum nobis esset dicturus. Neque enim amplius loquitur vt prophetans seu prædicens Iudæis qui Palæstinā habitant, sed veluti quidam Apostolus & Euangelista, ad omnem humanam naturam dirigit orationem. Lex enim vno in orbis in angulo vnam gentem docebat: sermo autem prædicationis vbique terrarum resonuit, & seipsum extendit, vt qui tantam peruaserit regionem, quantam sol prætergreditur. Illa enim erant pædagogica quædam institutio & ministerium mortis & condemnationis, hæc autem gratia & pax. Quoniam ergo conuocauit omne genus ad audiendum, nos quoque hic adsimus, & videamus quid vult nobis dicere Psalmographus, qui communi hominum generi præest, licet sint barbari, licet sapientes, licet priuati. Sic est, omnes eos adesse, iubet enim, & ideo incipiens quoque dixit: Omnes gentes. Et rursus amplificauit orationem dicens: Quique terrigenæ, & filij ho-

Rom. 5. Marc. vlt. Rom. 10. Galat. 1. 2. Cor. 3. Ioan. 1.

minum, vocans omnem humanitatem. Papæ quæ doctrina? quàm est apta omnibus & communis? Et ideo non solùm vocat omnes, sed magno studio & diligentia iubet eos illa quæ dicuntur attendere. Non solùm enim dixit, Audite hæc omnes gentes, sed etiam, Auribus percipite, vel, vt Græcum melius exprimatur, auscultate. Auscultare autem nihil est aliud quàm diligenter & attentè audire. Ausc[u]ltare enim propriè dicitur, quando quis aure auri admota loquitur, seipsúmque & illum contendens iubet adhibere animum iis quæ dicuntur. Auribus percipite omnes qui habitatis terram. Etiamsi qui, inquit, non referuntur in numerum gentium, sed sunt misti, & dispersi, vt Nomades, eos quoque voco ad audiendum. Vide autem concionatoris prudentiam. Primùm eorum animum excitauit, erectósque & alacres fecit ad ad audiendum, eò quòd omnes simul vocauerit. Deinde postquam vocauit, fastum eorum & insolentiã comprimit, ne propter multitudinem nimium efferantur, & sint nimis arrogantes. Talibus enim maximè auditoribus opus est, quando quis est verba facturus quæ ad studium sapientiæ pertinent, nempe contritis & compositis & ab omni fastu ac tumore liberis. Quomodo ergo ferocem eorum animum compescuit? Naturam in memoriam reuocans. Postquam enim dixit, Gentes, subiunxit, Quique terrigenæ & filij hominum, dixit substantiã ex qua est principium nostræ generationis, communem omnium matrem reuocauit in memoriã. Et quare dixit, Filij hominum? Quoniam dixit, terrigenas, ne quis existimaret (vt volunt antiquæ fabulæ) homines ab initio è terra pullulasse, quemadmodum nõnulli fabulati sunt, quosdam satu editos introducentes: propterea subiunxit, Filij hominum. Patres enim vobis sunt homines: principium autem generationis vobis & illis terra est. Quid ergo superbit terra & cinis? Cogita apud te quænam tua sit mater, & fastum tuum comprime: spiritus elatos conculca ac deprime: considera quòd terra es, & in terram reuerteris, & omnem arrogantiam expelle. Tali enim mihi auditore opus est. Ideo te sedatum reddo ac compositum, vt te accipiam aptum ad ea quæ dicuntur suscipienda: Simul in vnum diues & pauper. Vidisti nobilitatem con-

Auscultare quid sit. *Lege Strabonem.* *Eccli. 10. 9.* *Genes. 2.*

A ἀνθρώπων, τὴν ἀνθρωπότητα πᾶσαν καλῶν. βαβαὶ τῆς διδασκαλίας· πῶς ἐστι πᾶσιν ἁρμόδιος, καὶ κοινή. διὰ γάρ τοι τοῦτο οὐχὶ καλεῖ μόνον ἅπαντας, ἀλλὰ καὶ μετὰ πολλῆς τῆς σπουδῆς, καὶ ἀκριβείας προσέχειν τοῖς λεγομένοις κελεύει· οὐ γὰρ εἶπεν, ἀκούσατε μόνον ταῦτα πάντα τὰ ἔθνη, ἀλλὰ καὶ ἐνωτίσασθε. τὸ δὲ ἐνωτίσασθαι οὐδὲν ἕτερόν ἐστιν, ἢ τὸ μετὰ ἀσπουδῆς ἀκοῦσαι, καὶ συντεταμένῃ τῇ διανοίᾳ· ἐνωτίσασθαι γὰρ λέγεται κυρίως, ὅταν τις οὓς πρὸς οὓς διαλέγηται, συντείνων τε ἑαυτὸν, καὶ ἐκεῖνον κελεύει προσέχειν τοῖς λεγομένοις. B ἐνωτίσασθε πάντες οἱ κατοικοῦντες τὴν οἰκουμένην· καὶ εἴ τινες οὐκ εἰς ἔθνη καταλέγονται, ἀλλ' εἰσὶ μιγάδες, ἢ νομάδες διεσπαρμένοι, καὶ τούτους ἐπὶ τὴν ἀκρόασιν καλῶ. καὶ ὅρα σύνεσιν δημηγόρου· πρῶτον αὐτῶν διανέστησε τὴν διάνοιαν, καὶ μετεώρους ἐποίησε πρὸς τὴν ἀκρόασιν, τῷ πάντας ἀθρόον καλέσαι, εἶτα καλέσας, καταστέλλει τὸν τῦφον αὐτῶν, ἵνα μὴ τῷ πλήθει πρὸς ἀπόνοιαν αἴρωνται· τοιούτων γὰρ μάλιστα ἀκροατῶν χρεία, ὅταν φιλόσοφά τις μέλλῃ φθέγγεσθαι ῥήματα συντετριμμένων, καὶ κατεσταλμένων, C ἀπονοίας καὶ φυσήματος ἀπηλλαγμένων. πῶς οὖν αὐτῶν κατέστειλε τὴν διάνοιαν; ἀναμνήσας τῆς φύσεως. εἰπὼν γὰρ ἔθνη ἐπήγαγεν, οἵ τε γηγενεῖς, καὶ οἱ υἱοὶ τῶν ἀνθρώπων, εἶπε τὴν οὐσίαν, ἐξ ἧς ἡ ἀρχὴ τῆς γενέσεως ἡμῶν, ἀνέμνησε τῆς κοινῆς ἁπάντων ἡμῶν μητρός. καὶ τίνος ἕνεκεν εἶπεν, οἱ υἱοὶ τῶν ἀνθρώπων; ἐπειδὴ εἶπε γηγενεῖς, ἵνα μή τις νομίσῃ κατὰ τοὺς ἔξω μυθολόγους, ἀπὸ γῆς ἐξ ἀρχῆς βλαστῆσαι τοὺς ἀνθρώπους, καθάπερ τινὲς ἐμυθολόγησαν σπαρτούς τινας ἐπεισάγοντες· διὰ τοῦτο ἐπήγαγεν, οἱ D υἱοὶ τῶν ἀνθρώπων. πατέρες γὰρ ὑμῖν εἰσιν οἱ ἄνθρωποι, ἀρχὴ δὲ ὑμῖν κἀκείνοις γενέσεως ἡ γῆ. τί τοίνυν ὑπερηφανεύεται γῆ καὶ σποδός; ἐννόησόν σου τὴν μητέρα, καὶ κατάστειλον τὸν τῦφον· καταπάτησον τὸ φρόνημα· ἐννόησον, ὅτι γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ, καὶ πᾶσαν ἀπόνοιαν ἔκβαλε· τοιούτου γὰρ ἀκροατοῦ δέομαι. διὰ τοῦτό σε καταστέλλω, ἵνα σε ἐπιτήδειον λάβω πρὸς τὴν τῶν λεγομένων ὑποδοχήν. ἐπὶ τὸ αὐτὸ πλούσιος, καὶ πένης. εἶδες ἐκκλη-

οίας εὐγένειαν; πῶς γὰρ οὐκ εὐγένειαν, ὅταν μὴ τοῖς ἀξιώμασι διείργῃ τὸν ἀκροατήν, ἀλλ' ἐξ ἴσου τῆς διδασκαλίας τὸ πλῆθος προχέηται, καὶ τῷ πλουσίῳ, καὶ τῷ πένητι κοινὴν παρέχῃ τὴν τράπεζαν; ἐπειδὴ γὰρ εἶπε τὸ πάντας ἐνοικοῦντας, τὸ γηγενεῖς εἶναι, καὶ υἱοὺς τῶν ἀνθρώπων, καὶ τὸ κοινὸν τῆς φύσεως ἔδειξε, τότε καὶ τὴν ἐκ τῶν βιωτικῶν δοκοῦσαν διαφορὰν εἶναι, καὶ ἀνωμαλίαν εἰσάγων, καὶ ταύτην ἐκβάλλει τῷ λόγῳ, κοινῇ πάντας καλῶν· κοινὴ γὰρ ἡμῶν ἡ φύσις· κοινῇ πάντας καλῶ. κοινὴ γὰρ ὑμῶν πόλις ἡ οἰκουμένη. ἀλλ' ἐπενοήσατέ τινα διαφορὰν ἀπὸ πλούτου, καὶ πενίας, καὶ ἀνωμαλίαν εἰσηγάγετε· ἀλλὰ καὶ ταύτην ἐκβάλλω πάλιν, οὐχὶ πλουσίους μὲν προσιέμενος· πένητας δὲ ἀτιμάζων, οὐδὲ πένητας μὲν καλῶν, πλουσίους δὲ ἐκβάλλων, ἀλλὰ καὶ τούτους, κἀκείνους, καὶ οὐχ ἁπλῶς τούτους κἀκείνους, τοὺς μὲν προτέρους, τοὺς δὲ ὑστέρους, ἢ τοὺς μὲν ὑστέρους, τοὺς δὲ προτέρους· ἀλλ' ἐπὶ τὸ αὐτό· κοινὸς ὁ σύλλογος ἔστω, κοινὸς ὁ λόγος, καὶ κοινὴ ἡ ἀκρόασις. κἂν πλούσιος ᾖς, ἐκ τοῦ αὐτοῦ γέγονας πηλοῦ, τὴν αὐτὴν εἴσοδον ἔσχες τῷ πένητι, τὴν αὐτὴν γένεσιν. καὶ σὺ ἀνθρώπου υἱὸς, κἀκεῖνος. ὅταν τοίνυν τὰ κύρια, καὶ κύρια ἴσα ὑμῖν ᾖ, καὶ ὁμότιμα, τί διὰ τὰς σκιὰς, καὶ ὀνείρατα σεαυτὸν φυσᾷς, ἐκ τῶν οὐδὲν ὄντων τὰ κοινὰ διαιρῶν; κοινὰ τὰ τῆς φύσεως, κοινὰ τὰ τῆς γενέσεως, τὰ τῆς οἰκειώσεως. τί τοίνυν ἔξωθεν περιβολὴν ἐπεισάγεις εἰς διαιρέσεως ἀφορμήν; οὐκ ἀνέχομαι, διὰ τοῦτο καλῶ σε μετὰ τοῦ πένητος, λέγων· ἐπὶ τὸ αὐτὸ πλούσιος, καὶ πένης. ἐν μὲν γὰρ τοῖς ἄλλοις οὐκ ἔστιν ἰδεῖν ἐπὶ τὸ αὐτὸ πλούσιον, καὶ πένητα. οὐκ ἐν δικαστηρίοις, οὐκ ἐν βασιλικαῖς αὐλαῖς, οὐκ ἐν ἀγοραῖς, οὐκ ἐν τραπέζαις· ἀλλὰ τὸν μὲν ἐν τιμῇ, τὸν δὲ ἐν καταφρονήσει· τὸν μὲν ἐν παρρησίᾳ, τὸν δὲ ἐν αἰσχύνῃ. ἡ γὰρ σοφία τοῦ πένητος ἐξουθενημένη, καὶ οἱ λόγοι αὐτοῦ οὐκ εἰσακουόμενοι. ἐλάλησε πλούσιος, καὶ ἐδικαίωσαν αὐτόν· πτωχὸς ἐλάλησε, καὶ οὐκ ἐδόθη αὐτῷ τόπος. ἀλλ' οὐκ ἐνταῦθα. οὐδὲ γὰρ ἐπὶ τῆς ἐκκλησίας ἀνέχομαι τῆς πλεονεξίας, καὶ τῆς ἀλογίας, ἀλλὰ κοινὴν ἅπασι προτίθημι τὴν

A cionis? Quidni enim nobilitatem, quando propter authoritatem nequaquam arcet auditorem, sed vniuersa doctrina ex æquo profunditur, & pauperi, & diuiti mensa communis exhibetur? Postquam enim dixit ei quod omnes vnit, eos videlicet esse terrigenas, & filios hominum, & communem esse naturam ostendit, tunc quæ ex rebus ad hanc vitam pertinentibus videbatur esse, differentiam & inæqualitatem oratione eijcit, cōmuniter omnes vocans; est enim communis nostra natura: communiter omnes voco. Communis enim nostra ciuitas est orbis terB rarum. Sed ex paupertate & diuitiis differentiam aliquam excogitastis, & inæqualitatē introduxistis: atqui eam quoque rursus eijcio, non diuites quidem admittens, pauperes autē habens despicatui, nec diuites quidem vocans, pauperes autem expellens, sed & hos, & illos, & non solummodo & hos & illos, verbi gratia, hos quidem priores, illos verò posteriores, vel illos quidem posteriores, hos verò priores: sed simul: sit communis conuentus, communis oratio, communis etiam auditio. Licet C sis diues, ex eodem luto natus es: idem fuit tibi cum paupere ingressus, idem ortus. Et tu hominis filius es, & ille. Cùm ergo quæ sunt præcipua, & magis opportuna, & honore æqualia, ex æquo habeatis, cur propter vmbras & somnia intumescis, ex iis quæ nihil sunt, communia distinguens, communia naturæ, communia ortus & generationis, communia affinitatis & necessitudinis? Cur amictum exteriorem adducis, vt distinctionem ex eo efficias? Non fero, non patior, & ideo voco te cum paupere, dicens: Simul in vnum diues & pauper. D In aliis enim non possunt simul videri diues & pauper, non in iudiciis, non in aulis regiis, non in foris, non in mensis: sed illum quidem honoratum, hunc verò contemptum & abiectum: illum quidem liberè & confidenter agentem, hunc verò pudore ac ignominia affectū videas. Sapientia enim pauperis nihili ducitur, & verba eius non exaudiuntur. Locutus est diues, & eum pulchrè ac rectè dixisse dicunt. Pauper locutus est, & non est datus ei locus. At non hic. Neque enim in hac ecclesia ac concione stultam illam ambitionē honorisq. cupiditatē patior, sed cōmunē omnib.

Hominum inter se natura communis est. Act. 17.

Sap. 7. Hebr. 9.

Eccli. 13. 28

doctrinam propono. Vide doctoris prudentiam, quomodo etiam antequam incipiat concionem, ex ipsa sola vocatione maximũ doctrinæ decretum protulerit. Qui enim omnes simul vocauit, neque illũ siuit intumescere, nec hunc vilem & abiectum esse, sed ostendit nec diuitias esse bonum, sicut nec paupertatem malum, sed ea esse superuacanea & externa. Quare nihil mea refert an hoc sis, vel illud. Neq; enim si sis diues, video tibi aliquid accedere: nec si sis pauper, decedere. Sed fortè dixerit aliquis: Et cur cum homo sis, eiusdémque naturæ particeps, teipsum tanti facis, vt putes te esse idoneum orbis terrarum magistrum, & eos qui sunt in extremis finibus orbis, conuoces? quid potes dicere quod sit dignum tanto theatro? Certè, inquit. Postquam enim vocauit orbem terræ, credibilem ac fide dignam reddens orationem, audi quid dicat: *Os meum loquetur sapientiam, & meditatio cordis mei prudentiam.* Alius, Et cantillabit cor meum prudentiã. Hebræus autem hoc dixit *Ouagith.* Vides quomodo statim extulit orationem. Non dicam, inquit, de pecuniis, non de dignitatibus, nõ de potentia, non de viribus corporis, non de aliquo alio momentaneo: de sapientia sum exactè dicturus, quæ non temere mihi accessit, ex tempore: *Inclinabo in parabolam aurem meam.* Alius, Inclinabo parabolæ aurẽ meam. Hebræus autem dicit *Lamasa. Aperiam in psalterio propositionẽ meam.* Alius, Ænigma meum. Hebræus autem hoc dixit *Idathei.* Et quomodo sunt hæc iis quæ dicta sunt consequentia? Pro doctore enim nunc video auditorẽ. Nos enim vocasti tanquam aliquid boni & vtilis audituros; postquam autem omnes adsunt & conuenerunt, & te aliquid doctum ac præclarum dicturum es pollicitus, nihil adhuc locutus, relicto loco doctoris, auditoris partes suscipis. Inclinabo enim, inqui, in parabolã aurem meam. Quare hoc facit? Valde prudenter, & consequenter iis quæ dicta sunt. Quoniam enim dixit, Loquar sapientiam: ne quis existimaret esse humanũ quod dicitur, & meditationem cordis: ne haberet suspectam eius inuentionem, per hæc ostendit diuina esse ea quæ dicũtur, séq; nihil loqui proprium, sed ea dicere, quę audiuit. Inclinaui enim, inquit, Deo

A διδασκαλίαν. ὅρα σύνεσιν διδασκάλου, πῶς καὶ πρὶν ἢ τῆς δημηγορίας ἄρξασθαι, ἀπὸ τῆς κλήσεως μόνης μέγιστον ὅρον διδασκαλίας ἐξενήνοχεν. ὁμοῦ γὰρ πάντας καλέσας, οὔτε ἐκεῖνον ἀφῆκε φυσηθῆναι, οὔτε τοῦτον ἐξευτελίζεσθαι, ἀλλ' ἔδειξεν, ὅτι οὐδὲ ὁ πλοῦτος καλὸν, ὥσπερ οὐδὲ ἡ πενία κακὸν, ἀλλὰ τῶν περιττῶν ἐστι, καὶ ἔξωθεν προσκειμένων. ὥστε οὐδέν μοι διαφέρει, κἂν τοῦτο ἦς, κἂν ἐκεῖνο· οὔτε γὰρ πλούσιον ὁρῶ σε ὄντα πλέον ἔχειν, οὔτε πένητα ἔλαττον. ἀλλ' ἴσως εἴποι τις ἄν· καὶ B τί δήποτε ἄνθρωπος ὢν, καὶ τῆς αὐτῆς μετέχων φύσεως τοσοῦτον σεαυτὸν ἀξιοῖς, ὡς νομίζειν τῆς οἰκουμένης ἐπιτήδειον εἶναι γενέσθαι διδάσκαλον, καὶ τοὺς ἐκ τῶν περάτων τῆς γῆς συγκαλεῖν; τί τοῦ τηλικούτου θεάτρου ἄξιον ἔχων εἰπεῖν; ναί, φησιν· ἐπειδὴ γὰρ ἐκάλεσε τὴν οἰκουμένην, ποιῶν ἀξιόπιστον τὸν λόγον, ἄκουσον, τί λέγει· τὸ στόμα μου λαλήσει σοφίαν, καὶ ἡ μελέτη τῆς καρδίας μου σύνεσιν. ἄλλος, καὶ μινυρίσει ἡ καρδία μου σύνεσιν. ὁ δὲ Ἑβραῖος οὐαγὶθ τοῦτο εἶπεν. εἶδες πῶς εὐθέως ἀνήγαγε τὸν λόγον; οὐ περὶ χρημάτων διαλέξομαι, φησὶν, οὐ C περὶ ἀξιωμάτων, οὐ περὶ δυναστείας, οὐ περὶ ῥώμης σώματος, οὐ περὶ ἄλλου τινὸς τῶν ἐπικήρων, σοφίαν μέλλω λέγειν μετ' ἀκριβείας, οὐχ ἁπλῶς ἐκ τοῦ παραχρῆμα ἐπελθοῦσάν μοι. κλινῶ εἰς παραβολὴν τὸ οὖς μου. ἄλλος, κλινῶ παραβολῇ τὸ οὖς μου. ὁ δὲ Ἑβραῖος λαμασᾶ φησιν· ἀνοίξω ἐν ψαλτηρίῳ τὸ πρόβλημά μου. ἄλλος, αἴνιγμά μου. ὁ δὲ Ἑβραῖος ἰδαθεὶ τοῦτο εἶπε. καὶ ποία αὕτη πρὸς τὰ εἰρημένα ἀκολουθία; ἀντὶ γὰρ διδασκάλου ἀκροατὴν ὁρῶ νῦν. ἐκάλεσας μὲν γὰρ ὡς ἀκουσομένους τι χρήσιμον μετὰ δὲ τὸ παραγενέσθαι, καὶ συναγαγεῖν ἅπαντας, D καὶ ἐπαγγείλασθαί τι σοφὸν ἐρεῖν, οὐδὲν οὐδέποτε φθεγξάμενος, ἀφεὶς τὴν τοῦ διδασκάλου τάξιν, εἰς τὴν τοῦ ἀκροατοῦ μεταβαίνεις χώραν. κλινῶ γὰρ, φησιν, εἰς παραβολὴν τὸ οὖς μου. τίνος ἕνεκεν τοῦτο ποιεῖ; σφόδρα συνετῶς, καὶ ἀκολούθως τοῖς εἰρημένοις. ἐπειδὴ γὰρ, εἶπε, λαλήσω σοφίαν, ἵνα μή τις ἀνθρώπινον τὸ λεγόμενον εἶναι νομίσῃ, καὶ μελέτην καρδίας, ἵνα μὴ αὐτοῦ εὕρημα ὑποπτεύσῃ, δείκνυσι διὰ τούτων, ὅτι θεῖα τὰ λεγόμενα, καὶ ὅτι οὐδὲν ἴδιον φθέγγεται, ἀλλ' ἅπερ ἤκουσε, ταῦτα λέγει· ἔκλινα γάρ, φησι, τὸ οὖς μου τῷ Θεῷ, ἤκουσα

ἤκουσα παρ' ἐκείνου, καὶ τὰ ἄνωθεν κατπεμφθέντα εἰς τὴν διάνοιαν τὴν ἐμὴν, ταῦτα λέγω. διὰ τοῦτο καὶ ὁ Ἡσαΐας ἔλεγε· κύριος δίδωσί μοι γλῶσσαν παιδείας τοῦ γνῶναι, ἡνίκα δεῖ εἰπεῖν λόγον, προσέθηκέ μοι ὠτίον ἀκούειν. καὶ ὁ Παῦλος πάλιν· ἡ πίστις ἐξ ἀκοῆς, ἡ δὲ ἀκοὴ διὰ ῥήματος Θεοῦ. ὁρᾷς καὶ ἐκεῖνον ἀκροατὴν γενόμενον πρότερον, καὶ τότε διδάσκαλον; διὰ καὶ ἕτερος ἑρμηνευτὴς ἔλεγε, καὶ μινυρίσει ἡ καρδία μου. τί ἐστι μινυρίσει; ᾄσεται, ψαλμόν τινα ἐρεῖ πνευματικόν. εἰ δὲ μελέτην λέγει, μὴ θορυβηθῇς, ἃ γὰρ ἔλαβεν ἀπὸ τοῦ πνεύματος, ταῦτα διηνεκῶς ἐμελέτα, καὶ παρ' ἑαυτῷ ἀνεκίνει, καὶ τότε ἀνακινήσας, εἰς τοὺς ἄλλους ἐξέφερε. τί δέ ἐστιν εἰς παραβολήν; πολυσήμαντόν τι ἐστι τὸ ὄνομα. ἔστι γὰρ παραβολὴ, λάλημα, καὶ ὑπόδειγμα, καὶ ὀνειδισμός, ὡς ὅταν λέγῃ· ἔθου ἡμᾶς εἰς παραβολὴν ἐν τοῖς ἔθνεσι, κίνησιν κεφαλῆς ἐν τοῖς λαοῖς. ἔστι παραβολὴ καὶ αἰνιγματώδης λόγος, ὃ πολλοὶ λέγουσι ζήτημα, ἐμφαῖνον μέν τι, οὐκ αὐτόθεν δὲ δῆλον ὂν ἀπὸ τῶν ῥημάτων, ἀλλ' ἔχον ἔνδον κεκρυμμένην διάνοιαν, οἷα τὰ τοῦ Σαμψών· ἃ ἔλεγεν· ἐξῆλθεν ἀπὸ ἔσθοντος βρῶσις, καὶ ἀπὸ ἰσχυροῦ γλυκύ· καὶ ὁ Σολομὼν, νοήσει τε παραβολὴν, καὶ σκοτεινὸν λόγον. λέγεται παραβολὴ, καὶ ἡ ὁμοίωσις· ἄλλην παραβολὴν παρέθηκεν αὐτοῖς λέγων. ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ σπείροντι καλὸν σπέρμα. παραβολὴ λέγεται καὶ τροπολογία· υἱὲ ἀνθρώπου εἰπὲ τὴν παραβολὴν ταύτην αὐτοῖς. ὁ ἀετὸς ὁ μέγας, ὁ μεγαλοπτέρυγος, ἀετὸν λέγων τὸν βασιλέα. παραβολὴ λέγεται καὶ τύπος, καὶ εἰκὼν, καθάπερ δείκνυσι καὶ ὁ Παῦλος λέγων· πίστει προσενήνοχε τὸν Ἰσαὰκ πειραζόμενος, καὶ τὸν μονογενῆ προσέφερεν ὁ τὰς ἐπαγγελίας δεξάμενος, ὅθεν καὶ ἐν παραβολῇ αὐτὸν ἐκομίσατο, τουτέστιν ἐν τύπῳ, καὶ ἐν εἰκόνι. τί οὖν ἐνταῦθα βούλεται αὐτῷ ἡ παραβολή; ἐμοὶ δοκεῖ τὸ διήγημα λέγειν. εἰ δὲ αἰνιγματώδη ποιεῖ τὸν λόγον καὶ πολλὴν ἔχοντα τὴν δυσκολίαν, μηδὲ οὕτως θορυβηθῇς· ἵνα γὰρ διεγείρῃ τὸν ἀκροατὴν, τοῦτο ποιεῖ· ἐπειδὴ πολλοὺς ἡ εὐκολία εἰς ῥαθυμίαν ἄγει, διὰ τοῦτο ἐν παραβολῇ φθέγγεται.

A aurem meam, audiui ab illo,& quæ in mentem meam à superis demissa sunt, ea dico. Et ideo dicebat Esaias: Dominus dat mihi linguam doctrinæ, vt sciam, quando sermonem dicere oporteat: adiecit mihi aurem ad audiẽdum. *Esa.50.4.* Et rursus Paulus: Fides ex auditu, auditus autem per verbum Dei. *Rom.10.17.* Vides illum quoque prius fuisse auditorem, & deinde doctorem? Et ideo superius etiam dixit alius interpres: Et cantillabit cor meum. Quid est, cantillabit? Canet, dicet psalmum aliquem spiritualem. Si autem dicit meditationem, B ne conturberis. Quæ enim à Spiritu acceperat, ea assiduè meditabatur, & apud se versabat: & cùm diu versasset, aliis proferebat. Quid est autem, in parabolam? Est nomen quod habet multa significata. Est enim parabola, *Parabola.* loquela, exemplum, & exprobratio aut opprobrium, vt quando dicit: Posuisti nos in parabolam in gentibus, *Psal.43.15.* commotionem capitis in populis. Est etiam parabola, oratio ænigmatica, quam multi dicunt quæstionem, quæ aliud quidem significat, sed id non est apertum statim ex ipsis verbis, sed ha- C bet sensum intus latentem, cuiusmodi erant ea quæ dicebat Samson: Egressus est à comedite cibus,& à forti dulce. *Iud.14.* Et Salomon, Animaduertetque parabolam, & obscurum sermonem. *Prou.1.6.* Dicitur etiam parabola similitudo. Aliam parabolam, inquit, proposuit eis, dicens: Simile est regnum cœlorum homini seminanti bonum semen. *Matt.13.4. Luc.8.5.* Est etiam parabola, tropologia, seu figurata oratio. Fili hominis, dic eis parabolam hanc. *Ezech.17.3.* Aquila magna, magnas habens pennas, aquilam dicens Regem. Dici- D tur etiam parabola, figura & imago, quemadmodum ostendit Paulus, dicens: Fide obtulit Abraham Isaac,cùm tentaretur, & vnigenitum offerebat is, *Hebr.11.16* qui susceperat repromissiones. Vnde etiam in parabola eũ retulit, hoc est, in figura & in imagine. Quid ergo sibi vult hic parabola? Mihi videtur dicere narrationem. Si autem orationem facit obscuram & ænigmaticam, & quæ multum habet difficultatis, ne sic quidem conturberis: hoc enim facit vt auditorem excitet: & alioqui quoniam facilitas ad socordiam & negligentiam adducit, propterea loquitur in parabola. *Lectore ad inquisitionem inuitat scriptura obscuritas.*

Matth. 15. Marc. 7. Nam Christus quoque multa loquebatur in parabolis, separatim autem eas soluebat discipulis. Parabola enim dignum ab indigno distinguit; dignus enim quærit inuenire ea quæ dicuntur, indignus autem prætercurrit. Quod tunc etiam vsuuenit. Iudæi enim ne difficultate quidem excitati impellebantur ad interrogandum. Ita non attendebant omnino ea quæ dicebantur. Ad incitandum autem ad exquisitionem sufficit, quando fuerit aliquid adumbratum & obscurum. Quocirca *Matth. 13. Luc. 8.* Christus quoque hoc faciebat; & loquebatur in parabolis, eos stimulans & incitans, vt audire cuperent qui supini dormiebant: sed ne sic quidem attendebant: discipuli autem animum adhibebant, & cùm essent ignorantes, vel eo nomine maximè permanebant, quoniam ignorabant, quocirca eis seorsum soluebat parabolas, & ideo hic quoque dicit: Inclinabo in parabolam aurem meam. Aperiam in psalterio propositionem meam. Est autem problema o- *Problema.* ratio obscura & ænigmatica, & ideo a- *Psal. 77. 2.* libi quoque dicit: Loquar problemata à constitutione mundi. quapropter ausus est etiam vocare sapientiam, diuina fretus reuelatione, & ideo etiam aperit in psalterio, doctrinam spiritalem indicans, & se superno esse numine afflatū. In cantico autem dat consilium, orationem reddens suauiorem. Vidisti quomodo procemium composuit? Vocauit orbem terræ, quæ est in vita inæqualitatem expulit, naturam in memoriam reuocauit, arrogantiā compressit, pollicitus est se aliquid magnum & præclarum esse dicturum, dixit se nihil domo allatum proloqui, sed quæ ab illo audiit, significauit in oratione esse magnam obscuritatem, nos reddens attentiores, pollicitus est se nos spiritualem docturum sapientiam, quam perpetuò meditabatur. Attendamus ergo, & ne prætereamus. Si est enim sapiens oratio, & parabola, & problema, mente erecta & excitata opus est. Quod est ergo consilium, & quod problema, quæ parabola, & quę sapientia, quam audiit è supernis? 6. *Cur timebo*, inquit, *in die mali?* Alius, In diebus maligni, Alius, mali. Syrus autē *[illegible]. Iniquitas calcanei mei circumdabit me.* Alius, Vestigiorum meorum. Hebræus autē *Vaon aquebei isubeni.*

A ἐπεὶ καὶ ὁ Χριστὸς πολλὰ ἐν παραβολαῖς ἐλάλει, κατ' ἰδίαν δὲ τοῖς μαθηταῖς ἐπέλυε ταύτας. ἡ γὰρ παραβολὴ τὸν ἄξιον, καὶ οὐκ ἄξιον διαιρεῖ· ὁ μὲν γὰρ ἄξιος ἐκζητεῖ τὰ λεγόμενα εὑρεῖν, ὁ δὲ ἀνάξιος παρατρέχει· ὅπερ καὶ τότε ἐγίνετο. οἱ μὲν γὰρ Ἰουδαῖοι οὐδὲ ὑπὸ τῆς δυσκολίας διεγειρόμενοι πρὸς τὴν ἐρώτησιν εἵλκοντο· οὕτω καθάπαξ οὐ προσεῖχον τοῖς λεγομένοις. ἱκανὸν γὰρ τοῦτο πρὸς ζήτησιν διεγεῖραι, ὅταν ᾖ τι συνεσκιασμένον. διὸ καὶ ὁ Χριστὸς ἐποίει τότε διεγείρων αὐτοὺς πρὸς ἐπιθυμίαν ἀκροάσεως ἀναπεπτωκότας, καὶ καθεύδοντας· B ἀλλ' οὐδὲ οὕτω προσεῖχον· οἱ δὲ μαθηταὶ προσεῖχον το, καὶ ἀγνοοῦντες ἐνέμενον δι' αὐτὸ τοῦτο μάλιστα, ὅτι ἠγνόουν. διὸ καὶ κατ' ἰδίαν ἔλυεν αὐτοῖς τὰς παραβολάς. διὰ τοῦτο καὶ ἐνταῦθά φησι, κλινῶ εἰς παραβολὴν τὸ οὖς μου, ἀνοίξω ἐν ψαλτηρίῳ τὸ πρόβλημά μου. πρόβλημα δέ ἐστι λόγος συνεσκιασμένος, καὶ αἰνιγματώδης, διὸ καὶ ἀλλαχοῦ φησι· φθέγξομαι προβλήματα ἀπὸ καταβολῆς κόσμου. διὰ τοῦτο καὶ σοφίαν ἐτόλμησε καλέσαι, θαρρῶν τῇ θείᾳ ἀποκαλύψει· διὰ τοῦτο καὶ ἐν C ψαλτηρίῳ φησί, τὸ πνευματικὸν ἐμφαίνων τῆς διδασκαλίας, τὴν ἄνωθεν κατοχὴν αὐτοῦ γινομένην, καὶ ἐν ᾄσματος τάξει ποιεῖται τὴν συμβουλὴν ἡδύνων τὸν λόγον. εἶδες πῶς τὸ προοίμιον κατεσκεύασεν; ἐκάλεσε τὴν οἰκουμένην, ἐξέβαλε τὴν ἀνωμαλίαν τὴν ἐν τῷ βίῳ, ἀνέμνησε τῆς φύσεως, κατέστειλε τὰ φρονήματα, ὑπέσχετο μέγα τι, καὶ γενναῖον ἐρεῖν, εἶπε μηδὲν οἴκοθεν φθέγξεσθαι, ἀλλ' ἃ παρ' ἐκείνου ἤκουσε, πολλὴν ᾐνίξατο ἐν τῷ λόγῳ τὴν ἀσάφειαν εἶναι, προσεκτικωτέρους ποιῶν, πνευ- D ματικὴν ὑπέσχετο σοφίαν ἡμᾶς διδάξαι, ἣν διαπαντὸς ἐμελέτα. προσέχωμεν τοίνυν, καὶ μὴ παρατρέχωμεν. εἰ γὰρ σοφὸς ὁ λόγος, καὶ παραβολή, καὶ πρόβλημα, διεγηγερμένης χρεία διανοίας. τίς οὖν ἐστιν ἡ συμβουλή, καὶ τί τὸ πρόβλημα, καὶ τίς ἡ παραβολή, καὶ τίς ἡ σοφία, ἣν ἄνωθεν ἤκουσεν; ἵνα τί φοβοῦμαι, φησιν, ἐν ἡμέρᾳ πονηρᾷ; ἄλλος, ἐν ἡμέραις πονηροῦ. ἄλλος κακοῦ· ὁ Σύρος ῥᾶ. ἡ ἀνομία τῆς πτέρνης μου κυκλώσει με. ἄλλος, τῶν ἰχνέων μου. ὁ δὲ Ἑβραῖος αὐὼν ἀκουββαεὶ ἰσουββουνεί.

εἶδες, πῶς πρόβλημα, καὶ αἴνιγμα, καὶ σκοτεινὸς ὁ λόγος, καὶ πολλὴ ἡ ἀσάφεια; ἀλλ' εἰ δοκεῖ, πρότερον μάθωμεν, ποίαν λέγει πονηρὰν ἡμέραν. ποίαν τοίνυν εἴωθε καλεῖν ἡ γραφὴ ἡμέραν πονηράν; τὴν τῆς συμφορᾶς, τὴν τῶν κολάσεων, τὴν τῶν περιστάσεων. ὃ καὶ ἀλλαχοῦ φησι· μακάριος ὁ συνιὼν ἐπὶ πτωχὸν, καὶ πένητα, ἐν ἡμέρᾳ πονηρᾷ ῥύσεται αὐτὸν ὁ κύριος. τοιαύτη δέ ἐστιν ἡ μέλλουσα τοῖς ἁμαρτωλοῖς, ἡ φοβερὰ ἐκείνη, καὶ ἀφόρητος. εἶδες πρῶτον φιλοσοφίας ὅρον τῆς ἀνωτάτω, ὅπως διεκρίνε σοι ὁ λόγος, ποῖα μὲν ἄξια φόβου, ποῖα δὲ καταγνώσεως; ἂν γὰρ μὴ ταύτην τις τὴν ἀρίστην ποιήσηται διαίρεσιν, καθάπερ ἐν σκότῳ βαθεῖ, καὶ συγχύσει πραγμάτων περιφερόμενος ἀπορήσεται. ἂν μὴ διέλωμεν τίνα μὲν φοβεῖσθαι δεῖ, τίνα δὲ διαπτύειν, πολλὴ κατὰ τὸν βίον ἔσται ἡ πλάνη, πολὺς ὁ κίνδυνος. καὶ γὰρ ἐσχάτης ἀνοίας φοβεῖσθαι τὰ μὴ ἄξια φόβου, καταγελᾶν δὲ, ἃ φοβεῖσθαι δίκαιον· τούτῳ καὶ οἱ ἄνδρες τῶν παίδων διεστήκασιν, ὅτι ἐκεῖνοι μὲν ἅτε ἐν ἀτελεῖ διανοίᾳ ὄντες προσωπεῖα δεδοίκασι, καὶ ἀνθρώπους σάκκοις περικειμένους· τὸ δὲ ὑβρίσαι πατέρα, ἢ μητέρα οὐδὲν εἶναι ἡγοῦνται· καὶ πυρὶ μὲν ἐπιπηδῶσι, καὶ λύχνοις καιομένοις· ψόφους δὲ ἴσως δεδίττονται, οὐδὲν ἔχοντας δεινόν· οἱ δὲ ἄνδρες οὐδενὶ τούτων ἐπιστρέφονται· ἐπεὶ οὖν πολλοὶ παίδων εἰσὶν ἀνοητότεροι, διαίρεσιν ποιεῖται ταύτην, καὶ λέγει τίνα χρὴ φοβεῖσθαι, οὐ τὰ πολλοῖς φοβερὰ, πενίαν, καὶ ἀδοξίαν, καὶ νόσον. ταῦτα γὰρ οὐ μόνον τοῖς πολλοῖς φοβερὰ, ἀλλὰ καὶ ἐπαχθῆ, καὶ φορτικά· ἀλλ' οὐδὲν τούτων τίθησιν, ἀλλ' ἁμαρτίαν μόνην. τοῦτο γάρ ἐστιν, ἡ ἀνομία τῆς πτέρνης μου κυκλώσει με. τοῦτο οὖν ἐστιν αἰνιγματῶδης λόγος· τοῦτο καινὸς, καὶ παράδοξος τρόπος. σφόδρα γὰρ καινὸν, καὶ παράδοξον τοῖς πολλοῖς εἶναι δοκεῖ τὸ λέγειν, μὴ δεῖν τι φοβεῖσθαι τῶν ἐν τῷ βίῳ λυπηρῶν. τί οὖν φοβοῦμαι φησιν, ἐν τῇ ἡμέρᾳ τῇ φοβερᾷ; ἓν μόνον, μήποτε ἡ ἀνομία τῆς ὁδοῦ μου, καὶ τοῦ βίου μου κυκλώσῃ με. οἶδε δὲ καὶ πτέρναν καλεῖν τὴν ἀπάτην ἡ γραφὴ, ὁ ἐσθίων γὰρ μετ' ἐμοῦ, φησιν, ἄρτον, ἐπῆρεν ἐπ' ἐμὲ πτερνισμόν.

A Vidisti quomodo est problema & ænigma, & obscura oratio, & permultum obscuritatis: sed, si videtur, primùm intelligamus quemnam dicit malum diem. Quemnam ergo malum diem solet vocare scriptura? Diem calamitatum, diem suppliciorum, diem ærumnarum. Quod etiam dicit alibi: Beatus qui intelligit super egenum & pauperem: in die mala liberabit eum Dominus. Talis est autem dies futurus peccatoribus illic terribilis & intolerabilis. Vidisti primum decretum supremæ sapientiæ, & quomodo tibi definiat oratio, quænam sint digna metu, & quænam condemnatione. B Nisi quis enim hæc optime definiat & distinguat, tanquam in profundis tenebris, rerúmque confusione huc & illuc circumlatus, exitum non inuenit. Nisi sit nobis definitum & constitutum quænam quidem timere, quænam verò execrari oporteat, magnus in vita error, & magnum periculum. Est enim extremæ amentiæ, timere ea quæ non sunt timenda, ea verò ridere quæ iure timenda sunt. In hoc homines à pueris differunt, quòd hi quidem (vt quorum C non sit perfecta adhuc intelligentia) personas timent, hominésque saccis indutos: patrem autem aut matrem contumelia afficere nihil esse existimant, & in ignem quidem & lucernas ardentes insiliunt, strepitus autē quosdam minimè timendos extimescunt: viri autem nihil horum curant. Quia ergo multi sunt pueris stultiores, tradit hanc distinctionem, & dicit quænam timere oporteat, non ea quæ multis videntur terribilia, paupertatem dico, ignominiam, & morbum. Hæc enim non sunt solùm multis terribilia, sed etiam molesta & grauia: sed nihil hoD rum tale esse statuit, sed solùm peccatum: hoc enim sibi vult illud, iniquitas calcanei mei circundabit me. Hoc est ergo oratio ænigmatica, hoc est nouus tropus & admirabilis. Valde enim nouum videtur esse multis & admirabile dicere, non oportere aliquid timere eorum quæ sunt in vita grauia & molesta. Quid ergo timebo, inquit, in die mala? Vnum tantum, ne fortè viæ meæ, & vitæ iniquitas me circumdet. Solet scriptura fraudem vocare calcaneum. Qui comedit enim, inquit, mecum panem, sustulit in me calcaneum.

Pro die mala Chald. habet, tempestatis.

Psal. 40. 1. Ioel. 2.

Peccatum solum terribile est & timendum.

Psal. 40. 10. Gen. 27. 36.

Et Esau rursus dicebat de Iacob: Iam secundò me supplantauit. Est enim peccatum res eiusmodi, fraudulenta, & apta ad arripiendum. Hoc, inquit, vereor, peccatum quod me decipit, quod me circumdat. Et ideo Paulus id vocat circumsistens, significans, id quod continuè, quod facilè, quod nullo ambitu & circumdat negotio. In his ergo iudiciis multa timent homines, & vim opum, & potentiam, & iniuriam, & fraudem. Illic autem nihil est eiusmodi, sed peccatum solum est terribile, quod vndique circuit eos qui capiuntur, quouis exercitu grauius. Sunt ergo omnia agenda, vt non ab ipso circumdemur, postquam autem viderimus id nos velle comprehendere, oportet eius manus effugere, vt faciunt egregij milites. Quod si etiam capti fuerimus, oportet id celeriter rescindere, quemadmodum fecit Dauid, qui per pœnitentiam vires eius abscidit. Fuit enim ab eo circumdatus: sed id statim effugit. Qui hoc timuerit, nihil aliud vnquam timebit, sed irridebit ea quæ in præsenti vita bona sunt, & quæ molesta sunt contemnet, cùm solus ille metus eius mentem agitet. Nihil enim aliud est ei formidabile, qui est hoc timore præditus: atque adeò ne ipsa quidem mors, quæ est caput rerum terribilium: nisi hoc vnum solum. Quomodo? Quoniam tradit gehennæ, quoniam transmittit ad immortalia supplicia. Si quis rursus in eo se rectè gesserit, inducit omnem virtutem. Cogita enim quanta res sit, nec bonis rebus intumescere, nec molestiis animum demittere, præsentium nullam rationem ducere, futura respicere, diem illum expectare, in tali metu assiduè versari. Qui talis est, erit angelus, qui quidem hoc solùm timuerit, & nihil aliud: nihil enim aliud timebit, si hoc solum timuerit, vt timere oportet: quemadmodum qui non hoc timuerit, is erit obnoxius multis formidabilibus. 7. *Qui confidunt in virtute sua, & in multitudine diuitiarum suarum gloriantur.* Alius, sunt insolentes. 8. *Frater non redimit, redimet homo? Non dabit Deo placationem suam.* 9. *Et pretium redemptionis animæ suæ.* Et quænam est hæc consequentia, dixerit quispiam? Pulchra, & rectè cohærens,

Gen. 27. 36

Hebr. 12. 1.

Collatio. 2. Reg. 12. 24.

A Καὶ πάλιν ὁ Ἡσαῦ ἔλεγεν περὶ τοῦ Ἰακὼβ, δεύτερον τοῦτο ἐπτέρνικέ με. τοιοῦτον γὰρ ἡ ἁμαρτία, ἀπατηλὸν, καὶ ἱκανὸν συναρπάσαι. ταύτην οὖν δέδοικα τὴν ἀπατῶσάν με ἁμαρτίαν, τὴν κυκλοῦσάν με. διὸ καὶ ὁ Παῦλος αὐτὴν εὐπερίστατον καλεῖ, τὴν συνεχῶς περιβάλλουσαν δηλαδὴ, τὴν εὐκόλως, τὴν ῥαδίως. ἐν μὲν οὖν τούτοις τοῖς δικαστηρίοις, πολλὰ δεδοίκασιν οἱ ἄνθρωποι, καὶ χρημάτων περιουσίαν, καὶ δυναστείαν, καὶ ἐπήρειαν, καὶ ἀπάτην. ἐκεῖ δὲ οὐδὲν τοιοῦτον, ἀλλ' ἡ ἁμαρτία μόνον φοβερὸν πανταχοῦ κυκλοῦσα τοὺς ἁλισκομένους, καὶ στρατοπέδων

B χαλεπώτερον. δεῖ μὲν οὖν πάντα ποιεῖν, ὥστε μὴ κυκλωθῆναι ὑπ' αὐτῆς, ἀλλ' ἐπειδὰν εἴδωμεν βουλομένην αὐτὴν ἡμᾶς περιβαλεῖν, διαφεύγειν αὐτῆς τὰς λαβὰς, ὅπερ οἱ γενναῖοι τῶν στρατιωτῶν ποιοῦσιν· ἂν δὲ καὶ ἁλῶμεν, διακόπτειν ταχέως αὐτὴν, ὅπερ καὶ ὁ Δαβὶδ ἐποίησε, διατεμὼν αὐτῆς τὴν ἰσχὺν διὰ τῆς μετανοίας. ἐκυκλώθη μὲν γὰρ ὑπ' αὐτῆς, ἀλλὰ ταχέως αὐτὴν διέφυγεν. ὁ τοῦτο δεδοικὼς, οὐδὲν ἄλλο φοβηθήσεταί ποτε, ἀλλὰ καταγελάσεται τῶν ἐν τῷ παρόντι βίῳ χρηστῶν, ὑπερόψεται τῶν

C λυπηρῶν, τοῦ φόβου μόνου ἐκείνου κατασείοντος αὐτοῦ τὴν διάνοιαν. οὐδὲν γὰρ τῶν ἄλλων φοβερὸν οὐδὲν τῷ τοῦτον κεκτημένῳ τὸν φόβον, οὐδὲ αὐτὸ τὸ κεφάλαιον τῶν φοβερῶν ὁ θάνατος, ἀλλ' ἢ τοῦτο μόνον. πῶς; ὅτι γεέννῃ παραδίδωσιν, ὅτι πρὸς τὰς ἀθανάτους παραπέμπει τιμωρίας. τοῦτο πάλιν κατορθωθὲν ἅπασαν εἰσάγει τὴν ἀρετήν. ἐννόησον γὰρ ἡλίκον ἐστὶ, μὴ φυσᾶσθαι τοῖς χρηστοῖς, μὴ ταπεινοῦσθαι τοῖς λυπηροῖς, μηδένα τῶν παρόντων ποιεῖσθαι λόγον, πρὸς τὰ μέλλοντα ὁρᾷν, τὴν ἡμέραν ἀ-

D ναμένειν ἐκείνην, τοιούτῳ φόβῳ συζῇν· ὁ τοιοῦτος ἄγγελος ἔσται, τοῦτο μόνον δεδοικὼς, τῶν δὲ ἄλλων μηδέν. οὐδὲ γὰρ φοβηθήσεταί τι τῶν ἄλλων, ἂν τοῦτο μόνον ᾖ δεδοικὼς, ὡς δεδοικέναι χρή· ὥσπερ οὖν ὁ μὴ τοῦτο δεδοικὼς, πολλοῖς ὑποκείσεται φοβεροῖς. οἱ πεποιθότες ἐπὶ τῇ δυνάμει αὐτῶν, καὶ ἐπὶ τῷ πλήθει τοῦ πλούτου αὐτῶν καυχώμενοι. ἄλλος, ἀλαζονευόμενοι. ἀδελφὸς οὐ λυτροῦται, λυτρώσεται ἄνθρωπος; οὐ δώσει τῷ Θεῷ τὸ ἐξίλασμα ἑαυτοῦ, καὶ τὴν τιμὴν τῆς λυτρώσεως τῆς ψυχῆς αὐτοῦ. καὶ ποία αὕτη ἀκολουθία, εἴποι τις ἄν; πολλὴ μὲν οὖν, καὶ συνεχής,

καὶ σφόδρα τῶν ἔμπροσθεν ἐκκρεμαμένη. ἐπειδὴ γὰρ περὶ δικαστηρίου ὁ λόγος αὐτῷ, καὶ τῆς φοβερᾶς ἐκείνων εὐθυνῶν, καὶ τῆς ἀδεκάστου ψήφου, πολλοὶ δὲ ἐν δικαστηρίοις τοῖς ὧδε τὸ δίκαιον διέφθειραν, καὶ δικαστὰς ὠνήσαντο, καὶ διέφυγον τὴν δίκην, ἀνακηρύττων ἐκείνης τὴν ψῆφον τὴν ἀδέκαστον, καὶ τὸν φόβον αὔξων, ὃν προτέρον εἴρηκε, ταῦτα ἐπήγαγε δεικνὺς, ὅτι καλῶς εἶπεν ἕνα φόβον φοβεῖσθαι τὸν ἀπὸ τῆς ἁμαρτίας, ἄλλον δὲ μηδένα· οὐ γάρ ἐστιν ἐκεῖ χρήμασι φθεῖραι τὸ δίκαιον, οὐδὲ καταβαλόντα δῶρα ἐξαρπάσαι τῆς γεέννης ἑαυτὸν, οὐδὲ προστασία καὶ συνηγορία σώζει, οὐδὲ ἄλλο τῶν τοιούτων οὐδέν. κἂν γὰρ πλούσιος ᾖς, κἂν δυνάστης, κἂν τινι γνώριμος, πάντα ταῦτα εἰκῆ καὶ μάτην, ἀπὸ τῶν ἔργων ἕκαστος ἐκεῖ καὶ κολάζεται καὶ στεφανοῦται· ἐπεὶ καὶ ὁ ἐπὶ τοῦ Λαζάρου σφόδρα πλούσιος ὤν, ἀλλ' οὐδὲν αὐτὸν ὁ πλοῦτος ὤνησε, καὶ αἱ παρθένοι γνωρίμους εἶχον τὰς παρθένους, ἀλλ' οὐδὲν αὐτὰς ἡ οἰκείωσις ὠφέλησεν· ἓν γάρ ἐστι τὸ ζητούμενον ἐκεῖ μόνον. ὑμεῖς τοίνυν φησὶν, οἱ τῷ πλούτῳ θαῤῥοῦντες, καὶ δυναστείαν περιβεβλημένοι εἰκῆ καὶ μάτην φυσᾶσθε· οὐδὲ γὰρ διαβήσεται μεθ' ὑμῶν εἰς ἐκεῖνο τὸ δικαστήριον ἡ τῶν χρημάτων περιουσία, οὐδὲ ἡ τῆς δυναστείας ἰσχύς. ἀλλ' οὐδὲ οἰκειότης, καὶ συγγένεια, οὐδὲ ἄλλο τῶν τοιούτων οὐδὲν ὑμᾶς ἐξαιρήσεται. οὐκ ἔστιν ἐκεῖ καταβαλόντα χρήματα, οὐδὲ ἐξιλασμὸν, οὐδὲ τιμὴν ψυχῆς σωθῆναί ποτε. τί οὖν φησιν ἡ γραφή; ποιήσατε ὑμῖν φίλους ἐκ τοῦ ἀδίκου μαμωνᾶ, ὅπως εἰσδέξωνται ὑμᾶς εἰς τὰς αἰωνίους σκηνάς. τί ποτ' οὖν ἐστι τὸ εἰρημένον; οὐδὲν ἐναντίον, οὐδὲ μαχόμενον τοῖς προτέροις, ἀλλὰ καὶ σφόδρα συμφωνοῦν. φίλους γὰρ ἐνταῦθα δεῖ ποιεῖν ἐν τῷ παρόντι βίῳ, χρήματα καταβάλλοντας, τὰ ὄντα δαπανῶντας εἰς τοὺς δεομένους. οὐδὲν οὖν ἐνταῦθα ἢ ἐλεημοσύνην δαψιλῆ αἰνίττεται. ὡς ἐὰν ἀπέλθῃς ἐκεῖ, μηδὲν τούτων ἐργασάμενος, οὐδείς σου προστήσεται. οὐδὲ γὰρ ἡ φιλία ἐκείνων ἡμῖν παρέσεται, ἀλλὰ τὸ ἐκ τοῦ μαμωνᾶ γενέσθαι φίλους. διὰ τοῦτο προσέθηκε φίλους ἐκ τοῦ μαμωνᾶ, ἵνα μάθῃς, ὅτι αὐτά σου τὰ ἔργα φείσεται, ἡ ἐλεημοσύνη, ἡ φιλανθρωπία, ἡ εἰς τοὺς δεομένους φιλοτιμία.

A & magnopere dependens à prioribus. Quia enim loquebatur de iudicio, & de illa terribili reddenda ratione, & de sententia quæ corrumpi non potest: multi autem in iis quæ hic sunt, iudiciis, iudicibus emptis ius corruperunt, & è iudicio euaserunt: sententiam illam quæ minimè corrumpi potest, prædicans, & quem prius dixit, timorem amplificans, hæc subiunxit, ostendens se rectè dixisse, oportere vnum esse timorem, nempe eum qui ex peccato proficiscitur, & nullum alium. Ius enim non potest illic corrumpi pecunia: B nec licet datis donis seipsum è gehenna eripere: nec salutem afferre potest patrocinium & oratoris defensio, nec aliquid aliud. Quamuis enim sis diues, quamuis potens, quamuis alicui notus & familiaris, hæc omnia sunt illic inutilia. Illic vnusquisque ex factis & punitur, & coronatur. Quandoquidem & qui erat ætate Lazari, erat valde diues, sed nihil ei profuerunt diuitiæ: & notæ erant virgines virginibus, sed nihil eas iuuit illa familiaritas: vnum est enim illic solum quod quæritur. Vos ergo, inquit, qui opibus fiditis, & e- C stis circumdati potentia, frustra intumescitis: neque enim vobiscum transmittetur in illud iudicium pecuniæ abundantia, nec vires potentiæ, sed nec vlla necessitudo aut cognatio, nec aliquid eiusmodi vos illic eripiet. Non licet illic solutis pecuniis, aut vlla expiatione, aut pretio animæ vllum vnquam seruari. Quid ergo est quod dicit scriptura? Facite vobis amicos ex iniquo mammona, vt vos recipiant in æterna tabernacula? Quidnam est quod dictum est? Nihil contrarium, nec repugnans prioribus, sed valde e- D tiam consentiens. In præsenti enim vita faciendi sunt amici, soluendo pecunias, erogando ac consumendo facultates in egenos. Nihil ergo hic aliud significat, nisi largam & copiosam eleemosynam. Si enim cùm nihil eorum feceris, illuc recedas, nemo te defendet. Neque enim nos defendit illorum amicitia, sed quòd ex mammona amici facti fuerint, propterea adiecit amicos ex mammona: vt scias quòd ipsa tua opera tibi parcent, eleemosyna, clementia, in pauperes munificentia.

Luc.16. Matt 25.

Luc.16.9.

Chrysost. assertor operum. Opera nostra quæ sunt.

Ezech. 14. 14.

Nam quòd nec cognatio, nec familiaritas quidquam prodest absque operibus, audi quid dicat Propheta: Si steterit Noë, & Iob, & Daniel, filios suos & filias suas non liberabunt. Et quid dico in futuro, quando nec in præsenti quidquam iuuat amicitia? Quantum luxit & defleuit Samuel, & Saulem non eripuit? Quãtum vero precatus est Hieremias, & Iudæos nihil iuuit? imò etiam dùm oraret fuit reprehensus. Et quid miraris, si nihil profuit Hieremias, quando nec Mosem quidem dicit, si fuisset illo tempore, seruare potuisse Iudæos, quãdoquidem eorum inualuerat vitium, nec domo aliquid attulerant? Quantum pro Iudæis lamentatus est Paulus, dicens; Fratres, bona quidem voluntas mei cordis & obsecratio ad Deum est pro ipsis ad salutem? Quid ergo valuit eius obsecratio? nihil. Et quid dico obsecratio? cum pro eis esse etiam anathema optauerit. Quid ergo? súntne superuacaneæ sanctorũ preces? Nequaquam, sed magnas etiam vires habent, quãdo tu quoque eis auxilium tuleris. Ita etiam Petrus suscitauit Tabitham, non solum oratione, sed etiam illius eleemosyna. Ita sancti orantes alios adiuuerunt. Et hoc quidem hic, vbi stadium est & lucta: illic autem nihil horum, sed est ex solis factis salus. Pulchrè autem hic ludificatur diuites, & eos qui intumescunt. Neque enim dixit, qui habent pecunias, nec qui magnam habent potentiam: sed, qui confidunt in multitudine diuitiarum suarum, & in suis viribus gloriantur, eos irridens & insectans, quod in vmbris confidant, & propter fumum se iactent & vendItent. Rectè autem dixit, pretium redemptionis animæ suæ non dabit. Pretium enim animæ non est ne vniuersus quidem mundus. Et ideo dicebat: Quid prodest homini si vniuersum mundum lucretur, animæ autem suæ detrimentum faciat? Vt autem scias ne vniuersum quidem mundum esse pretium animæ, audi quidnam Paulus dicat de aliis sanctis; Circumierunt in ouinis & in caprinis pellibus, egentes, pressi, afflicti, quibus dignus non erat mundus. Mundus enim est propter animam. Quemadmodum ergo non elegerit pater domum pro filio, ita nec Deus mundum pro anima,

1. Reg. 15. *Hier. 14.* *Hier. 15.* *Rom. 10. 1.* *Rom. 9.* *Sanctorum preces.* *Act. 9.* *Anima diuitiae.* *Matth. 16.* *Hebr. 11. 37.*

A ἐπεὶ ὅτι γε οὔτε συγγένεια, οὔτε οἰκειότης ὠφελεῖ τι χωρὶς ἔργων, ἄκουσον τί φησιν ὁ προφήτης· ἐὰν στῇ Νῶε, καὶ Ἰὼβ, καὶ Δανιὴλ, υἱοὺς αὐτῶν, καὶ θυγατέρας οὐ μὴ ῥύσονται. καὶ τί λέγω ἐν τῷ μέλλοντι, ὅπου γε καὶ ἐν τῷ παρόντι βίῳ οὐδὲν ὤνησε φιλία; πόσα οὐκ ἀπωδύρατο, καὶ ἐθρήνησεν ὁ Σαμουὴλ, καὶ τὸν Σαοὺλ οὐκ ἐξήρπασε; πόσα δὲ ὁ Ἱερεμίας ηὔξατο, καὶ τοὺς Ἰουδαίους οὐδὲν ὤνησεν; ἀλλὰ καὶ ἐπετιμήθη εὐχόμενος; καὶ τί θαυμάζεις, εἰ Ἱερεμίας οὐδὲν ὤνησεν, ὅπου γε οὐδὲ τὸν Μωσέα λέγει, εἰ B κατ' ἐκεῖνο καιροῦ ἦσαν, δυνάσθαι σῶσαι τοὺς τότε Ἰουδαίους, ἐπειδὴ τὰ τῆς κακίας ἐκράτησε, καὶ οὐδὲν οἴκοθεν εἰσήνεγκαν; πόσα περὶ Ἰουδαίων ὁ Παῦλος ἐθρήνει, λέγων· ἀδελφοὶ ἡ μὲν εὐδοκία τῆς ἐμῆς καρδίας, καὶ ἡ δέησις ἡ πρὸς τὸν Θεὸν ὑπὲρ αὐτῶν ἐστιν εἰς σωτηρίαν; τί οὖν ἴσχυσεν αὐτοῦ ἡ δέησις; οὐδέν. καὶ τί λέγω δέησιν, ὅπου γε καὶ ἀνάθεμα ηὔχετο εἶναι ὑπὲρ αὐτῶν; τί οὖν καὶ περιτταί εἰσιν αἱ τῶν ἁγίων εὐχαί; οὐδαμῶς· ἀλλὰ καὶ σφόδρα ἰσχὺν ἔχουσιν, ὅταν αὐτοῖς καὶ συμβοηθῇς. οὕτως ἀνέστησε τὴν Ταβιθὰν ὁ Πέτρος οὐκ εὐχῇ μόνον, ἀλλὰ καὶ τῇ C ἐκείνης ἐλεημοσύνῃ· οὕτως ἑτέρους περιέστησαν εὐχόμενοι οἱ ἅγιοι· καὶ τοῦτο μὲν ἐνταῦθα, ἔνθα τὰ σκάμματα, καὶ τὰ παλαίσματα· ἐκεῖ δὲ οὐδὲν τούτων, ἀλλ' ἀπὸ τῶν ἔργων ἡ σωτηρία μόνον. σφόδρα δέ μοι καὶ κωμῳδεῖ τοὺς πλουτοῦντας ἐνταῦθα, καὶ τοὺς πεφυσημένους. οὐδὲ γὰρ εἶπεν οἱ ἔχοντες χρήματα, οὐδὲ οἱ δύναμιν κεκτημένοι, ἀλλ' οἱ πεποιθότες ἐπὶ τῷ πλήθει τοῦ πλούτου αὐτῶν, καὶ ἐπὶ τῇ δυνάμει αὐτῶν καυχώμενοι, καταγελῶν αὐτῶν, καὶ καθαπτόμενος, ὅτι σκιαῖς πεποίθασι, καὶ ἐπὶ καπνῷ μέγα φρονοῦσι. καὶ καλῶς εἶπε, τιμὴν D τῆς λυτρώσεως τῆς ψυχῆς αὐτοῦ οὐ δώσει, τιμὴ γὰρ ψυχῆς οὐδὲ ὁ κόσμος ὅλος. διὸ καὶ ἔλεγε· τί ὠφελεῖται ἄνθρωπος, ἐὰν τὸν κόσμον ὅλον κερδάνῃ, τὴν δὲ ψυχὴν αὐτοῦ ζημιωθῇ; ἵνα δὲ μάθῃς, ὅτι ὁ κόσμος ὅλος ψυχῆς τιμὴ, ἄκουσον καὶ περὶ ἑτέρων ἁγίων τί φησιν ὁ Παῦλος· περιῆλθον ἐν μηλωταῖς, ἐν αἰγείοις δέρμασιν, ὑστερούμενοι, θλιβόμενοι, κακουχούμενοι, ὧν οὐκ ἦν ἄξιος ὁ κόσμος. καὶ γὰρ διὰ τὴν ψυχὴν ὁ κόσμος· ὥσπερ οὖν οὐκ ἂν ἕλοιτο πατὴρ τὴν οἰκίαν ἀντὶ τοῦ παιδὸς, οὕτως οὐδὲ ὁ Θεὸς τὸν κόσμον ἀντὶ τῆς ψυχῆς,

ἀλλ' ἔργων χρεία, καὶ κατορθωμάτων. βούλει μαθεῖν, ὅση τῶν ἡμετέρων ψυχῶν ἡ τιμή; μέλλων αὐτὴν ὁ μονογενὴς λυτροῦσθαι, οὐ κόσμον ἔδωκεν, οὐκ ἄνθρωπον, οὐ γῆν, οὐ θάλατταν, ἀλλὰ τὸ αἷμα αὐτοῦ τὸ τίμιον. διὸ καὶ ὁ Παῦλος ἔλεγε· τιμῆς ἠγοράσθητε μὴ γίνεσθε δοῦλοι ἀνθρώπων. εἶδες τιμῆς μέγεθος; ὅταν τοίνυν τὴν τοσούτου ἀγορασθεῖσαν ἀπολέσης, πῶς λοιπὸν αὐτὴν συ ὠνήσασθαι δυνήσῃ; Χριστὸς γὰρ ἐγερθεὶς ἐκ νεκρῶν οὐκέτι ἀποθνήσκει. εἶδες τὸ πολυτελὲς τῆς τιμῆς; εἶδες τὸ ἀξίωμα τῆς ψυχῆς; μὴ τοίνυν αὐτῆς καταφρονήσῃς, μηδὲ αἰχμάλωτον ποίει. καὶ ἐκοπίασεν εἰς τὸν αἰῶνα, καὶ ζήσεται εἰς τέλος. ἕτερος ἑρμηνευτής φησι, καὶ ἐπαύσατο εἰς τὸν αἰῶνα. ἄλλος, ἀναπαυσάμενος τῷ αἰῶνι τούτῳ, ζῶν εἰς αἰῶνα διατελέσει. ἐπειδὴ γὰρ εἶπεν περὶ τῶν πλουτούντων, ἐπειδὴ εἶπε περὶ τῶν δυνατῶν, καὶ ἔδειξεν, ὅτι οὐδὲν ἐκεῖθεν κέρδος ἐστι, λέγει λοιπὸν περὶ τῶν ἐν ἀρετῇ βεβιωκότων, περὶ τῶν ἐν πόνῳ, καὶ ταλαιπωρίᾳ, ἀλείφων τοὺς ἀθλητὰς τῆς φιλοσοφίας. μὴ γάρ μοι λέγε τοῦτο, φησιν, ὅτι κόπον εἶχε, καὶ μόχθον, ἀλλ' ἐννόησον τὸν καρπόν, ὅτι ἄνθρωπος ἀθάνατος γίνεται, ὅτι ζωὴν ἀθάνατον διαδέξεται, ζωὴ τέλος οὐκ ἔχουσα· πόσῳ τοίνυν βέλτιον, μικρὸν ἐνταῦθα πονέσαντας, αἰώνιον καρποῦσθαι ἄνεσιν, ἢ χαρισάμενον ἑαυτῷ μικρὸν διαπαντὸς ἐν ὀδύναις εἶναι; εἶτα δείκνυσιν ὡς οὐκ ἐκεῖ μόνον τὰ τῶν βραβείων, καὶ τὰ τῶν στεφάνων, ἀλλὰ καὶ ἐντεῦθεν τὰ προοίμια τῶν ἐπάθλων, ἐπήγαγε λέγων· οὐκ ὄψεται καταφθοράν, ὅταν ἴδῃ σοφοὺς ἀποθνήσκοντας. μὴ γάρ μοι τὰ μέλλοντα λέγε μόνον· ἐνταῦθά σοι δίδωμι τὰ ἐνέχυρα τῶν στεφάνων, μᾶλλον δὲ αὐτὸν τὸν ἀρραβῶνα, καὶ τὰ ἔπαθλα. πῶς, καὶ τίνι τρόπῳ; ὅτι ὁ φιλοσοφῶν, καὶ ταῖς τῶν μελλόντων ἐλπίσιν ὀρθούμενος, οὐδὲ τὸν θάνατον ἡγήσεται θάνατον· ἀλλ' ὁρῶν πρὸ τῶν ὀφθαλμῶν κείμενον τὸν τεθνηκότα, οὐ πείσεται τὰ τῶν πολλῶν ὁ τοιοῦτος, τοὺς στεφάνους ἀναλογιζόμενος, τὰ βραβεῖα, τὰ ἀπόρρητα ἀγαθά, ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, τὴν ζωὴν ἐκείνην, τὴν μετ' ἀγγέλων χορείαν. ὥσπερ οὖν ὁ γηπόνος τὸν σῖτον διαλυόμενον ὁρῶν, οὐ καταπίπτει, οὐδὲ κατηφὴς γίνεται, ἀλλὰ τότε μάλιστα χαίρει, καὶ γέγηθεν, εἰδὼς ὅτι ἡ δια-

A sed operibus & rectè factis opus est. Vis scire quantum sit pretium animarum nostrarum? Redempturus eam vnigenitus, non mundum dedit, non hominem, non terram, non mare, sed suum preciosum sanguinem. Quocirca dicebat Paulus: Pretio empti estis, nolite fieri serui hominum. Vidisti magnitudinẽ pretij? Quando ergo eam tanti emptam perdideris, quomodò poteris eam deinceps emere? Christus enim à mortuis suscitatus non amplius moritur. Vidisti quàm sit pretiosa anima, & B quanta sit eius dignitas? Ne eam ergo negligas, & captiuam efficias. *Et laborauit in æternum.* 10. *Et viuet adhuc in finem.* Alius interpres dixit: Et quieuit in seculum. Alius: Sed cum defierit huic seculo, viuet in æternum. Quoniam enim dixit de diuitibus, quoniam dixit de potentibus, & ostendit ex his nihil lucri fieri: dicit deinceps de iis qui vixerunt in virtute, de iis qui vixerunt in laboribus & afflictionibus, vngens & exercens athletas philosophiæ. Noli enim hoc mihi dicere, ærumnam illi ac laborem exantlandum fuisse, verum C considera fructum, quòd homo fit immortalis, quòd vita immortalis excipit, vita quæ finem non habet. Considera ergo quanto sit melius, cùm hic parum laboraueris, requiem æternam assequi, quàm cùm hic tibi parumper indulseris, perpetuò cruciari. Deinde ostendens non illic solum esse præmia & coronas, sed etiam hic quoque esse principia præmiorum, subiunxit: 11. *Non videbit interitum, cum viderit sapientes morientes.* Ne enim mihi dicas, solummodo futura promittis: do tibi hic etiam pignora coronarum, imò verò arrham D ipsam & premia. Quomodo, & quanam ratione? Quoniam qui philosophatur, & spe futurorum erigitur, ne mortem quidem mortem esse putabit: sed videns mortuum iacentem ante oculos, non ita afficietur vt multi, apud se reputans coronas, præmia, bona ineffabilia, quæ neque oculus vidit, nec auris audiuit, vitam illam, vnà cum angelis choream. Quemadmodum ergo agricola cùm videt frumentum dissolui & interire, non abijcit animum, nec mœrore afficitur, sed tunc maximè exultat & lætatur, sciens fore vt ille interitus

Opera necessaria sunt.

1.Cor.7.23.

Rom.6.

Adhortatio.

Elegans admo[illegible] homœosis.

ſit ortus melioris principium, & fundamentum maioris fertilitatis? ita etiam iuſtus, qui rectè factis gloriatur, & regnum quotidie expectat, quando viderit mortem ſitam ante oculos, non angitur, nec ſe affligit vt multi, non vexatur & perturbatur. Scit enim mortem iis qui rectè vixerunt, eſſe migrationem & tranſitum ad meliora, & curſum ad accipiendas coronas. Quoſnam autem dicit ſapientes? Non eos qui verè ſunt ſapientes, ſed qui ſapientes eſſe exiſtimantur. Mihi autem videtur dicere externos ſapientes, eos ideo irridens, quòd cùm viderentur eſſe ſapientes, ſtulti facti ſint, cùm de reſurrectione non ſint philoſophati. Quando ergo viderit illos philoſophos pereuntes, lamentantes, lachrymantes, cum luctu efferentes, tunc ipſi nihil tale accidet, ſed erit telis eiuſmodi ſuperior, vt qui bona ſpe erigatur, & ſciat hunc interitum non interimere ſubſtantiam, ſed tantum mortalitatem, & corruptionem, conſumere. Hæc enim mors non perdit corpus, ſed conſumit interitum. Subſtantia enim manet, & reſurgit cum maiori & ampliori gloria, ſed non omnium. Reſurrectio enim erit omnium communis: reſurrectio autem cum gloria, communis erit eorum qui rectè vixerunt. *Simul inſipiens & ſtultus peribunt.* 12. *Et relinquent alienis diuitias ſuas. Et ſepulchra eorum domus eorum in æternum. Tabernacula eorum in progenie & progenie. Vocauerunt nomina ſua in terris ſuis.* Alius dicit, Quæ ſunt intra domos eorum in æternum. Alius, Habitationes eorum in generationem, nominantes nominibus ſuis terras. Hebræus autem hoc dixit, *al adamoth.* Vidiſti quomodo non ſolùm ex futuris, ſed ex iis etiam quæ hîc eueniunt, abducit à vitio & ab auaritia, & deducit ad virtutem, in pecuniis congerendis inſaniam coërcens, & eos qui præſentibus inhiant, eáque admirantur, ſtultos vocans, & id per res ipſas oſtendens? Quid eſt enim, dic quæſo, ſtultius homine qui laborat, & ſe excruciat, & tantas opes congregat, vt ex eius laboribus alij ſe voluptate expleant? Quid eſt hoc inani labore deterius, quando ipſe quidem ſudores

Qui hic ſapientes.

Mors ſubſtantiã non interimit.

Reſurrectio communis omnium.

λεσις ἐκείνη βελτίονος γίνεται γεννήσεως ἀρχή, καὶ πλείονος ὑπόθεσις φορᾶς; οὕτω καὶ ὁ δίκαιος κατορθώμασι κομῶν, καὶ τὴν βασιλείαν καθ' ἑκάστην προσδοκῶν τὴν ἡμέραν, ὅταν ἴδῃ τὸν θάνατον πρὸ τῶν ὀφθαλμῶν κείμενον, οὐκ ἀλύει, καθάπερ οἱ πολλοί, οὐ θορυβεῖται, καὶ ταράττεται. οἶδε γὰρ ὅτι θάνατος τοῖς ὀρθῶς βεβιωκόσι μετάστασίς ἐστιν ἐπὶ τὰ βελτίω, καὶ ἀποδημία πρὸς τὰ ἀμείνω, καὶ δρόμος ἐπὶ τοὺς στεφάνους. τίνας δὲ λέγει σοφούς; οὐ τοὺς ὄντως σοφούς, ἀλλὰ τοὺς νομιζομένους σοφούς. ἐμοὶ δὲ δοκεῖ τοὺς τῶν ἔξωθεν σοφοὺς λέγειν, κωμῳδῶν αὐτοὺς καὶ ἐντεῦθεν, ὅτι δοκοῦντες εἶναι σοφοί, ἐμωράνθησαν, οὐδὲν περὶ ἀναστάσεως φιλοσοφήσαντες. ὅταν οὖν ἴδῃ τοὺς φιλοσόφους ἐκείνους ἀπολλυμένους, θρηνουμένους, δακρυομένους, μετ' οἰμωγῆς ἐκπεμπομένους, τότε αὐτὸς οὐδὲν πείσεται τοιοῦτον, ἀλλὰ δυνατώτερος ἔσται τῶν τοιούτων βελῶν, ταῖς χρησταῖς ἐλπίσιν ὀρθούμενος, καὶ εἰδὼς ὅτι ἡ διαφθορὰ αὕτη οὐκ ἔστι τῆς οὐσίας ἀναίρεσις, ἀλλὰ τῆς θνητότητος δαπάνη, καὶ τῆς φθορᾶς ἀνάλωμα. ὁ γὰρ θάνατος οὗτος οὐ τὸ σῶμα ἀπόλλυσιν, ἀλλὰ τὴν φθορὰν δαπανᾷ· ὡς ἥ γε οὐσία μένει μετὰ πλείονος ἀνισταμένη τῆς δόξης, ἀλλ' οὐχὶ πάντων· ἡ μὲν γὰρ ἀνάστασις κοινὴ πάντων ἔσται, ἡ δὲ μετὰ δόξης ἀνάστασις τῶν ὀρθῶς βεβιωκότων· ἐπὶ τὸ αὐτὸ ἄφρων, καὶ ἄνους ἀπολοῦνται. καὶ καταλείψουσιν ἀλλοτρίοις τὸν πλοῦτον αὐτῶν, καὶ οἱ τάφοι αὐτῶν, οἰκίαι αὐτῶν εἰς τὸν αἰῶνα, σκηνώματα αὐτῶν εἰς γενεὰν καὶ γενεάν· ἐπεκαλέσαντο τὰ ὀνόματα αὐτῶν ἐπὶ τῶν γαιῶν αὐτῶν. ἄλλος φησί, τὰ ἐντὸς τῶν οἰκιῶν αὐτῶν εἰς τὸν αἰῶνα. ἄλλος, τὰς κατασκηνώσεις αὐτῶν εἰς γενεὰν ὀνομάσαντες ἐπ' ὀνόμασιν αὐτῶν τὰς γαίας· ὁ δὲ Ἑβραῖος ἀλναδαμὼθ τοῦτο εἶπεν. εἶδες πῶς οὐκ ἀπὸ τῶν μελλόντων, ἀλλὰ καὶ ἀπὸ τῶν ἐνταῦθα συμβαινόντων, ἀπάγει κακίας, καὶ πλεονεξίας, καὶ χειραγωγεῖ πρὸς ἀρετήν, καταλύων τὴν περὶ τὰ χρήματα μανίαν, καὶ τοὺς πρὸς τὰ παρόντα ἐπτοημένους ἀνοήτους καλῶν, καὶ διὰ τῶν πραγμάτων τοῦτο ἀποδεικνύς; τί γὰρ ἀνοητότερον, εἰπέ μοι, ἀνθρώπου πονοῦντος, καὶ ταλαιπωρουμένου, καὶ τοσαῦτα συνάγοντος, ὥστε ἑτέρους ἐντρυφᾶν τοῖς αὐτοῦ πόνοις; τί δὲ τῆς ματαιοπονίας ταύτης χεῖρον, ὅταν αὐτὸς μὲν ἀπιλ-

τοὺς ἱδρῶτας ἀνασχόμενος, καὶ τοὺς καμάτους ὑπομείνας, ἑτέροις δὲ παρέχῃ τὴν ἀπόλαυσιν, καὶ οὐδὲ οἰκείοις τισὶ, καὶ γνωρίμοις, ἀλλὰ πολλάκις ἐχθροῖς, καὶ πολεμίοις; διὰ τοῦτο οὐκ εἶπεν, ἑτέροις, ἀλλ' ἀλλοτρίοις καταλείψουσι τὸν πλοῦτον αὐτῶν. τί δέ ἐστιν, ἐπὶ τὸ αὐτὸ ἄφρων, καὶ ἄνους ἀπολοῦνται; μετὰ τῶν ἔμπροσθεν εἰρημένων φησί. ἐνταῦθά μοι τὸν περὶ τῆς ἀνοίας δοκεῖ κινεῖν λόγον, τῶν πρὸς τὰ παρόντα ἐπτοημένων, καὶ οὐδὲν περὶ τῶν μελλόντων φιλοσοφούντων, διόπερ αὐτοὺς καὶ ἀνοήτους καλεῖ. εἰ γὰρ μηδὲν ἡγῇ μετὰ ταῦτα εἶναι, τίνος ἕνεκεν σαυτὸν κόπτεις, καὶ ταλαιπωρῇ, μυρία συνάγων πανταχόθεν χρήματα, καὶ τοὺς μὲν πόνους ὑπομένων, τῆς δὲ ἀπολαύσεως οὐ μετέχων; καὶ οἱ τάφοι αὐτῶν οἰκία αὐτῶν εἰς τὸν αἰῶνα. τοῦτο κατὰ τὴν ὑπόνοιαν ἐκείνων φησί. σκηνώματα αὐτῶν εἰς γενεὰν, καὶ γενεὰν, ἐπεκαλέσαντο τὰ ὀνόματα αὐτῶν ἐπὶ τῶν γαιῶν αὐτῶν. τί τοιαύτης τῆς ἀνοίας γένοιτ' ἂν χεῖρον, τὸ, τοὺς τάφους οἰκίας νομίζειν διηνεκῆ; τὸ φιλοτιμεῖσθαι περὶ ταῦτα; πολλοὶ γοῦν πολλάκις τοὺς τάφους τῶν οἰκιῶν λαμπροτέρους εἰργάσαντο. ἢ γὰρ τοῖς πολεμίοις πονοῦσι, καὶ ταλαιπωροῦνται, ἢ τῷ σκώληκι, καὶ τῇ κόνει, εἰς οὐδὲν δέοντα ταῦτα ἀναλίσκοντες. τοιαύτη γὰρ τῶν οὐδὲν περὶ τῶν μελλόντων ἐλπιζόντων ἡ φρόνησις. ἀλλ' ἐνταῦθά μοι στενάξαι ἔπεισιν, ὅτι πολλοὶ καὶ τῶν τὰ μέλλοντα ἐλπιζόντων, κατὰ τοῦτο ἐκείνους μιμοῦνται, τοὺς οὐδεμίαν περὶ τῶν μελλόντων ἔχοντας ἐλπίδα, τάφους οἰκοδομοῦντες, καὶ λαμπρὰ σήματα ποιοῦντες, καὶ χρυσίον κατορύττοντες, καὶ εἰς ἑτέρους τὰ ὄντα παραπέμποντες, κατὰ τοῦτο ἐκείνων χείρους ὄντες· ὁ μὲν γὰρ οὐδὲν προσδοκῶν μετὰ ταῦτα, εἰ καὶ αὐτὸς ἀλόγως, ἀλλ' ὅμως διὰ τὸ μηδὲν προσδοκᾶν, περὶ τὰ παρόντα φιλοπονεῖται· σὺ δὲ ὁ τὴν μέλλουσαν ζωὴν εἰδὼς ἄνθρωπε, καὶ τὰ ἀγαθὰ ἐκεῖνα τὰ ἀπόρρητα, κατὰ τὴν ῥῆσιν ἐκείνην τοῦ εὐαγγελικοῦ, τότε οἱ δίκαιοι ἐκλάμψουσιν ὡς ὁ ἥλιος, ποίαν ἂν τύχοις συγγνώμην; τίνα ἀπολογίαν; ποίαν δὲ οὐκ ἂν ὑποσταίης δικαίως κόλασιν, πάντα ἐνταῦθα καταδαπανῶν εἰς τὴν κόνιν, εἰς τὴν τέφραν, εἰς τὰ σήματα, εἰς τοὺς πολεμίους, εἰς τοὺς ἐχθρούς; ἐπεκαλέσαντο τὰ

A & labores perpessus decesserit, aliis autem diuitias fruendas reliquerit, & nec aliquibus quidem necessariis & ei familiaritate coniunctis, sed sæpe etiam hostibus & inimicis? Et ideo non dixit, Aliis, sed alienis, relinquent diuitias suas. Quid est autem, Simul insipiens & stultus peribunt? simul cum iis qui prius dicti sunt, inquit. Hic mihi videtur verba facere de impiis, qui toti rebus præsentibus affixi sunt, easque suspiciunt, de futuris autem nihil philosophantur, ea de causa vocans eos insipientes. Si enim post-B hac, vt putas, nihil erit, cur teipsum vexas & excrucias vndique pecunias congerens, & labores quidem sustinens, fructum autem non percipiens? Et sepulchra eorum domus illorum in æternum. Hoc dicit, sicut erat eorum existimatio. Tabernacula eorum in progenie & progenie, vocauerunt nomina sua in terris suis. Alius autem dicit, Quæ sunt intra domos eorum in æternum. Hebræus autem *carenam bathumo laholam*. Quid hac amentia possit esse deterius, quàm, inquam, putare sepulchra esse domum perpetuam? C quàm in iis gloriam ambitiosè persequi? Multi certè sæpe sepulchra construxerunt magnificentiora domibus. Vel enim hostibus laborant, & afflictantur, vel vermi & cineri, hæc stultè consumentes. Talis enim est eorum mens & sententia, qui de futuris nihil sperant. Sed hic mihi venit in mentem deplorare, quòd multi etiam eorum qui sperant futura, illos hac in re imitantur, qui nullam habent spem futurorum, sepulchra ædificantes, & præclara monimenta construentes, & D aurum infodientes, & suas facultates ad alios transmittentes: qui quidem sunt hac in re illis deteriores. Qui enim post hæc nihil expectat, etiamsi id facit præter rationem, attamen propterea quòd nihil expectat, suum laborem & industriam confert in res præsentes. Tu autem homo qui nosti vitam futuram, & bona illa ineffabilia, & quòd ex dicto Euangelico, iusti tunc fulgebunt sicut Sol: quamnam veniam assequeris, quomodo te defendes, quòd non supplicium iure patieris, qui hic omnia consumas in puluere, in cinere, in monimentis, in hostibus, in inimicis? Vocauerunt nomina sua

Sepulchrorum fastus.

Matth. 13. 43.

Nominis sui perpetuandi amentia.

in terris suis. Ecce aliud genus amentiæ, ædificiis, agris, & balneis sua nomina inscribere, & putare se magnam consolationem ex eo accipere, & vmbram pro rei veritate persequi. Si enim derpetuam memoriam desideras, ne nomen, ô homo, ædificiis inscribas, sed trophæa rectè factorum erigas, quæ & in præsenti vita nomen tibi conseruant, & in futura vita immortalem tibi requiem comparant. Si sis memoriæ cupidus, ego te doceo viam veram & apertissimam: virtutis curam gere. Nihil enim facit nomen adeò immortale, vt natura virtutis. Id ostendunt martyres, ostendunt apostolorum reliquiæ, ostendit memoria eorum qui rectè & ex virtute vixerunt. Quot Reges vrbes condiderunt, portus extruxerunt, & nominibus suis impositis decesserunt, nec tamen eis quidquam profuit, sed silentio & obliuioni mandati sunt? Piscator autem Petrus, qui nihil fecit eorum, quoniam virtutem est persecutus, & ciuitatem maximè regiam occupauit, etiam post mortem resplendet Sole clarius. Quod tu autem facis, est riduculum, & plenum ignominia. Hæc enim monimenta non solùm non te clarum reddent, sed etiam facient ridiculum, & ora omnium aperient. Ædificia enim non sinunt tuam auaritiam, quæ obliuioni tradi poterat, temporis excursu extingui, & stant veluti columnæ & trophæa erecta aduersus auaritiam. *Et homo cùm in honore esset, non intellexit: comparatus est iumentis insipientibus, & similis factus est illis.* Hic mihi videtur deinceps Propheta deplorare, quòd animal rationis particeps, cui fuit traditum regnum in terris, eò declinauerit, vt esset non minus vile & abiectum, quàm bruta, dum in rebus vanis laborat, & ea quæ sunt suæ saluti contraria molitur, inanem gloriam persequitur, auaritia tenetur, in rebus inutilibus se exercet. Virtus enim est honor hominis, & de rebus futuris philosophari, & omnia procurare, quæ ad illam vitam pertinent, & præsentia negligere. Brutorum enim vita præsentis vitæ limitibus concluditur: nostra autē tendit ad aliam meliorem, & cuius non est finis. Sed hi qui de futuris nihil sciunt, sub brutis deteriores: nec ij solùm, sed etiam qui sceleratam & perdi-

Virtus nomē immortale parit.

Nempe Romam, veluti volunt Lutherani & Caluinistæ.

Monumentorum cura damnabilis.

A ὀνόματα αὐτῶν ἐπὶ τῶν γαιῶν αὐτῶν. ἰδοὺ καὶ ἑτέρας ἀνοίας εἶδος· τὸ περιθεῖναι τὰς προσηγορίας αὐτῶν οἰκοδομήμασι, καὶ ἀγροῖς, καὶ λουτροῖς, καὶ μεγίστην ἐντεῦθεν καρποῦσθαι παραμυθίαν νομίζειν, καὶ τὴν σκιὰν διώκειν ἀντὶ τῆς ἀληθείας. εἰ γὰρ μνήμης ἐρᾷς διηνεκοῦς, μὴ ὀνόματα περιθῇς οἰκοδομήμασιν, ἄνθρωπε, ἀλλ' ἀνάστησον τρόπαια κατορθωμάτων, ἃ καὶ ἐν τῷ παρόντι σοι βίῳ τὸ ὄνομα διατηρεῖ, καὶ πρὸς τὴν μέλλουσαν ζωὴν, ἀθάνατον κατασκευάζει σοι τὴν ἀνάπαυσιν. εἰ μνήμης ἐρᾷς, καὶ ἐπιθυμεῖς, B ἐγώ σε διδάσκω τὴν ἀληθῆ, καὶ ἀσφαλεστάτην ὁδὸν· ἀρετῆς ἐπιμελοῦ. οὐδὲν γὰρ οὕτως ἀθάνατον ὄνομα ποιεῖ, ὡς ἀρετῆς φύσις. καὶ τοῦτο δηλοῦσιν οἱ μάρτυρες, δηλοῖ τῶν ἀποστόλων τὰ λείψανα, δηλοῖ τῶν ἐν ἀρετῇ βεβιωκότων ἡ μνήμη. πόσοι βασιλεῖς πόλεις ἀνέστησαν, λιμένας κατεσκεύασαν, καὶ τὰ ὀνόματα ἐπιθέντες ἀπῆλθον; ἀλλ' οὐδὲν ἀπώναντο, ἀλλὰ σεσίγηνται, καὶ λήθῃ παραδέδονται; ὁ δὲ ἁλιεὺς Πέτρος οὐδὲν τούτων ἐργασάμενος, ἐπειδὴ ἀρετὴν μετῆλθε, καὶ τὴν βασιλικωτάτην κατέλαβε πόλιν, ὑπὲρ τὸν ἥλιον C λάμπει, καὶ μετὰ τελευτήν· ὃ δὲ σὺ ποιεῖς, καταγέλαστον, καὶ αἰσχύνης γέμον. οὐ γὰρ μόνον σε λαμπρὸν ταῦτα οὐκ ἐργάσεται τὰ μνημεῖα, ἀλλὰ καὶ καταγέλαστον, καὶ τὰ πάντων ἀνοίξει στόματα. αἱ γὰρ οἰκοδομαὶ τῷ χρόνῳ δυναμένην σου τὴν πλεονεξίαν λήθῃ παραδοθῆναι, ὥσπερ στῆλαι, καὶ τρόπαιά σου τῆς πλεονεξίας ἑστήκασι πανταχοῦ. καὶ ἄνθρωπος ἐν τιμῇ ὤν, οὐ συνῆκε· παρασυνεβλήθη τοῖς κτήνεσι τοῖς ἀνοήτοις, καὶ ὡμοιώθη αὐτοῖς. ἐνταῦθά μοι λοιπὸν ἀποδύρεσθαι ὁ προφήτης δοκεῖ, ὅτι τὸ ζῶον τὸ λογικὸν, τὸ καὶ D τὴν βασιλείαν τὴν ἐπὶ γῆς ἐγχειρισθὲν, πρὸς τὴν τῶν ἀλόγων εὐτέλειαν ἐξέκλινε, ματαιοπονοῦν, ἐναντία τῇ σωτηρίᾳ τῇ ἑαυτοῦ κατασκευάζον, κενοδοξίαν διῶκον, πλεονεξίαν μετιὸν, ἀνόνητα πονοῦν. τιμὴ γὰρ ἀνθρώπου ἀρετὴ, καὶ τὸ περὶ τῶν μελλόντων φιλοσοφεῖν, καὶ πρὸς ἐκείνην τὴν ζωὴν ἅπαντα πραγματεύεσθαι, καὶ τὸ τῶν παρόντων ὑπερορᾶν. ἡ μὲν γὰρ τῶν ἀλόγων ζωὴ μέχρι τοῦ παρόντος συγκέκλεισται βίου· ἡ δὲ ἡμετέρα πρὸς ἑτέραν ὁδεύει βελτίω, καὶ τέλος οὐκ ἔχουσαν. ἀλλ' οὗτοι οἱ περὶ τῶν μελλόντων οὐδὲν εἰδότες τῶν ἀλόγων χείρους εἰσίν· οὐχ οὗτοι δὲ μόνον, ἀλλὰ καὶ οἱ βίῳ διεφθαρμένῳ

συζῶντες, ὄφεις γινόμενοι, καὶ σκορπίοι, καὶ λύκοι διὰ τῆς πονηρίας· καὶ βόες διὰ τῆς ἀνοίας, καὶ κύνες διὰ τῆς ἀναισχυντίας. τί γὰρ ἀνοητότερον, εἰπέ μοι, τῶν περὶ τάφους, καὶ μνήματα ἀσχολουμένων, καὶ πρὸς ὀνομάτων περιστηρίας ἑτέρων κεχηνότων; οὐδὲν γὰρ μνήμην ποιεῖ, ἀλλ' ἀρετὴ μόνη, οὐκ οἰκία, οὐκ ἀνδριάς, οὐ παιδία, οὐκ ἄλλο τῶν τοιούτων οὐδέν. ἡ μὲν γὰρ τῆς τοῦ τέκτονος σοφίας ἐστὶν ἔργον, ὁ δὲ τῆς τοῦ ἀνδριαντοποιοῦ, ὁ δὲ τῆς φύσεως ἔργον· σοῦ δὲ οὐδαμοῦ μνήμη. διὰ δὴ τοῦτο ἄλογον αὐτὸν ὁ προφήτης καλεῖ· ἐπειδὴ πρὸς τὸν τῆς ἀνοίας ὑποθεὶς ζυγὸν ἑαυτόν, ἄγεται τοῦ ἀλόγου χεῖρον. ἐκεῖνο μὲν γὰρ χρήσιμον, καὶ πρὸς γεωργίαν ἐπιτήδειον· οὗτος δὲ τῇ ἀνοίᾳ ἑαυτὸν ὑποβαλών, καὶ ἐκείνου χείρων γέγονε κατὰ τοῦτο. ἐπειδὴ γὰρ εἶπεν ἀνωτέρω τὸ παχὺ τῆς διανοίας αὐτῶν, τὸ γεῶδες, τὸ χαμαίζηλον, τὸν ἀνόνητον περὶ τὰ χρήματα πόνον αὐξῆσαι βουλόμενος, καὶ τὴν κατηγορίαν τῶν τοιούτων, καὶ τὰς παρὰ τοῦ Θεοῦ τίθησιν εὐεργεσίας, ὅπερ πολλαχοῦ ποιεῖν εἰώθασιν οἱ προφῆται. ἐπεὶ καὶ ὁ Ἡσαΐας μέλλων αὐτῶν κατηγορεῖν, πρῶτον λέγει τὴν παρὰ τοῦ Θεοῦ τιμὴν εἰς τοὺς Ἰουδαίους γεγενημένην, οὕτω γράφων· υἱοὺς ἐγέννησα, καὶ ὕψωσα, αὐτοὶ δέ με ἠθέτησαν. καὶ ἐνταῦθα τοίνυν διὰ μιᾶς λέξεως τὰ ὑπηργμένα τῇ φύσει τῶν ἀνθρώπων παρὰ τοῦ Θεοῦ δηλῶν· ἄνθρωπος ἐν τιμῇ ὢν οὐ συνῆκε, φησί. καὶ ποίαν λέγει τιμήν; ἄκουσον αὐτοῦ ἐν ἑτέρῳ ψαλμῷ λέγοντος· ἠλάττωσας αὐτὸν βραχύ τι παρ' ἀγγέλους, δόξῃ καὶ τιμῇ ἐστεφάνωσας αὐτόν. εἶτα ἐξηγούμενος τὴν τιμήν, ἐπάγει· πάντα ὑπέταξας ὑποκάτω τῶν ποδῶν αὐτοῦ, πρόβατα, καὶ βόας ἁπάσας· ἔτι δὲ καὶ τὰ κτήνη τοῦ πεδίου. τὰ πετεινὰ τοῦ οὐρανοῦ, καὶ τοὺς ἰχθύας τῆς θαλάσσης, τὰ διαπορευόμενα τρίβους θαλασσῶν. καὶ γὰρ μεγίστη τοῦτο τιμή, τὸ πάντων τῶν ὁρωμένων αὐτῷ τὰ σκῆπτρα ἐπιτρέψαι, καὶ ταῦτα μηδέπω κατωρθωκότι μηδέν. οὐδέπω γὰρ αὐτὸν πλάσας, ἔλεγε· ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα, καὶ καθ' ὁμοίωσιν ἡμετέραν. εἶτα ἑρμηνεύων τὸ, κατ' εἰκόνα, ἐπήγαγε, καὶ ἀρχέτωσαν τῶν ἰχθύων τῆς θαλάσσης, καὶ τῶν θηρίων τῆς γῆς, καὶ τῶν πετεινῶν τοῦ οὐρανοῦ, καὶ τὸν βραχὺν, καὶ τρίπηχυν, καὶ τοσοῦτον τῶν ἀλόγων ἡττ-

tam vitam agunt, vtpote qui fiant serpentes, scorpij, & lupi propter improbitatem, & boues propter væcordiam, & canes propter impudentiam. Quid enim, dic quæso, est insipientius iis qui in sepulchris & monumentis operam suam collocant, & ad aliorum nominum appellationes stant hiantes & mirabundi? Nihil enim memoriam efficit præterquam sola virtus, non ædes, non statuæ, non filij, non aliquid aliud eiusmodi. Ædes enim opus sunt architecti, statuæ statuarij, filij verò naturæ: Tui autem nusquam est memoria. Et ideo vocat eum brutum Propheta: quoniam cùm insipientiæ se iugo submiserit, bruto deterius ducitur. Illud enim est vtile & aptum ad agriculturam, hic autem, qui seipsum subiecit insipientiæ, illo etiam in hoc factus est deterior. Quoniam enim superius dixerat, quàm esset mens eorum crassa, terrena, vilis & abiecta, & quàm inutilis esset labor eorum in cogendis pecuniis: volens amplificare eorum accusationem, adducit Dei beneficia: quod solent sæpe facere Prophetæ. Esaias enim, cùm esset eos accusaturus, primùm quidem dicit honorem quo Iudæi à Deo affecti sunt, ita scribens: Filios genui, & exaltaui: ipsi autem me nihili fecerunt. Hoc quoque in loco, vna dictione declarans beneficia quæ homines à Deo acceperunt: Homo, inquit, cùm in honore esset, non intellexit. Quemnam autem dicit honorem? Audi enim alio Psalmo dicentem: Minuisti eum paulominus ab angelis, gloria & honore coronasti eum. Deinde exponens honorem, subiungit: Omnia subiecisti sub pedibus eius, oues, & boues vniuersas, insuper & pecora campi. Volucres cœli, & pisces maris, qui perambulant semitas maris. Hic est enim honor longè maximus, ei in omnia quæ videntur, permisisse dominatum, idque cùm nihil rectè gessisset. Cùm enim eum nondũ finxisset, dixit: Faciamus hominem ad imaginem & similitudinem nostram. Deinde interpretans illud, Ad imaginem, subiunxit, Et præsit piscibus maris, & volatilibus cœli, & bestiis vniuersæ terræ. Et hunc breuem & tricubitalem, & viribus corporis brutis longè inferiorem,

Virtus sola memoriam efficit.

Esa. 1.

Psal. 8.

Genes. 1.

fecit cunctis excelsiorem, animam rationis compotem ei largitus: quod quidem est honoris signum maximum. Per eam enim & ciuitates condidit, & mare secuit, & terram coluit, & artes inuenit innumerabiles, & ferociores bellvas superauit, & quod est omnium maximum & primum, Deum, qui fecit ipsum, cognouit: & ad virtutem deductus est, & nouit quid sit bonum, quid secus. Solus ex iis quæ videntur, Deum orat: reuelationes accepit, idque solus rursus: cognouit multa arcana & ineffabilia, didicit quæ sunt in cœlis. Propter ipsum terra, propter ipsum cœlum, propter ipsum sol & sydera, propter ipsum lunæ cursus, temporúmque mutationes & vicissitudines. Propter ipsum fructus & arbores, & tot genera animantium. Propter ipsum missi sunt Apostoli & Prophetæ, propter ipsum sæpe missi sunt angeli. Quid pluribus opus est? neque enim fieri potest, vt omnia persequamur. Propter ipsum vnigenitus Dei filius homo factus est, crucifixus, & sepultus, & terribilia illa miracula facta sunt post resurrectionem. Propter ipsum lex, propter ipsum paradisus, propter ipsum inundatio. Nam hoc quoque est maximum genus honoris, eum & beneficiis, & pœnis corrigere. Propter ipsum omni priori tempore innumerabilia certo consilio gesta & administrata sunt. Porrò autem ipsum quoque futurum iudicium fit propter eius honorem. Quocirca Iob quoque dicit: Quid est homo quòd duxisti eum in iudicium? Quemadmodum alibi dicit ipse Propheta: Quid est homo quòd memores eius? Propter ipsum rursus veniet vnigenitus donans bona innumerabilia. Alia enim iam dedit per baptismum, & sacramenta, & mysticam aliam celebrationem collata bona, & aliis miraculis terram impleuit: alia verò se daturum est pollicitus, regnum cœlorum, vitam æternam, factùrum suos hæredes, & cum eo regnaturos. Quocirca Paulus quoque dicebat: Si sustinemus, & conregnabimus. Hæc ergo omnia considerans Propheta, eos iure brutis comparat, qui tantam nobilitatem vitio prodiderunt, & ad affectiones illorum

Animi dignitas. — *Hominis dignitas.* — *Iob 14.* — *Psal. 8.* — *Rom. 8.* — *2. Tim. 2.*

A ἴσα κατὰ τὴν τοῦ σώματος ἰσχὺν, τῇ τοῦ λόγου συγγενείᾳ ὑψηλότερον πάντων ἐποίησε, λογικὴν ψυχὴν αὐτῷ χαρισάμενος, ὅπερ ἐστὶ μάλιστα τιμῆς τεκμήριον. διὰ γὰρ τούτου καὶ πόλεις ᾠκοδόμησε, καὶ θάλασσαν ἔτεμε, καὶ γῆν ἐκαλλώπισε, καὶ τέχνας μυρίας ἐξεῦρε, καὶ τῶν ἀγριωτέρων ἀλόγων περιεγένετο, καὶ ὃ δὴ πάντων μέγιστον καὶ πρῶτον, τὸν ποιήσαντα αὐτὸν ἐπέγνω Θεὸν, καὶ πρὸς ἀρετὴν ἐχειραγωγήθη, καὶ ἔγνω τί μὲν καλὸν, τί δὲ οὐ τοιοῦτον. Θεῷ προσεύχεται τῶν ὁρωμένων μόνος, ἀποκαλύψεων ἀπήλαυσε, καὶ τοῦτο μόνος πάλιν· B πολλὰ τῶν ἀπορρήτων ἔγνω, τὰ ἐν τοῖς οὐρανοῖς ἐπαιδεύθη· δι' αὐτὸν γῆ, δι' αὐτὸν οὐρανὸς, δι' αὐτὸν ἥλιος, καὶ ἀστέρες, δι' αὐτὸν σελήνης δρόμοι, καὶ ὡρῶν διαφοραὶ, καὶ ἐτῶν ὁ χορὸς, δι' αὐτὸν καρπῶν γενέσεις, καὶ φυτὰ, καὶ ἀλόγων γένη τοσαῦτα, δι' αὐτὸν ἡμέρα, καὶ νὺξ, δι' αὐτὸν ἀπόστολοι, καὶ προφῆται ἐπέμφθησαν, δι' αὐτὸν ἄγγελοι πολλάκις ἀπεστάλησαν. τί δεῖ τὰ πολλὰ λέγειν; οὐδὲ γὰρ δυνατὸν ἅπαντα ἐπελθεῖν. δι' αὐτὸν ὁ μονογενὴς υἱὸς τοῦ Θεοῦ ἄνθρωπος γέγονε, καὶ ἐσταυρώθη, καὶ ἐτάφη, καὶ τὰ φρικώδη θαύματα ἐκεῖνα μετὰ τὴν ἀνάστασιν δι' C αὐτὸν γέγονε. δι' αὐτὸν νόμος, δι' αὐτὸν ὁ παράδεισος, δι' αὐτὸν ὁ κατακλυσμός. καὶ γὰρ καὶ τοῦτο μέγιστον τιμῆς εἶδος, τὸ καὶ δι' εὐεργεσίας, καὶ τιμωρίας αὐτὸν διορθοῦν· δι' αὐτὸν μυρία κατὰ τὸν ἔμπροσθεν χρόνον ἅπαντα ᾠκονόμηται. καὶ αὐτὴ δὲ ἡ κρίσις ἡ μέλλουσα ἔσται, τῆς εἰς αὐτὸν τιμῆς ἕνεκα γίνεται. διὸ καὶ ὁ Ἰὼβ φησι, τί ἐστιν ἄνθρωπος, ὅτι ἤγαγες αὐτὸν εἰς κρίσιν; ὥσπερ ἀλλαχοῦ ὁ αὐτὸς οὗτος φησι. τί ἐστιν ἄνθρωπος, ὅτι ἐμνήσθης αὐτοῦ; δι' αὐτὸν πάλιν ὁ D μονογενὴς ἥξει τὰ μυρία διδοὺς ἀγαθά. τὰ μὲν γὰρ ἔδωκεν ἤδη διὰ τοῦ βαπτίσματος, καὶ τῶν μυστηρίων, καὶ τῆς ἄλλης μυσταγωγίας παραχεθέντα ἀγαθὰ, καὶ θαυμάτων ἑτέρων τὴν γῆν ἐνέπλησε· τὰ δὲ ὑπέσχετο δώσειν, τὴν βασιλείαν τῶν οὐρανῶν, καὶ τὴν ζωὴν τὴν αἰώνιον, καὶ κληρονόμους αὐτοῦ ποιήσειν, καὶ παρασκευάζειν συμβασιλεύειν αὐτῷ. διὸ καὶ ὁ Παῦλος ἔλεγεν, εἰ ὑπομένομεν, καὶ συμβασιλεύσομεν. ταῦτ' οὖν ἅπαντα λογιζόμενος ὁ προφήτης, εἰκότως ἀλόγοις παραβάλλει τοὺς τὴν τοσαύτην εὐγένειαν τῇ κακίᾳ προδεδωκότας, καὶ πρὸς τὰ ἐκείνων αἰδο-

μολήσαντας πάθη. ποιοῦσι δὲ αὐτὰ καὶ ἕτεροι A πολλαχοῦ προφῆται, τῇ συγκρίσει τὸν ἀναίσχυντον ἀκροατὴν ἐντρέψαι βουλόμενοι. καὶ ὁ μὲν φησιν, ἵπποι θηλυμανεῖς ἐγένοντο· ὁ δὲ, ἔγνω βοῦς τὸν κτησάμενον, καὶ ὄνος τὴν φάτνην τοῦ κυρίου αὐτοῦ· χαλεπώτερον τοῦ Δαβὶδ οὕτω λέγων. ὁ μὲν γὰρ Δαβὶδ φησι· παρασυνεβλήθη τοῖς κτήνεσι τοῖς ἀνοήτοις, καὶ ὡμοιώθη αὐτοῖς· ἐκεῖνος δὲ, ὅτι καὶ τούτων ἀλογώτεροι γεγόνασιν· ἐκεῖνα γὰρ ἔγνω τὸν κτησάμενον, Ἰσραὴλ δὲ οὐκ ἔγνω, φησί. καὶ ἀλλαχοῦ δὲ ἕτερός τις σοφὸς ἀνὴρ χείρονα δεικνὺς, καὶ μυρμήκων τὸν νωθῆ, καὶ B ἀναπεπτωκότα, καὶ ὑπὸ ἀργίας διαφθειρόμενον, ἐκεῖ πέμπει μαθησόμενον φιλοπονεῖν· ἴθι λέγων πρὸς τὸν μύρμηκα ὦ ὀκνηρὲ, καὶ ζήλωσον τὰς ὁδοὺς αὐτοῦ· ἐκεῖνος γὰρ γεωργίου μὴ ὑπάρχοντος αὐτῷ, μηδὲ τὸν ἀναγκάζοντα ἔχων, μηδὲ ὑπὸ δεσπότην ὢν, ἑτοιμάζεται θέρους τὴν τροφὴν, καὶ πολλὴν ποιεῖται ἐν τῷ ἀμήτῳ τὴν παράθεσιν. καὶ πρὸς τὴν μέλιτταν πάλιν ἰέναι κελεύων, πορεύθητι πρὸς τὴν μέλιτταν, καὶ μάθε ὡς ἐργάτις ἐστί. ἀρχὴ γὰρ γλυκασμάτων ὁ καρπὸς αὐτῆς, ἧς τοὺς πόνους βασιλεῖς, καὶ ἰδιῶται πρὸς ὑγείαν προσ- C φέρονται. ἕτερος δέ φησιν· οἱ ἄρχοντές σου ὡς λύκοι τῆς Ἀραβίας. καὶ ἄλλος, ἐκάθισας ἐν τῇ ἐρήμῳ, ὡς κορώνη. ὁ δὲ τοῦ Ζαχαρίου, ὄφεις γεννήματα ἐχιδνῶν, λέγει, τίς ὑπέδειξεν ὑμῖν φυγεῖν ἀπὸ τῆς μελλούσης ὀργῆς; καὶ ἄλλος δὲ πάλιν· ὠὰ ἀσπίδων ἔρρηξαν, καὶ ἱστὸν ἀράχνης ὑφαίνουσι. ἀλλαχοῦ δὲ ὁ αὐτὸς οὗτος προφήτης φησί· ἰὸς ἀσπίδων ὑπὸ τὰ χείλη αὐτῶν, καὶ πάλιν· θυμὸς αὐτοῖς κατὰ τὴν ὁμοίωσιν τοῦ ὄφεως. τοιοῦτον γὰρ ἡ κακία, τὸν τοσοῦτον, καὶ τηλικοῦτον, καὶ τοσαῦτα διαδήματα ἔχοντα, πρὸς τὴν τῶν ἀλόγων καταβάλλει δυσγένειαν· διὸ καὶ ἐν τῷ παρόντι D ψαλμῷ δύο κακίας ἐπιλεξάμενος εἴδη, καὶ τὰ ἄλλα τοῖς ἀκροαταῖς ἀφεὶς συλλέγειν, οὕτω σίζει τοὺς ἁλόντας. τί γὰρ ἀνθρώπου γένοιτ' ἂν ἀλογώτερον, εἰκῆ, καὶ μάτην, καὶ ἐπὶ κακῷ τῆς αὐτοῦ κεφαλῆς τὴν οἰκουμένην περιτρέχοντος, καὶ συνάγοντος ἄπειρα χρήματα, οὐχ ἑαυτῷ, ἀλλ' ἑτέροις ἀγνοουμένοις, πολλάκις δὲ καὶ ἐχθροῖς, καὶ ἐπιβούλοις; καὶ καλῶς εἶπε· καταλείψουσιν ἀλλοτρίοις τὸν πλοῦτον αὐτῶν. τί γὰρ ἀνοητότερον, ὅταν οὗτοι μὲν τοὺς πόνους, καὶ τὰς ἁμαρτίας ὑπομένωσι τὰς ἐκ τῆς συλλογῆς, ἑτέροις δὲ τῆς ἀπολαύσεως παραχωρῶσιν;

desciuerunt. Hoc ipsum sæpe faciunt alij quoque Prophetæ, impudentem auditorem volentes per comparationem pudore suffundere. Et ille quidem dicit, Equi in fœminas insanientes facti sunt. Hic verò: Cognouit bos possessorem suũ, & asinus præsepe Domini sui, dicens quidem multò Dauide acerbius. Dauid enim dicit: Comparatus est iumentis insipientibus, & similis factus illis: ille autẽ dicit eos fuisse magis expertes rationis quàm bruta. Illa enim, inquit, cognouerunt possessorem, Israel verò non cognouit. Iam verò alibi quoque alius quidã vir sapiens, ostendens vel formicis esse deteriorem virum pigrum & desidem, & otio languentem, eum illuc mittit, vt discat esse laboriosus & industrius: Vade, dicens, ad formicã, ô piger, & imitare vias eius. Illa enim, cùm nec agrum cultum habeat, nec sit qui eam cogat, nec domini imperio pareat, parat æstate alimentum, & tempore messis multa reponit. Rursus autem iubet ire ad apem. Proficiscere ad apem, & disce quòd ea sit operaria: nam principium dulcorũ fructus eius, cuius labores Reges & priuati ad sanitatẽ afferunt. Alius verò dicit; Principes tui tanquam lupi Arabiæ. Et alius: Sedisti in deserto tanquã cornix, Zachariæ autẽ filius dicit: Genimina viperarũ, quis vobis ostendit fugere à ventura ira? Et alius rursus: Oua aspidũ ruperunt, & araneæ telã texunt. Alibi autẽ idem Propheta dicit: Venenum aspidum sub labiis eorũ. Et rursus: Ita eis ad similitudinem serpentis. Tale est enim vitium, eum qui talis est & tantus, totque diadematibus coronatus, eò redigit, vt sit nõ minus ignobilis quàm bruta. Et ideo in præsenti quoque Psalmo cùm elegisset duo vitij genera, & alia auditoribus reliquisset colligenda, eos qui illis tenentur, ita pungit. Quid enim fuerit à ratione alienius homine, qui temerè, & cum sui capitis malo ac discrimine orbẽ terræ percurrit, & innumerabiles pecunias colligit, non sibi, sed aliis qui ipsi quoque non cognoscuntur, sæpe autem sunt hostes & insidiatores? Rectè autem dixit: Relinquent alienis diuitias suas. Quid est enim stultius, quàm (vt hi faciunt) laborem quidem & peccata quæ in his colligendis admittuntur, suscipere, alienis verò eorum vsufructu cedere?

Hier. 5. Esa. 1.

Homo brutis deterior.

Prov. 6.

Eccli. 11.

Sopho. 3. iuxta 70. Interpretes. Matth. 3. Esa. 59.

Psal. 139. Psal. 57.

Eccl. 11.

Deinde cùm amore pecuniæ inanem quoque gloriam adducens in medium, eos pungit vehementissimè, dicens: Vocauerũt nomina sua in terris suis. Quid his rursus est à ratione alienius? qui lapidibus & lignis & inanimatæ materiæ suam committunt memoriam, & propriam credunt gloriam? Aliquot enim bonis omnibus euerterunt, & viduas spoliarunt, & pupillorum facultates diripuerunt, vt vermi domum facerent splendidam, tineæque & corruptioni magnificos ambitus ædificarent, quòd existiment suam per ea futurã immortalem memoriam, quæ ne paruo quidem momẽto temporis potuerunt corpora retinere. *Hæc via illorum scandalum ipsis.* Quænam est autem hæc via? Studium quod in res eiusmodi confertur, vanus labor, insana pecuniæ habendæ cupiditas, insatiabilis gloriæ ebrietas: & ante futurum, inquit, supplicium hic fit eis scandalum & impedimentum. Non paruum offendiculum, non paruũ impedimentum, nõ paruũ obstaculum hæc via est ad operationem virtutis. Et ideo dicit, Hæc via est scandalum ipsorum. Rectè autem dixit hanc viam esse ipsis scandalum. Sibiipsis vincula injiciunt, seipsos impediunt. *Et postea in ore suo complacebunt.* Hoc quod dixit, est grauissimum, & causa cæterorũ malorum. Qui enim in his peccãt, & delinquunt, & adeò desipiunt, seipsos fœlices ac beatos esse ducunt, & admirantur, & iis quæ fiunt, delectantur. Vitium autem quod laudatur ab iis qui eo laborant, considera quantam fecit accessionem malæ cupiditatis. Si enim dum vituperatur, dum probris afficitur, dum arguitur, dum ab eius qui sobrij hominis cogitationem pa rumper suscipit, conscientia flagellatur, dum laceratur, & odio habetur, adeò tamen impudenter viget, & inualescit, & indies augetur: quando non solùm non fuerint quæ prohibeant, vtpote accusatio, conscientiæ reprehensio, ea quæ fiunt corripere, eorum quæ commiseris duci pœnitentia, erubescere, aspectum hominum vitare, flere ac lamentari, sed omnino contrà seipsos etiam laudant qui faciunt, & sibi encomia componunt, & eo ipso se aliis meliores esse ducunt, & postquam fecerint, laudant ea quę fecerunt (hoc enim

Inanis gloria.

In vitiis sibi placere.

A εἶτα μετὰ τῆς φιλοχρηματίας, καὶ τὴν κενοδοξίαν εἰς μέσον ἄγων, σφόδρα μετὰ πολλῆς τῆς σφοδρότητος λέγων· ἐπεκαλέσαντο τὰ ὀνόματα αὐτῶν ἐπὶ τῶν γαιῶν αὐτῶν. τί τούτων ἀλογώτερον πάλιν, οἳ λίθοις, καὶ ξύλοις, καὶ ἀψύχῳ ὕλῃ τὴν ἑαυτῶν ἐγχειρίζουσι μνήμην, καὶ τὴν οἰκείαν ἐμπιστεύουσι δόξαν; καὶ γὰρ ὁλοκλήρους οὐσίας ἀνέτρεψαν, καὶ χήρας ἀπέδυσαν, καὶ ὀρφανοὺς ἥρπασαν, ὥστε τὸ σκώληκι λαμπρὰν ποιῆσαι τὴν οἰκίαν, καὶ τῷ σητὶ καὶ τῇ φθορᾷ λαμπροὺς οἰκοδομῆσαι περιβόλους, τῷ νομίζειν ἀπὸ τού- B των ἀθάνατον ἔσεσθαι αὐτῶν τὴν μνήμην, τῶν οὐδὲ τὰ σώματα μικρὰν χρόνου ῥοπὴν κατασχεῖν δυνηθέντων. αὕτη ἡ ὁδὸς αὐτῶν σκάνδαλον αὐτοῖς. ποία αὕτη ὁδὸς εἰπέ μοι; ἡ περὶ τὰ τοιαῦτα σπουδή, ἡ ματαιοπονία, ἡ πολλὴ τῶν χρημάτων μανία, ἡ ἀκόρεστος τῆς δόξης μέθη· καὶ πρὸ τῆς κολάσεως, φησί, τῆς μελλούσης ἐνταῦθα αὐτοῖς σκάνδαλον, καὶ ἐμπόδιον γίνεται. οὐ μικρὸν τοῦτο σκάνδαλον, οὐ μικρὸν ἐμπόδιον, οὐ μικρὸν κώλυμα αὕτη ἡ ὁδός, πρὸς τὴν τῆς ἀρετῆς ἐργασίαν. διό φησιν, αὕτη ἡ ὁδὸς σκάνδαλον αὐ- C τοῖς. καὶ καλῶς εἶπε σκάνδαλον αὐτοῖς τὴν ὁδόν· ἑαυτοὺς δεσμοῦσιν, ἑαυτοὺς συμποδίζουσι, καὶ μετὰ ταῦτα ἐν τῷ στόματι αὐτῶν εὐδοκήσουσι. ὃ χαλεπώτατον, καὶ τῶν λοιπῶν αἴτιον τῶν κακῶν, τοῦτό ἐστιν, ὅπερ εἴρηκεν. οἱ γὰρ τοιαῦτα ἁμαρτάνοντες, καὶ πλημμελοῦντες, καὶ οὕτως ἀνοηταίνοντες, μακαρίζουσιν ἑαυτούς, καὶ θαυμάζουσι, καὶ ζηλωτοὺς ἑαυτοὺς εἶναί φασι, καὶ ἀρέσκονται τοῖς πραττομένοις· κακία δὲ ἐπαινουμένη, καὶ παρ᾽ αὐτῶν τῶν ἐργαζομένων, ἐννόησον ἡλίκην λαμβάνει τῆς πονηρᾶς ἐπιθυμίας προσθήκην. εἰ γὰρ κα- D κιζομένη, εἰ γὰρ ὑβριζομένη, εἰ γὰρ ἐλεγχομένη, εἰ γὰρ ἀπὸ τοῦ συνειδότος τοῦ ὅπως δήποτε νήφοντος μαστιζομένη, ξαινομένη, μισουμένη, οὕτως ἀναισχύντως ἀνθεῖ, καὶ καθ᾽ ἑκάστην αὔξεται τὴν ἡμέραν· ὅταν μὴ μόνον τὰ κωλύοντα αὐτὴν μὴ ᾖ, οἷον ἡ κατηγορία, τοῦ συνειδότος ὁ ἔλεγχος, τὸ ἐπιλανθάνεσθαι τῶν γινομένων, τὸ μετανοεῖν ἐν τοῖς πραττομένοις, τὸ καταδύεσθαι, τὸ ἐγκαλύπτεσθαι, τὸ στένειν, τὸ θρηνεῖν· ἀλλὰ τοὐναντίον ἅπαν, καὶ ἐπαινῶσιν ἑαυτοὺς οἱ ἐργαζόμενοι, καὶ ἐγκώμια ἑαυτῶν ὑφαίνωσι, καὶ τῶν ἄλλων βελτίους κατὰ τοῦτο αὐτὸ εἶναι νομίζουσι, καὶ μετὰ τὸ πρᾶξαι ἐπαινῶσι τὰ γεγενημένα· οὕτω γὰρ

ὅτι, καὶ μετὰ ταῦτα ἐν τῷ στόματι αὐτῶν εὐδοκήσουσι. πῶς οὐκ ἂν ἐκτραπεῖεν; οὕτω γάρ εἰσι παραπλῆγες, οὕτω παραπαίουσιν, ὡς καὶ μετὰ τὴν πλήρωσιν τῆς ἐπιθυμίας, ὅτε μάλιστα ὁρῶντας τὴν παρανομίαν αἰσχύνεσθαι ἔδει, γαυριῶνται, ἀρέσκονται τοῖς γεγενημένοις. τοιοῦτον γὰρ ἡ ἁμαρτία, πρὸ μὲν τοῦ πραχθῆναι, συσκιάζει ἑαυτῆς τὸ εἰδεχθὲς, τῇ μέθῃ τῆς ἡδονῆς περιστέλλουσα αὐτῆς τὸ βδελυρόν· ἐπειδὰν δὲ πραχθῇ, καὶ ἡ μὲν ἡδονὴ τῆς ἐπιθυμίας κατὰ μικρὸν ἀναχωρήσῃ, ἡ δὲ τοῦ συνειδότος κατηγορία ἐπέλθῃ, γυμνοὺς μαστίζουσα τοὺς λογισμοὺς, τότε μάλιστα φαίνεται αὐτῆς τὸ βλαβερόν. οὗτοι δὲ οὐδὲ μετὰ τὸ πληρῶσαι, ἀλλ' ὅταν ἴδωσι τὸν πλοῦτον ὀγκωθέντα, τοὺς τάφους ἐγηγερμένους, τὰς ματαίας οἰκοδομὰς ἀπηρτισμένας, δέον τότε γοῦν κατανυγῆναι, καὶ στενάξαι, οἱ δὲ καὶ μετὰ ταῦτα, μετὰ τὸ ἔργον, μετὰ τὴν πλήρωσιν, τότε ἔτι μειζόνως νοσοῦσιν. ἐπεὶ οὖν τὰ παρ' αὐτῶν οἴχεται, ἕπεται λοιπὸν τὰ παρὰ τοῦ Θεοῦ. ὥσπερ γὰρ οἱ κατακρίνοντες ἑαυτοὺς, ἐφ' οἷς ἁμαρτάνουσι, προλαμβάνοντες ἀποκρούονται τὴν παρὰ τοῦ Θεοῦ ψῆφον, καθάπερ καὶ Παῦλός φησιν· Εἰ γὰρ ἑαυτοὺς ἐκρίνομεν, οὐκ ἂν ἐκρινόμεθα· οὕτως οἱ νοσοῦντες ἀμεταμέλητα, καὶ ἁμαρτάνοντες, μὴ καταγινώσκοντες ὧν ἐπλημμελήσαμεν, μετὰ πολλῆς τῆς σφοδρότητος ἐπισπῶνται τὴν παρὰ τοῦ Θεοῦ τιμωρίαν ἑαυτοῖς. ἐπεὶ οὖν καὶ οὗτοι ἢ τὰ ἀλλότρια ἁρπάζοντες, ἢ τὰ οἰκεῖα μάτην, καὶ εἰκῆ δαπανῶντες, ἅπερ εἰς πένητας ἀναλίσκειν ἐχρῆν, εἰς τάφους, καὶ σκώληκας, καὶ σῆτας δαπανῶσι, καὶ οὐ μετανοοῦσιν ἐπὶ τῶν γεγενημένων, ἀλλὰ ἀνίατα μένουσι νοσοῦντες, ἄκουσον τί γίνεται λοιπόν. τί δὴ οὖν γίνεται; τιμωρίᾳ τῇ παρὰ τοῦ Θεοῦ δίδονται, διὸ ἐπήγαγεν· ὡς πρόβατα ἐν ᾅδῃ ἔθεντο. οὐ τὸ ἥμερον ἐνταῦθα διὰ τοῦ ὀνόματος τῶν προβάτων δηλῶν. τί γὰρ ἐκείνων ἀγριώτερον γένοιτ' ἂν τῶν παρορώντων μὲν γυμνὰ σώματα πενήτων, καὶ γαστέρας τηκομένας λιμῷ, καλλωπιζόντων δὲ οἴκους φθορᾷ, καὶ σκώληξι, καὶ σητί; ἀλλὰ τὸ εὔκολον αὐτῶν τῆς ἀπωλείας, τὴν ἐξ ἐπιδρομῆς πανωλεθρίαν, τὸ εὐχείρωτον τοῖς ἐπιβουλεύουσιν. οὐδὲν γὰρ ἀσθενέστερον ἀνθρώπου κακίᾳ συζῶντος.

A sibi vult illud: Et in ore suo complacebunt) quò non ij deflexerint? aut quid non admiserint? Sunt enim tanto furore perciti, & adeò emotæ mentis, vt etiam quando suam libidinem expleuerint, quando eos videntes iniquitatem oporteret erubescere, exultant, sibi placent, se efferunt, eo quod factum est delectantur. *Prou. 2.* Tale est enim peccatum, vt priusquam factum sit, suam velet turpitudinem, ebrietate voluptatis prætexens suam abominationem: sed postquam factũ fuerit, & libidinis quidem voluptas parumper cesserit, conscien- B tiæ autem accusatio inuaserit, nudam ac solam rationem flagellans, tunc maximè cernitur quàm sit perniciosum. *Hier. 11.* Hi autem nec tunc quidem postquam se expleuerint, sed postquam viderint opes coaceruatas, sepulchra excitata, inania ædificia perfecta, cùm oporteret eos cõpungi ac deflere, post hæc etiam, *Rom. 6.* hoc est, post opus, postquam res fuerit adimpleta, tunc adhuc magis laborant. Postquam ergo nihil eis relictum est ex ipsis remedij, tunc restat vt Deus exequatur quod suũ est. Quemadmodum enim qui seipsos condemnant propter C ea quæ peccant, quæ à Deo ferenda esset, sententiam anticipantes euitant, sicut etiam dicit Paulus: Si enim nosipsos iudicaremus, non vtique iudicaremur: *1. Cor. 11. 31.* ita quorum tam grauis est morbus, vt nulla ducantur pœnitentia, & peccantes sua peccata non condẽnent, Dei in se supplicium cum maxima vehementia attrahunt. Quoniam ergo hi qui aliena rapiunt, vel qui sua temere profundunt, & quæ in pauperes erogare oportet, in sepulchra, vermes & tineas consumunt, & nec eorum quidem quæ fecerunt, vlla tanguntur pœnitentia, sed manent ægroti immedicabili- D ter: audi quid deinceps fiat. Quid ergo fit? Dei tradũtur supplicio, & ideo subiunxit: 15. *Sicut oues in inferno positi sunt, mors depascet eos.* Non hic mansuetudinem per nomen ouium significans, (quid enim possit illis esse sæuius, qui pauperum quidem nuda corpora, & ventres fame enectos despiciũt, domos autem corruptioni, vermi & tineæ mãgnificè extruunt) sed facilem eorum interitum, repentinum exitium, & quam facilè capi possint ab eis qui illis insidiantur. Nihil est enim imbecillius homine, qui in vitio vitam trãsigit.

Desit hic quispiam.

Quod his quoque eueniet: ita concidentur, ita funditus peribunt, & tam facilè deuenient ad inferos, tam breuiter, tam expeditè, tam nullo negotio, quàm oues quę mactantur. Hoc est mors, imò verò res est morte acerbior. Post talem enim mortem eos mors immortalis excipiet, & ideo nusquã in sinus Abrahæ, nec in vllam aliam regionem cernũtur recedere, sed in infernum. Hoc pœnæ, hoc supplicij, hoc summi exitij nomen est. Et hîc mors eorum vilis est, & contemnenda: & eorũ illic mora est plena supplicio. Ita etiam solemus dicere de iis qui facilè pereunt. Hic sicut ouis occisus est. Quoniam enim sicut bruta vixerunt, etiam vt bruta pereunt, non habentes bonã spem de futuris. Nec hoc solùm, sed etiam magno eorum malo. Mors depascet eos. Hic mihi videtur mortem dicere interitum qui illic est, & supplicium, quemadmodum etiam alibi dicit: Anima quæ peccet, ipsa peribit: non substantiæ ablationem, sed pœnam significans. Persistit autem in metaphora. Quoniam enim dixit oues, eorum quoque pastorem ostẽdit. Quis autem hic est? Vermis venenatus, tenebræ nunquam cessaturæ, vincula quæ solui nequeunt, stridor dentium. Vide ergo eos vndique puniri. In vita, quoniam eis ad virtutem allatum est impedimentum, quoniam vitij serui & mancipia facti sunt, & superuacaneum & ridiculum laborẽ susceperũt. In morte, quoniam fuit mors eorum vulgaris & ingloria. In tempore post mortem, quoniam perpetuus eos tenet interitus. *Et dominabuntur eorum iusti in matutino.* Quoniam multi crassiores, & non plus sensu præditi quàm lapides, nõ habent certã & claram spem de futuris, sed iis quæ sunt præsentia, & quæ vidẽtur, inhiant, eos obscurè tangit. Deinde cùm paucis futura obscurè significasset, cõfert rursus orationem ad contemptionẽ eorum & pœnam in vita præsenti, ostendens quàm sint imbecilli, viles, contemnẽdi, & quòd licet sint millies diuites, & magna sint succincti potentia, ab iis tamen qui virtutem persequuntur, habentur pro seruis & mancipiis. Et ideo dicit, & dominabuntur eorum iusti in matutino: hoc est, celeriter, continuò,

Infernus.

Ezech. 10. Perire animæ, quid.

Auarorum punitio.

A ὅπερ καὶ οὗτοι πείσονται, οὕτω καταχοπήσονται, οὕτως ἀπολοῦνται ἀθρόον, καὶ εἰς τὸν ᾅδην ἀπελεύσονται ῥᾳδίως, εὐκόλως, συντόμως, ἀπονητὶ, ὥσπερ εἰ πρόβατα κατακοπτόμενα. τοῦτο θάνατος, μᾶλλον δὲ πρᾶγμα θανάτου πολὺ χαλεπώτερον. μετὰ γὰρ τὴν τοιαύτην τελευτὴν ἀθάνατος αὐτοὺς διαδέξεται θάνατος, διὰ τοῦτο οὐδαμοῦ εἰς κόλπους Ἀβραὰμ, οὐδὲ εἰς ἄλλο χωρίον φαίνονται ἀπιόντες, ἀλλ᾽ εἰς τὸν ᾅδην, ὃ τῆς τιμωρίας, ὃ τῆς κολάσεως, ὃ τῆς πανωλεθρίας ὄνομα· καὶ ἡ ἐνταῦθα αὐτῶν τελευτὴ εὐτελὴς, καὶ εὐκαταφρόνητος, καὶ ἡ ἐκεῖ διατριβὴ κολάσεως γέμουσα. οὕτω καὶ ἡμῖν ἔθος λέγειν B περὶ τῶν εὐκόλως ἀπολλυμένων, ὡς πρόβατον ὁ δεῖνα ἐσφάγη. ἐπειδὴ γὰρ ὡς ἄλογα ἔζων, καὶ ὡς ἄλογα ἀπόλλυνται, οὐκ ἔχοντες περὶ τῶν μελλόντων ἐλπίδα χρηστήν. καὶ οὐ τοῦτο μόνον, ἀλλ᾽ ὅτι καὶ ἐπὶ κακῷ. θάνατος ποιμανεῖ αὐτούς· ἐνταῦθά μοι τὸν θάνατον δοκεῖ λέγειν, τὴν ἀπώλειαν τὴν ἐκεῖ, τὴν τιμωρίαν, καθάπερ καὶ ἀλλαχοῦ φησι· ψυχὴ ἡ ἁμαρτάνουσα αὐτὴ ἀπολεῖται. οὐ τὴν τῆς οὐσίας ἀναίρεσιν, ἀλλὰ τὴν τιμωρίαν παραδηλῶν. καὶ ἐπιμένει τῇ μεταφορᾷ τῆς λέξεως. ἐπειδὴ γὰρ εἶπε πρόβατα, ἔδειξεν C αὐτῶν καὶ τὸν ποιμένα. τίς δὲ οὗτος; ὁ σκώληξ ὁ ἰοβόλος, τὸ σκότος τὸ ἀτελεύτητον, τὰ δεσμὰ τὰ ἄλυτα, ὁ βρυγμὸς τῶν ὀδόντων. ὅρα τοίνυν αὐτοὺς πάντοθεν κολαζομένους. ἐν τῇ ζωῇ, ὅτι πρὸς ἀρετὴν ἐνεποδίσθησαν, ὅτι κακίας ἐγένοντο δοῦλοι, καὶ αἰχμάλωτοι, καὶ περιττὸν ἐπόνησαν πόνον, καὶ καταγέλαστον· ἐν τῇ τελευτῇ, ὅτι ἁπλῶς, καὶ ὡς ἔτυχεν ἀπώλοντο· ἐν τῷ καιρῷ τῷ μετὰ τὴν τελευτὴν, ὅτι διαπαντὸς ὑπὸ τῆς ἀπωλείας κατέχονται. καὶ κατακυριεύσουσιν αὐτῶν οἱ εὐθεῖς τὸ πρωΐ. ἐπειδὴ πολλοὶ τῶν D παχυτέρων, καὶ πρὸς ἀναισθησίαν λίθων ἐκβεβηκότων, καὶ οὐκ ἔχουσι περὶ τῶν μελλόντων ἐλπίδα σαφῆ, οὔτε πεπληροφορημένην, ἀλλὰ πρὸς τὰ παρόντα κεχήνασι, καὶ πρὸς τὰ ὁρώμενα, καταπλήττει τοὺς τοιούτους αἰνιγματωδῶς, καὶ διὰ βραχέων τὰ μέλλοντα αἰνιξάμενος, πάλιν τὸν ἐπὶ τῷ ἐν τῷ παρόντι βίῳ γενομένην αὐτῶν εὐτέλειαν, καὶ τιμωρίαν μετατίθησι τὸν λόγον, δεικνὺς αὐτῶν τὸ ἀσθενὲς, τὸ εὐτελὲς, τὸ εὐκαταφρόνητον, ὅτι κἂν μυριάκις πλουτῶσι, κἂν δυναστείαν ὦσι περιβεβλημένοι, ἐν τάξει τῶν δούλων καὶ ἀνδραπόδων τοῖς ἀρετὴν μετιοῦσίν εἰσιν. διό φησι, κατακυριεύσουσιν αὐτῶν οἱ εὐθεῖς τὸ πρωΐ, τουτέστι ταχέως, διηνεκῶς,

οὐδὲ χρόνου δεήσονται, οὐδὲ πόνου, οὐδὲ μελλήσεώς τινος. τοιαύτη γὰρ ἡ τῶν πραγμάτων φύσις, τῇ ἀρετῇ τὴν κακίαν δουλεύειν, καὶ τρέμειν αὐτήν, καὶ δεδοικέναι προσκεβύασιν, κᾂν μυρία ἐπιτειχίσματα ἔχῃ, καὶ πολλὰς τὰς ὑπογραφάς, ἐκείνη δὲ γυμνὴ ᾖ, καθ' ἑαυτὴν ἀγωνιζομένη. καὶ μὴν τοὐναντίον ὁρῶμεν, φησί, τούτους ἐκείνων κρατοῦντας· ἀλλὰ μὴ τὸ σφάλμα τῆς τῶν πολλῶν διανοίας ἴδωμεν, τοῦτο γὰρ πεπλανημένης ὑπολήψεώς ἐστι ψῆφος. ἀλλ' αὐτὴν τῶν πραγμάτων τὴν ὀρθὴν κρίσιν διευκρινήσωμεν, καὶ ὄψει τοῦτον κρατοῦντα τὸν λόγον. ἔστω γὰρ τὶς πονηρὸς δεσπότης, καὶ οἰκέτης χρηστός, μᾶλλον δέ, εἰ βούλει, ἐφ' ἑτέρου μείζονος ὑπόδειγμα τὸν λόγον ἀνάγωμεν. ἔστω βασιλεὺς πονηρός, καὶ ἰδιώτης χρηστός, ἴδωμεν τίς τίνος κύριός ἐστι, καὶ ποῦ τὰ πονηρὰ τῆς δεσποτείας διαλάμπει; καὶ τίς ὁ κρατῶν, καὶ τίς ὁ κρατούμενος. πῶς οὖν εἰσόμεθα τοῦτο; ἐπιταττέτω τῷ ἰδιώτῃ ὁ βασιλεὺς πονηρόν τι πρᾶγμα, καὶ πλημμελείας γέμον, τί οὖν ὁ χρηστὸς ἰδιώτης; καὶ ὑπήκοος; οὐ μόνον οὐκ εἴξει, οὐδὲ ὑπακούσεται, ἀλλὰ πειράσεται καὶ τὸν ἐπιτάττοντα ἀπαγαγεῖν τοῦ προκειμένου, κᾂν ἀποθανεῖν δέῃ. τίς οὖν ἐλεύθερος; ὁ ποιῶν ὃ βούλεται, καὶ μηδὲ τὸν βασιλέα δεδοικώς, ἢ ὁ παρὰ τοῦ ὑπηκόου καταφρονούμενος; καὶ ἵνα μὴ ἐπὶ παραδείγματος ἀδιορίστου τὸν λόγον περιάγωμεν, ἡ τοῦ Πετεφρῆ γυνὴ ἡ Αἰγυπτία οὐχὶ βασιλὶς ἦν; οὐχὶ πάσης Αἰγύπτου ἐκράτει; οὐχὶ σύνοικον εἶχε βασιλέα; οὐ πολλὴν περιεβάλλετο δυναστείαν; τί δὲ ὁ Ἰωσήφ; οὐ δοῦλος, οὐκ αἰχμάλωτος, οὐκ ἀργυρώνητος οἰκέτης; οὐ μετὰ πάσης τῆς παρατάξεως αὐτῆς ὡπλίσατο κατὰ τοῦ νεανίσκου; οὐχ ἑτέροις τὸν πόλεμον ἐγχειρήσασα, ἀλλ' αὐτὴ πρὸς τὴν παράταξιν ἐλθοῦσα; τίς οὖν ἐν δουλείᾳ τότε ἦν, τίς δὲ ἐν ἐλευθερίᾳ; ἡ δεομένη, καὶ παρακαλοῦσα, καὶ ἱκετεύουσα, καὶ οὐδὲ ἀνθρώπου, ἀλλὰ πονηροτάτου πάθους αἰχμάλωτος γενομένη, ἢ ὁ καταφρονῶν καὶ διαδήματος, καὶ σκήπτρου, καὶ ἁλουργίδος, καὶ τῆς φαντασίας ἐκείνης ἁπάσης, καὶ ἀνακόπτων αὐτῆς τὰ μηχανήματα; οὐχ ἡ μὲν ἀπῆλθε παρακρουσθεῖσα, καὶ ἑτέρῳ πάλιν πάθει γενομένη δούλη, τῷ θυμῷ τῷ ἀλόγῳ τῇ μιαιφονίᾳ· ὁ δὲ ἐξῆλθε μυρίους στεφάνους ἐπὶ τῆς κεφαλῆς ἔχων, καὶ ἐν αὐτῇ τῇ δουλείᾳ τὴν ἐλευθερίαν μειζόνως διαλάμπουσαν δεικνύς; οὐδὲν γὰρ οὕτως ἐλευθέριον ὡς ἀρετή,

A & nec tempore quidē opus habebunt, nec labore, nec mora. Talis est enim rerum natura, vt vitium virtuti seruiat, eámque formidet ac pertimescat, licet illud quidem sit versutū exercitatúmque, ac præclarè instructum: hæc verò nuda, & per seipsam decertans. Atqui contrà videmus malos obtinere dominatum in bonos. Sed ne consideremus errorem sententiæ vulgi, (is enim ex falsa opinione oritur) sed ipsum rectum rerum iudicium diiudicemus, & videbis id quod dico, esse potius. Sit enim aliquis malus dominus, & bonus seruus, vel, si mauis, ad aliud maius potiùs B exemplum rem deducamus. Sit rex malus, & priuatus bonus, videamus quis sit dominus alterius, & vbinam resplendet dominatus, quis est qui imperat, & qui paret alterius imperio. Quomodo ergo hoc sciemus? Rex rem malam & scelere plenam priuato imperet, cui bonus priuatus, & qui eius ditioni subijcitur, non modo non acquiescet, nec obediet, sed eum etiam qui imperat, conabitur abducere ab instituto, licet mori oporteat. Quis est ergo liber? Ille qui quod vult facit, & C & ne Regem quidem metuit: an qui ab eo cōtemnitur, qui eius subest imperio? Et ne in incerto exēplo prolixa vtamur oratione, vxor Pentephræ Ægyptia, nunquid erat Regina? nunquid toti Ægypto præerat? nūquid habebat Regē coniugem? nūquid maximam habebat potestatem? Quid verò Ioseph? nō seruus? non captiuus? non famulus emptitius? Non aduersus adolescētulum omnem aciē instruxit, non alij belli curam cōmittens, sed ipsa descēdens in aciem? Quis ergo tunc erat seruus, quis liber? Illáne quæ precabatur, orabat, & supplicabat, D & nō homini, sed improbissimæ animi perturbationi seruiebat: an is qui cōtemnebat diadema, sceptrum, purpuram, & omnē illam externā speciem ac pompā, & rescindebat eius machinationem? Non illa quidē repulsam passa recessit, & alij rursus animi morbo mancipata est, nempe iræ, quæ ratione non regitur & cedit? Hic verò exiit capite redimito coronis innumerabilibus, & in ipsa seruitute libertatem magis resplendentem ostendens. Nihil est enim æquè liberum vt virtus,

Vitium virtuti seruit.

1. Reg 18. Marc. 6.

Hypothesis.

Gen 39.

Virtus libera. Vitium seruum. *Prou. 17. 2.* *A simili probatio.*

nihil æquè seruum vt vitium. Et ideo dicit etiam alicubi quispiam: Sapiens seruus obtinebit dominatum in dominos insipientes. Quemadmodum enim captiuus, etsi immensas habeat diuitias, eo ipso facilè capi potest & expugnari ab omnibus: ita etiam qui ab animi perturbationibus captus est, est tela araneæ vilior. Quid verò in bello, nunquid eos videmus vincere? Quid verò in rebus tractandis & consultandis? nunquid quæ dicunt firma sunt & stabilia, etsi nullus pareat? Quid autem in iis quæ hanc vitam consequuntur? Nunquid diues quidam tanquam mendicus, vnam guttam rogauit, nec eam impetrauit? Pauper tamen, quoniam erat bonus, & virtutis studiosus, non in maxima fuit fœlicitate, & eadem ei sors quæ Abrahæ obtigit? Quid autem in Apostolis? nunquid vincti, flagris cæsi, innumerabilia mala passi, eos superabant qui illos afficiebant? Cogita ergo quàm animi dubios & perplexos eos reddebant, adeò vt dicerent: Quid faciemus his hominibus? Atqui tenebant eos vinctos, & in medijs iudiciis comprehensos, & obtinebant illi quidem locum iudicum & magistratuum: hi verò tanquã rei illic stabant, & hi tamen illos vicerunt. Vbique denique, si quis diligenter cõsideret, videbit virum bonũ vincere virum improbum: eãq; verè est victoria, non ea quæ est multorum, quæ falsa est & errans, & quæ facile conuincitur, sed illa quæ est firma, stabilis, & immobilis. 15. *Etauxilium eorum veterascet in inferno.* Hoc est, erit imbecillum. Quod autem dicit, est eiusmodi. non solùm hîc facilè capi poterunt, nullo opem ferente, nullo manum præbente, omnibus expositi, imò etiam quod est grauius, ne illic quidem habebunt qui defendat, & opem ferat, & manum præbeat, & eorũ supplicium cõsoletur. Itaque nec virgines prudentes stultis opem ferre potuerunt, non Abraham diuiti, non Noë, & Iob, & Daniel filiis & filiabus. Illud enim, Veterascet, est & erit imbecillum & euanescet, ac delebitur. Quod enim veterascit ac consenescit, non longè abest ab interitu. *A gloria sua exturbati sunt.* Quod maximè desiderabant, propter quod omnia faciebant, & nihil non moliebantur, nempe vt post mortem magnam sibi pararent gloriam, per pecunias, per ædificia, per sepulchra, per

Luc. 16. *Rom. 8. 2. Cor. 4.* *Act. 4.* *Probitas improbitatis vbique victrix.* *Matth. 25. Ezech. 14. Luc. 16.*

A οὐδὲν οὕτω δοῦλον ὡς κακία. διὰ τοῦτο καὶ ἀλλαχοῦ φησί τις, σοφὸς οἰκέτης κρατήσει δεσποτῶν ἀφρόνων. ὥσπερ γὰρ ὁ αἰχμάλωτος κἂν μυρίον ἔχῃ πλοῦτον, δι' αὐτὸ τοῦτο μάλιστα πᾶσίν ἐστιν εὐάλωτος· οὕτω καὶ ὁ ὑπὸ τῶν παθῶν ἁλισκόμενος, ἀράχνης ἐστὶν εὐτελέστερος. τί δὲ ἐν πολέμῳ; οὐχὶ τούτους ὁρῶμεν κρατοῦντας; τί δὲ ἐν πράγμασι, καὶ βουλαῖς; οὐ τὰ τούτων ἕστηκε, κἂν μηδεὶς ὁ πειθόμενος ᾖ; τί δὲ ἐν τοῖς μετὰ ταῦτα; οὐχ ὁ μὲν πλούσιος, καθάπερ προσαίτης, καὶ σταγόνα ᾔτει, καὶ οὐκ ἐπετύγχανεν; B ὁ δὲ πένης, ἐπειδὴ σπουδαῖος, καὶ ἐνάρετος ἦν, οὐκ ἐν μεγίστῃ εὐπραγίᾳ ἦν, τὴν αὐτὴν τοῦ Ἀβραὰμ λῆξιν ἔχων; τί δὲ ἐπὶ τῶν ἀποστόλων; οὐχὶ δεσμούμενοι, μαστιγούμενοι, μυρία πάσχοντες δεινὰ τῶν ταῦτα ποιούντων περιεγίνοντο; ἐννόησον γοῦν εἰς ὅσην αὐτοὺς ἀπορίαν ἐνέβαλον, ὡς ἐκείνους λέγειν· τί ποιήσομεν τοῖς ἀνθρώποις τούτοις; καίτοι δεδεμένους εἶχον, καὶ ἐν μέσῳ δικαστηρίων συνειλημμένους· καὶ οἱ μὲν ἐν τάξει δικαστῶν, καὶ ἀρχόντων, οἱ δὲ ἐν τάξει δικαζομένων εἱστήκεισαν, ἀλλ' ὅμως οὗτοι C τούτων ἐκράτησαν. καὶ πανταχοῦ εἴ τις μετὰ ἀκριβείας ἐπεξίοι τῷ λόγῳ, τὸν ἐνάρετον ὄψεται τοῦ πονηροῦ κρατοῦντα, τὴν κυρίαν κράτησιν, οὐ ταύτην τὴν τῶν πολλῶν, καὶ ψευδῆ, τὴν πεπλασμένην, καὶ ῥᾳδίως ἐλεγχομένην, ἀλλ' ἐκείνην τὴν πεπηγυῖαν, καὶ ἀκίνητον. καὶ ἡ βοήθεια αὐτῶν παλαιωθήσεται ἐν τῷ ᾅδῃ· τουτέστιν ἀσθενής. ὃ δὲ λέγει τοῦτό ἐστιν· οὐ μόνον ἐνταῦθα εὐχείρωτοι ἔσονται, μηδενὸς ἀμύνοντος, μηδενὸς χεῖρα ὀρέγοντος, πᾶσι προκείμενοι, ἀλλὰ καὶ τὸ χαλεπώτερον, οὐδὲ ἐκεῖ ἕξουσί τινα τὸν παριστάμενον, D καὶ βοηθοῦντα, καὶ χεῖρα ὀρέγοντα, καὶ παραμυθούμενον αὐτῶν τὴν τιμωρίαν. οὕτω γοῦν οὔτε αἱ παρθένοι αἱ φρόνιμοι ταῖς μωραῖς βοηθῆσαι ἴσχυσαν, οὐχ ὁ Ἀβραὰμ τῷ πλουσίῳ, οὐ Νῶε, καὶ Ἰὼβ, καὶ Δανιὴλ, υἱοῖς καὶ θυγατράσι. τὸ γὰρ, παλαιωθήσεται, ἀσθενής ἐστιν, ἀφανισθήσεται. τὸ γὰρ παλαιούμενον, καὶ γηράσκον ἐγγὺς ἀφανισμοῦ. ἐκ τῆς δόξης αὐτῶν ἐξώσθησαν, οὗ μάλιστα ἐπεθύμουν, δι' ὃ πάντα ἐποίουν, καὶ ἐπραγματεύοντο, ὥστε καὶ μετὰ τὴν τελευτὴν δόξης ἀπολαῦσαι πολλῆς, διὰ τῶν χρημάτων, διὰ τῶν οἰκοδομημάτων, διὰ τῶν τάφων, διὰ

τῶν ὀνομάτων τῶν ἐπικειμένων τοῖς τάφοις. καὶ τούτου φησὶν ἐκπεσοῦνται, ὃ μάλιστα αὐτοὺς ἐλύπει ζῶντας, καὶ ταῦτα μανθάνοντας· αἱ γὰρ τοιαῦται οἰκοδομαὶ κατηγορίαι τῶν ἀπελθόντων εἰσί. κἂν γὰρ τὸ σῶμα τῇ γῇ κρύπτηται, ἀλλ' ὅμως οἱ λίθοι φωνὴν ἀφιᾶσι καθ' ἑκάστην αὐτῶν κατηγοροῦντες ἡμέραν τῆς ὠμότητος, τῆς ἀναισχυντίας· τοὺς κοινοὺς ἐχθροὺς ἀνακηρύττοντες, τοὺς παριόντας ἀεὶ εἰς ἀρὰς ἐπισπώμενοι, καὶ ἐγκλήματα, καὶ διαβολάς. ποία οὖν αὕτη δόξα, καταλιμπάνειν κατήγορον μὴ σιγῶντα, ἀλλὰ διὰ τῆς ὄψεως τὰ πάντων ἀνοίγοντα στόματα, καὶ πρὸς τοὺς ὁρῶντας ἅπαντας, καὶ παριόντας σφοδροτάτην ποιούμενον τὴν ἔντευξιν κατὰ τῶν οἰκοδομησαμένων; τί ταύτης τῆς ἀνοίας γένοιτ' ἂν ἴσον; ὅταν ποιῶσιν, ἀφ' ὧν κολάζονται, ἀφ' ὧν καταισχύνονται, ἀφ' ὧν κατηγοροῦνται, ἀφ' ὧν καὶ μετὰ τελευτὴν παρὰ πολλῶν ἀνορύττονται; ἀφ' ὧν αὐτοῖς ἀραὶ, καὶ διαβολαὶ, καὶ ἐγκλήματα μυρία, καὶ παρὰ τῶν ἠδικημένων, καὶ τῶν οὐκ ἠδικημένων; πλὴν ὁ Θεὸς λυτρώσεται τὴν ψυχήν μου ἐκ χειρὸς ᾅδου, ὅταν λαμβάνῃ με. εἰπὼν τῶν πονηρῶν τὰ ἐπίχειρα, τῆς ἁμαρτίας τὰ ὀψώνια, λέγει καὶ τὰ τῶν χρηστῶν ἔπαθλα· ὃ καὶ αὐτῷ καὶ ἑτέροις προφήταις ποιεῖν ἔθος, ὥστε ἑκατέρωθεν ῥυθμίζειν τὸν ἀκροατὴν, καὶ ἐκ τῆς κολάσεως τῶν ἁμαρτημάτων, καὶ ἐκ τῶν ἐπάθλων τῆς ἀρετῆς. τὰ μὲν οὖν ἐκείνων τοιαῦτά, φησιν, ἀτιμία, ματαιοπονία, ἄνοια, γέλως, αἰσχύνη, πανωλεθρία, θάνατος, τιμωρία, κόλασις διηνεκὴς, τὸ εὐεπηρέαστον, τὸ καὶ δόξης, καὶ ἀσφαλείας ἐκπεπτωκέναι, καὶ ζῶντας, καὶ τελευτῶντας τὸ διαβάλλεσθαι, τὸ κατηγορεῖσθαι, τὸ μηδεμίαν εὑρίσκειν παραμυθίαν κακῶν· τὰ δὲ ἡμέτερα τοὐναντίον ἅπαντα ἀπαλλαγὴ κολάσεως, ἐλευθερία ψυχῆς, ἀσφάλεια, δόξα, τιμή. ταῦτα γὰρ πάντα ᾐνίξατο, εἰπών· πλὴν ὁ Θεὸς λυτρώσεται τὴν ψυχήν μου ἐκ χειρὸς ᾅδου, ὅταν λαμβάνῃ με· ᾅδην ἐνταῦθα τὴν κόλασιν λέγων, τὰς ἀφορήτους ἐκείνας ὀδύνας. ἐννόησον δὲ καὶ ἡλίκα τὰ τῆς τιμῆς, οὐ ταύτῃ μόνον, ἀλλὰ καὶ τῷ ἐπαγομένῳ. ὅταν γὰρ λαμβάνῃ με, φησὶ, τότε αὐτὸν ἀκριβέστερον ὄψομαι ἢ νῦν. νῦν γὰρ διὰ πίστεως περιπατοῦμεν, οὐ διὰ εἴδους, τότε δὲ πρόσωπον κατὰ πρόσωπον. τῆς δὲ ψυχῆς λυ-

A nomina inscripta in sepulchris, ab eo, inquit, excident, quod eos maxima molestia afficiebat dum viuerent, & hæc scirent. Talia enim ædificia sunt accusationes mortuorum. Nam etsi corpus terra tegatur, lapides tamen vocem emittunt, eorum crudelitatem & impudentiam quotidie accusantes, communes eos hostes proclamantes, eos qui prætereunt, vt eos diris & maledictis prosequantur, & accusent, inuitantes. Quænam est ergo hæc gloria, accusatorem relinquere non tacentē, sed solo aspectu ora omniū aperientem, & apud B omnes qui vident & accedunt, eos qui ædificarunt grauissimè increpantem? Quidnam potest cum hac cōferri stultitia, quando ea faciunt de quibus puniuntur, pro quibus accusantur, propter quæ etiam post mortem à multis effodiuntur: ex quibus execrationes, reprehensiones & crimina innumerabilia in eos intendunt, tam ab eis qui iniuria affecti sunt, quàm qui non affecti sunt? *Verumtamen Deus redimet animam meā de manu inferni, quando acceperit me.* Postquam dixit mercedem malorum, & stipendium peccati, dicit etiam præmia C bonorum. Quod ipsum consueuerunt etiam facere alij Prophetæ, vt ex vtroq; auditorem componant & corrigant, nempe & ex pœnis peccatorum, & ex præmiis virtutis. Ita ergo se habent res illorum, infamia, labor inanis, ignorantia, risus, dedecus, interitus, mors, tormentum, æternum supplicium, insultandi facilitas, à gloria & securitate excidisse, & viuos & mortuos criminari, accusari, nullum inuenire malorum solatiū. Nostra autem contrà se habent omnia, liberatio à supplicio, libertas animæ, securitas, honor, gloria. Hæc enim omnia significauit, cùm dixit: D Verumtamen Deus liberabit animam meam de manu inferni, quando me acceperit. Inferos hîc dicens supplicium, cruciatus illos intolerabiles. Considera autem quantus sit honor, non propter hoc tantum, sed etiam propter id quod subiungitur. Cùm enim, inquit, acceperit me, tunc ipsum videbo clarius quàm nunc. Nunc enim per fidem ambulamus, non per speciem, tunc autem facie ad faciem. Redempta autem

Monumēta superba accusationes mortuorū.

Malorum & bonorū merces.

Inferi.

1.Cor.13.12.

anima, corpus quoque erit bonorũ particeps. 17. *Ne timueris cùm diues factus fuerit homo, vel cùm multiplicata fuerit gloria domus eius.* Hæc cùm ita se habeant, inquit, quid times præsentia? Quid te malè habet inopia? Quid formidas diuitem? Audiuisti quæ dicta sunt de resurrectione, de bonorum hæreditate, de supplicio malorum: quid vmbras deinceps pertimescis? Illa enim sunt firma ac stabilia, hæc verò sunt similia floribus qui flaccescunt. Omnibus itaque aliis prętermissis, arcem malorũ inuasit, nempe diuitiarum cupiditatem: ea enim diruta, alia quoque simul destruuntur. Et quomodo non timebo, inquit, eos qui tantum possunt? Potentia est ad breue tempus, vires vnius horæ: transit rerum successus, vmbras & somnia imitantur pecuniæ, diuitiæ, & honor tantus, & ideo subiũxit: 15. *Quoniam cùm interierit, non sumet omnia, neque descendet cum eo gloria eius.* Subiungens causam, cur non timeat quæ sunt momentanea: venit mors, radicem abscidit, & vniuersa coma decidit cum foliis, & domus facilè capi potest ab omnibus. Quemadmodum ergo oues & capræ post sectionem arborem iacentem inuadunt: ita etiam in iis qui hoc modo sunt diuites, multi amici, multi eorum quos beneficiis affecerunt, inueniuntur res illorum perdere & euertere, & qui tot & tanta possidebat, tot pocillatores, tot cocos, crateres aureos & argenteos habebat, tot & tanta terræ iugera, domos, mancipia, equos, mulos, camelos, castra seruorum, solus abit, & nemo cum eo discedit, nec ipsas quidem vestes sumens. Quo enim fuerit splendidius indutus, tantò lautiorem mensam vermi parans recedit, & sepulchrorum effossoribus ampliorem cupiditatem, & in miserum corpus maiores insidias. Quo enim se magis exornat, eo in se maiorem contumeliã comparat, manus eorum qui thecas effodiunt, armans in seipsum & inuitans. Et quid tum? inquit. At hic quidẽ certè se iactat, gloriatur, & intumescit vsque ad mortem. Imò verò multi ne ad mortem quidem, sed in illos coortis insidiatoribus, quibusuis reis grauiora passi sunt, pecunia spoliati infamia no-

Cupiditas diuitiarum, arx mali totius.

Collatio.

A συμμέτοχος, καὶ τὸ σῶμα κοινωνήσει τῶν ἀγαθῶν. μὴ φοβοῦ, ὅταν πλουτήσῃ ἄνθρωπος, ἢ ὅταν πληθυνθῇ ἡ δόξα τοῦ οἴκου αὐτοῦ. τούτων οὕτως ἐχόντων, φησὶ, τί δέδοικας τὰ παρόντα; τί δέ σε λυπεῖ πενία; τί φοβῇ τὸν εὔπορον; ἤκουσας τὰ περὶ τῆς ἀναστάσεως, καὶ τῆς τῶν ἀγαθῶν λήξεως, καὶ τῆς τῶν πονηρῶν τιμωρίας; τί τοίνυν δέδοικας λοιπὸν τὰς σκιάς; τὰ μὲν γὰρ μόνιμα, καὶ πεπηγότα ἐκεῖνα· ταῦτα δὲ ἄνθεσι μαραινομένοις ἔοικε. διὸ καὶ πάντα τὰ ἄλλα ἀφεὶς, ἐπὶ τὴν ἀκρόπολιν τῶν κακῶν ἐπήδησε, τὴν τοῦ πλούτου τὴν ἐπιθυμίαν. ταύτης γὰρ κα-
B ταβληθείσης, καὶ τὰ ἄλλα συγκαταλύεται. καὶ πῶς μὴ φοβηθῶ, φησὶ, τοσαῦτα δυναμένους; ὅτι πρόσκαιρος ἡ δυναστεία, μονόωρος ἡ ἰσχὺς, παρατρέχει ἡ εὐημερία, σκιὰς μιμεῖται, καὶ ὀνείρατα τὰ χρήματα, καὶ ὁ πλοῦτος, καὶ ἡ τοσαύτη τιμή. διὸ καὶ ἐπήγαγεν· ὅτι οὐκ ἐν τῷ ἀποθνήσκειν αὐτὸν λήψεται τὰ πάντα, τὴν αἰτίαν τιθεὶς τοῦ μὴ δεδοικέναι τὰ πρόσκαιρα. ἦλθεν ὁ θάνατος, φησὶ, τὴν ῥίζαν ἔτεμε, καὶ ἡ κόμη τῶν φύλλων ἅπασα κατελύθη, καὶ πᾶσιν εὐχείρωτος ἡ οἰκία, καθάπερ οἷον πρόβατα, καὶ
C αἶγες ἐπιπηδῶσι δένδρῳ κειμένῳ μετὰ τὴν τομήν· οὕτω δὴ καὶ ἐπὶ τῶν οὕτω πλουτούντων, πολλοὶ τῶν ἐχθρῶν, πολλοὶ τῶν φίλων, πολλοὶ τῶν εὐεργετηθέντων τὰ ἐκείνου λυμαινόμενοι διέρχονται. καὶ ὁ τοσαῦτα περιβεβλημένος, καὶ τοσούτους οἰνοχόους, μαγείρους, κρατῆρας ἀργυροῦς, καὶ χρυσοῦς ἔχων, πλέθρα γῆς τόσα, καὶ τόσα, οἰκίας, ἀνδράποδα, ἵππους, ἡμιόνους, καμήλους, στρατόπεδα οἰκετῶν, ἄπεισι μόνος, καὶ οὐδεὶς αὐτῷ συναπέρχεται, οὐδὲ αὐτὰ λαμβάνων ἄπεισι τὰ ἱμάτια· ἀλλ' ὅσῳ περ ἂν λαμ-
D πρότερα περίκειται, τοσούτῳ δαψιλεστέραν ἄπεισι παρασκευάζων τῷ σκώληκι τὴν τράπεζαν, καὶ πλείονα τυμβωρύχοις ἐπιθυμίαν, καὶ μείζονα κατὰ τοῦ ἀθλίου σώματος τὴν ἐπιβουλήν. δι' ὧν γὰρ καλλωπίζει, μειζόνως διὰ τούτων ὑβρίζεσθαι σφόδρα αὐτὸ κατασκευάζων τὰς χεῖρας τῶν διορυττόντων τὰς θήκας ἐφ' ἑαυτὸν ὁπλίζων, καὶ καλῶν. καὶ τί τοῦτο, φησίν; ἀλλ' ἐνταῦθα μεγάλα κομπάζει, καὶ φυσᾷ μέχρι τῆς τελευτῆς. μάλιστα μὲν οἱ πολλοὶ οὐδὲ μέχρι τῆς τελευτῆς. ἀλλ' ἐπιβούλων τινῶν ἐπιφυέντων αὐτοῖς, μυρίων καταδίκων χαλεπώτερα ἔπαθον, καὶ τὰ χρήματα ἀφαιρεθέντες, καὶ ἀτιμίᾳ

περιβληθέντες, καὶ δεσμωτήριον οἰκήσαντες. καὶ γὰρ ὁ χθὲς ἐν ὀχήματι, σήμερον ἐν ἁλύσει· ὁ χθὲς ὑπὸ κολάκων θεραπευόμενος, ὑπὸ δημίων κυκλοῦται νῦν· ὁ μύρων ὄζων, αἵματι περιῤῥεῖται· ὁ κατακείμενος ἐπὶ στρωμνῆς ἁπαλῆς, ἐπ᾽ ἐδάφους ἔῤῥιπται σκληροῦ· ὁ παρὰ πάντων θεραπευόμενος, παρὰ πάντων καταφρονεῖται. ἀλλὰ μέχρι τελευτῆς τὰ περὶ τὴν κηδείαν αὐτοῦ λαμπρὰ, καὶ περιφανῆ. καὶ τί πρὸς ἐκεῖνον τὸν οὐκ αἰσθανόμενον; πλείων ἡ δυσωδία, μείζων ἡ βδελυγμία, σφοδρότερος ὁ φθόνος. καὶ γὰρ τελευτήσαντι διηνεκὴς τοῖς παιδίοις ὁ πόλεμος ἀπὸ τῆς πολυτελείας ἐκείνης. καὶ ὅρα τὴν ἀκρίβειαν τοῦ ῥήματος, καὶ τὴν ἐπίτασιν τῆς φιλοσοφίας. οὐ γὰρ μόνον αὐτὸν ἐκ τοῦ μὴ συναποδημεῖν πλήττει, ἀλλὰ καὶ ἐνταῦθα αὐτὸν πάσης γυμνοῖ τῆς φαντασίας, καὶ οὐδὲ πλοῦτον ὄντα δείκνυσιν, οὐδ᾽ ὅταν ἀπολαύῃ αὐτοῦ ὁ κεκτημένος. οὐ γὰρ εἶπεν, ὅταν πληθυνθῇ ἡ δόξα αὐτοῦ, ἀλλ᾽ ἡ δόξα τοῦ οἴκου αὐτοῦ. ταῦτα γὰρ ἅπαντα, ἅπερ ἀπηριθμησάμην, πηγαὶ, καὶ περίπατοι, καὶ βαλανεῖα, χρυσίον, καὶ ἀργύριον, ἵπποι, καὶ ἡμίονοι, καὶ τάπητες, καὶ ἱμάτια, τοῦ οἴκου δόξα, οὐ τοῦ τὸν οἶκον οἰκοῦντος ἀνθρώπου. ἀνθρώπου γὰρ δόξα ἡ ἀρετὴ, ὅθεν καὶ συναποδημεῖ τῷ κεκτημένῳ. αὕτη δὲ οἴκου δόξα μένει· μᾶλλον δὲ οὐδὲ μένει, ἀλλὰ μετὰ τοῦ οἴκου καὶ συγκαταλύεται, οὐδὲν τὸν ἐν αὐτῷ τραφέντα ὠφελήσασα, οὐδὲ γὰρ ἦν αὐτοῦ. ὅτι ἡ ψυχὴ αὐτοῦ ἐν τῇ ζωῇ αὐτοῦ εὐλογηθήσεται. εἰπὼν περὶ τοῦ πλούτου αὐτοῦ, καὶ τῆς δόξης, ἐπὶ τὸν τῶν εὐφημιῶν διαβαίνει λόγον. ἐπειδὴ γὰρ καὶ τοῦτο μάλιστα τοῖς πλουσίοις περισπούδαστον, αἱ ἐν ἀγορᾷ κολακεῖαι, αἱ παρὰ τοῦ δήμου θεραπεῖαι, αἱ δημοτελεῖς εὐφημίαι, τὰ ὑποκρίσεως γέμοντα ἐγκώμια, καὶ μέγα εἶναι δοκεῖ, τὸ καὶ ἐν θεάτροις, τὸ καὶ ἐν συμποσίοις, τὸ καὶ ἐν δικαστηρίοις κροτεῖσθαι, παρὰ πάντων ἀνακηρύττεσθαι, ζηλωτὸν εἶναι νομίζεσθαι, ὅρα καὶ τοῦτο πῶς καθαιρεῖ πάλιν ἀπὸ τοῦ χρόνου. ἐν γὰρ τῇ ζωῇ αὐτοῦ, φησι, τουτέστιν αὗται αἱ θεραπεῖαι, καὶ τὸ εὖ λέγεσθαι αὐτὸν, μέχρι τοῦ παρόντος βίου· μετὰ δὲ τῶν ἄλλων καὶ τοῦτο συγκαταλύεται, ὡς πρόσκαιρον, καὶ ἐπίκηρον, ἀλλὰ καὶ ἡνίκα ἂν γίνηται ἐκ παρέχης τῶν εὐφημούντων, μετὰ τελευτὴν εἰς τοὐναντίον μεθίσταται, ὅταν τὸ τοῦ φόβου προσωπεῖον περιαιρεθῇ. ἐξομολογήσεται

A tati, in carcere habitantes. Qui enim heri in curru, hodie in catena: qui heri obseruabatur ab adulatoribus, nunc à carnificibus obsidetur: qui vnguenta olebat, nunc est resperſus sanguine: qui in molli lecto accũbebat, in duro solo iacet: qui ab omnib. colebatur ab omnibus contẽnitur. At in morte eius sunt magnificæ & splendidæ exequiæ. Et quid ad illum, qui nõ sentit? maior fœtor, maior horror, inuidia vehementior: est enim filiis cum mortuo bellum perpetuum propter illam magnificẽtiam.

Exequiarũ fastus inuidiosi.

Vide autem quam sit verbum accura- B tè positum, & quàm sit magna philosophia. Non solùm enim eum ex eo percellit, quòd non vnà recedant, sed etiam eum hîc omni pompa & apparatu spoliat, & nec diuitias quidem esse ostendit, quando eis fruebatur possidens. Non dixit enim, cùm multiplicata fuerit gloria eius, sed gloria domus eius. Hæc enim omnia quæ enumeraui, fontes, ambulacra, porticus & balnea, aurum & argentum, equi & muli, stragulæ, vestes, & indumenta, sunt gloria domus, non hominis qui domum habitat. Hominis e- C nim gloria est virtus, vnde etiam recedit vnà cum possessore. Manet autem ipsa domus gloria, imò verò ne manet quidem, sed etiam vnà cum domo dissoluitur, nec quidquam ei profuit qui in ea versabatur: neque enim erat illius. 19. *Quia anima eius in vita ipsius benedicetur.* Postquam dixit de eius gloria & diuitiis, nunc transit ad dicendum de laudibus. Quia enim diuites hoc magno studio persequuntur, assentationem in foro, obseruantiam à populo, publicas laudationes, D simulatione referta encomia, magnúmque esse videtur in theatris, in conuiuiis, in iudiciis plausu excipi, ab omnibus prædicari, beatum existimari: vide quomodo hoc quoque detrahit, ex tempore. In vita enim eius, inquit, hoc est, hæc obseruantia, & hoc laudibus affici, est ad præsentem vsque vitam: vnà autem cum aliis hoc quoque dissoluitur, vt quod sit caducum & momentaneum, sed etiam quando id timore exhibetur à laudantibus & bonis verbis prosequentibus, post mortem recedit in contrarium, quando detracta fuerit persona metus. *Confitebitur*

Virtus vnica hominis gloria.

tibi cùm benefeceris ei. Vide quomodo accusat etiam eorum beneficia. Tu enim assentaris & obseruas, quandam ad tempus obseruantiam simulans: ille autem habebit etiam tibi gratias, à te emens, vt quæ sunt ei grata faciens, & magno emens, tunc tibi, inquit, aget gratias. Hoc enim sibi vult illud: Confitebitur tibi, quando benefeceris ipsi. Non dixit, quando feceris quod sit vtile, quando benefeceris, sed quando quæ sunt ei cordi, & quæ ex eius animi sententia feceris: ostendens vtrinque esse damnum, & ex ficta assentatione, & ex pernicioso ministerio. Et quis eum.

* Desunt permulta. *

A σοι, ὅταν ἀγαθύνῃς αὐτῷ. ὅρα πῶς καὶ τὰς εὐεργεσίας αὐτῶν διαβάλλει. σὺ μὲν γὰρ κολακεύεις, καὶ θεραπεύεις ὑποκρινόμενος πρόσκαιρόν τινα θεραπείαν, ὁ δὲ ὑποκρίσεως γέμουσαν· ἐκεῖνος δὲ κἂν χάριτάς σοι ὁμολογήσῃ, ὠνούμενος παρά σου τὸ τὰ ἀρέσκοντα αὐτῷ ποιεῖν, καὶ πολλοῦ τοῦτο ὠνούμενος, τότε εὐχαριστήσει σοι, φησί. τὸ γὰρ ἐξομολογήσεται τοῦτό ἐστιν, ὅταν ἀγαθύνῃς αὐτῷ. οὐκ εἶπεν, ὅταν τι χρήσιμον ἐργάσῃ, ὅταν εὐεργετήσῃς, ἀλλ' ὅταν τὰ ἀρεστὰ αὐτῷ, καὶ κατὰ γνώμην ᾖ, καὶ κατὰ νοῦν ὑπηρετήσῃς· δεικνὺς, ὅτι ἑκατέρωθεν ἡ βλάβη, B ἀπό τε τῆς πεπλασμένης κολακείας, καὶ ἀπὸ τῆς ἐπιβλαβοῦς διακονίας.

* λείπει πολλά. *

IN PSALMVM XLIX.

Deus deorum locutus est, & vocauit terram à solis ortu vsque ad occasum.

IPSE quoque dixit alibi: Deus stetit in congregatione deorum. Et paulò pòst: Ego dixi, dij estis. Et Paulus: Etsi enim sunt qui dicūtur Dij & Domini multi. Et Moses: Diis non maledices. Et alibi: Videntes filij Dei filias hominum. Et rursus idem: Qui execratur Deum, peccatum accipiet: qui autem nominat nomen Domini, lapidibus obruetur. Et rursus: Dij qui cœlum & terrā non fecerunt, pereant sub cœlo. Quosnam ergo significat per hoc nomen in illis testimoniis, & quosnam hîc dicit Deos? Principes. Quocirca subiungit etiam: Diis non maledices, nec principi populi tui dices malè. Dicit etiam eos qui ex parente aliquo insigni virtute prædito originem duxerunt. Quoniam enim Enos, qui summam ostendit virtutem, Dei nomine vocatus est: qui autem ex illo nati sunt omnes, & nepotes fratris illius, inter se coniungebantur: filios Dei vocat, qui ex viro bono genus duxerant. Cœperunt enim, inquit, vocari nomine Dei. Dicit etiam populum Iudæorum, qui hac appellatione honestatus

[Margin: Psal.81.6. — 1.Cor.8. — Exod.22.28. — Genes.6. — Leuit.24. — Iosu.10. — Exod.22.28. — Gen.4.26.]

Εἰς τὸν μθ' ψαλμόν.

Θεὸς θεῶν κύριος ἐλάλησε, καὶ ἐκάλεσε τὴν γῆν ἀπὸ ἀνατολῶν ἡλίου μέχρι δυσμῶν.

ΚΑΙ ἀλλαχοῦ φησιν ὁ αὐτός· ὁ θεὸς ἔστη ἐν συναγωγῇ θεῶν· C καὶ πάλιν· ἐγὼ εἶπα, θεοί ἐστε, καὶ ὁ Παῦλος· καὶ γὰρ εἴπερ εἰσὶ λεγόμενοι θεοὶ καὶ κύριοι πολλοί. καὶ ὁ Μωυσῆς δὲ, Θεοὺς οὐ κακολογήσεις. καὶ ἀλλαχοῦ, ἰδόντες οἱ υἱοὶ τοῦ Θεοῦ τὰς θυγατέρας τῶν ἀνθρώπων. καὶ πάλιν ὁ αὐτός· ὁ καταρώμενος Θεὸν ἁμαρτίαν λήψεται· ὁ δὲ ὀνομάζων τὸ ὄνομα κυρίου, λιθοβοληθήσεται. καὶ πάλιν· Θεοὶ οἳ τὸν οὐρανὸν καὶ τὴν γῆν οὐκ ἐποίησαν, ἀπολέσθωσαν ὑποκάτω τοῦ οὐρανοῦ. D τίνας οὖν δηλοῖ διὰ τοῦ ὀνόματος τούτου ἐν ἐκείναις ταῖς μαρτυρίαις, καὶ τίνας ἐνταῦθα λέγει Θεούς; τοὺς ἄρχοντας. διὸ καὶ ἐπάγει· Θεοὺς οὐ κακολογήσεις, καὶ ἄρχοντα τοῦ λαοῦ σου οὐκ ἐρεῖς κακῶς· λέγει δὲ τοὺς ἐκ προγόνου τινὸς ἐναρέτου γεγεννημένους. ἐπειδὴ γὰρ ὁ Ενὼς πολλὴν ἀρετὴν ἐπιδειξάμενος ἐκλήθη τῷ ὀνόματι τοῦ Θεοῦ· οἱ δὲ ἐξ ἐκείνου πάντες, καὶ οἱ ἔκγονοι τοῦ ἀδελφοῦ ἐκείνου ἀλλήλοις ἐμίγνυντο, υἱοὺς τοῦ Θεοῦ καλεῖ τοὺς τοῦ ἐναρέτου. ἤρξατο γὰρ, φησιν, ἐπικαλεῖσθαι τῷ ὀνόματι τοῦ Θεοῦ. λέγει καὶ τὸν Ιουδαίων λαὸν, ταύτῃ τιμηθέντα τῇ προ-

σηγορία· ἐγὼ γὰρ εἶπα φησί, θεοί ἐστε, καὶ υἱοὶ ὑψίστου πάντες· καὶ ἄλλος, πρωτότοκος υἱός μου Ἰσραήλ. καὶ γὰρ οὕτως ἐκάλει αὐτῶν τὸν δῆμον δι' οἰκείαν φιλανθρωπίαν. οὕτω καὶ ἐκεῖνο λύεται τό, ὁ καταρώμενος Θεόν, ἁμαρτίαν λήψεται. τουτέστιν, ὁ τὸν ἄρχοντα κακῶς λέγων ἁμαρτάνει. ὁ δὲ ὀνομάζων τὸ ὄνομα κυρίου λιθοβοληθήσεται), ὁ τοῖς μὴ οὖσι προσάπτων τὸ τοῦ ὄντος Θεοῦ ὄνομα. ἐπεὶ γὰρ ἀσυγγνώστον τὸ ἁμάρτημα, καὶ ἡ ἐπ' αὐτῷ τιμωρία χαλεπωτάτη. λέγονται καὶ οἱ τῶν Ἑλλήνων Θεοί· οὐ κατὰ τιμήν, οὔτε χάριν προσηγορίας, ἀλλὰ διὰ τὴν ἀπάτην τῶν πλανηθέντων, καὶ οὕτως αὐτοὺς καλεσάντων. διὰ τοῦτο καὶ ὁ Παῦλός φησι· καὶ γὰρ εἴπερ εἰσὶ λεγόμενοι Θεοί, οὐκ ὄντες οὐδὲ μέχρι προσηγορίας τῆς κατὰ τιμήν. ἐνταῦθα οὖν περὶ τίνων λέγει, Θεὸς θεῶν; ἐμοὶ δοκεῖ τῶν Ἑλληνικῶν λέγειν, οὐχ ὡς ὄντων, ἀλλ' ὡς παρὰ τοῖς πεπλανημένοις ὑποπτευομένων. ἐπεὶ οὖν ἔτι παχύτεροι ἦσαν οἱ Ἰουδαῖοι, καὶ οὐ πάντη εἰδωλολατρείας ἀπηλλαγμένοι, ἀλλὰ κεχηνότες πρὸς τὰ εἴδωλα, καὶ λείψανα πολλὰ τῆς παρανομίας ἔχοντες, καὶ ἐντεῦθεν αὐτῶν καθαιρεῖ τὰ φρονήματα δεικνύς, ὅτι κἀκείνων δεσπότης ἐστί. καὶ γὰρ καὶ τῶν δαιμόνων δεσπότης ἐστίν, αὐτῶν τῶν οὐσιῶν λέγω· αἱ γὰρ γνῶμαι παρ' αὐτῶν εἰσιν εἰσηνεγμέναι καὶ ἡ πονηρία πᾶσα. δοκεῖ δέ μοι καὶ οὗτος ἔχεσθαι τοῦ προτέρου ψαλμοῦ. καὶ γὰρ καὶ ἐνταῦθα ἔλεγχος καὶ κατηγορία τῶν πεπλημμεληκότων γέγραπται. ἀλλ' ἐκεῖ μὲν τὴν οἰκουμένην ἐκάλει πᾶσαν εἰς ἀκρόασιν, ἐνταῦθα δὲ αὐτὰ τὰ στοιχεῖα τὰ καθ' ὅλης ἐκτεταμένα τῆς οἰκουμένης. ἄλλο θέατρον ὧδε καὶ ἄλλο ἀκροατήριον· ἐκεῖ τὰ ἔθνη, οἱ γηγενεῖς, ὁ πλούσιος, ὁ πένης. ἐνταῦθα ὁ οὐρανὸς καὶ ἡ γῆ, καὶ αὐτὸν εἰσάγει τὸν Θεὸν δικαζόμενον, καὶ τοιούτους κινεῖ λόγους παρ' αὐτοῦ δικαιολογουμένου πρὸς τὸν δῆμον τῶν Ἰουδαίων. διὸ καὶ πλείονος ἡμῖν δεῖ τῆς προσοχῆς. ποιεῖ δὲ τοῦτο καὶ ἕτερος προφήτης, καὶ εἰσάγει τὸν Θεὸν δικαζόμενον, καὶ ἐν τάξει δικαστῶν τίθησι τὰς φάραγγας καὶ τὰ θεμέλια τῆς γῆς. ἀκούσατε γάρ, φησι, φάραγγες καὶ θεμέλια τῆς γῆς. ὅτι κρίσις τῷ Θεῷ πρὸς τὸν λαὸν αὐτοῦ, καὶ μετὰ τοῦ λαοῦ διαλεχθήσεται). καὶ πάλιν· κριθήσεται πρὸς ὑμᾶς, καὶ πρὸς τοὺς πατέρας ὑμῶν· καὶ πολλαχοῦ τῆς γραφῆς ἴδοι τις ἂν τοῦτο

est, dum dicit: Ego dixi, Dij estis, & filij excelsi omnes. Et alius: Filius primogenitus meus Israel. Sic enim vocabat eorum populum propter suam benignitatem. Sic etiam soluitur illud: Qui execratur Deum, peccatum recipiet. Hoc est, qui principi maledicit, peccat. Qui autem nominat nomen Dei, obruetur lapidibus. Hoc est, qui iis qui nõ sunt, eius qui Deus est, nomen tribuit. Quia enim non potest eius peccato ignosci, in ipsum grauissimum constitutum est suppliciũ. Dicuntur etiam Dij gentium, nõ propter honorẽ, nec quòd ita sint appellandi, sed propter eorũ qui decepti sunt, & illos ita vocarunt, errorem. Quapropter dicit quoque Paulus: Nam etsi sunt qui dicuntur Dij, significans eos non esse deos, ne appellationis quidem honore tenus. Hic ergo de quibusnam dicit, Deus deorum? Mihi videtur dicere de diis gentium, nõ vt qui sint, sed vt qui ita existimẽtur ab iis qui in errorem abducti sunt. Quoniã enim erat crassior Iudęorum animus, & à cultu dolorũ non erant omnino liberi, sed simulachra mirabantur, & multas iniquitatis habebant reliquias: vel ex eo ipso eorum animos & spiritus deprimit, ostendens illum eorum esse dominum. Nam est ipsorum quoque dæmonũ dominus, loquor de ipsis substantiis, malã enim mentẽ & omne vitium ipsi ex sese inuexerunt. Videtur autem mihi hic quoq; Psalmus cohærere priori. Nã in hoc quoq; scripta est reprehẽsio & accusatio eorũ qui deliquerunt. Sed illic quidẽ omnem orbem terræ vocauit ad audiendũ, hic autem ipsa elemẽta, quæ extensa sunt per omnem orbem terræ. Aliud est hic theatrum, & aliud auditorium. Illic sunt gentes, terrigenę, diues, pauper: hîc cœlũ & terra. Ipsum quoq; Deum introducit disceptantem, & ei tribuit orationem defendentis causam suam apud populum Iudæorum. Maiore itaque nobis attentione opus est. Hoc etiam facit alius Propheta, & introducit Deum causam suam agentem, & statuit loco iudicum voragines & fundamenta terræ. Audite enim, inquit, voragines & fundamenta terræ. Quoniam iudicium est Deo cum populo suo, & cum populo differet. Et rursus: Iudicio contendet vobiscum, & cum patribus vestris. In multis autem locis scripturæ potest videri hæc

Psal. 81. 6.
Exod. 4. 22
Israel cur vocatus Iudeorum populus.
Dij gentiũ.
1. Cor. 8. 5.
Deus deorũ dominus.
Exod. 32.
Ephes. 6.
1. Cor. 5.
Philip. 2.
Mich. 6. 2.
Hier. 2. 9.

figura: quòd quidem est in primis admirabile, & dignum Dei benignitate. Ostendit enim eius ineffabilem bonitatem, qui se adeò demiserit, vt cum hominibus iudicio contendat. 2. *Ex Sion species decoris eius.* Habet aliquid propheticum, habet etiam historicum, quod dictum est: fuit enim & in veteri ex illo eius decor. Templum enim, sancta sanctorum, omnis cultus, omnisque forma ac ritus legis veteris, multitudo sacerdotum, sacrificia & holocausta, sacri hymni & psalmodiæ, & omnia illinc proficiscebantur, & typus futurorum illic antè descriptus fuerat. Postquam autem veritas quoque adfuit, ea rursus illinc quoque cepit initium. Illinc enim crux resplenduit. Illinc innumerabilia quæ præclarè ab eo gesta sunt. Et ideo Esaias quoque scribens de lege noui testamenti, dicit: Ex Sion egredietur lex, & verbum Domini ex Hierusalem, & iudicabit in medio Gentium. Sion enim hîc dicit locum integrum, & ciuitatem quæ iuxta illum sita est, Iudæorum metropolim. Illinc enim tanquam ex quibusdam carceribus pernices equi, nempe Apostoli, emissi sunt in omnem orbem terræ. Illic cœperunt signa, illic fuit resurrectio, illic ascensio, illic prooemia & initia nostræ salutis, illic arcana illa cœperunt prædicari dogmata ac decreta. Illic primum pater reuelatus est, cognitus est vnigenitus, & data est tanta gratia spiritus. Illic Apostoli reuelarunt sermonem de rebus incorporeis, de donis, de potestatibus, de futurorum bonorum promissionibus. Quæ omnia Propheta considerans, vocat eius decorem. Dei enim species ac decor est eius bonitas ac benignitas, & in omnes beneficentia.

Ex Siō profectus decor Ecclesiæ Dei.

Esa. 2. 3. Sion quæ intelligatur. Mich. 4. 5. Matth. 2. Matth. 10. 15. Act. 13. Decor ac species Dei.

3. *Deus manifestè veniet, Deus noster, & non silebit.* Vides quomodo procedens aperit sermonem, & reuelat thesaurum, & lætiorem emittit radium, dicens: Deus manifestè veniet. Quando enim non venit manifestè? Quando? In priori aduentu: venit enim absque vllo strepitu, multos celans, & multos latens. Quid dico multos? cùm nec ipsa quidem virgo, quæ cum

Aduentus Christi prior occultus. Mirū hoc. Luc. 2. Matth. 1. Matth. 4.

σχῆμα, ὅπερ ἐστὶ μάλιστα πληκτικώτατον, καὶ τῆς φιλανθρωπίας τοῦ Θεοῦ ἄξιον. καὶ γὰρ τὴν ἄφατον αὐτοῦ δείκνυσιν ἀγαθότητα τοσοῦτον καταβαίνοντος, ὥστε κρίνεσθαι μετὰ ἀνθρώπων. Ἐκ Σιὼν ἡ εὐπρέπεια τῆς ὡραιότητος αὐτοῦ. ἔχει μέν τι καὶ προφητικόν· ἔχει δὲ καὶ ἱστορικόν, τὸ εἰρημένον· γέγονε μὲν γὰρ καὶ ἐπὶ τῆς παλαιᾶς ἐκεῖθεν αὐτοῦ ἡ εὐπρέπεια. καὶ γὰρ ὁ ναός, τὰ ἅγια τῶν ἁγίων, ἡ λατρεία πᾶσα καὶ ἡ πολιτεία τῆς παλαιᾶς νομοθεσίας, καὶ ἱερέων τὸ πλῆθος, καὶ θυσίαι, καὶ ὁλοκαυτώσεις, καὶ ὕμνοι ἱεροὶ καὶ ψαλμῳδίαι, καὶ πάντα ἐκεῖθεν, καὶ τῶν μελλόντων ἐκεῖθεν ὁ τύπος προδιεγέγραπτο. ἐπειδὴ δὲ καὶ ἡ ἀλήθεια παρεγένετο, ἐκεῖθεν πάλιν τὴν ἀρχὴν ἔλαβεν. ἐκεῖθεν ὁ σταυρὸς ἔλαμψεν· ἐκεῖθεν τὰ μυρία κατορθώματα. διὰ δὴ τοῦτο καὶ περὶ τοῦ νόμου φησὶν ὁ Ἡσαΐας τῆς καινῆς διαθήκης γράφων· ἐκ γὰρ Σιὼν ἐξελεύσεται νόμος, καὶ λόγος κυρίου ἐξ Ἱερουσαλήμ, καὶ κρινεῖ ἀνὰ μέσον τῶν ἐθνῶν. Σιὼν γὰρ ἐνταῦθα, ὁλόκληρον λέγει τὸ χωρίον, καὶ τὴν πόλιν τὴν παρακειμένην αὐτῷ τὴν μητρόπολιν τῶν Ἰουδαίων. ἐκεῖθεν γὰρ καθάπερ ἐκ βαλβῖδος τινὸς εὐσκελεῖς ἵπποι οἱ ἀπόστολοι εἰς τὴν οἰκουμένην ἀφείθησαν ἅπασαν· ἐκεῖθεν τὰ σημεῖα ἤρξαντο ποιεῖν· ἐκεῖ γέγονεν ἡ ἀνάστασις· ἐκεῖ ἡ ἀνάληψις· ἐκεῖ τὰ προοίμια καὶ ἡ ἀρχὴ τῆς σωτηρίας τῆς ἡμετέρας· ἐκεῖ τὰ ἀπόρρητα δόγματα κηρύττεσθαι ἀρχὴν ἔλαβεν. ἐκεῖ πρῶτον ἀπεκαλύφθη ὁ πατήρ· ἐγνωρίσθη ὁ μονογενής, καὶ ἐδόθη τοσαύτη πνεύματος χάρις, καὶ τὸν περὶ τῶν ἀσωμάτων ἐκεῖ λόγον ἐγύμναζον οἱ ἀπόστολοι, τῶν δωρεῶν, καὶ δυνάμεων, καὶ τῶν μελλόντων ἀγαθῶν τῆς ἐπαγγελίας, ἅπερ ἅπαντα ἐννοῶν ὁ προφήτης ὡραιότητα αὐτοῦ καλεῖ. κάλλος γὰρ Θεοῦ καὶ ὡραιότης ἡ ἀγαθότης καὶ ἡ φιλανθρωπία, καὶ ἡ εἰς ἅπαντας εὐεργεσία. Ὁ Θεὸς ἐμφανῶς ἥξει, ὁ Θεὸς ἡμῶν καὶ οὐ παρασιωπήσεται. ὁρᾷς πῶς προϊὼν ἀπογυμνοῖ τὸν λόγον, καὶ ἀποκαλύπτει τὸν θησαυρόν, καὶ φαιδροτέραν ἀφίησι τὴν ἀκτῖνα λέγων· ὁ Θεὸς ἐμφανῶς ἥξει; πότε γὰρ οὐκ ἐμφανῶς παραγέγονε; πότε; τῇ προτέρᾳ παρουσίᾳ· ἀψοφητὶ γὰρ ἦλθε τοὺς πολλοὺς κρύπτων, καὶ μέχρι πολλοῦ λανθάνων. καὶ τί λέγω τοὺς πολλούς, ὅπου γε οὐδὲ αὐτὴ ἡ κυοφοροῦσα

φέρουσα παρθένος ᾔδει τὸ ἀπόρρητον, οὐδὲ οἱ ἀδελφοὶ αὐτοῦ ἐπίστευον εἰς αὐτόν, οὐδὲ ὁ δοκῶν εἶναι πατὴρ, μέγα τι ἐφαντάζετο περὶ αὐτοῦ. καὶ τί λέγω ἀνθρώπους; καὶ αὐτὸν τὸν διάβολον ἐλάνθανεν· οὐδὲ γὰρ ἄν, εἴπερ ᾔδει, ἠρώτα αὐτὸν μετὰ τοσοῦτον χρόνον ἐπὶ τοῦ ὄρους, εἰ υἱὸς εἶ τοῦ Θεοῦ καὶ ἅπαξ, καὶ δὶς καὶ τρίτον τοῦτο ἐποίει· διὸ καὶ τῷ Ἰωάννῃ ἔλεγεν ἀρξαμένῳ αὐτὸν ἐκκαλύπτειν· ἄφες ἄρτι· τουτέστι, σίγα νῦν, οὐδέπω καιρὸς τοῦ γὰρ ἐκκαλυφθῆναι τὸ ἀπόρρητον τῆς οἰκονομίας. ἔτι λανθάνειν τὸν διάβολον βούλομαι. σίγα τοίνυν φησί· οὕτω γὰρ πρέπον ἐστὶν ἡμῖν· καὶ κατελθὼν ἀπὸ τοῦ ὄρους ἐνετείλατο, ἵνα μηδενὶ εἴπωσιν, ὅτι αὐτός ἐστιν ὁ Χριστός. τότε γὰρ ὡς ποιμὴν ἦλθε ζητῶν τὸ πεπλανημένον πρόβατον, καὶ τὴν ἀφηνιάζουσαν ἄγραν θηρεῦσαι βουλόμενος. διὸ καὶ συνεσκίαζεν ἑαυτόν. καὶ γὰρ ὥσπερ ἰατρὸς φοβερὸς ὢν τῷ κάμνοντι, οὕτω δὴ καὶ αὐτὸς ἐκ προοιμίων οὐκ ἠβουλήθη δῆλον ἑαυτὸν ποιῆσαι, ἀλλ' ἠρέμα καὶ κατὰ μικρόν· διὸ τὴν ἀψοφητὶ ταύτην αὐτοῦ γενομένην παρουσίαν δηλῶν ὁ αὐτὸς οὗτος προφήτης λέγει προϊών· καταβήσεται ὡς ὑετὸς ἐπὶ πόκον, καὶ ὡς ἡ σταγὼν στάζουσα ἐπὶ τῆς γῆς. οὐδὲ γὰρ κτυπῶν ἦλθεν, οὐ ταράττων, οὐ κλονῶν τὴν γῆν, οὐκ ἀστραπὰς ἀφιείς, οὐ πλήττων τὸν οὐρανόν, οὐ δήμους ἀγγέλων ἐπιφερόμενος, οὐ μέσον στερέωμα διαρρηγνύς, καὶ οὕτω καταβαίνων ἐπὶ τῶν νεφελῶν· ἀλλ' ἀψοφητὶ διὰ μήτρας παρθενικῆς, ἐννεαμηνιαίῳ κυοφορούμενος χρόνῳ, ὡς τέκτονος υἱὸς ἐν φάτνῃ τίκτεται, ἐν σπαργάνοις εὐτελέσιν ἐπιβουλεύεται, φεύγει μετὰ τῆς μητρὸς εἰς Αἴγυπτον. εἶτα μετὰ τελευτὴν τοῦ τὰ τοιαῦτα παρανομήσαντος, τότε ἐπανήκει, καὶ περιπολῶν διετέλει ὡς εἷς τῶν πολλῶν κατὰ τὸ σχῆμα, καὶ ἱμάτιον εὐτελὲς ἦν αὐτῷ, καὶ τράπεζα εὐτελεστέρα, καὶ βαδίσεις διηνεκεῖς, καὶ οὕτω διηνεκεῖς, ὡς καὶ κόπον ἀπὸ τῆς βαδίσεως γενέσθαι· ἀλλ' οὐ τότε οὕτως ἥξει, ἀλλ' οὕτω φανερῶς, ὡς μηδὲ χρείαν ἔχειν τοῦ προαγγέλλοντος αὐτοῦ τὴν παρουσίαν. διὰ τοῦτο καὶ αὐτὸς δηλῶν αὐτοῦ τὸ περιφανὲς ἔλεγεν· ἐὰν ἀκούσητε, ὅτι ἰδοὺ ἐν τοῖς ταμιείοις, μὴ εἰσέλθητε· ἐὰν ἀκούσητε, ὅτι ἐν τῇ ἐρήμῳ, μὴ ἐξέλθητε. ὥσπερ γὰρ ἡ ἀστραπὴ ἐκπορεύεται ἀπὸ ἀνατολῶν ἡλίου, καὶ φαίνεται ἕως δυσμῶν, οὕτως ἔσται ἡ παρουσία τοῦ υἱοῦ τοῦ ἀνθρώπου, αὐτὴ ἑαυτὴν κηρύσσουσα, καὶ ἀνακηρύττουσα.

A vtero gestabat, nouerat arcanum mysterij: nec eius fratres credebant in ipsum: nec is qui videbatur esse pater, magnum quid de eo concipiebat. Et quid dico homines? Ipsum quoque diabolum latuit. Neque enim si sciuisset, tanto post tempore in monte eum interrogasset, an esset Dei filius, neque id semel, & bis, & tertiò hoc fecisset. Et ideo dixit Ioanni ea reuelare incipienti: Sine modò, hoc est, tace nunc, neque enim tempus est vt reueletur arcanum carnis susceptæ cõsilium, volo adhuc latere diabolum, tace ergo, inquit, B ita enim nos decet. Et cùm à monte descendisset, iussit vt eum esse Christum nemini dicerent. Tunc enim venit vt pastor qui quærebat ouem quæ aberrauerat, & qui repugnantem feram venari volebat, & ideo seipsum adumbrabat. Quemadmodum enim medicus non est protinus ægroto terribilis: ita nec ipse in principio se voluit aperire, sed paulatim & sensim. Hunc itaque eius aduentum, qui fuit absque strepitu, significans hîc ipse Propheta, dicit Procedens: Descendet tanquam pluuia in vellus, & tanquam stilla quæ di- C stillat super terram. Neque enim venit personans ac perstrepens, non turbans ac tumultuans, non terram mouens, non fulgura emittens, non cœlum concutiens, non Angelorum turmas immittens, non medium firmamentum disrumpens, & ita super nubem descendens, sed absque strepitu per vterũ virginis, cùm ea nouem mensibus illum tulisset, tanquam fabri filius in præsepi paritur, in vilibus fasciis insidiis appetitur, fugit cum matre in Ægyptum. Deinde post mortem eius qui maxima scelera admiserat, tunc reuertitur, & huc & illuc obiens, habitu semper erat vt D vnus ex plebe: & erat illi vestis vilis, & mensa vilior: perpetuus itineris ingressus, & ita perpetuus, vt ex itinere etiam defatigaretur. Sed non tunc sic veniet, sed adeò manifestè, vt ne vllo quidem opus habeat, qui eius aduentum annunciet. Propterea ipse quoque eius claritatem significans, dicebat: Si audieritis Christum esse in penetralibus, nolite intrare: si in deserto, nolite exire. Sicut enim fulgur exit ab oriente, & relucet vsque ad occidentem: ita erit aduentus filij hominis, ipse seipsum ostendens, ac prædicans.

Matt 3. 15.

Matth. 17.

Luc. 15.

Psal. 71.

Luc. 2.
Matth. 2.

Ioan. 4.

Aduentus posterior: manifestus.
Matth. 24. 26.

Nam hoc etiam in fulgure euenit, nec opus habemus aliquo, qui annunciet, sed simul ac apparuit, & omnibus, & simul omnibus cognitum exstitit. Ita etiam dicit Paulus: Quoniam ipse Dominus in iussu, in voce Archangeli, in extrema tuba descendet de cœlo. Ita etiam Propheta vidit eum ferri super nubes, & fluuium ante eum protrahi, & tribunal terribile, & quæ vitari non possunt, vitæ reddendas rationes. Tunc enim, tunc iudicio & sententia opus est. Et ideo non amplius vt medicus, sed vt iudex apparet.

1. Thess. 4. 15.

Daniel itaque & thronum eius videt, & fluuium qui ante tribunal trahitur, & omnia illa ignita ostenduntur, currus & rotæ, sed non in principio, nec quando in primo aduentu venit, tale quid ostendit, non ignem, non fluuium, non aliquid aliud eiusmodi, sed est præsepe diuersorium, tugurium, & pauper mater. Quanquam alioqui ex hoc quoque ostendit eum esse à couersione & mutatione alienum. Quoniam enim dixit eum qui sedet super thronum, habere capillum candidum vt lanam, & vestem sicut niuem: ne pilos vestémve existimares, sed splendorem ac puritatem, ignem vbique esse dicit. *Ignis in conspectu eius exardescet, & in circuitu eius tempestas valida.* Ita etiam hic simul eum esse mutationi & conuersioni minimè obnoxium, lucidúmque & inaccessum, ostendit per has similitudines. Neque verò sistit ad ignem vsque, sed volens ostendere vehementiam supplicij, subiungit dicens: Tempestas valida. Est autem καταιγὶς, vel intolerabilis massa niuis, quæ quicquid inciderit conuellit & euertit, vel vehemens ventorum impetus, qui idipsum efficit, & est iis quæ occurrunt, intolerabilis. Volens enim ostendere illud supplicium esse intolerabile, adduxit has similitudines. 4. *Aduocabit cœlum desursum, & terram discernere populum suum.* Rursus meminit elementorũ, per quæ bona innumerabilia ad genus hominum peruenerunt, non solùm ad vitam & constitutionem corporis, sed etiam ad Dei cognitionem. Pulchritudines enim, & magnitudines, & rationes situum, & substantiæ ex quibus constant hæc elementa, & quæ ex eis fiunt, & generaliter omni tempore,

Dan. 7.

Luc. 2.

Procella.

Elementorum vsus quis.

A Καὶ γὰρ ἐπὶ τῆς ἀστραπῆς τοῦτο συμβαίνει, καὶ οὐ δεόμεθα τοῦ ἀπαγγέλλοντος, ἀλλ᾽ ὁμοῦ τε ἐφάνη, καὶ γνωρίμη πᾶσι γέγονε, καὶ κατὰ ταυτὸν πᾶσιν. οὕτω καὶ ὁ Παῦλός φησιν· ὅτι αὐτὸς ὁ κύριος, ἐν φωνῇ ἀρχαγγέλου, ἐν τῇ ἐσχάτῃ σάλπιγγι καταβήσεται ἀπ᾽ οὐρανοῦ. καὶ ὁ προφήτης δὲ οὕτως αὐτὸν ἑώρα ἐπὶ τῶν νεφελῶν φερόμενον, καὶ ποταμὸν ἔμπροσθεν συρόμενον, καὶ τὸ βῆμα τὸ φοβερὸν, καὶ τὰς εὐθύνας τὰς ἀπαραιτήτους. τότε γὰρ, τότε δικαστηρίου καιρὸς καὶ κρίσεως. διὸ οὐκέτι ὡς ἰατρὸς, ἀλλ᾽ ὡς δικαστὴς φαίνεται. ὁ γοῦν B Δανιὴλ καὶ τὸν θρόνον αὐτοῦ βλέπει, καὶ τὸν ποταμὸν παρὰ τοῦ βήματος ἑλκόμενον, καὶ πάντα ἀπὸ πυρὸς αὐτῷ δείκνυται, τὸ ἅρμα, οἱ τροχοί· ἀλλ᾽ οὐχ ὅτε παρὰ τὴν ἀρχὴν καὶ ἐν τῇ προτέρῃ παρουσίᾳ ἔδειξέ τι τοιοῦτον, οὐ πῦρ, οὐ ποταμὸν, οὐκ ἄλλο τῶν τοιούτων οὐδέν· ἀλλὰ φάτνη καὶ καταγώγιον, καὶ καλύβη, καὶ μήτηρ πενιχρά. ἄλλως δὲ καὶ τὸ ἄτρεπτον αὐτοῦ δείκνυσιν ἐντεῦθεν καὶ ἀναλλοίωτον. ἐπειδὴ γὰρ ἔφησε τὸν ἐπὶ τοῦ θρόνου καθήμενον τρίχα ἔχειν λευκὴν ὡσεὶ ἔριον, καὶ ἱμάτιον ὡς χιόνα, ἵνα μὴ τρίχας νομίσῃς, μήτε ἱμάτιον, ἀλλὰ τὸ καθαρὸν, καὶ τὸ διαυγὲς, C πῦρ πανταχοῦ εἶναι λέγει· πῦρ ἐνώπιον αὐτοῦ καυθήσεται, καὶ κύκλῳ αὐτοῦ καταιγὶς σφοδρά. οὕτω καὶ ἐνταῦθα ὁμοῦ τε τὸ ἀναλλοίωτον, καὶ ἄτρεπτον καὶ φωτεινὸν, καὶ ἀπρόσιτον διὰ τούτων ἐνδείκνυται τῶν εἰκόνων. καὶ οὐχ ἵσταται μέχρι τοῦ πυρὸς, ἀλλὰ τὸ σφοδρὸν τῆς τιμωρίας παραστῆσαι βουλόμενος ἐπάγει λέγων· καταιγὶς σφοδρά. καταιγὶς δὲ λέγεται ἢ βῶλος χιόνος ἀφόρητος τὸ ἐμπίπτον ἅπαν περισύρουσα καὶ καταστρέφουσα· ἢ ῥαγδαία πνευμάτων ῥύμη τὸ αὐτὸ δὴ ἐργαζομένη, καὶ ἀφόρητος οὖσα τοῖς ἐντυγχάνουσι. D δεῖξαι τοίνυν βουλόμενος τὸ ἀφόρητον τῆς κολάσεως ἐκείνης, ταύτας παρήγαγε τὰς εἰκόνας· προσκαλέσεται τὸν οὐρανὸν ἄνω, καὶ τὴν γῆν τοῦ διακρῖναι τὸν λαὸν αὐτοῦ. πάλιν τῶν στοιχείων μέμνηται, δι᾽ ὧν τὰ μυρία γέγονεν ἀγαθὰ τῷ γένει τῶν ἀνθρώπων, οὐ μόνον πρὸς τὴν τοῦ σώματος ζωὴν καὶ συγκρότησιν, ἀλλὰ καὶ αὐτῆς τῆς θεογνωσίας τὴν ὑπόθεσιν. τά τε γὰρ κάλλη, καὶ τὰ μεγέθη, καὶ οἱ τρόποι τῆς θέσεως, καὶ αἱ οὐσίαι ἐξ ὧν ταυτὶ συνέστηκε τὰ στοιχεῖα, καὶ τὰ ἐξ αὐτῶν γινόμενα, τά τε καθολικῶς διαπαντὸς τοῦ χρόνου,

τά τε ἰδικῶς πολλάκις συμβαίνοντα ἀπόρρητα, ταῦτα καὶ τὰ σώματα τρέφει, καὶ συγκροτεῖ, καὶ πρὸς τὴν γνῶσιν τοῦ ποιήσαντος χειραγωγεῖ. διὸ καὶ Παῦλος ἔλεγε· τὰ γὰρ ἀόρατα αὐτοῦ ἀπὸ κτίσεως κόσμου τοῖς ποιήμασι νοούμενα καθορᾶται, ἥτε ἀΐδιος αὐτοῦ δύναμις καὶ θειότης. καὶ πάλιν· ἐπειδὴ γὰρ ἐν τῇ σοφίᾳ τοῦ Θεοῦ οὐκ ἔγνω ὁ κόσμος διὰ τῆς σοφίας τὸν Θεὸν, τουτέστι διὰ τῆς σοφίας τῆς ἐν τοῖς κτίσμασι φαινομένης ὡς οὐ μικρᾶς, ἀλλὰ καὶ σφόδρα μεγίστης καὶ σαφεστάτης οὔσης διδασκαλίας. καὶ τὰ καθ' ἡμέραν δὲ δι' αὐτοῦ γινόμενα, εἰ καὶ κατὰ φύσεως ἀκολουθίαν γίνεσθαι δοκεῖ, ἀλλ' οὖν καὶ αὐτὰ τὸν δημιουργὸν ἀνακηρύττει. καὶ γὰρ τῆς φύσεως δεσπότης ὁ δημιουργός. μὴ θαυμάσῃς δὲ, εἰ πρὸς Ἰουδαίους ἀποτείνει τὸν λόγον περὶ τῆς καθόλου κρίσεως διαλεγόμενος. οὕτω γὰρ καὶ Παῦλός φησι· θυμὸς, καὶ ὀργὴ, θλίψις, καὶ στενοχωρία ἐπὶ πᾶσαν ψυχὴν ἀνθρώπου τοῦ κατεργαζομένου τὸ κακὸν, Ἰουδαίου τε πρῶτον καὶ Ἕλληνος· καὶ πάλιν, ὅσοι γὰρ ἀνόμως ἥμαρτον, ἀνόμως καὶ ἀπολοῦνται· καὶ ὅσοι ἐν νόμῳ ἥμαρτον, διὰ νόμου κριθήσονται. συναγάγετε αὐτῷ τοὺς ὁσίους αὐτοῦ τοὺς διατιθεμένους τὴν διαθήκην αὐτοῦ ἐπὶ θυσίαις. τί δήποτε, ὧν μέλλει κατηγορεῖν, καὶ οὓς μέλλει καταδικάζειν, ὁσίους ὀνομάζει καλεῖ; τὴν κατηγορίαν αὔξων, καὶ γνώρισμα μεῖζον τῇ τιμωρίᾳ τιθεὶς τὴν τιμήν· οὕτω καὶ ἡμεῖς ἐπειδὰν ἴδωμεν τινὰς πεπλημμεληκότας, καὶ βουλώμεθα αὐτῶν σφοδρότερον καθάψασθαι, μετὰ τῶν ἀξιωμάτων αὐτοὺς καλοῦμεν, ὥστε βαρυτέραν ἐργάσασθαι τὴν κατηγορίαν λέγοντες· κάλεσον τὸν διάκονον ἢ τὸν πρεσβύτερον. ἐπεὶ οὖν καὶ οὗτοι βασίλειον ἱεράτευμα, καὶ λαὸς περιούσιος ἐχρημάτιζον, καὶ μέγα ἐπὶ τούτῳ ἐφρόνουν, καὶ ἐντεῦθεν ὑφαίνει τῶν ἐγκλημάτων τὸ μέγεθος. τοὺς διατιθεμένους τὴν διαθήκην αὐτοῦ ἐπὶ θυσίαις. ἐπειδὴ μυρία τολμῶντες κακὰ, καὶ τοσαῦτα κακίας μεταχειρίζοντες εἴδη, ἁρπάζοντες, πλεονεκτοῦντες, φονεύοντες, μοιχεύοντες, αἵματα ἐφ' αἵμασι ἀναμιγνῦντες, ἐνόμιζον μεγάλα κατορθοῦν, καὶ τὸν νόμον πληροῦν, καὶ τὴν διαθήκην, εἰ πρόβατα θύσαιεν καὶ μόσχους, ὀνειδίζων αὐτοῖς ἐντεῦθεν, καὶ κωμῳδῶν αὐτοὺς φησί· τοὺς διατιθεμένους τὴν διαθήκην αὐτοῦ ἐπὶ θυσίαις· τουτέστι, τοὺς νομίζοντας αὐτοῖς ἀρκεῖν εἰς σωτηρίαν τὸ καταθύειν ἀλόγων σώματα.

A & quæ ſæpe ſigillatim eueniunt, hæc omnia corpora alunt & conſtituunt, & ad Dei cognitionem deducunt. Et ideo dixit Paulus: Inuiſibilia eius ex creatura mũdi operibus intellecta perſpiciuntur, æternáque eius poteſtas ac diuinitas. Et rurſus: Quia enim in ſapientia Dei non cognouit mundus per ſapientiam Deum, hoc eſt, per ſapientiam, quæ cernitur in creaturis, vt quæ non ſit parua, ſed vel maxima & clariſſima doctrina. Atque quæ quotidie quidem per eum fiunt, etiamſi videantur fieri ex naturæ conſequentia: B ipſa tamen etiam opificem prædicant. Opifex enim eſt naturæ Dominus. Ne mireris autem ſi ad Iudæos dirigat orationem, de generali iudicio diſſerens. Ita enim Paulus quoque dicit, Ira & indignatio, tribulatio & anguſtia ſuper omnem animam hominis operantis malum, Iudæi primum, & Græci. Et rurſus: Quicunque ſine lege peccarunt, ſine lege & peribunt: & quicunque in lege & peccarunt, per legem iudicabuntur. 5. *Congregate illi ſanctos eius, qui ordinant teſtamentum eius ſuper ſacrificia.* Curnam quos eſt accuſaturus, & C quos condemnaturus, ſanctos hoc in loco appellat? Accuſationẽ augens, & honorem adijciens, ad maiorem ſignificationem ſupplicij. Ita etiam nos quoque quãdo viderimus aliquos peccaſſe, & volumus eos vehementius inſectari, cum eorum dignitatibus eos vocamus, vt grauiorem reddamus accuſationem, dicentes: Voca Diaconum, vel Preſbyterum. Quoniã ergo hi quoque appellabantur regale ſacerdotium, & populus peculiaris, & eo nomine ſibi valde placebant: ex eo ipſo contexit criminũ D magnitudinẽ. Qui ordinant teſtamentum eius ſuper ſacrificia. quoniam cùm multa innumerabilia auderent, & tot in ſe vitiorũ genera ſuſciperent, rapientes, in bona aliorum per auaritiam inuadentes, occidentes, adulterantes, ſanguinem ſanguine miſcentes: exiſtimabant præclarè ſe gerere, & legem ac teſtamentum adimplere, ſi oues & vitulos ſacrificarent, ideo probra illis ingerens, cóſque irridens, dicit? Qui ordinant teſtamentum eius ſuper ſacrificia: hoc eſt, qui ad ſalutem ſufficere exiſtimant, ſi animalia brutorum ſacrificent.

Rom.1.20.

1.Cor.1.21.

Rom.2.9.

Dignitas accuſationẽ auget.

1.Petr.2.

6. *Et annunciabunt cœli iustitiam eius.* Volens hîc rursus ostendere eius iustitiam esse claram, nitidam, apertam, cui contradici non potest, & quæ in confesso est, introducit elementa insensibilia eam prædicantia, eadem, quam prius dixit, figura. *Quoniam Deus iudex est.* Ius, inquit, vnicuique definiens. Neque enim temere posuit illud, iudicare, sed vt ostenderet eum etiam esse iustum, & aliis reddere quod iustum. In Deo enim illud Iudex, pro iusto sumptum est, quemadmodum Paulus id quoque posuit dicens: Nam quomodo iudicabit Deus mundum? Hoc est enim maximè iudicium: hoc est maximè esse iudicem, non solùm ferre sententiam, sed eam iustè ferre. Iudicabuntur autem Iudæi, & qui tunc erant, & qui postea in nouo se iniquè gesserunt: illi quidem & naturam, & legem habentes accusatricem: hi autem cum eis ea etiam quę illis fecit Christus. quid enim poterunt dicere, vel quam causam afferre, quare non crediderint? Sed ea quæso quæ dicuntur attendite, vt possitis ora eorum qui contradicunt, obstruere. Satius est enim eos à nobis victos nunc corrigi, quàm se vincere putantes illuc abire, & condemnari à communi iudice orbis terræ. Quidnam ergo poterunt dicere Iudæi, quamobrem Christum interfecerint? Quodnam paruum vel magnum crimen ei possunt obijcere? Quòd se Deum faciebat, inquit. Atqui non erant hæc verba quo tempore crucifixus est, sed quædam alia. Non enim dicebant, Qui facit seipsum Deum, sed, Qui facit seipsum regem, non est amicus Cæsaris. Atqui voluerant eum sæpe regem eligere, & aufugit. Sed antea, inquit, ei crimini dabant quòd se Deum fecisset. Quid hoc ad rem? Si enim falsò & iniuria, & cùm verè non esset, iustè fuit crimen intentatum. Si autem iustè, eum adorasse, non crucifixisse oportuit. Videamus ergo nunquid, cùm esset verè Deus, Deum seipsum faciebat, hoc est, ostendebat & demonstrabat. Vndenam ergo vis hoc cognoscere? Ab iis quæ tunc facta sunt, an ab iis quæ nunc fiunt? Ab iis quæ in partu facta sunt? Quis vnquam natus est è virgine? Quis talem stellam ostendit? Quis autem Magos tanto

Rom. 3.6. — *Ioan. 10.* — *Ioan. 19.12.* — *Matt. 2.2.*

καὶ διαγγελοῦσιν οἱ οὐρανοὶ τὴν δικαιοσύνην αὐτοῦ. πάλιν ἐνταῦθα τὸ διαλάμπον αὐτοῦ τῆς δικαιοσύνης, τὸ φαιδρὸν, τὸ σαφὲς, τὸ ἀναντίρρητον, τὸ ὡμολογημένον δεῖξαι βουλόμενος, εἰσάγει τὰ ἀναίσθητα στοιχεῖα, ἀνακηρύττοντα αὐτὴν κατὰ τὸ αὐτὸ σχῆμα, ὅπερ ἔμπροσθεν ἔλεγεν. ὅτι ὁ Θεὸς κριτής ἐστι. τὰ δίκαια ὁρίζων ἑκάστῳ φησίν. οὐδὲ γὰρ ἁπλῶς τὸ κρίνειν ἐνταῦθα τέθεικεν, ἀλλ' ἵνα δηλώσῃ, ὅτι καὶ δίκαιός ἐστι, καὶ ἑτέροις τοῦτο παρέχει. ἐπὶ γὰρ τοῦ Θεοῦ τὸ κριτὴς ἀντὶ τοῦ δίκαιος εἴληπται, καθὰ καὶ Παῦλος αὐτὸ τέθεικε λέγων· ἐπεὶ πῶς κρινεῖ ὁ Θεὸς τὸν κόσμον; τοῦτο γὰρ μάλιστα κρίσις· τοῦτο μάλιστα κριτής· οὐ τὸ ψηφίσασθαι ἁπλῶς, ἀλλὰ τὸ δικαίως ψηφίσασθαι. κριθήσονται δὲ Ἰουδαῖοι, καὶ οἱ τότε, καὶ οἱ μετὰ ταῦτα παρανομήσαντες, ἐκεῖνοι μὲν τὴν φύσιν καὶ τὸν νόμον κατήγορον ἔχοντες· οὗτοι δὲ μετὰ τούτων, καὶ τὰ παρὰ τοῦ Χριστοῦ γεγενημένα εἰς αὐτούς. τί γὰρ καὶ ἔχοιεν εἰπεῖν ἄν, ἢ ποίαν προβαλέσθαι αἰτίαν, δι' ἣν οὐκ ἐπίστευσαν; ἀλλὰ προσέχετε τοῖς λεγομένοις παρακαλῶ, ἵνα δυνηθῆτε τοὺς ἀντιλέγοντας ἐπιστομίζειν. βέλτιον γὰρ αὐτοὺς παρ' ἡμῶν ἡττηθέντας νῦν διορθωθῆναι, ἢ νομίζοντας νικᾶν ἀπελθεῖν ἐκεῖ, καὶ κατακριθῆναι παρὰ τοῦ κοινοῦ τῆς οἰκουμένης δικαστοῦ. τί τοίνυν ἂν ἔχοιεν εἰπεῖν Ἰουδαῖοι, τίνος ἕνεκεν ἀνεῖλον τὸν Χριστόν; τί μικρὸν ἢ μέγα ἔγκλημα ἔχοντες; ὅτι ἐποίει ἑαυτὸν Θεόν, φησί. καὶ μὴν οὐ ταῦτα ἦν τὰ ῥήματα ἐν τῷ καιρῷ τοῦ σταυροῦ, ἀλλ' ἕτερά τινα. οὐ γὰρ ἔλεγον, ὁ ποιῶν ἑαυτὸν Θεόν· ἀλλ' ὁ ποιῶν ἑαυτὸν βασιλέα, οὐκ ἔστι φίλος τοῦ Καίσαρος. καί τοί γε πολλάκις ἠθέλησαν αὐτὸν βασιλέα χειροτονῆσαι, καὶ ἔφυγεν. ἀλλὰ πρὸ τούτου φησὶν ἐνεκάλουν, ὅτι ἐποίει ἑαυτὸν Θεόν. καὶ τί τοῦτο; εἰ μὲν γὰρ ψευδῶς καὶ ἀδίκως καὶ οὐκ ὤν, λόγον τὸ ἔγκλημα εἶχε. εἰ δὲ δικαίως, προσκυνῆσαι αὐτὸν ἐχρῆν, οὐ σταυρῶσαι. ἴδωμεν τοίνυν εἰ μὴ Θεὸς ὢν οὕτως ἐποίει ἑαυτὸν Θεόν, τουτέστιν, ἐδείκνυ καὶ ἀπέφαινε. πόθεν οὖν βούλει μαθεῖν; ἀπὸ τῶν τότε; ἀπὸ τῶν νῦν; ἀπὸ τῶν παρὰ τὸν τόκον; τίς οὖν ἀπὸ παρθένου ποτὲ ἐτέχθη; τίς δὲ ἀστέρα ἔδειξε τοιοῦτον; τίς δὲ Μάγους τοσαύτην ὁδὸν ἤγαγεν, οὐκ ἀνάγκῃ καὶ βίᾳ,

duxit itinere, non vi aut necessitate,

ἀλλὰ πειθοῖ καὶ ἀποκαλύψει; ὁρᾷς τὴν κτίσιν ἅπασαν ἐπιγινώσκουσαν τὸν δεσπότην; ἡ φύσις πρώτη παραχωρεῖ, καὶ οὐκ ἀντιλέγει, οὐδὲ ἀνθίσταται, λέγουσα· οὐ λύω τὰς ὠδῖνας· οὐκ ἔμαθον ἐκ μήτρας παρθενικῆς παιδίον προφέρειν· οὐκ οἶδα γάμου χωρὶς μητέρα ποιεῖν, ἀλλ' ἐξέστη καὶ παρεχώρησε τῶν οἰκείων ὅρων· τὸν γὰρ αὐτῆς ἐπέγνω δεσπότην. τεχθέντος πάλιν, ἄγγελοι παρεγένοντο τὸν ἐν οὐρανοῖς ἐπὶ γῆς μηνύοντες, καὶ οὐρανὸς ἐγένετο ἡ γῆ, ἅτε τοῦ βασιλέως ἐνταῦθα ὄντος, καὶ μάγοι προσεκύνουν ἐκ τοσούτου διαστήματος ἀφικόμενοι. καὶ τὸ μὲν παιδίον ἐπὶ φάτνης ἔκειτο ἐν Παλαιστίνῃ· οἱ δὲ ἀπὸ τῆς βαρβάρου χώρας τοσαύτην τιμὴν καὶ θεραπείαν προσῆγον, ὅσην εἰκὸς Θεῷ προσάγειν. ἀλλὰ ταῦτα μὲν ἴσως οὐ παραδέξονται, ἕτερα δὲ ἐπιζητήσουσι σημεῖα, τὰ κατὰ τὴν παροῦσαν γενεάν· ἀλλ' οὐδὲ τούτων ἀπορήσομεν. τοιοῦτον γάρ ἐστιν ἀλήθεια, περιρρεῖται τοῖς δικαιώμασι· μάλιστα μὲν γὰρ οὐδὲ ἐν τούτῳ ἔχουσί τινα ἀντιλογίας σκιὰν εἰπεῖν. εἰ γὰρ καὶ μὴ παρῆς, ὅτε ἐκ παρθένου ἐτίκτετο, τῷ προφήτῃ πιστεύειν ἔδει τῷ λέγοντι· ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ ἕξει, καὶ τέξεται υἱόν, καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ. εἰ μὴ παρῆς, ὅτε σάρκα περικείμενος περιεπόλει τὴν γῆν, καὶ συνανεστρέφετο τοῖς δούλοις ὁ δεσπότης, ἔντυχε τῷ Ἱερεμίᾳ, κἀκεῖνός σοι διαλέξεται οὕτω λέγων· οὗτος ὁ Θεὸς ἡμῶν, οὐ λογισθήσεται ἕτερος πρὸς αὐτόν. ἐξεῦρε πᾶσαν ὁδὸν ἐπιστήμης, καὶ ἔδωκεν αὐτὴν Ἰακὼβ τῷ παιδὶ αὐτοῦ, καὶ Ἰσραὴλ τῷ ἠγαπημένῳ ὑπ' αὐτοῦ. μετὰ ταῦτα ἐπὶ τῆς γῆς ὤφθη, καὶ τοῖς ἀνθρώποις συνανεστράφη· καὶ ἐπὶ τῶν ἄλλων δὲ ἁπάντων ὄψει τοὺς προφήτας, ὧν τὰ βιβλία εἰκῇ μέχρι σήμερον περιστρέφεις, καὶ ἐνοχλεῖς, ταύτης ἕνεκεν τῆς ὑποθέσεως, σαφῶς ἀνακηρύττοντας ἅπαντα. ἀλλ' οἱ μὲν πρὸς τούτους ἀγῶνες καὶ εἴρηνται πολλάκις ἡμῖν, καὶ ῥηθήσονται· τέως δὲ τῶν ἐχομένων ἁψώμεθα. καὶ ἀναγγελοῦσιν οἱ οὐρανοὶ τὴν δικαιοσύνην αὐτοῦ, ὅτι ὁ Θεὸς κριτής ἐστιν. ἐνταῦθά μοι τὴν δικαιοσύνην λέγειν δοκεῖ, τὴν πολλὴν αὐτοῦ κηδεμονίαν, τὴν φιλανθρωπίαν τὴν εἰς αὐτοὺς ἐκείνους, τὴν εἰς πάντας ἀνθρώπους πολυειδῆ τινα οἰκονομίαν καὶ πολύτροπον, τὴν διὰ τῆς κτίσεως, τὴν διὰ τοῦ νόμου, τὴν διὰ τῆς χάριτος, τὴν διὰ τῶν ὁρωμένων, τὴν διὰ τῶν ἀοράτων,

A sed sua persuasione ac reuelatione? Vides vniuersam creaturã dominum cognoscentem? Prima cedit natura, nec potest repugnare, nec contradicere, dicens: partum non expedio: non didici ex vtero virginis infantẽ in lucem producere: non noui matrem facere absq; coniugio, sed suis cessit finibus: suum enim dominum cognouerat. Iam verò eo nato Angeli aduenerunt, eum qui est in cœlis, esse in terra significantes: & cœlum terra facta est, vtpote quòd rex hic esset: & Magi adorarunt, qui ex tam remotis locis venerant: & infans B quidẽ in Palæstina iacebat in præsepi: illi verò ex barbara regione tantum honorem tantúmque cultum offerebant, quantum æquum erat Deo offerri. At hæc quidem fortasse non admittent, sed alia signa quærent in præsenti generatione. Sed ne hæc quidem nobis deficient. Talis enim res est veritas: abundat iustis rationibus quibus suam causam tueatur. [*Veritas firma est.*] Nam hic maximè ne vllam quidem possunt vmbram afferre contradictionis. Nam etsi non aderas, quando nascebatur ex virgine, oportebat tamen credere Prophetę dicenti: [*Esa. 7.14.*] C Ecce virgo in vtero concipiet, & pariet filium: & vocabunt nomen eius Emmanuel. Si non aderas, quando carne tectus terram obibat, & simul cum seruis versabatur Dominus, lege Hieremiam, & ille tecum loquetur sic dicens: Hic est Deus noster: non reputabitur alius præter ipsum. Inuenit omnem viam scientiæ, & dedit eam Iacob puero suo, & Israeli dilecto suo. [*Baruch 3. 36.*] Post hæc in terris visus est, & cum hominibus conuersatus est. Iam verò in aliis quoque omnibus, videbis Prophetas, quorum libros hac de causa D in hodiernum vsque diem frustra versas & agitas, hæc omnia apertè prædicare. Sed eiusmodi quidem certamina sæpe aduersus eos à nobis dicendo suscepta sunt, & sæpe suscipientur: nunc autem quæ sunt suscepta prosequamur. Et annunciabunt cœli iustitiam eius, quoniam Deus iudex est. Hîc mihi videtur dicere iustitiam, maximam eius curam, & summam in eos ipsos benignitatem, multiplicem, variam ac multiformem in homines prouidentiam, per creationem, per legem, per gratiam, per ea quæ sub visum cadunt, & quæ non cadunt,

per Prophetas, per Angelos, per Apostolos, per supplicia, per beneficia, per minas, per promissa, per ordinem temporis. 7. *Audi populus meus, & loquar tibi.* Vide rursus benignitatem & mansuetudinem ex ipso proœmio. Perinde enim ac si homo quispiam homini tumultuanti & turbas excitanti diceret: Si audias, loquar: Si attendas, dicam: ita etiam seruis Dominus: Si me audieris, inquit, dicam. Erant enim pigri ac negligentes, & ne tantillum quidem legum lectioni quietam præbebant audientiam. Id autem significans quispiam Propheta, qui versabatur in Perside, dicebat: Ero eis tanquam vox psalterij dulce canentis. Sæpe autem iubebant Prophetis ne prophetarent, imò verò eos repellebant, atque importunè vrgeri videbantur. Ita etiam videtur rex minari & prohibere alicui Prophetæ, ne populi concionem conuocet.

Ezech.33. 2 Reg.19. Hier.2. Zach.7.

Deus Deus tuus ego sum. Non temerè posita est hæc conduplicatio: sed quoniam iis loquebatur qui erant surdi, & orbi & nullo sensu præditi, loquitur de eius dominio, mox futuræ narrationis optimum hinc sumēs exordium, ostendens eos illi debere libertatem, & æquum esse vt illi soluant debitum, tanquam serui domino, tanquam opera opifici, tanquam maximis beneficiis & honoribus affecti.

Repetitio attentionem excitat.

8. *Non in sacrificiis tuis arguam te. Holocausta autem tua in conspectu meo sunt semper.* Ita etiam eos accusant cæteri Prophetæ, quòd potiore virtutis parte contempta, salutis spem in eis reponebant. Ad se enim defendendos hæc erant allaturi. Sacrificamus, holocausta offerimus. Sed non accessi, inquit, de his litigaturus, nec quòd hæc contempta essent vos accusaturus. Esaias autem eos etiam insectatur vehementius, dicens: Quid mihi multitudinem sacrificiorū vestrorum? Plenus sum. Holocausta arietum, & adipem agnorum, & sanguinem taurorum & hircorum nolo. Quis enim requisiuit hæc de manibus vestris? Atqui permulta dicta sunt de sacrificiis: sed non hæc decernit tanquam hæc velit principaliter: sed ad infirmitatem eorum se demittit. Hieremias quoque dicit: †ut mihi fers thus ex Saba, & cinamomum ex terra longinqua? Omnes

Esa.1.11.

Hier.6.20.

A τὴν διὰ προφητῶν, τὴν διὰ τῶν ἀγγέλων, τὴν διὰ τῶν ἀποστόλων, τὴν διὰ τῶν κολάσεων, τὴν διὰ τῶν εὐεργεσιῶν, τὴν διὰ τῶν ἀπειλῶν, τὴν διὰ τῶν ἐπαγγελιῶν, τὴν διὰ τῆς τάξεως τῆς κατὰ τὸν χρόνον. ἄκουσον λαός μου, καὶ λαλήσω σοι. ὅρα πάλιν ἐπιείκειαν καὶ πρᾳότητα ἐξ αὐτοῦ τοῦ προοιμίου. ὡς γὰρ ἂν εἰ ἄνθρωπος πρὸς ἄνθρωπον εἴποι, θορυβοῦντα καὶ ταράττοντα, ἐὰν ἀκούσῃς, λαλῶ· ἐὰν προσέχῃς, ἐρῶ· οὕτω καὶ πρὸς τοὺς δούλους ὁ δεσπότης· ἐὰν ἀκούσῃς μου, φησὶν, ἐρῶ. καὶ γὰρ ἦσαν ῥᾴθυμοι καὶ ἀναπεπτωκότες, καὶ B οὐδὲ ἐπὶ μικρὸν μετὰ ἡσυχίας παρεῖχον τῇ τῶν νόμων ἀναγνώσει τὴν ἀκρόασιν. καὶ τοῦτο δηλῶν τις προφήτης ἔλεγεν ὁ ἐν Περσίδι διατρίβων· ἔσομαι αὐτοῖς ὡς φωνὴ ψαλτηρίου ἡδυφώνου· καὶ συνεχῶς ἔλεγον τοῖς προφήταις μὴ προφητεύειν, ἀλλὰ διεκρούοντο αὐτοὺς, καὶ ἐνοχλεῖσθαι ἐδόκουν. καὶ βασιλεὺς τοῦτο φαίνεται ἀπειλῶν προφήτῃ τινὶ καὶ προστάττων, ὥστε μὴ ὀχλαγωγεῖν. ὁ Θεὸς ὁ Θεός σου εἰμὶ ἐγώ. οὐχ ἁπλῶς ὁ διπλασιασμὸς κεῖται, ἀλλ' ἐπειδὴ πρὸς ἀναισθήτους ἦν ὁ λόγος, καὶ πεπωρωμένους, καὶ κεκωφωμένους, τὸν περὶ τῆς δεσποτείας αὐτῷ κινεῖ λόγον, ἀρχὴν ἀρίστην τῇ μετὰ ταῦτα C διηγήσει διδοὺς ἐντεῦθεν, καὶ δεικνὺς, ὅτι ὀφείλουσιν αὐτῷ τὴν ἐλευθερίαν, καὶ χρέος ἂν εἶεν δίκαιοι καταθεῖναι ὡς δεσπότῃ δοῦλοι, ὡς δημιουργῷ ἔργα, ὡς τὰ μέγιστα εὐεργετηθέντες, καὶ τοσαύτην τιμηθέντες τιμήν. οὐκ ἐπὶ ταῖς θυσίαις σου ἐλέγξω σε· τὰ δὲ ὁλοκαυτώματά σου ἐνώπιόν μου ἐστὶ διαπαντός. οὕτω καὶ οἱ λοιποὶ κατηγοροῦσιν αὐτῶν προφῆται· ἐπειδὴ τὸ πλέον τῆς ἀρετῆς παρορῶντες μέρος, ἐν τούτοις τὰς ἐλπίδας τῆς σωτηρίας εἶχον. καὶ γὰρ εἰς ἀπολογίαν ἔμελλον αὐτὸ προβάλλεσθαι, ὅτι θυσίας ἀνήγομεν, ὅτι προσ- D φέρομεν ὁλοκαυτώσεις. ἀλλ' οὐκ ἐπὶ τούτοις εἰσῆλθον δικασόμενος, φησὶν, οὐδὲ ὑπὲρ τούτων ἐγκαλέσων, ὅτι παρώφθη ταῦτα. ὁ δὲ Ἠσαΐας καὶ σφοδρότερον αὐτῶν καθικνεῖται λέγων· τί μοι πλῆθος τῶν θυσιῶν ὑμῶν; πλήρης εἰμί· ὁλοκαύτωμα κριῶν, καὶ στέαρ ἀρνῶν, καὶ αἷμα ταύρων καὶ τράγων οὐ βούλομαι. τίς γὰρ ἐξεζήτησε ταῦτα ἐκ τῶν χειρῶν ὑμῶν; καίτοι πολλοὶ περὶ θυσιῶν εἰσιν εἰρημένοι λόγοι· ἀλλ' οὐ προηγουμένως βουλόμενος ταῦτα νομοθετεῖ· ἀλλὰ τῇ ἀσθενείᾳ αὐτῶν συγκαταβαίνοντες. καὶ Ἱερεμίας δέ φησιν· ἵνα τί μοι λίβανον ἐκ Σαβὰ φέρεις, καὶ κινάμωμον ἐκ γῆς μακρόθεν; καὶ

πάντες δὲ ὡς εἰπεῖν οἱ προφῆται οὐδὲν μέγα A εἶναι τοῦτό φασι. διὸ καὶ αὐτὸς ἀρχόμενος οὕτως ἔφη· ὁ Θεὸς ὁ Θεός σου εἰμὶ ἐγώ, κἀντεῦθεν δηλῶν, ὅτι ἀνάξιος αὐτοῦ τῆς τοιαύτης θεραπείας ὁ τρόπος. καὶ τὸν Θεὸν οὐ διὰ καπνοῦ καὶ κνίσσης· ἀλλὰ διὰ πολιτείας ἀρίστης καὶ ἀσωμάτου καὶ νοερᾶς θεραπεύεσθαι δεῖ. ἀλλ' οὐχ οἱ δαίμονες τὴν ἔξωθεν οὕτως, ἀλλὰ καὶ ἐπιζητοῦσι ταύτας. τοῦτο καί τις παρ' Ἕλλησι ποιητὴς φαίνεται, λέγων· τὸ γὰρ λάχομεν γέρας ἡμεῖς· ἀλλ' οὐχ ὁ Θεὸς ἡμῶν οὕτως· ἐκεῖνοι μὲν γὰρ αἱμάτων διψῶντες ἀνθρωπίνων, καὶ κατὰ μικρὸν αὐτοὺς εἰς ταύτας τὰς B μιαιφονίας ἐνάγειν βουλόμενοι, ταῦτα ᾔτουν συνεχῶς· αὐτὸς δὲ καὶ τὸ τῶν ἀλόγων ἀποστῆσαι σφαγῆς κατὰ μικρὸν ἐθέλων, ἐχρήσατο τῇ συγκαταβάσει ταύτῃ, καὶ συνεχώρησε θυσίας, ἵνα ἀνέλῃ θυσίας. οὐ δέξομαι ἐκ τοῦ οἴκου σου μόσχους, οὐδὲ ἐκ τῶν ποιμνίων σου χιμάρρους. ἐμὰ γάρ ἐστι πάντα τὰ θηρία τοῦ δρυμοῦ, κτήνη ἐν τοῖς ὄρεσι καὶ βόες. ἔγνωκα πάντα τὰ πετεινὰ τοῦ οὐρανοῦ, καὶ ὡραιότης ἀγροῦ μετ' ἐμοῦ ἐστιν. ὁρᾷς πῶς κατὰ μικρὸν ἀνάγει τῶν χαμαιζήλων τὴν διάνοιαν, διανοίγων αὐτῶν τὴν πεπωρωμένην γνώμην, καὶ δεικνὺς ὅτι οὐ δεόμενος ταῦτα ἐπέταξεν, οὐδὲ ἀπο- C δεχόμενος ἐνομοθέτησεν. εἰ γὰρ ἐβουλόμην οὕτω θεραπεύεσθαί φησι, τὴν ὑφήλιον πᾶσαν ἔχων, καὶ αὐτὸς πάντων γενόμενος ὁ δημιουργός, δαψιλεῖς ἂν παρεσκεύασά μοι γενέσθαι θυσίας. εἶτα καὶ κωμῳδῶν αὐτοὺς καὶ διασύρων, ὥστε καὶ πληκτικωτέραν γενέσθαι τὴν κατηγορίαν ἐπήγαγεν· ἐὰν πεινάσω, οὐ μή σοι εἴπω· ἐπειδὴ γὰρ αὐτὸς μὲν αὐτὰ συνεχώρησεν, ἵνα κατὰ μικρὸν αὐτοὺς ἀπαγάγῃ τούτων, αὐτοὶ δὲ ἐναπέμειναν τῇ εὐτελείᾳ, οὐδὲν μέγα ἐκ τῆς συγκαταβάσεως ταύτης καρπωσάμενοι, διὰ τοῦτο πα- D χύτερόν πως καὶ ἀνθρωπινώτερον διαλεγόμενος, φησίν· ἐὰν πεινάσω, οὐ μή σοι εἴπω. τουτέστιν, οὔτε πεινῶ· Θεὸς γὰρ οὐ πεινάσει, οὐ κοπιάσει· οὔτε εἰ τούτοις ἐβουλόμην θεραπεύεσθαι ἠπόρουν ἀπείρων θυσιῶν καὶ ὁλοκαυτωμάτων. καὶ γὰρ πρόκειταί μοι πάντα μετὰ πολλῆς τῆς ἀφθονίας, καὶ κύριος αὐτῶν ὢν καὶ δεσπότης, τὰ ἐμὰ βούλομαι παρά σου λαβεῖν, ἵνα τούτῳ σε τῆς ὁδοῦ τῷ τρόπῳ πρὸς τὴν ἐμὴν ἐπισπάσωμαι φιλίαν, καὶ τῆς τῶν ματαίων ἀποσπάσω συνηθείας. εἰ-

A denique, vt semel dicam, Prophetæ hoc nihil magni esse dicunt. Quocirca ipse quoque incipiens sic dicit: Deus tuus ego sum: ex eo ostendens ipso esse indignam hanc colendi rationem. Deum non fumo, nec nidore, sed per optimam vitæ institutionem, incorpoream, & in mente sitam, colere & honorare oportet. Sed non sic externorum dæmones, imò etiam hæc requirunt, & hoc videtur ostendere quidam Poëta apud Græcos, dicens: Hoc enim nos sortiti sumus munus, Deus autem noster non sic: illi enim huma- B num sanguinem sitientes, & eos ad has cædes volentes paulatim pellicere, hæc petebant assiduè: ipse autem cùm vellet eos paulatim ab occisione brutorum abducere, hac demissione vsus est, & permisit sacrificia, vt sacrificia tolleret. 9. *Non accipiam de manu tua vitulos, neque de gregibus tuis hircos.* 10. *Quoniam meæ sunt omnes feræ syluarum, iumenta in montibus, & boues.* 11. *Cognoui omnia volatilia cœli, & pulchritudo agri mecum est.* Vides quomodo paulatim erigit eorum mentem, qui in terras defixi & curui sunt, excæcatam eorum mentem C aperiens, & ostendens se hæc iussisse, non quòd eis egeret, nec lege sanxisse quòd ea admitteret. Si enim, inquit, ita coli vellem, cùm omnem terram quæ sub sole est, dominatu obtineam, & omnia creauerim, procurarem vt mihi lauta & opipara fierent sacrificia. Deinde eos etiam irridens ac reprehendens, vt magis pungat accusatio, subiunxit: 12. *Si esuriero, non dicam tibi: meus enim orbis terræ, & plenitudo eius.* Quoniam enim ipse ea concessit, vt eos paulatim ab eis abduceret: ipsi D autem in re adeò vili & abiecta perstiterunt, cùm ex ea ad illorum infirmitatem demissione nullum magnum fructum cepissent, propterea crassius & humanius disserens, dicit: Si esuriero, non tibi dicam. Hoc est, Neque esurio, (Deus enim non esuriet, neque defatigabitur) nec si his vellem coli, deessent mihi innumerabilia sacrificia & holocausta. Omnia enim mihi affatim & abundè suppetunt, & cùm sim ipse Dominus, mea volo à te accipere, vt hac via & ratione te ad meam amicitiam attraham, & à rerum inanium consuetudine abducam. De-

Deum vt sit colendum.

Dæmones sacrificia requirunt.

Sacrificia cur Iudæis permissa.

Esa. 40. 28

inde rursus cum erigens ad id quod est sublimius, subiungit: 13. *Nunquid manducabo carnes taurorum, aut sanguinem hircorum potabo?* Hæc, inquit, ne hominibus quidem iussi facere, sed etiam maximum constitui supplicium iis qui vescuntur sanguine. Quomodo ergo indigerem sanguine, qui seruos meos à tali esca abduco? Cùm hæc ergo omnia repulisset, & se esse indigna ostendisset, & accusationem permultis falsis ac ridiculis dictis respersisset, non eo in loco loqui desiit, sed ostendit alium modum sacrificij, functus hac in re optimi medici officio, vt abducens à rebus inutilibus, ea quæ iuuare possint vulneribus applicet. Postquam enim hæc perfecit, dicit: 14. *Immola Deo.* Et quomodo sacrificabo, inquit? Absque sanguine. Hoc enim sacrificium Deo maximè conuenit. Et ideo cum dixisset: Sacrifica Deo, subiunxit: *Sacrificium laudis:* hoc est gratiarũ actionis, sacrorum hymnorum, eius quæ fit per rectè facta glorificationis. Quod autem dicit, est eiusmodi. Ita viuas vt Dominus tuus glorificetur. Quod etiam Christus docuit, dicens: Luceat lux vestra coram hominibus, vt videant bona vestra opera, & glorificent patrem vestrum qui in cœlis est. Laus enim nihil aliud est quàm laudatio, gloria, & celebratio. Sit ergo vita tua eiusmodi, vt tuus laudetur ac celebretur Dominus, & perfectum obtulisti sacrificium. Hoc sacrificium Paulus quoque requirit, dicens: Exhibete membra vestra hostiam viuentem, sanctam, Deo placentem. Et rursus hic ipse Propheta alibi: Laudabo nomen Dei mei cum cantico, magnificabo ipsum cũ laudatione: & placebit Deo plus quàm vitulus iuuenis cornua producens & vngulas. Ita etiam sacrificauit Iob post plagas illas quæ naturam superabant, gratias agens, & hæc verba loquens: Dominus dedit, Dominus abstulit: sicut Domino placuit, ita factum est: sit nomen Domini benedictum in sæcula. *Et redde Altissimo vota tua.* Hîc dicit supplicationes, suadens vt in oratione assiduè perseueremus, & quæ professi fuerimus, cum celeritate reddamus. Pulchrè autem dixit, redde. Post promissionem enim efficitur debitum. Ita etiam Anna reddidit filium, vt debitum maximum.

[Margin: Leuit.7. — Sacrificium Deo gratũ. — Matt.5.16. — Laus. — Rom.12.1. — Psal.68.31. — Iob.1.21. — Vota reddenda sunt quàm celerrimè. — Sam.1.& 2.]

A τὰ πάλιν ἐπὶ τὸ ὑψηλότερον ἀναγαγὼν φησί· μὴ φάγομαι κρέα ταύρων, ἢ αἷμα τράγων πίομαι; ταῦτα γὰρ οὔτε ἀνθρώποις ποιεῖν ἐπέταξά φησιν, ἀλλὰ καὶ μεγίστην ὥρισα κόλασιν τοῖς τὸ αἷμα ἐσθίουσι. πῶς οὖν ἤμελλον αἵματος δεήσεσθαι ὁ τοὺς δούλους ἀπάγων τοὺς ἐμοὺς τῆς τοιαύτης θοίνης; ἐκβαλὼν τοίνυν ταῦτα ἅπαντα, καὶ δείξας ἀνάξια αὐτοῦ, καὶ πολλὴν τῇ κατηγορίᾳ τὴν κωμῳδίαν ἀναμίξας, οὐκ ἔστησε τὸν λόγον μέχρι τούτου, ἀλλὰ δείκνυσιν ἑτέρας θυσίας τρόπον, ὅπερ ἐστὶν ἰατρείας ἀρίστης εἶδος, τῶν οὐδὲν ὠφελούντων ἀπάγοντα, B τὰ δυνάμενα διορθοῦν ἐπιτιθέναι τοῖς τραύμασι. μετὰ γὰρ τὸ ταῦτα ἀπαρτίσαι λέγει· θῦσον τῷ Θεῷ. καὶ πῶς θύσω, φησίν; αἵματος χωρίς. τοῦτο γὰρ μάλιστα θυσία Θεῷ πρέπουσα. διὰ τοῦτο εἰπὼν θῦσον τῷ Θεῷ, ἐπήγαγε, θυσίαν αἰνέσεως· τουτέστιν εὐχαριστίας, ὕμνων ἱερῶν, τῆς διὰ τῶν ἔργων εὐχαριστίας καὶ δοξολογίας. ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν. οὕτω ζῆθι, ὥστε δοξάζεσθαί σου τὸν δεσπότην, ὅπερ καὶ ὁ Χριστὸς ἐδίδαξε λέγων· λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσι τὰ καλὰ ἔργα C ὑμῶν, καὶ δοξάσωσι τὸν πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς. αἶνος γὰρ οὐδὲν ἕτερον ἢ ἔπαινός ἐστι, δόξα, εὐφημία. ἔστω τοίνυν ὁ βίος σου τοιοῦτος, ὥστε εὐφημεῖσθαί σου τὸν δεσπότην, καὶ ἀπηρτισμένην εἰσήγαγες τὴν θυσίαν. ταύτην καὶ ὁ Παῦλος ἐπιζητεῖ τὴν θυσίαν, λέγων· παραστήσατε τὰ μέλη ὑμῶν θυσίαν ζῶσαν, ἁγίαν, εὐάρεστον τῷ Θεῷ, καὶ ἀλλαχοῦ πάλιν ὁ αὐτὸς προφήτης· αἰνέσω τὸ ὄνομα τοῦ Θεοῦ μου μετ' ᾠδῆς, μεγαλυνῶ αὐτὸν ἐν αἰνέσει, καὶ ἀρέσει τῷ Θεῷ ὑπὲρ μόσχον νέον κέρατα ἐκφέροντα καὶ D ὁπλάς. οὕτως ἔθυε καὶ Ἰὼβ μετὰ τὰς πληγὰς ἐκείνας τὰς ὑπὲρ φύσιν εὐχαριστῶν, καὶ ταῦτα φθεγγόμενος τὰ ῥήματα· ὁ κύριος ἔδωκεν, ὁ κύριος ἀφείλετο· ὡς τῷ κυρίῳ ἔδοξεν, οὕτω καὶ ἐγένετο· εἴη τὸ ὄνομα κυρίου εὐλογημένον εἰς τοὺς αἰῶνας. καὶ ἀπόδος τῷ ὑψίστῳ τὰς εὐχάς σου. τὰς ἱκετηρίας ἐνταῦθά φησιν, ὥστε διηνεκῶς τῇ δεήσει προσκαρτερεῖν, καὶ ἅπερ ἂν ἐπαγγελώμεθα μετὰ τάχους ἀποδιδόναι. καὶ καλῶς εἶπεν, ἀπόδος. μετὰ γὰρ τὴν ἐπαγγελίαν χρέος τὸ πρᾶγμα γίνεται. οὕτως Ἄννα ἀπέδωκε τὸν υἱὸν, ὡς ὄφλημα μέγιστον.

καὶ σὺ τοίνυν κἂν ἐλεημοσύνην ἐπαγγείλῃ, κἂν σωφροσύνην βίου, κἂν ἕτερόν τι τοιοῦτον, σπεῦδε πρὸς τὴν ἔκτισιν. εἰ δέ τις ἀκριβῶς ἐξετάσειε· κἂν μὴ ἐπαγγέλληται, χρεωστεῖ αὐτὰ τὰ τῆς ἀρετῆς. καὶ τοῦτο δηλῶν ὁ Χριστὸς ἔλεγεν· ἃ γὰρ ὠφείλομεν ποιῆσαι, πεποιήκαμεν. καί τοι τὴν παραβολὴν τοῦ δούλου ἔλεγε τοῦ ἐλαχίστην διακονίαν, οὐχὶ κατακλιθῆναι κελευομένου, ἀλλὰ περιζῶσαι, καὶ διακονεῖν. καὶ ἕτερος δέ τις φησί· μὴ χρονίσῃς ἀποδοῦναι εὐχήν σου· ἐπηγγείλω, ἀπόδος, μή ποτε θάνατος ἐπελθὼν διακόψῃ. καὶ τί πρὸς ἐμέ φησιν; οὐ γὰρ κύριος ἤμην τῆς ζωῆς; διὰ τοῦτο γὰρ ἐχρῆν μὴ χρονίσαι τὸ ἄδηλον ἐννοοῦντα τῆς ἐξόδου, καὶ ὅτι κύριος οὐκ εἶ τῆς ζωῆς, καὶ τῆς ἐντεῦθεν ἀποδημίας· ὥστε ἡ δοκοῦσα ἀπολογία, κατηγορία ἐστίν. οὐδὲ γὰρ τοῦ θανάτου λοιπὸν τὸ μὴ ἀποδοῦναι γέγονεν, ἀλλὰ τῆς σῆς μελλήσεως καὶ ἀναβολῆς. καὶ ἐπικάλεσαί με ἐν ἡμέρᾳ θλίψεώς σου, καὶ ἐξελοῦμαί σε, καὶ δοξάσεις με. ὁρᾷς οὐκ πολλοῦ τοῦ περιόντος τὴν ἀντίδοσιν διδομένην; τί τοίνυν τῆς τοιαύτης φιλανθρωπίας ἴσον γένοιτ' ἄν; ὅταν καὶ αὐτῆς τῆς ἀρετῆς μισθοὺς ἡμῖν διδῷ, καὶ μισθοὺς πολλῷ μείζονας τῶν πόνων, καὶ σφόδρα ἐν καιρῷ διδομένους; καὶ διὰ τί φησιν, ἐπικάλεσαί με; διὰ τί ἀναμένει καλεῖσθαι παρ' ἡμῶν; μείζονα τὴν οἰκείωσιν ἡμῖν ποιῆσαι βουλόμενος, καὶ τὴν πρὸς αὐτὸν φιλίαν θερμοτέραν, καὶ τῷ δοῦναι, καὶ τῷ καλεῖσθαι, καὶ τῷ λαμβάνειν. καὶ γὰρ ἡ ἀρετὴ πρὸς Θεὸν οἰκειοῖ, καὶ ἀντίδοσις τὸ αὐτὸ ἐργάζεται, καὶ ἡ εὐχὴ πάλιν ταύτην συγκροτεῖ τὴν οἰκείωσιν. διὰ τοῦτό φησι, δός μοι, καὶ δίδωμί σοι· καὶ ἐν τῷ διδόναι δὲ σὺ λαμβάνεις· αὐτὸς γὰρ τούτων ἀνενδεής. ὥστε κἂν ἐπιεικὴς γένῃ, κἂν μέτριος, κἂν σώφρων, οὐ τῷ Θεῷ τι προσέθηκας, ἀλλὰ σαυτὸν λαμπρότερον ἐποίησας καὶ ἀμείνω· ἀλλ' ὅμως καὶ τούτων ὡς αὐτὸν ὠφελοῦντι μισθούς σοι καὶ στεφάνους ὁρίζει μεγίστους. καὶ πρὸ τῶν στεφάνων δὲ ἐκείνων οὐ μικρᾶς ἀπολαύεις ἡδονῆς, ἀγαθὴν συμπεριφερόμενος συνειδόσιν, καὶ χρησταῖς τρεφόμενος ἐλπίσιν. ἡμέραν δὲ θλίψεως ἐνταῦθά φησιν, οὐ τὰς τῶν συμφορῶν, οὔτε τὰς τῶν περιστάσεων, ἀλλὰ κἂν ἁμαρτία πολεμῇ, κἂν

Tu ergo siue promittas eleemosynam, siue vitam pudicam, siue aliquid, aliud tale, ad id exoluendum festina. Si quis autem exactè perpenderit, etsi minimè promittatur, virtus tamen ei debetur. Id autem Christus significans, dicebat: Quæ enim debuimus facere, fecimus. Atqui dixit parabolam serui, cui erat minimum imperatum, nempe vt non accumberet, sed transiret, & ministraret. Porrò autem quidam alius quoque dicit: Ne tardaueris reddere votum tuum. Pollicitus es? redde, ne fortè mors te inuadat, & id rescindat. Et quid ad me, inquit? Vita enim non erat in mea potestate. Et ideo differre non oportuit, dum cogitas esse incertum exitum, & non esse in tua potestate aut viuere, aut hoc è loco excedere. Quod ergo videris pro tua defensione afferre, id planè te arguit. Neque enim mors in causa fuit, quo minus redderes, sed tua mora ac dilatio. 15. *Et inuoca me in die tribulationis tuæ: & eruam te, & honorificabis me.* Vides copiosam dari mercedem. Quid ergo potest conferri cum hac benignitate, quando dat nobis mercedē virtutis, & mercedem longè maiorem laboribus: eáque datur in tempore admodum opportuno? Et cur, inquit, dixit: Inuoca me? Cur expectat vt à nobis inuocetur? Volens in nobis efficere maiorem familiaritatem, & vehemētiorem quæ cum eo intercedit amicitiam, dando, inuocando, & accipiendo. Virtus enim Deo familiarem efficit. Idipsum facit remuneratio. Rursus autem vota ac preces hanc familiaritatem conciliant. Et ideo dicit; Da mihi, & do tibi: Quin etiam in dando vnà accipis: ipse enim his non indiget. Quamobrem si fueris moderatus, mansuetus, & pudicus, Deo ex hoc non aliquid accessit, sed teipsum effecisti meliorem & clariorem: & tamen pro his tanquam quæ ipsum iuuarent, maximas mercedes & coronas constituit. Quin etiam ante illas coronas non parua voluptate frueris, vt & qui bonam tecum circumferas conscientiam, & bona spe in posterum erigaris. Diem autem afflictionis hîc dicit, non calamitatem, nec fortuitorum casuum, sed quod siue peccatum bello impetat, siue diabo-

Luc. 17. 10.
Eccles. 5. 3.
Matth. 19. Luc. 9. Psal. 15. Iob. 14.

lus obsideat malas inuehens cupiditates, magnum auxilium assequeris. Et eruam te, & horificabis me. Hoc rursus dicit, non egens nostra gloria. Quomodo enim egeret, qui est Deus gloriæ? sed vt per hymnum gratiarum actionis fiat memoria beneficij, & sit vehementior in eum affectio, quòd primò fœlicitatem maximam accipiamus. Neque verò à decoro aberraueris, si dixeris eum dicere diem afflictionis, & diem futurum. Illa enim nunquam cessat afflictio. Atque hic quidem & mors adueniens soluit calamitates, & amici consolantes, & finis, qui expectatur, sæpe etiam rerum quæ speratur mutatio, & diuturnitas temporis molliit ac mitigauit perturbationem animi, & res aduersæ propinquorum. Habere enim ærumnarum socios, & videre multa eiusmodi exempla, visum est multis esse quid magni ad consolationem. Illic autem nihil est eiusmodi, neque enim adest aliquis qui consoletur, sed est solitudo maxima amicorum. Non longitudo temporis mollit dolorem. quomodo enim, cùm flamma perpetuò illos premat? Non spes liberationis: est enim æternum supplicium. Non mortis expectatio: est enim pœna æterna, & sunt etiam quæ puniuntur corpora immortalia. Et ne hoc quidem quod videtur multis afferre solatium, quòd videant scilicet alios puniri. Primùm enim non possunt videri qui puniuntur, cùm tenebræ quæ sunt instar sepimenti, oculis caliginem offundant. Deinde magnitudo doloris ne sinit quidem admittere sensum huius consolationis. Diues ergo nihil ex ea receperit solatij, nec ij qui strident dentibus. 16. *Peccatori autem dixit Deus: Quare tu enarras iustitias meas?* Vidisti lyram perfectam, citharam bene compositam, diuersis modis vnum edere cõcentum? Hic est enim sensus, & id apud Apostolos, & apud alios Prophetas scriptum cerni potest, & Paulus etiam ita quodammodo dicit, ipse quoque ostendens nihil prodesse alios docere, nisi quis seipsum prius doceat. Quoniam enim sibi valde placebant, sicut propter sacrificia, ita etiam propterea quòd legem haberent, & dicerentur aliorum doctores, ostendens eos ex illa re non magnum fructum capere, quando ipsi manerent indocti, acrius eos

Afflictionis præsentis & futuræ collatio.

Matth. 25.

A διάβολος πολιορκῇ, ἐπιθυμίας εἰσάγων πονηράς, πολλῆς ἀπολαύσῃ τῆς συμμαχίας. καὶ ἐξελοῦμαί σε, καὶ δοξάσεις με. πάλιν ἐνταῦθα οὐ τῆς παρ' ἡμῶν δόξης δεόμενός φησι τοῦτο. πῶς γὰρ ὁ τῆς δόξης Θεός; ἀλλ' ὥστε διὰ τὸν εὐχαριστίας ὕμνον γίνεσθαι τῆς εὐεργεσίας τὴν μνήμην, καὶ θερμοτέραν τὴν πρὸς αὐτὸν διάθεσιν, τῷ πρῶτος εὐζωΐας μεγίστην λαμβάνειν. οὐχ ἁμαρτήσεται δὲ τοῦ πρέποντος εἰπών τις ἐνταῦθα ἡμέραν θλίψεως αὐτὸν λέγειν, καὶ τὴν μέλλουσαν ἡμέραν. ἡ γὰρ θλίψις ἐκείνη ἄ- B παυστος. ἐνταῦθα μὲν γὰρ καὶ θάνατος ἐπιὼν λύει τὰς συμφοράς, καὶ φίλοι παρακαλοῦντες, καὶ τέλος προσδοκώμενον. πολλάκις δὲ καὶ πραγμάτων μεταβολὴ ἐλπιζομένη, καὶ χρόνου μῆκος ἐμάλαξε τῆς ψυχῆς τὸ πάθος, καὶ ἡ τῶν πλησίον δυσπραγία. τὸ γὰρ ἔχειν κοινωνοὺς τῶν ὀδυνηρῶν, καὶ πολλὰ τοιαῦτα ὁρᾷν ὑποδείγματα μέγα πολλοῖς εἰς παραμυθίαν εἶναι ἔδοξεν. ἐκεῖ δὲ οὐδὲν τοιοῦτόν ἐστιν· οὔτε γάρ τις παρακαλῶν πάρεστιν, ἀλλ' ἐν ἐρημίᾳ φίλων ἅπαντές εἰσιν· οὐ χρόνου μῆκος μαλάσσει τὴν ὀδύνην· πῶς γὰρ C ἐπικειμένης τῆς φλογὸς δι' ὅλου; οὐκ ἐλπὶς ἀπαλλαγῆς· αἰωνία γὰρ ἡ κόλασις· οὐ θανάτου προσδοκία· ἀθάνατος γὰρ ἡ τιμωρία, καὶ τὰ σώματα δὲ τὰ κολαζόμενα ἀθάνατα. ἀλλ' οὐδὲ τοῦτο ὃ δοκεῖ πολλοῖς παραμυθίαν φέρειν, τὸ ἑτέρους ὁρᾷν ἐν κολάσει. πρῶτον μὲν γὰρ οὐδὲ ἰδεῖν ἐστι κολαζομένους τοῦ σκότους αὐτὴν πάντος διαφράγματος ἐπισκιάζοντος τὰς ὄψεις. ἔπειτα ἡ ὑπερβολὴ τῆς ὀδύνης οὔτε ταύτης ἀφίησιν αἴσθησιν λαβεῖν τῆς παραμυθίας. ὁ γοῦν πλούσιος οὐδὲν ἔσχεν εἰς παραμυθίας ἐκκαρπώσασθαι λόγον, οὐδὲ D οἱ τοὺς ὀδόντας βρύχοντες. τῷ δὲ ἁμαρτωλῷ εἶπεν ὁ Θεός· ἵνα τί σὺ ἐκδιηγῇ τὰ δικαιώματά μου; εἶδες τὴν ἀπηρτισμένην λύραν, τὴν σύμφωνον κιθάραν, τὴν ἐν διαφόροις φθόγγοις μίαν ἁρμονίαν ἠχοῦσαν; τοῦτο γὰρ τὸ νόημα καὶ παρὰ ἀποστόλοις ἐστὶν ἰδεῖν, καὶ παρὰ προφήταις ἑτέροις κείμενον· καὶ Παῦλος μὲν οὕτω πως φησι, δεικνὺς καὶ αὐτός, ὅτι οὐδὲν ὄφελος τοῦ διδάσκειν ἑτέρους, ὅταν τις ἑαυτὸν πρότερον λαβὼν μὴ διδάσκῃ. ἐπειδὴ γὰρ μέγα ἐφρόνουν ὥσπερ ἐπὶ ταῖς θυσίαις, οὕτω καὶ ἐπὶ τῷ νόμον ἔχειν, καὶ διδάσκαλοι τῶν ἄλλων χρηματίζειν, δεικνὺς, ὅτι οὐδὲν μέγα καρποῦνται, ὅταν ἀδίδακτοι μένωσιν αὐτοὶ καθα-

πτόμενος σφοδρότερον τῶν τοιούτων, λέγει· ὁ οὖν διδάσκων ἕτερον, σεαυτὸν οὐ διδάσκεις; ὁ κηρύσσων μὴ κλέπτειν κλέπτεις; ὁ βδελυσσόμενος τὰ εἴδωλα ἱεροσυλεῖς; ὃς ἐν νόμῳ καυχᾶσαι, διὰ τῆς παραβάσεως τοῦ νόμου τὸν Θεὸν ἀτιμάζεις; διὰ τοῦτο καὶ περὶ ἑαυτοῦ ἔλεγε· φοβοῦμαι, μήπως ἄλλοις κηρύξας αὐτὸς ἀδόκιμος γένωμαι, καθαιρῶν τὸ φύσημα τῶν ἐπὶ τῇ τοῦ λόγου διδασκαλίᾳ μεγαφρονούντων, αὐτῶν δὲ ἐρήμων ὄντων τῆς ἀρετῆς. καὶ ἑτέρως τὸν λόγον τοῦτον μεταχειρίζει πρὸς Ἰουδαίους ἀποτεινόμενος, ὅταν λέγῃ· ὅταν γὰρ ἔθνη τὰ μὴ νόμον ἔχοντα, φύσει τὰ τοῦ νόμου ποιῇ, οὗτοι νόμον μὴ ἔχοντες ἑαυτοῖς εἰσὶ νόμος. καὶ πάλιν· οὐ γὰρ οἱ ἀκροαταὶ τοῦ νόμου δίκαιοι παρὰ τῷ Θεῷ, ἀλλ' οἱ ποιηταὶ τοῦ νόμου δικαιωθήσονται. καὶ ὁ προφήτης· οἱ ἀντεχόμενοι τοῦ νόμου οὐκ ἠπίσταντό με. καὶ πάλιν· εἰς μάτην ἐγενήθησαν σχοῖνος ψευδὴς γραμματεῦσι. τίνος ἕνεκεν; ὅτι τρυγὼν καὶ χελιδὼν, ἀγροῦ στρουθία ἔγνωσαν καιροὺς εἰσόδων αὐτῶν, ὁ δὲ λαός μου οὐκ ἔγνω τὰ κρίματά μου. ἐνταῦθα δὲ οὐ μόνον, οὐδὲν κερδαίνειν φησὶν ἐκ τοῦ διδάσκειν ἑτέρους τὸν μὴ μετιόντα τὴν ἀρετὴν, ἀλλὰ καὶ ἐκβάλλει ταύτης αὐτὸν τῆς προεδρίας. εἰ γὰρ ἐπὶ τῶν ἔξωθεν δικαστηρίων ὁ πεπλημμεληκὼς τῇ τῆς σιγῆς ἀτιμίᾳ κολάζεται, πῶς ἂν ἐν κοινῷ διδασκαλείῳ φησὶ φωνὴν ἔχοι ὁ τῆς ἁμαρτίας ὑπεύθυνος; μεῖζον δὲ τοῦτο τὸ διδασκαλεῖον τοῦ δικαστηρίου ἐκείνου. ἐκεῖ μὲν γὰρ οἱ κολαζόμενοι τίνουσι τιμωρίας· ἐνταῦθα δὲ ἅπαντα γίνεται, ὥστε μὴ κολασθῆναι τοὺς πεπλημμεληκότας, ἀλλὰ τῇ μετανοίᾳ διορθώσασθαι τὸ πεπλημμελημένον. καὶ ἐν ταῖς βασιλικαῖς δὲ αὐλαῖς οὐδεὶς ἂν γένοιτο ἑρμηνεὺς βασιλικῆς φωνῆς ἐπὶ βίῳ διεφθαρμένῳ ἁλούς. τίνος γὰρ ἕνεκα διηγῇ δικαιώματα καὶ διδάσκεις ἑτέρους, καὶ μὴν τοὐναντίον ποιεῖς, τοῦ βίου σου τοῖς λεγομένοις ἀντιφθεγγομένου, καὶ ἐνίους τῶν βουλομένων προσέχειν ἀποστρέφεις; οὐ γὰρ οὕτω διδάσκεις διὰ τῶν λόγων, ὡς ἀπάγεις διὰ τῶν πραγμάτων. διὰ τοῦτο καὶ ὁ Χριστὸς ἐκεῖνον ἐπαινεῖ τὸν διδάσκαλον τὸν διὰ τῶν ἔργων καὶ διὰ τῶν ῥημάτων ἀπηρτισμένην ἐπιδεικνύντα τὴν διδασκαλίαν. ὃς γὰρ ἂν ποιήσῃ καὶ διδάξῃ φησὶν, οὗτος μέγας κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν. ἐχέτω τοίνυν σου λαμπρὰν φωνὴν ὁ βίος ταῦτα διδάσκουσαν· καὶ κἂν τὸ στόμα ἀποφράξῃς,

A insectans, dicit: Qui ergo alium doces, teipsum non doces? Qui prædicas non furandum, furaris? Qui abominaris idola, sacrilegium admittis? Qui de lege gloriaris, per legis transgressionem Deum dehonestas? Et ideo de ipso dixit alibi: Vereor ne cùm aliis prædicauero, ipse reprobus efficiar: eorum tumorem deprimens, quibus doctrina sermonis magnos faciebat spiritus, cùm essent ipsi virtute defecti. Aliter quoque hoc quod nunc dicit tractat, ad Iudæos se conuertens, quando dicit: Quando enim gentes, quæ natura legem non habent, quæ legis sunt, na- B tura faciunt: hi legem non habentes sibipsis sunt lex. Et rursus: Non enim auditores legis iusti apud Deum, sed factores legis iustificabuntur. Et Propheta: Qui tenebant legem, nesciebant me. Et rursus: * Frustra facti sunt iuncus falsus scribis. Qua de re? Quoniam turtur & hirundo & agri passeres, cognouerunt tempora ingressus sui, populus autem meus non cognouit iudicia mea. Hîc autem dicit, non solum nihil lucrari ex eo quòd docet alios, eum qui virtutem non persequitur, sed C seipsum etiam primo gradu dignitatis deijcere. Si enim in externis iudiciis qui deliquit, ei indicti silentij infamia punitur: in publico doctrinæ ludo quomodo ei loqui permittetur, qui est peccato obnoxius? Maior autem est hic doctrinæ ludus illo iudicio. Illic enim qui peccant, castigati luunt pœnas: hîc autem fiunt omnia, vt non puniantur qui peccauerunt, sed vt peccatum pœnitentia corrigant. Iam verò in aulis quoque regiis nemo fuerit regiæ vocis interpres, si fuerit prauæ & corruptæ vitæ conuictus: quare ergo enarras iu- D stitias meas, & alios doces, & tamen contrarium facis, vita contradicente iis quæ à te dicuntur, & auertis nonnullos eorum qui volunt attendere? Non enim ita doces verbis sicut rebus & factis abducis. Quocirca Christus illum laudat doctorem, qui verbis & factis perfectam doctrinam ostenderit. Qui enim fecerit, inquit, & docuerit, hic vocabitur magnus in regno cœlorum. Habeat ergo vita tua claram vocem, eadem quæ dicis docentem: & licet os tuum

Rom. 2. 21.
1. Cor. 9. 27.
Rom. 2. 14
Hier. 2. 8.
Hier. 8.
Vulgata Lat. sic habet: Verè mendacium operatus est stylus mendax scribarum.
A simili.
Matt 5. 19.

obstruxeris, vel tuba clarius personabis, nō solum apud præsentes, sed etiam apud eos qui procul siti sunt. Ita etiam cœlum enarrat gloriam Dei, cùm nec os habeat, nec linguam moueat, neque spiritum ex imo profundat, sed per eorum quæ videntur pulchritudinem deducat spectatorem ad admirationem opificis. Quod ergo illic est in cœlo pulchritudo aspectus, hoc sit in anima tua virtus. Quòd si cùm sis sordidatus, & innumerabiles habeas accusatores, & maximè tuam ipsius conscientiam, doctoris sedem coneris inuadere, quando ad vitia reprehendenda accesseris, non alios magis quàm teipsum accusabis. *Et assumis testamentum meum per os tuum?* Rectè dixit, per os. Est enim cor defectum fructibus qui ex eo oriuntur, & labra incassum mouentur, & ad eius qui loquitur condemnationem. Si quis autem mentem fuerit scrutatus, magnum bellum inueniet. 17. *Tu vero odisti disciplinam, & proiecisti sermones meos retrorsum.* Disciplinam hic dicit legis doctrinam, quæ animum componit, vitium expellit, & virtutem inserit. Quomodo ergo eam tractas, & in alios seminas, cùm ipse eam factis non habeas? Proiecisti enim, inquit, sermones meos retrorsum. Non solùm enim ex legis doctrina, nulla est tibi facta accessio, sed etiam quod habes à natura, mutilum mancúmque reddidisti. Eorum enim quæ sunt agenda, & non agenda, rationes nobis à natura insitæ sunt. Tu autem eas repulisti, & non habuisti in memoria. 18. *Si videbas furem, currebas cum eo, & cum adulteris portionem tuam ponebas.* Quoniam enim fieri non potest vt homo sit nulli omnino peccato affinis: & ideo dixit quispiam: Quis gloriabitur mundum se habere cor? aut quis audacter dicet se esse purum à peccato? & Paulus cùm dixisset: Nihil mihi conscius sum, subiunxit, sed non in hoc iustificatus sum. Et iustus suiipsius primo loco accusator est, videlicet suorum peccatorum. Vt nemo ergo posset dicere, si omnes sunt peccatores, peccatorem autem iussit non narrare iustitias, quis est ergo narraturus? Ne quis ergo hæc diceret, genera peccatorum enumerat per species. Est enim peccatum ad mortem, quemadmodum Heli quoque dicebat:

Psal.18.1. Sap.13.5. Disciplina. Rom.1. Prou.10.9. 1.Cor.4. Prou.18.17

A ξῃς, σάλπιγγος λαμπρότερον ἠχήσῃς, καὶ εἰς τοὺς παρόντας, καὶ εἰς τοὺς πόρρωθεν ὄντας. οὕτως ὁ οὐρανὸς διηγεῖται δόξαν Θεοῦ, οὐ στόμα ἔχων, οὐ γλῶτταν κινῶν, οὐδὲ πνεῦμα κάτωθεν προϊέμενος, ἀλλὰ τῷ κάλλει τῆς ὄψεως τὸν θεατὴν εἰς θαῦμα τοῦ δημιουργοῦ παραπέμπων. ὅπερ οὖν ἐστιν ἐκεῖ ἐπὶ τοῦ οὐρανοῦ τὸ κάλλος τῆς ὄψεως, τοῦτο ἔστω ἐπὶ τῆς ψυχῆς τῆς σῆς ἡ ἀρετή. σὺ δὲ κατερρυπωμένος, καὶ μυρίους κατηγόρους ἔχων, καὶ παρὰ πάντων τὸ συνειδὸς, σπουδάζῃς ἐπιλαμβάνεσθαι θρόνου διδασκαλικοῦ, ἐπειδὰν κακίας κατηγορῇς, οὐχ B ἑτέρων μᾶλλον ἢ σαυτοῦ κατηγορήσεις. καὶ ἀναλαμβάνεις τὴν διαθήκην μου διὰ στόματός σου· καλῶς εἶπε, διὰ στόματος. ἡ γὰρ καρδία ἔρημός ἐστι τῶν ἐντεῦθεν καρπῶν, καὶ τὰ χείλη κινεῖται μάτην, καὶ ἐπὶ καταδίκῃ τοῦ λέγοντος. ἐὰν δὲ τὴν διάνοιάν τις ἐρευνήσῃ, πολὺν εὑρήσει τὸν πόλεμον ὄντα. σὺ δὲ ἐμίσησας παιδείαν, καὶ ἐξέβαλες τοὺς λόγους μου εἰς τὰ ὀπίσω. παιδείαν ἐνταῦθά φησι τὴν τοῦ νόμου διδασκαλίαν τὴν ψυχὴν ῥυθμίζουσαν, τὴν κακίαν ἀπελαύνουσαν, καὶ τὴν ἀρετὴν καταφυτεύουσαν. πῶς οὖν αὐ-C τὴν μεταχειρίζῃ, καὶ εἰς ἑτέρους σπείρεις, αὐτὸς διὰ τῶν ἔργων αὐτὴν μὴ ἔχων; ἐξέβαλες γάρ, φησι, τοὺς λόγους μου εἰς τὰ ὀπίσω. οὐ γὰρ μόνον οὐ προσέθηκέν τι παρὰ τῆς τοῦ νόμου διδασκαλίας, ἀλλὰ καὶ ὃ ἀπὸ τῆς φύσεως εἶχες, ἐπήρωσας. τῶν γὰρ οὐ πρακτέων, καὶ τῶν μὴ τοιούτων φυσικῶς ἔγκεινται ἡμῖν οἱ λόγοι. σὺ δὲ αὐτοὺς ἀπώσω, καὶ οὐκ εἶχες ἐν μνήμῃ. εἰ ἐθεώρεις κλέπτην, συνέτρεχες αὐτῷ, καὶ μετὰ μοιχοῦ τὴν μερίδα σου ἐτίθεις. ἐπειδὴ γὰρ οὐκ ἔστιν ἄνθρωπον εὑρεῖν ἀναμάρτητον καθόλου· διὸ καί τις ἔλεγε· τίς καυχήσεται D ἁγνὴν ἔχειν τὴν καρδίαν, ἢ τίς παρρησιάσεται καθαρὸς εἶναι ἀπὸ ἁμαρτίας; καὶ Παῦλος εἰπών, οὐδὲν ἐμαυτῷ σύνοιδα, ἐπήγαγεν· ἀλλ' οὐκ ἐν τούτῳ δεδικαίωμαι. καὶ δίκαιος δὲ ἑαυτοῦ κατήγορος ἐν πρωτολογίᾳ, δῆλον ὅτι τῶν ἡμαρτημένων αὐτῷ. ἵνα οὖν μηδεὶς ἔχῃ λέγειν, ὅτι εἰ πάντες ἐν ἁμαρτίαις· τὸν δὲ ἁμαρτωλὸν ἐκέλευσε μὴ διηγεῖσθαι τὰ δικαιώματα, τίς ἐστιν ὁ διηγησόμενος; ἵνα μή τις οὖν ταῦτα λέγῃ, τίθησι καὶ κατ' εἶδος ἁμαρτιῶν εἴδη. ἔστι γὰρ ἁμαρτία πρὸς θάνατον, καθάπερ καὶ ὁ Ἠλεὶ ἔλεγεν·

ἐὰν

ἐὰν ἁμαρτὼν ἁμάρτῃ ἄνθρωπος, προσεύξεται περὶ αὐτοῦ ὁ ἱερεύς· ἐὰν δὲ τῷ κυρίῳ ἁμάρτῃ, τίς προσεύξεται περὶ αὐτοῦ; καὶ ἐν τῷ νόμῳ δὲ τὰ μὲν ἦν ἀνίατα, ὡς καὶ θανάτῳ κολάζεσθαι· τὰ δὲ εἶχέ τινα ταχίστην παραμυθίαν· οὕτω καὶ ὁ Χριστὸς ἐν τῇ καινῇ· ἐὰν ἁμάρτῃ ὁ ἀδελφός σου, ἔλεγξον αὐτὸν μεταξὺ σοῦ καὶ αὐτοῦ μόνου. ἐὰν δὲ μὴ ἀκούσῃ, παράλαβε μετὰ σαυτοῦ καὶ ἑτέρους δύο φησί. ἐὰν μηδὲ τούτων ἀκούσῃ, ἔστω σοι ὡς ὁ ἐθνικὸς καὶ τελώνης. καί τοί γε ἀλλαχοῦ εἰπόντος τοῦ Πέτρου· ποσάκις ἐὰν ἁμάρτῃ ὁ ἀδελφός μου εἰς ἐμὲ, ἀφήσω αὐτῷ; καὶ ἀκούσαντος, ἑβδομηκοντάκις ἑπτά. ἐνταῦθα δὲ μετὰ δύο παραινέσεις μέγα δείκνυσι τὸ πλημμέλημα, καὶ οὐκ ἀναγκάζει περιμεῖναι πάλιν. τί οὖν; ἐναντία ταῦτα ἐκείνων; ἄπαγε. ἀλλὰ τὸ ἑβδομηκοντάκις ἑπτά, ἐὰν μετανοῇ λέγει. πῶς γὰρ ἄν τις ἀφήσει τῷ μηδὲ ἡμαρτηκέναι ὁμολογοῦντι, μηδὲ μετανοοῦντι; καὶ γὰρ τὰ ἰατρῶν φάρμακα ἀπαιτοῦντες, καὶ τὸ ἕλκος δείκνυμεν. τίς οὖν ἐστιν ὁ ἁμαρτωλὸς, περὶ οὗ φησιν ἐνταῦθα ἡ γραφή; ἀκούσωμεν μετ' ἀκριβείας. καὶ γὰρ ὑπογράφει αὐτὸν, διὰ τῶν ἑξῆς οὕτω λέγων· εἰ ἐθεώρεις κλέπτην, συνέτρεχες αὐτῷ, καὶ μετὰ μοιχῶν τὴν μερίδα σου ἐτίθεις. τὸ στόμα σου ἐπλεόνασε κακίαν, καὶ ἡ γλῶσσά σου περιέπλεκε δολιότητας· καθήμενος κατὰ τοῦ ἀδελφοῦ σου κατελάλεις, καὶ κατὰ τοῦ υἱοῦ τῆς μητρός σου ἐτίθεις σκάνδαλον. εἶδες καθάπερ ἐν εἰκόνι τῆς κακίας τὰ χρώματα, καὶ πῶς θηρίον ὁ πονηρὸς γέγονε τῇ κακίᾳ τῆς φύσεως τὴν εὐγένειαν προδούς; μὴ τοίνυν ἁπλῶς ἐπέλθωμεν τὴν εἰκόνα, ἀλλ' ἀκριβῶς καὶ καθ' ἕκαστον ἐξετάζοντες. εἰ ἐθεώρεις κλέπτην, φησί, συνέτρεχες αὐτῷ. τοῦτο πάντων αἴτιον τῶν κακῶν· τοῦτο μάλιστά ἐστι τὸ ἀνατρέπον ἀρετὴν, τὸ ἐκλῦον τὴν περὶ τὰ καλὰ τῶν πολλῶν σπουδὴν, ὅταν μὴ μόνον μὴ ἐπιτιμῶσί τινες, ἀλλὰ καὶ συνήδωνται τοῖς ἁμαρτάνουσι. τοῦτο τοῦ ἁμαρτάνειν οὐκ ἔλαττον. ἄκουσον γοῦν Παύλου λέγοντος· οὐ μόνον αὐτὰ ποιοῦσιν, ἀλλὰ καὶ συνευδοκοῦσι τοῖς πράττουσιν. οὐ μικρὸν δὲ καὶ τοῦτο ἁμάρτημα, κἂν μὴ πράττῃ τις τὰ κακά, τὸ συνήδεσθαι τοῖς κακοῖς. ὁ μὲν γὰρ ἔχει τὴν ἀνάγκην εἰπεῖν, τὴν πενίαν αἰτιάσασθαι,

A Si peccans homo peccauerit, orabit pro eo sacerdos: Si autem domino peccauerit, quis orabit pro eo? Porrò autem in lege etiam alia quidem erant immedicabilia, vt etiam morte punirentur: alia verò habebant aliquod promptissimum remedium: ita etiam Christus in nouo: Si peccauerit frater tuus, inquit, argue eũ inter te, & ipsum solum. Si autem non audierit, assume adhuc tecum duos. Si ne hos quidem audierit, sit tibi tanquam ethnicus & publicanus. Et tamen cùm alicubi dixisset Petrus: Quoties, si peccauerit in B me frater meus, dimittam ipsi? audiit, vsque ad septuagies septies. Hîc autem post duas admonitiones ostendit magnum esse delictum, nec eum cogit rursus expectare. Quid ergo? sunt hæc illis contraria? Absit: sed illud septuagies septies, dicit, si eum pœniteat. Quomodo enim dimittet quispiam ei qui neq; confitetur se peccasse, neque ducitur pœnitentia? Et enim cùm medicamẽta petimus, vulnus etiã ostendimus. Quis est ergo peccator de quo hîc dicit scriptura? attentè audiamus. Eum enim describit per ea quæ consequuntur, sic di- C cens: Si videbas furẽ, currebas cum eo, & cum adulteris portionẽ tuã ponebas. Os tuum abundauit malitia, & lingua tua cõcinnabat dolos. Sedens aduersus fratrem tuum loquebaris, & aduersus filium matris tuæ ponebas scandalum. Vidisti vitium, non secus ac imaginem aliquam, suis coloribus descriptum: & quomodo improbus vitio bellua factus est, dum naturæ nobilitatem prodidit. ne hanc ergo imaginem leuiter pertractemus, sed singula accuratè inquiramus. Si videbas furem, currebas cum eo. Hoc est causa omniũ D malorum, hoc est quod virtutem maximè euertit, quod retardat ac reprimit studium multorum ad ea quæ sunt honesta: quando non solùm non reprehendunt aliqui, sed etiam vnà cum iis qui peccant se oblectant, eisque gratulantur. Hoc autem nõ est minus quàm peccare. Audi Paulum dicentem: Non solùm hæc faciunt, sed etiam consentiunt facientibus. Hoc est autem non paruum peccatum, etiamsi quis mala non faciat, vnà cum malis gaudere, eisque gratulari. Ille enim potest dicere necessitatem, causari paupertatem,

Exod. 19. Num. 19. 25. Leuit. 4. 5. 6. Matth. 18. 15. Ibidem

etsi non sint iusti prætextus: tu autem curnam laudas quod factum est, cùm nec vllam quidē ex eo voluptatem percipias? Atque ille quidem fortasse ducetur pœnitentia: tu autem has quoq; tibi fores occludis, & medicamentum tollis, & tantum remedium euertis, portum vndique tibi obstruens reditus ad pœnitentiam. Quando ergo te viderit quispiam, cùm nō sis peccato affinis, & debeas reprehendere, non solùm non id facere, sed etiam prætexere & adumbrare: & non solùm adumbrare, sed etiam opem ferre & consentire, quid de seipso putabit, & quid de eo quod admissum est? Multi enim homines, vt plurimum, non ex iis solùm quæ animo conceperunt, ferunt de rebus agendis sententiam, sed etiam ab aliorum instituto & volūtate corrupti: & si qui peccauit quidem, viderit omnes eum auersantes, existimabit se aliquod magnum & indignum scelus admisisse. Quando autem viderit non solùm nō indignantes, sed etiam facilè & placidè ferentes, atque adeò blandientes & applaudentes: corrupto deinceps conscientiæ iudicio, multorum sententia deprauatæ eorum menti assentiente, opémque ferente, quid nō audebit? quando autem seipsum condemnabit, & securè peccare cessabit? Oportet itaque etiam si quis malum faciat, seipsum condemnare: per id enim eò deuenitur, vt à malo cessemus: & licet quæ bona & honesta sunt non faciat, ea tamen laudare. Per animi enim promptitudinem & alacritatem via patet ad operationem. At hîc quoniam iis quæ fiunt applauditur, iure eum insigniter & vehementer pungit ac notat. Si enim vel reprehensum vitiū adeò viget, & laudata virtus vix suos ad sudores prouocat: quid erit si hoc non factum fuerit? Hoc viderit quispiā fieri vel in choro sacerdotum. Quod si hoc vel in discipulis graue est, multò magis in magistris. Quid facis ô homo? cōtra legem factum est, temperantia contempta est, tot peccata ab aliquo eorum, qui sacerdotio funguntur, nommissa sunt, inferna supernis confusa sunt, atque adeò quæ superna sunt, inferna facta sunt, & tu non perhorrescis? At Propheta quidem ipsa etiam elemēta insensibilia vocat ad grauissimo dolore simul deflēda ac deploranda mala, quæ communiter fiunt.

Peccantibus indignandum.

A minori confirmatio.

A εἰ καὶ μὴ εὔλογοι αἱ προφάσεις· σὺ δὲ πόθεν ἐπαινεῖς τὸ γεγενημένον, οὐδὲ τὴν ἐξ αὐτοῦ καρπούμενος ἡδονήν; κἀκεῖνος μὲν ἴσως καὶ μεταγνώσεται· σὺ δὲ καὶ ταύτας ἀποκλείεις τὰς θύρας, καὶ τὸ φάρμακον ἀναιρεῖς, καὶ ἀνατρέπεις τὴν τοσαύτην παραμυθίαν, πάντοθεν αὐτῷ προσχωννὺς τὴν λεωφόρον τῆς ἐπὶ τὴν μετάνοιαν ἐπανόδου. ὅταν οὖν ἴδῃ σε τὸν ἐκτὸς τῆς ἁμαρτίας, καὶ τὸν ὀφείλοντα ἐπιτιμῆσαι, οὐ μόνον μὴ ἐπιτιμῶντα, ἀλλὰ καὶ συσκιάζοντα, καὶ μὴ συσκιάζοντα μόνον, ἀλλὰ καὶ συμπράττοντα, τί ἡγήσεται περὶ αὐτοῦ; τί δὲ περὶ τοῦ B τολμηθέντος; ὡς γὰρ τὰ πολλὰ οἱ πολλοὶ τῶν ἀνθρώπων οὐκ ἐκ διανοίας μόνον ταύτας περὶ τῶν πρακτέων φέρουσι τὰς ψήφους· ἀλλὰ καὶ ἐκ τῆς ἑτέρων προαιρέσεως διαφθειρόμενοι· κἂν μὲν ἴδῃ πάντας ἀποστρεφομένους αὐτὸν ὁ ἡμαρτηκὼς, μέγα τι καὶ πονηρὸν ἡγήσεται εἰργάσθαι. ὅταν δὲ μὴ μόνον ἀγανακτοῦντας, μηδὲ δυσχεραίνοντας, ἀλλὰ καὶ πρᾴως φέροντας, καὶ συνεφαπτομένους, τὸ ἐκ τοῦ συνειδότος διαφθείρας λοιπὸν δικαστήριον, τῆς τῶν πολλῶν ψήφου συμπραττούσης αὐτῇ τῇ διεφθαρμένῃ γνώμῃ, τί οὐ τολμήσει; πότε δὲ καταγνώσεται C ἑαυτοῦ, καὶ παύσεται τοῦ ἀδεῶς ἁμαρτάνειν; διὸ χρὴ κἂν πράττῃ τις τὸ πονηρὸν, καταγινώσκειν ἑαυτοῦ· ὁδὸς γὰρ τοῦτο ἐπὶ τὸ ἀποστῆναι τοῦ πονηροῦ, κἂν μὴ πράττῃ τὰ καλὰ, ἐπαινεῖν τὰ καλά. ὁδὸς γὰρ ἐπὶ τὴν ἐργασίαν ἡ προθυμία. ἐνταῦθα μέν τοι, ἐπειδὴ καὶ συνεφάπτεται τῶν γινομένων, εἰκότως αὐτὸν μεθ' ὑπερβολῆς στίζει πάσης. εἰ γὰρ ἐπιτιμωμένη ἡ κακία τοσοῦτον αὔξει, καὶ ἐπαινουμένη ἡ ἀρετὴ μόλις ἐκκαλεῖται πρὸς τοὺς ἱδρῶτας D τοὺς ἑαυτῆς, τί ἔσται εἰ μὴ τοῦτο γένοιτο; τοῦτο ἴδοι τις ἂν καὶ ἐν χορῷ ἱερέων πολλάκις γινόμενον. εἰ δὲ ἐπὶ τῶν μαθητῶν χαλεπὸν τοῦτο, πολλῷ μᾶλλον ἐπὶ τῶν διδασκάλων. τί ποιεῖς ἄνθρωπε; παρεβάθη ὁ νόμος· κατεφρονήθη σωφροσύνη· πλημμελήματα τοσαῦτα ἐτολμήθη παρά τινος τῶν ἱερωμένων· τὰ ἄνω κάτω γέγονε, καὶ οὐ φρίττεις; ἀλλ' ὁ μὲν προφήτης καὶ αὐτὰ τὰ ἀναίσθητα στοιχεῖα καλεῖ πρὸς ἔκστασιν καὶ κοινωνίαν τοῦ θρήνου τῶν κοινῇ πεπλημμελημένων κακῶν,

ἐξέστη ὁ οὐρανὸς, λέγων, καὶ ἔφριξεν ἡ γῆ ἐπὶ πλεῖον σφόδρα. καὶ πάλιν, πενθήσει ὁ Κάρμηλος, πενθήσει οἶνος, πενθήσει ἄμπελος. καὶ τὰ μὲν ἄψυχα καὶ πενθεῖ, καὶ συναγανακτεῖ τῷ δεσπότῃ· σὺ δὲ ὁ λογικὸς οὐκ ἀλγεῖς; οὐκ ἐπιτιμᾷς; οὐ γίνῃ χαλεπὸς τιμωρὸς τῶν τοῦ Θεοῦ νόμων, ἀλλὰ καὶ κοινωνεῖς; καὶ πόθεν ἂν σχοίης συγγνώμην; μὴ γὰρ ὁ Θεὸς ἐκδίκου δεῖται; μὴ γὰρ βοηθούντων χρήζει; ἀλλὰ βούλεταί σε ὑπηρέτην τούτου γενέσθαι, ἵνα μὴ τοῖς αὐτοῖς περιπέσῃς, ἐν τῇ καθ' ἑτέρου ἀγανακτήσει σωφρονέστερος γενόμενος· ἵνα κἀντεῦθεν τὸ φιλόθεόν σου δείξῃς. ὅταν γὰρ ἁμαρτάνοντος ἑτέρου παραδράμῃς, καὶ μὴ ὑπερεξέλθῃς, μηδὲ ἀλγήσῃς, ῥαθυμοτέραν σου τὴν ψυχὴν ποιεῖς καὶ εὐέμπτωτον· καὶ μάλιστα πολλάκις τοῖς αὐτοῖς περιπεσεῖν, κἀκεῖνον δὲ οὐ τὰ τυχόντα παραβλάπτεις τῇ ἀκαίρῳ χάριτι ταύτῃ, αὐστηροτέρας αὐτῷ ποιῶν τὰς ἐν τῷ μέλλοντι εὐθύνας, καὶ πρὸς τὰ παρόντα ῥαθυμότερον κατασκευάζων. ταῦτα δὲ οὐ περὶ κλεπτῶν μόνον εἴρηται, ἀλλὰ καὶ περὶ παντὸς ἁμαρτήματος. τὸ δὲ ἔσχατον τέθεικε τῶν πλημμελημάτων, ἵν' εἰδῇς ὅτι ὁ ἐπὶ τῷ τοιούτῳ συγγνώμην οὐκ ἔχων, πολλῷ μᾶλλον ἀφ' ἑτέρου οὐκ ἀπολαύσεται ταύτης τῆς παραμυθίας. ἄκουσον γοῦν καὶ ἑξῆς τί φησι. καὶ μετὰ μοιχῶν τὴν μερίδα σου ἐτίθης. ἐπὶ τὸ μεῖζον ἦλθεν. πολλῷ γὰρ ἐκεῖνο τούτου ἔλαττον. καί τις τῶν ἁμαρτημάτων τούτων σύγκρισιν ποιούμενος οὕτως ἔλεγεν· οὐ θαυμαστὸν ἐὰν ἁλῷ τις κλέπτων· κλέπτει γὰρ ἵνα τὴν ψυχὴν αὐτοῦ ἐμπλήσῃ πεινῶσαν. εἰ τοίνυν τοῦτο ἀσυγγνωστον, πολλῷ μᾶλλον μοιχεία. ἐνταῦθα δὲ μοιχείαν καὶ τὴν πορνείαν φησίν. ἂν τοίνυν ἴδῃς τινὰ τῶν μετά σου ἀγελαζομένων πορνεύοντα, καὶ μυστηρίοις προσερχόμενον εἰπὲ τῷ διακονουμένῳ τῇ τούτων διανομῇ· ὁ δεῖνα ἀνάξιος τῶν μυστηρίων, κώλυσον τὰς βεβήλους χεῖρας. εἰ γὰρ μηδὲ διηγεῖσθαι τὰ δικαιώματα ἄξιος, ἐννόησον, οἷα προσβήσεται τὰ τῆς κολάσεως αὐτῷ, ὅταν καὶ τῆς ἱερᾶς ἅπτηται τραπέζης, οὐκ αὐτῷ δὲ μόνον, ἀλλὰ καὶ τῷ συσκιάζοντι. οὐ γὰρ εἶπε, καὶ ἐμοίχευες, ἀλλὰ μετὰ μοιχῶν τὴν μερίδα σου ἐτίθης. βαβαὶ, ἡλίκον ἐστὶ κακὸν ἐκ τοῦ περιστέλλειν τῶν ἄλλων τὰς σηπεδόνας,

A Stupuit cœlũ, & terra horruit supra modũ valde. Et rursus: Lugebit Carmelus, lugebit vinũ, lugebit vinea. Et inanimæ quidẽ creaturæ lugent & ingemiscunt, & vnà cum Domino indignantur: tu autem qui es rationis particeps, non doles, non reprehendis, non es vehemens vltor legum Dei violatarum, sed es etiam peccatorũ socius? & quænam tibi possit dari venia? Nunquid enim Deus opus habet vltore, nunquid iis qui opem ferant, indiget? sed vult te huius rei esse ministrum, ne in eadem incidas, dũ alij succenses, effectus temB perantior, vt ex eo tuam in Deum pietatem ostendas. Quando enim cùm alius peccarit, prætercurreris, neque reprehenderis, neque ægre tuleris, animum tuum negligentiorem ad casum proniorem efficis, & maximè procuras vt in eadem sæpe incidat: illum autem importuna hac tua gratia non leuiter offendis, efficiens vt in futuro sit grauior ei reddenda ratio, & ad præsentia eum reddens segniorem. Hæc autem non solùm de furibus dicta sunt, sed etiã de quouis alio peccato. Quod est autem vltimũ peccatorum, primum C posuit, vt scias quòd qui propter hoc veniã non assequitur, multò magis ei in alio ea non cõcedetur. Audi ergo quidnam deinceps dicit. Et cum adulteris portionem tuam ponebas, veniẽs ad id quod est maius. Illud enim hoc longè minus est. Quidam autem hæc peccata inter se conferens, sic dixit: Non est mirum si quis furans deprehensus fuerit. Furatur enim vt suam animam impleat esuriẽtem. Si huic ergo ignosci non potest, multò magis nec adulterio. Adulterium autẽ hic vocat fornicationem. Si videris ergo aliquem eorum qui tecum congregantur, fornicantem, & ad D sacramenta accedentem, dic ei qui est minister distributionis eorum: Hic est indignus sacramentis, arce profanas manus. Si enim ne iustitias quidem enarrare dignus est, considera quò eius procedet punitio, quando sacram etiam mensam ausus fuerit attingere, non solùm autem eius, sed illius etiam qui adumbrat ac prætexit. Non dixit enim, & adulterabaris, sed cum adulteris portionem tuam ponebas. Papæ, quantum malum ex eo quòd celentur & obtegantur aliorum putredines,

Hier. 1. 12.
Esa. 24. 7.
Esa. 48.
Rom. 11.
1. Cor. 2.
Furtum vltimum peccatorum. Furtum, leuius adulterio.
Prou. 6. 30.
1. Cor. 11.

Confirmat simili.

quando dicit eum esse socium soluendi pro peccato supplicij, nec hoc illo esse minus. Ille enim potest afferre animi perturbationem, licet sit prætextus cui non dari possit venia: quemadmodum & fur famem. Tu autem ne hoc quidem. Quanam ergo de causa, cùm non fruaris voluptate, supplicij socius & particeps euadis? Et ideo externi quoque iudices, non eos solùm qui scelus perpetrarunt, sed seruos etiam, quos viderint sceleris fuisse conscios, puniunt: & domini qui eos tradunt, lubenter eorum sanguinem biberent, & carnibus vescerentur, nec minorem eius, quod factum est, culpam in eos conferunt, quàm in eam quæ est adulterata. Qui enim expansa vela non contraxerunt, iis quæ occultè fiebant, dederunt maiorem facultatem. Ij & adulterio pollutam mulierem, & maritum cui facta est iniuria, & eum ipsum qui adulterium commisit, contumelia & probro affecerunt. Si enim prænunciassent, si id significassent, abacta & sublata esset omnis venatio. Et quemadmodum in retia maximè immitunt, qui retia extendunt, & iis quæ accipienda sunt assident, & omnem dolum omni ex parte celant, & nec strepitum, nec aliquid aliud fieri permittunt, quod posset feram abigere: ita hîc etiam, si assederis laqueo, qui est positus à diabolo, & cum scias fore vt in eum adulter incidat, neque strepitum edas, nec tumultum excites, tunc eum maximè perdis. Ne mihi enim dixeris illud verbum, quod magno stupore plenum est: Quid mihi curæ est? curo ego mea: tunc enim tua maximè curabis, quãdo tua quæres in eo quod est vtile proximo. Et ideo dicebat Paulus: Nemo quod suũ est quærat, sed quod alterius. Vt inuenias, inquit, quod tuũ est, quære quod est alterius. 19. *Os tuũ abũdauit malitia, & lingua tua cõcinnabat dolos.* 20. *Sedens aduersus fratrẽ tuũ loquebaris, & aduersus filiũ matris tuæ ponebas scandalũ.* Ne enim diceret: Hoc facio ex humanitate & clemẽtia: primùm quidẽ, quænam fuerit humanitas, eum qui casurus est in barathrum, non prohibere nec retinere? quæ iustitia, voluptati gratificari? qui mortiferum bibit venenum, contemnere? Verùm ne hoc quidem poteris dicere. Quòd enim non est hoc humanitatis,

Elegans collatio.

Proximi cura habenda.
1. Cor. 10. 24.

A ὅπου γε καὶ κοινωνὸν αὐτὸν φησιν εἶναι τῆς ἐπὶ τῷ πλημμελήματι τιμωρίας, καὶ οὐκ ἔλαττον ἢ ἐκεῖνος. ὁ μὲν γὰρ ἔχει τὸ πάθος εἰπεῖν, εἰ καὶ ἀσυγγνώστως ἡ πρόφασις, καθὰ ὁ κλέπτης τὸν λιμόν· σὺ δὲ οὐδὲ τοῦτο. τίνος οὖν ἕνεκεν τῆς ἡδονῆς οὐκ ἀπολαύων τῆς κολάσεως κοινωνεῖς καὶ μερίτης γίνῃ; διὰ δὴ τοῦτο καὶ οἱ ἔξωθεν δικασταὶ οὐχὶ τοὺς τολμήσαντας μόνον, ἀλλὰ καὶ τῶν οἰκετῶν οὓς ἂν ἴδωσι συνειδότας τῷ πράγματι κολάζουσι, καὶ οἱ παραδιδόντες δεσπόται ἡδέως ἂν τὸ αἷμα αὐτῶν ἐκπίοιεν, καὶ τῶν σαρκῶν ἀπογεύσαιντο, καὶ αὐτοῖς λογίζονται τὴν ἐξουσίαν τοῦ B γεγενημένου οὐκ ἔλαττον, ἢ τῇ μοιχευθείσῃ. οἱ γὰρ τὰ παραπετάσματα μὴ ἀνασπάσαντες αὐτοὶ πλείονα τὴν ἐξουσίαν τοῖς κρυπτομένοις δεδώκασιν, οὗτοι καὶ τὴν μοιχευθεῖσαν καὶ τὸν ἠδικημένον ὕβρισαν ἄνδρα καὶ αὐτὸν τὸν μοιχεύσαντα. εἰ γὰρ προκατήγγειλαν, εἰ γὰρ δῆλον ἐποίησαν, πᾶσαν ἂν τὴν ἄγραν ἐσόβησαν. καὶ καθάπερ ἐκεῖνοι μάλιστά εἰσιν οἱ ἐμβάλλοντες εἰς τὰς πάγας οἱ τὰς πάγας περιστέλλοντες, καὶ περικαθήμενοι τοῖς μέλλουσιν ἁλίσκεσθαι, καὶ πάντοθεν ἅπαντα κρύπτοντες τὸν δόλον, καὶ μήτε ψόφον, μή- C τε ἄλλό τι συγχωροῦντες γενέσθαι τὸ δυνάμενον σοβῆσαι τὴν θήραν· οὕτω δὴ καὶ ἐνταῦθα· ἂν παρακαθίσῃς τῇ κειμένῃ παρὰ τοῦ διαβόλου πάγῃ, καὶ εἰδὼς μέλλοντα ἐμπίπτειν τὸν μοιχὸν μὴ θορυβήσῃς, μηδὲ πτοήσῃς, τότε μάλιστα αὐτὸν ἀπολεῖς. μὴ γάρ μοι ἐκεῖνο τὸ ῥῆμα λέγε πολλῆς γέμον ἀναλγησίας· τί δέ μοι μέλει; τὰ ἐμαυτοῦ μεριμνῶ· τότε γὰρ μάλιστα μεριμνήσεις τὰ σὰ, ὅταν τὰ σὰ ζητῇς ἐν τῷ τοῦ πλησίον συμφέροντι. διὸ καὶ ὁ Παῦλος ἔλεγε· μηδεὶς τὸ ἑαυτοῦ ζητείτω, ἀλλὰ τὸ D τοῦ ἑτέρου. ἵνα φησὶν, εὕρῃς τὸ σαυτοῦ, ζήτει τὸ τοῦ ἑτέρου. τὸ στόμα σου ἐπλεόνασε κακίαν, καὶ ἡ γλῶσσά σου περιέπλεκε δολιότητας· καθήμενος κατὰ τοῦ ἀδελφοῦ σου κατελάλεις, καὶ κατὰ τοῦ υἱοῦ τῆς μητρός σου ἐτίθεις σκάνδαλον. ἵνα γὰρ μὴ λέγῃ ἀπὸ φιλανθρωπίας ταῦτα ποιῶ· μάλιστα μὲν, ποία ἂν εἴη τοῦτο φιλανθρωπία, τὸν μέλλοντα εἰς βάραθρον ἐμπίπτειν μὴ κωλύειν, μηδὲ ἀναστέλλειν; τὸ χαρίζεσθαι ἡδονῇ ἀδίκῳ; τὸ περιορᾶν δηλητήριον φάρμακον πίνοντα; πλὴν ἀλλ' οὐδὲ τοῦτο δυνήσῃ λέγειν. ὅτι γὰρ οὐ φιλανθρωπίας τοῦτο,

ἀλλ' ὕπνου καὶ νωθείας καὶ ῥαθυμίας, πῶς τὸν ἀδικοῦντα ἀφεὶς τὸν οὐδὲν ἠδικηκότα ἀδελφὸν κακῶς λέγεις; πῶς ἐπιβουλεύεις τῷ μηδὲν ἠδικηκότι, μηδὲ πεπλημμεληκότι; ὅρα κακίαν ἑκατέρωθεν εἰς ἄκρον ἐκπεπολευμένην· τὸν μὲν ὑπὸ τῆς ἐπιθυμίας μεθύοντα οὐ κωλύεις μεθύειν, ὥστε σωφρονῆσαι· τὸν δὲ οὐδὲν ἠδικηκότα κολάζεις. καθήμενος γὰρ κατὰ τοῦ ἀδελφοῦ σου κατελάλεις, καὶ κατὰ τοῦ υἱοῦ τῆς μητρός σου ἐτίθεις σκάνδαλον. ὅρα πῶς τῇ ἐπεξηγήσει τὴν κατηγορίαν αὔξει· τὸν τὰς αὐτάς, λύσαντά σοι φησὶν ὠδῖνας, τὸν τῆς αὐτῆς κεκοινωνηκότα νηδύος, τὸν οἰκίας καὶ τραπέζης καὶ τροφῆς μετασχόντα τῆς αὐτῆς, τὸν ἀπὸ μιᾶς βλαστήσαντα ῥίζης, τὸν τὴν αὐτὴν ἔχοντα τῆς γενέσεως ἀρχήν, τὸν ἐκ πρώτης ἡλικίας συναναβάντα σοι, τοῦτον κακῶς λέγεις, καὶ οὐ κακῶς λέγεις μόνον· ἀλλὰ καὶ εἰς ἔργον τὴν ἐπιβουλὴν ἐξάγεις; τοῦτο γάρ ἐστιν, ἐτίθεις σκάνδαλον. εἰ δὲ τὸν φυσικῶν κοινωνήσαντα ὠδίνων οὐ δεῖ λέγειν κακῶς, πολλῷ μᾶλλον τῶν πνευματικῶν. μὴ τοίνυν μήτε τὸν μέλλοντα ἁμαρτάνειν ἔα καταπίπτειν, μήτε τὸν οὐδὲν ἠδικηκότα διάβαλλε καὶ λοιδόρει· τὸ μὲν γὰρ φθόνου, τὸ δὲ ἀναλγησίας. τὸ γὰρ μὴ ἀναχαιτίζειν τὸν μέλλοντα πίπτειν ἀναλγησίας, φθόνου δὲ τὸ τὸν ἑστῶτα καταβάλλειν· καὶ ὅρα πῶς οὐχ ἁπλῶς τὸν κατήγορον αἰτιᾶται, ἀλλὰ τὸν μετὰ δόλου καὶ σπουδῆς τὸ ἔργον τοῦτο ποιούμενον. καθήμενος γάρ, φησι, κατὰ τοῦ ἀδελφοῦ σου κατελάλεις. καὶ ὁ μὲν Κάϊν τὸν ἀδελφὸν ἀνελών, ἕνα μόνον τῆς παρούσης ζωῆς ἐξήλασεν, οὗτοι δὲ μυρίους, δι' ὧν κακῶς λέγουσι, καταβάλλουσι, καὶ ἑαυτοὺς πρώτους. οὐ γὰρ τὸν κατηγορούμενον μόνον, ἀλλὰ καὶ ἑτέρους βλάπτουσι· μᾶλλον δὲ ἐκείνους μόνους τοὺς παραδεχομένους. ὁ γὰρ κακῶς ἀκούων ψευδῶς, οὐ μόνον οὐκ ἠδίκηται, ἀλλὰ καὶ μισθὸν ἔχει μέγιστον. οὐ γὰρ ὁ πάσχων, ἀλλ' ὁ δρῶν κακῶς οὗτός ἐστιν ὁ τῆς τιμωρίας ἄξιος, οὕτω καὶ ὁ λέγων, οὐχὶ ὁ ἀκούων μόνον ἂν μὴ παράσχῃ λαβὰς τῆς κακηγορίας εὐλόγους, ἔνοχος. μὴ δὴ τοῦτο σπουδάζωμεν, ὥστε μὴ κακῶς ἀκούειν· τοῦτο γὰρ ἀμήχανον· καὶ ἀπόφασίς ἐστι τοῦ Χριστοῦ λέγουσα, οὐαὶ ὑμῖν, ὅταν καλῶς ὑμᾶς εἴπωσι πάντες ἄνθρωποι·

A sed somnolentiæ, segnitiei, & socordiæ, hinc facilè cerni potest. Quomodo eo dimisso qui facit iniuriã, eũ fratrẽ maledicto afficis qui nullã fecit iniuriam? Quomodo insidiaris ei qui nihil deliquit? Vide summum vtrinque vitium. *Antithesis.* Eum quidem qui est ebrius cupiditate, non prohibes quo minus inebrietur, vt sit temperatus: eum autem qui nullam fecit iniuriam, punis. Sedens aduersus fratrem tuum loquebaris, & aduersus filium matris tuæ ponebas scandalum. Vides quomodo immorando in narratione auget accusationẽ. Eum, inquit, B qui matri fuit in partu causa eorumdem dolorum, qui fuit eiusdem particeps, qui ex eadem radice germinauit, qui idem habet ortus principium, qui ab ineunte ætate tecum creuit, eum maledictis insectaris: & non solum insectaris, sed etiam in opus deducis insidias. Hoc enim sibi vult illud, Ponebas scandalum. Si autem non est impetendus maledictis, qui naturalium pariendi dolorum in eodem fuit vtero particeps: multò magis spiritualium. Nec ergo permitte, vt is cadat qui est peccaturus: nec eum qui nullam fecit iniu- C riam, calumniare, & conuitiis incesse. Hoc est enim inuidiæ, illud verò stuporis, non retinere enim eum qui est casurus, est stuporis: inuidiæ autem, eum qui stat, deijcere. Vide autem quomodo non eum significat qui simpliciter & absolutè accusat, sed eum qui cum dolo, & dedita opera id facit. Sedens enim, inquit, aduersus fratrem tuum loquebaris. Et Cain quidem vnum fratrem sublatum præsenti vita expulit: *Genes 4.* hi autem innumerabiles, per ea quæ malè dicunt, deijciunt, & seipsos primos. Non eum enim solùm qui accu- D satur, sed alios etiam lædunt, imò verò magis eos qui ea admittent. Qui enim falsò malè audit, non modo nulla iniuria affectus est, sed maximam etiam habet mercedem. Non enim qui patitur, sed qui malè agit, est dignus supplicio: ita etiam qui dicit, non qui audit, modo ne ille præbeat iustam maledicendi occasionem. *Matth 5.* Non hoc ergo contendamus, ne malè audiamus, (hoc enim fieri non potest: & est Christi sententia, quæ dicit: Væ vobis quando benedixerint vobis omnes homines) *Luc. 6. 26*

Matth. 6. sed ne nos præbeamus occasiones. Qui enim vult bene audire ab omnibus, suam animam sæpe perdit, amans humanam gloriam, inseruiens in iis quæ non decet, placens in iis quæ non oportet, vt ab eis emat gratiam. Rursus qui contemnit malè audire ab omnibus, etiam seipsum perdit. *Sap. 2. 1. Cor. 4. Prou. 2. 10.* Quemadmodum enim fieri non potest vt vir bonus bene audiat ab omnibus: ita fieri non potest, vt non ab omnibus malè audiat, qui multas multis de causis præbuit malè audiendi occasiones. Si autem dum tu nihil præbes offensionis, sunt qui tibi maledicant, tunc est tibi maior merces, sicut vsuueniebat Apostolis, & præclaris illis viris. Porrò autem illud quoque sciendum est, quòd etiamsi quis maledicat in re, cuius nos non damnat conscientia, non est propterea contemnendus accusator propter damnum quo te afficit, sed omnia facienda sunt cum ea qua par est cautione, vt tollas iniustam occasionem. *Rom. 15.* Quocirca Paulus etiam mittebat multos datis pecuniis, qui afferrent alimenta pauperibus. *Galat. 2.* Causam autem affert, dicens: *2. Cor. 8. 20.* Ne quis nos vituperet in hac abundantia quæ ministratur à nobis. Neque enim hoc despexit & neglexit, quod videbat futurum vt malè offenderentur: sed quoniam erat in eius potestate vt solueret scandalum, eis quoque qui offendebantur, prospexit. Et rursus alibi dicit: *1. Cor. 8. 13.* Si cibus offendit fratrem meum, non comedam carnes in æternum, ne fratrem meum offendam. Atqui hæc erant indifferentia, & tamen, si, inquit, offensionem afferunt, quamuis me non lędunt, non negligo salutem eorum qui offenduntur. Si fuerit enim damnum maius salute, contemne eum qui offenditur. Sin minus, ne contempseris. Hoc enim fit generale decretū & regula, docens quando oporteat contemnere eos qui offendūtur, & quando non: *Confirmat duplici paradigmate. Act. 21.* quemadmodum verbi gratia, offendebantur Iudæi quod Paulus legem non seruaret: & propterea multa millia resiliebant, & in fide claudicabant. Quid ergo facit? Volens mederi offensioni, (maior enim erat salus tot millium) & claudicationi afferre remedium, tunc prohibuit ostendere quod legem non

A ἀλλ' ὅπως ὑμεῖς μὴ παρέχοιμεν λαβάς. καὶ γὰρ ὁ βουλόμενος παρὰ πάντων ἀκούειν καλῶς πολλαχοῦ τὴν ἑαυτοῦ ψυχὴν ἀπόλλεσι, δόξης ἐρῶν ἀνθρωπίνης, διακονούμενος ἐν οἷς οὐ χρὴ, ὥστε ὠνήσασθαι τὴν παρ' αὐτῶν χάριν. πάλιν ὁ καταφρονῶν τοῦ παρὰ πάντων ἀκούειν κακῶς, καὶ ἑαυτὸν προσαπόλλεσι. ὥσπερ γὰρ ἀμήχανον παρὰ πάντων ἀκούειν καλῶς τὸν ἐνάρετον, οὕτως ἀμήχανον μὴ παρὰ πάντων ἀκούειν κακῶς, τὸν πολλὰς πολλαχόθεν παρέχοντα τοῦ κακῶς ἀκούειν λαβάς. ἂν δὲ τὸ ἀπρόσκοπον σου παρέχοντος ὦσιν οἱ κατηγοροῦντες, τότε σοι καὶ πλείων ὁ μισθὸς, καθάπερ καὶ ἐπὶ τῶν ἀποστόλων ἐγένετο, καὶ τῶν γενναίων ἀνδρῶν. B χρὴ δὲ κἀκεῖνο εἰδέναι, ὅτι κἂν λέγῃ τις κακῶς ἐπὶ πράγματι, οὗ τὸ συνειδὸς ἡμῶν οὐ καταγινώσκει, οὐ διὰ τοῦτο δεῖ καταφρονεῖν τοῦ κατηγόρου, διὰ τὴν ἐκείνου βλάβην, ἀλλὰ πάντα ποιεῖν μετὰ τῆς πρεπούσης ἀσφαλείας, ὥστε ἀνελεῖν καὶ τὴν ἄλογον πρόφασιν. διὰ τοῦτο καὶ ὁ Παῦλος ἐπὶ τῶν χρημάτων πολλοὺς ἔπεμπε τοὺς διακομίζοντας τῶν πενήτων τὰς διατροφάς, καὶ τὴν αἰτίαν τίθησι λέγων· ἵνα μή τις ἡμᾶς μωμήσηται ἐν τῇ ἁδρότητι ταύτῃ τῇ διακονουμένῃ ὑφ' ἡμῶν. C οὐ γὰρ δὴ τοῦτο ἰδὼν, ὅτι ἤμελλον κακῶς σκανδαλίζεσθαι, περιεῖδε καὶ κατεφρόνησεν· ἀλλ' ἐπειδὴ κύριος ἦν τοῦ λῦσαι τὸ σκάνδαλον, καὶ αὐτῶν τῶν σκανδαλιζομένων προενόησε. καὶ πάλιν ἀλλαχοῦ φησιν· εἰ βρῶμα σκανδαλίζει τὸν ἀδελφόν μου· οὐ μὴ φάγω κρέα εἰς τὸν αἰῶνα, ἵνα μὴ τὸν ἀδελφόν μου σκανδαλίσω. καίτοι ταῦτα ἀδιάφορα ἦν. ἀλλ' ὅμως εἰ σκάνδαλον φέρει φησὶν, κἂν ἐμὲ οὐ παραβλάπτῃ, οὐ καταφρονῶ τῆς σωτηρίας τῶν σκανδαλιζομένων. D εἰ μὲν γὰρ γίνοιτο βλάβη, μείζων τῆς σωτηρίας καταφρόνει τοῦ σκανδαλιζομένου. εἰ δὲ μὴ γένοιτο, μηκέτι. ὅρος γὰρ οὗτος ἂν εἴη, καθόλου καὶ κανὼν παιδεύων, πότε δεῖ καταφρονεῖν τῶν σκανδαλιζομένων, πότε δὲ μή· οἷόν τι λέγω· ἐσκανδαλίζοντο Ἰουδαῖοι, ὅτι Παῦλος οὐκ ἐτήρει τὸν νόμον, καὶ διὰ τοῦτο μυριάδες ἀπεπήδων πολλαί, καὶ περὶ τὴν πίστιν ἐχώλευον. τί οὖν ποιεῖ; θεραπεῦσαι τὸ σκάνδαλον βουλόμενος· μείζων γὰρ ἦν ἡ σωτηρία τῶν τοσούτων μυριάδων· καὶ διορθῶσαι τὴν χωλείαν· τότε ὡς ἐπιδείξασθαι, ὅτι οὐ τηρεῖ τὸν νόμον, ἐκώλυσεν.

ὅπερ μεῖζον ἦν. ἐσκανδαλίζοντο πάλιν, ὅτι ἐσταυρωμένον ἐκήρυσσεν, ἐνταῦθα κατεφρόνησε τῶν σκανδαλιζομένων· μεῖζον γὰρ ἦν τοῦ κηρύγματος τὸ κέρδος. οὕτω καὶ ὁ Χριστὸς ποιεῖ· ὅτε μὲν γὰρ περὶ βρωμάτων αὐτοῖς διελέγετο, καὶ ἐσκανδαλίσθησαν λέγοντος αὐτοῦ· ὅτι οὐ τὸ εἰσπορευόμενον κοινοῖ τὸν ἄνθρωπον· ἀλλὰ τὸ ἐκπορευόμενον, λέγει· ἄφετε αὐτούς· πᾶσα φυτεία, ἣν οὐκ ἐφύτευσεν ὁ πατήρ μου, ἐκριζωθήσεται· ὅτε δὲ φόρους αὐτὸν ἀπῄτουν, καίπερ εἰδὼς ὅτι τελεῖν οὐ δεῖ· ὅμως ἐπειδὴ ὁ καιρὸς οὐδέπω ἀπῄτει τὸ ἐκκαλυφθῆναι αὐτοῦ τὴν ἀξίαν, λέγει· ἵνα δὲ μὴ σκανδαλίσωμεν αὐτούς, πορευθεὶς βάλε ἄγκιστρον εἰς τὴν θάλασσαν, καὶ τὸν ἀναβάντα ἰχθὺν ἆρον, καὶ ἐν αὐτῷ εὑρήσεις στατῆρα· τοῦτον δὸς αὐτοῖς ἀντὶ ἐμοῦ καὶ σοῦ. ὅτε μὲν γὰρ νόμον ἐτίθει πολλῆς γέμοντα τῆς φιλοσοφίας, καὶ ἀνιάτως εἶχον ἐκεῖνοι, εἰκότως αὐτῶν οὐκ ἐφρόντισε, καὶ τὸν νόμον ἔλυσεν· ὅτε δὲ οὐδέπω οἷοί τε ἦσαν τὸν περὶ τῆς ἀξίας αὐτοῦ δέξασθαι λόγον, εἰκότως συγκαταβαίνει πάλιν, καὶ συσκιάζει τῇ φόρου δόσει τὸν περὶ τῆς θεότητος αὐτοῦ λόγον. καθήμενος κατὰ τοῦ ἀδελφοῦ σου καταλαλεῖς· ἀλλ' ἵνα διορθώσωμεν, φησίν. οὐκοῦν οὐ λάθρα γογγύζειν ἐχρῆν, ἀλλ' ὡς ἐκέλευσεν ὁ Χριστός, κατ' ἰδίαν λαβόντα διορθοῦν. αἱ γὰρ δημόσιαι γινόμεναι κατηγορίαι πολλάκις καὶ ἀναισχυντοτέρους ποιοῦσι· καὶ ἕως μὲν ἂν ἴδωσιν οἱ πολλοὶ τῶν ἁμαρτανόντων, ὅτι δυνατὸν αὐτοὺς λαθεῖν, καὶ ἐπανελθεῖν ῥαδίως αἱροῦνται· ὅταν δὲ τὴν παρὰ τῶν πολλῶν ἀπολέσωσι δόξαν, εἰς ἀπόγνωσιν τινὲς λοιπὸν ἐμπίπτουσι, καὶ εἰς ἀναισχυντίαν ἐξολισθαίνουσιν. ἀλλ' ἠδικήθης τι παρ' αὐτοῦ. τί τοίνυν καὶ σεαυτὸν ἀδικεῖς; ὁ γὰρ ἀμυνόμενος καθ' ἑαυτοῦ τὸ ξίφος ὠθεῖ. εἰ γὰρ βούλει καὶ σεαυτὸν εὐεργετῆσαι, κἀκεῖνον ἀμείψασθαι, εἰπὲ καλῶς τὸν ἠδικηκότα· οὕτω πολλοὺς αὐτοῦ ποιήσεις ἀντὶ σοῦ κατηγόρους, καὶ αὐτὸς πολὺν λήψῃ μισθόν· ἂν δὲ κακῶς λέγῃς, οὐδὲ πιστευθήσῃ τῆς ἔχθρας τὴν ὑποψίαν δεχόμενος. ὥστε εἰς τοὐναντίον σοι περιτρέπεται τὰ τῆς σπουδῆς. σὺ μὲν γὰρ τρῶσαι αὐτοῦ τὴν δόξαν βούλει, γίνεται δὲ τοὐναντίον· διὰ γὰρ εὐφημίας, οὐ διὰ κατηγορίας τοῦτο συμβαίνει· ἀλλὰ τοὐ-

A seruaret: quod maius erat. Rursus offendebantur quòd crucifixum prædicaret: Hic contempsit eos qui offendebantur, maius enim erat lucrum prædicationis. Hoc etiam fecit Christus. Dùm enim cum eis de cibis dissereret, & offenderentur, eo dicente: Quod intrat per os, nō coinquinat hominem, sed quod egreditur: dicit, Sinite eos. Omnis plantatio quam non plantauit pater meus, eradicabitur. Quando autem ab eo tributa exigebant, etsi sciebat non oportere ea soluere: tamen quoniam tempus nondum postulabat, B vt reuelaretur eius authoritas, dicit: Ne autem eos offendamus, vade ad mare, & mitte hamum, & eum piscem qui primus ascenderit, tolle, & in eo inuenies staterem: da eum eis pro te & pro me. Quando enim legem multa sapientia plenam eis ferebat, erant autem illi immedicabiles, meritò eos contempsit, & legem abrogauit. Cùm autem non possent eius diuinitatis rationem suscipere, iure rursus se demitit, & suæ diuinitatis rationem, tributum soluendo adumbrat & obtegit. Sedens aduersus fratrem tuum loque- C baris. At id, inquit, faciebam vt eum corrigerem. Non oportebat ergo clanculum calumniari, sed ita vt iussit Christus, seorsum assumere & corrigere. Quæ enim publicè fiunt reprehensiones, sæpe etiam faciunt impudentiores: & complures quidem peccatores, donec viderint fieri posse vt lateant, facilè in animum inducunt, vt in viam redeant. Quando autem bonam apud multos existimationem perdiderint, incidunt nonnulli deinceps in desperationem, & labuntur in D impudentiam. At aliquam tibi fecit iniuriam. Cur ergo teipsum quoque iniuria afficis? Qui enim se vindicat, seipsum ense petit. Si enim vis & teipsum beneficio afficere, & illum probè vlcisci, benedicas de eo qui tibi fecit iniuriam: ita facies vt multi sint eius pro te accusatores, & ipse magnam mercedem accipies. Sin autem maledicas, ne fides quidem tibi habebitur, vt qui inimicitiarum suspicione labores. Quare tuum studium tibi vertitur in contrarium. Tu enim volebas bonam eius famam euertere, contrà autem accidit: per laudem enim, non per accusationem hoc euenit. Sed con-

1. Cor. 1.
Matth. 15.
Matth. 17. 17.
Matth. 15.
Matt. 18. 15
Dogma.
Rom. 12.
Quomodo vlciscendi inimici.

tra omnino & teipſum quidem maiori ignominia afficis: illum autem tua tela non tangent. Inimicitiæ enim, quæ ſe offerunt animis audientium, non ſinunt vt quæ dicuntur, aures eorum admittant, & idipſum accidit quod in præſcriptionibus. Quando enim quiſpiam in iudicio aliquid obiecerit, vniuerſum interea diſſoluitur: ita hic etiam non permittit ſuſpicio inimicitiarum, vt admittatur iudicium. Ne ergo maledixeris, ne te ipſum polluas: nec lutum contexueris cum luto & lateribus, ſed coronas ex roſis & violis & reliquis floribus connexueris: nec ſtercus ore tuleris, quemadmodum ſcarabæi, (id enim faciunt qui maledicunt: vt qui ipſi fœtorem primi ſentiant) ſed flores, ſicut apes, fauóſque vt illæ compoſueris, ſiſque omnibus comis & affabilis. Omnes enim auerſantur maledicum, vt eum qui lutum redoleat, vt hirundinem quæ ſanguine, & ſcarabæum qui ſtercore, alienis malis aluntur. Os autem quod lubenter laudat, & de aliis benedicit, tanquam membrum commune ſuſcipiunt, tanquam fratrem germanum, tanquam filium, tanquam patrem. Et quid dico de præſentibus, & de hominum exiſtimationibus? Conſidera mihi diem illum terribilem, illud iudicium quod corrumpi non poteſt: quòd ſi falſa quidem dicas, tuis peccatis alia ſuperflua adijcies. Dico enim vobis, quod omne verbum otioſum quod locuti fuerint homines, dabunt pro ipſo Deo rationem in die iudicij. Quid ſi ſint, inquit, vera? ne ſic quidem effugies, quo minus condemneris, vtpote qui proximi tui calamitates & probra traducas. Fac apud te cogites Phariſæum. Non erat publicamus, ſed fuit publicano ſceleratior, quoniam de publicano maledixit. Publicanus non erat Phariſæus, ſed fuit Phariſæo iuſtior, quoniam ſeipſum miſerum eſſe duxit. 21. *Hæc feciſti, & tacui, exiſtimaſti iniquitatem, quòd ero tibi ſimilis. Arguam te & ſtatuam contra faciem tuam peccata tua.* Vidiſti humanitatem ineffabilem? vidiſti ſummam bonitatem? vidiſti infinitas opes patientiæ? Silentium enim hîc dicit patientiam. Tot, inquit, & tanta auſus es: nec de te tamen ſumpſi pœnas, ſed paſſus ſum, & toleraui, dans locum

A ſimili.

Collatio à contrariis.

Matth. 12. 36.

Matt. 18.

Act. 10.

Silentium Dei, eius patientia.

Rom. 2.

A ναντίον ἀπῇμ· καὶ σεαυτὸν μὲν μειζόνως καταισχύνεις· ἐκείνου δὲ οὐχ ἅπτεταί σου τὰ βέλη. Ἡ γὰρ ἔχθρα προσπαρορτῶσα ταῖς τῶν ἀκουόντων διανοίαις οὐκ ἀφίησιν αὐτὰς ἐντεθῆναι ταῖς ἀκοαῖς τὰ λεγόμενα, καὶ ταὐτὸν γίνεται οἷον ἐπὶ τῶν παραγραφῶν, ὅταν γὰρ ἀντικρούσῃ τις εἰς δικαστήριον, τὸ πᾶν διαλύεται πῶς· οὕτω δὴ καὶ ἐνταῦθα οὐκ ἀφίησιν εἰσαγώγιμον γενέσθαι τὴν δίκην ἡ τῆς ἔχθρας ὑπόνοια. μὴ τοίνυν λέγε κακῶς, ἵνα μὴ καὶ σεαυτὸν μολύνῃς, μηδὲ βόρβορον ὕφαινε μετὰ πηλοῦ καὶ B πλινθείας· ἀλλὰ στεφάνους ἀπὸ ῥόδων πλέκε, καὶ ἴων, καὶ τῶν λοιπῶν ἀνθῶν, μηδὲ κόπρον ἐπὶ τοῦ στόματος φέρε καθάπερ οἱ κάνθαροι· τοῦτο γὰρ οἱ κακηγοροῦντες, αὐτοὶ τῆς δυσωδίας ἀπολαύουσι πρῶτοι· ἀλλ' αὐτὴ καθάπερ αἱ μέλιτται, καὶ ὕφαινε κηρία κατ' ἐκείνας, καὶ γίνου πᾶσι προσηνής. τὸν μὲν γὰρ κακήγορον ἅπαντες ἀποστρέφονται ὥσπερ βορβόρου ἀπόζοντα, καθάπερ ἵνα βδέλλας αἵματι, καὶ κανθάρους κόπρῳ τρεφομένους τοῖς ἑτέρων κακοῖς· τὸν δὲ εὔφημον ἔχοντα στόμα, ὡς κοινὸν περιέπουσι μέ-C λος, ὡς ἀδελφὸν γνήσιον, ὡς παῖδα, ὡς πατέρα. καὶ τί λέγω τὰ παρόντα, καὶ τὰς τῶν ἀνθρώπων δόξας; ἐννόησόν μοι τὴν φοβερὰν ἐκείνην ἡμέραν, τὸ κριτήριον τὸ ἀδέκαστον· ὅτι ἂν μὲν ψευδῆ λέγῃς προσθήκην ἁμαρτημάτων περιττῶν προσθήσεις. λέγω γὰρ ὑμῖν, ὅτι πᾶν ἀργὸν ῥῆμα, ὃ ἐὰν λαλήσωσιν οἱ ἄνθρωποι, δώσουσιν ὑπὲρ αὐτοῦ λόγον τῷ Θεῷ ἐν ἡμέρᾳ κρίσεως· κἂν ἀληθῆ φησιν ᾖ, οὐδὲ οὕτως οὕτως ἀπαλλαγήσῃ καταγνώσεως ἐκπομπεύων τὰς τοῦ πλησίον συμφορὰς καὶ τὰ ὀνείδη. D ἐννόησον γοῦν τὸν Φαρισαῖον. οὐκ ἦν τελώνης, ἀλλὰ τοῦ τελώνου γέγονεν ἁμαρτωλότερος, ἐπειδὴ τὸν τελώνην ἐκάκισεν. οὐκ ἦν Φαρισαῖος ὁ τελώνης, ἀλλὰ τοῦ Φαρισαίου γέγονε δικαιότερος, ἐπειδὴ ἑαυτὸν ἐταλάνισε. ταῦτα ἐποίησας, καὶ ἐσίγησα, ὑπέλαβες ἀνομίαν, ὅτι ἔσομαί σοι ὅμοιος. ἐλέγξω σε, καὶ παραστήσω κατὰ πρόσωπόν σου τὰς ἁμαρτίας σου. εἶδες φιλανθρωπίαν ἄφατον; εἶδες ἀγαθότητος ὑπερβολήν; εἶδες μακροθυμίας πλοῦτον ἄπειρον; σιγὴν γὰρ ἐνταῦθα τὴν μακροθυμίαν λέγει. τοσαῦτα ἐτόλμησας φησί, καὶ οὐκ ἐπεξῆλθον· ἀλλ' ἠνεσχόμην, καὶ ἔφερον γραφ

σοι δέδωκας εἰς μετάνοιαν. σὺ δὲ οὐ μόνον οὐδὲν ἐκέρδανας ἐντεῦθεν, ἀλλὰ καὶ πρὸς μείζονα ἐξώκειλας κακίαν. οὐ γὰρ δὴ μόνον οὐ μετέβαλου, οὐδὲ μόνον οὐκ ᾐσχύνθης, οὐδὲ κατέγνως ἐπὶ τοῖς γεγενημένοις σαυτοῦ· ἀλλ' ἤδη καὶ ἐμὲ τὸν μακροθυμήσαντά σοι, τὸν ἀνασχόμενον, τὸν σιγήσαντα, τὸν τοσαῦτα ἐνεγκόντα ἐνόμισας οὐ διὰ μακροθυμίαν καὶ φιλανθρωπίαν φέρειν, ἀλλὰ διὰ τὸ μὴ βούλεσθαι ταῦτα σωφρονίζειν, μηδὲ ἀγανακτεῖν ἐπὶ τοῖς γινομένοις. συνέτε δὴ ταῦτα οἱ ἐπιλανθανόμενοι τοῦ Θεοῦ. ποῖα; τὰ εἰρημένα, φησί. τί ἐστι, συνίετε; νοήσατε· τί γὰρ συνεσκιασμένον εἴρηται; τί δὲ πολλῆς χρῇζον ἐρευνῆς; μάλιστα μὲν καὶ αὐτὸς ὁ τῆς διδασκαλίας τρόπος ἐνηλλαγμένην παρεισάγει πολιτείαν. καὶ γὰρ τὴν θυσιῶν οὐ πολὺν ποιούμενος λόγον τὴν εὐαγγελικὴν εἰσάγει νομοθεσίαν· ἄλλως δὲ ἐπειδὴ πολλῷ τῷ φορυτῷ τῶν ἁμαρτημάτων ἦσαν καταχωσθέντες, καθάπερ ἀπὸ τελμάτων τινῶν τῆς κακίας ἀνασπάσαι βουλόμενος, καὶ ὥσπερ τῶν ὀφθαλμῶν λήμην ἀποκαθᾶραι τὴν προκαταλαβοῦσαν τῆς πονηρᾶς συνηθείας ὁδὸν, διεγείρει εἰς μνήμην ἐλθεῖν τῶν γεγενημένων, ἵνα μὴ λήθῃ παραδόντες τὰ γεγενημένα ἀκερδεῖς ἀναχωρήσωσιν. πολλὴν γὰρ ἡ ἐν ἁμαρτήμασι συνήθεια πώρωσιν τῆς ψυχῆς ἐργάζεται, καὶ ἀνοήτους ποιεῖ, καὶ τυφλοῖ τὸ ὀξυδερκὲς τῆς διανοίας ὄμμα. μήποτε ἁρπάσῃ, καὶ οὐ μὴ ᾖ ὁ ῥυόμενος. ὢ φιλανθρωπίας ἀφάτου· μητρὸς φιλοστόργου τὰ ῥήματα, μᾶλλον δὲ ἀπείρως τὴν φιλοστοργίαν ἐκείνην νικώσης ἀγαθότητος. ὁ γὰρ τοσαύτην ὀργὴν ἐπιδειξάμενος προασφαλίζεται. ὁ εἰπὼν ἐλέγξω σε, καὶ παραστήσω κατὰ πρόσωπόν σου τὰς ἁμαρτίας σου, καὶ ἀπόφασιν ἐκβαλὼν καταδικάζουσαν, ἀναλύει τὴν ἀπόφασιν πάλιν οὐχ ὡς καταδίκους τῇ τιμωρίᾳ παραδιδοὺς, ἀλλ' ὡς ὀφείλοντας διορθωθῆναι τῇ παραινέσει καὶ τῇ συμβουλῇ ἐγχειρίζων, τῷ φόβῳ σωφρονίζων καὶ λέγων, μήποτε ἁρπάσῃ ὡς λέων, καὶ οὐ μὴ ᾖ ὁ ῥυόμενος. θυσία αἰνέσεως δοξάσει με, καὶ ἐκεῖ ὁδὸς, ᾗ δείξω αὐτῷ τὸ σωτήριον τοῦ Θεοῦ. δείξας τὸ φιλάνθρωπον, παραινέσας, συμβουλεύσας, ἀπειλήσας, φοβήσας, ἐπιστήσας τὴν τιμωρίαν ἄκρατον, καὶ συμβουλὴν εἰσενεγκὼν λέγει καὶ τὸν τρόπον, δι' οὗ δυνατὸν διορθώσασθαι τὰ γεγενημένα εἰπών· θυσία αἰνέσεως δοξάσει με. ὃ δὲ λέγει,

A pœnitentiæ. Tu autem ex eo non modò nihil lucrifecisti, sed in maius etiam vitium impegisti. Non solùm enim non mutatus es, nec solùm non es pudore suffusus, nec propter ea quæ à te facta sunt, teipsum condemnasti: sed me etiam qui longa in te patientia vsus sum, qui toleraui, qui tacui, qui tot & tanta tuli, existimasti non hæc ferre propter patientiam & clementiam, sed propterea quòd nollem hæc castigari, & quòd ea quæ à te fiebant, non ægrè ferrem. 22. *Intelligite obsecro hæc, qui obliuiscimini Deum.* Quænam? Ea quæ dicta B sunt, inquit. Quid est, intelligite? Considerate. Quid enim dictum est obscurum, & quod magna egeat perscrutatione? Maximè quidem: & ipse modus docendi introducit mutatam formam religionis. Cùm enim sacrificiorum non magnam habeat rationem, introducit leges Euangelicas: & alioqui quoniam erant peccatorum profundo cœno obruti, tanquam à quibusdam vitij voraginibus volens eos extrahere, & veluti lemam oculorum, expurgare volens viam prioris malæ C consuetudinis, eos excitat vt ea quæ facta sunt in memoriam reuocent, ne his obliuioni traditis, absque lucro recedant. Longa enim vitiorum consuetudo magnam affert cæcitatem animæ, & amentes efficit, & perspicaces oculos intelligentiæ eruit. *Nequando rapiat, & non sit qui eripiat.* O ineffabilem clementiam. Piæ matris hæc verba sunt, vel illam potius pietatem bonitate longè superant. Qui enim tam graui accusatione vsus est, qui tantam præ se tulit indignationem, ipse eos præmunit. Qui dixit: Arguam te, & statuam D ante faciem tuam peccata tua, & condemnatoriam emisit sententiam: eam rursus rescindit, non tanquam reos tradens supplicio, sed tanquam qui suasione & admonitione deberent corrigi, metu coërcens & continens & dicens: Ne forte rapiat, & non sit qui eripiat. 23. *Sacrificium laudis honorificabit me, & illic iter, quod ostendam illi, salutare Dei.* Postquam ostendit clementiam suadendo, consulendo, minando, ac terrendo, purum afferendo sacrificium, & introducendo consilium, ostendit etiam modum per quem possint corrigere quæ facta sunt, dicens: Sacrificium laudis honorificabit me. Id est autem quod

Sap. 14.

Consuetudo vitiorum quid pariat

dicit: Non solùm iram meam sedabit, aut rescindet condemnationem, sed me etiam honore afficiet. Vide præclari facti magnitudinē, quando Deus per ipsum honore afficitur. Et illic iter, quod ostendam illi, salutare Dei. Vidisti mercedem ineffabilem? Vidisti summam clementiam? Dei enim viam ostensurum pollicetur, & id quod est verè Dei salutare iis qui rectè se gerunt. Ei ergo promittenti pareamus, & recta vita & sacrificio laudis eum honoremus. Hæc enim via ducit ad salutem per hoc sacrificium. Quam detur omnibus nobis assequi gratia & clementia domini nostri Iesu Christi: Quoniam ei gloria, & potentia nunc, & semper, & in secula seculorum, Amen.

Deus rectè factis nostris honoratur.

A τουτέστιν· οὐ μόνον παύσει μου τὴν ὀργὴν, οὐδὲ λύσει τὴν καταδίκην, ἀλλὰ καὶ δοξάσει με. ὅρα τοῦ κατορθώματος τὸ μέγεθος, ὅταν ὁ Θεὸς δι' αὐτοῦ δοξάζηται, καὶ ἐκεῖ ὁδὸς, ἣν δείξω αὐτῷ τὸ σωτήριον τοῦ Θεοῦ. εἶδες μισθὸν ἄφατον; εἶδες φιλανθρωπίας ὑπερβολήν; τὴν τοῦ Θεοῦ γὰρ ὁδὸν δείξειν ἐπαγγέλλεται, καὶ τὸ ὄντως σωτήριον τοῦ Θεοῦ τοῖς κατορθοῦσι. πειθώμεθα τοίνυν τῷ ἐπαγγελλομένῳ, καὶ διὰ βίου ὀρθοῦ καὶ θυσίας αἰνέσεως τοῦτον δοξάζωμεν. αὕτη γὰρ ἡ ὁδὸς ἐπὶ σωτηρίαν φέρει, διὰ τῆς θυσίας ταύτης, ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· ὅτι αὐτῷ ἡ δόξα καὶ τὸ κράτος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν. B

IN PSALMVM CVIII.

Deus laudem meam ne tacueris: quia os peccatoris & os dolosi super me apertum est. 3. *Locuti sunt aduersum me lingua dolosa, & sermonibus odij circumdederunt me, & expugnauerunt me gratis.* 4. *Pro eo vt me diligerent, detrahebant mihi: ego autem orabam.* 5. *Et posuerunt aduersum me mala pro bonis, & odium pro dilectione mea.* 6. *Constitue super eum peccatorem, & diabolus stet à dextris eius.* 7. *Cum iudicatur, exeat condemnatus, & oratio eius fiat in peccatū.* 8. *Fiant dies eius pauci, & episcopatum eius accipiat alter.* 9. *Fiant filij eius orphani, & vxor eius vidua.* 10. *Nutantes transferantur filij eius, & mendicent, eijciantur de habitationibus suis.* 11. *Scrutetur fœnerator omnem substantiam eius, & diripiant alieni labores eius.*

Εἰς τὸν ρη' ψαλμόν.

Ο Θεὸς τὴν αἴνεσίν μου μὴ παρασιωπήσῃς· ὅτι στόμα ἁμαρτωλοῦ, καὶ στόμα δολίου ἐπ' ἐμὲ ἠνοίχθη. ἐλάλησαν κατ' ἐμοῦ γλώσσῃ δολίᾳ, καὶ λόγοις μίσους ἐκύκλωσάν με, καὶ C ἐπολέμησάν με δωρεάν. ἀντὶ τοῦ ἀγαπᾶν με, ἐνδιέβαλλόν με, ἐγὼ δὲ προσηυχόμην. καὶ ἔθεντο κατ' ἐμοῦ κακὰ ἀντὶ ἀγαθῶν, καὶ μῖσος ἀντὶ τῆς ἀγαπήσεώς μου. κατάστησον ἐπ' αὐτὸν ἁμαρτωλὸν, καὶ διάβολος στήτω ἐκ δεξιῶν αὐτοῦ. ἐν τῷ κρίνεσθαι αὐτὸν, ἐξέλθοι καταδεδικασμένος, καὶ ἡ προσευχὴ αὐτοῦ γενέσθω εἰς ἁμαρτίαν. γενηθήτωσαν αἱ ἡμέραι αὐτοῦ ὀλίγαι, καὶ τὴν ἐπισκοπὴν αὐτοῦ λάβοι ἕτερος. γενηθήτωσαν οἱ υἱοὶ αὐτοῦ ὀρφανοὶ, καὶ ἡ γυνὴ D αὐτοῦ χήρα· σαλευόμενοι μεταναστήτωσαν, οἱ υἱοὶ αὐτοῦ, καὶ ἐπαιτησάτωσαν, ἐκβληθήτωσαν ἐκ τῶν οἰκοπέδων αὐτῶν. ἐξερευνησάτω δανειστὴς πάντα ὅσα ὑπάρχει αὐτῷ, καὶ διαρπασάτωσαν ἀλλότριοι τοὺς πόνους αὐτοῦ.

MAGNA hîc nobis prudentia opus est. Verba enim, si consideretur sola prolatio, & quæ est ad manum auditio, perturbant multos eorum, qui non attendunt. Totus

ΠΟΛΛΗΣ ἐνταῦθα συνέσεως ἡμῖν χρεία. τὰ γὰρ ῥήματα κατὰ τὴν ψιλὴν προφορὰν, καὶ τὴν πρόχειρον ἀκρόασιν πολλοὺς, τῶν μὴ προσεχόντων θορυβεῖ. καὶ γὰρ ἀρετῆς

ἅπας ὁ ψαλμὸς ἐμπέπλησται, καὶ διὰ τοιούτων ἅπας διεξῆλθεν ἡμῖν ὁ λόγος, καὶ ἐμφαίνει τινὰ θυμὸν ζέοντα καὶ διακαῆ τοῦ λέγοντος, καὶ οὐ μέχρι τοῦ ἀδικήσαντος ἱστάμενον· ἀλλὰ καὶ ἐπὶ παῖδας, καὶ πατέρα, καὶ μητέρα περιάγοντα τὴν τιμωρίαν, καὶ οὐδὲ μιᾷ ἀρκούμενον συμφορᾷ, ἀλλὰ καὶ κακὰ ἐπὶ κακοῖς συνάπτοντα. ὅρα γὰρ ὅσα κατεύχεται· κατάστησον ἐπ' αὐτὸν ἁμαρτωλόν, καὶ διάβολος στήτω ἐκ δεξιῶν αὐτοῦ. τουτέστιν, ὑπεύθυνος κατηγορίαις γένοιτο πονηροῖς ἀνθρώποις καὶ ἐπιβούλοις, καὶ μὴ περιγένοιτο αὐτῶν. τοῦτο γάρ ἐστιν ἐν τῷ κρίνεσθαι αὐτὸν ἐξέλθοι καταδεδικασμένος. καὶ οὐκ ἠρκέσθη ταύτῃ τῇ τιμωρίᾳ, ἀλλὰ μετὰ τῆς καταδίκης ταύτης εὔχεταί τινα ἕτερον μετ' ἐκεῖνον τὴν ἐκείνου λαβεῖν τιμὴν λέγων· τὴν ἐπισκοπὴν αὐτοῦ λάβοι ἕτερος· καὶ οὐδὲ ἐνταῦθα ἵσταται, ἀλλὰ καὶ τὸν μόνον καταλελειμμένον λιμένα περιχώννυσι, μηδὲ ἀπὸ τοῦ Θεοῦ τινος φιλανθρωπίας τυχεῖν ἀξιῶν καὶ λέγων· καὶ ἡ προσευχὴ αὐτοῦ γενέσθω εἰς ἁμαρτίαν, καὶ μετά τοι καὶ θάνατον ἄωρον ὑπομεῖναι ἀξιοῖ. γενηθήτωσαν γάρ, φησιν, αἱ ἡμέραι αὐτοῦ ὀλίγαι. καὶ οὐδὲ ἐνταῦθα ἵσταται. καίτοι καὶ τὸ ταῦτα μόνα εἰπεῖν ἤρκει, ὁ δὲ καὶ ἐπιτίθησιν, ὅπερ σφόδρα ἐστὶν ἐκκεκαυμένης ψυχῆς, τὸ μὴ μιᾷ μηδὲ δευτέρᾳ ἀρκεσθῆναι τιμωρίᾳ, ἀλλὰ τοσαύτας ἐπαχθῆναι αἰτεῖν. τὰ δὲ ἐντεῦθεν ἔτι πολλῷ τούτων χαλεπώτερα. καὶ γὰρ ὀρφανίαν, καὶ χηρείαν τῶν λειπομένων κατεύχεται· καίτοι γε ταῦτα ἀπελθόντος ἐξ ἀνάγκης γενέσθαι συμβαίνει· ἀλλ' ὅμως καὶ ταῦτα ἐν τάξει τίθησιν ἀρᾶς τῷ θυμῷ ζέων. καὶ οὐδὲ μέχρι τῆς ὀρφανίας ἵσταται, ἀλλὰ καὶ μετὰ τοιαύτας συμφορὰς πρόεισι περαιτέρω τὸ δεινὸν αὔξων, πλανήτας, καὶ μετανάστας ἀξιῶν γενέσθαι τοὺς ἐκείνου. σαλευόμενοι γὰρ μεταναστήτωσαν οἱ υἱοὶ αὐτοῦ φησι, καὶ ἐπαιτησάτωσαν. τουτέστι, μὴ στῶσι πλανώμενοι, μηδὲ τῆς ἀναγκαίας εὐπορήσωσι τροφῆς, μηδὲ παύσωνται τόπον ἐκ τόπου συνεχῶς ἀμείβοντες, ἐλαυνόμενοι, διωκόμενοι κατὰ πᾶσαν τὴν γῆν, καὶ μηδαμοῦ χώραν τοῦ στῆναι εὑρίσκοντες. μετὰ δὲ τούτων καὶ πενίαν αὐτῶν κατεύχεται, καὶ πενίαν ἐσχάτην καὶ ἀφόρητον, ὥστε μηδὲ τῆς παρὰ τῶν συγγενῶν ἐπικουρίας τυχεῖν, ἀλλὰ περιεῖναι παρὰ ξένων καὶ ἀγνώστων προσαιτοῦντας ταύτην. καὶ ἄκουε πῶς τοῦτο δηλῶν παρατίθησι. μετ'

A enim Psalmus plenus est execratione, & per eam vniuersa peruasit oratio, eiúsque qui dicit, feruentem & ardentem quandam iram indicat, quæ non contenta eũ vlcisci, qui facit iniuriam, etiam in filios, patrem, & matrem extendit supplicium: & non vna ei sufficit calamitas, sed etiam malis coniungit. Vide enim quot & quanta imprecetur, dicens: Constitue super eum peccatorem, & diabolus stet à dextris eius. Hoc est, sit obnoxius accusatoribus, improbis hominibus & insidiatoribus, nec eos possit superare. Hoc enim B sibi vult illud, Cum iudicatur, exeat condemnatus. Nec satis hoc duxit esse supplicij, sed cum hac condemnatione orat, vt etiam aliquis alius post illum illius honorem suscipiat, dicens: Et Episcopatum eius accipiat alter. Et ne hic quidem sistit, sed etiam solum qui erat ei relictus, portum obstruit, rogans vt ne Dei quidem assequatur clementiam, dum dicit: Et oratio eius fiat in peccatum. Quinetiã rogat vt mortem subeat immaturam. Fiant enim, inquit, dies eius pauci. Atque ne hic quidem sistit, licet hæc sola dixisse sufficiebat. C Ille verò etiam adiungit, quod quidem est animi valde incensi ac inflammati, non vno aut altero contentum esse supplicio, sed petere vt alia imponantur. Quæ autem deinceps sequuntur, sunt his multò grauiora. Eorum enim quos relinquit, orbitatem & viduitatem precatur.. Atqui necesse est hæc eueniant postquam ipse excesserit, & tamen inter cæteras execrationes ea consequenter statuit, ira feruens. Et nec in orbitate quidem sistit, sed etiam post tales calamitates vlterius progreditur, D mala eius amplificans, rogans vt qui ex eo nati sunt, incertis vagentur sedibus. Nutantes, inquit, transferantur filij eius, & mendicent. Hoc est, errantes & vagabundi ne necessarium quidem alimentum habeant, nec cessent assiduè locum loco mutare, agitati, pulsi per omnem terram, & nusquam inuenientes locum, in quo consistant. Cum his autem eis etiam imprecatur inopiam, eámque extremam & intolerabilem, vt nec auxilium quidem assequãtur à cognatis, sed obeant ab externis & ignotis id petentes. Audi autem quomodo hoc significans adijcit. Post-

Diabolus calumniator.

quam enim dixit: Transferantur filij eius, & mendicent, subiungit: Eijciantur de habitationibus suis. Scrutetur fœnerator omnem substantiam eius, & diripiant alieni labores eius. Hoc est aliud genus calamitatis, ipsorum bona diripienda tradi, & fœneratorum insidias perpeti, & omnibus modis probris & contumeliis affici, & quod est longè grauius, in tantis malis carere defensore. Id autê precatur, dicens: *12. Non sit illi adiutor.* Mala enim vel ipsa per se sunt intolerabilia: quando autem ne defensor quidem adest, sunt longè grauiora. *Nec sit qui misereatur pupillis eius.* Papæ, quanta iræ magnitudo, quando ne orbitatis quidem immaturitas misericordiam assequitur, & non solùm misericordiam, imò ei etiam extremum exitium affertur. 13. *Fiant nati eius in interitum. In generatione vna deleatur nomen eius.* Vidisti orationem ira plenam, & quę se non reprimit? optat vt ipsi viuant in varia & multiplici, atque omnis adeò generis miseria, & absque vlla nominis sui fama funditus intereant. Et perinde ac si non sufficiat filiorum calamitas, subiungit rursus. 14. *In memoriam redeat iniquitas patrum eius, & peccatum matris eius non deleatur.* 15. *Fiant contra Dominum semper, & dispereat de terra memoria eorum.* Est enim maximæ iracundiæ, ita minutatim discerpere, quas generaliter dixit calamitates, & easdem assiduè versare. Postquam enim dixit: In memoriam redeat iniquitas patrum eius, subiunxit: Et non deleatur. Atqui idem est, ira tamen effecit vt vtrumque diceret. Quod autem vult dicere, hoc est: Interfice ipsum, occide, de medio tolle. Vidisti quot sint imprecationes? sed si vis, ego eas rursus colligam. In malos, inquit, homines incidat, accusetur, sit in eorum potestate, condemnetur, mortem subeat immaturam, honore priuetur, & nec in suos quidem, sed in alienos eum translatum videat: vxor eius pereat, & filij eius paupertatem, orbitatem, & vitam mendicorum sustineant, condemnentur, expellãtur vndique, nullum habeant adiutorem, à Dei beneuolentia excidant, nullus sit eis portus nec refugium, deleatur nomen eius è terra, pereat inglorius, & mater & pater luant pœnas suorum peccatorum, perdantur & funditus intereant. An non ea quæ dicta

γὰρ τὸ εἰπεῖν· μεταστήτωσαν οἱ υἱοὶ αὐτοῦ, καὶ ἐπαιτησάτωσαν, ἐπάγει· ἐκβληθήτωσαν ἐκ τῶν οἰκοπέδων αὐτῶν, καὶ ἐξερευνησάτω δανειστὴς πάντα ὅσα ὑπάρχει αὐτῷ, καὶ διαρπασάτωσαν ἀλλότριοι τοὺς πόνους αὐτοῦ. Τοῦτο ἑτέρας συμφορᾶς εἶδος, τὸ εἰς διαρπαγὴν δοθῆναι τὰ αὐτῶν, καὶ δανειστῶν φέρειν ἐπιβουλάς, καὶ παντὶ τρόπῳ ἐπηρεάζεσθαι, καὶ τὸ δὴ χαλεπώτερον ἐν τοσούτοις κακοῖς ἔρημον εἶναι προστάτου· καὶ τοῦτο κατηύξατο λέγων· μὴ ὑπαρξάτω αὐτῷ ἀντιλήπτωρ. τὰ γὰρ κακὰ αὐτὰ καθ' ἑαυτὰ ἀφόρητα· ὅταν δὲ μηδὲ τὸν παριστάμενον ἔχῃ, πολλῷ χαλεπώτερα. μηδὲ γενηθήτω οἰκτίρμων τοῖς ὀρφανοῖς αὐτοῦ. βαβαί, πόσον θυμοῦ μέγεθος, ὅταν μηδὲ τὸ ἄωρον τῆς ὀρφανίας ἐλέους τυγχάνῃ, καὶ οὐ μόνον ἐλέους, ἀλλὰ καὶ ἀπωλείᾳ ἐσχάτῃ περιβάλληται. γενηθήτω γάρ φησι, τὰ τέκνα αὐτοῦ εἰς ἐξολόθρευσιν. ἐν γενεᾷ μιᾷ ἐξαλειφθείη τὸ ὄνομα αὐτοῦ. εἶδες λόγον θυμοῦ γέμοντα, καὶ οὐδαμοῦ ἱστάμενον; καὶ ζῆσαι μετὰ συμφορᾶς αὐτοὺς εὔχεται ποικίλης καὶ παντοδαπῆς, καὶ πανωλεθρίᾳ παραδοθῆναι, καὶ ἀνωνύμους ἀπολέσθαι. καὶ ὥσπερ οὐκ ἀρκούσης τῆς συμφορᾶς τῶν παίδων, ἐπάγει πάλιν· ἀναμνησθείη ἡ ἀνομία τῶν πατέρων αὐτοῦ, καὶ ἡ ἁμαρτία τῆς μητρὸς αὐτοῦ μὴ ἐξαλειφθείη. τοῦτο γὰρ μάλιστα θυμοῦ τὸ κατακερματίζειν, ἃς εἶπε καθόλου συμφοράς, καὶ συνεχῶς τὰ αὐτὰ περιστρέφειν. εἰπὼν γὰρ ἀναμνησθείη ἡ ἀνομία τῶν πατέρων αὐτοῦ, ἐπήγαγε· καὶ μὴ ἐξαλειφθείη, καίτοι τὸ αὐτό ἐστιν· ἀλλ' ὅμως ὁ θυμὸς καὶ ἀμφότερα παρεσκεύασεν αὐτὸν εἰπεῖν. ὃ δὲ βούλεται εἰπεῖν, τοῦτό ἐστιν· ἀπόκτεινον αὐτόν, σφάξον, ἆρον. εἶδες ἀρᾶς πλῆθος; ἀλλ' εἰ βούλει πάλιν ἄνωθεν αὐτὰ συλλογισόμεθα. περιπέσοι πονηροῖς ἀνθρώποις φησί, κατηγορηθείη, κρατηθείη παρ' αὐτῶν, καταδικασθείη, ἄωρον ὑποσταίη θάνατον, ἐκβληθείη τῆς τιμῆς, καὶ μηδὲ εἰς ἐκγόνους, ἀλλ' εἰς ἑτέρους τινὰς ταύτην μεταφερομένην ἴδοι· ἡ γυνὴ αὐτοῦ ἀπόλοιτο, καὶ τὰ παιδία πενίαν, ὀρφανίαν, βίον προσαιτῶν ὑπομείνοιεν, καταδικασθεῖεν, ἐλαθεῖεν πανταχόθεν, μηδένα ἔχοιεν βοηθόν, ἐκπέσοιεν καὶ τῆς εὐνοίας τοῦ Θεοῦ, μηδεὶς αὐτοῖς γένοιτο λιμήν, μηδὲ καταφυγή· ἐξαλειφθείη τὸ ὄνομα αὐτοῦ ἀπὸ τῆς γῆς, ἀνώνυμος ἀπόλοιτο, καὶ πατὴρ καὶ ἡ μήτηρ δίκην δοῖεν, ὧν ἥμαρτον· καὶ μετ' αὐτὸ ἐξώλεις καὶ προώλεις ἀπόλοιντο. ἆρα οὐκ

ἐκπλήττει

ἐκπλήττει τὸν ἀκροατὴν τὰ εἰρημένα; ἆρα οὐκ ἐπιθυμεῖς ἀκοῦσαι τίς ἐστιν ὁ καταδικασθεὶς οὕτως; εἰ γὰρ ἄνθρωπον ἀκούοντες λοιδορούμενον τοὺς παρεστῶτας ἐρωτῶμεν, φράσαι τίς ὁ ταῦτα ἀκούων, πολλῷ μᾶλλον τοῦ προφήτου ταῦτα καταρωμένου ἀκούοντες ἀναγκαῖον μαθεῖν, καὶ μετὰ φόβου μαθεῖν, καὶ συνεσταλμένης τῆς διανοίας, τίς ὁ εἰς ὀργὴν οὕτω χαλεπὴν ἐμπεσών, τίς ὁ λυπήσας τὸ πνεῦμα τὸ ἅγιον, ὡς τοσαῦτα καὶ τηλικαῦτα ἀκοῦσαι παθῶν εἴδη. ἐγκοιεῖν εἰ δοκεῖ τὸν ψαλμὸν ἄνωθεν εἴπωμεν μετὰ πολλῆς τῆς προσοχῆς· καὶ μηδεὶς θορυβείσθω. καὶ γὰρ μετὰ ἀκριβείας ἁπάσης ποιήσομαι τὴν ἐξήγησιν ὡς ἂν οἷός τε ὦ. οὐδὲ γὰρ μικρόν ἐστι τὸ ζητούμενον· ἀλλ᾽ ἓν μὲν καὶ πρῶτον, τίνος ἕνεκεν αὐτοῦ ἁμαρτόντος τούτου, δὴ τοῦ καταβοωμένου, οἱ παῖδες κολάζονται μετ᾽ αὐτοῦ, καὶ ἡ γυνή, καὶ οἱ γονεῖς. δεύτερον δὲ τίς ὁ καταρώμενος. τρίτον δέ, πῶς ὁ τῶν ἀποστόλων κορυφαῖος περὶ τοῦ Ἰούδα τὸν ψαλμὸν εἰρῆσθαι δείκνυσι· μᾶλλον δὲ οὐ τὸν ψαλμὸν ἅπαντα, ἀλλὰ τοῦ ψαλμοῦ τὸ μέρος. γέγραπται γάρ φησιν, ἐν τῇ βίβλῳ τῶν ψαλμῶν· γενηθήτω ἡ ἔπαυλις αὐτοῦ ἔρημος, καὶ ἐν τοῖς σκηνώμασιν αὐτοῦ μὴ ἔστω ὁ κατοικῶν. ἀλλὰ πάλιν τοῦτο ἕτερον ἡμῖν ζήτημα παρέχει· οὐ γὰρ ἐν τούτῳ γέγραπται τῷ ψαλμῷ ἀμφότερα· διόπερ οὐκ εἶπε τόνδε τὸν ψαλμόν, ἀλλὰ τὸ βιβλίον ἅπαν. καὶ γὰρ τὸ γενηθήτω ἡ ἔπαυλις αὐτοῦ ἔρημος· ἐν ἑτέρῳ, καὶ ἐν τούτῳ· τὴν ἐπισκοπὴν αὐτοῦ λάβοι ἕτερος, ἀλλ᾽ ὅμως ὁ Πέτρος ἀμφότερα συνήγαγεν εἰς μαρτυρίαν μίαν, ὃ καὶ ὁ Παῦλος πολλαχοῦ ποιεῖ, ὡς ὅταν λέγῃ· ἥξει ἐκ Σιὼν ὁ ῥυόμενος, καὶ ἀποστρέψει ἀσεβείας ἐξ Ἰακώβ, καὶ αὕτη αὐτοῖς ἡ παρ᾽ ἐμοῦ διαθήκη, ὅταν ἀφέλωμαι τὰς ἁμαρτίας αὐτῶν. τί δ᾽ ἄν τις εἴποι τὸ εἰρημένον προφητείαν ἢ ἀράν; προφητείαν ἐν εἴδει ἀρᾶς. καὶ γὰρ καὶ ἀλλαχοῦ τοιοῦτόν τι εὑρήσομεν· ὅπερ καὶ ὁ Ἰακὼβ ἐποίησεν. ἐπειδὴ γὰρ τοὺς ἀκούοντας ἐκ τῶν ἑτέροις συμβαινόντων ὠφελεῖσθαι χρή, πολλὰς τὰς προφητείας τούτῳ σχηματίζουσι τῷ τρόπῳ, ὥστε καὶ τῷ εἴδει τῆς προφορᾶς τὸν κατὰ τὴν πολιτείαν αὐξηθῆναι τὸν φόβον. οὐ γάρ ἐστιν ἴσον εἰπεῖν, ὅτι ὁ δεῖνα τὸ καὶ τὸ πείσεται, καὶ ἐν τάξει χολῶντος καὶ ὀργιζομένου τὸ αὐτὸ τοῦτο προσεπενεγκεῖν. καὶ ὅτι οὐχ ἁπλῶς ταῦτα ἀποφαίνομαι ἀπὸ τῶν προφητικῶν ὑμῖν ῥημάτων τοῦτο ποιήσω δῆλον.

A sunt auditorem percellunt & obstupefaciunt? Nunquid scire desideras quisnam est, qui sic est condemnatus? Si enim cùm audimus hominem probris & maledictis affici, rogamus astantes, vt dicant quis sit qui hæc audiat: multò magis cùm Prophetã sic imprecantem audimus, necesse habemus discere, idque cum metu & animo humili ac demisso, quis sit quem tam vehemens inuasit iracundia, quis sit qui Spiritũ sanctum tanta affecit tristitia, vt tot genera malorum audiret. Psalmum ergo, si videatur, dicamus ab initio cum magna B attentione. Nemo autem perturbetur. Narrabo enim quàm potero accuratissimè & diligẽtissimè. Non est enim paruum quod quæritur. Sed vnũ quidem & primum, quanã de causa cùm is peccasset, qui probris appetitur, filij eius cum ipso puniuntur, & vxor, & parentes. Secundum autem, quis est qui execratur. Tertium autẽ, quomodo princeps Apostolorum ostendit hunc Psalmum dictum esse de Iuda, vel potius non totum Psalmum, sed partem Psalmi. Scriptum est enim, inquit, in libro Psalmorum: Fiat habitatio eius deC serta, & in tabernaculis eius non sit qui inhabitet. Sed hoc nobis aliam rursus præbet quæstionem: non enim scripta sunt vtraq. in hoc Psalmo: & ideo non dixit hunc Psalmum, sed totum librum Psalmorum. Illud enim: Fiat habitatio eius deserta, est in alio Psalmo: hoc verò: Et episcopatum eius accipiat alter, in hoc. Petrus tamen vtrumque coëgit in vnum testimoniũ. quod etiam vbiq; facit Paulus, vt quando dicit propheta: Veniet ex Siõ qui eripiet, & auertet impietates ex Iacob, & hoc eis ex me testamentum, quando abstulero peccata D eorum. Quid autem, dixerit quispiam, id quod dictum est, prophetiam, an imprecationem accipimus? Prophetiam sub specie imprecationis. Nam etiam alibi tale quid inueniemus: quod Iacob quoque fecit. Quoniam enim oportebat auditores iuuari, & iis quæ aliis eueniebant, prophetias multas hoc modo figurant, vt vel ipso modo prolationis augeatur metus in republica. Neque enim perinde est si dicas: Hic hoc vel illud patietur, etsi id vt iratus & indignatus induxeris. Et quòd hæc non temere pronuntiem, ex verbis propheticis hoc vobis manifestum reddam.

A simili.

Quæstio 1. 2. 3.

Act. 1. 20.

Psal. 68. 26.

Psal. 108.

Rom. 11. 26

Gen. 49. 1. Iacob enim cùm esset moriturus, Venite, inquit filiis suis, & dicam quid euenturum sit vobis in diebus nouissimis: & cùm esset prophetaturus, statim à principio tanquam ira quadam percitus, incipit prophetiã ab imprecatione, sic dicens: Ruben primogenitus meus, durus ad ferendũ, durus & contumax, fecisti contumeliã, vt aqua nõ crescas: futurũ eius exitium prædicens sub specie imprecationis. Ita rursus quando bona dicit, narrat sub specie precationis, dicens: Det tibi Deus de rore cœli, & de pinguedine terræ. Tametsi hoc quoque est prophetia. Quòd autẽ hoc nõ sit humanæ affectionis, clarũ est. Nã in Chanaan quoq; pater eius hoc facit, dicẽs: Genes. 9. Erit Chanaan seruus eius, vt scias quòd Deus præueniens eos qui iniuria afficiuntur, eos qui iniuriam faciunt, persequitur. Quinetiam Christus quoque Matt. 11. 21 Luc. 10. 13. Matth. 23. 37. tali figura vsus est, sub specie prophetiæ magis reuocans, & lugentem imitans, & dicens: Væ tibi Chorozain, væ tibi Bethsaida. Et rursus, vt quando dicit: Hierusalem, Hierusalem, quæ occidis Prophetas. De quonam ergo dictus est Psalmus? Nonnulla de Iuda, Spiritu per Dauid prophetante: reliqua autem de aliis. Hic enim rursus est prophetiæ modus. Sæpe autem inueniemus eum ita esse compositum, vt procemia quidem in alium, reliqua autem dicantur in alium. Vt autem hoc ipsum etiam aliunde videas, quando Iudæi ingressi sunt in terram promissionis, diuidens duodecim tribus in duodecim partes, iubetur à Deo Naue filius has quidẽ benedicere, illas verò maledicere. Benedictio ergo & maledictio erant prophetię eorũ quæ erant euẽtura. Dicebat enim: Deut. 28. Maledictus tu in ciuitate, maledictus in agro, & innumerabiles eiusmodi imprecationes tribus componentes, effecerunt longam orationem. Hoc hîc etiam dici potest, sub specie execrationis compositam fuisse prophetiam, quæ, & quæ Iudæ erant euentura annunciat, & prædicit, & post illum etiam aliud tractat argumentum, nempe aduersus eos qui insurrexerunt aduersus sacerdotium, vt sciamus quantum sit malum in Dei sacerdotes insurgere, dolóque & iniquitate aduersus eos vti. Quæ enim dicta sunt, non aliud sunt quàm doctrina eorũ quæ sunt euentura iis qui propinquos iniuria afficiunt,

Prophetia spiritus non semper in eodem insistit.

A ὁ γὰρ Ἰακὼβ ὅτε ἔμελλε τελευτᾷν· δεῦτε, φησι, τοῖς υἱοῖς αὐτοῦ, καὶ ἐρῶ τί ἀπαντήσεται ὑμῖν, ἐπ' ἐσχάτων τῶν ἡμερῶν, καὶ μέλλων προφητεύειν, ἐκ προοιμίων εὐθέως ὥσπερ τινὶ θυμῷ ζέων ἀπὸ ἀρᾶς ἄρχεται τῆς προφητείας, οὕτω λέγων· Ῥουβὶμ πρωτότοκός μου, σκληρὸς φέρεσθαι, καὶ σκληρὸς αὐθάδης, ἐξύβρισας ὡς ὕδωρ, μὴ ἐκζέσῃς· τὸν μέλλοντα αὐτοῦ ὄλεθρον ἀπαγγέλλων ἐν τάξει ἀρᾶς προφητεύων. οὕτω πάλιν ὅταν ἀγαθὰ λέγῃ, ἐν τάξει εὐχῆς διηγεῖται· δῴη σοι κύριος λέγων ἐκ τῆς δρόσου τοῦ οὐρανοῦ, καὶ ἐκ τῆς πιότητος τῆς γῆς. καί τοι καὶ τοῦτο προφητεία. ἀλλ' ὅτι μὲν οὐκ B ἔστιν ἀνθρωπίνου πάθους δῆλον. καὶ γὰρ καὶ ἐπὶ Χαναὰν ὁ πατὴρ αὐτοῦ τοῦτο αὐτὸ ποιεῖ, λέγων· ἔσται Χαναὰν παῖς αὐτοῦ. ἵνα μάθῃς, ὅτι ὁ θεὸς προλαμβάνων τοὺς ἀδικουμένους ἐπεξέρχεται τοῖς ἀδικοῦσι. καὶ ὁ Χριστὸς δὲ τοιούτῳ τινὶ κέχρηται τρόπῳ, προφητείας εἴδει μᾶλλον ἀνακαλῶν καὶ θρηνοῦντα μιμούμενος, καὶ λέγων· οὐαί σοι Χοραζὶν, οὐαί σοι Βηθσαϊδά. καὶ πάλιν, ὡς ὅταν λέγῃ· Ἱερουσαλὴμ, Ἱερουσαλὴμ, ἡ ἀποκτείνουσα τοὺς προφήτας. περὶ τίνος οὖν ὁ ψαλμὸς εἴρηται; ἔνια περὶ τοῦ Ἰούδα τοῦ πνεύ- C ματος προφητεύοντος διὰ τοῦ Δαβὶδ, τὰ δὲ λοιπὰ περὶ ἑτέρων. καὶ γὰρ οὗτος προφητείας πάλιν τρόπος ἐστὶ, καὶ πολλαχοῦ αὐτὸν εὑρήσομεν οὕτω συγκείμενον, καὶ τὰ μὲν προοίμια εἰς ἕτερον, τὰ δὲ λειπόμενα εἰς ἄλλον λεγόμενα. ἵνα δὲ καὶ ἑτέρωθεν ἴδῃς τοῦτο αὐτὸ, ἡνίκα εἰς τὴν γῆν τῆς ἐπαγγελίας εἰσῄεσαν Ἰουδαῖοι διαιρῶν τὰς δώδεκα φυλὰς εἰς δώδεκα μέρη τὰς μὲν εὐλογεῖν, τὰς δὲ ἀρᾶσθαι κελεύεται ὑπὸ Θεοῦ ὁ τοῦ Ναυῆ. καὶ ἡ εὐλογία δὲ καὶ ἡ ἀρὰ προφητεία τῶν γενησομένων, ἦσαν, καὶ γὰρ ἔλεγεν· ἐπικατάρατος σὺ ἐν D πόλει, ἐπικατάρατος ἐν ἀγρῷ, καὶ μυρίας τοιαύτας ἀρὰς συνθεῖσαι αἱ φυλαὶ μακρὸν λόγον ἀπήρτισαν. τοῦτο δὲ καὶ ἐνταῦθα ἔστιν εἰπεῖν, ὅτι ἐν τάξει ἀρᾶς προφητεία συντέθηται, τά τε τῷ Ἰούδᾳ συμβησόμενα ἀπαγγέλλουσα, καὶ προαναφωνοῦσα, εἶτα καὶ μετ' ἐκεῖνον ἑτέραν τινὰ ἀνακινοῦσα ὑπόθεσιν, καὶ ἱσταμένη κατὰ τῶν ἱερωσύνῃ ἐπαναστάντων· ἵνα μάθωμεν ἡλίκον κακόν ἐστι τοῖς ἱερεῦσι τοῦ Θεοῦ ἐπανίστασθαι, καὶ δόλῳ καὶ ἀδικίᾳ κατ' αὐτῶν κεχρῆσθαι. τὰ γὰρ εἰρημένα, οὐδὲν ἕτερόν ἐστιν, ἢ διδασκαλία τῶν συμβησομένων τοῖς τοὺς πλησίον ἀδικοῦσι, τοῖς

κατεξανιστάμενοις μετὰ δόλου καὶ γνώμης διεφθαρμένης τῶν οὐδὲν ἠδικηκότων. εἰ δὲ τοὺς παῖδας ἀξιοῖ κολάζεσθαι, μὴ θορυβηθῇς ἀγαπητέ· παῖδας γὰρ ἐνταῦθά φησι, τοὺς τῇ πονηρίᾳ τῶν τοιούτων κεκοινωνηκότας. οἶδε γὰρ ἡ γραφὴ παῖδας καλεῖν καὶ τοὺς κατὰ συγγένειαν, καὶ τοὺς πονηρίᾳ συνεζηκότας, κἂν μὴ τῇ φύσει παῖδες ὦσι, ὡς ὅταν λέγῃ· ὑμεῖς υἱοὶ τοῦ διαβόλου ἐστέ· καί τοί γε κατὰ φύσιν υἱοὶ τοῦ διαβόλου οἱ Ἰουδαῖοι οὐκ ἦσαν. πῶς γὰρ τοῦ ἀσωμάτου οἱ σάρκα περικείμενοι; ἀλλὰ τῇ κοινωνίᾳ τῆς πονηρίας τὴν συγγένειαν ἐπεσπάσαντο. οὕτως αὐτοὺς καὶ τοῦ Ἀβραὰμ ἐκβάλλει λέγων· εἰ τοῦ Ἀβραὰμ ἦτε, τὰ ἔργα τοῦ Ἀβραὰμ ἂν ἐποιεῖτε. ὅτι γὰρ υἱὸς οὐ κολάζεται διὰ τὸν πατέρα, οὔτε πατὴρ ὑπὲρ τοῦ υἱοῦ πάντι που δῆλον. καὶ ἐν τῷ νόμῳ τοῦτο δείκνυται εἰρημένον, πλὴν εἰ μὴ κακῶς αὐτὸν ἀναγάγοι· καὶ τότε δὲ οὐχ ὑπὲρ υἱοῦ, ἀλλ᾽ ὑπὲρ τῆς οἰκείας ῥαθυμίας ὥσπερ ὁ Ἡλεί. εἰ δὲ δοκεῖ καὶ τὸν ψαλμὸν ἄνωθεν ἐπελθωμεν. ὁ Θεὸς τὴν αἴνεσίν μου μὴ παρασιωπήσῃς. ἕτερος δὲ ἑρμηνευτής φησι· θεὲ ὑμνήσεώς μου μὴ κωφεύσῃς. ἄλλος, μὴ σιγήσῃς· τουτέστι, μὴ παραδράμῃς τὴν τιμωρίαν, ἀλλ᾽ ἐπέξελθε τοῖς γεγενημένοις. σὺ γὰρ εἶ ὁ ἔνδοξος, ὁ μέγας, καὶ δυνατὸς τὰ τοιαῦτα διορθοῦν. ὅτι στόμα ἁμαρτωλοῦ, καὶ στόμα δολίου ἐπ᾽ ἐμὲ ἠνοίχθη. ἐλάλησαν κατ᾽ ἐμοῦ γλώσσῃ δολίᾳ, καὶ λόγοις μίσους ἐκύκλωσάν με, καὶ ἐπολέμησάν με δωρεάν. ἀντὶ τοῦ ἀγαπᾶν με ἐνδιέβαλλόν με· ἐγὼ δὲ προσηυχόμην. εἶδες πονηρίαν ἐκτεταμένην; εἶδες κοινωνίαν ἐπιβουλῆς; εἶδες μελέτην; καὶ γὰρ καὶ τοῦτο μάλιστα παροξύνει τὸν Θεόν, ὅταν τὰ φαῦλα ἀπὸ βουλῆς, καὶ σκέψεως, καὶ πολλῆς τῆς γυμνασίας ἐργάζωνται οἱ μελλόντες. ἕτερον γάρ ἐστι συναρπαγέντα, καὶ ἀπατηθέντα ὑποσκελισθῆναι, ἕτερον ἔργον ποιούμενον τὴν πονηρίαν, καὶ ἕτερον ἔγκλημα μέγιστον, ὅταν καὶ πονηρεύωνται, κατὰ τοῦ μὴ πονηρευομένου. τὸ γὰρ εἰπεῖν ἀντὶ τοῦ ἀγαπᾶν με ἐνδιέβαλλόν με, οὐδὲν ἕτερον δείκνυσιν, ἢ ὅτι εἰς εὐεργέτην ἵνα καὶ ἄξιον τοῦ φιλεῖσθαι, καὶ χρηστὰς ἀμοιβὰς λαμβάνειν, τὰ ἐναντία ἐπεδείκνυντο. ἐγὼ δὲ προσηυχόμην. εἶδες φιλοσοφίαν; εἶδες ἐπιείκειαν; εἶδες πρᾳότητα; εἶδες ψυχῆς εὐλάβειαν;

A qui insurgunt cum dolo & deprauato animo in eum qui nullam fecit iniuriam. Quòd si æquum censet, vt etiam filij puniantur, ne te conturbet, ô dilecte. Hic enim dicit filios, eos qui fuerunt socij ac participes eorum improbitatis. Solet enim scriptura appellare filios, & eos qui sunt cognatione filij, & eos qui fuerunt socij aliquorum improbitatis, etiamsi non sint natura filij, vt quando dicit: Vos filij diaboli estis. Atqui non erant Iudæi natura diaboli filij. Quomodo enim essent filij eius, qui est incorporeus, cùm ipsi sint carne B circumdati? sed societate improbitatis attraxerunt ad se cognationem. Ita etiam eos eijcit à cognatione Abrahæ, dicens: Si essetis filij Abrahæ, opera Abrahæ faceretis. Quòd enim filius non punitur pro patre, nec pater pro filio, cuiuis est manifestum. Hoc etiam ostenditur in lege dictum esse præterquam nisi ipsum referat, & tunc non pro filio, sed pro sua punitur socordia, sicut Heli. Si autem videtur, Psalmum prosequamur ab initio. Deus laudem meam ne tacueris. Alius autem inter- C pres dicit: Deus laudationis meę ne obsurdueris. Alius, Ne silueris, hoc est, ne prætermiseris punitionem, sed pœnas sume de iis quæ facta sunt. Tu es enim gloriosus, magnus & potens hæc corrigere. Quoniam os peccatoris, & os dolosi super me apertū est. Locuti sunt aduersum me lingua dolosa, & sermonibus odij circumdederunt me, & expugnauerunt me gratis. Pro eo vt me diligerent, detrahebant mihi: ego autem orabam. Vidisti insignē improbitatem? Vidisti insidiarum conspirationem? Vidisti studiū & præmeditationem? Hoc D enim Deum maximè irritat, quando consultò, & præmeditatò, & dedita opera ab improbis mala fiunt. Aliud est enim cùm quis deceptus & seductus labitur, aliud cùm quis vitiū & improbitatem exercet: & aliud rursus, (quod est crimen maximum) quando se improbè gerunt in eum qui non est improbus. Dicendo enim, pro eo vt me diligerent, detrahebant gratis: nihil aliud significat, quàm quòd in benefactorem, & eum qui dignus est amari, & bonam remunerationem consequi, se omnino contrà gerunt. Ego autem orabam. Vidisti philosophiam? vidisti moderationem? vidisti mansuetudinem? vidisti animæ pietatem & religionem?

In sacerdotes Dei non insurgendum.

Filij in sacris literis qui dicantur.

Ioan. 8.

Filij diaboli.

Filij Abrahæ.

Ioan. 8.

Ezech. 18.

1. Reg. 4.

Peccata dedita opera commissa, grauiora sunt.

Non armabar, inquit, nec contra eum aciem instruebam, sed ad te confugiebam, tuum implorabam, auxilium, tuam opem, arma tua potentissima, tuum inexpugnabile præsidium. Deinde cùm de Iuda dixisset, quomodo seipsum condemnauit, quomodo se suffocauit, quomodo eius Apostolatus translatus est in alium, rursus prius argumentum persequitur. Nam hæc quoque est prophetiæ species, quod dicitur interrumpere, & aliquam historiam inijcere, & vbi eam recensuerit, rursus ad priora reuerti. Obscura est enim prophetia propter ingratum Iudæorum animum. Significat ergo, vt iam dixi, aliquem qui in sacerdotium parauit insidias post tempus reuersionis à Babylone. Qui sunt autem diligentiores, hoc sciũt, qui historiam perlegerint. Ei ergo magna mala prædicit, nempe vt sit omnibus defensoribus defectus: & rogat vt omnis ei portus obstruatur, & nullam assequatur humanitatem, clementiam, aut veniam. Hæc autem, vt antè dixi, & assiduè dicere non cessabo, videntur quidem esse imprecatio, sunt autem prophetia, quæ ostendit quomodo Deus irritatur, quando insidiæ parãtur sacerdotio. Deinde sigillatim persequitur calamitates, & dicit: 16. *Pro eo, quòd non est recordatus facere misericordiam.* 17. *Et persecutus est hominem inopem & mendicum, & compunctum corde mortificare.* Hoc est extremæ crudelitatis, hoc summæ inhumanitatis, quãdo nõ solùm insidiatur quispiam, sed ei insidiatur, qui potest mouere ad clementiam, & flectere ad cõmiseratione͂. Qui est enim eiusmodi, ad ferarũ sæuitiam deductus est, imò verò vel illis sæuior effectus est. Feris enim feritas natura insita est: hic autẽ ratione ornatus, suam nobilitatem improbitati prodidit. Et illæ quidem cum iis quæ sunt eiusdem generis, quandam amicitiam seruant & mansuetudinem: hi autem ne communem quidem naturam sunt reueriti, sed cuius oportebat misereri, quem ferre & erigere, eum deturbabant & euertebant. 18. *Et dilexit maledictionem, & veniet ei. Et noluit benedictionem, & elongabitur ab eo.* Postquam multas calamitates ei imprecatus est, ostendit deinceps non ipsum, sed illum horum fuisse principium & causam, vt qui factis quidem suis Dei auxilium repulerit,

Mos propheticus historiam inferendi.

Nec 4.

Collatio.

Ferarum inter se amicitia.

A οὐχ ὡπλιζόμην, φησὶν, οὐδὲ ἀντιπαρεταττόμην, ἀλλ' ἐπὶ σὲ κατέφευγον· τὴν σὴν ἐκάλουν συμμαχίαν, τὴν ῥοπὴν, τὸ μέγιστον ὅπλον τὴν βοήθειαν τὴν ἀχείρωτον. εἶτα εἰπὼν τὰ κατὰ τὸν Ἰούδαν, πῶς ἑαυτὸν κατεδίκασε; πῶς τὴν ἐπὶ θανάτου ἐξήνεγκε ψῆφον καθ' ἑαυτοῦ, πῶς ἀπήγξατο, πῶς ἡ ἀποστολὴ αὐτοῦ πρὸς ἕτερον μετέστη, πάλιν ἔρχεται τῆς προτέρας ὑποθέσεως. καὶ γὰρ καὶ τοῦτο προφητείας εἶδος, μεταξὺ διακόπτειν, καὶ ἱστορίαν τινὰ ἐμβάλλειν, καὶ μετὰ τὸ ταύτην διεξελθεῖν πάλιν ἐπὶ τὰ πρότερα καὶ ἐπανιέναι. συσκιάζεται γὰρ διὰ τὴν ἀγνωμοσύνην B τῶν Ἰουδαίων ἡ προφητεία· αἰνίττεται γοῦν τινα, ὅπερ ἔφθην εἰπὼν, ἱερωσύνῃ ἐπιβουλεύσαντα μετὰ τοὺς χρόνους τοὺς ἐκ τῆς ἐπανόδου τῆς ἐκ Βαβυλῶνος. καὶ οἱ φιλοπονώτεροι ἴσασι τοῦτο τὴν ἱστορίαν ἐπελθόντες, καὶ προφητεύει μεγάλα τῷ τοιούτῳ κακά· ἐρημίαν προστατῶν, καὶ πάντας ἀξιοῖ προσχώννυσθαι αὐτῷ λιμένα, καὶ μηδεμιᾶς τυχεῖν μακροθυμίας, μηδὲ φιλανθρωπίας, μηδὲ συγγνώμης. ταῦτα δὲ, ὅπερ ἔφθην εἰπὼν, καὶ συνεχῶς λέγων οὐ παύσομαι, δοκεῖ μὲν εἶναι ἀρᾶς, προφητεία δέ ἐστι, δεικνύουσα πῶς παροξύνεται ὁ Θεὸς, ὅταν ἱερωσύνη ἐ- C πιβουλεύηται. εἶτα κατὰ λέξιν τὰς συμφορὰς ἐπεξέρχεται, καί φησιν· ἀνθ' ὧν οὐκ ἐμνήσθη ποιῆσαι ἔλεος· καὶ κατεδίωξεν ἄνθρωπον πένητα καὶ πτωχὸν, καὶ κατανενυγμένον τῇ καρδίᾳ τοῦ θανατῶσαι. τοῦτο ἐσχάτης ὠμότητος, τοῦτο πολλῆς ἀπανθρωπίας, ὅταν μὴ μόνον τις ἐπιβουλεύῃ, ἀλλὰ καὶ τὸν ἱκανὸν ἐπικλάσαι πρὸς ἔλεον καὶ πρὸς συμπάθειαν ἐπικάμψαι. ὁ γὰρ τοιοῦτος πρὸς τὴν τῶν θηρίων ἀγριότητα ἐξώκειλε, μᾶλλον δὲ καὶ ἐκείνων χαλεπώτερος γέγονε. D τοῖς μὲν γὰρ θηρίοις κατὰ φύσιν τὸ θηριῶδες· οὗτος δὲ λόγῳ τιμηθεὶς τῇ πονηρίᾳ τὴν εὐγένειαν προδέδωκε· κἀκεῖνα μὲν πρὸς τὸ ὁμόφυλον καὶ συγγενὲς ἔχει τινὰ φιλίαν καὶ ἡμερότητα· οὗτοι δὲ οὐδὲ τὸ κοινὸν τῆς φύσεως ᾐδέσθησαν· ἀλλ' ὃν ἔδει ἐλεεῖν καὶ ἀνέχειν καὶ ἀνορθοῦν, τοῦτον ὤθουν καὶ ἀνέτρεπον· καὶ ἠγάπησε κατάραν, καὶ ἥξει αὐτῷ, καὶ οὐκ ἠθέλησεν εὐλογίαν, καὶ μακρυνθήσεται ἀπ' αὐτοῦ. ἐπειδὴ πολλὰς κατηύξατο αὐτοῦ συμφορὰς, δείκνυσιν οὐ παρ' αὐτοῦ, ἀλλὰ παρ' ἐκείνου τὴν ἀρχὴν τούτων γενομένην, καὶ τὴν αἰτίαν τὴν διὰ τῶν ἔργων ἀποκρουσαμένου μὲν τὴν παρὰ τοῦ Θεοῦ ῥοπὴν,

ἐπισπασαμένους ἢ τὴν ἐπιπλεχθεῖσαν πληγήν. καὶ ἐνεδύσατο κατάραν ὡς ἱμάτιον, καὶ εἰσῆλθεν ὡσεὶ ὕδωρ εἰς τὰ ἔγκατα αὐτοῦ, καὶ ὡσεὶ ἔλαιον ἐν τοῖς ὀστέοις αὐτοῦ. ἐνταῦθα καὶ τὸ σφοδρὸν τῆς πληγῆς, καὶ τὸ μόνιμον τῆς τιμωρίας ἐνδείκνυται, δηλῶν, ὅτι πᾶσιν ἀνθρώποις τὰ κακὰ οἴκοθεν, καὶ παρὰ τῆς οἰκείας γνώμης, οἱ διὰ τῶν ἔργων καὶ τῶν πράξεων τὰ μὲν ἀγαθὰ διακρούονται, ταῖς δὲ τιμωρίαις ἑαυτοὺς ἐπεμβάλλουσι. γενηθήτω αὐτῷ ὡς ἱμάτιον, ὃ περιβάλλεται, καὶ ὡσεὶ ζώνη, ἣν διαπαντὸς περιζώννυται. τοῦτο δέ φησι, δεικνὺς τὴν ἄφατον τοῦ Θεοῦ ὀργὴν τὴν μεταδιώκουσαν τοὺς τοιούτους· ὃ δὲ λέγει τοῦτό ἐστιν· οὕτως αὐτοὺς τὰ κακὰ καθέξει, ὡς μηδὲ μεταβολήν τινα δέξειν, ἀλλ' ἐναποστηριχθήσεται ἐν αὐτοῖς, καὶ μενεῖ βέβαια. εἶτα δεικνὺς, ὅτι πονηρίαν κολάζει, καὶ κακίαν διορθοῦται, καὶ ὅτι οὐ κατ' ἐκείνου μόνου, ἀλλὰ κατὰ πάντων τῶν ὑπευθύνων τοῖς λεγομένοις ὄντων ἡ τοιαύτη κείσεται ψῆφος, ἐπήγαγε· τοῦτο τὸ ἔργον τῶν ἐνδιαβαλλόντων με παρὰ κυρίῳ. τουτέστιν· αὕτη ἡ τιμωρία· αὕτη ἡ δίκη τῶν ἀντιστατούντων μοι, τῶν ἐπιβουλευόντων, τῶν πολεμούντων, καὶ τῶν λαλούντων πονηρὰ κατὰ τῆς ψυχῆς μου. ἄρα καὶ ῥημάτων εἰσὶν εὔθυναι, καὶ εὔθυναι πικρόταται. ἀπαρτίσας τοίνυν τὸν περὶ ἐκείνου λόγον ἐπὶ τὸν Θεὸν καταφεύγει πάλιν ὑπὲρ τῆς εἰς αὐτὸν ἀντιλήψεως. οὐδὲ γὰρ μέχρι τῆς τιμωρίας τῶν ἐπιβουλευόντων ἵσταται· ἀλλὰ δεικνὺς, ὅτι οἱ κακῶς πάσχοντες καὶ τιμωρὸν ἔχουσιν, ὑπὲρ ὧν ἀδικοῦνται, καὶ αὐτοὶ πολλῆς τυγχάνουσι τῆς ἀντιλήψεως, ἐπάγει λέγων· καὶ σὺ κύριε ποίησον μετ' ἐμοῦ, ἕνεκεν τοῦ ὀνόματός σου. ὅρα εὐγνωμοσύνην· ὅρα ταπεινοφροσύνην. καίτοι γε ἱκανὴν εἶχεν εἰς συνηγορίαν ἀφορμὴν τὸ κακῶς παθεῖν· καὶ γὰρ καὶ τοῦτο τῶν γραφῶν πολλαχοῦ ἐστιν ἰδεῖν, ὅτι οἱ κακῶς πάσχοντες ἀδίκως παρὰ ἀνθρώπων, πλείονα ἔχουσι παρρησίας ἀφορμὴν πρὸς τὸ τυχεῖν τῆς παρὰ τοῦ Θεοῦ ῥοπῆς· ἀλλ' ὅμως ἀφεὶς τοῦτο εἰπεῖν ἐπὶ τὴν φιλανθρωπίαν μόνην τοῦ Θεοῦ καταφεύγει καὶ λέγει· ποίησον μετ' ἐμοῦ ἕνεκεν τοῦ ὀνόματός σου· μονονουχὶ τοῦτο λέγων· οὐκ ἐπειδὴ ἄξιός εἰμι, ἀλλὰ διὰ σεαυτὸν, ὅτι φιλάνθρωπος εἶ, καὶ ἐλεήμων. διὸ καὶ ἐπάγει· ὅτι χρηστὸν τὸ ἔλεός σου.

A diuinam autem vindictam attraxerit. *Et induit maledictionem sicut vestimentum suum, & intrauit sicut aqua in interiora eius, & sicut oleum in ossibus eius.* Hic & plagæ vehementiam, & supplicij stabilitatem ostendit, significans mala omnibus hominibus è domo sua & animi sui sententia proficisci, qui factis quidem & actionibus bona repellunt, in supplicia autem seipsos inijciunt. 19. *Fiat ei sicut vestimentum quo operitur, & sicut zona quæ semper præcingitur.* Hoc autẽ dicit, ostendens iram Dei ineffabilem, quæ os qui sunt eiusmodi persequetur. Quod au- B tem dicit, est eiusmodi: Mala eos ita tenebunt, vt ne vllam quidem mutationem habeant: sed in eis firma manebunt, & stabilia. Deinde ostẽdens quòd castigat improbitatem, & vitium corrigit, & quòd non in illũ solùm, sed etiam in omnes qui sunt iis quæ dicuntur obnoxij, hæc statuetur sentẽtia, subiunxit: 20. *Hoc opus eorum qui detrahunt mihi apud Dominum, & qui loquuntur mala aduersus animam meam.* Id est, Hæc est pœna, hoc est supplicium eorum, qui mihi aduersantur, qui insidiantur, qui bellum gerunt. Et qui loquuntur mala aduersus ani- C mam meam. Ergo etiam pro verbis exigitur ratio, & pro eis sumuntur pœnæ acerbissimæ. Absoluta itaque de his oratione, ad Deum rursus confugit pro eius impetrando auxilio. Neque enim sistit in pœna eorum qui parant insidias, sed ostendens quòd qui malis afficiuntur, habent etiam Deum vltorem pro iis quas accipiunt iniuriis, ipsique firmam ac validam assequuntur defensionem, subiungit, dicens: 21. *Et tu Domine fac mecum propter nomen tuum.* Vide gratum & pium animum, D vide humilitatem. Quamuis enim satis iustam causam haberet petendi auxilij, quòd mala pateretur (hoc enim potest videri in multis locis scripturæ, quòd qui ab hominibus iniustè malis afficiuntur, liberè petendi à Deo auxilij iustam & honestã habent occasionem:) ille tamen prætermittens hoc dicere, confugit ad solam Dei clementiam, & dicit: Et tu Domine fac mecum propter nomen tuum, propemodum hoc dicens: Non quoniam sum dignus, sed propter teipsum, quoniam es clemens & misericors. Et ideo subiungit, *Quia suauis est misericordia tua.*

Pro verbis etiam ratio exigitur. Rom. 12. 2. Cor. 1. 4.

3. Reg. 19. 4. Reg. 19. Dan. 3.

Et rectè dixit, suauis est misericordia tua. Homines enim sæpe non sunt eiusmodi: nam ea sæpe vtuntur ad detrimentum & exitium: sed Deus semper ad vtilitatem 22. *Libera me, quia egenus & pauper sum ego. Et cor meum conturbatum est intra me.* Vides eum rursus orare vt seruetur, non vt qui sit diuinus, nec iustus, sed vt qui sit omnino euersus, vt qui confectus, vt qui mala passus innumerabilia? *Et cor meum conturbatum est intra me.* Talis enim & tanta est vis calamitatum, non corpus solum vexat, verùm etiam conturbat animum.

23. *Sicut vmbra cùm declinat ablatus sum, excussus sum sicut locustæ.* Dicit vehementes insidias eorum qui illum iniuria affecerunt, & malignitatem ineffabilem, & rursus studium ac diligentiam quam ipse in eis adhibuit. 24. *Genua mea infirmata sunt à ieiunio. Et caro mea immutata est propter oleum.* Vides quænam arma comparat aduersus insidias, & eam, qua & ipsum vexabant, afflictionem? 25. *Et ego factus sum opprobrium illis: viderunt me, mouerunt capita sua.* Tales sunt improborum animi, non modo non cedunt quando viderint iustum eis opponentem pietatem et religionem, sed eis etiam probra ingerunt, eósque ludificantur, & insultant. Quid hic autem? Ad auxilium inexpugnabile, ad opem confugit insuperabilem, dicens: 26. *Adiuua me Domine Deus meus, & saluum me fac secundùm misericordiam tuam.* 27. *Et sciant quia manus tua hæc, & tu Domine fecisti eam.* Quid est manus tua hæc? Tuum auxilium. Tuum, inquit, præsidium. Nolo enim solummodo seruari: sed illos etiam scire à quo seruatus sum, vt sit mihi duplex trophæum, duplex corona, ingens gloria. 28. *Maledicent illi, & tu benedices. Qui insurgunt in me, confundantur.* Docet hic auditorem quādam philosophiam. Ostendit enim quòd etiamsi diris innumerabilibus deuoueant, si Deus benedicat, nihil detrimenti ex eis accipiet, sed in ipsos vertentur probra & ignominiæ. *Seruus autem tuus lætabitur in te.* Rectè dixit, In te, significans illinc proficisci lætitiam, vnde bona suppeditantur. Restat vt nulla me possit perturbare molestia, cùm tua mihi ma-

Hier. 37. Act. 5. 16. 22.

Manus Dei.

In te, nusquam legi.

A Καλῶς εἶπεν, ὅτι χρηστὸν τὸ ἔλεός σου. τὸ γὰρ τῶν ἀνθρώπων οὐ τοιοῦτον πολλαχοῦ· ἔστι γὰρ ὅπου καὶ ἐπὶ βλάβῃ τούτῳ κέχρηνται, καὶ ἐπὶ διαφθορᾷ· ἀλλ' ὁ Θεὸς πανταχοῦ πρὸς τὸ συμφέρον. ῥῦσαί με, ὅτι πτωχὸς καὶ πένης εἰμὶ ἐγώ, καὶ ἡ καρδία μου τετάρακται ἐντός μου· ὁρᾷς αὐτὸν πάλιν ἀξιοῦντα σωθῆναι, οὐχ ὡς ἄξιον, οὐδὲ ὡς δίκαιον, ἀλλ' ὡς ἀνατραπέντα παντελῶς, ὡς κατειργασμένον, ὡς μυρία παθόντα κακά; καὶ ἡ καρδία μου τετάρακται ἐντός μου. τοιαύτη γὰρ τῆς συμφορᾶς ἡ δύναμις, οὐ σῶμα λυμαίνεται μόνον, ἀλλὰ καὶ ψυχὴν θορυβεῖ. ὡς σκιὰ ἐν τῷ B ἐκκλῖναι αὐτήν, ἀντανῃρέθην, ἐξετινάχθην ὡσεὶ ἀκρίδες· τὸ σφοδρὸν τῆς ἐπιβουλῆς τῶν ἀδικησάντων λέγει, τὴν κακουργίαν τὴν ἄφατον, καὶ τὴν παρ' ἑαυτοῦ πάλιν γινομένην ἐν τοῖς τοιούτοις σπουδήν. τὰ γόνατά μου ἠσθένησαν ἀπὸ νηστείας, καὶ ἡ σάρξ μου ἠλλοιώθη δι' ἔλαιον. ὁρᾷς οἷα κατασκευάζει ὅπλα πρὸς τὰς ἐπιβουλάς, καὶ τὴν πρὸς αὐτὸν κακουργίαν; καὶ ἐγὼ ἐγενήθην αὐτοῖς ὄνειδος· εἴδοσάν με, ἐσάλευσαν κεφαλὰς αὐτῶν. τοιαῦται τῶν πονηρῶν αἱ γνῶμαι· οὐ μόνον οὐκ ἐνδιδόασιν, ὅταν ἴδωσι τὸν C δίκαιον ἐπιτείνοντα τὴν εὐλάβειαν, ἀλλὰ καὶ ὀνειδίζουσι καὶ κωμῳδοῦσι, καὶ ἐπεμβαίνουσι. τί οὖν οὗτος; ἐπὶ τὴν ἄμαχον συμμαχίαν, ἐπὶ τὴν ἀχείρωτον βοήθειαν καταφεύγει λέγων· βοήθησόν μοι κύριε ὁ Θεός μου, καὶ σῶσόν με κατὰ τὸ ἔλεός σου· καὶ γνώτωσαν ὅτι ἡ χείρ σου αὕτη, καὶ σὺ κύριε ἐποίησας αὐτήν. τί ἐστιν ὅτι ἡ χείρ σου αὕτη; ὅτι ἡ συμμαχία. ὅτι σή, φησιν, ἡ βοήθεια. οὐ γὰρ δὴ σωθῆναι βούλομαι μόνον, ἀλλὰ καὶ ἐκείνους μαθεῖν παρά τινος ἐσώθην, ὥστε διπλοῦν μοι γενέσθαι τὸ τρόπαιον, διπλοῦν τὸν στέφανον, D ἐπιτεταμένην τὴν δόξαν. καταράσονται αὐτοί, καὶ σὺ εὐλογήσεις· οἱ ἐπανιστάμενοί μοι αἰσχυνθήτωσαν, ὁ δὲ δοῦλός σου εὐφρανθήσεται. ἐντεῦθεν φιλοσοφίαν τινὰ παιδεύει τὸν ἀκροατήν. δείκνυσι γὰρ ὅτι κἂν μυρίαις βάλωσι ταῖς ἀραῖς, εὐλογοῦντος τοῦ Θεοῦ οὐδὲν ἔσται βλάβος ἀπ' ἐκείνων, ἀλλ' εἰς αὐτοὺς περιτραπήσεται τὰ τῆς αἰσχύνης, τὰ τῶν ὀνειδῶν. ὁ δὲ δοῦλός σου εὐφρανθήσεται ἐπί σοι. καλῶς εἶπεν ἐπί σοι· δηλῶν, ὅτι ἐκεῖθεν ἡ εὐφροσύνη, ὅθεν ἡ χορηγία τῶν ἀγαθῶν. λοιπὸν οὐδείς με τῶν μοχθηρῶν θορυβῆσαι δυνήσεται τῆς εὐφροσύνης μοι τῆς παρά σου μενούσης

ἀκρεμίου. ἐνδυσάσθωσαν οἱ ἐνδιαβάλλοντές με ἐντροπήν, καὶ περιβαλέσθωσαν ὡς διπλοΐδα αἰσχύνην αὐτῶν. ὅρα πάλιν πῶς ἀξιοῖ μὴ κολασθῆ παραδοθῆναι αὐτοὺς μόνον, ἀλλ' αἰσχύνῃ, ἀλλ' ἐντροπῇ· ὥστε διδασκαλίαν αὐτοῖς γενέσθαι διορθώσεως, καὶ ὑπόθεσιν τῆς ἐπὶ τὸ βέλτιον μεταβολῆς. ἐξομολογήσομαι τῷ κυρίῳ σφόδρα ἐν τῷ στόματί μου, καὶ ἐν μέσῳ πολλῶν αἰνέσω αὐτόν. ὅτι παρέστη ἐκ δεξιῶν πένητος· τοῦ σῶσαι ἐκ τῶν καταδιωκόντων τὴν ψυχήν μου. αὕτη δὴ τούτων πάντων ἀμοιβὰς ἀνατίθησι τῷ Θεῷ τὰς ὑμνολογίας, τὴν εὐχαριστίαν, τὸν αἶνον, τὸ παρὰ πᾶσιν ἀπαγγέλλειν αὐτοῦ τὰ κατορθώματα, τὸ ἐν μέσῳ θεάτρου κήρυκα γίνεσθαι τῶν αὐτῷ ὑπαρξάντων ἀγαθῶν· τοῦτο γὰρ θυσία, τοῦτο προσφορά, τὸ τὰς εὐεργεσίας τοῦ Θεοῦ διηνεκῶς ἐπὶ μνήμης φέρειν, καὶ ἐγκολάπτειν τῇ διανοίᾳ, καὶ ἐπὶ στόματος ἀνακηρύττειν, καὶ πολλοὺς ποιεῖν ἀκούσας τῶν εὐεργεσιῶν αὐτοῦ. οὕτω γὰρ ὅ τε ἀπολελαυκὼς τῆς εὐεργεσίας, εὐγνωμοσύνης λήψεται ἀμοιβήν, καὶ πλείονα ἐπισπάσεται παρὰ τοῦ Θεοῦ τὴν ῥοπήν· οἵ τε ἀκούοντες ἀπὸ τῶν ἑτέροις γινομένων σπουδαιότεροι καταστήσονται, καὶ πρὸς ἀρετῆς ζῆλον μεγίστην λήψονται τὴν ἑτέρων εὐεργεσίαν ὑπόθεσιν.

A neat integra lætitia. 29. *Induantur, qui detrahunt mihi, pudore. & operiantur sicut diploide confusione sua.* Vide quomodo rursus rogat, vt non solùm tradantur supplicio, sed etiam pudori & ignominiæ, vt id sit eis doctrina correctionis, & occasio mutationis in meliora. 30. *Confitebor Domino nimis in ore meo, & in medio multorum laudabo eum.* 31. *Quia astitit à dextris pauperis, vt saluam faceret à persequentibus animam meam.* Pro his omnibus Deum remuneratur hymnis, laude, gratiarum actione. Præclara enim eius facta apud omnes annuntiare, in medio theatro prædicare ea quæ ab illo collata sunt, hoc est sacrificium, hoc oblatio, Dei beneficia habere perpetuò in memoria, eáque menti suæ imprimere, & ore prædicare, & facere vt eius beneficia à multis audiantur. Nam & qui beneficium acceperit, pro grato animo mercedem accipiet, & maius Dei in se auxilium attrahet: & qui audiunt, ex iis quæ aliis facta sunt, euadent meliores, & ad virtutem persequendam accipient maximum incitamentum ex beneficiis quæ ab aliis accepta sunt.

In te nusquam legi.

Εἰς τὸν ρθ' ψαλμόν.

Εἶπεν ὁ κύριος τῷ κυρίῳ μου κάθου ἐκ δεξιῶν μου.

Διαναστῶμεν παρακαλῶ, καὶ συντείνωμεν ἑαυτούς. καὶ γὰρ περὶ σφόδρα μεγάλων ἡμῖν ὁ ψαλμὸς διαλέγεται θεωρημάτων, οὐ πρὸς ἓν εἶδος αἱρέσεως, ἀλλὰ πρὸς ποικίλα καὶ διάφορα ἑστηκώς. καὶ γὰρ πρὸς Ἰουδαίους, καὶ πρὸς Παῦλον τὸν Σαμοσατέα, καὶ πρὸς τοὺς τὰ Ἀρείου φρονοῦντας, καὶ πρὸς τοὺς τὰ Μαρκίωνος, καὶ πρὸς τοὺς Μανιχαίους, καὶ πρὸς ἅπαντας τοὺς τῇ ἀναστάσει διαπιστοῦντας παρατάττεται. ἐπεὶ οὖν πρὸς τοσούτους ἡ παράταξις, πολλῶν καὶ ἡμῖν ὀφθαλμῶν δεῖ, ὥστε μετ' ἀκριβείας θεωρῆσαι τὰ παλαίσματα. ἐν μὲν γὰρ τοῖς ἔξωθεν ἀγῶσι καὶ τροφῇ τῇ τῶν παλαισμάτων τῶν ἐν αὐτοῖς, ὅταν ἐλα-

IN PSALMVM CIX.

Dixit Dominus domino meo: sede à dextris meis.

EXVRGAMVS quæso, & animum intendamus. Psalmus enim disserit de valde magnis contemplationibus, non vni soli hæresi, sed variis & diuersis obsistens. Nam & aduersus Paulum Samosatenum, & aduersus Arrianos, & aduersus Marcionistas, & aduersus Manichæos, & aduersus omnes qui resurrectioni non credunt, struit aciem. Quoniam ergo contra tot aduersarios instructa est acies, nobis quoque multis oculis opus est, vt quæ sit luctandi ratio, & quomodo inuadantur, exactè considerare possimus. In externis enim certaminibus etsi aliqua eorum colluctandi & concertandi ratio minimè animaduersa fuerit, in

Collatio elegans.

iis non læditur spectator. Non enim doctrinæ, sed delectationis gratia illud theatrum eò coactum est. Hic autem nisi exactè cognoueris vndenam aciem suam instruit, & vnde nos eum aggredimur, non leue detrimentum senties. Ne hoc ergo tibi eueniat, mentem tuam excita, arrectæ & attentæ tibi sint aures. Iudæos primùm inuadimus, aduersus illos aciem instruimus, ex his verbis huius Prophetæ auxilio vtentes. Cùm nos etiam dicamus hæc de Christo dicta esse, hæc quidem non admittunt, fingunt autem manifestè quædam alia. Quæ ergo dicunt primùm conuincamus, ac deinceps id quod dicimus confirmemus. Atque nunc quidem eos primùm rogemus, quis est huius iusti dominus? Dixit enim, inquit, Dominus domino meo: Non meminit enim hîc vnius personæ, sed vnius qui cum vno altero loquitur. Quemnam ergo dicunt esse eum qui dicit? Deum. qui autem audit? Abraham. Alij verò Zorobabel, & alij alium. Vt ebrij, & nihil quod conueniat loquentes, imò verò sicut qui in tenebris ambulant, & pulsant alter alterum. Quid ergo, dic mihi quæso, estne Zorobabel Dauid dominus? Et quomodo fuerit hoc consentaneum, cùm ipse pro magno honore Dauid appellatus sit? Porrò autem ea quæ consequuntur, ostendunt nihil hîc dictum esse de Zorobabel, nec de Dauide: nullus enim eorum honore sacerdotali functus est: hic autem dictum est de aliquo, qui nouum aliquod & admirabile sacerdotium obiit Tu es enim, inquit, sacerdos in æternum, secundum ordinem Melchisedech. Sed nunc quod est præsens explicemus Dicunt enim adhuc alia quædam his vaniora, dicentes hæc dicta esse de populo: sed neque populus fuit sacerdos: neque alia quæ dicta sunt ei possunt conuenire. Eo itaque tanquam inani prætermisso, & quod non opus habet probatione vt euertatur, aliud quod dicunt, in medium adducamus. Quid ergo rursus dicunt alij? Quòd filius Abrahæ hæc dicit de domino suo. Et quid possit eo esse vanius? Quid enim hîc vult filius Abrahæ? Vbi autem sacerdos fuit eius dominus, qui etiam ipse sacerdote Melchisedech vsus est, & petiit ab eo benedictionem? Quomodo autem

Collatio Iudaicæ impietatis.

Genes. 4.

A τῶν θεατῶν. οὐ γὰρ διδασκαλίας ἕνεκεν, ἀλλὰ τέρψεως ἐκεῖνο τὸ θέατρον συνείλεκται. ἐνταῦθα δὲ ἐὰν μὴ μετὰ ἀκριβείας εἰδῇς, πόθεν μὲν ἐκεῖνος παρατάττεται, πόθεν δὲ ἡμεῖς αὐτὸν βαλλόμεθα, οὐ τὴν τυχοῦσαν ὑποστήσῃ ζημίαν. ἵν' οὖν μὴ τοῦτο πάθῃς, διανάστησόν σου τὴν διάνοιαν, μετέωρον ποίησον τὴν ἀκοήν. Ἰουδαίοις βαλλόμεθα πρότερος, καὶ πρὸς ἐκείνους παρατατόμεθα, τὸν προφήτην ἀπὸ τῶν ῥημάτων λαβόντες σύμμαχον τούτων. καὶ γὰρ λεγόντων ἡμῶν, ὅτι σαφῶς περὶ τοῦ Χριστοῦ ταῦτα εἴρηται, ταῦτα μὲν οὐ καταδέχονται, ἕτερα δὲ τινα πλάττουσιν. ἐκεῖνων πρότερον αὐτῶν τὸν λόγον ἀπελέγξωμεν, καὶ τότε τὸν ἡμέτερον ἀποδείξωμεν. καὶ
B τέως ἐρώμεθα νῦν αὐτοὺς. τίς ὁ κύριος τοῦ δικαίου τούτου; εἶπε γάρ, φησιν, ὁ κύριος τῷ κυρίῳ μου· οὐ γὰρ ἑνὸς προσώπου μέμνηται ἐνταῦθα, ἀλλ' ἑνὸς πρὸς ἕνα ἕτερον διαλεγομένου. τίνα οὖν φασι τὸν λέγοντα; τὸν Θεόν, τὸν δὲ ἀκούοντα τὸν Ἀβραάμ. ἕτεροι δὲ τὸν Ζοροβάβελ, καὶ ἄλλοι ἕτερον, καθάπερ οἱ μεθύοντες, καὶ μηδὲν σύμφωνον φθεγγόμενοι· μᾶλλον δὲ καθάπερ οἱ ἐν σκότῳ βαδίζοντες, καὶ προσρασσοντες ἀλλήλοις.
C τί οὖν, εἰπέ μοι, Ζοροβάβελ κύριος τοῦ Δαβίδ; καὶ πῶς ἂν ἔχοι λόγον, ὃς καὶ αὐτὸς ἀντὶ μεγάλης τιμῆς Δαβὶδ κέκληται; καὶ τὰ ἐπιόντα δὲ δηλοῖ, ὅτι οὐδὲν περὶ τοῦ Ζοροβάβελ ἐνταῦθα εἴρηται, οὐδὲ περὶ τοῦ Δαβίδ· οὐδεὶς γὰρ αὐτῶν ἱερωσύνῃ τετίμηται· ἐνταῦθα δὲ περί τινος εἴρηται ἱερωσύνην ἔχοντος ξένην τινὰ καὶ παράδοξον. σὺ γάρ, φησιν, ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ. ἀλλὰ τέως τὸ παρὸν ἀναπτύξωμεν· καὶ γὰρ καὶ ἕτερά τινα λέγουσι τούτων ἑωλότερα, περὶ τοῦ λαοῦ λέγοντες ταῦτα
D εἰρῆσθαι. ἀλλ' οὔτε ἱερεὺς ὁ λαὸς γέγονεν, οὔτε τὰ ἕτερα τὰ εἰρημένα δυνηθείη ποτὲ αὐτῷ ἁρμόσαι· διόπερ καὶ τοῦτο ὡς ἕωλον παραδραμόντες, καὶ οὔτε κατασκευῆς δεόμενον εἰς ἀνατροπήν, ἕτερον, ὅπερ λέγουσιν, εἰς μέσον ἀγάγωμεν. τί γάρ φησιν ἄλλοι πάλιν; ὅτι ὁ παῖς τοῦ Ἀβραὰμ ταῦτα λέγει περὶ τοῦ κυρίου τοῦ ἑαυτοῦ. καὶ τί τούτου γένοιτο ἂν πάλιν ἑωλότερον; τί γὰρ ἐνταῦθα βούλεται ὁ παῖς τοῦ Ἀβραάμ; ποῦ δὲ ἱερεὺς ὁ κύριος αὐτοῦ γέγονεν, ὅς γε καὶ αὐτὸς ἱερεῖ τῷ Μελχισεδὲκ ἐκέχρητο, καὶ τὰς παρ' αὐτοῦ εὐλογίας ἐζήτει; πῶς δὲ ἂν ἔχοι λό-

γον περὶ τοῦ Ἀβραὰμ εἰρῆσθαι τὸ ἐκ γαστρὸς πρὸ ἑωσφόρου ἐγέννησά σε; πῶς δὲ ἂν ἢ τοῦ Δαβὶδ, ἢ τοῦ Ζοροβάβελ, ἢ τοῦ λαοῦ ταῦτα ἁρμόσειεν; ὑπὲρ γὰρ ἀνθρωπίνην φύσιν τὸ εἰρημένον. τὸ δὲ, κάθου ἐκ δεξιῶν μου· ποίαν χώραν ἑρμηνείαν ἐκείνων τῶν προσώπων ὑποκειμένων; οὐδὲ μίαν. πῶς δὲ τῷ Ἀβραὰμ εἶπε, κάθου ἐκ δεξιῶν μου, ὅς γε καὶ τὸ παρεστάναι τοῖς ἀγγέλοις μεγίστης ἄξιον ἡγεῖται τιμῆς εἶναι; ἀλλὰ τίς αὐτῶν ὁ σοφὸς λόγος; καὶ πῶς, φησὶ, κύριον εἰσάγεις ἕτερον, ὅταν ἡ γραφὴ διαῤῥήδην λέγῃ· κύριος ὁ Θεός σου κύριος εἷς ἐστι, καὶ αὐτῷ μόνῳ λατρεύσεις, καὶ πλὴν αὐτοῦ οὐκ ἔστι Θεός; πρὸς τίνα οὖν εἰπέ μοι ἐστὶ τὸ λεγόμενον; μάλιστα μὲν ἐκεῖνα πρὸς τὴν σὴν ἀγνωμοσύνην εἴρηται, ὦ Ἰουδαῖε. διὰ τί γὰρ τῷ Ἀβραὰμ οὐδὲν ἐλέχθη τοιοῦτον, οὐδὲ τῷ Ἰσαὰκ, οὐδὲ τῷ Ἰακὼβ, οὐδὲ τῷ Μωσῇ, ἀλλὰ σοὶ μόνῳ, ὅτε ἐξελθὼν ἐξ Αἰγύπτου ἐμοσχοποίεις, τίνος ἕνεκεν εἰπέ μοι; εἰ δὲ αὐτὸς ἀπορεῖς, παρ' ἐμοῦ τὴν αἰτίαν μάθανε· ἐπειδὴ γὰρ ἐξελθὼν ἐμοσχοποίησας, καὶ τῷ Βεελφεγὼρ ἐτελέσθης, καὶ πρὸς δῆμον θεῶν ἧς ἐπτοημένος, τὴν δῆμον ἐκείνην πολυθεΐαν εἰσάγων, ἀναστέλλων σου τὸ νόσημα, πρὸς αὐτὴν διαφθορὰν τῶν οὐκ ὄντων θεῶν τὸ εἷς ἔθηκεν, οὐ πρὸς ἀθέτησιν τοῦ μονογενοῦς. ἐπεὶ τίνος ἕνεκεν ἐν προοιμίοις εἴρηται εὐθέως· ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα, καὶ καθ' ὁμοίωσιν ἡμετέραν; καὶ πάλιν δεῦτε καὶ καταβάντες συγχέωμεν τὰς γλώσσας αὐτῶν· καὶ πάλιν ὁ Δαβὶδ, διὰ τοῦτο ἔχρισέ σε ὁ Θεὸς ὁ Θεός σου ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου. εἰ δὲ ὁ Μωϋσῆς λέγει, κύριος ὁ Θεός σου κύριος εἷς ἐστιν, ἡ ὑμετέρα ἀσθένεια γέγονεν αἰτία τούτων. καὶ τί θαυμάζεις εἰ ἐπὶ τῶν δογμάτων τοῦτο γέγονεν, ὅπου γε καὶ ἐπὶ τῶν πραγμάτων ἀπὸ τῶν τελειοτέρων ἐπὶ τὰ ἐλάττονα τὸν λόγον ἦγεν ὁ Θεὸς, τῇ ἀσθενείᾳ τῇ ἡμετέρᾳ συγκαταβαίνων; διὸ καὶ γυναῖκα τὴν μὲν ἐκβαλεῖν, τὴν δὲ εἰσάγειν ἐπέτρεπεν, ἀπ' ἀρχῆς οὐχ οὕτω νομοθετήσας, καὶ περὶ βρωμάτων πολλὴν ἐποιήσατο τὴν διάκρισιν, καίτοι γε ἐξ ἀρχῆς τὰ ἐναντία εἰπὼν, ὅτι ὡς λάχανα χόρτου δέδωκα ὑμῖν πάντα. καὶ περὶ τόπου πολλοὺς τέθηκε νόμους, οὐ συγχωρῶν πανταχοῦ

fuerit consentaneum dictum esse de Abrahamo, ex vtero ante Luciferum genui te? Quomodo autem de Dauidi, vel Zorobabel, vel populo hæc conuenerint? Naturam enim humanam superat, quod dictum est. Illud autem, Sede à dextris meis: quamnam habuerit interpretationem, si personæ illæ positæ fuerint? nullam. Quomodo autem dixit Abrahæ, Sede à dextris meis, qui vel Angelis assistere, duxit esse dignum honore maximo? Sed quidnam est quæso, quod pro sua dicunt sapientia? Et quomodo, inquiunt, alium introducis Dominum: cùm apertè dicat scriptura: Dominus Deus tuus Dominus vnus est, & eum solum coles, & præter ipsum non est Deus? Cui itaque, dic quæso, hoc dictum est? Immemori & ingrato tuo animo hæc maximè dicta sunt, ô Iudæe. Cur enim Abrahæ nihil eiusmodi dictum est, non Isaac, non Iacob, non Mosi, sed tibi soli, postquam ex Ægypto egressus conflauisti vitulum? Quanam ergo de causa dic mihi? Quod si ipse dubitas, à me causam edisce. Quoniam enim egressus vitulum conflaueras, & Beelphegor fueras initiatus, & deorum populum admirabaris, nefariam illam deorum multitudinem inducẽs: morborum tuum reprimens, ad deos, qui non sunt, distinguendos, posuit illud, vnus, non vt tolleret vnigenitum. Quanam enim de causa statim in procemiis dictum est: Faciamus hominem ad imaginem & similitudinẽ nostram? Et rursus: Agedum descendamus, & confundamus linguas eorum. Et rursus Dauid? Propterea vnxit te Deus Deus tuus oleo lętitiæ præ consortibus tuis. Si autem Moses dicit: Dominus Deus tuus dominus vsus est: imbecillitas vestra fuit in causa. Et quid mirum si hoc in dogmatibus factum est, quãdo etiam in rebus, à perfectioribus ad minus perfecta deduxit Deus orationem, se demittens ad nostram imbecillitatem? Quocirca & vxorem hanc quidem eijcere, illam verò permisit introducere, cùm nõ hanc legem tulisset ab initio. Ciborum quoque magnum fecit discrimen, licet contrarium dixisset ab initio: Tanquam olera agri dedi vobis omnia. De loco quoque multas leges sanxit, non permittens vbique

Deut. 6. 4.

Vt acriter & cominus pugnat.

Exod 32. Num. 25. Psal. 115. Vnde cur dicatur Deus.

Gen. 1.

Gen. 11. 7.

Ps. 44. 8.

Deut 24. Matth. 19. Leuit. 11. Gen. 2. Deut 12. Gen. 12. Exod. 3.

preces ad Deum porrigere, quamuis ne hoc quidem constituisset ab initio. Quinetiam in Persarũ regione Abrahę visus est, & in Palæstina, & vbique, & Mosi post hęc in solitudine. quid ergo? inquit, repugnátne sibiipsi scriptura? Absit: sed omnia pro tempore administrat & dispensat ad vtilitatem, vniuscuiusque generationis imbecillitatem corrigens. Et ideo tibi quidem dictum est, Dominus Deus tuus dominus vnus est. Quod autem habet etiam filium, Prophetæ etiam in libris suis posuerunt: & neque valde apertè dixerunt, ne tuam offenderent imbecillitatem: nec celarunt, vt post hæc tibi concederent respicere, & ex propriis libris colligere dogmata veritatis. Ita etiam maximè Prophetas poterimus Prophetas esse ostendere, & vt fide dignum sit vetus testamentum efficere, quando cum gentibus disserimus. Nam si hoc sustuleris, quomodo os gentibus obstrues? Quid enim dices? exitum ex Ægypto, & quæ de te prædicta sunt? Sed ea non valde admittet. Si autem narraueris quæ de Christo dicta sunt in veteri, & ostenderis rerum veritatem testari euentum prophetiæ, ne poterit quidem resistere. Si autem nostra reprehendas, ô Iudæe, quomodo vetus testamentum defendes? Si quis enim tibi dixerit: Quomodo sunt vera quæ scripsit Moses, quid dices? Quia eis credidimus? Multò magis ergo nostra vera sunt: nam nos quoque credidimus, & vos quidem estis vna gens, nos autem vniuersus orbis terrarum, & vobis non sic persuasit Moses, vt nobis Christus: & vestra quidem cessarunt, nostra verò stant. At ex prædictionibus. Sed sunt maiora quæ sunt apud nos. Nostra ergo si sustuleris, tuis vmbram offundis. At ex signis. Sed vos quidem Mosis nullum potestis signum ostendere: fuit enim, & transiit. Nos autem Christi multa & diuersa quę adhuc nunc fiunt, per prædictiones vel sole clariores. At ex legibus. Sed nostra plus in se cõtinent sapientiæ. Sed quid? prohibentibus Ægyptiis egressi estis. Sed longè maius est orbem terrarum bellantem superasse, quàm solos Ægyptios vicisse. Et hæc dico, non vt vetus cum nouo committam: absit: sed in-

Attende œconomiam Dei.
Esa. 9. 11. 53. 63.
Hier. 31.
Dan. 2. & 9.
Osee 11.
Mich. 5.

Malach. 1.
Rom. ...
Hier. 31.
Dan. 9.
Gal. 3. 4.
Hebr. 10.

A τὰς εὐχὰς ἐπιτελεῖν, καίτοι γε οὐδὲ τοῦτο ἐξ ἀρχῆς νομοθετήσας. ἀλλὰ καὶ ἐν τῇ Περσῶν γῇ τῷ Ἀβραὰμ ὤφθη, καὶ ἐν Παλαιστίνῃ· καὶ πανταχοῦ, καὶ τῷ Μωϋσεῖ μετὰ ταῦτα ἐπὶ τῆς ἐρήμου. τί οὖν; ἑαυτῇ φησὶ μάχεται ἡ γραφή; ἄπαγε· ἀλλὰ κατὰ καιρὸν πρὸς τὸ συμφέρον ἕκαστα οἰκονομεῖ, τὴν ἀσθένειαν ἑκάστης γενεᾶς διορθουμένη. διὰ δὴ τοῦτο πρὸς σὲ μὲν εἴρηται, κύριος ὁ Θεός σου κύριος εἷς ἐστιν. ὅτι δὲ καὶ υἱὸν ἔχει, κατετάξαντο οἱ προφῆται ταῖς βίβλοις, καὶ οὔτε σαφῶς σφόδρα εἰρήκασιν, ὥστε μὴ

B λυμήνασθαί σου τὴν ἀσθένειαν· οὔτε ἀπέκρυψαν, ὥστε μετὰ ταῦτά σοι δυνηθῆναι ἀναστῆναι, καὶ ἐκ τῶν οἰκείων βίβλων ἀναλέξασθαι τῆς ἀληθείας τὰ δόγματα. οὕτω μάλιστα καὶ τοὺς προφήτας δυνησόμεθα δεῖξαι προφήτας ὄντας, ὅταν πρὸς Ἕλληνας διαλεγώμεθα, καὶ ἀξιόπιστον σφόδρα τὴν παλαιὰν ἀποδείξομεν· ἐπεὶ ἐὰν τοῦτο ἀνέλῃς, πῶς ἀποῤῥάψεις τῶν Ἑλλήνων τὸ στόμα; τί γὰρ ἐρεῖς; τὴν ἔξοδον τὴν ἐξ Αἰγύπτου, καὶ τὰ εἰς σὲ προφητευθέντα; ἀλλ᾽ οὐ σφόδρα καταδέξεται. ἂν δὲ τὰ περὶ τοῦ Χριστοῦ εἰρημένα ἐν

C τῇ παλαιᾷ διηγήσῃ, καὶ δείξῃς τῶν πραγμάτων τὴν ἀλήθειαν μαρτυροῦσαν τῇ τῆς προφητείας ἐκβάσει, οὐδὲ ἀντιστῆναι δυνήσεται. εἰ δὲ ἐπιλάβοιο τῶν ἡμετέρων, ὦ Ἰουδαῖε, πῶς ὑπὲρ τῆς παλαιᾶς ἀπολογήσῃ; κἂν τίς εἴπῃ σοι, πόθεν ἀληθῆ τὰ Μωσέως, τί ἐρεῖς; ὅτι ἐπιστεύσαμεν αὐτοῖς; οὐκοῦν πολλῷ μᾶλλον καὶ τὰ ἡμέτερα· καὶ γὰρ καὶ ἡμεῖς ἐπιστεύσαμεν· καὶ ὑμεῖς μὲν ἓν ἔθνος ἐστὲ, ἡμεῖς δὲ πᾶσα ἡ οἰκουμένη, καὶ ὑμᾶς οὐχ οὕτως ἔπεισε Μωϋσῆς, ὡς ἡμᾶς ὁ Χριστὸς, καὶ τὰ μὲν ὑμέτερα πέπαυται, τὰ δὲ

D ἡμέτερα ἕστηκεν. ἀλλ᾽ ἀπὸ τῶν προῤῥήσεων; ἀλλὰ πλείω τὰ παρ᾽ ἡμῖν· οὐκοῦν καὶ τὰ ἡμέτερα ἐὰν ἀνέλῃς, τὰ σὰ συσκιάζεις. ἀλλ᾽ ἀπὸ τῶν σημείων; ἀλλ᾽ ὑμεῖς οὐδὲν ἔχετε δεῖξαι Μωϋσέως σημεῖον· γέγονε γὰρ καὶ παρῆλθεν. ἡμεῖς δὲ τοῦ Χριστοῦ πολλὰ καὶ διάφορα ἔτι καὶ νῦν γινόμενα, καὶ τὰς προῤῥήσεις ὑπὲρ τὸν ἥλιον λαμπούσας. ἀλλ᾽ ἀπὸ τῶν νόμων; ἀλλὰ ταῦτα φιλοσοφώτερα. ἀλλὰ τί; τῶν Αἰγυπτίων κωλυόντων ἐξήλθετε; ἀλλ᾽ οὐκ ἔστιν ἴσον τῆς οἰκουμένης πολεμούσης περιγενέσθαι, καὶ Αἰγυπτίων μόνων κρατῆσαι. καὶ ταῦτα λέγω, οὐ μάχην εἰσάγων τῇ παλαιᾷ πρὸς τὴν καινὴν, ἄπαγε, ἀλλὰ τὴν

Ἰουδαίων ἀγνωμοσύνην ἐπιστομίσαι βουλόμενος. καὶ γὰρ ἐκεῖνα καὶ ταῦτα ὑπὸ τοῦ Θεοῦ τοῦ αὐτοῦ δέδοται καὶ γεγένηται. ἀλλ' ἐκεῖνο κατασκευάσαι θέλω, ὅτι ὁ Ἰουδαῖος ἀνελὼν τὰς προφητείας τὰς περὶ Χριστοῦ τὸ πλέον τῆς προφητείας λυμαίνεται μέρος, καὶ οὐκ ἂν ἔχοι δεῖξαι σαφῶς τὴν εὐγένειαν τῆς παλαιᾶς, εἰ μὴ τὴν καινὴν παραδέξαιτο. ὅτι δὲ οὐ περὶ ἀνθρώπου τὰ εἰρημένα, καὶ ἐκ τοῦ λέγεσθαι κάθου ἐκ δεξιῶν μου, καὶ ἐκ τοῦ κύριον ὀνομάζεσθαι ὁμοίως τῷ λέγοντι κυρίῳ, καὶ ἐκ τοῦ ἐκ γαστρὸς πρὸ ἑωσφόρου γεγεννῆσθαι αὐτόν, καὶ ἐκ τοῦ ἱερέα αὐτὸν εἶναι κατὰ τὴν τάξιν Μελχισεδέκ, καὶ ἐκ τοῦ λέγεσθαι· μετὰ σοῦ ἡ ἀρχή σου, τοῖς νοῦν ἔχουσι κατάδηλόν ἐστι. εἰ δὲ ἕτερος ἡμῖν Ἰουδαῖος ἀνακύπτει πάλιν πρόσωπον Χριστιανοῦ περιφέρων, Παῦλος ὁ Σαμοσατεὺς λέγω, δυνατὸν μὲν καὶ πρὸς τοῦτον καὶ ἀπὸ τῆς καινῆς λέγειν. πλὴν ἀλλ' ἵνα μὴ δόξωμεν τὰ παρόντα ἀφέντες ἐφ' ἕτερον μέρος παρατάξεως ἰέναι, καὶ τοῦτον ἐντεῦθεν βαλλώμεθα. τί οὖν καὶ οὗτος λέγει; ὅτι ἄνθρωπος ἦν, φησί, ψιλός, καὶ ἐξ οὗ γέγονεν ἐκ Μαρίας, ἐξ ἐκείνου τὴν ὕπαρξιν μόνον ἔχει. τί οὖν εἰπέ μοι πρὸς ἐκείνην τὴν ῥῆσιν ἐρεῖς τὴν λέγουσαν· ἐκ γαστρὸς πρὸ ἑωσφόρου ἐγέννησά σε; δεῖ δὲ τὰ ἄλλα ἅπερ πρὸς Ἰουδαίους εἴρηται, καὶ πρὸς τοὺς ἀπὸ τούτου εἰπεῖν. καὶ τούτου οὐχ ἡμεῖς αἴτιοι· ἀλλ' αὐτοὶ οὗτοι οἱ πολλὴν τὴν συγγένειαν τῶν δογμάτων πρὸς αὐτοὺς ἔχοντες· ὅθεν καὶ τοῖς αὐτοῖς ὅπλοις κατὰ τούτων χρησόμεθα. τοὺς γὰρ ὁμοίως πολεμοῦντας τοῖς αὐτοῖς βέλεσι βάλλειν δεῖ. τί οὖν βούλεται ἡ κοινωνία τοῦ θρόνου; ἐνταῦθα γὰρ τὸ ὁμότιμον δείκνυται, ὃ καὶ τοὺς τὰ Ἀρείου φρονοῦντας ἐπιστομίσαι ἱκανόν. διὰ τοῦτο καὶ ὁ Χριστὸς πρὸς τοὺς Ἰουδαίους λέγοντας, ὅτι υἱὸς τοῦ Δαβίδ ἐστιν, ἐπήγαγε λέγων· πῶς οὖν Δαβὶδ ἐν πνεύματι κύριον αὐτὸν καλεῖ, λέγων· εἶπεν ὁ κύριος τῷ κυρίῳ μου, κάθου ἐκ δεξιῶν μου; προϊὼν δὲ καὶ τὸν περὶ τῆς οἰκονομίας κινεῖ λόγον σαφέστερον ἑρμηνεύων ὁ Παῦλος, καὶ Μαρκίωνι, καὶ Μανιχαίῳ, καὶ πᾶσι τοῖς τὰ τοιαῦτα νοσοῦσι καιρίαν δίδωσι πληγὴν λέγων· ἑρμηνεύει γὰρ μετὰ τῆς αὐτῷ προσηκούσης συνέσεως, πῶς γέγονεν ἱερεὺς κατὰ τὴν τάξιν Μελχισεδέκ. ἡμεῖς δὲ πάλιν ἐπανίωμεν· εἶπεν ὁ κύριος τῷ κυρίῳ μου, κάθου ἐκ δεξιῶν μου. εἶδες τὸ ὁμότιμον; ὅπου γὰρ θρόνος, βασιλείας σύμβολον. ὅπου θρόνος εἷς, τῆς αὐτῆς βασι-

A gratorum Iudæorum volens os obstruere. Nam & hæc & illa ab eodem Deo & data, & facta sunt. Sed illud volo probare, quòd Iudæus sublatis de Christo prophetiis, euertit maximam partem prophetiarum, nec possit aperte ostendere nobilitatem veteris, nisi nouum admiserit. Quòd autem non de homine dicta sunt, & ex eo quod dicitur, Sede à dextris meis, & quòd nominatur Dominus æquè ac Dominus qui dicit, & quòd ex vtero ante Luciferum sit genitus, & ex eo quòd sit sacerdos secundùm ordinem Melchisedech, & B ex eo quod dicitur: Tecum principium tuum, iis qui sapiunt clarum est. Quòd si alius nobis rursus emergat Iudæus, Christiani personam suscipiens, Paulus inquam Samosatenus, potest quidem etiam aduersus eum dici ex nouo. Sed ne videamur relictis præsentibus ad aliam aciei partem transire, cum hinc quoque inuadamus. Quid is ergo dicit? Homo est, inquit, solummodo: & ex quo ex Maria natus est, ex illo tempore tantùm habet essentiã. Quid ergo, dic quæso, dices ad illud dictum, quod habet: Ex vtero ante luciferum C genui te? Oportet autem alia quæ ad Iudæos dicta sunt, etiam ad eos dicere, qui ab eo processerunt. Nec nos in causa sumus, sed hi ipsi qui habent cum eis magnam dogmatum cognationem. Vnde etiam eisdem armis in eos vtemur. Eos enim qui similiter bellum gerunt, oportet eisdem iaculis confodere. quid igitur sibi vult sedis societas? Hic enim ostēditur honoris æqualitas, quod satis est ad obstruendũ os Arrij. Et ideo Christus quoque apud Iudæos dicentes Christum esse filium Dauid, subiūxit: Quomodo ergo Dauid vocat D eum Dominum in spiritu, dicēs: Dixit Dominus domino meo, sede à dextris meis? Paulus autem de humanitatis susceptione postea tractans, & eam apertius interpretans, & Marcioni, & Manichæo, & iis omnibus qui simili morbo laborant, lethale vulnus infligit. Interpretatur enim cũ ea qua par est prudentia, quomodo fuit sacerdos secūdùm ordinē Melchisedech. Nos autē rursus ad propositũ reuertamur. Dixit Dominus domino meo, sede à dextris meis. Vidisti æqualitatem honoris? Vbi enim est thronus, illic est signum regni. Vbi autem thronus vnus, est eiusdem regni

Hier. 31. Hebr. 8. 10.

Aduersus Paulum Samosat.

Contra Arrium. Matth. 22. 43.

Hebr. 5. & 7. Exegesis Psalmi.

honoris æqualitas. Quocirca Paulus A quoque dicebat: Qui facit Angelos suos spiritus, & ministros suos flammam ignis. Ad filium autem: Thronus tuus Deus in seculum seculi. Ita etiam Daniel videt vniuersam quidē creaturam assistentem, & Angelos, & Archangelos, filium autem hominis venientem in nubibus cœli, & peruenientem vsque ad antiquum dierum. Quòd si nonnulli offendantur ex eo quòd sic dicamus, audiant eum sedere à dextris, & desinant offendi. Quemadmodum enim nos non dicimus eum esse patre maiorem, propterea quod à dextris sedet, quæ maximè honorifica sedes est: B ita nec tu eum minorem & inferiorem dixeris. Id enim significat societas sessionis. I. *Donec ponam inimicos tuos scabellum pedum tuorum.* Et quinam sunt inimici? Audi Paulum dicentem, Primitiæ Christus: deinde qui Christi in aduentu eius, deinde finis. Oportet enim eum regnare, quousq; posuerit omnes inimicos suos sub pedibus suis. Vidisti Propheticorum & Apostolicorum verborum concentū & concordiam? Illic enim dicit: Donec ponam inimicos tuos scabellum pedum tuorum. hic C verò: Quousque posuerit omnes inimicos suos. Sed neq; illic illud donec, neque hîc hoc quousque, sunt termini temporum. Quomodo enim steterit illud propheticum, quod dicit: Potestas eius potestas æterna, & regnum eius regnum quod non peribit, & regni eius non erit finis; si ad ea vsque tempora sit regnaturus? Vides non esse solummodo attendendas dictiones, sed esse ascendendum ad intelligentiam? Tu autem cum audis Prophetam dicentem, patrem ponere sub pedibus D eius, ne ex eo conturberis. Neque enim hæc dicta sunt quòd sit imbecillus filius. Paulus enim ostendit filium ponere inimicos sub pedibus suis, dicens: Oportet enim eum regnare quousque ponat inimicos suos sub pedibus suis. Et rursus ei quoque vniuersum tribuit, dicens: Quando tradiderit regnum Deo & patri, quādo deleuerit omnem potestatem & virtutem. Hoc est, quando regnum rectè administrauerit, cessare faciet omnem potestatem. Hoc enim sibi vult illud καταργήσῃ, id est, otiosam reddet. Quòd autem dicit vniuersum eius esse, patrem ab ipso non

Hebr. 1. 7. — *Daniel 7.* — *1. Cor. 15. 23.* — *Donec, & quousque.* — *Dan. 4. 31. 7. 11.* — *1. Cor. 15.*

A λείας ἰσοτιμία. διὸ καὶ ὁ Παῦλος ἔλεγεν· ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα. πρὸς δὲ τὸν υἱόν· ὁ θρόνος σου ὁ Θεὸς εἰς τὸν αἰῶνα αἰῶνος. οὕτω καὶ Δανιὴλ ὁρᾷ τὴν μὲν κτίσιν ἅπασαν παρεστῶσαν, ἀγγέλους τε καὶ ἀρχαγγέλους· τὸν δὲ υἱὸν τοῦ ἀνθρώπου ἐρχόμενον ἐπὶ τῶν νεφελῶν, καὶ φθάνοντα ἕως τοῦ παλαιοῦ τῶν ἡμερῶν. εἰ δὲ τὸ οὕτως εἰπεῖν σκανδαλίζει τινὰς, ἀκουέτωσαν, ὅτι ἐκ δεξιῶν κάθηται, καὶ ἀπαλλαττέσθωσαν τοῦ σκανδάλου. ὥσπερ γὰρ ἡμεῖς μείζονα αὐτὸν τοῦ πατρὸς οὐ λέγομεν, ἐπειδὴ τὴν ἐκ δεξιῶν ἔχει B καθέδραν, τὴν ἐντιμοτάτην· οὕτω μηδὲ σὺ ἐλάττω λέγε καὶ καταδεέστερον, ἀλλ᾽ ὁμότιμον καὶ ἴσον. τοῦτο γὰρ ἡ κοινωνία τῆς καθέδρας δηλοῖ. ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου. καὶ τίνες οἱ ἐχθροί; ἄκουσον Παύλου λέγοντος· ἀπαρχὴ Χριστός· ἔπειτα οἱ τοῦ Χριστοῦ ἐν τῇ παρουσίᾳ αὐτοῦ, εἶτα τὸ τέλος. δεῖ γὰρ αὐτὸν βασιλεύειν, ἄχρις οὗ ἂν θῇ πάντας τοὺς ἐχθροὺς αὐτοῦ ὑπὸ τοὺς πόδας αὐτοῦ. εἶδες προφητικῶν καὶ ἀποστολικῶν ῥημάτων συμφωνίαν; καὶ γὰρ ἐκεῖ μέν φησιν, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου· ἐνταῦθα δὲ, ἄχρις οὗ ἂν C θῇ πάντας τοὺς ἐχθροὺς αὐτοῦ. ἀλλ᾽ οὔτε ἐκεῖ τὸ ἕως, οὔτε ἐνταῦθα τὸ μέχρις, χρόνων ὅροι εἰσίν. ἐπεὶ πῶς ἕστηκε τὸ προφητικὸν ἐκεῖνο, τὸ λέγον· ἡ ἐξουσία αὐτοῦ ἐξουσία αἰώνιος, καὶ ἡ βασιλεία αὐτοῦ βασιλεία, ἥτις οὐ διαφθαρήσεται, καὶ τῆς βασιλείας αὐτοῦ οὐκ ἔσται τέλος, εἴ γε μέχρι τούτων μέλλει βασιλεύειν; ὁρᾷς ὅτι οὐ ταῖς λέξεσι δεῖ προσέχειν ἁπλῶς, ἀλλὰ πρὸς τὰ νοήματα ἀνιέναι; σὺ δὲ ἀκούων τοῦ προφήτου λέγοντος, ὅτι ὁ πατὴρ τίθησιν ὑπὸ τοὺς πόδας, D μηδὲν ἐνταῦθα θορυβηθῇς. οὐδὲ γὰρ ὡς ἀτονοῦντος τοῦ παιδὸς ταῦτα εἴρηται. ὁ γὰρ Παῦλος αὐτὸν τιθέναι τοὺς ἐχθροὺς ὑπὸ τοὺς πόδας αὐτοῦ, λέγων· δεῖ γὰρ αὐτὸν βασιλεύειν, ἄχρις οὗ ἂν θῇ τοὺς ἐχθροὺς ὑπὸ τοὺς πόδας αὐτοῦ, καὶ πάλιν τὸ πᾶν αὐτῷ ἀνατίθησι, λέγων· ὅταν παραδῷ τὴν βασιλείαν τῷ Θεῷ καὶ πατρὶ, ὅταν καταργήσῃ πᾶσαν ἐξουσίαν καὶ δύναμιν. τουτέστιν, ὅταν κατορθώσῃ τὴν βασιλείαν, παύσει πᾶσαν ἐξουσίαν. τοῦτο γάρ ἐστι τὸ καταργήσει. τὸ πᾶν δὲ αὐτοῦ λέγων εἶναι, οὐκ ἀποχωρίζει αὐτοῦ τὸν πατέρα

τὸν πατέρα, ὥσπερ οὐδὲ τοῦ παιδὸς διαιρεῖ, τὸν υἱόν· καὶ γὰρ τὰ ἐκείνου τούτου· καὶ τὰ τούτου ἐκείνου. διὸ καί φησι· πάντα τὰ ἐμὰ σά ἐστι, καὶ τὰ σὰ ἐμά. ὅταν τοίνυν ἀκούσῃς, ὅτι ὁ πατὴρ ὑπέταξε, μὴ ἔξωθεν εἶναι νομίσῃς τὸν υἱὸν τοῦ κατορθώματος· ἄν τε μανθάνῃς, ὅτι ὁ υἱὸς ὑπέταξε, μὴ ἀλλότριον εἶναι λέγε τὸν πατέρα τούτων. κοινὰ γὰρ τὰ κατορθώματα, ὥσπερ καὶ πάντα τὰ ἔργα κοινά. ῥάβδον δυνάμεώς σου ἐξαποστελεῖ κύριος ἐκ Σιών· ῥάβδον δυνάμεως τὴν δύναμιν αὐτήν φησι, τῆς δὲ Σιὼν μέμνηται, ἐπειδὴ ἐκεῖθεν ἀρχὴν ἔλαβε τὰ κατορθώματα. ἐκεῖ γὰρ καὶ τὸν νόμον ἔδωκεν· ἐκεῖ τὰ θαύματα εἰργάσατο· ἐκεῖθεν ἀρξάμενον τὸ κήρυγμα πανταχοῦ τῆς οἰκουμένης ἐξετάθη. εἰ δὲ βούλει κατὰ ἀναγωγὴν τὸ εἰρημένον ἐκλαβεῖν, ἄκουσον Παύλου λέγοντος· ἀλλὰ προσεληλύθατε Σιὼν ὄρει, καὶ πόλει Θεοῦ ζῶντος Ἱερουσαλὴμ ἐπουρανίῳ, καὶ ἐκκλησίᾳ πρωτοτόκων. ῥάβδον δυνάμεώς σου ἐξαποστελεῖ κύριος ἐκ Σιών. ἡ ῥάβδος ποτὲ μὲν κολαστική ἐστι καὶ εὐεργετική, ποτὲ δὲ παρακλητική, καὶ βασιλείας σύμβολον. καὶ ὅτι ἑκάτερα ἐστίν, ἄκουσον τοῦ προφήτου λέγοντος· ἡ ῥάβδος σου καὶ ἡ βακτηρία σου αὐταί με παρεκάλεσαν. καὶ πάλιν, ποιμανεῖς αὐτοὺς ἐν ῥάβδῳ σιδηρᾷ· ὡς σκεύη κεραμέως συντρίψεις αὐτούς. καὶ ὁ Παῦλος· τί θέλετε; ἐν ῥάβδῳ ἔλθω πρὸς ὑμᾶς, ἢ ἐν ἀγάπῃ, πνεύματί τε πρᾳότητος; εἶδες πῶς ἐστι παιδεύσεως, βλέπε πῶς καὶ βασιλείας. λέγει γὰρ Ἡσαΐας· ἐξελεύσεται ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαί, καὶ ἄνθος ἐκ τῆς ῥίζης αὐτῆς ἀναβήσεται. καὶ ὁ Δαβίδ, ὁ θρόνος σου ὁ Θεὸς εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, ῥάβδος εὐθύτητος, ἡ ῥάβδος τῆς βασιλείας σου. τὴν μὲν δύναμιν ἐνταῦθα ῥάβδον ἐκάλεσε, μεθ' ἧς οἱ μαθηταὶ τὴν οἰκουμένην περιέτρεχον ἤθη διορθοῦντες, καὶ ἐξ ἀλόγου τινὸς κακίας ἐπὶ λογικὴν ἄγοντες τὴν τῶν ἀνθρώπων φύσιν. πορευθέντες γάρ, φησι, μαθητεύσατε πάντα τὰ ἔθνη. εἶχε καὶ Μωϋσῆς ῥάβδον, ἀλλ' ἐνέργειαν Θεοῦ δεξάμενος δι' ἧς ἐνήργει ἐν ἅπασι. κἀκείνη μὲν ποταμοὺς διεῖλεν, αὕτη δὲ τῆς οἰκουμένης τὴν ἀσέβειαν ἔρρηξεν. οὐκ ἂν τις δὲ ἁμάρτοι καὶ τὸν σταυρὸν ῥάβδον δυνάμεως εἰπών· αὕτη γὰρ ἡ ῥάβδος γῆν καὶ θάλασσαν ἐπέστρεψε, καὶ δυνάμεως πολλῆς ἐνέπλησε. μετὰ ταύτης ἐξῆλθον τῆς ῥάβδου πανταχοῦ τῆς οἰκουμένης οἱ ἀπόστολοι,

A separat, sicuti nec filium à patre diuidit. Quæ enim sunt illius, sunt huius: & quæ huius, sunt illius. Et ideo dicit: Omnia mea tua sunt, & tua mea. (*Ioan. 17. 10.*) quando ergo audieris patrem subiecisse, ne existimes seiunctum esse filium ab eo præclaro facinore: & si intelligas filium subiecisse, ne dicas patrem esse ab eis alienum. Quæ enim pulchrè ac præclarè fiunt, sunt communia, quemadmodum & omnia opera communia. (*Ioan. 5.*)

2. *Virgam virtutis tuæ emittet Dominus ex Sion.* Virgam virtutis seu potestatis, (*Virga virtutis.*) vocat ipsam potestatem. Meminit autem Sion, quoniam quæ præclarè gesta B sunt, illinc sumpserunt initium. Illic enim legem dedit, illic fecit miracula, illic cœpta prædicatio per vniuersum orbem terræ diffusa est. Quòd si velis quod dictū est sumere anagogicè, audi Paulū dicentē: Sed accessistis ad montem Sion, & ciuitatē Dei viuentis, Hierusalem cœlestem, & ecclesiam primogenitorū. (*Hebr. 12. 22.*) Virgam virtutis tuæ emittet Dominus ex Sion. Virga aliquando quidem castigat & beneficio afficit, aliquando autē consolatur, & est signum C regni. Et quòd sit vtrunque, audi Prophetam dicētem: Virga tua & baculus tuus ipsa me consolata sunt. (*Psal. 22.*) Et rursus: Reges eos in virga ferrea, tanquam vasa figuli confringes eos. (*Psal. 2.*) Et Paulus: Quid vultis? in virga veniā ad vos, an in charitate, & spiritu lenitatis? (*1. Cor. 4.*) Vidisti quomodo sit virga castigationis: vide quomodo sit etiā regni. Dicit enim Esaias: (*Esa. 11.*) Egredietur virga de radice Iesse, & flos de radice eius ascēdet. Et Dauid: Thronus tuus Deus in seculum seculi, virga (*Psal. 44.*) rectitudinis virga regni tui. Virgā enim hic vocauit virtutē, cum qua discipuli D orbē terræ obierunt mores corrigentes, & à quodā alieno à ratione vitio deducentes hominū naturā rationis cōpotē. Eūtes enim, inquit, docete omnes gentes. (*Matth. 28.*) Habuit etiā Moses virgam, sed cum ea suscepit Dei operationē, per quam operabatur in omnibus. Et illa quidem (*Exod. 4.*) diuisit fluuios, hæc autē fregit impietatem totius orbis terræ. (*Exod. 14.* *Crux Christi, virga.*) Neque verò aberraueris, si crucem quoque Domini voces virgam virtutis. Hæc enim virga mare & terram conuertit, & magna potestate repleuit. Cum hac virga egressi Apostoli per vniuersum orbem terræ,

omnia illa fecere. Hanc gestantes omnia perficiebant, sumpto principio ab Hierusalem. *Et dominare in medio inimicorum tuorum.* Vide prophetiam ipso sole clariorem. Quid est autem, dominare in medio inimicorum tuorum? Pro eo quod est, In mediis Gentilibus, in mediis Iudæis. Ita enim plantatæ sunt Ecclesiæ in mediis vrbibus, ita vicerunt, & superiores euaserunt. Hoc est præclaræ victoriæ argumentum, quod in mediis hostibus altaria erexerint, quòd tanquam oues & agni essent in medio luporum. Hoc enim eos quoque mittens dicebat: Ecce mitto vos tanquam oues in medio luporum, quod non est quidem minus priore miraculo. Non est enim minus, eos qui ouium locum obtinent, lupos vincere, quàm eos qui sunt in mediis intercepti, esse superiores. Quinetiam multò est maius eos qui erant numero duodecim, ad se vniuersum orbem terræ attraxisse. Et dominare in medio inimicorum tuorum. Non dixit, vince in medio inimicorum tuorum, sed, dominare, vt ostenderet non erigi trophæum fusis in acie hostibus, sed ex iussu significari dominium. Ita enim vincebant Apostoli, Christum in se habentes, omnia facientes tanquam ex imperio. Vnde etiam erat eis omnis domus aperta, & qui credebant, erant quouis seruo obedientiores, facultates suas vendentes, & earum pretia ponentes ad pedes Apostolorum: & ne ad vsum quidem suum audentes aliquid accipere, eósque adeò magnifaciebant, vt ne se quidem eis auderent adiúgere. Non solùm autem habebant tantum virium in fidelibus, sed etiam in infidelibus. Quodnam enim est, dic quæso, serui indicium? an non id facere quod iubet eius dominus? Quod autem signum domini? An non ea in seruis perficere quæ velit? Quínam ergo ergo perfecerunt ea quæ voluerunt in regibus & principibus? An non Apostoli? Manifestum est. Reges enim & principes volebant tenere orbem terræ in impietate. Iubebant enim colere dæmones, contra autem Apostoli, fiebat autem quòd hi volebant. Quòd si mihi dicas carcerem, flagella, & tormenta, dicis mihi maiora dominia. Quomodo, & quánam ratione? Quòd quamuis hæc fierent, fiebat tamen nihilo secius quod volebant. Non enim

[Margin: Argumentum victricis fidei. — Matth. 10. — Act. 3. — Act. 5. — Apostoli vt domini. — Rom. 1.]

καὶ πάντα ἐκεῖνα εἰργάσαντο. ταύτην ἐπιφερόμενοι πάντα ἤνυον λαβόντες τὴν ἀρχὴν ἀπὸ Ἱερουσαλήμ. καὶ κατακυρίευε ἐν μέσῳ τῶν ἐχθρῶν σου. ὅρα προφητείαν ὑπὲρ τὸν ἥλιον διαλάμπουσαν. τί δέ ἐστι τὸ κατακυρίευε ἐν μέσῳ τῶν ἐχθρῶν σου; ἀντὶ τοῦ ἐν μέσοις Ἕλλησιν, ἐν μέσοις Ἰουδαίοις· οὕτω γὰρ αἱ ἐκκλησίαι κατεφυτεύθησαν ἐν μέσαις ταῖς πόλεσιν· οὕτως ἐκράτησαν καὶ περιεγένοντο· τοῦτο τεκμήριον τῆς λαμπρᾶς νίκης τὸ ἐν μέσοις τοῖς πολεμίοις ἀναστῆσαι τὰ θυσιαστήρια, τὸ καθάπερ πρόβατα ἐν μέσῳ θηρίων, καὶ ἄρνας μεταξὺ λύκων εἶναι. τοῦτο γὰρ καὶ πέμπων αὐτοὺς ἔλεγεν· ἰδοὺ ἀποστέλλω ὑμᾶς ὡς πρόβατα ἐν μέσῳ λύκων, ὅπερ οὐκ ἔλαττον τοῦ προτέρου θαύματος. τοὺς γὰρ ἐν μέσοις ἀπειλημμένους κρατῆσαι οὐκ ἔλαττον τὸ ἐν τάξει προβάτων ὄντων λύκων περιγενέσθαι· ἀλλὰ καὶ πολλῷ μεῖζον καὶ δώδεκα τὸν ἀριθμὸν ὄντας τὴν οἰκουμένην ἐπισπάσασθαι. καὶ κατακυρίευε ἐν μέσῳ τῶν ἐχθρῶν σου· οὐκ εἶπε νίκα ἐν μέσῳ τῶν ἐχθρῶν σου, ἀλλὰ κυρίευε· ἵνα δείξῃ οὐκ ἐκ παρατάξεως τὸ τρόπαιον γινόμενον, ἀλλ' ἐξ ἐπιταγῆς τὴν δεσποτείαν. οὕτω γὰρ ἐκράτουν οἱ ἀπόστολοι τὸν Χριστὸν ἔχοντες ἐν ἑαυτοῖς, ὥσπερ ἐξ ἐπιτάγματος πάντα ποιοῦντες, ὅθεν καὶ πᾶσα αὐτοῖς οἰκία ἀνέῳκτο, καὶ δούλων πάντων εὐπειθέστεροι οἱ πιστεύοντες ὑπήκουον, τά τε ὄντα ἀποδιδόμενοι, καὶ τὰς τιμὰς παρὰ τοὺς πόδας τιθέντες τῶν ἀποστόλων, οὐδὲ εἰς τὴν χρείαν τολμῶντές τι λαβεῖν, οὕτω τε αὐτοὺς ἐμεγάλυνον, ὅτι οὔτε ἐτόλμων κολλᾶσθαι αὐτοῖς. οὐ μόνον δὲ ἐπὶ τῶν πιστῶν τοσαύτην εἶχον ἰσχύν, ἀλλὰ καὶ ἐπὶ τῶν ἀπίστων. τί γὰρ εἰπέ μοι δούλου τεκμήριον; ἆρ' οὐ τὸ ποιεῖν ὅπερ ὁ δεσπότης αὐτοῦ ἐπιτάττει; τί δεσπότου δὲ σημεῖον; ἆρ' οὐ τὸ ταῦτα ἀνύειν ἐν τοῖς δούλοις, ἅπερ αὐτὸς βούλεται; τίνες οὖν οἱ ἀνύσαντες, ἅπερ ἤθελον ἐπὶ τῶν τε βασιλέων καὶ τῶν ἀρχόντων; ἆρ' οὐχ οἱ ἀπόστολοι; εὔδηλον ὅτι. οἱ μὲν γὰρ βασιλεῖς καὶ οἱ ἄρχοντες ἐβούλοντο κατέχειν ἐν ἀσεβείᾳ τὴν οἰκουμένην, καὶ δαίμοσι λατρεύειν ἐπέταττον· οἱ δὲ ἀπόστολοι τοὐναντίον, καὶ τὸ θέλημα τούτων ἐγένετο. εἰ δὲ λέγεις μοι τὸ δεσμωτήριον, καὶ τὰς μάστιγας καὶ τὰς βασάνους, μείζονάς μοι λέγεις τὰς δεσποτείας. πῶς καὶ τίνι τρόπῳ, ὅτι καὶ τούτων γινομένων τὸ θέλημα τὸ τούτων ἐγίνετο. οὐ γὰρ

νόμῳ τῷ τῶν πολλῶν δεσποτῶν, ἀλλ' ἀρετῇ ταύτην ἀνεδήσατο τὴν δεσποτείαν, τὴν οὐδενὸς τῶν ἔξωθεν δεομένην, ἀλλ' ἐν τῷ διὰ πάντων ἐπιβουλεύεσθαι λάμπουσαν. ἐκείνους μὲν γὰρ τοὺς δεσπότας ἐπιβουλεύσαντες δοῦλοι πολλάκις ἠφάνισαν· ἐπειδὴ ἀτελὴς ἦν τις καὶ ἀσθενεστάτη· ταύτην δὲ σβέσαι οὐκ ἴσχυσαν· ἀλλ' ἐπιβουλεύοντες μειζόνως ἔδειξαν διαλάμπουσαν. τίς οὖν λαμπρότερος ἂν εἴη δεσπότης, ὁ μυρίων δεόμενος βοηθημάτων, ἵνα κρατῇ τῶν οἰκετῶν, ἢ ὁ πάντων ἀπηλλαγμένος ἐκείνων, καὶ μετ' ἐξουσίας ἄγων καὶ φέρων τοὺς ὑποκειμένους; εὔδηλον ὅτι οὗτος. οἱ μὲν γὰρ δεσπόται τὴν δεσποτείαν ταύτην τὴν τῶν πολλῶν, ἂν μὴ τοὺς νόμους ἔχωσι βοηθοῦντας, καὶ τὸ ἐν πόλεσιν οἰκεῖν, πολλάκις μετὰ τῆς δεσποτείας καὶ τὴν ζωὴν ἀπώλεσαν· Παῦλος δὲ καὶ ἐν ἐρημίαις καὶ πανταχοῦ τὴν κυριότητα ἐπεδείκνυτο. βούλει καὶ βασιλέων ἰδεῖν αὐτὸν λαμπρότερον; εἰσήγαγε νόμους πανταχοῦ τῆς οἰκουμένης, καὶ τοὺς τῶν βασιλέων ἀφέντες νόμους οἱ ἄνθρωποι τοῖς ἐκείνου γράμμασιν ἐπείθοντο. ἄλλως δὲ καὶ οἱ μὲν σωμάτων, οἱ δὲ ψυχῶν ἐκράτουν. τίς οὖν οὕτω δοῦλος δεσπότῃ, ἢ ἀρχόμενος βασιλεῖ μετ' εὐνοίας ὑπήκουσεν, ὡς οἱ πιστοὶ τῷ Παύλῳ ἐπιστέλλοντι μόνον; τί ἄν τις εἴποι τὸν πόθον, τὸν ζῆλον τὸν ὑπὲρ αὐτοῦ, ὅπου γε καὶ τοὺς ὀφθαλμοὺς ἐξορύξαι ἕτοιμοι ἦσαν; τίς τοιούτους ἐκτήσατο δούλους ποτέ; ἅπερ ταῦτα πάντα ἐννοῶν ὁ προφήτης πῶς μὲν τοὺς πιστοὺς ὑπέταξαν, πῶς δὲ τοῖς ἀπίστοις ἦσαν φοβεροὶ κατὰ κράτος αὐτοὺς ἐλαύνοντες, καὶ πῶς δι' αὐτῶν ὁ Χριστὸς ἐκράτει, οὐκ εἶπεν ἁπλῶς, κυρίευε ἐν μέσῳ τῶν ἐχθρῶν σου, ἀλλὰ κατακυρίευε, τὴν ἐπιτεταμένην δεσποτείαν δηλῶν. καὶ ταῦτα ὁρῶντες οἱ πολέμιοι οὐδὲν ἴσχυον ποιεῖν, καίτοι τοὺς νόμους μεθ' ἑαυτῶν ἔχοντες, καὶ δημίους, καὶ ἐξουσίαν ἅπασαν· ἀλλ' ἦσαν οὗτοι δυνατώτεροι διὰ τὸν ἐνοικοῦντα ἐν αὐτοῖς· οὕτως κατεκυρίευσε δι' αὐτῶν. οὐχ ἁπλῶς ἐκυρίευσεν, ἀλλὰ κατεκυρίευσε, καὶ γὰρ σφόδρα ἐκράτει. διὰ γοῦν τὸν ἐν αὐτοῖς, καὶ πυρὸς κατετόλμων, καὶ σιδήρου, καὶ θηρίων, καὶ τῶν ἄλλων ἁπάντων.

A lege multorum dominorum, sed virtute hoc sibi asciuerunt dominium, quod nullo externo indiget, sed dum omnium petitur insidiis, resplendet. Illos enim dominos serui paratis insidiis sæpe de medio sustulerunt: quoniam erat imperfectum & imbecillimum dominium: hoc autem non potuerunt extinguere, sed insidias molientes, id longè clarius reddidere. Quis fuerit igitur dominus præclarior, isne qui innumerabilibus opus habet auxiliis, vt seruos in officio contineat, an qui est liber ab iis omnibus, B & os qui sunt sub suo dominio, pro sua potestate tractat, & fert, & agit? Clarum est hunc esse præclariorem. Domini enim qui hoc obtinent multorum dominium, nisi leges habeant opitulantes, & eos iuuet quòd in ciuitatibus habitant, sæpe cum dominio vitam quoque amiserint: Paulus autem & in solitudinibus, & vbique suum ostendebat dominium. Vis etiam videre ipsum clariorem regibus? Tulit leges per vniuersum orbem terræ, & regum relictis legibus homines illius scriptis obtemperabant. Et alioqui illi C quidem in corpora, hi verò in animum dominum obtinebant. Quis ita seruus domino, vel qui sub regis ditione est, regi cum tanta beneuolentia paruit, vt fideles Paulo tantùm scribenti literas? Quis dixerit eorum amorem & vehementem pro eo æmulationem, cùm vel ipsos oculos essent parati effodere? quis tales vnquam seruos habuit? Quæ omnia Propheta mente agitans, quomodo fideles quidem subiunxerunt, erant autem terribiles infidelibus, eos per vim expellentes, & quomodo Christus per D ipsos obtinebat imperium, non dixit solummodo κυρίευε, hoc est, dominare in medio inimicorũ tuorum, sed, κατακυρίευε, hoc est, Dominatum obtine, vehemẽs, & amplum dominiũ significans. Et hæc cùm viderent hostes, nihil facere poterant, etsi leges secum haberẽt, lictores, & omnem potestatem, sed erant hi potentiores propter eum qui in ipsis habitabat. Hic per ipsos dominatum obtinuit. Nec solùm dominatus est, sed etiã acrem & vehementem in eos dominatum obtinuit. Propter eum enim qui in eis habitabat, & ignem, & ferrum, & bestias, & omnia alia confidenter adibant.

Dominatio Apostolorũ ex collatione.

Act. 13.14. 17.18.

Galat. 4.15

Matth. 28. Ad omnia enim cum eis erat Christus, qui etiam tanquam in alienis corporibus decertantes, & liberi ab omni molestia rerum ad vitam pertinentium, ita Act. 5. gaudebant, & ita exiliebant, à Christi dominio occupati, non pecuniæ, non corpori, non vitæ præsenti parcentes. Et hæc quidem faciebant, qui aliquando fuerant hostes & aduersarij: sed inuicta Dei potentia non solùm eos liberauit ab inimicitiis, sed etiam in tantam deduxit seruitutem & necessitudinem. Quamobrem etsi dicatur pater ponere inimicos sub pedibus suis, non ita dicitur (sicut dixi) tanquam filio nihil agente (vniuersum enim ab vnigenito factum est) sed vt (sicut prius dixi) patrem & filium vnum esse Deum intelligas, seruata vnicuique sua proprietate, & ne esse duos existimes ingeni- Ioan. 1. 15. tos. Quòd enim quod factũ est, totum ab eo factum sit, considera ex iis quæ iam facta sunt. Nec verò quę dicta sunt, humano tantum more intellige, magna enim sequeretur absurditas. Vt autem tu quoque intelligas, audi ea quæ sum dicturus. Ex hominibus alij quidem facti sunt amici, qui prius inimici fuerant: alij verò adhuc manent inimici. Cæterum quòd inimicos quidem ipse amicos fecerit, & Paulus significat, dicens: Quando tradiderit re- 1. Cor. 15. 24. gnum Deo & patri. Significat etiam seruator, ei apud crucem dicens: Ego Ioan. 17. 4. glorificaui in mundo, opus perfeci quod dedisti mihi vt faciam. Subijcere autem inimicos fuit patris. Atqui illud quidem est hoc maius. Neque enim sunt paria, eos qui manent inimici, punire: & eos qui sunt inimici, amicos efficere. Sed neque filius ideo minor est patre, nec propterea pater est minor filio. Vt autem scias quòd illa quoque sunt filij, quemadmodum Matth. 25. 41. hæc patris, audi. Discedite à me maledicti in ignem æternum, qui paratus est diabolo, & angelis eius: & qui Matth. 13. Angelos quidem mittit vt colligant zizania, est vnigenitus, & videmus eum esse vbique, qui punit diabolum. Matth. 8. 29. Hoc etiam ipsi dæmones confitentur, dicentes: Venisti huc ante tempus torquere nos? Ipse est ergo qui eos est torturus. Vides quòd etiamsi quę fiunt, dicantur à patre fieri, sunt tamen facta filij. Quòd autem filij quoque facta

A καὶ γὰρ εἰς πάντα ἦν μετ' αὐτῶν ὁ Χριστός, οἳ καὶ καθάπερ ἐν ἀλλοτρίοις ἀγωνιζόμενοι σώμασι, καὶ πάντων ἀπαλλαγέντες τῶν ἐν τῷ βίῳ λυπηρῶν, οὕτως ἔχαιρον, καὶ οὕτως ἐσκίρτων ὑπὸ τῆς τοῦ Χριστοῦ δεσποτείας κατεχόμενοι, μὴ χρημάτων φειδόμενοι, μὴ σώματος, μὴ τῆς παρούσης ζωῆς. καὶ ταῦτα μὲν ἐποίουν οἵ ποτε ἐχθροὶ καὶ πολέμιοι· ἀλλ' ἡ ἄμαχος τοῦ Χριστοῦ δύναμις οὐ μόνον τῆς ἔχθρας αὐτοὺς ἀπήλλαξεν, ἀλλὰ καὶ εἰς δουλείαν, καὶ εἰς τοσαύτην οἰκείωσιν ἤγαγεν, ὥστε κἂν λέγηται ὁ πατὴρ τοὺς ἐχθροὺς τιθέναι ὑπὸ τοὺς πόδας B αὐτοῦ, οὐχ οὕτω λέγεται καθάπερ εἶπον ὡς μηδὲν ἐνεργοῦντος τοῦ παιδός· τοῦ γὰρ μονογενοῦς τὸ κατόρθωμα γέγονεν ἅπαν· ἀλλ' ἵνα ὅπερ ἔφθην εἰπών, τὸν πατέρα καὶ τὸν υἱὸν Θεὸν ἕνα νοῇς φυλαττομένης ἑκάστῳ τῆς ἰδιότητος, καὶ ἵνα μὴ δύο νοήσῃς ἀγεννήτους. ὅτι γὰρ αὐτοῦ πᾶν ἐστι τὸ κατόρθωμα, ἀπὸ τῶν ἤδη κατωρθωμένων ἐννόει, καὶ μὴ ἁπλῶς ἀνθρωπίνως ἐκλάμβανε τὰ εἰρημένα· πολὺ γὰρ τὸ ἄτοπον ἕψεται. ἵνα δὲ καὶ σὺ μάθῃς, ἄκουε ὃ μέλλω λέγειν. οἱ μὲν ἐγένοντο φίλοι ἐχθροὶ πρότερον ὄντες, οἱ C δὲ μένουσιν ἔτι ἐχθροί. ἀλλ' ὅτι μὲν τοὺς ἐχθροὺς φίλους αὐτὸς ἐποίησε, καὶ Παῦλος δηλοῖ τῷ εἰπεῖν· ὅταν παραδῷ τὴν βασιλείαν τῷ Θεῷ καὶ πατρί, δηλοῖ δὲ καὶ ὁ σωτὴρ πρὸς αὐτὸν τὸν σταυρὸν λέγων· ἐγώ σε ἐδόξασα ἐν τῷ κόσμῳ, τὸ ἔργον ἐτελείωσα, ὃ δέδωκάς μοι, ἵνα ποιήσω· τὸ δὲ τοὺς ἐχθροὺς ὑποτάξαι, τοῦ πατρὸς γέγονε. καίτοι γε τοῦτο ἐκείνου μεῖζον. οὐ γὰρ ἴσον κολάσαι ἐχθροὺς μένοντας, καὶ ποιῆσαι φίλους, ἐχθροὺς ὄντας. ἀλλ' οὔτε ὁ υἱὸς διὰ τοῦτο ἐλάττων τοῦ πατρός, οὔτε ὁ πατὴρ ἐλάττων διὰ τοῦτο τοῦ D υἱοῦ. ἵνα δὲ μάθῃς, ὅτι καὶ ἐκεῖνα τοῦ υἱοῦ, ὥσπερ καὶ ταῦτα τοῦ πατρός, ἄκουσον· ἀπέλθετε ἀπ' ἐμοῦ οἱ κατηραμένοι εἰς τὸ πῦρ τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ· καὶ ὁ τοὺς ἀγγέλους πέμπων, ὥστε συλλέξαι τὰ ζιζάνια ὁ μονογενής ἐστι· καὶ πανταχοῦ ὁρῶμεν αὐτὸν κολάζοντα τὸν διάβολον. καὶ τοῦτο οἱ δαίμονες αὐτοὶ ὁμολογοῦσι λέγοντες· ἦλθες ὧδε πρὸ καιροῦ βασανίσαι ἡμᾶς; ὥστε αὐτός ἐστιν ὁ μέλλων αὐτοὺς βασανίζειν. ὁρᾷς ὅτι κἂν ὑπὸ τοῦ πατρὸς λέγηται γίνεσθαι τὰ γινόμενα, τοῦ πατρός ἐστι κατορθώματα; ὅτι δὲ καὶ τὰ τοῦ παιδὸς,

τοῦ πατρός, ἄκουσον πάλιν αὐτοῦ λέγοντος· οὐδεὶς ἔρχεται πρός με, ἐὰν μὴ ὁ πατὴρ ἑλκύσῃ αὐτόν· καὶ πάλιν, οὐδεὶς δύναται ἐλθεῖν πρὸς τὸν πατέρα, εἰ μὴ δι' ἐμοῦ. οὐ τοίνυν ἀνθρωπίνως ἐκλαμβάνεσθαι τὰ τοιαῦτα δεῖ. ἐπεὶ καὶ τοὺς ἐχθρούς σου οὕτως ἐκδεκτέον, οὐχ ὡς αὐτοῦ μόνου ἐχθρούς. ὁ γὰρ μὴ τιμῶν τὸν υἱόν φησιν, οὐ τιμᾷ τὸν πατέρα· ὥστε Ἰουδαῖοι οὐκ αὐτοῦ μόνου ἐχθροί, ἀλλὰ καὶ τοῦ πατρός· διὸ καὶ τὴν πανωλεθρίαν αὐτοῖς ἐπήγαγε, καὶ τὴν πόλιν αὐτῶν ῥίψας χαμαὶ ἐρείπιον ἐποίησεν, εἰ καὶ μὴ εὐθέως μετὰ τὸν σταυρόν, καὶ χρόνον αὐτοῖς πολὺν εἰς μετάνοιαν ἔδωκεν, εἴγε ἐβούλοντο, καὶ τοὺς ἀποστόλους ἀφῆκεν, ἵνα δι' αὐτῶν μαθόντες αὐτοῦ τὴν ἰσχύν, ὀψὲ γοῦν ποτε ἐπιστρέψωσιν. ἐπειδὴ δὲ ἀνίατα ἐνόσουν, τὸν κολοφῶνα ἐπήγαγε τῶν κακῶν, καὶ ταύτῃ πάλιν καλῶν αὐτοὺς εἰς μετάνοιαν, ἵνα τῆς πολιτείας ἐκπεσόντες τῆς παλαιᾶς, ὑπ' αὐτῆς γοῦν τῶν πραγμάτων τῆς ἀνάγκης πρὸς τὴν ἀλήθειαν χειραγωγηθῶσι, τόν τε ὑβρισμένον ὁρῶντες πανταχοῦ προσκυνούμενον, καὶ τὰ αὐτῶν λελυμένα ἅπαντα. ὅταν δὲ μηδὲ οὕτω γένωνται βελτίους, τότε λοιπὸν ἅτε πάσης ἀπηλλαγμένοι συγγνώμης, εἰς τὴν ἀθάνατον ἐμπεσοῦνται κόλασιν. ὑποπόδιον δὲ ἀκούων, μηδὲν αἰσθητὸν νόμιζε λέγειν, ἀλλὰ τὴν ὑποταγήν. ὅτι δὲ αὐτῷ ὑποτάσσει, δῆλον ἐκ τῆς ἐπαγωγῆς· ἐπεὶ γὰρ ὁ θρόνος εἷς, καὶ τὸ ὑποπόδιον ἕν. μετὰ σοῦ ἡ ἀρχὴ ἐν ἡμέρᾳ τῆς δυνάμεώς σου. ἐπειδὴ εἶπεν ἄνω· ἕως ἂν θῶ τοὺς ἐχθρούς σου, ὑποπόδιον τῶν ποδῶν σου, ἵνα μὴ νομίσῃ τις ἀσθενῆ τὸν υἱὸν εἶναι, καὶ ἐνεργείας δεῖσθαι καθάπερ τινὰ τῶν ἀποστόλων, ἄκουσον πῶς καὶ τῆς ὑπονοίας αὐτῆς ἐπάγει τὴν διόρθωσιν, λέγων· μετὰ σοῦ ἡ ἀρχὴ ἐν ἡμέρᾳ τῆς δυνάμεώς σου. τί ἐστι μετὰ σοῦ ἡ ἀρχή; ἐν σοί, φησιν, ἡ ἀρχή, οὐχ ὕστερον ἐπιγινομένη, ἀλλ' ἐν σοὶ οὖσα διηνεκῶς, ὅπερ καὶ ὁ Ἡσαΐας δηλῶν ὁμοίως ἔλεγεν· οὗ ἡ ἀρχὴ αὐτοῦ ἐπὶ τοῦ ὤμου αὐτοῦ· τουτέστιν, ἐν αὐτῷ, ἐν τῇ οὐσίᾳ αὐτοῦ, ἐν τῇ φύσει αὐτοῦ, ὅπερ ἐπὶ τῶν βασιλέων οὐκ ἔνι. ἡ γὰρ ἀρχὴ αὐτῶν ἐν τῷ πλήθει τῶν στρατοπέδων, ὅπερ ἐπὶ τῶν ἀποστόλων οὐκ ἦν. καὶ γὰρ καὶ αὐτῶν ἡ ἀρχὴ ἐνεργείας ἔξωθεν εἰσαγομένης αὐτοῖς ἐγίνετο·

A sint patris, audi rursus eum dicentem. Nemo venit ad me, nisi pater qui me misit, traxerit eum. Et rursus: Nemo potest venire ad patrem, nisi per me. Non sunt ergo hæc humano more accipienda. Nam illud quoque, Inimicos tuos, ita est accipiendũ, non tanquam eius solius inimicos significet. Qui enim non honorat filium, inquit, nec patrem honorat. Quare Iudæi nõ sunt eius tantum inimici, verùm etiã patris. Quocirca eis etiam attulit exitium, & ciuitatem eorum diruit, & euertit funditus, etsi non statim post crucem, & B longum eis tempus dedit ad pœnitentiam, si modò vellent resipiscere, & emisit Apostolos, vt cùm per ipsos eius didicissent potentiam, vel serò tandem conuerterentur. Cùm autem esset eorum morbus immedicabilis, eis colophonem malorum imposuit, & ea quoque ratione eos rursus vocans ad pœnitentiam, vt cùm à veteri forma reipublicæ exciderint, vel ab ipsa rerum necessitate ad veritatem deducãtur, cùm & eum quem probris & iniuriis affecerunt, videãt vbique adorari, & sua omnia miserè corruisse. Quando autem ne C sic quidem meliores euaserint, tunc tandem, vt quibus nihil supersit veniæ, in immortale detrudentur supplicium. Cùm autem audis scabellum, ne putes eum dicere aliquid sensibile, sed ipsam subiectionem. Quod autem ei subijcit, clarũ est ex eo quod subiungitur. Rectè autem sic dicit: Quia enim est vnus thronus vnum quoque est scabellum.

3. *Tecũ principatus in die virtutis tuæ.* Quoniam dixit superius, Donec ponam inimicos tuos scabellum pedum tuorum, ne quis existimaret esse imbecillum filium, & opus habere operatione, sicut D & quempiam ex Apostolis, audi quomodo affert remedium huic suspicioni, dicens: Tecum principatus in die virtutis tuæ. Quid est tecum principatus? In te, inquit, est principatus, qui nõ postea accessit, sed in te est perpetuò: quod etiam Esaias similiter significãs dicebat: Cuius principatus eius super humerum eius, hoc est, in ipso, in substantia eius, in natura eius: quod quidem non inest in regibus. Principatus enim eorum est in multitudine exercitus: quod non erat in Apostolis. Nam ipsorum quoque principatus fuit operatione eis importata extrinsecus:

Ioan. 6. 44. *Ioan. 14. 6.* *Ioan. 5.* *Matth. 23. 24.* *Scabellum Christi.* *Esa. 9. 6. Principatus vnigeniti.*

Ipse autem habuit principatum in natura, in substantia, vt qui non eam acceperit posteaquam fuit genitus, nec extrinsecus importatam aut aduentitiam possederit, sed ita sit genitus. Et ideo de regno quoque interrogatus, dicebat: Ego ad hoc natus sum, & ad hoc veni. Tecum principatus in die potentiæ tuæ. Non hæc autem solùm quæ dicta sunt, significat illud, Tecum principatus: sed etiam alia, vtpote non esse eius principatum in alio, sed eum esse perpetuum & immortalem. Homines enim is vel viuentes sæpe deserit: & si non viuentes, certè omnino mortuos: imò verò, quod maius est, ne dum viuunt quidem, est cum eis, sed, vt iam dixi, in exercitibus, & satellitibus, ac corporis custodibus, in magna vi pecuniæ, in murorum ambitu, & aliis omnibus: in Deo autem non modo non ita est, sed in ipso est, & perpetuò: & quemadmodum fieri non potest vt non sit eius substantia, ita etiam vt non sit regnum. In die potentiæ tuæ. Diem potentiæ potes dicere & diem qui iam fuit, & diem qui iam fuit, & diem qui futurus est. In vtroque enim maxima ostenditur potentia. An non tibi videtur esse maximum potentiæ argumentum, quando per mortem mors deletur? quando portæ æneæ confringuntur, quando peccatum aboletur, quando maledictum soluitur, quando vetera omnia mala euertuntur, & alia noua bona introducuntur? Quid enim potest cum hac conferri potentia, siue consideres miracula, siue pulcherrima facinora? Mortui excitabantur, leprosi mundabantur, dæmones expellebantur, mare refrænabatur, peccata soluebantur, paralytici astringebantur, paradisus aperiebatur, petræ rumpebantur, velum discindebatur, radij solis auertebantur, & tenebræ vniuersum orbem terræ occupabant, corpora sanctorum, qui dormierant, excitabantur, latro in veterem patriam reuertebatur, cœli fornices aperiebantur, quæ conculcata fuerat natura, supra cœlū cœli sustollebatur, & quod est his maius, in throno sedebat regio assistentibus ei Angelis & aliis potestatibus, omne vitium fugabatur, virtus reducebatur, Spiritus gratia dabatur, piscatores, publicani, & opifices tabernaculorum ora philosophis obstruebant, oratorum lin-

Ioan. 18.37

Perpes est Christi principatus.

Hebr. 2.

Matth 8. 21.14. Luc. 8. Hebr. 9. Matth. 27.

Luc. 22.

A αὐτὸς δὲ ἐν τῇ φύσει τὴν ἀρχὴν εἶχεν, ἐν τῇ οὐσίᾳ, οὐ μετὰ τὸ γεννηθῆναι προσλαβὼν ὕστερον, οὐδὲ ἐπείσακτον κτησάμενος, ἀλλ' οὕτω γεννηθείς. διὸ καὶ περὶ βασιλείας ἐρωτώμενος, ἔλεγεν· ἐγὼ εἰς τοῦτο γεγέννημαι, καὶ εἰς τοῦτο ἐλήλυθα. μετὰ σοῦ ἡ ἀρχὴ ἐν ἡμέρᾳ τῆς δυνάμεώς σου. οὐ ταῦτα δὲ μόνον τὰ εἰρημένα δηλοῖ, τὸ, μετὰ σοῦ ἡ ἀρχὴ, ἀλλὰ καὶ ἕτερα, οἷον τὸ μὴ ἐν ἄλλῳ αὐτοῦ εἶναι τὴν ἀρχὴν, ἀλλὰ καὶ διηνεκῆ καὶ ἀθάνατον. ἀνθρώποις μὲν γὰρ καὶ ζῶντας ἐπιλιμπάνει πολλάκις· εἰ δὲ μὴ ζῶντας, ἀλλ' ἀποθανόντας πάντως· μᾶλλον δὲ ἡνί- B κα ζῶσιν, οὐδὲ μετ' αὐτῶν ἐστιν· ἀλλ' ὅπερ ἔφθην εἰπὼν, ἐν στρατοπέδοις καὶ σωματοφύλαξι, καὶ χρημάτων περιουσίᾳ, καὶ τειχῶν περιβολαῖς καὶ τοῖς ἄλλοις ἅπασιν· ἐπὶ δὲ τοῦ Θεοῦ οὐ μόνον τοῦτο οὐκ ἔστιν, ἀλλ' ἐν αὐτῷ ἐστι καὶ διηνεκῶς· καὶ ὥσπερ τὴν οὐσίαν αὐτοῦ ἀδύνατον μὴ εἶναι, οὕτω καὶ τὴν βασιλείαν. ἐν ἡμέρᾳ τῆς δυνάμεώς σου. ἡμέραν δυνάμεως εἴποι τις ἂν, τήν τε ἤδη γενομένην, τήν τε ἐσομένην ἡμέραν. ἑκατέρα γὰρ μεγίστης δυνάμεως ἀπόδειξις. ἢ οὐ δοκεῖ σοι δυνάμεως μέγιστον εἶναι τεκμήριον, C ὅταν διὰ θανάτου, θάνατος καταργῆται; ὅταν χαλκαῖ πύλαι συντρίβωνται; ὅταν ἁμαρτία ἀφανίζηται; ὅταν κατάρα λύηται; ὅταν τὰ παλαιὰ πάντα ἀνατρέπηται κακὰ, καὶ ἕτερα ἐπεισάγηται νέα καλά; τί γὰρ τῆς δυνάμεως ταύτης ἴσον, ἄν τε τὰ θαύματα ἐξετάσῃς, ἄν τε τὰ κατορθώματα; νεκροὶ ἠγείροντο, λεπροὶ ἐκαθαίροντο, δαίμονες ἠλαύνοντο, θάλαττα ἐχαλινοῦτο, ἁμαρτήματα ἐλύετο, παραλυτικοὶ ἐσφίγγοντο, παράδεισος ἠνοίγετο, πέτραι ἐρρήγνυντο, καταπέτασμα ἐσχίζετο, ἀκτῖνες ἡλίου D ἀπεστρέφοντο, καὶ σκότος τὴν οἰκουμένην κατελάμβανε, σώματα τῶν κεκοιμημένων ἁγίων ἠγείρετο, λῃστὴς εἰς τὴν ἀρχαίαν ἐπανῄει πατρίδα, οὐρανοῦ ἁψῖδες ἀνεπετάννυντο, ἡ φύσις ἡ καταπεπατημένη ὑπὲρ τὸν οὐρανὸν τοῦ οὐρανοῦ πρὸς τὰ ὑψώματα ἀνῄει, καὶ τὸ δὴ τούτου μεῖζον, ἐπὶ θρόνου ἐκαθέζετο βασιλικοῦ παρεστώτων ἀγγέλων αὐτῇ, καὶ τῶν ἄνω δυνάμεων, κακία πᾶσα ἐλαύνετο, ἀρετὴ ἐπανήγετο, πνεύματος χάρις ἐδίδοτο, ἁλιεῖς, καὶ τελῶναι, καὶ σκηνοποιοὶ φιλοσόφων ἀπέρραπτον στόματα, ῥη-

τρόπων ἀπέστρεφον γλῶτταν, δαιμόνων κατέλυον τυραννίδα· βωμοὶ, καὶ ναοὶ, καὶ ἑορταὶ, καὶ πανηγύρεις Ἑλληνικαὶ διελύοντο, κνίσσα καὶ καπνὸς, καὶ τὰ ἐναγῆ θύματα πάντα κατὰ κράτος ἠλαύνετο, μάντεις καὶ μηναγύρται, καὶ οἰωνοσκόποι, καὶ ἅπαν τὸ τοῦ διαβόλου ἐργαστήριον ἐδραπέτευον, ἐκκλησίαι πανταχοῦ τῆς οἰκουμένης ἐβλάσταινον, παρθένων χοροὶ συνίσταντο, μοναζόντων τάγματα, μετὰ τῶν πόλεων καὶ ἡ ἔρημος εὐσεβείας ἐπληροῦτο, καὶ χοροὶ δικαίων καὶ ἁγίων ἀνδρῶν ἰσάρμενοι ταῖς ἄνω δυνάμεσι τῶν ἀγγέλων ἀντήχουν ἐν τῇ μελῳδίᾳ, καὶ μαρτύρων δῆμοι, καὶ ὁμολογητῶν πλήθη πανταχοῦ τῆς οἰκουμένης ἐφυτεύετο, ἀρετὴ μετὰ πολλῆς κατωρθοῦτο τῆς εὐκολίας, βαρβάρων ἔθνη φιλοσοφεῖν ἐπαιδεύετο, καὶ οἱ θηρίων ἀγριώτεροι πρὸς τὴν τῶν ἀγγέλων πολιτείαν τὴν ἅμιλλαν ἐπεδείκνυντο, καὶ ὅσην ἥλιος ἐφορᾷ γῆν, τοσαύτην ὁ λόγος ἐπέτρεχε μετὰ τὸν σταυρὸν καὶ τὴν ἀνάστασιν. ἅπερ ἅπαντα ἐννοῶν ὁ προφήτης ἔλεγε· μετὰ σοῦ ἡ ἀρχὴ ἐν ἡμέρᾳ τῆς δυνάμεώς σου. εἰ δὲ βούλει καὶ τὴν μέλλουσαν ἡμέραν ἰδεῖν, καὶ μαθεῖν πῶς καὶ ἐκείνη ἡμέρα δυνάμεως αὐτοῦ ἐστιν, ἐννόησον ἡλίκον ἐστὶν ἰδεῖν τὸν οὐρανὸν συστελλόμενον, καὶ ἅπασαν τὴν φύσιν τὴν καταφθαρεῖσαν ἀνισταμένην, καὶ τῷ νεύματι παρισταμένους ἅπαντας, διάβολον καταισχυνόμενον, δαίμονας κάτω κύπτοντας, δικαίους στεφανουμένους, ἕκαστον εὐθύνας διδόντα τῶν πεπλημμελημένων, τὰ βραβεῖα λαμβάνοντα τῶν κατορθωμάτων, ἑτέρας ζωῆς κατάστασιν γενομένην. οὐκέτι γὰρ θάνατος, καὶ νόσος καὶ γῆρας· οὐκέτι πενία καὶ ἐπήρειαι καὶ ἐπιβουλαὶ, οὐκέτι οἰκήματα καὶ πόλεις καὶ τέχναι, καὶ ναυτιλίαι, οὐκέτι ἱματίων περιβολὴ, καὶ σῖτα καὶ ποτὰ, καὶ ὄροφοι, καὶ κλῖναι, καὶ τράπεζαι, καὶ λυχνίαι· οὐκέτι ἐπιβουλαὶ, καὶ μάχαι, καὶ δικαστήρια, οὐκέτι γάμοι καὶ ὠδῖνες, καὶ τόκοι· ἀλλὰ ταῦτα πάντα ὥσπερ κόνις ἀποσοβουμένη καταλύεται, καὶ ἑτέρα τις ἀμείνων ζωῆς κατάστασις δίδοται, ἀφθαρσίας, ἀθανασίας, δυνάμεως πολλῆς τῷ σώματι χαριζομένης, ἅπερ καὶ ὁ Παῦλος δηλῶν, ἔλεγε· παράγει γὰρ τὸ σχῆμα τοῦ κόσμου τούτου. Εἰ δὲ ἀπιστεῖς τοῖς εἰρημένοις, ἐπειδὴ μὴ ὁρᾷς αὐτὰ παρόντα, ἀπὸ τῶν παρόντων εἰς τὰ περὶ τῶν μελλόντων λάμβανε τὴν ἀπόδειξιν, ἐπελθὼν τῷ λόγῳ

A guam præpediebant, dæmonum euertebant tyrannidem: Gentilium altaria, templa, festa, & publici conuentus abolebantur: nidor, & fumus, & impia sacrificia omnia per vim exigebantur, vates, præstigiatores, aruspices, & vniuersa diaboli officina fugiebant, ecclesiæ vbique terrarũ germinabant, chori virginum consistebant, & Monachorum ordines, cum ciuitatibus desertum quoque implebatur pietate, iustorúmque & sanctorum virorum stantes chori supernis Angelorum potestatibus in modulato concentu respondebant, & B turbæ martyrum, & cateruæ confessorum vbique terrarum plantabantur, virtutis erat faustus cum facilitate successus, barbarorum gentes docebantur philosophiam, & qui erant vel feris immaniores, vel cum ipsis Angelis in institutione vitæ suæ contendebant, & quantum terræ sol respicit, tantum verbum peruasit post crucem & resurrectionem. Quæ omnia apud se cogitans Propheta, dicebat: Tecum principatus in die virtutis tuæ. Quòd si velis futurum quoque diem videre, & scire quomodo ille etiam dies est eius C potentiæ, cogita apud te, quantum sit videre cœlum contrahi, & vniuersam naturam quæ interierit, resurgere, & nutu omnes adesse, diabolum pudore suffundi, & dæmones demisso capite terram intueri, iustos coronari, vnumquemque dare rationem suorum delictorum, & pro rectè factis accipere præmium, esse alterius vitæ constitutionem: non enim amplius mors, morbus & senium, non amplius paupertas, probra & insidiæ, non amplius domicilia & ciuitas, artes & nauigationes, non D amplius vestium amictus, cibi & potus, tecta & cubilia, mensæ & candelabra, non amplius insidiæ, pugnæ, & iudicia, non amplius matrimonia, doloréſque pariendi, & partus, sed hæc omnia tanquam puluis iactatus euanescunt, & alius quidam præstantior vitæ status redditur, cùm concedatur corpori, vt sit ab interitu alienum, immortale, & magna sit potestate præditum. Quæ quidem omnia Paulus significans, dicebat: Præterit figura mundi huius. Quòd si nõ adhibes fidem iis quæ dicta sunt, quoniam ea non vides præsentia, ex præsentibus sume argumentum de futuris. Peruade ratione vniuersum

Iudicij diem delineat. Malac. 24. 25.

Humanam intellige. Luc. 21. 1. Cor. 15. 2. Cor. 5.

1. Cor. 7. 31.

Argumentũ efficax.

orbem terræ, terram, mare, Græciam, Barbariam, terram habitabilem, & inhabitabilem, vrbes quæ sunt in terra, insulas quæ in mari, montes denique & saltus: & cùm videris vbique Christi relucere potentiam, omnesque præstantissimum eius nomen prædicare, reputa apud te, quod qui tot & tanta potuit, is est etiam futura pollicitus. Quod si ex parte quoque velis argumentum sumere, cogita quanam de causa vniuersus orbis terræ concurrit ad videndum sepulchrum quod caret corpore: quænam potestas trahit eos qui habitant in extremis finibus terræ, vt videant vbi natus est, vbi sepultus est, vbi fuit crucifixus. Considera quantæ sit potentiæ signum ipsa crux. Hæc enim crux antea erat mors execranda, mors opprobrij & ignominiæ plena, mors omniũ turpissima. Sed ecce nunc ipsa vita euasit honorabilior, & coronis splendidior, & omnes eam in fronte circumferimus, non solùm non erubescentes, sed ea etiam gloriantes. Non enim solùm priuati, sed & ipsi qui sunt diademate redimiti, eã potius gestant, quàm diadema. Et meritò quidem: est enim innumerabilibus diadematibus melior. Diadema enim ornat caput: crux autem munit mentem. Ea dæmones vlciscitur, ea diadema est, quod tollit morbos animæ, ea est armatura inuicta, ea murus inexpugnabilis, ea est munimentum insuperabile: quæ non solùm barbarorum irruptiones & incursiones hostium, sed ipsorum etiam immanium dæmonum phalanges perrumpit. *In splendoribus sanctorum.* Alius, In decore sancto. Alius, In gloria sanctorum. Adhuc loquitur de die & præsenti, & futuro. Splendorem autem hîc dicit sanctorum pulchritudinem. Quid est enim Paulo splẽdidius? Quid Petro insignius? qui vniuersum orbem terrarum peruaserunt, vel sole clariores, pietatis semina deijcientes? Perinde enim ac si fuissent Angeli qui è cœlo descendissent, ad eos omnibus non dabatur aditus. Hoc ostẽdens qui librum actuum composuit, dicebat: Nemo audebat se coniungere eis. Etenim ipsorum vestes erant plenæ magna gratia, & vmbræ corporum magnam ostendebant potentiam. Quòd si hîc tales erant, cogita mihi eo die, quando

Argumentum à patre desumptũ. Deut. 21.

Act. 5. Act. 19.

A τὴν οἰκουμένην ἅπασαν, τὴν γῆν, τὴν θάλατταν, τὴν Ἑλλάδα, τὴν βάρβαρον, τὴν οἰκουμένην, τὴν ἀοίκητον, τὰς ἐν τῇ γῇ πόλεις, τὰς ἐν τῇ θαλάττῃ νήσους, τὰ ὄρη, καὶ τὰς νάπας, καὶ ἰδὼν πανταχοῦ τὴν δύναμιν τοῦ Χριστοῦ διαλάμπουσαν καὶ πάντας τὸ τίμιον ὄνομα ἀνακηρύττοντας, ἀναλογίζου πρὸς ἑαυτὸν, ὅτι ὁ τοσαῦτα δυνηθεὶς, οὗτός ἐστι καὶ τὰ μέλλοντα ἐπηγγείλατο. εἰ δὲ καὶ ἀπὸ μέρους ἐθέλεις λαμβάνειν ἀπόδειξιν, ἐννόησον τίνος ἕνεκεν ἡ οἰκουμένη συντρέχει ἅπασα τάφον ἰδεῖν σῶμα οὐκ ἔχοντα· B ποία δύναμις ἕλκει τοὺς ἀπὸ τῶν περάτων τῆς γῆς, ὥστε ἰδεῖν ποῦ μὲν ἐτέχθη· ποῦ δὲ ἐτάφη, ποῦ δὲ ἐσταυρώθη. ἐννόησον αὐτὸν τὸν σταυρὸν, ὅσης δυνάμεώς ἐστι σημεῖον. ὁ γὰρ σταυρὸς οὗτος πρὸ τούτου θάνατος ἦν ἐπάρατος, θάνατος ἐπονείδιστος, θάνατος ὁ πάντων αἴσχιστος. ἀλλ' ἰδοὺ νῦν τῆς ζωῆς αὐτῆς τιμιώτερος γέγονε, καὶ διαδημάτων λαμπρότερος, καὶ πάντες ἐπὶ μετώπου αὐτὸν περιφέρομεν, οὐ μόνον οὐκ αἰσχυνόμενοι, ἀλλὰ καὶ ἐγκαλλωπιζόμενοι τούτῳ. οὐ γὰρ ἰδιῶται μόνον, ἀλλὰ καὶ αὐτοὶ οἱ τὰ διαδήματα περικείμενοι C ἐπὶ τοῦ μετώπου ὑπὲρ τὰ διαδήματα αὐτὸν βαστάζουσι, καὶ μάλα εἰκότως· μυρίων γὰρ διαδημάτων ἀμείνων. τὸ μὲν γὰρ διάδημα καλλωπίζει κεφαλὴν, ὁ δὲ σταυρὸς ἀσφαλίζεται διάνοιαν. τοῦτο δαιμόνων ἀμυντήριον, τοῦτο τὸ διάδημα νοσημάτων ψυχῆς ἀναιρετικόν· τοῦτο ὅπλον ἀχείρωτον· τοῦτο τεῖχος ἄμαχον· τοῦτο ἀσφάλεια ἀκαταγώνιστος· οὐ βαρβάρων ἐφόδους· οὐ πολεμίων μόνον καταδρομὰς, ἀλλὰ καὶ αὐτὰς τῶν ἀγρίων δαιμόνων διαλύει τὰς φάλαγγας. ἐν ταῖς λαμπρότησι τῶν ἁγίων. ἕτερος, D ἐν ἁγίου εὐπρεπείᾳ. ἄλλος, ἐν δόξῃ ἁγίων. ἔτι περὶ τῆς ἡμέρας διαλέγεται τῆς τε παρούσης τῆς τε μελλούσης. λαμπρότητα δὲ ἐνταῦθα, τὸ κάλλος φησὶ τῶν ἁγίων. τί γὰρ λαμπρότερον Παύλου; τί δὲ περιφανέστερον Πέτρου; οἱ τὴν οἰκουμένην περιέτρεχον, ὑπὲρ τὸν ἥλιον λάμποντες, τὰ σπέρματα τῆς εὐσεβείας καταβάλλοντες; ὡς γὰρ ἐξ οὐρανῶν ἄγγελοι καταβάντες, οὕτως ἦσαν πᾶσιν ἀπρόσιτοι. τοῦτο δηλῶν ὁ τὸ βιβλίον τῶν πράξεων συνθεὶς ἔλεγεν, ὅτι οὐδεὶς ἐτόλμα κολλᾶσθαι αὐτοῖς. καὶ γὰρ τὰ ἱμάτια αὐτῶν πολλῆς ἔγεμε χάριτος, καὶ αἱ σκιαὶ τῶν σωμάτων πολλὴν ἐπεδείκνυντο δύναμιν. εἰ δὲ ἐνταῦθα τοιοῦτοι, ἐννόησόν μοι κατὰ τὴν ἡμέ-

ραν ἐκείνην, ὅταν ἄφθαρτα σώματα λάβωσιν, ὅταν ἀθάνατα, ὅταν ὑπὲρ πᾶσαν ὁρωμένην λαμπρότητα ἀποστίλβοντα, τίνες ἔσονται οὗτοί τε καὶ οἱ τούτοις ἐοικότες προφῆται καὶ ἀπόστολοι, καὶ δίκαιοι καὶ μάρτυρες, καὶ ὁμολογηταί, καὶ πάντες οἱ κατὰ τὴν ἀρίστην πολιτείαν διαπρέψαντες ἐν τῇ πίστει τῇ εἰς τὸν Χριστόν; ἐννόησόν μοι τοὺς δήμους ἐκείνους, τὰς λαμπάδας, τὰς ἀκτῖνας, τὴν δόξαν, τὴν εὐπρέπειαν, τὴν φαιδρότητα, τὴν πανήγυριν. τίς ταῦτα παραστήσει; λόγος μὲν οὐδείς· ἡ δὲ πεῖρα μόνη σαφῶς διδάξει τοὺς ἀξίους ταύτης γενέσθαι τῆς θεωρίας τὴν λαμπρότητα ἐκείνην. τοιοῦτον γὰρ οἶμαι συμβαίνειν, οἷον εἰ πολλοὶ ἥλιοι ὑπὲρ τὸν οὐρανὸν ἔλαμψαν, ἢ αἱ συνεχεῖς ἀστραπαί· μᾶλλον δὲ ὅπερ ἂν εἴπω φιλονεικῶν παραστῆσαι τὸ κάλλος ἐκεῖνο, οὐ δυνήσομαι κατ' ἀξίαν εἰπεῖν. τὰ γὰρ παραδείγματα ἅπαντα ταῦτα σωματικά· ἡ δὲ λαμπρότης καὶ ἡ δόξα, ἡ τότε μέλλουσα ἐκλάμπειν ἐκεῖ ὑπὲρ ἅπαν τοιοῦτον κάλλος διαλάμψει. οὐ γὰρ ἄφθαρτα ἔσται τὰ σώματα μόνον, οὐδὲ ἀθάνατα, ἀλλὰ καὶ δόξαν ἄρρητον ἐνδύσεται τότε. ἐν ταῖς λαμπρότησι τῶν ἁγίων. ἵνα μὴ φοβερὸν ὄντα δείξῃ μόνον, δείκνυσιν αὐτοῦ καὶ τὸ ἥμερον καὶ τὸ εὐεργετικόν, λέγων· ἐν ταῖς λαμπρότησι τῶν ἁγίων· καὶ τοῦτο τῆς ἐκείνου δυνάμεώς ἐστι τὸ λαμπροὺς οὕτως ἐκείνους ποιῆσαι· ὅπερ καὶ Παῦλος δηλῶν, ἔλεγεν· ὃς μετασχηματίσει τὸ σῶμα τῆς ταπεινώσεως ἡμῶν εἰς τὸ γενέσθαι συμμόρφους τῷ σώματι τῆς δόξης αὐτοῦ. εἶτα ἐπειδὴ μέγα εἶπε καὶ ἄφατον ἐπήγαγε· κατὰ τὴν ἐνέργειαν τοῦ δύνασθαι αὐτὸν ὑποτάξαι αὐτῷ τὰ πάντα. μὴ ζήτει πῶς, φησί, καὶ τίνι τρόπῳ. δυνατὰ γὰρ αὐτῷ πάντα, ὅσα βούλεται. τίνος δὲ ἕνεκεν οὐκ εἶπεν ἐν τῇ λαμπρότητι τῶν ἁγίων, ἀλλ' ἐν ταῖς λαμπρότησιν; ὅτι πολλὰ καὶ διάφορα τὰ βραβεῖα. ἄλλη γὰρ δόξα ἡλίου, καὶ ἄλλη δόξα σελήνης, καὶ ἄλλη δόξα ἀστέρων. ἀστὴρ γὰρ ἀστέρος διαφέρει ἐν δόξῃ, οὕτως ἔσται, φησί, καὶ ἡ ἀνάστασις τῶν νεκρῶν. καὶ ὁ Χριστός· ἐν τῇ οἰκίᾳ τοῦ πατρός μου πολλαὶ μοναί εἰσι· διὰ τοῦτο ἡ λαμπρότης ἐκείνη τέλος οὐκ ἔχει. οὐδὲ γὰρ εἴκει νυκτί, οὐδὲ παραχωρεῖ σκότῳ, ἀλλ' ἄφατος οὖσα καὶ μεγάλη, καὶ πολὺ ταύτην τὴν ὁρωμένην ὑπερβαίνουσα, ἔτι καὶ τοῦτο ἔχει μέγιστον, τὸ πέρας μὴ δέχεσθαι, ὅπερ

A ab interitu aliena corpora acceperint, quando immortalia, quando omnem qui videtur splendorem superãtia, quinam erunt ij, qui fuerint eis similes, Prophetæ & Apostoli, & iusti & martyres, & confessores, & omnes qui per optimam vitæ institutionem in fide Christi fuere insignes? Cogita mihi illos populos, lampades, radios, gloriam, decorem, lætitiam, festum celeberrimum. Quisnam hæc explicabit? nulla quidem oratio, sed sola experientia apertè docebit eos, qui hoc spectaculo digni fuerint, tantũ splendorem.

B Perinde enim euenturum existimo, ac si multi soles in cœlo fulserint, vel si frequentia fulgura: vel potius quodcumque dixero, contendens ostendere illam pulchritudinem, minimè potero dicere pro rei dignitate. Sunt enim hæc omnia exempla corporalia: splendor autem, & quæ tunc illic futura est gloria, omnem eiusmodi pulchritudinem longo interuallo superabit. Non solùm enim erunt ab interitu aliena, & immortalia corpora, sed tunc etiam induentur gloria ineffabili. (1.Cor.15.) In splendoribus sanctorum. Vt ostendat eum non

C solùm esse terribilem, ostẽdit eius mansuetudinem & beneficentiam, dicens: In splendoribus sanctorum. Et hoc est illius potentiæ, eos adeò claros reddere: quod Paulus quoque significans, (Philip.3.21) dicebat: Qui transformabit corpus humilitatis nostræ, vt simus conformes corpori gloriæ eius. Deinde quoniam rem dixerat magnam & ineffabilem, subiunxit: secũdùm operationem qua potest omnia sibi subijcere. Ne quæras, inquit, quomodo & quanam ratione. Potest enim quæcunq; vult. Sed quare non dixit, In splendore sanctorum, sed, (Psal 115. 134.) In splendoribus? Quia multa sunt &

D diuersa præmia. (Sap. 12.) Alia est enim gloria solis, & alia gloria lunæ, & alia gloria (1.Cor.15. 41.) stellarum. Stella enim à stella vt differt in gloria, ita erit, inquit, etiam resurrectio mortuorum. Et Christus: In (Ioan.14.2.) domo patris mei mãsiones multæ sunt. Et ideo splendor ille finem non habet, neque enim cedit nocti, nec locum dat tenebris, sed cùm sit magnus & ineffabilis, & hunc qui videtur longè superans, habet etiam hoc maximum, quòd finem non suscipit. Quod qui-

dem est ineffabilis regis potestatis, quòd corpora quæ erant interitui obnoxia, caduca, & fragilia, in tantam potentiam & virtutē deduxerit. Deinde quoniam magna quædam dixit, & magnarum rerum spe auditorem erexit, ostendit hæc quoque iure fieri: quoniam qui hæc facit, talis est & tantus. Quis ille porro, qui hæc facit? qui est eiusdem cum patre substantiæ. Illud enim significans, subiunxit: 3. *Ex vtero ante luciferum genui te.* Sed qui quæ dicta sunt, ad suum sensum conuertunt, dicunt hæc dicta esse de generatione carnis. Quomodo ergo, dic quæso, ante luciferum? Ita dixit noctem qua natus est: natus est enim ante diluculum. Sed hoc non est dicere quod quæritur, neque hoc dixit gratia historiæ: & alioqui ne possunt quidem ostendere, quòd id quod docuerunt Euangelistæ, hoc dixerunt Prophetæ, qui maxima ex parte obscurè loquuntur. Hic ergo illud, Ante luciferum, non dicit ante ortum luciferi, sed ante naturam, antequam factus esset lucifer. Solet enim scriptura hæc distinguere, quando dicit ante naturam, & quando ante operationem, vt quando dicit: Oportet præuenire matutinum ad gratias agendas tibi, & ante ortum lucis te interpellare. Hic enim dicit matutinum. Nō dixit enim, Ante solem, sed, Ante ortum. Non ante naturam: ante naturam enim solis nihil factum est, sed ante ortum solis, vt significaret diluculum. Alicubi autem quando dicit de eius natura, non dicit, Ante ortum, sed, Ante solem, vt quando dicit: Ante solem permanet nomen eius. Et ante lunam generationis generationum. Quemadmodum ergo aliud est, Ante solem, & aliud, Ante ortum solis (hoc enim operationem solis & mane significat, illud verò naturam) ita etiam hic, si voluisset significare noctem, non dixisset, Ante luciferum, sed, Ante ortum luciferi. Et alioqui Christus quoq; hunc Psalmum accepit non de humanæ carnis susceptione, sed de generatione per spiritū. Cùm enim dixisset Iudæis: Quid vobis videtur de Christo, cuius est filius? Postquam dixerunt: Dauid, subiunxit Psalmum, dicens: Quomodo ergo dicit Dauid: Dixit Dominus domino meo, sede à dextris meis? Si ergo dominus eius est, quomodo vos dicitis, quòd est

Ante luciferum. *Sap. 16. 28.* *Psal. 71.* *Ibidem.* *Operatio- nis & naturæ diuersitas.* *Matth. 22.*

A ἀφάτου δυνάμεώς ἐστι τοῦ βασιλέως, τὸ τὰ σώματα τὰ φθαρτὰ καὶ ἐπίκηρα εἰς τοσαύτην ἀγαγεῖν ἰσχὺν καὶ δύναμιν. εἶτα ἐπειδὴ μεγάλα τινὰ εἶπε, καὶ ταῖς ἐλπίσιν ἐπλήρωσε τὸν ἀκροατήν, δείκνυσιν ὅτι εἰκότως ταῦτα γίνεται, ἐπειδὴ τηλικοῦτος ὁ κατορθῶν. τίς δὲ ὁ κατορθῶν; ὁ ὁμοούσιος τῷ πατρί. τοῦτο γὰρ δηλῶν ἐπήγαγεν· ἐκ γαστρὸς πρὸ ἑωσφόρου ἐγέννησά σε. ἀλλ' οἱ πρὸς τὴν ἑαυτῶν γνώμην διαστρέφοντες τὰ εἰρημένα, περὶ τῆς κατὰ σάρκα ταῦτα γεννήσεως εἰρῆσθαι φασί. πῶς οὖν πρὸ ἑωσφόρου εἰπέ μοι; τὴν νύκτα οὕτως εἶπε, καθ' ἣν ἐτίκτετο, B ὅτι πρὸ τοῦ ὄρθρου ἐτέχθη. ἀλλ' οὐ τοῦτο ἦν τὸ ζητούμενον εἰπεῖν, οὐδὲ ἱστορίας χάριν ἐλέχθη. ἄλλως δὲ οὐδὲ ἔχουσι δεῖξαι, ὅτι ὅπερ οἱ εὐαγγελισταὶ ἐδίδαξαν, τοῦτο εἶπον αὖ οἱ προφῆται οἱ συνεσκιασμένως τὰ πλείω φθεγγόμενοι. ἐνταῦθα τοίνυν τὸ πρὸ ἑωσφόρου, οὐ πρὸ τῆς ἀνατολῆς λέγει τοῦ ἑωσφόρου, ἀλλὰ πρὸ τῆς φύσεως, πρὸ τοῦ γενέσθαι ἑωσφόρον. οἶδε γὰρ ταῦτα ἡ γραφὴ διαιρεῖν, ὅταν περὶ φύσεως λέγῃ, καὶ ὅταν περὶ ἐνεργείας· οἷον ὅταν λέγῃ· δεῖ φθάνειν τὸν ὄρθρον ἐπ' εὐ- C χαριστίαν σου, καὶ πρὸ ἀνατολῆς φωτὸς ἐντυγχάνειν σοι. ἐνταῦθα γὰρ τὸν ὄρθρον λέγει. οὐ γὰρ εἶπε πρὸ ἡλίου, ἀλλὰ πρὸ ἀνατολῆς· οὐ πρὸ τῆς φύσεως. οὐδὲν γὰρ πρὸ τῆς φύσεως τοῦ ἡλίου γέγονεν, ἀλλὰ πρὸ ἀνατολῆς τοῦ ἡλίου· ἵνα τὸν ὄρθρον ἐμφήνῃ. ἀλλαχοῦ δὲ ὅτε περὶ τῆς φύσεως αὐτοῦ λέγει, οὐ λέγει πρὸ ἀνατολῆς, ἀλλὰ πρὸ τοῦ ἡλίου· ὡς ὅταν λέγῃ πρὸ τοῦ ἡλίου διαμενεῖ τὸ ὄνομα αὐτοῦ, καὶ πρὸ τῆς σελήνης γενεὰς γενεῶν. ὥσπερ οὖν ἕτερον τὸ πρὸ ἡλίου, καὶ ἕτερον τὸ πρὸ ἀνατολῆς ἡλίου· D τὸ μὲν γὰρ τὴν ἐνέργειαν τοῦ ἡλίου, καὶ τὸν ὄρθρον δηλοῖ, τὸ δὲ τὴν φύσιν· οὕτω δὴ καὶ ἐνταῦθα εἰ ἐβούλετο τὴν νύκτα δηλῶσαι, οὐκ ἂν εἶπε πρὸ ἑωσφόρου· ἀλλὰ πρὸ ἀνατολῆς ἑωσφόρου. ἄλλως δὲ καὶ ὁ Χριστὸς τὸν ψαλμὸν τοῦτον οὐκ εἰς τὴν κατὰ σάρκα οἰκονομίαν, ἀλλ' εἰς τὴν κατὰ πνεῦμα γέννησιν ἔλαβεν. εἰπὼν γὰρ τοῖς Ἰουδαίοις· τί ὑμῖν δοκεῖ περὶ τοῦ Χριστοῦ; τίνος υἱός ἐστιν; ἐπειδὴ εἶπον, τοῦ Δαβίδ, ἐπήγαγε τὸν ψαλμὸν λέγων· πῶς οὖν Δαβὶδ φησιν· εἶπεν ὁ κύριος τῷ κυρίῳ μου, κάθου ἐκ δεξιῶν μου; εἰ οὖν κύριος αὐτοῦ ἐστι, πῶς ὑμεῖς λέγετε, ὅτι

υἱὸς αὐτοῦ ἐστι; τί οὖν ἐστι τὸ λεγόμενον; τὸ γνήσιον τῆς γεννήσεως παρέστησεν ἐνταῦθα. τί οὖν; πρὸ τοῦ ἑωσφόρου μόνον ἐστίν; οὐδαμῶς. ἐπεὶ καὶ ἀλλαχοῦ φησι· πρὸ τῆς σελήνης ὁ θρόνος αὐτοῦ. καὶ οὐ πρὸ τῆς σελήνης μόνον, ἐπεὶ καὶ περὶ τοῦ πατρὸς λέγει· πρὸ τοῦ ὄρη γεννηθῆναι, καὶ πλασθῆναι τὴν γῆν, καὶ τὴν οἰκουμένην, καὶ ἀπὸ τοῦ αἰῶνος, καὶ ἕως τοῦ αἰῶνος σὺ εἶ. οὐκ ἀπὸ τοῦ αἰῶνος μόνον, ἀλλὰ καὶ πρὸ τοῦ αἰῶνος. οὐδὲ γὰρ ἕως τοῦ αἰῶνος, ἀλλ' ἀπείρως ἐστί· μὴ δὴ προσπταίσῃς ταῖς λέξεσιν, ἀλλὰ θεοπρεπῶς δέχου τὴν ἔννοιαν. καὶ ὅρα τοῦ προφήτου σοφίαν. ἀρξάμενος τῆς ψαλμῳδίας, οὐκ ἐντεῦθεν ἤρξατο· ἐκ γαστρὸς πρὸ ἑωσφόρου ἐγέννησά σε· ἀλλὰ πρότερον δείξας αὐτοῦ τὰ κατορθώματα, καὶ διὰ τῶν ἔργων ἀνακηρύξας αὐτόν, ὕστερον ἀπὸ τοῦ κυρίου δείκνυσιν αὐτοῦ τὴν ἀξίαν. οὕτω καὶ αὐτὸς ἔλεγεν· εἰ οὐ ποιῶ τὰ ἔργα τοῦ πατρός μου, μὴ πιστεύετέ μοι. εἰ δὲ ποιῶ· κἂν ἐμοὶ μὴ πιστεύητε, τοῖς ἔργοις πιστεύσατε· ἵνα μάθῃς, ὅτι ὁ καθήμενος ἐν δεξιᾷ τοῦ πατρὸς ὁ κύριος καλούμενος ὡς ὁ πατήρ, ὁ μεθ' ἑαυτοῦ τὴν ἀρχὴν ἔχων, ὁ λαμπρότητα τοιαύτην ἐργαζόμενος, ὁ μεταξὺ τῶν ἐθνῶν κατακυριεύων· μὴ θορυβηθῇς, ἐὰν ἀκούσῃς, ὅτι οὗτος υἱός ἐστι καὶ πρὸ τῆς κτίσεως ἁπάσης. θαυμάζειν δὲ ἄξιον τὸν προφήτην, πῶς τὰ μὲν ἐκ προσώπου τοῦ Θεοῦ, τὰ δὲ ἐκ προσώπου αὐτοῦ φθέγγεται. τὸ μὲν γάρ, κάθου ἐκ δεξιῶν μου, καὶ τὸ ἐκ γαστρὸς πρὸ ἑωσφόρου ἐγέννησά σε, ἅπερ ἐστὶν ὑψηλότερα αὐτοῦ, αὐτὸν εἰσάγει τὸν Θεὸν λέγοντα· τὰ δὲ ἄλλα αὐτὸς διηγεῖται. σκόπει δὲ καὶ πόσῃ κέχρηται οἰκειότητι τῆς λέξεως. ἤρκει μὲν γὰρ καὶ τὸ εἰπεῖν ἐγέννησά σε· ἀλλὰ διὰ τοὺς χαμαὶ βαδίζοντας, ἵνα τὸ γνήσιον παραστήσῃ, καὶ ταύτης ἐμνημόνευσε τῆς ῥήσεως. καὶ καθάπερ λέγων χεῖρα, οὐχ ἵνα ὑποπτεύσωμεν χεῖρα λέγει, ἀλλὰ τὴν δημιουργικὴν δύναμιν· οὕτω καὶ γαστρὸς ἐμνημόνευσεν, ἵνα τὸ γνήσιον τῆς γεννήσεως παραστήσῃ. εἶτα βουλόμενος τὴν προφητείαν ἐν σχήματι δικαστοῦ συνθεῖναι, πρὸς αὐτὸν τὴν λαλιὰν ποιεῖται, ὅπερ σφοδροτάτης ἀγάπης ἦν καὶ χαρᾶς ὑπερβαλλούσης, καὶ ψυχῆς σφόδρα κατόχου θείῳ πνεύματι γενομένης. ὤμοσε κύριος, καὶ οὐ μεταμεληθήσεται. σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ. ὁρᾷς πῶς πάλιν ἐπὶ τὸ ταπεινότε-

A eius filius? Quid est ergo quod dicitur? Veram & germanam hic ostendit generationem. Quid ergo? est solùm ante luciferum? Nequaquam. Nam dicit etiam alibi: Ante lunam thronus eius. *Psal 71.* Et non solum ante lunam, nam de patre quoque dicit: Antequam montes fierent, & formaretur terra, & orbis terrarum, à seculo & in seculum tu es. *Ps. 89. 2.* Non à seculo solùm, sed etiam ante seculum: neque enim est vsque ad seculum, sed in infinitum. Ne offendaris autem in dictionibus, sed suscipe intelligentiam quæ Deo conueniat. Vide B autem Prophetæ sapiẽtiam. Cùm Psalmum exorsus est, non statim dixit in principio: Ex vtero ante luciferum genui te: sed cùm priùs præclara eius facta ostendisset, & ipsum per opera prædicasset, postea ex dominio eius dignitatem ostendit. Ita etiam dicebat ipse: Si non facio opera patris mei, nolite mihi credere. Sin autem facio, & si mihi non credatis, operibus credite: vt cùm didiceris quòd is est qui sedet ad dexteram patris, qui Dominus appellatur vt pater, qui secum habet principatum, qui talem efficit splendorem, C qui inter gentes dominatum obtinet, ne conturberis, si audieris eum esse filium etiam ante vniuersam creaturam. Iure autem admirandus est Propheta, quomodo illa quidem ex Dei persona, hæc verò ex sua persona loquitur. Illud enim, Sede à dextris meis: & illud, Ex vtero ante luciferum genui te, quę eius superabant altitudinem, ipsum Deum introducit dicentem: alia autem ipse refert. Vide autem quanta vtitur proprietate dictionis. Suffecisset quidem dicere, Genui te: sed propter eos qui humi serpunt, vt veram & germanam D ostenderet generationem, huius quoq. dictionis meminit, & quemadmodum cùm dicit manum, non dicit vt manum suspicemur, sed vt intelligamus faciẽdi operis potestatem, ita etiam vteri meminit, vt veram esse, & germanam natiuitatẽ ostendat. Deinde volens componere prophetiam in figura iudicis, ad eum verba facit, quod quidem est vehementissimi amoris, & insignis gaudij, & animæ quæ à diuino spiritu occupatur. *Ex vtero.* 4. *Iurauit Dominus, & non pœnitebit eum. Tu es sacerdos in æternum, secundum ordinem Melchisedec.* Vides quomodo ad id quod est humilius, deduxit oratio-

nem, aliquando quidem de diuinitate, aliquando verò de humanitate differens? quod etiam faciunt Euangelistæ, vt vtrinque conſeruetur dogmatum ac decretorum perfectio. Et quare dixit, Secundùm ordinem Melchiſedech? Et propter ſacramenta, quòd ille quoque panem & vinum Abrahæ obtulerit: & & quòd hoc ſacerdotium ſit à lege, liberum, & quòd neque finem, (ſicut dicit Paulus) nec principium habeat. Quod enim ille in vmbra habuit, hoc reuera fuit in Ieſu: & quemadmodum nomina præceſſerunt, ſicut Ieſus ſicut Chriſtus: ita hoc etiã. Neque ergo videtur habere dierum principium, neq. finem vitæ Melchiſedech, non quòd non habeat: ſed quòd id nõ ſit relatum in eius genealogia. Ieſus autem neque principium dierum, nec vitæ finem habuit, non eo modo, ſed quòd nec in ipſo ſit omnino principium temporale, nec finis. Illud enim erat vmbra: hoc veritas. Quemadmodum ergo cùm Ieſum audis, nõ eum qui verè eſt Ieſus ſuſpicaris, ſed nominis ſolam figuram ſuſcipis, & nihil vltra requiris: ita cùm audis Melchiſedech, qui neque habet principium, nec finem, ne id quæras in rei veritate, ſed tibi ſufficiat ſola appellatio: veritatem autẽ in Chriſto ediſce. Iuſiurandum autem quando audieris, ne putes eſſe iuſiurandum. Quemadmodum enim ira in Deo ira non eſt, ſed eſt vis puniendi, & non perturbatio ãnimi: ita etiam iuſiurandum. Deus enim non iurat, ſed id dicit, quod omnino futurum eſt. Poſtquam ergo dixit ſplendorem ſanctorum, poſitos eſſe inimicos ſub pedibus eius, diem eius virtutis: dicit deinceps præſentia. Vide autem quònam ordine vtitur in oratione, durum auditorem molliens. Cùm prius enim terruiſſet loquendo de iudicio, & duritiem eius ac obſtinentiam emolliiſſet, introducit ſermonem de præſentibus. Propterea talem adhibet miſtionem. Conſidera autem: Donec ponam inimicos tuos ſcabellũ pedum tuorum. Hoc dicit de futuris. Deinde de præſentibus: Virgam virtutis tuæ emittet Dominus ex Sion, dominare in medio inimicorum tuorum. Deinde futura. Tecum principatus in die virtutis tuæ in ſplendoribus ſanctorum. Deinde rurſus præſentia, quæ non habent amplius punitionem, ſed

Hebr. 7. Chriſti corpus Melchiſedec.

Ioan. 8. Hebr. ult. Ioan. 12.

Iuſiurandũ Dei. Ira Dei.

ἐρεῖ τὸν λόγον ἄγει, ποτὲ μὲν περὶ τῆς θεότητος, ποτὲ δὲ περὶ τῆς ἀνθρωπότητος διαλεγόμενος; ὅπερ καὶ οἱ εὐαγγελισταὶ ποιοῦσιν, ἵνα ἑκατέρωθεν ἡ ἀκρίβεια τῶν δογμάτων διατηρῆται. καὶ διὰ τί εἶπε, κατὰ τὴν τάξιν Μελχισεδέκ; καὶ διὰ τὰ μυστήρια, ὅτι κἀκεῖνος ἄρτον καὶ οἶνον προσήνεγκε τῷ Ἀβραάμ, καὶ διὰ τὸ ἐλευθέραν εἶναι τοῦ νόμου ταύτην τὴν ἱερωσύνην, καὶ διὰ τὸ ἀτελεύτητον, καθάπερ καὶ Παῦλός φησι καὶ ἄναρχον. ὅπερ γὰρ ἐκεῖνος εἶχεν ἐν ταῖς σκιαῖς, τοῦτο ἐν τῇ ἀληθείᾳ γέγονεν ἐπὶ τοῦ Ἰησοῦ· καὶ καθάπερ τὰ ὀνόματα προέτρεχεν, ὡς Ἰησοῦς ὡς Χριστός, οὕτω καὶ τοῦτο. οὔτε ἀρχὴν οὖν ἡμερῶν φαίνεται ἔχων, οὔτε ζωῆς τέλος ὁ Μελχισεδέκ, οὐ τῷ μὴ ἔχειν, ἀλλὰ τῷ μὴ γενεαλογηθῆναι. ὁ δὲ Ἰησοῦς οὐδὲ ἀρχὴν ἡμερῶν ἔχει, οὔτε ζωῆς τέλος. οὐ κατὰ τοῦτον τὸν τρόπον, ἀλλὰ τῷ καθ' ὅλου μὴ εἶναι ἐπ' αὐτοῦ ἀρχὴν χρονικὴν μηδὲ τέλος. τὸ μὲν γὰρ ἦν σκιά, τὸ δὲ ἀλήθεια. ὥσπερ οὖν Ἰησοῦν ἀκούων οὐ τὸν ἀληθῶς Ἰησοῦν ὑποπτεύεις, ἀλλὰ τοῦ ὀνόματος τὸν τύπον δέχῃ μόνον, καὶ οὐδὲν πλέον ἐπιζητεῖς· οὕτω καὶ ἀκούων τὸν Μελχισεδὲκ ἄναρχον καὶ ἀτελεύτητον, μὴ ἐν τῇ τῶν πραγμάτων ἀληθείᾳ αὐτὸν ζήτει, ἀλλ' ἀρκοῦ τῇ προσηγορίᾳ μόνῃ, τὴν δὲ ἀλήθειαν ἐπὶ τοῦ Χριστοῦ καταμάνθανε. ὅρκον δὲ ὅταν ἀκούσῃς, μὴ ὅρκον νόμιζε. ὥσπερ γὰρ θυμός, οὐ θυμὸς ἐπὶ Θεοῦ, ἀλλὰ τὸ τιμωρητικόν, καὶ οὐ πάθος ἐστίν· οὕτως οὐδὲ ὅρκος. οὐ γὰρ ὄμνυσι Θεός, ἀλλὰ τὸ πάντως ἐσόμενον λέγει. εἰπὼν τοίνυν τὴν λαμπρότητα τῶν ἁγίων, τὸ τεθῆναι τοὺς ἐχθροὺς ὑπὸ τοὺς πόδας αὐτοῦ, τὴν ἡμέραν τῆς δυνάμεως, λέγει καὶ τὰ παρόντα λοιπόν. καὶ ὅρα οἵαν ποιεῖται τάξιν τοῦ λόγου, τὸν σκληρὸν ἀκροατὴν καταμαλάττων. πρότερον γὰρ φοβήσας τῷ λόγῳ τῆς κρίσεως, καὶ τὸ δυσένδοτον αὐτοῦ μαλάξας, οὕτω καὶ τὸν περὶ τῶν παρόντων εἰσάγει λόγον. διὰ τοῦτο καὶ τοιαύτην ποιεῖται τὴν μίξιν. σκόπει δέ· ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου. τοῦτο τῶν μελλόντων, εἶτα τὰ παρόντα. ῥάβδον δυνάμεώς σου ἐξαποστελεῖ κύριος ἐκ Σιών, καὶ κατακυρίευε ἐν μέσῳ τῶν ἐχθρῶν σου. εἶτα τὰ μέλλοντα, μετὰ σοῦ ἡ ἀρχή, ἐν ἡμέρᾳ τῆς δυνάμεώς σου ἐν ταῖς λαμπρότησι τῶν ἁγίων. εἶτα πάλιν τὰ παρόντα, οὐκέτι τιμωρίαν ἔχοντα, ἀλλ' εὐερ-

εὐεργεσίαν· σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ. τοῦτο γὰρ ἁμαρτίας ἀναίρεσις, καὶ καταλλαγὴ πρὸς Θεόν. εἶτα ἐπιμείνας αὐτοῖς ὅσον ἠβούλετο, πάλιν τῆς οἰκονομίας ἅπτεται, ἐπὶ τὸ ταπεινότερον τὸν λόγον μετασχηματίζων, καὶ λέγων· κύριος ἐκ δεξιῶν σου. καί τοι ἄνω ἔλεγεν, ὅτι αὐτὸς κάθηται ἐν δεξιᾷ τοῦ πατρός. ὁρᾷς πῶς οὐχ ἁπλῶς χρὴ ταῖς λέξεσι προσκαθῆσθαι; τί ἐστι, κύριος ἐκ δεξιῶν σου; ἐπειδὴ τῆς οἰκονομίας ἥψατο, ἐπὶ τὴν σάρκα τὸν λόγον τρέπει τὴν βοήθειαν δεχομένην. ὁρᾶται γὰρ ἀγωνιῶν, καὶ ἱδρῶν, καὶ οὕτως ἱδρῶν, ὡς καὶ θρόμβους καταρρεῖν, καὶ ἐνισχυόμενος. τοιαύτη γὰρ τῆς σαρκὸς ἡ φύσις. συνέθλασεν ἐν ἡμέρᾳ ὀργῆς αὐτοῦ βασιλεῖς. οὐκ ἂν ἁμάρτοι τις τοῦτο καὶ περὶ τῶν παρόντων λέγων τῶν ἐπανισταμένων τῇ ἐκκλησίᾳ, καὶ περὶ τῶν μελλόντων δώσειν εὐθύνας, ὑπὲρ ὧν ἥμαρτον, καὶ ἠσέβησαν. κρινεῖ ἐν τοῖς ἔθνεσι, πληρώσει πτώματα. τί ἐστι, κρινεῖ ἐν τοῖς ἔθνεσι; δικάσει, φησί· κρινεῖ τοὺς δαίμονας. καὶ ὅτι ἔκρινεν, ἄκουσον τοῦ Χριστοῦ λέγοντος· νῦν κρίσις ἐστὶ τοῦ κόσμου τούτου· νῦν ὁ ἄρχων τοῦ κόσμου ἐκβληθήσεται ἔξω. καὶ ἀλλαχοῦ· κἀγὼ ἐὰν ὑψωθῶ, πάντας ἑλκύσω πρὸς ἐμαυτόν. εἰ δὲ αἰσθητικωτέρᾳ τῇ λέξει κέχρηται, μὴ προσπλαίσῃς. ἔθος γὰρ τῇ γραφῇ τοῦτο. συνθλάσει κεφαλὰς ἐπὶ γῆς πολλῶν. εἰ μὲν κατὰ ἀναγωγὴν βούλοιο τοῦτο δέχεσθαι, τὴν ἀπόνοιαν εἴποι τις ἂν ὅτι καθεῖλε. εἰ δὲ καὶ αἰσθητῶς τὴν συμφορὰν τὴν Ἰουδαϊκήν, οὓς ἀπώλεσεν ἄρδην μετὰ πολλῆς τῆς σφοδρότητος. ἐκ χειμάρρου ἐν ὁδῷ πίεται. ἐνταῦθα δείκνυσι τὸ ταπεινὸν τῆς διαίτης, τὸ εὐτελὲς τῆς διαγωγῆς, ὅτι δὴ οὐ σοβῶν, οὐδὲ δορυφόρους ἔχων, οὐδὲ φαντασίαν τινὰ περικείμενος αἰσθητὴν ταῦτα ἔπραττεν, ἀλλὰ λιτὸν βίον μετιὼν, καὶ τοιοῦτον, ὡς ἐκ χειμάρρου πίνειν. οἵα γὰρ ἦν αὐτῷ ἡ τράπεζα, τοιοῦτον καὶ τὸ ποτόν. ἡ τράπεζα ἄρτοι κρίθινοι, τὸ ποτὸν ὕδωρ ἀπὸ τοῦ χειμάρρου. τὴν γὰρ φιλόσοφον ταύτην δίαιταν ἦλθε διδάξων, γαστρὸς κρατεῖν, φαντασίαν πατεῖν, τῦφον ἀποστρέφεσθαι. εἶτα δείκνυσι τῆς ζωῆς τὸ κέρδος τοῦτο,

A beneficentiam: Tu es sacerdos in æternum secundùm ordinem Melchisedec. Hoc est enim peccati deletio, & cum Deo reconciliatio. Deinde cùm in eis quantum voluit institit, attingit rursus humanitatem, ad id quod est humilius orationem conuertens, & dicens, 5. *Dominus à dextris tuis.* Atqui superius dixerat eum sedere à dextris patris. Vides quomodo non temerè dictionibus inhærendum est? Quid est, Dominus à dextris tuis? Quoniam humanitatis susceptæ œconomiam attigit, ad carnem conuertit orationem, quæ auxi-B lium suscipit. Videtur enim angi, affli-ctari, & sudare, & ita sudare, vt guttæ sanguinis defluant: & rursus confirmari. Talis est enim natura carnis. *Confringet in die iræ suæ reges.* Non aberrauerit qui hoc dixerit dici de præsentibus qui insurgunt aduersus ecclesiam, & de iis qui pro peccatis & maleficiis suis sunt pœnas daturi. 6. *Iudicabit in gentibus, implebit ruinas.* Quid est, Iudicabit in gentibus? Iudicabit, inquit, dæmones. Et quòd iudicauerit, audi Christum dicentem: Nunc est iudicium mundi huius. Nunc princeps mundi C huius eijcietur foras. Et alibi: Et ego quando exaltatus fuero, omnes traham ad meipsum. Quòd si vsus est dictione quæ paulò magis ad sensum pertinet, non offendaris. Hoc est enim familiare scripturæ. *Conquassabit capita in terra multorum.* Si hoc quidem velis accipere anagogicè, dixerit quispiam eum esse deiectum fastum & arrogantiam. Quòd etiam ita accipias licet, vt cadat sub sensum, Iudaicam calamitatem, quos cum vehementia maxima euertit funditus. 7. *De torrente in via bibet, propterea exaltabit caput.* Hic ostendit D humilem ac vilem eius viuendi rationem, quòd nullum fastum aut tumorem præ se ferens, nullis stipatus satellitibus, nec sensibili aliquo, aut externo apparatu munitus, hæc fecerit, sed tenuem victum persequens, & adeò tenuem, vt ex torrente biberet. Qualis enim erat ei mensa, talis fuit quoque potus. Mensa panes hordeacei, potus aqua de torrente. Venit enim hanc philosophicam viuendi rationem docturus, nempe ventri imperare, & fastum auersari. Deinde ostendens quod sit huius vitæ emolumentum,

Luc. 22.

Ioan. 12.

Ibidem.

Philosophia Christi & doctrina.

Matth. 4.

Ioan. 6.

subiunxit: Propterea exaltabit caput. Humilitatis enim vitæque austeræ hic est fructus. Hæc autem non dicta sunt de diuinitate, sed de carne quæ bibit ex torrente, quæ fuit exaltata. Non modo enim nihil ei detrimenti attulit hæc tenuitas, sed etiam ad ineffabilem euexit altitudinem. Et tu ergo, ô dilecte, qui hæc exempla habes tibi proposita, vitam quidem luxuriantem, fastúque & pompa extrinsecus repletam contemne, tenuem autem ac facilem & minimè exquisitam persequere, si vis esse clarus & magnus. Dominus enim tuus ideo venit, vt hanc te viam doceret. Quocirca Propheta quoque, cùm præclara eius facta narrauit, hoc ipsum subiunxit, propè dicens: Cùm victoriam & trophæa audieris, ne spera te visurum arma, currus, & milites: est adeò humilis qui hæc facit, adeò frugi & abstinens, vt ex torrente aquam bibat: & tamen qui est eiusmodi, hæc omnia perficiet. Audiant ergo qui mensas habent Sybariticas, epulásque & condimentorum omne genus excogitant, & varia coquorum genera vndique colligunt, nautásque, gubernatores, & remiges deligunt, vt externa quædam vini & vnguentorum genera, & alias eiusmodi delicias importent, & seipsos in ipsum barathrum præcipitent, & euadant omnium abiectissimi. Neque enim excelsum quid consueuit facere, qui pluribus indiget: nec humile quicquam, cui pauca desunt. Si vultis autem, effingamus vtriusque imaginem, & sit quispiam qui habet multos ei vndique suppeditantes nautas, & gubernatores, ministros, & artifices, textores & phrygiones, bubulcos & pastores, equisones & muliones, & quæ ad cultum & victum pertinent, in omnibus ei suppeditant: alter autem nihil eorum habeat, præterquam solum panem & aquam, & vestem vnicam. Quis est in his excelsus? quis verò humilis? An non clarum est, quòd qui vnicam habet vestem? Is enim vel ipsum regem poterit despicere. Ille autem seruus omnium qui hæc præbent, se demittens, blandiens, omnes obseruans, timens ne si quis eum reliquerit, in rebus maximè necessariis detrimentum accipiat.

Adhortatio.

Castigatio aduersus luxum.

Imago ex hypothesi.

ἐπήγαγε· διὰ τοῦτο ὑψώσει κεφαλήν. τῆς γὰρ ταπεινοφροσύνης καὶ τοῦ σκληροῦ βίου οὗτος ὁ καρπός. ταῦτα δὲ οὐ περὶ τῆς θεότητος εἴρηται, ἀλλὰ περὶ τῆς σαρκὸς τῆς πιούσης ἐκ χειμάῤῥου, τῆς ὑψωθείσης. οὐ μόνον γὰρ οὐδὲν αὐτὴν παρέβλαψεν αὕτη ἡ εὐτέλεια, ἀλλὰ καὶ πρὸς ὕψος ἀνήγαγεν ἄφατον. καὶ σὺ τοίνυν, ὦ ἀγαπητὲ, ἔχων τὰ ὑποδείγματα, τὸν μὲν φλεγμαίνοντα, καὶ φαντασίας γέμοντα βίον ἀτίμαζε· τὸν δὲ εὐτελῆ καὶ ἐσχεδιασμένον δίωκε, εἴ γε βούλει λαμπρός τις εἶναι καὶ μέγας. καὶ γὰρ ὁ δεσπότης σου διὰ τοῦτο ἦλθεν, ἵνα ταύτην σε διδάξῃ τὴν ὁδόν. διά τοι τοῦτο καὶ ὁ προφήτης εἰπὼν τὰ κατορθώματα ἐπήγαγε τοῦτο αὐτὸ μονονουχὶ λέγων· ἀκούσας νίκην καὶ τρόπαια, μὴ ἔλπιζε ὅπλα καὶ στρατιώτας, καὶ ἅρματα, καὶ ἵππους, καὶ ἱππέας, καὶ ὁπλίτας, καὶ θορύβους, καὶ ταραχήν· οὕτω ταπεινός ἐστιν ὁ ταῦτα κατορθῶν· οὕτω συνεσταλμένος, ὡς ἐκ χειμάῤῥου πίνειν ὕδωρ· ἀλλ' ὅμως, οὗτος ὁ τοιοῦτος ταῦτα ἅπαντα ἀνύσει. ἀκουέτωσαν οἱ τὰς Συβαριτικὰς ἔχοντες τραπέζας, καὶ τὰ ἐδέσματα, καὶ πᾶν εἶδος καρυκείας ἐπινοοῦντες, καὶ ποικίλα μαγείρων γένη πανταχόθεν συλλέγοντες, καὶ ναύτας καὶ κυβερνήτας καὶ κωπηλάτας καταλέγοντες· ἵνα ξένα τινὰ γένη καὶ οἴνου, καὶ μύρων καὶ τῆς ἄλλης βλακείας κομίσωσι, καὶ πρὸς αὐτὸ ἑαυτοὺς καταποντίσωσι τὸ βάραθρον, καὶ πάντων γίνωνται ταπεινότεροι. οὔτε γὰρ ὑψηλὸν εἴωθε ποιεῖν τὸ πλειόνων δεῖσθαι, οὔτε ταπεινὸν τὸ ὀλίγων εἶναι ἐν χρείᾳ. καὶ εἰ βούλεσθε ἑκατέρων τὴν εἰκόνα ἀναπλάσωμεν, καὶ ἔστω τις πολλοὺς ἔχων τοὺς πανταχόθεν χορηγοῦντας καὶ ναύτας, καὶ κυβερνήτας, καὶ χειροτέχνας καὶ οἰκέτας, καὶ ὑφάντας καὶ ποικιλτὰς, καὶ βουκόλους καὶ ποιμένας· καὶ ἱπποκόμους καὶ ἱπποφορβοὺς, καὶ πολλὴν ἐν ἅπασιν ἐχέτω τὴν θεραπείαν. ἕτερος δὲ μηδενὸς τούτων ἀπολαυέτω, ἀλλ' ἄρτου μόνου καὶ ὕδατος καὶ ἱματίου ψιλοῦ. τίς ἐν τούτοις ὁ ὑψηλός; τίς δὲ ὁ ταπεινός; οὐκ εὔδηλον ὅτι ὁ τὸ ἱμάτιον μόνον ἔχων; οὗτος μὲν γὰρ καὶ αὐτοῦ τοῦ βασιλεύοντος καταφρονῆσαι δυνήσεται. ἐκεῖνος δὲ πάντων τῶν ταῦτα παρεχόντων δοῦλός ἐστιν, ὑποκύπτων, κολακεύων, θεραπεύων ἅπαντας, δεδοικὼς μή τις αὐτὸν καταλιπὼν εἰς τὰ καίρια βλάψῃ.

οὐδὲν γὰρ οὕτω ποιεῖ δοῦλον, ὡς τὸ πολλῶν δεῖσθαι· ὥσπερ οὖν ἐλεύθερον, ὡς τὸ τῆς χρείας εἶναι μόνης. τοῦτο καὶ ἐπ' ἀλόγων ἴδοι τις ἄν. τί γὰρ ὄφελος ὄνῳ βεβαρημένῳ μεγέθει φορτίων, κἂν μυριάκις αὐτῶν ἀπολαύῃ; τί δὲ βλάβος ἑτέρῳ τούτων ἀπηλλαγμένῳ πάντων, ἀλλὰ τῆς ἀναγκαίας ἀπολαύῃ τροφῆς; διὰ τοῦτο καὶ ὁ Χριστὸς ὑψηλοὺς τοὺς ἑαυτοῦ κατασκευάζων μαθητὰς, ἅτε μέλλοντας τῇ οἰκουμένῃ διαλέξεσθαι πάσῃ πασῶν αὐτοὺς ἀπήλλαξε φροντίδων πτερωτοὺς ἐργαζόμενος, καὶ ἀδάμαντος ἀντιτυπωτέρους. οὐδὲν γὰρ οὕτως ἰσχὺν ἐντίθησι ψυχῇ, ὡς τὸ τούτων ἀπηλλάχθαι, οὐδὲ οὕτως ἀσθενῆ ποιεῖ, ὡς τὸ τούτοις ἐνέχεσθαι. ὥσπερ γὰρ οὐκ ἔστι λύπην εὑρεῖν ἐνταῦθα ταχέως, οὕτως ἐκεῖ ἡδονήν. ὁ μὲν γὰρ πολλοὺς ἔχει δεσπότας καὶ δεσποίνας ἀνημέρους τινὰς καὶ ἀπανθρώπους· ὁ δὲ δουλεύει μὲν οὐδενὶ, κρατεῖ δὲ ἁπάντων μετὰ πολλῆς τῆς ἀδείας, καὶ τῆς ἀκτῖνος ἀπολαύων, καὶ τῶν ἀέρων ἐντρυφῶν, καὶ τὸν διενοχλοῦντα οὐκ ἔχων· οὐ θυμὸς παρενοχλεῖ τοῦτον, οὐ φθόνος, οὐ βασκανία, οὐ φροντίδες τήκουσιν, οὐ ζηλοτυπίαι, οὐ κενοδοξία, οὐ τῦφος, οὐκ ἄλλο τῶν τοιούτων οὐδέν· ἀλλ' ὥσπερ τις λιμὴν εὔδιος κυμάτων ἀπηλλαγμένος, οὕτως αὐτοῦ τὰ τῆς ψυχῆς διάκειται, καὶ πρὸς τὸν οὐρανὸν εὐκόλως ὁδεύει οὐδενὶ τῶν παρόντων κατεχόμενος. ἵν' οὖν καὶ ἡμεῖς ταύτης ἀπολαύσωμεν τῆς ἀδείας, καὶ τῆς κατὰ τὸν παρόντα βίον εὐθυμίας, καὶ τῆς εὐκολίας τῆς κατὰ τὴν ἀποδημίαν, τοῦτον διώκωμεν τὸν βίον, ὥστε καὶ τῶν αἰωνίων ἀγαθῶν ἀπολαῦσαι, τῶν ὑπερβαλλόντων ἅπαντα λόγον, καὶ νοῦν, καὶ διάνοιαν ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν· ᾧ ἡ δόξα καὶ τὸ κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

A Nihil enim æquè reddit seruum, sicut multis egere: sicut etiam liberum, necessaria tantum requirere. Hoc ipsum videri potest in brutis. Quid enim prodest asino multis sarcinis onusto, etsi eis fruatur millies? Quid autem nocet alij libero ab his omnibus, si necessarium alimentum suppetat? Et ideo Christus reddens suos discipulos magni & excelsi animi, qui erant cum vniuerso orbe terrarum locuturi, omnibus eos curis liberauit, alatos efficiens, quouisque adamante firmiores & constantiores reddens. Animæ enim B nihil tantas addit vires, vt ab eis esse liberam: nihil eam adeò eneruat & imbecillam efficit, vt eis constrictam teneri. Quemadmodum enim non potest dolor hîc citò inueniri: ita nec illic voluptas. Ille enim habet multos sæuos immanésque dominos & dominas: hic autem nulli quidem seruit, omnibus autem imperat, radiis solis securè fruens, & aëris aura iucundè vescens, & qui ei molestiam exhibeas, non habens: non eum vexat & agitat ira, non inuidia, non maleuolentia, C non eum curæ extabefaciunt, non æmulationes, non vana gloria, non superbia, non aliquid aliud eiusmodi, sed sicut portus aliquis tranquillus, & liber à fluctibus, ita est affectus eius animus, & iter in cœlum facilè ingreditur, vt quem nulla res præsens remoretur. Vt ergo nos quoque hac securitate fruamur, & in præsenti vita tranquillitatem, & in peregrinatione facilitatem consequamur, hanc vitam persequamur, vt bona quoque æterna adipiscamur, quæ omnem rationem, mentem, & cogitationem superant. D In Christo Iesu domino nostro, cui gloria & potentia in secula seculorum, Amen.

Seruum aut liberũ, quid potissimum faciat.

Curarum vacuitas.

Collatio.

A

In Psalmvm CX.

Confitebor tibi Domine in toto corde meo.

QVID est, In toto? Cum omni promptitudine & animi alacritate, attentè, & diligenter, liber ab omnibus curis earum rerum quæ ad hanc vitam pertinent, sublimisque & erectus, & expediens animam à vinculis corporis. In corde, non in verbis tantùm, nec in lingua & ore solummodo, sed cum mente & cogitatione. Ita etiam Moses legem ferens, dicebat: Diliges dominum Deum tuum ex toto corde tuo, & ex tota mente tua. Confessionem autem hîc mihi videtur dicere gratiarum actionẽ: Laudabo, inquit, agam gratias. Totam enim vitam in hoc consumpsit: ab hoc exorditur, & in hoc desinit. Perpetuò enim fuit hoc eius munus, pro iis quæ & ipse, & alij acceperant beneficiis, gratias agere. Deus enim nihil æquè ac hoc postulat, hoc est sacrificium, hoc oblatio, hoc est pij & grati animi signũ: hoc vulnus infert diabolo: ex hoc coronabatur beatus Iob & prædicabatur, quòd cùm illi tẽtationes essẽt illatę innumerabiles, & vxor quoque eum supplantare vellet, non auersus est, sed Deo de omnibus egit perpetuò gratias, nõ solùm quãdo fuit diues, sed etiã quando erat pauper: non quando erat sanus, sed etiã quando caro scatebat vlceribus, nõ quãdo ei res omnes ex animi sententia succedebant, sed etiam quando grauis illa tempestas in vniuersam eius domum incubuit, & in ipsam quoque naturam corporis. Hoc est enim grati in primis animi, in rebus aduersis & afflictionibus Deo perpetuò habere & agere gratias. Quod quidem ipse quoque innuens, declarauit per ea, quæ consequuntur. Quia enim multi homines, dum res quidem sunt lætæ, agunt gratias: si quid autem secus eueniat, ægrè ferunt: sunt etiam qui quæ fiunt, reprehendunt:

In toto corde.

Deut. 6. 5.

Psal. 33. 61. 144.

Gratiarum actionem à nobis Deus maximè requirit.

Iob 1. 9. 10. 11.

Εἰς τὸν ρι′ ψαλμόν.

Ἐξομολογήσομαί σοι κύριε ἐν ὅλῃ καρδίᾳ μου.

Τί ἐστιν ἐν ὅλῃ; μετὰ προθυμίας ἁπάσης, συντεταμένως, ἀπαλλαγεὶς τῶν βιωτικῶν φροντίδων, καὶ μετάρσιος γενόμενος καὶ τὴν ψυχὴν ἀπολύσας τῶν δεσμῶν τοῦ σώματος· ἐν καρδίᾳ, οὐχ ἁπλῶς ἐν ῥήμασιν, οὐδὲ ἐν γλώττῃ καὶ στόματι μόνον, ἀλλὰ καὶ μετὰ τῆς διανοίας. οὕτω καὶ Μωϋσῆς νομοθετῶν ἔλεγεν· ἀγαπήσεις κύριον τὸν Θεόν σου ἐξ ὅλης τῆς καρδίας σου, καὶ ἐξ ὅλης τῆς διανοίας σου. ἐνταῦθα γάρ μοι τὴν ἐξομολόγησιν, τὴν εὐχαριστίαν δοκεῖ λέγειν· ὑμνήσω φησίν, εὐχαριστήσω. καὶ γὰρ ἅπαντα τὸν βίον εἰς τοῦτο ἀνήλισκεν, καὶ ἐντεῦθεν προοιμιάζεται καὶ εἰς τοῦτο καταλήγει, καὶ τοῦτο ἦν ἔργον αὐτοῦ διαπαντός, ὃ καὶ ὑπὲρ τῶν εἰς αὐτὸν γενομένων, καὶ ὑπὲρ τῶν εἰς ἄλλους εὐεργεσιῶν τὴν εὐχαριστίαν ἀναφέρειν. οὐδὲν γὰρ οὕτως ὁ Θεὸς ὡς τοῦτο ἐπιζητεῖ· τοῦτο θυσία· τοῦτο προσφορά· τοῦτο ψυχῆς εὐγνώμονος σημεῖον· τοῦτο πληγὴ κατὰ τοῦ διαβόλου. ἐντεῦθεν ὁ μακάριος Ἰὼβ ἐστεφανοῦτο καὶ ἀνεκηρύττετο, ὅτι μυρίων πειρασμῶν ἐπενεχθέντων αὐτῷ, καὶ τῆς γυναικὸς ὑποσκελιζούσης οὐ περιετράπη, ἀλλ' ἔμεινεν εὐχαριστῶν τῷ δεσπότῃ περὶ πάντων, οὐχ ἡνίκα ἐπλούτει, ἀλλὰ καὶ ἡνίκα πένης ἐγένετο· οὐχ ἡνίκα ὑγίαινεν, ἀλλὰ καὶ ἡνίκα ἐπλήγη τὴν σάρκα· οὐχ ὅτε κατὰ ῥοῦν αὐτῷ τὰ πράγματα ἐφέρετο, ἀλλὰ καὶ ὅτε ὁ χαλεπὸς ἐκεῖνος χειμὼν κατέσκηψεν εἰς πᾶσαν αὐτοῦ τὴν οἰκίαν, καὶ εἰς αὐτὴν τοῦ σώματος τὴν φύσιν. τοῦτο γὰρ μάλιστα εὐχαρίστου γνώμης ἐν ταῖς θλίψεσι καὶ ταῖς δυσημερίαις πολλὴν εἰδέναι τῷ Θεῷ τὴν χάριν, καὶ διαπαντὸς μένειν εὐχαριστοῦντα, ὅπερ οὖν καὶ αὐτὸς αἰνιττόμενος διὰ τῶν ἑξῆς ἐδήλωσεν. ἐπειδὴ γὰρ πολλοὶ τῶν ἀνθρώπων, ἐν εὐθυμίᾳ μὲν ὄντες εὐχαριστοῦσι, τὰ ἐναντία δὲ πάσχοντες δυσχεραίνουσιν· εἰσὶ δὲ οἳ καὶ τῶν γινομένων ἐπιλαμβάνονται·

B C D

δηλῶν ὅτι οὐ παρὰ τὴν φύσιν τῶν συμβαινόντων, ἀλλὰ παρὰ τὴν διεστραμμένην γνώμην τοῦτο γίνεται, ἐπήγαγε, λέγων· ἐν βουλῇ εὐθείων καὶ συναγωγῇ μεγάλα τὰ ἔργα κυρίου. τοῦτο εἶπε δηλῶν ὅτι δικαστοῦ χρεία ἀδεκάστου, καὶ συλλόγου μὴ διεφθαρμένου, καὶ δῆλα ἔσται τὰ ἔργα τοῦ Θεοῦ, ὅτι μεγάλα, ὅτι πολλοῦ θαύματος ἀνάμεστα. ἔστι μὲν γὰρ καὶ καθ' ἑαυτὰ μεγάλα, οὐ δείκνυται δὲ μεγάλα, ἐὰν μὴ κριτὴν ὀρθὸν ἔχῃ· ἐπεὶ καὶ ὁ ἥλιος καθ' ἑαυτὸν φαιδρὸς καὶ διαυγής, καὶ τὴν οἰκουμένην διαλάμπει πᾶσαν· ἀλλὰ τοῖς τὰς ὄψεις νοσοῦσιν, οὐκ ἔστι τοιοῦτος. ἀλλ' οὐ τοῦ ἡλίου τὸ ἔγκλημα, ἀλλὰ τῆς ἐκείνων ἀσθενείας τὸ ἐλάττωμα. ὅταν τοίνυν ἴδῃς τινὰ κατηγοροῦντα τῶν ἔργων τοῦ Θεοῦ, μὴ τὰ ἔργα διάβαλλε διὰ τὴν ἐκείνου κακίαν, ἀλλὰ τῆς ἐκείνου ἀνοίας λάμβανε μέγιστον δεῖγμα ἀπὸ τῆς τοῦ Θεοῦ προνοίας. ὥσπερ γὰρ ὁ τὸν ἥλιον λέγων σκοτεινὸν οὐ τὸ ἄστρον διέβαλεν, ἀλλὰ τῆς αὐτοῦ πηρώσεως ἐξήνεγκεν ἔλεγχον ἀκριβῆ, καὶ ὁ τὸ μέλι πικρὸν ὀνομάζων οὐ τὴν γλυκύτητα τὴν ἐκείνου συνεσκίασεν, ἀλλὰ τὴν νόσον τῆς ἑαυτοῦ κατηγορίας συνεστήσατο τὴν ψῆφον· οὕτω δὴ καὶ ὁ τῶν ἔργων τοῦ Θεοῦ ἐπιλαμβανόμενος. καὶ ὥσπερ ἐκεῖνος ἐκεῖνα μὲν οὐ λυμαίνεται, οὐδὲ τὴν περὶ αὐτῶν ὑπόληψιν, τῆς δὲ ἀνοίας τῆς ἑαυτοῦ μεγίστην ἐκφέρει κατηγορίαν· οὕτω δὴ καὶ περὶ τῶν ἔργων τοῦ Θεοῦ οἱ μὴ κρίσιν ὀρθὴν ἔχοντες, οὐκ ἴσασιν οὐδὲ τὰ θαύματα τὰ γινόμενα· ὡς εἴ τις ἀδέκαστον ἔχοι ψυχὴν, καὶ μὴ διεστραμμένην, ἕκαστον καὶ τῶν δοκούντων εἶναι δυσχερῶν ἐκπλαγήσεται. τί γὰρ οὐ θαυμαστὸν εἰπέ μοι τῶν γινομένων; καὶ εἰ βούλει, παραδραμόντες τὰ ἄλλα πάντα ἔλθωμεν ἐπὶ τὰ δοκοῦντα εἶναι τοῖς πολλοῖς ἐπαχθῆ καὶ φορτικὰ, τὸν θάνατον, τὴν νόσον, τὴν πενίαν, καὶ ὅσα τοιαῦτα. εἰ γάρ τις εὐθεῖαν ἔχει καρδίαν, καὶ ταῦτα σφόδρα ἀποδέξεται, καὶ θαυμάσεται. εἰ γὰρ καὶ ἐξ ἁμαρτίας εἰσῆλθεν ὁ θάνατος· ἀλλ' ὅμως τοσαύτη τοῦ Θεοῦ ἡ περιουσία, καὶ ἡ φιλανθρωπία, καὶ τῆς κηδεμονίας ἡ ὑπερβολὴ, ὡς καὶ τούτῳ εἰς δέον χρήσασθαι τῷ γένει τῷ ἡμετέρῳ. τί γὰρ, εἰπέ μοι, βαρὺ ὁ θάνατος ἔχει; οὐκ ἀπαλλαγὴ πόνων ἐστί; οὐ λύσις φροντίδων; οὐκ ἀκούεις τοῦ Ἰὼβ αὐτὸν ἐγκωμιάζοντος, καὶ λέγοντος· θάνατος ἀνδρὶ ἀνάπαυσις, οὗ ἡ ὁδὸς ἀπεκρύβη; οὐκ ἐκκόπτει κακίας;

A ostendens id nõ fieri ex natura eorum, quæ accidunt, sed ex deprauato & corrupto animo, subiunxit, dicens, *In consilio iustorum & congregatione magna opera Domini.* Hoc dixit ostendens opus esse iudice integro, & conuentu non corrupto ad iudicium, & clarum erit magna esse Dei opera, esse magno miraculo plena. Sunt enim vel per se magna, non videntur autem esse magna, nisi rectum iudicem habeant. Namque sol quoque per se clarus est & lucidus, & vniuersum orbem terræ illustrat: sed iis quorum oculi laborant, non est B talis. Atqui sol non est in culpa, sed est vitium illorum imbecillitatis. Quando ergo videris aliquem Dei opera accusantem, ne propter illius improbitatem Dei opera calumnieris, sed illius dementiæ maximum indicium accipe ex Dei prouidentia. Quemadmodum enim qui solem dicit tenebricosum, astrum non vituperauit, sed suæ ipsius cæcitatis certum argumentum protulit, & qui mel amarum nominat, non illius obscurat dulcedinem, sed de morbo quo laborat, fert sententiam: ita etiam qui Dei opera reprehendit. C Et quemadmodum hic quidem nec eis, quæ de illis habetur existimationi, quidquam detrimenti intulit, sed amentiam suam maxime arguit: ita qui de Dei operibus rectum non habent iudicium, ne miracula quidem sciunt quæ facta sunt: quemadmodum contrà, si quis sit incorrupto & non deprauato animo, stupebit vnumquodque eorum quæ videntur esse grauia & difficilia. Quid enim eorum quæ fiunt, non est admirabile? Si velis autem, aliis prætermissis veniamus ad ea quæ videntur esse multis molesta & D grauia, mortem, morbum, paupertatem, & quæcumque sunt eiusmodi. Si quis enim fuerit recto corde, ea non difficulter suscipiet & mirabitur. Etsi enim mors ex peccato ingressa est, tanta tamen & tam insignis fuit Dei clementia, cura, & prouidentia, vt eam in nostri generis, vtilitatem conuerterit. Quid enim graue, dic quæso, habet mors? an non liberat à laboribus? an non à curis eripit? An non audis Iob eam laudantem, & dicentem: Mors homini requies, cuius via est abscõsa? An non ea vitium rescindit?

Probatio à minori.

Similia.

Rom. 5.

Mortis encomium.

Iob. 3.

Nam & si malus quis fuerit, eo mortuo vitium resectũ est: Qui enim mortuus est, inquit, iustificatus est à peccato, hoc est, peccatum non amplius adijcit: & si cùm bonus sit, excesserit, in tuto erit ei collocata omnis virtus, & in certissimo thesauro, qui eripi nõ potest, recondita. Quid verò, dic quæso, viuos an non modestiores reddit & temperatiores? Non vides quòd sæpe diuites qui efferuntur superbia, intumescunt, & supercilia contrahunt, quando viderint corpus iacere surdum & immobile, & filios in orbitate, vxorem in viduitate, & amicos in mœrore, famulósque atris vestibus indutos, & esse denique tristem ac lugubrem totius domus speciem: quomodo se reprimunt & colligunt, quàm humiles & abiecti fiunt, vt sunt contrito & afflicto animo? Etenim qui millies doctrinam sibi traditam audierant, nec ex ea quidquam lucrifecerant, ex illo spectaculo repente philosophantur, quàm sit vilis & caduca humana natura intelligentes, & quàm instabilis & imbecilla sit eorum potentia, & in alienis calamitatibus præuidentes suas mutationes. Si enim quamuis sit mors, est tamen tantum rapinæ, tantum auaritiæ, tanta aliena habendi & plura possidendi cupiditas, & non secus ac pisces, qui sunt potentiores, imbecilliores deuorant: si non esset mors, quò non processisset auaritia, aut quando conquiesceret? Si enim cùm sciant fore vt iis quæ rapuerint, non fruantur, sed velint nolint iis sint cessuri aliis, tanto sunt furore & rabie perciti: si ea tutò possiderent, quando extingueretur eorum improba cupiditas? Quid verò? martyrij coronæ non per mortem contexuntur? Quid verò Paulus? non innumerabilia erexit trophæa, dicens: Quotidie morior per vestrã gloriationẽ? Non enim mors mala est, sed mala est mors mala: & ideo dicit: Pretiosa est corã Domino mors sanctorum eius. Alibi autẽ: Mors peccatorũ mala: hoc dicẽs, malũ, cum mala recedere cõscientia, & multis peccatorũ curis onustũ & grauatũ. Qui enim purã habet conscientiã, is currit ad præmia, recedit ad coronam. Et vt scias quòd nõ rerum natura, sed mens hominũ ipsa sibi creat tumultũ & perturbationem, audi quomodo Paulus hoc inquirit, nunc quidẽ dicens: Etenim qui sumus in hoc tabernaculo, ingemiscimus, adoptionẽ in fi-

Rom. 6.7. *Eccl. 41.* *Psal. 48.* *1. Cor. 15.31* *Psal. 115.15.* *Psal. 33.22.* *Mors quæ mala, quæ bona.* *Rom. 8.23.*

A αἴ τε γὰρ πονηρὸς ἦν τις, διεκόπη τὰ τῆς κακίας αὐτοῦ τελευτήσαντος· ὁ γὰρ ἀποθανὼν δεδικαίωται ἀπὸ τῆς ἁμαρτίας, τουτέστιν, οὐκέτι προστίθησιν ἁμαρτίαν· αἴ τε ἀγαθὸς ὢν ἀπέλθῃ, ἐν ἀσφαλεῖ κείσεται τὰ τῆς ἀρετῆς αὐτῷ πάντα, καὶ ἐν ἀσύλῳ θησαυρῷ. τοὺς δὲ ζῶντας, εἰπέ μοι, οὐ ποιεῖ σωφρονεστέρους καὶ ἐπιεικεστέρους; οὐχ ὁρᾷς ὅτι πολλάκις ἐν ἐκφορᾷ παραγινόμενοι οἱ πλουτοῦντες, καὶ τετυφωμένοι καὶ τὰς ὀφρῦς ἀνασπῶντες, ὅταν ἴδωσι τὸ σῶμα κείμενον κωφὸν καὶ ἀκίνητον, καὶ παιδία ἐν ὀρφανίᾳ, καὶ γυ- B ναῖκα ἐν χηρείᾳ, καὶ φίλους ἐν κατηφείᾳ, καὶ οἰκέτας μελανειμονοῦντας, καὶ ἅπαν τῆς οἰκίας σκυθρωπὸν τὸ σχῆμα, πῶς συστέλλονται; πῶς ταπεινοῦνται; πῶς συντρίβονται; καὶ γὰρ μυρίας ἀπολαύσαντες διδασκαλίας, καὶ μηδὲν κερδάναντες ἀπὸ τῆς ὄψεως ἐκείνης ἀθρόον φιλοσοφοῦσι, τό τε εὐτελὲς καὶ ἐπίκηρον τῆς ἀνθρωπίνης καταμανθάνοντες φύσεως, καὶ τὸ εὐπαθὲς καὶ ἄστατον τῆς αὐτῶν δυναστείας, καὶ ἐν ταῖς ἀλλοτρίαις συμφοραῖς τὰς ἑαυτῶν προορῶντες μεταβολάς. εἰ γὰρ θανάτου ὄντος, τοσαῦται ἁρπα- C γαὶ, τοσαῦται πλεονεξίαι, καὶ καθάπερ οἱ ἰχθύες καταπίνουσι τοὺς καταδεεστέρους οἱ δυνατώτεροι, εἰ μὴ θάνατος ἦν, πότε ἂν ἔστησαν πλεονεξίας; εἰ γὰρ εἰδότες, ὅτι οὐκ ἀπολαύσονται ὧν ἁρπάζουσιν, ἀλλὰ ἑκόντες καὶ ἄκοντες ἐκστήσονται ἑτέροις, οὕτω μαίνονται, καὶ λυττῶσιν· εἰ τοῦτο εἶχον ἐν ἀσφαλείᾳ, πότε δὴ αὐτοῖς ἐσβέσθη τὰ τῆς ἐπιθυμίας τῆς πονηρᾶς; τί δὲ τῶν μαρτυρίων οἱ στέφανοι, οὐ διὰ θανάτου πλέκονται; τί δὲ ὁ Παῦλος οὐ μυρία ἔστησε τρόπαια, λέγων· καθ' ἡμέραν ἀποθνήσκω, νὴ τὴν ὑμετέ- D ραν καύχησιν; οὐ γὰρ ὁ θάνατος κακὸς, ἀλλ' ὁ πονηρὸς θάνατος κακός. διὰ τοῦτό φησι· τίμιος ἐναντίον κυρίου ὁ θάνατος τῶν ὁσίων αὐτοῦ. ἀλλαχοῦ δέ φησι· θάνατος ἁμαρτωλῶν πονηρός. τοῦτο λέγων πονηρὸν, τὸ μετὰ τοῦ πονηροῦ συνειδότος ἀπελθεῖν, καὶ πολλαῖς πλημμελημάτων φροντίσι βεβαρημένον, καὶ πιεζόμενον. ὡς ὅ γε καθαρὸν ἔχων συνειδὸς, ἐπὶ τὰ βραβεῖα τρέχει, πρὸς τὸν στέφανον ἀναχωρεῖ. καὶ ἵνα μάθῃς, ὅτι οὐχ ἡ τῶν πραγμάτων φύσις, ἀλλ' ἡ τῶν ἀνθρώπων γνώμη αὕτη τὸν θόρυβόν ἐστιν ἡ ποιοῦσα, ἄκουσον ὁ Παῦλος πῶς ἐπιζητεῖ τοῦτο, νῦν μὲν λέγων· καὶ γὰρ οἱ ὄντες ἐν τῷ σκήνει τούτῳ στενάζομεν, τὴν υἱο-

θεσίαν ἀπεκδεχόμενοι τὴν ἀπολύτρωσιν τοῦ σώματος ἡμῶν· νῦν δὲ τὸ αὐτὸ δηλῶν ἀλλαχοῦ· ἀλλ' εἰ καὶ σπένδομαι ἐπὶ τῇ θυσίᾳ καὶ λειτουργίᾳ τῆς πίστεως ὑμῶν, χαίρω καὶ συγχαίρω πᾶσιν ὑμῖν. τὸ δὲ αὐτὸ καὶ ὑμεῖς χαίρετε καὶ συγχαίρετέ μοι. εἰ δὲ θάνατος οὐ φορτικὸν, ἀλλὰ καὶ ποθεινὸν τοῖς ὀρθῶς βιοῦσι· πολλῷ μᾶλλον πενία καὶ τὰ ἄλλα ἅπαντα. ἐξεζητημένα εἰς πάντα τὰ θελήματα αὐτοῦ. ἄλλος, ἐξηκριβωμένα. ἐνταῦθά μοι περὶ τῶν κτισμάτων δοκεῖ διαλέγεσθαι, ἀνακηρύττων τοῦ Θεοῦ τὴν σοφίαν· ἀνωτέρω δὲ ἔργα ἔλεγεν, εἰ καὶ ἡμεῖς διὰ τοὺς μικροψύχους καὶ ἑτέρας διανοίας εἰς ταῦτα ἡψάμεθα· ἀλλὰ τὰ τεράστια, τὰ θαύματα, ἃ πολλάκις ἐπετέλεσε τὸ τῶν ἀνθρώπων οἰκονομῶν γένος. τί δέ ἐστιν ἐξεζητημένα εἰς πάντα τὰ θελήματα αὐτοῦ; ἠκριβωμένα φησὶ, καθάπερ καὶ ἕτερος ἑρμηνευτὴς εἶπε, παρεσκευασμένα, ἀπηρτισμένα, γεγυμνασμένα, πεπληρωμένα, ἀρκοῦντα τὰ θελήματα αὐτοῦ ποιεῖν, ἱκανὰ μαρτυρεῖν τὴν δύναμιν αὐτοῦ, οὐ χωλεύοντα, οὐδὲ ἐνδεῶς ἔχοντα εἰς τὸ ἀνύσαι αὐτοῦ τὰ ἐπιτάγματα, ὅπερ καὶ ἀλλαχοῦ φησι· πῦρ, χάλαζα, χιών, κρύσταλλος, πνεύματα καταιγίδος τὰ ποιοῦντα τὸν λόγον αὐτοῦ· τουτέστι, τὰ προστάγματα αὐτοῦ· οὕτω καὶ ὁ προφήτης ἔλεγεν· ἐποίησε σελήνην εἰς καιρούς· ὁ ἥλιος ἔγνω τὴν δύσιν αὐτοῦ· ἔθου σκότος, καὶ ἐγένετο νύξ· οὐ μόνον δὲ πρὸς ἅπερ ἐστὶ κατεσκευασμένα ταῦτα ἀρκεῖ· ἀλλὰ κἂν τἀναντία ἐπιτάξῃ, καὶ ἐνταῦθα πολλὴ ἡ ὑπακοή. τῇ γοῦν θαλάττῃ ἐπέταξε, καὶ οὐ μόνον οὐ κατεπόντισεν, ὅπερ αὐτῆς ἔργον ἦν· ἀλλὰ στορέσασα αὐτῆς τὰ κύματα πέτρας ἀσφαλέστερον τὸν Ἰουδαίων δῆμον διεβίβασεν· ἡ κάμινος, οὐ μόνον οὐκ ἔκαιεν, ἀλλὰ καὶ δρόσον παρεῖχε διασυρίζουσαν· τὰ θηρία οὐ μόνον οὐ κατήσθιεν, ἀλλὰ καὶ σωματοφυλάκων ἐπεῖχε χώραν ἐπὶ τοῦ Δανιήλ· τὸ κῆτος οὐ μόνον οὐ κατέπιεν, ἀλλὰ καὶ σῶαν τὴν παρακαταθήκην διετήρει. ἡ γῆ οὐ μόνον οὐκ ἐβάστασεν, ἀλλὰ καὶ θαλάττης χαλεπώτερον κατεπόντισεν, ὅτε ἠνοίχθη καὶ κατέπιε Δαθὰν, καὶ ἐκάλυψεν ἐπὶ τὴν συναγωγὴν Ἀβειρὼν, καὶ πολλὴν ἑτέραν ἴδοι τις ἂν τερατουργίαν ἐν τοῖς οὖσι γινομένην· ἵνα μάθωσιν οἱ σφόδρα ἀνοηταίνοντες, καὶ φύσιν θεοποιοῦντες, ὅτι οὐ τυραννίδι φύσεως τὰ πράγματα

A lios expectantes, redemptionem corporis nostri: nunc autem hoc ipsum alibi significans: Sed & si immolor propter sacrificium & ministerium fidei vestræ, gaudeo & congratulor vobis omnibus. Itidem & vos gaudete, & mihi congratulamini. Quod si mors nō modò non est grauis, sed etiam optanda iis qui rectè viuunt, multò magis paupertas, & alia omnia. *Exquisita in omnes voluntates eius.* Alius, Accurata. Hic mihi videtur dicere de creaturis, prædicans Dei sapientiam. Superius autem dixit opera (etiamsi nos propter eos qui sunt B pusilli & abiecti animi, alium quoque sensum in his attigimus) prodigia, miracula, quæ sæpe perficit, hominum genus administrans. Quid est autem, Exquisita in omnes voluntates eius? Accurata, inquit, sicut etiam alius dicit interpres, præparata, perfecta, absoluta, sufficientia ad eius faciendas voluntates, quæ satis sunt ad eius testandam potentiam, quæ nec claudicant, nec manca sunt ad iussa eius peragēda, sicut etiam dicit alibi: Ignis, grando, nix, glacies, spiritus procellarum, quæ faciunt verbū eius, hoc est, mandata eius. C Ita etiam dicebat Propheta: Fecit lunam in tempora. Sol cognouit occasum suū: posuisti tenebras, & facta est nox. Non solùm ea peragunt ad quæ constituta sunt: sed etiam si iusserit, contraria, hic quoque magna est obedientia. Iussit mari: & non solùm non submersit, quod est eius proprium officium, sed stratis suis fluctibus vel petra firmius stabilius, traiecit populum Iudæorum. Fornax non solùm non vrebat, sed rorem etiam præbebat sibilantem. Feræ non solùm non deuo- D rabant, sed etiam Danieli erant loco satellitum. Cetus non solùm non deuorauit, sed etiam saluum conseruauit depositum. Terra non solum non tulit, sed etiam mari vehementius submersit, quando aperta est, & deuorauit Dathan, & obruit in synagoga Abiron, & multa eiusmodi alia prodigia in rebus creatis videri possunt, vt sciant qui valde desipiunt, & naturam in deos referunt, quod res non aguntur naturæ tyrannide,

Philip. 2.

Psal. 148. 8.
Ps. 103. 10.

Exod. 14.

Dan. 3. 50.
20.
Ion. 1. 2. 3.

Num. 16.

Natura.

Iob. 9. 12. Psal. 113. 134. Esa. 46. & Dan. 6.

sed Dei voluntati omnia cedunt & obtemperant. Ea enim est naturæ opifex, & prout ipsi videtur, omnia quæcunque sunt, moderatur & componit: & nunc quidem immobiles eorum fines conseruans, nunc autem cùm voluerit, eos facilè conuellens, & mutans in contrarium. Exquisita in omnes voluntates eius. Ad præcepta eius, inquit, ad mandata eius: non solùm autem ad præcepta eius, sed vt ipse etiam cognoscatur ab hominibus, quæ quidem est principalis eius voluntas, & propter quam hæc maximè fecit. Quod itaque dicit Propheta, est eiusmodi: Adeo perfecta sunt, vt iis, qui attendunt & sapiunt, perfectissimam, apertissimam, & euidentissimam Dei cognitionem hominum menti afferant. Ad hanc enim eius voluntatem, ea ab initio ab ipso maximè constituta sunt, vt magnitudine, pulchritudine, positura, operatione, ministerio, & aliis omnibus animum spectatoris commoueret, mentémque & intelligentiam excitaret ad opificem & præstantissimum artificem Deum inquirendum, & adorandum eum qui illa fecerit, & vt vniuersum corpus totius creaturæ esset ei pro libris & literis. Non solùm autem ad Dei cognitionem, sed etiam ad vitæ nostræ institutionem, maximam afferunt doctrinam creaturæ. Nam & auarus postquam viderit diem nocti cedentem, & Solem Lunæ, reuerebitur elementorum ordinem: & si sit potentior, res inferiorum minimè cōcupiscet. Et adulter & incontinens, postquam viderint mare furere, deinde refrænari & contineri à littoribus: insolentium aquarum reuerentes moderationem, poterunt celeriter comprimere intumescentem suam cupiditatem, & Christi metu tanquam fræno iniecto, ne vlterius progrediatur, impetum coërcere, & impudici huius desiderij spumam omnem abstergere, & ad temperantiam reducere. Iam verò ad terram quoque egressus poterit facilè philosophari de resurrectione, & quod de ea dicitur, suscipere. Quando enim viderit terram excipere solidum frumenti granum, deinde prius dissoluere, & putrefacere, & multò melius parere: quando viderit vineam hyeme foliis, &

Sap. 13. Rom. 1.

Contemplatio creaturarū pro libris.

A ἄγεται, ἀλλὰ βουλῇ Θεοῦ πάντα εἴκει καὶ παραχωρεῖ. αὕτη γάρ ἐστιν ἡ τῆς φύσεως δημιουργὸς, καὶ πρὸς τὸ αὐτῇ δοκοῦν πάντα τὰ ὄντα μεταρρυθμίζουσα, καὶ νῦν μὲν ἀκινήτους αὐτῶν διατηροῦσα τοὺς ὅρους, νῦν δὲ ἐπειδὰν βουληθῇ ῥᾳδίως αὐτοὺς ἀνασπῶσα, καὶ πρὸς τὸ ἐναντίον μεταβάλλουσα. ἐξεζητημένα εἰς πάντα τὰ θελήματα αὐτοῦ, εἰς τὰ προστάγματα αὐτοῦ φησιν, εἰς τὰ ἐπιτάγματα αὐτοῦ· οὐ μόνον δὲ εἰς τὰ ἐπιτάγματα αὐτοῦ, ἀλλὰ καὶ εἰς τὸ γινώσκεσθαι αὐτὸν παρὰ τῶν ἀνθρώπων, ὅπερ καὶ προηγούμενον αὐτοῦ θέλημα, καὶ δι᾽ ὃ μάλιστα ταῦτα ἐ-
B ποίησεν. ὃ τοίνυν ὁ προφήτης λέγει τοιοῦτόν ἐστιν· ὅτι οὕτως ἐστὶν ἀπηρτισμένα, ὡς τοῖς προσέχουσι, καὶ νοῦν ἔχουσιν ἀκριβεστάτην, καὶ σαφῆ, καὶ τρανοτάτην τὴν περὶ αὐτοῦ γνῶσιν ἐντιθέναι τῇ διανοίᾳ τῶν ἀνθρώπων. καὶ γὰρ καὶ πρὸς τοῦτο μάλιστα τὸ θέλημα αὐτοῦ ἐξ ἀρχῆς αὐτὰ κατεσκεύασε τῷ μεγέθει, τῷ κάλλει, τῇ θέσει, τῇ ἐνεργείᾳ, τῇ διακονίᾳ, τοῖς ἄλλοις ἅπασιν ἀνακινοῦν τὴν ψυχὴν τοῦ θεατοῦ, καὶ τὴν διάνοιαν διεγεῖρον εἰς τὸ ζητῆσαι τὸν δημιουργὸν, καὶ ἀριστοτέχνην Θεὸν, καὶ προσκυνῆσαι τὸν ποιήσαν-
C τα αὐτὰ, καὶ ἀντὶ βιβλίων καὶ γραμμάτων γίνεσθαι ἅπαν τὸ σῶμα τῆς κτίσεως. οὐκ εἰς θεογνωσίαν δὲ μόνον, ἀλλὰ καὶ εἰς πολιτείαν ἡμῖν μεγίστην εἰσάγει καὶ διδασκαλίαν τὰ κτίσματα. ὅ τε γὰρ πλεονέκτης ἐπειδὰν ἴδῃ τὴν ἡμέραν τῇ νυκτὶ παραχωροῦσαν, καὶ τὸν ἥλιον τῇ σελήνῃ, αἰδεσθήσεται τῶν στοιχείων τὴν εὐταξίαν, κἂν δυνατώτερος ᾖ, τῶν καταδεεστέρων οὐκ ἐπιθυμήσει πραγμάτων. ὅ τε μοιχὸς καὶ ἀκόλαστος ἐπειδὰν ἴδῃ τὴν θάλατταν μαινομένην, εἶτα χαλινουμένην ὑπὸ τὸν αἰγιαλόν· πάλιν τῶν ἀτά-
D κτων ὑδάτων αἰδούμενος τὴν εὐταξίαν, ταχέως καταστεῖλαι δυνήσεται τὴν ἑαυτοῦ κορυφουμένην ἐπιθυμίαν, καὶ τῷ φόβῳ τοῦ Χριστοῦ χαλινῶσαι τὴν εἰς τὸ πρόσω φορὰν, καὶ διαλῦσαι τὸν ἀφρὸν ἅπαντα τῆς ἀκολάστου ταύτης ὁρμῆς, καὶ εἰς σωφροσύνην ἐπαναγαγεῖν. καὶ περὶ ἀναστάσεως δὲ εἰς τὴν χέρσον ἀπιδὼν εὐκόλως δυνήσεται φιλοσοφεῖν, καὶ τὸν περὶ αὐτῆς δέξασθαι λόγον. ὅταν γὰρ ἴδῃ τὴν γῆν δεχομένην κόκκον σίτου στερεὸν, εἶτα πρότερον διαλύουσαν καὶ σήπουσαν, καὶ πολλῷ βελτίονα τίκτουσαν· ὅταν ἴδῃ τὴν ἄμπελον ἐν χειμῶνι γυμνὴν φύλλων, καὶ

ἑλίκων, καὶ βοτρύων, καὶ αὐτὸ ξηρὸν ξύλον, ὡς A τὰ ὀστᾶ τὰ ξηρὰ, εἶτα ἔαρος ἐπιστάντος τὴν εὐμορφίαν ἅπασαν ἀπολαμβάνουσαν, ἐν τοῖς σώμασι τῶν φυτῶν καὶ τῶν σπερμάτων τῶν μετὰ τὸ διαφθαρῆναι ἀνισταμένων, δυνήσεται καὶ περὶ τῆς ἑαυτοῦ σαρκὸς φιλοσοφεῖν. τὸ φιλόπονον δὲ πάλιν ἀπὸ τοῦ μύρμηκος εἴσεται, καὶ τὸ φιλόκαλον ἀπὸ τῆς μελίττης, καὶ τὸ κοινωνικὸν καθάπερ ἡ παροιμία φησίν· ἴθι πρὸς τὸν μύρμηκα, ὦ ὀκνηρὲ, καὶ ζήλωσον τὰς ὁδοὺς αὐτοῦ καὶ γενοῦ ἐκείνου σοφώτερος. ἐκεῖνος γὰρ γεωργίου μὴ ὑπάρχοντος, μηδὲ τὸν ἀναγκάζοντα ἔχων, μηδὲ B ὑπὸ δεσπότην ὢν, ἑτοιμάζεται θέρους τὴν τροφὴν, πολλήν τε ἐν τῷ ἀμητῷ ποιεῖται τὴν παράθεσιν. ἢ πορεύθητι πρὸς τὴν μέλισσαν καὶ μάθε ὡς ἐργάτις ἐστίν· ἧς τοὺς πόνους βασιλεῖς καὶ ἰδιῶται πρὸς ὑγείαν προσφέρονται. καί τοι οὖσα τῇ ῥώμῃ ἀσθενὴς, τὴν σοφίαν τιμήσασα προήχθη. καὶ γὰρ αὐτή σοι πάλιν ἡ μέλιττα διαλέξεται· ὥστε μὴ θαυμάζειν ἁπλῶς τὰ κάλλη τῶν σωμάτων, ὅταν ψυχῆς ἀρετὴ μὴ ᾖ, μηδὲ ἐξευτελίζειν τὴν ἀμορφίαν, ὅταν ἡ ψυχὴ κεκαλλωπισμένη τύχῃ. ὅπερ οὖν καὶ αὐτὸ δηλῶν ὁ παροιμιαστὴς ἔλεγε· μικρὰ ἐν C πετεινοῖς ἡ μέλισσα, καὶ ἀρχὴ γλυκασμάτων ὁ καρπὸς αὐτῆς· ἐννόησόν μοι τοὺς ὄρνιθας καὶ ὄψει ἐκεῖθεν φιλοσοφίαν. διὰ τοι τοῦτο καὶ ὁ Χριστὸς ἔλεγεν· ἐμβλέψατε εἰς τὰ πετεινὰ τοῦ οὐρανοῦ, ὅτι οὐ σπείρουσιν, οὐδὲ θερίζουσιν, καὶ ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος τρέφει αὐτά. εἰ γὰρ τὰ ἄλογα οὐ μεριμνῶσι περὶ τροφῆς, ποίαν ἕξεις ἀπολογίαν μηδὲ τοσαύτην ἐπιδεικνύμενος ὑπεροψίαν τῶν παρόντων, ὅσην οἱ ὄρνιθες; εἰ δὲ καὶ καλλωπισμοῦ βούλει καταφρονῆσαι, παιδεύσει σε τὰ ἄνθη τοῦ ἀγροῦ μὴ εἶναι σε φιλόκοσμον. ὅπερ καὶ αὐτὸ δηλῶν ὁ Χριστὸς ἔλεγεν· ἐμβλέψατε εἰς D τὰ κρίνα τοῦ ἀγροῦ, ὅτι οὐ νήθουσιν, οὐδὲ κοπιῶσιν. ἀμὴν λέγω ὑμῖν, οὐδὲ Σολομὼν περιεβάλετο ὡς ἓν τούτων. ὅταν τοίνυν ἐθέλῃς σπουδάζειν περὶ κάλλη ἱματίων, ἐννόησον ὅτι ὅσα ἂν φιλονεικήσῃς, παρὰ τῷ χόρτῳ τὰ νικητήρια, καὶ οὐ δυνήσῃ πρὸς ἐκεῖνον ἁμιλληθῆναι, καὶ κατάλυσον τὴν ἄλογον ταύτην μανίαν, καὶ ἕτερα πολλὰ, καὶ ἀπὸ τῶν ἀλόγων, καὶ ἀπὸ τῶν ἀνθῶν, καὶ ἀπὸ τῶν σπερμάτων ἐστὶ φιλοσοφεῖν. ἐξομολόγησις καὶ μεγαλοπρέπεια τὸ ἔργον αὐτοῦ. τουτέστιν ἕκαστον τῶν

A pampinis, & botris nudatam, & lignum ipsum aridum, ficut offa arida, deinde aduentante vere omnem suam recipere speciem: in corporibus plantarum & feminum, quæ resurgunt postquam interierint, poterit de sua quoq; carne philosophari. Rursus autem diligentiam & laboris studiū discet à formica: ab ape autem honesti amorem, societatémque, & inter se communionem, sicut dicit prouerbium: Vade ad formicam, ô piger, & imitare vias eius, & sis illa sapientior. Cùm enim illi non sit B ager quem colat, nec habeat qui eam cogat, nec sit in potestate domini, parat æstate alimentum, & in tempore messis magnum facit aceruum. Vel vade ad apem, & disce quod sit operaria, cuius labores reges & priuati ad sanitatem offerunt. Atqui licet sit imbecilla viribus, vt quæ sapientiam honorarit, prouecta est. Ipsa enim apis rursus tecum aget, ne nequicquam pulchritudinem corporum admireris, quando non adsit virtus animæ: nec deformitatem vilipendas, quando fuerit pulchrè ornatus animus. Quod ipsum quoque significans, dicebat Parœmiastes: Parua in C volucribus apis, & dulcedinum principium fructus eius. Cogita mihi volucres, & omnem philosophiam ex eis suscipies. Quocirca Christus quoque dicebat: Respicite volucres cœli, quod nec serunt, nec metunt, & pater vester cœlestis eas alit. Si enim quæ sunt rationis expertia, non sunt de alimentis sollicita, quomodo te defendes, qui ne tantum quidem ostendis rerum præsentium contemptum, quantum aues? Quòd si velis etiam ornatum despicere, docebunt te flores agri, ne in te ornando nimium studij & operæ ponas. D Quod ipsum quoque Christus significans, dicebat: Respicite lilia agri, quòd neque nent, neque laborant: Amen dico vobis, nec Salomon quidem induebatur vt vnū ex his. Cogita quòd quantumcunque contenderis, erit penes fœnum victoria, & non poteris cum illo concertare: eóque hanc à ratione alienam insaniam comprime. Multa quoque alia philosophiæ documenta & ex brutis, & ex floribus, & ex seminibus capi possunt. 3. *Confessio & magnificentia opus eius.* Hoc est vnum-

Attende formicæ sedulitatem & apis solertiam.

Prou.6.6.

Eccl.11.3.

Matt.6.26

Castigatio ex collatione.

Matt.6.28

quodque opus eius: neque enim hæc dicit de vno opere. Alius autem interpres dixit: Laus & dignitas operatio eius. Hic, confessio, hoc est, gratiarum actio & gloria. Vnumquodque enim eorum quæ videntur, sufficit vt deducatur spectator ad hymnorum decantationem, ad laudem, ad glorificationem. Non licet dicere, Quare hoc? ad quid hoc? sed tenebræ & dies, fames & abundantia, solitudo, & terra quæ est inhabitabilis, quæ est pinguis, & quæ sterilis, vita & mors, & quæcunque videntur, iis qui ea diligenter edifcunt, sufficiunt ad excitandos animos ad gratiarum actionem. Hoc per quendam prophetam Deus significans, dicebat, supplicia ponens pro beneficio: Euerti eos sicut euersa est Sodoma & Gomorrha, percussi eos in inflammatione & in morbo regio. Et rursus per alium: Eduxi eos è terra Ægypti, & è domo seruitutis eos redemi, assumens supplicia in beneficium. Ita hæc etiam. Nam hæc quoque beneficio afficiunt, corrigunt, erudiunt, castigant, vitium rescant. Homines enim hæc quidem faciunt beneficio afficientes, illa verò odio habentes & auersantes: Deus autem omnia facit diligens, quemadmodum beneficio afficiens posuit in paradiso, & beneficio afficiens eiecit è paradiso. Beneficio afficiens immisit inundationem, & beneficio afficiens in Sodoma illum ignem deorsum iaculatus est, & quicquid dixeris eorũ quæ fiunt, vnumquodque facit ad beneficium. Beneficio quoque afficiens, gehennam minatus est: & quemadmodum patres non solùm indulgentes filiis, sed etiam verberãtes, patres sunt: nec minus verberantes, quàm indulgentes: ita etiam Deus. Quamobrem Paulus quoque dicebat: Quis est enim filius quem nõ castigat pater? Et Salomon: Quẽ enim diligit Dominus castigat: flagellat autem omnem filium quem recipit. *Iustitia eius manet in seculum seculi.* Hoc mihi videtur hic dicere propter eos qui offenduntur ex rebus aduersis, quæ præter spem quibusdam eueniunt, propemodum eis suadens, & dicens: Ne conturberis si videas homines per calumniam delatos, probris & contumeliis affectos, & mala indignè patientes: manet enim incorruptũ iudicium, manet pura & integra sententia, quę pro meritis vnicui-

Amos 4.11. Mich. 6.4.

Beneficia sunt quæcunque in nos confert Deus.

Genes. 2.

Gen. 7.

Gen. 19.

Math. 5. & 10.

Hebr. 12. 7. Prou. 3. 12.

A ἔργων αὐτοῦ· οὐ γὰρ δὴ περὶ ἑνὸς ἔργου ταῦτά φησιν. ἕτερος δὲ ἑρμηνευτὴς εἶπεν· ἔπαινος καὶ ἀξίωμα ἡ ἐργασία αὐτοῦ. ἐνταῦθα δὲ ἐξομολόγησις, τουτέστιν, εὐχαριστία καὶ δόξα. ἕκαστον γὰρ τῶν ὁρωμένων ἱκανὸν εἰς εὐχαριστίαν τὸν θεατὴν παραπέμψαι, εἰς ὕμνον, εἰς εὐφημίαν, εἰς δοξολογίαν. οὐκ ἔστιν εἰπεῖν, διὰ τί τοῦτο; εἰς τί τοῦτο; ἀλλὰ καὶ τὸ σκότος καὶ ἡ ἡμέρα, καὶ ὁ λιμὸς, καὶ ἡ εὐθηνία καὶ ἡ ἔρημος καὶ ἡ ἀοίκητος καὶ ἡ λιπαρὰ καὶ ἡ βαθύγαιος καὶ ζωὴ καὶ θάνατος, καὶ πάντα τὰ ὁρώμενα τοῖς μετὰ ἀκριβείας αὐτὰ καταμανθάνουσιν ἱκανὰ, καὶ δυνατὰ πρὸς εὐχαριστίαν B διεγεῖραι. τοῦτο γοῦν δηλῶν διά τινος προφήτου ὁ Θεὸς ἔλεγεν, ἀντ' εὐεργεσίας, τιμωρίας τιθείς· κατέστρεψα αὐτοὺς ὡς κατέστρεψεν ὁ Θεὸς Σόδομα καὶ Γόμορρα, ἐπάταξα αὐτοὺς ἐν πυρώσει καὶ ἐν ἰκτέρῳ. καὶ πάλιν δι' ἄλλου, ἀνήγαγον αὐτοὺς ἐκ γῆς Αἰγύπτου, καὶ ἐξ οἴκου δουλείας ἐλυτρωσάμην αὐτοὺς, εἰς εὐεργεσίας τὰς τιμωρίας μεταλαμβάνων. οὕτω καὶ ταῦτα. καὶ γὰρ καὶ ταῦτα εὐεργετοῦντα, διορθοῦντα, παιδεύοντα, παιδαγωγοῦντα, ἐκκόπτοντα τὴν κακίαν ἐστίν. C ἄνθρωποι μὲν γὰρ τὰ μὲν εὐεργετοῦντες ποιοῦσι, τὰ δὲ μισοῦντες καὶ ἀποστρεφόμενοι· ὁ δὲ Θεὸς φιλῶν ποιεῖ πάντα, εὐεργετῶν ἔθετο ἐν τῷ παραδείσῳ, καὶ εὐεργετῶν πάλιν ἐξέβαλε τοῦ παραδείσου· εὐεργετῶν τὸν κατακλυσμὸν εἰργάσατο, καὶ εὐεργετῶν τὸ πῦρ ἐκεῖνο τὸ τῶν Σοδόμων κατήνεγκε· καὶ ὅπερ ἂν εἴποι τις τῶν γινομένων ἕκαστον εἰς εὐεργεσίαν ποιεῖ. εὐεργετῶν, καὶ τὴν γέενναν ἠπείλησε· καὶ καθάπερ οἱ πατέρες οὐ θεραπεύοντες μόνον τὰ παιδία, ἀλλὰ καὶ τύπτοντες πατέρες εἰσὶ, καὶ οὐκ ἔλαττον τύπτοντες ἢ θεραπεύοντες· οὕτω δὴ καὶ ὁ Θεός· διὸ D καὶ ὁ Παῦλος ἔλεγε· τίς γάρ ἐστιν υἱὸς, ὃν οὐ παιδεύει πατήρ; καὶ ὁ Σολομῶν, ὃν γὰρ ἀγαπᾷ κύριος παιδεύει· μαστιγοῖ δὲ πάντα υἱὸν, ὃν παραδέχεται. ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα. τοῦτο δοκεῖ μοι ἐνταῦθα εἰπεῖν διὰ τοὺς σκανδαλιζομένους πρὸς τὰ συμπίπτοντα δυσχερῆ παρ' ἐλπίδας· μονονουχὶ παραινῶν αὐτοῖς καὶ λέγων· μὴ θορυβοῦ συκοφαντουμένους ἀνθρώπους ὁρῶν, ἐπηρεαζομένους παρὰ τὴν ἀξίαν κακῶς πάσχοντας· μένει γὰρ δικαστήριον ἀδέκαστον· μένει ψῆφος καθαρὰ τὸ κατ' ἀξίαν ἑκά-

γῳ περιέχουσα. Εἰ δὲ νῦν αὐτὴν ἐπιζητοίης, ὅρα μὴ κατὰ σαυτοῦ πρώτου τὴν ψῆφον ἐξενέγκῃς. εἰ γὰρ ἔμελλε καθ' ἕκαστον τῶν ἁμαρτημάτων ὁ Θεὸς ἐπάγειν τιμωρίαν, καὶ ἐφ' ἑκάστου τῶν πλημμελούντων τὴν δικαίαν ἐπιφέρειν ψῆφον, πάλαι ἂν παρανήρπαστο τὸ τῶν ἀνθρώπων γένος. καὶ τί λέγω τὸν δεῖνα καὶ τὸν δεῖνα; τὸν γὰρ κορυφαῖον τῶν ἐν ἀνθρώποις ἁπάντων εἰς μέσον ἀγαγὼν τοῦτο δεῖξαι πειράσομαι, Παῦλον ἐκεῖνον τὸν κήρυκα τῆς οἰκουμένης, τὸν εἰς τρίτον ἁρπαγέντα οὐρανὸν, τὸν εἰς παράδεισον ἀπενεχθέντα, τὸν τῶν φρικτῶν κοινωνήσαντα μυστηρίων, τὸ σκεῦος τῆς ἐκλογῆς, τὸν νυμφαγωγὸν τοῦ Χριστοῦ, τὸν ἀγγελικὴν ἐπιδειξάμενον πολιτείαν, τὸν τοσαύτην ἀρετὴν ἐπελθόντα. εἰ γὰρ μὴ ἐβουλήθη μακροθυμῆσαι αὐτῷ, μηδὲ ἀνασχέσθαι αὐτοῦ, ἀλλ' ἡνίκα ἡμάρτανε, καὶ ἐβλασφήμει, καὶ ἐδίωκε κατὰ πόδας ἐπαγαγεῖν αὐτῷ τὴν δικαίαν ψῆφον, πάλαι ἂν αὐτὸν τῆς μετανοίας προεξήρπασε. διὸ καὶ αὐτὸς ταῦτα εἰδὼς, ἔλεγε· χάριν ἔχω τῷ ἐνδυναμώσαντί με Χριστῷ, ὅτι πιστόν με ἡγήσατο θέμενος εἰς διακονίαν, τὸν πρότερον ὄντα βλάσφημον, καὶ διώκτην, καὶ ὑβριστήν· ἀλλ' ἠλεήθην, ἵνα ἐν ἐμοὶ πρώτῳ ἐνδείξηται τὴν πᾶσαν μακροθυμίαν, πρὸς ὑποτύπωσιν τῶν μελλόντων αὐτῷ πιστεύειν εἰς ζωὴν αἰώνιον. τί δὲ τὴν πόρνην εἰ ἐκόλασε, πότε ἂν μετεβλήθη; τί δὲ τὸν τελώνην Ματθαῖον, εἰ ἐν τῷ καιρῷ τῆς τελωνείας πρὸ τῆς μεταβολῆς δίκην ἀπῄτησε, οὐκ ἂν προεξήρπασεν αὐτὸν τῆς μετανοίας; οὕτω καὶ τὸν λῃστὴν, οὕτω καὶ τοὺς Μάγους, οὕτω καὶ ἕκαστον τῶν ἁμαρτανόντων. διά τοι τοῦτο ἀνέχει τὴν ὀργὴν, καὶ τὴν κατ' ἀξίαν ἀντίδοσιν καλῶν τοὺς ἀνθρώπους εἰς μετάνοιαν. εἰ δὲ μένοιεν ἀδιόρθωτοι, πάντως ὑποστήσονται τὴν δικαίαν ψῆφον. διόπερ ὁ προφήτης τούς τε ἀδικουμένους παραμυθούμενος, τούς τε ἀδικοῦντας σωφρονίζων, ἐπήγαγε τὸ, ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα. ὃ δὲ βούλεται διὰ τούτου εἰπεῖν, τοιοῦτόν ἐστι. μήτε σὺ ὁ ἀδικούμενος, ἐὰν καταλύσῃς τὸν βίον ὡς οὐ τῶν δικαίων τευξόμενος ἀπελπίσῃς. μετὰ γὰρ τὴν ἐντεῦθεν ἀποδημίαν πάντως ἀπολήψῃ τῶν πόνων τὰς ἀμοιβάς. μήτε σὺ πάλιν ὁ πάντα ἁρπάζων καὶ πλεονεκτῶν καὶ συγχέων, ἂν ἐν εἰρήνῃ καταλύσῃς τὸν βίον, θαῤῥήσῃς. πάντων γὰρ δώσεις λόγον μετὰ τὴν ἐντεῦθεν

A que tribuit. Quòd si eam nūc postules, vide ne in teipsum primum sententiam proferas. Si enim in vnoquoque peccato Deus esset illaturus suppliciū, iam olim de medio sublatum esset humanum genus. Et quid opus est vt dicam hunc aut illum? summo enim omnium qui sunt inter homines, in medium adducto, hoc conabor ostendere: & Paulum illum orbis terræ præconem cito, qui in tertium cœlum raptus est, qui in paradisum fuit sublatus, qui fuit reuerendorum sacramentorum particeps, vas electionis, Christi pronubus, B qui ostendit angelicam vitæ institutionem, qui virtutis studium adeò persecutus est. Si enim noluisset esse lenis & patiens, cùmque sustinere, sed quando peccabat, blasphemabat, & persequebatur, protinus in eum iustam tulisset sententiam, iam olim præripuisset eum pœnitētiæ. Quocirca ipse quoque cùm hæc sciret, dicebat: Gratiam habeo Christo qui me confortauit, quòd me fidelem existimauit, ponens in ministerio, qui prius eram blasphemus, & persecutor, & contumeliosus: sed misericordiam consecutus sum, vt in me primo C ostenderet omnem patientiam, ad informationem eorum, qui credituri sunt illi in vitam æternam. Quid autem, si meretricem si puniisset, quando esset conuersa? Quid verò publicanum Matthæum, si quo tempore publicani officio fungebatur, ante mutationem pœnas ab eo exegisset, an non pœnitentiæ illum præripuisset? Ita etiam latronem, ita Magos, ita etiam vnumquemque peccatorem. Iram itaque sustinet, & pro meritis retributionem, vocans homines ad pœnitentiam. Quòd si à D correctione alieni manserint, iustam omninò sustinebunt sententiā. Quocirca propheta & eos qui iniuria afficiuntur, consolans, & eos qui iniuriam faciunt, officij admonens, subiūxit illud: Iustitia eius manet in seculum seculi. Quòd autem vult per hoc dicere, est eiusmodi. Nec tu qui iniuria afficeris, desperes, si vitam finieris, fore vt ius tuum obtineas. Postquam enim hinc excesseris, laborum remunerationem omnino accipies. Nec tu rursus qui omnia rapis, in omniū bona inuadis, & omnia susque déque misces & confundis, confidas, si in pace vitam finieris. Postquam enim hinc excesseris, reddes

Matth. 25. Rom. 2. 1. Cor. 5.
2. Cor. 3. 2. Cor. 12.
Act. 9.
1. Tim. 1. 12
Luc. 7. Matth. 9.
Luc. 23. Matt. 2. Sap. 11.

rationem totius tuę improbitatis. Deus enim est semper manens, & manentem semper habens iustitiam, cui mors nihil rescindit de remuneratione laborum pro virtute susceptorum, nec de irrogatione suppliciorum quæ debentur sceleri. 4. *Memoriam fecit mirabilium suorum.* Quid est, Memoriam fecit mirabiliũ suorum? Nunquam, inquit, miracula facere intermisit. Hoc enim est, Fecit memoriam, non cessauit, non destitit per omnem generationem facere miracula, & per res admirabiles excitare crassiores. Qui est enim excelso animo & philosophiæ dedito, non opus habebit signis. Beati enim sunt qui non viderũt, & crediderunt. Quoniam autem ipse non eorum tantummodo curam gerit, sed etiam crassiorum, in omni ferè generatione non cessat facere miracula. Satis quidem magnum est miraculum vniuersa eorum quæ vidētur creatura: sed tamen multorum socordiam excitans, in medio hoc theatro & priuatim & publicè multa ostendit mirabilia, sicut inundationem, linguarum confusionem, Sodomorum conflagrationem, quę Abrahæ, quæ Isaac, quæ Iacob euenerunt, quæ in Ægypto facta sunt, quæ in exitu Iudæorum, quæ in solitudine, quæ in Palæstina, quæ in Babylone, quæ post reditum, quæ tempore Machabæorum, quæ post Christi aduentum, quæ in ipso aduentu, quæ in diem hodiernum vsque fiunt, ruina Hierosolymorum, ædificatio ecclesiæ, verbum quod quoquouersum peruadit, quod per fluctus erigitur, per bella amplificatur, martyrum turbæ, aliáque omnia. Multa autem videri possunt & priuatim, & in domo, & in ciuitatibus fieri miracula. Sed quæ sunt generalia, & omnibus manifesta ac cognita, & quæ fiunt in vnaquaque generatione videamus. Quot Iuliano imperante, qui omnes impietate superauit, dum oppugnaretur ecclesia, facta sunt? quot Maximino? quot ante illos imperatores? Sed si vultis, ea etiam quæ in nostra generatione euenerunt, nempe cruces repente in vestimentis impressæ, Apollinis templum fulmine deiectũ, sancti martyris Babylæ in Daphnen translatio, & aperta aduersus dæmonem victoria, Imperatoriæ pecuniæ quæstoris inopinata mors, & admirabilis ipsius

[Margin: Miracula semper Deus facit.]

[Margin: Ioan. 20. 29.]

[Margin: Gen. 11. 13.]

[Margin: Iulianus apostata.]

[Margin: Hæc sub Iuliano facta sunt reliquiarum translatio.]

ἀποδημίαν τῆς πονηρίας ἁπάσης. Θεὸς γάρ ἐστιν ἀεὶ μένων, καὶ δικαιοσύνην μένουσαν ἔχων ἀεί, οὐδὲν ἀπὸ τοῦ θανάτου διακοπτομένην, οὐδὲ πρὸς τὴν ἀμοιβὴν τῶν πόνων τῶν ὑπὲρ τῆς ἀρετῆς οὐδὲ πρὸς τὴν ἀντίδοσιν τῶν κολάσεων τῶν διὰ τὴν πονηρίαν. μνείαν ἐποιήσατο τῶν θαυμασίων αὐτοῦ. τί ἐστι μνείαν ἐποιήσατο τῶν θαυμασίων αὐτοῦ; οὐ διέλιπε θαυματουργῶν, φησι, διηνεκῶς. τοῦτο γάρ ἐστι, τὸ μνείαν ἐποιήσατο, οὐκ ἐπαύσατο, οὐκ ἀπέστη διὰ πάσης γενεᾶς θαύματα ἐργαζόμενος, καὶ τοὺς παχυτέρους διεγείρων διὰ τῶν τεράτων. ὁ μὲν γὰρ ὑψηλὸς καὶ φιλόσοφος οὐδὲν δεήσεται τῶν σημείων. μακάριοι γὰρ οἱ μὴ εἰδότες καὶ πιστεύσαντες. ἐπειδὴ δὲ αὐτὸς οὐ τούτων κήδεται μόνον, ἀλλὰ καὶ τῶν παχυτέρων, καθ' ἑκάστην σχεδὸν γενεὰν θαυματουργῶν οὐ παύεται. ἱκανὴ μὲν γὰρ θαυματουργία πᾶσα τῶν ὁρωμένων ἡ κτίσις· ἀλλ' ὅμως διεγείρων τὴν πολλῶν τὴν ῥαθυμίαν ἐν μέσῳ τῷ θεάτρῳ τούτῳ πολλὰ ἐπεδείκνυτο τεράστια, καὶ ἰδίᾳ καὶ κοινῇ, οἷον τὸ ἐπὶ τοῦ κατακλυσμοῦ, τὸ ἐπὶ τῆς συγχύσεως τῶν γλωσσῶν, τὰ ἐπὶ τῶν Σοδόμων, τὰ ἐπὶ τοῦ Ἀβραάμ, τὰ ἐπὶ τοῦ Ἰσαάκ, τὰ ἐπὶ τοῦ Ἰακώβ, τὰ ἐν Αἰγύπτῳ, τὰ ἐν τῇ ἐξόδῳ τῶν Ἰουδαίων, τὰ ἐν τῇ ἐρήμῳ, τὰ ἐν τῇ γῇ τῆς Παλαιστίνης, τὰ ἐν Βαβυλῶνι, τὰ μετὰ τὴν ἐπάνοδον, τὰ ἐπὶ τῶν Μακκαβαίων, τὰ μετὰ τὴν τοῦ Χριστοῦ παρουσίαν, τὰ ἐν αὐτῇ τῇ παρουσίᾳ, τὰ μέχρι σήμερον γινόμενα, ἡ κατάπτωσις τῶν Ἱεροσολύμων, ἡ οἰκοδομὴ τῆς ἐκκλησίας, ὁ λόγος ὁ πανταχοῦ τρέχων, ὁ διὰ κυμάτων ὀρθωθείς, ὁ διὰ πολέμων αὐξηθείς, οἱ τῶν μαρτύρων δῆμοι, τὰ ἄλλα ἅπαντα. πολλὰ δὲ ἄν τις καὶ ἰδίᾳ ἴδοι καὶ ἐν οἰκίᾳ γινόμενα θαύματα, καὶ ἐν πόλεσιν· ἀλλὰ τέως τὰ καθολικά, καὶ ἅπασι δῆλα καὶ γνώριμα, ἃ καθ' ἑκάστην γίνεται γενεὰν ἴδωμεν. πόσα ἐπὶ Ἰουλιανοῦ, τοῦ πάντας ἀσεβείᾳ νικήσαντος γέγονε τῆς ἐκκλησίας πολεμουμένης; πόσα ἐπὶ Μαξιμίνου; πόσα πρὸ τῶν ἐκείνων βασιλέων; εἰ δὲ βούλεσθε καὶ τὰ ἐπὶ τῆς γενεᾶς συμβάντα τῆς ἡμετέρας, οἷον οἱ σταυροὶ οἱ κατὰ τῶν ἱματίων χαραχθέντες ἀθρόον, τοῦ Ἀπόλλωνος τὸ ἱερὸν τὸ σκηπτῷ κατενεχθέν, τοῦ ἁγίου μάρτυρος Βαβύλα τοῦ ἐν Δάφνῃ ἡ μετάθεσις, καὶ ἡ φανερὰ νίκη ἡ κατὰ τοῦ δαίμονος, τοῦ ταμίου τῶν βασιλικῶν χρημάτων ὁ παράδοξος θάνατος, αὐτὴ ἡ τοῦ βασιλέως

βασιλέως ἀναίρεσις, αὐτοῦ τοῦ Ἰουλιανοῦ, τοῦ πάντας ἀσεβείᾳ νικήσαντος, καὶ ἡ τοῦ θείου τοῦ ἐκείνου ἀπώλεια, τῶν σκωλήκων αἱ πηγαί, ἕτερα μυρία, ὁ λιμός, ὁ αὐχμός, αἱ τῶν ὑδάτων σπάνεις αἱ μετ' αὐτοῦ ταῖς πόλεσιν ἐμπεσοῦσαι, καὶ ἕτερα μυρία πανταχοῦ. καὶ ἐν Παλαιστίνῃ τὰ τότε συμβάντα ἔγνωτε. καὶ γὰρ ἡνίκα τὸν ναὸν ἐκεῖνον τὸν τῇ ψήφῳ τοῦ Θεοῦ καθαιρεθέντα ἀνοικοδομεῖν ἐβούλοντο Ἰουδαῖοι, πῦρ ἐκ τῶν θεμελίων ἐκπηδῆσαν, ἅπαντας ἤλασε, καὶ μαρτυρεῖ τὸ ἔργον ἀτέλεστον μεῖναν. Οἰκτίρμων καὶ ἐλεήμων ὁ κύριος, τροφὴν ἔδωκε τοῖς φοβουμένοις αὐτόν. ἀπαγγείλας αὐτοῦ τὰς εὐεργεσίας τὰς διὰ τῶν θαυμάτων, τὰς διὰ τῶν ἔργων, τὴν κηδεμονίαν τὴν ὑπὲρ ἡμῶν γεγενημένην, καὶ τούτῳ πάλιν αὔξει τὸν λόγον, δεικνὺς ὅτι τοσαῦτα καὶ τηλικαῦτα ποιήσας ὑπὲρ τῆς σωτηρίας τῆς τῶν ἀνθρώπων, καὶ παντὶ τρόπῳ παιδεύσας αὐτούς, καὶ παιδεύων εἰς τὴν θεογνωσίαν, καὶ τὴν ἄκραν φιλοσοφίαν, καὶ διακρατῶν αὐτῶν τὴν ζωὴν οὐ κατὰ ὀφειλὴν τοῦτο ἐργάζεται, ὅπερ μεγίστη χάρις ἐστίν, ἀλλὰ δι' ἔλεον καὶ φιλανθρωπίαν, οὐχ ὡς αὐτὸς δεόμενος αὐτῶν, ἀλλὰ δι' ἀγαθότητα μόνην. Τροφὴν ἔδωκε τοῖς φοβουμένοις αὐτόν. τίνος ἕνεκεν τοὺς φοβουμένους ἐνταῦθα τέθεικεν; οὐ γὰρ δὴ μόνους αὐτοὺς τρέφει. καὶ γὰρ ἐν τῷ εὐαγγελίῳ φησίν, ὅτι ἀνατέλλει τὸν ἥλιον ἐπὶ πονηροὺς καὶ ἀγαθούς, καὶ βρέχει ἐπὶ δικαίους καὶ ἀδίκους· πῶς οὖν εἶπε, τοῖς φοβουμένοις αὐτόν; τροφὴν ἐνταῦθα δοκεῖ μοι λέγειν οὐ τὴν σωματικήν, ἀλλὰ τὴν τῆς ψυχῆς. διὰ τοῦτο καὶ περὶ τῶν φοβουμένων διαλέγεται μόνον. αὕτη γὰρ τούτοις ἐστὶν ἀφωρισμένη. ὥσπερ γὰρ τρέφεται σῶμα, οὕτω τρέφεται καὶ ψυχή. καὶ ὅτι τρέφεται ἄκουε· οὐκ ἐπ' ἄρτῳ μόνῳ ζήσεται ἄνθρωπος, ἀλλ' ἐν παντὶ ῥήματι ἐκπορευομένῳ διὰ στόματος Θεοῦ. ταύτην οὖν λέγει τὴν τροφήν, ἣν ἐξαιρέτως ἔδωκε τοῖς φοβουμένοις αὐτόν, τὴν διὰ τοῦ λόγου διδασκαλίαν, τὴν παίδευσιν, τὴν φιλοσοφίαν ἅπασαν. Μνησθήσεται εἰς τὸν αἰῶνα διαθήκης αὐτοῦ· πάλιν καταστέλλων τῶν Ἰουδαίων τὴν ἀπόνοιαν, τὸν τῦφον αὐτῶν ὑποτεμνόμενος, μᾶλλον δὲ δεικνύς, ὅτι τῶν ἀγαθῶν ὧν ἀπήλαυσαν, οὐ διὰ τὴν ἀξίαν ἀπήλαυσαν τὴν οἰκείαν, ἀλλὰ διὰ τὴν φιλίαν αὐτοῦ τὴν πρὸς πατέρας, καὶ τὰς συνθήκας τὰς πρὸς ἐκείνους γεγενημένας, φησί· Μνησθήσεται εἰς τὸν αἰῶνα διαθήκης αὐτοῦ· ὅπερ καὶ Μωυσῆς παρήγγειλεν αὐτοῖς εἰσιοῦσιν εἰς τὴν γῆν τῆς ἐπαγγελίας λέγειν καὶ ἐννοεῖν.

imperatoris occisio, ipsius inquam Iuliani, qui omnes impietatem vicerat, & auunculi illius interitus, vermium fontes, aliaque innumerabilia, fames, siccitas & sterilitas, aquarum penuria, quæ vnà cum eo ciuitates inuasit, & alia vbique innumerabilia. Iam verò ea quoque quæ in Palæstina tunc euenerunt, cognouistis. Quando enim illud templum diuina sentẽtia dirutum, rursus ædificare volebant Iudæi, ignis qui è fundamentis exiliit, omnes abegit, & id testatur opus quod mansit imperfectum. *Misericors & miserator dominus, escam dedit timentibus se.* Postquam annũciauit Dei beneficia, quæ per miracula & per opera accepta sunt, subiungit curam quam nostri gerit & in eo amplificat orationem, ostendens quòd qui tot & tanta fecit pro salute hominum, & eos omni ratione erudiit, & erudiit in Dei cognitione & summa philosophia, eorúmque vitam fouet & sustinet, non hoc facit ex debito (quod est maxima gratia) sed propter suam clementiam & misericordiam, non vt qui ipsis egeat, sed propter solam suam bonitatem. Escam dedit timentibus ipsum. Qua de causa eos qui timent, hic posuit? Neque enim eos solos nutrit. In Euangelio enim dicit: Qui solem suum oriri facit super malos & bonos, & pluit super iustos & iniustos. Quomodo ergo dixit timẽtibus ipsum? Hic mihi videtur dicere alimentum non corporis, sed animi: & ideo loquitur solùm de timentibus. Id enim est eis assignatum. Quemadmodum enim nutritur corpus, ita nutritur anima. Quòd autem nutriatur, audi. Non in solo pane viuet homo, sed in omni verbo quod egreditur per os Dei. Hoc ergo dicit nutrimentũ, quod etiã dedit præcipuè eis qui ipsum timẽt, doctrinã per sermonẽ, eruditionẽ, omnem philosophiam. 5. *Memor erit in seculũ testamẽti sui.* Rursus Iudæorũ arrogantiã cõprimens, & eorum fastũ amputans, vel potius ostẽdens quòd quæ bona cõsecuti sunt, ea non sunt consecuti propter sua merita, sed propter ipsius amicitiam in eorum parentes, & propter pacta conuenta quæ illis fecerat, dicit: Memor erit in seculum testamenti sui, quod præcepit etiam Moses eis intrantibus in terram promissionis dicere & cogitare.

Psal. 110. 5. — *Matt. 5. 45.* — *Matt. 4. 4. Luc. 4. 4.* — *Deut. 9. 4. & 8. 11.*

Si enim ædificaueris, inquit, vrbes præclaras, & pecuniæ diuitias adipiscaris, ne dixeris, Propter meam iustitiam hęc facta sunt, sed propter pacta inita cum patribus tuis. Nihil est enim deterius arrogantia, & ideo omni modo & ratione Deus eam assiduè resecat. 6. *Virtutem operum suorum annuntiauit populo suo.* 7. *Vt det illis hæreditatem gentium.* A generalibus transit ad singularia: ab iis quæ facta sunt in orbe terrarum, ad ea quæ euenerunt Iudæis. Quanquam si quis ea diligenter considerauerit, ea quoque obtinent locum generalium. Quæ enim in illos facta sunt, documenta aliis præbuerunt, & bella, trophæa, & victoriæ, fuerunt iis qui attendunt, instar prædicationis. Non enim humano consilio, ex quo ea sequerentur, sed supra rationem ea eueniebant. Quænam enim rerum consequentia factum est, vt eis tuba canentibus mœnia corruerent, & mulier ducens exercitum vinceret & superior euaderet, & paruus puellus iactu vnius lapidis bella barbarica conficeret? Multa quoque alia incredibilia & opinione maiora eis eueniebant. Ita hostes vicerunt, ita resistentes fuderunt, ita Palæstina expulerunt. Quando ergo dicit, Virtutem operum suorum annunciauit populo suo, nihil aliud dicit, quàm eum suam ostendisse potentiam, dum non tantum gentes eijceret, sed eo modo eijceret, quo maximè poterant cognoscere, etsi priora sufficiebant, eam fuisse plagam immissam in eos diuinitus: & eo ducente exercitum, de hostium rebus decernebatur. Non enim per verba tantum, sed etiam per facta eos docebat, per calceos, per vestes, per alimentum, per lucem diurnam & nocturnam, per nubem, per bella, per pacem, per trophæa, per agriculturam, per pluuias: & omnia denique vocem emittebant Dominum prædicantia, & excæcatam mentem compungentia, nec vllum vnquam tempus intermissum est, in quo non frequentia sua signa ostenderit. *Opera manuum eius veritas & iudicium.* Postquam de eius potentia disseruit, differit etiam de iusto iudicio, quod non solùm potentiam ostendit in iis quæ fecit, sed etiam multam iustitiam. Neque enim gentes solummodo expulit, quando voluit Iudæos introducere, sed etiam iure expulit.

Iof. 6. Iud. 4. & 5. 1. Reg. 17. Deut. 29. Exod. 16. Exod. 13.

ἐὰν γὰρ οἰκοδομήσῃς, φησὶ, πόλεις λαμπρὰς, καὶ περιβάλῃ πλοῦτον χρημάτων, μὴ εἴπῃς, διὰ τὴν δικαιοσύνην μου ταῦτα γέγονεν, ἀλλὰ διὰ τὰς συνθήκας τὰς πρὸς τοὺς πατέρας σου. οὐδὲν γὰρ ἀπονοίας χεῖρον, διὰ τοῦτο πάντῃ τρόπῳ καὶ διαπαντὸς ὁ Θεὸς ἐκκόπτει αὐτὴν συνεχῶς. ἰσχὺν ἔργων αὐτοῦ ἀνήγγειλε τῷ λαῷ αὐτοῦ. τοῦ δοῦναι αὐτοῖς κληρονομίαν ἐθνῶν. ἀπὸ τῶν καθολικῶν ἐπὶ τὰ μερικὰ μετάγει τὸν λόγον· ἀπὸ τῶν κατὰ τὴν οἰκουμένην γινομένων, ἐπὶ τὰ Ἰουδαίοις συμβάντα· μάλιστα δὲ εἴ τις ἀκριβῶς ἐξετάσειε, καὶ ταῦτα καθολικῶν ἐπέχει τάξιν. τὰ γὰρ εἰς αὐτοὺς γινόμενα τοῖς ἄλλοις διδασκαλίαι ἐγίνοντο, καὶ οἱ πόλεμοι, καὶ τὰ τρόπαια, καὶ αἱ νῖκαι ἀντὶ κηρύγματος ἦσαν τοῖς προσέχουσιν. οὐ γὰρ ἀκολουθίᾳ ἀνθρωπίνῃ, ἀλλὰ ὑπὲρ λόγον ταῦτα συνέβαινε. ποία γὰρ ἀκολουθία ἐκείνη σαλπιζόντων αὐτῶν τὰ τείχη καταβάλλεσθαι, καὶ γυναῖκα στρατηγοῦσαν νικᾶν καὶ περιγίνεσθαι, καὶ παιδίον μικρὸν βαρβαρικοὺς πολέμους καταλύειν ἀπὸ λίθου βολῆς μιᾶς; καὶ ἕτερα δὲ ἄλλα παράδοξα τοιαῦτα συνέβαινεν. οὕτω τῶν πολεμίων ἐκράτησαν, οὕτω τῆς Παλαιστίνης ἐξέβαλον. ὅταν οὖν λέγῃ, ἰσχὺν ἔργων αὐτοῦ ἀνήγγειλε τῷ λαῷ αὐτοῦ, οὐδὲν ἄλλο λέγει, ἢ ὅτι ἐπεδείξατο αὐτοῦ τὴν δύναμιν οὐχ ἁπλῶς ἐκβάλλων τὰ ἔθνη, ἀλλὰ τρόπῳ τοιούτῳ, δι' οὗ μάλιστα ἠδύναντο εἰδέναι σαφῶς, ὡς εἰ καὶ τὰ πρότερα ἤρκει, ὅτι θεήλατος ἦν ἡ πληγὴ κατ' ἐκείνων γινομένη, καὶ αὐτοῦ στρατηγοῦντος τὰ τῶν πολεμίων ἐκρίνετο πράγματα. οὐ γὰρ δὴ διὰ ῥημάτων, ἀλλὰ καὶ διὰ πραγμάτων αὐτοὺς ἐπαίδευε, δι' ὑποδημάτων, διὰ ἱματίων, διὰ τροφῆς, διὰ φωτὸς νυκτερινοῦ καὶ ἡμερινοῦ, διὰ νεφέλης, διὰ πολέμων, διὰ εἰρήνης, διὰ τροπαίων, διὰ γεωργίας, διὰ ὑετῶν, καὶ πάντα φωνὴν ἠφίει τὸν δεσπότην ἀνακηρύττοντα, καὶ τὴν πεπωρωμένην αὐτῶν διάνοιαν κατανύττοντα, καὶ οὐδεὶς χρόνος ἐνέλιπεν, ἐν ᾧ μὴ συνεχῆ σημεῖα αὐτοῦ ἐπεδείκνυτο. ἔργα χειρῶν αὐτοῦ ἀλήθεια καὶ κρίσις. ἐπειδὴ περὶ τῆς δυνάμεως αὐτοῦ διελέχθη, διαλέγεται καὶ περὶ τῆς δικαιοκρισίας, ὅτι οὐ μόνον δύναμιν ἐν οἷς ἐποίει τότε ἐπεδείκνυτο, ἀλλὰ καὶ πολλὴν τὴν δικαιοσύνην. οὐδὲ γὰρ ἁπλῶς ἐξέβαλε τὰ ἔθνη, ἐπειδὴ Ἰουδαίους εἰσαγαγεῖν ἐβούλετο, ἀλλὰ μετὰ τοῦ δικαίου.

Διὰ τοῦτο καὶ ἀλλαχοῦ ἔλεγεν ὁ Μωυσῆς· οὔπω γὰρ ἀναπεπλήρωνται αἱ ἁμαρτίαι τῶν Ἀμοῤῥαίων. Ταῦτα δὲ οὐκ ἐπὶ Ἰουδαίων ἐστὶν εἰπεῖν μόνον, καὶ τῶν ἐκείνοις συμβαινόντων, ἀλλὰ πάλιν καθολικὸς ὁ λόγος ἐστί. πάντα γὰρ τὰ ὑπ' αὐτοῦ γινόμενα ἀλήθεια καὶ κρίσις, κρίσις τουτέστι δικαιοσύνη. οἶδεν δὲ ἀλήθειαν πολλάκις ἡ γραφὴ καὶ τὴν φιλανθρωπίαν λέγειν. ὃ τοίνυν λέγει, τοιοῦτόν ἐστιν. ὅτι μετὰ τῆς δικαιοσύνης καὶ φιλανθρωπίας τὰ πάντα ἀνέμιξεν. εἰ γὰρ δὴ μόνον τῷ τῆς δικαίου ἐκέχρητο λόγῳ, πάντα ἂν ἀπωλώλει. διὸ καὶ αὐτὸς ὁ προφήτης ἀλλαχοῦ λέγει· μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν. καὶ πάλιν, ἐὰν ἀνομίας παρατηρήσῃ κύριε, κύριε τίς ὑποστήσεται; πάντα τοίνυν τὰ ὑπ' αὐτοῦ γινόμενα ἑκατέρων γέμει τούτων. ἄν τε γὰρ τὸ δίκαιον ἀπαιτῇ μόνον, πάντα ἂν διεφθάρη. εἰ δὲ φιλανθρωπίᾳ μόνῃ κέχρηται, οἱ πλείους ἂν ἐγίνοντο ῥαθυμότεροι. διὰ τοῦτο ποικίλλων τὴν σωτηρίαν τῶν ἀνθρώπων ἑκατέροις τούτοις εἰς τὴν διόρθωσιν αὐτῶν κέχρηται. πισταὶ πᾶσαι αἱ ἐντολαὶ αὐτοῦ. ὅπερ πολλαχοῦ ποιεῖ, τοῦτο καὶ ἐνταῦθα ἐργάζεται, ἀπὸ τῆς σοφίας τῆς ἐν τῇ ποικίλῃ δημιουργίᾳ καὶ τῆς κηδεμονίας ἐπὶ τῆς νομοθεσίας μεταβαίνων, καὶ τοῦτο πάλιν κινῶν τῆς προνοίας τὸ μέρος. οὐ γὰρ δὴ μόνον τῷ κτίσαι κτίσιν τοσαύτην καὶ τηλικαύτην, ἀλλὰ τὸ τῷ νόμον θεῖναι τὸ τῶν ἀνθρώπων διώρθωσε γένος. διὸ καὶ ἐν τῷ ὀκτωκαιδεκάτῳ ψαλμῷ ἀμφότερα ταῦτα τὰ μέρη διελὼν ἀρχόμενος μὲν ἔλεγεν· οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ· πρὸς δὲ τὸ μέσον ἐλθὼν, καὶ τὸν περὶ τῆς κτίσεως ἀπαρτίσας λόγον ἐπήγαγεν· ὁ νόμος κυρίου ἄμωμος, ἐπιστρέφων ψυχάς, ἡ ἐντολὴ κυρίου τηλαυγὴς φωτίζουσα ὀφθαλμούς· οὕτω δὴ καὶ ἐνταῦθα, εἰπὼν περὶ τῶν τεραστίων, καὶ τῶν θαυμάτων αὐτοῦ, καὶ τῶν ἔργων, εἰς τὴν περὶ τῶν ἐντολῶν ὑπόθεσιν μεταχειρίζει τὸν λόγον οὕτω λέγων· πισταὶ πᾶσαι αἱ ἐντολαὶ αὐτοῦ, ἐστηριγμέναι εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, πεποιημέναι ἐν ἀληθείᾳ καὶ εὐθύτητι. οὐχ ἁπλῶς εἶπε πᾶσαι, ἀλλὰ πολὺ γένος ἐντολῶν ἀνακινῶν ταύτην τέθεικε τὴν λέξιν. καὶ γὰρ ἐντολαί εἰσιν αἱ τῆς κτίσεως, ἃς διατηρεῖ πᾶσα ἡ κτίσις, ἥλιος καὶ σελήνη, ἡμέρα καὶ νὺξ, καὶ ἀστέρες, καὶ γῆς, καὶ φύσεως δρόμος. ἐντολαί εἰσιν αἱ τῇ φύσει δοθεῖσαι ἐξ ἀρχῆς, ὅτε τὸν ἄνθρωπον ἔπλαττε, περὶ ὧν φησιν ὁ Παῦλος·

A Et ideo alibi quoque dicebat Moses: Nondum enim completa sunt peccata Amorrhæorũ. Hęc autẽ non solum dici possunt de Iudæis, & iis quæ illis euenerunt, sed rursus generalis est oratio. Quæcunque enim ab eo facta sunt, veritas sunt & iudicium, iudicium hoc est iustitia. Solet autem sæpe scriptura veritatem vocare clementiam. Quod ergo dicit, est eiusmodi. Cum iustitia & clementia omnia miscuit & temperauit. Si enim sola iuris ratione vsus esset, omnia periissent. Et ideo hic ipse quoque propheta alibi dicit: Ne ingrediaris in iudicium cum seruo tuo: quoniam non iustificabitur in conspectu tuo omnis viuens. Et rursus: Si iniquitates obseruaueris domine, domine quis sustinebit? Quæcunque ergo ab eo fiunt, his vtrisque plena sunt. Nam siue summo tantum iure officium exigeret, omnia interirent: siue sola vteretur clementia, complures redderentur negligentiores. Quocirca salutem hominum varians, ad eorum correctionem his vtrisque vsus est. 8. *Fidelia omnia mandata eius.* Idem quod in multis locis, hîc quoque facit, à sapientia quæ est in multiplici ac vario creaturarum opificio, & ab eius procuratione ad eius leges transiens, & illam partem prouidentiæ rursus tractãs. Non solùm enim quòd talem & talem creaturam condiderit, sed etiam quòd legem tulerit, hominum genus correxit. Et ideo in decimo octauo psalmo cùm vtrasque has partes diuisisset, incipiens quidem dixit: Cœli enarrant gloriam Dei: cùm autem ad medium venisset, & de creatione orationem absoluisset, subiunxit: Lex domini immaculata, conuertens animas: mandatum domini lucidum, illuminans oculos. Ita hic etiam postquam dixit de miraculis, & eius admirabilibus operibus, nunc aggreditur dicere de præceptis, sic dicens: Fidelia omnia mandata eius, *Confirmata in seculum seculi, facta in veritate & æquitate.* Non frustra dixit, Omnia, sed tractans multiplex genus præceptorum, posuit hanc dictionem. Sunt enim præcepta creationis, quæ obseruat omnis creatura, sol & luna, dies & nox, & sydera, terræque, & naturæ cursus. Sunt etiam præcepta quæ data sunt naturæ ab initio, quando finxit hominem, de quibus dicit Paulus:

Gen. 15.
Veritas clementia.
Psal. 142. 2.
Psal. 129. 3.
Hier. 9.
Psal. 19.
83. 88.
Psal. 18. 1.
Præcepta multiplicia.
Creationis.
Naturæ.

Quando enim gentes, quæ legem non habent, quæ legis sunt, natura faciunt, ij legem non habentes sibi ipsis sunt lex. Et rursus: Condelector enim legi secundùm interiorem hominem. Sunt etiam præcepta quæ scripta sunt. Hæc omnia manserunt. Quòd si sint etiã aliqua abrogata, non in peius, sed in melius redacta sunt. Illud enim, Non occides, non est abrogatum, sed est amplificatum: & illud, Non adulterabis, non est sublatum, sed maius effectum est. Et ideo dicebat, Non veni soluere legem aut prophetas, sed adimplere. Qui enim non irascitur, multò magis à cæde abstinebit: & qui impudicis oculis non aspicit, longius ab ab adulterio habitat. Lex ergo hoc habet in primis eximium, nempe immortalitatem & perpetuitatem, & lex creationis, & lex naturæ, & lex philosophiæ, & lex noui testamenti. Et ideo dicit: Cœlum & terra transibunt, verba autem mea non transibunt: ostendens eorum immobilitatem. Quæcunque enim vult Deus manere, ea manent perpetuò, & nihil est quod ea moueat. *Facta in veritate & æquitate.* Quid est in veritate & æquitate? Nihil est, inquit, in eis obliquum, nihil contortum, nihil obscurum, nihil ad gratiam vllam, aut odium, sed omnia ad bonum & vtilitatem, non sicut leges hominum, quæ magna ex parte sunt momentaneæ, & obscuræ, & quæ multum habent ex homine. Ex humanis enim perturbationibus multæ sæpe leges latæ sunt. Inimicum enim vlciscens, vel amico gratificari volens, scripta ita concepta composuit. Sed non sunt leges diuinæ eiusmodi, sed manent sole clariores, quærentes vtilitatem eorum quibus feruntur, deducentes eos ad virtutem, & ad rerum veritatem, non hæc falsa, diuitias inquam, & potentiam (hæc enim falsa sunt, quæ Dei autem sunt, sunt veritas) neque quomodo fiant ditiores, neque quomodo præsentia assequantur, sed quomodo futuris frui possint, docentes. De veris & rectis rebus, & quæ nihil habent peruersum aut contortum, omnia dixerunt illæ leges. Fidelia omnia mandata eius. Quid est, Fidelia? firma, manentia. Etsi enim transiliantur, sequuntur supplicia, & ea minimè labefactantur: & si homines ea transgrediantur,

Rom. 2. 14. — Rom. 7. 22. — Scriptura noua legis. — Matt. 5. 17. — Marc. 13. 31 — Luc. 21. 33. — Leges humanæ, momentaneæ & obscuræ. — Leges diuinæ, sole clariores, & permanentes.

A ὅταν γὰρ ἔθνη τὰ μὴ νόμον ἔχοντα φύσει τὰ τοῦ νόμου ποιῇ, οὗτοι νόμον μὴ ἔχοντες ἑαυτοῖς εἰσι νόμος. καὶ πάλιν, συνήδομαι γὰρ τῷ νόμῳ τοῦ Θεοῦ κατὰ τὸν ἔσω ἄνθρωπον. ἐντολαί εἰσι καὶ αἱ γραπταί, καὶ αὗται πᾶσαι μεμενήκασιν. εἰ δέ τινες κατελύθησαν, οὐκ ἐπὶ τὸ χεῖρον, ἀλλ' ἐπὶ τὸ βέλτιον μεταρρυθμισθεῖσαι. τὸ γὰρ, οὐ φονεύσεις, οὐ κατελύθη, ἀλλ' ἐπετάθη· καὶ τὸ, οὐ μοιχεύσεις, οὐκ ἠφανίσθη, ἀλλὰ μεῖζον γέγονε, διὸ καὶ ἔλεγεν· οὐκ ἦλθον καταλῦσαι τὸν νόμον ἢ τοὺς προφήτας, ἀλλὰ πληρῶσαι. ὁ γὰρ μὴ ὀργιζόμενος πολλῷ μᾶλλον τοῦ φόνου ἀφέξεται· B καὶ ὁ μὴ βλέπων ἀκολάστοις ὀφθαλμοῖς μακρότερον τῆς μοιχείας ἐσκήνωται. ὁ τοίνυν νόμος οὗτος μάλιστα ἔχει τὸ ἐξαίρετον, τὸ ἀθάνατον, τὸ διηνεκές, καὶ ὁ τῆς κτίσεως, καὶ ὁ φυσικὸς, καὶ ὁ τῆς φιλοσοφίας, καὶ ὁ τῆς καινῆς διαθήκης. διό φησιν· ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσονται, οἱ δὲ λόγοι μου οὐ μὴ παρελεύσονται· τὸ ἀκίνητον αὐτῶν δηλῶν. πάντα γὰρ ὅσα ἂν βούληται μένειν ὁ Θεὸς, μένει διηνεκῶς, καὶ οὐδέν ἐστι τὸ κινοῦν αὐτά. πεποιημέναι ἐν ἀληθείᾳ καὶ εὐθύτητι. τί ἐστιν ἐν ἀληθείᾳ καὶ εὐθύτητι; οὐδὲν ἐν αὐταῖς φησι σκολιὸν, οὐδὲν στραγγαλιῶδες, οὐδὲν ἀσαφὲς, οὐδὲν πρὸς C χάριν τινὰ, ἢ ἀπέχθειαν, ἀλλὰ πάντα πρὸς τὸ συμφέρον καὶ λυσιτελὲς, οὐ καθάπερ οἱ ἀνθρώπινοι νόμοι, πολὺ μὲν ἔχοντες τὸ ἐπίκηρον, πολὺ δὲ τὸ ἀσαφὲς, πολὺ δὲ τὸ ἀνθρώπινον. καὶ γὰρ ἀπὸ ἀνθρωπίνων παθῶν πολλοὶ πολλάκις ἐτέθησαν. καὶ γὰρ τὸν ἐχθρὸν ἀμυνόμενος ἢ φίλῳ χαρίζεσθαι βουλόμενος, οὕτω τὰ γράμματα συνέθηκεν. ἀλλ' οὐχ οἱ θεῖοι τοιοῦτοι, ἀλλ' ἡλίου φαιδρότεροι μένουσι, τὸ συμφέρον τῶν νομοθετουμένων ἐπιζητοῦντες, καὶ πρὸς ἀρετὴν D αὐτοὺς ἐπανάγοντες, καὶ πρὸς τὴν τῶν πραγμάτων ἀλήθειαν, οὐ πρὸς τὰ ψευδῆ ταῦτα, πλοῦτον λέγω καὶ δυναστείαν. ταῦτα γὰρ ψευδῆ· τὰ δὲ τοῦ Θεοῦ ἀληθῆ, οὐχ ὅπως γένοιντο εὐπορώτεροι, οὐδ' ὅπως τῶν παρόντων ἐπιτύχοιεν, ἀλλ' ὅπως τῶν μελλόντων ἀπολαύσαιεν διδάσκοντες· περὶ τῶν ἀληθῶν πραγμάτων, καὶ ὀρθῶν καὶ οὐδὲν ἐχόντων διεστραμμένον, ἅπαντα εἶπον ἐκεῖνοι οἱ νόμοι. πισταὶ πᾶσαι αἱ ἐντολαὶ αὐτοῦ. τί ἐστι πισταί; βέβαιαι, μένουσαι. κἂν γὰρ παραβαθῶσιν, αἱ τιμωρίαι ἕπονται, καὶ αὗται οὐ σαλεύονται· εἰ δὲ καὶ ἄνθρωποι παραβαίνωσιν,

ἀλλ' ὁ Θεὸς αὐτὰ ἐκδικεῖ. μὴ τοίνυν λέγε, ὅτι πρὸς ἀπειλὴν εἴρηται τὰ εἰρημένα, ἢ ὑπερβολικῶς. οὐδεὶς νομοθετῶν πρὸς ἀπειλὴν λέγει μόνον, ἀλλὰ καὶ πρὸς σωφρονισμόν. εἰ δὲ οὐ σφόδρα πιστεύεις ὑπὲρ τῶν μελλόντων· ἀπὸ τῶν παρελθόντων λάμβανε τὴν ἀπόδειξιν. ὁ γενόμενος ἐπὶ τοῦ Νῶε κατακλυσμός, καὶ ἡ ἐπὶ τῶν Σοδόμων πυρπόλησις, καὶ ἡ ἐπὶ τοῦ Φαραὼ ἀπώλεια, καὶ ἡ τῶν Ἰουδαίων πανωλεθρία, καὶ αἱ αἰχμαλωσίαι, καὶ οἱ πόλεμοι ἆρα ἀπειλῆς εἰσιν, ἢ πείρας πραγμάτων; εἰ δὲ τὰ ἐν τῷ τύπῳ γέγονε, πολλῷ μᾶλλον τὰ ἐν τῇ ἀληθείᾳ, ὅσῳ καὶ μείζων ἡ πονηρία τῶν αὖθις τετολμημένων μετὰ τοσαύτην θεραπείαν καὶ διόρθωσιν. λύτρωσιν ἀπέστειλε κύριος τῷ λαῷ αὐτοῦ. κατὰ μὲν τὴν ἱστορίαν, τὴν τῶν Ἰουδαίων ἐλευθερίαν φησί· κατὰ δὲ τὴν ἀναγωγὴν τὴν τῆς οἰκουμένης, ὃ καὶ τὸ ἑξῆς δηλοῖ· ἐνετείλατο εἰς τὸν αἰῶνα διαθήκην αὐτοῦ. τῆς καινῆς ἐνταῦθα λέγει· ἐπειδὴ γὰρ ἐντολῆς ἐμνήσθη καὶ νόμου, οὗτος δὲ παρεβάθη, καὶ εἰργάσατο ὀργὴν, φησιν, ὅτι λύτρωσιν ἀπέστειλε τῷ λαῷ αὐτοῦ, καθάπερ καὶ αὐτὸς ἔλεγεν· οὐκ ἦλθον, ἵνα κρίνω τὸν κόσμον, ἀλλ' ἵνα σώσω τὸν κόσμον. ἐπειδὴ γὰρ παραβαινόμενος ὁ νόμος ἐκόλαζεν· ὁ γὰρ νόμος ὀργὴν φησι, κατεργάζεται· οὗ γὰρ οὐκ ἔστι νόμος, οὐδὲ παράβασις· καὶ πάντες ἥμαρτον, καὶ ὑστεροῦνται τῆς δόξης τοῦ Θεοῦ, δικαιούμενοι δωρεὰν τῇ αὐτοῦ χάριτι· διὰ τοῦτο οὕτως εἶπε· λύτρωσιν ἀπέστειλε κύριος τῷ λαῷ αὐτοῦ. ἀλλ' ὅμως οὐδὲ ἡ λύτρωσις ἁπλῶς, ἀλλὰ μετὰ τὴν λύτρωσιν καὶ νόμος, ἵνα τῆς χάριτος ἀξίαν ἐπιδειξώμεθα τὴν πολιτείαν. ἅγιον καὶ φοβερὸν τὸ ὄνομα αὐτοῦ. ἐπειδὴ γὰρ ἐνενόησεν ἅπαντα ταῦτα ἀνακηρύττοντα αὐτοῦ τὴν κηδεμονίαν, τὴν πρόνοιαν, τὴν ἐν τῇ παλαιᾷ, τὴν ἐν τῇ καινῇ, τὴν ἐν τοῖς ἔργοις, τὴν διὰ τῶν ἐντολῶν, τὴν διὰ τῶν θαυμάτων, τὴν διὰ τῶν τεράτων, ἔνθους γενόμενος, καὶ ἐκπλαγεὶς αὐτοῦ τὴν μεγαλωσύνην, εἰς δοξολογίαν καταλύει τὸν λόγον ὕμνον ἀναφέρων εἰς τὸν ταῦτα πεποιηκότα. ἅγιον καὶ φοβερὸν τὸ ὄνομα αὐτοῦ, τουτέστιν, ἐκπλήξεως γέμον, θαύματος πολλοῦ. εἰ δὲ τὸ ὄνομα αὐτοῦ, πόσῳ μᾶλλον ἡ οὐσία; πῶς δὲ τὸ ὄνομα αὐτοῦ ἅγιον καὶ φοβερόν; δαίμονες αὐτὸ τρέμουσι, νοσήματα αὐτὸ δέδοικε. τούτῳ κεχρημένοι τῷ ὀνόματι οἱ ἀπόστολοι, τὴν οἰκουμένην κατώρθωσαν ἅπασαν.

Deus tamen ea vindicat. Ne ergo ea dixeris dicta esse minaciter aut hyperbolicè. Nemo legem ferens, dicit tantum vt minetur, sed etiam vt castiget & corrigat. Si autem non valde credas de futuris, faciant tibi fidem præterita. Quæ fuit itaque tempore Noë, inundatio, & Sodomorum conflagratio, & Pharaonis exitium, & Iudæorum interitus, captiuitates, & bella, in minisne tantum constiterunt, an deducta sunt ad rerum experientiam? Quòd si ea verè facta sunt, quæ erant in figura: multò magis quæ sunt in veritate, quò maior fuit admissorum improbitas post tantam medicinam & correctionem.

9. *Redemptionem misit Dominus populo suo.* Quod ad historiam quidē attinet, dicit libertatem Iudæorum: sed si id accipiamus anagogicè, libertatem orbis terræ, quod etiam significat quod sequitur, *Mandauit in æternum testamentum suum.* Hic nouum dicit: quoniam enim meminit mandati & legis, ea autem non fuit obseruata, & iram effecit, dicit: Redemptionem misit populo suo, quemadmodum ipse quoque dicebat, Non veni vt iudicem mundum, sed vt seruem mundum. *Ioan. 3.* Quoniam enim lex quæ non fuerat obseruata, puniebat: Lex enim, inquit, iram operatur: Vbi enim non est lex, nec transgressio: & omnes peccauerũt, & egent gloria Dei, iustificati gratis, gratia ipsius: *Rom. 4.* *Rom. 3.* propterea hic dixit, Redemptionē misit Dominus populo suo. Nec est tamē absolutè & solũmodo redemptio, sed etiam post redemptionem lex est, vt vitę institutionem ostendamus dignam gratia. *Sanctum & terribile nomen eius.* Postquam enim cogitauit omnia prædicare, eius curam ac prouidentiam, quam ostendit tam in veteri, quàm in nouo, tam in factis & operibus, quàm per pręcepta, quàm per miracula ac prodigia: diuino Spiritu afflatus, & & eius admirans maiestatem, finit orationem in glorificatione, ei qui hæc fecit laudem offerens. *Attende vim nominis Christi.* Sanctum & terribile nomen eius, hoc est, plenum stupore, plenum admiratione. Quòd si tale est eius nomen, quantò magis substantia? Quomodo autem est eius nomen sanctum & terribile? Pertimescunt & contremiscunt dæmones, id morbi formidant & metuunt. *Matth 8.* Eo nomine vsi Apostoli, per vniuersum orbem terræ se præclarè gesserunt.

1. Reg 17.

Eo Dauid armorum loco vsus, barbarum illum prostrauit. In eo res innumerabiles rectè & præclarè gestæ sunt: in eo sacris initiamur mysteriis. Considerans ergo quot & quanta faciat hoc nomen miracula, quot beneficiis afficiat, quo pacto dissipet aduersarios, familiares confirmet, & res apud se reputans, quæ omnem naturæ consequentiam & humanam rationem superant, dicit, Sanctum & terribile nomen eius. Quòd si est sanctum, sancta quoque ora habere opus est ad eum laudãdum, sancta inquam, & pura. 10. *Initium sapientiæ timor Domini.* Quid est initium? fons, radix, fundamentum. Quoniam enim tot & tanta dixit de domino orbis terræ, & tanta repletus est admiratione: hoc subiungit consequenter ostendens deinceps, quòd qui eum timet, impletur omni sapientia, & prudens euadit. Deinde nequis existimaret sapientiam non procedere vltra cognitionem, subiunxit, *Intellectus bonus omnibus facientibus eum.* Non sufficit enim fides, nisi adsit etiam vitæ institutio fidei conueniens. Quomodo est autem initium sapientiæ timor Domini? Ab omni vitio liberat, omnem virtutem dirigit. Dicit autem sapientiam, non quæ in verbis, sed quæ in rebus sita est. Nam externi quoque philosophi definierunt sapientiam diuinarum & humanarũ rerum cognitionem. Hanc autem artem docet Dei timor, improbitatem auferens, & virtutem inserens, vt præsentia contemnantur efficiens, & in cœlum traducens. Quid est hac anima sapientius? Non quærit autem hic solùm auditorem, sed etiam factorem. Intellectus autem bonus omnibus facientibus eum. Hoc est, iis qui faciunt sapientiam, & eam factis ostendunt, bonus est intellectus. Intellectus bonus, inquit, quoniã est etiam malus intellectus: vt quando dicit: Sapientes sunt vt malè faciant, bonũ autẽ facere nõ nouerũt. Ipse autẽ quærit eum intellectum, qui in virtute situs est. *Laudatio eius manet in seculum seculi.* Quænam, dic quæso, ea laus? Gratiarum actio, glorificatio, quæ per opera facta est immortalis: & ante hæc ea quæ eius substãtiæ attributa est. Deus enim est immortalis, & per se valde laudabilis: laudabilis autem est etiã, quando eius maiestatem

Matth. 7.

Sapientia definitio.

Opera etiã necessaria.

Hier. 4. 22.

Laus Dei quæ sit.

A Τούτῳ ὁ Δαβὶδ ἀντὶ ὅπλου χρησάμενος, τὸν βάρβαρον ἐκεῖνον κατηνέγκε· τούτῳ τὰ μυρία κατωρθώθη πράγματα· τούτῳ τὴν ἱερὰν μυσταγωγούμεθα μυσταγωγίαν. ἐννοήσας τοίνυν ὅσα ἐργάζεται θαύματα τὸ ὄνομα αὐτοῦ, ὅσας εὐεργεσίας, πῶς τοὺς ἐναντίους διαλύει· πῶς τοὺς οἰκείους ἀσφαλίζεται, πράγματα [illegible] ὑπερβαίνοντα φύσεως ἀκολουθίαν, καὶ νικῶντα λογισμὸν ἀνθρώπων, φησίν· ἅγιον καὶ φοβερὸν τὸ ὄνομα αὐτοῦ. εἰ δὲ ἅγιον, ἁγίων δεῖται στομάτων πρὸς ὑμνολογίαν, ἁγίων καὶ καθαρῶν. ἀρχὴ σοφίας φόβος κυρίου. σύνεσις δὲ B ἀγαθὴ πᾶσι τοῖς ποιοῦσιν αὐτήν. τί ἐστιν ἀρχή; πηγή, ῥίζα, ὑπόθεσις. ἐπειδὴ γὰρ τοσαῦτα καὶ τηλικαῦτα εἶπε, περὶ τοῦ τῆς οἰκουμένης δεσπότου, καὶ τοσαύτης ἐκπλήξεως ἐνεπλήσθη, ἐπάγει τοῦτο ἀκολούθως λοιπὸν δεικνύς, ὅτι ὁ τοῦτον φοβούμενος πάσης ἐμπίμπλαται σοφίας, καὶ συνετὸς γίνεται. εἶτα ἵνα μή τις νομίσῃ μέχρι τῆς γνώσεως εἶναι τὰ τῆς σοφίας, ἐπήγαγε· σύνεσις δὲ ἀγαθὴ πᾶσι τοῖς ποιοῦσιν αὐτήν. οὐ γὰρ ἀρκεῖ πίστις, ἂν μὴ προσῇ καὶ πολιτεία τῇ πίστει συμβαίνουσα. πῶς δὲ ἀρχὴ σοφίας φόβος κυ- C ρίου; πάσης ἀπαλλάττει τε πονηρίας· πᾶσαν ἀρετὴν κατορθοῖ. σοφίαν δὲ οὐ τὴν ἐν ῥήμασιν, ἀλλὰ τὴν ἐν πράγμασι λέγει. ἐπεὶ καὶ οἱ ἔξωθεν σοφίαν τοῦτο ὡρίσαντο· θείων καὶ ἀνθρωπίνων πραγμάτων διάγνωσιν. ταύτην δὲ τὴν τέχνην ὁ τοῦ Θεοῦ φόβος διδάσκει πονηρίαν ἀναιρῶν, ἀρετὴν φυτεύων, τῶν παρόντων ὑπερορᾶν παρασκευάζων πρὸς τὸν οὐρανὸν μεθιστάς. τί δὲ τῆς τοιαύτης ψυχῆς σοφώτερον; οὐ τὸν ἀκροατὴν δὲ ἐνταῦθα ζητεῖ μόνον, ἀλλὰ καὶ τὸν ποιητήν. σύνεσις δὲ ἀγαθὴ πᾶσι τοῖς ποιοῦσιν D αὐτήν. τουτέστι τοῖς ποιοῦσι τὴν σοφίαν, καὶ διὰ τῶν ἔργων ἐπιδεικνυμένοις σύνεσις ἀγαθή, ὅτι ἐστὶ καὶ σύνεσις πονηρά, ὡς ὅταν λέγῃ· σοφοί εἰσι τοῦ κακοποιῆσαι· τὸ δὲ καλὸν ποιῆσαι, οὐκ ἔγνωσαν· ἀλλ' αὐτὸς τὴν ἐπὶ τῆς ἀρετῆς σύνεσιν ζητεῖ. ἡ αἴνεσις αὐτοῦ μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. ποία αἴνεσις εἰπέ μοι; ἡ εὐχαριστία, ἡ δοξολογία, ἡ διὰ τῶν ἔργων γινομένη ἀθάνατος, καὶ πρὸ τούτων, αὐτὴ ἡ τῇ οὐσίᾳ αὐτοῦ συγκεκληρωμένη. ἀθάνατος μὲν γὰρ ὁ Θεὸς καὶ καθ' ἑαυτὸν σφόδρα αἰνετός· αἰνετὸς δὲ καὶ, ὅταν ἐννοήσῃς τῆς

μεγαλοπρέπειαν αὐτοῦ καὶ τὰ ἄλλα πάντα· αἰνετὸς καὶ διὰ τῶν ἔργων, ὅταν ἴδῃς αὐτοῦ τὴν σοφίαν διὰ τῶν ὁρωμένων. Ταῦτα δὲ λέγει εἰς εὐχαριστίαν προτρέπων, καὶ δεικνὺς οὐδεμιᾶς συγγνώμης ὄντας ἀξίους οὐδὲ τῆς τυχούσης τοὺς δυσχεραίνοντας πρὸς τὰ γινόμενα. ὅταν γὰρ ἡ αἴνεσις αὐτοῦ, καὶ ἡ εὐχαριστία, καὶ ἡ δοξολογία οὕτως ᾖ φανερά, καὶ δήλη, καὶ σαφὴς καὶ ἀκίνητος, καὶ πεπηγυῖα καὶ μονίμη, ὡς καὶ ἀθάνατος εἶναι καὶ ἀπέραντος καὶ ἀτελεύτητος· ἐκεῖνοι δὲ ταύτην ἀγνοοῦντες τἀναντία φθέγγωνται· οὐδὲν ἕτερον ἢ πρὸς τὰ ἡλίου σφόδρα σαφέστερα ἀντιλέγουσι, καὶ ἑκόντες τυφλώττουσιν. οὐδὲ γὰρ πρόσκαιρός ἐστιν, ἵνα ἀγνοήσωσιν, οὔτε ἀμαυρά τις καὶ ἀσαφής, ἀλλὰ καὶ δήλη, καὶ διηνεκὴς καὶ ἀθάνατος, ἀεὶ μένουσα, καὶ τέλος οὐδέποτε ἔχουσα.

A apud te consideraueris, & alia omnia. Laudabilis quoque est propter opera, quando videris eius sapientiam per ea quæ videntur. Hæc autem dicit adhortans ad gratiarum actionem, & ostendens nulla esse dignos venia, qui quæ fiunt ægre ferunt. Quando enim eius laudatio, gratiarum actio, & glorificatio est adeò aperta, & manifesta, immobilisque, & firma ac stabilis, vt etiam immortalis & fine carens, illi autem eam ignorantes, loquuntur contraria: nihil aliud quàm iis quæ sunt sole longè clariora, contradicunt, & volen- B tes cæcutiunt. Non est enim ad tempus, vt eam ignorent, nec obscura & non manifesta, sed clara, perpetua & immortalis, semper manens, & finem nunquam habens.

Dei opera ægre ferentes, indigni venia.

Εἰς τὸν ρια΄ ψαλμόν.

Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν κύριον.

C ΣΦΟΔΡΑ μοι δοκεῖ τῷ τέλει τοῦ πρὸ τούτου ψαλμοῦ ἕπεσθαι τὸ προοίμιον, καὶ ὥσπερ ἓν σῶμα εἶναι συνεχὲς καὶ συνημμένον. ἐκεῖ μὲν γάρ φησιν, ἀρχὴ σοφίας φόβος κυρίου· ἐνταῦθα δέ, μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν κύριον, ἑτέροις μὲν ῥήμασι, τοῖς δὲ αὐτοῖς νοήμασι παιδεύων τοῦ Θεοῦ τὸν φόβον. ἐκεῖ μὲν γὰρ αὐτὸν σοφὸν ἔφησεν εἶναι· ἐνταῦθα δὲ μακάριον· ὃ δὴ ὄντως μακάριον τοῦτο, ὡς τά γε ἄλλα πάντα ματαιότης καὶ σκιά, καὶ ψι- D λὰ πράγματα· κἂν πλοῦτον εἴπῃς, κἂν δυναστείαν, κἂν σώματος ὥραν, κἂν χρημάτων περιβολήν. φύλλοις γὰρ ἔοικε καταπίπτουσι καὶ σκιαῖς παρατρεχούσαις, καὶ ὀνείρασιν ἀφιπταμένοις· τὸ δὲ ὄντως μακάριον τοῦτο. εἶτα ἐπειδὴ καὶ δαίμονες δεδοίκασιν αὐτόν, καὶ φρίττουσιν, ἵνα μὴ νομίσῃς τοῦτο μόνον ἀρκεῖν εἰς σωτηρίαν, ὅπερ ἄνω πεποίηκε, τοῦτο καὶ ἐνταῦθα ποιεῖ. καθάπερ γὰρ ἐκεῖ εἰπών, ἀρχὴ σοφίας φόβος κυρίου ἐπήγαγε· σύνεσις ἀγαθὴ πᾶσι τοῖς ποιοῦσιν αὐτήν, τοῖς δόγμασι τὴν συμβαίνουσαν πολιτείαν ἀπαρτῶν· οὕτω δὴ καὶ ἐνταῦθα, εἰπὼν τὸν φόβον οὐκ ἐκεῖνον

IN PSALMVM CXI.

Beatus vir qui timet Dominum.

MIHI videtur huius psalmi prooemium pulchrè sequi finem præcedentis, & esse veluti quoddam corpus continuũ & coniunctum. Illic enim dicit, Initium sapientiæ timor Domini: hic autem, Beatus vir qui timet Dominũ. aliis verbis, iisdem autem sententiis docens timorem Domini. Illic enim eum dixit esse sapientem: hic verò beatum. Hæc autem vera est beatitas, quemadmodum alia quidem omnia sunt vanitas, vmbra, & tantummodo nomina, siue dicas diuitias, siue potentiam, siue corporis pulchritudinem, siue vim pecuniæ. sunt enim similia foliis cadentibus, & vmbris prætercurrentibus, & somniis euolantibus. Hæc autem vera est beatitudo. Deinde quoniam dæmones quoque eum verentur, & pertimescunt, ne putes hoc solum sufficere ad salutem. quod superiùs fecit, hic quoque facit. Quemadmodũ enim cùm illic dixisset, Initium sapientiæ timor Domini, subiunxit: Intellectus autem bonus omnibus facientibus eum, conuenientia vitæ instituta dogmatibus adiungens: ita hic etiam cùm dixisset timorem, non illum solùm

Eccl. 1. 2.

Timor Dei solum ad salutem non sufficit.

dicit qui ex cognitione oritur, quem habent etiam dæmones, sed hoc etiam adijcit dicens, *In mandatis eius volet nimis.* Hæc autem dixit exigens exactam vitæ institutionem, & animã amore sapientiæ præditam. Non dixit, Mandata eius faciet, sed, Volet, aliquid amplius requirens. Quidnam autem hoc est? Ea facere cum studio & animi alacritate: esse vehementes eorum amatores: iussa eorum persequi: amare ea non propter mercedem quæ est pro ipsis proposita, sed propter eũ qui illa statuit, virtutem cum voluptate persequi, non propter metum gehennæ, nec propter minas supplicij, nec propter promissionem regni, sed propter eum qui leges tulit. Quinetiã alibi ostendens voluptatem, quam capit ex præceptis Dei, Quàm dulcia sunt, inquit, gutturi meo eloquia tua, supra mel ori meo. Hoc etiam requirit Paulus, ita dicens obscurè & ænigmaticè: quemadmodũ exhibuistis membra vestra serua immunditiæ & iniustitiæ ad iniustitiam: ita exhibete membra vestra serua iustitiæ ad sanctificationẽ. Hoc est, Cum quanto studio, cum quanta animi alacritate vitium sectabamini, etsi nullum esset præmium propositum, sed contrà pœna & supplicium: cum tanta virtutem sectemini. Et tamen hanc quoque mensurã dixit se exigere eis commoderatam. Hæc enim dicturus, ita dixit, Humanum dico propter infirmitatẽ carnis vestræ: indicans oportere non minorem ostendere in virtute cupiditatem, quàm in vitio ostendimus. Id est autem quod dicit. Si non eandem virtutem ostenderint, quanam excusatione vtentur, aut quomodo veniam assequentur, qui ne cum eadem quidem cupiditate ad eam accedunt? Et ideo hic quoque propheta dixit: In mandatis eius volet nimis. Qui enim eum metuit vt oportet, suscipit eius præcepta cum magna auiditate: & ideo amor in legislatorem, facilem & gratam facit legem, etsi videatur aliquam habere difficultatem. Nemo autem quod dico reprehendat, si tali exemplo vsus sum. Nam Paulus quoque eo vsus est, sic dicens: Sicut exhibuistis membra vestra serua immunditiæ, ita exhibete iustitiæ. Qui meretricis itaque amore captus est, etiamsi afficiatur probro & contumelia, etiamsi verberetur,

1. Cor. 9. Philip. 1.

Mandata Dei vt sint amplectenda.

Psal. 118. 103

Rom. 6. 19.

Alacritas necessaria in Dei præceptis obeundis.

Amor meretricij insania.

μόνον λέγει τὴν ἀπὸ τῆς γνώσεως, ὃν καὶ δαίμονες ἔχουσιν· ἀλλὰ καὶ τοῦτο προστίθησι λέγων· ἐν ταῖς ἐντολαῖς αὐτοῦ θελήσει σφόδρα. τοῦτο δὲ εἶπε βίον ἀπαιτῶν, καὶ πολιτείαν ἠκριβωμένην, καὶ ψυχὴν φιλόσοφον· καὶ οὐκ εἶπε τὰς ἐντολὰς αὐτοῦ ποιήσει, ἀλλὰ θελήσει, ἕτερόν τι πλέον ἐπιζητῶν. ποῖον δὴ τοῦτο; τὸ μετὰ προθυμίας αὐτὰς ποιεῖν· τὸ ἐραστὰς αὐτῶν εἶναι σφοδρούς· τὸ μεταδιώκειν αὐτῶν τὰ ἐπιτάγματα· τὸ φιλεῖν αὐτὰς, μὴ διὰ τὸν μισθὸν τὸν ὑπὲρ αὐτῶν κείμενον, ἀλλὰ διὰ τὸν θέντα αὐτάς· τὸ μεθ' ἡδονῆς μετιέναι τὴν ἀρετήν· τὸ μὴ φόβῳ γεέννης, μηδὲ ἀπειλῇ κολάσεως, μηδὲ ἐπαγγελίᾳ βασιλείας· ἀλλὰ διὰ τὸν νομοθετήσαντα. καὶ ἀλλαχοῦ τοῦτο ποιεῖ φησι, δεικνὺς τὴν ἡδονὴν, ἣν ἔχει περὶ τὰ προστάγματα τοῦ Θεοῦ. ὡς γλυκεῖα τῷ λάρυγγί μου τὰ λόγιά σου· ὑπὲρ μέλι τῷ στόματί μου. τοῦτο καὶ Παῦλος ἐπιζητεῖ αἰνιγματωδῶς οὕτω λέγων· ὥσπερ παρεστήσατε τὰ μέλη ὑμῶν δοῦλα τῇ ἀκαθαρσίᾳ καὶ τῇ ἀνομίᾳ εἰς τὴν ἀνομίαν· οὕτω παραστήσατε τὰ μέλη ὑμῶν δοῦλα τῇ δικαιοσύνῃ εἰς ἁγιασμόν· τουτέστι μεθ' ὅσης σπουδῆς, μεθ' ὅσης ἐπιθυμίας τὴν κακίαν ἐδιώκετε, καίτοι μηδὲν ἔπαθλον ἐχούσην, ἀλλὰ κόλασιν μᾶλλον, καὶ τιμωρίαν· μετὰ τοσαύτης διώξατε τὴν ἀρετήν. ἀλλ' ὅμως καὶ τοῦτο σύμμετρον ἔφησεν ἀπαιτεῖν μέτρον. μέλλων γὰρ ταῦτα λέγειν, οὕτως ἔφη· ἀνθρώπινον λέγω διὰ τὴν ἀσθένειαν τῆς σαρκὸς ὑμῶν, δεικνὺς ὅτι οὐ πολλῷ ἥττονα ἐπιθυμίαν ἐπιδείκνυσθαι χρὴ περὶ τὴν ἀρετὴν, ἢ περὶ τὴν κακίαν ἐπεδειξάμεθα. ὃ δὲ λέγει τοῦτό ἐστιν. εἰ γὰρ μὴ τὴν αὐτὴν ἐπιδείξωνται ἀρετὴν, τίνα ἂν ἔχοιεν ἀπολογίαν ἢ συγγνώμην, οἱ μηδὲ μετὰ τῆς αὐτῆς ἐπιθυμίας πρὸς ταύτην ἰόντες; διὰ δὴ τοῦτο καὶ ὁ προφήτης εἶπεν ὅτι· ἐν ταῖς ἐντολαῖς αὐτοῦ θελήσει σφόδρα. ὁ γὰρ φοβούμενος αὐτὸν ὡς χρὴ, τὰ ἐπιτάγματα αὐτοῦ μετὰ πολλῆς δέχεται τῆς ἐπιθυμίας. διόπερ ὁ περὶ τὸν νομοθέτην ἔρως προσηνῆ ποιεῖ τὸν νόμον, κἂν δυσκολίαν δοκῇ ἔχειν τινά. καὶ μηδεὶς καταγνῷ τοῦ λόγου, εἰ τοιούτῳ κέχρημαι παραδείγματι, καὶ γὰρ καὶ Παῦλος ἐχρήσατο αὐτῷ οὕτως εἰπών· ὥσπερ παρεστήσατε τὰ μέλη ὑμῶν δοῦλα τῇ ἀκαθαρσίᾳ, οὕτω παραστήσατε δοῦλα τῇ δικαιοσύνῃ. ὁ τοίνυν πόρνης ἐρῶν, κἂν ὑβρίζηται, κἂν λοιδορῆται

καὶ τύπτηται, καὶ ἀτιμῶται, καὶ τῆς πατρίδος ἐκβάλληται, καὶ τῆς πατρῴας οὐσίας, καὶ τῆς εὐνοίας τοῦ πατρὸς· καὶ ἕτερα χαλεπώτερα πάσχῃ, μεθ' ἡδονῆς αὐτὰ φέρει διὰ τὸν ἔρωτα τὸν ἀκόλαστον. Εἰ δὲ ἐκεῖνα μεθ' ἡδονῆς δέχονται, πῶς οὐ πολλῷ μᾶλλον τὰ τοῦ Θεοῦ διατάγματα, τὰ σωτηριώδη καὶ δόξης γέμοντα, καὶ πολλὴν ἡμῖν παρέχοντα φιλοσοφίαν, καὶ ψυχὴν βελτίονα ἐργαζόμενα μετὰ πολλῆς δεῖ δέχεσθαι τῆς ἡδονῆς, καὶ μηδὲν δύσκολον ἐν αὐτοῖς εἶναι νομίζειν; τὴν γὰρ δυσκολίαν οὐχ ἡ τῶν ἐπιταγμάτων φύσις, ἀλλ' ἡ τῶν πολλῶν ῥᾳθυμία ποιεῖν εἴωθεν· ὡς εἴ τις μετὰ προθυμίας αὐτὰ δέχοιτο, κοῦφα καὶ ῥᾷστα αὐτὰ ὄψεται ὄντα. Διὸ καὶ ὁ Χριστὸς ἔλεγεν· ὁ ζυγός μου χρηστὸς, καὶ τὸ φορτίον μου ἐλαφρόν ἐστι· καὶ ἵνα μάθῃς, ὅτι ταῦτα τοῦτον ἔχει τὸν τρόπον, καὶ ἡ ῥᾳθυμία τῶν πολλῶν, καὶ τὰ εὔκολα δύσκολα ἀποφαίνει, ἡ δὲ σπουδὴ καὶ τὰ δύσκολα ῥᾷστα· ὅτε τοῦ μάννα ἀπήλαυον οἱ Ἰουδαῖοι, καὶ ἐδυσχέραινον, καὶ θάνατον ηὔχοντο· λιμῷ δὲ παλαίων ὁ Παῦλος ἔχαιρε, καὶ ἐσκίρτα. Κἀκεῖνοι μὲν ἔλεγον· ἡ ψυχὴ ἡμῶν κατάξηρος ἐπὶ τῷ μάννα· ἐξήγαγες ἡμᾶς ἀποκτεῖναι παρὰ τὸ μὴ εἶναι μνήματα ἐν Αἰγύπτῳ; ὁ δὲ Παῦλος ἔλεγε· χαίρω ἐν τοῖς παθήμασί μου, καὶ ἀνταναπληρῶ τὰ ὑστερήματα τῶν θλίψεων τοῦ Χριστοῦ, ἐν τῇ σαρκί μου. Ποίοις παθήμασι; τῷ λιμῷ, τῇ δίψῃ, τῇ γυμνότητι, καὶ τοῖς ἄλλοις ἅπασιν. Ἐν ταῖς ἐντολαῖς αὐτοῦ θελήσει σφόδρα. Πῶς δ' ἂν τοῦτο γένοιτο; ἂν μετὰ ἀκριβείας καὶ φοβώμεθα, καὶ ἀγαπῶμεν τὸν Θεόν· ἂν ἐννοῶμεν αὐτῆς τῆς ἀρετῆς τὴν φύσιν. Καὶ γὰρ πρὸ τῶν ἄλλων ἐπάθλων ἐν ἑαυτῇ τὰς ἀμοιβὰς ἔχει· ὅταν γὰρ μὴ μοιχεύσῃς, μηδὲ φονεύσῃς, ἐννόησον ὅσης ἀπολαύσῃ τῆς ἡδονῆς μὴ καταγινωσκόμενος ὑπὸ τοῦ συνειδότος, μὴ τοὺς οἰκείους αἰσχυνόμενος, καθαροῖς ὀφθαλμοῖς πρὸς ἅπαντας βλέπων. Ἀλλ' οὐχ ὁ μοιχὸς τοιοῦτος, ἀλλὰ πάντας τρέμει, καὶ δέδοικε, καὶ αὐτὰς τὰς σκιὰς ὑφορᾶται· πάλιν ὁ πλεονέκτης καὶ βάσκανος τὰ αὐτὰ πείσεται. Ὁ δὲ τούτων ἀπηλλαγμένος τὰ ἐναντία. Δυνατὸν ἐν τῇ γῇ ἔσται τὸ σπέρμα αὐτοῦ. Σπέρμα οἶδε πολλάκις ἡ γραφὴ λέγειν οὐ τὸ κατὰ φύσεως ἀκολουθίαν τικτόμενον, ἀλλὰ τὸ κατὰ κοινωνίαν ἀρετῆς. Διὸ καὶ Παῦλος ἑρμηνεύων τὸ, σοὶ δώσω

A etiamsi se turpiter & indecorè gerat, etiamsi expellatur à patria, etiamsi bonis paternis euertatur, etiamsi patris beneuolentia priuetur, etiamsi grauiora patiatur, ea fert iucundè & lubenter propter amorē impudicum. Quòd si illa cum voluptate suscipiunt, quomodo non multò magis Dei præcepta, quæ sunt salutaria, & gloriæ plena, & magnam nobis præbent philosophiam, & animam meliorem efficiunt, oportet cum magna voluptate suscipere, & nihil esse difficile in eis existimare? Difficultatem enim non natura præceptorum

Precepta enim Dei grauia non sunt. Matt. 11.

B rum sed multorum solet socordia efficere. Itaque si quis ea cum studio & alacritate animi suscipiat, videbit ea esse leuia & facilia. Quocirca dicebat Christus, Iugum meum suaue est, & onus meum leue. Et vt scias ea hoc modo se habere, & multorum socordiam ea quæ sunt facilia, facere difficilia: studium autem ac diligentiam facillima, ea quæ sunt alioqui difficillima: quando manna fruebantur Iudæi, id & ægrè ferebant, & mortem exoptabant: Paulus autem cum fame confli-

Confirmat exemplo.

ctans gaudebat, & exiliebat. Et illi qui-
C dem dicebant: Anima nostra arida est in manna. Eduxisti nos vt interficeres, eò quòd non essent monumenta in Ægypto? Paulus autē dicebat, Gaudeo in passionibus meis, & suppleo ea quæ desunt afflictionibus Christi, in carne mea. Quibúsnam passionibus? fame, siti, nuditate, & aliis omnibus. In mandatis eius volet nimis. Quomodo autē hoc fiet? Si Deum perfectè timeamus & amemus, si eiusdem virtutis naturam consideremus. Ante alia enim præmia, habet in seipsa remunerationē. Quando enim non fueris adulteratus, quādo

Num. 11. 6.

Coloss. 1. 24.

D non cædē feceris, cogita quanta frueris voluptate, nō condemnatus à tua conscientia, coram tuis nequaquam erubescens, puris omnes oculis intuens. Non est autem eiusmodi adulter, sed omnes metuit ac formidat, & vel ipsas vmbras habet suspectas. Rursus auarus & inuidus eadem patietur. Qui est autem liber ab his, contra se habebit.

2. *Potens in terra erit semen eius.* Solet scriptura sæpe semen vocare, non id quod nascitur ex naturæ consequentia, sed quod ex societate virtutis. Quocirca Paulus quoque interpretans illud, Tibi

Semen ex societate.

dabo & semini tuo terrã hanc, dicebat. Non enim omnes qui sunt ex Israel, ij Israel: neque quia sunt semen Abrahæ, omnes filij, sed Isaac vocabitur tibi semen. Et rursus: In semine tuo benedicentur omnes gentes. Quod enim non dictum sit de Iudæis, res ipsæ indicant. Qui sunt enim ipsi pleni maledictione, quomodo fuerint alij causæ benedictionis? sed dicit de ecclesia, quæ ex societate fidei eius semen esse dicitur. Tales sunt ergo, qui sunt virtute præditi: & filij eorũ, qui Deum timent. Potens erit in terra semen eius. Quare dixit, In terra? Vt ostenderet id esse etiam antequam hinc excedant, & antequam bonorum quæ illic sunt faciant periculum. Quemadmodum enim dixi antea, virtus in ipsa operatione habet remunerationem etiam ante præmia. Quòd enim qui talis est, habeat semen potens, & qui est virtutis præsidio munitus, sit omnium potentissimus, docuerunt Apostoli, ostenderunt Prophetæ. Similiter etiam Dominus de his significans, dicit: Quicunque audit sermones meos, & facit eos, assimilabitur viro prudenti, qui ædificauit domum suam super petram, & descendit pluuia, venerunt fluuij, flauerunt venti, & irruerunt in domum illam, & non cecidit: erat enim fundata supra petram. Quot populorum insurrectiones, quot iræ tyrannorum, quot enses, quot lanceæ, quot tela, quot fornaces, quot beluarum dentes, quot præcipitia, quot maria, quot insidiæ, quot calumniæ, quot machinationes fuerunt concitatæ aduersus Apostolos? nihil tamen eos prostrauit, sed fuerunt his omnibus excelsiores, præteruolantes eorum arundines, qui eis insidiabantur, & ipsos insidiatores traducentes in suas partes. Nihil est enim virtute potentius: ea & petra est solidior, & adamante fortior: quemadmodum rursus vitio nihil est vilius, nihil imbecillius, etiamsi quis sit munitus infinita vi pecuniæ, & extrinsecus maximam habeat potentiam. Quòd si tantæ sunt eorum vires in terra, cogita quanta sit futura eorum in cœlis potentia. *Generatio rectorum benedicetur.* Vidisti eam resplendere, & innumerabiles habere prædicatores, laudatores, & admiratores, ac non temerè quoslibet, sed

Rom. 9. 7. *Galat. 3. 8.* *Virtus merces.* *Matth. 7.* *Simile euãgelicum.* *Virtutis & vitij collatio per contra-*

A τὴν γῆν ταύτην καὶ τῷ σπέρματί σου, ἔλεγεν. οὐ γὰρ πάντες οἱ ἐξ Ἰσραὴλ οὗτοι Ἰσραὴλ, οὐδ' ὅτι εἰσὶ σπέρμα Ἀβραὰμ, πάντες τέκνα· ἀλλ' ἐν Ἰσαὰκ κληθήσεταί σοι σπέρμα. καὶ πάλιν, ἐν τῷ σπέρματί σου εὐλογηθήσονται πάντα τὰ ἔθνη. ὅτι γὰρ οὐ περὶ Ἰουδαίων εἴρηται, τὰ πράγματα δηλοῖ. οἱ γὰρ αὐτοὶ κατάρας γέμοντες, πῶς ἂν ἄλλοις εὐλογίας γένοιντο αἴτιοι; ἀλλὰ περὶ τῆς ἐκκλησίας φησὶ, τῆς κατὰ τὴν κοινωνίαν τῆς πίστεως σπέρμα χρηματιζούσης αὐτῷ. τοιοῦτοι τοίνυν οἱ ἐνάρετοι καὶ τὸν Θεὸν φοβουμένων παῖδες.
B δυνατὸν ἐν τῇ γῇ τὸ σπέρμα αὐτοῦ. διὰ τί εἶπεν, ἐν τῇ γῇ; ἵνα δείξῃ, ὅτι καὶ πρὸ τῆς ἐντεῦθεν ἀποδημίας, καὶ πρὸ τῆς πείρας τῶν ἀγαθῶν τῶν ἐκεῖ. ὅπερ γὰρ ἔφθην εἰπὼν, ἐν ἑαυτῇ τὴν ἀμοιβὴν ἡ ἀρετὴ κέκτηται, καὶ πρὸ τῶν ἐπάθλων. ὅτι γὰρ ὁ τοιοῦτος σπέρμα δυνατὸν ἔχει, καὶ ὁ ἀρετὴν περιβεβλημένος πάντων ἐστὶ δυνατώτερος, ἐδίδαξαν οἱ ἀπόστολοι, ἔδειξαν οἱ προφῆται. ὁμοίως δὲ ὁ κύριος περὶ τούτων ἐμφαίνων, φησίν· ὅστις ἀκούει μου τοὺς λόγους, καὶ ποιεῖ αὐτοὺς, ὁμοιωθήσεται ἀνδρὶ φρονίμῳ, ὅστις
C ᾠκοδόμησε τὴν οἰκίαν αὐτοῦ ἐπὶ τὴν πέτραν, καὶ κατέβη ἡ βροχὴ, καὶ ἦλθον οἱ ποταμοὶ, καὶ ἔπνευσαν οἱ ἄνεμοι, καὶ προσέπεσον τῇ οἰκίᾳ ἐκείνῃ, καὶ οὐκ ἔπεσε, τεθεμελίωτο γὰρ ἐπὶ τὴν πέτραν. πόσαι δήμων ἐπαναστάσεις; πόσοι τυράννων θυμοί; πόσα ξίφη; πόσα δόρατα; πόσα βέλη; πόσαι κάμινοι; πόσοι θηρίων ὀδόντες; πόσοι κρημνοί; πόσα πελάγη; πόσαι ἐπιβουλαί; πόσαι συκοφαντίαι; πόσα μηχανήματα κατὰ τῶν ἀποστόλων ἤγετο; ἀλλ' ὅμως οὐδὲν αὐτοὺς ὑπεσκέλισεν· ἀλλὰ πάντων ὑψηλότεροι τούτων ἐ-
D γένοντο· ὑπὲρ τοὺς καλάμους τῶν ἐπιβουλευόντων πετόμενοι, καὶ τοὺς ἐπιβουλεύοντας εἰς τὴν ἑαυτῶν μεταθέντες τάξιν. οὐδὲν γὰρ ἀρετῆς δυνατώτερον· αὕτη καὶ πέτρας στερροτέρα, καὶ ἀδάμαντος ἰσχυροτέρα. ὥσπερ οὖν κακίας οὐδὲν εὐτελέστερον, οὐδὲ ἀσθενέστερον· κἂν μυρία τις ᾖ περιβεβλημένος χρήματα· κἂν πολλὴν ἔξωθεν ἔχῃ δυναστείαν. εἰ δὲ ἐν τῇ γῇ τοσαύτη ἰσχὺς, ἐννόησον ἐν τοῖς οὐρανοῖς πόσης ἀπολαύσονται δυνάμεως οἱ τοιοῦτοι. γενεὰ εὐθέων εὐλογηθήσεται· εἶδες αὐτὴν διαλάμπουσαν, καὶ μυρίους κήρυκας καὶ ἐπαινέτας ἔχουσαν καὶ θαυμαστάς; ἀλλ' οὐχ ἁπλῶς τοὺς τυχόντας, ἀλλὰ

τοὺς συνετούς. οὐδεὶς γὰρ δυνήσεταί τις αὐτὴν συνιδεῖν τῶν χαμαιζήλων ἀνθρώπων, ἀλλ' οὗτοι μάλιστα αὐτὴν ἐπαινέσονται, οὗτοι θαυμάσονται, καὶ ἀνακηρύξουσιν, οἱ μὴ διεστραμμένην ἔχοντες τὴν διάνοιαν. ἐννόησον οὖν ἡλίκον ἐστὶ τὸ κτῆμα, ὥστε μηδὲ τῶν ἀγγέλων ἀποδεῖν, μηδὲ τῶν ἀποστόλων μηδὲ τῶν μεγάλων καὶ θαυμαστῶν· καὶ γὰρ εἰ τοὺς ἐγκωμιάζοντας αὐτὴν τοιούτους εἶναι χρή, σκόπει καὶ λογίζου ἡλίκην αὐτὴν εἶναι εἰκός. δόξα καὶ πλοῦτος ἐν τῷ οἴκῳ αὐτοῦ. πάλιν ἀπὸ τῶν αἰσθητῶν ἐπὶ τὰ νοητὰ διαβαίνει. οἶδε γὰρ καὶ πλοῦτον καλεῖν ἡ γραφὴ τὸν ἐν τοῖς ἔργοις τοῖς ἀγαθοῖς· ὡς ὅταν λέγῃ ἀγαθοεργεῖν, πλουτεῖν ἐν ἔργοις ἀγαθοῖς. οὗτος γὰρ ἀληθὴς ὁ πλοῦτος, ὡς ὅγε ἕτερος ὄνομα πλούτου ψιλόν, πράγματος ἔρημον. εἰ δὲ καὶ τοῦτον λέγει τις οὐδὲ οὕτως ἀποστησόμεθα τοῦ λόγου. τί γὰρ αὖ ἦν καὶ ἐν χρήμασι τῶν ἀποστόλων πλουσιώτερον, οἷς καθάπερ ἐκ πηγῶν ἅπαντα ἔρρει; ὅσοι γὰρ κτήτορες χωρίων ἢ οἰκιῶν ὑπῆρχον, πωλοῦντες ἔφερον καὶ ἐτίθουν τὰς τιμὰς παρὰ τοὺς πόδας τῶν ἀποστόλων. ὁρᾷς πλούτου φιλοτιμίαν; τὰ πάντων ἐκέκτηντο, τῆς φροντίδος αὐτῶν ἀπηλλαγμένοι, καὶ ὥσπερ οἰκονόμοι μᾶλλον αὐτῶν ὄντες ἢ δεσπόται. οἱ γὰρ ἔχοντες τοῦ ἔχειν ἀφιστάμενοι οὕτως αὐτὰ τοῖς ἀποστόλοις ἐκόμιζον, αὐτοὶ μὲν αὐτὰ ἐξαργυρίζοντες καὶ χρήματα ποιοῦντες, τὴν δὲ διανομὴν ἐπιτρέποντες ἐν τῇ ἐξουσίᾳ τῇ ἐκείνων γενέσθαι. διὰ τοῦτο ἔλεγεν ὁ Παῦλος· ὡς μηδὲν ἔχοντες, καὶ πάντα κατέχοντες. ὃ γὰρ θαυμαστὸν τοῦτό ἐστιν, ὅτι τοσούτῳ πλούτῳ ὄντες ὑψηλότεροι τῆς περιουσίας ἦσαν· καὶ γὰρ τὸ πλῆθος αὐτοὺς οὐ κατεῖχε τῶν χρημάτων. τοῦτο μάλιστα πλοῦτος, τὸ μὴ δεῖσθαι πλούτου. δόξα καὶ πλοῦτος ἐν τῷ οἴκῳ αὐτοῦ. ἐνταῦθα λοιπὸν οὐδὲ ἑρμηνείας δεῖται. εἶχον μὲν γὰρ τὴν δόξαν τὴν παρὰ τοῦ Θεοῦ. εἴπερ καὶ αὕτη κατὰ τὸν θεῖον λόγον τὸν λέγοντα, ζητεῖτε τὴν βασιλείαν τοῦ Θεοῦ, καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν. τί γὰρ ἐκείνων σεμνότερον; ὡς ἀγγέλους ἐδέχοντο, τὰ χρήματα φέροντες παρὰ τοὺς πόδας αὐτῶν ἐτίθεσαν· λοιπὸν καὶ αὐτῶν τῶν τὸ διάδημα περικειμένων λαμπρότεροι ὑπῆρχον. ποῖος γὰρ μετὰ τοσαύτης εἰσῄει βασιλεὺς περιφανείας, μεθ' ὅσης ὁ Παῦλος ἐθαυμάζετο πανταχοῦ φθεγγόμενος, καὶ λύων θανάτους, καὶ ἐλαύνων νο-

A sapientes. Neque enim quisquam ex hominibus qui sunt viles & abiecti, & humi serpunt, poterit eam intelligere, sed ij maximè eam laudabunt, ij maximè admirabūtur & prædicabunt, qui non habent mentē peruersam. Considera ergo quāta sit possessio, vt quæ nec Angelis quidem & Apostolis magnis & admirabilib. encomiastis egeat: si enim tales esse oportet eos, qui ipsam laudāt, cogita & reputa qualē eam esse consentaneum est. 3. *Gloria & diuitiæ in domo eius.* Rursus à sensibilibus transit ad ea quæ percipiuntur intelligentia. Solet B enim scriptura eas appellare diuitias, quæ sunt in bonis operibus, vt quando dicit: Bona operari, diuites esse in bonis operibus. Hæc enim sunt veræ diuitiæ, aliæ sunt nomine tantùm, re autem ipsa carent. Quòd si has quoq; dixerit quispiam diuitias, ne sic quidē recedemus ab eo quod dicitur. Quid enim erat Apostolis vel in pecuniis ditius, ad quos omnia tanquā ex fontibus profluebāt? Quicunque enim erant agrorū vel domorū possessores, vendentes afferebant & ponebant precium ante pedes Apostolorū. Vides opum magnificentiam? C Omniū bona possidebant, ab eorū cura liberi, & vt qui essent eorū potius œconomi, quàm domini. Qui enim habebant, habere desistentes, ea adferebant ad Apostolos: ipsi quidem venundātes, & pecuniam cōparantes, permittentes autē eius distributionē esse in illorum potestate. Quocirca Paulus quoque dicebat: Tanquā nihil habentes, & omnia possidentes. Est enim hoc admirabile, quòd qui tantas habebāt diuitias, erant facultatibus illis superiores: eos enim non tenuit obnoxios multitudo pecu- D niæ. Hæ sunt vel maximæ diuitiæ, non egere diuitiis. Gloria & diuitiæ in domo eius. Hic quod superest, non eget interpretatione. Habuerunt enim gloriā quę à Deo proficiscitur. Ipsa autem sequebatur, vt dicit diuina scriptura: Quærite regnum Dei, & hæc omnia adijcientur vobis. Quid enim illis splendidius? Quid magnificentius? Tanquam Angeli Dei suscipiebantur. Pecunias afferentes, ad eorum pedes ponebant, iis denique qui capite diadema gestabant, erant illustriores. Quis enim rex vnquam ingressus est cum tanta claritate & splendore, cum quanto vbique habebatur Paulus in admiratione, loquens, à morte liberans, morbos

1.Tim.6.18

Apostolorũ diuitiæ. Act.2.3.

2.Cor.6.10.

Diuitiæ maximæ quæ.

Matt 6.33.

Act.13.14. 19.11.

expellens dæmones fugans, & hæc atq; eiusmodi vel solis vestibus efficiens? Hic terram cœlum fecit, & omnes ad virtutem deduxit. Quòd si hæc in terra fecerunt, cogita quanta erit gloria eorum in cœlis. Quid est autem, In domo eius? Cum ipso, inquit. Externæ autem diuitiæ nō sunt cum eo qui habet illas, quandoquidem ne in tuto quidē sunt collocatæ, sed sunt in manibus calumniatorum, in manibus adulatorum, in manibus principum, in manibus famulorum: & ideo eas vbique disseminat, non confidens vniuersas eas domi tenere: & ideo adhibentur custodiæ & excubiæ, etsi hoc nihil iuuet, cùm ex possint omnia effugere. *Iustitia eius manet in seculum seculi.* Alius dicit, Et misericordia eius manet in seculū seculi. Vel hic dicit virtutem in genere, vel iustitiam quæ repugnat iniustitiæ, vel quemadmodum dicit alius interpres, clementiam dicit & misericordiam. Talis est enim vis eleemosynæ, res est immortalis, aliena ab interitu, & quæ minimè potest extingui. Atque humana quidem omnia conuelluntur, fructus autem eleemosynæ nunquam potest marcescere, nec vlla difficultate temporum reprobari. Etsi enim corpus fuerit dissolutum, illa tamen non vnà cum vita dissoluitur, sed ante illum excedit, ei mansiones præparans, de quibus dicit Christus: In domo patris mei mansiones multæ sunt. In hoc itaque res humanas superat, quòd sit perpetua & stabilis, quod quidem nulla res habet earum quæ ad hanc vitam pertinent. Nam siue dixeris pulchritudinem, ea morbo flaccescit, & senio consumitur, siue potentiam, ea sæpe mutatur, siue diuitias, siue aliquid aliud eorum quæ in vita præsenti habentur clara & illustria: ea vel viuos reliquerint, vel mortuos omnino nudos & destitutos dimiserint. Sed iustitiæ non est eiusmodi fructus. non enim tempore consumitur, non morte amputatur, sed tunc amplior & tutior redditur, quando ad portum illum, qui nullis agitatur fluctibus, adnauigauerit. 4. *Exortum est in tenebris lumen rectis.* Describens beatitudinem eius qui timet Deum, dicit res quæ in præsenti eueniunt, vt quòd sunt immortales eius possessiones, quòd

Diuitiarū terrenarum incertitudo.

Iustitia misericordia.

Eleemosynæ vis.

Ioan. 14. 2.

A σήματα, δραπετεύειν ποιῶν δαίμονας, καὶ διὰ τῶν ἱματίων τῶν ἑαυτοῦ τοιαῦτα ἐργαζόμενος; οὗτος τὴν γῆν οὐρανὸν ἐποίει, καὶ πρὸς τὴν ἀρετὴν ἅπαντας ἐχειραγώγει. εἰ δὲ ἐν τῇ γῇ τοιαῦτα, ἐννόησον ἐν οὐρανοῖς ἡλίκης δόξης ἀπολαύσονται. τί δέ ἐστιν, ἐν τῷ οἴκῳ αὐτοῦ; μετ' αὐτοῦ, φησιν, ὁ δὲ ἔξωθεν πλοῦτος οὐ μετὰ τοῦ ἔχοντος, ἐπεὶ οὐδὲ ἐν ἀσφαλείᾳ κεῖται, ἀλλὰ ἐν ταῖς τῶν συκοφαντῶν χερσὶν, ἐν ταῖς τῶν κολάκων, ἐν ταῖς τῶν ἀρχόντων, ἐν ταῖς τῶν οἰκετῶν· διὰ τοῦτο πανταχοῦ αὐτὸν διασπείρει, μὴ θαῤῥῶν αὐτὸν ὅλον ἐν τῷ οἴκῳ κατέχειν·
B διὰ τοῦτο φυλακαὶ, καὶ προφυλακαὶ, καὶ πλέον οὐδὲν πάντα δυναμένου διαδιδράσκειν ἐκείνου. καὶ ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. ἕτερος φησιν, ἡ ἐλεημοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. ἤτοι τὴν ἀρετὴν τὴν καθόλου φησὶν ἐνταῦθα, ἤτοι τὴν ἀντικειμένην τῇ ἀδικίᾳ, ἢ καθὼς ἕτερος ἑρμηνευτὴς ἔφη τὴν φιλανθρωπίαν τὸν ἔλεον λέγει. τοιοῦτον γὰρ ἡ τῆς ἐλεημοσύνης δύναμις, ἀθάνατον πρᾶγμα καὶ ἀκήρατον, καὶ οὐδέποτε σβεσθῆναι δυνάμενον. ἀλλὰ τὰ μὲν ἀνθρώπινα ἅπαντα διασύ-
C ρεται, ὁ τῆς ἐλεημοσύνης καρπὸς ἀμάραντος διαμένει διηνεκῶς, μηδεμιᾷ δυσκολίᾳ καιρῶν ἐλεγχόμενος. κἂν γὰρ τὸ σῶμα διαλυθῇ, ἐκείνη οὐ συγκαταλύεται τῷ βίῳ, ἀλλὰ προαποδημεῖ μονὰς αὐτῷ προευτρεπίζουσα, περὶ ὧν φησιν ὁ Χριστὸς, ὅτι ἐν τῷ οἴκῳ τοῦ πατρός μου μοναὶ πολλαί εἰσιν, ὥστε καὶ τούτῳ κρατεῖ τῶν ἀνθρωπίνων, τῷ διηνεκεῖ καὶ μονίμῳ, ὅπερ οὐδὲν ἔχει τῶν βιωτικῶν. ἄν τε γὰρ κάλλος εἴπῃς, νόσῳ μαραίνεται, καὶ γήρᾳ δαπανᾶται, ἄν τε δυναστείαν εἴπῃς, πολλάκις μεταβάλ-
D λεται· ἄν τε πλοῦτον, ἄν τε ἄλλο ὁτιοῦν τῶν λαμπρῶν καὶ περιφανῶν τῶν κατὰ τὸν παρόντα βίον, ἢ ζῶντας ἀπέλιπεν, ἢ τελευτήσαντας γυμνοὺς καὶ ἐρήμους εἴασεν. ἀλλ' οὐχ ὁ τῆς δικαιοσύνης καρπὸς τοιοῦτος. οὐ χρόνῳ δαπανᾶται, οὐ θανάτῳ διακόπτεται, ἀλλὰ τότε μᾶλλον ἀσφαλέστερος γίνεται, ὅταν πρὸς ἐκεῖνον καταπλεύσῃ τὸν ἀκύμαντον λιμένα. ἐξανέτειλεν ἐν σκότει φῶς τοῖς εὐθέσι· τὸν μακαρισμὸν ὑπογράφων τοῦ φοβουμένου τὸν Θεὸν λέγει καὶ τὰ ἐν τῷ παρόντι συμβαίνοντα πράγματα, οἷον ὅτι ἀθάνατα αὐτοῦ τὰ κτήματα, ὅτι

δόξης ἀπολαύσεται, καὶ πάντων ἀδεέστερος ἔσται· ὅτι τοὺς ἐοικότας αὐτῷ κατὰ τὴν ἀρετὴν καὶ τέκνα αὐτοῦ γινομένους ἀχειρώτους ὄψεται· ὅτι ἐν τῇ τῶν πραγμάτων δυσκολίᾳ πολλῆς τεύξεται τῆς ἀδείας. τοῦτο γάρ ἐστιν ἐξανέτειλεν ἐν σκότει φῶς τοῖς εὐθέσι. τοῖς γὰρ οὕτω διακειμένοις τοῖς ὀρθῶς βαδίζουσιν ἐν μέσῳ σκότους φῶς ἀνατεῖλαι παρασκευάσει. τί ἐστιν ἐν σκότει; κἂν ἐν θλίψει καὶ στενοχωρίᾳ καὶ πειρασμῷ καὶ κινδύνοις γένωνται φησί· ταῦτα γὰρ σκότος καλεῖ· πολλὴν αὐτοῖς εὐθέως ποιήσει ἔσεσθαι τὴν ἡδονήν· ὅπερ καὶ ὁ Παῦλος, δηλῶν ἔλεγεν· οὐ θέλω δὲ ἀγνοεῖν ὑμᾶς περὶ τῆς θλίψεως τῆς γενομένης ἡμῖν ἐν τῇ Ἀσίᾳ, ὅτι καθ' ὑπερβολὴν ἐβαρύνθημεν, ὥστε ἐξαπορηθῆναι ἡμᾶς καὶ τοῦ ζῆν. εἶδες τὸ σκότος; ἀλλ' αὐτοὶ ἐν ἑαυτοῖς τὸ ἀπόκριμα τοῦ θανάτου ἐσχήκαμεν, ἵνα μὴ πεποιθότες ὦμεν ἐν ἑαυτοῖς, ἀλλ' ἐπὶ τῷ Θεῷ τῷ ἐγείροντι τοὺς νεκρούς, ὃς ἐκ τηλικούτων θανάτων ἐρρύσατο ἡμᾶς. εἶδες τὸ φῶς πῶς ἀνέτειλε; σκόπει αὐτὸ καὶ ἐπὶ τῶν τριῶν παίδων. προσδοκήσαντες γὰρ ἐμπιπρᾶσθαι, δρόσου καθαρωτάτης ἀπήλαυσαν, καὶ ἐπὶ τοῦ Δανιὴλ δὲ καὶ τῶν ἄλλων προφητῶν. εἰ δὲ καὶ κατ' ἑτέραν τις ἀναγωγὴν ταῦτα ἐκλαβεῖν θέλει, ἐπὶ τῆς οἰκουμένης ὄψεται τοῦτο γεγονός. κατέχοντος γὰρ τοῦ σκότους γῆν καὶ θάλατταν, καὶ πλάνης πανταχοῦ κεχυμένης κάτωθεν, ὁ τῆς δικαιοσύνης ἀνέτειλεν ἥλιος. ἐπειδὴ γὰρ οὐρανὸν ἀφέντες οἱ τότε ἄνθρωποι Θεὸν ἐπὶ γῆς ἐζήτουν, ἐκεῖθεν αὐτοῖς ἐφάνη συγκαταβὰς τοῖς ἀσθενοῦσιν, ἵνα ἀναγάγῃ πρὸς ὕψος ἄπειρον. ἐλεήμων καὶ οἰκτίρμων καὶ δίκαιος κύριος ὁ Θεός. ἐπειδὴ εἶπεν, ὅτι ἡ δικαιοσύνη αὐτοῦ μένει, καὶ παρεμυθήσατο ἐκεῖνον τῷ τρόπῳ, πολλοὶ δὲ τῶν ἐλεημόνων, καὶ τῶν τὸν ὀρθὸν βιούντων βίον τῶν ἐναντίων ἐνταῦθα ἀπολαύουσιν, ἑτέραν ἐπεισάγει παραμυθίαν λέγων· ἐλεήμων καὶ οἰκτίρμων καὶ δίκαιος ὁ κύριος, διπλῆν κατασκευὴν ἐργαζόμενος ἐντεῦθεν. εἰ γὰρ ἐλεήμων ἐστὶ καὶ τοὺς ἁμαρτάνοντας πολλάκις συγγνώμης ἀξιοῖ, πολλῷ μᾶλλον τοὺς κατορθοῦντας οὐ περιόψεται ἀστεφανώτους ἀπελθόντας. ἀλλὰ κἂν ἐνταῦθα μὴ ἀποδῷ, ἀποδώσει πάντως ἐκεῖ. εἶτα καὶ δίκαιος ἐπάγει· εἰ δὲ δίκαιός ἐστιν ὥσπερ οὖν καὶ ἔστι, τὸ κατ' ἀξίαν ἑκάστῳ ἀποδώσει. κἂν ἐνταῦθα μὴ ἀποδῷ, ὅπερ μάλιστα καὶ τῆς ἀναστάσεώς ἐστιν ἀπόδειξις μεγίστη.

A fruetur gloria, quòd erit omnibus superior, quòd eos qui fuerint ei similes, & eius filij euaserint, videbit inexpugnabiles, quòd in maxima rerum difficultate erit securissimus. Hoc enim sibi vult illud, Exortum est in tenebris lumen rectis. Iis enim qui sic sunt affecti, iis qui rectè ingrediuntur, efficiet vt in mediis tenebris lux oriatur. Quid est, In tenebris? Et si sint in afflictione, in angustiis, tentatione & periculis (ea enim vocat tenebras) efficiet vt plurimum eis adsit voluptatis. Quod etiam Paulus significans, dicebat, Nolo autem B vos ignorare de afflictione quę fuit nobis in Asia, quòd supra modum grauati sumus, vt etiam de vita dubitaremus (Vidisti tenebras?) sed ipsi in nobis responsum vitę habuimus hec confideremus in nobis ipsis, sed in Deo qui suscitat mortuos, qui ex tantis mortibus liberauit nos. Vidisti quomodo sit exorta lux? Considera hoc ipsum etiam in tribus pueris. Cùm enim expectarent fore vt exurerentur, purissimum rorem assecuti sunt. Idipsum etiam euenit in Daniele & aliis prophetis. Quòd si hæc velis ita sumere, vt ad aliam referantur C anagogen, videbis hoc orbi terrarum accidisse. Cùm enim tenebræ mare & terram occuparet, & error vbique esset diffusus, Sol iustitiæ ex imo exortus est. Quoniam enim homines cœlo relicto Deum in terris quærebant, ex eo loco eis apparuit, se ad eorum imbecillitatem demittens, vt ad altitudinem infinitam eueheret. *Misericors, & miserator, & iustus dominus Deus.* Quoniam dixit eius iustitiam manere, & illo modo consolatus est: multi autem misericordes, & qui rectè hic vitam agunt, D contraria hic experiuntur, affert aliam consolationẽ, dicens: Misericors, & miserator, & iustus est dominus: duplicem inde conflans demonstrationẽ. Si enim est misericors, & eos qui peccāt, dignos venia esse censet: multò magis eos qui se rectè gerunt, non relinquet incoronatos, postquam hinc excesserint. Sed & si hîc non reddat, omnino illic reddet. Deinde subiungit etiam, Iustus, significans quòd si iustus sit, vt est, reddet vnicuique secũdùm merita, etiamsi hic non reddat: quod est vel maximum argumentũ futuræ resurrectionis.

In tenebris esse, quid.

2. Cor. 1. 8.

Dan. 3. Dan. 6.

Malac. 4.

Ioan. 11.

Rom. 2. 1. Cor. 5. Argumentum resurrectionis maximum.

Quando enim multi ex his qui sunt virtute præditi, cernuntur mala multa perpessi, & improbi impunè & securè viuere: vbinam recipiet vnusquisque pro meritis, si non sit futura resurrectio, & alia vita, iudicium & remuneratio? Deinde quoniam iustitiæ mentionem faciens, terruit auditorem, vt, qui sit redditurus rationem peccatorum, citò affert medicamentum, dicens: 5. *Iucundus homo qui miseretur & commodat, disponit sermones suos in iudicio.* Vide quot præmia proponit homini clementi & misericordi, quòd fructus eius manet perpetuò, quòd liberabitur à tentationibus, quòd Deum imitabitur (est enim Deus misericors) quòd peccata eius ei condonabuntur. Hoc enim sibi vult illud, Dispensabit sermones suos iudicio. Hoc est, patrocinium consequetur, non deerit ei defensio, non erit ei tunc condemnatio, cùm eleemosyna defensionē ei pulchrè comparet. Alius autem interpres dixit: Dispensans res suas cum iudicio. Hoc est; Fruetur magna prosperitate, nihil ab eo suscipietur quod sit absurdum & alienum, vt qui fuerit optimus dispensator. Qui enim est crudelis & inhumanus, & misericordia non mouetur, est à vera dispensandi ratione alienus. Quid enim possit esse hoc grauius, quā quando qui est aditurus periculum animæ, pecuniis parcit, & illam negligit? Quocirca Christus quoque illum laudauit œconomum, qui quando erat vocandus in periculum, de schedulis transegit, & de eo quod debebatur, rescidit. Quomodo enim non est absurdum, vt qui in præsenti vita quidē sunt in periculo, omnia sua profundant vt periculū redimant: cùm autem veniant in periculum ne tradantur supplicio, non vtantur eadē œconomia? Et ideo prudentem dispensatorem dicit misericordem, vt qui multa paucis emat, pecuniis cœlum, veste regnū, pane & poculo frigidæ bona futura. Quid enim conferri potest cum hac dispensatione, quando quis ea dans quæ pereunt, fluunt, & intereunt, ea quæ sunt futura, & quæ sunt immobilia, accipit, & per ea in præsēti vita securitate fruitur? Et ideo dixit, Dispensabit sermones suos in iudicio. Vel, vt alius dicit interpres, Dispensans res suas cum iudicio.

Matth. 25.

Luc. 16. Prudens œconomus.

Matth. 24. 45.

Luc. 12. 42

ὅταν γὰρ πολλοὶ τῶν ἐναρέτων φαίνωνται μυρία παθόντες δεινά, καὶ τῶν πονηρῶν πολλῆς ἀπολαύσαντες ἀδείας, ποῦ τὸ κατ' ἀξίαν ἕκαστος ἀπολήψεται, εἰ μὴ μέλλοι ἀνάστασις εἶναι, καὶ ἑτέρα ζωή, καὶ κρίσις, καὶ ἀντίδοσις; εἶτα ἐπειδὴ δικαιοσύνης μνησθεὶς ἐφόβησε τὸν ἀκροατὴν ὡς μέλλοντα εὐθύνας ὑπέχειν τῶν ἡμαρτημένων, ταχέως ἐπάγει τὸ φάρμακον λέγων· χρηστὸς ἀνὴρ ὁ οἰκτείρων καὶ κιχρῶν, οἰκονομήσει τοὺς λόγους αὐτοῦ ἐν κρίσει. ὅρα πόσα τίθησι τὰ ἔπαθλα τῷ φιλανθρώπῳ· ὅτι μένει διηνεκῶς ὁ καρπός· ὅτι πειρασμῶν ἀπαλλαγήσεται, ὅτι τὸν Θεὸν ζηλώσει· καὶ γὰρ ὁ Θεὸς οἰκτίρμων· ὅτι τῶν οἰκείων ἁμαρτημάτων λήψεται συγγνώμην. τοῦτο γάρ ἐστιν, οἰκονομήσει τοὺς λόγους αὐτοῦ ἐν κρίσει. τουτέστι τεύξεται συνηγορίας, τεύξεται ἀπολογίας· οὐκ ἔσται αὐτῷ κατάκρισις τότε, τῆς ἐλεημοσύνης διαλεχθείσης αὐτῷ τὴν ἀπολογίαν καλῶς· ἕτερος δὲ ἑρμηνευτής φησιν, οἰκονομῶν τὰ πράγματα αὐτοῦ μετὰ κρίσεως. τουτέστι, πολλῆς ἀπολαύσεται εὐημερίας· οὐχ ὑποστήσεταί τι τῶν ἀτόπων, ἅτε ἄριστος οἰκονόμος γενόμενος. ὡς ὅγε ὠμὸς καὶ ἀπάνθρωπος καὶ μὴ ἐλεῶν, σφόδρα ἀνοικονόμητος. τί γὰρ ἂν γένοιτο τούτου χαλεπώτερον, ἢ ὅταν περὶ ψυχῆς κινδυνεύειν μέλλων χρημάτων φείδηται, κἀκείνης ἀμελῇ; διά τοι τοῦτο καὶ ἐκεῖνον τὸν οἰκονόμον ὁ Χριστὸς ἐπῄνεσε τόν, ἡνίκα ἔμελλε κινδυνεύειν, τὰ γραμματεῖα διαλύσαντα, καὶ χρεωκοπίαν ἐργασάμενον. πῶς γὰρ οὐκ ἄτοπον ἐν μὲν τῷ παρόντι κινδυνεύοντας βίῳ πάντα τὰ ἑαυτῶν προΐεσθαι, ὥστε ἐξωνεῖσθαι τὸν κίνδυνον, ἐπὶ κινδύνῳ δὲ μέλλοντας παραδίδοσθαι κολάσει μὴ τοιαύτῃ κεχρῆσθαι οἰκονομίᾳ; διὰ δὴ τοῦτο φρόνιμον οἰκονόμον φησὶ τὸν ἐλεήμονα, ὀλίγου πολλὰ ἀγοράζοντα, χρημάτων τὸν οὐρανὸν ὠνούμενον, ἱματίου τὴν βασιλείαν, ἄρτου καὶ ψυχροῦ ποτηρίου τὰ μέλλοντα ἀγαθά; τί γὰρ τῆς οἰκονομίας γένοιτ' ἂν ἴσον, ὅταν τὰ ἀπολλύμενα διδούς τις καὶ ῥέοντα καὶ φθειρόμενα τὰ μέλλοντα καὶ ἀκίνητα ταῦτα λαμβάνῃ, καὶ δι' ἐκείνων καὶ τῆς κατὰ τὸν παρόντα βίον ἀσφαλείας ἀπολαύῃ; διὰ τοῦτό φησιν, οἰκονομήσει τοὺς λόγους αὐτοῦ ἐν κρίσει. ἢ ὡς ἕτερός φησιν, οἰκονομῶν τὰ πράγματα τὰ αὐτοῦ μετὰ κρίσεως.

ποίᾳ ἐν κρίσει; ἢ ἐν τῇ μελλούσῃ ἡμέρᾳ; ἢ ὅτι διαθήσεται καὶ αὐτὸν ἅπαντα, καὶ οὐδὲν ἐν αὐτοῖς ἔσται συγκεχυμένον, ἀλλὰ πάντα ἐν τάξει κείμενα, πάντα ἀκολουθίᾳ καὶ ὁδῷ βαδίζοντα, οὐδὲν τεταραγμένον ἐν αὐτοῖς οὐδὲ θορυβῶδες, τῆς ἐλεημοσύνης ἅπαντα εὐημεριζούσης αὐτῷ. ὁ δὲ σαφέστερον ποιῶν ἕτερος ἑρμηνευτὴς, οἰκονομῶν τὰ πράγματα αὐτοῦ μετὰ κρίσεως εἶπεν. ἐλεήμων γάρ ἐστιν ὁ μετὰ κρίσεως οἰκονομῶν τὰ ἑαυτοῦ. ὡς ὅ γε ἕτερος ἄκαρπος ἀφοικονόμητος. ὅτι εἰς τὸν αἰῶνα οὐ σαλευθήσεται. τί τῆς οἰκονομίας ταύτης ἴσον, ὅταν τοιαύτην ὁδὸν εὕρῃ τὴν ἀπαλλάττουσαν αὐτὸν τῶν ἀδοκήτων περιστάσεων, καὶ τῶν τοῦ βίου κλυδώνων ἔξω ποιοῦσαν ὁρμίζεσθαι, καὶ ἄνθρωπος ὢν μηδὲν ἀνθρώπινον ὑπομένῃ· ἢ ὑπομένων μὲν, μὴ περιτρέπηται δέ; τὸ γὰρ δὴ θαυμαστὸν τοῦτό ἐστιν, ὅταν τῇ τῶν πειρασμῶν ἐπαγωγῇ μὴ κλίνηται, μηδὲ ὑποσκελίζηται. τί οὖν, οὐκ ἐσαλεύθησαν πολλοὶ τῶν ἐλεημόνων; οὐδαμῶς. εἰ γὰρ καὶ πένητες ἐγένοντο, καὶ πρὸς ἐσχάτην πτωχείαν μετηνέχθησαν, καὶ συμφοραῖς περιέπεσον· ἀλλ' ὅμως οὐ περιετράπησαν. ἐννοοῦντες γὰρ τὰ εἰργασμένα αὐτοῖς, καὶ τὴν εὔνοιαν τοῦ Θεοῦ, καὶ τὴν ἄνωθεν ῥοπὴν ἐπισπασάμενοι, καὶ ἰσχυράν τινα καὶ ἀσφαλῆ ἄγκυραν τὸ χρηστὸν λέγω συνειδὸς ἔχοντες. διά τοι τοῦτο οὐκ εἶπεν, ὅτι οὐκ ἐπιβουλευθήσονται, ἀλλ' ὅτι οὐ σαλευθήσονται. ὃ δὴ καὶ ἐπ' ἐκείνου ἔλεγεν ὁ Χριστός. τοῦ τὴν οἰκοδομὴν ποιοῦντος ἐπὶ τὴν πέτραν· οὐχ ὅτι οὐχ ὑποστήσεται χειμῶνα· ἀλλ' ὅτι καὶ ὑπομένων χειμῶνα οὐ περιτραπήσεται. τὸ γὰρ δὴ θαυμαστὸν τοῦτό ἐστιν· ὅταν μὴ ἐν ἐρημίᾳ τῶν πειρασμῶν τὸ ἀσφαλὲς αὐτῷ ᾖ, ἀλλὰ καὶ πυκνότητι τῶν μηχανημάτων ἀπερίτρεπτος μένῃ διηνεκῶς. καὶ γὰρ ἀμήχανον ψυχὴν πλουτοῦσαν ἐλεημοσύνῃ, ὑπὸ ἀηδίας παθῶν βαπτισθῆναί ποτε. Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος· ὅρα αὐτὸν οὐκ ἐν τῷ καιρῷ τῆς ζωῆς, ἀλλὰ καὶ μετὰ τὴν τελευτὴν διδάσκοντα πολλοὺς καὶ κατηχοῦντα. πῶς οὖν οὗτος ἐν τῷ ζῆν πείσεταί τι πονηρὸν, ὅταν καὶ τελευτῶν ἑτέροις διδάσκαλος γίνηται εὐθυμίας; ἵνα γὰρ μάθωσι καὶ οἱ σφόδρα ἄπιστοι, ὅτι ἀθάνατος αὐτοῦ ὁ καρπὸς ἐν οὐρανοῖς μένει,

A In quónam dicit iudicio, nisi in die futuro? Vel dicit quòd etiam in hac vita omnia sua optimè administrabit, nec erit in eis quidquam confusum, sed omnia erunt ordine collocata, omniáque recta via & consequentia procedent, nulla erit in eis perturbatio, nullus strepitus aut tumultus, cùm eleemosyna reddat eis omnia plana, facilia & expedita. Quod etiam reddens manifestius interpres alius dixit: Dispensans res suas cũ iudicio. Is enim est misericors, qui res suas cũ iudicio & cõsilio dispẽsat. Alius enim est inutilis, & à vera dispensandi ratione alienus. 6. *Quia in æternum non commouebitur.* Quid potest conferri cum hac dispensatione, quando quis talem viam inuenerit, quæ eum liberat ab inopinatis casibus, & facit vt extra vitæ fluctus sit in portu, & cum sit homo, nihil humanum sustineat, vel sustineat quidem, sed nequaquam euertatur? Hoc est enim admirabile, quando non cedit tentationibus, nec ab eis prosternitur. Quid verò, an non sunt moti, & labefactati multi misericordes? Nequaquam. Nam etsi facti sunt pauperes, & ad extremam deducti mendicitatem, & in ærumnas & calamitates inciderunt, minimè tamen euersi sunt, dum cogitarent ea quæ à se facta sunt, Dei beneuolentiam & præsidium ad se attrahentes, & validam aliquam & fortem anchoram nempe bonam consciẽtiam, habentes. Non dixit itaque, Insidiis non appetentur, sed, Non commouebuntur. Quod etiam dixit Christus de illo qui ædificat supra petram. Non quòd non sit tempestatem passurus, sed quòd etiam tempestatem sustinens minimè sit euertendus. Hoc est enim admirabile, non quando cessantibus tentationibus omnibus in tuto fuerit: sed quãdo maximis & frequentissimis machinis impetitus, perpetuò manet immobilis, nec vnquam euerti potest. Neque enim fieri potest, vt anima diues misericordia, obruatur vnquã à grauibus animi perturbationibus. 7. *In memoria æterna erit iustus.* Vide ipsum non solùm in tempore vitæ, sed etiam post mortem complures docere & instituere. Quomodo ergo dum viuit, patietur aliquid mali, quando etiam moriens est aliis magister trãquillitatis? Vt enim sciant vel qui sunt maximè increduli, fructum eius manere immortalem in cœlis,

Misericors qui sit.

Misericordes non euertuntur.

Matth. 7.

hinc dat eius rei experientiam: defosso enim corpore, memoria eius vbique circumfertur. Talis est virtutis potentia, non cedit tempori, non marcescit longitudine temporis. Hoc autem fit propter salutem malorũ. Illi enim non habent opus laudatione hominum: qui autem viuunt in vitio, illis egent encomiis, vt ex laude eorum quæ præclarè ab aliis gesta sunt, fiant virtutis studiosiores, & aliquando liberentur à vitio. Vbi sunt ergo qui sepulchra sumptuosa ædificant, ædésq; magnificas excitant? Audiant quódnam sit monumentum perpetuum. Non lapidum extructio, nec murorum ambitus & turres, sed bonorum operũ ostensio. Hæc autem ponit propter eos qui sunt valde incre-duli, & futura non attendunt: vt cùm à præsentibus & iis quæ apparent eos abduxerit, deducat ad futura: & alioqui ostendit quòd virtus (vt sæpe dixi) etiam ante illa præmia habet in seipsa remunerationem. *Ab auditione mala non timebit.* Alius, Nuncium malum non timebit. Quemadmodum non dixit superius, eum non esse petendum insidiis, sed insidiis appetitum nõ esse commouendum: ita hic etiam non dicit, eum non esse auditurum malum nuncium, sed audientem minimè formidaturum. At qui fiet, vt non formidet? Nam siue bellum viderit aduentare, siue terræmotum oppida diruere, siue latrones & murorum effossores omnia eripere, siue barbaros incursiones facere, siue morbum mortem minitari, siue iram iudicis, siue quodcunque aliud, minimè extimescet; suas enim opes antea deposuit in loco tutissimo, & ex quo non possunt eripi: & imminente morte non modo non metuit, sed etiam festinat quamprimum in ea loca concedere, vbi sunt eius merces. Vbi est enim thesaurus hominis, illic cor eius. Si enim mercatores, qui domum multa onera præmiserunt, properant quotidie videre suas diuitias: multò magis hic, qui in cœlis omnes suas facultates antea deposuit, volet à rebus præsentibus auulsus ad futuras festinare. Nihil ergo ei poterit timorem incutere. *Paratum cor eius sperare in Domino.* Alius, Firmum est cor eius, idem significans, & interpretans illud, Paratum. Quod autem dicit est eiusmodi: Nihil est quod eum labefaciat,

Virtus quã efficax.

Monumentum perpetuum.

Matt.6.21. Luc.12.34. A minore probatio.

ἐν ζωῇ δίδωσι τὴν πεῖραν· καὶ γὰρ τοῦ σώματος αὐτοῦ καταχωσθέντος, καὶ τῇ γῇ παραδοθέντος, ἡ μνήμη πανταχοῦ περιφέρεται. τοιαύτη τῆς ἀρετῆς ἡ δύναμις, οὐκ εἴκει τῷ χρόνῳ, οὐ μαραίνεται τῷ πλήθει τῶν ἡμερῶν. τοῦτο δὲ γὰρ διὰ τὴν τῶν πονηρῶν σωτηρίαν. ἐκεῖνοι μὲν γὰρ οὐ δέονται τῆς παρὰ ἀνθρώπων εὐφημίας· οἱ δὲ ἐν κακίᾳ ζῶντες δέονται τῶν ἐκείνων ἐγκωμίων, ὥστε ἀπὸ τῆς εὐφημίας τῶν ἑτέροις κατορθωμένων σπουδαιότεροι γενέσθαι, καὶ τῆς κακίας ἀπαλλαγῆναί ποτε. ποῦ τοίνυν εἰσὶν οἱ τοὺς τάφους τοὺς πολυτελεῖς οἰκοδομοῦντες καὶ τὰς λαμπρὰς οἰκίας ἐγείροντες; ἀκουέτωσαν τί ποιεῖ μνημόσυνον διηνεκές. οὐ λίθων οἰκοδομή, οὐδὲ περιβολὴ τοίχων καὶ πύργοι, ἀλλ' ἔργων ἀγαθῶν ἐπίδειξις. ταῦτα δὲ τίθησι διὰ τοὺς σφόδρα ἀπίστους καὶ τοῖς μέλλουσιν οὐ προσέχοντας· ἵνα ἀπὸ τῶν παρόντων καὶ φαινομένων ἐπισπασάμενος αὐτοὺς καὶ πρὸς τὰ μέλλοντα χειραγωγήσῃ, ἄλλως τε καὶ δεικνύων, ὅτι ἡ ἀρετή, ὃ πολλάκις εἶπον, καὶ πρὸ τῶν ἐπάθλων ἐκείνων ἐν ἑαυτῇ τὴν ἀμοιβὴν ἔχει. ἀπὸ ἀκοῆς πονηρᾶς οὐ φοβηθήσεται. ἄλλος, ἀγγελίαν κακὴν οὐ φοβηθήσεται. ὥσπερ ἄνω οὐκ εἶπεν, ὅτι οὐκ ἐπιβουλευθήσεται, ἀλλ' ὅτι ἐπιβουλευόμενος οὐ σαλευθήσεται· οὕτω καὶ ἐνταῦθα οὐκ εἶπεν, ὅτι οὐκ ἀκούσεται πονηρὰν ἀγγελίαν, ἀλλ' ὅτι ἀκούων οὐ φοβηθήσεται; κἂν γὰρ πόλεμον ἴδῃ προσιόντα, κἂν σεισμὸν τὰς πόλεις καταλύοντα, κἂν λῃστὰς καὶ τοιχωρύχους τὰ πάντα ὑφαιρουμένους, κἂν βαρβάρους ἐπιτρέχοντας, κἂν νόσον θάνατον ἀπειλοῦσαν, κἂν δικαστοῦ θυμόν, κἂν ὁποιονοῦν ἕτερον, οὐ δέδοικε. παρακατέθηκε γὰρ αὐτοῦ τὸν πλοῦτον ἐν ἀσύλῳ χωρίῳ, καὶ οὐ μόνον οὐ τρέμει τελευτῆς ἐπιούσης, ἀλλὰ καὶ ἐπείγεται ταχέως ἐπιδημῆσαι, ἔνθα τὰ τῆς ἐμπορείας αὐτοῦ. ὅπου γὰρ ὁ θησαυρὸς τοῦ ἀνθρώπου, ἐκεῖ καὶ καρδία αὐτοῦ. εἰ γὰρ ἔμποροι χρημάτων πολλὰ προπέμψαντες οἴκαδε φορτία καθ' ἑκάστην ἐπείγονται τὴν ἡμέραν ἰδεῖν τὸν αὐτῶν πλοῦτον· πολλῷ μᾶλλον οὗτος, ὁ ἐν τοῖς οὐρανοῖς τὴν περιουσίαν παρακαταθέμενος ἅπασαν θελήσει τῶν παρόντων ἀπορραγεὶς πρὸς τὰ μέλλοντα κατεπείγεσθαι. οὐδὲν τοίνυν αὐτὸν εἰς φόβον ἐμβαλεῖν δύναιτ' ἄν. ἑτοίμη ἡ καρδία αὐτοῦ ἐλπίζειν ἐπὶ κύριον. ἕτερός φησιν, ἑδραία καρδία αὐτοῦ, ταυτὸ δηλῶν, καὶ ἑρμηνεύων τὸ, ἕτοιμον. ὃ δὲ οὕτω λέγει, τοῦτό ἐστιν. οὐδέν ἐστι τὸ περισαλεῦον αὐτόν,

καὶ τοῖς παροῦσι προσηλωμένη, ἀλλ᾽ ὅλος δι᾽ ὅλου πρὸς τὸν Θεὸν ἀνατέταται, καὶ τὴν ἐλπίδα ἀναμένει ἐκείνην, καὶ πέπηγε τῇ προσδοκίᾳ ταύτῃ διηνεκῶς ἐρηρεισμένος, καὶ οὐδενὶ τῶν παρόντων μαλακιζόμενος, οὐδὲ περιελκόμενος, ἢ περισπώμενος. τοιαῦται γὰρ αἱ τῶν παρόντων φροντίδες· σχίζουσι τὴν διάνοιαν, καὶ διατέμνουσι τὴν γνώμην. ἀναγκαῖον τοίνυν πάλιν εἰπεῖν ἐκεῖνο τὸ εὐαγγελικόν. ὅπου ὁ θησαυρὸς τοῦ ἀνθρώπου, ἐκεῖ καὶ ἡ καρδία αὐτοῦ. ἐστήρικται ἡ καρδία αὐτοῦ, οὐ μὴ σαλευθῇ. εἶδες τὸν οἰκοδομήσαντα τὴν οἰκίαν ἐπὶ τὴν πέτραν; τί γὰρ δύναται δεδοικέναι ὁ γυμνὸς καὶ εὔζωνος, καὶ μηδεμίαν μηδενὶ παρέχων λαβήν; τί δύναται δεδοικέναι ὁ τὸν Θεὸν ἵλεω ἔχων καὶ εὐμενῆ; ὥστε ἑκατέρωθεν αὐτῷ τὰ τῆς ἀσφαλείας, ἔκ τε τῆς ἄνωθεν ῥοπῆς καὶ τῆς κάτωθεν εὐκολίας, καὶ οὐδὲν αὐτὸν παρασαλεῦσαι δύναται. οὐ ζημία χρημάτων, οὐκ ἐπήρεια, οὐ συκοφαντία. οὐ γὰρ ἔχει ἔνθα βλαβῇ, ἐντεῦθεν μεθορμισάμενος εἰς τὸν οὐρανόν, εἰς χωρίον πονηρίᾳ πάσῃ καὶ ἐπιβουλῇ ἄβατον. καὶ γὰρ ἴστε σαφῶς, ὅτι πᾶσαι αἱ ἐπιβουλαὶ περὶ χρήματα καὶ χρημάτων ἕνεκεν, καὶ περὶ ταῦτα τῶν ἀνθρώπων ἡ πᾶσα σπουδή. ἕως οὗ ἐπίδῃ ἐπὶ τοὺς ἐχθροὺς αὐτοῦ. τίς δὲ τοῦ τοιούτου ὁ ἐχθρός, ἀλλ᾽ ἢ οἱ πονηροὶ δαίμονες καὶ αὐτὸς ὁ διάβολος; ἐσκόρπισεν, ἔδωκε τοῖς πένησιν, ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα. ἐπειδὴ γὰρ ἐλεημοσύνης ἐμνήσθη καὶ τοῦ χρηστοῦ καὶ τοῦ οἰκτείρειν· ἐλεημοσύνης δὲ μέτρα πολλά· ὁ μὲν γὰρ ἔλαττον, ὁ δὲ πλέον δίδωσιν· ἴδωμεν ποῖον ἐλεήμονά φησι· τὸν ἐκ τῶν περιττευόντων παρέχοντα, ἢ τὸν τὰ ὄντα κενοῦντα· εὔδηλον ὅτι τὸν τὰ ὄντα κενοῦντα, τὸν ἀφειδῶς κεχρημένον τῷ πράγματι. ὃ δὴ ὁ Παῦλος ζητεῖ λέγων· ὁ σπείρων ἐπ᾽ εὐλογίαις, ἐπ᾽ εὐλογίαις καὶ θερίσει. ὅρα δὲ πῶς καὶ ὁ προφήτης ἀρίστῃ λέξει κέχρηται. οὐ γὰρ εἶπε διέδωκε, διένειμεν, ἀλλ᾽ ἐσκόρπισεν, ὁμοῦ καὶ τὴν δαψίλειαν τοῦ παρέχοντος δηλῶν, καὶ σπόρον τὸ πρᾶγμα ὀνομάζων. τοιοῦτοι γὰρ οἱ σπείροντες, σκορπίζουσι τὰ ἀποκείμενα, καὶ τὰ δῆλα προδιδόασιν, ἵνα μέλλοντα λάβωσι. τοῦτο συλλογῆς κρεῖττον. καὶ γὰρ οὕτω σκορπίζειν πολλῷ τοῦ συλλέγειν βέλτιον. σκορπίζεται χρήματα, καὶ συλλέγεται δικαιοσύνη. σκορπίζεται τὰ μὴ μένοντα,

A & vt in res præsentes animum affigat, efficiat: sed totus quantus est, ad Deum extenditur, & spem illam expectat, & in illa expectatione perpetuò defigitur, nec ab vlla re præsenti mollescit, abducitur, aut distrahitur. Tales enim sunt rerum præsentium sollicitudines: mentem diuidunt, & cogitationem distrahunt. Necesse est igitur rursus dicere illud Euangelicum: Vbi est thesaurus hominis, illic est etiam cor eius. 8. *Confirmatum est cor eius, non commouebitur.* Vidisti eum qui ædificat supra petram? Quid enim potest timere qui est & nudus & B accinctus, & nullam vlli præbet ansam? Quid potest timere, qui habet Deum clementem & propitium? ita vt vtrinque sit tutus, & ex superno auxilio, & ex ea, in qua hic inferius degit, facilitate: nec quicquam poterit eum labefactare, non damnum pecuniæ, non probra, non calumniæ. Neque enim habet in quo lædatur, qui hinc in cœlum commigrauerit, in regionem ad quam sceleri & insidiis nullus patet aditus. Nam vt probè nostis, omnes insidiæ parantur vel pecuniis, vel pro pecuniis: & omne hominum studium C in his ponitur. *Donec despiciat inimicos suos.* Dæmones hic dicit inimicos. Quis est enim eius inimicus, nisi scelerati dæmones, & ipse diabolus? 9. *Dispersit, dedit pauperibus: iustitia eius manet in seculum seculi.* Postquam eleemosynæ, & commodandi & miserendi meminit: sunt autem multæ mensuræ eleemosynæ: hic enim dat minus, ille verò amplius: videamus quemnam dicit misericordem, eúmne qui præbet ex abundantia: an eum qui suas facultates exhaurit & exinanit. Certum est quòd eum qui exinanit: eum qui re profusè ac largiter D vtitur. Quod etiam Paulus quærit, dicens: Qui seminat in benedictionibus, metet etiam in benedictionibus. Vide autem quomodo propheta optimè vsus est dictionibus. Non enim dixit, Dedit, vel distribuit, sed, dispersit, simul & eius qui præbet, largitatem ostendens, & rem sementem nominans. Tales enim sunt qui seminant: Dispergunt quæ sunt reposita, & quę sunt manifesta dimittunt, vt futura accipiant. Hoc est collectione melius. Ita enim dispergere melius est quàm colligere. Disperguntur pecuniæ, & colligitur iustitia: disperguntur quę nō manent,

Matt. 6. 21
Matth. 7.
Rom. 8.
Apoc. 11.
Insidiæ cur parentur.
2. Cor. 9. 6

A simili. *Matth. 6.* *Luc. 12.*

vt acquirantur manentia. Hoc ipsum faciunt etiam agricolæ. Sed illi quidem propter incerta (est enim terra quæ suscipit) tu autẽ in manu Dei, vnde fieri non potest vt perdas. Quando ergo videris aurum esse pulchrum, & veritus fueris id eijcere, veniat tibi in mentem ij qui seminant, ij qui fœnerantur, ij qui mercaturas exercent, qui à sumptu & impensis incipiunt, cùm tamen incertis ea rebus committant: nam & fluctus, & terræ sinus, & debitorum syngraphæ, & omnia sunt incerta. Sæpe enim in sorte damnum acceperũt fœneratores: cœlum autem qui colit agricola, nihil horum metuit, sed & de sorte, & de fœnore potest esse securus, si hoc dicendum sit fœnus, & non sorte longè amplius. Sors enim est pecunia, fœnus autem regnum cœlorum, Vidisti naturam mutui, quod habet vsuram sorte longè maiorem. Et hæc quidem in futuro: in præsenti autem magnam libertatem consequeris, eris remotus ab omnibus insidiis, calumniatorum & auarorum cupiditatem extingues, viues securè toto vitæ tempore, vt qui nec angaris de tuis bonis sollicitudine, & spe futurorum bonorum erigaris. *Cornu eius exaltabitur in gloria.* Quòd est maximè expetendum hominibus, hoc ponit assiduè. Id autem est splendor & gloria, quæ & illic eos excipiet, & hic eis aderit abundè & largiter. Nemo est enim adeò clarus & insignis, vt misericors. Et si vis, accipe eos qui in curriculis & theatris temere sua cõsumunt. Duc in medium misericordem, & tunc videbis quantus sit vtriusque fructus, quomodo eum quidem omnes perpetuo laudant & admirantur, communem patrem & seruatorem existimantes: illi autem cùm illo solo die importuno quodam & temerario impetu applauserint, postea criminantur vt crudelem & inhumanum, vt inanis gloriæ cupidum, vt intemperantiæ ministrum, & seruum improbitatis. Sed & si in conuentibus quandoque eiusmodi verba fiunt, illorum quidem notantur sumptus, & reprehenduntur impensæ: hos autem nemo est adeò impudens & sceleratus, qui etiamsi sit millies crudelis & inhumanus, non laudet & admiretur. Eiusmodi enim res est virtus, vt etiam ab iis qui illam non sequuntur laudetur:

Matth. 19.

Misericordia hominis splendor.

Agonistarum vanitas.

Daniel. 5. *Marc. 6.* *Rom. 2.*

A ἵνα ποριαθῇ τὰ μένοντα. τοῦτο καὶ γηπόνοι ποιοῦσιν. ἀλλ᾽ ἐκεῖνοι μὲν ἐπ᾽ ἀδήλοις· γῆ γάρ ἐστιν ἡ ὑποδεχομένη· σὺ δὲ εἰς τὴν χεῖρα τοῦ Θεοῦ, ὅθεν οὐδέν ἐστιν ἀπολέσαι. ὅταν οὖν ἴδῃς ὅτι τὸ χρυσίον καλὸν, καὶ ὀκνήσῃς ἐκβαλεῖν, ἐννόησον τοὺς σπείροντας· ἐννόησον τοὺς δανείζοντας· ἐννόησον τοὺς ἐμπόρους, οἳ ἀπὸ δαπάνης ἄρχονται καὶ ἀναλωμάτων, καὶ ταῦτα ἕκαστος τούτων ἀδήλοις ἐγχειρίζων τοῖς πράγμασι. καὶ γὰρ καὶ κύματα, καὶ κόλποι γῆς, καὶ γραμματεῖα τῶν ὀφειλόντων πάντα ἄδηλα. καὶ γὰρ πολλάκις ἐν τῷ κεφαλαίῳ τὴν ζημίαν ὑπέμειναν οἱ δανείσαντες· ὁ δὲ τὸν οὐρανὸν γεωργῶν οὐδὲν τούτων
B δέδοικεν, ἀλλὰ καὶ περὶ τοῦ κεφαλαίου καὶ περὶ τοῦ τόκου θαῤῥεῖν ἔχει, εἴγε τὸ τοιοῦτον τόκον δεῖ καλεῖν, ἀλλ᾽ οὐχὶ καὶ τοῦ κεφαλαίου πολλῷ πλέον. τὸ μὲν γὰρ κεφάλαιον χρήματα· ὁ δὲ τόκος οὐρανῶν βασιλεία. εἶδες δανείσματος φύσιν τοῦ κεφαλαίου πολλῷ μείζονα ἔχουσαν τὸν τόκον; καὶ ταῦτα μὲν ἐν τῷ μέλλοντι· ἐν δὲ τῷ παρόντι ἐλευθερίας ἀπολαύσῃ πολλῆς· τὸ ἀνεπιβούλευτον ἕξεις· τὴν συκοφαντῶν καὶ τὴν ἐπιβουλευόντων τὴν ἐπιθυμίαν σβέσεις· ἐν ἀδείᾳ βιώσῃ τὸν ἅπαντα βίον, οὔτε τῇ φροντίδι τῶν ὄντων ἀποτεινόμε-
C νος, ἀλλὰ τῇ ἐλπίδι τῶν μελλόντων πτερούμενος. τὸ κέρας αὐτοῦ ὑψωθήσεται ἐν δόξῃ. ὃ μάλιστα ποθεινὸν ἀνθρώποις, τοῦτο συνεχῶς τίθησι τὸ λαμπρὸν καὶ ἐπίσημον, ὃ καὶ ἐκεῖ αὐτοὺς διαδέξεται, καὶ ἐνταῦθα αὐτοῖς μετὰ πολλῆς ἔσται τῆς περιουσίας. οὐδεὶς γὰρ οὕτω λαμπρὸς καὶ ἐπίδοξος, ὡς ὁ ἐλεήμων. καὶ εἰ βούλει λάβε τοὺς ἐν ταῖς ἱπποδρομίαις καὶ ἐν τοῖς θεάτροις εἰκῇ τὰ αὐτῶν δαπανῶντας· ἄγε εἰς μέσον τὸν ἐλεήμονα, καὶ τότε ὄψει ὅσος ἑκατέροις ὁ καρπὸς, πῶς τοῦτον μὲν ἅπαντες κροτοῦσι
D διηνεκῶς, καὶ θαυμάζουσι, κοινὸν πατέρα καὶ λιμένα ἡγούμενοι· ἐκεῖνον δὲ τὴν ἡμέραν ἐκείνην κροτήσαντες μόνον ἀκαίρῳ τινὶ καὶ ἀλογίστῳ ὁρμῇ μετὰ ταῦτα διαβάλλουσιν ὡς ἀπάνθρωπον, ὡς ὠμὸν, ὡς κενόδοξον, ὡς ἀσελγείας διάκονον καὶ πονηρίας ὑπηρέτην. ἀλλὰ καὶ ἐν τοῖς συλλόγοις, εἴποτε τοιοῦτοι γένοιντο λόγοι, ἐκείνων μὲν τὰ ἀναλώματα στίζεται, καὶ διαβάλλεται δαπάνη· τούτων δὲ οὐδείς ἐστιν οὕτως ἀναίσχυντος καὶ μιαρὸς, ὃς κἂν μυριάκις ὠμότατος ᾖ καὶ ἀπάνθρωπος, οὐκ ἔσται ἐπαινέτης καὶ θαυμαστής. τοιοῦτον γὰρ ἡ ἀρετὴ, καὶ παρὰ τοῖς μὴ μετιοῦσιν αὐτὴν ἐπαινετή·

ὥσπερ οὖν ἡ κακία καὶ παρὰ τοῖς μετιοῦσι βδελυρὰ, καὶ κατηγορίας ἀνάμεστος. διὰ τί τοῦτο; ἐκείνους μὲν οὐδὲ οἱ λαμβάνοντες ἐπαινοῦσι, πόρναι, καὶ ἡνίοχοι, καὶ ὀρχησταὶ, ἀλλὰ καὶ κακῶς ἐροῦσι, τοῦτον δὲ οὐχ οἱ λαβόντες πένητες μόνον, ἀλλὰ καὶ οἱ μὴ τῆς φιλοτιμίας ἀπολαύσαντες θαυμάσονται καὶ φιλήσουσιν ἅπαντες. ἁμαρτωλὸς ὄψεται, καὶ ὀργισθήσεται, τοὺς ὀδόντας αὐτοῦ βρύξει καὶ τακήσεται. τοιοῦτον ἡ ἀρετὴ, ἐπαχθὲς καὶ φορτικὸν τῇ κακίᾳ. καὶ γὰρ καθάπερ τὸ πῦρ ἐκκαίει τὰς ἀκάνθας· οὕτω δὴ καὶ φιλανθρωπία τοὺς ἀπανθρώπους καὶ ὠμοὺς παροξύνει. ἔλεγχος γὰρ αὐτῶν ἐστι καὶ κατηγορία τῆς κακίας. ἀλλ' ὅρα αὐτὸν οὐδὲ ἐν τῷ τήκεσθαι τολμῶντα κατηγορῆσαι καὶ ἀντιβλέψαι τῷ φαιδρῷ τῆς ἀρετῆς ὄμματι, ἀλλὰ καὶ τὴν διάνοιαν τηκόμενον, καὶ τὴν ὀδύνην διὰ τῶν ὀδόντων ἐπιδεικνύμενον, ῥῆμα δὲ ἐξενεγκεῖν οὐ τολμῶντα, ἀλλὰ τηκόμενον καὶ καταπνιγόμενον. τοιοῦτον γὰρ ἡ κακία. κἂν εἰς αὐτὰ ἀναβῇ τὰ σκῆπτρα, καὶ ἐγγὺς τῶν τὰ διαδήματα περικειμένων στῇ, πάντων ἐστὶν εὐτελεστέρα, καὶ δειλοτέρα, καὶ θορύβῳ τινὶ καὶ ταραχῇ ἔοικε, καὶ θαλάττῃ μαινομένῃ, κἂν μυρίας ᾖ περιβεβλημένη δυναστείας, ὥσπερ οὖν ἡ ἀρετὴ τοὐναντίον. κἂν γὰρ εἰς ἐσχάτην ἥκῃ πενίαν· κἂν ἐν αὐτῷ τῷ δεσμωτηρίῳ, τῶν βασιλευόντων ἐστὶ λαμπροτέρα, καὶ πολλῆς ἀπολαύει τῆς ἀδείας, καὶ ἐν γαλήνῃ κάθηται, καὶ ἀκυμάντῳ λιμένι, οὐ μόνον οὐδὲν πάσχουσα παρὰ τῶν πονηρῶν, ἀλλὰ καὶ ἐν τῷ σιγᾷν ἀμύνασθαι αὐτοὺς δυναμένη, καὶ τὴν ἐσχάτην τῆς πονηρίας ἀπαιτοῦσα δίκην. τί γὰρ ἂν γένοιτο ἀνθρώπου ἀθλιώτερον τοῦ ἐν πονηρίᾳ ζῶντος, ὅταν πρὸς τῷ δουλεύειν τοῖς χρήμασι, καὶ τοῖς ἑτέρων κατορθώμασι δάκνηται, καὶ τὴν ἑτέρων εὐδοκίμησιν οἰκείαν ἡγῆται τιμωρίαν εἶναι, καὶ δίκην αὐτὸς ἑαυτὸν ἀπαιτῇ καταξαίνων ἑαυτοῦ τὸ συνειδὸς, κατατείνων ἑαυτοῦ διάνοιαν, δήμιος αὐτὸς ἑαυτοῦ γινόμενος; εἶδες ἀρετῆς δύναμιν καθ' ὑπερβολήν; εἶδες κακίας ἀσθένειαν καὶ ἀθλιότητα; ἀλλ' οὐκ ἐν τούτῳ μόνῳ ἕστηκεν αὐτῆς τὰ τῆς συμφορᾶς, ἀλλὰ καὶ ἐν ἑτέροις πλείοσιν. ὅπερ οὖν καὶ αὐτὸς δηλῶν, ἐπήγαγε, λέγων· ἐπιθυμία ἁμαρτωλῶν ἀπολεῖται. τί ἐστιν, ἐπιθυμία ἁμαρτωλῶν ἀπολεῖται; οὐδαμοῦ, φησιν, ἵσταται. ἐπειδὴ γὰρ τὰ ἐπιθυμήματα αὐτοῦ τοιαῦτα ῥευστὰ, καὶ παρατρέχοντα,

A quemadmodum vitium iis etiam qui ei sunt dediti, sit exosum, & reprehensione plenum. Itaque illos quidem ne ij quidem qui accipiunt laudant, meretrices inquam, aurigæ, & saltatores, sed eos etiam insectantur: hunc autem non solùm pauperes qui acceperunt, sed ij etiam ad quos nihil rediit ex libertate, omnes mirabûtur & amabunt. 10. *Peccator videbit, & irascetur: dentibus suis fremet, & tabescet.* Talis res est virtus, vitio grauis & molesta. Quemadmodum enim ignis accendit spinas, ita etiam benignitas & clementia homines quantumuis B feros irritat. Ea enim illorum improbitatem reprehendit & accusat. Sed vide eum, ne cum inuidia quidē extabescit, audere accusare, & clarum virtutis aspectum intueri, sed mente quidem liquescere, & dentibus dolorem ostendere, non audere autem verbum proferre, sed tantū angi & excruciari. Tale est enim vitium, etiamsi ad ipsa sceptra ascenderit, & iuxta eos steterit, quorum sunt capita cincta diademate, est omniū abiectissimum, & maximè formidolosum, & simile est alicui strepitui ac tumultui, & mari insanienti, etiamsi sit C maxima stipatum potentia: quemadmodum virtus contrà. Nam licet ad extremā redacta sit inopiam, & sit in ipso carcere, est regibus splendidior, & magna fruitur securitate, & sedet in portu nullis agitato fluctibus, non modò nihil patiēs ab improbis, sed vel ipso silentio potēs vlcisci improbos, & de improbitate extremas pœnas exigens. Quid enim miserius homine esse potest, qui viuit in scelere, quando præter id quod seruit pecuniis, aliorū etiam rectè factis mordetur, & aliorum laudem suam pœnam D existimat, & ipse à seipso supplicium exigit, suam conscientiam lanians, & mentem excrucians, & seipsum in se carnificem exhibens? Vidisti excellentiam virtutis & potentiam? Vidisti imbecillitatem vitij & miseriam? sed non in hoc solo eius cōsistit calamitas, sed etiā in aliis pluribus: quod ipsum quoq. significans, subiunxit, dicens: *Desideriū peccatorum peribit.* Quid est, desideriū peccatorum peribit? Nunquam, inquit, sistitur. Quoniam enim ea quæ desiderat, sunt eiusmodi fluxa, & prætercurrentia,

Sap. 2.

Vitij fœditas.

Gen. 4.
Prou. 28.

Virtutis splendor.

Gen. 37.
Iob. 5.
Prou. 14.
Sceleratorum miseria.

desiderium quoque res imitatur, vt quod extinguatur & pereat, & nullam radicem habeat. Quòd si est hic peccator in hoc statu, cogita quónam modo se habebit in futuro seculo. Ne hæc ergo patiamur, hanc viã fugiamus, illam autem eligamus, & perpetuò ingrediamur, quæ est tuta, quæ est inexpugnabilis, quæ est plena voluptatis, quæ referta est gloria, quæ cœlum nobis conciliat, quæ in omnia quæ Dei sunt, nobis præbet beneuolentiam, quæ facit vt philosophemur, quæ tot & tanta in se bona continet, quanta ne oratio quidem explicare poterit: quæ detur omnibus nobis consequi, gratia & misericordia, &c.

In Psalmvm CXII.

Laudate pueri Dominum: laudate nomen Domini.

IN scripturis sæpe verba fiunt de his laudationibus: non est enim quid leue, sed aliquod sacrificium, & oblatio, quæ Deo placet: Sacrificium enim, inquit, laudis glorificabit me. Et rursus: Laudabo nomen Dei mei cum cantico, magnificabo ipsum in laudatione: & placebit Deo super vitulum nouum cornua producentem & vngulas. Sacri quoque libri id sæpe præcipiunt, & qui seruantur, pro magnis gratiarum actionibus id offerũt. Et quamnam habet, inquit, hoc difficultatem? Cui autem non vel humilis & abiectæ conditionis homini id præstare, & Deum laudare est facile? Si rem diligenter & exactè didiceris, videbis & laborem qui in re inest, & lucrum quod ex ea percipitur. Primùm quidem hæc laus à iustis requiritur, & oportet vitam prius rectè instituentem, hymnos ita Deo canere. Non est enim pulchra laus in ore peccatoris. Secundò, non verbis solùm sed etiã factis laudare oportet, & hanc laudẽ Deus maximè requirit, hanc gloriã. Luceat enim, inquit, lux vestra corã hominibus, vt videãt bona opera ve-

Ps.49.23.

Ps.68.31.

Laus Dei quid difficultatis habeat.

Eccli.15.9.

Matt.5.16.

καὶ ἡ ἐπιθυμία μιμεῖται τὰ πράγματα, σβεννυμένη, καὶ ἀπολλυμένη, καὶ ῥίζαν οὐδεμίαν ἔχουσα. εἰ δὲ ἐνταῦθα τοιαῦτα τὰ τοῦ ἁμαρτωλοῦ, ἐννόησον τὰ ἐν τῷ μέλλοντι αἰῶνι ἡλίκα. ἵνα οὖν μὴ ταῦτα πάθωμεν, ταύτην φεύγοντες τὴν ὁδὸν, ἐκείνην ἑλώμεθα, καὶ βαδίζωμεν διηνεκῶς τὴν ἀσφαλῆ, τὴν ἀχείρωτον, τὴν ἡδονῆς γέμουσαν, τὴν δόξης ἐμπεπλησμένην, τὴν οὐρανὸν ἡμῖν προξενοῦσαν, τὴν πρὸς πάντα τοῦ Θεοῦ τὴν εὔνοιαν ἡμῖν παρεχομένην· τὴν φιλοσοφεῖν παρασκευάζουσαν, τὴν τοσαῦτα ἔχουσαν ἀγαθὰ, ὅσα οὐδὲ λόγος παραστῆσαι δυνήσεται. ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν χάριτι καὶ φιλανθρωπίᾳ.

Εἰς τὸν ριβ' ψαλμόν.

Αἰνεῖτε παῖδες κύριον, αἰνεῖτε τὸ ὄνομα κυρίου.

ΠΟΛΥΣ ἐν ταῖς γραφαῖς τῶν αἴνων τούτων ὁ λόγος· οὐδὲ γὰρ τὸ τυχὸν πρᾶγμά ἐστιν, ἀλλὰ θυσία τις καὶ προσφορὰ, ἀρέσκουσα τῷ Θεῷ· θυσία γὰρ, φησιν, αἰνέσεως δοξάσει με. καὶ πάλιν, αἰνέσω τὸ ὄνομα τοῦ Θεοῦ μου μετ' ᾠδῆς, μεγαλυνῶ ἐν αἰνέσει. καὶ ἀρέσει τῷ Θεῷ ὑπὲρ μόσχον νέον κέρατα ἐκφέροντα καὶ ὁπλάς. καὶ πολλαχοῦ καὶ αἱ ἱεραὶ βίβλοι τοῦτο παρακελεύονται, καὶ οἱ σωζόμενοι ἀντὶ μεγάλων εὐχαριστηρίων τοῦτο προσφέρουσι. καὶ ποίαν τοῦτο δυσκολίαν ἔχει; φησί· τίνι δὲ οὐ ῥᾴδιον καὶ τῶν τυχόντων αὐτὸ ἀνύειν, καὶ αἰνεῖν τὸν Θεόν; ἂν ἀκριβῶς καταμάθῃς, ὄψει καὶ τὸν πόνον τὸν ἐν τῷ πράγματι, καὶ τὸ κέρδος τὸ ἐξ αὐτοῦ. πρῶτον μὲν γὰρ καὶ παρὰ δικαίων ὁ τοιοῦτος ἐπιζητεῖται ὕμνος, καὶ δεῖ πρότερον τὸν βίον κατορθοῦντα οὕτως ᾄδειν ὕμνους τῷ Θεῷ. οὐ γὰρ ὡραῖος αἶνος ἐν στόματι ἁμαρτωλοῦ. δεύτερον δὲ ὅτι οὐχὶ διὰ ῥημάτων μόνον ἐστὶν αἰνεῖν, ἀλλὰ καὶ διὰ τῶν πραγμάτων. καὶ τοῦτον μάλιστα ἐπιζητεῖ ὁ Θεὸς τὸν αἶνον, ταύτην τὴν δόξαν· λαμψάτω γὰρ, φησι, τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσι τὰ καλὰ ἔργα ὑμῶν,

καὶ δοξάσωσι τὸν πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς. οὕτως αἰνεῖ τὰ Χερουβίμ. διὰ τοῦτο καὶ ὁ προφήτης ἀκούσας τῆς μελῳδίας ἐκείνης τῆς μυστικῆς ταλανίζει ἑαυτὸν λέγων· οἴμοι ὅτι ἄνθρωπος ὤν, καὶ ἀκάθαρτα χείλη ἔχων, ἐν μέσῳ λαοῦ ἀκάθαρτα χείλη ἔχοντος ἐγὼ οἰκῶ. διὰ τοῦτο καὶ παρακελευόμενος αἴνους ἀναφέρειν ἀπὸ τῶν ἄνω δυνάμεων ἄρχεται λέγων οὕτως· αἰνεῖτε τὸν κύριον ἐκ τῶν οὐρανῶν, αἰνεῖτε αὐτὸν πάντες οἱ ἄγγελοι αὐτοῦ. ὥστε ἄγγελον δεῖ γενέσθαι, καὶ οὕτως αἰνεῖν. μὴ τοίνυν ἁπλῶς τὸν αἶνον τοῦτον εἶναι νομίζωμεν· ἀλλὰ πρὸ τοῦ στόματος ἡμῶν ὁ βίος αὐτὸν ἠχείτω, καὶ πρὸ τῆς γλώττης ἡ πολιτεία βοάτω· οὕτω καὶ σιωπῶντες δυνάμεθα τὸν Θεὸν ὑμνεῖν· οὕτω καὶ φθεγγόμενοι σύμφωνον τῷ βίῳ τὴν μελῳδίαν ἐργασόμεθα. οὐ τοῦτο δὲ μόνον ἔστιν ἰδεῖν ἀπὸ τοῦ ψαλμοῦ, ἀλλ' ὅτι καὶ εἰς συμφωνίαν πάντας ἄγει, καὶ ὁλόκληρον τὸν χορὸν ἵστησιν. οὐ γὰρ ἑνὶ καὶ δύο διαλέγεται, ἀλλ' ὁλοκλήρῳ δήμῳ. καὶ καθάπερ ὁ Χριστὸς ἐνάγων ἡμᾶς εἰς ὁμόνοιαν καὶ ἀγάπην ἐν ταῖς εὐχαῖς κοινὴν ἐπέταξε ποιεῖσθαι τὴν εὐχήν, καὶ ἀπὸ τῆς ἐκκλησίας πάσης ὡς ἐξ ἑνὸς προσώπου λέγει, πάτερ ἡμῶν, καὶ τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον, καὶ, ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, καθὼς καὶ ἡμεῖς ἀφίεμεν, καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ· πανταχοῦ τῷ πληθυντικῷ κεχρημένος ὀνόματι, καὶ κελεύων ἑνὶ ἑκάστῳ· κἂν καθ' ἑαυτὸν εὔχηται· κἂν κοινῇ, καὶ ὑπὲρ τῶν ἀδελφῶν εὐχὴν ἀναφέρειν· οὕτω καὶ ὁ προφήτης κοινῇ πάντας εἰς τὴν συμφωνίαν καλεῖ τῆς εὐχῆς καὶ λέγει· αἰνεῖτε τὸ ὄνομα κυρίου. τί οὖν βούλεται ἡ προσθήκη τοῦ ὀνόματος; μάλιστα μὲν τῆς διαθέσεως παραστατική ἐστι, τοῦ λέγοντος· αἰνίττεται δέ τι καὶ ἕτερον. ποῖον δὴ τοῦτο; ὥστε τὸ ὄνομα αὐτοῦ δοξάζεσθαι δι' ἡμῶν, ὥστε αἰνετὸν φαίνεσθαι, καὶ διὰ τοῦ βίου τοῦ ἡμετέρου· ἔστι γὰρ φύσει τοιοῦτον· βούλεται δὲ καὶ διὰ τῆς πολιτείας ἡμῶν τὸν αἶνον τοῦτον διαλάμπειν, καὶ ἵνα μάθῃς, ὅτι τοῦτό ἐστιν, ὅρα τὰ ἑξῆς, ἐπάγει γάρ· εἴη φησί, τὸ ὄνομα κυρίου εὐλογημένον ἀπὸ τοῦ νῦν, καὶ ἕως τοῦ αἰῶνος. τί λέγεις; οὐ γάρ ἐστιν εὐλογημένον, ἐὰν μὴ σὺ εὔξῃ; ὁρᾷς ὅτι οὐ περὶ τῆς εὐλογίας λέγει τῆς αὐτῷ προσούσης, καὶ τῇ φύσει αὐτοῦ συγκεκλη-

A stra, & glorificent patrem vestrum qui est in cœlis. Ita laudant Cherubim. Quocirca Propheta quoque cùm illam mysticam audiisset melodiam, seipsum affligit, & miserum ducit, dicens: Hei mihi quòd homo sum impura habens labra, & habito in medio populi impura labra habentis. Et ideo cùm præcipit laudes offerre, incipit à superioribus potestatibus, sic dicens: Laudate dominum de cœlis, laudate eum omnes angeli eius. Oportet itaque angelum fieri, & ita laudare. Ne ergo hanc laudem rem esse leuem existimemus: sed ante B os nostrum vita nostra ipsum sonet, atque ante linguam conuersatio clamet: Ita quidem vel tacentes Deum laudare possumus: ita etiam loquentes edemus modulationem vitæ conuenientem. Hoc autem non solùm ex psalmo discere possumus, sed etiam quòd omnes ducit ad symphoniam, & chorum integrum & absolutum statuit. Non enim vnum tantum aut duos alloquitur, sed vniuersum populum. Et quemadmodum Christus nos deducens ad charitatem & concordiam, iubet vt in precibus fiat C communiter oratio, & ab vniuersa ecclesia tãquã ab vna persona dicatur, Pater noster: &, Panem nostrũ quotidianum da nobis: &, Dimitte nobis debita nostra, sicut & nos dimittimus debitoribus nostris: & ne nos inducas in tentationem, sed libera nos à malo: vbique vtens plurali nomine, & præcipiens vnicuique siue solus oret, siue cum aliis pro fratribus offerre orationem: ita etiam Propheta vocat omnes communiter ad concentum orationis, & dicit: Laudate nomen domini. Quid igitur sibi vult hæc adiectio nominis? Maxi- D mè quidem explicat affectionem dicentis. Significat etiam aliquid aliud. Quidnam? vt nomen eius per nos glorificetur, vt per nostram quoque vitam videatur laudabile: est enim quidem natura tale: vult autem hanc quoque laudem per rectam nostræ vitæ institutionem illustrari. Et vt scias ita esse, vide quæ consequuntur, subiungit enim. 2. *Sit nomen domini benedictum ex hoc nunc & vsque in seculum.* Quid dicis? Non erit benedictum, nisi tu precatus sis? Vides eum non dicere de ea quæ illi adest benedictione, & est eius naturæ attributa,

Esa. 6. 5.

Psal. 148. 1.

Matt. 6. 9. Luc. 11. 2.

Nomen domini per nos vt glorificandum.

sed de ea quæ fit per homines. Paulus quoque de ea scribens dicit: Glorificate verò Deum in corpore vestro, & in spiritu vestro. Ipse ergo est altus, & magnus, & laudabilis per seipsum, apud homines autem talis quoque efficitur, quando qui ei seruiunt, talem vitam ostenderint, vt quicunque eos vident, laudibus & benedictionibus Dominum prosequantur. Hoc ipsum nos quoque in precationibus iussit Dominus semper dicere, precantes: Sanctificetur nomen tuum. Hoc est, per nostram quoque vitam glorificetur. Quemadmodum enim dum malè viuimus, contumeliis & probris afficitur: ita dum virtutis curam gerimus, gloria afficitur, benedicitur, & sanctificatur. Quod ergo dicit, est eiusmodi: Fac vt nos perpetuò rectè & ex virtute viuamus, vt sit nomen tuum per nos etiam benedictum. 3. *A solis ortu vsque ad occasum laudabile nomen Domini.* Vides eum nouam exordiri rempublicam, & aperire nobilitatem ecclesiæ. Non amplius enim in Palæstina solùm, nec in Iudæa, sed est vbique terrarũ nomen Domini. quando autem hæc euenerunt, nisi quando nostra cœperunt efflorescere? Olim enim non solùm non benedicebatur in Palæstina, sed etiam blasphemabatur, & maledictis incessebatur propter Iudæos qui in ea habitabant. Propter vos enim, inquit, nomẽ meum blasphematur inter gentes. Nunc autem vbique terrarum laudibus celebratur. Quod quidem alius quoque Propheta significans, dicebat: Apparebit dominus, & perdet omnes deos gentiũ, & adorabunt eum vnusquisque in loco suo. Et rursus alius: Quia & in nobis claudentur portæ, & non succendetur altare meum gratis: quoniam ab ortu solis vsque ad occasum nomen meum glorificatum est in gentibus, & in omni loco offertur suffitus nomini meo, & purum sacrificium. Vides quomodo res Iudaicas contraxit, & repressit, & vbique terrarum ecclesiasticam vitæ formam dilatauit, & cultum prænunciauit. Qui enim hæc dicit Propheta, fuit post reditum à Babylone: & ideo hæc tunc prædixit, ne dicerent Iudæi eum dicere confusionem illam & destitutionem quæ fuit in Babylone. Postquam enim illa cessassent, & ipsi ad

1. Cor. 6. 20.

Rom. 2. Iac. 2.

Esa. 52. 5.

Esa. 2. 46.

Mal. 1. 10. iuxta 70. interpret.

A ρωμένης, ἀλλὰ τῆς διὰ τῶν ἀνθρώπων γινομένης; περὶ ταύτης καὶ ὁ Παῦλος γράφων λέγει· δοξάσατε δὴ τὸν Θεὸν ἐν τῷ σώματι ὑμῶν, καὶ ἐν τῷ πνεύματι ὑμῶν. αὐτὸς τοίνυν καὶ ὑψηλός ἐστι, καὶ μέγας, καὶ αἰνετὸς καθ' ἑαυτὸν, γίνεται δὲ καὶ παρὰ ἀνθρώποις τοιοῦτος, ὅταν οἱ δουλεύοντες αὐτῷ τοιοῦτον ἐπιδεικνύωνται βίον, ὡς πάντας τοὺς ὁρῶντας αὐτοὺς εὐλογεῖν τὸν δεσπότην. τοῦτο καὶ ἐν τῇ εὐχῇ ἐκέλευσεν ἡμᾶς ὁ Χριστὸς ἀεὶ λέγειν εὐχομένους· ἁγιασθήτω τὸ ὄνομά σου. τουτέστι, καὶ διὰ τοῦ βίου τοῦ ἡμετέρου δοξασθήτω. B ὥσπερ γὰρ βλασφημεῖται κακῶς πολιτευομένων ἡμῶν, οὕτω δοξάζεται καὶ εὐλογεῖται καὶ ἁγιάζεται ἀρετῆς ἐπιμελουμένων. ὃ τοίνυν λέγει τοῦτό ἐστι· διαπαντὸς καταξίωσον ἡμᾶς ἐνάρετον βίον ζῆν, ὡς εὐλογητὸν εἶναι τὸ ὄνομά σου καὶ δι' ἡμῶν. ἀπὸ ἀνατολῶν ἡλίου καὶ μέχρι δυσμῶν αἰνετὸν τὸ ὄνομα κυρίου. ὁρᾷς τὴν καινὴν ἤδη προανακρουόμενον αὐτὸν πολιτείαν, καὶ παρανοίγοντα τῆς ἐκκλησίας τὴν εὐγένειαν; οὐκ ἔτι γὰρ ἐν Παλαιστίνῃ, οὔτε ἐν Ἰουδαίᾳ· ἀλλὰ πανταχοῦ τῆς οἰκουμένης. πότε δὲ τοῦτο γέγονεν, ἢ ὅτε τὰ ἡμέτερα ἀνήνθησεν· ὡς τότε πάλαι οὐ μόνον οὐκ C ηὐλογεῖτο ἐν Παλαιστίνῃ, ἀλλὰ καὶ ἐβλασφημεῖτο διὰ τοὺς ἐν αὐτῇ κατοικοῦντας Ἰουδαίους. δι' ὑμᾶς γὰρ τὸ ὄνομά μου βλασφημεῖται φησὶν ἐν τοῖς ἔθνεσι. νῦν δὲ πανταχοῦ τῆς οἰκουμένης ὑμνεῖται. ὅπερ οὖν καὶ ὁ ἄλλος προφήτης δηλῶν ἔλεγεν· ἐπιφανήσεται κύριος, καὶ ἐξολοθρεύσει πάντας τοὺς Θεοὺς τῶν ἐθνῶν, καὶ προσκυνήσουσιν αὐτῷ ἕκαστος ἐκ τοῦ τόπου αὐτοῦ. καὶ ἕτερος πάλιν· διότι καὶ ἐν ὑμῖν συγκλεισθήσονται θύραι, καὶ οὐκ ἀνάψεται τὸ θυσιαστήριόν μου δωρεάν· ὅτι ἀπὸ ἀνατολῶν ἡλίου καὶ μέχρι δυσμῶν τὸ ὄνομά μου δεδόξασται D ἐν τοῖς ἔθνεσι, καὶ ἐν παντὶ τόπῳ θυμίαμα προσάγεται τῷ ὀνόματί μου καὶ θυσία καθαρά. ὁρᾷς πῶς κατέστειλε τὰ Ἰουδαϊκὰ, καὶ ἔπαυσε, καὶ πανταχοῦ τῆς οἰκουμένης τῆς ἐκκλησίας τὴν πολιτείαν ἐξέτεινε, καὶ τὴν λατρείαν προανεκήρυξεν; ὁ γὰρ ταῦτα λέγων προφήτης μετὰ τὴν ἐπάνοδόν ἐστι τὴν ἐκ Βαβυλῶνος· καὶ διὰ τοῦτο ταῦτα προεφήτευσε τότε, ἵνα μὴ λέγωσιν οἱ Ἰουδαῖοι, ὅτι ἐκεῖνον λέγει τὸν συγκλεισμὸν καὶ ἐκείνην τὴν ἐρήμωσιν τὴν ἐν Βαβυλῶνι. μετὰ γὰρ τὸ λυθῆναι ἐκεῖνα, καὶ ἐπὶ

τὴν προτέραν αὐτῆς ἐπανελθεῖν πολιτείαν, ταῦτα ὁ ἄγγελός φησι, δηλῶν τὴν ἐπὶ Οὐεσπασιανοῦ καὶ Τίτου γενομένην ἐρήμωσιν, μεθ' ἣν οὐκ ἔσται λοιπὸν τῆς ἐρημίας ἐκείνης μεταβολή τις. διεδέξατο γὰρ τὰ τῆς ἐκκλησίας πράγματα. διό φησιν, ὅτι μέγα τὸ ὄνομά μου ἐν τοῖς ἔθνεσι, τουτέστιν, εὐλογημένον, διὰ τοῦ βίου αὐτῶν αἰνούμενον, ὥσπερ καὶ ἐνταῦθα ἔλεγεν· εὐλογημένον τὸ ὄνομα κυρίου. ὑψηλὸς ἐπὶ πάντα τὰ ἔθνη ὁ κύριος. ὁρᾷς πάλιν τὰ ἔθνη δεχόμενα αὐτοῦ τὴν λατρείαν, καὶ οὐχ ἁπλῶς ἓν καὶ δύο καὶ τρία, ἀλλὰ πάντα τὰ κατὰ τὴν οἰκουμένην; τί ταύτης τῆς προφητείας σαφέστερον; πῶς δὲ ὑψηλὸς ἐπὶ πάντα τὰ ἔθνη; ὅτι μεγαλύνομεν αὐτὸν, οὐ προστιθέντες αὐτῷ ὕψος, ἄπαγε, ἀλλὰ τοῖς δόγμασι, τῇ λατρείᾳ, τῇ προσκυνήσει, τοῖς ἄλλοις ἅπασιν, οὐδὲν ταπεινὸν ἐννοοῦντες καθάπερ οἱ Ἰουδαῖοι, ἀλλ' ὑψηλότερα πολλῷ καὶ μείζονα. τοιαύτη γὰρ αὕτη ἡ πολιτεία. ὅσον ὁ οὐρανὸς τῆς γῆς ὑψηλότερος, τοσοῦτον αὕτη τῆς παλαιᾶς. διό φησιν ὑψηλὸς ἐπὶ πάντα τὰ ἔθνη ὁ κύριος. καὶ γὰρ μετὰ τὸ ὑψοῦν αὐτὸν διὰ τῆς λατρείας, κἀκεῖνο ἴσμεν, ὅτι καὶ ταῦτα συγκατάβασίς ἐστιν, ὥστε κἂν τῶν ἐν τῇ παλαιᾷ ὑψηλότερα, ἀλλὰ τῆς ἀξίας αὐτοῦ καταδεέστερα. καὶ ταῦτα Παῦλος δηλῶν, καὶ ἑκατέρας τῆς γνώσεως τῆς τε νῦν κατεχούσης, τῆς τε τότε ἐσομένης ἐν τῷ μέλλοντι τὸ διάφορον παριστὰς ἔλεγεν· ὅτε ἤμην νήπιος, ὡς νήπιος ἐφρόνουν, ὡς νήπιος ἐλογιζόμην· ὅτε δὲ γέγονα ἀνὴρ, κατήργηκα τὰ τοῦ νηπίου. καὶ πάλιν, ἐκ μέρους γινώσκομεν, καὶ ἐκ μέρους προφητεύομεν, καὶ βλέπομεν ἄρτι δι' ἐσόπτρου ἐν αἰνίγματι, τότε δὲ πρόσωπον πρὸς πρόσωπον. δείκνυσι γὰρ διὰ τούτου ὅτι τοσοῦτον ἀφέστηκεν ἡ γνῶσις αὕτη τῆς τότε, ὅσον τὸ νήπιον τοῦ ἐλθόντος ἀνδρὸς εἰς ἡλικίαν τελείαν. ἐπὶ τοὺς οὐρανοὺς ἡ δόξα αὐτοῦ. ἐπειδὴ γὰρ περὶ αἴνου καὶ ὕψους διελέχθη τοῦ διὰ τῆς πολιτείας τῆς ἀνθρωπίνης γινομένου, καὶ παρῄνεσεν οὕτως ὑψοῦν τὸν Θεὸν, οὕτως αἰνεῖν, οὕτω μεγαλύνειν εἰς μείζονα προτρεπόμενος ἀρετὴν, δείκνυσι ποῦ τοῦτο γίνεται μάλιστα· ποῦ τοίνυν τοῦτο γίνεται; ἐν τοῖς οὐρανοῖς. ἐκεῖ γάρ ἐστιν ἡ δόξα αὐτοῦ. μάλιστα γὰρ ἄγγελοι δοξάζουσιν αὐτὸν, οὐκ ἀπὸ τῆς οἰκείας φύσεως

A priorem reuerti essent rempublicam, ea dicit angelus, significans eorum destitutionem quæ fuit tempore Vespasiani & Titi, post quam non erit deinceps mutatio illius solitudinis ac destitutionis. Illam enim consecutæ sunt res ecclesiæ. Et ideo dicit, Magnum nomen meū in gentibus, hoc est, benedictum, quod per bonam ipsorum vitam laudatur, quemadmodum hic quoque dicit, Benedictum nomen domini.

4. *Excelsus super omnes gentes Dominus.* Vides rursus gentes eius cultum suscipere, & non vnam tantùm aut duas, aut tres, sed quæcunque sunt in orbe B terrarum? Quid est hac prophetia clarius? Quomodo autem est excelsus super omnes gentes? Quoniam eum magnificamus, non ei aliquam addentes altitudinem, absit: sed dogmatibus, cultu, adoratione, & cæteris omnibus non aliquid humile & abiectum de eo cogitantes, vt Iudæi, sed multò maiora & altiora. Talis est enim hæc nostra reipublicæ forma, quantò cœlum est terra altius, tantò hæc altior veteri. Et ideo dicit: Excelsus super omnes gentes Dominus. Etenim cùm eum per cultum C attollimus, illud quoque scimus, hæc esse per quandam demissionem, & ad captum nostrum accommodationem: Quare etsi sint in nouo, quàm in veteri altiora, sunt tamē eius dignitate longè inferiora. Et ideo Paulus vtriusque cognitionis, & quæ nunc est, & quæ tunc in futuro seculo futura est, differētiam ostendens, dicebat: Quando eram paruulus, sapiebā vt paruulus, cogitabā vt paruulus: quando autē factus sum vir, euacuaui quæ erant paruuli. Et rursus, Ex parte cognoscimus, & ex parte prophetamus, & videmus nunc quidem D per speculum in ænigmate, tunc autem facie ad faciem. Per hæc enim ostendit hanc cognitionem ab illa tantum abesse, quantum puer à viro qui peruenit ad perfectam ætatem. *Super cœlos gloria eius.* Quoniam dixit de laude & exaltatione quæ fit per rectam vitæ humanæ institutionem, & Deum ita extollere, ita laudare, ita magnificare exhortatus est, ad maiorem virtutem incitans, ostendit vbinam hoc maximè fiat. Vbinam ergo hoc fit? In cœlis. Illic enim est eius gloria. Angeli enim eum maximè glorificant, non ex sua natura

Magnificari aut benedici Deū à nobis, quod sit.

1. Cor. 13. 11

Ibidem.

Matth. 17. Hebr. 10.

solùm, sed etiam ex obedientia hominum quibus ministrant, præcepta eius exactè perficientes. Et ideo dicit, Potentes virtute, facientes verbum eius. Porrò autem in euãgeliis quoque iussit Christus orare, & dicere, Fiat voluntas tua sicut in cœlo & in terra. Hoc est, quemadmodum eum sanctificant Angeli, ab omni quidem vitio liberati, virtutem autem exactè persequentes: ita etiam nos digni habeamur, qui ipsum sanctificemus. Hoc ipsum hîc quoque significans, subiunxit: Super cœlos gloria eius. Non solum enim in terra videbis has creaturas quæ cernuntur, nec pulcherrimum ordinem qui est in cœlo, sed ascende à sensibilibus ad ea quæ percipiuntur sola intelligentia, ad pulchritudinem illarum substantiarum, ad splendorem illius reipublicæ: & tunc scies quomodo est in cœlis gloria eius. 5. *Quis sicut dominus Deus noster, qui in altis habitat, & humilia respicit?* An non videtur magnum esse quod dictum est? Sed quando consideraueris de quónam id dictum sit, hoc longè erit eo inferius. Ita, sicuti dixi, non oportet in verbis solis sistere, sed vsque ad sensum cõscendere. Quomodo enim in cœlis habitat, qui cœlum & terram implet? qui vbique præsens est? qui dicit, Deus appropinquans ego sum, & non Deus procul? qui mensus est cœlum palmo, & terram pugillo? qui continet ambitum terræ? Sed quoniam loquebatur tunc cum Iudæis, propterea eo sermone vsus est, paulatim erigens eorum cogitationem, & mentem sensim extollens & euehens. Idcirco non dixit solummodo, Qui in altis habitat, & humilia respicit: sed cùm prius dixisset, Quis sicut dominus Deus noster, tum subiunxit, Qui in altis habitat, & humilia respicit, ostendens quánam de causa illud secundum dixerit, nempe propter Iudaïcam imbecillitatem simulachra stupentem, & deos in locis & templis conclusos adorantem: & ideo inducit paulatim comparationem, licet citra comparationem Deus omnes supereminear: sed ad imbecillitatem auditorum sicut dixi (neque enim cessabo hoc assiduè dicere) componit orationem. Neque enim quærebat vt tunc diceret aliquid dignum eius gloria,

Psal. 102. 20
Matt. 6. 9.
Hier. 23. 23
Esa. 40. 12.
Deus cur in cælo habitare dicatur.
Esa. 2. 46. 65.
Ezech. 6.
Osee 10 11.
Esa. 40.

A μόνον, ἀλλὰ καὶ ἀπὸ τῆς ὑπακοῆς τῶν διακονουμένων ἀνθρώπων δοξάσουσι, μετὰ ἀκριβείας τὰ θελήματα αὐτοῦ καὶ τὰ προστάγματα αὐτοῦ ἀνύοντες. διό φησι· δυνατοὶ ἰσχύϊ ποιοῦντες τὸν λόγον αὐτοῦ. διὸ καὶ ἐν τοῖς εὐαγγελίοις ἐκέλευεν ὁ Χριστὸς εὔχεσθαι, καὶ λέγειν· γενηθήτω τὸ θέλημά σου ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς. τουτέστιν, ὥσπερ ἄγγελοι αὐτὸν ἁγιάζουσι πονηρίας μὲν πάσης ἀπηλλαγμένοι, ἀρετὴν δὲ μετιόντες μετ᾽ ἀκριβείας· οὕτω δὴ καταξιωθείημεν καὶ ἡμεῖς αὐτὸν ἁγιάζειν. τοῦτο καὶ ἐνταῦθα δηλῶν, ἐπήγαγεν· ἐπὶ B τοὺς οὐρανοὺς ἡ δόξα αὐτοῦ. μὴ γὰρ δὴ μόνον ἐν τῇ γῇ ἴδῃς τὰ κτίσματα ταῦτα τὰ ὁρώμενα, μηδὲ τὴν κατὰ τὸν οὐρανὸν εὐταξίαν, ἀλλ᾽ ἀνάβηθι τῷ νῷ ἀπὸ τῶν αἰσθητῶν ἐπὶ τὰ νοερά, ἐπὶ τὰ κάλλη τῶν οὐσιῶν ἐκείνων, ἐπὶ τὴν φαιδρότητα τῆς πολιτείας ἐκείνης· καὶ τότε εἴσῃ πῶς ἐν τοῖς οὐρανοῖς ἡ δόξα αὐτοῦ. τίς ὡς κύριος ὁ Θεὸς ἡμῶν, ὁ ἐν ὑψηλοῖς κατοικῶν, καὶ τὰ ταπεινὰ ἐφορῶν; ἆρα οὐ δοκεῖ μέγα εἶναι τὸ εἰρημένον; ἀλλ᾽ ὅταν ἐννοήσῃς περὶ τίνος εἴρηται, σφόδρα ἐστὶ καταδεές. οὕτως ὅπερ ἔλεγον, οὐ χρὴ μέχρι τῶν ῥημάτων C ἵστασθαι, ἀλλ᾽ ἀναβαίνειν τῇ διανοίᾳ; πῶς γὰρ ἐν οὐρανοῖς κατοικεῖ ὁ τὸν οὐρανὸν καὶ τὴν γῆν πληρῶν, ὁ πανταχοῦ παρών, ὁ λέγων Θεὸς ἐγγίζων ἐγώ εἰμι, καὶ οὐ Θεὸς πόρρωθεν· ὁ μετρήσας τὸν οὐρανὸν σπιθαμῇ, καὶ τὴν γῆν δρακί, ὁ κατέχων τὸν γῦρον τῆς γῆς; ἀλλ᾽ ἐπειδὴ πρὸς Ἰουδαίους αὐτῷ ἦν ὁ λόγος, διὰ τοῦτο τέως οὕτω κέχρηται τῷ λόγῳ κατὰ μικρὸν ἀνάγων αὐτῶν τὴν διάνοιαν, καὶ ἐπαίρων τὴν γνώμην, καὶ ἀναβιβάζων ἠρέμα. διὸ δὴ τοῦτο οὐδὲ ἁπλῶς εἶπεν ὁ ἐν ὑψηλοῖς κατοικῶν, καὶ τὰ ταπεινὰ ἐ- D φορῶν, ἀλλὰ πρότερον εἰπών· τίς ὡς κύριος ὁ Θεὸς ἡμῶν; τότε ἐπήγαγεν, ὁ ἐν ὑψηλοῖς κατοικῶν, καὶ τὰ ταπεινὰ ἐφορῶν· εἶπε δὲ ἐκεῖνο δηλῶν, τίνος ἕνεκεν τὸ δεύτερον εἶπε. διὰ γὰρ τὴν ἀσθένειαν τὴν Ἰουδαϊκὴν τὴν περὶ τὰ εἴδωλα ἐπτοημένην, καὶ θεοὺς προσκυνοῦσαν τοὺς ἐν τόποις καὶ ναοῖς συγκεκλεισμένους, διὰ δὴ τοῦτο κατὰ μικρὸν τὴν σύγκρισιν ποιεῖται, καίτοι ἀσυγκρίτως ἁπάντων ὁ Θεὸς ὑπερέχει· ἀλλὰ πρὸς τὴν ἀσθένειαν τῶν ἀκουόντων, ὅπερ ἔφθην εἰπών· οὐ γὰρ παύσομαι συνεχῶς τὸ αὐτὸ λέγων· ῥυθμίζει τὸν λόγον. οὐ γὰρ ἐζήτει ὅπως ἄξιόν τι τῆς δόξης εἴποι τοῦ Θεοῦ τέως, ἀλλ᾽

ἀλλ' ὅπως ἐκείνοις χωρητὸν γένηται. διὰ δὴ τοῦτο κατὰ μικρὸν αὐτοὺς ἀνάγει, καὶ ὅμως οὐδὲ οὕτως ἐναπομένει τῇ ταπεινότητι, ἀλλὰ διανοίγνυσι πάλιν ὑψηλότερα νοήματα ἕτερα. ἐπειδὴ γὰρ εἶπεν, ὁ ἐν ὑψηλοῖς κατοικῶν, καὶ τὰ ταπεινὰ ἐφορῶν, πάλιν ἐπὶ τὸ ὑψηλότερον ἄγων τὸν λόγον, φησίν· ἐν τῷ οὐρανῷ καὶ ἐν τῇ γῇ. δεικνὺς ὅτι πανταχοῦ ἐστι, κἀκεῖ καὶ ἐνταῦθα. οὐ γὰρ ὡς ἄν τις ἐν οὐρανῷ συγκεκλεισμένος, πόρρωθεν βλέπει τὰ ἐν τῇ γῇ· ἀλλὰ πανταχοῦ παρών, καὶ πᾶσι παριστάμενος. εἶδες πῶς κατὰ μικρὸν περιέρχεται τὴν διάνοιαν τῶν ἀκουόντων; εἶτα ἀναστήσας ἀπὸ τῆς γῆς τὴν ἀκρόασιν, καὶ τῷ οὐρανῷ προσηλώσας, πάλιν μεῖζόν τι φαντάζεσθαι παρασκευάσας ἐφ' ἕτερον ἔρχεται τῆς δυνάμεως αὐτοῦ δεῖγμα λέγων· ὁ ἐγείρων ἀπὸ γῆς πτωχόν, καὶ ἀπὸ κοπρίας ἀνυψῶν πένητα. μεγάλης γὰρ δυνάμεως καὶ σφόδρα ἀφάτου τὸ τὰ μικρὰ ἐπαίρειν. ἀλλαχοῦ μέν τοι καὶ τὸ ἐναντίον τίθησιν, ὅτι καὶ τὰ μεγάλα ταπεινοῖ λέγων οὕτως· διαιρῶν σύντριμμα ἐπὶ ἰσχύν, καὶ ταλαιπωρίαν ἐπὶ ὀχύρωμα ἐπάγων. ἐνταῦθα μέν τοί γε εἴρηται ὅτι τοὺς μικροὺς ἐπᾶραι δύναται. ἔστι μὲν οὖν καὶ καθολικὸς ὁ λόγος. εἰ δέ τις καὶ κατὰ ἀναγωγὴν αὐτὸν ἐκλαβεῖν βουληθείη, ὄψεται τοῦτο ἐπὶ τῶν ἐθνῶν γενόμενον· ὄψεται τοῦτο ἐπὶ τῶν ἀνθρώπων ἡμῶν ἐπὶ τῆς παρουσίας τοῦ Χριστοῦ. τί γὰρ τῆς ἡμετέρας φύσεως πτωχότερον, ἀλλ' ὅμως αὐτὴν ἤγειρε καὶ ἀνήγαγε μετὰ τῆς ἀπαρχῆς ἡμῶν, εἰς οὐρανόν, καὶ συνεκάθισεν εἰς τὸν πατρικὸν θρόνον. καὶ ἀπὸ κοπρίας ἀνυψῶν πένητα. τοῦ καθίσαι αὐτὸν μετὰ ἀρχόντων, μετὰ ἀρχόντων τοῦ λαοῦ αὐτοῦ. κοπρίαν ἐνταῦθα τὸ εὐτελὲς λέγει, καὶ τὴν ἐκ τοῦ ἀθρόον γινομένην μεταβολήν, δεικνὺς ὅτι πάντα αὐτῷ ῥᾴδια καὶ εὔκολα. εἶτα ἐφ' ἕτερον ἔρχεται μεῖζον. ποῖον δὴ τοῦτο; ὅτι οὐ τὰ πράγματα μεταθεῖναι δύναται, οὐδὲ τὴν εὐτέλειαν εἰς ἀξίωμα μεταστῆσαι μόνον, ἀλλὰ καὶ αὐτῆς τῆς φύσεως μεταθεῖναι τοὺς ὅρους, καὶ στεῖραν ποιῆσαι μητέρα. διόπερ ἐπήγαγεν· ὁ κατοικίζων στεῖραν ἐν οἴκῳ, μητέρα ἐπὶ τέκνοις εὐφραινομένην. ὅπερ γέγονεν ἐπὶ τῆς Ἄννης, ὅπερ γέγονεν ἐπὶ μυρίων ἑτέρων. εἶδες ὕμνον ἀπηρτισμένον; εἶδες ὕμνον πεπληρωμένον; εἶπε τὰ μέλλοντα κατορθοῦσθαι τῇ οἰκουμένῃ, πῶς ὁ Ἰουδαϊσμὸς παύεσθαι μέλλει, πῶς καινὴ τῆς ἐκκλησίας ἡ πολιτεία διαλάμπειν,

A sed vt quod diceret, ab eis capi posset. Et ideo paulatim eos sustollit: & tamen ne sic quidem permanet in humilitate, sed rursus aperit quasdam altiores intelligentias. Postquam enim dixit, Qui in altis habitat, & humilia respicit: rursus ad altiora orationem extollens dicit: *In cœlo & in terra*: ostendens eum esse vbique, & hic, & illic. Non enim tanquam in cœlo inclusus, respicit eminus, quæ fiunt in terra, sed vbique præsens, & omnibus assistens. Vidisti quomodo paulatim mentem auditorum sustollit? Deinde cùm au- B ditorem à terra extulisset, & in cœlo collocasset: rursus procurans vt aliquid maius animo apprehenderet, venit ad aliud eius potentiæ indicium, dicens: 7. *Suscitans a terra inopem, & de stercore erigens pauperem.* Magnæ est enim, atque adeò ineffabilis potentiæ, parua extollere. Alibi autem contrarium quoque ponit alius, quòd magna quoque humiliat, sic dicens: Diuidens contritionem super fortitudinem, & miseriam supra munimentum adiungens. Hic quidem certè dictum est, quod potest pusillos erigere. Est itaque C generalis oratio. Quòd si quis hæc etiam velit accipere anagogicè, videbit hoc factum esse in gentibus, videbit hoc euenisse in nobis hominibus tempore aduentus Christi. Quid enim erat nostra natura pauperius? eam tamen erexit & sustulit in cœlum cum nostris primitiis, & fecit considere in cœlis in throno patris. Et de stercore erigens pauperem. 9. *Vt collocet eum cũ principibus, cum principibus populi sui.* Stercus hic dicit vilitatem, & quæ ex ea fit, repentinam mutationem, ostendens ei esse omnia facilia & expedita. Deinde transit ad a- D liud maius. Quódnam hoc? Quòd non solùm potest res transferre, & humillibus dare authoritatem, sed ipsius etiam naturæ transmouere limites, & eam quę est sterilis, matrem efficere. Et ideo subiunxit. 9. *Qui habitare facit sterilem in domo, matrem super filiis lætantem.* Quod quidem factum est in Anna, quod factum est in aliis innumerabilibus. Vidisti hymnum perfectum? Vidisti hymnum completum? Dixit ea quæ erant futura, vt vniuersus orbis terræ serectè gereret, quomodo erat cessaturus Iudaismus, quomodo noua ecclesiæ respublica erat in lucem exitura,

Iob 11. Esa. 66.

Amos 5. 9.

1. Cor. 1. Ephes. 2.

1. Reg. 2.

quomodo erat vbique offerendum sacrificium. Deinde efficiens vt vel crassioribus fide digna esset oratio, ex iis quæ iam fiunt, quæ sunt futura confirmat. Quod autem dicit, est eiusmodi: Ne diffidas futuram tantam mutationem, & disiectas gentes esse venturas in gloriam. Non vides hæc fieri quotidie? extolli humiles, & sedere cum principibus? Non vides naturam quæ erat manca & mutila, corrigi, steriles matres fieri? Tale quid etiam vsuuenit in Ecclesia. Erat sterilis, sed multorum filiorum mater facta est. Quocirca dicit Esaias: Lætare sterilis quæ non paris, erumpe & clama quæ non parturis, quoniam multi sunt filij desertæ magis quàm eius quæ habet virum, hoc in ecclesia futurum prænuncians. Quocirca hic quoque finiit orationem hoc loco, prophetiam fide dignam hinc efficiens, ex iis, quæ iam facta sunt ab eius maiestate. Quæcunque enim Deo visum fuerit, sunt factu facilia. Potest enim transmutare naturam, & humilitatem transferre in altitudinem, & mores corrigere. Cùm hæc ergo sciamus omnia, quæ nostra sunt afferamus, & omni fruemur gloria, & ad ineffabilem ascendemus altitudinem, Dei auxilio freti: cui gloria & potentia Patri & Filio & Spiritui sancto, nunc & semper & in secula seculorum, Amen.

Esa. 54.

A πῶς θυσία πανταχοῦ προσάγεσθαι, εἶτα ἀξιόπιστον ποιῶν καὶ τοῖς παχυτέροις τὸν λόγον ἀπὸ τῶν ἤδη γινομένων καὶ περὶ τῶν μελλόντων βεβαιοῦται. ὃ δὲ λέγει, τοῦτό ἐστι· μὴ ἀπιστήσῃς ἀκούσας, ὅτι τοσαύτη ἔσται μεταβολὴ καὶ τὰ ἀπερριμμένα ἔθνη εἰς δόξαν ἥξει μεγίστην. οὐχ ὁρᾷς καθ' ἑκάστην ἡμέραν ταῦτα γινόμενα; τοὺς ταπεινοὺς ὑψουμένους, καὶ μετὰ ἀρχόντων καθημένους; οὐχ ὁρᾷς τὴν φύσιν πηρουμένην καὶ διορθουμένην, στείρας μητέρας γινομένας; τοιοῦτόν τι καὶ περὶ τῆς ἐκκλησίας συνέβη· στεῖρα ἦν· ἀλλ' ἐγένετο μήτηρ τέκνων πολλῶν. διὸ καὶ λέγει ὁ Ησαΐας·

B εὐφράνθητι στεῖρα ἡ οὐ τίκτουσα. ῥῆξον καὶ βόησον ἡ οὐκ ὠδίνουσα· ὅτι πολλὰ τὰ τέκνα τῆς ἐρήμου μᾶλλον, ἢ τῆς ἐχούσης τὸν ἄνδρα. τοῦτο καὶ ἐπὶ τῆς ἐκκλησίας ἐσόμενον προαναφωνῶν. διὰ δὴ τοῦτο καὶ αὐτὸς ἐνταῦθα τὸν λόγον κατέλυσε τὴν προφητείαν ἀξιόπιστον καὶ ἐντεῦθεν ἀποφαίνας, ἀπὸ τῶν ἤδη γενομένων, ἀπὸ τῆς μεγαλωσύνης αὐτοῦ. πάντα γὰρ ὅσα ἂν δόξῃ τῷ Θεῷ, ῥᾴδια ποιῆσαι. καὶ γὰρ φύσιν μεταθεῖναι δύναται, καὶ ταπεινότητα μεταβαλεῖν εἰς ὕψος, καὶ διορθῶσαι τρόπους. ταῦτ' οὖν εἰδότες ἅπαντα τὰ παρ' ἑαυτῶν εἰσφέρωμεν, καὶ πάσης ἀ-

C πολαυσόμεθα δόξης, καὶ πρὸς ἄφατον ὕψος ἀναβησόμεθα τῆς ῥοπῆς ἀπολαύοντες τοῦ Θεοῦ· ᾧ ἡ δόξα καὶ τὸ κράτος, τῷ πατρὶ, καὶ τῷ υἱῷ, καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

In Psalmum CXIII.

In exitu Israel de Ægypto, domus Iacob de populo barbaro. 2. Facta est Iudæa sanctificatio eius, Israel potestas eius.

Facta est Iudæa.

MAGNAM hîc testatur Dei benignitatem & mansuetudinem. Quámnam hãc? Quod cùm primum ostēdit potentiam, tunc vt adoretur exigit. Hoc enim significans dicebat, In exitu Israel de Ægypto. Facta est Iudæa sanctificatio eius.

Εἰς τὸν ριγ' ψαλμόν.

Ἐν ἐξόδῳ Ισραὴλ ἐξ Αἰγύπτου, οἴκου Ιακὼβ

D ἐκ λαοῦ βαρβάρου. ἐγενήθη Ιουδαία ἁγίασμα αὐτοῦ, Ισραὴλ ἐξουσία αὐτοῦ.

ΜΕΓΑΛΗΝ ἐνταῦθα τοῦ Θεοῦ τὴν πρᾳότητα μαρτυρεῖ, καὶ ἡμερότητα. ποίαν δὴ ταύτην; ὅτι πρῶτον ἀπόδειξιν παρεσχημένος τῆς οἰκείας δυνάμεως, τότε ἀπαιτεῖ τὴν προσκύνησιν. τοῦτο γὰρ δηλῶν ἔλεγεν, ἐν ἐξόδῳ Ισραὴλ ἐξ Αἰγύπτου ἐγενήθη Ιουδαία ἁγίασμα αὐτοῦ.

τότε γὰρ ἔδειξε τὴν δύναμιν αὐτοῦ, φησὶ, διὰ τῶν ἐν Αἰγύπτῳ σημείων, διὰ τῶν ἐν τῇ ἐρήμῳ. τότε καὶ τὸν λαὸν ᾠκειώσατο. τοῦτο καὶ ἐπὶ τοῦ Ἀδὰμ ἐποίησε. πρότερον γὰρ τὸν κόσμον ποιήσας, καὶ δείξας αὐτοῦ καὶ τῆς σοφίας καὶ τῆς δυνάμεως τὴν ἰσχὺν, οὕτω τὸν ἄνθρωπον ἔπλασε, καὶ τὴν προσκύνησιν ἀπῄτησεν. οὕτω καὶ ὁ μονογενὴς υἱὸς τοῦ Θεοῦ σημεῖα πρότερον παρασχόμενος πολλὰ καὶ παντοδαπὰ, τότε τὴν πίστιν ἀπῄτει. διά τοι τοῦτο τοῖς μὲν ἐξ ἀρχῆς προσιοῦσιν, ἅτε οὐκ ἔχουσιν αὐτοῦ ἐνέχυρα, οὐδὲ ἀπόδειξιν τῆς θεότητος, οὐκ ἔλεγε, πιστεύετε, ὅτι δύναμαι τοῦτο ποιῆσαι; ἀλλὰ μόνον τὰ σημεῖα ἐπεδείκνυ. ἐπειδὴ δὲ πανταχοῦ τῆς Παλαιστίνης ὑπομνήματα τῆς ἑαυτοῦ δυνάμεως ἐναπέθετο, σώματα πεπηρωμένα διορθῶν, κακίαν ἐξελαύνων, περὶ βασιλείας διαλεγόμενος, τοὺς σωτηριώδεις εἰσάγων νόμους, τότε καὶ τὴν πίστιν ἀπῄτει παρὰ τῶν προσιόντων. οἱ ἄνθρωποι μὲν γὰρ πρότερον ἀρχὴν ἐθέλουσι, καὶ τότε εὐεργετεῖν ἐπιχειροῦσιν· ὁ Θεὸς δὲ ἀπὸ τῶν εὐεργεσιῶν ἄρχεται. καὶ τί λέγω τὰς ἄλλας εὐεργεσίας, ὅπου γε καὶ τὸν σταυρὸν αὐτὸν ὑπέμεινε, καὶ τότε τῆς οἰκουμένης ἐκράτησε, διὰ τῶν ἔργων ἐπιδειξάμενος τὴν κηδεμονίαν; τοῦτο γοῦν καὶ ὁ ψαλμὸς ἐνταῦθα δηλῶν, ἔλεγεν, ἐν ἐξόδῳ Ἰσραὴλ ἐξ Αἰγύπτου, οἴκου Ἰακὼβ ἐκ λαοῦ βαρβάρου, ἐγενήθη Ἰουδαία ἁγίασμα αὐτοῦ. τουτέστιν, ἐν τῇ ἐξόδῳ, ἐν τῇ ἀπαλλαγῇ, ἐν τῇ ἐλευθερίᾳ τῆς Αἰγύπτου. καὶ οὐχ ἁπλῶς εἶπεν Αἰγύπτου, ἀλλὰ προσέθηκε λαοῦ βαρβάρου τῷ ὀνόματι τῶν πολεμίων τὴν κηδεμονίαν ἐνδειξάμενος τοῦ Θεοῦ. τῶν γὰρ χαλεπῶν ἐκείνων, καὶ ἀνημέρων, καὶ βαρβαρικώτερον διακειμένων Αἰγυπτίων οὐκ ἂν ἠδυνήθησαν ἀπαλλαγῆναι, εἰ μὴ τῆς κραταιᾶς ἀπήλαυσαν χειρὸς καὶ τῆς δεξιᾶς τῆς ἀμάχου. καὶ γὰρ θηρίων ἦσαν ἀγριώτεροι, καὶ πέτρας σκληρότεροι μυρίαις παιόμενοι πληγαῖς, καὶ οὐκ ἐνδιδόντες. εἰπὼν τοίνυν τὸν λαὸν βάρβαρον ἔδειξε τοῦ Θεοῦ τῆς δυνάμεως τὴν ὑπερβολὴν, ὅτι τὸν οὕτω βάρβαρον τὸν οὕτως ὠμὸν, νῦν μὲν ἔπεισε, νῦν δὲ καὶ ἄκοντα κατηνάγκασεν ἀφεῖναι τοὺς δούλους καὶ φιλονεικοῦντας ὕστερον τῇ θαλάττῃ παρέδωκε, καὶ οὕτω τὸν λαὸν ἠλευθέρωσε τὸν ἑαυτοῦ. τί δέ ἐστιν ἐγενήθη Ἰουδαία ἁγίασμα αὐτοῦ; ἀντὶ τοῦ, λαὸς αὐτοῦ λατρεύων, λαὸς αὐτοῦ ἀνακείμενος, λαὸς αὐτῷ ᾠκειωμένος. ἁγίασμα δὲ κυρίως ἐλέγετο ὁ ναός,

A Tunc enim suam ostendit potentiam per signa quæ in Ægypto facta sunt, & per ea quæ in deserto: tunc etiam populum sibi effecit familiarem. Hoc ipsum etiam fecit in Adam. Cùm enim prius mundum fecisset, & suæ sapientiæ & potentiæ vim ostendisset, ita finxit hominem, & ab eo exegit adorationem. Ita etiam vnigenitus Dei filius cùm primum signa præbuisset multa & omnis generis, tunc fidem exegit. Quocirca iis quidem qui ab initio ad eum accedebant, vt qui eius pignora non haberent, nec argumentum diui- B nitatis, non dicebat, Creditis, quia possum hoc facere? sed signa solummodo ostendebat. Sed postquam vbique per Palæstinam deposuit suæ monimenta potētiæ, mutilis corporibus remedium afferens, vitium expellens, de regno disserens, leges salutares sanciens, tunc etiam fidem exegit ab iis, qui accedebant. Homines enim volunt prius imperium obtinere, & tunc aggrediuntur benefacere: Deus autem incipit à beneficiis. Et quid dico alia beneficia, cùm etiam crucem ipsam sustinuerit, & tunc orbem terræ vicerit, quā gerebat C curam factis ostendens? Hoc ergo psalmographus quoque hîc significans, dicebat, In exitu Israel de Ægypto, domus Iacob de populo barbaro, facta est Iudæa sanctificatio eius. Hoc est, in exitu, in recessu, in liberatione ab Ægypto. Non dixit autem solummodo de Ægypto, sed adiecit, de populo barbaro, nomine hostium, Dei curam ostendens. Ab illis enim crudelibus & immanibus Ægyptiis nō potuissent liberari, nisi habuissent manum fortem, & dexteram inexpugnabilem. Erant enim D vel feris sæuiores, & petris duriores: qui cùm tot acciperent plagas, minimè cederent. Postquam ergo dixit, populum barbarum, ostendit, quàm magna esset Dei potentia, quòd adeò barbarum, adeò efferatum hominem nunc quidem persuasit, nunc verò vel inuitum coëgit seruos dimittere, & contendentes postea mari obruit, & ita suum populum liberauit. Quid est autem, Facta est Iudæa sanctificatio eius? Pro eo quod est, Populus ei seruiens, & eum colens, populus ei dedicatus, populus ei factus peculiaris. Sanctificatio autem propriè dicebatur,

Matt. 21. Marc. 3. Luc. 4. 6. Io. 10. 11. 12. 13.

Matt. 9. 19

Exod. 5.

Exod 7. 8. 9. 10 11.

Exod. 14. Deut. 7. 26

templum, adyta, sancta sanctorum, quemadmodum Zacharias quoque introducit aliquos rogantes, & dicentes: Ingressa est huc sanctificatio? an ieiunabimus? de reditu arcæ & aliorū omniū significans, Facta est Iudęa sanctificatio eius: erat enim antea regio impura & execranda, sed postquam accessit populus, facta est ciuitas sanctificatio eius: hoc est, introducta est sanctificatio per obseruationem, per sacrificia, per cultum, aliósq; ritus & ceremonias. Israel potestas eius. Quid est Israel potestas eius? Sub eius imperio, inquit. Atqui vniuersus orbis terræ eius imperio subferat, sed hi etiam amplius, ex eo quòd eos habebat proprios & familiares, quandoquidem & prophetias suscipiebant, & cum eis disserebat, & res eorum amplius administrabat. Quinetiam alio modo appellabatur eius populus. Illius enim nutu sæpe & ad bellum procedebant, & multa alia administrabant. Cùm eos enim à barbaricis manibus, tyrannide, & seruitute, & extremo periculo, & mente impia liberasset, Rex eorum factus est. Hoc ipsum etiam alibi suam causam agens, & ostendens se quæ sua erant primùm præstitisse, quæ illorum autem erant, requirere, dicebat: Nunquid solitudo fui domui Israel, vel terra inculta? Quod autem dicit, est eiusmodi: Num fui vobis inutilis? Non innumerabilia bona in vos contuli? Non ipsam naturam mutaui? Non elementa vt vobis seruirent composui? Non dedi vobis vitam ab humanis laboribus liberam? Propterea dixit: Num solitudo fui domui Israel? hoc est, Non fructus tuli innumerabiles? libertatem Ægypti, liberationem barbarorum, ostensionem miraculorum, vitam in deserto, hæreditatem Palæstinæ, subiugationem gentium, continua trophæa, frequentes victorias, miracula incredibilia, continua prodigia, terræ fertilitatem, generis vestri incrementum, quæ vniuersum terrarum orbem peruadit, gloriam, alia innumerabilia? Vidisti fructus Dei: & ideo subiunxit: Nunquid fui terra inculta? Hoc est, non innumerabiles fructus à me suscepistis? Non benedixi introitum & exitum vestrum? greges vestros & armenta vestra? panem vestrum,

Sanctificatio.
Zach. 7. 3.
Hier. 2. 31.
Exod. 14.
Exod 16.
Hier. 2. 31.

A τὰ ἄδυτα, τὰ ἅγια τῶν ἁγίων, καθάπερ καὶ Ζαχαρίας εἰσάγει τινὰς ἐρωτῶντας, καὶ λέγοντας· εἰσῆλθεν ὧδε τὸ ἁγίασμα, ἢ νηστεύσομεν; περὶ τῆς ἐπανόδου τῆς κιβωτοῦ, καὶ τῶν ἄλλων ἁπάντων δηλῶν· ἐγενήθη Ἰουδαία ἁγίασμα αὐτοῦ, πρὸ γὰρ τούτου ἀκάθαρτός τις ἦν καὶ ἐναγὴς ἡ χώρα· ἐπειδὴ δὲ ἐπανῆλθεν ὁ λαὸς, ἐγένετο ἡ πόλις ἁγίασμα αὐτοῦ, τουτέστιν ἁγίασμα ἤγετο διὰ τῆς ἐπιμελείας, διὰ τῶν θυσιῶν, διὰ τῆς λατρείας, διὰ τῆς ἄλλης ἁγιστείας. Ἰσραὴλ ἐξουσία αὐτοῦ. τί ἐστιν Ἰσραὴλ ἐξουσία αὐτοῦ; ὑπὸ τὴν ἀρχὴν τὴν αὐτοῦ φησι. καί τοι πᾶσα ἡ οἰκουμένη ὑπὸ
B τὴν αὐτοῦ ἀρχὴν ἦν, ἀλλ' οὗτοι καὶ κατ' οἰκείωσιν ἑτέραν· ἐπειδὴ καὶ προφητείας ἐδέχοντο, καὶ διελέγετο αὐτοῖς, καὶ τὰ κατ' αὐτοὺς ᾠκονόμει μειζόνως. εἶτα καθ' ἕτερον δὲ τρόπον ὁ λαὸς αὐτοῦ ἐχρημάτιζε, καὶ γὰρ τῷ νεύματι τῷ ἐκείνου πολλάκις καὶ εἰς πολέμους ἐξῄεσαν, καὶ πολλὰ τῶν ἄλλων ἔπραττον. βαρβαρικῶν γὰρ αὐτοὺς ἀπαλλάξας χειρῶν, καὶ τυραννίδος, καὶ δουλείας, καὶ κινδύνου ἐσχάτου, καὶ παρανόμου γνώμης γέγονεν αὐτῶν βασιλεύς. τοῦτο γοῦν καὶ ἀλλαχοῦ δικαιολογούμενος καὶ δεικνὺς, ὅτι πρότερον τὰ παρ'
C ἑαυτοῦ ἐπιδειξάμενος ἀπῄτει τὰ παρ' ἐκείνων, ἔλεγε· μὴ ἔρημος ἐγενόμην τῷ οἴκῳ Ἰσραὴλ, ἢ γῆ κεχερσωμένη; ὃ δὲ λέγει, τοῦτό ἐστι, μὴ ἄκαρπός φησιν ὑμῖν ἐγενόμην; οὐ μυρία ἀγαθὰ εἰς ὑμᾶς ἐπεδειξάμην; οὐ τὴν φύσιν αὐτὴν μετέβαλον; οὐ τὰ στοιχεῖα πρὸς τὴν ὑπηρεσίαν ὑμῶν ἐρρύθμισα; οὐ διαγωγὴν ὑμῖν ἐχαρισάμην ἀνθρωπίνων ἀπηλλαγμένην πόνων; διὰ τοῦτό φησι· μὴ ἔρημος ἐγενόμην τῷ οἴκῳ Ἰσραὴλ, τουτέστιν, οὐ μυρίους ἤνεγκα καρπούς; ἐλευθερίαν ἀπ' Αἰγύπτου, ἀ-
D παλλαγὴν βαρβάρων, θαυμάτων ἐπίδειξιν, τὴν ἐν ἐρήμῳ διαγωγὴν, τὴν τῆς Παλαιστίνης κληρονομίαν, τὴν τῶν ἐθνῶν κράτησιν, τὰ συνεχῆ τρόπαια, τὰς ἐπαλλήλους νίκας, τὰ θαύματα τὰ παράδοξα, τὰ τεράστια τὰ συνεχῆ, τῆς γῆς τὴν εὐετηρίαν, τοῦ γένους ὑμῶν τὴν ἐπίδοσιν, τὴν πανταχοῦ τῆς οἰκουμένης δόξαν, ἕτερα μυρία; ἴδες καρποὺς τοῦ Θεοῦ; διὰ τοῦτο ἐπήγαγε. μὴ γῆ ἐγενόμην κεχερσωμένη; τουτέστιν, οὐ μυρίους ἐδρέψασθε παρ' ἐμοῦ καρπούς; οὐκ εὐλόγησα τὴν εἴσοδον ὑμῶν καὶ τὴν ἔξοδον ὑμῶν; τὰ ποίμνια ὑμῶν; καὶ τὰ βουκόλια ὑμῶν; τὸν ἄρτον ὑμῶν,

καὶ τὸ ὕδωρ ὑμῶν; οὐκ ἐν ἀσφαλείᾳ κατέστησα; οὐ πᾶσιν ἀχειρώτους εἰργασάμην; οὐ φοβεροὺς καὶ ἀμάχους; οὐ καθάπερ ἀπὸ πηγῶν πάντα ὑμῖν ἐπέῤῥει τὰ ἀπὸ τῆς γῆς; τὰ ἀπὸ τοῦ οὐρανοῦ; τὸν γὰρ ἄρχοντα τοῦτο μάλιστα δείκνυσι, τὸ προνοεῖν τῶν ὑπηκόων, τὸ κήδεσθαι καὶ φροντίζειν. διὸ καὶ ὁ Χριστὸς ἔλεγεν· ὁ ποιμὴν ὁ καλός· οὐκ εἶπε τιμᾶται καὶ θεραπεύεται, ἀλλὰ τὴν ψυχὴν αὐτοῦ τίθησιν ὑπὲρ τῶν προβάτων. τοῦτο ἀρχή, τοῦτο ποιμαντικὴ ἐπιστήμη, τὸ τὰ αὐτοῦ περιορᾷν, καὶ τὰ τῶν ἀρχομένων μεριμνᾷν. ὅπερ γάρ ἐστιν ἰατρός, τοῦτό ἐστιν ἄρχων· μᾶλλον δὲ καὶ ἰατροῦ πλέον. ὁ μὲν γὰρ ἰατρὸς τῇ τέχνῃ τὴν σωτηρίαν περιποιεῖται· ὁ δὲ ἄρχων καὶ ἐν τοῖς ἰδίοις κινδύνοις. ὅπερ καὶ ὁ Χριστὸς ἐποίησε, ῥαπισθεὶς, σταυρωθεὶς, τὰ μυρία παθών. διὸ καὶ Παῦλος ἔλεγε· καὶ γὰρ ὁ Χριστὸς οὐχ ἑαυτῷ ἤρεσεν, ἀλλὰ καθὼς γέγραπται, οἱ ὀνειδισμοὶ τῶν ὀνειδιζόντων σε ἐπέπεσον ἐπ' ἐμέ. δύο τοίνυν, μᾶλλον δὲ καὶ τρεῖς καὶ μυρίας τίθησιν ἐνταῦθα εὐεργεσίας, ὅτι βαρβάρων ἀπήλλαξεν, ὅτι τῆς ἀλλοτρίας ἠλευθέρωσεν, ὅτι δουλείας ἐξέβαλεν· ὅτι πόνους ἔλυσε καὶ ταλαιπωρίας, ὅτι μυρία θαύματα εἰργάσατο. εἶτα ὅτι καὶ ἁγίασμα αὐτοῦ αὐτοὺς κατηξίωσε γενέσθαι καὶ ὑπηκόους. καὶ γὰρ καὶ τοῦτο οὐ μικρὸν εὐεργεσίας εἶδος, τὸ ἐν τάξει τῶν ὑπηκόων αὐτοὺς καταλέγειν. Ἡ θάλασσα εἶδε, καὶ ἔφυγεν· ὁ Ἰορδάνης ἐστράφη εἰς τὰ ὀπίσω. ὅρα τὸν λόγον κορυφούμενον, καὶ τὴν εὐεργεσίαν αὐξανομένην. τί γὰρ δεῖ λέγειν φησί, περὶ βαρβάρων καὶ ἐθνῶν, ὁπότε καὶ ἡ κτίσις ὑπεξίστατο, καὶ παρεχώρει, καὶ πρὸς τὰ ἐναντία μεθίστατο, τὸν στρατηγοῦντα ὁρῶσα, καὶ τὸν δημαγωγὸν παραχωροῦσα; πάντα γὰρ τότε τῷ δήμῳ τῷ τῶν Ἑβραίων ὑπεξίστατο καὶ παρεχώρει, ἵνα μάθωσιν, ὅτι οὐκ ἀνθρωπίνης ἀκολουθίας ἦν τὰ γινόμενα, ἀλλὰ θείας καὶ ἀποῤῥήτου δυνάμεως τὰ θαυματουργούμενα ἅπαντα. καὶ ὅρα τὴν ἔμφασιν τῆς λέξεως, πῶς ἀορίστως αὐτὴν τέθηκεν. οὐ γὰρ εἶπεν, ἀνεχώρησεν, οὐδὲ ὑπεξέστη· ἀλλὰ τί; ἡ θάλασσα εἶδε, καὶ ἔφυγε, τὸ τάχος τῆς ἀναχωρήσεως τῇ φυγῇ παραστῆσαι βουλόμενος, τὸ μέγεθος τῆς ἐκπλήξεως, τὸ εὔκολον τῆς ἐνεργείας τοῦ Θεοῦ. καὶ ἵνα μή τις νομίσῃ ἐκ περιόδου τινὸς καὶ συντυχίας τοῦτο γίνεσθαι,

A & aquam vestram? Non in tuto collocaui? Non feci vt essetis omnibus inexpugnabiles, inuicti & terribiles? Non tanquã ex fontibus omnia vobis è cœlo & è terra manabant? Hoc enim maximè ostendit principem, quòd scilicet suorum curam gerat, eisque prouideat ac prospiciat. Et ideo dicebat Christus, Pastor bonus, non dixit, honoratur & colitur, sed animam suam ponit pro ouibus suis. Hoc est principatus, hoc est pascendi scientia, sua negligere, & eorum quos regit, curam gerere. Quod est enim medicus, hoc est princeps, B vel potius plus quàm medicus. Medicus enim arte salutem comparat, princeps autem etiam propriis periculis. Quod etiam fecit Christus, alapis percussus, crucifixus, & alia innumerabilia perpessus. Quocirca dicebat Paulus: Etenim Christus non sibi placuit, sed quemadmodum scriptum est, Opprobria exprobrantium tibi, ceciderunt super me. Duo ergo, imò verò tria, atque adeò innumerabilia hic ponit beneficia, quòd eripuerit à barbaris, quòd liberauerit ab alienis, quòd exemerit à seruitute, quòd laboribus & C afflictionibus finem imposuerit, quòd innumerabilia fecerit miracula. Deinde quòd eos etiam esse voluerit eius sanctificationem, & eius esse dicto obedientes. Nam hoc quoque non est paruum genus beneficij, referre eos in numerum eorum, qui sunt sub eius ditione. 3. *Mare vidit, & fugit, Iordanis conuersus est retrorsum.* Vide orationem exaggeratam, & amplificatum beneficium. Quid enim, inquit, dicendum est de barbaris & gentibus, quando cessit etiam creatura, & locum dedit, & conuersa ad contraria, respiciens ad imperatorem, & cedens duci D populi? Hæc enim omnia tunc eueniebant populo Hebræorum, vt scirent quæ fiebant, non fuisse humanæ consequentiæ, sed omnia fuisse mirabilia effecta diuinæ & ineffabilis potentiæ. Vide autẽ emphasin dictionis, & quàm sit optimè posita. Non dixit enim cessit, aut substitit: sed quid? Mare vidit, & fugit, recessus celeritatem fuga volens ostendere, magnitudinem admirationis, & facilitatem Dei operationis. Et ne quis existimet hoc certo temporis ambitu aut fortuitò accidisse,

Ioan. 10. 14.

Rom. 15. 3.

Miracula non temere facta. Exod. 14.

ab illo tempore non amplius factum est, sed semel quando Deus iussit, idque varie in diuersis personis. Insolens enim vndarum impetus, veluti animatus, & ratione præditus, Deo iubente hos quidem seruauit, illos verò perdidit: & aliis quidem sepulchrum, aliis verò fuit vehiculum. Hoc ipsum etiam videris in fornace Babylonica. Ignis enim qui temere & casu ferebatur, moderationem & certum ordinem ostendit, quando Deus præcepit, eos quidem qui erant intus, conseruans: eos verò qui foris sedebant, inuadens & consumens. Iordanis conuersus est retrorsum. Vidisti & in diuersis temporibus, & in diuersis locis fieri miracula? Vt enim scirent Dei potentiam vbique esse extensam, & loco non concludi: & in barbara regione, & in solitudine, & vbique adfuit faciēs miracula, & nunc quidem in mari, nunc autem in fluuiis, & tunc quidem cùm regeret Moses: postea autem cùm dux esset Iesus: & per miracula vbique transmittebantur: vt nullo sensu præditam mentem, durámque suam intelligentiam miraculis emollitam, aptiorem redderent & magis ductilem ad suscipiendam Dei cognitionem. 4. *Montes exultauerunt vt arietes, & colles sicut agni ouium.* Hic nobis oritur non parua quæstio. Nonnulli enim dubitantes dicunt: Priora quidem facta esse scimus: historia enim tradidit, & diuisum fuisse in exitu mare rubrum, & Iordanem fuisse retro conuersum, quando arca transiit: exultasse autem montes & colles, hoc nusquam scriptum esse videmus. Quid hoc ergo sibi vult? Volens propheta lætitiam & miraculorum magnitudinem hyperbolicè ostendere, vel ipsa inanimata inducit choros propemodum ducētia & exilientia, quæ quidem solent fieri ab iis qui lætitia afficiuntur. Eò ergo spectat adiectio illius similitudinis, Tanquam arietes, & tanquam agni ouium. Illa enim animalia quando lætantur, solent saltibus ostendere lętitiā. Quemadmodum ergo alius dicit in calamitatibus vineam & vinum luxisse, non quòd vitis lugeat (quomodo enim lugeat vitis?) sed volens insignem mœrorem oculis veluti subijcere, etiam ipsa inanimata eum sensisse dicit hy-

Daniel.3. *Act.1.* *Exod.14.* *Ios.3.* *Esa.24.7.*

ἐξ ἐκείνου οὐκ ἔτι γέγονεν, ἀλλ᾽ ἅπαξ ὅτε ὁ Θεὸς ἐκέλευσε, καὶ ἐπὶ διαφόρων προσώπων. καὶ γὰρ ἡ ἄτακτος τῶν ὑδάτων ῥύμη καθάπερ λογική τις καὶ ἔμψυχος τοῦ Θεοῦ κελεύοντος· οὕτω τοὺς μὲν ἔσωσε, τοὺς δὲ ἀπώλλυε, τοῖς μὲν τάφος, τοῖς δὲ ὄχημα γινομένη. τοῦτο καὶ ἐπὶ τῆς Βαβυλωνίας καμίνου ἴδοι τις ἄν. καὶ γὰρ τὸ πῦρ τὸ ἁπλῶς, καὶ ὡς ἔτυχε φερόμενον, πολλὴν εὐταξίαν ἐπεδείκνυτο, ὅτε ὁ Θεὸς ἐπέταξε, οὓς μὲν ἔνδον εἶχε διασώζον, τοὺς δὲ ἔξωθεν περικαθημένους ἁρπάζον καὶ ἀναλίσκον. ὁ Ἰορδάνης ἐστράφη εἰς τὰ ὀπίσω. εἶδες καὶ ἐν διαφόροις καιροῖς, καὶ ἐν διαφόροις χωρίοις τὰ θαύματα γινόμενα; ἵνα γὰρ μάθωσιν, ὅτι πανταχοῦ ἡ δύναμις ἐκτέταται τοῦ Θεοῦ, καὶ οὐ περικλείεται τόπῳ, καὶ ἐν τῇ ἐρήμῳ καὶ ἐν τῇ τῶν βαρβάρων χώρᾳ, καὶ πανταχοῦ παρεγίνετο θαυματουργῶν· καὶ νῦν μὲν ἐν θαλάττῃ, νῦν δὲ ἐν ποταμοῖς, καὶ τότε μὲν ἐπὶ Μωυσέως, ὕστερον δὲ ἐπὶ τοῦ Ἰησοῦ· καὶ πανταχοῦ διὰ σημείων παρεπέμποντο, ἵνα τὴν ἀναίσθητον αὐτῶν γνώμην, καὶ τὴν σκληρὰν διάνοιαν τοῖς θαύμασι μαλασσομένην εὐηνίους καὶ ἐπιτηδειοτέρους καταστήσωσι πρὸς τὴν τῆς θεογνωσίας ὑποδοχήν. τὰ ὄρη ἐσκίρτησαν ὡσεὶ κριοί, καὶ οἱ βουνοὶ ὡς ἀρνία προβάτων. ἐνταῦθα ζήτημα οὐ μικρὸν ἡμῖν ἀνακύπτει. καὶ γάρ τινες διαπορούμενοί φασιν· ὅτι μὲν τὰ πρότερα γέγονεν ἴσμεν, καὶ γὰρ ἱστορία παραδέδωκεν, ὅτι καὶ ἡ ἐρυθρὰ θάλασσα ἐσχίσθη ἐν τῇ ἐξόδῳ, καὶ ὅτι ὁ Ἰορδάνης ἐστράφη εἰς τὰ ὀπίσω, ἡνίκα ἡ κιβωτὸς παρῄει· ὅτι δὲ ὄρη ἐσκίρτησαν, καὶ βουνοί, οὐδαμοῦ τοῦτο ὁρῶμεν γεγραμμένον. τί οὖν ἐστιν εἰπεῖν; ὅτι τὴν ἡδονὴν ὑπερβολικῶς παραστῆσαι βουλόμενος, καὶ τῶν θαυμάτων τὸ μέγεθος, ὁ προφήτης εἰσάγει καὶ τὰ ἄψυχα αὐτὰ μονονουχὶ χορεύοντα καὶ πηδῶντα, ἅπερ ἐπὶ τῶν εὐφραινομένων γίνεται· διὰ τοῦτο καὶ ἡ προσθήκη τοῦ εἰκότος τὸ ὡς κριοί, καὶ ὡς ἀρνία προβάτων. καὶ γὰρ ἐκεῖνα τὰ ἄλογα ἡνίκα εὐφραίνηται, τοῖς πηδήμασι τὴν ἡδονὴν δηλοῖ. ὥσπερ οὖν ἐν ταῖς συμφοραῖς. ἄλλος φησίν, ὅτι καὶ ἄμπελος ἐπένθησε, καὶ οἶνος· οὐχ ὡς τῆς ἀμπέλου πενθούσης· πῶς γὰρ ἂν πενθήσειεν ἄμπελος; ἀλλὰ τὴν ὑπερβολὴν τῆς κατηφείας ἐνδείξασθαι βουλόμενος, καὶ τῶν ἀψύχων αὐτῶν σχεδὸν ἀπτομένων ὑπερ-

βολικῶς λέγει· οὕτω δὴ καὶ ἐνταῦθα τὴν κτίσιν εἰσάγει κοινωνοῦσαν τῆς ἡδονῆς· ἵνα τὸ μέγεθος δείξῃ τῆς εὐφροσύνης. τοῦτο καὶ ἡμῖν ἔθος λέγειν, ὅτι τὰ ἐνταῦθα φαιδρὰ γέγονε, ἐπειδὰν ἴδωμεν ἔντιμον παραγενόμενον. ἐνέπλησας τὴν οἰκίαν χαρᾶς, οὐ περὶ τῶν τοίχων διαλεγόμενοι, ἀλλὰ τὴν ὑπερβολὴν τῆς εὐφροσύνης παριστῶντες. τί σοι ἐστὶ θάλασσα, ὅτι ἔφυγες, καὶ σὺ Ἰορδάνη, ὅτι ἐστράφης εἰς τὰ ὀπίσω; τὰ ὄρη, ὅτι ἐσκιρτήσατε ὡσεὶ κριοί, καὶ οἱ βουνοὶ ὡς ἀρνία προβάτων; κατ' ἐρώτησιν τὸν λόγον προάγει, καὶ τοῖς στοιχείοις διαλέγεται, ἀπὸ τῆς αὐτῆς γνώμης ἀφ' ἧς ἔφησεν αὐτὰ σκιρτᾷν. ὥσπερ γὰρ οὐκ αἴσθησιν αὐτοῖς διδοὺς τότε ἔλεγεν, ἀλλ', ὅπερ ἔφθην εἰπών, τὴν ὑπερβολὴν τῆς ἡδονῆς ἐνδεικνύμενος καὶ τῶν κατορθωμάτων τὸ μέγεθος· οὕτω καὶ τὴν ἐρώτησιν αὐτοῖς προσάγει οὐχ ὡς ἀποκρίνασθαι δυναμένοις καὶ αἴσθησιν ἔχουσιν ἀλλ' ὥστε σαφέστερον ποιῆσαι τὸν λόγον καὶ δεῖξαι τὸ παράδοξον. ὡς γὰρ καινοῦ τινος γινομένου, καὶ οὐ κατ' ἀκολουθίαν συμβάντος τὴν ἐρώτησιν ἐπάγει, καὶ προστίθησι τὴν ἀπόκρισιν. τίς δὲ αὕτη; ἀπὸ προσώπου κυρίου ἐσαλεύθη ἡ γῆ· ἀπὸ προσώπου τοῦ Θεοῦ Ἰακώβ. ἐνταῦθα πάλιν σάλον, τὴν ἔκπληξιν λέγει, τὸ θαῦμα, τὴν ἔκστασιν· ὥστε δεῖξαι τὸ μέγεθος τῶν γεγενημένων. εἶτα δεικνὺς ὅσον ἐστὶν ἀνδρὸς ἀρετή, ἀπὸ τοῦ δούλου τὸν δεσπότην ἐκάλεσεν. ὃ καὶ Παῦλος αὐτὴν μεγίστης τιμῆς ἔφη τοῖς ἁγίοις δεδόσθαι ἐκείνοις· ὅτι δὴ τῶν βιωτικῶν ἀπηλλάγησαν ἁπάντων. οὐδὲ γὰρ τὴν τιμὴν μόνον τίθησιν, ἀλλὰ καὶ τὴν αἰτίαν τῆς τιμῆς προστίθησιν· ἵνα τὸν ἀκροατὴν διδάξῃ τὴν ὁδόν, δι' ἧς δύναται ταύτης ἀπολαῦσαι τῆς προεδρίας. τίς δὲ ἐστιν αὕτη; τὸ ἀπὸ τῶν δούλων καλεῖσθαι τὸν δεσπότην. διὸ καὶ ἔλεγε· δι' ἣν αἰτίαν οὐκ ἐπαισχύνεται ὁ Θεὸς Θεὸς καλεῖσθαι αὐτῶν. πῶς δὲ ὁ Θεὸς αὐτῶν ἐκαλεῖτο; λέγων, ἐγώ εἰμι ὁ Θεὸς Ἀβραάμ, καὶ ὁ Θεὸς Ἰσαάκ, καὶ ὁ Θεὸς Ἰακώβ. εἶτα καὶ τὴν αἰτίαν τῆς τοιαύτης κλήσεως ἀνωτέρω τιθεὶς εἶπε· καὶ οὗτοι πάντες ἀπέθανον μὴ κομισάμενοι τὰς ἐπαγγελίας, ἀλλὰ πόρρωθεν αὐτὰς ἰδόντες καὶ ἀσπασάμενοι καὶ ὁμολογήσαντες, ὅτι ξένοι καὶ παρεπίδημοί εἰσιν. αὕτη ἡ αἰτία, διὸ καὶ ἐπήγαγε· δι' ἣν αἰτίαν οὐκ ἐπαισχύνεται αὐτοὺς ὁ Θεός, Θεὸς καλεῖσθαι αὐτῶν.

A perbolicè: ita hîc etiam inducit creaturam esse lætitiæ participem, vt ostenderet gaudij magnitudinem. Ita etiam solemus dicere, quæ hîc sunt læta euasisse, quando virum honoratum viderimus accessisse: Implesti domum lætitia: non de parietibus loquentes, sed insigne gaudium ostendentes. 5. *Quid est tibi mare, quòd fugisti, & tu Iordanis, quòd conuersus es retrorsum?* 6. *Montes exultastis vt arietes, & colles sicut agni ouium?* Per interrogationem profert orationem, & cum elementis loquitur, eodem sensu, quo ea dixit exilire. Quemadmodum B enim ea dicebat exhilarata, non eis sensum tribuens, sed (vt iam dixi) insignem lætitiam ostendens, & rerum gestarum magnitudinem: ita etiam eis affert interrogationem, non vt quæ respondere possint, & sensum habeant, sed vt quod dicitur, efficiat apertius, & ostendat rem esse admirabilem, & superare hominum opinionem. Tanquam autem res noua facta esset, & non ex consueta naturæ consequentia euenisset, subiungit interrogationem, & adijcit responsionem. Quamnam? C 7. *A facie domini mota est terra, a facie Dei Iacob.* Hic rursus dicit motum, perculsionem, admirationem, vt ostenderet rerum gestarum magnitudinem. Deinde ostendens quanta res sit vnius viri virtus, ex serui nomine appellauit dominum. Quod quidem Paulus quoque dicit fuisse pro maximo honore concessum illis sanctis, quoniam liberi erant ab omnibus quæ ad hanc vitam pertinebant. Non solùm enim posuit illum honorem, sed etiam adijcit causam honoris, vt auditorem doceret viam, per quam posset primum hunc D locum obtinere. Quemnam? Vt ex seruorum nomine dominus vocetur. Quocirca dicebat: Propter quam causam non erubescit Deus, Deus eorum vocari. quomodo appellabatur Deus ipsorum? dicens: Ego sum Deus Abrahæ, Deus Isaac, & Deus Iacob. Deinde ponens etiam superius causam talis vocationis, dixit: Et hi omnes mortui sunt, non acceptis promissionibus, sed à longè eas aspicientes, & salutantes, & confidentes, quòd peregrini sunt & hospites. Hæc est causa, & ideo subiunxit: Propter hanc causam non erubescit Deus vocari Deus eorum.

Interrogatio per prosopopœiam.

Deus Iacob dominus ex serui nomine appellatus.

Hebr. 11. 16
Exod. 3.
Matth. 22.

Hebr. 11. 13

Propter quamnam? Quoniam confessi sunt esse se hospites & peregrinos, & nihil habere commune cum præsentibus, sed seiuncti ab iis quæ ad hanc vitam pertinent, ita degebant in aliena terra. 8. *Qui conuertit petram in stagna aquarũ, & rupem in fontes aquarum.* Quamnam quæso veniam consequentur, qui sunt duri, & non facilè cedunt, cùm & petra, & rupes quæ est dura & resistens, cedat iussui domini, homo autem qui est ratione ornatus, & omnibus mansuetior, illis euadat durior? Rupem enim hîc dicit, quæ facilè ferro non cedit, sed vix in vertice confringitur. Illa tamen in contrariam naturam redacta est, & fontes aquarum emisit. Naturæ enim opifex potest ipsos quoque transferre terminos, & quæ sunt contraria ostendere: quod sæpenumero fecit in multis locis, ostendens se eum esse, qui ex iis, quæ non sunt, fecit omnia. Postquam ergo dixit antiqua beneficia, miracula, prodigia, quomodo liberauit à barbarica seruitute, quomodo reduxit in libertatem, quomodo mutauit elementa, & omnia repleuit lætitia, rogat etiam pro præsentibus & ad eũ portum confugit. Deinde quoniã illud quoque factum est, non propter merita eorũ qui afficiebãtur beneficio, sed propter Dei benignitatem & clementiam, & nomen eius: quod quidem dixit, vt non profanetur nomen meum, sed sciant omnes per ea quæ facta sunt, eius virtutem & potentiam, & hoc sit occasio & argumentum doctrinæ: hanc etiam nunc affert rationem, dicens: Etiamsi nos vita deficiat, nec habeamus ex nostris rectè factis fiduciam, fac propter nomen tuum, sicut dicebat Moses. Cui hic quoque dicens consentanea, ait, 9. *Non nobis domine, non nobis, sed nomini tuo da gloriam.* Non propter nos, inquit, neque vt nos reddas clariores & magis insignes, sed vt ipse vbique tuam reddas manifestam potentiam. Etenim quemadmodum eius nomen gloria & honore afficitur, dum ipse fert auxilium: ita rursus gloria quoque afficitur, dum nos rectè & ex virtute viuimus, & præclaris institutis clari sumus. Luceat enim, inquit, lux vestra coram hominibus, vt videant opera vestra bona, & glorificent patrem vestrum qui est

Exod. 17. Deut. 8.

Matt. 5. 16.

A ποίαν αἰτίαν εἰπέ μοι; ὅτι ὡμολόγησαν ξένοι καὶ παρεπίδημοι εἶναι, καὶ μηδὲν κοινὸν ἔχειν πρὸς τὰ παρόντα, ἀλλ᾽ ἀπορρήξαντες ἑαυτοὺς τῶν βιωτικῶν, οὕτως ἐν ἀλλοτρίᾳ διέτριβον. τοῦ στρέψαντος τὴν πέτραν εἰς λίμνας ὑδάτων, καὶ τὴν ἀκρότομον εἰς πηγὰς ὑδάτων. ποίαν ἔχοιεν εἰπέ μοι συγγνώμην οἱ σκληροὶ καὶ δυσένδοτοι, ὅταν ἡ πέτρα καὶ ἡ ἀκρότομος καὶ σκληρὰ καὶ δυσένδοτος εἴκῃ τῷ προστάγματι τοῦ Θεοῦ, ἄνθρωπος δὲ ὁ λόγῳ τετιμημένος, καὶ πάντων ἡμερώτερος ἐκείνης ἀναισθητότερος γίνηται; ἀ- B κρότομον γὰρ ἐνταῦθα φησὶ, τὴν σιδήρῳ οὐ ῥᾳδίως εἴκουσαν, ἀλλ᾽ ἐκ τῶν ἄκρων μόλις ἀποθραυομένην. ἀλλ᾽ ὅμως καὶ ἐκείνη εἰς τὴν ἐναντίαν διελύθη φύσιν, καὶ πηγὰς ἀφῆκεν ὑδάτων. ὁ γὰρ τῆς φύσεως δημιουργὸς, καὶ τοὺς ὅρους αὐτοὺς μεταθεῖναι δύναται, καὶ τὰ ἐναντία ἐπιδείξασθαι, ὃ πολλαχοῦ πολλάκις ἐποίησε, δεικνὺς ὅτι αὐτός ἐστιν ὁ ἐξ οὐκ ὄντων τὰ πάντα ποιήσας. εἰπὼν τοίνυν τὰς παλαιὰς εὐεργεσίας, τὰ θαύματα, τὰ τεράστια· πῶς ἀπήλλαξε βαρβαρικῆς δουλείας· πῶς εἰς ἐλευθερίαν ἐχειραγώγησε, καὶ τὰ στοιχεῖα μετέβαλε, καὶ πάν- C τα ἡδονῆς ἐνέπλησε, καὶ ὑπὲρ τῶν παρόντων δεῖται ἐπὶ τὸν αὐτὸν καταφεύγων λιμένα. εἶτα ἐπειδὴ κἀκεῖνο γεγένηται, οὐ διὰ τὴν ἀξίαν τῶν εὐεργετουμένων, ἀλλὰ διὰ τὴν τοῦ Θεοῦ φιλανθρωπίαν, καὶ διὰ τὸ ὄνομα αὐτοῦ. ὅπερ ἔλεγεν, ἵνα μὴ βεβηλωθῇ τὸ ὄνομά μου, ἀλλὰ πάντες μάθωσι διὰ τῶν γινομένων τὴν ἰσχὺν αὐτοῦ καὶ τὴν δύναμιν, καὶ τοῦτο διδασκαλίας ὑπόθεσις γένηται· τοῦτο καὶ νῦν προβάλλεται τὸ δικαίωμα λέγων· εἰ καὶ ἀπὸ τοῦ βίου προδεδόμεθα, καὶ ἀπὸ τῶν ἔργων ἐσμὲν ἀπαρρησίαστοι, διὰ τὸ ὄνομά σου ποίησον, ὃ καὶ Μωϋσῆς τότε ἔλεγε. ὃ καὶ D ἐνταῦθα φησὶν συνῳδὰ ἐκείνῳ φθεγγόμενος· μὴ ἡμῖν κύριε, μὴ ἡμῖν, ἀλλ᾽ ἢ τῷ ὀνόματί σου δὸς δόξαν. μὴ δι᾽ ἡμᾶς φησιν, ἵνα μὴ ἵνα ἡμᾶς λαμπροτέρους ποιήσῃς καὶ ἐπισήμους, ἀλλ᾽ ἵνα αὐτὸς πανταχοῦ κατάδηλον σου τὴν δύναμιν ἐργάσῃ. ἐπειδ᾽ ὥσπερ τὸ ὄνομα αὐτοῦ δοξάζεται ἀντιλαμβανομένου καὶ βοηθοῦντος· οὕτω πάλιν δοξάζεται ἐν ἀρετῇ βιούντων ἡμῶν καὶ λαμπόντων κατὰ τὴν πολιτείαν. λαμψάτω γὰρ, φησι, τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων. ὅπως ἴδωσι τὰ καλὰ ἔργα ὑμῶν, καὶ δοξάσωσι τὸν πατέρα ὑμῶν

τῇ ἐν τοῖς οὐρανοῖς. ὥσπερ τοίνυν δοξάζεται ἐν ἀρετῇ ὄντων ἡμῶν, οὕτω πάλιν βλασφημεῖται ἐν κακίᾳ διατελούντων. τοῦτο γοῦν καὶ διὰ τοῦ προφήτου δηλῶν, ἔλεγε· τὸ ὄνομά μου δι' ὑμᾶς βλασφημεῖται ἐν τοῖς ἔθνεσιν. ἀλλ' ἐπειδὴ οὐδαμόθεν ἑτέρωθεν εἶχε τὴν συνηγορίαν τὴν ὑπὲρ αὐτῶν ποιήσασθαι, ἐπὶ τοῦτο καταφεύγει, καθάπερ καὶ Μωυσῆς. ἀλλ' οὐκ ἀεὶ αὐτὸ ποιεῖ ὁ Θεός, τῆς σωτηρίας κηδόμενος τῶν ἀνθρώπων. εἰ γὰρ ἀεὶ τοῦτο ποιεῖν ἔμελλε, πολλοὶ τῶν ῥαθύμων χείρους ἂν ἐγένοντο, μέγιστον ἐνέχυρον ἔχοντες τοῦ μὴ παθεῖν κακῶς, τὸ διὰ τὴν δόξαν αὐτοῦ διηνεκῶς σώζεσθαι. ἀλλ' οὐ γίνεται τοῦτο. οὐ γὰρ οὕτω μέλει τῆς δόξης αὐτοῦ αὐτῷ, ὡς τῆς σωτηρίας τῆς τῶν ἀνθρώπων. εἰ γὰρ ἄνθρωποι καταφρονοῦσι ταύτης, πολλῷ μᾶλλον ὁ Θεὸς ὁ μὴ δεόμενός τινος τῶν παρ' ἡμῶν· ἀλλ', ὅπερ ἔφην, ὁ προφήτης ἐπειδὴ συνηγόρου τάξιν εἶχε, ἀπὸ τῶν ἐνόντων τὴν συνηγορίαν ποιεῖται, καὶ διπλασιάζει τὸν λόγον, λέγων· μὴ ἡμῖν κύριε, μὴ ἡμῖν· σφόδρα τὴν ἀναξίαν τῶν σωζομένων δεικνύς. ἀλλ' ἢ τῷ ὀνόματί σου δὸς δόξαν. ἡμεῖς μὲν γὰρ μυρίων ἄξιοι κακῶν· ἀλλ' ὅπως τὸ ὄνομά σου μὴ βεβηλωθῇ. ἐπὶ τῷ ἐλέει σου καὶ τῇ ἀληθείᾳ σου. ἕτερος ἑρμηνευτής φησι, διὰ τὸ ἔλεός σου. ὁρᾷς πῶς αὐτὸ καὶ αὐτὸς οἶδε σαφῶς, ὅτι πολλάκις τούτου καταφρονῶν ὁ Θεὸς πρὸς ἓν ὁρᾷ μόνον τὴν τῶν ἁμαρτανόντων διόρθωσιν; διὰ τοῦτο ἐπήγαγεν· ἐπὶ τῷ ἐλέει σου, καὶ τῇ ἀληθείᾳ σου. τουτέστι, διὰ τὸ ἔλεός σου βοήθησον ἡμῖν· εἰ καὶ τῆς δόξης οὐ μέλει σοι τῆς παρὰ τῶν ἀνθρώπων, ἀλλὰ διὰ τὸ ἔλεός σου καὶ τὴν ἀλήθειάν σου. ἔστι γάρ, ἔστι καὶ κολάζοντα δόξαν λαβεῖν, οὐκ ἐλεοῦντα μόνον, ἀλλὰ μὴ οὕτω φησίν, ἀλλὰ διὰ τὸ ἔλεός σου. ἐχρῆν μὲν γὰρ παρ' ἡμῶν τῷ ὀνόματί σου δίδοσθαι δόξαν διὰ τοῦ βίου καὶ τῆς πολιτείας· ἐπειδὴ δὲ τοῦτο προδεδώκαμεν, διὰ τὴν ἀντίληψιν ποίησον, διὰ τὸν ἔλεον, καὶ τὴν φιλανθρωπίαν. μήποτε εἴπωσι τὰ ἔθνη, ποῦ ἐστιν ὁ Θεὸς αὐτῶν; πολλῶν καὶ νῦν εὐχομένων ἀκούω ταῦτα λεγόντων· ἀλλὰ δέος, μήποτε ἄλλως εἴπωσι, τὸ ποῦ ἐστιν ὁ Θεὸς αὐτῶν; ὅταν ἁρπάζωσι πολλοί, καὶ ἀδικῶσι, καὶ μυρία ποιῶσι δεινά. ὁ δὲ Θεὸς ἡμῶν ἐν τῷ οὐρανῷ, καὶ ἐν τῇ γῇ πάντα ὅσα ἠθέλησεν ἐποίησεν. ἐνταῦθα τὴν πλάνην τῶν ἀνοήτων διορθοῦται.

A in cœlis. Quemadmodū ergo gloria & honore in nostris bonis operibus afficitur, ita contumeliis & maledictis incessitur, dum vitam in vitio transigimus. Hoc ipsum per prophetam quoque significās, dicebat: Nomen meum propter vos blasphematur inter gentes. *Esa. 52. 5.* Cùm ergo nulla alia ratione possit eorum causam defendere, eò confugit, sicut etiam Moses. Sed nō idem semper facit Deus, hominum salutis curam gerens. Si enim hoc semper faceret, multi socordes fierent deteriores, quòd nihil mali paterentur, maximum pignus habentes, nēpe qui propter eius gloriam B perpetuò seruarentur. Sed res non ita se habet. Neque enim Deo sua gloria tantæ est curæ, quātæ salus hominum. *Salus hominum Deo magis est curæ, quàm sua gloria.* Si enim homines eam contemnunt, multò magis Deus, qui nullo nostrorum indiget: sed, sicut dixi, quoniam propheta partes defensoris suscipit, eos ab iis, ex quibus licet, defendit, & conduplicatione vtitur, dicens: Non nobis domine, non nobis, ostendens magnam indignitatem eorum qui seruantur. *Sed nomini tuo da gloriam.* Nos enim sumus digni malis innumerabilibus: sed ne pro- C fanetur nomen tuum. 10. *Super misericordia tua & veritate tua.* *Super misericordia et misericordiam.* Alius interpres ait: Propter misericordiā tuam. Vides eum hoc quoque planè sciuisse, quòd Deus id despiciens, vnum solum sibi proponit, nempe vt corrigantur homines. Et ideo subiunxit, Ob misericordiam & veritatem tuam. Hoc est, Propter misericordiam tuam fer nobis auxilium, etsi non sit tibi curæ gloria hominum, sed propter misericordiam & veritatē tuam. Potes enim, potes etiam puniens gloriam accipere, & nō solùm miserens. Sed non sic, inquit, sed pro- D pter tuam misericordiam. Oportebat enim à nobis nomini tuo dari gloriam per bonam vitæ institutionem, sed quoniam hac in re officio nostro functi non sumus, fac id per tuam defensionem, clementiam, & misericordiam. *Nequando dicant gentes: Vbi est Deus eorum?* Audio multos nunc quoque precando hæc dicētes, sed timeo ne nequicquam dicant: Vbi est Deus eorum? quando multi rapiunt, & iniuriam faciunt, & admittunt scelera innumerabilia. 11. *Deus autē noster in cœlo, omnia quæcunque voluit fecit.* Multorū hic errorē corrigit.

Quoniam enim multi Deum esse ignorant, talem eorum sententiam corrigens, dicit: Deus autem noster in cœlo, omnia quæcunque voluit fecit. Si autem in cœlo, multò magis in terra. Quid est autem, in cœlo quæcunque voluit fecit? Vel supernas inquit virtutes, & infinitas illas turmas, vel præcepta quæ cum facilitate peraguntur. Si autem in terra magna est confusio ordinísque perturbatio, ne mireris. A vitio enim hominum, & eorum, qui id persequuntur, improbitate, non autem à Dei imbecillitate oritur. Quòd enim sit fortis & potens, quæ in cœlo fiunt, id significant. Si autem non ita fiat in terra, qui seipsos reddunt indignos, in causa sunt. Porrò autem aliter quoque sumi potest quod dicitur, nempe quòd propter Dei patientiam multa sunt quæ nondum accipiunt iustam remunerationem. Quò fit, vt iusti vincantur ab improbis, dum non vult benignus & clemens Deus de vniuscuiusque peccatis pœnas è vestigio sumere. Nam si hoc faceret, sublatum esset iampridem nostrum genus. Hoc ergo hic dicit. Potens quidem est, & validus, & qui possit pœnas sumere, idque manifestum est ex iis quæ in cœlis fiunt, sed hoc non facit, vtens vbique lenitate & patientia, & attrahens ad pœnitentiam eos, qui vitam transigunt in scelere.

Patientia Dei.

Rom. 2.

12. *Simulachra gentium argentum & aurum, opera manuum hominum.* 13. *Os habent, & non loquentur: oculos habent, & non videbunt.* 14. *Aures habent, & non audient: nares habent, & non odorabunt.* 15. *Manus habent, & non palpabunt: pedes habent, & non ambulabunt: non clamabunt in gutture suo,* 16. *Similes eis fiant qui faciunt ea.*

In psalmo centesimoquinto, eorum insaniam narrans, dixit: Filios & filias suas sacrificarunt dæmoniis: in præsenti autem stupiditatem, & ipsius sensus priuationem, quòd inanimis materiis affixi sunt. Omnia autem eorum membra persequitur, ea fusius ludificans. Deinde subiungens quoque dicit: *Similes eis fiant qui faciunt ea, & omnes qui confidunt in eis.* Atqui virtus est, Deo esse similem, hîc autem est imprecatio. Cogita autem quales sint, cùm vt quis eis euadat similis, sit

ἐπειδὴ γὰρ πολλοὶ ἀγνοοῦσιν εἶναι Θεὸν, τὸ τοιοῦτον δόγμα διορθούμενος, φησίν· ὁ δὲ Θεὸς ἡμῶν ἐν τῷ οὐρανῷ, πάντα ὅσα ἠθέλησεν ἐποίησεν. εἰ δὲ ἐν τῷ οὐρανῷ, πολλῷ μᾶλλον ἐπὶ τῆς γῆς. τί δέ ἐστιν, ἐν τῷ οὐρανῷ πάντα ὅσα ἠθέλησεν ἐποίησεν; ἢ τὰς δυνάμεις τὰς ἄνω φησί, καὶ τοὺς δήμους τοὺς ἀπείρους ἐκείνους· ἢ τὰ ἐπιτάγματα, ἃ μετ᾽ εὐκολίας ἀνύεται. εἰ δὲ ἡ γῆ πολλὴν ἔχει τὴν σύγχυσιν καὶ τὴν ἀταξίαν, μὴ θαυμάσῃς. ἀπὸ τῆς τῶν ἀνθρώπων κακίας, καὶ τῆς πονηρίας τῶν μετιόντων, ἀλλ᾽ οὐ παρὰ τὴν ἀτονίαν τοῦ Θεοῦ τοῦτο γίνεται. ὅτι γὰρ ἰσχυρὸς καὶ δυνατὸς, τὰ ἐν τῷ οὐρανῷ δηλοῖ πραττόμενα. εἰ δὲ ἐν τῇ γῇ οὐχ οὕτως, οἱ ἀναξίους ἑαυτοὺς καθιστῶντες αἴτιοι· καὶ ἑτέρως δ᾽ ἄν τις τοῦτον μεταχειρίσαιτο τὸν λόγον, ὅτι πολλὰ καὶ διὰ μακροθυμίαν οὐδέπω τὴν κατ᾽ ἀξίαν λαμβάνει ἀντίδοσιν. διὰ τοῦτο καὶ πονηροὶ δικαίων περιγίνονται, οὐ βουλομένου τοῦ φιλανθρώπου Θεοῦ παρὰ πόδας ἕκαστον τὰς εὐθύνας ἀπαιτεῖν τῶν πεπλημμελημένων. ἐπεὶ πάλαι ἂν τὸ γένος ἀνηρπάσθη τὸ ἡμέτερον. τοῦτο γοῦν ἐνταῦθά φησιν, ὅτι δυνατὸς μέν ἐστι καὶ ἰσχυρὸς καὶ οἷός τε ἐπεξελθεῖν. καὶ δῆλον ἐκ τῶν ἐν τῷ οὐρανῷ γινομένων· οὐ ποιεῖ δὲ τοῦτο πανταχοῦ τῇ μακροθυμίᾳ χρώμενος, καὶ εἰς μετάνοιαν ἕλκων τοὺς ἐν πονηρίᾳ ζῶντας. τὰ εἴδωλα τῶν ἐθνῶν ἀργύριον καὶ χρυσίον, ἔργα χειρῶν ἀνθρώπων. στόμα ἔχουσι, καὶ οὐ λαλήσουσι· ὀφθαλμοὺς ἔχουσι, καὶ οὐκ ὄψονται· ὦτα ἔχουσι καὶ οὐκ ἀκούσονται· ῥῖνας ἔχουσι, καὶ οὐκ ὀσφρανθήσονται· χεῖρας ἔχουσι καὶ οὐ ψηλαφήσουσι· πόδας ἔχουσι, καὶ οὐ περιπατήσουσιν· οὐ φωνήσουσιν ἐν τῷ λάρυγγι αὐτῶν. ὅμοιοι αὐτοῖς γένοιντο οἱ ποιοῦντες αὐτά. ἐν μὲν τῷ ἑκατοστῷ πέμπτῳ ψαλμῷ τὴν μανίαν αὐτῶν διηγούμενος ἔλεγεν, ὅτι τοὺς υἱοὺς αὐτῶν, καὶ τὰς θυγατέρας ἔθυσαν τοῖς δαιμονίοις· ἐν δὲ τῷ παρόντι τὴν ἀναισθησίαν, ὅτι ταῖς ἀψύχοις ὕλαις προσετήκασι καὶ πάντα αὐτῶν ἐπιὼν τὰ μέλη πλατύτερον τὴν κωμῳδίαν ἐργαζόμενος. εἶτα καὶ ἐπάγων φησίν· ὅμοιοι αὐτοῖς γένοιντο οἱ ποιοῦντες αὐτὰ, καὶ πάντες οἱ πεποιθότες ἐπ᾽ αὐτοῖς. καί τοί γε τοῦτο ἀρετὴ τὸ εἶναι ἴσα Θεῷ· ἀλλ᾽ ἐνταῦθα κατάρα γέγονεν. ἐννόησον οὖν τίνες ἂν εἶεν, ὅταν ἡ πρὸς αὐτοὺς ὁμοίωσις αὐτὴ

ἱερᾶς περιφέρῃ) τῆς ἐσχάτης. καὶ καλῶς οὕτω τὸν λόγον ἐσχημάτισε κωμῳδῶν αὐτοὺς εἰς ἐσχάτην ἄνοιαν, καὶ καταγελάστους δεικνύς. πῶς γὰρ οὐ καταγέλαστον εἰπέ μοι τὸ προσδεδέσθαι ξοάνῳ τύπον ἔχοντι τῆς ἐσχάτης ἀσχημοσύνης; τίς γὰρ ἂν ἕλοιτο γυμνὴν γυναῖκα ἰδεῖν; ὁ δὲ δαίμων καὶ γυμνῷ τύπῳ παρεδρεύει. καὶ νῦν μὲν πορνείας εἰκόνες τὰ ξόανα, νῦν δὲ μανίας τῆς κατὰ τῶν ἀρρένων. τί γὰρ ὁ ἀετὸς βούλεται; τί δὲ ὁ Γανυμήδης; τί δὲ ὁ διώκων τὴν παρθένον Ἀπόλλων; τί δὲ τὰ ἕτερα μυσαρὰ σχήματα; πανταχοῦ ἀσέλγεια, πανταχοῦ ἀκολασία, πανταχοῦ μίξεων ἀθέσμων καὶ ἐρώτων λυσσώντων τύποι. καὶ γὰρ τὰ ξόανα, καὶ αἱ ἑορταὶ, καὶ αἱ πανηγύρεις, καὶ αἱ τελεταὶ, ἔλεγχοι καὶ ὑπομνήματα καὶ διδασκαλίαι τῶν ἀτόπων εἰσίν. οὐ μόνον δὲ τῶν αἰσχρῶν, ἀλλὰ καὶ φόνων τῶν πρὸς ἀνθρώπους. ὅθεν καὶ ἀποθεσπιάζονται τοὺς δαίμονας. οὐδὲν γὰρ ἕτερον παρ' ἐκείνοις, ἢ ἀσέλγεια καὶ μέθαι ἀκόλαστοι, καὶ ὠμότης, καὶ ἀπανθρωπία, καὶ μιαιφονίαι, καὶ τὰς ἑορτὰς ὅλας ἐντεῦθεν συνισταμένας ἴδοι τις ἄν. κωμῳδήσας τοίνυν τῶν εἰδώλων τὴν ἀναισθησίαν, καὶ τὴν ἄνοιαν τῶν πεποιθότων αὐτοῖς, μετάγει τὸν λόγον ἐπὶ τὸν τοῦ Θεοῦ ὕμνον λέγων· οἶκος Ἰσραὴλ ἤλπισεν ἐπὶ κύριον, βοηθὸς καὶ ὑπερασπιστὴς αὐτῶν ἐστιν. οἶκος Ἀαρὼν ἤλπισεν ἐπὶ κύριον, βοηθὸς καὶ ὑπερασπιστὴς αὐτῶν ἐστιν. οἱ φοβούμενοι τὸν κύριον ἤλπισαν ἐπὶ κύριον βοηθὸς καὶ ὑπερασπιστὴς αὐτῶν ἐστι. διὰ γὰρ τούτων καὶ τὴν δύναμιν ἀνακηρύττει, καὶ τὴν ἀσύγκριτον αὐτοῦ καὶ κατὰ πάντων ὑπεροχήν. τὰ γὰρ εἰς τὸν δῆμον τὸν Ἰουδαϊκὸν γενόμενα εἰς μέσον ἄγων, διπλῆν δείκνυσιν αὐτοῦ τὴν εὐεργεσίαν, μᾶλλον δὲ καὶ τριπλῆν. πρῶτον μὲν ὅτι δαιμόνων αὐτοὺς ἀπήλλαξεν· ἔπειτα ὅτι ἑαυτὸν ἐγνώρισεν, καὶ τρίτον, ὅτι καὶ βοήθειαν αὐτοῖς τὴν παρ' ἑαυτοῦ παρέσχε. διαιρεῖ δὲ τὸν λόγον εἴς τε τὸν Ἰσραὴλ, καὶ τὸ ἱερατικὸν γένος, καὶ τοὺς ἐξ ἐθνῶν προσιόντας αὐτῷ. οὐ γάρ ἐστιν ἴσον ἱερεὺς καὶ ἰδιώτης, ἀλλ' ἔχει τι πλέον οὗτος· διὸ καὶ τὴν διαίρεσιν εἰκότως ποιεῖται. καὶ γὰρ μείζων εἰς αὐτοὺς ἡ τιμὴ ἐγένετο. εἶτα δεικνὺς, ὅτι οὐκ εἰς τὰ Ἰουδαϊκὰ αὐτοῦ κατεκέκλειστο ἡ πρόνοια, καὶ τῶν προσηλύτων ἐμνήσθη, τῶν ἐκ τῶν ἐθνῶν

A summa imprecatio. Atque orationem quidem sic pulchrè figurauit, eos extremæ amentiæ insimulans, & esse ridiculos ostendens. Quomodo autem non est, dic quæso, ridiculum, vinctum teneri à statua, quæ habet in se figuram summæ turpitudinis? Quis enim velit nudam videre mulierem? Dæmon autem nudæ quoque figuræ assidet. Et nunc quidem statuæ sunt imagines fornicationis, nunc insani in masculos amoris. Quid enim sibi vult aquila? Quid verò Ganymedes? Quid Apollo, qui virginem persequitur? B Quid aliæ execrandæ figuræ? Vbique libido, vbique lasciuia nefariorum concubituum, & insanorum amorum sunt vbique figuræ. Statuæ enim, & festa, & publici conuentus, & initia ac mysteria, turpissimarum rerum indicia sunt, monimenta, & documenta. Nec solum docentur res turpes, sed etiam hominum cædes ex eis ediscuntur. Vnde etiã auersantur dæmones. Nihil est enim aliud apud illos, quàm libido, & impudicitia, & intemperantes ebrietates, crudelitas, & inhumanitas, & C cædes; atque hinc videri possunt conflata esse festa. Cùm itaque simulachra nullo sensu prædita, & eorum qui illis confidunt amentiam esset ludificatus, ad Dei laudem conuertit orationem, dicens: 17. *Domus Israel sperauit in domino, adiutor & protector eorum est.* 18. *Domus Aaron sperauit in Domino, adiutor eorum & protector eorum est.* 19. *Qui timent dominum, sperauerunt in domino: adiutor eorum & protector eorum est.* Per hæc enim & Dei potentiam prædicat, & eius incomparabilem & super omnes excellentiam. Quæ enim Iudaico populo D facta sunt, in medium adducens, ostendit eius duplex, imò verò triplex beneficium. Primùm quidem quòd eos liberauerit à dæmonibus: deinde quòd seipsum manifestauerit: tertiò autem quòd eis suum præbuerit auxilium. Diuidit autem orationem in Israëlem & genus sacerdotale, & eos qui ad eum accedunt ex gentibus. Non est enim conferendus priuatus cum sacerdote, sed hic eum longè superat: & ideo meritò eam facit diuisionem. Maior enim est eis honor habitus. Deinde ostendens prouidentiam non esse rebus tantum Iudaicis conclusam, Proselytorum quoque meminit, qui

Idolorum pernicies. Psal. 95. Zach. 10.

Sacerdos priuatum longè superat.

accedunt ex gentibus, auxilium & benedictionem factam in omnes esse dicens. 20. *Dominus memor fuit nostri, & benedixit nobis. Benedixit domui Israel, benedixit domui Aaron.* 21. *Benedixit iis qui timent Dominum, pusillis cum maioribus*, Quid est, Benedixit? Impleuit, inquit, bonis innumerabilibus. Etenim homo quoque Deum benedicit, vt quando dicit, Benedic anima mea dominum. Sed qui Deum benedicit, ipse lucratur: seipsum enim reddit clariorem, illi autem nihil largitur. Deus autem benedicens, nos reddit clariores: ipse autem nihil accipit. Deus enim nulla re indiget: itaque lucrum vtrinque nostrum est. Quomodo autem eos benedixit? Dedit eis panem è cœlo, aquam pluit è petra, introitum eorum & exitum custodiit, armenta & greges eorum auxit, peculiarem populum nominauit, & regale sacerdotium, legem dedit, prophetas misit. Hæc etiam alibi prædicans dicit: Non fecit taliter omni nationi, & iudicia sua non manifestauit eis. Et alius, Quænam gens est adeò sapiens, cui appropinquat dominus Deus eius? Pusillis cum maioribus. Nullum, inquit, fuit genus cui defuerit benedictio, sed hæc omnia ad omnes extensa sunt. 22. *Adyciat Dominus super vos, super vos & super filios vestros.* Vidisti aliud genus benedictionis, nempe vt crescat genus. Et ideo alius contrarium pro supplicio afferens, dicit: Et diminuti sumus, & sumus pauci præter omnes qui habitant terram. Hac benedictione fruebantur etiam cùm essent in Ægypto, licet essent innumerabilia quę prohibebant, opera, afflictio, & calamitas, eorum qui vrgebant, crudelitas: sed nihil eorum verbum Dei interrupit, sed eò processit benedictio, vt in ducentis annis fierent sexcenta millia. Sed tunc quidem in his consistebat benedictio, nunc autem in nouo, in multò melioribus. Et ideo dicit Paulus: Benedictus Deus, qui benedixit nos in omni benedictione spirituali in cœlestibus in Christo. Et rursus: Ei autem qui potest omnia facere longè abundantius quàm petimus vel cogitamus, ei gloria in ecclesia. Et ideo Prophetæ quoque antiquitus quærentes

Benedicere Dei. Psal. 102. 1. Benedicere homin.

Psal. 25. Exod. 16. Psal. 110. Deut. 21. Exod. 29. Psal. 147. 8. Deut. 4.

Hier. 42.

Benedictio Hebræorũ in Ægypto. Exod. 12.

Benedictio vetus & noua. Ephes. 1.

Ephes. 3.

4. Reg. 41.

A προσιόντων τὴν τε βοήθειαν, καὶ τὴν εὐλογίαν εἰς ἅπαντας γεγενῆσθαι λέγων. κύριος μνησθεὶς ἡμῶν, εὐλόγησεν ἡμᾶς. εὐλόγησε τὸν οἶκον Ἰσραήλ. εὐλόγησε τὸν οἶκον Ἀαρών· εὐλόγησε τοὺς φοβουμένους τὸν κύριον. τί ἐστιν εὐλόγησεν; μυρίων, φησὶν, ἐνέπλησεν ἀγαθῶν. εὐλογεῖ μὲν γὰρ καὶ ἄνθρωπος Θεὸν, ὡς ὅταν λέγῃ, εὐλόγει ἡ ψυχή μου τὸν κύριον· ἀλλ' ὁ τὸν Θεὸν εὐλογῶν αὐτὸς κερδαίνει, λαμπρότερον ἑαυτὸν καθιστάς, οὐκ ἐκείνῳ τι χαριζόμενος· ὁ δὲ Θεὸς εὐλογῶν ἡμᾶς λαμπροτέρους ποιεῖ οὐκ αὐτός τι B προσλαμβάνει. ἀνενδεὲς γὰρ τὸ θεῖον· ὥστε ἑκατέρωθεν ἡμέτερόν ἐστι τὸ κέρδος. πῶς δὲ εὐλόγησεν αὐτούς; ἄρτον αὐτοῖς ἐξ οὐρανοῦ ἔδωκεν· ὕδωρ ὤμβρησεν ἐκ πέτρας· τὰς εἰσόδους αὐτῶν καὶ τὰς ἐξόδους ἐφύλαξε· τὰ βουκόλια αὐτῶν ἐπλήθυνε καὶ τὰ ποίμνια αὐτῶν· λαὸν περιούσιον ὠνόμασε, καὶ βασίλειον ἱεράτευμα. νόμον ἔδωκε, προφήτας ἔπεμψε· ταῦτα καὶ ἀλλαχοῦ κηρύττων, οὐκ ἐποίησε, φησιν, οὕτω παντὶ ἔθνει, καὶ τὰ κρίματα αὐτοῦ οὐκ ἐδήλωσεν αὐτοῖς. καὶ ἄλλος· ποῖον ἔθνος οὕτω σοφὸν, ᾧ ἐγγίζει κύριος ὁ Θεός; τοὺς μικροὺς μετὰ τῶν μεγάλων· οὐδὲ C ἓν γένος φησὶν, ἔρημον εὐλογίας ἦν· ἀλλ' εἰς πάντας ἐκτέταται ταῦτα. προσθείη κύριος ἐφ' ἡμᾶς· ἐφ' ἡμᾶς, καὶ ἐπὶ τοὺς υἱοὺς ὑμῶν. εἶδες ἕτερον εὐλογίας εἶδος τὸ ἐπιδοῦναι τὸ γένος; διὰ δὴ τοῦτο ἐν τάξει κολάσεως τὸ ἐναντίον ἕτερος προσφέρων φησί· καὶ ἐσμικρύνθημεν, καὶ ἐσμὲν ὀλιγοστοὶ παρὰ πάντας τοὺς κατοικοῦντας τὴν γῆν. ταύτης τῆς εὐλογίας καὶ ἐν Αἰγύπτῳ ὄντες ἀπήλαυον, καί τοι μυρίων ὄντων τῶν διακωλυόντων, τῶν ἔργων, τῆς ταλαιπωρίας, τῆς τῶν ἐνεστηκότων ὠμότητος· ἀλλ' οὐδὲν τοῦ Θεοῦ τὸν λόγον διέκοπτεν, ἀλλ' οὕτω προῄει τὰ τῆς D εὐλογίας, ὡς ἐν διακοσίοις ἔτεσι ἑξακοσίας γενέσθαι χιλιάδας. ἀλλὰ τότε μὲν ἐν τούτοις τὰ τῆς εὐλογίας, νυνὶ δὲ ἐν πολλῷ βελτίοσιν ἐπὶ τῆς χάριτος. διό φησι Παῦλος· εὐλογητὸς ὁ Θεὸς, ὁ εὐλογήσας ἡμᾶς ἐν πάσῃ εὐλογίᾳ πνευματικῇ ἐν τοῖς ἐπουρανίοις ἐν Χριστῷ. καὶ πάλιν· τῷ δὲ δυναμένῳ ὑπὲρ πάντα ποιῆσαι ὑπὲρ ἐκπερισσοῦ ὧν αἰτούμεθα ἢ νοοῦμεν, αὐτῷ ἡ δόξα ἐν τῇ ἐκκλησίᾳ. διὰ δὴ τοῦτο καὶ οἱ προφῆται τὸ παλαιὸν εὐεργεσίας ζητοῦν-

ζητοῦντες, ταύτην τὴν εὐλογίαν παρεῖχον. ὁ γὰρ Ἐλισσαῖος τὴν ὑποδεξαμένην τῇ τοῦ παιδὸς δόσει ἀμείβεται. ἐπὶ δὲ τῆς καινῆς οὐ ταῦτα, ἀλλὰ πολλῷ μείζονα. ἡ γοῦν πορφυρόπωλις οὐ ταῦτα ᾔτει παρὰ τῶν ἀποστόλων, ἀλλὰ τί; εἰ οὖν κεκρίκατέ με ἀναξίαν τῷ κυρίῳ, εἰσελθόντες μείνατε παρ' ἐμοί. εἶδες πόσον τὸ μέσον, καὶ τίνα μὲν ᾔτουν οἱ ἐν τῇ παλαιᾷ, τίνα δὲ οἱ ἐν τῇ καινῇ; καὶ πάλιν ὁ Χριστός, χαίρετε, ὅτι τὰ ὀνόματα ὑμῶν ἐγράφη ἐν τοῖς οὐρανοῖς· καὶ ὁ Παῦλος· ὁ δὲ Θεὸς πληρώσαι ὑμᾶς πάσης χάριτος καὶ ἐλπίδος ἐν τῷ πιστεύειν εἰς τὸ περισσεύειν ἐν τῇ ἐλπίδι, ἐν δυνάμει πνεύματος ἁγίου. εἶδες εὐλογίας δύναμιν τὰ ἀπόρρητα χαριζομένην ἀγαθά, καὶ οὐδὲν ἔχουσαν γήϊνον; καὶ πάλιν ὁ Παῦλος· ὁ Θεὸς συντρίψει τὸν Σατανᾶν ὑπὸ τοὺς πόδας ὑμῶν ἐν τάχει. ἀλλ' ἐν τῇ παλαιᾷ, ὅτε παχύτερον τὰ τῶν ἀνθρώπων διέκειτο, ἀπὸ τῶν αἰσθητῶν τὰ τῆς εὐλογίας ὑφαίνετο, καὶ ἡ πολυπαιδία μέγιστον πρᾶγμα εἶναι ἐνομίζετο. ἐπειδὴ γὰρ ἐκ τῆς ἁμαρτίας εἰσῆλθεν ὁ θάνατος, παραμυθούμενος τὸ γένος ὁ Θεός, καὶ δεικνύς, ὅτι οὐ μόνον οὐκ ἀναλώσει, οὔτε πανωλεθρίᾳ παραδώσει, ἀλλὰ καὶ πολλῷ πλείους ἔσονται τῶν προτέρων φησίν· αὐξάνεσθε, καὶ πληθύνεσθε. ἐπειδὴ δὲ ἐγνώσθη ὕπνος ὢν ὁ θάνατος, εἰσήγετο τὸ τῆς παρθενίας καλόν. διὸ καὶ ὁ Παῦλος ἔλεγε· θέλω δὲ πάντας ἀνθρώπους εἶναι ἐν ἐγκρατείᾳ ὡς καὶ ἐμαυτόν· καὶ πάλιν καλὸν ἀνθρώπῳ γυναικὸς μὴ ἅπτεσθαι, καὶ ὁ Χριστός· εἰσὶν εὐνοῦχοι, οἵτινες εὐνούχισαν ἑαυτοὺς διὰ τὴν βασιλείαν τῶν οὐρανῶν. ἄλλως δὲ καὶ ἐν ἀρχῇ τοῦτο ᾐνίξατο, ὅτι ἀρετῆς οὐ πολυπαιδίας χρεία, καὶ ἄκουε πῶς. λέγει γάρ τις σοφός· μὴ ἐπιθύμει πλῆθος τέκνων ἀχρήστων, εἰ μὴ ἔστι μετ' αὐτῶν φόβος Θεοῦ, καὶ μὴ ἔπεχε ἐπὶ τὸ πλῆθος αὐτῶν· κρεῖσσον γὰρ εἷς ἢ χίλιοι, καὶ ἀποθανεῖν ἄτεκνον, ἢ ἔχειν τέκνα ἀσεβῆ· καὶ κρείσσων εἷς ποιῶν τὸ θέλημα κυρίου, ἢ μύριοι παράνομοι· ἀλλ' οἱ ἀναίσθητοι Ἰουδαῖοι, καὶ πρὸς τὴν σάρκα κεχηνότες ἀεί, καὶ ἀρετῆς ἀμελοῦντες ἔλεγον τί ζητεῖ ὁ Θεός, ἀλλ' ἢ σπέρμα; δεικνὺς τοίνυν αὐτοῖς, ὅτι οὐ τοῦτο ζητεῖ, μυριάκις αὐτοὺς ἀπώλεσεν ἀρετῆς ἐρήμους ὄντας. εὐλογημένοι ὑμεῖς τῷ κυρίῳ. καλῶς προσέθηκε, τῷ κυρίῳ.

A beneficia, præbebant hanc benedictionem. Helisæus enim eã, quæ illũ suscepit, largitione filij remuneratus est. In nouo autem nõ hæc, sed multò maiora. Itaque purpuraria non hæc petebat ab Apostolis, sed quid? Si non iudicastis me indignam Domino, ingressi, inquit, manete apud me. Vides quantum intersit, & quænam quidem petebant qui erant in veteri, & quænam qui in nouo? Et rursus Christus: Gaudete, quia nomina vestra scripta sunt in cœlis. Et Paulus: Deus autem impleat vos gratia & spe in credendo, vt abun- B detis in spe, in virtute Spiritus sancti. Vidisti vim benedictionis, quæ bona largitur ineffabilia, & nihil habet terrenum? Et rursus Paulus: Deus autem conteret Satanam sub pedibus vestris celeriter. Sed in veteri, quando homines erant crassiores, ex sensilibus contexebatur benedictio, & multorum liberorũ susceptio existimabatur esse res maxima. Quoniam enim mors ingressa erat ex peccato, Deus genus consolans, & ostendens eam non modo non consumpturam, nec interitum allaturam, C sed longè etiam plures quàm ante futuros, inquit, Crescite, & multiplicamini. Postquam autem cognitum fuit mortem esse somnum, introductum est bonum virginitatis. Et ideo dicebat Paulus: Volo autem omnes homines esse in continentia, sicut & meipsum. Et rursus: Bonum est homini mulierem non tangere. Et Christus: Sunt eunuchi, qui se castrarunt propter regnum cœlorum. Quanquam alioqui etiam in principio obscurè significauit opus esse virtute, non filiorum multitudine. Audi autem quomodo. Dicit D enim quidam sapiens: Ne desidera multitudinem filiorum inutilium, nisi [illegible] timor Dei cum ipsis: neque attende eorum multitudinem. Melior est enim vnus quàm mille: & mori sine filiis, quàm habere filios impios: & melior est vnus faciens voluntatem Domini, quàm innumerabiles impij. Iudæi autem nullo planè sensu præditi, ad carnem semper aspirantes, & virtutem negligentes, dicebant: Quid quærit Deus, nisi semen? Eis ergo ostendens se hoc non quærere, eos millies perdidit, cùm virtute carerent. 23. *Benedicti vos à Domino.* Rectè adiecit, Domino:

Act.16.15. *Luc.10.20.* *Rom.15.13.* *Rom 16. 20.* *Deut.28.* *Rom.5.12.* *Gen. 2.* *Virginitatis bonum vt introductũ.* *1. Cor.7.7.* *Matt.19. 12.* *Eccli.16.1.* *Iudæorũ carnalitas.*

Benedictio hominum. Sunt enim etiam qui benedicuntur apud homines, sed sunt res illorum humanæ. Hæc est autem maxima benedictio. Homines quidem benedicunt, hoc est, laudant & celebrant eos quorum magnæ sunt opes, gloria & potentia. Sed hæc quidem benedictio est & fluxa & momentanea, quinetiam quando adest, nihil omnino affert lucri. *Benedictio Dei.* Dei autem beneuolentia est perpetua, & in rebus maximis præbet vtilitatem. *Psal. 32.* *Qui fecit cœlum & terram.* Vidisti quanta sit vis benedictionis. Verba enim eius fiunt opera. Cœlum quidem certè verbum eius effecit. Verbo, inquit, domini cœli firmati sunt. Illo verbo te benedicit, quòd tanta potest. 24. *Cœlum cœli Domino, terram autem dedit filiis hominum.* Quid dicis? Elegit sibi habitaculum in cœlo, & superioribus acceptis partibus, nobis quæ hic sunt assignauit? Absit. Non ita habet, sed est oratio quæ se dimittit ad captum auditorum. Si enim ita haberet, quomodo staret a- *Hier. 23. 24* liud, quod à Deo dicitur? Nunquid cœlum & terram impleo, dicit dominus? Illud enim est huic contrarium, si id acceperimus prout verborum, quæ se ad manum offert, sonat prolatio, & non considerauerimus contemplationem quæ est in eis recondita. Quid est ergo quod dicit: cœlum cœli domino, terram autem dedit filiis hominum? *Esa. 66. 1.* Vsus est oratione quæ se demittit ad captum auditorum, non Deum cœlo includens. Neque enim illud, Cœlum est sedes eius, & terra scabellum pedum eius: quemadmodum nec illud, Cœlum & terram impleo, pro eius dignitate dictum est, sed ipsum quoque est demissio ad captum auditoris. Ipse enim omnia continet, omnia fert, non egens loco, sed ipse omnia simul regens & moderans: sed dicitur cœlum eius domus, quòd sit locus purus à vitio. *Cœlum quare dicitur domus Dei.* Quemadmodum ergo hic non est cœlum locus ab eo delectus: ita nec quando dicit, Statuit terminos gentium secundùm numerum Angelorum Dei, *Deut 32. Psal. 13.* vel quòd elegit domũ Iacob. Neque enim hic hoc dicit, Iudæos quidem esse eius, cæteros autẽ homines nõ itidem: sed esse eius prouidentia, & opificio nudatos & priuatos. Est enim cõmunis v- *Deus communis vniuersorum. Rom. 3.* niuersorum Deus. Hac autem oratione vsus est ostẽdens suum in eos amorem,

A τοῦτο γὰρ μάλιστα εὐλογία. εἰσὶ γὰρ καὶ παρὰ ἀνθρώποις εὐλογούμενοι, ἀλλ' ἀνθρώπινα τὰ ἐκείνων. ἡ δὲ μεγίστη εὐλογία αὕτη. ἄνθρωποι μὲν γὰρ εὐλογοῦσι, τουτέστιν, ἐγκωμιάζουσιν, ἐπαινοῦσι τοὺς ἐν πλούτῳ καὶ δυναστείαις καὶ δόξαις ὄντας, ἀλλ' αὕτη ἡ εὐλογία πρόσκαιρος, καὶ ἡνίκα ἂν παρῇ, οὐδὲν ἔχουσα κέρδος· ἡ δὲ τοῦ Θεοῦ διηνεκής, καὶ ἐν τοῖς μεγίστοις παρέχουσα τὴν ὠφέλειαν. τῷ ποιήσαντι τὸν οὐρανὸν καὶ τὴν γῆν. εἶδες ὅση τῆς εὐλογίας ἡ ἰσχύς; τὰ γὰρ ῥήματα αὐτοῦ ἔργα γίνεται. τὸν γοῦν οὐρανὸν τὸ ῥῆμα αὐτοῦ πεποίηκε. Τῷ λόγῳ γάρ φησι, κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν. ἐκείνῳ τῷ λόγῳ σε εὐλογεῖ τῷ τοσαῦτα δυναμένῳ· ὁ οὐρανὸς τοῦ οὐρανοῦ τῷ κυρίῳ. τὴν δὲ γῆν ἔδωκε τοῖς υἱοῖς τῶν ἀνθρώπων. τί λέγεις, ἐξελέξατο τὸν οὐρανὸν οἴκημα ἑαυτῷ. καὶ τὰ ὑπερῷα λαβὼν ἡμῖν ἀφώρισε τὰ ἐνταῦθα, ἄπαγε; οὐκ ἔστι τοῦτο, ἀλλὰ συγκαταβάσεως ὁ λόγος. εἰ γὰρ τοῦτό ἐστι, πῶς τὸ ἕτερον ἕστηκε τὸ παρὰ τοῦ Θεοῦ λεγόμενον· οὐχὶ τὸν οὐρανὸν καὶ τὴν γῆν ἐγὼ πληρῶ λέγει κύριος; ἐκεῖνο γὰρ ἐναντίον τούτῳ. εἰ κατὰ τὴν προχείρησιν αὐτοῦ προφορὰν ἐκδεξώμεθα, καὶ μὴ τὴν ἀποκειμένην αὐτοῖς σκοπήσωμεν θεωρίαν. τί οὖν ἐστιν ὅ φησιν; ὁ οὐρανὸς τοῦ οὐρανοῦ τῷ κυρίῳ· τὴν δὲ γῆν ἔδωκε τοῖς υἱοῖς τῶν ἀνθρώπων. συγκαταβατικῷ κέχρηται λόγῳ, οὐκ ἀποκλείων ἐν τῷ οὐρανῷ τὸν Θεόν, οὐδὲ γὰρ ὁ οὐρανὸς θρόνος αὐτοῦ καὶ ἡ γῆ ὑποπόδιον· ὥσπερ οὐδὲ τὸ οὐρανὸν, καὶ τὴν γῆν ἐγὼ πληρῶ, ἀξίως αὐτοῦ εἴρηται· ἀλλὰ καὶ αὐτὸ συγκατάβασις. πάντα γὰρ αὐτὸς περιέχει, πάντα φέρει, οὐ δεόμενος τόπου, ἀλλ' αὐτὸς ἅπαντα συγκρατῶν· ἀλλὰ λέγεται ὁ οὐρανὸς αὐτοῦ οἶκος, διὰ τὸ καθαρὸν εἶναι χωρίον πονηρίας. ὥσπερ οὖν ἐνταῦθα οὐκ ἐκλογὴ ὁ οὐρανός· οὕτως οὐδὲ ὅταν λέγῃ ἔστησεν ὅρια ἐθνῶν κατὰ ἀριθμὸν ἀγγέλων Θεοῦ, ἢ ὅτι ἐξελέξατο τὸν οἶκον Ἰακώβ. οὐδὲ γὰρ ἐνταῦθα φησὶ τοῦτο, ὅτι οἱ μὲν οἱ Ἰουδαῖοι αὐτοῦ, οἱ δὲ ἄλλοι ἄνθρωποι οὐκ ἔτι· ἀλλ' ἔρημοι τῆς προνοίας αὐτοῦ εἰσι, καὶ τῆς δημιουργίας ἀπεστέρηνται. κοινὸς γὰρ ἁπάντων Θεός ἐστι, κέχρηται δὲ τῷ λόγῳ τούτῳ, δηλῶν τὸν πόθον τὸν περὶ αὐτούς,

ἐπειδὴ ὁπωσοῦν τῶν ἄλλων ἐδόκουν εἶναι ἀμείνους. ὅτι γὰρ οὐκ αὐτοὺς ἐξελέξατο μόνους, ἀλλὰ πάντων ἦν κηδεμὼν, δεικνῦσι μὲν καὶ τὰ πρὸ Μωϋσέως, οὐκ ἔλαττον δὲ καὶ τὰ ἐπ' αὐτοῦ· καὶ μετὰ τοῦτον τὰ καθ' ἕκαστον γινόμενα. τόν τε γὰρ ἥλιον, τὴν γῆν, τὴν θάλασσαν, τὰ ἄλλα πάντα κοινῇ πᾶσιν ἔδωκε, τόν τε φυσικὸν νόμον πᾶσιν ἐνέσπειρε· τόν τε Ἀβραὰμ Πέρσην ὄντα, καὶ ἐφίλει, καὶ μετῴκισε. τούς τε γὰρ Αἰγυπτίους, τούς τε ἐν τῇ Χαναάμ, τούς τε ἀπὸ Περσίδος ἐλθόντας, δι' αὐτοῦ διώρθωσε, πάλιν διά τε τοῦ παιδὸς τοῦ ἐκείνου καὶ τοῦ ἐκγόνου πολλοὺς τῶν ἐκεῖ γειτόνων βελτίους ἐποίει τὸ γοῦν ἑαυτοῦ μέρος. ἐπειδὴ δὲ καὶ Μωϋσῆς ἐτέχθη, μετὰ ταῦτα διὰ τῶν εἰς τοὺς Ἰουδαίους γινομένων τοὺς Αἰγυπτίους πρὸς θεογνωσίαν ἐχειραγώγει, καὶ τοὺς ἐν Παλαιστίνῃ, καὶ μετὰ ταῦτα τοὺς ἐν Βαβυλῶνι. οὕτως ὅταν λέγῃ, ὁ οὐρανὸς τοῦ οὐρανοῦ τῷ κυρίῳ, τοῦτο λέγει. ὅτι διὰ τοῦτο ἐπαναπαύεται τοῖς ἐκεῖ, ἐπειδὴ πάσης εἰσὶ πονηρίας ἀπηλλαγμένοι. καὶ σὺ δὲ ἂν μὴ τῇ γῇ προσηλωμένος ᾖς, ἀλλ' ἄγγελος γένῃ, ταχέως εἰς τὸν οὐρανὸν καὶ τὸν πατρῷον οἶκον ἀναβήσῃ, καὶ πρὸ τῆς ἀναστάσεως δὲ ἐντεῦθεν ἤδη μετέστης, καὶ τὸ ἀξίωμα ἔχεις. καθάπερ γὰρ πολλοὶ τῶν εἰς τὴν μεγάλην σύγκλητον τελούντων καὶ ἐν ἀγρῷ διατρίβοντες τὸ ἀξίωμα ἔχουσι· οὕτω καὶ σὺ ἐὰν βουληθῇς ἐν οὐρανῷ πολιτεύεσθαι, καὶ ἐνταῦθα διατρίβων ἀπολαύσῃ τῆς ἀξίας ἐκείνης. οὐχὶ οἱ νεκροὶ αἰνέσουσί σε κύριε, οὐδὲ πάντες οἱ καταβαίνοντες εἰς ᾅδου. ἀλλ' ἡμεῖς οἱ ζῶντες εὐλογήσομεν τὸν κύριον ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος. νεκροὺς οὐ τοὺς τετελευτηκότας φησὶν, ἀλλὰ τοὺς ἐν ἀσεβείαις ἐναποθανόντας, ἢ τοὺς ἐν ἁμαρτήμασι κατασαπέντας· ἐπεὶ καὶ Ἀβραὰμ τετελευτηκὼς ἦν, καὶ Ἰσαὰκ, καὶ Ἰακὼβ, ἀλλ' ὅμως οὕτως ἔζων, ὡς τὴν ἐκείνων μνήμην ποιεῖσθαι τοὺς ζῶντας. ὁ γοῦν Μωϋσῆς ὑπὲρ τοῦ ὑπ' αὐτοῦ δημαγωγουμένου λαοῦ προσευχόμενος, δι' αὐτῶν δυσωπεῖ τὸν Θεὸν, εἰς ἱκετηρίαν αὐτοὺς προσλαβών. καὶ οἱ τρεῖς δὲ παῖδες διὰ τούτους ἀξιοῦσι σώζεσθαι, διὸ καὶ λέγουσι· μὴ ἀποστήσῃς τὸ ἔλεός σου ἀφ' ἡμῶν, δι' Ἀβραὰμ τὸν ἠγαπημένον ὑπὸ σοῦ, καὶ διὰ Ἰσαὰκ τὸν δοῦλόν σου, καὶ Ἰσραὴλ τὸν ἅγιόν σου. εἰ δὲ τοσαύτην εἶχον ἰσχὺν, πῶς ἦσαν νεκροί;

A quandoquidem videbantur quomodocunque aliis esse meliores. Quòd enim nō eos solos elegerit, sed omnium curam gerat, ostendunt & quæ ante Mosem facta sunt: non minus autem ostendunt & quę eius tempore fiebant, & quę post eum fiunt in singulis. Solem enim, terram, mare, alia omnia dedit omnibus communiter, legem naturæ omnibus inseruit. Abraham, cùm esset Persa, & amauit, & à sua regione traduxit. Nam & Ægyptios, eos qui habitabant in Chanaan, & Persas per ipsum correxit. Et rursus per eius filium & B nepotem multos ex vicinis meliores reddidit, quod quidē ad eum attinuit. Vbi autē Moses quoque post hæc natus est, per ea quæ Iudæis fiebant, deducebat Ægyptios ad Dei cognitionem, & eos qui erant in Palæstina, & post hæc rursus eos qui erāt in Babylone. Ita etiam quando dicit, Cœlum cœli domino, hoc dicit, quòd propterea in illis requiescit, quia sunt ab omni vitio liberi. Quinetiam tu quoque si non terræ affixus fueris, sed angelus efficiaris, celeriter in cœlum & domum paternam C conscendes: atque adeò vel ante resurrectionem ex hoc iam loco migrasti, esque iam authoritate & dignitate præditus. Quemadmodum enim multi eorum qui sunt in numerum magni senatus relati, etsi ruri habitent, habent tamen dignitatem: ita si tu quoque volueris esse eius cœlestis, etiamsi hic habites, illa dignitate fruêre. 25. *Non mortui laudabunt te Domine, neque omnes qui descendunt in infernum.* 26. *Sed nos qui viuimus, benedicimus Domino ex hoc nunc & vsque in seculum.* Mortuos dicit non eos, qui vita functi sunt, sed eos, qui D mortui sunt in impietatibus, vel eos, qui in peccatis suis marcuerunt. Erat enim mortuus Abraham, Isaac, & Iacob: ita tamen viuebant, vt illorum memoriam illi, qui viui erant, peragerent. Moses itaque orans pro populo quem regebat, per eos Deum placat, cùm eos adhibuisset in precibus. Tres quoque pueri rogant, vt propter eos seruentur, & ideo dicunt: Ne auferas misericordiam tuam à nobis, propter Abraham dilectum tuum, & propter Isaac seruum tuum, & Israel sanctum tuum. Si autem tanta erat eorum potentia, quomodo erant mortui?

Rom. 1. Gen. 12.

Homo ut fiat angelus.

Collatio.

Exod. 32.

Dan. 3. 35.

Et rursus Christus: Sine mortuos suos. [*Matt. 8. 22*] Et ideo Paulus eos qui sunt mortui, non vocat mortuos, sed eos qui dormierunt, scribens: Nolo autem vos ignorare fratres de iis qui dormierunt. [*1 Thes. 4. 12.*] Iustus enim etsi obierit, non mortuus est, sed dormit. [*Mors iusti somnus.*] Dormit enim, qui ad meliorem vitam est transmittendus. Qui autem ad immortalem mortem est abducendus, etiam viuus vitam finiuit, & est mortuus. Illi descendunt ad inferos: hi in cœlum ascendent, & erunt cum Christo. Et ideo Propheta non dixit absolutè, Qui viuunt: sed, Nos qui viuimus, hoc de se dicens. Et quare non dixit, Qui viuunt, sed adiecit, Nos qui viuimus? Quoniam Paulus quoque sic dixit: [*1. Thes. 4. 14.*] Nos qui viuimus, qui reliqui sumus, non præueniemus eos in aduentum Domini. Quemadmodum illic illud, Nos, quod adiectum est, non finit id quod dictum est dici de omnibus, sed de fidelibus, & iis qui sunt vitæ instituti similes, ita etiam hic illud, Nos qui viuimus, dicit eos, qui conuenienter Dauid in virtute vitam agunt. Ex hoc nunc & vsque in seculum: Vides etiam hoc quod subiungit, id significare? Quidnam? Quòd id dicit de iis qui vitam in virtute transigunt. Nemo enim in hac vita viuit æuum, sed ij soli qui perpetuò vitam agunt cum gloria. [*Esa. 66. Matth. 25.*] Nam peccatores quoque viuunt, sed in pœna, & supplicio, & stridore dentium: hi autem in claritate & splendore maximo, vtpote quorum sit munus vnà cum incorporeis potestatibus offerre Deo hymnos mysticos. Vt ergo nos quoque fruamur hoc gaudio, hanc vitam persequamur, vt ad illam quoque vitæ conditionem veniamus, quam nec sermo explicare, neque mens cogitare, nec aliquid aliud potest indicare, sed ipsa sola experientia ostendit eius beatitudinem. Quam detur nobis omnibus assequi benignitate & clementia domini nostri Iesu Christi, cui gloria & potentia in secula seculorum, Amen.

[A] καὶ πάλιν ὁ Χριστός, ἄφες τοὺς νεκροὺς θάψαι τοὺς ἑαυτῶν νεκρούς. διὰ τοῦτο Παῦλος τοὺς ἀποθανόντας, οὐ νεκροὺς καλεῖ, ἀλλὰ τοὺς κοιμηθέντας γράφων· οὐ θέλω δὲ ὑμᾶς ἀγνοεῖν ἀδελφοὶ περὶ τῶν κεκοιμημένων. ὁ γὰρ δίκαιος κἂν τελευτήσῃ, οὐ τέθνηκεν, ἀλλὰ καθεύδει. ὁ γὰρ μέλλων εἰς ζωὴν βελτίονα διαπέμπεσθαι καθεύδει. ὁ δὲ μέλλων εἰς θάνατον ἀθάνατον ἀπάγεσθαι καὶ ζῶν τετελεύτηκεν, καὶ νεκρός ἐστιν. ἐκεῖνοι εἰς ᾅδην καταβαίνουσιν· οὗτοι εἰς οὐρανὸν ἀναβήσονται, καὶ μετὰ Χριστοῦ ἔσονται. διὰ δὴ τοῦτο καὶ ὁ προφήτης [B] οὐχ ἁπλῶς εἶπεν, οἱ ζῶντες, ἀλλ' ἡμεῖς οἱ ζῶντες, καὶ τὸ καθ' ἑαυτὸν θείς. καὶ διὰ τί μὴ εἶπεν οἱ ζῶντες, ἀλλὰ προσέθηκεν ἡμεῖς; ὅτι καὶ Παῦλος οὕτως εἶπεν· ὅτι ἡμεῖς οἱ ζῶντες οἱ περιλειπόμενοι οὐ μὴ φθάσωμεν εἰς τὴν παρουσίαν τοῦ κυρίου. καθάπερ ἐκεῖ τὸ ἡμεῖς προσκείμενον, οὐκ ἀφίησι τὸ εἰρημένον περὶ πάντων λέγεσθαι, ἀλλὰ περὶ τῶν πιστῶν, καὶ ἐκείνοις κατὰ τὴν πολιτείαν ἐοικότων· οὕτω καὶ ἐνταῦθα τὸ ἡμεῖς οἱ ζῶντες τοὺς κατὰ τὸν Δαβὶδ λέγει, καὶ τοὺς ἐν ἀρετῇ ζῶντας. ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος· ὁρᾷς καὶ τὴν ἐπαγγελίαν τοῦτο δηλοῦσαν; τοῦ- [C] το, ποῖον; ὅτι περὶ τῶν κατ' ἀρετὴν ζώντων λέγει. οὐδεὶς γοῦν τὸν αἰῶνα ζῇ τὴν ζωὴν ταύτην, ἀλλ' ἐκεῖνοι μόνοι, οἳ καὶ διαπαντὸς ζῶσι τὴν μετὰ δόξης ζωήν. καὶ γὰρ καὶ οἱ ἁμαρτωλοὶ ζῶσιν· ἀλλ' ἐν κολάσει καὶ τιμωρίᾳ, καὶ τῷ βρυγμῷ τοὺς ὀδόντας· οὗτοι δὲ ἐν λαμπρότητι καὶ περιφανείᾳ, ἔργον ἔχοντες τὸ μετὰ τῶν ἀσωμάτων δυνάμεων τοὺς μυστικοὺς ἀναφέρειν τῷ θεῷ ὕμνους. ἵν' οὖν καὶ ἡμεῖς ταύτης ἀπολαύσωμεν τῆς χαρᾶς, ταύτην διώξωμεν τὴν ζωήν, [D] ἵνα καὶ ἐπ' ἐκείνην ἔλθωμεν τὴν λῆξιν, ἣν οὔτε λόγος οὔτε νοῦς, οὔτε ἕτερον οὐδὲν παραστῆσαι δύναται· ἀλλ' αὐτὴ μόνη ἡ πεῖρα δείκνυσιν αὐτῆς τὴν μακαριότητα. ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν· χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου Ἰησοῦ Χριστοῦ ἡμῶν, ᾧ ἡ δόξα καὶ κράτος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Εἰς τὸν ριδʹ ψαλμόν.

Ἠγάπησα, ὅτι εἰσακούσεται κύριος τῆς φωνῆς τῆς δεήσεώς μου.

ΚΑΙ τίς οὐκ ἀγαπᾷ ἀκουόμενος φησι; πολλοὶ τῶν βιωτικῶν ἀνθρώπων. οὐ γὰρ δὴ βούλονται ταῦτα ἀκοῦσαι, ἃ αὐτοῖς συμφέρει· ἀλλ' ἀξιοῦσι μὲν τὰ μὴ συμφέροντα αὐτοῖς γίνεσθαι· εἶτα ἐπειδὰν γένηται, ἀλύουσι, καὶ δυσχεραίνουσι. τὰ γὰρ συμφέροντα ἐκεῖνά εἰσιν, ἃ ὁ Θεὸς οἶδε καὶ ἐπίσταται εἶναι συμφέροντα ἡμῖν, κἂν πενίαν εἴπῃς, κἂν λιμὸν, κἂν νόσον, κἂν ὁποιονοῦν ἕτερον τοιοῦτον. ἃ δὲ Θεὸς δοκιμάσῃ συμφέροντα εἶναι καὶ δῷ, ταῦτά ἐστι τὰ λυσιτελῆ. ἐπεὶ καὶ Παῦλος ἄκουσον τί φησιν· ἀρκεῖ σοι ἡ χάρις μου· ἡ γὰρ δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦται. τοῦτο γὰρ ἦν αὐτῷ συμφέρον, διωγμοὶ, καὶ θλίψεις, καὶ στενοχωρίαι. ἀκούσας δὲ, ὅτι τοῦτο συνέφερεν, ἔλεγε· διὸ εὐδοκῶ ἐν ἀσθενείαις, ἐν ὕβρεσιν, ἐν διωγμοῖς. ὥστε οὐ τῶν τυχόντων ἐστὶ χαίρειν, ὅταν ὁ Θεὸς αὐτῶν ἐπακούῃ τὰ συμφέροντα παρέχων. πολλοὶ γοῦν τὰ ἀσύμφορα βούλονται, καὶ τούτοις ἐνευφραίνονται· ὁ δὲ προφήτης οὐχ οὕτως, ἀλλὰ τί; ἠγάπησεν, ὅτι εἰσήκουσεν αὐτοῦ ὁ Θεὸς, τὰ συμφέροντα διδούς. ὅτι ἔκλινε τὸ οὖς αὐτοῦ ἐμοί. πάλιν ἀνθρωπίνοις ῥήμασι τοῦ Θεοῦ τὸ νεῦμα παρίστησι. καὶ ἕτερον δέ τι αἰνίττεται διὰ τοῦ ῥήματος τούτου λέγων, ὅτι οὐκ ἐγὼ ἄξιος ἀκουσθῆναι, ἀλλ' αὐτὸς κατέβη πρὸς με. καὶ ἐν ταῖς ἡμέραις μου ἐπικαλέσομαι. τί ἐστιν, ἐν ταῖς ἡμέραις μου; οὐκ ἐπειδὴ, φησιν, ἠκούσθην, ἀποπηδήσω, καὶ ῥαθυμότερος ἔσομαι, ἀλλὰ τὰς ἡμέρας μου πάσας τοῦτο ἔργον ποιήσομαι. περιέσχον με ὠδῖνες θανάτου, κίνδυνοι ᾅδου εὕροσάν με. θλίψιν καὶ ὀδύνην εὗρον, καὶ τὸ ὄνομα κυρίου ἐπεκαλεσάμην. εἶδες ὅπλον ἰσχυρόν; εἶδες παραμυθίαν πάντα λύουσαν τὰ δεινά;

IN PSALMVM CXIV.

Dilexi, quoniam exaudiet dominus vocem orationis meæ.

ET quisnam est, inquit, qui dum exauditur, non diligit? Multi homines, qui huius vitæ curis sunt dedicati. Nolunt enim audire ea quæ illis conferunt, sed rogant quidem vt ea eueniant, quæ sunt sibi conducibilia: deinde vbi euenerint, anguntur, & tristitia afficiuntur. Ea enim sunt conducibilia, quæ Deus scit conducere, siue dixeris paupertatem, siue famem? siue morbum, siue quodcunque aliud eiusmodi. Quę autem Deus vt conducibilia probauerit, & dederit, ea sunt vtilia. Audi enim quid dicat Paulo: Sufficit tibi gratia mea. Virtus enim mea in infirmitate perficitur. Hæc enim ei conferebant, persecutiones, afflictiones, & angustiæ. Qui etiam cùm audiuisset ea conferre, dicebat, Quapropter placeo mihi in infirmitatibus, in contumeliis, in persecutionibus. Non est ergo quorumlibet gaudere, quando Deus eos exaudierit, præbens quæ sunt conducibilia. Multi quidem certè volūt ea quæ sunt inutilia, & eis delectantur: propheta autem non sic, sed quid? Dilexit, quoniam exaudiit eū Deus, dans quæ sunt vtilia. 2. *Quia inclinauit aurem suam mihi.* Humanis rursus verbis Dei nutum ostendit. Porrò autem aliud quoque per hoc etiam verbum obscurè significat. Dicit enim, Non sum dignus qui exaudiar, ipse tamen descendit ad me. *Et in diebus meis inuocabo.* Quid est, In diebus meis? Non quoniam, inquit, exauditus sum, resiliam, & euadam negligentior: sed omnibus diebus vitæ meæ hoc munus obibo. 3. *Circumdederunt me dolores mortis, & pericula inferni inuenerunt me. Tribulationem & dolorem inueni.* 4. *Et nomen Domini inuocaui.* Vidisti arma valida? vidisti consolationem quæ soluit quæcunque sunt grauia?

Conducibilia nobis quæ sint.

2. Cor. 12. 9.

B C D

Vidisti animum inflammatum desiderio Domini? Quod autem dicit, est eiusmodi, Sufficit mihi ad hoc vt liberer à malis, quæ me circunstant, Deum inuocare. Quidnam est ergo in causa, quòd cùm Deum sæpe inuocemus, minimè tamen à malis liberamur? Quoniam non inuocamus vt oportet inuocare. Nam vt scias quòd paratus sit semper præbere, audi quid dicat in Euangeliis: Quis est ex vobis, à quo si petierit filius eius panem, num lapidem dabit ei? vel si petierit piscem, num serpentem dabit ei? Si autem vos, cùm sitis mali, scitis bona dona dare filiis vestris: multò magis pater vester qui est in cœlis, dabit bona ab ipso petentibus. Vides quanta sit eius bonitas, cùm nostra cum illa collata videatur improbitas. Quoniam ergo talis est noster dominus, ad eum semper confugiamus, & dummodo eum adiutorem inuocemus, eum paratum inueniemus ad conseruandum. Si enim qui naufragium fecerunt, & in tabula vehuntur, eos qui procul sunt statim vocantes, persuadent vt humanitate vtantur: etsi nihil inter eos commune intercedat, sed solùm casus eorum misereantur: quantò magis qui est benignus & clemens, & naturali bonitate vtitur, eos eripiet qui grauibus opprimuntur calamitatibus, si modò ad eum confugere voluerint, & eum verè ac syncerè inuocare humana spe relicta? Quando ergo in inopinatum aliquod malum incideris, ne animum abijcias, sed tuum statim spiritum erigas, & confugias ad portum, qui nullis agitatur fluctibus, & ad turrim nunquam expugnabilem, nempe Dei auxilium. Ideo enim permisit vt caderes, vt tu eum inuocares. Sed plerique tunc maximè deijciũtur, & eam quæ prædıti erant pietatem abijciunt, cùm contrà sit faciẽdum. Quoniam enim nos valde amat, ideo permittit vt affligamur, vt ei perfectius cõiungamur. Nam matres quoque solent insolentes pueros diuersis laruis perterrentes, cogere eos, vt ad suũ gremium confugiant, non eos quidem volentes molestia afficere, sed hoc excogitantes, vt ipsi eis assideant: ita etiã Deus volens semper nos sibi coniungere, cùm sit amator vehemens, vel potius amatore quouis vehementior, permittit vt ad talem redigaris necessitatem, vt per-

Inuocatio Dei à malis liberat.

Matt. 7. 9.
Luc 11. 11.

Confirmat simili.

Hebr. 6.
Esa. 38.
Act. 9.

A εἶδες ψυχὴν διαθερμαινομένην περὶ πόθον τοῦ δεσπότου; ὃ δὲ λέγει, τοῦτό ἐστιν, ἤρκεσέ μοι εἰς ἀπαλλαγὴν τῶν περιεχόντων κακῶν τὸ καλέσαι τὸν Θεόν. [illegible] ἡμεῖς καλοῦμεν πολλάκις, καὶ οὐκ ἀπαλλαττόμεθα τῶν δεινῶν; ὅτι οὐ καλοῦμεν ὡς καλεῖν δεῖ. ὅτι γὰρ αὐτὸς ἕτοιμος ἀεὶ παρέχειν, ἄκουσον τί φησιν ἐν τοῖς εὐαγγελίοις· τίς ἐστιν ἐξ ὑμῶν, ὃν ἐὰν αἰτήσῃ ὁ υἱὸς αὐτοῦ ἄρτον, μὴ λίθον ἐπιδώσει αὐτῷ, ἢ ἰχθὺν ἐὰν αἰτήσῃ, μὴ ὄφιν ἐπιδώσει αὐτῷ; εἰ δὲ ὑμεῖς πονηροὶ ὄντες οἴδατε δόματα ἀγαθὰ τοῖς τέκνοις ὑμῶν διδόναι· πολλῷ μᾶλλον ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος, B δώσει ἀγαθὰ τοῖς αἰτοῦσιν αὐτόν. ὁρᾷς πόση αὐτοῦ ἡ ἀγαθότης, ὅτε καὶ ἡ ἡμετέρα πρὸς ἐκείνην συγκρινομένη πονηρία φαίνεται; ἐπεὶ οὖν τοιοῦτος ὁ ἡμέτερος δεσπότης, πρὸς αὐτὸν ἀεὶ καταφεύγωμεν, καὶ βοηθὸν μόνον τοῦτον καλῶμεν, καὶ ἕτοιμον εἰς τὸ σώζειν εὑρήσομεν. εἰ γὰρ οἱ ναυαγίῳ περιπεσόντες, καὶ ἐπὶ σανίδος φερόμενοι τοὺς πόῤῥωθεν ἐξ εὐθείας καλοῦντες πείθουσι φιλανθρωπεύεσθαι, καίτοιγε οὐδὲν κοινὸν πρὸς αὐτοὺς ἔχοντας, ἀλλ' ἀπὸ τῆς συμφορᾶς ἐλεούμενοι μόνον· πολλῷ μᾶλλον ὁ φιλάνθρω- C πος καὶ φυσικὴν τὴν χρηστότητα ἔχων τοὺς ἐν συμφοραῖς ὄντας ἐξελεῖται, εἰ μόνον ἐπ' αὐτὸν καταφεύγειν βουληθῶσι, καὶ γνησίᾳ καλεῖν αὐτὸν διανοίᾳ τὰς ἀνθρωπίνας ἀφέντες ἐλπίδας. ὅταν τοίνυν ἀδοκήτῳ τινὶ περιπέσῃς κακῷ, μὴ καταπέσῃς· ἀλλ' εὐθέως ἀνάστησόν σου τὸ φρόνημα, καὶ πρὸς τὸν ἀκύμαντον κατάδραμε λιμένα, καὶ τὸν ἀχείρωτον πύργον τὴν τοῦ Θεοῦ βοήθειαν. διὰ τοῦτο γάρ σε εἴασε περιπεσεῖν, ἵνα αὐτὸν καλέσῃς. ἀλλ' οἱ πολλοὶ τότε μάλιστα ἀναπεσόντες καὶ τὴν οὖσαν εὐλάβειαν ἐκβάλλου- D σι, δέον τοὐναντίον ποιεῖν. ἐπειδὴ γὰρ σφόδρα ἡμᾶς φιλεῖ, διὰ τοῦτο ἀφίησι θλίβεσθαι, ἵνα ἀκριβέστερον αὐτῷ συναπτώμεθα. ἐπεὶ καὶ μητέρες, τὰ ἀφηνιάζοντα παιδία προσωπείοις διαφόροις ἐκδειματοῦσαι ἀναγκάζουσιν εἰς τοὺς οἰκείους καταφεύγειν κόλπους οὐ λυπῆσαι αὐτὰ βουλόμεναι, ἀλλὰ τὴν προσεδρείαν αὐτῶν ἐφιζόμεναι. οὕτω καὶ ὁ Θεὸς ἀεὶ βουλόμενος ἡμᾶς ἑαυτῷ συνάπτειν, καθάπερ τις ἐραστὴς σφοδρός, μᾶλλον δὲ παντὸς ἐραστοῦ σφοδρότερος ὤν, εἰς χρείας ἀφίησί σε τοιαύτας καταστῆναι, ἵνα διη-

νεκῶς εὐχῇ σχολάζῃς, καὶ διηνεκῶς αὐτὸν καλῇς, καὶ τῶν ἄλλων ἀφέμενος τὰς αὐτοῦ μεριμνᾷς. ὦ κύριε ῥῦσαι τὴν ψυχήν μου. ἕτερος, ἑρμηνευτής· ἀξιῶ δὴ κύριε ἐξελοῦ τὴν ψυχήν μου. ἄλλος, ὦ δὴ κύριε περίσωσον τὴν ψυχήν μου. εἶδες φιλόσοφον ψυχήν; πῶς τὰ βιωτικὰ πάντα ἀφεὶς, ἓν μόνον ζητεῖ τὸ τὴν ψυχὴν διαμεῖναι ἀσινῆ, καὶ μηδὲν παθεῖν τῶν παραβλαπτόντων αὐτήν; ταύτης γὰρ εὖ διακειμένης τὰ λοιπὰ πάντα ἕψεται, ὥσπερ οὖν οὐκ εὖ ἐχούσης, τῆς λοιπῆς ἡμῖν οὐδὲν ὄφελος εὐημερίας. διὸ πάντα δεῖ καὶ ποιεῖν καὶ λέγειν, ὥστε ταύτην διασώζεσθαι. τοῦτο γάρ ἐστιν ὃ αἰνίττεται λέγων, γίνεσθε φρόνιμοι ὡς οἱ ὄφεις. καθάπερ γὰρ ἐκεῖνος τὸ λοιπὸν σῶμα προΐεται, ὥστε τὴν κεφαλὴν διασῶσαι· οὕτω καὶ σε τὰ ἄλλα πάντα ἐκδιδόναι χρὴ ὑπὲρ τῆς σωτηρίας τῆς ψυχῆς. οὐδὲ γὰρ πενία, οὐ νόσος, οὐκ αὐτὸ τὸ πάντων κεφάλαιον δοκοῦν εἶναι τῶν δεινῶν ὁ θάνατος παραβλάψαι δυνήσεται τὸν ἐμπεσόντα σωζομένης ἐκείνης· ὥσπερ οὖν οὐδὲ ἀπὸ τῆς ζωῆς πλέον τι ἕξεις ἀπολωλυίας καὶ διεφθαρμένης. διὰ δὴ τοῦτο ὑπὲρ ταύτης ποιεῖται λόγον πάντα τὰ ἄλλα ἀφεὶς, καὶ ἀξιοῖ ἡμέρους αὐτῇ γενέσθαι τὰς εὐθύνας, καὶ τῶν ἀφορήτων ἀπαλλαγῆναι κολάσεων. ἐλεήμων ὁ κύριος καὶ δίκαιος, καὶ ὁ Θεὸς ἡμῶν ἐλεεῖ. εἶδες πῶς παιδεύει τὸν ἀκροατὴν μήτε ἀπογινώσκειν, μήτε ἀναπεπτωκέναι; μονονουχὶ γὰρ τοῦτο λέγει· μήτε ἀπογνῷς· ἐλεήμων γὰρ ὁ Θεός· μήτε ἀναπέσῃς· καὶ γὰρ καὶ δίκαιος. τούτου μὲν οὖν τὴν ῥαθυμίαν ἐκκόπτει· ἐκείνου δὲ τὴν ἀπόγνωσιν ἀναιρεῖ, ἑκατέρωθεν τὴν σωτηρίαν ἡμῶν πραγματευόμενος. εἶτα δεικνὺς τὸ πρὸς τὴν φιλανθρωπίαν ἐπιρρεπέστερον, ἐπάγει πάλιν λέγων· καὶ ὁ Θεὸς ἡμῶν ἐλεεῖ. καὶ καλῶς εἶπεν ὁ Θεὸς ἡμῶν πρὸς ἀντιδιαστολὴν τῶν θεῶν, ὧν πρόσθεν ἐμνήσθη. ἐκείνοις μὲν γὰρ τὸ σφάζειν καὶ ἀναιρεῖν, καὶ ἀκήρυκτα πολεμεῖν ἔργον· τούτῳ δὲ τὸ φιλανθρωπεύεσθαι, καὶ συγγινώσκειν, καὶ κινδύνων ἐξαρπάζειν διηνεκῶς, ἃ δὴ μάλιστα μετὰ τῶν ἄλλων δείκνυσι τοὺς μὲν δαίμονας ὄντας καὶ ἀλιτηρίους, τὸν δὲ κηδεμόνα καὶ προστάτην καὶ Θεὸν ἀληθινόν. φυλάσσων τὰ νήπια ὁ κύριος, ἐταπεινώθην, καὶ ἔσωσέ με. ἕτερον μέγιστον εἶδος προνοίας αὐτοῦ ἀνακινεῖ. ἐπειδὴ γὰρ εἶπεν, ἐλεήμων καὶ δίκαιος, καὶ ἐλεεῖ, μεγίστης αὐτοῦ

A petuò vaces orationi, & eum assiduè inuoces, & aliis relictis sis de eo sollicitus. *O domine libera animam meam.* Alius, Rogo domine eripe animam meam. Alius, ô domine salua animam meam. Vidisti sapientem animam, quomodo relictis omnibus quæ ad hanc vitam pertinent, vnũ tantum petit, vt anima maneat illæsa, & nihil patiatur eorum quæ illam lædant. Si enim bene habeat, reliqua omnia consequentur, quemadmodum si non habeat, nihil nos iuuat reliqua prosperitas: & ideo nihil non B dicere & facere oportet, vt eam conseruemus. Hoc enim innuit cùm dicit: Estote prudentes, sicut serpentes. Quẽadmodum enim ille reliquum corpus proijcit, vt caput conseruet: ita oportet te quoque alia omnia dare pro salute animæ. Neque enim paupertas, nec morbus, nec quod videtur esse caput omnium malorum, mors poterit eum qui ciciderit offendere, si illa conseruetur: quemadmodum nec ex vita aliquid commodi percipies, si ea perierit, corruptáve fuerit: & ideo cæteris relictis de ea verba facit, rogátque vt C non nimis acris ab ea exigatur ratio, & ab intolerabilibus liberetur suppliciis. 5. *Misericors dominus & iustus, & Deus noster miseretur.* Vides quomodo docet auditorem, vt neque desperet, neque sit ignauior & negligentior. Hoc enim propè dicit, nec desperes, est enim Deus misericors: nec sis nimium securus, est enim iustus. Itaq; istius exscindit socordiam: illius autẽ tollit desperationem, salutem nobis vtrinque procurans. Deinde ostendens Deum esse propensum ad clementiam, subiungit rursus dicens, Et Deus noster miseretur. Rectè D autem dixit, Deus noster: vt eum distinguat ab iis Diis, quorum paulò ante meminit. Sunt enim illorum partes occidere, de medio tollere, & bella implacabilia gerere. Huius autem, vti clementia, condonare, & assiduè à periculis eripere: quæ quidem cum aliis maximè ostendunt illos esse dæmones & exitiosos: hunc autem curam gerere & prouidere, & verè esse Deum. 6. *Custodiens paruulos Dominus: humiliatus sum, & liberauit me.* Hic mouet maximum genus eius prouidentiæ. Quoniam enim dixit, Misericors & iustus, & miseretur, eius maximæ &

- *Anima cũ primis seruetur illæsa.*
- *Matth.10. Prudentia serpentum.*
- *Dæmonum partes.*

ineffabilis clementiæ munus deinceps ostendit. Quódnam? Id videlicet quo vtitur in infantes ac pueros: nos enim habemus rationem, quæ nos docet hæc quidem vitare, illa verò eligere, & mala quæ nos inuadunt, propulsare, & quæ adsunt excutere: & viribus valemus, & artes scimus. Infantes autem ac pueri, quibus hæc omnia deficiunt, sunt perinde ac si non haberent qui eos regeret. Sed omnia peruadit Dei prouidentia, qua nisi assiduè fruerentur, omnes periissent. Nam & serpens perimeret infantem inuolutum fasciis, & auis quæ degit in ædibus, & multa alia quæ repunt ac serpunt in domibus. Neque enim nutrix, nec mater, nec vllus alius sufficit ad eorum perfectam gerendam prouidentiam, nisi superno iuuentur auxilio. Nonnulli autem dicunt hoc dictum esse de fœtibus nondum in lucem editis. Humiliatus sum, & liberauit me. Non dixit, Non permisit vt inciderem in pericula: sed postquam incidi, seruauit. Quoniam enim dixit generalem eius prouidentiam, ad suam quoque personam extēdit orationem, sicut ex generalibus & ex singularibus solet ea confirmare. Ne ergo quæras vitam omni ex parte securam, non est enim id tibi conducibile. Si enim non erat conducibile prophetis, multò magis nec tibi. Quòd autem non sit conducibile, audi quid dicat: Bonum mihi quòd humiliasti me, vt discam iustificationes tuas. Duplex hic est gratiarum actio, quòd & in pericula incidere permiserit, & quòd cùm cecidisset, minimè dereliquerit. Est autem vtrunque aliquo modo genus beneficij, nec est prius minus secundò, imò verò, si mirabile aliquid dicendum est, etiam maius. Hoc enim liberauit à periculis, illud verò animam fecit magis sapientem. 7. *Conuertere anima mea in requiem tuam, quia Dominus benefecit tibi.* 8. *Quia liberauit animam meam de morte, oculos meos à lachrymis, pedes meos à lapsu.* 9. *Placebo coram Domino in regione viuorum.* Historiæ quidem ratio dicit præclaram quādam liberationem, requiem & libertatem. Si quis autem eam acceperit anagogicè, poterit ex hoc loco excessum vocare liberationem, eámque appellare requiem. Est enim ab omnibus malis liberatio, nec est amplius incertitudini obnoxius, vt qui sit securitatem conse-

Rationis munus.

Infantum ac puerorū custos Deus.

Securitas vitæ quærenda non est.

Psal. 118. 71.

Mors liberatio & requies.

φιλανθρωπίας ἔργον δείκνυσι. ποῖον δὴ τοῦτο; ὃ τῶν νηπίων· ἡμεῖς μὲν γὰρ καὶ λόγον ἔχομεν τὰ μὲν φυλάττεσθαι, τὰ δὲ ἑλέσθαι παιδευόμενοι, καὶ τὰ ἐπερχόμενα διακρούεσθαι κακὰ, καὶ τὰ παρόντα διαλῦσαι, καὶ ἰσχὺν κεκτήμεθα, καὶ τέχνας ἐπιστάμεθα· τὰ δὲ παιδία τούτων ἔρημα πάντων, ὡς ἀπροστάτευτα· ἀλλὰ διὰ πάντων ἔχει τοῦ Θεοῦ τὴν πρόνοιαν, ἧς εἰ μὴ συνεχῶς ἀπήλαυον, πάντα ἂν ἀπώλετο. καὶ γὰρ καὶ ὄφις ἂν ἠφάνισεν ἐν σπαργάνοις ἔτι ὂν τὸ παιδίον, καὶ κατοικίδιος ὄρνις, καὶ πολλὰ τῶν ἑρπόντων ἕτερα τῶν κατὰ τὰς οἰκίας. οὐδὲ γὰρ ἀρκεῖ οὔτε τροφὸς, οὔτε μήτηρ, οὔτε ἕτερος οὐδεὶς ἀπηρτισμένην ἐπιδείκνυσθαι περὶ αὐτὰ πρόνοιαν, ἂν μὴ τῆς ἄνωθεν ἀπολαύῃ ῥοπῆς. τινὲς δέ φασι καὶ περὶ τῶν ἐμβρύων καὶ μήπω τῆς γαστρὸς ἐξελθόντων τοῦτον εἰρῆσθαι τὸν λόγον. ἐταπεινώθην καὶ ἔσωσέ με. οὐκ εἶπεν, οὐκ εἴασεν εἰς κινδύνους ἐμπεσεῖν· ἀλλὰ μετὰ τὸ ἐμπεσεῖν διέσωσεν. ἐπειδὴ γὰρ εἶπε τὴν καθόλου αὐτοῦ πρόνοιαν, καὶ ἐπὶ τοῦ οἰκείου προσώπου προσάγει τὸν λόγον, ὅπερ ἔθος αὐτῷ ἀπό τε τῶν καθολικῶν, ἀπό τε τῶν μερικῶν ταῦτα συνιστᾷν. μὴ τοίνυν μηδὲ σὺ ζήτει τὸν ἀδείας γέμοντα βίον, οὐ γάρ ἐστί σοι λυσιτελές. εἰ γὰρ τοῖς προφήταις οὐκ ἦν συμφέρον, πολλῷ μᾶλλόν σοι. ὅτι γὰρ οὐκ ἦν συμφέρον, ἄκουσον τί φησιν· ἀγαθόν μοι, ὅτι ἐταπείνωσάς με, ὅπως ἂν μάθω τὰ δικαιώματά σου. διπλῆ ἡ εὐχαριστία ἐνταῦθα, ὅτι εἴασεν ἐμπεσεῖν εἰς κινδύνους, καὶ ὅτι ἐμπεσόντα οὐ κατέλιπεν. ἀμφότερα δέ πως εὐεργεσίας εἶδος, καὶ τοῦ δευτέρου τὸ πρότερον οὐκ ἔλαττον, ἀλλ' εἰ δεῖ τι καὶ θαυμαστὸν εἰπεῖν καὶ μεῖζον. τὸ μὲν γὰρ κινδύνους διέλυσε, τὸ δὲ τὴν ψυχὴν φιλοσοφωτέραν εἰργάσατο. ἐπίστρεψον ψυχή μου εἰς τὴν ἀνάπαυσίν σου, ὅτι κύριος εὐεργέτησέ σε. ὅτι ἐρρύσατο τὴν ψυχήν μου ἐκ θανάτου, τοὺς ὀφθαλμούς μου ἀπὸ δακρύων, καὶ τοὺς πόδας μου ἀπὸ ὀλισθήματος. εὐαρεστήσω ἐνώπιον κυρίου ἐν χώρᾳ ζώντων. ὁ μὲν τῆς ἱστορίας λόγος δηλοῖ ἀπαλλαγήν φησι καὶ ἄνεσίν τινα καὶ ἐλευθερίαν. εἰ δέ τις κατὰ ἀναγωγὴν αὐτὸν ἐκλάβοι, δυνήσεται τὴν ἐντεῦθεν ἀποδημίαν λύτρωσιν λέγειν, καὶ ἀνάπαυσιν ταύτην καλεῖν. ἀπαλλαγὴ γάρ ἐστι πάντων τῶν ἀδοκήτων δεινῶν, καὶ οὐκ ἔτι τῇ ἀδηλίᾳ λοιπὸν ὑπόκειται ἐν

ἀσφαλεία γεγονώς, ὁ μετὰ χρηστῆς καταλύσας ἐλπίδος. εἰ γὰρ καὶ ἐξ ἁμαρτίας ὁ θάνατος εἰσηνέχθη, ἀλλ' ὅμως εἰς εὐεργεσίαν ἡμῶν αὐτῷ ὁ Θεὸς ἐχρήσατο. διὰ δὴ τοῦτο οὐκ αὐτῷ μόνον ἠρκέσθη, ἀλλὰ καὶ τὸν βίον ἐπίμοχθον ἐποίησεν· ἵνα μάθῃς, ὅτι οὐδὲ τὸ πρότερον συνεχώρησεν ἄν, εἰ μὴ σφόδρα χρήσιμον ἦν παρὰ τὴν αὐτοῦ σοφίαν τοῦτο γινόμενον. διὰ δὴ τοῦτο εἰπών, ἣ ἂν ἡμέρᾳ φαγῇ, θανάτῳ ἀποθανῇ· οὐκ ἠρκέσθη τῇ ἐπιτιμίᾳ. τὸ γὰρ ἐπιτίμιον τοῦτο ἦν, γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ. νῦν δὲ καὶ ἕτερον δείκνυσι λέγων· ἐν ἱδρῶτι τοῦ προσώπου σου φαγῇ τὸν ἄρτον σου. ἀκάνθας καὶ τριβόλους ἀνατελεῖ σοι· ἐν λύπαις φαγῇ αὐτήν. καὶ τῇ γυναικὶ εἶπε· πληθύνων πληθυνῶ τὰς λύπας σου, καὶ τὸν στεναγμόν σου. ἐν λύπαις τέξῃ τέκνα. οὐ γὰρ ἱκανὸν ἦν ἐκεῖνο αὐτοὺς σωφρονίσαι. πολλοὺς γοῦν ὁρῶμεν ταύτῃ μάλιστα γινομένους βελτίους. ὁ γὰρ θάνατος ἀναισθησίαν παραδίδωσιν, ἐπειδὰν ἐπέλθῃ· ταῦτα δὲ ζῶντας βελτίους ἐργάζεται. εἰ δὲ φοβερὸν τὸ πρᾶγμα εἶναι δοκεῖ, παρὰ τὴν ἀσθένειαν τῶν οὕτω διακειμένων. ὅτι γὰρ τῆς ἀσθενείας ἦν ὁ φόβος, ἄκουσον Παύλου, καὶ εὐχομένου τοῦτο, καὶ χαίροντος, ὡς ὅταν λέγῃ· τὸ ἀναλῦσαι, καὶ σὺν Χριστῷ εἶναι πολλῷ μᾶλλον κρεῖττον. καὶ πάλιν, χαίρω καὶ συγχαίρω πᾶσιν ὑμῖν· τὸ δ' αὐτὸ καὶ ὑμεῖς χαίρετε καὶ συγχαίρετέ μοι· ἐπὶ δὲ τοῖς ἐναντίοις ἀλγοῦντος. οὐ μόνον γάρ φησιν, ἀλλὰ καὶ αὐτοὶ ἐν ἑαυτοῖς στενάζομεν υἱοθεσίαν ἀπεκδεχόμενοι, τὴν ἀπολύτρωσιν τοῦ σώματος ἡμῶν. καὶ πάλιν, οἱ ὄντες ἐν τῷ σκήνει τούτῳ στενάζομεν βαρούμενοι. εἶδες πόσον ἐστὶ φιλοσοφία καλόν; ἃ τοῖς ἄλλοις ἄξια δακρύων εἶναι δοκεῖ, ταῦτα τούτῳ εὐχῆς, καὶ ἃ τοῖς ἄλλοις ἄξια εὐφροσύνης καὶ ἡδονῆς, ταῦτα τούτῳ στεναγμοῦ. ἢ οὐκ ἄξια στεναγμοῦ τὸ ἐπ' ἀλλοτρίας εἶναι, καὶ πόρρωθεν τῆς ἡμετέρας ἀπῳκίσθαι πατρίδος; ἢ οὐκ ἄξιον εὐφροσύνης τὸ ταχέως καταδραμεῖν ἐπὶ τὸν εὔδιον λιμένα, καὶ ἀπολαβεῖν τὴν ἄνω πόλιν· ἔνθα ἀπέδρα ὀδύνη, καὶ λύπη, καὶ στεναγμός; καὶ τί πρὸς ἐμέ, φησι, τὸν ἁμαρτωλόν; ὁρᾷς ὅτι οὐχ ὁ θάνατός ἐστιν ὁ ποιῶν τὴν λύπην, ἀλλὰ τὸ πονηρὸν συνειδός; παῦσαι οὖν τοῦ εἶναι ἁμαρτωλός, καὶ ἔσται σοι ποθεινὸς ὁ θάνατος.

A cutus, qui cum bona spe hinc excessit. Et si enim mors inuecta est ex peccato, ea tamen Deus vsus est ad nostrum beneficium. Et ideo non fuit ea sola contentus, sed etiam vitam reddidit laboriosam, vt scias quòd nec prius quidem permisisset, nisi eius sapientia id valde vtile factum esset. Et ideo cùm dixisset, Quo die comederis, morte morieris: non fuit pœna contentus (pœna enim erat, Terra es, & in terram reuerteris) nunc autem aliud quoque adijcit, dicens: In sudore vultus tui vesceris pane tuo. Spinas & tribulos germinabit tibi: B in laboribus comedes ex ea. Et mulieri dixit, Multiplicans multiplicabo ærumnas tuas, & gemitum tuum. In doloribus paries filios. Neque enim illud satis erat ad eos castigandos. Multos itaque videmus ea ratione euadere meliores. Mors enim vbi aduenerit, alienat à sensu: hæc autem viuos meliores efficiunt. Quòd si videtur res esse terribilis, id fit ex imbecillitate eorum qui sic affecti sunt. Quòd enim hic metus sit imbecillitatis, audi Paulum eam optantem, & C de ea lætantem, vt quando dicit: Resolui & esse cum Christo est multò melius. Et rursus, Lætor & collætor cum vobis omnibus, itidem vos quoque lætemini, & collætemini mecum. De contrariis autem dolentem: Non solum enim, inquit, sed ipsi etiam in nobis ipsis ingemiscimus, filiorum adoptionem expectantes, liberationem corporis nostri. Et rursus, Qui sumus in hoc tabernaculo, ingemiscimus grauati. Vidisti quantum sit bonum philosophia? Quæ aliis videntur esse digna lachrymis, ea huic videntur esse D optanda: & ea propter quæ alij se iure putant lætari & voluptate affici, is propter ea existimat esse meritò ingemiscendum. An non est meritò ingemiscendum, quòd simus in regione aliena, & in coloniam procul à patria positam amandati? An non est maximè lætandum, quòd in tranquillum portum cum maxima celeritate cursum teneamus, & supernam ciuitatem recipiamus, à qua procul aufugit dolor, molestia, & gemitus? Et quid mea, inquit, refert, qui sum peccator? Vides non esse mortem quæ dolorem afferat, sed malam conscientiam? Desine ergo peccare, & erit tibi

Vita cur laboriosa.

Gen. 3.

Ibidem.

Iudic. 21. Psal. 106.

Philip. 1. 23 Philip. 2. 17

Rom. 8. 23

2. Cor. 5. 2.

Ingemiscere cur debeamus.

Dolor non à morte, sed à mala conscientia.

tenda mors. Oculos meos à lachrymis. Meritò ita dixit: Non est enim illic dolor, tristitia, nec luctus. Et pedes meos à lapsu. Hoc est maius priore. Quomodo? Quod non sumus solum liberati à dolore, sed ab insidiis, circumuentione, atque prostratione. Stat enim super petram, qui cum rectè factis recessit, portum apprehendit, impedimenta omnia in posterum sublata sunt. nusquam turba, nec tumultus. In tranquillo statu manet hic perpetuò postquam hinc excesserit. Placebo coram Domino in regione viuorum. Alius, antè Dominum. Alius, ambulabo. Hoc etiam Paulus ostendit, dicens: Et nos rapiemur in nubibus in occursum Domini in aërem, & ita semper cum Domino erimus. Rectè autem dixit, In regione viuentium. Illa enim est vera vita, à morte libera, quæ habet bona pura & immista. Quando enim, inquit, deleuerit omnem principatum, & omnem potestatem ac virtutem, vltimus inimicus delebitur mors. His autem deletis, nihil remanet triste ac iniucundum, non cura, non sollicitudo, non labor. Erunt itaque omnia lætitia, omnia pax, omnia charitas, omnia tranquillitas, omnia delectatio, omnia vera & syncera, solida & stabilia. Nullus est enim illic eiusmodi lapsus, non ira, non tristitia, non amor pecuniæ, non corporum desiderium, non paupertas, non diuitiæ, non infamia, non aliquid alud eiusmodi. Hanc itaq; nos vitam desideremus, & omnes actiones nostras eò dirigamus. Propterea enim iubemur etiam dicere in precatione, Adueniat regnum tuum, vt ad illum diem semper respiciamus. Qui enim illo amore tenetur, & illorũ bonorum spe alitur, nullis malis præsentibus obruitur, nullis quæ hic sunt ærumnis retardatur: sed quemadmodum qui ad regiam vrbem contendunt, nullo quod in itinere se offerat, retinẽtur, nõ pratis, non hortis, non vallibus, non desertis ac solitudinibus, sed vtrorúmque nullam rationem ducentes, ad vnum solum respiciunt, nempe ad patriam quæ est eos susceptura: ita etiam qui quotidie illam sibi effingit & exprimit ciuitatem, & eius fouet alítque desiderium, nihil eorum quæ sunt grauia, graue existimabit, nec eorum quæ sunt iucunda & illustria, iucũdum & il-

Esa. 32. Ezech. 34.

1. Thes. 4. 17.

1. Cor. 15. 26.

Apoc. 21.

1. Cor. 2.

Matt. 6. 10

A simili confirmatio.

A τοὺς ὀφθαλμούς μου ἀπὸ δακρύων. εἰκότως οὕτως εἶπεν· οὐ γάρ ἐστιν ἐκεῖ λύπη, οὐδὲ ἀθυμία, οὐδὲ θρῆνος. καὶ τοὺς πόδας μου ἀπὸ ὀλισθήματος. τοῦτο τοῦ προτέρου μεῖζον. πῶς; ὅτι οὐ μόνον λύπης ἐσμὲν ἀπηλλαγμένοι, ἀλλὰ καὶ τοῦ ὑποσκελίζεσθαι, καὶ ἐπιβουλεύεσθαι. ἐπὶ τῆς πέτρας ἕστηκεν γὰρ ὁ ἀπελθὼν μετὰ κατορθωμάτων, τοῦ λιμένος ἐπείληπται· πάντα ἀνῄρηται τὰ κωλύματα λοιπόν. οὐδαμοῦ θόρυβος, οὐδὲ ταραχή, ἀλλ' ἐν εὐδοκιμήσει διηνεκεῖ μένει ὁ οὕτως ἐντεῦθεν ἀναχωρήσας. B εὐαρεστήσω ἐνώπιον κυρίου ἐν χώρᾳ ζώντων. ἕτερος, ἔμπροσθεν κυρίου. ἄλλος, ἐμπεριπατήσω. τοῦτο καὶ ὁ Παῦλος δείκνυσι λέγων· καὶ ἡμεῖς ἁρπαγησόμεθα ἐν νεφέλαις εἰς ἀπάντησιν τοῦ κυρίου εἰς ἀέρα, καὶ οὕτω πάντοτε σὺν κυρίῳ ἐσόμεθα, καὶ καλῶς εἶπεν ἐν χώρᾳ ζώντων. ἐκείνη γὰρ ὄντως ζωὴ ἀπηλλαγμένη θανάτου, ἀμιγῆ τὰ ἀγαθὰ ἔχουσα. ὅταν καταργήσῃ φησὶ πᾶσαν ἀρχὴν, καὶ πᾶσαν ἐξουσίαν καὶ δύναμιν, ἔσχατος ἐχθρὸς καταργεῖται ὁ θάνατος. τούτων δὲ καταργηθέντων, οὐδὲν τῶν λυπηρῶν μένει, οὐ φροντὶς, οὐ πόνος· ὥστε πάντα χαρὰ, C πάντα εἰρήνη, πάντα ἀγάπη, πάντα εὐθυμία, καὶ πάντα εὐφροσύνη, πάντα ἀληθῆ καὶ εἰλικρινῆ καὶ πεπηγότα. οὐδὲν γάρ ἐστιν ἐκεῖ τῶν τοιούτων, ὀλίσθημα τοιοῦτον, οὐ θυμὸς, οὐ λύπη, οὐ χρημάτων ἔρως, οὐ σωμάτων πόθος, οὐ πενία, οὐ πλοῦτος, οὐκ ἀτιμία, οὐκ ἄλλο τῶν τοιούτων οὐδέν. ταύτης τοίνυν καὶ ἡμεῖς ἐπιθυμῶμεν τῆς ζωῆς, καὶ πάντα πρὸς τοῦτο πράττωμεν. διὰ γὰρ τοῦτο καὶ ἐν τῇ εὐχῇ κελευόμεθα λέγειν· ἐλθέτω ἡ βασιλεία σου. ἵνα ἀεὶ πρὸς ἐκείνην βλέπωμεν τὴν ἡμέραν. ὁ γὰρ ἐκείνῳ τῷ ἔρωτι κατεχόμενος, καὶ ταῖς ἐλπίσι τῶν ἀγαθῶν τρεφόμενος ἐκείνων, D οὐδενὶ τῶν παρόντων βαπτίζεται δεινῶν, ὑπ' οὐδενὸς τῶν ἐνταῦθα καθέλκεται λυπηρῶν. ἀλλ' ὥσπερ οἱ πρὸς πόλιν βασιλικὴν ὁδεύοντες οὐδενὶ τῶν παρὰ τὴν ὁδὸν κατέχονται, οὔτε λειμῶσιν, οὔτε παραδείσοις, οὔτε φάραγξιν, οὔτε ἐρημίαις, ἀλλ' ἑκατέρων ἀλογοῦντες πρὸς ἓν μόνον ὁρῶσι τὴν ἐκδεξομένην αὐτοὺς πατρίδα· οὕτω καὶ ὁ καθ' ἑκάστην τὴν ἡμέραν ἐκείνην ἀναπλάττων ἑαυτῷ τὴν πόλιν, καὶ τὸν πόθον αὐτῆς τρέφων, οὐδὲν τῶν δεινῶν ἡγήσεται δεινὸν, οὐδὲ τῶν φαιδρῶν καὶ περιφανῶν φαιδρὸν καὶ πε-

φανές. τί λέγω, οὐχ ἡγήσηται; ἀλλ' οὐδὲ ὄψεται ταῦτα ἑτέρους κτώμενος ὀφθαλμούς· τοιούτους, οἵους ὁ Παῦλος ἐκέλευε, λέγων· σκοπούντων ἡμῶν τὰ βλεπόμενα, ἀλλὰ τὰ μὴ βλεπόμενα. τὰ γὰρ βλεπόμενα πρόσκαιρα· τὰ δὲ μὴ βλεπόμενα αἰώνια. εἶδες τὴν ὁδὸν πῶς ἑτέρᾳ λέξει παρέστησεν; ἐκείνων τοίνυν ἀντεχώμεθα· ἵνα αὐτῶν καὶ ἐπιτύχωμεν, καὶ τῆς ἀκηράτου ζωῆς ἀπολαύσωμεν· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν. χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

A Iustre. Quid autem dico, Non existimabit? imò ea ne videbit quidem, vt qui alios habeat oculos, & tales quales declarat Paulus, dicens? Non considerantibus nobis quæ videntur, sed quæ non videntur. Quæ enim videntur, temporalia sunt: quæ autem non videntur, æterna. Vidisti quomodo viam alia dictione ostenderit? Illa ergo amplectamur, vt ea etiam assequamur: & assecuti, vita ab omni interitu aliena fruamur. Quam detur omnibus nobis consequi gratia & benignitate domini nostri Iesu Christi, cui B gloria & potentia nunc & semper, & in secula seculorum, Amen.

2. Cor. 4. 18.

Εἰς τὸν ριε' ψαλμόν.

Ἐπίστευσα, διὸ ἐλάλησα· ἐγὼ δὲ ἐταπεινώθην σφόδρα.

ΤΑΥΤΗΣ μνησθεὶς τῆς ῥήσεως καὶ ὁ μακάριος Παῦλος οὕτω πώς φησιν· ἔχοντες δὲ τὸ αὐτὸ πνεῦμα τῆς πίστεως κατὰ τὸ γεγραμμένον, ἐπίστευσα, διὸ ἐλάλησα· καὶ ἡμεῖς πιστεύομεν, διὸ καὶ λαλοῦμεν. ἀναγκαῖον τοίνυν πρότερον εἰπεῖν, πῶς ὁ ἀπόστολος αὐτῇ ἐχρήσατο, καὶ περὶ τίνος ὁ λόγος ἦν αὐτῷ. οὕτω γὰρ ἀπὸ τούτου καὶ τὸ προφητικὸν ἔσται δῆλον ἡμῖν. ἄλλως δὲ καὶ διδασκαλία αὕτη ἀρίστη μὴ τὴν συνάφειαν περικόπτειν τοῦ λόγου. μηδὲ μέρος λαβόντας προσκαθῆσθαι ἐκείνῳ, ἀλλ' ἄνωθεν τοῦ διηγήματος ποιεῖσθαι τὴν ἀρχήν. περὶ τίνος τοίνυν διαλεγόμενος ὁ Παῦλος ταύτης ἐμνήσθη τῆς προφητικῆς φωνῆς; περὶ ἀναστάσεως καὶ τῆς τῶν μελλόντων ἀγαθῶν ἀπολαύσεως, ἃ καὶ λόγον ὑπερβαίνει πάντα καὶ νοῦν καὶ διάνοιαν. ἐπεὶ οὖν λόγον ὑπερέβαινε πάντα καὶ ἑρμηνευθῆναι ταῦτα οὐχ οἷόν τε ἦν, πίστεως δὲ πρὸς τὸ παραδέχεσθαι χρεία, ἵνα μὴ ταράττηται ὁ Ἰουδαῖος, μηδὲ ἀπατᾶσθαι νομίζῃ, ὡς ψυχραῖς φυσώμενος ἐλπίσι προφητικῇ ῥήσει τὴν ἀγνωμοσύνην αὐτοῦ διορθοῦται μονονουχὶ λέγων, ὅτι οὐ καινόν τι πρᾶγμα ἐπιζητῶ πίστιν, ἀλλὰ παλαιὸν ἀγαθόν. καὶ ὁ μὲν

IN PSALMVM CXV.

Credidi, propter quod locutus sum: ego autem humiliatus sum nimis.

HVIVS dicti beatus Paulus mentionem faciens, dicit: Habentes autem eundem spiritum fidei, sicut scriptum est, C Credidi propter quod locutus sum, & nos credimus, propter quod & loquimur. Necesse est ergo primùm dicere quomodo eo vsus est Apostolus, & de quónam sermo esset ab eo institutus. Ita enim eo cognoscemus, quid sibi velit propheta. Quamquam alioqui hæc est optima docendi ratio, non orationis contextum circuncidere, nec parte accepta in ea immorari, sed ab alto incipere exordium narrationis De D quónam ergo differens Paulus meminit huius vocis propheticæ? De resurrectione, & futurorum bonorum perceptione, quæ omnem rationem, mentémque & cogitationem superant. Quoniam ergo hæc omnē superabant orationem, nec ea explicare poterat: fide autem ad ea suscipienda opus est: ne conturbaretur Iudæus, & vana spe inflatum se fuisse deceptum existimaret, prophetico dicto corrigit eius imprudentiam: propemodum dicens: Non rem aliquam nouam requiro, fidem, sed vetus bonum. Atque sic qui-

2. Cor. 4. 13.

Formula docendi optima.

dem Paulus: propheta autem, cùm ipse quoque esset prædicturus bona quædam euentura Iudæis, quæ superabant humanam consequentiam, ne quis posset eis fidem derogare, ita psalmum incœpit, dicens: Credidi, propter quod & locutus sum. Quoniam enim perierant Hierosolyma, templúmque fuerat euersum & dirutum, & omnes captiui & vincti abducti fuerant in alienam regionem, barbari autem pro illis prædia eorum possidebant, & vineas plantare, domos ædificare, & matrimonia contrahere iussi fuerant: hæc afferebant Iudæis desperationem, & deinceps apud se cogitabant. Si cum haberemus ciuitatẽ, arma, arces, pecuniæ copiam, & tantum rerum splendorem, templum & altare, cultum & ceremonias, & aliam omnem religionis institutionem, traditi, & in seruitutem atque captiuitatem abducti sumus: nunc cùm in aliena regione degamus, & omnibus spoliati, nudi & serui simus, quomodo poterimus nostram recipere patriam? Quoniam ergo multi ex imbecillioribus hæc reputantes conturbabantur, & non attendebant prophetis, qui prædicebant reditum, propterea sic dixit, ex eo omnibus ostendens opus esse fide ad ea, quæ dicuntur a Domino. Cum eis autem alij quoque aliter loquuntur, quemadmodum Esaias sic dicens: Respicite ad solidam petram ex qua excisi estis, & ad fossam lacus, ex quo effossi estis. Et rursus: Respicite ad Abraham patrem vestrum, & ad Sarram quæ vos peperit, quòd vnus erat, & vocaui ipsum, & sanctificaui ipsum, & multiplicaui ipsum. Quod autem dicit, est eiusmodi: Nunquid erat Abraham barbarus? nunquid carebat liberis, & iam ætate processerat? nunquid habebat vxorem, quæ & propter ætatem, & propter naturam erat filiis procreandis inutilis? An non erant res eius omnino desperatæ? Quid ergo? an non ex vno sine liberis & prouectæ ætatis impleuit orbem terræ? Quid ergo conturbamini? Si enim ex vno potui implere orbem terræ: multò magis ex vobis paucis implebo Hierosolyma. Et ideo dicit: Respicite ad solidam petram, ex qua excisi estis, Abraham ita vocans: & fossam lacus, ex quo effossi estis, Sarram ita nominans. Quemadmodum enim ex lacu aqua

Esa. 51.1.
Ibidem.

A minori cõfirmatio.

A Παῦλος οὕτως· ὁ δὲ προφήτης μέλλων καὶ αὐτὸς περὶ τινῶν ἀγαθῶν ἐν τῷ παρόντι προφητεύειν τοῖς Ἰουδαίοις συμβησομένων, καὶ τὴν ἀνθρωπίνην ἀκολουθίαν ὑπερβαινόντων, ἵνα μηδεὶς ἀπιστεῖν ἔχῃ, οὕτως ἀπήρξατο τοῦ ψαλμοῦ λέγων· ἐπίστευσα, διὸ ἐλάλησα. ἐπειδὴ γὰρ ἀπολώλει τὰ Ἱεροσόλυμα, καὶ ἐρείπιον ὁ ναὸς ἐγεγόνει, καὶ πάντες αἰχμάλωτοι γενόμενοι, καὶ δεθέντες εἰς τὴν ἀλλοτρίαν ἀπήχθησαν, βάρβαροι δὲ τὴν ἐκείνων γῆν ἀντ᾽ ἐκείνων κατεῖχον, καὶ ἐκελεύσθησαν ἀμπέλους φυτεῦσαι, καὶ οἰκίας οἰκοδομῆσαι, καὶ γάμους ἐπιτελέσαι, B ταῦτα εἰς ἀπόγνωσιν τοὺς Ἰουδαίους ἐνέβαλε, καὶ λοιπὸν ἐλογίζοντο πρὸς ἑαυτούς, ὅτι οἱ πόλιν ἔχοντες, καὶ ὅπλα, καὶ πύργους, καὶ χρημάτων περιουσίαν τοσαύτην, καὶ ναόν, καὶ βωμόν, καὶ ἁγιστείας, καὶ λατρείας, καὶ τὴν ἄλλην ἅπασαν πολιτείαν προδοθέντες, ἐγενόμεθα αἰχμάλωτοι· εἰς δουλείαν ἀπαγόμεθα· νῦν ἐν ἀλλοτρίᾳ ὄντες καὶ πάντων ἠρημωμένοι γυμνοί τε καὶ δοῦλοι γενόμενοι, πῶς δυνησόμεθα τὴν οἰκείαν ἀπολαβεῖν; ἐπεὶ οὖν πολλοὶ τῶν ἀσθενεστέρων ταῦτα ἀναλογιζόμενοι ἐθορυβοῦντο, καὶ ἐταράττοντο, καὶ τοῖς C προφήταις οὐ προσεῖχον τὴν ἐπάνοδον λέγουσι· διὰ τοῦτο οὕτως εἶπε δεικνὺς πᾶσιν ἐντεῦθεν, ὅτι πίστεως χρεία εἰς τὰ παρὰ τοῦ Θεοῦ λεγόμενα. διαλέγονται μὲν οὖν αὐτοῖς καὶ ἑτέρως ἕτεροι, οἷον ὁ Ἡσαΐας οὕτω λέγων· ἐμβλέψατε εἰς τὴν στερεὰν πέτραν, ἐξ ἧς ἐλατομήθητε, καὶ εἰς τὸν βόθυνον τοῦ λάκκου ἐξ οὗ ὠρύχθητε. καὶ πάλιν· ἐμβλέψατε εἰς Ἀβραὰμ τὸν πατέρα ὑμῶν, καὶ εἰς Σάῤῥαν τὴν ὠδίνουσαν ὑμᾶς, ὅτι εἷς ἦν, καὶ ἐκάλεσα αὐτόν, καὶ ἡγίασα, καὶ ἐπλήθυνα αὐτόν. ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν. οὐχὶ βάρβαρος ἦν ὁ Ἀ- D βραάμ; οὐχὶ ἄγονος; καὶ τῇ ἡλικίᾳ προβεβηκώς; οὐχὶ γυναῖκα εἶχε καὶ διὰ τὴν ἡλικίαν καὶ διὰ τὴν φύσιν πρὸς παιδογονίαν ἄχρηστον; οὐ παντάχοθεν ἀπέγνωστο τὰ κατ᾽ αὐτόν; τί οὖν; οὐχὶ ἀπ᾽ ἐκείνου τοῦ ἑνός, τοῦ ἀγόνου, τοῦ γεγηρακότος τὴν οἰκουμένην ἐπλήρωσε πᾶσαν; τί τοίνυν θορυβεῖσθε; εἰ γὰρ ἐκ τοῦ ἑνὸς δυνατὸς ἐγενόμην τὴν οἰκουμένην πληρῶσαι, πολλῷ μᾶλλον ἐξ ὑμῶν τῶν ὀλίγων τὰ Ἱεροσόλυμα πληρώσω. διὰ τοῦτό φησιν· ἐμβλέψατε εἰς τὴν στερεὰν πέτραν, ἐξ ἧς ἐλατομήθητε, τὸν Ἀβραὰμ οὕτω καλῶν, καὶ τὸν βόθυνον τοῦ λάκκου, ἐξ οὗ ὠρύχθητε, τὴν Σάῤῥαν οὕτως ὀνομάζων. καθάπερ γὰρ ὁ λάκκος οἴκοθεν

οὐκ ἔχει βρύον ὕδωρ, ἀλλ᾽ ἐκ τῶν ἄνωθεν ὑετῶν δέχεται· οὕτω καὶ ἐκείνη αὐτὴ ἔρημος οὖσα δυνάμεως γονιμικῆς, ἄνωθεν τὴν ἐπιτηδειότητα ταύτην ἔλαβε· καὶ ὥσπερ ἡ πέτρα καρπὸν οὐκ ἤνεγκέ ποτε· οὕτω οὔτε ὁ Ἀβραὰμ οἷός τε ἦν· ἀλλ᾽ ἐγὼ ὑμᾶς ἐκεῖθεν ἐξεκόλαψα, καὶ ἀπὸ τοῦ ἑνὸς τοσαύτας ἐνέπλησα χώρας. Διὰ τοῦτο καὶ τὸν Ἰεζεκιὴλ εἰς τὸ πεδίον ἐξάγει, καὶ δείκνυσιν αὐτῷ σωρὸν ὀστῶν, καὶ προφητεύων ἀνίστησι τὰ ὀστᾶ δεικνὺς αὐτοῖς, καὶ λέγων· ὅτι εἰ τοὺς νεκροὺς ἐγεῖραι δύναμαι, πολλῷ μᾶλλον ὑμᾶς τοὺς ζῶντας ἀναγαγεῖν. ἐκεῖνοι μὲν οὕτως· ὁ δὲ προφήτης ἐνταῦθα πῶς; ἐπίστευσα, διὸ ἐλάλησα. τουτέστι, πίστεως χρεία πρὸς τὰ ἐπαγγελλόμενα· καὶ γὰρ ἐγὼ ταῦτα ἐννοῶν, καὶ ἀναλογιζόμενος, καὶ τὴν πίστιν εἰσαγαγὼν πάντα θόρυβον ἐξήλασα. ὁ τοίνυν Παῦλος τοῦτό φησιν· ὅτι καὶ ἐν τοῖς ἡμετέροις τοῖς αἰσθητοῖς καὶ ὁρωμένοις ἀγαθοῖς, πίστεως χρεία. εἰ δὲ ἐν τοῖς αἰσθητοῖς, πολλῷ μᾶλλον ἐν τοῖς νοεροῖς· εἰ γὰρ ἵνα καταδέξωνται, ὅτι τὴν πόλιν ἀπολήψονται τὴν αὐτῶν, πίστεως αὐτοῖς ἔδησε· πολλῷ μᾶλλον ἡμῖν τοῖς τὸν οὐρανὸν ἀναμένουσιν. ὅταν γὰρ μέγα τι ᾖ, καὶ τὴν διάνοιαν ὑπερβαίνῃ, καὶ λογισμὸν ἀνώτερον, ταύτην δεῖ παραλαμβάνειν, ἀλλὰ μὴ τῇ ἀνθρωπίνῃ ἀκολουθίᾳ τὰ πράγματα ἐξετάζειν. ἡ γὰρ τοῦ Θεοῦ θαυματουργία πάντων τούτων ἀνωτέρα. ὥστε καὶ διὰ τοῦτο ἐπιστομίζοντας τοὺς λογισμοὺς πρὸς τὴν πίστιν ἀνατρέχειν δεῖ, καὶ δοξάζειν τὸν Θεόν. ὁ γὰρ λογισμοῖς φιλονεικῶν τὰ ἐκείνου εὑρίσκειν, οὐ δοξάζει αὐτὸν τῇ τῶν οἰκείων λογισμῶν ταπεινότητι τὰς ἀφάτους οἰκονομίας αὐτοῦ ὑποβάλλειν βουλόμενος. διὸ καὶ περὶ τοῦ Ἀβραὰμ διαλεγόμενος ὁ Παῦλος, ἐπειδὴ μὴ τοῦτο ἐποίησεν, ἀλλ᾽ ἐπιτιμήσας τοῖς λογισμοῖς πρὸς τὴν δύναμιν εἶδε τοῦ ἐπαγγειλαμένου, ὅτι τοῦτο μάλιστα ἐδόξασε τὸν Θεόν, λέγει· εἰς γὰρ τὴν ἐπαγγελίαν τοῦ Θεοῦ οὐ διεκρίθη τῇ ἀπιστίᾳ, ἀλλ᾽ ἐνεδυναμώθη τῇ πίστει, δοὺς δόξαν τῷ Θεῷ, καὶ πληροφορηθεὶς, ὅτι ὃ ἐπήγγελται, δυνατός ἐστι καὶ ποιῆσαι. τί δέ ἐστιν· ἔχοντες δὲ τὸ αὐτὸ πνεῦμα τῆς πίστεως κατὰ τὸ γεγραμμένον ἐπίστευσα, διὸ ἐλάλησα· καὶ ἡμεῖς πιστεύομεν, διὸ καὶ λαλοῦμεν; μέγα τι μυστήριον ἡμῖν ἐνταῦθα ἀποκαλύπτει· ποῖον δὲ τοῦτο; ὅτι τοῦ αὐτοῦ πνεύματος ἡ καινὴ καὶ ἡ παλαιά, καὶ τὸ αὐτὸ πνεῦμα τὸ ἐν ἐκείνῃ φθεγξάμενον,

A per se non scaturit, sed eam suscipit ex supernis pluuiis: ita etiam illa cùm esset priuata facultate gignendi, à superis accepit illam aptitudinem: & quemadmodum petra nunquam fructum tulit, ita nec ferre poterat Abraham: ego tamen vos illinc exculpsi, & ex vno tot & tantas regiones impleui. Et ideo Ezechielem quoque in campum educit, & ostendit ei cumulum ossium, & prophetans ossa excitat, ostendens eis, & dicens: Si possum excitare mortuos, multò magis vos qui viuitis, reducere. Illi quidem sic: hic autem propheta B quomodo? Credidi propter quod locutus sum. Hoc est, fide opus est ad ea quæ promittuntur. Ego enim ea cogitans, & animo reuoluens, fide introducta omnem expuli perturbationem. Hoc est ergo quod dicit Paulus, quòd in his sensilibus, & quæ videntur, bonis, fide opus est. Quòd si in sensilibus, multò magis in his quæ percipiuntur intelligentia. Si enim vt suam ciuitatem se recuperaturos admitterent, eis fuit opus fide: multò magis nobis, qui cœlum expectamus. Quando ergo est aliquid magnum, & quod cogitatio- C nem & rationem superat, oportet eam assumere, & non consequentia humana res examinare. Admirabilia enim Dei opera, sunt his omnibus superiora. Oportet itaq; ora rationibus obstruentes ad fidem accurrere, & Deum gloria afficere. Qui enim contendit rationibus res illius inuenire, nequaquam eum gloria afficit, vt qui rationum suarum humilitati velit ineffabilia eius œconomiæ consilia subijcere. Et ideo de Abraham quoque loquens Paulus, quoniam non hoc fecit, sed suas rationes reprehendens, respexit ad poten- D tiam eius qui est pollicitus, & ostendens eum hac ratione Deum maximè gloria affecisse, dicit: In promissione enim Dei non hæsitauit incredulitate, sed validus factus est fide, dans gloriam Deo, & certò persuasus, quia quod pollicitus est, possit etiam facere. Quid porro est, Habentes autem eundem spiritum fidei, sicut scriptum est, Credidi, propter quod locutus sum: & nos credimus propter quod & loquimur? Hic nobis magnum reuelat mysterium. Quódnam hoc? Quòd est eiusdem spiritus nouum & vetus testamentum: & idem spiritus, qui est in eo locutus,

Ex collatione. Gen. 11. Hebr. 11.

Ezech. 37.

Fidei necessitas in promissionibus.

Hebr. 11.

Rationibus humanis non innitendum in rebus diuinis.

Rom 4. 20

2. Cor. 4 13

Spiritus idē vtriusque testamenti conditor.

hic quoque locutus est, & quòd fides A est omniũ magistra, & absque ea ne loqui quidem quidquã possumus. Et nos enim, inquit, credimus, & ideo loquimur. Si eam enim sustuleris, ne os quidem aperire possumus. Quare autem non dixit, Habentes autem eandem fidem, sed, Habentes autem eundem spiritum fidei? Et ea quæ dicta sunt significans, & ostendens opus esse suppeditatione spiritus ad conscendendũ ad altitudinem fidei, & vilipendendam rationum imbecillitatem. Et ideo ipse quoque alibi dicit: *1.Cor.12.7* Vnicuique autem manifestatio spiritus datur ad vtilitatem. B Alij enim per spiritũ datur sermo sapiẽtiæ, alij autẽ sermo scientiæ, alij verò fides, *Ibidem.* alij autẽ dona sanationum. Sed fortasse dixerit quispiã, (quod etiã verum est) quòd aliam dicit fidem, per quam fiebant miracula. Scio ego quoq; aliam esse fidem, de qua Apostoli dicebant, *Luc.17.5.* Adijce nobis fidem: & aliam hanc, per quã sumus omnes fideles, signa quidem non facientes, sed habentes cognitionẽ pietatis. Atqui hic quoq; est nobis opus *Act.16.14.* auxilio spiritus. Etenim de quapiã scribit Lucas, quòd aperuit cor eius, vt at- *Ioan.6.44.* *Quæstio.* tenderet ea, quæ dicebãtur à Paulo. Et C Christus, Nemo venit ad me, nisi pater traxerit eum. Si hoc ergo Dei est, quomodo peccant qui non credunt, cùm nec spiritus opẽ ferat, nec pater trahat, nec in viam deducat filius? De seipso e- *Ioan.14.6.* nim dicit: Ego sum via. Hoc autẽ dicit ostendens se opus esse ad hoc vt adducantur ad patrem. Si ergo pater trahit, *Solutio.* filius deducit, spiritus illuminat: quid peccant qui neque tracti sunt, neque deducti, nec illuminati? Quoniam non præbent seipsos dignos, vt eam suscipiant illuminationem. Vide ergo hoc euenisse Cornelio: neque enim hoc *Act.10.* ille domi apud se inuenit, sed eum D Deus vocauit, quoniam ipse præoccupans, seipsum dignum reddidit. Et ideo *Ephes.2.8.* Paulus quoque de fide differens, dixit: Et hoc non ex vobis, Dei est donum. nec tamen te relinque vacuum bonis actionibus. Etsi enim eius est trahere & inducere: animam tamen requirit quæ morem gerat, & facilè pareat: & tunc suum adhibet auxilium. Quo- *Rom.8.28.* circa alibi quoque dicit Paulus, Secundùm propositum vocatis. Neque enim virtus nec salus nostra cogitur.

καὶ ἐνταῦθα ἐλάλησε, καὶ ὅτι ἡ πίστις πάντων ἐστὶ διδάσκαλος, καὶ ταύτης ἄνευ οὐδὲ λαλῆσαί τι δυνάμεθα. καὶ ἡμεῖς γάρ, φησι, πιστεύομεν, διὸ καὶ λαλοῦμεν. ἂν γὰρ ταύτην ἀνέλῃς, οὐδὲ διανοῖξαι τὸ στόμα δυνατόν. καὶ διὰ τί μὴ εἶπεν, ἔχοντες δὲ τὴν αὐτὴν πίστιν, ἀλλ' ἔχοντες δὲ τὸ αὐτὸ πνεῦμα τῆς πίστεως; ταῦτά τε τὰ εἰρημένα δηλῶν, καὶ δεικνύς, ὅτι τῆς τοῦ πνεύματος χρεία χορηγίας εἰς τὸ ἀναβῆναι πρὸς τὸ ὕψος τῆς πίστεως, καὶ τῶν λογισμῶν τὴν ἀσθένειαν ἀτιμάσαι. διὸ καὶ ἀλλαχοῦ ὁ αὐτός φησιν· ἑκάστῳ δὲ ἡ φανέρωσις δίδοται τοῦ πνεύματος πρὸς τὸ συμφέρον. ᾧ μὲν γὰρ διὰ τοῦ πνεύματος δίδοται λόγος σοφίας, ἑτέρῳ δὲ λόγος γνώσεως, ἄλλῳ δὲ πίστις, ἄλλῳ χαρίσματα ἰαμάτων. ἀλλ' ἴσως εἴποι τις ἄν· ὅπερ οὖν καὶ ἀληθές ἐστιν· ὅτι ἑτέραν πίστιν φησί, δι' ἧς θαύματα ἐγίνετο. οἶδα καὶ ἐγώ, ὅτι ἑτέρα ἐκείνη, περὶ ἧς καὶ οἱ ἀπόστολοι ἔλεγον· πρόσθες ἡμῖν πίστιν· ἑτέρα δὲ αὕτη, καθ' ἣν πάντες ἐσμὲν πιστοί, σημεῖα μὲν οὐ ποιοῦντες, τὴν δὲ γνῶσιν ἔχοντες τῆς εὐσεβείας· ἀλλὰ καὶ ἐνταῦθα τῆς τοῦ πνεύματος χρεία βοηθείας. καὶ γὰρ περί τινος ὁ Λουκᾶς γράφει, ὅτι διήνοιξε τὴν καρδίαν αὐτῆς τοῦ προσέχειν τοῖς λεγομένοις ὑπὸ τοῦ Παύλου, καὶ ὁ Χριστός· οὐδεὶς ἔρχεται πρός με, ἐὰν μὴ ὁ πατὴρ ἑλκύσῃ αὐτόν. οὐκοῦν εἰ τοῦ Θεοῦ ἐστι τοῦτο, τί ἁμαρτάνουσιν οἱ ἀπιστοῦντες, μήτε τοῦ πνεύματος βοηθοῦντος, μήτε τοῦ πατρὸς ἕλκοντος, μήτε τοῦ υἱοῦ ὁδηγοῦντος; καὶ γὰρ καὶ περὶ ἑαυτοῦ φησιν· ἐγώ εἰμι ἡ ὁδός. τοῦτο δὲ λέγει δεικνύς, ὅτι αὐτοῦ χρεία εἰς τὸ προσαχθῆναι τῷ πατρί. εἰ τοίνυν ὁ πατὴρ ἕλκει, ὁ υἱὸς χειραγωγεῖ, τὸ πνεῦμα φωτίζει, τί ἁμαρτάνουσιν οἱ μήτε ἑλκυσθέντες, μήτε χειραγωγηθέντες, μήτε φωτισθέντες; ὅτι μὴ παρέχουσιν ἀξίους ἑαυτοὺς τοῦ ταύτην δέξασθαι τὴν ἔλλαμψιν. ὅρα γοῦν ἐπὶ τοῦ Κορνηλίου τοῦτο συμβάν· οὐ γὰρ οἴκοθεν ἐκεῖνος τοῦτο εὗρεν, ἀλλ' ὁ Θεὸς αὐτὸν ἐκάλεσεν, ἐπειδὴ προλαβὼν ἑαυτὸν ἄξιον παρεσκεύασε. διὰ δὴ τοῦτο καὶ ὁ Παῦλος περὶ πίστεως διαλεγόμενος ἔλεγε· καὶ τοῦτο οὐκ ἐξ ὑμῶν, Θεοῦ τὸ δῶρον· οὐ μὴν ἔρημόν σε καταλιμπάνει κατορθωμάτων. εἰ γὰρ αὐτοῦ ἐστι τὸ ἑλκύσαι καὶ ἐπαγαγέσθαι, ἀλλ' ὅμως καὶ ψυχὴν εὐπειθῆ ἐπιζητεῖ, καὶ τότε τὴν παρ' ἑαυτοῦ συμμαχίαν εἰσάγει. διὸ καὶ ἀλλαχοῦ φησι Παῦλος, τοῖς κατὰ πρόθεσιν κλητοῖς οὖσιν. οὐ γὰρ δὴ ἠναγκάσθη τὰ τῆς ἀρετῆς καὶ τῆς σωτηρείας

ἡμῶν. ἀλλ' εἰ καὶ τὸ πλέον αὐτοῦ ἐστι, σχεδὸν δὲ καὶ τὸ πᾶν· ὅμως ἀφῆκέ τι καὶ ἡμῖν μικρὸν, ὥστε καὶ εὐπρόσωπον γενέσθαι τὴν στεφάνων τὴν πρόφασιν. διὰ δὴ τοῦτο Παῦλος εἰπών· ἔχοντες δὲ τὸ αὐτὸ πνεῦμα τῆς πίστεως, τουτέστι, ὃ καὶ ἐν τῇ παλαιᾷ λαλῆσαν, ἐπήγαγε· καὶ ἡμεῖς πιστεύομεν, διὸ καὶ λαλοῦμεν. πολλῷ γὰρ μᾶλλον ἐνταῦθα πίστεως χρεία, ἢ ἐκεῖ, διά τε τὴν φύσιν τῶν ἐπαγγελιῶν ἀόρατόν τε οὖσαν καὶ νοεράν, διά τε τὴν τάξιν τῶν καιρῶν. οὐ γὰρ ἐν τῷ παρόντι βίῳ, ἀλλ' ἐν τῷ μέλλοντι ἦν τὰ ἔπαθλα· μᾶλλον δὲ καὶ ὑπὲρ τῶν παρόντων πίστεως χρεία. καὶ γὰρ αὐτὰ τὰ διδόμενα πίστεως ἐδεῖτο, καὶ ἐν τῷ δίδοσθαι, ἥ τε τῶν μυστηρίων κοινωνία, τοῦ τε βαπτίσματος ἡ δωρεά. οὕτω πάντα λόγον ὑπερέβαινε τῶν ἀγαθῶν ἡ δύναμις. εἰ τοίνυν ἐν τοῖς παχυτάτοις ἐκείνοις καὶ αἰσθητοῖς πίστεως ἔδει, πολλῷ μᾶλλον ἐνταῦθα. ἀλλ' ἡ μὲν ἀποστολικὴ λέξις τὴν προσήκουσαν ἑρμηνείαν εἴληφε, ὥρα λοιπὸν πάλιν καὶ ἐπὶ τὴν προφητικὴν ἐλθεῖν, καὶ εἰπεῖν τί φησιν ὁ μακάριος οὗτος. τί οὖν φησιν; ἐπίστευσα, διὸ ἐλάλησα; καίτοι οὐδὲν ἐλάλησεν οὐδέπω, ἀλλὰ τὸ ἤδη λαληθὲν λέγει κατὰ διάνοιαν αὐτῷ. τί ἐστι τὸ ἤδη λαληθέν; ἐννοήσας φησὶ τὴν συμφορὰν, καὶ τὴν τραγῳδίαν τὴν Ἰουδαϊκὴν, καὶ τὴν πανωλεθρίαν ἐκείνην, καὶ τὴν εἰς τέλος ἐρήμωσιν, οὐκ ἀπέγνων τῆς ἐπὶ τὸ βέλτιον μεταβολῆς, ἀλλὰ καὶ ἤλπισα ταύτην, καὶ ἀπήγγειλα αὐτήν, καὶ ἐλάλησα. καὶ γὰρ ἐν τοῖς ἔμπροσθεν ψαλμοῖς πολλὰ περὶ αὐτῆς διελέχθην· ἐλάλησα δὲ καὶ ἀπήγγειλα ἀπὸ τῆς πίστεως παιδευόμενος. ἕτερος γοῦν οὐ σφόδρα ταύτην πεπαιδευμένος, ὅρα πῶς χωλεύει καὶ θορυβεῖται. εἰ γὰρ Δαβὶδ λέγει τὸν ψαλμὸν ἐκεῖνον· ἀλλ' οὐκ ἐξ οἰκείου προσώπου· ἀλλὰ τῶν χωλευόντων τὰ πάθη διηγούμενος οὕτως ἔλεγεν· ὡς ἀγαθὸς ὁ Θεὸς τοῦ Ἰσραὴλ τοῖς εὐθέσι τῇ καρδίᾳ· ἐμοῦ δὲ παρὰ μικρὸν ἐσαλεύθησαν οἱ πόδες. παρ' ὀλίγον ἐξεχύθη τὰ διαβήματά μου. οὐ περὶ ποδῶν λέγων καὶ διαβημάτων, ἀλλὰ περὶ λογισμῶν χωλευόντων. καὶ τὴν αἰτίαν ἐπάγει, λέγων· ὅτι ἐζήλωσα ἐπὶ τοῖς ἀνόμοις, τουτέστι, τοὺς βαρβάρους εὐδοκιμοῦντας ὁρῶν, τὰ δὲ Ἰουδαίων τεταπεινωμένα. καὶ τί τῆς χωλείας λέγει τὸ εἶδος;

A Nam etsi maxima pars, atque adeò ferè totum eius sit, exiguum quid tamen nobis reliquit, vt dandæ coronæ speciosa sit occasio. Et ideo cùm dixisset Paulus, Habentes autem eundem spiritum fidei, hoc est, qui etiam locutus est in veteri, subiunxit: Et nos credimus, propter quod & loquimur. Multò enim magis hic fide opus habemus quàm illic, & propter naturam promissorum, quæ sub visum non cadunt, sed sola mente percipiuntur: & propter ordinem temporũ. non enim in vita præsenti, sed in futuro erunt præmia. Imò B verò erat etiam opus fide pro præsentibus: etenim ea ipsa quæ dabantur, fide opus habebant, etiam dum dabantur, nempe & sacramentorum cõmunio, & baptismi donum. Ita omnem rationem superabat vis bonorũ. Si itaque in crassissimis illis & sensibilibus fide erat opus, multò magis hic. Sed Apostolica quidem sententia conuenientem accepit interpretationẽ: tempus est autem, vt redeamus ad propheticã, & dicamus quid dicit, hic beatus. Quid ergo dicit? Credidi, propter quod locutus sum. C Atqui nihil erat adhuc locutus, sed dicit id quod mente iam à se dictum erat. Quid est autẽ quod iam dictum fuerat? Cum, inquit, illam calamitatem, & Iudaicam illam tragœdiam animo agitassem, illúmque interitum ac excidium & extremam vastitatem, non desperaui fore, vt res mutaretur in melius: imò verò & speraui, & annunciaui, & locutus sum. Nam & in prioribus psalmis multa de his disserui, locutus sum autem & annunciaui à fide eruditus. Alius autem qui non est ab ea valde eruditus, vide quomodo claudicet, & D perturbetur. Nam etsi dicit illum psalmum Dauid, non tamen ex persona propria: sed narrans eorum, qui claudicant, animi perturbationes, sic dixit: Quàm bonus Deus Israel iis qui sunt recto corde. Mei autem pene moti sunt pedes, propemodum effusi sunt gressus mei. Non loquens de pedibus & gressibus, sed de ratiocinationibus claudicantibus. Causam autem subiungit, dicens: Quoniam zelaui propter iniquos, hoc est, videns florentes barbaros, deiectos autem & fractos Iudæos. Et quódnam genus dicit claudicationis?

2. Cor. 13. Fide magis opus habuit Christiani quàm olim Iudæi.

A minori.

Ps. 72. 1.

Et dixi: Frustra ergo iustificaui cor meum, & laui inter innocentes manus meas. Et quidnam ipsum impulerit, vt hæc diceret: dicit, Quoniam ecce peccatores & florentes in seculo obtinuerunt diuitias. Deinde vide quomodo seipsum rursus colligit. Si dicebam, narrabo sic: hoc labor est, inquit, ante me, donec ingressus fuerim in sanctuarium Dei, & intelligam in extrema ipsorum. Quod autem dicit, est eiusmodi: Vexabar, affligebar in ratiocinationibus. Tale quid enim est ratiocinatio. Deinde cogitaui me facere rem laboriosam. De iis enim inquirens, nihil potero certi scire, donec me in patriam recepero. Vide quantum sit periculum res fidei permittere humanis rationibus, & non fidei. Si ille enim fuisset firmus & constans in fide, non hæc fuisset locutus, non fuisset perturbatus: non commoti essent eius pedes, non essent propemodum effusi gressus eius. Sed non ita hic propheta, sed stans supra petram, non tumultuabatur, neque conturbabatur, sed res Iudæorum videns ita esse affectas, res autem barbarorum secus, de reditu clara voce constantique & certa mente frequenter prædicabat in multis psalmis: & valde confidebat, nec vires barbarorum, nec vilitatem Iudæorum attendens, sed eius potentiam, qui ea est pollicitus. Et ideo dicit, Credidi, propter quod locutus sum: ego autem humiliatus sum valde. 2. *Ego vero dixi in excessu meo, Omnis homo mendax.* Alius, Et dixi animi anxius, Omnis homo mentitur. Hic fidei splendor rursus ostenditur, quòd ne magnitudo quidem calamitatis eum præcipitem dederit in desperationem. Eiusmodi enim res est fides, est quædam sacra anchora, quæ vndique sustentat mentē quæ ei adhæret: & tunc maximè ostenditur, quando in maxima rerū difficultate ei persuadet, qui illa est præditus, vt bonam spem expectet, expulsa turba ratiocinationum. Quod ipse quoque significans, dicit: Ego autem afflictus sum nimis. Hoc est, valde quidem afflictus sum, sed non desperaui, nec animum abieci. Deinde ostendens se non fuisse solummodo afflictum, sed grauissimè afflictum, subiunxit dicens: Ego autem dixi in excessu meo; Omnis homo mendax. Quid est, In excessu meo?

Psal. 72. 12.

Res fidei nō cōmittenda humanis rationibus.

Rom. 11. 2. Cor. 1. Fides, sacra anchora.

A καὶ εἶπον, ἄρα ματαίως ἐδικαίωσα τὴν καρδίαν μου, καὶ ἐνιψάμην ἐν ἀθώοις τὰς χεῖράς μου. καὶ πόθεν τοιαῦτα προήχθη εἰπεῖν λέγει· ὅτι ἰδοὺ οὗτοι ἁμαρτωλοὶ καὶ εὐθυνοῦντες εἰς τὸν αἰῶνα κατέσχον πλούτου. εἶτα ὅρα πῶς ἑαυτὸν ἀνακτᾶται. εἰ ἔλεγον διηγήσομαι οὕτω, τοῦτο κόπος ἐστὶν ἐνώπιόν μου, ἕως οὗ εἰσέλθω εἰς τὸ ἁγιαστήριον τοῦ Θεοῦ, καὶ συνῶ εἰς τὰ ἔσχατα αὐτῶν. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· ἐκοπούμην, ἐταλαιπωρούμην ἐν τοῖς λογισμοῖς. τοιοῦτον γὰρ ὁ λογισμός. εἶτα ἐλογιζόμην, ὅτι πρᾶγμα ἐπίπονον ποιῶ. ταῦτα ἀναζητῶν οὐδὲν δυνήσομαι, B σαφῶς εἰδέναι, ἕως ἂν ἀπολάβω πατρίδα. ὁρᾷς ὅσον κακόν ἐστι λογισμοῖς ἐπιτρέπειν τὰ πράγματα τῆς πίστεως, καὶ μὴ τῇ πίστει; εἰ γὰρ ἐκεῖνος ἦν πεπηγὼς ἐν τῇ πίστει, οὐκ ἂν ταῦτα ἐφθέγξατο, οὐκ ἂν ἐθορυβήθη, οὐκ ἂν ἐταράχθη, οὐκ ἂν ἐσαλεύθησαν οἱ πόδες αὐτοῦ· οὐκ ἂν παρ' ὀλίγον ἐξεχύθη τὰ διαβήματα αὐτοῦ. ἀλλ' οὐχ ὁ προφήτης οὕτως, ἀλλ' ἐπὶ τῆς πέτρας ἑστηκὼς οὐκ ἐθορυβεῖτο, οὐκ ἐταράττετο, ἀλλ' ὁρῶν τὰ μὲν τῶν Ἰουδαίων οὕτω διακείμενα, τὰ δὲ τῶν βαρβάρων ἐναντίως, καὶ περὶ C τῆς ἐπανόδου λαμπρᾷ τῇ φωνῇ καὶ πεπληροφορημένῃ διανοίᾳ ἐκήρυττε συνεχῶς ἐν πολλοῖς τοῖς ψαλμοῖς, καὶ σφόδρα ἐθάρρει, οὔτε τῇ δυνάμει τῶν βαρβάρων προσέχων, οὔτε τῇ εὐτελείᾳ τῇ Ἰουδαϊκῇ, ἀλλὰ τῇ δυνάμει τοῦ ταῦτα ἐπαγγειλαμένου Θεοῦ. διό φησιν· ἐπίστευσα, διὸ ἐλάλησα· ἐγὼ δὲ ἐταπεινώθην σφόδρα. ἐγὼ δὲ εἶπα ἐν τῇ ἐκστάσει μου, πᾶς ἄνθρωπος ψεύστης. ἕτερος, καὶ εἶπον ἀδημονῶν, πᾶς ἄνθρωπος διαψεύδεται. ἐντεῦθεν πάλιν τὰ τῆς πίστεως λαμπρὰ δείκνυται, ὅτι οὐδὲ τὸ μέγε-D θος τῆς συμφορᾶς εἰς ἀπόγνωσιν αὐτὸν ἐνέβαλε. τοιοῦτον γὰρ ἡ πίστις, ἱερά τίς ἐστιν ἄγκυρα, πάντοθεν ἀνέχουσα τὴν ἔχουσαν αὐτὴν διάνοιαν, καὶ τότε μάλιστα διαδείκνυται, ὅταν ἐκ τῶν ἀπόρων ἀναπείθῃ τὸν ἔχοντα αὐτὴν χρηστὰς ἀναμένειν ἐλπίδας, τῶν λογισμῶν ἐκβάλλουσα τὸν θόρυβον. ὅπερ καὶ αὐτὸς δηλῶν ἔλεγεν· ἐγὼ δὲ ἐκακώθην σφόδρα φησί, τουτέστιν, ἐκακώθην, ἀλλ' οὐκ ἀπέγνων, οὐδὲ ἀνέπεσον. εἶτα δεικνὺς, ὅτι οὐχ ἁπλῶς ἐκακώθη, καὶ τὴν ἐπίτασιν προστίθησι λέγων· ἐγὼ δὲ εἶπον ἐν τῇ ἐκστάσει μου, πᾶς ἄνθρωπος ψεύστης. τί ἐστιν, ἐν τῇ ἐκστάσει μου;

ἐν τῇ ὑπερβολῇ τῆς συμφορᾶς, φησὶν, ἐν τῷ μεγέθει τῶν κακῶν. τοσοῦτος γὰρ ἐπῆλθεν ἡμῖν πειρασμὸς, ὡς καὶ ἔκστασιν καὶ κάρον ἐνθεῖναι. ἔκστασιν γὰρ ἐνταῦθα τὴν ἀναισθησίαν τὴν ἐκ τῶν κακῶν γινομένην λέγει. ἐπεὶ καὶ ἐπὶ τοῦ Ἀδὰμ, ὅταν λέγῃ, ὅτι ἐπέβαλεν ἐπ' αὐτὸν ἔκστασιν, ἀναισθησίαν τινὰ λέγει· καὶ γὰρ ἔκστασις λέγεται τὸ ἔξω αὐτοῦ γενέσθαι. ἐπεβέβλητο δὲ αὐτῷ τότε ὥστε μὴ αἰσθάνεσθαι τῆς πλευρᾶς ἀφαιρουμένης, μηδὲ ἀλγῆσαι περὶ γινομένῳ. οὕτω κλέπτων ὁ Θεὸς τῆς ὀδύνης τὴν αἴσθησιν, ἵνα μὴ μισήσῃ τὸ ἐξ αὐτοῦ γινόμενον, ἅτε ἀλγήσας, ἐπιβάλλει ἐπ' αὐτὸν ἔκστασιν. καὶ ἀλλαχοῦ πάλιν· ἔπεσεν ἐπ' αὐτοὺς ἔκστασις φησί· κάρον τινὰ καὶ ἐκεῖ δηλοῖ, καὶ τὸ ἔξω αἰσθήσεως γενέσθαι, καὶ πανταχοῦ ἡ ἔκστασις τοῦτο ἐμφαίνει. γίνεται δὲ ἢ τοῦ Θεοῦ ἐργαζομένου, ἢ τῆς ὑπερβολῆς τῶν κακῶν κάρον ἐμποιούσης. οἶδε γὰρ καὶ συμφορὰ ποιεῖν ἔκστασιν καὶ κάρον. ἐνταῦθα οὖν ἔκστασιν λέγει, τὸ μέγεθος τῶν κακῶν τῶν κατειληφότων. τί δέ ἐστιν ὅ φησι; πᾶς ἄνθρωπος ψεύστης; οὐδεὶς οὖν ἀληθής; πῶς οὖν ὁ Ἰὼβ ἀναγέγραπται ἄνθρωπος ἀληθινὸς, δίκαιος, θεοσεβής; τί δὲ καὶ περὶ τῶν προφητῶν ἐροῦμεν; εἰ γὰρ καὶ ἐκεῖνοι ψεῦσται, καὶ ἐψεύσαντο ἃ εἰρήκασι, πάντα οἴχεται. τί δὲ ὁ Ἀβραάμ; τί δὲ οἱ δίκαιοι πάντες; ὁρᾷς ὅσον ἐστὶ κακὸν τὴν λέξιν ἁπλῶς ἐκδέχεσθαι, καὶ μὴ τὰ νοήματα περισκοπεῖν; τί οὖν ἐστιν ὅ φησι· πᾶς ἄνθρωπος ψεύστης; ὃ ἀλλαχοῦ φησιν, ἄνθρωπος ματαιότητι ὡμοιώθη· ὃ καὶ ἕτερος προφήτης εἶπε· πᾶσα σὰρξ χόρτος, καὶ πᾶσα δόξα ἀνθρώπου ὡς ἄνθος χόρτου, τουτέστιν, εὐτελέστατον πρᾶγμα, παραρρέον, σκιᾷ ἐοικὸς, ὀνείρατι, εἰκόνι τινί. καὶ ἵνα μάθῃς, ὅτι οὐχ ἁπλῶς εἰκάζων ταῦτα λέγω, ἕτερος ἑρμηνευτὴς εἶπε· διάψευσμα, καὶ ἄλλος, διαψεύδεται, καὶ ἕτερος, ἐκλείπει· πολὺ δὲ τοῦτο ἐκείνου διέστηκε. τὸ μὲν γὰρ ψεύδεσθαι, κακίας ἐστὶ τῆς κατὰ ψυχήν· τὸ δὲ ἐκλείπειν καὶ διαρρεῖν καὶ παραρρεῖν, καὶ ὄναρ εἶναι καὶ ἄνθος καὶ σκιὰν, τῆς κατὰ φύσιν εὐτελείας. ταὐτὸν γὰρ λέγει, ὡς ὅταν εἴπῃ· ἐγὼ δέ εἰμι γῆ καὶ σποδὸς, καὶ πάλιν, τί ὑπερηφανεύεται γῆ καὶ σποδός; καὶ πάλιν ὡς ὅταν λέγῃ οὗτος ὁ προφήτης, τί ἐστιν ἄνθρωπος,

A In summa, inquit, calamitate, & ingenti malorum magnitudine. Tanta enim, inquit, me adorta est tentatio, vt excessum & grauem soporem in me inijceret. Dicit enim hic excessum, alienationem à sensu, quæ ex malis oritur. Nam de Adam quoque quando dicitur Deus immisisse in eum excessum, dicit quandam à sensu alienationem. Ecstasis enim, seu excessus dicitur, extra se esse positum. Immissus autem erat tum excessus, ne sentiret cùm auferretur costa, nec ex ea re dolorem caperet. ea ratione Deus suffurans sensum molestiæ, ne accepto dolore id factum ægrè ferret, immisit in eum excessum.

Excessus quid. Gen. 2.

B Et rursus alibi: Cecidit, inquit, super ipsos excessus. Significat illic grauem quendam soporem, & à sensu remotionem. Excessus autem id vbique significat. Fit autem vel Deo id faciente, vel malorum magnitudine grauem soporem ac torporem afferente. Possunt enim vtraque esse causa excessus & soporis. Hic ergo dicit excessum, magnitudinem malorum quæ eum occuparunt. Quid est autem quod dicit, Omnis homo mendax? Nemo est ergo verus? Quomodo ergo Iob descriptus

Act. 10. 10

Iob 1.

C est vir verus, iustus, religiosus? Quid verò dicemus de prophetis? Si illi enim mendaces, & in iis quæ dixerunt falsi sunt, omnia pereunt. Quid verò Abraham? Quid iusti omnes? Vides quātum sit malum, si dictio solum accipiatur, & non sensus consideretur? Quid est ergo quod dixit, Omnis homo mendax? Id quod ipse dicit alibi: Homo vanitati similis factus est. Quòd etiam alius propheta dixit: Omnis caro fœnum, & omnis gloria eius quasi flos fœni. Hoc est, res vilissima, præterfluens, similis vm-

Mendax cur dicatur homo. Psal. 143. 4. Esa. 40. 6.

D bræ, somnio, & alicui imagini. Et vt scias me non leui ac simplici coniectura adductum hæc dicere, alius interpres dixit, Falsum, aut mendaciū. Alius autem, Mentitur, alius fallitur, alius, Deficit. Hoc autem multum ab illo differt. Mentiri enim est vitij quod in animo situm est: Deficere autem, & præfluere, & esse somnium, vmbram, & florem, significat naturæ vilitatē. Idem est enim quod id quod dixit alius, Ego sum terra & cinis. & alius, Quid superbit terra & cinis? & rursus vt quando dicit hic Propheta, Quid est homo,

Gen. 18. Eccles. 10. Psal. 8. 5.

quòd memor es eius? vbique naturæ vilitatem, & eam nihil eſſe ſignificans. De ſegetibus enim dicimus, Ementitæ ſunt ſegetes, hoc eſt, ſpem noſtram fefellerunt, nec vt ſperabamus, tulerunt: &, Annus eſt ementitus, hoc rurſus ſignificantes. Quoniam ergo homo res eſt vilis, atque adeò nihili, (hac autem philoſophia ſolemus vti maximè in calamitate, & quàm ſit nihili natura, conſiderare) ideo ipſe quoque cùm eſſet animi anxius, & videret argui naturam, & quàm vilis eſſet & nihili, omni ex parte oſtendit, Omnis, inquit, homo mendax. Hoc eſt, homo nihili eſt. Quocirca ipſe quoque alibi dicebat: Verumtamen in imagine pertranſit homo. 3. *Quid retribuam Domino pro omnibus quæ retribuit mihi?* Vide quomodo oſtendit magnum beneficium non ex iis ſolùm quæ facta ſunt, ſed etiam ex eo quòd facta ſint in eum qui eſſet eiuſmodi, aliis quidem verbis, ſed eodem ſenſu narrans, quæ ſunt in Pſalmo. Quemadmodum enim illic dicebat, Quid eſt homo quòd memor es eius, aut filius hominis quòd viſitas eum? ita hic etiam. Tunc autem oſtenduntur duplicia eſſe beneficia, quando & natura magna ſunt, & quando conferuntur in eum qui eſt nihili: quod quidem beneficium & gratiam amplificat. Hoc ipſum volens oſtendere, dicit: Quid retribuam Domino? ſignificans eum hominem qui eſt mendacium, qui eſt vilis atque adeò nihili, dignum tanta cenſuiſſe gratia. Pro omnibus quæ retribuit mihi. Hoc eſt grati animi, obire, & pro iis quæ accepit beneficiis, quærere benefactori aliquam referre gratiam: & cum omnia exoluerit, putare ſe nihil dare. Quod cùm ex retributionis principio ſignificaſſet, procedens ſignificat ſe id exoluturum. Oſtendit enim duplicem gratiarum actionem, & quòd ea det quæ poteſt, & quòd cùm ea det, ſe nihil dignum dare exiſtimet. Quid eſt ergo quod eſt daturus? Audi eum dicentem. Subiungit enim, 4. *Calicem ſalutaris accipiam, & nomen Domini inuocabo.* Qui, quo dictum eſt, ſumunt anagogicè, dicunt eſſe communionem ſacramentorum. Nos autem hiſtoriam ſequentes, dicimus eum hîc dicere libamina & ſacrificia, & hymnos gratiarum actionis. Erant enim antiquitus diuerſa ſacrificia. Erat enim ſa-

Ementitæ ſegetes.

Mendax nihili.
Pſ. 38. 7.

Pſal. 8.

Beneficia vt duplicentur.

Calix communio ſacramentorum.

Sacrificia antiqua.

A ὅτι ἐμνήσθης αὐτοῦ; πανταχοῦ τῆς φύσεως τὸ εὐτελὲς δηλῶν, τὸ οὐδαμινόν. καὶ γὰρ ἐπὶ ληΐων λεγόμενον· τὰ λήϊα διεψεύσατο· τουτέστιν οὐδὲν ἐκόμισεν ἄξιον τῆς ἐλπίδος. καὶ ὁ ἐνιαυτὸς διεψεύσατο, τοῦτο δὴ πάλιν δηλοῦντες. ἐπεὶ οὖν καὶ ὁ ἄνθρωπος πρᾶγμα οὐδαμινὸν καὶ εὐτελές, μάλιστα δὲ καὶ ἐπὶ τῆς συμφορᾶς τὰ τοιαῦτα φιλοσοφεῖν εἰώθαμεν, καὶ τῆς φύσεως τὴν ἀσθένειαν ἐπισκέπτεσθαι. διὰ δὴ τοῦτο καὶ οὗτος ἐν ἀθυμίᾳ γενόμενος, καὶ τὴν φύσιν ὁρῶν ἐλεγχομένην, καὶ τὴν εὐτέλειαν καὶ οὐδένειαν αὐτῆς πανταχόθεν B διαδεικνυμένην· πᾶς ἄνθρωπος ψεύστης φησί. τουτέστιν, οὐδὲν ὁ ἄνθρωπος. διὸ καὶ ἀλλαχοῦ ἔλεγε· μέντοιγε ἐν εἰκόνι διαπορεύεται ἄνθρωπος. τί ἀνταποδώσω τῷ κυρίῳ περὶ πάντων, ὧν ἀνταπέδωκέ μοι. ὅρα πῶς δείκνυσι τὴν εὐεργεσίαν μεγάλην οὐκ ἀπὸ τῶν γεγενημένων, ἀλλὰ καὶ ἀπὸ τοῦ εἰς τοιοῦτον γεγενῆσθαι, ἑτέροις μὲν ῥήμασι, τοῖς δὲ αὐτοῖς νοήμασι τὰ ἐν τῷ ψαλμῷ διηγούμενος. καθάπερ γὰρ καὶ ἐκεῖ ἔλεγε· τί ἐστιν ἄνθρωπος, ὅτι μιμνήσκῃ αὐτοῦ, ἢ υἱὸς ἀνθρώπου, ὅτι ἐπισκέπτῃ αὐτόν; οὕτω καὶ ἐνταῦθα· τότε διπλᾶ τὰ τῆς εὐεργεσίας δείκ- C νυται, ὅταν καὶ φύσει μεγάλα ᾖ, καὶ εἰς οὐδαμινὸν ἵνα γίνηται, ὅπερ εὐεργεσίας καὶ χάριτος ἐπίτασις. τοῦτο οὖν αὐτὸ βουλόμενος παραστῆσαί φησι· τί ἀνταποδώσω τῷ κυρίῳ δηλῶν; ὅτι τὸν ἄνθρωπον τὸν ὄντα διάψευσμα τὸν οὐδαμινόν, τὸν εὐτελῆ τοσαύτης ἠξίωσε δωρεᾶς. περὶ πάντων ὧν ἀνταπέδωκέ μοι. τοῦτο εὐχαρίστου γνώμης τὸ περιέρχεσθαι καὶ ζητεῖν, εἴθ᾽ ἂν εὖ ἐπαθὼν ἀποδοῦναί τι τῷ εὐεργέτῃ, καὶ τὸ πάντα καταβαλόντα μηδὲν ἄξιον νομίζειν διδόναι· ὅπερ οὖν ἐκ προοιμίων τῆς ἀντιδόσεως ἀρξάμενος, καταθήσειν προϊὼν ἐπαγγέλλεται. διπλῆν γὰρ D τὴν εὐχαριστίαν ἐνδεικνύμενος τῷ τε διδόναι ἅπερ οἷός τε ἦν, καὶ τῷ ταῦτα διδοὺς μηδὲν ἄξιον νομίζειν διδόναι. τί οὖν ἐστιν, ὅπερ μέλλει διδόναι; ἄκουε αὐτοῦ λέγοντος. ἐπάγει γάρ· ποτήριον σωτηρίου λήψομαι, καὶ τὸ ὄνομα κυρίου ἐπικαλέσομαι. οἱ μὲν οὖν κατ᾽ ἀναγωγὴν τὸ εἰρημένον ἐκλαμβάνοντες, τῶν μυστηρίων τὴν κοινωνίαν φασίν. ἡμεῖς δὲ τῆς ἱστορίας τέως ἐχόμενοι, σπονδὰς αὐτὸν λέγειν ἐνταῦθα καὶ θυσίας, καὶ εὐχαριστηρίους ὕμνους λέγομεν. καὶ γὰρ διάφοροι τὸ παλαιὸν ἦσαν θυσίαι. θυσία γὰρ

αἰνέσεως ἦν, ὑπὲρ ἁμαρτημάτων, καὶ ὁλοκαυτώματα, ὑπὲρ σωτηρίας, καὶ εἰρηνικὴ καὶ ἕτεραι πλείους. ὃ οὖν λέγει τοῦτό ἐστιν· οὐκ ἔχω μὲν ἄξιόν τι καταθεῖναι, ὃ δὲ ἔχω τίθημι. θυσίαν γὰρ εὐχαριστήριον τῷ Θεῷ προσοίσω, καὶ ὑπὲρ τῆς σωτηρίας αὐτὸν ἀναμνήσω. Τὰς εὐχάς μου τῷ κυρίῳ ἀποδώσω ἐναντίον παντὸς τοῦ λαοῦ αὐτοῦ. ἐνταῦθα τὰς ἐπαγγελίας εὐχὰς λέγει τὰς ὑποσχέσεις. καὶ γὰρ ἐν τοῖς δεινοῖς τούτοις ἐπὶ τὸν Θεὸν κατέφυγε, καὶ ὀφειλέτην ἑαυτὸν καθίστη ἐπαγγελλόμενος, εἰ διαφύγοι τὰ δεινὰ, ταύτας καταβαλεῖν τὰς θυσίας. ἐπεὶ οὖν λέλυται φησὶν ἡ συμφορὰ, τὰς εὐχάς μου τῷ κυρίῳ ἀποδώσω ἐναντίον παντὸς τοῦ λαοῦ αὐτοῦ. τίμιος ἐναντίον κυρίου ὁ θάνατος τῶν ὁσίων αὐτοῦ· ἕτερος, ἔντιμος. καὶ ποία αὕτη ἀκολουθία; τί δὲ τοῖς ἔμπροσθεν ἔχει συνῳδόν; εἴ τις μετὰ ἀκριβείας ἐξετάσειε, πολὺ τοῦτο εὑρήσει. ἐπεὶ γὰρ εἶπε· τί ἀνταποδώσω τῷ κυρίῳ περὶ πάντων, ὧν ἀνταπέδωκέ μοι; δεικνὺς αὐτοῦ τὰς εὐεργεσίας φησίν· ὅτι οὐχὶ ἡ ζωὴ μόνον, ἀλλὰ καὶ ὁ θάνατος τῶν ὁσίων τοῦ Θεοῦ περισπούδαστος, οὐχ ἁπλῶς νόμῳ φύσεως παραγινόμενος, ἀλλὰ κατὰ γνώμην αὐτοῦ πολλαχοῦ γινόμενος. ἢ οὐκ ἀκούεις Παύλου λέγοντος· τὸ δὲ ἐπιμεῖναι τῇ σαρκὶ ἀναγκαιότερον δι' ὑμᾶς, καὶ τοῦτο πεποιθὼς οἶδα, ὅτι μενῶ καὶ συμπαραμενῶ πᾶσιν ὑμῖν; καὶ τί θαυμάζεις, εἰ καὶ ὁ θάνατος, ὅπου οὔτε ἡ γέννησις ἐνίων νόμῳ φύσεως γίνεται, ὡς ἡ τοῦ Ισαὰκ, ὡς ἡ τοῦ Σαμουήλ; διόπερ οὐδὲ τέκνα σαρκὸς αὐτοὺς καλεῖ, ἀλλὰ τέκνα ἐπαγγελίας· οὕτω καὶ Μωϋσῆς οὐχ ἁπλῶς ἀπέθνησκεν, ἀλλὰ τοῦ Θεοῦ προστάξαντος οὐδὲ Ιωάννης, ἀλλ' αὐτοῦ συγχωρήσαντος. καί τοι γε μισθὸς ἐγένετο πόρνης· ἀλλὰ καὶ οὕτω τίμιος γέγονε. ὃ γὰρ δὴ θαυμαστὸν τοῦτό ἐστιν, ὅτι καὶ οὕτω τελευτήσας ἔντιμος ἦν, ὑπὲρ γὰρ ἀληθείας κατέλυσε τὸν βίον, καὶ οὕτως ἦν ἔντιμος, ὅτι καὶ αὐτὸς ὁ φονεύσας ἐδεδοίκει αὐτόν· ὅτι δὲ ἐδεδοίκει αὐτὸν, ἄκουε τοῦ εὐαγγελιστοῦ τί φησι περὶ τοῦ Ηρώδου, ἔλεγε γάρ· ὅτι αὐτὸς ἀνέστη ἐκ τῶν νεκρῶν, καὶ διὰ τοῦτο αἱ δυνάμεις ἐνεργοῦσιν ἐν αὐτῷ. ὅρα πῶς καὶ ἐπὶ τοῦ Αβελ τίμιος ἦν αὐτοῦ ὁ θάνατος. ποῦ Αβελ ὁ ἀδελφός σου; φωνὴ αἵματος τοῦ ἀδελφοῦ σου βοᾷ πρός με. ὄψει καὶ ἐπὶ τοῦ Λαζάρου, πῶς μετὰ τε-

A crificium laudis, pro peccatis, holocausta, pro salute, & pacifica, & plura alia. Hoc est ergo quod dicit, Non possum quidem quod dignum est persoluere, soluo autem quod possum. Offeram enim Deo sacrificium gratiarum actionis, & salutis eum commonefaciam. 5. *Vota mea Domino reddam coram omni populo eius.* Vota hic dicit promissa & pollicitationes. In his enim ærumnis ad Deum confugiebat, & se debitorem ei constituebat, pollicens si ea mala effugeret, se exoluturum esse B sacrificia. Quoniam ergo, inquit, cessauit calamitas, vota mea reddam Domino coram omni populo eius. *Pretiosa in conspectu Domini mors sanctorum eius.* Alius, Honorata corã Domino. Quænam est autem hæc consequentia, & quid habet quod cum prioribus conueniat? Si quis id accuratè examinauerit, maximam inueniet. Quoniam enim dixerat, Quid retribuam Domino pro omnibus, quæ retribuit mihi? ostendens eius beneficia, dicit non solùm vitam, sed etiam mortem sanctorum Deo esse curæ, non eam solùm C quæ lege naturæ aduenit, sed etiam quæ eius voluntate suscipitur. An non audis Paulum dicentem: In carne autem manere, magis necessarium propter vos, & eo fretus, scio quòd manebo, & permanebo vnà vobiscum? Et quid miraris si mors, cùm nec generatio nonnullorum naturæ lege peracta sit, quemadmodum generatio Isaac, & generatio Samuel? quocirca nec carnis quidem eos vocat filios, sed filios promissionis. Ita etiam Moses non est simpliciter & absolutè mortuus, sed cùm Deus iussisset. Neque Ioannes, sed cùm D ipse permisisset. Atqui fuit merces meretricis, fuit tamen nihilo secius honorata. Hoc ipsum autem est admirabile, quòd vel sic mortuus habitus est in honore, siquidem pro veritate vitam finiit: tantoque habitus est in honore, Vt ipse etiam qui eum interfecerat, ipsum timeret. Quòd autem timebat, audi, euangelista quidnam dicat de Herode. Dicebat enim, quòd ipse resurrexit à mortuis, & propterea virtutes operantur in ipso. Vide quomodo etiam in Abel erat mors preciosa & honorata. Vbi est Abel frater tuus? Vox sanguinis fratris tui clamat ad me. Vide etiam in Lazaro, quomodo post

Vota promissa.

Philip. 1. 24.

Gen. 17. & 18.
1. Reg. 1.
Rom. 9.
Deut. 4.
Marc. 6.

Marc. 6. 14

Gen. 4. 10.

eius mortem angeli cum deducebant. Contemplare etiam ciuitates ad martyrum sepulchra concurrentes, & populos eorum amore inflammatos. Hoc est ergo quod dicit: Deus plurimi facit, magnam curam gerit vel ipsius mortis sanctorum. Neque enim quomodocunque nec fortuitò moriuntur, sed quando ipse id ex suæ dispensationis consilio permiserit. Et ideo dicebat, In conspectu Domini, hoc volens ostendere. 6. *O Domine ego seruus tuus, ego seruus tuus, & filius ancillæ tuæ.* Non dicit communem seruitutem, sed eam quæ oritur ex magno amore & affectione, magno incensus desiderio, quod est corona maxima, & quouis diademate præclarius. Quocirca Deus quoque id posuit pro maxima laude, dicēs, Moses seruus meus mortuus est. Et filius ancillæ tuæ. Hoc est, A multis retro seculis, à tempore maiorum meorum dicatus sum tuæ seruituti. Quòd etiam Paulus posuit in Timotheo pro maximo ornamento, dicens: Recordationem habens fidei quæ est in te nō ficta, quę habitauit primū in auia tua Loide, & matre tua Eunice. Persuasum autem habeo quòd & in te, & quòd ab infantia didicisti sacras litteras. Et rursus de seipso: Hebræus ex Hebræis. Et rursus, Hebræi sunt, & ego. Israëlitæ sunt, & egu. Amplius enim quiddā habebant, quàm proselyti, qui à suis maioribus tales erant. Et ideo hîc quoque dicit: Et filius ancillæ tuæ. 7. *Dirupisti vincula mea.* Non dixit, Labefecisti: sed, Dirupisti, significans ea ita etiam fracta, vt essent inutilia. Vincula autem hîc dicit, afflictiones, tentationes, pericula. Est enim bonum vinculum, quo bonum est astringi: vt quando dicit, In vinculo dilectionis: &, Quod est vinculum perfectionis. Est etiam vinculum huic contrarium, vt quando dicit, Catenis peccatorum suorum vnusquisque astringitur. Id Christus quoque innuens, Abrahæ autem, inquiebat, filiam hanc à Satana ligatam, non oportebat solui? Et Esaias de Christo, Dedi te in testamentum gentium, dicentem iis qui sunt in vinculis, Egredimini. Hæc ergo vincula dirupit, non soluit. Hoc enim est illo amplius. Quòd si quis etiam velit hæc sumere anagogicè, dicens hæc

Luc.16.22. Sepulchra martyrum honorabilia.

Iosue 1.

2.Tim.1.5.

1.Tim.3.15. Philip.3.5. 2.Cor.11.22.

Vincula.

Osee 11.4. Colos.3.14. Prou.5.22. Luc.13.16.

Esa.49.9.

λευτὴν ἄγγελοι αὐτὸν προεπεμποῦντο. σκόπει δὲ ἐπὶ τῶν μαρτύρων τοὺς τάφους τὰς πόλεις συντρεχούσας, τοὺς δήμους ἀναπτομένους τῷ πόθῳ. τοῦτο οὖν ἐστιν, ὅ φησιν· ὅτι πολὺς λόγος, καὶ πολλὴ σπουδὴ τῷ Θεῷ καὶ ἐπὶ τῇ τελευτῇ τῶν ὁσίων. οὐδὲ γὰρ ἁπλῶς, οὐδὲ ὡς ἔτυχε τελευτῶσιν, ἀλλ' ὅταν αὐτὸς συγχωρήσῃ οἰκονομικῶς. διὰ τοῦτο ἔλεγεν, ἐναντίον κυρίου, τοῦτο ἐμφῆναι βουλόμενος. ὦ κύριε ἐγὼ δοῦλος σὸς, ἐγὼ δοῦλος σὸς, καὶ υἱὸς τῆς παιδίσκης σου. οὐ τὴν κοινὴν λέγει δουλείαν, ἀλλὰ τὴν κατὰ πολλὴν διάθεσιν καὶ στοργὴν διαθερμαινόμενος τῷ πόθῳ, ὅπερ ἐστὶ μέγιστος στέφανος, καὶ διαδήματος παντὸς λαμπρότερον. διὸ καὶ ὁ Θεὸς αὐτὴν μεγίστης εὐφημίας τίθησι, λέγων· Μωϋσῆς ὁ θεράπων μου τετελεύτηκεν. καὶ υἱὸς τῆς παιδίσκης σου. τουτέστιν, ἄνωθεν καὶ ἐκ προγόνων ἀνακείμεθά σοι τῇ δουλείᾳ, ὅπερ αὐτὸ ἀντὶ μεγίστου τέθεικε κόσμου καὶ ὁ Παῦλος ἐπὶ τοῦ Τιμοθέου λέγων· ὑπόμνησιν ἔχων τῆς ἐν σοὶ ἀνυποκρίτου πίστεως, ἥτις ἐνῴκησε πρῶτον ἐν τῇ μάμμῃ σου Λωΐδι, καὶ τῇ μητρί σου Εὐνίκῃ. πέπεισμαι δὲ ὅτι καὶ ἐν σοὶ, καὶ ὅτι ἀπὸ βρέφους τὰ ἱερὰ γράμματα οἶδας. καὶ πάλιν περὶ ἑαυτοῦ· Ἑβραῖος ἐξ Ἑβραίων, καὶ πάλιν· Ἑβραῖοί εἰσι, κἀγώ· Ἰσραηλῖταί εἰσι, κἀγώ· εἶχον γάρ τι πλέον τῶν προσηλύτων οἱ ἐκ προγόνων, καὶ ἄνωθεν τοῦτο ὄντες. διὰ τοῦτο καὶ οὗτός φησι, καὶ υἱὸς τῆς παιδίσκης σου. διέῤῥηξας τοὺς δεσμούς μου. οὐκ εἶπεν, ἐσάλευσας· ἀλλ', ἔῤῥηξας, δηλῶν ὅτι οὕτως, ὡς καὶ ἀχρήστους γενέσθαι. ἐνταῦθα δεσμοὺς τὰς θλίψεις φησὶ, τοὺς πειρασμοὺς, τοὺς κινδύνους. ἔστι γὰρ καὶ δεσμὸς καλὸς, ὃν περιβαλέσθαι βέλτιον, ὡς ὅταν λέγῃ· ἐν τῷ συνδέσμῳ τῆς ἀγάπης, καὶ, ἥτις ἐστὶ σύνδεσμος τῆς τελειότητος. ἔστι καὶ ἀπεναντίας τούτου σύνδεσμος, ὡς ὅταν λέγῃ· σειραῖς τῶν ἁμαρτιῶν αὐτοῦ ἕκαστος σφίγγεται. τοῦτο καὶ ὁ Χριστὸς αἰνιττόμενος, Ἀβραὰμ θυγατέρα οὖσαν, ἔλεγε, ταύτην οὕτως ὑπὸ τοῦ Σατανᾶ δεδεμένην οὐκ ἔδει λυθῆναι; καὶ ὁ Ἡσαΐας περὶ τοῦ Χριστοῦ, δέδωκά σε εἰς διαθήκην ἐθνῶν λέγοντα τοῖς ἐν δεσμοῖς, ἐξέλθετε. τούτους τοίνυν διέῤῥηξε τοὺς δεσμοὺς, οὐκ ἔλυσε. πλέον γὰρ τοῦτο ἐκείνου. εἰ δέ τις καὶ κατὰ ἀναγωγὴν βούλοιτο ἐκλαβεῖν τοὺς τῶν ἁμαρτιῶν δεσμοὺς, τούτους λέγων οὐχ

ἀμαρτήσεται τοῦ προσήκοντος, καὶ πάντα τὸν παλαιὸν ἄνθρωπον. ἔστι καὶ ἕτερος δεσμὸς κάλλιστος, ὃν ἀεὶ ὁ Παῦλος περιφέρων ἔλεγε· Παῦλος δέσμιος Ἰησοῦ Χριστοῦ. καὶ πάλιν, ὑπὲρ οὗ καὶ δέδεμαι ἐν ἁλύσει. Σοὶ θύσω θυσίαν αἰνέσεως. ὅρα πῶς ἄνω, καὶ κάτω, καὶ πανταχοῦ ταύτην τίθησι τὴν ἀντίδοσιν τῷ Θεῷ, ἄνω λέγων· ποτήριον σωτηρίου λήψομαι, ἐνταῦθα, σοὶ θύσω θυσίαν αἰνέσεως, τουτέστιν, εὐχαριστήσω, ὑμνήσω. καὶ ἐν ὀνόματι κυρίου ἐπικαλέσομαι. εἶδες πῶς ἐστι θυσία αἰνέσεως; τὰς εὐχάς μου τῷ κυρίῳ ἀποδώσω ἐναντίον παντὸς τοῦ λαοῦ αὐτοῦ ἐν αὐλαῖς οἴκου Θεοῦ ἡμῶν, ἐν μέσῳ σου Ἱερουσαλήμ. τοῦτο δὲ ἐποίει οὐκ ἐπίδειξιν ποιούμενος, οὐδὲ πρὸς φιλοτιμίαν βλέπων, ἀλλὰ πάντας εἰς τὸν οἰκεῖον ἄγων ζῆλον, καὶ κοινωνοὺς λαβεῖν τῆς εὐχαριστίας βουλόμενος. ὃ δὴ πάντες οἱ ἅγιοι ποιοῦσιν, οὐ τοὺς ἀνθρώπους μόνον, ἀλλὰ καὶ τὴν κτίσιν αὐτὴν ἅπασαν, ἡνίκα ἄν τι πάθωσι χρηστὸν, πρὸς τὴν κοινωνίαν τῆς εὐφημίας καλοῦντες. οὐδὲν γὰρ οὕτω τῷ Θεῷ περισπούδαστον, ὡς τὸ εὐχάριστον εἶναι, καὶ μὴ μόνον ἐν ταῖς εὐημερίαις, ἀλλὰ καὶ τῶν πραγμάτων ἐναντίως διακειμένων. τοῦτο μάλιστα θυσία· τοῦτο μεγίστη προσφορά· οὕτως ὁ Ἰὼβ ἀνεκηρύττετο· οὕτως ὁ Παῦλος· οὕτως ὁ Ἰακώβ· οὕτως ἕκαστος τῶν δικαίων τὴν εὐγνωμοσύνην αὐτοῦ, καὶ τὴν εἰς Θεὸν εὐχαριστίαν ἐν τῇ δυσκολίᾳ τῶν καιρῶν μάλιστα ἐπιδεικνύμενος. τοῦτο δὴ καὶ ἡμεῖς ποιῶμεν, καὶ διαπαντὸς μένωμεν εὐχαριστοῦντες, ἵνα καὶ τῶν αἰωνίων ἐπιτύχωμεν ἀγαθῶν. ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

vincula peccatorum, & ea esse confracta veteri homini, minimè aberrauerit. Est aliud quoque vinculum pulcherrimum, quod Paulus semper circumferens dicebat: Paulus vinctus Iesu Christi. Et rursus, Pro quo etiam vinctus sum in catena. *Tibi sacrificabo hostiam laudis.* Vide quomodo superius, & inferius, & vbique exoluit eandem Deo retributionem. Superius dicens, Calicem salutaris accipiam, & nomen Domini inuocabo. Hic, Tibi sacrificabo hostiam laudis, hoc est, gratias agam, laudabo. *Et nomen Domini inuocabo.* Vides quomodo est sacrificium laudis? 8. *Vota mea Domino reddam in conspectu omnis populi eius, in atriis domus Domini, in medio tui Hierusalem.* Hoc autem faciebat, non vt se ostentaret, nec vt gloriam captaret, sed omnes ad suam inuitans imitationem, & volens eos habere socios gratiarum actionis. Quod quidem faciunt omnes sancti, non homines solùm, sed etiam omnem creaturam, quando beneficij aliquid acceperint, vocantes ad laudis communionem. Nihil est enim, quod Deus maiore studio complectatur, quàm esse gratum, non solum in rebus secundis, sed etiam in aduersis. Hoc est pulcherrima hostia, hoc maxima oblatio. Ita Iob prædicabatur: ita Paulus: ita Iacob: ita vnusquisque iustorum, pium suum & gratum in Deum animum maximè in temporum difficultate ostendens. Idipsum nos quoque faciamus, & gratias perpetuò agere perseueremus, vt bona etiam æterna consequamur. Quæ detur nobis omnibus consequi gratia & benignitate domini nostri Iesu Christi, cui gloria & potentia in secula seculorum, Amen.

Vincula anagogicè peccata. Ephes. 3. 4. 6. Act. 28.

Gratitudo Deo maximè placet.

Iob 1. 2. 2. Cor. 2. Ezech. 5. Gen. 27.

A

In Psalmum CXVI.

Laudate Dominum omnes gentes, Laudate eum omnes populi. 2. Quoniam confirmata est super nos misericordia eius, & veritas Domini manet in æternum.

Clarum est hæc quæ dicta sunt, esse prophetiam Ecclesiæ credentium, & prædictionem prædicationis quæ vniuersum orbem terræ occupauit. Neque enim vnam, duas aut tres solummodo gentes, sed terram, & vniuersum mare vocat Psalmus. Quod etiam euenit, quando Christi aduentus resplenduit. Deinde dicit etiã causam salutis, quòd non ex propriis factis, nec ex vita, nec ex fiducia, sed ex sola Dei clementia seruati sunt. Confirmata est enim, inquit, super nos misericordia eius. Hoc est, Coacta est & coaluit, firmáque ac solida facta est, & petra durior. Increcementum enim quotidie suscepit. Et veritas eius manet in æternum. Tunc enim veritas maximè resplenduit. Ideo autem sic dixit, quoniam quæ erant veteris, erant typus & figura. Hoc ipsum significans quoque euangelista, dicebat: Lex per Moysen data est, gratia & veritas facta est per Iesum Christum.

Ephes. 2. Ad Tit. 3.

Ioan. 1. 17.

Εἰς τὸν ρις' ψαλμόν.

Αἰνεῖτε τὸν κύριον πάντα τὰ ἔθνη, ἐπαινέσατε αὐτὸν πάντες οἱ λαοί. ὅτι ἐκραταιώθη τὸ ἔλεος αὐτοῦ ἐφ' ἡμᾶς, καὶ ἡ ἀλήθεια τοῦ κυρίου μένει εἰς τὸν αἰῶνα.

b

Παντί που δῆλον, ὅτι προφητεία ἐστὶ τῆς ἐκκλησίας τῶν πιστευόντων τὰ εἰρημένα, καὶ τοῦ κηρύγματος προαναφώνησις τοῦ τὴν οἰκουμένην κατειληφότος ἅπασαν. οὐ γὰρ ἓν καὶ δύο καὶ τρία μόνον ἔθνη, ἀλλὰ γῆν καὶ θάλασσαν ἅπασαν ὁ ψαλμὸς καλεῖ· ὅπερ δὴ γέγονε, ὅτε ἡ τοῦ Χριστοῦ παρουσία ἐπέλαμψεν. εἶτα καὶ τὴν αἰτίαν φησὶ τῆς σωτηρίας, ὅτι οὐκ ἐξ οἰκείων κατορθωμάτων, οὔτε ἀπὸ βίου καὶ παρρησίας, ἀλλ' ἀπὸ φιλανθρωπίας ἐσώθησαν. ἐκραταιώθη γάρ, φησι, τὸ ἔλεος αὐτοῦ ἐφ' ἡμᾶς. τουτέστιν, ἐπάγη, ἰσχυρὸν γέγονε, πέτρας στερρότερον. καὶ γὰρ καθ' ἑκάστην ἐπιδίδωσι τὴν ἡμέραν· καὶ ἡ ἀλήθεια αὐτοῦ μένει εἰς τὸν αἰῶνα. τότε γὰρ μάλιστα τὰ τῆς ἀληθείας ἔλαμψεν, ἐπειδὴ τὰ τῆς παλαιᾶς τύπος ἦν καὶ σκιά. τοῦτο καὶ ὁ εὐαγγελιστὴς, ἔλεγεν· ὁ νόμος διὰ Μωσέως ἐδόθη, ἡ χάρις καὶ ἡ ἀλήθεια διὰ Ἰησοῦ Χριστοῦ ἐγένετο.

C

In Psalmum CXVII.

Confitemini Domino quoniam bonus: quoniam in seculum misericordia eius.

Dictum quidem Psalmi quod consueuit populus concinere, est hoc: Hic est dies quem fecit Dominus, exultemus & lætemur in eo. quod & multos excitat, & hoc maximè solet populus illo spiritali & cœlesti conuentu decantare. Nos autem, si vos

D

Εἰς τὸν ριζ' ψαλμόν.

Ἐξομολογεῖσθε τῷ κυρίῳ ὅτι ἀγαθός· ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

Ἣ μὲν ῥῆσις τοῦ ψαλμοῦ, ἣν ὑποψάλλειν ὁ λαὸς εἴωθε, τοιαύτη τίς ἐστιν· αὕτη ἐστὶν ἡ ἡμέρα, ἣν ἐποίησεν ὁ κύριος· ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ. καὶ πολλοὺς διεγείρουσι, καὶ κατὰ τὴν πανήγυριν ἐκείνην τὴν πνευματικὴν καὶ τὴν οὐράνιον ἑορτὴν μάλιστα τοῦτο ὑπηχεῖν ὁ λαὸς εἴωθεν. ἡμεῖς δὲ εἰ βού-

λεσθε ἄνωθεν καὶ ἐξ ἀρχῆς ἅπαντα ἐπέλθωμεν τὸν ψαλμὸν, οὐκ ἀπὸ τοῦ στίχου τῆς ὑπηχήσεως, ἀλλ' ἀπ' αὐτοῦ τοῦ προοιμίου τὴν ἐξήγησιν ποιούμενοι. τὸν μὲν γὰρ στίχον οἱ πατέρες, ἅτε ἦχον ὄντα καί τι ὑψηλὸν ἔχοντα δόγμα, τὸ πλῆθος ὑπηχεῖν ἐνομοθέτησαν, ἐπειδὴ τὸν ἅπαντα ἠγνόουν ψαλμόν· ἵνα κἂν ἐντεῦθεν ἀπηρτισμένην λάβωσι διδασκαλίαν. ἡμᾶς δὲ ἅπαντα αὐτὸν ἐπελθεῖν ἀνάγκη, εἰ καὶ τὰ μέσα αὐτοῦ πολλὴν ἔχει τὴν προφητείαν. ἐνταῦθα γὰρ εἴρηται, λίθον, ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες, οὗτος ἐγενήθη εἰς κεφαλὴν γωνίας. ὅπερ καὶ ὁ Χριστὸς ἔλεγε τοῖς Ἰουδαίοις, αἰνιγματωδέστερον μέν· ἔτι γὰρ ἔζεον τῷ θυμῷ, καὶ οὐκ ἐβούλετο αὐτὸν ἀνάψαι· κάλαμον γὰρ συντετριμμένον οὐ κατεάξει, καὶ λίνον τυφόμενον οὐ σβέσει· εἶπε δ' οὖν ὅμως· ἀλλ' ἀπὸ τοῦ προοιμίου ἡμεῖς ἀψώμεθα τοῦ ψαλμοῦ· καθάπερ ἔφθημεν εἰπόντες. τί τοίνυν ἐστὶ τὸ προοίμιον; ἐξομολογεῖσθε τῷ κυρίῳ, ὅτι ἀγαθὸς, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. ἐννοήσας γὰρ τὴν εὐεργεσίαν τῆς οἰκουμένης ὁ προφήτης, καὶ τὴν φιλανθρωπίαν τὴν διηνεκῆ, ἣν διὰ πάντων ἐπεδείξατο, πάντας εἰς τὴν κοινωνίαν τῆς εὐχαριστίας καλεῖ, τὸ μέγιστον κεφάλαιον τῶν ἀγαθῶν αὐτοῦ προθεὶς μέσον. εἰπάτω δὴ οἶκος Ἰσραὴλ, ὅτι ἀγαθὸς, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. τί λέγεις; οἶκος Ἰσραὴλ, ὁ μυρίας αἰχμαλωσίας ὑπομείνας; ὁ ἐν Αἰγύπτῳ δουλεύσας; πρὸς τὰς ἐσχατιὰς τῆς οἰκουμένης ἀπαχθείς; ὁ ἐν Παλαιστίνῃ μυρία ταλαιπωρήσας; ναὶ φησιν. οὗτοι γὰρ μάλιστα μάρτυρές εἰσι τῶν ἀγαθῶν αὐτοῦ, καὶ πλειόνων ἀπήλαυσαν, ἢ ἕτεροι. καὶ αὐτὸ δὲ τοῦτο, ὅπερ ἔπαθον, πολλῆς εὐεργεσίας τεκμήριον. εἰ δέ τις ἀκριβῶς ἐξετάσειε, καὶ ὑπὲρ τῆς παρουσίας αὐτῆς τοῦ Χριστοῦ μάλιστα αὐτοὺς εὐχαριστεῖν δεῖ. εἰ γὰρ καὶ τὰ ἐναντία ὑπέμειναν, ἀλλ' οὐ παρὰ τὸν παραγενόμενον, ἀλλὰ παρὰ τὴν οἰκείαν ἀγνωμοσύνην. αὐτὸς μὲν γὰρ πρὸς αὐτοὺς ἀφίκετο, καὶ συνεχῶς ἔλεγεν· οὐκ ἀπεστάλην, εἰ μὴ εἰς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ. καὶ τοῖς μαθηταῖς· εἰς ὁδὸν ἐθνῶν μὴ ἀπέλθητε· πορεύεσθε δὲ μᾶλλον πρὸς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ. καὶ πρὸς τὴν Χαναναίαν· οὐκ ἔστι καλὸν λαβεῖν τὸν ἄρτον τῶν τέκνων,

A vultis, à capite & ab initio totum Psalmum persequamur, non à versu qui acclamatur, sed ab ipso exordio expositionem inchoantes. Versum enim patres nostri, vt qui esset sonorus, & sublime aliquod dogma contineret, populum resonare sanxerunt, quandoquidem totum Psalmum ignorabant, vt vel hinc perfectam doctrinam acciperent. Nobis autem necesse est eum totum persequi, etsi quæ sunt in medio eius, maximam habeant prophetiam. Hic enim dictum est: Lapidem quem reprobauerunt ædificantes, hic factus B est in caput anguli. Quod quidem Christus quoque dixit Iudæis, paulò quidem obscurius: adhuc enim ira feruebant, ipse autem eam nolebat accendere. Calamum enim contritum non cõfringet, & linum fumigans non extinguet, dixit tamen. Aggrediamur ergo psalmum ab ipso procemio, sicuti iam diximus. Quod est ergo proœmiū? Confitemini Domino, quòd bonus, quòd in seculum misericordia eius. Nam cùm mente agitasset Propheta orbis terræ beneficium, & perennem C benignitatem, ac clementiam quam in omnibus ostendit Dominus, vocat simul omnes ad agendas gratias, maximo capite bonorum eius in medio posito.

Isa. 42. 3.

2. *Dicat Israel quòd bonus, quòd in seculum misericordia eius.* Quid dicis? Domus Israel, quæ captiuitates perpessa est innumerabiles, quæ in Ægypto seruiit, quę in orbis terrarum extrema abducta est, quæ in Palæstina mille tolerauit afflictiones? Certè, inquit. Ij enim sunt eius bonorum optimi testes, maioráque & ampliora acceperunt quàm alij. Quinetiam hoc ipsum quod passi sunt, D est argumentum magni beneficij. Si quis autem diligenter examinauerit, etiam pro Christi aduentu consentaneum est eos maximas agere gratias. Etsi enim aduersa passi sunt, id tamen non ab eo qui venit, sed ab eorum improbitate, & ingrati animi vitio profectum est. ipse enim ad eos veniebat, & frequēter dicebat: Non missus sum, nisi ad oues quæ petierũt domus Israël. & discipulis: In viam gentium ne abieritis: ite potius ad oues quæ perierunt domus Israel. Et Chananææ: Non est bonum accipere panem filiorum, &

Dicat domus Israel.

Matth. 15. 24.

Matth. 10. 5.

Iudaeorum ingratitudo. *Sacerdotij dignitas.*

dare canibus. Omnia enim agebat & procurabat pro illorum salute. Quòd si visi sunt indigni beneficio, suis sceleribus imputent, & summo suo ingrati animi crimini. 3. *Dicat domus Aaron quòd bonus, quòd in seculum misericordia eius.* Hic vocat sacerdotes separatim ad laudes canendas, ostendens quàm sit excellens sacerdotium. Nam quò erant ij aliis maiores, eo maiorem à Deo gloriam consecuti sunt, non solum quod ad sacerdotium attinet, sed etiam quod ad alia omnia. Etenim quando ignis demissus est, propter eos demissus est, & terra aperta est, & virga germinauit, & alia innumerabilia propter ipsos, imò verò pro ipsis, miracula facta sunt. 4. *Dicant omnes qui timent Dominum, quòd bonus, quòd in seculum misericordia eius.* Ij enim sũt qui maximè possunt videre eius benignitatẽ & clementiam, & per omnia discere bonitatem. Quid est autem, In seculũ misericordia eius? Perpetua, inquit, non interrupta, sed in omnibus & per omnia resplendens, & se ostendens. Quòd si multi eã non cernunt, propter suarum rationum imbecillitatem non cernunt. Nam ij etiam quorum ægri sunt oculi, ea maximè de causa solem non vident. Quemadmodum nec qui sani sunt, semper possunt eum oculis fixis intueri, propter summum splendorem: ita nec vniuersa Dei prouidentia perfectè sciri potest, quòd omnem hamanam rationem longè superet illius prudentiæ & sapientiæ magnitudo. Sunt etiam quædam affectiones, quæ stultis sæpe tenebras offundunt, & efficiũt, vt eam omnino videre nequeant. Primum quidem libido & amor voluptatis: quocirca etiam quæ sunt omnibus manifesta prætereunt: deinde cum his est ignorantia, & mentis peruersitas. An non igitur absurdum est, si videas quidem patrem filium verberantem, id probare, & laudare, & vel eo maximè nomine patrem existimare: si Deus autem velit de iis quæ facta sunt, pœnas sumere, indignari & ægre ferre? Quid autem possit esse hac peruersitate deterius, cùm ea etiam quæ sunt inter se contraria, ægrè ferant, nunc quidem dolentes, quòd supplicia non exigat: nunc autem, quòd exigat? Quãdo enim viderint aliquos rapientes,

Leuit. 10. Num. 16. Num. 17.

Affectiones oculos mentis excaecantes.

A καὶ δοῦναι αὐτὸν τοῖς κυναρίοις. καὶ γὰρ πάντα ἐποίει, καὶ ἐπραγματεύετο ὑπὲρ τῆς ἐκείνων σωτηρίας. εἰ δὲ ἀνάξιοι τῆς εὐεργεσίας ἐφάνησαν, τῇ ἑαυτῶν λογιζέσθωσαν παρανομίαις, καὶ τῇ τῆς ἀγνωμοσύνης ὑπερβολῇ. εἰπάτω δὴ οἶκος Ἀαρών, ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. ἐνταῦθα κεχωρισμένως τοὺς ἱερέας εἰς ὑμνῳδίαν καλεῖ· δεικνὺς ὅση τίς ἐστιν ὑπερέχουσα ἡ ἱερωσύνη. καὶ γὰρ ὅσῳ μείζους ἦσαν οὗτοι τῶν ἄλλων, τοσούτῳ καὶ πλείονος ἀπήλαυον τιμῆς παρὰ τοῦ Θεοῦ, οὐ μόνον κατὰ τὸν τῆς ἱερωσύνης λόγον, ἀλλὰ καὶ κατὰ τὰ ἄλλα πάντα. καὶ γὰρ ἡνίκα B πῦρ κατηνέχθη, δι' αὐτοὺς κατηνέχθη, καὶ γῆ ἠνοίχθη, καὶ ῥάβδος ἐβλάστησε, καὶ μυρία ἕτερα γέγονε δι' αὐτούς, μᾶλλον δὲ ὑπὲρ αὐτῶν θαύματα. εἰπάτωσαν δὴ πάντες οἱ φοβούμενοι τὸν Θεόν, ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. μάλιστα γὰρ οὗτοί εἰσιν οἱ δυνάμενοι τὴν φιλανθρωπίαν ἰδεῖν τὴν αὐτοῦ, καὶ διὰ πάντων τὴν ἀγαθότητα καταμανθάνειν. τί δέ ἐστιν, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ; διηνεκές, φησιν, οὐ διακοπτόμενον, ἀλλὰ διὰ πάντων λάμπον καὶ διαδεικνύμενον. εἰ δὲ μὴ πολλοὶ βλέπουσι, C διὰ τὴν ἀσθένειαν τῶν οἰκείων οὐ βλέπουσι λογισμῶν· ἐπεὶ καὶ τὸν ἥλιον οἱ τὰς ὄψεις νοσοῦντες διὰ τοῦτο μάλιστα οὐχ ὁρῶσιν· ὥσπερ οὐδὲ οἱ ὑγιαίνοντες ἀεὶ δύνανται πρὸς αὐτὸν ἀτενίζειν, διὰ τὴν ὑπερβολὴν τῆς λαμπρότητος, οὕτως οὐδὲ τοῦ Θεοῦ μαθεῖν δυνατὸν πᾶσαν μετὰ ἀκριβείας τὴν πρόνοιαν, διὰ τὸ σφόδρα ὑπερβαίνειν τῶν ἀνθρωπίνων λογισμῶν τὸ μέγεθος τῆς συνέσεως αὐτοῦ καὶ τῆς σοφίας. ἔστι δὲ καὶ πάθη τὰ πολλὰ τοῖς ἀνοήτοις ἐπισκοτοῦντα πρὸς τὸ μηδ' ὅλως αὐτὴν ἰδεῖν. πρῶτον μὲν τὸ φιλήδονοι· διὸ καὶ τὰ πᾶσι D σαφῆ παρατρέχουσι· μετὰ τούτων δεύτερον ἡ ἄνοια καὶ τὸ διεστραμμένον τῆς γνώμης. πῶς οὖν οὐκ ἄτοπον πατέρα μὲν ὁρῶντα τύπτοντα παιδίον ἀποδέχεσθαι, καὶ ἐπαινεῖν, καὶ ταύτῃ μάλιστα πατέρα νομίζειν· πρὸς δὲ τὸν Θεόν, εἰ βουληθείη δίκην ἀπαιτῆσαι τῶν πεπραγμένων, δυσχεραίνειν καὶ ἀλύειν; τί γὰρ τῆς διαστροφῆς ταύτης χεῖρον γένοιτ' ἄν, οἳ καὶ ἐπὶ τοῖς ἐναντίοις δυσχεραίνουσι, νῦν μὲν ἀλύοντες, ὅτι μὴ ἐπεξέρχεται· νῦν δέ, ὅτι ἐπεξέρχεται; ὅταν μὲν γὰρ ἴδωσιν ἁρπάζοντας, καὶ πλεο-

καὶ πλεονεκτοῦντάς τινας, ἐβούλοντο δίκας αὐτοὺς διδόναι· ὅταν δὲ αὐτοὺς ἁμαρτάνοντας, οὐδ' ὅλως, ὅπερ ἐστὶ διεφθαρμένης γνώμης. τρίτον πρὸς τούτοις τὸ μηδὲ εἰδέναι αὐτοὺς, τί ποτε καλὸν, καὶ τί ποτε κακὸν, ἀλλ' ἐσφάλθαι περὶ τὴν τῶν πραγμάτων κρίσιν, διὰ τὸ φιλοπόνηρον, καὶ πρὸς κακίαν ἐπιρρεπές. τέταρτον, τὸ μηδὲ λογίζεσθαι τὰ οἰκεῖα ἁμαρτήματα. πέμπτον, τὸ ἄφατον εἶναι καὶ πολὺ τὸ μέσον τοῦ Θεοῦ καὶ ἀνθρώπων. ἕκτον τὸ μὴ βούλεσθαι τὸν Θεὸν ἅπαντα πανταχοῦ ἐπιδείκνυσθαι ὡς ἀρκούντων καὶ τῶν ἐκ μέρους γινομένων. δεῖ τοίνυν ἐν ἅπασι μὲν μὴ φιλονεικεῖν μανθάνειν τοῦ Θεοῦ τὴν διοίκησιν. ἀμηχάνοις γὰρ φιλονεικοῦμεν πράγμασι, καὶ σφόδρα ὑπερβαίνουσι πᾶσαν φύσιν κτιστήν· τοὺς δὲ μέλλοντας ἐκ μέρους αὐτὴν εἰδέναι τῶν παθῶν ἀπηλλάχθαι χρὴ τῶν προειρημένων, καὶ ἡλίου φανοτέραν αὐτὴν ὄψονται, εἰ καὶ μὴ πᾶσαν, καὶ μαθόντες ἀπὸ τοῦ μέρους, καὶ ὑπὲρ ἁπάσης εὐχαριστήσουσιν. ἐκ θλίψεως ἐπεκαλεσάμην τὸν κύριον, καὶ ἐπήκουσέ μου εἰς πλατυσμόν. εἶδες ἀγαθότητα, καὶ φιλανθρωπίαν; οὐκ εἶπεν ὅτι ἄξιος ἤμην· οὐκ εἶπεν, ὅτι κατορθώματα ἐπεδειξάμην, ἀλλ' ὅτι ἐπεκαλεσάμην μόνον, καὶ ἤρκεσεν ἡ εὐχὴ λῦσαι τὴν συμφοράν, ὅπερ καὶ ἐπ' Αἰγυπτίων φησίν· ἰδὼν εἶδον τὴν κάκωσιν τοῦ λαοῦ μου, καὶ κατέβην τοῦ ἐξελέσθαι αὐτούς. οὐκ εἶπεν ὅτι εἶδον τὴν ἀρετὴν τοῦ λαοῦ μου, οὔτε τὴν ἐπὶ τὸ βέλτιον μεταβολήν· ἀλλὰ τὴν θλίψιν, καὶ τῆς κραυγῆς αὐτῶν ἤκουσα. ὁρᾷς πατέρα εὔσπλαγχνον ἀπὸ τῶν συμφορῶν βοηθοῦντα μόνον; καίτοι μὲν οὐχ ἅπας ὁ ἐν θλίψει καὶ σώζεσθαι ἄξιος οὐδὲ παρὰ ἀνθρώποις. πολλοὺς γοῦν τῶν οἰκετῶν μαστιζομένους ὁρῶντες καὶ ὀδυνωμένους, οὐκ ἀφίεμεν, τὸ τῶν ἁμαρτημάτων μέγεθος ἐννοοῦντες· ὁ δὲ Θεὸς ἀπὸ τῆς θλίψεως μόνης ἀνῆκεν. οὐ τῆς θλίψεως δὲ μόνον ἀνῆκεν, ἀλλὰ καὶ ἀδείας πολλῆς μετέδωκεν. ἐπήκουσε γάρ μου φησὶν, εἰς πλατυσμόν· καὶ ἡ θλίψις δὲ διὰ τοῦτο συνεχωρήθη, ὥστε ἀκριβεστέρους ποιῆσαι τοὺς θλιβομένους καὶ φιλοσοφωτέρους. ὁ κύριος ἐμοὶ βοηθὸς, καὶ οὐ φοβηθήσομαι, τί ποιήσει μοι ἄνθρωπος. εἶδες ὕψωμα διανοίας; εἶδες φρόνημα ὑπὲρ τὴν ἀνθρωπίνην ἀναβαῖνον ἀσθένειαν, ὡς ἁπάσης ὑπεριδεῖν τῆς φύσεως; ταῦτα μὴ

A & in bona aliorum inuadentes, volunt eos dare pœnas: quando verò seipsos peccantes, minimè: quod quidem est depravati & corrupti animi. Accedit his tertium, quòd nesciant quid sit bonum, quid sit malum, sed in rerum iudicio labantur, quòd malo delectentur, & sint propensi ad vitium. Quartum, quòd suorum peccatorum rationem non ineunt. Quintum, quòd vastum est & immensum id, quod inter Deum & homines intercedit. Sextum, quòd non vult Deus omnia vbique ostendere, nempe quòd sufficiant quæ fiunt sigillatim.

Psal. 81. Ps 44. Sap. 2. Esa. 40.

B Non oportet ergo nimium contendere, vt in omnibus discas Dei administrationem: de rebus enim immensis contendimus, & quæ creatam omnem naturam longè superant. Eos autem qui eam vel aliqua ex parte sunt cognituri, oportet esse liberos ab iis, quas iam diximus affectionibus, & eam videbunt sole clarius, licet nō omnem: & cùm eam ex parte didicerint, pro vniuersa agent gratias. 5. *De tribulatione inuocaui Dominum, & exaudiuit me in latitudine.* Vidisti bonitatem & clementiam?

Rom. 11. Dei administratio nō cōtemplanda vel inuestiganda.

C Non dixit, Eram dignus. Non dixit: Mea rectè facta ostendi, sed: Inuocaui solùm, & suffecit oratio mea ad tollendam calamitatem. Quod etiam dicit in Ægyptiis: Videns vidi afflictionem populi mei, & descendi, vt eriperem eos. Non dixit: Vidi virtutem populi mei, neque eius mutationem ad id quod est melius: sed, afflictionem, & eorum clamorem exaudij. Vides patrem benignum & misericordem, qui solùm fert opem propter calamitates. Atqui nec apud homines quidem, quicunque affligitur, dignus est qui seruetur.

Exod. 3. 7.

Deus quātò hominibus clementior.

D Cùm multos itaque videmus famulos flagris cædi, & excruciari, eos nō dimittimus, considerantes eorum peccatorum magnitudinem: Deus autem ex sola afflictione dimisit: neque verò ex afflictione tantummodo eripuit, sed magna etiam securitate impertiit. Exaudiuit, inquit, me in latitudine. Quinetiam afflictio ideo fuit concessa, vt eos qui affligũtur, meliores redderet & solertiores. 6. *Dominus mihi adiutor, non timebo quid faciat mihi homo.* Vidisti mentis altitudinem? vidisti magnum spiritum, qui ita supra humanam ascendit imbecillitatem, vt omnem naturā despiciat? Hæc

Afflictionē cur permittat Deus.

non ſolùm decantemus, ſed factis etiam oſtendamus. Non dixit, Nil patiar: ſed, Non timebo quid faciat mihi homo. Hoc eſt, etiamſi patiar, non timeo: id ipſum dicens quod Paulus: Si Deus pro nobis, quis contra nos? Atqui contra ipſos erant innumerabiles, ſed eos nihil offendebant. Quomodo autem non fuerit animi valde puſilli & abiecti, vt qui habent dominum propitium ac beneuolum, conſeruos pertimeſcant? Sed hic non eſt eiuſmodi, ſed eſt omnibus eiuſmodi timoribus omni ex parte ſuperior. Hoc ipſum nos quoque faciamus, ne nos ipſo Domini auxilio priuemus, quòd humana formidemus. Hoc eſt enim eorum qui Dei auxilium contumelia afficiunt. Quocirca dicitur Ezechias paſſus eſſe quæ paſſus eſt, quòd cùm ſol reſiliiſſet & retroceſſiſſet, gradus quos deſcenderat, & factum eſſet ſignum quod poſſet omnes obſtupefacere eos qui venerant, vt hæc intelligerent, non ex eis quæ diuinitus euenerant, ſed ex rebus humanis voluit perterrere, & adducere in admirationem, timens ne ab eis inuaderetur, & ideo eis theſauros oſtendit, habens ſpem in theſauris. Quare Deus irritatus, accipient, inquit, hæc omnia. Hoc eſt, ea in quibus tuam ſpem reponis, quibus confidis. Iſrael quoque huius inſimulatur, quòd pecuniis & equis confiderent. Quocirca eos admonet Propheta, vt iis quæ ſunt contraria, Deum placent, & dicant: Super equos non aſcendemus. Deus te honorat, & tu eũ contemnis. Deus te honorat, ſuum tibi auxilium promittens: & tu ad humanas ſpes confugis, & inanimæ materiæ, nempe pecuniis, tuæ ſalutis ſpem committis? Non quærit enim ſolum ſeruare, ſed id etiam honeſtè facere. Valde te amat, & ideo te ab omnibus abducens, ſibiipſi adiungit: & omnia amputans, ad ſeipſum adducit, iis quæ facit, propemodum dicens: In me ſpem habe, & me perpetuo obſerua & attende. 8. *Dominus mihi adiutor, & ego deſpiciam inimicos.* Vides eum non vleiſcentem, neque pœnas ſumentem, ſed Deo de ſuis inimicis vindictam remittentem. 8. *Bonum eſt confidere in Domino, quàm confidere in homine.* 9. *Bonum eſt ſperare in Domino, quàm ſperare in principibus.*

Rom. 8. 31.

Eſa. 38. 4. Reg. 20. 24.

Attende hunc locũ. Sui neglectum præ humana fiducia, Deus vleiſcitur.

Oſee 14. 4.

A μόνον ὑποψάλλωμεν, ἀλλὰ καὶ διὰ τῶν ἔργων ἐπιδειξώμεθα. οὐκ εἶπεν, οὐδὲν πείσομαι· ἀλλ' οὐ φοβηθήσομαι, τί ποιήσει μοι ἄνθρωπος· τουτέστι, κἂν πάθω, οὐ δέδοικα· ὅπερ καὶ ὁ Παῦλός φησιν· εἰ ὁ Θεὸς ὑπὲρ ἡμῶν, τίς καθ' ἡμῶν. καὶ μὴν μυρίοι ἦσαν οἱ κατ' αὐτῶν. ἀλλ' οὐδὲν αὐτοὺς ἠδίκει. πῶς γὰρ οὐκ ἐσχάτης ἂν ἢ μικροψυχίας τὸν δεσπότην ἔχοντας εὐμενῆ δεδοικέναι τοὺς συνδούλους; ἀλλ' οὐχ οὗτος τοιοῦτος, ἀλλ' ἀνώτερος καὶ ὑψηλότερος πάντη τῶν τοιούτων φόβων. τοῦτο δὴ καὶ ἡμεῖς ποιῶμεν, μηδὲ B ἀποστερῶμεν τῆς τοῦ δεσπότου συμμαχίας ἑαυτοὺς τῷ δεδοικέναι τὰ ἀνθρώπινα. τοῦτο γὰρ ὑβριζόντων ἐστὶν εἰς τὴν τοῦ Θεοῦ βοήθειαν. διὸ λέγεται καὶ ὁ Ἐζεκίας παθεῖν, ἅπερ ἔπαθεν, ὅτι τοῦ ἡλίου ἀναποδίσαντος, καὶ πάλιν ἀναβάντος, οὓς κατέβη ἀναβαθμούς, καὶ σημείου γενομένου ἱκανοῦ πάντας ἐκπλῆξαι ἐλθόντας τοὺς ταῦτα μαθεῖν βουλομένους, οὐκ ἀπὸ τῶν παρὰ τοῦ Θεοῦ συμβάντων, ἀλλ' ἀπὸ τῶν ἀνθρωπίνων καταπλῆξαι ἐβούλετο δεδοικὼς αὐτῶν τὴν ἔφοδον. διὸ καὶ τοὺς θησαυροὺς αὐτῆς ἐδείκνυσιν, ἐν τοῖς θησαυροῖς τὰς ἐλπίδας ἔχων. διὸ δὴ καὶ ὁ C Θεὸς παροξυνθείς φησι, λήψονται ταῦτα πάντα, τουτέστι, περ' οἷς ἤλπισας οἷς θαῤῥεῖς. τοῦτο καὶ ὁ Ἰσραὴλ ἐγκαλεῖται, ὅτι δὴ χρήμασιν ἐθάῤῥουν καὶ ἵπποις. διὸ καὶ παραινεῖ αὐτοῖς ὁ προφήτης τοῖς ἐναντίοις ἐξιλεοῦσθαι τὸν Θεὸν καὶ λέγειν· ἐφ' ἵπποις οὐκ ἀναβησόμεθα. ὁ Θεός σε τιμᾷ, καὶ σὺ σαυτὸν ἀτιμάζεις; ὁ Θεός σε τιμᾷ, τὴν παρ' αὐτοῦ συμμαχίαν ὑπισχνούμενος, καὶ σὺ πρὸς ἀνθρωπίνας καταφεύγεις ἐλπίδας, καὶ ἀψύχῳ ὕλῃ τοῖς χρήμασι τὴν ἐλπίδα σου τῆς σωτηρίας πιστεύεις; οὐ γὰρ δὴ σῶσαι ζητεῖ μόνον, ἀλ- D λὰ καὶ ἐντίμως τοῦτο ποιῆσαι. σφόδρα σε φιλεῖ, καὶ διὰ τοῦτο πάντων ἀπάγων ἑαυτῷ προσηλοῖ, καὶ πάντα περικόπτων πρὸς ἑαυτὸν ἄγει. μονονουχὶ τοῦτο λέγων δι' ὧν ποιεῖ, ἐν ἐμοὶ τὰς ἐλπίδας ἔχε, καὶ ἐμοὶ πρόσεχε διηνεκῶς. κύριος ἐμοὶ βοηθός, κἀγὼ ἐπόψομαι τοὺς ἐχθρούς μου. ὁρᾷς οὐκ αὐτὸν ἀμυνόμενον, οὐδὲ ἐπεξελθόντα, ἀλλὰ τῷ Θεῷ ἀμύνασθαι παραχωροῦντα τοὺς ἐχθρούς; ἀγαθὸν πεποιθέναι ἐπὶ κύριον, ἢ πεποιθέναι ἐπ' ἄνθρωπον. ἀγαθὸν ἐλπίζειν ἐπὶ κύριον, ἢ ἐλπίζειν ἐπ' ἄρχουσι.

οὐ κατὰ σύγκρισιν ταῦτα παράγει, ἀλλ᾽ ἔθος τῇ γραφῇ τούτῳ κεχρῆσθαι τῷ τρόπῳ καὶ ἐπὶ τῶν ἀσυγκρίτων διὰ τὴν ἀσθένειαν τῶν τότε ἀκουόντων. οὐκ ἄρα συγκρίνων τοῦτό φησιν, ἀλλὰ συγκαταβαίνων ἐκείνοις. διὰ δὴ τοῦτο καὶ ἕτερος προφήτης, ἔλεγεν· ἐπικατάρατος πᾶς ὁ ἐλπίζων ἐπ᾽ ἄνθρωπον· οὐδὲν γὰρ ταύτης εὐτελέστερον τῆς ἐλπίδος. καὶ γὰρ καὶ αὐτῆς τῆς ἀράχνης εὐτελεστέρα ἐστί· μᾶλλον δὲ οὐκ ἀσθενὴς μόνον, ἀλλὰ καὶ ἐπισφαλής. καὶ ἴσασιν ὅσοι πολλάκις ἐπ᾽ ἀνθρώποις θαῤῥήσαντες, αὐτοῖς ἐκείνοις συγκατεκρημνίσθησαν· ἡ δὲ εἰς τὸν Θεὸν ἐλπὶς οὐκ ἰσχυρὰ μόνον ἐστὶν, ἀλλὰ καὶ ἀσφαλής, οὐκ ἔχουσά τινα μεταβολήν. διὸ καὶ ὁ Παῦλος ἔλεγεν· ἡ δὲ ἐλπὶς οὐ καταισχύνει. ἕτερος δέ τις σοφός, ἐμβλέψατέ φησιν εἰς ἀρχαίας γενεὰς, καὶ ἴδετε, τίς ἤλπισεν ἐπὶ κύριον, καὶ κατῃσχύνθη. ἀλλ᾽ ἐγώ φησιν ἤλπισα καὶ κατῃσχύνθην. εὐφήμει ἄνθρωπε, μὴ λυμαίνου τῇ θείᾳ γραφῇ. εἰ δὲ καὶ κατῃσχύνθης, ἐκ τοῦ μὴ ὡς ἐχρῆν ἐλπίσαι, ἐκ τοῦ ἐνδοῦναι, ἐκ τοῦ μὴ ἀναμεῖναι τὸ τέλος, ἐκ τοῦ μικροψυχῆσαι. ἀλλὰ μὴ τοῦτο ποίει· ἀλλ᾽ ὅταν ἴδῃς τὰ δεινὰ ἐπικείμενα, μὴ καταπέσῃς. τοῦτο γὰρ μάλιστά ἐστιν ἐλπίσαι, τὸ ἐν μέσῳ ἐμβεβηκότα τοῖς χαλεποῖς ὀρθοῦσθαι. τί τῶν βαρβάρων ἐκείνων τῶν Νινευιτῶν, λέγω, ἀλογώτερον ἦν; ἀλλ᾽ ὅμως ἐν αὐτῇ ἑστῶτες τῇ παγίδι, καὶ προσδοκῶντες, ὅτι πεσεῖται ἡ πόλις, οὐδὲ οὕτως ἀπέγνωσαν. ἀλλὰ μετάνοιαν ἐπεδείξαντο τὴν ἀκριβῆ. διὸ καὶ τοῦ Θεοῦ τὴν ἀπόφασιν εἰς τὸ πάλιν ἀποστρέψαι παρεσκεύασαν. εἶδες πόση τῆς ἐλπίδος ἡ ἰσχύς; τί δὲ αὐτὸς ὁ προφήτης, οὐκ ἐν τῇ κοιλίᾳ τοῦ κήτους ὢν τοῦ ναοῦ, καὶ τῆς εἰς τὰ Ἱεροσόλυμα ἐπανόδου ἐμέμνητο; καὶ σὺ τοίνυν κἂν εἰς αὐτὸν ἐμβῇς τὸν θάνατον καὶ τοσούτων ἐπικρεμασθῇ κινδύνων μέγεθος, μὴ ἀπογνῷς. δυνατὸν γὰρ τῷ Θεῷ καὶ ἐξ ἀπόρων πόρον εὑρεῖν· διὸ καί τις σοφὸς ἔλεγεν· ἀπὸ πρωῒ ἕως ὀψὲ μεταβολαὶ πολλαὶ, καὶ πάντα ταχινὰ ἐνώπιον αὐτοῦ. οὐκ εἶδες τὸν πραγματευτὴν ἐν ἀφθονίᾳ λιμώττοντα; οὐκ εἶδες τὴν χήραν λιμῷ εὐθηνουμένην; ὅταν εἰς ἀπορίαν τὰ πράγματα ἐμπέσῃ,

A Non hæc dicit per comparationem, sed consueuit scriptura vti hac figura in iis etiam quæ non admittunt comparationem; propter imbecillitatem eorum qui tunc audiunt. Non hoc ergo dicit comparans, sed se ad illorum captum demittens. Et ideo alius quoque Propheta dixit: Maledictus omnis qui sperat in homine. nihil est enim ea spe debilius, est enim vel tela araneæ imbecillior, imò verò non est solùm imbecilla, verumetiam periculosa. Sciunt autem qui sæpe in hominibus confiderunt, cum quibus simul sæpe sunt deturbati. B Spes autem in Deum non est solùm valida, verumetiam tuta, vt quæ nullam habeat mutationem. Et ideo Paulus quoque dicebat: Spes autem non confundit. Alias verò sapiens: Respicite, inquit, ad antiquas genenerationes, & videte quis sperauerit in Dominum, & pudore affectus sit. At ego, inquit, speraui, & sum pudore affectus: Bona verba quæso homo, ne diuinæ scripturæ obloquaris. Nam si pudore affectus es, ideo affectus es, quòd non vt oportuit speraueris, ex eo quòd cesseris, ex eo quòd finem non expecta- C ueris, ex eo quòd pusillo & angusto animo fueris. Sed non ita facias: verum quando videris quæ sunt mala & difficilia imminere, ne animum demittas. Hoc enim vel maximè est sperare, quãdo in media mala & grauia pericula fueris coniectus, tunc erigi. Quid barbaris illis, Niniuitis, inquam, erat miserius? & tamen cùm iam essent ipso laqueo irretiti, & ruituram ciuitatem expectarent, ne sic quidem desperarunt, sed summam ostenderunt pœnitentiam, & effecerunt vt Deus rursus suam reuocaret sententiam. Vidisti D quantæ sint spei vires? Quid verò ipse Propheta? An non cùm esset in ventre ceti, & templi, & suæ Hierosolyma reuersionis meminerat? Et tu ergo quamuis vel ad ipsam mortem deueneris, & vndique maxima immineant pericula, ne desperaueris. Potest enim Deus in rebus vel difficillimis & impeditissimis exitum inuenire: & ideo dicit quidam sapiens: A mane vsque ad vesperam mutationes multæ, & in conspectu eius sunt omnia facilia. Non vidisti præfectum in summa rerum copia fame enectum? Non vidisti viduam in fame abundantem? Quando res in maximam inciderint inopiam,

Quàm particula non cõparatiuè.

Hier 17. 5.
Spes in homine periculosa.

Rom. 5. 5.
Eccles. 2. 11.

In dominũ vt sperandum.

Ab exemplo.
Ione 3.

Spei vires.
Ione 2.

Eccli. 18. 26.

tunc tu spera maximè. Tunc enim Deus maximè suam ostendet potentiam, non à primordio, sed quando res fuerint planè desperatæ ab hominibus. Hoc est enim tempus diuini auxilij. Et ideo nec pueros eripuit à principio, sed postquam fuerunt coniecti in fornacem: nec Danielem, antequam esset immissus, sed septem post diebus. Nec attende rerum naturam, quæ præcipites agit in desperationem, sed Dei potentiam, quæ ea quæ sunt desperata, adducit in bonam spem. Hoc etiam ostendens Psalmographus, & quanta sit Dei potentiæ facilitas, volens monstrare, quòd scilicet eos etiam qui in grauia mala inciderunt, prostratique & conculcati sunt, possit educere, & non tantum à principio, audi quid subiungat. 10. *Omnes gentes circumierunt me.* Vidisti periculum ineuitabile? Neque enim erat acie confligendum, neque stabant inimici è regione, sed erat interceptus, & tanquam sagena aliqua circumdatus, & veluti quibusdam retibus comprehensus, non ab vno, duobus, aut tribus, sed ab omnibus gentibus: sunt tamen hæc omnia vincula confracta à spe in Deum. *Et nomine Domini vltus sum eos.* 11. *Circumdantes circumdederunt me, & nomine Domini vltus sum in eos.* 12. *Circumdederunt me sicut apes fauum, & exarserunt sicut ignis in spinis, & in nomine Domini vltus sum in eos.* Vidisti quomodo describit ærumnarum magnitudinem? Non enim dixit solummodo: Circumdederunt: sed, tanquam apes, & tanquam ignis in spinis. Per apes quidẽ, promptitudinem & animi alacritatem, per spinas verò iram intolerabilem, & qui extingui non poterat, bilis ardorem significans. Quis enim cohibuerit ignem, qui in spinas incidit? Eos tamen, inquit, adeò vehementer & adeò celeriter accensos, cùm me medium intercepissent, non solum effugi, sed etiam vltus sum. Vide hoc ipsum fieri etiam in materia. Ignis enim rubum vrebat, & neque rubus comburebatur, nec ille extinguebatur, sed vtraque tamen tunc manebant simul conuersantia, nec se consumentia. Arqui quid est rubo magis flaccidum & imbecillum? Quid verò igne est ardentius? Admirabilis tamen Dei potentia, quæ res facit quæ opinionem superant, permisit vt vtraque manerent. Huiusmodi quoque tunc accidit miraculum.

Dan. 3. 6.

Vt apes, vt spinæ.

A simili.

Exod. 3.

A τότε μάλιστα ἔλπιζε. τότε γὰρ μάλιστα ὁ Θεὸς ἐπιδείκνυται τὴν ἑαυτοῦ δύναμιν, οὐκ ἐκ προοιμίων, ἀλλ' ὅταν τὰ παρὰ τῶν ἀνθρώπων ἀπογνωσθῇ. ἐστὶ γὰρ ὁ τῆς Θεοῦ βοηθείας καιρός. διὰ δὴ τοῦτο οὔτε τοὺς παῖδας ἐκ προοιμίων ἥρπασεν, ἀλλὰ μετὰ τὴν κάμινον, οὔτε τὸν Δανιὴλ πρὶν ἢ ἐμπεσεῖν, ἀλλὰ μετὰ τὰς ἑπτὰ ἡμέρας. μὴ δὴ πρόσεχε τῇ φύσει τῶν πραγμάτων εἰς ἀπόγνωσιν ἐμβαλλόντων· ἀλλὰ τῇ δυνάμει τοῦ Θεοῦ τῇ τὰ ἀπεγνωσμένα εἰς ἐλπίδας ἀγούσῃ χρηστάς. τοῦτο δὴ καὶ ὁ ψαλμῳδὸς δηλοῖ, καὶ τὸ εὔπορον τῆς τοῦ Θεοῦ δυνάμεως B παραστῆσαι θέλων, ὅτι καὶ εἰς αὐτὰ τὰ δεινὰ ἐμπεσόντας, καὶ καταποθέντας αἱμήσαται δεινά), οὐκ ἐκ προοιμίων μόνον, ἄκουσον τί ἐπήγαγε· πάντα τὰ ἔθνη ἐκύκλωσάν με. εἶδες ἄφυκτον κίνδυνον; οὐ γὰρ ἐκ παρατάξεως ἦν ἡ μάχη, οὐδὲ ἐξ ἐναντίας ἑστώτων, ἀλλ' ἔνδον ἀπείληπτο, καὶ ὡς σαγήνῃ τινὶ περιεβέβλητο, καὶ ὥσπερ ὑπὸ δικτύων συνείχετο, οὐχ ὑφ' ἑνός, καὶ δύο, καὶ τριῶν, ἀλλ' ὑπὸ τῶν ἐθνῶν ἁπάντων. ἀλλ' ὅμως πάντα διέρρηξεν τὰ δεσμὰ ταῦτα, τῇ εἰς Θεὸν ἐλπίδι. καὶ τῷ ὀνόματι κυρίου ἠμυνάμην αὐ- C τούς. κυκλώσαντες ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι κυρίου ἠμυνάμην αὐτούς. ἐκύκλωσάν με ὡσεὶ μέλισσαι κηρίον, καὶ ἐξεκαύθησαν ὡς πῦρ ἐν ἀκάνθαις, καὶ τῷ ὀνόματι κυρίου ἠμυνάμην αὐτούς. εἶδες πῶς διαγράφει τῶν δεινῶν τὸ μέγεθος; οὐ γὰρ ἁπλῶς εἶπεν ἐκύκλωσαν, ἀλλ' ὡσεὶ μέλισσαι, καὶ ὡς πῦρ ἐν ἀκάνθαις. διὰ μὲν τῶν μελισσῶν τὸ σφοδρὸν προθυμίας, διὰ δὲ τῶν ἀκανθῶν τὸ ἀφόρητον τοῦ θυμοῦ, καὶ τὸ ἄσβεστον τῆς ὀργῆς αἰνιττόμενος. τί γὰρ ὑφέξει πῦρ ἀκάνθαις ἐμπεσόν; ἀλλ' ὅμως φησὶν οὕτω σφοδρῶς, οὕτω ταχέως ἀναφθέντας καὶ ἐν μέσῳ περιλαβόντας οὐ μόνον D διέφυγον, ἀλλὰ καὶ ἠμυνάμην. τοῦτο ὅρα καὶ ἐπὶ τῆς ὕλης αὐτῆς γινόμενον. καὶ γὰρ πῦρ βάτον ἔκαιε, καὶ οὔτε ἡ βάτος ἐκαίετο, οὔτε ἐκεῖνο ἐσβέννυτο· ἀλλ' ὅμως τότε ἀμφότερα ἔμεινεν ὁμιλοῦντα ἀλλήλοις, καὶ οὐκ ἀναλισκόμενα. καίτοι τί ἀσθενέστερον βάτου; τί δὲ πυρὸς καυστικώτερον; ἀλλ' ὅμως ἡ θαυματουργὸς τοῦ Θεοῦ δύναμις παραδοξοποιοῦσα ἀμφότερα εἴασε μένειν. τοιοῦτον δέ τι παράδοξον καὶ τότε συνέβαινεν.

ὡς πῦρ γὰρ ἐπέδραμον, ὡς μέλισσαι μετὰ προθυμίας ἐπέθεντο, ἔνδον εἶχον ἀπειλημμένον, καὶ οὐδὲν ποιῆσαι ἴσχυσαν. τὸ γὰρ ὅπλον τὸ ἀχείρωτον, ἡ συμμαχία ἡ ἀκαταμάχητος τοῦ Θεοῦ τὸ ὄνομα πάντας αὐτοὺς ἀπήλασεν. ὠσθεὶς ἀνετράπην τοῦ πεσεῖν, καὶ ὁ κύριος ἀντελάβετό μου. εἶπε τὸ μέγεθος τῶν δεινῶν, ἀπὸ τοῦ πλήθους, ἀπὸ τοῦ σχήματος, ἀπὸ τῆς προθυμίας, ἀπὸ τῆς ὀργῆς τῶν ἐπιόντων, λέγει καὶ ἀφ' ὧν αὐτὸς ἔπαθεν· οὕτω μου ἐπεκράτησε τὰ δεινά φησιν, ὡς καὶ μικροῦ ἐγγὺς γενέσθαι τοῦ πεσεῖν, καὶ κατενεχθῆναι. οὕτω γὰρ ἀνετράπην ὠσθεὶς, ὡς μέλλειν καταπίπτειν· ἀλλ' ὅτε λοιπὸν ἔμελλον ἐπὶ γόνυ φέρεσθαι, καὶ κατακλίνεσθαι, καὶ πάντα ἀπέγνωστο τὰ ἀνθρώπινα, τότε τὴν ἑαυτοῦ συμμαχίαν ἐπεδείξατο. ποιεῖ δὲ τοῦτο ὁ Θεὸς, ἵνα μηδεὶς τὴν ἑαυτοῦ δόξαν νοσφίζηται. τοῦτο καὶ ἐν τῇ ἱστορίᾳ τῶν κριτῶν ἐπὶ τοῦ Γεδεὼν ἐποίησε. διὰ τοῦτο καὶ ἐπὶ τοῦ Ἐζεκίου νυκτὸς οὔσης τὸ τρόπαιον ἔστησεν. εἰ γὰρ καὶ μηδὲν συντελέσας εἰς τὴν νίκην ἐκεῖνος εἰς τὸν πόλεμον, ὅμως ἀπενοήθη· εἰ παρέστη μόνον τῇ παρατάξει, εἰ πίπτοντας εἶδε τοὺς ἀναιρουμένους, οὐκ ἂν μειζόνως τοῦτο ἔπαθεν; ὅταν τοίνυν ἀπογνωσθῇ ἐξ ἀνθρωπίνης ἐλπίδος τὰ πράγματα, τότε ἐπάγει τὴν παρ' ἑαυτοῦ συμμαχίαν. τοῦτο καὶ ἐπὶ τοῦ Γολιὰθ ἐποίησε· τοῦτο καὶ ἐπὶ τῶν ἀποστόλων. διὸ καὶ ὁ Παῦλος ἔλεγεν· ἀλλ' αὐτοὶ ἐν ἑαυτοῖς τὸ ἀπόκριμα τοῦ θανάτου ἐσχήκαμεν, ἵνα μὴ πεποιθότες ὦμεν ἐφ' ἑαυτοῖς, ἀλλ' ἐπὶ τῷ Θεῷ τῷ ἐγείροντι τοὺς νεκρούς. ἰσχύς μου, καὶ ὕμνησίς μου ὁ κύριος, καὶ ἐγένετό μοι εἰς σωτηρίαν. ὡς εἰ ἔλεγε, δύναμίς μου αὐτὸς ἐγένετο καὶ βοήθεια. τί δέ ἐστιν ὅ φησιν, ἡ ὕμνησίς μου; ἡ δόξα μου, ὁ ἔπαινός μου, ὁ κόσμος μου, ἡ περιφάνειά μου, οὐ γὰρ δὴ μόνον ἀπαλλάττει τῶν κινδύνων, ἀλλὰ καὶ λαμπροὺς ποιεῖ καὶ περιφανεῖς καὶ πανταχοῦ τοῦτό ἐστιν ἰδεῖν, μετὰ δόξης τὴν σωτηρίαν διδομένην. καὶ ἕτερον δέ τι διὰ τούτου αἰνίττεται. ποῖον δὲ τοῦτο; ὅτι τοῦτό μοι, φησὶ, διηνεκὴς ᾠδή· τοῦτό μοι διηνεκὴς φωνὴ, ὁ ὕμνος ὁ εἰς αὐτὸν, τοῦτό μοι ἔργον διηνεκῶς αὐτὸν ἀνυμνεῖν. ἀκουέτωσαν οἱ ταῖς σατανικαῖς ᾠδαῖς κατασηπόμενοι, οἵαν ὑπομένουσι βλάβην, ποίας δ' ἂν καὶ τύχοιεν συγγνώμης, τούτου διηνεκῶς τὸν σωτῆρα ἀνυμνοῦντος, ἐκεῖνοι διηνεκῶς ἐν ταῖς τῶν δαιμόνων ᾠδαῖς ἐγκαλινδούμενοι.

A Tanquam ignis enim accurrebant, tanquam apes cum magna animi alacritate inuadebant, intus interceptum tenebant, nec aliquid potuerunt facere. Arma enim inuicta, auxilium inexpugnabile, Dei nomen omnes expulit. 13. *Impulsus, euersus sum vt caderem, & Dominus suscepit me.* Dixit malorum magnitudinem, à multitudine, à figura, à promptitudine & animi alacritate, ab ira eorum qui inuadunt: dicit etiam ab iis quæ ipse passus est. Ita, inquit, me mala adorta sunt, vt parum abfuerit, quin caderem & deturbarer. B Impulsus enim, ita fui euersus, vt essem etiam casurus: sed cùm iam essem super genua lapsurus, & inclinarer, & rerum humanarum nulla esset spes relicta, tunc suum ostendit auxilium. Hoc autem facit Deus, ne vllus eius sibi gloriam vindicet. Hoc etiam in historia Iudicum fecit in Gedeone. Propterea regnante quoque Ezechia erexit noctu trophæum. Si enim ille cùm nihil ad victoriam, nihil ad bellum contulisset, superbus tamen & arrogans factus est: si prælio tantum interfuisset, si cadentes vidisset eos qui C interficiebantur, an non hoc ei multò magis accidisset? Quando ergo ab humana spe res sunt desperatæ, suum tunc affert auxilium. Hoc fecit in Goliath: hoc etiam fecit in Apostolis. Et ideo dicebat Paulus: Sed ipsi in nobis ipsis iudicium mortis habuimus, vt non confideremus in nobisipsis, sed in Deo qui excitat mortuos. 14. *Fortitudo mea, & laus mea Dominus, & factus est mihi in salutem.* Quasi diceret, Fuit mihi ipse virtus & auxilium. Quid est autem quod dicit, laus mea? Gloria mea, com-D mendatio mea, decus meum, meus splendor. Non solùm enim liberat à periculis, sed claros etiam facit & illustres, & hoc vbique videri potest, dari cum gloria salutem. Porrò autem aliud quoque per hoc obscurè significatur. Quódnam hoc? Hoc est, inquit, mihi perpetuum canticum, hoc est, mihi vox perpetua, hymnus qui de eo canitur, hoc est, mihi perpetuum munus, eum laudare. Audiant qui Satanicis canticis remollescunt & corrumpuntur, quantum damni faciant, quantum sint indigni venia, cùm isto seruatorem perpetuò laudante, illi in dæmonum canticis perpetuò volutentur?

Iud. 6.7.8.

4.Reg.19.

1.Reg.17.

2.Cor.1.

Cantica satanica. Exclamatio.

15. *Vox exultationis & salutis in tabernaculis iustorum.* Quando enim res vniuersa à Deo præclarè gesta fuerit: qui victoria fruuntur, gaudent, exultant, duplici lętitia affecti, & quòd seruati sunt, & quòd per Deum seruati. Lætitiæ eis causa est is, qui trophæum erexit. Deinde ostendens quidnam eum impulerit ad hoc ferendum auxilium, subiunxit, In tabernaculis iustorum. Non dixit, In domibus, sed in tabernaculis, volens ostendere, non diligenter extructam, sed extemporalem habitationem. Tale erat tabernaculum Abrahæ, quando redibat superatis regibus, magnam ex rebus gestis gloriam consecutus. Tale erat Pauli tabernaculum, vnde reuertebatur superatis dæmonibus errorem de medio tollens, & præclara referens facinora. 16. *Dextera Domini fecit virtutem, dextera Domini exaltauit me.* Vide occasionem exultationis. Idem enim nunc dicit quod antea dicebat, ostẽdens hæc à Deo fuisse gesta. Vides non solùm in liberatione à malis, sed etiam in acquisitione gloriæ & splendoris consistere eius beneficium? Cùm enim dixisset: Dextera Domini fecit virtutem, subiunxit, dextera Domini exaltauit me, vt ostenderet gloriam quæ ad se peruenerat. Exaltauit enim me, significat, me gloria affecit. Non solùm enim fecit potentes, sed etiam claros & illustres. 17. *Non moriar, sed viuam, & narrabo opera Domini.* Pericula quidem, inquit, mortem minabantur: ego autem non moriar, sed viuam. Hoc est, Tam magna & admirabilia fecit Dominus, vt vel ab ipsa morte eripuerit, etiam ante nouum testamentum in periculis opinionem omnem superantibus, resurrectionis imaginem præfigurans. Dedit enim nobis vel à principio ænigmata, quando Enoch transtulit. Si enim non credis fieri posse vt corpora resurgant, ex eo crede. Quomodo enim tanto tempore permansit illud corpus? Non sunt enim æqualia, domum quæ interiit, & est diruta, excitare: & veterem ac collabentem tanto tempore conseruare. An non consideras eum illud fecisse, qui non erat? multò magis ergo illum suscitare & restituere poterit. Habes etiam aliam imaginem resurrectionis, nempe Heliæ raptum, qui nec in hodiernum vsque diem est mortuus. Omnia sunt expedita Deo & facilia. Non erit, inquit, im-

Psal. 36. Prou. 21. Hier. 3.

Tabernaculum. Genes. 14. Act. 19.

Resurrectionis imago. Genes. 5.

4. Reg. 2.

Luc. 1. 37.

A φωνὴ ἀγαλλιάσεως καὶ σωτηρίας ἐν σκηναῖς δικαίων. ὅταν γὰρ ὁ Θεὸς κατορθώσῃ τὸ πᾶν, οἱ τῆς νίκης ἀπολαύοντες χαίρουσι, σκιρτῶσι, διπλῇ γανύμενοι, καὶ τῷ σωθῆναι, καὶ τῷ διὰ Θεοῦ σωθῆναι. τοῦτο ποιεῖ τὴν εὐφροσύνην, ὁ τὸ τρόπαιον στήσας. εἶτα δεικνὺς καὶ τῆς συμμαχίας τῆς τοιαύτης τὴν ἀφορμὴν, ἐπήγαγεν· ἐν σκηναῖς δικαίων· οὐκ εἶπεν οἰκίαις, ἀλλ' ἐν σκηναῖς, τὸ αὐτοσχεδιασμένον τῆς οἰκήσεως αὐτῶν παραστῆσαι βουλόμενος. τοιαύτη ἦν ἡ σκηνὴ τοῦ Ἀβραὰμ, ὅτε ἐπανῆλθε τῶν βαρβάρων περιγενόμενος, λαμπρὸς ἀπὸ τῶν κατορθωμάτων γενόμενος. B τοιαύτη ἦν ἡ σκηνὴ τοῦ Παύλου, ὅτε ἐπανῄει τῶν δαιμόνων περιγενόμενος, καὶ τὴν πλάνην καταλύων, καὶ τὰ κατορθώματα διηγούμενος. δεξιὰ κυρίου ἐποίησε δύναμιν· δεξιὰ κυρίου ὕψωσέ με. ὅρα τῆς ἀγαλλιάσεως τὴν ὑπόθεσιν. τοῦτο γὰρ καὶ νῦν λέγει, ὅπερ ἔμπροσθεν ἔλεγε, δεικνὺς, ὁ Θεὸς ταῦτα κατώρθωσεν. ὁρᾷς ὅτι οὐκ ἐν ἀπαλλαγῇ μόνον τῶν δεινῶν, ἀλλὰ καὶ ἐν κτήσει περιφανείας γενομένην αὐτοῦ τὴν εὐεργεσίαν; εἰπὼν γὰρ δεξιὰ κυρίου ἐποίησε δύναμιν, ἐπήγαγε· δεξιὰ κυρίου ὕψωσέ με· ἵνα τὴν αὐτῷ γενομένην δόξαν δηλώσῃ. C τὸ γὰρ ὕψωσέ με, ἀντὶ τοῦ ἐδόξασέν ἐστιν. οὐ γὰρ μόνον δυνατοὺς ἐποίησεν, ἀλλὰ καὶ ἐνδόξους. οὐκ ἀποθανοῦμαι, ἀλλὰ ζήσομαι, καὶ διηγήσομαι τὰ ἔργα κυρίου. οἱ μὲν κίνδυνοι, φησι, θάνατον ἠπείλουν· ἐγὼ δὲ οὐκ ἀποθανοῦμαι, ἀλλὰ ζήσομαι. τουτέστι, τοιαύτη ἡ τοῦ δεσπότου παραδοξοποιΐα, ὅτι καὶ ἐξ αὐτῶν ἥρπασε τῶν θανάτων, καὶ πρὸ τῆς χάριτος ἐν τοῖς παραδόξοις κινδύνοις τῆς ἀναστάσεως τὴν εἰκόνα προδιαγράφων. ἔδωκε γὰρ ἡμῖν καὶ ἐξ ἀρχῆς αἰνίγματα, ὅτε τὸν D Ἐνὼχ μετέστησεν. εἰ γὰρ ἀπιστεῖς, ὅτι οὐ δυνατὸν διαναστῆναι σώματα, ἀπὸ τούτου πίστευε. πῶς γὰρ ἤρκεσεν εἰς χρόνον τοσοῦτον τὸ σῶμα ἐκεῖνο; οὐ γάρ ἐστιν ἴσον οἰκίαν διεφθαρμένην ἀναστῆσαι, καὶ τὴν σαθρὰν καὶ παλαιὰν οὕτως διακρατῆσαι ἐπὶ χρόνον τοσοῦτον. οὐκ ἐννοεῖς, ὅτι οὐκ ὄντα ἐποίησεν; οὐκοῦν πολλῷ μᾶλλον ἀναστῆσαι δύναται. ἔχεις καὶ ἑτέραν εἰκόνα τῆς ἀναστάσεως, λέγω τὴν Ἠλιοῦ ἁρπαγὴν, ὃς οὐδέπω καὶ τήμερον ἐτελεύτησε. πάντα ῥᾴδια καὶ εὔκολα τῷ Θεῷ. οὐκ ἀδύνα-

λατήσει, φησί, παρὰ τῷ Θεῷ πᾶν ῥῆμα. καὶ ὁ προφήτης, πάντα ὅσα ἠθέλησεν ἐποίησεν. οὐχ ὁρᾷς ὅτι καὶ σοὶ δύσκολα τὰ τοῦ τέκτονος ἔργα; ἀλλ᾽ ὅμως παραχωρεῖς τῇ τέχνῃ. εἶτα τῇ μὲν τοῦ συνδούλου τέχνῃ παραχωρεῖς· τοῦ δὲ δεσπότου τὴν σοφίαν εὐθύνας προσαπαιτεῖς, καὶ οὐ καταδέχῃ τῇ πίστει τὸ γινόμενον, καὶ πόσης ταῦτα ἄξια ἀνοίας; οὐκ ἀποθανοῦμαι ἀλλὰ ζήσομαι. εἴ τις καὶ κατ᾽ ἀναγωγὴν ἐκλάβοι τὸ εἰρημένον, οὐχ ἁμαρτήσεται. εἰ γὰρ καὶ περὶ τῆς ἀναστάσεως τοῦτο εἴρηται· τὸ γὰρ οὐκ ἀποθανοῦμαι δηλοῦντός ἐστιν, ὅτι οὐδὲ ὁ θάνατος θάνατος, ἀλλ᾽ ὅμως καὶ καθ᾽ ἕτερον τρόπον νοεῖται. οὐκ ἀποθανοῦμαι γάρ, φησι, τὸν ἕτερον θάνατον, ὃν καὶ ὁ Χριστὸς αἰνιττόμενος, ἔλεγεν· ὁ πιστεύων εἰς ἐμὲ κἂν ἀποθάνῃ, ζήσεται, καὶ πᾶς ὁ ζῶν καὶ πιστεύων εἰς ἐμὲ οὐ μὴ ἀποθάνῃ. καὶ διηγήσομαι τὰ ἔργα κυρίου. τοῦτο μάλιστα ζωὴ τὸ καὶ αὐτὸν αἰνεῖν, καὶ εἰς ἅπαντας ἐξαγγέλλειν τὰ θαύματα αὐτοῦ. ποῖα ἔργα εἰπέ μοι; ταῦτα ἃ μέλλει διηγεῖσθαι. ἐπάγων· παιδεύων ἐπαίδευσέ με ὁ κύριος, καὶ τῷ θανάτῳ οὐ παρέδωκέ με. εἶδες τὴν παραδοξοποιΐαν; εἶδες τὸ χρήσιμον; οὐ γὰρ δὴ μόνον, ὅτι ἀπηλλάγη, εὐχαριστεῖ, ἀλλ᾽ ὅτι καὶ ἐνέπεσε χάριν εἰδὼς μεγίστην, καὶ λέγει τὸ κέρδος τοῦ πειρασμοῦ. ποῖον δὴ τοῦτο; παιδεύων ἐπαίδευσέ με ὁ κύριος φησί. τοῦτο τῶν κινδύνων τὸ χρήσιμον, ὅτι βελτίονα εἰργάσατο. εἶδες ἑκατέρωθεν αὐτοῦ τὴν δύναμιν, καὶ τὴν κηδεμονίαν, καὶ τὸ ἀφεῖναι ἐναποληφθῆναι τοῖς δεινοῖς, καὶ τὸ πάλιν ἀπαλλάξαι. τῷ γὰρ θανάτῳ, φησίν, οὐ παρέδωκέ με. καὶ καλῶς εἶπεν ἕτερος ἑρμηνευτής, τῷ δὲ θανάτῳ οὐκ ἔδωκέ με, ἵνα δηλώσῃ ὅτι ἐν τῇ ἐξουσίᾳ αὐτοῦ τὸ πᾶν ἔκειτο, ὥστε διπλῆν ἐκέρδανε σωτηρίαν, τήν τε τῶν δεινῶν· τήν τε τῆς κακίας ἀπαλλαγήν. διὸ καὶ Παῦλος ἔλεγεν Ἑβραίοις γράφων· εἰ δὲ ἐκτός ἐστε παιδείας, ἄρα νόθοι ἐστὲ καὶ οὐχ υἱοί. ἀνοίξατέ μοι πύλας δικαιοσύνης, εἰσελθὼν ἐν αὐταῖς ἐξομολογήσομαι τῷ κυρίῳ. τοῖς παιδευομένοις αἱ πύλαι ἀνοίγονται, τοῖς ἀποθεμένοις τὰ ἁμαρτήματα. ὁ παιδευθεὶς μετὰ παρρησίας δύναται λέγειν· ἀνοίξατέ μοι πύλας δικαιοσύνης. καὶ γὰρ καὶ κατ᾽ ἀναγωγὴν ἐκληπτέον τὸ εἰρημένον, καὶ πύλας τὰς τῶν οὐρανῶν νοητέον, αἳ τοῖς πονηροῖς εἰσι κεκλεισμέναι, ἃς δεῖ κρούειν διὰ τῆς ἀρετῆς, δι᾽ ἐλεημοσύνης, διὰ

A possibile apud Deum omne verbum. Et Propheta, Quæcũque voluit, fecit. *Ps. 113. 10.* Non vides fabri opera esse tibi difficilia: sed tamen arti cedis. Deinde conserui quidem tui arti concedis: à Domini autem sapientia rationem exigis: *A minori argumentum.* & id quod fit, fide non admittis? Quantæ sunt hæc dementiæ. Non moriar, sed viuam. Si quis id quod dictum est, voluerit enim sumere anagogicè, non errabit. Etsi hoc enim de resurrectione dictum est (illud enim, Non moriar, est significantis mortem non esse mortem) alio tamen etiam modo intelligitur. B Non moriar enim, inquit, altera morte: quam Christus quoque significans, dicebat: Qui credit in me, inquit, *Mors secunda. Ioan. 11. 25.* etiamsi mortuus fuerit, viuet: & omnis qui viuit & credit in me, non morietur. Et narrabo opera Domini. Hoc est maximè vita, eum laudare, & eius miracula omnibus annuntiare. Quænam opera dic quæso? Ea quæ est narraturus subiungens, 18. *Castigans castigauit me Dominus, & morti non tradidit me.* Vidisti quàm admirabilia fecerit? vidisti quæ ex eis capitur vtilitas? Non solùm enim agit gratias quòd fuerit liberatus, sed etiam quòd ceciderit, maximum agnoscit beneficium, & dicit C lucrum tentationis. Quódnam hoc? *Tentationis lucrum.* Castigans castigauit me, inquit, Dominus. Hæc est vtilitas periculorum, *Castigationis vtrique.* quòd eum meliorem fecerint. Vidisti vtrinque eius potẽtiam & curationem, & quòd permiserit vt apprehenderetur à malis, & quòd eum rursus liberauerit? Morti enim, inquit, non tradidit me. Et rectè dixit alius interpres, Morti autem non tradidit me, vt ostenderet omnia esse sita in eius potestate. Quamobrem duplicem lucrifecit salutem, D nempe liberationem à malis, & liberationem à vitio. quocirca dicebat Paulus scribens Hebræis: Si autem extra *Hebr. 12. 8.* disciplinam estis, adulterini ergo estis, & non filij. 19. *Aperite mihi portas iustitiæ, ingressus in eas confitebor Domino.* Iis qui castigantur, portæ aperiuntur, iis qui peccata deposuẽt. Qui disciplinam suscepit, potest cõfidenter dicere: Aperite mihi portas iustitiæ. Hoc dictum enim sumendum est anagogicè, & cœlorum portæ sunt intelligendæ, quæ sunt clausæ improbis, quæ sunt pulsandæ per virtutem, per eleemosynam, per *Matth. 25.*

iustitiam. 20. *Hæc est porta Domini, iusti intrabunt in eam.* Sunt portæ mortis, sunt portæ interitus, sunt portæ vitæ, sunt portæ arctæ & angustæ. Quoniam ergo sunt multæ, dicit insigne ciuitatis Domini, subiungens: Hæc est porta Domini. Illæ enim non sunt Domini. Quódnam est autẽ eius insigne? Quòd qui castigantur, per eam ingrediuntur, qui opprimuntur. Est enim arcta & angusta. Si autem est arcta, qui sunt afflicti & oppressi, per eam ingredientur: quemadmodum quæ ducit ad interitum, lata est & spatiosa. 21. *Confitebor quoniam exaudisti me, & factus es mihi in salutem.* Non dicit solummodo exaudiisse, sed cùm prius castigasset & meliorem fecisset. Et ideo agit gratias, non solũ quòd sit exauditus, sed etiam quòd fuerit castigatus. Ideo enim fuit exauditus: & vbique magnum est apud ipsum hoc genus gratiarum actionis. Quemadmodũ enim dixi, nec cessabo dicere, hoc est maximum sacrificium & oblatio. 22. *Lapidem quem reprobauerunt ædificantes, hic factus est in caput anguli.* Quòd hoc de Christo dictum sit, est cuiuis manifestum. Ipse enim in Euangeliis adducit hanc prophetiam, dicẽs: Nunquam legistis, lapidem quem reprobauerunt ædificantes, hic factus est in caput anguli? Si autem quod dictum est, non videtur pendere ex historia, sed media interrupta rerum consequentia ingressa esse prophetia, non est mirum, nec nouum: siquidem plæræque sic enunciatæ sunt in veteri testamento prophetiæ, quòd oporteret eas tunc temporis ita obtegi, vt non etiam ipsi libri abolerentur. De eius enim ortu prophetia videtur quidem pendere ab historia, habere autem nihil commune cum illa, vtpote, Ecce virgo in vtero concipiet, & pariet filium, & vocabunt nomen eius Emmanuel, quod est interpretatum, Nobiscum Deus. Lapidem quem reprobauerunt ædificantes. Ædificantes hic dicit Iudæos, legis doctores, scribas, Pharisæos, qui quondam reprobarunt ipsum, dicentes, Samaritanus es tu, & dæmonium habes. Et rursus: Hic non est ex Deo, sed seducit turbam. Hic tamen reprobatus, adeò probus apparuit, vt fieret caput anguli. Non enim omnis lapis aptus est

Sap. 16. Matth. 7. Portæ multiplices.

Matth. 7.

Gratiarum actio, maximum sacrificium.

Matt. 21. 4

Luc. 20. 17

Prophetia cur plerumque obscura.

Esa. 7.

Ioan. 8. Ioan. 7. Christus lapis angularis.

δικαιοσύνης. αὕτη ἡ πύλη τοῦ κυρίου. δίκαιοι εἰσελεύσονται ἐν αὐτῇ. εἰσὶ πύλαι θανάτου, εἰσὶ πύλαι ἀπωλείας, εἰσὶ πύλαι ζωῆς, αἱ στεναὶ καὶ τεθλιμμέναι. διὰ δὴ τοῦτο ἐπειδὴ πολλαὶ, λέγει τὸ παράσημον τῆς τοῦ κυρίου πύλης ἐπάγων, αὕτη ἡ πύλη τοῦ κυρίου. ἐκεῖναι γὰρ οὐχὶ τοῦ κυρίου· καὶ τὸ παράσημον ποῖον αὐτῆς; τὸ δι' αὐτῆς τοὺς παιδευομένους εἰσιέναι, τοὺς θλιβομένους. στενὴ γάρ ἐστι καὶ τεθλιμμένη. εἰ δὲ τεθλιμμένη, οἱ θλιβόμενοι δι' αὐτῆς βαδιοῦνται· ὥσπερ ἡ πρὸς ἀπώλειαν πλατεῖα καὶ εὐρύχωρος. ἐξομολογήσομαί σοι, ὅτι ἐπήκουσάς μου, καὶ ἐγένου μοι εἰς σωτηρίαν. οὐχ ἁπλῶς εἶπεν ἐπακούσας, ἀλλὰ πρότερον παιδεύσας, καὶ βελτίω ποιήσας. διὸ καὶ εὐχαριστεῖ, οὐχ ὑπὲρ ὧν ἠκούσθη ἀλλ' ὑπὲρ ὧν ἐπαιδεύθη. διὰ γὰρ τοῦτο ἠκούσθη, καὶ πανταχοῦ πολὺ τοῦτο παρ' αὐτῷ τὸ τῆς εὐχαριστίας εἶδος. ὅπερ γὰρ εἶπον καὶ λέγων οὐ παύσομαι, τοῦτο μάλιστα θυσία καὶ προσφορά. λίθον ὃν ἀποδεδοκίμασαν οἱ οἰκοδομοῦντες, οὗτος ἐγενήθη εἰς κεφαλὴν γωνίας. ὅτι μὲν εἰς Χριστὸν τὸ εἰρημένον, παντί που δῆλον. καὶ γὰρ αὐτὸς ἐν τοῖς εὐαγγελίοις ταύτην παράγει τὴν προφητείαν λέγων· οὐδέποτε ἀνέγνωτε, λίθον ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες, οὗτος ἐγενήθη εἰς κεφαλὴν γωνίας; εἰ δὲ μὴ δοκεῖ ἐξ αὐτῆς ἠρτῆσθαι τῆς ἱστορίας τὸ εἰρημένον, ἀλλὰ μέσον τὴν ἀκολουθίαν διακόψασα ἡ προφητεία ἐπεισῆλθε· θαυμαστὸν οὐδὲν, οὐδὲ καινόν. οὕτω γὰρ αἱ πλείους τῶν προφητειῶν ἐξεφωνήθησαν ἐν τῇ παλαιᾷ, διὰ τὸ δεῖν αὐτὰς συσκιάζεσθαι τέως, ὥστε μὴ καὶ τὰ βιβλία αὐτὰ ἐξαλειφθῆναι. ἐπεὶ καὶ ἡ περὶ τῆς γεννήσεως αὐτοῦ προφητεία δοκεῖ μὲν ἀπὸ τῆς ἱστορίας ἠρτῆσθαι, οὐδὲν δὲ κοινὸν ἔχει πρὸς ἐκείνην. οἷον τὸ, ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ λήψεται, καὶ τέξεται υἱὸν, καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ Ἐμμανουὴλ, ὅ ἐστι μεθερμηνευόμενον μεθ' ἡμῶν ὁ Θεός. λίθον ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες. οἰκοδομοῦντας λέγει τοὺς Ἰουδαίους, τοὺς νομοδιδασκάλους, τοὺς γραμματεῖς, τοὺς Φαρισαίους, ὅτι ἀπεδοκίμαζον αὐτὸν λέγοντες· Σαμαρείτης εἶ σὺ, καὶ δαιμόνιον ἔχεις. καὶ πάλιν, οὗτος οὐκ ἔστιν ἐκ τοῦ Θεοῦ, ἀλλὰ πλανᾷ τὸν ὄχλον· ἀλλ' ὅμως οὗτος ὁ ἀποδοκιμασθεὶς οὕτως ἐφάνη δόκιμος, ὡς γενέσθαι κεφαλὴν γωνίας. οὐ γὰρ ἅπας λίθος

εἰς γωνίαν ἐπιτήδειος, ἀλλ' ὁ δοκιμώτατος, καὶ ἐξ ἑκατέρας πλευρᾶς τοὺς λίθους συνδῆσαι δυνάμενος, καὶ τοὺς τοίχους. ὃ τοίνυν ὁ προφήτης λέγει, τοῦτό ἐστιν, ὅτι ὁ ἀποδοκιμασθεὶς παρὰ τῶν Ἰουδαίων, καὶ ἐξουθενηθεὶς οὕτως ἐφάνη θαυμαστὸς, ὥστε μὴ μόνον οἰκοδομὴν ὑφᾶναι, ἀλλὰ καὶ δύο συνδῆσαι τοίχους. ποίους δὴ τοίχους; τοὺς ἐξ Ἰουδαίων καὶ Ἑλλήνων πιστεύοντας, καθάπερ καὶ ὁ Παῦλος λέγει· αὐτὸς γάρ ἐστιν ἡ εἰρήνη ἡμῶν, ὁ ποιήσας τὰ ἀμφότερα ἓν, καὶ τὸ μεσότοιχον τοῦ φραγμοῦ λύσας, τὴν ἔχθραν ἐν τῇ σαρκὶ αὐτοῦ, τὸν νόμον τῶν ἐντολῶν ἐν δόγμασι καταργήσας, ἵνα τοὺς δύο κτίσῃ εἰς ἕνα καινὸν ἄνθρωπον. καὶ πάλιν, ἐποικοδομηθέντες ἐπὶ τῷ θεμελίῳ τῶν ἀποστόλων, καὶ προφητῶν ὄντος ἀκρογωνιαίου λίθου Ἰησοῦ Χριστοῦ. τὸ δὲ εἰρημένον πολλὴ κατηγορία τῶν Ἰουδαίων, ὅτι οἰκοδομοῦντες τὸν ἐπιτήδειον λίθον οὐκ ἔκριναν, ἀλλὰ καὶ ὡς ἀδόκιμον ἔρριψαν, τοιαύτην δυνάμενον οἰκοδομὴν ὑφᾶναι. εἰ δὲ βούλει τοὺς δύο τοίχους μαθεῖν, ἄκουσον καὶ αὐτοῦ τοῦ Χριστοῦ λέγοντος· καὶ ἄλλα πρόβατα ἔχω, ἃ οὐκ ἔστιν ἐκ τῆς αὐλῆς ταύτης, κἀκεῖνά με δεῖ ἀγαγεῖν, καὶ γενήσεται μία ποίμνη, εἷς ποιμήν. τοῦτο καὶ ἄνωθεν ὡς ἐν τύπῳ γέγονεν. ὁ γὰρ Ἀβραὰμ γέγονεν ἑκατέρων πατριάρχης, τῶν τε ἐν ἀκροβυστίᾳ, τῶν τε ἐν περιτομῇ· ἀλλ' ἐκεῖνο μὲν ὡς ἐν τύπῳ, τοῦτο δὲ ἐν ἀληθείᾳ. οὗτος ἐγενήθη εἰς κεφαλὴν γωνίας, τουτέστι, συνέδησεν ἑκάτερα τὰ ἔθνη. παρὰ κυρίου ἐγένετο αὕτη. τί ἐστι παρὰ κυρίου ἐγένετο αὕτη; οὐκ ἦν ἀνθρώπινόν φησι, τὸ γενόμενον, οὐκ ἦν ἑνὸς τῶν πολλῶν, οὐκ ἦν ἀγγέλων, οὐκ ἦν ἀρχαγγέλων τὸ τοιαύτην πλέξαι γωνίαν. οὐδεὶς γοῦν ἴσχυσεν, οὐ δίκαιος, οὐ προφήτης, οὐκ ἄγγελος, οὐκ ἀρχάγγελος, ἀλλὰ τοῦ Θεοῦ τὸ κατόρθωμα μόνον. καὶ γὰρ τοῦτο ἰδικῶς αὐτοῦ τὸ ἔργον. ἕτερος δὲ ἑρμηνευτὴς, παρὰ κυρίου ἐγένετο τοῦτό φησι. τουτέστι τὸ ἔργον τὸ θαυμαστὸν, καὶ παράδοξον, τὸ τῆς γωνίας. καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν. τίς ἐστι θαυμαστή; ἡ γωνία, ἡ σύνοδος τῶν δύο ἐθνῶν, ἡ εἰς τὴν εὐσέβειαν· καὶ γὰρ ἐκ τῶν Ἰουδαίων πολλαὶ μυριάδες ἐπίστευσαν, καὶ οἱ ἀπόστολοι δὲ ἐξ Ἰουδαίων. καλῶς δὲ εἶπεν ἐν ὀφθαλμοῖς ἡμῶν; τίς γὰρ οὐκ ἂν ἐκ-

A ad angulum, sed qui est probatissimus, & potest lapides ac muros reuincire ex vtroque latere. Quod ergo dicit Propheta, tale est, qui est à Iudæis reprobatus, & pro nihilo habitus, apparuit adeò mirabilis, vt nõ solùm contexeret ædificium, sed duos etiam parietes coniungeret ac reuinciret. Quos tandem parietes? Iudæos scilicet, & eos qui credebant ex gentibus: quemadmodum Paulus quoque dicit, Ipse enim est pax nostra, qui fecit vtraque vnum, & sepis soluit maceriam, inimicitias in carne B sua, legem mandatorum, quæ est in decretis, abolens: vt qui duo erant, construeret in vnum hominem. Et rursus: Superædificati fundamento Apostolorum & Prophetarum, existente angulari lapide Christo Iesu. Per hoc autem quod dictum est, maximè accusantur Iudæi, quòd cùm ædificarent, aptum lapidem non diiudicarunt, sed eum etiam vt reprobum reiecerunt, qui poterat tale ædificium contexere. Si vis autem scire quinam sint ij duo parietes, audi ipsum quoque Christum dicentem: Alias etiam oues habeo, C quæ non sunt de hoc ouili, & me illas quoque ducere oportet: & fiet vnum ouile, & vnus pastor. Hoc etiam multis retro seculis tanquam in figura factum est. Abraham enim fuit vtrorumque Patriarcha, & eorum qui in præputio, & eorum qui erant in circumcisione: sed illud quidem fuit in figura, hoc autem in veritate. Hic factus est in caput anguli: hoc est, vtrasque gentes coniunxit. 23. *A Domino facta est ista.* Quid est, A Domino facta est ista? Non erat, inquit, humanum quod factum est, non erat vnius ex multis: non erat D Angelorum, non erat Archangelorum, talem angulum componere. Nemo ergo hoc potuit, non iustus, non Propheta, non Angelus, non Archangelus, sed solius Dei erat hoc præclarum facinus. est enim eius proprium. Alius interpres dicit, Hoc factum est à Domino, id est, Hoc est opus admirabile, & quod omnem superat opinionem, hoc scilicet opus anguli. *Et est admirabilis in oculis nostris.* Quis est admirabilis? Angulus scilicet, coitio duorum populorum ad pietatem. Ex Iudæis enim multæ crediderunt myriades. Quinetiam ipsi erant Apostoli ex Iudæis. Rectè autem dixit, in oculis nostris. Quis enim non

Ephes. 2. 20.

Ioan. 10. 16.

Rom. 4.

obstupescat, quis non admiretur, quòd vbi crucifixus est Christus, illic Christus adoratur: & qui eum quidem crucifixerũt, ignominia: qui verò adorant, gloria afficiuntur? Vniuersum enim orbem terræ peruasit verbum, omnes veritati coniungens. Est ergo admirabilis, vel iis qui quomodocunque id considerant, multò autem magis & longè euidentius eis qui credunt. Et ideo dixit, in oculis nostris. 24. *Hæc est dies, quam fecit Dominus, exultemus, & lætemur in ea.* Vocat hîc diem, non solis cursum, sed præclara facinora quæ in eo gesta sunt. Quemadmodum enim qui diem malum dicit cursum solis, sed mala quæ in ipso sunt, ita etiam bonum diem vocat præclara facta quæ in eo fuerunt. Quod autem dicit, est eiusmodi, Res præclaras quæ in eo gestæ sunt, Deus fecit, erat enim illius solius munus efficere quæ facta sunt. Quid enim potest cum hoc die conferri, in quo die cum hominibus facta est recõciliatio, & diuturnum bellũ fuit diremptum, & terra cœlum euasit, & homines terra indigni, regno digni visi sunt, & nostræ naturæ primitiæ super cœlos sublatæ sunt, & apertus est paradisus, & veterem patriam recepimus, & expunctum est maledictum, & sublatum peccatum, & qui per legem puniti fuerant, sine lege salutem consecuti sunt, & tota terra & mare suum agnouit dominum, & alia facta sunt innumerabilia, quæ nunc non possumus oratione persequi. Quocirca cùm hæc omnia mente agitasset Propheta, omnia Deo ascribit, ostẽdens quæ gesta sunt, à Deo facta esse. Exultemus & lætemur in ea. Lætitiam hîc dicit spiritalem, lætitiam mentis, lætitiam animi. Exultemus & lætemur in ea, quòd tanta nobis bona obtigerint. etenim ne hoc quidẽ est parua virtus, gaudere bonis, exilire, gaudio affici, Dei beneficia cum voluptate suscipere. 25. *O Domine saluum fac obsecro. O Domine bene prosperare obsecro.* Quoniam videbat orbis terræ res secundas, rerúmque mutationem, & in melius conuersionem: iis qui eis fruuntur gratulans, dixit: O Domine serua obsecro, O Domine dirige obsecro. Hoc est, Conserua Domine eos qui fruuntur: vt & impleantur, & gratia dignos fructus osten-

Psal. 18. — *Dies Christi à similit.* — *2. Cor. 5.* — *Rom. 5.* — *Ephes. 1.* — *Galat. 3.* — *Rom. 7. & 8.* — *Rom. 3.* — *Gaudere bonis non parua virtus.*

A πλαγείη; τίς οὐκ ἂν θαυμάσειεν, ὅτι ἔνθα ἐσταυρώθη Χριστὸς, ἐκεῖ προσκυνεῖται Χριστός. καὶ οἱ μὲν σταυρώσαντες ἐν ἀτιμίᾳ· οἱ δὲ προσκυνοῦντες ἐν δόξῃ; καὶ γὰρ πᾶσαν τὴν οἰκουμένην διέδραμεν ὁ λόγος συνάπτων τῇ ἀληθείᾳ ἅπαντας. ἔστι μὲν οὖν καὶ τοῖς ὁπωσοῦν ἐξετάζουσι θαυμαστὴ, πολλῷ δὲ ἀκριβέστερον καὶ σαφέστερον τοῖς πιστεύουσι. διὰ τοῦτο εἶπεν, ἐν ὀφθαλμοῖς ἡμῶν. αὕτη ἡ ἡμέρα, ἣν ἐποίησεν ὁ κύριος· ἀγαλλιασώμεθα, καὶ εὐφρανθῶμεν ἐν αὐτῇ. ἡμέραν ἐνταῦθα οὐχὶ τὸν δρόμον λέγει τὸν ἡλιακὸν, ἀλλὰ τὰ κατορθώματα τὰ ἐν αὐτῇ γινόμενα. ὥσπερ γὰρ ἡμέραν B πονηρὰν λέγων οὐ τὸν δρόμον τοῦ ἡλίου, ἀλλὰ τὰ ἐν αὐτῇ κακά· οὕτω καὶ ἡμέραν ἀγαθὴν τὰ ἐν αὐτῇ κατορθώματα. ὃ δὲ λέγει τοιοῦτόν ἐστι. τὰ τοῦ Θεοῦ κατορθώματα, τὰ ἐν αὐτῇ γινόμενα, ὁ Θεὸς ἐποίησε. τῆς γὰρ χειρὸς ἐκείνης μόνης ἦν τὸ τελέσαι τὰ γεγενημένα. τί γὰρ τῆς ἡμέρας ταύτης ἴσον γένοιτ' ἂν, ἐν ᾗ καταλλαγὴ Θεοῦ πρὸς ἀνθρώπους ἐγένετο, καὶ χρόνιος κατελύθη πόλεμος, καὶ οὐρανὸς ἀπεδείχθη ἡ γῆ, καὶ οἱ τῆς γῆς ἀνάξιοι ἄνθρωποι τῆς βασιλείας ἐφάνησαν ἄξιοι, καὶ ἡ ἀπαρχὴ τῆς φύ- C σεως τῆς ἡμετέρας ὑπεράνω τῶν οὐρανῶν ἀνηνέχθη, καὶ παράδεισος ἠνοίγη, καὶ τὴν ἀρχαίαν ἀπελάβομεν πατρίδα, καὶ κατάρα ἠφανίσθη, καὶ ἁμαρτία ἐλύθη, καὶ οἱ διὰ τοῦ νόμου κολασθέντες χωρὶς τοῦ νόμου σωτηρίας ἐπέτυχον, καὶ πᾶσα ἡ γῆ καὶ θάλασσα τὸν δεσπότην ἐπέγνω τὸν ἑαυτῆς, καὶ μυρία ἕτερα γέγονεν, ἅπερ οὐκ ἔστι νῦν ἐπελθεῖν τῷ λόγῳ. διὰ δὴ τοῦτο ὁ προφήτης ἅπαντα ταῦτα ἐννοήσας τῷ Θεῷ τὸ πᾶν ἀνατίθησι δηλῶν, ὅτι τοῦ Θεοῦ ἔργα ἐστὶ τὰ γεγενημένα. ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ. D εὐφροσύνην ἐνταῦθα λέγει τὴν πνευματικὴν, τὴν νοερὰν, τὴν τῆς διανοίας· ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ, ὅτι τοσούτων ἐπετύχομεν ἀγαθῶν. καὶ γὰρ καὶ τοῦτο οὐ μικρὸν κατόρθωμα, τὸ χαίρειν ἐπὶ τοῖς ἀγαθοῖς, τὸ σκιρτᾶν, τὸ εὐφραίνεσθαι, τὸ μετὰ ἡδονῆς δέχεσθαι τοῦ Θεοῦ τὰς εὐεργεσίας. ὦ κύριε σῶσον δή· ὦ κύριε εὐόδωσον δή. ἐπειδὴ εἶδε τῆς οἰκουμένης τὴν εὐημερίαν, καὶ τὴν τῶν πραγμάτων μεταβολὴν, καὶ τὴν πρὸς τὸ βέλτιον μετάστασιν, συγχαίρων τοῖς ἀπολαύουσιν εἶπεν· ὦ κύριε σῶσον δή. ὦ κύριε εὐόδωσον δή, τουτέστι, διάσωσον τοὺς ἀπολαύοντας, ὥστε ἐμπλησθῆναι, καὶ καρποὺς ἀξίους ἐπιδείξασθαι τῆς

χάριτος, ῥᾳδίαν αὐτοῖς ποίησον τὴν ὁδὸν, ὥστε μετὰ τὸ τυχεῖν μὴ ἐκπεσεῖν τῶν τοιούτων καλῶν. εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου. οὐ γὰρ δὴ μέχρι τῶν γεγενημένων ἵσταται τὰ ἡμέτερα, ἀλλ' ἐφ' ἕτερα πρόεισι μείζονα, τὴν ἀνάστασιν, τὴν βασιλείαν, τὴν μετὰ Χριστοῦ λῆξιν, ἅπερ ἅπαντα παραστῆσαι βουλόμενος ἐπήγαγεν· εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου. τοῦτο καὶ ὁ Χριστὸς Ἰουδαίοις ἔλεγεν, ἀμὴν, ἀμὴν λέγω ὑμῖν· οὐ μή με ἴδητε, ἕως ἂν εἴπητε εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου. ἐπειδὴ γὰρ ἄνω καὶ κάτω τοῦτο αὐτὸ προεβάλλετο, ὅτι οὐκ ἔστιν ἀπὸ τοῦ Θεοῦ, ὅτι ἀντίθεός ἐστι, λέγει αὐτοῖς· ὑμεῖς μοι μαρτυρήσετε, ὅτι οὐκ ἀντίθεος ἐγὼ, ὅταν ἴδητε ἐπὶ τῶν νεφελῶν ἐρχόμενον, καὶ ταύτην ἀφῆτε φωνὴν λέγοντες, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου, ἐν εὐφημίας ῥήμασι τῆς ἀπολογίας ἑαυτοὺς ἐκβάλλοντες. ἡ γὰρ ἐπιφάνεια τῶν γινομένων τότε ταύτην παρασκευάσει τὴν φωνὴν ἀφεῖναι. ὁμοῦ μὲν εὐφημοῦντας, ὁμοῦ δὲ τὴν κατηγορίαν πικροτέραν ποιοῦντας τὴν καθ' ἑαυτῶν. εὐλογήκαμεν ὑμᾶς ἐξ οἴκου κυρίου· Θεὸς κύριος, καὶ ἐπέφανεν ἡμῖν. τὸν δῆμον ἅπαντα λέγει τὸν πιστὸν, τὸν εὐλογίας ἀπολαύσαντα ἐν τῷ οἴκῳ τοῦ Θεοῦ. καὶ γὰρ πανταχοῦ φαίνονται οἱ προφῆται μακαρίζοντες τοὺς μέλλοντας πιστεύειν. τίνος ἕνεκεν εὐλογήσατε, καὶ πόθεν ὁ μακαρισμός; ὅτι ὁ Θεὸς ἐπέφανεν ἡμῖν. ἐπεφάνη γὰρ, φησιν, ἡ χάρις τοῦ Θεοῦ ἡ σωτήριος παιδεύουσα ἡμᾶς· ἵνα ἀρνησάμενοι τὴν ἀσέβειαν, καὶ τὰς κοσμικὰς ἐπιθυμίας σωφρόνως καὶ δικαίως καὶ εὐσεβῶς ζήσωμεν, ἀπεκδεχόμενοι τὴν μακαρίαν ἐλπίδα, καὶ ἐπιφάνειαν τῆς μεγάλου Θεοῦ, καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. ἐνταῦθα τοίνυν ὁ προφήτης τὴν σάρκωσιν θαυμάζει, ὅτι Θεὸς ὢν, καὶ κύριος, καὶ τῆς οὐσίας ἐκείνης κατηξίωσεν ἐπιφανῆναι. ἐπιφάνειαν δὲ εἶπε τὴν οἰκονομίαν, τὸ εἰς μήτραν ἐλθεῖν παρθενικὴν, τὸ ἄνθρωπον γενέσθαι, καὶ τοῖς ἀνθρώποις συναναστραφῆναι. διὰ δὴ τοῦτο εὐλογήκαμεν ὑμᾶς, φησιν, ὅτι τοιαύτης ἀπελαύσατε δωρεᾶς. τοῦτο καὶ ὁ Χριστὸς αἰνιττόμενος ἔλεγε· πολλοὶ προφῆται καὶ δίκαιοι ἐπεθύμησαν ἰδεῖν, ἃ εἴδετε, καὶ οὐκ εἶδον, καὶ ἀκοῦσαι, ἃ ἀκούετε, καὶ οὐκ ἤκουσαν. συστήσασθε ἑορτὴν ἐν τοῖς πυκάζουσιν, ἕως τῶν κεράτων τοῦ

dant, redde eis viam facilem, vt postquam assecuti fuerint, à talibus bonis non amplius excidant. *Benedictus qui venit in nomine Domini.* Nostra enim non consistunt in iis tantum quæ facta sunt, sed procedunt ad alia maiora, resurrectionem, regnum, hæreditatem cum Christo. Quæ omnia volens ostendere, subiunxit, Benedictus qui venit in nomine Domini. Hoc etiam dixit Christus Iudæis, Amen, amen dico vobis: non me videbitis donec dixeritis, Benedictus qui venit in nomine Domini. Quoniam enim sæpe obijciebant, & id susque déque miscebant, quod non sit ex Deo, quòd sit Dei hostis: dicit eis, Vos mihi feretis testimonium quòd non sum Dei hostis, quando videritis venientem in nubibus, & hanc emiseritis vocem dicentes, Benedictus qui venit in nomine Domini, bonis verbis, & laude plenis, ab omni defensione seipsos excludentes. eorum enim quæ tunc fient, euidentia efficiet, vt eam vocem emittant, simul & laudantes, & grauem in seipsos accusationem instituentes. 26. *Benediximus vobis de domo Domini: Deus Dominus, & illuxit nobis.* Dicit omnem populum fidelem, qui in domo Domini adeptus est benedictionem. Cernuntur enim vbique Prophetæ, beatos dicentes eos, qui sunt credituri. Qua de causa benedixistis, & vndénam beatitudo? Quoniam Deus apparuit nobis. Apparuit enim, inquit, gratia Dei salutaris erudiens nos vt abnegata impietate & mundanis desideriis, modestè, iustè, & piè viuamus. Expectantes beatam spem & apparitionem magni Dei & seruatoris nostri Iesu Christi. Incarnationem ergo hic admiratur Propheta, quòd cùm Deus esset, & Dominus, & illius substantiæ, apparere æquum duxerit. Dixit autem apparitionem, carnis humanæ susceptionem, virginalem scilicet vterum subiisse, hominem factum esse, & versatum esse cum hominibus. Et ideo dixit: Benediximus vobis, quòd tale donum sitis consecuti. Hoc etiam Christus significans dicebat: Multi Prophetæ & iusti desiderauerunt videre quæ videtis, & non viderunt: & audire quæ auditis, & non audierunt. 27. *Constituite diem solemnem in condensis vsque ad cornu altaris.*

Matth. 23. 39.

Tit. 2. 11.

Apparit. Dei.

Matth. 13. 17.

Alius interpres ait. Colligate in celebri conuentu condensa. Alius, Alligate festum in pinguibus. A prophetia rursus rediit ad historiam. Hoc est autem quod dicit, Festum agite, frequentes conuenite. Quid est autem, Constituite diem solemnem in condensis? Vt vult quidem vnus interpres, Sacrificate splendidas hostias. Vt alius autem, Coronis & ramis templum cingite. Hebraïcum autem ita dicit *Esrouag baad ethhim.* Siue hoc ergo sit, siue illud, significat festum, & diem lætum, & celebrem conuentum. Ab iis enim quæ percipiuntur intelligentia, orationem rursus traduxit ad sensilia, & meminit illorum reditus. 28. *Deus meus es tu, & confitebor tibi: Deus meus es tu, & exaltabo te.* 29. *Confitebor tibi quoniam exaudisti me, & factus es mihi in salutem.* Hîc ostendit quòd etiam absque beneficiis Deo sunt agendæ gratiæ, & est propter hoc ipsum gloria & honore afficiendus, propter maiestatem, propter substantiam, propter gloriam ineffabilem. Hoc enim significat, postquam dixit beneficia quibus est affectus, sic subiungens. Dicit enim, etiam absque his agam gratias, & confitebor, quòd talem habeam dominum, adeò altum, adeò magnum, & qui adeò nec videri, nec comprehendi potest. Illud enim: Exaltabo, significat glorificabo. 30. *Confitemini Domino, quòd bonus, quòd in seculum misericordia eius.* Non satis habet quòd ipse hoc offert sacrificium, sed multos etiam vocat, vt sint socij & participes laudis & gratiarum actionis: & Dei benignitatem prædicat & clementiam, eius largitatem & magnitudinem vbique celebrans. Cùm hæc ergo nos quoque sciamus, permaneamus gratias perpetuò agentes benigno & clementi Deo, & hoc ei offeramus sacrificium, vt bona etiam futura consequamur, gratia & benignitate domini nostri Iesu Christi: cum quo patri sit gloria simul cum sancto Spiritu, nunc, & semper, & in secula seculorum, Amen.

Gratiæ Deo agendæ etiam sine beneficiis.

1.Tim.1.6.

A θυσιαστηρίου. ἕτερος ἑρμηνευτής φησι· συνδήσατε ἐν πανηγύρει πυκάσματα. ἄλλος, δήσατε ἑορτὴν ἐν πιμελέσι. ἐπὶ γὰρ τὴν ἱστορίαν ἐξέβη πάλιν ἀπὸ τῆς προφητείας. ὃ δὲ λέγει τοιοῦτόν ἐστι. ἑορτάσατε, πανηγυρήσατε. τί δέ ἐστι συστήσασθε ἑορτὴν ἐν τοῖς πυκάζουσι; κατὰ μὲν τὸν ἕνα ἑρμηνευτὴν, θύσατε θυσίας λιπαράς· κατὰ δὲ τὸν ἕτερον, στεφανώματα καὶ κλάδους ἀνάψατε τῷ ναῷ. τὸ δὲ Ἑβραϊκὸν τοῦτο οὕτως εἶπεν ἐσρουὰγ βαὰδ ἐθθίμ. εἴτε οὖν τοῦτο, εἴτε ἐκεῖνο ᾖ, ἑορτὴν δηλοῖ, καὶ φαιδρὰν ἡμέραν, καὶ πανήγυριν. B ἀπὸ γὰρ τῶν νοητῶν ἐπὶ τὰ αἰσθητὰ μετήγαγε πάλιν τὸν λόγον, καὶ τῆς ἐπανόδου τούτων ἐμνημόνευσε. Θεός μου εἶ σὺ, καὶ ἐξομολογήσομαί σοι. Θεός μου εἶ σὺ, καὶ ὑψώσω σε. ἐνταῦθα δείκνυσιν, ὅτι καὶ χωρὶς τῶν εὐεργεσιῶν, δεῖ εὐχαριστεῖν τῷ Θεῷ, καὶ διὰ τοῦτο δοξάζειν αὐτὸν, διὰ τὴν μεγαλωσύνην αὐτοῦ, διὰ τὴν ἀπόρρητον δόξαν. τοῦτο γὰρ αἰνίττεται, μετὰ τὸ εἰπεῖν τὰς εὐεργεσίας, ἃς εὐηργετήθη, οὕτως ἐπαγαγών. λέγει γάρ· καὶ χωρὶς τούτων, καὶ εὐχαριστήσω, καὶ ἐξομολογήσομαι, ὅτι τοιοῦτον ἔχω δεσπότην, οὕτως ὑψηλὸν, οὕτω μέγαν, οὕτως C ἀόρατον, οὕτως ἀκατάληπτον· τὸ δὲ ὑψώσω δοξάσω ἐστί. ἐξομολογεῖσθε τῷ κυρίῳ, ὅτι ἀγαθὸς, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. οὐκ αὐτὸς ταύτην ἀναφέρει τὴν θυσίαν μόνον, ἀλλὰ καὶ κοινωνοὺς πολλοὺς καλεῖ τῆς εὐφημίας καὶ τῆς εὐχαριστίας, καὶ τὴν τοῦ Θεοῦ φιλανθρωπίαν ἀνακηρύττει, πανταχοῦ τὸ διαρκὲς αὐτῆς ὑμνῶν καὶ τὸ μέγεθος. ταῦτα δὴ οὖν καὶ ἡμεῖς εἰδότες μένωμεν διαπαντὸς εὐχαριστοῦντες τῷ φιλανθρώπῳ Θεῷ, καὶ ταύτην ἀναφέρωμεν τὴν θυσίαν, ἵνα καὶ τῶν μελλόντων ἀγαθῶν ἀπολαύ- D σωμεν· χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ δόξα ἅμα τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Εἰς τὸν

Εἰς τὸν ριθ´ ψαλμόν.

ᾨδὴ τῶν ἀναβαθμῶν· ἕτερος ἑρμηνευτὴς λέγει, ᾠδὴ τῶν ἀναβάσεων.

Πρὸς κύριον ἐν τῷ θλίβεσθαί με ἐκέκραξα, καὶ εἰσήκουσέ μου.

B ΤΩΝ μὲν ἄλλων ψαλμῶν ἑκάστῳ ἰδία τίς ἐστιν ἐπιγραφή, ἐνταῦθα δὲ ὁμοῦ πολλοὶ συνελθόντες μίαν ἔλαβον προσηγορίαν, ᾠδὴ τῶν ἀναβαθμῶν, ἢ ὡς ἕτερος εἶπεν ἑρμηνευτὴς τῶν ἀναβάσεων, τινὲς δὲ αὐτοὺς καὶ τοὺς ἀναβαθμοὺς καλοῦσι. καὶ τίνος, φησίν, ἕνεκεν οὕτως εἰσὶν εἰρημένοι; κατὰ μὲν τὴν ἱστορίαν, ὅτι δὴ περὶ τῆς ἀνόδου διαλέγονται τῆς ἐκ C Βαβυλῶνος, καὶ τῆς αἰχμαλωσίας μνημονεύουσι τῆς ἐκεῖσε· κατὰ δὲ τὴν ἀναγωγήν, ὅτι εἰς τὴν κατ' ἀρετὴν ὁδὸν χειραγωγοῦσι· τινὲς γὰρ οὕτως αὐτοὺς ἐξέλαβον. καὶ γὰρ ἡ ἐκεῖσε φέρουσα ὁδὸς ἀναβαθμοῖς ἔοικε κατὰ μικρὸν ἀνάγουσα τὸν ἐνάρετον καὶ φιλόσοφον ἄνδρα καὶ πρὸς τὸν οὐρανὸν αὐτὸν ἱστῶσα τοῦτον. ἄλλοι δὲ τὴν τοῦ Ἰακὼβ κλίμακα διὰ τούτων αἰνίττεσθαί φασι, τὴν ἀπὸ γῆς ἐστηριγμένην πρὸς οὐρανὸν δειχθεῖσαν αὐτῷ. οὕτω γὰρ καὶ τὰ ἄβατα τῶν χωρίων καὶ ὑψηλότερα βατὰ γίνεται βαθμῶν καὶ κλιμάκων ὑποτεθειμένων ἡμῖν. ἀλλ' ἐπειδὴ D τοὺς ἀνελθόντας, ἐπειδὰν εἰς ὕψος ἀνενεχθῶσιν ἀνάγκη ἰλιγγιᾶν, διὰ τοῦτο οὐχὶ ἀναβαίνοντας μόνον, ἀλλὰ καὶ πρὸς αὐτὸ τὸ ἄκρον γενομένους ἀσφαλίζεσθαι χρή. μία δὲ ἀσφάλεια, ὅταν μὴ ὅσον ἀνέβημεν, ἴδωμεν, καὶ ἀπονοηθῶμεν, ἀλλ' ὅσον ἀναβῆναι λείπει κατοπτεύσωμεν, καὶ πρὸς ἐκεῖνο τεινώμεθα. ὃ καὶ Παῦλος δηλῶν ἔλεγε· τῶν ὄπισθεν ἐπιλανθανόμενοι, πρὸς δὲ τὰ ἔμπροσθεν ἐπεκτεινόμενοι. ἀλλ' ὁ μὲν τῆς ἀναγωγῆς λόγος οὗτος· ἡμεῖς δὲ λοιπὸν εἰ δοκεῖ ἔλθωμεν ἐπὶ τὴν ἱστορίαν,

IN PSALMVM CXIX.

Canticum graduum. *Alius interpres dicit*, Canticum ascensionum.

Ad Dominum cùm tribularer clamaui, & exaudiuit me.

B ALIORVM quidem psalmorum vnusquisque propriam habet inscriptionem, huic autẽ multis simul coniunctis vna imposita est appellatio, Canticum graduum, vel, vt alius dixit interpres, ascensionũ. Nonnulli autem eos etiã gradus appellant. Et quánam de causa, inquit, ita sunt appellati? Si historiã quidem spectes, quoniam lo- C quũtur de reditu ex Babylone, & captiuitatis quę illic fuit, mentionẽ faciunt: sed si eos sumas anagogicè, quòd ad viã virtutis deducũt: quidã enim eos ita acceperunt. Nam via quæ eò deducit, est assimilis gradibus, virum virtute & sapiẽtia præditũ paulatim euehens & sustollens, & eũ in ipso cœlo statuens. Alij autẽ dicunt per hæc significari scalam Iacob, quæ ipsi ostensa est ad cœlũ vsq; pertingens. Ita enim gradibus & scalis subiectis, loca, ad quę nõ patet aditus, & quæ sunt excelsiora, adiri possunt. Quoniam autẽ eos qui ascendũt, postquam D in altum euecti fuerint, caligare necesse est: propterea non eos solum qui ascendũt, sed eos etiã qui ad ipsum cacumen peruenerunt, accepta cautione confirmari oportet. Vna est autẽ cautio ac securitas, quãdo non quantũ ascendimus respexerimus, & ita superbæ & elatæ mentis euaserimus: sed quantum restat ascendendũ, conspicati fuerimus, & ad illud tetẽderimus. Quod etiam Paulus significans, dicebat: Eorum quæ retro sunt obliuiscentes, ad interiora autem nos extendentes. Et est hæc quidem ratio anagoges: nos autem deinceps, si videatur, veniamus ad historiam,

Graduum canticum unde dictũ.

Gen. 28.

Philip. 3.

NN

& videamus eos qui fuerunt liberati à captiuitate. Quomodo igitur à captiuitate liberati fuerunt? Desiderio Hierosolymorum. Quod quidem nisi eis adfuisset, ex Dei gratia nihil lucrifecissent, sed in perpetua seruitute dies suos obiissent, quos nos etiam si imitemur, idipsum nobis eueniet, nisi amore cœlestium, & desiderio cœlestis Hierusalem teneamur, non autem in præsentem vitã perpetuò defigamur. In cœno enim curarum ad victum pertinentium perpetuò volutati, non poterimus patriam recipere. Ad Dominum cùm tribularer clamaui, & exaudiuit me. Vidisti lucrũ afflictionis? vidisti promptitudinem clementiæ? Lucrum afflictionis, quòd eos ad puras preces fundẽdas adduxerit: clementiæ autem promptitudinem, quòd vocantibus eis statim annuerit. quod etiam prius fecit iis qui erant in Ægypto. Et ideo dicit, Videns vidi afflictionem populi mei, & gemitum eorum audij, & descendi vt eos eriperem. Et tu ergo ô dilecte, quando es in afflictione, ne desperes, nec labores indiligẽtia, sed tunc temporis maximè excitare. Sunt enim tunc preces puriores, & maior est Dei in te beneuolentia: & perpetuò ita viuas, vt sit tibi vita laboriosa, sciens quòd omnes qui piè volunt viuere in Christo Iesu, persecutionem patientur: & quòd per multas afflictiones oportet nos intrare in regnum Dei. Ne mollem ergo vitã & dissolutam dilexeris, nec via lata velis ingredi: ea enim non ducit in cœlum: sed arctã & angustã. Si autem peruenire ad supernas mansiones velis, fuge voluptates, externã seculi pompam ac speciem conculca: opes, gloriam, & potentiam neglige, paupertatem autem, & mentis contritionem, confessionémque & lachrymarum fontem tene: & omnia quæ possunt conciliare salutem, persequere. Ea enim & tutiorem reddunt eum qui possidet, & preces reddũt sublimiores. Si teipsum ita comparaueris, & Deum cum hac mente vocaueris, te omnino exaudiet. Et ideo dixit Propheta, Dum affligerer, clamaui, & exaudiuit me: vt discas paulatim conscendere, leuésque, &, vt ita dicam, alatas precationes facere, ne angaris, nec affligaris in afflictionibus,

Galat. 4.
Hebr. 11.

Afflictionis lucrum.

Exod. 3. 7.

2. Tim. 3.
Act. 4.
Matth. 10. 16.
Marc. 8.
Luc. 9. 24.

A καὶ ἴδωμεν τίνες τῆς αἰχμαλωσίας ἀπηλλάγησαν. πῶς οὖν ἀπηλλάγησαν τῆς αἰχμαλωσίας; τῷ πόθῳ τῶν Ἱεροσολύμων, ὡς οἵ γε μὴ τοῦτον κατορθώσαντες οὐδὲν ἀπὸ τῆς τοῦ Θεοῦ χάριτος ἐκέρδανον, ἀλλ' ἐναπέμειναν τῇ δουλείᾳ καὶ ἐναπέθανον, οὓς καὶ ἡμεῖς ἂν ζηλώσωμεν, τὸ αὐτὸ πεισόμεθα. ἂν γὰρ μὴ τῷ τῶν οὐρανίων ἔρωτι κατασχεθῶμεν, καὶ τῷ πόθῳ τῆς ἄνω Ἱερουσαλὴμ, ἀλλὰ τῷ παρόντι βίῳ προσηλωθῶμεν διαπαντὸς, ἐγκαλινδούμενοι τῷ πηλῷ τῶν βιωτικῶν φροντίδων, οὐ δυνησόμεθα τὴν πατρίδα ἀπολαβεῖν. πρὸς κύριον ἐν τῷ θλί-
B βεσθαί με ἐκέκραξα, καὶ εἰσήκουσέ μου. εἶδες τῆς θλίψεως τὸ κέρδος; εἶδες τῆς φιλανθρωπίας τὸ ἕτοιμον; τῆς θλίψεως τὸ κέρδος, ὅτι πρὸς εὐχὴν αὐτοὺς ἤγαγε καθαράν· τῆς φιλανθρωπίας τὸ πρόχειρον, ὅτι καλοῦσιν εὐθέως ἐπένευσεν, ὃ καὶ τοῖς ἐν Αἰγύπτῳ ἐποίησε πρότερον. διὸ καὶ λέγει· ἰδὼν εἶδον τὴν κάκωσιν τοῦ λαοῦ μου, καὶ τοῦ στεναγμοῦ αὐτῶν ἤκουσα, καὶ κατέβην τοῦ ἐξελέσθαι αὐτούς. καὶ σὺ τοίνυν ἀγαπητὲ ἐν θλίψει γενόμενος μὴ ἀπογίνωσκε, μηδὲ ῥάθυμος γίνου, ἀλλὰ τότε μάλιστα διαναστῆθι· ἐπεὶ
C καὶ τότε καθαρώτεραι αἱ εὐχαὶ, καὶ πλείων ἡ εὔνοια ἡ παρὰ τοῦ Θεοῦ, καὶ πάντα τὸν βίον οὕτω ζῆθι, ὡς ἐπίπονον εἶναί σοι τὴν ζωὴν, εἰδὼς ὅτι πάντες οἱ θέλοντες ζῆν εὐσεβῶς ἐν Χριστῷ Ἰησοῦ διωχθήσονται, καὶ ὅτι διὰ πολλῶν θλίψεων δεῖ ἡμᾶς εἰσελθεῖν εἰς τὴν βασιλείαν τοῦ Θεοῦ. μὴ τοίνυν τὸν ὑγρὸν καὶ διαλελυμένον ἀγαπήσῃς βίον, μηδὲ τὴν εὐρύχωρον θελήσῃς βαδίζειν· οὐ γὰρ φέρει αὕτη πρὸς τὸν οὐρανὸν ἡ ὁδός· ἀλλὰ τὴν στενὴν καὶ τεθλιμμένην. εἰ δὲ βούλει πρὸς τὰς ἄνω διατριβὰς καταντῆσαι, φεῦγε
D τὰς ἡδονάς· καταπάτει τὴν φαντασίαν τοῦ βίου· πλοῦτον, καὶ δόξαν, καὶ δυναστείαν ἀτίμαζε· πενίαν δὲ καὶ συντετριμμένην διάνοιαν καὶ ἐξομολόγησιν καὶ δακρύων πηγὰς κτῆσαι, καὶ πάντα τὰ σωτηρίαν δυνάμενα προξενεῖν μέτελθε. ταῦτα γὰρ καὶ ἀσφαλέστερον τὸν κεκτημένον καθίστησι, καὶ τὰς εὐχὰς ὑψηλοτέρας ἐργάζεται. ἂν οὕτω σεαυτὸν κατασκευάσῃς, καὶ μετὰ τοιαύτης διανοίας καλέσῃς καὶ σὺ τὸν Θεὸν, πάντως ἀκούσεταί σου. διὰ γὰρ τοῦτο καὶ ὁ προφήτης εἶπεν, ὅτι ἐν τῷ θλίβεσθαί με ἐκέκραξα, καὶ εἰσήκουσέ μου, ἵνα μάθῃς ἀναβαίνειν κατὰ μικρὸν, καὶ τὰς εὐχὰς ἐπτερωμένας ἐργάζεσθαι, ἵνα μὴ δυσχεραίνῃς, μηδὲ ἀλγῇς ἐν τῇ θλίψει-

σιν, ἀλλὰ δρέπῃ τὸ ἀπ' αὐτῶν κέρδος. εἰ γὰρ ὁ Ἐλισσαῖος ἄνθρωπος ὢν, προσιοῦσαν τὴν γυναῖκα οὐκ ἀφίησι τὸν μαθητὴν ἀπώσασθαι, ἄφες, λέγων αὐτὴν, ὅτι κατώδυνός ἐστιν ἡ ψυχὴ αὐτῆς, οὐδὲν ἕτερον ἐμφαίνων ἐκ τούτου, ἢ ὅτι ἀπολογίαν ἔχει μεγάλην, καὶ συνηγορίαν τὴν θλῖψιν, πολλῷ μᾶλλον ὁ Θεὸς οὐ διακρούσεταί σε μετὰ κατωδύνου ψυχῆς προσιόντα. διὰ τοῦτο καὶ ὁ Χριστὸς μακαρίζει τοὺς πενθοῦντας, καὶ τοὺς γελῶντας ταλανίζει· διὰ τοῦτο καὶ τῶν μακαρισμῶν ἀρχόμενος ἐντεῦθεν τὸ προοίμιον ἐποιήσατο λέγων, μακάριοι οἱ πενθοῦντες. εἰ τοίνυν βούλει τοὺς ἀναβαθμοὺς ἀναβαίνειν τούτους, περίκοψον τὸ διαλελυμένον καὶ χαῦνον τοῦ βίου· σύσφιγξον σεαυτὸν τῷ ἐπιπόνῳ τῆς πολιτείας· ἀπόστηθι τῶν γηΐνων πραγμάτων· αὕτη πρώτη ἀνάβασις. οὐ γάρ ἐστιν, οὐκ ἔστιν ὁμοῦ καὶ κλίμακα ἀναβαίνειν, καὶ τῆς γῆς ἔχεσθαι. ὁρᾷς πόσον τὸ ὕψος τοῦ οὐρανοῦ· οἶσθα τοῦ χρόνου τὴν βραχύτητα· οἶσθα τὸ ἄδηλον τοῦ θανάτου· μὴ τοίνυν μέλλε, μηδὲ ἀναβάλλου, ἀλλὰ πολλῇ τῇ σφοδρότητι ταύτης ἅψαι τῆς ἀποδημίας, ἵνα καὶ ἐν μιᾷ ἡμέρᾳ καὶ δύο καὶ τρεῖς καὶ δέκα καὶ εἴκοσι, ἀναβαίνῃς ἀναβαθμούς. κύριε ῥῦσαι τὴν ψυχήν μου ἀπὸ χειλέων ἀδίκων, καὶ ἀπὸ γλώσσης δολίας. ὅρα ἐνταῦθα τὸ εὐαγγελικὸν ἐκεῖνο παράγγελμα διαλάμπον· εὔχεσθε μὴ εἰσελθεῖν εἰς πειρασμόν. τούτου γὰρ τοῦ πειρασμοῦ οὐδὲν ἴσον ἀγαπητὲ, τοῦ δολερῷ περιπεσεῖν ἀνθρώπῳ· ὁ τοιοῦτος καὶ θηρίου χαλεπώτερος. τὸ μὲν γὰρ ὅπερ ἐστὶ φαίνεται· οὗτος δὲ παραπετάσματι πολλάκις ἐπιεικείας τὸν ἰὸν ἀπέκρυψεν, ὡς καὶ δυσφώρατον γενέσθαι τὴν ἐνέδραν, καὶ βαράθρῳ περιπεσεῖν ἀφυλάκτως τοὺς ἐμπίπτοντας. διὰ τοῦτο συνεχῶς ἄνω καὶ κάτω τοῦτο παρακαλεῖ τὸν Θεὸν, τῶν τοιούτων ἐπιβούλων ἀπαλλαγῆναι. εἰ δὲ τοὺς δολεροὺς δεῖ φεύγειν καὶ πανούργους, πολλῷ μᾶλλον τοὺς ἀπατεῶνας, καὶ πονηρὰ δόγματα εἰσάγοντας. μάλιστα δὲ ἄδικα εἴποι τις ἂν χείλη ἐκεῖνα τὰ περὶ τὴν ἀρετὴν βλάπτοντα, τὰ πρὸς κακίαν ἀπάγοντα. διὰ δὴ ταῦτα καὶ ὁ προφήτης ὑπὲρ τὴν ψυχὴν αὐτοῦ ἀξιοῖ ῥυσθῆναι. ἐκεῖ γὰρ ἀφίησι τὰ βέλη. τί δοθείη σοι, καὶ τί προστεθείη σοι πρὸς γλῶσσαν δολίαν; ἕτερος ἑρμηνευτής φησι· τί παρέξει σοι, ἢ τί προσθήσει γλῶσσα δολία; ὁ δὲ ἕτερος· τί δώῃ σοι, ἢ τί προσθείη σοι γλῶσσα κατεπιθέσεως; οὐδὲν οὖν ἕτερον

sed vtilitatem ex eis percipias. Si enim Helisæus Propheta cùm esset homo, non permisit vt discipulus venientē ad se mulierē extruderet, dicens: Dimitte eam, quia mœrore est affecta anima eius: nihil aliud volens ex eo ostendere, nisi quòd excusationē & defensionem maximam habet afflictio: multò magis Deus te non repellet, si cum tristi & anxia anima ad eū accedas. Et ideo Christus quoque eos beatos pronunciat, qui lugent: & miseros qui rident. Quocirca beatitudines quoque incipiens, hinc exorsus est dicens, Beati qui lugent. Si vis ergo hos gradus ascendere, quod est in vita molle eneruatúmque & dissolutum, reseca: & laboriosa viuēdi ratione teipsum astringe & contine. A terrenis negotiis abstine. Hic est primus ascensus. Non potest enim fieri, non potest, vt simul & scalam conscēdas, & in terra hæreas. Vides quanta sit cœli altitudo, nosti breuitatem temporis: scis quàm sit mors increata? Ne cūcteris ergo, nec differas, sed hanc peregrinationem magna vi aggredere, vt vno die duos, tres, decem & viginti gradus conscendas.

4. Reg. 4. *Afflictio maximam excusationē habet.* *Matth. 5. 4* *Eccl. 9. Matt. 24. Marc. 13.*

2. *Domine libera animam meam à labiis iniquis, & à lingua dolosa.* Vide hic quoque lucere præceptum illud Euangelicum, Orate ne intretis in tentationem. Nulla enim est ô dilecte, grauior tentatio, quā in dolosum hominem incidere. Is enim est vel quauis fera truculētior. Ea enim id quod est, esse cernitur: hic autem obtento velo mansuetudinis & probitatis sæpe virus occultat, vt nec facilè possint deprehēdi insidiæ, & in barathrū nulla adhibita cautione incidatur. Quapropter vbiq; à Deo hoc assiduè postulat, vt liberetur à talibus insidiatoribus. Si autem fugiendi sunt fraudulenti & malitiosi, multò magis deceptores, & qui mala dogmata ac decreta proferunt. Maximè autem iniqua ea labia esse dixeris, quę in virtute lædūt, & ad vitium abducunt. Et ideo hic propheta rogat vt liberetur ipsius anima: eò enim tela dirigit. 3. *Quid detur tibi, aut quid apponatur tibi ad linguam dolosam?* Alius interpres ait, Quid prębebit tibi, aut quid adijciet lingua dolosa? Alius autem, Quid dederit tibi, & quid tibi adiecerit lingua inuasionis? Nihil ergo aliud

Luc. 22. 40. *Matth. 7.* *Dolosi fugiendi.*

ostendit quod dictum est, nisi hoc, magnam esse improbitatem, & tetrum genus vitij. Quocirca vides etiam prophetam irascentem, commotúmque, & dicentem: Quid detur tibi aut quid apponatur tibi ad linguā dolosam? Quod autem dicit, & eiusmodi, Quódnam hoc vitio dignum inueniatur supplicium? Quod etiā Iudęis dicebat Esaias: Quid adhuc percutiamini adijcientes iniquitatem? Hoc etiā ipse dicit, Quid detur tibi, aut quid apponatur tibi ad linguam dolosam? vel quòd hoc ipsum etiā est supplicium, ex teipso vitium pariens. Maximum enim supplicium animæ est vitium, etiam antequam puniatur. Quódnam ergo dignum supplicium ei qui talis est, fuerit constitutum? Hic quidem nullum, sed plaga quæ à Deo infertur. Homo enim non poterit dignas pœnas sumere. Nam omnem cruciatum superat improbitas. Deus autem illi plagam infliget. Et ideo hoc ipsum ostendens, mox subiunxit, 4. *Sagittæ potentis acutæ cum carbonibus desolatoriis.* Sagittas hic rursus appellat supplicia. Alius autem interpres dixit, Sagittæ potentis acutæ cum carbonibus constipatis. Et alius, Cum carbonibus iuniperinis, nominum translatione augens metum supplicij. Nam & illud, constipatis, & hoc, Iuniperinis, eundem habet sensum. Illic enim ostendit multitudinem, hic autem qualitatem & vehementiam supplicij. Quod quidem Septuaginta quoque significantes, Cum carbonibus desolatoriis, ediderunt, hoc est, qui deserta faciunt, perdunt, & consumunt. Ex materiis enim quę sunt apud nos terribiles, Dei supplicia effingunt & exprimunt scripturæ, sagittas & ignem ea vocantes. Hic autem mihi videtur significare barbaros. Et ideo alius quoque interpres hoc significans, dicebat, Libera animam meam à labio doloso. Talia enim sunt eorum verba, tales doli, & tales insidiæ, plenæ omnes fraude & maximo scelere.

Esa. 1. 5. Aliàs, In quo percutiam vos vltra. Prou. 14. Rom. 1. Ephes. 4.

Improbitatis supplicium. Sagitta.

5. *Hei mihi quòd incolatus meus prolongatus est. Habitaui cum tabernaculis Cedar.* Alius interpres ait, Hei mihi quòd incolatum protraxi. Alius, Hei mihi quòd aduena fui in prolongatione. Hi quidem hoc modo lamentantur de captiuitate Babylonica:

A παρέστησι τὸ εἰρημένον, ἢ ὅτι μεγάλη αὕτη ἡ πονηρία, καὶ χαλεπὸν τῆς κακίας τὸ εἶδος. διὰ δὴ τοῦτο ὁρᾷς καὶ τὸν προφήτην θυμούμενον, ὀργιζόμενον, καὶ λέγοντα, τί δοθείη σοι, καὶ τί προστεθείη σοι πρὸς γλῶσσαν δολίαν; ὃ δὲ λέγει τοῦτό ἐστι. ποία ἂν εὑρεθείη τῆς κακίας ταύτης ἀξία τιμωρία; ὅπερ καὶ Ἰουδαίοις Ἡσαΐας ἔλεγε· τί ἔτι πληγῆτε προστιθέντες ἀνομίαν; τοῦτο δὴ καὶ αὐτός· τί δοθείη σοι, καὶ τί προστεθείη σοι πρὸς γλῶσσαν δολίαν; ἢ τοῦτο τοίνυν φησὶν, ἢ ὅτι καὶ αὐτὸ τοῦτο τιμωρία, καὶ πρὸ τῆς B δίκης σαυτὸν ἀπαιτεῖς δίκην οἴκοθεν τὴν κακίαν τίκτων. μεγίστη γὰρ ψυχῆς τιμωρία κακία καὶ πρὸ τῆς δίκης. τίς οὖν ἂν γένοιτο ἀξία τῷ τοιούτῳ δίκη; ἐνταῦθα μὲν οὐδεμία, ἡ δὲ παρὰ τοῦ Θεοῦ πληγή. ἄνθρωπος μὲν γὰρ οὐκ ἂν κατ᾽ ἀξίαν ἀμύναιτο· ὑπερβαίνει γὰρ πᾶσαν τιμωρίαν ἡ πονηρία· ὁ Θεὸς δὲ ἐπάξει τὴν πληγήν. διὸ καὶ ἐμφαίνων τοῦτο ταχέως ἐπήγαγε λέγων· τὰ βέλη τοῦ δυνατοῦ ἠκονημένα σὺν τοῖς ἄνθραξι τοῖς ἐρημικοῖς. πάλιν βέλη ἐνταῦθα τὰς τιμωρίας καλεῖ. ὁ δὲ ἕτερος ἑρμηνευτής· τὰ βέλη τοῦ δυνατοῦ ἠκόνηται, εἶπε, μετὰ C ἀνθράκων ἐπιβασμένων, καὶ ἕτερος δὲ, σὺν ἀνθρακιαῖς ἀρκευθίναις, τῇ μεταφορᾷ τῶν ὀνομάτων αὔξων τῆς τιμωρίας τὸν φόβον. τό τε γὰρ ἐπιβασμένων, τό τε ἀρκευθίναις τὴν αὐτὴν ἔχει ἔννοιαν. ἐκεῖ μὲν τὸ πλῆθος παρέστησεν· ἐνταῦθα δὲ τὴν ποιότητα καὶ τὴν σφοδρότητα τῆς τιμωρίας. ὅπερ οὖν καὶ οἱ ἑβδομήκοντα δηλοῦντες, σὺν τοῖς ἄνθραξι τοῖς ἐρημικοῖς ἐξέδωκαν, τουτέστιν ἐρημοποιοῖς, δαπανῶσι, καταναλίσκουσιν. ἀπὸ γὰρ τῶν παρ᾽ ἡμῖν φοβερῶν ὑλῶν καὶ τοῦ Θεοῦ τὰς τιμωρίας σχηματίζουσιν αἱ γραφαὶ, βέλη, D καὶ πῦρ αὐτὰς καλοῦσαι. ἐνταῦθα δέ μοι τοὺς βαρβάρους αἰνίττεσθαι δοκεῖ. διὸ καὶ τοῦτο δηλῶν ἕτερος ἑρμηνευτὴς ἔλεγε· ῥῦσαι ψυχήν μου ἀπὸ χείλους ψευδοῦς. τοιαῦτα γὰρ αὐτῶν τὰ ῥήματα· τοιοῦτοι οἱ δόλοι, καὶ αἱ ἐπιβουλαὶ, πλάνης γέμοντα ἁπάσης καὶ πολλῆς τῆς κακίας. οἴμοι ὅτι ἡ παροικία μου ἐμακρύνθη, κατεσκήνωσα μετὰ τῶν σκηνωμάτων Κηδάρ. ἕτερος ἑρμηνευτής φησιν· οἴμοι ὅτι παροικῶν παρείλκυσα. ἄλλος, ὦ ἐμοὶ προσηλύτευσα ἐν μακρυσμῷ. ταῦτα μὲν οὖν οὗτοι θρηνοῦσιν ὑπὲρ τῆς αἰχμαλωσίας τῆς ἐν Βαβυλῶνι·

ὁ δὲ Παῦλος ὑπὲρ τῆς ἐνταῦθα διατριβῆς λέγων· Καὶ γὰρ οἱ ὄντες ἐν τῷ σκήνει τούτῳ στενάζομεν βαρούμενοι. καὶ οὐ μόνον δὲ, ἀλλὰ καὶ αὐτοὶ τὴν ἀπαρχὴν τοῦ πνεύματος ἔχοντες καὶ αὐτοὶ ἐν ἑαυτοῖς στενάζομεν. καὶ γὰρ παροικία ὁ παρὼν βίος. καὶ τί λέγω παροικίας; ὅπου γε καὶ τῆς παροικίας εὐτελέστερον πρᾶγμα, ὅθεν αὐτὴν καὶ ὁδὸν ἐκάλεσεν ὁ Χριστὸς, λέγων· στενὴ ἡ πύλη καὶ τεθλιμμένη ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ζωήν. καὶ γὰρ τοῦτο ἀρίστη διδασκαλία μάλιστα καὶ ἡ πρώτη τὸ εἰδέναι, ὅτι πάροικοί ἐσμεν κατὰ τὸν παρόντα βίον. διὸ καὶ οἱ παλαιοὶ τοῦτο ὡμολόγουν, καὶ διὰ τοῦτο μάλιστα ἐθαυμάσθησαν. τοῦτο καὶ Παῦλος δηλῶν ἔλεγε γράφων· διὰ ταύτην τὴν αἰτίαν οὐκ ἐπαισχύνεται αὐτοὺς ὁ Θεὸς, Θεὸς αὐτῶν καλεῖσθαι. ποίαν αἰτίαν εἰπέ μοι; ὅτι ὡμολόγησαν ξένοι καὶ παρεπίδημοι εἶναι. τοῦτο ἀρετῆς ἁπάσης ῥίζα καὶ ὑπόθεσις. ὁ γὰρ τῶν ἐνταῦθα ξένος, τῶν ἄνω πολίτης ἔσται· ὁ τῶν ἐνταῦθα ξένος, οὐκ ἐμφιλοχωρήσει τοῖς παροῦσιν· οὐκ οἰκίας ἐπιμελήσεται, οὐ χρημάτων, οὐ τροφῆς, οὐκ ἄλλου τῶν τοιούτων οὐδενός, ἀλλ' ὥσπερ οἱ ἐν ἀλλοτρίᾳ διατρίβοντες πάντα ποιοῦσι καὶ πραγματεύονται πρὸς τὴν ἐπὶ τὴν πατρίδα ἀποκατάστασιν, καὶ καθ' ἑκάστην ἐπείγονται τὴν ἡμέραν τὴν ἐνεγκοῦσαν ἰδεῖν· οὕτω καὶ ὁ τῶν μελλόντων ἐρῶν οὔτε τοῖς λυπηροῖς ταπεινωθήσεται παροῦσιν, οὔτε τοῖς χρηστοῖς ἐπαρθήσεται, ἀλλ' ἑκάτερα παραδραμεῖται, καθάπερ ὁδὸν βαδίζων. διά τοι τοῦτο καὶ ἐν τῇ προσευχῇ κελευόμεθα λέγειν, ἐλθέτω ἡ βασιλεία σου, ἵνα τὸν πόθον καὶ τὴν ἐπιθυμίαν τῆς ἡμέρας ἐκείνης στρέφοντες καὶ πρὸ ὀφθαλμῶν αὐτὴν ἔχοντες μηδὲ ὁρῶμεν τὰ παρόντα. εἰ γὰρ Ἰουδαῖοι τῆς Ἱεροσολύμων ἐπιθυμοῦντες θρηνοῦσι τὰ παρελθόντα καὶ μετὰ τὸ ἀπαλλαγῆναι, τίνα ἂν σχοίημεν ἡμεῖς συγγνώμην, ποίαν δὲ ἀπολογίαν, μὴ σφοδρῷ κατεχόμενοι τῷ πόθῳ τῆς ἄνω Ἱερουσαλήμ; ὅρα γοῦν πῶς καὶ οὗτοι θρηνοῦσι τὴν μετ' ἐκείνων διατριβήν. κατεσκήνωσα, λέγοντες, μετὰ τῶν σκηνωμάτων Κηδάρ· πολλὰ παρῴκησεν ἡ ψυχή μου. ἐνταῦθα γὰρ οὐ τὴν ἐν ἀλλοτρίᾳ διατριβὴν θρηνοῦσι μόνον, ἀλλὰ καὶ τὴν μετὰ βαρβάρων διαγωγήν. ὃ δὴ καὶ ἄλλοι προφῆται ἐποίουν ὑπὲρ τοῦ παρόντος βίου θρηνοῦντες, καὶ λέγοντες,

A Paulus autem de ea quæ hic longius trahitur mora, dicens: Etenim dum sumus in hoc tabernaculo, ingemiscimus grauati. Nec id solùm, sed etiam habentes ipsi primitias spiritus, & ipsi in nobis ipsis ingemiscimus. Est enim præsens vita incolatus. Et quid dico incolatus, cùm res sit vel incolatu inferior? Vnde Christus etiam ipsam vocauit viam, dicens: Angusta est porta, & arcta via quæ ducit ad vitam. Hoc enim est doctrina optima atque adeò prima, scire nos esse inquilinos in vita præsenti. Quocirca veteres quoque id con- B fitebantur: & ideo habiti sunt vel in maxima admiratione. Hoc etiam Paulus significans scribendo dicebat: Propter hanc causam non erubescit eos Deus, Deus eorum vocari. Quámnam causam dic mihi? Quia confessi sunt se esse hospites & peregrinos. Hoc est radix & fundamentum omnis virtutis. Qui enim rerum quæ hic sunt, est hospes, erit rerum supernarum ciuis. Qui eorum quæ hic sunt, est hospes, non lubenter versabitur in præsentibus: non domus, non pecuniæ, non alimen- C ti, nec alius eiusmodi curam geret: sed quemadmodum qui in aliena regione versantur, nihil non agunt & procurant vt patriæ suæ restituantur, & quotidie vrgent, & festinant, vt eam quæ eos tulit, videant: ita etiam qui amore futurorum tenetur, nec rebus præsentibus aduersis animum demittet, nec secundis efferet, sed vtraque prætercurret, tanquam qui iter agit. Quocirca iubemur etiam dicere in oratione, Adueniat regnum tuum, vt illius diei desiderium & cupiditatem animo nostro versantes, & ipsum præ oculis haben- D tes, ne videamus quidem præsentia. Si enim Iudæi Hierosolyma desiderantes, etiam postquam liberati sunt, deflent præterita: quænam dabitur nobis venia, quænam relinquetur defensio, si non supernæ Hierusalem teneamur vehementi desiderio? Vide ergo quomodo hi quoq; lamẽtantur, quod cum illis versentur, Habitaui, dicentes, cum tabernaculis Cedar: multũ incola fuit anima mea. Hic enim nõ solùm deflent quòd in aliena habitẽt, sed etiam quod cum barbaris versentur. Quod quidem alij quoque faciebãt prophetæ de præsenti vita, lamentantes, & dicentes:

2. Cor. 5. 4.

Rom. 8. 23.

Matt. 7. 14.

Inquilini sumus & peregrini in hac vita.

Hebr. 11. 16

Simile elegans.

Matt. 6. 10

Luc. 11. 2.

Ab exemplo.

Hei mihi quòd periit pius à terra, & qui rectè agat, non est in hominibus. & etiam hic ipse, dicens, Serua me domine, quoniam defecit sanctus. Neque enim hæc vita est eò tantùm laboriosa, quòd plurimam habet vanitatem, & curas importunas, sed quòd etiam multus sit malorum prouentus. Nihil est autem grauius & molestius quàm quæ est cum huiusmodi hominibus congressio. Neque enim fumus & vapor ita solet grauare oculos, vt improborum consuetudo animũ tristitia afficit. Non vides dominum quoque nostrum Iesum Christum ostendere quàm sit molesta eiusmodi cõsuetudo? Quando enim dicit, Quousque ero vobiscum? Quousque feram vos, id dicit, hoc obscurè significans, Habitaui cum tabernaculis Cedar. Est barbarorum, cum iis in quos imperium obtinuerunt, instar ferarum agere, vt qui tentoriis & tuguriis vtantur, & ad immanitatem ferarum sint redacti. Sed his multò sunt efferatiores, raptores, auari, & qui impudicè ac libidinosè & in deliciis vitam transigunt. *Multum incola fuit anima mea.* Atqui non multum. Fuerunt enim solùm septuaginta anni. Sed non appellat multum propter multitudinem, sed propter rerum difficultatem. Etsi enim sit exiguum, videtur esse multum iis qui affliguntur. Ita etiam nos oportet affici, & quamuis hic paucis annis vixerimus, eos tamen multos esse putare propter futurorum desiderium. Hæc dico nequaquam vitam præsentem accusans; absit: ea est enim opus Dei: sed ad futurorum amorem vos excitans, & ne in rebus præsentibus lubenter versemini, nec corpori affixi sitis: nec ita afficiamini, vt nonnulli è vulgo pusilli & abiecti animi, qui etsi per multos annos vixerint, eos paucos esse dicunt. Quibus quid esse potest à ratione alienius? Quid verò crassius iis qui cœlo proposito, & iis bonis quæ sunt in cœlis, quæ nec oculus vidit, nec auris audiuit, ore hiante vmbras stupent, nec volunt vitæ præsentis Euripum traijcere, in perpetuis fluctibus, tempestatibus, & naufragiis volutati? An non sic Paulus: sed festinabat & vrgebat, & vnum solum eum retinebat, nempe salus hominum. 6. *Cum his qui oderunt pacem, eram pacificus: cùm loquebar ibis, impugnabant me gratis.* Vidisti quo-

Mich. 7. 2. Psal. 11. 1.

Malorum consuetudo bonis est molestissima.

Matth. 17. 17.

Barbarorũ feritas.

Hier. 25. 29.

Vita præsens bonis longa videtur, malis autem breuis.

1. Cor. 2. 9.

Philip. 1.

A οἴ μοι ὅτι ἀπόλωλεν ἀπὸ τῆς γῆς εὐλαβὴς, καὶ ὁ κατορθῶν ἐν ἀνθρώποις οὐκ ἔστι. καὶ αὐτὸς δὲ πάλιν λέγων· Σῶσόν με κύριε ὅτι ἐκλέλοιπεν ὅσιος. οὐ γὰρ ταύτῃ μόνον ἐπίπονος ὁ βίος, ὅτι πολλὴν ἔχει τὴν ματαιότητα, καὶ ἀκαίρους φροντίδας, ἀλλ' ὅτι καὶ πολλὴ τῶν πονηρῶν ἡ φορά. οὐδὲν δὲ ἐπαχθέστερον καὶ δυσχερέστερον τῆς πρὸς τοὺς τοιούτους ὁμιλίας. οὐ γὰρ οὕτω καπνὸς καὶ αὐχμὸς βαρύνειν τοὺς ὀφθαλμοὺς εἴωθεν, ὡς ἡ τῶν πονηρῶν ὁμιλία τὰς ψυχὰς ἀλύειν παρασκευάζει. οὐχ ὁρᾷς καὶ τὸν κύριον ἡμῶν Ἰησοῦν B Χριστὸν τὸ δυσχερὲς ἐνδεικνύμενον τῆς τοιαύτης διαγωγῆς; καὶ γὰρ ὅταν λέγῃ ἕως πότε ἔσομαι μεθ' ὑμῶν; ἕως πότε ἀνέξομαι ὑμῶν; τοῦτο αἰνιττόμενος λέγει· κατεσκήνωσα μετὰ τῶν σκηνωμάτων Κηδάρ. βαρβάρων τὸ γένος τὸ θηριωδῶς πρὸς τοὺς κεκρατημένους διακεῖσθαι, σκηναῖς καὶ καλύβαις κεχρημένων καὶ πρὸς τὴν τῶν θηρίων ἀγριότητα ἐκπεπτωκότων· ἀλλὰ τούτων πολλῷ χαλεπώτεροι οἱ ἅρπαγες, οἱ πλεονέκται, οἱ ἐν ἀσελγείαις οἱ ἐν τρυφαῖς ζῶντες. πολλὰ παρῴκησεν ἡ ψυχή μου. καὶ μὴν οὐ πολλά. ἑβδομήκοντα γὰρ ἔτη μόνον ἦν. ἀλλ' οὐ τῷ C πλήθει αὐτὰ πολλὰ καλεῖ, ἀλλὰ τῇ δυσκολίᾳ τῶν πραγμάτων. κἂν γὰρ ὀλίγα ᾖ, πολλὰ τοῖς θλιβομένοις φαίνεται· οὕτω καὶ ἡμᾶς διακεῖσθαι χρὴ, κἂν ὀλίγα ἔτη ζήσωμεν ἐνταῦθα, πολλὰ νομίζειν αὐτὰ τῇ ἐπιθυμίᾳ τῶν μελλόντων. ταῦτα λέγων οὐ τῆς παρούσης ζωῆς κατηγορῶ, μὴ γένοιτο· καὶ γὰρ τοῦτο ἔργον Θεοῦ, ἀλλὰ πρὸς τὸν ἔρωτα τῶν μελλόντων ὑμᾶς ἀλείφων, καὶ ὥστε μὴ ἐμφιλοχωρεῖν τοῖς παροῦσι, μηδὲ προσηλῶσθαι τῷ σώματι, μηδὲ κατὰ τοὺς μικροψύχους τῶν πολλῶν διακεῖσθαι, οἳ κἂν μυρία ζήσωσιν ἔτη, ὀλίγα D ταῦτα εἶναι φασὶν, ὧν τί γένοιτ' ἂν ἀλογώτερον; τί δὲ παχύτερον, εἰ οὐρανοῦ προκειμένου, καὶ τῶν ἐν τοῖς οὐρανοῖς ἀγαθῶν, ἃ μήτε ὀφθαλμὸς εἶδε, μήτε οὖς ἤκουσε, πρὸς τὰς σκιὰς κεχήνασι, καὶ τὸν εὔριπον τοῦ παρόντος διαπερᾷν βίου, κύμασι διηνεκέσι, καὶ χειμῶσι, καὶ ναυαγίοις ἐγκαλινδούμενοι. ἀλλ' οὐχ ὁ Παῦλος οὕτως, ἀλλ' ἔσπευδε καὶ ἠπείγετο, καὶ ἓν αὐτὸν μόνον κατεῖχεν ἡ τῶν ἀνθρώπων σωτηρία. μετὰ τῶν μισούντων τὴν εἰρήνην ἤμην εἰρηνικός· ὅταν ἐλάλουν αὐτοῖς ἐπολέμουν με δωρεάν. εἶδες

πῶς δείκνυσι τὸ φορτικὸν τῆς ἐκεῖ διατριβῆς; οὐ γὰρ εἶπε μετὰ τῶν οὐκ ἐχόντων εἰρήνην, ἀλλὰ μετὰ τῶν μισούντων τὴν εἰρήνην ἤμην εἰρηνικός. εἶδες τῆς θλίψεως τὸ κέρδος; εἶδες τῆς αἰχμαλωσίας τὸν καρπόν; ἀλλὰ νῦν τίς ἡμῶν δυνήσεται τοῦτο εἰπεῖν; ἀγαπητὸν γὰρ μετὰ τῶν εἰρηνικῶν, εἰρηνικὸν εἶναι· οὗτος δὲ καὶ μετὰ τῶν μισούντων τὴν εἰρήνην ἦν εἰρηνικός. πῶς οὖν τοῦτο καὶ ἡμεῖς κατορθώσομεν; ἂν ὡς πάροικοι διατρίβωμεν. πάλιν γὰρ ἐπὶ τὴν αὐτὴν ὑπόθεσιν ἄγω τὸν λόγον· ἂν ὡς ξένοι, ἂν μηδενὶ τῶν παρόντων ὦμεν κατεχόμενοι. οὐδὲν γὰρ οὕτω ποιεῖ μάχην καὶ πόλεμον, ὡς ὁ τῶν παρόντων ἔρως, ὡς ἡ δόξης, ἢ χρημάτων, ἢ τρυφῆς ἐπιθυμία. ὅταν δὲ καὶ πάντα διαπτύσῃς τὰ γήϊνα ταῦτα, καὶ μηδενὶ τούτων παρείδῃς τὴν ψυχὴν κατεχομένην, τότε ὄψει, πόθεν ὁ πόλεμος ἔχει τὴν ἀρχήν· πόθεν ἡ ἀρετὴ ὑπόθεσιν λήψεται. διὰ τοῦτο μεταξὺ λύκων πρόβατα εἶναι κελεύει, ἵνα μὴ λέγῃς, τὰ καὶ τὰ ἔπαθον, καὶ διὰ τοῦτο ἠγριώθην. κἂν μυρία φησὶ πάθῃς, μένε πρόβατον ὤν, καὶ οὕτω περιέσῃ τῶν λύκων. πονηρός ἐστιν ὁ δεῖνα καὶ διεφθαρμένος, ἀλλ' ἔχεις τοσαύτην δύναμιν, ὡς καὶ πονηροῦ περιγενέσθαι. τί προβάτου ἡμερώτερον; τί δὲ λύκου ἀγριώτερον; ἀλλ' ὅμως τοῦτο ἐκείνου περιέσται, καὶ τοῦτο ἐπὶ τῶν ἀποστόλων ἐδείχθη. οὐδὲν γὰρ πραότητος δυνατώτερον, οὐδὲν μακροθυμίας εὐτονώτερον. διὰ τοῦτο ὁ Χριστὸς κελεύει πρόβατα εἶναι μεταξὺ λύκων. εἶτα οὕτως εἰπὼν, ὥσπερ οὐκ ἀρκούσης τῆς ἡμερότητος ταύτης τῆς τοῦ προβάτου λέγω, ὃν βούλεται μαθητὴν δεῖξαι καὶ ἕτερόν τι προστίθησιν· ἔσεσθε ἀκέραιοι ὡς αἱ περιστεραί, δύο ζώων ἡμέρων, καὶ ἀφελῶς διακειμένων μίξας πραότητα, τοσαύτην ἡμᾶς ἀπαιτεῖ τὴν ἐπιείκειαν, ὅταν μεταξὺ ἀγρίων ὦμεν. καὶ μή μοι λέγε, πονηρός ἐστι, καὶ οὐ δύναμαι φέρειν. τότε γὰρ μάλιστα ἐπιδείκνυσθαι χρὴ τὴν πραότητα, ὅταν πρὸς ἀγρίους ἔχωμεν· ὅταν πρὸς ἀνημέρους· τότε αὐτῆς ἡ ἰσχὺς δείκνυται· τότε αὐτῆς τὸ ἔργον καὶ τὸ κατόρθωμα, καὶ ὁ καρπὸς διαλάμπει. ὅταν ἐλάλουν αὐτοῖς, ἐπολέμουν με δωρεάν. ἕτερος δὲ ἑρμηνευτής φησι, καὶ ὅτε ἐλά-

A modo ostendit quàm graue sit illic versari? Non enim dixit, Cum iis qui non habent pacem, sed, Cum iis qui odio habent pacem, eram pacificus. Vidisti commodū afflictionis? vidisti fructum captiuitatis? Sed nunc quis nostrum hoc poterit dicere? Satis enim fuerit, si cum pacificis simus pacifici. Hic autem etiam cum iis qui pacem oderant, erat pacificus. Quomodo ergo nos quoque in hac re rectè geremus? Si tanquam inquilini hic versemur (rursus enim deduco orationem ad ipsum argumentum) si vt hospites, si nullo B eorum quæ sunt præsentia, retardati. Nihil enim æquè pugnæ & belli causa est, vt amor præsentium, vt vel gloriæ, vel pecuniæ, vel deliciarum cupiditas. Quando verò hos omnes funes præcideris, & animam nullo horum retineri permiseris, tunc videbis vndénam bellum ducat principium, & vndénam sit virtutis iaciendum fundamentum. Propterea iubet etiam nos Christus oues esse inter lupos: ne dicas, Hæc & illa passus sum, & ideo euasi sæuus & efferatus. Etiamsi, inquit, passus fueris innumerabilia, mane ouis, & ita lupos superabis. Hic est improbus C & profligatus, sed habes tantas vires, vt vel malis superior euadas. Quid est oue mansuetius? quid verò lupo agrestius? ille tamen ab hac superabitur: id autem ostensum & in Apostolis. Nihil est enim mansuetudine potentius, nihil lenitate validus ac firmius. Quocirca Christus quoque iubet oues esse inter lupos. Deinde postquam sic dixit, tanquam non sufficeret hæc mansuetudo, ouis, inquam, ei quem vult se ostendere discipulum, aliquid aliud adiicit, Estote, inquit, simplices sicut columD bæ. duorum mansuetorum & simplicium animalium miscens mansuetudinem: tantam à nobis exigit, lenitatem, quando inter sæuos & agrestes versamur. Ne enim dixeris, est improbus, nec ferre possum. Tunc enim maximè ostendenda est mansuetudo, quando res nobis fuerit cum sæuis & agrestibus hominibus, quando cum iis qui sunt ab humanitate & mansuetudine longè alienissimi: tunc eius virtus ostenditur, tunc eius munus & officium fructusque clarè ostenditur. Cùm loquebar illis, impugnabant me gratis. Alius autem interpres dicit, Et quando loque-

Belli ac pugnæ causa præcipua.

Matth. 10. 16.

Mane ouis, & lupos superabis.

Mansuetudo vbi maximè ostendenda.

bar ipsis, bellabant. vel hoc significans, Cum iis qui oderant pacem, eram pacificus: vel, quando ipsis loquebar, ipsi me oppugnabant. Quod autem dicit, tale est, In ipso tempore collocutionis, quando maxime, inquit, ostendebam charitatem, quando verba in primis amica emittebam, tunc efferabantur, & nihil eos flectebat, tunc dolos & fraudes struebant: ego tamen propriam ostendebam virtutem, licet ij ita affecti essent. Ita etiam nos oportet affici, nempe licet nos eos amantes pulsent & feriant, licet nobis insidientur, nos nostra ostendere, illius parabolæ memores, quæ iubet nos esse tanquam oues & columbas in medio luporum, vt & illos meliores reddamus, & ipsi bona cœlestia consequamur. Quæ detur nobis omnibus consequi gratia & benignitate domini nostri Iesu Christi, cui gloria in secula seculorum, Amen.

A λέγειν αὐτοῖς ἐπολέμουν, ἢ τοῦτο αἰνιττόμενος μετὰ τῶν μισούντων τὴν εἰρήνην, ἤμην εἰρηνικός, ἢ ὅτι ἐπεὶ ἐλάλουν αὐτοῖς, αὐτοὶ ἐπολέμουν. ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· ἐν αὐτῷ τῷ καιρῷ τῆς διαλέξεως, ὅτε μάλιστα τὴν ἀγάπην ἐνεδεικνύμην φησίν· ὅτε μάλιστα καὶ ῥήματα φιλικὰ ἵεμην, τότε ἠγρίαινον· τότε δόλους ἔρραπτον, καὶ οὐδὲν αὐτοὺς ἐκάμπτε. ἀλλ᾽ ὅμως ἐγὼ τὴν οἰκείαν ἐπεδεικνύμην ἀρετὴν, καὶ ἐκείνων οὕτω διακειμένων. οὕτω καὶ ἡμᾶς διακεῖσθαι χρὴ, κἂν βάλλωσι, κἂν παίωσι φιλοῦντας, κἂν ἐπιβουλεύωσι, τὰ παρ᾽ B ἑαυτῶν ἐπιδείκνυσθαι ἐκείνης τῆς παραβολῆς μεμνημένους τῆς κελευούσης, ὡς πρόβατα καὶ περιστερὰς εἶναι ἐν μέσῳ λύκων, ἵν᾽ ἐκείνους τε βελτίους ἐργασώμεθα, καὶ αὐτοὶ τῶν ἐν οὐρανοῖς ἀπολαύσωμεν. ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

In Psalmvm cxx.

Canticum graduum. *Alius*, Cantus in ascensiones.

Leuaui oculos meos in montes, vnde veniet auxilium meum. Alius, Leuo oculos meos in montes, vnde veniet auxilium meum.

VIDE animam, quæ malis implicata nequit se expedire, & inuenire exitum, & vult assequi solatium ad Deum respiciens. Hæc rursus tentationum sunt commoda, quæ illam erigunt & excitant, & ad supernum auxilium inuocandum mouent, & ab omnibus, quę ad hanc vitam pertinent, abducunt. Si enim Iudæi qui crassi erant, & terræ affixi, ab afflictione captiuitatis adeò boni euadebant, & ad cœlum ita respiciebant: multò iustius est, vt nos hoc faciamus

C

Εἰς τὸν ρκʹ ψαλμόν.

Ὠδὴ τῶν ἀναβαθμῶν· ἄλλος, ᾆσμα εἰς τὰς ἀναβάσεις.

Ἦρα τοὺς ὀφθαλμούς μου εἰς τὰ ὄρη, ὅθεν ἥξει ἡ βοήθειά μου. ἕτερος, αἴρω ὀφθαλμούς μου εἰς τὰ ὄρη, ὅθεν ἥξει ἡ βοήθειά μου.

D ὍΡΑ ψυχὴν ἀπορουμένην καὶ ἀμηχανοῦσαν, ὡς ἐν τοῖς κακοῖς οὖσαν, καὶ βουλομένην τυχεῖν παραμυθίας πρὸς τὸν Θεὸν ἀφορῶσαν. τοῦτο πάλιν κατόρθωμα τῶν πειρασμῶν, καὶ κέρδος μέγιστον αὐτὴν, καὶ διεγείρει, καὶ τὴν ἄνωθεν ποιοῦν ἐπιζητεῖν ῥοπὴν, καὶ τῶν βιωτικῶν ἀποτέμνειν ἁπάντων. Εἰ γὰρ Ἰουδαῖοι οἱ παχεῖς, καὶ τῇ γῇ προσηλωμένοι, ἀπὸ τῆς ἐν αἰχμαλωσίᾳ ταλαιπωρίας οὕτως ἐγίνοντο σπουδαῖοι, καὶ πρὸς τὸν οὐρανὸν ἔβλεπον· πολλῷ μᾶλλον ἡμεῖς δίκαιοι ἂν εἴημεν τοῦτο

ποιεῖν ἐν ταῖς περιστάσεσι, καὶ πρὸς τὸν Θεὸν καταφεύγειν οἱ πλείονα ἐκείνων ἀκρίβειαν ἀπαιτούμενοι. ἐπεὶ γὰρ ἐκεῖνοι τότε ἐν μέσοις ἦσαν ἀπειλημμένοι τοῖς πολεμίοις, καὶ οὐ πόλις αὐτοῖς ἦν, οὐ τεῖχος, οὐ πύργος, οὐχ ὅπλα, οὐ συμμαχία ἀνθρωπίνη, οὐ χρημάτων περιουσία, οὐκ ἄλλο τῶν τοιούτων οὐδέν, ἀλλ' αἰχμάλωτοι καὶ δοῦλοι μεταξὺ δεσποτῶν ὁμοῦ καὶ πολεμίων ἀνεστρέφοντο. τῷ μεγέθει δὲ τῶν πειρασμῶν πιεζόμενοι πρὸς τὴν ἄμαχον κατέφυγον χεῖρα, καὶ τῆς ἀνθρωπίνης ἐρημωθέντες ἀπὸ τῆς ἐρημίας ταύτης ἐπὶ τὸ φιλοσοφεῖν ἤρχοντο. διὸ καὶ ἔλεγον· ἦρα τοὺς ὀφθαλμούς μου εἰς τὰ ὄρη, ὅθεν ἥξει ἡ βοήθειά μου. τὰ παρὰ τῶν ἀνθρώπων πάντα ἐγκαταλέλειπται, πάντα φροῦδα, πάντα ἐκποδών, μία λοιπὸν ὑπολέλειπται σωτηρία φησὶν ἡ παρὰ τοῦ Θεοῦ. ἡ βοήθειά μου παρὰ κυρίου τοῦ ποιήσαντος τὸν οὐρανὸν καὶ τὴν γῆν. εἶδες τὸν Θεὸν πανταχοῦ ἐπιζητοῦντας; ἀπὸ τῆς γῆς, ἀπὸ τοῦ οὐρανοῦ, ἀπὸ τῶν ὀρῶν, ἀπὸ τῆς ἐρημίας, πανταχοῦ αὐτὸν φανταζομένους; εἶδες αὐτῶν τὴν διάνοιαν ὑψηλοτέραν γενομένην, καὶ τὴν πανταχοῦ πρόνοιαν αὐτοῦ ἐκπεταμένην ἀνακηρύττοντας; οὐ γὰρ ἁπλῶς προσέθηκε, τοῦ ποιήσαντος τὸν οὐρανὸν καὶ τὴν γῆν, ἀλλὰ συλλογιζόμενος αἰνιγματωδῶς οὕτω καὶ λέγων· εἰ τὸν οὐρανὸν καὶ τὴν γῆν ἐποίησε, δύναται καὶ ἐν ἀλλοτρίᾳ βοηθῆσαι καὶ πανταχοῦ, καὶ ἐν βαρβάρῳ χεῖρα ὀρέξαι, καὶ τῆς πατρίδος ἐκπεσόντας διασῶσαι. εἰ γὰρ τὰ στοιχεῖα ταῦτα λόγῳ μόνῳ παρήγαγε, πολλῷ μᾶλλον ἡμᾶς τῶν βαρβάρων ἀπαλλάξαι δυνήσεται. ὁρᾷς πῶς φιλοσοφοῦσιν οἱ λίθων ὄντες ἀναισθητότεροι ἐπὶ τῆς ἀλλοτρίας διατρίβοντες; οὐκ ἔτι γὰρ ναοῦ μέμνηνται, ἀλλ' οὐρανοῦ καὶ γῆς. ὅρα πῶς καὶ τὴν δημιουργίαν ἀνακηρύττουσι, καὶ τὴν σοφίαν τοῦ Θεοῦ καὶ τὴν πρόνοιαν. οἱ γὰρ πρὸ τούτου τῷ ξύλῳ λέγοντες, Θεός μου εἶ σύ, καὶ τῷ λίθῳ, σύ με ἐγέννησας, νῦν τὸν δημιουργὸν τῆς οἰκουμένης ἐπιγινώσκουσιν. ἡ βοήθειά μου παρὰ κυρίου, οὐ παρὰ ἀνθρώπων, οὐδὲ παρὰ ἵππων, οὐ παρὰ χρημάτων, οὐ παρὰ συμμάχων, οὐδὲ παρὰ περιβόλων. ἡ βοήθεια ἡμῶν παρὰ κυρίου. αὕτη ἀχείρωτος ἡ συμμαχία· αὕτη ἄμαχος ἡ βοήθεια. οὐκ ἄμαχος δὲ μόνον, ἀλλὰ καὶ ῥᾳδία καὶ εὔκολος. οὐ γὰρ ὁδὸν μακρὰν βαδίσαι δεῖ, οὐ θυρωροὺς κολακεῦσαι, οὐ χρή-

A in nostris calamitatibus, & ad Deum confugiamus, à quibus longè maior quàm ab illis perfectio requiritur. Illi enim tunc erant in mediis hostibus, & neque ciuitatem habebant, nec murum, nec arcem, nec humanum auxilium, nec pecuniam, neque aliquid aliud eiusmodi, sed captiui & serui versabantur simul inter dominos & hostes. Calamitatum autem magnitudine oppressi, ad inuicti manum confugiebant: & ab humanis deserti præsidiis, ex ea ipsa desertione conferebant se ad philosophiam. Et ideo dicebant: Leuaui B oculos meos in montes: vnde veniet auxilium meum. Quæ ab hominibus conferri possunt, omnia defecerunt, omnia perierunt, omnia procul recesserunt. Vna, inquit, salus deinceps relicta est, quæ scilicet affertur à domino.

2. *Auxilium meum à Domino qui fecit cælum & terram.* Vidisti eos Deum vbique quærere: è terra, è montibus, è solitudinibus eum vbique sibi ob oculos ponere? Vidisti eorum mentem fieri excelsiorem, & summam Dei prouidentiam ab eis vbique prædicari? Neque C enim nequicquam hoc adiecit: Qui fecit cœlum & terram, sed hoc obscurè ratiocinans, & dicens: Si fecit cœlum & terram, potest etiam in aliena regione opem ferre, & vbique, etiam in barbaria, manum adiutricem præbere, & qui è patria expulsi sunt, conseruare. Si enim hæc elementa verbo solum produxit, multò magis nos poterit liberare à barbaris. Vides quomodo philosophantur, qui vel minus habebant sensus quàm lapides, dum in aliena regione versantur: nō amplius enim templi, sed cœli & terræ meminerunt. Vide D quomodo mundi fabricationem, Deique sapientiam & prouidentiam prædicant? Qui enim antea ligno dicebat, Deus meus es tu, & lapidi, Tu me genuisti: nunc vniuersi orbis terræ opificem agnoscunt. Auxilium meum à Domino. Non ab hominibus, nec ab equis, non à pecuniis, nec à sociis, non ab artibus, nec propugnaculis. Auxilium nostrum à Domino. Hoc auxilium est inuictum & inexpugnabile. Non solum autem inexpugnabile, sed etiam expeditū & facile. Neque enim longè est proficiscendum, non est blandiendum ianitoribus, non sunt consu-

Sap. 9.

Hier. 2. 27

Psal. 144.

Esa. 31. 55.

Hier. 12.

Philip 4.

mendæ pecuniæ, non legationes mittendæ, sed potest quis domi manens hoc ad se auxilium attrahere, si tantum seipsum seiungens à rebus humanis, illi spei adhæreat, & alta respiciat, acresque & perspicaces oculos habeat. Propterea enim hoc solum animal Deus rectum creauit, & oculos corporis illi in alto locauit, docens etiam à rebus sensilibus quod oportet in altum respicere. Solū enim hoc animal est ita formatum: reliqua autem animalia prona sunt, & terram deorsum despiciunt. Hic autem in cœlum est erectus, vt quæ illic sunt consideret, & in illis philosophetur, & illa apprehendat & oculos animæ acres habeat. Quocirca dicebat quoque quidam sapiens, Sapientis oculi in capite eius, hoc est liberatus est ab omnibus inferioribus, per cœlum vagatur, & contemplatur sublimia. 3. *Non des in commotionem pedem tuum, neque dormitabit, qui custodit te.* Vides quantam à nobis exigit diligentiam id quod dicitur? Quia enim auxilij meminerunt, & supernā opem inuocant, adhortatur & consulit, hoc propemodum dicens: Si velis eam assequi, quæ tua quoque sunt, conferas. Quid est autem quod consulit? Audi: Non des in commotionem pedem tuum: hoc est, ne deijciaris, ne prolabaris: & tunc habebis Deum manum præbentem, nec te derelinquentem, nec dimittentem. A nobis itaque proficiscuntur principia, & id situm est in nostra potestate. Cùm ergo id in nostra potestate situm sit, quando volumus aliquid assequi, oportet nos quoque nostra conferre, quæ sunt parua quidem & vilia, sunt tamen conferenda. Ita enim vult Deus, non otiosos, non dormitantes, non supinos, nec stertentes, sed operantes, & studium ac diligentiam adhibentes, seruare. Et ideo vndecima quoque hora conduxit. Tametsi quidnam tanti momenti erant hora vndecima facturi? Id scilicet, vt operatio esset eis occasio & causa coronarum. Et ideo dicit: Non des in cōmotionem pedem tuum, neque dormitabit qui custodit te. Si tuæ præbueris, quæ sunt illius quoque sequentur. Ex hoc id quoque ostenditur, quòd etiamsi nostra offeramus, sic tamen eius quoque egemus auxilio, vt in tuto simus, vt maneamus firmi & immobiles. Quis est autem qui pedem

Os homini sublime dedit. — *Eccle.2.14.* — *Arbitrij nostri libertas.* — *Matt.20.6*

A μετὰ δαπάνης ἀνύσαι, οὐ πρεσβείας στέλλεσθαι, ἀλλ' οἴκοι μένοντα δυνατὸν ταύτην ἐπισπάσασθαι τὴν ῥοπὴν, μόνον ἂν ἀποστήσας τις ἑαυτὸν τῶν ἀνθρωπίνων ἐκείνης ἐξέχηται τῆς ἐλπίδος, καὶ ὀξυδερκὲς ἔχῃ τὸ ὄμμα, καὶ ὑψηλὰ βλέπῃ. Διὰ γὰρ τοῦτο καὶ μόνῳ τῷ ζώῳ τούτῳ τὴν διάπλασιν ὄρθιον ἐποίησεν ὁ Θεὸς, καὶ τοὺς ὀφθαλμοὺς ἐν ὕψει κατέθετο τῆς σαρκὸς, διδάσκων καὶ ἀπὸ τῶν αἰσθητῶν, ὅτι δεῖ πρὸς τὸ ὕψος ὁρᾷν. Μόνον γὰρ τοῦτο τὸ ζῶόν ἐστιν οὕτω διαπεπλασμένον, τὰ δὲ ἄλλα πάντα κάτω βλέπει, καὶ πρὸς γῆν νένευκε. Σὺ δὲ πρὸς τὸν οὐρανὸν τέτασαι, ἵνα τὰ ἐκεῖ περι- B σκοπῇ, καὶ ἐν ἐκείνοις φιλοσοφῇ, καὶ ἐκεῖνα φαντάζηται, καὶ ὀξυδερκὲς ἔχῃ τὸ ὄμμα τῆς ψυχῆς. Διὰ δὴ τοῦτο καί τις σοφὸς ἔλεγε· Τοῦ σοφοῦ οἱ ὀφθαλμοὶ ἐν τῇ κεφαλῇ αὐτοῦ, τουτέστι τῶν κάτω πάντων ἀπήλλακται, καὶ οὐρανοπολεῖ, καὶ μετέωρα φαντάζεται. Μὴ δώῃς εἰς σάλον τὸν πόδα σου, μηδὲ νυστάξῃ ὁ φυλάσσων σε. Ὁρᾷς πόσην ἀπαιτεῖ παρ' ἡμῶν σπουδὴν ὁ λόγος; ἐπειδὴ γὰρ βοηθείας ἐμνήσθησαν, καὶ τὴν ἄνωθεν ῥοπὴν καλοῦσι, παραινεῖ καὶ συμβουλεύει μονονουχὶ τοῦτο λέγων· Εἰ βούλει ταύτης ἀπολαῦσαι, τὰ παρὰ σαυτοῦ, εἰσένεγκε. Τί δέ ἐστιν ὃ παραινεῖ; ἄκουε. C Μὴ δώῃς εἰς σάλον τὸν πόδα σου· τουτέστι, μὴ περιτραπῇς, μὴ σκανδαλισθῇς, καὶ τότε ἕξεις τὸν Θεὸν χεῖρα ὀρέγοντα, οὐκ ἐγκαταλιμπάνοντα, οὐκ ἀφιέντα. Ὥστε παρ' ἡμῖν αἱ ἀρχαὶ, καὶ τούτου ἡμεῖς κύριοι. Ἐπειδὴ δὲ κύριοι, ὅταν βουλώμεθά τινος ἐπιτυγχάνειν, δεῖ καὶ ἡμᾶς τὰ παρ' ἑαυτῶν εἰσφέρειν. Οὕτω γὰρ καὶ ὁ Θεὸς βούλεται· μικρὰ μὲν ὄντα, καὶ εὐτελῆ, δεῖ δὲ ὅμως εἰσφέρειν. Οὐκ ἀργοῦντας, οὐδὲ ῥᾳθυμοῦντας, καὶ ῥέγχοντας, οὐδὲ ἀναπεπτωκότας, ἀλλ' ἐνεργοῦντας, καὶ D σπουδάζοντας διασώσειν. Διὰ τοῦτο καὶ περὶ τὴν ἑνδεκάτην ὥραν ἐμισθώσατο. Καίτοι τί τοσοῦτον ἔμελλον ποιεῖν περὶ ἑνδεκάτην ὥραν; ἀλλ' ἵνα ἀφορμὴν ἔχῃ τὴν ἐργασίαν, ἵνα πρόφασιν τῶν στεφάνων. Διό φησι· Μὴ δώῃς εἰς σάλον τὸν πόδα σου, καὶ οὐ νυστάξει ὁ φυλάσσων σε. Ἐὰν τὰ παρὰ σοῦ παράσχῃς, καὶ τὰ ἐκείνου ἕψεται. Ἐκ τούτου καὶ τοιοῦτό τι δείκνυται, ὅτι καὶ τὰ παρ' ἡμῶν ἂν εἰσφέρωμεν, ὅμως καὶ οὕτω τῆς παρ' αὐτοῦ δεόμεθα ῥοπῆς, ἵν' ἐν ἀσφαλείᾳ ὦμεν, ἵνα ἀπερίτρεπτοι μένωμεν. Τίς δὲ δίδωσιν εἰς σάλον τὸν πό-

δῷ; ὁ πράγμασιν ἐπιβαίνων ὀλισθηροῖς, καὶ A οὐκ ἔχουσιν ἰσχυρὰν βάσιν, οἷός ἐστιν ὁ τῶν χρημάτων ἔρως, οἷος ὁ τῶν βιωτικῶν πόθος. διὰ τοῦτο συνεχῶς περιτρέπονται καὶ καταπίπτουσι, καὶ τὸν περὶ τῶν ἐσχάτων ἐπικρεμῶσιν ἑαυτοῖς κίνδυνον. οὐ γὰρ ἐκεῖνά ποτε ἀσάλευτα, οὐδέποτέ ἐστιν ἀκίνητα, ἀλλ' ἀεὶ μεταβάλλεται, καὶ μεθίσταται, καὶ τῶν κυμάτων μᾶλλον ταράττεται, καὶ τῶν ποταμίων ῥευμάτων ταχύτερον διαβαίνει, καὶ ψάμμου πάσης εἰσὶν ἀσθενέστερα καὶ διαρρεῖ. ἰδοὺ οὐ νυστάξει, οὐδὲ ὑπνώσει ὁ φυλάσσων τὸν Ισραήλ. ἂν οὕτω διακείμενος ᾖς φησιν, οὐ νυστάξει, B οὐδὲ ὑπνώσει, τουτέστιν, οὐκ ἐγκαταλείψει, οὐ προήσεται, οὐκ ἀφήσει γυμνὸν καὶ ἔρημον, τοῦτο αἰνίξασθαι θέλων. ἀλλ' οὐχ ἁπλῶς τέθεικεν ὁ φυλάσσων τὸν Ισραήλ· ὃ δὲ λέγει, τοῦτό ἐστιν. εἰ τοῦτο ἔργον αὐτοῦ διηνεκές, τὸ ἄνωθεν καὶ ἐκ προγόνων τῶν σῶν ἐν ἀσφαλείᾳ σε καθιστᾶν, οὐ προήσεται τὸ ἔργον τὸ αὐτοῦ, καὶ ὃ σύνηθες αὐτῷ πράττειν, οὐκ ἐγκαταλείψει, ἐὰν μὴ σὺ δῷς εἰς σάλον τὸν πόδα σου, καὶ οὐ μόνον οὐκ ἐγκαταλείψει, ἀλλὰ καὶ προστήσεται μετὰ πολλῆς τῆς ἀσφαλείας. διὸ καὶ ἐπήγαγε C λέγων· κύριος φυλάξει σε· κύριος σκέπη σου ἐπὶ χεῖρα δεξιάν σου. ἕτερος, παρὰ τὴν χεῖρα τὴν δεξιάν σου. παραστάτης, φησιν, ἔσται σου, σύμμαχος, βοηθός. ὁρᾷς πῶς καὶ ἐνταῦθα βούλεταί σε ἐνεργὸν εἶναι; ἀπὸ μεταφορᾶς δὲ τῶν ἐν παρατάξει ἑστώτων· παρὰ τὴν χεῖρά σου στήσεται τὴν δεξιάν. ὥστε ἀχείρωτον εἶναι, ὥστε ἰσχυρόν, ὥστε δυνάστην, ὥστε τρόπαιον ἱστᾶν, ὥστε τὴν νίκην αἱρεῖσθαι. ἐπειδὴ μάλιστα αὕτη ἐστί, δι' ἧς ἅπαντα ἐνεργοῦμεν. οὐκ ἔσται δέ σοι παραστάτης μόνον, οὐδὲ σύμμαχος, D ἀλλὰ καὶ σκέπη. πάλιν λέγω, διὰ τῶν παρ' ἡμῖν πραγμάτων τοῦ Θεοῦ τὴν βοήθειαν χαρακτηρίζει, τὴν ὁλόκληρον αὐτοῦ φυλακὴν καὶ τὴν ἐγγυτάτην συμμαχίαν, διὰ τῆς δεξιᾶς καὶ τῆς σκέπης παρίστησιν. ἡμέρας ὁ ἥλιος οὐ συγκαύσει σε, οὐδὲ ἡ σελήνη τὴν νύκτα. καὶ τοῦτο γέγονεν ἡνίκα ἐξ Αἰγύπτου ἐπανῄεσαν, καὶ ἐν τῇ ἐρήμῳ διέτριβον. ἐνταῦθα δὲ τὴν πολλὴν ἄδειαν λέγει. εἰκὸς δὲ καὶ τότε ἐπανιόντας τοιαύτης τινὸς ἀπολαῦσαι παραδοξοποιΐας ἑτέρῳ τινὶ τρόπῳ. ἐκ περιουσίας τοίνυν

A dat in commotionem? Qui res fluxas & caducas aggreditur, & quorum basis minimè firma est, cuiusmodi est amor pecuniæ, cuiusmodi est desiderium earum rerum quæ ad hanc vitam pertinent: & ideo frequenter subuertuntur & decidunt, & de rebus maximis periculum sæpe creant sibi, qui illa possident. Illa enim nunquam sunt firma ac stabilia, nunquam sunt immobilia, sed semper mutantur, transferuntur, & magis quàm fluctus perturbantur, & quauis arena imbecilliora sunt, & magis perfluunt. 4. *Ecce non dormitabit,* B *neque dormiet qui custodit Israel.* Si te, inquit, ita comparaueris, non dormitabit, neque dormiet. Hoc est, Nõ derelinquet, non sinet, non dimittet nudum & desertum. Hoc autem volens significare, non abs re posuit illud, Qui custodit Israel. Hoc est autem quod dicit: Si hoc vnum est eius perpetuum munus, vt tot retro antè actis seculis, vt à tuis maioribus te in tuto collocet, a suo non discedet officio, & id quod consueuit facere, non deseret, nisi tu dederis in commotionem pedem tuum. Neque C verò solùm non deseret, sed te etiam cum magna securitate defendet. Et ideo subiungit dicens, 5. *Dominus custodiet te, Dominus protectio tua super manum dexteram tuam.* Alius autem ait, Iuxta manum dexteram tuam. Erit, inquit, defensor tuus, adiutor, auxiliator. Vides quomodo hic quoque te vult in opere exerceri. A metaphora autem eorum qui stant in acie, stabit ad manum tuam dexteram, vt sis inexpugnabilis, vt gnauus ac strenuus, vt valens & potens, vt trophæum erigas, vt referas victoriam. Quoniam autem ea est maxi- D mè, per quam omnia agimus, non solùm tibi assistet, & tibi opem feret, sed etiam proteget. Iterum dico, per ea quæ sunt apud nos, Dei auxilium exprimit: & omnibus numeris absolutam custodiam, & maximè propinquum auxilium, per dexteram & protectionem ostendit. 6. *Per diem sol non vret te, neque luna per noctem.* Vbinam autem hoc factum est? Quando egressi sunt ex Ægypto, & degebant in solitudine. Hic autem dicit magnam securitatem. Est autem verisimile, eos etiam cùm tunc redirent, eiusmodi aliquod miraculum fuisse consecutos aliquo alio modo. Volens ergo largè & copiosè

Pedem in commotionem dare quid.

Mundanarum rerum instabilitas.

Exod. 13.

ostendere eius prouidentiam, quòd non solùm liberat à malis, imò ne ea quidem sinit perpeti, quæ solent accidere hominibus, hoc subiũxit. Est enim eius auxilij liberalis & effusa suppeditatio, & quæ verbis exprimi non potest benignitas, quæ non pro modo nostræ necessitatis suum præbet auxilium, sed remunerationibus nostra quoque postulata superat. 7. *Dominus custodit te ab omni malo: Custodiet animam tuam Dominus.* Qui enim ne hæc quidem parua sinit tibi afferre molestiam, sed eousque extendit suam curam & prouidentiam, multò magis efficiet vt ab aliis expugnari nequeas. quidquid enim inuadit molesti & asperi, cedit Dei nutui: quæ quidem nõ insunt in hominibus. Nam etsi sæpe ab hoc malo liberauerit, ab alio non potuit: vel si potuit quidem, noluit: Verùm Dei manus valida & omnipotens, quodcunque inuaserit, profligare poterit, & te liberare ab omnibus. 8. *Dominus custodiet introitum tuum, & exitum tuum ex hoc nunc & vsque in seculum.* Alius interpres dicit, Accessum tuum. Vidisti eius perpetuum auxilium vbique adesse, introeunti, & exeunti? Quid potest cum hac charitate conferri? Quid cum hac humanitate? Hic quidem certè omnem vitam significat. In his enim vita vniuersa consistit, nempe in ingressu & exitu. Et id volens apertius significare, subiunxit, Ab hoc nunc & vsque in seculum. Non vno, inquit, aut duobus, aut tribus, aut decem, aut viginti, aut centum diebus, sed perpetuò. Quod quidem non inest hominibus, sed multæ sunt rerum mutationes, frequentes traductiones, & continuę vicissitudines. Hodie amicus, cras inimicus. Hodie fert opem, cras verò te deserit. Sæpe autem non solùm deserit, sed etiam oppugnat, & insidiatur quouis hoste grauius: sed quæ Dei sunt, manent immobilia, perpetua, immortalia, stabilia, fine carentia. Vt ea ergo assequamur, nostra quoque afferamus, vt magna securitate fruamur, & bona futura adipiscamur in Christo Iesu domino nostro: Cui gloria in secula seculorum, Amen.

Ephes. 3.

Iob 13.

Psal. 109.

αὐτοῦ τὴν προνοίαν δεῖξαι βουλόμενος, ὅτι οὐ μόνον τῶν δεινῶν ἀπαλλάττει, ἀλλ' οὐδὲ τὰ τῶν ἀνθρώπων ἀφίησί σε παθεῖν, τοῦτο ἐπήγαγε. δαψιλὴς γὰρ αὐτοῦ τῆς βοηθείας ἡ χορηγία, ἄφατος ἡ φιλανθρωπία, οὐ πρὸς τὸ μέτρον τῆς χρείας ἡμετέρας παρέχουσα τὴν παρ' ἑαυτοῦ βοήθειαν, ἀλλ' ὑπερβαίνουσα ταῖς ἀντιδόσεσι καὶ τὰς αἰτήσεις ἡμῶν. κύριος φυλάξει σε ἀπὸ παντὸς κακοῦ. φυλάξει τὴν ψυχήν σου ὁ κύριος. ὁ γὰρ μηδὲ τὰ μικρὰ ταῦτα λυπῆσαι συγχωρῶν, ἀλλὰ μέχρι τοσούτου τὴν προνοίαν ἐκτείνων τὴν ἑαυτοῦ καὶ τὴν κηδεμονίαν, πολλῷ μᾶλλον ἀφ' ἑτέρων ἀχείρωτόν σε κατασκευάσει. ἕκαστον γὰρ τῶν ἐπιόντων λυπηρῶν εἴκει, καὶ παραχωρεῖ τῷ νεύματι τοῦ Θεοῦ, ἅπερ ἐπ' ἀνθρώπων οὐκ ἔνι. ἀλλ' εἰ καὶ οὗτος πολλάκις ἀπήλλαξε τοῦ κακοῦ, ἑτέρου οὐκ ἠδυνήθη· ἢ ἠδυνήθη μὲν, οὐκ ἠβουλήθη δέ· ἀλλ' ἡ τοῦ Θεοῦ παντοδύναμος καὶ κραταιὰ χεὶρ, κἂν ὁποιονοῦν ἐπέλθῃ, λῦσαι δυνήσεται καὶ ἀπαλλάξαι πάντων, καὶ ἐλεύθερον ἀποκαταστῆσαι. κύριος φυλάξει τὴν εἴσοδόν σου, καὶ τὴν ἔξοδόν σου. ἕτερος ἑρμηνευτής φησι, τὴν προσέλευσίν σου. εἶδες διηνεκῆ συμμαχίαν πανταχοῦ παροῦσαν, εἰσιόντι, ἐξιόντι; τί ταύτης ἴσον γένοιτ' ἂν τῆς ἀγάπης; τί τῆς φιλανθρωπίας; (ἐνταῦθα μέντοι τὸν βίον ἅπαντα αἰνίττεται). ἐν τούτοις γὰρ ὁ βίος ἅπας, ἐν εἰσόδοις καὶ ἐξόδοις, καὶ τοῦτο σαφέστερον δηλῶν, ἐπήγαγεν· ἀπὸ τοῦ νῦν ἕως τοῦ αἰῶνος. οὐ πρὸς μίαν ἡμέραν φησὶν, οὐδὲ πρὸς δύο, καὶ τρεῖς, καὶ δέκα, καὶ εἴκοσι, καὶ ἑκατὸν, ἀλλὰ διηνεκῶς, ὅπερ ἐπ' ἀνθρώπων οὐκ ἔνι, ἀλλὰ πολλαὶ αἱ μεταβολαὶ, συνεχεῖς αἱ μεταπτώσεις, ἀθρόοι αἱ μεταστάσεις. ὁ σήμερον φίλος αὔριον ἐχθρός· ὁ σήμερον βοηθὸς, αὔριον ἐγκαταλιμπάνει. πολλάκις δὲ οὐκ ἐγκαταλιμπάνει μόνον, ἀλλὰ καὶ πολεμεῖ, καὶ ἐπιβουλεύει πολεμίου παντὸς χαλεπώτερον· ἀλλὰ τὰ τοῦ Θεοῦ ἀκίνητα, διηνεκῆ, ἀθάνατα, μόνιμα, πέρας οὐκ ἔχοντα. ἵνα οὖν αὐτῶν ἐπιτυγχάνωμεν, καὶ τὰ παρ' ἑαυτῶν εἰσφέρωμεν, ὥστε πολλῆς ἀπολαῦσαι τῆς ἀσφαλείας, καὶ τῶν μελλόντων ἐπιτυχεῖν ἀγαθῶν ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

A

Εἰς τὸν ρκα´ ψαλμόν.

Εὐφράνθην ἐπὶ τοῖς εἰρηκόσι μοι, εἰς οἶκον κυρίου πορευσόμεθα.

ΑΛΛΑ νῦν πολλοὶ καὶ δυσχεραίνουσιν ἐπὶ τῷ ῥήματι, κἂν μέν τις εἰς ἱπποδρομίας, ἢ εἰς θέατρα παρανομίας ἀναβαίνων καλέσῃ, πολλοὶ οἱ συντρέχοντες· ἂν δὲ B ἐπὶ τὸν εὐκτήριον οἶκον, ὀλίγοι οἱ μὴ ὀκνοῦντες. Ἀλλ' οὐχ οἱ Ἰουδαῖοι οὕτως· οὗ τί γένοιτ' ἂν χαλεπώτερον, ὅτ' ἂν καὶ ἐκείνων φαίνωνται ῥᾳθυμότεροι οἱ Χριστιανοί; πόθεν δὲ οὗτοι οὕτως; πάλιν λέγω, ἀπὸ τῆς αἰχμαλωσίας ἐγένοντο βελτίους ἐντεῦθεν οἱ πρὸ τούτου ναυτιῶντες, καὶ τὸν μὲν ναὸν ἀφιέντες, καὶ τὴν ἀκρόασιν τῶν θείων λογίων, ὄρεσι δὲ καὶ νάπαις καὶ βουνοῖς ἑαυτοὺς διδόντες, καὶ πολλῇ τῇ ἀσεβείᾳ τὴν ἐπιθυμίαν ἔλυσαν τῆς λατρείας ἐκείνης, καὶ πρὸς τὴν ἐπαγγελίαν αὐτὴν διαθερμαίνονται, καὶ ὀρθοῦνται, καὶ C ἵστανται, καὶ γάννυνται τῇ διανοίᾳ. ἐπειδὴ γὰρ ἐν λιμῷ κατέστησαν καὶ δίψει, οὐ λιμῷ ἄρτου, καὶ δίψει ὕδατος, ἀλλὰ τοῦ ἀκοῦσαι λόγον κυρίου, κολασθέντες τῇ τιμωρίᾳ ταύτῃ μετὰ πλείονος τῆς ἐπιθυμίας ταῦτα ἐπιζητοῦσιν, ὧν πρότερον ἐξέπεσον. οὕτω καὶ τὸ ἔδαφος αὐτῶν περιέπλεκον λέγοντες, ὅτι εὐδόκησαν οἱ δοῦλοί σου τοὺς λίθους αὐτῆς, καὶ τὸν χοῦν αὐτῆς οἰκτειρήσουσι, καὶ πάλιν, πότε ἥξω, καὶ ὀφθήσομαι τῷ προσώπῳ τοῦ Θεοῦ; καὶ πάλιν, μνησθήσομαί σου ἐκ γῆς Ἰορδάνου καὶ Ἑρμωνιείμ, ἀπὸ ὄρους μικροῦ. καὶ πάλιν· ταῦτα ἐμνήσθην, καὶ ἐξέχεα ἐπ' ἐμὲ τὴν ψυχήν μου. τί D ἐμνήσθης εἰπέ μοι; ὅτι διελεύσομαι ἐν τόπῳ σκηνῆς θαυμαστῆς ἕως τοῦ οἴκου τοῦ Θεοῦ, τουτέστιν, ὅτι διηρχόμην τὰς χορείας τὰς πανηγύρεις τῆς λατρείας ἐκείνης. ἑστῶτες ἦσαν οἱ πόδες ἡμῶν ἐν ταῖς αὐλαῖς σου Ἱερουσαλήμ. ἕτερος, εὐφράνθην εἰπόντων μοι, εἰς τὸν οἶκον κυρίου ἤλθομεν. ἔστησαν οἱ πόδες ἡμῶν ἐν ταῖς αὐλαῖς σου Ἱερουσαλήμ. εἶδες ἡδονῆς ὑπερβολήν; ὡς τῶν πραγμάτων ἀπολαύοντες αὐτῶν καὶ πρὸς τὰ ῥήματα αὐτὰ ἔχαιρον πολλῷ τῷ πόθῳ, περιπλεκόμενοι τὸν εὐκτήριον οἶκον καὶ τὴν πό-

In Psalmvm CXXI.

Lætatus sum in iis, qui dixerunt mihi, in domum Domini ibimus.

AT nunc multi verbum ægrè ferunt: & si quis quidem ad equorum curricula, vel ad theatra iniquitatis ascendens vocauerit, multi concurrunt: sed si ad domum orationis, pauci sunt, qui non cunctentur. At non sic Iudæi: quo quid possit esse grauius, quãdo illis negligentiores cernuntur Christiani? Vndenam autem factum est, vt ij essent tales? Rursus dico, A captiuitate facti sunt meliores. Hinc ij qui antea nauseabant, & templum quidẽ, & diuinorum eloquiorum auditionem dimittebant, seipsos autẽ montibus, & saltibus, & collibus, & plurimæ impietati dedicabant, ab illius cultus desiderio cessarunt, & ad hanc promissionem incenduntur, eriguntur, consistunt, & animo lætantur. Quoniã enim fame & siti laborauerant, nõ fame panis, & siti aquæ, sed audiẽdi verbi Domini: hoc supplicio castigati, cũ maiori desiderio ea requirunt à quibus exciderant. Ita etiam vel ipsum solum amplectebãtur, dicentes, Complacuerunt seruis tuis lapides eius, & terræ eius miserebuntur. Et rursus, Quando veniã & apparebo ante faciem Dei? Et rursus, Recordabor tui de terra Iordanis & Hermoniim, à monte modico. Et rursus: Hæc memini & effudi super me animam meam. Quidnam autem, dic mihi, meministi? Quòd transibo in loco tabernaculi admirabilis. Hoc est quando transibo ad choreas ac magnos conuentus, & illum Dei cultum ac ceremonias.

Hebr. 1.
3. Reg. 14. 20.
4. Reg. 17.
Esa. 65.
Osee 4.
Amos 8. 11
Psal. 101. 15.
Ps. 41. 3.
Ibidem.
Ps. 41. 5.

2. *Stantes erant pedes nostri in atriis tuis Hierusalem.* Alius interpres ait, Lætatus sum cùm dixissent mihi, In domum domini venimus. Steterunt pedes nostri in atriis tuis Hierusalem. Vidisti insignem voluptatem? perinde ac si rebus ipsis fruerentur, vel ad ipsa verba gaudebant, magno desiderio amplectentes orationis domum & ciuitatem.

Priuatio bonorum, sensum eorum efficit, quod vsus fructus non efficiebat.

Ita Deus semper facere consueuit. A Quando enim bona habentes non sentimus, eijcit ea è nostris manibus, vt id quod efficere non potuit vsusfructus, efficiat priuatio: quod ipsis etiam vsu venit amplectentibus ciuitatem, templum amplectentibus, quòd patriam recepissent magnas gratias agentibus.

3. *Hierusalem quæ ædificatur vt ciuitas.* Alius, Ædificatam vt ciuitatem. Vel ergo ex Septuaginta sententia hoc sibi vult, quòd ædificabitur Hierusalem vt ciuitas, eò quòd dicitur, significante tempus quod præcessit ædificationem: vel, vt vult alius interpres. Re- B cepimus Hierusalem ædificatam vt ciuitatem, quo significat ea, quæ post captiuitatem acciderunt. Quia enim tunc erat maxima solitudo ciuitatis, erátque tunc euersa, & diruta, disturbatis arcibus, & disiectis mœnibus, & veteris patriæ solùm manebant reliquiæ, cùm reuersi essent & vidissent solitudinem, antiquam prosperitatem reuocabant in memoriam, & eius narrabant encomia, referentes, quòd quæ erat clara & illustris, & habebat frequentem senatum, & florentem ecclesiam, & principes, & reges, & ponti- C fices, erátque pulcherrima & longè ornatissima, ad tam turpem & deformem speciem redacta sit. Quòd autem ita sit, audi quæ sequuntur. Hierusalem quæ ædificatur vt ciuitas. Tunc enim nondum erat ciuitas. Clarum est autem etiam ex eo quod subiungit, *Cuius participatio eius in idipsum.* Dicit enim eius frequentia, tuta & constipata ædificia, & nihil in ea fuisse desertum, sed omni ex parte densam, perfectam, coactam & coagmentatam fuisse ante captiuitatem. Et ideo quidã interpres dicit hoc significans, Habens continentiã simul. D Deinde post illud, aliud quoque dicit eius encomium. 4. *Illuc enim ascenderunt tribus, tribus Domini, testimonium Israel ad confitendum nomini Domini.* Hoc enim maximè ornabatur ciuitas, non tam propter magnitudinem & ædificia, quàm quòd omnes illic congregabantur, seu senatus haberetur, seu concio, seu de re aliqua deliberaretur. Quoniam enim illic erat templum, & omnes illic peragebantur ritus & ceremoniæ, & illic erant sacerdotes, & Leuitæ, basilica, adyta, & vestibula, & sacrificia, & altare,

Hierosolymæ vrbis celebritas.

A λιν. οὕτως ὁ Θεὸς ἀεὶ ποιεῖν εἴωθεν. ὅταν γὰρ ἔχοντες τὰ ἀγαθὰ μὴ αἰσθανώμεθα, ἐκβάλλει αὐτὰ τῶν χειρῶν τῶν ἡμετέρων, ἵν' ὅπερ οὐκ ἐποίησεν ἡ ἀπόλαυσις, τοῦτο ποιήσῃ ἡ στέρησις. ὅπερ οὖν καὶ αὐτοὶ πεπόνθασιν ἀντεχόμενοι τῆς πόλεως, ἀντεχόμενοι τοῦ ναοῦ, εἰδότες αὐτῷ χάριν πολλὴν ὑπὲρ ὧν τὴν πατρίδα ἀπέλαβον.

Ἱερουσαλὴμ οἰκοδομουμένη ὡς πόλις. ἕτερος, Τὴν ᾠκοδομημένην ὡς πόλιν. ἢ τοίνυν κατὰ τοὺς ἑβδομήκοντα τοῦτό ἐστιν, ὅτι οἰκοδομηθήσεται ἡ Ἱερουσαλὴμ ὡς πόλις, τὸν πρὸ τοῦ οἰκοδομηθῆναι χρόνον δηλοῦντος τοῦ λόγου, ἢ κατὰ τὸν ἕτερον B ἑρμηνευτὴν, ἀπελάβομεν τὴν Ἱερουσαλὴμ, τὴν ᾠκοδομημένην ὡς πόλιν, τὰ μετὰ τὴν αἰχμαλωσίαν γενόμενα ἐμφαίνοντα. ἐπειδὴ γὰρ τότε ἐρημία πολλὴ πανταχοῦ τῆς πόλεως ἦν καὶ ἐρείπια, τῶν πύργων καταβεβλημένων, τῶν τειχῶν ἐρριμμένων, καὶ λείψανα μόνον τῆς ἀρχαίας πατρίδος, ἐπανελθόντες καὶ ἰδόντες τὴν ἐρημίαν, ἀνακαλοῦνται τὴν παλαιὰν ἐκείνην εὐημερίαν, καὶ τὰ ἐγκώμια αὐτῆς διηγοῦνται, λέγοντες, ὅτι ἡ λαμπρὰ καὶ περιφανὴς, καὶ ἔχουσα ἐκκλησίαν, καὶ ἄρχοντας, καὶ βασιλεῖς, καὶ ἀρχιερεῖς, καὶ πολλῷ κο- C μῶσα τῷ κόσμῳ, τὸ κατηφὲς τοῦτο σχῆμα περιβέβληται νῦν. καὶ ὅτι τοῦτό ἐστιν, ἄκουσον τῶν ἑξῆς· Ἱερουσαλὴμ οἰκοδομουμένη ὡς πόλις. τότε γὰρ οὔπω πόλις ἦν. δῆλον καὶ ἐξ οὗ ἐπάγει λέγων· ἧς ἡ μετοχὴ αὐτῆς ἐπὶ τὸ αὐτό. τὸ γὰρ συγκεκροτημένον αὐτῆς λέγει τῶν οἰκοδομῶν, καὶ τὸ ἀσφαλὲς, καὶ τὸ πεπυκνωμένον, καὶ ὅτι οὐδὲν ἔρημον εἶχε κατὰ τὸ μέσον, ἀλλὰ πανταχόθεν ἦν πεπυκνωμένη, ἀπηρτισμένη, συγκεκροτημένη, συνεχής τις οὖσα, καὶ συνημμένη οὕτω πρὸ τῆς αἰχμαλωσίας. διὸ καί τις ἑρμηνευτής φησι· D τοῦτο δηλῶν, συνάφειαν ἔχουσα. εἶτα μετὰ τοῦτο καὶ ἕτερον ἐγκώμιον αὐτῆς φησιν· ἐκεῖ γὰρ ἀνέβησαν αἱ φυλαὶ, φυλαὶ κυρίου, μαρτύριον τοῦ Ἰσραὴλ, τοῦ ἐξομολογήσασθαι τῷ ὀνόματι κυρίου. τούτῳ γὰρ μάλιστα ἐκοσμεῖτο ἡ πόλις. οὐχ οὕτω τῷ μεγέθει καὶ τοῖς οἰκοδομήμασιν, ὡς τῷ πάντας ἐκεῖ συλλέγεσθαι, εἴτε βουλή τις, εἴτε ἐκκλησία ἐγίνετο, εἴτε περί τινων σκέψις ἦν προκειμένη. ἐπειδὴ γὰρ ὁ ναὸς αὐτόθι ἦν, καὶ ἡ ἁγιστεία πᾶσα ἐπετελεῖτο, καὶ ἱερεῖς, καὶ Λευῖται, καὶ τὸ ἀνάκτορον, καὶ τὰ ἄδυτα, καὶ τὰ προπύλαια, καὶ θυσίαι, καὶ βωμοὶ,

καὶ ἑορταὶ, καὶ πανηγύρεις καὶ εὐχαὶ, καὶ ἀκροάσεις, καὶ ἁπλῶς εἰπεῖν τῆς πολιτείας τὸ σχῆμα ἐκεῖ συγκεκροτημένον ἦν, ἔδει τὰς φυλὰς ἐκεῖ συλλέγεσθαι μάλιστα τρίτον τοῦ ἐνιαυτοῦ ἐν ταῖς ἐπισήμοις καὶ δημοτελέσιν ἑορταῖς, ἐν τῷ Πάσχα, ἐν τῇ Πεντηκοστῇ, ἐν τῇ Σκηνοπηγίᾳ. οὐ γὰρ ἐξῆν ἀλλαχοῦ. λέγων τοίνυν αὐτῆς τὸ ἐγκώμιόν φησιν· ἐκεῖ ἀνέβησαν αἱ φυλαί. καὶ ἕτερος, ἐκεῖ ἀνέβησαν σκῆπτρα. καὶ οὐχ ἁπλῶς φυλαὶ, ἀλλὰ φυλαὶ κυρίου. πᾶσαι αἱ φυλαὶ ἦσαν κυρίου, ἀλλ᾽ οὐκ ἐξῆν αὐταῖς οὐδὲ οὕτως ἐν τῇ οἰκείᾳ πατρίδι ταῦτα ἐπιτελεῖν, ἀλλὰ τούτῳ τετίμητο ἡ μητρόπολις πάντας συνάγουσα καὶ ἕλκουσα πρὸς ἑαυτήν. τοῦτο δὲ ἐγίνετο εἰς θεογνωσίας ὑπόθεσιν, ἵνα μὴ πανταχοῦ πλανώμενοι ἀφορμὰς ἔχωσι καὶ ἐξόδους ἐπὶ τὴν τῶν εἰδώλων θεραπείαν. διὰ τοῦτο ἐκεῖ θύεσθαι, ἐκεῖ εὔχεσθαι, ἐκεῖ πανηγυρίζειν ἐκέλευσε τῇ στενοχωρίᾳ τοῦ τόπου τὴν πεπλανημένην αὐτῶν διάνοιαν ἀποτειχίζων, ἀναστέλλων τε, καὶ ἀναχαιτίζων ἐπὶ τὴν ἀσέβειαν φερομένην. ὅπερ οὖν καὶ αὐτὸς δηλῶν ἔλεγε· φυλαὶ κυρίου, μαρτύριον τῷ Ἰσραήλ. τί ἐστι μαρτύριον τῷ Ἰσραήλ; μαρτυρία μεγίστη, ἔλεγχος, ἀπόδειξις τῆς τοῦ Θεοῦ προνοίας, τὸ μηδεμίαν αὐτοῖς καταλιμπάνεσθαι ἀπολογίαν ἀποσκιρτῶσιν, ἀποπηδῶσι, καὶ πρὸς τὰ εἴδωλα αὐτομολοῦσι. τῆς γὰρ αὐτοῦ προνοίας, τῆς δυνάμεως, τῆς σοφίας τοῦτο μέγιστον τεκμήριον ἦν. καὶ γὰρ ἐκεῖ ὁ νόμος ἀνεγινώσκετο, τῶν παλαιῶν κατορθωμάτων διηγήματα, καὶ ἱστορίας εἶχον, ἐκεῖ καὶ εἰς ἀγάπην συνεσφίγγοντο ἀλλήλοις ἐπιμιγνύμενοι. καὶ γὰρ τῶν ἑορτῶν αἱ ὑποθέσεις τῆς πρὸς ἀλλήλους ἐπιμιξίας ἀφορμὴ καὶ ὑπόθεσις αὐτοῖς ἐγίνοντο, καὶ πλείων ὁ φόβος, καὶ ἀκμάζουσα ἡ εὐσέβεια, καὶ μυρία κατεσκευάζετο καλὰ ἐκ τοῦ συνεῖναι εἰς τὴν πόλιν αὐτούς. τοῦ ἐξομολογήσασθαι τῷ ὀνόματι κυρίου, τουτέστι, τοῦ εὐχαριστῆσαι, τοῦ λατρεῦσαι, τοῦ εὔξασθαι, τοῦ προσενεγκεῖν, τοῦ θῦσαι, ἅπερ αὐτοὺς εἰς εὐσέβειαν ἐνῆγε, καὶ τὴν τῆς πολιτείας ἀκρίβειαν ἀσφαλεστέραν καθίστη. ὅτι ἐκεῖ ἐκάθισαν θρόνοι εἰς κρίσιν, θρόνοι ἐπὶ οἶκον Δαβίδ. ἰδοὺ καὶ ἕτερον λέγει τῆς πόλεως προτέρημα. ποῖον δὴ τοῦτο; ὅτι αὐτόθι τὰ βασίλεια. τοῦτο γάρ ἐστιν, ὅτι ἐκεῖ ἐκάθισαν θρόνοι εἰς κρίσιν, θρόνοι ἐπὶ οἶκον Δαβίδ.

A & festa, celebrésque conuētus, preces, & auditiones, & vt semel dicam, illic consistebat tota forma reipubl: oportebat illic tribus maximè ter in anno colligi, in festis publicis & solemnibus, in Paschate, Pentecoste, & Scenopegia, seu festo tabernaculorum. Neque enim licebat alibi. Dicens ergo eius encomium, dicit: Illuc enim ascenderunt tribus. Et alius, Illuc ascenderunt, sceptra. Non dixit autem solummodo tribus, sed tribus Domini. Omnes tribus erant Domini, nec tamen eis ideo B licebat hæc in sua patria peragere, sed eo honore affecta erat metropolis, quæ omnes cogebat & attrahebat ad seipsam. Hoc autem fiebat, vt id eis esset causa Dei cognitionis, ne si quoquouersus vagarentur, occasio sumeretur viáque muniretur ad cultum simulachrorum. Et ideo illic sacrificare, illic orare, illuc conuenire, diésque festos iussit peragere, loci angustiis aberrantem eorum mentem, & ad impietatem tendentem, coërcens, refrænans, & reprimens. Quod quidem ipse quoque significans, dicebat: Tribus Domini, te-C stimonium Israël? Testimonium maximum, argumentum, probatio Dei prouidentiæ, vt nulla relinquatur excusatio iis qui desciscunt, qui resiliunt, & ad simulachra confugiunt. Eius enim prouidentiæ, potentiæ, sapientiæ hoc erat argumentum maximum. Illic enim legebatur, lex quæ rerum olim præclarè gestarum & veteris historiæ continebat narrationem. Illic etiam ad charitatem constringebantur dum inter se haberent consuetudinem. Quæ enim celebrabantur festa, vt inter se congrederentur, causa erant, & maior me-D tus, & viuida pietas, & alia bona innumerabilia ex eo proficiscebantur, quòd simul in ciuitate conuenirent. Ad confitendum nomini Domini. Hoc est, ad gratias agendas, ad colendum, orandum, offerendum, sacrificandum, quæ ipsos deduxerunt ad pietatem, & accuratam eorum religionis disciplinam effecere tutiorem. 5. *Quia illic sederunt sedes in iudicium, sedes super domum Dauid.* Ecce dicit etiam aliam ciuitatis excellentiam. Quænam ea est? quod illic est regia. Hoc enim sibi vult illud, quoniam sederunt sedes in iudicium, sedes super domum Dauid.

Iudæorum conuentus ter in anno. Exod. 32. 2. Paral. 8. Deut. 12.

Cur Hierosolymis solùm sacrificare, orare, &c. licebat.

Testimoniũ Domini.

Deut. 31.

Festorum conuentuũ vtilitas.

In Hierusalem principatus duplex, sacerdotum & regum.

Alius interpres ait, Sedes, domus David. Illic enim duplex erat principatus, & sacerdotum & regum, vno vinculo coniunctus, cùm veluti quadam duplici corona & diademate ornaretur ciuitas per hęc omnia. Illic iudices, ad quos quæ multorum captum superabant, referebãtur. Si qua enim lata esset sententia in aliis ciuitatibus, de qua dubitaretur, vt euenit in appellationibus, ad iudicum, qui erant Hierosolymis, cognitionem, sententiam referebant: illic autem accipiebatur solutio. Sed erant quidẽ antiqua huiusmodi: quæ autem nunc sunt, sunt his multò grauiora. est enim summa solitudo, ruina, euersio, conflagratio, paucæ domorũ reliquiæ, tristis & miserabilis species, & quæ solùm habet monimentum, & obscura quædã vestigia prioris fœlicitatis. quocirca non concludit orationẽ rebus miseris & tristibus, sed ad lætiorem spem eos reducit, dicens,

Deut. 17.

Hebr. Rogate pacem. Chald. pro pace.

6. *Rogate quæ ad pacem sunt Hierusalẽ.* Quid est, Rogate quæ ad pacẽ sunt Hierusalem? Pro eo quod est, petite & postulate. Alius autem dicit, Amplectimini, aut salutate Hierusalem. Hoc est, Rogate vt ea redeat in pristinam prosperitatem, vt liberetur à bellis frequentibus, vt deinceps securitate fruatur. Vel hoc ergo dicit, vel prædicit: Rogate quæ ad pacem sunt Hierusalem. Hoc est, Pax ei succedet. *Et abundantia diligentibus te.* Alius, Quiescent. Alius, Iucunditate afficiantur, qui te diligunt. Hic est magna copia prosperitatis, quando nõ in ea solùm bona consistunt, sed etiam qui eam diligunt, iis fruuntur. Quod quidem in prioribus temporibus secus fiebat. Qui eam enim odio habebant, & oppugnabant, ij plurimum poterant, & erant alij clariores, & cum facilitate trophæa erigebant. At nunc ij qui te diligunt, in magna erunt securitate. Qui tecum, inquit, iisdem tenentur munimentis. Eos autem dicit qui vel erant eorum fauturi partibus, vel etiam ipsos ciues. 7. *Fiat pax in virtute tua.* Alius dicit, In propugnaculo tuo. Alius, in ambitu tuo. quid est in virtute tua? In substantia tua, in iis qui in te habitant, in prosperitate tua. Quoniam enim bellum res est exitiosa, idque eam perdidit, ei pacem precatur. *Et abundantia in turribus tuis.* Alius dicit, In regiis tuis. Alius, Iucunditas. Alius, Quies. Non

Chald. Sedeant in tranquillitate amatores tui.

Heb. In regiis palatiis.

A ἕτερος τοῦ οἴκου Δαβίδ. ἡ γὰρ διπλῆ ἀρχὴ ἥ τε τῶν ἱερέων, ἥ τε τῶν βασιλέων ἐκεῖ τὸ ἐνζεύγμα εἶχεν, ὥσπερ διπλῷ τινι στεφάνῳ καὶ διαδήματι τῆς πόλεως καλλωπιζομένης διὰ τούτων ἁπάντων. αὐτόθι οἱ κριταί, ἐφ' οὓς καὶ τὰ ὑπερβαίνοντα τοὺς πολλοὺς ἀνεφέρετο. εἰ γάρ τις ἐγένετο ψῆφος ἐν ταῖς ἄλλαις πόλεσιν ἀπορίαν τινὰ ἔχουσα ὥσπερ ἐν ταῖς ἐφέσεσιν, ἐπὶ τῶν κριτῶν τῶν ἐν Ἱεροσολύμοις γνῶσιν τὴν ψῆφον ἀνέφερον, κἀκεῖθεν ἡ λύσις ἐγίνετο. ἀλλὰ τὰ μὲν παλαιὰ τοιαῦτα· τὰ δὲ νῦν πολλῷ τούτων ἀνιαρώτερα. καὶ γὰρ ἐρημία παντελής, καὶ B κατασκαφή, καὶ πυρπόλησις, ὀλίγα λείψανα τῶν οἰκοδομημάτων ὄντα, κατηφὲς τὸ σχῆμα, καὶ ὑπόμνημα μόνον ἔχει τῆς προτέρας εὐημερίας καὶ αἴνιγμα. διὰ δὴ τοῦτο οὐ καταλύει εἰς τὰ σκυθρωπὰ τὸν λόγον, ἀλλ' ἐπὶ τὴν ἐλπίδα τῶν φαιδροτέρων ἐπανάγει λέγων· ἐρωτήσατε δὴ τὰ εἰς εἰρήνην τὴν Ἱερουσαλήμ. τί ἐστιν ἐρωτήσατε δὴ τὰ εἰς εἰρήνην τὴν Ἱερουσαλήμ; ἀντὶ τοῦ ἀξιώσατε, παρακαλέσατε. ἕτερος δέ φησιν, ἀσπάσασθε τὴν Ἱερουσαλήμ, τουτέστι, δεήθητε, ὥστε αὐτὴν εἰς τὴν προτέραν ἐπανελθεῖν C εὐημερίαν, ὥστε ἀπαλλαγῆναι τῶν πυκνῶν πολέμων, ὥστε ἀδείας ἀπολαῦσαι λοιπόν. ἢ τοῦτο τοίνυν λέγει, ἢ προφητεύει. ἐρωτήσατε δὴ τὰ εἰς εἰρήνην τὴν Ἱερουσαλήμ, τουτέστιν, εἰρήνη αὐτὴν καταλήψεται, καὶ εὐθηνία τοῖς ἀγαπῶσί σε. ἕτερος, ἠρεμήσουσιν. ἄλλος, εὐπαθήσαισαν ἀγαπῶντές σε. ἐνταῦθα πολλὴ ἡ περιουσία τῆς εὐπραγίας, ὅταν μὴ μόνον ἐν αὐτῇ ἵστηται τὰ ἀγαθά, ἀλλὰ καὶ οἱ φιλοῦντες αὐτὴν τούτων ἀπολαύωσιν, ὅπερ ἐν τοῖς ἔμπροσθεν χρόνοις τὸ ἐναντίον ἐγίνετο. οἱ γὰρ μισοῦντες αὐτὴν καὶ πολεμοῦντες οὗτοι μάλιστα ἴσχυον, D ἀδυνατώτεροι τῶν ἄλλων ὄντων, καὶ λαμπρότεροι, καὶ μετ' εὐκολίας τὰ τρόπαια ἵστων. ἀλλ' οἱ φιλοῦντές σε νῦν ἐν πολλῇ ἔσονται τῇ ἀδείᾳ οἱ συμπεφραγμένοι σου. τούτους δὲ ἢ τοὺς μέλλοντας συμπράττειν λέγει, ἢ καὶ αὐτοὺς τοὺς πολίτας. γενέσθω δὴ εἰρήνη ἐν τῇ δυνάμει σου. ἕτερος ἐν τῷ περιτειχίσματί σου. ἄλλος, ἐν τῷ περιβόλῳ σου. τί ἐστιν ἐν τῇ δυνάμει σου; ἐν τῇ ὑποστάσει σου, ἐν τοῖς οἰκοῦσί σε, ἐν τῇ εὐθηνίᾳ σου. ἐπειδὴ γὰρ φθοροποιὸν ὁ πόλεμος, καὶ τοῦτο αὐτὴν ἀπώλεσεν, ἐπεύχεται αὐτῇ εἰρήνην. καὶ εὐθηνία ἐν ταῖς πυργοβάρεσί σου. ἕτερος, ἐν τοῖς βασιλείοις σου. ἄλλος, εὐπάθεια. ἄλλος, ἠρεμία. οὐ γὰρ δὴ μό-

νον αὐτοῖς ἀπαλλαγὴν κακῶν προφητεύει, ἀλλὰ καὶ προσθήκην μυρίων ἀγαθῶν, εἰρήνην, εὐπορίαν, εὐετηρίαν. τί γὰρ ὄφελος εἰρήνης, ὅταν πενίᾳ, καὶ πτωχείᾳ, καὶ λιμῷ συζῶσι; τί δὲ ὄφελος εὐθηνίας, ὅταν πόλεμος ἐπίκειται; διὰ δὴ τοῦτο ἀμφότερα αὐτοῖς προφητεύει τὰ καλά, ὡς καὶ ἐν εὐθηνίᾳ εἶναι, καὶ ταύτην ἔχειν ἐν ἀσφαλείᾳ διὰ τῆς εἰρήνης. ἕνεκα τῶν ἀδελφῶν μου, καὶ τῶν πλησίον μου. ἢ τοὺς ἐκ γειτόνων φησί, τοὺς ἐφησθέντας αὐτοῖς ἐπταικόσι, καὶ εὔχεται γενέσθαι εἰρήνην, ὥστε κἀκείνους ταπεινωθῆναι, καὶ γνῶναι τοῦ Θεοῦ τὴν ἰσχύν, ἢ ἀδελφοὺς τοὺς τὴν πόλιν οἰκοῦντας καλεῖ. ἕνεκα τοίνυν τῶν ἀδελφῶν μου, καὶ τῶν πλησίον μου γενέσθω εἰρήνη, ὥστε ὀψὲ γοῦν ποτε ἀναπνεῦσαι βελτίους ἀπὸ τῶν συμφορῶν γενομένους. ἐλάλουν δὴ εἰρήνην περὶ σοῦ. ἕνεκα τοῦ οἴκου κυρίου τοῦ Θεοῦ ἡμῶν ἐξεζήτησα ἀγαθά σοι. ἄλλος, λαλήσω εἰρήνην ἐν σοί. ἐπειδὴ εἶπεν, ἕνεκεν τῶν ἀδελφῶν μου, καὶ τῶν πλησίον μου, δεικνύς, ὅτι οὐ διὰ τὴν ἀξίαν τὴν ἐκείνων, ἀλλ' ἵνα αὐτοὺς μᾶλλον εὐεργετήσῃ τοῦτο εὔχεται, ἐπήγαγεν· ἕνεκα τοῦ οἴκου κυρίου τοῦ Θεοῦ ἡμῶν, τουτέστι, διὰ τὴν δόξαν τὴν αὐτοῦ εὔχομαι τὴν εἰρήνην, ὥστε πάλιν αὐτοῦ τὴν λατρείαν ἐπιμεληθῆν, καὶ πλείονα γενέσθαι διδασκαλίαν. οἱ μὲν γὰρ ἐπὶ τῆς αἰχμαλωσίας ἐτέχθησαν· οἱ δὲ μάρτυρες καὶ τῆς καθόδου, καὶ τῆς ἐπανόδου γεγόνασι, καὶ τῆς λατρείας ἐπιτελουμένης, ἅπαντα ταῦτα παρὰ τῶν πρεσβυτέρων ἐμάνθανον τὴν παλαιὰν εὐπραγίαν, τὴν εὐημερίαν, ὅτι ἐν τούτοις ὄντες ἐξέπεσον. ὁρᾷς πῶς αὐτῶν καταστέλλει τὴν ἀπόνοιαν, ἵνα μὴ ὡς ἀξίαν δεδωκότες δίκην, νομίζωσιν ἀπειληφέναι τὰ ἀγαθά, ἀλλὰ μάθωσιν, ὅτι διὰ τὴν τοῦ Θεοῦ δόξαν πρὸς τὴν οἰκείαν ἐπανῆλθον πατρίδα, καὶ μαθόντες μένωσι μετὰ ἀσφαλείας πολλῆς, καὶ μὴ ἁμαρτάνοντες πάλιν τῶν αὐτῶν λάβωσι πεῖραν. ταῦτ' οὖν εἰδότες καὶ ἡμεῖς μάλιστα μὲν μὴ πταίωμεν. εἰ δ' ἄρα ποτὲ περιπέσωμεν ἁμαρτήμασι, σπουδάζωμεν ἀνίστασθαι ταχέως, καὶ μὴ παλινδρομεῖν εἰς τὰ πρότερα, ἵνα μὴ τὰ τοῦ παραλύτου ἀκούσωμεν· ἴδε ὑγιὴς γέγονας, μηκέτι ἁμάρτανε, ἵνα μὴ χεῖρόν τί σοι γένηται. διὰ γὰρ τοῦτο οὕτως εἶπε, τούς τε ἐν ἀρετῇ ὄντας παιδεύων διατηρεῖν αὐτὴν μετὰ ἀσφαλείας, τούς τε ἁμαρτημάτων ἀπαλλαττομένους πρὸς τὴν ἀρίστην μένειν μεταβολήν,

A solum enim prędicit futuram à malis liberationem, sed etiã innumerabilium bonorum accessionẽ, pacem, abundantiam, fertilitatẽ. Quid enim iuuat pax, quando in paupertate, fame, & mendicitate viuunt? Quid autem iuuat abundantia, quando bellum ingruit? Et ideo eis vtraq; hæc bona prædicit fore, vt & eis adsit abundantia, & ea securè fruantur propter pacẽ. 8. *Propter fratres meos & proximos meos loquebar pacẽ de te.* Vel vicinos dicit, qui eorũ casu lætati fuerũt, & optat vt fiat pax, vt illi quoq; deprimantur, & cognoscant Dei potentiam. B Vel fratres eos dicit, qui ciuitatẽ inhabitãt. Propter fratres ergo meos & proximos meos rogo vt fiat pax, vt vel tandem respirent, cum calamitatibus facti sunt meliores. Loquebar nimirũ pacem de te. 9. *Propter domum Domini Dei nostri quæsiui bona tibi.* Alius dicit, Loquebar pacẽ de te, vel, in te. Quoniã enim dixit, Propter fratres meos & proximos meos, ostendens se hoc non precari propter illorum meritũ, sed vt illos maiori beneficio afficeret, subiunxit, Propter domũ Dei nostri. Hoc est, propter gloriã eius C opto pacẽ, vt eius cultus rursus redeat, & doctrina augeatur. Alij enim tempore captiuitatis nati sunt, alij verò fuerũt testes & descẽsus & reditus. Dei autem cultu peracto hæc omnia discebant à senioribus, fœlicitatem scilicet eorum, & prosperitatem, & quòd cùm tot rebus secundis vterentur, iis exciderint. Vides quomodo eorum reprimit arrogantiam, ne existiment se bona recepisse, vt qui satis pœnarum dederint, sed sciant quòd propter Dei gloriam in suam patriam reuersi sunt: & cùm id didicerint, maneant cum summa securitate, ne peccantes eadem rursus D experiantur? Hæc ergo nos quoque cùm sciamus, maximè quidem operam adhibeamus ne labamur: sed si in peccata quandoque inciderimus, studeamus celeriter resurgere, & non in priora recidere, ne ea audiamus quæ fuerunt dicta paralytico, Ecce sanus factus es, noli amplius peccare, ne quid deterius tibi contingat. Propterea enim sic dixit, & bonos docens vt virtutem securè conseruent, & qui liberãtur à peccatis, in optima mutatione maneant,

Exhortatio.

Ioan 5. 14.

vt omnes communiter bona cœlestia consequantur. Quibus detur nobis omnibus frui gratia, & benignitate domini nostri Iesu Christi, cui gloria & potentia in secula seculorum, Amen.

A ὥστε κοινῇ πάντας τῶν ἐπουρανίων τυχεῖν ἀγαθῶν. ὧν γένοιτο πάντας ἡμᾶς ἀπολαῦσαι, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

In Psalmum CXXII.

Incerto interprete.

Ad te leuaui oculos meos, qui habitas in cælo.

Afflictio purgandis accommoda.

Prosvnt nonnunquam supplicia, & tribulationum sarcinis animi sæpius corrigũtur. Ecce enim Iudæi qui semper habebant oculos infixos in terra, qui humilia cogitabãt, qui Assyriorum & Ægyptiorum confidebant auxilio, qui murorum propugnaculis tegebantur, qui cumulo fulgentis auri tumebãt, post captiuitatem suam, post ruinam patriæ omnibus priuati deliciis, ad inuictam dexteram confugiunt, & terrenis cogitationibus spretis excelsa postulant, & euerso templo ad cœlum oculos eleuãt, & de cœlo Dei misericordiam flagitãt, & de Deo subsidium suæ captiuitatis implorant. Et nemo miretur quòd Deus dicitur in cœlis habitare: non enim tanquam cõclusus est aliquo loco, nec aliquibus limitibus occupatus, sed in cœlestibus potestatibus requiescẽs. Nam & in hominibus habitare dicitur, sicut ait: Inhabitabo in illis, & ambulabo. Igitur isti apud Barbaros multarum sectarum imbuti ratione, valuerunt scire, quòd vbiq; Deus subuenit inuocatus, & eam Prophета nouam conuersatiõnẽ, id est, ecclesiam radiare perspicit, & locorum obseruatiõnẽ sensim, & figuratim imitandam esse testatur. 2. *Sicut oculi seruorum ad manus dominorum suorum, & sicut oculi ancillæ ad manus dominæ suæ: ita oculi nostri ad Dominum Deum nostrum, donec misereatur nobis.* Perspice stabilem reuerentiam, incommotam fidem, non paruo

2. Cor. 6. 16.

Εἰς τὸν ρκβʹ ψαλμόν.

Πρὸς σὲ ἦρα τοὺς ὀφθαλμούς μου, τὸν κατοικοῦντα ἐν τῷ οὐρανῷ.

B ὍΡΑΣ πανταχοῦ τῆς αἰχμαλωσίας τὸ κέρδος διαλάμπον; οἱ γὰρ τοῖς βιωτικοῖς ἀεὶ προσηλωμένοι, καὶ Ἀσσυρίοις καὶ Αἰγυπτίοις θαρροῦντες, καὶ περιβολῇ τειχῶν, καὶ πλήθει χρημάτων· πάντων ἐκείνων ἀπορρήξαντες ἑαυτοὺς, ἐπὶ τὴν ἄμαχον καταφεύγουσι χεῖρα, καὶ τῆς ἐλπίδος ἐκείνης C ἐκκρέμανται, καὶ ὑψηλὴν κτῶνται διάνοιαν, καὶ τῆς γῆς ἀπαλλαγέντες, καὶ τοῦ περὶ ναὸν ἠσχολῆσθαι, ἐπειδὴ κατέστρεψαν αὐτῶν τὸν ναὸν, ἀπὸ τοῦ οὐρανοῦ καλοῦσι λοιπὸν τὸν Θεόν. οἰκεῖν δὲ ἐν οὐρανῷ λέγεται, οὐχ ὡς τόπῳ περικλειόμενος, ἄπαγε· πάντα γὰρ αὐτὸς πληροῖ· ἀλλ' ὡς ταῖς ἐκεῖ δυνάμεσιν ἐπαναπαυόμενος μᾶλλον. ἐπεὶ καὶ ἐν ἀνθρώποις ἐνοικεῖν λέγεται· ἐνοικήσω γὰρ ἐν αὐτοῖς καὶ ἐμπεριπατήσω. γενόμενοι τοίνυν ἐν τῇ βαρβάρων χώρᾳ οὐ μικρὰ δόγματα ἐπαιδεύθησαν· τό, τε πάντων D κεχωρίσθαι τῶν βιωτικῶν· τό τε εἰδέναι σαφῶς, ὅτι πανταχοῦ καλούμενος ὁ Θεὸς ἐπινεύει ῥᾳδίως. ἐπειδὴ γὰρ ἔμελλε τῆς καινῆς λοιπὸν πολιτείας ἡ ἀκτὶς αὐγάζειν, ἄρχεται τὰ μέλλοντα προαναχρίεσθαι ὁ προφήτης τὴν τῶν τόπων παρατήρησιν παραλύων ἠρέμα πως καὶ δι' αἰνιγμάτων. ἰδοὺ ὡς ὀφθαλμοὶ δούλων εἰς χεῖρας τῶν κυρίων αὐτῶν· ὡς ὀφθαλμοὶ παιδίσκης εἰς χεῖρας τῆς κυρίας αὐτῆς· οὕτως οἱ ὀφθαλμοὶ ἡμῶν πρὸς κύριον τὸν Θεὸν ἡμῶν, ἕως οὗ οἰκτειρήσαι ἡμᾶς. ὅρα ἐπίτασιν εὐλαβείας ἐντεῦθεν πάλιν· οὐ γὰρ πρὸς βραχὺ μόνον

ἐλπίζουσιν, ἀλλὰ διηνεκῶς προσηλωμένοι εἰσὶ καὶ κεχηνότες. διὰ δὴ τοῦτο καὶ τὸ παράδειγμα εἰς μέσον ἤγαγεν, τοῦτο τὸ αὐτὸ αἰνιττόμενος, ὅτι οὐδαμόθεν αὐτοῖς ἄλλοθεν ἐλπὶς βοηθείας οὐδὲ συμμαχίας, οὐδὲ πρὸς οὐδὲν ἕτερον βλέπουσιν, ἐπεὶ καὶ ἡ παιδίσκη καὶ ὁ οἰκέτης, μίαν ταύτην ἀφορμὴν ἔχουσι καὶ διατροφῆς καὶ ἐνδυμάτων, καὶ τῆς ἄλλης διαγωγῆς, τὸ πρὸς τοὺς κυρίους βλέπειν· καὶ οὐκ ἀφίσταται. ἀλλ' ἕως ἂν λάβῃ παραμένει, κἂν λάβῃ χάριν οἶδε, καὶ διηνεκῶς τοῦτο ἔργον αὐτοῖς. τοῦτο τοίνυν θέλων δηλῶσαι, ὅτι καὶ πρὸς αὐτὸν ὁρῶσι, καὶ διηνεκῶς τοῦτο ποιοῦσι, καὶ οὐδεμίαν ἔχουσιν ἑτέραν ἐλπίδα, καὶ ὅτι προσήλωνται τῇ προσδοκίᾳ τῇ ἀπὸ τῆς συμμαχίας ἐκείνης, καὶ ὅτι τὰ αὐτῶν πάντα αὐτοῦ, τῆς παιδίσκης καὶ τῶν δούλων ἐμνημόνευσε. ὁρᾷς πῶς οἱ πρότερον παρακαλούμενοι πρὸς Θεὸν τρέχειν, καὶ ταυριῶντες καὶ ἀναπίπτοντες, οὗτοι νῦν οὕτως ἐγένοντο τῇ συμφορᾷ βελτίους, ὡς μὴ βούλεσθαι ἀποστῆναι αὐτοῦ, ἀλλὰ παραμένειν καὶ δουλεύειν, καὶ τὰ παρ' αὐτοῦ ζητεῖν. ἕως οὗ οἰκτειρήσαι ἡμᾶς. οὐκ εἶπεν, ἕως ἂν ἀποδῷ τὸν μισθόν, οὐδὲ ἕως ἂν ἀποδῷ τὴν ἀμοιβήν, ἀλλ' ἕως ἂν ἐλεήσῃ. καὶ σὺ τοίνυν παράμενε διηνεκῶς αἰτῶν, εἴτε λάβῃς, εἴτε μὴ λάβῃς, κἂν μὴ λάβῃς, μὴ ἀποστῇς, καὶ πάντως λήψῃ. εἰ γὰρ τὸν ἄρχοντα ἐκεῖνον τὸν ὠμὸν προσεδρεία χήρας ἐπέκαμψεν, ἵνα ἂν ἔχῃς συγγνώμην, σὺ οὕτω ταχέως ἀποπηδᾷς, καὶ ἀκηδιᾷς, καὶ ναρκᾷς. οὐχ ὁρᾷς πῶς αἱ παιδίσκαι τῶν κυρίων ἐκκρέμανται οὐ διανοίας, οὐκ ὄμμα ἀφιεῖσαι ἔξω πλανᾶσθαι; οὕτω καὶ σὺ ποίει· ἕπου τῷ Θεῷ μόνον, καὶ πάντα ἀφεὶς τὰ ἄλλα, τὴν ἐκείνου γίνου, καὶ λήψῃ πάντως ἅπερ ἂν αἰτεῖς συμφερόντως. ἐλέησον ἡμᾶς κύριε, ἐλέησον ἡμᾶς, ὅτι ἐπὶ πολὺ ἐπλήσθημεν ἐξουδενώσεως· ἐπὶ πλεῖον ἐπλήσθη ἡ ψυχὴ ἡμῶν. εἶδες συντετριμμένην διάνοιαν; ἀπὸ ἐλέους σωθῆναι ἀξιοῦσι· καὶ οὐδὲ ἀπὸ ἐλέους κατὰ τὴν ἀξίαν· ἀλλ' ὅτι πολλὴν ὑπέδοσαν δίκην, καθάπερ καὶ ὁ Δανιὴλ φησίν· ὅτι ἐσμικρύνθημεν παρὰ πάντα τὰ ἔθνη ἐπὶ τῆς γῆς. τοῦτο δὴ καὶ οὗτοι λέγοντες δι' ὧν ἱκετεύουσι, τὴν ἐσχάτην ἀπολοφύρονται τραγῳδίαν· πατρίδος ἐξεπέσομεν, ἐλευθερίας· βαρβάρων

A tempore sese rogaturos pollicentur, sed perenni deprecatione seruaturos ostendunt: & ideo se seruulis compararunt, quibus omnis spes in dominorum cura consistit, nec aliunde præsidium est. Quippe cùm sine dominorum sollicitudine alimoniam sibi præparari, vestimenta suppeditari, omnémque cōmoditatis curam non deesse considerant: & hæc à domino donec receperint, non recedunt: & cùm acceperint, gratias referūt, & hoc perpetuò gerunt. Dauid igitur demonstrare festinans quòd à B Deo solo solatium postulant, & quòd perpetuo deprecantur, & quòd nulla spe nisi Dei misericordia consolantur, & quòd sua bona tanquam seruorum peculia ipsi debentur, posuit serui & ancillæ personam. Vide quo pacto qui antea inuitabantur ad Deum, & nimio elati fastidio, non obtemperare curabant, sola calamitate corriguntur, & captiuitate mutantur, & se ab eo nunquā recessuros pollicentur, donec eius misericordiam mereantur. Donec, inquit, misereatur nobis. Nō dixit, donec mercedem reddat, aut donec vicem re- C stituat: sed, donec misereatur nobis. Et nos ergo continua deprecatione debemus insistere, & si acceperimus, & si non acceperimus, tamen non recedamus. Nam dum in hoc facis, omnino accipies. Nā si illius impij iudicis agrestem mentem vnius viduæ assidua verba flexerunt: tu quam veniam poteris promereri, si ad fundendas preces aliquo fueris fastidio superatus? Inspice famulos dominorum vestigiis inhærentes, & ab ipsorum nutu sollicita obseruatione pendentes, hos imitare, hos sequere. Obsequium Domino, quod debes, D exolue, & seruitio tuo eum placare festina, & omnia prætermittens illius præcepta conserua, & facilè poteris sentire quæ poscis. 3. *Miserere nobis Domine, miserere nobis: quoniam multum repleti sumus despectione.* 4. *Multum repleta est anima nostra.* Vidisti mentem dolore cōtritam? saluari se misericordia deprecatur, & ingenti se mole supplicij laborare proclamat, sicut & Daniel ait: Quoniam diminuti sumus vltra omnes gentes super terram. Hoc & Iudæi clamabant, Omnes terminos calamitatis excessimus, amisimus patriam, perdidimus libertatē, seruitutis iniuria subiugamur, captiuitatis vincula sentimus, barbaro-

Luc. 18.

Exhortatio ab exēplo.

Daniel. 3.

tum tenemur obsequio, contempti viuimus, despecti anhelamus, fame conterimur, sitis rabie laceramur, omne tempus tormentis exemptum est: ideo subueni, miserere: multũ repleta est anima nostra. Et ipsa, inquit, anima iam defecit calamitatũ continuatione tantarum. Et multi quidem tolerabiliter patiuntur aduersa, nos autem etiam solatium sufferentiæ amisimus, lugemus, lachrymamur, lamentatione conterimur. Et quoniam datis sibi honoribus non sunt vsi competenter, sed largitis beneficiis abusi vixerũt, contrariis corriguntur. Et hoc Deus vbique facit. Sic & Adam cùm paradisum vtiliter habitare noluisset, pulsum è paradiso emendauit: & coniugem pari honore gloriatam, postea seruitute deformem, vtilem meliorémque constituit. Sic & Iudæos libertate superbos, deliciis fastidiosos, iugo tradidit seruitutis, vt captiuitate detenti, & iniuriis traditi corrigantur. *Multum repleta est anima nostra: Opprobrium exprobrantibus, & despectio superbis.* Alius, Multis satiata est anima nostra obloquentibus abundantibus, spernentibus superbis. Alius, Subsannatione elatorum. Alius, Despectione ipsorum, qui bonis affluunt. Isti ergo sententiæ adhærent eidem. Calamitatem enim lamentantur, cum dicunt: Satiata est anima nostra spernentibus. Septuaginta vero aliud dicunt. Transeant ad illos ista, & eadem illis obueniant, quæ præstiterunt eorumque fastus ac tumor deprimatur. Hoc frequenter admittitur, hoc quotidie cõprobatur. Sẽper superba cogitantes, repentina humilitate obruuntur. Nihil enim superbia detestabilius, nihil arrogantia crudelius reperitur. Propter hanc tentationes, propter hanc dolores, propter hanc gemitus, propter hanc mortale corpus est, propter hanc cordibus sollicitudines ingeruntur, vt anima vndique tormentis obsessa, & crebris refrænata suppliciis, cacumen superbiæ derelinquat. Non ergo turbemur adueniente forsitan aliqua tentatione, cùm sciamus hanc esse pro nobis: sed Prophetæ verba teneamus, qui dicit: Bonum mihi Domine,

Vexationis vtilitas. Genes. 3.

Psal. 118.

A ἐγινόμεθα δοῦλοι, ὀνειδιζόμενοι διετελέσαμεν, λιμῷ καὶ ταλαιπωρίᾳ καὶ δίψῃ κατηργάσθημεν, διαπτυόμενοι, καταπατούμενοι, πάντα τὸν χρόνον αἰκιζόμενοι· διὰ δὴ ταῦτα δεῦρο ἡμῖν ἐλέησον. τί δέ ἐστιν ἐπὶ πλεῖον ἐπλήσθη ἡ ψυχὴ ἡμῶν; καὶ αὐτή, φησιν, ἐξέλιπεν ἡμῶν ἡ ψυχή. ὅτι ἐπεσχεύθη τῷ μεγέθει τῶν κακῶν. ἔστι γὰρ πολλοὺς πάσχειν μὲν δεινά, φέρειν δὲ γενναίως. ἀλλ' ἡμεῖς φησι καὶ τοῦτο ἀπωλέσαμεν, ὀδυρόμεθα, ταλαιπωροῦμενοι, κοπτόμεθα. ἐπεὶ γὰρ δεόντως ταῖς τιμαῖς οὐκ ἐχρήσαντο, τοῖς ἐναντίοις αὐτοὺς ὁ Θεὸς διορθοῦται, καὶ τοῦτο αὐτὸν πανταχοῦ ἐστι ποιοῦντα ἰδεῖν. οὕτω καὶ τὸν Ἀδὰμ ἐπειδὴ τῇ

B οἰκήσει τοῦ παραδείσου οὐκ ἐχρήσατο πρὸς τὸ συμφέρον, τῇ ἐκβολῇ αὐτὸν διώρθωσε· καὶ τὴν γυναῖκα τῇ ὁμοτιμίᾳ γενομένην φαυλοτέραν, τῇ δουλείᾳ καὶ τῇ ὑποταγῇ, βελτίω κατέστησε. καὶ τούτους δὲ αὐτοὺς τοὺς Ἰουδαίους, τῇ ἐλευθερίᾳ, καὶ τῇ ἐπὶ τῆς οἰκείας ἀδείᾳ χείρους γεγενημένους καὶ ἀποσκιρτήσαντας καὶ ἐκδιαιτηθέντας, τοῖς ἐναντίοις διορθοῦται. οὗτοι καὶ ἐλέους τυχεῖν ἱκετεύοντες, πρὸς τὸν Θεὸν λέγουσιν· ἐπὶ πλεῖον ἐπλήσθη ἡ ψυχὴ ἡμῶν, τὸ ὄνειδος τοῖς εὐθηνοῦσι καὶ ἡ ἐξουδένωσις τοῖς ὑπερηφάνοις. ἕτερος, πολλῶν ἐχορτάσθη

C ἡ ψυχὴ ἡμῶν ἐπιλαλούντων τῶν εὐθηνούντων, ἐξουτελιζόντων τῶν ὑπερηφάνων. ἄλλος, τοῦ μυκτηρισμοῦ τῶν ὑπερφερῶν. ἄλλος, ἐξουδενώσεως αὐτῶν εὐθηνούντων. οὗτοι μὲν οὖν τοῦ αὐτοῦ ἔχονται νοήματος. θρηνοῦσι γὰρ τὴν ταλαιπωρίαν διὰ τοῦ λέγειν, ὅτι ἐχορτάσθη ἡ ψυχὴ ἡμῶν τῶν ἐξουτελιζόντων· οἱ δὲ ἑβδομήκοντα ἕτερόν φασιν, ὅτι μεταστραφῇ ταῦτα εἰς ἐκείνους· καὶ τῶν αὐτῶν ἀπολαύσαιεν, ὧν ἐποίησαν. καὶ καθαιρεθείη τὸ φύσημα αὐτῶν, καὶ ἡ φλεγμονή. ὃ δὴ καὶ γινό-

D μενον πολλάκις ἴδοι τις ἄν· καὶ γὰρ συνεχῶς αὐτὸ ποιεῖν ὁ Θεὸς εἴωθε, τοὺς μεγάλα φυσῶντας καταστέλλων, καὶ τοὺς φλεγμαίνοντας ταπεινῶν. ὥστε αὐτοὺς ἀπαλλαγῆναι τῆς ἐπὶ τὴν κακίαν φερούσης ὁδοῦ. οὐδὲν γὰρ ὑπερηφανίας χεῖρον. διὰ τοῦτο πειρασμοὶ καὶ θλίψεις, καὶ σῶμα θνητόν, καὶ αἱ πολλαὶ τῶν πραγμάτων περιστάσεις. διὰ τοῦτο πάθη καὶ νοσήματα, ἵνα μυρίοι χαλινοὶ περικεῖνται τῇ ψυχῇ ῥᾳδίως ἐπαιρομένῃ, καὶ πρὸς ὄγκον ὑψουμένῃ. μὴ τοίνυν

θορυβώμεθα πειραζόμενοι ἀγαπητέ, ἀλλ' ἀναμνησθεὶς τοῦ προφήτου τοῦ λέγοντος, ἀγαθόν μοι

ὅτι ἐταπείνωσάς με, ὅπως ἂν μάθω τὰ δικαιώματά σου. πρὸς φάρμακον δέχου τὴν συμφορὰν, καὶ εἰς δέον κέχρησο τῷ πειρασμῷ, καὶ δυνήσῃ πλείονος τυχεῖν ἀνέσεως· ἧς γένοιτο πάντας ἡμᾶς ἀξιωθῆναι, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

A quòd humiliasti me, vt discerem iustificationes tuas. Calamitatem pro remedio, & vulnus pro medela suscipiamus, & tentationem prodesse noscamus, vt refici quiete possimus, per dominum nostrum Iesum Christum, viuentem, & regnantem cum Patre & Spiritu sancto in secula seculorum, Amen.

Εἰς τὸν ρκγ' ψαλμόν.

Εἰ μὴ ὅτι κύριος ἦν ἐν ἡμῖν.

B

Πολλάκις εἶπον, τοῦτο καὶ νῦν λέγω, καὶ λέγων οὐ παύσομαι· ὅτι μέγας ὁ ἀπὸ τῆς αἰχμαλωσίας καρπὸς, καὶ ἱκανὸς πρὸς φιλοσοφίαν ἐναγαγεῖν τοὺς προσέχοντας. ἴδε γὰρ οἱ πρὸς εἴδωλα τρέχοντες, καὶ τοῦ Θεοῦ καταφρονοῦντες, καὶ πρὸς ἀσέβειαν ἐξοκείλαντες. τί λέγουσι νῦν μετὰ τὴν αἰχμαλωσίαν, καὶ πῶς τῆς ἑαυτῶν σωτηρίας ἀνατιθέασι τῷ Θεῷ; καὶ ὁ προφήτης δὲ καθάπερ χοροστάτης ἄριστος τὰ αὐτὰ συνεχῶς αὐτοῖς παρακελεύεται λέγειν. μετὰ γοῦν τὸ πρῶτος εἰπεῖν, καὶ ἐκείνοις παρεγγυᾷ ὥσπερ μαθηταῖς διδάσκαλος λέγειν· εἰπάτω δὴ Ἰσραὴλ, εἰ μὴ ὅτι κύριος ἦν ἐν ἡμῖν, ἐν τῷ ἐπαναστῆναι ἀνθρώπους ἐφ' ἡμᾶς, ἄρα ζῶντας ἂν κατέπιον ἡμᾶς. καὶ γὰρ ἦσαν ἄοπλοι καὶ γυμνοὶ, καὶ αἰχμάλωτοι, καὶ δοῦλοι, καὶ ἄρτι τῶν κακῶν ἀπηλλαγμένοι, καὶ πόλιν ἀτείχιστον ἔχοντες, μᾶλλον δὲ οὐδὲ πόλιν, καὶ πᾶσι μετὰ τὴν ἐπάνοδον προέκειντο θήρα ἕτοιμος· ἀλλ' ἀντὶ τείχους καὶ πύργου ὁ Θεὸς αὐτοῖς γέγονε. τοῦτο καὶ ἡμεῖς νῦν λέγωμεν· εἰ μὴ ὅτι κύριος ἦν ἐν ἡμῖν, ἄρα ζῶντας ἂν κατέπιον ἡμᾶς. τί γὰρ οὐκ ἐποίησεν ὁ ἐχθρὸς ἡμῶν διάβολος, εἰ μὴ κύριος ἦν ἐν ἡμῖν; ἄκουσον τῷ Σίμωνι, τί φησιν ὁ Χριστός· Σίμων, Σίμων, ποσάκις ἠτήσατο ὁ Σατανᾶς σινιάσαι σε ὡς τὸν σῖτον, καὶ ἐγὼ ἐδεήθην περὶ σοῦ, ἵνα μὴ ἐκλίπῃ ἡ πίστις σου; πονηρὸν γὰρ τὸ θηρίον, καὶ ἀκόρεστον, καὶ εἰ μὴ συνεχῶς ἐχαλινοῦτο, πάντα ἂν ἀνέτρεψε καὶ συνέχεε.

In Psalmvm cxxiii.

Gentiano Herueto interprete.

Nisi quia Dominus erat in nobis.

Qvod sæpe dixi, hoc quoque nunc dico, nec cessabo dicere, magnum esse fructum captiuitatis, & ad philosophiam deducere posse eos qui attendunt. Ecce enim qui ad simulachra currebant, & Deum contem- C nebant, & in impietatem impegerant, quid dicunt nunc post captiuitatem? & quomodo salutem suam Deo ascribunt? Quinetiam Propheta, tanquam choragus optimus, eadem eis iubet frequenter dicere. Postquam ergo primus dixit, illis quoque præcipit vt magister discipulis, tanquam magister discipulis, dicant: *Dicat Israel, nisi quia Dominus erat in nobis, dum exurgerent homines in nos, forte viuos deglutissent nos.* Erant enim inermes, nudi, captiui, & serui, & nuper à malis liberati, & vrbem habebant im- D munitam, imò verò ne vrbem quidem, & post reditum erant prædæ omnibus expositi, sed fuit eis Deus pro muro & arce. Hoc ipsum nos quoque dicamus: Nisi quia Dominus erat in nobis, vtique viuos deglutissent nos. Quid enim non fecisset noster inimicus diabolus, nisi Dominus fuisset in nobis? Audi quid Christus dicat Simoni: Simon, Simon, quoties petiit te Satanas cribrare sicut triticum: & ego oraui pro te, ne deficiat fides tua. Est enim improba bellua & insatiabilis, & nisi assiduè refrænaretur, subuertisset & cōfudisset omnia.

Captiuitatis bono Iudæi vitarūt idololatriā.

Luc. 22.

1. Petr. 5.

Iob 1. 2. & 3.

Si enim cùm in beatum Iob pusillum quid ei fuit permissum, eius domum euertit funditus, eius corpus multauit, tantam tragœdiam excitauit, facultates corrupit, filios obruit, vt è carne vermes scaturirent effecit, vxorem in eum incitauit, amicos, inimicos, famulos, vt probris eum insectarentur induxit: si non innumerabilibus frænis retardaretur, quomodo non omnes perderet? Quocirca hic quoque dicit, Nisi quia Dominus erat in nobis. Erant enim admodum pauci & contempti, & eos reuersos multi adoriebantur. Porrò autem in hoc quoque ostendebatur Dei sapientia, quòd non repente & vno simul tempore daret eis securitatem, sed sensim ac paulatim. Hoc autem faciebat eos conseruans in Dei cognitione, &, quæ ex captiuitate ad eos redierat, correctionem non sinens præterfluere. Quia enim liberatio à malis solet homines efficere socordiores, in ipsa etiam donatione bonorum permittit, vt ipsi assiduè tententur, vt sint eis tentationes perpetuum philosophiæ exercitium. Et ideo nec homines semper dimittit in calamitatibus, ne deficiant: nec in quiete & rerum prosperitate, ne fiant socordiores: sed mutationibus ac vicissitudinibus eorum salutem variat. *Viuos deglutissent nos.* Vides quomodo ostendit, quàm sint feri & immanes, qui eos inuadunt? Hi enim homines vel ferarum immanitatem ostendunt, imò verò eis magis sæuiunt in illos qui sunt eiusdem generis. Fera enim cùm semel inuaserit, ab ira desistit, & recedit: homines autem cùm sæpe res cesserit aliter, quàm putabant, sæpe inuadunt, vel ipsas carnes gustare cupientes. Eiusmodi res est ira, rationis expers, adeò feruet & ebullit animi perturbatio. Quomodo ergo hæc extinguetur ægritudo? Si res nostras animo reputemus, si mortem consideremus, & eos qui quotidie recedunt, si nostram naturam contemplemur, quòd scilicet sumus terra & cinis. Si autem pulchritudo aspectus animo tuo adhuc imponit, vade ad monumenta & thecas tuorum parentum, & vide quomodo sunt positi, & in puluerem ac terram resoluti, & magnam ex eo capies occasionem, vt teipsum reprimas. Neque verò quod dico, nimis esse graue insimulaueris. Quemadmodum enim qui febre la-

Prosperorum & aduersorum alternationis vtilitas.

Homines feris crudeliores. Ira, rationis expers.

A εἰ γὰρ ἐπὶ τοῦ μακαρίου Ἰὼβ, μικράν τινα λαβὼν ἐπιτροπὴν, περιέῤῥιζεν αὐτοῦ τὴν οἰκίαν ἅπασαν, τὸ σῶμα αὐτοῦ διελωβήσατο, τοσαύτην τραγῳδίαν εἰργάσατο, τὴν οὐσίαν διέφθειρε, τοὺς παῖδας κατέχωσε, τὴν σάρκα σκώληκας ἐπιζέσαι ἐποίησε, τὴν γυναῖκα ἐπέστησε, τοὺς φίλους, τοὺς ἐχθροὺς, τοὺς οἰκέτας, τοιαῦτα εἰπεῖν παρεσκεύασεν, εἰ μὴ μυρίοις κατείχετο χαλινοῖς, πῶς οὐκ ἂν ἅπαντας ἐλυμήνατο; διὰ τοῦτο καὶ οὗτος λέγει· εἰ μὴ ὅτι κύριος ἦν ἐν ἡμῖν, καὶ γὰρ σφόδρα ὀλίγοι ἦσαν, καὶ εὐτελεῖς, καὶ πολλοὶ αὐτοῖς ἐνεπήδων ἐπανελθοῦσι. κἀν τούτῳ δὲ τοῦ B Θεοῦ ἡ σοφία ἐδείκνυτο τῷ μὴ ἀθρόον αὐτοῖς δοῦναι τὴν ἀσφάλειαν, ἀλλ' ἠρέμα καὶ κατὰ μικρόν. τοῦτο δὲ ἐποίει τηρῶν αὐτοὺς ἐν τῇ θεογνωσίᾳ, καὶ τὴν ἐκ τῆς αἰχμαλωσίας περιγενομένην αὐτοῖς διόρθωσιν, οὐκ ἀφεὶς διαῤῥυῆναι. ἐπειδὴ γὰρ εἴωθεν ἡ τῶν κακῶν ἀπαλλαγὴ ῥαθυμοτέρους ποιεῖν, καὶ ἐν αὐτῇ τῇ δόσει τῶν ἀγαθῶν ἀφίησιν αὐτοὺς συνεχῶς πειράζεσθαι, ἵν' ἔχωσι διηνεκῆ γυμνασίαν φιλοσοφίας τοὺς πειρασμούς. διά τοι τοῦτο οὔτε ἐν συμφοραῖς ἀφίησιν ἀεὶ τοὺς ἀνθρώπους, ἵνα μὴ ἀποκάμωσιν, οὔτε ἐν ἀνέσει, C ἵνα μὴ ῥαθυμότεροι γένωνται, ἀλλὰ ταῖς ἐναλλαγαῖς ποικίλλει τὴν σωτηρίαν αὐτῶν. ἄρα ζῶντας ἂν κατέπιον ἡμᾶς. εἶδες πῶς παρίστησι τὸ θηριῶδες τῶν ἐπιόντων; καὶ γάρ εἰσιν ἄνθρωποι τοιοῦτοι θηρίων ὠμότητα ἐπιδεικνύμενοι, μᾶλλον δὲ καὶ ἐκείνων χαλεπώτεροι τοῖς ὁμοφύλοις κεχρημένοι. τὸ μὲν γὰρ θηρίον ἅπαξ ἐμπεσὸν τὸν θυμὸν ἀφῆκε, καὶ ἀνεχώρησεν, ἢ διαχρησθὲν οὐκ ἔτι ἐπῆλθεν· ἄνθρωποι δὲ πολλάκις ἀποτυχόντες, πολλάκις ἐπιτίθενται, αὐτῶν ἐπιθυμοῦντες ἀπογεύσασθαι τῶν σαρκῶν. τοιοῦ- D τον ὁ θυμὸς, λογισμὸν οὐκ ἔχων· οὕτω ζεῖ τὸ πάθος καὶ ἀναχλάζει. πῶς οὖν ἂν σβεσθείη τὸ νόσημα; ἂν τὰ καθ' ἑαυτοὺς λογισώμεθα, εἰ θάνατον ἐννοήσωμεν, καὶ τοὺς καθ' ἑκάστην ἀπιόντας ἡμέραν· εἰ τὴν φύσιν αὐτὴν διασκεψώμεθα, ὅτι γῆ καὶ σποδός ἐσμεν. εἰ δὲ τὸ κάλλος τῆς ὄψεως ἔτι ἀπατᾷ σου τὴν διάνοιαν, βάδιζε πρὸς τὰ μνήματα καὶ τὰς θήκας τῶν πατέρων, καὶ ἴδε τοὺς κειμένους, πῶς εἰσιν εἰς χοῦν διαλελυμένοι, καὶ πολλὴν ἐκ τῆς ὄψεως ἀφορμὴν εἰς τὸ στέλλεσθαι δέξῃ. ἀλλὰ μὴ καταγνῷς βαρύτητα τοῦ λόγου. καθάπερ γὰρ οἱ πυρέττοντες, ἐπειδὰν ἀπαλ-

ἀπαλλαγῶσι τῶν νοσημάτων, ἀέρος δέονται καθα- A ροῦ· οὕτω δὴ καὶ οἱ μαινόμενοι τοῖς πάθεσιν, ἂν εἰς τὰ μνήματα παραγένωνται, ὥσπερ ὑγιεινοῦ τινος χωρίου ἐπιλαβόμενοι πολλὰ τῶν νοσημάτων ἐξορίζουσι. καὶ γὰρ ἀρκεῖ τῆς λάρνακος ἡ ὄψις, καὶ τὸν σφόδρα ἀπονενοημένον κατενεγκεῖν· ἀπὸ τούτων παράπεμψον τὴν διάνοιαν εἰς τὴν μέλλουσαν ἡμέραν τὴν φοβεράν, εἰς τὰ βασανιστήρια ἐκεῖνα καὶ τὰς εὐθύνας, εἰς τὰς κολάσεις τὰς οὐκ ἐχούσας παραμυθίαν, ἔνθα οὐδείς σοι παραστήσεται. τούτοις πᾶσι κατέπᾳδε τὰ πάθη· σκόπει δὲ, καὶ τῶν ἀνθρώπων τοὺς ἐν τῷ πα- B ρόντι βίῳ, ἀπὸ πλούτου πρὸς πενίαν μεταπίπτοντας, ἀπὸ δόξης εἰς ἀτιμίαν. καὶ εἰ βούλει ὀργίζεσθαι, μὴ τῷ συγγενεῖ, ἀλλὰ τῷ πονηρῷ δαίμονι· ἔχεις ἔνθα ἀναλώσεις τὸ πάθος, ἐκείνῳ μηδέποτε καταλλαγῇς· ἐκείνῳ ἀνάλωσον τὴν ὀργὴν καὶ δαπάνησον· ἐκείνῳ στῆσον παγίδα, μηδέποτε ἐμπλησθῇς αὐτῷ πολεμῶν. ἐν τῷ ὀργισθῆναι τὸν θυμὸν αὐτοῦ ἐφ' ἡμᾶς. ἄρα τὸ ὕδωρ ἂν κατεπόντισεν ἡμᾶς· χείμαῤῥον διῆλθεν ἡ ψυχὴ ἡμῶν, ἄρα διῆλθεν ἡ ψυχὴ ἡμῶν τὸ ὕδωρ τὸ ἀνυπόστατον. χείμαῤῥον ἐνταῦθα καὶ ὕδωρ, τὴν ἄφατον ὀργὴν τῶν πολεμίων λέγει· ὕ- C δωρ γάρ ἐστιν ἀτάκτως φερόμενον καὶ κατὰ πολλῆς τῆς ῥύμης καὶ τῆς βίας παρασῦρον τὸ προστυχόν. οὐ τὴν φορὰν δέ φησιν ἐνταῦθα τῶν κακῶν, ἀλλὰ καὶ τὴν πάροδον. μὴ τοίνυν καταπίπτωμεν, ὅταν ἐπίῃ δεινά, χείμαῤῥός ἐστιν οἷα ἂν ᾖ· νέφος ἐστὶ παρατρέχον· ὅπερ ἂν εἴπῃς λυπηρόν, ἔχει τέλος. ὅπερ ἂν εἴπῃς δεινόν, πρὸς πέρας ἀπαντᾷ. εἰ γὰρ μὴ τέλος εἶχεν, οὐκ ἂν ἤρκεσεν ἡ φύσις. ἀλλὰ πολλοὺς παρασύρει φησίν. ἀλλ' οὐ παρὰ τὴν οἰκείαν ῥύμην, ἀλλὰ παρὰ τοὺς ῥαθύμους, καὶ ῥᾳδίως ὑποσκελιζομένους. ἵνα οὖν μὴ παρασυρώμεθα, καὶ πρὸς τὰ D βαθύτερα αὐτοῦ βαδίζωμεν, διασκεψώμεθα τοὺς τόπους αὐτοῦ· ἐπιλαβώμεθα τῆς ἱερᾶς ἀγκύρας, ὥστε μηδὲν ὑπομεῖναι ναυάγιον. καὶ γὰρ ὁ χείμαῤῥος μέχρι καιροῦ φοβερός ἐστι, καὶ πάλιν ἀμέτρως ταπεινοῦται. ἄρα τὸ ὕδωρ ἂν κατεπόντισεν ἡμᾶς. ἕτερος ἑρμηνευτής φησι, τότε ἂν τὰ ὕδατα περιέκλυσεν ἡμᾶς. ὡς φάραγξ παρηγόντα κατὰ τῆς ψυχῆς ἡμῶν. ἄρα διῆλθεν ἡ ψυχὴ ἡμῶν τὸ ὕδωρ τὸ ἀνυπόστατον. ἕτερος φησί, τότε

A borant, postquam à morbo liberati fuerint, puro aëre indigent: ita etiam quos animi perturbationes ad insaniam adigunt, si ad monumenta accesserint, tanquã qui in prædium saluberrimum peruenerint, multas expellent ægritudines. Sufficit enim vel solus vrnæ aspectus ad eũ deprimẽdum, qui est valde insolẽs. Ab his deinceps transmitte tuam cogitationem ad futurum illum diem terribilem, ad habendas de te quęstiones, & reddendas rationes, ad supplicia, quæ nullum habent omnino solatium, vbi nemo te defendet: & his B omnibus veluti quibusdã carminibus seda tuas animi perturbationes. Considera autem etiã ex hominibus eos qui in vita præsenti ex diuitiis redacti sunt in paupertatẽ, ex gloria in ignominiam: & si velis irasci, non ei qui est tibi genere coniunctus, sed malo dæmoni irascere; habes, in quem affectum effundas: illi nunquam reconcilieris: illi iram tuam impende & consume, in illum tende laqueum, nunquam cesses aduersus eum bellum gerere. 3. *Cùm irasceretur furor eorum in nos, forsitan aqua absorbuisset nos.* 4. *Torrentem pertrãsiuit anima nostra,* C *forsitan pertransisset anima nostra aquam intolerabilem.* Torrentem & aquam hîc dicit ineffabilem iram inimicorum. Est enim aqua, quæ effusè magna vi & magno impetu fertur, & quodcunque ei occurrit, secum trahit. Non solùm autem hîc dicit irruptionem malorum, verumetiam transitum. Ne animum ergo abijciamus quando nos mala inuaserint. Torrens est cuiusmodicunque sit, est nubes quæ prætercurrit. Quicquid molesti dixeris, id habet finem. Quicquid graue & asperũ dixeris, id quoque omnino habet extremũ. Si enim finem non haberent, natura nõ sufficeret. At com- D plures, inquit, secum trahit. At id nõ fit propter eius violentiã, sed propter eos qui sunt ignaui & pusillanimi, & facilè prosternuntur. Ne ergo seducamur, sed ad ea quę intima sũt eius perueniamus, loca eius cõsideremus, sacrã anchoram apprehẽdamus, vt nullũ patiamur naufragium. Torrens enim est ad tempus terribilis, & rursum supra modum deprimitur. Aqua absorbuisset nos. Alius, Tunc aquæ inũdauissent nos, quæ, tanquam gurges pertransissent animam nostram. Vtique trãsisset anima nostra aquam intolerabilem. Alius, tunc tran-

Perturbationes animi vt sanari possint. Hebr. 10.

Dæmoni homini mala.

Spem dicit anchoram sacram.

fiissent super animam nostram, tanquã aquæ, superbi. Vidisti quantum sit Dei auxiliũ: quomodo in tot malis non fuerit eos obruit? Ideo enim finit mala crescere, non vt nos obruant, sed vt magis probatos efficiant, & suæ potentiæ maiorem præbeat demonstrationem. Superbos autem hic dicit hostes, qui quouis torrente, & quauis aqua intolerabili vehementius irruentes, nihil ipsos læserunt. In causa est autem Dei præsidium cœleste subsidiũ, auxilium quod superari non potest. Et ideo cùm ipse dixisset liberationem à malis, dicit eum etiam qui liberauit, idque cum summa eius laude. 5. *Benedictus Dominus, qui non dedit nos in captionem dentibus eorum.* 6. *Anima nostra sicut passer erepta est de laqueo venantium.* Vidisti quomodo suam ostendit imbecillitatem, & illorum potentiam? Illi enim tanquam feræ & leones eos inuadebãt, parati vel eorum vesci carnibus, armati & viribus & iracundia; hi verò erant quouis passere imbecilliores. Tunc enim Dei miracula maximè ostenduntur, quando qui sunt imbecilli, superant potentiores. Nec eo solùm erant insidiæ intolerabiles, quòd illi quidem erant potentes & terribiles, ira pleni, & vel eorum carnibus vesci parati: hi autem imbecilli, & pauci, & ad inuadendum faciles: sed etiam quòd erant in mediis malis intercepti, & vndique cincti difficultatibus, haberent vndique bella eos circumstantia: sed qui est maxima potestate præditus, & potest vndique conseruare, etiam postquam pericula & mala circumsederint, nos, inquit, liberauit cum magna facilitate. Quod quidem volens ostendere, sic dixit, *Anima nostra sicut passer erepta est de laqueo venantium.* 7. *Laqueus contritus est, & nos liberati sumus.* Deinde ostendens etiam quomodo, subiunxit, 8. *Adiutorium nostrum est in nomine Domini, qui fecit cælum & terram.* Vidisti auxiliatoris virtutem? vidisti potentiam? ipsa etiam insidiarum adminicula sustulit. Hoc etiam anagogicè acceperit quispiam de diabolo, & de genere hominum. Ostendit enim quomodo eripuerit, & eius sustulerit insidias. Hoc enim factum est ex quo dixit discipulis, Ambulate super serpentes & scorpios, & super omnem pote-

Rom. 5.
Iacob. 1.
Luc. 10. Diabolus profligatus.

A περιῆλθον ὑπὲρ τὴν ψυχὴν ἡμῶν ὡς τὰ ὕδατα ὑπερήφανα. εἶδες πόση τοῦ Θεοῦ ἡ συμμαχία; πῶς ἐν τοσούτοις κακοῖς οὐκ ἀφῆκεν αὐτοὺς ὑποβρυχίους γενέσθαι; διὰ γὰρ τοῦτο ἀφίησιν αὔξεσθαι τὰ δεινά, οὐχ ἵνα ἡμᾶς καταδύσῃ, ἀλλ' ἵνα δοκιμωτέρους ἐργάσηται, καὶ τῆς αὐτοῦ δυνάμεως μείζονα παράσχηται τὴν ἀπόδειξιν. ὑπερηφάνους δὲ ἐνταῦθα τοὺς πολεμίους φησίν, οἳ παντὸς χειμάρρου σφοδρότεροι, καὶ παντὸς ὕδατος ἀφορήτου προσβαλόντες, οὐδὲν αὐτοὺς παρέβλαψαν. τὸ δὲ αἴτιον ἡ τοῦ Θεοῦ συμμαχία, ἡ ἄνωθεν ῥοπή, ἡ ἀχείρωτος βοήθεια. διὰ δὴ τοῦτο καὶ αὐτὸς εἰπὼν τὴν ἀπαλ- B λαγὴν, τῶν κακῶν λέγει καὶ τὸν τὴν ἀπαλλαγὴν παρεσχηκότα, καὶ μετ' εὐφημίας. Εὐλογητὸς κύριος, ὃς οὐκ ἔδωκεν ἡμᾶς εἰς θήραν τοῖς ὀδοῦσιν αὐτῶν. ἡ ψυχὴ ἡμῶν ὡς στρουθίον ἐρρύσθη ἐκ τῆς παγίδος τῶν θηρευόντων. εἶδες πῶς καὶ τὴν οἰκείαν ἀσθένειαν παρίστησι, καὶ τὴν ἐκείνων ἰσχύν; οἱ μὲν γὰρ ὡς θηρία καὶ λέοντες ἐπέστησαν αὐτοῖς ἕτοιμοι τῶν σαρκῶν ἀπογεύσασθαι, καὶ τῇ δυνάμει καὶ τῷ θυμῷ καθωπλισμένοι· οἱ δὲ στρουθίου παντὸς ἀσθενέστερον διέκειντο. τότε γὰρ μάλιστα διαδείκνυται τοῦ Θεοῦ τὰ θαύματα, ὅτε C οἱ ἀσθενεῖς τῶν δυνατῶν κρατοῦσιν. οὐ ταύτῃ δὲ μόνον ἀφόρητος ἦν ἡ ἐπιβουλή, ὅτι οἱ μὲν δυνατοὶ καὶ φοβεροί, καὶ θυμοῦ πολλοῦ γέμοντες, καὶ παρεσκευασμένοι τῶν σαρκῶν ἀπογεύσασθαι· οἱ δὲ ἀσθενεῖς, καὶ ὀλίγοι, καὶ εὐεπιχείρητοι· ἀλλ' ὅτι καὶ ἐν μέσοις ἀπειλημμένοι τοῖς δεινοῖς, εἰς αὐτὰ ἐμβεβηκότες τὰ δυσχερῆ, πανταχόθεν πολέμους ἔχοντες περικειμένους· ἀλλ' ὁ εὔπορος καὶ πανταχόθεν δυνάμενος διασώζειν, καὶ μετὰ τὸ ἐμπεσεῖν εἰς τὰ δεινὰ μετὰ πολλῆς ἡμᾶς, φησιν, ἀπήλλαξε τῆς εὐκολίας. ὅπερ οὖν παραστῆσαι βουλόμενος οὕτως εἶπεν· ἡ ψυχὴ D ἡμῶν ὡς στρουθίον ἐρρύσθη ἐκ τῆς παγίδος τῶν θηρευόντων. ἡ παγὶς συνετρίβη καὶ ἡμεῖς ἐρρύσθημεν. εἶτα δεικνὺς καὶ πῶς, ἐπήγαγεν· Ἡ βοήθεια ἡμῶν ἐν ὀνόματι κυρίου τοῦ ποιήσαντος τὸν οὐρανὸν καὶ τὴν γῆν. εἶδες τὴν δύναμιν τοῦ προστάτου; εἶδες τὴν ἰσχύν; καὶ αὐτὰς τὰς ἀφορμὰς τῆς ἐπιβουλῆς ἀνεῖλε. τοῦτο τις καὶ κατὰ ἀναγωγὴν ἂν ἐκλάβοι ἐπὶ τοῦ διαβόλου, καὶ τοῦ γένους τῶν ἀνθρώπων. δείκνυσι γὰρ πῶς ἐξήρπασε· πῶς ἐξέλυσεν αὐτοῦ τὰς ἐπιβουλάς. τοῦτο γὰρ γέγονεν ἀφ' οὗ πρὸς τοὺς μαθητὰς εἶπε· πατεῖτε ἐπάνω ὄφεων καὶ σκορπίων, καὶ ἐπὶ πᾶσαν τὴν

τὴν

τὴν δύναμιν τοῦ ἐχθροῦ. οὐκ ἔστι γὰρ ἐξ εὐθείας A ἡ μάχη, οὐδὲ ἐξ ἴσης ἡ παράταξις· ἀλλ' ὁ μὲν κεῖται πρηνὴς καταπεπτωκώς· σὺ δὲ ἕστηκας ὄρθιος ἄνωθεν βάλλων· ὁ μὲν ἐκνενευρισμένος· σὺ δὲ ἰσχυρός. πόθεν οὖν νικᾷ πολλάκις; ἀπὸ τῆς νωθείας τῆς ἡμετέρας, ἀπὸ τῆς ῥαθυμίας τῶν καθευδόντων. ὥστε εἰ βουληθείης ἐναντίον στῆναι, οὐ τολμᾷ παρατάξασθαι. εἰ δὲ καθεύδοντος περιγίνεται, τοῦτο οὐ τῆς ἐκείνου δυνάμεως, ἀλλὰ τῆς σῆς ὀλιγωρίας. τίς γὰρ οὐκ ἂν κρατήσειε τοῦ καθεύδοντος, κἂν ἁπάντων ἀσθενέστερος ᾖ; ἐδέθη ὁ B ἰσχυρός, τὰ σκεύη αὐτοῦ διηρπάγη, ἡ δύναμις αὐτοῦ κατελύθη, τὸ καταγώγιον ἀνερράγη· αἱ ῥομφαῖαι αὐτοῦ ἐξέλιπον. τί πλέον τούτων βούλει; τίνος ἕνεκεν αὐτὸν φοβῇ; τίνος ἕνεκεν δέδοικας; πατεῖν ἐκελεύσθης τὸν ἐκνενευρισμένον. πόθεν τρέμεις εἰπέ μοι; πόθεν ἀγωνιᾷς; οὐκ ἐννοεῖς οἷον ἔχεις βοηθόν; οὐδὲ γὰρ μόνον ὁ ἐχθρὸς γέγονεν ἀσθενέστερος, ἀλλὰ ἡ βοήθειά σου μείζων. τῆς σαρκὸς τὰ σκιρτήματα κατεστάλη, τῆς ἁμαρτίας τὸ φορτίον ἠφανίσθη, πνεύματος ἔλαβες χάριν, ἀλείμματος δύναμιν. C τὸ γὰρ ἀδύνατον τοῦ νόμου ἐν ᾧ ἠσθένει διὰ τῆς σαρκός, ὁ Θεὸς τὸν υἱὸν αὐτοῦ πέμψας ἐν ὁμοιώματι σαρκὸς ἁμαρτίας, καὶ περὶ ἁμαρτίας κατέκρινε τὴν ἁμαρτίαν ἐν τῇ σαρκί· ἵνα τὸ δικαίωμα τοῦ νόμου πληρωθῇ ἐν ἡμῖν τοῖς μὴ κατὰ σάρκα περιπατοῦσι, τὴν σάρκα εὐήνιον ἐποίησεν. ὅπλα σοι ἐχαρίσατο, θώρακα δικαιοσύνης, ζώνην ἀληθείας, κράνος σωτηρίας, ἀσπίδα πίστεως, μάχαιραν πνεύματος, ἀρραβῶνα δέδωκε, τῷ σώματι αὐτοῦ τρέφει σε, τῷ αἵματι αὐτοῦ ποτίζει σε, σταυρόν σοι ἐνεχείρισεν ὡς δόρυ, δόρυ μηδέποτε καμπτόμενον· ἐκεῖνον ἔδησε· χαμαὶ ἔρριψεν. ὥστε ἀναπολόγητός σου λοι- D πὸν ἡ ἧττα, καὶ συγγνώμην οὐκ ἔχεις βαλλόμενος. μυρίας γὰρ ἔχεις πρὸς τὸ νικᾶν ἀφορμάς. ἡ παγὶς συνετρίβη, καὶ ἡμεῖς ἐρρύσθημεν. ἡ βοήθεια ἡμῶν ἐν ὀνόματι κυρίου τοῦ ποιήσαντος τὸν οὐρανὸν καὶ τὴν γῆν. ὁρᾷς οἷον ἔχεις στρατηγόν; οἷον βασιλέα; τὸν τοῦδε τοῦ παντὸς δημιουργόν; τὸν λόγῳ τοσαῦτα σώματα παραγαγόντα, τοσοῦτον ὄγκον, τοσοῦτον μέγεθος. μὴ καταπέσῃς, στῆθι γενναίως.

A ſtatem inimici. Non enim eſt amplius apertum bellum, nec ex æquo inſtructa acies: ſed ille quidem iacet pronus & procumbens: tu autem ſtas erectus, ex alto eum feriens: ille quidem eneruatus, tu verò robuſtus & validus. Qui fit ergo vt ſæpe vincat? Hoc fit ex noſtra ignauia, ex ſocordia eorum qui dormiunt. Si velis itaque reſiſtere, non audet tecum inſtructa acie confligere. Quod ſi vincit dormientem, id non illius potentiæ, ſed tuæ tribuendum eſt negligentiæ. Quis enim dormientem non vicerit, etſi ſit omnium imbecilli- B mus? Alligatus eſt fortis, impedimenta eius omnia direpta ſunt, fracta eſt potentia, ruptum eſt ac dirutum eius habitaculum, rhomphææ eius defecerũt. Quid vis his amplius? Quã de cauſa eum times? Cur vereris? Iuſſus es conculcare eum, qui eſt eneruatus: quamobrem dic quæſo contremiſcis? Cur cunctaris ac dubitas? An non cogitas qualis ſit, qui tibi fert auxilium? Non ſolùm enim hoſtis tuus factus eſt imbecillior: ſed etiam tuum maius eſt auxilium. Compreſſa eſt carnis exultatio, peccati ablata eſt ſarcina, gratiam ſpi- C ritus accepiſti, quæ habet vim vnctionis. Nam quod impoſſibile erat legi, in quo erat imbecillum per carnem, Deus miſſo ſuo filio in ſimilitudine carnis peccati, & de peccato condemnauit peccatum in carne, vt iuſtificatio legis impleretur in nobis, qui non ſecundùm carnem ambulamus. Carnem fecit tibi morigeram, arma tibi donauit, thoracem iuſtitiæ, cingulum veritatis, galeam ſalutis, clypeum fidei, gladium ſpiritus arrham dedit, corpore ſuo te nutrit, ſanguinem ſuum tibi bibendum porrigit, crucem tibi tanquam lanceam in manus tradidit, lanceam quæ nun- D quam flectitur: illum alligauit, humi proiecit. Non habes itaque quo te deinceps defendas, ſi vincaris: & ſi profligeris, non eſt tibi danda venia. Habes enim innumerabilia victoriæ adminicula. Laqueus contritus eſt, inquit, & nos liberati ſumus. Auxiliũ noſtrum in nomine Domini, qui fecit cœlum & terram. Vides qualem habes Imperatorem, qualem Regem, eum qui eſt vniuerſi opifex, cum qui ſolo verbo tot corpora produxit, tantam molem, tantam magnitudinem. Ne animum demittas, forti animo reſiſtas.

Iacob. 4. *Matt. 12.* *Pſal. 9.* *Rom. 8. 3.* *Epheſ. 6.* *Epheſ. 1.* *Ioan. 6.* *Arma Chriſtianorum.*

Nihil vetat quo minus trophæum pulcherrimum erigas. Hæc ergo cùm sciamus, ô dilecti, sobrij simus, contendamus, ne dormiamus, sed cùm arma absterserimus, animique promptitudinem & alacritatem confirmauerimus, hostem assiduè inuadamus, vt cùm præclaram victoriam retulerimus, cum magna gloria regnum cœlorum consequamur. Quod nobis detur assequi gratia & benignitate Domini nostri Iesu Christi, cui gloria & potentia in secula seculorum, Amen.

A οὐδὲν κωλύει τὸ τρόπαιόν σε στῆναι λαμπρόν. ταῦτ' οὖν εἰδότες ἀγαπητοί, νήφωμεν, ἀγωνιζώμεθα, μὴ καθεύδωμεν, ἀλλὰ τὰ ὅπλα ἀποσμήξαντες τὴν προθυμίαν νευρώσαντες, βάλλωμεν διηνεκῶς τὸν πολέμιον, ἵνα λαμπρὰν τὴν νίκην ἀράμενοι, μετὰ πολλῆς τῆς δόξης ἀπολαύσωμεν τῆς βασιλείας τῶν οὐρανῶν. ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

B

IN PSALMVM CXXIV.

Qui confidunt in Domino, sicut mons Sion.

QVID sibi vult additio Sion? Cur enim non dixit absolutè, sicut mons, sed illius montis meminit? Docens nos non debere animum deijcere in calamitatibus, nec ab eis pessundari, sed à spe in Deum pendentes, omnia ferre fortiter, & bella, & pugnas, & tumultus. Quemadmodum enim hic mons qui fuerat quandoque desertus, & nudatus habitatoribus, ad priorem redierat prosperitatem veteri statu recepto, cùm incolæ rediissent, & miracula rursus ostenderetur: ita etiam vir fortis & generosus, licet ab innumerabilibus inuadatur calamitatibus, minimè euertetur. Ne ergo quæras vitam ab omnibus negotiis, periculis & afflictionibus remotam, sed quam minimè inuoluunt & deprimunt pericula. Ars enim nō eodē modo ostenditur, si quis in portu sedeat, & si quis vndosum mare transmittat. Ille enim, ignauus, mollis, & eneruatus redditur: hic autē, qui multas rupes marinas, multas cautes, & scopulos, multos ventorū impetus, & alia maris pericula sustinuit, & in his omnibus excelluit, animum suum firmiorem & robustiorem reddidit. Non enim ideo deductus es in hanc vitam, vt sis otiosus, nec vt sis vilis & abiectus,

Rom. 8. 2. Cor. 12.

Εἰς τὸν ρκδ' ψαλμόν.

ΟΙ πεποιθότες ἐπὶ κύριον, ὡς ὄρος Σιών.

C ΤΙ βούλεται τοῦ Σιὼν ἡ προσθήκη; διὰ τί γὰρ οὐκ εἶπεν ἁπλῶς ὡς ὄρος, ἀλλὰ τοῦ ὄρους ἐκείνου μέμνηται; παιδεύων ἡμᾶς μὴ ταπεινοῦσθαι ἐν ταῖς συμφοραῖς, μηδὲ καταποντίζεσθαι, ἀλλὰ τῆς εἰς τὸν Θεὸν ἐλπίδος ἐκκρεμαμένους, πάντα φέρειν γενναίως, καὶ πολέμους, καὶ μάχας, καὶ ταραχάς. ἐπεὶ καὶ τὸ ὄρος τοῦτο ποτὲ γενόμενον ἔρημον, καὶ γυμνόν, ἐπὶ τὴν προτέραν πάλιν ἐπανῆλθεν εὐημερίαν, τὴν ἀρχαίαν ἀπολαβὸν εὐπραγίαν, τῇ τῶν οἰκείων ἐπανόδῳ, τὰς τῶν θαυμάτων ἐπιδείξεσιν· οὕτω καὶ ὁ γενναῖος ἀνὴρ κἂν D μυρία πάθῃ δεινά, οὐ περιτραπήσεται. μὴ τοίνυν ἀκίνδυνον ζήτει βίον, καὶ ἀπράγμονα, καὶ ἀταλαίπωρον, ἀλλὰ τὸν κινδύνοις μὴ καταφερόμενον. οὐ γάρ ἐστιν ἴσον ἐν λιμένι καθήμενον, καὶ πέλαγιον σαλεύοντα τὴν τέχνην ἐπιδείκνυσθαι. ὁ μὲν γὰρ νωθὴς γίνεται, καὶ χαῦνος, καὶ ἄτονος· ὁ δέ, πολλὰς μὲν πέτρας ὑφάλους, πολλὰς δὲ σπιλάδας, πολλὰς δὲ ἀνέμων βίας, καὶ τὰ ἄλλα τὰ ἀπὸ τῆς θαλάττης ὑπομείνας δεινά, καὶ ἐν πᾶσι τούτοις διαλάμψας, ἰσχυροτέραν ἑαυτοῦ καθίστησι τὴν ψυχήν. διὰ γὰρ τοῦτο εἰς τὸν παρόντα ἐξηνέχθης βίον, οὐχ ἵνα ἀργῇς, οὐδ' ἵνα διαπεπτωκὼς ᾖς,

οὐδ' ἵνα μὴ πάθῃς μηδὲν δεινόν, ἀλλ' ἵνα παθὼν λαμπρότερος γένῃ. μὴ δὴ τὴν ἄνεσιν ζῆσιν ζητῶμεν, μηδὲ τὸν τῆς τρυφῆς γέμοντα βίον. οὐ γὰρ ἀνδρὸς γενναίου, ἀλλὰ σκώληκος ἡ ἐπιθυμία, ἀλόγου μᾶλλον ἢ λόγον ἔχοντος· ἀλλ' εὔχου μὲν μάλιστα μὴ ἐμπεσεῖν εἰς πειρασμόν· εἰ δέ ποτε ἐμβαίης, μὴ δυσχέραινε, μὴ θορυβοῦ, μηδὲ ταράττου, ἀλλ' ὅπως γένοιο λαμπρότερος, ἅπαντα ποίει. οὐχ ὁρᾷς τῶν στρατιωτῶν τοὺς ἀνδρειοτάτους, πῶς τῆς σάλπιγγος καλούσης πρὸς τὰ τρόπαια βλέπουσι, πρὸς τὰς νίκας, πρὸς τοὺς στεφάνους, πρὸς τοὺς κατωρθωκότας τῶν προγόνων; καὶ σὺ τοίνυν τῆς σάλπιγγος ἠχούσης τῆς πνευματικῆς, στῆθι λέοντος γενόμενος σφοδρότερος· ἔμβηθι, κἂν πῦρ ᾖ, κἂν σίδηρος. οἶδε καὶ τὰ στοιχεῖα τοὺς ὄντας ἀνδρείους αἰδεῖσθαι. οἶδε καὶ τὰ θηρία τοὺς οὕτω γενναίους δεδοικέναι. κἂν ὑπὸ λιμοῦ, κἂν ὑπὸ φύσεως αὐτῆς ἀγριαίνῃ, πάντων ἐπιλανθάνεται, ὅταν ἴδῃ δίκαιον, καὶ κρατεῖ τοῦ πάθους. τούτοις τοίνυν φράττου τοῖς ὅπλοις, καὶ μηδὲ πῦρ δείσῃς, κἂν εἰς οὐρανὸν ἴδῃς τὴν φλόγα ἀναβαίνουσαν. στρατηγὸν ἔχεις γενναῖον, καὶ πάντα δυνάμενον, καὶ νεύματι μόνῳ λύοντα τὰ δεινά. πάντα ἐκείνου, καὶ οὐρανὸς, καὶ γῆ, καὶ θάλασσα, καὶ θηρία, καὶ πῦρ· πάντα αὐτῷ ῥᾴδια καὶ μεταθεῖναι, καὶ μεταστῆσαι πρὸς εὐκολίαν. πόθεν οὖν δέδοικας, εἰπέ μοι; οὐδαμόθεν ἄλλοθεν, ἀλλ' ἢ ἀπὸ νωθείας καὶ τῆς οἰκείας ῥᾳθυμίας. οὐχὶ θάνατός ἐστι τῶν κακῶν ὁ κολοφών; ἀλλὰ καὶ τοῦτ' ἔστι τῆς φύσεως τὸ ὄφλημα. διατί μὴ πραγματεύῃ τὸ χρέος; εἰ γὰρ ἀνάγκη ἐλθεῖν τὴν ὁδὸν ταύτην καὶ ἑκόντα, καὶ ἄκοντα, διατί μὴ μετ' ἐμπορείας; ἀλλὰ μετὰ βασανιστήρια χαλεπά· ἀλλὰ πρόσκαιρα, καὶ μείζονα τῆς ὀδύνης παρέχοντα τὴν ἡδονήν. εἰ δὲ ταῦτά σοι δοκεῖ χαλεπὰ εἶναι, ἐννόησον τοὺς ἄνευ μισθοῦ φθορᾷ μακρᾷ παραδιδομένους, τοὺς λιμῷ διηνεκεῖ παλαίοντας, τοὺς νοσήματα ἔχοντας ἀνίατα καὶ μακρά· διὸ καὶ πολλάκις ηὔξαντο καταλῦσαι τὸν βίον, πολλοὶ δὲ καὶ ἐπὶ βρόχον καὶ ἐπὶ ξίφος ὥρμησαν. σοὶ δὲ οὐρανὸς πρόκειται, καὶ τὰ ἐν τοῖς οὐρανοῖς ἀγαθά, καὶ οὐ φρίττεις καὶ οὐ δέδοικας καταμαλακιζόμενος, καὶ ταῦτα τοιοῦτον ἔχων σύμμαχον; οὐκ ἀκούεις τοῦ προφήτου λέγοντος, ὅτι οἱ πεποιθότες ἐπὶ κύριον, ὡς ὄρος Σιών;

nec vt tibi nihil aduersi eueniat, sed vt grauia passus euadas clarior. Ne otiosam ac remissam, voluptatibúsque & deliciis plenam vitam quæramus. Non est enim viri fortis, sed potius vermis hoc desiderium: eius inquam potius, qui est rationis expers, quam eius qui est ratione præditus. Sed ora quidem maximè vt non intres in tentationem: quòd si in eam quãdoque incideris, ne ægrè feras, nec conturberis, sed fac omnia, vt euadas clarior & illustrior. Non vides fortes milites, quomodo eos vocantes tuba trophæa respiciunt, victorias, coronas, maiores qui se præclarè gesserunt? Et tu ergo cùm tuba spiritualis personat, surge & euade leone animosior: siue sit ignis, siue ferrum, ingredere. Sciunt vel ipsa elementa eos, qui sunt tam magni animi, reuereri. Sciunt etiam feræ eos qui sunt adeò fortes, pertimescere. Quãuis eas fames, quamipsa natura irritet & efferet, omnium obliuiscuntur quando iustum viderint, irámque suam cohibent. His ergo armis muniaris, & ignem non timebis, licet videris flammam in cœlos ascendentem. Habes fortem & generosum ducem, qui solo nutu potest quæcunque mala sunt & grauia tollere. Illius sunt omnia, cœlum, terra, mare, feræ, & ignis. est ei facillimum omnia transferre, ac loco mouere. Vndénam ergo, dic mihi, metus tuus oritur? Non aliunde certè, quàm ex tua ignauia & socordia. Non est mors omnium malorum colophon? Atqui ea ipsa quoque est naturæ debitum. Cur non procuras, vt tibi ex eius solutione quæstus oriatur? si enim hac via velis nolis incedendum est, cur non cum lucro? At enim post grauia tormenta. quæ nimirum temporaria sunt, & voluptatem dolore maiorem. Quòd si hæc tibi videntur esse grauia, considera eos qui absque vlla mercede longa tabe exeduntur, qui fame perpetua vexantur, qui immedicabilibus & longis morbis laborant, propter quos sæpe mortem optarunt, multi etiam in enses irruerunt, multi viam laqueo finierunt. Cœlum autem tibi est propositum, & bona quæ sunt in cœlis, & non vereris ac perhorrescis esse mollis & ignauus, idque cùm talem habeas adiutorem? An non audis prophetam dicentem, Qui confidunt in Domino, sicut mons Sion?

Hebr. 10. — Matt. 6. 16 — Exod. 14. — Dan 3. — Dan. 6. — Iudith. 9. — Act. 17.

Mons, spes in Deum immobilis.

Spem nimirum significat in Deum immutabilem, firmam & constantem, invincibilem & inexpugnabilem. Quemadmodum enim etiamsi quis innumerabiles adhibeat machinas, mõtem nec conuellere, nec labefactare poterit: ita etiam qui eum aggreditur, qui spem in Deum collocauit, reuertetur domum vacuis manibus. Monte enim longè est tutior spes in Deum. *Non commouebitur in æternum qui habitat in Hierusalem.* Alius interpres dicit, Est immutabilis in æternum, qui habitat circa Hierusalem. Quid ergo? Non cõmoti, inquit, sunt tres pueri, & Daniel? Absit. Nam à patria quidem exciderunt, captiuitatem sustinuerunt: sed nullo tamen tempore commoti sunt: sed cùm essent in tanta rerum perturbatione, & tanta fluctuum multitudine, perinde ac si petræ insisterent, & in tranquillo portu starent, nihil graue aut asperũ senserunt. Commotionem autẽ ne voces rerum casus. Non est enim hoc cõmotio, sed animæ interitus, & virtutem amisisse: quod quidem non euenit in periculis, iis qui sunt sobrij & sapientes, imò verò tutius & firmius suam possidẽt philosophiam, clarioréque & illustriores euadunt. Quòd si vis etiam anagogicè sumere illud, Non commouebitur in æternum qui habitat in Hierusalem: describe tibi adeptionem hæreditatis supernæ metropolis. Qui enim illam receperũt, sunt ab omnibus omnino casibus liberi: non sunt illic quæ eos prosternant supplantent, non cupiditates, nec voluptates, nec peccati obsessiones, non dolor, & molestia, & pericula: hæc omnia longè aberunt. 2. *Hierusalem montes in circuitu eius, & Dominus in circuitu populi sui ex hoc nunc & vsque in seculum.* Per hæc quidem dicit adesse auxilium ciuitati ex eius situ: sed non permittit vt ei confidat, sed eam ad inexpugnabile erigit auxilium, nempe Deum. Etsi enim, inquit, eam montes muniant, illa tamen protectione indiget. Id enim eam reddit inexpugnabilem. Quocirca alius quoque dicit interpres, Dominus autem circa populum suum. Hoc est, Ne confidite altitudini montium. Quod enim eam facit inexpugnabilem, hoc est,

Rom. 8. Hebr. 6.

Daniel. 3.

Commotio quid.

Hierusalem anagogicè. Apoc. 21.

3. *Quia non relinquet Dominus virgam peccatorum super sortem iustorum.* Dicit iustam quandam causam Dei auxilij

A ὄρος γὰρ εἶπε τὸ ἀπερίτρεπτον δηλῶν τῆς εἰς τὸν Θεὸν ἐλπίδος, τὸ πεπηγὸς, τὸ ἀχείρωτον, τὸ ἄμαχον. ὥσπερ γάρ τις κἂν μυρία προσαγάγῃ μηχανήματα, ὄρος οὔτε ἀνασπάσαι, οὔτε σαλεῦσαι δυνήσεται· οὕτως ὁ προσβάλλων τῷ τὴν ἐλπίδα ἐπὶ τὸν Θεὸν ἔχοντι κεναῖς οἴκαδε ἀναχωρήσει χερσίν. ὄρους γὰρ πολὺ ἀσφαλεστέρα ἡ ἐλπὶς ἡ ἐπὶ τὸν Θεόν. οὐ σαλευθήσεται εἰς τὸν αἰῶνα ὁ κατοικῶν Ἱερουσαλήμ. ἕτερος ἑρμηνευτής φησιν, ἀπερίτρεπτον εἰς τὸν αἰῶνα οἰκούμενον περὶ Ἱερουσαλήμ. τί οὖν; οὐκ ἐσαλεύθησαν, φησιν, οἱ παῖδες οἱ τρεῖς, καὶ ὁ Δανιήλ; B ἄπαγε. τῆς μὲν γὰρ πατρίδος ἐξέπεσον, καὶ αἰχμαλωσίαν ὑπέστησαν, σάλον δὲ οὐδένα οὐδέποτε· ἀλλ' ἐν τοσούτῳ θορύβῳ πραγμάτων, καὶ τοσούτῳ πλήθει κυμάτων ὄντες, ὡς ἐπὶ πέτρας ἑστῶτες καὶ λιμένι προσορμίζοντες γαληνῷ, οὕτως οὐδὲν ἔπαθον ἀηδές. μὴ δὴ σάλον καλεῖ τὴν τῶν πραγμάτων περίστασιν. οὐ γὰρ τοῦτο σάλος, ἀλλ' ἡ τῆς ψυχῆς ἀπώλεια, καὶ τὸ τῆς ἀρετῆς ἐκπεσεῖν· ὅπερ ἐν τοῖς κινδύνοις οἱ νήφοντες οὐχ ὑπομένουσιν· ἀλλ' ἀσφαλεστέραν κέκτηνται τὴν C φιλοσοφίαν, τὴν ἑαυτῶν, καὶ διαλάμπουσι μειζόνως. εἰ δὲ βούλει καὶ κατὰ ἀναγωγὴν ἐκλαβεῖν τὸ εἰρημένον, ὅτι οὐ σαλευθήσεται εἰς τὸν αἰῶνα ὁ κατοικῶν Ἱερουσαλήμ· ὑπόγραψον τὴν ἐκεῖ λῆξιν τὴν ἐπὶ τῆς ἄνω μητροπόλεως. εἰ γὰρ ἐκείνην ἀπολαβόντες πάσης εἰσὶν ἀπηλλαγμένοι περιστάσεως· οὐκ ἔστι λοιπὸν ἐκεῖ τὰ ὑποσκελίζοντα, οὐκ ἐπιθυμία, οὐδὲ ἡδοναί, οὐδὲ ἁμαρτίας περίστασις, οὐ λύπη, καὶ ἀγωνία, καὶ κίνδυνος, ἀλλὰ πάντα ταῦτα ἐκποδών. Ἱερουσαλὴμ ὄρη κύκλῳ αὐτῆς, καὶ κύριος κύκλῳ τοῦ λαοῦ αὐτοῦ ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος. D λέγει μὲν διὰ τούτων καὶ τὴν ἀπὸ τῆς θέσεως συμμαχίαν τῇ πόλει προσοῦσαν· ἀλλ' οὐκ ἀφίησι τούτοις θαῤῥεῖν, ἀλλ' ἐπὶ τὴν ἄμαχον ἀνάγει βοήθειαν τὸν Θεόν. εἰ γὰρ καὶ τὰ ὄρη αὐτὴν τειχίζει φησίν, ἀλλ' ἐκείνης δεῖται τῆς ἀσφαλείας. καὶ τοῦτο αὐτὴν ἀχείρωτον ἐργάζεται. διὸ καὶ ἕτερος ἑρμηνευτής φησι, κύριος δὲ περὶ τὸν λαὸν αὐτοῦ, τουτέστι, μὴ θαῤῥεῖτε τῇ περιβολῇ τῶν ὀρῶν. τὸ γὰρ ποιοῦν αὐτὴν ἀχείρωτον, τοῦτό ἐστιν, ὅτι οὐκ ἀφήσει κύριος τὴν ῥάβδον τῶν ἁμαρτωλῶν ἐπὶ τὸν κλῆρον τῶν δικαίων. αἰτίαν λέγει τῆς τοῦ Θεοῦ βοηθείας εὔλογόν τινα,

ὥστε καὶ θαρρῆσαι ἐκείνους. ποίαν δὴ ταύτην; οὐκ ἀφήσει, φησὶ, τὰ ἀγαθὰ τῶν δικαίων ἐν ταῖς χερσὶν εἶναι τῶν ἁμαρτωλῶν. τοῦτο εἰπὼν ὁμοῦ τε θαρρεῖν αὐτοὺς παρασκευάζων περὶ τῆς συμμαχίας τῆς τοῦ Θεοῦ, καὶ πείθων μένειν ἐν ἀρετῇ, εἴγε βούλοιντο διηνεκῶς ἀπολαύειν τῆς ἐκείνου βοηθείας, καὶ τῶν ἀγαθῶν τῶν ἰδίων εἶναι κύριοι. δείκνυσι γὰρ διὰ τούτων ὅτι καὶ ἡ κτῆσις καὶ ἡ ἀσφάλεια ἐν τῇ γνώμῃ κεῖται τῇ αὐτῶν. ῥάβδον δὲ ἁμαρτωλῶν ἐνταῦθα τὴν βασιλείαν τὴν τῶν πολεμίων καλεῖ. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· οὐκ ἀνέξεται κρατεῖν τῆς τῶν δικαίων κληρονομίας. εἰ γὰρ καὶ πρὸς καιρὸν τοῦτο πεποίηκεν, ἀλλ' ὑπὲρ διορθώσεως καὶ νουθεσίας καὶ σωφρονισμοῦ. ὅπως ἂν μὴ ἐκτείνωσιν οἱ δίκαιοι ἐν ἀνομίαις χεῖρας αὐτῶν. ἕτερος, διὰ τοῦτο οὐκ ἐκτείνουσιν οἱ δίκαιοι εἰς ἀνομίαν χεῖρας αὐτῶν. διὰ τοῦτο. ποῖον; διὰ τὸ εἰρημένον. ὅτι προστήσεται, ὅτι ἀμυνεῖ, ὅτι διακρούσεται, ὅτι ἀποστήσει τοὺς πολεμίους ἀπὸ τῶν κτημάτων αὐτῶν. ὡς εἰ ἔλεγε· τῷ τε πειρασμῷ σωφρονισθέντες, τῇ τε χορηγίᾳ τῶν ἀγαθῶν γενόμενοι βελτίους, ἐν ἀρετῇ διατελέσουσιν ὄντες, καὶ οὐχ ἅψονται πονηρίας ἑκατέρωθεν παιδευόμενοι. ὥστε δὴ τὸ πᾶν διὰ τοῦτο ἐγένετο, ὥστε τὴν ψυχὴν αὐτῶν ἀμείνω γενέσθαι, τῇ τε ἐπαγωγῇ τῶν δεινῶν διορθουμένην, τῇ τε δόσει τῶν ἀγαθῶν προθυμοτέραν καθισταμένην. ἀγάθυνον κύριε τοῖς ἀγαθοῖς. ἕτερος, ἀγαθοποίησον. καὶ τοῖς εὐθέσι τῇ καρδίᾳ, τοὺς δὲ ἐκκλίνοντας εἰς τὰς στραγγαλιὰς ἀπάξει κύριος μετὰ τῶν ἐργαζομένων τὴν ἀνομίαν. ὁρᾷς παρ' ἡμῶν πανταχοῦ τὰς ἀρχὰς γινομένας, καὶ τοῦ τῶν χρηστῶν ἀπολαύειν, καὶ τοῦ κολάσεις ὑπομένειν; ἀλλ' εἰ καὶ παρ' ἡμῶν αἱ ἀρχαὶ, ἀλλ' ὅμως καὶ οὕτω τῆς τοῦ Θεοῦ φιλανθρωπίας πολλὴ δείκνυται ἡ λαμπηδών. ἐκ γὰρ πολλοῦ τοῦ περιόντος νικᾷ ταῖς ἀντιδόσεσιν ἡμᾶς· καὶ ἐπὶ μὲν τῶν ἁμαρτημάτων, σύμμετρον ἐπάγει τὴν τιμωρίαν. ἐπὶ δὲ τῶν κατορθωμάτων, ὑπερβαίνουσαν παρέχει τὴν ἀντίδοσιν. εὐθεῖς δὲ ἐνταῦθα καλεῖ τοὺς ἀδόλους, τοὺς ἀπλάστους, τοὺς οὐδὲν ἔχοντας συνεσκιασμένον καὶ ὕπουλον. τοιοῦτον γὰρ τὸ εὐθὲς, ὃ μάλιστα ὁ Θεὸς ἐπιζητεῖ πανταχοῦ. τοιοῦτον ἡ ἀρετὴ, λεία τις καὶ εὔκολος, ὥσπερ οὖν ἡ πονηρία διεστραμμένον, ποικίλον, ἀδιέξοδον. καὶ τοῦτό ἐστιν ἀπὸ τῶν πραγμάτων ἰδεῖν αὐτῶν. ὁ γοῦν βουλόμενος ψεύσασθαι, καὶ δόλους ῥάψαι, ἐννόησον ὅσοις ἐπιχειρεῖ, ὅσης δεῖται τῆς ποικιλίας·

A vt illi possint confidere. Quænam autem ea est? Non permiserit, inquit, bona iustorum esse in manibus peccatorum. Hoc autem dixit, simul & hoc agens vt confiderent de Dei auxilio, & persuadens vt in virtute persisterent, si vellent frui perpetuo illius auxilio, & bona sua habere in sua potestate. Per hæc enim ostendit & acquisitionem, & securam eorum possessionem in libero arbitrio esse sitam. Virgam autem peccatorum hic vocat regnum hostium. Quod autem dicit, est eiusmodi, non B sinet, vt teneat hæreditatem iustorum. Etsi enim hoc fecit ad tempus, id fecit pro correctione, castigatione, & admonitione. *Vt non extendant iusti ad iniquitatem manus suas.* Alius, Propterea non extendunt iusti ad iniquitatẽ manus suas. Propter quidnam? Propter id quod dictum est, quòd defendet, quòd tuebitur, quòd hostes propulsabit, eósque repellet ab eorum possessionibus. quasi diceret, Castigati tentatione, & bonorum suppeditatione effecti meliores, perseuerabunt in virtute, & vtrinque eruditi vitium non attingent. Vniuersum ergo propterea factum est, vt C anima eorum reddatur melior, & rebus quidem aduersis corrigatur, bonis autem datis fiat promptior & alacrior.

Arbitrij libertas.

Virga peccatorum.

4. *Benefac Domine bonis.* Alius, Beneficia confer, *& rectis corde.* 5. *Declinantes autem in obligationes adducet Dominus cum operantibus iniquitatem.* Vides vbique duci à nobis initium & bonorum cõsequendorum, & sustinendæ pœnæ? Quamuis autem à nobis sumatur principium, sic tamen Dei quoque benignitatis plurima lux affulget; profusa enim quadam D & redundanti copia nos vincit remunerationibus: & in peccatis quidẽ commoderatum imponit suppliciũ, in rectè autem factis longè maiori remuneratione vtitur. Rectos autem hic vocat simplices, non fictos, qui nihil habent adumbratũ nec simulatum. Tale enim est quod rectum est, quod Deus vbique maximè requirit. Talis est etiam virtus, nempe plana & expedita: quemadmodum improbitas est quid peruersum, varium, & quod non habet exitum: & id potest videri ex rebus ipsis. Nam qui vult mentiri, & fraudes consarcinare, cogita apud te quot & quanta aggreditur, quanta opus habet varietate;

Psal. 76. Matth. 19. Rom. 8. Rectum, non dolosum. 1 Paral. 19 Matth. 10.

Mentiendi difficultas.

& quibusnam fictis orationibus, quanto artificio, & quanta dicendi facultate. Qui autem dicit veritatem, non labore, non difficultate, non simulatione, non arte, aut machinatione, aut vllo alio eiusmodi indiget, cùm ea ipsa per se luceat. Quemadmodum enim deformia quidem corpora multis artificiis & integumentis indigent, quæ naturæ deformitatem contegant: quæ autem natura pulchra sunt, ipsa per se, etsi nihil extrinsecus aduenerit, resplédent: ita etiam in veritate & mendacio, in virtute & vitio inuenire possumus. Vnde clarum est quòd etiam ante supplicium, vitium supplicium infligit, & ante remunerationem virtus remuneratur. Quemadmodum enim illa habet in seipsa præmia etiam ante coronas: ita etiam hoc pœnam in se continet, antequam puniatur. Quid enim possit esse peccato grauius, quod ad pœnam attinet? Quocirca Paulus quoque eorum mentionem faciens, qui meretriciam artem exercent, & florem ætatis prostituunt, & naturæ leges euertunt, dixit hoc esse maximum supplicium, etiam antequam puniatur. Masculi enim, inquit, in masculis turpitudinem operantes, & mercedem, quam oportuit, erroris sui, in se recipientes: mercedem peccati sui, intemperantiam & ipsum actum vocans. *Pax super Israel.* Precatione conclusit orationem. Tales enim sunt sanctorum animæ. Cum adhortatione & consilio adijciunt orationem: auditoribus maximum introducentes auxilium. Pacem autem hic dicit, non hanc solam sensilem, sed eam etiam, quæ est hac excelsior, & dicit vndénam enascitur, & orat vt hæc anima cum seipsa non agitet seditionem, perturbationum animi bellum inferens. Hanc nos quoque pacem quæramus, vt promissa bona possimus assequi, gratia & benignitate domini nostri Iesu Christi, cui gloria & potentia in secula seculorum, Amen.

Veritas facilitas.

Vitia ipsum sibi supplicium est.

Rom. 1. 27.

Pax sanctorum.

Philip. 4.

A ποίων λόγων πεπλασμένων, πόσης δεινότητος· ὁ δὲ τὴν ἀλήθειαν λέγων, οὐ πόνου, οὐχ ὑποκρίσεως, οὐ μηχανημάτων, οὐδενὸς δεῖται τοιούτου, αὐτῆς καθ' ἑαυτὴν ἐκείνης διαλαμπούσης. καθάπερ γὰρ τὰ μὲν ἄμορφα τῶν σωμάτων πολλῶν ἔξωθεν δεῖται τεχνασμάτων, καὶ τῶν ἐπικαλυμμάτων τὴν ἀπὸ τῆς φύσεως ἀμορφίαν συσκιαζόντων· τὰ δὲ φύσει καλὰ αὐτὰ καθ' ἑαυτὰ ἀγωνιζόμενα λάμπει· οὕτω καὶ ἐπὶ τοῦ ψεύδους καὶ τῆς ἀληθείας ἐστὶν εὑρεῖν καὶ τῆς κακίας καὶ τῆς ἀρετῆς· ὅθεν δῆλον, ὅτι καὶ πρὸ τῆς κολάσεως ἡ κακία τὴν κόλασιν ἐπάγει, καὶ πρὸ τῆς B ἀντιδόσεως ἡ ἀρετὴ τὴν ἀμοιβὴν δίδωσιν. ὥσπερ γὰρ ἐκείνη ἐν ἑαυτῇ τὰ ἔπαθλα ἔχει καὶ πρὸ τῶν στεφάνων· οὕτω καὶ αὕτη ἐν ἑαυτῇ τὴν τιμωρίαν ἔχει καὶ πρὸ τῆς κολάσεως. τί γὰρ ἂν γένοιτο χαλεπώτερον ἁμαρτίας εἰς τιμωρίας λόγον; διὰ δὴ τοῦτο καὶ ὁ Παῦλος τῶν ἡταιρηκότων μνημονεύσας καὶ τὴν ὥραν τὴν ἑαυτῶν ἀποδιδομένων, καὶ τῆς φύσεως τοὺς νόμους ἀνατρεπόντων, ταύτην ἔφησε τιμωρίαν μεγίστην εἶναι καὶ πρὸ τῆς κολάσεως. ἄρσενες γάρ, φησιν, ἐν ἄρσεσι τὴν ἀσχημοσύνην κατεργαζόμενοι καὶ τὴν C ἀντιμισθίαν, ἣν ἔδει, τῆς πλάνης αὐτῶν ἐν ἑαυτοῖς ἀπολαμβάνοντες, ἀντιμισθίαν τῆς ἁμαρτίας αὐτῶν τὴν ἀσέλγειαν καὶ τὴν πρᾶξιν καλῶν. εἰρήνη ἐπὶ τὸν Ἰσραήλ· εἰς εὐχὴν τὸν λόγον κατέκλεισε. τοιαῦται γὰρ αἱ τῶν ἁγίων εὐχαί. μετὰ τῆς παραινέσεως καὶ τῆς συμβουλῆς τὴν εὐχὴν προστιθέασι, μεγίστην συμμαχίαν εἰσάγουσαι τοῖς ἀκούουσιν· εἰρήνην δὲ ἐνταῦθα, οὐ ταύτην μόνην τὴν αἰσθητήν· ἀλλὰ καὶ τὴν ταύτης ὑψηλοτέραν, καὶ ὅθεν καὶ αὕτη τίκτεται λέγει, καὶ D εὔχεται· ὥστε μὴ στασιάζειν τὴν ψυχὴν αὐτῶν πρὸς ἑαυτὴν τῶν παθῶν τὸν πόλεμον ἐπεισάγουσαν. ταύτην δὴ καὶ ἡμεῖς τὴν εἰρήνην ζητῶμεν· ἵνα τῶν ἐπηγγελμένων ἀγαθῶν δυνηθῶμεν τυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

A

Εἰς τὸν ρκεʹ ψαλμόν.

Ἐν τῷ ἐπιστρέψαι κύριον τὴν αἰχμαλωσίαν Σιὼν ἐγενήθημεν ὡσεὶ παρακεκλημένοι. ἕτερος ἑρμηνευτής φησιν, ὅταν ἐπιστρέψῃ κύριος τὴν αἰχμαλωσίαν, ἐσόμεθα παρακεκλημένοι.

Τὸ τῆς αἰχμαλωσίας ὄνομα ἁπλοῦν μέν ἐστι κατὰ τὴν προφοράν· ἔχει δὲ πολλὰς ἐννοίας. B ἔστι γὰρ καὶ καλὴ αἰχμαλωσία, ὡς ὅταν λέγῃ Παῦλος, αἰχμαλωτίζοντες πᾶν νόημα εἰς Χριστόν· ἔστι καὶ κακή, ὡς ὅταν λέγῃ· αἰχμαλωτεύοντες γυναικάρια σεσωρευμένα ἁμαρτίαις. ἔστιν ἡ νοητή, περὶ ἧς φησι· κηρύξαι αἰχμαλώτοις ἄφεσιν. ἔστιν ἡ αἰσθητὴ ἡ παρὰ τῶν πολεμίων· χαλεπωτέρα δὲ ἡ προτέρα. οἱ μὲν γὰρ νόμῳ πολέμου τινὰς λαβόντες, C καὶ φείδονται πολλάκις τῶν εἰλημμένων· κἂν ἐπιτάξωσιν ὑδροφορεῖν, ξυλοκοπεῖν, καὶ ἱπποφορβοὺς ποιήσωσιν, οὐδὲν εἰς τὴν ψυχὴν παρέβλαψαν. ὁ δὲ ὑπὸ τῆς ἁμαρτίας ληφθεὶς αἰχμάλωτος, ἀφειδῆ καὶ βάρβαρον δέσποιναν κτᾶται, εἰς τὰ ἀτιμότατα αὐτὸν τῶν ἔργων καταφέρουσαν. οὐ γὰρ οἶδε φείδεσθαι, οὐδὲ ἐλεεῖν αὕτη ἡ τυραννίς. ἀκούσατε γοῦν πῶς τὸν ἄθλιον καὶ ταλαίπωρον Ἰούδαν λαβοῦσα αἰχμάλωτον οὐκ ἐφείσατο, ἀλλ' ἐποίησεν ἱερόσυλον, προδότην· καὶ μετὰ τὸ τὴν ἁμαρτίαν αὐξῆσαι εἰς τὸ D θέατρον αὐτὸν ἤγαγε τῶν Ἰουδαίων, καὶ ἀπεκάλυψε τὸ πλημμέλημα· καὶ οὐδὲ οὕτως ἀφῆκε καρπώσασθαι τὸ ἐκ τῆς μετανοίας κέρδος, ἀλλὰ προαπήγαγε τῆς μετανοίας ἐπὶ βρόχον ἀγαγοῦσα. τύραννος γάρ ἐστι χαλεπή, πονηρὰ ἐπιτάττουσα ἐπιτάγματα, καὶ καταισχύνουσα τοὺς ὑπακούοντας. διὸ παρακαλῶ φεύγωμεν μετὰ πολλῆς τῆς σπουδῆς τὴν δεσποτείαν αὐτῆς, καὶ πολεμῶμεν αὐτῇ καὶ μηδέποτε καταλλαττώμεθα, καὶ ἐλευθερωθέντες μένωμεν ἐπὶ τῆς ἐλευθερίας. εἰ γὰρ οὗτοι βαρβάρων ἀπαλλαγέντες, ἐγένοντο παρακεκλημένοι· πολλῷ μᾶλλον ἡμᾶς ἁμαρ-

In Psalmvm CXXV.

Cum conuerteret Dominus captiuitatem Sion, facti sumus sicut consolati. Alius interpres dicit, Quando conuerterit Dominus captiuitatem, erimus consolati.

Nomen captiuitatis est quidem in prolatione simplex, habet autem multas intelligentias. Est enim & bona captiuitas, vt quando dicit Paulus, Captiuum redigentes omnem intellectum in Christum. Est mala, vt quando dicit: Captiuas abducentes mulierculas oneratas peccatis. Est quæ in mente versatur, vt de qua dicit, Prædicate captiuis remissionem. Est quæ sub sensum cadit, vt quę fit ab hostibus. Est autem prior grauior. Qui enim ceperunt aliquos iure belli, captis sæpe parcunt, & si aut aquari, aut lignari, aut equos pascere iusserint, animam minimè læserint. Qui peccati autem captiuus factus est, habet sæuum & barbarum dominum, qui cogit eum facere res turpissimas, & maximè probrosas. Non enim parcere, nec misereri nouit hæc vitij tyrannis. Audi itaque quomodo cum miserum & infœlicem Iudam accepisset captiuum, minimè ei pepercerit, sed sacrilegum & proditorem fecerit: deinde postquam scelus perpetrasset, eum in theatrum Iudæorum produxerit, & maleficium reuelauerit, & nec sic quidem permiserit, vt perciperet fructum pœnitentiæ, sed ante pœnitentiam deduxerit ad laqueum. Est enim sæuus tyrannus, qui iubet quæ sunt improba, & eos qui obediunt, ignominia afficit. Quocirca vos rogo, summo studio fugiamus eius dominium, & cum eo bellemus, nec ei vnquam reconciliemur, & liberati in libertate permaneamus. Si enim hi à barbaris liberati, consolationem acceperunt, multò magis oportet nos à pec-

Captiuitas multiplex. 2.Cor.10.5 — *Esa.61.1.* — *Ioan. 8. Rom. 6.* — *Peccati tyrannis. Matth.27.* — *Act. 1.* — *Esa. 66. Rom. 5. Apoc 19.*

tum tenemur obsequio, contempti viuimus, despecti anhelamus, fame conterimur, sitis rabie laceramur, omne tempus tormentis exemptum est: ideo subueni, miserere: multũ repleta est anima nostra. Et ipsa, inquit, anima iam defecit calamitatũ continuatione tantarum. Et multi quidem tolerabiliter patiuntur aduersa, nos autem etiam solatium sufferentiæ amisimus, lugemus, lachrymamur, lamentatione conterimur. Et quoniam datis sibi honoribus non sunt vsi competenter, sed largitis beneficiis abusi vixerũt, contrariis corriguntur. Et hoc Deus vbique facit. Sic & Adam cum paradisum vtiliter habitare noluisset, pulsum è paradiso emendauit: & coniugem pari honore gloriatam, postea seruitute deformem, vtilem melioremque constituit. Sic & Iudæos libertate superbos, deliciis fastidiosos, iugo tradidit seruitutis, vt captiuitate detenti, & iniuriis traditi corrigantur.

Vexationis vtilitas. Genes. 3.

Multum repleta est anima nostra: Opprobrium exprobrantibus, & despectio superbis. Alius, Multis satiata est anima nostra obloquentibus abundantibus, spernentibus superbis. Alius, Subsannatione elatorum. Alius, Despectione ipsorum, qui bonis affluunt. Isti ergo sententiæ adhærent eidem. Calamitatem enim lamentantur, cum dicunt: Satiata est anima nostra spernentibus. Septuaginta vero aliud dicunt. Transeant ad illos ista, & eadem illis obueniant, quæ præstiterunt eorumque fastus ac tumor deprimatur. Hoc frequenter admittitur, hoc quotidie cõprobatur. Sæper superba cogitantes, repentina humilitate obruuntur. Nihil enim superbia detestabilius, nihil arrogantia crudelius reperitur. Propter hanc tentationes, propter hanc dolores, propter hanc gemitus, propter hanc mortale corpus est, propter hanc cordibus sollicitudines ingeruntur, vt anima vndique tormentis obsessa, & crebris refrænata suppliciis, cacumen superbiæ derelinquat. Non ergo turbemur adueniente forsitan aliqua tentatione, cùm sciamus hanc esse pro nobis: sed Prophetæ verba teneamus, qui dicit: Bonum mihi Domine,

Psal. 118.

A ἐλαυνόμεθα δοῦλοι, ὀνειδιζόμενοι διετελέσαμεν, λιμῷ καὶ ταλαιπωρίᾳ καὶ δίψῃ κατηργάσθημεν, διαπτυόμενοι, καταπατούμενοι, πάντα τὸν χρόνον ἀνηλώσαμεν· διὰ δὴ ταῦτα δὸς ἡμῖν καὶ ἐλέησον. τί δέ ἐστιν ἐπὶ πλεῖον ἐπλήσθη ἡ ψυχὴ ἡμῶν; καὶ αὐτή, φησιν, ἐξεχύθη ἡμῶν ἡ ψυχή. ὅτι ἐπαρεχύθη τῷ μεγέθει τῶν κακῶν. ἔστι γὰρ πολλοὺς πάσχειν μὲν δεινά, φέρειν δὲ γενναίως. ἀλλ' ἡμεῖς φησι καὶ τοῦτο ἀπωλέσαμεν, ὀδυρόμεθα, ταλαιπωρούμενοι, κοπτόμεθα. ἐπειδὴ γὰρ δεόντως ταῖς τιμαῖς οὐκ ἐχρήσαντο, τοῖς ἐναντίοις αὐτοὺς ὁ Θεὸς διορθοῦται, καὶ τοῦτο αὐτὸν πανταχοῦ B ἐστι ποιοῦντα ἰδεῖν. οὕτω καὶ τὸν Ἀδὰμ ἐπειδὴ τῇ οἰκήσει τοῦ παραδείσου οὐκ ἐχρήσατο πρὸς τὸ συμφέρον, τῇ ἐκβολῇ αὐτὸν διώρθωσε· καὶ τὴν γυναῖκα τῇ ὁμοτιμίᾳ γενομένην φαυλοτέραν, τῇ δουλείᾳ καὶ τῇ ὑποταγῇ, βελτίω κατέστησε. καὶ τούτους δὲ αὐτοὺς τοὺς Ἰουδαίους, τῇ ἐλευθερίᾳ, καὶ τῇ ἐπὶ τῆς οἰκείας ἀδείᾳ χείρους γεγενημένους καὶ ἀποσκιρτήσαντας καὶ ἐκδιαιτηθέντας, τοῖς ἐναντίοις διορθοῦται. οὗτοι καὶ ἐλέους τυχεῖν ἱκετεύοντες, πρὸς τὸν Θεὸν λέγουσιν· ἐπὶ πλεῖον ἐπλήσθη ἡ ψυχὴ ἡμῶν, τὸ ὄνειδος τοῖς εὐθηνοῦσι καὶ ἡ ἐξουδένωσις τοῖς ὑπερηφάνοις. C ἕτερος, πολλῶν ἐχορτάσθη ἡ ψυχὴ ἡμῶν ἐπιγελώντων τῶν εὐθηνούντων, ἐξουτελιζόντων τῶν ὑπερηφάνων. ἄλλος, τοῦ μυκτηρισμοῦ τῶν ὑπερηφάνων. ἄλλος, ἐξουδενώσεως αὐτῶν εὐθηνούντων. οὗτοι μὲν οὖν τοῦ αὐτοῦ ἔχονται νοήματος. παραδηλοῦσι γὰρ τὴν ταλαιπωρίαν διὰ τοῦ λέγειν, ὅτι ἐχορτάσθη ἡ ψυχὴ ἡμῶν τῶν ἐξουτελιζόντων· οἱ δὲ ἑβδομήκοντα ἕτερόν φασιν, ὅτι μεταστραφείη ταῦτα εἰς ἐκείνους· καὶ τῶν αὐτῶν ἀπολαύσαιεν, ὧν ἐποίησαν. καὶ καθαιρεθείη τὸ φύσημα αὐτῶν, καὶ ἡ φλεγμονή. ὃ δὴ καὶ γινόμενον πολλάκις ἴδοι τις ἄν· καὶ γὰρ συνεχῶς αὐτὸ D ποιεῖν ὁ Θεὸς εἴωθε, τοὺς μεγάλα φυσῶντας καταστέλλων, καὶ τοὺς φλεγμαίνοντας ταπεινῶν. ὥστε αὐτοὺς ἀπαλλαγῆναι τῆς ἐπὶ τὴν κακίαν φερούσης ὁδοῦ. οὐδὲν γὰρ ὑπερηφανίας χεῖρον. διὰ τοῦτο πειρασμοὶ καὶ θλίψεις, καὶ σῶμα θνητόν, καὶ αἱ πολλαὶ τῶν πραγμάτων περιστάσεις. διὰ τοῦτο πάθη, καὶ νοσήματα, ἵνα μυρίοι χαλινοὶ περίκεινται τῇ ψυχῇ ῥᾳδίως ἐπαιρομένῃ, καὶ πρὸς ὄγκον ὑψουμένῃ. μὴ τοίνυν θορυβώμεθα πειραζόμενοι ἀγαπητέ, ἀλλ' ἀναμνησθεὶς τοῦ προφήτου τοῦ λέγοντος, ἀγαθόν μοι

ὅτι ἐταπείνωσάς με, ὅπως ἂν μάθω τὰ δικαιώματά σου. πρὸς φάρμακον δέχου τὴν συμφοράν, καὶ εἰς δέον κέχρησο τῷ πειρασμῷ, καὶ δυνήσῃ πλείονος τυχεῖν ἀνέσεως· ἧς γένοιτο πάντας ἡμᾶς ἀξιωθῆναι, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

A quòd humiliasti me, vt discerem iustificationes tuas. Calamitatem pro remedio, & vulnus pro medela suscipiamus, & tentationem prodesse noscamus, vt refici quiete possimus, per dominum nostrum Iesum Christum, viuentem, & regnantem cum Patre & Spiritu sancto in secula seculorum, Amen.

Εἰς τὸν ρκγ´ ψαλμόν.

Εἰ μὴ ὅτι κύριος ἦν ἐν ἡμῖν.

B

Ὅ πολλάκις εἶπον, τοῦτο καὶ νῦν λέγω, καὶ λέγων οὐ παύσομαι· ὅτι μέγας ὁ ἀπὸ τῆς αἰχμαλωσίας καρπός, καὶ ἱκανὸς πρὸς φιλοσοφίαν ἐναγαγεῖν τοὺς προσέχοντας. ἴδε γὰρ οἱ πρὸς εἴδωλα τρέχοντες, καὶ τοῦ Θεοῦ καταφρονοῦντες, καὶ πρὸς ἀσέβειαν ἐξοκείλαντες, τί λέγουσι νῦν μετὰ τὴν αἰχμαλωσίαν, καὶ πῶς τῆς ἑαυτῶν σωτηρίας ἀνατιθέασι τῷ Θεῷ; καὶ ὁ προφήτης δὲ καθάπερ χοροστάτης ἄριστος τὰ αὐτὰ συνεχῶς αὐτοῖς παρακελεύεται λέγειν. μετὰ γοῦν τὸ πρῶτος εἰπεῖν, καὶ ἐκείνοις παρεγγυᾷ ὥσπερ μαθηταῖς διδάσκαλος λέγειν· εἰπάτω δὴ Ἰσραήλ, εἰ μὴ ὅτι κύριος ἦν ἐν ἡμῖν, ἐν τῷ ἐπαναστῆναι ἀνθρώπους ἐφ᾽ ἡμᾶς, ἄρα ζῶντας ἂν κατέπιον ἡμᾶς. καὶ γὰρ ἦσαν ἄοπλοι καὶ γυμνοί, καὶ αἰχμάλωτοι, καὶ δοῦλοι, καὶ ἄρτι τῶν κακῶν ἀπηλλαγμένοι, καὶ πόλιν ἀτείχιστον ἔχοντες, μᾶλλον δὲ οὐδὲ πόλιν, καὶ πᾶσι μετὰ τὴν ἐπάνοδον προέκειντο θήρα ἕτοιμος· ἀλλ᾽ ἀντὶ τείχους καὶ πύργου ὁ Θεὸς αὐτοῖς γέγονε. οὕτω καὶ ἡμεῖς νῦν λέγωμεν· εἰ μὴ ὅτι κύριος ἦν ἐν ἡμῖν, ἄρα ζῶντας ἂν κατέπιον ἡμᾶς. τί γὰρ ἂν οὐκ ἐποίησεν ὁ ἐχθρὸς ἡμῶν διάβολος, εἰ μὴ κύριος ἦν ἐν ἡμῖν; ἄκουσον τῷ Σίμωνι; τί φησιν ὁ Χριστός· Σίμων, Σίμων, ποσάκις ᾐτήσατο ὁ Σατανᾶς σινιάσαι σε ὡς τὸν σῖτον, καὶ ἐγὼ ἐδεήθην περὶ σοῦ, ἵνα μὴ ἐκλίπῃ ἡ πίστις σου; πονηρὸν γὰρ τὸ θηρίον, καὶ ἀκόρεστον, καὶ εἰ μὴ συνεχῶς ἐχαλινοῦτο, πάντα ἂν ἀνέτρεψε καὶ συνέχεε.

IN PSALMVM CXXIII.

Gentiano Herueto interprete.

Nisi quia Dominus erat in nobis.

QVOD sæpe dixi, hoc quoque nunc dico, nec cessabo dicere, magnum esse fructum captiuitatis, & ad philosophiam deducere posse eos qui attendunt. Ecce enim qui ad simulachra currebant, & Deum contemnebant, & in impietatem impegerant, C quid dicunt nunc post captiuitatem? & quomodo salutem suam Deo ascribunt? Quinetiam Propheta, tanquam choragus optimus, eadem eis iubet frequenter dicere. Postquam ergo primus dixit, illis quoque præcipit vt magister discipulis, tanquam magister discipulis, dicant: *Dicat Israel, nisi quia Dominus erat in nobis, dum exurgerent homines in nos, fortè viuos deglutissent nos.* Erant enim inermes, nudi, captiui, & serui, & nuper à malis liberati, & vrbem habebant im- D munitam, imò verò ne vrbem quidem, & post reditum erant prædæ omnibus expositi, sed fuit eis Deus pro muro & arce. Hoc ipsum nos quoque dicamus: Nisi quia Dominus erat in nobis, vtique viuos deglutissent nos. Quid enim non fecisset noster inimicus diabolus, nisi Dominus fuisset in nobis? Audi quid Christus dicat Simoni: Simon, Simon, quoties petiit te Satanas cribrare sicut triticum: & ego oraui pro te, ne deficiat fides tua? Est enim improba bellua & insatiabilis, & nisi assiduè refrænaretur, subuertisset & cõfudisset omnia.

Captiuitatis bono Iudæi vitarũt idololatriã.

Luc. 22.

1. Petr. 5.

Iob 1. 2. & 3.

Si enim cùm in beatum Iob pusillum quid ei fuit permissum, eius domum euertit funditus, eius corpus multauit, tantam tragœdiam excitauit, facultates corrupit, filios obruit, vt è carne vermes scaturirent effecit, vxorem in eum incitauit, amicos, inimicos, famulos, vt probris eum insectarentur induxit: si non innumerabilibus frænis retardaretur, quomodo non omnes perderet? Quocirca hic quoque dicit, Nisi quia Dominus erat in nobis. Erant enim admodum pauci & contempti, & eos reuersos multi adoriebantur. Porrò autem in hoc quoque ostendebatur Dei sapientia, quòd non repente & vno simul tempore daret eis securitatem, sed sensim ac paulatim. Hoc autem faciebat eos conseruans in Dei cognitione, &, quæ ex captiuitate ad eos redierat, correctionem non sinens præterfluere. Quia enim liberatio à malis solet homines efficere socordiores, in ipsa etiam donatione bonorum permittit, vt ipsi assiduè tententur, vt sint eis tentationes perpetuum philosophiæ exercitium. Et ideo nec homines semper dimittit in calamitatibus, ne deficiant: nec in quiete & rerum prosperitate, ne fiant socordiores: sed mutationibus ac vicissitudinibus eorum salutem variat. *Viuos deglutissent nos.* Vides quomodo ostendit, quàm sint feri & immanes, qui eos inuadunt? Hi enim homines vel ferarum immanitatem ostendunt, imò verò eis magis sæuiunt in illos qui sunt eiusdem generis. Fera enim cùm semel inuaserit, ab ira desistit, & recedit: homines autem cùm sæpe res cesserit aliter, quàm putabant, sæpe inuadunt, vel ipsas carnes gustare cupientes. Eiusmodi res est ira, rationis expers, adeò feruet & ebullit animi perturbatio. Quomodo ergo hæc extinguetur ægritudo? Si res nostras animo reputemus, si mortem consideremus, & eos qui quotidie recedunt, si nostram naturam contemplemur, quòd scilicet sumus terra & cinis. Si autem pulchritudo aspectus animo tuo adhuc imponit, vade ad monumenta & thecas tuorum parentum, & vide quomodo sunt positi, & in puluerem ac terram resoluti, & magnam ex eo capies occasionem, vt teipsum reprimas. Neque verò quod dico, nimis esse graue insimulaueris. Quemadmodum enim qui febre la-

Prosperorū & aduersorum alternationis vtilitas.

Homines feris crudeliores.

Ira, rationis expers.

εἰ γὰρ ἐπὶ τοῦ μακαρίου Ἰὼβ, μικράν τινα λαβὼν ἐπιτροπὴν, πρόρριζον αὐτοῦ τὴν οἰκίαν ἀνέσπασε, τὸ σῶμα αὐτοῦ διελωβήσατο, τοσαύτην τραγῳδίαν εἰργάσατο, τὴν οὐσίαν διέφθειρε, τοὺς παῖδας κατέχωσε, τὴν σάρκα σκώληκας ἐπιζέσαι ἐποίησε, τὴν γυναῖκα ἐπέστησε, τοὺς φίλους, τοὺς ἐχθροὺς, τοὺς οἰκέτας, τοιαῦτα εἰπεῖν παρεσκεύασεν, εἰ μὴ μυρίοις κατείχετο χαλινοῖς, πῶς οὐκ ἂν ἅπαντας ἐλυμήνατο; Διὰ τοῦτο καὶ οὗτος λέγει· εἰ μὴ ὅτι Κύριος ἦν ἐν ἡμῖν. Καὶ γὰρ σφόδρα ὀλίγοι ἦσαν, καὶ εὐτελεῖς, καὶ πολλοὶ αὐτοῖς ἐνεπέθεντο ἐπανελθοῦσι. Καὶ τοῦτο δὲ τοῦ Θεοῦ ἡ σοφία ἐδείκνυτο τὸ μὴ ἀθρόον αὐτοῖς δοῦναι τὴν ἀσφάλειαν, ἀλλ' ἠρέμα καὶ κατὰ μικρόν. Τοῦτο δὲ ἐποίει τηρῶν αὐτοὺς ἐν τῇ θεογνωσίᾳ, καὶ τὴν ἐκ τῆς αἰχμαλωσίας προσγινομένην αὐτοῖς διόρθωσιν, οὐκ ἀφεὶς διαρρυῆναι. Ἐπειδὴ γὰρ εἴωθεν ἡ τῶν κακῶν ἀπαλλαγὴ ῥαθυμοτέρους ποιεῖν, καὶ ἐν αὐτῇ τῇ δόσει τῶν ἀγαθῶν ἀφίησιν αὐτοὺς συνεχῶς πειράζεσθαι, ἵν' ἔχωσι διηνεκῆ γυμνασίαν φιλοσοφίας τοὺς πειρασμούς. Διά τοι τοῦτο οὔτε ἐν συμφοραῖς ἀφίησιν ἀεὶ τοὺς ἀνθρώπους, ἵνα μὴ ἀποκάμωσιν, οὔτε ἐν ἀνέσει, ἵνα μὴ ῥαθυμότεροι γένωνται, ἀλλὰ ταῖς ἐναλλαγαῖς ποικίλλει τὴν σωτηρίαν αὐτῶν. Ἄρα ζῶντας ἂν κατέπιον ἡμᾶς. Εἶδες πῶς παρίστησι τὸ θηριῶδες τῶν ἐπιόντων; Καὶ γάρ εἰσιν ἄνθρωποι τοιοῦτοι θηρίων ὠμότητα ἐπιδεικνύμενοι, μᾶλλον δὲ καὶ ἐκείνων χαλεπώτεροι τοῖς ὁμοφύλοις κεχρημένοι. Τὸ μὲν γὰρ θηρίον ἅπαξ ἐμπεσὸν τὸν θυμὸν ἀφῆκε, καὶ ἀνεχώρησεν, ἢ διαχρησθὲν οὐκ ἔτι ἐπῆλθεν· ἄνθρωποι δὲ πολλάκις ἀποτυχόντες, πολλάκις ἐπιτίθενται, αὐτῶν ἐπιθυμοῦντες ἀπογεύσασθαι τῶν σαρκῶν. Τοιοῦτον ὁ θυμὸς, λογισμὸν οὐκ ἔχων· οὕτω ζεῖ τὸ πάθος καὶ ἀναχλάζει. Πῶς οὖν ἂν σβεσθείη τὸ νόσημα; Ἂν τὰ καθ' ἑαυτοὺς λογισώμεθα, εἰ θάνατον ἐννοήσωμεν, καὶ τοὺς καθ' ἑκάστην ἀπιόντας ἡμέραν· εἰ τὴν φύσιν αὐτὴν διασκεψώμεθα, ὅτι γῆ καὶ σποδός ἐσμεν. Εἰ δὲ τὸ κάλλος τῆς ὄψεως ἔτι ἀπατᾷ σου τὴν διάνοιαν, βάδισον πρὸς τὰ μνήματα καὶ τὰς θήκας τῶν πατέρων, καὶ ἴδε τοὺς κειμένους, πῶς εἰσιν εἰς χοῦν διαλελυμένοι, καὶ πολλὴν ἐκ τῆς ὄψεως ἀφορμὴν εἰς τὸ στέλλεσθαι δέξῃ. Ἀλλὰ μὴ καταγνῷς βαρύτητα τοῦ λόγου. Καθάπερ γὰρ οἱ πυρέττοντες, ἐπειδὰν ἀπαλ-

λαγῶσι τῶν νοσημάτων, ἀέρος δέονται καθαροῦ· οὕτω δὴ καὶ οἱ μεμηνότες τοῖς πάθεσιν, ἂν εἰς τὰ μνήματα παραγένωνται, ὥσπερ ὑγιεινοῦ τινος χωρίου ἐπιλαβόμενοι πολλὰ τῶν νοσημάτων ἐξορίζουσι. καὶ γὰρ ἀρκεῖ τῆς λάρνακος ἡ ὄψις, καὶ τὸν σφόδρα ἀπονενοημένον κατενεγκεῖν· ἀπὸ τούτων παράπεμψον τὴν διάνοιαν εἰς τὴν μέλλουσαν ἡμέραν τὴν φοβερὰν, εἰς τὰ βασανιστήρια ἐκεῖνα καὶ τὰς εὐθύνας, εἰς τὰς κολάσεις τὰς οὐκ ἐχούσας παραμυθίαν, ἔνθα οὐδεὶς σοι παραστήσεται. τούτοις πᾶσι κατέπαδε τὰ πάθη· σκόπει δὲ, καὶ τῶν ἀνθρώπων τοὺς ἐν τῷ παρόντι βίῳ, ἀπὸ πλούτου πρὸς πενίαν μεταπίπτοντας, ἀπὸ δόξης εἰς ἀτιμίαν. καὶ εἰ βούλει ὀργίζεσθαι, μὴ τῷ συγγενεῖ, ἀλλὰ τῷ πονηρῷ δαίμονι· ἔχεις ἔνθα ἀναλώσεις τὸ πάθος, ἐκείνῳ μηδέποτε καταλλαγῇς· ἐκείνῳ ἀνάλωσον τὴν ὀργὴν καὶ δαπάνησον· ἐκείνῳ στῆσον παγίδα, μηδέποτε ἐμπλησθῇς αὐτῷ πολεμῶν. ἐν τῷ ὀργισθῆναι τὸν θυμὸν αὐτῶν ἐφ' ἡμᾶς. ἄρα τὸ ὕδωρ ἂν κατεπόντισεν ἡμᾶς· χείμαῤῥον διῆλθεν ἡ ψυχὴ ἡμῶν, ἄρα διῆλθεν ἡ ψυχὴ ἡμῶν τὸ ὕδωρ τὸ ἀνυπόστατον. χείμαῤῥον ἐνταῦθα καὶ ὕδωρ, τὴν ἄφατον ὀργὴν τῶν πολεμίων λέγει· ὕδωρ γάρ ἐστιν ἀτάκτως φερόμενον καὶ κατὰ πολλῆς τῆς ῥύμης καὶ τῆς βίας παρασῦρον τὸ προστυγχάνον. οὐ τὴν φορὰν δέ φησιν ἐνταῦθα τῶν κακῶν, ἀλλὰ καὶ τὴν πάροδον. μὴ τοίνυν καταπίπτωμεν, ὅταν ἐπίῃ δεινὰ, χείμαῤῥός ἐστιν οἷα ἂν ᾖ· νέφος ἐστὶ παρατρέχον· ὅπερ ἂν εἴπῃς λυπηρὸν, ἔχει τέλος. ὅπερ ἂν εἴπῃς δεινὸν, πρὸς πέρας ἀπαντᾷ. εἰ γὰρ μὴ τέλος εἶχεν, οὐκ ἂν ἤρκεσεν ἡ φύσις. ἀλλὰ πολλοὺς παρασύρει φησίν. ἀλλ' οὐ παρὰ τὴν οἰκείαν ῥύμην, ἀλλὰ παρὰ τοὺς ῥαθύμους καὶ ῥαδίως ὑποσκελιζομένους. ἵνα οὖν μὴ παρασυρώμεθα, καὶ πρὸς τὰ βαθύτερα αὐτοῦ βαδίζωμεν, διασκεψώμεθα τοὺς τόπους αὐτοῦ· ἐπιλαβώμεθα τῆς ἱερᾶς ἀγκύρας, ὥστε μηδὲν ὑπομεῖναι ναυάγιον. καὶ γὰρ ὁ χείμαῤῥος μέχρι καιροῦ φοβερός ἐστι, καὶ πάλιν ἀμέτρως ταπεινοῦται. ἄρα τὸ ὕδωρ ἂν κατεπόντισεν ἡμᾶς. ἕτερος ἑρμηνευτής φησι, τότε ἂν τὰ ὕδατα περιέκλυσεν ἡμᾶς. ὡς φάραγξ περιῆλθεν κατὰ τῆς ψυχῆς ἡμῶν. ἄρα διῆλθεν ἡ ψυχὴ ἡμῶν τὸ ὕδωρ τὸ ἀνυπόστατον. ἕτερος φησὶ, τότε

borant, postquam à morbo liberati fuerint, puro aëre indigent: ita etiam quos animi perturbationes ad insaniam adigunt, si ad monumenta accesserint, tanquã qui in prædium saluberrimum peruenerint, multas expellent ægritudines. Sufficit enim vel solus vrnæ aspectus ad eũ deprimẽdum, qui est valde insolẽs. Ab his deinceps transmitte tuam cogitationem ad futurum illum diem terribilem, ad habendas de te quęstiones, & reddendas rationes, ad supplicia, quæ nullum habent omnino solatium, vbi nemo te defendet: & his omnibus veluti quibusdã carminibus seda tuas animi perturbationes. Considera autem etiã ex hominibus eos qui in vita præsenti ex diuitiis redacti sunt in paupertatẽ, ex gloria in ignominiam: & si velis irasci, non ei qui est tibi genere coniunctus, sed malo dæmoni irascere; habes, in quem affectum effundas: illi nunquam reconcilieris: illi iram tuam impende & consume, in illum tende laqueum, nunquam cesses aduersus eum bellum gerere. 3. *Cùm irasceretur furor eorum in nos, forsitan aqua absorbuisset nos.* 4. *Torrentem pertrãsiuit anima nostra, forsitan pertransisset anima nostra aquam intolerabilem.* Torrentem & aquam hic dicit ineffabilem iram inimicorum. Est enim aqua, quæ effusè magna vi & magno impetu fertur, & quodcunque ei occurrit, secum trahit. Non solùm autem hîc dicit irruptionem malorum, verumetiam transitum. Ne animum ergo abijciamus quando nos mala inuaserint. Torrens est cuiusmodicunque sit, est nubes quæ prætercurrit. Quicquid molesti dixeris, id habet finem. Quicquid graue & asperũ dixeris, id quoque omnino habet extremũ. Si enim finem non haberent, natura nõ sufficeret. At complures, inquit, secum trahit. At id nõ fit propter eius violentiã, sed propter eos qui sunt ignaui & pusillanimi, & facilè prosternuntur. Ne ergo seducamur, sed ad ea quę intima sũt eius perueniamus, loca eius cõsideremus, sacrã anchoram apprehẽdamus, vt nullũ patiamur naufragium. Torrens enim est ad tempus terribilis, & rursum supra modum deprimitur. Aqua absorbuisset nos. Alius, Tunc aquæ inũdauissent nos, quæ, tanquam gurges pertransiissent animam nostram. Vtique trãsiisset anima nostra aquam intolerabilem. Alius, tunc tran-

Perturbationes animi vt sanari possint. Hebr. 10.

Dæmoni homini malit.

Spem dicit anchoram sacram.

fiissent super animam nostram, tanquã aquæ, superbi. Vidisti quantum sit Dei auxiliũ: quomodo in tot malis non fuerit eos obrui? Ideo enim finit mala crescere, non vt nos obruant, sed vt magis probatos efficiant, & suæ potentiæ maiorem præbeat demonstrationem. Superbos autem hic dicit hostes, qui quouis torrente, & quauis aqua intolerabili vehementius irruentes, nihil ipsos læserunt. In causa est autem Dei præsidium cœleste subsidiũ, auxilium quod superari non potest. Et ideo cùm ipse dixisset liberationem à malis, dicit eum etiam qui liberauit, idque cum summa eius laude. 5. *Benedictus Dominus, qui non dedit nos in captionem dentibus eorum.* 6. *Anima nostra sicut passer erepta est de laqueo venantium.* Vidisti quomodo suam ostendit imbecillitatem, & illorum potentiam? Illi enim tanquam feræ & leones eos inuadebãt, parati vel eorum vesci carnibus, armati & viribus & iracundia; hi verò erant quouis passere imbecilliores. Tunc enim Dei miracula maximè ostenduntur, quando qui sunt imbecilli, superant potentiores. Nec eo solùm erant insidiæ intolerabiles, quòd illi quidem erant potentes & terribiles, ira pleni, & vel eorum carnibus vesci parati: hi autem imbecilli, & pauci, & ad inuadendum faciles: sed etiam quòd erant in mediis malis intercepti, & vndique cincti difficultatibus, haberent vndique bella eos circumstantia: sed qui est maxima potestate præditus, & potest vndique conseruare, etiam postquam pericula & mala circumsederint, nos, inquit, liberauit cum magna facilitate. Quod quidem volens ostendere, sic dixit, *Anima nostra sicut passer erepta est de laqueo venantium.* 7. *Laqueus contritus est, & nos liberati sumus.* Deinde ostendens etiam quomodo, subiunxit, 8. *Adiutorium nostrum est in nomine Domini, qui fecit cœlum & terram.* Vidisti auxiliatoris virtutem? vidisti potentiam? ipsa etiam insidiarum adminicula sustulit. Hoc etiam anagogicè acceperit quispiam de diabolo, & de genere hominum. Ostendit enim quomodo eripuerit, & eius sustulerit insidias. Hoc enim factum est ex quo dixit discipulis, Ambulate super serpentes & scorpios, & super omnem pote-

Rom. 5.
Iacob. 1.
Luc. 10. Diabolus profligatus.

A περιῆλθον ὑπὲρ τὴν ψυχὴν ἡμῶν ὡς τὰ ὕδατα ὑπερήφανοι. εἶδες πόση τοῦ Θεοῦ ἡ συμμαχία; πῶς ἐν τοσούτοις κακοῖς οὐκ ἀφῆκεν αὐτοὺς ὑποβρυχίους γενέσθαι; διὰ γὰρ τοῦτο ἀφίησιν αὔξεσθαι τὰ δεινά, οὐχ ἵνα ἡμᾶς καταδύσῃ, ἀλλ' ἵνα δοκιμωτέρους ἐργάσηται, καὶ τῆς αὐτοῦ δυνάμεως μείζονα παράσχηται τὴν ἀπόδειξιν. ὑπερηφάνους δὲ ἐνταῦθα τοὺς πολεμίους φησίν, οἳ παντὸς χειμάρρου σφοδρότερον, καὶ παντὸς ὕδατος ἀφορήτου προσβαλόντες, οὐδὲν αὐτοὺς παρέβλαψαν. τὸ δὲ αἴτιον ἡ τοῦ Θεοῦ συμμαχία, ἡ ἄνωθεν ῥοπή, ἡ ἀχείρωτος βοήθεια. B διὰ δὴ τοῦτο καὶ αὐτὸς εἰπὼν τὴν ἀπαλλαγὴν, τῶν κακῶν λέγει καὶ τὸν τὴν ἀπαλλαγὴν παρεσχηκότα, καὶ μετ' εὐφημίας. εὐλογητὸς κύριος, ὃς οὐκ ἔδωκεν ἡμᾶς εἰς θήραν τοῖς ὀδοῦσιν αὐτῶν. ἡ ψυχὴ ἡμῶν ὡς στρουθίον ἐρρύσθη ἐκ τῆς παγίδος τῶν θηρευόντων. εἶδες πῶς καὶ τὴν οἰκείαν ἀσθένειαν παρείσησι, καὶ τὴν ἐκείνων ἰσχύν; οἱ μὲν γὰρ ὡς θηρία καὶ λέοντες ἐπέστησαν αὐτοῖς ἕτοιμοι τῶν σαρκῶν ἀπογεύσασθαι, καὶ τῇ δυνάμει καὶ τῷ θυμῷ καθωπλισμένοι· οἱ δὲ στρουθίου παντὸς ἀσθενέστερον διέκειντο. τότε γὰρ μάλιστα διαδείκνυται τοῦ Θεοῦ τὰ θαύματα, ὅτε C οἱ ἀσθενεῖς τῶν δυνατῶν κρατοῦσιν. οὐ ταύτῃ δὲ μόνον ἀφόρητος ἦν ἡ ἐπιβουλή, ὅτι οἱ μὲν δυνατοὶ καὶ φοβεροί, καὶ θυμοῦ πολλοῦ γέμοντες, καὶ παρεσκευασμένοι τῶν σαρκῶν ἀπογεύσασθαι· οἱ δὲ ἀσθενεῖς, καὶ ὀλίγοι, καὶ εὐεπιχείρητοι· ἀλλ' ὅτι καὶ ἐν μέσοις ἀπειλημμένοι τοῖς δεινοῖς, εἰς αὐτὰ ἐμβεβηκότες τὰ δυσχερῆ πάντοθεν πολέμους ἔχοντες περικειμένους· ἀλλ' ὁ εὔπορος καὶ πανταχόθεν δυνάμενος διασώζειν, καὶ μετὰ τὸ ἐμπεσεῖν εἰς τὰ δεινὰ μετὰ πολλῆς ἡμᾶς, φησιν, ἀπήλλαξε τῆς εὐκολίας. ὅπερ οὖν παραστῆσαι βουλόμενος οὕτως εἶπεν· ἡ ψυχὴ D ἡμῶν ὡς στρουθίον ἐρρύσθη ἐκ τῆς παγίδος τῶν θηρευόντων. ἡ παγὶς συνετρίβη καὶ ἡμεῖς ἐρρύσθημεν. εἶτα δεικνὺς καὶ πῶς, ἐπήγαγεν· ἡ βοήθεια ἡμῶν ἐν ὀνόματι κυρίου τοῦ ποιήσαντος τὸν οὐρανὸν καὶ τὴν γῆν. εἶδες τὴν δύναμιν τοῦ προστάτου; εἶδες τὴν ἰσχύν; καὶ αὐτὰς τὰς ἀφορμὰς τῆς ἐπιβουλῆς εἷλε. τοῦτο τις καὶ κατ' ἀναγωγὴν ἂν ἐκλάβοι ἐπὶ τοῦ διαβόλου, καὶ τοῦ γένους τῶν ἀνθρώπων. δείκνυσι γὰρ πῶς ἐξήρπασε· πῶς ἐξέλυσεν αὐτοῦ τὰς ἐπιβουλάς. τοῦτο γὰρ γέγονεν ἀφ' οὗ πρὸς τοὺς μαθητὰς εἶπε· πατεῖτε ἐπάνω ὄφεων καὶ σκορπίων, καὶ ἐπὶ πᾶσαν τὴν

τὴν δύναμιν τοῦ ἐχθροῦ. οὐκ ἔστι γὰρ ἐξ εὐθείας ἡ μάχη, οὐδὲ ἐξ ἴσης ἡ παράταξις· ἀλλ' ὁ μὲν κεῖται πρηνὴς καταπεπτωκώς· σὺ δὲ ἕστηκας ὄρθιος ἄνωθεν βάλλων· ὁ μὲν ἐκνενευρισμένος· σὺ δὲ ἰσχυρός. πόθεν οὖν νικᾷ πολλάκις; ἀπὸ τῆς νωθείας τῆς ἡμετέρας, ἀπὸ τῆς ῥαθυμίας τῶν καθευδόντων. ὥστε εἰ βουληθείης ἐναντίον στῆναι, οὐ τολμᾷ παρατάξασθαι. εἰ δὲ καθεύδοντος περιγίνεται, τοῦτο οὐ τῆς ἐκείνου δυνάμεως, ἀλλὰ τῆς σῆς ὀλιγωρίας. τίς γὰρ οὐκ ἂν κρατήσειε τοῦ καθεύδοντος, κἂν ἁπάντων ἀσθενέστερος ᾖ; ἐδέθη ὁ ἰσχυρός, τὰ σκεύη αὐτοῦ διηρπάγη, ἡ δύναμις αὐτοῦ κατελύθη, τὸ καταγώγιον ἀπερράγη· αἱ ῥομφαῖαι αὐτοῦ ἐξέλιπον. τί πλέον τούτων βούλει; τίνος ἕνεκεν αὐτὸν φοβῇ; τίνος ἕνεκεν δέδοικας; πατεῖν ἐκελεύσθης τὸν ἐκνενευρισμένον. πόθεν τρέμεις εἰπέ μοι; πόθεν ἀγωνιᾷς; οὐκ ἐννοεῖς οἷον ἔχεις βοηθόν; οὐδὲ γὰρ μόνον ὁ ἐχθρὸς γέγονεν ἀσθενέστερος, ἀλλὰ ἡ βοήθειά σου μείζων. τῆς σαρκὸς τὰ σκιρτήματα κατεστάλη, τῆς ἁμαρτίας τὸ φορτίον ἠφανίσθη, πνεύματος ἔλαβες χάριν, ἀλείμματος δύναμιν. τὸ γὰρ ἀδύνατον τοῦ νόμου ἐν ᾧ ἠσθένει διὰ τῆς σαρκός, ὁ Θεὸς τὸν υἱὸν αὐτοῦ πέμψας ἐν ὁμοιώματι σαρκὸς ἁμαρτίας, καὶ περὶ ἁμαρτίας κατέκρινε τὴν ἁμαρτίαν ἐν τῇ σαρκί· ἵνα τὸ δικαίωμα τοῦ νόμου πληρωθῇ ἐν ἡμῖν τοῖς μὴ κατὰ σάρκα περιπατοῦσι, τὴν σάρκα εὐήνιον ἐποίησεν. ὅπλα σοι ἐχαρίσατο, θώρακα δικαιοσύνης, ζώνην ἀληθείας, κράνος σωτηρίας, ἀσπίδα πίστεως, μάχαιραν πνεύματος, ἀῤῥαβῶνα δέδωκε, τῷ σώματι αὐτοῦ τρέφει σε, τῷ αἵματι αὐτοῦ ποτίζει σε, σταυρόν σοι ἐνεχείρισεν ὡς δόρυ, δόρυ μηδέποτε καμπτόμενον· ἐκεῖνον ἔδησε· χαμαὶ ἔρριψεν. ὥστε ἀναπολόγητός σου λοιπὸν ἡ ἧττα, καὶ συγγνώμην οὐκ ἔχεις βαλλόμενος. μυρίας γὰρ ἔχεις πρὸς τὸ νικᾷν ἀφορμάς. ἡ παγὶς συνετρίβη, καὶ ἡμεῖς ἐρρύσθημεν. ἡ βοήθεια ἡμῶν ἐν ὀνόματι κυρίου τοῦ ποιήσαντος τὸν οὐρανὸν καὶ τὴν γῆν. ὁρᾷς οἷον ἔχεις στρατηγόν; οἷον βασιλέα; τὸν τοῦδε τοῦ παντὸς δημιουργόν; τὸν λόγῳ τοσαῦτα σώματα παραγαγόντα τοσοῦτον ὄγκον, τοσοῦτον μέγεθος. μὴ καταπίπτῃς, στῆθι γενναίως.

statem inimici. Non enim est amplius apertum bellum, nec ex æquo instructa acies: sed ille quidem iacet pronus & procumbens: tu autem stas erectus, ex alto eum feriens: ille quidem eneruatus, tu verò robustus & validus. Qui fit ergo vt sæpe vincat? Hoc fit ex nostra ignauia, ex socordia eorum qui dormiunt. Si velis itaque resistere, non audet tecum instructa acie confligere. Quod si vincit dormientem, id non illius potentiæ, sed tuæ tribuendum est negligentiæ. Quis enim dormientem non vicerit, etsi sit omnium imbecillimus? Alligatus est fortis, impedimenta eius omnia direpta sunt, fracta est potentia, ruptum est ac dirutum eius habitaculum, rhomphææ eius defecerût. Quid vis his amplius? Quâ de causa eum times? Cur vereris? Iussus es conculcare eum, qui est eneruatus: quamobrem dic quæso contremiscis? Cur cunctaris ac dubitas? An non cogitas qualis sit, qui tibi fert auxilium? Non solùm enim hostis tuus factus est imbecillior: sed etiam tuum maius est auxilium. Compressa est carnis exultatio, peccati ablata est sarcina, gratiam spiritus accepisti, quæ habet vim vnctionis. Nam quod impossibile erat legi, in quo erat imbecillum per carnem, Deus misso suo filio in similitudine carnis peccati, & de peccato condemnauit peccatum in carne, vt iustificatio legis impleretur in nobis, qui non secundum carnem ambulamus. Carnem fecit tibi morigeram, arma tibi donauit, thoracem iustitiæ, cingulum veritatis, galeam salutis, clypeum fidei, gladium spiritus arrham dedit, corpore suo te nutrit, sanguinem suum tibi bibendum porrigit, crucem tibi tanquam lanceam in manus tradidit, lanceam quæ nunquam flectitur: illum alligauit, humi proiecit. Non habes itaque quo te deinceps defendas, si vincaris: & si profligeris, non est tibi danda venia. Habes enim innumerabilia victoriæ adminicula. Laqueus contritus est, inquit, & nos liberati sumus. Auxiliũ nostrum in nomine Domini, qui fecit cœlum & terram. Vides qualem habes Imperatorem, qualem Regem, eum qui est vniuersi opifex, eum qui solo verbo tot corpora produxit, tantam molem, tantam magnitudinem. Ne animum demittas, forti animo resistas.

Iacob. 4.

Matth. 12. Isai. 9.

Rom. 8. 3.

Ephes. 6. Ephes. 1. Ioan. 6.

Arma Christianorum.

Nihil vetat quo minus trophæum pulcherrimum erigas. Hæc ergo cùm sciamus, ô dilecti, sobrij simus, contendamus, ne dormiamus, sed cùm arma absterserimus, animique promptitudinem & alacritatem confirmauerimus, hostem assiduè inuadamus, vt cùm præclaram victoriam retulerimus, cum magna gloria regnum cœlorum consequamur. Quod nobis detur assequi gratia & benignitate Domini nostri Iesu Christi, cui gloria & potentia in secula seculorum, Amen.

οὐδὲν κωλύει τὸ τρόπαιόν σε στῆσαι λαμπρότατον. Ταῦτ' οὖν εἰδότες ἀγαπητοὶ, νήφωμεν, ἀγωνιζώμεθα, μὴ καθεύδωμεν, ἀλλὰ τὰ ὅπλα ἀποσμήξαντες, τὴν προθυμίαν νευρώσαντες, βάλλωμεν διηνεκῶς τὸν πολέμιον, ἵνα λαμπρὰν τὴν νίκην ἀράμενοι, μετὰ πολλῆς τῆς δόξης ἀπολαύσωμεν τῆς βασιλείας τῶν οὐρανῶν. ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

In Psalmvm CXXIV.

Qui confidunt in Domino, sicut mons Sion.

Qvid sibi vult additio Sion? Cur enim non dixit absolutè, sicut mons, sed illius montis meminit? Docens nos non debere animum deijcere in calamitatibus, nec ab eis pessundari, sed à spe in Deum pendentes, omnia ferre fortiter, & bella, & pugnas, & tumultus. Quemadmodum enim hic mons qui fuerat quandoque desertus, & nudatus habitatoribus, ad priorem redierat prosperitatem veteri statu recepto, cùm incolæ rediissent, & miracula rursus ostenderetur: ita etiam vir fortis & generosus, licet ab innumerabilibus inuadatur calamitatibus, minimè euertetur. Ne ergo quæras vitam ab omnibus negotiis, periculis & afflictionibus remotam, sed quam minimè inuoluunt & deprimunt pericula. Ars enim nō eodē modo ostenditur, si quis in portu sedeat, & si quis vndosum mare transmittat. Ille enim, ignauus, mollis, & eneruatus redditur: hic autē, qui multas rupes marinas, multas cautes, & scopulos, multos ventorū impetus, & alia maris pericula sustinuit, & in his omnibus excelluit, animum suum firmiorem & robustiorem reddidit. Non enim ideo deductus es in hanc vitam, vt sis otiosus, nec vt sis vilis & abiectus,

Rom. 8.
2. Cor. 12.

Εἰς τὸν ρκδ' ψαλμόν.

ΟΙ πεποιθότες ἐπὶ κύριον, ὡς ὄρος Σιών.

Τί βούλεται τοῦ Σιὼν ἡ προσθήκη; διὰ τί γὰρ οὐκ εἶπεν ἁπλῶς ὡς ὄρος, ἀλλὰ τοῦ ὄρους ἐκείνου μέμνηται; παιδεύων ἡμᾶς μὴ ταπεινοῦσθαι ἐν ταῖς συμφοραῖς, μηδὲ καταποντίζεσθαι, ἀλλὰ τοὺς εἰς τὸν Θεὸν ἐλπίδος ἐκκρεμαμένους, πάντα φέρειν γενναίως, καὶ πολέμους, καὶ μάχας, καὶ ταραχάς. ἐπεὶ καὶ τὸ ὄρος τοῦτο ποτὲ γενόμενον ἔρημον, καὶ γυμνὸν, ἐπὶ τὴν προτέραν πάλιν ἐπανῆλθεν εὐημερίαν, τὴν ἀρχαίαν ἀπολαβὸν εὐπραγίαν, τῶν οἰκείων ἐπανελθόντων, καὶ τὰ τῶν θαυμάτων ἐπιδειξάντων· οὕτω καὶ ὁ γενναῖος ἀνὴρ κἂν μυρία πάθῃ δεινὰ, οὐ περιτρέπεται. μὴ τοίνυν ἀκίνδυνον ζήτει βίον, καὶ ἀπράγμονα, καὶ ἀταλαίπωρον, ἀλλὰ τὸν κινδύνοις μὴ παρασυρόμενον. οὐ γάρ ἐστιν ἴσον ἐν λιμένι καθήμενον, καὶ πέλαγος σαλεύοντα τὴν τέχνην ἐπιδείκνυσθαι. ὁ μὲν γὰρ νωθὴς γίνεται, καὶ χαῦνος, καὶ ἄτονος· ὁ δὲ, πολλὰς μὲν πέτρας ὑφάλους, πολλὰς δὲ σπιλάδας, πολλὰς δὲ ἀνέμων βίας, καὶ τὰ ἄλλα τὰ ἀπὸ τῆς θαλάττης ὑπομείνας δεινὰ, καὶ ἐν πᾶσι τούτοις διενεγκὼν ἰσχυροτέραν ἑαυτοῦ καθίστησι τὴν ψυχήν. διὰ γὰρ τοῦτο εἰς τὸν παρόντα ἐξηνέχθης βίον, οὐχ ἵνα ἀργῇς, οὐδ' ἵνα διαπεπτωκὼς ᾖς,

οὐδ' ἵνα μὴ πάθῃς μηδὲν δεινόν, ἀλλ' ἵνα παθὼν λαμπρότερος γένῃ. μὴ δὴ τὴν ἄνεσιν ζητῶμεν, μηδὲ τὸν τῆς τρυφῆς γέμοντα βίον. οὐ γὰρ ἀνδρὸς γενναίου, ἀλλὰ σκώληκος ἡ ἐπιθυμία, ἀλόγου μᾶλλον ἢ λόγον ἔχοντος· ἀλλ' εὔχου μὲν μάλιστα μὴ ἐμπεσεῖν εἰς πειρασμόν· εἰ δέ ποτε ἐμβαίης, μὴ δυσχέραινε, μὴ θορυβοῦ, μηδὲ ταράττου, ἀλλ' ὅπως γένοιο λαμπρότερος, ἅπαντα ποίει. οὐχ ὁρᾷς τῶν στρατιωτῶν τοὺς ἀνδρειοτάτους, πῶς τῆς σάλπιγγος καλούσης πρὸς τὰ τρόπαια βλέπουσι, πρὸς τὰς νίκας, πρὸς τοὺς στεφάνους, πρὸς τοὺς κατωρθωκότας τῶν προγόνων; καὶ σὺ τοίνυν τῆς σάλπιγγος ἠχούσης τῆς πνευματικῆς, στῆθι λέοντος γενόμενος σφοδρότερος· ἔμβηθι, κἂν πῦρ ᾖ, κἂν σίδηρος. οἶδε καὶ τὰ στοιχεῖα τοὺς ὄντας ἀνδρείους αἰδεῖσθαι. οἶδε καὶ τὰ θηρία τοὺς οὕτω γενναίους δεδοικέναι. κἂν ὑπὸ λιμοῦ, κἂν ὑπὸ φύσεως αὐτῆς ἀγριαίνῃ, πάντων ἐπιλανθάνεται, ὅταν ἴδῃ δίκαιον, καὶ κρατεῖ τοῦ πάθους. τούτοις τοίνυν φράττου τοῖς ὅπλοις, καὶ μηδὲ πῦρ δείσῃς, κἂν εἰς οὐρανὸν ἴδῃς τὴν φλόγα ἀναβαίνουσαν. στρατηγὸν ἔχεις γενναῖον, καὶ πάντα δυνάμενον, καὶ νεύματι μόνῳ λύοντα τὰ δεινά. πάντα ἐκείνου, καὶ οὐρανὸς, καὶ γῆ, καὶ θάλασσα, καὶ θηρία, καὶ πῦρ· πάντα αὐτῷ ῥᾴδια καὶ μεταθεῖναι, καὶ μεταστῆσαι πρὸς εὐκολίαν. πόθεν οὖν δέδοικας, εἰπέ μοι; οὐδαμόθεν ἄλλοθεν, ἀλλ' ἢ ἀπὸ νωθείας καὶ τῆς οἰκείας ῥᾳθυμίας. οὐχὶ θάνατός ἐστι τῶν κακῶν ὁ κολοφών; ἀλλὰ καὶ τοῦτό ἐστι τῆς φύσεως τὸ ὄφλημα. διατί μὴ πραγματεύῃ τὸ χρέος; εἰ γὰρ ἀνάγκη ἐλθεῖν τὴν ὁδὸν ταύτην καὶ ἑκόντα, καὶ ἄκοντα, διατί μὴ μετ' ἐμπορείας; ἀλλὰ μετὰ βασανιστήρια χαλεπά· ἀλλὰ πρόσκαιρα, καὶ μείζονα τῆς ὀδύνης παρέχοντα τὴν ἡδονήν. εἰ δὲ ταῦτά σοι δοκεῖ χαλεπὰ εἶναι, ἐννόησον τοὺς δίχα μισθοῦ φθορᾷ μακρᾷ παραδιδομένους, τοὺς λιμῷ διηνεκεῖ παλαίοντας, τοὺς νοσήματα ἔχοντας ἀνίατα καὶ μακρά· διὸ καὶ πολλάκις ηὔξαντο καταλῦσαι τὸν βίον, πολλοὶ δὲ καὶ ἐπὶ βρόχον καὶ ἐπὶ ξίφος ὥρμησαν. σοὶ δὲ οὐρανὸς πρόκειται, καὶ τὰ ἐν τοῖς οὐρανοῖς ἀγαθά, καὶ οὐ φρίττεις καὶ οὐ δέδοικας καταμαλακιζόμενος, καὶ ταῦτα τοιοῦτον ἔχων σύμμαχον; οὐκ ἀκούεις τοῦ προφήτου λέγοντος, ὅτι οἱ πεποιθότες ἐπὶ κύριον, ὡς ὄρος Σιών;

A nec vt tibi nihil aduersi eueniat, sed vt grauia passus euadas clarior. Ne otiosam ac remissam, voluptatibúsque & deliciis plenam vitam quæramus. Non est enim viri fortis, sed potius vermis hoc desiderium: eius inquam potius, qui est rationis expers, quam eius qui est ratione præditus. Sed ora quidem maximè, vt non intres in tentationem: quòd si in eam quãdoque incideris, ne ægrè feras, nec conturberis, sed fac omnia, vt euadas clarior & illustrior. Non vides fortes milites, quomodo eos vocantes tuba trophæa respiciunt, victorias, coronas, maiores qui se præclarè B gesserunt? Et tu ergo cùm tuba spiritualis personat, surge & euade leone animosior: siue sit ignis, siue ferrum, ingredere. Sciunt vel ipsa elementa eos, qui sunt tam magni animi, reuereri. Sciunt etiam feræ eos qui sunt adeò fortes, pertimescere. Quãuis eas fames, quamipsa natura irritet & efferet, omnium obliuiscuntur quando iustum viderint, irámque suam cohibent. His ergo armis muniaris, & ignem non timebis, licet videris flammam in cœlos ascendentem. Habes fortem & generosum ducem, qui solo nutu potest quæcun- C que mala sunt & grauia tollere. Illius sunt omnia, cœlum, terra, mare, feræ, & ignis. est ei facillimum omnia transferre, ac loco mouere. Vndénam ergo, dic mihi, metus tuus oritur? Non aliunde certè, quàm ex tua ignauia & socordia. Non est mors omnium malorum colophon? Atqui ea ipsa quoque est naturæ debitum. Cur non procuras, vt tibi ex eius solutione quæstus oriatur? si enim hac via velis nolis incedendum est, cur non eum lucro? At enim post grauia tormenta. quæ nimirum tem- D poraria sunt, & voluptatem dolore maiorem. Quòd si hæc tibi videntur esse grauia, considera eos qui absque vlla mercede longa tabe exeduntur, qui fame perpetua vexantur, qui immedicabilibus & longis morbis laborant, propter quos sæpe mortem optarunt, multi etiam in enses irruerunt, multi viam laqueo finierunt. Cœlum autem tibi est propositum, & bona quæ sunt in cœlis, & non vereris ac perhorrescis esse mollis & ignauus, idque cùm talem habeas adiutorem? An non audis prophetam dicentem, Qui confidunt in Domino, sicut mons Sion?

Hebr. 10.

Matt. 6. 26

Exod. 14.
Dan. 3.
Dan. 6.

Iudith. 9.
Act. 17.

Mons, spes in Deum immobilis.

Spem nimirum significat in Deum immutabilem, firmam & constantem, invincibilem & inexpugnabilem. Quemadmodum enim etiamsi quis innumerabiles adhibeat machinas, mõtem nec conuellere, nec labefactare poterit: ita etiam qui eum aggreditur, qui spem in Deum collocauit, reuertetur domum vacuis manibus. Monte enim longè est tutior spes in Deum. *Non commouebitur in æternum qui habitat in Hierusalem.* Alius interpres dicit, Est immutabilis in æternum, qui habitat circa Hierusalem. Quid ergo? Non cõmoti, inquit, sunt tres pueri, & Daniel? Absit. Nam à patria quidem exciderunt, captiuitatem sustinuerunt: sed nullo tamen tempore commoti sunt: sed cùm essent in tanta rerum perturbatione, & tanta fluctuum multitudine, perinde ac si petræ insisterent, & in tranquillo portu starent, nihil graue aut asperũ senserunt. Commotionem autẽ ne voces rerum casus. Non est enim hoc cõmotio, sed animæ interitus, & virtutem amisisse: quod quidem non euenit in periculis, iis qui sunt sobrij & sapientes, imò verò tutius & firmius suam possidẽt philosophiam, clarioresque & illustriores euadunt. Quòd si vis etiam anagogicè sumere illud, Non commouebitur in æternum qui habitat in Hierusalem: describe tibi adeptionem hæreditatis supernæ metropolis. Qui enim illam receperũt, sunt ab omnibus omnino casibus liberi: non sunt illic quæ eos prosternant supplantent, non cupiditates, nec voluptates, nec peccati obsessiones, non dolor, & molestia, & pericula: hæc omnia longè aberunt. 2. *Hierusalem montes in circuitu eius, & Dominus in circuitu populi sui ex hoc nunc & vsque in seculum.* Per hæc quidem dicit adesse auxilium ciuitati ex eius situ: sed non permittit vt ei confidat, sed eam ad inexpugnabile erigit auxilium, nempe Deum. Etsi enim, inquit, eam montes muniant, illa tamen protectione indiget. Id enim eam reddit inexpugnabilem. Quocirca alius quoque dicit interpres, Dominus autem circa populum suum. Hoc est, Ne confidite altitudini montium. Quod enim eam facit inexpugnabilem, hoc est,

Rom. 8. Hebr. 6.

Daniel 3.

Commotio quid.

Hierusalem anagogicè. Apoc. 21.

3. *Quia non relinquet Dominus virgam peccatorum super sortem iustorum.* Dicit iustam quandam causam Dei auxilij

A ὄρος γὰρ εἶπε τὸ ἀπερίτρεπτον δηλῶν τῆς εἰς τὸν Θεὸν ἐλπίδος, τὸ πεπηγός, τὸ ἀχείρωτον, τὸ ἄμαχον. ὥσπερ γὰρ ἄν τις κἂν μυρία προσαγάγῃ μηχανήματα, ὄρος οὔτε ἀνασπάσαι, οὔτε σαλεῦσαι δυνήσεται· οὕτως ὁ προσβάλλων τῷ τὴν ἐλπίδα ἐπὶ τὸν Θεὸν ἔχοντι κεναῖς οἴκαδε ἀναχωρήσει χερσίν. ὄρους γὰρ πολὺ ἀσφαλεστέρα ἡ ἐλπὶς ἡ ἐπὶ τὸν Θεόν. οὐ σαλευθήσεται εἰς τὸν αἰῶνα ὁ κατοικῶν Ἱερουσαλήμ. ἕτερος ἑρμηνευτής φησιν, ἀπερίτρεπτον εἰς τὸν αἰῶνα οἰκούμενον περὶ Ἱερουσαλήμ. τί οὖν; οὐκ ἐσαλεύθησαν, φησίν, οἱ παῖδες οἱ τρεῖς, καὶ ὁ Δανιήλ; B ἄπαγε. τῆς μὲν γὰρ πατρίδος ἐξέπεσον, καὶ αἰχμαλωσίαν ὑπέστησαν, σάλον δὲ οὐδένα οὐδέποτε· ἀλλ' ἐν τοσούτῳ θορύβῳ πραγμάτων, καὶ τοσούτῳ πλήθει κυμάτων ὄντες, ὡς ἐπὶ πέτρας ἑστῶτες καὶ λιμένι προσορμίζοντες γαληνῷ, οὕτως οὐδὲν ἔπαθον ἀηδές. μηδὲ σάλον κάλει τὴν τῶν πραγμάτων περίστασιν. οὐ γὰρ τοῦτο σάλος, ἀλλ' ἡ τῆς ψυχῆς ἀπώλεια, καὶ τὸ τῆς ἀρετῆς ἐκπεσεῖν· ὅπερ ἐν τοῖς κινδύνοις οἱ νήφοντες οὐχ ὑπομένουσιν· ἀλλ' ἀσφαλεστέραν κέκτηνται τὴν C φιλοσοφίαν, τὴν ἑαυτῶν, καὶ διαλάμπουσι μειζόνως. εἰ δὲ βούλει καὶ κατ' ἀναγωγὴν ἐκλαβεῖν τὸ εἰρημένον, ὅτι οὐ σαλευθήσεται εἰς τὸν αἰῶνα ὁ κατοικῶν Ἱερουσαλήμ· ὑπόγραψον τὴν ἐκεῖ λῆξιν τὴν ἐπὶ τῆς ἄνω μητροπόλεως. οἱ γὰρ ἐκείνην ἀπολαβόντες πάσης εἰσὶν ἀπηλλαγμένοι περιστάσεως· οὐκ ἔστι λοιπὸν ἐκεῖ τὰ ὑποσκελίζοντα, οὐκ ἐπιθυμία, οὐδὲ ἡδοναί, οὐδὲ ἁμαρτίας περίστασις, οὐ λύπη, καὶ ἀγωνία, καὶ κίνδυνος, ἀλλὰ πάντα ταῦτα ἐκποδών. Ἱερουσαλὴμ ὄρη κύκλῳ αὐτῆς, καὶ κύριος κύκλῳ τοῦ λαοῦ αὐτοῦ ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος. D λέγει μὲν διὰ τούτων καὶ τὴν ἀπὸ τῆς θέσεως συμμαχίαν τῇ πόλει προσοῦσαν· ἀλλ' οὐκ ἀφίησι τούτοις θαρρεῖν, ἀλλ' ἐπὶ τὴν ἄμαχον ἀνάγει βοήθειαν τὸν Θεόν. εἰ γὰρ καὶ τὰ ὄρη αὐτὴν τειχίζει φησίν, ἀλλ' ἐκείνης δεῖται τῆς ἀσφαλείας. καὶ τοῦτο αὐτὴν ἀχείρωτον ἐργάζεται. διὸ καὶ ἕτερος ἑρμηνευτής φησι, κύριος δὲ περὶ τὸν λαὸν αὐτοῦ, τουτέστι, μὴ θαρρεῖτε τῇ περιβολῇ τῶν ὀρῶν. τὸ γὰρ ποιοῦν αὐτὴν ἀχείρωτον, τοῦτό ἐστιν, ὅτι οὐκ ἀφήσει κύριος τὴν ῥάβδον τῶν ἁμαρτωλῶν ἐπὶ τὸν κλῆρον τῶν δικαίων. αἰτίαν λέγει τῆς τοῦ Θεοῦ βοηθείας εὔλογόν τινα,

ὥστε καὶ θαρρῆσαι ἐκείνους. ποίαν δὴ ταύτην; οὐκ ἀφήσει, φησὶ, τὰ ἀγαθὰ τῶν δικαίων ἐν ταῖς χερσὶν εἶναι τῶν ἁμαρτωλῶν. τοῦτο εἰπὼν ὁμοῦ τε θαρρεῖν αὐτοὺς παρασκευάζων περὶ τῆς συμμαχίας τῆς τοῦ Θεοῦ, καὶ πείθων μένειν ἐν ἀρετῇ, εἴγε βούλοιντο διηνεκῶς ἀπολαύειν τῆς ἐκείνου βοηθείας, καὶ τῶν ἀγαθῶν τῶν ἰδίων εἶναι κύριοι. δείκνυσι γὰρ διὰ τούτων ὅτι καὶ ἡ κτῆσις καὶ ἡ ἀσφάλεια ἐν τῇ γνώμῃ κεῖται τῇ αὐτῶν. ῥάβδον δὲ ἁμαρτωλῶν ἐνταῦθα τὴν βασιλείαν τὴν τῶν πολεμίων καλεῖ. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· οὐκ ἀνέξεται κρατεῖν τῆς τῶν δικαίων κληρονομίας. εἰ γὰρ καὶ πρὸς καιρὸν τοῦτο πεποίηκεν, ἀλλ' ὑπὲρ διορθώσεως καὶ νουθεσίας καὶ σωφρονισμοῦ. ὅπως ἂν μὴ ἐκτείνωσιν οἱ δίκαιοι ἐν ἀνομίαις χεῖρας αὐτῶν. ἕτερος, διὰ τοῦτο οὐκ ἐκτείνουσιν οἱ δίκαιοι εἰς ἀνομίαν χεῖρας αὐτῶν. διὰ τοῦτο. ποῖον; διὰ τὸ εἰρημένον. ὅτι προσστήσεται, ὅτι ἀμυνεῖ, ὅτι διακρούσεται, ὅτι ἀποστήσει τοὺς πολεμίους ἀπὸ τῶν κτημάτων αὐτῶν. ὡς εἰ ἔλεγε· τῷ τε πειρασμῷ σωφρονισθέντες, τῇ τε χορηγίᾳ τῶν ἀγαθῶν γενόμενοι βελτίους, ἐν ἀρετῇ διατελέσουσιν ὄντες, καὶ οὐχ ἅψονται πονηρίας ἑκατέρωθεν παιδευόμενοι. ὥστε δὴ τὸ πᾶν διὰ τοῦτο ἐγένετο, ὥστε τὴν ψυχὴν αὐτῶν ἀμείνω γενέσθαι. τῇ τε ἐπαγωγῇ τῶν δεινῶν διορθουμένην, τῇ τε δόσει τῶν ἀγαθῶν προθυμοτέραν καθισταμένην. ἀγάθυνον κύριε τοῖς ἀγαθοῖς. ἕτερος, ἀγαθοποίησον. καὶ τοῖς εὐθέσι τῇ καρδίᾳ, τοὺς δὲ ἐκκλίνοντας εἰς τὰς στραγγαλιὰς ἀπάξει κύριος μετὰ τῶν ἐργαζομένων τὴν ἀνομίαν. ὁρᾷς παρ' ἡμῶν πανταχοῦ τὰς ἀρχὰς γινομένας, καὶ τοῦ τῶν χρηστῶν ἀπολαύειν, καὶ τοῦ κολάσεις ὑπομένειν; ἀλλ' εἰ καὶ παρ' ἡμῶν αἱ ἀρχαὶ, ἀλλ' ὅμως καὶ οὕτω τῆς τοῦ Θεοῦ φιλανθρωπίας πολλὴ δείκνυται ἡ λαμπηδών. ἐκ γὰρ πολλοῦ τοῦ περιόντος νικᾷ ταῖς ἀντιδόσεσιν ἡμᾶς· καὶ ἐπὶ μὲν τῶν ἁμαρτημάτων, σύμμετρον ἐπάγει τὴν τιμωρίαν. ἐπὶ δὲ τῶν κατορθωμάτων, ὑπερβαίνουσαν παρέχει τὴν ἀντίδοσιν. εὐθεῖς δὲ ἐνταῦθα καλεῖ τοὺς ἀδόλους, τοὺς ἀπλάστους, τοὺς οὐδὲν ἔχοντας συνεσκιασμένον καὶ ὕπουλον. τοιοῦτον γὰρ τὸ εὐθὲς, ὃ μάλιστα ὁ Θεὸς ἐπιζητεῖ πανταχοῦ. τοιοῦτον ἡ ἀρετὴ, λεία τις καὶ εὔκολος, ὥσπερ οὖν ἡ πονηρία διεστραμμένον, ποικίλον, ἀδιεξόδευτον. καὶ τοῦτό ἐστιν ἀπὸ τῶν πραγμάτων ἰδεῖν αὐτῶν. ὁ γοῦν βουλόμενος ψεύσασθαι, καὶ δόλους ῥάψαι, ἐννόησον ὅσοις ἐπιχειρεῖ, ὅσης δεῖται τῆς ποικιλίας·

A vt illi possint confidere. Quænam autem ea est? Non permiserit, inquit, bona iustorum esse in manibus peccatorum. Hoc autem dixit, simul & hoc agens vt confiderent de Dei auxilio, & persuadens vt in virtute persisterent, si vellent frui perpetuo illius auxilio, & bona sua habere in sua potestate. Per hæc enim ostendit & acquisitionem, & securam eorum possessionem in libero arbitrio esse sitam. Virgam autem peccatorum hic vocat regnum hostium. Quod autem dicit, est eiusmodi, non B sinet, vt teneat hæreditatem iustorum. Etsi enim hoc fecit ad tempus, id fecit pro correctione, castigatione, & admonitione. *Vt non extendant iusti ad iniquitatem manus suas.* Alius, Propterea non extendunt iusti ad iniquitatē manus suas. Propter quidnam? Propter id quod dictum est, quòd defendet, quòd tuebitur, quòd hostes propulsabit, eósque repellet ab eorum possessionibus quasi diceret, Castigati tentatione, & bonorum suppeditatione effecti meliores, perseuerabunt in virtute, & vtrinque eruditi vitium non attingent. Vniuer- C sum ergo propterea factum est, vt anima eorum reddatur melior, & rebus quidem aduersis corrigatur, bonis autem datis fiat promptior & alacrior.

4. *Benefac Domine bonis.* Alius, Beneficia confer, *& rectis corde.* 5. *Declinantes autem in obligationes adducet Dominus cum operantibus iniquitatem.* Vides vbique duci à nobis initium & bonorum cōsequendorum, & sustinendæ pœnæ? Quamuis autem à nobis sumatur principium, sic tamen Dei quoque benignitatis plurima lux affulget; profusa enim quadam & redundanti copia nos vincit remu- D nerationibus: & in peccatis quidē commoderatum imponit suppliciū, in rectè autem factis longè maiori remuneratione vtitur. Rectos autem hic vocat simplices, non fictos, qui nihil habent adumbratū nec simulatum. Tale enim est quod rectum est, quod Deus vbique maximè requirit. Talis est etiam virtus, nempe plana & expedita: quemadmodum improbitas est quid peruersum, varium, & quod non habet exitum: & id potest videri ex rebus ipsis. Nam qui vult mentiri, & fraudes consarcinare, cogita apud te quot & quanta aggreditur, quanta opus habet varietate,

Arbitrij libertas.
Virga peccatorum.
Psal. 76. Matth. 19. Rom. 8.
Rectus, non dolosus.
1. Paral. 19. Matth. 10.
Mentiendi difficultas.

A

Εἰς τὸν ρκε΄ ψαλμόν.

Ἐν τῷ ἐπιστρέψαι κύριον τὴν αἰχμαλωσίαν Σιὼν ἐγενήθημεν ὡσεὶ παρακεκλημένοι. ἕτερος ἑρμηνευτής φησιν, ὅταν ἐπιστρέψῃ κύριος τὴν αἰχμαλωσίαν, ἐσόμεθα παρακεκλημένοι.

ΤΟ τῆς αἰχμαλωσίας ὄνομα ἁπλοῦν μέν ἐστι κατὰ τὴν προφοράν· ἔχει δὲ πολλὰς ἐννοίας. B ἔστι γὰρ καὶ καλὴ αἰχμαλωσία, ὡς ὅταν λέγῃ Παῦλος, αἰχμαλωτίζοντες πᾶν νόημα εἰς Χριστόν· ἔστι καὶ κακή, ὡς ὅταν λέγῃ· αἰχμαλωτεύοντες γυναικάρια σεσωρευμένα ἁμαρτίαις. ἔστιν ἡ νοητή, περὶ ἧς φησι· κηρύξαι αἰχμαλώτοις ἄφεσιν. ἔστιν ἡ αἰσθητὴ ἡ παρὰ τῶν πολεμίων· χαλεπωτέρα δὲ ἡ προτέρα. οἱ μὲν γὰρ νόμῳ πολέμου τινὰς λαβόντες, C καὶ φείδονται πολλάκις τῶν εἰλημμένων· κἂν ἐπιτάξωσιν ὑδροφορεῖν, ξυλοκοπεῖν, καὶ ἱπποφορβοὺς ποιήσωσιν, οὐδὲν εἰς τὴν ψυχὴν παρέβλαψαν. ὁ δὲ ὑπὸ τῆς ἁμαρτίας ληφθεὶς αἰχμάλωτος, ἀφειδῆ καὶ βάρβαρον δέσποιναν κτᾶται, εἰς τὰ ἀτιμότατα αὐτὸν τῶν ἔργων καταφέρουσαν. οὐ γὰρ οἶδε φείδεσθαι, οὐδὲ ἐλεεῖν αὕτη ἡ τυραννίς. ἄκουσον γοῦν πῶς τὸν ἄθλιον καὶ ταλαίπωρον Ἰούδαν λαβοῦσα αἰχμάλωτον οὐκ ἐφείσατο, ἀλλ' ἐποίησεν ἱερόσυλον, προδότην· καὶ μετὰ τὸ τὴν ἁμαρτίαν αὐτῷ εἰς τὸ D θέατρον αὐτὸν ἤγαγε τῶν Ἰουδαίων, καὶ ἀπεκάλυψε τὸ πλημμέλημα· καὶ οὐδὲ οὕτως ἀφῆκε καρπώσασθαι τὸ ἐκ τῆς μετανοίας κέρδος, ἀλλὰ προαπήγαγε τῆς μετανοίας ἐπὶ βρόχον ἀγαγοῦσα. τύραννος γάρ ἐστι χαλεπή, πονηρὰ ἐπιτάττουσα ἐπιτάγματα, καὶ καταισχύνουσα τοὺς ὑπακούοντας. διὸ παρακαλῶ φεύγωμεν μετὰ πολλῆς τῆς σπουδῆς τῆς δεσποτείας αὐτῆς, καὶ πολεμῶμεν αὐτῇ· καὶ μηδέποτε καταλλαττώμεθα, καὶ ἐλευθερωθέντες μένωμεν ἐπὶ τῆς ἐλευθερίας. εἰ γὰρ οὗτοι βαρβάρων ἀπαλλαγέντες, ἐγένοντο παρακεκλημένοι· πολλῷ μᾶλλον ἡμᾶς ἁμαρ-

In Psalmvm cxxv.

Cum conuerteret Dominus captiuitatem Sion, facti sumus sicut consolati. Alius interpres dicit, Quando conuerterit Dominus captiuitatem, erimus consolati.

Captiuitas multiplex.
2. Cor. 10. 5

NOMEN captiuitatis est quidem in prolatione simplex, habet autem multas intelligentias. Est enim & bona captiuitas, vt quando dicit Paulus, Captiuum redigentes omnem intellectum in Christum. Est mala, vt quando dicit: Captiuas abducentes mulierculas oneratas peccatis. Est quæ in mente versatur, vt de qua dicit, Prædicate captiuis remissionem. Est quæ sub sensum cadit, vt quę fit ab hostibus. Est autem prior grauior. Qui enim ceperunt aliquos iure belli, captis sæpe parcunt, & si aut aquari, aut lignari, aut equos pascere iusserint, animam minimè læserint. Qui peccati autem captiuus factus est, habet sæuum & barbarum dominum, qui cogit eum facere res turpissimas, & maximè probrosas. Non enim parcere, nec misereri nouit hæc vitij tyrannis. Audi itaque quomodo cum miserum & infœlicem Iudam accepisset captiuum, minimè ei pepercerit, sed sacrilegum & proditorem fecerit: deinde postquam scelus perpetrasset, eum in theatrum Iudæorum produxerit, & maleficium reuelauerit, & nec sic quidem permiserit, vt perciperet fructum pœnitentiæ, sed ante pœnitentiam deduxerit ad laqueum. Est enim sæuus tyrannus, qui iubet quæ sunt improba, & eos qui obediunt, ignominia afficit. Quocirca vos rogo, summo studio fugiamus eius dominium, & cum eo bellemus, nec ei vnquam reconciliemur, & liberati in libertate permaneamus. Si enim hi à barbaris liberati, consolationem acceperunt, multò magis oportet nos à pec-

Esa. 61. 1.
Ioan. 8.
Rom. 6.
Peccati tyrannis.
Matth. 27.
Act. 1.
Esa. 66.
Rom. 5.
Apoc 19.

cato liberatos gaudere & exultare, & hanc lætitiam conseruare immortalem, non autem eam perturbare ac confundere, eadem mala rursus aggredientes. Facti sumus tanquam consolati. Hoc alij quidem interpretes dicunt, Tanquam somniantes. Hebræus autem *chaolem mim.* Quid est autem, Consolati? impleti, inquit, sumus quiete, lætitia, voluptate. 2. *Tunc repletum est gaudio os nostrum, & lingua nostra exultatione.* 3. *Tunc dicent inter gentes, Magnificauit Dominus facere cum eis.* 4. *Magnificauit Dominus facere nobiscum.* Ad meliorem mutationem non parum confert lætari propter liberationem à captiuitate. Et quis, inquies, non propterea lætatur? Patres eorum quando liberati sunt ab Ægypto, & ab illa seruitute traducti in libertatem, per summum ingrati animi vitium in bonis ipsis murmurabant, indignabantur, ægrè ferebant, tristes manebant. At non nos, inquit, sed gaudemus & exultamus. Iam verò causam quoque gaudij afferunt. Non solùm, inquit, gaudemus propter liberationem à malis, sed etiam quòd ex eo omnes cognoscent, quàm nostri Deus curam gerat. Tunc enim, inquit, dicent inter gentes, Magnificauit Dominus facere cum eis. Magnificauit Dominus facere nobiscum. Non temerè adijcitur hæc conduplicatio, sed vt ostenderent magnam, quam ceperant, lætitiam. Alterum enim verbum est gentium, alterum verò ipsorum. Vide autem, non dixerunt, Seruauit nos, nec liberauit nos, sed, Magnificauit, rem opinione maiorem & miraculo plenam per hæc volentes ostẽdere. Vides quòd (quemadmodum dicebam) per hanc gentẽ docebatur vniuersus orbis terræ, dum & abducerentur, & rursus reducerentur. Ipse enim reditus fuit loco præconis. Eorum enim fama vbique peruolabat, Dei in eos benignitatem manifestam omnibus efficiens, quòd scilicet erant magna & re vera omni opinione maiora quæ in eos facta erant miracula. Ipse enim Cyrus qui eos tenebat, ipsos dimisit, cùm nullus eum rogasset, sed Deus mentem illius molliisset: nec solùm eos dimisit, sed etiam affecit donis & muneribus. *Facti sumus lætantes.* 5. *Conuerte Domine, captiuitatem*

Exod. 17.

Verbi conduplicatio.

1. Esdr. 6.

A τίας ἐλευθερωθέντας χαίρειν δεῖ καὶ σκιρτᾶν καὶ
ἀθάνατον ταύτην διατηρεῖν τὴν ἡδονήν· ἀλ-
λὰ μὴ λυμαίνεσθαι, μηδὲ θολοῦν αὐτὴν πά-
λιν τοῖς αὖθις ἐπιχειροῦντας κακοῖς. ἐγενήθη-
μεν ὡσεὶ παρακεκλημένοι. τοῦτο μὲν ἄλλοι οἱ
ἑρμηνευταί φασιν· ὡσεὶ ἐνυπνιαζόμενοι. ὁ δὲ
Ἑβραῖος, χαολὲμ μίμ, τί δέ ἐστι παρακεκλη-
μένοι; ἀναπαύσεως ἐπλήσθημεν φησιν, εὐφρο-
σύνης, ἡδονῆς. τότε ἐπλήσθη χαρᾶς τὸ στόμα
ἡμῶν, καὶ ἡ γλῶσσα ἡμῶν ἀγαλλιάσεως. τότε
ἐροῦσιν ἐν τοῖς ἔθνεσιν, ἐμεγάλυνε κύριος τοῦ
ποιῆσαι μετ' αὐτῶν. ἐμεγάλυνε κύριος τοῦ ποιῆσαι
B μεθ' ἡμῶν. οὐ μικρὰ συντελεῖ πρὸς βελτίω με-
ταβολὴν, τὸ χαίρειν ἐπὶ τῇ ἀπαλλαγῇ τῆς αἰχμα-
λωσίας. καὶ τίς οὐ χαίρει φησὶν ἐπὶ τούτῳ; οἱ
πατέρες οἱ τούτων, ὅτε ἀπηλλάγησαν τῆς Αἰ-
γύπτου, καὶ ἐκ τῆς δουλείας ἐκείνης πρὸς ἐ-
λευθερίαν μετέστησαν ὑπὸ ἐσχάτης ἀγνωμο-
σύνης, ἐν αὐτοῖς ἐγόγγυζον τοῖς ἀγαθοῖς, ἐδυ-
σχέραινον, ἐχαλέπαινον, ἀλύοντες διετέλουν,
ἀλλ' οὐχ ἡμεῖς φησιν· ἀλλὰ χαίρομεν, καὶ
σκιρτῶμεν. λέγουσι δὲ καὶ τὴν αἰτίαν τῆς χα-
ρᾶς. οὐ μόνον φησὶ, διὰ τὴν ἀπαλλαγὴν τῶν
C δεινῶν χαίρομεν· ἀλλ' ὅτι καὶ ἐντεῦθεν πάντες
εἴσονται τοῦ Θεοῦ τὴν πρόνοιαν τὴν περὶ ἡμᾶς.
τότε γάρ φησιν, ἐροῦσιν ἐν τοῖς ἔθνεσιν, ἐμε-
γάλυνε κύριος τοῦ ποιῆσαι μετ' αὐτῶν. ἐμε-
γάλυνε κύριος τοῦ ποιῆσαι μεθ' ἡμῶν. οὐχ ἁ-
πλῶς ὁ διπλασιασμὸς πρόσκειται, ἀλλ' ἕνε-
κα τοῦ ἐμφῆναι τὴν πολλὴν αὐτῶν, ἣν εἶχον
χαράν. τὸ μὲν γὰρ τῶν ἐθνῶν ἐστι ῥῆμα· τὸ δὲ αὐτῶν
πάλιν. καὶ ὅρα οὐκ εἶπον, ἔσωσεν ἡμᾶς· οὐδὲ ἀπήλ-
λαξεν ἡμᾶς· ἀλλ' ἐμεγάλυνε τὸ παράδοξον τὸ
θαύματος γέμον διὰ τῆς προσηγορίας τῆς μεγα-
D λῦναι παραστῆσαι βουλόμενοι. ὁρᾷς, ὅτι ὅπερ συ-
νεχῶς ἔλεγον, διὰ τοῦ ἔθνους τούτου ἡ οἰκουμένη
ἐπαιδεύετο, καὶ ἀπαγομένων αὐτῶν καὶ ἐπανα-
γομένων; ἡ γὰρ ἄνοδος ἀντὶ κήρυκος ἐγένετο. καὶ
γὰρ αὐτῶν ἡ φήμη περιϊοῦσα πανταχοῦ κατάδηλον
πᾶσι ποιοῦσα τὴν τοῦ Θεοῦ φιλανθρωπίαν·
ὅτι μεγάλα καὶ παράδοξα, ὡς ἀληθῶς ἦσαν
τὰ περὶ αὐτοὺς γεγονημένα θαύματα. αὐτοὺς
γὰρ αὐτοὺς ὁ κατέχων Κῦρος ἀφῆκεν, οὐδε-
νὸς δεηθέντος, ἀλλὰ τοῦ Θεοῦ τὴν ἐκείνου διά-
νοιαν μαλάξαντος· καὶ οὐκ ἀφῆκεν ἁπλῶς, ἀλλὰ
καὶ μετὰ δώρων καὶ ξενίων. ἐγενήθημεν εὐφραινόμενοι. ἐπίστρεψον κύριε, τὴν αἰχμαλωσίαν

ἡμῶν, ὡς χειμάῤῥους ἐν τῷ νότῳ. πῶς ἀρχόμενος τοῦ ψαλμοῦ· ἐν τῷ ἐπιστρέψαι κύριον τὴν αἰχμαλωσίαν Σιὼν· εἶπεν, ἐνταῦθα δὲ ἐπίστρεψον, ὡς περὶ μέλλοντος διαλεγόμενος; μάλιστα γὰρ ὁ ἕτερος ἑρμηνευτὴς εἰς τοῦτο ἡμᾶς προσάγει, οὐκ εἰπὼν ἐν τῷ ἐπιστρέψαι· ἀλλ', ὅταν ἐπιστρέψῃ· ὅτι ἀρχὴν τότε τὸ πρᾶγμα ἐλάμβανεν, καὶ οὐκ ἐν προοιμίοις τὸ πᾶν κατωρθώθη, ἀλλὰ πολλαὶ γεγόνασιν αὐτῶν ἀναβάσεις, καὶ πρώτη, καὶ δευτέρα, καὶ τρίτη γέγονε. τοῦτο οὖν ἐστιν εἰπεῖν· ἢ ὅτι εὔχεται, ὁλόκληρον γενέσθαι τὴν ἀπαλλαγήν. καὶ γὰρ πολλοὶ τῶν Ἰουδαίων ἐναπομεῖναι ἐβούλοντο τῇ χώρᾳ τῶν βαρβάρων, διὸ καὶ μετ' ἐπιτάσεως τοῦτο γενέσθαι ποθῶν φησιν· ἐπίστρεψον τὴν αἰχμαλωσίαν ἡμῶν, ὡς χειμάῤῥους ἐν τῷ νότῳ, τουτέστι, μετὰ πολλῆς τῆς ῥύμης, μετὰ πολλῆς τῆς σφοδρότητος ὠθοῦν καὶ κατεπεῖγον. διὸ καὶ ἕτερος ἑρμηνευτὴς τὸ αὐτὸ τοῦτο δηλῶν, ὡς καταῤῥοίας εἶπεν. ἄλλος, ὡς ὀχετούς. ἄλλος, ὡς ἀφέσεις. οἱ σπείροντες ἐν δάκρυσιν ἐν ἀγαλλιάσει θεριοῦσι. τοῦτο εἴρηται μὲν περὶ τῶν Ἰουδαίων, πολλαχοῦ δ' ἂν ἔχοι χώραν καὶ ἀλλαχοῦ λέγεσθαι. τοιοῦτον γὰρ ἡ ἀρετὴ, τῶν πόνων λαμπρὰς ἔχει τὰς ἀμοιβάς· καὶ δεῖ ἡμᾶς πρότερον κάμνειν καὶ ταλαιπωρεῖσθαι, καὶ τότε ζητεῖν ἄνεσιν. τοῦτο γὰρ πανταχοῦ καὶ ἐν τοῖς βιωτικοῖς συμβαῖνον ἴδοι τις ἄν. διὰ δὴ τοῦτο καὶ αὐτὸς ἐπὶ ταῦτα τὸν λόγον ἤγαγεν, ἐπὶ σπόρον λέγων, καὶ ἀμητόν. ὥσπερ γὰρ ὁ σπείρων πόνου δεῖται, καὶ ταλαιπωρίας, καὶ ἱδρώτων καὶ χειμῶνος, οὕτως ὁ τὴν ἀρετὴν μετιών. οὐδὲν γὰρ οὕτω πρὸς ἄνεσιν ἄχρηστον ὡς ἄνθρωπος. διὰ δὴ τοῦτο στενὴν καὶ τεθλιμμένην ἐκάλεσε ὁδὸν ὁ Θεός. μᾶλλον δὲ οὐ τὰ τῆς ἀρετῆς μόνον, ἀλλὰ καὶ τὰ βιωτικὰ πράγματα ἐπίπονα κατεσκεύασε, καὶ αὐτὰ πολλῷ πλέον. ὅ, τε γὰρ σπείρων, ὅ, τε οἰκοδομῶν, ὁ ὁδοιπόρος, ὁ δρυοτόμος, ὁ χειροτέχνης, ὁ πᾶς ἄνθρωπος εἰ μέλλοι τι καρποῦσθαι χρήσιμον, πόνου δεῖται καὶ ταλαιπωρίας· καὶ καθάπερ τὰ σπέρματα ὑετῶν δεῖται, οὕτω ἡμεῖς δακρύων· καὶ καθάπερ ἡ γῆ, τοῦ τέμνεσθαι χρείαν ἔχει καὶ ἀναῤῥήγνυσθαι, οὕτω καὶ ἡ ψυχὴ ἀντὶ δικέλλης δεῖται πειρασμῶν καὶ θλίψεων, ἵνα μὴ φέρῃ βοτάνας πονηράς, ἵνα τὸ σκληρὸν αὐτῆς μαλάττηται, ἵνα μὴ σκιρτᾷ. καὶ γὰρ καὶ γῆ μὴ ἐργαζο-

A *nostram, sicut torrens in austro.* Quomodo dixit in principio Psalmi: Cum conuerteret Dominus captiuitatem: hic autem dicit, Conuerte tanquam de re futura loquens? Maximè enim nos ad hoc inducit alius interpres, qui dixit, non, cum conuerteret: sed, Quando conuerterit: quoniam res tunc principium capiebat, & non tota gesta fuit in principio, multæ enim fuerunt transmigrationes: fuit enim prima, secunda, & tertia. Hoc ergo possumus dicere: vel quòd orat, vt sit integra & absoluta liberatio. Multi enim Iudæi volebant B remanere in regione barbarorum, & ideo vehementer desiderans hoc fieri, Conuerte, inquit, captiuitatem nostram sicut torrens in austro, hoc est, cum magno impetu, cum magna vehementia nos vrgens ac protrudens. Quocirca alius quoque interpres hoc ipsum significans, dicebat, vt fluenta. Alius, vt aquæductus. Alius, vt emissiones. 6. *Qui seminant in lachrymis, in exultatione metent.* Hoc de Iudæis quidem dictum est, potest autem in multis quoque aliis locum habere. Virtus enim res est eiusmodi, vt quæ ma- C gnas habeat laborum remunerationes: & oportet nos prius laborare & affligi, & tunc animi remissionem & ocium quærere. Hoc etiam potest videri euenire in iis quæ ad hanc vitam pertinent. Quocirca ipse quoque ad hæc deduxit orationem, ad sementem, inquam, & messem. Quemadmodum enim qui seminat, & labore & afflictione, & sudoribus, & hieme indiget, ita etiam qui virtutem persequitur. Nihil enim æquè est ad ocium inutile vt homo. Et ideo Deus arctam & angustam viam effecit, quæ ducit ad virtutem. Imò verò non solum virtutem, sed ea etiam quæ ad D hanc vitam pertinent, reddidit laboriosa, atque adeò longè amplius. Nam & qui seminat, & qui ædificat, & viator, & lignator, & opifex, & denique quilibet homo, si est aliquid commodi percepturus, & labore & afflictione opus habet: & queadmodũ semina opus habẽt imbribus, ita nos etiã lachrymis: & quemadmodum terra opus habet vt aretur & proscindatur, ita anima fidelis pro ligone indiget tentationibus & afflictionibus, ne producat malas herbas, vt eius molliatur durities, ne nimium efferatur & exiliat. Nam terra quoque

Transmigrationes Iudæorum tres.

Virtutis labor ac merces.

Simile.

Matth. 7.

Gen. 3.

Similia.

Animæ cultura.

A nisi diligenter colatur, nihil boni producit. Hoc est ergo quod dicit Propheta, non esse solùm lætandum propter reditum, sed etiam propter captiuitatem, & pro vtrisque Deo esse agendas gratias. Illud enim est sementis: hoc verò messis. Quemadmodum ergo, inquit, qui seminant laborantes, reditus postea percipiunt: ita etiam vos quando recessistis quidem, imitati estis eos qui seminant, afflicti, pulsati, vexati, hyemem, tempestatem, bellum, nimbos, gelu & glaciem ferentes, lachrymas effundentes. Quòd B enim sunt imbres seminibus, hoc lachrymæ sunt iis qui affliguntur. Sed ecce, inquit, accepistis eorum laborum remunerationem. Quando ergo dicit: 7. *Euntes ibant & flebant, mittentes semina sua*: 8. *Venientes autem venient cum exultatione, portantes manipulos suos*: Non dicit de frumento, sed de rebus, docens auditorem, non angi & mœrere in afflictionibus. Quemadmodum enim qui seminat mœrore non afficitur, licet sint multa grauia, respiciens ad lætas & luxuriantes segetes: ita etiam eum qui affligitur, non oportet C angi & excruciari, etiam si sint permulta molesta, vt qui messem expectet, & copiosum prouentum, qui ex afflictione oritur, consideret. Hoc igitur nos quoque considerantes, & pro afflictione & otio ac quiete agamus Domino gratias. Etsi enim sunt diuersa quæ fiunt, vnum tamen habent singula finem propositum, sicut sementis & messis: afflictionésque forti & generoso animo feramus, & cum gratiarum actione: otium autem & res secundas cum Dei gloriæ celebratione, vt futura etiam bona consequamur, gratia & benignitate domini nostri Iesu D Christi, cui gloria & potentia in secula seculorum, Amen.

Simile ex collatione.

μένη μετὰ πολλῆς τῆς ἀκριβείας, οὐδὲν ὑγιὲς ἐκφέρει. ὃ τοίνυν φησὶν ὁ προφήτης τοῦτό ἐστιν· ὅτι μὴ δεῖ μόνον ἐπὶ τῇ ἀνόδῳ χαίρειν, ἀλλὰ καὶ ἐπὶ τῇ αἰχμαλωσίᾳ, καὶ ὑπὲρ ἀμφοτέρων χάριτας τῷ Θεῷ ὁμολογεῖν. ἐκεῖνο μὲν σπόρος· τοῦτο δὲ ἀμητός. ὥσπερ οὖν οἱ σπείροντες, φησι, πονοῦντες ἀπολαύουσι τῆς προσόδου μετὰ ταῦτα· οὕτω καὶ ὑμεῖς, ἡνίκα μὲν ἀπῄειτε τοὺς σπείροντας ἐμιμεῖσθε, ταλαιπωρούμενοι, κοπτόμενοι, θλιβόμενοι, τὸν χειμῶνα, τὸν πόλεμον φέροντες, τὴν σκηνὴν ἐφθαρμένην, τὸν κρυμὸν, δάκρυα ἐκχέοντες. ὅπερ γάρ ἐστι τοῖς σπέρμασιν ὁ ὑετὸς, τοῦτο τοῖς θλιβομένοις τὰ δάκρυα. ἀλλ' ἰδοὺ, φησι, τῶν πόνων ἐκείνων ἀπελάβετε τὴν ἀμοιβήν. ὅταν οὖν λέγῃ· βάλλοντες τὰ σπέρματα αὐτῶν· ἐρχόμενοι δὲ ἥξουσιν ἐν ἀγαλλιάσει αἴροντες τὰ δράγματα αὐτῶν· οὐ περὶ σίτου διαλέγεται, ἀλλὰ περὶ πραγμάτων, παιδεύων τὸν ἀκροατὴν, μὴ ἀλύειν ἐν ταῖς θλίψεσιν. ὥσπερ γὰρ ὁ σπείρων οὐκ ἀλγεῖ, κἂν πολλὰ τὰ φορτικὰ ᾖ, ἀφορῶν πρὸς τὰ λήϊα τὰ κομῶντα· οὕτως οὐδὲ τὸν θλιβόμενον δυσχεραίνειν χρή· κἂν πολλὰ ᾖ τὰ λυπηρὰ, τὸν ἀμητὸν ἀναμένοντα, καὶ τὴν πρόσοδον τὴν ἀπὸ τῆς θλίψεως γενομένην ἐννοοῦντα. ταύτην οὖν καὶ ἡμεῖς εἰδότες, καὶ ὑπὲρ θλίψεως καὶ ὑπὲρ ἀνέσεως, εὐχαριστῶμεν τῷ δεσπότῃ. εἰ γὰρ καὶ διάφορα τὰ γενόμενα, ἀλλὰ πρὸς ἓν ἕκαστον ἅπαντα τέλος ὁρᾷ, ὥσπερ ὁ σπόρος καὶ ὁ ἀμητός· καὶ φέρωμεν τὰς θλίψεις γενναίως, καὶ εὐχαρίστως, καὶ τὰς ἀνέσεις μετὰ δοξολογίας· ὥστε καὶ τῶν μελλόντων ἐπιτυχεῖν ἀγαθῶν χάριτι, καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

A

Εἰς τὸν ρκϛ' ψαλμόν.

Ἐὰν μὴ κύριος οἰκοδομήσῃ οἶκον, εἰς μάτην ἐκοπίασαν οἱ οἰκοδομοῦντες. ἐὰν μὴ κύριος φυλάξῃ πόλιν, εἰς μάτην ἠγρύπνησεν ὁ φυλάσσων. εἰς μάτην ὑμῖν ἐστὶ τὸ ὀρθρίζειν· ἐγείρεσθαι μετὰ τὸ καθῆσθαι.

ΟΥΤΟΣ ὁ ψαλμὸς εἰς τὴν κατάστασιν τῶν πραγμάτων τῶν μετὰ τὴν ἐπάνοδον εἴρηται. ἐπειδὴ γὰρ τῆς αἰχμαλωσίας ἀπαλλαγέντες, καὶ ἐκ τῆς βαρβάρου χώρας ἐπανελθόντες, ἐρείπιον δὲ καταλαβόντες τὴν πόλιν, καὶ τὰ τείχη μετὰ τῶν πύργων ἐρριμμένα χαμαὶ ἐπεχείρησαν ἐγείρειν, πολλοὶ δὲ πολλαχόθεν ἐπιπεσόντες διεκώλυον τὸ ἔργον φθονοῦντες τῇ τῶν Ἰουδαίων εὐημερίᾳ, καὶ δεδοικότες αὐτῶν τὴν εὐπραγίαν· εἶτα τούτων γινομένων ὁ χρόνος ἐτρίβετο, καὶ τοσοῦτος ἐτρίβη χρόνος, ὡς ὑπὲρ τὰ τεσσαράκοντα ἔτη ἀναλωθῆναι ἐν τῇ τοῦ ναοῦ οἰκοδομῇ. ὅπερ οὖν καὶ Ἰουδαῖοι ἔλεγον· τεσσαράκοντα καὶ ἓξ ἔτεσιν ᾠκοδομήθη ὁ ναὸς οὗτος, οὐ περὶ τῆς προτέρας λέγοντες οἰκοδομῆς τῆς τοῦ Σολομῶντος, ἀλλὰ περὶ ταύτης τῆς ὕστερον μετὰ τὴν Περσῶν ἀπαλλαγήν. ἐπεὶ οὖν πολὺς ἐτρίβετο χρόνος, καὶ τοῦ ναοῦ καὶ τῆς πόλεως καὶ τῶν τειχῶν οἰκοδομουμένων· ἡ γὰρ τῆς πόλεως οἰκοδομία καὶ πολλῷ πλείονα ἀνάλωσε· παιδεύων αὐτοὺς πάλιν ἐπὶ τὸν Θεὸν καταφεύγειν ὁ προφήτης ταῦτα διεξέρχεται δεικνὺς, ὅτι πάντα εἰκῇ καὶ μάτην γίνεται, ἐὰν μὴ τῆς παρὰ τοῦ Θεοῦ ῥοπῆς ἐπιτύχωσιν. οὐ γὰρ δὴ μόνον τῆς αἰχμαλωσίας ἀπαλλαγῆναι, ἀλλὰ καὶ τὸ ἀναστῆσαι τεῖχος ἀπαλλαγέντας ἀδύνατον ἄνευ τῆς τοῦ Θεοῦ ῥοπῆς. καὶ τί λέγω τειχῶν ἀνάστασιν, καὶ πόλεως οἰκοδομήν; ἀλλ' οὐδὲ γενομένην αὐτὴν, καὶ ἀπαρτισθεῖσαν φυλάξαι τις δυνήσεται ἂν ἐκείνης ἠρημωμένος τῆς συμμαχίας. ταῦτα δὲ ἔλεγε· διὰ πάντων αὐτοὺς πάλιν ἐπὶ τὴν αὐτοῦ πείθων καταφεύγειν ῥοπὴν, ὥστε μὴ τῇ ἀδείᾳ γίνεσθαι ῥαθυμοτέρους. διὰ γὰρ

B

C

D

IN PSALMVM CXXVI.

Nisi Dominus ædificauerit domum, in vanum laborauerunt qui ædificant eam. Nisi Dominus custodierit ciuitatem, frustra vigilat, qui custodit eam. 2. Vanum est vobis ante lucem surgere, surgere postquam sederitis.

HIC Psalmus dictus est de statu rerum, qui fuit post reditũ. Quoniam enim à captiuitate liberati, & à barbara regione reuersi, dirutam à se inuentam ciuitatem, & mœnia cum turribus humi disiecta, conabantur excitare: multi autem eos vndique adorientes prohibebant, Iudæorum fœlicitati inuidentes, & prosperos eorum successus metuentes: deinde in his faciendis tempus conterebatur, & tantum contritum est temporis, vt in ædificando templo plusquam quadraginta anni cõsumpti sint: quod Iudæi quoque declarantes dicebant, Quadraginta & sex annis ædificatum est templum hoc, non dicentes de priore ædificatione, quæ à Salomone facta est, sed de ea, quæ facta est, postquam liberati sunt à Persis. Quoniam ergo multum tempus conterebatur in ciuitate, templo, & mœnibus extruendis, (nam ciuitatis constructio multo etiam plures annos consumpsit) docens eos rursus Propheta ad Deum confugere, hæc persequitur, ostendens omnia frustra & nequicquam fieri, nisi ad se diuinum auxilium attraxerint. Non solùm enim vt liberentur à captiuitate, sed etiam vt liberati mœnia excitent, fieri non potest absque diuino auxilio. Et quid dico de muris excitandis, & vrbe ædificanda? ne eam quidem perfectam & absolutam poterit quis custodire, si illud ei non adsit auxilium. Hæc autem dicebat, eis omni ratione suadens, vt rursus ad Dei auxiliũ confugerent, ne otio & rebus secundis fierent negligentiores. Propterea enim

2. Esd. 5. 6. & 7.

Templum secundum annis 46. ædificatum; Ioan. 2.

nec simul & aceruatim dedit eis bona omnia, sed sensim & paulatim, ne perceleri liberatione à malis, ad improbitatem pristinam recurrerent. Quinetiam dum bona daret, eos sæpe admonebat, per irruptionem hostium eorum socordiam excitans. Quod ergo hic dicitur, generaliter dictum est: ex hoc autem argumento cepit principium. Oportet enim id aptare omnibus, non vt ipsi socordes simus, & supini iaceamus, sed vt nostra afferentes, Dei arbitrio omnia permittamus, à spe illius in omnibus perpetuò pendentes. Quemadmodum enim fieri non potest, vt, nisi Deus opem ferat, res ad finem perducantur: ita si Deus opem ferat, simus autem negligẽtes & otiosi, finem haud poterimus assequi. Vanũ est vobis ante lucẽ surgere: surgere postquã sederitis. Alius interpres ait, tardàtibus ad sedendum. Alius, differentibus sedere. Quod autem dicit, est eiusmodi. Etiamsi vigiletis, etiãsi mane excitemini, etiamsi serò eatis cubitum, omne tempus in labore & afflictione consumentes, nisi auxilium eius assequamini, peribunt humana omnia, & ex eo studio ac diligentia nulla redibit vtilitas. *Qui manducatis panem doloris.* Hoc dicit ostendens eos vitam degere laboriosam dum armati ædificant. Altera enim manu, inquit, canistrum aut lapidem ferebant, & alia gladium, ad ædificandum & bellandum seipsos diuidentes, & vnà cum clypeis ferentes silices. Quoniam enim erat immunita ciuitas & nudata, subitos autem & inopinatos hostium impetus fore singulis horis suspicabantur, armati muros ædificabant, & enses, clypei, & gladij aderãt, & procul erant quidam speculatores, qui incertam eorum irruptionem significarent, & tuba canerent, si quos procul aduentantes viderent. Sed & si hæc, inquit, faciatis, & panem doloris comedatis, omnia, inquit, frustra & nequicquam facietis, nisi attraxeritis supernum auxilium. Quòd si illi vt vrbem & muros excitarent, tanto opus habebant superno auxilio: multò magis nos, qui viam quæ ducit in cælum, ingredimur. *Cum dederit dilectis suis somnum.* 3. *Ecce hæreditas Domini, filij.* Cuiusmodi est hæc consequentia? Pulchra profectò,

Matth. 6. Luc. 11. Philip. 2. 1. Petr. 5.

Neem. 4.

Iudæi simul pugnant & ædificant.

A τοῦτο οὐδὲ ἀθρόον ἔδωκεν αὐτοῖς τὰ ἀγαθά, ἀλλὰ ἠρέμα καὶ κατὰ μικρὸν, ἵνα μὴ πρὸς τὴν προτέραν παλινδρομήσωσι πονηρίαν τῇ ταχείᾳ τῶν κακῶν ἀπαλλαγῇ. ἀλλὰ καὶ ἐν αὐτῇ τῇ δόσει τῶν ἀγαθῶν συνεχῶς αὐτοὺς ὑπεμίμνησκεν ἐν τῇ τῶν πολεμίων ἐφόδῳ, διηνεκῶς ἀφυπνίζων αὐτῶν τὴν ῥαθυμίαν. εἴρηται μὲν οὖν καθολικῶς ὁ λόγος, τὴν ἀρχὴν δὲ ἀπὸ τῆς ὑποθέσεως ταύτης εἴληφε. δεῖ γὰρ αὐτὸν ἐφ' ἅπασιν ἁρμόζειν, οὐχ ἵνα αὐτοὶ ῥαθυμῶμεν, οὐδὲ ἵνα ὕπτιοι κείμεθα, ἀλλ' ἵνα τὰ παρ' ἑαυτῶν εἰσφέροντες, τὸ πᾶν ἐπὶ τὸν Θεὸν ῥίπτωμεν τῆς ἐλπίδος τῆς ἐκείνου διαπαντὸς ἐν ἅπασιν ἐκκρεμάμενοι. B ὥσπερ γὰρ οὐκ ἔνι τοῦ Θεοῦ μὴ βοηθοῦντος εἰς τέλος τὰ πράγματα ἀγαγεῖν, οὕτως οὐδ' ὁ Θεὸς βοηθεῖ ἀργοῦντας αὐτοὺς καὶ ἀναπεπτωκότας· οὐκ ἔνι τοῦ τέλους ἐπιτυχεῖν. εἰς μάτην ὑμῖν ἐστι τὸ ὀρθρίζειν· ἐγείρεσθαι μετὰ τὸ καθῆσθαι. ἕτερος δὲ ἑρμηνευτής φησι, βραδύνουσι καθῆσθαι. ἄλλος, χρονίζουσι τοῦ καθῆσθαι. ὁ δὲ λέγει, τοιοῦτόν ἐστι. κἂν ἀγρυπνῆτε, κἂν ὑπὸ τὴν ἕω διεγείρησθε, κἂν βραδύνητε πρὸς τὸ ἀναπαύεσθαι τὸν πάντα χρόνον εἰς C πόνον καὶ ταλαιπωρίαν δαπανῶντες, ἂν μὴ τῆς ἐκεῖθεν ἀπολαύσητε ῥοπῆς, τὰ ἀνθρώπινα πάντα οἰχήσεται, καὶ τῆς σπουδῆς ταύτης οὐδὲν ἔσται πλέον. οἱ ἐσθίοντες ἄρτον ὀδύνης. τοῦτο λέγει δεικνὺς ὅτι ἐπίπονον ἔζων βίον ὁπλῖται καὶ οἰκοδόμοι γενόμενοι. τῇ μιᾷ μὲν γάρ φησι, χειρὶ κόφινον ἐβάσταζον ἢ λίθον, τῇ δὲ μιᾷ μάχαιραν· εἰς τὸ οἰκοδομεῖν, καὶ πολεμεῖν ἑαυτοὺς διαιροῦντες, καὶ μετὰ ἀσπίδων τοὺς χάλικας συνεφόρουν. ἐπειδὴ γὰρ ἀτείχιστος ἦν ἡ πόλις καὶ γεγυμνωμένη, καὶ ἀθρόας καὶ παρ' ἐλπίδα τῶν πολεμίων ἐφό- D δους καθ' ἑκάστην ὑποπτεύοντες ὥραν, ὡπλισμένοι τὰ τείχη ὕφαινον, καὶ ξίφη, καὶ ἀσπίδες, καὶ μάχαιραι παρέκειντο, καὶ πόρρωθεν σκοποί τινες τὴν ἄδηλον αὐτῶν ἀπαγγέλλοντες ἔφοδον, καὶ σαλπίζοντες· εἴποτε ᾔσθοντο αὐτοὺς πόρρωθεν ἐπιόντας. ἀλλὰ κἂν ταῦτα ποιῆτε, φησι, καὶ ἄρτον ὀδύνης ἐσθίητε, πάντα εἰκῇ καὶ μάτην ἔσται, ἂν μὴ τὴν ἄνωθεν ἐπισπάσησθε συμμαχίαν. εἰ δὲ ἐκεῖνοι πόλιν ἵνα ἀναστήσωσι, καὶ τείχη, τοσαύτης ἐδέοντο τῆς ἄνωθεν συμμαχίας· πολλῷ μᾶλλον ἡμεῖς τὴν ἐπὶ τὸν οὐρανὸν φέρουσαν ὁδεύοντες ὁδόν. ὅταν δῷ τοῖς ἀγαπητοῖς αὐτοῦ ὕπνον, ἰδοὺ ἡ κληρονομία κυρίου, υἱοί. ποία αὕτη ἀκολουθία; πολλὴ μὲν καὶ συνημ-

συνημμένη τοῖς προτέροις. ὃ γὰρ λέγει τοῦτό ἐστιν· ἐὰν μὴ τὰ παρ' ἑαυτοῦ ὁ Θεὸς παράσχῃ, πάντα εἰκῇ· ὅταν δὲ τὰ παρ' ἑαυτοῦ παράσχῃ, τότε καὶ ὕπνος ἡδὺς, τότε καὶ ἄνεσις, καὶ ζωὴ κινδύνων ἀπηλλαγμένη, καὶ ἀσφαλείας γέμουσα. ὅταν οὖν δῷ αὐτοῖς ὕπνον· ὅταν ἀναπαύσῃ αὐτοὺς· ὅταν ἀποκρούσηται τοὺς ἐπιόντας, οὐ μόνον οἰκοδομήσουσι τότε τὴν πόλιν, οὐ μόνον φυλάξουσιν, ἀλλὰ καὶ τὰ πολλῷ μείζονα λήψονται, πατέρες γὰρ ἔσονται παίδων πολλῶν, καὶ τὰ τῆς εὐτεκνίας αὐτοῖς ἐπιδώσει. ὁ μισθὸς τοῦ καρποῦ τῆς γαστρός. ἕτερος, μισθὸς ὁ καρπὸς τῆς γαστρός. τί ἐστι τοῦτο; μισθόν, φησι, λήψονται τὴν εὐπαιδίαν. εἰ γὰρ καὶ τῆς φύσεως ἔργον ἐστὶ γινόμενον· ἀλλ' ὅταν ὁ Θεὸς τὰ παρ' ἑαυτοῦ παράσχῃ, καὶ αὕτη πλέον δραμεῖται. καὶ γὰρ καὶ αὕτη ἄνωθεν δεῖται ῥοπῆς, καὶ κομήσει τῷ πλήθει τὰ Ἱεροσόλυμα, οὐκ ἐν τούτοις δὲ ἔσται τὰ τῆς εὐημερίας μόνον, οἷον ἐν οἰκοδομίᾳ, ἐν τῇ φυλακῇ, ἐν τῇ εὐτεκνίᾳ· ἀλλὰ καὶ ἕτερα τούτοις προσέσται. καὶ δεικνὺς ποῖα ταῦτα ἐπάγει λέγων· ὡσεὶ βέλη ἐν χειρὶ δυνατοῦ, οὕτως υἱοὶ τῶν ἐκτετιναγμένων. ἕτερος, τῶν πεδητῶν. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· οὐκ ἔσονται ἐν ἀσφαλείᾳ τειχῶν μόνον, οὐδὲ ἐν πόλει ὀχυρᾷ, οὐδὲ ἐν εὐθηνίᾳ τῶν παίδων, ἀλλὰ καὶ φοβεροὶ τοῖς πολεμίοις· καὶ ἔσονται φοβεροὶ ὡς τὰ βέλη. οὐχ ἁπλῶς δὲ βέλη, ἀλλ' ἐν χειρὶ τοῦ δυνατοῦ. αὐτὰ γὰρ καθ' ἑαυτὰ οὐ φοβερὰ τὰ βέλη· ἀλλ' ὅταν ὑπὸ δυνατοῦ κατέχηται, θάνατον ἀπειλοῦντα τοῖς ἐπιοῦσι. οὕτως οὖν ἔσονται φοβεροὶ οὗτοι· οὗτοι ποῖοι; οἱ υἱοὶ τῶν ἐκτετιναγμένων, τουτέστι, τῶν ποτε ἠσθενηκότων, τῶν πεπεδημένων. ἀναμιμνήσκει γὰρ αὐτοὺς συνεχῶς καὶ τῆς προτέρας δυσημερίας ἐν τῷ καιρῷ τῆς εὐημερίας, ἵνα πάντοθεν αὐτῶν ὀρθώσῃ τὴν διάνοιαν, καὶ ἐξ ὧν ἔπαθον, καὶ ἀφ' ὧν ἀπηλλάγησαν, καὶ ἐξ ὧν ἀπολαύουσι. μακάριος ἄνθρωπος ὃς πληρώσει τὴν ἐπιθυμίαν αὐτοῦ ἐξ αὐτῶν· οὐ καταισχυνθήσονται, ὅταν λαλῶσι τοῖς ἐχθροῖς αὐτῶν ἐν πύλαις. ἕτερός φησι, μακάριος ὃς πληρώσει τὴν φαρέτραν αὐτοῦ ἐξ αὐτῶν. τουτέστιν, ὅτι καὶ τοῦτο αὐτοῖς προσέσται δύναμις σώματος, φόβος, ἀνύποιστος, εὐπαιδία, ἀσφάλεια, πόλεως κάλλος, νίκη καὶ τρόπαια ἐν πολέμοις· διὸ καὶ μακαρίζει αὐτοὺς τοὺς μέλλοντας ἀπολαύειν ταύτης τῆς εὐημερίας. ἔσονται γάρ, φησι, καθωπλισμένοι. ἀλλ' οὐκ ἐν τούτοις ἵστησι τὸν μακαρισμὸν, ἀλλ' ὅτι οὐκ αἰσχυνθήσονται. οὐ καταισχυνθήσονται γάρ, φησιν, ὅταν λαλῶσι τοῖς ἐχθροῖς αὐτῶν ἐν πύλῃ. τί ποτε τοῦτό ἐστιν; τὸ μέγιστον τρόπαιον, ἡ μεγίστη λαμπρότης, ἡ φαιδρότης, ἡ μακαριότης· οὐ μὴ ἔχουσιν ὀνειδίζεσθαι ὡς οὐκ ἀπολαύσαντες τῆς τοῦ Θεοῦ προνοίας, ἢ ὡς ἀσθενῆ Θεὸν ἐσχηκότες, ἢ ὡς δυνατὸν μὲν, ἐκ δὲ τῶν οἰκείων ἁμαρτημάτων τὴν πρόνοιαν τὴν αὐτοῦ διακρουσάμενοι, ἀλλὰ διὰ πάντων κομῶντες, διὰ τῆς πόλεως, διὰ τῶν τειχῶν, διὰ τῆς φυλακῆς, διὰ τῶν παίδων, διὰ τῶν ὅπλων, διὰ τῆς δυνάμεως, οὐκ ἐγκαλυφθήσονται, τοὺς πολεμίους ὁρῶντες,

A vade cohæres prioribus. Hoc est enim quod dicit, Si Deus opē nō ferat, oīa pereūt: quādo autē fert, tūc iucūdus est sōnus, tunc est otiū, & vita à periculis libera, & securitate plena. Quādo ergo sōnū eis dederit, quādo eos refecerit, quādo eos qui inuadunt propulsarit, nō solū tunc ædificabunt ciuitatē, nec eā solūmodo custodiēt, sed multò etiā maiora accipiēs: erūt enim patres multorū filiorum, & pulchra eis augebitur soboles. *Merces fructus ventris.* Alius dicit, Merces ipse fructus ventris. Quid hoc est? Mercedē, inquit, accipiēt, numerosā sobolē. Etsi enim B hoc sit opus naturæ, quādo tamē Deus fert opē, ea fœlicius procedit. Nā ipsa quoq. indiget superno auxilio: eruntq. Hierosolyma populo freqētia. Nō in his autē solū cōsistet corū fœlicitas, nēpe in ædificatione, in custodia, in sobole, sed his etiā alia accedēt. Et ostendēs quænā hæc sunt, subiūgit dicens, 4. *Sicut sagitta in manu potētis, ita filij excussorum.* Alius, alligatorū. Quod autē dicit, est eiusmodi, Non erūt solū tuti intra mœnia & in vrbe munita, nec erit eis tantūmodo numerosa soboles, sed erūt etiā terribiles hostib⁹, & terribiles vt sagittæ. Nō dixit autē absolutè, sagittæ: sed, sagittæ in manu potētum. C Nō sunt enim sagittæ ipsæ per se terribiles, sed tunc quādo tenētur à potēti, mortē minitātes, iis quos adoriūtur. Ita ergo erunt hi terribiles. quinā hi? Filij excussorū. hoc est, corū qui erāt quādoq. imbecilli, qui vincti & alligati. Priores enim res aduersas is frequēter in memoriā redigit in tēpore fœlicitatis, vt mentē eorū omni ex parte corrigat, & per ea quę passi sunt, & à quib. sūt liberati, & per ea quæ cōsequūtur. 5. *Beatus vir qui impleuit desideriū suū ex ipsis, nō cōfundētur cū loquētur inimicis suis in portis.* Alius dicit, Beatus qui implebit pharetrā suā ex ipsis. Hoc est, hoc quoq. eis aderit, robur corporis, terror qui D non poterit sustineri, pulchra & numerosa proles, securitas, vrbis pulchritudo, victoria & trophæa in bellis. Quocirca eos quoque beatos existimat, qui sunt cōsecuturi hanc fœlicitatē. Erūt enim, inquit, armati. Sed nō in his tantū cōsistit eorū beatitudo, verūetiā in eo quòd nō afficiētur pudore. Nō cōfundētur enim, inquit, quādo loquētur inimicis suis in porta. quidnā est hoc? Maximū trophæū, maximus splēdor, iucūditas sūma & fœlicitas. Neque enim eis exprobrabitur quòd Deus curā eorū nō gesserit, vel quòd Deū habuerint imbecillū, vel quod potētē quidē, verū suis peccatis depulerint ei⁹ prouidētiā, sed in omnib. clari & gloria pleni, propter ciuitatē, propter muros, propter custodiā, propter liberos, propter arma, propter potētiā, nō se tegēt prę pudore vidētes

Filij excussorū qui.

nimicos, sed eis acerrimè occurrēt, gloriātes, sibi placētes, magnos sumētes spiritus, & ornati, cùm Deus in his omnib. ostendat se eorũ suscepisse patrociniũ. Summa enim bonorũ, & fœlicitatis coronis est deinceps ornatũ, & instructũ esse Dei auxilio. Et ea de causa hic finit orationem, docēs omnes ante omnia hunc ornatũ quærere, & eo gloriari. Eum ergo nos quoq. persequamur, vt bona æterna consequamur, gratia & benignitate, &c.

IN PSALMVM CXXVII.

Beati omnes qui timent Dominum.

VIDE quomodo ab eo incipit, in quo desiit. Quemadmodũ enim illic eos beatos propterea censuit, quòd pudore minimè afficerētur, quòd Deũ haberēt adiutorē, & stantē à suis partib⁹: ita hic etiã ab eo orditur, dicēs: Beati oēs qui timēt Dominũ. Et rursus sumpto ab illis principio loquitur generaliter. Rectè autē dixit omnes, significãs quòd siue sit seruus, siue dominus, siue pauper, siue mutilus corpore, ac denique quicũq. sit, nihil eorũ vetat quò minus habeat hanc, quã ipse dicit, beatitudinē. Aliũ enim qui falsò beat⁹ dicitur, vt qui sit fictus & simulatus, & quē multi beatũ existimãt, multa cõcurrentia vix tandē talē faciũt: & nisi omnia cõcurrerint, nõ fuerit quis beat⁹ apud homines; vt verbi gratia dico, Si quis sit diues, hoc ei non sufficit ad beatitudinē, sed oportet etiã adesse sanitatē. Si enim sit quidē diues, corpore verò mutil⁹, claudicat eius beatitudo, & est miserior pauperibus. Multi certè diuites cũ morbis conflictãtes, pauperes, qui cõpita mēdicãtes obeũt, fœlices esse dicũt, & se miseros esse ducũt cum decies mille talētis. Rursus si sit quidē sano corpore & diues, gloria autē & honore careat, est aliud rursus impedimētũ. Sũt enim nõnulli qui plurimũ quidē possident pecuniæ, súntque corpore integro: sed ab iis qui principatum obtinēt, & inter milites censi sunt, ac magistratum gerũt, grauissima patiũtur. Eò enim quòd nullius sunt honoris participes, existimãt se esse omniũ miserrimos, vt qui iis pareãt, quib. sæpe habēt seruos locupletiores. Rursus si adsit quidē gloria, diuitiæ, & sanitas, nõ adsit autē securitas, vtpotè quòd innumerabiles ei insidientur, inuideãt, male velint, oderint, accusēt, calũnientur, is erit omniũ miserrim⁹, vitã agēs leporis, & vmbras habēs suspectas, omnésq. horrēs & pertimescēs. Quòd si ab iis etiã liber sit, ametur autē ab omnib⁹, & ei oĩa succedãt ex animi sentētia, nēpe gloria, diuitiæ, securitas, honor, quòd fieri nõ potest, nēpe vt hæc oĩa simul cõcurrãt, & tamē ita esse fingamus: licet ergo hęc oĩa affluant, & nihil sit quod ea distrahat, aut interrũpat,

Galat. 3.

Beatitudo humana quàm difficilis paratu.

A ἀλλὰ μετὰ πολλῆς ἀπαρτήσονται τῆς αἰδεσιμότητος, καλλωπιζόμενοι, μέγα φρονοῦντες, κοσμούμενοι, διὰ πάντων τούτων τοῦ θεοῦ τὴν ὑπὲρ αὐτῶν ἀντίληψιν ἐπιδεικνυμένου. τὸ γὰρ κεφάλαιον τῶν ἀγαθῶν, καὶ τῆς μακαριότητος ἡ κορωνίς, τὸ δύνασθαι λοιπὸν ἐπὶ τῇ τοῦ θεοῦ συμμαχίᾳ κοσμεῖσθαι. διὸ δὴ καὶ ἐνταῦθα τὸν λόγον κατέλυσε παιδεύων ἅπαντας πρὸ τῶν ἄλλων ἁπάντων ἐκεῖνον τὸν κόσμον ἐπιζητεῖν, καὶ ἐπὶ τούτῳ φαιδρύνεσθαι. τοῦτον τοίνυν καὶ ἡμεῖς ζηλώσωμεν· ἵνα τῶν αἰωνίων ἐπιτύχωμεν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ.

Εἰς τὸν ρκζʹ ψαλμόν.

B Μακάριοι πάντες οἱ φοβούμενοι τὸν κύριον.

ΟΡΑ αὐτὸν ἐντεῦθεν ἀρχόμενον, ἔνθα κατέληξεν. ὥσπερ γὰρ ἐκεῖ διὰ τοῦτο αὐτοὺς ἐμακάρισεν, ὅτι οὐ καταισχύνονται, διὰ τὸ τὸν θεὸν ἔχειν βοηθὸν, καὶ μεθ' ἑαυτῶν· οὕτω καὶ ἐνταῦθα ἐντεῦθεν προοιμιάζεται, λέγων· μακάριοι πάντες οἱ φοβούμενοι τὸν κύριον. καὶ πάλιν καθολικὸν ποιεῖται τὸν λόγον ἀπ' ἐκείνων λαβὼν τὴν ἀρχήν. καὶ καλῶς εἶπε, πάντες, κἂν δοῦλός τις ᾖ, κἂν δεσπότης, κἂν πένης, κἂν τὸ σῶμα ἀνάπηρος, κἂν ὁστισοῦν, οὐδὲν τούτων κωλύει τὸν μακαρισμὸν τοῦτον ἔχειν ὃν αὐτὸς φησι. τὸν μὲν γὰρ ἄλλον τὸν ψευδῆ καὶ πεπλασμένον, καὶ ὃν
C πολλοὶ ζηλοῦσι, πολλὰ συνελθόντα μόλις ποιεῖ· κἂν μὴ πάντα συνδράμῃ, οὐκ ἂν γένοιτό τις μακάριος παρὰ ἀνθρώποις· οἷον τι λέγω· ἐάν τις ᾖ πλούσιος, οὐκ ἀρκεῖ τοῦτο αὐτῷ πρὸς μακαρισμόν· ἀλλὰ δεῖ καὶ ὑγείαν προσεῖναι. κἂν γὰρ πλούσιος μὲν ᾖ, τὸ σῶμα δὲ πεπηρωμένος, χωλεύει τὰ τῆς μακαριότητος αὐτῷ, καὶ τῶν πενομένων ἐστὶν ἀθλιώτερος. πολλοὶ γοῦν πλουτοῦντες, καὶ νόσῳ παλαίοντες, τοὺς διὰ τῶν στενωπῶν χωροῦντας πένητας μακαρίζουσι, καὶ ἀθλίους ἑαυτοὺς εἶναι νομίζουσι μετὰ τῶν μυρίων ταλάντων. πάλιν ἂν ὑγιαίνῃ μὲν τὸ σῶμα, καὶ πλούσιος ᾖ, δόξης δὲ μὴ ἀπολαύῃ, ἕτερον κώλυμα πάλιν. καὶ γὰρ εἰσί τινες
D χρήματα μὲν κεκτημένοι πολλὰ, καὶ τὸ σῶμα ἄσινες ἔχοντες, τὰ δὲ ἀνήκεστα πάσχοντες ὑπὸ τῶν εἰς στρατείαν τελούντων, καὶ δυναστείαν περιβεβλημένων. τῷ γὰρ μηδεμιᾶς μετέχειν τιμῆς καὶ ἀθλιωτέρους πάντων ἑαυτοὺς εἶναι νομίζουσιν ὑποκύπτοντες, ὧν πολλάκις δούλους ἔχουσιν εὐπορωτέρους. πάλιν ἂν δόξα μὲν ᾖ, καὶ πλοῦτος, καὶ ὑγεία σώματος, ἀσφάλεια δὲ μὴ παρῇ, ἐπιβουλευόντων μυρίων, φθονούντων, βασκαινόντων, μισούντων, κατηγορούντων, συκοφαντούντων, πάντων ἀθλιώτερος ἔσται, λαγωοῦ βίον ζῶν ὁ τοιοῦτος, καὶ τὰς σκιὰς ὑποπτεύων, καὶ πάντας τρέμων, καὶ δεδοικώς. ἂν δὲ καὶ τούτων ἀπαλλαγῇ, φιλῆται δὲ παρὰ πάντων, καὶ κατὰ ῥοῦν αὐτῷ φέρηται πάντα, καὶ δόξα, καὶ πλοῦτος, καὶ ἀσφάλεια, καὶ τιμὴ, ὅπερ ἀμήχανον συνδραμεῖν, ἀλλ' ὅμως κείσθω τῷ λόγῳ· κἂν ἅπαντα ταῦτα ἐπιρρέῃ, καὶ μη-

γὰρ ἡ τὸ διακόπτον· ἀλλὰ καὶ εὔνοια δήμου, καὶ δόξης μέγεθος, καὶ χρημάτων περιουσία, καὶ σώματος ὑγεία, καὶ ἀσφάλεια πᾶσα, καὶ τὸ ἀχείρωτον αὐτῷ συντρέχῃ, μοχθηρὰν πολλάκις συνοικίσας ἑαυτῷ γυναῖκα, καὶ διεστραμμένην, ἀθλιώτερος πάντων τῶν οὐδὲν ἐκείνων ἐχόντων γίνεται. ἐὰν δὲ καὶ αὐτὴ χρηστή τις ᾖ καὶ κατὰ νοῦν αὐτῷ καὶ κατὰ γνώμην συμβαίνῃ, παιδία κτησάμενον φαῦλα ἀθλιώτερον πάντων εἶναι ἀνάγκη τὸν τοιοῦτον, ἢ μηδ' ὅλως κτησάμενον θρηνεῖν καὶ ὀδύρεσθαι, καὶ ὅπου περ ἂν ἴδῃ τις τῶν ἀνθρώπων, πολλοὺς ὄψεται τοὺς κρημνούς. καὶ τί δεῖ τἆλλα λέγειν; πολλάκις οἰκέτης μοχθηρὸς, πάντα ἀνέτρεψε καὶ συνέχεε, καὶ οὐδὲν οὕτω σφαλερὸν, ὡς τὸ ἐν ἀνθρώποις κομᾶν. ἀλλ' οὐχ ὁ τὸν θεὸν φοβούμενος τοιοῦτος, ἀλλὰ τῶν κυμάτων ἀπηλλαγμένος ἐν γαλήνῃ κάθηται, καὶ λιμένι τῶν ὄντως ἀρεπόμενος μακαριότητα. διὰ δὴ τοῦτο πάντα ἐκεῖνα παραδραμὼν ὁ προφήτης τοῦτον μακαρίζει μόνον. ἐκεῖνος μὲν γὰρ ὁ μακαρισμὸς ἂν μὴ πάντα συνδράμῃ, οὐκ ἄν ποτε σταίη· μᾶλλον δὲ καὶ ὅταν συνδράμῃ, τότε σαλεύεται παρ' αὐτῶν ἐκείνων τῶν τικτόντων αὐτόν. καὶ γὰρ πλοῦτος ἀπώλεσε, καὶ γυνὴ πολλάκις εὔμορφος κατέλυσε, καὶ οἰκέται γενόμενος προέδωκε, καὶ παῖδες γενόμενοι, πατραλοῖαι κατέστησαν· καὶ ὅπερ ἔφθην εἰπὼν, πολλὰ πανταχόθεν ἔχει τὰ σφαλερά. ἐνταῦθα δὲ κἂν πάντα συῤῥέῃ τἀναντία οὐ μόνον οὐδὲν παραβλάπτει τὸν μακαρισμὸν τοῦτον· ἀλλὰ καὶ ἰσχυρότερον αὐτὸν καθίστησι, καὶ ἀνδρειότερον, κἂν πενία, κἂν ἀτιμία, κἂν πήρωσις σώματος ᾖ, κἂν γυναικὸς μοχθηρία, κἂν παῖδες μοχθηροὶ, κἂν ὁποῖον εἴπῃς, οὐχ ὑποσκελίζει τοῦτον τὸν μακαρισμὸν, οὐδὲ παρασαλεύει. οὐ γὰρ ἐξ ἐκείνων ἔχει τὴν γένεσιν, ἵνα καὶ ὑπ' ἐκείνων σείηται τὸν περισυρόμενον· ἀλλ' ἄνωθεν τὴν ῥίζαν κέκτηται· διὸ καὶ ἀχείρωτος μένει. καὶ εἰ βούλεσθε ἐπ' αὐτῶν τῶν πραγμάτων μεταχειρισώμεθα τοῦτον· οὐχὶ δοῦλος ἦν Ἰωσήφ; οὐχὶ ξένος; οὐχὶ βαρβάρων οἰκέτης· πρότερον μὲν Σαρακηνῶν· ὕστερον δὲ ἀγριωτέρων τῶν Αἰγυπτίων; οὐχὶ μοιχὸς ἐνομίζετο; οὐ κατηγορεῖτο; οὐκ ἐσυκοφαντεῖτο; οὐ δεσμωτήριον ᾤκει; οὐχ ἁλύσεσι περιέκειτο; καὶ τί τούτων αὐτὸν ἔβλαψεν; ἀλλὰ διὰ ταῦτα μὲν οὖν μάλιστα μακάριος ἦν· τὸ γὰρ δὴ θαυμαστὸν τοῦτο, ὅπερ ἔφθην εἰπὼν· ὅτι οὐδὲν οὐ μόνον παραβλάπτεται ὁ μακαρισμὸς ἐντεῦθεν ἐστίν· ἀλλὰ καὶ λαμπρότερος καὶ φαιδρότερος γίνεται. εἰ γὰρ μηδὲν τούτων ἔπαθεν, οὐκ ἂν οὕτω μακάριος ἦν. βούλει καὶ τοὺς σφοδρότερον ἐν κακίᾳ διατρίψαντας εἴπω, εἶτα ἀθρόον μεταβαλλομένους, καὶ πᾶσαν ἐκείνην τὴν κακίαν ἀπο-

sed & populi beneuolẽtia, & glorię magnitudo, & pecuniæ abũdãtia, & corporis sanitas, & omnis securitas, & à nullo posse vinci, in eo cõcurrãt: improba sæpe & peruersa muliere sibi coniuncta, euadit in omnib. miserior, qui carẽt his omnibus. Quòd si ei vxor bona & ex animi sentẽtia euenerit, si malos habeat filios, eum esse omnib. miseriorẽ necesse est. Quòd si nullos habeat, lugere & lamẽtari. Deniq; quæcũq; humana aspexerit quispiã, multa videbit præcipitia. Et quid alia persequi opus est? Improb⁹ sæpe famulus omnia euertit & confundit, & nihil est adeò incertũ & lubricũ, vt in iis gloriari, & de iis se iactare. At nõ est eiusmodi is qui Deũ timet, sed ab his fluctibus liberatus, sedet in portu & in tranquillitate, vera & certa fruẽs beatitudine. Et ideo illis omnibus præteritis Propheta hũc solũ beatũ iudicat. Illa enim beatitudo nunquã planè cõstiterit, nisi omnia concurrerint: imò verò etiãsi cõcurrerint, tũc labefactatur ab iis ipsis quæ illã pariunt. Nã & diuitiæ perniciẽ attulerunt, & vxor formosa sæpe causa fuit interitus, & famuli prodiderunt, & filij fuere parricidæ, &, vt iã dixi, multa habet vndiq. incerta & valde lubrica. Hic autẽ etiãsi omnia cõtraria cõfluãt, nõ modò nihil lędũt hanc beatitudinẽ, sed eã firmiorẽ reddũt & cõstantiorem. Nã & si sit paupertas, & si ignominia, & mutilatio corporis, & vxor improba, & scelerati filij, & quodcũq. aliud dixeris, hoc nihil deprimit, nec labefactat hanc beatitudinẽ. Neque enim suum ex illis habet ortũ, vt ex eis cõuulsis labefactetur, sed habet radicẽ à superis: quocirca manet inexpugnabilis. Atq; adeò, si velitis, eũ in ipsis reb. ostẽdamus & pertractemus. Non erat Ioseph seruus, nõ externus, non extorris à sua ciuitate & patria, nõ seruus Barbarorũ, priùs quidem Saracenorũ, postea autẽ eis immaniorũ Ægyptiorũ? An nõ existimâbatur adulter? nõ accusabatur? nõ calũmniis & fictis criminibus impetabatur, nõ habitabat in carcere? nõ vinctus tenebatur? Et quid horũ eũ læsit? Imò verò per hæc erat in primis beatus. Hoc est enim, sicut iã dixi, admirabile, quòd nõ solùm hinc nihil læditur beatitudo, sed etiã pręclarior redditur & illustrior. Si nihil enim illi eorum accidisset, non fuisset adeò beatus. Vis etiam eos dicam qui in vitio acrius perstiterunt, deinde repentè mutati sunt, & omne illud vitium

Prou. 14. Eccl. 25. Timens Deũ fœlix.

Eccles. 5. Matt. 19. Marc. 10. 2. Reg. 11. Eccles. 9. 4. Reg. 14. 21.

2. Paral. 33. 4. Reg. 19. 2. Reg. 12.

Gen 37. 38

Cõfirmatiõ ab exẽplo. Gen. 39.

Luc. 15.

exuerũt? quid fuit latrone miserius? sed **A** repẽte euasit omniũ beatissimus. Atqui mille cædes fecerat, nam & erat crucis supplicio damnatus, & ad mortem ducebatur, omnes eum accusabant, totum tempus erat consumptum, & vita transacta fuerat in scelere: sed quoniam exiguo tempore Christum ita vt oportet timuit, beatus factus est. Ita etiam meretrix, licet sui corporis formam pretio venundaret, & exposita esset omnium contumeliæ, & ideo esset omnium miserrima, beata extitit quando Deum vt oportet timuit. Nullũ est enim malum quod non extinguat Dei metus. nam **B** quemadmodum ignis, quodcunque ferrum ceperit cõtortum, vel rubigine confectum, id clarum reddit ac pulchrum, ferrugiem abstergens, & quod in eo erat peruersum & inflexum, perfectissimè corrigit: ita etiam Dei metus vel exiguo tempore facit omnia, & eos qui ab ipso tincti sunt, nulla re humana frangi sinit. Non erat imbecillus Timotheus? non morbis & afflictionibus perpetuò vexabatur? Quid ergo fuit illo beatius? Quid verò dic quæso, Iob? An non redactus erat ad paupertatem? non ad orbitatem? non ad corporis grauissima vlcera? **C** non probris, contumeliis, & iniuriis appetebatur? non fame & malis omnibus humanis cruciabatur? Is tamen fuit omniũ beatissimus. Non solum enim nihil horum eum fregit ac prostrauit, sed etiã firmiorem fecit & solidiorem. Quinetiam cum illis omnibus vxor eum præmebat, probris insectans, & tamen per hæc omnia euasit clarus & conspicuus. Hæc ergo omnia considerans Propheta, dicebat: Beati, inquit, omnes qui timẽt Dominũ. *Qui ambulant in viis eius.* Ne enim existimares sufficere timorem, adiecit illud: Qui ambulant **D** in viis eius, vtrunque designans; hoc est, qui timent, & ambulãt. Multi enim fidem quidem perfectam habentes, vitam autem flagitiosam, omnium fuere miserrimi. Ne ergo id quod dicit, videretur ex eo refelli, subiunxit: Qui ambulant in viis eius. Quænam autem sunt viæ eius, nisi vita quæ ex virtute instituitur? Per eam enim potest in cœlum ascendi, & illa primaria ciuitas apprehendi & ipse Deus videri, quatenus potest ab homine aspici. Eius autem viæ dicuntur, quoniam per eas potest in cœlum ad Deum perueniri. Non dixit, via: sed, viæ, ostẽdens eas esse multas & diuersas. Propterea enim multas

Luc. 7.

1. Tim. 5.
Iob. 1. 2.

Iacob. 5.
Iob. 2. 29.

Via Domini.

A δυσαθλίους; τί τοῦ λῃστοῦ γέγονεν ἀθλιώτερον; ἀλλ' ἀθρόον μακαριώτερος ἐφάνη πάντων. καίτοι μυρίους εἰργάσατο φόνους, καὶ γὰρ σταυρῷ κατεδικάζετο, καὶ τὴν ἐπὶ θάνατον ᾔει, καὶ πάντες αὐτοῦ κατηγόρουν, καὶ ὁ χρόνος ἅπας ἀνάλωτο, καὶ ὁ βίος δεδαπάνητο ἐν πονηρίᾳ· ἀλλ' ἐπειδὴ ἐν βραχεῖ χρόνῳ τὸν Θεόν, ὡς χρὴ φοβηθῆναι, ἐφοβήθη, μακάριος γέγονεν. οὕτω καὶ ἡ πόρνη τὴν χροιὰν ὥραν ἐμπορευομένη, καὶ πᾶσιν εἰς ὕβριν προκειμένη, καὶ διὰ τοῦτο πάντων οὖσα ἀθλιωτέρα, μακαρία κατέστη, τὸν Θεὸν ὡς δεῖ φοβηθεῖσα. οὐδὲν γάρ ἐστι κακόν, ὃ μὴ σβέννυσιν ὁ τοῦ **B** Θεοῦ φόβος. ἀλλὰ καθάπερ τὸ πῦρ ὅταν λάβῃ σίδηρον διεστραμμένον, ἢ ἰοῦ πολλοῦ γέμοντα, καὶ λαμπρὸν ἀποδείκνυσι καὶ φαιδρόν, ἀποσμήχον, καὶ τελείως τὴν διαστροφὴν ἀνορθοῖ· οὕτω καὶ ὁ τοῦ Θεοῦ φόβος καὶ ἐν βραχεῖ χρόνῳ πάντα ἐργάζεται, καὶ τοὺς ὑπ' αὐτοῦ βαφέντας οὐδενὶ τῶν ἀνθρωπίνων ἀφίησιν ὑποσκελίζεσθαι. οὐκ ἀσθενὴς ἦν ὁ Τιμόθεος; οὐχὶ διηνεκῶς ἐν νόσοις καὶ ταλαιπωρίαις; τί οὖν ἐκείνου μακαριώτερον γέγονε; τί δαὶ ὁ Ἰὼβ εἰπέ μοι, οὐκ ἐν πενίᾳ κατέστη; οὐκ ἐν ἀπαιδίᾳ; οὐκ ἐν πληγῇ σώ**C**ματος, χαλεπωτάτῃ; οὐκ ἐν ὀνείδεσιν; οὐκ ἐν ὕβρεσιν; οὐκ ἐν λοιδορίαις; οὐκ ἐν λιμῷ; οὐκ ἐν ἅπασι τοῖς ἀνθρωπίνοις κακοῖς; ἀλλ' ὅμως ἁπάντων καὶ οὗτος μακαριώτερος γέγονεν; οὐ μόνον γὰρ οὐδὲν τούτων αὐτὸν ὑπεσκέλισεν, ἀλλὰ καὶ στερεώτερον εἰργάσατο. καὶ γυνὴ δὲ μετὰ πάντων ἐκείνων ἐπέκειτο αὐτῷ ὀνειδίζουσα, καὶ ὅμως διὰ πάντων ἔλαμψε. ταῦτα οὖν ἅπαντα ἐννοῶν ὁ προφήτης, ἔλεγε· μακάριοι πάντες οἱ φοβούμενοι τὸν κύριον. οἱ πορευόμενοι ἐν ταῖς ὁδοῖς αὐτοῦ. ἵνα γὰρ μὴ νομίσῃς ἀρκεῖν σοι τὸν φόβον, **D** προσέθηκε τό· οἱ πορευόμενοι ἐν ταῖς ὁδοῖς αὐτοῦ, δηλῶν ἀμφότερα, ὅτι οἱ φοβούμενοι καὶ πορευόμενοι. πολλοὶ γὰρ πίστιν ἔχοντες ἀκριβῆ, βίον δὲ διεφθαρμένον, ἀθλιώτεροι πάντων γεγόνασιν. ἵνα οὖν μὴ δόξῃ ἐντεῦθεν ὁ λόγος ἐλέγχεσθαι, ἐπήγαγεν· οἱ πορευόμενοι ἐν ταῖς ὁδοῖς αὐτοῦ. τίνες δὲ αἱ τοῦ Θεοῦ ὁδοί, ἀλλ' ἢ κατ' ἀρετὴν πολιτεία; διὰ ταύτης γάρ ἐστιν εἰς τὸν οὐρανὸν ἀπιέναι, καὶ τῆς μητροπόλεως ἐπιλαμβάνεσθαι, καὶ αὐτὸν ὁρᾶν τὸν Θεόν, ὡς ἀνθρώπῳ δυνατὸν ὁρᾶν. ὁδοὶ δὲ αὐτοῦ λέγονται), ἐπειδὴ δι' αὐτῶν ἐστιν ἀπελθεῖν πρὸς τὸν Θεόν. καὶ οὐκ εἶπεν, ὁδός· ἀλλ', ὁδοί· δεικνὺς ὅτι πολλαί εἰσι καὶ διάφοροι. διὰ γὰρ τοῦτο πολλάς

ἔτεμε τῇ ἀφθονίᾳ τῆς ὁδοιπορίας εὔκολον ποιῶν ἡμῖν εἴσοδον. οἱ μὲν γὰρ τῶν ἀνθρώπων ἐν παρθενίᾳ λάμπουσιν, οἱ δὲ ἐν γάμῳ διαπρέπουσιν, ἄλλοι χηρείᾳ κοσμοῦνται· καὶ οἱ μὲν τὰ πάντα ἀπεδύσαντο, οἱ δὲ τὰ ἡμίση· καὶ οἱ μὲν δι' ὀρθοῦ βίου, οἱ δὲ διὰ μετανοίας· διὰ γὰρ τοῦτο πολλὰς ἔτεμεν ὁδοὺς, ἵνα εὐκόλως ὁδεύσῃς. οὐκ ἴσχυσας μετὰ τὸ λουτρὸν καθαρὸν διαφυλάξαι σου τὸ σῶμα; δύνασαι διὰ μετανοίας σαυτὸν ποιῆσαι καθαρὸν, δύνασαι διὰ χρημάτων, δι' ἐλεημοσύνης. ἀλλ' οὐκ ἔχεις χρήματα; ἀλλ' ἐπισκέπτεσθαι δύνασαι τὸν ἀρρωστοῦντα, ἀπιέναι πρὸς τὸν δεδεμένον, ψυχροῦ ποτήριον δοῦναι, καὶ ὁμωρόφιον ποιεῖν τὸν ξένον, δύο παρέχειν ὀβολοὺς, ὡς ἡ χήρα, καὶ στενάζειν ἐπὶ τοῖς ὀδυνωμένοις. καὶ γὰρ καὶ τοῦτο ἐλεημοσύνη. ἀλλ' ἔρημος εἶ καὶ πένης καθ' ὅλου, καὶ ἀσθενὲς τὸ σῶμα, καὶ οὐδὲ βαδίσαι δύνασαι; φέρε πάντα εὐχαρίστως· ταῦτα καὶ μέγαν ἐκκαρπώσῃ τὸν μισθόν· ἐπεὶ καὶ τοῦ Λαζάρου τοῦτο ἦν τὸ κατόρθωμα. οὐδὲ γὰρ ἀπὸ χρημάτων ἐκεῖνος ἐπεκούρησέ τινι. πῶς γὰρ ὁ μηδὲ τῆς ἀναγκαίας εὐπορῶν τροφῆς; οὐκ εἰς δεσμωτήριον εἰσῆλθε. πῶς γὰρ ὁ μηδὲ ὀρθοῦσθαι δυνάμενος; οὐκ ἄρρωστον ἐπεσκέψατο. πῶς γὰρ ὁ προκείμενος ταῖς γλώσσαις τῶν κυνῶν; ἀλλ' ὅμως καὶ τούτων χωρὶς τὸ βραβεῖον τῆς ἀρετῆς ἥρπασε τῷ πάντα γενναίως ἐνεγκεῖν, τῷ τὸν μὲν ὠμὸν καὶ ἀπάνθρωπον εὐδοκιμοῦντα καὶ ἐντρυφῶντα ὁρᾶν, ἑαυτὸν δὲ ἐν τοσούτοις κακοῖς, καὶ μηδὲν ἀπηχὲς ῥῆμα φθέγξασθαι. διὰ δὴ τοῦτο τοὺς κόλπους ἀπελάμβανε τοῦ Ἀβραὰμ ὁ νεκροῦ οὐδὲν ἄμεινον διακείμενος, ἀλλ' ἀργὸς ἐν τῷ πυλῶνι τοῦ πλουσίου τότε ἐρριμμένος, καὶ μετὰ τοῦ τοσαῦτα κατωρθωκότος πατριάρχου ἐστεφανοῦτο, καὶ ἀνηγορεύετο, καὶ τῶν κόλπων ἀπέλαυε τῶν ἐκείνου, οὐκ ἐλεημοσύνας ποιήσας; οὐκ ἀδικουμένῳ χεῖρα ὀρέξας, οὐ ξένους ὑποδεξάμενος, οὐκ ἄλλο τῶν τοιούτων οὐδὲν ἐπιδείξασθαι δυνηθεὶς, ἀλλ' ἐν πᾶσι μόνον εὐχαριστήσας, καὶ τὸν τῆς ὑπομονῆς λαμπρὸν ἀπενεγκὼν στέφανον. μέγα γὰρ ἔργον εὐχαριστία καὶ φιλοσοφία, καὶ καρτερία ἐν τοσούτοις κακοῖς γυμναζομένη·

vias muniit, vt earum multitudine facilem nobis faceret ingressum. Ex hominibus enim alij sunt virginitate illustres, alij verò se honestè ac decorè gerunt in matrimonio, alij ornantur viduitate: & hi quidem se omnibus exuerunt, illi verò dimidio: & hi quidem per viam rectam ingrediuntur, illi verò per pœnitentiam: & ideo multas tibi vias muniit, vt facilè ingrediaris. Non potuisti post lauacrum seruare corpus mundum? at per pœnitentiam id potes emundare, potes per pecunias, per eleemosynam. At non habes pecunias? sed potes visitare ægrotum, potes accedere ad eum qui est in vinculis, dare poculum frigidæ, & sub eodem tecto hospitem excipere, præbere duos obolos, sicut vidua, ingemiscere propter eos qui affliguntur. Nam hoc quoque est eleemosyna. At es vndique destitutus, & omnino pauper, & corpore adeò imbecillo, vt ne possis quidem ingredi: hæc omnia fer magno & excelso animo, Deo agens gratias, & magnā mercedem accipies. Nam in hoc quoque se pulchrè gessit Lazarus. Neque enim vlli suis ille subuenit pecuniis. Qui enim id fecisset, cui vel necessarium deerat alimentum? Non ingressus est carcerē. quomodo enim, qui nec erigi, nec se sustinere poterat? Non inuisit ægrotum. Quomodo enim qui linguis canū erat expositus? Et tamen etiam absque his præmium virtutis arripuit, eò quòd omnia tulerit forti & generoso animo: eò quòd videret quidem crudelem & inhumanum hominem in honore haberi, & vitam agere in deliciis, seipsum autem versari in tantis malis, ne verbum quidem indecorum protulerit. Et ideo in sinu Abrahæ receptus est, qui mortuo nihilo erat melius affectus, sed planè erat iners & inutilis, in diuitis vestibulo proiectus: & cum patriarcha, qui tot & tantas res præclarè gesserat, coronabatur, & victor renunciabatur, & sinu illius fruebatur, qui nec eleemosynā fecerat, nec ei cui iniuria fiebat manum præbuerat, non hospites exceperat, nec aliquid aliud eiusmodi ostendere poterat, sed tantū in omnibus Deo gratias egerat, & præclaram patientiæ coronā retulerat. Magna enim res est gratiarum actio & philosophia, quæ tot & tantis malis exercetur:

Luc. 11.

Luc. 16.

Patientiæ corona.

idque factum est longè omnium maximum. Vnde etiam Iob coronatus est: quapropter dicebat diabolus: Pellē pro pelle, & omnia quæ homo habet, dabit pro anima sua, sed immitte manū tuā, & tange carnem eius. Non est enim parum, dolore affectā refrænare animam ad hoc vt nihil peccet. Hoc est cum martyrio conferendum, hoc est bonorum colophon. Et tu ergo, ô dilecte, cùm te sæpe vel morbus, vel febres, vel dolores inuadunt, cogente te cruciatu dicere aliquid blasphemum, si te retinueris, & gratias egeris, & Deum gloria & honore affeceris, eandem mercedem accipies. Quānam enim de causa, dic mihi quæso, blasphemas & aspera verba profers? Ideóne euadit tibi dolor leuior? Quanquam & si maximè dolor fieret hac ratione leuior, ne sic quidem oporteret animæ salutem prodere, ineundo rationem consolandi corporis. Nunc autem non modò non leuatur dolor, sed etiam grauior redditur. Nam cùm videt diabolus se potuisse te ad blasphemiam adducere, fornaci ignem magis subijcit, & dolorem incendit, vt eius desiderium impleas. Maximè ergo, sicut dixi, etiam si leuaretur, non oporteret hoc facere. Quando autem nihil lucrifacis, quid attinet teipsum occidere? At non potes tacere? Deo ergo age gratias. Deum ergo gloria & honore affice, qui te probat in fornace. Pro blasphemia ex ore tuo prodeat Dei gloria. Ita & magna est merces, & vulnus efficitur leuius. Ita etiam beatus ille loquens dicebat, Dominus dedit, Dominus abstulit. Sit nomen Domini benedictum. Et rursus, Si bona ex manu Domini accepimus, mala non sustinebimus? Sed mihi, inquit, non dedit opes. Minus est ergo vulnus. Non sunt enim conferenda, his nudari opibus, & cùm earum nunquam periculum feceris, viuere in inopia. Si enim aliorum mala videntes, & cum suis ærumnis conferentes, multi pauperes eorum collatione sua esse grauiora existimant: quando se nō cum aliis, sed cum seipsis comparant, cogitent tantò esse grauiorem dolorem, quantò efficit experientia, vt sit maior sensus ablationis. Ita etiam est leuius, ab initio non habuisse liberos, quàm eis orbari, cùm ipsos habueris. Non sunt enim similia, non ac-

Iob. 2. 4. *Blasphemia in dolore cauenda.* *Ephes. 5. 2. Thess. 5.* *Iob. 1.*

A καὶ πάντων μεῖζον κατόρθωμα τοῦτο. ὅθεν καὶ ὁ Ἰὼβ ἐστεφανοῦτο, διὸ καὶ ὁ διάβολος ἔλεγε· δέρμα ὑπὲρ δέρματος, καὶ πάντα ὅσα ὑπάρχει τῷ ἀνθρώπῳ, δώσει ὑπὲρ τῆς ψυχῆς αὐτοῦ, ἀλλὰ ἀπόστειλον τὴν χεῖρά σου, καὶ ἅψαι τῆς σαρκὸς αὐτοῦ. οὐ γὰρ μικρὸν ὀδυνωμένην χαλινῶσαι ψυχὴν, πρὸς τὸ μηδὲν ἁμαρτεῖν. τοῦτο μαρτυρίου ἴσον, τοῦτο κολοφὼν τῶν ἀγαθῶν. καὶ σὺ τοίνυν ἀγαπητὲ πολλάκις ὑπὸ νόσου κατεχόμενος, ἢ πυρετῶν, ἢ ἀλγηδόνων, τῆς ὀδύνης σε ἀναγκαζούσης εἰπεῖν τι βλάσφημον, ἐὰν κατάσχῃς σεαυτὸν, καὶ εὐχαριστήσῃς, καὶ δοξολογήσῃς τὸν Θεὸν,
B τὸν αὐτὸν λήψῃ μισθόν. τίνος γὰρ ἕνεκεν βλασφημεῖς, εἰπέ μοι, καὶ πικρὸν ῥῆμα ἐκφέρεις; μὴ κουφότερόν σοι γίνεται τὸ ἄλγος; μάλιστα μὲν γὰρ εἰ καὶ κουφότερον ἐγένετο, οὐδὲ οὕτως ἔδει τολμᾷν, οὐδὲ ψυχῆς σωτηρίαν ἀποδόσθαι· τῷ σώματί σου τὴν παραμυθίαν ἐπινοοῦντα. νυνὶ δὲ οὐ μόνον οὐ κουφίζεταί σου τὸ ἄλγος, ἀλλὰ καὶ χαλεπώτερον γίνεται. ὁ γὰρ διάβολος ὁρῶν, ὅτι ἴσχυσέ τι, καὶ εἰς βλασφημίαν σε ἐξήγαγεν, ἐπιτείνει τὴν κάμινον, ἀνάπτει τὴν ὀδύνην, ὥστε αὐτοῦ πληρῶσαι τὴν ἐπιθυμίαν. μάλιστα μὲν
C οὖν ὅπερ ἔφην, εἰ καὶ ἐκουφίζετο, οὐκ ἔδει τοῦτο ποιεῖν· ὅταν δὲ μηδὲ κερδαίνῃς τι, τίνος ἕνεκεν σεαυτὸν κατασφάττεις; ἀλλ᾽ οὐκ ἀνέχῃ σιγᾶν. οὐκοῦν εὐχαρίστει τῷ Θεῷ· οὐκοῦν δοξολόγει τὸν δοκιμάζοντα ἐν τῇ καμίνῳ. ἀντὶ τῆς βλασφημίας, δοξολογίαν εἰπέ· ὧδε καὶ μέγας μισθὸς καὶ κουφότερον γίνεται τὸ ἕλκος. οὕτω καὶ ἐκεῖνος ὁ μακάριος φθεγγόμενος ἔλεγεν· ὁ κύριος ἔδωκεν· ὁ κύριος ἀφείλετο. καὶ πάλιν· εἰ τὰ μὲν ἀγαθὰ ἐδεξάμεθα παρὰ κυρίου, τὰ κακὰ οὐχ ὑποίσομεν; ἀλλ᾽ ἐμοί φησιν, οὐκ ἔδωκε
D πλοῦτον· οὐκοῦν ἔλαττον τὸ ἕλκος. οὐ γάρ ἐστιν ἴσον ἀπολαύσαντα τῶν ἀπὸ τοῦ πλούτου γυμνωθῆναι τούτου, καὶ μηδὲ πεῖραν λαβόντα ἐν πενίᾳ ζῆν. εἰ γὰρ τὰ τῶν ἄλλων ὁρῶντες κακὰ, καὶ τοῖς ἑαυτῶν ἀντεξετάζοντες λυπηρὰ χαλεπώτερα τῇ συγκρίσει τὰ ἑαυτῶν νομίζουσι πολλοὶ τῶν πενομένων· ὅταν μὴ ἑτέρωθεν, ἀλλ᾽ ἐξ αὐτῶν ποιῶνται τὴν σύγκρισιν, ἐννοησάτωσαν πῶς χαλεπώτερα τὰ τῆς ἀθυμίας, ὅσῳ καὶ ἡ πεῖρα πλείονα παρασκευάζει τῆς ἀφαιρέσεως τὴν αἴσθησιν. διότι καὶ ἡ ἀπαιδία κουφοτέρα ἡ ἐξ ἀρχῆς τῆς μετὰ τὴν εὐπαιδίαν. οὐ γάρ ἐστιν ἴσον

μὴ λαβεῖν καὶ μετὰ τὸ λαβεῖν ἀφαιρεθῆναι. φέρε τοίνυν τὰ συμπίπτοντα πάντα γενναίως· τοῦτο γάρ σοι μαρτύριόν ἐστιν. οὐ γὰρ τὸν κελευόμενον θῦσαι, τὸ μὴ θῦσαι, ἀλλὰ καταξανθῆναι μᾶλλον, ἢ τοῦτο ποιῆσαι ποιεῖ μαρτύριον μόνον· ἀλλὰ καὶ τὸ τῆς ὀδύνης εἰς βλασφημίαν ἐξαγούσης ἑλέσθαι ἐγκαρτερῆσαι τοῖς πόνοις, καὶ μηδὲν ἀπηχὲς εἰπεῖν, μαρτύρια ἐργάζεται. ἐπεὶ καὶ ὁ Ἰὼβ οὐκ ἐπειδὴ κελευόμενος θῦσαι οὐκ ἔθυσε, διὰ τοῦτο ἐστεφανώθη, ἀλλ' ἐπειδὴ γενναίως ἤνεγκε τὰς ὀδύνας. καὶ Παῦλος δὲ ἐντεῦθεν ἀνεκηρύττετο, ἀπὸ τῶν μαστίγων, ἀπὸ τῶν θλίψεων, ἀπὸ τῶν ἄλλων ὧν ὑπέμεινε μετὰ εὐχαριστίας. τοὺς πόνους τῶν καρπῶν σου φάγεσαι· μακάριος εἶ καὶ καλῶς σοι ἔσται. τίνος ἕνεκεν διπλασιάζει τὸν μακαρισμόν; ἐπειδὴ οἶδεν αὐτοῦ τὸ μέγεθος· ἐντρυφᾷ τῇ φαντασίᾳ τοῦ πράγματος. καὶ τί τὸ καλῶς, εἰπέ μοι, ἡ γυνή σου ὡς ἄμπελος εὐθηνοῦσα ἐν τοῖς κλίτεσι τῆς οἰκίας σου. ἄλλος φησίν, ἐν τοῖς ἐσωτάτοις. ἄλλος, ἐν τοῖς μηροῖς. υἱοί σου ὡς νεόφυτα ἐλαιῶν κύκλῳ τῆς τραπέζης σου. ἰδοὺ οὕτως εὐλογηθήσεται ἄνθρωπος ὁ φοβούμενος τὸν κύριον. τί λέγεις εἰπέ μοι; τοῦτο ὁ μακαρισμός; τοῦτο τὸ κέρδος, οἰκίας εὐθηνία, καὶ τὸ τῶν οἰκείων ἀπολαῦσαι πόνων, καὶ παίδων πλῆθος, καὶ γυναικός; οὐ τοῦτο. ἀλλὰ τοῦτο ἐκ περιουσίας. ζητεῖτε γὰρ πρῶτον τὴν βασιλείαν τῶν οὐρανῶν καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν. ἐπειδὴ οὖν ἀτελεστέροις ἔτι διελέγετο, ὥσπερ παιδία μικρὰ ἀπὸ τῶν αἰσθητῶν ἐνάγει. καὶ μὴ θαυμάσῃς. εἰ γὰρ Παῦλος τοῦτο ποιεῖ ἐν τῷ καιρῷ τῆς τοσαύτης φιλοσοφίας πρὸς τοὺς ἔτι χαμαὶ βαδίζοντας ἀπὸ τούτων διαλεγόμενος· πολλῷ μᾶλλον ὁ προφήτης. καὶ ποῦ τοῦτο ὁ Παῦλος ποιεῖ; πολλαχοῦ. καὶ γὰρ ὅταν περὶ παρθενίας διαλέγηται, οὐδὲν περὶ τῶν μελλόντων αὐτοῖς λέγει· ἀλλὰ τὴν ἀπαλλαγὴν τῶν ἀπὸ τοῦ γάμου προσγινομένων λυπηρῶν μόνον τίθησι, καὶ ὅταν δὲ περὶ τῆς εἰς γονέας τιμῆς τοῖς αὐτοῖς κέχρηται τρόποις, οὕτω λέγων· ἥτις ἐστὶν ἐντολὴ πρώτη ἐν ταῖς ἐπαγγελίαις. τίς δέ ἐστιν ἡ ἐντολή; τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα σου, καὶ ἔσῃ μακροχρόνιος ἐπὶ τῆς γῆς. ἀλλὰ καὶ ὅταν περὶ τῆς εἰς ἐχθροὺς φιλοσοφίας γράφῃ, πάλιν αἰσθητὸν τίθησιν ἔπαθλον, λέγων· τοῦτο γὰρ

cepisse, & postquã acceperis, eis esse priuatũ. Fer ergo forti & generoso animo cuncta quæ accidunt: hoc enim est tibi martyrium. Non enim eum qui sacrificare iubetur, non sacrificare, sed potius dilaniari & excarnificari quàm hoc facere, solum facit martyrium: sed etiam cùm dolor impellit ad blasphemãdum, toleranter potius ferre laborem statuere, & nihil turpe & inhonestum dicere, facit martyrem. Iob enim non ideo fuit coronatus, quòd sacrificare iussus non sacrificauerit, sed quòd dolores & calamitates forti animo perpessus sit. Quinetiam Paulus propterea victor renunciatus est, propter flagella, propter afflictiones, propter alia, quæ sustinuit cum gratiarum actione. 2. *Labores manuum tuarum manducabis, beatus es, & bene tibi erit.* Quãnam de causa conduplicat beatitudinem? Quoniam nouit eius magnitudinem: in rei visione contemplanda iucundè immoratur. Et quidnam dixit illud, Bene? 3. *Vxor tua sicut vitis abundans in lateribus domus tuæ.* Alius, In penetralibus. Alius, In femoribus. *Filij tui sicut nouellæ oliuarum in circuitu mensæ tuæ.* 4. *Ecce sic benedicetur homo qui timet Dominum.* Quid dicis quæso? Hæc est beatitudo, hoc lucrum, domesticæ copiæ, & suis frui laboribus, multitudo liberorum, & fertilitas vxoris? Non hoc quidem, sed hoc ex redundanti quadam copia accedit. Quærite enim, inquit, regnum Dei, & cætera adijcientur vobis. Quoniam ergo loquebatur cum iis qui erant adhuc imbecilliores, tanquam paruos puellos inducit ex rebus sensilibus. Neque verò mireris. Si enim Paulus hoc facit tempore tantæ philosophiæ, cum eis qui adhuc humi repebant, ex his differens: multò magis Propheta. Vbi vero id facit Paulus? Multis in locis, Quando enim de virginitate differit, nihil dicit de eis quæ illis sunt euentura, sed ponit tantùm liberationẽ à molestiis matrimonij: tum etiam quãdo loquitur de honore in parentes, eodem modo vsus est, ita dicens: Quod est primum mãdatum in promissionibus. Quod est autem mandatum? Honora patrem tuũ & matrem, & eris longæuus super terram. Quinetiam quando scribit de ostendenda in inimicos philosophia, sensile rursus premium proponit, dicens: Hoc enim faciens,

Martyrum patientia. *Matth. 5. Iacob. 5. Rom. 8.* *Luc. 12. 31. 1. Cor. 3.* *1. Cor. 7.* *Ephes. 6.*

carbones ignis congeres ſuper caput eius. Chriſtus autem non ſic (neque enim cum imbecillis loquitur) ſed in virginitate quidem proponit regnum, in amandis autem inimicis, quòd erunt Dei ſimiles, quantum poſſunt homines eſſe Dei ſimiles. Quemadmodũ etiam in veteri, vbi inducebantur per ſenſilia, videbimus eos qui ſciunt philoſophari, induci à maioribus. Id autem Paulus ſignificans, dicebat: Iuxta fidem defuncti ſunt omines iſti non acceptis promiſſionibus, ſed eis procul viſis & ſalutatis. Non eſt ergo hæc ſola merces eorum qui Deum timent, frui rebus ſuis, ceu ſunt vxor & liberi, reſque domeſticæ proſperitas, ſed hæc quidem ſunt ex ſuperabundantia, & inſtar cuiuſdam additamenti. Principalia autem ſunt, primum quidem hoc ipſum, Deum timere: quod in ſeipſo continet remunerationem. Deinde arcana illa quæ oculus non vidit, nec auris audiuit, & in cor hominis non aſcenderunt.

Rom. 12. 20. — Matth. 19. — Matth. 5. — Hebr. 11. 13

5. *Benedicat tibi Dominus ex Sion, & videas bona Hieruſalem.* Alius, Et vide in bonis Hieruſalem. Bona dicit, ciuitatem, diuitias, decorem, honores, proſperitatem, fertilitatem, ſecuritatem, pacem. *Omnibus diebus vitæ tuæ.* Pulchrè etiam vſus eſt adiectione dierum. Erat enim hoc ſignum maximũ, quòd hæc à Deo darentur, & eius prouidentię argumentum, quod nihil humanum paterentur, nec corruerent, & nec vllam ſuſtinerent mutationem, niſi quando indignatus ea intercidiſſet. 6. *Et videas filios filios filiorum.* Atqui multi, inquit, Deum timentes, ſine liberis ſemper fuere. Et quid hoc ſibi vult? Neque enim nos propter præſentia exuimus, ſed principaliter quidem vt Deo placeremus, deinde etiam propter ſpes futuras. Atque tunc quidem hæc erant præmia, nunc autem cœlum, & bona quæ ſunt in cœlis. Quod ſi cùm Deum timeres, non habuiſti filios, quî ſcis nunquid dederit alia hac fœlicitate maiora? Neque enim omnes vno modo beneficio afficit, ſed variè, cùm ſit diues. Quot fuerunt qui cùm filios haberent, iudicarunt eos fœlices, qui non haberent? quot qui diuitias poſſidebant, pauperibus miſerius ex hac vita exceſſere? Quot qui gloriam concupierant, ea tanquam enſe aliquo confoſſi ſunt,

Luc. 4. 5. Daniel. 5. 2. Mart. 9.

ποιῶν, ἄνθρακας πυρὸς σωρεύσεις ἐπὶ τὴν κεφαλὴν αὐτοῦ. ἀλλ' ὁ Χριστὸς οὐχ οὕτως. οὐδὲ γὰρ αὐτὸς ἀσθενέσι διαλέγεται· ἀλλ' ἐπὶ μὲν τῇ παρθενίᾳ τὴν βασιλείαν τίθησιν· ἐπὶ δὲ τῷ τοὺς ἐχθροὺς ἀγαπᾷν, τὸ γενέσθαι ὁμοίους τῷ Θεῷ, ὡς ἀνθρώπους ὄντας, ὁμοίους γενέσθαι ἔνι. ὥσπερ οὖν καὶ ἐν τῇ παλαιᾷ, ἔνθα διὰ τῶν αἰσθητῶν ἤγοντο, τοὺς φιλοσοφεῖν εἰδότας ἀπὸ τῶν μειζόνων ὀψόμεθα ἐναγομένους. καὶ τοῦτο δηλῶν ὁ Παῦλος ἔλεγε· κατὰ πίστιν ἀπέθανον οὗτοι μὴ κομισάμενοι τὰς ἐπαγγελίας· ἀλλὰ πόρρωθεν αὐτὰς ἰδόντες, καὶ ἀσπασάμενοι. οὐ τοίνυν ὁ μισθὸς τῶν φοβουμένων τὸν Θεὸν τοῦτό ἐστι μόνος τῶν οἰκείων ἡ ἀπόλαυσις, καὶ γυνή, καὶ παῖδες, καὶ εὐθηνία οἰκίας. ἀλλὰ ταῦτα μὲν ἐκ περιουσίας καὶ ἐν τάξει προσθήκης· τὰ δὲ κεφάλαια καὶ μεγάλα, πρῶτον μὲν αὐτὸ τὸ φοβεῖσθαι τὸν Θεόν, ἐν ἑαυτῷ τὴν ἀμοιβὴν ἔχον. ἔπειτα δὲ καὶ τὰ ἀπόρρητα ἐκεῖνα, ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη. εὐλογήσαι σε κύριος ἐκ Σιών, καὶ ἴδοις τὰ ἀγαθὰ Ἱερουσαλήμ. ἕτερος, καὶ ὅρα ἐν ἀγαθοῖς Ἱερουσαλήμ. ἀγαθὰ τὴν πόλιν λέγει, τὸν πλοῦτον, τὴν εὐπρέπειαν, τὰς νίκας, τὰς τιμάς, τὴν εὐθηνίαν, τὴν εὐετηρίαν, τὴν ἀσφάλειαν, τὴν εἰρήνην. πάσας τὰς ἡμέρας τῆς ζωῆς σου. καλῶς τῇ προσθήκῃ τῶν ἡμερῶν κέχρηται. καὶ γὰρ καὶ τοῦτο μάλιστα σημεῖον ἦν τὸ παρὰ τοῦ Θεοῦ ταῦτα δίδοσθαι, καὶ τῆς προνοίας αὐτοῦ δεῖγμα τὸ μὴ παθεῖν τι ἀνθρώπινον, μηδὲ μεταπίπτειν, καὶ μεταβολὴν ὑπομένειν, πλὴν εἴποτε ὀργισθεὶς αὐτὰ διέκοψε. καὶ ἴδοις υἱοὺς τῶν υἱῶν σου. καὶ μὴν πολλοί φησι φοβούμενοι τὸν Θεὸν ἐν ἀπαιδίᾳ διετέλεσαν. καὶ τί τοῦτο; οὐ γὰρ ἐπὶ τοῖς παροῦσιν ἀπεδυσάμεθα· ἀλλὰ προηγουμένως μὲν ἐπὶ τῷ ἀρέσκειν τῷ Θεῷ· ἔπειτα δὲ ἐπὶ ταῖς μελλούσαις ἐλπίσι. καὶ τότε μὲν ταῦτα ἦν τὰ ἔπαθλα· νῦν δὲ οὐρανὸς καὶ τὰ ἐν οὐρανοῖς ἀγαθά. εἰ δὲ μὴ ἔχεις παῖδας ὁ φοβούμενος τὸν Θεόν, πόθεν οἶσθα, εἴπερ μὴ τῆς εὐπραγίας ταύτης ἕτερα μείζονα ἔδωκεν; οὐ γὰρ ἑνὶ τρόπῳ πάντας εὐεργετεῖ· ἀλλὰ διαφόρως πλούσιος ὤν. πόσοι παῖδας ἐσχηκότες, τοὺς οὐκ ἔχοντας ἐμακάρισαν; πόσοι πλοῦτον κτησάμενοι τῶν πενήτων ἀθλιώτερον κατέλυσαν; πόσοι δόξης ἀπολαύσαντες, καθάπερ μαχαίρᾳ ταύ-

τῇ περιεπέσησαν, καὶ τὰ ἀνήκεστα πεπόνθασι; μηδὲ τὰ πράγματα ζήτει· μηδὲ ἀπαίτει τὸν Θεὸν εὐθύνας· ἀλλὰ πάντα φέρε γενναίως καὶ μετ' εὐχαριστίας· μᾶλλον δὲ μηδενὶ τῶν παρόντων προσηλώσο. Διὰ γὰρ τοῦτο τοιαύτην ἐκελεύσθης εὔχεσθαι εὐχὴν, ἐν ᾗ μόνον ἓν αἴτημα αἰσθητὸν αἰτεῖς, καὶ πλέον οὐδέν. ἀλλὰ καὶ τοῦτο τῷ μέτρῳ πάλιν γίνεται πνευματικόν. τὰ μὲν γὰρ ἄλλα πάντα περὶ οὐρανῶν καὶ τῆς ἐκεῖ βασιλείας, καὶ τῆς ἀκριβοῦς πολιτείας, καὶ τῆς τῶν ἁμαρτημάτων ἀπαλλαγῆς ἡμῖν εἴρηται. ὑπὲρ δὲ αἰσθητῶν, μίαν λέξιν κελευόμεθα λέγειν. ποίαν δὲ ταύτην; τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον, καὶ πλέον οὐδέν. ἐπειδὴ γὰρ πρὸς ἑτέραν λοιπὸν καλούμεθα πατρίδα, καὶ πρὸς μείζονα μετεταξάμεθα ζωὴν, καὶ τὰς αἰτήσεις καταλλήλους ἐκείνῃ δεῖ ποιεῖσθαι· ταῦτα δὲ κἂν ἐπιῤῥέῃ, μετὰ πολλῆς τῆς ἀκριβείας διακρούεσθαι. εἰρήνη ἐπὶ τὸν Ἰσραήλ. ἄλλος, καὶ ἴδε τοὺς υἱοὺς τῶν υἱῶν σου, εἰρήνην ἐπὶ τὸν Ἰσραήλ. κατὰ κοινοῦ ἡ εὐχή. τοῦτο γὰρ μάλιστα ποθοῦσιν, ἅτε μακρῷ τεταριχευμένοι πολέμῳ. τί γὰρ ὄφελος αὐτοῖς τῶν ἄλλων, εἰρήνης οὐκ οὔσης; ὃ τοίνυν κεφάλαιον τῶν ἀγαθῶν τῶν τότε, καὶ τὴν ἀσφάλειαν αὐτῶν ἐπαγγέλλεται τὴν εἰρήνην, καὶ ταύτην διηνεκῆ· ὅπερ μάλιστα τῆς τοῦ Θεοῦ προνοίας ἔργον· τὸ καὶ δοῦναι καὶ μὴ ἀφεῖναι διαπεσεῖν. ἐπειδὴ γὰρ αὐτὴ τῶν ἀνθρωπίνων ἡ φύσις ῥευστή τίς ἐστι καὶ οὐ διαρκὴς, δεικνὺς ὅτι οὐχ ἁπλῶς αὐτοῖς ἔπεισι ταῦτα, ἀλλ' ἀπὸ τῆς ἄνωθεν ῥοπῆς, καὶ νεύοντος τοῦ Θεοῦ, πάσας τὰς ἡμέρας εἶπε, καὶ εἰρήνην ἐπηγγείλατο διαρκῆ· καὶ γέγονε τοῦτο τὸ γοῦν εἰς τὸν Θεὸν ἧκον· εἰ δὲ διεκόπη, πάλιν ἀπὸ τῆς ἐκείνων πονηρίας γέγονε καὶ τοῦτο. ὥσπερ γὰρ ὅταν ἀπειλῇ κολάσεις τισὶ, καὶ διὰ τῆς μετανοίας ἀποκρούωνται τὴν ὀργὴν, ἵσταται τὰ τῆς τιμωρίας· οὕτω κἂν ἀγαθὰ ἐπαγγείληται, ἀνάξιοι δὲ φανῶσιν οἱ τῆς ἐπαγγελίας μέλλοντες ἀπολαύειν, ἀναχαιτίζεται τὰ τῆς ὑποσχέσεως. τὸ μὲν οὖν εἰς αὐτὸν ἧκον, πάσας τὰς ἡμέρας αὐτοῖς ἐπηγγείλατο· τῇ δὲ ἑαυτῶν πονηρίᾳ διέκοψαν τὴν δωρεάν. ταῦτα δὲ λέγω, ἵνα μήτε ἀπειλοῦντος αὐτοῦ ἀπογινώσκωμεν, ἀλλὰ τῇ μετανοίᾳ τὴν ὀργὴν ἀποκρουώμεθα, μηδὲ χρηστὰ ἐπαγγελλομένου ἀναπίπτωμεν, ἀλλὰ τῇ σπουδῇ καὶ τῇ

A & grauissima quæque sustinuerunt? Ne quæras tibi exhiberi negotia, nec à Deo eorum quæ facit rationem exposcas: sed feras omnia forti & generoso animo, & cum gratiarũ actione, imò verò nulli rerum præsentium animũ tuum affigas. Propterea enim talem iussus es facere orationem, in qua vnum solùm petis postulatum sensile, & nihil amplius. Quanquam hoc quoque rursus mensura fit spiritale. Alia enim omnia, de cœlis & de regno quod illic est, de perfecta vitæ institutione, & de liberatione à peccatis nobis dicuntur: de sensi-

Act. 12. Iob. 12. Eccles. 8.

B libus autem vnam iubemur dicere dictionem. Quænã autem ea est? Panem nostrum supersubstantialem da nobis hodie, & nihil aliud. Quoniam enim ad aliam deinceps vocamur patriam, & ad maiorem vitã ascripti sumus, oportet etiã nostra postulata esse ei conuenientia: hæc autẽ licet affluant, multa cum fiducia reijcere. *Pax super Israel.* Alius, Et vide filios filiorum tuorum, pacem super Israel. Hęc est oratio de cõmuni. Hoc enim maximè desiderãt, vt qui sint longo bello afflicti & exhausti. Quid

Matt. 6. h.

Iob 5. 4. 2. Cor. 13. 1. Thess 5.

C enim eos alia iuuant, si pax non adsit? Quod ergo est bonorum, quæ tunc erant, præcipuum, & eorum securitatem, nempe pacem, pollicetur, cámque perpetuam, quod est maximè opus Dei prouidentiæ, dare scilicet, & non finere vt intercidat. Quoniam enim rerum humanarum natura fluxa est, & non permanens: ostendens hæc non temerè ad eos deuenire, sed à superno auxilio & à nutu diuino procedere, dixit, Omnibus diebus & pacem permanentem est pollicitus. Atque hoc quidem factum est, quod ad

Natura rerum humanarum.

D Deum attinet. Quòd si fuit interrupta, hoc quoque accidit ex illorum improbitate. Quemadmodum enim quando aliquibus supplicia minatur, iis qui per pœnitentiam irãm discutiunt, cohibetur supplicium: ita etiamsi bona promittat, nisi autem fuerint indigni qui promissa erant consecuturi, reuocatur promissum. Quod ad eum ergo spectat, omnibus diebus est eam pollicitus: sua autem improbitate donum interruperunt. Hæc autem dico, vt neque eo minante desperemus, nec rursus bona promittente torpescamus: sed studio, & in vita

Ioan. 3. Hier. 18. Ezech. 33.

instituenda diligentia, promissa ad A opus prouocemus. Nisi enim ita faciamus, non sufficit ad conseruandos nos sola promissio. Nam Iudæ quoque pollicitus est eum esse sessurum super thronum cum vndecim discipulis: nec tamen sedit. In causa autem non fuit ille qui promisit, sed is qui promisso indignus visus est. Et nos ergo cùm habeamus regni promissum, ne simus ignaui ac desides, sed nostra quoque afferamus, vt possimus bona æterna consequi, gratia & benignitate domini nostri Iesu Christi, cui gloria & potentia nunc, & semper, & in secula seculorum, Amen.

Promissa Dei vt impleantur. Matt. 19.

κατὰ τὸν βίον ἐπιμελείᾳ παρακαλοῦμεν εἰς ἔργον τῆς ὑποσχέσεως. ἂν γὰρ μὴ τοῦτο ποιῶμεν, οὐκ ἀρκεῖ ἡ ἐπαγγελία σῶσαι μόνη. ἐπεὶ καὶ τῷ Ἰούδᾳ ἐπηγγείλατο, ὅτι καθήσεται ἐπὶ τοῦ θρόνου μετὰ τῶν ἕνδεκα μαθητῶν, καὶ οὐκ ἐκάθισεν. ἡ δὲ αἰτία οὐ παρὰ τὸν ὑποσχόμενον, ἀλλὰ παρὰ τὸν ἀνάξιον τῆς ὑποσχέσεως φανέντα. καὶ ἡμεῖς τοίνυν ἔχοντες βασιλείας ἐπαγγελίαν μὴ ῥαθυμῶμεν, ἀλλὰ τὰ παρ' ἑαυτῶν εἰσφέρωμεν, ἵνα δυνηθῶμεν τῶν αἰωνίων ἀγαθῶν ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος B εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

IN PSALMVM CXXVIII.

Sæpe expugnauerunt me à iuuentute mea, dicat nunc Israel. 2. Sæpe expugnauerunt me à iuuentute mea: etenim non potuerunt mihi. Alius interpres dicit, Sed non potuerunt mihi.

Εἰς τὸν ρκη' ψαλμόν.

Πλεονάκις ἐπολέμησάν με ἐκ νεότητός μου, εἰπάτω δὴ Ἰσραήλ. πλεονάκις ἐπολέμησάν με ἐκ νεότητός μου· καὶ γὰρ οὐκ ἐδυνήθησάν μοι. ἕτερος φησὶν ἑρμηνευτής· ἀλλ' οὐκ ἠδυνήθησάν μοι.

C

HIC quoque Psalmus cohæret præcedenti. Quoniam enim interrumpebatur ædificatio, nec opus deducebatur ad finem, eos in bonam spem adducens, ne desperarent ex præteritis, iubet eos de futuris esse bono animo, & docet eos dicere hæc verba. Etenim cùm sæpe eos inuasissent, nequaquam potuerunt superare, nec integram victoriam reportarunt. Et tamen captiuos, inquit, ceperunt, & in terram alienam traduxerunt, & multa bella vicerunt. Et tunc quidem maximè nõ ex propria virtute, sed ex Iudæorum peccato superarunt. Quanquam alioqui nec ad finem quidem vsque permansere victores. Neque enim potuerunt genus omnino delere, vel ciuitatem omnino euertere, aut gentem funditus perdere, sed cùm paulisper Deo concedente vicissent, rursus vincebantur. Quomodo autem vincebantur? Ad priorem fœlicitatem Iudæis reuertentibus. Quod quidem significans alius interpres dixit,

ΚΑΙ οὗτος τοῦ πρὸ αὐτοῦ ἔχεται ὁ ψαλμός. ἐπειδὴ γὰρ διεκόπτετο τὰ τῆς οἰκοδομῆς, καὶ πρὸς τέλος τὸ ἔργον οὐκ ᾔει, ἄγων αὐτοὺς εἰς χρηστὰς ἐλπίδας, ἵνα μὴ ἀπογινώσκωσιν ἐκ τῶν παρελθόντων περὶ τῶν μελλόντων θαρρεῖν αὐτοὺς παρασκευάζει, καὶ παιδεύει αὐτοὺς λέγειν ταῦτα τὰ ῥήματα. καὶ γὰρ πολλάκις ἐπιτιθέμενοι περιγενέσθαι οὐκ ἴσχυσαν, οὐδὲ ὁλόκληρον D νίκην ἤραντο. καὶ μὴν ἔλαβον αἰχμαλώτους φησί, καὶ πρὸς τὴν ἀλλοτρίαν μετέστησαν, καὶ πολλοὺς πολέμους ἐνίκησαν. μάλιστα μὲν καὶ τότε οὐκ ἐκ τῆς οἰκείας ἰσχύος, ἀλλ' ἐκ τῆς τῶν Ἰουδαίων ἁμαρτίας περιεγένοντο. ἄλλως δὲ οὐ μέχρι τέλους, ἔμειναν ὡς περιγεγονότες. οὐδὲ γὰρ ἴσχυσαν παντελῶς ἀφανίσαι τὸ γένος, οὐδὲ ἐξαλεῖψαι τὴν πόλιν, οὐδὲ εἰς τέλος ἀπολέσαι τὸ ἔθνος· ἀλλὰ πρὸς ὀλίγον ἐνδιδόντος τοῦ Θεοῦ περιγενόμενοι πάλιν ἡττῶντο. πῶς δὲ ἡττῶντο; τῶν Ἰουδαίων ἐπὶ τὴν προτέραν εὐπραγίαν ἐπανιόντων· ὃ καὶ δηλῶν ἕτερος ἑρμηνευτής

ἀλλ' οὐχ ὑπερίσχυσάν μου εἶπεν. ἐπὶ τὸν νῶτόν μου ἐτέκταινον οἱ ἁμαρτωλοί, ἐμάκρυναν τὴν ἀνομίαν αὐτῶν. τί ἐστι τοῦτο; οὐχ ὡς ἔτυχεν ἐπεβούλευόν φησιν, ἀλλὰ πολλὰ ἐμηχανῶντο καὶ ἐπραγματεύοντο, δόλους ῥάπτοντες λάθρα ἐπιτιθέμενοι. τὸ γάρ, ἐπὶ τὸν νῶτόν μου, ἢ τὸ δολερὸν καὶ ὕπουλον δηλοῖ, ἢ τὸ κατὰ κράτος, καὶ μετὰ πολλῆς τῆς σφοδρότητος· τουτέστιν, αὐτὴν τὴν δύναμίν μου συνθλάσαι ἐπεχείρουν. ἕτερος δέ, ἀντὶ τοῦ ἐτέκταινον, ἠροτρίασαν, ἵνα δηλώσῃ, ὅτι ἔργον ἐποιοῦντο τὴν κατὰ τοῦ δικαίου ἐπιβουλήν. ἐμάκρυναν τὴν ἀνομίαν αὐτῶν. τί ἐστιν ὃ λέγει; δείκνυσιν, ὅτι οὐ μετὰ σφοδρότητος ἐπήεσαν μόνον, ἀλλὰ καὶ μετὰ πολλῆς τῆς παρεδρείας πολὺν δαπανήσαντες χρόνον, καὶ ἔργον ποιούμενοι τὴν ἐπιβουλήν, καὶ ἐπιμένοντες διηνεκῶς. ἀλλ' οὐδὲν αὐτοῖς ἐγένετο πλέον· οὐ παρὰ τὴν ἡμετέραν ἰσχύν· ἀλλὰ παρὰ τὴν τοῦ Θεοῦ δύναμιν. διόπερ δεικνὺς τὸν ἱστῶντα τὸ τρόπαιον, καὶ τὴν νίκην ἐργαζόμενον ἐπήγαγε. κύριος δίκαιος συνέκοψεν αὐχένας ἁμαρτωλῶν. ἕτερος δὲ ἀντὶ τοῦ αὐχένας βρόχους εἶπε δηλῶν τὰς ἐπιβουλάς, τὰς ἐφόδους, τὰς μηχανάς. καλῶς δὲ οὐ διέλυσεν εἶπεν· ἀλλὰ συνέκοψεν, ἵνα μᾶλλον ἐμφήνῃ ὅτι τοῦτο εἰργάσατο ἄχρηστα εἰς τέλος ποιῶν αὐτῶν τὰ βουλεύματα. καὶ γὰρ ἀρχομένης τῆς πόλεως κτίζεσθαι, πολλοὶ πανταχόθεν ἐπιτιθέμενοι ἦσαν τῷ φθόνῳ τηκόμενοι, καὶ οὐχ ἅπαξ οὐδὲ δίς, ἀλλὰ καὶ πολλάκις τοῦτο ἐποίουν. τοῦτο γέγονε καὶ ἐπὶ τῆς ἐκκλησίας. ἀρχομένης γὰρ αὐτῆς φύεσθαι, συνεχῶς ἐπετίθεντο, πάντες παρὰ μὲν τὴν ἀρχὴν βασιλεῖς, καὶ δῆμοι, καὶ τύραννοι· μετὰ δὲ ταῦτα τῶν αἱρέσεων αἱ ἐπιβουλαί, καὶ πολὺς πανταχόθεν ὁ πόλεμος καὶ ποικίλος ἀνερριπίζετο. ἀλλ' ὅμως οὐδὲν ἴσχυσιν, ἀλλὰ τὰ μὲν τῶν πολεμίων ἐλύθη· τὰ δὲ τῆς ἐκκλησίας ἀνθεῖ. αἰσχυνθήτωσαν καὶ ἀποστραφήτωσαν εἰς τὰ ὀπίσω πάντες οἱ μισοῦντες Σιών. ἄλλος, ἀνατραπήτωσαν εἰς τὰ ὀπίσω. γενηθήτωσαν ὡσεὶ χόρτος δωμάτων, ὃς πρὸ τοῦ ἐκσπασθῆναι ἐξηράνθη· οὗ οὐκ ἐπλήρωσε τὴν χεῖρα αὐτοῦ ὁ θερίζων. ἕτερός φησι τὴν δράκα αὐτοῦ. καὶ τὸν κόλπον αὐτοῦ ὁ τὰ δράγματα συλλέγων. καὶ οὐκ εἶπον οἱ παράγοντες εὐλογία κυρίου ἐφ' ὑμᾶς, εὐλογήκαμεν ὑμᾶς ἐν ὀνόματι κυρίου. εἰς εὐχὴν κατακλείει τὴν παραίνεσιν

A Sed non præualuerunt super me.

3. *Supra dorsum meum fabricauerunt peccatores, prolongauerunt iniquitatem suam.* Quid hoc est? Non temerè, inquit, & fortuitò insidiabantur, sed multa moliebantur & machinabantur, dolos struentes, & clanculum inuadentes. Illud enim, supra dorsum meum, vel fraudem & exulceratam malitiam significat: vel, per vim, & cum magna vehementia. Hoc est, Aggressi sunt meam potentiam confringere. Alius autem pro, Fabricati sunt, dixit, Arauerunt, vt ostenderet quòd in parandis B iusto insidiis opus faciebant. Prolongauerunt iniquitatem suam. Quid est quod dicit? Ostendit eos non solùm cum magno impetu inuasisse, sed etiam cum magnis insidiis, vt qui multum temporis ea in re consumerent, & insidiari suum opus esse ducerent, & in eo assiduè persisterent. Sed id nihil eis profuit, non propter nostras vires, sed propter Dei potentiã. Quocirca ostendens eum qui erigit trophæum, & parit victoriam, subiunxit, 4. *Dominus iustus concidit ceruices peccatorum.* Alius autem pro ceruices, dixit funes, significans insidias, insultus, machinationes. C Rectè autem dixit, non dissoluit, sed, concidit: vt magis ostenderet eum id fecisse, reddentem eorum consilia penitus inutilia. Cùm enim inciperet rursus condi ciuitas, multi vndiquaque inuadebant inuidia extabescentes: nec id semel tantùm, aut bis, sed sæpenumero fecerunt. Hoc ipsum etiam vsuuenit in ecclesia. Cùm enim inciperet enasci, omnes eam assiduè inuadebant: in principio quidem Reges, populi, & Tyranni postea autem insidiæ hæreticorum: & maximum D & varium ac multiplex bellum vndique suscitabatur: sed tamen non præualuit: sed fusi quidem sunt & profligati hostes: floret autem & viget ecclesia. 5. *Confundantur, & conuertantur retrorsum omnes qui oderunt Sion.* Alius, Subuertantur retrorsum.

6. *Fiant sicut fœnum tectorum, quod priusquam euellatur, exaruit.* 7. *De quo non impleuit manum suam qui metit.* Alius, Pugnum suum. *Et sinum suum qui manipulos colligit.* 8. *Et non dixerunt qui præteribant, Benedictio Domini super vos. Benedicimus vobis in nomine Domini.* Adhortationem precatione concludit,

Hebr. & Chald. arabant arãtes.

Nempe Chald. funes vel iugum.

Nem. 4.

Matt. 16.

ex narratione præteritorum, & ex oratione ad confidendum adducens, & iniustam belli causam ostendens. Ex inuidia enim & odio bellum suscepere: & ideo dicit, Erubescant & conuertantur retrorsum omnes qui oderunt Sion. Non solùm, inquit, vincantur, sed turpiter & ridiculosè. Deinde cùm dixisset, Fiant sicut fœnum tectorum, persistit in similitudine, non eos tantùm fœno comparans, sed fœno quod est supra domos. Quanquam enim id quoque quod est in campis, celeriter diffluit: volens tamen ostendere quàm essent viles & abiecti aduersarij, eos comparat fœno quod est super domos: vt vtrinque ostendat quàm sint fragiles & caduci, nempe & ex fœni natura, & ex natura loci. Tales, inquit, sunt insultus aduersariorum, qui non habent radicem, nec fundamentum, qui aliquantisper quidem videntur florere, postea autem arguuntur, & ex seipsis excidunt. Talis est prosperitas eorum qui viuunt in scelere. Talis iucunditas rerum, quæ ad hanc vitam pertinent. Simul enim & cernitur, & interit, vt quæ nec habeat fundamentum aliquod, nec potentiam. Et ideo non est eis adhibendus animus, sed considerando quàm sint fluxæ & caducæ, desiderandæ sunt res æternæ, immortales, immobiles, & in quas nulla cadit mutatio. Quas detur nobis omnibus consequi, gratia & benignitate domini nostri Iesu Christi, cum quo Patri gloria simul cum sancto Spiritu, in secula seculorum, Amen.

Iob. 14. 20. 21. Esa. 24.

A ἀπό τε τῆς διηγήσεως τῶν παρελθόντων, ἀπό τε τῆς εὐχῆς θαρρεῖν παρασκευάζων τὸν ἀκροατὴν, καὶ δεικνὺς τοῦ πολέμου τὴν ὑπόθεσιν ἄδικον. ἀπὸ γὰρ φθόνου καὶ μίσους τὰ τῆς μάχης ἤρξατο. διό φησιν, αἰσχυνθήτωσαν καὶ ἀποστραφήτωσαν εἰς τὰ ὀπίσω πάντες οἱ μισοῦντες Σιών. μὴ μόνον ἡττηθείησαν, ἀλλὰ καὶ αἰσχρῶς καὶ καταγελάστως. εἶτα εἰπὼν, γενηθήτωσαν ὡσεὶ χόρτος δωμάτων· ἐναπέμεινε τῇ εἰκόνι, οὐχ ἁπλῶς χόρτῳ παραβαλὼν, ἀλλὰ τῷ ἐπὶ δωμάτων. καίτοι γε καὶ ὁ ἐν πεδίῳ λιπαρὸς, ταχέως διαρρεῖ· ἀλλ' ἐκεῖνος πλείονα δείκνυσι τῶν ἐναντίων B τὴν εὐτέλειαν τῷ ἐπὶ τῶν δωμάτων αὐτοὺς παραβαλεῖν· ὥστε ἑκατέρωθεν δεῖξαι αὐτοὺς τὸ εὐκατάπτωτον, καὶ ἀπὸ τῆς φύσεως τοῦ χόρτου, καὶ ἀπὸ τῆς φύσεως τοῦ τόπου. τοιαῦται, φησὶ, τῶν ἐναντίων αἱ ἔφοδοι οὐκ ἔχουσαι ῥίζαν οὐδὲ ὑπόστασιν. ἀλλὰ πρὸς ὀλίγον μὲν δοκοῦσιν ἀνθεῖν· ὕστερον δὲ ἐλέγχονται, καὶ ἑαυτοῖς περιπίπτουσι. τοιαύτη καὶ τῶν ἐν ἀδικίᾳ ζώντων ἡ εὐημερία· τῶν βιωτικῶν ἡ φαιδρότης, ὁμοῦ τε γὰρ φαίνεται καὶ ἀπόλλυται, οὔτε ὑπόστασιν τινὰ, οὔτε δύναμιν ἔχουσα. διόπερ οὐ δεῖ τούτοις προσέ- C χειν· ἀλλὰ τὸ εὐκατάλυτον αὐτῶν ἐννοοῦντας, τῶν ἀθανάτων ἐφίεσθαι καὶ ἀκινήτων πραγμάτων καὶ οὐκ ἐχόντων μεταβολήν. ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἡ δόξα ἅμα τῷ ἁγίῳ πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

IN PSALMVM CXXIX.

De profundis clamaui ad te Domine, Domine exaudi vocem meam.

Profunditas precum.

QVID est, De profundis? Non dixit solummodo, Ex ore, neque solummodo, Ex lingua (nam errante etiam mente verba funduntur) sed ex corde profundissimo, cum magno studio, & magna animi ala-

Εἰς τὸν ρκθ' ψαλμόν.

D

Ἐκ βαθέων ἐκέκραξά σοι κύριε· κύριε εἰσάκουσον τῆς φωνῆς μου.

Τί ἐστιν ἐκ βαθέων; οὐχ ἁπλῶς ἀπὸ στόματος, οὐδὲ ἁπλῶς ἀπὸ γλώττης. καὶ γὰρ τῆς διανοίας πλανωμένης τὰ ῥήματα ἐκχεῖται· ἀλλὰ ἀπὸ καρδίας βαθυτάτης, μετὰ πολλῆς τῆς σπουδῆς καὶ τῆς προθυμίας,

θυμίας, ἐξ αὐτῶν τῆς διανοίας τῶν βαθέων. τοιαῦται γὰρ αἱ τῶν θλιβομένων ψυχαί· αὐτὴν συγκινοῦσιν ὁλόκληρον τὴν καρδίαν, μετὰ πολλῆς τῆς κατανύξεως τὸν Θεὸν καλοῦντες· διὸ δὴ καὶ ἀκούονται. αἱ γὰρ τοιαῦται εὐχαὶ πολλὴν ἔχουσι δύναμιν, οὐ περιτρεπόμεναι οὐδὲ σαλευόμεναι· κἂν μετὰ πολλῆς ῥύμης ὁ διάβολος ἐπέλθῃ. καθάπερ γὰρ δένδρον ἰσχυρὸν, καὶ κατὰ πολλοῦ τοῦ βάθους τῆς γῆς καταπέμπον τὴν ῥίζαν, καὶ τοῖς κόλποις αὐτῆς περισφίγγον πρὸς ἅπασαν πνευμάτων ῥύμην ἀνθίσταται, τὸ δὲ περὶ τὴν ἐπιφάνειαν κείμενον, μικρᾶς προσαρασσούσης αὔρας διασαλεύεται, καὶ πρόρριζον ἐκτιλὲν ἐπὶ τῆς γῆς κεῖται· οὕτω δὴ καὶ αἱ εὐχαὶ αἱ μὲν κάτωθεν ἀνιοῦσαι καὶ πρὸς τὸ βάθος ἐρριζωμέναι, κἂν μυρίοι προσέλθωσι λογισμοὶ, κἂν ἅπασα ἡ τοῦ διαβόλου παράταξις, ἐκτενεῖς μένουσι καὶ ἀνένδοτοι μὴ περιτρεπόμεναι· αἱ δὲ ἀπὸ τοῦ στόματος καὶ τῶν χειλέων προϊοῦσαι, καὶ μὴ ἀνερχόμεναι κάτωθεν, οὐδὲ πρὸς τὸν Θεὸν ἀναβῆναι δύνανται, διὰ τὴν ῥαθυμίαν τοῦ προσιόντος. τὸν γὰρ τοιοῦτον κἂν κτύπος τις γένηται περιέτρεψε· κἂν θόρυβος, ἀπήγαγε τῆς ἱκετηρίας· καὶ τὸ μὲν στόμα ἠχεῖ, ἡ δὲ καρδία καὶ ἡ διάνοια ἔρημος. ἀλλ' οὐχ οἱ ἅγιοι οὕτως ηὔχοντο, ἀλλὰ μετὰ τοσαύτης τῆς ἐπιτάσεως, ὡς καὶ ὅλον τὸ σῶμα κατακάμπτειν. ὁ γοῦν μακάριος Ἠλίας εὐχόμενος πρῶτον μὲν ἐρημίαν ἐζήτησεν. εἶτα τὴν κεφαλὴν μεταξὺ τῶν γονάτων θεὶς, καὶ μετὰ πολλῆς ἑαυτὸν ἀνακαίων τῆς θερμότητος οὕτω τὰς εὐχὰς ἠφίει. Εἰ δὲ βούλει καὶ ὀρθὸν ἑστῶτα ἰδεῖν ἐν εὐχῇ, ὅρα πάλιν αὐτὸν ἐκτεταμένον πρὸς τὸν οὐρανὸν, καὶ οὕτως ἐκτεταμένον, ὡς καὶ πῦρ ἄνωθεν κατενεγκεῖν· οὕτω καὶ ὅτε τῆς χήρας τὸ παιδίον ἀναστῆσαι ἐβούλετο, ὅλον ἑαυτὸν συντείνας, τὴν ἀνάστασιν ἐκείνην εἰργάζετο, οὐ διακλώμενος, οὐδὲ χασμώμενος καθάπερ ἡμεῖς, ἀλλὰ διαθερμαινόμενος τῇ προθυμίᾳ τῆς εὐχῆς. καὶ τί λέγω τὸν Ἠλίαν, καὶ τοὺς ἁγίους ἐκείνους; γυναῖκας εἶδον πολλάκις δι' ἀπόδημον ἄνδρα καὶ παιδίον ἀρρωστοῦν οὕτως ἐκ βαθέων εὐχομένας, καὶ τοσαύτας πηγὰς ἀφιείσας δακρύων ὡς καὶ αὐτοῦ τοῦ τέλους ἐπιτυχεῖν τῆς εὐχῆς. Εἰ δὲ ὑπὲρ παιδίου καὶ ἀνδρὸς ἀποδήμου οὕτω θερμαίνονται αἱ γυναῖκες ἐν εὐχαῖς,

A critate, ex ipsis mentis penetralibus. Tales sunt enim animi eorum qui affliguntur: vniuersum cor secum commouent, Deum inuocantes cum magna compunctione: & ideo etiam audiuntur. Tales enim preces magnam habent potentiam, vt quæ neque subuertantur, neque concutiantur, etsi eas diabolus magno impetu inuadat. Quemadmodum enim arbor valida, & quæ in multam profunditatem terræ agit radices, eiúsque sinus deuincit & astringit, cuiuis ventorum impetui resistit: quæ in terræ autem B summa superficie sita est, si quælibet parua aura incubuerit, labefactatur, & radicitus euulsa iacet super terram: ita etiam preces quæ ab imo quidem ascendunt & egerunt radices in profundo, etiamsi innumerabiles venerint cogitationes, etiamsi instructa tota diaboli acies, firmæ manent & stabiles, & minimè euertuntur: quæ autem ex ore in labiis procedunt, & non ab imo ascendunt, ne possunt quidem ad Deum ascendere, propter eius qui accedit, socordiam. Eum enim qui talis est, seu fuerit aliquis strepitus, is ipsum euerterit: siue tu- C multus, ab oratione abduxerit: & os quidem resonat, cor verò est inane, & sola ac deserta cogitatio. At sancti non sic orabant, sed cum summo studio & maxima vehementia, vt etiam totum corpus inflecterent. Beatus itaque Helias orans primum quidem quæsiuit solitudinem: deinde cùm posuisset caput inter genua, & seipsum cum magno ardore incenderet, ita fundebat preces. Si vis autem eum etiam videre rectum stantem in oratione, vide eum rursus extensum in cœlum, D & ita extensum vt etiam ignem è cœlo deijceret. Ita etiam quādo voluit suscitare filium viduæ, cùm totum seipsum expandisset, confecit eam resurrectionem: non interrumpens, neque oscitās sicut nos, sed animi in orando alacritate incensus. Quid autem dico Heliam & sanctos illos? Vidi sæpe mulieres propter virum peregrinantem & infantem ægrotantem, ita de profundis orantes, & tantos fontes lachrymarum emittentes, vt tandem voti sui essent compotes. Si autem mulieres ita inflammantur in orationibus pro viro & infante:

Confirmat simili.

Esa. 29. Matth. 15.

Orandum vt sit. 1. Cor 14. 3. Reg. 19. 3. Reg 18.

3. Reg. 17.

quænam viro venia dabitur, qui pro anima morte affecta, mollis est & languidus? Hinc itaque fit, quod cùm sæpe oremus, rursus inanes reuertamur. Audi quomodo Anna orabat de profundis, cuiusmodi fontes lachrymarum emittebat, quomodo per orationem inueniebatur in sublime. Qui enim ita precatur, etiam antequam consequatur quod postulat, ex oratione magna bona percipit, omnes animi perturbationes reprimens, iram sedans, inuidiam expellens, cupiditatem extinguens, rerum ad vitam pertinentium amorem diminuens & exiccans, animum in magnam tranquillitatem redigens, in ipsum deinceps cœlum ascendens. Quemadmodum enim pluuia duram terram, in quam decidit, vel ignis ferrum, mollit: ita vitiis induratum animum talis oratio & igne vehementius, & plusquam pluuia mollit & humectat. Est enim anima tenera, & ad fingendum facilis. Sed quod Istri aquæ sæpe vsuuenit, vt glacie concrescat, ita etiam nostræ accidit animæ, vt à peccato & socordia induresçat & lapidescat. Magno ergo nobis calore opus est, vt quod durum est emolliat. Hoc autem maximè efficit oratio. Quando ergo orationem aggrederis, ne hoc solum quæras vt quod petis accipias: sed etiam vt in ipsa oratione animam tuam meliorem efficias. Nam hoc quoque est munus orationis. Qui ita orat, fit iis quæ ad hanc vitam pertinent, superior, mente extollitur, leuem reddit cogitationem, nulla perturbatione animi impeditur. De profundis clamaui Domine. Duo hîc ponit, & illud, de profundis: & hoc, clamauisse: clamorem non dicens tonum vocis, sed affectionem animi. Domine exaudi vocem meam. Hîc duo discimus, nempe quòd à Deo absolutè impetrare non possumus, nisi nostra quoque adfuerint. Quocirca prius dixit, De profundis clamaui, & tunc, exaudi. Deinde quòd oratio intensa & vehemens, & plena lachrymis compunctionis, magnas habet vires ad hoc vt Deo persuadeat, vt iis quæ dicuntur annuat. Tanquam enim magnum & præclarum quid fecisset, & partes suas implesset, ita subiunxit: Domine exaudi vocem meam.

1. Reg. 1. — *Collatio elegans.* — *Orationis munus.* — *Clamor ex profundo.* — *Tob. 3. Iudith. 13.*

A ποίαν ἕξει συγγνώμην ὁ ἀνὴρ τῆς ψυχῆς νενεκρωμένης μαλακιζόμενος; διὰ τοι τοῦτο πολλάκις εὐχόμενοι, κενοὶ πάλιν ἀναχωροῦμεν. ἄκουσον τῆς Ἄννης, πῶς ηὔχετο ἐκ βαθέων, οἵας ἠφίει πηγὰς δακρύων· πῶς μετάρσιος γέγονεν ἀπὸ τῆς εὐχῆς. ὁ γὰρ οὕτως εὐχόμενος, καὶ πρὶν ἢ λαβεῖν, ἅπερ αἰτεῖ, μεγάλα ἀπὸ τῆς εὐχῆς καρποῦται καλὰ, τὰ πάθη καταστέλλων ἅπαντα, θυμὸν μαραίνων, φθόνον ἐκβάλλων, ἐπιθυμίαν τήκων, τῶν βιωτικῶν τὸν ἔρωτα καταμαραίνων, ἐν πολλῇ γαλήνῃ τὴν ψυχὴν καθιστὰς, εἰς αὐτὸν λοιπὸν τὸν οὐρανὸν ἀνιών. B καθάπερ γὰρ εἰς σκληρὰν γῆν ὑετὸς καταφερόμενος, ἢ σίδηρον πῦρ μαλάσσει· οὕτω τὸ σκληρὸν τῆς διανοίας τὸ ἀπὸ τῶν παθῶν ἡ τοιαύτη εὐχὴ καὶ πυρὸς σφοδρότερον, καὶ ὑετοῦ μᾶλλον καταμαλάσσει καὶ διαβρέχει. ἔστι μὲν γὰρ ἁπαλὴ, καὶ εὔπλαστος ἡ ψυχή· ἀλλ' ὅπερ τὸ τοῦ Ἴστρου πολλάκις ἔπαθεν ὕδωρ, τὸ κρυμῷ πηγνύμενον, τοῦτο καὶ ἡ ψυχὴ ἡ ἡμετέρα ὑπὸ τῆς ἁμαρτίας καὶ πολλῆς ῥαθυμίας σκληρυνομένη καὶ λίθος γενομένη. δεῖ τοίνυν ἡμῖν πολλῆς θέρμης, ὥστε καταμαλάξαι τὸ σκληρόν. τοῦτο δὲ μάλιστα εὐχὴ C ἐργάζεται. ὅταν τοίνυν μεταχειρίζῃ τὴν εὐχὴν, μὴ τοῦτο ζήτει μόνον, ὅπως λάβῃς ὅπερ αἰτεῖς· ἀλλὰ καὶ ὅπως ἐν αὐτῇ τῇ εὐχῇ βελτίω ποιήσῃς τὴν ψυχήν. καὶ γὰρ καὶ τοῦτο ἔργον εὐχῆς. ὁ οὕτως εὐχόμενος, ἀνώτερος γίνεται τῶν βιωτικῶν· πτεροῦται τῇ διανοίᾳ, κοῦφον ποιεῖ τὸν λογισμὸν, οὐδενὶ τῶν παθῶν ἁλίσκεται. ἐκ βαθέων ἐκέκραξά σοι κύριε. δύο ἐνταῦθα τίθησι, καὶ τὸ ἐκ βαθέων, καὶ τὸ κράξαι· κραυγὴν, οὐ τὸν τόνον λέγων τῆς φωνῆς, ἀλλὰ τὴν διάθεσιν τῆς γνώμης. κύριε εἰσάκουσον τῆς φωD νῆς μου. ἐντεῦθεν δύο μανθάνομεν, ὅτι τε ἁπλῶς οὐκ ἔστι τῶν παρὰ τοῦ Θεοῦ τυχεῖν, ἐὰν μὴ τὰ παρ' ἡμῶν ὑπάρξῃ. διὸ καὶ πρότερον φησιν, ἐκ βαθέων ἐκέκραξα, καὶ τότε, εἰσάκουσον. ἔπειτα ὅτι εὐχὴ ἐκτεταμένη καὶ δακρύων κατανύξεως γέμουσα, πολλὴν ἔχει δύναμιν πρὸς τὸ πεῖσαι τὸν Θεὸν ἐπινεῦσαι τοῖς λεγομένοις. καὶ γὰρ ὥσπερ μέγα τι κατωρθωκὼς, καὶ τὰ παρ' αὐτοῦ πληρώσας, οὕτως ἐπήγαγε· κύριε εἰσάκουσον τῆς φωνῆς μου.

γενηθήτω τὰ ὦτά σου προσέχοντα εἰς τὴν φωνὴν τῆς δεήσεώς μου. ὦτα, τὴν ἀκουστικὴν λέγει δύναμιν· καὶ πάλιν φωνήν φησιν, οὐ τὸν τόνον τοῦ πνεύματος, οὐδὲ τὴν κραυγὴν αἰνιττόμενος, ἀλλὰ τὴν συντεταμένην διάθεσιν. ἐὰν ἀνομίας παρατηρήσῃς κύριε, κύριε τίς ὑποστήσεται; ἵνα γὰρ μὴ λέγῃ τις, ὅτι ἁμαρτωλός ὤν, καὶ μυρίων γέμων κακῶν, οὐ δύναμαι προσιέναι καὶ εὔχεσθαι, καὶ τὸν Θεὸν καλεῖν, περιαιρῶν ταύτην τὴν σκῆψιν φησίν· ἐὰν ἀνομίας παρατηρήσῃς κύριε, κύριε τίς ὑποστήσεται; τὸ γὰρ τίς, ἐνταῦθα οὐδείς ἐστιν. οὐ γάρ ἐστιν οὐκ ἔστιν οὐδένα μετὰ ἀκριβείας ὑπέχοντα τῶν πεπραγμένων τὰς εὐθύνας, τυχεῖν ἐλέους καὶ φιλανθρωπίας ποτέ. καὶ ταῦτα λέγομεν οὐκ εἰς ῥαθυμίαν τὰς ψυχὰς ἐμβάλλοντες, ἀλλὰ παραμυθούμενοι τοὺς εἰς ἀπόγνωσιν πίπτοντας. τίς γὰρ καυχήσεται ἁγνὴν ἔχειν τὴν καρδίαν, ἢ τίς παρρησιάσεται καθαρὸς εἶναι ἀπὸ ἁμαρτιῶν; καὶ τί λέγω τοὺς ἄλλους; εἰ γὰρ Παῦλον εἰς μέσον ἀγάγω, καὶ βουληθείην ἀπαιτῆσαι αὐτὸν ἀκριβῆ τῶν γεγενημένων ἐξέτασιν, οὐ δυνήσεται ὑποστῆναι. τί γὰρ καὶ δυνήσεται εἰπεῖν; προφήτας ἀνέγνω κατὰ ἀκρίβειαν τοῦ πατρῴου νόμου ζηλωτὴς ὑπάρχων, σημεῖα ἴδεν ἐπιτελούμενα, καὶ ὅμως ἔμενε διώκων, καὶ οὐ πρότερον μετέστη, ἕως τῆς θαυμαστῆς ἐκείνης ἀπήλαυσεν ὄψεως, καὶ τῆς φρικτῆς ἤκουσε φωνῆς. πρὸ γὰρ δὲ τούτου ἔμενε πάντα φύρων καὶ συγχέων. ἀλλ' ὅμως πάντα ἐκεῖνα παραδραμὼν ὁ Θεὸς καὶ ἐκάλεσε, καὶ χάριτος ἠξίωσε πολλῆς. τί δαὶ τὸν κορυφαῖον ἐκεῖνον τὸν Πέτρον, οὐ μετὰ μυρία θαύματα καὶ σημεῖα, καὶ τοσαύτην παραίνεσιν καὶ συμβουλὴν ἤλεγξε τὸ πτῶμα ἐκεῖνο τὸ χαλεπὸν πεσόντα; ἀλλ' ὅμως κἀκεῖνο παρέδραμε, καὶ πρῶτον τῶν ἀποστόλων κατέστησε. διὸ ἔλεγε· Σίμων, Σίμων, ἰδοὺ ἐζήτησεν ὁ Σατανᾶς σινιάσαι σε ὡς τὸν σῖτον, κἀγὼ ἐδεήθην περὶ σοῦ, ἵνα μὴ ἐκλίπῃ ἡ πίστις σου. καὶ μετὰ ταῦτα δὲ εἰ μὴ ἐλέῳ καὶ φιλανθρωπίᾳ ἔλθῃ κρῖναι, ἀλλ' ἀκριβῆ ποιήσασθαι τὴν ἐξέτασιν, πάντας ὑπευθύνους εὑρήσει πάντως. διὸ καὶ Παῦλος ἔλεγεν· οὐδὲν ἐμαυτῷ σύνοιδα, ἀλλ' οὐκ ἐν τούτῳ δεδικαίωμαι. ἐὰν ἀνομίας παρατηρήσῃς κύριε, κύριε. ὁ διπλασιασμὸς οὐχ ἁπλῶς, ἀλλὰ θαυμάζοντος, καὶ ἐκπληττομένου τὸν πολὺν τῆς φιλανθρωπίας ἐστὶν ὄγκον,

2. *Fiant aures tuæ intendentes in vocem deprecationis meæ.* Aures dicit, audiendi facultatem: & rursus vocem, non intensionem spiritus, nec clamorem significans, sed intensam affectionem.

Aures Dei.

3. *Si iniquitates obseruaueris Domine, Domine quis sustinebit?* Ne quis dicat, Sum peccator, & plenus malis innumerabilibus, non possum accedere & orare, & Deum inuocare: hanc tollens excusationem, Si iniquitates obseruaueris, inquit, Domine, Domine quis sustinebit? Illud enim, quis, hic nullus est. Neque enim fieri potest, vt si rerum à se gestarum summo iure ab vllo exigatur ratio, possit vnquam misericordiam & clementiam consequi. Hæc autem dicimus non impellentes animos in socordiam, sed eos consolantes, qui cadunt in desperationem. Quis enim gloriabitur se mundum habere cor, aut quis confidenter dicet se esse purum à peccatis? Et quid dico alios? Nam etiamsi Paulum in medium adduxero, & eorum quæ fecit, rationem summo iure poposcero, ne poterit quidem sustinere. Quid enim poterit dicere? Prophetas legit, vt qui legit, vt qui legis patriæ esset diligens æmulator: signa vidit quæ fiebant, & tamen manebat persecutor: nec prius destitit quàm admirabilem illam visionem suscepit, & vocem audiuit terribilem. Antea autem mansit omnia susque deque permiscens & confundens. Illis tamen omnibus prætermissis, Deus & vocauit, & magna gratia dignum censuit. Quid verò summum illum Petrum, non post innumerabilia signa & miracula, tantámq. admonitionē & exhortationem arguit in grauissimum illum lapsum cecidisse? Illud tamen prætermisit, & Apostolorum eum primum constituit. Et ideo dixit: Simon, Simon, ecce expetiuit Satanas cribrare te tanquam triticum: ego autem oraui pro te, ne deficiat fides tua. Porrò autem post hæc quoque si non cum misericordia & clementia veniat ad iudicandum, sed rationem summo iure exigat, planè inueniet omnes reos & obnoxios. Quocirca Paulus quoque dicebat: Nihil mihi conscius sum, sed nō in hoc iustificatus sum. Si iniquitates obseruaueris Domine, Domine. Conduplicatio est, non temere nec abs re, sed admirantis & stupentis insignem eius clementiam,

Quis pro nullus.

Prou. 20. 9.

Galat. 1. *Act. 1.*

1. Tim. 1. *Act. 9.*

Luc. 22.

1. Cor. 4.

Repetitio hic admirantis.

& infinitam maiestatem, & vestum pelagus eius bonitatis. Quis sustinebit? Et non dixit, quis effugiet, sed quis sustinebit? significans quòd nec stare quidem poterit. 4. *Quia apud te propitiatio est.* Quid est, apud te propitiatio est? Non in nostris, inquit, rectè factis, sed in tua bonitate licet effugere supplicium. Vt iudicium enim effugiamus, in tua clementia situm est. Quòd si eam non fuerimus assecuti, nostra non sufficiunt ad nos ab ira futura eripiendos. Hoc etiam per Prophetam significans, dicebat: Ego sum qui deleo iniquitates tuas. Id est, Hoc est meum, meæ bonitatis, meæ clementiæ. Nam quæ tua sunt, non sufficiunt vnquam vt te liberent à supplicio nisi mea accedat clementia. Et rursus, Ego vos sustineo. *Propter nomen tuum sustinui te Domine. Sustinuit anima mea in verbum tuum.* 5. *Sperauit anima mea in Domino.* Alius, Propter legem tuã. Alius rursus, Vt cognoscatur verbum tuum. Quod autẽ dicit, est eiusmodi. Propter clementiã tuam, propter nomen tuum, propter legem tuã expectaui salutem. Nã si ad mea respexissem, iam olim desperassem, olim omnem fiduciam abiecissem: nunc autem legem tuam & verbum tuum attendens, bonam spem concipio. Quódnam verbum? Verbum clementiæ. Ipse enim est qui dicit: Quantum distat cœlum à terra, tantum distant consilia mea à consilio vestro, & viæ meæ à viis vestris. Et rursus: Secundùm altitudinem cœli à terra confirmauit Dominus misericordiam suam super timentes ipsum. Et rursus, Quantum distat oriens ab occasu, procul remouit à nobis iniquitates nostras. Hoc est, Non eos tantum seruaui qui se rectè gesserunt, sed peperci etiam peccatoribus, & inter delicta tua meam defensionem, & quam tui curam gero, ostendi. Alius inquit, Vt sis terribilis, expectaui Dominum. terribilis cui? Inimicis, insidiatoribus, iis qui mihi malè volunt. Quid est rursus, Propter nomen tuum? Quamuis, inquit, ego sim peccator, & plenus malis innumerabilibus, sciebam tamen, ne nomen tuum prophanaretur, fore vt nos pereuntes minimè despiceres. Quod ipse quoque dixit in Ezechiele: Non propter vos ego facio, sed propter nomen meum, vt non prophanetur inter gentes, hoc est,

Dan. 9. *Esa. 43.* *Esa. 46. 4.* *Esa. 55. 9.* *Psal. 101. 11.* *Psal. 101. 12.* *Ibidem.* *Ezech. 36.* *Dan. 9.* *2. Cor. 1.*

A καὶ τὴν μεγαλοσύνην αὐτοῦ τὴν ἀπέραντον, καὶ τὸ ἀχανὲς πέλαγος τῆς ἀγαθότητος. τίς ὑποστήσεται; καὶ οὐκ εἶπε τίς διαφεύξεται, ἀλλὰ τίς ὑποστήσεται. οὐδὲ στῆναι δυνήσεται, φησίν. ὅτι παρὰ σοὶ ὁ ἱλασμός ἐστι. τί ἐστιν, ὅτι παρὰ σοὶ ὁ ἱλασμός ἐστιν; οὐκ ἐν τοῖς ἡμετέροις κατορθώμασιν, ἀλλ' ἐν τῇ ἀγαθότητι τῇ σῇ ἐστὶ τὸ διαφυγεῖν τὴν κόλασιν, τὸ διαδρᾶναι τὴν δίκην ἐν τῇ σῇ κεῖται φιλανθρωπίᾳ· κἂν μὴ ταύτης ἀπολαύσωμεν, τὰ ἡμέτερα οὐκ ἀρκεῖ τῆς μελλούσης ἡμᾶς ἐξαρπάσαι ὀργῆς. τοῦτο καὶ διὰ τοῦ προφήτου δηλῶν, ἔλεγεν· ἐγώ εἰμι ὁ B ἐξαλείφων τὰς ἀνομίας σου. τουτέστι, τοῦτο ἐμόν ἐστι, τῆς ἐμῆς ἀγαθότητος, τῆς ἐμῆς φιλανθρωπίας. ὡς τά γε σὰ οὐκ ἀρκεῖ ποτε πρὸς ἐλευθερίαν τιμωρίας, ἂν μὴ τὰ τῆς ἐμῆς προστεθῇ φιλανθρωπίας. καὶ πάλιν· ἐγὼ ἀνέχομαι ὑμῶν. ἕνεκεν τοῦ ὀνόματός σου ὑπέμεινά σε κύριε. ὑπέμεινεν ἡ ψυχή μου εἰς τὸν λόγον σου. ἤλπισεν ἡ ψυχή μου ἐπὶ τὸν κύριον. ἄλλος, ἕνεκεν τοῦ νόμου σου. ἕτερος πάλιν, ἕνεκεν τοῦ γνωσθῆναι τὸν λόγον σου. ὃ δὲ λέγει, τοιοῦτόν ἐστι. διὰ τὴν φιλανθρωπίαν σου, διὰ τὸ ὄνομά σου, διὰ τὸν νόμον σου C προσεδόκησα τὴν σωτηρίαν· ἐπεὶ εἰς τὰ ἐμαυτοῦ εἰ ἀπεῖδον, πάλαι ἂν ἀπέγνων, πάλαι ἂν ἀπήλπισα· νῦν δὲ τῷ νόμῳ σου προσέχων καὶ τῷ λόγῳ σου, χρηστὰς ἔχω ἐλπίδας. ποίῳ λόγῳ; τῷ τῆς φιλανθρωπίας. αὐτὸς γάρ ἐστιν ὁ λέγων· καθὼς ἀπέχει ὁ οὐρανὸς ἀπὸ τῆς γῆς· οὕτως ἀπέχουσιν αἱ βουλαί μου, ἀπὸ τῆς βουλῆς ὑμῶν. καὶ αἱ ὁδοί μου, ἀπὸ τῶν ὁδῶν ὑμῶν. καὶ πάλιν, κατὰ τὸ ὕψος τοῦ οὐρανοῦ ἀπὸ τῆς γῆς ἐκραταίωσε κύριος τὸ ἔλεος αὐτοῦ ἐπὶ τοὺς φοβουμένους αὐτόν. καὶ πάλιν, καθόσον ἀπέχουσιν αἱ ἀνατολαὶ ἀπὸ δυσμῶν, ἐμάκρυνεν ἀφ' D ἡμῶν τὰς ἀνομίας ἡμῶν. τουτέστιν, οὐ κατορθώσαντας ἔσωσα μόνον, ἀλλὰ καὶ ἁμαρτανόντων ἐφεισάμην, καὶ μεταξὺ τῶν πλημμελημάτων τῶν σῶν τὴν ἀντίληψιν τὴν ἐμαυτοῦ καὶ τὴν κηδεμονίαν ἐπεδειξάμην. ἄλλος φησίν, ὅπως ἐπίφοβος ἔσῃ προσεδόκησα τὸν κύριον. ἐπίφοβος, τίνι; τοῖς ἐχθροῖς, τοῖς ἐπιβούλοις, τοῖς ἐχθραίνουσί μοι. τί δέ ἐστι πάλιν. ἕνεκεν ὀνόματός σου; ὅτι εἰ καὶ ἁμαρτωλὸς ἐγώ, καὶ μυρίων γέμων κακῶν· ἀλλ' ὅμως ᾔδειν, ὅτι ἵνα μὴ τὸ ὄνομά σου βεβηλωθῇ, οὐκ ἂν περιεῖδες ἡμᾶς ἀπολλυμένους· ὃ καὶ αὐτὸς ἐν τῷ Ἰεζεκιὴλ λέγει· οὐ δι' ὑμᾶς ἐγὼ ποιῶ, ἀλλὰ διὰ τὸ ὄνομά μου, ἵνα μὴ βεβηλωθῇ ἐν τοῖς ἔθνεσι.

ἡμεῖς μὲν οὐκ ἦμεν ἄξιοι σωθῆναι, οὐδὲ εἰχόμεθα τινα ἀπὸ τῶν πεπραγμένων ἡμῖν προσδοκίαν χρηστήν· διὰ δὴ τὸ ὄνομά σου προσδοκῶμεν σώζεσθαι, καὶ αὕτη ἡμῖν ὑπολέλειπται σωτηρίας ἐλπίς. ἄλλος, ἕνεκεν φόβου ὑπέμεινα κύριον. ἄλλος, ἕνεκεν νόμου ὑπέμεινα κύριον. ὑπέμεινεν ἡ ψυχή μου εἰς τὸν λόγον σου. ἄλλος, προσεδόκησεν ἡ ψυχή μου τῷ ῥήματι αὐτοῦ. ἄλλος, ὑπέμεινεν ἡ ψυχή μου, καὶ τὸ ῥῆμα αὐτοῦ ἐκαραδόκησα· τουτέστιν, ἀπὸ τῶν ἐπαγγελιῶν καὶ τῶν συνεχῶν ὑποσχέσεων τῶν περὶ φιλανθρωπίας καὶ χρηστότητος ἄγκυραν εἶχον ἱερὰν, καὶ οὐκ ἀπηγόρευον τὰ κατ' ἐμαυτόν. ἀπὸ φυλακῆς πρωΐας μέχρι νυκτὸς ἐλπισάτω Ἰσραὴλ ἐπὶ τὸν κύριον. πάντα τὸν βίον, φησὶ, τουτέστι, νύκτα καὶ ἡμέραν πᾶσαν. οὐδὲν γὰρ πρὸς σωτηρίαν ἴσον τοῦ διαπαντὸς ὁρᾷν καὶ τῆς ἐλπίδος ἐκκρέμασθαι ἐκείνης· κἂν μυρία συμπίπτῃ τὰ εἰς ἀπόγνωσιν ἐμβάλλοντα, τοῦτο τεῖχος ἀρραγές· τοῦτο ἀσφάλεια ἀχείρωτος· τοῦτο πύργος ἄμαχος. κἂν τὰ πράγματα γίνηται θάνατον ἀπειλῇ καὶ κίνδυνον, καὶ πανωλεθρίαν, μὴ ἀποστῇς ἐλπίζων εἰς Θεὸν, καὶ προσδοκῶν τὴν παρ' αὐτοῦ σωτηρίαν. ῥᾴδια γὰρ αὐτῷ πάντα καὶ εὔκολα, καὶ ἐξ ἀπόρων, πόρον εὑρεῖν δυνήσῃ). μὴ τοίνυν κατὰ ῥοῦν φερομένων τῶν πραγμάτων προσδόκα ἀπολαύσεσθαι συμμαχίας μόνον· ἀλλὰ καὶ τότε μάλιστα, ὅταν κλυδώνιον ᾖ καὶ χειμὼν, καὶ ὁ περὶ τῶν ἐσχάτων ἐπικρέμαται κίνδυνος. τότε γὰρ μάλιστα πλέον ὁ Θεὸς τὴν ἑαυτοῦ δύναμιν ἐνδείκνυται). τοῦτο οὖν ἐστιν ὃ λέγει· διαπαντὸς δεῖ πρὸς κύριον ἐλπίζειν πάντα τὸν βίον, πᾶσαν τὴν ζωήν. ὅτι παρὰ τῷ κυρίῳ τὸ ἔλεος, καὶ πολλὴ παρ' αὐτῷ λύτρωσις. καὶ αὐτὸς λυτρώσεται τὸν Ἰσραὴλ ἐκ πασῶν τῶν ἀνομιῶν αὐτοῦ. τί ἐστιν, ὅτι παρὰ τῷ κυρίῳ τὸ ἔλεος; πηγὴ καὶ θησαυρὸς ἐκεῖ φιλανθρωπίας φησὶ, πηγάζων διηνεκῶς. ὅπου δὲ ἔλεος, καὶ λύτρωσις, καὶ οὐχ ἁπλῶς λύτρωσις, ἀλλὰ καὶ πολλὴ, καὶ φιλανθρωπίας ἄπειρον πέλαγος. κἂν τοίνυν ὑπὸ τῶν ἁμαρτημάτων ὦμεν προδεδομένοι, ἀναπίπτειν οὐ χρὴ, οὐδὲ ἀπαγορεύειν. ὅπου γὰρ ἔλεος καὶ φιλανθρωπία, οὐ γίνονται τῶν πεπλημμελημένων ἀκριβεῖς αἱ εὐθῦναι, τοῦ δικάζοντος διὰ τὸν πολὺν ἔλεον, καὶ τὸ πρὸς φιλανθρωπίαν ἐπιρρεπὲς, τὰ πολλὰ παρατρέχοντος. ποιεῖ γὰρ ὁ Θεὸς πρὸς τὸ ἐλεεῖν διηνεκῶς,

A Nos quidem non sumus digni, qui seruemur, neque ex rebus à nobis gestis vlla bona spe ducimur, sed expectamus fore vt conseruemur propter nomen tuum, eáque nobis recta est spes salutis. Alius, Propter metum sustinui Dominum. Alius, Propter legem sustinui Dominum. Sustinuit anima mea in verbo tuo. Alius, Expectauit anima mea verbum eius. Alius, Sustinuit anima mea, & verbum eius expectaui. Hoc est, Ex promissis & frequentibus pollicitationibus de benignitate eius & clementia sumptam sacrã ieci anchoram, B nec de mea salute spem abieci. 6. *A custodia matutina vsque ad noctem speret Israel in Domino.* Tota vita, inquit, hoc est, omni die ac nocte. Nihil est enim ad salutem præstabilius, quàm perpetuò illum obseruare, & ab illa spe pendere, licet innumerabilia accidant, quæ nos impellant in desperationem. Hic est murus infractus, inuicta munitio, turris inexpugnabilis. Etsi ergo res minentur mortem, periculum, & interitum: ne desistas sperare in Deum, & expectare eius salutem. Omnia sunt illi facilia & C expedita, & vel in rebus difficillimis & impeditissimis exitum inuenies. Ne expecta ergo fore vt solum tibi adsit auxilium, si res secundæ affluant: sed tunc maximè, quando sunt fluctus maximi, & vehemens tempestas, & extremum imminet periculum. Tunc enim maximè Deus suam ostendit potentiam. Hoc est ergo quod dicit: Oportet in Deum perpetuò sperare, toto vitæ tempore. 7. *Quia apud Dominum misericordia, & copiosa apud eum redemptio.* 8. *Et ipse redimet Israel ab omnibus iniquitatibus eius.* Quid est, Apud Dominum est mi- D sericordia? Fons & thesaurus, inquit, illic est clementiæ perpetuò scaturiens. Vbi autem est misericordia, illic est etiam redemptio: nec solùm redemptio, verùm etiam multa ac copiosa, & immensum pelagus clementiæ. Etsi ergo sumus à peccatis proditi, non oportet concidere, nec desperare. Vbi enim est misericordia & clementia, non exigitur nimis acris & summo iure delictorum ratio, iudice propter magnam misericordiam, & multam ad clementiam propensionem, multa prætercurrente. Huiusmodi enim est Deus, nempe ad assiduè miserendum

Ps. 11.30. Eccles. 2. Esa. 40.

Eccles. 10. Luc. 1.

Psal. 24. 99. 144. Esa. 54. Ioan 2.

& ignoscendum propensus & procliuis. Et ipse redimet Israel ab omnibus iniquitatibus eius. Si ergo ita est, & vbique diffusa est eius clementiæ magnitudo, clarum est eum esse populum suum seruaturum, & liberaturum non solùm à supplicio, sed etiam à peccatis. Hæc ergo cùm sciamus, perseueremus rogare & orare: & nunquam desistamus, siue acceperimus, siue non. Si enim dare situm est in eius potestate, in eius etiam potestate situm est, quando vult dare: tempus autem nouit optimè. Maneamus ergo rogantes, supplicantes, confidentes eius misericordiæ & clementiæ, nec vnquam de nostra salute desperemus, sed nostra afferamus, & ille pro se nobis nunquam deerit, quandoquidem est inenarrabilis apud eum misericordia, & infinita clementia. Quam detur nobis omnibus assequi gratia & misericordia domini nostri Iesu Christi, cui gloria & potentia in secula seculorum, Amen.

Sap. 12.

A καὶ συγγνώμην διδόναι ἐπιῤῥεπὴς καὶ πρόχειρον. καὶ αὐτὸς λυτρώσεται τὸν Ἰσραὴλ ἐκ πασῶν τῶν ἀνομιῶν αὐτοῦ. εἰ τοίνυν τοιοῦτός ἐστι, καὶ κέχυται πανταχοῦ τῆς φιλανθρωπίας αὐτοῦ τὸ μέγεθος, εὔδηλον, ὅτι καὶ τὸν λαὸν αὐτοῦ σώσει, καὶ ἀπαλλάξει οὐχὶ κολάσεως μόνον, ἀλλὰ καὶ τῶν ἁμαρτημάτων. ταῦτ᾽ οὖν εἰδότες, μένωμεν παρακαλοῦντες, δεόμενοι, καὶ μηδέποτε ἀποστῶμεν, κἂν λάβωμεν, κἂν μὴ λάβωμεν. εἰ γὰρ τοῦ δοῦναι κύριος, καὶ τοῦ πότε δοῦναι κύριός ἐστι, καὶ τὸν καιρὸν ἀκριβῶς οἶδεν αὐτός. μένωμεν τοίνυν ἱκετεύοντες, παρακαλοῦντες, θαῤῥοῦντες αὐτοῦ τῷ ἐλέει καὶ τῇ φιλανθρωπίᾳ, καὶ B μηδέποτε τῆς ἑαυτῶν ἀπογινώσκωμεν σωτηρίας, ἀλλὰ τὰ παρ᾽ ἑαυτῶν εἰσφέρωμεν, καὶ πάντως ἕψεται τὰ παρ᾽ ἐκείνου. ἐπειδὴ ἄφατον παρ᾽ αὐτῷ τὸ ἔλεος καὶ ἄπειρος ἡ φιλανθρωπία, ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

IN PSALMVM CXXX.

Domine non est exaltatum cor meum, neque elati sunt oculi mei. Alius, Neque sublimes facti sunt. *Neque ambulaui in magnis, neque in mirabilibus super me.* Alius, In magnitudinibus. *Alius,* In magnificentiis, nec me exuperantibus.

Laus propria.

QVID hoc est? Paulus dicit stultum esse seipsum laudare, etiamsi sit necesse, & ideo subiunxit, dicens: Fui insipiens glorians, vos me coegistis. Quomodo hoc ergo ignorauit Propheta, & nunc gloriatur, non apud duos, aut tres, aut decem, sed apud vniuersum orbem terræ? Gloriatur autem dicens: Sum humilis, & moderatus, & mirandum in modum humilis ac simplex. Hoc enim sibi vult aliud, Ablactatus super matrem suam. Quare ergo hoc facit? Quoniam res quidem non

2. Cor. 12. 11.

Gloriari non licet.

C

Εἰς τὸν ρλ᾽ ψαλμόν.

Κύριε οὐχ ὑψώθη ἡ καρδία μου, οὐδὲ ἐμετεωρίσθησαν οἱ ὀφθαλμοί μου. ἄλλος, οὐδὲ ὑψώθησαν· οὐδὲ ἐπορεύθην ἐν μεγάλοις, οὐδὲ ἐν θαυμασίοις ὑπὲρ ἐμέ. ἄλλος, ἐν μεγαλωσύναις. ἄλλος, ἐν μεγαλειότησι, οὐδὲ ὑπερβαλλούσαις ὑπὲρ ἐμέ.

D ΤΙ τοῦτο; ὁ Παῦλος καὶ ἀνάγκης οὔσης τὸ ἑαυτὸν ἐγκωμιάζειν ἀφροσύνην φησί. διὸ καὶ ἐπήγαγε λέγων· γέγονα ἄφρων καυχώμενος· ὑμεῖς με ἠναγκάσατε. πῶς οὖν τοῦτο ἠγνόησεν ὁ προφήτης, καὶ καυχᾶται νῦν οὐκ ἐπὶ δύο καὶ τριῶν καὶ δέκα, ἀλλ᾽ ἐπὶ τῆς οἰκουμένης ἁπάσης, καὶ καυχᾶται λέγων· ταπεινός εἰμι καὶ μέτριος, καὶ ταπεινὸς καθ᾽ ὑπερβολήν, καὶ ἁπλοῦς; τοῦτο γάρ ἐστι τὸ ὡς ἀπογεγαλακτισμένον ἐπὶ τὴν μητέρα αὐτοῦ. τίνος οὖν ἕνεκεν τοῦτο ποιεῖ; ὅτι οὐ πρά-

ἀλλαχοῦ τὸ πρᾶγμα κεκώλυται· ἀλλ' ἔστιν ὅπου καὶ ἀναγκαῖόν ἐστι, μᾶλλον δέ, ἔστιν ὅπου οὐ καυχώμενοι, ἄφρονες γινόμεθα. διὸ καὶ ὁ Παῦλος λέγει· ὁ καυχώμενος, ἐν κυρίῳ καυχάσθω. ὁ γὰρ ἐπὶ τῷ σταυρῷ μὴ καυχώμενος, πάντων ἐστὶν ἀφρονέστατος καὶ παρανομώτατος. ὁ ἐπὶ τῇ πίστει μὴ καυχώμενος, πάντων ἐστὶν ἀθλιώτερος. ὁ ἐπὶ τούτοις μὴ καυχώμενος καὶ παρρησιαζόμενος ἀπολεῖται πάντως. διὰ τοῦτο θαρρῶν ὁ ἀπόστολος ἔλεγεν. ἐμοὶ δὲ μὴ γένοιτο καυχᾶσθαι, εἰ μὴ ἐν τῷ σταυρῷ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. καὶ πάλιν, μὴ καυχάσθω ὁ πλούσιος ἐν τῷ πλούτῳ αὐτοῦ, μηδὲ ὁ σοφὸς ἐν τῇ σοφίᾳ αὐτοῦ, ἀλλ' ἐν τούτῳ καυχάσθω ἐν τῷ συνιεῖν καὶ γινώσκειν τὸν κύριον. πῶς δὲ κακὸν τὸ καυχᾶσθαι; ἐὰν ὡς ὁ Φαρισαῖος αὐτὸ ποιῶμεν. καὶ διατί, φησίν, ὁ Παῦλος εἶπε, γέγονα ἄφρων καυχώμενος, ὑμεῖς με ἠναγκάσατε; ὅτι τὰ κατορθώματα αὐτοῦ διηγεῖτο τὰ ἐπὶ τοῦ βίου, καὶ τῆς πολιτείας, ἅπερ οὐκ ἔδει προφέρειν ἀνάγκης μὴ οὔσης. ἀλλαχοῦ δέ φησιν, ἐὰν καὶ θελήσω καυχήσασθαι, οὐκ ἔσομαι ἄφρων· ἀλήθειαν γὰρ ἐρῶ. ὥστε ὁ τὰ ἀληθῆ λέγων, τοῦ καιροῦ καλοῦντος, οὐκ ἔστιν ἄφρων. οὐκ ἄρα οὐδὲ ὁ προφήτης ἄφρων καυχώμενος· καὶ γὰρ ἀληθῆ ἔλεγεν. ἀλλὰ τίς ἡ αἰτία, δι' ἣν εἰς τοῦτο κατήγαγε τὸν λόγον; ὥστε παιδεῦσαι τοὺς ἀκροατάς, μὴ μετὰ τὴν ἀπαλλαγὴν τῶν κακῶν εἰς ἀπόνοιαν ἐπαρθῆναι, μηδὲ ἐλευθερωθέντας τοῦ δεσμοῦ ἀποσκιρτῆσαι πάλιν, καὶ εἰς ἀνάγκην ἐμπεσεῖν ἑτέρας αἰχμαλωσίας. διὰ δὴ τοῦτο ἐν τῷ τὰ οἰκεῖα διηγεῖσθαι διορθοῖ τὸν ἀκροατήν, καὶ οὐ λέγει· ὅτι ὑψώθην μέν, κατέσχον δὲ τὰ πάθη, ἀλλὰ τί; οὐχ ὑψώθη ἡ καρδία μου· τουτέστιν, οὐδὲ ἥψατό μου τῆς ψυχῆς ἡ πονηρία. οἷον γάρ τις λιμὴν ἀκύμαντος ἦν ἡ διάνοια, οὐ δεχομένη τὰ κύματα τοῦ νοσήματος, ὃ πάντων αἴτιον τῶν κακῶν, καὶ ῥίζα παρανομίας ἐσχάτης. τί ἐστιν ὃ λέγει· κύριε οὐχ ὑψώθη ἡ καρδία μου, οὐδὲ ἐμετεωρίσθησαν οἱ ὀφθαλμοί μου; οὐκ ἀνέσπασα, φησί, τὰς ὀφρῦς, οὐδὲ ἀνέτεινα τὸν αὐχένα. ἀπὸ γὰρ τῆς ἔνδοθεν πηγῆς τοῦ πάθους ὑποβλύζον τὸ νόσημα, καὶ τὸ σῶμα συσχηματίζει πρὸς τὴν ἔνδοθεν φλεγμονήν. οὐδὲ ἐπορεύθην ἐν μεγάλοις, οὐδὲ ἐν θαυμασίοις ὑπὲρ ἐμέ. τί ἐστιν ἐν μεγάλοις; τοῖς ὑπερόγκοις ἀνδράσι, τοῖς πλουτοῦσι, τοῖς ἀλαζόσι, τοῖς ὑπερη-

est omnino prohibita, imò verò nonnunquam est necessaria, atque adeò nonnunquam incidit, vt non si gloriemur, sed si non gloriemur, simus insipientes. Quocirca Paulus quoque dicit: Qui gloriatur, in Domino glorietur. Qui enim in cruce non gloriatur, est omnium insipientissimus. Qui non in fide gloriatur, & habet in ea fiduciam, is omnino peribit. Et ideo audacter dicebat Paulus. Mihi autem absit gloriari, nisi in cruce Domini nostri Iesu Christi. Et rursus: Ne glorietur diues in diuitiis suis, neque sapiens in sapientia sua: sed in hoc glorietur, quòd intelligat, & cognoscat Dominum. Quomodo est ergo malum gloriari? Si id faciamus vt Pharisæus. Et quare, inquit, dicit Paulus: Fui insipiens glorians, vos me coëgistis? Quoniam narrabat præclara vitæ suæ instituta & facinora, quæ non oportebat narrare, nisi necesse esset. Alibi autem dicit: Si voluero gloriari, non ero insipiens, veritatem enim dicam. Qui veritatem ergo dicit, cùm tempus postulat, non est insipiens. Non est ergo insipiens Propheta qui gloriatur: vera enim dixit. Sed quænam causa eum induxit, vt hæc diceret? Vt doceret auditores, ne postquam liberati sunt à malis, reuertantur ad pristinam amentiam & insolentiam, nec à vinculo liberati resiliant, & in aliam captiuitatis necessitatem incidant. Quapropter dum sua narrat, auditorem corrigit. Non dicit autem, Exaltatus quidem sum: perturbationem autem animi continui, sed quid? Non est exaltatum cor meum: hoc est, Non tetigit animum meum vitium. Mens enim eius erat veluti quidam portus nullis fluctibus agitatus, eius morbi vndas minimè suscipiens, qui est causa omnium malorum, & radix extremæ iniquitatis. Quid est quod dicit, Domine non est exaltatum cor meum, neque elati sunt oculi mei? Non contraxi, inquit, supercilia, neque erexi ceruicem. A fonte enim interno perturbationis animi morbus scaturiens, interno tumori conforme corpus effingit. Neque ambulaui in magnis, neque in mirabilib. super me. Quid est in magnis? In hominibus, inquit, tumidis, diuitibus, arrogantibus,

1. Cor. 1. 31. — Galat. 6. — Hier. 9. — Matt. 18. — Gloriatio superbi Pharisæi. — 2. Cor. 12. 11. — 2. Cor. 12. 6. — Eccles. 10. — Ratio Physica ab animo ad corpus.

superbis. Vidistis quanta sit humilitas. Non solum erat ipse à morbo alienus, sed eos etiam qui erant tumidi, fugiebat: & à talibus resiliebat cœtibus, propter magnum, quod in arrogantiam conceperat, odium. Quoniam enim infenso erat in hoc vitium animo, non solum ab eo resiliebat, nec permittebat, vt in castellum animæ esset ei vllus aditus: sed eos etiam qui illud sectabantur, longissimo internallo fugiebat, vt ab eis nihil detrimenti caperet. Neque verò inter parua rectè facta ducendum est fugere arrogantes, odio habere tumidos & insolentes, cósque abhorrere & auersari, sed est maxima virtutis securitas, humilitatis maxima custodia. Neque in mirabilibus super me. Alius, Neque in me exuperantibus. 2. *Si non humiliter sentiebam, sed exaltaui animam meam. Sicut ablactatus est super matrem suam: ita retribues in animam meam.* Alius, Ita retribuetur animæ meæ. Dictum est per hyperbaton, vtpote, Si non humiliter sentiebam, sicut ablactatum super matrem suam, sed exaltaui cor meum, ita retribuatur animæ meæ. Quod autem dicit, est eiusmodi: non solùm fui liber à vitio, arrogantia inquam, nec solùm ab iis, qui illa præditi sunt, alienus: verumetiam contr[a]riam ei virtutem supramodum suscepi, nempe humilitatem, moderationem, contritionem. Illud ipsum Christus quoque iussit suis discipulis, dicens: Nisi conuersi fueritis, & efficiamini sicut pueli, non ingrediemini in regnum cœlorum. Talis, inquit, fuit mea humilitas, qualis infantis, qui pendet ab vbere matris. Quemadmodum enim ille adhæret matri, humilis est, & omnis arrogantiæ purus, viuit in innocentia summa & simplicitate: ita ego etiam in Deum me gerebam, ei perpetuò adhærens. Ablactati autem non abs re meminit: sed volens ostendere afflictionem, angustiam, dolorem, malorum magnitudinem. Quemadmodú ergo puellus, qui nuper ab vbere auulsus est, ne sic quidem à matre recedit, sed flens, gemens, lugens, ægrè ferens & se affligtans, parenti semper adhæret, nec ab ea recedit: ita ego quoque, inquit, cùm essem in afflictione, angustiis, & multis cala-

Arrogantes & superbi quantopere fugiendi.

Matth. 18.

Ablactati pueri effectus.

A φαίοις. Εἶδες ἀκρίβειαν ταπεινοφροσύνης; οὐ μόνον αὐτὸς ἦν ἐκτὸς τοῦ νοσήματος, ἀλλὰ καὶ τοὺς οὕτω φλεγμαίνοντας ἔφευγε, καὶ τῶν τοιούτων ἀπεπήδα συλλόγων διὰ τὸ πολὺ πρὸς τὴν ἀλαζονείαν μῖσος. ἐπειδὴ γὰρ ἀπεχθῶς εἶχε πρὸς τὴν κακίαν ταύτην, οὐ μόνον αὐτῆς ἀπεπήδα, οὐδὲ ἄβατον αὐτῇ τὸ χωρίον τῆς διανοίας ἐποίει μόνον, ἀλλὰ καὶ τοὺς μετιόντας αὐτὴν ἐκ πολλοῦ τοῦ διαστήματος ἔφευγεν, ὥστε μηδὲ ἐκεῖθέν τινα δέξασθαι λύμην, οὐ μικρὸν δὲ τοῦτο κατόρθωμα τὸ φεύγειν τοὺς ὑπερόγκους, τὸ μισεῖν τοὺς ἀλαζόνας, τὸ ἀποστρέφεσθαι, B καὶ βδελύττεσθαι, μεγίστης ἀρετῆς ἀσφάλεια, μεγίστη ταπεινοφροσύνης φυλακή. Οὐδὲ ἐν θαυμασίοις ὑπὲρ ἐμέ. ἄλλος, οὐδὲ ὑπερβάλλουσιν ὑπὲρ ἐμέ. εἰ μὴ ἐταπεινοφρόνουν, ἀλλὰ ὕψωσα τὴν καρδίαν μου. ὡς τὸ ἀπογεγαλακτισμένον ἐπὶ τὴν μητέρα αὐτοῦ· ὡς ἀνταποδώσεις ἐπὶ τὴν ψυχήν μου. ἄλλος, οὕτως ἀνταποδοθείη τῇ ψυχῇ μου. καθ' ὑπερβατόν ἐστι τὸ εἰρημένον, οἷον, εἰ μὴ ἐταπεινοφρόνουν, ὡς τὸ ἀπογεγαλακτισμένον ἐπὶ τὴν μητέρα αὐτοῦ, ἀλλ' ὕψωσα τὴν καρδίαν μου, οὕτως ἀνταποδοθείη C τῇ ψυχῇ μου. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· οὐ μόνον τῆς κακίας καθαρὸς ἦμην, τῆς ἀλαζονείας λέγω, οὐδὲ μόνον τῶν ἐχόντων αὐτὴν ἀλλότριος, ἀλλὰ καὶ τὴν ἀρετὴν τὴν ἐναντίαν αὐτῇ μετὰ πολλῆς ἐδεξάμην τῆς ὑπερβολῆς, τὴν ταπεινοφροσύνην, τὸ μετριάζειν, τὸ συντετρῖφθαι. τοῦτο ἐκεῖνο ὃ τοῖς μαθηταῖς ὁ Χριστὸς ἐκέλευσε, λέγων· ἐὰν μὴ στραφῆτε, καὶ γένησθε ὡς τὰ παιδία, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. τοιαύτην, φησὶν, ἐκτησάμην ταπεινοφροσύνην, ὡς τὸ ὑπομάζιον παιδίον. ὥσπερ D γὰρ ἐκεῖνο ἔχεται τῆς μητρὸς, τεταπείνωται, ἀλαζονείας ἁπάσης ἐστὶ καθαρὸν, ἀφελείᾳ συζῇ καὶ ἁπλότητι· οὕτω καὶ ἐγὼ πρὸς τὸν Θεὸν ἤμην, ἐχόμενος αὐτοῦ διηνεκῶς. οὐχ ἁπλῶς δὲ τοῦ ἀπογεγαλακτισμένου ἐμνήσθη· ἀλλὰ τὴν θλίψιν θέλων παραδηλῶσαι, τὴν στενοχωρίαν, τὴν ὀδύνην, τὸ μέγεθος τῶν κακῶν. καθάπερ οὖν τὸ παιδίον ἄρτι τοῦ μαστοῦ ἀποσπασθὲν, οὐδὲ οὕτως ἀφίσταται τῆς μητρὸς, ἀλλ' ὀδυνώμενον, θρηνοῦν, ἀλῦον, κλαυθμυριζόμενον, ὅμως ἔχεται τῆς τεκούσης, καὶ οὐκ ἂν ἀποσταίη, οὕτω κἀγὼ, φησὶ, καὶ ἐν θλίψει, καὶ ἐν στενοχωρίᾳ, καὶ ἐν πολλοῖς ὢν

συμφορᾶς εἰχόμην τοῦ Θεοῦ. εἰ δὲ μὴ οὕτως ἤμην, ἀνταποδοθείη, φησὶν, ἐπὶ τὴν ψυχήν μου, τουτέστι, δίκην δοίην τὴν ἐσχάτην. ἐλπισάτω Ἰσραὴλ ἐπὶ τὸν κύριον, ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος. ὁρᾷς ὅπερ ἔφην ἐξ ἀρχῆς, ὅτι ἐν μὲν τοῖς περὶ πίστεως, καὶ δογμάτων, καὶ αἰτίας οὐκ οὔσης διηνεκῶς δεῖ καυχᾶσθαι, καὶ ὁ μὴ καυχώμενος ἀπόλωλεν· ἐν δὲ τοῖς κατορθώμασι τοῦ βίου, τοῦ καιροῦ καλοῦντος οὐδέποτε παραιτεῖσθαι δεῖ τὸ καυχᾶσθαι. ποῖος δὲ καιρός; πολλοὶ καὶ διάφοροι, ὧν καὶ εἷς ἐστι τὸ παιδεῦσαι τὸν ἀκροατήν. ὃ δὴ καὶ οὗτος εἰδὼς, καὶ δεικνὺς, ὅτι διὰ τοῦτο λέγει αὐτοῦ τὰ κατορθώματα, ἵνα τὸν ἀκροατὴν ἐπισπάσηται πρὸς τὸν αὐτὸν ζῆλον, ἐπήγαγε, λέγων· ἐλπισάτω Ἰσραὴλ ἐπὶ τὸν κύριον, ἀπὸ τοῦ νῦν, καὶ ἕως τοῦ αἰῶνος. κἂν συμφοραί, φησι, κἂν ἀθυμίαι, κἂν πόλεμοι, κἂν αἰχμαλωσίαι, κἂν ὁτιοῦν τῶν ἀδοκήτων περιστῇ δεινῶν, σὺ τῆς ἐλπίδος ἔχου τῆς εἰς τὸν Θεὸν, καὶ τῆς προσδοκίας ἐκείνης, καὶ πάντως ἐπιτεύξῃ χρηστοῦ τοῦ τέλους, τοῦ Θεοῦ τῇ λύσει τῶν δεινῶν ἀμειβομένου σε τῆς καλῆς ταύτης ἐλπίδος, ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

A mitatibus, Deo semper adhæsi. Si autem ita non fui, retribuatur, inquit, super animam meam, hoc est, Dem vltimum supplicium. 3. *Speret Israel in Domino ex hoc nunc & vsque in seculum.* Vides quemadmodum dixi in principio, quòd in iis quidem quæ ad fidem & dogmata pertinent, etsi nulla causa sit, oportet assiduè gloriari, & qui non gloriatur, periit? In rectè autem factis, cùm tempus postulat, non est recusandum gloriari. quódnam est autem tempus? Multa & varia, quorum vnum est, docendi auditorem. Quod hic B quoque sciens, & ostendens se sua rectè facta ideo dicere, vt auditorem ad sui imitationem attrahat, subiunxit, dicens: Speret Israel in Domino, ex hoc nunc & vsque in seculum. Siue, inquit, calamitates, siue ægritudines, siue bella, & captiuitates, siue quodcunque aliud graue & inopinatum malum te circumsederit, spem in Deum & expectationem illam tene firmiter, & omnino bonus erit tibi finis & exitus, Deo scilicet hanc tuam bonam spem remunerante à malis tibi data liberatione: In Christo Iesu domino nostro, cui gloria & potentia in secula C seculorum, Amen.

Εἰς τὸν ρλα' ψαλμόν.

Μνήσθητι κύριε τοῦ Δαβὶδ, καὶ πάσης τῆς πρᾳότητος αὐτοῦ.

ΑΛΛΑΧΟΥ μὲν ἀπὸ τῆς μνήμης τῶν προγόνων μόνον ἀξιοῦσι σώζεσθαι· ἐνταῦθα δὲ καὶ τὰ κατορθώματα λέγουσι, καὶ τὸ πάντων αἴτιον τῶν ἀγαθῶν ἐπιείκειάν τε, ταπεινοφροσύνην, πρᾳότητα, ἐν ᾧ μάλιστα ἐθαυμάζετο καὶ Μωσῆς, ἦν γὰρ πρᾳότατος πάντων ἀνθρώπων ἐπὶ τῆς γῆς. ἀλλά τινες τῶν αἱρετικῶν ἐπιλαμβανόμενοι τῆς πολιτείας αὐτοῦ, καὶ τοῦ εἰρημένου φασί· τί λέγεις; πρᾳότατος ἐκεῖνος ὁ λὰξ ἐναφεὶς τῷ Αἰγυπτίῳ, καὶ ἀνελών; ὁ τοὺς Ἰουδαίους ἐμφυλίων ἐμπλήσας αἱμάτων

IN PSALMVM CXXXI.

Memento Domine Dauid, & omnis mansuetudinis eius.

D ALIBI quidem volunt solùm conseruari ex memoria maiorum: hic autem benefacta dicunt, & quod est omnium bonorum causa, moderationem, humilitatem, mansuetudinem. Propter quod in maxima quoque admiratione habebatur Moses. Erat, inquit, mitissimus omnium hominum, qui erant super terram. Sed nonnulli hæretici eius vitæ institutum, & id quod dictum est reprehendentes, dicunt, Quid dicis? Erat ille mitissimus, qui inuasit Ægyptium, & eum interfecit? Qui Iudęos impleuit sanguine

Mosis mansuetudo. Num. 12.

Exod. 2. Num. 25. Leuit. 10. Num. 16.

& bellis intestinis? qui iussit vt consanguinei cognatos occiderent? qui precibus vt terra dehisceret effecit, & è superis fulmen deorsum vibrauit, & illos quidem obruit, hos verò exussit? Si hic mitis, quis sæuus & iracundus? Define: neque superuacanea loquere. Quòd enim erat mitis, & omnium hominum mitissimus, & dico, neque vnquam cessabo dicere, & si vultis, non aliunde quàm ex iis quæ dicta sunt conabor ostendere eius mansuetudinem. Atqui poteram dicere quæ de sorore ab eo Deo dicta sunt, supplicationem qua pro populo vsus est, omnia verba illa Apostolica, & cœlo digna, moderationem cum qua loquebatur cum populo. Poterant hæc dici, & his alia longè plura enumerari, sed si vultis, his prætermissis, ex his ipsis quæ antè dicta sunt ab inimicis, age ostendamus eum fuisse omnium hominũ mitissimum, ex quibus eum sæuum, immanem & iracundum quidam esse existimant. Quomodo ergo ostendemus? Si prius distinxerimus, ac definierimus, quid sit mansuetudo, & quid atrocitas. Neque enim ferire, est absolutè atrocitatis: neque parcere, mansuetudinis: sed mitis ille est, qui ferre potest quæ in seipsum peccata sunt, qui aliis factam iniuriam propulsat, & eis fert opem, & est vehemens vltor eorum, qui probra ingerunt. Qui autem non est eiusmodi, sed est hebes, deses, & somnolentus, & mortuo nihilo melius affectus, non est mitis nec mansuetus. Despicere eos quibus fit iniuria, non dolere vicem eorum qui iniuria afficiuntur, nec iis irasci qui probris & contumeliis afficiunt, non est virtutis, sed vitij: non est mansuetudinis, sed ignauiæ. Quare hoc ipsum ostendit eius mansuetudinem, & quòd erat adeò ardens, vt prosiliret, cùm videret alios iniuria affici, pro iusto iram non valens cohibere: at quando ipse malo aliquo affectus est, nec vltus est, nec pœnam sumpsit, nec à philosophiæ instituto vnquam recessit. Si autem fuisset adeò sæuus & iracundus: qui pro aliis adeò inflammabatur & excandescebat, nunquam animum induxisset, vt pro iis quæ ad seipsum pertinebant, quiesceret: sed tunc magis irritatus fuisset & efferatus. Scitis enim nos ægrius ferre nostra quàm aliena. Ille autem, cùm alij quidem malè pa-

Num. 12.
Exod. 32.

Mitis quis sit.

Iniuria aliena vlciscenda.

A καὶ πολέμων, ὁ συγγενικοὺς κελεύσας ἐργάσασθαι φόνους, ὁ τὴν γῆν εὐχῇ διελὼν, καὶ κεραυνοὺς ἄνωθεν ἐνεγκὼν, καὶ τοὺς μὲν καταποντίσας, τοὺς δὲ καταφλέξας, οὗτος εἰ πρᾶος ἦν, τίς ὀργίλος, καὶ σκληρός; παῦσαι, μὴ περιττὰ φθέγγου, ὅτι πρᾶος ἦν, καὶ πάντων ἀνθρώπων πρᾳότατος, καὶ οὐκ ἀποστήσομαι ταῦτα λέγων, καὶ εἰ βούλεσθε οὐχ ἑτέρωθεν, ἀλλ' ἀπ' αὐτῶν τούτων τῶν εἰρημένων δεῖξαι πειράσομαι αὐτοῦ τὴν πρᾳότητα. καί τοί γε ἐνῆν λέγειν τὰ περὶ τῆς ἀδελφῆς εἰρημένα αὐτῷ πρὸς τὸν Θεὸν, τὴν ἱκετηρίαν, ἣν ὑπὲρ τοῦ ἔθνους ἀφῆκε, πάντα τὰ

B ῥήματα ἐκεῖνα τὰ ἀποστολικὰ, καὶ τῶν οὐρανῶν ἄξια, τὴν ἐπιείκειαν μεθ' ἧς τῷ δήμῳ διελέγετο, ἐνῆν καὶ ταῦτα λέγειν, καὶ ἕτερα τούτων πλείονα ἀπαριθμεῖν, ἀλλ' εἰ βούλεσθε ταῦτα παρέντες φέρε ἀπ' αὐτῶν τούτων τῶν ἔμπροσθεν εἰρημένων παρὰ τῶν ἐχθρῶν δείξωμεν, ὅτι πρᾳότατος ἦν, ἀφ' ὧν βαρὺν, καὶ σκληρὸν, καὶ ὀργίλον αὐτὸν εἶναι νομίζουσί τινες. πῶς οὖν δείξομεν; εἰ πρότερον διακρίναιμεν, καὶ ὁρισαίμεθα, τί ποτέ ἐστι πρᾳότης, καὶ τί τραχύτης. οὐδὲ γὰρ τὸ πλήττειν τραχύτητος ἁπλῶς· οὐδὲ

C τὸ φείδεσθαι, πρᾳότητος· ἀλλὰ πρᾶος ἐκεῖνός ἐστιν, ὁ τὰ εἰς ἑαυτὸν πλημμελήματα φέρειν δυνάμενος, καὶ ὁ τοῖς ἀδικουμένοις ἀμύνων, καὶ σφοδρὸς ἔκδικος τῶν ἐπηρεαζομένων γινόμενος, ὡς ὅγε μὴ τοιοῦτος, νωθὴς, καὶ ὑπτιλὸς, καὶ νεκροῦ οὐδὲν ἄμεινον διακείμενος, οὐ πρᾶος, οὐδὲ ἐπιεικής. τὸ παρορᾷν ἀδικουμένους, τὸ μὴ ἀλγεῖν ὑπὲρ τῶν ἀδικουμένων, μηδὲ θυμοῦσθαι τοῖς ἐπηρεάζουσιν, οὐκ ἀρετῆς, ἀλλὰ κακίας· οὐκ ἄρα πρᾳότητος, ἀλλὰ ῥᾳθυμίας. ὥστε αὐτὸ δὴ τοῦτο δείκνυσιν αὐτοῦ τὴν

D πρᾳότητα, καὶ ὅτι οὕτως ἦν θερμὸς, ὡς καὶ παραπηδᾷν, ἐν οἷς ἑτέρους ἀδικουμένους ἑώρα, κατέχειν οὐ δυνάμενος τὴν ὑπὲρ τοῦ δικαίου ἀγανάκτησιν· ἡνίκα γοῦν αὐτὸς κακῶς ἔπασχεν, οὔτε ἠμύνατο, οὔτε ἐπεξῆλθεν, ἀλλ' ἔμεινε φιλοσοφῶν διηνεκῶς, εἰ δὲ τραχὺς ἦν, καὶ ὀργίλος, οὐκ ἂν ὑπὲρ ἑτέρων, ὁ οὕτω ζέων, καὶ διαθερμαινόμενος, ὑπὲρ τῶν αὐτοῦ ἂν κατεδέξατο ἡσυχάσαι, ἀλλὰ πολὺ μᾶλλον τότε ἂν ἐξηγριώθη. ἴστε γὰρ, ὅτι μᾶλλον ἐπὶ τοῖς οἰκείοις, ἢ τοῖς ἀλλοτρίοις ἀλγοῦμεν. ἐκεῖνος δὲ τῶν μὲν ἄλλων πα-

ρθέντων κακῶς, αὐτοῦ οὐκ ἔλαττον τῶν παθόντων ἠμύνετο· τὰ δὲ εἰς αὐτὸν γινόμενα πλημμελήματα μετὰ πολλῆς παρέτεινε τῆς καρτερίας, ἐν ἑκατέροις ἄκρος ὤν, καὶ τῷ μὲν τὸ μισοπόνηρον, τῷ δὲ τὸ μακρόθυμον ἐπιδεικνύμενος. Ἀλλὰ τί ποιεῖν ἐχρῆν εἰπέ μοι; περιορᾶν τὴν ἀδικίαν γινομένην, καὶ εἰς τὸ πλῆθος ἐκβαῖνον τὸ κακόν; ἀλλ' οὐκ ἦν τοῦτο δημαγωγοῦ, οὐδὲ μακροθύμου τινὸς, καὶ ἀνεξικάκου, ἀλλὰ νωθροῦ καὶ ἀναπεπτωκότος. σὺ δὲ ἰατρῷ μὲν οὐκ ἐγκαλεῖς τὴν σηπεδόνα βαδίζουσαν κατὰ παντὸς τοῦ σώματος περιστέλλοντι τῇ τομῇ, ἐκεῖνον δὲ τραχύτατον εἶναι φῂς, τὴν νόσον πολλῷ σηπεδόνος χαλεπωτέραν κατὰ παντὸς ῥέουσαν τοῦ δήμου βουληθέντα ἀναχαιτίσαι πληγῇ τραχυτέρᾳ· ἀλλὰ ταῦτα ἀγνώμονος δικαστοῦ. τὸν γὰρ προστάτην δήμου τοσούτου, καὶ ἔθνος οὕτω σκληρὸν ἄγοντα, καὶ τραχὺ, καὶ δυσήνιον ἐν προοιμίοις ἀναστέλλειν ἐχρῆν, καὶ ἐκ προθύρων ἀνακόπτειν, ὥστε μὴ περαιτέρω προβαίνειν τὸ δεινόν. Ἀλλὰ κατέδυσε, φησὶ, Δαθὰν, καὶ Ἀβειρών. τί λέγεις; καὶ ἔδει περιιδεῖν ἱερωσύνην πατουμένην, καὶ Θεοῦ νόμους ἀνατρεπομένους, καὶ τὸ συνέχον ἅπαντα διαλυόμενον, λέγω δὴ τὸ τῆς ἱερωσύνης τὸ ἀξίωμα, καὶ πᾶσι βατὰ ποιῆσαι τὰ ἄδυτα, καὶ ἀπὸ τῆς περὶ τούτους ῥᾳθυμίας προθεῖναι τοῖς βουλομένοις τοῖς ἱεροῖς καταπατεῖν περιβόλοις, καὶ πάντα ἄνω, καὶ κάτω γίνεσθαι; ἀλλὰ ταῦτα μάλιστα πρᾳότητος οὐκ ἦν, ἀλλὰ ἀπανθρωπίας, καὶ ὠμότητος, τὸ περιιδεῖν τοσοῦτον κακὸν αὐξόμενον, καὶ φειδόμενον διακοσίων, ἀπολέσαι μυριάδας τοσαύτας. εἰπὲ γάρ μοι ὅτε ἐκέλευσε σφάξαι τοὺς προσήκοντας, τί ποιῆσαι ἐχρῆν ὀργιζομένου τοῦ Θεοῦ, τῆς ἀσεβείας αὐξομένης, οὐδενὸς ὄντος τοῦ δυναμένου τῆς ὀργῆς αὐτοὺς ἐξαρπάσαι; ἀφεῖναι τὴν ἐκ τῶν οὐρανῶν πληγὴν ἐπὶ τὰς φυλὰς ἁπάσας ἐνεχθῆναι, καὶ πανωλεθρίᾳ παραδοθῆναι τὸ γένος, καὶ μετὰ τῆς κολάσεως περιιδεῖν, καὶ τὴν ἁμαρτίαν ἀνίατον γινομένην, ἢ τιμωρίᾳ καὶ φόνῳ σωμάτων ὀλίγων τό τε ἁμάρτημα ἀνελεῖν, τήν τε ὀργὴν ἀναχαιτίσαι, τόν τε Θεὸν ἵλεω καταστῆσαι τοῖς τὰ τοιαῦτα πεπλημμεληκόσιν; ἂν οὕτως ἐξετάζῃς τὰ τοῦ δικαίου, ὄψει μάλιστα ἐντεῦθεν ὄντα αὐτὸν

A tiebantur, non minus quàm illi ipsi quibus malè fiebat, vlciscebatur: delicta autem quæ in ipsum admissa fuerant, cum maxima prætermittebat tolerantia: in vtroque extremo cōsistens, illo quidem, se esse malis infestum, hoc verò se esse lenem & patientem ostendens. Sed dic, quæso, quid eum facere oportuit? num despicere, quæ inferebatur, iniuriam, & malum quod pertinebat ad populum? Sed id non erat eius qui regebat populum, nec patientis alicuius & mitis, sed desidis & ignaui. B Tu autem medicum quidem non reprehendis, qui putredinem totum corpus permeantem sectione reprimit: illum autem dicis esse atrocissimum, qui morbum longè putredine grauiorem per totum populum permanantem ictu paulò grauiori voluerit coërcere? Atqui hæc sunt iudicis non satis considerati. Tanti enim populi præfectum, & qui ducebat gentem adeò asperam, duram, & intractabilem, oportebat statim à principio reprimere, & in ipso vestibulo rescindere, ne malum longius serperet. At obruit, inquit, Dathan & Abiron. C Quid dicis? Oportebátne despicere sacerdotium conculcari, & Dei leges euerti, & id quod omnia continet, perfringi ac dissolui: dico autem dignitatem sacerdotij, & omnibus adyta patefacere, & ex eorum contemptu permittere vt liceret volentibus sacrosanctos conculcare ambitus, & omnia súsque déque agere & miscere? Atqui ea non erant mansuetudinis, sed inhumanitatis & crudelitatis, despicere tantum quod crescebat malum: & dum ducentis parceret, perdere tot millia. D Dic enim mihi quæso, quando iussit genere propinquos occidere, quid eum facere oportuit, cùm Deus irasceretur, cresceret impietas, cùm nihil esset, quod eos posset ab ira eripere? permitterétne debuit vt plaga cœlestis in omnes tribus descenderet, & vniuerso generi interitum afferret, & cum supplicio negligere peccatum immedicabile: an pœna & cæde paucorum corporum & peccatum de medio tollere, & iram retardare, Deúmque reddere propitium iis, qui talia admiserant? Si ita examinaris quæ à iusto facta sunt, ex eo maximè videbis eum fuisse

Cõfirmatio præcollationem.

Sacerdotalis dignitatis vindicatio.

mitissimum. Sed hæc ex iis quæ dicta sunt sinentes studiosis recensere, ne ea quæ obiter afferuntur sint, maiora iis quæ sunt proposita, ad id quod est nobis propositum, reuertamur. Quid erat autem propositum? Memento Domine Dauid, & omnis mansuetudinis eius. 2. *Sicut iurauit Domino, votum vouit Deo Iacob.* Cùm proposuisset dicere de mansuetudine, iis prætermissis quæ Sauli fecerat, quæ fratribus, quæ Ionathæ, lenitate & patientia qua vsus erat in militem, qui eum aspergebat mille probris ac maledictis, & his longè pluribus, ad aliud caput deducit orationem, quod maximum in se zelum & ardorem continet. Quare ergo hoc facit? Duabus de causis, vna quidem quoniam Deus eo maximè delectatur. Super quem enim, inquit, respiciam, nisi super mansuetum & quietum, & trementem verba mea? Alia verò, quoniam hoc quod maximè vrgebat, nempe templi constructio, & ciuitatis ædificatio, & antiqui status reipublicæ redditio, ad hoc maximè dirigit orationem, & illud quidem prætermittit, vt quod sit manifestum & in confesso (cognita enim erat omnibus eius mansuetudo) id autem quod maximè opus habebat ad suum institutum, id in medium adducit. Quid enim videre cupiebant? templum excitatum, veteresque ritus & ceremonias restitutas. Quoniam ergo Dauid erat ea re maximè insignis, tanquam illius studij & animi remunerationem petit à Deo templi ædificationem, & dicit, Memento Domine Dauid, & omnis mansuetudinis eius. Sicut iurauit Domino, votum vouit Deo Iacob. 3. *Si introiero in tabernaculum domus meæ: Si ascendero in lectum strati mei.* 4. *Si dedero somnum oculis meis, & palpebris meis dormitationem.* 5. *Et requiem temporibus meis. Donec inueniam locum Domino, tabernaculum Deo Iacob.* Et quid hoc ad te? Quoniam, inquit, ab eo genus duxi, & quoniam cùm tibi fuisset acceptum eius studium & diligentia, dixisti te eius genus & regnum erecturum: propterea hæc pacta conuenta nunc à te exigimus. Non dixit autem, Donec ædificauero, hoc enim non fuerat ei permissum, sed, Donec inuenero locum Domino, & tabernaculum. Deinde eum quidem, qui est ædificaturus

1. Reg. 16. 2. Reg. 17. 2. Reg. 18.

Esa. 66. 2.

Matth. 1. Psal. 134. Esa. 65. Amos 1. 1. Paralip. 17. 11. 18.

A πραότατον. ἀλλὰ ταῦτα ἐκ τῶν εἰρημένων τοῖς φιλομαθέσιν ἀφέντες ἀναλέγειν, ἵνα μὴ τὸ πάρεργον τοῦ ἔργου μεῖζον ποιήσωμεν, ἐπὶ τὸ προκείμενον ἴωμεν. τί δὲ ἦν τὸ προκείμενον; μνήσθητι κύριε τοῦ Δαβὶδ, καὶ πάσης τῆς πραότητος αὐτοῦ, ὡς ὤμοσε τῷ Θεῷ, ηὔξατο τῷ Θεῷ Ἰακώβ. προθεὶς εἰπεῖν περὶ πραότητος, ἀφεὶς διηγήσασθαι τὰ κατὰ τὸν Σαοὺλ, τὰ κατὰ τοὺς ἀδελφοὺς, τὰ τοῦ Ἰωνάθαν, τὴν μακροθυμίαν τὴν ἐπὶ τοῦ στρατιώτου, τοῦ μυρίοις αὐτὸν περιβαλόντος ὀνείδεσιν ἕτερα B πλείονα τούτων, ἐφ' ἕτερον κεφάλαιον ἄγει τὸν λόγον, ὃ ζήλου μάλιστα ἦν πολλοῦ. τίνος δὲ ἕνεκεν τοῦτο ποιεῖ; δυοῖν ἕνεκα, ἑνὸς μὲν, ἐπειδὴ τούτῳ μάλιστα ἐπιτέρπεται ὁ Θεὸς, ἐπὶ τίνα γὰρ ἐπιβλέψω φησὶν, ἀλλ' ἢ ἐπὶ τὸν πρᾶον, καὶ ἡσύχιον, καὶ τρέμοντά μου τοὺς λόγους; ἑτέρου δὲ, ἐπειδὴ τὸ κατεπεῖγον τοῦτο μάλιστα ἦν, ἀνάστασις ναοῦ, καὶ ἡ οἰκοδομὴ πόλεως, καὶ ἡ τῆς παλαιᾶς πολιτείας ἀπόδοσις, πρὸς τοῦτο μάλιστα ἐπείγει τὸν λόγον, καὶ τὸ μὲν, ὡς δῆλον, καὶ ὡμολογημένον παρίησι, τὸ δὲ πᾶσι καταφανὲς τὸ τῆς πραότητος, οὗ δὴ μάλιστα ἐδεῖτο εἰς τὸ C προκείμενον, τοῦτο εἰς μέσον φέρει. τί γὰρ ἐπεθύμουν ἰδεῖν; τὸν ναὸν ἀναστάντα, καὶ τὴν παλαιὰν ἁγιαστίαν ἀποδοθεῖσαν. ἐπεὶ οὖν ἐν τούτῳ μάλιστα ἔλαμψεν ὁ Δαβὶδ, ὥσπερ ἀμοιβὴν τῆς ἐκείνου σπουδῆς ἀπαιτεῖ τὸν Θεὸν τοῦ ναοῦ τὴν οἰκοδομὴν, καί φησι· μνήσθητι κύριε τοῦ Δαβὶδ, καὶ πάσης τῆς πραότητος αὐτοῦ, ὡς ὤμοσε τῷ Θεῷ, ηὔξατο τῷ Θεῷ Ἰακώβ. Εἰ εἰσελεύσομαι εἰς σκήνωμα οἴκου μου, εἰ ἀναβήσομαι ἐπὶ κλίνης στρωμνῆς μου. εἰ δώσω ὕ- D πνον τοῖς ὀφθαλμοῖς μου, καὶ τοῖς βλεφάροις μου νυσταγμὸν, καὶ ἀνάπαυσιν τοῖς κροτάφοις μου, ἕως οὗ εὕρω τόπον τῷ κυρίῳ, σκήνωμα τῷ Θεῷ Ἰακώβ. καὶ τί τοῦτο πρὸς σε; ὅτι ἐκείνου, φησὶν, ἔκγονός εἰμι, καὶ ἐπειδὴ ἐκεῖνον ἀποδεξάμενος τῆς σπουδῆς, ἔφησας στήσειν αὐτοῦ τὸ γένος, καὶ τὴν βασιλείαν, διὰ τοῦτο ταύτας ἀπαιτοῦμεν τὰς συνθήκας νῦν. καὶ οὐκ εἶπεν, ἕως οὗ οἰκοδομήσω, τοῦτο γὰρ αὐτῷ οὐκ ἐξῆν, ἀλλ', ἕως οὗ εὕρω τόπον τῷ Θεῷ, καὶ σκήνωμα. εἶτα τὸν μὲν οἰκοδομήσοντα

περὶ-

παρατρέχει· τὸν δὲ ἐπαγγειλάμενον εἰς μέσον τίθησιν, ἵνα μάθῃς πόσον ἐστὶ γνώμη ὀρθὴ ἀγαθὸν, καὶ πῶς ἀεὶ τῇ προαιρέσει τὸν μισθὸν ὁ Θεὸς ὁρίζειν εἴωθε· διὸ δὴ τούτου αὐτοῦ μέμνηται μᾶλλον, ἐπειδὴ καὶ αὐτὸς μᾶλλόν ἐστιν ὁ οἰκοδομηκὼς ἢ ὁ παῖς. ὁ μὲν γὰρ ἐπηγγείλατο, ὁ δὲ ἐπετάγη. καὶ ὅρα αὐτοῦ τὴν προθυμίαν. οὐ μόνον εἰς οἰκίαν φησὶν οὐκ εἰσελεύσεσθαι, οὐδὲ εἰς κλίνην ἀναβήσεσθαι, ἀλλ' οὐδὲ ἂν ἀπὸ τῆς φυσικῆς ἀνάγκης ταύτης, οὐδὲ τούτων ἀπολαύσεσθαι μετὰ ἀδείας, ἕως οὗ εὕρῃ τόπον καὶ σκήνωμα τῷ Θεῷ Ἰακώβ. ὧν τὰ ἐναντία φησὶν ἐνεκαλοῦντο παρὰ τοῦ Θεοῦ λέγοντος· ὑμεῖς μὲν οἰκεῖτε ἐν οἴκοις κοιλοσταθμοῖς, ὁ δὲ οἶκός μου ἐστὶν ἔρημος· ἕως οὗ εὕρω τόπον τῷ κυρίῳ, σκήνωμα τῷ Θεῷ Ἰακώβ. ὅρα πάλιν, καὶ ἐντεῦθεν τὴν σπουδὴν, καὶ τὴν μεμεριμνημένην ψυχήν. ὁ βασιλεὺς λέγει, ἕως οὗ εὕρω τόπον τῷ κυρίῳ, σκήνωμα τῷ Θεῷ Ἰακώβ, ὁ πάντων κρατῶν. οὐ γὰρ ἁπλῶς οἰκοδομῆσαι ἐβούλετο, ἀλλ' ἐν ἐπιτηδειοτάτῳ χωρίῳ, καὶ σφόδρα τῷ ναῷ πρέποντι, καὶ ζητήσεως ἐδεῖτο. οὕτως ἦν ἄγρυπνος τὴν ψυχήν. ἰδοὺ ἠκούσαμεν αὐτὴν ἐν Εφραθᾶ, εὕρομεν αὐτὴν ἐν τοῖς πεδίοις τοῦ δρυμοῦ, τὰ παλαιὰ διηγεῖται νῦν δεικνὺς, ὅτι καὶ ἔμπροσθεν πολὺν περιῄει χρόνον ἡ κιβωτὸς τόπον ἐκ τόπου ἀμείβουσα. διὰ τοῦτό φησιν· ἰδοὺ ἠκούσαμεν αὐτὴν ἐν Εφραθᾶ, τουτέστι, ταῦτα διηγήσαντο ἡμῖν οἱ πατέρες ἡμῶν, ταῦτα ἐξ ἀκοῆς κατέχομεν, ὅτι καὶ τότε περιῄεισα πανταχοῦ, ἐν πεδίοις καὶ ἀγροῖς, ἱδρύθη μετὰ ταῦτα· τοῦτο δὴ γενέσθω καὶ νῦν. Εφραθᾶ ἐνταῦθα τὴν Ἰούδα λέγει φυλὴν, εἰς ἣν μετὰ τὴν πολλὴν περίοδον εἰσηνέχθη. εἰσελευσόμεθα εἰς τὰ σκηνώματα αὐτοῦ, προσκυνήσομεν εἰς τὸν τόπον, οὗ ἔστησαν οἱ πόδες αὐτοῦ. εἶδες πόσῃ παχύτητι κέχρηται τῆς λέξεως διὰ τὴν πολλὴν τῶν ἀκουόντων ἀναισθησίαν, σκηνώματα λέγων τοῦ Θεοῦ, καὶ πόδας, καὶ τόπον ἔνθα ἔστησαν οἱ πόδες. ταῦτα δὲ πάντα τὸν τόπον λέγει τῆς κιβωτοῦ. ἐπειδὴ ἐκεῖθεν αἱ φρικταὶ φωναὶ ἐφέροντο, περὶ τῶν ἐν τοῖς Ἰουδαίοις πραγμάτων λύουσαι τὰ ἀσαφῆ, καὶ περὶ τῶν μελλόντων προλέγουσαι. ἀνάστηθι κύριε εἰς τὴν ἀνάπαυσίν σου, σὺ καὶ ἡ κιβωτὸς τοῦ ἁγιάσματός σου. ἕτερος, τῆς ἰσχύος σου. ἄλλος, τοῦ κράτους σου, ἀμφότερα δὲ ἀληθῆ. καὶ γὰρ ἡ ἁγιωσύνη ἐκεῖθεν ἐδίδοτο,

A præterit: cum verò qui est pollicitus, in medium adducit, vt scias quantum bonum sit rectus animus, & quomodo Deus semper consueuerit recto animi instituto & bonæ voluntati mercedem constituere: & ideo eius potius meminit, quoniam ipse est potius qui ædificauit, quàm filius. Hic enim pollicitus est: ille verò iussus est. Vide autem maximam eius animi alacritatem. Non solum dicit se nō ingressurum domum, nec lectum ascensurum, sed ne ea quidem quæ erant naturalis necessitatis securè desumpturum, donec inuenerit B locum & tabernaculum Deo Iacob. Quorum contraria eis à Deo obijciebantur, dicente: Vos quidem habitatis in domibus laqueatis: domus autem mea est deserta. Donec inuenero locum Domino, tabernaculum Deo Iacob. Vide hic rursus studium & animi sollicitudinem. Rex dicit, Donec inuenero locum Domino, & tabernaculum Deo Iacob. Rex, inquam, qui in omnes dominatum obtinebat. Nolebat enim solummodo extruere, sed etiam in loco aptissimo & templo valde conuenienti, C & opus ei erat inquisitione, tanta erat animi vigilantia. 6. *Ecce audiuimus eam in Ephrata, inuenimus eam in campis syluæ.* Narrat nunc vetera, ostendens arcam antea longo tempore errasse, locum loco mutantem, & ideo dicit: Ecce audiuimus eam in Ephrata, hoc est, Ea narrauerunt nobis patres nostri, hæc ex auditione accepimus, quòd cùm tunc quoque vbique oberraret, in agris & campis, postea collocata est: hoc ipsum nunc quoque fiat. Ephrata hic dicit tribum Iuda, ad quam post longam circuitionem deducta est. 7. *In-* D *troibimus in tabernacula eius. Adorabimus in locum vbi steterunt pedes eius.* Vidisti quàm crasso dicendi modo vsus est, propter stuporem eorum qui audiebant, dicens Dei tabernacula, & pedes, & locum vbi stabant pedes eius. Hæc autem omnia dicit locum arcæ, quoniam ex eo loco edebantur voces horribiles de rebus quæ ad Iudæos pertinebant, quæ erant dubia & obscura soluentes, & futura prædicentes. 8. *Surge Domine in requiem tuam, tu & arca sanctificationis tuæ.* Alius dicit, Fortitudinis tuæ. Alius, Potentiæ tuæ: vtraque autem vera. Illinc enim tradebatur sanctitas,

1. Cor. 18.

Agg. 1. 4.

1. Reg. 5. 6. 7.

Ephrata.

& quæ erant ei impositæ literæ, erant & sanctitatis effectrices, & roboris. Pulchrè ergo sic dixit, Magnā enim Deus per eam, potentiam ostendit semel, & bis, & sæpenumero, vt quando capta ab Azotiis, quando simulachra deiecit, quando eos qui ceperant, percussit, quando ea reddita vt plaga cessaret effecit, & per alia quæ illic fecit, suam ostendit potentiam. Quid est autem, Surge in requiem tuam? Fac, inquit, vt nos desistamus errare, & arca circumferri, & ea tandem aliquando quiescat.

1. Reg. 5.

Sacerdotū iustitia.

9. *Sacerdotes tui induentur iustitia.* Alius, Vestiantur. Alius, Induantur, quod quidem est apertius. Est enim precantis, non prædicentis, & petentis possessionem virtutis. Iustitiam autem hic dicit ritus, ceremonias, sacerdotium, sacrificium, oblationes, & cum his perfectam vitæ institutionem, quoniam ea est maximè requirenda à sacerdotibus. *Et sancti tui exultabunt.* Vbi hæc scilicet facta fuerint. Vide eum non quærere ædificationem ciuitatis, non rerum venalium abundantiam, non aliarum rerum prosperitatē, sed templi decorem, & arcæ requiem, sacerdotum plenam perfectionem, ritus ac ceremonias, cultum, sacerdotium. Deinde quoniam hæc petierunt, ipsi autem fuerunt multis peccatis obnoxij, ad parentem rursus confugit, dicens:

Exod. 29. Ezech. 44. Malach. 2.

10. *Propter Dauid seruum tuum.* Quid est, propter Dauid seruum tuum? Non propter, inquit, illius tantum virtutem, nec quòd tantum studium posuit ad hocvt templum excitaret, sed etiam propterea quòd id es ei pollicitus. Propter Dauid seruum tuum, *Ne auertas faciem Christi tui.* Cuiusnam, inquit? Eius qui tum vnctus est, populúmque regit, & ei præest. 11. *Iurauit Dominus Dauid veritatem, & non frustrabitur eam. De fructu ventris tui ponam super sedem tuam.* Postquam enim Dauidis meminit, & virtutis viri, & studij quod in templum contulerat, & vetera narrauit; & vt in priori vitæ instituto appareret, rogauit, id quod est maximum caput adducit, Dei promissa: Quænam autem ea sunt? De fructu ventris tui ponam super sedem tuam. Sed promissa non facta sunt purè & absolutè, sed cum eis accedente quadam conditione. Quænam autem erat ea conditio? Audi, subiungit enim,

A καὶ ἁγιωσύνης ἦν ποιητικὰ τὰ γράμματα τὰ ἐπικείμενα, καὶ ἰσχύος. καλῶς οὖν οὕτως εἶπε· πολλὴν γὰρ ὁ Θεὸς ἐνεδείξατο δι' αὐτῆς δύναμιν, καὶ ἅπαξ, καὶ δὶς, καὶ πολλάκις, οἷον ὅτε ἐλήφθη παρὰ τῶν Ἀζωτίων, ὅτε τὰ εἴδωλα κατέβαλεν, ὅτε ἔπληξε τοὺς εἰληφότας, ὅτε ἔστησε τὴν πληγὴν ἀποδοθείσης αὐτῆς, καὶ διὰ τῶν ἄλλων δὲ δι' ὧν αὐτόθι εἰργάζετο, τὴν ἰσχὺν ἐπεδείκνυτο τὴν ἑαυτοῦ. τί δέ ἐστιν, ἀνάστηθι εἰς τὴν ἀνάπαυσίν σου; στῆσον ἡμᾶς ἀλωμένους, φησὶ, καὶ τὴν κιβωτὸν περιφερομένην, καὶ ὀψέ γοῦν ποτε ἀνάπαυσον αὐτήν. B οἱ ἱερεῖς σου ἐνδύσονται δικαιοσύνην. ἕτερος, ἀμφιεσθήτωσαν. ἄλλος, ἐνδυσάσθωσαν, ὅπερ μάλιστά ἐστι σαφέστερον. εὐχομένου γάρ ἐστιν οὐχὶ προφητεύοντος, καὶ αἰτοῦντος τὴν τῆς ἀρετῆς κτῆσιν. δικαιοσύνην δὲ ἐνταῦθά φησι, τὴν ἁγιαστίαν, τὴν ἱερωσύνην, τὴν λατρείαν, τὰς θυσίας, τὰς προσφορὰς, καὶ μετὰ τούτων τὴν ἀκριβῆ πολιτείαν· ἐπειδὴ μάλιστα καὶ παρὰ ἱερέων ταύτην ἀπαιτεῖσθαι χρή. καὶ οἱ ὅσιοί σου ἀγαλλιάσονται. τούτων γινομένων. ὅρα αὐτὸν οὐ πόλεως ζητοῦντα οἰκοδομὴν, οὐκ ἀφθονίαν ὠνίων, οὐ τὴν ἄλλην εὐπραγίαν, ἀλλὰ τὴν εὐ- C πρέπειαν τοῦ ναοῦ, τὴν τῆς κιβωτοῦ κατάπαυσιν, τὸ τῶν ἱερέων πλήρωμα, τὴν ἁγιαστίαν, τὴν λατρείαν, τὴν ἱερωσύνην. εἶτα ἐπειδὴ ταῦτα ᾔτησαν, αὐτοὶ δὲ ὑπεύθυνοι ἁμαρτήμασιν ἦσαν πολλοῖς, ἐπὶ τὸν πρόγονον καταφεύγει πάλιν λέγων· ἕνεκεν Δαβὶδ τοῦ δούλου σου, μὴ ἀποστρέψῃς τὸ πρόσωπον τοῦ Χριστοῦ σου. τί ἐστιν ἕνεκεν Δαβὶδ, τοῦ δούλου σου; οὐ διὰ τὴν ἀρετὴν ἐκείνου μόνον, φησὶν, οὐδ' ὅτι τοσαύτην σπουδὴν ἐποιήσατο πρὸς τὸ τὸν ναὸν ἀναστῆσαι, ἀλλ' ὅτι καὶ συνθήκας ἔθου πρὸς αὐ- D τὸν ἕνεκεν Δαβὶδ τοῦ δούλου σου μὴ ἀποστρέψῃς τὸ πρόσωπον τοῦ Χριστοῦ σου. τίνος φησί; τοῦ τότε χρισθέντος καὶ δημαγωγοῦντος, καὶ προεστῶτος τοῦ λαοῦ. ὤμοσε κύριος τῷ Δαβὶδ ἀλήθειαν, καὶ οὐ μὴ ἀθετήσει αὐτήν, ἐκ καρποῦ τῆς κοιλίας σου θήσομαι ἐπὶ τοῦ θρόνου σου. ἐπειδὴ γὰρ ἐμνήσθη τοῦ Δαβὶδ, καὶ τῆς ἀρετῆς τοῦ ἀνδρὸς, καὶ τῆς σπουδῆς τῆς πρὸς τὸν ναὸν, καὶ τὰ παλαιὰ διηγήματα εἶπε, καὶ ἠξίωσεν ἐπὶ τῆς προτέρας αὐτοὺς φανῆναι πολιτείας, ὅπερ μέγιστον ἔχει κεφάλαιον, τοῦτο προσβάλλει, τὰς συνθήκας ἀναγινώσκων τοῦ Θεοῦ. ποῖαι δὲ αὗταί εἰσιν; ἐκ καρποῦ τῆς κοιλίας σου θήσομαι ἐπὶ τοῦ θρόνου σου. ἀλλ' οὐχ ἁπλῶς αἱ συνθῆκαι ἐγένοντο, ἀλλὰ μετὰ διορισμοῦ τινος. τίς δὲ ἦν ὁ διορισμός;

ἐὰν φυλάξωνται οἱ υἱοί σου τὴν διαθήκην μου, καὶ τὰ μαρτύριά μου ταῦτα, ἃ διδάξω αὐτούς, καὶ οἱ υἱοὶ αὐτῶν ἕως τοῦ αἰῶνος καθιοῦνται ἐπὶ τοῦ θρόνου σου. Ταύτας τὰς συνθήκας θέμενος ὁ Θεὸς αὐτοῖς ἐνεχείρισε τὸ χειρόγραφον, κἀκεῖνοι πάλιν ἔλεγον, πάντα ὅσα εἶπεν ὁ κύριος, ποιήσομεν καὶ ἀκουσόμεθα. εἶτα ἐπειδὴ ὁρᾷ τὸ ἓν μέρος παραβεβηκὸς τὰς συνθήκας, ἐπὶ τὸν τόπον ἄγει τὸν λόγον πανταχόθεν κινῶν λόγους παρακλητικοὺς καὶ λέγων· ὅτι ἐξελέξατο κύριος τὴν Σιών, ᾑρετίσατο αὐτὴν εἰς κατοικίαν ἑαυτῷ. αὕτη ἡ κατάπαυσίς μου εἰς αἰῶνα αἰῶνος, ὧδε κατοικήσω, ὅτι ᾑρετισάμην αὐτήν. τουτέστιν, οὐκ ἄνθρωπος τὸν τόπον ἐξελέξατο, ἀλλ' ὁ Θεὸς αὐτὸν ἐψηφίσατο, συγκαταβαίνων αὐτῶν τῇ ἀσθενείᾳ. ὃ οὖν λέγει, τουτό ἐστιν· ὃν εἵλου, ὃν ἐξελέξω, ὃν ἐψήφισω, ὃν ἐδοκίμασας ἐπιτήδειον εἶναι, μὴ ἀφῇς διαρρυῆναι, μηδὲ ἀπολέσθαι. ταῦτα γὰρ ἔλεγες, ὅτι κατοικήσω ἐνταῦθα, ἀλλὰ ταῦτα ἐλέγετο μετὰ τῶν συνθηκῶν ἐκείνων. ποίων δὴ τούτων; ἐὰν φυλάξωνται οἱ υἱοί σου τὴν διαθήκην μου. τὴν θήραν αὐτῆς εὐλογῶν εὐλογήσω, ἕτερος, τὸν ἐπισιτισμόν, θήραν λέγει τῶν ὠνίων τὴν ἀφθονίαν, τὴν εὐετηρίαν, καὶ εὔχεται πάντα αὐτοῖς ὡς ἀπὸ πηγῶν ἐπιρρεῖν. καὶ γὰρ τοιαύτην εἶχον πολιτείαν οἱ Ἰουδαῖοι τὸ παλαιόν, οὐκ αἰσθανομένων τῶν φυσικῶν ἀναγκῶν, εἴποτε τὸν Θεὸν ἵλεων εἶχον, οὔτε γὰρ σιτοδεία τις ἦν παρ' αὐτοῖς, οὐ λιμός, ἢ λοιμός, οὐ θάνατος ἄωρος, οὐκ ἄλλο τῶν τοιούτων οὐδέν, οἷα συμβαίνειν τοῖς ἀνθρώποις εἴωθεν, ἀλλὰ πάντα αὐτοῖς ὥσπερ ἐκ πηγῶν ἐπέρρει τῆς τοῦ Θεοῦ χάριτος τῶν ἀνθρωπίνων πραγμάτων τὴν ἀσθένειαν διορθουμένης. τοῦτο οὖν φησιν ἐνταῦθα, ὅτι ὑπέσχου τὴν θήραν αὐτῆς εὐλογήσειν, τουτέστι τὴν τῶν ἀναγκαίων ἀφθονίαν παρέξειν μετὰ πολλῆς τῆς ἀσφαλείας. τοὺς πτωχοὺς αὐτῆς χορτάσω ἄρτων, τοὺς ἱερεῖς αὐτῆς ἐνδύσω σωτηρίαν, καὶ οἱ ὅσιοι αὐτῆς ἀγαλλιάσει ἀγαλλιάσονται. ἐκεῖ ἐξανατελῶ κέρας τῷ Δαβίδ, ἡτοίμασα λύχνον τῷ Χριστῷ μου. τοὺς ἐχθροὺς αὐτοῦ ἐνδύσω αἰσχύνην, ἐπὶ δὲ αὐτὸν ἐξανθήσει τὸ ἁγίασμά μου. ὅρα πανταχόθεν εὐημερίαν συγκεκροτημένην, ἀπὸ τοῦ μηδὲν τῶν ἀναγκαίων ἐνδεῖν, ἀπὸ τοῦ τοὺς ἱερεῖς ἐν ἀσφαλείᾳ εἶναι, ἀπὸ τοῦ τὸν λαὸν ἐν εὐφροσύνῃ, ἀπὸ τοῦ τὸν βασιλέα ἐν ἰσχύϊ. λύχνον γὰρ ἐνταῦθα τὸν βασιλέα φησί,

12. *Si custodierint filij tui testamentum meum, & testimonia mea hæc quæ docebo ipsos, & filij eorum in æternum sedebunt super thronũ tuum.* Cùm his verbis concepta promissa Deus fecisset, eis tradidit chirographũ: Illi autem rursus dixerunt, Omnia quęcunque dicit Dominus, faciemus & audiemus. Deinde quoniam videbat vnam partem esse pacta cōuenta transgressam, deducit orationem ad locum, consolationem vndique excitans, & dicens: 13. *Quoniam elegit Dominus Sion, elegit eam in habitationem sibi.* 14. *Hæc requies mea in seculum seculi. Hic habitabo, quoniam elegit eam.* Hoc est, Non homo locum elegit, sed Deus ipsum sua sententia constituit, se ad eorum imbecillitatem demittens. Hoc est ergo quod dicit, quem elegisti, quem tua sententia constituisti, quem aptum esse censuisti, ne permittas vt collabatur & intereat. Hæc enim dixisti, hic habitabo. Sed hæc dicebat cum illis pactis conuentis. Quibúsnam? Si custodierint filij tui testamentum meum. 15. *Venationem eius benedicens benedicam, pauperes eius saturabo panibus.* Alius, cibum eius venationem dicit, rerum venalium abundantiam, fertilitatem, & precatur vt hæc omnia eis tanquam à fontibus affluant. Talis enim erat olim Iudæorum reipublicę status, vt eis omnia tanquam à fontibus affluerẽt, nec sentirent vllas naturales necessitates, siquando Deum haberent propitium: nulla enim erat apud eos penuria, non fames, non pestis, nec mors immatura, nec aliquid eorum quæ solent euenire hominibus, sed eis omnia tanquam ex fontibus affluebãt, Dei scilicet manu corrigente humanarum rerum imbecillitatem. Hoc ergo hic dicit, Pollicitus es te esse benedicturum eius venationem, hoc est te prębiturum rerum necessariũ copiam cum multa securitate. Pauperes eius saturabo panibus. 16. *Sacerdotes eius induam salutari, & sancti eius exultatione exultabunt.* 17. *Illuc producam cornu Dauid: paraui lucernam Christo meo.* 18. *Inimicos eius induam confusione: Super ipsum autem efflorebit sanctificatio mea.* Vide vndique conflatam & constitutam prosperitatem, ex eo quòd rebus necessariis non egeant, ex eo quòd in tuto sunt sacerdotes, ex eo quòd populus sit in lætitia, ex eo quòd rex sit fortis & potens. Hic enim dicit lucernam,

Exod. 24.

Nebien. vi- duam. Hier. ve- nationem. Hebr. esid. viaticum, consentien- te Chald.

Lucerna quid significet.

vel regem, vel defensionem, vel salutem, vel lucem. Cum his autem dicit maximum genus prosperitatis. Quódnam id est? Abscondi inimicos, & nullum esse qui his bonis possit aliquid detrimenti afferre. Non dixit autem absolutè interitum, sed pudorem ac confusionem, volens eos se viuos abscondere, & latebras quærere, & per ea quæ patiuntur, testari quanta sit vis & fœlicitas huic genti. Super ipsum autem efflorebit sanctificatio mea. Hoc est, super populum meum. Pro eo autem quod est sanctificatio, alius dixit, Cornu. Alius, Eius segregatio. Alius, Eius segregatum. Quid est ergo quod dictum est? Mihi videtur hic dicere, prosperitatem, securitatem, vires, regnum, quæ ei segregaui ab initio. Hæc, inquit, manebunt florentia, pullulantia, non flaccida, neque decidentia, sed hæc omnia erunt, si maneat ea quæ prius dicta est conditio. Quænam autem ea est? Si custodierint filij tui testamentum meum. Solæ enim Dei promissiones nobis bona non præbent, nisi nos quoque faciamus, quæ in nostra potestate sita sunt, nec oportet eas attendentes esse supinos, nec remissos. Multa enim quæ promisit bona Deus non facit, si qui promissa susceperunt, inueniantur indigni: quemadmodum & mala quæ minatus est, non educit in opus, si ij qui eum irritarunt, postea mutantur, & iram expellunt. Hæc cùm nos quoque sciamus, non simus propter promissa socordes, ne corruamus, nec propter minas desperemus, sed mutemur. Ita enim poterimus nos quoque futura bona consequi, gratia & misericordia domini nostri Iesu Christi, cui gloria in secula seculorum, Amen.

Deut. 28. Hier. 7. 18. 41. Ezech. 33. Canon promissionis diuinæ.

A ἢ ἀντίληψιν, ἢ σωτηρίαν, ἢ φῶς. μετὰ δὲ τούτων τὸ μέγιστον τῆς εὐημερίας εἶδος. ποῖον δὴ τοῦτο; τὸ τοὺς ἐχθροὺς ἐγκαλύπτεσθαι, καὶ μηδένα εἶναι τὸν λυμαινόμενον τοῖς καλοῖς τούτοις, καὶ οὐκ εἶπεν ἀπώλειαν ἁπλῶς, ἀλλ' αἰσχύνην, βουλόμενος ὥστε ζῶντας ἐγκαλύπτεσθαι, καὶ καταδύεσθαι, καὶ μαρτυρεῖν δι' ὧν πάσχουσι τὴν ἰσχὺν καὶ τὴν εὐημερίαν τοῦ ἔθνους τούτου. ἐπὶ δὲ αὐτὸν ἐξανθήσει τὸ ἁγίασμά μου. τί ἐστιν ἐπὶ δὲ αὐτόν; ἐπὶ τὸν λαόν. τὸ ἁγίασμα ἕτερος τὸ κέρας εἶπεν. ἄλλος, ἀφόρισμα αὐτοῦ, ἄλλος τὸ ἀφορισμένον αὐτοῦ. τί ποτ' οὖν ἐστι τὸ εἰρημένον; ἐμοὶ B δοκεῖ τὴν εὐπραγίαν λέγειν, τὴν ἀσφάλειαν, τὴν ἰσχὺν, τὴν βασιλείαν, ἅπερ ἐξ ἀρχῆς ἀφώρισα αὐτῷ, ταῦτα μένει ἀνθοῦντά φησι, βρύοντα, οὐ μαραινόμενα, οὐδὲ καταπίπτοντα, ἀλλὰ ταῦτα πάντα ἔσται τοῦ ὁρισμοῦ τοῦ ἔμπροσθεν εἰρημένου μένοντος. ποίου δὴ τούτου; ἐὰν φυλάξωνται οἱ υἱοί σου τὴν διαθήκην μου. οὐ γὰρ μόναι αἱ ὑποσχέσεις τοῦ Θεοῦ παρέχουσιν ἡμῖν τὰ ἀγαθὰ, ἂν μὴ καὶ ἡμεῖς τὰ παρ' ἑαυτῶν ποιῶμεν, οὐδὲ χρὴ τούτοις προσέχοντας ἀναπεπτωκέναι, καὶ ὑπτίους εἶναι. πολλὰ γὰρ καὶ C τῶν ἀγαθῶν ὧν ἐπηγγείλατο ὁ Θεὸς, οὐ ποιεῖ τῶν τὰς ἐπαγγελίας δεξαμένων ἀναξίων εὑρισκομένων, ὥσπερ καὶ τὰ κακὰ, ἃ ἠπείλησεν εἰς ἔργον οὐκ ἄγει, τῶν παροξυνάντων αὐτὸν ὕστερον μεταβαλλομένων, καὶ τὴν ὀργὴν ἀποκρουσαμένων. ταῦτα οὖν εἰδότες, μήτε διὰ τὰς ὑποσχέσεις ῥαθυμῶμεν, ἵνα μὴ καταπέσωμεν, μήτε διὰ τὰς ἀπειλὰς ἀπογινώσκωμεν, ἀλλὰ μεταβαλλώμεθα. οὕτω γὰρ δυνησόμεθα τῶν μελλόντων ἐπιτυχεῖν ἀγαθῶν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ D δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Εἰς τὸν ρλβ´ ψαλμόν.

Ἰδοὺ δὴ τί καλὸν, ἢ τί τερπνόν. ἄλλος, ἰδοὺ τί ἀγαθὸν, καὶ τί καλόν. ἀλλ' ἢ τὸ κατοικεῖν ἀδελφοὺς ἐπὶ τὸ αὐτό.

ΠΟΛΛΑ τῶν πραγμάτων ἐστὶ μὲν καλὰ, τὸ δὲ τερπνὸν οὐκ ἔχει. ἕτερα ἡδονὴν μὲν ἔχει πάλιν, τοῦ καλλίστου δὲ ἀπεστέρηται· B ἀμφότερα δὲ συνελθεῖν, οὐ σφόδρα εὔπορον. ἀλλ' ἐπὶ τούτου τοῦ εἰρημένου ἀμφότερα ταῦτα συνδεδράμηκε, καὶ ἡδονὴ, καὶ τὸ κάλλιστον. τοῦτο γὰρ μάλιστα ἡ ἀγάπη κέκτηται μετὰ τῆς ὠφελείας, καὶ τὸ ῥᾷστον ἔχει, καὶ ἡδύ. ταύτην γοῦν καὶ ἐνταῦθα αἰνίττεται. οὐ γὰρ ἁπλῶς τὴν οἴκησιν εἶπεν, οὐδὲ τὸ ἐν συνέχεσθαι οἰκίσκῳ, ἀλλ' ἐπὶ τὸ αὐτὸ κατοικεῖν, τουτέστι, μετὰ ὁμοφωνίας καὶ ἀγάπης. τοῦτο γὰρ ποιεῖ ψυχὴν C εἶναι μίαν. εἶτα εἰπὼν καλὸν καὶ τερπνὸν, σαφέστερον ποιῶν τὸν λόγον, καὶ εἰς παράδειγμα ἐκφέρει τὸ εἰρημένον, καὶ σωματικὰς εἰκόνας τίθησι, δυναμένας σαφεστέραν τῷ ἀκροατῇ παραστῆσαι τὴν ὄψιν. τίνες δὲ εἰσιν αἱ εἰκόνες; ὡς μύρον ἐπὶ κεφαλῆς τὸ καταβαῖνον ἐπὶ τὸν πώγωνα, τὸν πώγωνα τὸν Ἀαρών. ἐπεὶ γὰρ ἀρχιερεὺς ὢν, ἐχρίετο τῷ μύρῳ τούτῳ, καὶ κατεστάζετο πάντοθεν, καὶ σφόδρα ἐπίχαρις ἦν τοῖς ὁρῶσι, καὶ ἡδὺς, καὶ ἐπέραστος ἀπὸ τῆς ἀλείψεως ταύτης. ὥσπερ οὖν ἐκεῖνός φησιν, ὁ ἠ- D λειμμένος τῷ μύρῳ τούτῳ, ἐμπρέπει τῷ σχήματι, φαιδρός ἐστι τῷ προσώπῳ, πολλῆς εὐωδίας ἐμπέπλησται, χάριν παρέχει τοῖς ὁρῶσιν ὀφθαλμοῖς, οὕτω καὶ τοῦτό ἐστι καλόν· καὶ ὥσπερ ἐκεῖνο τὸ θέαμα οὐ μόνον ὡραῖόν ἐστιν ἰδεῖν, ἀλλὰ καὶ τέρπει τὰς ὄψεις, οὕτω καὶ τοῦτο τῇ ψυχῇ τὴν ἡδονὴν ἐντίθησιν. ὡς δρόσος Ἀερμὼν, ἡ καταβαίνουσα ἐπὶ τὰ ὄρη Σιών. καὶ ἑτέραν εἰκόνα παρήγαγε πολλὴν τὴν ἡδονὴν ἔχουσαν, καὶ τῷ θεατῇ τὴν τέρψιν παρεχομένῳ. ταῦτα δὲ οὐχ ἁπλῶς τέθεικε,

IN PSALMVM CXXXII.

Ecce quàm bonum & quàm iucundum, habitare fratres in vnum. Alius, Ecce quàm bonum & quàm pulchrum.

MVLTÆ quidem res sunt pulchræ & honestæ, sed carent delectatione, quemadmodum aliæ sunt quidem rursus iucundæ, sed deest eis honestum. Non facilè autem contingit, vt vtraque conueniant. Sed in hoc quod dictum est, hæc vtraque concurrunt, & voluptas, & honestas maxima. Hoc enim in primis habet charitas, quòd cùm vtilitate sit eadem facillima atque iucundissima. Eam ergo hîc quoque laudat. Non dixit enim absolutè habitationem, neque vna contineri domuncula, sed in vnum habitare, hoc est, cum concordia & dilectione. Hoc enim facit vnam esse animam. Deinde postquam dixit honestum & iucundum, reddens quod dicitur clarius, per exempla rem exprimit, & corporales ponit similitudines, quæ possunt auditoris oculis eam melius subijcere. Vide autem quænam sunt similitudines. 2. *Sicut vnguentum in capite, quod descendit in barbam barbam Aaron: quod descendit in oram vestimenti eius.* Hic enim cùm esset pontifex, vngebatur hoc vnguento, & vndique distillabat. erat autem valde gratus, iucundus, & amabilis iis qui eum videbant, propter hanc vnctionem. Quemadmodum ergo ille, inquit, vnctus hoc vnguento, est hoc habitu decorus, vultu lætus, & multa repletus fragrantia, gratiámque præbet videntibus oculis: ita etiam hoc pulchrum est: & quemadmodum illud spectaculum non solùm est visu pulchrum, sed etiam delectat oculos: ita etiam hoc affert voluptatem animæ.

Galat. 5. Philip. 2.

Exod. 29. Vnctio pontificum.

3. *Sicut ros Ærmon, qui descendit in montem Sion.* Adduxit etiam aliam similitudinem, quæ multam habet iucunditatem, & spectatori præbet delectationem. Hæc autem non abs re posuit:

1. Reg. 15.

ſed quoniam ante captiuitatem decem tribus & duæ erant diſperſæ, ac diuiſæ, & id fuit cauſa multæ iniquitatis, cóſque ad ſeditiones, contentiones & bella impulit: ne hæc fierent, ſuadet & conſulit, ne populus amplius diſtrahatur, ſed ſimul habitet, & ſit coniunctus, & vni adminiſtratori & regi pareat, & charitas ab initio ad finem vſque diffluat tanquam ros omnes peruadens. Comparat autem charitatem vnguento & rori. Per illud quidem, ſuauitatem odoris: per hunc verò, quietem & delectationem viſus volens oſtendere.

4. *Quoniam illic mandauit Dominus benedictionem.* Vbinam? In tali habitatione, in tali concordia, in tali conſenſu, in tali contubernio. Hoc enim eſt benedictio, quemadmodum contrarium eſt maledictio. Quocirca hoc quoque laudat quiſpiam, dicens: Amicitia fratrum, & concordia proximorum, & vir & mulier ſecum conſentientes. Et alius vires eius ſignificans, dicit: Si duo dormierint, calor erit ipſis: & funiculus triplex non facile rumpetur. Nam & voluptatem hîc oſtendit, & vires: nempe quòd quieſcentibus magna erit voluptas, & magnæ erunt vires operantibus. Et rurſus, Frater à fratre adiutus eſt tanquam vrbs valida. Porrò autem Chriſtus quoque dicit, Vbi fuerint duo aut tres congregati in nomine meo, illic ſum in medio eorũ. Iam verò ipſa quoque hoc natura exigit. Quocirca ab initio Deus quoq. cùm hominẽ fingeret, dicebat: Non eſt bonum hominem eſſe ſolum. & cùm faceret hoc animal, mulierem inquam, propter neceſſitatem eam viro colligauit, mille modis nos inter nos coniungens. *Et vitam vſque in ſeculum.* Hoc pulchrè adiecit, Vbi enim eſt dilectio, illic eſt magna ſecuritas, & copioſum à Deo auxilium. Ea eſt mater bonorum, ea eſt fons & radix. Eá eſt bellorum exitium, contentionis interitus. Quocirca id ſignificans, ſubiunxit, & vitam vſque in ſeculum. Quemadmodum enim ſeditio & contentio mortem parit, eámque immaturam: ita etiam dilectio & conſenſio pacem & concordiam. Vbi autem eſt pax & concordia, vita eſt tutiſſima, & longè ſecuriſſima. Et quid opus eſt

Eccleſ.25.2 · *Eccleſ 4.12* · *Prou.18.19* · *Matth.18.20.* · *Geneſ.2.18* · *Charitas.* · *Rom 13.* · *Galat.5.*

ἀλλ᾽ ἐπειδὴ πρὸ τῆς αἰχμαλωσίας αἱ δέκα φυλαὶ καὶ δύο, διεσπαρμέναι ἦσαν, καὶ τοῦτο πολλῆς παρανομίας αἴτιον γέγονε, καὶ εἰς στάσεις, καὶ φιλονεικίας, καὶ πολεμίους αὐτοὺς ἐνέβαλεν, ἵνα μὴ ταῦτα γίνηται παραινεῖ, καὶ συμβουλεύει μηκέτι διεσπᾶσθαι τὸν δῆμον, ἀλλ᾽ ὁμοῦ κατοικεῖν, καὶ συνῆφθαι, καὶ ὑπὸ ἑνὶ τάττεσθαι δημαγωγῷ καὶ βασιλεῖ, καὶ τὴν ἀγάπην εἶναι ῥέουσαν ἀπ᾽ ἀρχῆς καὶ μέχρι τέλους, ὥσπερ οἷον καὶ τὴν δρόσον διὰ πάντων διαβαίνουσαν. καὶ παραβάλλει τὴν ἀγάπην μύρῳ καὶ δρόσῳ, δι᾽ ἐκείνου μὲν τὴν εὐωδίαν, διὰ τούτου δὲ τὴν ἀνάπαυσιν, καὶ τὸ τερπνὸν τῆς ὄψεως παραστῆσαι βουλόμενος. ὅτι ἐκεῖ ἐνετείλατο κύριος τὴν εὐλογίαν. ποῦ ἐκεῖ; ἐν τῇ τοιαύτῃ κατοικήσει, ἐν τῇ τοιαύτῃ συμφωνίᾳ, ἐν τῇ τοιαύτῃ ὁμοφωνίᾳ, ἐν τῇ τοιαύτῃ ὁμοσκηνίᾳ. καὶ γὰρ εὐλογία τοῦτό ἐστιν, ὥσπερ οὖν τὸ ἐναντίον ἀρά. διὸ καὶ τις ἐπαινεῖ τοῦτο λέγων, φιλία ἀδελφῶν καὶ ὁμόνοια τῶν πλησίον, καὶ γυνὴ καὶ ἀνὴρ ἀλλήλοις συμπεριφερόμενοι. καὶ ἕτερος αἰνιγματωδῶς αἰνιττόμενος τὸ ἰσχυρὸν αὐτῆς λέγει· ἐὰν κοιμηθῶσιν οἱ δύο, καὶ θέρμη αὐτοῖς, καὶ τὸ σπαρτίον τὸ ἔντριτον οὐ ταχὺ ἀπορραγήσεται. καὶ γὰρ τὴν ἡδονὴν ἐνταῦθα, καὶ τὴν ἰσχὺν ἐνδείκνυται, ὅτι καὶ ἡσυχάζουσι πολλὴ ἔσται ἡ ἡδονή, καὶ ἐνεργοῦσι πολλὴ ἡ ἰσχύς. καὶ πάλιν, ἀδελφὸς ὑπὸ ἀδελφοῦ βοηθούμενος ὡς πόλις ὀχυρά. καὶ ὁ Χριστὸς δέ φησιν, οὗ ἐὰν ὦσι δύο, καὶ τρεῖς συνηγμένοι εἰς τὸ ἐμὸν ὄνομα, ἐκεῖ εἰμι ἐν μέσῳ αὐτῶν. καὶ αὐτὴ δὲ ἡ φύσις τοῦτο ἀπαιτεῖ. διὸ καὶ ἐξ ἀρχῆς ὁ Θεὸς τὸν ἄνθρωπον διαπλάττων ἔλεγεν, οὐ καλὸν τὸν ἄνθρωπον εἶναι μόνον, καὶ ποιῶν τὸ ζῶον τοῦτο, τὴν γυναῖκα λέγω, τῇ τῆς χρείας ἀνάγκῃ συνέδησεν ἀνδρὶ διὰ μυρίων τρόπων ἡμᾶς πρὸς ἀλλήλους συνάγων. καὶ ζωὴν ἕως τοῦ αἰῶνος. ἔνθα γὰρ ἡ ἀγάπη, πολλὴ ἡ ἀσφάλεια, πολλὴ ἡ παρὰ τοῦ Θεοῦ ῥοπή. αὕτη γὰρ μήτηρ τῶν ἀγαθῶν, αὕτη ῥίζα καὶ πηγή, αὕτη πολέμων ἀναίρεσις, φιλονεικίας ἀφανισμός. διὸ καὶ τοῦτο δηλῶν ἐπήγαγε καὶ ζωὴν ἕως τοῦ αἰῶνος. ὥσπερ γὰρ ἡ στάσις καὶ ἡ φιλονεικία θανάτους ἐργάζεται, καὶ θανάτους ἀώρους· οὕτω καὶ ἡ ἀγάπη καὶ ὁμόνοια ὠδίνει εἰρήνην, καὶ ὁμόνοιαν. ὅπου δὲ εἰρήνη καὶ ὁμόνοια, τὰ τῆς ζωῆς μετὰ ἀδείας ἐστί, καὶ μετὰ ἀσφαλείας ἁπάσης. καὶ τί δεῖ λέ-

ἔχειν τὰ παρόντα; τὸν γὰρ οὐρανὸν ἡμῖν αὕτη χαρίζεται, καὶ τὰ ἀπόρρητα ἀγαθὰ, καὶ βασιλίς ἐστι τῶν ἀρετῶν. Τοῦτ' οὖν εἰδότες μετ' ἀκριβείας αὐτὴν διώκωμεν, ἵνα καὶ τῶν παρόντων ἀπολαύσωμεν ἀγαθῶν, καὶ τῶν μελλόντων, ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

A dicere præsentia? Ea enim nobis cœlum largitur, & bona ineffabilia, & est regina virtutum. Hæc ergo cùm sciamus, eam diligentes persequamur, vt & præsentibus bonis fruamur, & futuris. Quę detur nobis omnibus assequi gratia & benignitate domini nostri Iesu Christi, cum quo Patri gloria simul cum sancto Spiritu in secula seculorum, Amen.

Ioan. 14. 2. Cor. 13.

Εἰς τὸν ρκγ' ψαλμόν.

B

Ἰδοὺ δὴ εὐλογεῖτε τὸν κύριον πάντες οἱ δοῦλοι κυρίου, οἱ ἑστῶτες ἐν οἴκῳ κυρίου.

IN PSALMVM CXXXIII.

Ecce nunc benedicite Dominum omnes serui Domini, qui statis in domo Domini.

ΕΝΤΑΥΘΑ κατέλυσε τοὺς περὶ τῶν ἀναβαθμῶν ψαλμοὺς, εἰς καλὸν τέλος κατακλείσας τὸν λόγον, εὐφημίαν τε καὶ εὐλογίαν. δούλους δὲ κυρίου βούλεται εἶναι οὐ κατὰ τὰ δόγματα μόνον, ἀλλὰ καὶ κατὰ τὴν τῆς πολιτείας ἀκρίβειαν, διὸ καὶ προσέθηκεν, οἱ ἑστῶτες ἐν οἴκῳ κυρίου, ἐν αὐλαῖς οἴκου τοῦ Θεοῦ ἡμῶν. τὸν γὰρ ἀκάθαρτον, καὶ βέβηλον, οὐδὲ ἐπιβῆναι τῶν ἱερῶν περιβόλων θέμις. ὥστε εἴ τις ἄξιός ἐστιν ἐπιβαίνειν, καὶ εὐλογεῖν ἄξιός ἐστιν. ὁ γὰρ οἶκος τοῦ Θεοῦ τῷ οὐρανῷ ἔοικε, καὶ καθάπερ ἐκεῖ τῶν ἀντικειμένων δυνάμεων μηδεμίαν ἐπιβῆναι θέμις, οὕτως οὐδὲ ἐν τῷ οἴκῳ τοῦ Θεοῦ. ἐννόησον ἡλίκης ἀπολαύεις τῆς ἀξίας ἄνθρωπε, ὅπου γε καὶ αὐτὸς ἐγένου ναὸς, ὅσην δίκαιος ἂν εἴης παρέχειν καθαρότητα. πῶς δ' ἂν παράσχοις τὴν καθαρότητα; εἰ πάντα λογισμὸν πονηρὸν ἐκβάλοις, εἰ διαβολικαῖς ἐνεργείαις ἄβατον ποιήσῃς τὸ χωρίον τῆς διανοίας. εἰ καθάπερ ἐν ἀδύτοις ἁγίοις ἀθρόεις καλλωπίζων τὴν διάνοιαν τὴν σαυτοῦ. εἰ γὰρ ἐπὶ τοῦ ναοῦ τοῦ Ἰουδαϊκοῦ οὐ πᾶς τόπος ἅπασιν ἦν βατὸς, ἀλλὰ πολλοὶ καὶ διάφοροι διορισμοὶ, καὶ ὁ μὲν τοῖς προσηλύτοις, ὁ δὲ τοῖς ἐξ ἀρχῆς Ἰουδαίοις, ὁ δὲ τοῖς ἱερεῦσιν, ὁ δὲ τῷ ἀρχιερεῖ μόνῳ, καὶ οὐδὲ τούτῳ ἀεὶ, ἀλλ' ἅπαξ τοῦ ἐνιαυτοῦ, πόσης ἐννόησον ἁγιωσύνης σοι δεῖ τῷ πολλῷ μείζονα

C D

PSALMOS de gradibus hic absoluit, oratione pulchro fine conclusa, laude scilicet & benedictione. Vult autem esse Dei seruos non solum in dogmatibus, sed etiam in accurata vitæ institutione. Et ideo adiecit, Qui statis in domo Domini, *In atriis domus Dei nostri*. Eum enim qui est impurus & prophanus, nefas est sacrosancta septa ingredi. Quamobrem si quis dignus est qui ingrediatur, is quoque dignus est qui benedicat. Domus enim Dei est cœlo similis: & quemadmodum ex aduersariis potestatibus nullam fas est illuc intrare, ita nec in domum Dei. Considera ô homo quantam dignitatem assequeris: & cùm tu ipse quoque templum factus sis, quanta à te iure sit præstanda puritas. Quomodo autem præstiteris puritatem? si omnem malam cogitationem expuleris, si feceris vt ad mentis prædium diabolicis actionibus nullus pateat aditus, si tanquam in sanctis adytis perpetuò tuum animum exornes. Si enim in templo Iudaico non licebat omnibus quęuis locum ingredi: sed erant multa & varia discrimina, & erat hic quidem locus pręstitutus proselytis, ille verò Iudæis qui fuerant ab initio, alius autem sacerdotibus, alius verò pontifici soli, idque non semper, sed semel in anno: cogita apud te quanta tibi sanctitate

15. Graduū clausula, laus & benedictio.

1. Cor. 3. 6. 2. Cor. 6.

2. Paral. 2 Hebr. 9.

opus sit, qui signa multò maiora acceperis, quàm qui sancta sanctorum tunc acceperint. Neque enim Cherubim, sed ipsorum Cherubim dominum habens inhabitantem, neque vrnam, & manna, & tabulas lapideas, & virgam Aaron, sed corpus & sanguinem dominicum, & spiritum pro litera, & gratiam, quæ superat humanam cogitationem, & donum inenarrabile. Quo autem maioribus signis ac symbolis & magis venerandis sacramentis dignatus es, eò maior est à te præstanda sanctitas, & eò eris maiori obnoxius supplicio, si quæ iussa sunt transilieris. 3. *In noctibus extollite manus vestras in sancta.* Alius, sanctè. Alius, sacrosanctè. *Et benedicite Dominum.* Cur dicit, In noctibus extollite manus vestras? Docens nos non eam totam in somno consumere, & ostendens puriores tunc esse preces, quando & mens est leuior, & nobis est plus otij. Quòd si in nocte oportet ad sancta accedere, considera quámnam consequetur veniam, qui ne domi quidem illo tempore preces fundit. Propheta quidem te è lecto excitat, & deducit in templum, iubens totam illic noctem agere: at tu ne domi quidem manens hoc facis. Pulchrè autem dixit, sanctè, docens esse orandum absque malis cogitationibus, absque odio & maleuolentia absque auaritia, absque vllo alio eiusmodi peccato, quod affert animæ exitium. Et benedicite dominũ. Hoc est enim maximè perfecta benedictio, quando verborum & vitæ fuerit numerosus concentus, & per opera Deum gloria & honore affeceris, vt vult Euangelium. Quidnam dicens? Luceat lux vestra coram hominibus, vt videant opera vestra bona, & glorificent patrem vestrum, qui est in cœlis. 4. *Benedicat te Dominus ex Sion, qui fecit cœlum & terram.* Hoc est, Si hæc feceris, consequêris quoque Dei benedictionem, si pernoctes, si sanctè ores, si sis dignus stare in domo Domini, si teipsum templum aptum præbueris. Postquam ergo ea qua oportuit exhortatione vsus est, precatione concludit orationem. Hoc est enim optimi doctoris, & consilio auditorem dirigere, & precibus confirmare, robustúmque reddere. Quid sibi vult per hoc quod dicit, Ex Sion? Erat eis nomen desiderabile, sacrique omnes ritus & sa-

Hebr. 9. 1. Cor. 11. 2. Cor. 3. Iob. 1.

Attende Zuingliane.

Psal. 76. 118. Act. 16. Nox non tota somno consumenda.

Benedictio. Esa. 1. Ezech. 3.

Matth. 5.

2. Paral. 6. 7.

A σύμβολα δεξάμενος, ὧν ἐδέξαντο τὰ ἅγια τῶν ἁγίων τότε. οὐ γὰρ Χερουβὶμ ἔχεις, ἀλλ' αὐτὸν τὸν τῶν Χερουβὶμ δεσπότην ἔχεις ἐνοικοῦντα, οὐδὲ στάμνον, καὶ μάννα, καὶ πλάκας λιθίνας, καὶ ῥάβδον Ἀαρών, ἀλλὰ σῶμα καὶ αἷμα δεσποτικόν, καὶ πνεῦμα ἀντὶ τοῦ γράμματος, καὶ χάριν ὑπερβαίνουσαν λογισμὸν ἀνθρώπινον, καὶ δωρεὰν ἀνεκδιήγητον. ὅσῳ δὲ μειζόνων ἠξιώθης συμβόλων, καὶ φρικτῶν μυστηρίων, τοσούτῳ μείζονος εἶ ὑπεύθυνος τῆς ἁγιωσύνης, καὶ πλείονος κολάσεως, εἰ παραβαίνοις τὰ ἐπιτεταγμένα. ἐν ταῖς νυξὶν ἐπάρατε τὰς χεῖρας ὑμῶν εἰς τὰ ἅγια. ἕτερος ἁγίως. ἄλλος, ἡγιασμένως. καὶ εὐ-

B λογεῖτε τὸν κύριον. διὰ τί φησιν, ἐν νυξί; παιδεύων ἡμᾶς μὴ τὴν πᾶσαν αὐτὴν εἰς ὕπνον δαπανᾷν, καὶ δεικνὺς τότε καθαρωτέρας εἶναι τὰς εὐχάς, ὅτε καὶ κουφότερος ὁ νοῦς, καὶ πλείων ἡ σχολή. εἰ δὲ ἐν νυκτὶ παραγίνεσθαι εἰς τὰ ἅγια δεῖ, ἐννόησον ποίας τεύξεται συγγνώμης ὁ μηδὲ οἴκοι κατὰ τὸν καιρὸν ἐκεῖνον εὐχὰς ἐπιτελῶν. ὁ μὲν γὰρ προφήτης ἀνίστησί σε ἀπὸ τῆς κλίνης, καὶ πρὸς τὸν ναὸν ἄγει κελεύων ἐνταῦθα διανυκτερεύειν· σὺ δὲ οὐδὲ οἴκοι καθήμενος τοῦτο

C ποιεῖς. καλῶς δὲ εἶπεν ἁγίως, δηλῶν ὅτι χωρὶς διαλογισμῶν πονηρῶν εὔχεσθαι δεῖ, χωρὶς μνησικακίας, χωρὶς πλεονεξίας, χωρὶς ἄλλης τινὸς τοιαύτης ἁμαρτίας λυμαινομένης τὴν διάνοιαν. καὶ εὐλογεῖτε τὸν κύριον. τοῦτο γὰρ μάλιστά ἐστιν εὐλογία ἠκριβωμένη, ὅταν μετὰ τῶν ῥημάτων, καὶ ὁ βίος σύμφωνα φθέγγηται, καὶ διὰ τῶν ἔργων δοξάσῃς τὸν ποιήσαντά σε Θεόν κατὰ τὸ εὐαγγέλιον ὅ λέγει, λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσι τὰ καλὰ ἔργα ὑμῶν, καὶ δοξάσωσι τὸν

D πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς. εὐλογήσαι σε κύριος ἐκ Σιών, ὁ ποιήσας τὸν οὐρανὸν καὶ τὴν γῆν. τουτέστιν, ἂν ταῦτα ποιῇς, τεύξῃ καὶ τῆς παρὰ τοῦ Θεοῦ εὐλογίας, ἂν διανυκτερεύῃς, ἂν εὔχῃ ἁγίως, ἂν ἄξιος ᾖς τοῦ ἑστάναι ἐν τῷ οἴκῳ κυρίου, ἂν σαυτὸν ναὸν ἐπιτήδειον παράσχῃς. παραινέσας τοίνυν ὡς ἐχρῆν, λοιπὸν εἰς εὐχὴν κατακλείει τὸν λόγον. τοῦτο γὰρ ἀρίστου διδασκάλου, καὶ τῇ συμβουλῇ διορθοῦν τὸν ἀκροατήν, καὶ ταῖς εὐχαῖς νευροῦν. τί βούλεται δηλοῦν, διὰ τοῦ εἰπεῖν, ἐκ Σιών; ποθεινὸν αὐτοῖς τὸ ὄνομα ἦν, καὶ ἐκεῖ τῆς ἁγιστείας ἁπάσης ἡ πρόθεσις

ἐτελεῖτο. διὰ δὴ τοῦτο ἐπεύχεται αὐτοῖς ἀπολαβεῖν τὴν προτέραν πολιτείαν, καὶ ἐν ἐκείνῃ γενέσθαι τῇ ἁγιαστίᾳ, καὶ ταύτης ἀπολαύειν τῆς εὐλογίας. εἶτα εἰς ὑψηλότερα αὐτοὺς ἀνάγων δόγματα, καὶ παιδεύων, ὅτι πανταχοῦ ὁ Θεός ἐστι, τὸν δὲ ναὸν διὰ τὴν ἐκείνων ἀσθένειαν ἐνομοθέτησεν οἰκοδομηθῆναι, καὶ δεῖ πανταχόθεν αὐτὸν καλεῖν, ἐπήγαγε, ὁ ποιήσας τὸν οὐρανὸν, καὶ τὴν γῆν. ἀλλ' ἐκεῖνοι μὲν τότε αὐτὸν ἐκάλουν ἐκεῖ, ἡμεῖς δὲ ἐν παντὶ τόπῳ, ἐν παντὶ χωρίῳ, καὶ ἐν οἰκίᾳ, καὶ ἐν ἀγορᾷ, καὶ ἐν ἐρημίᾳ, καὶ ἐν πλοίῳ, καὶ ἐν πανδοχείῳ, καὶ ὅπουπερ ἂν ὦμεν. οὐδὲν γὰρ ἀπὸ τοῦ τόπου κωλύεται τὰ τῆς εὐχῆς, μόνον ἐὰν ὁ τρόπος ἢ τῇ εὐχῇ συμβαίνων. τοῦτο τοίνυν κατορθώσαντες, πανταχοῦ τὸν Θεὸν καλῶμεν, καὶ παραστήσεται, καὶ συνεφάψεται, καὶ πάντα ἡμῖν τὰ δύσκολα εὔκολα καὶ ῥᾴδια ἐργάσεται, καὶ τῶν μελλόντων ἡμᾶς ἀγαθῶν ἀξιώσει, ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

A crosanctæ ceremoniæ illic peragebantur, & ideo precatur vt recuperent priorem statum religionis, illósque sacros ritus & sacra illa peragant, & consequantur benedictionem. Deinde eos sustollens ad altiora dogmata, & Deum vbique esse docens, iussisse autem templum ædificari propter illorum imbecillitatem, & oportere eum vndique inuocare, subiunxit, Qui fecit cœlum & terram. Sed illi quidem eum tunc illic inuocabant, nos autem in omni loco, in omni agro, in domo, in foro, in solitudine, in naui, & in di- B uersorio, & vbicunque fuerimus. A loco enim non prohibentur preces, modò sint mores, qui precibus conueniant. Postquam ergo in hac re nos rectè gesserimus, Deum vbique inuocemus, & aderit, nósque adiuuabit, & quæcunque sunt nobis difficilia, facilia reddet & expedita, & nos bonis futuris dignabitur. Quæ detur nobis omnibus consequi, gratia & benignitate domini nostri Iesu Christi, cui gloria & potentia nunc, & semper, & in secula seculorum, Amen. C

Malach. 1. 1. Tim. 2.

Preces à loco nō prohibentur.

Εἰς τὸν ρκδ' ψαλμόν.

Αἰνεῖτε τὸ ὄνομα κυρίου, αἰνεῖτε δοῦλοι κύριον. οἱ ἑστῶτες ἐν οἴκῳ κυρίου, ἐν αὐλαῖς οἴκου Θεοῦ ἡμῶν. αἰνεῖτε τὸν κύριον, ὅτι ἀγαθὸς κύριος.

ΠΑΛΙΝ ἐπὶ τὴν θυσίαν ταύτην αὐτοὺς παρακαλεῖ τὴν διὰ τῶν αἴνων, καὶ γὰρ θυσία τοῦτο τῷ Θεῷ καὶ προσφορά. διὸ καὶ ἀλλαχοῦ φησιν· αἰνέσω τὸ ὄνομα τοῦ Θεοῦ μου μετ' ᾠδῆς, μεγαλυνῶ αὐτὸν ἐν αἰνέσει, καὶ ἀρέσει τῷ Θεῷ ὑπὲρ μόσχον νέον, κέρατα ἐκφέροντα καὶ ὁπλάς. συνεχῶς δὲ μέμνηται τοῦ οἴκου, καὶ τῶν αὐλῶν προσηλῶν αὐτοὺς τῷ τόπῳ, καὶ οὐκ ἐῶν ἀποπηδᾶν· ἐπειδὴ καὶ παρὰ τὴν ἀρχὴν διὰ τοῦτο αὐτὸν ἐνομοθέτησεν ἀνεγείρειν, ὥστε πάσης ἀσεβείας τε, καὶ εἰδωλολατρείας ἀναίρεσιν αὐτοῖς γενέσθαι τὸ πρὸς ἕνα τόπον πάντας συνάγεσθαι, ἀλλὰ μὴ

In Psalmvm cxxxiiii.

Laudate nomen Domini, laudate serui Dominum. 2. Qui statis in domo Domini, in atriis domus Dei nostri. 3. Laudate Dominum, quoniam bonus est.

D AD hoc rursus hortatur sacrificium, quod fit per laudes. Hoc est enim Deo sacrificium & oblatio. Et ideo alibi quoque dicit: Laudabo nomen Dei mei cum cantico, magnificabo eum in laudatione, & placebit Deo super vitulum nouum cornua producentem & vngulas. Loci autem & atriorum assiduè meminit, eos loco affigens, & non finens resilire, quandoquidem in principio quoque ipsum ideo iussit extruere, vt omnis impietatis & simulachrorum interitus causa esset, quòd omnes in vnum locum cogerentur, & non liberè & effusè

Psal. 64. Deut. 12. 16.

vagarentur, nec nemora, fontes, montes & colles vsurparent & converterent in occasionem impietatis, illic sacrificantes, & libantes in excelsis. Quocirca cum quoque morte damnat qui extra templum sacrificat, dicens: Qui non obtulerit in tabernaculo, & sacrificauerit, sanguis ei imputabitur. Ea de causa eos vndiquaque illuc in vnum locum cogit, vt audientes, se modestè & temperatè gerant, à falsáque & errονea cogitatione abstineant. Iubet autem eos canere, psallere, & laudare, quòd quæ Deo fiebant laudes, erant eis occasio pietatis, dum continerent veteres narrationes, eas nempe quæ in Ægypto, quæ in solitudine, quæ in terra promissionis facta sunt, quomodo lex lata sit, quæ gesta sunt in monte Sina, & quænam bella confecerunt: simúlque vno & eodem tempore & Deus laude afficiebatur, & qui canebant, argumentum doctrinæ capiebant, quæ & vitam eorum componebat, & ad perfecta dogmata deducebat. Laudate Dominum, quoniam bonus. Alius, Quoniam benignus est. Quod est iis qui audiunt maxime expetendum, hoc ponit assiduè, humanitatem, misericordiam, benignitatem. *Psallite nomini eius, quoniam suaue est.* Hoc dicit ostendens rem ipsam habere quandam vel per se voluptatem vnà cum vtilitate. Principale etiam eius lucrum est, ad Deum hymnos dicere, animam expurgare, cogitationem in altum extollere, vera & accurata dogmata discere, de præsentibus & futuris philosophari. Habet autem cum his per melodiam & multam voluptatem, & consolationem aliquam & recreationem, & facit eum qui canit, grauem & venerandum. Quòd autem tales efficit, clarum est ex eo quòd alter quidem interpres dicit, *Decorum.* Alter verò, *Suaue.* Ambo autem vera dicunt. Nam licet sit millies petulans is qui canit, dum psalmum reueretur, sopit tyrannidē suæ petulantiæ: licet sit oppressus malis innumerabilibus, & ab ægritudine animi occupetur, dum demulcetur à voluptate, leuat animum, extollit cogitationem, & mentem sublimè euehit. 4. *Quoniam Iacob elegit sibi dominus: Israel in possessionem sibi.* Non dicit beneficia quæ sunt eis cum aliis communia, sed quod

Deut. 12.

1. Reg. 10.

Psalmodia vtil.

A ἀπαυθαδιαζομένους καὶ ἐλευθεριάζοντας πανταχοῦ πλανᾶσθαι, καὶ ἄλση, καὶ πηγάς, καὶ βουνούς, καὶ ὄρη ὑπόθεσιν λαμβάνειν εἰς ἀσεβείας ἀφορμήν, θύοντας ἐκεῖ, καὶ σπένδοντας ἐπὶ τῶν ὑψηλῶν, διὰ δὴ τοῦτο καὶ φόνῳ κρίνει τὸν ἔξω που θύοντα τοῦ ναοῦ, λέγων· ὃς ἂν μὴ ἐνέγκῃ εἰς τὴν σκηνὴν καὶ θύσῃ, αἷμα αὐτῷ λογισθήσεται. διὰ ταύτην χάριν πανταχόθεν αὐτοὺς εἰς τὸν τόπον ἐκεῖ συνάγει, ἵνα καὶ ἄκοντες σωφρονῶσι, καὶ τῆς πεπλανημένης ἀπέχωνται διανοίας, ᾄδειν δὲ καὶ ψάλλειν παρακελεύεται καὶ αἰνεῖν. ὅτι οἱ αἶνοι οἱ εἰς τὸν Θεὸν γινόμενοι, καὶ εὐσεβείας ἦσαν ὑποθέσεις B αὐτοῖς τὰ παλαιὰ ἔχοντες διηγήματα, τὰ ἐν Αἰγύπτῳ, τὰ ἐν τῇ ἐρήμῳ, τὰ ἐν τῇ γῇ τῆς ἐπαγγελίας, τὰ περὶ τοῦ νόμου, τὰ ἐν τῷ Σινᾶ ὄρει, τὰ τῶν πολέμων, καὶ τὸ αὐτὸ ὁμοῦ τε εἰς τὸν Θεὸν εὐφημία ἐγίνετο, ὁμοῦ τε τοῖς ᾄδουσι διδασκαλίας ὑπόθεσις, καὶ τὸν βίον ῥυθμίζουσα, καὶ πρὸς δογμάτων ἀκρίβειαν χειραγωγοῦσα. αἰνεῖτε τὸν κύριον, ὅτι ἀγαθὸς κύριος. ἄλλος φησίν, ὅτι χρηστός. ὅπερ μάλιστα τοῖς ἀκούουσι ποθεινόν, τοῦτο συνεχῶς τίθησι, τὴν φιλανθρωπίαν, τὸν ἔλεον, τὴν χρηστότητα. ψάλατε C τῷ ὀνόματι αὐτοῦ, ὅτι καλόν. τοῦτό φησι δεικνὺς ὅτι ἔχει τινὰ καὶ καθ' ἑαυτὸ ἡδονὴν τὸ πρᾶγμα μετὰ τῆς ὠφελείας. τὸ μὲν γὰρ κέρδος αὐτοῦ τὸ προειρημένον, τὸ εἰς τὸν Θεὸν ὕμνους λέγειν, τὸ τὴν ψυχὴν ἐκκαθαίρειν, τὸ μετάρσιον ποιεῖν τὸν λογισμόν, τὸ παιδεύεσθαι δόγματα ἀκριβῆ, τὸ φιλοσοφεῖν περὶ τῶν παρόντων, καὶ περὶ τῶν μελλόντων. ἔχει δὲ μετὰ τούτων διὰ τῆς μελῳδίας, καὶ ἡδονὴν πολλὴν καὶ παραμυθίαν τινὰ καὶ ἄνεσιν, καὶ σεμνὸν ποιεῖ τὸν ᾄδοντα. καὶ ὅτι τοιούτους ἐργάζεται δῆλον ἐκ D τοῦ τὸν μὲν τῶν ἑρμηνευτῶν εἰπεῖν, ὅτι εὐπρεπές, τὸν δέ, ὅτι ἡδύ. ἀμφότεροι δὲ τὰ ἀληθῆ λέγουσι. κἂν γὰρ μυριάκις ἀσελγὴς ὁ ψάλλων ᾖ, αἰδούμενος τὸν ψαλμόν, καταχοιμίζει τῆς ἀσελγείας τὴν τυραννίδα, κἂν μυρίοις ᾖ κακοῖς βεβαρημένος, καὶ ὑπὸ ἀθυμίας κατεχόμενος, κατακηλούμενος ὑπὸ τῆς ἡδονῆς κουφίζει τὸν λογισμόν, πτεροῖ τὴν διάνοιαν, καὶ μετάρσιον ἐργάζεται τὴν ψυχήν. ὅτι τὸν Ἰακὼβ ἐξελέξατο ἑαυτῷ ὁ κύριος, Ἰσραὴλ εἰς περιουσιασμὸν ἑαυτῷ. οὐ λέγει τὰς κοινὰς εὐεργεσίας, ἃς μετὰ τῶν ἄλλων ἔχουσιν, ἀλλὰ τὴν

ἰδίαν καὶ ἐξαίρετον αὐτῶν. τίς δὲ αὕτη ἦν; τὸ τὸν A λαὸν ἐκλέξασθαι, καὶ ἑαυτοῦ ἀναθεῖναι, καὶ ἰδιάζουσάν τινα παρὰ τοὺς ἄλλους, καὶ εἰς αὐτοὺς πρόνοιαν ἐπιδείξασθαι, καὶ πολλαχοῦ τοῦτο ποιοῦσιν οἱ προφῆται ἀπὸ τῶν εἰς ἑαυτοὺς εὐεργεσιῶν τὰ πολλὰ τῶν λόγων ὑφαίνοντες. τί δέ ἐστιν εἰς περιουσιασμὸν ἑαυτοῦ; εἰς πλοῦτον, εἰς περιουσίαν. εἰ γὰρ καὶ ὀλίγον τὸ ἔθνος, ἀλλὰ τοῦτον ὡς πλοῦτον ἑαυτῷ ἐξελέξατο, οὐ τῇ ὀλιγότητι, ἀλλὰ τῇ ἀρετῇ προσέχων, πρὸς ἣν αὐτοὺς χειραγωγῆσαι βουλόμενος ἐκλέγεται, ὡς τῶν ἄλλων ἀνθρώπων οὐ τοσοῦτον αὐτῷ ποιούντων B πλοῦτον, ὅσον οὗτος ὁ δῆμος, ὡς τοῦτο καὶ γέγονεν ἀπό τε τῆς εὐνοίας τοῦ ἑλομένου ἀπό τε τῆς παιδαγωγίας αὐτῶν. οἶδε γὰρ πλοῦτον ὁ Παῦλος τὴν σωτηρίαν τῶν ἀνθρώπων καλεῖν, ὡς ὅταν λέγῃ· ὁ γὰρ αὐτὸς κύριος πλουτῶν εἰς πάντας, καὶ ἐπὶ πάντας τοὺς ἐπικαλουμένους αὐτὸν, καὶ πάλιν, τῷ ἰδίῳ κυρίῳ στήκει ἢ πίπτει. ὁρᾷς πῶς τὴν ἀγάπην ἐνεδείξατο τοῦ Θεοῦ τὴν περὶ αὐτοὺς, τὴν πρόνοιαν, τὴν κηδεμονίαν, τὴν διάθεσιν; ὅπου γε περιουσιασμὸν αὐτοὺς ἐκάλεσε. δι' ἀμφοτέρων τοίνυν τούτων δείκνυσιν αὐτοῦ τὴν ἐξαίρετον περὶ αὐτοὺς πρόνοιαν, ὅτι C τε ἐξελέξατο, ὅτι τε εἰς περιουσιασμὸν ἑαυτοῦ. εἶδες πῶς ἀπέδειξεν ἑαυτοῦ τὴν φιλανθρωπίαν; διὰ τοῦτο ἀρχόμενος ἔλεγεν, αἰνεῖτε αὐτὸν, ὅτι ἀγαθὸς κύριος, ὅτι ἐγὼ ἔγνωκα, ὅτι μέγας ὁ κύριος. ἰδοὺ καὶ ἄλλην αἰτίαν τίθησι τῆς ὑμνῳδίας. εἰπὲ δέ μοι, σὺ ἔγνωκας, οἱ δὲ ἄλλοι οὐκ ἴσασιν; ἴσασι μὲν, οὐχ οὕτως δὲ ὡς ἐγώ. τῶν γὰρ μάλιστα ἁγίων, καὶ ἀναβεβηκότων ἐστὶ, τὸ ἀκριβέστερον εἰδέναι αὐτοῦ τὴν μεγαλωσύνην, οὐ πᾶσαν, ὅτις ἐστὶ, τοῦτο γὰρ ἀδύνατον, ἀλλὰ τῶν ἄλλων σαφέστερον. καὶ ὁ κύριος ἡμῶν παρὰ πάντας τοὺς Θεούς. ἰδοὺ, D φησιν, ὁ εἰπὼν ὅτι μέγας κύριος, καὶ ὅτι σὺ ἔγνωκας, προϊὼν ἐλαττοῖ τὸν λόγον, καὶ συγκρίνει αὐτὸν τοῖς ἄλλοις, καὶ κατὰ σύγκρισιν αὐτῷ δίδωσι τὴν ὑπεροχήν. οὐδαμῶς, φησιν, ἀλλὰ πρὸς τὴν ἀσθένειαν τῶν ἀκουόντων τότε διελέγετο, κατὰ μικρὸν αὐτοὺς ἀναβιβάζων ἐπὶ τοῦτο. οὐ σφόδρα γὰρ παρασταλτικὸν τοῦτο τῆς μεγάλης τὸ μείζονα τὸν Θεὸν λέγεσθαι, καὶ ὑπὲρ ἐκείνους εἶναι μέγαν. ἀλλ', ὅπερ ἔφθην εἰπὼν, συμμετρεῖ τὸν λόγον ἐν τῇ εὐτελείᾳ τῶν ἀκροατῶν κατὰ μικρὸν αὐτοὺς ἀνάγων. καὶ γὰρ ἀγαπητὸν ἦν αὐτοὺς τέως τοῦτο

A est eorum proprium & eximium. Quódnam autem erat hoc? Quòd dominus populum eum elegit, & sibi dedicauit, & præter alios peculiarem quandam in eos ostendit beneuolentiam. Id autem faciunt vbique prophetæ, ex beneficiis in se collatis permulta quæ ab eis dicuntur componentes. Quid est autem, In possessionem sibi? In opes, in facultates. Etsi enim sit populus exiguus, cum tanquam diuitias elegit, non paucitatem, sed virtutem attendens, ad quam eos volens deducere elegit, eò scilicet quòd B alij homines non tantas ei opes parent, quantas hic populus, quum hoc etiam fuit, & ex eius qui illum elegit beneuolentia, & ex eorum institutione. Solet enim Paulus quoque appellare diuitias salutem hominum, vt quando dicit: Idem enim dominus, qui est diues in omnes, & super omnes qui inuocant ipsum. Et rursus, Domino suo stat, aut cadit. Vides quomodo ostendit Dei in eos beneuolentiam, prouidentiam, curam, affectionem, cùm eos vocauerit possessionem. Per hæc vtraque ergo ostendit eximiam in eos proC uidentiam, & quòd elegerit, & quòd in suam possessionem. Vidisti quomodo ostenderit eius humanitatem, & ideo incipiens dixit, Laudate Dominum, quia bonus est dominus. 5. *Quia ego cognoui, quòd magnus est dominus.* Ecce aliam affert laudandi causam. Dic mihi autem rogo. Tu nosti, alij verò non norunt? Norunt quidem, sed non ita vt ego. Est enim valde sanctorum, & eorum qui plurimum ascenderunt, accuratius eius cognoscere maiestatem, non quidem quænam sit vniuersa (hoc enim fieri non potest) sed aliis apertius. *Et Deus noster præ omnibus diis.* Ecce, D inquit, qui dicit magnũ esse dominum, & se id nouisse, procedens, ei quod dixerat, detrahit, & eum cõfert cum aliis, & per comparationem ei excellentiam tribuit. Nequaquam, inquit, sed tunc loquebatur habens rationem eorum, qui audiebant, paulatim eos ad id deducens. Neque enim hoc admodum magnum eum ostendit, quòd dicatur esse maior, & magnus præ illis: sed, sicut dixi, moderatur orationem humilitate auditorum, eos paulatim sustollens. Bene enim tunc cum eis agebatur, quòd hæc audiuissent, & persuasa

Iudaici populi electio. Exod. 19. Deut. 7.26

Salus hominum, diuitiæ Dei. Rom. 10.12

Rom. 14.4.

Ioh. 11. Rom. 11. 1. Tim. 6.

haberent. Quòd enim omnes citra vllam comparationem superat, ostendit per ea quæ sequuntur, afferens maximum argumentum eius potentiæ, & ostendens se priora dixisse propter imbecillitatem auditorũ: & ideo quando tantum enunciat, parua dicit: quando autem confirmat, & demonstrat, & eius maiestatis affert probationem, magna dicit. Quid ergo postea adducit, quod sit eo dignum, & quod sit Dei tantum? Vide: subiungit enim, 6. *Omnia quæcunque voluit Dominus fecit in cœlo & in terra, in mari & in omnibus abyssis.* Vidisti potentiam cui nihil omnino deest? Vidisti fontem vitæ? Vidisti vires inexpugnabiles? Vidisti excellentiam omnino incomparabilem? Vidisti potestat quæ nullo modo prohibetur? Vidisti ei omnia expedita & facilia? Omnia enim, inquit, quæcunque voluit fecit. Dic, vbinam? In cœlo & in terra. Hoc est, Non hîc solùm, sed etiã in cœlo. Nõ in cœlo solùm, sed etiam in terra. Non solum in terra, sed etiam in mari & in omnibus abyssis. Per abyssum enim dicit quę sunt infra terram, quemadmodum dicendo, In cœlo, ea quæ sunt super cœlos. Vnde cùm tot & tanta sint, voluntas eius nequaquam impeditur, sed omnia peruadit, & quod est admirabile, is qui ea fecit, non negocio vllo nec labore, non iussu, sed voluntate fecit. Solum enim voluit, & opus statim consecutum est. Vidisti quomodo ostenderit quàm facilia, explicata, ac copiosa fuerint eius opera, & quomodo eius potestas prohiberi non poterat? Deinde mittens dicere de cœlo, & terra, & mari, affert ea quæ sunt in eis, sed nec omnia quidem quæ sunt in eis, sed cùm prætermisisset ea quæ sunt in cœlo, etsi sint admirabiliora, dicit ea quæ sunt circa cœlum. Qua de re? Quoniam illa quidem etsi magna essent, erant tamen multis ignota: hæc autem licet minora, cernebantur, & omnes habebant spectatores. Quoniam ergo verba faciebat apud homines, qui non adeò fide ducuntur ad ea cogitanda quę non apparent, sicut ex iis quæ apparent, veluti manu deducuntur: ab iis incipit texere orationem, & doctrinam, quod aliis faciendum suadet hoc ipsum faciens. Quódnam hoc? Deum ex eius operibus laudare, & bonis eum verbis prosequi, vnumquodque eorum quæ

Esa. 46. 50
Dan. 4.
Rom. 9.
Ephes. 1.
Iacob. 1.

A ἀκοῦσαι, καὶ πεισθῆναι. ἐπεὶ ὅτι πάντων ἀσυγκρίτως ὑπερέχει, διὰ τῶν ἑξῆς δηλοῖ, τεκμήριον αὐτοῦ τῆς δυνάμεως τιθεὶς μέγιστον, καὶ δηλῶν, ὅτι καὶ τὰ πρότερα διὰ τὴν ἀσθένειαν τῶν ἀκροατῶν εἴρηται· διά τοι τοῦτο ὅταν μὲν ἀποφαίνηται, μικρὰ λέγει· ὅταν δὲ κατασκευάζῃ καὶ ἀποδεικνύῃ καὶ παρέχῃ τῆς μεγαλωσύνης αὐτοῦ τὴν ἀπόδειξιν, τὰ μεγάλα τίθησι. τί τοίνυν τίθησι μετὰ ταῦτα ἄξιον αὐτοῦ, καὶ ὃ Θεοῦ μόνου ἐστὶν ἔργα, ἐπάγει γάρ· πάντα ὅσα ἠθέλησεν ὁ κύριος, ἐποίησεν ἐν τῷ οὐρανῷ καὶ ἐν τῇ γῇ, ἐν ταῖς θαλάσσαις, καὶ ἐν πάσαις ταῖς ἀβύσσοις. εἶ-B δες παναρχῆ δύναμιν; εἶδες πηγὴν ζωῆς; εἶδες ἰσχὺν ἄμαχον; εἶδες ἀσύγκριτον ὑπεροχήν; εἶδες ἐξουσίαν οὐδαμοῦ κωλυομένην; εἶδες πάντα αὐτῷ ῥᾴδια καὶ εὔκολα. πάντα γάρ, φησιν, ὅσα ἠθέλησεν, ἐποίησε. εἰπὲ, καὶ ποῦ; οὐκ ἐνταῦθα μόνον, ἀλλὰ καὶ ἐν τῷ οὐρανῷ. οὐκ ἐν τῷ οὐρανῷ μόνον, ἀλλὰ καὶ ἐν τῇ γῇ. οὐκ ἐν τῇ γῇ μόνον, ἀλλὰ καὶ ἐν ταῖς θαλάσσαις, καὶ ἐν πάσαις ταῖς ἀβύσσοις. διὰ γὰρ τῆς ἀβύσσου τὰ ὑποκάτω λέγει τῆς γῆς, ὥσπερ διὰ τοῦ εἰπεῖν, ἐν τῷ οὐρανῷ, τὰ ὑπερά-C νω τῶν οὐρανῶν. ὑφ᾽ ὧν καὶ τοσούτων ὄντων οὐδαμοῦ τὸ θέλημα αὐτοῦ ἐμποδίζεται, ἀλλὰ πάντα ἔπεισι, καὶ τὸ δὴ θαυμαστὸν, ὁ ποιήσας, οὐ πόνῳ οὐ μόχθῳ, οὐκ ἐπιτάγματι, ἀλλὰ θελήματι ἐποίησε, μόνον γὰρ ἐβουλήθη, καὶ τὸ ἔργον εἵπετο. εἶδες, πῶς καὶ τὴν εὐκολίαν παρέστησε, καὶ τὴν ἀφθονίαν τῶν δημιουργημάτων, καὶ τὴν ἐξουσίαν τὴν ἀκώλυτον; εἶτα ἀφεὶς εἰπεῖν τὸν οὐρανὸν καὶ τὴν θάλασσαν, τὰ ἐν αὐτοῖς τίθησι, καὶ οὐδὲ τὰ ἐν αὐτοῖς πάντα, ἀλλὰ παραδραμὼν τὰ ἐν τῷ οὐρανῷ καί τοι θαυμαστό-D τερα ὄντα, λέγει τὰ περὶ τὸν οὐρανόν. τί δήποτε; ὅτι τὰ μὲν εἰ καὶ μεγάλα ἦν, ἀλλ᾽ ἄδηλα ἦν τοῖς πολλοῖς· ταῦτα δὲ εἰ καὶ ἐλάττονα, ὅμως φαινόμενα, καὶ πάντας ἔχοντα θεωρούς. ἐπεὶ οὖν πρὸς ἀνθρώπους, ἦν ὁ λόγος αὐτῷ, οὐ τοσοῦτον πίστει παιδευομένους, τῶν ἀφανῶν ἔχειν ἔννοιαν, ὅσον ἀπὸ τῶν φαινομένων χειραγωγουμένους· ἐντεῦθεν ὑφαίνει τὸν λόγον, καὶ τῆς διδασκαλίας ἄρχεται, ὃ τοῖς ἄλλοις παραινεῖ ποιεῖν, τοῦτο καὶ αὐτὸς ποιῶν. ποῖον δὴ τοῦτο; τὸ αἰνεῖν τὸν Θεὸν ἀπὸ τῶν ἔργων αὐτοῦ, καὶ εὐφημίας ἀναφέρειν αὐτῷ ἕκαστον τῶν γινομένων κατα-

καταμανθάνοντα, καὶ ὑπὲρ ἑκάστου δοξολογοῦντα. ἐπειδὴ γὰρ περὶ τοῦ τὸν Θεὸν αἰνεῖν παραινῶν συνεχῶς εἶπεν, αἰνεῖτε τὸ ὄνομα κυρίου, αἰνεῖτε δοῦλοι τὸν κύριον· δείκνυσι καὶ πῶς δεῖ αἰνεῖν ἐπιόντα τὸ σῶμα τῆς κτίσεως, καὶ θαυμάζοντα, καὶ ἐκπληττόμενον, τὴν σοφίαν, τὴν πρόνοιαν, τὴν δύναμιν, τὴν κηδεμονίαν. ἐντεῦθεν μανθάνομεν, ὅτι οὐ μία τίς ἐστι θάλασσα αὕτη ἡ καθ' ἡμᾶς, ἀλλὰ πολλαὶ καὶ διάφοροι, καὶ πελάγη ἄπειρα. ἔφη γάρ, ἐν ταῖς θαλάσσαις, καὶ ἐν πάσαις ταῖς ἀβύσσοις. ἥτε γὰρ Κασπία, ἥτε Ἰνδική, ἥτε Ἐρυθρά, διῃρημέναι σχεδὸν ταύτης εἰσί, καὶ ἔξωθεν περικείμενος ὁ Ὠκεανός. ἀνάγων νεφέλας ἐξ ἐσχάτων τῆς γῆς. ἄλλος, ἀναβιβάζων. ἕτερος, ἀνασπῶν ἀπ' ἄκρων. ἄλλος, ἐκ τελέσματος. τοῦτο καὶ ἐν τῷ Ἰὼβ εἴρηται, ὁ δεσμεύων ὕδωρ ἐν νεφέλαις αὐτοῦ. καὶ ὁ Σολομών, συνέχων ὕδωρ ἐν ἱματίῳ. ἔστι δὲ οὐ τοῦτό φησιν, ἀλλ' ἕτερον θαυμαστόν. ποῖον δὴ τοῦτο; ὅτι παχύτερος ὢν ὁ ἀήρ, τὴν ἄνω φέρεται φορὰν, καὶ διαβαστάζεται, καὶ ἄνεισι τὸ βαρὺ τὴν ἐναντίαν ἐρχόμενον ὁδόν. θαυμαστὸν μὲν οὖν, καὶ τὸ στέγεσθαι τὸ ὕδωρ ἐν αὐτῷ, πολὺ δὲ θαυμαστότερον τὸ φέρεσθαι στεγόμενον ἐπὶ τοῦ κούφου· καὶ τὸ δὴ ἔτι παραδοξότερον, ὅτι τὸ στεγόμενον ὑπ' ἐκείνου τοῦ ἀέρος, ἐπειδὰν ἐκρυῇ τοῦ νέφους, οὐκέτι κατέχεται, τῷ μετ' αὐτὸν ἀέρι, οὐδὲ στέγεται, ἀλλὰ διαρρεῖ πανταχόθεν, καὶ εἰς τὴν γῆν φέρεται. καὶ μὴν εἰ κατὰ φύσιν ἐστέγετο τοῦτο, ἔδει καὶ τῷ ἀέρι στέγεσθαι. ὥσπερ γὰρ ἀσκὸν εἴ τις εἴασεν εἰς τὸν ἀέρα πεπληρωμένον ὕδατος, εἶτα ἐφέρετο ὑπὸ τοῦ ἀέρος, ἠνέχθη ἂν καὶ τὸ ἔνδον στεγόμενον ὕδωρ διαρρυὲν ἐκ τοῦ ἀσκοῦ· οὕτως ἀκόλουθον καὶ ἐνταῦθα γενέσθαι. ἀλλ' ἐπειδὴ πάντα θαυμαστά ἐστι, καὶ παράδοξα τὰ γινόμενα, ὑπὲρ ἀκολουθίαν, ὑπὲρ λόγον ἅπαντα ταῦτα γίνεται. καὶ γὰρ τὸ στεγόμενον ἐν τῷ ἀέρι τῆς νεφέλης, οὐ στέγεται ἐν τῷ ἀέρι τῷ μετὰ ταῦτα. ἴδες τὸ παράδοξον, καὶ πῶς ὃ δοκεῖ τῶν ἄλλων εἶναι καταδεέστερον, τοῦτο θεὶς ἔνδοξον ὂν θαυμαστόν; εἶτα καὶ ἄλλο φησὶ, θαυμαστὸν, ἐξ ἐσχάτων λέγων τῆς γῆς. οὐ γὰρ δὴ μόνον ἀνιᾶσιν, ἀλλὰ καὶ βαδίζουσιν, οὐδ' ἔνθα ἂν φανῶσιν, ἐκεῖ καὶ τὸν ὑετὸν ἀφιᾶσιν, ἀλλὰ πολλὰ πολλάκις παραδραμόντα χωρία, ἀλλαχοῦ τὸν ὑετὸν ἐργάζονται, καὶ πόλεις καὶ ἔθνη παρελθοῦσαι.

A fiunt discendo, & pro vnoquoque gloria & honore Deum afficiendo. Quoniam enim ad Deum laudandum adhortans, assiduè dicebat: Laudate nomen Domini: laudate serui Dominum. ostendit etiam quomodo laudare oportet, persequẽdo vniuersum corpus creaturæ, laudãdo, & admirando sapientiã, prouidentiam, potentiam, curationem. Hinc discimus non esse hoc solum nostrum mare, sed multa & diuersa, & infinita maria. *Maria infinita.* Dixit enim, In maribus, & omnibus abyssis. Caspium enim, & Indicum, & Rubrum, sunt ab hoc vtique disiuncta, & Oceanus qui ambit extrinsecus. B 7. *Educens nubes ab extremo terræ.* Alius, Sustollens. Alius, Attrahens ab extremis finibus. Alius, A finibus. Hoc etiã in Iob dictum est: Alligans aquam in nubibus suis. *Iob.26 8. Eccle.43. 22.* Et Salomon: Continens aquam in vestimento. Hic autem non hoc, sed aliud mirabile. Quidnam? Quòd aër cùm crassior fuerit, sursum fertur & transmittitur, & ascendit id quod graue est, via cõtraria ingrediens. *Graue sursum ascendens.* Porrò autem est admirabile quòd aqua in eo contineatur: sed multò admirabilius, quòd in eo quòd leue est contenta feratur: *Miracula nubium & pluuiæ.* & adhuc admirabilius, C quòd aqua quæ in illo aëre continetur, postquam è nube effluxerit, ab aëre qui sequitur, non amplius continetur, sed vndique diffluit, & in terram defertur. Atqui si ea contineretur natura, oporteret eam etiam contineri in aëre. Quemadmodum enim si quis vtrem in aërem abire fineret, aqua plenum, deinde ferretur ab aëre, ferretur etiam aqua quæ intus continetur, nisi effluxisset ab vtre: ita consentaneum esset hic quoque fieri. Sed quoniam sunt admirabilia, & superant opinionem quæ D fiunt, supra consequentiam & supra rationem omnem fiunt hæc omnia. Quod enim in nubis aëre continetur, non continetur in aëre qui consequitur. Vidisti rem admirabilem, & nescio quomodo, quod cæteris videtur esse minus, id cùm posuit, fecit vt sit admirabile? Deinde ostendit etiam aliud admirabile, dicens, Ab extremo terræ. Non solùm enim ascendunt, sed etiam vadunt, nec vbi apparuerunt, illic emittunt pluuiam, sed cùm multa sæpe loca prætercurrerint, alibi imbres pariunt, ciuitatibus & gentibus præteritis.

Non est ergo hoc solum mirabile, quòd A sustolluntur, sed etiam quòd incedunt tanquam in tabulatis, ferentes tantam molem aquarum. *Fulgura in pluuiam fecit.* Vide rursus aliud mirabile, & diuersas naturas conuenientes. Neque enim fulgure est quicquam magis igneum, neque aquis est aliquid frigidius: ex tamen miscentur, nec confunduntur, neque contemperantur, sed vnaquæque conseruat suos fines. Manens enim ignis in aqua, & aqua in igne, neque hic illam exiccauit, nec illa eum extinxit. Atqui fulgur est igne solari acutius, & splendidius, & eo magis secat, ac diuidit. B Id testatur visus, qui cum radiis solis assiduè congreditur: illius autem impetum ne tantillum quidem ferre potest. Et sol quidem per totum diem cœlum percurrit, illud autem minimo momento temporis vniuersum orbem terræ: quemadmodum Christus quoque testatur, dicens: Quemadmodum fulgur proficiscitur ab oriente, & apparet vsque ad occidentem. *Qui producit ventos de thesauris suis.* Hæc est rursus alia naturæ species, quæ nobis non paruum vsum exhibet; C sed tantum vt vitæ nostræ plurimum conferat, & exhausta & labore confecta corpora recreet ac refrigeret, & aërem efficiat leuiorem. Hoc est enim munus ventorum, aërem suscitare ac ventilare, vt non, si sit immobilis, corrumpatur & intereat, fructus maturare, corpora nutrire. quid verò, dixerit quispiam, vsus eorum in nauigatione: tempora quibus certo & constituto ordine oriŭtur, & sibi inter se vicissim cedunt, in mari choreas ducĕtes, & nautas transportantes? Hic enim trăsmittit: ille verò excipit: & contrarias vias ingrediuntur, D & ministrăt, & pugna eorum est rursus vitæ nostræ vtilis. Alia innumerabilia dici possent ventorum munera. Hec tamen omnia propheta prætermittens, & auditori colligenda relinquens, eorum fabricationis facilitatem ostendit. Nam quod dixit, Ex thesauris suis, non hoc significat, aliquos esse ventorum thesauros, sed eius qui imperat facilitatem indicat, & quàm sit creatura prompta & expedita. Quemadmodŭ enim qui habet in thesauro, securè omnia, & quando vult, profert: ita etiă vniuersi opifex omnia fecit facilè, & naturæ tradidit.

Fulguris & Solis collatio.

Matth. 24. 27.

Ventorum commoda.

Venti vt in thesauris.

Simile.

οὐ τοῦτο τοίνυν τὸ θαυμαστὸν μόνον, ὅτι ἀνάγονται, ἀλλ' ὅτι καὶ βαδίζουσι καθάπερ ἐν ὑποβάθροις, ὄγκον φέρουσαι τοσούτων ὑδάτων. ἀστραπὰς εἰς ὑετὸν ἐποίησεν. ὅρα παράδοξον ἕτερον πάλιν, καὶ ἐναντίας φύσεις συνιούσας. οὔτε γὰρ ἀστραπῆς τι πυρωδέστερον, οὔτε ὑδάτων ψυχρότερον, ἀλλ' ὅμως ἀναμίγνυνται αὗται, καὶ οὐ συγχέονται, οὐδὲ κεράννυνται, ἀλλὰ τοὺς οἰκείους ἑκάστη διατηρεῖ ὅρους. μένον γὰρ τὸ πῦρ ἐν τῷ ὕδατι, καὶ τὸ ὕδωρ ἐν τῷ πυρὶ, οὔτε τοῦτο ἐκεῖνο ἀπεξήρανεν, οὔτε ἐκεῖνο τοῦτο κατέσβεσεν. καί τοι ἡ ἀστραπὴ τοῦ ἡλιακοῦ πυρὸς ὀξύτερον, φανότερον, τμητικώτερον. καὶ μαρτυροῦσιν αἱ ὄψεις αὐταῖς ἀκτῖσι διηνεκῶς προσβάλλουσαι· ἐκείνης δὲ τὴν φορὰν οὐδὲ πρὸς βραχὺ δυνάμεθα ἐνισχύειν. καὶ ὁ μὲν ἥλιος διὰ πάσης ἡμέρας διατρέχει τὸν οὐρανὸν, αὕτη δὲ ἐν μιᾷ καιροῦ ῥοπῇ τὴν οἰκουμένην ἅπασαν· καθάπερ καὶ ὁ Χριστὸς μαρτυρεῖ, λέγων· ὥσπερ ἡ ἀστραπὴ πορεύεται ἐξ ἀνατολῶν, καὶ φαίνεται ἕως δυσμῶν. ὁ ἐξάγων ἀνέμους ἐκ θησαυρῶν αὐτοῦ. αὕτη πάλιν ἑτέρα φύσις χρείαν οὐ μικρὰν ἡμῖν παρέχουσα, ἀλλὰ τοσαύτην, ὥστε εἰς τὸ πολὺ τῆς ζωῆς ἡμῶν συντελεῖν, καὶ κεκμηκότα ἀνακτᾶσθαι τὰ σώματα, καὶ καταψύχειν, καὶ τὸν ἀέρα κουφότερον ποιεῖν. τοῦτο γὰρ ἔργον ἀνέμων, ἀναῤῥιπίζειν τὸν ἀέρα, ὥστε μὴ ἀκίνητον ὄντα φθείρεσθαι, πεπαίνειν τοὺς καρποὺς, τρέφειν τὰ σώματα. τί ἂν τις εἴποι τὰς ἐν ναυτιλίᾳ χρείας αὐτῶν, τοὺς καιροὺς, καθ' οὓς τεταγμένως ἐφίστανται· καὶ παραχωροῦσιν ἀλλήλοις, χορεύοντες ἐν τῷ πελάγει, καὶ τοὺς πλωτῆρας διαβιβάζοντες; καὶ ὁ μὲν παρέπεμψεν, ὁ δὲ διεδέξατο, καὶ ἐναντίας ὁδεύουσιν ὁδοὺς, καὶ διακονοῦνται, καὶ ἡ μάχη αὐτῶν τῷ βίῳ πάλιν γίνεται χρήσιμος, καὶ μυρία ἕτερα ἄν τις εἴποι τῶν ἀνέμων ἔργα. ἀλλ' ὅμως ταῦτα πάντα παραδραμὼν ὁ προφήτης, καὶ καταλιπὼν τῷ ἀκροατῇ ἀναλέγεσθαι, αὐτὸς μόνον τὴν εὐκολίαν τῆς δημιουργίας παρέστησε. τὸ γὰρ εἰπεῖν ἐκ θησαυρῶν αὐτοῦ, οὐ τοῦτο δηλοῦντός ἐστιν, ὅτι θησαυροί τινές εἰσιν ἀνέμων, ἀλλὰ τὸ εὔκολον τοῦ ἐπιτάττοντος, τὸ ἕτοιμον τῆς κτίσεως, τὸ παρεσκευασμένον. ὥσπερ γὰρ ὁ ἐν θησαυρῷ ἔχων, μετ' ἀδείας ἐξάγει πάντα, ὅτε βούλεται· οὕτω καὶ ὁ τῶν πάντων δημιουργὸς πάντα εὐκόλως ἐποίησε, καὶ τῇ φύσει παρέδωκεν.

Εἶδες πόση καὶ ἐν ἀέρι διαφορά, καθάπερ καὶ ἐν ὕδασι, καὶ ἐν πυρὶ πολλαὶ ἐναλλαγαί; καὶ γὰρ τοῦ ὕδατος τὸ μέν ἐστι πηγαῖον, τὸ δὲ θαλάττιον, τὸ δὲ ἀέριον, τὸ δὲ ἐν νεφέλαις, τὸ δὲ οὐράνιον, τὸ δὲ ὑπεράνω τῶν οὐρανῶν, τὸ δὲ ὑπόγειον. καὶ ἐν τῷ πυρὶ, τὸ μέν ἐστιν ἐν ἡλίῳ, τὸ δέ ἐστιν ἐν σελήνῃ, τὸ δέ ἐστιν ἐν ἄστροις, τὸ δὲ ἀστραπαῖς, τὸ δὲ ἐν ἀέρι, τὸ δὲ ἀπὸ ξύλων τὸ περὶ ἡμᾶς, καὶ τὸ λυχνιαῖον, τὸ ἀπὸ γῆς. καὶ γάρ ἐστι πολλαχοῦ τοιοῦτον ἀπὸ γῆς ἀναδιδόμενον, ὥσπερ αἱ πηγαὶ τῶν ὑδάτων, τὸ δὲ ἐν λίθοις παρατριβομένοις, τὸ δὲ ἐν κόμαις δένδρων, καὶ αὐτῶν παρατριβομένων, τὸ δὲ ἐν κεραυνοῖς· οὕτω δὴ καὶ ἐν ἀέρι ὁ μέν ἐστι παχύτερος, ὁ περὶ ἡμᾶς, ὁ δὲ λεπτότερος, ὁ δὲ ἀνώτερος πάλιν πυρωδέστερος, καὶ τῶν ἀνέμων πολλαὶ αἱ διαφοραί· ὁ μὲν γὰρ λεπτότερος, ὁ δὲ παχύτερος, ὁ μὲν ψυχρότερος, ὁ δὲ ξηρότερος, ὁ μὲν ὑγρότερος, ὁ δὲ θερμότερος. ἀὴρ δὲ καὶ νέφος, τὸ μὲν βραδύτερον, τὸ δὲ ταχύτερον χωρεῖ, καθάπερ ἐφ᾽ ἵππων. οὕτω δὴ καὶ ἐπὶ νεφελῶν καὶ ἀνέμων, αἱ μὲν ἐοίκασιν ὑδροφόροις σκεύεσι, ποτὲ μὲν ὑδάτων ἐμπεπλησμέναι, ποτὲ δὲ κεναὶ φερόμεναι. αἱ δὲ ῥιπίσιν ἐοίκασι. σὺ δὲ ταῦτα ὁρῶν καὶ τὴν διαφορὰν, καὶ τὴν ποικιλίαν αὐτῶν θαύμαζε τὸν δημιουργόν. Ὃς ἐπάταξε τὰ πρωτότοκα Αἰγύπτου. εἰπὼν τὰ καθόλου, καὶ δείξας τοῦ Θεοῦ τὴν πρόνοιαν τὴν περὶ τὴν οἰκουμένην ἅπασαν διὰ τῶν ἀστραπῶν, διὰ τῶν ἀνέμων, διὰ τῶν ἀέρων, διὰ τῶν νεφελῶν, διὰ τῶν ὑετῶν, καὶ ἐλέγξας τὴν ληρῳδίαν τῶν μέχρι σελήνης πρόνοιαν λεγόντων εἶναι, ἐπὶ τὸ μερικὸν ἔρχεται τὸ περὶ Ἰουδαίους μέρος. ὅτι μὲν γὰρ γῆ, καὶ οὐρανὸς, καὶ τὰ ὁρώμενα πάντα τῆς αὐτοῦ φιλανθρωπίας ἀπολαύει, ἔδειξε διὰ τῶν εἰρημένων· ἵνα δὲ εὐγνωμονεστέρους Ἰουδαίους ἐργάσηται, καὶ τὰ μερικὰ διηγεῖται, δεικνὺς ὅτι ὁ καθόλου Θεὸς, καὶ τῶν ἁπάντων προνοῶν, ἰδικὰς αὐτοῖς τινας εὐεργεσίας ἐχαρίσατο. καίτοι καὶ τὰ εἰς ἐκείνους γινόμενα, καθολικὰ πάλιν ἦν, τό τε γὰρ ἐκ τῶν ἄλλων αὐτοὺς ἐξειλέχθαι, παραζηλῶν ἐκείνους ἐποίει· ὅπερ καὶ ὁ Παῦλος δεικνὺς, λέγει· Τῷ αὐτῶν παραπτώματι ἡ σωτηρία τοῖς ἔθνεσιν, εἰς τὸ παραζηλῶσαι αὐτούς.

Vides quanta sit etiam in aëre differentia, quemadmodum sunt in aqua & igne multæ mutationes? Aquarum enim aliæ sunt fontanæ, aliæ verò marinæ, aliæ autem aëriæ, aliæ quæ sunt in nubibus, aliæ verò cœlestes, aliæ quæ sunt supra cœlos, aliæ quæ sunt subterraneæ. Et in igne, hic quidem est in Sole, ille verò in luna, alius in fulgure, alius in aëre, alius qui fit ex lignis, qui est apud nos, & is qui est in lucernis. Alius qui ex terra. est enim sæpe eiusmodi ignis, qui è terra editur, sicut fontes aquarum, alius qui fit ex collisis lapidibus, alius qui est in comis arborum, quæ ipsæ quoque colliduntur, alius autem in fulminibus: Ita etiam in aëre, hic quidem est crassior, qui est circa nos: ille verò subtilior, qui est superior, magis igneus. Porrò autem ventorum quoque sunt multæ differentiæ: hic quidem subtilior, ille verò crassior: alius quidem frigidior: alius verò siccior, alius quidem humidior: alius verò calidior. Aër autem & nubes, hæc quidem tardior: illa verò progreditur celerius, perinde ac si esset eques. Illa etiam in nubibus & ventis, hæ quidem sunt similes vrnis & vasis aquariis, vt quæ aliquando quidem sint plenæ aquis, aliquando verò ferantur inanes. Aliæ verò sunt flabello similes. Tu autem hæc eorúmque diuersitatem & varietatē considerans, admirare opificem.

Aquarum differentiæ.

Ignis differentiæ.

Aëris differentiæ.

Ventorum differentiæ.

8. *Qui percussit primogenita Aegypti ab homine vsque ad pecus.* Postquam dixit generalia, & ostendit Dei prouidentiam in vniuersum orbem terræ, per fulgura, per ventos, per aërem, per nubes, per pluuias, & eorum nugas arguit, quid dicunt prouidentiam vsque ad nubes pertinere: accedit ad singularia nempe ad ea quæ sigillatim priuatímque Iudæis facta sunt. Quòd enim terra, & cœlum, & vniuersa quæ videntur Dei benignitatem sentiant, ex iis quæ dicta sunt ostendit: vt autem memori & grato animo Iudæos efficeret, narrat etiam singularia, ostendens quòd qui est vniuersorum Deus, & qui omnium curam gerit, eis quædam propria beneficia largitus est. Quanquam quæ in illos quoque fiebant, erant rursus generalia, Quòd ipsi enim electi essent ex aliis, id faciebat, vt illos æmularentur: quod Paulus quoque significans, dicit: Eorum delicto salus gentibus, vt eos æmularentur.

Rom. 11. 11. Simile elegans.

Quemadmodum enim pater, cum filij ab eo abscedunt, vnum ex eis sumit, & considere facit supra sua genua: non hoc autem facit propter illum, sed multò magis propter alios, vt eo honore morsi, ad patrem accurrant, eandem indulgentiam sensuri: ita etiam Deus fecit Iudæis. Eis enim non super genua, sed super brachia, vt dicit propheta, & super dorsum assumptis & receptis, quę sunt eis expetenda largitur templum, sacrificia, & quæ maximè & cum maiore cura quærebant, in bello auxilia, victorias, trophæa, rerum terrenarum copiam, & fructuum fertilitatem, eis illos instruens & adornans, & alios ad æmulationem adducens. Sed quoniam euasuri erant improbi, si eis perpetuò blandiretur, eos quoque per supplicia moderatur & componit. Magna est enim Dei sapientia, & in rebus difficillimis & impeditissimis viam exitúmque inuenit. Vide autem prophetæ prudentiam, qui à generalibus ad hæc deduxit orationem: ne quis enim stultus existimaret Dei prouidentiam non versari in singularibus, quando venit ad generalia, tunc hæc quoque attingit, dicens: Qui percussit primogenita Ægypti An non vobis videntur hęc magis facta esse propter Iudæos? Si igitur ostendero hæc quoque facta esse propter alios, quid dicent qui dicunt Dei prouidentiam ad vniuersa minimè pertinere? Quomodo ergo potest hoc ostendi? Maximè quidem sufficit à Deo enunciata sententia quæ hoc significat, & dicit, Vt ostendam in te potentiam meam, & vt annuncies nomen meum in vniuersa terra. Vidisti mortem illam fuisse euangelium, & plagam illam diuinitus immissam fuisse prædicationem, vt quæ vbique peruaderet? Vniuersi ergo orbis terrarum curam gerit, etiam quando res Iudæorum administrat. Atqui potentiam suam olim quoque manifestam reddidit, vt in Ioseph, vt in Abraham, sed nunc tamen apertius. Quomodo? Tunc quidem per beneficium: nunc autem per plagam: nec intermittit, vt iam sæpe dixi, assiduè & in vnaquaque generatione seipsum ostendere, & manifestum reddere. Non id autem semper facit eodem modo, sed variè & diuersis modis. Tunc quidem per vxorem Abrahæ,

Osee 11.3. Iudæorum priuilegia.

Prouidentia Dei ad omnia pertinet.

Exod. 9.16 Rom. 9.22.

Genes. 18.

καὶ γὰρ ὥσπερ πατὴρ ἐπὶ παιδίων, ἀφισταμένων αὐτοῦ λαβὼν ἓν ἐξ αὐτῶν ἐπὶ τῶν γονάτων καθίζει, καὶ οὐ δι' ἐκεῖνο τοῦτο ποιεῖ, ἀλλὰ πολλῷ μᾶλλον διὰ τὰ ἄλλα, ὥστε δηχθέντα αὐτὰ τῇ τιμῇ προσδραμεῖν πρὸς τὸν πατέρα τῆς αὐτῆς ἀπολαυσόμενα θεραπείας· οὕτω καὶ ὁ Θεὸς ἐπὶ τῶν Ἰουδαίων ἐποίησε. λαβὼν γὰρ αὐτοὺς οὐκ ἐπὶ τῶν γονάτων, ἀλλ' ἐπὶ τῶν βραχιόνων, καθάπερ ὁ προφήτης φησὶ, καὶ ἐπὶ τῶν μεταφρένων ἀνέλαβεν αὐτοὺς, χαρίζεται τὰ ἐκείνοις ποθεινὰ, ναὸν, θυσίας, ἃ μάλιστα ἐζήτουν μετὰ πλείονος τῆς ἀκριβείας, προστασίας τὰς ἐν πολέμοις, νίκας, τρόπαια, τὴν ἀπὸ τῆς γῆς εὐθηνίαν, τὴν τῆς φύσεως εὐετηρίαν, τούτοις τε τούτους καλλωπίζων, καὶ τοὺς ἄλλους εἰς ζῆλον ἄγων. ἐπειδὴ ἔμελλον φαῦλοι γίνεσθαι διαπαντὸς κολακευόμενοι, καὶ διὰ τῶν τιμωριῶν αὐτοὺς ῥυθμίζει. πολλὴ γὰρ ἡ τοῦ Θεοῦ σοφία, καὶ ἐξ ἀμηχάνων εὑρίσκει πόρους. καὶ ὅρα προφήτου σύνεσιν ἀπὸ τῶν καθόλου εἰς ταῦτα τὸν λόγον ἐξαγαγών, ἵνα μή τις τῶν ἀνοήτων μερικὸν νομίσῃ τὸν Θεὸν εἶναι, ὅτε ἐπὶ τὰ καθόλου ἦλθε, τότε τούτων ἅπτεται τῶν λόγων, καί φησιν· ὃς ἐπάταξε τὰ πρωτότοκα Αἰγύπτου. ἆρα οὐ δοκεῖ μᾶλλον ὑμῖν διὰ τοὺς Ἰουδαίους γεγενῆσθαι ταῦτα; ἂν τοίνυν δείξω ὅτι καὶ δι' ἑτέρους ταῦτα ἐγένετο, τί ἐροῦσιν οἱ μὴ καθόλου τοῦ Θεοῦ τὴν πρόνοιαν λέγοντες; πῶς οὖν ἔστι δεῖξαι; μάλιστα μὲν γὰρ ἀρκεῖ ἡ τοῦ Θεοῦ ἀπόφασις, ἡ σαφῶς αὐτὸ δηλοῦσα, καὶ λέγουσα· ὅπως ἐνδείξωμαι ἐν σοὶ τὴν δύναμίν μου, καὶ ὅπως διαγγελῇ τὸ ὄνομά μου ἐν πάσῃ τῇ γῇ. εἶδες εὐαγγέλιον τὸν θάνατον γενόμενον, καὶ κήρυγμα τὴν θεήλατον πληγὴν ἐκείνην, πανταχοῦ περιιοῦσαν, καὶ ἀνακηρύττουσαν τὴν τοῦ Θεοῦ δύναμιν; προνοεῖ τοίνυν τῆς οἰκουμένης ἁπάσης, καὶ ἡνίκα τὰ Ἰουδαίων διοικεῖ. καί τοί γε ἐγνώρισε τὴν δύναμιν αὐτοῦ καὶ πάλαι δὲ ἐπὶ τοῦ Ἰωσήφ, ἐπὶ τοῦ Ἀβραάμ, ἀλλ' ὅμως νῦν σαφέστερον. πῶς; τότε μὲν δι' εὐεργεσίας· ὕστερον δὲ καὶ διὰ πληγῆς, καὶ οὐ διαλιμπάνει, ὃ καὶ πολλάκις ἔφθην εἰπὼν, συνεχῶς καὶ καθ' ἑκάστην γενεὰν, ἀναδεικνὺς ἑαυτὸν διὰ τῶν πραγμάτων, καὶ γνωρίζων. οὐχ ὁμοίως δὲ ἀεὶ τοῦτο ποιεῖ, ἀλλὰ ποικίλως καὶ διαφόρως. τότε μὲν γὰρ διὰ τῆς γυναικὸς τοῦ Ἀβραάμ,

πηρώσας τὰς ὠδῖνας τῆς φύσεως· ὕστερον δὲ διὰ λιμοῦ, καὶ δι᾽ εὐετηρίας. μετὰ δὲ ταῦτα, διὰ τῶν πληγῶν τῶν ἐπαλλήλων. ἐπειδὴ οὖν ἀσθένειαν τοῦ Θεοῦ κατεψηφίζοντο, καὶ αὐτὰ τὰ πρωτότοκα, καὶ τὸν ποταμὸν ἐφοίνιξαν, δείκνυσι μὲν αὐτοῖς καὶ τὰ περὶ αὐτὸν τὸν καιρὸν δι᾽ ἀμυδροτέρων αὐτοῦ τὴν ἰσχύν. αἱ γὰρ μαῖαι τῶν Αἰγυπτίων καταφρονήσασαι τῶν ἐπιταγμάτων τῶν ὠμῶν ἐκείνων, καὶ παραλογισάμεναι τὸ ἀπηνὲς τοῦ βασιλέως δόγμα, πολλῆς ἀπέλαυσαν τῆς εὐετηρίας. ταῦτα δὲ ἀμφότερα τῆς τοῦ Θεοῦ προνοίας ἦν, τό, τε γὰρ γυναῖκας ἀνδρειοτέρας ἀποφῆναι τῶν τὰ διαδήματα φορούντων, τό, τε ἀμοιβὰς ταύτας ἀποδιδόναι, καὶ εἰς πλῆθος αὐτὰς ἐκτεῖναι πολύ. τὸ γοῦν, εὖ ἐποίει ταῖς μαίαις, τοῦτό ἐστιν, ἐξετάθη αὐτῶν ἡ συγγένεια, δι᾽ ὧν εὐεργέτουν τοὺς Ἰουδαίους, διὰ τούτων ἐλάμβανον παρὰ τοῦ Θεοῦ τὰς ἀμοιβάς. ἐπειδὴ τοίνυν οὐκ ἀνῄρουν αὐτῶν τὰ τέκνα, καὶ αὐταῖς πολυπαιδίαν ὁ Θεὸς ἐχαρίσατο. ἐπειδὴ δὲ ἐπέμενον ἀναισθήτως διακείμενοι, ὀξυτέραν ἐπήγαγε τὴν πληγήν, καὶ ἐμάνθανε μὲν ἡ οἰκουμένη, ἐμάνθανον δὲ καὶ οἱ Αἰγύπτιοι, καὶ ἐκεῖνοι μὲν ἐξ ἀκοῆς, οὗτοι δὲ ἐν τοῖς οἰκείοις πάθεσι, καὶ ὄψει, καὶ πείρᾳ τοῦ Θεοῦ τὴν δύναμιν ἑώρων. διὰ γὰρ τοῦτο καὶ προέλεγεν αὐτοῖς, ἵνα μὴ συντυχίας τινὸς εἶναι νομισθείη ἡ πληγή, καὶ αὐτομάτου θανάτου. ὅπερ οὖν ἀλλαχοῦ εἴρηται περὶ τοῦ σωτῆρος, τοῦτο δὲ καὶ ἐνταῦθά ἐστιν εἰπεῖν. ποῖον δὲ τοῦτο; καὶ κατακυρίευε ἐν μέσῳ τῶν ἐχθρῶν σου. οὐ γὰρ εἰς ἔρημον αὐτοὺς ἐξαγαγών, οὐδὲ ἀλλαχοῦ που, ἀλλ᾽ ἐν αὐτῇ τῇ πόλει τὴν πληγὴν ἐπήγαγε. καὶ ὅρα καὶ ἐν τῇ πληγῇ τὴν φιλανθρωπίαν. ἀπὸ γὰρ κτηνῶν πρότερον ἤρξατο, καὶ τότε ἐπὶ τοὺς ἀνθρώπους ἐχώρησεν. τίς οὖν οὐκ ἂν ἀγάσαιτο τὴν δύναμιν, πῶς ἅπαντας ἐν μιᾷ καιροῦ ῥοπῇ κατήνεγκε, τὴν φειδώ, τὴν σοφίαν, τὴν ἀπόρρητον; οὔτε γὰρ πρώτην αὐτὴν ἐπήγαγε πληγήν, δι᾽ ἑτέρων αὐτοὺς διορθῶσαι βουλόμενος, οὔτε ἐπειδὴ ἐπήγαγε, χωρὶς προῤῥήσεως ἐπήγαγε. τί δή ποτε; ἵνα τοῖς ῥήμασιν αὐτοὺς σωφρονίσῃ, καὶ μὴ ἔλθωσιν εἰς πεῖραν τῶν πραγμάτων· οὔτε πάλιν ἐπειδὴ οὐ διωρθώθησαν, ἀφῆκεν ἀμφίβολον γενέσθαι τὴν πληγήν.

A cùm naturalem parturitionē mancam fecisset & mutilam. Postea autem per famem, & copiosum rerum omnium prouentum, post hæc verò per plagas frequentissimas. Quoniam ergo condemnabant Deum imbecillitatis, ipsi & primogenitos extulerunt, & fluuium cruentarunt. Portò autem eo ipso tempore vires quoque suas ei ostendit per quædam paulò obscuriora. Obstetrices enim Ægyptiorū, cùm crudelia illa iussa contempsissent, & sæuum Regis decretum circumscripsissent, magnus fuit earum prouentus. Vtraque autem hæc B erant Dei prouidentiæ, scilicet quòd & mulieres maiorem virtutem ostenderint, quàm ij quorum erat caput redimitum diademate: & quòd eas remunerata sit, & in magnam multitudinem eas propagauerit. Illud enim, Benefecit obstetricibus, hoc est, Extensa est earum cognatio, etenim per ea ipsa beneficia quæ in Iudæos contulerunt, remunerationem à Deo acceperunt. Quoniam ergo non occidebant eorum infantes, numerosam prolem eis Deus largitus est. Sed quoniam pergebant esse stupidi, & omni sensu priuati, acriorem eis plagam inflixit, & didicit C quidem vniuersus orbis terræ, didicerunt autem etiam Ægyptij: sed illi quidem ex auditu, hi autem in iis malis quæ sibiipsis euenerunt, & visu, & rei experientia Dei potestatem viderunt. Etenim ideo eis prædixit, ne videretur esse plaga spontaneæ mortis, quæ fortuito aliquo casu euenisset. Quod itaq; alicubi dictum est de Seruatore, hoc hic quoque dicere possumus. Quidnam? Dominare in medio inimicorum tuorum. Non enim eis in solitudinem eductis, nec in aliquo alio loco, D sed in ipsa ciuitate plagam intulit. Vide autem in ipsa etiam plaga clementiam. Cœpit prius à pecoribus, & tunc ad homines processit. Quis ergo non admiretur potentiam, quomodo omnia in vno temporis momento simul attulit, lenitatem ac moderationem, & sapientiam ineffabilem? Neque enim hanc primam plagam inflixit, eos volens per alias corrigere, nec quando inflixit, non prædictam inflixit. Quamobrem? Vt eos verbis castigaret, & ne deuenirent ad rerum experientiam: nec rursus quoniam non correcti fuerunt, permisit vt esset plaga dubia.

Gen. 41. Exod. 12. Exod. 7. Exod. 1. Ps. 109. 2. Exod. 9. Attende Dei clementiam. Exod. 5

Ne quis enim existimaret fortuitu aut morbum, aut pestem incidisse, vide quot fiūt. Primum omnes in vna nocte. Secundò omnia primogenita. Si enim fuisset pestis, non sola tetigisset primogenita, secundis verò pepercisset: sed omnes citra vllum discrimen peruasisset. Tertiò si fuisset pestis, non abstinuisset omnino à Iudæis, & solos tetigisset Ægyptios, sed ea multò magis corpora confecisset, quæ labore & miseria, & tot & tantis malis confecta fuerant, quæ paupertate & fame iampridem adeò exhausta erant: non Regum, & eorum qui erant authoritate & dignitate prædíti, qui liberè & securè viuebāt, quibus omnia quæ ad cultum & ad vitæ adminiculum pertinent, abundè suppetebant. Si fuisset pestis, non repente & aceruatim venisset, sed antequam ingruisset, aliqua indicasset principia. Nunc autem hęc simul fiunt, vt Ægyptiorum arguatur vecordia: etenim post hanc plagam, & postquam apertè didicissent esse plagam, diuinitus immissam, persecuti sunt Iudæos qui recesserant, quod est signum maximæ eorum vecordiæ, & Dei maxima defensio. Quoniam enim erant signa cessatura, ea eiusmodi signi exitu conclusit, quo ea quæ antè facta sunt, defendit apud eos qui volunt attendere. Ne quis enim diceret, Cur puniuntur omnes, cùm Rex Iudæos detineret, & peccaret? per hoc vltimum soluit hanc dubitationē. Quomodo per vltimum? quoniam quando percussa sunt eorum primogenita, vel inuito Rege Iudæos expulerunt. Quare etiamsi voluissent ab initio, potuissent esse eo superiores. Non igitur Regem ideo non vicerunt, quòd non possent, sed quòd nollent. Quinetiam ea quæ postea cōsecuta est persecutio, crimen eorum amplificat. Hoc etiam euenit in Saul. Quando enim eius filium eripere oportebat, omnes communiter assentantes Regi eum, tametsi legem transgressus esset, eripuerunt: quando autem volebat occidere tot sacerdotes, ne vocem quidem emiserunt, nec eos defenderunt. Quòd si tunc habebant naturam quæ pro eis faceret, hic etiam habebant iuris naturam. Erant enim sacerdotes, & erat cædes nefaria, quæ ex ira, non ex recto iudicio oriebatur. Sed huius rei causa erat socordia,

Exod. 11. 12

Exod. 14.

1. Reg. 14.

1. Reg. 22.

A ἵνα γὰρ μή τις αὐτόματον αὐτὴν νομίσῃ, ἢ νόσον, ἢ λοιμὸν, αὐτὴν ἐπελθοῦσαν, ὅρα πόσα γίνεται. πρῶτον ὅτι ἐν μιᾷ νυκτὶ πάντες. δεύτερον ὅτι τὰ πρωτότοκα πάντα. εἰ γὰρ λοιμὸς ἦν, οὐκ ἂν τῶν πρωτοτόκων πάντων μόνον ἥψατο, καὶ τῶν δευτέρων ἐφείσατο· ἀλλ' ἀδιακρίτως ἂν ἐπὶ πάντας ἦλθε. τρίτον, ὅτι εἰ λοιμὸς ἦν, οὐκ ἂν τῶν Ἰουδαίων ἀπέσχετο καθόλου, καὶ τῶν Αἰγυπτίων ἥψατο μόνον, ἀλλ' ἐκεῖνα πολλῷ πλέον ἂν κατειργάσατο τὰ σώματα, τὰ πόνῳ καὶ ταλαιπωρίᾳ, καὶ τοσούτοις κατειργασμένα κακοῖς, τὰ ἐν πενίᾳ καὶ λιμῷ, καὶ τοσούτοις ταριχευθέντα, B οὐχὶ τὰ βασιλικὰ, οὐδὲ τὰ ἐν ἀξιώμασι, τὰ πολλῆς ἀπολαύοντα ἀδείας, καὶ πολλῆς μετέχοντα τῆς θεραπείας. εἰ λοιμὸς ἦν, οὐκ ἂν ἀθρόον ἐπῆλθεν, ἀλλὰ πάντα τὰ προοίμια ἐπιδεικνύμενος τῆς ἐλεύσεως πρότερον. νῦν δὲ ὁμοῦ ταῦτα γίνεται, ἵνα ἐλέγχηται τῶν Αἰγυπτίων ἡ ἀγνωμοσύνη. καὶ γὰρ μετὰ τὴν πληγὴν ταύτην, καὶ τὸ σαφῶς μαθεῖν, ὅτι θεήλατος ἦν ἡ πληγὴ, ἀπελθόντες κατεδίωκον τοὺς Ἰουδαίους, ὅπερ τῆς ἐσχάτης ἦν αὐτῶν ἀγνωμοσύνης σημεῖον, καὶ ὑπὲρ τοῦ Θεοῦ μεγίστη ἀπολογία. ἐπεὶ γὰρ C ἔμελλε παύεσθαι τὰ σημεῖα, ἐν τοιούτῳ αὐτὰ σημείῳ ἔπαυσεν, ἐν ᾧ καὶ περὶ τῶν ἔμπροσθεν ἀπελογήσατο τοῖς βουλομένοις προσέχειν. ἵνα γὰρ μή τις λέγῃ, τί δή ποτε πάντες κολάζονται, τοῦ βασιλέως κατέχοντος τοὺς Ἰουδαίους καὶ διαμαρτάνοντος; διὰ τοῦ ἐσχάτου λύει τὴν ἀπορίαν ταύτην, πῶς διὰ τοῦ ἐσχάτου; ὅτι ἡνίκα τὰ πρωτότοκα αὐτῶν ἐπλήγη, καὶ ἄκοντος τοῦ βασιλέως τοὺς Ἰουδαίους ἐξέβαλλον. ὥστε εἰ καὶ ἐκ προοιμίων ἐβούλοντο, ἴσχυσαν ἂν περιγενέσθαι ἐκείνου. οὐκ ἄρα παρὰ τὸ μὴ δύνασθαι, D ἀλλὰ παρὰ τὸ μὴ βούλεσθαι, οὐκ ἐκράτουν τοῦ βασιλέως. καὶ ἡ δίωξις δὲ ἡ μετὰ ταῦτα κατηγορίας ἐπίτασις. τοῦτο δὴ καὶ ἐπὶ Σαοὺλ συνέβη· ὅτε μὲν γὰρ ἔδει τὸν υἱὸν ἐξελέσθαι, πάντες κοινῇ κολακεύοντες τὸν βασιλέα, καὶ παρανομήσαντα ἐξείλοντο· ὅτε δὲ ἱερέας ἐβούλετο σφάξαι τοσούτους, οὐδὲ φωνὴν ἔρρηξαν, οὐδὲ προέστησαν. εἰ δὲ τότε τὴν φύσιν εἶχον συμπράττουσαν, ἀλλὰ καὶ ἐνταῦθα τοῦ δικαίου τὴν φύσιν. ἱερεῖς γὰρ ἦσαν, καὶ ἡ σφαγὴ παράνομος ἦν, καὶ θυμὸς κρίσεως οὐκ ὀρθῆς. ἀλλ' αἴτιον ἦν ἡ ῥᾳθυμία,

καὶ τὸ μὴ σφόδρα ἀλγεῖν ὑπὲρ τῶν ἱερέων. ὅρα γοῦν οἷα αὐτοὺς μετὰ ταῦτα κατέλαβε κακά. τῆς γὰρ ὀλιγωρίας ἐκείνης, οὐ τὴν τυχοῦσαν ἔτισαν δίκην. ὅταν οὖν τι παράνομον γίνηται, μηδεὶς ἔστω νωθὴς, ἀλλὰ πυρὸς θερμότερος, καὶ τῶν ἀδικουμένων μὴ ἔλαττον ἀλγείτω, καὶ οὕτω τὰ πλείονα στήσεται τῶν κακῶν. ἀπὸ ἀνθρώπου ἕως κτήνους. τί δή ποτε καὶ τὰ κτήνη; ἐπειδὴ δι' ἀνθρώπους ταῦτα ἐγένετο, δι' ἀνθρώπους καὶ κολάζει αὐτὰ, ὥστε αὐξῆσαι τὸν φόβον, ὥστε ἐπιτεῖναι τὴν συμφορὰν, ὥστε δεῖξαι θεήλατον οὖσαν τὴν πληγὴν, καὶ ἐκ τῶν οὐρανῶν τὸν πόλεμον ἥκοντα. ἐξαπέστειλε σημεῖα καὶ τέρατα ἐν μέσῳ σου Αἴγυπτε. τί ἐστι τὸ ἐν μέσῳ σου; ἢ τὸν τόπον φησὶ, ἢ τὸ φανερῶς, τὸ γὰρ ἐν μέσῳ, πανταχοῦ τὸ φανερῶς λέγει, ὡς ὅταν ἀλλαχοῦ λέγῃ· εἰργάσατο σωτηρίαν ἐν μέσῳ τῆς γῆς, ἐπειδὴ τὸ μέσον ἅπασι κατάδηλον. ἐξαπέστειλε σημεῖα καὶ τέρατα ἐν μέσῳ σου Αἴγυπτε· εἰκότως. πρὸς γὰρ διόρθωσιν τὰ γινόμενα ἐγίνετο, καὶ πρὸς ἐπίδειξιν τῶν ὀφειλόντων κερδαίνειν. οὐ γὰρ ἁπλῶς συνέβαινε, ἀλλὰ μετὰ πολλῆς τῆς παραδοξοποιΐας. ὥστε καὶ τῷ πλήττειν, καὶ τῷ παραδόξως διπλῆν ἐμποιεῖν τὴν ὠφέλειαν. ἐν Φαραὼ, καὶ ἐν πᾶσι τοῖς δούλοις αὐτοῦ. εἶδες τὴν δύναμιν τὴν ἄφατον; πῶς ὁμοῦ πάντων ὄντων, τούτους ἐπεγίνωσκεν ἡ τιμωρία, καὶ ἔπασχον μὲν ἐκεῖνοι, ἐκέρδαινον δὲ ἕτεροι; πῶς δέ φησιν, ἐν πᾶσι τοῖς δούλοις αὐτοῦ; καί τοί γε οὐ πάντες εἶχον πρωτότοκα. ἀλλὰ περὶ τῶν ἄλλων σημείων λέγει, καὶ ἐν μὲν Αἰγύπτῳ πληττομένων τούτων ἐκέρδαινον οἱ Ἰουδαῖοι· ἐν δὲ τῇ ἐρήμῳ εὐεργετουμένων Ἰουδαίων, ὠφελοῦντο ἕτεροι, καὶ τὰς μὲν πληγὰς τοῖς πολεμίοις ἐπήγαγε· τὰς δὲ εὐεργεσίας τούτοις, δι' ἑκατέρων πάντας ὠφελῶν. καὶ τίνος ἕνεκεν οὐκ εὐεργετεῖ καὶ τούτους; ὅτι εἰώθασιν οἱ πλείους τῶν ἀνθρώπων, πληττόμενοι μᾶλλον ἢ εὐεργετούμενοι τὸν Θεὸν ἐπιγινώσκειν. ἐπεὶ ὅτι γε αὐτὸς οὐκ ἐβούλετο κολάζειν, ὅρα αὐτὸν συνεχῶς ἀνέχοντα τὰς πληγὰς, καὶ δι' ἑκατέρων αὐτοῦ δεικνῦντα καὶ τὴν δύναμιν καὶ τὴν φιλανθρωπίαν. καί τοι γε ἤρκει μετὰ μίαν, καὶ δευτέραν, καὶ τρίτην, ὡς ἀνίατα νοσοῦντας ἀπολέσαι πάντη· ἀλλ' οὐκ ἐβούλετο, ἀλλὰ καί τοι

A & quòd sacerdotum vicem non valde dolebant. Vide ergo in quę mala postea inciderint. Illius enim negligentiæ non leues pœnas dederunt. Quando ergo factum fuerit aliquid nefarium, nemo sit iners, & ignauus, sed igne ardentior: nec minus doleat, quàm ij quibus fit iniuria, & ita plurima mala sistentur. Ab homine vsque ad pecus. Cur autem etiam pecora? Quoniam propter hominem facta sunt, ea quoque punit propter hominem, vt augeat timorem, vt intensiorem reddat calamitatem, vt ostendat plagam esse diuinitus immissam, & bellum procedere de cœlis. B

In nefariis factis non conniuendum.

9. Emisit signa & prodigia in medio tui Aegypte. Quid est, In medio tui? Vel locum dicit, vel idem est quod apertè & manifestè. Illud enim, In medio, vbiq. idem significat quod apertè, vt quando dicit alicubi, Fecit salutem in medio terræ. Est enim medium manifestum omnibus. Emisit signa & prodigia in medio tui Ægypte. Iure autem optimo: ea enim fiebant ad correctionem, & ad eos ostendēdos qui erant lucrifacturi. Non temere enim eueniebant, sed cum maxima admirabilitate. quare & eò quòd feriebant, & eò quòd admirabiliter, duplicem afferebant vtilitatem. C *In Pharaonem, & in omnes seruos eius.* Vidisti potentiam ineffabilem, quomodo cùm omnes simul essent, de eis sumptum est supplicium: & illi quidem patiebantur, alij verò lucrabantur? Quomodo autem dicit, In omnibus seruis eius? Atqui non habebant omnes primogenita. Sed dicit de aliis signis: & dum in Ægypto quidem hi ferirentur, lucrum faciebant Iudæi: dum autem in solitudine beneficio Iudæi D afficerentur, alij iuuabantur: & plagas quidem inflixit hostibus, hos verò affecit beneficiis, per vtraque omnes iuuans. Et cur non hos quoque beneficio afficit? Quoniā soliti sunt plerique homines percussi potius quàm beneficio affecti Deum agnoscere. Quid enim nollet eos punire, vide eum assiduè differentem, & plagas sustinentem, & per vtraque ostendentem potentiam suam & clementiam. Atqui suffecisset post vnam secundam, & tertiam, tanquam qui morbo immedicabili laborarent, eos omnino perdere: sed noluit, sed &

In medio quid. Psal. 73. 12

Iudith. 14. Deu. 4. Act. 1.

attende Dei potentiam, curã, sapientiam.
Exod. 7.
Exod. 11.

quanquam futura præsciret, & quòd nec quinta, nec sexta, nec decima meliores fierent, non destitit facere quæ sua sunt. Vnde maximè eius potestatem, curam, sapientiam & bonitatem admirari æquum est. Potentiam, quòd percussit. Curam, quòd sustinuit. Sapientiam, quòd cùm sciret futura, quæ sua erant fecit: quod ipsum quoque est maximæ clementiæ, quòd incipit à minoribus, quòd ab iis quæ non sunt prædita ratione. Progrediens autem ipsum quoque Regem attigit: quod etiam maximè fecit vt prædicarentur quæ eueniebant. Quæ enim priuato alicui accidunt, latere etiam consentaneum est. Quando autem vir est insignis qui plagam accipit, nihil vetat quo minus res vbique audiatur. Postquam autem dixit causam, cur pulsauit, dicit etiam plagas. Sed neque eas sæpe recenset, neque sigillatim persequitur: sed cùm eas vno verbo significasset, prætercurrit dicendo, emisit signa & prodigia in medio tui Ægypte. Deinde educit rursus populum ex Ægypto in desertum, vbique ostendens se non esse Deum tantum alicuius partis, nec in vnam solam regionem dominatum obtinere, sed in vniuersum orbem terræ. Quocirca subiunxit dicens: 10. *Qui percussit gentes multas, & occidit reges fortes.* Per totam viam pignora variis modis præbens suæ potentiæ, & in ipsis docendis per res ipsas deducens. Per bella enim priora quoque docuit, quòd non natura aëris, non potentia elementorum, nec aliquid aliud eiusmodi, sed imperatoria manus quę eos ducebat, pro eis bellum gerebat, & vtrunque per vtrunque ostendit per ea quæ facta sunt in Ægypto, ea quæ in solitudine facta sunt: & per per ea quæ facta sunt in solitudine, ea quæ in Ægypto facta sunt. Quando enim ipsi absque armis, acie & prælio inimicos profligabant, eis apertè ostendebat, quòd in Ægypto quoque non opus habens elementis ea aduersus illos mouit, sed variis & diuersis modis volens suam ostendere potentiam iis quæ sunt, ad ea vsus est. 11. *Seon regem Amorrhæorum, & Og regem Basan.* Non persequitur vrbes, neque in singulis insistendo paulatim narrat prælia: sed rursus magno animo prætercurrit innumerabiles cateruas miraculorum. Cùm enim posset immorari, & tragœ-

Collatio à contrariis.

Psal. 71. 102.
Rom. 10.
1. Tim. 6.

A τὰ μέλλοντα προειδὼς, καὶ ὅτι οὐδὲ πέμπτη, οὐδὲ ἕκτη, οὐδὲ δεκάτη γενήσονται βελτίους, τὰ αὐτοῦ ποιῶν οὐκ ἐπαύετο. ὅθεν μάλιστα καὶ τὴν δύναμιν αὐτοῦ, καὶ τὴν κηδεμονίαν, καὶ τὴν σοφίαν, καὶ τὴν ἀγαθότητα ἔστι θαυμάσαι. τὴν δύναμιν, ὅτι ἔπληξε· τὴν κηδεμονίαν, ὅτι ἀνέσχε· τὴν σοφίαν, ὅτι εἰδὼς τὰ μέλλοντα τὸ αὐτοῦ ἐποίει, ὃ μάλιστα καὶ αὐτὸ φιλανθρωπίας ἐστὶ, τὸ ἀπὸ τῶν μικροτέρων ἄρχεσθαι, τὸ ἀπὸ τῶν ἀλογωτέρων. καὶ προϊὼν δὲ καὶ τοῦ βασιλέως ἥπτετο, ὃ καὶ μάλιστα ἐκκηρυχθῆναι ἐποίει τὰ B συμβαίνοντα. τὰ μὲν γὰρ ἐπὶ τῶν ἰδιωτῶν γινόμενα εἰκὸς καὶ λαθεῖν· ὅταν δὲ ὁ δεχόμενος τὴν πληγὴν, περιφανὴς ᾖ, τὸ κωλῦον οὐδὲν πανταχοῦ τὰ πράγματα ἐξηχηθῆναι. εἰπὼν τοίνυν τὴν αἰτίαν, δι' ἣν ἐπάταξε, λέγει καὶ τὰς πληγὰς, καὶ οὐδὲ ταύτας καταλέγει πολλάκις, οὐδὲ κατ' εἶδος, ἀλλ' ἐν ῥήματι πάσας αὐτὰς αἰνιξάμενος παρέδραμε τῷ εἰπεῖν, ἐξαπέστειλε σημεῖα καὶ τέρατα ἐν μέσῳ σου Αἴγυπτε. εἶτα πάλιν ἐξ Αἰγύπτου τὸν λαὸν ἐξάγει εἰς τὴν ἔρημον, πανταχοῦ δεικνὺς, ὅτι οὐ μερικὸς ὁ Θεὸς, οὐδὲ εἰς μίαν χώραν κρατῶν, ἀλλὰ C πανταχοῦ τῆς οἰκουμένης. διὸ ἐπήγαγε λέγων· ὃς ἐπάταξεν ἔθνη πολλὰ, καὶ ἀπέκτεινε βασιλεῖς κραταιούς. διὰ πάσης τῆς ὁδοῦ ἐνέχυρα ποικίλως τῆς δυνάμεως αὐτοῦ διδοὺς, καὶ ἐν τῷ διδάσκειν αὐτοὺς διὰ τῶν πραγμάτων στρατηγῶν. καὶ γὰρ διὰ τῶν πολέμων καὶ τὰ πρότερα ἐδίδασκεν, ὅτι οὐκ ἀέρος φύσις, οὐ στοιχείων δύναμις, οὐκ ἄλλο τῶν τοιούτων οὐδὲν, ἀλλ' ἡ στρατηγοῦσα αὐτῶν ἐπολέμει χεὶρ, καὶ δι' ἑκατέρων ἑκάτερα ἐδείκνυτο, διὰ τῶν ἐν Αἰγύπτῳ τὰ ἐν τῇ ἐρήμῳ, καὶ διὰ τῶν ἐν ἐρήμῳ, τὰ ἐν Αἰγύ- D πτῳ, ὅτε γὰρ αὐτοὶ χωρὶς ὅπλων, καὶ παρατάξεως καὶ μάχης ἔβαλλον τοὺς πολεμίους, δῆλον αὐτοῖς ἐποίει, ὅτι καὶ ἐν Αἰγύπτῳ οὐ στοιχείων δεόμενος ταῦτα ἐκίνησε κατ' αὐτῶν, ἀλλὰ ποικίλως καὶ διαφόρως τὴν ἑαυτοῦ δύναμιν ἐνδείξασθαι θέλων, τοῖς οὖσιν εἰς ταῦτα ἐκέχρητο. τὸν Σηὼν βασιλέα τῶν Ἀμορραίων, καὶ τὸν Ὢγ βασιλέα τῆς Βασὰν, οὐκ ἐπιεισι τὰς πόλεις, οὐδὲ κατὰ μικρὸν λέγει τὴν παράταξιν, ἀλλὰ πάλιν μεγαλοψύχως παρατρέχει, μυρίας νιφάδας θαυμάτων. δυνάμενος γὰρ ἐνδιατρῖψαι, καὶ τὴν τρα-

γωνίαν ἐκείνην ἐξογκῶσαι τοῦτο οὐ ποιεῖ· ἀλλὰ καὶ ἐν πλήθει ὢν καὶ περιουσίᾳ τῶν ἔργων τοῦ Θεοῦ ἐκ παραδρομῆς ἁπλῶς ταῦτα ἔπεισι. καί τοι γε οἱ μὲν ὡπλισμένοι ἦσαν, καὶ τειχήρεις πόλεις οἰκοῦντες, καὶ τὰ τακτικὰ μεμελετηκότες· οἱ δὲ φυγάδες, πολέμων ἄπειροι, δουλείας μακρᾶς ἀπηλλαγμένοι, καὶ τυραννίδος χρονίας, λιμῷ ἀναλωθέντες, καὶ ταλαιπωρίᾳ, πᾶσι προκείμενοι πρὸς τὸ κακῶς παθεῖν. ἀλλὰ πάντων ἦσαν δυνατώτεροι διὰ τὴν στρατηγοῦσαν αὐτῶν χεῖρα. εἶχε δὲ καὶ τὸ δίκαιον ὁ πόλεμος. οὐ γὰρ αὐτοὶ ἐπῄεσαν, ἀλλ' ἐκείνων τὰς αἰτίας παρεχόντων, ἀποτειχιζόντων αὐτοῖς τὴν ὁδὸν, ὅπερ ἐσχάτης ἀπανθρωπίας ἦν· τούς τε Ἰδουμαίους οὐκ ἀφῆκεν εἰς πόλεμον εἰσελθεῖν. ἵνα γὰρ μὴ τῇ σιγῇ θαρροῦντες μετὰ ταῦτα πάλιν ἐπίωσι, ἀλλ' εἰδῶσι τίσι πολεμεῖν, τίνων δὲ φείδεσθαι χρὴ, ἐν τῇ ἐρήμῳ τοῦτο ποιεῖ, διὰ τῶν πραγμάτων νόμον αὐτοῖς τιθεὶς, πῶς δεῖ κεχρῆσθαι τοῖς ἀπαντῶσι. καὶ πάσας τὰς βασιλείας Χαναάν. εἶδες τὴν οἰκουμένην ἅπασαν ἐντεῦθεν παιδευομένην; καθάπερ γὰρ πῦρ ἀκάνθαις, οὕτως ἐπῄεσαν ἅπασι, καὶ οὐδεὶς αὐτοὺς φέρειν ἐδύνατο. ἄκουε γοῦν τί φησιν ὁ Βαλαάμ, οὐκ ἀπὸ τῶν προφητῶν, οὐκ ἀπὸ Μωϋσέως μαθὼν, ἀλλ' ἀπὸ τῶν πραγμάτων· τὸ ἔθνος τοῦτό ἐστι, τὸ ἐκλεῖχον πᾶσαν τὴν γῆν. εἶδες τὴν μεταφορὰν κυρίως εἰρημένην; οὐκ εἶπε τὸ πολεμοῦν, τὸ καταβάλλον, ἀλλὰ τὸ ἐκλεῖχον, τὸ ἀπονητὶ τῆς νίκης παραστῆσαι βουλόμενος, καὶ τὰ ἀναιμωτὶ γινόμενα τρόπαια, καὶ τὴν ἐξ ἐπιδρομῆς κράτησιν. οὐδὲ παρατάξεως δέονται, φησι, καὶ συμβολῆς, ἀλλ' ἀρκεῖ μόνον ἐπελθεῖν, καὶ ἅπαντα ἐξίσταται καὶ παραχωρεῖ. οὐ γὰρ δὴ μόνον νόμῳ πολέμου καὶ παρατάξεως κρατεῖν αὐτοὺς ἐποίει, ἵνα μή τις αὐτοῖς λογίσηται τὰ γινόμενα, ἀλλὰ τὰ στοιχεῖα τῆς οἰκουμένης κατ' αὐτῶν ἐκίνει· διὸ καὶ προκατέβαλλε αὐτῶν τὰς διανοίας, καὶ χάλαζα κατενεχθεῖσα πολλοὺς ἀπώλεσε, καὶ ἥλιος ἔστη, καὶ τῷ πολέμῳ μῆκος ἔδωκε, καὶ πολλὰ παράδοξα τοιαῦτα ἐγίνετο, καὶ ἠχὴ σαλπίγγων πυρὸς σφοδρότερον τοῖς πύργοις προσβάλλουσα τὰ τείχη κατήνεγκε. τοῦτο δὲ ἑκατέρους ὠφέλει. ἐκεῖνοί τε γὰρ ἐμάνθανον, ὡς οὐ παρὰ ἀνθρώπων ἐστὶν ὁ πόλεμος· καὶ οὗτοι

A diam illam amplificare; non hoc facit: sed cùm maxima se offerret multitudo & abundantia eorum quæ insigniter & præclare à Deo gesta sunt, ea omnia prætercurrendo prosequitur. Atqui illi quidem erant armati, & vrbes munitas habitabant, & rei militaris & instruendæ aciei erant periti: hi verò exules, & bellandi ignari, à longa seruitute & diuturna tyrannide liberati, fame & egestate consumpti, omnibus ad accipiendam iniuriam expositi. Sed erant omnium potentissimi propter manum quę eos ducebat ac regebat. Erat etiam B bellum iustum. Neque enim eos inuasissent, nisi illi eis causam dedissent, & viam eis interclusissent, quod est extremæ inhumanitatis: & Idumæos non siuit ad bellum accedere. Ne enim silentio confidentes, post hæc rursus inuaderent, sed scirent cum quibusnam quidem bellare, à quibus verò abstinere oporteret, hoc facit in solitudine, per res ipsas legem eis constituens, quomodo oporteret vti eis qui illis occurrerēt. *Et omnia regna Chanaan.* Vidisti ex his doceri vniuersum orbem terræ. Quemadmodum enim ignis spinas, ita ij omnes C inuaserunt, nec poterat quisquam eos sustinere. Audi ergo quid dicat Balaā, qui non à prophetis, non à Mose didicerat, sed à rebus ipsis: Hæc est gens quę elingit omnem terram. Vidisti propriè dictam metaphoram? Non dixit, Quæ bellum gerit, quæ fundit & euertit, sed quæ elingit, volens ostendere quàm facilè ab eis pariatur victoria, & quomodo citra sanguinem ab eis trophæa erigantur, & sola eorum incursione inimici profligentur. Non opus, inquit, habent instructa acie, nec vt prælium committatur, sed tantùm inuadere satis est, & omnia eis cedunt. D Non solùm enim vt lege belli & instructa acie vincerent effecit, ne quis ea quæ fiebant, eis attribueret, sed elementa orbis terræ in eos commouebat, & ideo animos eorum primum deijciebat & perturbabat, & cadens grando multos perdidit, & sol stetit, & bellum longiùs protraxit, & multa eiusmodi admirabilia facta sunt, & tubarum sonitus vel igne vehementiùs in turres irruens muros diruit. Hoc autem vtrisque fuit vtile. Nam & illi discebant bellum non geri ab hominibus, & hi

Deut. 2. *Collatio.* *Num. 23.* *Elegans metaphora.* *Iosu. 10.* *Ios. 6.*

docebantur vt ad Deum respicerent, nec vnquam de rebus gestis se iactarêt, magnóve spiritus sumerent, sed se honestè & moderatè gererent. Hoc enim modo vicisse maius eis ornamentum afferebat, quàm vicisse, vt quòd eos magnificos quidem ac splendidos, redderet, & modestiam doceret. Magnificos quidem ac splendidos, quòd talem haberent Imperatorem. Modestiam autem rursus docebat, quòd præclaris suis factis minimè intumesceret. 12. *Et dedit terram eorum hæreditatem, hæreditatem Israel populo suo.* Hoc quoque est maximum miraculum, quòd non solùm expellerent, sed terram etiam occupare possent, & vrbes distribuere: quod eis quoque magnam præbebat voluptatem, magnum ornamentum, magnam lætitiam. Id autem Dei quoque est potentiæ. Non enim parua res est occupasse regionem hostium, sed ad hoc quoque magno Dei auxilio opus est.

Dan. 2.

13. *Domine nomen tuum in æternum, & memoriale tuum in generationem & generationem.* Alius, Recordatio tui. Hic interrumpit orationis seriem glorificatione, quod solent sancti facere. Postquam enim de Dei miraculis aliquid dicere incipientes, inflammati fuerint, non prius ad finem perueniunt, quàm pro iis quæ dicta sunt Deum gloria affecerint, & laudibus prosecuti fuerint, & ita suum desiderium impleuerint. Quod etiam Paulus vbique quidem facit: maximè autem in prooemiis epistolarum, vt quando dicit ecclesiis Galatiæ, Gratia vobis & pax à Deo patre nostro, & domino Iesu Christo, qui dedit seipsum pro peccatis nostris secundùm voluntatem Dei & patris nostri: cui gloria in secula seculorum, Amen. Et in epistola ad Romanos: Quorum adoptio, & gloria, & legislatio, & cultus, & promissio, quorum patres, & ex quibus Christus secundùm carnem, qui est in omnibus benedictus Deus in seculum. Et rursus alibi: Regi autem seculorum immortali, inuisibili, soli soli sapienti Deo honor & gloria in secula seculorum, Amen. Ita etiam hic propheta, cùm mente agitasset vniuersam Dei prouidentiam, plagam in Ægypto, varia & diuersa beneficia in solitudine ab illo in Iudæos collata sunt, quæ pro illis aduersus hostes facta sunt:

Galat. 1.

Rom. 9. 4.

1. Tim. 1. 17

A ἐπαιδεύοντο πρὸς τὸν Θεὸν βλέπειν, καὶ μηδέποτε ἐπὶ τοῖς κατορθώμασι μεγαλοφρονεῖν, ἀλλὰ καὶ καλλωπίζεσθαι καὶ μετριάζειν. τὸ γὰρ κρατῆσαι, τὸ οὕτως κρατῆσαι μᾶλλον αὐτοὺς ἐκόσμει, ὅπερ καὶ σεμνοὺς ἐποίει, καὶ μετριάζειν ἐδίδασκε. σεμνοὺς μὲν, ὅτι τοιοῦτον εἶχον στρατηγόν· μετριάζειν δὲ, ὅτι οὐκ οἰκείοις ἐφυσῶντο κατορθώμασι. καὶ ἔδωκε τὴν γῆν αὐτῶν κληρονομίαν, κληρονομίαν Ἰσραὴλ λαῷ αὐτοῦ. καὶ τοῦτο μέγιστον θαῦμα, τὸ μὴ μόνον ἐκβάλλειν, ἀλλὰ καὶ δυνηθῆναι κατασχεῖν τὴν γῆν, καὶ πόλεις νείμασθαι. ὃ καὶ πολλὴν παρεῖχεν αὐτοῖς τὴν ἡδο- B νὴν, πολὺν τὸν κόσμον, πολλὴν τὴν φαιδρότητα. καὶ τοῦτο τῆς τοῦ Θεοῦ δυνάμεως. οὐ γὰρ μικρὸν κατασχεῖν πολεμίων χώραν, ἀλλὰ καὶ πολλῆς καὶ ἐνταῦθα χρεία ῥοπῆς. κύριε τὸ ὄνομά σου εἰς τὸν αἰῶνα, καὶ τὸ μνημόσυνόν σου εἰς γενεὰν καὶ γενεάν. ἄλλος, ἡ ἀνάμνησίς σου. ἐνταῦθα τῇ δοξολογίᾳ τὸ συνεχὲς διακόπτει τοῦ λόγου, ὅπερ τοῖς ἁγίοις ποιεῖν ἔθος ἀεί. ἐπειδὰν ἀρξάμενοί τι λέγειν τῶν τοῦ Θεοῦ θαυμάτων πυρωθῶσιν, οὐ πρότερον ἐπὶ τὸ τέλος ἔρχονται, ἕως ἂν ὑπὲρ C τῶν εἰρημένων δοξάσωσι τὸν Θεὸν, καὶ εὐφημήσωσι, καὶ τὴν ἐπιθυμίαν ἐμπλήσωσι τὴν ἑαυτῶν, ὅπερ καὶ ὁ Παῦλος πανταχοῦ ποιεῖ· καὶ ἐν προοιμίοις δὲ μάλιστα τῶν ἐπιστολῶν, ὡς ὅταν λέγῃ ταῖς ἐκκλησίαις τῆς Γαλατίας, χάρις ὑμῖν, καὶ εἰρήνη ἀπὸ Θεοῦ πατρὸς ἡμῶν, καὶ κυρίου Ἰησοῦ Χριστοῦ, τοῦ δόντος ἑαυτὸν ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν κατὰ τὸ θέλημα τοῦ Θεοῦ καὶ πατρὸς ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν. καὶ ἐν τῇ πρὸς Ῥωμαίους, ὧν ἡ υἱοθεσία, καὶ ἡ D δόξα, καὶ ἡ λατρεία, καὶ ἡ ἐπαγγελία, ὧν οἱ πατέρες, καὶ ἐξ ὧν ὁ Χριστὸς τὸ κατὰ σάρκα, ὁ ὢν ἐπὶ πάντας Θεὸς, εὐλογητὸς εἰς τοὺς αἰῶνας, ἀμήν. καὶ πάλιν ἀλλαχοῦ· τῷ δὲ βασιλεῖ τῶν αἰώνων ἀφθάρτῳ ἀοράτῳ, μόνῳ σοφῷ Θεῷ τιμὴ καὶ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν. οὕτω δὴ καὶ ὁ προφήτης ἐνταῦθα ἐννοήσας τὴν πρόνοιαν, τὴν καθόλου, τὴν ἐν Αἰγύπτῳ πληγὴν, τὰς ἐπὶ τῇ ἐρήμῳ γενομένας εὐεργεσίας, τὰς ποικίλας καὶ διαφόρους, τὰς εἰς Ἰουδαίους, τὰς ὑπὲρ ἐκείνων εἰς τοὺς πολεμίους,

καὶ πυρωθεὶς ἀπὸ τῆς ἀφάτου αὐτοῦ φιλανθρωπίας δοξολογίαν ἀνήνεγκε, λέγων· κύριε τὸ ὄνομά σου εἰς τὸν αἰῶνα, καὶ τὸ μνημόσυνόν σου εἰς γενεὰν καὶ γενεάν. τουτέστιν, ἡ δόξα σου διηνεκής. οὐδὲν γὰρ αὐτὴν λυμαίνεται, οὐδὲν αὐτὴν διακόπτει, ἀλλ' ἔστιν ἀεί, καὶ μένει ἄτρεπτος, ἀμετάβλητος, ἀνθοῦσα, ἀκμάζουσα. τί δέ ἐστι τὸ μνημόσυνόν σου, εἰς γενεὰν καὶ γενεάν; ἡ μνήμη φησὶν ἡ περὶ σοῦ, ἀτελεύτητος, πέρας οὐκ ἔχουσα. ὅτι κρινεῖ κύριος τὸν λαὸν αὐτοῦ, καὶ ἐπὶ τοῖς δούλοις αὐτοῦ παρακληθήσεται. ἢ ἀμφότερα ταῦτα περὶ τοῦ λαοῦ ἐστιν εἰπεῖν, ὅτι δίκην ἀπαιτήσει, καὶ μετὰ ταῦτα παύσεται, καὶ ἀνακτήσεται αὐτούς· ἢ διελόντας, τὸ μὲν παρακληθήσεται περὶ τοῦ λαοῦ· τὸ δὲ κρινεῖ, περὶ τῶν πολεμίων, τουτέστι, τοὺς μὲν ἀνακτήσεται· τοῦτο γάρ ἐστι τὸ παρακληθήσεται· κρινεῖ δὲ τοὺς πολεμίους· τουτέστι, δίκην ἀπαιτήσει ὑπὲρ αὐτῶν. εἶτα ἐπειδὴ οὐκ εἶχεν ἀπὸ βίου κατορθώματα αὐτῶν εἰπεῖν, τοῖς δικαιώμασι τούτοις κέχρηται, τῷ ὀνόματι τοῦ λαοῦ, καὶ τῷ ὀνόματι τῶν δούλων. εἰπὼν δὲ παρακληθήσεται δείκνυσι τῆς τοῦ Θεοῦ φιλανθρωπίας τὴν καταλλαγήν, οὐ τῆς ἐκείνων ἀξίας. ὅπου γὰρ παράκλησις, συγγνώμης χρεία· ὅπου δὲ συγγνώμης χρεία, οὐκ ἄξια κατορθωμάτων, ἀλλὰ φιλανθρωπίας καιρός. ἐπειδὴ τοίνυν εἶπεν ἀνωτέρω· τὸ μνημόσυνόν σου εἰς γενεὰν καὶ γενεάν, μόνοι δὲ τῶν ἄλλων ἐθνῶν αὐτοὶ Θεὸν ἐπεγράφοντο τότε, τοιοῦτόν τι αἰνίττεται διὰ τούτου, καὶ λέγει, ὅτι ἡ σωτηρία ἐπὶ τὸν λαόν, καὶ τὴν δόξαν τὴν παρὰ τοῖς πολλοῖς περὶ σοῦ οὖσαν δείκνυσιν. ἡ μὲν γὰρ φύσει προσοῦσα αὐτῷ δόξα, κἂν μηδεὶς ὁ θεραπεύων ᾖ, μένει ἀμείωτος, ἀκατάλυτος, ἀναλλοίωτος· ἡ δὲ παρὰ πολλοῖς εὐφημία, καὶ ἀπὸ τῆς ἡμετέρας σωτηρίας δειχθήσεται, ἀπολαβόντων ἡμῶν τὴν πόλιν, καὶ τὸ ἱερόν, καὶ τὸν ναόν, καὶ ἐπὶ τῆς προτέρας γενομένων πολιτείας πάλιν. τὰ εἴδωλα τῶν ἐθνῶν, ἀργύριον καὶ χρυσίον, ἔργα χειρῶν ἀνθρώπων. ἐπειδὴ ἀρχόμενος ἔλεγεν, ὁ δὲ κύριος ἡμῶν παρὰ πάντας τοὺς Θεούς, καὶ ἔδοξέ τινα κατὰ σύγκρισιν ὑπεροχὴν εἰσάγειν διὰ τὴν ἀσθένειαν τῶν ἀκουόντων· ὅρα τοῦτο πῶς ἐπιτείνει τῷ λόγῳ. ἀρξάμενος γὰρ ἀπὸ τῆς τοῦ Θεοῦ δυνάμεως, καὶ εἰπὼν τὰ ἐν τῷ οὐρανῷ, τὰ ἐν τῇ γῇ,

A ab eius ineffabili benignitate inflammatus, emisit glorificationem, dicens; Domine nomen tuum in æternum, domine memoriale tuum à generatione in generationem. Hoc est, Gloria tua est perpetua. Nihil enim ei affert vllum detrimentum, nihil eam interrumpit, sed est semper, & manet immutabilis, & à conuersione omnino aliena, florens ac vigens. Quid est autem, Memoriale tuum in generationem & generationem? Tui, inquit, memoria non desinit, & finem non habet. 14. *Quia iudicabit Dominus populum suum, & in seruis*

Iob. 21. Eccl. 18. Psal. 109.

B *suis deprecabitur.* Vel vtraque hæc dici possunt de populo, quòd de eo pœnas sumet, & postea cessabit, & ipsos recreabit: vel diuisim, Consolationem quidem accipiet de populo: iudicabit autem de hostibus. Hoc est, Illos quidem recreabit (hoc enim sibi vult illud, Consolationem accipiet) Iudicabit autem hostes, hoc est, pro ipsis pœnas sumet. Deinde quoniam non poterat dicere vitæ eorum rectè facta, ad eorum causam tuendam, nomine seruorum vtitur. Cùm autem dixit, deprecabi-

Rom. 3.

C tur, ostendit recõciliationem esse illius clementiæ, non autem ex illorum meritis. Vbi enim deprecatio, venia opus est. Vbi autem opus est venia, non sunt rectè factorum merita, sed est occasio & tempus clemẽtiæ. Quoniam ergo dixit superius: Memoriale tuum in generationem, soli autem ex aliis gentibus ipsi tunc Deum sibi adscribebant, per hoc tale quid significat, & dicit, Salus populi ostendit tuã apud multos gloriam. Quæ enim natura ei inest gloria, etsi nullus eum colat & obseruet, perpetuò manet, & nec minui, nec dissolui, nec

D mutari potest. Quæ est autem eius apud multos laudatio, à nostra etiam salute ostendetur, cùm nos ciuitatem, ædem sacrã, & templum receperimus, & pristinę reipublicę restituti fuerimus. 15. *Simulacra gentium argentum & aurum, opera manuum hominum.* Quoniam in principio dixerat, Dominus autem noster præ omnibus diis, & visus est per comparationem introducere quandam excellentiam, propter imbecillitatem eorum qui audiebant: vide quomodo hoc verbis amplificat. Postquam enim à Dei potentia initium duxit, & dixit quæ in cœlo sunt, quæ in terra,

quæ in abyssis, quæ Iudæis, quæ in propria, quę in aliena, quæ in hostibus, quæ in gentibus facta sunt, deinde cùm eius benignitatẽ reuocasset in memoriam, bonitatem clementiam, curationem, sapientiam, & potentiam, & Deum esse vniuersorum, & vniuersi orbis terræ curam gerere ostendisset, irridet deinceps & ludificatur idolicorum deorum imbecillitatem, & statim ab ipsa natura contemptim sermone vsus est: imò verò ipsum nomen ad eorum reprehensionem adducit. Idolum enim aut simulachrum nihil est aliud quàm quid imbecillum & abiectum, & nomen summæ infirmitatis. Quocirca hinc incipit, dicens, Simulachra gentium argentum & aurum. Primùm, quòd simulachrum. Secũdum, quòd inanima & surda materia. Tertium, quòd hoc ipso quòd sunt simulachra, non solùm ex seipsis habent paruitatem, & imbecillitatem, súntque vilia & abiecta, sed etiam ex hominibus. Quocirca subiunxit etiam, Opera manuum hominum, quod quidem est maxima reprehensio eorum qui illa colũt, nempe quòd cùm ipsi sint in causa vt ea sint, in eis tamen suæ spem salutis collocent. 16. *Os habent, & non loquentur. Oculos habent, & non videbunt.* 17. *Aures habent, & non audient. Neque enim est spiritus in ore ipsorum.* 18. *Similes illis fiant qui faciunt ea, & qui confidunt in eis.* Os, inquit, habent, & non loquẽtur. Vidisti quomodo auget irrisionem, & fraudẽ coarguit? quoniam enim ea sæpe mouent dæmones, fictionem & simulatum actum eorum detegit, ostendens non esse spiritũ in ore ipsorum. Et quænam est causa quòd malus dæmõ absq. illis nihil facit, nec loquitur? Quoniam stupri, adulterij, & innumerabilium vitiorum columnæ sunt horum simulachrorum figuræ: docens eos qui seducuntur, per ipsum statuarum aspectum eas res imitari, quarum figuræ sunt statuæ, eis assidet ea mouens, & decipiens. Deinde rursus alio ludificationis genere ea aggreditur. Similes illis fiant qui faciũt ea. Cõsidera apud te quales dij sint quibus fieri similes dira est imprecatio. Nostra autẽ non ita habent. Extremus enim virtutis finis est, & quod facit, vel ad summum bonorum fastigium pertingere: Dei esse similes, quantũ nobis conceditur. Apud illos autem, inquit,

A καὶ ἐν ταῖς ἀβύσσοις, τὰ εἰς Ἰουδαίους, τὰ ἐπὶ τῆς οἰκείας, τὰ ἐπὶ τῆς ἀλλοτρίας, τὰ ἐπὶ τῶν πολεμίων, τὰ ἐπὶ τῶν ἐθνῶν, εἶτα ἀναμνήσας τὴν χρηστότητα, τὴν φιλανθρωπίαν, τὴν κηδεμονίαν, τὴν σοφίαν, τὴν δύναμιν, καὶ δείξας καθόλου Θεὸν ὄντα, καὶ τῆς οἰκουμένης προνοοῦντα, κωμῳδεῖ λοιπὸν καὶ τὴν εἰδωλικῶν θεῶν τὴν ἀσθένειαν, καὶ εὐθέως ἀπὸ τῆς φύσεως αὐτῆς καταφορικῶς κέχρηται τῷ λόγῳ· μᾶλλον δὲ καὶ τὸ ὄνομα αὐτῶν εἰς κατηγορίαν παράγει. τὸ γὰρ εἴδωλον οὐδὲν ἕτερόν ἐστιν, ἢ ἀδρανές τε B καὶ εὐτελὲς, καὶ ἀσθενείας ὄνομα ἐπιτεταμένης, διόπερ ἐντεῦθεν ἄρχεται, λέγων· τὰ εἴδωλα τῶν ἐθνῶν ἀργύριον καὶ χρυσίον. πρῶτον, ὅτι εἴδωλον· δεύτερον, ὅτι ἄψυχος ὕλη καὶ κωφή. τρίτον, ὅτι αὐτὸ τὸ εἴδωλα εἶναι, οὐ μόνον παρ' ἑαυτῶν ἔχουσι τὸ μικρὸν, καὶ ἀσθενὲς, καὶ εὐτελὲς, ἀλλὰ καὶ παρὰ τῶν ἀνθρώπων. διὸ καὶ ἐπήγαγεν, ἔργα χειρῶν ἀνθρώπων, ὅπερ μεγίστη κατηγορία τῶν θεραπευόντων αὐτούς. ὅτι γὰρ αὐτοὶ τοῦ εἶναι αὐτὰ, αὐτοὶ ὄντες αἴτιοι, ἐν αὐτοῖς τῆς σωτηρίας τὰς ἐλπίδας ἔχουσι. στόμα ἔχουσι, καὶ οὐ λαλήσουσιν. ὀφθαλμοὺς ἔχουσι, C καὶ οὐκ ὄψονται· ὦτα ἔχουσι, καὶ οὐκ ἀκουσθήσονται. οὐ γάρ ἐστι πνεῦμα ἐν τῷ στόματι αὐτῶν. ὅμοιοι αὐτοῖς γένοιντο οἱ ποιοῦντες αὐτὰ, καὶ πάντες οἱ πεποιθότες ἐπ' αὐτοῖς. στόμα, φησὶν, ἔχουσι, καὶ οὐ λαλήσουσιν. ἴδες πῶς ἐπιτείνει τὴν κωμῳδίαν, καὶ διελέγχει τὴν ἀπάτην; ἐπειδὴ γὰρ πολλάκις αὐτὰ δαίμονες κινοῦσιν, ἀπαμφιέννυσι τὴν ὑπόκρισιν, καὶ τὸ δρᾶμα δεικνὺς, ὅτι οὐκ ἔστι πνεῦμα ἐν τῷ στόματι αὐτῶν. καὶ τίνος ἕνεκεν ὁ πονηρὸς δαίμων οὐ χωρὶς ἐκείνων δρᾷ, οὐδὲ φθέγγεται; ἐπειδὴ πορνείας, μοιχείας, D μυρίας κακίας αἱ στῆλαι τῶν εἰδώλων εἰσὶν οἱ τύποι τούτων· παιδεύων τοὺς ἀπατωμένους διὰ τῆς ὄψεως τῶν ξοάνων μιμεῖσθαι τὰ πράγματα, ὧν σχήματά ἐστι τὰ εἴδωλα, προσεδρεύει καὶ παρακάθηται κινῶν τε αὐτὰ, καὶ ἀπατῶν. εἶτα πάλιν ἕτερον κωμῳδίας εἶδος κινεῖ λέγων· ὅμοιοι αὐτοῖς γένοιντο οἱ ποιοῦντες αὐτά. ἐννόησον ἡλίκοι θεοὶ, ὧν ἡ ὁμοίωσις ἐν τάξει κεῖται ἀρᾶς. ἀλλ' οὐ τὰ παρ' ὑμῖν τοιαῦτα. ἔσχατος γὰρ ἀρετῆς ὅρος, καὶ τὸ πρὸς κορυφὴν ἀναβῆναι τῶν ἀγαθῶν ποιεῖν· τὸ πρὸς τὸν Θεὸν ὁμοιωθῆναι, κατὰ τὸ ἐγχωροῦν ἡμῖν. παρὰ δὲ ἐκείνοις ἡ λατρεία, φησὶ, καὶ οἱ

Esa. 41. 1. Cor. 8. *Simulachrorum vanitas.*

Sap. 14.

3 Reg. 15. 2. Paral. 23

Dæmones idola efficaces.

καὶ οἱ θεοὶ τοιοῦτοι, ὡς τὴν πρὸς αὐτοὺς ὁμοίωσιν ἐν τάξει εἶναι ἀρᾶς τῆς ἐσχάτης, ὥστε καὶ δι' ὧν ἄψυχός εἰσιν ὕλη, καὶ δι' ὧν παρὰ τῶν θεραπευόντων γίνονται, καὶ δι' ὧν εἴδωλα ἀσχημοσύνης εἰσὶ, καὶ δι' ὧν ἀναίσθητα κεῖται, καὶ δι' ὧν ἐν τάξει ἀρᾶς προσέθηκε τὴν πρὸς αὐτοὺς ὁμοίωσιν, διὰ πάντων γὰρ δείκνυται τῆς πλάνης ἡ ὑπερβολή. εἰπὼν τοίνυν αὐτῶν τὴν ἀσθένειαν, τὴν ἀπάτην, τὴν τῶν δαιμόνων πονηρίαν, τὴν τῶν ποιούντων αὐτὰ ἄνοιαν, καὶ ταχέως αὐτῶν ἀπαλλαγεὶς, ἐπὶ τὴν δοξολογίαν καταλείει τὸν λόγον, οὐκέτι διηγούμενος τὰ παρὰ τοῦ Θεοῦ, ἀλλ' ὡς ἀποδείξας σαφῶς ἐπὶ ὡμολογημένοις πᾶσι τὴν εὐφημίαν ἀπαιτῶν παρὰ τῶν τῆς εὐεργεσίας ἀπολαυόντων αὐτοῦ· διὸ καὶ καλεῖ πάντας εἰς δοξολογίαν, οὕτω λέγων· οἶκος Ισραὴλ εὐλογήσατε τὸν κύριον. οἶκος Ααρὼν εὐλογήσατε τὸν κύριον. οἶκος Λευὶ εὐλογήσατε τὸν κύριον. οἱ φοβούμενοι τὸν κύριον, εὐλογήσατε τὸν κύριον. εὐλογητὸς κύριος ἐκ Σιὼν, ὁ κατοικῶν Ιερουσαλήμ. τί δή ποτε οὐ πάντας ὁμοῦ καλεῖ, ἀλλ' εἰς τάγματα διαιρεῖ; ἵνα μάθῃς, ὅτι πολλὴ ἡ διαφορὰ τῆς εὐλογίας. ἄλλως γὰρ ὁ ἱερεὺς, ἄλλως ὁ Λευίτης, ἄλλως ὁ λαϊκὸς, ἄλλως ὁ πολὺς λαὸς εὐλογεῖ. τὸ δὲ εἰπεῖν εὐλογήσατε, δεικνῦντός ἐστι τὴν μακαρίαν, καὶ ἀκήρατον φύσιν ἐκείνην. εὐλογήσατε γάρ φησιν, ὅτι τῶν ἐναντίων ἀπηλλάγητε, ὅτι τοιοῦτον κατηξιώθητε προσκυνεῖν Θεὸν, ὅτι τὴν ἀλήθειαν ἐπέγνωτε. ἔστι μὲν γὰρ καὶ αὐτὸς εὐλογητὸς, ἐν τῇ φύσει ἔχων τὴν εὐλογίαν, οὐ δεόμενος τῆς παρὰ ἑτέρων εὐφημίας. πλὴν καὶ ὑμεῖς εὐλογεῖτε, οὐχ ὡς ἐκείνῳ τι προστιθέντες, ἀλλ' ὡς αὐτοὶ τι μέγα καρπούμενοι. εἰ γὰρ καὶ φύσει ἐστὶν εὐλογητὸς, ὥσπερ οὖν καὶ ἐστιν· ἀλλὰ βούλεται καὶ παρ' ἡμῶν εὐλογεῖσθαι. καὶ πάλιν δὲ τῆς Σιὼν μέμνηται, καὶ τῆς Ιερουσαλήμ. ἐπειδὴ γὰρ ἐκεῖ τὰ τῆς πολιτείας αὐτοῖς συγκεκρότητο, καὶ τὰ τῆς λατρείας ὑπόθεσιν εἶχε ταύτην, καὶ ἐκεῖθεν ἐπαιδεύοντο, καὶ ἐρρυθμίζοντο. βούλεται ποιῆσαι τοὺς τόπους σεμνοὺς τῇ ἐπωνυμίᾳ τοῦ Θεοῦ· ἵνα αἰδέσιμοι ὄντες μᾶλλον αὐτοῖς ὦσι περισπούδαστοι, περισπούδαστοι δὲ ὄντες μᾶλλον αὐτοὺς ἐφέλκωνται, ἐφελκόμενοι δὲ προσηλῶσι τῇ λατρείᾳ, προσηλοῦντες δὲ εἰς μείζονα ἄγωσι ἀρετὴν, δι' ἣν πάντα ἐγένετο.

A & cultus est, & dij tales, vt eis esse similes locum teneat pessimæ imprecationis. His ergo, nempe quòd sint materia inanima, & quòd fiant ab eis qui illa colunt, & quòd sint simulachra informia, & quòd iaceant nullo sensu prædita, & quod adiecerit pro dira imprecatione, vt quis eis euadat similis, per hæc omnia ostenditur summus error. Postquam ergo ostendit eorum imbecillitatem, errorem, dæmonum improbitatem, eorum qui illa faciunt insscientiam, ab his citò liberatus, concludit B orationem glorificatione, non amplius narrans ea quæ Deus fecit, vt qui ea iam satis demonstrarit, sed pro omnibus quæ sunt in confesso, laudem exigens ab iis qui fruuntur eius beneficio: & ideo vocat omnes ad glorificationẽ, sic dicens, 19. *Domus Israel benedicite Domino. Domus Aaron benedicite Domino.* 20. *Domus Leui benedicite Domino. Qui timetis Dominum, benedicite Domino.* 21. *Benedictus Dominus ex Sion, qui habitat in Hierusalem.* Cur ergo non omnes simul vocat, sed in ordines diuidens? vt scias esse magnam differentiam benedictio- C nis. Aliter enim sacerdos, aliter Leuita, aliter laicus, aliter frequens populus benedicit. Dicere autem, Benedicite, est eius qui ostendit beatam illam naturam, & ab interitu alienam. Benedicite enim, inquit, quòd liberati estis ab aduersariis, quòd digni habiti estis qui talem Deum adoraretis, quòd veritatem agnouistis. Est enim ipse quoque benedictus, in natura habens benedictionem, nec laude aliorum indigens, verumtamen vos quoque benedicite, non quòd ei aliquid ex eo accedat, sed quòd ipsi magnũ fructum ex ea re per- D cipiatis. Etsi enim est natura benedictus, vt certè est, vult tamen etiã à nobis benedici. Porrò autem Sion rursus meminit, & Hierusalem. quoniã enim illic erat cõstituta eorum respublica, & illic fundatus erat eorũ cultus, & ex eo loco docebãtur & instituebantur: vult ea loca veneranda ac magnifica reddere ipso Dei cognomine, vt cùm essent veneranda, maius illorum esset in ea studium: & cùm esset maius studium, ad ea magis attraherentur: attracti autem in Dei cultum magis desigerentur: desixi autem, ad maiorem virtutem deducerentur, propter quam omnia facta sunt.

Esa. 44. Baruch. 6.

Benedictionũ differentia.

Iob 12. Eccle. 18.

Benedicendus à nobis est Deus.

Esa. 1.

Sed tunc quidem erant Hierusalem & Sion: hodie autem cœli, & quæ sunt in cœlis. In eo ergo nos simus quæso defixi, vt futura etiam bona consequamur gratia & misericordia domini nostri Iesu Christi, cui gloria in secula seculorum, Amen.

A Ἀλλὰ τότε μὲν Ἱερουσαλὴμ καὶ Σιών, σήμερον δὲ ὁ οὐρανός, καὶ τὰ ἐν τοῖς οὐρανοῖς. τούτῳ δὴ καὶ ἡμεῖς ὦμεν, παρακαλῶ, προσηλωμένοι, ἵνα καὶ τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

IN PSALMVM CXXXV.

Confitemini Domino, quoniam bonus, quoniam in seculum misericordia eius.

POSTQVAM dixit superius de Dei in homines beneficiis, de eius quoque misericordiæ quantitate disserit, non eam metiens (nec enim id fieri potest) sed per infinitum volens ostendere eius magnitudinem, & inuitat omnes ad glorificationem, dicens: Confitemini Domino. Hoc est, Gratias agite, laudate ipsum. Quoniam in seculum misericordia eius. Quid est, In seculum? Non aliquando quidem, inquit, beneficio afficit, aliquando verò recedit: neque aliquando quidem miseretur, aliquando verò desinit, quod euenit in hominibus, quos & prohibet animi perturbatio, & distrahit fractus & abiectus animus, impedit fauor & obsequium, nec permittunt varij casus, rerúmque circunstantiæ. At Deus non est eiusmodi, sed perpetuò miseretur, nec vnquam desinit hoc facere, etiamsi hoc faciat variis & diuersis modis. Semper ergo miseretur, nec vnquam cessat beneficio homines afficere. Deinde postquam dixit eum misereri perpetuò, ostendit etiam argumēta misericordiæ, & quòd eius misericordia semper maneat, ex iis quæ videntur, ea afferens: & quoniam eos deducebat ad pietatem verámque religionem, vide quomodo cum rursus cōfert cum diis Gentilium, ad captum auditorum eodem modo se demittens. Quid enim dicit: 2. *Confitemini Deo deorum*: Singulis subiungens,

Deus perpetuò miseretur.

Psal. 38. 118.144. Esa. 54.

Εἰς τὸν ρλε' ψαλμόν.

B Ἐξομολογεῖσθε τῷ κυρίῳ, ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

ΕΙΠΩΝ ἄνω περὶ τῆς εὐεργεσίας τοῦ Θεοῦ τῆς εἰς ἀνθρώπους γινομένης, καὶ περὶ τῆς ποσότητος τοῦ ἐλέους αὐτοῦ διαλέγεται, οὐ μετρῶν· οὐδὲ γὰρ δυνατόν· ἀλλὰ τῷ ἀπείρῳ τὸ μέγεθος αὐτοῦ παραστῆσαι βουλόμενος, καὶ παρακαλεῖ πρὸς δοξολογίαν ἅπαντας καλῶν, καὶ λέγων, ἐξομολογεῖσθε τῷ κυρίῳ. τουτέστιν, εὐχαριστεῖτε, εὐφημεῖτε αὐτόν, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. τί δέ ἐστιν, εἰς τὸν αἰῶνα; οὐ ποτὲ μέν, φησιν, εὐεργετεῖ, ποτὲ δὲ ἀφίσταται, οὐδὲ ποτὲ μὲν ἐλεεῖ, ποτὲ δὲ παύεται, ὅπερ ἐπ' ἀνθρώπων συμβαίνει, καὶ πάθει κωλυομένων, καὶ εὐτελείᾳ διακοπτομένων, καὶ θεραπείᾳ ἐμποδιζομένων, καὶ περιστάσει πραγμάτων οὐ συγχωρουμένων. ἀλλ' ὁ Θεὸς οὐ τοιοῦτος, ἀλλὰ διηνεκῶς ἐλεεῖ, καὶ οὐδέποτε παύεται τοῦτο ποιῶν, κἂν διαφόρως καὶ ποικίλως ἐπιτελῇ. ἀεὶ οὖν ἐλεεῖ, καὶ οὐδέποτε ἵσταται τοὺς ἀνθρώπους εὐεργετῶν. εἶτα εἰπὼν ὅτι ἐλεεῖ διηνεκῶς, δείκνυσι καὶ τὰ δείγματα τοῦ ἐλέους, καὶ τοῦ διηνεκῶς μένειν αὐτοῦ τὸν ἔλεον, ἐκ τῶν ὁρωμένων ποιούμενος τὴν ἀπόδειξιν, καὶ ἐπεὶ πρὸς εὐσέβειαν, αὐτοὺς ἐχειραγώγει, ὅρα πῶς πάλιν πρὸς τοὺς τῶν Ἑλλήνων θεοὺς ἀποτείνεται πάλιν τῇ αὐτῇ συγκαταβάσει κεχρημένος. τί γάρ φησιν; ἐξομολογεῖσθε τῷ Θεῷ τῶν θεῶν, καθ' ἕκαστον ἐπιλέγων,

C

D

ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. καὶ τῷ κυρίῳ τῶν κυρίων. ἐν μὲν οὖν τῷ προτέρῳ ψαλμῷ ἔλεγεν, ὅτι παρὰ πάντας τοὺς Θεούς ἐστιν· ἐνταῦθα δὲ ἔτι πλέον, ὅτι καὶ κύριος αὐτῶν, καὶ δεσπότης αὐτῶν ἐστιν, ἄν τε τῶν εἰδώλων λέγῃς, ἄν τε τῶν δαιμόνων. εἰ γὰρ καὶ ἠτιμωμένοι, καὶ προσκεκρουκότες οἱ δαίμονες, ἀλλὰ δοῦλοι καὶ ὑποκύπτοντες. διὰ τοῦτο οὖν ἐξομολογεῖσθε φησιν, ὅτι Θεὸν ἔχετε πάντων ἀνώτερον, οὗ ὅμοιος οὐδεὶς, πάντων δεσπότην, πάντων κύριον. καί τοι τῶν εὐαρεστούντων καλεῖται Θεὸς, ὡς ὅταν λέγῃ· ἐγώ εἰμι ὁ Θεὸς Ἀβραάμ, καὶ ὁ Θεὸς Ἰσαὰκ, καὶ ὁ Θεὸς Ἰακώβ. πῶς οὖν ἐνταῦθα τῶν δαιμόνων φησίν; ἀλλ' ἑτέρως ἐκεῖνο, καὶ ἑτέρως τοῦτο. ἐκεῖ μὲν γὰρ ἵνα τὴν οἰκείωσιν παραστήσῃ, καὶ τὴν πολλὴν πρὸς αὐτοὺς ἀγάπην. ἐνταῦθα δὲ, ἵνα τὴν ὑπεροχὴν γνωρίσῃ. τῷ ποιοῦντι θαυμάσια μεγάλα μόνῳ, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. ἐπειδὴ ἀπεφήνατο, ὅτι κύριός ἐστι τῶν Θεῶν, καὶ δεσπότης, τῇ ἀποφάσει ἐπάγει λοιπὸν τὴν ἀπόδειξιν, καὶ κατασκευάζει τὸ εἰρημένον ἀπὸ τῆς δυνάμεως αὐτὸν πάλιν ἀνακηρύττων. καὶ οὐκ εἶπε τῷ ποιήσαντι, ἀλλὰ τῷ ποιοῦντι, δεικνὺς αὐτὸν διηνεκῶς εὐεργετοῦντα, καὶ θαυματοποιοῦντα, καὶ παράδοξα ἐργαζόμενον, καὶ δύο αὐτοῦ ταῦτα τίθησιν ἐξαίρετα, ὅτι τε ποιεῖ, καὶ ὅτι μόνος ποιεῖ· μᾶλλον δὲ καὶ τρία, καὶ τέσσαρα. καὶ γὰρ ὅτι ποιεῖ, καὶ ὅτι θαύματα, καὶ μεγάλα θαύματα, καὶ ὅτι μόνος ποιεῖ. ταῦτα δὲ οὐ πρὸς ἀθέτησιν τοῦ παιδὸς, ἀλλὰ πρὸς ἀντιδιαστολὴν εἴρηται τῶν δαιμόνων. καὶ τίνα ταῦτά ἐστι τὰ θαύματα; ἴδωμεν τὰ μεγάλα, ἃ μόνος ποιεῖ, καί τοί γε ἀρχόμενος, οὐ περὶ δυνάμεως διελέχθη ἡμῖν, ἀλλὰ περὶ φιλανθρωπίας καὶ ἀγαθότητος. ἐξομολογεῖσθε γάρ, φησι, τῷ κυρίῳ, ὅτι ἀγαθός. πῶς οὖν εἰς τὸν περὶ δυνάμεως ἐμπίπτει λόγον ἐνταῦθα λοιπόν; ὅτι οὐχὶ δυνάμεως μόνον, ἀλλὰ φιλανθρωπίας ταῦτά ἐστι τὰ θαύματα. τίνα δέ ἐστι τὰ θαύματα δεικνὺς ἐπάγει, λέγων· τῷ ποιήσαντι τοὺς οὐρανοὺς ἐν συνέσει, τῷ στερεώσαντι τὴν γῆν ἐπὶ τῶν ὑδάτων. ἕτερος, τῷ πλήσαντι τὴν γῆν παρ' ὕδασι. τῷ ποιήσαντι φῶτα μεγάλα μόνῳ. τὸν ἥλιον εἰς ἐξουσίαν τῆς ἡμέρας, τὴν σελήνην καὶ τοὺς ἀστέρας εἰς ἐξουσίαν τῆς νυκτός. ταῦτα εἰ καὶ τὴν δύναμιν αὐτοῦ

Quoniam in seculū misericordia eius. & 3. *Confitemini Domino dominorum.* In præcedenti quidem psalmo dicebat eum esse præ omnibus diis: hîc autē adhuc amplius, eum esse illorum herum & dominum, siue idolorum dicas, siue dæmonum. Etsi enim offenderint dæmones, síntq. probro & ignominia notati, serui tamen sunt, & se ei submittunt. Propterea ergo inquit, confitemini, quòd habetis Deum omnium supremum, cui nullus est similis, qui herus est omnium, & dominus. Atqui dicitur etiam Deus eorum qui illi placent, vt quando dicit: Ego sum Deus Abraham, Deus Isaac, & Deus Iacob: Quomodo ergo hic dicit, dæmonum? Sed illud aliter, & hoc aliter. Illic enim vt ostendat familiaritatem & coniunctionē, & magnum suum in eos amorem: hic autem, vt suam significet excellentiam. 4. *Qui facit mirabilia magna solus. Quoniam in seculum misericordia eius.* Postquam asseruit eum esse deorum herum & dominum, assertionem deinceps probat, & quod dictum est confirmat, ex potentia eum rursus prædicans. Non dixit autem, Qui fecit, sed, Qui facit, ostēdens eum assiduè beneficio afficere, résque admirabiles, & quæ opinione sunt maiores, facere. Hæc autem duo ponit quæ sunt in eo eximia, & quòd facit, & quòd solus facit: atque adeò tria & quatuor, nempe quòd facit, & quòd miracula, & quòd magna miracula, & quòd solus facit. Hæc autem dicta sunt non vt vilipenderetur filius, sed vt inter eum & dæmones ostenderetur discrimen & distinctio. Et quænam sunt hæc miracula? Videamus magna illa quæ solus facit. Atqui in principio non loquebatur de potentia, sed de benignitate & clementia. Confitemini enim, inquit, Domino, quoniam bonus. quomodo ergo accidit, vt nunc loquatur de potentia? Quoniam hæc miracula non solum sunt potentiæ, sed etiam benignitatis & clementiæ. Quænam autem sunt miracula ostendens, subiungit, dicens: 5. *Qui fecit cælos in intellectu. Qui firmauit terram super aquas.* Alius, Qui constipauit terram in aquis. 7. *Qui fecit luminaria magna solus.* 8. *Solem in potestatem diei.* 9. *Lunam & stellas in potestatem noctis.* Hæc etsi eius potentiam

Exod. 3, 6.

Miracula Dei, non potentiæ solum sunt, sed etiā benignitatis.

& sapientiam indicant, attamen eius A quoque benignitatē ostendunt. Quòd enim sunt adeò magna, pulchra, & sufficientia, vires eius & sapientiam prædicant. Quòd ea autem propter nos & vsum nostrum facta sunt, benignitatem & perpetuam bonitatem. Vides quomodo sit in æternum eius misericordia? Non enim ad decem & viginti tantum annos hæc fecit, neque ad centum, ducenta, & millia, sed ea per omnē vitam nostram produxit. Et ideo hoc significans, in vnoquoque versu subiungit, *Quoniā in seculum misericordia eius.* Et quod est admirandum, ea fecit quidem: & B cùm facta essent, dedit ab initio: sed postquam homo transgressus est, ne sic quidem eum expulit, sed ea quæ eis dederat cùm non peccassent, reliquit etiam fruenda post peccatum, nec prohibuit quo minus post illud peccatum eis vti & frui posset. Neque verò vnum cœlum solum fecit, sed etiam alterum: vel ab exordio ostendens nos ab eo non relinquendos in terra, sed fore vt nos hinc transferamur. Si enim nō esset nos illuc translaturus, cur productum esset cœlum? neque enim est hoc illi elementum vtile, nulla re enim indiget, sed C cùm velit nos illuc à terra traducere, præparauit habitacula. Quamobrem cùm hæc sciret propheta, vnicuique versui subiungit: In seculum misericordia eius, admirans eius benignitatem. Qui firmauit terram super aquas. Vide hic quoque rursus benignitatem. Postquam enim facti sumus mortales, & eò redacti sumus, vt multis egeremus: ne sic quidem nos reliquit, sed hic quoque interim nobis congruum dedit habitaculum, & tot tantisque suæ benignitatis clarissimis indiciis terram refersit, vt ne verbis quidem ea possint D explicari. Propheta ergo cùm incidisset in abyssum horum beneficiorum, & vidisset quoddam vastum & immensum pelagus, exiliit alta voce clamans, & dicens, Quàm magnificata sunt opera tua domine. Omnia in sapientia fecisti. Porrò autem si quis viderit Solem & Lunam, & temporum ordinem, rursus videbit vniuersum eius benignitatem. neque enim parum ad vitæ decus & ornamentum, imò verò ad ipsam vitam hæc nobis elementa conferunt, vt quæ nutriant fructúsque maturent, (sine quibus viui non potest)

Cœlū propter hominē factum. Act. 17.

Elementorum vsus.

A καὶ τὴν σοφίαν ἐμφαίνῃ, ἀλλ' ὅμως καὶ πολλὴν τῆς φιλανθρωπίας δείκνυσι. τὸ μὲν γὰρ οὕτω μεγάλα γενέσθαι, καὶ καλὰ καὶ διαρκῆ, τὴν ἰσχὺν ἀνακηρύττει, καὶ τὴν σοφίαν. τὸ δὲ δι' ἡμᾶς αὐτὰ γενέσθαι, καὶ τῆς χρείας τῆς ἡμετέρας, τὴν φιλανθρωπίαν, καὶ τὴν ἀγαθότητα τὴν διηνεκῆ. ὁρᾷς πῶς εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ; οὐ γὰρ πρὸς δέκα καὶ εἴκοσι ἔτη πεποίηκεν αὐτά, οὐδὲ πρὸς ἑκατὸν, καὶ διακόσια, καὶ χίλια, ἀλλὰ πρὸς πᾶσαν τὴν ζωὴν ἡμῶν ἐξέτεινεν αὐτά. διὸ καὶ τοῦτο δηλῶν ἐν ἑκάστῳ στίχῳ ἐπιλέγει, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐ- B τοῦ. καὶ τὸ δὴ ἐκπληκτικὸν, ὅτι ἐποίησε μὲν, καὶ δέδωκεν ἐξ ἀρχῆς γενόμενα· ἐπειδὴ δὲ παρέβη ὁ ἄνθρωπος, οὐδὲ οὕτως αὐτὸν ἐξέβαλεν· ἀλλὰ ἅπερ ἔδωκεν οὐχ ἁμαρτάνοντι, τούτοις ἀφῆκεν καὶ μετὰ τὴν ἁμαρτίαν ἐνδιατρίβειν, καὶ οὐκ ἐκώλυσεν αὐτοὺς τὴν χρῆσιν μετὰ τὴν ἁμαρτίαν ἐκείνην. καὶ οὐκ ἐποίησεν οὐρανὸν ἕνα μόνον, ἀλλὰ καὶ ἕτερον, ἐκ προοιμίων δεικνὺς, ὅτι οὐκ ἐναφήσει ἡμᾶς τῇ γῇ, ἀλλ' ἐκεῖ μεταστήσει. εἰ γὰρ μὴ ἔμελλεν ἐκεῖ μεθιστᾶν, τίνος ἕνεκεν καὶ οὐρανὸς παρήγετο; οὐ γὰρ δὴ αὐτῷ χρήσιμον τοῦτο τὸ στοιχεῖον, οὐδενὸς C γὰρ δεῖται, ἀλλὰ τοὺς ἀπὸ γῆς ἐκεῖ μεθιστᾶν βουλόμενος παρεσκεύασε τὰ οἰκήματα. διὸ καὶ ὁ προφήτης ταῦτα εἰδὼς, ἐφ' ἑκάστῳ, εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ, ἐπιλέγει, ἐκπληττόμενος αὐτοῦ τὴν φιλανθρωπίαν. τῷ στερεώσαντι τὴν γῆν ἐπὶ τῶν ὑδάτων. ὅρα πάλιν κἀνταῦθα τὴν φιλανθρωπίαν. ἐπειδὴ γὰρ ἐγενόμεθα θνητοὶ, καὶ ἐν πολλαῖς χρείαις κατέστημεν· οὐδὲ οὕτως ἐγκατέλιπεν, ἀλλὰ καὶ ἐνταῦθα κατάλληλον ἡμῖν καταγώγιον δέδωκε τὸν μεταξὺ χρόνον, καὶ τοσούτων τὴν γῆν δειγμάτων τῆς D αὐτοῦ φιλανθρωπίας ἐνέπλησεν, ὡς μηδὲ λόγῳ παραστῆναι δύνασθαι. ὁ γοῦν προφήτης ἐμπεσὼν εἰς τὴν ἄβυσσον τῶν εὐεργετημάτων τούτων, καὶ ἰδὼν τὸ πέλαγος ἀχανὲς, ἀπεπήδησε μέγα βοήσας καὶ εἰπών· ὡς ἐμεγαλύνθη τὰ ἔργα σου κύριε. πάντα ἐν σοφίᾳ ἐποίησας. καὶ τὸν ἥλιον δὲ εἴ τις κατίδοι, καὶ τὴν σελήνην, καὶ τὴν διάταξιν τῶν καιρῶν, πάλιν ὄψεται αὐτοῦ τὴν φιλανθρωπίαν ἅπασαν. οὐ γὰρ μικρὸν ἡμῖν εἰς εὐταξίαν ζωῆς, καὶ εἰς αὐτὴν τὴν ζωὴν ταῦτα συντελεῖ τὰ στοιχεῖα, τρέφοντα, καρποὺς πεπαίνοντα, ὧν ἄνευ ζῆσαι οὐκ ἦν,

καιροὺς ἡμῖν δεικνῦντα, ὥρας χαρακτηρίζοντα, δρόμους ἡμέρας καὶ νυκτὸς διαστέλλοντα, ὁδοιπόροις γῆς καὶ θαλάττης ὁδηγοῦντα, μυρίας ἑτέρας χρείας παρεχόμενα. εἶδες πῶς εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ, καὶ πῶς καθ' ἕκαστον τῶν στοιχείων τοῦτο ἐπιλέγει ὁ προφήτης; ἕτερος δὲ ἑρμηνευτὴς, εἰς ἐξουσίαν τῆς ἡμέρας, ἐπικρατεῖν εἶπε τῆς ἡμέρας. ἄλλος, εἰς ἐξουσίαν ἐν νυκτί. Τῷ πατάξαντι Αἴγυπτον σὺν τοῖς πρωτοτόκοις αὐτῶν. καὶ ἐξαγαγόντι τὸν Ἰσραὴλ ἐκ μέσου αὐτῶν. ἐν χειρὶ κραταιᾷ, καὶ ἐν βραχίονι ὑψηλῷ. συνεχῶς περιστρέφει τὸ θαῦμα τὸ ἐν Αἰγύπτῳ, διὰ τὴν πολλὴν αὐτῶν ἀγνωμοσύνην, καὶ τὸ ἀεὶ τούτων ἀκούοντας ἐπιλανθάνεσθαι. οὐ μικρὸν δὲ καὶ τὸ ἔλεος σημεῖον. τοῦτο γὰρ ἀπήλλαξεν αἰχμαλωσίας ἐκείνους δουλείας, καὶ τοῖς μετὰ ταῦτα γέγονε θεογνωσίας ὑπόθεσις. καὶ ἕτερον δὲ ἐνταῦθα αἰνίττεται. ποῖον δὴ τοῦτο; ὅτι καὶ μετὰ τὴν πληγὴν ἐκείνην τῆς αὐτοῦ δυνάμεως γέγονε τὸ ἀπαλλάξαι αὐτοὺς τῆς δουλείας, καταστείσαντος αὐτοὺς τῷ φόβῳ καὶ καταποντίσαντος τῇ θαλάσσῃ. ταῦτα δὲ λέγει, ἵνα μή τις τῶν ἀνοητοτέρων νομίσῃ, ὅτι κελεύων αὐτοῖς τὸ χρυσίον λαβεῖν, καὶ τὰ σκεύη τὰ ἀργυρᾶ, δι' ἀσθένειαν ἐκέλευε. καὶ γὰρ καὶ τοῦτο ἐποίησε πανταχόθεν βουλόμενος εἶναι φοβερὸς τοῖς πολεμίοις, καὶ δεῖξαι ὅτι καὶ δυνάμει, καὶ μετὰ αὐθεντείας ἅπαντα δύναται ἐργάζεσθαι, καὶ ἀπατᾷν αὐτοὺς καὶ παρακρούεσθαι. ἅτε γὰρ φανερῶς ἐποίησεν, οὐ διὰ τοῦτο ἐποίησεν, ὡς οὐ δυνάμενος ἀπατῆσαι, ἅτε ἀπατήσας, οὐ διὰ τοῦτο ἐποίησεν, ὡς οὐ δυνάμενος φανερῶς λαβεῖν, ἀλλ' ἐν ἑκατέρῳ τῷ μέρει τὴν ἰσχὺν τὴν ἑαυτοῦ δεικνύς. ὅτι γὰρ καὶ τοῦτο μέγαν φόβον ἐνέθηκε τοῖς ἀλλοφύλοις, ἄκουσον τί φασι μετὰ ταῦτα οἱ μάντεις οἱ Ἀζωτίων. οὗτός ἐστιν ὁ Θεὸς ὁ σκληρὸς, ὃς ἐπάταξε τὴν Αἴγυπτον, καὶ ὅτε ἐνέπαιξεν αὐτοῖς, τότε ἐξήγαγεν αὐτούς. ὁρᾷς αὐτοὺς καὶ διὰ τοῦτο τρέμοντας αὐτὸν, διὰ τὴν κλοπὴν, διὰ τὴν ἀπάτην, διὰ τὸ ἀποχρήσασθαι αὐτοῖς; Τῷ καταδιελόντι τὴν ἐρυθρὰν θάλασσαν εἰς διαιρέσεις. ἕτερος, εἰς τομάς. ἄλλος, εἰς τμήματα. τινὲς γάρ φασιν, ὅτι οὐ μία γέγονεν ἡ ὁδὸς, ἀλλὰ καθ' ἑκάστην φυλὴν τὸ ὕδωρ ἐσχίζετο, ὡς πολλὰς γενέσθαι τὰς διαβάσεις. ἀλλὰ ταῦτα πάντα εἰ καὶ πολλὴν τῆς ἰσχύος ἐπεδείκνυτο, καὶ φοβερὸν αὐτὸν ἀπέφαινε καὶ μέγαν, ἀλλ' οὖν πολλὴν

tempora nobis ostendant, horas exprimant, diei & noctis cursus distinguant, per terram & mare viatores deducant, innumerabiles alios vsus præbeant. Vidisti quomodo sit in æternum misericordia eius, & quomodo in vnoquoque versu iure hoc subiungit propheta? Alius autem interpres illud, In potestatem diei, dixit, vt dominetur diei. Alius, in potestatem noctis, dixit, in potestatem in nocte. 10. *Qui percussit Aegyptum cum primogenitis eorum.* 11. *Qui eduxit Israel de medio eorũ.* In manu potenti & in brachio excelso. Assiduè versat miraculum quod in Ægypto factum est, propter immemorem & ingratum eorum animum, & quòd cùm ea semper audierant, eorum obliuiscerentur. Non est autem hoc quoque paruum signum misericordiæ, hoc enim liberauit illos à seruitute, & posteris fuit occasio Dei cognitionis. Aliud autem hîc quoque significat. Quidnam? Quòd etiam post fugam illam eius fuit potentiæ liberare eos à seruitute, cùm eos terrore concussisset, & mari obruisset. Hæc autem dicit, ne quis paulò inconsideratior putaret quòd dum iubet eis accipere aurum & vasa argentea, hæc propter imbecillitatem iusserit. Nam hoc fecit volens omni ratione esse terribilis hostibus, & ostendere quòd & vi & authoritate potest omnia facere, eósque fallere & decipere. Nam quæ apertè fecit, non ideo fecit tanquam non posset decipere, neque cùm decepit, id ideo fecit, quòd non posset apertè capere, sed in vtraque parte suam ostendens potentiam. Nam quòd hoc quoque magnum metum attulerit alienigenis, audi quid postea dicant vates Azotiorum, Hic est Deus fortis qui percussit Ægyptum, & quando illusit eis, tunc ipsos eduxit. Vides eos propter hoc ipsum contremiscere, propter furtum, propter fraudem, quòd eos interfecerit. 13. *Qui diuisit mare rubrum in diuisiones.* Alius, In sectiones. Alius, in segmenta. Nonnulli enim dicunt non fuisse vnam viam, sed pro numero tribuum fuisse aquam scissam, vt multæ essent traiectiones. Hæc autem omnia etsi magnam ostendebant potentiam, terribilémque & magnum eum esse indicabant, multam

Chald. vt præesset.

Exod. 12.

1. Reg. 5. 7.

tamen quoque in se habebant benignitatem, non solùm in eos quorum gratia ea fiebant, sed si velimus attendere, etiam in aduersarios: non enim eos temerè & nequicquã mari obruit, sed quòd post tot facta miracula aduersus aquas adhuc suam ostenderent audaciam. Oportebat autem eos etiamsi essent supra omnes homines nullo sensu præditi, cùm & præcedentia, & præsentia, & quæ erant præ oculis, considerassent, eius potentiam mirari & adorare, & ab importuna contentione cessare. Illi autem cùm viderent vniuersam creaturam pro eius arbitrio mutari ac transformari, & cum eis belligerare, ne sic quidem à furore destiterunt, sed etiam cùm viderent illud miraculum quod omnem superabat opinionem, aliena illa & noua via ingredi ausi sunt. Quocirca mare illis sepulchrum efficitur. Non enim erat opus naturæ quod fiebat, sed plagæ diuinitus immissæ: & ideo breui momento temporis fiebant contraria: & non scindebatur tantùm in vnã partem, sed pro numero omnium tribuum. In vnoquoque autẽ signo meminit misericordiæ. hoc enim Deo maximæ curæ erat, quandoquidem per elementa fiebant miracula, ne quæ fiebant, existimarentur esse alicuius naturalis consequentiæ, sed superni auxilij, quod omnem opinionem superantia efficit miracula. Quod etiam in mari accidit: idque apertè ostensum est ex eo, quòd post illud non amplius factum sit: quæ autem naturaliter fiunt, sunt frequentia, & certo ac constituto tempore solent fieri. 14. *Et eduxit Israel per medium eius. Quoniam in seculum misericordia eius.* Vides quomodo in vnoquoque versu iure subiungit illud, In seculum misericordia eius? Hæc enim omnia ostendunt eius curationem. Etsi enim quæ facta sunt, finem ceperunt, eorum tamen memoriæ præbuerũt posteris magnam ansam Dei cognitionis. Memoriẽ enim mandata, & transmissa ad posteros, deducebant ad magnam philosophiam. Quanquam alioqui non illud solum factum est, & Dei cessauit curatio: neque in rebus solùm Ægyptiacis substitit eius benignitas, sed vnumquodque tempus habet ampla & latè diffusa eius inenarrabilis benignitatis indicia.

Aegyptiorum obstinatio.

Maris rubri diuisiones.

Miracula rara sunt, naturalia frequentia.

A καὶ τὴν φιλανθρωπίαν εἶχεν, οὐχὶ τοῖς ἀπολαύουσι μόνον, ἀλλ' εἰ προσέχειν ἐβούλοντο καὶ τοῖς ἐναντίοις· οὐ γὰρ ἁπλῶς κατεπόντισεν αὐτοὺς, ἀλλὰ μετὰ τοσαύτην θαυματουργίαν βουλομένους κατατολμῆσαι τῶν ὑδάτων. ἔδει δὲ αὐτοὺς εἰ καὶ πάντων ἦσαν ἀναισθητότεροι, τά τε πρότερα ἐννοήσαντας, τά τε παρόντα, καὶ πρὸ τῶν ὀφθαλμῶν ἐκπλαγῆναι αὐτοῦ τὴν ἰσχὺν, καὶ προσκυνῆσαι καὶ παύσασθαι τῆς ἀκαίρου φιλονεικίας. οἱ δὲ τὴν κτίσιν ἅπασαν ὁρῶντες πρὸς τὸ βούλημα αὐτοῦ μεταστοιχειουμένην, καὶ πολεμοῦσαν αὐτοῖς, B οὐδὲ οὕτως ἔληξαν τῆς μανίας, ἀλλὰ καὶ τὸ παράδοξον ἐκεῖνο θαῦμα βλέποντες, κατετόλμησαν τῆς ξένης ἐκείνης καὶ καινῆς ὁδοιπορίας. διὸ καὶ τάφος αὐτοῖς τὸ πέλαγος γίνεται. οὐδὲ γὰρ φύσεως ἦν ἔργον, ἀλλὰ θεηλάτου πληγῆς τὸ γινόμενον· διὰ δὴ τοῦτο ἐν βραχείᾳ καιροῦ ῥοπῇ τὰ ἐναντία εἰργάζετο· καὶ οὐ καθ' ἓν ἐτέμνετο μέρος, ἀλλὰ κατὰ ἀριθμὸν τῶν φυλῶν ἁπασῶν. καθ' ἕκαστον δὲ τῶν σημείων ἐλέους μνημονεύει, ὅτι τοῦτο μάλιστα ἦν τῷ Θεῷ περισπούδαστον, ὅπερ διὰ τῶν στοιχείων C ἐγίνετο τὰ θαύματα, μὴ φυσικῆς τινος ἀκολουθίας εἶναι νομισθῇ τὰ γινόμενα, ἀλλὰ τῆς ἄνωθεν ῥοπῆς παραδοξοποιούσης τὰ θαύματα· ὃ δὴ καὶ ἐπὶ τῆς θαλάττης συνέβαινε, καὶ δῆλον ἐγίνετο, οὐκ ἐκ τοῦ συμβῆναι τότε, ἀλλ' ἐκ τοῦ μετ' ἐκεῖνο μηκέτι γενέσθαι· πάλιν δὲ τὰ φυσικῶς γινόμενα, συνεχῆ καὶ πυκνὰ, καὶ κατὰ καιρὸν ἐπιτελεῖσθαι πέφυκε. καὶ διαγαγόντι τὸν Ἰσραὴλ διὰ μέσου αὐτῆς, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. ὁρᾷς πῶς δικαίως καθ' ἕκαστον λέγει τὸ, εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ; D ταῦτα γὰρ ἅπαντα τὴν διηνεκῆ κηδεμονίαν ἐδείκνυ. εἰ γὰρ καὶ τὰ γινόμενα τέλος εἶχεν, ἀλλ' αἱ μνῆμαι αὐτῶν τοῖς μετὰ ταῦτα πολλὴν θεογνωσίας παρεῖχον ὑπόθεσιν· καὶ γὰρ τῇ μνήμῃ εἰς ἐγγόνους παραπεμπόμενα ἐχειραγώγει πρὸς φιλοσοφίαν πολλήν. ἄλλως δὲ οὐκ ἐκεῖνα ἐπράχθη μόνον, καὶ ἐπαύσατο ἡ τοῦ Θεοῦ κηδεμονία, οὐδὲ μέχρι τῶν Αἰγυπτιακῶν ἔστη τὰ τῆς φιλανθρωπίας, ἀλλ' ἕκαστος καιρὸς, καὶ χρόνος ἅπας ἔχει παρατεινόμενα τῆς ἀφάτου αὐτοῦ φιλανθρωπίας τὰ δείγ-

ματα. ὑπὲρ ὧν καὶ αὐτὸς ἐκπληττόμενος συνεχῶς ἐπιλέγει τὸ, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Καὶ καλῶς ἐπήγαγε, τῷ διαγαγόντι τὸν Ἰσραὴλ διὰ μέσου αὐτῆς. ἐπεὶ καὶ τοῦτο τῆς τοῦ Θεοῦ δυνάμεως. οὐ γὰρ ἤρκει τὸ τὴν θάλατταν ὑποστῆσαι, καὶ ῥαδίαν αὐτοῖς ποιῆσαι τὴν δίοδον, ἀλλ' αὐτὸ μὲν οὖν τοῦτο μάλιστα αὐτοὺς ἐξέπληξε, καὶ ἐφόβησε, καὶ ἀπεῖρξε τολμᾶν τῷ παραδόξῳ πολλὴν δειλίαν ἐμποιοῦν· ἀλλὰ τῆς τοῦ Θεοῦ δυνάμεως ἐγένετο, τὸ καὶ μετὰ τὴν ἀναχώρησιν τῆς θαλάττης θάρσος αὐτοῖς ἐνθεῖναι, καὶ πεῖσαι διοδεῦσαι τὴν καινὴν ἐκείνην, καὶ ξένην ὁδόν. καὶ γὰρ ἐν ἑκατέρῳ τμήματι κορυφουμένων τῶν ὑδάτων, ὑψηλῆς τινος καὶ γενναίας ἔδει ψυχῆς αὐτοῖς, ὥστε μὴ δεῖσαι τὴν διάβασιν, μηδὲ ὑποπτεῦσαι ὅτι κορυφούμενα ἑκατέρωθεν τὰ πελάγη ἐπελεύσεται αὐτοῖς, καὶ καταποντίσει τὸ στρατόπεδον ἅπαν. καὶ ἐκτινάξαντι Φαραὼ καὶ τὴν δύναμιν αὐτοῦ εἰς θάλασσαν ἐρυθράν. τὴν εὐκολίαν βουλόμενος δεῖξαι τοῦ καταποντισμοῦ τῇ λέξει ταύτῃ ἐχρήσατο. σὺ δέ μοι σκόπει πῶς μετὰ τῆς δυνάμεως, καὶ τῆς ἀγανακτήσεως, καὶ τὴν μακροθυμίαν ἐπεδείξατο, οὐ πρότερον αὐτοὺς ἀνελών, καί τοι οὕτως ἀναισχύντως καὶ φιλονείκως διακειμένους, ἕως ὅτε φέροντες αὐτοὶ ἑαυτοὺς ἑκόντες κατεκρήμνισαν. οὐκ εἰκῇ δὲ καὶ τὸ στρατόπεδον κολάζεται· ἀλλ' ἐπειδὴ τῶν ἁμαρτημάτων ἐκοινώνησαν, καὶ τῆς διώξεως μετέσχον, κοινωνοῦσι καὶ τῆς κολάσεως καὶ τῆς τιμωρίας. τῷ διαγαγόντι τὸν λαὸν αὐτοῦ ἐν τῇ ἐρήμῳ, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. τοῦτο οὐκ ἔλαττον τοῦ διὰ τῆς θαλάττης διαγαγεῖν. εἰ γὰρ καὶ ξηρὰ ὑπέκειτο γῆ, δυναμένη στέγειν τὸ στρατόπεδον, ἀλλ' ὅμως πολλὰ ἕτερα ἦν τὰ λυποῦντα, καὶ γὰρ ἱκανὰ πάντα καταμαλάξαι, καὶ θανάτῳ παραδοῦναι χαλεπωτάτῳ, καὶ λιμὸς, καὶ αὐχμὸς, καὶ δίψος, καὶ ἀκτὶς θερμοτέρα τοῦ δέοντος ἐπικειμένη, καὶ θηρίων πλήθη, καὶ ἡ τῶν ἐπιτηδείων ἁπάντων ἐρημία. οἶδας δὲ ὅσων ὁ ἄνθρωπος δεῖται. ἀλλ' ὅμως ἁπάντων ἐκείνων γυμνωθέντες, καὶ οὐ στέγην ἔχοντες, οὐ τροφὰς, οὐκ ἐνδύματα ἀρκοῦντα, οὐχ ὑποδήματα, οὐκ ἄλλο τῶν τοιούτων οὐδὲν, ὡς ἐν μέσαις χορεύοντες πόλεσιν, οὕτω διὰ τῆς ἐρήμου πάσης ἐκείνης ἐβάδιζον. σὺ δέ μοι σκόπει, πόσα παρέδραμε θαύματα τὰ ἐν τῇ ἐρήμῳ γινόμενα, καὶ πόσων ἐτῶν

A Quæ quidem ille admirans, assiduè subiungit illud, Quoniam in seculum misericordia eius. Rectè autem adiecit illud, Et eduxit Israel per medium eius. Nam hoc quoque est Dei potentiæ. Non sufficiebat enim efficere, vt mare retrocederet, & facilem eis transitum præberet (nam hoc ipsum eos magis stupefecit, & terruit, & audere prohibuit, quòd omnium superaret opinionem, timorem incutiens) sed Dei fuit potentiæ, postquam mare retrocessisset, eis animum addere, & persuadere, vt nouam illam viam & alie- B nam ingrederentur. Nam cùm in vtraque sectione in sublimem verticem erectæ essent aquæ, generoso & excelso animo opus erat, vt non timerent traijcere, nec suspicarentur maria ad summum verticem vtrinque sublata non esse eos inuasura, & vniuersum exercitum obruitura. 15. *Et excussit Pharaonem & virtutem eius in mari rubro.* Volens significare facilitatem eius demersionis, hac dictione vsus est. Tu autem considera quomodo cum potentia & ira, patientiam quoque ostenderit, vt qui eos non priùs de medio sustulerit, C licet adeò impudentes essent & contentiosi, quàm ipsi lubentes & volentes seipsos præcipitarunt. Non abs re autem exercitus quoque punitur: sed quoniam fuerunt peccatorum participes, & persecutionis, sunt etiam pœnę & supplicij participes. 16. *Qui traduxit populum suum per desertum, quoniam in seculum misericordia eius.* Hoc non est minus quàm per mare perducere. Etsi enim suberat terra sicca, quæ castra sustinere poterat, erant tamen multa alia quæ eis afferebant molestiam, sufficiebant enim omnia ad ea consumenda, & morti crudelissimæ tradenda, & fa- D mes & squalor, & sitis, & radius quàm par esset calidior imminens, & ferarum multitudo, & necessariorum omnium penuria. Scis autem quot rebus homo indiget. Illis tamen omnibus nudati, & non tectum habentes, non alimenta, non indumenta sufficientia, non calceamenta, non aliquid aliud eiusmodi, tanquam in mediis vrbibus choreas agentes, ita per omnem illam solitudinem incedebant. Tu autem mihi considera, quot miracula præteriit quæ in solitudine facta sunt, & quot annorum

Exercitus cū principe punitur.

Exod. 16. Exod. 13. Deut. 29. Exod. 17.

administrationem: duorum autem tantum miraculorum meminit, quæ in illis regibus facta sunt. Mittens enim de illa noua mensa dicere, de tecto admirabili, de lampade quæ nunquam non apparuit, de vestium perpetuitate, de calceis qui non conterebantur, de fontibus qui manarunt è rupibus, & de aliis nouis & admirabilibus, per quæ iter suum fecit eis facile, duorum solùm meminit, quomodo reges barbarorum sustulit, & quomodo trophæum erexit, & victoriam eis largitus est, auditori reliqua accuratè colligenda relinquens: & ideò dicit, 17. *Qui percussit reges magnos.* 18. *Et occidit reges fortes.* 19. *Seon regem Amorrhæorum.* 20. *Et Og regem Basan.* Et vnicuique eorum subiungit, *Quoniam in seculum misericordia eius.* Ostendens quòd etiamsi hostibus hostes succederent, nullus tamen eos vincebat. Qua de re? Quoniam eius benignitate fruebantur assiduè. Hoc enim significat perpetuò dicens, *Quoniam in seculum misericordia eius.* 21. *Et dedit terram eorum hæreditatem.* 22. *Hæreditatem Israel seruo suo.* Duplex est beneficium, & hostes vincere, & rerum illarum esse dominos. Hoc enim erat magnæ potentiæ, non solùm eijcere eos qui habitabant, sed etiam posse occupare & retinere alienam regionem. Deinde hoc rursus apertiùs ostendens, quòd non ex meritis fuère horum Domini, sed ex Dei bonitate, subiunxit. 23. *Quia in humilitate nostra memor fuit nostri.* Significans non in rectè factis, non in prosperitate, sed in humilitate nostra esse gloriandum. Quod autem dicit, est eiusmodi, Suffecit calamitas ad ipsum flectendum, & quòd nos affligeremur. Nam & ab initio quando eos liberauit ab Ægypto, non dixit, Videns vidi mutationem eorum in melius: sed, videns vidi afflictionem populi mei in Ægypto. 24. *Et redemit nos ab inimicis nostris.* Ne paulatim enumeret bella, irruptiones, victorias, trophæa, cùm rursus vno verbo rectè factorum seriem esset persecutus, & quæ in Iudæos sigillatim facta sunt prætermisisset, ad generalem eius venit prouidentiam dicens: 25. *Qui dat escam omni carni.* Alius, Qui dat panem. Alius, Dans panem. Non ergo terræ, nec aquæ,

Num. 21.

Humilitate gloriandum.

Exod. 3. 7.

A δημαγωγίας· καὶ δύο τούτων μέμνηται θαυμάτων, τῶν ἐπὶ τῶν βασιλέων ἐκείνων γεγενημένων. καὶ γὰρ παρεὶς εἰπεῖν τὴν καινὴν τράπεζαν ἐκείνην, τὴν στέγην τὴν παράδοξον, τὴν λαμπάδα τὴν μηδέποτε μὴ φαινομένην, τῶν ἱματίων τὸ διαρκὲς, τῶν ὑποδημάτων τὸ ἀτέρθδον, τὰς ἀπὸ τῶν πετρῶν πηγὰς, τὰ ἄλλα καινὰ καὶ παράδοξα δι' ὧν ῥᾳδίαν ἐποίει τὴν ὁδοιπορίαν αὐτοῖς, δύο μόνων μέμνηται, πῶς τοὺς βασιλέας τῶν βαρβάρων ἀνεῖλε, καὶ πῶς τὸ τρόπαιον ἔστησε, καὶ τὴν νίκην αὐτοῖς ἐχαρίσατο, τὰ λοιπὰ παραχωρῶν τῷ ἀκροατῇ μετ' ἀκριβείας
B ἀναλέγειν· διὸ φησι, τῷ πατάξαντι βασιλεῖς μεγάλους. καὶ ἀποκτείναντι βασιλεῖς κραταιούς. τὸν Σηὼν βασιλέα τῶν Ἀμορραίων. καὶ τὸν Ὢγ βασιλέα τῆς Βασάν. καὶ ἐφ' ἑκάστῳ τούτων ἐπιλέγει, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ, δεικνὺς ὅτι εἰ καὶ ἀπὸ πολεμίων πολέμιοι διεδέχοντο, ἀλλ' οὐδεὶς αὐτοὺς ἐχειροῦτο. διὰ τί; ὅτι διηνεκῶς τῆς φιλανθρωπίας αὐτοῦ ἀπήλαυον. τοῦτο γὰρ αἰνίττεται λέγων συνεχῶς, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. καὶ δόντι τὴν γῆν αὐτῶν κληρονομίαν. κληρονομίαν Ἰσραὴλ δούλῳ αὐτοῦ. διπλᾶ τὰ τῆς
C εὐεργεσίας, καὶ τὸ κρατῆσαι τῶν πολεμίων, καὶ τὸ γενέσθαι κυρίους τῶν ἐκείνων. καὶ γὰρ καὶ τοῦτο δυνάμεως πολλῆς ἦν, οὐ τὸ ἐκβαλεῖν τοὺς ἐνοικοῦντας, ἀλλὰ καὶ τὸ δυνηθῆναι κατασχεῖν καὶ περιγενέσθαι τῆς ἀλλοτρίας. εἶτα πάλιν σαφέστερον τοῦτο δεικνὺς, ὅτι οὐκ ἀπ' ἀξίας τούτων γεγόνασι κύριοι, ἀλλ' ἀπὸ τῆς ἀγαθότητος αὐτοῦ μόνης ἐπήγαγεν· ὅτι ἐν τῇ ταπεινώσει ἡμῶν ἐμνήσθη ἡμῶν ὁ κύριος. δηλῶν οὐκ ἐν τοῖς κατορθώμασιν, οὐκ ἐν τῇ εὐπραγίᾳ, ἀλλ' ἐν τῇ ταπεινώσει ἡμῶν. ὃ δὲ λέγει, τοῦτό ἐστιν, ἤρκεσεν ἡ συμφορὰ
D ἐπικάμψαι αὐτὸν, καὶ τὸ κακῶς πάσχειν ἡμᾶς. ἐπεὶ καὶ ἐξ ἀρχῆς, ὅτε αὐτοὺς ἀπήλλαττεν Αἰγύπτου, οὐκ εἶπεν, ἰδὼν εἶδον τὴν μεταβολὴν αὐτῶν τὴν ἐπὶ τὸ βέλτιον· ἀλλ', ἰδὼν εἶδον τὴν κάκωσιν τοῦ λαοῦ μου τοῦ ἐν Αἰγύπτῳ. καὶ ἐλυτρώσατο ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν. ἵνα μὴ κατὰ μικρὸν καταλέγῃ τοὺς πολέμους, τὰς ἐφόδους, τὰς νίκας, τὰ τρόπαια, πάλιν ἑνὶ ῥήματι κατορθωμάτων ὁρμαθὸν παραδραμὼν, καὶ τὰ μερικὰ ἀφεὶς τὰ εἰς Ἰουδαίους γινόμενα, ἐπὶ τὴν καθολικὴν αὐτοῦ πρόνοιαν ἔρχεται λέγων· ὁ διδοὺς τροφὴν πάσῃ σαρκί. ἄλλος, ὃς δίδωσιν ἄρτον. ἄλλος, διδοὺς ἄρτον. οὐκ ἄρα γῆς, οὐδὲ ὑδάτων,

οὐδὲ ἀέρων, οὐδὲ ἀκτῖνος, οὐδὲ ἄλλου τινός εἰσι τῶν καρπῶν αἱ γοναί, ἀλλ' αὐτοῦ τὸ πᾶν. καὶ ὅρα κἀνταῦθα οὐ τὴν δύναμιν μόνον, ἀλλὰ καὶ τὴν φιλανθρωπίαν τὴν ἄφατον. ὅπερ γὰρ ὁ Χριστός φησιν, ἀνατέλλει τὸν ἥλιον αὐτοῦ ἐπὶ πονηροὺς καὶ ἀγαθούς, καὶ βρέχει ἐπὶ δικαίους καὶ ἀδίκους· τοῦτο καὶ οὗτος ἐνταῦθα ᾐνίξατο, εἰπών· ὁ διδοὺς τροφὴν πάσῃ σαρκί, οὐχὶ τοῖς δικαίοις, οὐδὲ τοῖς κατορθοῦσι μόνον, ἀλλὰ καὶ ἁμαρτωλοῖς καὶ ἀσεβέσι, καὶ πάσῃ τῇ τῶν ἀνθρώπων φύσει, ὃ καὶ μάλιστα αὐτοῦ τὴν δεσποτείαν διανακηρύττει. εἶδες ὅτι διὰ τοῦτο μάλιστα ὁ ψαλμὸς σύγκειται ὥστε πρὸς θεογνωσίαν χειραγωγῆσαι; διὰ δὴ τοῦτο καὶ ἀρξάμενος ἀπὸ τῶν καθόλου ἤρξατο, καὶ τελευτῶν εἰς ταῦτα κατέληξεν· ἀνωτέρω μὲν εἰπὼν ἥλιον καὶ σελήνην, καὶ ἀστραπὰς καὶ ὑετούς, ἅπερ οὐκ ἐν μέρει γίνεται τῆς οἰκουμένης, ἐν δὲ τῷ τέλει εἰς τὴν κοινὴν ἁπάντων κατέληξας τροφήν. εἶτα ἀπὸ τούτων κατασκευάσας τὴν καθόλου πρόνοιαν, ἐπήγαγεν· ἐξομολογεῖσθε τῷ Θεῷ τοῦ οὐρανοῦ, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. ἀπὸ γὰρ τούτων κἀκεῖνο δῆλον, ὅτι καὶ τῶν ἄνω, καὶ τῶν κάτω πάντως αὐτός ἐστι δεσπότης, καὶ πανταχοῦ τὰ τῆς προνοίας αὐτοῦ, καὶ τῆς κηδεμονίας ἐκτέταται. ὑπὲρ ἁπάντων τοίνυν αὐτῷ τὴν εὐχαριστίαν ἀναφέρωμεν, τῶν κοινῶν, τῶν ἰδικῶν, ὑπὲρ τῆς ἀγαθότητος, ὑπὲρ τῆς φιλανθρωπίας, ὑπὲρ τῆς δυνάμεως, ὑπὲρ τῆς κηδεμονίας, καὶ διηνεκῶς τοῦτο ποιοῦντες διατελῶμεν, καθὼς καὶ ὁ ψαλμῳδός φησιν, ἐξομολογεῖσθε τῷ κυρίῳ ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. τοῦτο γὰρ θυσία, τοῦτο προσφορά, τοῦτο μάλιστα ἡμῖν ἵλεων αὐτὸν καθίστησι, καὶ τῆς εὐνοίας ἀπολαύειν ποιεῖ τῆς ἐκείνου, ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

A nec aëris, nec Solis, nec alicuius alius sunt procurationes fructuum, sed eius est vniuersum. Vide autem hîc quoque non solùm potentiam, sed benignitatem etiam ineffabilem. Quod enim dicit Christus, solem suum oriri facit super bonos & malos, & pluit super iustos & iniustos, hoc ipse quoque hic significauit, dicens: Qui dat escam omni carni. Hoc est, non iustis solùm, nec iis qui se rectè gerunt, sed peccatoribus, & impiis, & omni humanæ naturæ: quod etiam maximè prædicat eius dominium. Vidisti psal- B mum ideo maximè esse compositum, vt nos deducat ad Dei cognitionem, & ideo in principio incepit à generalibus, & in eis desiit: superiùs quidem dicens solem & lunam, fulgura & pluuias, quæ non fiunt in parte orbis: in fine autem desinens in communi omnium nutrimento. Deinde postquam ex eis confirmauit generalem prouidentiam, subiunxit, 26. *Confitemini Deo cœli, quoniam in seculum misericordia eius.* Ex his enim illud quoque clarum est, quòd ipse est infernorum C omnium & supernorum dominus, eiúsque cura & prouidentia vbique diffusa est. Pro omnibus ergo illi offeramus gratiarum actionem, pro communibus, pro priuatis, pro bonitate, pro benignitate, pro potentia, pro curatione, & hoc assiduè faciamus, sicut etiam iubet hoc Psalmographus, dicens: 27. *Confitemini Domino quoniam bonus, quoniam in seculum misericordia eius.* Hoc est enim sacrificium, hoc oblatio, hoc ipsum nobis reddit maximè propitium, & facit vt fruamur illius beneuolentia. Quam detur nobis om- D nibus assequi gratia & benignitate domini nostri Iesu Christi, cui gloria & potentia in secula seculorum, Amen.

Matth. 5. 45.

Sap. 6. 12. Matth. 6.

In Psalmvm CXXXVI.

Super flumina Babylonis illic sedimus, & fleuimus, dum recordaremur tui Sion.

Magnvm est his viris suæ ciuitatis desiderium, magna reditus cupiditas. Quandiu enim bona habebant in manibus, erant semper insolentes, probráque & iniurias inferre non desistebant: sed postquam ab illis sunt exturbati, tunc maximo eorum desiderio affecti sunt. propterea enim eos expulit, vt excitaret in iis maius desiderium. Id autem solet sæpe Deus facere. Quando enim dum in summis sumus deliciis, & maxima bonorum eius affluētia, non sentimus: facit vt eis careamus, vt priuatione eorum castigati, eis rursus vti frui quæramus. Sed quánam de causa sedebant ad flumina? Vt qui essent captiui, & regionis hostium finibus circumscripti, extra muros & vrbes habitabant. 2. *In salicibus in medio eius suspendimus organa nostra.* Alius, citharas nostras. Alius, lyras. Et quánam de causa tulerunt organa sua cùm in captiuitatem recederent, qui eis minimè erant vsuri? Hoc quoque fuerat à Deo prouisum, vt vel in aliena regione haberent monimenta prioris reipublicæ, magísque morderentur & ægriùs ferrent, dum illius religionis & Dei cultus illa signa viderent.

Eccl. 5. Esa. 43. Dan. 4. Luc. 16.

Hebr. & Chaldai citharas.

3. *Quia illic interrogauerunt nos, qui captiuos duxerunt nos, Verba cantionum: & qui abduxerunt nos, hymnum cantate nobis de canticis Sion.* Non parum hinc lucrifaciebant, quòd eis barbari instarent, & cantica eorum audire cuperent. Vide autem quantam hinc correctionem ceperunt ex captiuitate. Qui enim insolentes facti defecerāt, & à religione sua ac Dei cultu resilierant, & legem omni ratione conculcauerant, se in aliena tam gnauiter gesserunt, vt vel vrgentibus & minantibus barbaris, & vndique circumsistentibus, & audire cupientibus, ne eorum quidem desiderio sic gratificarentur, sed legem præferrent, eámque diligenter conseruarent.

Εἰς τὸν ρκϛʹ ψαλμόν.

Ἐπὶ τῶν ποταμῶν Βαβυλῶνος ἐκεῖ ἐκαθίσαμεν, καὶ ἐκλαύσαμεν ἐν τῷ μνησθῆναι ἡμᾶς τῆς Σιών.

ΠΟΛΥΣ ὁ πόθος τοῖς ἀνδράσι τῆς πόλεως, πολὺς ὁ ἔρως τῆς ἐπανόδου. ἕως μὲν γὰρ εἶχον τὰ ἀγαθὰ ἐν χερσὶν, ἀκκιζόμενοι, καὶ ὑβρίζοντες διετέλουν· ἐπεὶ δὲ ἐξεβλήθησαν αὐτῶν, τότε λοιπὸν ἐν ἐπιθυμίᾳ κατέστησαν. διὰ γὰρ τοῦτο αὐτοὺς καὶ ἐξέβαλεν, ἵνα αὐτοὺς εἰς πόθον ἀναγάγῃ μείζονα. καὶ τοῦτο πολλαχοῦ ποιεῖν ὁ θεὸς εἴωθεν. ὅταν γὰρ ἐντρυφῶντες αὐτοῦ τοῖς ἀγαθοῖς μὴ αἰσθανώμεθα, ἐν ἐρημίᾳ αὐτῶν ἡμᾶς καθίστησιν, ὥστε τῇ στερήσει σωφρονισθέντας ζητῆσαι πάλιν τὴν ἀπόλαυσιν. τίνος δὲ ἕνεκεν παρὰ τοὺς ποταμοὺς ἐκάθηντο; ἅτε αἰχμάλωτοι ὄντες, καὶ ἀπὸ πολεμίας εἰλημμένοι χώρας ἔξω τειχῶν καὶ πόλεων ηὐλίζοντο. ἐπὶ ταῖς ἰτέαις ἐν μέσῳ αὐτῆς, ἐκρεμάσαμεν τὰ ὄργανα ἡμῶν. ἕτερος, κιθάρας ἡμῶν. ἄλλος, λύρας. καὶ τίνος ἕνεκεν τὰ ὄργανα ἐπήγοντο εἰς αἰχμαλωσίαν ἀπιόντες, καὶ οὐ μέλλοντες αὐτοῖς χρῆσθαι; ᾠκονόμητο καὶ τοῦτο ὑπὸ Θεοῦ, ὥστε καὶ ἐπὶ τῆς ἀλλοτρίας ἔχειν ὑπομνήματα τῆς πολιτείας τῆς προτέρας, καὶ μᾶλλον αὐτοὺς δάκνεσθαι ὁρῶντας τὰ σύμβολα τῆς θρησκείας ἐκείνης. ὅτι ἐκεῖ ἐπηρώτησαν ἡμᾶς οἱ αἰχμαλωτεύσαντες ἡμᾶς λόγους ᾠδῶν, καὶ οἱ ἀπαγαγόντες ἡμᾶς ὕμνους ᾄσατε ἡμῖν, ἐκ τῶν ᾠδῶν Σιών. οὐ μικρὰ καὶ ἐντεῦθεν ἐκέρδαινον ἐν τῷ τοὺς βαρβάρους ἐπικεῖσθαι, καὶ τῶν ᾀσμάτων ἐπιθυμεῖν ἀκούειν τῶν παρ' αὐτῶν. ὅρα δὲ κἀντεῦθεν πόσην ἀπὸ τῆς αἰχμαλωσίας ἐδέξαντο τὴν διόρθωσιν. οἱ γὰρ ἐξορχησάμενοι, καὶ τῆς οἰκείας ἀποσκιρτήσαντες λατρείας, καὶ παντὶ τρόπῳ τὰ νόμιμα καταπατήσαντες τοσαύτῃ ἀκριβείᾳ κέχρηνται ἐπὶ τῆς ἀλλοτρίας, ὡς καὶ τῶν βαρβάρων ἐπικειμένων, καὶ ἀπειλούντων, καὶ πανταχόθεν περιστοιχιζόντων αὐτοὺς, καὶ ἐπιθυμούντων ἀκοῦσαι, μηδὲ οὕτως χαρίσασθαι αὐτῶν τῇ ἐπιθυμίᾳ, ἀλλὰ προτιμῆσαι τὸν νόμον, καὶ διατηρῆσαι μετὰ ἀκριβείας.

Τὸ δὲ, οἱ ἀπαγαγόντες, ἕτερος εἶπεν, οἱ καταλαζονευόμενοι ἡμῶν, μονονουχὶ τοῦτο δηλῶν· οἱ πρὸ τούτου ἐπεμβαίνοντες, καὶ κατεξανιστάμενοι, οὕτω τῷ χρόνῳ γεγόνασι πρᾶοι καὶ ἐπιεικεῖς καὶ ἥμεροι, ὡς καὶ τῶν ᾠδῶν ἐπιθυμεῖν ἀκούειν τῶν ἡμετέρων· ἀλλ᾽ ὅμως οὐκ ἐνέδωκαν οὗτοι. εἶδες πῶς ἰσχυρὲς ἡ θλῖψις ἐργάζεται; πῶς κατανενυγμένους ποιεῖ; πῶς συντρίβει τὴν διάνοιαν; καὶ γὰρ ἔκλαιον, καὶ τὸν νόμον διετήρουν, καὶ οἱ τῶν προφητῶν δακρυόντων γελῶντες, καὶ κωμῳδοῦντες, καὶ χλευάζοντες, οὗτοι νῦν μηδενὸς ὑπομιμνήσκοντος αὐτοὺς πρὸς δάκρυα ἐτρέποντο καὶ ἐθρήνουν. ἐκ τούτου καὶ οἱ πολέμιοι τὰ μεγάλα ἐκέρδαινον. καὶ γὰρ ἑώρων αὐτοὺς οὐ τῇ αἰχμαλωσίᾳ πιεζομένους, οὐδὲ τὴν δουλείαν θρηνοῦντας, οὐδὲ τὴν ἐν ἀλλοτρίᾳ διατριβὴν, ἀλλὰ τὸ τῆς οἰκείας ἐκπεσεῖν λατρείας. διὰ τοῦτο προσέθηκεν· ἐν τῷ μνησθῆναι ἡμᾶς τῆς Σιών. καὶ γὰρ οὐχ ἁπλῶς θρηνοῦσιν, ἀλλ᾽ ἔργον τοῦτο ποιοῦνται. διὰ τοῦτο καὶ ἀρχόμενος ἔλεγεν, ἐκαθίσαμεν, καὶ ἐκλαύσαμεν, δηλονότι. διὰ τοῦτο συνηθροίσαμεν, ὥστε κινῆσαι θρήνους, καὶ ὀλολυγάς. τίνος δὲ ἕνεκεν οὐκ ἐφεῖτο ᾄδειν ἐπὶ τῆς ἀλλοτρίας; ὅτι οὐκ ἔδει βέβηλα ὦτα ἀκούειν τῶν ἀπορρήτων ἐκείνων. πῶς ᾄσομεν τὴν ᾠδὴν κυρίου ἐπὶ γῆς ἀλλοτρίας; τουτέστιν, οὐκ ἐφεῖται ἡμῖν ᾄδειν. εἰ γὰρ καὶ τῆς πατρίδος ἐξεπέσομεν, ἀλλὰ τὸν νόμον μένομεν διατηροῦντες, καὶ τὴν ἀκρίβειαν αὐτοῦ διαφυλάττοντες. ὥστε κἂν τῶν σωμάτων κρατῆτε, τῆς γνώμης οὐ περιέσεσθε. εἶδες φιλόσοφον ψυχὴν γινομένην ἀπὸ τῆς θλίψεως, καὶ ὑψηλοτέραν τῶν δεινῶν; ἐὰν ἐπιλάθωμαί σου Ἱερουσαλὴμ, ἐπιλησθείη ἡ δεξιά μου. κολληθείη ἡ γλῶσσά μου τῷ λάρυγγί μου. ὅρα κἀντεῦθεν πολλὴν τὴν μεταβολήν. καὶ γὰρ οἱ καθ᾽ ἑκάστην ἡμέραν ἀκούοντες, ὅτι τῆς πόλεως ἐκπεσοῦνται, καὶ οὐ φροντίζοντες, ἑαυτοῖς ἐπαρῶνται νῦν, εἰ ἐπιλάθωνται αὐτῆς. τί δέ ἐστιν, ἐπιλησθείη ἡ δεξιά μου; ἡ ἰσχύς μου, φησὶν, ἡ δύναμίς μου ἐπιλάθοιτό μου, καὶ γενοίμην ἄφωνος ἀπὸ τοῦ μεγέθους τῶν κακῶν, ἐὰν μή σου μνησθῶ. ἐὰν μὴ προαναταξώμαι τὴν Ἱερουσαλὴμ ὡς ἐν ἀρχῇ τῆς εὐφροσύνης μου. τί ἐστιν, ἐὰν μὴ προαναταξώμαι τὴν Ἱερουσαλήμ; οὐχ ἁπλῶς μνημονεύσω φησὶν, ἐν τοῖς ἄλλοις, ἀλλὰ καὶ ἐν τοῖς ὕμνοις, καὶ ἐν ταῖς ᾠδαῖς. Τὸ δὲ,

A Illud autem, Qui abduxerunt, alius dixit, Qui nobis insultabant, propemodum hoc dicens: Qui antea in nos inuehebantur, & in nos insurgebant, tempore adeò lenes, mites & mansueti facti sunt, vt vellent etiam nostra audire cantica. his tamen non concesserunt. Vidisti quónam modo reddit fortes afflictio? quomodo facit compunctos? quomodo mentem conterit? Flebant enim, & legem obseruabant. & qui cùm prophetæ lachrymarentur, ridebant, ludificabantur, & subsannabant: hi nunc nemine eos admonente ad lachrymas B conuertebantur, & flebant. Ex eo etiam plurimum commodi percipiebant hostes. Videbant enim eos non premi captiuitate, nec seruitutem deflere, nec quòd in aliena regione habitarent, sed quòd à suo Dei cultu excidissent. Et ideo adiecit: Dum recordaremur tui Sion. Neque enim leuiter tantùm lugent, sed veluti quoddam perpetuum lugendi munus obeunt. Quocirca dixit in principio, sedimus & fleuimus, significans se ideo consedisse vt cierent fletus & eiulatus. Sed cur eis non permittebatur canere in aliena terra? C Quoniam nõ oportebat aures prophanas audire illa arcana. 4. *Quomodo cantabimus canticum Domini in terra aliena?* Hoc est: Non licet nobis canere. Etsi enim à patria excidimus, legem tamen perpetuò seruamus, idque diligentissimè. Quare etsi in corpora dominium obtineatis, animum tamen non superabitis. Vidisti animam ab afflictione esse deductam ad studium sapientiæ, ærumnísque & calamitatibus esse superiorem? 5. *Si oblitus fuero tui Hierusalem, obliuioni detur dextera mea.* 7. *Adhæreat lingua mea faucibus meis, si non meminero tui.* Vide hîc quoque magnam D mutationem. Qui enim singulis diebus audiebant fore, vt ex ciuitate exterminarentur, & non curabant, nunc dira sibi imprecantur, si eius sint obliti. Quid est autem, obliuiscatur mei dextera? Vires, inquit, meæ mei obliuiscantur, & mutus euadam propter malorum magnitudinem, si non meminero tui. *Si non præposuero Hierusalem sicut in principio lætitiæ meæ.* Quid est, Si non præposuero Hierusalem? Non solùm, inquit, tui meminero in aliis, sed etiam in hymnis, & in canticis. Illud autem,

2. Cor. 13. Hebr. 11. Psal. 15. Esa. 38. Eccl. 31.

Arcana Dei prophanis non detegenda.

Præpoſuero, hoc eſt, In cantici proœmio ac præludio poſuero, loquentes verbum eorum, qui valde deſiderant, imò verò eorum qui eius magno amore tenentur & inflammantur. Audiamus hæc omnes, & diſcamus. Etenim quemadmodum hi cùm ab ea exciderant, tunc quærunt: ita etiam multis ex nobis eueniet, cùm in illo die à Hieruſalem cœleſti exciderimus. Sed hi quidem cùm excidiſſent, ſpem habebant reditus, nobis autem excidentibus nulla reliqua ſpes eſt reuerſionis. Vermis enim eorum non morietur, inquit, & ignis eorum non extinguetur. Et ideo oportet nos noſtra diligentiùs attendere, & in præſenti vita ſic nos gerere, vt non ſimus captiui, nec alieni ac remoti ab illa metropoli. 7. *Memor eſto Domine filiorum Edom in die Hieruſalem: qui dicunt, Exinanite, exinanite vſque ad fundamentum in ea.* Aliis, Filiis Edom. Hoc quoque verbum eſt eorum qui inflammantur deſiderio ciuitatis. Hoc eſt autem quod dicunt, Pœnas de eis ſume, quibus non ſufficiebat quòd capta eſſet ciuitas, nec ſatiati erant eius euerſione, ſed inſtabant, & dicebant, effodite donec fuerit in ea fundamentum. Cupiebant enim ne baſes quidem manere ciuitatis, ſed vel ipſa eius fundamenta conuelli. Hi autem erant Arabes, qui vnà cum Babyloniis Iudæos inuaſerant. Quorum frequenter meminit propheta, & eos valde reprehendit, quòd cùm intercederet inter eos cognatio, hoſtibus fuêre acerbiores.

8. *Filia Babylonis miſera.* Alius, Vaſtata. Alius, Diripienda. Hîc oſtendens Dei vires non in liberatione à malis, ſed in parandis iis inſidiis qui illos oppugnarunt, prædicit propheta mala quæ erant euentura Babyloni, & vocat eam miſeram propter mala quę illam erant circumceſſura: in hoc quoque docens Iudæos, & oſtēdens Dei potentiā eſſe per totū orbem terræ porrectam. 9. *Beatus qui retribuet tibi retributionē tuā, quā retribuiſti nobis.* Alius, Quam antè feciſti nobis. 10. *Beatus qui tenebit, & allidet paruulos tuos ad petrā.* Hæc etſi ira plena ſunt vehemētiq. pœna, & ſupplicio: ſunt tamē verba perturbationis animi captiuorum, qui magnam aliquam pœnam, alienúmque & admirabile ſupplicium poſtulant.

Hebr. 12. Galat. 4. Eſa. 66.

4. Reg. 25. Eſa. 13. 21.

Eſa. 13.

A προαναζέζωμαι, προανακρούσωμαι ἐστί· σφόδρα ποθούντων, ῥῆμα φλεγομένων μᾶλλον δὲ ἐρώντων, καὶ ἐκκαιομένων περὶ αὐτήν. ἀκούωμεν πάντες ταῦτα, καὶ παιδευώμεθα. καθάπερ γὰρ οὗτοι ἐκπεσόντες, τότε ζητοῦσιν αὐτήν· οὕτω καὶ ἡμῶν πολλοὶ τοῦτο πείσονται ἐν ἐκείνῃ τῇ ἡμέρᾳ τῆς ἄνω Ἱερουσαλὴμ ἐκπίπτοντες. ἀλλ' οὗτοι μὲν ἐκπεσόντες ἐλπίδας εἶχον ἐπανόδου, ἡμᾶς δὲ ἐκπεσόντας οὐκ ἔνι πάλιν ἐπανελθεῖν. ὁ γὰρ σκώληξ αὐτῶν οὐ τελευτήσει, φησί, καὶ τὸ πῦρ αὐτῶν οὐ σβεσθήσεται. διὸ δὴ ἀκριβέστερον δεῖ τοῖς καθ' ἡμᾶς αὐτοὺς προσέχειν, B καὶ τὸν παρόντα βίον οὕτως οἰκονομεῖν, ὥστε μὴ γενέσθαι αἰχμαλώτους, μηδὲ ἀλλοτρίους, μηδὲ ξένους τῆς μητροπόλεως ἐκείνης. μνήσθητι κύριε τῶν υἱῶν Ἐδὼμ, τὴν ἡμέραν Ἱερουσαλήμ· τῶν λεγόντων, ἐκκενοῦτε, ἐκκενοῦτε ἕως τῶν θεμελίων αὐτῆς. ἕτερος, τοῖς υἱοῖς Ἐδώμ. καὶ τοῦτο τὸ ῥῆμα ἐκκαιομένων περὶ τὴν πόλιν. ὃ δὲ λέγουσι τοῦτό ἐστιν, ἀπαίτησον δίκην, τοὺς οὐ βουληθέντας στῆναι μέχρι τῆς ἁλώσεως, μηδὲ χορεσθέντας τῇ κατασκαφῇ, ἀλλ' ἐφισταμένους καὶ λέγοντας, κατασκάπτετε ἕως ὅτου ἡ C θεμέλιος ἐν αὐτῇ. ἐπεθύμουν γὰρ μηδὲ τὰ βάθρα αὐτὰ μεῖναι τῆς πόλεως, ἀλλὰ καὶ τοὺς θεμελίους αὐτῆς ἀνασπασθῆναι. οὗτοι δὲ ἦσαν Ἀράβιοι οἱ συνεπιθέμενοι τοῖς Ἰουδαίοις τότε μετὰ Βαβυλωνίων, ὧν καὶ συνεχῶς μέμνηται ὁ προφήτης, καὶ σφόδρα αὐτῶν κατηγορεῖ, ὅτι καὶ οἰκείας συγγενείας ἔχοντες πρὸς αὐτοὺς τῶν πολεμίων ἐγένοντο πικρότεροι. θυγάτηρ Βαβυλῶνος ἡ ταλαίπωρος. ἕτερος, ἡ προνενομευμένη. ἕτερος, ἡ διαρπασθησομένη. ἐνταῦθα δεικνὺς τοῦ Θεοῦ τὴν ἰσχὺν, οὐκ ἐν τῇ τῶν D κακῶν ἀπαλλαγῇ, ἀλλὰ καὶ ἐν τῇ τῶν πολεμησάντων ἐπιβουλῇ, προλέγει τὰ συμβησόμενα τῇ Βαβυλῶνι κακὰ ὁ προφήτης, καὶ ἀθλίαν αὐτὴν ἀπὸ τῶν καταληψομένων κακῶν καλεῖ, κἀν τούτῳ παιδεύων τοὺς Ἰουδαίους, καὶ δεικνὺς τοῦ Θεοῦ τὴν ἰσχὺν πανταχοῦ τῆς γῆς ἐκτεταμένην. μακάριος ὃς ἀνταποδώσει σοι τὸ ἀνταπόδομά σου, ὃ ἀνταπέδωκας ἡμῖν. ἄλλος, ὃ προεποίησας ἡμῖν. μακάριος ὃς κρατήσει, καὶ ἐδαφιεῖ τὰ νήπιά σου πρὸς τὴν πέτραν. ταῦτα εἰ καὶ πολλοῦ γέμει θυμοῦ, καὶ πολλῆς κολάσεως καὶ τιμωρίας, ὅμως τοῦ πάθους τῶν αἰχμαλωτευθέντων ἐστὶ τὰ ῥήματα, πολλὴν ἀπαιτούντων τὴν τιμωρίαν, καὶ ξένην τινὰ καὶ παράδοξον κόλασιν.

πολλὰ

πολλὰ γὰρ οἱ προφῆται οὐκ οἴκοθεν φθέγγονται, ἀλλὰ τὰ ἑτέρων πάθη διηγούμενοι, καὶ εἰς μέσον φέροντες. ἂν μὲν γὰρ τὴν αὐτοῦ γνώμην ζητῇς, ἀκούσῃ λέγοντος, εἰ ἀνταπέδωκα τοῖς ἀνταποδιδοῦσί μοι κακά, καὶ τὴν παρὰ τῶν νόμων δεδομένην αὐτῷ συμμετρείαν ὑπερβαίνοντος. ὅταν δὲ τὰ ἑτέρων διηγῆται πάθη τὸν θυμὸν ὑπογράφει, τὴν ὀδύνην, ὃ δὴ καὶ νῦν πεποίηκε, τὴν ἐπιθυμίαν τὴν τῶν Ἰουδαίων εἰς μέσον ἄγων, οἳ καὶ μέχρι τῆς ἀώρου ἡλικίας τὴν ὀργὴν ἐξέτεινον. ἀλλ' οὐ τὰ τῆς καινῆς τοιαῦτα· ἀλλὰ καὶ ποτίζειν καὶ τρέφειν τοὺς ἐχθροὺς κελευόμεθα, καὶ εὔχεσθαι ὑπὲρ τῶν ἐπηρεαζόντων ἡμᾶς. τοῦτο δὲ ποιοῦμεν, διὰ τὴν ὡρισμένην νομοθεσίαν. ποίαν δὴ ταύτην; ἐὰν γὰρ μὴ περισσεύσῃ ἡ δικαιοσύνη ὑμῶν φησι πλέον τῶν γραμματέων καὶ Φαρισαίων, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. πολλὴν τοίνυν ἐπιδειξώμεθα τὴν σπουδὴν καὶ μετὰ περιουσίας ἅπασαν φυλάξωμεν, ἅτε λοιπὸν ἐν οὐρανῷ πολιτευόμενοι ἐπὶ γῆς, καὶ μετὰ ἀγγέλων χορεύοντες. οὕτω γὰρ καὶ τῶν μελλόντων ἐπιτευξόμεθα ἀγαθῶν, ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

A Prophetæ enim multa sæpe loquuntur non tanquam sua ipsorum, sed aliorum affectiones narrantes, & in medium afferentes. Si enim eius quæris sententiam, audies dicentem, Si reddidi retribuentibus mihi mala, & vel modum, qui à lege erat ei datus, superantem. Quando autem narrat perturbationes animi aliorum, describit iram & dolorem: quod etiam nunc fecit, Iudæorum cupiditatem in medium adducens, quorum ira vel ad infantiæ vsque ætatem procedebat. Nouum autem non ita se habet, sed inimicos nostros B & pascere, & eis cibum dare iubemur, & orare pro eis qui nos maledictis impetunt. Hoc autem facimus propter legem quæ est nobis constituta. Quænam autem ea est? Nisi abundauerit, inquit, iustitia vestra plus quàm scribarum & Pharisæorum, non intrabitis in regnum cœlorum. Magnum ergo studium adhibeamus: & totam eam abundè obseruemus, vt qui deinceps in terra tanquam in cœlo habitemus, & cum Angelis choros ducamus. Ita enim futura quoque bona consequemur: C quæ detur nobis omnibus assequi gratia & misericordia domini nostri Iesu Christi, cui gloria & potentia in secula seculorum, Amen.

Regula prophetica. *Psal. 7.* *Matth. 5.* *Rom. 12.* *Matt. 5.*

Εἰς τὸν ρλζ' ψαλμόν.

Ἐξομολογήσομαί σοι κύριε ἐν ὅλῃ καρδίᾳ μου.

ΠΟΛΛΑΚΙΣ ὑμῖν περὶ τούτου διελέχθην. διόπερ αὐτὸ παρελθόντες, ἐπὶ τὸ ἐχόμενον αὐτοῦ ἥξομεν. D τί δὲ τοῦτό ἐστι, καὶ ἐναντίον ἀγγέλων ψαλῶ σοι; ὅπερ ἕτερος εἶπεν ἑρμηνευτής, παρρησίᾳ ὁ Θεὸς ᾄσω σε. ἄλλος, ἔναντι θεῶν μελῳδήσω σοι. ἂν μὲν οὖν τοὺς ἐν οὐρανοῖς ἀγγέλους λέγῃ, τοιοῦτόν ἐστι τὸ λεγόμενον, ὅτι μετὰ ἀγγέλων ᾄδειν βιάσομαι, καὶ ἂν μὲν ἀγγέλους λέγῃ ὡς ἐν τοῖς οὐρανοῖς τοῦτό φησιν, ὅτι μετ' αὐτῶν φιλονεικήσω, τὴν ἅμιλλαν πρὸς αὐτοὺς θεῖναι, καὶ συγχορεύσαι ταῖς ἄνω δυνάμεσιν. εἰ γὰρ καὶ τῇ φύσει διέστηκα, ἀλλ' ὅμως τῇ προθυμίᾳ ἁμιλλήσομαι μετ' ἐκείνων στῆναι. εἰ δὲ κατὰ τὴν ἑτέρων ἔκδοσιν ἐκλάβωμεν τὸ εἰρημένον,

IN PSALMVM CXXXVII.

Confitebor tibi Domine in toto corde meo.

DE hoc apud vos disseruimus. Quocirca eo prætermisso, veniemus ad id, quod est proximum. Quid hoc sibi vult, 2. *Et in conspectu angelorum psallam tibi?* Quod quidem alius dixit interpres, Liberè Deus canam te. Alius, Coram diis modulabor tibi. Si ergo dicat Angelos qui sunt in cœlis, est id, quod dicitur, eiusmodi: Conabor canere cum Angelis, & cum eis contendere, & choreas ducere cum supernis potestatibus. Etsi enim natura differam, animi tamen promptitudine, vt cum eis stare possim, decertabo. Sin autem accipiamus quod dictum est ex aliorum interpretatione,

videtur mihi dicere de sacerdotibus, id quod de diis dicitur. Solet enim scriptura sacerdotem vocare & Angelum & Deum: nunc quidem dicens: Diis non maledices: & principi populi tui non maledices: Nunc autem, Labia sacerdotum custodient iudicium, & ex ore eius exquirent iustitiam, quoniam est Angelus Domini omnipotentis. Si liceat ergo hoc ita accipere, illud oportet intelligere: Cum sacerdotibus, ipsis inchoātibus, & præcedētibus, cum eo quo par est ordine, consequar, & canam tibi: *Quoniā audisti verba oris mei.* Vidisti magnam gratiarum actionem? vidisti summam attentionem? non quemadmodum nonnulli molles & dissoluti, qui antequam quidem accipiant, sunt vehementes: postquam autem acceperint, elanguescunt. Sed hic quidem & antequam acceperit, vrget, & postquam acceperit, perstat agens assiduè gratias. Hinc autē ostēditur eum puras & optimas preces fudisse, ex eo quòd à Deo sit auditus. Hoc enim maximè vt vt audiamur efficit, quando preces ei gratæ fuerint. Vnde etiam est in nostra potestate vt audiamur. Quando enim petimus quæ à Deo dari par est, quando prompto & alacri animo, quando nos præbemus dignos qui accipiamus, audit vocatus, & implet quod petitur.

2. *Adorabo ad templum sanctum tuum.* Non est hoc quoque parua virtus, posse templum ascendere, & ascendentem cum pura adorare conscientia. Non enim flectere genua, nec ingredi, est id quod quæritur, sed cum acri mente & intento animo, non corpore solùm, sed mente etiam intus esse: quemadmodum nec parua est dignitas, vniuersorum Deum vt decet adorare. Si enim in regibus hoc pro honore ducitur, multò magis in Deo vniuersorum. *Et confitebor nomini tuo super misericordia tua & veritate tua.* Quid hoc est? Agam, inquit, tibi gratias, quòd magnam tuam mei curam senserim. Non enim ex propriis rectè factis consecutus sum, vt patriam reciperem, & templum aspicerem, sed ex misericordia & clementia tua. Propter hæc te adorabo, propter hæc tibi confitebor, quòd cùm pœna & supplicio dignus essem, & vt in aliena regione perpetuò degerem, me citò reduxisti.

Sacerdos. — Exod.22.28. — Malac.2.7 — Vt à Deo exaudiamur in nobis est. — Io.13.15. Psal.101. Prou.15. Luc.18. — Rom.12. 1.Cor.15.

A δοκεῖ μοι περὶ τῶν ἱερέων τοῦτο εἰπεῖν. ἔθος γὰρ τῇ γραφῇ καὶ ἄγγελον καλεῖν τὸν ἱερέα καὶ Θεόν· νῦν μὲν λέγουσα· Θεοὺς οὐ κακολογήσεις· καὶ ἄρχοντα τοῦ λαοῦ σου οὐκ ἐρεῖς κακῶς· νῦν δὲ, χείλη ἱερέως φυλάξεται κρίσιν, καὶ ἐκ στόματος αὐτοῦ ζητήσουσι δικαιοσύνην, ὅτι ἄγγελος κυρίου παντοκράτορός ἐστιν. εἰ τοίνυν τοῦτο ἐκλαβεῖν δεῖ, ἐκεῖνο νοεῖν δεῖ, ὅτι μετὰ τῶν ἱερέων, παρόντων αὐτῶν, μετὰ τῆς προσηκούσης εὐταξίας καταρχομένων ἐκείνων, προηγουμένων ἕψομαι, καὶ ἀκολουθήσω, καὶ ᾄσω σοι, ὅτι ἤκουσας πάντα τὰ ῥήματα τοῦ στόματός μου. B εἶδες εὐχαριστίαν πολλήν; εἶδες προσοχὴν ἐπιτεταμένην; οὐ καθάπερ ἔνιοι τῶν ῥᾳθύμων καὶ διαλελυμένων, πρὶν ἢ μὲν λαβεῖν σφοδροί τινές εἰσι, μετὰ δὲ τὸ λαβεῖν ἀναπεπτωκότες· ἀλλ' οὗτος καὶ πρὶν ἢ λαβεῖν ἐπίκειται, καὶ μετὰ τὸ λαβεῖν μένει διηνεκῶς εὐχαριστῶν. ἐντεῦθεν δὲ δείκνυται, ὅτι καθαρὰν καὶ ἀρίστην ἐποιεῖτο τὴν εὐχήν, ἐκ τοῦ ἀκουσθῆναι παρὰ τοῦ Θεοῦ. τοῦτο γὰρ μάλιστα ἀκουσθῆναι ποιεῖ, ὅταν κατὰ γνώμην αὐτοῦ ἡ εὐχὴ γίνηται. ὥστε καὶ τοῦ ἀκουσθῆναι ἡμεῖς κύριοι. ὅταν γὰρ ταῦτα αἰτῶμεν, ἃ τὸν Θεὸν C ἄξιον δοῦναι, ὅταν μετὰ προθυμίας, ὅταν ἀξίους ἑαυτοὺς τοῦ λαβεῖν παρέχωμεν, ἀκούει καλούμενος, καὶ τὸ αἰτούμενον πληροῖ. προσκυνήσω πρὸς ναὸν ἅγιόν σου. οὐ μικρὰ καὶ τοῦτο ἀρετή, τὸ δυνάσθαι ἐπιβαίνειν ναοῦ, καὶ ἐπιβαίνοντα μετὰ καθαροῦ συνειδότος προσκυνεῖν. οὐ γὰρ δὴ τὸ κάμψαι γόνατα, οὐδὲ τὸ εἰσελθεῖν τοῦτό ἐστι τὸ ζητούμενον, ἀλλὰ τὸ μετὰ διανοίας θερμῆς, καὶ γνώμης συντεταμένης τὸ μὴ τῷ σώματι μόνον, ἀλλὰ καὶ τῇ γνώμῃ ἔνδον εἶναι. ὥσπερ οὐδὲ μικρὸν ἀξίωμα τὸ προσκυνεῖν τὸν D ἐπὶ πάντων Θεὸν ὡς χρὴ προσκυνεῖν. εἰ γὰρ ἐπὶ τῶν βασιλέων ἐν ἀξιώματος τοῦτο κεῖται μέρει, πολλῷ μᾶλλον ἐπὶ τοῦ τῶν ὅλων Θεοῦ. καὶ ἐξομολογήσομαι τῷ ὀνόματί σου, ἐπὶ τῷ ἐλέει σου, καὶ τῇ ἀληθείᾳ σου. τί ἐστι τοῦτο; εὐχαριστήσω σοι φησὶν, ὅτι πολλῆς ἀπέλαυσα τῆς κηδεμονίας. οὐ γὰρ ἀπὸ τῶν οἰκείων κατορθωμάτων ἔλαβον τὸ ἀπολαβεῖν τὴν πατρίδα, καὶ τὸν ναὸν ἰδεῖν, ἀλλ' ἀπὸ τοῦ ἐλέους σου, καὶ τῆς φιλανθρωπίας σου. ἐπὶ τούτοις σε προσκυνήσω, ἐπὶ τούτοις ἐξομολογήσομαί σοι, ὅτι ἄξιον ὄντα κολάσεως καὶ τιμωρίας, καὶ διηνεκῶς ἐν ἀλλοτρίᾳ διατρίβειν ὄντα δίκαιον, ταχέως ἐπανήγαγες.

ὅτι ἐμεγάλυνας ἐπὶ πᾶν τὸ ὄνομα τὸ ἅγιόν σου. ὃ λέγει, τοιοῦτόν ἐστιν, οὐ διὰ τὰς εὐεργεσίας εὐχαριστήσω μόνον, ἀλλὰ καὶ δι᾽ αὐτὴν τὴν δόξαν, τὴν ἄφατον, καὶ τὴν μεγαλωσύνην τὴν ἄπειρον, καὶ τὴν φύσιν τὴν ἄρρητον. ἐμεγάλυνας γάρ, φησιν, ἐπὶ πᾶν τὸ ὄνομα τὸ ἅγιόν σου, τουτέστι, διὰ τῶν εὐεργεσιῶν, διὰ τῶν στοιχείων, διὰ τῶν ἐν οὐρανοῖς, διὰ τῶν ἐν γῇ, διὰ τῶν κολάσεων, διὰ τῶν εἰς τοὺς πολεμίους, διὰ τῶν εἰς τοὺς οἰκείους. οὐκ ἔστι γὰρ οὐδὲν μέρος τῆς κτίσεως τῆς ἄνω, τῆς κάτω, ὃ μὴ φωνὴν ἀφίησι σάλπιγγος λαμπροτέραν ἀνακηρύττουσαν τοῦ ὀνόματός σου τὴν μεγαλωσύνην. κἂν ἀγγέλους τοίνυν εἴπῃς, κἂν ἀρχαγγέλους, κἂν δαίμονας, καὶ τὰ ἀναίσθητα στοιχεῖα, κἂν λίθους, κἂν σπέρματα, κἂν ἥλιον, κἂν σελήνην, κἂν γῆν, κἂν πελάγη, κἂν ἰχθύας, κἂν πετεινά, κἂν λίμνας, κἂν πηγάς, κἂν ποταμούς, διὰ πάντων μέγα τὸ ὄνομά σου δείκνυται. ἕτερος δὲ ἀντὶ τοῦ ἐμεγάλυνας ἐπὶ πᾶν τὸ ὄνομα τὸ ἅγιόν σου, εἶπεν· ἐμεγάλυνας γὰρ ὑπὲρ πάντα τὰ ὀνόματά σου τὴν ῥῆσίν σου. ἄλλος, τὸ λόγιόν σου. ἐν ᾗ ἂν ἡμέρᾳ ἐπικαλέσομαί σε ταχὺ ἐπάκουσόν μου. ἄλλος, ἐν ᾗ ἂν ἡμέρᾳ ἐπεκαλεσάμην σε, ἐπήκουσάς μου. τοῦτο γὰρ καὶ ὁ Θεὸς ἐπηγγείλατο, λέγων· ἐν ᾗ ἂν ἡμέρᾳ ἐπικαλέσῃ με, εἰσακούσομαί σου, καὶ ἐρῶ, ἰδοὺ λαλοῦντός σου πάρειμι. καὶ αὐτὸς δὲ τοῦτο αἰτεῖ. τοιαῦται γὰρ αἱ ὀδυνώμεναι ψυχαί, τάχιστα βούλονται τὴν ἀπαλλαγὴν τῶν δεινῶν ἰδεῖν, πολυωρήσεις με ἐν ψυχῇ μου δυνάμει σου. ἄλλος, συνέστης τῇ ψυχῇ μου δυνάμεις. καὶ γὰρ τὸ πρότερον, ἀντὶ τοῦ εἰσάκουσόν μου, ἐπήκουσάς μου ἕτερος ἔφη. τί οὖν ἐστι τὸ εἰρημένον; μετέωρα λέγεται τὰ ὑψηλὰ παρὰ τὸ αἴρεσθαι, καὶ μετεωρισμοὶ θαλάττης τὰ κύματα αὐτῆς καὶ τὰ ὑψώματα παρὰ τὸ αἴρεσθαι. τὸ τοίνυν πολυωρήσεις ἐστίν, ἐπαρεῖς με, ὑψώσεις με. τοῦτο καὶ ἀλλαχοῦ τέθεικε, λέγων, κατὰ τὸ ὕψος σου ἐπολυώρησας τοὺς υἱοὺς τῶν ἀνθρώπων, τουτέστιν, ἐπῆρας, ὕψωσας, οὕτω καὶ τὸ πολυωρήσεις, εἶπεν, ἵνα δηλώσῃ, ὅτι ἐμπλήσεις με εὐφροσύνης πολλῆς, καὶ μετέωρον ἐργάσῃ μου τὴν ψυχήν. καὶ τὸ πάντων μεῖζον, οὐκ ἀφήσεις μου τὸν μετεωρισμὸν τοῦτον καὶ

A *Quoniam magnificasti super omne nomen sanctum tuum.* Quod dicit, est eiusmodi, Non agam enim solummodo gratias propter beneficia, sed etiam propter ipsam gloriam ineffabilem, & infinitam magnificentiam, & naturam inenarrabilem. Magnificasti enim, inquit, super omne nomen sanctum tuum. Hoc est, per beneficia, per elementa, per ea quæ sunt in cœlis, per ea quæ sunt in terra, per pœnas, per ea quæ fiunt in hostes, per ea quæ fiũt in familiares. Nulla est enim pars creaturæ & supernæ & B infernæ, quæ non emittat vocem quauis tuba clariorem, prædicantem nominis tui magnificentiam. Siue ergo Angelos dixeris, siue Archangelos, siue dæmones, siue elementa insensilia, siue lapides, siue semina, siue solem, siue lunam, siue terram, siue maria, siue pisces, siue volucres, siue lacus, siue fontes, siue fluuios: per omnia nomen tuum magnum ostenditur. Alius autem pro eo quod est, Magnificasti super omne nomen sanctum tuum, dixit: Magnificasti enim super omnia nomina tua verbũ tuum. C Alius, Eloquium tuum. 3. *In quacunque die inuocauero te, velociter exaudi me.* Alius, In quacunque die inuocaui te, exaudisti me. Hoc etiam Deus pollicitus est, dicens: In quacunque die inuocaueris me, exaudiam te, & dicam, Ecce loquente te adsum. Ipse itaque hoc petit. Tales enim sunt animæ quæ dolore aliquo afficiuntur, volunt videre se quamprimum liberari à malis. *Multiplicabis me in anima mea virtute tua.* Alius, Constituisti in anima mea virtutes. Nam quod est prius, Exaudi me: alius dixit, Exau- D disti me. Quid est ergo quod dictum est? Quæ sunt alta & sublimia, dicuntur Græcè meteora, à verbo αἴρεσθαι, & eleuationes maris & exaltationes dicuntur fluctus, ab eo quod est eleuari, & exaltari. Illud ergo πολυωρήσεις, idem est ac si dicas, exaltabis me, extolles me. Hoc ipsum autem verbum posuit alibi, dicens: Secundùm altitudinem tuam multiplicasti filios hominum, vbi est Græcè ἐπολυώρησας, hoc est, eleuasti, extulisti. Ita enim dixit illud πολυωρήσεις με, vt significaret, Implebis me multo gaudio, subliméma. & erectum mihi reddes animum, & quod est omnium maximum, non sines hanc meam

2. Par. 26. Dan. 3. Apoc. 19.

Esa. 58. 9.

Psal. 11. 9.

eleuationē, & lætitiam esse languidam, & imbecillam, sed potentē & validem, firmam & immobilem. Hoc enim sibi vult illud, Extolles me in anima mea potentia tua. Hoc est autem quod dicit Extolles me potentia, viribus eriges, & mihi opem feres. Quocirca alius quoque interpres hoc ipsum ostendens, dixit, Constituisti animæ meæ virtutes. Rectè autem preterea dixit, Animæ meæ, quod est maximè Dei proprium, recreare animos in afflictionibus, quemadmodum etiam euenit in Apostolis.

Act. 5. 41.

Flagris enim cæsi, reuertebantur gaudentes, ita eorum erigebatur animus. Hoc est vel maximè potentiæ Dei munus, hoc imprimis ostendit eius vires, quòd in mediis malis & periculis non sinit deijci animum 4. *Confiteantur tibi Domine omnes reges terræ, quia audierunt omnia verba oris tui.*

Afflictis Deus adest.

Vide quàm sit pij & grati animi. Non satis habet, si solus agat gratias, sed etiā omnes qui dominatum obtinent, vocat ad societatem gratiarum actionis, & ipsos etiam qui gestant diademata. Et si enim magna sit, inquit, eorum potentia, omnes tibi tamen debent gratias agere pro iis etiam quæ aliis facta sunt. Quocirca hoc quoque significans, subiunxit, Audierunt omnia verba oris tui. Si ergo gratias agant, plurimum hinc fructum capient, & magnum lucrum facient. Talia enim tua dona sunt omnibus in medio proposita, vt qui volunt, possint esse eorum participes, & ea percipere.

Matth. 7. Marc 11. Luc 11.

Nullam ergo tantam vtilitatem poterit ei regnum afferre, quantam tua verba audire. Hoc est eis securitas, hoc vires, hoc ornamentum, hoc decus, hoc regnū, hoc est imperij lætitia & potentia. 5. *Et cantent in viis Domini.* Alius, Et cantēt in vias Domini. Si ergo dicat in viis tuis, hoc est quod dicit, In legibus tuis, in iussis tuis. Si autem vias tuas: præclara, inquit, hæc tua facta dicant, laudent, celebrent ac prædicent. Hoc enim sibi vult illud, Cantent. *Quoniam magna est gloria Domini.* Hoc est, omnibus aperta, omnibus manifesta, omnibus euidens, parata ad omnium beneficia, omnes habens sibi gratiæ nomine obnoxios. 6. *Quoniam excelsus Dominus, & humilia respicit.*

Deut. 32. Io. 11. 12.

Altus, inquit, naturā, altus substantiā. Sed hoc quidem paulò magis tropicè & figuratè nunc dictum est, vt se ad Iudaicum captum accommodaret:

A τὴν εὐφροσύνην ταύτην σαθρὰν γίνεσθαι, ἀλλὰ δυνατήν, καὶ ἰσχυράν, βεβαίαν τε, καὶ ἀκίνητον. τοῦτο γάρ ἐστι, τὸ πολυωρήσεις με ἐν ψυχῇ μου δυνάμει σου. ὃ δὲ λέγει τοῦτό ἐστι, δυνάμει με πολυωρήσεις, ἰσχύι ὑψώσεις, καὶ βοηθήσεις μοι. διὸ καὶ ἕτερος ἑρμηνευτὴς τὸ αὐτὸ ἐμφαίνων εἶπε, συνέστης τῇ ψυχῇ μου δυνάμεις. καλῶς δὲ εἶπε ψυχῇ μου, ὅπερ μάλιστα Θεοῦ ἴδιόν ἐστι, καὶ ἐν ταῖς θλίψεσιν ἀνακτᾶσθαι τὰς ψυχάς, καθάπερ καὶ ἐπὶ τῶν ἀποστόλων συνέβαινε. μαστιζόμενοι γὰρ ἐπανήεσαν χαίροντες, οὕτως ἐπολυωρεῖτο αὐτῶν ἡ ψυχή. B τοῦτο μάλιστα τῆς τοῦ Θεοῦ δυνάμεως ἔργον. τοῦτο μάλιστα δείκνυσιν αὐτοῦ τὴν ἰσχύν, τὸ ἐν μέσοις τοῖς δεινοῖς μὴ ἐᾶν καταφέρεσθαι τὴν ψυχήν. ἐξομολογησάσθωσάν σοι κύριε πάντες οἱ βασιλεῖς τῆς γῆς, ὅτι ἤκουσαν πάντα τὰ ῥήματα τοῦ στόματός σου. ὅρα εὐγνωμοσύνην· οὐ γὰρ ἀρκεῖται τῷ μόνος εὐχαριστῆσαι, ἀλλὰ καὶ τοὺς κρατοῦντας ἅπαντας εἰς κοινωνίαν λαμβάνει τῆς εὐχαριστίας, καὶ αὐτοὺς τοὺς τὰ διαδήματα ἔχοντας. εἰ γὰρ καὶ μεγάλη αὐτῶν, φησίν, ἡ ἐξουσία καὶ δύναμις, ἀλλά σοι πάντες ὀφείλουσιν εὐχαριστεῖν, καὶ ὑπὲρ τῶν εἰς ἑτέ- C ρους γεγενημένων. διὸ καὶ τοῦτο δηλῶν ἐπήγαγεν, ἤκουσαν πάντες τὰ ῥήματα τοῦ στόματός σου. εἰ τοίνυν εὐχαριστοῖεν, τὰ μεγάλα ἐντεῦθεν καρπώσονται, καὶ κερδανοῦσι. τοιαῦτα γάρ σου τὰ δῶρα· πᾶσιν ἐν τῷ μέσῳ πρόκειται, ὥστε τοὺς βουλομένους μετέχειν τε καὶ ἀπολαύειν αὐτῶν. οὐδὲν οὕτω αὐτοὺς ἡ βασιλεία ὀνῆσαι δύναται τοσοῦτον, ὅσον τὸ τῶν σῶν ἀκούειν ῥημάτων, τοῦτο αὐτοῖς ἀσφάλεια, τοῦτο ἰσχύς, τοῦτο κόσμος, τοῦτο εὐπρέπεια, τοῦτο βασιλεία, τοῦτο τῆς ἀρχῆς ἡ φαιδρότης τε καὶ δύναμις. καὶ ᾀσάτωσαν ἐν ταῖς D ὁδοῖς κυρίου. ἕτερος δέ, ᾀδέτωσαν τὰς ὁδοὺς κυρίου. ἂν μὲν οὖν ἐν ταῖς ὁδοῖς σου, τουτέστι τὸ εἰρημένον, ἐν τοῖς νόμοις σου, ἐν τοῖς προστάγμασί σου. ἂν δὲ τὰς ὁδούς σου, τὰ κατορθώματά σου ταῦτά φησι, λεγέτωσαν, ὑμνείτωσαν, ἀνακηρυττέτωσαν. τοῦτο γάρ ἐστι τὸ ᾀδέτωσαν. ὅτι μεγάλη ἡ δόξα κυρίου. τουτέστι, πᾶσι κατάδηλος, πᾶσι σαφής, πᾶσι δήλη, περὶ τὰς ἁπάντων εὐεργεσίας παρεσκευασμένη, πάντας ὑπευθύνους ἔχουσα χάριτος. ὅτι ὑψηλὸς κύριος, καὶ τὰ ταπεινὰ ἐφορᾷ. ὑψηλὸς τὴν φύσιν, ὑψηλός, τὴν οὐσίαν. ἀλλ' ἐνταῦθα πως συγκαταβατικώτερον εἴρηται πρὸς τὴν θεραπείαν τὴν Ἰουδαϊκήν, καὶ τυπικώτερον μᾶλλον.

τὸ δὲ ἑξῆς καὶ τοῦτο διορθοῦται, καὶ εἰς μεγάλην διάνοιαν ἀνάγει καὶ τὸν ταπεινὸν ἀκροατήν. τί δὲ τοῦτό ἐστι; καὶ τὰ ὑψηλὰ ἀπὸ μακρόθεν γινώσκει; ἐνταῦθα γὰρ περὶ προγνώσεως ὁ λόγος, ὅπερ μάλιστα τῆς τοῦ Θεοῦ δυνάμεώς ἐστιν ἴδιον. διὸ καὶ ἐν τοῖς προφήταις πολλάκις διαλεγόμενος, ἐντεῦθεν ἀποτείνεται πρὸς τοὺς τῇ πλάνῃ τῶν εἰδώλων κατεχομένους. ἄλλος, καὶ ἐπηρμένον μακρόθεν διαγινώσκει. ἐπειδὴ γὰρ εἶπεν, ὑψηλὸς κύριος, καὶ τὰ ταπεινὰ ἐφορᾷ, ἐπήγαγεν, ὅτι καὶ τὰ ὑψηλὰ ἀπὸ μακρόθεν γινώσκει δηλαδὴ, ὅτι τὰ ὑψηλὰ οὐχ ἁπλῶς γινώσκει, ἀλλὰ καὶ ἐκ πολλοῦ διαστήματος, τουτέστι, πρὶν ἢ ἐκβῆναι, πρὶν ἢ τελεσθῆναι, πρὶν ἢ εἰς ἔργον ἐλθεῖν. ἐὰν πορευθῶ ἐν μέσῳ θλίψεως ζήσεις με. οὐκ εἶπεν, ὅτι τὴν θλίψιν ἀπελάσεις, ἀλλ' ἐν αὐτοῖς μένοντα τοῖς δεινοῖς ζήσεις με, τουτέστι, διασώσῃ δυνήσῃ εἰς αὐτοὺς ἐμπεσόντα τοὺς κινδύνους. ὅπερ δὴ θαυμαστὸν, καὶ παράδοξον περιεστώτων τῶν λυπηρῶν, καὶ τῶν ἐπιβουλευόντων ἐν ἀσφαλείᾳ καταστῆσαι τὸν περιστοιχιζόμενον ὑπ' αὐτῶν. καὶ ἐπ' ὀργὴν ἐχθρῶν μου ἐξέτεινας χεῖράς σου. ἕτερος, κατὰ τῆς ἀναπνοῆς τῶν ἐχθρῶν μου ἐκτενεῖς. εἶδες ἐφ' ἑκάτερα τὰ μέρη μεγίστην οὖσαν τὴν δύναμιν; ἐμέ τε γὰρ, φησιν, ἐν μέσοις ὄντα τοῖς δεινοῖς διασῶσαι δυνήσῃ, ἐκείνους δὲ μαινομένους καὶ λυττῶντας, καὶ πῦρ πνέοντας ταπεινῶσαι, καὶ καταστεῖλαι. καὶ ἔσωσέ με ἡ δεξιά σου. ἄλλος, καὶ σώσει με ἡ δεξιά σου, τουτέστιν, ἡ δύναμίς σου, ἡ ἰσχύς σου. εὔπορος γὰρ ὁ Θεὸς, καὶ εὐμήχανος, καὶ ἐξ ἀπεγνωσμένων ἱκανὸς εἰς σωτηρίαν ἀναγαγεῖν. κύριος ἀνταποδώσει ὑπὲρ ἐμοῦ. ἕτερος, συντελέσει. ἄλλος, ἐπιτελέσει, τουτέστιν, ἀμυνεῖται τοὺς ἐχθρούς, καὶ οὐκ εἶπεν ἀμυνεῖται, ἀλλ' ἀνταποδώσει δηλαδὴ, ὅτι κἂν ὑπεύθυνος ὦ, αὐτὸς καταβαλεῖ, καὶ καταθήσει· φιλάνθρωπος γάρ ἐστι. δυνατὸν δὲ τοῦτο καὶ εἰς τὰ παρὰ τοῦ Χριστοῦ γενόμενα εἰς ἡμᾶς λέγεσθαι. αὐτὸς γὰρ ἀνταπέδωκεν ὑπὲρ ἡμῶν. κύριε τὸ ἔλεός σου εἰς τὸν αἰῶνα, τὰ ἔργα τῶν χειρῶν σου μὴ παρίδῃς. δύο ταῦτα τίθησι δικαιώματα τοῦ τυχεῖν φιλανθρωπίας. ἓν μὲν τὸ ἐλεήμονα αὐτὸν εἶναι, καὶ ἀγαθὸν, καὶ ἐλεήμονα διηνεκῶς, ὡς μηδέποτε αὐτὸν διακόπτεσθαι, καὶ λήγειν τὴν φιλανθρωπίαν, μηδὲ ἐνδιδόναι. ἕτερον δὲ, τὸ δημιουργὸν αὐτὸν εἶναι καὶ ποιητήν. ἀλλ' ὥσπερ ἀπὸ τούτων ἀξιοῦμεν σώζεσθαι,

A Quod autem sequitur, id corrigit, & vel humilem auditorem ad magnam intelligentiam erigit. Quid hoc autem est? *Et alta à longè cognoscit.* Hic enim de præscientia agitur, quod est potentiæ Dei maximè proprium, & ideo in prophetis sæpe loquens, hinc in eos inuehitur, qui tenentur errore simulachrorum. Alius, Et quod elatum est, à longè discernit. Quoniam enim dixit, Excelsus Dominus, & humilia respicit, subiunxit, Et alta à longè cognoscit, significans eum alta non solummodo cognoscere, sed etiam ex magno interB uallo, hoc est, priusquam eueniant, priusquam perficiantur, priusquam in opus exeant. 7. *Si ambulauero in medio tribulationis, viuificabis me.* Non dixit, tribulationem expelles, sed in ipsis malis manentem viuificabis me. Hoc est, Etiamsi in maxima pericula incidero, poteris me conseruare: quod est admirabile, & maius omnium opinione, vt cùm vndique hostes & mala circumstent, in tuto collocetur, qui ab eis circumsidetur. *Et super iram inimicorum meorum extendisti manus tuas.* Alius, Aduersus spiritu inimicorum meorum extenC des. Vidisti maximam esse potentiam in vtrisque partibus? Nam & me, inquit, qui in maximis versor malis, conseruare poteris, & illos furore rabiéque percitos, & ignem spirantes, deijcere & comprimere. *Et saluum me fecit dextera tua.* Alius, Et saluum me faciet dextera tua, hoc est potentia tua, virtus tua. Deo enim sunt expeditæ viæ omnes & rationes, & potest vel ex rebus desperatis ad salutem adducere. 8. *Dominus retribuet pro me.* Alius, Efficiet. Alius, Perficiet. Hoc est, Vlciscetur inimicos. D Non dixit autem, Vlciscetur, sed, Retribuet, ostendens quòd etiam si sim reus debendi, ipse exoluet & satisfaciet, est enim benignus & clemens. Potest autem hoc etiam dici de iis quæ à Christo pro nobis facta sunt. Ipse enim pro nobis retribuit. *Domine misericordia tua in seculum. Opera manuum tuarum ne despicias.* Duas affert rationes, cur debeat assequi eius clementiam. Vnam quidem quòd ipse sit bonus & misericors, & assiduè misericors, vt nunquam interrumpatur nec desinat nec cedat eius clementia. Alteram autem, quòd ipse sit effector & opifex. Sed quemadmodum ex eis conseruari volumu-

Chald. Et superbos à cælo longè propellet.

Hier. 1. Dan 13.

He. saluabit, Chald. redimet.

1. Reg. 1. 17

4. Reg. 19.

Rom. 4.

Esa. 53.

Esa. 49.

Rom. 9. 15. Misericordia Dei nō datur indiscriminatim.

ita etiam misericordia dignum quid A ostendamus. Miserebor enim, inquit, cuius miserebor. Non enim indiscriminatim eum subit misericordia, sed ipse etiam aliquam dijudicationem & distinctionem adhibet. Si id enim faceret indiscriminatim, nemo vnquam puniretur. Quocirca non solùm faciamus ea quæ oportet, vt misericordiam consequamur, sed etiam propterea quòd à Deo facti sumus. Eum autem qui à Deo creatus est, & tantum habuit effectorem & Regem, oportet se ita gerere vt illius cura & prouidentia se non esse indignum ostendat. Si hæc faciamus, B bona futura consequemur, quæ nobis contingat assequi gratia & clementia domini nostri Iesu Christi, cui gloria & potentia in secula seculorum, Amen.

οὕτω καὶ τοῦ ἐλέους ἄξιόν τι ἐπιδειξώμεθα. ἐλεήσω γάρ φησιν, ὃν ἂν ἐλεῶ. οὐ γὰρ ἁπλῶς ὁ ἔλεος ἔπεισιν, ἀλλ' ἔχει τινὰ καὶ αὐτὸς διάκρισιν. εἰ γὰρ δὴ ἁπλῶς ἐπῄει, οὐδεὶς ἂν ἐκολάσθη. διὸ μὴ μόνον διὰ τὸ ἐλεηθῆναι ἄξια πράττωμεν, ἀλλὰ καὶ διὰ τὸ παρὰ τοῦ Θεοῦ γεγενῆσθαι. τὸν γὰρ ὑπὸ τοῦ Θεοῦ δημιουργηθέντα, καὶ τοιοῦτον ἐσχηκότα ποιητὴν τε καὶ βασιλέα, ἀξίαν τῆς κηδεμονίας αὐτοῦ, καὶ τῆς τοιαύτης προνοίας πολιτείαν ἐπιδείκνυσθαι χρή. κἂν ταῦτα ποιῶμεν τῶν μελλόντων ἐπιτευξόμεθα ἀγαθῶν, ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

IN PSALMVM CXXXVIII.

IN FINEM VICTORIÆ EFFECTORI.

Domine probasti me, & cognouisti me.

QVID dicis? Nouit Deus postquam probauit: antequam probauit autem, non nouit? Absit. Quomodo enim, qui omnia nouit antequam fierent? Sed illud probasti me, significat, Me perfectè nouisti. Quemadmodum enim Apostolus, quando dicit eum corda scrutari, non ignorationem, D sed perfectam cognitionem significans hoc dicit: ita etiam hic cùm dicit, Probasti, euidentissimam significat cognitionem, hoc est, Tu me perfectè nosti.

Dan. 13. Rom. 8. 1. Cor. 2. Probatio Dei.

2. *Tu cognouisti sessionem meam & resurrectionem meam.* Per sessionem & resurrectionem, omnem vitam significat: in his enim tota vita nostra consistit, actiones, operationes, ingressus & exitus. Deinde quoniam dixit in principio, Probasti me: ne quis paulò inconsideratior putaret eum nosse ex probatione, vel ex rerum experientia, propterea quod dixit, Tu cognouisti sessionem

Sessio & resurrectio quid.

Εἰς τὸν ρλη' ψαλμόν.

ΕΙΣ ΤΟ ΤΕΛΟΣ ΤΩι ΝΙΚΟΠΟΙΩι.

C

Κύριε ἐδοκίμασάς με, καὶ ἔγνως με.

ΤΙ λέγεις; μετὰ τὸ δοκιμάσαι οἶδεν ὁ Θεός, πρὸ δὲ τοῦ δοκιμάσαι οὐκ οἶδεν; οὐχί, μὴ γένοιτο. πῶς γὰρ ὁ τὰ πάντα, εἰδὼς πρὶν γενέσεως αὐτῶν; ἀλλὰ τὸ ἐδοκίμασάς με, ἀκριβῶς ἐπίστασαί μέ ἐστιν. ὥσπερ γὰρ ὁ ἀπόστολος, ὅταν λέγῃ, ὅτι ἐρευνᾷ τὰς καρδίας, οὐκ ἄγνοιαν ἐμφαίνων, ἀλλὰ τὴν ἀκριβῆ εἴδησιν λέγει, οὕτω δὴ καὶ οὗτος λέγων, ἐδοκίμασάς με, τὴν γνῶσιν τὴν σαφεστάτην δηλοῖ, τουτέστιν, ἀκριβῶς ἐπίστασαί με. σὺ ἔγνως τὴν καθέδραν μου, καὶ τὴν ἔγερσίν μου. καθέδραν καὶ ἔγερσιν, τὸν βίον ἅπαντά φησιν. ἐν γὰρ τούτοις ἡμῖν ὁ βίος, τὰς πράξεις, τὰς ἐνεργείας, τὰς εἰσόδους, τὰς ἐξόδους. εἶτα ἐπειδὴ ἀρχόμενος ἔλεγεν, ἐδοκίμασάς με, ἵνα μή τις τῶν ἀνοήτων νομίσῃ, ὅτι ἀπὸ δοκιμῆς οἶδεν, ἢ ἀπὸ πείρας πραγμάτων, διὰ τὸ εἰπεῖν, ἔγνως τὴν καθέδραν μου,

A καὶ τὴν ἔγερσίν μου, ὅρα πῶς αὐτὸ διορθοῦται διὰ τῆς ἐπαγωγῆς, ἧς ἐπήγαγε λέγων, σὺ συνῆκας τοὺς διαλογισμούς μου ἀπὸ μακρόθεν. δείκνυσι γὰρ διὰ τούτου, ὅτι οὐχὶ δοκιμασίᾳ οἶδεν, οὐδὲ δεῖται τοῦ δοκιμάσαι, ἀλλὰ προγνωστικῇ δυνάμει πάντα ἐπίσταται. ὁ γὰρ λογισμοὺς εἰδὼς ἐν τῷ νῷ κειμένους οὐ δεῖται τῆς διὰ τῶν ἔργων δοκιμασίας· ἄλλως δὲ οὐδὲ κινουμένους μόνον ἐν τῷ νῷ οἶδεν, ἀλλὰ καὶ πρὶν ἢ κινηθῆναι· καὶ οὐδὲ ἁπλῶς πρὶν ἢ κινηθῆναι, ἀλλὰ καὶ πρὸ πολλοῦ τοῦ χρόνου. διὰ ταῦτα δηλῶσαι βουλόμενος ἐπήγαγε τό· σὺ συνῆκας B τοὺς διαλογισμούς μου ἀπὸ μακρόθεν. εἰ τοίνυν οἶδεν ὁ Θεὸς καὶ τοὺς διαλογισμούς, τίνος ἕνεκεν ἐπάγει τὴν διὰ τῶν ἔργων δοκιμήν; οὐχ ἵνα αὐτὸς μάθῃ, ἀλλ' ἵνα τοὺς ὑπομένοντας δοκίμους ἐργάσηται. ἐπεὶ καὶ τὸν Ἰὼβ ᾔδει πρὸ τῆς πείρας· διὸ καὶ ἐμαρτύρει λέγων, ἄνθρωπος δίκαιος, ἀληθινός, θεοσεβής. ἀλλ' ἐπήγαγε τὴν πεῖραν, ὥστε ἐκεῖνόν τε καρτερικώτερον ἐργάσασθαι, καὶ τοῦ διαβόλου τὴν πονηρίαν ἐλέγξαι, καὶ τοὺς ἄλλους σπουδαιοτέρους διὰ τοῦ παραδείγματος ποιῆσαι. καὶ τί θαυμάζεις, εἰ ἐπὶ τοῦ Ἰὼβ τοῦτο πεποίηκεν, ὅπου C γε καὶ ἐπὶ τῶν ἁμαρτωλῶν τὸ αὐτὸ ἐργάζεται; τοὺς γὰρ Νινευίτας ᾔδει σαφῶς οὐκ ἀξίους ὄντας ἀπολέσθαι, ἀλλὰ διὰ τῆς μετανοίας βελτίους ἐσομένους· ἀλλ' ὅμως ἐπάγει καὶ τὴν διὰ τῶν πραγμάτων πεῖραν, καὶ πανταχοῦ πολλὰς ἀποδείξεις παρέχεται τῆς αὐτοῦ κηδεμονίας καὶ τῆς φιλανθρωπίας, οὐκ ἀρκούμενος τῇ αὐτοῦ γνώσει. διὰ τοῦτο καὶ ὁ μονογενὴς ἔλεγεν, εἰ μὴ ποιῶ τὰ ἔργα τοῦ πατρός μου, μὴ πιστεύετέ μοι· εἰ δὲ ποιῶ, κἂν ἐμοὶ μὴ πιστεύητε, τοῖς ἔργοις πιστεύσατε. ἐπειδὴ γὰρ πολλοὶ παχύτεροι τὴν γνώμην D ὄντες, καὶ ἀναίσθητοι πολλὰ τοιαῦτα φθέγγονται, ὅτι τὸν δεῖνα ἐξελέξατο, καὶ τὸν δεῖνα ἐφίλησε, καὶ τὸν δεῖνα ἐμίσησε, διὰ τοῦτο ὁ μὲν πονηρός, ὁ δὲ φαῦλος ἐγένετο, ἀπὸ τῶν πραγμάτων πείθει τὴν ἑκάστου τούτων διορθούμενος γνώμην, καὶ παράγων εἰς μέσον τὴν ἀπὸ τῶν ἔργων ἀπόδειξιν, καὶ ἀποφαίνεται μέν, καὶ πρὸ τῶν πραγμάτων ὅτι ἐνάρετος ὁ δεῖνα, ἵνα μάθωσιν αὐτοῦ τὴν προγνωστικὴν δύναμιν· ἐπάγει δὲ καὶ τὴν διὰ τῶν πραγμάτων πληροφορίαν, ἵνα μή τις τῶν ἀνοήτων εἴπῃ, ὅτι διὰ τὴν πρόρρησιν ὁ δεῖνα τοιοῦτος ἦν. ὅρα γοῦν καὶ ὁ

A & resurrectionem meam: vide quomodo id corrigit per id quod subiungit dicens, 3. *Tu intellexisti cogitationes meas à longè.* Per hoc enim significat eum non nosse per probationem; neque opus habere vt probet, sed sua præsciendi facultate scire omnia. Qui enim nouit cogitationes quæ in mente sunt propositæ, non opus habet vt probet per opera. Quanquam alioqui non solùm eas nouit dum in mente versantur, sed etiam priusquam versari incipiant: nec solùm antequam versari incipiant, sed etiam longo antè tempore. Et ideo hæc B volens significare, subiunxit illud, Intellexisti cogitationes meas de longè. Si ergo nouit etiam cogitationes Deus, cur inducit eam, quæ per opera fit probationem? non vt ipse hoc discat, sed vt qui ea sustinēt, eos probatos efficiat. Cognouerat enim Iob ante experientiam, & ideo id testabatur dicēs: Homo iustus, verax, pius. Sed induxit experientiam, vt & illum redderet fortiorem, & diaboli redargueret improbitatem, & alios eius exemplo meliores redderet. Et quid miraris si hoc fecerit in Iob, cùm ipsum faciat etiam in peccatoribus? Apertè enim sciebat Nini- C uitas non esse dignos qui perirent, sed per pœnitentiam eos meliores futuros, inducit tamen etiam per res experientiam, & vbique multa præbet argumenta euidentissima suæ curæ & prouidentiæ, non contentus sua cognitione. Quamobrem dicebat quoque vnigenitus: Si non facio opera patris mei, ne mihi credite. Si autem facio, etsi mihi non credatis, operibus credite. Quia enim permulti qui sunt crassioris ingenij, & nullo ferè sensu præditi, multa dicunt huiusmodi, nempe quòd D hunc elegit, & hunc dilexit, & illum odio habuit, & propterea hic quidem malus, ille verò bonus euasit: ex rebus ipsis persuadet, vniuscuiusque horum sententiam corrigens, & in medium adducens probationem per opera, & pronunciat quidem etiam antequam res eueniant, hunc virtute præditum, vt eius præsciendi facultatem intelligant: adiungit autem etiam probationem quæ fit per opera, ne quis dicat paulò inconsideratior eum talem esse propter præscientiam. Porrò autem

Dei præscientia.

Iob 2.

Ion. 3.

Ioan. 10. 37.

Præscientia Dei hominem bonum aut malum non facit.

Rom. 9. 11. vide quomodo Paulus hoc significat, dicens: Cùm enim nondũ nati fuissent, nec aliquid boni aut mali fecissent, vt Dei secundùm electionem propositum maneret, non ex operibus, sed ex vocante, dictum est ei, quòd maior seruiet minori. Neque enim factorum exitus est expectãdus, sed etiam ante ea nouit ipse cum qui malus, & qui non talis est futurus. 4. *Semitam meam & funiculum meum inuestigasti, & omnes vias meas praeuidisti.* Quemadmodum sessionem & resurrectionem vocat facta ex consuetudine: etenim nos quę sæpe dicimus: Hic nouit quomodo sedet, & quomodo surgit, testantes eius perfectam notitiam: ita hic etiam semitam & funiculum dicit vniuersam eius vitam. Et ideo subiungit: Et omnes vias meas prauidisti. Porrò autem illud, Inuestigasti, non est eius qui quærit, nec eius qui scrutatur, sed eius qui nouit perfectè. Hoc autem ostendens, subiunxit, Praeuidisti: hoc est, antequam fierent, nosti omnia facta bona, & mala. *Quòd non est dolus in lingua mea.* Alius, Contradictio. Hoc est maximum virtutis indicium, hoc est summa bonorum, hoc est quod Christus maximè requirit dicens: Nisi conuertamini & efficiamini sicut pueli, non ingrediemini in regnum coelorum, simplicitatem, & innocentiam, & ab omni dolo & simulatione remotionem significans. Quocirca imperitos & idiotas elegit, & dixit: Confitebor tibi pater quòd occultasti hæc à sapientibus & intelligentibus, & reuelasti ea paruulis. Vide autem. Non dixit, Quod suscepi, & eieci dolum, sed, quòd non fuit vnquam, neque linguam meam suscepit hic morbus, nec ei vitio vllus vnquam fuit ad me aditus. 5. *Ecce Domine tu cognouisti omnia, nouissima & antiqua.* Non cogitationes solùm, inquit, nosti, nec actiones, nec vias meas, sed omnia quæ fuerunt & futura sunt. *Tu formasti me, & posuisti super me manum tuam.* A præsciendi facultate transiit ad creandi potestatem, & rursus à creandi potestate ad præsciendi facultatem. Non solùm enim nos fecit, cùm non essemus, sed etiam in iam factos obtinet imperium. Hæc vtraque de Christo Paulus testatur, dicens: Multifariam multisque modis Deus olim locutus cum patribus in prophetis, in extremis diebus

A simili probatio.

Matt. 18. 3.

Matth. 11.

Hebr. 4.

Hebr. 1. 1.

A Παῦλος πῶς τοῦτο δηλοῖ, λέγων· μήπω γὰρ γεννηθέντων, μηδὲ πραξάντων τι ἀγαθὸν ἢ κακὸν, ἵνα ἡ κατ' ἐκλογὴν πρόθεσις τοῦ Θεοῦ μένῃ, οὐκ ἐξ ἔργων, ἀλλ' ἐκ τοῦ καλοῦντος ἐρρέθη αὐτῇ, ὅτι ὁ μείζων δουλεύσει τῷ ἐλάσσονι. οὐδὲ γὰρ δεῖται ἀναμεῖναι τῶν ἔργων τὸ τέλος, ἀλλὰ καὶ πρὸ τούτων οἶδεν αὐτὸς τὸν φαῦλον, καὶ τὸν οὐ τοιοῦτον ἐσόμενον. τὴν τρίβον μου, καὶ τὴν σχοῖνόν μου σὺ ἐξιχνίασας, καὶ πάσας τὰς ὁδούς μου προεῖδες. ὥσπερ καθέδραν καὶ ἔγερσιν τὰς πράξεις λέγει ἀπὸ τῆς κοινῆς συνηθείας, καὶ γὰρ πολλάκις B καὶ ἡμεῖς λέγομεν, οἶδεν ὁ δεῖνα, πῶς κάθηται, πῶς ἐγείρεται τὴν ἀκριβῆ αὐτοῦ γνῶσιν μαρτυροῦντες· οὕτω τρίβον καὶ σχοῖνον ἐνταῦθα τὴν ζωὴν αὐτοῦ πᾶσαν λέγει. διὸ καὶ ἐπάγει, καὶ πάσας τὰς ὁδούς μου προεῖδες· καὶ τὸ ἐξιχνίασας δὲ οὐ ζητοῦντός ἐστιν, οὐδὲ ἐρευνῶντος, ἀλλ' ἀκριβῶς ἐπισταμένου. καὶ τοῦτο δηλοῖ, ἐπήγαγε, προεῖδες· τουτέστι, πρὶν ἢ γενέσθαι οἶδας πάσας τὰς πράξεις τὰς πονηρὰς, καὶ τὰς ἀγαθάς. ὅτι οὐκ ἔστι δόλος ἐν γλώσσῃ μου. ἄλλος, ἀντιλογία. τοῦτο μέγιστον τεκμήριον ἀρετῆς· τοῦτο κεφάλαιον τῶν ἀγαθῶν· τοῦτο ὃ μάλιστα ὁ Χριστὸς ἐπιζητεῖ λέγων· ἐὰν μὴ στραφῆτε, καὶ γένησθε, ὡς τὰ παιδία, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, τὸ ἄκακον, τὸ ἄδολον, τὸ ἄπλαστον, καὶ ἀφελὲς αἰνιττόμενος. διὸ καὶ ἰδιώτας ἐξελέξατο, καὶ ἔλεγεν, ἐξομολογοῦμαί σοι πάτερ, ὅτι ἀπέκρυψας αὐτὰ ἀπὸ σοφῶν καὶ συνετῶν, καὶ ἀπεκάλυψας αὐτὰ νηπίοις. ὅρα, οὐκ εἶπεν, ὅτι ἐδεξάμην, καὶ ἀπέβαλον τὸν δόλον, ἀλλ', ὅτι οὐδὲ ἐγένετό ποτε, οὐδὲ ἐπέβη τῆς γλώττης τῆς ἐμῆς τοῦτο τὸ νόσημα, ἀλλ' ἄβατος ἡ πονηρία ἀπ' ἐμοῦ αὕτη γέγονεν. ἰδοὺ κύριε σὺ ἔγνως D πάντα, τὰ ἔσχατα καὶ ἀρχαῖα. οὐ τοὺς λογισμοὺς μόνον οἶδας, φησὶν, οὐδὲ τὰς πράξεις μου, οὐδὲ τὰς ὁδούς μου, ἀλλὰ πάντα τὰ γενόμενα καὶ ἐσόμενα. σὺ ἔπλασάς με, καὶ ἔθηκας ἐπ' ἐμὲ τὴν χεῖρά σου. ἀπὸ τῆς προγνωστικῆς δυνάμεως ἐπὶ τὴν δημιουργικὴν μετέβη, καὶ ἀπὸ τῆς δημιουργικῆς πάλιν ἐπὶ τὴν προγνωστικήν. οὐ γὰρ δὴ μόνον οὐκ ὄντας ἐποίησεν, ἀλλὰ καὶ γενομένους διακρατεῖ. ταῦτα ἑκάτερα καὶ ὁ Παῦλος μαρτυρεῖ τοῦ Χριστοῦ λέγων, πολυμερῶς, καὶ πολυτρόπως πάλαι ὁ Θεὸς λαλήσας τοῖς πατράσιν ἐν τοῖς προφήταις, ἐπ' ἐσχάτου

A τῶν ἡμερῶν ἐλάλησεν ἡμῖν ἐν υἱῷ, ὃν ἔθηκε κληρονόμον πάντων. εἶτα ἐπάγων λέγει καὶ τὴν δημιουργίαν, δι' οὗ καὶ τοὺς αἰῶνας ἐποίησε. καὶ περὶ τῆς οὐσίας αὐτοῦ διαλεχθεὶς, καὶ εἰπὼν, ὃς ὢν ἀπαύγασμα τῆς δόξης, καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ, δείκνυσι καὶ τὴν προνοητικὴν αὐτοῦ δύναμιν, λέγων· Φέρων τε τὰ πάντα τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ. καὶ Κολοσσαεῦσιν ἐπιστέλλων τὰ αὐτὰ ταῦτα πάλιν ἔλεγεν, ὅτι ἐν αὐτῷ ἐκτίσθη τὰ πάντα τὰ ἐν οὐρανοῖς καὶ τὰ ἐπὶ τῆς γῆς, εἴτε θρόνοι, εἴτε κυριότητες, εἴτε ἀρχαὶ, εἴτε ἐξουσίαι, τὰ πάντα δι' αὐτοῦ, καὶ B εἰς αὐτὸν ἔκτισται, αὐτός ἐστι πρὸ πάντων. τοῦτο τῆς δημιουργίας αὐτοῦ. εἶτα τὴν προνοητικὴν δηλῶν, ἐπάγει, καὶ τὰ πάντα ἐν αὐτῷ συνέστηκε. ταῦτα πάλιν ὁ Ἰωάννης ἀμφότερα ἐνδεικνύμενος, ἔλεγε· πάντα δι' αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδέν. τοῦτο τὴν δημιουργίαν εἶπεν ἐμφαίνων. εἶτα τὴν πρόνοιαν. ζωὴ ἦν, καὶ ἡ ζωὴ ἦν τὸ φῶς τῶν ἀνθρώπων. τοῦτο καὶ ἐνταῦθα ὁ προφήτης αἰνιττόμενος, λέγει· σύ ἔπλασάς με. τοῦτο τῆς δημιουργίας. εἶπε καὶ τὸ τῆς προνοίας. καὶ ἔθηκας ἐπ' ἐμὲ τὴν χεῖρά σου. C τί ἐστιν, ἔθηκας; διακρατεῖς, συγκροτεῖς, διαβαστάζεις, ὅπερ ὁ Παῦλος δηλῶν, ὅτι ἐν αὐτῷ εἶπε ζῶμεν, καὶ κινούμεθα, καὶ ἐσμέν. οὐ γὰρ δὴ μόνον ἐν τῷ γενέσθαι, ἀλλὰ καὶ ἐν τῷ εἶναι καὶ διαμένειν δεόμεθα αὐτοῦ τῆς δυνάμεως. ἐθαυμαστώθη ἡ γνῶσίς σου ἐξ ἐμοῦ, ἐκραταιώθη, οὐ μὴ δυνώμαι πρὸς αὐτήν. ἄλλος, ὑπερβάλλει με. ἀντὶ δὲ τοῦ ἐκραταιώθη. ἕτερος, ὑπερεπήρθη. ὃ δὲ λέγει τοιοῦτόν ἐστι, καὶ προνοίας ἀπολαύω τῆς σῆς, καὶ εἰδὼς ὅτι πάντα προοῖδας, καὶ ὅτι ἐξ οὐκ ὄντων με ἐποίησας, ὅμως τὴν περὶ σοῦ γνῶσιν ἀκριβῆ καὶ σαφῆ πᾶσαν ἔχειν οὐ δύναμαι, ἀλλ' D ἐθαυμαστώθη, τουτέστιν, ὑπερέβαλεν, ἐπήρθη ὑπὲρ ἐμὲ, ἰσχυροτέρα ἐγένετο, ἢ ὥστε καταληφθῆναι τοῖς ἐμοῖς λογισμοῖς· οὕτως ἐστὶ θαυμαστὴ, οὕτως ἐστὶ μεγάλη. τί οὖν εἰ θαυμαστὴ μέν ἐστι καὶ μεγάλη, δύναται δὲ καταληφθῆναι; οὐδαμῶς. διὰ γὰρ τοῦτο ἐπήγαγεν· οὐ δυνώμαι πρὸς αὐτήν, ἵνα μὴ τοῦτο λέγῃς, ὅταν δὲ εἴπῃ γνῶσιν, οὐ τοῦτο λέγει, ὅτι ἀγνοῶ τὸν Θεόν, ἀλλ' ὅτι παντελῆ καὶ σαφῆ τὴν περὶ αὐτοῦ γνῶσιν οὐκ οἶδα· ὅπερ φησὶν ὁ Παῦλος, ὅτι μὲν γάρ ἐστιν ἴσμεν· τὸ δὲ τί τὴν οὐσίαν ἐστὶν

locutus est nobiscum in filio, quem posuit hæredem omnium. Deinde subiungens dicit etiam opificium: Per quem fecit etiam secula. Et cùm de eius substantia disseruisset, & dixisset, Qui cùm sit splendor gloriæ & character substantiæ eius, ostendit etiam eius præsciendi facultatem, dicens, Et ferens omnia verbo potestatis suæ. Et ad Colossenses scribens hæc eadem rursus dixit; Quoniam in eo creata sunt omnia quæ sunt in cœlis & qui in terra, siue throni, siue dominationes, siue principatus, siue potestates, omnia per ipsum & in ipso creata sunt, & ipse est ante omnia. Hæc sunt eius creandi potestatis. Deinde facultatem præsciendi significans, subiungit, Et omnia in ipso consistunt. Vtraque hęc rursus Ioannes quoque ostendens, dicebat: Omnia per ipsum facta, & sine ipso factum est nihil. Hoc dixit significans creationem. Deinde prouidentiam. Vita erat, & vita erat lux hominum Hoc etiam propheta hîc significans, dicit, Tu formasti me. Hoc est opificij. Dixit etiam id quod est prouidentiæ. Posuisti super me manum tuam. Quid est, Posuisti? Regis, contines, componis, & portas. Quod ipsum quoque Paulus significans, dixit: In ipso viuimus, & mouemur, & sumus. Non solùm enim in eo quòd sumus & manemus, potentia eius opus habemus. 6. *Mirabilis facta est scientia tua ex me: confortata est, & non potero ad eam.* Alius, Superat me. Pro eo autem quod est, Confortata est. Alius, Superelata est. Quod autem dicit, est eiusmodi. Et tua fruor prouidentia, & quamuis sciam te omnia præscire, & me ex iis quæ non erant fecisse: perfectam tamen & manifestam non possum habere tui cognitionem, sed admirabilis facta est, hoc est, superauit, exaltata est super me, validior facta est, quàm vt mea possit ratione comprehendi: adeò est admirabilis, adeò magna. Quid igitur si est quidem admirabilis, & magna, potest autem comprehendi? Nequaquam. Propterea enim subiunxit. Non potero ad eam, ne hoc dicas. Quando autem dicit, cognitionem non habeo, nō hoc dicit, Ignoro Deum, sed perfectam & vndique absolutam & manifestam eius non habeo notitiam, quod quidem dicit etiam Paulus: Nam eum quidem esse scimus: quid sit autem

Coloss. 1.16

Ioan. 1.3.

Act. 17.28

1. Cor. 13.

2. Cor. 5.

vide quomodo Paulus hoc significat, A dicens: Cùm enim nondũ nati fuissent, *Rom.9.11.* nec aliquid boni aut mali fecissent, vt Dei secundùm electionem propositum maneret, non ex operibus, sed ex vocante, dictum est ei, quòd maior seruiet minori. Neque enim factorum exitus est expectãdus, sed etiam ante ea nouit ipse eum qui malus, & qui non talis est futurus. 4. *Semitam meam & funiculum meum inuestigasti, & omnes vias meas præuidisti.* Quemadmodum sessionem & resurrectionem vocat facta ex consuetudine: *A simili probatio.* etenim nos quoque sæpe dicimus: Hic nouit quomodo sedet, & B quomodo surgit, testantes eius perfectam notitiam: ita hic etiam semitam & funiculum dicit vniuersam eius vitam. Et ideo subiungit: Et omnes vias meas præuidisti. Porrò autem illud, Inuestigasti, non est eius qui quærit, nec eius qui scrutatur, sed eius qui nouit perfectè. Hoc autem ostendens, subiunxit, Præuidisti: hoc est, antequam fierent, nosti omnia facta bona, & mala. *Quòd non est dolus in lingua mea.* Alius, Contradictio. Hoc est maximum virtutis indicium, hoc est summa bonorum, hoc est quod Christus maximè C requirit dicens: Nisi conuertamini & *Matt.18.3.* efficiamini sicut pueli, non ingrediemini in regnum cœlorum, simplicitatem, & innocentiam, & ab omni dolo & simulatione remotionem significans. Quocirca imperitos & idiotas elegit, *Matth.11.* & dixit: Confitebor tibi pater quòd occultasti hæc à sapientibus & intelligentibus, & reuelasti ea paruulis. Vide autem. Non dixit, Quod suscepi, & eieci dolum, sed, quòd non fuit vnquam, neque linguam meam suscepit hic morbus, nec ei vitio vllus vnquam fuit ad me aditus. 5. *Ecce Domine tu* D *cognouisti omnia, nouissima & antiqua.* Non *Hebr.4.* cogitationes solùm, inquit, nosti, nec actiones, nec vias meas, sed omnia quæ fuerunt & futura sunt. *Tu formasti me, & posuisti super me manum tuam.* A præsciendi facultate transiit ad creandi potestatem, & rursus à creandi potestate ad præsciendi facultatem. Non solùm enim nos fecit, cùm non essemus, sed etiam in iam factos obtinet imperium. *Hebr.1.1.* Hæc vtraque de Christo Paulus testatur, dicens: Multifariam multisque modis Deus olim locutus cum patribus in prophetis, in extremis diebus

A Παῦλος πῶς τοῦτο δηλοῖ, λέγων· μήπω γὰρ γεννηθέντων, μηδὲ πραξάντων τι ἀγαθὸν ἢ κακὸν, ἵνα ἡ κατ' ἐκλογὴν πρόθεσις τοῦ Θεοῦ μένῃ, οὐκ ἐξ ἔργων, ἀλλ' ἐκ τοῦ καλοῦντος ἐῤῥέθη αὐτῇ, ὅτι ὁ μείζων δουλεύσει τῷ ἐλάσσονι. οὐδὲ γὰρ δεῖται ἀναμεῖναι τὸ τῶν ἔργων τέλος, ἀλλὰ καὶ πρὸ τούτων οἶδεν αὐτὸς τὸν φαῦλον, καὶ τὸν οὐ τοιοῦτον ἐσόμενον. τὴν τρίβον μου, καὶ τὴν σχοῖνόν μου σὺ ἐξιχνίασας, καὶ πάσας τὰς ὁδούς μου προεῖδες. ὥσπερ καθέδραν καὶ ἔγερσιν τὰς πράξεις λέγει ἀπὸ τῆς κοινῆς συνηθείας, καὶ γὰρ πολλάκις καὶ ἡμεῖς λέγομεν, οἶδεν ὁ δεῖνα, πῶς κάθηται, πῶς B ἐγείρεται, τὴν ἀκριβῆ αὐτοῦ γνῶσιν μαρτυροῦντες· οὕτω τρίβον καὶ σχοῖνον ἐνταῦθα τὴν ζωὴν αὐτοῦ πᾶσαν λέγει. διὸ καὶ ἐπάγει, καὶ πάσας τὰς ὁδούς μου προεῖδες· καὶ τὸ ἐξιχνίασας δὲ οὐ ζητοῦντός ἐστιν, οὐδὲ ἐρευνῶντος, ἀλλ' ἀκριβῶς ἐπισταμένου. καὶ τοῦτο δηλῶν, ἐπήγαγε, προεῖδες· τουτέστι, πρὶν ἢ γενέσθαι οἶδας πάσας τὰς πράξεις τὰς πονηρὰς, καὶ τὰς ἀγαθάς. ὅτι οὐκ ἔστι δόλος ἐν γλώσσῃ μου. ἄλλος, ἑτερολογία. τοῦτο μέγιστον τεκμήριον ἀρετῆς· τοῦτο κεφάλαιον τῶν ἀγαθῶν· τοῦτο δὲ μάλιστα ὁ Χριστὸς ἐπιζητεῖ λέ- C γων· ἐὰν μὴ στραφῆτε, καὶ γένησθε, ὡς τὰ παιδία, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, τὸ ἄκακον, τὸ ἄδολον, τὸ ἄπλαστον, καὶ ἀφελὲς αἰνιττόμενος. διὸ καὶ ἰδιώτας ἐξελέξατο, καὶ ἔλεγεν, ἐξομολογοῦμαί σοι πάτερ, ὅτι ἀπέκρυψας αὐτὰ ἀπὸ σοφῶν καὶ συνετῶν, καὶ ἀπεκάλυψας αὐτὰ νηπίοις. ὅρα, οὐκ εἶπεν, ὅτι ἐδεξάμην, καὶ ἀπέβαλον τὸν δόλον, ἀλλ', ὅτι οὐδὲ ἐγένετό ποτε, οὐδὲ ἐπέβη τῆς γλώττης τῆς ἐμῆς τοῦτο τὸ νόσημα, ἀλλ' ἄβατος ἡ πονηρία ἀπ' ἐμοῦ αὕτη γέγονεν. ἰδοὺ κύριε σὺ ἔγνως D πάντα, τὰ ἔσχατα καὶ ἀρχαῖα. οὐ τοὺς λογισμοὺς μόνον οἶδας, φησὶν, οὐδὲ τὰς πράξεις μου, οὐδὲ τὰς ὁδούς μου, ἀλλὰ πάντα τὰ γενόμενα καὶ ἐσόμενα. σὺ ἔπλασάς με, καὶ ἔθηκας ἐπ' ἐμὲ τὴν χεῖρά σου. ἀπὸ τῆς προγνωστικῆς δυνάμεως ἐπὶ τὴν δημιουργικὴν μετέβη, καὶ ἀπὸ τῆς δημιουργικῆς πάλιν ἐπὶ τὴν προγνωστικήν. οὐ γὰρ δὴ μόνον οὐκ ὄντας ἐποίησεν, ἀλλὰ καὶ γενομένους διακρατεῖ. ταῦτα ἑκάτερα καὶ ὁ Παῦλος μαρτυρεῖ τῷ Χριστῷ λέγων, πολυμερῶς, καὶ πολυτρόπως πάλαι ὁ Θεὸς λαλήσας τοῖς πατράσιν ἐν τοῖς προφήταις, ἐπ' ἐσχάτου

τῶν ἡμερῶν ἐλάλησεν ἡμῖν ἐν υἱῷ, ὃν ἔθηκε κληρονόμον πάντων. εἶτα ἐπάγων λέγει καὶ τὴν δημιουργίαν, δι' οὗ καὶ τοὺς αἰῶνας ἐποίησε. καὶ περὶ τῆς οὐσίας αὐτοῦ διαλεχθεὶς, καὶ εἰπὼν, ὃς ὢν ἀπαύγασμα τῆς δόξης, καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ, δείκνυσι καὶ τὴν προνοητικὴν αὐτοῦ δύναμιν, λέγων· Φέρων τε τὰ πάντα τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ. καὶ Κολοσσαεῦσιν ἐπιστέλλων τὰ αὐτὰ ταῦτα πάλιν ἔλεγεν, ὅτι ἐν αὐτῷ ἐκτίσθη τὰ πάντα τὰ ἐν οὐρανοῖς καὶ τὰ ἐπὶ τῆς γῆς, εἴτε θρόνοι, εἴτε κυριότητες, εἴτε ἀρχαὶ, εἴτε ἐξουσίαι, τὰ πάντα δι' αὐτοῦ, καὶ εἰς αὐτὸν ἔκτισται, αὐτός ἐστι πρὸ πάντων. τοῦτο τῆς δημιουργίας αὐτοῦ. εἶτα τὴν προνοητικὴν δηλῶν, ἐπάγει, καὶ τὰ πάντα ἐν αὐτῷ συνέστηκε. ταῦτα πάλιν ὁ Ἰωάννης ἀμφότερα ἐνδεικνύμενος, ἔλεγε· πάντα δι' αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδέν. τοῦτο τὴν δημιουργίαν εἶπεν ἐμφαίνων. εἶτα τὴν προνοίαν. ζωὴ ἦν, καὶ ἡ ζωὴ ἦν τὸ φῶς τῶν ἀνθρώπων. τοῦτο καὶ ἐνταῦθα ὁ προφήτης αἰνιττόμενος, λέγει· σύ ἔπλασάς με. τοῦτο τῆς δημιουργίας. εἶπε καὶ τὸ τῆς προνοίας. καὶ ἔθηκας ἐπ' ἐμὲ τὴν χεῖρά σου. τί ἐστιν, ἔθηκας; διακρατεῖς, συγκροτεῖς, διαβαστάζεις, ὅπερ ὁ Παῦλος δηλῶν, ὅτι ἐν αὐτῷ ἐσμὲν ζῶμεν, καὶ κινούμεθα, καί ἐσμεν. οὐ γὰρ δὴ μόνον ἐν τῷ γενέσθαι, ἀλλὰ καὶ ἐν τῷ εἶναι καὶ μένειν δεόμεθα αὐτοῦ τῆς δυνάμεως. ἐθαυμαστώθη ἡ γνῶσίς σου ἐξ ἐμοῦ, ἐκραταιώθη, οὐ μὴ δυνήσωμαι πρὸς αὐτήν. ἄλλος, ὑπερβάλλει με. ἀντὶ δὲ τοῦ ἐκραταιώθη. ἕτερος, ὑπερεπήρθη. ὃ δὲ λέγει τοιοῦτόν ἐστι, καὶ προνοίας ἀπολαύω τῆς σῆς, καὶ εἰδὼς ὅτι πάντα προοῖδας, καὶ ὅτι ἐξ οὐκ ὄντων με ἐποίησας, ὅμως τὴν περὶ σοῦ γνῶσιν ἀκριβῆ καὶ σαφῆ πᾶσαν ἔχειν οὐ δύναμαι, ἀλλ' ἐθαυμαστώθη, τουτέστιν, ὑπερέβαλεν, ἐπήρθη ὑπὲρ ἐμὲ, ἰσχυροτέρα ἐγένετο, ἢ ὥστε καταληφθῆναι τοῖς ἐμοῖς λογισμοῖς· οὕτως ἐστὶ θαυμαστὴ, οὕτως ἐστὶ μεγάλη. τί οὖν εἰ θαυμαστὴ μέν ἐστι καὶ μεγάλη, δύναται δὲ καταληφθῆναι; οὐδαμῶς. διὰ γὰρ τοῦτο ἐπήγαγεν· οὐ δυνήσωμαι πρὸς αὐτήν, ἵνα μὴ τοῦτο λέγῃς, ὅταν δὲ εἴπῃ γνῶσιν, οὐ τοῦτο λέγει, ὅτι ἀγνοῶ τὸν Θεὸν, ἀλλ' ὅτι παντελῆ καὶ σαφῆ τὴν περὶ αὐτοῦ γνῶσιν οὐκ οἶδα· ὅπερ φησὶν ὁ Παῦλος, ὅτι μὲν γάρ ἐστιν ἴσμεν· τὸ δὲ τί τὴν οὐσίαν ἐστὶν

A locûtus est nobiscum in filio, quem posuit hæredem omnium. Deinde subiungens dicit etiam opificium: Per quem fecit etiam secula. Et cùm de eius substantia disseruisset, & dixisset, Qui cùm sit splendor gloriæ & character substantiæ eius, ostendit etiam eius præsciendi facultatem, dicens, Et ferens omnia verbo potestatis suæ. Et ad Colossenses scribens hæc eadem rursus dixit, Quoniam in eo creata sunt omnia quæ sunt in cœlis & qui in terra, siue throni, siue dominationes, siue principatus, siue potestates, omnia per B ipsum & in ipso creata sunt, & ipse est ante omnia. Hæc sunt eius creandi potestatis. Deinde facultatem præsciendi significans, subiungit, Et omnia in ipso consistunt. Vtraque hęc rursus Ioannes quoque ostendens, dicebat: Omnia per ipsum facta, & sine ipso factum est nihil. Hoc dixit significans creationem. Deinde prouidentiam. Vita erat, & vita erat lux hominum Hoc etiam propheta hîc significans, dicit, Tu formasti me. Hoc est opificij. Dixit etiam id quod est prouidentiæ. Posuisti super me manum tuam. Quid est, Posuisti? C Regis, contines, componis, & portas. Quod ipsum quoque Paulus significans, dixit: In ipso viuimus, & mouemur, & sumus. Non solùm enim in eo quòd sumus & manemus, potentia eius opus habemus. 6. *Mirabilis facta est scientia tua ex me: confortata est, & non potero ad eam.* Alius, Superat me. Pro eo autem quod est, Confortata est. Alius, Superelata est. Quod autem dicit, est eiusmodi. Et tua fruor prouidentia, & quanuis sciam te omnia præscire, & me ex iis quæ non erant fecisse: perfectam tamen & manifestam non possum habere tui cognitionem, sed admirabilis D facta est, hoc est, superauit, exaltata est super me, validior facta est, quàm vt mea possit ratione comprehendi: adeò est admirabilis, adeò magna. Quid igitur si est quidem admirabilis, & magna, potest autem comprehendi? Nequaquam. Propterea enim subiunxit. Non potero ad eam, ne hoc dicas. Quando autem dicit, cognitionem non habeo, nō hoc dicit, Ignoro Deum, sed perfectam & vndique absolutam & manifestam eius non habeo notitiam, quod quidem dicit etiam Paulus: Nam cum quidem esse scimus: quid sit autem

Coloss. 1.16

Ioan. 1.3.

Act. 17.28

1. Cor. 13.
2. Cor. 5.

substantiã, nescimus. Credere enim A oportet accedentem ad Deum quòd est. Non dixit, quid sit substantia, hoc enim nulli est cognitum. Quòd sit benignus & clemens, nouimus, quòd sit humanus, quòd bonus: quantitatem verò ignoramus. Sed hic his omnibus prætermissis, proponit aliud quod videtur esse facilius, & hoc quoque se dicit ignorare. Non solùm, inquit, non dico quidnam sit substantiã, neque quantùm sit bonus (hæc enim non posse comprehendi est in confesso) sed etiam quomodo sit vbique, non possum dicere: sed hoc quoque superat nostram comprehensionem. Quocirca B cùm dixisset, Mirabilis facta est scientia tua ex me: subiunxit, 7. *Quò ibo à spiritu tuo, & quò à facie tua fugiam?* 8. *Si ascendero in cœlum, tu illic es: si descendero in infernum, ades.* 9. *Si sumpsero pennas meas diluculo, & habitauero in extremis maris,* Alius, Mansero. 10. *Etenim illuc manus tua deducet me, & tenebit me dextera tua.* Spiritum & faciem dicit Deum ipsum. Hoc est, Quò à te proficiscar? Omnia imples, omnibus ades, non per partes, sed omnibus simul totus. Et postquam dixit quæ sunt supernè, & quæ infernè, C longitudinem, latitudinem, profunditatem: eum vbique adesse significat. Non dixit autem: Quocunque abiero, sequeris me, & me retinebis: sed, Quocunque abiero, tu illic es, hoc est, Illic te inuenio me præuenientem, & ideo dicit, Mirabilis facta est scientia tua ex me. Si eam non perfectè nosti, dicit quispiam: quomodo nosti eam esse admirabilem? Propter hoc ipsum noui eam esse admirabilem, quòd meam superat ratione: quod mentem meam excedit. Nam radium quoque solarem non possumus apertè cognoscere: & D tamen propter hoc ipsum eum maximè admiramur. Ita etiam de Dei cognitione: neque eam omnino ignoramus, eum enim esse scimus, & quòd est benignus, clemens, bonus, & misericors, & quòd est vbique: quid sit autem substantia, vel quanta sint quæ dicta sunt, vel quomodo sit vbique, hoc ignoramus. Postquã itaque dixit quibusnam ex rebus admirabilis facta est scientia tua ex me, & prædicauit eius præsciẽdi, creandi, & prouidendi facultatem, substantiámque, quæ nec comprehendi, nec explicari potest: aliã rursus refert potestatẽ, quæ ipsa quoque magna dubitatione

Hebr.11.6.
1.Cor.2.
1.Tim.1.

Confirmat simili.

A ἀγνοοῦμεν. πιστεῦσαι γὰρ δεῖ τὸν προσερχόμενον τῷ Θεῷ ὅτι ἔστι. καὶ οὐκ εἶπε τὸ τί τὴν οὐσίαν ἐστί. τοῦτο γὰρ οὐδενὶ γνώριμον. ὅτι φιλάνθρωπος οἴδαμεν, ὅτι χρηστός, ὅτι ἀγαθός· τὸ δὲ πόσον ἀγνοοῦμεν. ἀλλ' οὖν ταῦτα πάντα παραδραμὼν ἕτερον δοκοῦν εὐκολώτερον εἶναι προβάλλεται, καὶ αὐτό φησιν ἀγνοεῖν. οὐ γὰρ δὴ λέγω τὸ τί τὴν οὐσίαν ἐστί φησιν, οὐδὲ τὸ πόσον ἀγαθός, ὡμολόγηται γὰρ, ὅτι ταῦτα ἀκατάληπτα· ἀλλὰ καὶ πῶς πανταχοῦ ἐστιν, εἰπεῖν οὐκ ἔχω, ἀλλὰ καὶ τοῦτο ἀνώτερον τῆς ἡμετέρας καταλήψεως. διὸ εἰπὼν ἐθαυμαστώθη ἡ γνῶσίς σου B ἐξ ἐμοῦ, ἐπήγαγε· ποῦ πορευθῶ ἀπὸ τοῦ πνεύματός σου, καὶ ἀπὸ τοῦ προσώπου σου ποῦ φύγω; ἐὰν ἀναβῶ εἰς τὸν οὐρανόν, σὺ ἐκεῖ εἶ, ἐὰν καταβῶ εἰς τὸν ᾅδην, πάρει, ἐὰν ἀναλάβοιμι τὰς πτέρυγάς μου κατ' ὄρθρον, καὶ κατασκηνώσω εἰς τὰ ἔσχατα τῆς θαλάσσης. ἄλλος, καταμείνω. καὶ γὰρ ἐκεῖ ἡ χείρ σου ὁδηγήσει με, καὶ καθέξει με ἡ δεξιά σου. πνεῦμα καὶ πρόσωπον αὐτὸν τὸν Θεόν φησι, τουτέστι, ποῦ πορευθῶ ἀπὸ σοῦ. πάντα πληροῖς, πᾶσι πάρει. οὐ κατὰ μέρος, ἀλλ' ὁμοῦ πᾶσιν ὅλος, καὶ εἰπὼν τὰ ἄνω, τὰ κάτω, C πλάτος, μῆκος, βάθος, ὕψος, πανταχοῦ αὐτὸν παρεῖναι δηλοῖ. καὶ οὐκ εἶπεν ὅπου ἂν ἀπέλθω, ἀκολουθήσεις μοι, καὶ καθέξεις με· ἀλλ' ὅπου ἂν ἀπέλθω ἐκεῖ εἶ. τουτέστιν, ἐκεῖ σε εὑρίσκω προλαμβάνοντά με. διὰ τοῦτο λέγει, ἐθαυμαστώθη ἡ γνῶσίς σου ἐξ ἐμοῦ. καὶ εἰ μὴ οἶδας αὐτὴν ἀκριβῶς φησι, πῶς οἶδας ὅτι θαυμαστή; ὅτι ὑπερβάλλει ἐμοῦ τὸν λογισμόν, ὅτι νικᾷ μου τὴν διάνοιαν. ἐπεὶ καὶ τὴν ἡλιακὴν ἀκτῖνα οὐ δυνάμεθα σαφῶς καταμαθεῖν, καὶ ὅμως δι' αὐτὸ τοῦτο μάλιστα θαυμάζομεν, οὕτω δὴ D καὶ ἐπὶ τῆς τοῦ Θεοῦ γνώσεως, οὔτε καθόλου αὐτὴν ἀγνοοῦμεν. οἴδαμεν γὰρ ὅτι ἐστί, καὶ ὅτι φιλάνθρωπος, καὶ ὅτι ἀγαθός, καὶ ὅτι χρηστός, καὶ ἐπιεικής, καὶ ὅτι πανταχοῦ· τὸ δὲ τί τὴν οὐσίαν ἐστίν, ἢ πῶς πανταχοῦ, τοῦτο ἀγνοοῦμεν. εἰπὼν τοίνυν ἐθαυμαστώθη ἡ γνῶσίς σου, καὶ ἀνακηρύξας αὐτοῦ τὸ προγνωστικόν, τὸ δημιουργικόν, τὸ προνοητικόν, τὸ ἀκατάληπτον, τὸ ἀνερμήνευτον τῆς οὐσίας· πάλιν ἑτέραν αὐτοῦ διηγεῖται δύναμιν· καὶ αὐτὴν πολλῆς ἀπορίας; ἐ-

μουσαν, εἰ λογισμοῖς ζητοῖτο. καὶ γὰρ καὶ αὕτη ἀκατάληπτος. τί οὖν ἐστιν αὕτη; ὃ καὶ γὰρ ἐκεῖ ἡ χείρ σου ὁδηγήσει με, καὶ καθέξει με ἡ δεξιά σου, τουτέστι, δυνατὸν ἐμπεσόντας ἀνθρώπους εἰς τὰ δεινὰ, μὴ ἀφεῖναι ἁλῶναι τοῖς δεινοῖς, ἐν αὐτοῖς ὄντας τοῖς δεινοῖς. τοῦτο οὖν ἑρμηνεύων, ἐπήγαγε, καὶ εἶπα ἄρα σκότος καταπατήσει με, καὶ νὺξ φωτισμὸς ἐν τῇ τρυφῇ μου, ὅτι σκότος οὐ σκοτισθήσεται ἀπὸ σοῦ, καὶ νὺξ ὡς ἡμέρα φωτισθήσεται, ὡς τὸ σκότος αὐτῆς, οὕτω καὶ τὸ φῶς αὐτῆς. εἰπὼν οὖν ταῦτα, ἅπερ ἀπηριθμησάμην, καὶ μετ' ἐκείνων οὐ μόνον, ὅτι πάρεστι πανταχοῦ, ἀλλ' ὅτι καὶ ποδηγεῖ, καὶ ἀσφαλίζεται, καὶ τειχίζει, ἐπάγει λοιπὸν καὶ ἐν τούτῳ δεικνὺς τὸ παράδοξον, οὐ μόνον ὅτι τειχίζει καὶ ἀσφαλίζεται, ἀλλ' ὅτι καὶ ὑπὲρ αὐτὴν τὴν τῶν πραγμάτων τὴν φύσιν. καὶ εἶπα· ἄρα σκότος καταπατήσει με. ἄλλος, ἐὰν εἴπω, ἴσως σκότος ἐπισκεπάσει με. ἄλλος, καλύψει με. σκότος ἐνταῦθα τὴν θλίψιν σημαίνει, ὃ δὲ λέγει, τοῦτό ἐστι, περιεστοιχίσθην ὑπὸ τῶν δεινῶν, καὶ εἶπον ἐν ἐμαυτῷ, ὅτι περιέσται μου τὰ δεινά. τοῦτο γάρ ἐστι τὸ σκότος καταπατήσει με. καὶ νὺξ φωτισμὸς ἐν τῇ τρυφῇ μου. ἕτερος, νὺξ φωτεινὴ περὶ ἐμέ. ὃ δὲ λέγει τοῦτό ἐστιν. ἐγὼ φησὶ ταῦτα μὲν εἶπον ἀπὸ τῆς τῶν πραγμάτων φύσεως ἀναλογιζόμενος, ἀθρόον δὲ τὰ δεινὰ εἰς ἀγαθὰ μετεβλήθη· μᾶλλον δὲ οὐ τὰ δεινὰ εἰς ἀγαθὰ μετεβλήθη, ἀλλὰ μενόντων τῶν δεινῶν ἐγὼ πολλῆς ἀπέλαυον τῆς χρηστότητος. οὐ γὰρ εἶπεν, ὅτι ἡ νὺξ, ἠφανίσθη. ἀλλ', ὅτι νὺξ φωτεινὴ ἦν, τουτέστι, μένουσα νὺξ ἡ νὺξ, δῆλον δὲ ὅτι τὰ δεινὰ, καὶ αἱ συμφοραὶ· ταῦτα γὰρ τῷ τῆς νυκτὸς ὀνόματι δηλοῖ, οὐκ ἴσχυσαν με καταπατῆσαι, ἀλλ' ἐγένετο ἐν τῇ νυκτὶ φῶς, τουτέστιν, ἀντίληψις περὶ ἐμέ. τὰ γὰρ ἐναντία ἐν τοῖς ἐναντίοις καὶ γίνεται καὶ φαίνεται, ὅταν ὁ Θεὸς βούληται. ἢ οὐκ εἶδες καὶ κάμινον ἀναπτομένην, καὶ δρόσον διασυρίζουσαν, καὶ οὔτε ἐκείνην σβεννυμένην, οὔτε ταύτην ξηραινομένην, καὶ χάλαζαν καὶ φλόγα ὁμοῦ; πόθεν οὖν τοῦτο γέγονεν εἰπέ μοι; πῶς δὲ ἐγένετο, βούλομαι μαθεῖν. μᾶλλον δὲ οὐδὲ μαθεῖν βούλομαι τὸν τρόπον, οὐδὲ γὰρ δυνατόν· πιστεύω δὲ τῷ γεγενημένῳ, καὶ προσκυνῶ τὸν ποιήσαντα. τὰ γὰρ πλείονα τῶν ἔργων αὐτοῦ ἐν ἀποκρύφοις. οὐκ εἶδες ὅτι

A plena est, si ratione quæratur. Nam ipsa comprehendi nõ potest. Quænam ergo ea est? Etenim illuc manus tua deducet me, & tenebit me dextera tua. Hoc est, Potes efficere vt homines qui in magna & grauia & grauia mala inciderint, grauibus illis malis minimè illaqueẽtur & implicentur. Hoc itaque interpretans, subiunxit, 11. *Et dixi, forsitam tenebræ conculcabunt me, & nox illuminatio in deliciis meis.* 12. *Quia tenebræ non obscurabuntur à te, & nox sicut dies illuminabitur. Sicut tenebræ eius, ita & lumen eius.* Postquam dixit superiùs ea, quę enumeraui, & vnà cum B illis, quòd non solùm adest vbique, sed etiam quòd deducit, defẽdit & munit: subiũgit deinceps, in eo quoque ostendens, quid admirabile, non solùm quòd munit & protegit, sed etiam quòd supra rerum naturam. Cùm enim dixisset, Deducet me manus tua, & tenebit dextera tua, subiunxit: Et dixi, forsitan tenebræ conculcabunt me. Alius, Si dixero, forsitan tenebræ tegent me. Alius, Operient me. Tenebræ hîc significant afflictionem. Quod autem dicit, est eiusmodi, Circunsessus sum à malis, & dixi mihi ipsi, Superabunt me mala. Hoc enim sibi vult illud, Tenebræ me C conculcabunt. Et nox illuminatio in deliciis meis. Alius, Nox lucida circa me. Quid hoc est? Ego hæc quidem dixi, inquit, in rerum natura reputans: sæpe autem mala mutata sunt in bona: imò verò, quod est maius, mala nõ mutata sunt in bona, sed malis manentibus magnam sensi benignitatem. Non dixit enim, Non deleta est, sed, Nox fuit lucida. Hoc est, Nox manens nox, mala scilicet, & calamitates (ea enim noctis nomine significat) non potuerunt me conculcare, sed fuit lux in nocte, hoc D est, mei extitit defensio. Cõtraria enim in contrariis & fiunt & apparent, quando vult Deus. An non vidisti & fornacem ardentem, & rorem sibilantem, & neque illam extingui, nec hunc exsiccari, & grandinem simul & flammam? Vndénam ergo, dic mihi, hoc factum est? Quomodo autem factum est, volo scire. Imò verò nec volo quidem scire modum, neque enim potest fieri, sed factum credo: eum autem qui fecit, adoro. Plurima enim eius facta sunt occulta & arcana. Non vidisti quòd cùm

Gen. 19. 10
1. Reg. 19. 22.
Esa. 38.
Act. 12.
Tenebræ afflictio.
Circa me lux.
Nox calamitates.
Dan. 3.
Exod. 9.

dies esset, perinde ac in tenebris palpabant Ægyptij: & cùm omnia occuparent tenebræ, videbant Israëlitæ: & cùm essent rursus in principio tenebrarum, lux eis illuxit in medio? Naturæ enim rerum semper est dominus, qui fecit naturam, non vt producat quæ non sunt, sed vt mutet: non vt mutet solùm, sed vt manentia in natura aliter apparere efficiat. Quia tenebræ non obscurabuntur à te. Alius, Apud te. Et nox sicut dies illuminabitur. Alius, Sed & nox vt dies apparebit. Sicut tenebræ eius, ita & lux eius. Alius, Similes sunt tenebræ & lux eius. Rectè dixit, à te, hoc est, apud te, significans, si volueris, tenebræ non erunt tenebræ, sed quæ lucis sunt, ostendent. Et ideo subiuxit, Nox sicut dies illuminabitur, reddens quod præcedit apertius: & indicat quod quæ sunt diei, nox ostendet, non secus ac ea quæ sunt eius propria. Quando enim Deus voluerit, operatio elementorum traducitur in contraria, quàm sunt propria, quæ ab initio attributa fuerant. Si tu enim volueris, ita erit nox, & ita habebit lucem sibi attributam, quemadmodum tenebras. Quocirca hoc quoque significans, subiunxit, Sicut tenebræ eius, ita & lumen eius. Hæc de elementis quidem propriè dicta sunt, metaphoricè autem etiam de rebus. Ex quibus ostenditur posse Deum tantam afferre requiem ac recreationem iis qui in afflictiones incidunt, quantam habent ij qui vtuntur rebus secundis, vtpote qui curam gerat afflictionis. Hoc est enim incredibile, & maius opinione, quod etiam in Ioseph accidit. Neque enim tam fœlix fuisset eius successus, nec tantum esset honorem consecutus in paterna domo habitans, quantam venundatus, & in domo barbarica educatus. Per ipsos enim insidiatores ei contexebatur diadema, & comparabatur purpura: & ab infamiæ occasione, honoris & regni ei causa processit. Vidisti quomodo interpretati sumus illud, Nox sicut dies illuminabitur? ad hoc autem, Sicut tenebræ eius, ita lumen eius, id ipsum dicere necesse est: sicut illæ etiam hoc erit, non visione, sed domino tuo mutante rerum naturas.

Exod. 10. *Exod. 13.* *Elementorum operatio in contrarium à Deo cum vult traducitur.* *Gen. 38 48* *Ioseph exaltatio.*

13. *Quia tu possedisti renes meos Domine:*

ἡμέρας οὔσης ἐψηλάφων οἱ Αἰγύπτιοι ὡς ἐν σκότει, καὶ σκότους πάντα κατέχοντος ἑώρων οἱ Ἰσραηλῖται, καὶ παρὰ τὴν ἀρχὴν πάλιν σκότους ὄντος τὸ φῶς ἔλαμψεν ἐν τῷ μέσῳ; πανταχοῦ γὰρ τῆς τῶν πραγμάτων φύσεως κύριος ὁ ποιήσας, οὐχ ὥστε παραγαγεῖν οὐκ ὄντα, ἀλλ' ὥστε μένοντα ἐν τῇ φύσει, ἑτέρως παρασκευάζειν αὐτὰ δείκνυσθαι, ὅτι σκότος οὐ σκοτισθήσεται ἀπὸ σοῦ· ἕτερος, παρὰ σοί. καὶ νὺξ ὡς ἡμέρα φωτισθήσεται. ἕτερος, ἀλλὰ καὶ νὺξ ὡς ἡμέρα φανεῖ. ὡς τὸ σκότος αὐτῆς, οὕτω καὶ τὸ φῶς αὐτῆς. ἕτερος, ὅμοιον τὸ σκότος καὶ τὸ φῶς αὐτῆς. καλῶς εἶπεν ἀπὸ σοῦ, τουτέστι, παρὰ σοί· δηλαδή, ὅτι ἂν βουληθῇς, τὸ σκότος οὐκ ἔσται σκότος, ἀλλὰ τὰ φωτὸς ἐπιδείξεται. διὸ ἐπήγαγε, καὶ νὺξ ὡς ἡμέρα φωτισθήσεται, σαφέστερον τὸ πρότερον ποιῶν, καὶ δεικνύων, ὅτι τὰ ἡμέρας ἐπιδείξεται ἡ νύξ, ὡς τὰ ἴδια. ὅταν γὰρ ὁ Θεὸς βουληθῇ, πρὸς τὰ ἐναντία μεθίσταται τῶν στοιχείων ἡ ἐνέργεια, οὕτως ἀκριβῶς πρὸς τὰ ἐναντία, ὡς πρὸς τὰ οἰκεῖα παρὰ τὴν ἀρχὴν συγκεκλήρωτο. ἐὰν γὰρ σὺ βουληθῇς, τοιαύτη ἔσται ἡ νύξ, καὶ οὕτως ἕξει τὸ φῶς συγκεκληρωμένον, ὥσπερ τὸ σκότος. διὸ καὶ τοῦτο δηλῶν, ἐπήγαγεν ὡς τὸ σκότος αὐτῆς, οὕτω καὶ τὸ φῶς αὐτῆς. ταῦτα εἴρηται μὲν κυρίως ἐπὶ τῶν στοιχείων, μεταφορικῶς δὲ ἐπὶ τῶν πραγμάτων, ἀφ' ὧν δείκνυται, ὅτι δυνάσαιτο ὁ Θεὸς ἐν ταῖς θλίψεσι τοσαύτην ἄνεσιν ποιῆσαι τοῖς ἐμπίπτουσιν, ὅσην ἂν τοῖς ἐν ἀνέσει οὖσι παρέχοι τῆς θλίψεως. τὸ γὰρ δὴ θαυμαστὸν καὶ παράδοξον τοῦτο, ὅπερ δὴ καὶ ἐπὶ τοῦ Ἰωσὴφ γέγονεν. οὐ γὰρ τοσαύτης ἀπέλαυσεν ἐκεῖνος ἀνέσεως καὶ τιμῆς τὴν πατρῴαν οἰκίαν οἰκῶν, ὅσην πραθείς, καὶ ἐν βαρβαρικῇ τρεφόμενος οἰκίᾳ, καὶ δι' αὐτῶν τῶν ἐπιβουλῶν αὐτῷ τὸ διάδημα ὑφαίνετο, καὶ ἡ ἁλουργὶς κατεσκευάζετο, καὶ ἡ τῆς ἀτιμίας ὑπόθεσις αὕτη, τιμῆς αὐτῷ καὶ βασιλείας ἀφορμὴ γέγονεν. εἶδες πῶς ἡρμηνεύσαμεν, ὅτι νὺξ ὡς ἡμέρα φωτισθήσεται; πρὸς δὲ τὸ ὡς τὸ σκότος αὐτῆς, οὕτω καὶ τὸ φῶς αὐτῆς; πάλιν ἀνάγκη τὸ αὐτὸ εἰπεῖν· ὥσπερ ἐκεῖνο, οὕτω καὶ τοῦτο αὐτῆς ἔσται, οὐ φαντασίᾳ, ἀλλὰ σοῦ τοῦ κυρίου τῆς φύσεως τὰ πράγματα μεταθέντος, ὅτι σὺ ἐκτήσω τοὺς νεφρούς μου κύριε· ἀντελά-

ἀντελάβου μου ἐκ γαστρὸς μητρός μου. καὶ ποία αὕτη ἀκολουθία πρὸς τὰ εἰρημένα; πολλὴ μὲν οὖν καὶ σφόδρα συνημμένη. ἐπειδὴ γὰρ εἶπε περὶ τῆς δυνάμεως αὐτοῦ τῆς τοσαύτης, δείκνυσι λοιπόν, ὅτι τῇ δυνάμει ταύτῃ εἰς τὸ τοῖς ἀνθρώποις χρήσιμον κέχρηται καὶ πρὸς τὴν εὐεργεσίαν. ἵνα γὰρ μή τις λέγῃ τῶν ἀνοήτων, καὶ τί ταῦτα πρὸς ἐμέ, εἰ μέγας, καὶ δυνατός, καὶ προγνωστικός; δεῖξον εἴ τι ἐκερδαίνομεν ἐντεῦθεν, ἐπήγαγε τό· ὅτι σὺ ἐκτήσω τοὺς νεφρούς μου, ἀπὸ μέρους, τὸν πάντα λέγων ἄνθρωπον. οὐ μικρὸν δὲ τοῦτο εἰς ἐγκωμίου μέρος καὶ προνοίας τὸ κτῆμα εἶναι Θεοῦ. ὁ γὰρ κτώμενος καὶ κήδεται καὶ προνοεῖ. διὸ καὶ τοῦτο δηλῶν προσέθηκε· ἀντελάβου μου ἐκ γαστρὸς τῆς μητρός μου, τουτέστι, διὰ παντός με ἐτείχισας, προενόησας, ἠσφαλίσω ἐκ πρώτης τῆς ἡλικίας, ἐξ αὐτῶν τῶν σπαργάνων, καὶ ταῦτα διὰ τῶν ἔργων αὐτῶν ἐπαίδευσας ἅπερ εἶπον. ἐξομολογήσομαί σοι, ὅτι φοβερῶς ἐθαυμαστώθης, θαυμάσια τὰ ἔργα σου, καὶ ἡ ψυχή μου γινώσκει σφόδρα. τί ἐστι τοῦτο; ἔπλασάς με, φησιν, ἀλλ' οὐκ οἶδα πῶς ἔπλασας· προνοεῖς, ἀλλ' οὐ δύναμαι πᾶσαν ὁμοῦ περιλαβεῖν τὴν πρόνοιαν τοῖς λογισμοῖς. πανταχοῦ ὑπάρχεις, ἀλλ' οὐδὲ τοῦτο ἐπίσταμαι· τὰ μέλλοντα προοῖδας, καὶ τὰ προγεγενημένα καὶ τὰ ἀπόρρητα τῆς διανοίας τῶν ἀνθρώπων· ἀλλ' οὐδὲ τοῦτο τοῖς λογισμοῖς καταλαβεῖν δύναμαι. μεταβάλλεις γὰρ τῶν πραγμάτων τὰς φύσεις, καὶ μενούσας τὰ ἐναντία ἐπιδείκνυσθαι παρασκευάζεις, καὶ πρὸς τὰ ἐναντία οὕτω πάλιν ἐξάγεις ὡς οἰκεῖα καὶ κατὰ φύσιν συγκεκληρωμένα. ταῦτα δὴ πάντα πάλιν συναγαγών, καὶ γενόμενος ἔνθους ἀνέκραξε μέγα λέγων, ἐξομολογήσομαί σοι ὅτι φοβερῶς ἐθαυμαστώθης, τουτέστι, θαυμαστὸς ἐφάνης, καὶ θαυμαστὸς εἶ. θαυμάσια τὰ ἔργα σου, καὶ ἡ ψυχή μου γινώσκει σφόδρα. καὶ τί λέγω, φησί, περὶ σοῦ, ὅπου γε καὶ τὰ ὑπὸ σοῦ γινόμενα πολὺ τὸ θαῦμα ἔχει; εἶτα ἀφεὶς ἅπαντα ἐπεξελθεῖν ἀρκεῖται τῇ οἰκείᾳ γνώσει λέγων· καὶ ἡ ψυχή μου γινώσκει σφόδρα. οὐχ ἁπλῶς γινώσκει, ἀλλὰ μετ' ἐπιτάσεως φησί, μετὰ σφοδρότητος. καὶ εἰ γινώσκει, πῶς ἔλεγεν ἔμπροσθεν, ὅτι ἐθαυμαστώθη ἡ γνῶσίς σου, ἐξ ἐμοῦ ἐκραταιώθη, οὐ μὴ δύνωμαι πρὸς αὐτήν; μάλιστα μὲν οὖν ἐκεῖνο περὶ αὐτοῦ εἴρηται, τοῦτο δὲ περὶ τῶν ἔργων. εἰ δὲ καὶ περὶ αὐτοῦ τοῦτο, ἐκεῖνο ἂν εἴποιμεν, ὅτι γινώσκει, ὅτι θαυμαστός, ὅτι μέγας, ὅτι ὑψηλός.

A *scepisti me de vtero matris meæ.* Et quænã est hæc consequẽtia cũ eis quæ dicta sunt? Magna quidem certè, & quæ valde cohæret. Quoniã enim dixit de tanta eius potentia, ostendit deinceps eũ vti hac potestate ad vtilitatẽ & beneficium hominũ. Ne quis enim insipiẽs diceret, Et quid hæc ad me, si est magnus, & potẽs, & præsciẽdi facultate prçditus? Ostẽde siquid ex eo lucri faciamus: subiũxit, tu possedisti renes meos, à parte dicens totum hominẽ. Non est autẽ hoc paruum quid ad partẽ laudis prouidẽtię, esse Dei possessionẽ. Qui enim possidet, curã gerit & prouidet. Quocirca hoc quoq; significans, adiicit deinceps quod sequitur, dicẽs: Suscepisti me de vtero matris meæ. Hoc est, Perpetuò me muniisti: mihi prouidisti: mei curam gessisti, ac tutũ reddidisti ab ineũte ætate, ab ipsis fasciis: & quæ dixi, docuisti rebus ipsis.

Possessor rei possessæ curam gerit.

14. *Confitebor tibi quòd terribiliter magnificatus es: mirabilia opera tua, & anima mea cognoscit nimis.* Quid hoc est? Finxisti me, inquit, sed nescio quomodo finxeris. Prouides, sed nõ possum simul omnẽ comprehendere ratione prouidentiã. Vbiq; es, sed ne hoc quidem scio quo pacto. Nosti futura, & prçterita, & arcana mẽtis hominũ: sed nec hoc possum ratione cõprehendere. Mutas enim rerũ naturas, & facis vt manentes ostẽdant cõtraria: & ita rursus cõtraria educis, perinde ac si essent propria & eius naturæ attributa. Cùm itaq; hæc omnia collegisset, & diuino esset spiritu afflatus, magna voce clamauit dicens: Confitebor tibi, quòd terribiliter magnificatus es, hoc est, admirabilis apparuisti, & es admirabilis. Mirabilia opera tua, & anima mea cognoscet nimis. Et quid de te, inquit, dico, cùm quæ à te fiãt, magnũ habeant miraculũ? Deinde mittens omnia persequi, propria sui notitia cõtẽtus dicit: Et anima mea cognoscet nimis. Non cognoscit solũmodo, sed valde & intensè cognoscit. Si autem cognoscit, quomodo dixit antea, Mirabilis facta est scientia tua à me, confortata est, non potero ad eam? Maximè: nam illud quidem certè de eo dictum est, hoc verò de operibus. Quòd si hoc quoque de ipso dictum est, illud dixerimus: Nouit eum esse admirabilem, magnum, excelsum.

1. Reg. 16. 2. Par. 6. Hier. 17.

Quid sit autem substantia (eadem enim rursus dicam) & quónam modo sit eius maiestas & magnificentia, & quisnam sit modus eorum quæ dicta sunt, ignorat: sed ea ipsa ignoratio est argumentum cognitionis, etiamsi sit mirabile quod dictum est. Nam mare quoque quantum sit, ignoramus: & tamen propter hoc ipsum mare maximè nouimus, quòd eius modum nesciamus. Si quis autem dicat se nosse eius quantitatem, is est qui id ignorat maximè. Est igitur professio cognitionis, quæ arguit inscientiam: & est ignoratio, quæ nobis fert testimoniū de que scientia. 15. *Non est occultatum os meum à te quod fecisti in occulto: & substantia mea in inferioribus terræ.* Loquitur rursus de eius cognitione, & ostendit eum hæc scire omnia. Vel ergo dicit eum omnia nosse arcana, vel aliquid aliud significat, nempe formationem & creationem, nempe ne cùm fingerer quidem me ignorasti, sed omnia sciebas, cùm hæc paulatim natura contexeret, tametsi in arcano operaretur, & tanquam in infimis terræ partibus. Sunt tamen tibi, inquit, omnia nuda & aperta. Alius autem interpres sic dixit: Non velata sunt ossa mea à te, quibus factus sum in occulto. Alius, Non latuit te fortitudo mea qua factus sum in occulto: variegatus sum vt in infimis terræ. Alius, Non latuit te potentia mea seu ossa mea, quod factus sum in occulto, effictus sum in infimis terræ. Omnes ergo dicunt eadem, nempe, dum fingerer, me perfectè formatū nouisti, & vnumquodque membrum & eius incrementum sciuisti. Quod & dicit Christus: Vestri autem capilli capitis numerati sunt. Simul autem & prouidentiam & scientiā ostendit quod dicitur, 16. *Imperfectum meum viderunt oculi tui.* Vel idem rursus dicit, nempe me scilicet informem nosti. Alius enim sic dixit, Informem me viderunt oculi tui. Vel de ipsis actionibus, nempe quod nondum factum erat, viderunt oculi tui. *Et in libro tuo omnes scribentur. Per diem formabuntur, & nemo in eis.* Est obscurum quod dictum est, sed oportet id venari ex consequentia & ex alio interprete. Quod enim dicit, tale est, ei quod præcessit conueniens. Quid autem præcessit? Informem me viderunt

Ignoratio cognitionis argumentum.

Aquila, Hebr.

Luc. 12. 7.

De implebuntur.

A τὸ δὲ τί τὴν οὐσίαν· πάλιν γὰρ τὰ αὐτὰ ἐρῶ· καὶ πῶς ἡ μεγαλωσύνη, καὶ τίς ὁ τρόπος τῶν εἰρημένων, ἀγνοεῖ, καὶ ἡ ἄγνοια αὕτη γνώσεώς ἐστιν ἀπόδειξις, εἰ καὶ θαυμαστὸν τὸ εἰρημένον. ἐπεὶ καὶ τὴν θαλάττης πηλίκη τίς ἐστιν ἀγνοοῦμεν, καὶ ὅμως δι' αὐτὸ μὲν οὖν τοῦτο μάλιστα ἴσμεν θάλασσαν, ὅτι ἀγνοοῦμεν αὐτῆς τὸ μέγεθος. εἰ δέ τις λέγει εἰδέναι αὐτῆς τὴν ποσότητα, οὗτος μάλιστά ἐστιν ὁ ἀγνοῶν αὐτήν. ὥστε ἔστιν ἐπαγγελία γνώσεως ἄγνοιαν ἐλέγχουσα, καὶ ἔστιν ἄγνοια γνῶσιν ἡμῖν μαρτυροῦσα. οὐκ ἐκρύβη τὸ ὀστοῦν μου ἀπὸ σοῦ, ὃ ἐποίησας ἐν κρυφῇ, καὶ ἡ ὑπόστασίς μου ἐν τοῖς κατωτάτοις τῆς γῆς. B πάλιν περὶ τῆς γνώσεως αὐτοῦ διαλέγεται, καὶ ταῦτα πάντα εἰδέναι δείκνυσιν αὐτόν. ἢ οὖν πάντα αὐτὸν τὰ ἀπόρρητα λέγει, ἢ ἕτερόν τι αἰνίττεται, τὴν δημιουργίαν, καὶ τὴν διάπλασιν, καὶ ὅτι οὐδὲ πλαττομένου τι ἠγνόησας, ἀλλὰ πάντα ἠπίστασο κατὰ μικρὸν τῆς φύσεως ὑφαινούσης, καίτοι ἐν ἀπορρήτῳ αὐτῆς ἐργαζομένης, καὶ ὡς ἐν κατωτάτοις τῆς γῆς. ἀλλ' ὅμως σοί, φησι, πάντα γυμνὰ καὶ τετραχηλισμένα. ἕτερος δὲ ἑρμηνευτὴς οὕτως εἶπεν· οὐκ ἐπεκαλύφθη τὰ ὀστᾶ μου ἀπὸ σοῦ, οἷς ἐποιήθην ἐν ἀποκρύφῳ. C ἕτερος, οὐκ ἔλαθέν σε ἡ κραταίωσίς μου, ἣν ἐποιήθην ἐν τῷ κρυπτῷ, ἐποικίλθην ὡς ἐν τοῖς κατωτάτοις τῆς γῆς. ἄλλος, οὐκ ἔλαθέν σε ἡ δύναμίς μου ἢ τὰ ὀστᾶ μου ἀπὸ σοῦ· ὅτι καὶ ἐποιήθην ἐν κρυφῇ, ἐξειχνιάσθην ἐν τοῖς κατωτάτοις τῆς γῆς. πάντες μὲν τὰ αὐτὰ λέγουσιν, ὅτι ἀκριβῶς καὶ πλαττομένου με ἐπίστασαι κατὰ μέρος, καὶ μέχρι τῶν μελῶν ἕκαστον οἶδας, καὶ τῆς αὐξήσεως. ὅπερ καὶ ὁ Χριστὸς λέγει· ὑμῶν δὲ καὶ αἱ τρίχες τῆς κεφαλῆς D ἠριθμημέναι εἰσίν· ὁμοῦ δὲ καὶ περὶ προνοίας καὶ γνώσεως ἐμφαίνων ὁ λόγος ἐστί. τὸ ἀκατέργαστόν μου ἴδον οἱ ὀφθαλμοί σου. ἢ τὸ αὐτὸ πάλιν φησίν, ὅτι καὶ ἀμόρφωτόν με ᾔδεις. καὶ γὰρ ἕτερος οὕτως εἶπεν, ἀμόρφωτόν με ἴδον οἱ ὀφθαλμοί σου. ἢ ἐπὶ τῶν πράξεων αὐτῶν, ὅτι καὶ τὸ μηδέπω πραχθὲν ἴδον οἱ ὀφθαλμοί σου. καὶ ἐπὶ τὸ βιβλίον σου πάντες γραφήσονται), ἡμέρας πλασθήσονται, καὶ οὐθ' εἷς ἐν αὐτοῖς. ἀσαφὲς τὸ εἰρημένον, ἀλλὰ δεῖ ἐκ τῆς ἀκολουθίας, καὶ τοῦ ἑτέρου ἑρμηνέως αὐτὸ θηρεῦσαι. ὃ γὰρ λέγει, τοιοῦτόν ἐστι, συμφωνεῖ τῷ προτέρῳ. τί δὲ οὖν τὸ πρότερον; ἀμόρφωτόν με

ἴδον οἱ ὀφθαλμοί σου, τουτέστι, μηδέπω λαβόντα τύπον, ἔτι πλαττόμενον, ἔτι ὑφαινόμενον, καὶ οὕτω με ἴδον σαφῶς, ὡς ἐκεῖνον τὸν τετυπωμένον, ὡς ἐκεῖνον τὸν πεπληρωμένον, καὶ οὐδεμιᾶς ἡμέρας ἔτι δεόμενον πρὸς τὴν ἀπαρτισιν. καὶ ἵνα μάθῃς ὅτι τοῦτό ἐστιν, ἄκουσον τῆς ἑρμηνείας τοῦ ἑτέρου, ἀμόρφωτόν με προεῖδον οἱ ὀφθαλμοί σου. σὺν τοῖς ἐν τῇ βίβλῳ σου πᾶσι γεγραμμένοις, ἡμέρας πλαττομένοις, οὐκ ἐνδεούσης οὐδεμιᾶς. σὺν ἐκείνοις με εἶδες φησιν, ὁμοίως ἐκείνοις με εἶδες, τοῖς πλαττομένοις ἐν ταῖς ἡμέραις αὐτῶν, ἡμέραις, αἷς οὐκ ἐνέδει οὐδεμία ἡμέρα. ταῦτα δὲ λέγει, οὐκ ὡς βιβλίου ὄντος ἄνω, οὐδὲ ὡς ἐγγραφομένων τινῶν, ἀλλὰ τὴν ἀκριβῆ γνῶσιν διὰ τοῦ βιβλίου σημαίνων, ὥσπερ ὅταν φησίν· ἤκουσε κύριος, καὶ ἔγραψεν ἐν βιβλίῳ, καὶ πάλιν, βίβλοι ἀνεῴχθησαν. ἐμοὶ δὲ λίαν ἐτιμήθησαν οἱ φίλοι σου ὁ Θεός. ἄλλος, τίμιοι ἐγένοντο οἱ ἑταῖροί σου. οὐ μικρὰ καὶ τοῦτο ἀρετή, τὸ τοὺς τοῦ Θεοῦ φίλους διὰ πολλῆς ἄγειν τιμῆς. προενόησας μου φησίν, οὐκ ὄντα παρήγαγες, διακρατεῖς, καὶ ἐγὼ ταύτην δίδωμι τὴν ἀμοιβὴν τοὺς φίλους σου τιμῶν. λίαν ἐκραταιώθησαν αἱ ἀρχαὶ αὐτῶν, τουτέστιν, αὐτοὶ ἐκραταιώθησαν. ἄλλος φησί· τί παμπληθεῖς αἱ κεφαλαὶ αὐτῶν. ὅπερ καὶ σαφέστερον, ἐπάγει γάρ· ἐξαριθμήσομαι αὐτούς, καὶ ὑπὲρ ἄμμον πληθυνθήσονται. ἐγὼ μὲν αὐτοὺς τιμῶ, σὺ δὲ πολλοὺς ποιεῖς, καὶ ψάμμου πλείους· οὐ μόνον δὲ πολλούς, ἀλλὰ καὶ ἰσχυρούς. τὸ γὰρ ἐκραταιώθησαν τοῦτό ἐστι, καὶ διπλῆν λέγει τὴν εὐημερίαν, τήν τε εἰς πλῆθος, τήν τε εἰς ἰσχὺος ἐπίδοσιν. ἐξηγέρθην, καὶ ἔτι εἰμὶ μετὰ σοῦ. ἄλλος, ἐξυπνώσω, καὶ εἰς ἀεὶ ἔσομαι παρὰ σοί. οὐ μικρὸν τοῦτο ἀρετῆς σημεῖον, τὸ ἐν εὐημερίᾳ μένειν τὴν ἀρετὴν διατηροῦντα. πολλοὶ γοῦν ἀπολαύσαντες εὐπραγίας ἐπελάθοντο. ἀλλ᾽ οὐκ ἐγώ, φησιν, ἀλλὰ καὶ ἀναστάς, τουτέστιν, ἀπαλλαγεὶς τῶν δεινῶν ἀεὶ μετὰ σοῦ ἔσομαι. ἐὰν ἀποκτείνῃς ἁμαρτωλοὺς ὁ Θεός. οὐ τοῦτό φησιν, ὅτι ἐὰν ἀποκτείνῃς, τότε ἔσομαι· ἀλλ᾽ ἐκεῖνο μὲν χωρὶς τούτου ἐπήγγελται. αἰτεῖ δὲ τοῦτο γενέσθαι, οὐχ ἵνα ἀφανίσῃ τὴν οὐσίαν τῶν ἀνθρώπων, ἀλλ᾽ ἵνα μεταβάλῃ αὐτοὺς ἐκ τῆς ἁμαρτίας ἐπὶ δικαιοσύνην. οὐ γὰρ εἶπεν, ἐὰν ἀποκτείνῃς ἀνθρώπους, ἀλλὰ ἁμαρτωλούς. ἕτερος δὲ ἀντὶ τοῦ ἁμαρτωλούς, παραβάτην, εἶπε, περὶ τῶν πολεμίων λέγων τῶν εἴδωλα προσκυνούντων.

A oculi tui: hoc eſt, cùm nondum vllam figuram ſuſcepiſſem, cùm adhuc fingerer, cùm adhuc contexerer, me æquè apertè viderunt ac eum, queſt figura præditus & abſolutus, & nullo die indiget ad ſuam perfectionem. Et vt ſcias hoc ita eſſe, audi interpretationem alterius. Informem me præuiderunt oculi tui, cum omnibus qui in libro tuo ſcripti ſunt, qui ſunt effingendi nullo die deficiente. Cum illis, inquit, me vidiſti qui finguntur in diebus eorum, quibus nullus dies defuit. Hæc autem dicit non tanquam ſit liber ſuperiùs; B nec tanquam vlli ſcripti ſint, ſed perfectam cognitionem per librum ſignificans, quemadmodum quando dicit, Audiuit Dominus, & ſcripſit in libro. Et rurſus. Libri aperti ſunt. 17. *Mihi autem nimis honorificati ſunt amici tui Deus.* Alius, Precioſi fuerunt familiares tui. Non eſt hoc parua virtus, Dei amicos honore afficere. Curam, inquit, mei geſſiſti, me, cùm non eſſem produxiſti, me regis & contines: ego autem hanc reddo remunerationem amicos tuos honorans. *Nimis confortati ſunt principatus eorum.* Hoc eſt, Ipſi validi & potentes C facti ſunt. Alius dicit, Multiplicia ſunt capita eorum. quod quidem eſt clarius, ſubiungit enim, 18. *Dinumerabo eos, & ſuper arenam multiplicabuntur.* Ego quidem ipſos honoro: tu autem multos facis, atque adeò plures arena. Non ſolùm autem multos, ſed etiam fortes ac validos. Hoc enim ſibi vult illud, Confortati ſunt. Duplicem autem dicit proſperitatem, multitudinis ſcilicet, & roboris incrementum. *Exurrexi, & adhuc ſum tecum.* Alius, Excitabor & ero ſemper tecũ. Non eſt hoc paruũ ſignum virtutis, in rebus ſecundis virtutem perpetuò conſeruare. Multi, inquit, D cùm res eis ſecundæ eueniſſent, tui obliti ſunt. At non ego, inquit, ſed etiam cùm exurrexi, hoc eſt, cùm ſum liberatus à malis, ſemper ero tecum. 19. *Si occideris Deus peccatores.* Non hoc dicit, Si occideris, tunc ero tecum: ſed illud quidẽ etiam abſque hoc promiſit. Petit autem hoc fieri, non vt deleat hominum ſubſtantiam, ſed vt eos mutet à peccato in iuſtitiam. Non dixit enim, Si homines occidas, ſed peccatores. Alius autem pro eo quod eſt, Peccatores, dixit, Tranſgreſſorem, dicens de hoſtibus ſimulachra adorantibus.

Hebr. informem, Chald. corporeum.

Liber in ſacr. ſcrip. quid. Apoc. 20. Dan. 7.

Viri ſanguinum fugiendi.

Viri sanguinum declinate à me. Viros sanguinum dicit sicarios, homicidas, & qui cæde lætantur. Non est autem hic paruus gradus ad incrementum virtutis, fugere & resilire ab eiusmodi hominum congressionibus. Deinde subiungitur etiam causa: 20. *Quia litigiosi estis in cogitationibus.* Alius, Qui aduersus te dixerunt cogitationem. Alius, Quoniam exacerbauerunt te in malo consilio. Vide cum non quærere quod suum est, sed propter Deo factam iniuriam resilire, & fugere illorum consuetudinem. Hoc enim Iudæis fuit causa interitus, quòd versarentur cum improbis. Quocirca legem quoque acceperũt, & lege separabantur ab eis, & iubebantur eorum vitare coniugia, & cùm tunc exissent ab Ægypto, quadraginta annis per se fuerunt in solitudine. Quocirca lex appellabatur sepes, quod eos vndique circundaret, & eorum consuetudinem cum malis coërceret: erãt enim eorum mores captu ac circumscriptu faciles, & mutabiles. *Accipient in vanitate ciuitates suas.* Alius, Vanè elati sunt aduersarij tui. Alius, Inimici tui. Propterea fugit & resilit, quòd aduersus Dei gloriam elati sunt, quòd se iniquè gesserunt, quòd verba blasphema locuti sunt. 21. *Nonne qui oderunt te Domine oderam, & super inimicos tuos tabescebam?* 22. *Perfecto odio oderam illos: Inimici facti sunt mihi.* Ita etiam Deus pollicitus est se hostibus hostem futurũ, & aduersariis futurum aduersarium. Hæc enim sunt maximæ signa amicitiæ. Ipse itaque Deo per vtrunque vicem reddit. Superiùs enim dixit: Mihi autem valde honorati sunt amici tui Deus. Hîc autem, Eos qui te oderunt, odi: illic supra modum, & hîc quoque supra modum. Non solùm enim dicit, Oderam, sed etiam, Tabescebam. 23. *Proba me Deus, & scito cor meum. Interroga me & cognosce semitas meas, & vide si via iniquitatis in me est, & deduc me in via æterna.* Atqui dixit in principio: Probasti me, & cognouisti me. Tu cognouisti sessionem meã & resurrectionem meam. Intellexisti cogitationes meas de longè. Semitam meam & funiculum meum inuestigasti. Et omnes vias meas præuidisti. Tu cognouisti omnia nouissima & antiqua. Quomodo ergo hic rursus dicit, tanquam nondum probatus, Proba me? Vides quomodo vtitur humanis dictionibus,

Improbi vitandi. Deut. 7. Exod. 16. Lex sepes. Iudæorum mutabilitas.

Deut. 7. 11 Iudit. 4.

Quæstio. Solutio.

A ἄνδρες αἱμάτων ἐκκλίνατε ἀπ' ἐμοῦ, αἱμάτων ἄνδρας τοὺς φονικούς φησι, τοὺς σφαγαῖς χαίροντας. οὐ μικρὰ δὲ καὶ αὕτη πρὸς ἐπίδοσιν ἀρετῆς ἡ ὁδὸς τὸ φεύγειν καὶ ἀποπηδᾷν τὰς τοιούτων συνουσίας. εἶτα καὶ ἡ αἰτία, ὅτι ἐρισταί ἐστε εἰς διαλογισμούς. ἄλλος, οἵ τινες ἀντελάλησάν σοι διαλογισμόν. ἄλλος, ὅτι παρεπίκρανάν σε ἐν κακοβουλίᾳ. ὅρα μὴ τὰ ἑαυτοῦ ζητοῦντα, ἀλλὰ διὰ τὴν εἰς τὸν Θεὸν ὕβριν ἀποπηδῶντα, καὶ φεύγοντα τὴν πρὸς ἐκείνους συνουσίαν. καὶ γὰρ καὶ τοῦτο τῆς ἀπωλείας τοῖς Ἰουδαίοις αἴ-

B τιον γέγονε, τὸ τοῖς πονηροῖς ἀναμίγνυσθαι. διὰ τοῦτο καὶ νόμον ἐλάμβανον, καὶ νόμῳ διετειχίζοντο ἀπ' αὐτῶν, καὶ τὰς πρὸς αὐτοὺς ἐπιγαμίας φεύγειν ἐκελεύοντο, καὶ ἀπὸ τῆς Αἰγύπτου τότε ἐξελθόντες ἐπὶ τῆς ἐρήμου τεσσαράκοντα ἔτη καθ' ἑαυτοὺς ἐπλάττοντο. διὰ τοῦτο καὶ φραγμὸς ὁ νόμος ἐλέγετο, πανταχόθεν αὐτοὺς περιεχόμενος, καὶ τὰς πρὸς τοὺς πονηροὺς ἀναστέλλων συνουσίας. εὐεξαπάτητον γὰρ αὐτῶν τὸ ἦθος, εὐάλωτον, καὶ εὐπερίτρεπτον. λήψονται εἰς ματαιότητας τὰς πόλεις σου. ἕτερος, ἐπήρθησαν ματαίως οἱ ἐναντίοι σου. ἄλλος, οἱ ἐχθροί σου. διὰ τοῦτο φεύ-

C γει καὶ ἀποπηδᾷ, ὅτι ἐπήρθησαν κατὰ τῆς τοῦ Θεοῦ δόξης· ὅτι παρενομοῦσαν· ὅτι βλάσφημα ἐφθέγγοντο ῥήματα. οὐχὶ τοὺς μισοῦντάς σε κύριε ἐμίσησα, καὶ ἐπὶ τοῖς ἐχθροῖς σου ἐξετηκόμην. τέλειον μῖσος ἐμίσουν αὐτούς, εἰς ἐχθροὺς ἐγένοντό μοι. οὕτω καὶ ὁ Θεὸς ἐπηγγείλατο, ἐχθραίνειν τοῖς ἐχθροῖς, καὶ ἀντικεῖσθαι τοῖς ἀντικειμένοις αὐτοῖς. ταῦτα γὰρ μάλιστα φιλίας τεκμήρια. καὶ αὐτὸς τοίνυν ἀμείβεται τὸν Θεὸν δι' ἑκατέρων. ἀνωτέρω μὲν γὰρ ἔφη, ἐμοὶ δὲ λίαν ἐτιμήθησαν

D οἱ φίλοι σου ὁ Θεός· ἐνταῦθα δέ, τοὺς μισοῦντάς σε ἐμίσησα, κἀκεῖ μεθ' ὑπερβολῆς, καὶ ἐνταῦθα μεθ' ὑπερβολῆς. οὐ γὰρ ἐμίσησα φησι μόνον, ἀλλὰ καὶ ἐξετηκόμην. δοκίμασόν με ὁ Θεός, καὶ γνῶθι τὴν καρδίαν μου. ἔτασόν με, καὶ γνῶθι τὰς τρίβους μου, καὶ ἴδε εἰ ὁδὸς ἀνομίας ἐν ἐμοί, καὶ ὁδήγησόν με ἐν ὁδῷ αἰωνίᾳ. καί τοι γε ἀρχόμενος ἔλεγεν· ἐδοκίμασάς με, καὶ ἔγνως με. σὺ ἔγνως τὴν καθέδραν μου, καὶ τὴν ἔγερσίν μου. σὺ συνῆκας τοὺς διαλογισμούς μου ἀπὸ μακρόθεν. τὴν τρίβον μου καὶ τὴν σχοῖνον μου ἐξιχνίασας καὶ πάσας τὰς ὁδούς μου προεῖδες. σὺ ἔγνως πάντα τὰ ἔσχατα καὶ τὰ ἀρχαῖα. πῶς οὖν ἐνταῦθα πάλιν, ὡς μήπω δοκιμασθείς, δοκίμασόν με λέγει; ὁρᾷς ὅτι ἀνθρωπίναις κέχρηται λέξεσιν, οὐχ

ἵνα τῇ ὀπτασίᾳ συγκλεισθῶμεν, ἀλλ' ἵνα διὰ πάντων συναγαγόντες τὴν θεοπρεπῆ ἔννοιαν εἰς ὑψηλὰ ἀναβαίνωμεν νοήματα. δοκιμασθῆναι γὰρ καὶ ἐτασθῆναι αἰτεῖ, οὐχ ἵνα γνῷ τὴν καρδίαν αὐτοῦ ὁ πρὸ τούτου εἰδὼς πάντα καὶ πρὸ γενέσεως, ἀλλ' ἵνα γνῶμεν ἡμεῖς οἱ ἀπὸ τῆς ἐκβάσεως τῶν πραγμάτων μανθάνοντες. ὃ γὰρ δοκίμασόν με εἶπεν τοῦτό ἐστι. καὶ ἴδε εἰ ὁδὸς ἀνομίας ἐν ἐμοί, καὶ ὁδήγησόν με ἐν ὁδῷ αἰωνίᾳ. ποία δὲ ἐστιν αἰωνία ὁδὸς, ἀλλ' ἡ πνευματικὴ, καὶ πρὸς οὐρανὸν ἀνάγουσα, καὶ ἧς τὸ τέλος οὐκ ἔστι; ὡς τάγε ἄλλα πάντα ἐπίκηρα γίνεται, καὶ τῷ παρόντι συγκαταλύεται βίῳ. διὸ δὴ πάντα παραδραμὼν ἐκείνην ζητεῖ, τὴν ἀθάνατον, τὴν ἀπέραντον, τὴν εἰς τέλος οὐκ ἀπαντῶσαν. πῶς δ' ἄν τις ὁδηγηθείη πρὸς ἐκείνην; τῆς παρὰ τοῦ Θεοῦ ῥοπῆς ἀπολαύων, καὶ τὰ παρ' ἑαυτοῦ συνεισφέρων, ἀρετὴν μετιὼν, φιλοσοφίας ἐπειλημμένος, ὑψηλότερος τῶν βιωτικῶν γενόμενος. τὰ γὰρ ἐκ τῆς ὁδοῦ ἐκείνης, οὐκ ἔστιν ἐφήμερα, οὐδὲ πρόσκαιρα. τοιοῦτον γὰρ ἡ ἀρετὴ, διηνεκεῖς ἔχει τοὺς καρποὺς, ἀνθοῦντας, καὶ μηδέποτε μαραινομένους, καὶ τὰ ἀγαθὰ ἀθάνατα, καὶ ἀκήρατα, καὶ ἀτελεύτητα. ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

A non vt in ea humilitate maneamus, sed vt quum Deo dignam cogitationem per omnia collegerimus, ad altas conscendamus intelligentias. Petit enim vt probetur & examinetur, non vt eius cor cognoscat, qui ante omnia nouit, etiam priusquam gignerentur: sed vt nos cognoscamus, qui ex rerum exitu discimus. Hoc enim sibi vult hic illud, Proba me, & vide si via iniquitatis in me est, & deduc me in via æterna. Quænam est autem via æterna, nisi spiritualis, & quæ ducit in cœlum, & cuius non est finis? Alia enim omnia sunt caduca & momentanea, & vita præsenti B concluduntur. Quocirca omnibus prætermissis illam quærit quæ est immortalis, quę est interminata, quæ ad finem non peruenit. Quomodo autem deducetur quis ad illam? Si Dei auxilio fruatur, & ea quæ sua sunt conferat, virtutem persequens, philosophiæ deditus, & rebus quæ ad hanc vitam pertinent, excelsior effectus. Quæ enim illius viæ sunt, non sunt fluxa & momentanea. Virtus enim talis est: habet fructus qui perpetuò florent, & nunquam flaccescunt, & bona immortalia C à fine & ab interitu omnino aliena. Quæ detur nobis omnibus consequi gratia & misericordia domini nostri Iesu Christi, cui gloria & potentia nunc, & semper, & in secula seculorum, Amen.

Cognitio nostra à rerum exitu pendet. Eccl. 2.

Virtutis fructus æterni.

Εἰς τὸν ρλθ' ψαλμόν.

Ἐξελοῦ με κύριε ἐξ ἀνθρώπου πονηροῦ, ἀπὸ ἀνδρὸς ἀδίκου ῥῦσαί με.

ΠΟΥ νῦν εἰσιν οἱ λέγοντες· διὰ τί θηρία; διὰ τί σκορπίοι; διὰ τί ἔχεις; ἰδοὺ γὰρ εὕρηται ζῶον πλείονα κακίαν ἐπιδεικνύμενον, οὐ παρὰ τὴν φύσιν, ἀλλὰ παρὰ τὴν γνώμην ὁ ἄνθρωπος. διά τοι τοῦτο καὶ ὁ προφήτης παρεὶς πάντα ἐκεῖνα, ἀπὸ τούτου ἀξιοῖ ῥυσθῆναι. τί οὖν εἴπῃ μοι, ἐπεὶ τοιοῦτος, οὐκ ἐχρῆν ἀνθρώπους γίνεσθαι; ἀλλ' ἐσχάτης ἀνοίας τοῦτο λέγειν· οὐδὲν γάρ ἐστι τὸ βλάπτον ἄνθρωπον, ἀλλ' ἡ ἁμαρτία μόνη· καὶ ταύτης ἀναιρεθείσης, ἅπαντα D

IN PSALMVM CXXXIX.

Eripe me Domine ab homine malo: à viro iniquo eripe me.

VBI nunc sunt qui dicunt, Quare sunt feræ? quare scorpij? quare viperæ? Ecce enim inuentum est animal, quod maiorem ostendit improbitatem, non ex natura, sed sponte, & ex libera animi voluntate. Quocirca propheta quoque illis omnibus prætermissis, rogat vt ab eo liberetur. Quid ergo, dic mihi quæso, quoniam is talis est, non oportuit gigni homines? Sed extremæ est amentiæ hoc dicere: nihil enim est quod lædat hominem, nisi solum peccatum: eo autem sublato, omnia sunt

Homini noxium nihil præter peccatum. Iob 15. Esa. 57. Homo vitiosus fera improbior. Matt. 7.

facilia, explicata, ac tranquilla: quemadmodum si id adsit, sunt omnia scopuli, tempestates & naufragia. Nemo autem nos condemnet, si dicamus vitiosum hominem esse fera improbiorem: ea enim etsi naturalem non habet mansuetudinem, potest tamen facilé decipi: & id quod est, esse cernitur. Homo autem qui scelus meditatur, & multis se personis induit, longè difficilius obseruatur, & cauetur quàm fera, vt qui ouis pellem sæpe præ se ferat, lupum autem intus occultet: & ideo multi, dum non cauent, in eiusmodi hominum laqueos incidunt. Quoniam ergo non facilè obseruari ac deprehendi possunt eiusmodi bestiæ, propheta ad preces conuertitur, & Dei implorat auxilium, vt a talibus liberetur insidiis. Eiusmodi enim homines sæpe subit diabolus, & ita ferit. Multa ergo sunt, quæ tendunt vndique insidias. Nam & homo sceleratus hoc facit, & sæuus Dæmon bellum gerit, & intoleranda tentatio molestiam exhibet. Quocirca iubemur orantes dicere, Ne nos inducas in tentationem, sed libera nos à malo. Variæ sunt pugnæ, & acies multiplices, & oportet esse paratos ad omnia. Quemadmodum enim qui ad mare est accessurus, & aquarum violentarum impetum, & vim immanium ventorum, & nubium concursum, rupésque & scopulos marinos, belluarum irruptionem, & piratarum incursionem, & famem, & sitim, & stationem non satis tutam nauibus, nautarum contentionem, viatici inopiam, & quæcunque sunt eiusmodi, debet considerare ac prospicere, & aduersus ea omnia aciem instruere: ita etiam qui venit in euripum vitæ præsentis, & aduersus corporis affectiones, & aduersus morbos animi, & aduersus hominum insidias, & aduersus inimicorum insurrectiones, & aduersus fictorum amicorum fraudes, & aduersus paupertatem, & aduersus tormenta, & aduersus contumelias, & dæmonum phalanges, par est vt se præparet, siquidem sit in vrbem regiam peruenturus, & mercibus onustus in portum appulsurus. Atque hic quidem vocat malum hominem: quando autem loquitur de diabolo, absolutè dicit malum. Quánam de causa? Quoniam ipse

Ephes. 6.

Matth. 6. Luc. 11.

Comparatio elegans. Mare periculo.

Diabolus absolutè malus. Genes. 3. Iob. 3.

ῥᾳδίως καὶ εὔκολα, καὶ γαληνά· ὥσπερ οὖν ταύτης παρούσης πάντα σκόπελοι καὶ χειμῶνες, καὶ ναυάγια. μηδεὶς δὲ ἡμῶν καταγινωσκέτω, εἰ θηρίου πονηρότερον ἄνθρωπον εἶναι τὸν ἐν κακίᾳ εἰρήκαμεν· ὁ μὲν γὰρ ἐν τῇ φύσει πρᾶον ἔχει, ἀλλ' ἀπατηθῆναι δύναται ῥᾳδίως, καὶ ὅπερ ἐστὶ φαίνεται· ὁ δὲ ἄνθρωπος μετὰ τὴν πονηρίαν, καὶ πολλὰ τὰ προσωπεῖα περικείμενος δυσφυλακτότερόν ἐστι θηρίου, δορὰν προβάτου πολλάκις προβαλλόμενος, καὶ ἔνδον τὸν λύκον ἀποκρύπτων, διὸ καὶ ἀφυλάκτως πολλοὶ τοῖς τοιούτοις περιπίπτουσιν. ἐπεὶ οὖν δυσφώρατα τὰ τοιαῦτα θηρία, ἐπ' εὐχὴν ὁ προφήτης τρέπεται, καὶ τὴν παρὰ τοῦ Θεοῦ καλεῖ ῥοπήν, ὥστε τῆς τοιαύτης ἀπαλλαγῆναι ἐπιβουλῆς. τοῖς γὰρ τοιούτοις πολλάκις καὶ ὁ διάβολος ὑποδύεται, καὶ οὕτω βάλλει. πολλὰ τοίνυν πάντοθεν τὰ ἐπιβουλεύοντα. καὶ γὰρ ἄνθρωπος πονηρὸς τοῦτο ποιεῖ, καὶ δαίμων ἄγριος πολεμεῖ, καὶ πειρασμὸς ἀφόρητος ἐνοχλεῖ. διὸ καὶ διδασκόμεθα εὐχόμενοι λέγειν· μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ. ποικίλαι αἱ μάχαι, καὶ πολυειδεῖς αἱ παρατάξεις, καὶ δεῖ πρὸς ἅπαντα παρεσκευάσθαι. καθάπερ γὰρ ὁ μέλλων εἰς πέλαγος ἀφιέναι, καὶ ὑδάτων ἀτάκτων ῥύμην, καὶ πνευμάτων ἀγρίων ἐμβολήν, καὶ νεφῶν συνδρομήν, καὶ ὑφάλους πέτρας, καὶ σπιλάδας, καὶ θηρίων ἐπαναστάσεις, καὶ πειρατῶν παράταξιν, καὶ λιμόν, καὶ δίψος, καὶ θαλάττας, καὶ ὅρμους ἀλιμένους, καὶ ναυτῶν φιλονεικίας, καὶ ἐφοδίων ἀπορίαν, καὶ πάντα τὰ τοιαῦτα προορᾶν ὀφείλει, καὶ πρὸς ἅπαντα παρατάττεσθαι· οὕτω δὴ καὶ εἰς τὸν εὔριπον τοῦ παρόντος ἐλθὼν βίου, καὶ πρὸς πάθη σώματος, καὶ πρὸς νοσήματα ψυχῆς, καὶ πρὸς ἀνθρώπων ἐπιβουλάς, καὶ πρὸς ἐχθρῶν ἐπαναστάσεις, καὶ πρὸς φίλων ὑπούλων δόλους, καὶ πρὸς πενίαν, καὶ πρὸς βασάνους, καὶ πρὸς ἐπήρειαν, καὶ πρὸς δαιμόνων φάλαγγας, καὶ πρὸς διαβόλου μανίας παρεσκευάσθαι ἂν εἴη δίκαιος, εἴγε μέλλοι πρὸς τὴν βασιλίδα ἀπαντᾶν πόλιν, καὶ πεπληρωμένος τῶν φορτίων εἰς τὸν λιμένα καταίρειν. ἐνταῦθα μὲν οὖν πονηρὸν ἄνθρωπον καλεῖ· ὅταν δὲ περὶ τοῦ διαβόλου διαλέγηται, ἁπλῶς πονηρόν. τί δή ποτε; ὅτι αὐτὸς

πατὴρ τῆς πονηρίας ἐγένετο, διὰ τοῦτο καὶ κατ' ἐξοχὴν λέγεται πονηρός, καὶ αὐτὴ τοῦ κυρίου, τὸ ἐπίθετον ἤρκεσεν ὄνομα διὰ τὴν ὑπερβολὴν τῆς κακίας οὐκ ἔμφυτον οὖσαν, ἀλλὰ προσγενομένην αὐτῷ. εἰ δὲ βούλει, καὶ αὐτῆς τῆς πονηρίας τὸ ὄνομα μαθεῖν πόθεν εἴρηται, καὶ ἐντεῦθεν μεγάλα καρπώσῃ. πονηρία γὰρ εἴρηται, ἐκ τοῦ πόνον ἐπάγειν καὶ μόχθον αὐτῷ τῷ κεκτημένῳ. διὸ καὶ τὶς σοφὸς τοῦτο παραδηλῶν λέγει· ἐὰν κακὸς γένῃ, μόνος ἀντλήσεις τὰ κακά· ἐὰν δὲ ἀγαθὸς, σαυτῷ, καὶ τοῖς πλησίον. καὶ πῶς, φησὶ μόνος ἀντλεῖ τὰ κακὰ ὁ πονηρός; καίτοι γε πολλοὺς ἐπηρεάζει. ἀλλ' οὐδένα τῶν μὴ χαύνων καὶ ῥαθύμων. καὶ εἰ βούλει τὸν πονηρὸν ἄνθρωπον ἀφέντες, αὐτὸν τὸν πονηρὸν δαίμονα εἰς μέσον ἀγάγωμεν. εἰπὲ δή μοι, οὐχὶ πᾶσαν αὐτοῦ ἐξέχεε τὴν κακίαν; μή τι τὸν Ἰὼβ ἔβλαψεν; οὐχὶ ἐκεῖνον μὲν καὶ λαμπρότερον ἐποίησεν, ἑαυτῷ δὲ χαλεπώτερον τὸ πτῶμα εἰργάσατο; τί δὲ ὁ Κάϊν; οὐχὶ μόνος ἤντλησε τὰ κακά; οὐχί φησιν, ἀλλὰ καὶ ὁ Ἄβελ. πῶς καὶ τίνι τρόπῳ, ὅτι ταχέως εἰς τὸν ἀκύμαντον παρεπέμφθη λιμένα; ἀλλὰ τοῦτο μέγιστον εὐεργεσίας εἶδος ἦν, ὅτι μετὰ κατορθώματος κατέλυσεν, ὅτι τὸ κοινὸν τῆς φύσεως χρέος ἐπραγματεύσατο, καὶ γὰρ ὃ τοῖς ἄλλοις ἦν κοινὸν, καὶ κατ' ἀνάγκην παραγινόμενον, τοῦτο μετὰ ἐμπορίας τούτῳ παρεγένετο. ὥστε οὐχὶ κακὸν ἦν ὑπομεῖναι, ἀλλὰ στέφανον ἀναδήσασθαι λαμπρότερον. τί δὲ τὸν Ἰωσὴφ ἔβλαψαν οἱ ἀδελφοί; οὐκ αὐτοὶ μόνοι τὰ κακὰ ἤντλησαν; ἀλλὰ δοῦλος ἐγένετο φησί. καὶ τί τοῦτο; ἐγὼ δὲ λέγω, ὅτι καὶ δεσμώτης, ἀλλ' οὐ τοῦτό ἐστι τὸ ζητούμενον, εἰ δοῦλος γέγονε καὶ δεσμώτης, ἀλλ' εἰ βλάβην τινὰ ἐντεῦθεν ὑπέμεινε. τοὐναντίον γὰρ εὑρίσκομεν, ὅτι καὶ ἐκέρδανε τὰ μέγιστα, πλείονα παρὰ τῷ Θεῷ παῤῥησίαν κτησάμενος, καὶ δι' αὐτῶν τῶν δοκούντων ἐναντίων εἶναι, τὴν παροῦσαν εὐημερίαν λαβών. μὴ δὴ φοβώμεθα πονηρούς, ἀλλ' ἐλεῶμεν. τότε μὲν γὰρ εἰκότως ἦσαν φοβεροὶ, ἅτε οὐδέπω τῆς ὑψηλῆς ὁδοῦ τετμημένης τῆς ἐπὶ φιλοσοφίαν ἀγούσης, νυνὶ δὲ οὐκέτι τῶν οὐρανῶν ἡμῖν ἀνεῳγμένων, καὶ τῶν ἀνθρώπων ἀγγέλων γενομένων, ἐπεὶ καὶ θηρίον μετὰ πολλῆς ἐμπεσὸν τῆς ῥύμης τῇ τοῦ δόρατος αἰχμῇ, δοκεῖ μὲν τὸν

A est pater improbitatis: & ideo dicitur malus per excellentiam, & pro proprio sufficit nomen adiectiuum propter insigne vitium, quod quidem non est ingeneratũ naturâ, sed ei accessit. Quòd si etiam scire velis vnde sit deductum nomen improbitatis, magnum quoque hinc fructum percipies. Improbitas enim Græcè dicta est *πονηρία*, ab eo quòd *πόνον*, hoc est, laborem & ærumnam possessori afferat. Quocirca quidam sapiens hoc significans, dicit: Si sis malus, solus exantlabis mala. Sin bonus, tibiipsi atque tuis proximis. Et quo modo, dicet quispiam, malus solus mala exantlat? Atqui multos probris & contumeliis afficit. Sed neminem lædit, qui B non sit mollis, ignauus, & iners. Et si velis, malo homine dimisso, ipsum malum dæmonẽ in medium adducamus. Dic mihi autem, an non omnem suam effudit improbitatẽ? Nunquid autem læsit Iob? An non illum quidem reddidit clariorem, vt autem esset, grauior suus lapsus effecit? Quid verò Cain, an non solus mala exantlauit? Non, inquit, sed etiam Abel. Quomodo, & quánam ratione, qui celeriter transmissus est in portum nullis fluctibus agitaC tum? Sed hoc est maximum genus beneficij, quòd cum re à se rectè gesta obiit, quòd in communi naturæ debito suum gessit negotium. Nam quod erat aliis commune, & accidebat ex necessitate, hoc ei cum ampla mercede accidit. Hoc non erat malum sustinere, sed clariorem capiti coronam imponere. Quid verò Ioseph læserunt fratres? non ipsi soli mala exantlarunt? At fuit, inquit, seruus. Quid tum? Ego verò dico eum fuisse dominum. Sed non est hoc quod quæritur, an fuerit seruus, & in D vinculis: sed an ex eo damnum vllum acceperit. Contrarium enim inuenimus, nempe quòd plurima lucrifecerit, vt qui sit apud Deum plurimam fiduciam consecutus, & per ea quæ esse videbantur contraria, præsentem acceperit prosperitatem. Ne igitur timeamus improbos, sed eorum misereamur. Tunc enim iure quidem erant timendi, cùm nondum secta esset alia via, quę ducit ad philosophiã: nunc autem non amplius, cùm deinceps cœli nobis pateant, & homines angeli effecti sint. Nam & bestia quæ cum magno impetu irruit in hastæ aciem, videtur quidem

Prou. 9. 12. *Improbitas seu nequitia.* *Malus sibi ipsi soli nocet.* *Iob 1.* *Iob 2.* *Gen. 4.* *Matt. 23.* *Gen. 37. & 40.* *Improbi non timendi, sed miserandi.*

eum vlcisci qui tenet hastam, verùm sibiipsi grauius vulnus infligit, itidem pedes sibi cruentat. Talis est virtus, stimulus, & gladius acutus: omnes autem improbi, sunt deteriores, & rationis magis expertes quàm bestiæ. Quando ergo bonos inuadunt, seipsos grauiùs confodiunt: illis quidem sæpe in pecunia, nonnunquam etiam in corpore damnum afferentes: seipsos autem in anima, quod quidem est verè damnum, lædentes. Si enim in propria nos virtute læderet damnum pecuniæ, non iussisset Paulus vt iniuria afficeremur, non autem faceremus iniuriam. Si malum esset iniuria affici, non qui est bonorum legislator, mala iussisset. Verum enimuero quamuis res ita se habeant, non oportet malis insultare, nec in eos impetum facere, sed eorum vitare consuetudinem: sed si inuadant, forti & generoso animo eos excipere. Propterea enim iubemur orare ne intremus in tentationem. Quocirca ipse quoque cùm dixisset, Eripe me Domine ab homine malo, subiunxit, A viro iniquo eripe me, ponens rursus generale nomen vitij. Non solum enim eum qui in pecunia, sed eum etiam qui est in omnibus aliis iniustus, hîc dicit. Rogat autem vt liberetur, nec fiat vt ille est. Non petit autem absolutè, nisi cùm sua prius contulerit. Et ideo in fine prioris psalmi, cùm eos fugisset, & eorum consuetudinem, petit hic Dei auxilium. Illic enim quæ sua erant, contulerat, dicens, Viri sanguinum declinate à me, quia litigiosi estis in cogitationibus. Hîc autem rogat Deum vt liberetur ab eorum improbitate. Non enim paruum aut leue quid est ad securitatem, libertatem, & omnem voluptatem, liberati à tali hominum cœtu, & quàm longissimè ab improborum consuetudine versari, imò verò magna est fœlicitas. Deinde ipsorum describens improbitatem addit, & ait: 3. *Qui cogitauerunt iniquitatem in corde. Quotidie constituebant prælia.* Vidisti quomodo sint feræ, quæ neque obseruari, neque vitari possunt, vt qui mala in animo machinentur, & celent in arcanis insidias. Cogitauerunt, inquit, in corde. Hoc est, non extra protulerunt, sed intus agitabant & versabãt scelus parturientes, &,

1. Cor 6.
Matth. 5.
Luc. 6.

Malis hominibus nõ insultandũ.

Improborũ consuetudo vitanda.

A κατέχοντα τὸ δόρυ ἀμύνεσθαι, ἑαυτὸ δὲ περιπείρει χαλεπωτέραν πληγήν· καὶ ὁ πρὸς κέντρα λακτίζων ὁμοίως τοὺς πόδας αἱμάττει. τοιοῦτόν ἐστιν ἡ ἀρετὴ, κέντρα καὶ ξίφος ἠκονημένα· οἱ δὲ πονηροὶ πάντες τῶν θηρίων χείρους καὶ ἀλογώτεροι. ὅταν τοίνυν ἐπίωσι τοῖς ἀγαθοῖς, ἑαυτοὺς χαλεπώτερον περιπείρουσι, τοὺς μὲν εἰς χρήματα πολλάκις ἢ σώματα ζημιοῦντες, αὐτοὶ δὲ εἰς ψυχὴν παραβλαπτόμενοι τὴν ὄντως ζημίαν. εἰ γὰρ ἔβλαπτεν ἡμᾶς εἰς τὴν οἰκείαν ἀρετὴν ἡ τῶν χρημάτων ζημία, οὐκ ἂν ἐκέλευσεν ὁ Παῦλος ἀδικεῖσθαι, καὶ μὴ ἀδικεῖν. εἰ κακὸν τὸ ἀδικεῖσθαι ἦν, οὐκ ἂν ὁ τῶν ἀγαθῶν νομοθέτης κακὰ ἐπέταξε. πλὴν ἀλλὰ καὶ οὕτω τῶν πραγμάτων ἐχόντων, οὐ δεῖ τοῖς πονηροῖς ἐπιπηδᾶν, οὐδὲ ὁμόσε χωρεῖν, ἀλλὰ φεύγειν, καὶ ἐκκλίνειν αὐτῶν τὰς συνουσίας, ἐπιόντας δὲ μετ' ἀνδρείας δέχεσθαι. διὰ γὰρ τοῦτο κελευόμεθα εὔχεσθαι μὴ εἰσελθεῖν εἰς πειρασμόν. διὸ καὶ οὗτος εἰπών· ἐξελοῦ με κύριε ἐξ ἀνθρώπου πονηροῦ, ἐπάγει τό· ἀπὸ ἀνδρὸς ἀδίκου ῥῦσαί με, πάλιν γενικὸν ὄνομα τῆς κακίας τιθείς. οὐ γὰρ ἁπλῶς τὸν περὶ τὰ χρήματα ἄδικον, ἀλλὰ τὸν περὶ πάντα ἐνταῦθα λέγει. ἀξιοῖ δὲ ῥυσθῆναι, ὥστε μήτε περιπεσεῖν, μήτε κατ' ἐκεῖνον γενέσθαι. καὶ οὐχ ἁπλῶς αἰτεῖ, ἀλλὰ τὰ παρ' ἑαυτοῦ συνεισενεγκών. διά τοι τοῦτο ἐν τῷ τέλει τοῦ προτέρου ψαλμοῦ φυγὼν αὐτοὺς, καὶ τὴν πρὸς αὐτοὺς συνουσίαν, ἐνταῦθα τὴν παρὰ τοῦ Θεοῦ ῥοπὴν αἰτεῖ. ἐκεῖ μὲν γὰρ τὰ παρ' ἑαυτοῦ εἰσήνεγκε λέγων, ἄνδρες αἱμάτων ἐκκλίνατε ἀπ' ἐμοῦ, ὅτι ἐρισταί ἐστε εἰς διαλογισμούς. ἐνταῦθα δὲ τὸν Θεὸν παρακαλεῖ ῥυσθῆναι ἀπὸ τῆς πονηρίας αὐτῶν. οὐ γὰρ τὸ τυχὸν εἰς ἀσφάλειας λόγον, καὶ ἀδείας καὶ ἐλευθερίας καὶ ἡδονῆς ἁπάσης τὸ τῶν τοιούτων ῥύεσθαι συλλόγων, καὶ ὡς πορρωτάτω κατασκηνοῦν τῆς τῶν πονηρῶν συνουσίας, ἀλλ' ἡ μεγίστη τοῦτο εὐημερία. εἶτα ὑπογράφων αὐτῶν τὴν πονηρίαν ἐπάγει, καὶ λέγει· οἵτινες ἐλογίσαντο ἀδικίαν ἐν καρδίᾳ, ὅλην τὴν ἡμέραν παρετάσσοντο πολέμους. εἶδες πῶς δυσφύλακτα τὰ θηρία κατὰ διάνοιαν θηρεύοντες τὰ κακὰ, καὶ καταχρύπτοντες ἐν τοῖς ἀπορρήτοις τὰς ἐπιβουλάς. ἐλογίσαντο γὰρ, φησιν, ἐν τῇ καρδίᾳ, τουτέστιν, οὐκ ἔξω προήνεγκαν τέως, ἀλλ' ἔστρεφον ἔνδον ὠδίνοντες τὴν πονηρίαν, καὶ τὸ

B

C

D

δὲ χαλεπώτερον, οὐχὶ συναρπαθέντες, ἀλλὰ μελέτῃ τὸ πρᾶγμα ποιούμενοι. τοῦτο γάρ ἐστι τὸ ἐλογίζοντο, μετὰ σπουδῆς, μετὰ προθυμίας ἁπάσης. ὅλην τὴν ἡμέραν παρετάσσοντο πολέμους, τὸν βίον ἅπαντα διὰ τούτου δηλοῖ. πολέμους δὲ ἐνταῦθα, οὐ τούτους τοὺς ἐπὶ τῶν παρατάξεων, καὶ διὰ τῶν ὅπλων, ἀλλὰ τοὺς διὰ τῶν ἐπιβουλῶν αἰνίττεται, οὓς καὶ ἐν ἀγοραῖς καὶ ἐν οἰκίαις πολεμοῦσιν ἄνθρωποι, οὐ θώρακα ἐνδυόμενοι, οὐδὲ ἀσπίδα προβαλλόμενοι, ἀλλ' ἀντὶ παντὸς ὅπλου τῇ πονηρίᾳ κεχρημένοι, καὶ ῥήματα βελῶν πικρότερα ἀκοντίζοντες. τὸ μέγιστον δὲ αὐτῶν τῆς κακίας, οὐχ ὅτι δολεροὶ μόνον, οὐδ' ὅτι ὕπουλοι, οὐδ' ὅτι πρὸς πολέμους ἕτοιμοι καὶ μάχας, ἀλλ' ὅτι καὶ διὰ παντὸς τοῦ βίου, καὶ οὐδέποτε ἀναχωρὴν ἔχουσι τῆς χαλεπῆς ταύτης παρατάξεως. καί τοί γε εἴγε ἐβούλοντο πολεμεῖν, ἑτέραν εἶχον δικαίαν ὑπόθεσιν. κατὰ γὰρ τῶν ἁμαρτημάτων ἵστασθαι ἔδει, καὶ πρὸς τὸν διάβολον παρατάττεσθαι, καὶ πρὸς τὰ νοσήματα τῆς ψυχῆς μάχεσθαι, καὶ κατὰ τῶν δαιμόνων ἀκονᾷν τὰ ξίφη. οἱ δὲ ἐκείνην μὲν οὐδὲ περισκοποῦσι τὴν παράταξιν, κατὰ δὲ ἀλλήλων βάλλουσι τὰ βέλη. ἠκόνησαν γλῶσσαν αὐτῶν ὡσεὶ ὄφεως, ἰὸς ἀσπίδων ὑπὸ τὰ χείλη αὐτῶν ἀεί. εἶδες τῆς κακίας τὴν δυσγένειαν; ἐξ ἀνθρώπων θηρία ποιεῖ, ἀσπίδας καὶ ὄφεις, καὶ τὴν γλῶτταν, τὴν λογικὴν πρὸς ἐκείνην καταφέρει τὴν θηριωδίαν. ὅπερ δὲ ἀνωτέρω ἠτιάσατο, τοῦτο πάλιν καὶ ἐνταῦθα κατηγορεῖ. ποῖον δὴ τοῦτο; ἰὸς ἀσπίδων ὑπὸ τὰ χείλη αὐτῶν, φησιν, ἀεί, τουτέστι, διηνεκῶς. ὥσπερ γὰρ ἀνωτέρω εἶπεν, ὅλην τὴν ἡμέραν παρετάσσοντο πολέμους, οὕτω καὶ ἐνταῦθα, ἠκόνησαν γλῶτταν αὐτῶν ὡσεὶ ὄφεως. ἰὸς ἀσπίδων ὑπὸ τὰ χείλη αὐτῶν ἀεί. τὸ γὰρ διάψαλμα τοῦτο δηλοῖ πανταχοῦ. καὶ Ἑβραϊστὶ σελ εἴρηται) τὸ διάψαλμα, ὅπερ ἐστὶν ἀεί. καί τοί γε καὶ ἐν βραχεῖ καιρῷ φορτικὸν ἡ κακία, ὅταν δὲ καὶ διηνεκῶς αὐτὴν μετίωσι, καὶ μηδὲ κόρον λαμβάνωσι, ποίαν ἂν σχοῖεν συγγνώμην; ποίαν ἀπολογίαν; Φύλαξόν με κύριε ἐκ χειρὸς ἁμαρτωλοῦ, ἀπὸ ἀνθρώπων ἀδίκων ἐξελοῦ με. οἵτινες διελογίσαντο τοῦ ὑποσκελίσαι τὰ διαβήματά μου, ἔκρυψάν οἱ ὑπερήφανοι παγίδα μοι, καὶ σχοινίοις διέτειναν παγίδα τοῖς ποσί μου, ἐχόμενα τρίβου σκάνδαλα ἔθεντό μοι. οὐδὲν ἀδι-

&, quod est omnium grauissimum, non aliqua temeritate inducti, nec peruersi, sed omnem operam & studium in eam rem conferentes. Hoc enim sibi vult illud, Cogitauerunt, nempe omni studio, & maxima animi alacritate. Tota die constituebant prælia. Per hæc, omnem vitam significat. Bella autem significat, non ea quæ structa acie, nec quæ armis geruntur, sed quę paratis insidiis, quę & in foro & domi gerunt homines, non thorace induti, nec clypeo protecti, sed pro omnibus armis improbitate vtentes, & verba vel telis acerbiora mittentes. Improbitatis autem eorum est hoc maximum, quod nõ solùm sunt dolosi, ficti, & simulatores, nec quòd ad bella & prælia parati, sed etiã quòd per totam vitam, nec tetri huius belli vllæ sunt induciæ. Atqui si volebant belligerare, aliam iustam belli gerendi causam habebant. *Aduersus enim peccata decertare, & contra diabolũ aciem instruere oportebat, & pugnare contra morbos animæ, & enses in dæmones acuere. Hi autem illam aciem ne aspiciunt quidem, sed tela inter se mutuò iaculantur. 4. *Acuerunt linguam suam sicut serpẽtis. Venenum aspidum sub labiis eorum semper.* Vidisti quàm sit vile & ignobile vitium? facit ex hominibus bestias, aspides, & serpentes, & linguam illam quæ disserendi potestate prædita est, ad istam feritatem deducit. Id autem cuius eos superiùs insimulauit, id quoque eis nunc obijcit. Quidnam autem illud est? Venenum aspidum sub labiis eorum, inquit, semper, hoc est, assiduè. Quemadmodum enim superiùs dixit, tota die constituebant prælia: ita hîc etiam, Acuerunt linguas suas sicut serpentes: venenum aspidum sub labiis eorum semper. Hoc enim vbique significat Diapsalma. Diapsalma autem Hebraicè dictum est *Sel*, quod est, semper. Atqui vitium vel exiguo tempore res est grauis & molesta: quando autem id assiduè persequuntur, nec eos vlla eius capit satietas: quænam eis venia dari potest, & quænam erit eorum defensio? 5. *Custodi me Domine de manu peccatoris, & ab hominibus iniquis eripe me. Qui cogitauerunt supplantare gressus meos.*

6. *Absconderunt superbi laqueum mihi. Et funibus extenderunt laqueum pedibus meis. Iuxta iter scandala posuerunt mihi.* Nihil est

Attende quæso.

Coloss. 3. Hebr. 12. 1. Petr. 5.

Diapsalma.

iniquius iis, qui vitium persequuntur, qui ante alios suis ipsorum animis faciunt iniuriam. Cùm enim ipsi sint authores offensionis, cùm efficiant, vt Dei gloriæ detrahatur ab insipiētibus, cùm non exoluant quæ debent, sed qui corpus & animam à benigno & clementi Deo acceperint, sint agendæ gratiæ immemores, & qui tantum ornamentum & bonum acceperint, benefactori suo contraria rependant, quid his fuerit iniustius? quid verò ingratius? Et quod est maius, & omne scelus superat, alios quoque probris & contumeliis conantur afficere. Cogitauerunt enim, inquit, supplantare gressus meos. Quòd si quod cogitabant, minimè fuit effectum, id quoque summæ Dei clementiæ ascribendum est. Ipse enim scelerata eorum consilia cōfregit. Vide autem quàm meditatum erat scelus, & quanto studio paratæ insidiæ. Occultarunt enim, & extenderunt, idque iuxta iter, vt & propter longitudinem, & quòd laterent, & quòd propè tenderent, caperent, & in suam potestatem redigerent. Fuerunt enim sceleris artifices, dum laqueos vndique extenderent, hoc vnum sibi faciendum statuentes, vt eum perderent. Vis videre quomodo funes extendat diabolus? vide rursus id quod Iob accidit. Quid enim illis latius? quid longius? quid vera propinquius cùm non solùm in cognatis & amicis, nec in vxore tātùm, sed in ipso eius corpore laqueum tetenderit? 7. *Dixi Domino, Deus meus es tu. Exaudi Domine vocem deprecationis meæ, Domine, Domine, virtus salutis meæ.* Alius, Potentia salutis meæ. Postquam dixit bellum & insidias, & ostendit mala esse intolerabilia: confugit deinceps ad inexpugnabile auxilium è cœlo adiutorem implorans, qui hæc potest frangere & profligare. Hoc est argumentum generosi animi, hoc est signū mentis quæ tenetur studio sapientiæ, cùm hæc circunstiterint, non confugere ad humanum auxiliū, nec ad mortales cogitationes, sed in cœlū respicere, & Deum qui vbique præsens est, inuocare, non autem conturbari, animóve consternari. Vide autem quomodo vt eo dignum fuit, verba contexit. Non dixit enim, in hac & in illa re me rectè gessi, hec hanc feci iustitiam: sed quid? Deus meus

Ner. 4. Iob 5. Esa. 8.

Iob 1.

Affectus vt ad Deū confugiat.

A καίπερ τὴν κακίαν μετιόντων, οἱ παρὰ τὴν ἄλλων τὰς ἑαυτῶν ἀδικοῦσι ψυχάς. ὅταν γὰρ αὐτοὶ σκανδάλου γένωνται αἴτιοι, ὅταν τὴν τοῦ Θεοῦ δόξαν παρὰ τῶν ἀνοήτων λοιδορεῖσθαι παρασκευάζωσι, ὅταν τὰ ὀφειλόμενα οὐ καταβάλλωσιν, ἀλλὰ καὶ ψυχὴν καὶ σῶμα λαβόντες παρὰ τοῦ φιλανθρώπου Θεοῦ, ἀγνωμονῶσι περὶ τὰς ἀμοιβάς, καὶ κόσμου τοσούτου καὶ τηλικούτου ἀπολαύοντες ἀγαθοῦ τοῖς ἐναντίοις ἀμείβωνται τὸν εὐεργέτην, τί τούτων γένοιτ' ἂν ἀδικώτερον; τί δὲ ἀγνωμονέστερον; καὶ τὸ δὴ μεῖζον καὶ πλέον εἰς κακίας ὑπερβολήν, ὅτι καὶ ἑτέροις ἐπηρεάζειν B ἐπιχειροῦσι. διελογίσαντο γάρ, φησι, τοῦ ὑποσκελίσαι τὰ διαβήματά μου. εἰ δὲ μὴ εἰς ἔργον ἐξῆλθεν ὁ λογισμός, τοῦτο τῆς τοῦ Θεοῦ φιλανθρωπίας γέγονεν ἔργον. αὐτὸς γὰρ διέκοψε τὰ πονηρὰ αὐτῶν βουλεύματα. καὶ ὅρα πῶς ἦν μεμελετημένη ἡ πονηρία, καὶ μετὰ σπουδῆς ἡ ἐπιβουλή. καὶ γὰρ ἔκρυψαν, καὶ διέτειναν, καὶ ἐχόμενα τρίβου, ὥστε καὶ τῷ μήκει, καὶ τῷ λανθάνειν, καὶ τῷ πλησίον τείνειν, ἑλεῖν καὶ χειρώσασθαι. δημιουργοὶ γὰρ ἐγένοντο τῆς κακίας, πανταχόθεν ἐκτείνοντες τὰς πάγας, ἓν ἔργον τιθέμενοι τὸ C καθελεῖν. βούλει μαθεῖν, πῶς καὶ ὁ διάβολος τοιαῦτα τίθησι σχοινία; ὅρα πάλιν ἐπὶ τοῦ Ἰὼβ τὸ πρᾶγμα συμβαῖνον. τί γὰρ πλατύτερον ἐκείνων; τί δὲ μακρότερον; τί δὲ ἐγγύτερον, ὅπου γε οὐκ ἐν συγγενέσι μόνον, οὐδὲ φίλοις, οὐδὲ ἐν γυναικί, ἀλλ' ἐν αὐτῷ τῷ σώματι τὴν παγίδα ἔθηκεν; εἶπα τῷ κυρίῳ Θεός μου εἶ σύ· ἐνώτισαι κύριε τὴν φωνὴν τῆς δεήσεώς μου. κύριε κύριε δύναμις τῆς σωτηρίας μου. ἄλλος, κράτος τῆς σωτηρίας μου. εἰπὼν τὸν πόλεμον, καὶ τὰς ἐπιβουλάς, καὶ δείξας ἀφόρητα τὰ δεινά, κα- D ταφεύγει λοιπὸν ἐπὶ τὴν ἀχείρωτον συμμαχίαν, ἀπὸ τοῦ οὐρανοῦ καλῶν τὸν βοηθὸν ταῦτα λῦσαι δυνάμενον. τοῦτο ψυχῆς γενναίας δεῖγμα, τοῦτο φιλοσόφου διανοίας, ἡνίκα ἂν ταῦτα πανταχόθεν περίκειται, μὴ καταφεύγειν εἰς ἀνθρωπίνην συμμαχίαν, μηδὲ εἰς λογισμοὺς θνητούς, ἀλλὰ πρὸς τὸν οὐρανὸν ὁρᾶν, καὶ πανταχοῦ παρόντα καλεῖν τὸν Θεόν, μηδὲ τῆς ἀθυμίας γίνεσθαι καὶ τοῦ θορύβου, καὶ τῆς ταραχῆς. καὶ ὅρα πῶς ἀξίως ἑαυτοῦ τὸν λόγον κατασκευάζει· οὐ γὰρ εἶπε τὸ καὶ τὸ κατώρθωσα, καὶ τήνδε τὴν δικαιοσύνην εἰργασάμην· ἀλλὰ τί; Θεός μου

εἶ σύ, μέγιστον δικαίωμα συμμαχίας προβαλλόμενος τὸ πρὸς δεσπότην καταφυγεῖν, καὶ δημιουργὸν, καὶ βασιλέα. ἐνώτισαι κύριε τὴν φωνὴν τῆς δεήσεώς μου, κύριε, κύριε δύναμις τῆς σωτηρίας μου. δύναμις τῆς σωτηρίας εἶπε δεικνὺς, ὅτι ἐστὶ καὶ δύναμις κολάσεως, καὶ τιμωρίας. ἀλλ' ἐμοὶ τὴν δύναμιν τῆς σωτηρίας φησὶ, παρέσχες. δύνασαι μὲν γὰρ καὶ κακῶς ποιεῖν καὶ ἀναιρεῖν· ἀλλ' ἀεὶ πρὸς σωτηρίαν τὴν ἐμὴν ἐχρήσω τῇ δυνάμει σου. καὶ ὅρα τὸν πόθον τοῦ λέγοντος. τῷ γὰρ διπλασιασμῷ καὶ τῷ προσθεῖναι τῆς σωτηρίας μου, πολλὴν δείκνυσι τὴν διάθεσιν. ἐπεσκίασας ἐπὶ τὴν κεφαλήν μου, ἐν ἡμέρᾳ πολέμου. εἶδες τὴν εὐχάριστον ψυχὴν, τῶν προτέρων ἀναμιμνήσκει ἑαυτὸν, ὅτι ἐν ἀσφαλείᾳ κατέστησεν αὐτόν. τοῦτο γάρ ἐστι τὸ ἐπεσκίασας. καὶ ὅρα τὸ εὔκολον τοῦ Θεοῦ πῶς δείκνυσιν. οὐ γὰρ εἶπε, πρὸ τούτου, ἀλλ' ἐν αὐτῇ τῇ ἡμέρᾳ, φησὶν, ὅτε τὰ δεινὰ ἤρετο, ὅτε ἡ παράταξις ἦν, ὅτε περὶ τῶν ἐσχάτων ἐκινδύνευον, τότε με ἐν ἀσφαλείᾳ κατέστησας. οὐ γὰρ παρασκευῆς, ἢ παρακλήσεως δεῖται ὁ Θεὸς πάντα εἰδὼς, τά τε παρόντα, τά τε μέλλοντα, τά τε γεγενότα, καὶ πάντα δυνάμενος, καὶ ἀεὶ παρεστὼς ἕτοιμος εἰς βοήθειαν. εἶτα δηλῶν τὴν ὑπερβολὴν τῆς νίκης, καὶ τῆς ἀσφαλείας, οὐκ εἶπεν, ἔσωσάς με. ἀλλὰ τί; ἐπεσκίασας, τουτέστιν, οὐδὲ τὸ τυχὸν λυπηρὸν ὑπομεῖναι ἐποίησας, οὐδὲ ὅσον ἀπὸ καύματος· ἀλλ' ἐν τοσαύτῃ κατέστησας ἀσφαλείᾳ, καὶ μετὰ τῆς ἀσφαλείας ἐν ἡδονῇ καὶ ἀνέσει, ὡς μηδὲ τυχεῖν θέρμης τινὸς λυπούσης, ἀλλὰ σκιᾷ ἐντρυφᾷν, τουτέστι τῇ τῶν δεινῶν ἀπαλλαγῇ καὶ ἐλευθερίᾳ. διὰ τοῦτο ἐπήγαγε τὸ, ἐπεσκίασας, τοῦτό τε αὐτὸ δηλῶν καὶ τὸ εὔκολον τῆς βοηθείας τοῦ Θεοῦ δεικνὺς, διὰ τοῦ τῆς σκιᾶς ὀνόματος, ὡσανεὶ ἔλεγεν, ἀρκεῖ παρελθεῖν σε μόνον, καὶ πάντα λέλυται. μὴ παραδῷς κύριε ἀπὸ τῆς ἐπιθυμίας μου ἁμαρτωλῷ. ἄλλος, μὴ δῷς κύριε τὰς ἐπιθυμίας τοῦ παρανόμου. ὁ δὲ λέγει τοῦτό ἐστι, μὴ δῷς ἀπὸ τῆς ἐπιθυμίας τῆς κατ' ἐμοῦ, τουτέστιν, ἃ ἐπιθυμεῖ κατ' ἐμοῦ. ταῦτα μὴ ἀφῇς αὐτὸν πληρῶσαι. καὶ οὐκ εἶπεν, ἃ ἐπιθυμεῖ, ἀλλ' ἀπὸ ἐπιθυμίας μου, τοιοῦτόν τι βουλόμενος δηλῶσαι, μηδὲ μικρόν τι δῷς ὧν ἐπιθυμεῖ. τοιοῦτοι γὰρ οἱ πονηροί, μετὰ πολλῆς τῆς ἐπιθυμίας τὴν κατὰ τῶν πλησίον ἐργάζονται ἐπι-

A es tu, maximā causam afferens cur petat auxiliū, quod confugiat ad dominum, opificem, & regem. Exaudi Domine vocē deprecationis meæ, Domine, Domine, virtus salutis meæ. Dixit, virtus, seu potentia salutis, ostēdens esse etiam potentiam pœnæ & supplicij. Sed præbuisti, inquit, mihi virtutē salutis. Potes enim & nocere, & de medio tollere: sed ad meam salutem tua semper potentia vsus es. Vide autem amorē dicentis. Per conduplicationem enim, & quòd adiecit, salutis meæ, ostendit magnam affectionem. 8. *Obumbrasti super caput meum* B *in die belli.* Vidisti gratum animū? priora in memoriā reuocat, quòd eum scilicet in tuto collocauerit. Hoc enim sibi vult illud, Obumbrasti. Vide autem quomodo ostendat quòd facilè, & nullo negocio Deus ferat auxilium. Non enim dixit, antè, sed in ipso, inquit, die, quando mala imminebant, quando erat instructa acies, quando versabar in maximis periculis, tūc me in tuto collocasti. Neque enim aut apparatu aut exhortatione vlla Deus indiget, vt qui sciat quę sunt præsentia, futura, & præterita, & C qui omnia potest, & semper adest, & præstò est ad ferendum auxilium. Deinde ostendens insignem victoriam, & summā securitatem, non dixit, Seruasti me: sed quid? Obumbrasti: hoc est, vt ne minimam quidem molestiam sustinerem, effecisti, ac ne æstus quidem: sed me in tanta securitate & vna cū securitate in tanta iucūditate & animi quiete collocasti, vt nec vllus quidē calor mihi molestiam exhiberet, sed in vmbra iucundè & suauiter agere, liber scilicet ac remotus à malis & calamitatibus. Quocirca subiūxit illud, Obūbrasti, ea ratione D etiā significās quàm promptū & expeditum sit Dei auxiliū, nempe per vmbræ nomē, perinde ac si diceret, Sufficit si tantum adsis, & omnia fracta & profligata erunt. 9. *Non tradas me Domine à desiderio meo peccatori.* Alius, Ne des, Domine, desideria iniusti. Quod autem dicit, est eiusmodi. Ne concedas ei desiderium suum contra me, id est, Quæ aduersus me desiderat, ne permittas, vt ipse impleat. Non dixit autē, Quæ desiderat: sed, A desiderio meo, volens tale quid significare. Ne tantillum quidem concesseris eorum, quæ desiderat. Tales enim sunt improbi, cum maxima cupiditate in proximum moliuntur insi-

2. Par. 32. Esa. 25. 50

dias, quemadmodum diabolus quoque, de quo dicit: Circuit tanquam leo rugiens, quærens quem deuoret. Ita Iob cupidè aggressus est. Ita etiam de Petro inuadendo consultabat: & ideo dicebat: Quoties expetiuit te satanas cribrare vt triticū. Vidisti quantam habuerit cupiditatem? Sunt etiam homines qui inuidia adducti, & quòd malis lætentur, illius vitium imitantur. Quos quidem miseros appellat scriptura, dicens, Væ qui lætamini malis, qui delectamini in euersione improborum. Idque profectò meritò: hoc est enim praui & corrupti animi. Si enim dolendum, ingemiscendum, deflendum est propter eos qui pereunt: quam consequentur veniam, aut qua vtentur defensione, qui tantum abest vt eorum misereantur, vt etiam gaudeant? An non vidisti quod ipse quoque Christus cùm esset puniturus, deflet pereuntem Hierusalem? Non vides etiam Paulum propter aliorum interitum gementem & lugentem? Sed sunt nonnulli adeò corrupti & deprauati, vt suorum malorum solatium alienas ærumnas existiment. *Cogitauerunt contra me, ne derelinquas me, ne forte exaltentur semper.* Hoc enim sibi vult Diapsalma. Alius, Ne discedas, ne forte exaltentur. Hoc est scelerati & corrupti animi, quando & consilio & ocio & meditatione opus est ad vitium. Non sufficiunt quæ repente fiunt? non satis sunt ad nos perdendos quæ temerè & inconsideratè fiunt: sed & consilio & tempore & consideratione tibi opus est ad vitium? Quánam ergo vteris defensione: cùm studium & diligentiam adhibes, vt vitium exerceas, cùm pro malis faciendis consultas, & socios adsciscis? Sed vide istius humilitatem: Non dixit enim, Ne derelinquas me, quoniam sum dignus. Ne me derelinquas propter vitæ virtutem. Sed quid? Ne fortè exaltentur. Hoc est, Ne fiant arrogantiores, & ne in maiorem erigantur insolentiam propter meam derelictionem. 10. *Caput circuitus eorum, labor labiorum ipsorum operiet eos.* Alius, Exacerbatio eorum qui me circundant. Labor labiorum ipsorum operiat ipsos. Circuitum hìc dicit conuentum, concessum, improbam officinam, scelesta consilia. Quod autem dicit, est eiusmodi, Ipsa scelerata consilia,

1.Petr.5.8. Iob 1.& 2. Luc.22.31. Amos 6.13. Luc. 6. 2.Par.19. Esa.31. Hier.9. Rom.9. Luc.19. Rom.9. Meditatio in vitiis pessima. Vitium sibi ipsi pœna est.

A βουλὴν, καθάπερ καὶ ὁ διάβολος, περὶ οὗ φησιν, ὅτι περιέρχεται ὡς λέων ὠρυόμενος, ζητῶν τινὰ καταπίῃ· οὕτω μετ' ἐπιθυμίας προσέβαλε τῷ Ἰώβ. οὕτως ἐβουλεύετο τῷ Πέτρῳ προσβαλεῖν· διὸ καὶ ἔλεγε, ποσάκις ἐξητήσατό σε ὁ Σατανᾶς σινιάσαι σε ὡς τὸν σῖτον; εἶδες πόσην εἶχεν ἐπιθυμίαν; εἰσὶ καὶ ἄνθρωποι ἐκείνου ζηλωοῦντες κακίαν ὑπὸ βασκανίας καὶ φθόνου, καὶ τοῦ χαίρειν ἐπὶ κακοῖς. οὓς καὶ ταλανίζει ἡ γραφὴ λέγουσα, οὐαὶ οἱ εὐφραινόμενοι ἐπὶ κακοῖς, οἱ χαίροντες ἐπὶ διαστροφῇ κακῶν, καὶ μάλα εἰκότως· διεφθαρμένης γὰρ τοῦτο διανοίας. εἰ γὰρ

B καὶ ἀλγεῖν δεῖ, καὶ στένειν, καὶ θρηνεῖν ἐπὶ τοῖς ἀπολλυμένοις, τίνα ἂν σχοῖεν συγγνώμην, ποίαν δὲ ἀπολογίαν, οἱ μὴ μόνον οὐ συναλγοῦντες, ἀλλὰ καὶ χαίροντες; οὐκ εἶδες, ὅτι καὶ αὐτὸς ὁ κολάζειν μέλλων Χριστὸς δακρύει τὴν Ἱερουσαλὴμ ἀπολλυμένην; οὐχ ὁρᾷς καὶ Παῦλον στένοντα, καὶ στένοντα ταῖς ἑτέρων ἀπωλείαις, καὶ πενθοῦντα; ἀλλ' εἰσί τινες οὕτω διεφθαρμένοι, ὡς τῶν ἰδίων κακῶν παραμυθίαν ἡγεῖσθαι τὰς ἀλλοτρίας συμφοράς. διελογίσαντο κατ' ἐμοῦ, μὴ ἐγκαταλίπῃς με, μήποτε ὑψωθῶσιν ἀεί. ὃ γὰρ διά-

C ψαλμα τοῦτό ἐστιν. ἄλλος, μὴ ἀποβαίης, μήποτε ὑψωθῶσι. τοῦτο τῆς μιαρᾶς καὶ ἐφθαρμένης γνώμης, ὅταν καὶ βουλῆς καὶ σχολῆς, καὶ μελέτης δέωνται πρὸς τὴν κακίαν. οὐ γὰρ ἀρκεῖ τὰ ἀπὸ συναρπαγῆς γινόμενα; οὐ γὰρ ἱκανὰ τὰ κατὰ προπέτειαν ἡμᾶς ἀπολέσαι, ἀλλὰ καὶ βουλῆς σοι καὶ χρόνου, καὶ σκέψεως δεῖ πρὸς τὴν κακίαν; ποίαν οὖν ἕξεις ἀπολογίαν μελέτην ποιούμενος τὴν πονηρίαν, καὶ βουλὴν τιθέμενος ὑπὲρ τῆς τῶν κακῶν ἐργασίας, καὶ κοινωνοὺς λαμβάνων; ἀλλ' ὅρα τὴν τούτου ταπεινοφροσύνην.

D οὐ γὰρ εἶπε, μὴ ἐγκαταλίπῃς με, ὅτι ἄξιός εἰμι, μὴ ἐγκαταλίπῃς με διὰ τὴν τοῦ βίου ἀρετήν, ἀλλὰ τί; μήποτε ὑψωθῶσιν, ὥστε μὴ ἀλαζονικωτέρους γενέσθαι, καὶ εἰς πλείονα ἀπόνοιαν ἀρθῆναι διὰ τῆς ἐμῆς ἐγκαταλείψεως. ἡ κεφαλὴ τοῦ κυκλώματος αὐτῶν, κόπος τῶν χειλέων αὐτῶν καλύψει αὐτούς. ἄλλος, ὁ πικρασμὸς τῶν κυκλούντων με, ὁ μόχθος τῶν χειλέων αὐτῶν πωμασάτω αὐτούς. κύκλωμα ἐνταῦθα τὸ σύλλογον λέγει, τὸ συνέδριον, τὸ πονηρὸν ἐργαστήριον, τὰ διεφθαρμένα βουλεύματα. ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· αὐτὰ τὰ πονηρὰ βουλεύματα,

καὶ τὸ

καὶ τὸ κεφάλαιον τῆς πονηρίας, καὶ διεφθαρμένης γνώμης, αὐτὸ αὐτοὺς καταδύσει, καὶ ἀπολέσει. κόπος τῶν χειλέων αὐτῶν. κόπον ἐνταῦθα τὴν πονηρίαν καλεῖ. καὶ γὰρ τοιοῦτον ἡ πονηρία, αὐτῷ τῷ κεκτημένῳ γίνεται ὄλεθρος, καὶ ὑποβρύχιον αὐτὸν ἐργάζεται. τοῦτο γέγονεν ἐπὶ τοῦ Δαβίδ· μυρίοις γὰρ αὐτὸν προσεδόκησαν περιβαλεῖν κινδύνοις· ὁ δὲ λαμπρότερος ἦν. ναί, φησιν, ἀλλ' οὐ τοῦτο ζητῶ. ἀλλὰ πῶς τῇ οἰκείᾳ αὐτῶν βουλῇ βουλευσάμενοι περιεπάρησαν καὶ ἀπώλοντο, δεῖξον, καὶ ποῦ αὐτὸ τοῦτο συνέβη εἰπέ. ἐπὶ τῶν ἀδελφῶν τοῦ Ἰωσήφ. βουλόμενοι γὰρ αὐτὸν ποιῆσαι δοῦλον καὶ ἀπολέσαι, περὶ τῶν ἐσχάτων αὐτοὶ ἐκινδύνευσαν, καί τοι καὶ εἰς δουλείαν καὶ εἰς θάνατον, τότε αὐτῶν ἐνέπεσε μέρος. καὶ ὁ Ἀβεσσαλὼμ βουλόμενος διὰ τῆς τυραννίδος ἀπολέσαι τὸν πατέρα διὰ ταύτης αὐτὸς ἑάλω. πεσοῦνται ἐπ' αὐτοὺς ἄνθρακες πυρός. ἐν πυρὶ καταβαλεῖς αὐτούς. ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν, ἱκανὴ μὲν καὶ αὐτὴ ἡ πονηρία διαφθεῖραι τοὺς κεκτημένους αὐτήν, μετὰ δὲ ταύτης καὶ τὴν ἄνωθεν ὑποστήσονται ὀργήν. ἄνθρακας δὲ πυρὸς ἐνταῦθα καὶ πῦρ τὴν ἄνωθεν λέγει φερομένην τιμωρίαν. πολλάκις δὲ καὶ ἐπ' αὐτοῦ τοῦ πυρὸς γέγονεν, ὡς ἐπὶ τοῦ Δαθὰν, καὶ Κορὲ, καὶ Ἀβειρὼν, καὶ ἐπὶ τῶν κυκλωσάντων τὴν κάμινον τὴν Βαβυλωνίαν. ἐν ταλαιπωρίαις, καὶ οὐ μὴ ὑποστῶσιν. ἕτερος, πεσοῦνται εἰς βοθύνους, μήποτε ἀναστῶσιν. ἄλλος, ἐσπευσμένως, καὶ οὐ μὴ ἀνασταῖεν. κατὰ μὲν οὖν τὸν ἕνα ἑρμηνευτὴν τοιοῦτόν τί ἐστι τὸ λεγόμενον· οὕτως αὐτοὺς ἀπώλεσον, ὥστε μηκέτι ἀναστῆναι. κατὰ δὲ τὸν ἄλλον μετὰ πολλοῦ τοῦ τάχους. τοῦτο γάρ ἐστι τὸ ἐσπευσμένως. ἀνὴρ γλωσσώδης οὐ κατευθυνθήσεται ἐπὶ τῆς γῆς. εἰπὼν περὶ τῆς ὀργῆς τοῦ Θεοῦ πάλιν δείκνυσιν, ὅτι καὶ αὐτὴ καθ' ἑαυτὴν ἡ κακία ἱκανὴ διαφθεῖραι τοὺς ἔχοντας. οὐ μικρὸν δὲ καὶ τοῦτο εἶδος πονηρίας τὸ προπετῆ εἶναι, καὶ τῆς γλώττης μὴ κρατεῖν. γλωσσώδη γὰρ ἐνταῦθα, τὸν ὑβριστὴν λέγει, τὸν φλύαρον, τὸν λοίδορον, τὸν συνεχῶς ὑλακτοῦντα, τὸν οὐδὲν κυνὸς ἄμεινον διακείμενον. εἰπὲ καὶ τίς ὁ τούτου καρπός; οὐ κατευθυνθήσεται, φησιν, ἐπὶ τῆς γῆς. ἄλλος, οὐκ ἑδρασθήσεται, τουτέστι, περιτραπήσεται, κατενεχθήσεται, ἀπολεῖται. οὗτος ὁ τοῦ λοιδόρου καρπός, πᾶσι πολέμιος, πᾶσιν ἀηδής, πᾶσιν ἐπαχθὴς καὶ φορτικὸς ὁ τοιοῦτος, ὥσπερ οὖν ὁ μακρόθυμος, καὶ ἐπιεικής, καὶ σιγᾶν ἐπιστάμενος ἀσφαλής, καὶ βεβηκὼς

A & caput ac summa improbi & deprauati animi, ipsa eos obruerit & perdiderit. Labor labiorum ipsorum. Laborem hic vocat improbitatem. Res est enim eiusmodi improbitas, affert ei qui illam possidet, exitium, & vt obruatur efficit. Hoc in Dauid accidit. Expectabant enim fore vt in mala grauissima incideret: ille verò euasit clarior. Certè, inquit, sed hoc non quæro: verùm ostende quomodo proprio consilio consossi perierunt, & dic vbi hoc euenerit. In fratribus B Ioseph. Cùm enim vellent eum seruum facere ac perdere, ipsi extremum periculum adierunt. Atqui & in seruitutem & in mortem (quod in eis fuit) ille detrusus est. Et Absalon cùm inuasisset tyrannidem, & vellet patrem perdere, ipse per eam captus est. 11. *Cadent super eos carbones ignis, In ignem deijcies ipsos.* Quod dicit, est eiusmodi, Sufficit quidem vel ipsum vitium ad eos perdendos, qui ipsum complectuntur. Sed cum eo iram quoque diuinitus immissam sustinebunt. Carbones autem ignis & ignem hic C dicit supplicium, quod à superis immittitur. Sæpe autem in ipso quoque igne immissum est, sicut fuit in Dathan, Core, & Abiron, & iis qui circundederunt fornacem Babylonicam. *In miseriis, & non subsistent.* Alius, Cadent in foueas, ne resurgant. Alius, Properè, & non resurrexerint. Et vnius quidem interpretis sententia, tale est quod dicitur: Ita eos perde, vt non amplius resurgant: alterius verè sententia, Cum magna celeritate. Hoc enim sibi vult illud, Properè. 12. *Vir linguosus non dirigetur in terra.* Postquam D dixit de ira Dei, ostendit rursus ipsum per se vitium sufficere, vt eos perdat qui id habent. Non est autem hoc quoque paruum genus improbitatis, esse nimis insolentem, & linguam non posse cohibere. Linguosum enim hîc dicit hominem petulantem, nugatorem, maledicum, qui latrat assiduè, qui cane nihilo est melius affectus. Dic ergo qualis est eius fructus. Nõ diriget, inquit, in terra. Alius, Non stabilietur. Hoc est, Deijcietur, euertetur peribit. Hic est fructus maledici, est omnibus hostis, omnibus molestus, grauis, & acerbus. Queãdmodũ ergo qui est mitis, patiẽs, & lenis, & scit, tacere, tutus est, gratus

Gen. 37.

2. Reg. 15. 18.

Carbones.

Num 16. Dan. 3.

Lingua petulantia.

Maledici fructus.

Prou. 3. Eccl. 3. Eccl. 9.

& iucundus omnibus: ita qui talis est, vitam agit lubricam, & valde periculosam, vndique innumerabiles inimicos ad se accersens & attrahens, & ante alios suam animam conturbans, non sinens eam quiescere, sed etiam nullo ei molestiam exhibente innumerabiles tumultus & bella intus excitans. *Virum iniustum mala capient in interitum.* Ita etiam dicit alius sapiens: Iniquitates virum venantur. Vide rursus vitium sufficere ad eum perdendum qui id habet. Sed qua de causa posuit nomen venationis? Vt videas id esse ineuitabile: vt & si cùm iniustè te geras, non statim incidas, non ideo sis bono & fidenti animo. Talis enim est venatio: non semper, nec protinus assequitur: sed tamen quanuis in venatione non capiantur feræ, ne sic quidem tutæ sunt, licet laqueis nondum sint implicatæ. Ita etiam non confidat anima quæ iniustè facit, etsi nondum capta sit. Quandoque enim capietur. Si vis enim in tuto esse, cessa hæc agere, & magna frueris securitate. Cur autem dixit, in interitum? Quoniam multi capiuntur ad salutem: vt qui ab Apostolis, vt qui à sanctis viris. At non mali, quando eos venatur vitium: sed ad perniciem & interitum. Et cur non euestigio vitiũ consequitur supplicium? Propter domini clementiam. Si enim vellet de vnoquoque eorum qui peccant protinus suppliciũ sumere, maxima ex parte sublatum esset humanum genus. 13. *Cognoui quia faciet Dominus iudiciũ inopum, & vindictam pauperum. Verumtamen iusti confitebuntur nomini tuo, & habitabunt recti cum vultu tuo.* Alius, Apud vultum tuum. Pro habitabunt autem, alius dicit, Permanebunt. & alius, Sedebunt: & pro cognoui, scio. Quoniam enim dixit, venabuntur, & peribunt, nec ostendit statim imminere supplicium: ne quis crassior ideo redderetur negligentior, subiunxit illud, Cognoui, ostendens id omnino futurum. Qui enim iniuria affecti sunt, non manebunt inulti. Pauperes autem hîc non intelligit absolutè pauperes, sed eos qui sunt valde humiles, qui sunt contriti. Hæc autem dicit, & eos qui iniuria afficiuntur consolans, & eos qui faciunt iniuriam, corrigens & admonens: vt nec illi propter moram desperent: nec hi propter dilationem reddãtur socordiores.

Peccatum, venationi cur comparetur.

Eccl. 9. Prou. 11. Esa. 32. Ezech. 28. Thre. 3. Rom. 2.

Chald. reuertentur.

Matth. 5. Pauperes.

A καὶ πᾶσιν ἐπίχαρις· οὕτως ὁ τοιοῦτος σφαλερὸν μέτεισι βίον, μυρίους πανταχόθεν ἐχθροὺς ἐπισπώμενος, καὶ πρὸ τῶν ἄλλων τὴν ψυχὴν ταράττων τὴν ἑαυτοῦ, καὶ οὐκ ἀφιεὶς εἶναι ἐν ἡσυχίᾳ, ἀλλὰ καὶ μηδενὸς ἐνοχλοῦντος, μυρίους πολέμους καὶ θορύβους ἔνδον ἐγείρων. ἄνδρα ἄδικον κακὰ θηρεύσει εἰς διαφθοράν. οὕτω καὶ ἄλλος σοφὸς λέγει, παρανομίαι ἄνδρα ἀγρεύουσιν. ὁρᾷς πάλιν τὴν κακίαν ἀρκοῦσαν εἰς διαφθορὰν τῶν ἐχόντων. ἀλλὰ τίνος ἕνεκεν τὸ τῆς θήρας ἔθηκεν ὄνομα; ἵνα τὸ ἄφυκτον ἴδῃς, ἵνα κἂν μὴ παραυτίκα ἐμπέσῃς ἀδικῶν, μὴ θαῤῥήσῃς. τοιαύ-

B τη γὰρ ἡ ἄγρα· οὐκ ἀεὶ ἐπιτυγχάνει, οὐδὲ εὐθέως· ὅμως κἂν μὴ ἁλῷ τὰ ἄγρια ζῶα καὶ τὰ θηρευόμενα, οὐδὲ οὕτως ἐν ἀσφαλείᾳ τυγχάνει, κἂν μηδέπω τῶν δικτύων ἔνδον γένηται. οὕτω τοίνυν μηδὲ ψυχὴ θαῤῥείτω ἄδικα πράττουσα, καὶ μηδέπω ἁλοῦσα. ὅτε γάρ δήποτε ἁλώσεται. εἰ γὰρ βούλει ἐν ἀσφαλείᾳ εἶναι, παῦσαι ταῦτα πράττων καὶ πολλῆς ἀπολαύσῃ τῆς ἀδείας. τί δή ποτε δὲ εἶπεν εἰς διαφθοράν; ὅτι πολλοὶ καὶ εἰς σωτηρίαν ἐθηρεύθησαν· ὡς οἱ παρὰ τῶν ἀποστόλων, ὡς οἱ παρὰ τῶν ἁγίων ἀνδρῶν. ἀλλ'

C οὐχ οἱ πονηροὶ, ὅταν ὑπὸ τῆς κακίας θηρεύωνται· ἀλλ' ἐπ' ἀπωλείᾳ καὶ διαφθορᾷ. καὶ διὰ τί οὐ παρὰ πόδας τῆς κακίας ἕπεται τὰ τῆς τιμωρίας; διὰ τὴν τοῦ δεσπότου φιλανθρωπίαν. εἰ γὰρ ἐβούλετο τῶν ἁμαρτανόντων ἕκαστον εὐθέως ὑπὸ τὴν τιμωρίαν ἄγειν, παρανηρπάσθη ἂν τὸ πλέον γένος τῶν ἀνθρώπων. ἔγνων, ὅτι ποιήσει κύριος τὴν κρίσιν τῶν πτωχῶν, καὶ τὴν δίκην τῶν πενήτων. πλὴν δίκαιοι ἐξομολογήσονται τῷ ὀνόματί σου, καὶ κατοικήσουσιν εὐθεῖς σὺν τῷ προσώπῳ σου. ἄλλος, παρὰ τῷ προσώπῳ σου. ἀντὶ δὲ τοῦ κατοικήσουσι,

D διαμενοῦσιν ἕτερος λέγει, καὶ ἄλλος, καθεδοῦνται· ἀντὶ δὲ τοῦ ἔγνων, οἶδα. ἐπειδὴ γὰρ εἶπεν, ὅτι θηρεύσει, καὶ ὅτι ἀπολοῦνται, καὶ οὐκ εὐθέως, δείκνυσι τὴν τιμωρίαν ἐπαγομένην· ἵνα μηδεὶς διὰ τοῦτο τῶν παχυτέρων ῥαθυμότερος γένηται, ἐπήγαγε τὸ οἶδα δεικνὺς, ὅτι πάντως ἔσται τοῦτο. οὐ γὰρ μενοῦσι τὰ τῶν ἀδικουμένων ἀνεκδίκητα. πτωχοὺς δὲ ἐνταῦθα οὐχ ἁπλῶς τοὺς πένητας καλεῖ, ἀλλὰ τοὺς σφόδρα ταπεινοὺς, τοὺς συντετριμμένους. ταῦτα δὲ λέγει, καὶ τοὺς ἀδικουμένους παραμυθούμενος, καὶ τοὺς ἀδικοῦντας σωφρονίζων, ἵνα μήτε ἐκεῖνοι τῷ μήκει ἀπογνῶσιν, μήτε οὗτοι διὰ τὴν ἀναβολὴν ῥαθυμότε-

ρον). ἡ γὰρ ἀναβολὴ εἰς μετάνοιαν ἄγει· τὸν δὲ ἐπιμένοντα χαλεπώτερον κολάζει, καὶ μάλα δικαίως. διὰ τί; ὅτι τοσαύτης ἀπολαύσαντες ἀγαθότητος, οὐκ ἐγένοντο βελτίους. ἐννόησον γὰρ ὅση τοῦ Θεοῦ φιλανθρωπία; ὅταν τοὺς ἀνακειμένους αὐτῷ ἀνέχηται πάσχοντας κακῶς, καὶ μὴ ἐπεξίῃ τῷ μετανοίᾳ βελτίω ποιῆσαι βουλόμενος. πλὴν δίκαιοι ἐξομολογήσονται τῷ ὀνόματί σου. τί ἐστιν ὃ λέγει; ὅπερ ἂν γένηται, φησιν, ἐκεῖνοι εὐχαριστήσουσι, κἂν τοὺς ταπεινοὺς ἴδωσιν ἐπηρεαζομένους, καὶ τοὺς πονηροὺς ἐπαιρομένους, οὐκ ἀπαιτήσουσιν εὐθύνας τῶν γινομένων. τοῦτο γὰρ δικαίων μάλιστα, τὸ διαπαντὸς, καὶ ἐν ἅπασιν εὐχαριστεῖν. καὶ κατοικήσουσιν εὐθεῖς σὺν τῷ προσώπῳ σου, τουτέστι, τῆς βοηθείας ἀπολαύσαντες τῆς παρὰ σοῦ, τὴν ἔννοιαν ἔχοντες τὴν περὶ σοῦ, ἀεὶ μετὰ σοῦ ὄντες, οὐδέποτε ἀποστήσονται, ὅπερ ἂν γένηται, οὐδέποτε δυσχερανοῦσιν, οὐδέποτε μέμψονται τοῖς γινομένοις. τοῦτο γὰρ ψυχῆς ἀπεριτρέπτου· τοῦτο γνώμης ἀκλινοῦς, μὴ ἀπαιτεῖν τὸν δεσπότην εὐθύνας. διὸ καὶ Παῦλος ἔλεγε· μενοῦνγε ὦ ἄνθρωπε σὺ τίς εἶ ὁ ἀνταποκρινόμενος τῷ Θεῷ; μὴ ἐρεῖ τὸ πλάσμα τῷ πλάσαντι, τί με ἐποίησας οὕτως; ταύτην τοίνυν καὶ ἡμεῖς διαπαντὸς τηρῶμεν τὴν εὐγνωμοσύνην. ὑπὲρ πάντων εὐχαριστοῦντες τῷ Θεῷ, ὅτι αὐτῷ ἡ δόξα καὶ ἡ εὐχαριστία, καὶ ἡ προσκύνησις νῦν καὶ ἀεὶ καὶ εἰς ἀτελευτήτους αἰῶνας τῶν αἰώνων, ἀμήν.

A Dilatio enim ducit ad pœnitentiam: cum autem qui perseuerat, punit grauius: idque meritò. Quare? Quòd cùm in se tantam bonitatem senserint, nequaquam meliores euaserint. Cogita namque quanta sit Dei clementia, quando eis qui sunt sibi dedicati, mala pati permittit, nec de eo qui malum facit, pœnas sumit, volens eum meliorem facere pœnitentia. Verumtamen iusti confitebuntur nomini tuo. Quid est quod dici? Quodcunque, inquit, euenerit, illi agent gratias: seu viderint humiles probris & iniuriis affectos, B seu malos elatos, non exigent rationem cur illa fiant. Hoc est enim vel maximè Et habitabunt recti cum vultu tuo. Hoc est, Tuum assecuti auxilium, & de te cum suis animis cogitantes, semper tecum versantes, à te nonnunquam recedent. Quicquid euenerit, nihil vnquam eis ægrè fuerit, nec de eis quæ accident, vnquam quærentur. Hoc est enim animi immobilis, hoc firmæ mentis ac stabilis, non poscere à domino eorum quæ fiunt rationem. Quocirca dicebat Paulus: Verumtamen ô homo, tu es qui respondeas Deo? Nunquid dicit figmentum figulo, Cur me C fecisti sic? Hoc igitur modo nos perpetuò quoque simus grato & memori animo, pro omnibus Deo gratias agentes: quoniam ei gloria, & gratiarum actio, & adoratio, nunc, & semper, & in infinita secula seculorum, Amen.

Ratio à Deo non poscenda.
Rom. 9.20

Εἰς τὸν ρμ' ψαλμόν.

Κύριε ἐκέκραξα πρὸς σὲ, εἰσάκουσόν μου· πρόσχες τῇ φωνῇ τῆς δεήσεώς μου.

ΤΟΥΤΟΥ τοῦ ψαλμοῦ τὰ μὲν ῥήματα ἅπαντες, ὡς εἰπεῖν, ἴσασι, καὶ διὰ πάσης ἡλικίας διατελοῦσι ψάλλοντες· τὴν δὲ διάνοιαν τῶν εἰρημένων ἀγνοοῦσιν. ὅπερ οὐ μικρὸν εἰς κατηγορίας λόγον, τὸ καθ' ἑκάστην ἡμέραν ψάλλοντας, καὶ διὰ στόματος τὰ ῥήματα περιφέροντας

IN PSALMVM CXL.

D *Domine clamaui ad te, exaudi me: intende voci meæ, cùm clamauero ad te.*

HVIVS quidem psalmi verba pene omnes sciunt, & per omnem ætatem perpetuò canunt: quis sit autem sensus eorũ, quæ dicta sunt, nesciunt. Quod quidem non est parua reprehensione dignum, quod qui quotidie canunt, & ore verba proferunt,

non quærunt vim sententiarum, quæ in his verbis sitæ sunt. Sed si viderit quidem quispiam aquam puram & limpidam, non se tenuerit, quin ad eam accedat, tangat, & bibat, & qui in pratum assiduè ingreditur, nisi collectis prius aliquot floribus, recedere minimè sustinuerit. Vos autem qui ab ineunte ætate ad extremam vsque senectutem hunc psalmum meditamini, nihil aliud quàm verba perpetuò tenetis, & absconso thesauro assidetis, & obsignatam crumenam circumfertis, & nec à curiositate quidem incitatus est quispiam vt disceret, quid est quod dicitur: non quæsiit, non scrutatus est. Quanquã nec illud quidem dici potest, quòd cùm esset psalmus apertus, omnes inuitauit ad somnum, nec siuit vt quæreretur quod erat ad manum. Est enim obscurus, & qui sufficit ad eum excitandum, qui non nimis profundè dormit, imò verò eum etiam qui dormit. Quid enim est illud, 4. *Ne declines cor meum in verba malitiæ?* Quid verò, 5. *Corripiet me iustus in misericordia, & increpabit me?* Quod autem consequitur, dic quæso, an non est quibuslibet tenebris tenebricosius? *Quoniam adhuc & oratio mea in beneplacitis eorum:* 6. *Absorpti sunt iuncti petræ iudices eorum?* Quanuis tamen tot sint obscura, veluti quoddam canticum, ea multi leuiter prætercurrũt. Sed ne dum in reprehensione nimium immoramur, molesta euadat oratio, agè ad ea quæ dicta sunt perscrutanda veniamus. Sed diligenter attendite: neque enim puto fuisse temerè decretum à patribus, vt hic psalmus diceretur quotidie, nec id quidem propter id quod in eo dicitur, *Eleuatio manuum mearum sacrificium vespertinum.* Nam idipsum quoque in aliis psalmis dicitur, quemadmodũ in illo qui dicit, Vespere & mane & meridie narrabo, & annunciabo. Et rursus, Tuus est dies, & tua est nox. Et rursus, Vespere demorabitur fletus, & in matutino exultatio. & multi possunt inueniri psalmi qui vespertino tempori conueniant. Non ergo propterea hunc psalmum decreuerunt patres, sed tanquam salutare aliquod pharmacum & peccatorum piaculum, vt is diceretur, constituerunt: vt quæcunq. sordes aut maculæ fuerint à nobis toto die susceptæ,

Psalmus hic quotidianus apud Græcos.
Psal. 54.
Psal. 73.
Psal. 29.

A μὴ ζητοῦσαι τῶν νοημάτων τὴν δύναμιν, τὴν ἐναποκειμένην τοῖς ῥήμασιν. ἀλλ' ὕδωρ μέν τις διαφανὲς καὶ καθαρὸν ὁρῶν, οὐκ ἂν ἀνάσχοιτο μὴ προσελθεῖν, καὶ ἅψασθαι, καὶ πιεῖν, καὶ εἰς λειμῶνά τις συνεχῶς εἰσιὼν, οὐκ ἂν ὑπομείνειε μὴ συλλέξας τι τῶν ἀνθῶν ἐξελθεῖν· ὑμεῖς δὲ ἐκ πρώτης ἡλικίας εἰς ἔσχατον γῆρας τοῦτον μεταχειρίζοντες τὸν ψαλμὸν, διατελεῖτε τὰ ῥήματα εἰδότες μόνον, καὶ παρακάθησθε θησαυρῷ συνεσκιασμένῳ, καὶ βαλάντιον περιφέρετε ἐσφραγισμένον, καὶ οὐδὲ ὑπὸ πολυπραγμοσύνης ἐπηξιώθη τις μαθεῖν, B τί ποτέ ἐστι τὸ λεγόμενον. οὐκ ἐζήτησεν, οὐκ ἠρεύνησε. καίτοι γε οὐδὲ ἐκεῖνο ἔστιν εἰπεῖν, ὅτι σαφὴς ὢν ὁ ψαλμὸς πάντας εἰς ὕπνον ἤγαγε, καὶ οὐκ ἀφῆκε ζητεῖσθαι τὸ πρόχειρον κείμενον. καὶ γάρ ἐστιν ἀσαφὴς, καὶ ἱκανὸς διεγεῖραι τὸν μὴ σφόδρα καθεύδοντα, μᾶλλον δὲ καὶ τὸν καθεύδοντα. τί γάρ ἐστι τὸ μὴ ἐκκλίνῃς τὴν καρδίαν μου εἰς λόγους πονηρίας; τί δὲ τὸ παιδεύσει με δίκαιος ἐν ἐλέει, καὶ ἐλέγξει με; τὸ δὲ μετὰ τοῦτο εἰπέ μοι, οὐκ ἔστι παντὸς ζοφωδέστερον, ὅτι ἔτι καὶ ἡ προσευχή μου ἐν ταῖς εὐδοκίαις αὐτῶν, κατεπόθησαν ἐχόμενα C πέτρας οἱ κριταὶ αὐτῶν. ἀλλ' ὅμως τοσούτων ὄντων ἀσαφῶν, ὥσπερ τινὰ ᾠδὴν ἁπλῶς παρατρέχουσιν οἱ πολλοί. ἀλλ' ἵνα μὴ τὴν κατηγορίαν ἐπὶ πλέον ἐπιτείνοντες, φορτικὸν τὸν λόγον ἐργασώμεθα, φέρε δὴ πρὸς τὴν ἑρμηνείαν τῶν εἰρημένων βαδίσωμεν. ἀλλὰ προσέχετε μετ' ἀκριβείας· οὐδὲ γὰρ ἁπλῶς οἶμαι τὸν ψαλμὸν τοῦτον τετάχθαι παρὰ τῶν πατέρων, καθ' ἑκάστην ἑσπέραν λέγεσθαι, οὐδὲ διὰ τὴν μίαν λέξιν τὴν λέγουσαν, ἔπαρσις τῶν χειρῶν μου θυσία ἑσπερινή. ἐπεὶ καὶ ἄλλοι ψαλμοὶ ταύ- D την ἔχουσι τὴν λέξιν, ὥσπερ ἐκεῖνος ὁ λέγων, ἑσπέρας καὶ πρωῒ καὶ μεσημβρίας διηγήσομαι, καὶ ἀπαγγελῶ. καὶ πάλιν, σή ἐστιν ἡ ἡμέρα, καὶ σή ἐστιν ἡ νύξ. καὶ πάλιν τὸ, ἑσπέρας αὐλισθήσεται κλαυθμὸς, καὶ εἰς τὸ πρωῒ ἀγαλλίασις, καὶ πολλοὺς ἂν εὕροι τις ψαλμοὺς ἐπιτηδείους τῷ καιρῷ τῆς ἑσπέρας. οὐ διὰ τοῦτο τοίνυν τοῦτον τὸν ψαλμὸν ἐτύπωσαν οἱ πατέρες, ἀλλ' ὥς τι φάρμακον σωτήριον, καὶ ἁμαρτημάτων καθάρσιον ἐνομοθέτησαν λέγεσθαι· ἵν' ὅσαπερ ἂν προστριψώμεθα, δι' ὅλου τοῦ μήκους τῆς ἡμέρας,

ἢ ἐν ἀγορᾷ, ἢ ἐν οἰκίᾳ, ἢ ὅπου δήποτε διατρίβοντες, ταῦτα ἐλθόντες εἰς τὴν ἑσπέραν, διὰ τῆς ἐπῳδῆς ταύτης ἀποδυσώμεθα τῆς πνευματικῆς. φάρμακον γάρ ἐστιν ἁπάντων τούτων ἀναιρετικόν. τοιοῦτός ἐστι καὶ ὁ ἑωθινὸς ψαλμός· οὐδὲν γὰρ κωλύει ἐν βραχεῖ κἀκείνου ἐπιμνησθῆναι. τὸν πόθον γὰρ ἀνάπτει τὸν πρὸς τὸν Θεὸν, καὶ διεγείρει τὴν ψυχὴν, καὶ σφόδρα πυρώσας, καὶ πολλῆς ἐμπλήσας ἀγαθότητος, καὶ ἀγάπης, οὕτως ἀφίησι προσελθεῖν. ἴδωμεν δὲ καὶ πόθεν ἄρχεται, καὶ τί διδάσκει ἡμᾶς· ὁ Θεὸς, ὁ Θεός μου πρὸς σὲ ὀρθρίζω, ἐδίψησέ σε ἡ ψυχή μου, ὁρᾷς πῶς πεπυρωμένης δείκνυσι ψυχῆς ῥήματα; ἔνθα δὲ ἀγάπη Θεοῦ, πάντα οἴχεται τὰ πονηρά· ἔνθα μνήμη Θεοῦ, ἐνταῦθα ἁμαρτημάτων λήθη, καὶ κακῶν ἀναίρεσις. οὕτως ἐν τῷ ἁγίῳ ὤφθην σοι, τοῦ ἰδεῖν τὴν δύναμίν σου, καὶ τὴν δόξαν σου. τί ἐστιν οὕτως; μετὰ τοῦ πόθου, φησὶ, τούτου, μετὰ τῆς ἀγάπης ταύτης, ὥστε ἰδεῖν σου τὴν δόξαν, ἣν πανταχοῦ τῆς γῆς ἐστιν ἰδεῖν. ἀλλ' ἵνα μὴ τῶν ἐν χερσὶν ἀφέντες τὸ πάρεργον ἐπεισαγάγωμεν, παραπέμψαντες τὸν ἀκροατὴν εἰς τὰ ὑπὲρ ἐκείνου εἰρημένα, τῶν προκειμένων νῦν ἁψώμεθα. τί δέ φησιν οὗτος; κύριε ἐκέκραξα πρὸς σὲ, εἰσάκουσόν μου. τί λέγεις εἰπέ μοι; ὅτι ἐκέκραξας ἀκουσθῆναι ἀξιοῖς, καὶ ταύτην τίθης αἰτίαν, ὡς εὔλογον τοῦ ἀκουσθῆναι; οὐκοῦν μεγαλοφώνοις νῦν χρεία, καὶ τόνον ἐχόντων; ἀλλ' οὐκ ἂν ἔχοι τοῦτο λόγον. τί γὰρ ἥμαρτεν ὁ μικρόφωνος καὶ ἰσχνόφωνος καὶ βραδύγλωσσος; οὐχὶ τοιοῦτος ἦν ὁ Μωϋσῆς, καὶ πάντων μᾶλλον ἠκούετο; οὐχὶ πλείω πάντων οἱ Ἰουδαῖοι ἐβόων, ἀλλ' οὐκ ἐπένευσεν αὐτῶν ταῖς δεήσεσιν ὁ Θεός; τὸ γὰρ μέγα φωνῆσαι καὶ μικρὸν, φύσεως πλεονέκτημα καὶ ἐλάττωμα. ταῦτα δὲ οὔτε ἀκούεσθαι, οὔτε παρακούεσθαι ποιεῖ. οὔτε γὰρ ἐγκωμίων, οὔτε κατηγορημάτων ἄξια. πολλὰ γὰρ τῶν τῆς φύσεως πλεονεκτημάτων, καὶ μιαροῖς πρόσεστιν. οὐχὶ καλὸς ἦν, καὶ εὐειδὴς, καὶ μέχρι τῶν βοστρύχων αὐτοῦ εἷλκε τοῦ σώματος τὴν ὥραν ὁ Ἀβεσσαλώμ; τί δαί; οὐχὶ φαλακρὸς ἦν ὁ Ἐλισσαῖος, ὡς καὶ σκώπτεσθαι παρὰ τῶν παιδίων; ἀλλ' οὐδὲν ἐκεῖνον οἱ ὥρα ὠφέλησεν, οὔτε τοῦτον ἡ ἀμορφία παρέβλαψε. καὶ τί λέγω τὸν ἰσχνόφωνον, ἢ βραδύγλωσσον, ὅπου γε καὶ σιγῶν ἠκούετο Μωϋσῆς,

A dum vel in foro, vel domi, vel in quocunque alio loco versamur, eas cùm ad vesperum peruenerimus, per spiritale hoc carmen abstergamus. Est enim medicamentum quod delet hæc omnia. Talis est etiam Psalmus matutinus; nihil enim vetat illius quoque breuiter meminisse. Accendit enim in Deum desiderium, & animum excitat, & postquam valde inflammauit, & magna repleuit lætitia & charitate, ita permittit accedere. Videamus autem vndénam incipiat, & quid nos doceat: Deus Deus meus ad te de luce vigilo. Sitiuit te anima mea. B Vides quomodo ostendit verbum inflammati animi? Vbi est autem amor Dei, omnia mala recedunt: vbi est Dei memoria, illic est peccatorum obliuio, & malorum interitus. Sic in sancto apparui tibi, vt viderē virtutem tuam, & gloriam tuam. Quid est, Sic? Cum hoc, inquit, desiderio, cùm hac dilectione, vt videam tuam gloriam, quæ potest vbique videri. Sed ne eo qui est præ manibus relicto, aliū obiter introducamus, transmisso auditore ad ea quæ de illo dicta sunt, ad ea quę sunt C nobis proposita accedamus. Quid hic ergo dicit? Domine clamaui ad te, exaudi me. Quid quæso dicis? Quoniam clamasti, vis exaudiri, & eam affers iustam causam cur exaudiaris? Iis ergo qui magna & vehementi voce intensáque præditi sunt, opus est? Sed hoc fuerit à ratione alienum. Quid enim peccauit qui est parua & exili voce, tardæque & impeditioris linguæ? Nónne talis erat Moses, & omnibus magis exaudiebatur? Non Iudæi clamabant plusquam omnes, sed Deus eorum precibus non annuit? Magna enim & exili D voce esse præditum, sunt naturæ commoda. Ea autem non faciunt vt vel audiamur, vel non audiamur, vt quæ nec digna sint quæ vel laudentur vel vituperentur. Multa enim naturæ commoda adsunt etiam sceleratis. An non erat pulcher & formosus Absalon, & vsque ad capillos capitis porrigebatur eius corporis species? Quid autem? an non erat caluus Elissæus, vt etiam rideretur à pueris? Sed nec illum quidquā iuuit forma, nec hunc læsit deformitas. Et quid dico eum qui tenui & exili voce, tardiorísque & impeditioris linguæ: cùm vel tacens audiretur Moses,

Psalmus vespertinus. Psalmus matutinus.

Psal. 62. 1.

Clamor in insacr. feri. quid.

Exod. 4. Exod. 17. 31.

2. Reg. 14.

4. Reg. 2.

Exod. 14. 1. Reg. 1.

Esa. 15.

& Anna minimè loquens? Iudæos alloquens Deus dicebat: Si multiplicetis orationem, non exaudiam vos. Cur hic ergo dicit, Clamaui ad te, exaudi me? Clamorē hic dicit internū clamorem, quem cor inflāmatum peperit, & cōtritus animus, quo cùm clamaret Moses, exaudiebatur. Quēadmodum ergo qui clamat, omnes vires suas haurit & exinanit: ita etiā qui corde clamat, totam mentē suam cōuertit. Talē ergo clamorem Deus requirit, qui nō sinat oscitare, & eum qui canit, ad alia diuertere. Non solùm autem quærit talem clamorem, sed etiā vt ipse oretur. Sunt enim multi qui stant quidem, ad Deum autem non clamant, sed labra quidē ad Deum clamant, & nomen Dei circumferunt: mens autem nihil sentit eorum quæ dicuntur. Qui ita se gerit, non clamat, etsi maximè vociferetur. Qui ita se gerit, Deum non orat, etsi maximè videatur orare. At non ita Moses, sed clamabat, & exaudiebatur, & ideo ei à Deo dicitur, Cur ad me clamas? Non solùm autem clamans, sed etiam tacens impetrauit, quæ voluit, vt qui se dignū præbuisset, vt à Deo exaudiretur. Quòd si vis etiam videre peccatores intensè & vehemēter orantes, magnáque voce clamantes, & impetrantes, vide meretricem quæ clamat silentio: vide publicanum qui à sola ratione fuit iustificatus. Hic quoque tali clamore vtitur, & ideo dicit, Domine clamaui ad te, exaudi me: & ideo rogat vt audiatur. Cùm clamauero ad te. Vide etiam aliam virtutem orationis. Non enim rogat ideo exaudiri, quòd magno & vehementi studio oret, sed etiam ex eo quòd talem offerat orationem, vt digna sit oculis illis, in quos nunquam cadit somnus. Quænam autem ea est? Quando quis non male precatur inimicis, quando non orat pro diuitiis & facultatibus, quando non pro potentia & gloria, neque pro vlla re fluxa & caduca: sed pro illis immortalibus, & quæ nunquam intereunt. Quærite enim, inquit, regnum Dei, & hæc omnia adijcientur vobis. Cum clamauero ad te. Vides quomodo vult nos quoque cum magno studio & alacritate animi eum vocare. etenim diabolus tūc maximè insidiatur. Quoniam enim sunt maxima arma preces, & licet simus peccatores, infamiáque & igno-

Clamor cordis. — *Esa. 29. Matth. 15.* — *Exod. 14. 15.* — *Luc. 7. Matt. 18.* — *Oratio à Deo exaudiri digna quæ.* — *Matt. 6. 33* — *Matth. 17. Marc. 9.*

A καὶ μηδὲ φθεγγομένη ἡ Ἄννα; Ἰουδαίοις δὲ διαλεγόμενος ὁ Θεὸς ἔλεγε· ἐὰν πληθύνητε τὴν δέησιν, οὐκ εἰσακούσομαι ὑμῶν. τί οὖν ἐστι, λέγει, ἐκέκραξα πρὸς σέ, εἰσάκουσόν μου; κραυγὴν ἐνταῦθα τὴν ἔνδον φησίν, ἣν ἡ καρδία ἔτικτεν ἐκπεπυρωμένη, καὶ ἡ διάνοια ἡ συντετριμμένη, ἣν καὶ Μωϋσῆς βοῶν ἠκούετο. ὥσπερ γὰρ ὁ βοῶν πᾶσαν τὴν δύναμιν αὐτοῦ κενοῖ, οὕτω καὶ ὁ καρδίᾳ βοῶν πάντα τὸν νοῦν συστρέφει. τοιαύτην οὖν κραυγὴν ζητεῖ ὁ Θεός, τὴν συστρέφουσαν τὴν καρδίαν, τὴν οὐκ ἐῶσαν B χασμᾶσθαι, καὶ ἀνακλᾶσθαι τὸν ψάλλοντα. οὐ μόνον δὲ κραυγὴν τοιαύτην ζητεῖ, ἀλλὰ καὶ τὸ πρὸς αὐτὸν εὔχεσθαι. εἰσὶ γὰρ πολλοὶ οἳ ἑστήκασι μέν, οὐ βοῶσι δὲ πρὸς τὸν Θεόν, ἀλλὰ τὰ μὲν χείλη πρὸς τὸν Θεὸν βοᾷ, καὶ τὸ ὄνομα τοῦ Θεοῦ περιφέρει, ἡ δὲ διάνοια οὐδενὸς ἐπαισθάνεται τῶν λεγομένων. ὁ τοιοῦτος οὐ κράζει, κἂν μέγα βοᾷ, ὁ τοιοῦτος οὐδὲ πρὸς τὸν Θεὸν εὔχεται, κἂν δοκῇ πρὸς αὐτὸν εὔχεσθαι. ἀλλ' οὐχ ὁ Μωϋσῆς οὕτως, ἀλλ' ἐβόα καὶ ἠκούετο, διὸ καὶ παρὰ τοῦ Θεοῦ, τί βοᾷς πρός με, ἀκούει. οὐ μόνον δὲ βοῶν, ἀλλὰ καὶ σιγῶν ἤνυσεν, ἅπερ ἤθε- C λεν, ἄξιον παρασχὼν ἑαυτὸν τοῦ ἀκοῦσαι. εἰ δὲ βούλει καὶ ἁμαρτωλοὺς ἐκτενῶς ἰδεῖν εὐχομένους, καὶ αἰτοῦντας, καὶ κράζοντας μεγάλα, ὅρα τὴν πόρνην τὴν σιγῇ βοῶσαν, ὅρα τὸν τελώνην ἀπὸ εὐχῆς δικαιωθέντα μόνης. τοιαύτην κραυγὴν καὶ οὗτος ποιεῖται, διὸ καὶ λέγει· κύριε ἐκέκραξα πρὸς σέ, εἰσάκουσόν μου· καὶ διὰ τοῦτο ἀκουσθῆναι ἀξιοῖ. ἐν τῷ κεκραγέναι με πρὸς σέ. ὅρα καὶ τὴν ἄλλην ἀρετὴν εὐχῆς. οὐ γὰρ ἀπὸ τοῦ σπουδαίως εὔχεσθαι ἀξιοῖ ἀκουσθῆναι, ἀλλὰ καὶ ἐκ τοῦ D τοιαύτην παραστῆσαι τὴν εὐχήν, ὥστε ἀξίαν εἶναι τῶν ἀκοιμήτων ὀφθαλμῶν ἐκείνων. ποία δέ ἐστιν αὕτη; ὅταν μὴ κατ' ἐχθρῶν τις εὔχηται, ὅταν μὴ ὑπὲρ πλούτου καὶ πλεονεξίας, ὅταν μὴ ὑπὲρ δυναστείας καὶ δόξης, μηδὲ ὑπὲρ τινος τῶν ἐπικήρων τούτων, ἀλλ' ὑπὲρ τῶν ἀκηράτων καὶ ἀθανάτων ἐκείνων. ζητεῖτε γὰρ τὴν βασιλείαν τοῦ Θεοῦ φησι, καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν. ἐν τῷ κεκραγέναι με πρὸς σέ. ὁρᾷς πῶς βούλεται καὶ ἡμᾶς μετὰ σπουδῆς καλεῖν, μετὰ προθυμίας; καὶ γὰρ ὁ διάβολος τότε μάλιστα ἐφεδρεύει. ἐπεὶ γὰρ οἶδεν, ὅτι μέγιστον ὅπλον ἡ εὐχή, καὶ κἂν ἁμαρτωλοὶ ὦμεν, καὶ κατῃσχυμμένοι, ὅμως

μετὰ ἀκριβείας, καὶ κατὰ τοὺς τοῦ Θεοῦ νόμους εὐξάμενοι αὐξόμεθα μεγάλα, τότε ἐμβάλλειν ἐπιχειρεῖ εἰς ῥαθυμίαν, καὶ λογισμοὺς ἀνακινεῖν, ὥστε ἀκάρπους ποιεῖν ἡμᾶς ἀπὸ τῆς εὐχῆς ἀπελθεῖν. διὸ δεῖ ταῦτα εἰδότας ἐπιτειχίζειν αὐτῷ τὴν ἡμετέραν σπουδὴν, καὶ μηδέποτε κατ' ἐχθρῶν εὔχεσθαι, ἀλλὰ τοὺς ἀποστόλους μιμεῖσθαι. καὶ γὰρ ἐκεῖνοι μυρία παθόντες δεινὰ, εἶτα εἰς δεσμωτήρια ἐμπεσόντες, καὶ τὸν περὶ τῶν ἐσχάτων ὑπομείναντες κίνδυνον, εἰς εὐχὴν καταφυγόντες ἔλεγον, ἔπιδε ἐπὶ τὰς ἀπειλὰς αὐτῶν. καὶ τί μετὰ ταῦτα; μὴ κατάῤῥαξον αὐτοὺς ἢ ἀπόκτεινον, ἔλεγον, ὃ πολλοὶ πολλάκις ἐπαρώμενοι λέγουσιν; οὐδαμῶς, ἀλλὰ τί; καὶ δὸς τοῖς δούλοις σου μετὰ παῤῥησίας λαλεῖν τὸν λόγον σου. πῶς καὶ τίνι τρόπῳ; ἐν τῷ ἀποκτεῖναι τοὺς ἐπιβουλεύοντας; ἐν τῷ ἀφανίσαι καὶ πανωλεθρίᾳ παραδοῦναι; οὐδαμῶς. ἀλλὰ πῶς; ἐν τῷ σημεῖα καὶ τέρατα ποιεῖν, διὰ τοῦ ἁγίου παιδός σου Ἰησοῦ. εἶδες εὐχὴν φιλοσοφίας γέμουσαν, καὶ μετὰ τοσαῦτα δεινὰ οὐδεμίαν αἰτοῦσαν τῶν ἐχθρῶν τιμωρίαν; ἀλλ' οὗτοι μὲν αὐτοὶ ἔτι ζῶντες καὶ ἐμπνέοντες· ὁ δὲ Στέφανος καὶ ἀποῤῥήγνυσθαι μέλλων τῆς παρούσης ζωῆς, οὐ μόνον οὐδὲν αὐτοῖς κακὸν ἤτησεν, ἀλλὰ καὶ τοὺς λιθάζοντας καὶ ἀναιροῦντας σπουδάζει διὰ τῆς εὐχῆς ἐξαρπάσαι τῆς ὀργῆς τῆς ἐπὶ τῇ ἁμαρτίᾳ ταύτῃ, καί φησι, μὴ στήσῃς αὐτοῖς τὴν ἁμαρτίαν ταύτην. τίνος οὖν ἂν εἶεν συγγνώμης ἄξιοι, ποίας ἀπολογίας οἱ κατὰ τῶν ἐχθρῶν εὐχόμενοι; πῶς δ' ἂν ἡ τοιαύτη ἀκουσθείη εὐχὴ, ὅταν ἀπεναντίας τοῖς τοῦ Θεοῦ νόμοις ἀναφέρηται; μὴ δὴ τοιοῦτον μηδὲν λέγωμεν. οὐ γὰρ δὴ μόνον οὐκ εὔχεσθαι δεῖ κατὰ τῶν ἐχθρῶν, ἀλλὰ καὶ τὴν ὀργὴν ἀναιρεῖν τὴν κατ' αὐτῶν· διό φησι, βούλομαι τοὺς ἄνδρας προσεύχεσθαι ἐν παντὶ τόπῳ ἐπαίροντας ὁσίους χεῖρας, χωρὶς ὀργῆς καὶ διαλογισμοῦ, τουτέστι, κἂν ἐχθρὸν ἔχῃς, σβέσον τὴν ὀργὴν, καὶ οὕτω πρόσελθε τῷ δεσπότῃ, καὶ μὴ μόνον διὰ τοῦ στόματος μηδὲν εἴπῃς κατ' αὐτοῦ, ἀλλὰ καὶ τὴν διάνοιαν ἀπάλλαξον τοῦ ἰοῦ. ἂν τοιαύτη ἡ εὐχὴ, καὶ μετὰ σπουδῆς καλῇς τὸν Θεὸν, καὶ πρὶν ἢ τελέσαι τὴν εὐχὴν ἀκουσθήσῃ. τοῦτο καὶ αὐτὸς αἰτεῖ λέγων, πρόσχες τῇ φωνῇ τῆς δεήσεώς μου, ἐν τῷ κεκραγέναι με πρὸς σέ. καὶ γὰρ αὐτοῦ τοῦ Θεοῦ ἐπ-

minia notati, si tamen perfectè, & Dei legibus diligenter seruatis, oremus, magna efficimus: tunc nos conatur impellere in socordiam, & dimouere nostram cogitationẽ: vt faciat nos absque vllo fructu recedere ab oratione. Quocirca oportet nos, cùm hæc sciamus, aduersus eum nostrum communire studium & diligentiam, & inimicis nostris nunquam malè precari, sed Apostolos imitari. Illi enim cùm passi essent mala innumerabilia, & in carcerem coniecti essent, & in extremum adducti periculum, ad orationem cõfugiebant, dicentes: Respice super minas ipsorum. Et quid postea? Num, Confringe ipsos, vel occide, dicebant, vt multi sæpe dicunt imprecãtes? Nequaquam, sed quid? Et da seruis tuis cum fiducia loqui verbum tuum. quomodo & quánam ratione? In occidendis iis qui insidiantur? In iis delendis & ad internecionem vsque de medio tollendis? Minimè. Sed quomodo? In signis & prodigiis faciendis per sanctum filium tuum Iesum. Vidisti orationem plenam philosophia, & quæ post tot & tanta mala non petit, vt supplicium sumatur de inimicis? Sed hi quidem sic, viuentes & aspirantes: Stephanus autem, cùm præsentis vitæ cursus esset ei interrumpendus, non solum nihil mali eis petiit, sed eos etiam qui lapidabant, & eum interimebant, studet per suam orationem eripere ab ira, quæ erat in eos ventura propter hoc peccatum, & dicit, Ne statuas eis hoc peccatum. Quánam ergo veniam consequentur, & qua defensione vtentur, qui suis inimicis malè precãtur? Quomodo autem exaudiri poterit ea oratio, quando repugnat Dei legibus? Nihil ergo tale dicamus. Non solùm enim non est malè precandum inimicis, sed ira etiam in eos concepta est auferenda: & ideo dicit: Volo viros orare in omni loco tollentes manus sanctas sine ira & disceptatione. Hoc est, Etsi sit tibi inimicus, extingue iram, & ita accede ad Dominum: & non solum aduersus eum ore nihil dixeris, sed etiam expurges virus tui animi. Si talis sit tua oratio, & vehementi studio Deum inuocaueris, etiam priusquam orationem perfeceris, exaudieris. Hoc ipse quoque petit dicens: *Intende voci orationis meæ, cum clamauero ad te.* Etenim ipsius Dei promissio est

Inimicis nõ male precandum. *Act. 4. 29.*

Act. 7. 59.

Matth. 5. *Rom. 12.*

1. Tim. 2.

quæ dicit, Adhuc loquente te dicam, Ego sum. 7. *Dirigatur oratio mea sicut incensum in conspectu tuo.* Alius, Statuatur oratio mea sicut incensum coram te. Alius, Præparetur. *Eleuatio manuum mearum sacrificium vespertinum.* Alius, Donum vesperæ. Alius, Oblatio vespertina. Quid nos volens docere Propheta loquitur de sacrificio vespertino? Erant olim duo altaria, vnum quidem æneum: alterum verò aureum. Et illud quidem erat publicum, omnibus ferè totius populi hostiis expositum: Hoc autem situm erat in adytis, & intra velum. Atque adeò vt quæ à nobis dicuntur, sint clariora, conabimur potius ab ipso initio ducere orationem. Fuit olim apud Iudæos templum, longum quidem quadraginta cubitos, latum verò viginti. Huius longitudinis decem intus ablati intercipiebantur cubiti: & quod erat interceptum, vocabatur Sancta sanctorum: quod erat autem extra, Sancta tantum. Auro autem omnia collucebant. Nonnulli verò dixerunt supremam quoque illam trabem fuisse auream. Huc solus pontifex semel in anno ingrediebatur. Illic & arca sita erat, & Cherubim. Illic etiam stabat altare aureum, in quo offerebatur incensum, ad nihil aliud paratum quàm ad solum incensum seu suffitum. Hoc autem tem fiebat semel in anno. In externo ergo templo erat altare æneum, in quo quotidie offerebatur agnus, & comburebatur. Hoc appellabatur vespertinum sacrificium, erat enim etiam matutinum, & bis in die oportebat altare accendi, præter alias hostias, quæ offerebantur à populo. Hoc enim erat iussum & lege statutum sacerdotibus, vt ex se & ex domo sua, quando nullus offerret, vnum matutinum, & vnum vespertinum agnum sacrificarent & comburerent: & illud quidem appellatur sacrificium matutinum: hoc verò vespertinum. Hoc autem iusserat Deus fieri, significans per id quod fiebat eum assiduè colere oportere, & cùm dies incipit, & cùm desinit. Hoc ergo sacrificium fuit semper acceptum, & eiusmodi hostia. Quod autem fiebat pro peccatis, aliquando quidem erat acceptum, aliquando verò non acceptum, vtpote quod hoc vel illud

Esa. 58. 9. — *Altaria duo Hierosolymis.* — *Templum Iudæorum.* — *Sancta sanctorum. Sancta.* — *Altare aureum.* — *Altare æneum. Sacrificium vespertinũ & matutinum.* — *Sacrificium semper acceptum, & nõ semper acceptũ.*

A ὑπόσχεσις λέγουσα, ἔτι λαλοῦντός σου ἐρῶ, ἰδοὺ πάρειμι. κατευθυνθήτω ἡ προσευχή μου, ὡς θυμίαμα ἐνώπιόν σου. ἕτερος, παρθήτω ἡ προσευχή μου, ὡς θυμίαμα ἔμπροσθέν σου. ἄλλος, ἑτοιμασθήτω. ἔπαρσις τῶν χειρῶν μου θυσία ἑσπερινή. ἄλλος, δῶρον ἑσπέρας. ἕτερος, προσφορὰ ἑσπερινή. τί διδάξαι βουλόμενος ἡμᾶς ὁ προφήτης περὶ θυσίας ἑσπερινῆς διαλέγεται; δύο βωμοὶ τὸ παλαιὸν ἦσαν, εἷς μὲν ἀπὸ χαλκοῦ κατεσκευασμένος, ἕτερος δὲ χρυσοῦς, καὶ ὁ μὲν πάνδημος ἦν σχεδὸν, προκείμενος τοῖς ἱερείοις τοῖς τοῦ πλήθους παντὸς, ὁ δὲ ἐν B τοῖς ἀδύτοις ἀπέκειτο, καὶ τοῦ καταπετάσματος ἔνδον. μᾶλλον δὲ ὥστε σαφέστερα γενέσθαι τὰ λεγόμενα ἡμῖν, εἰς ἀρχὴν τὸν λόγον ἀναγαγεῖν πειρασόμεθα. ναὸς ἦν παρὰ Ἰουδαίοις τὸ παλαιὸν τεσσαράκοντα πηχῶν τὸ μῆκος, τὸ δὲ πλάτος εἴκοσι, τούτου τοῦ μήκους δέκα ἀφελὼν πήχεις, ἀπέλαβεν ἔνδον διὰ τοῦ καταπετάσματος· καὶ τὸ ἀπειλημμένον ἐκαλεῖτο ἅγια ἁγίων, τὸ δὲ ἔξω ἅγια μόνον, καὶ χρυσῷ πάντα κατελάμπετο. τινὲς δὲ καὶ τὴν δοκὸν ἐκείνην τὴν ἄνω χρυσήλατον ἔλεγον εἶναι. ἔνθα ὁ ἀρχιερεὺς μό- C νος εἰσῄει ἅπαξ τοῦ ἐνιαυτοῦ, ἐκεῖ καὶ ἡ κιβωτὸς ἔκειτο, καὶ τὰ Χερουβίμ, ἐκεῖ καὶ ὁ βωμὸς εἱστήκει ὁ χρυσοῦς, ἔνθα τὸ θυμιατήριον προσεφέρετο, εἰς οὐδὲν ἕτερον παρεσκευασμένος, ἀλλ' ἢ πρὸς τὸ θυμίαμα μόνον. τοῦτο δὲ ἐγίνετο ἅπαξ τοῦ ἐνιαυτοῦ. ἐν τῷ ναῷ δὲ τῷ ἔξω ὁ χαλκοῦς ἦν βωμὸς, καὶ καθ' ἑκάστην ἑσπέραν ἐφέρετο ἀμνὸς, καὶ κατεκαίετο. τοῦτο ἐκαλεῖτο θυσία ἑσπερινή. ἦν γὰρ καὶ ἑωθινὴ, καὶ δὶς τῆς ἡμέρας εἰς τὸν ναὸν τὸν βωμὸν καίεσθαι ἔδει ἐκτὸς τῶν ἄλλων ἱερείων τῶν παρὰ τοῦ λαοῦ προσα- D γομένων. τοῦτο γὰρ τοῖς ἱερεῦσιν ἐπίταγμα καὶ νόμος ἦν. ὥστε οἴκοθεν, καὶ παρ' ἑαυτῶν ὅταν μηδεὶς προσέφερεν, ἕνα ἑωθινὸν καὶ ἕνα ἑσπερινὸν ἀμνὸν καταθύειν καὶ κατακαίειν, καὶ ἡ μὲν ἐκαλεῖτο θυσία ἑωθινὴ, ἡ δὲ ἑσπερινή. τοῦτο δὲ ὑπὸ τοῦ Θεοῦ νενομοθέτητο γίνεσθαι δηλοῦντος, διὰ τοῦ γινομένου, ὅτι διηνεκῶς αὐτὸν θεραπεύεσθαι χρὴ, καὶ ἀρχομένης, καὶ τελευτώσης ἡμέρας. αὕτη τοίνυν ἡ θυσία εὐπρόσδεκτος ἦν ἀεὶ, καὶ τὸ θῦμα τοιοῦτον. τὸ δὲ ὑπὲρ ἁμαρτημάτων ποτὲ μὲν εὐπρόσδεκτον ἦν, ποτὲ δὲ οὐκ εὐπρόσδεκτον, ἀπὸ τῆς διαθέσεως τῶν

προσφερόντων πρὸς ἀρετὴν ἢ κακίαν τοῦτο κἀκεῖνο γενόμενον. ὅπερ δὲ οὐχ ὑπὲρ ἁμαρτημάτων ἑτέρων προσεφέρετο, ἀλλ' ἱερουργίας νόμος ἦν καὶ θεραπείας τρόπος, πάντως εὐπρόσδεκτον ἦν. ἀξιοῖ τοίνυν ἐνταῦθα οὕτω γενέσθαι αὐτοῦ τὴν εὐχήν, ὡς ἐκεῖνο τὸ θῦμα τὸ μηδεμιᾷ κηλῖδι τοῦ προσάγοντος μολυνόμενον, ὡς ἐκεῖνο τὸ θυμίαμα τὸ καθαρὸν καὶ ἅγιον. διὰ δὲ τὸ ἀξιοῦν, καὶ παιδεύει καθαρὰς ἡμᾶς ποιεῖσθαι τὰς εὐχὰς καὶ εὐώδεις, τοιοῦτον γὰρ ἡ δικαιοσύνη· ὥσπερ οὖν ἡ ἁμαρτία δυσώδης. διὸ καὶ τὴν δυσωδίαν αὐτῆς παραδηλῶν αὐτὸς ἔλεγεν· ὅτι αἱ ἀνομίαι μου ὑπερῆραν τὴν κεφαλήν μου, ὡσεὶ φορτίον βαρὺ ἐβαρύνθησαν ἐπ' ἐμέ. προσώζεσαν, καὶ ἐσάπησαν οἱ μώλωπές μου. ὥσπερ οὖν τὸ θυμίαμα, καὶ καθ' ἑαυτὸ ἐστὶ καλὸν καὶ εὐῶδες, τότε δὲ μάλιστα ἐπιδείκνυται τὴν εὐωδίαν, ὅταν ὁμιλήσῃ τῷ πυρί, οὕτω δὴ καὶ ἡ εὐχὴ καλὴ μὲν καὶ καθ' ἑαυτήν· καλλίων δὲ καὶ εὐωδεστέρα γίνεται, ὅταν μετὰ θερμῆς, καὶ ζεούσης ψυχῆς ἀναφέρηται, ὅταν θυμιατήριον ἡ ψυχὴ γένηται, καὶ πῦρ ἀνάπτῃ σφοδρόν. οὐδὲ γὰρ τὸ θυμίαμα τῆς ἐσχάρας μὴ προαναφθείσης ἐπετίθετο, ἢ τῶν ἀνθράκων μὴ διακαιομένων. τοῦτο καὶ σὺ ἐπὶ τῆς διανοίας ποίησον, πρότερον ἀνάψον αὐτὴν τῇ προθυμίᾳ, καὶ τότε ἐπιτίθει τὴν εὐχήν. εὔχεται τοίνυν τὴν μὲν εὐχὴν αὐτοῦ γενέσθαι ὡς θυμίαμα, τὴν δὲ ἔπαρσιν τῶν χειρῶν ὡς θυσίαν ἑσπερινήν. ἀμφότερα γὰρ εὐπρόσδεκτα. πῶς δ' ἂν γένοιτο τοῦτο; εἰ ἀμφότερα εἴη καθαρά· εἰ ἀμφότερα εἴη ἄμωμα, ἥτε γλῶττα, καὶ αἱ χεῖρες, αἱ μὲν πλεονεξίας καὶ ἁρπαγῆς ἐκκεκαθαρμέναι· ἡ δὲ πονηρῶν ῥημάτων ἠλευθερωμένη. ὥσπερ γὰρ θυμιατήριον οὐδὲν ἔχειν ἀκάθαρτον χρή, ἀλλ' ἢ πῦρ καὶ θυμίαμα· οὕτω καὶ τὴν γλῶτταν μὴ προφέρειν κεκηλιδωμένον ῥῆμα, ἀλλ' ἢ ἁγιωσύνην, καὶ εὐφημίαν. οὕτω καὶ τὰς χεῖρας θυμιατήριον γενέσθαι. ἔστω τοίνυν θυμιατήριόν σου τὸ στόμα, καὶ σκόπει μὴ κόπρου αὐτὸ ἐμπλήσῃς. τοιοῦτοι οἱ τὰ αἰσχρὰ φθεγγόμενοι καὶ τὰ ἀκάθαρτα ῥήματα. καὶ τίνος ἕνεκεν οὐκ εἶπεν ἑωθινή, ἀλλ' ἑσπερινή; ἐμοὶ μὲν ἀδιαφόρως εἰρῆσθαι καὶ τοῦτο δοκεῖ. καὶ γὰρ εἰ εἶπεν ἑωθινήν, ὁ περίεργος ἠρώτησεν ἄν, τίνος ἕνεκεν οὐκ εἶπεν ἑσπερινήν. εἰ δέ τις ἀπολυπραγμόνως βούλοιτο ἀκούειν·

esset, prout erant affecti ad virtutem aut vitium, qui illud offerebant. Quod autem non offerebatur pro aliorum peccatis, sed erat lex sacrificij & modus colendi, erat omnino acceptum. Hic ergo rogat, vt sit eius oratio vt illud sacrificium, quod nulla polluebatur offerentis macula, sicut illud incensum sanctum & purum. Propterea autem quod rogat, docet nos vt orationes nostræ sint puræ & odoriferæ. talis enim est iustitia: quemadmodum peccatum est fœtidum. Quocirca terrum eius odorem significans, dicebat: Quoniam iniquitates meæ supergressæ sunt caput meum, tanquam onus graue grauatæ sunt super me. Putruerunt & corruptæ sunt cicatrices meæ. Quemadmodum ergo suffitus per se est bonus & bene olens; tunc autem maximè bonum odorem emittit, quando igni accesserit: ita etiam oratio vel per se quidem bona est: est autem melior & fragrantior, quando offertur cũ ardenti & feruenti animo, quando anima efficitur thuribulum, & ignem vehementem accendit. Neque enim imponebatur incensum aut suffitus, nisi esset prius accensa craticula, aut nisi arderent carbones. Hoc ipsum fac tu quoq. in mente tua, accende prius ipsam promptitudine & animi alacritate, & tunc impone orationem. Precatur ergo vt oratio quidem sua fiat sicut incensum, eleuatio autem manuum sicut sacrificium vespertinum. Sunt enim ambo accepta. Quomodo autem hoc fiet? Si vtraque sint munda, si vtraque nulli sint reprehensioni vitióve obnoxia, & lingua & manus, hæ quidem ab auaritia & rapina expurgatæ, illa verò à malis verbis libera. Quemadmodum enim oportet thuribulum nihil habere immundum, sed solum ignem & suffitum: ita etiam linguam nullum oportet verbum proferre, quod sit vlla macula aut labe respersum, sed sanctitatem & laudem. Ita etiam oportet manus esse thuribulum. Sit ergo os tuũ thuribulum. Vide autem ne id fimo impleas. Tales enim sunt, qui loquuntur verba turpia & immunda. Cur autem non dixit matutinum, sed vespertinum? Mihi quidem videtur dictum esse indiscriminatim. Si enim dixisset matutinum, curiosus interrogasset, cur non dixit vespertinum. Si quis autem velit audire non

Peccati fœtor. Psal 37. 6.

Fragrantior oratio.

Thuribuli typus. Lingua & manus puræ.

Vespertinũ sacrificium cur dictum.

nimis curiosè: dicendum est matutinum quidem expectare vespertinum: cùm vespertinum autẽ peractum fuerit, finitum est sacrificium, & non est vtique amplius imperfectus diei cultus, sed est completus, & finem accepit. Sed quid sibi vult manuum in oratione eleuatio? Quoniam enim multis sceleribus inseruiunt, vt percussionibus, cædibus, rapinis, auaritiæ, & bonorum alterius cupiditati, propter hoc ipsum ergo eas iubemur tendere, vt orationis ministerium sit eis vitij vinculum, & ab improbitate liberatio: vt quando es rapturus, vel in bona aliorum inuasurus, aut alium verberaturus, in memoriam reuocans fore vt eas ad Deum mittas te defensuras, & illud spiritale sacrificium per eas offeras, ne eas ignominia & pudore afficias, & malæ operationis ministerio eis fiduciã auferas. Purga ergo eas eleemosyna, clementia, subueniendo iis qui indigent, & ita eas Deo expandito ad orationem. Si enim non permittis vt eæ tollantur illotæ ad orationem: multò magis non æquum est vt eas peccatis inquines. Si quod minus est vereris: multò magis pertimesce quod maius est. Illotis enim orare manibus non est adeò absurdum, sed innumerabilibus peccatorum sordibus inquinatas offerre, hoc iram affert maximam. Hoc ipsum & in ore & in lingua cogitemus, & ea sceleri inuia conseruantes, ita offeramus orationem. Si quis enim qui habet vas aureum, eo ad vilem vsum vti nunquam in animum induxerit propter precium materiæ: multò magis cùm auro & margaritis habeamus ora longè preciosiora, non par est vt ea polluamus verbis turpibus & impudicis, maledictísque, & contumeliis. Non in altari æneo nec aureo offers suffitum, sed in eo quod est preciosius, nempe in tẽplo spiritali. Illi enim est inanima materia: in te autem Deus habitat, & es membrum & corpus Christi. *Pone Domine custodiam ori meo.* Cùm rogasset Dominum vt eius audiretur oratio, & vt fieret accepta, vide quódnam primum afferat postulatum, & quámnam supplicationem. Non dixit enim, Da mihi pecunias. Da mihi honores, qui sunt apud homines. Da mihi victoriam aduersus inimicos. Da mihi liberos.

Manus cur eleuanda in oratione.

Esa. 1. Psal. 25.

Daniel. 4.

Argumentum à minori.

Ephes. 4. 5. Coloss. 3.

1. Cor. 6.

A ὅτι ἡ μὲν ἑωθινὴ ἀναμένει τὴν ἑσπερινήν· ἡ δὲ ἑσπερινὴ λοιπὸν τὴν ἱερουργίαν ἐπλήρωσε, καὶ οὐκ ἔστιν ἀτελεστέρα πως ἔτι τῆς ἡμέρας λοιπὸν ἡ λατρεία, ἀλλ' ἀπηρτίσθη, καὶ τέλος ἔλαβεν. ἀλλὰ γὰρ τί βούλεται καὶ τῶν χειρῶν ἡ ἔκτασις ἐν τῇ εὐχῇ; ἐπειδὴ πολλαῖς πονηρίαις διακονοῦνται αὗται, οἷον πληγαῖς, φόνοις, ἁρπαγαῖς, πλεονεξίαις, δι' αὐτὸ μὲν οὖν τοῦτο κελευόμεθα αὐτὰς ἀνατείνειν, ἵνα ἡ τῆς εὐχῆς διακονία δεσμὸς αὐταῖς γένηται τῆς κακίας, καὶ ἀπαλλαγὴ τῆς πονηρίας, ἵν' ὅταν μέλλῃς ἁρπάζειν ἢ πλεονεκτεῖν, ἢ τύπτειν ἕτερον, ἀναμνησθεὶς, ὅτι ταύτας μέλλεις αὐτὰς συνηγόρους πρὸς B τὸν Θεὸν πέμπειν, καὶ διὰ τούτων τὴν θυσίαν ἀναπέμπειν ἐκείνην τὴν πνευματικήν, μὴ καταισχύνῃς αὐτὰς, καὶ ἀπαρρησιάστους ἐργάσῃ τῇ διακονίᾳ τῆς πονηρᾶς ἐργασίας. κάθαιρε τοίνυν αὐτὰς ἐλεημοσύνῃ, φιλανθρωπίᾳ, προστασίᾳ δεομένων, καὶ οὕτως αὐτὰς εἰς εὐχὴν ἄγε. εἰ γὰρ ἀνίπτους αὐτὰς οὐκ ἐπιτρέπεις εἰς εὐχὴν ἐπαίρεσθαι, πολλῷ μᾶλλον ἁμαρτήμασιν οὐκ ἂν εἴης δίκαιος αὐτὰς μιαίνειν. εἰ δὲ ἔλαττον δέδοικας, πολλῷ μᾶλλον τὸ μεῖζον φρίξον. C τὸ μὲν γὰρ ἀνίπτοις χερσὶ προσεύχεσθαι, οὐ τοσοῦτον ἄτοπον· τὸ δὲ καταρρυπωθείσας αὐτὰς μυρίοις ἁμαρτήμασι προσάγειν, τοῦτο πολλὴν φέρει τὴν ὀργήν. τοῦτο καὶ ἐπὶ στόματος καὶ γλώττης λογιζώμεθα, καὶ ἄβατον αὐτὸ τῇ πονηρίᾳ τηροῦντες οὕτω τὴν προσευχὴν προσάγωμεν. εἰ γὰρ χρυσοῦν τις σκεῦος ἔχων, οὐκ ἂν ἕλοιτο εἰς ἄτιμον αὐτῷ χρήσασθαι διακονίαν διὰ τὸ πολύτιμον τῆς ὕλης, πολλῷ μᾶλλον οἱ χρυσοῦ καὶ μαργαριτῶν τιμιώτερα στόματα ἔχοντες, οὐκ ἂν εἴημεν δίκαιοι ταῖς ἀναισχύντοις αὐτὰ καταρρυπαίνειν αἰσχρορρημοσύναις, καὶ D λοιδορίαις καὶ ὕβρεσιν. οὐκ ἐν χαλκῷ προσάγεις βωμῷ τὸ θυμιατήριον, οὐδὲ ἐν χρυσῷ, ἀλλ' ἐν τῷ τούτου τιμιωτέρῳ, ἐν ναῷ πνευματικῷ. ἐκεῖ μὲν γὰρ ἄψυχος ἡ ὕλη, ἐν σοὶ δὲ ὁ Θεὸς ἐνοικεῖ, καὶ μέλος εἶ τοῦ Χριστοῦ, καὶ σῶμα. θοῦ κύριε φυλακὴν τῷ στόματί μου. παρακαλέσας τὸν δεσπότην ἀκουσθῆναι αὐτοῦ τὴν εὐχήν, καὶ εὐπρόσδεκτον γενέσθαι, ὅρα ποίαν προσάγει πρώτην αἴτησιν, ποίαν ἱκετηρίαν. οὐ γὰρ εἶπε, δός μοι χρήματα· δός μοι τιμὰς παρὰ ἀνθρώποις, δός μοι κρατῆσαι τῶν ἐχθρῶν· δός μοι παιδία.

οὐδὲν τούτων, ἀλλὰ πάντα ἀφεὶς ἐπὶ τῆς γῆς A ἐρρίφθαι, αἰτεῖ παρὰ τοῦ Θεοῦ ταῦτα ἃ παρὰ τοῦ Θεοῦ αἰτεῖν δίκαιον. τί οὖν; οὐ δεῖ, φησίν, αἰσθητὰ αἰτεῖν; δεῖ μέν, μετὰ μέτρου δὲ ὡς ὁ Ἰακὼβ λέγων· ἐὰν δῷ μοι κύριος ἄρτον φαγεῖν, καὶ ἱμάτιον περιβαλέσθαι, ὡς ὁ Χριστὸς ἐκέλευσεν εὔχεσθαι, λέγοντας· τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον· πρὸ δὲ πάντων τὰ πνευματικά. ὃ καὶ αὐτὸς ποιεῖ λέγων· θοῦ κύριε φυλακὴν τῷ στόματί μου. εἶδες σύνεσιν; εἶδες φιλοσοφίαν; πόθεν ἄρχεται τῆς αἰτήσεως; ἀπὸ τοῦ μεγίστου τῶν κατορθωμάτων, B καὶ ὃ πάντων αἴτιόν ἐστι τῶν κακῶν ἀμελούμενον· ὥσπερ τῶν ἀγαθῶν σπουδαζόμενον. τὰ γὰρ μυρία κακὰ τῆς γλώττης ἡ ἀβουλία ἐργάζεται, ὥσπερ οὖν τὰ ἀγαθὰ ἡ ἀσφάλεια. ὥσπερ οὖν οὐδὲν ὄφελος οἰκίας, οὐ πόλεως, οὐ τειχῶν, οὐ πυλῶν, οὐ θυρῶν, ἂν μὴ ὦσιν οἱ φυλάττοντες, καὶ εἰδότες πότε μὲν δεῖ κλείειν, πότε δὲ ἀνοίγειν· οὕτως οὐδὲ γλώττης ὄφελος, οὐδὲ στόματος, ἂν μὴ λογισμὸς ᾖ τὴν κλεῖσιν καὶ τὴν ἄνοιξιν μετ' ἀκριβείας καὶ πολλῆς τῆς ἐπιστήμης ἐπιτετραμμένος, καὶ εἰδὼς τίνα μὲν ἐκφέρειν δεῖ, τίνα δὲ ἔνδον κατέχειν. C οὐ τοσοῦτοι γάρ, φησίν, ἔπεσον ἀπὸ μαχαίρας, ὅσοι ἀπὸ γλώττης, καὶ πάλιν ὁ Χριστός· οὐ τὰ εἰσερχόμενα εἰς τὸ στόμα κοινοῖ τὸν ἄνθρωπον, ἀλλὰ τὰ ἐκπορευόμενα ἀπὸ τοῦ στόματος. καὶ πάλιν ἕτερος· ποίησον τῷ στόματί σου θύραν καὶ μοχλόν. ἐπειδὴ δὲ ἐπίστατο σφόδρα δύσκολον ὂν οἶδε τὸ πρᾶγμα, καὶ εὐχὰς προστίθησι, καὶ τὸν Θεὸν εἰς τὴν συμμαχίαν ταύτην καλεῖ. μᾶλλον δὲ καὶ ἐκεῖνος τὸ αὐτὸ τοῦτο αἰνίττεται, ὡς ὅταν λέγῃ· τίς δώσει ἐπὶ τῶν χειλέων μου σφραγῖδα πανοῦργον; δεῖ μὲν γὰρ καὶ τὰ παρ' ἡμῶν ἐκφέρειν, διὸ δὴ καὶ ἐν τάξει προστάγματος αὐτὸ τέθεικε λέγων, ποίησον θύραν καὶ μοχλόν. D δεῖ δὲ καὶ τὴν παρὰ τοῦ Θεοῦ συμμαχίαν καλεῖν, ἵνα καὶ ἡ ἡμετέρα σπουδὴ εἰς ἔργον γένηται. φυλάττωμεν τοίνυν τὸ στόμα διηνεκῶς, κλεῖν αὐτῷ τὸν λογισμὸν ἐπιθέντες, οὐχ ἵνα διηνεκῶς ᾖ κεκλεισμένον, ἀλλ' ἵνα κατὰ καιρὸν ἀνοίγηται τῷ προσήκοντι. ἔστι γὰρ ὅτε ἡ σιγὴ μᾶλλον ὠφέλησε λαλιᾶς, καὶ ὥσπερ λαλιὰ μᾶλλον σιγῆς. διὰ δὴ τοῦτο καὶ ὁ σοφώτατος ἐκεῖνος ἔλεγε, καιρὸς τοῦ σιγῆσαι, καὶ καιρὸς τοῦ λαλῆσαι. εἰ γὰρ διαπαντὸς ἀνεῷχθαι ἔδει, οὐκ ἂν ἐγένοντο θύραι· εἰ δὲ δια-

Nihil horum, sed hæc omnia sinens humi iacere, ea petit quæ à Deo dari digna sunt. Quid igitur? Non oportet, inquit, petere sensilia? Oportet quidem, sed moderatè, quemadmodum Iacob dicens: Si dederit mihi Dominus panem ad vescendum, & vestem ad induendum, quemadmodum Christus iussit orare nos, dicentes: Panem nostrum supersubstantialem da nobis hodie: ante omnia, verò spiritalia. Quod ipse quoque facit dicens: Pone Domine custodiam ori meo. Vidisti prudentiam, vidisti sapientiam, & vndenam postulationem incipiat? Ab eo quod est eorum quæ rectè & ex virtute fiunt, maximum, & est omniũ malorum causa, si negligatur: quemadmodum bonorum, si in eo cura ac studium ponatur. Mala enim innumerabilia parit linguæ facilitas: quemadmodum rursus bona, cautio & securitas. Quemadmodum ergo nihil iuuat domus, non vrbs, non mœnia, non portæ, non ostia, nisi sint qui ea custodiant, & sciant quando oporteet ea quidem claudere, quando verò aperire: ita etiam oris & linguæ nulla est vtilitas, nisi sit ratio, cui scienter, accuratè ac circumspectè ea claudere & aperire permissum sit, & sciat quæ sint efferenda, quæ verò retinenda. Non tot, inquit, gladio, quot lingua ceciderunt: & rursus Christus: Non quæ intrant per os, coinquinant hominem, sed quæ ex ore exeunt. Et rursus alius: Fac ori tuo portã & vectem. Hic autem quoniam nouit rem esse valde difficilem, addit & preces, & Deum vocat ad ferendum auxilium. Imò verò ille quoq. hoc ipsum significat, vt quãdo dicit: Quis dederit labiis meis signaculum callidum? Oportet enim nostra quoque conferre, & ideo hoc instar præcepti posuit, dicens: Fac portam & vectem. Est etiam Dei inuocandum auxilium, vt nostrum quoque studium in opus exeat. Os ergo nostrum perpetuò custodiamus, ei rationem tanquam clauem adhibentes, non vt perpetuò claudatur, sed vt conuenienti tempore reseretur. Nonnunquam enim silentium est loquela vtilius, quemadmodum loquela quoque silentio. Et ideo dicebat ille sapientissimus: Tempus tacendi, & tempus loquendi. Si enim oporteret ora perpetuò patere, non factæ essent portæ. Si autem per-

Gen. 28. 20.

Matt. 6.

Linguæ et oris custodia.

Collatio ostij et oris.

Eccli. 28. 22.

Matth. 15. Marc. 7.

Eccli. 28. 28.

Eccli. 22. 30.

Tacendi et loquendi vicissitudo.

Eccl. 3. 7.

nimis curiosè: dicendum est matutinum quidem expectare vespertinum: cùm vespertinum autè peractum fuerit, finitum est sacrificium, & non est vtique amplius imperfectus diei cultus, sed est completus, & finem accepit. Sed quid sibi vult manuum in oratione eleuatio? Quoniam enim multis sceleribus inseruiunt, vt percussionibus, cædibus, rapinis, auaritiæ, & bonorum alterius cupiditati, propter hoc ipsum ergo eas iubemur tendere, vt orationis ministerium sit eis vitij vinculum, & ab improbitate liberatio: vt quando es rapturus, vel in bona aliorum inuasurus, aut alium verberaturus, in memoriam reuocans fore vt eas ad Deum mittas te defensuras, & illud spiritale sacrificium per eas offeras, ne eas ignominia & pudore afficias, & malæ operationis ministerio eis fiduciâ auferas. Purga ergo eas eleemosyna, clementia, subueniendo iis qui indigent, & ita eas Deo expandito ad orationem. Si enim non permittis vt eæ tollantur illotæ ad orationem: multò magis non æquum est vt eas peccatis inquines. Si quod minus est vereris: multò magis pertimesce quod maius est. Illotis enim orare manibus non est adeò absurdum, sed innumerabilibus peccatorum sordibus inquinatas offerre, hoc iram affert maximam. Hoc ipsum & in ore & in lingua cogitemus, & ea sceleri inuia conseruantes, ita offeramus orationem. Si quis enim qui habet vas aureum, eo ad vilem vsum vti nunquam in animum induxerit propter precium materiæ: multò magis cùm auro & margaritis habeamus ora longè preciosiora, non par est vt ea polluamus verbis turpibus & impudicis, maledictísque, & contumeliis. Non in altari æneo nec aureo offers suffitum, sed in eo quod est preciosius, nempe in tẽplo spiritali. Illi enim est inanima materia: in te autem Deus habitat, & es membrum & corpus Christi. *Pone Domine custodiam ori meo.* Cùm rogasset Dominum vt eius audiretur oratio, & vt fieret accepta, vide quódnam primum afferat postulatum, & quámnam supplicationem. Non dixit enim, Da mihi pecunias. Da mihi honores, qui sunt apud homines. Da mihi victoriam aduersus inimicos. Da mihi liberos.

Manus cur eleuandæ in oratione.

Esa. 1. Psal. 25.

Daniel. 4.

Argumentum à minori.

Ephes. 4. 5. Coloss. 3.

1. Cor. 6.

A ὅτι ἡ μὲν ἑωθινὴ ἀναμένει τὴν ἑσπερινήν· ἡ δὲ ἑσπερινὴ γενομένη τὴν ἱερουργίαν ἐπλήρωσε, καὶ οὐκ ἔστιν ἀτελεστέρα πως ἔτι τῆς ἡμέρας λοιπὸν ἡ λατρεία, ἀλλὰ ἀπηρτίσθη, καὶ τέλος ἔλαβεν. ἀλλὰ γὰρ τί βούλεται ἡ τῶν χειρῶν ἡ ἔκτασις ἐν τῇ εὐχῇ; ἐπειδὴ πολλαῖς πονηρίαις διακονοῦνται αὗται, οἷον πληγαῖς, φόνοις, ἁρπαγαῖς, πλεονεξίαις, διὰ τοῦτο μὲν οὖν ταύτας κελευόμεθα αὐτὰς ἀνατείνειν, ἵνα ἡ τῆς εὐχῆς διακονία δεσμὸς αὐταῖς γένηται τῆς κακίας, καὶ ἀπαλλαγὴ τῆς πονηρίας, ἵν' ὅταν μέλλῃς ἁρπάζειν ἢ πλεονεκτεῖν, ἢ τύπτειν ἕτερον, ἀναμνησθεὶς, ὅτι ταύτας μέλλεις αὐτὰς συνηγόρους πρὸς B τὸν Θεὸν πέμπειν, καὶ διὰ τούτων τὴν θυσίαν ἀναπέμπειν ἐκείνην τὴν πνευματικὴν, μὴ καταισχύνῃς αὐτὰς, καὶ ἀπὸ παρρησίας ποιήσῃς ἐργασίας τῇ διακονίᾳ τῆς πονηρᾶς ἐργασίας. καθαιρε τοίνυν αὐτὰς ἐλεημοσύνῃ, φιλανθρωπίᾳ, προστασίᾳ δεομένων, καὶ οὕτως αὐτὰς εἰς εὐχὴν ἄγε. εἰ γὰρ ἀνίπτους αὐτὰς οὐκ ἐπιτρέπεις εἰς εὐχὴν ἐπαίρεσθαι, πολλῷ μᾶλλον ἁμαρτήμασιν οὐκ ἂν εἴης δίκαιος αὐτὰς μιαίνειν. εἰ τὸ ἔλαττον δέδοικας, πολλῷ μᾶλλον τὸ μεῖζον φρίC ξον. τὸ μὲν γὰρ ἀνίπτοις χερσὶ προσεύχεσθαι, οὐ τοσοῦτον ἄτοπον· τὸ δὲ καταρρυπωθείσας αὐτὰς μυρίοις ἁμαρτήμασι προσάγειν, τοῦτο πολλὴν φέρει τὴν ὀργήν. τοῦτο καὶ ἐπὶ στόματος καὶ γλώττης λογιζώμεθα, καὶ ἄβατον αὐτὸ τῇ πονηρίᾳ τηροῦντες οὕτω τὴν προσευχὴν προσάγωμεν. εἰ γὰρ χρυσοῦν τις σκεῦος ἔχων, οὐκ ἂν ἕλοιτο εἰς ἄτιμον αὐτῷ χρήσασθαι διακονίαν διὰ τὸ πολύτιμον τῆς ὕλης, πολλῷ μᾶλλον οἱ χρυσοῦ καὶ μαργαριτῶν τιμιώτερα στόματα ἔχοντες, οὐκ ἂν εἴημεν δίκαιοι ταῖς αἰσχροῖς D τοῖς αὐτὰ καταρρυπαίνειν αἰσχρορρημοσύναις, καὶ λοιδορίαις καὶ ὕβρεσιν. οὐκ ἐν χαλκῷ προσάγεις βωμῷ τὸ θυμιατήριον, οὐδὲ ἐν χρυσῷ, ἀλλ' ἐν τῷ τούτου τιμιωτέρῳ, ἐν ναῷ πνευματικῷ. ἐκεῖνο μὲν γὰρ ἄψυχος ἡ ὕλη, ἐν σοὶ δὲ ὁ Θεὸς ἐνοικεῖ, καὶ μέλος εἶ τοῦ Χριστοῦ, καὶ σῶμα. θοῦ κύριε φυλακὴν τῷ στόματί μου. παρακαλέσας τὸν δεσπότην ἀκουσθῆναι αὐτοῦ τὴν εὐχὴν, καὶ εὐπρόσδεκτον γενέσθαι, ὅρα ποίαν προσάγει πρώτην αἴτησιν, ποίαν ἱκετηρίαν. οὐ γὰρ εἶπε, δός μοι χρήματα· δός μοι τιμὰς τὰς παρὰ ἀνθρώποις, δός μοι κρατῆσαι τῶν ἐχθρῶν· δός μοι παιδία.

οὐδὲν τούτων, ἀλλὰ πάντα ἀφεὶς ἐπὶ τῆς γῆς ἐῤῥίφθαι αἰτεῖ παρὰ τοῦ Θεοῦ ταῦτα ἃ παρὰ τοῦ Θεοῦ αἰτεῖν δίκαιον. τί οὖν; οὐ δεῖ, φησιν, αἰσθητὰ αἰτεῖν; δεῖ μὲν, μετὰ μέτρου δὲ ὡς ὁ Ἰακὼβ λέγων· ἐὰν δῷ μοι κύριος ἄρτον φαγεῖν, καὶ ἱμάτιον περιβαλέσθαι, ὡς ὁ Χριστὸς ἐκέλευσεν εὔχεσθαι, λέγοντας· τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον· πρὸ δὲ πάντων τὰ πνευματικά. ὃ καὶ αὐτὸς ποιεῖ λέγων· θοῦ κύριε φυλακὴν τῷ στόματί μου. εἶδες σύνεσιν; εἶδες φιλοσοφίαν; πόθεν ἄρχεται τῆς αἰτήσεως; ἀπὸ τοῦ μεγίστου τῶν κατορθωμάτων, καὶ ὃ πάντων αἴτιόν ἐστι τῶν κακῶν ἀμελούμενον· ὥσπερ τῶν ἀγαθῶν σπουδαζόμενον. τὰ γὰρ μυρία κακὰ τῆς γλώττης ἡ εὐκολία ἐργάζεται, ὥσπερ οὖν τὰ ἀγαθὰ ἡ ἀσφάλεια. ὥσπερ οὖν οὐδὲν ὄφελος οἰκίας, οὐ πόλεως, οὐ τειχῶν, οὐ πυλῶν, οὐ θυρῶν, ἂν μὴ ὦσιν οἱ φυλάττοντες, καὶ εἰδότες πότε μὲν δεῖ κλείειν, πότε δὲ ἀνοίγειν· οὕτως οὐδὲ γλώττης ὄφελος, οὐδὲ στόματος, ἂν μὴ λογισμὸς ᾖ τὴν κλεῖσιν καὶ τὴν ἄνοιξιν μετ' ἀκριβείας καὶ πολλῆς τῆς ἐπιστήμης ἐπιτεταγμένος, καὶ εἰδὼς τίνα μὲν ἐκφέρειν δεῖ, τίνα δὲ ἔνδον κατέχειν. οὐ τοσοῦτοι γάρ, φησιν, ἔπεσον ἀπὸ μαχαίρας, ὅσοι ἀπὸ γλώττης, καὶ πάλιν ὁ Χριστός· οὐ τὰ εἰσερχόμενα εἰς τὸ στόμα κοινοῖ τὸν ἄνθρωπον, ἀλλὰ τὰ ἐκπορευόμενα ἀπὸ τοῦ στόματος. καὶ πάλιν ἕτερος· ποίησον τῷ στόματί σου θύραν καὶ μοχλόν. ἔστι δὲ ἐπὶ τὸ σφόδρα δύσκολον ὄν· οἶδε τὸ πρᾶγμα, καὶ εὐχὰς προστίθησι, καὶ τὸν Θεὸν εἰς τὴν συμμαχίαν ταύτην καλεῖ. μᾶλλον δὲ καὶ ἐκεῖνος τὸ αὐτὸ τοῦτο αἰνίττεται, ὡς ὅταν λέγῃ· τίς δώσει ἐπὶ τῶν χειλέων μου σφραγῖδα πανοῦργον; δεῖ μὲν γὰρ καὶ τὰ παρ' ἡμῶν ἐκφέρειν, διὸ δὴ καὶ ἐν τάξει προστάγματος αὐτὸ τέθεικε λέγων, ποίησον θύραν καὶ μοχλόν. δεῖ δὲ καὶ τὴν παρὰ τοῦ Θεοῦ συμμαχίαν καλεῖν, ἵνα καὶ ἡ ἡμετέρα σπουδὴ εἰς ἔργον γένηται. φυλάττωμεν τοίνυν τὸ στόμα διηνεκῶς, κλεῖν αὐτῷ τὸν λογισμὸν ἐπιθέντες, οὐχ ἵνα διηνεκῶς ᾖ κεκλεισμένον, ἀλλ' ἵνα κατὰ καιρὸν ἀνοίγηται τὸν προσήκοντα. ἔστι γὰρ ὅτε ἡ σιγὴ μᾶλλον ὠφέλησε λαλιᾶς, καὶ ὥσπερ λαλιὰ μᾶλλον σιγῆς. διὰ δὴ τοῦτο καὶ ὁ σοφώτατος ἐκεῖνος ἔλεγε, καιρὸς τοῦ σιγῆσαι, καὶ καιρὸς τοῦ λαλῆσαι. εἰ γὰρ διαπαντὸς ἀνεῷχθαι ἔδει, οὐκ ἂν ἐγένοντο θύραι· εἰ δὲ δια-

A Nihil horum, sed hæc omnia sinens humi iacere, ea petit quæ à Deo dari digna sunt. Quid igitur? Non oportet, inquit, petere sensilia? Oportet quidem, sed moderatè, quemadmodum Iacob dicens: Si dederit mihi Dominus panem ad vescendum, & vestem ad induendum, quemadmodum Christus iussit orare nos, dicentes: Panem nostrum supersubstantialem da nobis hodie: ante omnia, verò spiritalia. Quod ipse quoque facit dicens: Pone Domine custodiam ori meo. Vidisti prudentiam, vidisti sapientiam, & vndénam B postulationem incipiat? Ab eo quod est eorum quæ rectè & ex virtute fiunt, maximum, & est omniū malorum causa, si negligatur: quemadmodum bonorum, si in eo cura ac studium ponatur. Mala enim innumerabilia parit linguæ facilitas: quemadmodum rursus bona, cautio & securitas. Quemadmodum ergo nihil iuuat domus, non vrbs, non mœnia, non portæ, non ostia, nisi sint qui ea custodiant, & sciant quando oportet ea quidem claudere, quando verò aperire: ita etiam oris & linguæ nulla est vtilitas, nisi sit ratio, cui scien- C ter, accuratè ac circumspectè ea claudere & aperire permissum sit, & sciat quæ sint efferenda, quæ verò retinenda. Non tot, inquit, gladio, quot lingua ceciderunt: & rursus Christus: Non quæ intrant per os, coinquinant hominem, sed quæ ex ore exeunt. Et rursus alius: Fac ori tuo portá & vectem. Hic autem quoniam nouit rem esse valde difficilem, addit & preces, & Deum vocat ad ferendum auxilium. Imò verò ille quoq. hoc ipsum significat, vt quádo dicit: Quis dederit labiis meis signaculum callidum? Oportet enim nostra quoque conferre, & ideo hoc instar D præcepti posuit, dicens: Fac portam & vectem. Est etiam Dei inuocandum auxilium, vt nostrum quoque studium in opus exeat. Os ergo nostrum perpetuò custodiamus, ei rationem tanquam clauem adhibentes, non vt perpetuò claudatur, sed vt conuenienti tempore reseretur. Nonnunquam enim silentium est loquela vtilius, quemadmodum loquela quoque silentio. Et ideo dicebat ille sapientissimus: Tempus tacendi, & tempus loquendi. Si enim oporteret ora perpetuò patere, non factæ essent portæ. Si autem per-

Gen. 28. 20.

Matt. 6.

Lingua et oris custodia.

Collatio ostij et oris.

Eccli. 28. 22.

Matth. 15. Marc. 7.

Eccli. 28. 28.

Eccli. 22. 30.

Tacendi et loquendi vicissitudo.

Eccl. 3. 7.

petuò clausa esse, non esset opus custodia. Quod enim clausum est, cur quis custodierit? Sed propterea sunt portæ & custodia, vt faciamus singula tempore conuenienti. Alius autem dicit, Iugum & stateram fac linguæ tuæ, maiorem exigens diligentiam, vt non solùm verba quę oportet offeramus: sed etiam cum ea qua par est cautione & accurata consideratione ipsa veluti ponderantes diligenter expēdamus. Si enim hoc facimus in auro & materia quæ interit, hoc multò magis faciendum est in verbis, vt nihil desit, nec redundet. Quocirca dicit etiam quispiam: Verbum ne prohibueris in tempore salutis. Vidisti tempus exitus? Alius autē dicens tempus silentij, inquit, Si est tibi sermo responde. Sin minus, esto manus tua super os tuum. Et rursus, Qui abundat in sermone, odio habebitur. Et melior est homo qui celat stultitiam suam, quàm homo qui occultat sapientiam suam. Audiuisti sermonem? moriatur in te. Confide, non te rumpet. Et rursus, A facie verbi parturiet stultus, vt à facie infantis puerpera. Deinde etiā de modo. Loquere adolescentule, si opus sit tibi, vix bis: Si interrogatus fueris, in breuem summam paucis multa redige. Magna enim animaduersione opus est, vt linguæ potestate cautè & securè vtaris. Et ideo rursus dixit, Est reprehēsio, & non est tempestiua: & est tacens aliquis, qui inuenitur sapiens. Non solùm enim oportet tacere & loqui opportunè, sed etiam cum magna gratia. Quocirca dicebat Paulus, Sermo vester sit semper in gratia sale conditus, vt sciatis quomodo oportet vos in vnoquoque respondere. Cogita apud te hoc esse membrum, per quod cum Deo colloquimur. Hoc est membrum, per quod summa veneratione dignum sacrificium suscipimus: sciunt fideles quod dicitur; & ideo oportet id esse liberum ab omni accusatione, maledicto, verbo obscœno, & calumnia. Et si nos aliqua lasciua & impudica cogitatio vrgeat, ea intus est suffocanda, nec permittendum vt in verba exeat: & si pusillus & demissus animus facit vt loqui non audeas, sed apud te murmures, ea quoque radix est execanda. Tuta sit porta oportet, & perfecta custodia, nec permittendum est, vt intus mala consilia pariantur: & si pariuntur, ea sunt

Eccl. 28. 19 · *Eccles. 4. 26.* · *Eccli. 5. 14.* · *Eccl. 20. 8.* · *Ibidem.* · *Eccli. 19. 10. & 19. 11.* · *Eccli. 32. 20.* · *Eccl. 20. 4.* · *Gratia sermonis.* · *Coloss. 4. 6.* · *Lingua en commum.* · *Taciturnitatis vitium extirpandum.*

A πάντως κεκλεῖσθαι ἐχρῆν, οὐκ ἔδει φυλακῆς. τὸ γὰρ κεκλεισμένον τί ἄν τις φυλάξειεν; ἀλλὰ διὰ τοῦτο θύρα καὶ φυλακὴ, ἵνα καιρῷ ἐπιτηδείῳ ἕκαστα ἐργαζώμεθα. ἕτερος δέ φησι ζυγὸν καὶ σταθμὸν ποίησαι τῇ σαυτοῦ γλώττῃ, πλείονα ἀκρίβειαν ἀπαιτῶν, ἵνα μὴ μόνον ἐκφέρωμεν ῥήματα ἃ δεῖ, ἀλλὰ καὶ μετὰ τῆς προσηκούσης ἀκριβείας σταθμίζοντες ὡς ἂν εἴποι τις καὶ διερευνώμενοι. εἰ γὰρ ἐπὶ χρυσοῦ τοῦτο ποιοῦμεν, καὶ ὕλης ἀπολλυμένης, πολλῷ μᾶλλον ἐπὶ ῥημάτων ποιεῖν δεῖ, ὥστε μηδὲν ὑστερεῖν, ἢ περιττεύειν. διὸ καί τις φησὶ, μὴ κωλύσῃς λόγον B ἐν καιρῷ σωτηρίας. εἶδες καιρὸν ἐξόδου; ἕτερος δὲ καιρὸν σιγῆς λέγων φησὶν, εἰ ἔστι σοι λόγος, ἀποκρίθητι. εἰ δὲ μὴ, ἔστω ἡ χείρ σου ἐπὶ τῷ στόματί σου. καὶ πάλιν, ὁ πλεονάζων ἐν λόγῳ, μισηθήσεται. καὶ κρείσσων ἄνθρωπος ἀποκρύπτων τὴν μωρίαν αὐτοῦ, ἢ ἄνθρωπος ἀποκρύπτων τὴν σοφίαν αὐτοῦ. ἤκουσας λόγον, ἐναποθανέτω σοι. θάρσει, οὐ μή σε ῥήξει. καὶ πάλιν, ἀπὸ προσώπου λόγου ὠδινήσει μωρὸς, ὡς ἀπὸ προσώπου βρέφους ἡ τίκτουσα. εἶτα καὶ περὶ μέτρου· λάλησον νεανίσκε, εἰ χρεία σοι, μόλις C δὶς, ἐὰν ἐπερωτηθῇς, κεφαλαίωσον ἐν ὀλίγοις πολλά. πολλῆς γὰρ χρεία ἐπιστασίας τῶν λογισμῶν, ὥστε τῇ ἐξουσίᾳ τῆς γλώττης μετὰ πολλῆς κεχρῆσθαι τῆς ἀσφαλείας. διὸ καὶ πάλιν ἔλεγεν, ἔστιν ἔλεγχος, καὶ οὐκ ἔστιν ὡραῖος· καὶ ἔστι τις σιγῶν καὶ εὑρισκόμενος σοφός. οὐ γὰρ δὴ μόνον σιγᾶν δεῖ, καὶ φθέγγεσθαι εὐκαίρως, ἀλλὰ καὶ μετὰ πολλῆς τῆς χάριτος. διὸ καὶ Παῦλος ἔλεγεν, ὁ λόγος ὑμῶν πάντοτε ἐν χάριτι ἅλατι ἠρτυμένος, εἰδέναι πῶς δεῖ ὑμᾶς ἑνὶ ἑκάστῳ ἀποκρίνεσθαι. ἐννόησον ὅτι τοῦτό ἐστι τὸ μέλος, δι' οὗ D ὁμιλοῦμεν τῷ Θεῷ, δι' οὗ τὴν εὐφημίαν ἀναφέρομεν. τοῦτό ἐστι τὸ μέλος, δι' οὗ τὴν φρικτὴν θυσίαν ὑποδεχόμεθα. ἴσασιν οἱ πιστοὶ τὸ λεγόμενον· διὸ καὶ κατηγορίας ἁπάσης αὐτὸ καθαρὸν εἶναι χρὴ, καὶ λοιδορίας, καὶ αἰσχρολογίας, καὶ συκοφαντίας· κἂν ἀσελγής τις λογισμὸς ἐκβιάζηται, ἀποπνίγειν αὐτὸν ἔνδον χρὴ, καὶ μὴ ἐᾷν εἰς ῥήματα ἐκφέρεσθαι, κἂν μικροψυχία τις ἀποδυσπετεῖν σε παρασκευάζῃ. καὶ ταύτην ἀναξηραίνειν τὴν ῥίζαν, καὶ ἀσφαλῆ τὴν θύραν ἔχειν, καὶ ἀκριβῆ τὴν φυλακήν· καὶ τὰ πονηρὰ βουλεύματα, μήτε ἐᾷν τίκτεσθαι, καὶ τικτόμενα ἀπο-

ἀποπνίγειν ἔνδον, καὶ καταξηραίνειν τὴν ῥίζαν. τοιαύτην εἶχε φυλακὴν ὁ Ἰώβ· διὰ τοῦτο οὐδὲν ἐξήνεγκε ῥῆμα ἀπηχὲς, ἀλλ' ἐπὶ πλέον μὲν ἐσίγα, ὅτε δὲ καὶ φθέγξασθαι ἔδει πρὸς τὴν γυναῖκα ἐφθέγξατο τὰ φιλοσοφίας γέμοντα ῥήματα. τότε γὰρ δεῖ φθέγγεσθαι μόνον, ὅταν τῆς σιγῆς τὰ λεγόμενα χρησιμώτερα ᾖ. διὰ τοῦτο καὶ ὁ Χριστὸς ἔλεγε, πᾶν ῥῆμα ἀργὸν, ὃ ἐὰν λαλήσωσιν ἄνθρωποι, δώσουσιν ὑπὲρ αὐτοῦ λόγον, καὶ ὁ Παῦλος, λόγος σαπρὸς ἐκ τοῦ στόματος ὑμῶν μὴ ἐκπορευέσθω. πῶς δ' ἂν γένοιτο ἀσφαλὴς αὕτη ἡ θύρα, καὶ ἡ φυλακὴ ἀκριβὴς, ἄκουσον ἑτέρου λέγοντος, πᾶσα διήγησίς σου ἔστω ἐν νόμῳ ὑψίστου. ἐὰν γὰρ παιδευθῇς, μηδὲν περιττὸν λαλεῖν, ἀλλὰ διαπαντὸς τῇ τῶν θείων γραφῶν διηγήσει τειχίζῃς σου καὶ τὴν διάνοιαν, καὶ τὸ στόμα, ἀδάμαντος ἔσται ἀσφαλεστέρα ἡ φυλακή. καὶ γὰρ πολλαὶ ὁδοὶ ἀπωλείας, διὰ τοῦ στόματος, οἷον ὅταν τις αἰσχρολογῇ, ὅταν εὐτραπελεύηται, ὅταν κενοδοξῇ, ὅταν μεγαλαυχῇ, ὡς ὁ Φαρισαῖος· ὃς ἐπεὶ οὐκ εἶχε θύραν ἐπὶ τοῦ στόματος, πάντα ἐξεχύθη τὰ ἔνδον δι' ὀλίγων ῥημάτων· διὸ καὶ ὥσπερ οἰκία ἄθυρος οὐκ ἰσχύσας κατασχεῖν τὸν θησαυρὸν τὸν ἐναποκείμενον ἀθρόον ἐγένετο πένης. σκόπει μοι καὶ ἄλλον διὰ μεγαληγορίας ἀπολλύμενον ὁμοίως. Εἶπε γὰρ, φησιν, ἐπάνω τῶν ἄστρων τοῦ οὐρανοῦ θήσω τὸν θρόνον μου. Ἰουδαῖοι δὲ διὰ τὸ ἐφήδεσθαι τοῖς τῶν πλησίον κακοῖς, νῦν μὲν ἀκούουσιν, ἀνθ' ὧν εἶπας εὖγε, γέγονας ὡς τὰ λοιπὰ ἔθνη Ἰσραήλ· νῦν δὲ ὀνειδίζονται, διὰ τὸ ἀποδυσπετεῖν, καὶ λέγειν· πᾶς ποιῶν πονηρὸν καλὸν ἐνώπιον κυρίου, καὶ ἐν αὐτοῖς αὐτὸς εὐδόκησε, καὶ ἡμεῖς μακαρίζομεν ἀλλοτρίους, καὶ ἀνοικοδομοῦνται ποιοῦντες ἀνομήματα. οὐκ ἰδοὺ ταῦτα γέγραπται ἐν βιβλίῳ; ἕτεροι διὰ γογγυσμὸν, καθώς φησιν ὁ Παῦλος, μηδὲ γογγύζωμεν, καθώς τινες αὐτῶν ἐγόγγυσαν, καὶ ἀπώλοντο ἀπὸ τοῦ ὀλοθρευτοῦ. καὶ πότε ἐγόγγυσαν; ὅτε ἔλεγον, ἐξήγαγες ἡμᾶς ἀποκτεῖναι ἐν τῇ ἐρήμῳ παρὰ τὸ μὴ εἶναι μνήματα ἐν Αἰγύπτῳ. ἕτεροι διὰ παιδιὰν καθάπερ φησιν· ἔφαγον καὶ ἔπιον, καὶ ἀνέστησαν παίζειν. ἄλλοι διὰ λοιδορίας. πᾶς

A intus suffocanda, & est radix eorum execanda. Hanc habuit Iob custodiam, & ideo nullum verbum inconcinnum aut absurdum protulit, sed maxima quidem ex parte tacuit: quando autem cum loqui cum vxore oportuit, locutus est verba sapientiæ plena. Tum demum enim solùm loquendum est, quando quæ dicuntur, plus prosunt quàm silentium. Quocirca Christus quoque dicebat: Omne verbum ociosum, quod locuti fuerint homines, dabunt pro eo rationem. Et Paulus, Sermo obscœnus ex ore vestro non prodeat. Quomodo B autem fuerit tuta hæc ianua, & accurata custodia, audi aliũ dicentem, Omnis narratio tua sint in lege altissimi: Si enim didiceris nihil loqui superuacaneum, sed diuinarum scripturarum narratione mentem & os tuum perpetuò munias: erit custodia quouis adamante tutior. Per os enim multæ sunt viæ interitus, vt quando quis obscœna verba loquitur, quando verbis scurrilibus vtitur, quando vanam præ se fert gloriam, quando se magnificè iactat & gloriatur, vt Pharisæus: qui quoniam ori suo C fores non obdidit, paucis verbis quæcunque erant intus, effusa sunt: idcirco quemadmodũ domus cui nullæ essent fores, quia thesaurum qui positus erat intus, conseruare non potuit, repentè pauper factus est. Considera mihi quoque alium, qui propter magnifica sua verba similiter periit. Dixit enim: inquit, Super astra cœli ponam sedem meam. Iudæi autem propterea quòd proximi malis lætantur, nunc quidem audiunt: Propterea quòd dixisti, Euge, euge, factus est vt reliquę gentes Israël, nunc autem probris incessuntur, pro- D pterea quod murmurant, & dicunt, Omnis qui facit malum, bonum coram Domino, ipse quoque in eis complacuit. Et nos alienos beatos ducimus, & reædificantur qui faciunt scelera. Non ecce hæc scripta sunt in libro? Alij propter murmurationem, vt dicit Paulus: Neque murmuremus, sicut nonnulli eorum murmurarunt, & perierunt ab exterminatore. Et quando murmurarunt? Quando dicebant: Eduxisti nos vt occideres in deserto, quasi non essent monumenta in Ægypto. Alij propter ludum, quemadmodum dicit, Comederunt & biberunt, & surrexerunt ad ludendum. Alij propter maledicta.

Iob 1. 2. Tempus loquendi. Matth. 12. Ephes. 4. Eccles. 9. Matt. 18. Esa. 14. Psal. 105. Ezech. 36. Iob 21. Psal. 143. Malach. 2. 17. Ibid. 3. 15. 1. Cor. 10. 10. Exod 17. Exod 32.

Omnis enim qui dicit fratri ſuo, Fatue, reus erit iudicio. & his longè plures propter alia perierunt, cùm non cuſtodiiſſent ora ſua. Quòd ſi vis videre nonnullos etiam perire ex intempeſtiuo ſilentio, ego tibi oſtendam. Si enim, inquit, populo non diſtinxeris, ille quidem morietur in peccato ſuo, ſanguinem autem eius è manu tua requiram. Alius, quòd nullo habito diſcrimine loquitur cum aliquibus, & quæ ſibi credita ſunt, effundit. Nolite, inquit, dare ſancta canibus, nec proijcite margaritas veſtras ante porcos. Alius propter riſum, & ideo dicit: Væ vobis qui ridetis, quoniam flebitis. Vidiſti quomodo os perdit? Vide etiam contrà quomodo os conſeruat. Vidiſti Phariſæum per ipſum pereuntem? vide publicanum per ipſum conſeruatum. Vidiſti glorioſum ac magniloquũ barbarum pœnas dantem? Vide iuſtum moderatè loquentem, & dicentem, Ego ſum terra & cinis. Vidiſti eum qui lætatur & inſultat, reprehendi & puniri? vide eũ qui miſeretur, ſeruari. Da enim, inquit, ſignum ſuper vultus eorum qui lugent, & mœrore afficiuntur. Quocirca Paulus quoque dicebat, Gaudete cum gaudentibus, & flete cum flentibus. Si nihil, inquit, aliud potes, non parum, ei qui dolore afficitur, conferes, ſi vnà cum eo eius vicem doleas. Vidiſti eum qui ridebat, fletui eſſe traditum? vide eum qui luget, aſſecutum eſſe conſolationem. Beati enim qui lugent, inquit, quoniam ipſi conſolationem accipient. Vidiſti eos qui murmurant, punitos? vide eos qui gratias agunt, ſeruatos. Benedictus es Domine, & laudabile nomen tuum, quoniam iuſtus es in omnibus, quæ feciſti nobis. Et paulò poſt, Omnia quæcunque induxiſti nobis, in vero iudicio feciſti. Illi dicebant: Omnis qui facit malum, bonum coram, Domino: hi contrà, Mundus oculus tuus, vt non videat mala. Illi beatos ducebant alienos, quoniam reædificantur facientes ſcelera: hic eos quibus Deus fert opem. Beatus, inquit, populus, cuius Dominus Deus eius. Et rurſus: Noli æmulari in malignantibus: nec eos beatos iudica, qui faciunt iniquitatem. Vidiſti ſanctos alios adhortantes, & ipſos manentes immobiles in tentationibus? audi itaque Iacob dicentem,

Matt. 5. 22. — Silentiũ intempeſtiuũ malum. — Ezech. 3. 18. — Matth. 7. — Riſus malum. — Luc. 6. — Matth. 18. — 1. Reg. 17. — Gen. 18. 27. — Ezech 9. — Rom. 12. — Aſſlictis condolendum. — Matth. 5. — Dan. 3. 27. — Malach. 2. 17. — Hab. 1. 13. — Pſal. 32. — Pſal. 36. — Geneſ. 28.

πᾶς ὁ λέγων τῷ ἀδελφῷ αὐτοῦ, μωρὲ, ἔνοχος ἔσται τῇ κρίσει. καὶ ἕτεροι τούτων πλείους δι' ἄλλα ἀπώλοντο μὴ φυλάξαντες τὰ ἑαυτῶν στόματα. εἰ δὲ βούλει καὶ ἀπὸ σιγῆς ἀκαίρου ἀκοῦσαι ἀπολλυμένους τινὰς, ἐγώ σοι δείξω. ἐὰν γὰρ μὴ διαστείλῃς, φησὶ, τῷ λαῷ, ἐκεῖνος μὲν ἀποθανεῖται τῇ ἁμαρτίᾳ αὐτοῦ, τὸ δὲ αἷμα αὐτοῦ ἐκ τῆς χειρός σου ἐκζητήσω. ἄλλος, ἐκ τοῦ ἀδιακρίτως τισὶ διαλέγεσθαι, καὶ τὰ ἐμπιστευθέντα ἐκχεῖν. μὴ δῶτε γὰρ, φησι, τὰ ἅγια τοῖς κυσὶ, μηδὲ ῥίψητε τοὺς μαργαρίτας ὑμῶν ἔμπροσθεν τῶν χοίρων. ἄλλος, ἐκ τοῦ γελᾶν, διό φησιν· οὐαὶ ὑμῖν οἱ γελῶντες, ὅτι κλαύσετε. εἶδες πῶς ἀπόλλυσι στόμα; ὅρα πῶς σώζει στόμα ἀπὸ τῶν ἐναντίων. εἶδες τὸν Φαρισαῖον ἀπολλύμενον δι' αὐτοῦ; ὅρα τὸν τελώνην σωθέντα δι' αὐτοῦ; εἶδες τὸν μεγαλήγορον βάρβαρον δίκην δόντα; ὅρα τὸν δίκαιον μετριάζοντα καὶ λέγοντα, ἐγώ εἰμι γῆ καὶ σποδός. εἶδες τὸν ἐφηδόμενον ἐγκαλούμενον καὶ κολαζόμενον; ὅρα τὸν συναλγοῦντα σωζόμενον. δὸς γὰρ, φησι, τὸ σημεῖον ἐπὶ τὰ πρόσωπα τῶν στεναζόντων, καὶ ὀδυνωμένων. διὸ καὶ Παῦλος ἔλεγε, χαίρειν μετὰ χαιρόντων, καὶ κλαίειν μετὰ κλαιόντων. εἰ καὶ μηδὲν ἕτερον δύνασαι, φησιν, οὐ μικρὸν τοῦτο εἰσοίσεις τῷ ἀλγοῦντι τὸ συναλγῆσαι. εἶδες τὸν γελῶντα θρήνοις παραδιδόμενον; ὅρα τὸν πενθοῦντα παρακλήσεως ἀπολαύοντα. μακάριοι γὰρ, φησιν, οἱ πενθοῦντες, ὅτι αὐτοὶ παρακληθήσονται. εἶδες τοὺς ἀποδυσπετοῦντας κολαζομένους; ὅρα τοὺς εὐχαριστοῦντας σωζομένους. εὐλογητὸς εἶ κύριε, καὶ αἰνετὸν τὸ ὄνομά σου, ὅτι δίκαιος εἶ ἐπὶ πᾶσιν οἷς ἐποίησας ἡμῖν, καὶ μετ' ὀλίγα· πάντα ὅσα ἐπήγαγες ἡμῖν, ἐν ἀληθινῇ κρίσει ἐποίησας ἡμῖν. ἐκεῖνοι ἔλεγον, πᾶς ποιῶν πονηρὸν, καλὸν ἐνώπιον κυρίου, οὗτοι ἀπεναντίας, καθαρὸς ὁ ὀφθαλμός σου τοῦ μὴ ὁρᾶν πονηρά. ἐκεῖνοι, ἐμακάριζον ἀλλοτρίους, ὅτι ἀνοικοδομοῦνται ποιοῦντες ἀνομήματα· οὗτοι τοὺς ὑπὸ Θεοῦ βοηθουμένους· μακάριος, φησιν, ὁ λαὸς, οὗ κύριος ὁ Θεὸς αὐτοῦ. καὶ πάλιν, μὴ παραζήλου ἐν πονηρευομένοις, μηδὲ ζήλου τοὺς ποιοῦντας τὴν ἀνομίαν. εἶδες τοὺς ἁγίους καὶ ἑτέροις παραινοῦντας, καὶ αὐτοὺς ἀπεριτρέπτους ἐν τοῖς πειρασμοῖς μένοντας; ἄκουσον γοῦν τοῦ Ἰακὼβ λέγοντος·

ἐὰν δῷ μοι κύριος ἄρτον φαγεῖν, καὶ ἱμάτιον περιβαλέσθαι· καὶ τοῦ Ἀβραάμ· οὐ μὴ λάβω ἀπὸ σοῦ ἀπὸ σπαρτίου ἕως σφαιρωτῆρος ὑποδήματος. καὶ ἡνίκα δὲ ἡ γυνὴ διαφθείρεσθαι ἔμελλε, καὶ ὁ λιμὸς ἐπέκειτο, οὐδὲν ἐφθέγξατο ῥῆμα ἀπηχές· καὶ ὅτε ὁ παῖς εἶπεν, πάτερ ἰδοὺ τὰ ξύλα καὶ τὸ πῦρ, ποῦ τὸ πρόβατον; ὅρα πῶς μετ' ἐπιεικείας καὶ φιλοσόφου διανοίας ἀποκρίνεται, καὶ λέγει· ὄψεται ἑαυτῷ ὁ Θεὸς πρόβατον τέκνον· οὔτε ὑπὸ τῆς φύσεως, οὔτε ὑπὸ τῆς συμπαθείας ἐπιστραφεὶς πρὸς τὰ τοῦ παιδὸς ῥήματα μόνος πρὸς μόνον ἃ ἐποιεῖτο, ὅτε μάλιστα καὶ τὰ τοῦ πόθου σφοδρότερον ἀνάπτεσθαι εἰκὸς ἦν. ἵνα γὰρ μή τις εἴπῃ, ὅτι ἑτέρους αἰδούμενος οὐκ ἐπένθησε, χωρισθεὶς αὐτῶν καὶ μόνος ὢν ἔδειξε τῆς φιλοσοφίας τὸν τόνον. εἶδες τοὺς διὰ γέλωτα κολαζομένους; ὅρα τοὺς διὰ θρήνων καὶ νηστειῶν σωζομένους, τοὺς Νινευίτας ἐννοήσας. εἶδες τοὺς διὰ λοιδορίας τιμωρουμένους; σκόπει τοὺς δι' εὐφημίας μισθὸν λαμβάνοντας. ὁ εὐλογῶν σε εὐλογημένος, καὶ ὁ καταρώμενός σε, ἐπικατάρατος. εὐλογεῖτε τοὺς διώκοντας ὑμᾶς, εὔχεσθε ὑπὲρ τῶν ἐπηρεαζόντων ὑμᾶς, ὅπως γένησθε ὅμοιοι τοῦ πατρὸς ὑμῶν τοῦ ἐν τοῖς οὐρανοῖς. ὁρᾷς, ὅτι οὐδὲ κεκλεῖσθαι δεῖ δι' ὅλου, οὐδὲ ἀνεῷχθαι εἰς πάντα, ἀλλ' εἰδέναι τὸν καιρὸν ἑκάστου; ταῦτα καὶ ὁ προφήτης εἰδὼς ἔλεγε, θοῦ κύριε φυλακὴν τῷ στόματί μου, καὶ θύραν περιοχῆς περὶ τὰ χείλη μου. τίς δ' ἂν γένοιτο φυλακή, ἄλλη ἢ λογισμὸς φοβερῶς ἐφεστώς, μετὰ χεῖρας ἔχων τὸ πῦρ μέλλον κατακαίειν τοὺς ἁπλῶς τῷ στόματι κεχρημένους; τοῦτον στῆσον πυλωρὸν καὶ φύλακα, ἀπειλοῦντα τῷ συνειδότι, καὶ οὐδέποτε ἀνοίξει τὴν θύραν ταύτην ἀκαίρως, ἀλλ' εἰς καιρόν, καὶ ἐπὶ κέρδει καὶ μυρίοις ἀγαθοῖς. διό τις ἔλεγε, μιμνήσκου τὰ ἔσχατά σου, καὶ εἰς τὸν αἰῶνα οὐ μὴ ἁμάρτῃς. εἶδες πῶς καὶ οὗτος τοῦτον ἐπέστησε τὸν λογισμόν; ἐγὼ δὲ καὶ φοβερώτερον ἐποίησα αὐτόν, οὐχὶ τῇ τελευτῇ μόνον, ἀλλὰ καὶ μετὰ τὴν τελευτήν, εἰπὼν αὐτὸν μετὰ χεῖρας ἔχειν. ἂν τοῦτο ᾖ, οὐδὲν τεχθήσεταί τι πονηρὸν ἐν τῇ διανοίᾳ. μετὰ τούτου καὶ ἕτερον αὐτῷ παράστησον τὸν λέγοντα, ὅτι παντὸς ῥήματος ἀργοῦ λόγον ἀποδώσετε ἐν ἡμέρᾳ κρίσεως. ἐννόησον ὅτι καὶ ὁ θάνατος ἐντεῦθεν εἰσῆλθεν. εἰ γὰρ μὴ διελέχθη ἡ γυνὴ πρὸς τὸν ὄφιν ἐκεῖνα, ἃ διελέχθη,

A Si dederit mihi Dominus panem ad vescendum, & vestem ad induendum: *Genes. 14.* Et Abraham, Non accipiam à te ex filo vsque ad corrigiam calceamenti. Porrò autem quàdo stuprum erat vxori inferendum, & fame premebatur, nihil graue aut absurdum locutus est. Et quando dixit filius, Pater ecce ligna & *Gen. 22.* *Ibid. 22.* ignem, vbi ouis? Vide cum quanta mansuetudine & sapientia respondet, & dicit: Prouidebit sibiipsi, inquit, ouem Deus, ô fili, nec à natura, nec à commiseratione conuersus ad verba filij, quæ B solus soli faciebat, quando consentaneum erat desiderium vehementius accendi. Ne quis enim dicat quòd propter alios verecundia motus non fleuit, ab eo separatus, & cùm esset solus ostendit summam philosophiam. Vidisti eos qui propter risum puniti fuerunt? vide eos qui per fletus & ieiunia seruantur, Niniuitas mente agitans. Vidisti *Iona 3.* eos qui propter maledicta dant pœnas? vide eos qui propter laudationem, mercedem accipiunt. Qui te benedicit, *Num. 24.* benedictus: & qui te execratur, male- *Luc. 6.* dictus. Benedicite iis qui vos persequu- C tur: orate pro iis qui vobis insultant, vt sitis similes patris vestri qui est in cœlis. Vides quòd neque oporteat omninò esse clausum, neque apertum ad omnia, sed scire vniuscuiusque tempus? Hæc autem cùm sciret Propheta dixit, Pone Domine custodiam ori meo. *Et ostium circumstantiæ labiis meis.* Quænam autem fuerit custodia, nisi cogitatio quæ vrget terribiliter, habens præ manibus ignem eos vsturum, qui ore temerè vsi fuerint? Eū adhibe ianitorem & custodem intentantem minas conscientiæ, & hanc portam nunquam in- D tempestiuè aperies, sed tempestiuè, & propter lucrū, & bona innumerabilia. Quocirca dixit quispiam: Memorare *Eccli. 7. 40* nouissima tua, & in æternū nō peccabis. Vidisti quomodo hic quoque hanc præficit cogitationē. Ego verò ipsam etiam *Matth. 12.* feci terribiliorem, non solum propter *Gen. 3.* finem, sed etiam post finem, cum dixi *Ociosi verbi reddenda ratio.* eum habere præ manibus. Si hoc ita sit, nihil mali parietur in animo. Cum eo alium quoque ei appone, qui dicat: Omnis verbi otiosi reddes rationem in die iudicij. Cogita quòd mors quoque ex eo ingressa est. Nisi enim mulier locuta esset cum serpente vt locuta est,

Matth. 26. Oscula immunda & ficta. Marc. 4.

nisi verba dixisset quæ ei minimè conveniebant, damnum non accepisset, viro non dedisset, ille non comedisset. Hæc autem dico, non in os & linguam culpam conferens, absit, sed in importunum eorum vsum, qui ex rationis negligentia oritur. Est etiam alia via interitus, quæ ex ore proficiscitur, quādo sunt turpia & immūda oscula, quando ficta ac frauduléta. Eis quoque impone custodiam. Tale erat Iudæ osculum, dolo plenum: sed non tale Pauli osculum, quo iussit se inuicem osculari, dicens? Salutate vos inuicem in osculo

2. Cor. 13. 1. Reg. 20. Osculum sanctum.

sancto, quemadmodū nec Dauid quod Ionathæ præbet osculum, sed sanctum, & honestum, & syncera dilectione plenum: cuiusmodi etiam fuit eorum qui in Pauli collum ceciderunt, & eum amplexi osculabantur. Et ideo dicit: Pone

Act. 16.

Domine custodiam ori meo, & ostium, non absolutè autem ostium, sed ostium circumstantiæ addidit. Vt vniuersum cōtineat, & muniat. Iam verò est etiam aliud genus exitij per linguam, nempe dicere, Cur hoc ita est? Ad quid est factum hoc? Quocirca Paulus eos car-

Rom. 9. 20

pens, qui hęc inconsiderate loquuntur, dicit: Verumtamen, ô homo, tu quis es qui respondeas Deo? Non oportet autem os solum custodire, sed mentem etiam ante os. Quocirca dicebat etiam

Eccli. 23. 2.

quispiam: Quis dabit in cogitatione mea flagella, vt ignorātiis meis non parcant? Quocirca Christus quoque intus tollit ipsas malas cogitationes dicens:

Matt. 5. 28

Qui aspexit mulierem ad concupiscendum, iam mœchatus est. Vides quomodo non finit eas pullulare, nec initium sumere cupiditatem, nec iram? Qui irascitur enim, inquit, fratri suo, reus

Ibidem.

erit gehennæ ignis. Non parum quoque conducit ad securitatem, non mul-

Prou. 10. 19.

tum loqui: & ideo dicit, In multiloquio non effugies peccatum: parcens autem labiis, eris intelligens. *Non declines cor meum in verba malitiæ, ad excusandas excusationes in peccatis.* Alius, Ne diuerteris cor meum in sermones malos, ad cogitandum sceleratas cogitationes. Cur autem vsus est ordine contrario? & cum de ore prius esset locutus, tunc venit ad cor? Non temerè, nec abs re hoc

Collatio.

facit. quemadmodum enim in captiuis qui volunt aufugere, qui eius rei curam gerunt, primùm hoc agunt, vt portas carceris præoccupent, & ad hoc omne

εἰ μὴ προσήκοντα τὰ ῥήματα, οὐκ ἂν ἐδέξατο τὴν βλάβην, οὐκ ἂν ἔδωκε τῷ ἀνδρί· οὐκ ἂν ἔφαγεν ἐκεῖνος. καὶ ταῦτα λέγω, οὐ γλῶτταν καὶ στόμα αἰτιώμενος, ἄπαγε, ἀλλὰ τὴν ἄκαιρον αὐτῶν χρῆσιν, ἣ παρὰ ῥαθυμίαν γίνεται τοῦ λογισμοῦ. ἔστι δὲ καὶ ἄλλη ὁδὸς ἀπωλείας διὰ στόματος γινομένη, ὅταν φιλήματα αἰσχρὰ ἢ καὶ ἀκάθαρτα, ὅταν δολερὰ καὶ ὕπουλα, καὶ τούτοις τὴν φυλακήν. τοιοῦτον φίλημα ἦν τὸ τοῦ Ἰούδα δόλου γέμον· ἀλλ' οὐ τὸ τοῦ Παύλου τοιοῦτον, ᾧ φιλεῖν ἀλλήλους ἐκέλευσε λέγων, ἀσπάσασθε ἀλλήλους ἐν φιλήματι ἁγίῳ, ὥσπερ οὐδὲ τοῦ Δαβὶδ τὸ πρὸς τὸν Ἰωνάθαν, ἀλλὰ ἅγιον καὶ σεμνόν, καὶ γνησίας ἀγάπης γέμον, καὶ οἷον ἦν τὸ τῶν ἐπιπεσόντων τῷ τοῦ Παύλου τραχήλῳ καὶ καταφιλούντων αὐτόν. διὰ τοῦτό φησι· θοῦ κύριε φυλακὴν τῷ στόματί μου, καὶ θύραν, οὐχ ἁπλῶς θύραν, ἀλλὰ περιοχῆς, ἐπαγαγών, ὥστε περιέχειν τὸ πᾶν καὶ ἀσφαλίζεσθαι. ἔστι καὶ ἕτερον εἶδος ἀπωλείας διὰ γλώττης, τὸ λέγειν, διὰ τί τοῦτο; εἰς τί τοῦτο γέγονε; διὰ τοῦτο καθαπτόμενος ὁ Παῦλος τῶν οὕτω φθεγγομένων ἀπερισκέπτως· μενοῦνγε, ὦ ἄνθρωπε, σὺ τίς εἶ ὁ ἀνταποκρινόμενος τῷ Θεῷ; οὐ στόμα δὲ δεῖ φυλάττειν μόνον, ἀλλὰ καὶ διάνοιαν πρὸ τοῦ στόματος. διὸ καί τις ἔλεγε· τίς δώσει ἐπὶ τοῦ διανοήματός μου μάστιγας, ἵνα ἐν τοῖς ἀγνοήμασί μου μὴ φείσωνται; διὸ καὶ ὁ Χριστὸς ἔνδοθεν αὐτοὺς ἀναιρεῖ τοὺς πονηροὺς λογισμοὺς λέγων· ὁ ἐμβλέψας γυναικὶ πρὸς τὸ ἐπιθυμῆσαι, ἤδη ἐμοίχευσεν αὐτήν. ὁρᾷς πῶς οὐκ ἀφίησιν αὐτοὺς βλαστῆσαι, οὐδὲ ἀρχὴν λαβεῖν, οὐκ ἐπιθυμίαν, οὐκ ὀργήν; καὶ γὰρ ὁ ὀργιζόμενός, φησι, τῷ ἀδελφῷ, ἔνοχος ἔσται εἰς τὴν γέενναν τοῦ πυρός. οὐ μικρὸν δὲ καὶ τὸ μὴ πολλὰ φθέγγεσθαι εἰς ἀσφάλειαν· διό φησιν, ἐκ πολυλογίας οὐκ ἐκφεύξῃ ἁμαρτίαν· φειδόμενος δὲ χειλέων, νοήμων ἔσῃ. μὴ ἐκκλίνῃς τὴν καρδίαν μου εἰς λόγους πονηρίας, τοῦ προφασίζεσθαι προφάσεις ἐν ἁμαρτίαις. ἄλλος, μὴ παρατρέψῃς τὴν καρδίαν μου εἰς λόγους πονηρούς, εἰς ἐννοίας παρανόμους. τί δή ποτε ἐναντίαν τὴν τάξιν ἐποιήσατο, καὶ πρότερον περὶ στόματος διαλεχθείς, τότε ἐπὶ τὴν καρδίαν ἦλθεν; οὐχ ἁπλῶς, οὐδ' ὡς ἔτυχε τοῦτο ποιεῖ. καθάπερ γὰρ ἐπὶ τῶν δεσμωτῶν, τῶν βουλομένων ἐκφυγεῖν ἔργον προηγούμενον οἱ τὴν ἐπιμέλειαν ἔχοντες ποιοῦσι) προκαταλαβεῖν τοῦ δεσμωτηρίου τὰς θύρας, καὶ οὕτω πάντες

ἐσπουδάκασι, κἂν τοῦτο γένηται, τὸ λειπόμενον εὐδιόρθωτον· οὕτω δὴ καὶ ἐνταῦθα ποιεῖ, καὶ δι' ὧν παραινεῖ, τοῦτο μονονουχὶ λέγει· ἔστωσαν αἱ θύραι κεκλεισμέναι, καὶ οἱ πονηροὶ λογισμοὶ ταχέως χειρωθήσονται. διὰ τοῦτο οὐδὲ τὴν ἀρχὴν συγχωρεῖ ἔξωθεν εἰσελθόντας, καὶ τὴν πονηρὰν ἀνασπᾷ ῥίζαν, λέγων· μὴ ἐκκλίνῃς τὴν καρδίαν μου εἰς λόγους, τουτέστι, μὴ ἀφῇς κλιθῆναι, μὴ ἀφῇς περιτραπῆναι εἰς ἐννοίας πονηράς. ἐκεῖθεν γὰρ ἡ πηγὴ τῆς ἀρετῆς καὶ τῆς κακίας ἀπὸ τῆς καρδίας. τοῦτο δὲ δηλῶν οὕτως εἶπεν οὐχ ὅτι ὁ Θεὸς ἐκκλίνει, μὴ γένοιτο. τίνες δὲ οἱ λόγοι τῆς πονηρίας; πολλοὶ καὶ διάφοροι. καὶ γὰρ οἱ ἐπιβουλὰς ῥάπτοντες, οἱ τὸν Θεὸν διαβάλλοντες, οἱ ἀρετὴν ἀποστρεφόμενοι, οἱ κακίαν διώκοντες, οἱ περὶ δογμάτων διεφθαρμένων, καὶ βίου ἠμελημένου, ἡδέως ἀκούονται λόγοι, καὶ τὰ τοιαῦτα πονηρίας πολλῆς περιέχοντα. ὥσπερ δέ εἰσιν ἔννοιαι καὶ ῥήματα πονηρίας, οὕτω καὶ ζωῆς. διὸ καὶ ἔλεγον οἱ μαθηταὶ τῷ Χριστῷ, ῥήματα ζωῆς αἰωνίου ἔχεις· καὶ πρὸς τίνα ἀπελευσόμεθα; λέγεται δὲ ῥήματα ζωῆς τὰ ζωὴν παρέχοντα· λέγεται δὲ καὶ ῥήματα σωτηρίας τὰ σωτηρίαν περιποιοῦντα. διὸ καί τις σοφὸς λέγει, μὴ κωλύσῃς λόγον ἐν καιρῷ σωτηρίας. λόγοι πονηρίας καὶ οἱ πονηροὺς ποιοῦντες τοὺς λέγοντας. ὥσπερ γάρ εἰσιν ἀέρες λοιμώδεις, καὶ νοσοποιοί· οὕτω καὶ λόγοι. ὅπερ γὰρ ἐργάζονται ἐν σώματι ἐκεῖνοι, τοῦτο οὗτοι τῇ παραδεχομένῃ ψυχῇ. εὔχεται τοίνυν καὶ ἐνταῦθα, δι' ὧν ἐπήγαγε, καὶ λέγει· μὴ ἀφῇς ἐκεῖ κλιθῆναι. εἶδες πῶς δείκνυσι τὸ αὐτεξούσιον, καὶ ὅτι οὐκ ἐν ἑαυτῇ τὴν πονηρίαν ἡ φύσις ἔχει, ἀλλ' ἀπὸ ῥᾳθυμίας κλινομένη δέχεται; τὸ προφασίζεσθαι προφάσεις ἐν ἁμαρτίαις, αὕτη μάλιστά ἐστιν ἡ τῆς ἀπωλείας ὁδὸς, ὅταν αὐτὴ ἁμαρτοῦσα ἡ ψυχὴ τὸν φόβον ἐκλύσῃ, καὶ προφάσεις τινὰς εἰς ῥᾳθυμίαν ἐπινοῇ. ἢ καὶ ὅταν μοιχεύσαντός τινος βουλόμενος ἕτερος ἐκλῦσαι αὐτοῦ τὴν κατάνυξιν, λέγῃ· μὴ γὰρ σὺ αἴτιος; ἡ ἐπιθυμία αἰτία. κακὸν γοῦν τὸ ἁμαρτεῖν, χαλεπώτερον δὲ αὐτὸ ποιεῖ τὸ ἀρνεῖσθαι μετὰ τὸ ἁμαρτεῖν. τοῦτο μάλιστα ὅπλον τοῦ διαβόλου. τοῦτο καὶ ἐπὶ τῶν πρωτοπλάστων ἐγένετο.

A studium suum conferunt, & si hoc factum fuerit, quod restat poterit facilè rectè geri: ita etiam hic quoque id facit in hoc loco, & per ea quæ suadet, hoc propè dicit: Sint clausæ ianuæ, & malæ cogitationes citò expugnabûtur. Quocirca nec ab initio quidem permittit, vt extrísecus ingrediatur: & malâ côuellit radicē, dicens: Non declines cor meum in verba. Hoc est, Ne permittas vt declinet, ne finas vt diuertat ad malas cogitationes. Illinc enim est fons virtutis & vitij, nempe à corde. Hoc autem significans, sic dixit, non quòd Deus de- B clinet. Absit. Quænam sunt autem verba improbitatis? Multa & diuersa. Nam & quæ insidias struūt, quæ Deum criminantur, quæ virtutem auersantur, quæ vitium sectantur, quæ de prauis dogmatibus & scelerata vita lubenter audiuntur, & cætera huiusmodi, sunt verba improbitatis, & ex magna improbitate procedūt. Quemadmodum autem sunt cogitata & verba improbitatis, ita sunt etiam verba vitæ. Et ideo Christo dicebant discipuli, Verba vitæ æternæ habes: & ad quem ibimus? Dicuntur autem verba vitæ, quæ vitam C præbent. Dicuntur etiam verba salutis, quæ salutem acquirunt. Quocirca dicit quidam sapiens, Ne prohibeas sermonem in tempore salutis. Verba improbitatis ea etiam sunt quæ faciunt dicentes improbos. Quemadmodum enim est aër pestilens, & qui morbos procreat: ita etiam verba. quod autem facit ille in corpore, id ista faciūt animę, quæ ipsa suscipit. Orat ergo per ea, quæ hic quoque subiunxit, & dicit, Ne finas vt cor meū verba huiusmodi suscipiat: ne permittas vt illuc inclinetur. Vidisti quomodo ostendit liberum animi ar- D bitrium, & naturam in se non habere vitium, sed à socordia inclinatam id suscipere? *Ad excusandas excusationes in peccatis.* Hæc est via præcipua interitus, quando vel ipsa quæ peccauit anima, excusso timore excogitat excusationes & prætextus quosdam ad ignauiam, vel quemadmodū, cùm quispiam adulterauit, & volens alius eius compunctionem excutere, dicit: Nunquid tu causa es? causa est cupiditas. Malum est quidem peccare: hoc autem facit grauius, negare postquam peccaueris. Hæc sunt arma diaboli potissima. Hoc etiam in primis nostris parentibus vsuuenit.

Cor, & virtutis & vitij fons.
Verba improbitatis.
Ioan. 6. 68.
Verba vitæ & salutis.
Eccls. 4. 28
Simile.
Liberū arbitrium.
Ecclesi. 38.
Excusatio in peccatis pessima.

Genes.3. Cùm enim oporteret Adam peccata confiteri, ille in Euam confert culpam, & illa rursus in diabolum. Cùm oporteret dicere, peccauimus, iniquitatem fecimus: illi non solùm non confitentur, sed etiam defensionem comparant. Cùm enim sciret diabolus peccati confessionem esse peccati solutionem, persuadet animæ, vt sit ægregiè impudens. *Confessio peccati solutio.* *1. Reg. 12. 24.* At tu, ô dilecte, quando peccaueris, dic: Peccaui. nihil est hac defensione iustius. Ita Deum reddis propitium: ita etiam facis, vt tardiùs in ea rursus incidas. Sed quando quæres prætextus qui nō sunt, & animā voles metu liberare, reddes eam promptiorem vt rursus eisdem implicetur: Deúmque magis irritabis. *Luc. 18.* Nulli enim peccatori deest impudens prætextus. Homicida culpam confert in iram, & fur in paupertatem, & adulter in cupiditatem, & alius in principatū. Sed hi quidem sunt alieni à ratione prætextus, non rationi consentaneæ defensiones. Illa enim non faciunt peccata, sed ipsi eorum qui peccant animi. Ita autem esse ostēdam ex iis quæ sunt proxima, & illis cohærentia. Quando enim videtur homo alius, qui & vitam agit in paupertate, & tenetur cupiditate, & necessitati naturæ est obnoxius, neque tamen in his peccat, quánam poterunt vti defensione? Et ideo pulchrè sic dixit quidam sapiens: Quis dederit in mente mea flagella, vt ignorantiis meis non parcant? *Eccli.23.2.* Vide Dauid nullam excusationem afferentem quando peccauit, sed dicentem: Peccaui Domino. *2.Reg.12.* Atqui potuisset dicere, Cur nudabatur mulier? Cur lauabatur ante meos oculos? Sed sciebat has esse friuolas excusationes, & quæ nihil haberent rationis: & ideo venit ad apertam defensionem, nempe vt diceret, Peccaui. At Saül non ita, sed cùm de ventriloqua seu Pythonissa reprehenderetur, dicebat, Coarctor, & alienigenæ pugnant contra me. *1.Reg.28.* Ideo autem graue dedit supplicium. Cùm enim deberet dicere, Peccaui, & me iniquè gessi: ille quidē hoc non dixit, sed abibat à ratione alienas quærens excusationes. *Cum hominibus operantibus iniquitatem.* Hoc subiunxit ostendens esse illorum maximè, afferre excusationes, & se impudenter gerere: & ideo hoc assiduè instar virtutis pro-

A δέον γὰρ ὁμολογῆσαι τὸν Ἀδὰμ τὰ πεπλημμελημένα, ὁ δὲ ἐφ' ἑτέραν μεταφέρει τὴν αἰτίαν, κἀκείνη πάλιν ἐπὶ τὸν διάβολον, δέον εἰπεῖν, ἡμάρτομεν, ἠνομήσαμεν· οἱ δὲ οὐ μόνον οὐχ ὁμολογοῦσιν, ἀλλὰ καὶ ἀπολογίας συντιθέασιν. ὁ γὰρ διάβολος εἰδὼς, ὅτι ἡ ὁμολογία τῆς ἁμαρτίας λύσις ἐστὶ τῆς ἁμαρτίας, πείθει τὴν ψυχὴν ἀναισχυντεῖν. ἀλλὰ σὺ, ἀγαπητὲ, ὅταν ἁμάρτῃς, εἰπὲ, ὅτι ἥμαρτον· ταύτης τῆς ἀπολογίας οὐδὲν δικαιότερον. οὕτω τὸν Θεὸν ἵλεων ποιεῖς· οὕτω καὶ σεαυτὸν ὀκνηρότερον εἰς τὸ τοῖς αὐτοῖς περιπεσεῖν. B ὅταν δὲ μέλλῃς προφάσεις οὐκ οὔσας ζητεῖν, καὶ ἀπαλλάττειν τὴν ψυχὴν τῆς δίκης, προθυμοτέραν αὐτὴν ἐργάσῃ πρὸς τὸ πάλιν ἐμφύρεσθαι τοῖς αὐτοῖς, καὶ τὸν Θεὸν μειζόνως παροξυνεῖς. οὐδενὶ γὰρ τῶν ἁμαρτανόντων πρόφασις λείπει ἀναίσχυντος. καὶ γὰρ ὁ ἀνδροφόνος τὸν θυμὸν αἰτιάσασθαι ἔχει, καὶ ὁ κλέπτης τὴν πενίαν, καὶ ὁ μοιχὸς τὴν ἐπιθυμίαν, καὶ ἕτερος τὴν δυναστείαν, ἀλλὰ ταῦτα προφάσεις εἰσὶν ἄλογοι, οὐδεμίαν ἀπολογίαν εὔλογον ἔχουσαι. οὐδὲ γὰρ ἐκεῖνα ποιεῖ τὰς ἁμαρτίας, ἀλλ' αἱ γνῶμαι τῶν ἁμαρτανόντων. καὶ ὅτι αὗται, ἀπὸ τῶν προσεχόντων C τοῦτο ποιήσω φανερόν. ὅταν γὰρ φαίνηται ἕτερος ἄνθρωπος, καὶ πενίᾳ συζῶν, καὶ ἐπιθυμίαν ἔχων, καὶ ταῖς ἀνάγκαις τῆς φύσεως ὑποκείμενος, καὶ ταῦτα μὴ ἁμαρτάνων, ποίαν ἕξουσιν οὗτοι ἀπολογίαν; διὰ τοῦτο σοφός τις καλῶς οὕτως εἶπε, τίς δώσει ἐπὶ διανοίας μου μάστιγας, ἵνα ἐπὶ τοῖς ἀγνοήμασί μου μὴ φείσωνται; ὅρα τὸν Δαβὶδ οὐ προφασιζόμενον ἡνίκα ἥμαρτεν, ἀλλὰ λέγοντα, ἡμάρτηκα τῷ κυρίῳ. καί τοι γε εἶχεν εἰπεῖν· τί γὰρ ἐγυμνοῦτο ἡ γυνή; τί γὰρ ἐλοῦτο πρὸ τῶν ὀφθαλμῶν τῶν ἐμῶν; ἀλλ' ἤδει D ὅτι ταῦτα πρόφασίς ἐστιν ἄλογος. καὶ διὰ τοῦτο ἦλθεν ἐπὶ τὴν σαφῆ ἀπολογίαν τῷ εἰπεῖν· ἥμαρτον. ἀλλ' οὐχ ὁ Σαοὺλ οὕτως ἀλλ' ἐγκαλούμενος περὶ τῆς ἐγγαστριμύθου, ἔλεγε, θλίβομαι καὶ οἱ ἀλλόφυλοι πολεμοῦσιν ἐν ἐμοί. διὰ δὲ τοῦτο μάλιστα ἐκολάζετο. δέον γὰρ εἰπεῖν, ἥμαρτον, καὶ πεπλημμέληκα, ὁ δὲ τοῦτο μὲν οὐκ εἶπε, περιήρχετο δὲ προφάσεις ἀλόγους ζητῶν. σὺν ἀνθρώποις ἐργαζομένοις τὴν ἀνομίαν, τοῦτο ἐπήγαγε δηλῶν, ὅτι ἐκείνων ἐστὶ μάλιστα τὸ προφασίζεσθαι, τὸ ἀναισχυντεῖν. διὰ δὲ τοῦτο καὶ ὁ Δαβὶδ συνεχῶς ἀντὶ ἀρετῆς τοῦτο προβάλλει)

τὸ φεύγειν τοὺς πονηροὺς συλλόγους, μᾶλλον δὲ καὶ ἐντεῦθεν τοῦ βιβλίου παντὸς ἄρχεται λέγων, μακάριος ἀνήρ, ὃς οὐκ ἐπορεύθη ἐν βουλῇ ἀσεβῶν, καὶ ἐν ὁδῷ ἁμαρτωλῶν οὐκ ἔστη, καὶ ἐπὶ καθέδραν λοιμῶν οὐκ ἐκάθισε. διὰ τοῦτο δὲ τοῦτο εὑρίσκεις αὐτὸν ἀεὶ ἐν τοῖς ἁμαρτήμασιν εὐγνώμονα. ὅτε γοῦν ἠρίθμησε τὸν λαὸν ἔλεγεν· ἐγὼ ἥμαρτον, καὶ ἐγὼ ὁ ποιμὴν ἐκακοποίησα. οὐκ εἶπε· τί γάρ ἐστιν, ὅτι ἠρίθμησα; ἀλλ' ἑαυτὸν καταδικάζει. διὸ καὶ συγγνώμης τυγχάνει. οὐδὲν γὰρ οὕτω τὸν Θεὸν ἵλεων ποιεῖ, ὡς τὸ τὰ οἰκεῖα ὁμολογεῖν ἁμαρτήματα. τοῦτο δὲ γίνεται ἂν ἐκ τοῦ φεύγειν τοὺς συλλόγους τοὺς ἐκλύοντας τὸν ἐκ τῶν ἁμαρτημάτων φόβον, καὶ εἰς ῥαθυμίαν ἐμβάλλοντας. διὸ καὶ Παῦλος καὶ Ἱερεμίας πολὺν ὑπὲρ τούτου ποιοῦνται λόγον, φεύγειν κελεύοντες ἑκάτεροι τῶν πονηρῶν τὰς συνουσίας, καὶ τὴν οὕτω ῥαθύμων. καὶ ὁ Ἰὼβ δὲ ἐν τάξει ἀρετῆς τοῦτο τίθεται λέγων· εἰ ἤμην πορευόμενος μετὰ γελοιαστῶν. οὐ μόνον δὲ μηδὲ καθίσαι δείκνυσιν ἑαυτὸν μετὰ τοιούτων λέγων· οὐκ ἐκάθισα ἐν συνεδρίῳ παιζόντων. διά τοι τοῦτο καὶ Παῦλος οὐκ ἀφίησι συνεσθίειν τοῖς πονηροῖς, οὐδὲ ἁπλῶς συγγίνεσθαι λέγων· εἰ δέ τις οὐχ ὑπακούει τῷ λόγῳ ἡμῶν, διὰ τῆς ἐπιστολῆς τοῦτον σημειοῦσθε, καὶ μὴ συναναμίγνυσθε αὐτῷ. καὶ οὐ μὴ συνδυάσω μετὰ τῶν ἐκλεκτῶν αὐτῶν. ἕτερος, μηδὲ συμφάγοιμι τὰ ἡδέα αὐτῶν. ἄλλος, μὴ συναυλισθῶ ἐν ταῖς τερπνότησιν αὐτῶν. τὸ ἀποστολικὸν ἐνταῦθα λέγει, ὅτι καὶ τρυφὰς αὐτῶν, καὶ συμπόσια φεύγειν δεῖ, ἔνθα μάλιστα τὰ τῆς ἁμαρτίας αὔξεται, ἔνθα πλείων ἡ ἄδεια γίνεται. οὐ μικρὸν δὲ τοῦτο ἀρετῆς σημεῖον, οὐ μικρὰ διορθώσεως ὁδὸς τὸ φεύγειν τὰ τοιαῦτα συμπόσια, καὶ τοὺς συλλόγους, καὶ μήτε φιλίαν αἰδεῖσθαι, μήτε γαστρὶ δουλεύοντας, τὸν τόνον ἐκλύειν τῆς ψυχῆς, καὶ τὸ τῆς φιλοσοφίας εὔτονον παραλύειν. οὕτω πολλοὶ φιλίαν αἰδεσθέντες, εἰς τὸν τῆς μέθης κατεκυλίσθησαν κλύδωνα· οὕτως ὑπὸ πορνείας ἑάλωσαν, καὶ πῦρ ἡδονῆς ἀνῆψαν, συμπόσια διώξαντες καὶ θέατρα πολλὴν ἔχοντα παρανομίαν. τοῦτο καὶ αὐτὸς δείκνυσιν ἑαυτὸν πεποιηκέναι ὡς μηδὲ μεταλαβεῖν τῆς τοιαύτης τραπέζης. παιδεύσει με δίκαιος ἐν ἐλέει, καὶ ἐλέγξει με· ἔλαιον δὲ ἁμαρτωλοῦ μὴ λιπανάτω τὴν κεφαλήν μου. ἄλλος, κατελεησάτω με δίκαιος ἐλέους, καὶ ἐλεγξάτω. καὶ τοῦτο οὐ μικρὸν ἀρετῆς εἶδος μετὰ τοῦ προτέρου τὸ μὴ

A ponit, fugere tales cœtus, atque adeò totum librum ab eo incipit: Beatus vir, qui non abiit in consilio impiorum, & in via peccatorum non stetit, & in cathedra pestilentiæ non sedit. Propterea autem ipsum inuenis in peccatis culpam lubenter agnoscere. Quando ergo numerauit populum, dicebat, Ego peccaui: & ego pastor malè feci. Non dixit, Quid tum si numeraui? sed seipsum condemnat, & ideo veniam assequitur. Nihil enim Deum æquè reddit propitium, ac sua peccata confiteri. Hoc autem fiet, si fugiantur eo-
B rum cœtus, qui metum peccatorum soluunt, & ad socordiam impellunt. Et ideo Paulus & Hieremias de eo multa verba faciunt, & iubent vtrique, fugere malorum, & eorum qui sunt adeò ignaui, consuetudinem. Porrò autem Iob quoque hoc refert in numerum virtutis, dicens, Si ambulaui cum irrisoribus. Hic autem ostendit, se cum iis ne sedisse quidem dicens, Non sedi in concilio ludentium. Quocirca Paulus quoque non sinit vesci cum improbis, imò nec vllam cum eis habere consue-
C tudinem, dicens: Si quis autem non obedit sermoni nostro, eum notate: & non conuersemini cum eo. *Et non communicabo cum electis eorum.* Alius, Neque vnà comedam dulcia eorum. Alius, Non congregabor in deliciis eorum. Hic dicit illud Apostolicum, fugiendas esse delicias illorum & conuiuia, vbi maximè crescit peccatum, vbi maior est libertas & securitas. Non est autem hoc paruum signum virtutis, non parua via correctionis, eiusmodi fugere conuiuia, & tales cœtus, & neque revereri amicitiam, neque ventri seruientes ro-
D bur & constātiam animi dissoluere. Ita dum multi reuererentur amicitiam, in ebrietatis fluctus deuoluti sunt, ita capti sunt à fornicatione, & ignem voluptatis accenderunt, dum secuti sunt conuiuia, & theatra habentia multum iniquitatis. Hoc ipse quoque ostendit se fecisse, vt ne eiusmodi quidem mensæ esset particeps. ::5. *Corripiet me iustus in misericordia, & increpabit me: oleum autem peccatoris non impinguet caput meum.* Alius, Misereatur mei iustus misericordiæ, & increpet. Hocquoque est non paruum genus virtutis cum priore, non

Psal. 1.

2. Reg. 24. 17.

Peccatorū confessio Deo maximè placet.

Hier. 51. *Iob 31. 5.* *Psal. 25.* *1. Cor. 5.*

2. Thess. 3. 14.

Hebr. delicias habet. Chald. cantilena.

Conuiuiorū & theatrorum pernicies.

Reprehensores iusti non auersandi.

fugere reprehensiones & increpationes quæ fiunt à iustis. Quod autem dicit, est eiusmodi, Eorum quidem qui ad gratiam loquuntur propter damnum, cœtus nunquam fuerim particeps: eos autem elegerim qui sunt acres & vehementes, & corrigunt, qui peccatum aperiunt, qui reprehendunt. Hoc est enim maximæ misericordiæ & clementiæ, mederi vulneribus. Oleum autem peccatoris nō impinguet caput meum. Vidisti animā virtute instructam, & in ea exercitatam, quæ fert quidem lubenter iustorum reprehensiones, quæ autem ab iniquis, vel ad gratiam, repellit & reijcit? Quamobrem? Quoniam illi quidem vel miserentes sæpe exitium attulerunt: hi autem acriter insectantes & increpantes correxerunt: & cùm horum quidem reprehensione coniuncta est misericordia, cum illorum autem misericordia, mors. Et ideo dixit quispiam esse fideliora amicorum vulnera, quàm voluntaria oscula inimicorum. Considera autem quomodo hic significat illud Apostolicum: Redargue, increpa, exhortare. Talis est enim sanctorum reprehensio. Ita etiam faciunt medici: non solùm secant, sed etiam alligant. Quocirca Christus quoque efficiens vt grata esset & accepta reprehensio, non finit reprehensionem ab initio publicari, dicens: Vade & reprehende ipsum inter te & ipsum solum. Ita etiam faciebat Paulus ostendens reprehensionem cum misericordia, nunc quidem dicens: O insensati Galatæ. nunc autem: Filioli mei, quos iterum parturio. Oportet enim eum, qui reprehendit, multa excogitare, vt accepta sit & grata eius reprehensio: & magna sapientia opus est ei, qui adhibuerit tale medicamentum: ac maiore quidem sapientia opus est ei qui reprehendit, quàm ei qui corpus scindit. Quomodo? Quoniam illic quidem aliud est quod scindit, & aliud quod dolorem suscipit: hic autem eadem est quæ scindit, & quæ dolore afficitur. Oleum autem peccatoris non impinguet caput meum: quid hoc est? Ille, inquit, non quærit vtilitatem auditoris, sed suam, vt videatur suauis, iucundus, & amicus: hic autem ante suam gratiam, considerat illius vtilitatem. Vnde etiam hac ratione inter se maximè differunt. Si autem vel mise-

Marginalia: Prou. 27. 6 — 2. Tim. 4. 2 — Collatio. — Matth. 18. 15. — Galat. 3. 1. — Reprehensionis cautio. — Rom. 16.

A φθέγγειν ἐλέγχοις, μηδὲ ἐπιτιμήσεις τὰς παρὰ τῶν δικαίων γινομένας. ὃ δὲ λέγει τοιοῦτόν ἐστι, τῶν μὲν πρὸς χάριν διαλεγομένων ἐπὶ βλάβῃ μηδέποτε μεταλάβοιμι φησὶ, τοῦ συλλόγου· τοὺς δὲ ἐπιστύφοντας καὶ διορθουμένους, τούτους ἑλοίμην, τοὺς ἐλέγχοντας, τοὺς ἐκκαλύπτοντας τὰ πεπλημμελημένα, τοὺς ἐπιτιμῶντας. τοῦτο γὰρ μάλιστα ἐλέους καὶ φιλανθρωπίας, τὸ τὰ τραύματα διορθοῦν. ἔλαιον δέ φησιν ἁμαρτωλοῦ μὴ λιπανάτω τὴν κεφαλήν μου. εἶδες ψυχὴν συγκεκροτημένην ἀρετῇ, τῶν μὲν δικαίων καὶ τὰς ἐπιτιμήσεις μεθ' ἡδονῆς φέρει, τῶν δὲ παρανόμων, καὶ B τὰ πρὸς χάριν λεγόμενα διακρούεται. τί δή ποτε; ὅτι ἐκεῖνοι μὲν καὶ ἐλεοῦντες, πολλάκις ἀπώλεσαν· οὗτοι δὲ ἐπιτιμῶντες, καὶ ἐπιστύφοντες διώρθωσαν. καὶ τῷ μὲν ἐλέγχῳ τούτων συγκεκλήρωται ἔλεος, τῷ δὲ ἐλαίῳ ἐκείνων θάνατος. διὸ καί τις ἔφησεν, ἀξιοπιστότερα τραύματα φίλων, ἢ ἑκούσια φιλήματα ἐχθρῶν. καὶ σκόπει πῶς τὸ ἀποστολικὸν ἐνταῦθα δηλοῖ, τὸ ἔλεγξον, ἐπιτίμησον, παρακάλεσον. τοιοῦτος γὰρ καὶ ὁ ἔλεγχος τῶν ἁγίων. οὕτω καὶ ἰατροὶ ποιοῦσιν· οὐ τέμνουσι μόνον, ἀλλὰ καὶ ἐπιδεσμοῦσι. διὰ C τοῦτο καὶ ὁ Χριστὸς εὐπαράδεκτον ποιῶν γίνεσθαι τὸν ἔλεγχον, οὐκ ἀφίησι δημοσιεύεσθαι ἐκ προοιμίων τὴν ἐπιτίμησιν, λέγων· ὕπαγε ἔλεγξον αὐτὸν μεταξὺ σοῦ καὶ αὐτοῦ μόνου. οὕτω καὶ Παῦλος ἐποίει, μετὰ ἐλέους τὸν ἔλεγχον ἐπιδεικνύμενος, καὶ νῦν μὲν λέγων· ὦ ἀνόητοι Γαλάται· νῦν δὲ τεκνία μου, οὓς πάλιν ὠδίνω. πολλὰ γὰρ δεῖ τὸν ἐλέγχοντα ἐπινοεῖν, ὥστε εὐπαράδεκτον γενέσθαι τὸν ἔλεγχον, καὶ πολλῆς χρεία συνέσεως τῷ τοῦτο ἐπάγοντι τὸ φάρμακον· μᾶλλον μὲν οὖν πλείονος ὁ ἐλέγ- D χων δεῖται συνέσεως, ἢ ὁ σῶμα τέμνων. πῶς; ὅτι ἐκεῖ μὲν ἕτερον τὸ τέμνον, καὶ ἕτερον τὸ ὑπομένον τὴν ὀδύνην· ἐνταῦθα δὲ αὐτὴ καὶ ἡ τεμνομένη καὶ ἡ φέρουσα τὴν ἀλγηδόνα. ἔλαιον δὲ ἁμαρτωλοῦ μὴ λιπανάτω τὴν κεφαλήν μου· τί ἐστι τοῦτο; ἐκεῖνος, φησιν, οὐ τὸ χρήσιμον ζητεῖ τοῦ ἀκούοντος, ἀλλὰ τὸ ἑαυτοῦ, ἵνα ἡδὺς φαίνηται, ἵνα προσφιλής· οὗτος δὲ περὶ τῆς ἑαυτοῦ χάριτος τὸ ἐκείνου συμφέρον σκοπεῖ. ὥστε ἀλλήλων καὶ ταύτῃ μάλιστα διεστήκασιν. Εἰ δὲ ἐλεοῦντας ἀποστρέφε-

δὲ χρὴ τοὺς πονηρούς· πότε αὐτοὺς δεῖ προσίεσθαι; οὐδέποτε. ὥστε κἂν χρήματα παρέχῃ, κἂν τρυφὴν ἐπαγγέλληται, καὶ τιμὰς, διακρούου, καὶ φεῦγε. τὸν δὲ δίκαιον, κἂν σκώπτῃ λόγοις, κἂν ἐπιτιμᾷ, δίωκε· ἐκεῖνος γάρ ἐστιν ὁ φιλῶν. ὅτι ἔτι καὶ ἡ προσευχή μου, ἐν ταῖς εὐδοκίαις αὐτῶν. ἄλλος, ἔτι γὰρ καὶ ἡ προσευχή μου ἐντὸς τῶν κακιῶν αὐτῶν. ἄλλος, ὅτι ἔτι καὶ ἡ προσευχή μου ἐν ταῖς πονηρίαις αὐτῶν. τὰ μὲν ᾔτησε, τὰ δὲ παρ' ἑαυτοῦ παρέχεται. ἐντεῦθεν δείκνυσιν, ὅτι εὐχῇ οὐ δεῖ θαῤῥεῖν μόνον αὐτοὺς ἀναπεπτωκότας καὶ καθεύδοντας, ἀλλὰ τὰ παρ' ἑαυτῶν εἰσφέρειν. τί δῆποτε ἐξ ἑαυτοῦ παρέχεται; οὐ πρόβατα, καὶ βόας, καὶ χρήματα, ἀλλὰ τρόπων ἐπιείκειαν, καὶ τὸ μεθ' ὑπερβολῆς ἀποστρέφεσθαι αὐτῶν τὴν πονηρίαν. οὐ μόνον, φησὶ, φεύξομαι τὴν ἐκείνων χάριν τὴν ἐπιβλαβῆ, οὐδὲ αἱρήσομαι τὴν τούτων ἐπιτίμησιν, ἀλλὰ καὶ κατὰ τῶν ἐπιθυμιῶν αὐτῶν στήσομαι. τοσοῦτον ἀπέχω ἐλεεῖσθαι τὸν ἐκείνων ἔλεον, ὅτι καὶ εὔχομαι κατὰ τῶν ἐπιθυμιῶν αὐτῶν. τοῦτο γάρ ἐστιν ἐν ταῖς εὐδοκίαις αὐτῶν. κατεπόθησαν ἐχόμενα πέτρας οἱ κριταὶ αὐτῶν. ἄλλος, ἐκτιλήσονται ἐν χειρὶ πέτρας. ἐνταῦθα δείκνυσι τὸ τῆς ἁμαρτίας εὐχείρωτον, καὶ τὸ ἀπόκρημνον τῆς κακίας. αὐτοί, φησιν, οἱ δυνάσται, οἱ πάντα ἄγοντες καὶ φέροντες ἀπώλοντο. καὶ οὐκ εἶπεν ἀπώλοντο, ἀλλὰ κατεπόθησαν, δηλῶν ὅτι οὕτως, ὡς μηδὲ ἴχνος αὐτῶν φαίνεσθαι, ἃ καὶ περὶ τοῦ ἀσεβοῦς λέγει. ὅτι παρῆλθον, καὶ ἰδοὺ, οὐκ ἦν, καὶ ἐζήτησα αὐτὸν, καὶ οὐχ εὑρέθη ὁ τόπος αὐτοῦ. τί ἐστιν, ἐχόμενα; ἐγγύς. ὃ δὲ λέγει τοῦτό ἐστιν· ὥσπερ ἡ πέτρα τις κατὰ πόντου βληθεῖσα, οὐκ ἂν φανείη· οὕτω δὴ καὶ αἱ ἐκείνων εὐημερίαι καταδυόμεναι λοιπὸν ἀφανεῖς γίνονται, ὁλοσχερῆ τὴν ἀπώλειαν ὑπομένουσαι. ἢ τοίνυν φησὶ, τὸ εὐώνυμον, τὸ πρόῤῥιζον, ἢ τὸ ἰσχυρὸν καὶ δυνατὸν καὶ κραταιόν. τοῦτο γὰρ τὸ ἐκτιλήσονται ἐν χειρὶ πέτρας. ἀκούσονται τὰ ῥήματά μου, ὅτι ἡδύνθησαν. ἕτερος, ὅτι ἐδορυφορήθησαν. ἄλλος, ὅτι εὐπροσωπίσθησαν. τουτέστι, διὰ τῆς πείρας εἴσονται τῶν παραγγελμάτων τὴν ἡδονὴν, τῆς ἐμῆς παραινέσεως καὶ συμβουλῆς. καὶ πῶς; ὁ ἔλεγχος τῶν δικαίων τούτων τοῦτον φέρει τὸν καρπὸν, καὶ ἡ παιδεία αὐτῶν πολλὴν ἔχει τὴν ἡδονήν. τοιοῦτον γὰρ ἡ ἀρετή· πρόσκαιρον μὲν ἔχει τὸν πόνον, διηνεκῆ δὲ τὴν

A rantes sunt auersandi improbi: quando sunt admittendi? nunquam. Quamobrem etiam si præbeat pecunias, etiamsi delicias promittat & honores, cum repelle & fuge. Iustum autem etiamsi te verbis ludificetur, etiamsi te increpet & insectetur, sequere. Ille enim est qui te diligit. *Quoniam adhuc & oratio mea in beneplacitis eorum.* Alius, Adhuc enim & oratio mea intra vitia ipsorum. Alius, Quoniam adhuc & oratio mea in improbitatibus ipsorum. Hæc quidem petiit: illa verò præbet à seipso, & hinc ostendit non oportere eos solùm confi-

Hebr. inter mala.

B dere orationi inertes & supinè dormiētes, sed oportere etiā sua conferre. quid hic autem ex se præbet? Non oues, boues, & pecunias, sed morum moderationem, & quòd mirandum in modum eorum fugiat improbitatē. Non solùm, inquit, illorū perniciosam fugiam gratiam, nec eligam horum reprehensionem, sed etiam stabo aduersus eorum cupiditates: tantum abest vt eligam eorum misericordiam. Hoc enim sibi vult illud, In beneplacitis eorū, hoc est, aduersus eorum cupiditates. 6. *Absorpti sunt iuncti petræ iudices eorū.* Alius, auellen-

Orationi solis nō confidendum, sed & operandum.

C tur in manu petræ. Ostendit hic quàm sit peccatum expugnatu facile, & quàm præceps vitium. Ipsi, inquit, principes, qui omnia agebāt & ferebant, perierūt. Non dixit autem, perierūt, sed absorpti sunt, significās eos ita periisse, vt nullum sit reliquū eorum vestigiū, quod etiā dicit de impio: Transij, & ecce, non erat: quæsiui ipsum, & non est inuētus locus eius. Quid est, iuxta? Propè. Quod autē dicit, est eiusmodi, quemadmodū petra aliqua quæ in mare proiecta sit, non apparet: ita etiā demersę illorū fœlicitates deinceps nō amplius apparēt, cùm funditus interierint. Vel hoc ergo dicit, de-

Heb. Præcipitentur in manibus petra.

Ps. 36. 36.

D letum esse funditus eorum nomen & gloriam: vel id significat esse potens, robustum & validū. Illud enim significat, auellentur in manu petræ. *Audient verba mea, quoniam suauia facta sunt.* Alius, Quoniam munita sunt satellitibus. Alius, Quoniam speciosa facta sunt. Hoc est, scient per rerum experientiā, exhortationis & consilij mei iucunditatem. Et quomodo? Reprehensio iustorum hunc producit fructum, & eorum disciplina magnam affert voluptatem. Talis est enim virtus: habet quidem breuis temporis laborem, perpetuam autem

Sap. 3. 2. Cor. 4.

lætitiam. 7. *Sicut crassitudo terræ erupta est super terram. Dissipata sunt ossa nostra secus infernum.* Alius, quemadmodum agricola quando frangit terram: ita dissipata sunt ossa nostra in ore inferni. Alius, Perinde ac ei qui confringit ac dissecat terram, dissipata sunt ossa nostra in inferno. Alius, Vt qui colit & fodit terram, dissipata sunt ossa nostra iuxta infernum. Postquam dixit verba sua habere plurimum voluptatis, dicit etiam veteres calamitates. Quamuis, inquit, extrema passi sumus, & tanquam proscissa, arata, & fossa terra dispersi sumus omnes & B perimus, & ad ipsas mortis portas deuenimus: ita tamen affecti maluimus reprehensionem & correctionem iustorum, quàm misericordiam peccatorum. etenim quodcunque acciderit, à tua spe pendemus: neque quicquam nobis eueniet, quod possit efficere quo minus ad te respiciamus. Vnde etiam subiunxit dicens, 8. *Quia ad te Domine, Domine oculi mei. In te speraui, non auferas animam meam.* Etsi, inquit, innumerabiles irruant calamitates, licet bella, prælia, mortes, & portæ inferi, à sacra anchora non recedimus, sed firmam tui auxilij spem tenemus, armisque & acie dimissis, speramus fore vt hinc, nempe à tuo auxilio liberemur. In te speraui, non auferas animam meam. Alius, Ne euacues. Hoc est, ne finas me abire re infecta. 9. *Custodi me à laqueo quem statuerunt mihi, & à scandalis operantium iniquitatem.* Non hic dicit tantum insidias, sed quæ clàm fiunt, & occultæ sunt, quæ sunt & obseruatu & deprehensu difficiles, & ad quas cauendas superno maximè auxilio opus est. Precatione autem ideo conclusit orationem, à qua exordium sumpserat in ea desinens, hæc quidem à se conferri ostendens, spem in Deum, perpetuò ad Deum respicere, malorum cœtus fugere, odio habere improbas eorum cupiditates. A Deo autem opem & auxilium, & iis quæ sunt toleratu difficillima, reddere superiorem. Ita enim virtus contexitur, dum & nostrum studium adhibetur, & Deus nobis opi-

Sacram anchora spes in Deum. Hebr. 6.

Frustreris.

Virtutis contextus.

A εὐφροσύνην. ὡσεὶ πάχος γῆς ἐρράγη ἐπὶ τῆς γῆς. διεσκορπίσθη τὰ ὀστᾶ ἡμῶν παρὰ τὸν ᾅδην. ἕτερος, ὥσπερ γεωργὸς, ὅταν ῥήσσῃ τὴν γῆν· οὕτως ἐσκορπίσθη τὰ ὀστᾶ ἡμῶν εἰς στόμα ᾅδου. ἄλλος, ὁμοίως εἰ ἀποκλῶντι καὶ διαφάζοντι τὴν γῆν, ἐσκορπίσθη τὰ ὀστᾶ ἡμῶν εἰς τὸν ᾅδην. ἄλλος, ὡς καλλιεργῶν καὶ σκάπτων ἐν τῇ γῇ, διεσκορπίσθη τὰ ὀστᾶ ἡμῶν παρὰ τὸν ᾅδην. εἰπὼν ὅτι πολλὴν ἔχει αὐτοῦ τὰ ῥήματα τὴν ἡδονὴν, λέγει καὶ τὰς παλαιὰς συμφοράς. ὅτι καὶ τοί γε τὰ ἔσχατα ἐπάθομεν, καὶ ὥσπερ γῆ διαῤῥαγεῖσα, καὶ ἀροτριωμένη καὶ διασκαπτομένη, οὕτω B πάντες διεσπάρημεν, καὶ ἀπωλόμεθα, καὶ πρὸς αὐτὰς τοῦ θανάτου τὰς πύλας ἤλθομεν. ἀλλ᾽ ὅμως καὶ οὕτω διακείμενοι μᾶλλον ἂν ἑλοίμεθα τὴν ἀπὸ τῶν δικαίων παίδευσιν καὶ διόρθωσιν, ἢ τὸν ἀπὸ τῶν ἁμαρτωλῶν. καὶ γὰρ ὅπερ ἂν γένοιτο, τῆς πρὸς σὲ ἐλπίδος ἐκκρεμάμεθα, καὶ οὐκ ἄν ποτε ἐκπέσοιμεν, τοῦ πρὸς σὲ ὁρᾷν. διὸ καὶ ἐπήγαγε λέγων, ὅτι πρὸς σὲ κύριε, κύριε οἱ ὀφθαλμοί μου. ἐπὶ σοὶ ἤλπισα μὴ ἀντανέλῃς τὴν ψυχήν μου. κἂν μυρία, φησὶν, ἐπέλθῃ δεινὰ, κἂν πόλεμοι, κἂν μάχαι, κἂν C θάνατοι, κἂν πύλαι ᾅδου, οὐκ ἀφιστάμεθα τῆς ἱερᾶς ἀγκύρας, ἀλλ᾽ ἐχόμεθα τῆς ἐλπίδος τῆς ἐπὶ τὴν σὴν συμμαχίαν, καὶ ὅπλα καὶ παρατάξεις ἀφέντες, ἐντεῦθεν τὴν ἀπαλλαγὴν προσδοκῶμεν ἀπὸ τῆς σῆς ῥοπῆς. ἐπὶ σοὶ ἤλπισα, μὴ ἀντανέλῃς τὴν ψυχήν μου. ἄλλος, μὴ ἐκκενώσῃς, τουτέστι, μὴ ἄπρακτόν με ἀφῇς ἀπελθεῖν. φύλαξόν με ἀπὸ παγίδος ἧς συνεστήσαντό μοι, καὶ ἀπὸ σκανδάλων τῶν ἐργαζομένων τὴν ἀνομίαν. οὐχ ἁπλῶς ἐνταῦθα ἐπιβουλὰς λέγει, ἀλλὰ τὰς λαθραίους, τὰς κεκρυμ- D μένας, αἵπερ εἰσὶ καὶ δυσφύλακτοι καὶ δυσφώρατοι, διὸ μάλιστα καὶ τῆς ἄνωθεν δέονται ῥοπῆς. διὰ δὴ τοῦτο εἰς εὐχὴν κατακλείει τὸν λόγον ἐντεῦθεν προοιμιασάμενος, καὶ ἐνταῦθα τελευτῶν δεικνὺς, ὅτι τὰ μὲν παρ᾽ αὐτοῦ ταῦτά ἐστιν, ἡ ἐλπὶς εἰς τὸν Θεὸν, τὸ διαπαντὸς πρὸς τὸν Θεὸν βλέπειν, τὸ φεύγειν αὐτῶν τοὺς συλλόγους, τὸ μισεῖν αὐτῶν τὰς πονηρὰς ἐπιθυμίας. τὰ δὲ παρὰ τοῦ Θεοῦ ἡ βοήθεια, ἡ συμμαχία, τὸ τῶν δυσφορωτάτων αὐτὸν ἀνώτερον ποιεῖν. οὕτω γὰρ ἡ ἀρετὴ ὑφαίνεται, καὶ τῆς ἡμετέρας σπουδῆς εἰσαγομένης, καὶ τῆς τοῦ Θεοῦ βοηθείας συμ-

μαχούσης. πεσοῦνται ἐν ἀμφιβλήστρῳ αὐτοῦ οἱ ἁμαρτωλοί, καταμόνας εἰμὶ ἐγώ, ἕως οὗ παρέλθω. τίνος αὐτοῦ ἐν ἀμφιβλήστρῳ πεσοῦνται; τοῦ Θεοῦ, τουτέστιν, ἁλώσονται, χειρωθήσονται. τὰ μὲν γὰρ τῶν δικαίων, μέχρι διορθώσεως, καὶ τοῦ διεγεῖραι αὐτῶν τὴν φιλοσοφίαν· τὰ δὲ τῶν ἁμαρτωλῶν ἅτε ἀνίατα νοσούντων, μέχρι κολάσεως καὶ τιμωρίας. καταμόνας εἰμὶ ἐγώ, ἕως οὗ παρέλθω. ἕτερος, ἅμα ἐγώ εἰμι, ἕως οὗ παρέλθω. ἄλλος, ἐπὶ τὸ αὐτό. τουτέστι, συνημμένος, συγκεκροτημένος. οὐ διεσπαρμένος, ἢ κατὰ τοὺς ἑβδομήκοντα, ἀπηλλαγμένος τῶν πονηρῶν, καθαρεύων τῆς ἐκείνων συνουσίας, καὶ ὡσανεὶ μόνος οἰκῶν, ὅπερ καὶ μέγιστόν ἐστιν ἀρετῆς εἶδος. καὶ οὐ μίαν δὲ καὶ δύο καὶ τρεῖς φησιν ἡμέρας τοῦτο ποιεῖν, ἀλλὰ πάντα τὸν βίον. τοῦτο ἀσφάλεια, τοῦτο τεῖχος, τοῦτο ἀρετῆς ἐπίδοσις, τὸ φεύγειν τοὺς πονηρούς, καὶ πρὸς ἑαυτὸν συγκεκροτημένον καὶ συνηγμένον εἶναι ἅπαντα τὸν βίον, καὶ καταμόνας οἰκεῖν τῶν διαφθειρόντων. οὐ γὰρ ἐρημία ποιεῖ τὸ μόνον εἶναι, ἀλλὰ γνώμη φιλόσοφος. οὕτω καὶ πόλεις μέσας οἰκοῦντες, καὶ θορύβοις, καὶ ἀγοραῖς δύναιντ' ἂν καταμόνας εἶναι ἄνθρωποι, ὅταν τοὺς διεφθαρμένους φεύγωσι συλλόγους, καὶ τοῖς τῶν δικαίων συνεδρίοις ἑαυτοὺς ἐκδιδῶσιν. αὕτη ἀσφαλὴς ὁδός. ὁ μὲν οὖν ἀρκῶν καὶ ἑτέρους διορθῶσαι, μιγνύσθω τοῖς μέλλουσι δέχεσθαι τὴν θεραπείαν, καὶ ποιείτω βελτίους· ὁ δὲ ἀτονώτερος ὢν φευγέτω τοὺς πονηρούς, ὥστε μὴ τὴν παρ' ἐκείνων δέξασθαι λύμην. καὶ οὕτω καὶ τὸν παρόντα βιώσεται βίον μετὰ ἀσφαλείας, καὶ τῶν μελλόντων ἐπιτεύξεται ἀγαθῶν, ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

tulatur. 10. *Cadent in retiaculo eius peccatores: Singulariter sum ego donec transeam.* In cuiúsnam cadent retiaculum? Dei. Hoc est, vincentur, capientur. Tenentur enim iusti, vt corrigantur, & excitetur eorum philosophia: peccatores autem, vt quorum sit morbus immedicabilis, vsque ad pœnam & supplicium detinentur. Singulariter sum ego, donec transeam. Alius, Simul ego sum donec transeam. Alius, In idipsum. Hoc est, compactus, coniunctus, non dispersus: vel ex Septuaginta sententia, liberatus à malis, purus ab illorum congressione, & tanquam solus habitans: quod quidem est maximum genus virtutis. Non vno autem aut duobus tribúsve diebus hoc facit, sed per totam vitam. Hoc est murus, hoc propugnaculum, hoc virtutis incrementum, malos fugere, coactum & constipatum apud se consistere toto vitæ tempore, & ab iis qui corrumpunt, seiunctum habitare. Solitudo enim non facit esse solum, sed mens quæ tenetur amore & studio sapientiæ. Ita etiam qui habitant in mediis vrbibus, foris, & strepitibus, possunt esse singulares homines, dum corruptos cœtus fugiant, & se iustorum conciliis adiungant. Hæc est via secura. Qui ergo est ad alios corrigendos idoneus, cum iis versetur qui sunt suscepturi medicinam, & eos reddat meliores. Qui est autem imbecillior, fugiat improbos, vt ab illis damnum non accipiat. Ita & præsentem vitam tuto aget, & securè, & bona futura consequetur. Quæ detur nobis omnibus consequi gratia & clementia domini nostri Iesu Christi, cui gloria & potentia nunc & semper, & in secula seculorum, Amen.

Editio Græca hoc non habet.

Monachismus verus. Singulares homines.

A

In Psalmum CXLI.

Voce mea ad Dominum clamaui, voce mea ad Dominum deprecatus sum.

Vides quomodo vbique hoc facit, & hinc ducit exordium, & bis hic dicit, voce & voce? Hoc autem non abs re facit, sed vt hæc duo nos doceat per conduplicationem, & summam animi alacritatem, & intensam mentem. Præterea autem suam esse vocem. Non enim omnes voce clamant, nec ad Deum, nec propria. Oportet autem hæc omnia concurrere. Qui clamat aduersus inimicos, non edit vocem hominis, sed feræ & serpentis. Qui est negligens, & non audit quæ dicit, non clamat ad Deum, sed nequicquam ac temere loquitur. Qui mentem non excitat, etsi valde vociferetur, hic rursus non clamat. Vox enim, vt iam sæpe dixi, non significat spiritus tonum, sed mentem intensam. At hic non sic, sed hæc tria simul colligit, & ostendit se & voce clamare, & ad Deum, & voce propria, & ideo bis dicit, voce mea, & voce mea. 3. *Effundo in conspectu eius orationem meam & tribulationem meam ante ipsum annuntiabo.* Vidisti animum liberum ab omnibus quæ ad hanc vitam pertinent. neque enim confugit ad homines, nec ab eis petiit auxilium, sed opem quæ expugnari non potest, rogauit à superis. Deinde intensam & vehementem animi promptitudinem, quam intus habuit absconsam ostendit per hæc verba, Effundo, inquit, abundè ac copiosè. Hinc etiam discimus afflictiones non parum conferre ad philosophiam. Hic est enim fructus afflictionis. Nemo ergo ipsam fugiat. Duo enim habet hæc cõmoda. Vnum quidem quòd facit studiosiores, & attentiores. Alterum autem, quòd ea

Εἰς τὸν ρμα΄ ψαλμόν.

Φωνῇ μου πρὸς κύριον ἐκέκραξα, φωνῇ μου πρὸς κύριον ἐδεήθην.

ΟΡΑΣ πῶς πολυταχοῦ τοῦτο ποιεῖ, καὶ ἀπὸ ταύτης προοιμιάζεται τῆς ἀρχῆς, καὶ δεύτερον ἐνταῦθα φωνῇ καὶ φωνῇ λέγει; ποιεῖ δὲ τοῦτο οὐχ ἁπλῶς· ἀλλ' ὥστε διδάξαι ἡμᾶς δύο ταῦτα διὰ τοῦ διπλασιασμοῦ· τό τε εὔτονον τῆς προθυμίας τό τε συντεταμένον τῆς διανοίας. καὶ πρὸς τούτοις ἔτι τὸ αὐτοῦ εἶναι τὴν φωνήν. καὶ γὰρ πάντες οὔτε φωνῇ βοῶσιν, οὔτε πρὸς τὸν Θεόν, οὔτε τῇ οἰκείᾳ. δεῖ δὲ ἅπαντα ταῦτα συνελθεῖν. ὁ κατ' ἐχθρῶν βοῶν, οὐκ ἀνθρώπου φωνὴν προΐεται, ἀλλὰ θηρὸς καὶ ὄφεως. ὁ ῥαθυμῶν, καὶ μὴ ἀκούων ὧν λέγει, οὐ πρὸς τὸν Θεὸν βοᾷ, ἀλλ' ἁπλῶς καὶ εἰκῆ φθέγγεται. ὁ μὴ διεγείρων τὴν διάνοιαν, κἂν μεγάλα κράζῃ, πάλιν οὗτος οὐ βοᾷ. φωνὴ γάρ, ὃ πολλάκις ἔφθην εἰπών, οὐ τὸν τόνον δηλοῖ τοῦ πνεύματος, ἀλλὰ τὴν συντεταμένην διάνοιαν. ἀλλ' οὐχ οὗτος οὕτως· ἀλλὰ τρία ταῦτα συνάγει, καὶ δείκνυσιν, ὅτι τε φωνῇ βοᾷ, καὶ πρὸς τὸν Θεόν, καὶ τῇ ἑαυτοῦ φωνῇ· διὰ τοῦτο δεύτερόν φησι, φωνῇ μου καὶ φωνῇ μου. ἐκχεῶ ἐνώπιον αὐτοῦ τὴν δέησίν μου, τὴν θλίψιν μου ἐνώπιον αὐτοῦ ἀπαγγελῶ. εἶδες ψυχὴν τῶν βιωτικῶν ἀπηλλαγμένην; οὐδὲ γὰρ πρὸς ἀνθρώπους κατέφυγεν, οὐδὲ τὰς παρὰ τούτων ἐζήτησε συμμαχίας, ἀλλὰ πρὸς τὴν ἀχείρωτον βοήθειαν, καὶ τὴν ἄνωθεν ῥοπήν. εἶτα τὸ συντεταμένον τῆς διανοίας, καὶ τὴν θερμότητα, ἣν εἶχεν ἐναποκειμένην, διὰ τῆς λέξεως ταύτης ἐμφῆναι βουλόμενος, ἐκχεῶ, φησι, μετὰ πολλῆς τῆς δαψιλείας. ἐντεῦθεν μανθάνομεν, ὅτι οὐ μικρὸν καὶ αἱ θλίψεις εἰς φιλοσοφίαν συμβάλλονται. τοῦτο γὰρ τῆς θλίψεως ὁ καρπός. μηδεὶς τοίνυν φευγέτω αὐτήν. δύο γὰρ ταῦτα ἔχει τὰ κέρδη. ἓν μὲν ὅτι τε σπουδαιοτέρους ἐργάζεται, καὶ προσεκτικωτέρους. ἕτερον δέ, καὶ ὅτι οὐ μι-

B

C

D

Vox hominis. Vox serpentis. Vox in sacro qua intelligatur.

Hier. 17. Afflictionis commoda duo.

ὐ μικρὸν ἡμῖν δικαίωμα εἰς τὸ ἀκουσθῆναι γίνεται. Διὰ τοι τοῦτο καὶ αὐτὸς οὐκ εἶπε τὴν δικαιοσύνην μου, οὐδὲ τὰ κατορθώματά μου, ἀλλὰ τὴν θλῖψιν μου, ὡς οὐ μικρᾶς καὶ ταύτης οὔσης αὐτῷ συνηγορείας. Διὰ τοῦτο καὶ ὁ Ἡσαΐας, παρακαλεῖτε, φησι, τὸν λαόν μου ἱερεῖς, λαλήσατε εἰς τὴν καρδίαν Ἱερουσαλὴμ, ὅτι ἐδέξατο ἐκ χειρὸς κυρίου διπλᾶ τὰ ἁμαρτήματα αὐτῆς. Καὶ ὁ Παῦλος, παράδοτε τὸν τοιοῦτον τῷ Σατανᾷ, εἰς ὄλεθρον τῆς σαρκὸς· ἵνα τὸ πνεῦμα σωθῇ. Καὶ Κορινθίοις ἐπιστέλλων, ἔλεγε· διὰ τοῦτο ἐν ὑμῖν πολλοὶ ἀσθενεῖς, καὶ ἄρρωστοι, καὶ κοιμῶνται ἱκανοί. εἰ γὰρ ἑαυτοὺς διεκρίνομεν, οὐκ ἂν ἐκρινόμεθα. κρινόμενοι δὲ ὑπὸ κυρίου παιδευόμεθα, ἵνα μὴ σὺν τῷ κόσμῳ κατακριθῶμεν. Καὶ τῷ πλουσίῳ δὲ ὁ Ἀβραὰμ ἔλεγεν· ἀπέλαβες τὰ ἀγαθά σου ἐν τῇ ζωῇ σου, καὶ Λάζαρος τὰ κακὰ αὐτοῦ, καὶ νῦν οὗτος παρακαλεῖται, σὺ δὲ ὀδυνᾶσαι. καὶ ὁ Δαβὶδ δὲ ἡνίκα αὐτὸν κατηράσατο ὁ Σεμεεὶ, ἔλεγεν· ἄφες αὐτὸν καταρᾶσθαί με, ὅτι κύριος αὐτῷ ἐνετείλατο, ὅπως ἂν ἴδῃ τὴν ταπείνωσίν μου. καὶ πολλαχοῦ τῆς γραφῆς εὑρήσομεν, ὅτι οἱ τὰς θλίψεις εὐχαρίστως φέροντες, οὐ μόνον πολλὰ τῶν ἁμαρτημάτων διαλύονται, ἀλλὰ καὶ οὐ μικρὰν ἐντεῦθεν κτῶνται πρὸς τὸν Θεὸν τὴν παῤῥησίαν. ἐν τῷ ἐκλείπειν ἐξ ἐμοῦ τὸ πνεῦμά μου, καὶ σὺ ἔγνως τὰς τρίβους μου. ὅτε μάλιστα οἱ μικρόψυχοι τῶν ἀνθρώπων ἀναπίπτουσι, πολλοὶ γὰρ καὶ δύσφημα ῥήματα φθέγγονται, τότε οὗτος μάλιστα φιλοσοφεῖ διδάσκαλον ἔχων τῆς σπουδῆς τὴν θλῖψιν. ὅταν οὖν ἴδῃς τινὰ ἀπογινώσκοντα ἀπὸ θλίψεως, ἢ πικρόν τι ῥῆμα φθεγγόμενον, μὴ τὴν θλῖψιν αἰτίαν εἶναι, ἀλλὰ τὴν μικροψυχίαν τοῦ ταῦτα λαλοῦντος. τῆς γὰρ θλίψεως ἡ φύσις, τὰ ἐναντία κατασκευάζειν εἴωθε, προσοχὴν, συντετριμμένην διάνοιας, συνεσταλμένην γνώμην, εὐλαβείας ἐπίτασιν. διὸ καὶ ὁ Παῦλος ἔλεγεν· ἡ θλῖψις ὑπομονὴν κατεργάζεται, ἡ δὲ ὑπομονὴ δοκιμήν. εἰ δὲ Ἰουδαῖοι θλιβόμενοι ἐγόγγυζον, οὐ τῆς θλίψεως, ἀλλὰ τῆς ἐκείνων ἀνοίας ἦν τὰ τοῦ γογγυσμοῦ ῥήματα. ἐπεὶ οἱ ἅγιοι θλιβόμενοι λαμπρότεροι καὶ φιλοσοφώτεροι ἐγένοντο. διὸ καὶ ἔλεγεν αὐτὸς οὗτος, ἀγαθόν μοι, ὅτι ἐταπείνωσάς με, ὅπως ἂν μάθω τὰ δικαιώματά

A quoque iusta est causa, vt audiamur. Et ideo non dixit ipse, iustitiam meam, nec mea rectè facta, sed meam afflictionem, nempe quòd ea non paruum afferat illi patrociniũ. Quocirca dicit Esaias, Adhortamini, inquit Deus, populũ meum sacerdotes, loquimini ad cor Hierusalem, quoniã suscepit de manu Domini duplicia peccata sua. Et Paulus: Tradite hunc hominem Satanæ ad interitum carnis: vt spiritus sit saluus. Et ad Corinthios scribens, dicebat: Propterea multi in vobis infirmi sunt & imbecilli, & dormiunt multi. Si enim nosipsos dijudica- B remus, nõ iudicaremur. Iudicati autem à Domino castigamur, ne cum mundo condemnemur. Porrò autẽ diuiti dicebat Abrahã: Recepisti bona tua in vita tua, & Lazarus mala sua: & nunc hic quidem consolationem accipit, tu verò cruciaris. Iam verò Dauid quoque cum ei malediceret Semei, dicebat: Sine eũ mihi maledicere, quoniã Deus ei mandauit, vt videret meam humilitatem. Et in scripturis vbiq. inuenimus, quòd qui afflictiones ferũt grato & patiẽti animo, non solùm multa peccata delent, sed e- C tiam non paruã apud Deum fiduciã & loquendi libertatẽ obtinent. 4. *In deficiendo ex me spiritũ meum, & tu cognouisti semitas meas.* Quando qui sunt in primis pusilli & abiecti animi, cõcidunt, & multi etiam mala verba loquũtur: is tunc maximè philosophatur, vt qui studij magistram habeat afflictionẽ. Quando ergo videris quempiã ex afflictione desperãtem, aut verbũ aliquod acerbum proloquentẽ: ne in causa esse existimes afflictionẽ, sed pusillum & abiectũ eius qui loquitur, animũ. afflictionis enim natura solet efficere cõtraria, attẽtionẽ, ani- D mi contritionẽ, intẽsam mentẽ, pietatis incrementũ. Quocirca dicebat Paulus: Afflictio patiẽtiã operatur, patiẽtia probationem. Si autẽ Iudæi afflicti murmurabant, nõ afflictionis, sed illorũ amentiæ erant verba murmurationis: quãdoquidem sancti cùm affligũtur, euadunt clariores, & sapientiæ studio magis dediti. Quocirca ipse quoque dicebat, Bonum mihi Domine quòd humiliasti me, vt discã iustificationes tuas. Et Paulus: Et propter ingentem magnitudinem reuelationũ, ne nimis extollerer,

Esa. 40. Iuxta 70. *1. Cor. 5.* *1. Cor. 11.* *Luc. 16.* *2. Reg. 16. Deut. 4. Ps. 17. 33. Esa. 9. Ose. 6.* *Afflictionis effectus.* *Rom. 5. 3. Exod. 15. 16. 17. & Num. 16.* *Ps. 118. 71.* *2. Cor. 12. 7.*

σου. καὶ ὁ Παῦλος, καὶ τῇ ὑπερβολῇ τῶν ἀποκαλύψεων ἵνα μὴ ὑπεραίρωμαι, ἐδό-

datus est mihi stimulus carnis, angelus A satanæ qui me colaphizet. Pro eo ter Dominum rogaui, & dixit mihi: Sufficit tibi gratia mea: virtus enim mea in infirmitate perficitur. Et ideo mihi placeo in afflictionibus, in infirmitatibus, in persecutionibus. Quando enim infirmor: tunc potens sum. Vides eum magis excitari in afflictione, & ad Deũ confugere, & ei multo vehementius adhærere in ipso profundo malorum, (Hoc enim sibi vult illud, In deficiendo ex me spiritum meum) & tunc diligentiorem & meliorem effici? Illud autem, Et tu cognouisti semitas meas, B Alius interpres dixit, Tu enim scis. *In via hac qua ambulabam, absconderunt laqueum mihi.* 5. *Considerabam ad dexteram, & videbam: & non erat qui cognosceret me.* Hic ostendit ingẽtem calamitatem, & mala amplificata, & hostium insidias, quomodo prius accesserunt, volentes eum prosternere, & quod est omnium difficillimum, non modò nulli erant socij aut adiutores, sed neque eum quidẽ agnoscebant. Hoc est maxima solitudo, summa alienatio; est enim paucorum, adesse in calamitatibus, & opem ferre, & C maximè quando calamitates minantur pericula. Sed hoc nõ modo eũ nõ læsit, sed etiam valde iuuit, vtpote quòd eum Deo familiarem fecerit. Et tu ergo ô dilecte, quando videris mala crescere, ne concidas, nec animum abijcias, sed sis gnauior & vigilantior. Deus enim ideo permittit ea oriri, vt tuam excutiat socordiam, vt te dormitantem excitet. Tunc enim excinduntur omnia superuacanea: tunc omnia quæ ad hanc nostram vitam pertinent, expirant: tunc in oratione euadit quis diligentior, tunc ad eleemosynam & ad ventris de- D spicientiam fit alacrior, & vnumquodque animi vitium facilè superatur, fugatum ab afflictione. Neque enim ab initio vt nos puniret, implicauit nos laboribus & ægritudinibus, etiam si ita pronunciarit, vt supplicij loco haberet: sed vt nos castigaret, & meliores redderet. Si enim cùm & dolor immineat, & vita sit laboriosa, adeò inualescit vitium: si nihil esset horum, quò tandem non processisset? Et quid miraris si ita est in animo, cùm etiam in corporibus sit bonum afflictio: & supra modum luxuriare, & deliciis perfundi carnem, sit valde noxium?

2. Cor. 12. 9.

Hebr. & Chald. Quum anxium esset vel defecisset in me s.m

Calamitosi pauci adsunt. Esa 63. Matth. 26.

Psal. 114. Eccles. 2. Iob 5. Osee 4.

ἐδόθη μοι σκόλοψ τῇ σαρκὶ ἄγγελος Σατᾶν ἵνα με κολαφίζῃ. ὑπὲρ τούτου τρὶς τὸν κύριον παρεκάλεσα, καὶ εἴρηκέ μοι· ἀρκεῖ σοι ἡ χάρις μου. ἡ γὰρ δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦται. διὸ εὐδοκῶ ἐν θλίψεσιν, ἐν ἀσθενείαις, ἐν διωγμοῖς. ὅτε γὰρ ἀσθενῶ, τότε δυνατός εἰμι. ὁρᾷς καὶ τοῦτον ἐν τῇ θλίψει μᾶλλον διεγειρόμενον, καὶ πρὸς τὸν Θεὸν καταφεύγοντα, καὶ μειζόνως αὐτοῦ ἀντεχόμενον μετὰ πολλῆς τῆς σφοδρότητος, καὶ ἐν αὐτῷ τῷ πυθμένι τῶν κακῶν· τοῦτο γάρ ἐστιν ἐν τῷ ἐκλείπειν ἐξ ἐμοῦ τὸ πνεῦμά μου, καὶ τότε μάλιστα σπουδαιότερον γινόμενον; τὸ δὲ σὺ ἔγνως τὰς τρίβους μου, ἕτερος ἑρμηνευτὴς εἶπε· σὺ γὰρ οἶδας. ἐν ὁδῷ ταύτῃ ᾗ ἐπορευόμην, ἔκρυψαν παγίδα μοι. κατενόουν εἰς τὰ δεξιά, καὶ ἐπέβλεπον, καὶ οὐκ ἦν ὁ ἐπιγινώσκων με. ἐνταῦθα τὴν ἐπίτασιν τῆς συμφορᾶς, καὶ τὰ δεινὰ αὐξόμενα δείκνυσι, καὶ τῶν πολεμίων τὰς ἐπιβουλάς, πῶς προσῄεσαν, καὶ ἐξωτέρω ἐγίνοντο βουλόμενοι ὑποσκελίσαι. καὶ τὸ δὴ χαλεπώτερον, ὅτι οὐ μόνον οὐκ ἦσαν αὐτῷ τινες βοηθοὶ ἢ σύμμαχοι· ἀλλ' οὐδὲ ἐπεγίνωσκον. τοῦτο ἡ ἐπίτασις τῆς ἐρημίας, ἡ ὑπερβολὴ τῆς ἀλλοτριώσεως. ὀλίγων γάρ ἐστι τὸ ἐν συμφοραῖς παρεῖναι, καὶ βοηθεῖν, καὶ μάλιστα ὅταν αἱ συμφοραὶ κινδύνους ἀπειλῶσιν. ἀλλὰ τοῦτο οὐ μόνον αὐτὸν οὐκ ἔβλαψεν, ἀλλὰ καὶ μειζόνως ὠφέλησε πρὸς τὸν Θεὸν αὐτὸ οἰκειῶσαν· καὶ σὺ τοίνυν ἀγαπητέ, ὅταν ἴδῃς αὐξόμενα τὰ δεινά, μὴ ἀναπέσῃς· ἀλλὰ νῆφε μειζόνως. διὰ γὰρ τοῦτο ἀφίησιν ὁ Θεὸς αἴρεσθαι αὐτά, ἵνα σου τὴν ῥαθυμίαν ἀποτινάξῃ, ἵνα σε ἀφυπνίσῃ καθεύδοντα. τότε γὰρ πάντα τὰ περιττὰ περικόπτεται· τότε πάντα ἐκφυσᾶται τὰ βιωτικά· τότε ἐν προσευχῇ σπουδαιότερος γίνῃ, πρὸς ἐλεημοσύνην προθυμότερος, πρὸς ὑπεροψίαν γαστρός, καὶ ἕκαστον πάθος εὐκαταγώνιστον γίνεται ὑπὸ τῆς θλίψεως φυγαδευόμενον. ἐπεὶ καὶ παρὰ τὴν ἀρχὴν οὐχὶ κολάσαι βουλόμενος λύπαις ἡμᾶς συνέδησε καὶ πόνοις, εἰ καὶ ἐν τάξει κολάσεως τὴν ἀπόφασιν τέθεικεν· ἀλλὰ σωφρονίσαι, καὶ βελτίους ἐργάσασθαι. εἰ γὰρ καὶ λύπης ἐπικειμένης καὶ τοῦ βίου ἐπιμόχθου ὄντος τοσαύτη κρατεῖ κακία, εἰ μηδὲν τούτων ἦν, ποῦ οὐκ ἂν ἐξέβη τὰ τῆς πονηρίας; καὶ τί θαυμάζεις εἰ ἐπὶ τῆς ψυχῆς, ὅπου γε καὶ ἐν τοῖς σώμασιν ἀγαθὸν ἡ θλίψις; καὶ γὰρ τὸ εἰς ἄκρα εὐπάθειαν ἐξάγεσθαι τὴν σάρκα ἐπιβλαβές;

ἄλλως τε καὶ τὸ πολλαχόθεν ἐπιβουλὰς σκευάσασθαι, νήφειν ποιεῖ· κἂν προσέχωμεν, οὐδὲν βλαπτόμεθα. διὸ καί τις φησιν· ἐπίγνωθι ὅτι ἐν μέσῳ παγίδων διαβαίνεις, καὶ ἐπὶ ἐπάλξεων πόλεων περιπατεῖς. καὶ ἐνταῦθα ἐν ὁδῷ ᾗ ἐπορευόμην ἔκρυψάν παγίδα μοι. εἰ δέ τις τὸ κατὰ ἀναγωγὴν ταῦτα ἐκλάβοι, ὄψεται τὸν διάβολον αὐτὸ ποιοῦντα, οὐ πόρρωθεν, ἀλλὰ πλησίον κρύπτοντα τὰς ἐπιβουλάς. διὸ καὶ πολλῆς ἡμῖν δεῖ τῆς νήψεως. κρύπτει γὰρ παγίδα ἐν ἐλεημοσύνῃ τὴν κενοδοξίαν, ἐν νηστείᾳ τὴν ἀλαζονείαν, καὶ ἐν ἑτέροις ἄλλα, ἐν αὐταῖς ταῖς ὁδοῖς αἷς βαδίζομεν. ὅπερ ἐστὶ καὶ χαλεπώτερον. ἀπώλετο φυγὴ ἀπ' ἐμοῦ. ὅρα πάλιν ἑτέραν προσθήκην τῶν δεινῶν. δείκνυσι γὰρ οὐ μόνον ὅτι ἐν ταῖς ὁδοῖς αἱ παγίδες, οὐδ' ὅτι οὐδεὶς ἦν ὁ βοηθῶν, οὐδὲ ὁ ἐπιγινώσκων, ἀλλ' ὅτι οὐδὲ τὸ λειπόμενον αὐτῷ πρὸς ἀπαλλαγὴν τὸ φυγῇ τὴν σωτηρίαν πορίσασθαι ῥᾴδιον καὶ εὔκολον ἦν. οὕτως ἐν μέσοις ἀπείληπτο τοῖς κακοῖς, καὶ ἐν ἀφύκτῳ συμφορᾷ ἦν, ἀλλ' ὅμως καὶ οὕτως οὐκ ἀπεγίνωσκε. καὶ οὐκ ἔστιν ὁ ἐκζητῶν τὴν ψυχήν μου. τουτέστιν, ὁ ἀμύνων, ὁ βοηθῶν. τί οὖν αὐτός; ἐν τοσαύτῃ ἀπορίᾳ καὶ ἀμηχανίᾳ ὢν ἀπέγνω τὴν σωτηρίαν; οὐδαμῶς· ἀλλὰ πρὸς τὸν Θεὸν καταφεύγει εὐθέως, καὶ λέγει· ἐκέκραξα πρὸς σὲ κύριε, εἶπα, σὺ εἶ ἐλπίς μου, μερίς μου ἐν γῇ ζώντων. ὁρᾷς νῆψιν ψυχῆς; οὐκ ἐβάπτισεν αὐτὸν τὰ δεινά, ἀλλὰ μᾶλλον ἐπτέρωσε, καὶ ἐν ἀπόροις ὢν ἔγνω τὴν ἄμαχον χεῖρα, καὶ τὴν παμμεγέθη δύναμιν, καὶ τὴν ἐν ἀμηχάνοις εὐκολίαν. εἶπα, σὺ εἶ ἐλπίς μου. τὰ ἀνθρώπινα φησι, πάντα ἐλήλεγκται, καὶ ὁ χειμὼν μείζων συμμαχίας οὕτως ἁπάσης, ὡς οὐδεμία τέχνη οἵα τε εἶναι περιγενέσθαι τοῦ ναυαγίου· ἀλλ' ὅμως εἰ καὶ παρὰ ἀνθρώποις ταῦτα ἀπέγνωσται, καὶ πάντες ἀπηγορεύσαμεν, ἀλλά σοι πάντα ῥᾴδια· ὅθεν καὶ ἐλπίζοντες οὐκ ἀποναρκῶμεν. μερίς μου εἶ ἐν γῇ ζώντων, τουτέστιν, ὁ κλῆρός μου, ὁ θησαυρός μου, ὁ πλοῦτός μου, τὰ πάντα αὐτὸς εἶ. ἐν γῇ ζώντων. γῆν ζώντων ἐνταῦθα τὴν οἰκείαν πατρίδα καλεῖ. οἶδε γὰρ πολλάκις τὴν αἰχμαλωσίαν, τὴν εἰς Βαβυλῶνα, ᾅδην

A & alioqui dum vndique ponuntur insidiæ, id homines reddit cautos & circumspectos: & si attenderimus, nihil damni accipimus. Et ideo dicit quispiam, agnosce quòd transis in medio laqueorum, & supra ciuitatum pinnas ambulas, & hic: In via hac qua ambulabam, absconderunt laqueum mihi. Quòd si quis hæc etiam sumpserit anagogicè, videbit hoc ipsum facientem diabolum, & non procul, sed propè occultantem insidias. Quocirca magna nobis cautione & vigilantia opus est. Occultat enim laqueum nempe in B eleemosyna vanam gloriam, in ieiunio arrogantiam, & in aliis alia, in ipsis viis in quibus ambulamus quod est longè difficilimum. *Periit fuga à me.* Vide rursus aliam malorum accessionem. Ostendit enim non solùm esse in viis laqueos, nec vllum fuisse qui opem ferret & agnosceret, sed nec quod reliquum quidem est ad euasionem, vt fuga saluti suæ consulat, id sibi esse promptum & expeditum. Ita in mediis malis interceptus fuerat, nec effugi poterat calamitas: & tamen ne sic quidem C desperabat. *Et non est qui requirat animam meam.* Hoc est, Qui defendat, qui opem ferat. Quid hic ergo? Nunquid cùm in tanta versaretur inopia, & tanta premeretur rerum difficultate, desperauit salutem? Nequaquam, sed ad Deum statim confugit, & dicit:

6. *Clamaui ad te Domine, dixi, tu es spes mea, portio in terra viuentium.* Vides cautionem animi & vigilantiam. Mala eum minimè obruerunt, sed magis erexerunt & extulerunt: & cùm in summa esset inopia, & rerum omnium difficultate, agnouit manum inuictam, & vires omnipotentes, & in rebus impeditis D facilem euadendi rationem. Dixi, tu es spes mea. Reprobata sunt, inquit, humana omnia, & tempestas adeò est omni auxilio superior, vt nulla arte possit vitari naufragium, & tamen etiamsi hæc omnia desperata sunt apud homines, omnésque defessi & malis exhausti simus: tibi tamen omnia sunt facilia: vnde etiam in te sperantes minimè elanguescimus. Portio mea es in terra viuentium. Hoc est, Sors mea, thesaurus meus, diuitiæ meæ, omnia ipse es. In terra viuentium. Terram viuentium hic vocat suam patriam. Captiuitatem enim Babylonicam, inferos

Eccles. 9.

1. Pet. 5. *Laqueos etiā in virtutibus tēdit diabolus.*

Iob 42. *Sap. 12.* *Eccles. 8.* *2. Cor. 1.*

& mortem sæpe vocat. Deinde quoniã cùm in aliena quidem esset regione, solitus non peragebatur cultus, illic autem omnia sacra & omnes implebantur ceremoniæ: propterea dicit, Portio mea es in terra viuentium. Semper mei curam gessisti, inquit, & me tibi familiarem fecisti in terra viuentium, & magna mihi tecum intercessit coniunctio: 7. *Intende ad deprecationem meam, quia humiliatus sum nimis.* Vides quomodo quod superius dixit, hoc etiam ponit hìc pro sui defensione, quòd humiliatus sit, inquam, quòd peccatorum supra modum pœnas dederit. Hoc autem, Nimis, non est eorum quæ facta sunt, reprehensionis: sed eius qui patitur, doloris & imbecilitatis. Si enim, quid peccata mereantur, respexeris: nõ est nimia deiectio ac humiliatio. Sin autem eius qui fert, imbecillitatem: nimia est, & supra modum. Deus enim nunquam pœnas sumit quas merentur peccata. Quòd si iis qui patiuntur, videtur esse intolerabilis, id non ex eorum quæ fiunt, natura proficiscitur: sed ex imbecillitate eorum qui illa sustinent. *Libera me à persequentibus me, quia confortati sunt super me.* Ecce rursus alia causa, nempe iniustæ eorum, qui illum incessunt, insidiæ, & quòd ipse sit valde imbecillus. 8. *Educ de custodia animam meam, ad confitendum nomini tuo.* Confiteri, hìc ponitur pro eo, quod est gratias agere. Hoc est autem quod dicit, Libera me à malis. Per custodiam enim, seu carcerem, significat summas calamitates. Ad confitendum nomini tuo. Hoc quoque est non paruum, vt qui rebus vtuntur secundis, acceptorum beneficiorum minimè obliuiscantur. Multi enim homines in afflictionibus quidem sunt diligentiores, in rebus autem prosperis & otio socordiores: alij rursus in quiete & rebus secundis sunt negligentes: & in rebus aduersis de se desperant, & fiunt supiniores. Sed hic in vtraque horum temporum differentia manet, semper eandem cautionem adhibens ac conseruans, neque enim afflictio, vt is animo concideret, effecit: sed ad orationem potius & supplicationem eum adduxit: nec rerum prosperarum successus & otium eum supinum reddidit, sed tunc etiam paratus est ad gratiarum actionem. *Me expectabunt iusti, donec retribuas mihi.*

Nimis, particulæ vsus.
Peccata nunquam dignè Deus punit.
Psal. 144.
Abac. 3.
Iacob. 2.

Confessio, gratiarum actio.

Prou. 1.
Ezech. 16.
1. Reg. vlt.
Hier. 8. 18.

A καὶ θάνατον καλεῖ. εἶτα ἐπειδὴ ἐν μὲν ἀλλοτρίᾳ ὤν, οὐδεμίαν λατρείαν ἐπετέλει τὴν εἰωθυῖαν, ἐκεῖ δὲ τὰ τῆς ἁγιστείας ἅπαντα ἐπληροῦτο, διὰ τοῦτό φησι, μερίς μου εἶ ἐν γῇ ζώντων, ἀεί μου προέστης φησὶ, καὶ ᾠκειώσω με ἐν γῇ ζώντων, καὶ πολλή μοι πρὸς σὲ γέγονε κοινωνία. πρόσχες πρὸς τὴν δέησίν μου, ὅτι ἐταπεινώθην σφόδρα. ὁρᾷς, πῶς ὅπερ ἀνωτέρω ἔλεγε, τοῦτο καὶ ἐνταῦθα ἀντὶ συνηγορίας τίθησι; τὸ ταπεινωθῆναι, λέγων· τὸ δίκην δοῦναι τῶν ἡμαρτημένων μεθ' ὑπερβολῆς. τὸ δὲ σφόδρα, οὐ τῶν γινομένων κατηγορίας ἐστὶν, ἀλλὰ τῆς λύπης καὶ B τῆς ἀσθενείας τοῦ πάσχοντος. ἂν μὲν γὰρ πρὸς τὴν ἀξίαν τῶν ἁμαρτημάτων ἴδῃς, οὐ σφόδρα ἡ ταπείνωσις· ἂν δὲ πρὸς τὴν ἀσθένειαν τοῦ φέροντος, σφόδρα μεθ' ὑπερβολῆς. οὐδαμοῦ γὰρ ὁ Θεὸς ἀξίαν ἀπαιτεῖ τῶν πλημμελημάτων τιμωρίαν. εἰ δὲ τοῖς πάσχουσιν ἀφόρητος εἶναι δοκεῖ, οὐ παρὰ τὴν φύσιν τῶν γινομένων, ἀλλὰ παρὰ τὴν ἀσθένειαν τῶν ὑπομενόντων. ῥῦσαί με ἐκ τῶν καταδιωκόντων με, ὅτι ἐκραταιώθησαν ὑπὲρ ἐμέ. ἰδοὺ καὶ ἄλλη αἰτία πάλιν ἡ ἄδικος ἐπιβουλὴ τῶν ἐπηρεαζόντων, καὶ τὸ εἶναι C αὐτὸν ἐν ἀσθενείᾳ πολλῇ. ἐξάγαγε ἐκ φυλακῆς τὴν ψυχήν μου τοῦ ἐξομολογήσασθαι τῷ ὀνόματί σου. τὸ ἐξομολογήσασθαι ἐνταῦθα ἀντὶ τοῦ εὐχαριστῆσαί ἐστιν. ὃ δὲ λέγει τοῦτό ἐστιν· ἀπάλλαξόν με τῶν δεινῶν. φυλακὴν γὰρ τὴν τῶν συμφορῶν ὑπερβολὴν αἰνίττεται, ὥστε εὐχαριστῆσαι τῷ ὀνόματί σου. οὐ μικρὸν δὲ τοῦτο ἐν εὐημερίᾳ γινομένους μὴ εἰς λήθην ἐμπεσεῖν τῆς εὐεργεσίας. πολλοὶ γὰρ τῶν ἀνθρώπων ἐν θλίψεσι μέν εἰσι σπουδαιότεροι· ἐν ἀνέσει δὲ ῥαθυμότεροι· ἕτεροι πάλιν ἐν ἀνέσει ῥάθυμοι, καὶ D ἐν θλίψεσιν ἀπογινώσκοντες ἑαυτῶν ὑπτιώτεροι γινόμενοι. ἀλλ' οὗτος ἐν ἑκατέρᾳ τῇ τῶν καιρῶν διαφορᾷ μένει τὴν αὐτὴν εὐλάβειαν διατηρῶν. οὔτε γὰρ ἡ θλῖψις αὐτὸν ἀναπεσεῖν ἐποίησεν, ἀλλὰ μᾶλλον συνήγαγε πρὸς τὴν δέησιν καὶ τὴν εὐχήν. οὔτε ἡ ἄνεσις ὕπτιον κατεσκεύασεν, ἀλλὰ καὶ τότε πρὸς εὐχαριστίαν παρασκευάζεται. ἐμὲ ὑπομενοῦσι δίκαιοι, ἕως οὗ ἀνταποδῷς μοι.

ἕτερος, στεφανώσονται δίκαιοι, ὅταν εὐεργετήσῃς με. τί ἐστι τοῦτο; καὶ τοῖς δικαίοις φησὶ, τοῦτο ὠφελήσει. καὶ γὰρ καὶ ἐκεῖνοι εὐφρανθήσονται, χαρήσονται, σκιρτήσουσιν ἰδόντες μου τὴν ἀπαλλαγὴν τῶν δεινῶν. τοιαῦται γὰρ αἱ τῶν ἁγίων ψυχαὶ, καὶ τοῖς πάσχουσι κακῶς συναλγοῦσι, καὶ εὐθυνουμένοις οὐ βασκαίνουσι, ἀλλὰ καὶ χαίρουσι, καὶ συνευφραίνονται καὶ συνήδονται τοῖς εὐεργετουμένοις. ὃ καὶ Παῦλος ἐκέλευσε λέγων, χαίρειν μετὰ χαιρόντων, καὶ κλαίειν μετὰ κλαιόντων. οὐ μικρὰ δὲ αὕτη ἀρετή. πολλοὶ γὰρ καὶ κειμένοις ἐφήδονται, καὶ ἀνισταμένοις βασκαίνουσιν, ἐξ ὠμότητος καὶ ἀπανθρωπίας πολλῆς ἑκάτερα τὰ πάθη τίκτοντες. ἀλλ' οὐχ οἱ δίκαιοι οὕτως, ἀλλ' ἑκατέρας ταύτης τῆς κακίας ἀπηλλαγμένοι, καὶ ἐλεήμονες ὄντες καὶ φιλάνθρωποι τὰς ἀρετὰς ταύτας κτῶνται. ὥσπερ οὖν ἐκεῖνοι ἐξ ὠμότητος, ἀμφότερα πάσχουσιν, οὕτως οὗτοι ἀπὸ φιλανθρωπίας, τῷ, τε συμπάσχειν ἀλγοῦσι, τῷ τε συγχαίρειν εὖ πάσχουσι. διὰ τί δὲ εἶπεν ἀνταποδῷς μοι; ὁ μὲν ἕτερός φησιν, ὅταν εὐεργετήσῃς με. οἱ δὲ ἄλλοι ἀνταποδῷς καὶ ἀμείψῃ με. καί τοί γε ἀνωτέρω θλίψιν καὶ ταπείνωσιν εἶπεν, οὐ κατορθώματα καὶ παῤῥησίαν τὴν ἀπὸ τῶν ἔργων. ἀντὶ τίνος δὲ καὶ ἀνταπόδοσιν αἰτεῖ; ἀντὶ τῶν ἡμερῶν τῆς ταπεινώσεως. οὐ γὰρ μικρὸν καὶ τοῦτο κατόρθωμα, τὴν θλίψιν ἐνεγκεῖν μετ' εὐχαριστίας. διὸ καὶ ἀνταπόδοσιν καλεῖ, τὴν μετὰ ταῦτα ἀμοιβήν. μὴ τοίνυν μηδὲ ἡμεῖς ἀλύωμεν ἐν ταῖς θλίψεσιν, ἀλλ' εὐχώμεθα μὴ εἰσελθεῖν εἰς πειρασμόν· ἐπιόντα δὲ δεχώμεθα. τά τε γὰρ ὄντα ἁμαρτήματα ἀποτιθέμεθα, καὶ εἴ τινα δικαιοσύνην ἔχομεν, κἀκείνην λαμπροτέραν ἐργαζόμεθα. καὶ τοῦτο δείκνυσιν ὁ Ἰὼβ τότε μειζόνως διαλάμψας. τοῦτο καὶ ἐν σώμασιν ἀγαθόν. τοῦτο οὐκ ἐν ἀνθρώποις μόνον, ἀλλὰ καὶ ἐν ἀλόγοις, οὐκ ἐν ἀλόγοις μόνον, ἀλλὰ καὶ ἐν φυτοῖς. διὰ δὴ τοῦτο, οὐδὲ ταῖς ἀμπέλοις συγχωροῦσιν οἱ γηπόνοι ὑπὲρ τὸ μέτρον κομᾷν, οὐδὲ ἑτέροις δένδροις, ἀλλὰ κωλύουσι τὴν εἰς τὸ πρόσω φοράν, τῇ δρεπάνῃ ἅπασαν αὐτῆς τὴν δύναμιν εἰς τὴν ῥίζαν περιστρέφοντες, ὥστε μὴ ἐν τοῖς φύλλοις δαπανηθεῖσαν αὐτὴν ἄχρηστον ἐνεγκεῖν τὸν καρπόν. ὅπερ καὶ ἐπ' ἀνθρώπων συμβαίνει.

A Coronabunt iusti, quando me beneficio affeceris. Quid hoc est? Hoc quoq; iustis proderit. Illi enim gaudebunt, lætitia afficientur, exultabunt, cùm me viderint liberatum à malis. Tales enim sunt sanctorum animæ: & eorum cum quibus malè agitur, miserentur: nec iis inuident quibus res secundę euenerint; sed gaudent & lætantur, & iis qui beneficio affecti sunt, gratulantur. Quod etiam iussit Paulus, Gaudete, inquiens, cum gaudentibus: & flete cum flentibus. Non est autem hæc parua virtus. Multi enim iacentibus lætabundi in- B sultant, & se erigentibus inuident, ex crudelitate & summa inhumanitate vtrasque has perturbationes animi patientes. At non sic iusti, sed ab vtroque hoc vitio liberati, cùm sint misericordes & clemẽtes, has virtutes possident. Quemadmodum ergo illis ex crudelitate vtraque eueniunt, ita his propter humanitatem & clementiam, quòd & eorum qui dolent, commiserẽantur: & iis cum quibus bene agitur, collætentur. Cur autem dixit, Donec retribuas mihi? Alius quidẽ dicit: Quan- C do mihi benefeceris. Alij verò, Quando retribues, & remuneraberis me. Atqui superius dixit afflictionem & humiliationem, non præclara facinora, nec ex rectè factis fiduciam. Quánam autem de causa petit remunerationem? Pro diebus humiliationis. Non est enim pusillum hoc rectè factum, ferre afflictionem cum gratiarum actione, & ideo vocat retributionem, eam quæ illa sequitur, remunerationem. Nec nos ergo animi angamur in afflictionibus, sed oremus ne intremus in tentationem: quæ au- D tem euenerint excipiamus. Ita enim & quæ habemus peccata, deponimus: & si qua est in nobis iustitia, eam clariorem reddimus. Id autem Iob ostendit, qui tunc magis claruit. Hoc bonum est etiam in corporibus. Hoc non solum est in hominibus, sed etiam in brutis: non in brutis solùm, sed etiam in plantis. Et ideo nè in vitibus quidem permittunt agricolæ comas nimis luxuriare, nec in aliis arboribus, sed ne nimium crescant, falce prohibent, omnes earum vires in radices conuertentes, ne eæ in foliis consumptæ, fructus inanes & inutiles producant. Quod quidem euenit etiam in hominibus.

Hebr. circũdabunt.

Rom.12.15

Hebr. & Chald. Afflictionis tolerantia æquanimis meritoria.

Matt.26.

Afflictionis cõmoditas, à simili.

Studio enim in ea quæ sunt superflua consumpto, imbecillior fit animus ad ferendum fructum pietatis maturum & perfectum. Hoc etiam videri potest in aquis. Quæ enim consistit, & non meat, est noxia: sed quæ mouetur, exhauritur, & per tubos & aquæductus transmittitur, non solùm ea est salubris, sed & visu, & tactu, & potu est iucundior. Sæpe etiam vicit naturam afflictio. Quod enim victum ac flaccidum est, & deorsum fertur, si prematur, sursum erigitur. Quod etiam accidit in hominibus. Qui enim facilè ferunt afflictiones, redduntur excelsiores, etiamsi sint valde abiecti, terreni, & humiles: & ex iis magna commoda accipiunt. Hæc ergo cùm sciamus, cum gratiarum actione feramus mala, quæ in nos immittuntur, vt & illa nobis fiant faciliora, & bona futura consequamur. Quæ detur nobis omnibus obtinere gratia & clementia domini nostri Iesu Christi, cui gloria & potentia in secula seculorum, Amen.

A similis rursus.

A τῆς γὰρ σπουδῆς εἰς τὰ περιττὰ ἀναλισκομένης ἀτονωτέρα γίνεται ἡ ψυχὴ πρὸς τὸ τῆς εὐσεβείας καρπὸν ὥριμον ἐνεγκεῖν καὶ ἀκμάζοντα. τοῦτο καὶ ἐπὶ τῶν ὑδάτων ἴδοι τις ἄν. τὸ μὲν γὰρ ἑστηκὸς καὶ ἀπέρβυτον, βλαβερόν· τὸ δὲ κινούμενον καὶ ἐξαντλούμενον, καὶ μετοχετευόμενον, οὐ μόνον ὑγιεινὸν, ἀλλὰ καὶ ἰδεῖν, καὶ ἅψασθαι, καὶ πιεῖν ἡδύ ἐστι. πολλάκις δὲ καὶ τὴν φύσιν ἐνίκησεν ἡ θλίψις. τὸ γὰρ κατωφερὲς τοῦτο καὶ ῥυτὸν θλιβόμενον πρὸς τὴν ἄνω φορὰν ἐξακοντίζεται. ὃ δὴ καὶ ἐπ᾽ ἀνθρώπων συμβαίνει. οἱ γὰρ εὐκόλως τὰς θλίψεις B φέροντες ὑψηλότεροι καθίστανται, κἂν σφόδρα ὦσι χαμαίζηλοι, καὶ σφόδρα γήινοι, καὶ ταπεινοὶ, καὶ μεγάλα ἐντεῦθεν κερδαίνωσι. ταῦτ᾽ οὖν εἰδότες, φέρωμεν μετ᾽ εὐχαριστίας τὰ ἐπαγόμενα δεινὰ, ἵνα κἀκεῖνα εὐκολώτερα ἡμῖν γένηται, καὶ τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν. ὧν γένοιτο πάντας ἡμᾶς ἀξιωθῆναι, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

C

IN PSALMVM CXLII.

Domine exaudi orationem meam.

Εἰς τὸν ρμβ΄ ψαλμόν.

Κύριε εἰσάκουσον τῆς προσευχῆς μου.

EST quidem προσευχὴ & precatio quæ fit per verba, & est etiam promissum seu votum. Quocirca suadet etiam quidam sapiens, dicens, Ne iteraueris verbum in oratione tua. Non autem hortatur & suadet vt non eadem bis dicamus cùm Deum rogamus & precamur: absit: (iubemur enim perseuerare in orationibus) sed ne differamus quando Deo aliquid fuerimus polliciti, & id soluere properemus. Et ideo dicit alibi, Ne differas reddere votum. Futurum enim est incertum. Vel enim morbus, vel quæ præter opinionem accidunt negotia, prohibuerint. Quòd si etiam mors adueniens te interruperit, non dabitur tibi venia. Orationem autem hîc

Eccles. 7.

Luc. 11.

Eccles. 5.

ΕΣΤΙ μὲν προσευχὴ καὶ ἡ διὰ ῥημάτων δέησις, ἔστι δὲ καὶ ἡ ἐπαγγελία. διὰ τοῦτο καί τις σοφὸς παραινεῖ λέγων· μὴ δευτερώσῃς λόγον ἐν προσευχῇ σου. D οὐχ ἵνα μὴ δεύτερον τὰ αὐτὰ λέγωμεν παρακαλοῦντες τὸν Θεὸν καὶ δεόμενοι, τοῦτο παραινεῖ, ἢ συμβουλεύει, ἄπαγε· καὶ γὰρ κελευόμεθα προσκαρτερεῖν ταῖς προσευχαῖς, ἀλλ᾽ ἵνα μὴ ἀναβαλλώμεθα ὅταν τι ὑποσχώμεθα τῷ Θεῷ, ἀλλ᾽ ἵνα ἐπειγώμεθα. διὸ καὶ ἀλλαχοῦ φησι, μὴ χρονίσῃς ἀποδοῦναι τὴν προσευχήν. καὶ γὰρ ἄδηλον τὸ μέλλον. ἢ γὰρ νόσος, ἢ πραγμάτων ἀδόκητοι ἢ ἀσχολίαι συμπεσοῦσαι ἐκώλυσαν. εἰ δὲ καὶ θάνατος ἐπελθὼν διακόψῃς, συγγνώμην οὐκ ἕξεις. ἐνταῦθα μὲν τοι προσευ-

χὴν τὴν δέησιν λέγει καὶ τὴν ἱκετηρίαν· διὸ ἐπήγαγεν, αὐτὸ τοῦτο δηλῶν, ἐνώτισαι τὴν δέησίν μου, ἐν τῇ ἀληθείᾳ σου. ἕτερος, ἐν τῇ πίστει σου. ἄλλος, ἐν τῇ βεβαιότητί σου, τουτέστιν, ἐπίνευσον τῇ αἰτήσει, καὶ εἰς ἔργον αὐτὴν ἐξάγαγε βεβαιῶν τῇ ἀληθείᾳ σου, χρήσαι τῇ δυνάμει πρὸς τὸ πληρῶσαι ἅπερ αἰτῶ. ἀλλ' ἴδωμεν οἵα ἐστὶν ἡ δέησις. ἐπ' ἀνθρώπων, ὅταν τις δέησιν προσαγάγῃ, τοῦτο σκοποῦσιν οἱ δεχόμενοι, κἂν τὸ δίκαιον καὶ ἔννομον ἔχῃ ἀκούεται, ἀλλὰ παρὰ μὲν ἀνθρώποις ὑπὲρ ἀξιωμάτων γίνεται καὶ χρημάτων ἡ δέησις, πολλάκις δὲ καὶ ὑπὲρ κωλύματος ἀδικίας, ἔνιοι δὲ καὶ τὰ ὑπερβαίνοντα τοὺς δικάζοντας ἀξιοῦσιν. ἀλλ' ἡμεῖς ὑπὲρ ἁμαρτημάτων δεόμεθα συγχωρήσεως, καὶ τότε ἐρχόμεθα ἐπὶ δέησιν, ὅταν ὁ δικαστὴς ἡμῖν μὴ ἀφῇ ὁ ἔνδον, τὸ συνειδὸς λέγω τὸ ἡμῖν ἐγκαθήμενον. οὐδὲ γὰρ ἐξουσίαν ἔχει τοῦ ἀφιέναι. καὶ καθάπερ βασιλεῖ οὐδεὶς ὑπὲρ ἱματίου διερρηγότος, οὐδὲ ὑπὲρ δέκα ὀβολῶν ἀφαιρεθέντων τολμᾷ προσελθεῖν, οὕτω καὶ σύ, μᾶλλον δὲ καὶ πολλῷ πλέον εὐλαβούμενος μὴ προσέλθῃς Θεῷ ὑπὲρ εὐτελῶν πραγμάτων καὶ μηδαμινῶν, οἷον εἴ τίς σε ἐν χρήμασιν ἠδίκησεν, ἢ καὶ ὕβρισεν. ἀλλ' ἐν οἷς σε ὁ διάβολος ἀδικεῖ, ἔνθα μάλιστα τῆς ἄνωθεν χρεία ῥοπῆς. ἀλλ' οὐκ ἔχεις τὸν παριστάμενον καὶ εἰσάγοντά σου τὴν δέησιν, προϊόντος τοῦ βασιλέως φώνησον, καὶ καιρὸν ἐπιτήδειον ζήτησον. πότε οὖν πρόεισιν ὁ βασιλεύς; ἀεὶ καὶ διαπαντός. πότε δὲ καὶ ἐπιτήδειος ὁ καιρός; ὅταν σὺ θέλῃς, ὅταν ἄξιον σαυτὸν παρασκευάσῃς. Ἰουδαῖοι μὲν οὖν ἐκελεύοντο ὑπὸ τὴν ὑπώρειαν ἑστάναι τοῦ Θεοῦ φαινόμενοι, καὶ τὰ ἱμάτια ἔχειν λευκά, καὶ μὴ προσιέναι γυναικί· σὺ δὲ ἀντὶ τῶν ἱματίων τὴν ψυχὴν ἀπόσμηξον, καὶ μετὰ σωφροσύνης, καὶ ἐπιεικείας πρόσελθε, καὶ μετὰ πολλῆς τῆς γαλήνης, καὶ ἀποδήμησον πρὸς τὸν βασιλέα, εἰ βούλει δεόντως αἰτῆσαι. οὐ δεῖται ἀναλωμάτων πολλῶν ἡ ἀποδημία, λάβε ἐφόδια τὴν ἀρετήν. καὶ ποῦ ἐστιν ὁ βασιλεὺς διατρίβει; ἐγγὺς τῶν συντετριμμένων τῇ καρδίᾳ. ἐκείνην ἔπελθε τὴν ὁδόν. ἐγγύς φησι κύριος πᾶσι τοῖς ἐπικαλουμένοις αὐτὸν ἐν ἀληθείᾳ· ἐκεῖ αὐτὸν εὑρήσεις, ἐκεῖ συντεύξῃ. ἐγγύς ἐστι τῶν διαθρυπτόντων πεινῶσι τὸν ἄρτον, καὶ ἐλεημοσύνην ἐρ-

A dicit precationem & supplicationem: & ideo subiunxit, hoc ipsum significans, *Auribus percipe obsecrationem meam in veritate tua.* Alius, In fide tua. Alius, In stabilitate tua. Hoc est, Annue petitioni, & fac vt ea effectum consequatur, tua veritate confirmans: vtere tua potentia ad ea implenda, quæ peto. Sed videamus cuiusmodi sit postulatio. Apud homines quando quis offert supplicationem, hoc considerant, qui eam suscipiunt: & si sit iustum & legitimum, auditur. Sed apud homines quidem, pro honoribus, dignitatibus, & pecu-B niis fit supplicatio, sæpe etiam vt prohibeatur iniuria: alij autem ea petunt quæ sunt maiora, quam vt fieri possint à iudicibus: nos autem supplicamus pro peccatorum condonatione: & tunc venimus ad supplicationem, quando iudex qui est intus, non remiserit, conscientia inquam nostra, quæ nos vrget ac vexat. Neque enim in eius potestate situm est remittere: & quemadmodum ad Imperatorem nemo pro veste discissa, nec pro decem obolis ereptis audet accedere: ita etiam tu, atque adeò longè amplius, caue ne ad Deum ac-C cedas pro rebus vilibus, contemptis, & nihili: vt verbi gratia, si quis in pecunia tibi fecerit iniuriam, aut si quis affecerit te contumelia: sed in iis in quibus diabolus te iniuria afficit, cùm superno maximè auxilio opus est. At non habes qui tui curam gerat, & tuam supplicationem offerat? Cùm rex procedit, eum alloquere, & quære tempus opportunum? Quando ergo procedit rex? Semper & perpetuò. Quando est autem tempus opportunum? Quando tu volueris, quando vt dignus sis, teipsum præparaueris. Iubebantur quidem Iudæi in valle subsistere, cùm Deo appa-D rerent, & albas vestes induere, & cum vxore rem non habere. Tu autem animam emunda pro vestibus, & cum moderatione, mansuetudine, & summa quiete accede, & ad regem proficiscere, & si vis verè quòd petis, impetrare: non eget multis sumptibus peregrinatio: accipe virtutem viaticum. Et vbinam agit hic rex? Prope eos qui corde sunt contrito. Illa via ingredere. Prope est Dominus iis qui ipsum inuocant in veritate, illic eum inuenies, illic eum alloquêris. Est prope eos, qui panem frangunt esurientibus, & faciunt elee-

Conscientia iudex interior.

Auxilium Dei in quibus rebus quærendum. *Exod. 19.*

Psal. 50. *Deus quibus præstò sit.* *Psal. 144. 18.* *Esa. 58.* *Ibidem.*

mosynam. Si hãc veneris, inuenies eum paratum annuentem tuæ petitioni. Te enim adhuc loquente, dicam, Ecce adsum, nec opus erit intercessore: sed per te ipsum quod petis assequêris. *Exaudi me in tua iustitia.* Quid facis ô homo? Procedens dicturus es, Ne intres in iudicium cum seruo tuo, quia non iustificabitur in conspectu tuo omnis viuens: & hic rogas vt sicut iustum est exaudiaris? Quid est ergo quod dicitur? Iustitiam hic dicit clementiam, & in multis scripturæ locis videri potest accipi iustitia pro clementia, idque iure profectò. Apud homines enim iustitia, priuata est misericordia: apud Deum autem non itidem, sed iustitiæ quoque admixta est misericordia, & tanta, vt ipsa etiam iustitia vocetur clementia. Atqui considera quidem in inundatione quanta fuerit misericordia, quanta rursus iustitia. Etsi enim pœnas dederunt qui tunc peccabant: non tamen dederunt quas meruerant. Ne mihi enim molem aquarum respexeris, neque dierum multitudinem, quibus fuit diluuij naufragium, neque orbem terræ qui tunc erat abyssus. Quid hoc enim refert eorũ qui perierunt? Hæc enim possunt quidem graue timorem incutere: iis autem qui mortui sunt, nullum supplicium afferunt. Quomodo enim punirentur qui quæ fiunt, non sentiunt? quorum etiam breui temporis momẽto fuit interitus, breuémque & leuissimã mortem passi sunt, & igne & ense & laqueo & tormentis faciliorem, & longè minus molestam. Quare speciem potius supplicij, quàm experientiam habebant quæ fiebant. Qui itaque toto vitæ tempore ad extremam vsque senectutem talia commiserant, breuissimo temporis momento pœnas dederunt, si quidem naturæ debitum vocandum sit supplicium. Vidisti quanta sit clemẽtia: vis etiam eam aliunde videre? Non enim statim intulit, sed & semel & bis & sæpe eam prædixit. Per arcam enim eos allocutus est: illi verò ne sic quidem cessarunt, etsi non opus erat vt vlla denunciatio fieret improbitati. Sed neque eos natura docuit, sed tanquam porci, imò verò quibusuis porcis obscœniores, cùm & se inter se corrumperent, & naturæ leges funditus conuellissent, &

Iustitia Dei clementia.

Gen.7.8.

Diluuij punitio quam leuis.

A γαζομένων. ἐὰν ταύτην ἔλθῃς, εὑρήσεις αὐτὴν ἕτοιμον ἐπινεύουσάν σου τῇ αἰτήσει. ἔτι γὰρ λαλοῦντός σου ἐρῶ, ἰδοὺ πάρειμι. καὶ οὐ δεήσῃ μεσίτου, ἀλλὰ διὰ σαυτοῦ τὴν δέησιν ἐπιδώσεις. ἐπάκουσόν μου ἐν τῇ δικαιοσύνῃ σου. τί ποιεῖς ἄνθρωπε; προϊὼν μέλλεις ἐρεῖν, μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν, καὶ ἐνταῦθα ἀξιοῖς κατὰ τὸ δίκαιον ἀκουσθῆναι; τί οὖν ἐστι τὸ λεγόμενον; δικαιοσύνην ἐνταῦθα τὴν φιλανθρωπίαν λέγει, καὶ πολλαχοῦ τῆς γραφῆς ἴδοι τις ἄν, B ἐπὶ τοῦ σημαινομένου τούτου τὴν δικαιοσύνην λαμβανομένην. καὶ μάλα εἰκότως. παρὰ μὲν γὰρ τοῖς ἀνθρώποις τὸ δίκαιον ἀπεστέρηται τοῦ ἐλέους· παρὰ δὲ τῷ Θεῷ οὐχ οὕτως, ἀλλὰ ἀναμέμικται τῷ δικαίῳ καὶ ἔλεος, καὶ τοσοῦτον, ὡς καὶ αὐτὴν τὴν δικαιοσύνην φιλανθρωπίαν καλεῖσθαι. σκόπει γοῦν ἐπὶ τοῦ κατακλυσμοῦ πόσος μὲν ἦν ὁ ἔλεος, πόσον δὲ τὸ δίκαιον. εἰ γὰρ καὶ ἐκολάσθησαν ἁμαρτάνοντες οἱ τότε, ἀλλ' οὐ τὴν ἀξίαν ἔδοσαν δίκην. μὴ γάρ μοι τὸν ὄγκον ἴδῃς τῶν ὑδάτων, μηδὲ τὸ πλῆθος τῶν ἡμερῶν, ὧν τὸ ναυάγιον ἐκεῖνο πα- C ρετείνετο, μηδὲ τὴν οἰκουμένην ἄβυσσον γενομένην. τί γὰρ τοῦτο πρὸς τοὺς ἀπολωλότας; ταῦτα γὰρ φόβον δύναιτ' ἂν ἔχειν ὑπέρογκον, τιμωρίαν δὲ τοῖς τελευτηκόσιν οὐδεμίαν ἐπάγει. οἱ γὰρ οὐκ αἰσθανόμενοι τῶν γινομένων πῶς ἐκολάζοντο, ὧν καὶ ἐν βραχείᾳ καιροῦ ῥοπῇ τὰ τῆς ἀπωλείας ἐγένετο, καὶ τὸν σύντομον καὶ κουφότατον ὑπέμειναν θάνατον, καὶ πυρὸς, καὶ ξίφους, καὶ ἀγχόνης καὶ βασάνων εὐκολώτερόν τε καὶ ἀλυπότερον; ὥστε ὄψιν μᾶλλον τιμωρίας, ἢ πεῖραν εἶ- D χε τὰ γινόμενα. παρὰ πάντα γοῦν τὸν χρόνον μέχρι γήρως ἐσχάτου τοιαῦτα παρανομήσαντες ἐν βραχείᾳ καιροῦ ῥοπῇ τὴν τιμωρίαν ἔδοσαν. εἴ γε τιμωρίαν δεῖ καλεῖν τὸ τῆς φύσεως χρέος. εἶδες πόση ἡ φιλανθρωπία· βούλει καὶ ἑτέρωθεν αὐτὴν ἰδεῖν; οὐκ εὐθέως αὐτὴν ἐπήγαγεν, ἀλλὰ προεῖπε καὶ ἅπαξ, καὶ δὶς καὶ πολλάκις. καὶ διὰ τῆς λάρνακος αὐτοῖς διελέγετο· οἱ δὲ οὐδὲ οὕτως ἐνέδοσαν, καίτοι οὐδὲ παραγγελίας ἐδεῖτο ἡ παρανομία. ἀλλ' οὐδὲ ἡ φύσις αὐτοὺς ἐπαίδευσεν. οἱ δὲ ὡς χοῖροι, μᾶλλον δὲ ὡς χοίρων χαλεπώτεροι ἁπάντων ἐν ἀλλήλοις φθειρόμενοι, καὶ τοὺς τῆς φύσεως νόμους ἐκ

A βάραθρον αὐτῶν ἀνασπάσαντες, καὶ μηδεμιᾷ παραινέσει, μηδὲ συμβουλῇ εἴξαντες, μηδὲ τὴν ἀπὸ τῆς τοῦ δικαίου γειτνιάσεως ὠφέλειαν καρπωσάμενοι, ἐν βραχείᾳ καιροῦ ῥοπῇ μόνον τὴν δίκην ἔδοσαν. μᾶλλον δὲ φθορᾶς ἀπηλλάγησαν, καὶ δίκης ἠλευθερώθησαν. τοῦ γὰρ καταχλυσθῆναι πολλῷ χαλεπώτερον τὸ τοιαῦτα ποιεῖν. τοῦτο οὖν, εἰπέ μοι, τιμωρία τὸ κακίᾳ διεφθαρμένους, καὶ ἀλλήλοις φυρομένους παρανόμως, καὶ καταισχύνοντας, καὶ καταισχυνομένους ἀπαλλάξαι τῆς τοσαύτης λύμης; εἶτα ἰατρὸν μὲν τὰ σεσηπότα ἐκτέμνοντα οὐ φήσομεν τιμωρεῖσθαι τὸ σῶμα, ἀλλ' B ὡς φιλάνθρωπον ἀποδεξόμεθα, τὸν δὲ Θεὸν οὐ πολλῷ μᾶλλον ἐκπλαγησόμεθα τῆς σοφίας καὶ τῆς φιλανθρωπίας οὕτω τοὺς ἑαυτοῦ κολάζοντα; διαπαντὸς μὲν οὖν καὶ θαυμάζειν αὐτὸν καὶ δοξάζειν χρή· ταύτης δὲ ἕνεκεν τῆς ὑποθέσεως μηδὲ ἀποστῶμεν αὐτοῦ τὴν κηδεμονίαν ἐκπληττόμενοι, οὐδὲ παυσώμεθα αὐτὸν διὰ ταῦτα ἀνυμνοῦντες, ὅτι τε τομὴν ἔδωκε σύντομον, καὶ τὴν νομὴν ἀπέκοψε, καὶ τὴν ἰατρείαν ἀνώδυνον ἐπέθηκε. μὴ δὴ οὖν τοῦτό σε θορυβείτω, ὅτι ἀθρόον, καὶ πάντες κατεποντίσθησαν. τί γὰρ C διαφέρει τοῦτο τοῦ κατὰ μικρόν; τί τὸν ἀπελθόντα ὠφελεῖ τὸ καθ' ἑαυτόν, ἢ βλάπτει τὸ μετὰ πάντων; ἐπάκουσόν μου ἐν τῇ δικαιοσύνῃ σου, τουτέστιν, ἐν φιλανθρωπίᾳ. ὅτι γὰρ τοῦτο δηλοῖ ἐπήγαγε, καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου. τοῦτο καὶ ὁ Ἰὼβ αἰτεῖ οὕτω δίκαιος ὤν, καὶ ἀληθινός, καὶ θεοσεβής, καὶ ἀπεχόμενος ἀπὸ παντὸς πονηροῦ πράγματος. εἴθε ἦν ὁ διακρίνων καὶ διελέγχων μεταξὺ ἀμφοτέρων, λέγων· τοῦ δὲ Θεοῦ φανέντος, χεῖρα θήσω ἐπὶ στόματί μου· καί τοι τοῦ Θεοῦ προσκαλουμένου καὶ λέγοντος, D μή, ἀλλὰ ζῶσαι, ὥσπερ ἀνὴρ τὴν ὀσφύν σου. καὶ Ἰουδαίοις τοῦτο ὀνειδίζει λέγων, τί εὕροσαν οἱ πατέρες ὑμῶν ἐν ἐμοὶ πλημμέλημα, ὅτι οἱ ἄρχοντες ὑμῶν ἠνόμησαν εἰς ἐμέ; ποιεῖ δὲ τοῦτο οὐ χαλεπωτέραν θέλων τὴν ψῆφον ἐργάσασθαι, ἀλλ' εἰς αἴσθησιν αὐτοὺς ἐμβαλεῖν, καὶ ὁμολογίαν τῶν οἰκείων ἁμαρτημάτων, καὶ τότε δοῦναι τὴν συγχώρησιν, ἵνα οὕτως ἴδωσι τῆς εὐεργεσίας τὸ μέγεθος. διό φησι, λέγε σὺ τὰς ἀνομίας σου πρότερος· οὐχ ἵνα κατακριθῇς· ἀλλ' ἵνα δικαιωθῇς. διά τοι τοῦτο οὐδὲ αὐτὸς αὐτὰς λέγει, ἀλλ' ἐκεῖνον παρασκευάζει. εἰ μὲν γὰρ κολάσαι ἐβούλετο, αὐτὸς ἂν κατ-

A nec vlli suasioni nec consilio paruissent, nec iusti vicinitate aliquid commodi cepissent, breui solùm temporis momento pœnas dederunt, vel potiùs ab interitu erepti & à pœna liberati sunt. Ea enim facere multo est grauius, quàm quis breui temporis momento intercipi. Hóccine est ergo, dic mihi, supplicium eos qui vitiis erant corrupti, & sceleratè ac nefariè inter se coniungebantur, & alter alterum dedecore afficiebant & afficiebantur, ab eiusmodi exitio liberare? Deinde, B medicum quidem qui membra putrida resecat, non dicemus punire corpus, sed tanquam benignum & humanum admittemus: Dei autem benignitatem & clementiam non multò magis admirabimur, qui suos ea ratione castigat? Eum quidem perpetuò oportet admirari, & gloria afficere: sed hoc nomine nunquam desistamus eius stupere curam ac prouidentiam: nec eum cessemus ea de causa laudare, quòd & breuem sectionem adhibuerit, & serpens malum resciderit, & medicinam quæ nullum dolorem afferret, admouerit. C Ne te ergo hoc cõturbet, quòd omnes repente & vno tempore obruti sunt. Quid enim refert an sic, an paulatim? Quid eum qui excessit iuuat quod per se & solus: aut lædit, quòd cum omnibus excesserit? Exaudi me in tua iustitia. Hoc est, in benignitate & clementia. Quod enim id significet, subiunxit: 2. *Et non intres in iudicium cum serno tuo.* Hoc etiam petit Iob, qui erat vir iustus, & verax, & abstinẽs ab omni re mala, dicens: Vtinam esset qui discerneret & argueret inter vtrumque. Cùm Deus autem apparuit: Manum D apponam ori meo, licet Deus prouocaret & diceret: Non, sed accinge tanquam vir lumbos tuos. Hoc etiam Iudæis exprobrat, dicens: Quod inuenerunt patres vestri in me delictum, quia principes vestri in me se iniquè gesserunt? Hoc autem facit, non volens grauiorem in eos reddere sententiam, sed volens eos eò adducere, vt sua peccata sentirent, eáque confiterentur, & nunc eis daret veniam, vt sic beneficij nossent magnitudinem. Et ideo dicit: Dic tu prior tuas iniquitates, Non vt condemneris, sed vt iustificeris. Ea de causa nec ipse eas dicit, sed illum ad eas dicendas comparat. Si enim vellet punire, ipse

1. Tim. 1.

Iob 1.
Iob 23. 31.
Iob 39. 40.

Hier. 2. 5.

Esa. 43.

ipse cum accusasset. Nunc autem quoniam vult misereri, cedit ei qui peccauit, vt ipse grati & memoris animi coronam accipiat, & per confessionem misericordiam attrahat. Quid potest cum hac conferri clementia? Nihil. Dic, inquit, & nihil quæro amplius: confitere, & mihi sufficit. Dic, & totum fero acceptum. Ne intres in iudicium cum seruo tuo. Multi sunt qui in hoc se rectè gerunt, ex eo quòd sit Deus iudicaturus. Qui enim pio sunt & grato animo, hoc antè norunt: qui secus, ex eo quòd Prophetæ dicunt assiduè: Iudicium Domino ad populum suum, & cum Israël disseret. Et rursus, Audite valles, & fundamenta terræ. Et, Audi cœlum, & auribus percipe terra. Ex eo ergo quòd ipse assiduè dicatur iudicare, etiam qui paulò minus sensus habebant, se in eo rectè gerebant. Etenim dicebant nonnulli Iudæi, Quare ieiunauimus, & non aspexisti? &, Quicumque facit malum, bonum coram Domino: & ædificantur qui faciunt scelera, & beatos dicimus alienos. &, Non est recta via Domini. Porrò autem beatus quoque Iob postquam in illam tentationem incidit, non eo animo, nec ea dixit quæ Iudæi. Absit. Dixit tamen: vtinam esset intercessor, & qui discerneret & argueret inter vtrumque, auertat à me virgam: & timor eius ne me conturbet. Et ideo dicit ei, Interrogabo ego te, tu verò mihi responde. Deinde quoniam obstupefactus fuerat, & dixerat. Cur ego adhuc iudicor, dum corrigor, & arguo Dominum? Et rursus: Auditione quidem auris te priùs audiui, nunc autem etiam oculi te viderunt: quocirca meipsum vilipendi, & liquefactus sum: existimaui autem meipsum terram & cinerem: ponam manum super os meum: dixit ei, Nequaquã, sed accinge tanquam vir lumbos tuos, propemodũ eius verba in memoriam redigens & dicens, Quoniã mecum voluisti iudicio contendere, ecce adsum disceptaturus. Vidisti Dei clementiã ineffabilem, vidisti bonitatẽ infinitã? Et ideo tres quoque pueri dicebant, Peccauimus, iniquè egimus, nos iniustè gessimus. Quoniã enim multi homines sensus planè expertes peccata sua in Deum conferunt, hoc procurante & machinante diabolo, hanc consuetudinem

Cõfessionis peccatorũ fructus.

Mich. 6. 2. Esa. 1. Esa. 58. Iob 21.

Hier. 11. Ezech. 18.

Iob 23. 31.

Iob 42.

Iob 36. & 40. 2.

Dan. 3.

A τήγορησε· νυνὶ δὲ ἐπειδὴ ἐλεῆσαι θέλει, παραχωρεῖ τῷ ἡμαρτηκότι, ὥστε αὐτὸν εὐγνωμοσύνης λαβεῖν στέφανον, καὶ διὰ τῆς ὁμολογίας ἐπισπάσασθαι τὸν ἔλεον. τί ταύτης τῆς φιλανθρωπίας γένοιτ' ἂν ἴσον; οὐδέν. εἰπέ, φησι, καὶ οὐδὲν πλέον ζητῶ· ὁμολόγησον, καὶ ἀρκεῖ μοι. εἰπέ, καὶ τὸ πᾶν ἀπέχω, μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου. τοῦτο ἀπὸ τοῦ μέλλειν δικάζεσθαι τὸν Θεὸν παρὰ πολλοῖς κατώρθωται. οἱ μὲν γὰρ εὐγνώμονες καὶ πρὸ τούτου ἴσασι τοῦτο· οἱ δὲ ἀγνώμονες ἀπὸ τοῦ συνεχῶς λέγειν τοὺς προφήτας· κρίσις τῷ κυρίῳ πρὸς τὸν λαὸν αὐτοῦ, καὶ

B μετὰ τοῦ Ισραὴλ διαλεχθήσεται. καὶ πάλιν, ἀκούσατε φάραγγες, καὶ θεμέλια τῆς γῆς. καὶ, ἄκουε οὐρανέ, καὶ ἐνωτίζου ἡ γῆ. ἀπὸ τοῦ συνεχῶς οὕτω αὐτὸν λέγεσθαι δικάζειν, καὶ παρὰ τοῖς ἀναισθήτοις κατωρθοῦτο. καὶ γὰρ ἔλεγόν τινες τῶν Ιουδαίων· τί ὅτι ἐνηστεύσαμεν, καὶ οὐκ εἶδες· καὶ πᾶς ποιῶν πονηρὸν καλὸν ἐνώπιον κυρίου, καὶ ἀνοικοδομοῦνται ποιοῦντες ἀνομήματα, καὶ μακαρίζομεν ἀλλοτρίους. καὶ, οὐκ εὐθεῖα ἡ ὁδὸς κυρίου. καὶ ὁ μακάριος δὲ Ιὼβ, ἐπειδὴ εἰς τὸν πειρασμὸν ἐνέπεσεν ἐκεῖνον, οὐκ ἀπὸ τοιαύτης γνώμης ὡς

C Ιουδαῖοι, οὐδὲ τὰ τοιαῦτα, μὴ γένοιτο. ἔλεγε δὲ οὕτως ὅμως. εἴθε ἦν ὁ μεσίτης, καὶ διακρίνων καὶ ἐλέγχων μεταξὺ ἀμφοτέρων. ἀπαλλαξάτω τὴν ῥάβδον αὐτοῦ ἀπ' ἐμοῦ, καὶ ὁ φόβος αὐτοῦ μή με στροβείτω. διὰ δὴ τοῦτο λέγει αὐτῷ· ἐρωτήσω δέ σε, σὺ δέ μοι ἀποκρίθητι. εἶτα ἐπειδὴ κατεπλάγη, καὶ ἔλεγε. τί ἔτι κἀγὼ κρίνομαι νουθετούμενος, καὶ ἐλέγχω κύριον; καὶ πάλιν· ἀκοῇ μὲν ὠτὸς ἤκουόν σου, τὸ πρότερον, νυνὶ δὲ οἱ ὀφθαλμοί μου ἑωράκασί σε· διὸ ἐφαύλισα ἐμαυτόν, καὶ ἐτάκην· ἥγημαι δὲ ἐ-

D μαυτὸν γῆν καὶ σποδόν. χεῖρα θήσω ἐπὶ τῷ στόματί μου· λέγει πρὸς αὐτόν· μή, ἀλλὰ ζῶσαι ὥσπερ ἀνὴρ τὴν ὀσφύν σου, μονονουχὶ αὐτὸν ἀναμιμνήσκων αὐτῶν τῶν ῥημάτων καὶ λέγων, ἐπεὶ ἐβούλου κρίνεσθαι πρὸς ἐμέ, ἰδοὺ πάρειμι δικασόμενος. εἶδες Θεοῦ φιλανθρωπίαν ἄφατον, εἶδες ἀγαθότητα πέρας οὐκ ἔχουσαν; διὰ δὴ τοῦτο καὶ οἱ παῖδες οἱ τρεῖς ἔλεγον, ἡμάρτομεν ἠνομήσαμεν, ἠδικήσαμεν. ἐπειδὴ γὰρ πολλοὶ τῶν ἀναισθήτων τὰ ἑαυτῶν ἁμαρτήματα ἐπὶ τὸν Θεὸν ἐπάγουσι, τοῦ διαβόλου κατασκευάσαντος, παρέρριψε ταύτην αἰσχύνων τὴν συνήθειαν

ὁ Θεὸς συνεχῶς, λέγει κρίνεσθαι πρὸς αὐτούς. τοιοῦτον γάρ τι καὶ ὁ πρωτόπλαστος ἥμαρτε, διὸ καὶ ἔλεγεν· ἡ γυνὴ ἣν ἔδωκας μετ' ἐμοῦ, αὕτη μοι ἔδωκε καὶ ἔφαγον. καὶ Ἰουδαῖοι δὲ πολλὰ τοιαῦτα ἡμάρτανον. ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν. τί δεῖ λέγω ἐμαυτὸν καὶ τὸν δεῖνα καὶ τὸν δεῖνά φησι; οὐκ ἔστιν ἄνθρωπος ἐπὶ τῆς γῆς ὃς κρινόμενος πρὸς τὰ ἐπιτεταγμένα παρὰ σοῦ δικαιωθῆναι δύναται· οὕτως ἐκ περιουσίας τὰ νικητήρια παρὰ σοί. ὅτι κατεδίωξεν ὁ ἐχθρὸς τὴν ψυχήν μου. ἔστι μὲν τοῦτο ἰδεῖν καὶ διὰ τὸν Σαοὺλ εἰρῆσθαι ἐχθρὸν ὄντα καὶ αὐτὸν τότε διώκοντα. ἔστι δὲ καὶ κατ' ἀναγωγὴν ἐχθρὸν τὸν διάβολον εἰπεῖν. οὐ παύεται γὰρ ἐκεῖνος διώκων τοὺς τοῦ Θεοῦ. πῶς οὖν ἂν ἀπαλλαγείημεν τοῦ διώκεσθαι; εἰ τόπον εὕροιμεν, ἔνθα εἰσελθεῖν οὐ δύναται. καὶ ποῖος, φησιν, οὗτός ἐστιν ὁ τόπος; ποῖος δὲ ἕτερος, ἀλλ' ἢ ὁ οὐρανός; πῶς δὲ δυνατὸν εἰς τὸν οὐρανὸν ἀναβῆναι; ἄκουσον Παύλου λέγοντος καὶ δεικνύντος, ὅτι καὶ σαρκὶ συμπεπλεγμένοι, δυνάμεθα διατρίβειν ἐκεῖ. τὰ ἄνω γὰρ φρονεῖτε φησιν, οὗ ὁ Χριστός ἐστιν ἐν δεξιᾷ τοῦ Θεοῦ καθήμενος. καὶ πάλιν, ἡμῶν δὲ τὸ πολίτευμα ἐν οὐρανοῖς ὑπάρχει. ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου. πολλὰ σημαίνει τῆς ταπεινώσεως τὸ ὄνομα. ἔστι γὰρ καὶ ἀρετῆς ταπείνωσις, ὡς ὅταν λέγῃ, καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει. ἔστι καὶ ἀπὸ συμφορῶν ταπείνωσις, ἔστι καὶ ἀπὸ ἁμαρτημάτων. ἐνταῦθα μέν τοι τὴν ἀπὸ τῶν συμφορῶν λέγει. διὸ καὶ ἐπήγαγε τοῦτο δεικνύς· ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου. ἔστι καὶ ταπείνωσις ἐξ ἀπονοίας, ὡς ὅταν λέγῃ ὁ ὑψῶν ἑαυτὸν ταπεινωθήσεται. ἔστι καὶ ἑτέρα ταπείνωσις ἡ ἀπὸ τῆς ἀπληστίας. τί γὰρ ταπεινότερον τῶν κατορυττόντων ἑαυτοὺς ἐν πλούτῳ καὶ δυναστείαις καὶ δόξαις; διπλῶς γάρ εἰσι ταπεινοὶ οἱ τοιοῦτοι. ὅτι τε χαμαὶ σύρονται, καὶ ὅτι μεγάλα ταῦτα νομίζουσιν, ὡς τὰ παιδία τὰ μικρὰ ἀστραγάλους καὶ σφαίρας καὶ τὰ τοιαῦτα ἀθύρματα μεγάλα τίθενται. ἀλλὰ τοῦτο οὐ τοῦ μεγάλα εἶναι ἐκεῖνα σημεῖόν ἐστιν, ἀλλὰ τοῦ τῶν θαυμαζόντων τὴν διάνοιαν ἀτελῆ τυγχάνειν καὶ ταπεινήν. ἀλλ' ἐκεῖνο μὲν ἡλικίας καὶ φύσεώς ἐστιν ἐλάττωμα, τοῦτο δὲ προαιρέσεως ἔγκλημα. καὶ γὰρ ἀνὴρ ὢν καὶ ἐν

A Deus euellens radicitus, dicit se cum eis iudicio contendere. Tale quid etiam peccauit is, qui primus creatus est Adam, & ideo dicebat: Mulier quam dedisti mecum, ea mihi dedit, & comedi. Iudæi quoque multa eiusmodi peccabant. *Quia non iustificabitur in conspectu tuo omnis viuens.* Quid de me dico, & hoc & illo? inquit. Non est homo super terram, qui si de iis iudicio contendat quæ illi à te præcepta sunt, possit iustificari: Ita est apud te plenissima & redundantissima victoria. 3. *Quia persecutus est inimicus* B *animam meam.* Potest quidem hoc intelligi & de Saule, qui erat tunc inimicus, & eum persequebatur. Potest etiam dici per anagogen inimicus diabolus. Ille enim non cessat eos qui Dei sunt, persequi. Quomodo ergo liberabimur ab eius persecutione? Si locum inuenerimus, in quem non potest ingredi. Et quisnam est hic locus? Quis alius quàm cœlum? Quomodo autem nunc potest in cœlum ascendi? Audi Paulum dicentem, & ostendentem, quòd etiam carne implicati possumus illic versari. Quæ sursum sunt C cogitate, vbi est Christus in dextera Dei sedens. Et rursus: Nostra autem conuersatio est in cœlis. *Humiliauit in terra vitam meam.* Multa significat nomen humilitatis. Est enim & virtutis humilitas, vt quando dicit: Cor contritum & humiliatum Deus non despiciet. Est & humilitas quæ procedit ex calamitatibus: est & quæ proficiscitur ex peccatis. Hic autem eam significat, quæ oritur ex tentationibus. Quocirca subiungit hoc ostendens, Humiliauit in terra vitam meam. Est etiam humilitas, quæ procedit ex superbia, vt quando dicit: Qui se exaltat, humilia- D bitur. Est etiam alia humilitas, quæ proficiscitur ab insatiabili cupiditate. Quid est enim abiectius & humilius iis, qui seipsos infodiunt diuitiis, potentiæ & gloriæ? Ij enim sunt duabus rationibus humiles, & quòd humi serpant ac trahantur, & quòd ea magna existiment, quemadmodum parui pueri pilas, talos, & huiusmodi ludicra magni faciunt. At hoc non est signum quòd ea magna sint, sed quòd qui ea admirantur, mentem habeant imperfectam & humilem. Sed hoc quidem est ætatis & naturæ defectus: illud verò est culpa voluntatis. Cùm enim sit vir, &

Hier. 2. — Gen. 3. — 1. Reg. 18. 23. 24. — 1. Petr. 5. — Coloss. 3. 1. Philip. 3. 20. — Humilitas multiplex. Ps. 50. 19. 1. Reg. 8. — Iudic. 6. Psal. 105. Luc 14. 18. Eccl 13. 19.

perfectæ ac maturæ ætatis, mensas, luxum, & delicias res putat esse magnas: quo quid esse potest abiectius & humilius? Atqui multi eos esse magni & excelsi animi existimāt: sed hi sunt illis lōgè humiliores. Rursus ergo discamus quæ sit vera altitudo: & quid vilitatem & humilitatem efficiat. Nihil enim æquè facit excelsum, ac ea despicere. Nunc ergo Propheta dicit humilitatem quæ oritur ex calamitatibus, *Collocauit me obscuris sicut mortuos seculi.* Duplicem dicit calamitatem, & quòd in obscuris, & quòd tanquam mortuos seculi: per vtraque significans eam quæ tunc erat captiuitatem. Quoniam enim etiam qui est in obscuro, potest aliquid agere accensa lucerna, volens ostendere insignem malorum magnitudinem, addito mortuorum nomine auxit tragœdiam. Tales sunt qui in peccatis viuunt. Ita enim sunt tanquam mortui in tenebris: licet ergo lampades circumferant innumerabiles, licet ad Solem respiciant, licet ex vestibus & alio vitæ cultu alacres & læti videantur, nihilo meliori, imò verò deteriori sunt conditione, quàm qui sunt mortui, & agunt in tenebris, quatenus illa quidem res est naturalis, hæc verò est culpa voluntatis. Tenebræ quoque sunt ex quæ futuræ sunt, de quibus dicit, Tollite eum, & mittite in tenebras exteriores. Sunt etiam vitij tenebræ. Sedentes, inquit, in tenebris, & vmbra mortis. Et Paulus, Non sumus filij tenebrarum. Et rursus, Euanuerunt in cogitationibus suis, & obscuratum est insipiens cor eorum. Et ideo quemadmodum qui versantur in tenebris, nesciunt rerum naturam: ita etiam qui sunt in peccatis, sunt obcæcati, & ea quæ apparent, non discernunt, sed ad vmbras tanquam ad res veras currunt: diuitias, & delicias, & potentiam persequentes: nec amicos, nec inimicos nouerunt, inimicis quidem tanquam amicis fidentes, cum amicis verò tanquam cum hostibus confligentes. Non vides pauperes quotidie clamantes, & eiulantes, à nemine tamen audiri? Quare non audiunt? Quoniam collocauit eos diabolus in obscuris, sicut mortuos seculi. Quod enim sunt aliis tenebræ & mortis affectio, hoc est eis inhumanitas. Est eorum qui sedent in tenebris,

Matth. 19. Marc. 10.

Tenebræ mortis. Matth. 22. 13. Esa. 9. 1. Thess. 5. Rom. 1. 21. Sap. 2. Peccatoris tenebræ.

Pauperes cur non audiantur à mundanis.

Psal. 142.

A ἡλικίᾳ τελείᾳ γεγονὼς τραπέζας καὶ πόρτας; καὶ τρυφὴν μεγάλα εἶναι νομίζει· οὗ τί γένοιτ' ἂν ταπεινότερον; καίτοι πολλοὶ τοὺς τοιούτους μεγαλοψύχους καλοῦσιν· ἀλλ' οὗτοι ἐκείνων πολλῷ ταπεινότεροι πάλιν. μάθωμεν τοίνυν ὅπερ ἐστὶν ὕψος ἀληθές· καὶ τί εὐτέλειαν ἐργάζεται. οὐδὲν γὰρ οὕτως ὑψηλὸν, ὡς τὸ τούτων ὑπερορᾷν ποιεῖ. νῦν οὖν ὁ προφήτης τὴν ἀπὸ τῶν συμφορῶν λέγει ταπείνωσιν. ἐκάθισέ με ἐν σκοτεινοῖς ὡς νεκροὺς αἰῶνος. διπλῆν λέγει τὴν συμφορὰν, καὶ ὅτι ἐν σκοτεινοῖς, καὶ ὅτι ὡς νεκροὺς αἰῶνος, δι' ἑκατέρων αἰνιττόμενος τὴν τότε αἰχ-B μαλωσίαν. ἐπειδὴ γὰρ ἔστι καὶ ἐν σκοτεινοῖς ὄντα πράττειν τι λύχνον ἅψαντα, μετ' ἐπιτάσεως βουλόμενος δεῖξαι τὴν ὑπερβολὴν τῶν κακῶν, τῷ ὀνόματι τῶν νεκρῶν ηὔξησε τὴν τραγῳδίαν. τοιοῦτοί εἰσι καὶ οἱ ἐν ἁμαρτήμασι ζῶντες. ὡς γὰρ ἐν σκότῳ νεκροὶ, οὕτως εἰσὶ, κἂν μυρίας οὖν περιφέρωσι λαμπηδόνας, κἂν πρὸς τὸν ἥλιον βλέπωσι, κἂν φαιδροὶ γίνωνται ἀπὸ τῶν ἐσθημάτων, καὶ τῆς ἄλλης θεραπείας, τῶν νεκρωθέντων ἅπαξ, καὶ ἐν σκότῳ ὄντων οὐδὲν ἄμεινον διάκεινται, ἀλλὰ καὶ πολλῷ χαλεπώτερον. ὅσῳ τὸ C μὲν φύσεως πρᾶγμα, τὸ δὲ προαιρέσεως κατηγορία. ἔστι σκότος καὶ τὸ μέλλον περὶ οὗ φησιν, ἄρατε αὐτὸν, καὶ ἐμβάλετε εἰς τὸ σκότος τὸ ἐξώτερον. ἔστι καὶ σκότος τὸ τῆς κακίας. καθήμενοι ἐν σκότει, φησὶ, καὶ σκιᾷ θανάτου. καὶ ὁ Παῦλος, οὐκ ἐσμὲν υἱοὶ σκότους. καὶ πάλιν, ἐματαιώθησαν ἐν τοῖς διαλογισμοῖς αὐτῶν, καὶ ἐσκοτίσθη ἡ ἀσύνετος αὐτῶν καρδία. διὰ δὴ τοῦτο καὶ ὥσπερ οἱ ἐν σκότῳ, οὐκ ἴσασι τῶν πραγμάτων τὴν φύσιν, καὶ καθάπερ οἱ ἐν ἁμαρτίαις ζῶντες πεπήρωνται, καὶ οὐ διαγινώσκουσι D τὰ φαινόμενα, ἀλλὰ πρὸς τὰς σκιὰς ὡς πρὸς τὴν ἀλήθειαν τρέχουσι, πλοῦτον, καὶ τρυφὰς, καὶ δυναστείας διώκοντες, καὶ ἀγνοοῦσιν ἐχθροὺς, καὶ ἀγνοοῦσι φίλους, τοῖς μὲν ἐχθροῖς ὡς φίλοις θαῤῥοῦντες, τοῖς δὲ φίλοις ὡς πολεμίοις συῤῥηγνύμενοι. οὐχ ὁρᾷς καθ' ἑκάστην ἡμέραν πένητας βοῶντας, ὀδυρομένους καὶ οὐδένα ἀκούοντα; διὰ τί δὴ οὐκ ἀκούουσιν; ὅτι ἐκάθισεν αὐτοὺς ὁ διάβολος ἐν σκοτεινοῖς ὡς νεκροὺς αἰῶνος. ὅπερ γάρ ἐστιν ἐκείνοις τὸ σκότος, καὶ ἡ νεκρότης, τοῦτο τούτοις ἡ ἀπανθρωπία. τῶν ἐν σκότῳ καθημένων ἐστὶ

τὸ μὴ

τὸ μὴ ὁρᾶν τὰ ἐπιόντα κακά. τοῦτο δὲ ὅτοι πάσχουσι, περὶ τὰς χειμάρρους καὶ τὰς συμφορὰς οὐ βλέποντες, καὶ εἰς βάραθρα καὶ εἰς κρημνοὺς καταφερόμενοι. τῶν ἐν σκότῳ καθημένων ἐστὶ τὰ αἰσχρὰ μετὰ πάσης ἀδείας τολμᾶν. τοῦτο καὶ οἱ ἐν πονηρίᾳ ζῶντες πράττουσιν, ὥσπερ ἐν σκότῳ καθήμενοι, καὶ μηδενὸς ὄντος ἀνθρώπου τοῦ βλέποντος τὰ πραττόμενα, οὕτω μετὰ ἀδείας ἅπαντα τολμῶσιν ἐν μέσαις πόλεσιν ὡς ἐν ἐρημίᾳ παρανομοῦντες. οἱ ἐν σκότῳ καθήμενοι ἐν φόβῳ εἰσὶ διηνεκεῖ· τοῦτο καὶ οὗτοι. οὐδεὶς γὰρ πλεονέκτης καὶ ἅρπαξ ἐκτὸς δέους ἐστὶ, κἂν μυρία κομπάζῃ, καὶ φαιδρὸς ἔξωθεν φαίνηται. τοιαύτη γὰρ τοῦ συνειδότος ἡ φύσις. καὶ ἔμπροσθεν μὲν οὕτω ἦσαν ἀπεστερημένοι συγγνώμης ἁπάσης οὗτοι, πολλῷ δὲ μᾶλλον νῦν διότι τοῦ ἡλίου τῆς δικαιοσύνης λάμψαντος, ἔτι ἐν σκότῳ κάθηνται. καὶ πῶς ἡλίου λάμψαντος, ἔτι ἐν σκότῳ κάθηνται; παρὰ τὴν τῶν οἰκείων ὀφθαλμῶν ἀσθένειαν. πρὸς γὰρ καταδύσεις, ἢ φωλεοὺς, ἢ καὶ χηραμοὺς ἑαυτοὺς κατορύττοντες τῆς πονηρίας, διαβλέψαι οὐ δύνανται πρὸς τὴν ἀκτῖνα, διὰ τὴν τῶν ὀμμάτων ἀσθένειαν. καὶ ἠκηδίασεν ἐπ᾽ ἐμὲ τὸ πνεῦμά μου. ἐν ἐμοὶ ἐταράχθη ἡ καρδία μου. ἕτερος, καὶ περιειλεῖτο ἐπ᾽ ἐμὲ ἡ ψυχή μου. πολλὴν τὴν ὑπερβολὴν τῆς θλίψεως διὰ τοῦ θορύβου τῆς διανοίας ἐμφαίνει. τί δέ ἐστιν, ἐν ἐμοί; οὐδὲ εἰς ἄλλους ἐξενεγκεῖν εἶχον, φησὶ, καὶ λαβεῖν τινα παραμυθίαν. τοιαῦται αἱ τῶν πονηρῶν ἀνθρώπων ψυχαί. οὐκ ἔστιν ὅτε οὐ ταράττονται, οὐ μόνον παρόντων, ἀλλὰ καὶ προσδοκωμένων τῶν δεινῶν. οὐκ ἔστι παρ᾽ αὐτοῖς οὐδέποτε γαλήνη, οὐκ ἔστιν ἄδεια τῆς ψυχῆς, ἀλλὰ παντὸς πελάγους διακόπτονται μειζόνως· οὐ νὺξ, οὐχ ἡμέρα ἀτέλειαν δίδωσιν αὐτοῖς τοῦ χειμῶνος, ἀλλ᾽ ἐλαύνονται πανταχόθεν, κἂν μηδεὶς ὁ ἐνοχλῶν ᾖ, τὸν πόλεμον συνοικον ἔχοντες, καὶ τῶν ἤδη ληφθέντων οὐκ ἀπολαύουσι, ταῖς φροντίσι τῶν μηδέπω προσγινομένων τηκόμενοι, κεπτόμενοι, τὰ πάντων μεριμνῶντες πράγματα, τὰς ἁπάντων περιουσίας περιεργαζόμενοι, ἀναλογιζόμενοι πῶς τὸν μὲν πείσουσι, τὸν δὲ φοβήσουσι, τὸν δὲ κολακεύσουσι, τὸν δὲ βιάσονται, τὸν δὲ περιτηρήσουσι, συκοφαντίας, ὠνὰς, ἀπεμπολήσεις, διαθήκας, ἐγγυὰς, τόκους, κεφάλαια, τὸν φορυτὸν τῶν κακῶν τοῦτον παρ᾽ ἑαυτοῖς ἀνελίττοντες, καὶ ὅταν κατὰ ῥοῦν αὐτοῖς τὰ πράγματα ἔλθῃ,

non videre mala quæ illos inuadunt. Hoc etiam eis accidit, qui non vident quæ iuxta eos sitæ sunt calamitates, & in voragines fossásque & præcipitia deturbantur. Est eorũ qui sedent in tenebris, turpia securè audere admittere. Hoc etiam faciũt qui nequiter viuunt, tanquam qui sedent in tenebris, & perinde ac si nemo homo sit, qui, quæ fiũt, respiciat, omnia tam securè perpetrant, in mediis vrbibus tanquã in solitudine scelera cõmittentes. qui sedent in tenebris, sunt in perpetuo metu: ita hic etiã. Nullus enim raptor & auarus est à metu alienus, quantumcũque se insoleter iactitet, & extrinsecus lætantis speciẽ præ se ferat. Talis est enim natura animi sibi malè conscij. Et erant hi quidem antea omni venia priuati, sed nũc magis, quòd cùm sol iustitiæ illuxerit, adhuc sedẽt in tenebris. Et quomodo cùm illuxit sol, sedent in tenebris? Propter suorũ oculorũ imbecillitatẽ. Cùm enim se antris, cloacis, & voraginibus vitij infoderint, propter oculorũ non possunt imbecillitatẽ radios intueri. 4. *Et anxiatus est super me spiritus meus. In me turbatũ est cor meũ.* Alius, & circumagebatur in me anima mea. Ostendit rursus summã afflictionẽ per animi perturbationẽ. quid est autẽ, In me? Ne aliis quidẽ poterã enunciare, & consolationem ab eis accipere. Tales sunt animi improborũ. Nunquam non conturbãtur, non solũm dum sunt præsentia, sed etiã dum expectantur mala. Nunquã est eis vlla tranquillitas, nulla animi securitas, sed perturbantur magis quàm vllũ pelagus: nõ nox, nõ dies eis concedit, vt sedetur tẽpestas: sed vndiquaque vexantur, & si nullus sit qui eis molestiã exhibeat, bellum intestinũ, ac domesticũ, habentes: nec iis quę iam acceperunt, fruũtur: eorũ quæ nondũ aduenerunt, solicitudine lacerati, laniati: de omniũ negotiis solliciti, bona omniũ curiosè scrutãtes: animo agitãtes quomodo huic quidẽ persuadebunt, illum verò terrebunt, alium blandis verbis allicient, alium verò cogent, alium autem obseruabunt: calumnias, emptiones, venditiones, testamenta, fideiussiones, vsuras, sortes, & horum malorum quisquilias & fæces apud se versantes: & quando eis omnia affluunt,

Iob. 24.

Animi sibi malè conscij.

Esa. 57.

Improborũ inquietudo.

Descriptio auari.

tunc maximè perturbantur. Vide diuitem illum qui tunc maximè turbatur, quando eius ager fuit fertilissimus, dubitátque, & est animi perplexus, & dicit: Quid faciam? Diruam horrea mea, & ædificabo maiora. Pauperi autẽ nihil tale accidit. 5. *Memor fui dierum antiquorum: meditatus sum in omnibus operibus tuis.* Non est hæc parua consolatio, priora nosse & præsentia. Quoniam enim, vt semel dicam, iisdem legibus Deus & ea quæ nunc sunt, & quæ priùs fuerunt, administrat: maxima est ad præsentia consolatio memoria pręteritorũ. Et ideo in alio quoque Psalmo dicit: Num in secula repellet Dominus, aut in finẽ misericordiã suam rescindet? Et alius, Respicite ad antiquas generationes, & videte quis sperauerit in Dominũ, & derelictus sit. Et Paulus, Hęc autẽ omnia in figura eueniebant illis: scripta sunt autẽ ad admonitionẽ nostram, ad quos fines seculorũ deuenerunt. Non aliena autẽ solùm, sed etiã nostra sæpe in memoriã reuocantes, lucrifacimus. Hoc autẽ ostendit Apostolus, dicens: Recordamini priorũ dierum, in quibus illuminati magnũ certamen sustinuistis passionum. Et à contrario. Quémnam fructum tunc habuistis in iis, in quibus nunc erubescitis? Et alius sapiens, Recordare nouissima tua, & in ęternũ non peccabis. Hoc enim etsi est futurum, à præterito tamẽ ducit initiũ, nẽpe mors cõmunis. Hoc etiã facit Paulus ex præteritis & futuris, & quãdo consolari, & quãdo corrigere oportet. Nolo, inquit, vos ignorare fratres, quòd patres nostri omnes sub nube fuerũt, & omnes mare transierũt, & omnes eandẽ escam spiritalem comederunt: sed nõ in pluribus eorum cõplacuit Deo. Aliquando autẽ à futuris. Qui pœnas dabunt, æternum exitium à facie Domini, & gloria virtutis eius. Et rursus: Peruenit autem in eos ira in finem. Dies enim indicabit, quod in fine reuelatur. Et rursus: Propterea enim venit ira in filios inobedientiæ. Sed hæc quidem, quando oportet corrigere: quando autem consolari, ab vtrisque consolatur. A præteritis quidem sic dicens, Benedictus Deus & pater domini nostri Iesu Christi: Et rursus: Deus misericordiarum,

Luc.12.18.
Preteritorũ memoria quàm vtilis.
Psal.76.7.
Eccli.2.11.
1.Cor.10.
Hebr.10. 32.
Rom.6.21.
Eccli.7.40
A preteritis & futuris.
1.Cor.10.1
2.Thess.1. 9.
1.Thess.2. 16.
Cor.3.13.
2.Cor.1.
Ibidem.

A τότε μάλιστα θορυβοῦνται. ὅρα γοῦν τὸν πλούσιον ἐκεῖνον ταραττόμενον, ὅτε μὲν εὐθηνήσεν αὐτοῦ ἡ χώρα, καὶ διαπορούμενον, καὶ ἐν ἀμηχανίᾳ καθεστῶτα, καὶ λέγοντα· τί ποιήσω; καθελῶ μου τὰς ἀποθήκας, καὶ μείζονας οἰκοδομήσω. ἀλλ' ὁ πένης οὐδὲν πάσχει τοιοῦτον. ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις σου. οὐ μικρὰ αὕτη παράκλησις τὸ τὰ πρότερα εἰδέναι, καὶ τὰ παρόντα. ἐπεὶ γὰρ ὡς εἰπεῖν τοῖς αὐτοῖς νόμοις ὁ Θεὸς διοικεῖ καὶ τὰ νῦν, καὶ τὰ ἔμπροσθεν, μεγίστη παράκλησις εἰς τὰ παρόντα τῶν παρελθόντων ἡ μνήμη. διὸ καὶ ἐν ἑτέρῳ ψαλμῷ B λέγει, μὴ εἰς τοὺς αἰῶνας ἀπώσεται κύριος, ἢ εἰς τέλος τὸ ἔλεος αὐτοῦ ἀποκόψει; καὶ ἄλλος, ἐμβλέψατε εἰς τὰς ἀρχαίας γενεάς, καὶ ἴδετε, τίς ἤλπισεν ἐπὶ κύριον, καὶ ἐγκατελείφθη; καὶ ὁ Παῦλος, ταῦτα δὲ πάντα τυπικῶς συνέβαινεν ἐκείνοις, ἐγράφη δὲ πρὸς νουθεσίαν ἡμῶν εἰς οὓς τὰ τέλη τῶν αἰώνων κατήντησεν. οὐ τὰ ἀλλότρια δέ, ἀλλὰ καὶ τὰ οἰκεῖα πολλάκις ἀναμιμνησκόμενοι κερδαίνομεν. καὶ τοῦτο δείκνυσιν ὁ ἀπόστολος, λέγων· ἀναμιμνήσκεσθε τὰς πρότερον ἡμέρας, ἐν αἷς φωτισθέντες πολλὴν ἄθλησιν ὑπεμείνατε παθημάτων. καὶ ἀπὸ τοῦ C ἐναντίου, τίνα οὖν καρπὸν εἴχετε τότε, ἐφ' οἷς νῦν ἐπαισχύνεσθε; καὶ ἄλλος σοφός, ἀναμιμνήσκου τὰ ἔσχατά σου, καὶ εἰς τὸν αἰῶνα οὐ μὴ ἁμάρτῃς. τοῦτο γὰρ εἰ καὶ μέλλον ἐστίν, ἀλλ' ἀπὸ τοῦ παρελθόντος ἔχει τὴν ἀρχὴν ὁ θάνατος ὁ κοινός. τοῦτο καὶ ὁ Παῦλος ποιεῖ ἀπὸ τῶν μελλόντων καὶ παρελθόντων, καὶ ὅτε μὲν παρακαλέσαι δέῃ, καὶ ὅτε σωφρονίσαι. οὐ θέλω, φησίν, ὑμᾶς ἀγνοεῖν ἀδελφοί, ὅτι οἱ πατέρες ἡμῶν πάντες ὑπὸ τὴν νεφέλην ἦσαν, καὶ πάντες διὰ τῆς θαλάσσης D διῆλθον, καὶ πάντες τὸ αὐτὸ βρῶμα τὸ πνευματικὸν ἔφαγον· ἀλλ' οὐκ ἐν τοῖς πλείοσιν αὐτῶν εὐδόκησεν ὁ Θεός. ποτὲ δὲ ἀπὸ τῶν μελλόντων· οἵτινες δίκην τίσουσιν ὄλεθρον αἰώνιον ἀπὸ προσώπου κυρίου, καὶ ἀπὸ τῆς δόξης τῆς ἰσχύος αὐτοῦ. καὶ πάλιν· ἔφθασε δὲ ἐπ' αὐτοὺς ἡ ὀργὴ εἰς τέλος. ἡ γὰρ ἡμέρα δηλώσει, ὅτι ἐν πυρὶ ἀποκαλύπτεται. καὶ πάλιν, διὰ ταῦτα γὰρ ἔρχεται ἡ ὀργὴ τοῦ Θεοῦ ἐπὶ τοὺς υἱοὺς τῆς ἀπειθείας. ἀλλὰ ταῦτα μὲν ὅτε σωφρονίσαι· ὅτε δὲ παρακαλέσαι δέῃ, ἀφ' ἑκατέρων παρακαλεῖ· ἀπὸ μὲν τῶν παρεληλυθότων, λέγων οὕτως, εὐλογητὸς ὁ Θεὸς καὶ πατὴρ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. καὶ πάλιν, ὁ θεὸς τῶν οἰκτιρμῶν,

καὶ πατὴρ πάσης παρακλήσεως. καὶ πάλιν, ὁ παρακαλῶν ἡμᾶς ἐν πάσῃ τῇ θλίψει, διὰ τῆς παρακλήσεως, ἧς παρακαλούμεθα αὐτοὶ ὑπὸ τοῦ Θεοῦ. ἀπὸ δὲ τῶν μελλόντων· οὐκ ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλυφθῆναι εἰς ἡμᾶς. διὰ τοῦτο καὶ οὗτος λέγει, ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις σου. οὐχ ἁπλῶς ἐμνήσθην, ἀλλ' ἐμελέτησα. τουτέστιν, ἔργον ἐποιησάμην, καὶ πολλὴν τὴν μελέτην τὰ τοῖς παλαιοῖς συμβεβηκότα, αὐτὸς ἀνελίττων παρ' ἑαυτῷ. μεγάλη γὰρ ἀπὸ τῆς τῶν γραφῶν ἱστορίας ἐγγίνεται ἡμῖν καὶ παράκλησις καὶ φιλοσοφία. διὸ καὶ ἔλεγεν ὁ Παῦλος· διὰ τῆς ὑπομονῆς καὶ τῆς παρακλήσεως τῶν γραφῶν τὴν ἐλπίδα ἔχομεν. καὶ πάλιν, πᾶσα γραφὴ θεόπνευστος καὶ ὠφέλιμος πρὸς διδασκαλίαν, πρὸς ἔλεγχον, πρὸς ἐπανόρθωσιν. καὶ οὗτος γοῦν ἐντεῦθεν ἤδη παρεκλήθη ἐν τοσαύτῃ θλίψει ὢν καὶ ταραχῇ τῷ τὰ παλαιὰ ἀνελίττειν παρ' ἑαυτῷ καὶ τοῦ Θεοῦ τὰς οἰκονομίας τὰς διαφόρως γεγενημένας ἀναμιμνήσκεσθαι. ἕτερος γοῦν φησι, καὶ ἐμελέτησα πάσας τὰς πράξεις σου. ἐν τοῖς ποιήμασι τῶν χειρῶν σου ἐμελέτων. ἄλλος, τὰ ἔργα τῶν χειρῶν σου ἐμελέτων. δείκνυσι διὰ τούτου, ὅτι ταῦτα ποιῶν πολλὴν ἐκαρποῦτο τὴν παράκλησιν, καὶ οἰκειότερος πρὸς τὸν Θεὸν ἐγίνετο. διὸ καὶ ἐπήγαγε τοῦτο ἐμφαίνων, διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου. οὐκ εἶπεν, ἐξέτεινα, ἀλλὰ διεπέτασα, πολλὴν δεικνὺς τὴν διάθεσιν τῆς καρδίας μονονουχὶ ἐξάλλεσθαι τοῦ σώματος ἐπειγομένης, καὶ πρὸς αὐτὸν ἀνατρέχειν. ἔνθους οὖν γενόμενος ὑπὸ τῆς μνήμης τῶν κατορθωμάτων, καὶ τὴν φιλανθρωπίαν ἀναλογισάμενος ἅπασαν, καὶ τὴν ἀπὸ τῶν συμφορῶν παίδευσιν, καὶ τὴν ἀπὸ τῆς ἀπαλλαγῆς ἐλευθερίαν, πρὸς σὲ πάλιν κατέφυγεν. ἡ ψυχή μου ὡς γῆ ἄνυδρός σοι. ἕτερος, ὡς γῆ διψῶσα πρὸς σὲ ἀεί. τοῦτο γάρ ἐστι τὸ διάψαλμα. καὶ ἐν ταῖς συμφοραῖς, καὶ ἐν ταῖς εὐημερίαις, καὶ ἐν πᾶσι καιρῶν διαφορᾷ τὴν ἴσην ἐπιδεικνυμένην σπουδήν φησι. τί δέ ἐστιν, ὡς γῆ ἄνυδρός σοι; ὥσπερ γῆ διψῶσα τοῦ ὑετοῦ ἐφίεται. οὕτω κἀγὼ τοῦ παρὰ σοὶ εἶναι διηνεκῶς. μάλιστα δὲ ταύτην αὐτοῦ ἐπέτεινε τὴν ἐπιθυμίαν τῶν θλίψεων ὁ ὄγκος, διὸ καὶ ἀφῆκεν αὐτὰς ὁ Θεὸς αὐξηθῆναι τὴν πολλὴν πρόνοιαν ἐπιδεικνύμενος. οὐ γὰρ ἐποίησε τὰ κτίσματα μόνον, ἀλλὰ καὶ γενομένων ἐπιμελεῖται, καὶ ἀνθρώπων, καὶ τῶν ἄλλων ἁπάντων.

A & pater omnis consolationis. Et rursus: Qui consolatur nos in omni afflictione, per consolationem quam à Deo accipimus. A futuris autem, Non sunt condignæ passiones huius temporis ad gloriam quæ est reuelanda in nobis. Quocirca hic quoque dicit, *Memor fui dierum antiquorum, meditatus sum in omnibus operibus tuis.* Non dixit tantum, Memor fui, sed meditatus sum. Hoc est, Magnam operam & diligentiam adhibui in iis apud me reuoluendis quæ antiquis euenerunt. Ex scripturarum enim cognitione B adest nobis magna consolatio & philosophia. Et ideo dixit Paulus: Per patientiam & consolationem scripturarum spem habemus. Et rursus: Omnis scriptura diuinitus inspirata, est vtilis ad doctrinam, ad reprehensionem, ad correctionem. Hinc ergo hic accepit consolationem, cùm esset in tanta afflictione & perturbatione, quòd vetera apud se reuolueret, & quæ à Deo variè sunt gesta & administrata, in memoriã reuocaret. Dicit itaque alius, Et meditatus sum omnes actiones tuas. *In factis manuum tuarum meditabar.* Alius, opera C manuum tuarum meditabar. Per hoc ostendit quod dum hæc faceret, magnam accipiebat consolationẽ, vt Deo euaderet familiarior. Et ideo hoc ostendens subiunxit, 6. *Expandi manus meas ad te.* Non dixit, Extendi, sed Expandi, ostendens magnam cordis affectionem, quòd propemodum è corpore properat exilire, & ad ipsum excurrere. A memoria igitur rerum præclarissimè gestarum veluti diuino quodam furore afflatus, cùm & omnem benignitatem reputasset, & ex calamitatibus perfectam disciplinam, & quæ à malis ereptionẽ secuta est libertatẽ, ad tẽ rursus D cõfugi. *Anima mea sicut terra sine aqua tibi.* Alius, Tanquam terra sitiens ad te semper. Hoc est enim Diapsalma. In rebus, inquit, aduersis & secundis, & in omni temporum varietate ostendi semper æquale studiũ. Quid est autẽ, Sicut terra sine aqua tibi? Sicut terra sitiẽs, aquã desiderat: ita ego esse tibi assiduè propinquus. Hoc autẽ desideriũ magis auxit moles afflictionũ, & ideo Deus eas permisit crescere, magnã suam ostendens prouidentiam. Non solùm enim fecit creaturas, sed etiam factarum curam gerit, & hominum, & aliorum omnium.

Rom. 8.

Scriptura rum consolatio. *Rom. 15.*

1. Tim. 3.

Aliàs loquebar, contemplabar.

Hebr. cum Chald.

Hoc itaque sciens Paulus, dicebat: In ipso enim viuimus, & mouemur, & sumus. Et rursus: In ipso constant omnia. Et Dauid: Omnia ad te respectāt vt des illis cibum in tēpore opportuno. Cùm dederis tu ipsis, colligēt, cùm tu autem manū tuā aperueris, omnia implebūtur bonitate. Cùm verò tu faciem tuam auerteris, turbabūtur. Et rursus: Qui respicit super terrā, & facit eam tremere. Et Esaias: Qui cōtinet gyrū terræ. Et de virtute, Nisi Dominus, inquit, ædificauerit domū, in vanū laborauerunt qui ædificāt eā. Et rursus: Qui habitare facit sterilem in domo, matrē filiorū lætantem. Et ideo terrā quatit, & mōtes tangens facit vt fument, suū ostendens dominiū. Solem autē obscurat, & facit deficere, per hoc indicans se esse opificem. Porrò autē in scripturis quoq. vides solem retrocedentē, & lunam rursus cum eo stantē, & multa alia miracula. Quando enim eius cognitio nondum extensa fuerat, hæc fiebant: nunc autē non est ampliùs opus hac doctrina, cùm res ipsę clament & ostendant Dominū. Vidisti in Ægypto tenebras, & mutationē elementorū. Si qui autē dicāt defectū euenisse naturaliter, nō autē Dei iussu: dicant quomodo factus sit eo tēpore quo cruci est affixus. Non enim tēpore tunc præstituto, sed quādo minimè erat consentaneū, & cursui naturali nequaquā cōueniēs tūc accidit, cùm esset scilicet quartadecima luna, & pleniluniū. Defectus autē nō sic fiunt. Quare manifestum est quod sicut alia, ita etiā defectus omnes fiunt iussu opificis. 7. *Velociter exaudi me, defecit spiritus meus.* Quid dicis? Vrges medicum ad curationē? Nequaquam: sed hic quoq. mos est animarum quę affliguntur, quemadmodum & hominum laborātium accersere medicos, etiamsi tempus non postulet: & liberationem celeriter prouidere. Quocirca ipse quoque causam adijciens, dicebat, Defecit spiritus meus. Atqui Deus qui potest excitare à mortuis, multò magis ante mortem. Sed quemadmodum dixi, hinc deprehenditur naturæ imbecillitas. Sciebat enim omnia ei esse facilia: sed ferre non potest mala quæ intenduntur. *Ne auertas faciem tuam à me,*

Act. 17. 28
Coloss. 1. 17
Psal. 31.
Ps. 103. 32.
Esa. 40. 22.
Ps. 126. 1.
Ps. 112. 9.
Ps. 103. 32.
Esa. 38.
Ios. 10.
Miraculis nunc opus non est.
Exod. 10. 11.
Dion. Areop. ad Polycarpū.
Matth. 27.
Collatio.

A τοῦτο γοῦν καὶ ὁ Παῦλος εἰδώς, ἔλεγεν· ἐν αὐτῷ γὰρ ζῶμεν, καὶ κινούμεθα, καὶ ἐσμέν. καὶ πάλιν· ἐν αὐτῷ τὰ πάντα συνέστηκε. καὶ ὁ Δαβίδ, πάντα πρὸς σὲ προσδοκῶσι δοῦναι τὴν τροφὴν αὐτῶν εἰς εὔκαιρον. δόντος σου αὐτοῖς, συλλέξουσιν, ἀνοίξαντος δέ σου τὴν χεῖρα τὰ σύμπαντα πλησθήσεται χρηστότητος. ἀποστρέψαντος δέ σου τὸ πρόσωπον ταραχθήσονται. καὶ πάλιν· ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν, καὶ ποιῶν αὐτὴν τρέμειν, καὶ ὁ Ἠσαΐας· ὁ κατέχων τὸν γῦρον τῆς γῆς, καὶ περὶ ἀρετῆς, ἐὰν μὴ κύριος, φησιν, οἰκοδομήσῃ οἶκον, εἰς μάτην ἐκοπίασαν οἱ οἰκοδομοῦντες
B αὐτόν. καὶ πάλιν, ὁ κατοικίζων στεῖραν ἐν οἴκῳ μητέρα ἐπὶ τέκνοις εὐφραινομένην. διὰ τοῦτο καὶ σείει τὴν γῆν, καὶ καπνίζει τὰ ὄρη ἁπτόμενος, τὴν δεσποτείαν αὐτοῦ δηλῶν. σκοτοῖ δὲ τὸν ἥλιον, καὶ ἐκλείπειν ποιεῖ, διὰ τούτου πάλιν τὴν δημιουργίαν αὐτοῦ ἀνακηρύττων. καὶ ἐν ταῖς γραφαῖς δὲ ὁρᾷς ἥλιον ἀναποδίζοντα, καὶ σελήνην μετ' αὐτοῦ πάλιν ἱσταμένην, καὶ πολλὰ ἕτερα θαύματα. ὅτε μὲν γὰρ αὐτοῦ ἡ γνῶσις οὔπω ἐκτέτατο, ταῦτα ἐγίνετο· νυνὶ δὲ οὐκ ἔστι χρεία ταύτης τῆς διδασκαλίας, τῶν πραγμάτων
C βοώντων καὶ δεικνύντων τὸν δεσπότην. εἶδες ἐν Αἰγύπτῳ σκότος, καὶ στοιχείων μεταβολάς; εἰ δὲ λέγοιέν τινες, ὅτι ἡ ἔκλειψις φυσικῶς, ἀλλ' οὐ τοῦ Θεοῦ κελεύσαντος συνέβη, εἰπάτωσαν πῶς ἐν τῷ καιρῷ τοῦ σταυροῦ γέγονεν. οὐ γὰρ δὴ τῷ ὡρισμένῳ τότε καιρῷ, ἀλλ' ὅτε μάλιστα οὐκ ἦν ἀκόλουθον ἢ κατὰ δρόμον φύσεως, τότε συνέβη τεσσαρεσκαιδεκαταίας καὶ πλήρους οὔσης. αἱ δὲ ἐκλείψεις οὐχ οὕτω γίνονται. ἀλλ' οὐκ ἂν ἔχοιεν. ὥστε δῆλον ὅτι καθάπερ τὰ ἄλλα τῷ τοῦ δημιουργοῦ προστάξει, οὕτω καὶ ἐκλείψεις ἅπασαι γίνον-
D ται. ταχὺ εἰσάκουσόν μου κύριε, ἐξέλιπε τὸ πνεῦμά μου. τί λέγεις; ἐπείγεις τὸν ἰατρὸν πρὸς τὴν θεραπείαν; οὐδαμῶς· ἀλλ' ἔθος καὶ τοῦτο τῶν θλιβομένων ψυχαῖς, ὥσπερ καὶ τοῖς κάμνουσι τῶν ἀνθρώπων παρακαλεῖν τοὺς ἰατρούς, κἂν ὁ καιρὸς μὴ ἀπαιτῇ, καὶ ταχέως ἐπάγειν τὴν λύσιν. διὸ καὶ αὐτὸς τὴν αἰτίαν προστιθεὶς ἔλεγεν, ἐξέλιπε τὸ πνεῦμά μου. καί τοι ὁ Θεὸς καὶ ἐκ νεκρῶν ἐγείρειν δυνατὸς ὤν, πολλῷ μᾶλλον πρὸ τελευτῆς. ἀλλ' ὅπερ ἔφθην εἰπών, ἡ ἀσθένεια τῆς φύσεως ἐντεῦθεν ἐλέγχεται. ᾔδει μὲν γὰρ ὅτι αὐτῷ πάντα ῥᾴδια, ἀλλ' οὐ φέρει τὴν ἐπαγωγὴν τῶν δεινῶν. μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ.

καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον. ἕτερος, μὴ κρύψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ. καὶ πόθεν ἡ ἀποστροφὴ γίνεται; αὐτὸς ὁ Θεὸς διὰ τοῦ Ἡσαΐου λέγει, μὴ οὐκ ἰσχύει ἡ χείρ μου, ἀλλ' αἱ ἁμαρτίαι ὑμῶν διιστῶσιν ἀνὰ μέσον ἐμοῦ καὶ ὑμῶν. ὅταν οὖν τι πράξωμεν πονηρὸν, ἀποστρέφεται. καθαρὸς γάρ φησιν, ὁ ὀφθαλμός σου τοῦ μὴ ὁρᾶν πονηρὰ, καὶ ἐπιβλέπειν ἐπὶ πόνους οὐ δυνήσῃ. διὰ τοῦτο ἀποστρέφεται καὶ τοὺς ἀπονενοημένους. διό φησιν, ἐπὶ τίνα ἐπιβλέψω, ἀλλ' ἢ ἐπὶ τὸν πρᾶον καὶ ἡσύχιον, καὶ τρέμοντά μου τοὺς λόγους; ταύτην τοίνυν διώκωμεν τὴν ἀρετὴν, ἵνα ἐπισπασώμεθα αὐτοῦ τὸ πρόσωπον· ἵνα μὴ καταπέσωμεν εἰς τὰ βάραθρα τῆς κακίας πολλοῦ τοῦ σκότους κατέχοντος. ἔστι καὶ πεσόντας ἀνελθεῖν. δεῖ τοίνυν τοὺς καταπίπτοντας μὴ μένειν κάτω κειμένους, λάκκος δέ ἐστι χαλεπὰ θηρία ἔχων, καὶ σκότους γέμων τῆς ἁμαρτίας ἡ φύσις. οὐκοῦν χαλάσωμεν τῶν γραφῶν τὰ σχοινία, καὶ τὴν προαίρεσιν ἐπιδῶμεν, καὶ ταχέως ἀναστησόμεθα, κἂν καταπέσωμεν. πῶς δ' ἂν ἄρξοιτο ἀρχὴν ὁδοῦ; ἂν καταπεσόντες μὴ καταφρονήσωμεν, μηδὲ ἀπογνῶμεν, ἀλλ' ἐπᾴδωμεν ἑαυτοῖς τὰ προφητικὰ ταῦτα, μὴ ὁ πίπτων οὐκ ἀνίσταται; καὶ πάλιν, σήμερον ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε, μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν ὡς ἐν τῷ παραπικρασμῷ, καὶ τούτοις τοῖς λογισμοῖς δήσαντες ἑαυτοὺς ἀνελκύσωμεν. ἀκουστὸν ποίησόν μοι τὸ πρωῒ τὸ ἔλεός σου, ὅτι ἐπὶ σοὶ ἤλπισα. ἕτερος, ἀκουστὸν ποίησόν μοι ἐξ ὄρθρου τὸ ἔλεός σου. τουτέστι, ταχέως. εἶδες θλιβομένην ψυχὴν, καὶ θορυβουμένην; πρὸ γὰρ τῆς πείρας ἀκοῦσαι βούλεται, ὥστε ταῖς ἐλπίσιν ὀρθωθῆναι καὶ τῇ προσδοκίᾳ. ὃ γὰρ λέγει τοῦτό ἐστιν, ἀνάστησόν με ἀπὸ τῆς ἐπαγγελίας. εἶτα καὶ τὴν δικαιολογίαν τοῦ τυχεῖν προστίθησι, λέγων· ὅτι ἐπὶ σοὶ ἤλπισα. οὐδὲν γὰρ ὁ Θεὸς οὕτως ἐπιζητεῖ, ὡς τὸ διηνεκῶς πρὸς αὐτὸν κεχηνέναι. γνώρισόν μοι κύριε ὁδὸν, ἐν ᾗ πορεύσομαι· ὅτι πρὸς σὲ ἦρα τὴν ψυχήν μου. τί λέγεις; καὶ τῆς φύσεως ἐχούσης τὸν νόμον τὸν ἐξ ἀρχῆς ὑπὸ τοῦ Θεοῦ ἐντεθέντα, καὶ τῶν γραμμάτων αὐτὸν ἀνανεούντων τῶν Μωσαϊκῶν, πῶς ἀξιοῖς λέγων πάλιν, γνώρισόν μοι κύριε ὁδὸν, ἐν ᾗ πορεύσομαι; ἢ οὖν τοῦτό ἐστιν εἰπεῖν, ἐπεὶ ὑπὸ τῆς κακίας κατεχώσθη μου τὸ συνειδὸς ἀξιῶ αὐτὸ ἀνανεωθῆναι. ἢ ὁδὸν ἐνταῦθα τὰ πολλὰ

A *& similis ero descendentibus in lacũ.* Alius, Ne abscondéris faciem tuam. Et vndénam fit auersio? Ipse Deus dicit per Esaiã, An non potens est manus mea? Sed peccata vestra diuidũt inter me & vos. Quando ergo mali quid fecerimus, auertitur: Mundus est enim, inquit, oculus tuus: vt non videat mala, & respicere super malos nõ poteris. Et ideo auersatur etiã arrogantes. Dicit itaque: Super quem respiciam, nisi super mansuetũ & quietum, & trementem verba mea? Persequamur ergo hanc virtutem, vt eius B faciem attrahamus: ne in vitij barathrum incidamus densis occupantibus tenebris. Possunt etiam qui ceciderunt, iterum ascendere. Oportet ergo eos qui cadunt, non manere humi iacentes. Lacus autem, in quo sunt sæuæ bestiæ, & qui est plenus tenebris, est natura peccati. Scripturarum ergo rudentes demittamus, & voluntatem alligemus: & si ceciderimus, velociter resurgemus. Quomodo autem incipiemus iter ingredi? Si cùm ceciderimus, non contemnamus, nec desperemus, sed hæc prophetica car- C mina nobis canamus: Nunquid cadens non resurgit? Et rursus. Hodie si vocem eius audieritis, ne obduretis corda vestra sicut in tentatione, & his cogitationibus vinctos nos attrahamus. 8. *Auditam fac mihi manè misericordiam tuam, quoniam in te speraui.* Alius, Auditam fac mihi à matutino misericordiam tuam. Id est, celeriter. Vidisti afflictam & perturbatam animam? Vult enim audiri ante experientiam, vt spe erigatur & expectatione. Hoc est autem quod dicit, Fac me surgere à peccato. Deinde adijcit D etiam rationem, dicens: Quia in te speraui. Deus enim nihil tam requirit, quàm vt eum semper intueamur, & ab eo perpetuò pendeamus. 9. *Notam fac mihi viam in qua ambulem: quia ad te leuaui animam meam.* Quid dicis? Cùm & natura habeat legem ab initio à Deo impositam, & Mosaïcæ leges eam renouent, quid tibi vis, rursus dicens: Notam fac mihi Domine viam in qua ambulem? Vel hoc ergo dici potest. Quoniam conscientia mea obruta est à vitio: rogo vt ea renouetur. Vel hic dicit viam, multa co-

Esa. 59. 2.
Esa. 33. 15.
Esa. 66. 2.
Lacus peccati natura.
Psal. 40.
Ps. 94. 8.
Deum semper intueri debemus, & ab eo pendere.

rum quæ ignorantur ab hominibus, quemadmodum Paulus quoque ostendit, dicens: Quid enim oremus sicut oportet, nescimus. Si autem Paulus hoc ignorat post tantam cognitionem, quid miraris si hic quoque ignoret? Vide autem quòd nihil sensile hic quærit, sed viam quæ ad Deum deducit, & quòd ex se principia confert? Non dixit enim absolutè, Notam fac mihi viam quæ ad te ducit. Sed quid? Quia ad te leuaui animam meam. Hoc est, A te pendeo, te intueor, te vnum respicio. Iis enim Deus maximam sui præbet notitiam. Quamobrem dicebat de Iudæis, rogatus cur eis loqueretur in parabolis, Quoniam videntes non vident, & audientes non audiunt. Illud autem leuaui, significat, Ad te traduxi & transtuli animam meam. 10. *Eripe me de inimicis meis Domine, ad te confugi.* Vide vbique afferri causas ab eo qui rogat. Ne auertas, inquit, faciem tuam à me: quoniam in te speraui. Notam fac mihi viam tuam: quoniam ad te leuaui animam meam. Eripe me de inimicis meis, quoniam ad te confugi. *Doce me facere voluntatem tuam, quia Deus meus es tu.* Non dixit absolutè, Doce me voluntatem tuam, sed, Doce me facere voluntatem tuam. Hoc est, Ad ipsa facta me deduc. Superna enim ope & cœlesti doctrina opus est, vt ingrediamur via, quæ ducit ad virtutem; non nobis in otio degentibus, sed quæ sunt nostra, conferentibus. Quia Deus meus es tu. Vides spiritales eius petitiones? Non enim de pecuniis, potentia, & gloria, sed vt Dei faciat voluntatem, in eius petitione agitur: quod quidem est omnium bonorum thesaurus, & opes quæ nunquam deficiunt, principiúmque & radix fœlicitatis, & medium, & finis. *Spiritus tuus bonus deducet me in terram rectam.* Vides quomodo discimus, quomodo docemur viam perficere, nempe per spiritum sanctum? Et ideo dicebat Paulus, Nobis autem Deus reuelauit per spiritum suum. In terram rectam. Si dictionem quidem spectes, dicit suam patriam: Si accipiatur autem anagogicè, viam quæ ducit ad virtutem. Alius autem dicit, Per terram planam. Nihil est enim virtute læuius ac planius, quæ est à turba & tumultu libera.

Rom. 8.26. — Matt. 13.13 — Psal. 87. — Psal. 85. — Operâ necessitas. — 1. Cor. 2.10

A τῶν ἀγνοουμένων ἀνθρώποις λέγει· ὥσπερ καὶ Παῦλος δείκνυσι, λέγων· τὸ γὰρ τί προσευξόμεθα καθ' ὃ δεῖ οὐκ οἴδαμεν. εἰ δὲ Παῦλος ἀγνοεῖ μετὰ τοσαύτην γνῶσιν, τί θαυμάζεις εἰ οὗτος ταῦτα λέγει; ὅρα δὲ αὐτὸν οὐδὲν αἰσθητὸν ἐνταῦθα ζητοῦντα, ἀλλὰ τὴν ὁδὸν τὴν πρὸς Θεὸν φέρουσαν, καὶ οἴκοθεν παρέχοντα τὰς ἀρχάς. οὐ γὰρ ἁπλῶς εἶπε γνώρισόν μοι κύριε τὴν ὁδὸν, τὴν πρὸς σὲ φέρουσαν, ἀλλὰ τί; ὅτι πρὸς σὲ ἦρα τὴν ψυχήν μου, τουτέστι, πρὸς σὲ κέχηνα, πρὸς σὲ βλέπω. τούτοις γὰρ μάλιστα ὁ Θεὸς B γνωρίζει. διὸ περὶ Ἰουδαίων ἔλεγεν, ἐρωτώμενος διὰ τί ἐν παραβολαῖς λαλεῖ αὐτοῖς, ὅτι βλέποντες οὐ βλέπουσι, καὶ ἀκούοντες οὐκ ἀκούουσι. τὸ δὲ ἦρα, μετέστησα, ἢ μετέθηκα πρὸς σὲ τὴν ψυχήν μου. ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου κύριε, πρὸς σὲ κατέφυγον. ὅρα πανταχοῦ τὰς αἰτίας, καὶ παρὰ τοῦ δεομένου προσφερομένας. μὴ ἀποστρέψῃς, φησὶ, τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ· ὅτι ἤλπισα ἐπὶ σέ. γνώρισόν μοι ὁδὸν, ὅτι πρὸς σὲ ἦρα τὴν ψυχήν μου. ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, ὅτι πρὸς σὲ κατέφυγον. δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου. C οὐκ εἶπε δίδαξόν με τὸ θέλημά σου ἁπλῶς, ἀλλὰ, τοῦ ποιεῖν τὸ θέλημά σου, τουτέστιν, εἰς τὰ ἔργα αὐτὰ ἐμβίβασον. τῆς γὰρ ἄνωθεν ῥοπῆς χρεία, καὶ τῆς διδασκαλίας, ὥστε βαδίζειν τὴν ἐπὶ τὴν ἀρετὴν φέρουσαν ὁδόν. οὐχ ἡμῶν ἀργούντων, ἀλλὰ καὶ ἡμῶν τὰ παρ' ἑαυτῶν εἰσφερόντων. ὅτι σὺ εἶ ὁ Θεός μου. ὁρᾷς τὰς αἰτήσεις αὐτοῦ πνευματικάς; οὐ γὰρ περὶ χρημάτων, καὶ δυναστείας, καὶ δόξης, ἀλλ' ὑπὲρ τοῦ τὸ θέλημα τοῦ Θεοῦ ποιεῖν προσάγει τὴν αἴτησιν· ὅπερ ἐστὶ θησαυρὸς τῶν ἀγαθῶν ἁπάντων, D καὶ πλοῦτος ἀνέλλιπὴς, καὶ εὐημερίας ἀρχὴ, καὶ ῥίζα, καὶ μέσα, καὶ τέλος. τὸ πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ. ὁρᾷς πῶς μανθάνομεν, πῶς διδασκόμεθα αὐτὴν τὴν ὁδὸν διὰ τοῦ πνεύματος τοῦ ἁγίου; διὸ καὶ ὁ Παῦλος ἔλεγεν· ἡμῖν δὲ ὁ Θεὸς ἀπεκάλυψε διὰ τοῦ πνεύματος αὐτοῦ. ἐν γῇ εὐθείᾳ. κατὰ μὲν τὴν ῥῆσιν τὴν πατρίδα αὐτοῦ φησι· κατὰ δὲ ἀναγωγὴν, τὴν ἐπὶ τὴν ἀρετὴν φέρουσαν ὁδόν. ἄλλος δέ φησι, διὰ γῆς ὁμαλῆς. οὐδὲν γὰρ λειότερον ἀρετῆς, θορύβων ἀπηλλαγμένης καὶ τα-

θλίψεως. ἕνεκεν τοῦ ὀνόματός σου κύριε ζήσεις με. ὁρᾷς πάλιν ἐπὶ τὸν Θεὸν καταφεύγοντα, οὐ παῤῥησίᾳ βίου θαῤῥοῦντα; ἐν τῇ δικαιοσύνῃ σου ἐξάξεις ἐκ θλίψεως ψυχήν μου. ἄλλος φησὶν, ἐν τῇ ἐλεημοσύνῃ σου. ὁρᾷς πῶς ἀληθὲς, ὅπερ ἔμπροσθεν ἔλεγον, ὅτι πολλαχοῦ τὴν φιλανθρωπίαν αὐτοῦ δικαιοσύνην καλεῖ; ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου. εὔχεσθε γὰρ, φησὶ, μὴ εἰσελθεῖν εἰς πειρασμόν. καὶ ἐν τῷ ἐλέει σου ἐξολοθρεύσεις τοὺς ἐχθρούς μου. οὐκ ἐπειδή φησιν, ἐγὼ ἄξιος, ἀλλὰ διὰ τὴν σὴν φιλανθρωπίαν· ἀπαλλάξον με τῶν πολεμούντων με, ἐλευθέρωσον τῶν ἐπιβουλευόντων. δὸς ἀναπνεῦσαι μικρὸν ἀπὸ τῆς θλίψεως. καὶ ἀπολεῖς πάντας τοὺς θλίβοντας τὴν ψυχήν μου, ὅτι ἐγὼ δοῦλός σου εἰμι. ὅρα πάλιν τὴν αἰτίαν κειμένην. οὐ γάρ ἐστιν ἁπλῶς ἐπιτυγχάνειν τῶν αἰτήσεων, ἀλλὰ πανταχοῦ παρασκευάζειν ἑαυτοὺς ἀξίους χρὴ τοῦ λαμβάνειν, ἅπερ αἰτοῦμεν, καὶ τὰ παρ' ἑαυτῶν συνεισφέρειν, καὶ οὕτω προσιέναι. οὐ γὰρ ἀρκεῖ μόνον τῆς εὐχῆς ἡ φύσις, ἐπεὶ καὶ Ἰουδαῖοι ηὔχοντο, καὶ ἤκουον· κἂν πληθύνητε τὴν δέησιν, οὐκ εἰσακούσομαι ὑμῶν. καὶ τί θαυμάζεις, εἰ Ἰουδαῖοι οὐκ ἠκούοντο, ὅπου γε καὶ Ἱερεμίας ὑπὲρ αὐτῶν παρακαλῶν ἐπετιμᾶτο, καὶ ἅπαξ, καὶ δὶς ἀκούει μὴ προσεύχου ὑπὲρ τοῦ λαοῦ τούτου, ὅτι οὐκ εἰσακούσομαί σου; καὶ τί θαυμάζεις εἰ Ἱερεμίας οὐκ εἰσακούσεται; κἂν Νῶε, φησὶ, κἂν Ἰὼβ, κἂν Δανιὴλ, στῶσιν, υἱοὺς αὐτῶν καὶ θυγατέρας οὐ μὴ ἐξέλωνται. ταῦτα τοίνυν εἰδότες μὴ μόνον εὐχώμεθα, ἀλλὰ μετὰ τῶν εὐχῶν ἀξίους ἑαυτοὺς παρασκευάζωμεν τοῦ λαβεῖν, ἵνα καὶ τῶν παρόντων καὶ τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν. ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

A 11. *Propter nomen tuum viuificabis me Domine.* Vides eum rursus ad Deum confugere non autem in vita sua collocare fiduciam? *In æquitate tua educes è tribulatione animam meam.* Alius, In misericordia tua. Vides quomodo verum sit, quod superius dicebam, quòd iustitiam sæpe vocat clementiam? Educes de tribulatione animam meam. Orate enim, inquit, ne intretis in tentationem. 12. *Et in misericordia tua disperdes omnes inimicos meos.* Non quoniam ego sum dignus, inquit, sed propter tuam clementiam libera me ab iis, qui
B in me bellum gerunt, libera me ab iis qui mihi insidiantur, da vt ab afflictione aliquantum respirem. *Et perdes omnes qui tribulant animam meam, quoniam ego seruus tuus sum.* Vide hic rursus adiectam causam. Neque enim possumus purè & absolutè nostra postulata consequi, sed oportet nos ita præparare, vt simus digni qui postulata consequamur, & quæ nostra sunt conferre, & ita accedere. Non sufficit enim sola natura orationis. Nam Iudæi quoque orabant, & audiebant: Si multiplicaueritis preces, non exaudiam vos. Et
C quid miraris si Iudæi non exaudiebantur, cùm etiam Hieremias pro eis orans, reprehendatur, & semel & bis audiat, Ne ora pro hoc populo, quoniam non exaudiam te? Et quid miraris si Hieremias non exauditur? Etiamsi Noë, inquit, etiamsi Iob, etiamsi Daniel, steterint, filios & filias suas non eripient. Hæc ergo cùm sciamus, non solùm oremus, sed cùm precibus quoque nos ita comparemus, vt simus digni qui accipiamus, vt & præsentia & bona futura consequamur. Quæ detur nobis omnibus consequi gratia & clementia domini nostri Iesu Chri-
D sti, cui gloria & potentia in secula seculorum, Amen.

Æquitas & iustitia pro clementia & misericordia.

Matt. 14. Luc 22.

Oratio sine opere inutilis.

Esa. 1.

Hier. 7. Ezech. 14. 14.

A

In Psalmvm CXLIII.

Benedictus Dominus Deus meus, qui docet manus meas ad prælium, digitos meos ad bellum.

Iacob. 4. Digitos cõsentiunt Heb. & Chald.

Qvid dicis? Deúsne docet bellare, pugnare, & acie confligere? Maximè quidem: non peccauerit quispiam, qui quæ in his paratur, victoriam ei adscribit. Hoc enim sibi vult illud. Qui docet manus meas. Hoc est, qui facit vt vincam hostes, vt trophæũ erigam. Quando enim prostrauit Goliath, ille fuit causa victoriæ, & quando multa bella rectè gessit, & trophæa erexit, & aliquot vrbes hostium vi cepit, is fuit in causa vt vinceret. Et ideo canens dicebat: Dominus fortis & potẽs, Dominus potens in prælio. Mosis quoque tempore multa fecit eiusmodi. Verùm enimuero aliud quoq. bellũ est hoc grauius, vbi nobis maximè superno auxilio opus est, quod geritur contra potestates aduersarias. Quòd autem nos contra eas bellum geramus, audi Paulum dicentem: Non est nobis lucta aduersus carnem & sanguinem, sed aduersus principatus, aduersus potestates, aduersus mundi principes tenebrarum seculi huius, & eò grauius, quòd ex alia natura est earum exercitus, & quæ sub aspectum non cadit, & quòd non de rebus paruis agitur, sed de salute & interitu. Non possunt hîc videri homines qui occiduntur, non potest præsciri nec locus, nec tempus, non aliquid aliud eiusmodi. Nam & domi, & in foro, & ludentes & in ocio nos inuadũt hæ phalanges. Quare oportet nos esse perpetuò munitos. Bellum enim hoc nullam nouit dilationem, nec vllas inducias: non habet legatos, nec feciales, nec aliquid eiusmodi. bellum enim est implacabile, & ideo oportet se maximè vndiquaque munire, & conuenienti alimento validum firmúmque reddere. Huius autem belli commeatus, & horum militum arma sunt diuinarum scri-

Psal. 23. 8. — Ephes. 6. 12 — Bellũ diaboli aduersus homines.

Εἰς τὸν ρμγ' ψαλμόν.

Εὐλογητὸς ὁ κύριός μου, ὁ διδάσκων τὰς χεῖράς μου εἰς παράταξιν· τοὺς δακτύλους μου εἰς πόλεμον.

B Τί λέγεις; πολέμων διδάσκαλος ὁ Θεὸς, καὶ μάχης, καὶ παρατάξεως; μάλιστα μὲν, οὐκ ἄν τις ἁμάρτοι καὶ τὴν ἐν τούτοις νίκην αὐτῷ λογιζόμενος. τοῦτο γάρ ἐστιν ὁ διδάσκων τὰς χεῖράς μου, ὁ ποιῶν περιγενέσθαι τῶν πολεμίων κρατεῖν, τρόπαιον ἐγείρειν. καὶ γὰρ ἡνίκα τὸν Γολιὰθ κατέβαλεν, ἐκεῖνος ὁ τῆς νίκης αἴτιος, καὶ ἡνίκα πολλοὺς πολέμους κατώρθωσε, καὶ τρόπαια ἔστησε, καὶ αὐτοβόρους εἷλε πολεμίας τινὰς πόλεις, ἐκεῖνος αὐτὸν κρατῆσαι ἐποίησεν. διὸ καὶ ᾄδων ἔλεγε, κύριος κραταιὸς καὶ δυνατὸς, κύριος δυνατὸς ἐν πολέμῳ. καὶ ἐπὶ C τοῦ Μωϋσέως δὲ πολλὰ τοιαῦτα εἰργάσατο. πλὴν ἀλλ' ἔστι καὶ ἕτερος πόλεμος τούτου χαλεπώτερος, ἔνθα ἡμῖν μάλιστα τῆς ἄνωθεν ῥοπῆς δεῖ· ὅταν πρὸς τὰς ἀντικειμένας παραταττώμεθα δυνάμεις. ὅτι γὰρ πρὸς ταύτας ἡμῖν ἐστι πόλεμος ἄκουε Παύλου λέγοντος, οὐκ ἔστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὰς ἀρχὰς, πρὸς τὰς ἐξουσίας, πρὸς τοὺς κοσμοκράτορας τοῦ σκότους τοῦ αἰῶνος τούτου. διὰ τοῦτο καὶ χαλεπώτερος, ὅτι ἐξ ἑτέρας φύσεως αἱ φάλαγγες, καὶ ταύτης ἀοράτου, καὶ ὅτι οὐ περὶ μικρῶν ὁ ἀ- D γὼν, ἀλλὰ περὶ σωτηρίας καὶ ἀπωλείας. ἐνταῦθα οὐκ ἔστι τοὺς σφαττομένους ἰδεῖν, οὐ τὸν καιρὸν προμαθεῖν, οὐ τόπον, οὐκ ἄλλο τῶν τοιούτων οὐδέν. καὶ γὰρ καὶ ἐν ἀγορᾷ, καὶ ἐν οἰκίᾳ, καὶ παιζόντων καὶ ῥαθυμούντων ἐπιτίθενται αὗται αἱ φάλαγγες. ὥστε πεφραγμένους καὶ διαπαντὸς δεῖ εἶναι. οὐ γὰρ οἶδεν ἀνακωχὴν ὁ πόλεμος, οὐδὲ ἔχει κήρυκας, οὐδὲ πρέσβεις, οὐδὲ ἄλλο τῶν τοιούτων οὐδὲν, ἀλλ' ἀκήρυκτός ἐστιν ἡ μάχη· διὸ δὴ μάλιστα πανταχόθεν φράττεσθαι καὶ τρέφειν εὐτόνως χρή. ἐφόδια δὲ τοῦ πολέμου τούτου, καὶ ὅπλα τῶν τοιούτων στρατιωτῶν, τῶν θείων γραφῶν ἡ

ἀκρόασις. ταύτης ὁ μὴ ἀπολαύων λιμῷ τήκεται. δώσω γὰρ αὐτοῖς, φησιν, οὐ λιμὸν ἄρτου, οὐδὲ δίψαν ὕδατος, ἀλλὰ λιμὸν τοῦ ἀκοῦσαι λόγον κυρίου. καὶ ἐνταῦθα τοίνυν, ὥσπερ καὶ ἐν τοῖς αἰσθητοῖς πολέμοις τῆς ἄνωθεν χρεία ῥοπῆς. οὐ σώζεται γάρ, φησι, βασιλεὺς διὰ πολλὴν δύναμιν, καὶ γίγας οὐ σωθήσεται ἐν πλήθει ἰσχύος αὐτοῦ. ψευδὴς ἵππος εἰς σωτηρίαν, ἐν δὲ πλήθει δυνάμεως αὐτοῦ οὐ σωθήσεται. οὕτω γοῦν οἱ πολλοὶ τοὺς πολεμίους ἐτροποῦντο τῶν προτέρων εὐχῶν προηγουμένων, καὶ τὰς πολεμίας φάλαγγας καταβαλλουσῶν. ἔλεός μου, καὶ καταφυγή μου, ἀντιλήπτωρ μου καὶ ῥύστης μου. ὁρᾷς πάλιν ἀπὸ φιλανθρωπίας ἀξιοῦντα σώζεσθαι; μᾶλλον δὲ καὶ ἕτερόν τι ἐνταῦθα αἰνίττεται· δείκνυσι γὰρ διὰ τούτου καὶ λέγει, ὅτι οὐδὲ αὐτοῦ τοῦ ἐλέους ἄξιος ἤμην, εἰ μὴ αὐτὸς ἐπένευσεν. αὐτὸς οὖν ἐστιν, ὁ ἔλεός μου, φησιν, οὐκ ἐγὼ ἔσχον αὐτὸν ἐν τοῖς ἔργοις. εἰ γὰρ καὶ ἔλεός ἐστιν, ἀλλ' οὐκ ἀκρίτως ἅπασιν ἔπεισιν. ἐλεήσω γάρ, φησιν, ὃν ἂν ἐλεῶ, καὶ οἰκτειρήσω ὃν ἂν οἰκτείρω. εἰ τοίνυν καὶ ἐλεεῖσθαι μέλλομεν, παρέχεσθαι τὰς ἀφορμὰς οἴκοθεν τῆς τοιαύτης φιλανθρωπίας χρή. ἐνταῦθα δὲ καὶ αὐτὸ τὸ ἐλεηθῆναι παρ' αὐτοῦ ἔχειν λέγει. εἶδες συντετριμμένην ψυχήν; εἶδες γνώμην εὐγνώμονα, καὶ πῶς τὸ πᾶν ἀνατίθησι τῷ φιλανθρώπῳ Θεῷ; ἀντιλήπτωρ μου, καὶ ῥύστης μου, ὑπερασπιστής μου, καὶ ἐπ' αὐτῷ ἤλπισα. συνεχῶς περιστρέφει τὴν ἐλπίδα τὴν εἰς αὐτόν; παιδεύων ἁπλῶς μὴ βαπτίζεσθαι τοῖς δεινοῖς, ἀλλὰ καὶ ἐν μέσαις ταῖς συμφοραῖς ἐκεῖ κεχηνέναι, μηδὲ ἀπαγορεύειν, καὶ ἀναπεπτωκέναι. αὐτὸς γάρ ἐστιν ὁ ἀντιλήπτωρ μου καὶ ῥύστης μου. ὥστε κἂν μὴ παρ' αὐτὰ τῶν δεινῶν τὰ προοίμια ἀντιλάβηται, μηδὲ ῥύσηται, δεῖ θαρρεῖν. εἰ τοίνυν αὐτός ἐστιν ἀντιλήπτωρ, πάντως ἀπαλλάξει τῶν δεινῶν. ἐλπὶς γὰρ μάλιστα τότε ἐστίν, ὅταν τῶν ὁρωμένων εἰς ἀπόγνωσιν ἐμβαλλόντων, αὐτὴ θαρρεῖν ὑπὲρ τοῦ μέλλοντος παρασκευάζῃ. ὁ ὑποτάσσων τὸν λαόν μου ὑπ' ἐμέ. καλῶς οὕτως εἶπε. καὶ γὰρ καὶ ἐνταῦθα τῆς ἄνωθεν χρεία βοηθείας, ὥστε εἴκειν τοὺς ὑπηκόους, καὶ μὴ στασιάζειν, μηδὲ κατεξανίστασθαι. οὐκ ἄρα ἐν τῇ τῶν ἐχθρῶν, καὶ τῶν πολεμίων ὑποταγῇ, ἀλλὰ καὶ ἐν τῇ τῶν οἰκείων, πολλῆς

puarum auditio. Ea qui non fruitur, fame perit. Dabo enim eis, inquit, non famem panis, nec sitim aquæ, sed famem audiendi verbi Domini. Hîc igitur, sicut & in bellis sensilibus, superno auxilio opus est. Non seruatur enim, inquit, rex per multam potentiam, & gigas non seruabitur in multitudine virium suarum. Fallax equus ad salutem, in multitudine virium suarum non seruabitur. Multi itaque hostes sæpe fuderunt ac fugarunt, cum prius preces præcessissent, & aduersariorum phalanges prostrauissent. 2. *Misericordia mea, & refugium meum, susceptor meus & liberator meus.* Vides eum rursus rogare vt seruetur à clementia. Imò verò hic etiam aliquid aliud significat. Per hoc enim id ostendit, & dicens: Ne essem quidem ipsa dignus misericordia, nisi ipse annuisset. Ipse est ergo, inquit, mea, misericordia. Eam enim ex factis meis non sum consecutus. Nam etsi est misericordia, non omnibus tamen indiscriminatim accidit. Miserebor enim, inquit, cuius misertus fuero, & miserabor, quem fuero miseratus. Oportet ergo, si misericordiam sumus consecuturi, eius clementiæ occasionem ex nobis ipsis proferre. Hic autem dicit se etiam hoc ipsum, quòd sit misericordiam consecutus, ei accepto ferre. Vidisti contritum animum, vidisti mentem memorem & gratam, & quomodò benigno & clementi Deo vniuersum adscribit. *Susceptor meus, & liberator meus: protector meus, & in ipso speraui.* Spem in ipsum assiduè versat & circumagit, docens omnes nullis malis obrui, sed vel in mediis ærumnis eum semper intueri, & ab eo pendere, nec vnquam desperare, animóve concidere. Ipse est enim susceptor & liberator meus. Vnde & si non in ipsis malorum principiis me suscipiat, defendat, & liberet, oportet bono esse animo. Si enim ipse est susceptor ac defensor, omnino liberabit à malis. Tunc enim maximè spes est, quando iis quę videntur nos deturbantibus in desperationem: ea efficit vt de futuro bene speremus. *Qui subdit populum meum sub me.* Sic rectè dixit. Nam hic quoque superno auxilio opus est, vt qui ditioni subiecti sunt, acquiescant, & nec seditionem agitent, nec insurgant. Non solum ergo in subiugandis inimicis, sed etiam in suis sub-

1. Cor. 10. Amos 8. 11

Psal. 32. 16.

Rom. 9. 15. Misericordiam Dei vt cōsequamur.

Subditos vt in officio contineat, Dei auxilio opus est.

ijciendis & in officio continendis superno nobis auxilio opus est. Nam hoc quoque magnum est suos benè regere, nec minus est quam suos inimicos vincere. Multi quidem certè sæpenumerò trophæa in bellis erexerunt: in pace autem cæsi sunt, cum eorum quibus præerant, habenas non rectè possent moderari. Non ergo in regni potestate situm est, vt castra subijciantur, sed in Dei auxilio. Quemadmodum autem ab eo procedunt victoriæ de hostibus: ita etiam suorum obedientia. 3. *Domine quid est homo quòd innotuisti ei? aut filius hominis, quòd reputas eum?* Alius, Quid homo, & cognosces ipsum? Alius, Quòd agnoscis ipsum? Magnum ergo quempiam esse oportet, qui est Deum cogniturus, vel potius qui est ab ipso cognoscendus, non autem solum, sed etiam illum cui Deus voluerit innotescere. Et ideo optimè dixerunt Septuaginta illud, *Innotuisti ei*: Ostendentes nos non eum inuenisse, sed ipsum nobis fuisse inuentum. Non dixit enim: Quid est homo quòd eum cognouisti: sed, quid est homo, quòd cognitus es ab ipso? Et ideo Paulus hoc súsque déque assiduè versat dicens: Tunc autem agnoscam sicut & agnitus sum. Porrò autem ipse quoque Christus: Non vos me elegistis, sed ego elegi vos. Iam verò alibi quoque Paulus. Si quis autem diligit Deum, is cognitus est ab eo. Et ideo assiduè seipsum súsq; déque dicit vocatum, ostendens se non vltro accessisse, sed prius vocatum fuisse. Ita etiam dicit alibi, Persequor autem, si etiam comprehendam, propter quod & comprehensus sum. Non dixit, comprehendi, sed comprehensus sum. Quomodo autem dicit hic, Quid est homo? Atqui alius dicit, Magna res homo, & preciosa res vir misericors. Et alius, Ad imaginem Dei fecit ipsum, Sortitus est enim totius creaturæ præfecturā. Sunt autem nonnulli, quibus ne dignus quidem erat mundus. Sed illa quidem de virtute, & quando homines sunt eam ostensuri. Hoc autem, quid est homo, dictum est de natura. Magnáne est hominis natura? Magna quidem, sed si videris cognitionem, qua digna fuit habita, longè est hac inferior. Audiant hæretici se hoc furore esse percitos, dum sui modum excedunt, & extrema laborare inscientia, dum dicunt se ea scire,

Collatio. 1 Cor. 13. 12. Ioan. 15. 1. Cor. 8. 3. Philip. 3. 12. Hebr. 7. Prou. 20. 26. 14. 21. Genes. 9. Eccles. 17. Hebr. 11. Hæreticorū præsumptio.

A ἡμῖν τῆς ἄνωθεν δεῖ ῥοπῆς. καὶ γὰρ καὶ τοῦτο μέγα ἐστὶ τὸ τοὺς οἰκείους εὖ διαθεῖναι, καὶ οὐκ ἔλαττον τοῦ τῶν ἐχθρῶν περιγενέσθαι. πολλοὶ γοῦν πολλάκις ἐν πολέμοις μὲν τρόπαια ἔστησαν, ἐν εἰρήνῃ δὲ κατεκόπησαν, τῶν ἀρχομένων οὐκ εἰδότες φέρειν τὰς ἡνίας. οὐκ ἄρα ἐν τῇ δυνάμει τῆς βασιλείας ἐστὶ τὸ ὑποτάττεσθαι τὰ στρατόπεδα, ἀλλ᾽ ἐν τῇ τοῦ Θεοῦ ῥοπῇ, ὥσπερ δὲ ἀπὸ ταύτης αἱ τῶν πολεμίων νῖκαι, οὕτω καὶ αἱ τῶν οἰκείων ὑποταγαί. κύριε τί ἐστιν ἄνθρωπος, ὅτι ἐγνώσθη αὐτῷ; ἢ υἱὸς αὐτοῦ, ὅτι λογίζῃ B αὐτόν; ἕτερος, τί ἄνθρωπος, καὶ γνώσῃ αὐτόν; ἕτερος, ὅτι γνωρίζεις αὐτόν; ἄρα μέγαν τινὰ εἶναι χρὴ τὸν μέλλοντα τὸν Θεὸν γνωρίζειν. μᾶλλον δὲ τὸν μέλλοντα γνωρίζεσθαι παρ᾽ αὐτοῦ, οὐ τοῦτον δὲ μόνον, ἀλλὰ καὶ ἐκεῖνον, ᾧ μέλλει γνωρίζειν ἑαυτὸν ὁ Θεός. διὸ καὶ ἄριστα εἰρήκασιν οἱ ἑβδομήκοντα τὸ ἐγνώσθης αὐτῷ, δεικνύντες ὅτι οὐχ ἡμεῖς αὐτὸν εὕρομεν, ἀλλὰ αὐτὸς ἡμῖν εὑρέθη. οὐ γὰρ εἶπε, τί ἐστιν ἄνθρωπος ὁ γνωρίσας σε· ἀλλὰ, τί ἐστιν ἄνθρωπος, ὅτι ἐγνώσθης αὐτῷ; διὸ καὶ Παῦλος ἄνω καὶ κάτω συνεχῶς τοῦτο περιστρέφει λέγων· τότε δὲ ἐπιγνώσομαι καθὼς καὶ ἐπεγνώσθην. C καὶ αὐτὸς δὲ ὁ Χριστὸς, οὐχ ὑμεῖς με ἐξελέξασθε, ἀλλ᾽ ἐγὼ ἐξελεξάμην ὑμᾶς. καὶ ἑτέρωθι δὲ πάλιν ὁ Παῦλος· εἰ δέ τις ἀγαπᾷ τὸν Θεὸν, οὗτος ἔγνωσται ὑπ᾽ αὐτοῦ. διὰ δὴ τοῦτο καὶ συνεχῶς ἑαυτὸν ἄνω καὶ κάτω κλητὸν λέγει, δεικνὺς, ὅτι οὐκ αὐτὸς ἐπέδραμεν, ἀλλὰ πρότερον ἐκλήθη. οὕτω καὶ ἀλλαχοῦ φησι· διώκω δὲ εἰ καὶ καταλάβω, ἐφ᾽ ᾧ καὶ κατελήφθην. οὐκ εἶπε κατέλαβον, ἀλλὰ καὶ κατελήφθην. πῶς δὲ λέγει οὗτος, τί ἐστιν ἄνθρωπος; καίτοι ἄλλος φησὶ, μέγα ἄνθρωπος, καὶ τίμιον ἀνὴρ ἐλεήμων. D καὶ ἄλλος, κατ᾽ εἰκόνα Θεοῦ ἐποίησεν αὐτόν. καὶ γὰρ τῆς κτίσεως ἁπάσης τὴν ἐπιστασίαν ἔλαχεν. εἰσὶ δέ τινες ὧν οὐδὲ ὁ κόσμος ἀντάξιος. ἀλλ᾽ ἐκεῖνα μὲν περὶ ἀρετῆς, καὶ ὅταν τινὲς αὐτὴν ἐπιδείξωνται· τὸ δὲ τί ἐστιν ἄνθρωπος περὶ τῆς φύσεως εἴρηται· καὶ μὴν καὶ ἡ φύσις μεγάλη. μεγάλη μὲν, ἀλλ᾽ ἐὰν τὴν γνῶσιν ἴδῃς, ἧς κατηξιώθη, πολὺ καταδεεστέρα ταύτης. ἀκουέτωσαν αἱρετικῶν παῖδες, ὅτι τοσαύτην μανίαν μαίνονται, τὰ μέτρα ὑπερβαίνοντες, καὶ ἄγνοιαν νοσοῦσι, τὰ ὑπὲρ

αὐτοὺς εἰδέναι φάσκοντες. ἔστι γὰρ καὶ ἐν ἀγνοίᾳ γνῶσιν, καὶ ἐν γνώσει ἄγνοιαν εἶναι. καὶ εἰ βούλεσθε, ἐπὶ τῶν αἰσθητῶν αὐτὸ γυμνάσωμεν. εἰπὲ γάρ μοι, ἂν τις λέγῃ τὴν θάλασσαν δύνασθαι ἐκμετρεῖν καὶ εἰδέναι πόσους ἔχει κυάθους, ἆρα οὐχ οὗτός ἐστι μάλιστα ὁ ἀγνοῶν, τί ποτέ ἐστι θάλασσα; ὁ δὲ λέγων μὴ εἰδέναι, ἀλλ' ἄπειρον αὐτῆς τὸν ἀριθμὸν διατεινόμενος, οὗτος μάλιστά ἐστιν ὁ εἰδὼς τί ποτέ ἐστι θάλασσα. τί δὲ ἐπὶ τοῦ Θεοῦ; ἂν εἴπῃ τις, εἶδον τὸν Θεὸν, καὶ κατέλαβον τῇ ὄψει τῇ ἐμῇ, ἆρ' οὐχ οὗτος ἐστὶ μάλιστα ὁ ἀγνοῶν τὸν Θεὸν, ὁ τὸν ἀόρατον, ὁρατὸν εἶναι λέγων, καὶ ἐν προσθήκῃ γνώσεως καὶ τὴν δυνατὴν ἀφαιρούμενος; ἂν δέ τις ἀόρατον αὐτὸν εἴπῃ, καὶ μηδένα δύνασθαι ὁρᾷν, οὐχ οὗτος μάλιστά ἐστιν ὁ εἰδώς; τί δὲ πάλιν ἂν τις ἀκατάληπτον αὐτὸν εἴπῃ, ἕτερος δὲ καταληπτόν· ἆρ' οὐχ οὗτος μέν ἐστιν ὁ ἀγνοῶν, ἐκεῖνος δὲ ὁ εἰδώς; οὐχ ὁρᾷς καὶ Παῦλον ταύτην ἐρχόμενον τὴν ὁδὸν, καὶ λέγοντα, ἐκ μέρους γινώσκομεν, καὶ ἐκ μέρους προφητεύομεν; λόγισαι πόσα γέγονε, ἵνα μάθωμεν, τὸν Θεὸν, οὐ τίς ἐστι τὴν οὐσίαν, ἀλλ' ὅτι ἐστί. τοῦτο γοῦν καὶ ὁ Παῦλος λέγει· πιστεῦσαι γὰρ δεῖ τὸν προσερχόμενον τῷ Θεῷ, ὅτι ἐστιν. ἡ κτίσις ἅπασα αὐτὸν ἀνακηρύττει. ἐκ γὰρ μεγέθους, φησὶ, καὶ καλλονῆς κτισμάτων ἀναλόγως ὁ γενεσιουργὸς θεωρεῖται. τοῦ ἀνθρώπου αὐτὴ ἡ κατασκευὴ, αἱ τιμαὶ αἱ παρ' αὐτοῦ δεδομέναι, αἱ κολάσεις, αἱ εὐεργεσίαι, αἱ οἰκονομίαι, τὰ διὰ τῶν προφητῶν, προαναπεφωνημένα, τὰ θαύματα τὰ διάφορα. μετὰ ταῦτα ἦλθεν αὐτὸς ὁ μονογενὴς, καὶ τὴν οἰκονομίαν τὴν θαυμαστὴν ἐκείνην καὶ φρικτὴν ἐπλήρωσε· καὶ ὅμως εἰσί τινες, οἱ μηδέπω τὸ σαφὲς μαθόντες· καὶ σὺ λέγεις ἐξ οἰκείων λογισμῶν δύνασθαι καταλαμβάνειν τὸ τί τὴν οὐσίαν ἐστίν; οὐκοῦν ἀγνοεῖς τὸν Θεόν φησιν; ἄπαγε, ἀλλ' οἶδα μὲν ὅτι ἐστὶ, καὶ ὅτι φιλάνθρωπος, καὶ ὅτι ἀγαθὸς, καὶ ὅτι προνοεῖ, καὶ τὰ ἄλλα ἅπαντα ὅσα εἶπον αἱ γραφαί· τὸ δὲ τί τὴν οὐσίαν, οὐκ οἶδα. ἐνόμισε καὶ ὁ Ἀδὰμ πλέον εὑρίσκειν τῷ διαβόλῳ πεισθεὶς, καὶ διὰ τῆς πλεονεξίας ταύτης καὶ ὃ εἶχεν, ἀπώλεσεν. ὅπερ καὶ οὗτοι πάσχουσιν ἀπὸ τῶν ἀνθρωπίνων λογισμῶν ἐναγόμενοι, καὶ οὐκ ἀκούοντες ὅτι κύ-

A quæ sunt ipsis superiora. Potest enim esse ignoratio in cognitione, & in ignoratione cognitio. Et si vis, hoc ipsum agitemus in rebus sensilibus. Dic mihi enim, si quis dicat se posse mare metiri, & scire quot habeat cyathos: an non est hic maximè qui ignorat quid sit mare? Qui autem dicit se nescire, sed asserit numerum eius esse infinitum: is est qui maximè cognouit quid sit mare. Quòd si quis de Deo dixerit, Deũ vidi, & meis oculis apprehendi, an non est is qui maximè Deum non nouit, qui eum qui sub aspectum non cadit, dicit esse B aspectabilem, & in additamento cognitionis eam quoque, quæ haberi potest, eripit? Si quis autem dixerit eum sub visum non cadere, & neminẽ eũ videre posse, an nõ is est qui scit maximè? quid autem si quis dixerit eum comprehendi non posse, alius verò non comprehendi: an non est hic quidem qui ignorat, ille verò qui nouit? An non vides Paulum quoque hac via ingredi, & dicere, Ex parte cognoscimus, & ex parte prophetamus? Considera quot & quanta facta sunt, vt disceremus, non quæ sit Dei C substantia, sed quod sit, Deus. Hoc ergo Paulus quoque dicit. Credere enim oportet, inquit, accedentem ad Deum, quod est. Eum vniuersa prædicat creatura. Ex magnitudine enim, inquit, & pulchritudine creaturarum per proportionem consideratur creator. Ipsa hominis cõstitutio, honores qui à Deo dati sunt, supplicia, beneficia, varia in eo regendo consilia, quæ prædicta sunt per Prophetas, diuersa miracula. Post hæc venit ipse vnigenitus, & admirabilem illam & stupendam peregit œconomiam: & tamen sunt nonnulli, qui D quod manifestum est, nondum didicerunt: & tu dicis te posse propria ratione comprehendere, quænam is sit substantia? Deum ergo, inquit, ignoras? Absit, sed eum quidem esse scio: scio esse clementem, bonum, & misericordem, prouidentem, & omnium curam gerentem, & quæcumque alia dixerunt scripturæ: quidnam sit autem substantia Dei, non noui. Adam quoque putauit se posse plus inuenire, persuasus à diabolo, & id etiam quod habuit, perdidit. Quòd his quoque euenit, dum ducuntur humanis rationibus, & non audiunt Dominum

Ignoratio in cognitione, & contra.

Exod. 33. Ioan. 1.

1. Cor. 13. 9

Hebr. 11. 6.

Sap. 13. 5.

Deum esse vt didicerimus.

Substantia Dei nobis ignota.

Gen. 3.

dare sapientiam, & à facie eius scientiam, & intelligentiam. Non audiunt Paulum dicentem, Per spiritum reuelauit nobis & rationes expellentem? Rationes, inquit, destruentes, & omnem altitudinem, quæ erigitur aduersus scientiam Dei. Et alius sapiens, Rationes hominum timidæ: & labiles inuentiones eorum. quid est homo quòd innotuisti ei? Mente agita infinitam illam magnitudinem. Imò verò ne cùm eam quidem dico, loquor pro Dei dignitate: sed nescio quomodo loquar. Neque enim si magnitudinem in Deo dicamus, propriè loquimur. Sed quoniam non possumus aliter loqui: iis verbis quibus licuit, vsum sum. Nam cum eum quoque voco altissimum, non eum loco circumscribo: sed eius naturæ altitudinem & maiestatem, quæ vbique diffusa est, & omnia peruadit, ostendo. Et ideo dicit, Quid est homo, quòd innotuisti ei? Propterea enim eum quoque fecit humilem, & magna ei largitus est, ne extolleretur, cùm vt se moderatè gerat, magnam necessitatem afferat naturæ vilitas. *Aut filius hominis, quòd reputas eum?* Vidisti quanta sit Dei naturæ maiestas? 4. *Homo vanitati similis factus est.* Alius autem interpres, Vanitati, dixit vapori. Nihil autem significat aliud, vanitati, quàm eum esse caducum, momentaneum, & interitui obnoxium. In hoc loco tractatur de corpore. Et ideo dicebat Abraham, Ego autem terra & cinis. Esaias autem, Omnis caro fœnum, & gloria eius quasi flos fœni. Quid est autem, Vanitati similis factus est? Nihilo, inquit: Rerum enim humanarum nihil est firmum, nec stabile, sed omnia transeunt & prætercurrunt. *Dies eius sicut vmbra prætereunt.* Hoc est, Ne quando quidem adsunt, vllam vim habent, sed celeriter auolant. Id autem considera in rebus ipsis, eos apud te cogitans, qui sunt authoritate præditi, qui curribus vehuntur, qui magistratus gerunt, qui in carcerem conijciunt, & flagris cædunt. Quid enim illi ab vmbra differunt, non solùm tempore mortis, sed etiam ante mortem? Quando enim magistratus deposuerint, illa omnia omninò pereunt, & procul recedunt. Res autem veræ sunt postquam hinc excesserimus: vera tunc reddetur ratio, vera erunt supplicia, & bona similiter: & iudex est qui minimè falli potest.

Eccles. 1. 1. Cor. 2. 10 2. Cor. 10. Sap. 9. 14. Vanitas. Genes. 18. Esa. 40. Eccles. 3. Magistratuum vanitas.

A ειος δίδωσι σοφίαν, καὶ ἀπὸ προσώπου αὐτοῦ γνῶσις καὶ σύνεσις. Οὐκ ἀκούουσι Παύλου λέγοντος· Διὰ τοῦ πνεύματος ἀπεκάλυψεν ἡμῖν, καὶ τοὺς λογισμοὺς ἐκβάλλοντος; λογισμούς, φησι, καθαιροῦντες, καὶ πᾶν ὕψωμα ἐπαιρόμενον κατὰ τῆς γνώσεως τοῦ Θεοῦ. καὶ ἄλλος σοφός, λογισμοὶ ἀνθρώπων δειλοὶ καὶ ἐπισφαλεῖς αἱ ἐπίνοιαι αὐτῶν. τί ἐστιν ἄνθρωπος, ὅτι ἐγνώσθης αὐτῷ. ἐννόησον γοῦν τὸ ἄπειρον ἐκεῖνο μέγεθος, μᾶλλον δὲ οὐδὲ τοῦτο λέγων, ἀξίως Θεοῦ λέγω, ἀλλ' οὐκ οἶδα πῶς λαλήσω. οὐδὲ B γὰρ μέγεθος ἐπὶ Θεοῦ λέγοντες κυρίως λέγομεν. ἀλλ' ἐπειδὴ οὐκ ἔστιν ἑτέρως φθέγξασθαι, τοῖς ἐγχωροῦσι κεχρήμεθα ῥήμασιν. ἐπεὶ καὶ ὕψιστον αὐτὸν καλῶ, οὐ τόπῳ αὐτὸν περιορίζω· ἀλλὰ καὶ τὸ ὑψηλὸν καὶ μεγαλεῖον αὐτοῦ τῆς φύσεως δηλῶν, καὶ διεστηκός, καὶ πάντων ἀνακεχωρηκός. διὰ δὴ τοῦτο ἔλεγε· τί ἐστιν ἄνθρωπος, ὅτι ἐγνώσθης αὐτῷ; διὰ γὰρ τοῦτο καὶ ταπεινὸν ἐποίησε, καὶ μεγάλα ἐχαρίσατο, ἵνα μὴ ἐπαρθῇ, ἔχων μεγίστην ἀνάγκην τοῦ μετριάζειν, τὴν ἀπὸ τῆς φύσεως εὐτέλειαν. ἢ υἱὸς ἀνθρώπου, ὅτι λογίζῃ αὐτόν; εἶδες πόσον τὸ μέγεθος τῆς φύσεως C τοῦ Θεοῦ; ἄνθρωπος ματαιότητι ὡμοιώθη. ἕτερος δὲ ἑρμηνευτής, τὸ ματαιότητι, ἀτμῷ εἶπεν. οὐκ ἄλλο δὲ τὸ ματαιότητι δηλοῖ, ἢ ὅτι ἐπίκηρος, πρόσκαιρος, βραχύς. ἐνταῦθα τὸν περὶ τοῦ σώματος γυμνάζει λόγον. δι' ὃ καὶ Ἀβραὰμ ἔλεγεν· ἐγὼ δέ εἰμι γῆ καὶ σποδός. ὁ δὲ Ἡσαΐας, πᾶσα σὰρξ χόρτος, καὶ πᾶσα δόξα ἀνθρώπου, ὡς ἄνθος χόρτου. τί δέ ἐστι, ματαιότητι ὡμοιώθη; τῷ μηδενί, φησιν, ἐπειδὴ τῶν ἀνθρωπίνων οὐδὲν βέβαιον, οὐδὲ στάσιμον, ἀλλὰ πάντα παράγει D καὶ παρέρχεται. αἱ ἡμέραι αὐτοῦ ὡσεὶ σκιὰ παράγουσι. τουτέστιν, οὐδὲ ἡνίκα πάρεισιν, ἰσχύν τινα ἔχουσιν, ἀλλὰ καὶ ταχέως ἀφίπτανται. καὶ σκόπει τοῦτο ἐπὶ τῶν πραγμάτων αὐτῶν, τοὺς ἐν ἀξιώμασι λογιζομένους, τοὺς ἐπὶ τῶν ὀχημάτων, τοὺς ἐν ταῖς δυναστείαις, τοὺς εἰς τὸ δεσμωτήριον ἐμβάλλοντας, καὶ μαστιγοῦντας. τί γὰρ σκιᾶς διαφέρουσιν οὗτοι, οὐκ ἐν τῷ καιρῷ τῆς τελευτῆς, ἀλλὰ καὶ πρὸ τῆς τελευτῆς; ὅταν γὰρ τῆς ἀρχῆς παραλυθῶσι, πάντα ἐκεῖνα οἴχεται, καὶ ἐκποδὼν γίνεται. τὰ δὲ ἀληθῆ πράγματα μετὰ τὴν ἐντεῦθεν ἀποδημίαν· τότε καὶ εὔθυναι καὶ κολάσεις ἀληθεῖς, καὶ τὰ ἀγαθὰ ὁμοίως, καὶ ὁ δικαστὴς ἀνεξαπάτητος.

τὰ δὲ

τὰ δὲ ἐνταῦθα παισὶν ἔοικε παίζουσι. ὁ σήμερον γὰρ δικάζων, ἕστηκεν αὔριον δικαζόμενος, καὶ πυκναὶ αἱ μεταβολαί· καὶ ἀνώμαλοι αἱ μεταβάσεις. κύριε κλῖνον οὐρανούς σου, καὶ κατάβηθι. ἅψαι τῶν ὀρέων, καὶ καπνισθήσονται. ἕτερος, κλίναντός σου οὐρανοὺς, καὶ καταβαίνοντος, καὶ ἁψαμένου τῶν ὀρέων ἐκαπνίσθησαν. καὶ ποία αὕτη ῥημάτων ἡ ἀκολουθία; πολλὴ μὲν οὖν καὶ σφόδρα ἐχομένη τῶν προτέρων. ἐπειδὴ γὰρ περὶ τῆς εὐτελείας τῆς ἀνθρωπίνης διελέχθη, καὶ τὸ οὐδαμινὸν τῆς φύσεως παρέστησε· καὶ ἐνταῦθα πάλιν καταστέλλει τῶν φλεγμαινόντων τὴν ἀπόνοιαν μονονουχὶ τοῦτο δι' ὧν ἐπήγαγε λέγων· ἔδει μὲν αὐτοὺς οἴκοθεν συνιδεῖν τῆς φύσεως τὸ εὐτελὲς, καὶ μὴ μέγα φρονεῖν. ἐπειδὴ δὲ οὐ βούλονται, δεῖξον ἀπὸ τῶν σῶν ἔργων ποῦ ταπεινότητος εἰσὶν ἀπῳκισμένοι. κύριε κλῖνον οὐρανούς, καὶ κατάβηθι. τοῦτο λέγει, οὐκ ἐπειδὴ ὁ Θεὸς καταβαίνει. πῶς γὰρ ὁ πανταχοῦ παρών; ἀλλ' ἵνα διὰ τῶν ἀνθρωπίνων τούτων λέξεων τοὺς παχυτέρους ἐκπλήξῃ τῶν ἀκροατῶν, ἀνθρωπινώτερον περὶ αὐτοῦ διαλέγεται. ἐπεὶ καὶ τὸ τῆς ἁφῆς εἰ καὶ δοκεῖ μέγα εἶναι, ἀλλὰ πολὺ τῆς τοῦ Θεοῦ ἀξίας καταδεέστερον. οὐδὲ γὰρ ἁφῆς ὁ Θεὸς χρείαν ἔχει, ἵνα καπνίσῃ τὰ ὄρη, μᾶλλον δὲ οὐδὲ νεύματος, ἀλλὰ βουλῆς καὶ θελήσεως. εἰπὼν τοίνυν περὶ τῆς εὐτελείας τοῦ ἀνθρώπου, λέγει καὶ περὶ δυνάμεως τοῦ Θεοῦ, ὡς ἀνθρώπῳ δυνατὸν εἰπεῖν. ἐπεὶ καὶ ταῦτα πολὺ ἀποδέοντα τῆς μεγαλοπρεπείας ἐκείνης. ἄστραψον ἀστραπὴν, καὶ σκορπιεῖς αὐτούς· ἐξαπόστειλον τὰ βέλη σου, καὶ συνταράξεις αὐτούς. ἀστραπὴν ἐνταῦθα καὶ βέλη, οὐ τὴν ἀστραπὴν ταύτην φησὶν, οὐδὲ ταῦτα τὰ βέλη, ἀλλὰ τὰς τιμωρίας οὕτω καλεῖ, ἀπὸ τῶν ἤδη γνωρίμων τὸν καταφρονητὴν πείθων, καὶ τὸν ἀναπεπτωκότα τρέμειν, καὶ δεδοικέναι καὶ ὑποκύπτειν. εἰ γὰρ ἀστραπὴν οὐκ ἂν ἐνέγκοι, καίτοι οὐκ ἐπὶ κολάσει πεμπομένην, εἰ βουληθείη κινῆσαι τὴν τιμωρητικὴν αὐτοῦ δύναμιν, τίς ὑποστήσεται; βέλη δὲ Θεοῦ λιμοὶ, καὶ λοιμοὶ, καὶ σκηπτοὶ, καὶ πολυειδεῖς τιμωρίαι. ἐξαπόστειλον τὴν χεῖρά σου ἐξ ὕψους, ἐξελοῦ με καὶ ῥῦσαί με ἐξ ὑδάτων πολλῶν, ἐκ χειρὸς υἱῶν ἀλλοτρίων. οὐ γὰρ πρὸς τὸ κολάζειν μόνον,

Quæ autem hîc sunt, sunt similia pueris ludentibus. Qui enim hodie iudicat, die crastino iudicatur: densæque & frequentes sunt rerum mutationes, & inæquales transitus. 5. *Domine inclina cœlos tuos, & descende. Tange montes, & fumigabunt.* Alius, cùm inclinasti cœlos tuos, & descendisti, & tetigisti montes, fumigauerunt. Et quænam est hæc verborum consequentia? Magna certè, & quæ valde cohæret prioribus. Quoniam enim de vilitate humana locutus est, & ostendit quam sit natura nihili: hic rursus refrænat ac reprimit tumidorum arrogantiam per ea quæ subiunxit, hoc propemodum dicens, Oportebat quidem ipsos ex seipsis perspicere naturæ vilitatem, & non sibi placere, magnósque spiritus sumere: sed quoniam nolůt, ex tuis factis ostende ad quantam humilitatem res eorum redierint. Domine inclina cœlos tuos, & descende. Hoc dicit, non quòd Deus descendat. Quomodo enim descenderet, qui vbique præsens est? sed vt per huiusmodi humanas dictiones, crassiores auditores terreat: de his humano more loquitur. Nam contrectatio etsi magnum quid esse videtur, multò certè est Dei dignitate inferius. Non enim opus habet Deus contrectatione, ad id efficiendum, vt montes fumigent; imò verò ne nutu quidem, sed consilio tantum & voluntate. Postquam ergo dixit de vilitate hominis, dicit etiam de Dei potentia, quoad eius potest fieri ab homine. Nam hæc quoque longè absunt ab illa maiestate.

Descensus & tactus Dei.

6. *Fulgura coruscationem, & dissipabis eos: emitte sagittas tuas, & conturbabis eos.* Fulgur hic & sagittas, non dicit hoc fulgur, nec has sagittas, sed ita vocat supplicia, ex iis quæ iam nota sunt, persuadens contemptori, & ei qui est piger ac negligens, tremere, reuereri, & se inclinare ac submittere. Si enim fulgur ferri non potest, licet minimè mittatur ad supplicium: si suam puniendi potestatē voluerit mouere, quis eam sustinebit? Dei autem sagittæ sunt pestes, & fames, & fulgura, & multiplicia suppliciorum genera. 7. *Emitte manum tuam de alto, eripe me, & libera me de aquis multis, & de manu filiorum alienorum.* Non solùm enim ad puniendum,

Fulgur Dei.

Sagittæ Dei.

sed etiam ad conseruandum parata est Dei potentia. Manum autem hic vocat opem, auxilium: & ideo non dixit, Extende, sed emitte, hoc significās. Quòd si etiam alicubi dicit, extende, idem rursus significat. Aquas autem insolentem hostium irruptionem, & confusam, & quæ magno impetu fertur. Quòd enim de aquis non loquatur, ostendit quod subiungitur: De manu enim, inquit, filiorum alienorum. Alienos autem filios mihi videtur hic dicere, eos qui à veritate sunt alienati. Quēadmodum enim fideles & necessitudine coniunctos existimamus vt fratres: ita etiam alienos, infideles: & hac maximè ratione, alienum à nobis necessitudine coniunctō discernimus. Is enim mihi est propinquus & necessitudine coniunctus, qui eundem sibi quem ego patrem ascribit, & est eiusdem mensæ particeps, potius quam is qui est mihi genere proximus: est enim hæc perfectior lex cognationis, quemadmodum etiam quæ ex contrariis fit alienatio, est apertior & euidentior ea quæ fit ex genere. Ne hoc ergo respexeris, quòd sub eodem cœlo sumus, & in eodem orbe terrarum habitamus. Aliam enim communionem quæro, quæ cœlos superat. Illic nostra est conuersatio & vita. Vita enim nostra, inquit, abscon͂sa est cum Christo in Deo. Neque enim terrā habitamus, sed commigrauimus in supernam metropolim. Aliam veram lucem habemus, aliam patriam, & ciues alios & cognatos. Et ideo dicebat Paulus, Non estis vtique hospites & inquilini, sed ciues sanctorum. Quomodo ergo dixit Christus Samaritanum esse proximum, etsi multum inter eos esset interiectum interuallum? At non est, si spectetur naturæ ratio. Quando ergo beneficio afficere oportuerit, sit omnis homo tibi propinquus: quando autem de veritate agetur: agnosce quisnam sit propinquus, & quisnam alienus. Etiam si habeas fratrem eodem patre & eadem matre natum, & in lege veritatis tecum non communicauerit, sit tibi quouis Scytha barbarior. Siue autem sit Scytha, siue Sauromata, dogmata autem plenè & perfectè sciuerit, & id quod tu crediderit, eo qui eodem vtero est editus, sit tibi propinquior & magis necessarius: & ea ratione barbarum ab eo qui non est eiusmodi discernamus,

Manus. — *Aqua.* — *Alieni filii qui sunt.* — *Propinquitas spiritualis.* — *Coloss. 3. 3.* — *Ephes. 2. 19* — *Luc. 10.*

A ἀλλὰ καὶ πρὸς τὸ σώζειν ἀπηρτισμένη ἡ δύναμις τοῦ Θεοῦ. χεῖρα δὲ ἐνταῦθα τὴν βοήθειαν τὴν συμμαχίαν λέγει· διὸ οὐδὲ ἔκτεινον εἶπεν, ἀλλ' ἐξαπόστειλον, τοῦτο δηλῶν. εἰ δέ που καὶ ἔκτεινον λέγει, τὸ αὐτὸ πάλιν αἰνίττεται, καὶ ὕδατα δὲ τὴν ἄτακτον τῶν πολεμίων ἔφοδον καλεῖ, καὶ συγκεχυμένην, καὶ πολλῇ τῇ ῥύμῃ φερομένην. ὅτι γὰρ οὐ περὶ ὑδάτων ὁ λόγος δῆλον διὰ τῆς ἐπαγωγῆς· ἐκ χειρὸς γάρ, φησιν, υἱῶν ἀλλοτρίων. υἱοὺς ἀλλοτρίους ἐνταῦθά μοι δοκεῖ λέγειν τοὺς τῆς ἀληθείας ἀπεξενωμένους. ὥσπερ γὰρ τοὺς πιστοὺς οἰκείους ἡγούμεθα καὶ ἀδελ- B φούς, οὕτω τοὺς ἀπίστους ἀλλοτρίους· καὶ τούτῳ μάλιστα τὸν οἰκεῖον καὶ τὸν ἀλλότριον ἐπιγινώσκομεν. οἰκεῖος γάρ ἐστιν ὁ τὸν αὐτόν μοι πατέρα ἐπιγραφόμενος, καὶ τῆς αὐτῆς κοινωνῶν τραπέζης, μᾶλλον ἢ ὁ κατὰ γένος προσήκων· καὶ γὰρ ἀκριβέστερός ἐστι τῆς συγγενείας ὁ νόμος, ὥσπερ οὖν καὶ ἀλλοτριότης ἡ ἀπὸ τῶν ἐναντίων τρανωτέρα τῆς κατὰ γένος. μὴ τοίνυν τοῦτο ἴδῃς, ὅτι ὑπὸ τὸν αὐτόν ἐσμεν οὐρανόν, καὶ τὴν αὐτὴν οἰκουμένην· ἄλλην γὰρ ἐγὼ κοινωνίαν ἐπιζητῶ, τὴν ὑπὲρ τὸν οὐρανόν. ἐκεῖ ἡμῶν τὸ πολί- C τευμα καὶ ἡ ζωή. ἡ ζωὴ γὰρ ἡμῶν, φησι, κέκρυπται σὺν τῷ Χριστῷ ἐν τῷ Θεῷ. οὐδὲ γὰρ γῆν οἰκοῦμεν, ἀλλὰ μετέστημεν πρὸς τὴν ἄνω μητρόπολιν. ἕτερον φῶς ἀληθινὸν ἔχομεν, ἑτέραν πατρίδα, καὶ πολίτας ἄλλους καὶ συγγενεῖς. διὸ καὶ Παῦλος ἔλεγεν· ἄρα οὐκ ἐστὲ ξένοι καὶ πάροικοι, ἀλλὰ συμπολῖται τῶν ἁγίων. πῶς οὖν φησι τὸν Σαμαρείτην πλησίον ἔφησεν εἶναι ὁ Χριστός· καίτοι πολὺ τὸ μέσον ὄν; ἀλλ' οὐ κατὰ τὸν τῆς φύσεως λόγον. ὅταν μὲν οὖν εὐποιεῖν δέῃ πᾶς ἄνθρωπός σοι ἐγγὺς ἔστω, D ὅταν δὲ ὁ τῆς ἀληθείας γυμνάζηται λόγος, ἐπιγίνωσκε τὸν οἰκεῖον καὶ τὸν ἀλλότριον, κἂν ἀδελφὸν ἔχῃς ὁμοπάτριον, καὶ ὁμομήτριον, καὶ μὴ κοινωνήσῃ σοι κατὰ τὸν τῆς ἀληθείας νόμον, ἔστω σοι τοῦ Σκύθου βαρβαρικώτερος, κἂν Σκύθης καὶ Σαυρομάτης ᾖ, τῶν δογμάτων δὲ εἰδῇ τὴν ἀκρίβειαν, καὶ πιστεύῃ τοῦτο ὃ καὶ αὐτὸς σύ, αὐτοῦ τοῦ τὰς ὠδῖνάς σοι λύσαντος οἰκειότερος ἔστω καὶ ἐγγύτερος· καὶ τὸν βάρβαρον, καὶ τὸν οὐ τοιοῦτον ἐντεῦθεν διακρίνωμεν.

μὴ ἀπὸ τῆς γλώττης, μηδὲ ἀπὸ τοῦ γένους· ἀλλ' ἀπὸ τῆς γνώμης, καὶ ψυχῆς. τοῦτο γὰρ μάλιστα ἄνθρωπος, ὅταν δογμάτων ἀκρίβειαν ἔχῃ καὶ πολιτείαν φιλόσοφον. ἀλλ' ἴδωμεν λοιπὸν τοὺς ἀλλοτρίους, πῶς αὐτοὺς ὑπέγραψε καὶ ὁ προφήτης εἰπών, ἐξελοῦ με ἐκ χειρὸς υἱῶν ἀλλοτρίων, ὧν τὸ στόμα ἐλάλησε ματαιότητα, καὶ ἡ δεξιὰ αὐτῶν δεξιὰ ἀδικίας. εἶδες τίνας φησὶν ἀλλοτρίους; τοὺς ἐν πονηρίᾳ ζῶντας, τοὺς ἀδικίας ἐρῶντας, τοὺς τὰ ἀνόητα φθεγγομένους, τοὺς οὐδὲν χρήσιμον λέγοντας. ἐπιγίνωσκε τοίνυν τοὺς ἀλλοτρίους ἀπὸ τοῦ στόματος, ἀπὸ τῶν ἔργων· ὥσπερ καὶ ὁ Χριστός φησιν· ἀπὸ τῶν καρπῶν αὐτῶν ἐπιγνώσεσθε αὐτούς. καὶ καθάπερ ἐν τοῖς στρατοπέδοις, πολλά τινα δίδονται συνθήματα καὶ σημεῖα, ἵν' εἴποτε ἡ νυκτομαχία γένοιτο, ἢ κόνις ἀρθεῖσα τὰ τῆς νυκτὸς ἐπιδείξαιτο, ἢ καὶ ἑτέρα τις γένοιτο σύγχυσις καὶ ταραχή, μὴ τὸν οἰκεῖον, ὡς τὸν πολέμιόν τις ἴδῃ, μηδὲ τὸν ἐναντίον ὡς οἰκεῖον. οὕτω καὶ ἐνταῦθα δίδωσί σοι συνθήματα ὁ προφήτης, δι' ὧν διευκρινήσῃ τὸν οἰκεῖον, καὶ τὸν ἀλλότριον γνωρίζειν, ἀπὸ τῶν ἀφ' ὧν φθέγγεται, ἀφ' ὧν ποιεῖ, λέγων· ὧν τὸ στόμα ἐλάλησε ματαιότητα, καὶ ἡ δεξιὰ αὐτῶν δεξιὰ ἀδικίας. καὶ γὰρ καὶ νῦν πόλεμός ἐστι καὶ μάχη, καὶ νυκτομαχία χαλεπωτάτη δαιμόνων βαλλόντων, ἐπιθυμιῶν ἐπιβουλευουσῶν, λογισμῶν ἐπανισταμένων. ἔστι καὶ ἐν τοῖς μεμυημένοις συνθήματα καὶ σύμβολα, κἂν βουληθῶμεν ἵνα ἀμφιβάλλοντες, εἴτε ἀμύητός ἐστιν, εἴτε μεμυημένος ἐπιγνῶναι, ταῦτα ἐρωτῶντες μανθάνωμεν· ἡ δεξιὰ αὐτῶν δεξιὰ ἀδικίας. τί τοίνυν τούτου χαλεπώτερον γένοιτ' ἄν, ὅταν τὴν εἰς βοήθειαν δεδομένην εἰς ἐπιβουλὴν τρέπωμεν; διὰ γὰρ τοῦτο ἔχομεν δεξιάς, ἵνα καὶ ἑαυτοῖς καὶ ἑτέροις ἀδικουμένοις ἀμύνωμεν, ἵνα ἀναιρῶμεν παρανομίας, ἵνα λιμὴν γενώμεθα καὶ καταφυγὴ τοῖς ἐπηρεαζομένοις. τίνα οὖν ἂν ἔχοιεν συγγνώμην, οἱ μὴ πρὸς σωτηρίαν ἑτέρων χρώμενοι τῷ ὅπλῳ τούτῳ, ἀλλὰ πρὸς ἀπώλειαν τὴν ἑαυτῶν; ὁ Θεός, ᾠδὴν καινὴν ᾄσομαί σοι. ποία αὕτη πάλιν ἡ ἀκολουθία; πολλὴ μὲν οὖν καὶ ἐνταῦθα. ἐπειδὴ γὰρ εἶπεν, ἐξαπόστειλον τὴν χεῖρά σου, καὶ ἐξελοῦ με, καὶ σκόρπισον ἐκείνους, ἐπαγγέλλεται καὶ ἀμείβεσθαι τῆς συμμαχίας αὐτὸν ἀμοιβήν· ἐκείνῳ μὲν οὐδὲν πλέον ποιοῦσαν, τοῖς δὲ εἰσφέρουσι τὴν ἀμοιβὴν τὸ κέρδος φέρουσαν.

non ex lingua, nec ex genere: sed ex anima, & mentis sententia. Ita enim maximè homo est, quādo plenè & perfectè tenet dogmata, & vitam agit, quæ sapientiæ studio conueniat. Sed videamus deinceps quomodo hos descripsit alienos Propheta quoque dicens: Eripe me de manu filiorum alienorum.

8. *Quorum os locutum est vanitatem, & dextera eorum dextera iniquitatis.* Vidisti quósnam dicat alienos: eos qui viuunt in scelere, eos qui amant iniquitatem, eos qui stulta loquuntur, eos qui nihil dicunt vtile. Agnosce ergo alienos, ab ore, à factis: quemadmodum Christus quoque dicit, A fructibus eorum cognoscetis eos. Sicut enim in castris multa dantur signa & symbola, vt si quando noctu præliari contigerit, vel sublatus puluis, vt nox videatur effecerit, vel aliqua alia confusio & perturbatio euenerit, ne socium suū aspiciat tanquam hostem, & hostem tanquam socium: etiam signa dat nobis hic Propheta: per quæ poteris discernere propinquum & alienum, vtpote ex iis quæ loquitur: ex iis, quæ facit, dicens: Quorum os loquutum est vanitatē, & dextera eorum dextera iniquitatis. Nunc enim est bellum, & pugna, & prælium nocturnum crudelissimum, dæmonibus ferientibus, desideriis insidiantibus, & ratiocinationibus insurgentibus. Sunt etiam inter eos qui sunt mysteriis initiati, sua signa & symbola: & si dubitantes scire volumus, an quis sit prophanus, an mysteriis initiatus, ea rogantes discamus: Dextera eorum dextera iniquitatis. Quid igitur possit hoc esse grauius, quando quæ data est nobis ad auxilium, eam ad insidias cōuertimus? Ideo enim habemus dexteras, vt & nobisipsis & aliis iniuria affectis opem feramus, vt scelera de medio tollamus, vt iis quibus vis & damnum affertur, simus portus & refugium. Quomodo ergo eis venia dabitur, qui his armis vtuntur non ad salutem, sed ad aliorum perniciem? 9. *Deus canticum nouū cantabo tibi.* Quænam est rursus hæc consequentia? Maxima quoque hîc est. Quoniam enim dixit, Emitte manum tuam, & eripe me, & disperge ipsos, profitetur se quoque ei daturum remunerationem auxilij, ex qua nihil quidem commodi accipiat cui datur, sed quæ ei qui illam offert, plurimum affert emolumenti.

DDD ij

Alieni qui.

Matt 7. 16. *Confirmat similis.*

Ephes. 6. 1. Petr. 5. Rom. 7. Gal. 6.

Proximis nostris auxilio esse debemus.

Quænam autem ea est? Deus, canticum nouum cantabo tibi. Si autem hoc est paruum, collatum cum magnitudine beneficij: atqui dedit id quod habuit. Nam nos quoque à pauperibus, & qui nihil possident, nihil aliud requirimus, quàm laudem, & gratum animum, & accepti memorem beneficij. Sed nos quidem vt euadamus clariores: Deus autem, non quòd opus habeat, sed vt eos qui canunt, efficiat clariores, & ea ratione eos rursus beneficio afficiat. *In psalterio decachordo psallam tibi.* Hoc est, Agam tibi gratias. Sed tunc quidem erant instrumẽta per quæ cantica emittebant, nunc autem pro instrumentis possumus vti corpore. Possumus enim per oculos canere, non autem per linguam tantum: & per manus & per pedes, & per aures. Quando enim vnumquodque eorum ea facit quæ Deo gloriam & honorem afferũt, vtpote quando oculus non impudicè respexerit: quando manus non ad rapinam sed ad eleemosynam se extenderint: quando ad Psalmos & auditiones spiritales suscipiendas aures paratæ fuerint: quando pedes ad ecclesiam cucurrerint: quando cor non dolos struit, sed charitate scatet, fiunt psalterium & cithara membra corporis, & canunt nouum canticum, non verbis solis, sed etiam rebus ipsis. 10. *Qui dat salutem regibus.* Neque enim castra, & multitudo militum, nec satellites, custodésque corporis, sed Dei auxilium consueuit seruare. *Qui redimit Dauid seruum suum.* Non dixit autem, Qui redemit: sed, Qui redimit: ostendens perpetuam eius prouidentiam. Deinde rursus petit ea quæ prius petierat, assiduè rogans & supplicans vt liberetur ab improbis hominibus: sic dicens: 11. *De gladio maligno eripe me. Et erue me de manu filiorum alienorum: Quorum os locutum est vanitatem: & dextera eorum dextera iniquitatis.* 12. *Quorum filij sicut nouellæ plantationes in iuuentute sua.* Describit hic prosperitates mundanas & diuitias: & ponit id quod est primum, habere filios florentes, & iuueniliter exultantes, eósque vtriusque sexus. Subiunxit ergo: *Filiæ eorum compositæ, circumornatæ vt similitudo templi.* Hîc vnà cum iuuentute multum luxum ostendit, & vittas earum, & mundum muliebrem describit, & quæ quidem oriuntur ex magna prosperitate.

Deus curà nobis laudari velit. Iob 22. Act. 17.

Membra nostra vt Dei laudes canant.

Prosperitates mundanæ. Filios habere, prosperũ apud mundanos.

A τίς δὲ αὕτη ἐστίν; ὁ Θεός, ᾠδὴν καινὴν ᾄσομαί σοι. εἰ γὰρ μικρὸν τοῦτο πρὸς τὸ μέγεθος τῆς εὐεργεσίας, ἀλλ' ὅπερ εἶχεν. ἐπεὶ καὶ ἡμεῖς παρὰ τῶν πενήτων οὐδὲν κεκτημένων, οὐδὲν ἕτερον ἐπιζητοῦμεν, ἀλλ' ἢ εὐφημίαν καὶ εὐγνωμοσύνην. ἀλλ' ἡμεῖς μέν, ἵνα λαμπρότεροι γενώμεθα· ὁ δὲ Θεὸς οὐκ ἐπειδὴ δεῖται, ἀλλ' ἵνα αὐτοὺς τοὺς ᾄδοντας λαμπροτέρους ἐργάσηται, καὶ ταύτῃ πάλιν αὐτοὺς εὐεργετήσῃ. ἐν ψαλτηρίῳ δεκαχόρδῳ ψαλῶ σοι, τουτέστιν, εὐχαριστήσω σοι. ἀλλὰ τότε μὲν ὄργανα ἦν, δι' ὧν τὰς ᾠδὰς ἀνέφερον· νυνὶ δὲ ἀντὶ ὀργάνων χρῆσθαι B ἔστι τῷ σώματι. ἔστι γὰρ καὶ διὰ τῶν ὀφθαλμῶν ᾄδειν, οὐ διὰ γλώττης μόνον· καὶ διὰ χειρῶν, καὶ διὰ ποδῶν, καὶ διὰ ἀκοῆς. ὅταν γὰρ καθ' ἕκαστον τούτων ταῦτα πράττῃ, ἃ τῷ Θεῷ φέρει δόξαν καὶ αἶνον οἶδεν, ὅταν μὴ ἀκόλαστα ὀφθαλμὸς βλέπῃ, ὅταν μὴ πρὸς ἁρπαγὰς αἱ χεῖρες, ἀλλὰ πρὸς ἐλεημοσύνην ὦσι τεταμέναι, ὅταν πρὸς ψαλμῶν, καὶ πνευματικῶν ἀκουσμάτων ὑποδοχὴν ὦσιν αἱ ἀκοαὶ παρεσκευασμέναι· ὅταν πρὸς ἐκκλησίαν οἱ πόδες τρέχωσιν, ὅταν ἡ καρδία δόλους μὴ ῥάπτῃ, ἀλλὰ ἀγάπην βρύῃ, γίνεται ψαλτήριον καὶ κιθά- C ρα τοῦ σώματος τὰ μέλη, καὶ ᾄδει καινὴν ᾠδήν, οὐ τὴν διὰ ῥημάτων, ἀλλὰ τὴν διὰ πραγμάτων. τῷ διδόντι τὴν σωτηρίαν τοῖς βασιλεῦσιν. οὐ γὰρ στρατόπεδα καὶ πλήθη στρατιωτῶν, οὐδὲ σωματοφύλακες, ἀλλ' ἡ τοῦ Θεοῦ ῥοπὴ σώζειν εἴωθε. τῷ λυτρουμένῳ Δαβὶδ τὸν δοῦλον αὐτοῦ. εἰπὼν τὸ κοινόν, λέγει καὶ τὸ καθ' ἑαυτόν. καὶ οὐκ εἶπε τῷ λυτρωσαμένῳ, ἀλλὰ τῷ λυτρουμένῳ, διηνεκῆ δεικνὺς αὐτοῦ τὴν πρόνοιαν. εἶτα πάλιν αἰτεῖ, ἅπερ ἔμπροσθεν ᾔτησε, συνεχῶς προσαιτῶν καὶ παρακαλῶν, ὥστε ἀπαλλαγῆναι D πονηρῶν ἀνθρώπων οὕτω λέγων, ἐκ ῥομφαίας πονηρᾶς ῥῦσαί με, καὶ ἐξελοῦ με ἐκ χειρὸς υἱῶν ἀλλοτρίων, ὧν τὸ στόμα ἐλάλησε ματαιότητα, καὶ ἡ δεξιὰ αὐτῶν δεξιὰ ἀδικίας. ὧν οἱ υἱοὶ αὐτῶν ὡς νεόφυτα ἱδρυμένα ἐν τῇ νεότητι αὐτῶν. τὰς εὐπραγίας ἐνταῦθα διαγράφει τὰς κοσμικὰς καὶ τὸν πλοῦτον, καὶ τίθησιν, ὅπερ ἐστὶ πρῶτον, τὸ παῖδας ἔχειν σφριγῶντας, καὶ ἀκμάζοντας, καὶ ἐξ ἑκατέρας τῆς φύσεως. ἐπήγαγε γοῦν· αἱ θυγατέρες αὐτῶν κεκαλλωπισμέναι, περικεκοσμημέναι ὡς ὁμοίωμα ναοῦ. μετὰ τῆς νεότητος, τὴν πολλὴν χλιδὴν ἐνδείκνυται καὶ τὰ κρήδεμνα αὐτῶν, καὶ τὸν γυναικεῖον ὑπογράφει κόσμον, ἅπερ ἐκ πολλῆς εὐημερίας γίνεται.

ἔπειτα ὃ δεύτερον εἶναι δοκεῖ, τάχα δὲ νῦν ἐστι πρῶτον, πάλιν τὸν πλοῦτον ὑπογράφει λέγων, τὰ ταμιεῖα αὐτῶν πλήρη, ἐξερευγόμενα ἐκ τούτου εἰς τοῦτο. τί ἐστιν ἐρευγόμενα; στενοχωρούμενα, ἀχώρητός ἐστι τοῖς ταμιείοις ὁ πλοῦτος φησι. τὰ πρόβατα αὐτῶν πολυτόκα, πληθύνοντα ἐν ταῖς ἐξόδοις αὐτῶν. οἱ βόες αὐτῶν παχεῖς. καὶ αὕτη δὲ οὐ μικρὰ εὐπραγία ἐδόκει εἶναι. παρὰ γὰρ τοῖς παλαιοῖς ἐν τούτοις ὁ πλοῦτος ἦν, ἐν βουκολίοις, καὶ ποιμνίοις, καὶ σπέρμασι, πρὶν ἢ τὴν βλακείαν εὑρεθῆναι τὴν νῦν. οὐκ ἔστι κατάπτωμα φραγμοῦ οὐδὲ διέξοδος, τουτέστι, πολλῆς ἀπολαύει καὶ τὰ γεώργια φυλακῆς, πολλῆς τῆς ἐπιμελείας, πολλῆς τῆς σπουδῆς, κομώντων τῶν καρπῶν, τῶν φραγμῶν ἑστώτων, τῆς ἀμπέλου φυτευομένης πάντοθεν, καὶ περιτειχιζομένης, οὐδὲ κραυγὴ ἐν ταῖς πλατείαις αὐτῶν. ἄλλος, ἐν ταῖς ἐπαύλεσιν αὐτῶν. ἄλλο εὐημερίας εἶδος. ὅπερ οὐ πᾶσι συγκεκλήρωται πλούτου, τουτέστιν, εἰρήνη καὶ ἄδεια, καὶ ἀσφάλεια, οὐδεὶς ὁ ἐπιβουλεύων, οὐδεὶς ὁ πολεμῶν, ἀλλ' οὐδὲ θόρυβος οὐδὲ ταραχή. ἐμακάρισαν τὸν λαὸν ᾧ ταῦτά ἐστι. μακάριος ὁ λαὸς οὗ κύριος ὁ Θεὸς αὐτοῦ. εἶδες ἀρετὴν ἀνδρός; τὴν γὰρ ἅπασαν τὸν πλοῦτον, καὶ ἐπελθὼν αὐτὸν τῷ λόγῳ, εἶτα τὴν ψῆφον τῶν πολλῶν παραθεὶς τὴν περὶ αὐτῶν αὐτός, οὐδὲν ἐκ τούτων ἀνθρώπινον πάσχει, οὐδὲ ζηλωτοὺς εἶναι νομίζει τοὺς ταῦτα κεκτημένους, ἀλλὰ πάντα παραδραμὼν ἐπὶ τὸν ἀληθῆ θησαυρὸν, τὸν μακαρισμὸν ἐκτείνει. οἱ μὲν γὰρ ἄλλοι, φησὶν, ἐμακάρισαν τοὺς ταῦτα ἔχοντας· ἐγὼ δὲ μακαρίζω τὸν λαὸν οὗ κύριος ὁ Θεὸς αὐτοῦ. ἐν τούτῳ πᾶσαν αὐτῶν τὴν εὐπορίαν ἐνδειξάμενος, τὴν εὐθηνίαν τῶν ἀγαθῶν, τὸν πλοῦτον. ἐκεῖνα μὲν γὰρ παραρρεῖ καὶ παρέρχεται, οὗτος δὲ ὁ μακαρισμὸς μένει διηνεκῶς, ἀντὶ προβάτων, ἀντὶ παίδων, ἀντὶ βοῶν, ἀντὶ φραγμοῦ, ἀντὶ ἀμπελῶνος ὁ τοῦ Θεοῦ μακαρισμὸς μέλλων εἶναι καὶ πλοῦτος, καὶ ἀσφάλεια, καὶ τεῖχος ἀκαταγώνιστον. ταῦτα τοίνυν ἀκούοντες, μηδενὶ τούτων θορυβεῖσθε· ἀλλὰ τὰς σκιὰς παρατρέχοντες, τῆς ἀληθείας ἀντέχεσθε. καὶ γὰρ προλαβὼν εἶπεν, ὅτι ἄνθρωπος ματαιότητι ὡμοιώθη, καὶ αἱ ἡμέραι αὐτοῦ ὡσεὶ σκιὰ παράγουσιν. ἂν τοίνυν ἅπασι τούτοις ἴδῃς τινὰς περιρρεομένους καὶ πονηρίᾳ συζῶντας, κἂν ἡ οἰκουμένη αὐτοὺς μακαρίζῃ, ταλάνιζε, τοὺς ἀθλίους εἶναι νόμιζε· τοὺς δὲ ἀνακειμένους τῷ Θεῷ ζηλωτοὺς εἶναι καὶ μακαρίους, καὶ ἡμεῖς ἀεὶ πάντες ζητῶμεν τὸν πλοῦτον,

A Deinde quod videtur esse secundum, fortasse autem nunc est primum, diuitias rursus describit dicens. 13. *Promptuaria eorum plenæ, eructantia ex hoc in illud.* Quid est, eructantia ex hoc in illud? Angusta promptuaria, inquit, non possunt capere diuitias. *Oues eorum fœtosæ, abundantes in egressibus suis.* 14. *Boues eorum crassæ.* Hæc quoque non videbatur parua fœlicitas. Apud antiquos enim in his consistebant diuitiæ, in armentis, gregibus, & seminibus, priùs quàm inuenta esset, quæ nunc est inertia & mollities. *Non est ruina maceriæ, neque transitus.*

Gen. 3. Iob 1.

B Hoc est, In agris colendis magna adhibetur cura, diligentia, & studium, cum fructus luxurient, sepes stent, vinea vndique consita sit & munita. *Neque clamor in plateis eorum.* Alius, In atriis eorum. Aliud genus prosperitatis, quod non accidit omnibus diuitiis, nempe pax, tranquillitas, & securitas, nullus qui paret insidias, nullus qui bellum gerat, sed nec tumultus vllus, nec perturbatio. 15. *Beatum dixerunt populum, cui hæc sunt. Beatus populus, cuius Dominus Deus eius.* Vidisti viri virtutem? Postquam om-

C nem virtutem adduxit, & eam verbis persecutus est, & deinde vulgi de ea re sententiam attulit, ex his nihil ei humani accidit, nec eos esse beatos existimat qui hæc possident, sed hic omnibus prætermissis, ad verum thesaurum suam extendit beatitudinem. Alij, inquit, eos qui hæc habent, beatos esse dixerunt: Ego autem beatum existimo populum, cuius est Dominus Deus eius: hoc vno ostēdens omnem fœlicitatem, omnes bonorum copias, omnes opes. Illa enim præterfluunt & prætereunt, hæc verò beatitudo manet per-

Esa. 40. 1. Petr. 1. Eccles. 31. Luc. 1.

D petuò, cùm pro ouibus, & filiis, & bobus, & sæpe, & vinea, Dei sit beatitudo futura & diuitiæ, & securitas, & murus inexpugnabilis. Cùm ea ergo auditis, nullo eorum perturbemini: sed vmbras prætercurrentes, veritatem apprehendite. Prius enim dixit hominem assimilatum esse vanitati, & dies eius tanquam vmbram præterire. Si videris ergo aliquos his omnibus affluentes, in scelere vitam agere: etiamsi vniuersus terrarum orbis eos beatos iudicet, tu eos esse infœlices & miseros existima: eos autem qui se Deo dedicarunt, fœlices & beatos reputa. Nos autem omnes eas semper diuitias quæramus,

& hanc beatitudinem: vt & præsentia bona & futura consequamur gratia & misericordia domini nostri Iesu Christi: cui gloria & potentia in secula seculorum, Amen.

A καὶ τοῦτον τὸν μακαρισμόν· ἵνα καὶ τῶν παρόντων καὶ τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

IN PSALMVM CXLIV.

Exaltabo te Deus meus rex: & benedicam nomini tuo in seculum, & in seculum seculi.

B

HIC Psalmus est diligentissimè attendẽdus. Hic est enim qui habet hæc verba, quæ qui sunt mysteriis initiati, assiduè concinunt: Oculi omnium in te sperant, & tu das cibum eorum in tempore opportuno. Qui enim filius factus est, & mensa spiritali fruitur, meritò patrem gloria & honore affecerit. Filius enim, inquit, C glorificat patrem, & seruus dominum suum timebit. Factus es filius, & mensa spirituali frueris, comedens carnem & sanguinem eius, qui te regenerauit: refer itaque gratiam pro tanto beneficio, & eum qui hæc præbuit, gloria & honore affice: & verba legens, compone mentem ad ea quæ dicuntur: & cùm dicis, Exaltabo te Deus meus, rex meus, ostende magnam familiaritatem & coniunctionem, vt de te etiam dicat Deus, sicut & de Abraham, Isaac, & Iacob, Ego sum Deus Abraham, Deus Isaac, & Deus Iacob. D Si dicas enim Deus meus & rex meus, nec voce dicas tantùm, sed hanc etiam ostendas charitatem, ipse quoque hæc de te dicet, Seruus meus & famulus meus. quod etiam de Mose dictum est, Et benedicam nomini tuo in seculum, & in seculum seculi. Vidisti quomodo ostendit vitæ futuræ prooemia. Benedictionem autem hic ostendit, non quæ fit per verba, sed quæ per res ipsas. Ita ergo exaltatur Deus, ita benedicitur.

Malach. 1. 6.

Attende Zuingliane.

Rex meus iuxta 70.

Exod. 3.

Iosu. 1.

Benedictio per res ipsas.

Εἰς τὸν ρμδʹ ψαλμόν.

Ὑψώσω σε ὁ Θεός μου, ὁ βασιλεύς μου, καὶ εὐλογήσω τὸ ὄνομά σου, εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

ΜΕΤΑ ἀκριβείας πολλῆς μάλιστα προσέχειν ἄξιον τῷ ψαλμῷ. οὗτος γάρ ἐστιν ὁ τὰ ῥήματα ἔχων ταῦτα, ἅπερ οἱ μεμυημένοι συνεχῶς ὑποψάλλουσι, λέγοντες, οἱ ὀφθαλμοὶ πάντων εἰς σὲ ἐλπίζουσι, καὶ σὺ δίδως τὴν τροφὴν αὐτῶν ἐν εὐκαιρίᾳ. ὁ γὰρ γενόμενος υἱὸς καὶ τραπέζης ἀπολαύων πνευματικῆς, δοξάζειν δίκαιος ἂν εἴη, τὸν πατέρα. υἱὸς γάρ, φησι, δοξάζει τὸν πατέρα, καὶ δοῦλος τὸν κύριον αὐτοῦ φοβηθήσεται. γέγονας υἱὸς καὶ τραπέζης ἀπολαύων πνευματικῆς σιτούμενος τὰς σάρκας καὶ τὸ αἷμα τὸ ἀναγεννῆσαν σε· ἀπόδιδου τοίνυν τῆς τοσαύτης εὐεργεσίας τὴν ἀμοιβὴν, καὶ δόξαζε τὸν τοιαῦτα παρεσχηκότα, καὶ ἀναγινώσκων τὰ ῥήματα, ῥύθμιζέ σου τὴν γνώμην πρὸς τὰ λεγόμενα· λέγων ὑψώσω σε ὁ Θεός μου, ὁ βασιλεύς μου πολλὴν ἐπιδείκνυσο τὴν οἰκείωσιν, ἵνα καὶ περὶ σοῦ λέγῃ ὁ Θεός, ὥσπερ καὶ περὶ τοῦ Ἀβραάμ, καὶ τοῦ Ἰσαάκ, καὶ τοῦ Ἰακώβ· ἐγὼ ὁ Θεὸς Ἀβραάμ, καὶ Ἰσαάκ, καὶ Ἰακώβ. ἂν γὰρ σὺ λέγῃς ὁ Θεός μου, ὁ βασιλεύς μου, καὶ μὴ λέγῃς μόνον, ἀλλὰ καὶ τὴν ἀγάπην ἐπιδείξῃς τοιαύτην, καὶ αὐτὸς τὰ αὐτὰ ἐρεῖ περὶ σοῦ, ὁ δοῦλός μου, καὶ ὁ θεράπων μου. ὃ καὶ περὶ τοῦ Μωϋσέως εἴρηται, καὶ εὐλογήσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. εἶδες καὶ τῆς μελλούσης ζωῆς τὰ προοίμια πῶς ἐνδείκνυται; εὐλογίαν δὲ ἐνταῦθα λέγει οὐ τὴν διὰ τῶν ῥημάτων, ἀλλὰ καὶ τὴν διὰ τῶν πραγμάτων. οὕτω γοῦν καὶ ὑψοῦται Θεός, οὕτω καὶ εὐλογεῖται.

τοῦτο καὶ ἐν τῇ ψυχῇ κελευόμεθα λέγειν, ἁγιασθήτω τὸ ὄνομά σου, τουτέστι, δοξασθήτω. καθ' ἑκάστην ἡμέραν εὐλογήσω σε, καὶ αἰνέσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. ἕτερος, εἰς αἰῶνα διηνεκῶς. τοῦτο μάλιστα ψυχῆς εὐλαβοῦς τὸ τῶν βιωτικῶν ἀπαλλαγεῖσαν πραγμάτων, τοῖς ὕμνοις ἀνακεῖσθαι. καὶ γὰρ αἰσχρὸν ἂν εἴη τὸν λογικὸν ἄνθρωπον, καὶ τῶν ὁρωμένων ἁπάντων τιμιώτερον ἔλαττον τῆς κτίσεως φέρειν κατὰ τὸν τῆς εὐφημίας λόγον. οὐκ αἰσχρὸν δὲ μόνον, ἀλλὰ καὶ ἄτοπον. πῶς δὲ οὐκ ἄτοπον; εἴγε αὐτὴ μὲν καθ' ἑκάστην ἡμέραν καὶ ὥραν ἀναπέμπει τῷ δεσπότῃ δοξολογίαν. οἵ τε γὰρ οὐρανοί, φησι, διηγοῦνται δόξαν Θεοῦ, ποίησιν δὲ χειρῶν αὐτοῦ ἀναγγέλλει τὸ στερέωμα. ἡμέρα τῇ ἡμέρᾳ ἐρεύγεται ῥῆμα, καὶ νὺξ νυκτὶ ἀναγγέλλει γνῶσιν. ἥλιός τε καὶ σελήνη καὶ ὁ ποικίλος τῶν ἄστρων χορός, καὶ τῶν ἄλλων ἁπάντων ἡ εὐταξία τὸν οἰκεῖον κηρύττει δημιουργόν. ὁ τοίνυν ἁπάντων τούτων τιμιώτερος, μὴ ποιῶν τοῦτο, ἀλλὰ καὶ βίον περιέχων δι' ὃν τὴν βλασφημίαν περιστρέφεται τῷ ποιήσαντι αὐτὸν Θεῷ, ποίας ἄρα ἔσται συγγνώμης ἄξιος ὁ τοιοῦτος; τίνος δὲ ἀπολογίας, ὅταν διὰ τοῦτο γενόμενος, ἵνα ἀρέσῃ τῷ φιλανθρώπῳ Θεῷ, καὶ τῆς βασιλείας ἀπολαύσῃ τῶν μελλόντων, τούτου μὲν μὴ πολλὴν ποιῆται τὸν λόγον, πραγματείαις δὲ βιωτικαῖς καὶ μερίμναις ἑαυτὸν κοσμικαῖς περιβάλλῃ; ἀλλ' οὐχ οὗτος τοιοῦτος, ἀλλὰ διὰ παντὸς τοῦ βίου αἶνον ἀνέφερε τῷ Θεῷ τὸν διὰ τῶν ῥημάτων, τὸν διὰ τῶν πραγμάτων. καὶ γὰρ πολλῶν ἐσμεν ὀφειλέται αὐτῷ, ὅτι τε οὐκ ὄντας ἐποίησεν, καὶ ὅτι τοιούτους εἰργάσατο, ὅτι γενομένους διακρατεῖ, καὶ ὅτι καθ' ἑκάστην προνοεῖ τὴν ἡμέραν καὶ κοινῇ, καὶ ἰδίᾳ, καὶ λάθρα, καὶ φανερῶς, καὶ εἰδότων, καὶ οὐκ εἰδότων. τί γὰρ ἄν τις τὰ ὁρώμενα, ἃ δι' ἡμᾶς ἐποίησε τῆς διακονίας αὐτῶν, ἣν παρέχεται, τοῦ σώματος τὴν διάπλασιν, τῆς ψυχῆς τὴν εὐγένειαν, τὴν καθ' ἑκάστην ἡμέραν οἰκονομίαν, τὴν διὰ τῶν θαυμάτων, τὴν διὰ τῶν νόμων, τὴν διὰ τῶν τιμωριῶν, τὴν ποικίλην αὐτοῦ πρόνοιαν, καὶ ἀκατάληπτον, τὸ κεφάλαιον τῶν ἀγαθῶν ὅτι οὐδὲ τοῦ μονογενοῦς ἐφείσατο δι' ἡμᾶς, τὰ δοθέντα ἤδη διὰ τοῦ βαπτίσματος, διὰ τῶν μυστηρίων τὰ μέλλοντα δοθήσεσθαι, τὰ ἀπόρρητα ἀγαθὰ ἐκεῖνα, τὴν βασιλείαν, τὴν ἀνάστασιν, τὴν λῆξιν, τὴν πάσης μακαριότητος γέμουσαν; ἂν γὰρ ἕκαστόν τις τούτων

A Ita etiam iubemur dicere in precatione: Sanctificetur nomen tuum, hoc eſt, glorificetur. 2. *Per ſingulos dies benedicam tibi, & laudabo nomen tuum in ſeculum ſeculi.* Alius, In æuum, perpetuò. Hoc eſt imprimis pij animi, à rebus quæ ad victum pertinent, liberatum, ſe hymnis & laudibus dedicare. Turpe enim fuerit, vt homo qui eſt compos rationis, & omnibus quæ videntur præſtantior, ſit creatura in Dei laudibus inferior: non ſolùm autem turpe, verum etiam abſurdum. Quomodo autem non abſurdum? ſiquidem ipſa quotidie atque B adeò ſingulis horis emittit Domino glorificationem. Cœli enim, inquit, enarrant gloriã Dei, & opera manuum eius annunciat firmamẽtum. Dies diei eructat verbum, & nox nocti indicat ſcientiam. Sol, & luna, & varius aſtrorum chorus, & pulcherrimus ordo cæterorum omnium, ſuum prædicat opificem. Qui eſt ergo his omnibus præſtantior, ſi hoc non faciat, ſed etiam ſua vita Deum qui eum creauit, maledictis impetat, quomodo erit is dignus vlla venia, aut quámnam poterit afferre ſui defenſionem, cùm qui ideo factus eſt, C vt Deo placeat, & regnum futurum conſequatur, eius quidem nullam ducat rationem, ſed negotiis ſecularibus curiſque mundanis ſe implicet? At hic non talis, ſed per totam vitam offerebat Deo laudes, non ſolùm verbis, ſed rebus ipſis. Deo enim multa debemus, quòd & cùm non eſſemus fecerit, & quòd tales creauerit, & factos regat & contineat, & quòd quotidie tam priuatim quàm communiter prouideat, noſtríque curam gerat, ídq. clam & apertè, nobíſque & ſcientibus & neſcientibus. Quid enim opus eſt dicere ea, quæ D ſub aſpectum cadunt, quæ propter nos fecit, quòd ipſa præbent miniſterium, corporis compoſitionem, animæ nobilitatem, quotidianam eius œconomiam & adminiſtrationem, per miracula, per leges, per ſupplicia, variam, & quæ comprehẽdi non poteſt, eius prouidentiam, bonorum omniũ ſummam, quòd ne filio quidem ſuo pepercit propter nos, quæ iam data ſunt per baptiſmum, per ſacramenta, quæ danda ſunt bona illa ineffabilia, regnũ, reſurrectionem, hæreditatem plenam omni beatitudine? Si quis enim vnumquodque eorum

Matth. 6. 9

Chald. in ſecula ſeculorum.

Pſ. 18. 2.

Homo cui factus.

Coloſſ. 1. 1. Theſſ. 2.

Gen. 1. Sap. 6. 12. Matt. 6.

Dei in nos beneficia.

Rom. 8.

enumeret, & incidet in ineffabile pelagus beneficiorum, & videbit quot nominibus sit benigno Deo obnoxius. Non solum autem propter hæc, sed etiam propter maiestatem eius gloriæ, propter substantiam ab omni interitu alienam. Nã etiã propter eam debetur ei à nobis gloria & benedictio, & perpetua gratiarũ actio, cultus & ministeriũ assiduũ. Hoc ipsum ergo Propheta quoque significans, dicebat: 3. *Magnus Dominus, & laudabilis nimis: & magnitudinis eius non est finis.* Quoniam enim dixit, Benedicam, & laudabo, ostendit eum non egere nostris laudibus nec benedictionibus, nec eius gloriæ aliquid accedere à laudib. eorũ qui ministrant. Eius enim substantia, quæ est ab interitu aliena, & nullius indiga, nullo eget alio. Qui autem ipsum laudant, ipsi euadunt clariores. Non solùm autem propter hoc, sed etiam propter excellentem eius gloriam debetur ei à nobis laudatio, & ideo hoc significans, dixit, Magnus Dominus, & laudabilis nimis. Hoc est, Nullius indigens. Quid est, Laudabilis? Dignus qui laudibus, encomiis, & hymnis celebretur. Non est autem solùm laudabilis, sed valde laudabilis: & ideo hoc adiecit: Cùm autem quàm sit laudabilis, verbis non posset exprimere, subiunxit, Et magnitudinis eius nõ est finis. Quod quidam alius interpres dixit, Inuentio. Quod autem dicit, est eiusmodi: Quoniam magnum habes dominum, sis quoque tu excelsus, & te explica à rebus quæ ad hanc vitam pertinent. Sume spiritus qui superent præsentium rerum humilitatem, non vt sis elato animo & insolens, sed magno & excelso animo. Aliud enim arrogantia aut insolentia, & aliud magnitudo animi. Est enim arrogans, qui propter res paruas se iactat & gloriatur, & conseruos despicit. Alto verò est animo, qui mente est humilis, & præsentis vitæ pompas nihil esse existimat. Vbi nunc sunt qui dicunt se Deum ita nosse, sicut ipse seipsum nouit? Audiant Prophetam dicentem, Magnitudinis eius non est finis, & erubescant.

4. *Generatio & generatio laudabit opera tua.* Quod facere consueuit, hic quoque facit. Quando enim laudauit eius magnitudinem, & gloriam: venit etiam ad eius ostendenda opera. Hoc ipsum hic quoque facit, & dicit: Generatio

1. Tim. 6.

Hebr. inquisitio, inuentio. Chald. finis.

Arrogans. Alto animo qui sit.

A καὶ λέγῃ, εἰς πέλαγος ἄφατον ἐμπεσεῖται εὐεργεσιῶν, καὶ ὄψεται πόσων ἐστὶν ὑπεύθυνος τῷ φιλανθρώπῳ Θεῷ. οὐ διὰ ταῦτα δὲ μόνον, ἀλλὰ καὶ διὰ τὸ μεγαλεῖον τῆς δόξης αὐτοῦ, διὰ τὴν ἀκήρατον οὐσίαν. καὶ γὰρ καὶ διὰ ταύτην ὀφείλεται αὐτῷ παρ' ἡμῶν αἶνος, καὶ εὐλογία, καὶ διηνεκὴς εὐχαριστία, καὶ λατρεία, καὶ διακονία συνεχής. τοῦτο γοῦν αὐτὸ δηλῶν καὶ ὁ προφήτης μέγας κύριος φησὶ καὶ αἰνετὸς σφόδρα, καὶ τῆς μεγαλωσύνης αὐτοῦ οὐκ ἔστι πέρας. ἐπειδὴ γὰρ εἶπεν, εὐλογήσω καὶ αἰνέσω, δείκνυσιν ὅτι οὐ B χρείαν ἔχει τῶν παρ' ἡμῶν αἴνων, οὐδὲ τῶν εὐλογιῶν, οὐδὲ προστίθεται αὐτοῦ τι τῇ δόξῃ παρὰ τῆς τῶν διακονουμένων εὐφημίας. ἀκήρατος γὰρ αὐτοῦ ἡ οὐσία, καὶ ἀνενδεὴς οὖσα οὐδενὸς ἑτέρου προσδεῖται. οἱ δὲ αἰνοῦντες αὐτὸν αὐτοὶ λαμπρότεροι γίνονται. οὐ διὰ τοῦτο δὲ μόνον, ἀλλὰ καὶ διὰ τὸ ὑπερέχον αὐτοῦ τῆς δόξης ὀφείλεται αὐτῷ εὐφημία παρ' ἡμῶν. διὸ καὶ τοῦτο δηλῶν εἶπε, μέγας κύριος, καὶ αἰνετὸς σφόδρα, τουτέστιν, οὐδενὸς δεόμενος. τί ἐστιν αἰνετός; εὐφημιῶν ἄξιος, ἐγκωμίων, καὶ ὕμνων, καὶ οὐχ ἁπλῶς αἰνετὸς, ἀλλὰ καὶ σφόδρα· διὸ καὶ τοῦ- C το προσέθηκε. πόσον δὲ αἰνετὸς, οὐ δυνάμενος παραστῆσαι τῷ λόγῳ, ἐπήγαγε· καὶ τῆς μεγαλωσύνης αὐτοῦ οὐκ ἔστι πέρας. ὅπερ ἕτερος ἑρμηνευτὴς ἐξεύρεσις εἶπεν. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν. ἐπεὶ μέγαν ἔχεις δεσπότην, γενοῦ καὶ σὺ ὑψηλὸς, καὶ τῶν βιωτικῶν ἀπαλλάγηθι πραγμάτων. λάβε φρόνημα ἀνώτερον τῆς ταπεινότητος τῶν παρόντων, οὐχ ἵνα ἀπονενοημένος γένῃ, καὶ ἀλαζὼν, ἀλλ' ἵνα μεγαλόφρων καὶ μεγαλόνους. ἕτερον γὰρ ἀλαζονεία, καὶ ἕτερον μεγαλοψυχία. ἀλαζὼν μὲν γάρ ἐστιν ὁ ἐ- D πὶ τοῖς μικροῖς κομπάζων, καὶ τῶν ὁμοδούλων ὑπερορῶν. ὑψηλὸς δὲ ὁ ταπεινὸς τὴν διάνοιαν καὶ τὰς φαντασίας τοῦ παρόντος βίου οὐδὲν εἶναι νομίζων. ποῦ νῦν εἰσὶν οἱ λέγοντες, οὕτως εἰδέναι τὸν Θεὸν, ὡς αὐτὸς ἑαυτὸν οἶδεν; ἀκουέτωσαν τοῦ προφήτου λέγοντος, τῆς μεγαλωσύνης αὐτοῦ οὐκ ἔστι πέρας, καὶ αἰσχυνέσθωσαν. γενεὰ καὶ γενεὰ ἐπαινέσει τὰ ἔργα σου. ὅπερ ἔθος αὐτῷ ποιεῖν, τοῦτο καὶ ἐνταῦθα ἐργάζεται. ὅταν γὰρ αὐτοῦ θαυμάσῃ τὴν μεγαλωσύνην, τὴν δόξαν, ἔρχεται καὶ ἐπὶ τὴν ἔργων ἀπόδειξιν. τὸ αὐτὸ δὴ καὶ ἐνταῦθα ποιεῖ, καὶ λέγει· γενεὰ καὶ γενεὰ

ἐπαινέσει τὰ ἔργα σου, δεικνὺς ἀπὸ τῶν ἔργων αὐτοῦ τὴν μεγαλωσύνην. τουτέστιν, οὐκ ἐν ἑνὶ χρόνῳ γέγονε μόνον, καὶ παρῆλθεν, οὐδὲ ἐν δύο καὶ τρισὶν ἔτεσιν, ἀλλὰ παντὶ παρεκτείνεται τῷ παρόντι αἰῶνι, ὥστε ἑκάστην γενεὰν θεωρεῖν αὐτοῦ τὰ δημιουργήματα. τοῦτο γάρ ἐστι γενεὰ καὶ γενεά, ἥτε οὖσα φησίν, ἥτε ἐπιοῦσα, ἥτε μετ' ἐκείνην, καὶ ἡ μετὰ ταύτην πάλιν, καὶ ἑκάστη τῶν ἐπιουσῶν. ἥτε κτίσις πάλιν παντὶ ὁμοίως τῷ χρόνῳ παρεκτείνεται τούτῳ, οἷον οὐρανός, γῆ, θάλασσα, ἀήρ, λίμναι, πηγαί, ποταμοί, σπέρματα, φυτά, βοτάναι, καὶ ἡ ἐκ τούτων εὐεργεσία, φύσεως δρόμος μηδέποτε διακοπτόμενος, ὑετοί, τροπαὶ διηνεκῶς χορεύουσαι, νύξ, ἡμέρα, ἥλιος, σελήνη, τὰ ἄστρα, τὰ ἄλλα πάντα, ἔτι τε τὰ τούτων χωρὶς ἃ καὶ καθ' ἑκάστην γίνεται γενεάν, καὶ ἰδίᾳ καὶ κοινῇ, πρὸς διόρθωσιν, πρὸς εὐεργεσίαν τοῦ κοινοῦ τῶν ἀνθρώπων γένους, οἷα ἐπὶ τῶν Ἰουδαίων γέγονε συνεχῶς θαύματα, σημεῖα, πρόνοια, ἡ ἐν εὐετηρίᾳ, οἱ ἐν ταῖς νίκαις τῶν πολέμων, ἡ ἐν τοῖς ἄλλοις ἅπασιν, οἷα ἐπὶ τῆς παρουσίας τοῦ Χριστοῦ, ἐπὶ τῶν ἀποστόλων, ἐπὶ τοῦ καιροῦ τῶν διωγμῶν πλείονα καὶ πολὺ τῶν παλαιῶν διαφέροντα κατὰ μέγεθος, οἷα καὶ ἐπὶ τῆς γενεᾶς τῆς ἡμετέρας. καὶ γὰρ οὐκ ἔστι χρόνος οὐδεὶς καὶ τούτων ἐκτὸς τῶν κοινῶν, ὁ μὴ φέρων τῆς αὐτοῦ προνοίας σημεῖον. καὶ τὴν δύναμίν σου ἀπαγγελοῦσι. καὶ διὰ τῶν εὐεργεσιῶν, φησι, καὶ διὰ τῶν κολάσεων. οὐ γὰρ διαλιμπάνει παντὶ τρόπῳ τὰ ὑπὲρ τῆς φύσεως τῆς ἡμετέρας οἰκονομῶν ὁ Θεὸς διὰ παντὸς τοῦ χρόνου, τὴν μεγαλοπρέπειαν τῆς δόξης τῆς ἁγιωσύνης σου λαλήσουσι, καὶ τὰ θαυμάσιά σου διηγήσονται. ἕτερος ὡραιότητα τοῦ ἐπαίνου σου, καὶ τοὺς λόγους τῶν παραδόξων σου διηγήσονται). ἐπειδὴ εἶπε δύναμιν, δείκνυσι καὶ αὐτὴν μεθ' ὑπερβολῆς οὖσαν δύναμιν. οὐδὲ γὰρ ἁπλῶς οὐδὲ τὰ τυχόντα εἰργάζετο, ἀλλ' οὕτω πάντα θαυματουργοῦσα, καὶ παραδοξοποιοῦσα διετέλει, ὑπὲρ τὴν φύσιν ἐργαζομένη τὴν ἀνθρωπίνην, ὡς καὶ θαύματος καὶ δόξης πλήρη τὰ γινόμενα εἶναι. ἐννόησον γοῦν τὰ ἐν Αἰγύπτῳ, τὰ ἐν Παλαιστίνῃ, τὰ ἐπὶ τοῦ Ἀβραάμ, τὰ ἐπὶ τοῦ Ἰσαάκ, τὰ ἐπὶ τοῦ Ἰωσήφ, πάλιν τὰ ἐν Αἰγύπτῳ, τὰ ἐπὶ τοῦ Μωϋσέως, τὰ ἐν τῇ ἐρήμῳ, τὰ μετὰ τὴν εἴσοδον, πάλιν τὰ ἐν τῇ αἰχμαλωσίᾳ,

& generatio laudabit opera tua, ostendens magnitudinem eius ex operibus. Hoc est, Non vno solum tempore facta sunt & præterierunt, neque in duobus aut tribus annis, sed per vniuersum præsens seculum extenduntur, ita vt vnaquæque generatio eius opera contempletur. Hoc est enim, generatio & generatio. Et quæ est, inquit, & quæ sequitur, & quæ post illam futura est, & quæ rursus post eam, & vnaquæque earum quæ sequuntur, & rursus creatura, quæ hoc omni tempore similiter extenditur, nempe cœlum, terra, mare, aër, lacus, fontes, fluuij, semina, plantæ, herbæ, & quæ ex eis capiuntur beneficia, naturæ cursus qui nunquam interrumpitur, imbres, & temporum vicissitudines constanti & certo ordine assiduè procedentes, nox, dies, sol, luna, astra, alia omnia, & quæ præter hæc quotidie fiunt & priuatim & cõmuniter ad corrigendum & beneficio afficiẽdum vniuersum genus hominum, quæ assiduè Iudæis eueniebant miracula, signa, prouidentia in frugum prouentibus, prouidentia in victoria aduersus hostes, prouidẽtia quæ est in aliis omnibus, qualia fuerunt in aduentu Christi, qualia tempore Apostolorum, qualia tempore persecutionum, quæ quidem fuerunt antiquis longè plura & maiora, qualia etiã nostra hac generatione. Nullum est enim tempus, quod etiam præter hæc communia non ferat signum eius prouidentiæ. *Et potentiam tuam pronunciabunt.* Et per beneficia, inquit, & per supplicia. Nõ cessat enim omni ratione Deus omni tẽpore nostrę naturę prospicere. 5. *Magnificentiam gloriæ sanctitatis tuæ loquentur, & mirabilia tua narrabunt.* Alius, Pulchritudinem laudis tuæ, & verba mirabilium tuorum narrabunt. Postquam dixit potentiam, ostendit etiam eam potentiam esse insignem & eximiam. Neque enim leuiter & temerè, neque qualiacunque fecit, sed omnia tam admirabilia & tam incredibilia perpetuò fecit, plusquam capere posset humana natura operans, vt quæ fiant, sint plena miraculo & gloria. Considera ergo quæ in Ægypto, quæ in Palæstina facta sunt, tempore Abrahæ, Isaac, & Ioseph. Rursus quæ in Ægypto tempore Mosis, quæ in solitudine, quæ post exitum. Rursus quæ in captiuitate,

Opera Dei, eius prouidentiam laudantia.

Hebr. decorem gloriæ laudis tuæ.

quæ sub Nabuchodonosor, quæ in fornace, quæ in leonibus, quæ in reditu, quæ in Prophetis. Hæc enim omnia prædicabant eius qui fecit, virtutem, gloriam, maiestatē, afferentia magnum stuporem & admirationem. 6. *Et virtutem terribilium tuorum dicent, & magnitudinem tuam narrabunt.* Per hæc ostendit esse perfectam eius potentiam & ad benefaciendum, & ad puniendum, & omnia quæ enumerata sunt, vtrumque complecti. Hoc autem potest videri non solum in iis quæ tunc euenerunt, sed etiam in creaturis, & vtriusque beneficij multa esse instrumenta, vtpote rerum quidem terribilium fulgura, tonitrua, fulmina, igneos turbines, niues, grandinem, rubiginem, gelu, incendia, inundationes: porro autem in reptilibus, dracones, scorpios, serpētes. In volucribus autem, locustam, & in iis quæ sunt abiecta & vilia, cynomyiam, erucam: quæ ipsa quoque sunt prouidentiæ, & quæ homines conuertant, à socordia liberent, à profundo somno excitent, à veterno ad vigilantiam traducant. Non solum autem in his, sed etiam in cōtrariis est virtus eius perfecta. Et ideo cùm nos hæc vellet docere, postquam dixit, Virtutem terribilium tuorum dicent, subiunxit,

Pestiferæ ac noxia, etiā Dei sunt prouidētia.

7. *Memoriam abundantiæ suauitatis tuæ eructabunt.* Alius, Bonitatis tuæ. *Et iustitia tua exultabūt.* Quod alius dixit interpres, Et misericordias tuas laudabunt. Nos autem quemadmodum terribilia enumerauimus: ita etiam necesse est dicamus eorum contraria, vtpote in iis quæ videntur, & quæ circa nos sunt, annuas temporum vicissitudines, dies, hortos, prata, flores varios, aquam dulcem & potabilem, commoda quæ capiuntur ex imbribus, terræ partus, varios flores, diuersas arbores, suaues ventos, solarem radium, lunarem lampadem, varium astrorum chorum, quietam & tranquillam noctem. Et in brutis, oues & boues, & capras: & in feris, capreas, ceruos, lepores, & alia plurima: & in volucribus, aues canoras. Quin etiam in ipsis operibus videri potest non solùm puniens, sed longè etiam ampliùs beneficio afficiens quàm puniens. Et illa quidem facit terroris gratia: & si ea aliquando reuera intentauerit, id facit

Heb. multa bonitatis tuæ: idē & Chald.

Beneficia magis Deus nobis affert quam supplicia.

A τὰ ἐπὶ τοῦ Ναβουχοδονόσορ, τὰ ἐπὶ τῆς καμίνου, τὰ ἐπὶ τῶν λεόντων, τὰ ἐπὶ τῆς ἐπανόδου, τὰ ἐπὶ τῶν προφητῶν. ταῦτα γὰρ πάντα ἀνεκήρυττε τοῦ ποιοῦντος τὴν ἰσχύν, τὴν δόξαν, τὴν μεγαλωσύνην, πολλήν τε τὴν ἔκπληξιν, καὶ πολὺ τὸ θαῦμα περιεχόμενα. καὶ τὴν δύναμιν τῶν φοβερῶν σου ἐροῦσι, καὶ τὴν μεγαλωσύνην σου διηγήσονται. δείκνυσι διὰ τούτου ὅτι πρὸς ἑκάτερα ἀπηρτισμένη ἡ ἰσχὺς αὐτοῦ, καὶ πρὸς εὐεργεσίαν, καὶ πρὸς τιμωρίαν, καὶ ὅτι τὰ ἀπαριθμηθέντα ἅπαντα ἑκάτερα τούτων εἶχε. B πλὴν τοῦτο οὐκ ἐπὶ τῶν τότε συμβάντων, ἀλλὰ καὶ ἐπὶ τῆς κτίσεως ἔστιν ἰδεῖν, καὶ ἑκάτερα τῆς εὐεργεσίας πολλὰ ὄντα τὰ ὄργανα, οἷον τῶν μὲν φοβερῶν, ἀστραπάς, βροντάς, σκηπτούς, πρηστῆρας, λιμούς, χιόνας, χάλαζαν, ἐρυσίβην, πάγον, πυρώσεις, ἐπικλύσεις· ἐν τοῖς ἑρπετοῖς δὲ δράκοντας, σκορπίους, ὄφεις, καὶ ἐν τοῖς πετεινοῖς ἀκρίδα, καὶ ἐν τοῖς εὐτελέσι κυνόμυιαν, κάμπην, ἅπερ δὴ μάλιστα καὶ αὐτὰ προνοίας ἐστὶν ἐπιστρέφοντα τοὺς ἀνθρώπους, ἀπαλλάττοντα ῥᾳθυμίας, ἀφυπνίζοντα τοῦ βαθέος ὕπνου, ἀπὸ τοῦ κάρου πρὸς νῆψιν ἄγοντα. οὐκ ἐν τούτοις δὲ μόνον, ἀλλὰ καὶ C ἐν τοῖς ἐναντίοις ἡ δύναμις αὐτοῦ ἀπηρτισμένη. διὸ καὶ περὶ τούτων ἡμᾶς διδάξαι βουλόμενος εἰπών, τὴν δύναμιν τῶν φοβερῶν σου ἐροῦσι, ἐπήγαγε, μνήμην τοῦ πλήθους τῆς χρηστότητός σου ἐξερεύξονται. ἄλλος, ἀγαθοσύνης σου, καὶ τῇ δικαιοσύνῃ σου ἀγαλλιάσονται. ὅπερ ἕτερος ἑρμηνευτὴς εἶπε, καὶ τὰς ἐλεημοσύνας σου εὐφημήσουσιν. ἡμεῖς δὲ ὥσπερ ἀπηριθμησάμεθα ἐκεῖνα, τὰ φοβερά, οὕτω καὶ τὰ ἐναντία τούτων ἀναγκαῖον εἰπεῖν οἷον ἐπὶ τῶν ὁρωμένων, καὶ περὶ ἡμᾶς τροπὰς ἐτησίους ἡμέρας, παραδείσους, λειμῶνας, ἄν- D θη ποικίλα, ὕδωρ πότιμον καὶ γλυκύ, καὶ τὸ ἐκ τῶν ὑετῶν χρήσιμον, τῆς γῆς τὰς ὠδῖνας, τοὺς ποικίλους καρπούς, τὰ δένδρα τὰ διάφορα, τοὺς ἀνέμους τοὺς προσηνεῖς, τὴν ἡλιακὴν ἀκτῖνα, τὴν σεληναίαν λαμπάδα, τὸν ποικίλον τῶν ἄστρων χορόν, τὸ προσηνὲς τῆς νυκτός, καὶ ἐπὶ τῶν ἀλόγων, πρόβατα, καὶ βοῦς, καὶ αἶγας, καὶ τῶν ἀγρίων δορκάδας, καὶ ἐλάφους, λαγωούς, καὶ ἕτερα πλείονα, καὶ ἐπὶ τῶν πετεινῶν τοὺς ὄρνις τοὺς ᾠδικούς, καὶ ἐν τοῖς ἔργοις αὐτοῖς ἴδοι τις ἂν οὐ κολάζοντα μόνον, ἀλλὰ καὶ εὐεργετοῦντα πολλῷ πλέον ἢ κολάζοντα. τὰ μὲν οὖν φόβου ἕνεκεν ποιεῖ· εἰ δὲ καί ποτε πεῖραν ἐπαγάγοι,

διὰ τὴν πολλὴν ἀναισθησίαν τῶν οὐ διορθουμένων τῷ φόβῳ. τούτοις δὲ ἐμφιλοτιμεῖται, καὶ μέχρι τῆς πείρας αὐτὰ παράγει, οὐκ εἰς ἀξίους μόνον, ἀλλὰ καὶ εἰς ἀναξίους. ποικίλλων τοίνυν ἡμῶν τὴν σωτηρίαν, ποτὲ μὲν ταῦτα, ποτὲ δὲ ἐκεῖνα ἐργάζεται, πλεονάκις δὲ ἐκεῖνα, ἐπειδὴ καὶ ἐκεῖνα βούλεται μόνα. διὰ γὰρ τοῦτο καὶ γέενναν ἠπείλησεν οὐχ ἵνα ἐπαγάγῃ, ἀλλ' ἵνα μὴ ἐπαγάγῃ· καὶ τὴν μὲν τῷ διαβόλῳ παρεσκεύασεν. πορεύεσθε γάρ, φησιν, εἰς τὸ πῦρ τὸ ἡτοιμασμένον τῷ διαβόλῳ· τὴν δὲ βασιλείαν ἀνθρώποις, δεικνὺς ὅτι οὐ βούλεται ἄνθρωπον εἰς γέενναν ἐμβαλεῖν. οἰκτίρμων καὶ ἐλεήμων ὁ κύριος, μακρόθυμος καὶ πολυέλεος. χρηστὸς κύριος τοῖς σύμπασι, καὶ οἱ οἰκτιρμοὶ αὐτοῦ ἐπὶ πάντα τὰ ἔργα αὐτοῦ. ὁρᾷς καὶ τὸν προφήτην τούτοις ἐνδιατρίβοντα τοῖς χρηστοτέροις, καὶ ἐπιδαψιλευόμενον τῷ λόγῳ. καὶ γὰρ οἶδε σαφῶς ἐν τούτοις ὄντα μάλιστα τοῦ Θεοῦ τὸν πλοῦτον. οὐδὲ γὰρ ἦν σωθῆναι, μὴ πολλῆς οὔσης αὐτοῦ τῆς φιλανθρωπίας. οὐκ ἦν μεῖναι μὴ πολλῆς ἀπολαύοντας τῆς ἀγαθότητος. διὸ καὶ αὐτὸς ἔλεγεν· ἐγώ εἰμι ὁ ἐξαλείφων τὰς ἀνομίας σου, καὶ ἐν ταῖς ἁμαρτίαις σου περιέστην σου. οἰκτίρμων καὶ ἐλεήμων ὁ κύριος. ὅρα πῶς δείκνυσιν αὐτοῦ ἄφατον τὴν φιλανθρωπίαν. οὐ γὰρ ἐλεεῖ μόνον ἁμαρτάνοντας, ἀλλὰ καὶ ἕτερον εἶδος τῆς φιλανθρωπίας οὐ μικρὸν ἐπιδείκνυται τὸ μακρόθυμον, ὥστε αὐτοὺς εἰς μετάνοιαν ἐλθεῖν, καὶ μετὰ τῆς αὐτοῦ φιλανθρωπίας, καὶ ἀπὸ τῆς οἰκείας σωθῆναι σπουδῆς, καὶ τὴν ἀπὸ τῶν κατορθωμάτων παρρησίαν ἔχειν. οὐχ ἁπλῶς δὲ ἐλεήμων, ἀλλὰ καὶ πολυέλεος εἶπε, δεικνὺς ὅτι τὸ πολὺ τοῦτο μετρηθῆναι οὐκ ἔνι, ἀλλὰ πάντα ὑπερβαίνει λόγον. διὰ γοῦν τῶν ἑξῆς καὶ τὸ ἐγχωροῦν αὐτῷ ἐνεδείξατο, ἐπαγαγὼν καὶ εἰπών· χρηστὸς κύριος τοῖς σύμπασι, καὶ οἱ οἰκτιρμοὶ αὐτοῦ ἐπὶ πάντα τὰ ἔργα αὐτοῦ. τί ἐστι, τοῖς σύμπασι; καὶ τοῖς ἁμαρτωλοῖς, φησι, καὶ τοῖς ἐν παρανομίαις ζῶσιν. οὐ γὰρ δὴ μόνον οἱ δίκαιοι, οὐδὲ οἱ κατορθοῦντες, οὐδὲ οἱ μετανοοῦντες· ἀλλὰ καὶ πάντες, δι' ὧν πάσχουσιν ἀνακηρύττουσιν αὐτοῦ τὸν ἔλεον καὶ τὴν χρηστότητα. κἂν μέ τις ἔρηται τίνι χρηστὸς ἐγένετο, ἐρῶ· οὐχὶ τῷ Ἄβελ μόνον, ἀλλὰ καὶ τῷ Κάϊν. οὐχὶ τῷ Νῶε μόνον καὶ τοῖς ἐκείνου παισίν, ἀλλὰ καὶ τοῖς ὑπὸ τοῦ καταποντισμοῦ κατακλυσθεῖσι. πάντα γὰρ ἀπὸ φιλανθρωπίας ἐργα-

propter eos qui sunt adeò sensus expertes, vt metu non corrigantur. In his autem est munificus & splendidus, hisque reipsa afficit non solùm dignos, sed etiam indignos. Varians ergo nostram salutem, aliquando quidem hæc, aliquando verò illa facit, & hæc quidem sæpius quàm illa, quoniam hæc sola vult. Propterea enim gehennam minatus est, non vt eam infligeret, sed ne infligeret: & illam quidem parauit diabolo: Ite enim, inquit, in ignem, qui paratus est diabolo: regnū autem hominibus, ostendens se nolle hominem intrudere in gehennam. 8. *Misericors & miserator Dominus, & patiens & multùm misericors. Suauis Dominus vniuersis, & miserationes eius super omnia opera eius.* Vides prophetam immorari his melioribus, & prolixiori vti oratione. Nouit enim Dei opes in his maximè consistere. Neque enim licuisset conseruari, nisi magna fuisset eius clementia: non licuisset manere, nisi eius magnam essemus, experti bonitatem. Et ideo dicebat: Ego sum qui deleo iniquitates tuas, & in tuis peccatis te defendi. Miserator & misericors Dominus. Vide quomodo ostēdit ineffabilem eius clementiam. Non solùm enim miseretur eorum qui peccant, sed etiā aliud ostendit non paruū genus clementiæ, nempe lenitatem & patientiam, vt veniant ad pœnitētiam, & cum eius clementia à suo quoque conseruentur studio & diligentia, & ex suis factis fiduciam habeant. Non est autem solummodo misericors, sed etiā multùm misericors, ostendens hanc multitudinem non posse mēsura comprehendi, sed nec vllo explicari sermone. Sed tamē per ea quæ deinceps consequuntur, quoad eius fieri potuit, ostendit, cùm subiunxit & dixit: Suauis Dominus vniuersis, & miserationes eius super omnia opera eius. Quid est, Vniuersis? Etiam peccatoribus, inquit, & iis qui viuunt scelestè. Non solùm enim iusti, & ij qui se rectè & ex virtute gerunt, aut qui ducūtur pœnitentia: sed etiam omnes, per ea quæ patiuntur, eius misericordiā prædicant & bonitatem. Et si quis me roget, cuinam fuit bonus, dicam: Non Abel soli, sed etiam Cain. Non soli Noë & eius liberis, sed iis etiam quos illa inundatio obruit. Quæcunque enim facit, procedunt à misericordia & clementia.

Gehenna terror.
Matth 10.
Matth. 25. 41.
Esa. 43.
Bonitas Dei in omnes.
Gen. 4. 8.
Cain puniti, ex benignitate Dei.

Et vt scias, quomodo sit in omnes bonus & clemens, illud hinc considera. Quantæ fuit quæso benignitatis, illum fratricidam, & qui cædem eiusmodi fecerat, & qui Dei leges conculcauerat, tradere supplicio, quod admonitio est potius quàm pœna? vt & per longitudinem temporis illum expiaret à peccato quod commiserat, & alios doceret & castigaret per ea quæ ille patiebatur. Quantæ erat, quæso, benignitatis, eos qui grauissima & nefanda quæ perpetrabant tempore diluuij, & nec minis, nec rationibus, nec vllo alio correcti fuerant, à scelere cohibere, & communi naturæ debito vti pro medicamento, & leuissimum mortis genus, nempe per aquam, infligere? Illud autem, Vniuersis, non in his solùm cernitur, sed etiam in omnibus quæ videntur, in animalibus, in brutis. Quinetiam si quis ad ipsos angelos ascenderit & archangelos, videbit plurimum benignitatis, & multam misericordiam: singulis enim in operibus multa relucet humanitas; quod ipse quoque animaduertens, subiunxit: 10. *Confiteantur tibi domine opera tua, & sancti tui benedicant tibi.* Hoc est, Gratias tibi agant, laudes emittant, & quibus sermonis decus datum est, & quæ vocem non habent. Etenim vnumquodque eorum quæ voce carent, ita factum est, vt per suam naturam benedictionem emittant, quamuis muta sint, per homines qui ea vident, & iis fruuntur. Et illa quidem per suam substantiam, homines autem per vitæ suæ institutionem, & per actionem. Et ideo id significat per hoc quod subiungit, dicens: Sancti tui benedicant tibi. Sanctos autem hîc vocat, qui Dei iussa implent, ad quos peccatis & sceleribus nullus datur aditus. 11. *Gloriam regni tui dicent.* Quid est, Gloriam dicent? Quòd nulla re indigeas, quòd sis benignus & clemens, quòd cùm iis quibus præes, nulla ex parte egeas, tantam ostendas in eos prouidentiam, quòd ad tuam lucem accedi nequeat; quòd sit substantia tua ineffabilis, & quæ comprehendi nequeat. *Et potentiam tuam loquentur.* Hoc est, vires canent insuperabiles. Non quòd tibi opus sit his hymnis & laudibus: sed propter ipsos qui dicunt, & vt alios doceant, & laudū

Mortis genus leuissimum, per aquam.

Daniel 3.

Muta res vt Deum benedicant.

Sancti.

Iob 11. 1.Tim.1. Coloss.3.

A ζεται. καὶ ἵνα μάθῃς, πῶς πᾶσίν ἐστι χρηστὸς, σκόπει ἐντεῦθεν. πόσης χρηστότητος ἦν εἰπέ μοι τὸ τὸν ἀδελφοκτόνον ἐκεῖνον, καὶ τοιαύτην τολμήσαντα σφαγὴν, καὶ τοῦ Θεοῦ καταπατήσαντα τοὺς νόμους παραδοῦναι τιμωρίᾳ, νουθεσίᾳ μᾶλλον, ἢ κολάσει οὔσῃ; ὥστε καὶ αὐτὸν ἐκεῖνον καθᾶραι διὰ τοῦ μήκους τοῦ κατὰ τὸν χρόνον τῆς ἁμαρτίας τῆς ἐγγενομένης, καὶ τοὺς ἄλλους δι' ὧν ἔπασχεν ἐκεῖνος. πόσης δὲ ἦν χρηστότητος εἰπέ μοι, τὸ τοὺς ἀνίατα νοσοῦντας ἐπὶ τοῦ κατακλυσμοῦ, καὶ μήτε ἀπειλαῖς, μήτε λόγοις, μήτε B ἄλλῳ μηδενὶ διορθωθέντας στῆσαι τῆς κακίας, καὶ τῷ κοινῷ χρέει τῆς φύσεως ἀντὶ φαρμάκου χρήσασθαι, καὶ τὸν κουφότατον αὐτοῖς ἐπαγαγεῖν θάνατον τὸν διὰ τῶν ὑδάτων; τὸ δὲ σύμπασιν, οὐκ ἐπὶ τούτων μόνον ἐστὶν ἰδεῖν, ἀλλὰ καὶ ἐπὶ τῶν ὁρωμένων ἁπάντων, ἐπὶ τῶν ζώων, ἐπὶ τῶν ἀλόγων· κἂν εἰς αὐτοὺς δὲ ἄν τις ἀναβῇ τοὺς ἀγγέλους, τοὺς ἀρχαγγέλους, πολλὴν ὄψεται τὴν χρηστότητα, πολλοὺς τοὺς οἰκτιρμούς. ἕκαστον γὰρ ἔργον πολλῆς ἀπολαύει φιλανθρωπίας. ὅπερ δὲ καὶ αὐτὸς συνιδὼν ἐπήγαγεν· ἐξομολογησάσθωσάν σοι κύριε πάντα τὰ ἔργα σου, καὶ ὅσιοί σου C εὐλογησάτωσάν σε. τουτέστιν, εὐχαριστείτωσάν σοι, ἀναπεμπέτωσάν σοι ὕμνους, οἵ τε λόγῳ τετιμημένοι, τά τε φωνὴν οὐκ ἔχοντα. καὶ γὰρ καὶ τῶν ἀφώνων ἕκαστον οὕτω γέγονεν, ὥστε εὐλογίαν ἀναπέμπειν διὰ τῆς οἰκείας φύσεως, κἂν ἄφωνα ᾖ διὰ τῶν ὁρώντων καὶ ἀπολαυόντων ἀνθρώπων. καὶ ἐκεῖνα μὲν διὰ τῆς οὐσίας τῆς αὐτῶν, ἄνθρωποι δὲ καὶ διὰ τῆς διαγωγῆς, καὶ διὰ τῆς πράξεως. διὸ καὶ τοῦτο δῆλον ποιεῖ διὰ τῆς ἐπαγωγῆς τοῦ, οἱ ὅσιοί σου εὐλογησάτωσάν σε. ὁσίους δὲ ἐνταῦθα τοὺς ἁγίους καλεῖ, τοὺς τὰ τοῦ Θεοῦ D προστάγματα πληροῦντας, τοὺς ἀβάτους ἁμαρτήμασι καὶ πονηρίᾳ. δόξαν τῆς βασιλείας σου ἐροῦσι. τί ἐστι, δόξαν ἐροῦσι; τὸ ἀνενδεὲς, τὸ φιλάνθρωπον, φησὶ, τὸ κηδεμονικὸν, τὸ μὴ δεόμενον τῶν ἀρχομένων, τὸ τοσαύτην περὶ αὐτοὺς ἐπιδείκνυσθαι πρόνοιαν, τὸ ἀπρόσιτον τοῦ φωτός· τὸ ἄρρητον τῆς οὐσίας, τὸ ἀκατάληπτον· καὶ τὴν δυναστείαν σου λαλήσουσι. τουτέστι, τὴν δύναμιν τὴν ἄμαχον, τὴν ἀχείρωτον ᾄσονται. οὐκ ἐπειδή σοι χρεία τούτων τῶν ὕμνων, καὶ τῆς εὐφημίας· ἀλλὰ δι' αὐτοὺς τοὺς λέγοντας, ὥστε καὶ ἑτέρους διδάξαι, καὶ ποιῆσαι τῆς εὐ-

τῆς εὐφημίας κοινωνούς. διὸ ἐπήγαγε τοῦ γνωρίσαι τοῖς υἱοῖς τῶν ἀνθρώπων τὴν δυναστείαν σου, καὶ τὴν δόξαν τῆς μεγαλοπρεπείας τῆς βασιλείας σου. δείκνυσι διὰ τούτων ὅτι διὰ τὸ μαθεῖν ἑτέρους τὴν δυναστείαν αὐτοῦ τὰς εὐφημίας προσίεται. πολλὴ τοίνυν ἡ δύναμις, πολλὴ ἡ δόξα, πολλὴ ἡ εὐπρέπεια, πολλὴ καὶ ἄφατος, οὐ μόνον πάντα ὑπερβαίνουσα λόγον, ἀλλὰ καὶ πάντα νικῶσα νοῦν. ἀλλ' ἡ πολλὴ καὶ ἄφατος αὕτη χρείαν ἔχει τῶν διδασκόντων αὐτήν, διὰ τὴν ἄνοιαν τῶν πολλῶν. ἐπεὶ καὶ ἥλιος φανότατόν ἐστιν ἄστρον, καὶ ὅμως οἱ τὰ ὄμματα νοσοῦντες οὐχ ὁρῶσιν αὐτοῦ τὸ φῶς· οὕτω δὴ καὶ ἡ τοῦ Θεοῦ πρόνοια ἡλίου μὲν παντός ἐστι φαιδροτέρα, ἀλλ' οἱ τοὺς λογισμοὺς διεστραμμένοι, καὶ βεβυσμένοι τὰς ἀκοὰς πολλῆς δέονται τῆς ἐπιμελείας, ὥστε ἀνοιγῆναι αὐτῶν τὴν διάνοιαν. δεῖ τοίνυν συνεχῶς αὐτοῖς ἐνηχεῖν, καὶ ἐνιέναι τὴν περὶ τούτων διδασκαλίαν. εἶτα ἐπειδὴ εἶπε δόξαν βασιλείας καὶ μεγαλοπρέπειαν, καὶ μὴ διασαφήσας παρέδραμε, πάλιν ἀναλαμβάνει, καὶ λέγει κατὰ τὸ ἐγχωροῦν αὐτῷ, τί ἐστιν ἡ δόξα, ἐπαγαγών· ἡ βασιλεία σου, βασιλεία πάντων τῶν αἰώνων. οὐ τῶν παρόντων μόνον, φησίν, ἀλλὰ καὶ τῶν ἐρχομένων· ἀτελεύτητος γὰρ καὶ ἄπειρος, καὶ μόνη τὸ ἀΐδιον ἔχουσα. καὶ ἡ δεσποτεία σου ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ. ὅρα αὐτῆς κἀντεῦθεν τὸ ἀτελεύτητον. πανταχοῦ τῆς οἰκουμένης, πανταχοῦ τῶν αἰώνων, πανταχοῦ τῶν χρόνων ἐκτέταται. πιστὸς κύριος ἐν πᾶσι τοῖς λόγοις αὐτοῦ, καὶ ὅσιος ἐν πᾶσι τοῖς ἔργοις αὐτοῦ. εἰπὼν τῆς βασιλείας τὸ ἀτελεύτητον, τὸ βέβαιον, τὸ πάγιον, τὸ ἀκίνητον, λέγει καὶ τῶν λόγων αὐτοῦ τὸ στερρόν. τὸ γὰρ πιστὸς τουτέστιν ἀληθής. εἰ δὲ πιστός, πάντως ἔσται τὰ εἰρημένα παρ' αὐτοῦ. ὥσπερ δὲ ἡ βασιλεία αὐτοῦ ἀδιάπτωτος καὶ πέρας οὐκ ἔχουσα· οὕτω καὶ οἱ λόγοι αὐτοῦ στερροὶ βεβηκότες. οὔτε οὖν ἐκείνη ποτὲ διακόπτεται, οὔτε οὗτοι διαπίπτουσιν. εἰ δὲ οὐ διαπίπτουσι δεῖ πάντως ἀκολουθῆσαι τὰ ἔργα. εἰ δέ πού τι καὶ εἶπε καὶ οὐ γέγονε, καὶ τοῦτο τῆς ἀληθείας αὐτοῦ ἀπόδειξις. πέρας γὰρ λαλήσω ἐπὶ ἔθνη καὶ βασιλείαν, τοῦ κατασκάπτειν καὶ ἐκριζοῦν· καὶ ἐὰν μετανοήσωσιν ἐπὶ τῇ κακίᾳ, μετανοήσω κἀγὼ ἐφ' οἷς ἐλάλησα ποιῆσαι αὐτοῖς. καὶ ἐπὶ τῶν ἀγαθῶν ὁμοίως. χρηστὰ διαλέξομαι, φησί, κἂν μεταβάλωνται, κἀγὼ μεταβαλῶ τὰ περὶ αὐτοὺς εἰρημένα.

faciant participes quam ob causam adiecit: 12. *Vt notam faciant filiis hominum potentiam tuam, & gloriam magnificentiæ regni tui.* Per hæc ostendit eum laudes admittere, vt alij eius cognoscant potentiam. Magna est ergo potentia magna gloria, magnum decus atque adeo ineffabile, quod non solùm omnem superat orationem, sed etiam vincit omnem mentem. Sed cùm tantum sit & tam ineffabile, opus habet iis qui id doceant propter multorum ignorantiam. Nam sol quoque est sydus longè clarissimum, & tamen qui oculis laborant, eius lucem non vident: Ita etiam Dei prouidentia est quidem quouis sole clarior, sed quibus peruersa est ratio, & quibus obstructæ sunt aures, magna diligentia opus habent, vt mens eorũ aperiatur. De his ergo doctrina est eorum auribus perpetuò infundẽda. Deinde quoniam dixit regni gloriã & magnificentiam, & cùm non satis eam explicasset, præteriit: rursus repetit, & quantum ei conceditur, dicit quid sit gloria: subiũgens, 13. *Regnum tuum, regnum omnium seculorum.* Non præsentium, inquit, solùm, sed eorum etiam qui veniunt: est enim interminatum, & infinitum, & quod solum habet æternitatem. *Et dominatio tua in omnem generationẽ & generationẽ.* Ex hoc vide eam nullũ habere finem. Per vniuersum orbem terræ, per omnia secula, per omnia tempora est extẽsa. *Fidelis Dominus in omnibus verbis suis, & sanctus in omnibus operibus suis.* Postquam dixit regnum esse infinitum, stabile, firmum, & immobile, dicit etiam quàm sint eius verba firma & illabefactabilia. Illud enim, Fidelis, est firmus & verus. Si est autem fidelis, erunt omnino, quæ ab eo dicta sunt. Quemadmodum autem eius regnum est immobile, & fine caret: ita etiam eius verba sunt firma & stabilia. Neque ergo illud vnquam interrumpitur: nec hæc vnquam excidunt. Si autem non excidunt, oportet ipsas res omnino cõsequi. Quòd si etiam alicubi dixit aliquid quod non factũ est, ipsum quoque eius veritatem indicat. Ad summam enim loquar super gentes & regnũ, vt diruam & eradicem: & si pœnitentiam egerint de vitio, ego quoque agam pœnitentiam de iis quæ locutus sum vt facerem eis. Et de bonis similiter. Bona disseram, inquit, & si mutati fuerint, ego quoque mutabo ea quæ de illis dicta sunt.

Esa. 64. 1. Cor. 2.

Dan. 3. Luc. 1.

Fidelis.

Hier. 18. 7.

EEE

Sanctus. Et sanctus in omnibus operibus suis. Quid est sanctus? Inculpatus, rectus, purus, mundus, ab omni reprehensione alienus, qui nullam vlli omnino præbet ansam. 14. *Alleuat Dominus omnes qui corruunt, & erigit omnes elisos.* Postquam de regno dixit id esse infinitum, de verbis ea esse vera, de factis ea non posse reprehendi: & de gloria & de magnificentia: dicit rursus de clementia id quoque, esse maximam regni sui gloriam, quòd non stantes solùm contineat, sed etiã qui sunt casuri, non permittat, vt id eis accidat, & qui iacent, erigat, & quod est magis admirabile, non huic aut illi, sed omnib. id faciat, licet sint serui, licet pauperes, licet obscuri, licet ex obscuris orti. Est enim omnium dominus, & nec eos qui iacent prætercurrit: nec eos qui labant despicit. Hoc facit cõmuniter in vniuersa natura, hoc etiã facit in vnoquoque. Quòd si qui ex iis qui iacent non surgunt, non in causa est qui vult erigere: sed qui nolunt surgere. Nam Iudam quoque, cùm cecidisset, voluit erigere: & vt surgeret, nihil non fecit, sed ille noluit. Dauid certè cùm cecidisset, erexit, & firmum validúmque reddidit. Petrum, cùm esset casurus, retinuit. Audi autẽ quomodo: Simon, Simon inquit, ecce expetiuit vos Satanas cribrare, tanquam triticum, & ego rogaui pro te, ne deficeret fides tua. Deinde dicit aliud quoque genus beneficij. Est enim varia & multiplex eius cura & prouidentia. 15. *Oculi omnium in te sperant Domine: & tu das escam illorum in tempore opportuno.* Vidisti quomodo ostenderit eum esse bonum omnibus, & miserationes eius esse super omnia opera eius? quemadmodum dictum est in Euangeliis: Qui solem suum oriri facit super malos & bonos, & pluit super iustos & iniustos, hoc hic etiam significat, cùm dicit, *Et tu das escam illorum in tempore opportuno.* Neque enim imbres terra & aër, sed eius iussus solet fructus producere. Illud autem in tempore opportuno, hoc significat. Omnia sunt certis definita temporibus, & diuersis vicissitudinibus omnia producuntur. Hoc enim maximè ostẽdit eius sapientiam, quòd non omnia simul & eodem tempore, sed per totum annum alimenta diuidat, vt quiescat agricola, & quæ gignuntur, non intereant. Illud ergo, In tempore opportuno,

Erigit firmat, sustentat.

Act. 10. Gal. 3. Rom. 11.

Matt. 26. Luc. 22. Ioan. 11. 2. Reg. 12.

Luc. 22 31.

Matt. 5. 45

Vicissitudines temporum ad quid.

A καὶ ὅσιος ἐν πᾶσι τοῖς ἔργοις αὐτοῦ. τί ἐστιν ὅσιος; ἄληπτος, ὀρθὸς, καθαρὸς, ἄμωμος, οὐδεμίαν ὑ-δεὶ παρέχων λαβήν. ὑποστηρίζει κύριος πάντας τοὺς καταπίπτοντας, καὶ ἀνορθοῖ πάντας τοὺς κατερραγμένους. εἰπὼν περὶ τῆς βασιλείας, ὅτι ἀπέραντος, περὶ τῶν λόγων, ὅτι ἀληθεῖς, περὶ τῶν πράξεων, ὅτι ἄληπτοι· περὶ τῆς δόξης, περὶ τῆς μεγαλοπρεπείας, λέγει πάλιν περὶ τῆς φιλανθρωπίας. ὃ δὴ αὐτοῦ μεγίστη δόξα τῆς βασιλείας αὐτοῦ, τὸ μὴ μόνον διακρατεῖν τοὺς ἑστῶτας, ἀλλὰ καὶ μέλλοντας καταπίπτειν μὴ ἐᾶν τοῦτο πα-B θεῖν, δὲ κειμένους ἀνιστᾶν, δὲ τὸ δὴ θαυμαστὸν, ὅτι δὴ πάντας, οὐ τὸν δεῖνα μόνον, ἀλλὰ πάντας, κἂν δοῦλοι, κἂν πένητες ὦσι, κἂν ἄσημοι, κἂν ἐξ ἀσήμων. πάντων γάρ ἐστι δεσπότης. δὲ οὐδὲ κειμένους παρατρέχει, οὐδὲ σαλευομένους ὑπερορᾷ. τοῦτο καὶ ἐπὶ τῆς κοινῆς φύσεως ἐποίησε· τοῦτο καὶ ἐφ᾽ ἑκάστου ἐργάζεται. εἰ δέ τινες τῶν κειμένων οὐκ ἀνίστανται, οὐ παρὰ αὐτὸν τὸν βουλόμενον ἀνορθῶσαι, ἀλλὰ παρ᾽ ἐκείνους τοὺς μὴ θέλοντας ἀναστῆναι. ἐπεὶ καὶ τὸν Ἰούδαν πεσόντα ἠβουλήθη ἀναστῆσαι, καὶ πρὸς τοῦτο πάντα εἰργάσατο, C ἀλλ᾽ ἐκεῖνος οὐκ ἠθέλησε. τὸν γοῦν Δαβὶδ πεσόντα διώρθωσε, καὶ ἰσχυρὸν ἐποίησε, τὸν Πέτρον μέλλοντα καταπίπτειν ἀνέστησε. καὶ ἄκουε πῶς· Σίμων, Σίμων φησὶν, ἰδοὺ ὁ Σατανᾶς ἐξῃτήσατο σινιάσαι ὑμᾶς, ὡς τὸν σῖτον· κἀγὼ ἐδεήθην περὶ σοῦ, ἵνα μὴ ἐκλίπῃ ἡ πίστις σου. εἶτα λέγει καὶ ἕτερον εὐεργεσίας εἶδος. ποικίλη γὰρ αὐτοῦ καὶ παντοδαπὴ ἡ κηδεμονία. οἱ ὀφθαλμοὶ πάντων εἰς σὲ ἐλπίζουσι, καὶ σὺ δίδως τὴν τροφὴν αὐτῶν ἐν εὐκαιρίᾳ. εἶδες πῶς ἔδειξεν, ὅτι χρηστὸς τοῖς σύμπασι, καὶ οἱ οἰκτιρμοὶ αὐτοῦ ἐπὶ πάντα τὰ ἔργα αὐτοῦ; ὅπερ ἐν τοῖς εὐαγγελίοις εἴρηται, ὅτι ἀνα-D τέλλει τὸν ἥλιον αὐτοῦ ἐπὶ πονηροὺς καὶ ἀγαθοὺς, καὶ βρέχει ἐπὶ δικαίους καὶ ἀδίκους, τοῦτο καὶ ἐνταῦθα ἐστὶν ᾐνίξατο τῷ εἰπεῖν· καὶ σὺ δίδως τὴν τροφὴν αὐτῶν ἐν εὐκαιρίᾳ. οὐ γὰρ ὑετὸς καὶ γῆ καὶ ἀὴρ, ἀλλὰ τὸ ἐπίταγμα αὐτοῦ τοὺς καρποὺς τελεσφορεῖν εἴωθεν. τὸ δὲ ἐν εὐκαιρίᾳ τοῦτο δηλοῖ, ὅτι καιροῖς πάντα διώρισται, καὶ ταῖς διαφόροις ἐξάγεται. καὶ τοῦτο γὰρ μάλιστα αὐτοῦ δείκνυσι τὴν σοφίαν, τὸ μὴ ὁμοῦ πάντα μηδὲ ὑφ᾽ ἓν, ἀλλὰ παρὰ πάντα τὸν ἐνιαυτὸν διῃρῆσθαι τὰ τῆς τροφῆς, ὥστε καὶ τὸν γηπόνον ἀναπαύεσθαι, καὶ τὰ γινόμενα μὴ διαφθείρεσθαι. τὸ τοίνυν ἐν εὐκαιρίᾳ,

ἢ ὅπερ ἔμπροσθεν εἴπομεν τοῦτό ἐστιν, ὅτι καιροῖς μεμέρισται ἕκαστα, ἢ ὅτι δεομένοις, καὶ χρήζουσι τὴν τροφὴν δίδως. καὶ πῶς, φησίν, οἱ ὀφθαλμοὶ πάντων εἰς σὲ ἐλπίζουσιν, εἶπε; καίτοι πολλοί εἰσιν αὐτόματα τὰ ὄντα λέγοντες, οἱ ἐν ἀσεβείᾳ ζῶντες. τοῦ πράγματος αὐτοῦ λέγει τὴν φύσιν ἐνταῦθα, ὥσπερ καὶ ἀλλαχοῦ ὅταν λέγῃ· τοῖς νεοσσοῖς τῶν κοράκων τοῖς ἐπικαλουμένοις αὐτόν, καίπερ ἀλόγιστα τὰ ζῶα ὄντα· καὶ πάλιν, σκύμνοι ὠρυόμενοι τοῦ ἁρπάσαι καὶ ζητῆσαι παρὰ τοῦ Θεοῦ βρῶσιν αὐτοῖς. καίτοι καὶ οὗτοι ἀλόγιστοι, καὶ οὐκ αὐτοὶ ζητοῦσιν· ἀλλὰ καὶ ἐνταῦθα πάλιν τοῦ πράγματος λέγει τὴν φύσιν. οὐ γὰρ ἀπὸ τῆς ἐκείνων προαιρέσεως, ἀλλ' ἀπὸ τῆς τῶν γινομένων φύσεως τοῦτο ῥητέον ἐστίν. ἀνοίγεις σὺ τὴν χεῖρά σου, καὶ ἐμπιπλᾷς πᾶν ζῶον εὐδοκίας. χεῖρα, τὴν ἐνέργειαν λέγει, καὶ τὴν χορηγητικὴν δύναμιν, διὰ πάντων σε παιδεύων εἰδέναι, ὡς οὐκ ἐν τοῖς στοιχείοις, ἀλλ' ἐν τῇ τοῦ Θεοῦ προνοίᾳ τῶν καρπῶν αἱ γοναί. ἢ καὶ τὸ εὔκολον δεικνὺς εἶπε τό, ἀνοίγεις σὺ τὴν χεῖρά σου. ἐπειδὴ γὰρ οἱ τότε μάλιστα τὸ πάντων αἴτιον ἀφέντες προσεκύνουν καὶ ἀέρα καὶ ἥλιον, καὶ ταῦτα ἐνόμιζον εἶναι τὰ παρέχοντα τοὺς καρπούς, ἀνάγων αὐτοὺς ἐπὶ τὴν ἀρχὴν τὴν ἄνω καὶ τὸν τούτων αἴτιον καὶ δεσπότην, συνεχῶς ταῦτα ἐπιλέγει, δεικνὺς ὅτι ἐκ τῆς ἐκείνου χειρὸς πάντα, ἐκ τῆς ἐκείνου κηδεμονίας ἐπιρρεῖ τὰ ἀγαθά. εὐδοκίας δὲ ἐνταῦθα ἐμπιπλᾷν λέγει, διότι ἕκαστον ζῶον πληροῖ τοῦ θελήματος αὐτοῦ, τοῦ ἀρέσκοντος αὐτῷ. οὐ γὰρ ἁπλῶς δίδωσι τροφήν, ἀλλὰ κατὰ τὸ χρήσιμον ἑκάστῳ, κατὰ τὴν ἐπιθυμίαν ἑκάστου, κατὰ τὸ πλῆρες. ὃ δὲ λέγει τοῦτό ἐστι· καὶ ἀλόγοις δίδως καὶ ἀνθρώποις καὶ πᾶσιν, ὡς ἑκάστῳ ἡδύ, ὡς ἑκάστῳ ἀρεστόν· καὶ οὐ δίδως μόνον, ἀλλὰ καὶ πληροῖς, ὡς μηδὲν εἶναι ἐνδέον. δίκαιος κύριος ἐν πάσαις ταῖς ὁδοῖς αὐτοῦ, καὶ ὅσιος ἐν πᾶσι τοῖς ἔργοις αὐτοῦ. ὁδοὺς ἐνταῦθα, τὰς οἰκονομίας λέγει, τὴν πρόνοιαν, τὴν κηδεμονίαν, δι' ἧς ἅπαντα διετύπωσε. πάντα γάρ, φησι, τὰ ἔργα αὐτοῦ ἐγκώμια, θαυμάτων γέμει, οὐδεμίαν οὐδενὶ παρέχοντα λαβήν, κἂν τινες μαίνωνται καὶ λυσσῶσι. τὰ τοίνυν ἔργα φύσει τοιαῦτα, ὡς ἀπολάμπειν, ὡς ἀποστίλβειν, ὡς ἀνακηρύττειν τοῦ πεποιηκότος τὴν πρόνοιαν, τὴν κηδεμονίαν, τὴν φιλανθρωπίαν, τὴν δικαιοσύνην, τὴν ὁσιότητα.

A vel id ſignificat quod antè diximus, fuiſſe ſingula ſuis diſpertita tẽporibus: vel eum dare cibum iis qui indigent, & laborant inopia. Et quomodo dixit, inquies, Oculi omnium in te ſperant? Atqui multi ſunt qui dicunt ea quæ ſunt, eſſe caſu, vt ij qui ſunt impij. Dicit hic ipſius rei naturam, quemadmodum etiam alibi, quando dicit, Pullis coruorum inuocantibus ipſum, etiam ſi ſint animantia rationis expertia. Et rurſus, Catuli leonum rugientes vt rapiant & quærant à Deo eſcam ſibi. Atqui hi quoque ſunt à ratione alieni, nec ipſi B quærunt. Sed hic quoque dicit rei naturam, nec ex illorum animi inſtituto, ſed ex eorum quæ fiunt natura hoc dicendum eſt. 16. *Aperis tu manum tuam, & imples omne animal benedictione.* Manum dicit operationem, & ſuppeditatricem facultatẽ: per omnia te docens, vt ſcias non in elementis, ſed in Dei prouidentia eſſe ſitas fructuũ generationes. Vel etiam oſtẽdens facilitatem, dicit illud, Aperis tu manum tuam. Quoniam enim qui tunc erant, principali cauſa relicta adorabant aërem & ſolem, & exiC ſtimabant ea eſſe illa quæ fructus præbebant: extollens eos ad supernũ principium, & eorum authorem & dominum, hæc frequenter adducit, oſtendens ex illius manu, id eſt ex illius cura & prouidẽtia omnia bona fluere. Bona autem volũtate implere hic dicit, quoniam implet vnumquodque animal voluntate ei placente. Non enim dat abſolutè alimentum, ſed prout eſt vnicuique vtile, pro vniuſcuiuſque deſiderio, quantum ad eum explendum ſatis eſt. Hoc eſt autem quod dicit: Et brutis, & hominibus, atque adeò omnibus das, vt D eſt vnicuique gratum, vt eſt cordi vnicuique: nec das ſolum, ſed etiã imples, ita vt nihil deſit, propterea dicit, Imples omne animal benedictione. 18. *Iuſtus Dominus in omnibus viis ſuis, & ſanctus in omnibus operibus ſuis.* Vias hic dicit eius œconomiam, prouidentiam, curationem, per quam omnia finxit ac conſtituit. Omnia, inquit, opera eius ſunt encomia plena miraculis, quæ nemini præbent vllam anſam reprehendendi, etſi nonnulli furiant, & rabie agitentur. Opera ergo eius talia ſunt naturâ, vt fulgeant, vt reſplendeant, vt eius qui fecit, curam, prouidentiam, clementiam, iuſtitiam, ſanctitatẽ annunciẽt.

Caſu mundus nõ ſtat. *Pſ. 146 9.* *Pſal. 103.*

Manus Dei.

Ira Dei.

18. *Propè est Dominus omnibus inuocantibus eum, omnibus inuocantibus eum in veritate.* Ecce etiam aliam prouidentiæ partem, quæ est caput bonorum. Postquam enim dixit, quæ in commune data sunt etiam infidelibus, vtpote alimenta & imbres: dicit etiam quæ priuatim fidelibus data sunt. Quænam autem ea sunt? Prope eos esse, hoc est, defendere, curam gerere, amplius eis prouidere, esse eis beneuolum, benignum, & proprium, & bona eis magis reuelare. 19. *Voluntatem timentium se faciet, & deprecationem eorum exaudiet, & saluos faciet eos.* Atqui dicit quispiam, Volebat Paulus angelum Satanæ ab eo recedere, hoc est, tentationes, afflictiones, insidias, & non fecit. Imò verò fecit. Postquam enim cognouit se petere minimè conducibilia, vt rursus vellet & vehementer vellet, à Dei procedebat officio. Et ideo dicebat: Mihi placeo in infirmitatibus, in afflictionibus, in persecutionibus. Si autem prius volebat contraria, volebat propter inscientiam. Postquam autem Deum hoc velle didicit, ipse deinceps lubenter acquiescit. Neque enim alia est Dei voluntas, & alia eorũ qui ipsum timent: & si ipsi quoque aliqua volunt vt homines, postea corriguntur.

Quòd commoda afflictiones.

2. Cor. 12. 7.

20. *Custodit Dominus omnes diligentes se: & omnes peccatores disperdet.* Hæc quoque est non parua pars prouidentiæ, conseruare, munire ac protegere, suam præbere prouidentiam. Peccatores autem dicit eos qui laborant morbo immedicabili, eos qui nolunt corrigi. Quòd si etiam aliquos eorũ, qui ipsum diligunt, sinit in mortem incidere, hæ quoque sunt partes custodientis. Quod in Abel quoque accidit. Etsi enim eorum corpora interierint, animo tamen clariores euaserunt: recipient autem etiã corpora interitui non obnoxia. Postquam ergo dixit species eius prouidentiæ, quantum ab eo dici poterant, communes, priuatas, & quæ sunt sanctorum, præcipuè eorum qui labant, curam eorum qui iacent, prouidentiam, patiẽtiam, peccatorum correctionem, sanctorum custodiam: laude rursus concludit orationem, & vniuersum orbem terræ vocat ad laudis communionem: 21. *Laudationem Domini loquetur os meum, & benedicat omnis caro nomini sancto eius in seculum & in seculum seculi.*

Peccatores qui.

Gen. 4.

1. Cor. 15.

ἐγγὺς κύριος πᾶσι τοῖς ἐπικαλουμένοις αὐτὸν ἐν ἀληθείᾳ. ἰδοὺ καὶ ἕτερον προνοίας μέρος, τὸ κεφάλαιον τῶν ἀγαθῶν. εἰπὼν γὰρ τὰ κοινῇ καὶ τοῖς ἀπίστοις δεδομένα, τὴν τροφήν, τοὺς ὑετούς, λέγει καὶ τὰ ἰδιάζοντα τοῖς πιστοῖς παρεχόμενα. τίνα δὲ ταῦτά ἐστι; τὸ ἐγγὺς αὐτῶν εἶναι, τουτέστιν, ἀντέχεσθαι, κήδεσθαι, προνοεῖν πολὺ μειζόνως ἐκείνων, εὔνουν αὐτοῖς εἶναι καὶ ἵλεων καὶ οἰκεῖον, μᾶλλον αὐτοῖς ἀποκαλύπτειν τὰ ἀγαθά. θέλημα τῶν φοβουμένων αὐτὸν ποιήσει, καὶ τῆς δεήσεως αὐτῶν εἰσακούσεται, καὶ σώσει αὐτούς. καὶ μήν, φησίν, ὁ Παῦλος ἐβούλετο τὸν ἄγγελον τοῦ Σατᾶν ἀποστῆναι ἀπ' αὐτοῦ· τουτέστι, τοὺς πειρασμούς, τὰς θλίψεις, τὰς ἐπιβουλάς, καὶ οὐκ ἐποίησε. καὶ μὴν ἐποίησεν. ἐπειδὴ ἔγνω ὅτι τὰ μὴ συμφέροντα ᾔτει, πάλιν θελῆσαι καὶ σφόδρα θελῆσαι, Θεοῦ ἔργον ἦν. διὸ καὶ ἔλεγεν, εὐδοκῶ ἐν ἀσθενείαις, ἐν θλίψεσιν, ἐν διωγμοῖς. εἰ δὲ τὰ ἐναντία πρότερον ἐβούλετο, δι' ἄγνοιαν ἐβούλετο. ἐπειδὴ δὲ ἔμαθεν ὅτι τοῦτο ὁ Θεὸς βούλεται, καὶ αὐτὸς λοιπὸν εὐδοκεῖ. οὐ γάρ ἐστιν ἄλλο τὸ θέλημα Θεοῦ, καὶ ἄλλο τῶν φοβουμένων αὐτόν. εἰ δέ τινα καὶ αὐτοὶ ὡς ἄνθρωποι βούλονται, ἀλλ' ὕστερον διορθοῦνται. φυλάσσει κύριος πάντας τοὺς ἀγαπῶντας αὐτόν, καὶ πάντας τοὺς ἁμαρτωλοὺς ἐξολοθρεύσει. καὶ τοῦτο μέρος προνοίας οὐ μικρόν, τὸ τηρεῖν, τὸ ἀσφαλίζεσθαι, τὸ τὴν παρ' αὐτοῦ πρόνοιαν παρέχειν. ἁμαρτωλοὺς δέ φησι, τοὺς τὰ ἀνίατα νοσοῦντας, τοὺς οὐ βουλομένους διορθωθῆναι. εἰ δέ τινας καὶ τῶν ἀγαπώντων αὐτὸν ἀφίησιν εἰς θανάτους ἐμπεσεῖν, καὶ τοῦτο φυλάσσοντός ἐστιν, ὅπερ καὶ ἐπὶ τοῦ Ἄβελ γέγονεν. εἰ γὰρ καὶ τὰ σώματα αὐτῶν διεφθάρη, ἀλλ' ὅμως τῇ ψυχῇ λαμπρότεροι γεγόνασιν. ἀπολήψονται δὲ καὶ τὰ σώματα ἄφθαρτα. ἐπεὶ οὖν εἶπε τῆς προνοίας αὐτοῦ τὰ εἴδη, ὅσα δυνατὸν ἦν εἰπεῖν αὐτῷ, τὰ κοινά, τὰ ἰδιάζοντα, τὰ ἐξαίρετα τῶν ἁγίων, τὴν περὶ τοὺς καταβαλλομένους κηδεμονίαν, τὴν περὶ τοὺς κειμένους πρόνοιαν, τὴν μακροθυμίαν, τὴν τῶν ἁμαρτωλῶν διόρθωσιν, τὴν τῶν ἁγίων φυλακήν, πάλιν εἰς αἶνον κατακλείει τὸν λόγον, καὶ τὴν οἰκουμένην ἅπασαν εἰς κοινωνίαν τῆς εὐφημίας καλεῖ λέγων· αἴνεσιν κυρίου λαλήσει τὸ στόμα μου, καὶ εὐλογείτω πᾶσα σὰρξ τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

ὁρᾷς πῶς ἀπὸ τῆς χρηστῆς διαθέσεως οὐ τοὺς εὐεργετουμένους μόνον, ἀλλὰ καὶ τοὺς κολαζομένους καλεῖ· καὶ γὰρ καὶ τοῦτο κηδεμονίας, οὐκ ἀνθρώπους μόνον, ἀλλὰ καὶ τὰ ἄλογα, καὶ τὰ στοιχεῖα, καὶ τὰ ἀναίσθητα ἅπαντα. πάντα γὰρ ἐμπέπλησται αὐτοῦ τῆς ἀγαθότητος. μὴ τοίνυν μηδὲ ἡμεῖς διαλείπωμεν τὸν οὕτω χρηστόν, τὸν οὕτω φιλάνθρωπον, τὸν πανταχοῦ ἐκτείνοντα αὐτοῦ τὴν εὐεργεσίαν συνεχῶς ἀνυμνοῦντες, καὶ διὰ ῥημάτων, καὶ διὰ πραγμάτων· ἵνα καὶ τῶν παρόντων καὶ τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Vides quomodo ex bona affectione non eos solos vocat qui beneficio afficiuntur, sed eos etiam qui puniuntur: nam hoc quoque est eius prouidentiæ. Non homines solùm, sed etiam bruta, & elementa, & omnia insensilia, omnia enim eius bonitate plena sunt. Nec nos ergo intermittamus eum & verbis & factis assiduè laudare, qui est adeò bonus, adeò benignus, & clemens, & vbique suam extendit beneficentiam: vt & bona præsentia & futura consequamur, gratia & clementia domini nostri Iesu Christi, cui gloria & potentia in secula seculorum. Amen.

Εἰς τὸν ρμέ ψαλμόν.

Αἴνει ἡ ψυχή μου τὸν κύριον. αἰνέσω κύριον ἐν τῇ ζωῇ μου, ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω.

ΕΝΘΑ κατέλυσεν, ἐντεῦθεν ἄρχεται πάλιν, ἀπὸ αἴνου καὶ τῆς εὐφημίας. οὐ γὰρ μικρῶς ἐκκαθαίρει ψυχὴν τὸ τοιοῦτον. αἶνον δὲ λέγει, ὁ συνεχῶς λέγω, διὰ τῶν ἔργων· ὅπερ καὶ ὁ Χριστός φησι, λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσι τὰ καλὰ ὑμῶν ἔργα, καὶ δοξάσωσι τὸν πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς. καὶ πάλιν ὁ Παῦλος, δοξάσατε δὴ τὸν Θεὸν ἐν τῷ σώματι ὑμῶν καὶ ἐν τῷ πνεύματι ὑμῶν. καὶ ὥσπερ ἐν τῷ πρὸ τούτου ἔλεγε, καθ᾽ ἑκάστην ἡμέραν εὐλογήσω σε, οὕτω καὶ ἐνταῦθα, ψαλῶ τῷ Θεῷ μου, φησιν, ἕως ὑπάρχω. εἶτα βουλόμενος πάλιν λαβεῖν κοινωνοὺς τῆς εὐφημίας ἀνθρώπους, εἰς τὰ διηγήματα αὐτοῦ τῆς φιλανθρωπίας ἐμπίπτει, καιόμενος, θερμαινόμενος τῷ πόθῳ, περιτρέχων τὴν οἰκουμένην ἅπασαν, ἅπαντας συνάγων εἰς τὸν οἰκεῖον χορόν. καὶ γὰρ καὶ τοῦτο μάλιστα αἶνος, τοῦτο μάλιστα δόξα εἰς Θεόν, ὅταν πολλοὺς ἐπιζητῇ τοὺς μέλλοντας τῆς αὐτοῦ ἀπολαύειν σωτηρίας. μὴ πεποίθατε ἐπ᾽ ἄρχοντας, ἐπὶ υἱοὺς ἀνθρώ-

IN PSALMVM CXLV.

Lauda anima mea Dominum. Laudabo Dominum in vita mea. Psallam Deo meo quandiu fuero.

VBI desiit, inde rursus incipit, nempe à laudatione. Hoc enim non parum expurgat animum. Laudem autem dicit, vt dico assiduè, quæ fit factis: quod etiam dicit Christus: Luceat lux vestra coram hominibus, vt videant bona vestra opera, & glorificent patrem vestrum qui est in cœlis: & rursus Paulus: Glorificate Deum in corpore vestro, & in spiritu vestro: & quemadmodum dixit in præcedenti psalmo, Quotidie laudabo te, ita hîc etiam, Psallam Deo meo, quandiu fuero. Deinde cùm vellet rursus habere homines eius laudis socios, incidit in narrationem eius benignitatis & clementiæ, desiderio incensus & inflammatus, vniuersum orbem terræ percurrens, omnes homines in suum chorum cogens. Hoc est enim maxima laus, maxima Dei gloria, quando multos requirit futuros eius salutis participes.

Mat. 5. 16.

1. Cor. 6. 20.

2. *Nolite confidere in principibus, in filiis homi-*

18. *Propè est Dominus omnibus inuocantibus eum, omnibus inuocantibus eum in Veritate.* Ecce etiam aliam prouidentiæ partem, quæ est caput bonorum. Postquam enim dixit, quæ in commune data sunt etiam infidelibus, vtpote alimenta & imbres: dicit etiam quæ priuatim fidelibus data sunt. Quænam autem ea sunt? Prope eos esse, hoc est, defendere, curam gerere, amplius eis prouidere, esse eis beneuolum, benignum, & proprium, & bona eis magis reuelare. 19. *Voluntatem timentium se faciet, & deprecationem eorum exaudiet, & saluos faciet eos.* Atqui dicit quispiam, Volebat Paulus angelum Satanæ ab eo recedere, hoc est, tentationes, afflictiones, insidias, & non fecit. Imò verò fecit. Postquam enim cognouit se petere minimè conducibilia, vt rursus vellet & vehementer vellet, à Dei procedebat officio. Et ideo dicebat: Mihi placeo in infirmitatibus, in afflictionibus, in persecutionibus. Si autem prius volebat contraria, volebat propter insc ientiam. Postquam autem Deum hoc velle didicit, ipse deinceps lubenter acquiescit. Neque enim alia est Dei voluntas, & alia eorū qui ipsum timent: & si ipsi quoque aliqua volunt vt homines, postea corriguntur.

Quòd commoda afflictiones. — *2. Cor. 12. 7.*

20. *Custodit Dominus omnes diligentes se: & omnes peccatores disperdet.* Hæc quoque est non parua pars prouidentiæ, conseruare, munire ac protegere, suam præbere prouidentiam. Peccatores autem dicit eos qui laborant morbo immedicabili, eos qui nolunt corrigi. Quòd si etiam aliquos eorū, qui ipsum diligunt, finit in mortem incidere, hæ quoque sunt partes custodientis. Quod in Abel quoque accidit. Etsi enim eorum corpora interierint, animo tamen clariores euaserunt: recipient autem etiā corpora interitui non obnoxia. Postquam ergo dixit species eius prouidentiæ, quantum ab eo dici poterant, communes, priuatas, & quæ sunt sanctorum, præcipuè eorum qui labant, curam eorum qui iacent, prouidentiam, patiētiam, peccatorum correctionem, sanctorum custodiam: laude rursus concludit orationem, & vniuersum orbem terræ vocat ad laudis communionem: 21. *Laudationem Domini loquetur os meum, & benedicat omnis caro nomini sancto eius in seculum & in seculum seculi.*

Peccatores qui. — *Gen. 4.* — *1. Cor. 15.*

A ἐγγὺς κύριος πᾶσι τοῖς ἐπικαλουμένοις αὐτὸν ἐν ἀληθείᾳ. ἰδοὺ καὶ ἕτερον προνοίας μέρος, τὸ κεφάλαιον τῶν ἀγαθῶν. εἰπὼν γὰρ τὰ κοινὰ καὶ τοῖς ἀπίστοις δεδομένα, τὴν τροφὴν, τοὺς ὑετοὺς, λέγει καὶ τὰ ἰδιαζόντως τοῖς πιστοῖς παρεχόμενα. τίνα δὲ ταῦτά ἐστι; τὸ ἐγγὺς αὐτὸν εἶναι, τουτέστιν, ἀντέχεσθαι, κήδεσθαι, προνοεῖν πολὺ μειζόνως ἐκείνων, εὔνουν αὐτοῖς εἶναι καὶ ἵλεων καὶ οἰκεῖον, μᾶλλον αὐτοῖς ἀποκαλύπτειν τὰ ἀγαθά. θέλημα τῶν φοβουμένων αὐτὸν ποιήσει, καὶ τῆς δεήσεως αὐτῶν εἰσακούσεται, καὶ σώσει αὐτούς. καὶ μὴν, φησὶν, ὁ Παῦλος ἐβούλετο τὸν ἄγγελον τοῦ Σα- B τᾶν ἀποστῆναι ἀπ' αὐτοῦ· τουτέστι, τοὺς πειρασμοὺς, τὰς θλίψεις, τὰς ἐπιβουλὰς, καὶ οὐκ ἐποίησε. καὶ μὴν ἐποίησε. ἐπειδὴ ἔγνω ὅτι τὰ μὴ συμφέροντα ᾔτει, πάλιν θελῆσαι καὶ σφόδρα θελῆσαι, Θεοῦ ἔργον ἦν. διὸ καὶ ἔλεγεν, εὐδοκῶ ἐν ἀσθενείαις, ἐν θλίψεσιν, ἐν διωγμοῖς. εἰ δὲ τὰ ἐναντία πρότερον ἐβούλετο, δι' ἄγνοιαν ἐβούλετο. ἐπειδὴ δὲ ἔμαθεν ὅτι τοῦτο ὁ Θεὸς βούλεται, καὶ αὐτὸς λοιπὸν εὐδοκεῖ. οὐ γάρ ἐστιν ἄλλο τὸ θέλημα Θεοῦ, καὶ ἄλλο τῶν φοβουμένων αὐτόν. Εἰ δέ τινα καὶ αὐτοὶ ὡς ἄνθρωποι C βούλονται, ἀλλ' ὕστερον διορθοῦνται. Φυλάσσει κύριος πάντας τοὺς ἀγαπῶντας αὐτὸν, καὶ πάντας τοὺς ἁμαρτωλοὺς ἐξολοθρεύσει. καὶ τοῦτο μέρος προνοίας οὐ μικρὸν, τὸ τηρεῖν, τὸ ἀσφαλίζεσθαι, τὸ τὴν παρ' αὐτοῦ πρόνοιαν παρέχειν. ἁμαρτωλοὺς δέ φησι, τοὺς τὰ ἀνίατα νοσοῦντας, τοὺς οὐ βουλομένους διορθωθῆναι. εἰ δέ τινας καὶ τῶν ἀγαπώντων αὐτὸν ἀφίησιν εἰς θανάτους ἐμπεσεῖν, καὶ τοῦτο φυλάσσοντός ἐστιν, ὅπερ καὶ ἐπὶ τοῦ Ἄβελ γέγονεν. Εἰ γὰρ καὶ τὰ σώματα αὐτῶν διεφθάρη, ἀλλ' ὅμως τῇ ψυχῇ D λαμπρότεροι γεγόνασι. ἀπολήψονται δὲ καὶ τὰ σώματα ἄφθαρτα. ἐπεὶ οὖν εἶπε τῆς προνοίας αὐτοῦ τὰ εἴδη, ὅσα δυνατὸν ἦν εἰπεῖν αὐτῷ, τὰ κοινὰ, τὰ ἰδιάζοντα, τὰ ἐξαίρετα τῶν ἁγίων, τὴν περὶ τοὺς σφαλλομένους κηδεμονίαν, τὴν περὶ τοὺς κειμένους πρόνοιαν, τὴν μακροθυμίαν, τὴν τῶν ἁμαρτωλῶν διόρθωσιν, τὴν τῶν ἁγίων φυλακὴν, πάλιν εἰς ὕμνον κατακλείει τὸν λόγον, καὶ τὴν οἰκουμένην ἅπασαν εἰς κοινωνίαν τῆς εὐφημίας καλεῖ λέγων· αἴνεσιν κυρίου λαλήσει τὸ στόμα μου, καὶ εὐλογείτω πᾶσα σὰρξ τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

ὁρᾷς πῶς ἀπὸ τῆς χρηστῆς διαθέσεως οὐ τοὺς εὐεργετουμένους μόνον, ἀλλὰ καὶ τοὺς κολαζομένους καλεῖ· καὶ γὰρ καὶ τοῦτο κηδεμονίας, οὐκ ἀνθρώπους μόνον, ἀλλὰ καὶ τὰ ἄλογα, καὶ τὰ στοιχεῖα, καὶ τὰ ἀναίσθητα ἅπαντα. πάντα γὰρ ἐμπέπλησται αὐτοῦ τῆς ἀγαθότητος. μὴ τοίνυν μηδὲ ἡμεῖς διαλείπωμεν τὸν οὕτω χρηστὸν, τὸν οὕτω φιλάνθρωπον, τὸν πανταχοῦ ἐκτείνοντα αὐτοῦ τὴν εὐεργεσίαν συνεχῶς ἀνυμνοῦντες, καὶ διὰ ῥημάτων, καὶ διὰ πραγμάτων· ἵνα καὶ τῶν παρόντων καὶ τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

A Vides quomodo ex bona affectione non eos solos vocat qui beneficio afficiuntur, sed eos etiam qui puniuntur: nam hoc quoque est eius prouidentiæ. Non homines solùm, sed etiam bruta, & elementa, & omnia insensilia, omnia enim eius bonitate plena sunt. Nec nos ergo intermittamus eum & verbis & factis assiduè laudare, qui est adeò bonus, adeò benignus, & clemens, & vbique suam extendit beneficentiam: vt & bona præsentia & futura consequamur, gratia & clementia domini B nostri Iesu Christi, cui gloria & potentia in secula seculorum. Amen.

Εἰς τὸν ρμε' ψαλμόν.

Αἴνει ἡ ψυχή μου τὸν κύριον. αἰνέσω κύριον ἐν τῇ ζωῇ μου, ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω.

ΕΝΘΑ κατέλυσεν, ἐντεῦθεν ἄρχεται πάλιν, ἀπὸ αἴνου καὶ τῆς εὐφημίας. οὐ γὰρ μικρῶς ἐκκαθαίρει ψυχὴν τὸ τοιοῦτον. αἶνον δὲ λέγει, ὁ συνεχῶς λέγω, διὰ τῶν ἔργων· ὅπερ καὶ ὁ Χριστός φησι, λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσι τὰ καλὰ ὑμῶν ἔργα, καὶ δοξάσωσι τὸν πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς. καὶ πάλιν ὁ Παῦλος, δοξάσατε δὴ τὸν Θεὸν ἐν τῷ σώματι ὑμῶν καὶ ἐν τῷ πνεύματι ὑμῶν. καὶ ὥσπερ ἐν τῷ πρὸ τούτου ἔλεγε, καθ' ἑκάστην ἡμέραν εὐλογήσω σε, οὕτω καὶ ἐνταῦθα, ψαλῶ τῷ Θεῷ μου, φησιν, ἕως ὑπάρχω. εἶτα βουλόμενος πάλιν λαβεῖν κοινωνοὺς τῆς εὐφημίας ἀνθρώπους, εἰς τὰ διηγήματα αὐτοῦ τῆς φιλανθρωπίας ἐμπίπτει, καιόμενος, θερμαινόμενος τῷ πόθῳ, περιτρέχων τὴν οἰκουμένην ἅπασαν, ἅπαντας συνάγων εἰς τὸν οἰκεῖον χορόν. καὶ γὰρ καὶ τοῦτο μάλιστα αἶνος, τοῦτο μάλιστα δόξα εἰς Θεὸν, ὅταν πολλοὺς ἐπιζητῇ τοὺς μέλλοντας τῆς αὐτοῦ ἀπολαύειν σωτηρίας. μὴ πεποίθατε ἐπ' ἄρχοντας, ἐπὶ υἱοὺς ἀνθρώ-

IN PSALMVM CXLV.

Lauda anima mea Dominum. Laudabo Dominum in vita mea. Psallam Deo meo quandiu fuero.

C VBI desiit, inde rursus incipit, nempe à laudatione. Hoc enim non parum expurgat animum. Laudem autem dicit, vt dico assiduè, quæ fit factis: quod etiam dicit Christus: Luceat lux vestra coram hominibus, vt videant bona vestra opera, & glorificent patrem vestrum qui est in cœlis: & rursus Paulus: Glorificate Deum in corpore vestro, & in spi- D ritu vestro: & quemadmodum dixit in præcedenti psalmo, Quotidie laudabo te, ita hîc etiam, Psallam Deo meo, quandiu fuero. Deinde cùm vellet rursus habere homines eius laudis socios, incidit in narrationem eius benignitatis & clementiæ, desiderio incensus & inflammatus, vniuersum orbem terræ percurrens, omnes homines in suum chorum cogens. Hoc est enim maxima laus, maxima Dei gloria, quando multos requirit futuros eius salutis participes.

Matt. 5. 16.

1. Cor. 6. 20.

2. *Nolite confidere in principibus, in filiis homi-*

num in quibus non est salus. Alius, Qui non potest seruare. Audiant hoc consilium & hanc admonitionem, qui suspiciunt, & expectant, humana subsidia fluxa & caduca. Quid est autem: In quibus non est salus? Ne propria quidem salus est in eorum potestate, nec se possunt defendere. Si enim mors aduenerit, iacebunt magis muti quàm lapides. Hoc enim est quod infert dicens, 3. *Exibit spiritus eius, & reuertetur in terram suam. In illa die peribunt omnes cogitationes eius.* Alius, Proposita eius. Quod autem dicit, est eiusmodi, Qui seipsum nõ potest defendere, quomodo eripiet alios? Nihil est enim æquè infirmũ & imbecillum, vt ea spes. Id autem ostẽdit ipsa rerum natura Et ideo Paulus de spe in Deum differens, dicebat, Spes autem pudore non afficit. At non ita se habent res humanæ: sed sunt vmbra imbecilliores. Nemi- hi enim dixeris, Est princeps. Princeps enim non est quolibet homine plebeio superior, est enim eidem incertitudini obnoxius, atque adeò si quid dicendum est admirabile, propter hoc ipsum maximè non est fidendum, quòd sit princeps: sunt enim summopere lubrici & periculosi hi principatus: & si nullus ei casus accidat, est ad iram procliuis, & potestate in ingrati animi crimine & beneficiorum obliuione abutitur, vt rationem non redditurus eorum quæ accepit ab initio: & si gratus fuerit, & memor beneficij, eò facilior esse poterit eius casus quàm priuatorum, quò est pluribus & maioribus insidiis obnoxius: & eò facilius capi & expugnari poterit, quò plures habet insidiatores. Quid enim sibi volunt satellites, & corporis custodes? Quid verò multa præsidia? Quomodo ergo, qui in ciuitate quæ bonis legibus & institutis regitur, non est de corpore securus, sed in ea versatur tanquam in mediis hostibus, cui tot ostenduntur certamina & pericula, alios seruare poterit? Qui cùm sit pax, timet iis acerbius qui in bello versantur: quomodo poterit alium in tuto collocare, & liberare à periculis? Multis certè qui poterant per se securè viuere, hoc exitij causa fuit, quòd talibus confiderint: & cùm illi cecidissent, hi quoque vnà sunt deturbati. Aliis autem custodes fuêre proditores.

Psal. 36. Eccl. 10. Psal. 36. Eccl. 10.

Rom. 5. 5.

Magistratuum eleuatio. Principatuum lubricitas.

A πων, οἷς οὐκ ἔστι σωτηρία. ἕτερος, τῶν οὐκ ἐχόντων σῶσαι. ἀκουέτωσαν τῆς παραινέσεως ταύτης καὶ συμβουλῆς οἱ πρὸς τὰς ἀνθρωπίνας κεχηνότες προστασίας, τὰς ἐπικήρους καὶ διεφθαρμένας. τί δέ ἐστιν, οἷς οὐκ ἔστι σωτηρία; οὐδὲ τῆς ἰδίας, φησὶ, σωτηρίας εἰσὶ κύριοι, οὐδὲ ἑαυτοὺς προστῆναι δύνανται. εἰ γὰρ ἐπέλθοι ἡ τελευτὴ, κείσονται λίθων ἀφωνότεροι. τοῦτο γάρ ἐστιν, ὃ ἐπιφέρει λέγων· ἐξελεύσεται τὸ πνεῦμα αὐτοῦ, καὶ ἐπιστρέψει εἰς τὴν γῆν αὐτοῦ. ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἀπολοῦνται πάντες οἱ διαλογισμοὶ αὐτοῦ. ἕτερος, αἱ προθέσεις αὐτοῦ. ὃ δὲ B λέγει, τοῦτό ἐστιν· ὁ ἑαυτοῦ προστῆναι μὴ δυνάμενος, πῶς ἑτέρους ἐξαρπάσεται; οὐδὲν γὰρ οὕτως ἐπισφαλὲς καὶ σαθρὸν, ὡς ἡ τοιαύτη ἐλπίς. καὶ δείκνυσι τῶν πραγμάτων ἡ φύσις. διὸ καὶ Παῦλος περὶ τῆς εἰς Θεὸν ἐλπίδος διαλεγόμενος ἔλεγεν, ἡ δὲ ἐλπὶς οὐ καταισχύνει. ἀλλ' οὐ τὰ ἀνθρώπινα τοιαῦτα, ἀλλὰ σκιᾶς ἀσθενέστερα. μὴ γάρ μοι εἴπῃς ὅτι ἄρχων ἐστί. καὶ γὰρ καὶ ὁ ἄρχων οὐδὲν ἔχει πλέον τοῦ τυχόντος ἀνθρώπου· τῇ αὐτῇ ἀδηλίᾳ ὑπόκειται. εἰ δὲ δεῖ καὶ χρὴ τὸ θαυμα- C στὸν εἰπεῖν, ἐπειδὴ ἄρχων ἐστὶ, καὶ διὰ τοῦτο μάλιστα οὐ χρὴ θαρρεῖν. ἀκροσφαλεῖς γὰρ αἱ τοιαῦται δυναστεῖαι. κἂν μὴ μεταπέσῃ, πρὸς ὀργήν ἐστιν ὀξυρρεπὴς, καὶ τῇ ἐξουσίᾳ πρὸς ἀγνωμοσύνην ἀποκέχρηται, ὡς οὐ μέλλων ὑπεύθυνος εἶναι τῶν τὴν ὑπόσχεσιν δεξαμένων. κἂν εὐγνώμων φανῇ, εὐκολωτέρας ἕξει τὰς μεταπτώσεις τῶν ἰδιωτευόντων, ὅσῳ καὶ μείζοσι καὶ πλείοσιν ἐπιβουλαῖς ὑπόκειται· καὶ μᾶλλόν ἐστιν εὐχείρωτος οὗτος, ὅσῳ καὶ πλείους ἔχει τοὺς ἐπιβουλεύοντας. τί γὰρ βούλονται οἱ σω- D ματοφύλακες; τί δὲ αἱ πολλαὶ προφυλακαί; πῶς οὖν ὁ ἐν πόλει εὐνομουμένῃ, μηδὲ περὶ τοῦ σώματος αὐτοῦ θαρρῶν, ἀλλ' ὡς ἐν μέσοις ἀναστρεφόμενος πολεμίοις, οὕτως ὢν ἐναγώνιος, ἑτέρους σῶσαι δυνήσεται; ὁ εἰρήνης οὔσης τῶν ἐν πολέμοις χαλεπώτερον δεδοικὼς, πῶς ἑτέρους ἐν ἀσφαλείᾳ καταστήσει καὶ ἐξαρπάσεται τῶν κινδύνων; πολλοῖς δὲ δυναμένοις καθ' ἑαυτοὺς ζῆν μετὰ ἀδείας, τοῦτο αὐτὸ γέγονεν ἐπιβουλὴ, τὸ τοιούτοις θαρρῆσαι, καὶ καταπεσόντων ἐκείνων καὶ αὐτοὶ συγκατεκλύσθησαν. ἑτέροις δὲ οἱ φύλακες προδόται γεγόνασιν.

ἀλλ' ὅμως ὁ προφήτης ταῦτα ἅπαντα παραδραμών, ἐπειδὴ πολλοὶ διέφυγον, τὸ ἀναμφισβήτητον τίθησι, τὸ τῆς τελευτῆς. κἂν γὰρ ἅπαντά σοι κατὰ ῥοῦν φέρηται, κἂν εὔνους ᾖ, κἂν χάριν εἰδώς, φησι, κἂν μέλλῃ ἀποδιδόναι, ἐν μέσαις ταῖς ὑποσχέσεσι καταλύσας τὸν βίον ἀφῆκέ σε ἐν ἐλπίσι κεναῖς, διὰ τὸ τὴν ζωὴν μὴ ἀρκέσαι πρὸς τὸ τῆς ὑποσχέσεως τέλος. ὅταν δὲ μηδὲ ζωὴν ἀρκοῦσαν ἔχῃ πρὸς τὴν ὑπόσχεσιν, ἀλλὰ προκαταλύηται τοῦ τέλους ὁ βίος, ἐπὶ σαθρὰ καταφεύγεις συμμαχίας. ἢ οὐκ ἴστε πολλοὺς τούτῳ πεποιθότας, καὶ τοῦ συμμάχου πεσόντος, τῆς προστασίας γυμνωθέντας ἐντεῦθεν μᾶλλον κατενεχθέντας; καὶ τί λέγω περὶ τῆς ἐπαγγελίας, ὅτι διαφθείρεται καὶ ἀπόλλυται, ὅταν καὶ ὁ ταύτης κύριος ὢν μηδὲ αὐτὸς μένῃ; ἐπιστρέψει γάρ, φησιν, εἰς τὴν γῆν αὐτοῦ. εἰ δὲ ἐκεῖνος ἀπώλετο, πολλῷ μᾶλλον καὶ ταῦτα. διὸ καὶ ἐπήγαγε τό, ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἀπολοῦνται πάντες οἱ διαλογισμοὶ αὐτοῦ, δεικνὺς ὅτι οὐ μόνον εἰς τέλος οὐχ ἥξει τὰ τῆς ἐπαγγελίας, ἀλλὰ καὶ αὐτὸς οἰχήσεται ὁ ἐπαγγελλόμενος. τί οὖν ἐντεῦθεν ποιεῖ; ἐπεὶ τῶν ἀνθρωπίνων ἀπήγαγεν ἐλπίδων, δείκνυσι λοιπὸν τὸν ἀσφαλῆ λιμένα καὶ τὸν ἀχείρωτον πύργον, καὶ συμβουλεύει. οὗτος γὰρ μάλιστα παραινέσεως ἄριστος τρόπος, ἀπάγειν τῶν σαθρῶν, καὶ ἐνάγειν πρὸς τὰ ἰσχυρά· καθαιρεῖν τὰ μάταια, καὶ ἱστᾶν τὰ ἀληθινά· διελέγχειν τὰ ἀπατῶντα, καὶ δεικνύναι τὰ ὠφελοῦντα. μακάριος, οὗ ὁ Θεὸς Ἰακὼβ βοηθὸς αὐτοῦ, ἡ ἐλπὶς αὐτοῦ ἐπὶ κύριον τὸν Θεὸν αὐτοῦ. εἶδες περιουσίαν συμβουλῆς καὶ παραινέσεως; ὅταν δὲ μακαρισμὸν εἴπῃ, πάντα λέγει τὰ ἀγαθά, καὶ δείκνυσι τὴν ἀσφάλειαν τῆς ἐλπίδος. μακαρίσας τοίνυν τὸν ἐλπίζοντα ἐπ' αὐτόν, λέγει λοιπὸν τοῦ βοηθοῦ τὴν δύναμιν, δεικνὺς ὅτι ὁ μὲν ἄνθρωπος, ὁ δὲ Θεός· ὁ μὲν ἀπολλύμενος, ὁ δὲ μένων· οὐκ αὐτὸς δὲ μένων μόνος, ἀλλὰ καὶ τὰ ἔργα αὐτοῦ. διὸ καὶ οὕτως ἐπήγαγε· τὸν ποιήσαντα τὸν οὐρανὸν καὶ τὴν γῆν, τὴν θάλασσαν καὶ πάντα τὰ ἐν αὐτοῖς. εἰ δὲ τὰ ἔργα αὐτοῦ διαρκῆ, πολλῷ μᾶλλον αὐτὸς καὶ διαρκής, καὶ δυνατός· καὶ ὅτι τοιοῦτος, δεικνύουσιν αὐτοῦ τὰ γινόμενα τὴν ἰσχύν. τί οὖν, εἰ καὶ διαρκής ἐστι καὶ δυνατός, οὐ βούλεται δέ; πολλοὶ γὰρ τῶν ἀνοήτων ταῦτα λέγουσιν. ἀλλ' ὅρα πῶς καὶ ταύτην αἱρεῖ

His tamen omnibus prætermissis, quoniam multi euaserunt, id ponit propheta de quo dubitari non potest, nempe mortem. Etsi enim omnia tibi recte successerint, & si sit, inquit, beneuolus, gratóque & memori animo, & sit gratiam relaturus, in mediis promissis vita finita, te in vana spe dimisit, propterea quòd vita ad exequendum promissum non suffecerit. Quando ergo ne vita quidem ei sufficit ad implendum promissum, sed ante euentum vita eius interrumpitur, ad imbecillum & inualidum confugis auxilium. An nescitis hoc multis accidisse, & cùm cecidisset adiutor, defensore nudatos, ex eo fuisse magis deiectos & afflictos? Quanquam quid dico eorum promissa euanescere & interire, cùm ne ipse quidem eorum dominus & author maneat? Reuertetur enim, inquit, in terram suam. Si ille autem periit, multò magis hæc quoque. Et ideo subiunxit: Peribunt in die illa omnes cogitationes eius. ostendens non solùm promissa non esse effectum sortitura, sed eum etiam qui promittit, periturum. Quid ergo deinceps facit? Postquam à spe humana abduxit, ostendit deinceps tutum portum, & arcem inexpugnabilem, & consulit. Hic est enim optimus modus suasionis, abducere ab imbecillis, & ad valida deducere: quæ vana sunt destruere, & quæ vera, stabilire: refellere quæ decipiunt, & quæ iuuant probare. 4. *Beatus cuius Deus Iacob adiutor eius, spes eius in Domino Deo ipsius.* Vidisti copiam consilij & adhortationis. Quando autem dicit beatitudinem, dicit omnia bona, & ostendit spei securitatem. Postquam ergo beatum dixit eum qui sperat in ipsum, dicit deinceps potentiam adiutoris, ostendens illum quidem esse hominem, hunc verò Deum: illum quidē interire, hunc verò permanere: non eum autem solum, sed etiam eius opera. Et ideo sic subiunxit: *Qui fecit cælum & terram, mare & omnia quæ in eis sunt.* Quòd si eius sunt opera perennia, multò magis ipse est & perennis & potens. Quòd autem talis sit, ostendunt ea quæ ab eo facta sunt, eius vires. Quid tum autem si est & perennis, & potens: non vult autem? Multi enim stulti hæc dicunt. Sed vide quomodo hanc quoque au-

Suadendi formula optima.

fert suspicionem. Cùm enim dixisset: Qui fecit cœlum & terram, mare, & omnia quæ in eis sunt, subiunxit,

5. *Qui custodit veritatem in seculum, facit iudicium iniuriam patientibus.* Quod autem dicit, est eiusmodi, Hæc est eius munus, hoc est ei familiare, hoc est maximè Dei proprium, non despicere eos quibus fit iniuria, non eos contemptim præterire, qui aut probri aut damni aliquid accipiunt: manum præbere iis quibus tenduntur insidiæ: idque in perpetuum. Et ideo dixit, In seculum, hoc significans, non hoc autem solum, sed id etiam quod deinceps sequitur. *Qui dat escam esurientibus. 6. Dominus soluit compeditos, Dominus sapientes facit cæcos.* Alius, Illuminat. 7. *Dominus erigit elisos. Dominus diligit iustos. 8. Dominus custodit aduenas, pupillum & viduam suscipiet: Et viam peccatorum disperdet.* Vidisti quomodo ostenderit eius prouidentiam esse per omnia extensam, & eius esse partes, expedire à calamitatibus, fami afferre remedium, liberare è vinculis. Sed hæc quidem possunt etiam aliqua ex parte homines: quæ autem deinceps sequuntur, non itidem. Quod enim in natura est mutilum & mancum, corrigit: eos qui ceciderunt erigit, inquit: eos qui virtute clari sunt, laudat: eos qui orbitatem ac viduitatem ægrè ferunt, consolatur & recreat. Deinde quoniam dixit, Diligit iustos, ostendit eum multis opem tulisse propter solam calamitatem. Quos enim nutrit, nutrit eò quòd esuriant, quod quidem non est virtutis: & eos qui vincti sunt, absoluit propter vincula. Sed neque hoc est virtutis, sed calamitatis. Quin etiam illuminat cæcos propter cæcitatem: Neque vero rectè factorum est hoc, verùm calamitatis. Ita etiam elisum esse aduenam, pupillum, & viduam. Quòd si eos adiuuat, qui sunt in calamitatibus: multò magis eos qui student virtuti. Cùm ergo & possit, & velit, & sint apud Deum omnia perennia & perpetua, & virtutem suscipiat & misereatur propter calamitates: cur non dimittis eum qui perit, eum qui est imbecillus, qui est interitui & morti obnoxius, & confugis ad eum qui est fortis & inexpugnabilis, qui non exprobrat calamitates, sed eis affert remedium, qui omnia quæ vult potest?

Esa. 61.

Matt. 11. Sap. 11. Luc. 1.

τὴν προνοίαν. εἰπὼν γὰρ τὸν ποιήσαντα τὸν οὐρανὸν καὶ τὴν γῆν, τὴν θάλασσαν καὶ πάντα τὰ ἐν αὐτοῖς, ἐπήγαγε· τὸν φυλάσσοντα ἀλήθειαν εἰς τὸν αἰῶνα, ποιοῦντα κρίμα τοῖς ἀδικουμένοις. ὃ δὲ λέγει, τοῦτό ἐστι· τοῦτο αὐτοῦ ἐστιν ἔργον, τοῦτο σύνηθες, τοῦτο μάλιστα Θεοῦ ἴδιον, τὸ μὴ περιορᾶν ἀδικουμένους, τὸ μὴ παραβλέπειν ἐπηρεαζομένους, τὸ χεῖρα ὀρέγειν τοῖς ἐπιβουλευομένοις· καὶ τοῦτο εἰς τὸ διηνεκές· διὸ καὶ ἔφησεν, εἰς τὸν αἰῶνα, τοῦτο δηλῶν. οὐ τοῦτο δὲ μόνον, ἀλλὰ καὶ τὸ ἑξῆς ἐχόμενον· διδόντα τροφὴν τοῖς πεινῶσι. κύριος λύει πεπεδημένους, κύριος σοφοῖ τυφλούς. ἄλλος, φωτίζει. κύριος ἀνορθοῖ κατεῤῥαγμένους, κύριος ἀγαπᾷ δικαίους, κύριος φυλάσσει τοὺς προσηλύτους· ὀρφανὸν καὶ χήραν ἀναλήψεται, καὶ ὁδὸν ἁμαρτωλῶν ἀφανιεῖ. Εἶδες πῶς διὰ πάντων δείκνυσιν αὐτοῦ τὴν πρόνοιαν τεταμένην, καὶ ὅτι τοῦτο ἔργον αὐτοῦ, λύειν συμφοράς, λιμὸν διορθοῦσθαι, δεσμῶν ἐλευθεροῦν. ἀλλὰ ταῦτα μὲν ἐκ μέρους καὶ ἄνθρωποι δύνανται· τὰ δὲ ἑξῆς οὐκέτι. καὶ γὰρ τῆς φύσεως αὐτῆς τὴν πήρωσιν διορθοῦται, τοὺς πεπτωκότας ἀνιστᾷ, φησι, τοὺς ἐν ἀρετῇ λάμποντας ἐπαινεῖ, τοὺς ἀπροστατεύτους σώζει, τοὺς δὲ ὀρφανίαν ἢ χηρείαν δυσχεραίνοντας καὶ ὀδυνωμένους παραμυθεῖται καὶ ἀνακτᾶται. εἶτα ἐπειδὴ εἶπεν, ἀγαπᾷ δικαίους, δείκνυσιν ὅτι πολλοῖς καὶ ἀπὸ συμφορᾶς μόνης ἐπήρκεσε. καὶ γὰρ οὓς διατρέφει, διὰ τὸ πεινῆν τρέφει, ὅπερ οὐκ ἔστιν ἀρετῆς· καὶ τοὺς πεπεδημένους, διὰ τὰ δεσμὰ λύει, οὐδὲ αὐτὸ δὲ ἀρετῆς, ἀλλὰ συμφορᾶς· καὶ τοὺς τυφλοὺς δὲ διὰ τὴν πήρωσιν φωτίζει· οὐδὲ τοῦτο δὲ κατορθώματος, ἀλλὰ καὶ αὐτὸ συμφορᾶς. ὁμοίως καὶ τὸ κατεῤῥάχθαι, καὶ τὸ προσήλυτον εἶναι καὶ ὀρφανὸν καὶ χήραν. εἰ δὲ τοὺς ἐν συμφοραῖς, πολλῷ μᾶλλον τοὺς ἀρετῆς ἐπιμελουμένους. ὅταν οὖν καὶ δύνηται καὶ βούληται, καὶ διαρκῆ τυγχάνῃ τὰ παρ' αὐτοῦ πάντα, καὶ ἀρετὴν ἀποδέχηται, καὶ διὰ συμφορὰς ἐλεῇ, τίνος ἕνεκεν οὐκ ἀφίης τὸν ἀπολλύμενον, τὸν ἀσθενῆ, τὸν ἐπίκηρον, καὶ ἐπὶ τὸν ἰσχυρὸν καὶ ἄμαχον καταφεύγεις, τὸν οὐκ ὀνειδίζοντα τὰς συμφοράς, ἀλλὰ διορθούμενον, τὸν πάντα ὅσα βούλεται δυνάμενον; σκόπει δὲ καὶ τὸ ἔσχατον πῶς μετ' ἀκριβείας εἴρηκεν. οὐ γὰρ εἶπεν, ἁμαρτωλοὺς

Considera autem extremum quàm accuratè dixerit. Non dixit enim, Disperdet

ἀφανιεῖ, ἀλλὰ τὴν ὁδὸν αὐτῶν, τουτέστι, τὴν πρᾶξιν αὐτῶν· οὐ γὰρ τὴν φύσιν ἀποστρέφεται, ἀλλὰ τὴν κακίαν μισεῖ. Βασιλεύσει κύριος εἰς τὸν αἰῶνα, ὁ Θεός σου, Σιὼν, εἰς γενεὰν καὶ γενεάν. εἰ τοίνυν βασιλεύει διὰ παντὸς καὶ μένει διὰ παντὸς, οὐκ ἔστιν ἀπιστεῖσθαι, ἀλλὰ κἂν μὴ ἐνταῦθα δῷ τὴν ἀντίδοσιν, ἐπὶ μείζοσιν αὐτὴν φυλάττει. μὴ τοίνυν μήτε ἐν πειρασμοῖς θορυβώμεθα καὶ ταραττώμεθα, ἂν μὴ παραπόδας ἡ λύσις γένηται, ἀλλ' αὐτῷ παραχωρῶμεν τὸν καιρὸν τῷ κυρίῳ τῆς λύσεως· μήτε ἂν ἀγαθόν τι κατορθώσωμεν, εὐθέως ἀπαιτῶμεν τὰς ἀμοιβὰς, ἀλλὰ καὶ οὕτω πάλιν ἀναμείνωμεν τὸ αὐτοῦ βούλημα· μετὰ γὰρ πλείονος δίδωσι τῆς ἀμοιβῆς, ὅταν ἀναβάλληται· καὶ διὰ πάντων εὐχαριστῶμεν, καὶ μένωμεν αἰνοῦντες. οὕτω γὰρ καὶ τὸν παρόντα βίον μετὰ πολλῆς βιώσομεν τῆς ἀδείας, καὶ τῶν ἀπορρήτων ἐπιτευξόμεθα ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος, σὺν τῷ ἀνάρχῳ αὐτοῦ πατρὶ καὶ τῷ ζωοποιῷ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

peccatores, sed viam ipsorum, hoc est, eorum actionem. Non enim auersatur naturam, sed odio habet vitium.

Rom. 1. Sap. 14.

9. *Regnabit Dominus in secula, Deus tuus Sion in generationem & generationem.* Quòd autem regnat perpetuò, & in æternum permanet, minimè est dubitandum: sed & si hic non dederit remunerationem, eam seruat ad maiora. Ne ergo conturbemur in tentationibus si non euestigio sequatur solutio: sed Domino permittamus tempus solutionis: nec si quid boni fecerimus, statim petamus remunerationem, sed eius voluntatem rursus itidem expectemus. Quando enim differt, remuneratur vberiùs & pleniùs: & in omnibus gratias agamus, & eum laudare pergamus. Ita enim & præsentem vitam agemus securissimè, & consequemur bona ineffabilia, gratia & misericordia domini nostri Iesu Christi: cui gloria & potentia cum principij experte eius patre & viuifico spiritu, nunc, & semper, & in secula seculorum, Amen.

Εἰς τὸν ρμϛ' ψαλμόν.

Αἰνεῖτε τὸν κύριον, ὅτι ἀγαθὸν ψαλμός.

ΑΝΩΤΕΡΩ ἐν μὲν τῷ τεσσαρακοστῷ τετάρτῳ καὶ ἑκατοστῷ ψαλμῷ ἔλεγε, μέγας κύριος καὶ αἰνετὸς σφόδρα, καὶ πολλὰ περὶ τῆς δόξης αὐτοῦ διαλέγεται· ἐνταῦθα δὲ δείκνυσι καὶ αὐτὸ τὸ αἰνεῖν ὅτι καλὸν, καὶ μυρίων ἀγαθῶν αἴτιον ὁ ψαλμός. ἀφίστησι γὰρ τὴν διάνοιαν τῆς γῆς, καὶ ἀνεγείρει τὴν ψυχὴν, κουφίζει καὶ μεταρσίους ποιεῖ. διὸ καὶ Παῦλος λέγει, ᾄδοντες καὶ ψάλλοντες ἐν ταῖς καρδίαις ὑμῶν τῷ κυρίῳ. τῷ Θεῷ ἡμῶν ἡδυνθείη αἴνεσις. ἕτερος, ἀλληλούϊα· ὅτι καλὸν ᾠδὴ τῷ Θεῷ. τί ἐστι, τῷ Θεῷ ἡμῶν ἡδυνθείη αἴνεσις; εὐπρόσδεκτος γένοιτο, φησιν. οὐ γὰρ ἀρκεῖ τὸ ψάλλειν ἁπλῶς

IN PSALMVM CXLVI.

Laudate Dominum, quoniam bonus est psalmus.

SVPERIVS quidem in centesimo quadragesimo quarto psalmo dixit: Magnus Dominus & laudabilis valde, & multa illic de gloria disseruit: hîc autẽ ostendit, quod ipsum etiam laudare bonum sit, & psalmus sit causa bonorum innumerabilium. Mentem enim à terra abducit, animúmque erigit & in altum euehit, leuésque & sublimes efficit. Et ideo dicit Paulus, Cantentes & psallentes in cordibus vestris Domino. *Deo nostro iucunda sit laudatio.* Alius, Alleluia, quoniam bonum est canticum Deo. Quid est, Deo nostro iucunda sit laudatio? Sit, inquit, accepta. Nõ satis est enim tantúmodò

Psalmi vis.

Ephes. 5. Psalmodia vt Deo placeat. 1. Cor. 14. Matt. 15.

canere, vt sit Deo iucunda laudatio, sed opus est & vita, & precatione & accurata attentione canentis. Mihi autem videtur hic psalmus esse reuersionis. Ostendit autem id per hoc quod subiungit, dicens. 2. *Aedificans Hierusalem Dominus, dispersiones Israel congregabit.* Etsi enim eos dimisit Cyrus, non ex illius sententia, sed ex Dei ope totum hoc profectum est. Alius autem interpres, pro eo quod est, Aedificans, dixit aedificabit, Dispersiones verò, expulsos. quánam de causa? Quoniam non omnes simul reducti sunt, sed post reuersionem paulatim coacti sunt. *Qui sanat contritos corde, & alligat contritiones eorum.* Alius, Confracta ipsorum. Cùm non haberet in vita sua fiduciam, adducit rursus calamitatem, & Dei consuetudinem. Est enim eius munus, & hoc est eius proprium, eos qui sunt deiecti & afflicti, consolari: quemadmodum quando dicit Paulus: Qui viuificat mortuos. Et rursus: Qui vocat quae non sunt, tanquam quae sunt: dicens proprium eius munus, ita hic etiam: Qui sanat contritos corde, dicit, ostendens quòd etiá si indigni simus, quoniam opus eius sumus, actionem suam & partes suas non relinquet, à sua consuetudine non recedet. Ita etiam Paulus, Sed qui consolatur humiles, nos consolatus est. Et rursus: Qui dat iis qui sunt pusillo & abiecto animo, patientiam. Quinetiam hic ipse quoque Propheta alibi, Cor contritum & humiliatum Deus non despiciet. Quando ergo volueris consolationem assequi, redde teipsum humilem, animum tuum contere. Hoc ergo dixit de eius voluntate, benignitate, & clementia, eius scilicet esse munus, illos consolari qui sunt in calamitatibus. Quod autem sequitur, de potentia. 4. *Qui numerat multitudinem stellarum.* Hoc est, qui nouit: Quoniam enim agebatur de dispersa multitudine, & quae tunc nusquam apparebat, iure hoc exemplú in medium adduxit, per hoc ostendens eum posse vel dispersos cogere. Contritos enim solet erigere & consolari, & innumerabilem astrorum multitudiné nouit apprimè: ergo nos quoque, quos pollicitus est eis futuros aequales, plenissimè reducet. *Et omnibus eis nomina vocans.* Alius, Omnibus nomina vocans. Alius, Omnes

Dispersiones expulsi. — *Afflictos consolari, Dei proprium.* — Rom. 4. — Ibid. — 2 Cor 7. — 2.Cor.1. — Philip 1. — Psal.50. — Philip.3.

περὶ τὸ ἡδυνθῆναι τῷ Θεῷ τὴν αἴνεσιν, ἀλλὰ δεῖ καὶ τοῦ βίου τῆς προσευχῆς καὶ τῆς ἀκριβείας τοῦ ᾄδοντος. δοκεῖ δέ μοι οὗτος ὁ ψαλμὸς εἶναι τῆς ἐπανόδου. καὶ δείκνυσι διὰ τῆς ἐπαγωγῆς. ἐπάγει γὰρ λέγων, οἰκοδομῶν Ἱερουσαλὴμ ὁ κύριος· τὰς διασπορὰς τοῦ Ἰσραὴλ ἐπισυνάξει. εἰ γὰρ καὶ Κῦρος αὐτοὺς ἀφῆκεν, ἀλλ' οὐ τῆς ἐκείνου γνώμης, ἀλλὰ τῆς τοῦ Θεοῦ ῥοπῆς τὸ πᾶν ἐγένετο. ἕτερος δὲ ἑρμηνευτὴς, ἀντὶ τοῦ οἰκοδομῶν, οἰκοδομήσει· τὰς δὲ διασποράς, τοὺς ἐξωσμένους εἶπε. τί δήποτε; ὅτι οὐκ ἀθρόοι ἀνήχθησαν πάντες, ἀλλὰ μετὰ τὴν ἐπάνοδον κατὰ μικρὸν συνήχθησαν. ὁ ἰώμενος τοὺς συντετριμμένους τῇ καρδίᾳ, καὶ δεσμεύων τὰ συντρίμματα αὐτῶν. ἄλλος, τὰ κατεαγμένα αὐτῶν. ἐπειδὴ τὴν ἀπὸ τοῦ βίου παρρησίαν οὐκ εἶχεν εἰπεῖν, προβάλλεται πάλιν τὴν συμφορὰν, καὶ τὸ τοῦ Θεοῦ συνήθες. ἔργον γὰρ αὐτοῦ, τὸ τοὺς τεταπεινωμένους παρακαλεῖν, καὶ ἴδιον αὐτοῦ τοῦτο. ὥσπερ ὅταν λέγῃ καὶ Παῦλος, ὁ ζωοποιῶν τοὺς νεκρούς· καὶ πάλιν, ὁ καλῶν τὰ μὴ ὄντα, ὡς ὄντα, τὸ ἴδιον αὐτοῦ λέγων ἔργον. οὕτω δὴ καὶ ἐνταῦθα φησὶν, ὁ ἰώμενος τοὺς συντετριμμένους λέγει, δεικνὺς ὅτι κἂν ἀνάξιοι ὦμεν, ἐπειδὴ ἔργον αὐτοῦ ἐσμεν, τὴν πρᾶξιν αὐτοῦ οὐκ ἐγκαταλείψει, τὸ εἰωθὸς αὐτῷ οὐκ ἀφήσει. οὕτω καὶ Παῦλος, ἀλλ' ὁ παρακαλῶν τοὺς ταπεινοὺς παρεκάλεσεν ἡμᾶς. καὶ πάλιν, ὁ διδοὺς τοῖς ὀλιγοψύχοις μακροθυμίαν· καὶ ὁ αὐτὸς δὲ προφήτης ἀλλαχοῦ, καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει. ὅταν τοίνυν βουληθῇς παρακλήσεως ἀπολαῦσαι, ταπείνου σαυτὸν, σύντριψόν σου τὴν διάνοιαν. τοῦτο μὲν οὖν περὶ τῆς βουλήσεως αὐτοῦ, περὶ τῆς χρηστότητος καὶ τῆς φιλανθρωπίας, ὅτι ἔργον αὐτοῦ τοῦτο, τὸ τοὺς ἐν συμφοραῖς παραμυθεῖσθαι· τὸ δὲ ἑξῆς περὶ τῆς δυνάμεως. ὁ ἀριθμῶν πλήθη ἄστρων· τουτέστιν, ὁ εἰδώς. ἐπειδὴ γὰρ περὶ πλήθους ἦν διεσπαρμένου ὁ λόγος καὶ οὐδαμοῦ φαινομένου τέως, εἰκότως τοῦτο τὸ ὑπόδειγμα εἰς μέσον ἤγαγε, δεικνὺς διὰ τούτου ὅτι καὶ τοὺς διεσπαρμένους δύναται συναγαγεῖν. τούς τε γὰρ συντετριμμένους ἔθος αὐτῷ διορθοῦν καὶ παραμυθεῖσθαι, τά τε ἄπειρα πλήθη τῶν ἀστέρων μετὰ ἀκριβείας ἐπίσταται, οὐκοῦν καὶ ἡμᾶς, οἷς ἐπηγγείλατο κατὰ τὸ πλῆθος ἐκείνων ἔσεσθαι, μετὰ ἀκριβείας συνάξει. καὶ πᾶσιν αὐτοῖς ὀνόματα καλῶν. ἄλλος, τοῖς πᾶσιν ὀνόματα καλῶν. ἕτερος,

πάντας αὐτοὺς ὀνόμασι καλέσει. ἡγοῦμαι τοῦτο περὶ τῶν Ισραηλιτῶν εἰρῆσθαι, καὶ τοῦτο λέγειν τὸν προφήτην ὅπερ καὶ Ησαΐας μετὰ ταῦτα· μὴ φοβοῦ Ισραὴλ· ἐκ τῶν σκοπιῶν τῆς γῆς ἐκάλεσά σε, καὶ εἶπά σοι, παῖς μου εἶ. τί ἐστι, πάντας αὐτοὺς ὀνόμασι καλέσει; οὐδεὶς αὐτῶν, φησιν, ἀπολεῖται, ἀλλ' ὥσπερ οἱ κατ' ὄνομα καλοῦντες, οὕτω καὶ αὐτὸς μετὰ ἀκριβείας πάντας συνάξει. μέγας ὁ κύριος ἡμῶν, καὶ μεγάλη ἡ ἰσχὺς αὐτοῦ. ἐπειδὴ πρᾶγμα εἶπε μέγιστον, ὅτι τοσαύτας μυριάδας πανταχοῦ τῆς οἰκουμένης διεσπαρείσας ἐπισυνάξει, περὶ τῆς δυνάμεως αὐτοῦ λοιπὸν διαλέγεται, καὶ τοὺς σφόδρα θορυβουμένους τῶν Ιουδαίων εἰς πίστιν ἄγων. καὶ τῆς συνέσεως αὐτοῦ οὐκ ἔστιν ἀριθμός. μὴ ζήτει τοίνυν πῶς καὶ τίνι τρόπῳ. καὶ γὰρ ἡ μεγαλωσύνη αὐτοῦ ἄπειρος· διὰ τοῦτο ἔλεγε, τῆς μεγαλωσύνης αὐτοῦ οὐκ ἔστι πέρας. ἀλλ' ὥσπερ ἡ μεγαλωσύνη ἄπειρος, οὕτω καὶ ἡ σύνεσις. διὰ τοῦτο καὶ εἰπὼν, μέγας ὁ κύριος ἡμῶν, ἐπήγαγε, καὶ τῆς συνέσεως αὐτοῦ οὐκ ἔστιν ἀριθμός. καὶ ἡ γνῶσις δὲ αὐτοῦ θαυμαστή. διὸ καὶ ἔλεγεν, ἐθαυμαστώθη ἡ γνῶσίς σου ἐξ ἐμοῦ· ἐκραταιώθη, οὐ μὴ δυνώμαι πρὸς αὐτήν. καὶ τὰ κρίματα δὲ αὐτοῦ πάλιν ἀνεξερεύνητα. διὸ καὶ ἔλεγε, τὰ κρίματά σου, ἄβυσσος πολλή. ὅταν τοίνυν καὶ μέγας, καὶ δυνατὸς ᾖ καὶ συνετὸς, μὴ περιεργάζου πῶς ταῦτα ἔσται. ἀναλαμβάνων πραεῖς ὁ κύριος, ταπεινῶν δὲ ἁμαρτωλοὺς ἕως γῆς. ἵνα γὰρ μὴ λέγωσί τινες τῶν ἀνοήτων, τί πρὸς ἡμᾶς, ὅτι τὰ ἄστρα οἶδε μετὰ ἀκριβείας; λέγει καὶ τὴν ἐπ' ἀνθρώπων κηδεμονίαν οὕτω γινομένην. καὶ οὐκ εἶπε, βοηθῶν πραέσιν ὁ κύριος, ἀλλ' ὃ πολλῷ μεῖζον, ἀναλαμβάνων, ὡς περὶ πατρὸς φιλοστόργου διαλεγόμενος. τί δέ ἐστιν ἀναλαμβάνων; ἀνακτώμενος, φέρων, διαβαστάζων. εἶδες πάλιν ἐφ' ἑκάτερα τὴν δύναμιν αὐτοῦ ἀπηρτισμένην, ἐπί τε τὸ αἴρειν τοὺς ταπεινοὺς, καὶ ταπεινοῦν τοὺς ἀπονενοημένους; οὐχ ἁπλῶς δὲ ταπεινοῖ, ἀλλὰ καὶ μετὰ πολλῆς τῆς ὑπερβολῆς· τοῦτο γάρ ἐστι, τὸ ἕως γῆς. ἐξάρξατε τῷ κυρίῳ ἐν ἐξομολογήσει. ἄλλος, καταλέξατε. εἰπὼν αὐτοῦ τὰ κατορθώματα, πάλιν ἐπὶ τὸν ὕμνον αὐτοὺς καλεῖ λέγων, ἐξάρξατε τῷ κυρίῳ ἐν ἐξομολογήσει· τουτέστιν, ἐν εὐχαριστίᾳ, μετὰ πολλῆς τῆς σπουδῆς. ψάλατε τῷ Θεῷ ἡμῶν ἐν κιθάρᾳ. ἄλλος, διὰ λύρας. τῷ περιβάλλοντι

A eos nominatim vocabit. Existimo hoc dictum esse de Israëlitis, & idem dicere prophetã, quod Esaias quoque postea: Ne timeas Israel, ex speculis terræ vocaui te, & dixi, Filius meus es. Quid est, omnes eos nominatim vocabit? Nullus, inquit, eorum peribit, sed quemadmodum qui nominatim vocat: ita etiam ipse omnes perfectè reducet.

Esa. 41. 9.

5. *Magnus Dominus noster, & magna virtus eius.* Quoniam rem dixit maximam, quòd tot hominum millia per vniuersum orbem terræ dispersa sit congregaturus, deinceps differit de eius potentia, B Iudæos, qui valde conturbabantur, vt crederent, inducens. *Et sapientiæ eius non est numerus.* Ne quære ergo quomodo & quànam ratione: est enim eius magnitudo infinita. Quocirca dixit etiam, magnitudinis eius non est finis. Sed quemadmodum infinita est magnitudo, ita etiam sapientia. Et ideo cùm dixisset, Magnus Dominus noster, subiunxit: Et sapientiæ eius non est numerus. Quinetiam admirabilis est eius scientia, & ideo dicebat: Mirabilis facta est sciẽtia tua à me. Potens facta est, non C potero ad eã. Et sunt eius iudicia rursus inscrutabilia: & ideo dicebat: Iudicia tua abyssus multa. Cùm sit ergo magnus, potens, & sapiens, ne nimis curiosè inquiras quomodo hæc erunt.

Psal. 144.

Psal. 138. 5.

Psal. 35. 6.

6. *Suscipiens mansuetos Dominus, humilians autem peccatores vsque ad terram.* Ne enim dicerent aliqui insipientes, quid ad nos, si perfectè nouit astra omnia? dicit etiam curam quàm gerit hominum: Non dixit autem, opem ferens mansuetis Dominus: sed quod est multò maius: suscipiens: tanquam de amanti patre loquens. Quid est autem, D suscipiens? Recreans, ferens, bajulans. Vidisti rursus perfectam in vtroque eorum potentiam? nempe in extollendis humilibus, & in deijciendis deprimendisque arrogantibus. Non solùm autem humiliat, sed etiam summoperè humiliat. Hoc enim sibi vult illud, vsque ad terram. 7. *Præcinite Domino in confessione.* Alius, Enumerate. Postquam igitur dixit præclara eius facta, rursus eos ad hymnum vocat dicens: Præcinite Domino in cõfessione. Hoc est, in gratiarum actione, cum magno studio ac diligentia. *Psallite Deo nostro in cithara.* Alius, per lyram. 8. Qui

operit cœlum nubibus, & parat terræ pluuiam. A Ne quis autem planè sensus expers dicat, Et quid ad me cœlestia? subiunxit statim id quod opus est hominibus, ostendens per id quod subiungit, cur cur cœlum operiat nubibus. Propter te, inquit, vt tibi paret pluuiam. Pluuia autem propter te, vt tibi fœnum producat. Vide autem sapientiam; dicit bona generalia quæ dedit omnibus, ex redundāti copia ora eorum obstruens. Si enim infidelibus fuit adeò munificus, vt vel nubes cogeret, & pluuiam moueret, & terram excitaret, multò magis vobis, qui appellati estis populus eius peculiaris. B 9. *Qui producit in montibus fœnum & herbam seruituti hominum.* Vide prouidētiæ amplitudinem, quando non solùm in agris & cultis prædiis, sed etiam in montibus lautam dat mensam, nempe alimentum iumentorum, quæ ad hominibus seruiendum facta sunt. Et ideo subiungit, 10. *Qui dat iumentis escam ipsorum, & pullis coruorum inuocantibus eum.* Aliam rursus dicit munificentiam, vt qui non solum iumentis, quæ seruiunt hominibus, dat escam ipsorum, sed etiam aliis brutis Et pullis enim, inquit, coruorum inuocantibus eum. C Si autem brutis, & brutis agrestibus, & quæ hominibus minimè inseruiunt, tanta adhibetur prouidentia: quantò magis hominibus, & hominibus qui eum hymnis & laudibus celebrant, quos etiam propterea vocauit populum peculiarem, & sui portionem? Deinde quoniam erant imbecilli, & inermes, & nudati omnibus, ne ex eo conturbarentur: vide quomodo hanc quoque eorum corrigit imbecillitatem, dicens, 11. *Non in fortitudine equi voluntatem habebit, neque in tibiis viri beneplacitum est ei.* D 12. *Beneplacitum est Domino super timentes eum, & in eis qui sperant super misericordia eius.* Alius, Qui expectant misericordiam eius. Si hæc, inquit, habeatis, metum scilicet, & perfectam in eum spem, attrahetis eius beneuolentiam: & cùm attraxeritis, iis qui equos & arma habent, eritis potentiores. Vnum est ergo quod quæritur, vt non ægrè feratis, neque perturbemini, sed expectetis eius misericordiam: In hoc enim spes maximè consistit, vt etsi nō statim acceperimus, minimè desperemus, nec animum abiiciamus. Rectè autem dixit, In miseri-

Argumentum à minori.

Dan. 7. 14. 26.

Populus Dei peculiaris qui dictus.

A τὸν οὐρανὸν ἐν νεφέλαις, τῷ ἑτοιμάζοντι τῇ γῇ ὑετόν. Ἵνα μή τις τῶν ἀναισθήτων λέγῃ, καὶ τί πρὸς ἐμὲ τὰ οὐράνια; ἐπήγαγεν εὐθέως τὴν χρείαν τὴν ἀνθρωπίνην, δεικνὺς διὰ τῆς ἐπαγωγῆς, καὶ τίνος ἕνεκεν περιβάλλει τὸν οὐρανὸν ἐν νεφέλαις. Διὰ σέ, φησιν, ἵνα σοι παρασκευάζῃ ὑετόν. καὶ ὑετὸς διὰ σέ, ἵνα ἐκβάλλῃ χόρτον. καὶ ὅρα σοφίαν. λέγει τὰ καθολικὰ ἀγαθὰ ἃ πᾶσιν ἔδωκεν, ἐπιστομίζων αὐτοὺς ἐκ περιουσίας. εἰ γὰρ ἐπὶ τῶν ἀπίστων τοσαύτῃ κέχρηται τῇ δαψιλείᾳ, ὥστε καὶ νέφη συνάγειν, καὶ ὑετὸν κινεῖν, καὶ γῆν διεγείρειν, B πολλῷ μᾶλλον ὑμῖν, οἱ αὐτῷ λαὸς περιούσιος ἐχρηματίσατε. Τῷ ἐξανατέλλοντι ἐν ὄρεσι χόρτον. ὅρα περιουσίαν τῆς προνοίας, ὅταν μὴ μόνον ἐν ἀροσίμῃ γῇ, ἀλλὰ καὶ ἐν τοῖς ὄρεσι δαψιλῆ αὐτοῦ παρέχῃ τὴν τράπεζαν, τὴν διατροφὴν τῶν κτηνῶν τῶν πρὸς ὑπηρεσίαν τῶν ἀνθρώπων γεγενημένων. διὸ καὶ ἐπάγει, Διδόντι τοῖς κτήνεσι τροφὴν αὐτῶν. ἑτέραν πάλιν λέγει φιλοτιμίαν, ὅταν μὴ μόνον τοῖς ὑπηρετουμένοις ἀνθρώποις κτήνεσι τροφὴν παρέχῃ, ἀλλὰ καὶ ἑτέροις ἀλόγοις. καὶ τοῖς νεοσσοῖς γάρ, φησι, τῶν κοράκων τοῖς ἐπικαλουμένοις αὐτόν. εἰ δὲ ἐν τοῖς C ἀλόγοις, καὶ ἀλόγοις ἀγρίοις καὶ οὐ παρέχουσιν ἀνθρώποις διακονίαν τοσαύτη ἡ πρόνοια, πολλῷ μᾶλλον ἐν ἀνθρώποις, καὶ ἀνθρώποις ὑμνοῦσιν, οὓς καὶ λαὸν περιούσιον καὶ μερίδα αὐτοῦ ἐκάλεσεν. εἶτα ἐπειδὴ ἀσθενεῖς ἦσαν καὶ ὅπλων ἔρημοι, καὶ πάντων γεγυμνωμένοι, ἵνα μηδὲ ἐντεῦθεν θορυβῶνται, ὅρα πῶς καὶ τοῦτο τὴν αὐτῶν διορθοῦται τὴν ἀσθένειαν λέγων· Οὐκ ἐν τῇ δυναστείᾳ τοῦ ἵππου θελήσει, οὐδὲ ἐν ταῖς κνήμαις τοῦ ἀνδρὸς εὐδοκεῖ. Εὐδοκεῖ κύριος ἐν D τοῖς φοβουμένοις αὐτόν, καὶ ἐν τοῖς ἐλπίζουσιν ἐπὶ τὸ ἔλεος αὐτοῦ. ἕτερος, τοῖς ἀναμένουσι τὸ ἔλεος αὐτοῦ. ἂν ταῦτα ἔχητε, φησι, τὸν φόβον καὶ τὴν ἐλπίδα τὴν εἰς αὐτὸν μετὰ ἀκριβείας, ἐπισπάσεσθε αὐτοῦ τὴν εὔνοιαν· ἐπισπασάμενοι δέ, πάντων τῶν ἵππους καὶ ὅπλα ἐχόντων ἔσεσθε δυνατώτεροι. ἓν τοίνυν ἐστὶ τὸ ζητούμενον, ὥστε μὴ ἀσχάλλειν, μηδὲ θορυβεῖσθαι, ἀλλ' ἀναμένειν τὸ ἔλεος αὐτοῦ· τοῦτο γὰρ μάλιστα ἐλπίς, τὸ καὶ παραυτίκα μὴ λαβόντας μὴ ἀπογινώσκειν, μηδὲ ἀπαγορεύειν. καὶ καλῶς εἶπε τὸ ἔλεος αὐτοῦ.

οὐδὲ

οὐδὲ γὰρ εἶχον τὴν ἀπὸ τῶν ἔργων παῤῥησίαν. ἀλλ' ὅμως, φησί, κἂν ἀπὸ τῶν ἔργων ἦτε προδεδομένοι, ἐλπίζητε δὲ ἐπὶ τὸ ἔλεος αὐτοῦ, τεύξεσθε τῆς προνοίας καὶ τῆς βοηθείας αὐτοῦ· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Εἰς τὸν ρμζ' ψαλμόν.

Ἐπαίνει Ἱερουσαλὴμ τὸν κύριον, αἴνει τὸν Θεόν σου, Σιών.

ΟΥ πρὸς τὴν πόλιν, ἀλλὰ πρὸς τοὺς ἐνοικοῦντας ἀποτείνει τὸν λόγον, ὃ διὰ παντὸς τοῦ βιβλίου ποιεῖ, τοῦτο καὶ ἐνταῦθα ποιῶν. παραινεῖ δὲ συνεχῶς καὶ συμβουλεύει, ὥστε τὰς ὑπὲρ τῶν εὐεργεσιῶν εὐχαριστίας ἀναφέρειν τῷ Θεῷ, καὶ μήτε οἰκοδομήμασι, μήτε ἀσφαλείᾳ περιβόλων, ἀλλὰ τῇ αὐτοῦ προνοίᾳ θαῤῥεῖν. τοῦτο δὴ προκατασκευάσας ἐπάγει καὶ λέγει, ὅτι ἐνίσχυσε τοὺς μοχλοὺς τῶν πυλῶν σου· εὐλόγησε τοὺς υἱούς σου ἐν σοί. τί ἐστι, τοὺς μοχλοὺς ἐνίσχυσεν; ἐν ἀσφαλείᾳ σε, φησί, κατέστησεν, ἀχείρωτον ἐποίησεν. εὐλόγησε τοὺς υἱούς σου· τουτέστιν, εἰς πλῆθος ἐπιδοῦναι ἐποίησεν. ἓν μὲν τοῦτο εἶδος εὐεργεσίας· ἕτερον δὲ τὸ καὶ ἐν σοί. ὃ τοίνυν λέγει, τοῦτό ἐστιν· οὐ διεσπαρμένους, οὐδὲ διεσκορπισμένους, ἀλλὰ συναχθέντας καὶ ἐν σοὶ ὄντας ἐπιδοῦναι ἐποίησεν. εἶτα καὶ ἄλλο προνοίας εἶδος δεικνὺς λέγει, ὁ θεὶς τὰ ὅριά σου εἰρήνην. ἔστι γὰρ καὶ ἐν ἀσφαλείᾳ τινὰς εἶναι, καὶ πολλοὺς εἶναι, καὶ πολεμεῖσθαι. ἀλλ' ἐνταῦθα καὶ ταύτης ἀπηλλαγμένους δείκνυσι τῆς ἐπιβουλῆς, τῷ οὕτως εἰπεῖν καὶ δεῖξαι οὐ τὴν πόλιν μόνον ἀπηλλαγμένην τῶν ἐπιβουλευόντων, ἀλλὰ καὶ αὐτὰς τὰς ἐσχατιάς. εἶδες πόσας εὐεργεσίας ἀπαριθμεῖ, καὶ πρώτην καὶ μείζονα πάντων, τῷ εἰπεῖν, τὸν Θεόν σου. διὰ γὰρ τοῦ ῥήματος τούτου πάντα ταῦτα λέγει, ὅτι ᾠκειώσατό σε, ὅτι κληρονόμον σε ἐποίησεν ἑαυτοῦ, ὅτι κοινὸς ὢν ἁπάντων δεσπότης,

cordia eius. Neque enim habebant in factis suis fiduciam. Sed tamen, inquit, etsi vos facta destituerint, speretis autem in eius misericordia, assequemini prouidentiam & eius auxilium: quæ detur nobis omnibus consequi gratia & clementia domini nostri Iesu Christi, cui gloria & potentia in secula seculorum, Amen.

IN PSALMVM CXLVII.

Lauda Hierusalem Dominum, lauda Deum tuum Sion.

NON ad ciuitatem, sed ad eos qui in illa habitant, dirigit oratione͂: quod per totum librum facit, hoc quoque hic faciens. Assiduè autem hortatur & consulit, vt gratiarum actionem Deo pro beneficiis offerant, & neque in ædificiis, nec in validis propugnaculis, sed in Dei prouidentia fiduciam habeant. Hoc veluti priùs iacto & confirmato funamento, subiungit, & dicit, 2. *Quoniam confortauit seras portarum tuarum, benedixit filiis tuis in te.* Quid hoc est? In tuto inquit te collocauit, fecit inexpugnabilem. Benedixit filiis tuis. Hoc est, fecit crescere in magnam multitudinem. Hoc vnum est genus beneficij. Alterum verò est illud, In te. Hoc est autem quod dicit, Non diuisos, nec dispersos, sed in te congregatos fecit crescere. Deinde aliud quoque ostendens prouidentiæ genus dicit, 3. *Qui posuit fines tuos pacem.* Fieri enim potest vt & in tuto sint, & multi sint, & tamen bello vexentur: sed ab his quoque insidiis ostendit eos esse liberos, quod sic dixit, & indicauit non solum ciuitatem esse liberam ab insidiatoribus, sed ipsos etiam fines. Vidisti quot beneficia recenset? Primum quidem, & quod est omnium maximũ, quòd dixerit, Deum tuum. Per hoc enim verbum dicit hæc omnia, quod te effecit familiarem, quòd te suum fecit hæredem, quòd cùm sit communis omnium dominus,

Deut. 7.
Rom. 8.
Rom. 10.

est præcipuè tuus: quod quidem est primum caput bonorum. Secundum autem, quòd ciuitatem in tuto collocauit. Tertium, quòd eos multiplicauit. Quartum, quòd à bellis & tumultibus liberauit non solùm ciuitatem, sed etiam vniuersam gentem: quòd non vno tantum, aut altero, aut tertio tempore hoc fecit, sed id fecit perpetuò. Non dixit enim qui posuit, sed qui ponit. Quòd si bella quandoque euenerunt, non eò quòd ipse eos relinqueret, sed eò quòd ipsi resilirent, factum est. Hoc enim fuit perpetuum eius munus, munire, in tuto collocare: vt ab omni bello & tumultu liberi essent, præstare. Deinde aliud quoque vnà cum hoc dicit beneficium, nempe magnam anni fertilitatem, & bonum fructuum prouentum, rursus hic ipsos docens, non terræ nec aëris naturæ, sed eius prouidétiæ omnia ascribere. Quódnam autem id est quod subiunxit, dicens, *Et adipe frumenti satiat te?* Vide, non dixit absolutè frumentum, sed, adipe frumenti, magnam ostendens prosperitatem. Adeps enim frumenti, fructus florem, & id quod est optimum significat. Talia sunt enim Dei dona, proba & florentia. Optimo ergo frumento eos hic dicit liberalissimè expleri. Hoc enim significans, non dixit qui dat, sed qui satiat. 4. *Qui emittit eloquium suum terræ.* Quod facere consueuit, vt à priuatis ad communia, & à communibus rursus ad priuata transferat orationem, hoc hic quoque facit. Postquam enim dixit, lauda Deum tuum, ne quis insipiens existimaret eum esse Deum tantum Iudæorum, ostendit quomodo sit vniuersæ terræ communis, & per vniuersum orbem terræ extensa sit eius prouidentia, à priuatis ad id quod est commune, deducens orationem, & ad generalem prouidentiam. Et ideo cùm dixisset, qui emittit eloquium suum terræ, subiunxit: *Velociter currit sermo eius.* Hoc autem dixit ostendens eum non solum nostræ regionis, sed vniuersi orbis terrarum curam gerere. Eloquium autem hîc dicit iussum, operationem qua prouidet & prospicit. Deinde quàm sit facilis, & quàm in promptu, ostendens non nomine solum sermonis, sed etiam appellatione cursus id significauit: & ne hoc quidem satis esse duxit, sed etiam adiecit velociter.

Terræ fertilitas Dei prouidentiæ ascribenda.

Adeps frumenti.

Sap 6. 11.

Eloquium Dei.

A ἐξαιρέτως σός ἐστιν, ὅπερ κεφάλαιον πρῶτον τῶν ἀγαθῶν. δεύτερον, ὅτι ἐν ἀσφαλείᾳ τὴν πόλιν κατέστησε. τρίτον, ὅτι πολλοὺς αὐτοὺς εἶναι ἐποίησε. τέταρτον, ὅτι πολέμων ἀπήλλαξε καὶ ταραχῆς, οὐχὶ τὴν πόλιν μόνην, ἀλλὰ καὶ τὸ ἔθνος ἅπαν· ὅτι οὐχ ἐν καιρῷ ἑνὶ καὶ δευτέρῳ καὶ τρίτῳ, ἀλλὰ διηνεκῶς τοῦτο ἐποίει· οὐ γὰρ εἶπεν ὁ θείς, ἀλλ' ὁ τιθείς. εἰ δέ ποτε καὶ πόλεμοι συνέβαινον, οὐκ αὐτοῦ ἐγκαταλιμπάνοντος, ἀλλ' αὐτῶν ἀποπηδώντων· ὡς τό γε αὐτοῦ ἔργον τοῦτο ἦν διηνεκές, τὸ τειχίζειν, τὸ ἀσφαλίζεσθαι, τὸ ποιεῖν B ἀπηλλάχθαι πάσης ταραχῆς καὶ πολέμου. εἶτα καὶ ἑτέραν μετ' ἐκείνης λέγει εὐεργεσίαν, τὴν εὐετηρίαν καὶ εὐθηνίαν τῶν ἀπὸ γῆς καρπῶν, πάλιν καὶ ἐνταῦθα παιδεύων αὐτοὺς μὴ τῇ γῇ, μηδὲ τῇ φύσει τῶν ἀέρων, ἀλλὰ τῇ αὐτοῦ προνοίᾳ τὸ πᾶν λογίζεσθαι. ποίαν δὲ ταύτην; ἣν ἐπήγαγε λέγων, καὶ στέαρ πυροῦ ἐμπιπλῶν σε. ὅρα, οὐκ εἶπεν ἁπλῶς πυρόν, ἀλλὰ στέαρ πυροῦ, πολλὴν ἐνδεικνύμενος τὴν εὐημερίαν. στέαρ γὰρ πυροῦ, τὸ λιπαρὸν τοῦ καρποῦ δηλοῖ. τοιαῦτα γὰρ τοῦ Θεοῦ τὰ δῶρα, δόκιμα καὶ εὐθαλῆ. τὸν κάλλιστον οὖν πυρὸν ἐνταῦθα λέγει ἐμπι-C πλᾶν μετὰ δαψιλείας. τοῦτο γὰρ δηλῶν οὐκ εἶπε, διδούς, ἀλλ' ἐμπιπλῶν σε. ὁ ἀποστέλλων τὸ λόγιον αὐτοῦ τῇ γῇ. ὅπερ αὐτῷ συνήθης ἐστὶν ἀπὸ τῶν ἰδικῶν ἐπὶ τὰ κοινὰ μεταφέρειν τὸν λόγον, καὶ πάλιν ἀπὸ τῶν κοινῶν ἐπὶ τὰ ἰδιάζοντα, τοῦτο καὶ ἐνταῦθα ποιεῖ. ἐπειδὴ γὰρ εἶπεν, αἴνει τὸν Θεόν σου, ἵνα μή τις τῶν ἀνοήτων νομίσῃ τῶν Ἰουδαίων μόνον Θεὸν αὐτὸν εἶναι, δείκνυσι πῶς κοινὸς τῆς οἰκουμένης ἐστί, καὶ πανταχοῦ τῆς γῆς ἡ πρόνοια αὐτοῦ τέταται, ἀπὸ τῶν ἰδιαζόντων ἐπὶ τὸ κοινὸν ἐξάγων τὸν λόγον καὶ τὴν καθόλου D πρόνοιαν. διὸ καὶ εἰπών, ὁ ἀποστέλλων τὸ λόγιον αὐτοῦ τῇ γῇ, ἐπήγαγεν, ἕως τάχους δραμεῖται ὁ λόγος αὐτοῦ. τοῦτο δὲ εἶπε, δεικνὺς ὅτι οὐ μόνον τῆς ἡμετέρας κήδεται, ἀλλὰ τῆς οἰκουμένης ἁπάσης. λόγιον δὲ ἐνταῦθα, τὸ πρόσταγμά φησι, τὴν ἐνέργειαν τὴν προνοητικήν. εἶτα τὴν εὐκολίαν παριστάς, οὐ τῷ ὀνόματι τοῦ λόγου, ἀλλὰ καὶ τῇ προσηγορίᾳ τοῦ δρόμου ταύτην παρίστησι. καὶ οὐδὲ τοῦτο αὐτῷ ἤρκεσεν, ἀλλὰ καὶ τὸ τάχος προσέθηκεν.

ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· ὅταν ἂν ἐπιτάξῃ, μετὰ πολλῆς γίνεται τῆς ταχυτῆτος. ἐπιτάττει γὰρ πανταχοῦ τῆς οἰκουμένης. τί δὲ ἐπιτάττει; ταῦτα τὰ συνέχοντα τὴν ζωὴν τὴν ἡμετέραν, λέγω δὴ, τὰ περὶ τῆς τῶν ἀέρων οἰκονομίας, καὶ τῶν ὡρῶν τε τῶν μεταβολῶν. διὸ καὶ ἐπάγει λέγων, διδόντος χιόνα αὐτοῦ, ὡσεὶ ἔριον, ὁμίχλην, ὡσεὶ σποδὸν πάσσοντος. τοῦτο ἕτερος ἑρμηνευτής, δρόσον πεπηγμένην. ὁ δὲ Ἑβραῖος, Χαφφὶρ χαέφηρ. βάλλοντος κρύσταλλον αὐτοῦ, ὡσεὶ ψωμούς. κατὰ πρόσωπον ψύχους αὐτοῦ τίς ὑποστήσεται; ἐξαποστελεῖ τὸν λόγον αὐτοῦ, καὶ τήξει αὐτά· πνεύσει τὸ πνεῦμα αὐτοῦ, καὶ ῥυήσεται ὕδατα. ἐνταῦθά μοι τὸ ἄμαχον καὶ ἀπέραντον αὐτοῦ τῆς δυνάμεως παρίστησιν, ὅτι καὶ οὐκ οὔσας παράγει τὰς οὐσίας, καὶ γινομένας μετατίθησι, καὶ πρὸς ὃ βούλεται μεταρρυθμίζει. ὅπερ καὶ ἕτερος προφήτης δηλῶν ἔλεγεν, ὁ ποιῶν πάντα καὶ μετασκευάζων αὐτά. εἰ γὰρ καὶ φύσεως ἀκινήτοις ὅροις πεπέδηνται, ἀλλ᾽ ὅταν αὐτῷ δοκῇ, λύονται οὗτοι οἱ ὅροι. αὐτῷ γὰρ εἴκει καὶ παραχωρεῖ. καὶ ποτὲ μὲν αὐτὰς μεταβάλλει τὰς οὐσίας, ποτὲ δὲ μενούσας εἰς ἑτέραν μετατίθησιν ἐνέργειαν, καὶ τὴν μὲν οἰκείαν αὐτῶν καὶ συγκεκληρωμένην ἀφίησιν ἡσυχάζειν, ἑτέραν δὲ τὴν ἐναντίαν ἐπιδείκνυνται· ὅπερ καὶ ἐπὶ τῆς καμίνου ἐποίησε. πῦρ γὰρ ἦν, καὶ οὐκ ἔκαιε· ἀλλὰ δρόσου τινὸς ἡδίστης οἱ ἐμβληθέντες ἀπέλαυον. πέλαγος ἦν ἐπὶ τῶν Ἰουδαίων, καὶ οὐ κατεπόντιζε τὰ ὕδατα, ἀλλὰ πέτρας στεῤῥότερον διεβιβάζοντο. γῆ ἦν ἐπὶ τοῦ Δαθὰν καὶ Ἀβειρὼν, καὶ ὅμως οὐκ ἔστεγεν αὐτῶν τὰ σώματα, ἀλλὰ θαλάσσης εὐκολώτερον κατεποντίζοντο. ξύλον ἦν ξηρὸν ἡ ῥάβδος τοῦ Ἀαρὼν, καὶ τῶν ἐπὶ γῆς πεφυτευμένων ὡραιότερον καρπὸν ἤνεγκεν. ὄνος ἦν τὸ πάντων νωθέστερον ζῶον ἐπὶ τοῦ Βαλαὰμ, καὶ ἀνθρώπου λογικοῦ οὐκ ἔλαττον ἀπολογίαν εἰς τὸν παίοντα πεποίηκε. λέοντες ἦσαν ἐπὶ τοῦ Δανιὴλ, καὶ προβάτων ἡμερότητα ἐπεδείξαντο, οὐ τῆς φύσεως αὐτῶν ἀφανισθείσης, ἀλλὰ τῆς ἐνεργείας μεταβληθείσης. πολλὰ ἕτερα τοιαῦτα θαύματα καὶ ἐπὶ τῆς κτίσεώς ἐστιν ἰδεῖν. μὴ οὖν, ἐπειδὴ καθ᾽ ἕκαστον γίνεται ἐνιαυτὸν, καὶ ἐν ὄψεσιν ἡμῶν συμβαίνει, μικρὸν νομίσῃς τὸ θαῦμα· ἐπεὶ ἐννόησον ἡλίκον ἐστὶ, νῦν μὲν

Quod autem dicit, est eiusmodi, quodcunque iusserit, fit cum maxima celeritate. Per vniuersum enim orbem terrę imperat. Quid autem imperat? Ea quæ nostram vitam continent, quæ spectant ad aëris administrationem, temporúmque mutationem & vicissitudinem. Et ideo subiungit dicens. 5. *Qui dat niuem sicut lanam: nebulam sicut cinerem spargit.* Hoc alius quidam interpres dicit, Rorem concretum. Hebræus autem Caepher. 6. *Mittit crystallum suam sicut buccellas: ante faciem frigoris eius quis sustinebit?* Alius, In faciem frigoris quis stabit? 7. *Emittet verbum suum, & liquefaciet ea; flabit spiritus eius, & fluent aquæ.* Hic mihi exponit inexpugnabilem & infinitam eius potentiam, quòd quæ non sunt, producit substantias, & eas quæ factæ sunt, traducit & transmutat, & ad id quod vult transformat. Quod quidem alius quoque propheta significans dicebat: Qui omnia facit, & ea transformat. Etsi enim immobilibus naturæ terminis alligata sint: quando tamen ei visum fuerit, soluuntur hi termini. Ei enim omnia locum dant & concedunt, aliquando quidem eas mutat substantias, aliquando verò manentes mutat in aliam operationem, & eam quidem quæ est ei propria & attributa facit quiescere, aliam verò inducit contrariam. Quod quidem fecit in fornace. Ignis erat, & non vrebat, sed qui in eum iniecti fuerant, sentiebant rorem longè iucundissimum. Mare erat cùm Iudæi traijcerent, & aquæ non obruebant, sed eos petra firmius & solidius transmittebant: sub Dathã & Abiron terra erat, eorum tamen corpora nõ sustinuit, sed mari facilius obruit. Virga Aaron erat lignũ aridum, & iis quæ in terra plãtata erant, fructum pulchriorem protulit. Balaæ erat asinus animal omnium hebetissimum, nec minus benè se defendit apud eum qui ipsum pulsabat, quàm homo ratione præditus. Cùm in lacum coniectus est Daniel, erant leones, & ostenderunt ouiũ mansuetudinem: non ipsorum quidem deleta natura, sed mutata eorum operatione. Multa alia possunt videri miracula, etiam in creaturis. Ne ergo quoniam fit singulis annis, & sub aspectum nostrum cadit, id paruum esse miraculum existimes. Considera enim quantum sit, nunc quidem

Eccl. 8. *Amos 5. 8.* *Esa. 45. Hiere. 10.* *Natura operatio in contrarium mutata.* *Dan 3.* *Exod. 14.* *Num. 16.* *Num. 17.* *Num. 22.* *Dan. 16.* *Miracula quotidiana.*

videri niuem, nunc verò aquã, & breui momento tẽporis tantas fieri mutationes. Ne quis enim minus sapiens, naturali elementorum operatione hęc fieri, & ea absolutè illorũ causas esse putaret: sed sciret quisnã sit qui imperat, ad iussum eius totã de his rebus deducit orationẽ, & dicit: Emittet verbum suũ, & liquefaciet ea. Hoc est, iussus, non enim vis ventorũ hoc facit principaliter, sed Deus qui fecit. ventos. Orationem autem deduxit ad elementa, & ad mutationes quæ sunt in elementis, persuadens crasso & vix vllo sensu prædito Iudæo, ex iis quæ fiũt singulis annis, nosse Dei potentiã, & facile ei esse res eorum, vt vult, administrare, & à contrariis in in contrarias mutare. Quemadmodum enim si fuerit tempestas & glacies intolerabilis, facile est illi inuecta tranquillitate omnia dissoluere: ita etiam eos qui in captiuitatem abducti fuerant, & bellis vexati erant, facile ei ad pacem & ad suã patriam reducere, & restituere priori prosperitati. Non hoc solùm autem significat, sed etiam aliud latenter innuit. Quidnam? Quòd quemadmodum hęc, licet molestiam afferant, sæpe fiunt vtiliter: ita etiam quæ eis euenerunt, eis fuerunt conducibilia, & multum commodi attulerunt. Ne esset autem eis amplius molestus, ad placidiorem rursus traduxit mutationem. Quid hæc autem sibi volunt exempla? Non dixit enim solummodo, qui dat niuem, sed adiunxit, tanquam lanam: Neque, qui nebulam spargit, sed subiũxit, sicut cinerem: neque, qui mittit crystallum, sed adiecit, sicut buccellas. Mihi videtur voluisse ex his significare quàm sint ei omnia facilia & explicata. 8. *Qui nunciat verbum suum Iacob.* Alius, perfectiones. Alius, iussa. *Iustitias & indicia sua Israel.* 9. *Non fecit taliter omni nationi.* Alius, similia. *Et indicia sua non manifestauit eis.* Vide quomodo rursus à generalibus transit ad singularia, & quæ erant Iudæorum præcipua, volens eos ad maius studium excitare. Atque in principio quidem psalmi disseruit de sensibilibus, & quæ prosunt corpori, vtpote de securitate, anni fertilitate, & pace: hic autem orationem ad altiora erigit, de lege quæ eis data est tractans,

Iudæorum crassitiem.

Hebr. 12.

Exod. 20.

χιόνα φαίνεσθαι, νῦν δὲ ὕδωρ, καὶ ἐν βραχείᾳ καιροῦ ῥοπῇ τοσαύτας γίνεσθαι μεταβολάς. ἵνα γὰρ μή τις τῇ ἀσυνέτων λογίζηται τῇ φυσικῇ τῶν στοιχείων ἐνεργείᾳ, καὶ τούτων ἁπλῶς αἴτια ταῦτα νομίζῃ, ἀλλ' εἰδῇ τίς ἐστιν ὁ ἐπιτάττων, ἐπὶ τὸ πρόσταγμα αὐτοῦ πάντων τούτων ἀνάγει τὸν λόγον, καί φησιν, ἐξαποστελεῖ τὸν λόγον αὐτοῦ, καὶ τήξει αὐτά· τουτέστι, τὸ πρόσταγμα. οὐ γὰρ τῶν ἀνέμων ἡ φύσις προηγουμένως τοῦτο ἐργάζεται, ἀλλ' ὁ τοὺς ἀνέμους ποιήσας Θεός. ἐξήγαγε δὲ ἐπὶ τὰ στοιχεῖα τὸν λόγον, καὶ τὰς ἐν τοῖς στοιχείοις μεταβολάς, πείθων τὸν Ἰουδαῖον τὸν παχὺν καὶ ἀναίσθητον ἀπὸ τῶν καθ' ἕκαστον ἐνιαυτὸν γινομένων εἰδέναι τοῦ Θεοῦ τὴν ἰσχύν, καὶ ὅτι καὶ τὰ κατ' αὐτὸν ῥᾴδιον αὐτῷ διαθεῖναι πάντα, ὅσα ἂν ἐθέλῃ, καὶ ἀπὸ τῶν ἐναντίων εἰς τὰ ἐναντία μεταβάλλειν. ὥσπερ γὰρ κρυμοῦ γινομένου καὶ πάγου ἀνυποίστου, ῥᾴδιον αὐτῷ γαλήνην ἐργασάμενον, καὶ πάντα διαλῦσαι, οὕτω δὴ καὶ αὐτοὺς ἐν αἰχμαλωσίᾳ γενομένους καὶ ἐν πολέμοις δυσχεραίνοντας αὐτῷ πρὸς εἰρήνην καὶ τὴν ἑαυτῶν ἐπαναγαγεῖν, καὶ πρὸς τὴν προτέραν εὐημερίαν χειραγωγῆσαι. οὐ τοῦτο δὲ μόνον δηλοῖ, ἀλλὰ καὶ ἕτερον κεκρυμμένως αἰνίττεται. ποῖον δὴ τοῦτο; ὅτι καθάπερ ταῦτα καὶ λυποῦντα πολλάκις χρησίμως τε καὶ ὠφελίμως γίνεται, οὕτω καὶ τὰ κατ' αὐτοὺς συμφερόντως γέγονε, καὶ εἰργάσατο μάλα πολλὴν τὴν ὠφέλειαν, ἵνα μὴ ἐπὶ πλέον λυπήσῃ, πάλιν εἰς μεταβολὴν μετέστη τὴν εὐδιεινοτέραν. τί δὲ αὐτῷ βούλεται καὶ τὰ παραδείγματα; οὐ γὰρ εἶπε, διδόντος χιόνα μόνον, ἀλλ' ἐπήγαγεν, ὡσεὶ ἔριον· οὐδὲ ὁμίχλην πάσσοντος, ἀλλ' ἐπήγαγεν, ὡσεὶ σποδόν· οὐδὲ βάλλοντος κρύσταλλον, ἀλλ' ἐπήγαγεν, ὡσεὶ ψωμούς. ἐμοὶ δοκεῖ κἀντεῦθεν τὴν εὐκολίαν τοῦ ἐργαζομένου δηλοῦν καὶ τὴν εὐπορίαν. ὁ ἀπαγγέλλων τὸν λόγον αὐτοῦ τῷ Ἰακώβ. ἕτερος, ἀκριβασμούς. ἄλλος, προστάγματα. δικαιώματα καὶ κρίματα αὐτοῦ τῷ Ἰσραήλ. οὐκ ἐποίησεν οὕτω παντὶ ἔθνει. ἄλλος, ὅμοια. καὶ τὰ κρίματα αὐτοῦ οὐκ ἐδήλωσεν αὐτοῖς. ὅρα πῶς πάλιν ἀπὸ τῶν καθολικῶν ἐπὶ τὰ μερικὰ μετάγει τὸν λόγον καὶ τῶν Ἰουδαίων τὰ ἐξαίρετα, βουλόμενος διεγεῖραι αὐτοὺς πρὸς πλείονα σπουδήν. ἀρχόμενος οὖν τοῦ ψαλμοῦ, περὶ τῶν αἰσθητῶν διελέχθη καὶ σώματι ὠφελούντων, περὶ ἀσφαλείας, εὐετηρίας, εἰρήνης· ἐνταῦθα δὲ ἐπὶ τὰ ὑψηλότερα ἀνάγει τὸν λόγον, τὸν περὶ τῆς νομοθεσίας λόγον ἀναπλῶν,

ὅπερ μάλιστα εἶδος εὐεργεσίας, ἀπάγειν κακίας, χειραγωγεῖν πρὸς ἀρετὴν, φωτίζειν διάνοιαν. διὸ καὶ Μωϋσῆς ἄνω καὶ κάτω τοῦτο στρέφων ἔλεγε· ποῖος ὡς οὗτος λαός; τὸ ἔθνος τὸ μέγα, ᾧ ἐστιν αὐτῷ Θεὸς ἐγγίζων αὐτοῖς, ὡς κύριος ὁ Θεὸς ἡμῶν, ἐπὶ πᾶσιν οἷς αὐτὸν ἐπικαλεσώμεθα. καὶ ὁ Δαβὶδ πάλιν, ποιῶν ἐλεημοσύνας ὁ κύριος, καὶ κρίμα πᾶσι τοῖς ἀδικουμένοις. ἐγνώρισε τὰς ὁδοὺς αὐτοῦ τῷ Μωϋσεῖ, τοῖς υἱοῖς Ἰσραὴλ τὰ θελήματα αὐτοῦ. καὶ ὁ Ἱερεμίας, οὗτος ὁ Θεὸς ἡμῶν· οὐ λογισθήσεται ἕτερος πρὸς αὐτόν. ἐξεῦρε πᾶσαν ὁδὸν ἐπιστήμης, καὶ ἔδωκεν αὐτὴν Ἰακὼβ τῷ παιδὶ αὐτοῦ, καὶ Ἰσραὴλ τῷ ἠγαπημένῳ ὑπ' αὐτοῦ. ἀλλ' ἴσως εἴποι τις ἄν· καὶ μὴ δηλώσας τοῖς λοιποῖς ἀνθρώποις, πῶς αὐτοὺς κολάζει; ὅτι μὲν γὰρ κολάζει καὶ τοὺς πρὸ τοῦ νόμου καὶ τοὺς πανταχοῦ τῆς οἰκουμένης ἁμαρτάνοντας, δῆλον ἐξ ὧν ὁ Χριστός φησι· βασίλισσα νότου ἀναστήσεται, καὶ κατακρινεῖ τὴν γενεὰν ταύτην. καὶ πάλιν, ἄνδρες Νινευῖται ἀναστήσονται καὶ κατακρινοῦσι τὴν γενεὰν ταύτην. πάντως γὰρ διὰ τοῦτο οὕτως εἴρηται, ὡς κἀκείνων λόγον ὑπεχόντων, καὶ τῶν μὲν ἐπαινουμένων, τῶν δὲ κολαζομένων. εἰ δὲ μὴ ἦν δῆλα αὐτοῖς τὰ πρακτέα, πῶς ἔμελλον κατακρίνειν τούτους; πῶς δὲ πάλιν ἔλεγεν, ὅτι τὸ αἷμα ἐκδικηθήσεται ἀπὸ τοῦ αἵματος Ἄβελ τοῦ δικαίου ἕως τοῦ αἵματος Ζαχαρίου; πῶς δὲ καὶ ἀνεκτότερον ἔσται γῇ Σοδόμων καὶ Γομόῤῥας; τὸ γὰρ εἰπεῖν, ἀνεκτότερον, οὐ τελείαν ἀπαλλαγὴν, ἀλλὰ κουφοτέραν τιμωρίαν, ὧν ἥμαρτον, αὐτοὺς διδόναι δηλοῖ. εἰ δὲ οἱ κολασθέντες οὕτω χαλεπῶς πάλιν δίκην διδόασι, τίς τῶν ἄλλων διαφεύξεται; ὁρῶμεν δὲ καὶ τοὺς ἐπὶ τοῦ κατακλυσμοῦ δίκην δεδωκότας καὶ ἑτέρους πολλοὺς, καὶ αὐτὸν δὲ τὸν Κάϊν. καὶ ὁ Παῦλος δέ φησι τὸ αὐτὸ τοῦτο δηλῶν· ἀποκαλύπτεται ὀργὴ Θεοῦ ἀπ' οὐρανοῦ ἐπὶ πᾶσαν ἀσέβειαν καὶ ἀδικίαν ἀνθρώπων τῶν τὴν ἀλήθειαν ἐν ἀδικίᾳ κατεχόντων, διότι τὸ γνωστὸν τοῦ Θεοῦ φανερόν ἐστιν αὐτοῖς. τὰ γὰρ ἀόρατα αὐτοῦ ἀπὸ κτίσεως κόσμου τοῖς ποιήμασι νοούμενα καθορᾶται, ἥτε ἀΐδιος αὐτοῦ δύναμις καὶ θειότης, εἰς τὸ εἶναι αὐτοὺς ἀναπολογήτους. εἶτα τὸ περὶ τοῦ βίου κινῶν λόγον, οὐδὲ ἐνταῦθα ἀφίησιν αὐτοὺς ἀνευθύνους, οὕτω λέγων·

A quod quidem est maximum genus beneficij, à vitio abducere, deducere ad virtutem, animum illustrare. Et ideo Moses hoc susque deque versans, dicebat: Quis est is populus, gens magna, cui Deus est eis appropinquãs, vt Deus noster, in omnibus quibus eum inuocauerimus? Et Dauid rursus: Faciens misericordias dominus, & iudicium omnibus patientibus iniuriam. Notas fecit vias suas Mosi, filiis Israel voluntates suas. Et Hieremias. Hic est Deus noster, non reputabitur alius preter ipsum. B Inuenit omnem viam scientiæ, & dedit eã Iacob filio suo, & Israël dilecto suo. Sed dixerit fortasse quispiam, Cùm reliquis hominib. non significauerit, quomodo eos punit? Quòd enim eos puniat qui fuerunt ante legem, & eos qui peccant per vniuersum orbẽ terræ, clarum est ex iis quæ dicit Christus: Regina Austri surget, & condemnabit hanc generationem. Et rursus: Viri Niniuitæ surgent, & condemnabunt hanc generationẽ. Omnino enim ideo ita dictum est, quòd illi quoque rationem reddent: & illi quidem laudarentur, hi vero C punirẽtur. Si autẽ non fuerat eis ostensum quid sibi esset agendum, quomodo hos condẽnaturi erant? Quomodo autem rursus dixit, Vindicabitur sanguis à tempore Abel iusti vsque ad sanguinem Zachariæ? Quomodo autem rursus, Tolerabilius erit terræ Sodomorum & Gomorrhæ? Cùm enim dixit, Tolerabilius, non perfectam liberationem, sed eos pro suis peccatis dare leuius supplicium significat. Quòd si qui puniti sunt, tam graues rursus dant pœnas, quis ex aliis effugiet? Videmus autem eos quoque qui pœnas dederunt D in inũdatione, & multos alios, & ipsum Cain. Porrò autem Paulus quoque dicit, hoc ipsum significans, reuelatur ira Dei de cœlo super omnem impietatem & iustitiam hominum, qui virtutem in iniustitia detinent, propterea quod id quod de Deo cognosci potest, manifestum est in ipsis, Deus enim illis manifestauit. Inuisibilia enim eius à creatione mundi operibus intellecta conspiciuntur, & æterna eius potentia & diuinitas, vt sint ipsi inexcusabiles. Deinde de vita quoque verba faciens, ne hîc quidem eos relinquit rationi reddendæ non obnoxios, ita dicens,

Deut. 4. 7. Rom. 3.

Psal. 102. 6.

Baruch. 3. 25.

Peccatores etiam ante legem puniti.

Matth. 12. 42. Luc. 11.

Ibidem.

Ibidem. Matth. 10.

Gen. 7. Gen. 4. Rom. 1.

Rom. 1. 2. Qui cùm iustitiam Dei cognouissent, quòd qui talia agunt, digni morte sunt: non solum ea faciunt, sed etiam facientibus cōsentiunt. Existimas autem hoc ô homo, qui iudicas eos qui talia faciūt, & facis ea, quod tu Dei iudiciū effugies? An diuitias benignitatis eius, patiētiæ, & longanimitatis contemnis, nesciens quod benignitas Dei te ad pœnitētiam adducit? Secundùm duritiam autem tuam & cor impœnitens thesaurizas tibi iram in die iræ & reuelationis iusti iudicij Dei, qui reddet vnicuique secundum opera sua, his quidem secundum patientiam boni operis, quærunt vitam æternam, gloriam & honorem, & incorruptionem: iis verò qui ex tentatione veritati quidem non parent, parent autem iniustitiæ, ira & indignatio, afflictio & angustia super omnem animam hominis operantis malum, Iudæi primùm, & Græci. Vides per hæc omnia, quomodo omnes, quotquot fuerunt homines, etiam ante legem, dant peccatorum pœnas: & quicunque virtutis curam gesserunt, & ab impietate recesserunt, fruuntur bonis? *Quæstio.* Quomodo ergo erit aut hoc aut illud, si quid esset agendum, nesciebant? Sin autem sciebant, inquit, quid esset agendum: quomodo dicit, Non fecit sic omni nationi: & iudicia sua non manifestauit eis? *Psal. 147.* *Solutio.* Quid ergo sit quod scriptum est, & quid sibi velit significare, audi. *Naturalis lex omnibus insita.* Scriptā legem nulli alij dedit. Naturalem enim intus habebāt omnes, personantē quid sit bonū, quid secus. Cùm enim hominem Deus fingeret, simul etiam hoc illi indidit incorruptum iudicium: nempe vniuscuiusque suum conscientię calculum. Iudæis autem hoc procurauit eximium, quòd quæ erant iusta ac legitima, procurauit vt per scripta cognoscerent. Et ideo nō dixit ipse, Non fecit in omni gente, sed, Non sic fecit. Hoc est, Non misit eis tabulas, non scripta, non Mosen legislatorem, non alia quæ fuerunt in monte Sina, sed Iudæi soli peculiari quodam priuilegio hæc omnia consecuti sunt. *Iudæorum priuilegia.* *Conscientiæ lex.* *Rom. 2.* Verum enimuero vniuersa humana natura habuit sufficientem legem conscientiæ. Quæ quidem Paulus quoque significans, dicebat. Quando enim gentes legem non habentes, naturā quæ legis sunt, faciunt: ij legem non habentes sibiipsis sunt lex. *Rom. 2. 12.*

A οἵτινες τὸ δικαίωμα τοῦ Θεοῦ ἐπιγνόντες, ὅτι οἱ τὰ τοιαῦτα πράσσοντες ἄξιοι θανάτου εἰσὶν, οὐ μόνον αὐτὰ ποιοῦσιν, ἀλλὰ καὶ συνευδοκοῦσι τοῖς πράσσουσι. λογίζῃ δὲ τοῦτο, ὦ ἄνθρωπε, ὁ κρίνων τοὺς τὰ τοιαῦτα πράσσοντας, καὶ ποιῶν αὐτὰ, ὅτι σὺ ἐκφεύξῃ τὸ κρίμα τοῦ Θεοῦ; ἢ τοῦ πλούτου τῆς χρηστότητος αὐτοῦ, καὶ τῆς ἀνοχῆς, καὶ τῆς μακροθυμίας καταφρονεῖς, ἀγνοῶν ὅτι τὸ χρηστὸν τοῦ Θεοῦ εἰς μετάνοιάν σε ἄγει; κατὰ δὲ τὴν σκληρότητά σου καὶ ἀμετανόητον καρδίαν, θησαυρίζεις ἑαυτῷ ὀργὴν ἐν ἡμέρᾳ ὀργῆς καὶ ἀποκαλύψεως καὶ δικαιοκρισίας τοῦ Θεοῦ, ὃς ἀ- B ποδώσει ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ, τοῖς μὲν καθ' ὑπομονὴν ἔργου ἀγαθοῦ, δόξαν καὶ τιμὴν καὶ ἀφθαρσίαν, τοῖς δὲ ἐξ ἐριθείας ἀπειθοῦσι μὲν τῇ ἀληθείᾳ, πειθομένοις δὲ τῇ ἀδικίᾳ, θυμὸς καὶ ὀργὴ καὶ θλίψις καὶ στενοχωρία ἐπὶ πᾶσαν ψυχὴν τοῦ κατεργαζομένου τὸ κακὸν, Ἰουδαίου τε πρῶτον, καὶ Ἕλληνος. ὁρᾷς διὰ πάντων τῶν εἰρημένων πῶς ἅπαντες ὅσοι γεγόνασιν ἄνθρωποι καὶ πρὸ τοῦ νόμου δίκην διδόασι, καὶ ὅσοι τῆς ἀρετῆς ἐπεμελήσαντο καὶ ἀσεβείας ἀπηλλάγησαν, ἀγαθῶν ἀπολαύουσι; πῶς οὖν ἢ τοῦ- C το ἔσται, ἢ ἐκεῖνο, εἴπερ οὐκ ᾔδεσαν τὸ πρακτέον; εἰ δὲ καὶ ᾔδεσαν τὸ πρακτέον, φησὶ, πῶς λέγει, οὐκ ἐποίησεν οὕτω παντὶ ἔθνει, καὶ τὰ κρίματα αὐτοῦ οὐκ ἐδήλωσεν αὐτοῖς; τί οὖν ἐστι τὸ εἰρημένον, καὶ τί ποτε δηλοῦν βούλεται; ἄκουε. γραπτὸν νόμον οὐδενὶ τῶν ἄλλων ἔδωκε. τὸν μὲν γὰρ φυσικὸν ἔνδοθεν εἶχον ἅπαντες ἐνηχοῦντα, τί μὲν καλὸν, τί δὲ οὐ τοιοῦτον. ὁμοῦ γὰρ πλάττων τὸν ἄνθρωπον ὁ Θεὸς τοῦτο αὐτῷ ἐνέθηκε δικαστήριον ἀδέκαστον, τὴν ἐν ἑκάστῳ τοῦ συνειδότος ψῆφον. τοῖς δὲ Ἰουδαίοις ἐξαίρετόν τι ἐ- D πραγματεύσατο, τὸ καὶ διὰ γραμμάτων δηλῶσαι τὰ νόμιμα. διὰ τοῦτο καὶ αὐτὸς οὐκ εἶπεν, ὅτι οὐκ ἐποίησεν ἐν παντὶ ἔθνει, ἀλλ' οὕτως οὐκ ἐποίησε· τουτέστιν, οὐ πλάκας αὐτοῖς ἔπεμψεν, οὐ γράμματα, οὐ νομοθέτην Μωϋσέα, οὐ τἄλλα τὰ ἐπὶ τοῦ Σινᾶ ὄρους· ἀλλὰ τούτων ἁπάντων ἐκ περιουσίας Ἰουδαῖοι μόνοι ἀπήλαυσαν. ἡ μέντοι πᾶσα φύσις ἡ ἀνθρωπίνη ἀρκοῦντα εἶχε τὸν ἀπὸ τοῦ συνειδότος νόμον. ἅπερ καὶ ὁ Παῦλος δηλῶν, ἔλεγεν· ὅταν γὰρ ἔθνη τὰ μὴ νόμον ἔχοντα φύσει τὰ τοῦ νόμου ποιῇ, οὗτοι νόμον μὴ ἔχοντες, ἑαυτοῖς εἰσι νόμος.

διὸ καὶ μείζονος τῆς καταχρίσεως Ἰουδαῖοι ἄξιοι, ὅτι μετὰ τοῦ φυσικοῦ καὶ τὸν γραπτὸν λαβόντες, τοσαῦτα παρηνομήκασιν. ὥστε ἡ πολλὴ τοῦ Θεοῦ εὐεργεσία, πλείονος αὐτοῖς καταχρίσεως ὑπόθεσις γίνεται ἐρρᾳθυμηκόσι. κατὰ μὲν οὖν τὸ ῥητὸν ἀρκεῖ τὰ εἰρημένα· εἰ δέ τις ἐπιθυμίαν ἔχει καὶ κατὰ ἀναγωγὴν τὸν ψαλμὸν ἐκλαβεῖν, οὐ παραιτησόμεθα καὶ ταύτην ὁδεῦσαι τὴν ὁδόν, οὐ λυμαινόμενοι τὴν ἱστορίαν, μὴ γένοιτο· ἀλλὰ μετ' ἐκείνης καὶ ταῦτα προστιθέντες τοῖς φιλοπονωτέροις, καθὼς ἂν οἷόν τε ᾖ. ἐπαίνει Ἱερουσαλὴμ τὸν κύριον, αἴνει τὸν Θεόν σου Σιών. οἶδεν Ἱερουσαλὴμ τὴν ἄνω ὁ Παῦλος, περὶ ἧς λέγει· ἡ δὲ ἄνω Ἱερουσαλὴμ ἐλευθέρα ἐστὶν, ἥτις ἐστὶ μήτηρ ἡμῶν. ὥσπερ καὶ Σιὼν οἶδε τὴν ἐκκλησίαν, ὅταν λέγῃ· οὐ γὰρ προσεληλύθατε ὄρει ψηλαφωμένῳ καὶ κεκαυμένῳ πυρὶ καὶ γνόφῳ καὶ σκότῳ καὶ θυέλλῃ, ἀλλὰ προσεληλύθατε Σιὼν πόλει καὶ ἐκκλησίᾳ πρωτοτόκων ἀπογεγραμμένων ἐν οὐρανοῖς. δυνατὸν οὖν κατὰ ἀναγωγὴν καὶ περὶ ταύτης λέγεσθαι τὸ, ἐπαίνει Ἱερουσαλὴμ τὸν κύριον, αἴνει τὸν Θεόν σου Σιών· ὅτι ἐνίσχυσε τοὺς μοχλοὺς τῶν πυλῶν σου, εὐλόγησε τοὺς υἱούς σου ἐν σοί. καὶ γὰρ τῆς Ἱερουσαλὴμ ἀσφαλέστερον αὐτὴν ἐτείχισεν, οὐ μοχλοῖς καὶ θύραις, ἀλλὰ τῷ σταυρῷ περιφράξας καὶ τῇ ἀποφάσει τῆς οἰκείας δυνάμεως, δι' ἧς ἀνέστησεν αὐτῆς πανταχοῦ τὸν περίβολον, εἰπὼν ὅτι πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς. ἐν γοῦν προοιμίοις, βασιλεῖς ἅπαντες καὶ δῆμοι καὶ πόλεις, καὶ τῶν δαιμόνων αἱ φάλαγγες, καὶ αὐτὴ τοῦ διαβόλου ἡ τυραννὶς, καὶ μυρία πράγματα ἐπέθεντο τῇ ἐκκλησίᾳ. καὶ ὅμως πάντα μὲν ἐκεῖνα διελύθη καὶ ἀπώλετο· αὕτη δὲ αὐξομένη πρὸς ὕψος ἤρθη τοσοῦτον, ὅτι καὶ αὐτοὺς ὑπερέβη τοὺς οὐρανούς. εὐλόγησε τοὺς υἱούς σου ἐν σοί. ὥσπερ ἐξ ἀρχῆς εἶπεν, αὐξάνεσθε καὶ πληθύνεσθε καὶ πληρώσατε τὴν γῆν, καὶ διὰ τῆς ἁπάσης ὁ λόγος διέδραμεν· οὕτω μετὰ ταῦτα εἰπὼν, πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, καὶ ὅτι κηρυχθήσεται τὸ εὐαγγέλιον τοῦτο ἐν ὅλῳ τῷ κόσμῳ, καὶ αὐτὰ τῆς οἰκουμένης τὰ πέρατα ἐν βραχείᾳ καιροῦ ῥοπῇ κατέλαβε τὸ ἐπίταγμα. διὸ καὶ ἔλεγεν, ὁ κόκκος τοῦ σίτου, ἐὰν πεσὼν εἰς τὴν γῆν μὴ ἀποθάνῃ, αὐτὸς μόνος μένει· ἐὰν δὲ ἀποθάνῃ, πολὺν καρπὸν φέρει· καὶ πάλιν, ὅταν ὑψω-

A Et ideo Iudæi digni sunt maiori condemnatione, quòd cùm vnà cum lege naturali, scriptam quoque legem acceperint, tam scelerate & tam nefariè se gesserunt. Quamobrem magnum Dei beneficium eis negligentibus, euadit occasio maioris cōdemnationis. Quod ad verba quidem scripta attinet, sufficiunt quæ scripta sunt. Siquis autem desiderat psalmum quoque sumere anagogicè, non recusabimus hac quoq. via ingredi, non historiam labefactantes, absit, sed cum illa hæc quoque studiosis adijcientes, quod eius fieri poterit. Lauda Hierusalem Dominum, B lauda Deum tuum Sion. Nouit Paulus cœlestem Hierusalē, de qua dicit: Quæ sursum est autem Hierusalem, libera est, quæ est mater nostra queadmodum Sion quoque nouit ecclesiam, quando dicit, Non enim accessistis ad montem qui palpatur, ad incēsum ignem, & turbinem, & caliginem, & procellam, sed accessistis ad Sion ciuitatē, & ecclesiam primogenitorum descriptorū in cœlis. Potest ergo de ea quoque dici anagogicè illud, Lauda Hierusalem Dominum, lauda Deum tuum Sion: quoniam con- C fortauit seras portarum tuarum: benedixit filiis tuis in te. Eam enim munit validius quam Hierusalē, non vectibus & portis, sed cruce circumseptam, & renunciatione propriæ volūtatis, per quā vbique eius excitauit ambitum: cùm dixit: Portæ inferorum non præualebunt aduersus eam. In principio itaque imperatores & reges omnes & populi & ciuitates, & dæmonum phalanges, & ipsa diaboli tyrannis, & alia innumerabilia inuaserunt ecclesiam: illa tamen omnia fracta & dissoluta sunt & interierunt: ipsa autem creuit, & in tantam D prouecta est altitudinem, vt ipsos etiam cœlos superauerit. Benedixit filiis tuis in te. Quemadmodum cùm dixisset in principio, Crescite, & multiplicamini, & replete terrā, vniuersam terrā sermo peruasit: ita cùm postea dixisset, Ite & docete omnes gentes: &, Prædicabitur euangelium hoc in toto mundo: ipsos etiam fines orbis terræ breui momento temporis iussus eius occupauit. Quocirca ipse quoque dicebat, Si granum frumēti in terrā cadens mortuum non fuerit, ipsum solum manet: si autem mortuum fuerit, multum fructum affert. Et rursus, quando exaltatus fuero.

Hierusalē cœlestis. Gal. 4. 26.

Heb. 12. 18

Matt. 16. Psal. 2. Act. 4.

Ecclesiæ oppugnatio et incrementum. Genes. 9. Matth. 28. Matth. 26. Rom. 10. Coloss. 1.

Ioan. 12. Ibidem.

fert suspicionem. Cùm enim dixisset: Qui fecit cœlum & terram, mare, & omnia quæ in eis sunt, subiunxit,

5. *Qui custodit veritatem in seculum, facit iudicium iniuriam patientibus.* Quod autem dicit, est eiusmodi, Hæc est eius munus, hoc est ei familiare, hoc est maximè Dei proprium, non despicere eos quibus fit iniuria, non eos contemptim præterire, qui aut probri aut damni aliquid accipiunt: manum præbere iis quibus tenduntur insidiæ: idque in perpetuum. Et ideo dixit, In seculum, hoc significans, non hoc autem solum, sed id etiam quod deinceps sequitur. *Qui dat escam esurientibus. 6. Dominus soluit compeditos, Dominus sapientes facit cæcos.* Alius, Illuminat. 7. *Dominus erigit elisos. Dominus diligit iustos.* 8. *Dominus custodit aduenas, pupillum & viduam suscipiet: Et viam peccatorum disperdet.* Vidisti quomodo ostenderit eius prouidentiam esse per omnia extensam, & eius esse partes, expedire à calamitatibus, fami afferre remedium, liberare è vinculis. Sed hæc quidem possunt etiam aliqua ex parte homines: quæ autem deinceps sequuntur, non itidem. Quod enim in natura est mutilum & mancum, corrigit: eos qui ceciderunt erigit, inquit: eos qui virtute clari sunt, laudat: eos qui orbitatem ac viduitatem ægrè ferunt, consolatur & recreat. Deinde quoniam dixit, Diligit iustos, ostendit eum multis opem tulisse propter solam calamitatem. Quos enim nutrit, nutrit eò quòd esuriant, quod quidem non est virtutis: & eos qui vincti sunt, absoluit propter vincula. Sed neque hoc est virtutis, sed calamitatis. Quin etiam illuminat cæcos propter cæcitatem: Neque vero rectè factorum est hoc, verùm calamitatis. Ita etiam elisum esse aduenam, pupillum, & viduam. Quòd si eos adiuuat, qui sunt in calamitatibus: multò magis eos qui student virtuti. Cùm ergo & possit, & velit, & sint apud Deum omnia perennia & perpetua, & virtutem suscipiat & misereatur propter calamitates: cur non dimittis eum qui perit, eum qui est imbecillus, qui est interitui & morti obnoxius, & confugis ad eum qui est fortis & inexpugnabilis, qui non exprobrat calamitates, sed eis affert remedium, qui omnia quæ vult potest? Considera autem extremum quàm accuratè dixerit. Non dixit enim, Disperdet

Esa. 61.

Matt. 11. Sap. 12. Luc. 1.

τὴν πρόνοιαν. εἰπὼν γὰρ τὸν ποιήσαντα τὸν οὐρανὸν καὶ τὴν γῆν, τὴν θάλασσαν καὶ πάντα τὰ ἐν αὐτοῖς, ἐπήγαγε· τὸν φυλάσσοντα ἀλήθειαν εἰς τὸν αἰῶνα, ποιοῦντα κρίμα τοῖς ἀδικουμένοις. ὃ δὲ λέγει, τοῦτό ἐστι· τοῦτο αὐτοῦ ἐστιν ἔργον, τοῦτο σύνηθες, τοῦτο μάλιστα Θεοῦ ἴδιον, τὸ μὴ περιορᾷν ἀδικουμένους, τὸ μὴ παραβλέπειν ἐπηρεαζομένους, τὸ χεῖρα ὀρέγειν τοῖς ἐπιβουλευομένοις· καὶ τοῦτο εἰς τὸ διηνεκές. διὸ καὶ ἔφησεν, εἰς τὸν αἰῶνα, τοῦτο δηλῶν. οὐ τοῦτο δὲ μόνον, ἀλλὰ καὶ τὸ ἑξῆς ἐχόμενον· διδόντα τροφὴν τοῖς πεινῶσι. κύριος λύει πεπεδημένους, κύριος σοφοῖ τυφλούς. ἄλλος, φωτίζει. κύριος ἀνορθοῖ κατερραγμένους, κύριος ἀγαπᾷ δικαίους, κύριος φυλάσσει τοὺς προσηλύτους· ὀρφανὸν καὶ χήραν ἀναλήψεται, καὶ ὁδὸν ἁμαρτωλῶν ἀφανιεῖ. Εἶδες πῶς διὰ πάντων δείκνυσιν αὐτοῦ τὴν πρόνοιαν τεταμένην, καὶ ὅτι τοῦτο ἔργον αὐτοῦ, λύειν συμφοράς, λιμὸν διορθοῦσθαι, δεσμῶν ἐλευθεροῦν. ἀλλὰ ταῦτα μὲν ἐκ μέρους καὶ ἄνθρωποι δύνανται· τὰ δὲ ἑξῆς οὐκέτι. καὶ γὰρ τῆς φύσεως αὐτῆς τὴν πήρωσιν διορθοῦται, τοὺς πεπτωκότας ἀνιστᾷ, φησι, τοὺς ἐν ἀρετῇ λάμποντας ἐπαινεῖ, τοὺς ἀποστατοῦντας σώζει, τοὺς δὲ ὀρφανίαν ἢ χηρείαν δυσχεραίνοντας καὶ ὀδυνωμένους παραμυθεῖται καὶ ἀνακτᾶται. εἶτα ἐπειδὴ εἶπεν, ἀγαπᾷ δικαίους, δείκνυσιν ὅτι πολλοῖς καὶ ἀπὸ συμφορᾶς μόνης ἐπήρκεσε. καὶ γὰρ οὓς διατρέφει, διὰ τὸ πεινῆν τρέφει, ὅπερ οὐκ ἔστιν ἀρετῆς· καὶ τοὺς πεπεδημένους, διὰ τὰ δεσμὰ λύει, οὐδὲ αὐτὸ δι᾽ ἀρετῆς, ἀλλὰ συμφορᾶς· καὶ τοὺς τυφλοὺς δὲ διὰ τὴν πήρωσιν φωτίζει· οὐδὲ τοῦτο διὰ κατορθώματος, ἀλλὰ καὶ αὐτὸ συμφορᾶς. ὁμοίως καὶ τὸ κατερράχθαι, καὶ τὸ προσήλυτον εἶναι καὶ ὀρφανὸν καὶ χήραν. εἰ δὲ τοὺς ἐν συμφοραῖς, πολλῷ μᾶλλον τοὺς ἀρετῆς ἐπιμελουμένους. ὅταν οὖν καὶ δύνηται καὶ βούληται, καὶ διαρκῆ τυγχάνῃ τὰ παρ᾽ αὐτοῦ πάντα, καὶ ἀρετὴν ἀποδέχηται, καὶ διὰ συμφορὰς ἐλεῇ, τίνος ἕνεκεν οὐκ ἀφίης τὸν ἀπολλύμενον, τὸν ἀσθενῆ, τὸν ἐπίκηρον, καὶ ἐπὶ τὸν ἰσχυρὸν καὶ ἄμαχον καταφεύγεις, τὸν οὐκ ὀνειδίζοντα ταῖς συμφοραῖς, ἀλλὰ διορθούμενον, τὸν πάντα ὅσα βούλεται δυνάμενον; σκόπει δὲ καὶ τὸ ἔσχατον πῶς μετ᾽ ἀκριβείας εἴρηκεν. οὐ γὰρ εἶπεν, ἁμαρτωλοὺς

ἀφανιεῖ, ἀλλὰ τὴν ὁδὸν αὐτῶν, τουτέστι, τὴν πρᾶξιν αὐτῶν· οὐ γὰρ τὴν φύσιν ἀποστρέφεται, ἀλλὰ τὴν κακίαν μισεῖ. Βασιλεύσει κύριος εἰς τὸν αἰῶνα, ὁ Θεός σου, Σιὼν, εἰς γενεὰν καὶ γενεάν. εἰ τοίνυν βασιλεύει διὰ παντὸς καὶ μένει διὰ παντὸς, οὐκ ἔστιν ἀμφιβαλεῖν, ἀλλὰ κἂν μὴ ἐνταῦθα δῷ τὴν ἀντίδοσιν, ἐπὶ μείζοσιν αὐτὴν φυλάττει. μὴ τοίνυν μήτε ἐν πειρασμοῖς θορυβώμεθα καὶ ταραττώμεθα, ἂν μὴ παρὰ πόδας ἡ λύσις γένηται, ἀλλ' αὐτῷ παραχωρῶμεν τὸν καιρὸν τῆς κυρίας τῆς λύσεως· μήτε ἂν ἀγαθόν τι κατορθώσωμεν, εὐθέως ἀπαιτῶμεν τὰς ἀμοιβάς, ἀλλὰ καὶ οὕτω πάλιν ἀναμένωμεν τὸ αὐτοῦ βούλημα· μετὰ γὰρ πλείονος δίδωσι τῆς ἀμοιβῆς, ὅταν ἀναβάλληται· καὶ διὰ πάντων εὐχαριστῶμεν, καὶ μένωμεν αἰνοῦντες. οὕτω γὰρ καὶ τὸν παρόντα βίον μετὰ πολλῆς βιώσομεν τῆς ἀδείας, καὶ τῶν ἀπορρήτων ἐπιτευξόμεθα ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος, σὺν τῷ ἀνάρχῳ αὐτοῦ πατρὶ καὶ τῷ ζωοποιῷ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

peccatores, sed viam ipsorum, hoc est, eorum actionem. Non enim auersatur naturam, sed odio habet vitium.

9. *Regnabit Dominus in secula, Deus tuus Sion in generationem & generationem.* Quòd autem regnat perpetuò, & in æternum permanet, minimè est dubitandum: sed & si hic non dederit remunerationem, eam seruat ad maiora. Ne ergo conturbemur in tentationibus si non euestigio sequatur solutio: sed Domino permittamus tempus solutionis: nec si quid boni fecerimus, statim petamus remunerationem, sed eius voluntatem rursus itidem expectemus. Quando enim differt, remuneratur vberiùs & pleniùs: & in omnibus gratias agamus, & eum laudare pergamus. Ita enim & præsentem vitam agemus securissimè, & consequemur bona ineffabilia, gratia & misericordia domini nostri Iesu Christi: cui gloria & potentia cum principij experte eius patre & viuifico spiritu, nunc, & semper, & in secula seculorum, Amen.

Rom. 1. Sap. 14.

Εἰς τὸν ρμϛ' ψαλμόν.

Αἰνεῖτε τὸν κύριον, ὅτι ἀγαθὸν ψαλμός.

ΑΝΩΤΕΡΩ ἐν μὲν τῷ τεσσαρακοστῷ τετάρτῳ καὶ ἑκατοστῷ ψαλμῷ ἔλεγε, μέγας κύριος καὶ αἰνετὸς σφόδρα, καὶ πολλὰ περὶ τῆς δόξης αὐτοῦ διαλέγεται· ἐνταῦθα δὲ δείκνυσι καὶ αὐτὸ τὸ αἰνεῖν ὅτι καλὸν, καὶ μυρίων ἀγαθῶν αἴτιον ὁ ψαλμός. ἀφίστησι γὰρ τὴν διάνοιαν τῆς γῆς, καὶ πτεροῖ τὴν ψυχὴν, κουφίζει καὶ μετεωρσίους ποιεῖ. διὸ καὶ Παῦλος λέγει, ᾄδοντες καὶ ψάλλοντες ἐν ταῖς καρδίαις ὑμῶν τῷ κυρίῳ. τῷ Θεῷ ἡμῶν ἡδυνθείη αἴνεσις. ἕτερος, ἀλληλούϊα· ὅτι καλὸν ᾠδὴ τῷ Θεῷ. τί ἐστι, τῷ Θεῷ ἡμῶν ἡδυνθείη αἴνεσις; εὐπρόσδεκτος γένοιτο, φησίν. οὐ γὰρ ἀρκεῖ τὸ ψάλλειν ἁπλῶς

IN PSALMVM CXLVI.

Laudate Dominum, quoniam bonus est psalmus.

SVPERIVS quidem in centesimo quadragesimo quarto psalmo dixit: Magnus Dominus & laudabilis valde, & multa illic de gloria disseruit: hic autē ostendit, quod ipsum etiam laudare bonum sit, & psalmus sit causa bonorum innumerabilium. Mentem enim à terra abducit, animúmque erigit & in altum euehit, leuésque & sublimes efficit. Et ideo dicit Paulus, Canentes & psallentes in cordibus vestris Domino. *Deo nostro iucunda sit laudatio.* Alius, Alleluia, quoniam bonum est canticum Deo. Quid est, Deo nostro iucunda sit laudatio? Sit, inquit, accepta. Nō satis est enim tantùmodò

Psalmi vis.

Ephes. 5.

Psalmodia vt Deo placeat.

1. Cor. 14.

Matt. 15.

canere, vt sit Deo iucunda laudatio, sed opus est & vita, & precatione & accurata attentione canentis. Mihi autem videtur hic psalmus esse reuersionis. Ostendit autem id per hoc quod subiungit, dicens. 2. *Ædificans Hierusalem Dominus, dispersiones Israel congregabit.* Etsi enim eos dimisit Cyrus, non ex illius sententia, sed ex Dei ope totum hoc profectum est. Alius autem interpres, pro eo quod est, Ædificans, dixit ædificabit, Dispersiones verò, expulsos. quānam de causa? Quoniam non omnes simul reducti sunt, sed post reuersionem paulatim coacti sunt. *Qui sanat contritos corde, & alligat contritiones eorum.* Alius, Confracta ipsorum. Cùm non haberet in vita sua fiduciam, adducit rursus calamitatem, & Dei consuetudinem. Est enim eius munus, & hoc est eius proprium, eos qui sunt deiecti & afflicti, consolari: quemadmodum quando dicit Paulus: Qui viuificat mortuos. Et rursus: Qui vocat quæ non sunt, tanquam quæ sunt: dicens proprium eius munus, ita hic etiam: Qui sanat contritos corde, dicit, ostendens quòd etiā si indigni simus, quoniam opus eius sumus, actionem suam & partes suas non relinquet, à sua consuetudine non recedet. Ita etiam Paulus, Sed qui consolatur humiles, nos consolatus est. Et rursus: Qui dat iis qui sunt pusillo & abiecto animo, patientiam. Quinetiam hic ipse quoque Propheta alibi, Cor contritum & humiliatum Deus non despiciet. Quando ergo volueris consolationem assequi, redde teipsum humilem, animum tuum contere. Hoc ergo dixit de eius voluntate, benignitate, & clementia, eius scilicet esse munus, illos consolari qui sunt in calamitatibus. Quod autem sequitur, de potentia. 4. *Qui numerat multitudinem stellarum.* Hoc est, qui nouit: Quoniam enim agebatur de dispersa multitudine, & quæ tunc nusquam apparebat, iure hoc exemplū in medium adduxit, per hoc ostendens eum posse vel dispersos cogere. Contritos enim solet erigere & consolari, & innumerabilem astrorum multitudinē nouit apprimè: ergo nos quoque, quos pollicitus est eis futuros æquales, plenissimè reducet. *Et omnibus eis nomina vocans.* Alius, Omnibus nomina vocans. Alius, Omnes

Dispersiones expulsi. — *Afflictos consolari, Dei proprium.* — *Rom. 4.* — *Ibid.* — *2 Cor 7.* — *2. Cor. 1.* — *Philip 1.* — *Psal. 50.* — *Philip. 3.*

A προσῆς τὸ ἡδυνθῆναι τῷ Θεῷ τὴν αἴνεσιν, ἀλλὰ δεῖ καὶ τοῦ βίου τῆς προσευχῆς καὶ τῆς ἀκριβείας τοῦ ᾄδοντος. δοκεῖ δέ μοι οὗτος ὁ ψαλμὸς εἶναι τῆς ἐπανόδου. καὶ δείκνυσι διὰ τῆς ἐπαγωγῆς. ἐπάγει γὰρ λέγων, οἰκοδομῶν Ἱερουσαλὴμ ὁ κύριος· τὰς διασπορὰς τοῦ Ἰσραὴλ ἐπισυνάξει. εἰ γὰρ καὶ Κῦρος αὐτοὺς ἀφῆκεν, ἀλλ' οὐ τῆς ἐκείνου γνώμης, ἀλλὰ τῆς τοῦ Θεοῦ ῥοπῆς τὸ πᾶν ἐγίνετο. ἕτερος δὲ ἑρμηνευτής, ἀντὶ τοῦ οἰκοδομῶν, οἰκοδομήσει· τὰς δὲ διασπορὰς, τοὺς ἐξωσμένους εἶπε. τί δήποτε; ὅτι οὐκ ἀθρόοι ἀνῆλθον πάντες, B ἀλλὰ μετὰ τὴν ἐπάνοδον κατὰ μικρὸν συνήγοντο. ὁ ἰώμενος τοὺς συντετριμμένους τῇ καρδίᾳ, καὶ δεσμεύων τὰ συντρίμματα αὐτῶν. ἄλλος, τὰ κατεαγμένα αὐτῶν. ἐπειδὴ τὴν ἀπὸ τοῦ βίου παρρησίαν οὐκ εἶχεν εἰπεῖν, προσάγεται πάλιν τὴν συμφορὰν καὶ τὸ τοῦ Θεοῦ συνήθες. ἔργον γὰρ αὐτοῦ, τὸ τοὺς τεταπεινωμένους παρακαλεῖν, καὶ ἴδιον αὐτοῦ τοῦτο. ὥσπερ ὅταν λέγῃ καὶ Παῦλος, ὁ ζωοποιῶν τοὺς νεκρούς· καὶ πάλιν, ὁ καλῶν τὰ μὴ ὄντα, ὡς ὄντα, τὸ ἴδιον αὐτοῦ λέγων ἔργον. οὕτω δὴ καὶ ἐνταῦθά φησιν, ὁ ἰώμενος τοὺς συντετριμμένους λέγει, δεικνὺς ὅτι κἂν ἀνάξιοι ὦμεν, ἐπειδὴ C ἔργον αὐτοῦ ἐσμεν, τὴν πρᾶξιν αὐτοῦ οὐκ ἐγκαταλείψει, τὸ εἰωθὸς αὐτῷ οὐκ ἀφήσει. οὕτω καὶ Παῦλος, ἀλλ' ὁ παρακαλῶν τοὺς ταπεινοὺς παρεκάλεσεν ἡμᾶς. καὶ πάλιν, ὁ διδοὺς τοῖς ὀλιγοψύχοις μακροθυμίαν· καὶ ὁ αὐτὸς οὗτος προφήτης ἀλλαχοῦ, καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει. ὅταν τοίνυν βουληθῇς παρακλήσεως ἀπολαῦσαι, ταπείνου σαυτόν, συντρίψον σου τὴν διάνοιαν. τοῦτο μὲν οὖν περὶ τῆς βουλήσεως αὐτοῦ, περὶ τῆς χρηστότητος καὶ τῆς φιλανθρωπίας, ὅτι ἔργον αὐτοῦ τοῦτο, τὸ τοὺς D ἐν συμφοραῖς παραμυθεῖσθαι· τὸ δὲ ἑξῆς περὶ τῆς δυνάμεως. ὁ ἀριθμῶν πλήθη ἄστρων· τουτέστιν, ὁ εἰδώς. ἐπειδὴ γὰρ περὶ πλήθους ἦν διασπαρέντος ὁ λόγος καὶ οὐδαμοῦ φαινομένου τέως, εἰκότως τοῦτο τὸ ὑπόδειγμα εἰς μέσον ἤγαγε, δεικνὺς διὰ τούτου ὅτι καὶ τοὺς διεσπαρμένους δύναται συναγαγεῖν. τούς τε γὰρ συντετριμμένους ἔθος αὐτῷ διορθοῦν καὶ παραμυθεῖσθαι, τά τε ἄπειρα πλήθη τῶν ἀστέρων μετὰ ἀκριβείας ἐπίσταται, οὐκοῦν καὶ ἡμᾶς, οἷς ἐπηγγείλατο κατὰ τὸ πλῆθος ἐκείνων ἔσεσθαι, μετὰ ἀκριβείας συνάξει. καὶ πᾶσιν αὐτοῖς ὀνόματα καλῶν. ἄλλος, τοῖς πᾶσιν ὀνόματα καλῶν. ἕτερος,

πάντας αὐτοὺς ὀνόμασι καλέσει. ἡγοῦμαι τοῦτο περὶ τῶν Ἰσραηλιτῶν εἰρῆσθαι, καὶ ταὐτὸ λέγειν τὸν προφήτην ὅπερ καὶ Ἡσαΐας μετὰ ταῦτα· μὴ φοβοῦ Ἰσραήλ· ἐκ τῶν σκοπιῶν τῆς γῆς ἐκάλεσά σε, καὶ εἶπά σοι, παῖς μου εἶ. τί ἐστι, πάντας αὐτοὺς ὀνόμασι καλέσει; οὐδεὶς αὐτῶν, φησιν, ἀπολεῖται, ἀλλ' ὥσπερ οἱ κατ' ὄνομα καλοῦντες, οὕτω καὶ αὐτὸς μετὰ ἀκριβείας πάντας συνάξει. μέγας ὁ κύριος ἡμῶν, καὶ μεγάλη ἡ ἰσχὺς αὐτοῦ. ἐπειδὴ πρᾶγμα εἶπε μέγιστον, ὅτι τοσαύτας μυριάδας πανταχοῦ τῆς οἰκουμένης διεσπαρμένας ἐπισυνάξει, περὶ τῆς δυνάμεως αὐτοῦ λοιπὸν διαλέγεται, καὶ τοὺς σφόδρα θορυβουμένους τῶν Ἰουδαίων εἰς πίστιν ἄγων. καὶ τῆς συνέσεως αὐτοῦ οὐκ ἔστιν ἀριθμός. μὴ ζήτει τοίνυν πῶς καὶ τίνι τρόπῳ. καὶ γὰρ ἡ μεγαλωσύνη αὐτοῦ ἄπειρος· διὰ τοῦτο ἔλεγε, τῆς μεγαλωσύνης αὐτοῦ οὐκ ἔστι πέρας. ἀλλ' ὥσπερ ἡ μεγαλωσύνη ἄπειρος, οὕτω καὶ ἡ σύνεσις. διὰ τοῦτο καὶ εἰπών, μέγας ὁ κύριος ἡμῶν, ἐπήγαγε, καὶ τῆς συνέσεως αὐτοῦ οὐκ ἔστιν ἀριθμός. καὶ ἡ γνῶσις δὲ αὐτοῦ θαυμαστή. διὸ καὶ ἔλεγεν, ἐθαυμαστώθη ἡ γνῶσίς σου ἐξ ἐμοῦ· ἐκραταιώθη, οὐ μὴ δυνώμαι πρὸς αὐτήν. καὶ τὰ κρίματα δὲ αὐτοῦ πάλιν ἀνεξερεύνητα, διὸ καὶ ἔλεγε, τὰ κρίματά σου, ἄβυσσος πολλή. ὅταν τοίνυν καὶ μέγας, καὶ δυνατὸς ᾖ καὶ συνετὸς, μὴ περιεργάζου πῶς ταῦτα ἔσται. ἀναλαμβάνων πραεῖς ὁ κύριος, ταπεινῶν δὲ ἁμαρτωλοὺς ἕως γῆς. ἵνα γὰρ μὴ λέγωσί τινες τῶν ἀνοήτων, τί πρὸς ἡμᾶς, ὅτι τὰ ἄστρα οἶδε μετὰ ἀκριβείας; λέγει καὶ τὴν ἐπ' ἀνθρώπων κηδεμονίαν οὕτω γινομένην· καὶ οὐκ εἶπε, βοηθῶν πραέσιν ὁ κύριος, ἀλλ' ὃ πολλῷ μεῖζον, ἀναλαμβάνων, ὡς περὶ πατρὸς φιλοστόργου διαλεγόμενος. τί δέ ἐστιν ἀναλαμβάνων; ἀνακτώμενος, φέρων, διαβαστάζων. εἶδες πάλιν ἐφ' ἑκάτερα τὴν δύναμιν αὐτοῦ ἀπηρτισμένην, ἐπί τε τῷ αἴρειν τοὺς ταπεινοὺς, καὶ ταπεινοῦν τοὺς ἀπονενοημένους; οὐχ ἁπλῶς δὲ ταπεινοῖ, ἀλλὰ καὶ μετὰ πολλῆς τῆς ὑπερβολῆς· τοῦτο γάρ ἐστι, τὸ ἕως γῆς. ἐξάρξατε τῷ κυρίῳ ἐν ἐξομολογήσει. ἄλλος, καταλέξατε. εἰπὼν αὐτοῦ τὰ κατορθώματα, πάλιν ἐπὶ τὸν ὕμνον αὐτοὺς καλεῖ λέγων, ἐξάρξατε τῷ κυρίῳ ἐν ἐξομολογήσει· τουτέστιν, ἐν εὐχαριστίᾳ, μετὰ πολλῆς τῆς σπουδῆς. ψάλατε τῷ Θεῷ ἡμῶν ἐν κιθάρᾳ. ἄλλος, διὰ λύρας. τῷ περιβάλλοντι

A eos nominatim vocabit. Existimo hoc dictum esse de Israëlitis, & idem dicere prophetã, quod Esaias quoque postea: (*Esa. 41. 9.*) Ne timeas Israel, ex speculis terræ vocaui te, & dixi, Filius meus es. Quid est, omnes eos nominatim vocabit? Nullus, inquit, eorum peribit, sed quemadmodum qui nominatim vocat: ita etiam ipse omnes perfectè reducet.

5. *Magnus Dominus noster, & magna virtus eius.* Quoniam rem dixit maximam, quòd tot hominum millia per vniuersum orbem terræ dispersa sit congrega- B turus, deinceps disserit de eius potentia, Iudæos, qui valde conturbabantur, vt crederent, inducens. *Et sapientiæ eius non est numerus.* Ne quære ergo quomodo & quánam ratione: est enim eius magnitudo infinita. Quocirca dixit etiam, magnitudinis eius non est finis. (*Psal. 144.*) Sed quemadmodum infinita est magnitudo, ita etiam sapientia. Et ideo cùm dixisset, Magnus Dominus noster, subiunxit: Et sapientiæ eius non est numerus. Quinetiam admirabilis est eius scientia, & ideo dicebat: Mirabilis facta est sciẽtia tua à me. Potens facta est, non (*Psal. 138. 5.*) (*Psal. 35. 6.*) C potero ad eã. Et sunt eius iudicia rursus inscrutabilia: & ideo dicebat: Iudicia tua abyssus multa. Cùm sit ergo magnus, potens, & sapiens, ne nimis curiosè inquiras quomodo hæc erunt.

6. *Suscipiens mansuetos Dominus, humilians autem peccatores vsque ad terram.* Ne enim dicerent aliqui insipientes, quid ad nos, si perfectè nouit astra omnia? dicit etiam curam quàm gerit hominum: Non dixit autem, opem ferens mansuetis Dominus: sed quod est multò maius: suscipiens: tanquam de amanti patre loquens. Quid est autem, D suscipiens? Recreans, ferens, bajulans. Vidisti rursus perfectam in vtroque eorum potentiam? nempe in extollendis humilibus, & in deijciendis deprimendísque arrogantibus. Non solùm autem humiliat, sed etiam summoperè humiliat. Hoc enim sibi vult illud, vsque ad terram. 7. *Præcinite Domino in confessione.* Alius, Enumerate. Postquam igitur dixit præclara eius facta, rursus eos ad hymnum vocat dicens: Præcinite Domino in cõfessione. Hoc est, in gratiarum actione, cum magno studio ac diligentia. *Psallite Deo nostro in cithara.* Alius, per lyram. 8. *Qui*

operit cœlum nubibus, & parat terræ pluuiam. A Ne quis autem planè sensus expers dicat, Et quid ad me cœlestia? subiunxit statim id quod opus est hominibus, ostendens per id quod subiungit, cur cur cœlum operiat nubibus. Propter te, inquit, vt tibi paret pluuiam. Pluuia autem propter te, vt tibi fœnum producat. Vide autem sapientiam; dicit bona generalia quæ dedit omnibus, ex redundāti copia ora eorum obstruens. Si enim infidelibus fuit adeò munificus, vt vel nubes cogeret, & pluuiam moueret, & terram excitaret, multò magis vobis, qui appellati estis populus eius peculiaris. B 9. *Qui producit in montibus fœnum & herbam seruituti hominum.* Vide prouidētiæ amplitudinem, quando non solùm in agris & cultis prædiis, sed etiam in montibus lautam dat mensam, nempe alimentum iumentorum, quæ ad hominibus seruiendum facta sunt. Et ideo subiungit, 10. *Qui dat iumentis escam ipsorum, & pullis coruorum inuocantibus eum.* Aliam rursus dicit munificentiam, vt qui non solum iumentis, quæ seruiunt hominibus, dat escam ipsorum, sed etiam aliis brutis. Et pullis enim, inquit, coruorum inuocantibus eum. C Si autem brutis, & brutis agrestibus, & quæ hominibus minimè inseruiunt, tanta adhibetur prouidentia: quantò magis hominibus, & hominibus qui eum hymnis & laudibus celebrant, quos etiam propterea vocauit populum peculiarem, & sui portionem? Deinde quoniam erant imbecilli, & intermes, & nudati omnibus, ne ex eo conturbarentur: vide quomodo hanc quoque eorum corrigit imbecillitatem, dicens, 11. *Non in fortitudine equi voluntatem habebit, neque in tibiis viri beneplacitum est ei.* D 12. *Beneplacitum est Domino super timentes eum, & in eis qui sperant super misericordia eius.* Alius, Qui expectant misericordiam eius. Si hæc, inquit, habeatis, metum scilicet, & perfectam in eum spem, attrahetis eius beneuolentiam: & cùm attraxeritis, iis qui equos & arma habent, eritis potentiores. Vnum est ergo quod quæritur, vt non ægrè feratis, neque perturbemini, sed expectetis eius misericordiam: In hoc enim spes maximè consistit, vt etsi nō statim acceperimus, minimè desperemus, nec animum abiiciamus. Rectè autem dixit, In miseri-

Argumentum à minori.

Dan. 7. 14. 26.

Populus Dei peculiaris qui dictus.

A τὸν οὐρανὸν ἐν νεφέλαις, τῷ ἑτοιμάζοντι τῇ γῇ ὑετόν. ἵνα μή τις τῶν ἀναισθήτων λέγῃ, καὶ τί πρὸς ἐμὲ τὰ οὐράνια; ἐπήγαγεν εὐθέως τὴν χρείαν τὴν ἀνθρωπίνην, δεικνὺς διὰ τῆς ἐπαγωγῆς, καὶ τίνος ἕνεκεν περιβάλλει τὸν οὐρανὸν ἐν νεφέλαις. Διὰ σέ, φησιν, ἵνα σοι παρασκευάζῃ ὑετόν. καὶ ὑετὸς διὰ σέ, ἵνα ἐκβάλλῃ χόρτον. καὶ ὅρα σοφίαν. λέγει τὰ καθολικὰ ἀγαθὰ ἃ πᾶσιν ἔδωκεν, ἐπιστομίζων αὐτοὺς ἐκ περιουσίας. εἰ γὰρ ἐπὶ τῶν ἀπίστων τοσαύτῃ κέχρηται τῇ δαψιλείᾳ, ὥστε τὰ νέφη συνάγειν, καὶ ὑετὸν κινεῖν, καὶ γῆν διεγείρειν, B πολλῷ μᾶλλον ὑμῖν, οἱ αὐτοῦ λαὸς περιούσιος ἐχρηματίσατε. Τῷ ἐξανατέλλοντι ἐν ὄρεσι χόρτον. ὅρα περιουσίαν τῆς προνοίας, ὅταν μὴ μόνον ἐν ἀροσίμῃ γῇ, ἀλλὰ καὶ ἐν τοῖς ὄρεσι δαψιλῆ αὐτοῦ παρέχῃ τὴν τράπεζαν, τὴν διατροφὴν τῶν κτηνῶν τῶν πρὸς ὑπηρεσίαν τῶν ἀνθρώπων γεγενημένων. διὸ καὶ ἐπάγει, Διδόντι τοῖς κτήνεσι τροφὴν αὐτῶν. ἑτέραν πάλιν λέγει φιλοτιμίαν, ὅταν μὴ μόνον τοῖς ὑπηρετουμένοις ἀνθρώποις κτήνεσι τροφὴν παρέχῃ, ἀλλὰ καὶ ἑτέροις ἀλόγοις. καὶ τοῖς νεοσσοῖς γάρ, φησι, τῶν κοράκων τοῖς ἐπικαλουμένοις αὐτόν. εἰ δὲ ἐν τοῖς C ἀλόγοις, καὶ ἀλόγοις ἀγρίοις καὶ οὐ παρέχουσιν ἀνθρώποις διακονίαν τοσαύτη ἡ πρόνοια, πολλῷ μᾶλλον ἐν ἀνθρώποις, καὶ ἀνθρώποις ὑμνοῦσιν, οὓς καὶ λαὸν περιούσιον καὶ μερίδα αὐτοῦ ἐκάλεσεν. εἶτα ἐπειδὴ ἀσθενεῖς ἦσαν καὶ ὅπλων ἔρημοι, καὶ πάντων γεγυμνωμένοι, ἵνα μηδὲ ἐντεῦθεν θορυβῶνται, ὅρα πῶς καὶ τοῦτον αὐτῶν διορθοῦται τὴν ἀσθένειαν λέγων· Οὐκ ἐν τῇ δυναστείᾳ τοῦ ἵππου θελήσει, οὐδὲ ἐν ταῖς κνήμαις τοῦ ἀνδρὸς εὐδοκεῖ. Εὐδοκεῖ κύριος ἐν τοῖς φοβουμένοις αὐτόν, καὶ ἐν τοῖς ἐλπίζουσιν D ἐπὶ τὸ ἔλεος αὐτοῦ. ἕτερος, τοῖς ἀναμένουσι τὸ ἔλεος αὐτοῦ. ἂν ταῦτα ἔχητε, φησι, τὸν φόβον καὶ τὴν ἐλπίδα τὴν εἰς αὐτὸν μετὰ ἀκριβείας, ἐπισπάσεσθε αὐτοῦ τὴν εὔνοιαν· ἐπισπασάμενοι δέ, πάντων τῶν ἵππους καὶ ὅπλα ἐχόντων ἔσεσθε δυνατώτεροι. ἓν τοίνυν ἐστὶ τὸ ζητούμενον, ὥστε μὴ ἀσχάλλειν, μηδὲ θορυβεῖσθαι, ἀλλ' ἀναμένειν τὸ ἔλεος αὐτοῦ· τοῦτο γάρ μάλιστα ἐλπίς, τὸ καὶ παραυτίκα μὴ λαβόντας μὴ ἀπογινώσκειν, μηδὲ ἀπαγορεύειν. καὶ καλῶς εἶπε τὸ ἔλεος αὐτοῦ.

Οὐδὲ

οὐδὲ γὰρ εἶχον τὴν ἀπὸ τῶν ἔργων παῤῥησίαν. ἀλλ' ὅμως, φησὶ, κἂν ἀπὸ τῶν ἔργων ἦτε προδεδομένοι, ἐλπίζητε δὲ ἐπὶ τὸ ἔλεος αὐτοῦ, τεύξεσθε τῆς προνοίας καὶ τῆς βοηθείας αὐτοῦ· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

A cordia eius. Neque enim habebant in factis suis fiduciam. Sed tamen, inquit, etsi vos facta destituerint, speretis autem in eius misericordia, assequemini prouidentiam & eius auxilium: quæ detur nobis omnibus consequi gratia & clementia domini nostri Iesu Christi, cui gloria & potentia in secula seculorum, Amen.

Εἰς τὸν ρμζ' ψαλμόν.

Ἐπαίνει Ἱερουσαλὴμ τὸν κύριον, αἴνει τὸν Θεόν σου, Σιών.

Οὐ πρὸς τὴν πόλιν, ἀλλὰ πρὸς τοὺς ἐνοικοῦντας ἀποτείνει τὸν λόγον, ὃ διὰ παντὸς τοῦ βιβλίου ποιεῖ, τοῦτο καὶ ἐνταῦθα ποιῶν. παραινεῖ δὲ συνεχῶς καὶ συμβουλεύει, ὥστε τὰς ὑπὲρ τῶν εὐεργεσιῶν εὐχαριστίας ἀναφέρειν τῷ Θεῷ, καὶ μήτε οἰκοδομήμασι, μήτε ἀσφαλείᾳ περιβόλων, ἀλλὰ τῇ αὐτοῦ προνοίᾳ θαῤῥεῖν. τοῦτο δὴ προκατασκευάσας ἐπάγει καὶ λέγει, ὅτι ἐνίσχυσε τοὺς μοχλοὺς τῶν πυλῶν σου· εὐλόγησε τοὺς υἱούς σου ἐν σοί. τί ἐστι, τοὺς μοχλοὺς ἐνίσχυσεν; ἐν ἀσφαλείᾳ σε, φησι, κατέστησεν, ἀχείρωτον ἐποίησεν. εὐλόγησε τοὺς υἱούς σου· τουτέστιν, εἰς πλῆθος ἐπιδοῦναι ἐποίησεν. ἓν μὲν τοῦτο εἶδος εὐεργεσίας· ἕτερον δὲ τὸ καὶ ἐν σοί. ὃ τοίνυν λέγει, τοῦτό ἐστιν· οὐ διεσπαρμένους, οὐδὲ διεσκορπισμένους, ἀλλὰ συναχθέντας καὶ ἐν σοὶ ὄντας ἐπιδοῦναι ἐποίησεν. εἶτα καὶ ἄλλο προνοίας εἶδος δεικνὺς λέγει, ὁ τιθεὶς τὰ ὅριά σου εἰρήνην. ἔστι γὰρ καὶ ἐν ἀσφαλείᾳ εἶναι, καὶ πολλοὺς εἶναι, καὶ πολεμεῖσθαι. ἀλλ' ἐνταῦθα καὶ ταύτης ἀπηλλαγμένους δείκνυσι τῆς ἐπιβουλῆς, τῷ οὕτως εἰπεῖν καὶ δεῖξαι οὐ τὴν πόλιν μόνον ἀπαλλαγεῖσαν τῶν ἐπιβουλευόντων, ἀλλὰ καὶ αὐτὰς τὰς ἐσχατιάς. εἶδες πόσας εὐεργεσίας ἀπαριθμεῖ, καὶ πρώτην καὶ μείζονα πάντων, τῷ εἰπεῖν, τὸν Θεόν σου. διὰ γὰρ τοῦ ῥήματος τούτου πάντα ταῦτα λέγει, ὅτι ᾠκειώσατό σε, ὅτι κληρονόμον σε ἐποίησεν ἑαυτοῦ, ὅτι κοινὸς ὢν ἁπάντων δεσπότης,

IN PSALMVM CXLVII.

B *Lauda Hierusalem Dominum, lauda Deum tuum Sion.*

NON ad ciuitatem, sed ad eos qui in illa habitant, dirigit orationē: quod per totum librum facit, hoc quoque hic faciens. Assiduè autem hortatur & consulit, vt gratiarum actionem Deo pro beneficiis offerant, & neque C in ædificiis, nec in validis propugnaculis, sed in Dei prouidentia fiduciam habeant. Hoc veluti priùs iacto & confirmato funamento, subiungit, & dicit, 2. *Quoniam confortauit seras portarum tuarum, benedixit filiis tuis in te.* Quid hoc est? In tuto inquit te collocauit, fecit inexpugnabilem. Benedixit filiis tuis. Hoc est, fecit crescere in magnam multitudinem. Hoc vnum est genus beneficij. Alterum verò est illud, In te. Hoc est autem quod dicit, Non diuisos, nec dispersos, sed in te congregatos fecit crescere. Deinde aliud quoque ostendens D prouidentiæ genus dicit, 3. *Qui posuit fines tuos pacem.* Fieri enim potest vt & in tuto sint, & multi sint, & tamen bello vexentur: sed ab his quoque insidiis ostendit eos esse liberos, quod sic dixit, & indicauit non solum ciuitatem esse liberam ab insidiatoribus, sed ipsos etiam fines. Vidisti quot beneficia recenset? Primum quidem, & quod est omnium maximū, quòd dixerit, Deum tuum. Per hoc enim verbum dicit hæc omnia, quod te effecit familiarem, quòd te suum fecit hæredem, quòd cùm sit communis omnium dominus,

Deut. 7. Rom. 8. Rom. 10.

FFF

est præcipuè tuus: quod quidem est primum caput bonorum. Secundum autem, quod ciuitatem in tuto collocauit. Tertium, quòd eos multiplicauit. Quartum, quòd à bellis & tumultibus liberauit non solùm ciuitatem, sed etiam vniuersam gentem: quòd non vno tantum, aut altero, aut tertio tempore hoc fecit, sed id fecit perpetuò. Non dixit enim qui posuit, sed qui ponit. Quòd si bella quandoque euenerunt, non eò quòd ipse eos relinqueret, sed eò quòd ipsi resilirent, factum est. Hoc enim fuit perpetuum eius munus, munire, in tuto collocare: vt ab omni bello & tumultu liberi essent, præstare. Deinde aliud quoque vnà cum hoc dicit beneficium, nempe magnam anni fertilitatem, & bonum fructuum prouentum, rursus hic ipsos docens, non terræ nec aëris naturæ, sed eius prouidentiæ omnia ascribere. Quódnam autem id est quod subiunxit, dicens, *Et adipe frumenti satiat te?* Vide, non dixit absolutè frumentum, sed, adipe frumenti, magnam ostendens prosperitatem. Adeps enim frumenti, fructus florem, & id quod est optimum significat. Talia sunt enim Dei dona, proba & florentia. Optimo ergo frumento eos hic dicit liberalissimè expleri. Hoc enim significans, non dixit qui dat, sed qui satiat. 4. *Qui emittit eloquium suum terræ.* Quod facere consueuit, vt à priuatis ad communia, & à communibus rursus ad priuata transferat orationem, hoc hic quoque facit. Postquam enim dixit, lauda Deum tuum, ne quis insipiens existimaret eum esse Deum tantum Iudæorum, ostendit quomodo sit vniuersæ terræ communis, & per vniuersum orbem terræ extensa sit eius prouidentia, à priuatis ad id quod est commune, deducens orationem, & ad generalem prouidentiam. Et ideo cùm dixisset, qui emittit eloquium suum terræ, subiunxit: *Velociter currit sermo eius.* Hoc autem dixit ostendens eum non solum nostræ regionis, sed vniuersi orbis terrarum curam gerere. Eloquium autem hîc dicit iussum, operationem qua prouidet & prospicit. Deinde quàm sit facilis, & quàm in promptu, ostendens non nomine solum sermonis, sed etiam appellatione cursus id significauit: & ne hoc quidem satis esse duxit, sed etiam adiecit velociter.

Terra fertilitas Dei prouidentiæ ascribenda.
Adeps frumenti.
Sap 6. 21. Eloquium Dei.

A ἐξαιρέτως σός ἐστιν, ὅπερ κεφάλαιον πρῶτον τῶν ἀγαθῶν. δεύτερον, ὅτι ἐν ἀσφαλείᾳ τὴν πόλιν κατέστησε. τρίτον, ὅτι πολλοὺς αὐτοὺς εἶναι ἐποίησε. τέταρτον, ὅτι πολέμων ἀπήλλαξε καὶ ταραχῆς, οὐχὶ τὴν πόλιν μόνην, ἀλλὰ καὶ τὸ ἔθνος ἅπαν· ὅτι οὐχ ἐν καιρῷ καὶ δευτέρῳ καὶ τρίτῳ, ἀλλὰ διηνεκῶς τοῦτο ἐποίει· οὐ γὰρ εἶπεν ὁ θεὶς, ἀλλ' ὁ τιθείς. εἰ δέ ποτε καὶ πόλεμοι συνέβαινον, οὐκ αὐτοῦ ἐγκαταλιμπάνοντος, ἀλλ' αὐτῶν ἀποπηδώντων· ὡς τό γε αὐτοῦ ἔργον τοῦτο ἦν διηνεκὲς, τὸ τειχίζειν, τὸ ἀσφαλίζεσθαι, τὸ ποιεῖν B ἀπηλλάχθαι πάσης ταραχῆς καὶ πολέμου. εἶτα καὶ ἑτέραν μετ' ἐκείνης λέγει εὐεργεσίαν, τὴν εὐετηρίαν καὶ εὐθηνίαν τῶν ἀπὸ γῆς καρπῶν, πάλιν καὶ ἐνταῦθα παιδεύων αὐτοὺς μὴ τῇ γῇ, μηδὲ τῇ φύσει τῶν ἀέρων, ἀλλὰ τῇ αὐτοῦ προνοίᾳ τὸ πᾶν λογίζεσθαι. ποίαν δὲ ταύτην; ἣν ἐπήγαγε λέγων, καὶ στέαρ πυροῦ ἐμπιπλῶν σε. ὅρα, οὐκ εἶπεν ἁπλῶς πυρὸν, ἀλλὰ στέαρ πυροῦ, πολλὴν ἐνδεικνύμενος τὴν εὐημερίαν. στέαρ γὰρ πυροῦ, τὸ λιπαρὸν τοῦ καρποῦ δηλοῖ. τοιαῦτα γὰρ τοῦ Θεοῦ τὰ δῶρα, δόκιμα καὶ εὐθαλῆ. τὸν κάλλιστον οὖν πυρὸν ἐνταῦθα λέγει ἐμπι- C πλᾶν μετὰ δαψιλείας. τοῦτο γὰρ δηλῶν οὐκ εἶπε, διδοὺς, ἀλλ' ἐμπιπλῶν σε. ὁ ἀποστέλλων τὸ λόγιον αὐτοῦ τῇ γῇ. ὅπερ αὐτῷ συνηθές ἐστιν ἀπὸ τῶν ἰδικῶν ἐπὶ τὰ κοινὰ μεταφέρειν τὸν λόγον, καὶ πάλιν ἀπὸ τῶν κοινῶν ἐπὶ τὰ ἰδιάζοντα, τοῦτο καὶ ἐνταῦθα ποιεῖ. ἐπειδὴ γὰρ εἶπεν, αἴνει τὸν Θεόν σου, ἵνα μή τις τῶν ἀνοήτων νομίσῃ τῶν Ἰουδαίων μόνων Θεὸν εἶναι, δείκνυσι πῶς κοινὸς τῆς οἰκουμένης ἐστὶ, καὶ πανταχοῦ τῆς γῆς ἡ πρόνοια αὐτοῦ τέταται, ἀπὸ τῶν ἰδιαζόντων ἐπὶ τὸ κοινὸν ἐξάγων τὸν λόγον καὶ τὴν καθόλου D πρόνοιαν. διὸ καὶ εἰπὼν, ὁ ἀποστέλλων τὸ λόγιον αὐτοῦ τῇ γῇ, ἐπήγαγε, ἕως τάχους δραμεῖται ὁ λόγος αὐτοῦ. τοῦτο δὲ εἶπε, δεικνὺς ὅτι οὐ μόνον τῆς ἡμετέρας κήδεται, ἀλλὰ τῆς οἰκουμένης ἁπάσης. λόγιον δὲ ἐνταῦθα, τὸ πρόσταγμά φησι, τὴν ἐνέργειαν τὴν προνοητικήν. εἶτα τὴν εὐκολίαν παριστὰς, οὐ τῷ ὀνόματι τοῦ λόγου, ἀλλὰ καὶ τῇ προσηγορίᾳ τοῦ δρόμου ταύτην παρέστησε. καὶ οὐδὲ τοῦτο αὐτῷ ἤρκεσεν, ἀλλὰ καὶ τὸ τάχος προσέθηκεν.

A ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· ὅπερ ἂν ἐπιτάξῃ, μετὰ πολλῆς γίνεται τῆς ταχύτητος. ἐπιτάττει γὰρ πανταχοῦ τῆς οἰκουμένης. τί δὲ ἐπιτάττει; ταῦτα τὰ συνέχοντα τὴν ζωὴν τὴν ἡμετέραν· λέγω δὴ, τὰ περὶ τῆς τῶν ἀέρων οἰκονομίας, καὶ τῶν ὡρῶν καὶ τῶν μεταβολῶν. διὸ καὶ ἐπάγει λέγων, διδόντος χιόνα αὐτοῦ ὡσεὶ ἔριον, ὁμίχλην ὡσεὶ σποδὸν πάσσοντος. τοῦτο ἕτερος ἑρμηνευτὴς, δρόσον πεπηγμένην. ὁ δὲ Ἑβραῖος, Χαφφὶρ χαέφηρ. βάλλοντος κρύσταλλον αὐτοῦ, ὡσεὶ ψωμούς. κατὰ πρόσωπον ψύχους αὐτοῦ τίς ὑποστήσεται; ἐξαποστελεῖ τὸν λόγον αὐτοῦ, καὶ τήξει B αὐτά· πνεύσει τὸ πνεῦμα αὐτοῦ, καὶ ῥυήσεται ὕδατα. ἐνταῦθά μοι τὸ ἄμαχον καὶ ἀπέραντον αὐτοῦ τῆς δυνάμεως παρίστησιν, ὅτι καὶ οὐκ οὔσας παράγει τὰς οὐσίας, καὶ γενομένας μετατίθησι, καὶ πρὸς ὃ βούλεται μεταρρυθμίζει. ὅπερ καὶ ἕτερος προφήτης δηλῶν ἔλεγεν, ὁ ποιῶν πάντα καὶ μετασκευάζων αὐτά. εἰ γὰρ καὶ φύσεως ἀκινήτοις ὅροις πεπέδηνται, ἀλλ' ὅταν αὐτῷ δοκῇ, λύονται οὗτοι οἱ ὅροι. αὐτῷ γὰρ εἴκει καὶ παραχωρεῖ. καὶ ποτὲ μὲν αὐτὰς μεταβάλλει τὰς οὐσίας, ποτὲ δὲ μενούσας εἰς ἑτέραν μετατίθησιν C ἐνέργειαν, καὶ τὴν μὲν οἰκείαν αὐτῷ καὶ συγκεκληρωμένην ἀφίησιν ἡσυχάζειν, ἑτέραν δὲ τὴν ἐναντίαν ἐπιδείκνυται· ὅπερ καὶ ἐπὶ τῆς καμίνου ἐποίησε. πῦρ γὰρ ἦν, καὶ οὐκ ἔκαιεν· ἀλλὰ δρόσου τινὸς ἡδίους οἱ ἐμβληθέντες ἀπέλαυον. πέλαγος ἦν ἐπὶ τῶν Ἰουδαίων, καὶ οὐ κατεπόντιζε τὰ ὕδατα, ἀλλὰ πέτρας στερρότερον διεβιβάζοντο. γῆ ἦν ἐπὶ τοῦ Δαθὰν καὶ Ἀβειρὼν, καὶ ὅμως οὐκ ἔστεγεν αὐτῶν τὰ σώματα, ἀλλὰ θαλάσσης εὐκολώτερον κατεποντίζοντο. ξύλον ἦν ξηρὸν ἡ ῥάβδος τοῦ Ἀαρὼν, καὶ τῶν ἐπὶ γῆς πεφυτευμένων ὡραιότερον καρπὸν ἤνεγκεν. ὄνος D ἦν τὸ πάντων νωθέστερον ζῷον ἐπὶ τοῦ Βαλαὰμ, καὶ ἀνθρώπου λογικοῦ οὐκ ἔλαττον ἀπολογίαν εἰς τὸν παίοντα πεποίηκε. λέοντες ἦσαν ἐπὶ τοῦ Δανιὴλ, καὶ προβάτων ἡμερότητα ἐπεδείξαντο, οὐ τῆς φύσεως αὐτῶν ἀφανισθείσης, ἀλλὰ τῆς ἐνεργείας μεταβληθείσης. πολλὰ ἕτερα τοιαῦτα θαύματα καὶ ἐπὶ τῆς κτίσεώς ἐστιν ἰδεῖν. μὴ οὖν, ἐπειδὴ καθ' ἕκαστον γίνεται ἐνιαυτὸν, καὶ ἐν ὄψεσιν ἡμῶν συμβαίνει, μικρὸν νομίσῃς τὸ θαῦμα· ἐπεὶ ἐννόησον ἡλίκον ἐστὶ, νῦν μὲν

A Quod autem dicit, est eiusmodi, quodcunque iusserit, fit cum maxima celeritate. Per vniuersum enim orbem terræ imperat. Quid autem imperat? Ea quæ nostram vitam continent, quæ spectant ad aëris administrationem, temporúmque mutationem & vicissitudinem. Et ideo subiungit dicens. 5. *Qui dat niuem sicut lanam: nebulam sicut cinerem spargit.* Hoc alius quidam interpres dicit, Rorem concretum. Hebræus autem Caepher. 6. *Mittit crystallum suam sicut buccellas: ante faciem frigoris eius quis sustinebit?* Alius, In faciem frigoris quis stabit? B 7. *Emittet verbum suum, & liquefaciet ea, flabit spiritus eius, & fluent aquæ.* Hic mihi exponit inexpugnabilem & infinitam eius potentiam, quòd quæ non sunt, producit substantias, & eas quæ factæ sunt, traducit & transmutat, & ad id quod vult transformat. Quod quidem alius quoque propheta significans dicebat: Qui omnia facit, & ea transformat. Etsi enim immobilibus naturæ terminis alligata sint: quando tamen ei visum fuerit, soluuntur hi termini. Ei enim omnia locum dant & concedunt, aliquando quidem eas mutat substan- C tias, aliquando verò manentes mutat in aliam operationem, & eam quidem quæ est ei propria & attributa facit quiescere, aliam verò inducit contrariam. Quod quidem fecit in fornace. Ignis erat, & non vrebat, sed qui in eum iniecti fuerant, sentiebant rorem longè iucundissimum. Mare erat cùm Iudæi traijcerent, & aquæ non obruebant, sed eos petra firmius & solidius transmittebant: sub Dathā & Abiron terra erat, eorum tamen corpora nō sustinuit, sed mari facilius obruit. Virga Aaron erat lignū aridum, & iis quæ in terra plātata erant, fructum pulchriorem protulit. D Balaæ erat asinus animal omnium hebetissimum, nec minus benè se defendit apud eum qui ipsum pulsabat, quàm homo ratione præditus. Cùm in lacum coniectus est Daniel, erant leones, & ostenderunt ouium mansuetudinem: non ipsorum quidem deleta natura, sed mutata eorum operatione. Multa alia possunt videri miracula, etiam in creaturis. Ne ergo quoniam fit singulis annis, & sub aspectum nostrum cadit, id paruum esse miraculum existimes. Considera enim quantum sit, nunc quidem

Eccl. 8. — *Amos 5. 8.* — *Esa. 45. Hiere. 10.* — *Naturæ operatio in contrarium mutata.* — *Dan 3.* — *Exod. 14.* — *Num. 16.* — *Num. 17.* — *Num. 22.* — *Dan. 6.* — *Miracula quotidiana.*

videri niuem, nunc verò aquã, & breui momento tẽporis tantas fieri mutationes. Ne quis enim minus ſapiens, naturali elementorum operatione hęc fieri, & ea abſolutè illorũ cauſas eſſe putaret: ſed ſciret quiſnã ſit qui imperat, ad iuſſum eius totã de his rebus deducit orationẽ, & dicit: Emittet verbum ſuũ, & liquefaciet ea. Hoc eſt, iuſſus, non enim vis ventorũ hoc facit principaliter, ſed Deus qui fecit ventos. Orationem autem deduxit ad elementa, & ad mutationes quæ ſunt in elementis, perſuadens craſſo & vix vllo ſenſu prædito Iudæo, ex iis quæ fiũt ſingulis annis, noſſe Dei potentiã, & facile ei eſſe res eorum, vt vult, adminiſtrare, & à contrariis in in contrarias mutare. Quemadmodum enim ſi fuerit tempeſtas & glacies intolerabilis, facile eſt illi inuecta tranquillitate omnia diſſoluere: ita etiam eos qui in captiuitatem abducti fuerant, & bellis vexati erant, facile ei ad pacem & ad ſuã patriam reducere, & reſtituere priori proſperitati. Non hoc ſolùm autem ſignificat, ſed etiam aliud latenter innuit. Quidnam? Quòd quemadmodum hęc, licet moleſtiam afferant, ſæpe fiunt vtiliter: ita etiam quæ eis euenerunt, eis fuerunt conducibilia, & multum commodi attulerunt. Ne eſſet autem eis amplius moleſtus, ad placidiorem rurſus traduxit mutationem. Quid hæc autem ſibi volunt exempla? Non dixit enim ſolummodo, qui dat niuem, ſed adiunxit, tanquam lanam: Neque, qui nebulam ſpargit, ſed ſubiũxit, ſicut cinerem: neque, qui mittit cryſtallum, ſed adiecit, ſicut buccellas. Mihi videtur voluiſſe ex his ſignificare quàm ſint ei omnia facilia & explicata. 8. *Qui nunciat verbum ſuum Iacob.* Alius, perfectiones. Alius, iuſſa. *Iuſtitias & iudicia ſua Iſrael.* 9. *Non fecit taliter omni nationi.* Alius, ſimilia. *Et iudicia ſua non manifeſtauit eis.* Vide quomodo rurſus à generalibus tranſit ad ſingularia, & quæ erant Iudæorum præcipua, volens eos ad maius ſtudium excitare. Atque in principio quidem pſalmi diſſeruit de ſenſilibus, & quæ proſunt corpori, vtpote de ſecuritate, anni fertilitate, & pace: hic autem orationem ad altiora erigit, de lege quæ eis data eſt tractans,

Iudæorum craſſities.

Hebr. 12.

Exod. 10.

A χιόνα φαίνεσθαι, νῦν δὲ ὕδωρ, καὶ ἐν βραχείᾳ καιροῦ ῥοπῇ τοσαύτας γίνεσθαι μεταβολάς. ἵνα γὰρ μή τις τῶν ἀνοήτων λογίζηται τῇ φυσικῇ τῶν στοιχείων ἐνεργείᾳ, καὶ τούτων ἁπλῶς αἴτια ταῦτα νομίζῃ, ἀλλ᾽ εἰδῇ τίς ἐστιν ὁ ἐπιτάττων, ἐπὶ τὸ πρόσταγμα αὐτοῦ περὶ πάντων τούτων ἀνάγει τὸν λόγον, καί φησιν, ἐξαποστελεῖ τὸν λόγον αὐτοῦ, καὶ τήξει αὐτά· τουτέστι, τὸ πρόσταγμα. οὐ γὰρ τῶν ἀνέμων ἡ φύσις προηγουμένως τοῦτο ἐργάζεται, ἀλλ᾽ ὁ τοὺς ἀνέμους ποιήσας Θεός. ἐξήγαγε δὲ ἐπὶ τὰ στοιχεῖα τὸν λόγον, καὶ τὰς ἐν τοῖς στοιχείοις

B μεταβολάς, πείθων τὸν Ἰουδαῖον τὸν παχὺν καὶ ἀναίσθητον ἀπὸ τῶν καθ᾽ ἕκαστον ἐνιαυτὸν γινομένων εἰδέναι τοῦ Θεοῦ τὴν ἰσχὺν, καὶ ὅτι καὶ τὰ κατ᾽ αὐτὸν ῥᾳδίως αὐτῷ διαθεῖναι πάντα, ὅσα ἂν ἐθέλῃ, καὶ ἀπὸ τῶν ἐναντίων εἰς τὰ ἐναντία μεταβάλλειν. ὥσπερ γὰρ χειμῶνος γινομένου καὶ πάγου ἀνυποίστου, ῥᾳδίως αὐτῷ γαλήνην ἐργασαμένῳ, καὶ πάντα διαλῦσαι, οὕτω δὴ καὶ αὐτοὺς ἐν αἰχμαλωσίᾳ γενομένους καὶ ἐν πολέμοις ἐνοχλουμένους ῥᾷον αὐτῷ πρὸς εἰρήνην καὶ τὴν ἑαυτῶν ἐπαναγαγεῖν, καὶ πρὸς τὴν προτέραν εὐημερίαν ἐπαναγαγεῖν. οὐ τοῦτο δὲ

C μόνον δηλοῖ, ἀλλὰ καὶ ἕτερον κεκρυμμένως αἰνίττεται. ποῖον δὴ τοῦτο; ὅτι καθάπερ ταῦτα καὶ λυποῦντα πολλάκις χρησίμως τε καὶ ὠφελίμως γίνεται, οὕτω καὶ τὰ κατ᾽ αὐτοὺς συμφερόντως γέγονε, καὶ εἰργάσατο πολλὴν τὴν ὠφέλειαν, ἵνα μὴ ἐπὶ πλέον λυπήσῃ, πάλιν εἰς μεταβολὴν μετέστη τὴν εὐδιεινοτέραν. τί δὲ αὐτῷ βούλεται καὶ τὰ παραδείγματα; οὐ γὰρ εἶπε, διδόντος χιόνα μόνον, ἀλλ᾽ ἐπήγαγεν, ὡσεὶ ἔριον· οὐδὲ ὁμίχλην πάσσοντος, ἀλλ᾽ ἐπήγαγεν, ὡσεὶ σποδόν· οὐδὲ βάλλοντος κρύσταλλον, ἀλλ᾽ ἐπήγαγεν, ὡσεὶ ψωμούς. ἐμοὶ δοκεῖ κἀντεῦθεν τὴν εὐκολίαν τοῦ ἐργαζομένου δη-

D λοῦν καὶ τὴν εὐπορίαν. ὁ ἀπαγγέλλων τὸν λόγον αὐτοῦ τῷ Ἰακώβ. ἕτερος, ἀκριβασμούς. ἄλλος, προστάγματα. δικαιώματα καὶ κρίματα αὐτοῦ τῷ Ἰσραήλ. οὐκ ἐποίησεν οὕτω παντὶ ἔθνει. ἄλλος, ὅμοια. καὶ τὰ κρίματα αὐτοῦ οὐκ ἐδήλωσεν αὐτοῖς. ὅρα πῶς πάλιν ἀπὸ τῶν καθολικῶν ἐπὶ τὰ μερικὰ μετάγει τὸν λόγον καὶ τῶν Ἰουδαίων τὰ ἐξαίρετα, βουλόμενος διεγεῖραι αὐτοὺς πρὸς πλείονα σπουδήν. ἀρχόμενος οὖν τοῦ ψαλμοῦ, περὶ τῶν αἰσθητῶν διελέχθη καὶ σῶμα ὠφελούντων, περὶ ἀσφαλείας, εὐετηρίας, εἰρήνης· ἐνταῦθα δὲ ἐπὶ τὰ ὑψηλότερα ἀνάγει τὸν λόγον, τὸν περὶ τῆς νομοθεσίας λόγον διαπλέκων,

ὅπερ μάλιστα εἶδος εὐεργεσίας, ἀπάγειν κακίας, χειραγωγεῖν πρὸς ἀρετὴν, φωτίζειν διάνοιαν. διὰ καὶ Μωϋσῆς ἄνω καὶ κάτω τοῦτο στρέφων ἔλεγε· ποῖος ὡς οὗτος λαός; τὸ ἔθνος τὸ μέγα, ὅ ἐστιν αὐτῷ Θεὸς ἐγγίζων αὐτοῖς, ὡς κύριος ὁ Θεὸς ἡμῶν, ἐπὶ πᾶσιν οἷς αὐτὸν ἐπικαλεσώμεθα. καὶ ὁ Δαβὶδ πάλιν, ποιῶν ἐλεημοσύνας ὁ κύριος, καὶ κρίμα πᾶσι τοῖς ἀδικουμένοις. ἐγνώρισε τὰς ὁδοὺς αὐτοῦ τῷ Μωϋσεῖ, τοῖς υἱοῖς Ἰσραὴλ τὰ θελήματα αὐτοῦ. καὶ ὁ Ἱερεμίας, οὗτος ὁ Θεὸς ἡμῶν· οὐ λογισθήσεται ἕτερος πρὸς αὐτόν. ἐξεῦρε πᾶσαν ὁδὸν ἐπιστήμης, καὶ ἔδωκεν αὐτὴν Ἰακὼβ τῷ παιδὶ αὐτοῦ, καὶ Ἰσραὴλ τῷ ἠγαπημένῳ ὑπ' αὐτοῦ. ἀλλ' ἴσως εἴποι τις ἄν· καὶ μὴ δηλώσας τοῖς λοιποῖς ἀνθρώποις, πῶς αὐτοὺς κολάζει; ὅτι μὲν γὰρ κολάζει καὶ τοὺς πρὸ τοῦ νόμου καὶ τοὺς πανταχοῦ τῆς οἰκουμένης ἁμαρτάνοντας, δῆλον ἐξ ὧν ὁ Χριστός φησι· βασίλισσα νότου ἀναστήσεται, καὶ κατακρινεῖ τὴν γενεὰν ταύτην. καὶ πάλιν, ἄνδρες Νινευῖται ἀναστήσονται καὶ κατακρινοῦσι τὴν γενεὰν ταύτην. πάντως γὰρ διὰ τοῦτο οὕτως εἴρηται, ὡς κἀκείνων λόγον ὑπεχόντων, καὶ τῶν μὲν ἐπαινουμένων, τῶν δὲ κολαζομένων. Εἰ δὲ μὴ ἦν δῆλα αὐτοῖς τὰ πρακτέα, πῶς ἔμελλον κατακρίνειν τούτους; πῶς δὲ πάλιν ἔλεγεν, ὅτι τὸ αἷμα ἐκδικηθήσεται ἀπὸ τοῦ αἵματος Ἄβελ τοῦ δικαίου ἕως τοῦ αἵματος Ζαχαρίου; πῶς δὲ καὶ ἀνεκτότερον ἔσται γῇ Σοδόμων καὶ Γομόῤῥας; τῷ γὰρ εἰπεῖν, ἀνεκτότερον, οὐ τελείαν ἀπαλλαγὴν, ἀλλὰ κουφοτέραν τιμωρίαν, ὧν ἥμαρτον, αὐτοὺς διδόναι δηλοῖ. εἰ δὲ οἱ κολασθέντες οὕτω χαλεπῶς πάλιν δίκην διδόασι, τίς τῶν ἄλλων διαφεύξεται; ὁρῶμεν δὲ καὶ τοὺς ἐπὶ τοῦ κατακλυσμοῦ δίκην δεδωκότας καὶ ἑτέρους πολλοὺς, καὶ αὐτὸν δὲ τὸν Κάϊν. καὶ ὁ Παῦλος δέ φησι τὸ αὐτὸ τοῦτο δηλῶν· ἀποκαλύπτεται ὀργὴ Θεοῦ ἀπ' οὐρανοῦ ἐπὶ πᾶσαν ἀσέβειαν καὶ ἀδικίαν ἀνθρώπων τῶν τὴν ἀλήθειαν ἐν ἀδικίᾳ κατεχόντων, διότι τὸ γνωστὸν τοῦ Θεοῦ φανερόν ἐστιν αὐτοῖς. τὰ γὰρ ἀόρατα αὐτοῦ ἀπὸ κτίσεως κόσμου τοῖς ποιήμασι νοούμενα καθορᾶται, ἥτε ἀΐδιος αὐτοῦ δύναμις καὶ θειότης, εἰς τὸ εἶναι αὐτοὺς ἀναπολογήτους. εἶτα τὸ περὶ τοῦ βίου κινῶν λόγον, οὐδὲ ἐνταῦθα ἀφίησιν αὐτοὺς ἀνευθύνους, οὕτω λέγων·

A quod quidem est maximnm genus beneficij, à vitio abducere, deducere ad virtutem, animum illustrare. Et ideo Moses hoc sursus déque versans, dicebat: Quis est is populus, gens magna, cui Deus est eis appropinquãs, vt Deus noster, in omnibus quibus eum inuocauerimus? Et Dauid rursus: Faciens misericordias dominus, & iudicium omnibus patientibus iniuriam. Notas fecit vias suas Mosi, filiis Israel voluntates suas. Et Hieremias. Hic est Deus noster, non reputabitur alius preter ipsum. B Inuenit omnem viam scientiæ, & dedit eã Iacob filio suo, & Israël dilecto suo. Sed dixerit fortasse quispiam, Cùm reliquis hominib. non significauerit, quomodo eos punit? Quòd enim eos puniat qui fuerunt ante legem, & eos qui peccant per vniuersum orbẽ terræ, clarum est ex iis quæ dicit Christus: Regina Austri surget, & condemnabit hanc generationem. Et rursus: Viri Niniuitæ surgent, & condemnabunt hanc generationẽ. Omnino enim ideo ita dictum est, quòd illi quoque rationem redderent: & illi quidem laudarentur, hi vero C punirẽtur. Si autẽ non fuerat eis ostensum quid sibi esset agendum, quomodo hos condẽnaturi erant? Quomodo autem rursus dixit, Vindicabitur sanguis à tempore Abel iusti vsque ad sanguinem Zachariæ? Quomodo autem rursus, Tolerabilius erit terræ Sodomorum & Gomorrhæ? Cùm enim dixit, Tolerabilius, non perfectam liberationem, sed eos pro suis peccatis dare leuius supplicium significat. Quòd si qui puniti sunt, tam graues rursus dant pœnas, quis ex aliis effugiet? Videmus autem eos quoque qui pœnas dederunt D in inũdatione, & multos alios, & ipsum Cain. Porrò autem Paulus quoque dicit, hoc ipsum significans, reuelatur ira Dei de cœlo super omnem impietatem & iustitiam hominum, qui virtutem in iniustitia detinent, propterea quod id quod de Deo cognosci potest, manifestum est in ipsis, Deus enim illis manifestauit. Inuisibilia enim eius à creatione mundi operibus intellecta conspiciuntur, & æterna eius potentia & diuinitas, vt sint ipsi inexcusabiles. Deinde de vita quoque verba faciens, ne hîc quidem eos relinquit rationi reddendæ non obnoxios, ita dicens,

Deut. 4.7. Rom. 3.
Psal. 102.6.
Baruch. 3. 23.
Peccatores etiam ante legem puniuit.
Matth. 12. 42. Luc. 11.
Ibidem.
Ibidem. Matt. 10.
Gen. 7. Gen. 4. Rom. 1.

διὸ καὶ μείζονος τῆς κατακρίσεως Ἰουδαῖοι ἄξιοι, ὅτι μετὰ τοῦ φυσικοῦ καὶ τὸν γραπτὸν λαβόντες, τοσαῦτα παρηνομήκασι. ὥστε ἡ πολλὴ τοῦ Θεοῦ εὐεργεσία, πλείονος αὐτοῖς κατακρίσεως ὑπόθεσις γίνεται ἐρρᾳθυμηκόσι. κατὰ μὲν οὖν τὸ ῥητὸν ἀρκεῖ τὰ εἰρημένα· εἰ δέ τις ἐπιθυμίαν ἔχει καὶ κατὰ ἀναγωγὴν τὸν ψαλμὸν ἐκλαβεῖν, οὐ παραιτησόμεθα καὶ ταύτην ὁδεῦσαι τὴν ὁδὸν, οὐ λυμαινόμενοι τὴν ἱστορίαν, μὴ γένοιτο· ἀλλὰ μετ' ἐκείνης καὶ ταῦτα προστιθέντες τοῖς φιλοπονωτέροις, καθὼς ἂν οἷόν τε ᾖ. ἐπαίνει Ἱερουσαλὴμ τὸν κύριον, αἴνει τὸν Θεόν σου Σιών. οἶδεν Ἱερουσαλὴμ τὴν ἄνω ὁ Παῦλος, περὶ ἧς λέγει· ἡ δὲ ἄνω Ἱερουσαλὴμ ἐλευθέρα ἐστὶν, ἥτις ἐστὶ μήτηρ ἡμῶν. ὥσπερ καὶ Σιὼν οἶδε τὴν ἐκκλησίαν, ὅταν λέγῃ· οὐ γὰρ προσεληλύθατε ὄρει ψηλαφωμένῳ καὶ κεκαυμένῳ πυρὶ καὶ γνόφῳ καὶ σκότῳ καὶ θυέλλῃ, ἀλλὰ προσεληλύθατε Σιὼν πόλει καὶ ἐκκλησίᾳ πρωτοτόκων ἀπογεγραμμένων ἐν οὐρανοῖς. δυνατὸν οὖν κατὰ ἀναγωγὴν καὶ περὶ ταύτης λέγεσθαι τὸ, ἐπαίνει Ἱερουσαλὴμ τὸν κύριον, αἴνει τὸν Θεόν σου Σιών· ὅτι ἐνίσχυσε τοὺς μοχλοὺς τῶν πυλῶν σου, εὐλόγησε τοὺς υἱούς σου ἐν σοί. καὶ γὰρ τῆς Ἱερουσαλὴμ ἀσφαλέστερον αὐτὴν ἐτείχισεν, οὐ μοχλοῖς καὶ θύραις, ἀλλὰ τῷ σταυρῷ περιφράξας καὶ τῇ ἀποτάσει τῆς οἰκείας δυνάμεως, δι' ἧς ἀνέστησεν αὐτῆς πανταχοῦ τὸν περίβολον, εἰπὼν ὅτι πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς. ἐν γοῦν προοιμίοις, βασιλεῖς ἅπαντες καὶ δῆμοι καὶ πόλεις, καὶ τῶν δαιμόνων αἱ φάλαγγες, καὶ αὐτὴ τοῦ διαβόλου ἡ τυραννὶς, καὶ μυρία πράγματα ἐπέθεντο τῇ ἐκκλησίᾳ. καὶ ὅμως πάντα μὲν ἐκεῖνα διελύθη καὶ ἀπώλετο· αὕτη δὲ αὐξομένη πρὸς ὕψος ἤρθη τοσοῦτον, ὅτι καὶ αὐτοὺς ὑπερέβη τοὺς οὐρανούς. εὐλόγησε τοὺς υἱούς σου ἐν σοί. ὥσπερ ἐξ ἀρχῆς εἶπεν, αὐξάνεσθε καὶ πληθύνεσθε καὶ πληρώσατε τὴν γῆν, καὶ διὰ τῆς ἁπάσης ὁ λόγος διέδραμεν· οὕτω μετὰ ταῦτα εἰπὼν, πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, καὶ ὅτι κηρυχθήσεται τὸ εὐαγγέλιον τοῦτο ἐν ὅλῳ τῷ κόσμῳ, καὶ αὐτὰ τῆς οἰκουμένης τὰ πέρατα ἐν βραχείᾳ καιροῦ ῥοπῇ κατέλαβε τὸ ἐπίταγμα. διὸ καὶ ἔλεγεν, ὁ κόκκος τοῦ σίτου, ἐὰν πεσὼν εἰς τὴν γῆν μὴ ἀποθάνῃ, αὐτὸς μόνος μένει· ἐὰν δὲ ἀποθάνῃ, πολὺν καρπὸν φέρει· καὶ πάλιν, ὅταν ὑψω-

A Et ideo Iudæi digni sunt maiori condemnatione, quòd cùm vnà cum lege naturali, scriptam quoque legem acceperint, tam scelerate & tam nefariè se gesserunt. Quamobrem magnum Dei beneficium eis negligentibus, euadit occasio maioris cōdemnationis. Quod ad verba quidem scripta attinet, sufficiunt quæ scripta sunt. Siquis autem desiderat psalmum quoque sumere anagogicè, non recusabimus hac quoq. via ingredi, non historiam labefactantes, absit, sed cum illa hæc quoque studiosis adijcientes, quod eius fieri poterit. Lauda Hierusalem Dominum, B lauda Deum tuum Sion. Nouit Paulus cœlestem Hierusalē, de qua dicit: Quæ sursum est autem Hierusalem, libera est, quæ est mater nostra queadmodum Sion quoque nouit ecclesiam, quando dicit, Non enim accessistis ad montem qui palpatur, ad incēsum ignem, & turbinem, & caliginem, & procellam, sed accessistis ad Sion ciuitatē, & ecclesiam primogenitorum descriptorū in cœlis. Potest ergo de ea quoque dici anagogicè illud, Lauda Hierusalem Dominum, lauda Deum tuum Sion: quoniam confortauit C seras portarum tuarum: benedixit filiis tuis in te. Eam enim munit validius quam Hierusalē, non vectibus & portis, sed cruce circumseptam, & renunciatione propriæ volūtatis, per quā vbique eius excitauit ambitum: cùm dixit: Portæ inferorum non præualebunt aduersus eam. In principio itaque imperatores & reges omnes & populi & ciuitates, & dæmonum phalanges, & ipsa diaboli tyrannis, & alia innumerabilia inuaserunt ecclesiam: illa tamen omnia fracta & dissoluta sunt & interierunt: ipsa autem creuit, & in tantam D prouecta est altitudinem, vt ipsos etiam cœlos superauerit. Benedixit filiis tuis in te. Quemadmodum cùm dixisset in principio, Crescite, & multiplicamini, & replete terrā, vniuersam terrā sermo peruasit: ita cùm postea dixisset, Ite & docete omnes gentes: &, Prædicabitur euangelium hoc in toto mundo: ipsos etiam fines orbis terræ breui momento temporis iussus eius occupauit. Quocirca ipse quoque dicebat, Si granum frumēti in terrā cadens mortuum non fuerit, ipsum solum manet: si autem mortuum fuerit, multum fructum affert. Et rursus, quando exaltatus fuero.

Hierusalē cœlestis. *Gal. 4. 26.*

Heb. 12. 18

Matt. 16. *Psal. 2.* *Act. 4.*

Ecclesiæ oppugnatio & incrementum. *Genes. 9.* *Matth. 28.* *Matth. 26.* *Rom. 10.* *Coloss. 1.*

Ioan. 12. *Ibidem.*

omnes traham ad meipsum. Atque in principio quidē ex vno multi nati sunt, cum lege naturæ cresceret multitudo, & ideo res tardius processit: tempore autē Apostolorum, nō lege naturæ, sed gratia crescebat multitudo: & ideo vno statim die tria millia, deinde quinque millia, deinde innumerabiles, deinde vniuersus orbis terræ per pulchrā hanc regenerationē editi, aucti sunt, & multiplicati sunt, & quam acceperant benedictionem, factis ipsis ostenderunt. Non enim ex sanguinibus, neque ex voluntate carnis, sed ex Dei gratia nati sunt. Qui posuit fines tuos pacem. Hoc valdè propriè dici potest de ecclesia: nam, quod est admirabilibus, cùm ea peteretur bello, pace fruebatur: & cùm ei omnes ponerent insidias, in summa securitate maximam capiebat voluptatem. Et ideo dixit ipse: Pacem meam relinquo vobis, pacem meam do vobis. Et adipe frumenti satiat te. Potest hoc etiam aliter accipi in ecclesia de alimēto spirituali, quòd nobis scilicet panem vitæ dederit. Qui emittit eloquium suum terræ: velociter currit sermo eius. Quisnam sermo, dic quæso? Qui prolatus per Apostolos quauis penna leuius omnia peruolabat. Quocirca Dauid quoque alibi hoc significans, dicit, Dominus dabit verbum euangelizantibus virtute multa. Siquis autem insipiens dubitet, ex iis quæ fiunt in elementis sumat probationem, & discat quomodo nix simul & aceruatim & repente aduenit, & momento temporis totam terram operit, non longo temporis curriculo eius faciem inuadens, sed repente totam eam complectens. Quoniam ergo erat propheta, & consentaneum erat futura prædicentem, & per anagogen significantem hæc dicere, par fuit vt immoraretur in eo, quod dicebatur de elementis. Quod autem dicit, est eiusmodi, Futurum est vt vniuersa terra Dei verbo resonet, idque cum maxima celeritate, & breuissimo tempore. Deinde ne quis dubitaret, si Iudæi, gens vnà, in quam tanto tempore tantum studij & diligentiæ collatum est, non fuit proba: quomodo ij qui vniuersum orbem terræ habitant, poterunt breui tempore componi, bonique & moderati effici? ad confirmandum id quod dicit, sumit exēpla ex elementis, niuem,

[Marg.: Act. 3. — Ioan. 1. — Ioā. 14. 27. — Psal. 67. 12 — Simile physicum. — Psal. 18. Marc. vlt.]

[A] θῶ, πάντας ἑλκύσω πρὸς ἐμαυτόν. παρὰ μὲν οὖν τὴν ἀρχὴν ἐξ ἑνὸς ἐγένοντο πολλοί, νόμῳ φύσεως τοῦ πλήθους αὐξομένου· διὸ καὶ βραδύτερον τὸ πρᾶγμα προῄει· ἐπὶ δὲ τῶν ἀποστόλων, οὐ νόμῳ φύσεως, ἀλλὰ χάριτι τὸ πλῆθος ἐπεδίδου· διόπερ εὐθέως ἐν μιᾷ ἡμέρᾳ τρισχίλιοι, εἶτα μύριοι, εἶτα πᾶσα ἡ οἰκουμένη διὰ τῆς καλῆς ταύτης ἀναγεννήσεως τεχθέντες, ηὐξήθησάν τε καὶ ἐπληθύνθησαν, καὶ τὴν εὐλογίαν διὰ τῶν ἔργων ἣν ἔλαβον ἐπεδείξαντο. οὐ γὰρ ἐξ αἱμάτων, οὐδὲ ἐκ θελήματος σαρκός, ἀλλ' [B] ἐκ τῆς τοῦ Θεοῦ χάριτος ἐγεννήθησαν. ὁ τιθεὶς τὰ ὅριά σου εἰρήνην. τοῦτο μάλιστα περὶ τῆς ἐκκλησίας ἄν τις εἴποι κυρίως, καὶ τὸ δὴ θαυμαστότερον, ὅτι πολεμουμένη εἰρήνης ἀπέλαυε, καὶ πάντων ἐπιβουλευόντων τῇ ἀδείᾳ ἐνετρύφα. διὸ καὶ ἔλεγεν, εἰρήνην τὴν ἐμὴν ἀφίημι ὑμῖν, εἰρήνην τὴν ἐμὴν δίδωμι ὑμῖν. καὶ στέαρ πυροῦ ἐμπιπλῶν σε. δυνατὸν καὶ ἐπὶ τῆς ἐκκλησίας τοῦτο λαμβάνεσθαι ἑτέρως εἰς πνευματικὴν τροφήν, ὅτι ἄρτον ἡμῖν δέδωκε τὸν τῆς ζωῆς. ὁ ἀποστέλλων τὸν λόγον αὐτοῦ τῇ γῇ. ἕως τάχους δραμεῖται ὁ λόγος αὐτοῦ. ποῖος λόγος, εἰ- [C] πέ μοι; ὁ διὰ τῶν ἀποστόλων, ὁ πτεροῦ κουφότερον πάντα περιδραμών. διὸ καὶ ὁ Δαβὶδ τοῦτο ἀλλαχοῦ αἰνιττόμενος λέγει, κύριος δώσει ῥῆμα τοῖς εὐαγγελιζομένοις δυνάμει πολλῇ. εἰ δέ τις ἀμφιβάλλοι τῶν ἀνοήτων, ἀπὸ τῶν κατὰ τὰ στοιχεῖα γινομένων λαμβανέτω τὴν ἀπόδειξιν καὶ μανθανέτω, πῶς ἡ χιὼν ἀθρόον ἔπεισι, καὶ ἐν μιᾷ καιροῦ ῥοπῇ πᾶσαν καλύπτει τὴν γῆν, οὐκ ἐκ περιόδου ἐπιοῦσα τῷ προσώπῳ ταύτης, ἀλλ' ἀθρόον αὐτὴν περιστέλλουσα. ἐπεὶ τοίνυν προφήτης ἦν, καὶ εἰκὸς αὐτὸν [D] τὰ μέλλοντα προαναφωνοῦντα καὶ αἰνιττόμενον κατὰ ἀναγωγὴν ταῦτα λέγειν, ἀκολούθως τῷ περὶ τῶν στοιχείων ἐνδιατρίβει λόγῳ. ὃ δὲ λέγει τοιοῦτόν ἐστι· μέλλει πᾶσα ἡ γῆ τῷ λόγῳ τοῦ Θεοῦ κατηχεῖσθαι, καὶ μετὰ πολλοῦ τοῦ τάχους, καὶ ἐν βραχεῖ καιρῷ. εἶτα ἵνα μή τις ἀμφιβάλλῃ, εἰ Ἰουδαῖοι ἔθνος ἐν τοσούτῳ χρόνῳ τοσαύτης ἀπολαῦσαν ἐπιμελείας οὐ γέγονε δόκιμον, πῶς τοὺς τὴν οἰκουμένην οἰκοῦντας ἐν βραχεῖ καιρῷ δυνατὸν μεταρρυθμισθῆναι; εἰς βεβαίωσιν τοῦ λόγου τὰ ἀπὸ τῶν στοιχείων παραδείγματα παραλαμβάνει, τὴν χιόνα, τὴν ὁμίχλην,

τὸν κρύσταλλον, ἅπερ μάλιστα ἐν μιᾷ καιροῦ ῥοπῇ γίνεται. μὴ τοίνυν ἀπιστήσῃς, εἰ καὶ τὰ τῆς γνώμης αὐτῶν μέλλοι μεταβάλλεσθαι εὐκόλως. ἀλλὰ πολλοὶ οἱ ἀνθιστάμενοι; ἀλλὰ καὶ οὗτοι ἐκστήσονται καὶ παραχωρήσουσιν. εἰ γὰρ ψύχους ὀλίγον σφοδρότερον γινομένου οὐδεὶς ἐνεγκεῖν δύναται, ἀλλ' εἴκουσιν αὐτῷ πάντες καὶ παραχωροῦσι, πολλῷ μᾶλλον τῷ λόγῳ καὶ τῷ ἐπιτάγματι αὐτοῦ πάντα ἐκστήσεται τὰ ἐναντιούμενα. καὶ γὰρ τὰς οὐσίας ἱκανὸς μεταθεῖναι, καὶ μὴ οὔσας παραγαγεῖν, καὶ εἰς τοσαύτην αὐξῆσαι δύναμιν, ὡς πᾶσι εἶναι ἀνύποιστα ταῦτα γίνεσθαι. ὁ ἀπαγγέλλων τὸν λόγον αὐτοῦ τῷ Ἰακώβ, δικαιώματα καὶ κρίματα αὐτοῦ τῷ Ἰσραήλ. ἐνταῦθα καὶ τὸν Ἰακὼβ οὐκ ἄν τις ἁμάρτοι τὸν πνευματικὸν εἰπὼν καὶ τὸν Ἰσραήλ, ὃν καὶ Παῦλος οἶδε λέγων, εἰρήνη ὑμῖν καὶ ἐπὶ τὸν Ἰσραὴλ τοῦ Θεοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

A nebulam, glaciem, quæ breuiter fiunt vno momento temporis. Ne ergo ideo non credas, etiam si mens eorum sit facilè mutanda. At multi sunt qui resistunt. Sed ij quoque concedent, & locum dabunt. Si enim parum frigoris, quod fuerit vehementius, nemo ferre potest: sed omnes ei cedunt, & locum dant: multò magis eius verbo & iussui cedent omnia, quæ aduersantur. Potest enim mutare substantias, & quæ non sunt producere, & ad tantas vires prouehere, vt hæc sint omnibus intolerabilia. B Qui annunciat verbum suum Iacob, iustitias & iudicia sua Israel. Hic quoque non aberraueris, si Iacob spiritalem dixeris, & Israëlem, quem Paulus quoque nouit dicens: Pax vobis, & super Israel Dei. Cui gloria in secula seculorum. Amen.

[Esa. 47. Dan 4. Luc. 21.]

[Act. 6. Hebr. 4. Gal. 6.]

Εἰς τὸν ρμη' ψαλμόν.

Αἰνεῖτε τὸν κύριον ἐκ τῶν οὐρανῶν, αἰνεῖτε αὐτὸν ἐν τοῖς ὑψίστοις· αἰνεῖτε αὐτὸν πάντες οἱ ἄγγελοι αὐτοῦ.

ΕΘΟΣ τοιοῦτον τοῖς ἁγίοις διὰ πολλὴν εὐγνωμοσύνην, ἐπειδὰν μέλλωσιν εὐχαριστεῖν τῷ Θεῷ, πολλοὺς καλεῖν κοινωνοὺς τῆς εὐφημίας, καὶ παρακαλεῖν συνεφάπτεσθαι τῆς καλῆς ταύτης λειτουργίας αὐτοῖς. τοῦτο καὶ οἱ παῖδες οἱ τρεῖς πεποιήκασι, τὴν κτίσιν ἅπασαν, ἡνίκα ἦσαν ἐν τῇ καμίνῳ, πρὸς τὴν εὐφημίαν τῆς ὑπὲρ αὐτῶν εὐεργεσίας καλέσαντες καὶ πρὸς τὴν τοῦ Θεοῦ ὑμνῳδίαν. τοῦτο καὶ οὗτος ἐνταῦθα ποιεῖ, ἑκάτερον τὸν κόσμον καλῶν, τὸν ἄνω, τὸν κάτω, τὸν αἰσθητόν, τὸν νοητόν. τοῦτο καὶ ὁ προφήτης Ἡσαΐας, ὡς ὅταν λέγῃ· εὐφραινέσθωσαν οἱ οὐρανοί, καὶ ἀγαλλιάσθω ἡ γῆ, ὅτι ἠλέησεν ὁ Θεὸς τὸν λαὸν αὐτοῦ. καὶ αὐτὸς δὲ οὗτος πάλιν ὅταν λέγῃ· ἐν ἐξόδῳ Ἰσραὴλ ἐξ Αἰγύπτου, οἴκου Ἰακὼβ ἐκ

IN PSALMVM CXLVIII.

C *Laudate Dominum de cælis, laudate eum in excelsis. 2. Laudate eum omnes angeli eius.*

EST hoc sanctis in more positum propter pium & gratum suum animum, vt cùm Deo sint acturi gratias, accersant, multos laudatio- D nis socios, & hortetur, vt hoc pulchrum munus secum obeant. Hoc etiam fecerunt tres pueri, qui quando erant in fornace, omnem creaturā ad laudibus celebrandum, quod acceperant beneficium, & hymnos Dei dicendos, inuitarunt. Hoc ipsum facit hîc quoque, vtrunque mundum vocans, supernum, & infernum, sensilem, & eum qui percipitur sola intelligentia. Hoc etiam facit propheta Esaias, vt quando dicit: Lætentur cœli, & exultet terra: quoniam misertus est Dominus populi sui. Quinetiam hic ipse quoque quando dicit, In exitu Israel de Ægypto, domus Iacob

[Laudatori Deũ socios sibi adsciscunt. Dan. 3.]

[Esa. 49.]

[Psal. 113.]

de populo barbaro: Montes exultauerunt vt arietes, & colles sicut agni ouiũ. Et rursus alibi Esaias: Nubes pluant iustitiam. Vt qui enim soli non sufficiant ad Deum laudibus celebrandum, quoquo versus obeunt, vt in dicendis hymnis socios accipiant. Hic autem hoc crebrò facit, vt quãdo dicit, Et adorent omnes Angeli eius. Et rursus, Potentes virtute, facientes verbum eius. Porrò autem aliud quoque ex his confirmat. Quódnam? Ne quis eorum qui minus sunt rationis compotes, existimet esse duos opifices. Quoniam enim diuersæ sunt creaturæ, & inter se substantiis differunt, hæc quidem quæ videtur, illa verò quæ sub aspectum non cadit: hæc quidem plena est corporibus, illa verò est incorporea: ne quis ex operum differentia diuersos induceret opifices, vnum constituit chorum, vnum ex omnibus ei canticum offerens, & eundem Deum dicens debere laudari à superna creatura & inferna: hinc quoque ostendens esse vnum vtriusque opificem. A supernis autem prius incipit, dicens: Laudate eum omnes angeli eius: *Laudate eum omnes virtutes eius.* Alius, Omnes exercitus eius. Dicens Cherubim, Seraphim, dominationes, principatus, potestates. Hoc est animi valde incensi, hoc ardentis amoris, omnes excitare ad laudandum eum qui amatur: hoc animi qui magnam assiduè capit voluptatem in cogitatione de Deo, qui stupet & miratur eius gloriam. 3. *Laudate eum sol & luna, laudate eum omnes stellæ & lumen.* Alius, stellæ lucis. 4. *Laudate eum cæli cælorum: Et aquæ quæ super cælos sunt, laudent nomen Domini.* 5. *Quoniam ipse dixit, & facta sunt: ipse mandauit, & creata sunt.* 6. *Statuit ea in seculum, & in seculum seculi.* Alius, Statuit ea manere perpetuò. *Præceptũ posuit & non præteribit.* Quænam causa est, quòd cùm de cœlestibus potestatibus pauca dixerit, illinc celeriter resilierit: & cùm ad ea quæ videntur, orationem deduxerit, de illis prolixiùs disserit, omnia sigillatim persequens, quæ inferiùs sunt, & quæ superiùs? Quoniam ea erant manifestiora iis qui audiebant, vt quæ videbantur, & posita erant ob oculos. Et ideo Moses quoque de opificio & creatione in-

Esa. 45.

Psal. 96.

Opifex vnus vtriusque creaturæ visibilis & inuisibilis.

Genes. 1.

A λαοῦ βαρβάρου, τὰ ὄρη ἐσκίρτησαν ὡσεὶ κριοί, καὶ οἱ βουνοὶ ὡς ἀρνία προβάτων. καὶ ἀλλαχοῦ πάλιν ὁ Ἡσαΐας· νεφέλαι ῥανάτωσαν δικαιοσύνην. ἅτε γὰρ οὐκ ὄντες ἱκανοὶ μόνοι πρὸς τὴν εὐφημίαν τοῦ δεσπότου, περιέρχονται πάντας κοινωνοὺς λαβεῖν τῆς ὑμνῳδίας. καὶ τοῦτο συνεχῶς μάλιστα οὗτος ποιεῖ, ὡς ὅταν λέγῃ, καὶ προσκυνησάτωσαν αὐτῷ πάντες ἄγγελοι Θεοῦ· καὶ πάλιν, δυνατοὶ ἰσχύϊ, ποιοῦντες τὸν λόγον αὐτοῦ. καὶ ἕτερον δέ τι πάλιν ἐκ τούτων κατασκευάζει. ποῖον δὴ τοῦτο; τὸ μηδένα τῶν ἀλογωτέρων B νομίσαι δύο δημιουργοὺς εἶναι. ἐπειδὴ γὰρ αἱ κτίσεις διάφοροι, καὶ διεστήκασιν ἀλλήλων ταῖς οὐσίαις· ἡ μὲν γάρ ἐστιν αἰσθητὴ, ἡ δὲ νοητὴ, καὶ ἡ μὲν ὁρατὴ, ἡ δὲ ἀόρατος, ἡ μὲν σωμάτων ἐμπέπλησται, ἡ δὲ ἐστιν ἀσώματος· ἵνα μή τις ἐκ τῆς διαφορᾶς τῶν ἔργων διαφόρους δημιουργοὺς ἐπεισαγάγῃ, ἕνα χορὸν ἵστησιν, ἐξ ἁπάντων μίαν ἀνάγων αὐτῷ τὴν μελῳδίαν, καὶ τὸν αὐτὸν λέγων δεῖν ὑπό τε τῆς ἄνω, ὑπό τε τῆς κάτω κτίσεως ἀνυμνεῖσθαι Θεὸν, δηλῶν καὶ ἐντεῦθεν, ὅτι εἷς ἑκατέρας ὁ δημιουργός. καὶ πρότερον ἄνωθεν ἄρχεται λέγων, αἰνεῖτε αὐτὸν πάν- C τες οἱ ἄγγελοι αὐτοῦ, αἰνεῖτε αὐτὸν πᾶσαι αἱ δυνάμεις αὐτοῦ. ἕτερος, πᾶσαι αἱ στρατιαὶ αὐτοῦ· τὰ Χερουβὶμ λέγων, τὰ Σεραφὶμ, τὰς κυριότητας, τὰς ἀρχὰς, τὰς ἐξουσίας. τοῦτο σφόδρα ἐκκαιομένης ψυχῆς, τοῦτο φίλτρου πεπυρωμένης, τὸ πάντας διεγείρειν πρὸς τὴν εὐφημίαν τοῦ ποθουμένου· τοῦτο συνεχῶς ἐντρυφώσης διανοίας τῇ περὶ τοῦ Θεοῦ ἐννοίᾳ, ἐκπληττομένης, θαυμαζούσης τὴν δόξαν αὐτοῦ, ἀνακειμένης αὐτῷ. αἰνεῖτε αὐτὸν ἥλιος καὶ σελήνη· αἰνεῖτε αὐτὸν πάντα D τὰ ἄστρα καὶ τὸ φῶς. ἕτερος, ἀστέρες φωτός. αἰνεῖτε αὐτὸν οἱ οὐρανοὶ τῶν οὐρανῶν, καὶ τὸ ὕδωρ τὸ ὑπεράνω τῶν οὐρανῶν. αἰνεσάτωσαν τὸ ὄνομα κυρίου, ὅτι αὐτὸς εἶπε, καὶ ἐγενήθησαν, αὐτὸς ἐνετείλατο, καὶ ἐκτίσθησαν. ἔστησεν αὐτὰ εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. ἄλλος, ἔστησεν αὐτὰ διαμένειν αἰωνίως. πρόσταγμα ἔθετο, καὶ οὐ παρελεύσεται. τίνος ἕνεκεν ὀλίγα περὶ τῶν οὐρανίων δυνάμεων εἰπὼν, ταχέως ἀπεπήδησεν ἐκεῖθεν, καὶ ἐν τοῖς ὁρωμένοις τὸν λόγον ἀγαγὼν ἐνταῦθα αὐτὸν μηκύνει, πάντα καθ' ἕκαστον ἐπεξιὼν, τὰ ἄνω, τὰ κάτω; ὅτι ταῦτα τοῖς τότε ἀκούουσι σαφέστερα ἦν, ὁρώμενα καὶ πρὸ ὀφθαλμῶν κείμενα. διὸ καὶ Μωϋσῆς ἀρχόμενος τῆς δημιουργίας,

καὶ μηδὲν περὶ τῶν ἄνω διαλεχθεὶς, μὴ μικρὸν, μὴ μέγα, ἀπ' οὐρανοῦ καὶ γῆς ποιεῖται τὴν ἀρχὴν, καὶ διαδραμὼν λοιπὸν διὰ ἡλίου καὶ σελήνης, καὶ βοτανῶν, καὶ νηκτῶν, καὶ τετραπόδων, καὶ εἰς τὸν ἄνθρωπον καταλύει τὸν λόγον. οὐρανοὺς δὲ οὐρανῶν ἐνταῦθα λέγων, οὐ πλῆθος ἐνδείκνυται, ἀλλ' οὐρανὸν οὐρανοῦ τὸν αὐτὸν λέγει. τῇ γὰρ Ἑβραίων φωνῇ, τὸν οὐρανὸν ἔθος οὐρανοὺς καλεῖν· καθάπερ καὶ ἑτέρωθί φησιν, ὁ οὐρανὸς τοῦ οὐρανοῦ τῷ κυρίῳ, τὴν δὲ γῆν ἔδωκε τοῖς υἱοῖς τῶν ἀνθρώπων. καὶ τὸ ὕδωρ τὸ ὑπεράνω τῶν οὐρανῶν. ἤκουσας καὶ Μωϋσέως λέγοντος, ὅτι τῶν ὑδάτων τὰ μὲν εἴασε κάτω, τὰ δὲ ὑπὲρ τῶν νώτων τῶν οὐρανίων μετεωρίζεσθαι παρεσκεύασεν, ἐν τῷ μέσῳ τῆς ἀβύσσου πήξας τὸ στερέωμα, καὶ ὑπὲρ τῶν νώτων ἀφεὶς τὰ ὕδατα μένειν. καὶ πῶς ταῦτα αἰνεῖ, ἴσως εἴποι τις ἄν, οὐ φωνὴν ἔχοντα, οὐ γλῶτταν, οὐ ψυχὴν, οὐ λογισμὸν, οὐ νοῦν, οὐ φωνητικὸν ὄργανον, οὐ διάνοιαν; ὅτι δύο δοξολογίας τρόποι· εἷς μὲν, ὁ διὰ ῥημάτων, ἕτερος δὲ, ὁ δι' ὄψεως, καὶ τρίτος δὲ μετὰ τούτων, ὁ διὰ βίου καὶ ἔργων. καὶ γὰρ καὶ ἀνθρώπων οὐ φθεγγομένων μόνον, ἀλλὰ καὶ σιγώντων, δόξα ἀναφέρεται τῷ Θεῷ, ὥσπερ καὶ ὁ Χριστός φησι, λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσιν ὑμῶν τὰ καλὰ ἔργα, καὶ δοξάσωσι τὸν πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς. καὶ πάλιν, τοὺς δοξάζοντάς με δοξάσω. ἔστι καὶ διὰ γλώττης δοξολογία, ὡς καὶ Μωϋσῆς ἐδόξασε μετὰ τῆς Μαρίας λέγων· ᾄσωμεν τῷ κυρίῳ, ἐνδόξως γὰρ δεδόξασται. ἔστι καὶ ἡ διὰ τῆς κτίσεως αὐτῆς, ὡς αὐτὸς οὗτός φησιν· οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ, ποίησιν δὲ χειρῶν αὐτοῦ ἀναγγέλλει τὸ στερέωμα. οὕτω καὶ ἐνταῦθα αἰνεῖ αὐτὸν ἡ κτίσις τῷ κάλλει, τῇ θέσει, τῷ μεγέθει, τῇ φύσει, τῇ χρείᾳ, τῇ διακονίᾳ, τῇ διαμονῇ, τῇ λυσιτελείᾳ τῇ ἐξ αὐτῶν γινομένῃ. ὅταν οὖν λέγῃ, αἰνεῖτε τὸν κύριον ἄγγελοι, δυνάμεις, οὐρανοὶ, σελήνη, ἥλιος, ἀστέρες, τὸ ὕδωρ τὸ ὑπεράνω τῶν οὐρανῶν, τοῦτο λέγει, ὅτι ἕκαστον τῶν γινομένων ἄξιον τῆς τοῦ πεποιηκότος σοφίας, καὶ πολλοῦ γέμει τοῦ θαύματος· ὅπερ συντόμως ὁ Μωϋσῆς ἐν προοιμίοις ἔλεγε, καὶ εἶδεν ὁ Θεὸς ὅσα ἐποίησε, καὶ ἰδοὺ καλὰ λίαν· οὕτω καλὰ, ὡς δοξάζειν τὸν πεποιηκότα, καὶ τὸν θεατὴν ἐνάγειν εἰς εὐφημίαν τοῦ τεκτηναμένου.

A cipiens, cùm de supernis nihil nec magnum nec paruum dixisset, à cœlo & terra ducit exordium, & per solem & lunam, & herbas, & natantia, & quadrupedes transiens, in homine desinit. Cœlos autem cœlorum hic dicens, non ostendit multitudinem, sed idem etiam dicit cœlum cœli. Hebræorum enim lingua cœlum consueuit, cœli, appellari, sicut etiam alibi dicit: Cœlum cœli Domino: terram autem dedit filiis hominum. Et aquæ quæ super cœlos sunt. Audisti Mosen quoque dicentem, ex B aquis quidem eum has reliquisse inferiùs: illas verò effecisse stare sublimes super terga cœlestia, cùm in medio abyssi firmamentum stabiliisset, & aquas manere super terga fuisset. Quomodo autem poterunt, dixerit quispiam, ea laudare, quæ neque vocem habent, nec linguam, nec animam, nec rationem, nec organum, nec vocis mentem? Quoniam duo sunt modi laudandi, gloriáque & honore afficiendi: vnus quidem per verba, alius verò per visum. His accedit etiam tertius, qui est per vitam & rectè facta. Nam C hominibus non solùm loquentibus, sed etiam tacentibus, gloria Deo offertur: quemadmodum Christus quoque dicit, Luceat lux vestra coram hominibus, vt videant opera vestra bona, & glorificent patrem vestrum qui est in cœlis. Et rursus: Glorificantes me glorificabo. Est etiam quæ fit per linguam glorificatio, sicut etiam Moses glorificauit cum Maria, dicens: Cantemus Domino: gloriosè enim glorificatus est. Est etiam quæ fit per ipsam creaturam, vt hic ipse dicit: Cœli enarrant gloriam Dei: opera manuum eius annunciat firmamentum. Ita hic etiam D laudat eum creatura, pulchritudine, positione, magnitudine, natura, vsu, ministerio, perseuerantia, vtilitate quæ ex ea proficiscitur. Quando ergo dicit, Laudate Dominum angeli, virtutes cœli, luna, sol, stellæ, aqua quæ est super cœlos: hoc dicit, vnumquodque eorum quæ facta sunt, dignum esse sapientia effectoris, & esse plenũ magno miraculo. Quod quidem Moses breuiter dixit in principio, Et vidit Deus quæcumque fecit, & ecce valde bona: adeò bona, vt eum qui fecit, gloria afficerent, & spectatorem duceret ad eum laudandum qui erat fabricatus. Hanc

Cœli cœlorum, plurali numero pro cœlum cœli.

Kimhi. *Psal. 113. 25.*

Laudandi modi varij.

Matth 5.

1. Reg. 2. 32

Exod 15. 1.

Psal. 18. 1

Deum vt laudet creatura tantum.

Creatura omnis miraculosa.

Gen. 1

ergo dicit laudem, pulchritudinem eorum quæ facta sunt, quæ ei, qui illa fecit, laudes & hymnos cóparat. Quod Paulus quoque significat, dicens: Inuisibilia enim eius à creatione mundi operibus intellecta conspiciuntur, & æterna eius potētia & diuinitas. Quinetiam hic quoque propheta, cùm dixisset creaturas, & ex eorum quæ videntur aspectu, illorum pulchritudinem reliquisset discendam, magnitudinémque & eorum vtilitatem, ipse aliam adducit causam, dicens: Ipse dixit, & facta sunt: ipse mandauit, & creata sunt. Statuit ea in seculum & in seculum seculi. Præceptum posuit, & non præteribit. Quòd itaque sunt quidem pulchra & admirabilia, vel ipse visus indicat. Quòd autem habent opificem, & nec casu sunt, nec increata, potest quidem vel ex ipsa interpretatione perspici. Siquis autem dubitet, à me discat quòd habent opificem, effectorem, & qui illis prouidet earúmque curam gerit. Duo enim hîc ponit, vel potius tria, atque adeò siquis rectè perpendat, etiam quatuor: quòd id quod est fecerit, & ex iis quæ non erant fecerit, & facilè fecerit, & à se facta regat & administret. Dicendo enim, Dixit, ostendit facilitatem: vt etiam Paulus significās, dicebat: qui viuificat mortuos, & vocat quę non sunt, tanquã quæ sunt, nomine vocationis nobis facilitatē indicans. Quòd autē quæ facta sunt regat & contineat, ipse propheta rursus ostendit, subiúngens: Statuit ea in seculum seculi. Præceptū posuit, & non præteribit. Vide quomodo hîc quoque rursus ostēderit potestatē, authoritatē, nō solùm quòd statuerit, sed etiā quòd præceptū dixerit, humanis dictionibus eius operationē indicans. Quemadmodum enim tibi dicere & præcipere est facile; ita Deo facere quæ non sunt, regere & continere: imò verò non ita habet, sed est longè facilius. Neque enim verbis potest explicari summa facilitas cum qua fecit omnia. Neque verò est solum admirabile quòd regit & cōtinet, nec quòd termini naturæ stant fixi & immobiles, sed quòd tempore adeò infinito. Considera, quantum est æui spacium, & eorū quæ sunt, nihil est omnino confusum. Non mare terrā inundauit, nō sol ea quæ videtur exussit,

Rom. 1. 20

Mundus opificē habet, & creatum est.

Rom. 4. 17 Vocare Dei.

Genes. 1. Hier. 32. Luc. 1.

A αἶνον οὕτω τοῦτό φησι, τὸ κάλλος τῶν γινομένων τίκτει ὑμνολογίαν τῷ πεποιηκότι. ὅπερ καὶ ὁ Παῦλος δηλοῖ· τὰ γὰρ ἀόρατα ἀπὸ κτίσεως κόσμου τοῖς ποιήμασι νοούμενα καθορᾶται, ἥ τε ἀΐδιος αὐτοῦ δύναμις καὶ θειότης. καὶ ὁ προφήτης δὲ ἐνταῦθα εἰπὼν τὰ κτίσματα, καὶ τῇ ὄψει τῶν ὁρωμένων καταλιπὼν τὸ κάλλος αὐτῶν καταμανθάνειν καὶ τὸ μέγεθος καὶ τὴν χρείαν, αὐτὸς ἑτέραν τίθησιν αἰτίαν, λέγων· ὅτι αὐτὸς εἶπε, καὶ ἐγενήθησαν, αὐτὸς ἐνετείλατο, καὶ ἐκτίσθησαν. ἔστησεν αὐτὰ εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. πρόσταγμα ἔθετο, καὶ οὐ παρελεύσεται. B ὅτι μὲν οὖν καλὰ καὶ θαυμάσια, καὶ αὐτὴ ἡ ὄψις δηλοῖ· ὅτι δὲ καὶ δημιουργὸν ἔχει, καὶ οὐκ αὐτόματα ταῦτα, οὐδὲ ἀγένητα, ἱκανὸν μὲν καὶ τοῦτο ἀπὸ τῆς ἑρμηνείας αὐτῆς κατιδεῖν· εἰ δέ τις ἀμφιβάλλοι, παρ' ἐμοῦ μανθανέτω, ὅτι δημιουργὸν ἔχει καὶ ποιητὴν καὶ προνοητὴν καὶ κηδεμόνα. δύο γὰρ ἐνταῦθα τίθησι, μᾶλλον δὲ τρία· εἰ δέ τις ἀκριβῶς ἐξετάζοι, καὶ τέσσαρα· ὅτι τε ἐποίησε, καὶ ἐξ οὐκ ὄντων ἐποίησε, καὶ μετ' εὐκολίας ἐποίησε, καὶ γινόμενα διακρατεῖ. τὸ μὲν γὰρ εἰπεῖν, αὐ- C τὸς εἶπε, τὴν εὐκολίαν δηλοῖ· ὡς καὶ Παῦλος δηλῶν ἔλεγε· τοῦ ζωοποιοῦντος τοὺς νεκρούς, καὶ καλοῦντος τὰ μὴ ὄντα ὡς ὄντα· τῷ ὀνόματι τῆς κλήσεως, τὴν εὐκολίαν ἡμῖν αἰνιττόμενος. ὅτι δὲ καὶ γινόμενα διακρατεῖ, αὐτὸς ὁ προφήτης πάλιν δείκνυσιν ἐπαγαγών, ἔστησεν αὐτὰ εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. πρόσταγμα ἔθετο, καὶ οὐ παρελεύσεται. ὅρα καὶ ἐνταῦθα, τὴν ἐξουσίαν, τὴν αὐθεντίαν πῶς παρεδήλωσεν, οὐ τῷ στῆσαι μόνον, ἀλλὰ καὶ τῷ εἰπεῖν πρόσταγμα, ταῖς ἀνθρωπίναις λέξεσι D τὴν ἐνέργειαν αὐτοῦ παραδηλῶν. ὥσπερ γάρ σοι τὸ εἰπεῖν εὔκολον, καὶ τὸ προστάξαι ῥᾴδιον, οὕτω τῷ Θεῷ τὸ ποιῆσαι οὐκ ὄντα, καὶ γινόμενα διακρατῆσαι· μᾶλλον δὲ οὐχ οὕτως, ἀλλὰ καὶ πολλῷ πλέον. οὐδὲ γὰρ δυνατὸν παραστῆσαι τῆς εὐκολίας τὴν ὑπερβολήν, μεθ' ἧς ταῦτα ἐποίησε. καὶ τὸ δὴ θαυμαστόν, οὐχ ὅτι διακρατεῖ μόνον, οὐδὲ ὅτι ἑστήκασιν ἀκίνητοι οἱ νόμοι τῆς φύσεως, ἀλλ' ὅτι καὶ χρόνον οὕτως ἄπειρον. ἐννόησον γοῦν πόσος αἰών, καὶ οὐδὲν συνεχύθη τῶν ὄντων· οὐ θάλαττα τὴν γῆν ἐπέκλυσεν, οὐχ ἥλιος τόδε τὸ ὁρώμενον κατέκαυσεν. οὐκ οἰ-

οὐκ οὐρανὸς παρεσαλεύθη, οὐ νυκτὸς, οὐδὲ ἡμέρας ὅροι συνεχύθησαν, οὐχ ὡρῶν τροπαὶ, οὐκ ἄλλο τῶν τοιούτων οὐδέν· ἀλλ' ἕκαστον καὶ τῶν κάτω καὶ τῶν ἄνω μετὰ πάσης ἕστηκε τῆς ἀκριβείας τοὺς ἅπαξ τεθέντας ὅρους ἐξ ἀρχῆς αὐτοῦ διατηροῦν. εἰπὼν τοίνυν περὶ τῆς ἄνω κτίσεως καὶ τῶν κατ' οὐρανὸν, κάτεισιν ἐπὶ τὴν γῆν. ὅπερ δὲ ἐποίησεν ἐπὶ τῶν ἄνω, ἀρξάμενος μὲν ἀπὸ τῶν ὑπερουρανίων, καταβὰς δὲ εἰς τὰ οὐράνια, τοῦτο καὶ ἐνταῦθα ποιεῖ, ἀπὸ τῶν οὐρανίων ἐπὶ τὴν γῆν μεταπηδῶν. ἐπειδὴ γάρ εἰσι λέγοντες, τὰ μὲν κατ' οὐρανὸν τῆς τοῦ Θεοῦ δημιουργίας ἄξια εἶναι, τῶν δὲ ἐπὶ γῆς ἐπιλαμβάνονται, διὰ τὸ ἐν αὐτῇ εἶναι· σκορπίους λέγοντες, ἔχεις, δράκοντας, καὶ τὸ λοιπὸν τῶν θηρίων γένος, καὶ τὰ ἄκαρπα τῶν δένδρων, πρὸς τούτους ὥσπερ ἀπολογούμενος, ἑτέρως πάλιν μεταχειρίζεται τὸν λόγον. καὶ ὅρα τί ποιεῖ. τὰ ὡμολογημένα καλὰ ἀφεὶς, πρόβατα καὶ βόας, ὧν καὶ ἡ πεῖρα τὴν χρείαν δείκνυσιν, ὄνους, καμήλους, καὶ ὅσα πρὸς τὴν τῶν ἀγωγίμων ἡμῖν μετακομιδὴν ἐπιτήδεια, ἐν τοῖς δοκοῦσιν ἀχρήστοις εἶναι περιάγει τὸν λόγον, δράκοντας εἰς μέσον ἄγων, καὶ τὸ ἄπλωτον τῆς πελάγους μέρος, καὶ τὰ δοκοῦντα λυπεῖν, οἷον τὸ πῦρ, τὴν χάλαζαν, τὴν χιόνα, τὸν κρύσταλλον. εἶτα τὰ ἄκαρπα τῶν δένδρων, τὰ ὄρη· καὶ πάλιν τὰ πεδία καταλιπὼν, τὰ ὕπτια καὶ πρὸς γεωργίαν ἐπιτήδεια καὶ καρπῶν ἡμέρων φορὰν, ἐπὶ τὰ ὄρη μεταβαίνει καὶ τοὺς βουνοὺς καὶ τὰ ἐρημότερα τῶν χωρίων, καὶ τῶν ἑρπετῶν μέμνηται πάντων. ὥστε δὲ σαφέστερον ταῦτα μαθεῖν, ἄξιον ἐπαναγνῶναι αὐτοῖς τῶν ῥημάτων. μετὰ γὰρ τὸ εἰπεῖν, πρόσταγμα ἔθετο, καὶ οὐ παρελεύσεται, ἐπήγαγεν· αἰνεῖτε τὸν κύριον ἐκ τῆς γῆς, δράκοντες καὶ πᾶσαι ἄβυσσοι· πῦρ, χάλαζα, χιὼν, κρύσταλλος, πνεῦμα καταιγίδος, τὰ ποιοῦντα τὸν λόγον αὐτοῦ. ἕτερος, ἄνεμος τυφῶνος. τὰ ὄρη καὶ πάντες οἱ βουνοὶ, ξύλα καρποφόρα καὶ πᾶσαι κέδροι· τὰ θηρία καὶ πάντα τὰ κτήνη, ἑρπετὰ καὶ πετεινὰ πτερωτά. τίνος ἕνεκεν οὕτω μεταχειρίζει τὸν λόγον; ἐκ περιουσίας δεικνὺς τοῦ Θεοῦ τὴν προνοίαν. εἰ γὰρ τὰ δοκοῦντα ἄχρηστα εἶναι, καὶ πολέμια τῇ φύσει τῶν ἀνθρώπων οὕτως ἐστὶ καλὰ, οὕτω χρήσιμα, ὡς καὶ αὐτὰ ὕμνον ἀναφέρειν τῷ Θεῷ καὶ δοξολογίαν διὰ τῆς οἰκείας δημιουργίας, ἐννόησον οἷα τὰ ἄλλα. καὶ εἰ δοκεῖ, ἐπέλθωμεν ἕκαστον τῶν εἰρημένων·

A non cœlū labefactum est, nō noctis, nec diei termini cōfusi sunt, nō temporum cōuersiones, nec aliquid aliud eiusmodi, sed vnūquodq; eorū quæ sunt & supernè & infernè, stetit, diligētissimè impositos sibi ab initio fines ad vnguē seruans. Postquam ergo dixit de supernis creaturis, & de iis quæ sunt in cœlo, descendit in terrā. Quod autē fecit in supernis creaturis, vt inciperet quidem à supercœlestibus, descēderet autem ad cœlestia, hoc etiā hîc facit, à cœlestibus ad terrā transiliens. Quoniā enim sunt B nonnulli qui dicunt ea quidē quæ sunt in cœlis, esse digna Dei opificio: quæ sunt autē in terris, reprehēdunt, quoniā ibi sunt scorpij, leones, viperæ, dracones, & reliqua belluarū genera, & arbores infrugiferæ, eis veluti respondens, alia rursus ratione orationē aggreditur. Vide autē quid facit, bonis quæ sunt in confesso prætermissis, ouibus, bubus, quorū vsum ostēdit ipsa experiētia, asinis, camelis, & quæcūque apta sunt ad ea vehenda quę ad nos importāda sunt: in iis quæ videntur esse inutilia, versat orationē, dracones in mediū adducens, C & partem maris innauigabilē, & quę videntur afferre molestiā, vt ignē, grandinem, niuem, glaciē, deinde arbores infrugiferas, montes: deinde rursus latis campis relictis & aptis ad agriculturam, ad vites ad triticū, & mitiū fructuū, prouentū transiit ad montes, colles, & loca deserta, & omniū serpentum meminit, vt hæc sciamus apertiùs. Postquā enim dixit, Præceptū posuit, & nō pręteribit, subiunxit, 7. *Laudate Dominum de terra dracones & omnes abyssi.* 8. *Ignis, grando, nix, glacies, spiritus procellarum quæ faciunt verbum eius.* Alius, Ventus Typhonis. D 9. *Montes & omnes colles, ligna fructifera, & omnes cedri.* 10. *Bestiæ, & vniuersa pecora, serpentes, & volucres pennatæ.* Quanā ergo de causa tractat hoc modo orationem? Ex redundanti copia ostendens Dei prouidentiam. Si enim quæ videntur esse inutilia, & generi hominum infesta, adeò sunt bona, adeò vtilia, vt ipsa quoque laudem Deo offerant, & cum gloria honoréque afficiant propter suum opificium: cogita apud te qualia sunt alia: & si videtur, persequamur vnumquodque eorum quæ dicta sunt:

Stabilitas mundi, & æquabilitas vicissitudinis temporum.

Psal. 103. Thaninim cete & dracones marini.

Dracones, inquit, & omnes abyssi. Dracones hic dicit cete. sicut etiã alibi quãdo dicit, Draco hic quẽ formasti, ad illudendũ ei. Multis autẽ in locis videri potest hoc animal ita vocari. Et quomodo, inquiet quispiã, laudat hoc eum qui ipsum fecit? Quomodo autẽ nõ laudat? Quãdo enim videris magnitudinẽ, corporis cõpositionem, quã apertissimè scriptura narrat in Iob: quomodo non admiraberis opificem, qui tantũ animal produxit? Neque verò propter solã magnitudinẽ, sed etiã quòd pars maris innauigabilis in quo ageret, ei attributa sit. Est autẽ iure mirandũ quòd proprios limites non transiliat, cùm sit agreste ac sæuũ animal, & longè maximum, sed in suis degens locis se cõtineat: & non solùm in terrã nõ egreditur, neque in locũ habitabilẽ: sed ne in patrem quidẽ maris quę apta sit ad nauigationẽ: nõ consumit genera pisciũ, sed intra suã regionem vitã degit. Nec hæc solùm mirãda sunt, sed abyssi etiã profunditas. Quod autẽ in animali, hoc etiã cerni potest in mari. Nam cùm ipsum ventorũ flatibus sit intolerabile, & tantã habeat aquarũ multitudinẽ: non erumpit ex propriis terminis, nõ inundat terrã vicinam, sed ipsum quoque est alligatũ vinculis immobilibus, licet sit alioqui natura aquarum insolẽs. Cùm autẽ tanta sit magnitudine, & à tantis spiritibus impellatur: considera quãti sit miraculi, nec per insolentiã, nec per molem ac magnitudinem, nec per vim intolerabilẽ suo loco excedere, sed in tanta perturbatione ordinẽ & modum pulchrè seruare. Hæc ergo apud te reputãs poteris hinc quoque Deo laudẽ & hymnũ texere, & eius admirari potentiã, sapientiã, virtutem, potestatẽ. Sunt etiã ineffabiles aliæ horum rationes, quas ipse nouit qui fecit. Et ideo dixit quispiã, Ne dixeris, Quare hoc? Ad quid hoc? Omnia enim ad vsũ ipsius facta sunt, Ignis, grando, nix, glacies, spiritus procellarum, quæ faciunt verbũ eius. Adiicit hic quoq; aliud iis quæ dicta sunt. Hoc enim in priori psalmo admirabatur, quod breui momẽto temporis totam terrã peruadat nix, glacies, quòd concrescat, quòd mutetur,

Iob. 40.

Draconis marini miriui.

Maris miracula.

Eccl. 59.

Eccl. 8. Eccli 39. 25 In curiosos.

A δράκοντες, φησί, καὶ πᾶσαι ἄβυσσοι. δράκοντας ἐνταῦθα τὰ κήτη λέγει, ὡς καὶ ἀλλαχοῦ ὅταν λέγῃ, δράκων τοῦτον ὃν ἔπλασας ἐμπαίζειν αὐτῷ. καὶ πολλαχοῦ ἴδοι τις ἂν τὸ ζῶον τοῦτο οὕτω καλούμενον. καὶ πῶς τοῦτο αἰνεῖ τὸν ποιήσαντα, φησί; καὶ πῶς οὐκ αἰνεῖ; ὅταν γὰρ ἴδῃς τὸ μέγεθος, τὴν σύμπηξιν τοῦ σώματος, ἣν ἐν τῷ Ἰὼβ ἡ γραφὴ διηγεῖται μετὰ πλείονος τῆς σαφηνείας· πῶς οὐ θαυμάσεις τὸν δημιουργήσαντα, ἡλίκον ζῶον παρήγαγεν; οὐ διὰ τὸ μέγεθος δὲ μόνον, ἀλλ' ὅτι καὶ χωρίον αὐτῷ τῆς B θαλάσσης τὸ ἄπλωτον ἀπεκλήρωσε μέρος. καὶ ἄξιον θαυμάζειν πῶς οὐχ ὑπερβαίνει τοὺς οἰκείους ὅρους, ζῶον ἄγριον ὂν καὶ σφόδρα μέγιστον, ἀλλὰ μένει τοῖς οἰκείοις τόποις ἐνδιαιτώμενον, καὶ οὐ μόνον οὐκ ἔξεισι πρὸς τὴν γῆν, οὐδὲ πρὸς τὴν οἰκουμένην χώραν, ἀλλ' οὐδὲ τῆς θαλάττης τὸ πρὸς ναυτιλίαν ἐπιτήδειον λυμαίνεται μέρος, οὐ δαπανᾷ τῶν ἰχθύων τὰ γένη, ἀλλ' εἴσω τῆς οἰκείας ἐνδιαιτᾶται χώρας. καὶ οὐ ταῦτα μόνον ἄξιον θαυμάζειν, ἀλλὰ καὶ τὴν ἄβυσσον, ὅσον τὸ βάθος ἐστί. ὅπερ δὲ ἐπὶ τοῦ θη- C ρίου, τοῦτο καὶ ἐπὶ τῆς θαλάσσης ἔστιν ἰδεῖν. καὶ γὰρ καὶ αὕτη ταῖς τῶν πνευμάτων βίαις οὖσα ἀφόρητος, καὶ τοσοῦτον πλῆθος ὑδάτων ἔχουσα, οὐκ ἐκρήγνυται τὸν οἰκεῖον ὅρον, οὐκ ἐπικλύζει τὴν γείτονα γῆν, ἀλλὰ καὶ αὐτὴ δεσμοῖς ἀκινήτοις πεπέδηται. καίτοι γε ἄτακτος ἡ τῶν ὑδάτων φύσις· ὅταν δὲ καὶ πλῆθος τοσοῦτον ᾖ, καὶ ὑπὸ τοσούτων πνευμάτων ὠθῆται, ἐννόησον ἡλίκον θαῦμα, τὸ μήτε κατὰ τὴν ἀταξίαν μήτε τὸν ὄγκον μήτε τὴν βίαν ἐκπίπτειν τῆς οἰκείας χώρας, ἀλλὰ πᾶσαν ἐν ἀταξίᾳ τοσαύτῃ διατηρεῖν εὐταξίαν. ταῦτα τοίνυν ἀναλογιζόμενος, D δυνήσῃ καὶ ἐντεῦθεν ὕμνον ὑφαίνειν τῷ Θεῷ, καὶ θαυμάζειν αὐτοῦ τὴν δύναμιν, τὴν σοφίαν, τὴν ἰσχύν, τὴν ἐξουσίαν. εἰσὶ δὲ καὶ ἕτεροι λόγοι ἀπόρρητοι τούτων, οὓς ὁ ποιήσας οἶδεν αὐτός. διὸ καί τις ἔλεγε· μὴ εἴπῃς, διὰ τί τοῦτο; εἰς τί τοῦτο; πάντα γὰρ εἰς χρείαν ἔκτισται. πῦρ, χάλαζα, χιών, κρύσταλλος, πνεῦμα καταιγίδος, τὰ ποιοῦντα τὸν λόγον αὐτοῦ. ἐνταῦθα καὶ ἕτερόν τι μετὰ τῶν εἰρημένων προστίθησιν. ἐν μὲν γὰρ τῷ προτέρῳ τοῦτο ἐθαύμαζεν, ὅτι ἐν βραχείᾳ καιροῦ ῥοπῇ πᾶσαν ἐπιοῦσι τὴν γῆν ἡ χιών, ὁ κρύσταλλος· ὅτι πήγνυται, ὅτι μεταβάλλεται,

ὅτι πρὸς τὰ ἐναντία μεθίσταται. ἐνταῦθα δὲ, ὅτι τε οὐκ ὄντα γέγονε, καὶ ὅτι γενόμενα μένει, καὶ ὅτι μένοντα διακονίαν τάξιν ἀναπληροῖ, καί τοί γε ἄλογα ὄντα, καὶ τὸ πρόσταγμα αὐτοῦ μετὰ πολλῆς τῆς ὑπακοῆς εἰς ἔργον ἐξάγει. μᾶλλον δὲ καὶ ἐναντία τῇ φύσει, ἓν πολλάκις ἐπίταγμα ἤνυσεν, ὥσπερ ἐπὶ τῆς Βαβυλωνίας καμίνου τότε καῖον τὸ πῦρ, καὶ δροσίζον, ἑκάτερα παράδοξον ἐδείκνυτο. τοῦτο οὖν, φησιν, εὐχαριστίας ἄξιον; καὶ πολλῆς μὲν οὖν. τὸν γὰρ Θεὸν ὁμοίως ἀνυμνεῖν χρὴ, καὶ κολάζοντα καὶ ἀφιέντα κολάσεως. ἀμφότερα γὰρ κηδεμονίας, ἀμφότερα ἀγαθότητος. ἄνθρωποι μὲν γὰρ τὸ μὲν ἀγαθότητι ποιοῦσι, τὸ δὲ πονηρίᾳ καὶ θυμῷ· ὁ δὲ Θεὸς ἀμφότερα φιλανθρωπίᾳ. ὁμοίως τοίνυν αὐτὸν ἀνυμνεῖν δεῖ, καὶ ὅτι ἔθηκεν ἐν παραδείσῳ τὸν Ἀδὰμ, καὶ ὅτι ἐξέβαλε, καὶ χάριν εἰδέναι οὐχ ὑπὲρ τῆς βασιλείας μόνον, ἀλλὰ καὶ ὑπὲρ τῆς γεέννης. καὶ γὰρ καὶ ταύτην ἐποίησέ τε καὶ ἠπείλησεν, ὥστε κακίας ἀπαλλάξαι. ὥσπερ οὖν ἰατρὸν οὐ τρέφοντα μόνον, ἀλλὰ καὶ ἄγχοντα λιμῷ, οὐκ εἰς ἀγορὰν μόνον ἐξάγοντα, ἀλλὰ καὶ ἐν οἴκοις που κατακλείοντα, οὐκ ἀλείφοντα μόνον, ἀλλὰ καὶ καίοντα καὶ τέμνοντα θαυμάζομεν (εἰ γὰρ καὶ ἐναντία τὰ γινόμενα, ἀλλὰ πρὸς ἓν ὁρᾷ τέλος) οὕτω καὶ τὸν Θεὸν ὑπὲρ ἁπάντων ἀνυμνεῖν χρὴ, καὶ πολλῷ πλέον, ὅσῳ ὁ μὲν Θεὸς, ὁ δὲ ἄνθρωπος· καὶ ὅτι τὰ μὲν τούτων πολλάκις καὶ εἰς τοὐναντίον ἐξέβη, τὰ δὲ τοῦ Θεοῦ μετὰ τῆς προσηκούσης γίνεται σοφίας καὶ κηδεμονίας. οὐ τιμωρεῖται δὲ μόνον χάλαζα καὶ πῦρ, ἀλλὰ καὶ τιμωρίας ἀπήλλαξε, καὶ πολέμους ἔστησε, καὶ ἐχθροὺς ἐπιόντας ἀπεκρούσατο. ἢ οὐκ οἶσθα ἐν Αἰγύπτῳ ὅσα διὰ τούτων ἐθαυματουργήθη τῶν στοιχείων, καὶ ἐπὶ τῶν Ἰουδαίων, καὶ ἐπὶ τῆς γενεᾶς τῆς ἡμετέρας; καὶ τοσαύτη ἡ τοῦ κελεύοντος δύναμις, ὅτι ἅπερ δι' ἀγγέλων ἐποίει τῶν νοερῶν ἐκείνων καὶ μεγάλων δυνάμεων, ταῦτα πολλάκις καὶ διὰ τῶν στοιχείων ἐθαυματούργει, ἵνα ὅταν καὶ ἄγγελος ταῦτα ἐργάζηται, μηδεὶς τῶν ἀνοητοτέρων ἐκείνῳ λογίζηται, ἀλλὰ τῷ ἐπιτάξαντι. ἔστησεν οὖν ἄγγελος πόλεμον, ἔστησε καὶ χάλαζα· ἀνεῖλε τὰ πρωτότοκα ἄγγελος, ἀνεῖλε καὶ καταιγὶς θαλάττης τὸν δῆμον ἅπαντα. ὑπὲρ ἁπάντων τοίνυν

A quod in contraria conuertatur. Hic autem, quòd & quæ non erant, facta sunt: & quòd quæ facta sunt, manēt, & quòd manentia fungantur munere ministrorum, licet sint expertia rationis, & iussus eius educat in opus cum maxima obedientia. Imò verò vnus sæpe iussus ea perfecit quæ sunt suapte natura contraria, quemadmodum in fornace Babylonica ignis & vrens & irrorans simul factus est. Hoc ergo, inquit, meretur gratiarum actionem, eámque certè maximam. Deus enim æquè est laudandus & cùm punit, & cùm à supplicio eximit. B Vtraque enim sunt curationis, vtraque sunt bonitatis. Homines enim hoc quidem faciunt propter bonitatem, illud verò per iram & improbitatem: Deus autem vtraque propter clementiam. Oportet ergo eũ æquè laudare, & quòd posuerit Adã in paradiso, & quòd eum expulerit, & agere gratias non solùm pro regno, sed etiam pro gehenna. Eam enim & fecit & minatus est, vt à vitio liberaret. Quemadmodum ergo medicum non solùm nutrientem, sed etiam fame excruciantē: non solùm in forum C educentem, sed etiam domi alicubi includentem: non solùm vngentem, sed etiam vrentem & secantem admiramur (etsi enim sunt contraria quæ fiunt, vnum tamen finem respiciunt) ita etiam oportet Deum laudare pro omnibus, atque adeò multò magis, quatenus hic quidem Deus, ille verò homo: & quòd res quidem eorum sæpe aliter eueniunt, quæ autem Deus facit, fiunt cum summa sapientia & cura. Grando autem & ignis non solùm puniuit, sed etiam liberauit à supplicio, & bellis finem imposuit, & inuadentes ini- D micos repulit. An nescis quænam in Ægypto per hæc elementa miracula facta sunt, & in Iudæis, & in hac nostra generatione? Tanta est autem potentia iubentis, vt quæ per Angelos illos (qui in solam cadunt intelligentiam) & magnas potestates faciebat, ea sæpe etiam per elementa faciat admirabiliter: vt quando hæc Angelus quoque fecerit, nemo paulò insipientior id illi attribuat, sed ei qui imperauit. Angelus bello finem imposuit? Imposuit quoque grando. Interemit primogenita Angelus? Maris quoque procella populum interemit. Pro omnibus ergo

Ignis simul vrens & irrorans. *Dan. 3.*

Ephes. 5. *1. Thes. 5.*

Exod. 9. *Ios. 10.*

4. Reg. 19. *Esa. 37.* *Ios. 10.* *Exod. 14.*

clementi Deo age gratias. Montes & omnes colles, ligna fructifera, & omnes cedri. Bestiæ, & vniuersa pecora, serpentes & volucres pennatæ. Vide quomodo lubentius immoratur in iis quæ sunt inutiliora, montibus, saltibus, collibus, animalibus, serpentibus, & lignis infrugiferis. Quæ enim sunt frugifera, ex seipsis apertam ostendunt vtilitatem, sicut & plani campi, & mansueta animalia. Feræ autem & serpentes, montes & infrugiferæ arbores, quámnam, inquit, putas vtilitatem afferunt? Multam certè, & quæ nostram vitam valde continent. Nam & ad ædificia, montes & colles & ligna infructifera sunt nobis valde apta: & nisi ea nobis suppeterent, nihil vetaret quò minus nostrum genus interiret. Quemadmodum ergo cultis agris opus habemus ad hoc vt alamur: ita etiam lignis infrugiferis & lapidibus egemus ad hoc vt domos ædificemus, & alia innumerabilia ex eis componamus. At serpentes, inquit, & scorpij, & dracones, & leones, quid ad vitam vtile afferunt? & quidnam commodi ex eis percipitur? Plurimum, idque inenarrabile, nec minùs certè quàm ex mansuetis & cicuribus. Illa enim sunt apta ad vsum corporis: hæc verò & tibi metum afferunt, & vt sis modestus & téperatus efficiunt, & ad certamen instruunt, & peccatum primi parentis tibi in memoriam redigunt, & ostendunt quãtorum malorum causa sit inobediẽtia. Neque enim eiusmodi feræ antea homini terribiles, nec ab eo fugiendæ, sed cicures & mansuetæ. Eas itaque deduxit Deus ad Adam, & ipse eis nomina imposuit. Serpens Euam alloquitur, & Eua non refugit. Postquam autem præteritum est mandatum, & Deo non est obeditum, plurimum honori detractum est. Quando ergo videris leonem, quando videris serpentem, in mentem reuoca, quæ in sacra narrantur historia, & hæc exhibebunt tibi non paruum philosophiæ argumentum. Fac quoque in mentem tibi redeat Daniel, quomodo postquam ad antiquam reuersus est imaginem, contemptui illi erant terribiles bestiæ: quemadmodum & Paulo vipera: nec paruum hinc colliges animi studium, curam & diligentiam. Cum his autem aliunde quoque possumus in his admirari prouidum Dei consilium

Ligna infructifera, etiam utilia.

Collatio.

Feræ & serpentes ad quid vtiles.

Gen. 2. 3.

Dan. 6.

Act. 28.

A εὐχαρίστει τῷ φιλανθρώπῳ Θεῷ. τὰ ὄρη καὶ πάντες οἱ βουνοί· ξύλα καρποφόρα καὶ πᾶσαι κέδροι· τὰ θηρία καὶ πάντα τὰ κτήνη· ἑρπετὰ καὶ πετεινὰ πτερωτά. ὅρα πῶς τοῖς ἀχρηστοτέροις μᾶλλον ἐμφιλοχωρεῖ, ὄρεσι καὶ νάπαις, καὶ βουνοῖς, καὶ θηρίοις, ἑρπετοῖς, καὶ ξύλοις ἀκάρποις. τὰ μὲν γὰρ καρποφόρα αὐτόθεν δήλην ἔχει τὴν χρείαν, ὥσπερ καὶ τὰ ὕπτια πεδία καὶ τὰ ἥμερα ζῶα· τὰ δὲ θηρία καὶ τὰ ἑρπετὰ καὶ τὰ ὄρη καὶ τὰ ἄκαρπα δένδρα ποίαν αὐτοῖς χρείαν, φησί; πολλὴν μὲν οὖν, καὶ σφόδρα τὴν ζωὴν συνέχουσαν τὴν ἡμετέραν. καὶ γὰρ πρὸς οἰκοδο-B μίας ὄρη καὶ βουνοὶ καὶ ξύλα ἄκαρπα σφόδρα ἡμῖν ἐπιτήδεια, καὶ εἰ μὴ τούτων ἀπηλαύομεν, οὐδὲν ἐκώλυε διαφθείρεσθαι τὸ γένος τὸ ἡμέτερον. ὥσπερ οὖν ἐπιδεόμεθα τῶν ἡμέρων χωρίων εἰς τὸ τρέφεσθαι, οὕτω δεόμεθα καὶ τῶν ἀκάρπων ξύλων καὶ λίθων εἰς τὸ τὰς οἰκίας οἰκοδομεῖν καὶ μυρία ἕτερα ἐντεῦθεν κατασκευάζειν. ἀλλ' οἱ ὄφεις, φησὶ, καὶ οἱ σκορπίοι, καὶ οἱ δράκοντες, καὶ οἱ λέοντες, τί χρήσιμον εἰσάγουσιν εἰς τὸν βίον; τί δὲ αὐτῶν τὸ κέρδος; πολὺ καὶ ἄφατον, καὶ τῶν ἡμέρων C οὐκ ἔλαττον. ἐκεῖνα μὲν γὰρ πρὸς τὴν τοῦ σώματος χρείαν ἐστὶν ἐπιτήδεια· ταῦτα δέ σοι καὶ φόβον ἐπιτειχίζει, καὶ σωφρονεῖν παρασκευάζει, καὶ ἐναγώνιον ποιεῖ, καὶ ἀναμιμνήσκει σε τῆς ἐν τῷ παραδείσῳ τοῦ προπάτορος ἁμαρτίας, καὶ δείκνυσιν ὅσων κακῶν αἰτία ἡ παρακοή. οὐ γὰρ τοιαῦτα ἦν πρὸ τούτου τὰ θηρία, φοβερὰ καὶ φευκτὰ τῷ ἀνθρώπῳ, ἀλλὰ τιθασὰ καὶ χειροήθη. ἤγαγε γοῦν αὐτὰ πρὸς τὸν Ἀδὰμ ὁ Θεὸς, καὶ αὐτὸς ἐπέθηκεν αὐτοῖς τὰ ὀνόματα. ὁ ὄφις τῇ γυναικὶ D διαλέγεται, καὶ οὐκ ἀποπηδᾷ ἡ Εὔα. ἐπειδὴ δὲ παρεβάθη ἡ ἐντολὴ, καὶ ὁ Θεὸς παρηκούσθη, ἠκρωτηριάσθη τὰ τῆς τιμῆς. ὅταν τοίνυν ἴδῃς λέοντα, ὅταν ἴδῃς ὄφιν, ἀναμιμνήσκου τῶν διηγημάτων, καὶ οὐ μικράν σοι παρέξει ταῦτα φιλοσοφίας ὑπόθεσιν. ἀναμιμνήσκου δὲ καὶ τοῦ Δανιὴλ, πῶς, ἐπεὶ πρὸς τὴν παλαιὰν ἐπανῆλθεν εἰκόνα, διεκαταφρόνητα ἦν αὐτῷ τὰ φοβερὰ θηρία, ὥσπερ καὶ Παύλῳ ἡ ἔχις, καὶ οὐ μικρὰν ἐντεῦθεν καρπώσῃ σπουδὴν καὶ ἐπιμέλειαν ψυχῆς. μετὰ τούτων δὲ καὶ ἑτέρωθεν ἔστι θαυμάσαι τοῦ Θεοῦ τὴν οἰκονομίαν τὴν ἐπ' αὐτοῖς

καὶ τὴν διάταξιν. ποίαν δὲ ταύτην; ὅτι καὶ τούτοις ἀφώρισε χωρία ἀπῳκισμένα τῶν πόλεων, τὰς ἐρημίας, καὶ οὕτω φοβερὰ ὄντα οὐκ ἐμφιλοχωρεῖ ταῖς πόλεσιν, οὐδὲ κατατρέχει τοὺς ἔνδον οἰκοῦντας, ἀλλὰ στέργει καὶ ἀγαπᾷ τὴν ἔρημον, ἄνωθεν τοῦ Θεοῦ τοῦτο αὐτοῖς συγκληρώσαντος, καὶ τόπον ἐπιτήδειον ἔχειν καὶ κλῆρον διαίτης. ὅταν γὰρ σὺ καθεύδῃς, τότε ἐκεῖνα τὴν ἔρημον ἔπεισιν. ὅπερ καὶ ἀλλαχοῦ δεικνῦσιν ὁ προφήτης οὕτω λέγων· ἔθου σκότος, καὶ ἐγένετο νύξ· ἐν αὐτῇ διελεύσονται πάντα τὰ θηρία τοῦ δρυμοῦ. εἶδες πῶς καὶ νῦν μένει σοι τῆς ἀρχῆς τὰ ἴχνη, εἰ καὶ ἠκρωτηριασμένα, ἀλλ' ὅμως ἔχοντα αἴνιγμα τῆς παλαιᾶς τιμῆς; ὥσπερ γὰρ δοῦλοι, οὕτως ἀπῴκισται καὶ τῷ καιρῷ καὶ τῷ τόπῳ. κἂν μὴ σὺ αὐτοῖς ἐπέλθῃς, αὐτὰ οὐκ ἔπεισιν, ἀλλ' ἐνδιαιτᾶται ταῖς ἐρήμοις. εἰ δὲ ἀθυμεῖς καὶ δυσχεραίνεις, τίνος ἕνεκεν γέγονε θηρία, σφόδρα ἀνοηταίνεις. ἂν γὰρ σὺ τὰ κατὰ σαυτὸν καλῶς οἰκονομήσῃς, οὐδὲν ἐντεῦθεν βλαβήσῃ· εἰ δὲ ἀπὸ θηρίων δέχῃ βλάβην, ἐννόησον ὅτι καὶ παρὰ ἀνθρώπων πολλάκις χαλεπωτέραν ἐδέξω. ἔστι γὰρ καὶ θηρίου ἄνθρωπος χαλεπώτερος. τὸ μὲν γὰρ προφανῆ τὴν θηριωδίαν ἔχει, οὗτος δὲ κρύπτει τὴν πονηρίαν τῷ τῆς ἐπιεικείας προσωπείῳ, ὅθεν καὶ πολλάκις ἐστὶ δυσφύλακτος. ἀλλ' ἐὰν νήφῃς, οὔτε θηρίον, οὔτε ἄνθρωπός σε δεινόν τι ἐργάσεται, ἀλλὰ καὶ τὰ μέγιστα ὠφελήσει. καὶ τί λέγω θηρίον καὶ ἄνθρωπος, ὅπου γε καὶ αὐτὸς ὁ διάβολος οὐ μόνον οὐδὲν ἔβλαψε τὸν Ἰώβ, ἀλλὰ καὶ μυρίων στεφάνων αὐτῷ γέγονεν ἀφορμή; τί λέγω θηρίον καὶ ἄνθρωπον, ὅπου γε καὶ ὑπὸ τῶν ἐν σοὶ κειμένων στοιχείων, ἐὰν ῥᾳθυμήσῃς, πολλῷ χαλεπώτερα πείσῃ, οἷον ὑπὸ χολῆς ἢ φλέγματος, ἂν ἀμετρίᾳ ἐπὶ τὴν τούτων πλεονεξίαν περιίδῃς. οὕτω πανταχόθεν νηφούσης χρεία διανοίας. ἀλλ' ὥσπερ ῥᾳθυμῶν μεγίστην ἐντεῦθεν ὑποστήσῃ βλάβην, οὕτω νήφων καὶ ἐγρηγορὼς οὐ τὴν τυχοῦσαν καρπώσῃ πάλιν ὠφέλειαν. τὸ γὰρ πᾶν ἐπὶ τῇ σῇ κεῖται γνώμῃ. ὅπερ οὖν ἐστι χιὼν ἐν τῷ παντί, καὶ πῦρ, καὶ πνεῦμα, τοῦτο καὶ ἐν τῷ σώματι φλέγμα καὶ αἷμα, καὶ χολή· καὶ δεῖ μετὰ ἀρίστου λόγου ταῦτα οἰκονομεῖν, ὡς καρποῦσθαί τι παρ' αὐτῶν ὄφελος, ἀλλὰ μὴ βλάπτεσθαι. καὶ τί λέγω περὶ τοῦ σώματος, ὅπου γε καὶ ἡ ψυχὴ ἔχει τινά,

& constitutionem. Quónam? Quòd his assignauit loca remota ab vrbibus, nempe solitudines: & cùm sint adeò terribiles, non versantur in ciuitatibus nec irruunt in eos qui in illis habitant, sed eis placet solitudo, & ea contenti sunt, cùm Deus ab initio hoc eis assignauerit, vt locum aptum in quo degerent. Quando enim tu dormis, illa peruadunt solitudinem. Quod etiam propheta alibi ostendit, sic dicens: Posuisti tenebras, & facta est nox: in ea pertransibunt omnes bestiæ syluæ. Vidisti quomodo nunc quoque tibi maneant tui vestigia imperij: quæ etsi sint concisa & mutila, habent tamen aliquam speciem veteris honoris? Tanquam enim seruæ relegatæ sunt, & tempore & loco à nobis procul remotæ: & nisi tu eas inuaseris, ea te inuadunt, sed versantur in solitudinibus. Quòd si angeris & afflictaris cur feræ factæ sunt, valde desipis. Si enim te rectè gesseris, nullum damnum ex eis accipies. Si autem à feris damnum accipis: cogita te sæpe multò maius accepisse ab hominibus. Est enim homo quauis fera deterior: Ea enim ipsam præ se fert feritatem: hic autem sub persona humanitatis celat improbitatem: vnde etiam fit vt sæpe difficilè caueatur. Sed si sapueris, nec fera, nec homo tibi aliquid mali faciet, sed etiam maximè te iuuabit. Quid dico, fera & homo, cùm ipse quoque diabolus non modo non læserit Iob, sed etiam mille coronarum occasio fuerit? Quid dico, fera & homo, cùm etiam ab iis quæ in te sunt elementis, si fueris negligens longè sis grauiora passurus, vtpote à bile vel pituita, si immoderatione aliqua redundantem eorum copiam despexeris? Adeò sobria & vigilanti mente vbique opus est. Sed quemadmodum qui est negligens, maximum inde damnum accipit: ita qui est attentus & vigilans, non leue nec contemnendum accipiet commodum. Vniuersum enim in libero tui animi arbitrio situm est. Quod est ergo nix in vniuerso, & ignis, & spiritus procellarum, hoc est in corpore pituita, sanguis, & bilis: & ea oportet sapientissimè regere & administrare, vt ex eis aliqua capiatur vtilitas, non autem detrimentum. Et quid dico de copore, cùm anima quoque habeat nonnulla,

Solitudines feris destinata.

Ps. 103. 21

Homo quauis fera deterior.

Enantiosis.

Liberū arbitrium.

quæ si sueris peruenire ad immoderationem, mobi fiunt: sed si ea castiges & moderceris, fiunt adminicula? Ira enim, si ea vt oportet vtaris, est salutare pharmacum: sed si immoderatè, causa est exitij. Et cupiditas, si moderatè eam regas, te patrem efficit (est enim ad filios procreandos vtilis) sed si eam ad stupra & adulteria relaxes, ea te sæpe deprimit ac deperdit. Ne culpam ergo in res conferas, sed semper in tuam mentem. Si eam enim neglexeris, à teipso quoque læderis, & à proprio corpore perderis: sed si eius curam gesseris, nec à dæmonibus quidem, nec à diabolo, tantum abest vt à feris aliquid graue aut molestum patiaris. 11. *Reges terræ, & omnes populi.* Alius, Et omnes tribus. *Principes & omnes iudices terræ.*

Eccl. 7. Iob 5. Rom. 1. Iacob. 1.

12. *Iuuenes & virgines, senes cum iunioribus.* Alius, cum iuuenibus. *Laudent nomen Domini.* Hic rursus loquitur de alio genere prouidentiæ, nempe de principibus, quod Paulus quoque in epistola ad Romanos ponit, sapientissimè ostendens hoc fuisse opus Dei prouidentiæ, in eos qui magistratus gerunt, & in eos qui illis parent, vniuersum diuisisse. Dei enim minister est tibi, inquit, in bonum. Si hoc autem sustuleris, vniuersum interit. Si enim cùm nunc sunt principes & magistratus, multique sunt in eis corrupti ac deprauati, tantus tamen rei est vsus, vt etiam cùm mali sint, magna ex eis capiatur vtilitas: cogita apud te si ij quibus sunt crediti magistratus, eos rectè gererent, quàm benè cũ genere humano ageretur. Sed magistratus quidem constituere, fuit Dei opus: quòd autem improbi ad eos prouehantur, & eis non vt decet vtantur, est hominum improbitatis. Dicit ergo oportere magnas Deo gratias agere, quòd sint & Reges, & Iudices. Certo enim ordine & modo constitutæ hominum administrationis curam gerens, & ne plus quàm ferino ritu multi viuerent, prouidens, veluti quandam currus regendi artem, & nauis gubernandæ scientiam, magistratus & regna largitus est. Si ergo sis princeps, aut magistratum geras, benigno & clementi Deo age gratias, quòd tuæ ostendendæ curæ & diligẽtiæ tanta tibi data sit occasio. Si priuatus, rursus age gratias, quòd habes qui tui curam gerat,

Rom. 13.

Magistratuum necessitas.

Prou. 8. Dan. 2. Rom. 13.

A ἄπερ ἐὰν ἀφῇς εἰς ἀμετρίαν ἐξελθεῖν, νοσήματα γίνεται, κολαζόμενα δὲ, βοηθήματα; καὶ γὰρ ὁ θυμὸς, ἂν μὲν εἰς δέον χρήσῃ, γέγονέ σοι φάρμακον σωτηρίας· ἂν δὲ ἀμέτρως, γέγονεν ἀπωλείας ὑπόθεσις. καὶ ἡ ἐπιθυμία, μετὰ μέτρου μὲν οἰκονομουμένη, πατέρα σε ποιεῖ· καὶ γὰρ εἰς παιδοποιίαν γέγονε χρήσιμος· ἀφιεμένη δὲ, εἰς πορνείαν καὶ μοιχείαν σε καταβάλλει πολλάκις. μὴ δὴ τὰ πράγματα αἰτιῶ, ἀλλὰ πανταχοῦ τὴν σὴν γνώμην. ἂν γὰρ ταύτης ἀμελῇς, καὶ ὑπὸ σαυτοῦ βλαβήσῃ, καὶ ὑπὸ τοῦ B οἰκείου σώματος ἀπολῇ· ἂν δὲ ταύτης ἐπιμελῇ, οὐδὲ ὑπὸ τῶν δαιμόνων, οὐδὲ ὑπὸ τοῦ διαβόλου, μήτι γε ὑπὸ θηρίων πείσῃ τι δεινὸν καὶ ἀηδές. Βασιλεῖς τῆς γῆς, καὶ πάντες λαοί. ἄλλος, πάντα φῦλα. ἄρχοντες καὶ πάντες κριταὶ γῆς· νεανίσκοι καὶ παρθένοι. ἄλλος, ἐκλεκτοί. πρεσβύτεροι μετὰ νεωτέρων. ἄλλος, μετὰ νέων. αἰνεσάτωσαν τὸ ὄνομα κυρίου. πάλιν ἕτερον ἐνταῦθα λέγει προνοίας εἶδος, τὸ τῶν ἀρχόντων. ὃ καὶ Παῦλος ἐν τῇ πρὸς Ῥωμαίους τίθησι μετὰ πολλῆς τῆς συνέσεως, δεικνὺς ὅτι τῆς τοῦ Θεοῦ σοφίας C ἔργον ἐστὶ τὸ εἰς ἄρχοντας καὶ εἰς ἀρχομένους τόδε τὸ πᾶν διατάξαι. Θεοῦ γὰρ διάκονός ἐστί σοι, φησιν, εἰς τὸ ἀγαθόν. ἂν δὲ τοῦτο ἀνέλῃς, τὸ πᾶν οἴχεται. εἰ γὰρ νῦν ὄντων ἀρχόντων καὶ πολλῶν ἐν αὐτοῖς διεφθαρμένων, τοσαύτη τοῦ πράγματός ἐστιν ἡ χρεία, ὡς καὶ κακῶς διακειμένων πολλὴν γίνεσθαι τὴν ὠφέλειαν, ἐννόησον εἰ καλῶς μετεχείριζον οἱ τὰς ἀρχὰς ἐγχειριζόμενοι, πόσης ἂν τὸ γένος ἀπήλαυσεν εὐημερίας. ἀλλὰ τὸ μὲν τυπῶσαι τὰς ἀρχὰς, τοῦ Θεοῦ γέγονεν ἔργον· τὸ δὲ πονηροὺς ἐπὶ τοῦτο ἄγεσθαι, καὶ μὴ εἰς δέον αὐ- D ταῖς κεχρῆσθαι, τῆς τῶν ἀνθρώπων πονηρίας. λέγει τοίνυν, ὅτι καὶ ὑπὲρ τοῦ βασιλέας εἶναι, καὶ ὑπὲρ τοῦ δικαστὰς εἶναι, δεῖ μεγάλας εὐχαριστίας ἀναφέρειν τῷ Θεῷ. τῆς γὰρ εὐταξίας τῶν ἀνθρώπων ἐπιμελούμενος, καὶ τοῦ μὴ θηρίων ἀλογώτερον διακεῖσθαι τοὺς πολλοὺς, ὥσπερ ἡνιοχείαν καὶ κυβερνητικὴν, οὕτως ἀρχὰς καὶ βασιλείας ἐχαρίσατο. κἂν ἄρχων τοίνυν ᾖς, εὐχαρίστει τῷ Θεῷ, ὅτι ἔλαβες ἀφορμὴν τοσαύτης ἐπιμελείας· κἂν ἀρχόμενος, πάλιν εὐχαρίστει, ὅτι ἔχεις τὸν ἐπιμελούμενον, καὶ

οὐκ ἀφιέντα σε ὑπὸ τῶν πονηρῶν ἐπιβουλεύεσθαι. κἂν εἰς γῆρας ἔλθῃς, κἂν νέος ᾖς, εὐχαρίστει τῷ Θεῷ. τοῦτο γὰρ μάλιστα διὰ πάντων ὁ ψαλμὸς οὗτος κατασκευάζει, ὅτι δεῖ ὑπὲρ ἁπάντων αἰνεῖν αὐτὸν, κἂν ἄρχων ᾖς, κἂν τοῦ λαοῦ ᾖς. διὰ καὶ τοῦτο δηλῶν, καὶ πάντες εἶπε λαοί. κἂν νέος, φησὶν, ᾖς, κἂν γεγηρακὼς, κἂν γυνὴ, κἂν ἀνήρ. ὅτι ὑψώθη τὸ ὄνομα αὐτοῦ μόνου. ἄλλος, ὅτι ὑπερέχον. ἡ ἐξομολόγησις αὐτοῦ ἐπὶ γῆς καὶ οὐρανοῦ. ἄλλος, καὶ ὁ ὕμνος αὐτοῦ. καὶ ὑψώσει κέρας λαοῦ αὐτοῦ. ὕμνος πᾶσι τοῖς ὁσίοις αὐτοῦ, τοῖς υἱοῖς Ἰσραὴλ, λαῷ ἐγγίζοντι αὐτῷ. ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· ἔδειξα μὲν καὶ ἀπὸ τῶν ὁρωμένων ἁπάντων αὐτοῦ τὴν κηδεμονίαν, τὴν δόξαν, τὴν μεγαλωσύνην· δεῖ δὲ αὐτὸν αἰνεῖν οὐ διὰ ταῦτα μόνον, ἀλλὰ καὶ τούτων χωρίς. καὶ γὰρ καὶ πρὸ τούτων, καὶ τούτων ἄνευ, συγκεκλήρωται αὐτῷ τὸ ὕψος, καὶ ἡ δόξα, καὶ ἡ παρὰ πάντων εὐχαριστία. τὸ δὲ, αὐτοῦ μόνου, πρὸς ἀντιδιαστολὴν τῶν οὐκ ὄντως θεῶν εἶπεν. Εἶτα ἀνάγων ἐπὶ μείζονα τὸν ἀκροατὴν ἔννοιαν, πάλιν ἀπὸ τῆς γῆς ἐπὶ τὸν οὐρανὸν αὐτὸν μετατίθησιν. ὥσπερ γὰρ ἀρχόμενος ἀπὸ τοῦ οὐρανοῦ πρὸς τὴν γῆν κατέβη, οὕτως ἀπὸ τῶν ὁρωμένων ἁπάντων ἀνάγει πάλιν αὐτὸν ὑπὲρ τὸν οὐρανὸν, λέγων· ἡ ἐξομολόγησις αὐτοῦ ἐπὶ γῆς καὶ οὐρανοῦ· τουτέστιν, εἰ καὶ αἱ ἄνω δυνάμεις αἱ ἀόρατοι καὶ νοεραὶ οὐ παύονται εὐχαριστοῦσαι καὶ ἀνυμνοῦσαι, ἀλλ' ὅμως ὁ τοσοῦτος καὶ τηλικοῦτος Θεὸς κατηξίωσε λαὸν αὐτοῦ καὶ ἡμᾶς ὀνομάσαι, καὶ οὐκ ὀνομάσαι μόνον ἀλλὰ καὶ ἐπᾶραι καὶ ὑψῶσαι. διὸ καὶ ἐπήγαγε, καὶ ὑψώσει κέρας λαοῦ αὐτοῦ, ταύτῃ πάλιν αὐτοὺς ἐπισπώμενος πρὸς μείζονα αὐτοῦ θεραπείαν, καὶ δεικνὺς ὅτι οὐ τῆς παρ' αὐτῶν δεόμενος θεραπείας· πῶς γὰρ, ὁ φύσει συγκεκληρωμένην ἔχων τὴν δόξαν καὶ τοσαύτην κτίσιν ὑποτεταγμένην; ἀλλὰ δι' ἀγαθότητα μόνην ᾠκειώσατο αὐτοὺς ἑαυτῷ, καὶ περιφανεῖς ἐποίησε καὶ λαμπροὺς πανταχοῦ τῆς οἰκουμένης. ὅπερ οὖν καὶ δηλῶν ἔλεγεν, ὕμνος πᾶσι τοῖς ὁσίοις αὐτοῦ, τοῖς υἱοῖς Ἰσραὴλ, λαῷ ἐγγίζοντι αὐτῷ. ἵνα γὰρ μὴ ταύτῃ πάλιν ῥαθυμοτέρους ποιήσῃ καὶ ὑπτιωτέρους τῷ λέγειν, καὶ λαὸς αὐτοῦ, καὶ τούτῳ μόνῳ θαῤῥοῦντες τῆς κατὰ ψυχὴν ἀμελῶσι τῆς ἀρετῆς, εἰπὼν,

nec permittat, vt te improbi insidiis circumuentum opprimant. Seu ad senectutem perueneris, seu sis iuuenis, Deo age gratias. Hoc enim maximè probat hic psalmus per omnia, quòd oportet Deum laudare pro omnibus, seu sis magistratus, seu priuatus. & ideo hoc significans dixit, Et omnes populi. Seu fueris, inquit, senex, seu iuuenis, seu vir, seu mulier. *Quia exaltatum est nomen eius solius.* Alius, Quia supereminẽs.

13. *Confessio eius super terram & cælum.* Alius, Et hymnus eius. *Et exaltauit cornu populi sui.* 14. *Hymnus omnibus sanctis eius.* Quod autem dicit, est eiusmodi. Ostendi quidem ex iis quæ videntur omnibus, eius prouidentiam, gloriam, maiestatem: oportet autem ipsum laudare non propter hæc solùm, sed etiam absque his: etenim & ante hæc, & sine his ei obtigit altitudo, & gloria, & ab omnibus gratiarum actio. Illud autem, Eius solius, dixit vt ab iis, qui vero Dij non sunt, distingueretur. Deinde euehens rursus auditorẽ ad altiorem contemplationem, à terra rursus eum in cœlum transfert. Quemadmodum enim in principio è cœlo in terram descendit: ita ab omnibus quæ videntur, effert, rursus hominem supra cœlum, dicens, Confessio eius super cœlum & terram. Hoc est, Etiamsi supernæ potestates, quæ sub aspectum non cadunt, & intelligẽtia sola comprehenduntur, non cessant Deo gratias agere & laudare: Deus tamen qui talis est, & tantus, nos quoque dignatus est suum populum vocare: nec solùm vocare, sed etiam erigere & extollere. Et ideo subiunxit, Et exaltabit cornu populi sui, hac rursus ratione ad maiorem eius cultum attrahens, & ostendens quòd non eorum cultu & veneratione indigens (quomodo enim, cui naturâ est attributa gloria, & tot & tantæ subiectæ sunt creaturæ?) sed propter solam bonitatem eos sibi peculiares effecit, & familiares, clarósque & insignes reddidit per vniuersum orbem terræ. Quod quidem significãs dixit, Hymnus omnibus sanctis eius, filiis Israël populo appropinquanti sibi. Nec eos enim ideo socordiores & supiniores redderet, quòd eos populum eius diceret: & in hoc solo nomine fiduciam collocantes, animæ virtutem negligerent: postquam dixit,

Esa. 1. *Psal. 115.*

Hymnus omnibus: non dixit absolutè A hominibus, sed sanctis eius: & rursus postquam dixit, filiis Israel, adiecit, populo appropinquanti sibi. Alius autem interpres pro eo quod est hymnus, dixit Laus. quod ergo dicit, est eiusmodi. Si sancti sitis, si ei appropinquetis, magnam gloriam consequemini. Sunt enim eius omnia perennia & perpetua, vt qui sit tam diues, & tantam gloriam habeat. Oportet autem nostra quoque deinceps consequi, & nos etiam insignem splendorem assequemur, gratia & benignitate domini nostri Iesu Christi, cui gloria & dominatio B in secula seculorum, Amen.

A ὕμνος πᾶσιν, οὐχ ἁπλῶς εἶπε τοῖς ἀνθρώποις, ἀλλὰ τοῖς ὁσίοις αὐτοῦ. καὶ πάλιν εἰπὼν τοῖς υἱοῖς Ἰσραὴλ, προσέθηκε, λαῷ ἐγγίζοντι αὐτῷ. ἕτερος δὲ ἑρμηνευτὴς ἀντὶ τοῦ ὕμνος, ἔπαινος εἶπεν. ὃ τοίνυν λέγει, τοιοῦτόν ἐστιν· ἐὰν ἦτε ὅσιοι, ἐὰν ἐγγίζητε αὐτῷ, πολλῆς ἀπολαύσεσθε δόξης. τὰ μὲν γὰρ αὐτοῦ πάντα διαρκῆ ἐστιν, οὕτω πλουτοῦντός τε καὶ τοσαύτην δόξαν ἔχοντος· δεῖ δὲ καὶ τὰ παρ' ἡμῶν λοιπὸν ἀκολουθεῖν, καὶ πολλῆς ἀπολαυσόμεθα καὶ ἡμεῖς τῆς περιφανείας, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν B Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

IN PSALMVM CXLIX.

Cantate Domino canticum nouum.

SI spectetur quidem anagoge, dictum est noui testamenti nouum canticum. Facta sunt enim tunc noua omnia. C Testamentū. Dabo enim, inquit, vobis testamentum nouum. Creatura. Si qua enim, inquit, in Christo noua creatura. Homo. Exeuntes, inquit, veterem hominem, & induentes nouum qui renouatur in agnitionem secundùm imaginem eius qui creauit ipsum. Propter nouam ergo vitam, & alia omnia, dicitur nouum testamentum, & nouum eius canticum adhortatur nunc canere propheta. Si autem spectetur historia: nouū est canticum, quod pro victoriis, pro rebus D rectè gestis, pro successu prospero, pro trophæis, ac triumphis clarum & insigne erant decantaturi. *Laus eius in ecclesia sanctorum.* Vides quomodo ante verba requirit gratiarum actionem, quæ fit per vitam & bona opera: & ea deducit in chorum laudātium? Non sufficit enim verbis solùm gratias agere, nisi etiam factorū virtus cōcurrat. Laus eius in ecclesia sanctorū. Aliud quoque hic docet. Ostendit enim oportere simul & cum omni concentu laudes offerre. Ecclesia enim est nomen cōuentus & congregationis. 2. *Lætetur Israel in eo qui fecit eum.* Ante singularia beneficia ponit

Hier. 31. 31
2. Cor. 5. 17.
Coloss. 3. 9.
Gratiarum actio in quo consistat.
Ecclesia, conuentus.

Εἰς τὸν ρμθ' ψαλμόν.

Ἄσατε τῷ κυρίῳ ᾆσμα καινόν.

ΚΑΤΑ μὲν ἀναγωγὴν, τὸ τῆς καινῆς διαθήκης ᾆσμα καινὸν εἴρηται. πάντα γὰρ τότε γέγονε καινά· διαθήκη· διαθήσομαι ὑμῖν C διαθήκην, φησὶ, καινήν. κτίσις· εἴ τις ἐν Χριστῷ, φησὶ, καινὴ κτίσις. ἄνθρωπος· ἀπεκδυσάμενοι, φησὶ, τὸν παλαιὸν ἄνθρωπον, καὶ ἐνδυσάμενοι τὸν νέον τὸν ἀνακαινούμενον εἰς ἐπίγνωσιν κατ' εἰκόνα τοῦ κτίσαντος αὐτόν. διὰ τὴν καινὴν τοίνυν ζωὴν, καὶ τὰ ἄλλα πάντα, διαθήκη καινὴ λέγεται, καὶ ᾆσμα καινὸν τὸ ταύτης ᾄδειν νῦν ὁ προφήτης προτρέπει. κατὰ δὲ ἱστορίαν, ὃ ἐπὶ νίκαις, ὃ ἐπὶ κατορθώμασιν, ὃ ἐπὶ D τροπαίοις ἔμελλον ᾄδειν λαμπροῖς καὶ ἐπισήμοις. ἡ αἴνεσις αὐτοῦ ἐν ἐκκλησίᾳ ὁσίων. ὁρᾷς πῶς πρὸ τῶν ῥημάτων τὴν διὰ τοῦ βίου καὶ τῶν ἔργων εὐχαριστίαν ἐπιζητεῖ, καὶ τούτους εἰς τὸν χορὸν ἄγει τῶν ὑμνούντων; οὐ γὰρ ἀρκεῖ τὸ διὰ ῥημάτων εὐχαριστεῖν μόνον, ἂν μὴ καὶ ἡ διὰ τῆς πράξεως ἀρετὴ συμβαίνῃ. ἡ αἴνεσις αὐτοῦ ἐν ἐκκλησίᾳ ὁσίων. καὶ ἕτερόν τι ἐνταῦθα παιδεύει. δείκνυσι γὰρ ὅτι ὁμοῦ, καὶ μετὰ συμφωνίας ἁπάσης δεῖ τὰς εὐφημίας ἀναφέρειν. ἐκκλησία γὰρ συστήματος καὶ συνόδου ἐστὶν ὄνομα. εὐφρανθήτω Ἰσραὴλ ἐπὶ τῷ ποιήσαντι αὐτόν. πρὸ τῶν ἰδικῶν εὐεργεσιῶν τίθησι τὴν

καθολικήν, μονονουχὶ τοῦτο, δι' ὧν ἐπήγαγε, παραινῶν καὶ λέγων, εὐχαρίστει τῷ Θεῷ, ὅτι οὐκ ὄντα σε παρήγαγε, καὶ ψυχὴν ἐνέπνευσεν. οὐ μικρὸν γὰρ καὶ τοῦτο εὐεργεσίας μέρος. ἐνταῦθα δὲ καὶ πλέον τι δείκνυσιν. οὐ γὰρ ἁπλῶς τὴν δημιουργίαν, ἀλλὰ τὴν οἰκειότητα ἐμφαίνει τῷ οὕτως εἰπεῖν· καὶ εὐχαριστεῖν παρακελεύεται, οὐχ ὅτι ἐποίησεν αὐτὸν, ἀλλ' ὅτι καὶ οἰκεῖον λαόν. ὁρᾷς πῶς ἑνῶν αὐτὸν τῷ Θεῷ καὶ συνάπτων, οὐχ ἁπλῶς εὐχαριστεῖν βούλεται, ἀλλὰ μετὰ ἡδονῆς, μετὰ εὐφροσύνης, καὶ διαθερμαινομένου τὴν διάνοιαν; ταῦτα γὰρ πάντα διὰ τοῦ εὐφρανθήτω ᾐνίξατο. τὴν διάθεσιν οὖν ζητεῖ τοῦ εὐχαριστοῦντος, ἵνα ἐκκαίηται τῷ πόθῳ, ἵνα διεγείρηται τῷ φίλτρῳ, ἵνα ὅλος ἀνακέηται τῷ ὑμνουμένῳ Θεῷ· καθάπερ καὶ ἀλλαχοῦ τὸ αὐτὸ δηλῶν ἔλεγεν, ὃν τρόπον ἐπιποθεῖ ἡ ἔλαφος ἐπὶ τὰς πηγὰς τῶν ὑδάτων, οὕτως ἐπιποθεῖ ἡ ψυχή μου πρὸς σὲ, ὁ Θεός· καὶ πάλιν, ἐδίψησεν ἡ ψυχή μου πρὸς τὸν Θεὸν, τὸν ἰσχυρὸν, τὸν ζῶντα· καὶ πάλιν, ἐδίψησέ σε ἡ ψυχή μου, ποσαπλῶς σοι ἡ σάρξ μου, ἐν γῇ ἐρήμῳ καὶ ἀβάτῳ καὶ ἀνύδρῳ· ὅπερ ἕτερος ἑρμηνευτὴς, ὡς ἐν γῇ διψάσῃ, εἶπε. βουλόμενος γὰρ τὴν διάθεσιν τῆς ἑαυτοῦ παραστῆσαι ψυχῆς καὶ τὸν πόθον, γῇ παραβάλλει διψάσῃ, ἐλάφῳ διψώσῃ. καὶ διὰ ῥημάτων δὲ πάλιν τὸν αὐτὸν πόθον ἐνδείκνυται λέγων, πότε ἥξω καὶ ὀφθήσομαι τῷ προσώπῳ τοῦ Θεοῦ; τοιαῦται γὰρ αἱ τῶν ἁγίων ψυχαὶ, ὥσπερ καὶ ἡ Παύλου στενάζουσα ἐποίει τῇ μελλήσει τῆς ἐντεῦθεν ἀποδημίας. καὶ υἱοὶ Σιὼν ἀγαλλιάσθωσαν ἐπὶ τῷ βασιλεῖ αὐτῶν. ὁρᾷς ὅτι τοῦτο, ὅπερ ἔφθην εἰπὼν, ἐνταῦθα αἰνίττεται, τὴν οἰκείωσιν, τὸ ἐξαίρετον αὐτοῦ εἶναι λαόν; διὰ δὴ τοῦτο καὶ ἐπήγαγε τὸ, ἐπὶ τῷ βασιλεῖ αὐτῶν, τοῦτο δηλῶν. οὐ γὰρ δὴ κατὰ τὸν τῆς δημιουργίας λόγον μόνον ἦν βασιλεὺς, ἀλλὰ καὶ κατὰ τὸν τῆς οἰκειώσεως. αἰνεσάτωσαν τὸ ὄνομα αὐτοῦ ἐν χορῷ. ὅρα πάλιν καὶ ταύτην τὴν συμφωνίαν διαλάμπουσαν. διὰ γὰρ τοῦτο χοροὶ, ἵνα κοινῇ πάντες καὶ ὁμοθυμαδὸν ἀναφέρωσι τὰς εὐφημίας. τοῦτο καὶ Παῦλος δηλοῖ λέγων, μὴ καταλιμπάνοντες τὴν ἐπισυναγωγὴν ἑαυτῶν. καὶ αὐτὴ δὲ ἡ εὐχὴ τοῦτο αἰνίττεται ἀπὸ τοῦ κοινοῦ πάντων ἀναφερομένη· πάτερ ἡμῶν ὁ ἐν τοῖς

generale, per ea quæ subiunxit propemodum adhortans & dicens: Age Deo gratias, quòd cùm non esses, te produxerit, & animam inspirauerit. Non est enim hoc quoque paruum genus beneficij. Hic autem aliquid etiam ostendit amplius. Non solùm enim ostendit creationem, sed etiam familiaritatem & coniunctionem demonstrat sic dicendo: & iubet gratias agere, non solùm quòd ipsum fecerit, sed etiam quod suum populum. Vides quomodo eum laudans, & Deo coniungens, non vult eum solummodo [Esai. 30. 31. Rom. 12.] gratias agere, sed cum gaudio, cum lætitia, ardentíque & incitato animo. Hæc enim omnia significauit per illud, Lætentur. Eius ergo qui agit gratias, requirit affectionem: vt ardeat desiderio: vt excitetur amore: vt Deo qui laudatur, totus omninò dedicetur: quemadmodum hoc ipsum quoque alibi significans, dicebat, Quemadmodum desiderat ceruus ad fontes aquarum: ita desiderat anima mea ad te Deus. [Psal. 41. 1.] Et rursus, Sitiuit anima mea ad Deum fortem, viuum. Et rursus, Sitiuit anima mea, quàm multipliciter tibi caro mea, in terra deserta inuia & inaquosa, quod quidẽ alius interpres dixit, In terra sitibunda. [Ps. 62. 2.] Volens enim sui animi affectionem & desiderium ostendere, eam comparat terræ sitibundæ, & ceruo sitienti. Porrò autem rursus quoque verbis ostendit idem desiderium, dicens: Quando veniam, & apparebo ante faciem Dei. [Psal. 41. 3.] Tales enim sunt sanctorum animæ, sicut anima Pauli, quæ, quòd differretur ex hac vita excessus, ingemiscebat. [2. Cor. 5. 2.] *Et filij Sion exultent in rege suo.* Vides eum significare (id quod antea dixi) per familiaritatem & coniunctionem esse electum eius populum: & ideo subiunxit illud, In rege suo. Non erat enim solùm Rex ratione opificij, sed etiam ratione coniunctionis. 3. *Laudent nomen eius in choro.* Vide rursus & hunc resplendere concentum. Ideo enim instituti sunt chori, vt omnes simul concordibus animis laudes offerant. Hoc enim significat Paulus, dicens per hoc quod dicit, Non relinquentes congregationem suam. [Hebr. 10. 25.] Hoc autem significat etiam precatio, quę simul affertur ab omnibus: Pater noster qui es in

Matt. 6.
Luc. 11.

cœlis. Et dimitte nobis debita nostra. Et ne nos inducas in tentationem, sed libera nos à malo, nomine plurali vbique vtentes. Ita etiam docebantur antiquitus cum numeroso concentu Deo canere & psallere, omni ratione instituti ad charitatem & concordiam. *In tympano & psalterio psallant ei.* Nonnulli quidem horum instrumentorum rationem sumentes anagogicè, dicunt tympanum quidem requirere carnis nostræ mortificationem, psalterium autem, vt in cœlum aspiciatur. Hoc enim instrumentum à superna parte mouetur, non ab inferna, vt cithara. Ego autem illud dixerim, quòd per hæc instrumenta olim sic ducebantur, propter ingenij eorum hebetudinem, & quòd paulò antè auulsi erant à simulachris. Quemadmodum ergo concessit sacrificia, ita etiam hæc permisit, ad imbecillitatem eorum se accommodans. Ab eis ergo hic exigit vt canant cum gaudio. Hoc enim sibi vult illud, Laudent nomen eius in choro, cum modulato concentu, cum vita pura. Deinde eos rursus ad maiorem animi alacritatem excitans, dicit eius qui canitur, in eos beneuolentiam. Subiungit enim, 4. *Quia beneplacitum est Domino in populo suo.* Quid cum hac possit prosperitate conferri, quando Deus fuerit clemens & propitius? *Et exaltabit mansuetos in salute.* Vide quomodo rursus ponat & quæ Dei sunt, & quæ hominum. Quemadmodum ergo superiùs ab eis gratiarum actionem exigens, quæ Dei sunt intulit, dicens: Quia beneplacitum est Domino in populo suo: ita etiam hîc rursus quæ Dei sunt promittens, ea etiam exigit quæ sunt hominum, dicens: Et exaltabit mansuetos in salute. Exaltare enim est Dei: mansuetum autem esse, hominum. Quæ enim à Deo proficiscuntur, non fiunt nisi præcesserint ea quæ sunt hominum. Vide autem doni magnitudinem. Non dixit, saluabit quoquo modo, sed, exaltabit in salute. Hoc est, Non solùm liberabit à malis, sed faciet etiam claros & conspicuos, cum salute eis quoque præbens gloriam. Hoc itaque explanans rursus subiunxit dicens: 5. *Exultabunt sancti in gloria.* Quemadmodum illic requirit mansuetos: ita

Tympano & psalterio.
1. Cor 4.
Coloss 3.
1. Petr. 3.
Psal 122.
Esa. 51.

Exaltari à Deo vt mereamur.

Esa. 45.
Hier. 15.
Ezech. 33.

A οὐρανοῖς· καὶ, ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν· καὶ, ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ, τῷ πληθυντικῷ ὀνόματι κεχρημένους. οὕτω καὶ τὸ παλαιὸν ἐπαιδεύοντο μετὰ συμφωνίας ψάλλειν καὶ ᾄδειν τῷ Θεῷ, πανταχόθεν εἰς ἀγάπην ἀλειφόμενοι καὶ ὁμόνοιαν. ἐν τυμπάνῳ καὶ ψαλτηρίῳ ψαλάτωσαν αὐτῷ. τινὲς μὲν καὶ τούτων τῶν ὀργάνων τὸν λόγον κατὰ ἀναγωγὴν ἐκλαμβάνοντες λέγουσιν· ὅτι τὸ μὲν τύμπανον, τὴν νέκρωσιν τῆς σαρκὸς ἡμῶν ἐπιζητεῖ· τὸ δὲ ψαλτήριον, τὸ πρὸς τὸν οὐρανὸν βλέπειν. B καὶ γὰρ ἄνωθεν τὸ ὄργανον τοῦτο κινεῖται, οὐ κάτωθεν, ὥσπερ ἡ κιθάρα. ἐγὼ δὲ ἐκεῖνο ἂν εἴποιμι, ὅτι τὸ παλαιὸν οὕτως ἤγοντο διὰ τῶν ὀργάνων τούτων, διὰ τὴν παχύτητα τῆς διανοίας αὐτῶν, καὶ τὸ ἄρτι ἀπεσπάσθαι ἀπὸ τῶν εἰδώλων. ὥσπερ οὖν τὰς θυσίας συνεχώρησεν, οὕτω καὶ ταῦτα ἐπέτρεψε, συγκαταβαίνων αὐτῶν τῇ ἀσθενείᾳ. ἀπαιτεῖ γοῦν ἐνταῦθα τὸ μεθ' ἡδονῆς ᾄδειν· τοῦτο γάρ ἐστι τὸ, αἰνεσάτωσαν τὸ ὄνομα αὐτοῦ ἐν χορῷ, τὸ μετὰ συμφωνίας, τὸ μετὰ βίου καθαροῦ. εἶτα πάλιν εἰς πλείονα C προθυμίαν αὐτοὺς διεγείρων, λέγει καὶ τοῦ ὑμνουμένου τὴν εὔνοιαν τὴν περὶ αὐτούς. ἐπάγει γάρ· ὅτι εὐδοκεῖ κύριος ἐν τῷ λαῷ αὐτοῦ. τί ταύτης ἴσον γένοιτ' ἂν τῆς εὐημερίας, ὅταν ὁ Θεὸς ἵλεως ᾖ; καὶ ὑψώσει πρᾳεῖς ἐν σωτηρίᾳ. ὅρα πάλιν πῶς καὶ τὰ τοῦ Θεοῦ τίθησι, καὶ τὰ τῶν ἀνθρώπων. ὥσπερ οὖν ἄνω τὴν εὐχαριστίαν παρ' αὐτῶν ἀπαιτῶν καὶ τὰ τοῦ Θεοῦ εἰσήγε, λέγων· ὅτι εὐδοκεῖ κύριος ἐν τῷ λαῷ αὐτοῦ· οὕτω καὶ ἐνταῦθα πάλιν ἐπαγγελλόμενος τὰ παρὰ τοῦ Θεοῦ, ἀπαιτεῖ καὶ τὰ παρὰ ἀν- D θρώπων, λέγων· καὶ ὑψώσει πρᾳεῖς ἐν σωτηρίᾳ. τὸ μὲν γὰρ ὑψῶσαι, τοῦ Θεοῦ· τὸ δὲ πρᾳον εἶναι, τῶν ἀνθρώπων. οὐ γὰρ γίνεται τὰ παρὰ τοῦ Θεοῦ, ἐὰν μὴ τὰ παρὰ ἀνθρώπων προηγήσηται. καὶ ὅρα τῆς δωρεᾶς τὸ μέγεθος. οὐκ εἶπε, σώσει ἁπλῶς, ἀλλ' ὑψώσει ἐν σωτηρίᾳ· τουτέστιν, οὐκ ἀπαλλάξει τῶν δεινῶν μόνον, ἀλλὰ καὶ περιβλέπτους ποιήσει καὶ περιφανεῖς, μετὰ τῆς σωτηρίας καὶ τὴν δόξαν αὐτοῖς παρέχων. τοῦτο γοῦν καὶ διασαφῶν, ἐπήγαγε πάλιν λέγων· καυχήσονται ὅσιοι ἐν δόξῃ. ὥσπερ ἐκεῖ πρᾳεῖς ἐπιζητεῖ, οὕτως

ἐνταῦθα ὁσίους. πανταχοῦ γὰρ ὁ Θεὸς μετὰ θαυμάτων τὰ ἑαυτοῦ πάντα ἐπιδείκνυται. οὕτως αὐτοὺς ἀπήλλαξεν Αἰγύπτου, οὕτως ἐπανήγαγεν ἀπὸ Βαβυλῶνος, οὐκ ἐν τῇ τῶν δεινῶν ἀπαλλαγῇ, ἀλλὰ καὶ ἐν τῷ θαύματι τῶν γινομένων λαμπροτέρους αὐτοὺς ἐργασάμενος. καὶ ἀγαλλιάσονται ἐπὶ τῶν κοιτῶν αὐτῶν. πολλὴν δείκνυσι τὴν ἄδειαν, ἐξ ὧν οὕτως ἐπανῆλθε, πολλὴν τὴν αἴνεσιν, πολλὴν τὴν εὐφροσύνην, πολλὴν τὴν ἡδονήν. ταῦτα δὲ λέγει, ὥστε εἰδέναι αὐτοὺς, ὅτι οὐκ οἰκείοις ὅπλοις οὐδὲ οἰκείᾳ δυνάμει, ἀλλὰ τῇ τοῦ Θεοῦ ῥοπῇ τὸ πᾶν γέγονε· καὶ ὅτι ταύτην ἐπισπᾶσθαι δεῖ διὰ ταπεινοφροσύνης καὶ πρᾳότητος. αἱ ὑψώσεις τοῦ Θεοῦ ἐν τῷ λάρυγγι αὐτῶν, καὶ αἱ ῥομφαῖαι δίστομοι ἐν ταῖς χερσὶν αὐτῶν. τοῦ ποιῆσαι ἐκδίκησιν ἐν τοῖς ἔθνεσιν, ἐλεγμοὺς ἐν τοῖς λαοῖς. ἐνταῦθα τὸν μετὰ χορείας πόλεμον δηλοῖ, καὶ ὅτι ᾄδοντες καὶ ὑμνοῦντες οὕτω περιέσονται. ὑψώσεις γὰρ, τὰς ὑμνολογίας, τὰς ψαλμῳδίας, τὰς εὐχαριστίας λέγει. διὸ καὶ ἕτερος τὰς ὑψώσεις, ὑμνολογίας εἶπε. τοῦ ποιῆσαι ἐκδίκησιν ἐν τοῖς ἔθνεσι, ἐλεγμοὺς ἐν τοῖς λαοῖς. τί ἐστι τοῦτο; ἐπειδὴ τὸν πάντα χρόνον κρατήσαντες ὠνείδιζον, ἐλέγξαι αὐτοὺς διὰ τῶν ἔργων ἐπαγγέλλεται, καὶ δεῖξαι διὰ τῶν ἔργων αὐτῶν, ὅτι οὐχ ἡ τοῦ Θεοῦ ἀσθένεια, ἀλλ' αἱ αὐτῶν ἁμαρτίαι ἔδωκαν αὐτοῖς κρατῆσαι. ὅτε γοῦν δίκην ἔδοσαν ἱκανὴν, ἔνευσε μόνον ὁ φιλάνθρωπος Θεὸς, καὶ τὰ πράγματα εἰς θαυμαστὴν ἦλθε μεταβολήν. καὶ ὅρα τῆς νίκης τὴν ὑπερβολήν. ἐπάγει γὰρ καὶ λέγει· τοῦ δῆσαι τοὺς βασιλεῖς αὐτῶν ἐν πέδαις, καὶ τοὺς ἐνδόξους αὐτῶν ἐν χειροπέδαις σιδηραῖς. εἶδες περιουσίαν ἰσχύος; οὐ γὰρ ἀπήλασαν τοὺς πολεμίους μόνον, οὐδὲ ἀπώσαντο, ἀλλὰ καὶ δεσμώτας λαβόντες ἐπανῆλθον, πᾶσιν ἐπιδεικνύμενοι τοῦ Θεοῦ τὴν ἰσχύν. τοῦ ποιῆσαι ἐν αὐτοῖς κρίμα ἔγγραπτον. τί ἐστι, κρίμα ἔγγραπτον; φανερὸν, ὡμολογημένον, οὐ δυνάμενον λήθῃ παραδοθῆναι. τὰ γὰρ τοῦ Θεοῦ τοιαῦτα· καὶ τῷ μεγέθει τῶν κατορθωμάτων, καὶ τῇ τῆς θαυματουργίας ὑπερβολῇ, εἰς πάντα διατείνεται τὸν χρόνον. τοιαύτη οὖν ἔσται ἡ νίκη, φησὶ, καὶ τοιοῦτον τὸ τρόπαιον, ὡς ἅπασιν εἶναι δῆλον, οὕτω σαφὲς, καθάπερ ἐν στήλῃ γεγραμμένον καὶ μηδέποτε ἐξα-

A hic etiã sanctos. Deus enim vbique sua omnia ostendit cum miraculis. Ita eos liberauit ab Ægypto, ita eos reduxit à Babylone, non solùm in liberatione, sed etiam in rerum gestarum miraculo eos clariores efficiens. *Lætabuntur in cubilibus suis.* Magnam ostendit securitatem, quòd ita reducti sunt, magnam quietem, magnam lætitiam, magnam voluptatem. Hæc autem dicit, vt sciant non suis armis, nec suis viribus, sed Dei auxilio id totum factum esse, & oportere id attrahere per humilitatem & mansuetudinem. 6. *Exaltationes* B *Dei in gutture eorum, & gladij ancipites in manibus eorum.* 7. *Ad faciendam vindictam in nationibus, increpationes in populis.* Ostendit hîc bellum cum chorea gerendum, & quòd canentes & laudantes sic vincent. Exaltationes enim dicit hymnos, psalmos, gratiarum actiones. Et ideo exaltationes alius dicit hymnos. Ad faciendam vindictam in nationibus, increpationes in populis. Quid hoc est? Quoniam qui vicerant, assiduè probra in eos ingerebant, pollicetur se rebus ipsis eos redarguturum, & ostensurum quòd non Dei C imbecillitas, sed ipsorum peccata dederunt eis victoriam. Cùm itaque satis pœnarum dedissent, solum annuit benignus & clemens Deus, & res eorum in admirabilem venêre mutationem. Vide autem insignem victoriam. Subiungit enim, & dicit: 8. *Ad alligandos reges eorum in compedibus, & nobiles eorum in manicis ferreis.* Vidisti vires ingentes? Non solùm enim expulerunt hostes ac reiecerunt, sed iis etiam captis reuersi sunt, Dei potentiam omnibus ostendentes. 9. *Vt faciant in eis iudicium conscriptum.* Quid est iudi- D cium conscriptum? Apertum, manifestum, quod est in confesso, quod non potest dari obliuioni. Quæ enim Dei sunt, sunt eiusmodi, vt & rerum gestarum magnitudine & miraculorum excellentia in omne tempus extendantur. Talis ergo erit, inquit, victoria, & tale trophæum, vt sit omnibus manifestum, æquè apertum ac si esset in columna scriptum, & nunquam de-

Ps. 43. 74. 98.
Esa. 40. 41

Alius, Chaldæus Ionathan.

Iosue 10. 11. 12.

Iudicium cõscriptum.

leretur. *Gloria hæc est omnibus sanctis eius.* Quænam ea est? Vicisse, vel potius non absolutè vicisse, sed ita vicisse per Dei opem, per supernum auxilium. Vide autem quomodo rursus assiduè meminit sanctorum, eos ad bene instituendæ vitæ & virtutis studium excitans. Mihi autem videtur non victoriam tantum dicere gloriam, sed laudes, hymnos, & cantica, docens per omnia, quod qui Deum laudant, magnam gloriæ accessionem suscipient, & se clariores efficient, gratia & benignitate domini nostri Iesu Christi, cui gloria & potentia in secula seculorum, Amen.

A λειφόμενον. δόξα αὕτη ἐστὶ πᾶσι τοῖς ὁσίοις αὐτοῦ. ποία αὕτη; τὸ νικῆσαι, μᾶλλον δὲ οὐ τὸ νικῆσαι ἁπλῶς, ἀλλὰ τὸ οὕτω νικῆσαι, διὰ τῆς τοῦ Θεοῦ συμμαχίας, διὰ τῆς ἄνωθεν ῥοπῆς. ὅρα δὲ πῶς τῶν ὁσίων μέμνηται, διεγείρων αὐτοὺς εἰς τὴν τοῦ βίου καὶ τῆς ἀρετῆς ἐπιμέλειαν. ἐμοὶ δὲ δοκεῖ, οὐχὶ τὴν νίκην μόνον λέγειν δόξαν, ἀλλὰ καὶ τὸν αἶνον, καὶ τὰς μελῳδίας, καὶ τοὺς ὕμνους, παιδεύων διὰ πάντων, ὅτι Θεὸν ἀνυμνοῦντες, μεγάλην ἑαυτοῖς προστιθέασι δόξαν, καὶ λαμπροτέρους ἑαυτοὺς ἀπο- B φαίνουσι, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

In Psalmvm CL.

Laudate Deum in sanctis eius. Alius, In sancto suo. Alius, In sanctificato suo.

Vel hoc hîc dicit de populo, vel de vita sancta, & sanctis viris. Vide autem quomodo librum rursus cōcluserit gratiarum actione, docens nos oportere hoc esse principium & finem eorum quæ & facimus & dicimus. Et ideo dicit Paulus: Omne quocunque facitis in sermone & opere, semper gratias agite Deo & patri per ipsum. Ita etiam precationis nostræ procemium hinc capit initium. Dicere enim: Pater noster, est eorum qui agunt gratias propter dona quæ acceperunt, & ea omnia per hoc nomen ostendunt. Qui enim dixit patrem, confessus est filiorum adoptionem: Qui autem confessus est adoptionem: iustitiam, sanctificationem, redemptionem, peccatorum remissionem suppeditationem sancti Spiritus prædicauit. Oportet enim hæc omnia prius extitisse, vt nos filiorum adoptione sic fruamur, & qui patrem vocemus, digni habeamur. Mihi autem videtur aliud quoque innuere dicens: In sanctis

Coloss. 3. Patris appellatio, gratiarum est actio.

Εἰς τὸν ρν΄ ψαλμόν.

Αἰνεῖτε τὸν Θεὸν ἐν τοῖς ἁγίοις αὐτοῦ. ἄλλος, ἐν τῷ ἁγίῳ αὐτοῦ. ἄλλος, ἐν τῷ ἡγιασμένῳ αὐτοῦ.

C Ἤ περὶ τοῦ λαοῦ ἐνταῦθα τοῦτο λέγει, ἢ περὶ βίου ἁγίου καὶ ἀνδρῶν ἁγίων. ὅρα δὲ πῶς τὸ βιβλίον κατέκλεισε πάλιν εἰς εὐχαριστίαν, παιδεύων ἡμᾶς ὅτι τοῦτο καὶ ἀρχὴν, καὶ τέλος εἶναι δεῖ καὶ τῶν πραγμάτων καὶ τῶν ῥημάτων ἡμῶν. διὸ καὶ Παῦλός φησι· πᾶν ὅτι ἂν ποιῆτε ἐν λόγῳ καὶ ἔργῳ, πάντοτε εὐχαριστεῖτε τῷ Θεῷ καὶ πατρὶ D δι' αὐτοῦ. οὕτω καὶ τῆς εὐχῆς ἡμῶν τὸ προοίμιον ἐντεῦθεν ἔχει τὴν ἀρχήν. τὸ γὰρ λέγειν, πάτερ ἡμῶν, εὐχαριστούντων ἐστὶν ἐπὶ ταῖς γενομέναις δωρεαῖς, καὶ πάσας αὐτὰς διὰ τοῦ ὀνόματος τούτου δεικνύντων. ὁ γὰρ εἰπὼν πατέρα, τὴν υἱοθεσίαν ὡμολόγησεν· ὁ δὲ τὴν υἱοθεσίαν ὁμολογήσας, τὴν δικαιοσύνην, τὸν ἁγιασμόν, τὴν ἀπολύτρωσιν, τὴν τῶν ἁμαρτημάτων ἄφεσιν, τοῦ πνεύματος τὴν χορηγίαν ἀνεκήρυξε. δεῖ γὰρ ταῦτα πάντα προϋπάρξαι, ὥστε τῆς υἱοθεσίας ἡμᾶς οὕτως ἀπολαῦσαι, καὶ καλέσαι πατέρα ἀξιωθῆναι. ἐμοὶ δὲ ἕτερον δοκεῖ αἰνίττεσθαι λέγων· τὸ γὰρ ἐν τοῖς ἁγίοις αὐτοῦ,

αὐτοῦ, τουτέστι, διὰ τοὺς ἁγίους αὐτοῦ. εὐχαριστεῖτε οὖν ὅτι τοιαύτην πολιτείαν εἰς τὸν βίον εἰσήγαγεν, ἢ τοὺς ἀνθρώπους ἀγγέλους ἐποίησε. διὸ πρότερον ἐν τοῖς ἁγίοις εἰπὼν, τότε ἐπήγαγεν· αἰνεῖτε αὐτὸν ἐν στερεώματι δυνάμεως αὐτοῦ, ἐμφαίνων ὅπερ ἔφθην εἰπών. τοῦτο γὰρ μᾶλλον τῷ Θεῷ περισπούδαστον, ἢ ἐκεῖνο. καὶ γὰρ οὐρανὸς διὰ τὸν ἄνθρωπον γέγονεν, οὐκ ἄνθρωπος διὰ τὸν οὐρανόν. ἕτερος δὲ ἀντὶ τοῦ, ἐν στερεώματι, τῷ ἀκαθαιρέτῳ εἶπε· καὶ ἄλλος, ἐν στερεώματι κράτους αὐτοῦ. καὶ ἕτερον δέ μοι δοκεῖ αἰνίττεσθαι πάλιν, ὡς ἐν τῷ προτέρῳ ψαλμῷ. ὡς γὰρ ἐκεῖ εἶπεν, αἰνεῖτε αὐτὸν οἱ ἄγγελοι αὐτοῦ, οὕτω καὶ ἐνταῦθα, αἰνεῖτε αὐτὸν ἐν στερεώματι αὐτοῦ, τουτέστιν, οἱ ὄντες ἐν στερεώματι αὐτοῦ. οὐ γὰρ παύεται συνεχῶς κοινωνοὺς λαμβάνων τῆς εὐφημίας τὰς ἄνω δυνάμεις. αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις αὐτοῦ. ἄλλος, διὰ τὴν δυναστικὴν αὐτοῦ. ὁ δὲ Ἑβραῖός φησιν, ὀτεβουροφαῦ. ὁ δὲ λέγει, τοῦτό ἐστιν· αἰνεῖτε αὐτὸν διὰ τὰς δυναστείας αὐτοῦ, τὴν δύναμιν αὐτοῦ, διὰ τὰ θαύματα αὐτοῦ, διὰ τὴν ἰσχὺν, ἣν διὰ πάντων ἐπιδείκνυται, τὴν ἄνω, τὴν κάτω, τὴν κοινῇ, τὴν ἰδίᾳ, τὴν καθ᾽ ἕκαστον, τὴν διηνεκῶς. αἰνεῖτε αὐτὸν κατὰ τὸ πλῆθος τῆς μεγαλωσύνης αὐτοῦ. καὶ πῶς τοῦτο δυνατὸν, ἀντίρροπον τοῦ πλήθους τῆς μεγαλωσύνης αὐτοῦ ὕμνον ἀναγαγεῖν; οὐ τοῦτο λέγει, ὅτι ἀντίρροπον, ἀλλ᾽ ὅσον, φησὶ, δυνατὸν ἐκτείνειν, ἐννοεῖν τὸ πλῆθος τῆς μεγαλωσύνης αὐτοῦ, τοιοῦτον ὡς ἐγχωρεῖ σοι ἀνάφερε, ὃ δὴ εἰκὸς τοιούτῳ μεγάλῳ Θεῷ καὶ μεθ᾽ ὑπερβολῆς μεγάλῳ ἀναφέρειν ὕμνον ἄνθρωπον ὄντα. καὶ γὰρ ἄξιον οὐδεὶς ἀνενεγκεῖν δύναται. εἶδες πόθον ψυχῆς; εἶδες ἐκκαιομένην διάνοιαν, βιαζομένην, φιλονεικοῦσαν καὶ τὴν οἰκείαν ἀσθένειαν ὑπερβῆναι, καὶ ἀναπτῆναι λοιπὸν πρὸς αὐτὸν τὸν οὐρανὸν, συνδεδεμένην τῷ Θεῷ, ἀνακειμένην αὐτῷ πολλῷ τῷ πόθῳ; αἰνεῖτε αὐτὸν ἐν ἤχῳ σάλπιγγος. ἄλλος, δι᾽ ἤχου κερατίνης. ἄλλος, διὰ νάβλας καὶ λύρας. αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ καὶ χορῷ, αἰνεῖτε αὐτὸν ἐν χορδαῖς καὶ ὀργάνῳ. ἄλλος, διὰ χορδῶν καὶ κιθάρας. αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις· αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις ἀλαλαγμοῦ.

enim suis, id est, per sanctos suos. Gratias ergo agite quòd talem vivendi formam in vitam introduxerit, vel etiam homines angelos effecerit. Et ideo cùm prius dixisset, In sanctis subiunxit: *Laudate eum in firmamento virtutis eius.* id quod iam dixi, indicans. Hoc est enim Deo magis curæ quàm illud. Cœlum enim propter hominem, non propter cœlum homo factus est. Alius autẽ pro eo quod est, In firmamento dixit, In eo quod deleri non potest, Alius in firmamẽto potentiæ eius. Porrò autem aliud quoque mihi videtur significare, sicut in priori psalmo. Quemadmodũ enim illic dixit, Laudate eum angeli eius: ita etiam hîc dicit, Laudate eum in firmamẽto eius. Hoc est, qui estis in firmamẽto eius. Nõ cessat enim assiduè supernas quoque potestates assumere socias laudationis.

3. *Laudate eum in virtutibus eius.* Alius, per potentias eius. Hebræus autem dicit *Hoteburophau.* Hoc est autem quod dicit, Laudate eum propter vires eius, propter potentiam eius, propter miracula eius, propter virtutem, quàm ostendit per omnia, quæ sunt infrà, quæ sunt suprà, quæ communiter fiunt, & quæ priuatim, quæ sigillatim & quæ perpetuò. *Laudate eum secundum multitudinem magnitudinis eius.* Et quomodo fieri potest vt laudem emittat, quæ eius magnitudinis multitudini respondeat? Non dicit laudem quæ respondeat, sed quantam, inquit, potes animo comprehendere multitudinem eius magnitudinis, tantam & talem offer: quantum tibi conceditur, qualem par est offerre magno Deo, & supra modum magno, eum qui homo est. Nemo enim potest dignam offerre. Vidisti desiderium animi? vidisti inflammatam mentem, quæ vrget, inuitat, & contendit, vt vel propriam imbecillitatem superet, & ad ipsum deinceps cœlum euolet, quæ Deo est colligata, & ei magno desiderio dedicata?

Ps. 15. 70. Esa. 24. 2.

4. *Laudate eum in sono tubæ.* Alius, Per sonum cornu. *Laudate eum in psalterio & cithara.* Alius, Per nablum & lyram.

5. *Laudate eum in tympano & choro, laudate eum in chordis & organo.* Alius, Per chordas & citharam.

Hebr. & Chald. In clangore buccinæ.

6. *Laudate eum in cymbalis bene sonantibus, laudate eum in cymbalis iubilationis.*

Alius, In cymbalis significationis. *Omnis spiritus laudet Dominum.* Alius, Respiratio. Mouet omnia instrumenta, & iubet per omnia offerri Deo modulationem, eorum animum accendens & excitans. Quemadmodum ergo Iudæis per omnia instrumenta: ita nobis præcipit laudare Deum per omnia membra, per oculos, per linguam, per aures, & per manus. Quod quidem Paulus quoque significat, dicens: Exhibete corpora vestra hostiam viuam, sanctam, Deo bene placentem, rationalem cultum vestrum. Laudat enim oculus, quando non intuetur impudicè: & lingua, quando psallit: & auris, quando improbas cantilenas & accusationem proximi non suscipit: & mens, quando dolos non struit, sed scatet charitate: & pedes, quando non currunt in vitium, sed ad res bonas gerendas: & manus, quando non ad furta & rapinas, nec ad pulsandum & verberandum, sed ad eleemosynam, & eos defendendos quibus fit iniuria, extenduntur. Tunc enim fit homo numerosa cithara, numerosam quandam modulationem Deo offerens. Illa autem instrumenta tunc illis permissa fuerant, & propter eorum imbecillitatem, & quòd eos in charitate & concordia contemperarent, & mentem eorum excitarent, vt lubenter facerent quæ eis erant vtilia: & quòd per talem animi delectationem vellet eos ad maius studium adducere. Cùm enim Deus intelligeret quàm essent illiberales, socordes, & supini, eos hac ratione excitare voluit, eorum in assidendo laborem & assiduitatem iucunda modulatione temperans. Quid est autem in cymbalis significationis? Psalmos ita dicit. Neque enim temerè cymbalum pulsabant, nec temerè cithara sonabant, sed quantum fieri poterat, & per cymbala & per tubas & per citharam ostendebãt significationem psalmorum: & labor & studium quod in hæc conferebant, afferebat eis magnam vtilitatem. Omnis spiritus laudet Dominum. Postquam enim vocauit eos qui sunt in cœlis, postquam populum excitauit, postquam omnia instrumenta commouit, ad omnem deinceps naturam egreditur, omnem deinceps ætatem vocans ad modulationem, senes,

Rom. 12.

Membra nostra ut Deum laudent.

Musica instrumenta cur Iudæis permissa.

ἄλλος, ἐν κυμβάλοις σημασίας. πᾶσα πνοὴ αἰνεσάτω τὸν κύριον ἄλλος, ἀνακινεῖ τὰ ὄργανα, καὶ διὰ πάντων τὴν μελῳδίαν ἀναφέρεσθαι παρακελεύεται, διαθερμαίνων τὴν διάνοιαν αὐτῶν καὶ ἀνεγείρων. ὥσπερ οὖν οἱ Ἰουδαίοις διὰ πάντων τῶν ὀργάνων, οὕτως ἡμῖν παρακελεύεται διὰ πάντων τῶν μελῶν ἀνυμνεῖν τὸν Θεὸν, δι' ὀφθαλμοῦ, διὰ γλώττης, δι' ἀκοῆς καὶ διὰ χειρός. ὅπερ οὖν καὶ ὁ Παῦλος δηλοῖ λέγων, παραστήσατε τὰ σώματα ὑμῶν θυσίαν ζῶσαν, ἁγίαν, εὐάρεστον τῷ Θεῷ, τὴν λογικὴν λατρείαν ὑμῶν. αἰνεῖ γὰρ καὶ ὀφθαλμὸς, ὅταν μὴ ἀκόλαστα βλέπῃ· καὶ γλῶττα, ὅταν ψάλλῃ· καὶ ἀκοὴ, ὅταν μὴ δέχηται πονηρὰ ᾄσματα, μηδὲ κατηγορίας τοῦ πλησίον· καὶ διάνοια, ὅταν μὴ δόλους ῥάπτῃ, ἀλλὰ ἀγάπην βρύῃ· καὶ πόδες, ὅταν μὴ ἐπὶ πονηρίαν τρέχωσιν, ἀλλ' ἐπὶ ἀγαθῶν ἔργων οἰκονομίαν· καὶ χεῖρες, ὅταν μὴ ἐπὶ ἁρπαγὴν καὶ πληγὰς, ἀλλ' ἐπὶ ἐλεημοσύνην καὶ τὴν τῶν ἀδικουμένων προστασίαν ἐκτείνωνται. τότε γίνεται κιθάρα ἐμμελὴς ὁ ἄνθρωπος, ἡρμοσμένον τινὰ μελῳδίαν καὶ πνευματικὴν ἀναφέρων τῷ Θεῷ. καὶ τὰ ὄργανα δὲ ἐκεῖνα διὰ τοῦτο ἐπετέτραπτο τότε, διά τε τὴν ἀσθένειαν αὐτῶν, καὶ διὰ τὸ κιρνᾶν αὐτοὺς εἰς ἀγάπην καὶ συμφωνίαν, καὶ ἐγείρειν αὐτῶν τὴν διάνοιαν μεθ' ἡδονῆς ποιεῖν τὰ τὴν ὠφέλειαν παρεχόμενα, καὶ εἰς πολλὴν βούλεσθαι αὐτοὺς ἄγειν σπουδὴν διὰ τῆς τοιαύτης ψυχαγωγίας. τὸ γὰρ βάναυσον αὐτῶν καὶ ῥᾴθυμον καὶ ἀναπεπτωκὸς σωφρονίζων ὁ Θεὸς, ἀφυπνίζειν αὐτοὺς ταύτῃ μεθώδευσε τῇ σοφίᾳ, ἀνακεράσας τῷ πόνῳ τῆς προσεδρείας τὸ ἡδὺ τῆς μελῳδίας. τί δέ ἐστιν, ἐν κυμβάλοις σημασίας; τοὺς ψαλμοὺς οὕτω φησίν. οὐ γὰρ ἁπλῶς ἐκυμβάλιζον, οὐδὲ ἁπλῶς ἐκιθάριζον, ἀλλ', ὡς οἷόν τε ἦν, καὶ διὰ τῶν κυμβάλων, καὶ διὰ τῶν σαλπίγγων, καὶ διὰ τῶν τῆς κιθάρας ψαλμῶν τὰς σημασίας ἐνδεικνύμενοι. καὶ ἦν αὐτοῖς εἰς ταῦτα σπουδὴ καὶ πόνος πολὺ τὸ κέρδος φέρων. πᾶσα πνοὴ αἰνεσάτω τὸν κύριον. ἐπειδὴ γὰρ ἐκάλεσε τοὺς ἐξ οὐρανοῦ, ἐπειδὴ διήγειρε τὸν δῆμον, ἐπειδὴ τὰ ὄργανα ἅπαντα ἐκίνησεν, εἰς τὴν φύσιν πᾶσαν ἐκβαίνει λοιπὸν, πᾶσαν ἡλικίαν εἰς τὴν μελῳδίαν καλῶν, πρεσβύτας,

ἄνδρας, νέους, ἐφήβους, γυναῖκας, ἅπαντας τοὺς τὴν οἰκουμένην οἰκοῦντας, καὶ ἐντεῦθεν ἤδη προκαταβαλλόμενος τῆς καινῆς διαθήκης τὰ σπέρματα τοῖς πανταχοῦ γῆς ἐκτεταμένοις· αἰνῶμεν τοίνυν τὸν Θεὸν διηνεκῶς, μὴ διαλείπωμεν ὑπὲρ ἁπάντων εὐχαριστοῦντες, καὶ διὰ ῥημάτων καὶ διὰ τῶν πραγμάτων. αὕτη γὰρ ἡμῶν θυσία καὶ προσφορά, αὕτη λειτουργία ἀρίστη καὶ ταῖς ἀγγελικαῖς πολιτείαις ἐοικυῖα. κἂν διαμείνωμεν οὕτως αὐτὸν αἰνοῦντες, καὶ τὸν παρόντα βίον ἀπροσκόπως ἀνύσομεν, καὶ τῶν μελλόντων ἀπολαυσόμεθα ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

A viros, iuuenes, impuberes, mulieres; & omnes qui orbem terræ habitant: ex hoc loco noui testamenti iam semina deijciens, quod per vniuersum orbem terræ propagatum est. Deum ergo perpetuò laudemus, nec pro omnibus gratias agere & verbis & factis intermittamus. Hoc est enim nostrum sacrificium, & oblatio. Hoc est optimum ministerium, quod decet angelicam vitæ institutionem: & si Deum ita laudare perseueremus, & B præsentem vitam absque vlla offensione peragemus, & bona futura consequemur. Quæ detur nobis omnibus consequi gratia & miserationibus domini nostri Ie.u Christi: cum quo Patri cum sancto Spiritu gloria, honor, & potentia nunc, & semper, & in secula seculorum, Amen.

Laus Dei sacrificium et gratissimum.

Sancti patris nostri

IOANNIS CHRYSOSTOMI ARCHIEPISCOPI CONSTANTINOPOLITANI, Enarratio in Esaiam Prophetam.

Godefrido Tilmanno Cartusiæ Parisiensis monacho interprete.

QVANAM potissimum virtute Propheta hic cæteris præluxerit, nosse quidẽ vel maximè liceat ex opere ipsius. Atqui Paulus eã ipsam absolutiùs prodit in apertã lucem, quippe qui ipsius virtutes cęteris expressiùs nosset, vtpote qui loquutus sit tanta cum spiritus vehementia. Ipsius enim ingenuã in loquẽdo libertatẽ, inuictã nec seruilem constantiã, mentẽ ad ardua erectã, inq. edendis (quæ de Christo erãt) propheticis oraculis multã eius perspicuitatẽ repræsentans Paulus, vniuersa hæc, vnica exprimit sentẽtia, dicẽs: Esaias autẽ audet & dicit, inuentus sum ab his qui me nõ quęrebãt: palã apparui iis qui me nõ interrogabant. Multũ insuper & in animo alienis cõdolebat malis. Etenim aduersus vecordẽ populi amentiã non solum insurgebat, nõ itẽ liberiore tãtum lingua ac sentẽtia sublimiore, multa cũ fiducia loquẽdi denũciabat, quę eos apprehẽsurę essent afflictiones: sed & quũ illi variis casibus vrgerẽtur, nihil minus atq. illi qui inciderãt, dolebat, & mordicus cruciabatur, imò præ iis qui ab hostib intercipiebãtur, tantò amarius lugebat. Etenim apud oẽs (vt ita loquar) Prophetas ac sanctos ea inualuit cõsuetudo, vt propensam illã erga liberos patrum indulgẽtiã pio quodã erga subditos texerint affectu, & naturæ tyrãnidẽ vehemẽtia amoris deuicerint. Nemo enim, nemo vnquã tanto beneuolẽtiæ studio in liberos suos exarsit, vt hi qui cũ luctuosis lamẽtis votis expetebãt pro subditis mortem

Ad Rom. 10. 20.

Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν

ΙΩΑΝΝΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ τοῦ Χρυσοστόμου ἑρμηνεία εἰς τὸν προφήτην Ἡσαΐαν.

ΤΟΥ προφήτου τούτου τὸ ἐξαίρετον, μάλιστα μὲν καὶ αὐτόθεν ἐστὶν ἰδεῖν· δείκνυσι δὲ αὐτὸ ἐντελέστερον ὁ πάντων ἀκριβέστερον τὰς ἀρετὰς αὐτοῦ εἰδὼς Παῦλος, ἅτε πνεύματι τοσούτῳ φθεγγόμενος. τὴν γὰρ ἐλευθεροστομίαν αὐτοῦ, καὶ τὸ φρόνημα τὸ ἀδούλωτον, καὶ τὴν ὑψηλὴν γνώμην, καὶ τὴν πολλὴν ἐν τῇ περὶ τοῦ Χριστοῦ προφητείᾳ σαφήνειαν ἐνδεικνύμενος, ἅπαντα ταῦτα ἑνὶ ῥήματι παρέστησεν εἰπών· Ἡσαΐας δὲ ἀποτολμᾷ καὶ λέγει, εὑρέθην τοῖς ἐμὲ μὴ ζητοῦσιν, ἐμφανὴς ἐγενόμην τοῖς ἐμὲ μὴ ἐπερωτῶσι. πολὺ δὲ αὐτοῦ καὶ τὸ συμπαθές. οὐ γὰρ δὴ μόνον κατεξανίστατο τῆς τοῦ δήμου μανίας, οὐδὲ ἐλευθέρᾳ γλώττῃ καὶ ὑψηλοτέρᾳ γνώμῃ τὰ μέλλοντα αὐτοῖς καταλήψεσθαι λυπηρὰ μετὰ πολλῆς ἀπήγγειλε τῆς παρρησίας· ἀλλὰ καὶ ἐν αὐταῖς ταῖς τῶν πραγμάτων περιστάσεσιν αὐτῶν, οὐκ ἔλαττον τῶν ἐμπιπτόντων ἀλγεῖ καὶ δάκνεται, καὶ πικρότερον τῶν ἁλόντων ὀδύρεται. καὶ πάντων δὲ, ὡς εἰπεῖν, τῶν προφητῶν καὶ τῶν ἁγίων τοιοῦτον τὸ ἦθος· πατέρων φιλοστοργίαν τῇ περὶ τοὺς ἀρχομένους ἀπέκρυψαν διαθέσει, καὶ τὴν τῆς φύσεως τυραννίδα ἐκ πολλοῦ τοῦ περιόντος ὑπερηκόντισαν. οὐδεὶς γὰρ, οὐδείς ποτε φιλόπαις οὕτω τῶν ἐκγόνων περιεκαίετο, ὡς οὗτοι τῶν ἀρχομένων ὑπεραπέθνησκον, ὀδυρό-

μένοι, θρηνοῦντες, κακῶς πασχόντων αὐτῶν τὸν Θεὸν παρακαλοῦντες, συναπαγόμενοι, κοινωνοῦντες τῶν δεινῶν, πάντα καὶ ποιοῦντες καὶ πάσχοντες, ὥστε αὐτοὺς ἐξελέσθαι καὶ τῆς ἄνωθεν ὀργῆς, καὶ τῆς τῶν πραγμάτων ἐπιδρομῆς· καὶ γὰρ οὐδὲν οὕτως ἐπιτήδειον εἰς ἀρχῆς αἵρεσιν, ὡς ψυχὴ φιλόσοφος καὶ συναλγεῖν ἐπισταμένη. διὰ τοῦτο καὶ Μωϋσέα τὸν μέγαν ἐπὶ τὸν θρόνον τῆς δημαγωγίας ἀνεβίβασεν ὁ Θεός, ἐπειδὴ πρότερον διὰ τῶν ἔργων ἐπεδείξατο τὴν ὑπὲρ τοῦ δήμου φιλοστοργίαν. καὶ μετὰ ταῦτα ἔλεγεν, εἰ μὲν ἀφεῖς αὐτοῖς τὴν ἁμαρτίαν, ἄφες· ἐπεὶ κἀμὲ ἐξάλειψον ἐκ τῆς βίβλου ἧς ἔγραψας. καὶ αὐτὸς οὗτος ὁρῶν ἀπολλυμένους αὐτούς, ἔλεγεν· ἄφετέ με, πικρῶς κλαύσομαι. μὴ κατισχύσητε παρακαλεῖν με ἐπὶ τὸ σύντριμμα τῆς θυγατρὸς τοῦ γένους μου. ὁ δὲ Ἱερεμίας καὶ θρήνους μακροὺς συνέθηκε τῆς πόλεως κατενεχθείσης. Ἰεζεκιὴλ δὲ καὶ συναπῆλθε, καὶ τὴν ἀλλοτρίαν τῆς οἰκείας κουφοτέραν εἶναι ἐνόμιζε, μέγιστον εἰς παραμυθίαν τῆς συμφορᾶς ἔχων τὸ παρεῖναι τοῖς κάμνουσι, καὶ διορθοῦν τὰ ἑτέρων πράγματα. καὶ ὁ Δανιὴλ δὲ ὑπὲρ τῆς ἀνόδου τῆς τούτων εἴκοσι καὶ πλείους ἡμέρας διέμεινεν ἄσιτος, καὶ πᾶσαν σπουδὴν ἐπεδείξατο, τὸν Θεὸν ἱκετεύων ἀφεθῆναι τῆς πικρᾶς δουλείας αὐτούς· καὶ τῶν ἁγίων δὲ ἕκαστος ἐντεῦθεν φαίνεται λάμπων. οὕτω καὶ ὁ Δαβὶδ ὁρῶν τὴν θεήλατον ὀργὴν ἐκείνην ἐπὶ τὸν δῆμον φερομένην, ἐφ' ἑαυτὸν ἐκάλει τὴν πληγήν, λέγων· ἐγὼ ὁ ποιμὴν ἥμαρτον, καὶ ἐγὼ ὁ ποιμὴν ἐκακοποίησα· καὶ οὗτοι τὸ ποίμνιον τί ἐποίησαν; γενέσθω ἡ χείρ σου ἐπ' ἐμοί, καὶ ἐν τῷ οἴκῳ τοῦ πατρός μου. καὶ Ἀβραὰμ ὁ πατριάρχης πόῤῥω τῶν κακῶν ἑστηκώς, καὶ οὐδὲν ἔχων κοινὸν πρὸς τὰ καταληψόμενα τοὺς ἐν Σοδόμοις κακά, ὡς ἐν αὐτοῖς μέσοις τοῖς δεινοῖς ἐμβεβηκώς, οὕτω παρεκάλει καὶ ἐδεῖτο τοῦ Θεοῦ, καὶ οὐδ' ἂν ἀπέστη πάντα ποιῶν καὶ λέγων, ὥστε λῦσαι τὸν χαλεπὸν ἐμπρησμὸν ἐκεῖνον, εἰ μὴ ὁ Θεὸς αὐτὸν ἀφεὶς ἀπῆλθεν.

A oppetere, querulo ploratu testãtes animi dolorẽ, Deũ implorãtes pro malè affectis, quib. accõmodabant se cõmunicantes eorũ malis. Denique nihil nõ faciebant & patiebantur, quò illos ab ira cœlesti & malorũ impendẽtium incursione eximerẽt. Etenim deligẽdo principi nihil tã idoneũ atq. accõmodum, vt est anima amãs sapiẽtiæ, & quæ nouerit lugere cũ lugẽtibus. Istius virtutis gratia Deus eximiũ illũ Moysem conscendere fecit thronũ publicæ administrationis, quod is operũ magnitudine prius declarasset suã erga populũ propensissimam dilectionẽ. B Post hæc reuersus est Moyses ad Dominum & dixit: Obsecro Domine, peccauit populus hic peccatũ magnum. Et nunc si dimittis eis peccatum, dimitte: sin autẽ, dele me de libro, quẽ scripsisti. Quin etiã hic Esaias quum alioqui cerneret illos pereũtes, dicebat: Dimittite me, amarè flebo. Ne cõtẽdatis, vt cõsolemini me, super contritione filiæ gentis meæ. Sed & Hieremias deiecta in humum ciuitate, lamẽtationes cõposuit prolixas admodũ. Ezechiel etiamnum cum aliis vnà profectus est in captiuitatẽ, & aliená regionẽ inhabitaturũ C se existimabat tolerabili' propria, eò maximè, vt ad subleuãdã calamitatem concaptiuorum adesset afflictis, aliorúmq. negocia legitimè disponeret ac moderaretur. Daniel insuper pro impetrãdo horum ascensu, diebus viginti atq. adeò plurib. ieiunus perseuerauit: ad id quoq. exorãdum, studium omne exhibebat supplicans Deo, vt eos expediret à tam amara seruitute. Sed & singulos quosq. sanctorum, merito virtutis istius palam est illustres euasisse ac celebres. Ad eundẽ modũ & Dauid quum videret illã insignẽ vindictã à Deo im- D missam atrociter grassari in populum, eam plagam inuitabat aduersum se, dicens: Ego qui pastor sum, peccaui: & ego qui pastor sum, iniquè egi. Et hi qui grex sunt, quid fecerunt? Fiat manus tua contra me, & in domum patris mei. Abraham patriarcha longè quum alienus esset & abhorrens à flagitiosa nequitia Sodomorum, nec quicquam haberet commune cum illis malis quæ Sodomitas erant apprehensura, quasi in medijs illorum calamitatibus consisteret, sic obtestabatur & orabat Deum, & neque ab oratione fuerat desiturus, nihil non faciens ac dicens, vt immane illud incendium fuerit repressurus, nisi Deus se ab eo illinc proripuisset.

Exod. 32. 31.

Esa. 22. 4.

2. Reg. 24. 17.

In nouo testamento vberius specimen A istius virtutis ediderūt sancti, nimirum perfrui pleniore gratia, & ad longè prolixiora certamina vocati. Ob hoc & Petrus quum à Christo audiisset, quia diuitibus introitus in cœlum summa cum difficultate patet, angebatur animo & intremiscebat, & percunctatus est: quis igitur potest saluus esse? etiam si is pro his quæ se contingerent, confirmarat animum. Neque enim illi quę sua essent, obseruabant: sed eorū satagebant, quæ ad salutem spectabant orbis vniuersi. Quin & Paulus per omnes nobis indicat epistolas eandem prorsus solicitudinem sibi non defuisse, qui ne Christum B quidem sustinebat videre, præ salute hominum, sic dicens: Dissolui & esse cum Christo, melius: permanere verò in carne, necessariū magis, propter vos. Talem nobis scribendi formulam conseruat propheta hic, tum multa cum libertate sententias Dei pronunciando, tum increpando peccatores, próque iis iugiter Deum deprecando, & per sermones multæ admodum prolixitatis docet Deum aduersus eos irritatum, quod videre est potissimum sub finem totius prophetiæ. Non inutile fuerit ha- C ctenus sumpsisse nostrę enarrationis exordium ab hisce procemiis.

οἱ δὲ ἐν τῇ καινῇ καὶ μείζονα ἀπεδείξαντο ταύτης τὴν ἀρετήν, ἅτε καὶ πλείονος ἀπολελαυκότες χάριτος, καὶ πρὸς μακρότερα κληθέντες σκάμματα. διὰ τοῦτο καὶ Πέτρος ἀκούων τοῦ Χριστοῦ λέγοντος, ὅτι τοῖς πλουτοῦσι δυσκολώτατη ἡ πρὸς τὸν οὐρανὸν εἴσοδος, ἠγωνία καὶ ἔτρεμε, καὶ πυθέσθαι προσῆγε λέγων· τίς ἄρα δύναται σωθῆναι; καὶ τοί γε ὑπὲρ τῶν καθ' ἑαυτὸν θαῤῥῶν πραγμάτων. οὐ γὰρ τὸ ἑαυτῶν ἐσκόπουν, ἀλλὰ τῆς οἰκουμένης ἐφρόντιζον. καὶ Παῦλος δὲ δι' ὅλου τοῦτο ἡμῖν ἐνδείκνυται τῶν ἐπιστολῶν· ὃς οὐδὲ τὸν Χριστὸν ἰδεῖν ἠνέσχετο περὶ τῆς τῶν ἀνθρώπων σωτηρίας, οὕτω λέγων· τὸ ἀναλῦσαι καὶ σὺν Χριστῷ εἶναι κρεῖσσον, τὸ δὲ ἐπιμεῖναι τῇ σαρκὶ ἀναγκαιότερον δι' ὑμᾶς. τοιοῦτον καὶ οὗτος ἡμῖν διατηρεῖ τὸν χαρακτῆρα ὁ προφήτης, καὶ λέγων τὰς ἀποφάσεις τοῦ Θεοῦ μετὰ πολλῆς τῆς παῤῥησίας, καὶ ἐπιτιμῶν τοῖς ἁμαρτάνουσι, καὶ παρακαλῶν αὐτὸν συνεχῶς καὶ διὰ μακρῶν τῶν λόγων παροξυνόμενον κατ' αὐτῶν. καὶ τοῦτο μάλιστα πρὸς τὸ τέλος τῆς προφητείας ἔστιν ἰδεῖν· τέως δὲ αὐτῶν ἀναγκαῖον ἄρξασθαι τῶν προοιμίων.

IN CAP. I.

Visio, quam vidit Esaias.

VISIONEM vocat prophetiam, siue quia per ipsam nō pauca videret eorum quæ essent euentura: quemadmodū Micheas D populum vidit dispersum. Ezechiel item captiuitatē est intuitus, eorū quoq. pręuaricationē, qui procidētes adorabāt Solē & Thamuzē. Aut certè quòd auditio prophetis à Deo exhibita, nihil obtineret momēti minus quā visio: sed perinde plenā fidē faceret, id quod nulli cōtigit eorum qui addicti sunt seculi istius curis. Quòd enim hi audiebant, secus ac reliqui hominum, eò dicit: Addidit mihi aurem ad audiendum. Sermonem proinde efficit dignum, cui fides habeatur, confirmans esse visionem: & animum excitat audi-

Ezech. 8. plangentes. Adonidem siue Solem.

ΚΕΦΑΛ. Α.

Ὅρασις, ἣν εἶδεν Ἡσαΐας.

ὍΡΑΣΙΝ καλεῖ τὴν προφητείαν, ἢ διὰ τὸ πολλὰ τῶν ἐκβησομένων ἐπ' αὐτῆς ὁρᾶν τῆς ὄψεως· ὡς ὁ Μιχαίας εἶδε τὸν λαὸν ἐσπαρμένον· καὶ ὁ Ἰεζεκιὴλ τὴν αἰχμαλωσίαν καὶ τὴν παρανομίαν τῶν τὸν ἥλιον προσκεκυνηκότων καὶ τὸν Θαμμούζην· ἢ διὰ τὸ τὴν ἀκοὴν τῶν προφητῶν τὴν ἐκ τοῦ Θεοῦ γινομένην αὐτοῖς, μηδὲν ἔλαττον ἔχειν τῆς ὄψεως, ἀλλ' ὁμοίως πληροφορεῖν, ὅπερ ἐν τοῖς βιωτικοῖς οὐκ ἔνι. ὅτι γὰρ ἑτέρως ἤκουον παρὰ τοὺς λοιποὺς τῶν ἀνθρώπων, φησί, προσέθηκέ μοι ὠτίον ἀκούειν. ποιεῖ δὲ καὶ τὸν λόγον ἀξιόπιστον, ὅρασιν εἰπών, καὶ ἀνίστησι τὸν ἀκροα-

τίω, καὶ παραπέμπει πρὸς τὸν τὰ πράγματα δείξαντα. ἔθος γὰρ αὐτοῖς ἅπασι τοῖς παρὰ τοῦ Θεοῦ διαπορθμεύουσι τὰ λεγόμενα, τοῦτο παρὰ τῶν ἀκόων κατασκευάζειν, ὡς οὐδὲν οἴκοθεν φθέγγονται, ἀλλ᾽ ὅτι θεῖοι χρησμοί τινές εἰσι τὰ λεγόμενα, καὶ γράμματα ἐκ τῶν οὐρανῶν καταβαίνοντα. οὕτω καὶ ὁ Δαβίδ· ἡ γλῶσσά μου κάλαμος γραμματέως ὀξυγράφου. μὴ τοίνυν τοῦ καλάμου νόμιζε εἶναι τὰ γράμματα, ἀλλὰ τῆς κατεχούσης αὐτὸν δεξιᾶς, τουτέστι, μὴ τῆς γλώττης τοῦ Δαβίδ, ἀλλὰ τῆς κινούσης αὐτὸν χάριτος. καὶ ἕτερος δὲ προφήτης τοῦτο αὐτὸ ἐνδεικνύμενος ἔλεγεν, ὅτι αἰπόλος ἤμην, φησὶ, συκάμινα κνίζων· ἵνα μὴ ἀνθρωπίνῃ σοφίᾳ τὰ λεγόμενά τις λογίσηται. καὶ οὐδὲ τούτῳ ἠρκέσθη μόνον, ἀλλὰ καὶ ἕτερόν τι προστέθηκεν εἰπών· ἀλλὰ μὴν ἐγὼ ἐνεπλήσθην ἰσχύος ἐν πνεύματι κυρίου, καὶ κρίματος, καὶ δυναστείας. οὐ γὰρ δὴ μόνον σοφοὺς αὐτοὺς ἡ χάρις, ἀλλὰ καὶ ἰσχυροὺς εἰργάζετο, οὐ τῇ τοῦ σώματος κατασκευῇ, ἀλλὰ τῇ γνώμῃ. ἐπεὶ γὰρ πρὸς δῆμον εἶχον ἰταμὸν καὶ ἀναίσχυντον, αἱμάτων διψῶντα προφητικῶν, καὶ σφαγαῖς ἁγίων ἐμμελετῶντα, εἰκότως πολλῆς ἐδέοντο τῆς δυνάμεως, ὥστε μὴ καταπλαγῆναι τὴν ἄφατον αὐτῶν ῥύμην. διὰ δὴ τοῦτο μὲν Ἱερεμίας φησὶ, τέθεικά σε ὡς στύλον σιδηροῦν, καὶ ὡς τεῖχος χαλκοῦν. ὁ δὲ Ἰεζεκιὴλ, ἐν μέσῳ σκορπίων σὺ κατοικεῖς, μὴ φοβηθῇς ἀπὸ προσώπου αὐτῶν, μηδὲ πτοηθῇς. καὶ Μωϋσῆς δὲ, ἡνίκα ἀπεστέλλετο, οὐχὶ τὸν Φαραὼ δεδοικὼς, ἀναδύεσθαί μοι δοκεῖ μόνον, ἀλλ᾽ αὐτὸν μάλιστα τὸν δῆμον τῶν Ἰουδαίων. τῷ γοῦν Θεῷ διαλεγόμενος, καὶ τὸν βάρβαρον, μετὰ πολλῆς τῆς σπουδῆς μαθεῖν ἐζήτει, τί δεῖ πρὸς αὐτοὺς εἰπεῖν ἀπιστοῦντας, ὅτι δὴ παρὰ Θεοῦ ἀφιγμένος εἴη, καὶ τὰ σημεῖα τῆς ἐκείνων ἕνεκεν ἐλάμβανε γνώμης· καὶ μάλα εἰκότως. εἰ γὰρ εἷς αὐτὸν οὕτως ἐφόβησε, καὶ ταῦτα εὐεργετηθεὶς, τί εἰκὸς ἦν παθεῖν συνοικοῦντα τὸν ἄτακτον δῆμον ἐκεῖνον; διὰ τοῦτο οὐχὶ σοφίας μόνον, ἀλλὰ καὶ δυνάμεως ἐλάμβανε πνεῦμα, καὶ ἔλεγεν· ἐνεπλήσθην ἰσχύος ἐν πνεύματι κυρίου, καὶ κρίματος, καὶ δυνα-

A toris, trãſmittens ad eum, qui res videndas exhibuit. Mos enim fuit in vniuerſum iis qui accepta à Deo oracula in alios trãſmittunt & euulgãt, primo loco ea cõſtituere, ne quid videretur ſuopte ingenio loqui: ſed quia quæ à ſe dicerentur, diuina eſſent quædã oracula ac literæ è cœlis delatæ. Ad hanc ſcribẽdi formulã dicebat eximius Dauid: Lingua mea, calamus ſcribæ velociter ſcribentis. (*Pſal. 44.*) Atqui nolim exiſtimes haſce litteras calamo ſcriptorio quo exarantur: ſed ei dexteræ quæ mentẽ prophetæ occupabat, adſcribendas eſſe, hoc eſt, non B linguæ ipſius Dauid aſſignãdas, ſed gratiæ ipſum ad hoc promouẽti. Alter rurſum hoc indicans dicebat. Quia caprarius eram, ſycomoros vellicans. (*Amos 7.*) Hoc eò ſcripſit, ne quis humanæ imputaret ſapientiæ quæ à ſe dicerentur. At ne hoc quidẽ dicto ſibi ſatisfecit: adiecit inſuper aliud quiddã dicens: Attamẽ impletus ſum fortitudine in ſpiritu Domini, & iudicio, & potẽtia. Et hos quidẽ gratia non ſapientes ſolum, ſed & fortes ac tutos efficiebat, nõ quidẽ ſolida corporis conſtitutione, ſed animi propẽſione. C Hi etenim quum eſſent ſermonẽ habituri ad populum præfidentẽ & temerarium ac neſcium pudoris, quiq; ſitiret inhiãbat ſanguini prophetarum, totáq; animi cogitatione neces ſpirabat ſanctorum, meritò illis opus fuerat virtute nec mediocri, vt ne ad eorum ineffabilẽ impetum animis exciterẽtur. Planè ob hoc dicit Deus Hieremiæ: Poſui te, vt columnã ferreã, & vt murũ æneum. (*Cap. 1.*) Ezechieli autẽ: In medio ſcorpionũ tu habitas. Ne timeas à facie eorum, neque expaueſcas. (*Cap. 2.*) Moyſes inſuper quo tẽpore mittebatur, mihi videtur eã detrectaſſe D legationẽ nõ modò timore Pharaonis: ſed quia populũ Iudaicum vel maximè timeret. Cum Deo quippe verba faciẽs, ſeq; profeſſus barbaræ eſſe linguæ, multa cum ſedulitate diſcere cupiebat, quid ſibi eſſet dicẽdum apud minimè credituros, quòd à Deo legatus aduenisſet, & eius legationis cauſa ſignorũ edendorũ accepiſſet gratiã ad executionẽ diuini cõſilij. Neq; id iniuria factũ eſt. Si enim vnus ipſum tantopere terruit Pharao, idq; beneficio etiãnum affectus: quo nõ timore percelli cõueniebat ſecum cogitantẽ, quàm eſſet populus ille turbulentus & inconditæ vitæ? Ob hoc ſapientiæ ſpiritum nec ſolum accepit, ſed & virtutis. Proinde dicebat: Impletus ſum fortitudine in ſpiritu domini & iudicio & virtu-

Hier. 1.

Naum 1.

ce. Porrò alter rursum, verbum Dei factum est ad Hieremiã filium Chelciæ. Alius item, Assumptio Niniue. Et, Liber visionis Naum, Elcesæi. Quin hic Esaias altero quidem verbo, sed idem cum prius inductis declarat, nempe detentionem siue acceptionem spiritus λῆμμα assumptionem vocans. Is enim quum à spiritu assumeretur, hoc nomine significabat efficacem illam vim gratiæ sibi impertitæ. Eandem ob causam & Paulus per omnes sparsim epistolas interserit nomẽclaturam Apostolatus. Quod prophetæ faciebant, dicendo, Visio, sermo, assumptio, verbum: hoc ipsum & Paulus efficit nomine Apostolatus. Quemadmodum enim qui pronunciat visionem & verbum Dei, is vtique non propria efferet: itidem qui se vocat Apostolum, non ea docet quæ commentus est, & excogitauit, sed quæ iussit is qui mittit. Apostoli enim dignitas ex proprio nihil inferre debet, eóq; dicebat & Christus: Ne vocaueritis magistrum super terram. Vnus enim magister est vester, qui in cœlis est, declarans quia fons omnis atq; origo dogmatum nostrorum radicem è supernis sortita est, nempe ab ipso cœlorum domino, etiamsi inseruiant homines enunciãdis sermonibus. *Quam vidit Esaias.* Prophetæ quæ sanè viderunt, quonam pacto viderint, non nostræ est facultatis exprimere. Modum enim visionis eiusmodi nemini possibile est edisserere, præterquam ei & soli, qui doctrice experientia perspicuè didicit. Plerunque enim ne naturæ quidem operationem atque affectus vnus aliquis oratione repræsentare queat, multò magis nec modum quo Spiritus sanctus suas actiones efficaciter moderatur. Quòd si eum, qui vsus sit similitudinibus per se obscuris & incertis, oportet audacem esse, non quidẽ vt rem propositã dilucidè repræsentet: sed vt sub inuolucro sermonis nonnullã præbeat occasionem veritatis eliciẽdæ, crediderim hoc ipsum factum esse à prophetis. Verbi enim gratia, Natura aquarum, quæ illimes sint ac puræ, si Solis radios exceperit, mox illustrabitur & splendescet: sic & animæ prophetarum qualicunque sua ipsorum probitate primum expurgatæad susceptionem doni Spiritus sancti & splendore illo irradiatæ, dignæ sic efficiuntur & idoneæ ad accipiendam futurorum cognitionem. *filius Amos.* Cuius rei insinuandæ gratia commeminit & patris? Aut causa

Quo pacto viderint prophetæ.

A σίας. Καὶ ἕτερος δὲ πάλιν, ῥῆμα Θεοῦ ἐγένετο πρὸς Ἱερεμίαν τὸν τοῦ Χελκίου. καὶ ἕτερος δὲ πάλιν, λῆμμα Νινευΐ. καὶ, Βιβλίον ὁράσεως Ναοὺμ τοῦ Ἐλκεσαίου. καὶ αὐτὸς γὰρ οὗτος ἑτέρῳ ῥήματι τὸ αὐτὸ τοῖς προτέροις ἐνδείκνυται, τοῦ πνεύματος τὴν κατοχὴν λῆμμα καλέσας. ἐπειδὴ γὰρ λαμβανόμενοι ὑπὸ τοῦ πνεύματος οὕτως ἔλεγον, τὴν ἐνέργειαν τῆς χάριτος οὕτως ὠνόμασε. διὰ τοῦτο καὶ Παῦλος πανταχοῦ προστίθησι τῇ ἐπιστολῇ τὸ τῆς ἀποστολῆς ὄνομα· ὅπερ οἱ προφῆται ἐποίουν B διὰ τοῦ λέγειν, ὅρασις, καὶ λόγος, καὶ λῆμμα, καὶ ῥῆμα, τοῦτο διὰ τοῦ τῆς ἀποστολῆς κατασκευάζων ὀνόματος. ὥσπερ γὰρ ὁ λέγων ὅρασιν καὶ ῥῆμα Θεοῦ, οὐ τὰ οἰκεῖα φθέγγεται, οὕτω καὶ ὁ ἀπόστολον ἑαυτὸν καλῶν, οὐ τὰ παρ᾽ ἑαυτοῦ διδάσκει, ἀλλ᾽ ἅπερ ὁ ἀποστέλλων ἐκέλευσεν. ἀποστόλου γὰρ ἀξίωμα, μηδὲν οἴκοθεν ἐπεισάγειν. διὸ καὶ ὁ Χριστὸς ἔλεγε· μὴ καλέσητε διδάσκαλον ἐπὶ τῆς γῆς· εἷς γὰρ ὑμῶν ἐστιν ὁ διδάσκαλος ὁ ἐν τοῖς οὐρανοῖς· δεικνὺς, ὅτι πᾶσα τῶν παρ᾽ ἡμῖν δογμάτων ἡ ἀρχὴ C τὴν ῥίζαν ἄνωθεν ἔλαβεν ἐκ τοῦ τῶν οὐρανῶν δεσπότου, κἂν ἄνθρωποι ὦσι πρὸς τὰ λεγόμενα διακονούμενοι. Ἣν εἶδεν Ἡσαΐας. Τὸ πῶς ὁρῶσιν οἱ προφῆται ταῦτα, ἅπερ ὁρῶσιν, οὐχ ἡμέτερον εἰπεῖν (οὐ γὰρ δυνατὸν ἑρμηνευθῆναι λόγῳ τὸν τρόπον τῆς ὄψεως) ἀλλ᾽ ἐκεῖνος μόνος οἶδε σαφῶς, ὁ τῇ πείρᾳ μαθών. εἰ γὰρ φύσεως ἔργα καὶ πάθη πολλάκις οὐδεὶς ἂν παραστήσειε λόγῳ, πολλῷ μᾶλλον τὸν τρόπον τῆς τοῦ πνεύματος ἐνεργείας. Εἰ δὲ ἀμυδραῖς εἰκόσιν ἀποχρησάμενον δεῖ κατατολμῆσαι, οὐχ D ὥστε τὸ σαφὲς παραστῆναι, ἀλλ᾽ ὥστε αἰνίγματι παραδεῖξαι, ἐμοὶ δοκεῖ τοιοῦτό τι καὶ ἐπὶ τῶν προφητῶν γίνεσθαι, οἷον ἂν εἰ ἡ καθαρῶν ὑδάτων φύσις ἡλιακὰς ἀκτῖνας δεξαμένη καταυγασθείη· οὕτω καὶ τῶν προφητῶν τὰς ψυχὰς κεκαθαρμένας οἰκείᾳ ἀρετῇ πρότερον ὑποδέχεσθαι τὴν τοῦ πνεύματος δωρεὰν, καὶ πρὸς τὴν λαμπηδόνα ποιουμένας ἐκείνην, οὕτω δέχεσθαι τὴν μελλόντων τὴν γνῶσιν. υἱὸς Ἀμμώς· τίνος ἕνεκεν τοῦ πατρὸς μέμνηται; ἢ διὰ

τῆς ὁμωνυμίας, ἢ ὥστε μαθεῖν ὅτι οὐδὲν εὐτέλεια πατρὸς ἐπισκιάζει παιδὸς ἀρετήν· οὐδὲ εὐγένεια τοῦτο τὸ ἐκ μεγάλων φῦναι, ἀλλὰ τὸ μεγάλους αὐτοὺς γενέσθαι· οὗτος τε ἀσήμου πατρὸς ὤν, πάντων φαιδρότερος γέγονε, τῇ τῆς οἰκείας ἀρετῆς λάμψας ὑπερβολῇ. ἣν εἶδε κατὰ τῆς Ἰουδαίας καὶ κατὰ Ἱερουσαλήμ. τίνος ἕνεκεν διῃρημένως ἑκατέρων ἐμνημόνευσε τῶν χωρίων; ἐπειδὴ καὶ αἱ τιμωρίαι διῃρημένως γεγόνασι, καὶ ἐν διαφόροις καιροῖς, τοῦ Θεοῦ καὶ τοῦτο σοφῶς οἰκονομήσαντος, τὸ μὴ πάντας ἀθρόον ἀπολέσαι, ἀλλ' ἠρέμα καὶ κατὰ μικρόν, ὥστε τῇ τῶν ἀπαχθέντων τιμωρίᾳ τοὺς λειπομένους γενέσθαι σωφρονεστέρους. εἰ δὲ οὐκ ἐχρήσαντο εἰς δέον τῷ φαρμάκῳ, οὐχὶ τοῦ ἰατροῦ, ἀλλὰ τῶν καμνόντων τὸ ἔγκλημα. ποιεῖ δὲ αὐτὸ διὰ παντός, καὶ καθ' ἑκάστην γενεάν, οὐ πάντας ὁμοῦ τοὺς τὰ αὐτὰ ἁμαρτάνοντας, ὁμοῦ καὶ κολάζων (ἐπεὶ γάρ, ἂν ἅπαν ἡμῶν πάλιν συναπηρπάσθη τὸ γένος) ἀλλὰ τοὺς μὲν ἐνταῦθα ἀπαιτεῖ δίκην, αὐτοῖς τε ἐκείνοις κουφοτέραν τὴν ἐκεῖ κατασκευάζων κόλασιν, καὶ τοῖς συνακμάζουσιν αὐτοῖς μεγίστην τῆς ἐπὶ τὸ βέλτιον μεταβολῆς παρακατατιθέμενος ὑπόθεσιν· τοὺς δὲ μήτε οἴκοθεν, μήτε ἐκ τῆς τοιαύτης οἰκονομίας βουλομένους τι κερδαίνειν, τῇ ἀπαραιτήτῳ καὶ φοβερᾷ τῆς κρίσεως ταμιευόμενος ἡμέρᾳ. ἐν βασιλείᾳ Ὀζίου καὶ Ἰωάθαν, καὶ Ἄχαζ καὶ Ἐζεκίου, οἳ ἐβασίλευσαν τῆς Ἰουδαίας. καὶ τὸν καιρὸν ἀναγκαίως προστίθησι, τὸν φιλόπονον ἀκροατὴν παραπέμπων εἰς τὴν ἱστορίαν τῶν γεγενημένων. οὕτω γὰρ εὐμαθεστέρα ἡ προφητεία, εἰ μάθοιμεν, πῶς τῶν πραγμάτων διακειμένων, καὶ πῶς τῶν τραυμάτων ἐχόντων τῶν Ἰουδαϊκῶν, οὗτοι τὰ φάρμακα κατεσκεύασαν. ἄκουε οὐρανέ, καὶ ἐνωτίζου γῆ, ὅτι κύριος ἐλάλησε. πολλοῦ γέμει τοῦ θυμοῦ τὸ προοίμιον. εἰ γὰρ μὴ σφοδρά τις ἦν καὶ ἄφατος ἡ ὀργή, οὐκ ἂν τοὺς ἀνθρώπους ἀφείς, πρὸς τὰ στοιχεῖα τὸν λόγον ἀπέστρεψε. ποιεῖ δὲ αὐτό, οὐχ ὥστε τὴν ὀργὴν ἐνδείξασθαι μόνον, ἀλλ' ὥστε καὶ αὐτοὺς τοὺς ἀκούειν μέλλοντας μετὰ πολλῆς ἐντρέψαι τῆς ὑπερ-

A tollendæ æquiuocationis, aut certè, vt doceamur, quia vilitas paterni generis nulla ex parte obscurat filij virtutem, neque nobilitas cēsetur eo, quòd è magnatum sanguine sis prognatus: sed si ipse efficiaris magnus. Hic quippe ignobili patre progenitus cæteris omnibus illustrior euasit. *Quam vidit contra Iudæam & contra Hierusalem.* Quamobrē seorsim & distinctè vtriusque loci cōmeminit? quādoquidē vtriq. supplicia infligi debuerūt diuisim & discretis temporibus, Deo id sapienter dispensante, quò minus totā simul disperderet gentem: sed

Quæstio. Solutio.

B sensim & per partes, vt eorum contemplatione qui in captiuitatem vindicem peccatorū abrepti erant, reliqui fierent moderatiores ac resipiscerent. Medicamento autem hoc eis exhibito vt non fuerint opportunè vsi, & præterquam conueniebat: nō statim ea culpa in medicum reijcienda est, sed adscribenda imprudentiæ ægrotantium. Nullo non tempore facit hoc Deus, & per singulas quasque generationes, nō simul omnes qui eodem peccati genere deliquerint, simul etiā plectit. Ita enim genus omne nostrum rursus in extremā cladem præ-

C riperetur. Sed ab his quidem pœnam exigit hîc, illic iisdem leuiorē apparans cruciatum. Quinetiam his qui per ætatem simul adoleuerunt, maximā prius reseruans occasionem, vt in melius permutētur: quod si quidam nihil suomet studio ac sedulitate, non item contemplatione diuinæ dispēsationis voluerint quæstum vllum facere, horum pœnam reseruat in illum ineuitabilem ac tremendum iudicij diem. *In regno Oziæ, & Ioathan, & Achaz & Ezechiæ qui regnauerunt in Iudæa.* Vtiliter addit & tempus, auditorem studij laborisque patientem transmittens ad eorum, quæ gesta sunt,

D historiam. Ita enim prophetia facilius multò intelligetur, si didicerimus quo pacto res se habuerint, quò item modo Iudæis calamitatibus oppressis prophetæ remedia concinnarint. 2. *Audi cœlum & auribus percipe terra; quia Dominus loquutus est.* Hoc prooemium multa admodum redundat indignatione. Nisi enim hic indignationis motus vehemens fuisset nec explicabilis sermone, vtique hominibus præter decorum omissis, sermonem non detorsisset ad elementa. Sanè id facit, non vt vehementiam iræ declaret tantùm, sed vt ipsos qui audituri essent, per multam acrimoniam sermonis pudore suffunderet, ostendens,

quia homines ratione cohonestati multò peius afficiuntur elemetis ipsis nullo sensu suapte natura præditis. Porrò mos hic cæteris etiã prophetis familiaris fuit, vt curet faciendũ. Eam ob rem, missus ad Hieroboam propheta, omisso rege ad quem mittebatur, scite admodum sermonem ad altare conuertebat. Et Hieremias terram ipsam aduocabat dicens: Terra, terra, terra scribe virum hunc virum excommunicatum siue eiectitium. Alius rursum dicebat, Audite conualles, fundamenta terræ, *filios genui.* Non cõmune illud in omne hominum genus collatum beneficiũ opponit ipsis, cuiusmodi erat, quòd essent geniti: sed insigne quoddã ac præcipuum, nempe quia in filios adoptati essẽt. Deus enim nullo in loco scripturæ à beneficentia in nos collata suum orditur sermonem. Verbi gratia, initio statim orbis conditi hominem non eatenus factum, sed formaturus hoc honore dignatus est, dicens, Faciamus hominem ad imaginem nostram & ad similitudinem. Ad hæc, in nouo testamẽto ampliore nos affecit beneficio. Quum enim nihil dum essemus operati, imò veriùs mala innumera commissem, nos honorauit lauacro regenerationis. Ita & hîc videre liceat. Nec enim eos solum qui probè vixerũt, honorauit adoptione filiorum: sed & miserè in peccata prolapsos. Nec verò, vbi quempiã honore affecit ante susceptos labores, ab exitu laborum spoliat impertito semel honore, imò tunc cumulatiora rependit præmia exhausti agonis. *Et exaltaui.* Quæ in Ægypto, quæ in deserto, quæ in Palæstina gesserit, vno verbo cursim complexus est. Mos enim hic Deo est propter exuberantem in nos copiam beneficiorum, nõ sensim & per partes immorari eorum enarrationi quæ facta sunt. *Ipsi autem me spreuerunt.* Transgressi sunt, ait, legem meam, mandata dereliquerunt. 3. *Cognouit bos possessorem suum & asinus præsepe Domini sui.* Comparationes accusationẽ exaggerant, præsertim quum constiterint rerum aut personarum inæqualitate, quemadmodum & dicit Christus, Viri Niniuitæ surgent in iudicio cum generatione hac, & condemnabunt eam. Rursus, Regina Austri surget in iudicio, & condemnabit generationem hanc, quia venit à finibus terræ audire sapientiam Salomonis. Rursus Hieremias, Transito ad insulas Chetim, & videte in Cedar. Mittite & cognoscite, si mutabunt gentes deos

3. Reg. 13.
Hier. 22. 30.
Gen 1. 26.
Matth. 12.

A βολῆς, δῆλον ὅτι τῶν ἀναισθήτων φύσει στοιχείων χεῖρον οἱ λόγῳ τετιμημένοι διάκεινται. τοῦτο δὲ καὶ ἑτέροις ἔθος προφήταις ποιεῖν. διά τοι τοῦτο καὶ ὁ πρὸς τὸν Ἱεροβοὰμ ἀποσταλεὶς, ἀφεὶς τὸν βασιλέα, πρὸς ὃν ἀπεστάλη, τῷ θυσιαστηρίῳ διαλέγεται· καὶ Ἱερεμίας τὴν γῆν ἐκάλει λέγων, γῆ, γῆ, γῆ, γράψον τὸν ἄνδρα τοῦτον, ἄνδρα ἐκκήρυκτον. καὶ ἕτερος πάλιν ἔλεγεν, ἀκούσατε φάραγγες, θεμέλια τῆς γῆς, υἱοὺς ἐγέννησα. οὐ τὴν κοινὴν πρὸς πάντας ἀνθρώπους τίθησιν εἰς αὐτοὺς εὐεργεσίαν, ὅπερ ἦν τὸ γενέσθαι· ἀλλὰ B τὴν ἐξαίρετον, ὅπερ ἦν τοὺς υἱοὺς γενέσθαι. πανταχοῦ γὰρ ἀρχὴν τῶν εὐεργεσιῶν ὁ Θεός. καὶ ὥσπερ τὸν ἄνθρωπον πλάττων, οὐδέπω γενόμενον ἐτίμησε τῇ ἀρχῇ εἰπὼν, ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν· ἐπὶ δὲ τῆς καινῆς καὶ μειζόνως (οὐ γὰρ δὴ μόνον μηδὲν εἰργασμένους, ἀλλὰ καὶ μυρία κακὰ εἰργασμένους ἐτίμησε διὰ τῆς τοῦ λουτροῦ παλιγγενεσίας) οὕτω καὶ ἐνταῦθα ἔστιν ἰδεῖν, ὅτι τῇ υἱοθεσίᾳ οὐχὶ οὐ μόνον κατωρθωκότας, ἀλλὰ καὶ ἐσφαλκότας ἐτίμησεν. οὐ C μὴν ἐπὶ τιμῆς πρὸ τῶν πόνων, ἀποστερεῖ μετὰ τοὺς πόνους, ἀλλὰ καὶ τότε μείζονα δίδωσι τὰ ἔπαθλα. καὶ ὕψωσα. τὰ ἐν Αἰγύπτῳ, τὰ ἐν τῇ ἐρήμῳ, τὰ ἐν Παλαιστίνῃ, ἑνὶ ῥήματι περιέδραμεν. ἔθος γὰρ τῷ Θεῷ τοῦτο, διὰ τὴν περιουσίαν τῶν εὐεργεσιῶν μὴ κατὰ μικρὸν ἐνδιατρίβειν τῇ διηγήσει τῶν γεγενημένων. αὐτοὶ δέ με ἠθέτησαν. παρέβησάν μου, φησὶ, τὸν νόμον, τὰ προστάγματα κατέλιπον. ἔγνω βοῦς τὸν κτησάμενον, καὶ ὄνος τὴν φάτνην τοῦ κυρίου αὐτοῦ. αἱ συγκρίσεις αὔξησιν τῆς D κατηγορίας ποιοῦσι, καὶ μάλιστα ὅταν ἐξ ἀνίσων ὦσι· καθὼς καὶ ὁ Χριστός φησι· ἄνδρες Νινευῖται ἀναστήσονται ἐν τῇ κρίσει μετὰ τῆς γενεᾶς ταύτης, καὶ κατακρινοῦσιν αὐτήν. καὶ πάλιν, βασίλισσα νότου ἐγερθήσεται ἐν τῇ κρίσει, καὶ κατακρινεῖ γενεὰν ταύτην, ὅτι ἦλθεν ἐκ τῶν περάτων τῆς γῆς ἀκοῦσαι τὴν σοφίαν Σολομῶντος. καὶ Ἱερεμίας δὲ πάλιν φησί· πορεύθητε εἰς νήσους Χεττιμ, καὶ ἴδετε εἰς Κηδάρ. ἀποστείλατε καὶ γνῶτε, εἰ ἀλλάξονται ἔθνη θεοὺς

αὐτῶν· ὁ δὲ λαός μου ἠλλάξατο τὴν δόξαν αὐτοῦ, ἐξ ἧς οὐκ ὠφεληθήσεται. τὸ ἀνεπαχθὲς τῆς νομοθεσίας δείκνυσι, καὶ ὅσον ἀπαιτεῖ παρὰ τῶν ἀνθρώπων μέτρον, ὃ καὶ ἀλόγοις εὔκολον κατορθῶσαι, καὶ ἀλόγων τοῖς ἀνοητοτέροις. ἀλλ' ἐρεῖ τις, ὅτι ἐκεῖνα ἐν τῇ φύσει ἔχει τὸ γνωρίζειν. ἀλλὰ δυνατὸν τὰ φύσει κατορθούμενα ἐκείνοις, ἐκ προαιρέσεως ὑφ' ἡμῶν γίνεσθαι. ἔγνω βοῦς τὸν κτησάμενον· οὐ τῷ ἐξαιρέτῳ τῆς δωρεᾶς τιθεὶς αὐτούς, ἀλλὰ τῇ ὑπερβολῇ τῆς κακίας αὐτῶν αὔξει τὴν κατηγορίαν. ὥσπερ γὰρ εἰς ἐντροπὴν αὐτῶν τὰ στοιχεῖα καλεῖ, οὕτω πάλιν οὐκ ἀνθρώποις, ἀλλὰ ἀλόγοις αὐτοὺς συγκρίνει, καὶ τούτων τοῖς ἀνοητοτάτοις· καὶ δείκνυσι χείρους κἀκείνων. οὕτω καὶ Ἱερεμίας ποιεῖ, τρυγόνα καὶ χελιδόνα παράγων εἰς μέσον, καὶ ὁ Σολομῶν δὲ νῦν πρὸς τὴν μύρμηκα, νῦν δὲ πρὸς τὴν μέλιτταν πέμπων τὸν ἀργὸν βίον ζῶντα. Ἰσραὴλ δέ με οὐκ ἔγνω. ἐπίτασις κακίας, ὅταν καὶ οἱ ᾠκειωμένοι, καὶ μετὰ τοσαύτας τιμάς, καὶ πάντες ἀθρόον πρὸς τὴν κακίαν ὦσιν ηὐτομοληκότες. οὐκ εἶπεν, Ἰακώβ, ἀλλ' Ἰσραήλ, ὥστε τῇ ἀρετῇ τοῦ προγόνου τῶν ἐκγόνων μείζονα δεῖξαι τὴν ἀγνωμοσύνην. ὁ μὲν γὰρ τῇ τῆς ψυχῆς ἀρετῇ τὴν εὐλογίαν ἐπεσπάσατο τὴν τῆς προσηγορίας, οἱ δὲ διὰ τῆς παρανομίας αὐτὴν προὔδωκαν. καὶ ὁ λαός μου ἐμὲ οὐ συνῆκεν. ἐμέ, φησι, τὸν τοῦ ἡλίου φανερώτερον. οὐαὶ ἔθνος ἁμαρτωλόν. καὶ τοῦτο τοῖς προφήταις ἔθος, τοὺς τὰ ἀνίατα νοσοῦντας θρηνεῖν. οὕτω καὶ Ἱερεμίας πολλαχοῦ· οὕτω καὶ ὁ Χριστὸς λέγων· οὐαί σοι Χοραζίν, οὐαί σοι Βηθσαϊδά· ἐπεὶ καὶ τοῦτο διδασκαλίας εἶδος. ὃν γὰρ οὐκ ἀνεκτήσατο λόγος, τοῦτον πολλάκις διώρθωσε θρῆνος. λαὸς πλήρης ἁμαρτιῶν. ἄλλη προσθήκη κατηγορίας, ὃ καὶ πάντας, καὶ μετ' ἐπιτάσεως. σπέρμα πονηρόν. οὐ τὴν γένεσιν αὐτῶν διαβάλλει, ἀλλὰ δείκνυσιν ἐκ πρώτης ἡλικίας ὄντας κακούς. ὥσπερ γὰρ ὁ Ἰωάννης λέγων, ὄφεις, γεννήματα ἐχιδνῶν, οὐ τὴν φύσιν ἀτιμάζει· οὐ γὰρ ἂν εἶπε, ποιήσατε οὖν καρποὺς ἀξίους τῆς μετανοίας, εἰ φύσει

A suos: populus autem meus mutauit gloriam suam, qua de re nihil profuerit eis. Docet legis sanctionē æquo animo tolerari debere nec inuisam videri: ostendit insuper quantum moderationis repetat ab hominibus, quando id ipsum vel brutis in procliui est rectè exequi. Addo etiam, facile est iis, quæ minus quàm bruta habent cognitionis. Dixerit quispiā, quia naturę ductu habent cognitionem talium. Quę igitur ab illis perficiūtur doctrice natura, à nobis fieri possunt cum assensu liberæ voluntatis. *Cognouit bos possessorem.* Non quod ij vllo B excellant dono, in mediū adducit, imò potius, propter insignē Iudæorum malitiā exauget reprehensionē. Quemadmodum enim vt discerēt suppudescere, citat elemēta: sic è diuerso non iam hominib. eos cōparat, sed brutis ipsis: imò his, qui inter bruta maximè sunt expertia intelligentiæ, proinde illis etiā peiores esse ostendit. Idē facit & Hieremias, turturē & hirundinē in medium adducens. Salomon etiā nunc quidē ad formicā, nunc verò ad apiculā remittit eū, qui per otium vitā transigit. *Israel autem* C *me non cognouit.* Vehemēs malitiæ accessio, quando domesticè ac familiariter noti, tot insuper cumulati honorib. repente omnes, ceu transfugæ ad explendam malitiā secesserint vltronei. Non dixit Iacob, sed Israel, vt ostenderet filiorū ingratitudinē esse multò superiorē virtute sui progenitoris. Is enim animi virtute benedictionē est assecutus, per quā appellationē hanc promeruit: isti verò eā perdiderunt per legis transgressionē. *Et popul⁹ me⁹ me nō intellexit.* Me, ait, qui Sole ipso illustrior sum magisq; cōspicu⁹. 4. *Væ genti peccatrici.* Hic quoq; D mos fuit prophetis, vt insanabili malitię morbo laborātes luctu prosequerētur. Sic & Hieremias multis in locis legitur fecisse: itidē & Christus, vt quum dicit, Væ tibi Corozain, væ tibi Beth-saïda. Hæc siquidem dicendi ratio, species vna est doctrinæ. Quem enim reformare non potuit sermo, hunc plerunque luctus emendauit. *Populo peccatu pleno.* Alia hæc est obiurgationis additio, quæ omnes tangit etiam cum vehementia acrimoniæ. *Semini nequam.* Vtique non natiuam ipsorum originem traducit, sed ostendit ab ætate prima eos fuisse malos. sicut enim Ioānes Baptista cum dicit: Serpentes, genimina viperarum, hæc increpatio nihil probri aut dedecori infert naturæ: neque enim subiecisset, facite igitur fructus dignos pœnitētiæ, tales si natura

Esa. 1. 3.

Hier. 8. 7.
Prou. 6.

Iacob cur dictus Israel.

Matth. 11. 21.

fuissent, & ab ipsa mox natiuitate: ad hanc dicẽdi formulã etiã hic, dũ dicit: Semini nequã, non notã vllam infamiæ adfert natalitiæ illorũ origini. *Filii scelerati.* Non dixit παράνομοι. Hoc est, nõ vobis væ qui prætergressi estis legem: sed ἄνομοι, hoc est, qui nihilo melius vos geritis, atq; hi qui nullã aliquando legem acceperũt. Indicat præterea liberæ voluntatis excellentiã. *Dereliquistis Dominũ & ad iracundiam prouocastis.* Signatè dixit hoc. Idoneè enim sufficiebat Dei nomẽ ad maiorem acrimoniã reprehensionis, qua de re cum iisdẽ & Hieremias expostulat dicẽs, quia ab eo defecerũt & dæmonib. adhæserunt. *sanctũ Israel.* Et hoc facit ad vituperationis amplificationẽ. Nam quũ sit vniuersorum cõmunis dominus, ipsis tamẽ peculiariter innotuerat tunc. *Abalienati sunt retrorsũ.* 5. *Quid vltrà percutiemini addẽtes legis præuaricationẽ?* Maxima condẽnatio, quòd nihilo fiunt meliores per cruciatus & irrogata supplicia. Est igitur species quædã beneficentiæ delinquentẽ punire. Neq; enim dicere possũt quia honore solùm ac beneficẽtia multa affecit, peccatores autẽ dimittebat, imò verò ad se pertrahebat impẽso honore, simul & incusso timore suppliciorũ eos moderatiores reddebat. Porrò illi inter vtraq. incurabili animæ morbo perstiterũt insanabiles. Omnem illis adhibuit speciẽ medicationis, secãs, vrens. Atqui morbus ne sic quidẽ cessit: quod argumẽto est, illos vitio immedicabili laborasse, quippe quod nullã admittere posset curã. *Omne caput ad dolorẽ, & omne cor ad tristitiã. 6. A pedibus vsque ad caput nõ nõ est in eo integritas, neque vulnus, neque liuor sine vibex, neque plaga tumens.* Deinde pœnas suppliciáque edisserit. Non enim species hæc inferior est munificentiæ & honoris in eos collati. Ait enim, Nemo fuit, quem non afflixerim, cui non iniecerim mœrorem. Si caput omne morbo languoréve laborat: qui fieri potest, vt nullum sit vulnus, non item vibex aut cicatrix? Vulnus tunc conspicitur esse vulnus, quum partes reliquę corporis incolumes sunt. Quòd si totum exulceratum fuerit, non iam apparere potest vlcus vllum. Vult igitur palam facere, quia corpus omni ex parte squaleret vlceribus, non item, quòd pars hæc sana esset, illa verò sæuo vlcere intumesceret: sed vniuersum redundaret inflammatione pituitæ singulæ partes vnus vibex siue cicatrix. *Non est malagma apponere.* Hoc priore grauius. Morbo enim quopiam laborare non tanti est

καὶ ἀπὸ γεννήσεως ἦσαν τοιοῦτοι· οὕτω καὶ ἐνταῦθα, λέγων σπέρμα πονηρόν, οὐ τὴν γέννησιν αὐτῶν διαβάλλει. υἱοὶ ἄνομοι. οὐκ εἶπε παράνομοι, ἀλλ' ἄνομοι, τῶν οὐδαμῶς εἰληφότων νόμον οὐδὲν ἄμεινον διακείμενοι. ἀλλὰ τῆς προαιρέσεως τὴν διαφορὰν δηλοῖ. ἐγκατελείπατε τὸν κύριον, καὶ παρωργίσατε. ἐμφαντικῶς τοῦτο εἴρηκε. καὶ γὰρ ἤρκει τὸ ὄνομα τοῦ Θεοῦ εἰς κατηγορίαν· ὅπερ Ἱερεμίας ἐγκαλεῖ λέγων, ὅτι καὶ αὐτοῦ ἀπέστησαν, καὶ δαίμοσι προσεκολλήθησαν. τὸν ἅγιον τοῦ Ἰσραήλ. καὶ τοῦτο κατηγορίας ἐπίτασις, ὅτι κοινὸς ὢν ἁπάντων δεσπότης, αὐτοῖς ἐγνωρίζετο τότε. ἀπηλλοτριώθησαν εἰς τὰ ὀπίσω. τί ἔτι πληγῆτε προστιθέντες ἀνομίας; μεγίστη κατάγνωσις, ὅταν μηδὲ ταῖς τιμωρίαις γίνωνται βελτίους. καὶ τοῦτο δὲ εἶδος εὐεργεσίας τὸ κολάζειν. οὐδὲ γὰρ ἂν ἔχοιεν εἰπεῖν, ὅτι ἐτίμησε καὶ εὐεργέτησε μόνον, ἁμαρτάνοντας δὲ ἠφίει, ἀλλὰ καὶ τιμαῖς ἐφείλκετο, καὶ φόβῳ τῶν κολάσεων ἐσωφρόνισε, καὶ ἐν ἑκατέροις ἔμενον ἀνίατα νοσοῦντες. πᾶν εἶδος ἰατρείας ἐπεδείξατο, τέμνων, καίων· τὰ δὲ τῆς νόσου οὐδὲ οὕτως εἶξε, ὃ μάλιστα τοῦ νοσεῖν ἀνίατα σημεῖόν ἐστι, τὸ μηδὲ δύνασθαι δέξασθαι θεραπείαν. πᾶσα κεφαλὴ εἰς πόνον, καὶ πᾶσα καρδία εἰς λύπην. ἀπὸ ποδῶν ἕως κεφαλῆς οὐκ ἔστιν ἐν αὐτῷ ὁλοκληρία, οὔτε τραῦμα, οὔτε μώλωψ, οὔτε πληγὴ φλεγμαίνουσα. εἶτα λέγει τὰς κολάσεις καὶ τὰς τιμωρίας. οὐκ ἔλαττον γὰρ τοῦτο εἶδος εὐεργεσίας ἐστὶ καὶ τῆς τιμῆς τῆς εἰς αὐτοὺς γεγενημένης. πάντας γάρ, φησιν, ἐκάκωσα, καὶ εἰς λύπην αὐτοὺς ἐνέβαλον. εἰ πᾶσα κεφαλὴ εἰς πόνον, πῶς οὐκ ἔστιν οὔτε τραῦμα, οὔτε μώλωψ; τὸ τραῦμα, τοῦ λοιποῦ σώματος ὑγιαίνοντος, τότε φαίνεται τραῦμα ὄν· εἰ δὲ ὅλον ἡλκωμένον τύχοι, οὐκέτι ἂν φανείη τὸ ἕλκος. τοῦτο οὖν ἐνδείξασθαι βούλεται, ὅτι ὅλον τὸ σῶμα ἥλκωτο, καὶ οὐχὶ τὸ μὲν ὑγίαινε, τὸ δὲ ἐξῳδηκὸς ἦν, ἀλλ' ἅπαν φλεγμονεῖ, ἅπαν μώλωψ εἷς. οὐκ ἔστι μάλαγμα ἐπιθεῖναι. τοῦτο τοῦ προτέρου βαρύτερον. οὐ γὰρ τὸ νοσεῖν οὕτω

οὕτω χαλεπὸν, ὡς τὸ νοσοῦντα μηδὲ θεραπεύεσθαι δύνασθαι, καὶ μάλιστα ὅταν ὁ ἰατρὸς τοιοῦτος ᾖ. οὔτε ἔλαιον, οὔτε καταδεσμούς. ὥστε ποιῆσαι τὸν λόγον ἐμφατικῶς, ἐπέμεινε τῇ μεταφορᾷ. τοῦτο γὰρ αὐτῆς τὸ ἐξαίρετον. ἡ γῆ ὑμῶν ἔρημος. ταῦτα οὐχ ὡς γεγενημένα ἀπαγγέλλει, ἀλλ' ὡς ἐσόμενα προαναφωνεῖ. κέχρηνται δὲ τῷ ἔθει οἱ προφῆται τούτῳ ὁμοῦ τε φοβοῦντες τὸν ἀκροατὴν, καὶ τῆς οἰκείας ἀληθείας τὴν δύναμιν ἐνδεικνύμενοι. ὡς γὰρ τὰ παρελθόντα οὐκ ἔνι μὴ γεγενῆσθαι, οὕτω τὰ μέλλοντα ὑπὸ τῶν προφητῶν λέγεσθαι, οὐκ ἔνι μὴ συμβῆναι, πλὴν εἰ μή ποτε μεταμελήσαιεν οἱ κολάζεσθαι μέλλοντες. αἱ πόλεις ὑμῶν πυρίκαυστοι. οὐ γὰρ ἠφάνισεν αὐτὰς παντελῶς, ἀλλ' ἀφῆκεν ἑστάναι τὰ λείψανα τοῦ ἐμπρησμοῦ τοῦ βαρβαρικοῦ, μᾶλλον δυνάμενα καθικέσθαι τῆς τῶν ὁρώντων ὄψεως. τὴν χώραν ὑμῶν ἐνώπιον ὑμῶν ἀλλότριοι κατεσθίουσιν αὐτὴν, καὶ ἠρήμωται κατεστραμμένη ὑπὸ λαῶν ἀλλοτρίων. ἐπίτασις συμφορᾶς, ὅταν καὶ θεαταὶ τῶν οἰκείων γίνωνται συμφορῶν, καὶ μηδὲ ἐξ ἀκοῆς αὐτὰ μανθάνωσι μόνον. ἐγκαταλειφθήσεται ἡ θυγάτηρ Σιὼν, ὡς σκηνὴ ἐν ἀμπελῶνι, καὶ ὡς ὀπωροφυλάκιον ἐν σικυηράτῳ. μέγα τι ἔχουσι καὶ αἱ εἰκόνες, καὶ μάλιστα ἐν τῇ γραφῇ, εἰς παράτασιν τῶν λεγομένων. τὴν Ἱερουσαλὴμ δὲ καλεῖ θυγατέρα Σιὼν, διὰ τὸ ὑποκεῖσθαι τῷ ὄρει. ὡς σκηνὴ ἐν ἀμπελῶνι, καὶ ὡς ὀπωροφυλάκιον ἐν σικυηράτῳ. τοῦ καρποῦ γὰρ ἀνῃρημένου, καὶ τῶν γεωργῶν ἀπενεχθέντων, περιττὴ λοιπὸν ἡ τῆς πόλεως οἰκοδομή. ὡς πόλις πολιορκουμένη. τοῦτο τῆς ἀσθενείας αὐτῶν καὶ τῆς ἐγκαταλείψεως αἴνιγμα. ὅταν γὰρ μηδεὶς ὁ βοηθῶν ᾖ, τότε ἀνάγκη συγκεκλεῖσθαι, τὴν ἀπὸ τῶν τειχῶν ἀσφάλειαν μόνην ἐκδεχομένους. καὶ εἰ μὴ κύριος Σαβαὼθ ἐγκατέλιπεν ἡμῖν σπέρμα, ὡς Σόδομα ἂν ἐγενήθημεν, καὶ ὡς Γόμορρα ἂν ὡμοιώθημεν. ἔθος ἀεὶ τοῖς προφήταις, μὴ μόνον ἐκεῖνα προλέγειν, ἃ μέλλουσι πάσχειν οἱ πλημμελοῦντες δεινὰ, ἀλλὰ καὶ ἃ παθεῖν ἦσαν ἄξιοι· ἵνα καὶ ἐν αὐτῷ τῷ καιρῷ τῆς τιμωρίας πολλὰς εἰδῶσι τῷ Θεῷ χάριτας, οὐ τὴν ἀξίαν τῶν πλημμελημάτων, ἀλλὰ ἐλάττονα πολλῷ τὴν δίκην τίνοντες. τοῦτο γοῦν καὶ ἐνταῦθά φησιν,

A periculi, vt est ægrotum nullis modis curari posse: præsertim quum talis adfuerit medicus. *Neque oleum, neque alligaturas.* Vt dilucidiorem redderet sermonem, perstitit in assumpta semel metaphora. Hoc enim propriè translationi competit. 7. *Terra vestra deserta.* Hæc non vt iam facta denunciat: sed quasi futura prædicit. Consuetudine hac denunciandi vsi sunt prophetæ, pariter consulẽtes sibi timore auditoris, & vim sibi compertæ veritatis in apertam lucem exerentes. Vt enim quæ præterierunt, fieri non potest, quin sint facta: sic B quæ à prophetis affutura semel dicta fuerint, fieri non potest quin olim contingant, præterquam si qui fuerant plectendi, hos pœniteat commissorum. *Ciuitates vestræ succensæ igni.* Non enim eas est prorsum demolitus, sed reliquias quasdam barbarici illius incendij superesse in hoc permisit, vt vel melius ad aspectum venirent contuentium. *Regionem vestram coram vobis alieni deuorant: & desolata est, subuersa à populis alienis.* Calamitatem cumulat, quum spectatores ipsi fuerint propriæ aduersitatis, nec solo C auditu eam didicerint. 8. *Derelinquetur filia Sion, sicut tentorium in vinea, & sicut tugurium in cucumerario.* Magnum quiddam in se continent istæ similitudines, & maximè in sacra scriptura ad eorum quæ dicuntur, dilatationem. Hierusalem verò filiam vocat Sionis, quòd ei monti subiecta sit. *Quasi tabernaculum in vinea, & quasi tugurium in cucumerario.* Sublato enim fructu, cultoribúsque summotis, superflua deinceps fuerit structura ciuitatis. *Sicut ciuitas quæ obsidetur.* Sanè hoc inuolucro ac sermonis obscuritate innuit eorum & infirmitatem & dereli- D ctionem. Quum enim nemo adfuerit qui auxilietur: tunc necesse sit eos concludi. quippe qui solam sui tuitionem expectant à mœnium ambitu ac soliditate. 9. *Et nisi Dominus Sabaoth reliquisset nobis semen, quasi Sodoma fuissemus: & quasi Gomorrha similes essemus.* Mos is semper fuit prophetis non illa solùm prędicere, quæ passuri essent grauia delinquentes, sed & quæ digni erant perpeti: vt ipso in tempore supplicij, multam gratiarum actionem nossent rependere Deo, quòd non pro merito delictorum luant pœnas, sed multò minores. Sanè hoc submonet etiam loco præsenti,

Regula interpretandi Scripturæ.

quia peccata quidem eorum non iam dictas pœnas, sed generis totius internecionem reposcebant, vniuersæque gentis exterminium, quæ & Sodomitis contigerunt. Dei autem erga homines clementia non hoc permisit fieri, multò præ grauitate peccati minorem pœnam irrogans. Quũ enim veteris testamenti multa sit cognatio ad nouum, vtique etiam hoc meritò contentus est dicere Paulus, quin & propheta dixit suę ætati conuenientius. Quemadmodum enim illo in tempore, nisi multa admodum fuisset Dei misericordia, omnes abrepti ad pœnam fuissent: itidem & tempore aduentus Christi, nisi quæ erant diuinæ erga nos gratiæ inclaruissent, vtique omnes perpessi fuissent illis atrociora. Nisi dereliquisset nobis semen, eos innuit, qui ex captiuitate seruati redierunt. 10. *Audite verbum Domini principes Sodomorum, attendite legem Dei nostri populus Gomorrhæ.* Quando dixit illos esse dignos, qui iisdem ac Sodomitæ, plecterentur cruciatibus, ostendit, quia aui essent eadem atque illi perpetrare flagitia. Et eò à communi appellatione ipsos nominat. Nisi enim hoc esset, intempestiuè fuisset loquutus propheta. Quòd enim præsenti loco non in Sodomitas illos inuehitur, sed aduersus Iudæos intendit obiurgationem hanc, eos sic appellans communione nominis: quæ post hæc illis dicuntur, declarant. Sacrificiorum enim commeminit, oblationum item, & alterius cultus lege præscripti, cuius ne vestigium quidem erat inuenire apud Sodomitas. Lex Dei nostri est argumento. Ait: 11. *Adquid mihi multitudo victimarum vestrarum? dicit Dominus: Plenus sum holocaustis arietum: & adipem agnorum, & sanguinem taurorum & hircorum nolo.* Psalmus quadragesimus nonus per omnia loco huic est assimilis: Verbis quidem aliis, sententiis verò eisdem contexitur. Itaque quod in Psalmo illo legis, Aduocabit cœlũ desursum, & terrã discernere populum suũ, ex æquo respondet huic, Audi cœlum & auribus percipe terra: quia dominus loquutus est. Et consimilis sententiæ sequentia. Etenim sicut ait Dauid, Non in sacrificiis tuis arguam te, holocaustomata autem tua in conspectu meo sunt semper. Sic & ait Esaias, Ad quid mihi multitudo victimarum vestrarum? dicit Dominus.

Psal. 49. 4.

ὅτι τὰ μὲν ἁμαρτήματα αὐτῶν, οὐ ταύτας τὰς εἰρημένας, ἀλλὰ πανωλεθρίαν ἀπῄτει, καὶ ὁλοκλήρου τοῦ γένους ἀφανισμὸν παντελῆ· ἃ δὴ καὶ ἐπὶ Σοδόμων συνέβη. ἡ δὲ τοῦ Θεοῦ φιλανθρωπία οὐκ ἀφῆκε τοῦτο γενέσθαι, πολλῷ τῆς ἁμαρτίας ἐλάττονα τὴν τιμωρίαν ἐπάγουσα. ἐπειδὴ δὲ πολλὴ τῆς παλαιᾶς πρὸς τὴν καινὴν ἐστὶ συγγένεια, εἰκότως τούτῳ καὶ ὁ Παῦλος ἀπεχρήσατο. καὶ ἐπιτηδειότερον εἶπεν ὁ προφήτης. ὥσπερ γὰρ ἐν ἐκείνῳ τῷ καιρῷ, εἰ μὴ πολὺ ὁ τοῦ Θεοῦ γέγονεν ἔλεος, πάντες ἂν ἀνηρπάσθησαν· οὕτω καὶ ἐν τῷ καιρῷ τῆς τοῦ Χριστοῦ παρουσίας, εἰ μὴ τὰ τῆς χάριτος ἐφάνη, χαλεπώτερα τούτων πάντες ἂν ἔπαθον. ἐγκατέλιπε δὲ ἡμῖν σπέρμα· τοὺς σωθέντας ἀπὸ τῆς αἰχμαλωσίας λέγει. ἀκούσατε λόγον κυρίου ἄρχοντες Σοδόμων· προσέχετε νόμον Θεοῦ ἡμῶν λαὸς Γομόρρας. ἐπειδὴ εἶπεν, ὅτι τὰ Σοδόμων ἦσαν ἄξιοι παθεῖν, δείκνυσιν, ὅτι καὶ τὰ Σοδόμων ἔπραττον. διὸ καὶ ἀπὸ τῆς κοινῆς αὐτοὺς ὀνομάζει προσηγορίας. ἐπεὶ εἰ μὴ τοῦτο ἦν, οὐδὲ καιρὸν εἶχεν ὁ λόγος. ὅτι γὰρ οὐ πρὸς Σοδομίτας ἀποτείνεται νῦν, ἀλλὰ πρὸς Ἰουδαίους, καλῶν αὐτοὺς τῇ τῆς προσηγορίας κοινωνίᾳ, δείκνυσι τὰ μετὰ ταῦτα λεγόμενα. θυσιῶν γὰρ μέμνηται καὶ προσφορῶν καὶ τῆς ἄλλης τῆς νομικῆς λατρείας, ἧς οὐδὲ ἴχνος ἦν παρὰ Σοδομίταις. νόμον Θεοῦ ἡμῶν, τὸν ἔλεγχον φησί. τί μοι πλῆθος, φησι, τῶν θυσιῶν ὑμῶν, λέγει κύριος; πλήρης εἰμὶ ὁλοκαυτωμάτων κριῶν, καὶ στέαρ ἀρνῶν καὶ αἷμα ταύρων καὶ τράγων οὐ βούλομαι. ὁ ψαλμὸς ὁ τεσσαρακοστὸς ἔνατος ἅπας τῷ χωρίῳ τούτῳ προσέοικε, δι' ἑτέρων μὲν ῥημάτων, διὰ τῶν αὐτῶν δὲ ὑφαινόμενος νοημάτων. τῷ γὰρ ἐν τῷ ψαλμῷ, προσκαλέσεται τὸν οὐρανὸν ἄνω, καὶ τὴν γῆν, τοῦ διακρῖναι τὸν λαὸν αὐτοῦ, ἴσον ἐστὶ τὸ ἄκουε οὐρανὲ, καὶ ἐνωτίζου γῆ, ὅτι κύριος ἐλάλησε· καὶ τὰ ἑξῆς δὲ τοιαῦτα. ὥσπερ γὰρ ὁ Δαβὶδ φησιν, οὐκ ἐπὶ ταῖς θυσίαις σου ἐλέγξω σε, τὰ δὲ ὁλοκαυτώματά σου ἐνώπιόν μου ἐστὶ διαπαντός· οὕτω καὶ ὁ Ἡσαΐας φησί, τί μοι πλῆθος τῶν θυσιῶν ὑμῶν λέγει κύριος; καὶ πάλιν ὁ μὲν Δαβὶδ φησιν,

οὐ δέξομαι ἐκ τοῦ οἴκου σου μόσχους, οὐδὲ ἐκ τῶν ποιμνίων σου τράγους· ὁ δὲ Ἡσαΐας, ὁλοκαυτώματα κριῶν, καὶ στέαρ ἀρνῶν, καὶ αἷμα ταύρων καὶ τράγων οὐ βούλομαι. ἐπεὶ γὰρ ἐγκαλούμενοι συνεχῶς ἐπὶ τῷ τῆς ἄλλης ἀρετῆς εἶναι ἔρημοι, ἀντὶ μεγίστης ἀπολογίας τὰς θυσίας προεβάλλοντο, συνεχῶς αὐτὰς ἐπιτελοῦντες, εἰκότως ἑκάτερος ὁ προφήτης, μᾶλλον δὲ καὶ οἱ ἄλλοι πάντες ταύτης ἐκβάλλουσιν αὐτοὺς τῆς ἀπολογίας. ὅθεν δῆλον ὅτι οὐ προηγουμένως αὐταὶ ἐδόθησαν, ἀλλ' ὥστε παιδαγωγίαν γίνεσθαι τῆς ἄλλης ἐντεῦθεν αὐτοῖς B πολιτείας. ἐπεὶ δὲ τῶν ἀναγκαίων κατεπειγόντων ἀμελοῦντες, ἐν τούτοις ἠσχόλουντο, οὐδὲ ταύτας λοιπὸν προσίεσθαί φησιν ὁ Θεός. οὐδὲ ἂν ἔρχησθε ὀφθῆναί μοι. ἐὰν παραγένησθε, φησιν, εἰς τὸν ναόν. τίς γὰρ ἐξεζήτησε ταῦτα ἐκ τῶν χειρῶν ὑμῶν; καὶ μὴν ὁλόκληρον σύγκειται βιβλίον, τὸ Λευιτικὸν λεγόμενον, περὶ τῆς τῶν θυσιῶν ἀκριβείας νομοθετοῦν· καὶ ἐν τῷ δευτερονομίῳ δὲ, καὶ ἐν ἑτέροις πλείοσι πολλοὶ περὶ τούτων εἰσὶ διεσπαρμένοι νόμοι. πῶς οὖν φησι, τίς ἐξεζήτησε ταῦτα ἐκ τῶν χειρῶν ὑμῶν; ἵνα μάθῃς, ὅτι οὐ προηγούμενον ἦν C Θεοῦ θέλημα, τὸ τὰ τοιαῦτα νομοθετεῖν, ἀλλ' ἀπὸ τῆς αὐτῶν ἀσθενείας τὴν ἀρχὴν ἔλαβεν ἡ περὶ τούτων νομοθεσία. ὥσπερ γὰρ οὐκ ἐβούλετο γυναῖκα ἐκβαλέσθαι τὴν ἅπαξ ἀνδρὶ συναφθεῖσαν· μειζόνων δὲ ἐκκόπτων κακῶν, τὸ μὴ, κωλυομένους ἐκβαλεῖν, ἀναγκάζεσθαι σφάττειν ἔνδον οὔσας καὶ μισουμένας, τὸ ἔλαττον συνεχώρησεν· οὕτω δὴ καὶ ἐνταῦθα, κωλύων τὸ δαίμοσι θύειν, κατεδέξατο ὅπερ οὐκ ἐβούλετο, ἵν' ὅπερ ἐβούλετο κατορθώσῃ. τοῦτο γοῦν αὐτὸ πάλιν Μιχαίας ὁ προφήτης ἐνδεικνύμενος ἔλεγε· μὴ σφάγια καὶ θυσίας προσηνέγ- D κατέ μοι ἔτη τεσσαράκοντα, λέγει κύριος; καὶ ὁ Ἱερεμίας δέ φησιν, οὐ ταῦτά ἐστιν, ἃ ἐνετειλάμην τοῖς πατράσιν ὑμῶν. ἐπειδὴ γὰρ καὶ δαίμονες τοῦτον ἐθεραπεύθησαν τὸν τρόπον, καὶ αὐτὸς οὕτως, ἵνα μηδεμία τοῖς ἀσθενεστέροις ἐντεῦθεν ἀπωλείας γένηται πρόφασις, συνεχῶς διὰ πάντων ταῦτά φησι τῶν προφητῶν. ἐκεῖνοι μὲν γὰρ καὶ μὴ διδομένων ἠγανάκτουν,

A Non accipiam de domo tua vitulos, neque de gregibus tuis hircos: Esaias autem, Holocautomata arietum & adipem agnorum & sanguinem taurorum & hircorum nolo. Nam quum perpetuò coarguerentur, quòd cum omni alia destituti essent virtute, pro sua & maxima purgatione, sacrificabant, iugiter ea consummantes: iure optimo vterque propheta, veriùs alij omnes ab hoc colore suæ excusationis eos eijciunt. Quare omnino ex victimę non sunt principio institutæ: sed ita vt essent ratio quędā instituendi Iudæos, B & illinc auocandi ad aliam conuersationem. Illi verò quum se totos occuparent in istis ceremonialibus, neglectis interim quæ vrgebant necessariò, dixit Deus se deinceps eiusmodi ceremonias legis non admittere. 12. *Neque veneritis vt appareatis mihi*: si accesseritis, inquit, ad templum meum. *Quis enim quæsiuit hæc de manibus vestris?* Et quidem totus ille libellus qui Leuiticus dicitur, de iisdem hostiis cōscriptus est, de his sedulò sanciens. Rursus in Deuteronomio, in aliis item plerisque locis multæ de his interspersæ leges sunt. Quo igitur sensu C hîc ait, Quis quæsiuit hæc de manibus vestris? Vt discas, quòd illa voluntas Dei non fuerit principalis aut prægrediens: sed ab illorū infirmitate sumpsit exordium, quæ de his est, legislatio. Quemadmodum enim mulierem semel viro coniunctam nolebat ab eius communione diuelli, cupiēs tamen grauiora mala excidere: nimirum, ne dum cauet interdicto viris à se eam excludere, huc necessitatis adigantur, vt inuisas ac domi existentes iugulent: quod minus erat malū, ob hoc fieri permisit: ita sanè & hîc. Interdicto cauit, ne victimas immolarent dæmonibus: ea tamen D passus est sibi offerri, vt quod cupiebat, rectà proueheret ac perficeret. Quod ipsum sanè Michæas propheta indicans ait, Nunquid victimas aut hostias obtulistis mihi annis quadraginta? dicit Dominus. Ait & Hieremias, Non sunt hæc quæ mandaui patribus vestris. Quum enim dæmonibus cultura esset eatenus ritu eodem exhibita, quo & ipse colebatur Deus, ne qua vel vna occasio perditionis illinc deriuata relinqueretur infirmioribus, citra vllam intermissionem per prophetas omnes denunciat hæc. Siquidem illi propter oblata adeò non indignabantur,

Quæstio.

Solutio.

vt etiam continuò carnium vsturam ac fumum repeterent, dicentes, Hunc enim nos honorem sortiti sumus. Deus autem ne initio quidem petiuit sibi talia offerri: quo etiam tempore iussit, ostendit quia non volens id permitteret, at ne quidem sua sponte solùm, sed & velociter se demoliturum eos sacrificandi ritus innuit. Cúmque sacrificarent, per omnia semel declarabat hoc se non tanti facere, nec accepta habere, quòd hic colendi modus longè esset infra dignitatem suæ maiestatis.

Homer. 4. Iliad.

13. *Calcare atrium meum non apponetis.* Aut imminentem captiuitatem prædicit, aut certè interdicit eis aditu templi, ex quo consuessent ingredi non cum animi rectitudine. *Si offeratis mihi similaginem, vanum.* Mandatorum enim hæc quidem propter se fiebant, illa verò alias ob causas iubebantur, vt fierent: sicuti est hoc, Deum nouisse, ne homicidium committerent, ne adulterarentur: & quæcunque talia, per legem sanciebantur propter vtilitatem ex eorum obseruatione prodeuntem. Atqui immolatio, incensi oblatio, obseruatio Sabbati, & quæcunque eiusmodi è religione sunt, non, vt hæc ipsa simplici quadam ratione fierent: quin potius, vt per horum assiduam commentationem curámque abducerentur à cultu dæmonum. Isti igitur, quum hæc quidem perficerent, nihil autem lucri è suis laboribus, nihil commodi referrent, sed adhuc dæmonum culturæ acquiescerent, per hæc iure optimo eijciuntur. Enimuerò arborem meritò quis excidat, quæ quidem folia habeat & surculos, fructum autem nullum. Etenim agricolæ cura omnis est circa plantam, non propter corticem, & truncum siue caudice: sed vt perfruatur fructu. *Incensum, abominatio mihi est.* Vides, quia minimè se oblectaret naturâ eorum quæ illi offerebantur, sed alacrem ac propensam voluntatem obseruabat offerentium? Hac sanè gratia, fumum quidem illum nidoremque ex hostia Noë expirantem vocauit odorem suauitatis: hoc verò Iudæorum incensum sibi esse dicit abominationem. Quod enim dicebam, non sacrificium Deo oblatum, sed affectum requirit offerentium. 14. *Neomenias vestras & Sabbata.* Obseruandum, quia nihil excludit, nihil aufert ex lege, eorum quæ proficerent ad salutem: sed quæ Christus etiamnum adueniens ad nihil redegit. Quapropter & Paulus acriore vsus sermone,

A simili.

Genes. 8.

A καὶ συνεχῶς ἐπέκειντο τὴν κνίσσαν καὶ τὸν καπνὸν ἀπαιτοῦντες καὶ λέγοντες, τοῦτο γὰρ λάχομεν γέρας ἡμεῖς. αὐτὸς δὲ οὔτε ἐξ ἀρχῆς ᾔτησε, καὶ ἡνίκα ἐκέλευσεν, ἔδειξεν, ὅτι οὐχὶ βουλόμενος τοῦτο ἐπέτρεψεν· οὐ ταύτῃ δὲ μόνον, ἀλλὰ καὶ τῷ καταλῦσαι ταχέως αὐτάς, καὶ ἡνίκα ἐπετέλουν τὰς μὴ προσίεσθαι, καὶ διὰ πάντων ἁπαξαπλῶς ἐδήλου ὅτι πολλῷ τῆς μεγαλωσύνης αὐτοῦ τῆς λατρείας ἐστὶν ὁ τρόπος ἀνάξιος. πατεῖν μου τὴν αὐλὴν οὐ προσθήσετε. ἢ τὴν αἰχμαλωσίαν προλέγει,

B ἢ ἀπαγορεύει· καὶ τοῦτο, ἐπειδὴ οὐ μετ᾽ ὀρθῆς εἰσῄεσαν γνώμης. ἐὰν φέρητέ μοι σεμίδαλιν, μάταιον. τῶν γὰρ ἐπιταγμάτων τὰ μὲν δι᾽ ἑαυτά, τὰ δὲ δι᾽ ἕτερα γίνεσθαι ἐκελεύετο· οἷον τὸ τὸν Θεὸν εἰδέναι, τὸ μὴ φονεύειν, μὴ μοιχεύειν, καὶ ὅσα τοιαῦτα, διὰ τὴν ἐξ αὐτῆς ὠφέλειαν ἐνομοθετεῖτο· τὸ μέντοι θῦσαι καὶ θυμίαμα προσενεγκεῖν, καὶ τηρῆσαι σάββατον, καὶ ὅσα τοιαῦτα πάλιν, οὐχ ἵνα τὰ αὐτὰ ταῦτα γίνηται ἁπλῶς, ἀλλ᾽ ἵνα ἐκ τῆς τούτων μελέτης, τῆς τῶν δαιμόνων ἀπάγωνται θεραπείας. ἐπεὶ οὖν οὗτοι ταῦτα μὲν ἐπετέ-

C λουν, τὸ δὲ ἐξ αὐτῶν οὐκ ἐκαρποῦντο κέρδος, ἀλλ᾽ ἔτι τοῖς δαίμοσιν ἦσαν προσηλωμένοι, εἰκότως καὶ ταῦτα ἐκβάλλεται· ἐπεὶ καὶ δένδρον εἰκότως τις ἐκτέμνοι, φύλλα μὲν ἔχον καὶ κλάδους, καρπῶν δὲ ἔρημον ὄν. καὶ γὰρ τῷ γηπόνῳ πᾶσα περὶ τὸ φυτὸν ἡ ἐπιμέλεια, οὐ διὰ τὸν φλοιὸν καὶ τὸ στέλεχος, ἀλλ᾽ ἵνα τῶν καρπῶν ἀπολαύῃ. θυμίαμα, βδέλυγμά μοί ἐστιν. ὁρᾷς ὅτι οὐ τῇ φύσει τῶν προσφερομένων ἔχαιρεν, ἀλλὰ τὴν γνώμην τῶν προσαγόντων ἐξέταζε; διὰ δὴ τοῦτο τὸν μὲν καπ-

D νὸν καὶ τὴν κνίσσαν τὴν ἀπὸ τῆς θυσίας τοῦ Νῶε, ὀσμὴν εὐωδίας ἐκάλεσε, τὸ δὲ θυμίαμα, βδέλυγμα. ὅπερ γὰρ ἔφην, οὐ τὴν θυσίαν τῶν δώρων, ἀλλὰ τὴν διάθεσιν τῶν προσφερομένων ἐπιζητεῖ. τὰς νεομηνίας ὑμῶν, καὶ τὰ σάββατα. παρατηρητέον ὡς οὐδὲν τῶν ἀναγκαίων ἐκβάλλει, ἀλλὰ ταῦτα ἃ καὶ παραγενόμενος ὁ Χριστὸς κατέλυσε. διὸ καὶ ὁ Παῦλος εὐτονώτερον τῷ λόγῳ κεχρημένος,

κοίνα πρὸς Ἰουδαίους ἐμάχετο, οὐ ταῦτα μόνον, ἀλλὰ καὶ ἕτερα πλείονα τούτων θεὶς, τοὺς οὐδὲν οἴκοθεν ἐπιδεικνυμένους οὐδὲν ἐκεῖθεν κερδαίνειν ἔφησεν, οὕτω λέγων· εἰ δὲ σὺ Ἰουδαῖος ἐπονομάζῃ, καὶ ἐπαναπαύῃ τῷ νόμῳ, καὶ καυχᾶσαι ἐν Θεῷ, καὶ γινώσκεις τὸ θέλημα, καὶ δοκιμάζεις τὰ διαφέροντα, κατηχούμενος ἐκ τοῦ νόμου. καὶ πάλιν, περιτομὴ μὲν γὰρ ὠφελεῖ, ἐὰν νόμον πράσσῃς· ἐὰν δὲ παραβάτης ἧς, ἡ περιτομή σου ἀκροβυστία γέγονε. καὶ οὐδὲ ἀπὸ τοῦ πιστευθῆναι αὐτοῖς τὸν νόμον ἔφησε τοὺς πιστευθέντας καρπώσασθαι, ἐπειδὴ ἠπίστησαν. ὅπερ οὖν καὶ ὁ Δαβὶδ ἑτέρως αἰνιττόμενος ἔλεγε· τῷ δὲ ἁμαρτωλῷ εἶπεν ὁ Θεός, ἵνα τί σὺ ἐκδιηγῇ τὰ δικαιώματά μου; ἐπειδὴ γὰρ ἄνω καὶ κάτω τῇ ἀκροάσει τοῦ νόμου μέγα ἐφρόνουν, τῆς πράξεως ὄντες ἔρημοι, καὶ ὁ Παῦλος αὐτοὺς ἐξέβαλλε τοῦ καυχήματος εἰπών· ὁ οὖν διδάσκων ἕτερον, σεαυτὸν οὐ διδάσκεις; καὶ ὁ κηρύσσων μὴ κλέπτειν, κλέπτεις; καὶ ὁ Δαβὶδ ὁμοίως, λέγων· εἰ ἐθεώρεις κλέπτην, συνέτρεχες αὐτῷ, καὶ μετὰ μοιχῶν τὴν μερίδα σου ἐτίθης. καὶ ἡμέραν μεγάλην οὐκ ἀνέχομαι. τὴν πεντηκοστὴν λέγει, τὴν σκηνοπηγίαν, τὸ πάσχα, καὶ τὰς λοιπὰς ἑορτάς. νηστείαν καὶ ἀργίαν, καὶ τὰς ἑορτὰς ὑμῶν μισεῖ ἡ ψυχή μου. ἀνθρωποπαθέστερον πρὸς αὐτοὺς διαλέγεται. ἐγενήθητέ μοι εἰς πλησμονήν. εἰς κόρον, εἰς μῖσος. τοῦτο γὰρ αὐτοῦ δείκνυσι τὴν ἄφατον μακροθυμίαν, καὶ τὸ πολλάκις ἁμαρτάνοντας ἀνέχεσθαι, καὶ μὴ πρότερον ἐπεξελθεῖν, ἕως αὐτὸν αὐτοὶ οἱ πεπλημμεληκότες τῇ ὑπερβολῇ τῆς πονηρίας ἐξεκαλέσαντο. οὐκέτι ἀνήσω τὰς ἁμαρτίας ὑμῶν. οὐκέτι μακροθυμήσω. ταυτόν ἐστι τὸ ὑπὸ τοῦ Δαβὶδ εἰρημένον· ταῦτα ἐποίησας, καὶ ἐσίγησα. ὅταν τὰς χεῖρας ὑμῶν ἐκτείνητε πρός με, ἀποστρέψω τοὺς ὀφθαλμούς μου ἀφ' ὑμῶν· καὶ ἐὰν πληθύνητε τὴν δέησιν, οὐκ εἰσακούσομαι. ὅθεν δῆλον, ὅτι εὐχῆς ὄφελος οὐδὲν καὶ μακρᾶς γινομένης, ὅταν ἐπιμένῃ τοῖς ἁμαρτήμασιν ὁ εὐχόμενος. οὐδὲ γὰρ ἀρετῆς ἴσον, καὶ τῆς ἀπὸ τῶν ἔργων φωνῆς. αἱ γὰρ χεῖρες ὑμῶν αἵματος πλήρεις. τουτέστι, φονικαί· ἀλλ' οὐκ εἶπε φονικαί, ἀλλὰ πλήρεις, δηλῶν, ὅτι μελέτην ἐποιοῦντο τὴν ἁμαρτίαν, καὶ πολλαχοῦ μετ' ἐπιτάσεως.

dum aduersus Iudæos pugnaret: non hæc solùm, sed & alia nō paulò plura his proponens, eos qui ex sese nihil virtutis ostēderent, nihil illinc lucri referre omnino professus est, sic dicens: Si autē tu Iudæ⁹ cognominaris & acquiescis legi, & gloriaris in Deo, & nosti voluntatem eius, & probas vtiliora instructus per legem. *Rom. 2. 17.* Rursus idem. Circuncisio quidem prodest, si legem feceris: si fueris transgressor legis, circūcisio tua facta est præputium. Imò ne ob id quidem quòd eis concredita sit lex, dixit ex ea fide ipsos quicquā vtilitatis referre posse, ex quo increduli fuerūt, id quod variè insinuās dicebat Dauid, Peccatori autem dixit Deus, Vt quid tu enarras iustificationes meas? *Psal. 49. 17* Nam quādo isti huc illuc se conferentes magnopere gloriabātur, sibiq. placebāt audito legis nomine, operibus legis vacui, hinc Paulus hanc illis gloriationem ademit dicens: Itaque qui alium doces, teipsum non doces? Et, qui prædicas non furandum, furaris? Nec secus Dauid dicit, Si videbas furem, currebas cum eo, & cum adulteris portionem tuam ponebas. *Et diem magnum non iam volo.* Pentecosten dicit, Scenopegiam, Pascha, ac reliquas celebritates. *Ieiunium & vacationem ab opere, & festiuitates vestras odit anima mea.* Hominum more ipsos alloquitur. *Facti estis mihi ad satietatem.* ad saturitatem, ad odium. Planè hoc indicat inexplicabilem Dei longanimitatem, quòd sæpenumero peccantes pertulerit, nec priùs peregerit reos, quàm ij qui deliquerant, ipsum propter malignitatis exuperantiam prouocassent. *Non amplius remittam peccata vestra.* In posterum non ero erga vos longanimis. Concinit huic, quod à Dauide dictum est, Hęc fecisti & tacui. *Ps. 49. 21.*

15. *Cum extenderitis manus vestras ad me, auertam oculos meos à vobis: & si multiplicaueritis deprecationem, non exaudiam.* Per hoc dicit quet nullam esse orationis vtilitatem, quamlibet in longū extendatur: quando is qui orat obstinatè acquiescit peccatis. Nihil enim virtuti par est, simul & voci quæ operibus respondeat. *Manus enim vestræ sanguine plenæ sunt.* Hoc est homicidæ. Atqui non dixit φονικαί, id est, quæ homicidia commiserunt, sed πλήρεις plenæ, indicans quia meditatò & assiduè ad id peccati se exercebant. Ve nusquam non vtitur amplificatione:

Proinde est & hoc moderatæ cuiusdam placabilitatis, quando is qui intermina-tur pœnam, rationem reddit suæ comminationis. Causas enim ponit quæ faciunt, vt non iam admittat orationem.

16. *Lauamini, mundi estote.* Quum dixerit, Non amplius dimittam peccata vestra, quînam fit, vt idem det consilium: & cùm ostenderit eos immedicabiliter ægrescere, inducit alioqui correctionem? Mos hic Deo est, vt comminationes intentans denegetque salutem: quod eò facit, vt exaugeat timorem, neque ob id suum sermonem dissoluat: vtque spem proroget atque intendat meliorem, hac etiam ratione ad pœnitentiam rursus adducat. Atque nullo non loco scripturæ videat quis hoc fieri. Et quidem in Niniuitis non per verba, sed rebus ipsis fecit hoc. In sermonibus enim nihil benignitatis aut clementiæ pollicetur: sed comminando nudam iacere sinit intentatam pœnam. Ex quo barbari omnes illi quæ suarum partium erant, reipsa præstiterunt, ipse quoq. subito iram dissoluit. Sic & rursus in psalmo Dauid. Anticipaui enim dicere, quia hoc prorsus & in vniuersũ simile esset proœmio. Nam quemadmodum ait hic, Lauamini, mundi estote, intentatis priùs minis: ita & ille simulatque dixit, Arguam te & statuam contra faciem tuam iniquitates tuas, intulit: Sacrificium laudis honorificabit me, & illic iter quo ostendam eis salutare Dei. Laudationem dicens eam, insinuat glorificationem Dei quæ per opera fit atque scientiam, qua ad ipsum contendimus. Ne autem existimarent præcipi expiationes eatenus illis consuetas, audito hoc, Lauamini, mundi estote, subiecit: *Auferte malitias ab animabus vestris, à conspectu oculorum meorum: cessate à nequitiis vestris.* Facilitatem ostendit virtutis, verámque libertatem, & quòd in eorum potestate situm erat, vt mutarentur. 17. *Discite bonum facere.* Vsque adeò per immodicam malitiam, virtutis cognitionem à se excusserant, quemadmodum ait propheta Dauid, Venite filij, audite me: Timorem Domini docebo vos. omni enim specie cognitionis hæc vna scientia superior est, & quæ pleniori eget studio, quantò plura habet quæ eam interpellent, impedimenta, puta naturæ tyrannidem, lentorem ignauiámque liberi arbitrij, dæmonum insidias, turbam negociorum.

Quæstio.

Solutio.

Ps. 49. 23.

Psal. 33.

καὶ τοῦτο δὲ τῆς ἡμερότητος αὐτοῦ, τὸ ἀπειλοῦντα ἀπολογεῖσθαι. τίθησι γὰρ τὰς αἰτίας, δι' ἃς οὐ προσίεται τὴν εὐχήν. λούσασθε, καθαροὶ γίνεσθε. πῶς, εἰπὼν οὐκέτι ἀνήσω τὰς ἁμαρτίας ὑμῶν, συμβουλεύει, καὶ δείξας ἀνίατα νοσοῦντας, διόρθωσιν εἰσάγει; ἔθος τοῦ Θεοῦ, καὶ ἡνίκα ἂν ἀπειλῇ, ἀπαγγέλλειν τὴν σωτηρίαν, ὥστε αὐξῆσαι τὸν φόβον, καὶ μὴ ἐνταῦθα καταλύειν τὸν λόγον, ὥστε χρηστὰς ὑποτεῖναι τὰς ἐλπίδας, καὶ ταύτῃ πάλιν εἰς μετάνοιαν ἐπαναγαγεῖν. καὶ τοῦτο πανταχοῦ γινόμενον ἴδοι τις ἄν. ἐπὶ μὲν τῶν Νινευιτῶν, οὐ διὰ ῥημάτων, ἀλλὰ διὰ πραγμάτων αὐτὸ πεποίηκεν. ἐν γὰρ τοῖς λόγοις οὐδὲν χρηστὸν ὑποσχόμενος, ἀλλὰ γυμνὴν ἐπὶ τῆς ἀπειλῆς κεῖσθαι τὴν τιμωρίαν ἀφείς, ἐπειδὴ τὰ παρ' ἑαυτῶν ἐπεδείξαντο πάντες οἱ βάρβαροι, ταχέως ἔλυσε τὴν ὀργήν. οὕτω καὶ ἐν τῷ ψαλμῷ πάλιν ὁ Δαβίδ. ἔφθην γὰρ εἰπών, ὅτι ὅλως δι' ὅλου τοῦ προοιμίου τούτου προσέοικε· καὶ ὥσπερ οὗτος φησι, λούσασθε, καθαροὶ γίνεσθε, μετὰ τὰς ἀπειλάς, οὕτω καὶ ἐκεῖνος μετὰ τὸ εἰπεῖν, ἐλέγξω σε καὶ παραστήσω κατὰ πρόσωπόν σου τὰς ἀνομίας σου, ἐπήγαγε, θυσία αἰνέσεως δοξάσει με, καὶ ἐκεῖ ὁδός, ᾗ δείξω αὐτοῖς, τὸ σωτήριον τοῦ Θεοῦ, αἴνεσιν λέγων τὴν διὰ τῶν ἔργων δοξολογίαν, καὶ τὴν ἐπίγνωσιν τὴν εἰς αὐτόν. ἵνα δέ, λούσασθε, καθαροὶ γίνεσθε, ἀκούσαντες, μὴ τοὺς εἰωθότας νομίσωσι καθαρμούς, ἐπήγαγεν· ἀφέλετε τὰς πονηρίας ἀπὸ τῶν ψυχῶν ὑμῶν ἀπέναντι τῶν ὀφθαλμῶν μου· παύσασθε ἀπὸ τῶν πονηριῶν ὑμῶν. τὸ τῆς ἀρετῆς εὔκολον ἔδειξε, καὶ τὴν τῆς ἐξουσίας ἐλευθερίαν, ὅτι ἐν αὐτοῖς ἦν τὸ μεταβαλέσθαι. μάθετε καλὸν ποιεῖν. οὕτως ὑπὸ τῆς πολλῆς πονηρίας, καὶ τὴν ἐπιστήμην τῆς ἀρετῆς ἦσαν ἐκβεβληκότες. οὕτω καὶ ὁ προφήτης Δαβίδ φησι· δεῦτε τέκνα, ἀκούσατέ μου· φόβον κυρίου διδάξω ὑμᾶς. πασῶν γὰρ ἐπιστημῶν αὕτη δυσκολωτέρα καὶ πλείονος δεομένη σπουδῆς, ὅσῳ καὶ πλείονα ἔχει τὰ διακωλύοντα, φύσεως τυραννίδα, καὶ προαιρέσεως ῥαθυμίαν, καὶ δαιμόνων ἐπιβουλάς, καὶ πραγμάτων ὄχλον. οὐ-

A τῶ δὴ καὶ Βαρούχ· οὗτος ὁ Θεὸς ἡμῶν, οὐ λογισθήσεται ἕτερος πρὸς αὐτόν· ἐξεῦρε πᾶσαν ὁδὸν ἐπιστήμης. ἐκζητήσατε κρίσιν. τοῦτ᾽ ἔστι, καὶ ἐκδικεῖν τοὺς ἀδικουμένους, ὅπερ πολλοῦ πόνου δεῖται καὶ νηφούσης ψυχῆς· διὸ καὶ ἐκζητήσατε εἶπε. πολλὰ γάρ ἐστι τὰ συσκιάζοντα τὸ δίκαιον, καὶ δωροδοκία, καὶ ἄγνοια, καὶ δυναστεία, καὶ αἰδὼς, καὶ φόβος, καὶ θεραπεία προσώπων· καὶ δεῖ πολλῆς τῆς ἀγρυπνίας. ῥύσασθαι ἀδικούμενον. τοῦτο πλέον τοῦ προτέρου. οὐ γὰρ ἀπαιτεῖ τὸ ψηφίζεσθαι τὰ δίκαια, ἀλλὰ καὶ τὸ εἰς πέρας ἄγειν. κρίνατε ὀρφανὸν, καὶ δικαιώσατε χήραν. πολὺς τῷ Θεῷ λόγος τοῦ μηδένα πάσχειν κακῶς, πλείων δὲ, ὅταν μετὰ τοῦ πάσχειν κακῶς, καὶ ἑτέρᾳ τινὲς ὦσιν ἐνδεδυμένοι συμφορᾷ. ἡ γὰρ χηρεία καὶ ὀρφανία καθ᾽ ἑαυτὸ ἀφόρητον· ὅταν δὲ καὶ παρ᾽ ἑτέρων ἐπηρεάζωνται, διπλοῦν τὸ ναυάγιον. καὶ δεῦτε, καὶ διαλεχθῶμεν, λέγει κύριος. παρατηρητέον ὅτι πανταχοῦ τῶν προφητῶν οὐδὲν οὕτως ὁ Θεὸς ἐπιζητεῖ, ὡς τὸ τοῖς ἀδικουμένοις ἐπαμύνειν. οὕτω γοῦν καὶ ἀλλαχοῦ, ὡς ἐν τῷ Μιχαίᾳ λέγων τῶν Ἰουδαίων· εἰ δώσω πρωτότοκά μου ὑπὲρ ἀσεβείας μου, καρπὸν κοιλίας μου· ὑπὲρ ἁμαρτίας ψυχῆς μου, ἐπήγαγε λέγων, ἀπηγγέλη σοι, ἄνθρωπε, τί καλὸν, καὶ τί κύριος ἐκζητεῖ παρὰ σοῦ, ἀλλ᾽ ἢ τοῦ ποιεῖν κρίμα καὶ ἀγαπᾶν ἔλεον, καὶ ἕτοιμον εἶναι τοῦ πορεύεσθαί σε ὀπίσω κυρίου τοῦ Θεοῦ σου. καὶ πάλιν ὁ προφήτης Δαβὶδ ἔλεγεν, ἔλεον καὶ κρίσιν ᾄσομαί σοι, κύριε. καὶ δεῦτε δή. πρότερον τοῖς δικαιώμασιν ὁπλίσας, τότε ἐπὶ τὸ δικαστήριον ἕλκει, καὶ διδάξας ὅπως ἂν ἀποδύσαιντο τὰ ἐγκλήματα, τότε ἀπαιτεῖ τὰς εὐθύνας, ἵνα μὴ γυμνοὺς αὐτοὺς τῆς ἀπολογίας λαβὼν κατακρίνῃ. καὶ διαλεχθῶμεν, δικασώμεθά φησιν. ὁ δικαζόμενος, συνήγορος γίνεται καὶ ἰατρός. εἶτα δηλοῖ, ὅτι κἂν μεγάλα ἐργασώμεθα, ἐπὶ τῆς αὐτοῦ δεόμεθα φιλανθρωπίας εἰς τὸ τῶν ἁμαρτημάτων ἀπαλλαγῆναι, φησίν· ἐὰν ὦσιν ὑμῶν αἱ ἁμαρτίαι ὡς φοινικοῦν, ὡς χιόνα λευκανῶ· τὰς ἐκ διαμέτρου ποιότητας ἐναντίας λαβὼν, καὶ ὑποσχόμενος πρὸς τὸ ἐναντίον μεταστήσειν αὐτό.

Sanè & Baruch ad hunc loquitur modum. Hic Deus noster non reputabitur alius ad eum. Adinuenit omnem viam scientiæ. *Exquirite iudicium.* Hoc est, iniuriis affectos vlciscamini, quòd sanè opus habet non mediocri negotio, animámque requirit peruigilẽ ac sobriam. Quamobrem dixit, Exquirite. Occurrunt enim permulta quæ obscurent ac veluti obumbrẽt rectitudinem iudicij: sordibus quæstus corruptelàve per largitiones, ignoratio iuris, potentatus, obseruatio siue reuerẽtia, timor, obsequiũ cultúsve personarum, tum vel maximè vigilantia est opus. B *Liberate aliena iniquitates oppressum.* Hoc priore plus vigilantię exigit. Non enim requirit, vt quæ iusta sunt decernantur, sed vt ad exitũ etiam perducantur. *Iudicate pupillo & iustificate viduam.* Multam init rationem Deus ac prouidet, ne quis malignè patiatur: maximè verò, si qui miserè affecti altera insuper se implicuerint calamitate. Viduitas enim parentúmque orbitas, ætas pupillaris, vtrumque per se intolerabile malum. Quòd si ab aliis eluduntur aliquando, iniuriámve accipiunt: duplex naufragium fit. *Et venite, & disceptemus,* C *dicit Dominus.* Obseruandũ, quia per prophetas vbicunq. scripturarum, nihil sic requirit Deus, vt quòd iniuriis malè affecti vindicentur. Sic sanè & alibi, vt in Michæa aduersus Iudæos dicit, Si dabo primogenita mea pro impietate mea, fructum vteri mei pro peccato animæ meę intulit: Annũciabo tibi homo, quid sit bonũ, & quid dominus requirat à te, nisi vt facias iudicium & diligas misericordiã, & paratus sis ad ambulandũ post dominum Deum tuũ. Rursus propheta Dauid dicebat, misericordiã & iudiciũ cãtabo tibi domine. *Et venite quæso.* Mox D vt iustificationibus ceu armis se premuniuit, tũc trahit ad tribunal. Et postquã docuit quónam pacto expostulationes culpásq. à se excuterent, tunc reposcit pœnas, ne eos deprehẽdens defensione destitutos, cõdẽnet. *Et disceptemus.* Iudicio contẽdamus, ait. *Et si fuerint peccata vestra, sicut coccinum: quasi niue dealbabo.* Qui disceptat iudicio, fit patronus causæ ac medetur. Deinde declarans, quia etiã si opera laude digna cõficiamus, etiã cum ipsis erga nos opus est benignitate, vt exoluamur peccatorũ vinculis. Ait, Si fuerint peccata vestra, vt coccinum: quasi niuẽ dealbabo. Sumptis qualitatibus inter se ex diametro pugnantibus, pollicetur hoc ipsum in diuersum se esse permutaturum.

Mich. 6. 7.

Ps. 100. 1.

Si verò vt coccinum, quasi lanam dealbabo. Viduarum cura & prę́sidiũ multa pollet virtute. Siquidem animam adeò peccatorum eluuie squallentem, vt excepisse videatur tincturam nequitiæ, non solum ab omni liberat malitia: sed & splẽdidam reddit & cumprimis illustrem.

De Diaconiss. intelligit quæ præerant viduis, vt tum erat S. Olympias.

19. *Et si volueritis & exaudieritis me, bona terræ comedetis.* 20. *Si autem nolueritis, neque exaudieritis me, gladius deuorabit vos. Os enim Domini loquutũ est hæc.* Quum enim absolui à peccatis, quiddam videatur istis intelligentiæ crassioris, ac rudibus, minus esse desiderabile (quòd nõ sit subiectũ oculis & euidens) quàm est bonorum vitæ præsentis fruitio: & eò, cum ipsa absolutione, etiam offert vltroneus bona hęc, & promittit: Namque hoc pendet ex illo. Deinde declarat, quàm sit virtus obuia ac facilis, tantum si ipse velis eam excolere. Atqui ne animum remitterent spe bonorum sibi repositorum: peroratione conuersa ad terribilium cõmemorationem, sermonem facit grauem ac fide dignum, eius virtute qui hæc pronũciauit. 21. *Quomodo facta est meretrix ciuitas fidelis Siõ?* Hæc per dubitationẽ admiratio indicat eius, qui loquitur dolorem, & nimisquam multam in Iudæis sensuũ vacuitatem; quódque factum est, declarat præter spem contigisse. Nec dissimilia Paulus de Galatis admirabundus ac hæsitans dicit. Admiror, quòd tam cito transferimini.

Galat. 1. 6.

Id quod ad digerendas in ordinem culpas crimináve, speciem etiam præfert exhortandi eos qui ad virtutem reuocantur. Quod hic dicitur, vt sit admiratione dignum & laudum meminerit: quamuis tamen obiectione criminum grauiorẽ reddit hanc reprehensionem. Non enim tanta cum acrimonia eos obiurgamus qui nullius sunt momenti, vitámque exercent flagitiosam, vt eos qui prius quidem visi sunt studio virtutis excoluisse vitam, tandem verò edidisse documenta improborum.

Gnome.

Meretricem hic vocat, nõ quidẽ insinuans obscœnã illam corporis lasciuiam: sed malè gratam erga Deum perfidiam, quę tantò est grauior illa corporis prostitutione. Etenim illic homo cõtumelia afficitur: hîc verò Deus per contemptum non agnoscitur. facit autem hic idem atque alij prophetæ omnes, ex quo etiam Deus sua dignatione voluit in ea ciuitate conuersari sub virili conditione, suam ostendens inenarrabilem charitatem, de quo passim verba faciunt quasi de viro ac muliere. Non vt Deum verbum ad humanam

Meretricari appelles gentem addictam idololatriæ.

ἐὰν δὲ ὡς κόκκινον, ὡς ἔριον λευκανῶ. πολλὴ τῆς τῶν χηρῶν προστασίας ἡ δύναμις, εἴγε τὴν οὕτω καταῤῥυπωθεῖσαν ψυχὴν, ὡς καὶ αὐτὴν βαφὴν δέξασθαι πονηρίας, μὴ μόνον ἀπαλλάττει τῆς κακίας, ἀλλὰ καὶ λαμπρὰν οὕτως ἐργάζοιτο. καὶ ἐὰν θέλητε, καὶ εἰσακούσητέ μου, τὰ ἀγαθὰ τῆς γῆς φάγεσθε. ἐὰν δὲ μὴ θέλητε, μηδὲ εἰσακούσητέ μου, μάχαιρα ὑμᾶς κατέδεται. τὸ γὰρ στόμα κυρίου ἐλάλησε ταῦτα. ἐπειδὴ γὰρ τοῖς παχυτέροις οὐχ οὕτως ἁμαρτημάτων ἀπαλλαγὴ ποθεινὸν καὶ εὐσύνοπτον, ὡς τῶν ἐν τῷ παρόντι βίῳ δοκούντων εἶναι καλῶν ἡ ἀπόλαυσις, μετ᾽ ἐκείνων καὶ ταῦτα ἐπαγγέλλεται. καὶ γὰρ καὶ τοῦτο ἐξ ἐκείνου. εἶτα δείκνυσιν ὅτι εὔκολον ἡ ἀρετὴ, ἐν τῷ θέλειν αὐτὴν τίθησι μόνον. ὥστε δὲ μὴ τοῖς χρηστοῖς ἐκλῦσαι, πάλιν εἰς τὰ φοβερὰ καταλείσας τὸν λόγον, ἀξιόπιστον ποιεῖ τῇ δυνάμει τοῦ ταῦτα ἀποφαινομένου. πῶς ἐγένετο πόρνη πόλις πιστὴ Σιών; καὶ τῆς ὀδύνης τοῦ λέγοντος, καὶ τῆς πολλῆς τῶν Ἰουδαίων ἀναισθησίας ἡ διαπόρησις, καὶ τοῦ παρ᾽ ἐλπίδα γενέσθαι τὸ γεγενημένον. τοιαῦτα καὶ Παῦλος ἐπὶ Γαλατῶν διαπορεῖ λέγων· θαυμάζω ὅτι οὕτω ταχέως μετατίθεσθε· ὅπερ ἐν ἐγκλημάτων τάξει καὶ προτροπῆς εἶδός ἐστι, πρὸς ἀρετὴν ἀνακαλουμένου. εἰ γὰρ καὶ θαυμαστὸν τὸ λεγόμενον, καὶ ἐγκωμίων ἀναμέμικται τῇ κατηγορίᾳ, τὴν κατηγορίαν χαλεπωτέραν ποιοῦν. οὐ γὰρ οὕτω κακίζομεν τοὺς οὐδὲν ὄντας, καὶ φαῦλον μετιόντας βίον, ὡς τοὺς σπουδαίους μὲν εἶναι δόξαντας ἔμπροσθεν, τὰ δὲ τῶν πονηρῶν ὕστερον ἐπιδεικνυμένους. πόρνην δὲ ἐνταῦθα καλεῖ, οὐ σωματικὴν ἀσέλγειαν αἰνιττόμενος, ἀλλὰ τὴν περὶ Θεὸν ἀγνωμοσύνην, ὃ πορνείας ἐκείνης ἐστὶ χαλεπώτερον. ἐκεῖ μὲν γὰρ ἄνθρωπος ὑβριζόμενος, ἐνταῦθα δὲ Θεὸς ὁ ἀθετούμενος. ποιεῖ δὲ καὶ αὐτὸ τοῦτο, καὶ οἱ ἄλλοι πάντες προφῆται, ἐπεὶ καὶ ὁ Θεὸς κατηξίωσεν ἐν ἀνδρὸς τάξει τῇ πόλει συνεῖναι, τὴν ἄφατον ἀγάπην τὴν περὶ αὐτοὺς ἐνδεικνύμενος· καὶ ὡς περὶ ἀνδρὸς καὶ γυναικὸς πολλαχοῦ διαλέγονται. οὐχ ἵνα εἰς ἀνθρωπίνην

παχύτητα κατενέγκωσι τὸν λόγον, ἀλλ᾽ ἵνα διὰ τῶν συνήθων αὐτοῖς πραγμάτων ἐπὶ τὴν γνῶσιν τῆς τοῦ Θεοῦ χειραγωγήσωσιν αὐτοὺς φιλοστοργίας· ὁμοῦ δὲ καὶ τῷ αἴσχει τῆς προσηγορίας καθάψασθαι βούλονται. πιστὴ τουτέστιν, ἡ εὐσεβὴς καὶ πάσης ἀρετῆς γέμουσα· ὥστε κἀντεῦθεν δῆλον ὅτι πορνείας, οὐ τὴν τῶν σωμάτων λέγει· ἐπεὶ εἶπεν ἄν, πόλις ἡ σώφρων (οὕτω γὰρ ἦν τὸ ἀντιδιαστελλόμενον τῇ πόρνῃ) νῦν δὲ δηλοῖ, ὅτι τὴν ἀσέβειαν αἰνίττεται διὰ τῆς πορνείας, τὸ ἀντικείμενον αὐτῇ τέθεικε τῇ πιστῇ. πλήρης κρίσεως. τουτέστι, πλήρης δικαιοσύνης. πάλιν μέγιστον ἔγκλημα, οὐχ ὅτι πρὸς ὁλόκληρον τὴν κακίαν ηὐτομόλησαν, ἀλλ᾽ ὅτι καὶ ὁλόκληρον προεδώκασι τὴν ἀρετὴν, καὶ τὸν πλοῦτον ἅπαντα τῶν ἀγαθῶν ἀθρόον ἀπὸ τῶν χειρῶν ῥίψαντες, καὶ πρὸς ἐσχάτην τῶν κακῶν κατενεχθέντες πενίαν. ἐν ᾗ δικαιοσύνη ἐκοιμήθη ἐν αὐτῇ. ηὐλίσθη, φησὶ, κατεσκήνωσε, τουτέστι, πεφύτευται, ἐρρίζωτο, μετὰ προθυμίας ὑπὸ πάντων κατωρθοῦτο τῶν πολιτῶν. ἐνδιατρίβει τοῖς ἐγκωμίοις τοῖς προτέροις, ὁμοῦ μὲν αὔξων τὴν κατηγορίαν τὴν ἐκ τῆς μεταβολῆς, ὁμοῦ δὲ χρηστὰς ὑποτείνων τὰς ἐλπίδας, καὶ δηλῶν, ὅτι ῥᾴδιον αὐτοῖς ἀνακτήσασθαι πάλιν. νῦν δὲ φονευταί. ἀνδροφόνοι, φησί. τὸ ἀργύριον ὑμῶν ἀδόκιμον. τουτέστι παράσημον, νόθον, κίβδηλον. οἱ κάπηλοί σου μίσγουσι τὸν οἶνον ὕδατι. ὅλως προοιμιαζόμενος οὐ κατ᾽ εἶδος εἶπεν αὐτῶν τὴν κακίαν, ἀλλ᾽ ὅτι ἠθέτησαν, καὶ ὅτι σπέρμα πονηρὸν ἦσαν, καὶ υἱοὶ ἄνομοι (ὃ λοιδορίας ἐδόκει μᾶλλον, ἢ κατηγορίας εἶναι) ἐνταῦθα δὲ αὐτὰ τίθησι κατ᾽ εἶδος τὰ ἐγκλήματα, καὶ πρῶτον, ὃ πρῶτόν ἐστι καὶ μέσον καὶ τελευταῖον τῶν κακῶν, τὴν φιλαργυρίαν, καὶ τὴν περὶ τὰ συμβόλαια καπηλείαν. ἀλλά τινες συνιέντες τὴν ἄφατον τοῦ Θεοῦ σοφίαν, κατ᾽ ἀναγωγὴν τὸ εἰρημένον ἐξέλαβον. οὐ γὰρ ἄν, φησιν, ὁ μέγας καὶ ὑψηλὸς Ἡσαΐας [illegible] τραπεζιτῶν κακουργίας, καὶ καπήλων διαφθορὰς διελέχθη· ἀλλὰ ἀργύριον ἐνταῦθα τὰ λόγιά φησι τοῦ Θεοῦ, καὶ οἶνον τὴν διδασκαλίαν,

crassitiem deprimerent: sed vt per res vernaculas eisque consuetudine familiares, ipsos velut manuducerent ad cognitionem diuinæ erga eos dilectionis. Simul verò quia studebãt eos incessere turpitudine hac appellationis. Fidelis, hoc est, pietatis cultrix omníque virtute exuberãs. Per hanc igitur dictionem, nimirum palàm fit eum non loqui de scortatione corporum, quum dixerit: Ciuitas quæ fuerat continens ac pudica. Talis enim fuerat, vt se opponeret meretrici: nunc verò volens subindicare nomine meretricis, notari eius impietatem, adiecit quod ex contrario pugnat cum ipsa fide. *Plena iudicij.* hoc est, plena iustitiæ. Acerrima rursus hæc est expostulatio, non quòd ad malitiam vsquequaque absolutam trãsfugissent: sed quia virtutem ipsam prorsus deseruissent, vniuersas insuper diuitias bonorum momento propè excussissent è manibus, & ad extremã malorum paupertatem essent delapsi. *In qua iustitia requieuit in ea*, demorata est, ait, habitauit & tabernaculum fixit, hoc est plantata est, radices egit, cum alacritate ab omnibus incolis ciuitatis cũ laude directa est & perfecta. In eorũ immoratur laudibus qui iustitiam priùs exercuerant, simul quidem exaggerans eorum reprehensionẽ: ob immutationẽ simul verò spem bonã illis obtendẽs atque indicãs facilè fore, vt postliminiò in integrũ restituãtur. *Nunc autẽ homicidæ.* Viricidæ, ait. 22. *Argentum vestrũ reprobum.* hoc est, peruersè signatũ, illegitimũ siue adulterinum, insycerũ. *Caupones tui miscent vinũ aqua.* Simul atq; pręmisit procœmiũ, non iuxta ipsorum speciẽ aut indolem, tum aperuit eorũ malitiã. nimirũ quia contempserunt, quia semen essent nequam ac filij exleges. Videntur hæc mihi esse obiurgationis & conuicij veriùs, quàm accusationis. Quinetiam præsenti loco ipsa proponit crimina secundũ cuiusq; speciem. Ante omnia, quod malorũ est & primum & medium & postremum: nempe philargyriã, congerẽdæ pecunię inexplebilem auiditatem, & quæ circa commercia cõtractúsve versatur, artem cauponariam. Cæterum intelligentes quidam ineffabilem Dei sapientiam, quod hîc dictum est, iuxta Anagogen, mysticũ videlicet & ad superiora prouehentem sensum, sunt interpretati. Non enim (ait, ille) eximius hic intelligentiáq. sublimi ornatus Esaias in redargutionem descendisset astutiæ numulariorũ & cauponum corruptelæ: sed hîc (ait) argenti nomine Dei eloquia insinuãtur, pérque vinũ intelligit doctrinã.

Origenes intelligit.

quam turbulentè permiſcebant, ſuperaddentes ſuopte ingenio excogitatam doctrinã. Contrà ego ne hanc quidẽ expoſitionẽ contempſerim : alterã tamen confirmo eſſe veriorẽ. Non ſolùm enim iudico indignũ non eſſe, vt tantus propheta hiſce de rebus exquiſitè loquatur ac diſcrepet : ſed & apprimè dignum id eſſe prophetæ coargutione ac benignitate Dei erga homines. Ecquid opus tã multis? Vnigenitus ſiquidem Dei filius quo tẽpore venit adferẽs ſecũ ſublimioris intelligẽtiæ doctrinã, quúmque eſſet inſerturus mẽtib. noſtris plãtulas angelicæ cõuerſationis, ipſe etiãnũ nõ pauca ediſſeruit de mẽſuris, déq. his quæ eſſe vidẽtur iã dictis viliora : puta de ſalutationibus, intermediis contractibus, primíſq. recubitibus. Hęc enim quę in ſpeciẽ vidẽtur leuis eſſe momenti, interim neglecta, plerũq. magna exhibẽt incitamenta ad peccandũ. Quòd ſi in nouo teſtamento cõueniebat hæc dirigi, multò magis in vetere, quãdoquidem nubilo craſſioris ſenſus auditores tegebantur, omníſq. vitæ eorũ ratio huc rectà contẽdebat, vt plebs tantò magis hiſce legibus inſtituta ab omni lõgiùs ſubmoueretur iniquitate, nec vllius proximorũ quicquã ſibi per auaritiã vendicaret, neque dolo malo inſtitorię artis inopiã inferiorũ ad perniciẽ deduceret aut attereret. His ſiquidẽ neglectis, plerũq. cõtigit ciuitates euerti, principes è ſoliis deijci. Bella inſuper citra ſpẽ vllã ineundi fœderis promota ſunt : quẽadmodũ è diuerſo, reb. iuſtè geſtis, pax multa obuenit velut manuducens ad exercendã virtutẽ per optimã cõſtitutionẽ legum, & earũ ſtabilem cuſtodiã. 23. *Principes tui nõ obediunt.* Vehementiſſimi morbi ſignũ eſt & obliquæ peruerſitatis, quãdo ij quorũ eſt ex officio mederi, inferunt morbos. Principũ enim eſt licentioſam & incõditã populi rebellionẽ cõprimere, & in officio continere, vtque ad legum formulã obſequentes reddãt. Iam quãdo iſti deprehẽduntur primi in præuaricatione legum, quónam pacto alijs eſſe poterunt doctores? Illud enim ἀπειθοῦσι, hoc eſt, ἀπιστοῦσι, non inducunt in animum vt pareant legi, non mandata. qua de re expoſtulat cũ iſtis & Paulus,

Rom. 2. 21. Qui igitur aliũ doces, teipſum nõ doces? Vtiq. radix corrupta quũ fuerit, de ramis quid coniectandũ eſt affore, quod ex vſu ſit? *Participes furum.* Exaggeratio accuſationis, quia adeò quæ intolerãda mala ſunt, nõ ſolùm non coërcent, vt etiã pro virili contẽdant in partem oppoſitam : fures enim nõ modo non oppugnant, ſed ipſis etiam cooperantur,

ἑαυτῶν ἐθελοντὴν ἐπεισάγοντες αὐτῶν τὰ διδάγματα. ἐγὼ δὲ οὔτε ταύτην ἀτιμάζω τὴν ἐξήγησιν, καὶ τὴν ἑτέραν ἀληθεστέραν εἶναί φημι. οὐ γὰρ μόνον οὐκ ἀνάξιον τοῦ προφήτου τὸ περὶ τούτων διαλέγεσθαι, ἀλλὰ καὶ σφόδρα ἄξιον καὶ αὐτοῦ καὶ τῆς τοῦ Θεοῦ φιλανθρωπίας. καὶ τί δεῖ τὰ πολλὰ λέγειν; ὅτε γοῦν τὰ ὑψηλὰ διδάγματα φέρων ἦλθεν ὁ μονογενὴς τοῦ Θεοῦ παῖς, καὶ τὴν τῶν ἀγγέλων καταφυτεύειν ἔμελλε πολιτείαν, οὐκ ὀλίγα περὶ μέτρων καὶ αὐτὸς διείλεκται, καὶ τῶν τούτων εὐτελεστέρων εἶναι δοκούντων, ἀσπασμῶν, καὶ μεσασμῶν, καὶ πρωτοκλισιῶν. τὰ γὰρ μικρὰ ταῦτα εἶναι δοκοῦντα παραμελούμενα, μεγάλα ἁμαρτημάτων ὑπεκκαύματα γίνεται. εἰ δὲ ἐπὶ τῆς καινῆς ταῦτα διορθοῦσθαι ἔδει, πολλῷ μᾶλλον ἐπὶ τῆς παλαιᾶς, ὅτε καὶ παχύτεροι οἱ ἀκροαταί, καὶ πᾶς αὐτῶν ὁ βίος ἐντεῦθεν ὠρθοῦτο, τοῦ δήμου οὕτω πλέον ἐν τούτοις παιδευομένου πόῤῥω πάσης ἀδικίας γίνεσθαι, καὶ ἐν μηδενὶ τὸν πλησίον πλεονεκτεῖν, μηδὲ τὰς καταδεεστέρων ἐπιτείνειν πενίας τῇ κακουργίᾳ τῆς καπηλείας. τούτων γοῦν ἀμελουμένων, καὶ πόλεις πολλάκις ἀνετράπησαν, καὶ ἀπὸ θρόνων ἄρχοντες κατενεχθήσαν, καὶ πόλεμος ἄσπονδος γέγονεν· ὥσπερ κατορθουμένων, εἰρήνη πολλὴ καὶ εὐνομία καὶ ἀσφάλεια πρὸς ἀρετὴν χειραγωγοῦσα. οἱ ἄρχοντές σου ἀπειθοῦσι. μεγίστης νόσου καὶ διαστροφῆς σημεῖον, ὅταν ἰατροὶ τὰς νόσους ἐπιτείνωσι. ἀρχόντων γὰρ τοῦ δήμου τὰς ἀταξίας καταστέλλειν, καὶ πρὸς τὸ δέον ῥυθμίζειν, καὶ τῷ νόμῳ ποιεῖν καταπειθεῖς· ὅταν δὲ αὐτοὶ πρῶτοι τοὺς νόμους παραβαίνωσι, πῶς ἂν ἑτέροις γένοιντο διδάσκαλοι; τὸ γὰρ ἀπειθοῦσι, τοῦτ' ἔστιν, οὐ πείθονται τῷ νόμῳ, οὐκ ἀνέχονται τῶν ἐντολῶν· ὃ καὶ Παῦλος ἐγκαλεῖ λέγων, ὁ οὖν διδάσκων ἕτερον, σεαυτὸν οὐ διδάσκεις; ὅταν οὖν ἡ ῥίζα διεφθαρμένη ᾖ, τί χρηστὸν ἔστι περὶ τῶν κλάδων [illegible]πτεύειν; κοινωνοὶ κλεπτῶν. παραθήκη κατηγορίας, ὅτι οὐ μόνον οὐ καταστέλλουσι τὰ δεινὰ, ἀλλὰ καὶ ἀντιτείνουσιν· οὐ μόνον οὐ πολεμοῦσι τοῖς κλέπταις, ἀλλὰ καὶ συμπράττουσιν,

ἐκ διαμέτρου τῆς προσηκούσης ἀρετῆς ἄρχοντι τὴν κακίαν μετιόντες. ἀγαπῶντες δῶρα. ἕτερον φιλοχρηματίας εἶδος χαλεπὸν, ὃ εὐπρόσωπον μὲν ὑπόθεσιν ἔχει, ἐν προσχήματι δὲ φιλοφροσύνης τὴν ἐσχάτην πλεονεξίαν ἐπικεκρυμμένον. διώκοντες ἀνταπόδομα. μνησικακοῦντες τοῖς ἐχθροῖς, ἀνταποδοῦναι σπουδάζοντες τοῖς λελυπηκόσιν, ὅπερ μέγιστον κακίας εἶδος. δι᾽ ὃ οὐκ ἐν τῇ καινῇ μόνον, ἀλλὰ καὶ ἐν τῇ παλαιᾷ μετὰ πολλῆς εἴργεται τῆς σπουδῆς. κακίαν γὰρ ἕκαστος, φησὶ, τοῦ πλησίον αὐτοῦ μὴ μνησικακεῖτε ἐν ταῖς καρδίαις ὑμῶν. μάλιστα μὲν γὰρ καὶ τὸν δημότην, πολλῷ δὲ μᾶλλον τὸν ἄρχοντα ταύτης δεῖ καθαρεύειν τῆς κακίας, καὶ τοῦ πρὸς ἀπέχθειαν ψηφίζεσθαι τοῖς κρινομένοις ἀπηλλάχθαι, ἵνα μὴ ὁ λιμὴν σκόπελος γένηται. ὀρφανοῖς οὐ κρίνοντες. τουτέστιν, οὐ προϊστάμενοι, ὡς καὶ τῶν δικαίων τυχεῖν. καὶ κρίσει χηρῶν οὐ προσέχοντες. παρατηρητέον ὅτι οὐ τὸ κακοποιεῖν, ἀλλ᾽ ὅτι καὶ τὸ ἀγαθὸν μὴ ἐργάζεσθαι ἐν τάξει κεῖται πονηρίας, καθάπερ οὖν καὶ ἐν τῇ καινῇ. οἱ γὰρ πεινῶντα μὴ θρέψαντες, οὐχ ὅτι τὰ ἀλλότρια ἥρπασαν, ἀλλ᾽ ὅτι τὰ αὐτῶν οὐ προσήκαντο τοῖς δεομένοις, εἰς τὸ τῆς γεέννης πέμπονται πῦρ· ὥσπερ οὖν καὶ οὗτοι νῦν ἐγκαλοῦνται, οὐχ ὅτι πλεονεκτοῦσιν, οὐδ᾽ ὅτι καταδυναστεύουσιν, ἀλλ᾽ ὅτι καὶ τοῖς δεομένοις τῆς αὐτῶν βοηθείας οὐκ ὀρέγουσι χεῖρα. διὰ τοῦτο τάδε λέγει ὁ δεσπότης κύριος Σαβαὼθ, ὁ δυνάστης τοῦ Ἰσραήλ· τουτέστι, τοῦ λαοῦ. οὐχ ἁπλῶς δὲ τέθηκεν ὁ δυνάστης, ἀλλὰ ἀναμιμνήσκων αὐτοὺς καὶ τῶν παρ᾽ ἐλπίδας εὐεργεσιῶν, καὶ τῶν χαλεπῶν κολάσεων ἃς ὑπέμειναν. ἐπειδὴ πολλάκις ἁμαρτάνοντες, καὶ πολλῆς ἀπολαύοντες τῆς μακροθυμίας εἰς ῥαθυμίαν ἔπιπτον. τοῦτο ἐνδείξασθαι βούλεται, ὅτι δυνατὸν ὅτε βούλεται ἐπεξελθεῖν, καὶ οὐ δεῖται καιρῶν, οὐδὲ χρόνων, ἀλλ᾽ ἕτοιμα αὐτῷ πάντα καὶ παρεσκευασμένα. οὐαὶ τοῖς ἰσχύουσιν ἐν Ἰσραήλ· οὐ παύσεται γάρ μου ὁ θυμὸς ἐν τοῖς ὑπεναντίοις μου. τί γὰρ ἀθλιώτερον τῶν τὸν Θεὸν πολέμιον ἐχόντων. οὐ παύσεται δὲ ἔλεγεν, οὐχ

A flagitiosam malitiã exercẽtes ex aduerso virtutis eius, quæ adducet vel maximè principem. *Diligentes munera.* Alterà hæc grauis species est cupiditatis grauis congerẽdi auri, quæ occasionẽ quidem habet plausibilẽ & ipso aspectu pergratam, atqui prætextu istius amabilis beneuolentiæ probat tandẽ extremã delituisse auaritiã. *Persequentes retributionem.* Iniuriã contumeliámve ab inimicis illatam ad memoriã reuocãtes, eísq. qui se contristarunt, studiosè procurãtes rependere vicẽ. Id quod insignis malitiæ est species. quãobrem multa cum sedulitate B interdictũ legimus non in nouo tantùm, sed & in vetere testamẽto: malitiã enim vnusquisque (ait) proximi sui ne memineritis in cordibus vestris. Maximè enim conuenit quemuis è vulgo, multò tamen magis principẽ purũ esse & immunem ab hac nequitia, vt ne per inimicitiã de his qui astant iudicandi, ferat sententiã: vt ne qui portus esse debuit, fiat scopulus. *Pupillis non iudicantes.* Hoc est, minimè defendentes iura orphanorũ, vt legitimis suis facultatibus perfruãtur. *Et iudiciũ viduarũ non animad-* C *uertentes.* Obseruandũ est, quia nõ additur in hac serie, flagitij quiduis aut maleficij illũ admisisse: sed quòd nõ sit exequutus bonitatẽ iudicij, in ordine malitiæ reponitur. Sanè & in nouo testamẽto eundẽ in modum. Qui enim esurientem nõ pauisse deprehendentur, in illũ emittẽtur gehẽnæ ignẽ, nõ quòd aliena rapuerint, sed quòd suas ipsorũ facultates nõ dispertiuerint in vsum egẽtium, quemadmodum sanè nunc hi etiã coarguũtur, nõ quòd alienis facultatib. inhiarẽt, aut per potẽtiã opprimerẽt: sed quia egenis ac pauperibus manum non D porrigerẽt adiutricẽ. 24. *Propter hoc, hæc dicit dominator Dominus Sabaoth, qui præpotẽs est Israel.* Hoc est, qui præsidet populo. Non simpliciter apposuit dynastes, hoc est, qui imperio plurimum pollet: sed & memoriã ipsis renouat beneficiorum in eos præter omniũ spẽ collatorũ, pœnarũ etiã grauiũ quas sustinuerãt: ex quo sæpius à rectitudine aberrãtes, nec tamẽ minore perfruẽtes Dei patientia, in socordiã reuoluebãtur. Vult hoc docere, quia illi possibile esset, reos peragere ac persequi quãdo vult: nec expectãda illi est vlla opportunitas rei gerẽdæ, aut cõmoditas temporis: sed ad nutum ei propendent omnia, súntq. velut in procinctu adornata. *Væ qui fortes estis in Israel: nõ enim cessabit furor meus cõtra inimicos meos.* Quid vtiq. istis est miserius qui Deũ habent hostẽ sibique infensum? Porrò, non conquiescet, dicebat, non

Matth. 25. 42.

eò vt illos ad deſperationem adduceret: ſed vt timorem exaugens ad pœnitentiam inuitaret. Hanc enim particulam, Non conquieſcet furor ſiue indignatio, formidabiliorem reddit, magiſque terrificam, quod ſequitur nempe, Contra inimicos meos. Nihil enim ſic cõſueuit exacuere irã Dei, vt iniuſtitia per principum violentiam aduerſus pauperes commiſſa. Væ autem fortibus, dicebat, non potentiã vllam aut principatũ traducens ſimpliciter: ſed eam fortitudinem, quæ malitiã inualeſcit. Hic namque fortitudinẽ dicit, nõ eam quæ corporis eſt: ſed principatũ ambitu rerũmque opulentia quæſitũ. *Et iudicium faciam de inimicis meis.* De inimicis meis exigam ſuppliciũ. Inimicos ſuos dicit, qui inimicè abutuntur pauperibus, dum eis inſultant quòd tales ſunt. Eò hoc dicebat, vt noſſe poſſis iniuſtitiæ iſtius magnitudinẽ. 25. *Et inducam manum meam in te, & excoquã te igne ad purum.* Vt diſcas, qualis ſit ira Dei, & quæ ab eo irrogatur pœna. Non poſtulo ſolum, vt mihi luãt cõmeritas pœnas: ſed vt eruditi ſuppliciis ad meliorẽ vitę frugem ſe recipiant. Et excoquã te igne, ad purum, ait. Itaq; ſi quando caſtigemur, nõ tunc æquum eſt grauatim ferre eam caſtigationẽ: ſed mox vbi peccauerimus, dolendũ nobis eſt. Peccatum quidem fœdam eluuiem operatur, quã expurgat pœnæ inflictio. Quid illud eſt, Ad purgationem ſiue ad purum? Vt ne vllum ſordis veſtigium reſideat penes te. Quod enim auro eſt ignis, hoc ignauis irrogatio pœnæ. *Inobedientes verò perdam, & auferam omnes iniquos à te, & omnes ſuperbos humiliabo.* Qui enim (ait) inſanabiliter ægreſcunt animis, neque obſequuntur pœnis eruditi, diſperibunt. Ex horum enim vita quid emolumenti ſperãdum eſt affore, quando quandiu viuunt, noxam inferunt & ſibi & aliis? Ceterũ qui expenſa in illos animaduerſione, meliores fieri poſſunt, perſtant. Mihi proinde hîc videtur ſuobſcurè quidem captiuitatem inſinuare. 26. *Et perficiam iudices tuos, ſicut prius: & conſiliarios tuos, ſicut ab initio.* Hoc loco aſcenſum eorum ſiue reditum denunciat, ſublatis videlicet è medio iis qui incurabili ægritudine laborant, & ad rectitudinem vitæ ſe recipiẽtibus qui poterant ſpecimen exhibere ſuæ diligentiæ. Reliquam inſuper medelæ ſpeciem addit nec intempeſtiuæ, videlicet adminiſtrationẽ ſeu præfecturã probatorũ principum & cõſiliarorũ copiam qui boni ſunt:

Sententia memorabilis.

Sententia.

A ἵνα εἰς ἀπόγνωσιν ἐμβάλλῃ, ἀλλ' ἵνα αὐξήσας τὸν φόβον εἰς μετάνοιαν καλέσῃ. τοῦ γὰρ οὐ παύσεται ὁ θυμός, φοβερώτερον τὸ ἐν τοῖς ὑπεναντίοις μου. οὐδὲν γὰρ οὕτω τὸν Θεὸν παροξύνειν εἴωθεν, ὡς ἡ κατὰ τῶν πενήτων ἀδικία κατ' αὐτοὺς γινομένη. οὐαὶ δὲ τοῖς ἰσχύουσιν ἔλεγεν, οὐχ ἁπλῶς τὴν δύναμιν διαβάλλων, ἀλλὰ τὴν ἐπὶ κακῷ δύναμιν. ἰσχὺν δὲ ἐνταῦθα, οὐ τὴν τοῦ σώματός φησιν, ἀλλὰ τὴν ἀπὸ τῆς τῶν πραγμάτων περιβολῆς δυναστείαν. καὶ κρίσιν ποιήσω ἐκ τῶν ἐχθρῶν B μου· κολάσω τοὺς ἐχθρούς μου, ἐχθροὺς αὐτοὺς λέγων, τοὺς τῶν πενήτων ἐχθροὺς διὰ τὸ ἐπηρεάζειν οὕτως. τοῦτο δὲ ἔλεγεν, ἵνα μάθῃς τῆς ἀδικίας τὸ μέγεθος. καὶ ἐπάξω τὴν χεῖρά μου ἐπὶ σέ, καὶ πυρώσω σε εἰς καθαρόν. ἵνα μάθῃς, ὅτι οἵα ἂν ᾖ ἡ ὀργὴ τοῦ Θεοῦ καὶ ἡ τιμωρία, οὐκ ἐπιχαλᾷ, καὶ τὸ δοῦναι δίκην γίνεται μόνον, ἀλλ' ἐπὶ τοῦ βελτίους γενέσθαι καὶ αὐτοὺς τοὺς κολαζομένους. καὶ πυρώσω σε, φησιν, εἰς καθαρόν. οὐ τοίνυν ὅταν κολαζώμεθα, ἀλλ' ὅταν ἁμαρτάνωμεν, τότε ἀλ- C γεῖν δίκαιον. τὸ μὲν γὰρ ῥύπον, τὸ δὲ καθαρμὸν ἐργάζεται. τί δέ ἐστιν εἰς καθαρμόν; ὡς μηδὲ ἴχνος εἶναι παρὰ σοὶ κηλῖδος. ὅπερ γάρ ἐστι τῷ χρυσίῳ τὸ πῦρ, τοῦτο τοῖς ῥαθύμοις ἡ τιμωρία. τοὺς δὲ ἀπειθοῦντας ἀπολέσω, καὶ ἀφελῶ πάντας ἀνόμους ἀπὸ σοῦ, καὶ πάντας ὑπερηφάνους ταπεινώσω. οἱ μὲν γὰρ ἀνίατα νοσοῦντες, φησι, καὶ οὐδὲ τιμωρίαις εἴκοντες, ἀπολοῦνται. τί γὰρ ὄφελος τῆς τούτων ζωῆς, ὅταν καὶ ἑαυτοῖς καὶ ἑτέροις ἐπιβουλεύωσιν ἐν τῷ ζῆν; οἱ δὲ ἐκ τῆς ἐκείνων τιμωρίας δυ- D νάμενοι βελτίους γενέσθαι, μενοῦσι. δοκεῖ δέ μοι ἐνταῦθα καὶ τὴν αἰχμαλωσίαν αἰνίττεσθαι. καὶ ἐπιστήσω τοὺς κριτάς σου, ὡς τὸ πρότερον, καὶ τοὺς συμβούλους σου, ὡς τὸ ἀπ' ἀρχῆς. ἐνταῦθα τὴν ἐπάνοδόν φησι. τῶν τε γὰρ ἀνίατα νοσούντων ἀναιρεθέντων, τῶν τε ἐπιμέλειαν ἐνδείξασθαι δυναμένων διορθωθέντων, εὐκαίρως καὶ τὸ λοιπὸν τῆς θεραπείας εἶδος προστίθεται, δοκίμων ἀρχόντων ἐπιστασία, καὶ συμβούλων ἀγαθῶν φορά, ἵνα καὶ

ἵνα καὶ τοῦ σώματος εἴκοντος τοῖς φαρμάκοις, καὶ τῶν ἰατρῶν ἀρίστων ὄντων, πανταχόθεν πρὸς ὑγείαν ἐπανίῃ τὰ τῆς πόλεως μέρη. οὐ γὰρ μικρὸν εὐεργεσίας εἶδος, ἀρχόντων ἐπιτυγχάνειν ἀγαθῶν. καὶ μετὰ ταῦτα κληθήσῃ πόλις δικαιοσύνης, μητρόπολις Σιὼν πιστή. καὶ τοί γε οὐδαμοῦ τοῦτο εὑρίσκομεν τὸ ὄνομα τῇ πόλει τῶν Ἱεροσολύμων ἐπιτεθέν. τί οὖν ἂν εἴποιμεν; ὅτι τὴν ἀπὸ τῶν πραγμάτων προσηγορίαν ἐνταῦθά φησι. τοῦτο δὲ ἡμῖν οὐ μικρὸν συμβάλλεται, ὅταν ἀπαιτῶσιν ἡμᾶς Ἰουδαῖοι τοῦ Ἐμμανουὴλ τὴν ἑρμηνείαν. ἐπειδὴ γὰρ Ἡσαΐας ἔφησε τὸν Χριστὸν οὕτως ὀνομασθήσεσθαι, οὐδαμοῦ δὲ ὠνόμασται, εἴποιμεν ἂν πρὸς αὐτούς, ὅτι τὴν ἀπὸ τῶν πραγμάτων σημασίαν ἔφησεν ὄνομα εἶναι, ὥσπερ οὖν καὶ ἐνταῦθα. μετὰ γὰρ κρίματος σωθήσεται ἡ αἰχμαλωσία αὐτῆς, καὶ μετὰ ἐλεημοσύνης. μετὰ κρίματος, τουτέστι, μετὰ δίκης καὶ κολάσεως καὶ τιμωρίας τῶν πολεμίων· μετὰ ἐλεημοσύνης, τουτέστι, πολλῆς τῆς φιλανθρωπίας. δύο ἐνταῦθα ἐπαγγέλλεται μέγιστα αὐτοῖς δῶρα, τό τε δίκην δοῦναι τοὺς ἀπαγαγόντας, τό τε αὐτοὺς πολλῆς ἀπολαῦσαι τῆς εὐημερίας, ὧν ἕκαστον καὶ καθ' ἑαυτὸ μεγίστην ἱκανὸν παρέχειν ἡδονήν. ὅταν δὲ καὶ ἀμφότερα συνδράμῃ, ἄφατος γένοιτ' ἂν ἡ εὐφροσύνη. ἄλλως τε καὶ δεῖξαι βουλόμενος, ὅτι καὶ μετὰ τὴν μακρὰν αἰχμαλωσίαν, οὐ διὰ τὸ δοῦναι δίκην ἀξίαν, καὶ τὸ τὰ ἁμαρτήματα ἀποκείρασθαι, ἀλλὰ διὰ τὴν φιλανθρωπίαν τὴν αὐτοῦ πρὸς τὴν οἰκείαν ἐπανάγονται, καὶ ἐλέου μᾶλλόν ἐστιν ἡ σωτηρία, ἢ ἀντιδόσεως καὶ ἀμοιβῆς, ἐπήγαγε, καὶ μετ' ἐλεημοσύνης. καὶ συντριβήσονται οἱ ἄνομοι καὶ οἱ ἁμαρτωλοὶ ἅμα. τρίτον καὶ τοῦτο εὐεργεσίας εἶδος, τὸ μηδένα εἶναι τὸν παρασύροντα καὶ πρὸς ἀπάτην ἕλκοντα, ἀλλ' ἐκποδὼν γίνεσθαι τοὺς τῆς πονηρίας διδασκάλους. καὶ οἱ ἐγκαταλείποντες τὸν κύριον συντελεσθήσονται. οἱ δὲ ἀσεβεῖς, φησίν, ἀπολοῦνται. διότι νῦν αἰσχυνθήσονται ἐν τοῖς εἰδώλοις αὐτῶν, ἐφ' οἷς αὐτοὶ ἐβούλοντο. τινὲς μὲν καὶ κατὰ τὸν παρόντα καιρὸν τὰ εἰρημένα ἁρμόζειν ἐπιχειροῦσιν· ἀλλ' ἡμεῖς οὔτε ἐκείνους αἰτιασόμεθα, καὶ τῇ ἀκολουθίᾳ ἑψόμεθα. ταῦτα γάρ ἐστιν, ἃ συμβήσεσθαί φησιν ἐπὶ τῆς τῶν πολεμίων ἐφόδου.

A vt partes ciuitatis vndecumque ad pristinam redeant sanitatem, dum obsequenter paret medicamentis, medicíq; adsunt quã optimi. Beneficij enim non mediocris loco habendũ est, si cõtingat nancisci principes bonos. *Et post hæc vocaberis ciuitas iustitiæ, metropolis Sion fidelis.* Atqui nullo vnquam loco deprehendimus nomen hoc impositum esse Hierosolymorũ ciuitati. Quid ergo dicemus? Sanè hanc appellationẽ à rebus ipsis ei astruit: nobis verò ex vsu fuerit, siquando Iudæi ex nobis reposcent nominis istius EMMANUEL interpretationẽ. Esaias B namq. cõfirmauit Christũ hoc nomine vocatum iri, nusquam verò vocatus legitur. Nobis licuerit istis respõdere, quia significatio rerum quas gessit, erat illi hoc nomẽ impositura, quemadmodum sanè etiam hoc loco. 27. *Cùm iudicio enim saluabitur captiuitas eius, & cum misericordia.* Cum iudicio, hoc est cum iustitia, supplicio & vindicta de hostib. sumendis. Cum eleemosyna, hoc est, permulta erga homines benignitate Dei. Duo hic pollicetur eis dona, & quidem maxima. Priùs, quòd qui eos abduxerant in captiuitatem, daturi essent pœnas. C Alterum, quia fuerant perfruituri prosperiore clementia temporis: quorum vnumquodque sufficiebat per se illis maximam adferre animi voluptatem. Iam verò vtrumque dum concurrit, ineffabilis animo oboritur iucunditas, præsertim quum cupiat ostendere, quia post longam captiuitatem non luerint pœnam suis flagitiis dignam, & proinde sua euaserint peccata: sed per eius benignitatem ad patriam reducuntur, quò fit vt eorum salus misericordiæ potius quàm retributioni adscribenda sit aut compensationi: D adiecit, Et cum misericordia. 28. *Et conterentur iniqui & peccatores simul.* Species etiam hæc beneficij in eos collati tertia est, vt nemo supersit qui alios abducat à rectitudine & in fraudem errorémve pelliciat: sed nequitiæ magistros quàm longissimè amoliatur. *Et qui dereliquerunt Dominum, consummabuntur.* Impij, vero, inquit, disperibũt. 29. *Ideo nunc confundentur per idola sua, ob quæ ipsi voluerunt.* Equidem nonnulli dicta hæc præsenti tempori accommodare nituntur: sed nec illos incusabimus, magis rerum tenorem continuationémque sequemur. Sunt enim hæc quæ euentura dixit ipso statim hostium ingressu.

Emmanuel nobiscum Deus.

Quo siquidem tempore barbarus regionem excursionibus depopulatus est, ciuitatémque circumsedit, omnes denique quasi mediis haberet retibus implicitos, nemo adfuit qui suppetias ferret & vlcisceretur: nemo qui nubem illam dispelleret, quòd deseruisset eos Deus: iure id quidem optimo. Nam ipsa rerum doctrice experientia, multa confusio aspersura eos erat qui idola colebant: ob quæ volebant, ait, circa quorum culturam studia sua collocarant. *Et erubescent in sculptilibus suis, ob ea quæ fecerunt.* Obiurgationem ponit in ordine narrationis. Abundè enim poterat eos suppudefacere modus talis conficiundi sibi idola, etiam ante rerum exitum. Quid enim vsquam est indecorum magis & pudendum, quàm sibi Deum aliquem confingere? *Et confundentur ab hortis, ob ea, quæ desiderauerit.* Non enim statuas tantū adorabant, sed & arbores in hortis venerabantur. 30. *Erunt enim quasi Terebinthus quæ folia sua deiecit.* Vel certe idola signātur, vel ij qui ciuitatē incolebāt. Porrò similitudinē arboris huius in mediū attulit, quòd planta eiusmodi vernacula illi patriæ sit admodum & apud eos numerosa, simul quia vbi primùm adolescit, floret supra modum, & vernanti coma pullulat: eadem mox vt folia decusserit, extremā ostentat deformitatem. *Et sicut hortus non habens aquam.* Hæc quoque similitudo secunda, priore est dilucidior, fidémque facit eorum quæ in priore dicta sunt. Horto enim germinante ac florulento vt nihil est iucūdius: ita destituto coma virenti nihil inamœnius. Vtraque hæc in illa metropoli fuerūt. Vt enim fuerat numerata semper inter optimè institutas ac splēdore nominis claras, innumerísque exculta ornamentis: ita demum omnib. abiectior effecta est, præq; cæteris dedecorosior. Vsque adeò derepēte diuitias à se excussit totius sui decoris.

31. *Et erit fortitudo eorū quasi stipula stupæ.* Priores quidem similitudines assumptę sunt ad ingerēdum eorū animis mœrorem: hæc autem ad declarandā infirmitatem ipsorum inducta est. Omnes verò plurimum habent euidentiæ & perspicuitatis, rémq. dilucidè & cum emphasi exprimūt. Quasi stipula stupæ. Hoc est, imbelles. *Et opera eorum quasi scintilla ignis.* Ostendit hic quod ex seipsis malorum causam dederunt, eóque captiuitatem sibi pepererunt, ac fornacem succenderunt.

ὅτε μὲν γὰρ τοῦ βαρβάρου τὴν χώραν καταστρέφοντος, καὶ τὴν πόλιν περικαθημένου, καὶ πάντας ὡς ἐν δικτύοις μέσοις ἔχοντος, μηδεὶς ὁ ἀμύνων ἦν καὶ τὸ νέφος ἐκεῖνο διακρουόμενος διὰ τὴν ἐγκατάλειψιν τοῦ Θεοῦ, εἰκότως καὶ ἐξ αὐτῆς τῶν πραγμάτων τῆς πείρας πολλὴ κατασκεδασθήσεται τῶν τὰ εἴδωλα θεραπευόντων ἡ αἰσχύνη. ἐφ' οἷς ἐβούλοντο, περὶ ἃ ἐσπουδάκεισαν, φησί. καὶ αἰσχυνθήσονται ἐπὶ τοῖς γλυπτοῖς αὐτῶν, ἐφ' οἷς ἐποίησαν. ἐν τάξει διηγήσεως, κατηγορίαν τίθησιν. ἤρκει γὰρ καὶ πρὸ τῆς τῶν πραγμάτων ἐκβάσεως, καὶ αὐτὸς τῆς τοιαύτης εἰδωλοποιΐας ὁ τρόπος αὐτοὺς καταισχῦναι. τί γὰρ αἰσχρότερον τοῦ Θεόν τινα ἑαυτῷ ποιεῖν. καὶ αἰσχυνθήσονται ἐπὶ τοῖς κήποις αὐτῶν, ἐφ' οἷς ἐπεθύμησαν. οὐ γὰρ δὴ ξόανα προσεκύνουν μόνον, ἀλλὰ καὶ δένδρα ἐν κήποις ἐθεράπευον. ἔσονται γάρ, ὡς τερέβινθος ἀποβεβληκυῖα αὐτῆς τὰ φύλλα. ἤτοι τὰ εἴδωλα ἢ αὐτοὶ οἱ τὴν πόλιν οἰκοῦντες. τὴν δὲ εἰκόνα τοῦ δένδρου τούτου παρήγαγε, διά τε τὸ ἐγχώριον εἶναι μάλιστα τὸ φυτὸν καὶ πολὺ παρ' αὐτοῖς, καὶ διὰ τὸ σφόδρα αὔξειν καὶ τεθηλέναι, ἡνίκα ἂν ἀκμάζῃ· καὶ ἐσχάτην ἀμορφίαν ἐνδείκνυσθαι, ἐπειδὰν ἀποβάλλῃ τὰ φύλλα. καὶ ὡς παράδεισος ὕδωρ μὴ ἔχων. καὶ ἡ δευτέρα εἰκὼν τῆς προτέρας σαφεστέρα, καὶ πιστουμένη τῶν ἐπὶ τῇ προτέρᾳ λόγων εἰρημένων. οὔτε γὰρ παραδείσου θάλλοντος τερπνότερον, οὔτε ἐρημωθέντος ἀτερπέστερον, ἅπερ ἀμφότερα γέγονεν ἐπὶ τῆς μητροπόλεως ἐκείνης. πάντοτε γὰρ ἦν ἀμείνων καὶ λαμπροτέρα, μυρίοις καλλωπιζομένη κόσμοις· καὶ πάντων εὐτελεστέρα γέγονε καὶ αἰσχροτέρα, τοσοῦτον ἀθρόον εὐκοσμίας ἀποβαλοῦσα πλοῦτον. καὶ ἔσται ἡ ἰσχὺς αὐτῶν, ὡς καλάμη στυππίου. αἱ πρότεραι μὲν εἰκόνες εἰς τὸ ἀτερπὲς παρελήφθησαν, αὕτη δὲ εἰς τὸ ἀσθενές· πᾶσαι δὲ σφόδρα ἐναργεῖς, καὶ πολὺ τὸ σαφὲς καὶ ἐμφατικὸν ἔχουσαι. ὡς καλάμη στυππίου, τουτέστιν ἀσθενεῖς. καὶ αἱ ἐργασίαι αὐτῶν, ὡς σπινθὴρ πυρός. ἐντεῦθεν δείκνυσιν ὅτι οἴκοθεν τὰ κακά, καὶ αὐτοὶ τὴν αἰχμαλωσίαν ἔτεκον, καὶ τὴν κάμινον ἀνῆψαν.

ὥσπερ γὰρ σπινθῆρες ἐμπίπτοντες πῦρ ἀνεγείρουσιν, οὕτω τὰ ἁμαρτήματα τούτων συναχθέντα, τοῦ Θεοῦ τὴν ὀργὴν ἀνῆψε. καὶ κατακαυθήσονται οἱ ἄνομοι, καὶ οἱ ἁμαρτωλοὶ ἅμα, καὶ οὐκ ἔσται ὁ σβέσων. πάλιν ἀπαγορεύει τὴν σωτηρίαν διὰ τὴν αὐτὴν πάλιν αἰτίαν, οὐχ ἵνα ἀπογνῶσιν, ἀλλ' ἵνα ταύτῃ γοῦν ἀκμάζοντα τὸν φόβον δεξάμενοι, τὴν πολλὴν ἀποτινάξωνται ῥᾳθυμίαν. καὶ ἕτερον δέ τι ἐνταῦθα αἰνίττεται, τὸ ἄμαχον αὐτοῦ τῆς δυνάμεως, καὶ ὅτι κολάζοντος αὐτοῦ καὶ τιμωρουμένου οὐδεὶς ἀντιστῆναι καὶ καταλῦσαι δυνήσεται τὰ δεινά.

A Quemadmodum enim scintillæ incidentes in stupam exuscitant ignem: sic horum peccata in vnũ aggesta diuinam incenderunt irã. *Igne consumentur iniqui & peccatores simul, & non erit qui extinguat.* Iterum salutẽ denegat propter iam dictam causam: non vt spem abijciant suæ salutis, magis vt hac saltem ratione, crescẽte in eis timore à se lentorẽ inertiamque animi excutiant. Hic præterea aliud quiddam tacitè innuit, nempe inexpugnabilem esse Dei potẽtiam, nec vllum esse qui ex aduerso se opponat, eo feriente & de peccatoribus expetente vl- B tionem, quisque valeat absoluere ab his quæ inuexerit malis.

ΚΕΦΑΛ. Β.

Ὁ λόγος ὁ γενόμενος πρὸς Ἡσαΐαν υἱὸν Ἀμμώς.

ΕΝτεῦθεν δῆλον, ὡς οὐ πάσας ὑφ' ἓν τὰς προφητείας εἰρήκασιν· ἀλλὰ κατὰ διαφόρους ἐμπνεόμενοι καιρούς, περικοπάς τινας ἀπήγγελον, αἳ συντεθεῖσαι ὕστερον ὑφ' ἕν, ὁλόκληρον βιβλίον ἐποίησαν. διὸ καὶ οὕτως ἄρχεται. οὐκ ἐντεῦθεν δὲ μόνον τοῦτο δῆλον ἔσται καὶ σαφὲς ἡμῖν, ἀλλ' ἐξ ὧν προοιμίων καὶ τοὺς καιροὺς ἐπισημαίνει, νῦν μὲν λέγων, τοῦ ἐνιαυτοῦ, οὗ εἰσῆλθε Ναθὰν εἰς Ἄζωτον, νῦν δὲ λέγων, καὶ ἐγένετο τοῦ ἐνιαυτοῦ, οὗ ἀπέθανεν Ὀζίας ὁ βασιλεὺς, εἶδον τὸν κύριον καθήμενον ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου. οὐ γὰρ ὥσπερ αἱ ἐπιστολαὶ αἱ Παύλου καὶ τὰ εὐαγγέλια ὑφ' ἓν συνετέθησαν, οὕτω δὴ καὶ προφητεῖαι, ἀλλ', ὅπερ ἔφθην εἰπὼν, ἐν διαφόροις καιροῖς. ὅθεν καὶ ἀπ' ἀρχῆς ἑτέρας ἄρχεται τοῦ παρόντος λόγου· καὶ οὐ διὰ τοῦτο μόνον, ἀλλὰ καὶ διὰ τὸ τὴν ὑπόθεσιν, περὶ ἧς μέλλει διαλέγεσθαι, σφόδρα ἀπηρτῆσθαι τῶν προειρημένων, καὶ ὑψηλοτέραν εἶναι. περὶ γὰρ τῆς τῶν ἐθνῶν κλήσεως, καὶ τῆς τοῦ κηρύγματος περιφανείας, καὶ τῆς πανταχοῦ τῆς οἰκουμένης ἐκταθείσης γνώσεως, καὶ τῆς καταληψομένης τὴν γῆν εἰρήνης ἡμῖν διαλέγεται. εἰ δὲ μέλλων τούτων ἅπτεσθαι τῶν δογμάτων, Ἰουδαίας μέμνηται καὶ Ἱερουσαλήμ, ξένον οὐδέν. προφητεία γὰρ ἦν τὸ λεγόμενον, συνεσκιασμένη τέως τῇ τῶν ὀνομάτων προσηγορίᾳ. ἐπεὶ καὶ τὸν ψαλμὸν τὸν ἑβδομηκοστὸν πρῶτον ὁ Δαβὶδ συνθεὶς μέλλων, ἐπέγραψεν αὐτὸν τῷ Σολομῶντι.

IN CAP. II.

Verbum, quod factum est ad Esaiam filium Amos.

LIQVET hinc non vno & continenti tempore, prophetas sua edidisse oracula omnia: sed pro diuersa qualitate temporis (dum numine aspirarentur) quasdam enunciabant incisiones, quæ C tandẽ conscriptæ librũ vnum sua omni parte absolutum perfecerũt. Eóque sic capit exordium. Atqui non hinc modò manifestũ nobis euadet id & euidens: sed & ex his per quæ progressus etiam tẽpora annotat: nunc quidẽ dicens annum quo ingressus est Nathan in Azorum: nunc verò, Et factũ est anno quo mortuus est Ozias rex, Vidi Dominum sedentem super solium excelsum & eleuatum. Non enim quemadmodũ Pauli epistolæ & Euangelia in vnũ contracta sunt, itidẽ & prophetiæ: sed quod priùs dixi, pro diuersa qualitate tẽporum cõ- D scriptæ sunt. quare & aliud hic sumit exordium sui sermonis. Neque ob eam modò causam: sed & propterea quòd argumentũ, de quo sermonẽ habiturus est, ab iis quę dicta sunt antè, magno dissidet interuallo, estq. illius intelligẽtia sublimior. Etenim de gẽtiũ vocatione, de splendore prædicationis, de Dei cognitione propagatã per vniuersum orbem déque pace quæ terrã occupatura erat, nobis edisserit. De eiusmodi dogmatis tractaturus, Iudææ interim commeminit & Hierusalem, nec id absurdum aut nouum. Quod enim dicebatur, prophetia erat propriis nomẽclaturis quadãtenus occultata: quanquã & Dauid psalmum conscripturus septuagesimum primum, eum inscripsit nomine Salomonis.

Esa. 10. 1.
Esa. 6. 1.
Dewiulicieuam:

Aliquantum enim progressus, Salomoni tribuit multò maiora quàm conueniebat adscribere eius dignitati, veriùs autem quã agnouerit omnis hominum generatio naturáve. Illud enim, Ante solem permanet nomen eius: Et, Ante lunam thronus, & quæcunque talia occurrunt, nemo eorum qui etiam vehementer delirant, fateatur dici de humana natura. Sed & Iacob, quum ea quæ nũc dicturus est Esaias, atque adeò his plura prædiceret (etenim cum gentium vocatione mortem dixit, resurrectionem simul & tempus quo affuturus erat) non tamen palàm ea euulgauit: sed sub inuolucro nuncupaturæ filij texit quæ fuerat dicturus, & ad hunc modum ea prædixit quæ euentura contemplabatur, quum Iudæ loqueretur, prout testimonio fuit rerum exitus, quas præcinuerat cum laude gesturum esse Iudam. Neque enim Iudas expectatio fuit gentiũ. At ne tunc quidem tribus Iudæ illustris fuit, quando publica administratio ipsorum exoleuit ac defecit: imò isthæc omnia adueniente Christo facta sunt. Quod si perfricent frontem Iudæi, & particulam hanc prophetiæ dolo malo interpretentur, imò abrogent: maximè quidem nec difficilè reuinci possunt per ea quæ dicta iam sunt, modò aliquis solerter prophetica ipsa oracula adimpleta, totámque sententiam decenti cum attentione examinans, dicta accommodet factis. Ex abundanti itaque copia liceat istis oppilare os, non per ea quæ per Christum dicta sunt: sed ex iis quæ per ipsorum patriarchas sunt prædicta. Hoc vt manifestum fiat, pro virili cõnitar, ostendens multa quidem à prophetis dicta esse in eos qui tribuum principes erant, porrò ea oracula in ipsos reciderunt qui ex illis erant. Exempli gratia, simul atque dixero historiam vnam & alteram, arbitror assequuturum me propositum scopum. Etenim quando Iacob, Simeone & Leui ad se accitis, quæ ipsis euentura essent, prædicit: sic dicebat, Simeon & Leui fratres. Dein eorum iniquitate palàm traducta & increpita iniusta cæde quam exercuerant in Sichimitas, progressus aliquantum ait, Diuidam eos in Iacob, & dispergam eos in Israël. Nemo autem videat hoc in Leui ac Simeone esse factum: sed in tribubus quæ ab vtroque profectæ sunt.

Gen. 49.

Gen. 49. 7

καὶ περιϊὼν πολλῷ μείζονα τῆς Σολομῶντος ἀξίας, μᾶλλον δὲ καὶ τῆς ἁπάντων ἀνθρώπων φύσεως ἰδεῖν τὸ γὰρ, περὶ τοῦ ἡλίου διαμενεῖ τὸ ὄνομα αὐτοῦ, καὶ περὶ τῆς σελήνης ὁ θρόνος αὐτοῦ καὶ ὅσα τοιαῦτα, οὐδεὶς ἂν οὐδὲ τῶν σφόδρα ἀνοήτων περὶ ἀνθρωπίνης εἴποι λέγεσθαι φύσεως. καὶ ὁ Ἰακὼβ δὲ ἡνίκα ταῦτα, ἃ μέλλει νῦν ὁ Ἡσαΐας λέγειν, καὶ πλείονα τούτων προανεφώνει· μετὰ γὰρ τῆς τῶν ἐθνῶν κλήσεως καὶ τὸν θάνατον εἶπε καὶ τὴν ἀνάστασιν, καὶ τὸν καιρὸν καθ' ὃν ἔμελλε παρέσεσθαι· οὐδὲ ἐκεῖνος ἀπογυμνώσας αὐτὰ τέθηκεν· ἀλλὰ τῷ προσωπείῳ τῆς προσηγορίας τοῦ υἱοῦ κρύψας ἃ ἔμελλεν ἐρεῖν, οὕτως αὐτὰ προανεφώνησε, τῷ μὲν δοκεῖν τὰ συμβησόμενα, τῷ Ἰούδᾳ λέγων· καθὼς δὲ τὸ τῶν πραγμάτων μαρτυρεῖ τέλος, ἅπερ ἔμελλε κατορθοῦν ὁ Χριστὸς, προανεφώνει. οὔτε γὰρ προσδοκία ἐθνῶν Ἰούδας γέγονεν, οὔτε τότε ἔλαμψεν ἡ φυλὴ, ὅτε ἐξέλιπεν αὐτῶν ἡ πολιτεία· ἀλλὰ ταῦτα πάντα, ὅτε ὁ Χριστὸς παρεγένετο, γέγονεν. εἰ δὲ ἀναισχυντοῖεν Ἰουδαῖοι τοῦτον παρακρουόμενοι τῆς προφητείας τὸν νόμον, μάλιστα μὲν οὕτω καὶ ἐξ αὐτῶν τῶν εἰρημένων ῥαδίως διελεγχθεῖεν, εἴ τις μετ' ἀκριβείας τὴν προφητείαν ἐξαπλώσας, καὶ πᾶσαν ῥῆσιν μετὰ τῆς προσηκούσης ἐξετάζων προσοχῆς, ἁρμόζοι τὰ εἰρημένα τοῖς γενομένοις. ὥστε δὲ καὶ ἐκ περιουσίας αὐτῶν ἀποῤῥάψαι τὰ στόματα, οὐκ ἀπὸ τῶν εἰς τὸν Χριστὸν εἰρημένων, ἀλλ' ἀπὸ τῶν εἰς τοὺς αὐτῶν πατριάρχας προφητευθέντων, τοῦτο πειρασόμεθα ποιῆσαι φανερὸν, δεικνὺς ὅτι αἱ πολλαὶ τῶν προφητειῶν εἴρηνται μὲν εἰς τοὺς φυλάρχους, ἐξέβησαν δὲ εἰς τοὺς ἐξ ἐκείνων. καὶ παραδείγματος ἕνεκεν μίαν ἢ καὶ δευτέραν εἰπὼν ἱστορίαν, ἅψομαι τῶν προκειμένων. καὶ γὰρ ὅτε τὸν Συμεὼν καὶ τὸν Λευῒ καλέσας ὁ Ἰακὼβ, προανεφώνει τὰ συμβησόμενα αὐτοῖς, οὕτως ἔλεγε· Συμεὼν καὶ Λευῒ ἀδελφοὶ, καὶ κατηγορήσας αὐτῶν τῆς παρανομίας, καὶ τῆς ἀδίκου σφαγῆς τῆς εἰς τοὺς Σικημίτας γεγενημένης, προϊών φησι· διαμεριῶ αὐτοὺς ἐν Ἰακὼβ, καὶ διασπερῶ αὐτοὺς ἐν Ἰσραήλ. τοῦτο δὲ ἐπὶ τοῦ Λευῒ καὶ τοῦ Συμεὼν οὐδεὶς ἂν ἴδοι γεγενημένον, ἀλλ' ἐπὶ τῶν φυλῶν τῶν ἐξ αὐτῶν.

καὶ γὰρ ἡ τοῦ Λευὶ φυλὴ διεσπάρη, τὸ δέκατον μέρος αὐτῆς ἑκάστης φυλῆς ἐχούσης· ἢ τὸ τοῦ Συμεὼν, ἥτις τὸ αὐτὸ τοῦτο σχεδὸν ἔπαθε, πάσαις αὐταῖς παρεκταθεῖσα κατὰ τὴν κλῆρον, καὶ οὐχ, ὡς ἑκάστη τῶν ἄλλων, συνημμένην ἔλαβε τὴν κληρουχίαν, καὶ πρὸς ἑαυτὴν συγκεκροτημένην. καὶ ὁ Ἰακὼβ δεξάμενος εὐλογίας παρὰ τοῦ πατρὸς, οὐδεμίας αὐτῶν ἀπήλαυσεν αὐτός. ὁ μὲν γὰρ πατὴρ αὐτοῦ προὔλεγεν εὐετηρίαν πολλὴν, καὶ διηνεκῆ δεσποτείαν τοῦ Ἠσαῦ· οὗτος δὲ καὶ τῶν ἀναγκαίων ἠπόρει, καὶ θητεύων ἐτρέφετο· καὶ τοσοῦτον ἀπεῖχε κρατῆσαι τἀδελφοῦ, ὅτι δὴ καὶ περὶ αὐτοῦ ἐκινδύνευε τῶν ἐσχάτων, καὶ ἅπαξ αὐτῷ συντυχὼν μόνον μετὰ πολλοῦ τοῦ δέους, ἠγάπησε τὸ δυνηθῆναι διαφυγὼν αὐτὸν καὶ σωθῆναι. τί οὖν ἂν εἴποιμεν πρὸς ταῦτα; ὅτι ψευδὴς ἡ προφητεία· ἄπαγε· ἀλλ' ὅτι τοιοῦτον αὐτῆς πολλαχοῦ τὸ ἔθος, τὰ ἐφ' ἑτέρων ἐκβησόμενα, ἑτέρων ὑποκειμένων προσώπων, λέγειν, καὶ ἀποκεχρῆσθαι ὀνόμασιν ἄλλοις ἀνθ' ἑτέρων· ὃ καὶ ἐπὶ τοῦ Χαναὰν γέγονεν. οὐδὲ γὰρ ὁρῶμεν ἐκεῖνον δουλεύσαντα τοῖς ἀδελφοῖς· οὐ μὴν οὐδὲ τὴν ἀρὰν διαπεσοῦσαν, ἀλλ' ἐπὶ τῶν Γαβαωνιτῶν λαβοῦσαν τὸ τέλος τῶν ἐκ τοῦ Χαναὰν γεγονότων. καὶ γὰρ ἐν τάξει ἀρᾶς προφητεία τὸ λεγόμενον ἦν. τοσούτων τοίνυν καὶ τοιούτων ὄντων παραδειγμάτων τῶν ἀποδεικνύντων ἡμῖν, ὅτι πολλὰ τῶν εἰρημένων λέγεται μὲν ἐφ' ἑτέρων, ἐκβαίνει δὲ ἐπ' ἄλλων, καὶ ὀνόμασιν ἀποκέχρηνται οἱ προφῆται, τί θαυμαστὸν, εἰ καὶ νῦν τὸ τῆς Ἰουδαίας καὶ τῆς Ἱερουσαλὴμ προθεὶς ὄνομα ὁ προφήτης, περὶ τῆς ἐκκλησίας προαναφωνεῖ; καὶ γὰρ ἐπειδὴ πρὸς ἀγνώμονας ὁ λόγος ἦν αὐτῷ, προφήτας ἀναιροῦντας, τὰ βιβλία καίοντας, τὰ θυσιαστήρια κατασκάπτοντας, εἰκότως τὸ κάλυμμα ἔκειτο ἐπὶ τῇ ἀναγνώσει τῆς παλαιᾶς διαθήκης, κατὰ τὸν μακάριον Παῦλον. ἢ γὰρ ἂν καὶ ἠφάνισαν τὰ βιβλία, εἰ συνῆκαν τὴν προφητείας τὴν δύναμιν τὴν περὶ τοῦ Χριστοῦ. ὅπου γὰρ παρόντα αὐτὸν καὶ θαυματουργοῦντα, καὶ ἐντελῆ τῆς οἰκείας δυνάμεως καὶ τῆς πρὸς τὸν πατέρα συμφωνίας τε καὶ ὁμοιότητος παρεχόμενον τὴν ἀπόδειξιν, οὐκ ᾐδέσθησαν, οὐδὲ ἀπέστησαν ἕως ἐσταύρωσαν·

A Etenim tribus Leuitica dispersa est, quando vnaquæque partem ipsius tribus obtinebat decimam. Siue etiam tribus Simeonis quæ eandem propemodum dispersionem perpessa est, dum se porrexit, & sortitò extendit per vniuersas alias tribus: nec vt alia quæuis tribus, accepit sortitionem suæ coloniæ coünitam & inter sese conspirantem. Iacob insuper tot à patre acceptis benedictionibus, ne vna quidem perfruitus est. Ipsius enim pater illi prædixerat affuturam exuberantem copiam prouentus annui: quódque Esau perpetuò do- B minaretur. Atqui vix etiam huic suppetebant necessaria, suámque familiam alebat conductitia mercede. Tantum insuper abfuit, vt dominium obtineret in fratrem, vt sibi etiam malè metueret ab illo, & extremè periclitaretur, ac semel dũtaxat magno cum timore factus illi obuius, magnopere optabat posse fuga consulere suæ saluti. Ad hæc igitur quid nobis dicendum? Quòd mendax sit prophetia? Absit. Imò quia mos hic est prophetis creberrimus, vt dicãt quę aliis euẽtura sunt aliis subiectis personis, & interim abutantur aliorum no- C minibus, pro aliis: id quod in Chanaan factum cernitur. Neque enim videmus illum fratribus seruiuisse, nec verò ob id inefficax fuit aut intercidit patris in illum maledictio: sed exitum sortita est in Gabaonitis qui ex genere Chanaan prognati sunt. Etenim quod in serie execrationis illius dicebatur, erat prophetia. Tot itaque & istius generis permulta exempla quum suppetant nobis, quæ nos edoceãt, quoniã non pauca eorum quæ dicta sunt, de aliis quidẽ dicẽs D propheta, in alios reciderũt, quódq. nominib. abusi sint prophetæ: quid mirabile videri debeat, si nunc quoque propheta nomẽ præferẽs Iudææ & Hierusalem, & ad ecclesiã præludit? Ipsi enim quũ sermo esset ad eos qui erga dominũ ingrati, prophetas etiã neci cõtraderẽt, exurerent eorũ libros, altaria suffoderent: meritò velamen ipsis impositum erat in lectione veteris testamẽti, iuxta beatum Paulum. Certe enim libros exterminassent, si intellexissent vim prophetiæ, quæ de Christo erat. Nunc quando ipsum præsentem & miracula edentem, atque perfectum propriæ virtutis argumentum ac specimen exhibentem concordiæ consentientis cum patre, nihil reueriti sunt, neque conquieuerunt, donec illum affigerent cruci.

Mos prophetis creberrimus immutare personas.

Interpret legit καὶ ἀπὸ τῶν *est ergo vertendum:* Nam cum ipsũ præsentẽ &c. nihil reueriti sint, neq. conquieuerĩt, d.i a. cruci: multo minus pepercissent illis, qui de ipso loquuti essent, quos etiã absq. hac occasione continuò lapidabant.

Imò ne ab his quidem sibi ullo modo temperauerũt qui de eo loquebantur, quos propterea cõtinuò opprimebant etiam lapidum iactu. Eam ob rem propriis & vulgariter notis nominibus acquiescunt prophetę, ac immorãtur perlibenter, tali prætextu personæ suas obscurantes prophetias. Nam quòd de Iudæa & Hierusalem sermo hic non sit: producta in medium vnaquaque sententia, quæ iam dicta sunt, exactè nouerimus: 2. *Quia erit in nouissimis diebus manifestus mons Domini.* Obserua exactam diligentiã prophetæ dicentis, non quæ facta modò sunt, sed & tempus adnotantis. Etenim secundum id quod ait Paulus, Quando autem venit plenitudo temporum: & alio in loco rursus, In dispensatione plenitudinis temporum: ad eundem sensum dicit Propheta, In nouissimis diebus. Vocat autem nomine montis Ecclesiam simul & inexpugnabilem dogmatum eius traditionem. Quemadmodum enim, montibus licet quis obuallet & obijciat militum millia plurima: & hi quidem intorqueant arcus, isti euibrent hastas & iaculentur, illi genus omne molitionis admoueant & bellica machinamenta, illa vt adsint omnia, nihil noxæ aut detrimenti inuehent soliditati montiũ. Illinc potiùs fcedere cogentur consumpta inaniter sua fortitudine. Sanè idipsum contigit ad vnum omnibus qui oppugnarunt ecclesiam: hæc quidem inconcussa perstitit, illi è diuerso deperdita propria virtute, indecoris infamię notam incurrerunt: dum eam feriunt, euanescunt: dum iaculantur in eam, imbelles redduntur: dum cædunt flagris, ab his vincuntur qui malè affecti sunt. Ita enim modus hic victoriæ sanè quàm admirabilis est: nec hominibus, sed soli Deo (qui potest) adscribẽdus. nec admodum est mirabile ecclesiam vicisse, sed quia sic vicit. Insectationes persecutionesq; perpessa est, innumeris modis contusa est, & minutim discerpta: nec tamen inferior euasit, imò emersit effusior: & eos qui aduersus eam talia moliebantur, redigebat in nihilum, tantum erat vt illi patienter tolerarent, quod & Adamas ferro admotus facit, ab ipso dum feritur tantùm, solidam illam vim ferri ipsum percutientis dissoluit. Stimuli insuper aduersus calcitrones, ipsi quidem nihilo fiunt hinc obtusiores: pedes verò calcitrantium cruẽtant. Sanè hanc ob rem, ecclesiam vocauit montem. Quòd si metaphoram non admittit Iudæus: vel ex domestica, sibique

Gal.4.4.

Ephes.1.10

Altera cõfirmatio à simili.

γαλῆ γε αἱ τὴν περὶ αὐτοῦ λεγόντων ἐφείσαντο, οἷς καὶ χωρὶς τούτου κατέλευον συνεχῶς. διὰ τοῦτο τοῖς οἰκείοις καὶ γνωρίμοις αὐτοῖς ἐμφιλοχωροῦντες ὀνόμασι, τὰς προφητείας τούτῳ συσκιάζουσι τῷ προσώπῳ. ὅτι γὰρ οὐ περὶ τῆς Ἰουδαίας καὶ Ἱερουσαλὴμ ὁ λόγος, ἑκάστην παραγαγόντες λέξιν εἰς μέσον, μετὰ ἀκριβείας εἰσόμεθα τὰ εἰρημένα. ὅτι ἔσται ἐν ταῖς ἐσχάταις ἡμέραις ἐμφανὲς τὸ ὄρος κυρίου. ὅρα ἀκρίβειαν προφήτου, οὐ τὰ πράγματα λέγοντος μόνον, ἀλλὰ καὶ τὸν χρόνον ἐπισημαινομένου. ὅπερ γὰρ φησὶν ὁ Παῦλος, ὅτε δὲ ἦλθε τὸ πλήρωμα τῶν καιρῶν, καὶ ἑτέρωθι πάλιν, εἰς οἰκονομίαν τοῦ πληρώματος τῶν καιρῶν, τοῦτο ὁ προφήτης φησὶν ἐν ταῖς ἐσχάταις ἡμέραις. ὄρος δὲ τὴν ἐκκλησίαν καὶ τὸ τῶν δογμάτων ἀκαταγώνιστον καλεῖ. καθάπερ γὰρ ὄρεσι κἂν μυρία προσβάλλῃ στρατόπεδα, τόξα τείνοντα, καὶ δόρατα ἀφιέντα, καὶ μηχανήματα προσάγοντα, ἐκεῖνα μὲν οὐδὲ παραβλάψαι δυνήσονται, τὴν δὲ οἰκείαν καταλύσαντα ἰσχὺν ἀπελεύσονται· οὕτω δὴ καὶ οἱ τῇ ἐκκλησίᾳ πολεμήσαντες ἅπαντες, ταύτην μὲν οὐκ ἔσεισαν, τὴν δὲ οἰκείαν ἀπολέσαντες δύναμιν κατηναλώθησαν, ἐν τῷ παίειν διαλυόμενοι, καὶ ἐν τῷ βάλλειν ἀσθενοῦντες, καὶ ἐν τῷ ποιεῖν ὑπὸ τῶν πασχόντων νικώμενοι· ὅπερ καὶ παράδοξος νίκης τρόπος ἐστὶ, καὶ οὐκ ἀνθρώποις, ἀλλὰ Θεῷ μόνον δυνατός. τὸ γὰρ θαυμαστὸν τῆς ἐκκλησίας, οὐχ ὅτι ἐνίκησεν, ἀλλ' ὅτι καὶ οὕτως ἐνίκησεν. ἐλαυνομένη γὰρ, διωκομένη, μυρίοις κατακοπτομένη τρόποις, οὐ μόνον οὐκ ἠλαττοῦτο, ἀλλὰ καὶ μείζων ἐγίνετο, καὶ τοὺς ταῦτα ποιεῖν ἐπιχειροῦντας, αὐτὸ τὸ πάσχειν μόνον κατέλυσεν· ὅπερ ἀδάμας ποιεῖ περὶ τὸν σίδηρον, τῷ παίεσθαι μόνον διαλύων τοῦ παίοντος τὴν ἰσχύν· καὶ κέντρα πρὸς τοὺς λακτίζοντας, αὐτὰ μὲν οὐδὲν ἀμβλύτερα ἐντεῦθεν γινόμενα, τοὺς δὲ λακτίζοντας αἱμάσσοντα πόδας. διὰ δὴ τοῦτο ὄρος ἐκάλεσεν. εἰ δὲ οὐκ ἀνέχεται τῆς μεταφορᾶς ὁ Ἰουδαῖος, οἰ-

κόθεν πάλιν δεχέσθω τὸν ἔλεγχον. αὐτὸς γὰρ οὗτος ὁ προφήτης λύκους καὶ ἄρνας ἔφησε τῆς αὐτῆς νομῆς κοινωνήσειν, καὶ μυίαις τὸν Θεὸν συριεῖν καὶ ταῖς μελίσσαις, καὶ ποταμὸν ἀνάγειν ῥαγδαῖον ἐπὶ τοὺς Ἰουδαίους, διὰ τὸ μὴ βούλεσθαι αὐτοὺς ἔχειν τὸ ὕδωρ τοῦ Σιλωάμ. ἅπερ εἴ τις ἐπὶ τὴν λέξιν ἐκλάβοι, πολὺ τὸ ἀπερινόητον ἔχει· ἀλλὰ δεῖ τὰ ἐκ τούτων σημαινόμενα δεχομένους, οὕτω ποικίλλειν τὴν νοημάτων τὴν ἀκολουθίαν. τί οὖν ἐστι τὰ ἐκ τούτων σημαινόμενα; διὰ μὲν τὴν λύκων καὶ τῶν ἀρνῶν, οἱ τῶν ἀνθρώπων τρόποι οἱ θηριώδεις καὶ ἥμεροι· διὰ δὲ τῶν μυιῶν, τὸ ἀναίσχυντον τῶν Αἰγυπτίων· διὰ δὲ τοῦ ποταμοῦ, τὸ σφοδρὸν τῆς στρατιᾶς τοῦ βαρβάρου· διὰ δὲ τοῦ Σιλωάμ, τὸ πρᾶον καὶ ἐπιεικὲς τοῦ τότε ἄρχοντος, τοῦ τῶν Ἰουδαίων βασιλέως. καὶ οὐδεὶς οὐδὲ τῶν σφόδρα ἀνοήτων πρὸς ταῦτα ἡμῖν ἀντερεῖ. ὥσπερ γὰρ οὖν ἐκεῖνα ἑτέροις ὀνόμασι προεδηλώθη, οὕτω καὶ τῆς ἐκκλησίας τὸ στερρὸν, τὸ ὑψηλὸν, τὸ ἀχείρωτον διὰ τῆς τοῦ ὄρους ᾐνίξατο προσηγορίας. καὶ γὰρ ἕτερος προφήτης τοὺς πεποιθότας ἐπὶ τὸν Θεὸν ὄρει παραβάλλει, τὸ ἀκαταγώνιστον αὐτῶν ἐνδεικνύμενος. ἐμφανὲς τοῦτο, οὐδὲ τῆς ἀπὸ τοῦ λόγου λοιπὸν ἑρμηνείας δεῖται. οὕτως αὐτὴ τῶν πραγμάτων ἡ φύσις, σάλπιγγος λαμπροτέραν φωνὴν ἀφίησι, τὸ περιφανὲς ἐνδεικνυμένη τῆς ἐκκλησίας. οὐ γὰρ οὕτως ἥλιος φανὸς, οὐδὲ τὸ ἐκ τούτου φῶς, ὡς τῆς ἐκκλησίας τὰ πράγματα. καὶ γὰρ ὁ οἶκος τοῦ Θεοῦ ἐπ' ἄκρων τῶν ὀρέων. πῶς δὴ τοῦτο ἑρμηνεύσεται ὁ Ἰουδαῖος; οὐδαμοῦ γὰρ ἐπ' ἄκρων τῶν ὀρέων ὁ ναός ἐστιν. ἡ μέντοι τῆς ἐκκλησίας δύναμις αὐτῶν ἥψατο τῶν οὐρανῶν. καὶ ὥσπερ εἰ οἶκος ὑπὲρ κορυφῆς ὀρῶν κείμενος, πᾶσίν ἐστι κατάδηλος, οὕτω καὶ πολλῷ πλέον αὐτὴ περιφανὴς πᾶσιν ἀνθρώποις γέγονε. καὶ ὑψωθήσεται ὑπεράνω τῶν βουνῶν. τὸ αὐτὸ τοῦτο πάλιν ἑρμηνεύουσιν, ὅπερ ἐπὶ τοῦ ναοῦ οὐδέποτε συνέβη, οὐδὲ ἡνίκα ἄριστα

A familiari scriptura accipiat argumentum. Hic enim idem propheta prædixit lupos & agnos pascua herba in cõmune vsuros, Deum quoque sibilaturum ad muscas & ad apes: & quia fluuium violentum adduceret aduersum Iudæos, eò quòd hi habere noluerint aquam Siloë. quæ quidẽ si quis pergat excutere per singulas dictiones & interpretari, intelliget vix vllo acumine ingenij, vllá ve cõmentatione apprehendi posse. At nos oportet ea, quæ per eum loquendi tropum innuũtur, admittẽtes variã deprehendere sententiarũ consequentiã. B Quid igitur insinuat nobis, quæ per iam dicta significantur? Per lupos quidem & agnos, hominum mores: illi quidem efferati & beluæ in morem agrestes, hi autẽ cicures ac placidi. Per muscas verò, impudens planè obscœnitas ac turpitudo Ægyptiorũ: denique per fluuiũ, violẽta illa innuitur fortitudo barbarici exercitus: Itemque per Siloë, insinuabatur mansuetudo & placabilitas eius, qui tũ Rex imperabat populo Iudaico. Aduersum hæc occurrit nemo qui controuertat, etiam eorum qui vehementer desipiunt. quemadmodũ enim illa aliis C sunt expressa nominibus: sic & immotam soliditatem, sublimitatem, inexpugnabilem & inuictã potestatẽ ecclesiæ velut ænigmate indicauit appellatione montis. Etenim propheta alter eos qui totam spem ac fiduciam suam in Deum proiecerunt, confert monti, perspicuè volens ostendere talium vim esse inuictam. Res hæc dilucida adeò est, vt nulla deinceps egeat per sermonem interpretatione. Ipsa enim rerum natiua indoles ad eum modum, vocem edit tuba quauis clarius resonantem, exhibens omnibus spectandũ decus ac splendo- D rem ecclesiæ. Non enim iste sol tanto nitore splendescit, non item lux ex ipso emicans illustre adeò iubar effundit, vt res gestæ ab ecclesia. Etenim domus Dei super montes altissimos collocata est. Quo igitur pacto queat id interpretari Iudæus? Nusquam enim legimus Iudaicum templum in summis montibus esse exædificatum: Ecclesiæ verò potestas ipsos pertingit cœlos, & quemadmodum domus supra verticem montium posita omnibus se exhibet conspicuam, eodem modo ac multò etiam magis ipsa cunctis hominibus inclaruit. *Et exaltabitur super colles.* Hoc ipsum rursus interpretatus est, quod nullo vnquã tempore cõtigit fieri in templo illo: ne tunc quidem, quando videbantur Rempublicam quamoptimè

Esa. 65. Muscas ob idololatriã Ægyptios vocat Esa. 7. & apes, Assyrios.

Siloe fons perennis ad radices mõtis Sion, ac certis horis fluit. de quo Esa. 8. Ezechiam intelligit.

Ezechiæ nimirum.

Psal. 124. Qui confidant.

administrare. Quomodo enim, quando & ab ipsis Iudæis nec semel affectum est insigni ignominia, barbarorũ denique manibus ex hominum conspectu sublatum est. Contrà, Ecclesiæ fortitudo oppugnata quidẽ est, quàm illud fuit, atrociùs & immaniùs multò: nec sic tamen cessit vnquã se oppugnantiũ manibus, imò sublimior effecta est & illustrior, quũ hostium insidiis appeteretur. Sanè tunc emicuerũt numerosæ turbæ martyrum, tunc confessorũ frequẽs multitudo inclaruit, animæ tũ ipsa ferri duritię rigidiores se esse declarabãt, eóque expressiùs astris ipsis suũ diffundebãt splẽdorem. Corpora quidẽ minutim concidebãtur, at mens inuicta, manebat, prævalebat, & coronabatur. quis vidit, quis audiuit cædẽ gestare coronã? iugulationem operantẽ victoriã? tumque exercitum splẽdidiorẽ euadere, cum visi sunt plures ab hostib. iugulari? *Et venient ad eam omnes gentes.* Progressu ipso euadit propheta explanatior, suique sermonis retegit velamẽ, proinde & prophetiam exhibet dilucidiorẽ, oráq. Iudæorũ obturat absolutiùs. Hoc enim oraculũ suo templo Iudæi nõ poterũt accõmodare, etiamsi nimisquã sint impudentes, nec sciant suppudescere, quãdoquidẽ legis edicto, gentibus interdictũ fuit ingressu templi, etiã atq. etiã prohibitũ ne illud subirẽt. Quid dico ingressu tẽpli, cũ lex etiãnum multa cũ interminatione ipsis interdiceret cõmercio ac permixtione gẽtiũ, próq. eiusmodi extremã reposceret pœnã? Certè propheta Aggæus suã omnẽ propheciã in hoc consumpsit, id intẽtans criminis loco, interminãs supplíciũ, pœnas reposcẽs, quòd indecorè, nec vt cõueniebat sibi adsciscerent generos. Atqui nostra, talia nõ sunt. Ecclesia enim omni cum impunitate, expassis sinibus quotidie excipit & reclinatis manibus vniuersas vndecunq. terrarũ gentes, Etenim primi illi doctores dogmatũ nostrorum, hoc ipsum vt facerẽt, mandatũ acceperunt ab vnigenito, hac cõfestim exaudita voce: Profecti docete omnes gentes. Animũ mihi aduerte, quomodo propheta nõ solam subindicauit gentiũ vocationẽ: sed & expromptam & alacrem adiecit earũ obedientiam. Non enim dixit, adducentur, sed venient: id quod alter propheta dilucidius ostendens dicebat: Nequaquam docebit vnusquisq. ciuem suum, dicens: Cognosce Dominum, quia omnes cognoscẽt

Matth. 28. 19.

Hier. 31. 34.

A περιέπειν ἐδόκει. πῶς γὰρ ὅπουγε καὶ ὑπ' αὐτῶν τῶν Ἰουδαίων πολλάκις ἠτιμάζετο, καὶ ὑπὸ βαρβαρικῶν ἠφανίζετο χειρῶν· ἡ δὲ τῆς ἐκκλησίας ἰσχὺς ἐπολεμήθη μὲν ἐκείνου χαλεπώτερον καὶ πλέον· ἔδειξε δὲ οὐδέποτε ταῖς τῶν πολεμούντων χερσίν· ἀλλ' ὑψηλοτέρα καὶ περιφανεστέρα μάλιστα ὑπὸ τῶν πολεμίων ἐγένετο. τότε γοῦν τῶν μαρτύρων οἱ δῆμοι· τότε τῶν ὁμολογητῶν τὰ πλήθη· τότε αἱ σιδήρου στερρότεραι ἀπεδείκνυντο ψυχαί, καὶ τῶν ἀστέρων αὐτῶν ἀκριβέστερον ἔλαμπον, τῶν μὲν σωμάτων αὐτοῖς κατακοπτομένων, τῆς γνώ- B μης δὲ οὐ νικωμένης, ἀλλὰ κρατούσης καὶ στεφανουμένης. τίς ἴδε, τίς ἤκουσε φόνον στέφανον φέροντα; καὶ σφαγὴν νίκην ἐργαζομένην, καὶ ποτε τὸ στρατόπεδον λαμπρότερον γινόμενον, ὅτε πλείους οἱ σφαττόμενοι παρὰ τῶν πολεμίων ἐφαίνοντο; καὶ ἥξουσιν ἐπ' αὐτὴν πάντα τὰ ἔθνη. προϊὼν σαφέστερος ὁ προφήτης γίνεται, καὶ μᾶλλον ἀνακαλύπτει τὸν λόγον, καὶ τρανότερον δείκνυσι τὴν προφητείαν, καὶ ἀκριβέστερον ἀποῤῥάπτει τῶν Ἰουδαίων τὰ στόματα. τοῦτο γὰρ καὶ εἰ σφόδρα ἀναισχυντοῖεν, οὐ δυνήσονται τῷ αὐτῶν ναῷ ἁρ- C μόσαι. καὶ γὰρ καὶ ἀπηγόρευτο καὶ μεθ' ὑπερβολῆς κεκώλυτο ἔθνη εἰς τὸν ναὸν εἰσιέναι. καὶ τί λέγω εἰς τὸν ναὸν εἰσιέναι, ὅπουγε καὶ αὐτοῖς μετὰ πολλῆς τῆς ἀπειλῆς ὁ νόμος ἀπηγόρευε τὰς τῶν ἐθνῶν ἐπιμιξίας, καὶ τὴν ἐσχάτην ὑπὲρ τούτων ἀπῄτει δίκην. ὁ γοῦν προφήτης Ἀγγαῖος, ἅπασαν εἰς τοῦτο κατηνάλωσε τὴν προφητείαν ἐγκαλῶν, ἀπειλῶν, εὐθύνας ἀπαιτῶν τῆς οὐ προσηκούσης ἐπιγαμβρείας. ἀλλ' οὐ τὰ ἡμέτερα τοιαῦτα, ἀλλὰ μετὰ ἀδείας ἁπάσης ἀναπετάσασα τοὺς κόλπους ἡ ἐκκλησία χερσὶν ὑπτίαις ἅπαντα τὰ τῆς οἰκουμένης καθ' ἑκά- D στην ἡμέραν ὑποδέχεται ἔθνη. τοῦτο γὰρ καὶ οἱ πρῶτοι τῶν δογμάτων διδάσκαλοι παρὰ τοῦ μονογενοῦς ἐκελεύσθησαν ταύτην εὐθέως ἀκούσαντες τὴν φωνήν· πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη. σκόπει δέ μοι πῶς οὐ τὴν κλῆσιν τῶν ἐθνῶν ᾐνίξατο μόνον ὁ προφήτης, ἀλλὰ καὶ τὴν μετὰ προθυμίας αὐτῶν ὑπακοήν. οὐ γὰρ εἶπεν, ἀχθήσονται, ἀλλὰ ἥξουσιν· ὅπερ ἕτερος προφήτης σαφέστερον ἐνδεικνύμενος ἔλεγε· καὶ οὐ μὴ διδάξωσιν ἕκαστος τὸν πολίτην αὐτοῦ καὶ ἕκαστος τὸν ἀδελφὸν αὐτοῦ, λέγων· γνῶθι τὸν κύριον, ὅτι πάντες εἰδήσουσί

με ἀπὸ μικροῦ ἕως μεγάλου αὐτῶν. ἐπεὶ μὲν A γὰρ τῶν Ἰουδαίων καὶ ἡ κτίσις ἀνεστοιχειοῦτο, καὶ ἀπειλαὶ συνεχεῖς, καὶ κολάσεις διηνεκεῖς, καὶ θαύματα ἐπάλληλα, καὶ προφητῶν δρόμοι, καὶ νομοθέτου φόβος, καὶ πολέμων ἀπειλαὶ, καὶ βαρβάρων ἔφοδοι, καὶ ὀργαὶ θεήλατοι, καὶ κολάσεις ἐκ τῶν οὐρανῶν πεμπόμεναι· καὶ ἔμενον σκληροτράχηλοι καὶ ἀπερίτμητοι ὄντες, καθὼς ὁ Στέφανος ἔλεγεν, ἀτενεῖς καὶ δυσένδοτοι. ἐπὶ δὲ τῶν ἐθνῶν ἤρκεσε ῥῆμα ψιλὸν καὶ ἀκοὴ μόνη, καὶ πάντες εὐθέως προσέδραμον. ὅπερ οὖν καὶ ὁ Δαβὶδ αἰνιττόμενος ἔλεγε· λαὸς, ὃν οὐκ ἔγνων, ἐδούλευ- B σέ μοι. καὶ τὸν τρόπον τῆς ὑπακοῆς θαυμάζων προστέθεικεν· εἰς ἀκοὴν ὠτίου ἐπήκουσέ μου. τοῦτο αὐτὸ καὶ ὁ Ἰακὼβ αἰνιγματωδέστερον ἐμφαίνων ἔλεγε· δεσμεύων πρὸς ἄμπελον τὸν πῶλον αὐτοῦ, καὶ τῇ ἕλικι τὸν πῶλον τῆς ὄνου αὐτοῦ. καί τοι τίς εἶδεν ἕλικι πῶλον δεσμούμενον, καὶ παρεστῶτα ἀμπέλῳ, καὶ μὴ λυμαινόμενον τὸν καρπόν; ἐπεὶ μὲν γὰρ τῶν ἀλόγων οὐδεὶς, ἐπὶ δὲ τῶν ἀνθρώπων μετὰ πολλῆς τοῦτο γέγονε τῆς ἀκριβείας. οἱ μὲν γὰρ Ἰουδαῖοι μυρίοις δεθέντες δεσμοῖς συνέτριψαν τὸν ζυγὸν, διέῤῥηξαν C τὸν δεσμὸν, καθὼς ὁ προφήτης φησί· τὰ δὲ ἔθνη οὐδεμιᾷ τοιαύτῃ δεθέντα ἀνάγκῃ, ἐπιμελῶς ὑπήκουσαν, ὡς ἂν ἕλικι πῶλος δεσμούμενος, καὶ οὐδὲν ἐλυμήναντο τῶν ἐπιταγμάτων, ἀλλὰ παρειστήκεισαν πολλὴν ἐνδεικνύμενοι τὴν ὑπακοήν. καὶ πορεύσονται λαοὶ πολλοὶ, καὶ ἐροῦσι· δεῦτε, καὶ ἀναβῶμεν εἰς τὸ ὄρος τοῦ κυρίου, καὶ εἰς τὸν οἶκον τοῦ Θεοῦ Ἰακώβ. ὅρα χορεύοντας καὶ πανηγυρίζοντας, καὶ ἀλλήλοις ἐγκελευομένους, καὶ πάντας διδασκάλους γινομένους, καὶ οὐχ ἓν, καὶ δεύτερον, καὶ τρίτον, D ἀλλὰ καὶ πολλὰ ἔθνη συντρέχοντα. ἥξουσι γὰρ, φησι, λαοὶ πολλοὶ, καὶ ἐκ διαφόρων χωρῶν, ὅπερ ἐπὶ τῶν Ἰουδαίων οὐδέποτε γέγονεν. ἀλλ' εἰ καί τινες προσῆλθον, ὀλίγοι ποτὲ προσήλυτοι, μετὰ πολλῆς καὶ αὐτοὶ τῆς πραγματείας, καὶ οὐδέποτε ἔθνη ἐκλήθησαν, ἀλλὰ προσήλυτοι. προσήλυτοι γὰρ ἐπὶ σὲ διελεύσονται, καί (σοι ἔσονται) δοῦλοι, φησιν. εἰ δὲ ἐπιμένει τῇ μεταφορᾷ ὁ προφήτης, ὄρος καλῶν καὶ οἶκον τοῦ Θεοῦ Ἰακὼβ, μὴ

me à paruo vſque ad magnũ inter eos. Propter Iudæos enim creatura etiam ipſa in primaria elementa reſoluta eſt, aſſiduæ illis intentatæ ſunt cominationes, cõtinua ſupplicia. Miracula alternis ſibi ſuccedentia, prophetarum varij diſcurſus, legiſlatoris timor, bellorũ intentatæ cõminationes, excurſiones impreſſionéſque barbarorum, iræ & vindictæ in eos à Deo immiſſæ, animaduerſiones è cœlis in eos inuectæ, & nihilominus perſiſtebãt prędurę ceruicis & incircũciſi, quemadmodum dicebat Stephanus, rigidi ſiue præfracti & nec facilè condonantes. Ad gentium verò vocationẽ ſatis fuit nudũ ac tenue verbum, ſoláq; auditio. etenim confeſtim accurrerunt omnes. Quòd equidẽ Dauid ipſe ſubindicans, dicebat: Populus quem non cognoui, ſeruiuit mihi. Proinde admirãs hic tam celerem obedientiæ modum, adijciebat: In auditu auris obediuit mihi. Hoc ipſum & Iacob obſcuriore multò ſermone ſubindicãs dicebat, Ligans ad vitem pullum ſuũ, & clauiculis hederæ ſeu capreolis vineæ pullum aſinæ ſuæ. Nam quis aliquando vidit pullum hedera adſtrictũ, & aſtantem viti, & fructum eius non abligurientem & depaſcentẽ? Id quod nemo de brutis conceſſerit: de hominibus id fuerit factum multa cum ſedulitate. Etenim Iudæi innumeris obuincti ceremonialib. ligaturis, cõtriuerunt iugum, diſruperunt vinculum, ſicuti dicit propheta. Gentes verò quũ nulla tali obligatione adſtrictæ eſſent, propẽſius obedierunt (quaſi ſi pullus alligetur helici hederæ) nec quicquã labefactarunt eorum quæ iuſſæ ſunt facere, ſed adſtiterunt multam oſtentantes obedientiam.

Act. 7.

Pſ. 17. 48.

Gen 49. 11

3. *Et ibunt populi multi, & dicent: Venite & aſcendamus ad montem Domini & ad domum Dei Iacob.* Vide, vt hi chorum celebrent, feſtos agant dies, mutuis ſe adhortẽtur verbis, doctores denique fiant omnes. Non vna gens, non altera, nõ tertia: ſed perquã multæ eò concurrunt. Venient enim (ait) populi multi & ex diuerſis regionibus ac prouinciis, quod ſanè de Iudæis nunquã contigit dici poſſe. Sed & quidã eorum licet acceſſerint, pauci quondã proſelyti & hi multa cum difficultate, neque hi vnquam dici potuêre gentes, ſed proſelyti. Proſelyti enim ad te tranſibunt, tibíque erunt ſerui, ait ſcriptura. Quòd ſi propheta immoratur metaphoræ, vocãs montem etiã domum Dei Iacob, ne

mireris. Vt enim anteuerti dicere, nunc quidem propemodum explanat rem & apertiùs eloquitur, nunc verò suã tegit & obumbrat prophetiã. Illud quidem eò facit, vt iis qui perspicaciore sunt intellectu, occasiones præbeat simul intelligendi quæ dicuntur: hoc verò, vt perfidorũ impetum insolescentem ac tumultuariũ cohibeat. Sermonẽ suum nullo non loco exornat varietate mirabili. Quia verò dixit Deum Iacob, nihil est dilectissime quòd turberis aut interstrepas. Etenim vnigenitus Dei filius, etiam Deus Iacob erat. Ipse etenim legem dedit & inter Iudæos stupenda illa miracula edidit ad vnum omnia. Idque nosse liceat maximè ex lectione veteris testamenti: quandoquidẽ Iudæi nullã rationẽ habent noui testamenti: Hieremias igitur ait: Statuam vobis testamentũ quod disposui cum patribus vestris, declarans quia legis vtriusq. idem fuit conditor. Quia verò idem eos eripuit è iugo Ægyptiacæ seruitutis, hinc intulit: In die qua apprehendi manum eorum, vt educerẽ eos de terra Ægypti. Quapropter idem eos eduxit, & omnia illa quę in Ægypto gesta sunt, & in eremo edita sunt miracula, idem ipse fecit: Et annunciabit nobis viam suam, & ambulabimus in ea. Vides, vt aliam quandã legem efflagitent? Viam enim consueuit scriptura accipere pro Dei mãdatis. Quod si de priore testamento intellexisset, vtique non dixisset: Annunciabit nobis. Illud enim testamentũ prius nulli non manifestum fuit, perspectum omnib. & familiariter notum. Quódque hæc dicamus non animo fallendi: quibusuis, quatumlibet sint impudentes, persuadere possũt, ea quæ iam dicta sunt. Non enim modò viæ cõmeminit, sed & qualitatem dicit istius viæ, multáque vt internosci queat, addit insignia, quippe qui adiecit: Ex Sion enim exhibit lex, & verbum Domini de Hierusalem. Ad hæc ne hiscere quidem poterũt Iudæi, nimisquã licet sint impudentes. Siquidem hæc quòd dicta sint de nouo testamento: ex loco, ex tempore, & per eos qui legem exceperunt, per rem quoque gestam secundum eam legem, sed &, vt ingenuè dicam, ex omni parte testamenti illius colligere liceat & nosse. In primis quidem à loco, nempe à mõte Sion. Lex enim illa per Mosen data est in monte Sinai ipsorum progenitoribus. Qua igitur ratione dicit hic ex Sion? Nec illi satis fuit

Hier. 31. 32

Via Dei mandata eius.

A θαυμάσῃς. ὅπερ γὰρ ἔφθην εἰπὼν, νῦν μὲν παῤῥησίᾳ, νῦν δὲ συσκιάζει τὴν προφητείαν· τὸ μὲν, ἵνα τοῖς συνετωτέροις ἀφορμὰς παράσχοι τοῦ συνιδεῖν τὰ λεγόμενα· τὸ δὲ, ἵνα τῶν ἀγνωμόνων καταστείλῃ τὴν ἄτακτον ῥύμην· καὶ πανταχόθεν ποικίλλει τὸν λόγον. εἰ δὲ τοῦ Θεοῦ Ιακὼβ εἶπε, μὴ θορυβηθῇς, ἀγαπητέ. καὶ γὰρ ὁ μονογενὴς υἱὸς τοῦ Θεοῦ, Θεὸς Ιακὼβ ἦν. αὐτὸς γὰρ καὶ τὸν νόμον ἔδωκε, καὶ τὰ κατ᾽ αὐτοὺς ἐθαυματούργησεν ἅπαντα. καὶ τοῦτο ἐκ τῆς παλαιᾶς αὐτῆς μάλιστά ἐστιν ἰδεῖν, ἐπειδὴ τῆς καινῆς B οὐδεὶς Ιουδαίοις λόγος. ὁ οὖν Ιερεμίας φησί· διαθήσομαι ὑμῖν διαθήκην καινὴν, οὐ κατὰ τὴν διαθήκην, ἣν διεθέμην τοῖς πατράσιν ὑμῶν, δηλῶν ὅτι ἑκατέρων τῶν νόμων αὐτὸς ὁ νομοθέτης ἦν. ὅτι δὲ καὶ τῆς Αἰγύπτου αὐτὸς αὐτοὺς ἀπήλλαξεν, ἐπήγαγεν· ἐν ἡμέρᾳ ἐπιλαβομένου μου τῆς χειρὸς αὐτῶν ἐξαγαγεῖν αὐτοὺς ἐκ γῆς Αἰγύπτου. Εἰ δὲ αὐτὸς ἐξήγαγε, καὶ πάντα ἐκεῖνα τὰ ἐν τῇ Αἰγύπτῳ καὶ τὰ ἐν τῇ ἐρήμῳ αὐτὸς ἐποίησε θαύματα. καὶ ἀναγγελεῖ ἡμῖν τὴν ὁδὸν αὐτοῦ, καὶ πορευσόμεθα ἐν αὐτῇ. ὁρᾷς ἕτερόν τινα ἐπιζητοῦντας C νόμον; ὁδὸν γὰρ ἡ γραφὴ τὰς ἐντολὰς τοῦ Θεοῦ εἴωθε λέγειν. εἰ δὲ ἐπὶ τῆς προτέρας ἔλεγε διαθήκης, οὐκ ἂν εἶπεν, ἀναγγελεῖ ἡμῖν. δήλη γὰρ ἦν καὶ σαφὴς καὶ γνώριμος ἅπασι. καὶ ὅτι οὐ σοφιζόμενοι ταῦτά φαμεν, τὰ μὲν εἰρημένα καὶ τοὺς σφόδρα ἀναισχυντοῦντας ἱκανὰ πεῖσαι. ἐπειδὴ γὰρ ὁδοῦ μόνον ἐμνήσθη, λέγει καὶ ποίας ὁδοῦ, καὶ πολλὰ τίθησιν αὐτῆς τὰ γνωρίσματα. ἐπήγαγε γοῦν λέγων· ἐκ γὰρ Σιὼν ἐξελεύσεται νόμος, καὶ λόγος κυρίου ἐξ Ιερουσαλήμ. πρὸς ταῦτα καὶ σφόδρα ἀναισχυντοῦντες Ιουδαίων παῖδες οὐδὲ διᾶραι τὸ στόμα δυνήσονται. ὅτι γὰρ περὶ τῆς καινῆς D ταῦτα εἴρηται διαθήκης, καὶ ἀπὸ τοῦ τόπου, καὶ ἀπὸ τοῦ χρόνου, καὶ ἀπὸ τῶν δεξαμένων τὸν νόμον, καὶ ἀπὸ τοῦ πράγματος τοῦ μετὰ νόμον, καὶ πάντοθεν ἁπλῶς ἐστι συνιδεῖν. καὶ πρῶτον ἀπὸ τοῦ τόπου, τοῦ Σιὼν ὄρους. ὁ γὰρ διὰ Μωϋσέως νόμος ἐν τῷ Σιναίῳ ὄρει τοῖς προγόνοις αὐτῶν ἐδόθη. πῶς οὖν ἐνταῦθα ἐκ Σιὼν φησι; καὶ οὐκ

ἠρκέσθη τούτῳ μόνον, ἀλλὰ καὶ τὸν χρόνον προστέθεικεν. οὐ γὰρ εἶπεν, ἐξῆλθε νόμος, ἀλλ' ἐξελεύσεται νόμος· ὅπερ ἐστὶ μέλλοντος χρόνου, καὶ πραγμάτων οὐδέπω γεγενημένων. ὅτε δὲ ὁ προφήτης ταῦτα ἔλεγε, πρὸ πολλῶν ἐτῶν ἦν δεδομένος ὁ νόμος· ὁ δὲ τῆς καινῆς ἔμελλε μετὰ ἔτη πλείονα δίδοσθαι. διὰ τοῦτο οὐκ εἶπεν, ἐξῆλθεν, ἀλλ' ἐξελεύσεται, τουτέστι, μετὰ ταῦτα. καὶ πάλιν ἐπὶ τὸν τόπον αὐτὸν καταφεύγει λέγων· καὶ λόγος κυρίου ἐξ Ἱερουσαλήμ. μετὰ ἀκριβείας ἡμῖν τὸ παράσημον τῆς καινῆς διαθήκης ἐνταῦθα τέθεικε. καὶ γὰρ τότε μὲν ἐν τῷ ὄρει καθήμενος, τὰ ὑψηλὰ καὶ τῶν οὐρανῶν ἄξια προστάγματα ἐνομοθέτει, νῦν δὲ ἐν Ἱερουσαλὴμ διατελοῦσιν. εἰπὼν τοίνυν καὶ τὸν τόπον, καὶ τὸν χρόνον, προστίθησι καὶ τοὺς ὑποδέχεσθαι αὐτὸν μέλλοντας, πάντοθεν ἀποῤῥάπτων τῶν ἀντιλεγόντων τὰ στόματα. τίνες οὖν οἱ μέλλοντες αὐτὸν ὑποδέχεσθαι; ἆρα τῶν Ἑβραίων ὁ δῆμος καὶ Ἰουδαίων παῖδες; οὐδαμῶς, ἀλλ' οἱ ἐξ ἐθνῶν. διὸ καὶ ἐπήγαγε, καὶ κρινεῖ ἀνὰ μέσον ἐθνῶν. τοῦτο γὰρ μάλιστα νόμου, τὸ δικάζειν τοῖς μαχομένοις αὐτόν. ὅτι δὲ οὐ περὶ τῆς παλαιᾶς ὁ λόγος, δῆλον ἀπὸ τῶν πραγμάτων αὐτῶν. οὔτε γὰρ σαββατίζομεν, οὐ περιτομὴν ἐδεξάμεθα, οὐ τὰς ἑορτὰς ἐκείνων, οὐκ ἄλλο τῶν παλαιῶν οὐδέν. ἠκούσαμεν γὰρ Παύλου λέγοντος, ὅτι ἐὰν περιτέμνησθε, Χριστὸς ὑμᾶς οὐδὲν ὠφελήσει· καί, ἡμέρας παρατηρεῖσθε, καὶ μῆνας, καὶ καιρούς, καὶ ἐνιαυτούς. φοβοῦμαι μή πως εἰκῇ κεκοπίακα εἰς ὑμᾶς. ὅθεν δῆλον ὅτι περὶ τῆς καινῆς ὁ λόγος, ὅτι ἀνὰ μέσον ἐθνῶν ἔκρινε· καθὼ καὶ ὁ Παῦλός φησιν, ἐν ἡμέρᾳ, ὅτε κρινεῖ ὁ Θεὸς τὰ κρυπτὰ τῶν ἀνθρώπων. πῶς κρινεῖ, εἰπέ μοι; κατὰ τὴν παλαιὰν διαθήκην; οὐδαμῶς, ἀλλὰ κατὰ τὸ εὐαγγέλιόν μου. εἶδες διάφορα μὲν τὰ ῥήματα, συμφωνοῦντα δὲ τὰ νοήματα; Ἠσαΐας φησί, κρινεῖ ἀνὰ μέσον τῶν ἐθνῶν· Παῦλός φησι, κρινεῖ κατὰ τὸ εὐαγγέλιόν μου, καὶ ἐλέγξει λαὸν πολύν, τοὺς μαχομένους καὶ παραβαίνοντας. καὶ τοῦτο δηλῶν ὁ Χριστὸς ἔλεγεν· οὐκ ἐγὼ κρινῶ ὑμᾶς, ἀλλ' ὁ λόγος, ὃν ἐλάλησα, ἐκεῖνος κρινεῖ ὑμᾶς. καὶ συγκόψουσι τὰς μαχαίρας αὐτῶν εἰς ἄροτρα, καὶ τὰς ζιβύνας αὐτῶν εἰς δρέπανα. καὶ

A locum modò indicasse: sed & tempus adiecit. Non enim dixit, exiuit lex: sed, exibit lex, quòd sanè temporis est futuri, & index rei nondum gestæ. Lex enim per multos antè annos promulgata erat, quàm hæc diceret propheta: post plures etiam danda fuerat noua, qua de re non dixit, Exiuit, sed exibit, hoc est, post hæc. Rursus ad eundem confugit locum, dicens: *Et verbum Domini de Hierusalem.* Exacta cum diligentia hîc constituit insigne quo internosci posset nouum à vetere testamento. Etenim nunc quidem in monte sedens sublimia illa B & apice cœlorum digna prorsus mandata lege sanciebat: nunc verò in Hierusalem moram trahebat. Propheta igitur & locū & tempus indicans, eos quoque annectit qui eam legem erant excepturi, vt omni ex parte ora oppilaret reclamantium. Quinam igitur erant eam excepturi? Num populus ille Hebræorum & Iudæi? Nullatenus, sed qui ex gentibus. Eóque intulit: *Et iudicabit inter gentes.* Peculiare enim munus legis est sententiā ferre inter litigantes, & litem dirimere. Sanè quod non de vetere hic sit sermo, ex ipsis rebus perspicuum euaC dit. Neque enim sabbatismum illum obseruamus, non admisimus circumcisionem, non illorum item dies festos, ne tantillum quidem veterum ceremoniarum. Audiuimus siquidem dicentem Paulum, Quia si circuncidamini, Christus vobis nihil proderit. Et, Dies obseruatis, & menses, & tempora & annos. Timeo ne fortè frustra laborauerim in vobis. Vnde liquet quia sermo hic est de nouo. Est enim sui iudicij sententiam pronunciaturus inter gentes, quemadD modum ait Paulus: In die, quando iudicabit Deus occulta hominum. Quânam iuris formula iudicaturus est? dic mihi. Secundum testamentum vetus? Nullo modo: Sed secundum euangelium meum. Verba quidem vidisti differentia, sententiæ tamen consentiunt. Esaias ait, Iudicabit in medio gentium: Paulus verò, iudicabit secundum euangelium meum. *Et arguet populum multum.* Eos nimirum qui inter se bella concituerint, cum transgressoribus legis. Idque perspicuè docens, dicebat Christus: Non ego iudicabo vos, sed sermo quem locutus sum, ille iudicabit vos. *Et concident gladios suos in aratra, & lanceas suas (aliàs) tela ferrea in falces.* Et

Gal.1. 2. & 4.10.

Rom.2.16.

non accipiet gens contra gentem, gladium, & nequaquam ultra discent præliari. Non acquieuit prophetæ animus in prioribus signis. Veritas enim opuléta admodum est & copiosa. ob quam rationem, insignem notam ponit, qua à vetere nouum posset internosci testamentū, quod per vniuersum orbem terrarum splédescebat. Quod quæso illud est? Pax, bellorúmque abrogatio. Hæc enim quum fient, ait, tanta legitimè viuendi conditio & æquitas occupabit vniuersum terrarum orbem, vt & ipsa belli arma per fabrilem excusionē vertentur in instrumenta agricolationis. Id quod nemo videre potuit factum per Iudæorum tempora, imò res omnis in diuersum abiit: Quo enim tempore floruit Respublica Iudæorum, nullo vnquam tempore interquieuerunt, quin vel cum hostibus prælio congrederentur, vel ipsi oppugnarentur, illis eos aggredientibus diu interdum, nonnunquam remissiùs. Etenim qui è vicino habitabāt, imò veriùs qui in ipsa Palæstina commorabantur, plerumque eis facessebant negotia perplexa admodum & permolesta. Deniq; illi extremum intentarunt periculum. Veritatem horum manifestam quidem reddit & perspicuam Regnorum historia, quæ tota in vniuersum commoratione bellorū pertexta est. Quin & prophetæ omnes quæ tum gerebantur, luculenter edocent, exprimentes hæc, & quæ euentura illis essent, præsaga voce denunciantes, & ex ipsa, propè dixerim, die, qua ab Ægyptiorum tyrānide sunt manumissi, per vniuersum tempus, suā omnem vitam in bellis consumpserant. Atqui nunc nō sic, sed perquam multa pace orbis perfruitur. Etiā si bella quædam geruntur, non tamen perinde ac gesta sunt sub priore testamento. Illa enim ætate ciuitas aduersus ciuitatem concurrebat, configebant prouinciæ aduersum prouincias, bellis collideban tur populi, populos è vicino adorti: quin gens vna in multiuarias partes per seditionem scindebatur. Lecto libro Iosue ac libro Iudicum, facilè quis intelliget, quot quantáve prælia breui tum tempore Palæstina exceperit. Nec id modò fuit illis graue ac molestum: verum, quòd lex iussisset armaturam penes se recondere Iudæos omnes: à qua seruitute nemo erat immunis. Nec apud solos Iudęos lex ea inualuerat, sed & vbilibet occuparat orbem: quandoquidē & Rhethores & Philosophi aliud nihil possidentes,

Iudæi bellis attriti.

A οὐ λήψεται ἔθνος ἐπ' ἔθνος μάχαιραν, καὶ οὐ μὴ μάθωσιν ἔτι πολεμεῖν. Οὐκ ἠρκέσθη σημείοις τοῖς προτέροις ὁ προφήτης. πολλὴ γὰρ τῆς ἀληθείας ἡ περιουσία. διὰ τοῦτο καὶ ἕτερον τίθησι γνώρισμα τῆς καινῆς διαθήκης κατὰ τὴν οἰκουμένην λάμπον ἅπασαν. τί δὲ τοῦτό ἐστιν; Εἰρήνη καὶ πολέμων ἀναίρεσις. ὅταν γὰρ ταῦτα γένηται, φησί, τοσαύτη λήψεται εὐνομία τὴν οἰκουμένην, ὡς καὶ αὐτὰ τὰ ὅπλα τὰ πολεμικὰ εἰς γεωργικὰ χαλκεύεσθαι ὄργανα. ὅπερ ἐπὶ τῶν χρόνων τῶν Ἰουδαίων οὐκ ἄν τις ἴδοι γεγενημένον, ἀλ- B λὰ τοὐναντίον ἅπαν. οὐ γὰρ διέλειπον ἅπαντα τῆς πολιτείας αὐτῶν τὸν καιρὸν πολεμοῦντες καὶ πολεμούμενοι, καὶ διὰ μακροῦ καὶ δι' ὀλίγου τῶν πολεμίων αὐτοῖς ἐπιόντων. καὶ γὰρ οἱ ἐκ γειτόνων οἰκοῦντες, μᾶλλον δὲ καὶ οἱ ἐν αὐτῇ τῇ Παλαιστίνῃ χαλεπὰ πράγματα παρεῖχον αὐτοῖς πολλάκις, καὶ ἀεὶ τὸν ἔσχατον ἐπικρέμασθαι κίνδυνον. καὶ ταῦτα δηλοῖ μὲν ἡ τῶν βασιλειῶν ἱστορία σαφῶς, ὅλη δι' ὅλης ἐκ πολέμων ὑφασμένη· δηλοῦσι δὲ οἱ προφῆται πάντες, τὰ γινόμενα ἀπαγ- C γέλλοντες ταῦτα, καὶ πρὶν ἢ γενέσθαι προαναφωνοῦντες· καὶ ἐξ αὐτῆς, ὡς εἰπεῖν, τῆς ἡμέρας, ἧς ἀπηλλάγησαν τῆς Αἰγυπτίων τυραννίδος, ἐν πολέμοις τὸν ἅπαντα χρόνον ἐβίωσαν. ἀλλ' οὐχὶ νῦν οὕτως, ἀλλὰ πολλὴ κατὰ τὴν οἰκουμένην εἰρήνη. Εἰ δέ τινες γίνονται πόλεμοι, ἀλλ' οὐχ ὁμοίως ὡς πρότερον. τότε μὲν γὰρ καὶ πόλεις πόλεσι, καὶ χῶραι χώραις, καὶ δῆμοι συνερρήγνυντο δήμοις, καὶ ἔθνος ἓν εἰς πολλὰ διετέμνετο μέρη. καὶ τῷ Ἰησοῦ τὸ βιβλίον τοῖς ἀναγνοὺς καὶ τῶν κριτῶν, εἴσεται πόσους ἡ D Παλαιστίνη ἐν βραχεῖ πολέμους τότε ἐδέξατο καιρῷ. καὶ οὐ τοῦτο μόνον ἦν τὸ χαλεπόν, ἀλλ' ὅτι πάντας ὅπλα τίθεσθαι ὁ νόμος ἐκέλευσε, καὶ οὐδεὶς ἀτελὴς ταύτης τῆς λειτουργίας ἦν. καὶ οὐ παρὰ Ἰουδαίοις μόνον οὗτος ὁ νόμος ἐκράτει, ἀλλὰ καὶ πανταχοῦ τῆς οἰκουμένης· ὅπου γε καὶ ῥήτορες καὶ φιλόσοφοι ἐξωμίδος πλέον οὐδὲν ἔχοντες,

πολέμου

πολέμου καλοῦντος, καὶ ἀσπίδα μετεχειρίζοντο, καὶ ἐπὶ παρατάξεως ἵσταντο. ὁ γοῦν παρ' Ἀθηναίοις μάλιστα λάμψας ἀπραγμοσύνης ἕνεκεν καὶ φιλοσοφίας Σωκράτης ὁ Σωφρονίσκου, καὶ ἅπαξ καὶ δὶς ἐπὶ παρατάξεως ἔστη. καὶ τῶν ῥητόρων τῶν παρ' αὐτοῖς τὸ κεφάλαιον Δημοσθένης, ἀπὸ τοῦ βήματος ἐπὶ τὸν πόλεμον ἐξῄει πολλάκις. Εἰ δὲ ῥήτορας καὶ φιλοσόφους οὐδεὶς ἐξῄρητο νόμος τοῦ πολεμεῖν, σχολῇ γε ἕτερός τις τοῦ δήμου ταύτης ἀπήλαυσε τῆς ἀτελείας. ἀλλ' οὐχὶ τούτων οὐδὲν νῦν γινόμενον ἴδοι τις ἄν. ἐπειδὴ γὰρ ὁ τῆς δικαιοσύνης ἔλαμψεν ἥλιος, καὶ πόλεις καὶ δῆμοι καὶ ἔθνη πάντα τοσοῦτον ἀπέχουσι τοῦ ζῆν ἐν κινδύνοις τοιούτοις, ὅτι οὐδὲ μεταχειρίζεσθαί τι τῶν πολεμικῶν ἴσασιν, ἀλλ' εἴσω πόλεων καὶ τειχῶν καθήμενοι, πόρρω τὰ τῶν πολέμων μανθάνουσι πράγματα, καὶ δῆμος ἅπας ἐν ἐλευθερίᾳ ζῇ, καὶ ἀτελείᾳ τῆς πικροτάτης ταύτης λειτουργίας. Εἰ δέ που καὶ νῦν γίγνονται πόλεμοι, πόρρω πού καὶ πρὸς τὰ ἔσχατα τῆς Ῥωμαίων ἀρχῆς, οὐ κατὰ πόλιν καὶ χώρας ὡς ἔμπροσθεν. τότε μὲν γάρ, ὡς ἔφθην εἰπών, καὶ ἐν ἑνὶ ἔθνει μυρίαι συνεχῶς ἐπαναστάσεις ἐγίγνοντο, καὶ πολυπρόσωποι πόλεμοι· νυνὶ δὲ ὅσην ἥλιος ἐφορᾷ γῆν ἀπὸ τοῦ Τίγριτος ἐπὶ τὰς Βρεττανικὰς νήσους, αὕτη πᾶσα, καὶ μετὰ ταύτης Λιβύη, καὶ Αἴγυπτος καὶ Παλαιστινῶν ἔθνος, μᾶλλον δὲ ἅπαν τὸ ὑπὸ τὴν Ῥωμαίων ἀρχὴν κείμενον· ἴστε δὲ ὡς αὗται αἱ πόλεις ἀδείας ἀπολαύουσι πάσης, ἀκοῇ τοὺς πολέμους μανθάνουσαι μόνον. ἠδύνατο μὲν γὰρ καὶ τὰ λείψανα καταλῦσαι ὁ Χριστός· ἀλλ' ἀφῆκε σωφρονισμοῦ τινος ὑπόθεσιν, τοῖς ῥᾳθυμοῦσι καὶ ὑπὸ τῆς εἰρήνης χαυνοτέροις γινομένοις, τῶν βαρβάρων εἶναι τὰς ἐπιδρομάς. καὶ ὁ προφήτης δὲ τοῖς δυναμένοις ἀκριβῶς συνιδεῖν, αὐτὸ τοῦτο ᾐνίξατο, ὅπερ ἔφθην εἰπών, τὸ μηκέτι τὰς δι' ὀλίγου γίνεσθαι ἐπαναστάσεις. οὐ γὰρ εἶπεν, οὐκ ἔσται πόλεμος παντελῶς, ἀλλὰ τί; οὐ μὴ ἄρῃ ἔθνος μάχαιραν. καὶ τὴν τῶν δήμων ἐλευθερίαν προσέθηκεν εἰπών, οὐ μὴ μάθωσιν ἔτι πολεμεῖν,

A quàm pallium breue & humero-tenus astrictum, ad bellum accersebantur, & eò adigebantur, vt scutum tractarent manibus, & in acie consisterent. Siquidem Socrates, Sophronisci filius, qui ob tranquillitatem vitæ & indefessum philosophiæ studium apud Atheniēses celebritate nominis inclaruit, semel & iterū stetit in acie. Demosthenes Atheniensium Rhetorum vertex ab oratorio suggestu subinde prodibat ad bellū. Quòd si lex nulla rhetoras ac philosophos ab incundo bello exemit, vix crediderim alium aliquem è vulgo perfrui-B tum esse immunitate ac vacatione belli. Atqui nunc nihil horū fieri videat quis. Ex quo enim emicuit sol iustitiæ: vsque adeò ciuitates, populi, gentes ad vnam omnes abhorruerunt vitam traducere inter istiusmodi pericula, vt nullam nouerint tractare bellicam machinam: sed intra ciuitates murósve sessitantes sua quique negotia discunt obire, à bellorum tumultibus longè seiuncti. Vitam transigit populus omnis in tranquilla libertate, in immunitate istius seruitutis prorsus amarulētæ. Sicubi autem nunc C etiam geruntur bella, longiùs forsan & circiter fines extremos Romani principatus: nō per singulas ciuitates, pérque regiones, sicuti contigit sub priori testamento. Quemadmodum enim dixi superiùs, in vna eadem gente innumeræ eruptiones & rebellionum insultus excitabantur, ídque iugiter ac multiuaria bella: nunc verò quatenus terrā spectat sol à Tigide fluuio ad insulas vsque Britannicas, terra inquam ipsa omnis, cúmque ipsa Libya, Ægyptus & gens Palæstinorum, vel potiùs ea omnis quæ Romano subiacet principatui. Ipsi e-D nim nostis, vt tranquilla omni securitate ipsæ ciuitates perfruantur, solo auditu bella sentientes. Sanè Christus reliquias bellorū è medio auferre potuit: verùm eas reliquit, ceu materiam accommodam castigandis his qui se dedunt ignauiæ, & pace abusi relaxantur à studio parandæ virtutis: permisit, inquam, superesse barbarorum excursiones. Quin & propheta obscurè quidem innuit hoc ipsum, sed his qui singula exactè intelligere possunt, id quod suprà dixi, non futuras in posterum eruptiones inimicorum, tantùm conciso ac breui tempore. Non enim dixit, Non erit bellum ex toto & absolutè. Sed quid? Nequaquam eleuabit gens contra gentem gladium. Sed & populorum libertatem adiecit, dicens: Nequaquā discent vltrà præliari,

Et hæc hōdie locū nō habēt, licet sub lege gratiæ.

Pendet sententia, forsan deest: Id pace dignū.

Chrysost. de sua, non nostra loquitur ætate.

prȩter paucos scilicet milites ad obeundum munus militiæ delegatos: 5. *Et nunc tu domus Iacob venite & ambulemus in lumine Domini.* 6. *Dimisit enim populum suum, domum Iacob.* Prophetiam quæ de ecclesia est, suspendens, deflectit rursus ad historiam: nimirum vt tenor consequentium verborum cohæreret, sibíq; esset consentaneus. Apud prophetas enim mos talis increbruit, vt non certa solum confirmatione dicta sua præmuniant: sed & figurato quodã velamine suam tegant & inumbrent prophetiam. Quò factum, vt hic sermonem suum nequaquam expleat suis omnibus numeris: sed perinde adeò fit, ac si vnam aliquam ad se pertrahat catenam aut restim, pari modo ad cõmouendos Iudæos rursus transit, dicens: Et nunc tu domus Iacob, venite & ambulemus in lumine Domini. Hoc est, in præceptis eius, in lege ipsius. Lucerna enim præceptum legis est: lumen, vita, reprehensio & disciplina: Iterum dicit Dauid, præceptum Domini lucidũ, illuminans oculos. Et, Lucerna pedibus meis, lex tua: & lumen semitis meis. Etenim per omnem scripturam perspiciat quis præceptum sic innui legis nomine. Conformiter & Paulus, Confidis teipsum ducem esse cæcorum, lumen eorum qui in tenebris sunt, eruditorem insipientium. Non enim sic oculos corporis nostri velut manuducũt radij solis, vt animæ oculos illustrãt legis præcepta. Propheta igitur, vt ostenderet ante retributionem, ante etiam remunerationẽ pro plena executione mandatorum, ipsa etiamnũ esse pensationem exhibiti obsequij, vocauit ea lumen. Quemadmodũ enim oculus dum circunfunditur lumine, nõ mediocre cõmodum capit: sic & anima dum legis imperio obsequenter gerit morem, vberrimos sibi demetit fructus, dum per obediẽtiam legi exhibitã expurgatur, omníq. exempta malitia ad virtutẽ prouehitur. Sanè sicut ex diuerso præuaricatores legis, interim dũ transgrediuntur legẽ, etiã ante supplicium de illis sumendũ, pœnã dant illis miserabilius affecti quàm qui in mediis consident tenebris; timore, tremore & facinorosa consciẽtia oppleti, media etiam de timore correpti ac tremore eorum qui siue sibi sunt conscij, siue mali nullius sunt conscij. Dimisit enim populum suũ, domum Iacob. Hoc est: Ita exacerbatus dimisit, contempsit, suáq. prouidentia spoliauit. Dein correptus timore dicit & causam,

Canon prophetiæ scribendæ.

Prou. 6. 23.

Rom. 2.

Collatio à simili.

A πλὴν ὀλίγων τῶν εἰς τοῦτο τεταγμένων στρατιωτῶν. καὶ νῦν σὺ ὁ οἶκος τοῦ Ἰακώβ, δεῦτε, καὶ πορευθῶμεν τῷ φωτὶ κυρίου. ἀνῆκε γὰρ τὸν λαὸν αὐτοῦ, τὸν οἶκον τοῦ Ἰακώβ. ἀπαρτήσας τὴν περὶ τῆς ἐκκλησίας προφητείαν, πάλιν ἐπὶ τὴν ἱστορίαν μεταβαίνει, ὡς δὴ τῶν ἀκολούθων ἐχόμενος ῥημάτων. τοιοῦτον γὰρ ἔθος αὐτοῖς, μὴ τῇ τῶν εἰρημένων ἀσφαλείᾳ μόνον, ἀλλὰ καὶ τῷ σχήματι τῆς ἀκολουθίας συσκιάζειν τὴν προφητείαν. διόπερ οὐδὲ ἀπηρτισμένον ποιεῖ τὸν λόγον, ἀλλὰ ὡς μίαν τινὰ ἕλκων σειρὰν, οὕτω πρὸς
B τὴν τῶν Ἰουδαίων ὑπόθεσιν μεταβαίνει πάλιν, καί φησι· καὶ νῦν σὺ ὁ οἶκος τοῦ Ἰακώβ, δεῦτε, καὶ πορευθῶμεν ἐν τῷ φωτὶ κυρίου· τουτέστι, ταῖς ἐντολαῖς αὐτοῦ, τῷ νόμῳ αὐτοῦ. λύχνος γὰρ ἐντολὴ νόμου, καὶ φῶς καὶ ζωὴ, καὶ ἔλεγχος καὶ παιδεία. καὶ ὁ Δαβὶδ πάλιν φησίν· ἡ ἐντολὴ κυρίου τηλαυγὴς, φωτίζουσα ὀφθαλμούς. καὶ, λύχνος τοῖς ποσί μου ὁ νόμος σου, καὶ φῶς ταῖς τρίβοις μου. καὶ πανταχοῦ οὕτω τὸν νόμον καλούμενον κατίδοι τις ἄν. οὕτω καὶ Παῦλός φησι· πέποιθάς τε σεαυτὸν ὁδηγὸν εἶναι τυφλῶν, φῶς τῶν ἐν σκότει, παιδευ-
C τὴν ἀφρόνων. οὐ γὰρ οὕτως αἱ τοῦ ἡλίου ἀκτῖνες χειραγωγοῦσιν ἡμῶν τοῦ σώματος τοὺς ὀφθαλμοὺς, ὡς αἱ τοῦ νόμου ἐντολαὶ καταυγάζουσι τὰ τῆς ψυχῆς ὄμματα. δεικνὺς τοίνυν ὁ προφήτης, ὅτι καὶ πρὸ τῆς ἀντιδόσεως, καὶ πρὸ τῆς ἀμοιβῆς, ἐν αὐτῷ τῷ πληροῦσθαι, τὴν ἀμοιβὴν παρέχουσιν ἡμῖν αἱ ἐντολαὶ, φῶς αὐτὰς ἐκάλεσεν. ὥσπερ γὰρ ὀφθαλμὸς ἐν αὐτῷ τῷ φωτίζεσθαι κερδαίνει, οὕτω καὶ ψυχὴ ἐν αὐτῷ τῷ πείθεσθαι τῷ νόμῳ, τὰ μέγιστα καρποῦται, ἐκκαθαιρομένη καὶ κακίας ἀπαλλαττομένη, καὶ πρὸς αὐτὴν ἀναβαίνουσα τὴν ἀρε-
D τήν. ὥσπερ οὖν τοὐναντίον οἱ παραβαίνοντες, καὶ πρὸ τῆς κολάσεως ἐν αὐτῷ τῷ παραβαίνειν δίκην διδόασι, τῶν ἐν σκότει καθημένων ἀθλιώτερον διακείμενοι, φόβου καὶ τρόμου καὶ πονηροῦ γέμοντες συνειδότος, καὶ ἐν μεσημβρίᾳ μέσῃ δεδοικότες καὶ τρέμοντες ἅπαντας, τοὺς συνειδότας, τοὺς οὐδὲν συνειδότας. ἀνῆκε γὰρ τὸν λαὸν αὐτοῦ, τὸν οἶκον τοῦ Ἰακώβ. τουτέστιν, εἴασεν, ἀφῆκε, παρέδειξε τῆς αὐτοῦ προνοίας ἐγύμνωσεν. εἶτα φοβήσας, λέγει καὶ τὴν αἰτίαν,

ὥστε αὐτοὺς διορθῶσαι τὰ γεγενημένα. τίς οὖν ἐστιν ἡ αἰτία; ὅτι ἐνεπλήσθη ἡ χώρα αὐτῶν κληδονισμῶν, ὡς ἡ τῶν ἀλλοφύλων. ἐμπορευθεῖσι μὲν γὰρ καπηλείαν αὐτοῖς καὶ φιλαργυρίαν καὶ τὴν τῶν χειρῶν ὑποψίαν ἐνεκάλει· ἐνταῦθα δὲ καὶ δόγματα πονηρὰ, καὶ ἀσεβείας λείψανα κατὰ μικρὸν αὐτοὺς ὑποσύροντα πρὸς τὴν τῶν δαιμόνων πλάνην. εἶτα καθικνούμενος αὐτῶν, οὐκ εἶπεν ὅτι κληδονίζονται ἁπλῶς, ἀλλ' ὅτι ἐνεπλήσθη ἡ χώρα αὐτῶν μετὰ πολλῆς ὑπερβολῆς ἡ κακία αὐτῶν πάλιν ηὔξετο, φησίν. ὥσπερ ἀνωτέρω ἔλεγε, λαὸς οὐχ B ἁπλῶς ἁμαρτωλὸς, ἀλλὰ πλήρης ἁμαρτιῶν, οὕτω καὶ ἐνταῦθα, ἐνεπλήσθη. εἶτα πάλιν ἐπιτείνων τὸ ὄνειδος προσέθηκεν, ὡς τὸ ἀπ' ἀρχῆς. ἀπ' ἀρχῆς ποτε; ὅτε Θεὸν οὐκ ἐγνώκεισαν, ὅτε νόμον οὐκ εἰλήφεισαν, ὅτε τῆς εὐεργεσίας αὐτοῦ πεῖραν εἰληφότες οὐκ ἦσαν, ὅτε μετὰ τῶν ἐθνῶν ἔζων, ὅπερ ἐσχάτης καταγνώσεως ἦν, μηδὲν ἄμεινον διακεῖσθαι νῦν μετὰ τὴν τοσαύτην πρόνοιάν τε καὶ ἐπιμέλειαν τῶν μηδενὸς τούτων ἀπολελαυκότων. καὶ οὐδὲ ἐνταῦθα ἔστη, ἀλλὰ καταπλήττων αὐτοὺς πάλιν C προσετίθηκεν· ὡς ἡ τῶν ἀλλοφύλων, τῇ συγκρίσει τοῦ προσώπου τὴν κατηγορίαν χαλεπωτέραν ποιῶν. ὃ καὶ Παῦλος εἴωθεν ἐργάζεσθαι συνεχῶς· ὡς ὅταν λέγῃ, περὶ δὲ τῶν κεκοιμημένων οὐ θέλω ὑμᾶς ἀγνοεῖν ἀδελφοὶ, ἵνα μὴ λυπῆσθε, ὡς καὶ οἱ λοιποὶ οἱ μὴ ἔχοντες ἐλπίδα. καὶ πάλιν, εἰδέναι ἕκαστον τὸ ἑαυτοῦ σκεῦος κτᾶσθαι ἐν ἁγιασμῷ καὶ τιμῇ, μὴ ἐν πάθει ἐπιθυμίας. καὶ οὐκ ἠρκέσθη τούτῳ, ἀλλὰ προσέθηκε λέγων, καθὼς καὶ τὰ λοιπὰ ἔθνη τὰ μὴ εἰδότα τὸν Θεόν. μάλιστα γὰρ οὗτος ὁ λόγος δάκνειν εἴωθε καὶ τοὺς σφόδρα ἀναπε- D πτωκότας. εἰ δὲ Ἰουδαῖοι ταῦτα ἐγκαλοῦνται, πῶς ἂν τύχοιμεν συγγνώμης ἡμεῖς, ποίας ἀπολογίας οἱ μετὰ χάριν τοσαύτην, καὶ τιμὴν ἄφατον, καὶ τὰς ἀθανάτους ἐλπίδας, πρὸς τὴν αὐτὴν ἐκείνοις καταπίπτοντες πενίαν; ἐπεὶ γὰρ πολλοὶ καὶ νῦν εἰσι τῷ νοσήματι κεχειρωμένοι τούτῳ, καὶ τὸν ἑαυτῶν διαφθείροντες βίον, οἱ τῇ τῶν κληδόνων ἀλογίᾳ ἐκδιδόντες ἑαυτούς,

A vt quæ facta prius fuerāt, emendarent. Quę quęso ea causa est? *Quia impleta est regio eorum augurüs, vt terra alienigenarū.* Prius enim crimen institoriæ artis siue cauponationis intendebat in eos, auaritiam obijciebat, opprobrabat diuinationem ex manuum inspectione: hic verò coarguit dogmata improbatæ doctrinæ & impietatis reliquias, quæ ipsos ad erroneam dæmonum culturam sensim proliciebant. Mox illos rursus attingens, non dixit, vtcunque, quia diuinaculos & augures consulunt: sed quia eorum regio repleta est istis, tandemque ait, B quia eorū malitia succreuit vehementius. Quemadmodum enim dicebat superius populum non vtcūque esse peccatorem, sed plenum peccatis: ita hic, terra repleta est auguriis. At interim obiurgationem exaggerans, adiecit: Sicut ab initio. Initio? olim scilicet, quum de Deo nullam habuerant cognitionem, quum non acceperant legem, quum eatenus nullum senserant experimentum diuini erga se beneficij, quando cū gentibus promiscuè degebant, quod erat extremæ damnationis. Nihilo scilicet melius erga Deū affectos esse, nunc post C tantam erga se Dei prouidentiā & prouidam diligentiā, quam qui nullo horum potiti fuerant. Et neque hic stetit: sed denuo perterrēs eos acrius, addidit: *Quasi alienigenarum.* Comparatione personæ obiurgationē reddit multò acriorem, id quod subinde facit pro more suo etiam Paulus, veluti quando dicit: De dormientibus autē nolo vos ignorare fratres, vt non cōtristemini, sicut & cæteri qui spem non habent. Rursus, vt sciat vnusquisque suū vas possidere in sanctificatione & honore, non in passione desiderij. Neque dicto hoc abiit con- D tentus, sed adiecit, dicens: Quemadmodum & reliquæ gentes quæ ignorant Deum. Talis enim structura sermonis acerbiorem morsum imprimit iis qui vehementer in errores sunt prolapsi. Quòd si Iudæi ob hæc in ius vocantur, & cum eis grauiter expostulatū est: quam nos veniam speremus esse assequuturos? cuiusmodi excusationem prætexemus, nostri purgandi causa, qui tanta gratia cumulati, inexplicabili etiā cohonestati honore; ad hæc qui spe certa præcipimus nobis promissam immortalitatem: & ecce ad parem illis deuoluimur paupertatem? Plerique enim nostrum in hoc genus morbi inciderunt: dum suam ipsorum vitam labefactantes, absurdissimæ isti captandæ diuinationis dementiæ se dedunt,

1. Thess. 4.

qui simul & Deum offendunt, & superfluis se molestiis inuoluunt. Quò fit, vt labores pro paranda virtute auersentur ac vitent. Ad hoc enim nullo non tempore studium omne suum adhibuit diabolus, vt expertes intelligētiæ ac parum cordatos in hanc inducat sententiam: quia opera ipsa virtutis & malitiæ sita nō sunt in eorum potestate, & quia minimè sunt ornati honore liberi arbitrij. Planè duo hæc pudenda admodum ac plena turpitudinis magnopere contendit ex sententia perficere: labores nimirum qui adhibentur parandæ virtuti, frangere, & donū liberæ voluntatis aut arbitrij (quod præstātissimum est) è medio auferre, facit hoc per vaticinia & auguria, hoc per signa procurat, per obseruationem dierum, per improbatum dogma quod est de fato siue sortibus, alia item permulta, morbum hunc in vitam nostram inuētor ipse malorum inuexit, sursum deorsum euertens omnia ac permiscēs. Ob id sanè propheta cum vehementi acrimonia verborū non destitit eos obiurgare, vt deterrimā hanc affectionem amoliretur & ab radice reuelleret. *Et filij multi alienigenæ nati sunt eis.* Quid sunt filij alienigenæ siue alienæ tribus? Lex initiō statim posita interdixerat illis vlli° hominis alienigenæ promiscua communione, partim propter illorum animi fragilitatē, partim quòd mens eorum facilè circumueniretur dolis: vt ne per eiusmodi cum Gentilib. affinitatē contractā, occasio daretur ad impietatē declinandi. Quum enim non modò præualerent Gentiles ad rectissimam Dei cognitionem reuocare ac dirigere, at neque noxam aut iniuriam ab aliis inuectam propulsare possent: Deus eos sepsit & præmuniuit lege quasi muro, ipsósq. ab reliquarum nationū permistione diremptos, ceu peculiarem populum sibi refingebat ac disponebat. Abundè enim sufficiebat, si hoc modo ducti possent formulam instituendæ vitæ à Deo sibi traditam cōseruare. Atqui vt & alia præcepta sunt transgressi: ita & hanc legis particulam parui esse ducentes trāsierunt ad contrahendam affinitatem cum finitimis gentibus. Illinc enim sponsas ducebāt à Moabitis, ab Ammonitis, ab aliis quoque gentibus impiis. Alios insuper, contracta cum eisdem affinitate, magistros nequitiæ istius, blandè & comiter excipiebant, qui & illorum generositatem nondum catenus violatam, corruperunt. Hoc itaque est, quod cum plerisque aliis insimulat acriter prophera.

Assertio liberi arbitrij.

A μετὰ τῦ τοῦ Θεοῦ προσκρούειν, καὶ περιττὰς καρποῦνται λύπας, καὶ πρὸς τοὺς ὑπὲρ τῆς ἀρετῆς ἐκλύονται πόνους· καὶ γὰρ ἐσπούδακεν ὁ διάβολος διὰ πάντων τούτων πεῖσαι τοὺς ἀνοητοτέρους, ὅτι οὐκ ἐπ' αὐτοῖς τὰ τῆς ἀρετῆς καὶ τὰ τῆς κακίας, οὐδὲ ἐλευθερίᾳ ὧν προαιρέσεως εἰσὶ τετιμημένοι, δύο δὲ ταῦτα τὰ αἴσχιστα κατορθῶσαι βουλόμενος, καὶ τοὺς ὑπὲρ τῆς ἀρετῆς ἐκλῦσαι πόνους, καὶ τὸ μέγιστον τῆς ἐλευθερίας ἀφελέσθαι δῶρον. τοῦτο διὰ κληδόνων, τοῦτο διὰ συμβόλων, τοῦτο διὰ παρατηρήσεως ἡμερῶν, τοῦτο διὰ τοῦ B πονηροῦ τῆς εἱμαρμένης δόγματος, τοῦτο δι' ἑτέρων πολλῶν εἰς τὸν βίον εἰσήγαγε τὸ χαλεπὸν νόσημα, πάντα ἄνω καὶ κάτω ποιῶν. δι' ὃ δὴ καὶ ὁ προφήτης σφοδρῶς ἔστη κατηγορῶν, ὥστε πρόῤῥιζον ἀνασπάσαι τὸ πάθος. καὶ τέκνα πολλὰ ἀλλόφυλα ἐγεννήθη αὐτοῖς. τί ἐστι τέκνα ἀλλόφυλα; νόμος ἦν αὐτοῖς ἄνωθεν κείμενος διὰ τὸ τῆς γνώμης εὐόλισθον, καὶ τὸ τῆς διανοίας εὐεξαπάτητον, μηδενὶ τῶν λοιπῶν ἀνθρώπων ἐπιμίγνυσθαι, ὥστε μὴ τὰς τοιαύτας συγγενείας, ἀσεβείας ὑπόθεσιν γίνεσθαι. ἐπειδὴ γὰρ C οὐ μόνον ἑτέρους διορθῶσαι οὐκ ἴσχυον, ἀλλ' οὐδὲ τὴν παρ' ἑτέρων οἷοί τε ἦσαν διακρούεσθαι βλάβην, τῷ νόμῳ τειχίσας αὐτοὺς, καὶ τῆς πρὸς τοὺς λοιποὺς ἐπιμιξίας αὐτοὺς ἀποστήσας, κατ' ἰδίαν αὐτοὺς ἔπλαττε καὶ ἐρρύθμιζεν· ἀγαπητὸν γὰρ ἦν καὶ οὕτως ἀγομένους δυνηθῆναι διατηρῆσαι τὴν παρὰ τοῦ Θεοῦ δεδομένην πολιτείαν αὐτοῖς. ἀλλ' ὥσπερ τὰς ἄλλας παρέβαινον ἐντολὰς, οὕτω δὴ καὶ ταύτης ὑπεριδόντες, μετέβησαν πρὸς τὰς τῶν πλησίον ἀγχιστείας, καὶ νύμφας ἐκεῖθεν D ἀγόμενοι παρὰ Μωαβιτῶν, παρὰ Ἀμμωνιτῶν, παρ' ἑτέρων ἀσεβῶν ἐθνῶν, καὶ τὰς ἄλλας ἀσπαζόμενοι συγγενείας, διδασκάλους πονηρίας ἐδέχοντο, καὶ τὸ τῆς εὐγενείας ἀκέραιον διέφθειρον. τοῦτο τοίνυν μετὰ τῶν ἄλλων ὁ προφήτης ἐγκαλεῖ.

ἐνεπλήσθη γὰρ ἡ χώρα αὐτῶν, φησὶν, ἀργυρίου καὶ χρυσίου, καὶ οὐκ ἦν ἀριθμὸς τῶν θησαυρῶν αὐτῶν. καὶ ἐνεπλήσθη ἡ γῆ αὐτῶν ἵππων, καὶ οὐκ ἦν ἀριθμὸς τῶν ἁρμάτων αὐτῶν. καὶ ποῖον ἔγκλημα τοῦτο, ἴσως εἴποι τις ἄν, τὸ χρήματα ἔχειν, καὶ ἵππους κεκτῆσθαι, καὶ μάλιστα ἐπὶ τῆς γενεᾶς ἐκείνης, ὅτε οὐ πολλὴ φιλοσοφίας ἦν ἀκρίβεια; τί οὖν ἂν εἴποιμεν; ὅτι οὐ τὴν χρῆσιν διέβαλλεν, ἀλλὰ τὴν γνώμην τὴν οὐκ εἰς δέον αὐτοῖς κεχρημένην. ὥσπερ γὰρ ὅταν λέγῃ, οὐαὶ οἱ ἰσχύοντες, οὐ τὴν δυναστείαν αἰτιᾶται, ἀλλὰ τοὺς κακῶς τῇ δυναστείᾳ κεχρημένους· οὕτω δὴ καὶ ἐνταῦθα, οὐχ ὅτι χρήματα ἐκέκτηντο, ἀλλ' ὅτι μετὰ πολλῆς τῆς περιουσίας, καὶ ὑπὲρ τὴν χρείαν συνῆγον. οὐκ ἦν, φησὶν, ἀριθμὸς τῶν θησαυρῶν αὐτῶν. καὶ οὐ τοῦτο μόνον, ἀλλ' ὅτι πεφυσημένοι τῷ πλούτῳ καὶ τῇ τῶν ἵππων δυναστείᾳ κατὰ μικρὸν ἀπὸ τῆς εἰς τὸν Θεὸν ἐλπίδος ἀπεστρέφοντο, ὃ καὶ ἀλλαχοῦ αὐτοῖς ὁ προφήτης ἔλεγεν· οὐαὶ οἱ πεποιθότες ἐπὶ τῇ δυνάμει αὐτῶν, καὶ ἐπὶ τῷ πλήθει τοῦ πλούτου αὐτῶν ἐγκαυχώμενοι. καὶ πάλιν ἑτέρωθι, οὐ σώζεται βασιλεὺς διὰ πολλὴν δύναμιν, καὶ γίγας οὐ σωθήσεται ἐν πλήθει ἰσχύος αὐτοῦ. καὶ ἐν ἑτέρῳ δὲ πάλιν ψαλμῷ φησιν, οὐκ ἐν τῇ δυναστείᾳ τοῦ ἵππου θελήσει, οὔτε ἐν ταῖς κνήμαις τοῦ ἀνδρὸς εὐδοκεῖ, εὐδοκεῖ κύριος ἐπὶ τοὺς φοβουμένους αὐτόν. καὶ ἐνεπλήσθη ἡ γῆ βδελυγμάτων τῶν ἔργων τῶν χειρῶν αὐτῶν, καὶ προσεκύνησαν οἷς ἐποίησαν οἱ δάκτυλοι αὐτῶν. ὥσπερ σοφὸς ἰατρὸς ὁ προφήτης, τοῦ νοσήματος τὴν αἰτίαν λέγει, καὶ τὴν πηγὴν τοῦ νοσήματος. μέλλων γὰρ κατηγορεῖν αὐτῶν τὴν ἀσέβειαν, προλαβὼν εἶπε τὰς ἀφορμὰς τῆς ἀπονοίας, φιλαργυρίαν, ἀπόνοιαν, τὰς οὐ προσηκούσας ἐπιμιξίας· δηλῶν ὅτι ἐντεῦθεν κατὰ μικρὸν ὑπεσκελίσθησαν εἰς τὸ τῆς ἀπωλείας βάραθρον, καὶ εἴδωλα προσεκύνησαν. εἶτα κωμῳδῶν αὐτῶν τὴν θρησκείαν, ἐπήγαγε, τῶν ἔργων τῶν χειρῶν αὐτῶν. τί γὰρ ἂν γένοιτο καταγελαστότερον ἄλλο, ἢ ὅταν ἄνθρωπος δημιουργὸς ᾖ Θεοῦ; βδέλυγμα δὲ εἴωθεν ἡ γραφὴ καλεῖν τὰ εἴδωλα.

A 7. *Impleta est regio eorum (ait) argento & auro, & non erat numerus thesaurum eorum.*

8. *Et impleta est terra eorum equis: & non erat numerus curruum eorum.* Fortè dicat quis, Quænam culpa est hęc, facultates habere, possidere equos: ea potissimum ætate ac generatione, quando philosophia nō admodum synceriter & exacta diligentia excolebatur? Ad hoc igitur quid respondemus? Nimirum, quia non vsum ipsum traducebat, sed immodicam animi affectionem, qua ipsis indecorè abutebantur. Quemadmodum enim quando dicit, Væ qui potentes B estis. non vtique potestatem ipsam dat crimini, sed eos incusat qui indulta sibi authoritate abusi sunt in malum: sic sanè etiam hîc, non quòd possederint facultates, damnat, sed quia quum immodica opulentia affluerent, præter etiam necessarium vsum opes cumulatim congerebant. Non erat (ait) numerus thesaurorum eorum. Atqui ne ob id quidē solùm, sed quia exuberantia opum, equorúmque viribus freti ac turgentes sensim transuersi abibant, & auocabantur à spe qua in Deum tendimus, quod & alio loco de iisdem di- C cebat propheta: Væ qui confidunt in virtute sua, & in multitudine diuitiarum suarum gloriantur. Rursus alibi, Non saluatur rex per multam virtutem, & gigas non saluabitur in multitudine virtutis suæ. Iterúmque in alio psalmo, Non in fortitudine equi volet, neque in tibiis viri beneplacitum erit ei. Beneplacebit domino super timentes eum: *Et impleta est terra abominationibus operum manuum eorum, & adorauerunt quæ fecerunt digiti eorum.* Propheta perinde adeò se D comparans, ac sapiens quispiam medicus commemorat & causam morbi, & eius fonem seu originem. Palam enim delaturus eorum impietatem, & præuertens eorum obiurgationem, causas commemorat istius aduersæ valetudinis, nimirum inexplicabilē auaritiam, superciliosam arrogantiam, indecētem ac promiscuam cum gentibus communionē, significans eos per hæc paulatim supplantatos corruisse in barathrū perditionis, & idola adorauerūt. At interim perstringens insolentē & absurdam eorum culturam, intulit: Opera manuum eorū. quid enim risu dignius fingi potest, quā vt homo fiat opifex Dei? Sanè scriptura pro more suo, idola vocat abominationē:

Quæstio: Num culpa sit facultates habere.

Ps.146.10

hinc abominatio desolationis dicitur statua, quæ stat in templo. Ait enim scriptura, Cùm videritis abominationẽ desolationis stantem in loco sancto, qui legit, intelligat. Auocatis illis à stupore admiratione've rerum sensilium, interdicto cauit, ne quam depingerent imaginem aut simulachrum. Nam & hoc vocauit βδέλυγμα, abominationem, execrabile idolum, cupiens eos amoliri & euocare quàm longissimè ab idolorum impietate. βδελύττεσθαι enim est vehementer odisse, vt spurcissimam ac vehementer obscœnam, vt execrabilem & cumprimis detestandam. Abominatio igitur hæc odio prosequenda, & digna quam auersemur, dicitur in scripturis. Atqui idolum omne tale est. 9. *Et adorauerunt quæ fecerunt digiti eorum: & incuruauit se homo, & humiliatus est vir.* Quemadmodũ enim adoratio Dei hominem prouehit in sublime: ita & cultura idolorum humiliat ac deijcit in imum. Quid minùs generosum, quidve abiectius homine qui à spe salutis vltroneus decidit, Deúmque vniuersitatis opificem sibi infensum & hostem habere promeruit? qui capite prono in terram, inanimata ac lapides veneratur? Deus quidem ad tantum nos promouit honorem, vt ipsis etiam cœlis nos reddiderit sublimiores: è diuerso, diabolus toto annisu studuit homines malè persuasos in tantam deturbare abiectionem, vt plus insensatis stupidiores ac sensu vacuos effecerit, eóque ait propheta: Humiliatus est vir. Hæc increpatio abũdè sufficiebat auocare à morbo tali eum qui mente esset præditus. Cæterum quando tam multi non sic peccata exhorruêre, atque pœnam peccati vltricem, adiecit & supplicium, dicens: *Non dimittam eis.* Nequaquam condonabo, ait: non remittam, peccatum hoc non perfunctoriè & neglectim trãsmittam: sed luent mihi pœnas & eorum quæ in me admiserunt, reposcam vltionem. 10. *Et nunc introite in petras & delitescite in terra à facie formidinis Domini.* Idoneè obiurgata istorũ amẽtia, qui venerabũdi procidũt idolis, & similitudine ex arte fabrili assumpta ostendit vecordem illorum insaniã, quódq; idola nihil possint, docet: ac rursus orationem auget simul & ipsi rerum experientiæ permittit inquisitionem eorum quæ dicta sunt. Ac si diceret: Mihi vtique sufficiebat per hoc ipsum quòd ea gesta sunt ab hominibus, ostẽdere eorum imprudentiã, qui stulta persuasione sunt circumuenti:

Matth. 24. 15.

Abominatio idolum.

A ἐντεῦθεν καὶ βδέλυγμα ἐρημώσεως λέγεται ὁ ἀνδριὰς ὁ ἐπὶ τοῦ ναοῦ ἑστώς. ὅταν γὰρ ἴδητε, φησὶ, τὸ βδέλυγμα τῆς ἐρημώσεως ἑστὼς ἐν τόπῳ ἁγίῳ· ὁ ἀναγινώσκων νοείτω. ἐπειδὴ γὰρ αὐτοὺς ἀπήγαγε τοῦ πρὸς τὰ αἰσθητὰ ἐπτοῆσθαι, ἀπηγόρευσεν αὐτοῖς πᾶν ἐξεικόνισμα ποιῆσαι· καὶ βδέλυγμα τοῦτο ἐκάλεσε, πόρρωθεν αὐτοὺς ἀναστέλλων τῆς ἀσεβείας. τὸ γὰρ βδελύττεσθαι, τὸ μεθ' ὑπερβολῆς ἐστι μισεῖν, ὡς ἀκάθαρτον, ὡς ἐναγές. τὸ τοίνυν βδέλυγμα, τὸ μισητὸν καὶ ἀποστροφῆς ἄξιον ἐν τῇ γραφῇ λέγεται. πᾶν δὲ εἴδωλον τοιοῦτον. καὶ προσεκύνησαν οἷς ἐποίησαν οἱ δάκτυλοι αὐτῶν. καὶ ἔκυψεν ἄνθρωπος, καὶ ἐταπεινώθη ἀνήρ. ὥσπερ γὰρ ἡ τοῦ Θεοῦ προσκύνησις εἰς ὕψος ἀνάγει, οὕτως ἡ ἐκείνων ταπεινοῖ καὶ κατάγει. τί γὰρ ταπεινότερον ἀνθρώπου σωτηρίας ἐκπεπτωκότος, καὶ τὸν τῶν ὅλων Θεὸν ἐσχηκότος ἐχθρὸν, καὶ τοῖς ἀψύχοις ὑποκύπτοντος, καὶ λίθους θεραπεύοντος; ὁ μὲν γὰρ Θεὸς εἰς τοσαύτην ἡμᾶς ἀνήγαγε τιμὴν, ὡς καὶ τῶν οὐρανῶν ὑψηλοτέρους ποιῆσαι· ὁ δὲ διάβολος εἰς τοσαύτην ἐσπούδασε καταγαγεῖν εὐτέλειαν τοὺς πειθομένους, ὡς καὶ τῶν ἀναισθήτων ἀναισθητοτέρους ἐργάσασθαι· διὸ δή φησιν ὁ προφήτης, ἐταπεινώθη ἀνήρ. ἤρκει μὲν καὶ αὐτὴ ἡ κατηγορία τὸν νοῦν ἔχοντα ἀπαγαγεῖν τοῦ νοσήματος· ἐπειδὴ δὲ πολλοὶ τῶν ἀνθρώπων οὐχ οὕτω τὰς ἁμαρτίας, ὡς τὰς τιμωρίας δεδοίκασιν, ἐπήγαγε καὶ τὴν κόλασιν, λέγων· οὐ μὴ ἀνήσω αὐτοῖς. οὐ συγχωρήσω, φησὶν, οὐκ ἀφήσω, οὐ παρόψομαι, ἀλλὰ ἀπαιτήσω δίκας καὶ εὐθύνας τῶν πεπλημμελημένων. καὶ νῦν εἰσέλθετε εἰς τὰς πέτρας, καὶ κρύπτεσθε εἰς τὴν γῆν ἀπὸ προσώπου τοῦ φόβου κυρίου. κωμῳδήσας ἱκανῶς τὴν ἄνοιαν τῶν τὰ εἴδωλα προσκυνούντων, καὶ ἀπὸ τοῦ τρόπου τῆς δημιουργίας δείξας κἀκείνων τὴν παραπληξίαν, καὶ τῶν εἰδώλων τὴν ἀσθένειαν, ἐπαγωνίζεται τῷ λόγῳ πάλιν, τῇ πείρᾳ τῶν πραγμάτων ἐπιτρέπων τῶν εἰρημένων τὴν ἐξέτασιν, καί φησιν· ἤρκει μοι καὶ αὐτὸ τοῦτο παρὰ ἀνθρώπων αὐτὰ γενέσθαι, δεῖξαι τὴν ἄνοιαν τῶν ἀπατωμένων·

B

C

D

ἐπεὶ δὲ ὥσπερ τῇ μέθῃ τῇ ἀσεβείᾳ κεκαρωμένοι πρὸς τὰ φανερὰ καὶ σαφῆ τῶν πραγμάτων πεπήρωνται, τοιαῦτα καταλήψονται τὴν πόλιν κακὰ, ὡς καὶ τοὺς σφόδρα ἀναισθήτους διδάξαι, πόση ἡ ἐκείνων ἀσθένεια, καὶ πόση ἡ τοῦ Θεοῦ δύναμις. διὰ δὴ τοῦτο πρὶν ἢ τὸν πόλεμον εἰπεῖν, τὰ ἐξ αὐτοῦ συμβησόμενα λέγει, κελεύων εἰς πέτρας εἰσιέναι, καὶ ὑπ' αὐτὴν καταδῦναι τὴν γῆν, οὐχ ἵνα τοῦτο ποιήσωσιν, ἀλλ' ἵνα ἐκ τούτων μάθωσιν, ὡς ἀφόρητός ἐστιν ἡ παρὰ τοῦ Θεοῦ τότε φερομένη ὀργή. κρύπτεσθε γὰρ, φησὶν, εἰς τὴν γῆν ἀπὸ προσώπου τοῦ φόβου κυρίου, καὶ ἀπὸ τῆς δόξης τῆς ἰσχύος αὐτοῦ, ὅταν ἀναστῇ θραῦσαι τὴν γῆν. οὐκ εἶπεν ἁπλῶς, ἀπὸ τῆς ἰσχύος αὐτοῦ, ἀλλὰ ἀπὸ τῆς δόξης τῆς ἰσχύος. τοιαῦτα γὰρ αὐτοῦ τὰ κατορθώματα, τοιαῦτα τὰ τρόπαια, πολλὴν ἔχοντα τὴν περιφάνειαν καὶ τὴν λαμπρότητα. ἐνταῦθά μοι δοκεῖ τὴν νίκην τὴν ἐπὶ τοῦ Εζεκίου σημαίνειν, γῆν τὸ πλῆθος τῶν ἀνθρώπων καλῶν, καὶ θραῦσιν τὴν καταπλῶσιν, ἀνάστασιν δὲ, αὐτοῦ τὴν ἐπὶ τὴν ἀντίληψιν ἔξοδον· ἐπεὶ καὶ ὁ Δαβὶδ οὕτω φησὶν, ἀναστήτω ὁ Θεὸς, καὶ διασκορπισθήτωσαν οἱ ἐχθροὶ αὐτοῦ· καὶ πάλιν, ἀνάστα ὁ Θεὸς, κρῖνον τὴν γῆν, ἀπὸ τῶν ἀνθρωπίνων πραγμάτων καὶ σχημάτων τοῦ Θεοῦ τὰς ἐνεργείας χαρακτηρίζων. οἱ γὰρ ὀφθαλμοὶ κυρίου ὑψηλοὶ, ὁ δὲ ἄνθρωπος ταπεινός. εἶτα ἵνα μηδεὶς τῶν ἀκουόντων τότε ἀπιστῇ τοῖς λεγομένοις (πολλοῖς γὰρ παρ' ἐλπίδας τὸ συμβησόμενον, καὶ προσδοκίας ἁπάσης ἀνώτερον) καταφεύγει ἐπὶ τὴν δύναμιν τοῦ ποιοῦντος, καὶ τὴν εὐτέλειαν τῶν πασχόντων. οὔτε γὰρ Θεοῦ, φησὶν, ὑψηλότερόν τί ἐστιν, οὔτε ἀνθρώπου εὐτελέστερον. μὴ τοίνυν ἀπόρει, εἰ ὁ μέγας οὗτος καὶ ἰσχυρὸς τοὺς εὐτελεῖς ἀνθρώπους οὕτω ταπεινῶσαι δυνήσεται. καὶ καλῶς εἶπεν, οἱ ὀφθαλμοὶ κυρίου ὑψηλοί. οὐκ εἶπεν ἡ δύναμις, ἀλλ' οἱ ὀφθαλμοὶ κυρίου, ὡς ἀρκούσης καὶ τῆς ὄψεως μόνης ἅπαντα τὰ ἐναντιούμενα καθελεῖν· ὅπερ καὶ ὁ Δαβὶδ ἑτέρωθι ἔλεγεν, ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν, καὶ ποιῶν αὐτὴν τρέμειν· καὶ ἕτερος πάλιν προφήτης, ἐπιβλέψομαι πρὸς αὐτὸν, καὶ δυνήσομαι αὐτῷ, καὶ ταπεινωθήσεται τὸ ὕψος τῶν ἀνθρώπων, καὶ ὑψωθήσεται κύ-

A iam quando prolapsi in impietatē, (perinde atque hi, qui per ebrietatem graui sopore degrauantur) cæcutierunt ad perspicuam adeò claritatem rerum gestarum, tales ideo malorum euentus apprehendent ciuitatem, qui etiam supra modū sensus expertes queant edocere, quāta sit infirmitas idolorum: è diuerso, quanta virtute Deus præpolleat. Ob id sanè prius quam bellum commemoret, indicat quæ ex ipso euentura essent, cohortans vt ingrediantur petras, subque ipsa terra delitescant. Non quidem vt hæc faciāt: sed vt per hæc discant quàm B sit intoleranda Dei indignatio, & quæ tum irrogabitur vindicta. *Abscondimini,* inquit, *in terra à facie formidinis Domini, & à gloria fortitudinis eius, quū surrexerit percutere terrā.* Non vtcumq. dixit, A fortitudine eius: sed, A gloria fortitudinis eius. Tales nim Dei actiones sunt laude omni dignissimæ, talia eius trophæa sunt cumprimis spectabilia ac plurimū habentia splendoris. Hîc mihi videtur significare victoriā sub rege Ezechia diuinitus partam, terram vocans numerosam hominùm turbam: collisionem insuper siue C plagam illatam dicens ruinam: surrectionem verò Dei, eius egressum vt ferret suppetias ac propugnaret, quando etiam & Dauid ad hunc ait modum: Surge Deus, iudica terram: ab humanis actionibus ac describendi figuris exprimens Dei operationes. 11. *Oculi enim Domini sublimes, homo autem humilis.* At interim ne quis auditorū dictis tunc fidem abroget, aut suspectam habeat. Non enim pauci, quod euenturum erat & expectatione omni superius, desperantes, refugiebant ad potentiam opificis, & ad eorum qui patiebantur abD iectionem. Ait ergo, Neque enim Deo est quicquam sublimius, neque homine quiduis deiectius. Nihil itaque hæreas dubius, num eximius hic & præpotens poterit momento vno sic abiectos reddere, humiles? Et adiudicium eos aduocans ait: Oculi Domini sublimes. Non dixit, potentia: sed oculi Domini, quòd vel solo aspectu facilè possit vniuersa sibi reluctantia demoliri & euertere, quod & Dauid alio loco dicebat, Qui respicit super terram: & facit eam tremere. Alter rursus propheta, Aspiciam ad eum, & præualebo ei. *Et humiliabitur altitudo hominum, & exaltabitur Do-*

Psal. 81. 8.

Ps. 103. 32.
Oseæ 11. 5.

minus solus in illa die. Confecta enim illa admirabili nec prius audita victoria, erectisque splendidis & omni admiratione dignis trophæis, dæmones cōuicti & perenni dedecore aspersa sunt idola, oppilatum est & pseudoprophetis os, barbarorum tyrānis iit pessum, & è medio sublata est. Denique os omne quod aduersabatur Deo, obturatū est. Eā ob rē ait, Exaltabitur Dominus solus. Nemo deinceps erit qui resistat, aut qui de Dei potentia hæreat dubius, quando rerum gestarum demonstratio euidentissima est. Celsitudo enim hæc perpetua est naturæ diuinæ, vt quæ nūquam cepit initium, sed est semper. Exaltari autem dicitur in mente siue intellectu hominum, quando qui contradicunt & aduersantur, ipsa demonstratione operum persuasi se dedunt & caput inclinant, ita vt competentem demum ac decoram benedictionem reportent.

12. *Dies enim Domini Sabaoth aduenit super omnem violentum oppressorem & superbum, & super omnem sublimem & elatum (Et humiliabuntur)* 13. *Et super omnem cedrum Libani sublimium & elatarū, & super omnem arborem glandis Basan.* 14. *Et super montem excelsum, & super omnem murum sublimem.* 15. *Et super omnem turrim sublimem.*

16. *Et super omne nauigium maris, & super omnem speculationem pulchritudinis nauium.*

17. *Et humiliabitur altitudo hominum, & exaltabitur Dominus solus in die illa.* Hoc loco murum, cedrum, collem, & quercum homines dicit, qui pro potestate agunt & funguntur magistratu, & per celsitudinem harum arborum metaphorica similitudine declarat eorum potestatem. Per nauigium & speculationem pulchritudinis nauigiorum, eos insinuat qui in his sunt opulentiores. Quod porrò vult dicere, hoc est: quia omnis qui robore præualet, præfectus omnis & pro potestate egens, omnis qui ductando exercitui præest, quisquis auidius iusto ambit diuitias, omnis (prope dixerim) hominum decor atque ornamentum simul & fortitudo tunc euanescet ac dissoluetur: nihilque eorum quæ ipsius fuerant, tum supererit, cuius patrocinio elabi possit ac vitare iram Dei. Non tunc suppetet corporis robur, non ipsa regendi belli peritia, non exuberans copia facultatum, non ambitus imperij aut potestatis, non numerosa militum multitudo, prorsus horum nihil aderit. Cedros autem dicit Libani, quòd illic ea arbor

A ριος μόνος ἐν τῇ ἡμέρᾳ ἐκείνῃ. τῆς γὰρ παραδόξου γινομένης νίκης, καὶ τῶν λαμπρῶν καὶ θαυμαστῶν τροπαίων ἐκείνων, καὶ δαίμονες ἠλέγχθησαν, καὶ εἴδωλα ἠτιμάσθη, καὶ ψευδοπροφῆται ἐπεστομίσθησαν, καὶ τῶν βαρβάρων ἡ τυραννὶς κατελύθη, καὶ πᾶν τὸ Θεῷ στόμα ἐναντιούμενον ἐνεφράγη. διὰ τοῦτό φησιν, ὑψωθήσεται κύριος μόνος. οὐδεὶς ἔσται λοιπὸν ὁ ἀντιπρῶν, οὐδὲ ἀμφιβάλλων περὶ τῆς τοῦ Θεοῦ δυνάμεως, τῆς τῶν πραγμάτων ἀποδείξεως οὕτω σαφεστάτης γεγενημένης. τὸ μὲν B γὰρ τῆς φύσεως ὕψος ἔχει διηνεκὲς, οὐδέποτε ἀρξάμενον, ἀλλὰ ἀεὶ ὄν· ὑψοῦσθαι δὲ λέγεται ἐν τῇ διανοίᾳ τῶν ἀνθρώπων, ὅταν οἱ ἀντιλέγοντες καὶ ἐναντιούμενοι ἀπ᾽ αὐτῆς τῶν πραγμάτων πεισθέντες τῆς ἀποδείξεως ὑποκύψωσι, καὶ τὴν προσήκουσαν ἀνενέγκωσιν εὐφημίαν. ἡμέρα γὰρ κυρίου σαβαὼθ παραγίνεται ἐπὶ πάντα ὑβριστὴν καὶ ὑπερήφανον, καὶ ἐπὶ πάντα ὑψηλὸν καὶ μετέωρον, καὶ ταπεινωθήσονται· καὶ ἐπὶ πᾶσαν κέδρον τοῦ Λιβάνου τῶν ὑψηλῶν καὶ μετεώρων, καὶ ἐπὶ πᾶν δένδρον βαλάνου Βασὰν, καὶ ἐπὶ πᾶν ὄρος ὑψηλὸν, C καὶ ἐπὶ πᾶν τεῖχος ὑψηλὸν, καὶ ἐπὶ πάντα πύργον ὑψηλόν· καὶ ἐπὶ πᾶν πλοῖον θαλάσσης, καὶ ἐπὶ πᾶσαν θέαν κάλλους πλοίων. καὶ ταπεινωθήσεται τὸ ὕψος τῶν ἀνθρώπων, καὶ ὑψωθήσεται κύριος μόνος ἐν τῇ ἡμέρᾳ ἐκείνῃ. τεῖχος ἐνταῦθα καὶ κέδρον καὶ βουνὸν καὶ δρῦν, τοὺς δυνάστας ἀνθρώπους φησὶ, τῷ ὕψει τῶν δένδρων τούτων μεταφορικῶς τὴν δυναστείαν αὐτῶν ἐνδεικνύμενος, καὶ πλοῦτον· καὶ θέαν κάλλους πλοίων λέγων, τοὺς εὐπορωτέρους αὐτῶν αἰνίττεται. ὃ δὲ βούλεται τοῦτο εἰπεῖν, τοῦτό ἐστιν· ὅτι πᾶς ἰσχυρὸς, πᾶς δυνάστης, πᾶς στρατη- D γὸς, πᾶς περιβεβλημένος πλοῦτον, πᾶσα, ὡς εἰπεῖν, τῶν ἀνθρώπων ἡ εὐπρέπεια καὶ ἰσχὺς τότε οἰχήσεται καὶ διαλυθήσεται· καὶ οὐδὲν αὐτῶν παρέσται πρὸς τὸ διαφυγεῖν τοῦ Θεοῦ τὴν ὀργὴν, οὐκ ἰσχὺς σώματος, οὐκ ἐμπειρία πολέμου, οὐ χρημάτων περιουσία, οὐ δυναστείας περιβολὴ, οὐ στρατοπέδου πλῆθος, οὐκ ἄλλο τῶν τοιούτων οὐδέν. κέδρους δὲ Λιβάνου διὰ τοῦτό φησι, διὰ τὸ αὐτόθι τοῦτο

μάλιστα φιλεῖσθαι τὸ δένδρον, ἢ διὰ τὸ πλησίον τὰ πράγματα γίνεσθαι· θέαν δὲ κάλλους πλοίων, τὴν εὐπρέπειαν τῶν στρατηγῶν, τῶν ἀπὸ πλούτου καὶ ὅπλων καὶ δορυφόρων κεκαλλωπισμένων. δοκεῖ δέ μοι καὶ τὴν διὰ μακροῦ χρόνου ἀποδημίαν τῶν βαρβάρων αἰνίττεσθαι. καὶ τὰ χειροποίητα πάντα κατακρύψουσιν, εἰσενέγκαντες εἰς τὰ σπήλαια, καὶ εἰς τὰς σχισμὰς τῶν πετρῶν, καὶ εἰς τὰς τρώγλας τῆς γῆς, ἀπὸ προσώπου τοῦ φόβου κυρίου, καὶ ἀπὸ τῆς δόξης τῆς ἰσχύος αὐτοῦ, ὅταν ἀναστῇ θραῦσαι τὴν γῆν. τοσοῦτον γὰρ ἀφέξουσιν αὐτῶν, φησὶν, οἱ θεοὶ παρασχεῖν τινα συμμαχίαν, ὅτι τῆς παρὰ τῶν ἀνθρώπων δεήσονται βοηθείας, καὶ τόπων ἀσφαλείας, ὥστε μὴ ἁλῶναι, ἀπὸ προσώπου τοῦ φόβου κυρίου, καὶ ἀπὸ τῆς δόξης τῆς ἰσχύος αὐτοῦ, ὅταν ἀναστῇ θραῦσαι τὴν γῆν. ἵνα γὰρ μή τις τῇ τῶν βαρβάρων ἐφόδῳ ταῦτα λογίζηται, μηδὲ τῆς ἰσχύος τῆς ἐκείνων εἶναι νομίζῃ τὸν φόβον, ἀνάγει τὸν λόγον ἐπὶ τὸν τῶν ὅλων Θεὸν λέγων, ὅτι αὐτὸς τοῦ πολέμου στρατηγεῖ τούτου, καὶ παρ' ἐκείνου δύναμις ἐν τοσούτῳ κινδύνῳ τῶν ἤδη πεπλημμεληκότων. τῇ γὰρ ἡμέρᾳ ἐκείνῃ ἐκβαλεῖ ἄνθρωπος τὰ βδελύγματα αὐτοῦ, τὰ ἀργυρᾶ καὶ τὰ χρυσᾶ, ἃ ἐποίησαν ἑαυτοῖς εἰς τὸ προσκυνεῖν τοῖς ματαίοις αὐτῶν καὶ ταῖς νυκτερίσι, τοῦ εἰσελθεῖν εἰς τὰς στερεὰς πέτρας καὶ εἰς τὰς σχισμὰς τῶν πετρῶν ἀπὸ προσώπου τοῦ φόβου κυρίου, καὶ ἀπὸ τῆς δόξης τῆς ἰσχύος αὐτοῦ, ὅταν ἀναστῇ θραῦσαι τὴν γῆν. ἱκανῶς αὖθις ἐκωμῴδησε, δεικνὺς μετὰ τῶν θεῶν κρυπτομένους καὶ εἰς τὴν γῆν καταδυομένους, καὶ οὔτε τὴν πολυτέλειαν τῆς ὕλης ἀρκέσαι τι δυναμένην πρὸς τὴν ἐπικειμένην συμφοράν. νυκτερίδας δὲ ἐκάλεσε τὰ εἴδωλα, ἢ διὰ τὴν ἀσθένειαν, ἢ διὰ τὸ τῆς πλάνης ἐσκοτισμένον, καὶ τὸ πάντα λάθρα παρὰ τῶν δαιμόνων πράττεσθαι. ὥσπερ γὰρ ταῖς νυκτερίσιν, ὁ μὲν ἥλιος πολέμιον, καὶ τὸ φῶς, ἡ δὲ νὺξ καὶ τὸ σκότος φίλον· οὕτω καὶ τοῖς ὑπ' ἐκείνων πλανωμένοις ἡ πονηρία μὲν, καὶ τὸ παράνομα ἅπαντα συνήθη καὶ φίλα, ἐχθρὰ δὲ ἡ ἀρετὴ καὶ τὰ τοῦ φωτὸς ἔργα· καὶ ἅμα γὰρ ἐκλαμψάντων αὐτῶν εὐθέως σκοτίζονται, οὐ δεομένου τοῦ ἐν ἀρετῇ ζῶντος πόνου τινὸς καὶ κα-

A vberrimo prouectu succrescat, aut quia opulentiores solent proximis negocia facessere. Speculationem verò pulchritudinis nauigiorum, ipsum decus elegantiámve ducum qui gloriam captabant à profusiore luxu diuitiarum, armorum, & hastatorum militum insigniter exornatorum. Mihi proinde videtur (obscuriùs licet) innuere discessum barbarorum longo pòst tempore euenturum. 18. *Et manufacta idola omnia reconditurós clam omnibus, inferentes ea in speleorum anfractus,* 19. *In scissuras petrarum, denique in cauernas terræ à facie formidinis Domini* B *& à gloria fortitudinis eius, quando surrexerit percutere terram.* Ac si diceret, Dij tantum aberunt à ferendo præsidio, vt ab hominibus imploraturi sint & opem & locorum tutelare refugium, ne ad cruciatus captiui abripiantur, à facie formidinis Domini & à gloria fortitudinis eius, quum surrexerit percutere terram. Ne quis enim hæc adscribat excursioni barbarorum, neque timorem hunc arbitretur aliquis illorum fortitudini tribuẽdum esse: ob id reuocat sermonem ad vniuersorum Deum. Ipse C siquidē istius belli dux est, inque tanto periculo exigendæ pœnæ de prius commissis ab illo pendet imperium ac fortitudo. 20. *Die enim illa eyciet homo abominationes suas argenteas & aureas, quas fecerunt sibiipsis, vt procidentes adorarent vana sua & vespertiliones:* 21. *Ad ingrediendum in solidas petras, & scissuras petrarum à facie formidinis Domini, & gloria fortitudinis eius, quum surrexerit percutere terram.* Idoneè traduxit Iudæorum perfidiam, ostendens illos cum suis diis se coiecisse in latebras, terrámq. introgressos: at ne sic quidem vastissimā amplitudinē materiæ terrestris D potuisse quiduis emolumenti adferre, aduersus impendentē illis calamitatē. Quin & idola vocauit vespertiliones, siue exprimēdæ imbecillitatis ipsorum causa, seu propter tenebricosam caliginem erroris, & quòd à dæmonibus fiunt omnia clam & obscurè. quēadmodum enim vespertilionib. infestū quiddā infert Sol quidē, lux quoque: nox autē ac tenebræ sunt illis amabiles: ita & dæmonibus, atque iis etiā quos illi in errores pellexerunt, improbanda malignitas, omnisque legis diuinæ transgressio familiaris & amica est, virtus verò ac lucis opera prorsus inimica sunt. Simul enim atque splendorem suum exerunt, tenebris circumfunduntur cum is qui virtute præditus viuit, nullo labore nulla indigeat

defatigatione. Et quidem Deo abundè sufficit semel aspexisse, & cuncta illa in nihilum abeunt. 22. *Quiescite vos ab homine qui respirat in naribus suis: quia in aliquo reputatus est ipsis hic.* Hîc sub inuolucro ænigmatis mihi videtur innuere Ezechiã præ timore & angore animi in extremo halitu constitutum. Quum enim barbari præsumpta spe existimarent quasi prædam venaticã se habere ipsum mediis retibus interceptum, ciuitatem insuper nullo labore posse expugnari: barbaris illis res ipsa in diuersum abiit. Ob hoc ait, Quiescite vos in homine, cui est anhelitus in naribus eius, quia in aliquo ipsis hic reputatus est. Hoc est, in nullo reputatus est. Etenim spe præsumpserant, se omnia, vnica excursione demolituros. Atqui res ipsa omnis cessit in diuersum. Nam quia apud barbaros nihili esse ducebatur, quippe expugnatu facilis: hic ope diuina perfruitus cunctis illustrior apparuit.

Aspexit & dissoluit gentes.

Vide Hieron. in hunc locum.

IN CAP. III.

Ecce dominator Dominus Sabaoth auferet de Iudæa & de Hierusalem validum & validam.

QVEMADMODVM medicus qui sit artis peritissimus, nunc quidem vrens, nunc autem secans, nunc verò amara offerẽs medicamenta, solerti artificio prospicit instaurandæ sanitati ægrotantiũ: sic sanè Deus quippe clemẽs & perquam humanus, quod in Iudæis diffluxu quotidiano deperibat, & ex parte iã erat prolapsum, diuersis & multiformibus pœnis pressius adstringens, nunc quidem ingratos illos terrore percellebat, per excursionẽ barbarorum, nunc autẽ ante illorum inuasionẽ aliis plerisque cõminationibus eorũ tumorem supprimit, & in officio continet, multiformi hac varietate minitationũ, timorem cõseruans in eis coalescẽtem. Nunc verò infirmitatẽ intentat immissurum se in ipsos, famem simul & siccitatem: nõ quòd fruges terræ vtiles solùm sint: sed quia conseruãdæ vitæ nostræ sunt etiã necessariæ. Equidẽ fames non modò atrox est & peracre malum: sed & administrationem Reipublicæ suis destituit rectoribus, id quod consueuit ostendere correctionem ipsa fame tantò

ματου. ἀρκεῖ γὰρ φανῆναι μόνον, καὶ πάντα καταλύσει ἐκεῖνα. παύσασθε ὑμεῖς ἀπὸ τοῦ ἀνθρώπου, οὗ ἐστιν ἀναπνοὴ ἐν μυκτῆρι αὐτοῦ, ὅτι ἐν τίνι ἐλογίσθη αὐτοῖς ἐστί; ἐνταῦθά μοι δοκεῖ τὸν Ἐζεκίαν αἰνίττεσθαι, ἐκ τοῦ δέους καὶ τῆς πολλῆς ἀγωνίας πρὸς ἐσχάτας ὄντα ἀναπνοάς. ἐπεὶ γὰρ ὥσπερ ἐν δικτύοις αὐτὸν λαβόντες οἱ βάρβαροι, ἕτοιμον ἐνόμιζον θήραν ἔχειν, καὶ οὐδὲ πόνου δεῖσθαι εἰς τὴν τῆς πόλεως ἅλωσιν, καὶ τὴν αἰχμαλωσίαν τὴν ἐκείνου, συνέβη τοὐναντίον τοῖς βαρβάροις. διὰ τοῦτό φησι, παύσασθε ἀπὸ τοῦ ἀνθρώπου, οὗ ἐστιν ἀναπνοὴ ἐν μυκτῆρι αὐτοῦ· ὅτι ἐν τίνι ἐλογίσθη αὐτοῖς ἐστί; τουτέστιν, ἐν οὐδενὶ ἐλογίσθη. καὶ γὰρ ὡς ἐξ ἐπιδρομῆς πάντα ἤλπισαν ἀναιρήσεσθαι· ἐξέβη δὲ τοὐναντίον ἅπαν. καὶ ὁ μηδὲν εἶναι νομιζόμενος παρ' ὑμῖν, ἀλλ' εὐκαταγώνιστος, ἐστὶ λαμπρότερος πάντων φανεῖται τῆς παρὰ τοῦ Θεοῦ ἀπολαύων ῥοπῆς.

ΚΕΦΑΛ. Γ.

Ἰδοὺ ὁ δεσπότης κύριος Σαβαὼθ ἀφελεῖ ἀπὸ τῆς Ἰουδαίας, καὶ ἀπὸ Ἱερουσαλὴμ ἰσχύοντα καὶ ἰσχύουσαν.

ΚΑθάπερ ἰατρὸς ἄριστος, νῦν μὲν καίων, νῦν δὲ τέμνων, νῦν δὲ πικρὰ διδοὺς φάρμακα, μεθοδεύει τῶν ἀρρωστούντων τὴν ὑγίειαν· οὕτω δὴ καὶ ὁ φιλάνθρωπος Θεὸς, ποικίλαις καὶ διαφόροις τιμωρίαις τὸ διαρρέον καὶ ἀναπεπτωκὸς τῶν Ἰουδαίων ἐπισφίγγων, νῦν μὲν τῇ τῶν βαρβάρων ἐφόδῳ φοβεῖ τοὺς ἀγνώμονας, νῦν δὲ καὶ πρὸ τῆς ἐκείνων ἐπιθέσεως ἑτέραις αὐτοὺς ἀπειλαῖς καταστέλλει, τῇ ποικιλίᾳ τῶν ἀπειλῶν ἀκμάζοντα διατηρῶν ἐν αὐτοῖς τὸν φόβον. νῦν γοῦν ἀσθένειαν αὐτοῖς ἀπειλεῖ, καὶ λιμὸν, καὶ αὐχμὸν, οὐχὶ τῶν ἀναγκαίων, ἀλλὰ καὶ ἐκείνων τῶν οὐδὲν ἔλαττον τῶν ἐπιτηδείων τὴν ἡμετέραν συνεχόντων ζωήν. οὐ γὰρ δὴ λιμὸς χαλεπὸν μόνον, ἀλλὰ καὶ τὸ ἐν ἐρημίᾳ καθεστάναι τῶν κυβερνώντων τὰ πράγματα· ὃ καὶ τὴν εὐθηνίαν λιμοῦ χαλεπωτέραν ἀπο-

φαίνειν εἴωθε. τί γὰρ ὄφελος ἐκ πηγῶν ἅπαντα ἐπιῤῥεῖν, ὅταν ἐμφύλιοι τίκτωνται πόλεμοι, καὶ ἡ θάλασσα διαγείρηται, καὶ τῶν κυμάτων μαινομένων, μήτε κυβερνήτης μήτε πρωρεὺς, μήτε ἄλλος τις ᾖ δυνάμενος διαθεῖναι τὸν τῶν πραγμάτων χειμῶνα, καὶ καταστῆσαι γαλήνην; ὅταν δὲ μετὰ τούτων καὶ λιμὸς ᾖ, ἐννόησον τῶν κακῶν τὴν ὑπερβολήν. ταῦτα οὖν ἅπαντα ἀπειλεῖ ὁ Θεὸς, καὶ πρῶτον τὸ πάντων χαλεπώτερον. ἰδοὺ γὰρ, φησὶν, ὁ δεσπότης κύριος Σαβαώθ. τῇ λέξει ταύτῃ ἰδοὺ, συνεχῶς οἱ προφῆται κέχρηνται, ὅταν πληροφορῆσαι τὸν ἀκροατὴν βούλωνται περὶ τῶν λεγομένων. οὐκ ἐνταῦθα δὲ μόνον, ἀλλὰ καὶ ἄνωθεν, καὶ ἐξ ἀρχῆς ἐστὶν ἰδεῖν, ὅτι τῆς σωματικῆς ἀσθενείας αἱ ἁμαρτίαι προηγήσαντο πολλάκις, ὡς ἐπὶ τοῦ Κάϊν. ἐπειδὴ γὰρ οὐ καλῶς ἐχρήσατο τῇ ἰσχύϊ, παρελύθη καλῶς· οὕτω καὶ ὁ ἐπὶ τῆς κολυμβήθρας. ὅτι γὰρ ἡ πηγὴ τῆς παρέσεως τὰ ἁμαρτήματα ἦν, φησὶν ὁ Χριστὸς, ἴδε, ὑγιὴς γέγονας, μηκέτι ἁμάρτανε. καὶ ὁ Παῦλος δέ φησι, διὰ τοῦτο ἐν ὑμῖν πολλοὶ ἀσθενεῖς, ἐπειδὴ ἡμάρτανον οὐ καθαρῷ συνειδότι τῶν μυστηρίων μεταλαμβάνοντες· καὶ τὸν πεπορνευκότα δὲ ἀσθενείᾳ σώματος παραδίδωσι, ταύτην ὑπὲρ ἁμαρτημάτων ἀπαιτῶν δίκην. οὐ μὴν πανταχοῦ ἁμαρτημάτων ἐπιτίμιον τοῦτο, ἀλλ' ἔστιν ὅπου καὶ στεφάνων ὑπόθεσις τὸ πρᾶγμα γίνεται, ὡς ἐπὶ τοῦ Λαζάρου καὶ τοῦ Ἰώβ. οὐκ ἀσθένειαι δὲ μόνον, ἀλλὰ καὶ λῶβαι ἕτεραι σώματος ἐξ ἁμαρτημάτων ἐγένοντο, ὡς ἡ λέπρα τοῦ Ὀζία διὰ τὴν ἀναισχυντίαν τῆς γνώμης, ὡς ἡ χεὶρ τοῦ βασιλέως Ἱεροβοὰμ τὴν ξηρότητα ὑπομείνασα διὰ τὴν ἀπόνοιαν αὐτοῦ καὶ ἀλαζονείαν. καὶ τοῦ Ζαχαρίου δὲ ἡ γλῶττα οὐχ ἑτέρωθεν ἐπεδήθη, ἀλλ' ἢ διὰ τὴν τῆς ψυχῆς ἁμαρτίαν. ἐπεὶ οὖν καὶ τοῖς Ἰουδαίοις εὐσωματεῖν καὶ σφριγᾶν καὶ νεότητι κομᾶν τοῖς πλεονεκτήμασιν ἀπονοίας ὑπόθεσις ἐγένετο, ὑπέσυρε τῆς ἀλαζονείας τὴν ῥίζαν, νουθετῶν αὐτοὺς καὶ βελτίους ποιῶν, καὶ μείζονα διδοὺς,

esse acerbiorẽ. Quid enim adfert emolumenti, quod tanquã ex fontibus affluãt omnia, si dum mare insanis fluctib. exagitatur, nullo præsente nauclero, nemine proram moderante, ac ne alius quiuis adest, qui possit eam Reipublicæ fluctuationem cõpescere & in tranquillitate constituere? Recogites, quæso, quanta hinc suboriatur exuperãtia malorum, si quando cum his occurrerit & fames. Hæc itaq; omnia interminatur Deus. Et est quidẽ primũ cæteris omnibus acerbius multò. Ait enim: Ecce dominator Dominus Sabaoth. Dictione hac, Ecce, continenter sunt prophetæ vsi, quoties auditori pleniorem fidem eorum quæ dixerant facere voluerunt: non hîc verò solùm, quin & superius, & ab initio conditi orbis liquet peccata plerunq; fuisse primigenias causas corporeæ infirmitatis: patet hoc in Cain. Is enim quòd non esset vsus robore corporis, vt cõueniebat, meritò illius nerui sunt resoluti: sic & qui imminebat piscinæ. Quòd enim peccata fuerint fons istius languoris, testatur Christus qui dixit illi: Ecce sanus factus es, noli amplius peccare. Paulus itẽ, Propter hoc, inter vos multi infirmi: quandoquidem peccabant, quòd participes fierent mysteriorum nõ expurgata ad purum conscientia. Quin idem fornicarium illum infirmitati corporis tradidit, hanc pro peccatis reposcens pœnã. Haud tamen vbique scripturarum eiusmodi mulcta & correptio inditur peccatis. Sed est, vbi etiam occasionẽ præbet cumulãdæ coronæ res hæc: vt in Lazaro & Iob. Non infirmitates corporis solùm: sed & alia incõmoda, ceu sunt suggillationes, mutilationésve inflictæ corpori ex peccatis contingere solent, vt lepra Oziæ ob impudentem inuerecũdiam inconsultæ voluntatis, vt manus regis Hieroboam ariditatem perpessa ob ipsius temeritatem & arrogãtiam. Porrò lingua Zachariæ non alia ex causa castigari meruit, quàm ob animæ peccatum. Quum igitur Iudæi supra modum turgerent fastu, sibique placerẽt per occasionem, quòd temperata pollerent constitutione corporis, & se intelligerent consistere in vegeto ac viuaci ætatis flore, adde his, quia suppetebat illis rerum omnium exuberans copia: radicem istius arrogantiæ subtraxit Deus, interim admonens eos & ad meliorem vitæ frugem reuocans, denique impartiens illis maiora

Ecce, apud prophetas.

Ioan. 5. 7.

Legant hoc Oecolamp. Zuingl & Musculani.

quàm fuissent, quæ abstulerat. Quid enim iniuriæ aut detrimenti, si per corporis infirmitatem erudiatur & resipiscat anima? Ad hæc, ne quod fiebat, putarent eam esse inuectã infirmitatem à natura: prædixit affuturam propheta. Ne virorũ tenus substitit ea cõminatio: sed & ad muliebre genus eam trãsmisit vindictam, quòd vtraq; natura ac sexus sese corrupisset: & propter exuperantiam improbitatis tam absurdæ, progrediens ad ipsas vsque mulieres se extendit, & obijcit eis crimina, ob quę ipsa ciuitas excisa est & à fundamentis euersa. Sanè hac de causa etiam ipsas pestilenti lue implicuit. Etenim innuere mihi videtur pestem, dicẽs: *Auferã robustũ & robustam*: aut aliam quamlibet infirmitatẽ corporis, quę non cedat arti medicorũ. Tales enim sunt plagæ à Deo inflictæ: *Robur panis & robur aquæ*. Vindicta hæc atrocissima est, quando non ipsam quidem substantiã tollit, sed quæ ipsi tuendæ innata est, potentiã, ita vt nunquam exatiati ipso etiã prospectu crucientur, & suopte sensu simul & perspicuè intelligant vltionem eiusmodi à Deo esse emissam. 2. *Gigantem & potentem*. Gigantem nullo non loco scriptura consueuit exponere per valẽtem viribus & robore potentem, aut per eum qui proportione membrorum multis antestat. Etenim scriptura quum diceret in articulo creationis: Hi erant gigantes, homines nominati, enumerans hæc, non aliud dicit quàm generationẽ illam natam tum fuisse: sed nobis quoq; tacitè innuit eos fuisse viribus præstantes, valentes solida membrorum firmitate, & per ætatem vegetos ac succulentos. *Et hominem bellatorem & iudicem*. Quæ dicta sunt, pœnam indicant intolerabilem, suntque argumentũ extremæ perditionis. Ciuitatem vtiq; vnà cum viris ipsis tradere hostib. potuisset, stabiliter licet manentibus muris ac turribus. Stabilis enim firmáq; protectio ciuitatum neutiquam consistit in lapidibus, lignis, & mœnium ambitu: sed in prudentia & sagacitate eas incolentiũ, qui tum quidem si adfuerint, licet præsẽte hostium exercitu, ipsam tamen cæteris omnibus tutiùs cõmuniunt ac propugnãt. Tales verò quũ absfuerint, vt nullus obturbet, incolæ tamen eam exhibent quauis obsessa miserabiliorem, ita vt & illi, & qui auditu percipiunt ad vnũ omnes, non aspernabile reportent dogma sapientiæ. Per hæc propheta eos erudiuit, suadens ne vnquam spem suam ponerent in amplitudine ciuitatis,

Gen. 6. 4

A ἣ ἀφαιρούμενος ἐξ αὐτῶν. ποῖον γὰρ βλάβος, τὸ σῶμα ἀσθενεῖν, ὅταν ἐντεῦθεν παιδεύηται ἡ ψυχή; εἶτα ἵνα μὴ νομίζωσι φύσεως ἀσθενείας εἶναι τὸ γινόμενον, προαναφώνησεν αὐτὰ ὁ προφήτης, καὶ οὐ μέχρι τῶν ἀνδρῶν ἔστησε τὴν ἀπειλὴν, ἀλλὰ καὶ ἐπὶ τὸ γυναικεῖον γένος διεβίβασε τὴν τιμωρίαν, ἐπειδὴ καὶ ἑκατέρα ἡ φύσις διέφθαρτο, καὶ περαιτέρω διὰ τὴν ὑπερβολὴν τῆς ἀτοπίας καὶ πρὸς αὐτὰς ἀποτείνεται τὰς γυναῖκας ἐγκαλῶν αὐταῖς ἐγκλήματα, ἃ τὴν πόλιν αὐτὴν ἐκ βάθρων ἀνέτρεψαν. διὰ δὴ τοῦτο καὶ αὐ-

B τὰς τῷ λοιμῷ περιέβαλλε. εἰ γὰρ λοιμὸν αἰνίττεσθαί μοι δοκεῖ λέγων· ἀφελεῖ ἰσχύοντα καὶ ἰσχύουσαν, ἢ ἄλλην τινὰ σωματικὴν ἀσθένειαν, οὐδὲ ἰατρῶν εἴκουσαν τέχναις. τοιαῦται γὰρ αἱ τοῦ Θεοῦ πληγαί. ἰσχὺν ἄρτου καὶ ἰσχὺν ὕδατος. χαλεπωτάτη ἡ τιμωρία, ὅταν μὴ αὐτὴν ἀναιρῇ τὴν οὐσίαν, ἀλλὰ τὴν ἐξ αὐτῆς ἐγγινομένην δύναμιν, ὥστε καὶ τῇ ὄψει κολάζεσθαι μηδέποτε ἐμπιπλαμένους καὶ αἰσθητῶς συνορᾶν, ὅτι θεήλατος ἡ ὀργή. γίγαντα καὶ ἰσχύοντα. γίγαντα ἀεὶ ἡ γραφὴ τὸν ἰσχυρὸν λέγειν εἴωθεν, ἢ τὸν ὑπερέχοντα τῶν πολλῶν τῇ τῶν μελῶν ἀναλογίᾳ. καὶ γὰρ ἐν τῇ κτίσει ὅταν λέγῃ, οὗτοι ἦσαν οἱ γί-

C γαντες, οἱ ἄνθρωποι οἱ ὀνομαστοὶ, οὐκ ἄλλο τι γένος γεγενῆσθαι διηγουμένη ταῦτά φησιν· ἀλλὰ καὶ τοὺς ἰσχυροὺς καὶ σφριγῶντας ἡμῖν αἰνίττεται. καὶ ἄνθρωπον πολεμιστὴν, καὶ δικαστήν. ἀφόρητος ἡ τιμωρία καὶ ἐσχάτης ἀπωλείας ἀπόδειξις τὰ εἰρημένα, καὶ τῶν τειχῶν ἑστώτων καὶ τῶν πύργων, αὐτάνδρους τοῖς πολεμίοις τὴν πόλιν παραδεδωκέναι δυνατὸν ἦν. ἀσφάλεια γὰρ πόλεων οὐκ ἐν λίθοις καὶ ξύλοις καὶ περιβόλοις, ἀλλ' ἐν τῇ συνέσει τῶν τὴν πόλιν οἰκούντων. οἳ ἡνίκα μὲν ἂν ὦσι, καὶ πολεμίων ὄντων, ἀσφαλέστερον ἁπάντων αὐτὴν τειχίζουσιν· ἡνί-

D κα δὲ ἂν ἀπῶσι, καὶ μηδενὸς ἐνοχλοῦντος τῆς πολιορκουμένης ἀθλιωτέραν αὐτὴν ἀποφαίνουσιν. ὥστε κἀκείνους, καὶ τοὺς ἀκούοντας ἅπαντας οὐ μικρὸν φιλοσοφίας δόγμα. διὰ τούτων ὁ προφήτης ἐπαίδευσε, πείθων μηδέποτε μεγέθει πόλεως θαρρεῖν, μηδὲ

μηδὲ τάφροις καὶ μηχανήμασιν, ἀλλ' ἀνδρῶν ἐπιεικῶν ἀρετῇ. φοβῶν τοίνυν αὐτούς, φησίν, ὅτι ἐρημώσει τῆς ἀσφαλείας αὐτῶν, οὐ τοὺς πολεμεῖν εἰδότας ἀναρπάζων μόνον, ἀλλὰ καὶ τοὺς δικάζειν ἐπισταμένους, οἳ τῶν πολεμούντων οὐκ ἔλαττον συντελοῦσι ταῖς πόλεσιν, εἰρήνην τε εὖ διατιθέντες, καὶ πολέμους πολλάκις ἐπιόντας ἀποκρουόμενοι. ἐπειδὴ γὰρ οὗτοι συνεχῶς ἀπὸ τῆς τῶν ἁμαρτημάτων φύονται ῥίζης, δυνατὸν τοὺς τῶν νόμων φύλακας, καὶ τοῦ δικαίου μετὰ ἀκριβείας προϊσταμένους, τὰ πλείονα τῶν ἁμαρτημάτων ἀναστέλλοντας ἀναιρεῖν, καὶ τοῦ πολέμου τὴν ὑπόθεσιν. τίνος οὖν ἕνεκεν ὁ Θεὸς αὐτοὺς ἀνασπᾷ; ἐπειδὴ παρόντες αὐτοῖς οὐκ εἰς δέον ἐκέχρηντο. ὥσπερ γὰρ τὰ σωτήρια αὐτοῦ διδάγματα πολλὴν ἔφερον τοῖς ἀκροωμένοις τὴν ὠφέλειαν, ἐπὶ δὲ τῶν Ἰουδαίων δημηγορῶν ἀσαφείᾳ τὰ λεγόμενα ἔκρυπτεν, ἐπειδὴ μὴ προσεῖχον τοῖς λεγομένοις· οὕτω δὴ καὶ τὰ δῶρα αὐτοῦ τὰ μεγάλα ταῦτα, καὶ σωτηρίαν ἡμῖν πολλὴν κομίζοντα ἐκ μέσου πολλάκις ἀναιρεῖ, ὅταν οἱ λαμβάνοντες μηδὲν ἀπ' αὐτῶν βούλωνται καρπώσασθαι. καὶ προφήτην καὶ στοχαστήν. οὐ μικρὸν δὲ ὀργῆς εἶδος καὶ τὸ τὴν προφητείαν ἐπιλιπεῖν. ὅτε γοῦν τὸν τῶν Ἰουδαίων δῆμον διὰ τὰ ἁμαρτήματα τῶν τοῦ Ἠλὶ παίδων ὁ Θεὸς ἀπεστράφη, καὶ τὴν πολλὴν τοῦ πλήθους κακίαν, ἐπέλιπεν ἡ προφητεία. ῥῆμα γὰρ τίμιον, φησίν, ἦν, καὶ οὐκ ἦν ὅρασις διαστέλλουσα. τίμιον, τουτέστι, σπάνιον. καὶ ἐπὶ τοῦ Ὀζία τὸ αὐτὸ τοῦτο γέγονεν. οὐ γὰρ μικρὰ καὶ ἐντεῦθεν ἐκαρποῦντο, εἴγε ἐβούλοντο. τὸ γὰρ μανθάνειν τὰ παρὰ τοῦ Θεοῦ, καὶ πρὸς τὰ μέλλοντα παρασκευάζεσθαι δεινά, καὶ ὑπὲρ τῶν ἀδήλων πυνθάνεσθαι, καὶ πότε μὲν ἐπιτίθεσθαι δεῖ πολεμίοις, πότε δὲ ἡσυχάζειν, καὶ πῶς ἅπαντα τὰ λυπηρὰ διακρούεσθαι δέοι, πολλὴν ἔφερεν αὐτοῖς σωτηρίας εὐκολίαν. ἀλλ' ἐπειδὴ μανθάνοντες οὐκ ἐποίουν, διὰ τοῦτο καὶ τὸ μανθάνειν αὐτῶν ἀφεῖλεν,

A non in vallis aut aggeribus collocarent fiduciam, neque audaciam sumerent à bellicis molitionibus & machinis: sed confiderent in virtute virorum degentium in æquitate ac mãsuetudine. Terrorem igitur eis inijciens ait, quia dominus destituet ciuitatem sua protectione & custodia, non modò sublatis è medio bellandi peritis: sed abreptis etiam eis qui pro potestate nouerant exercere iudicia, qui quidem iudices nihil minus sunt vsui moderandis ciuitatibus, atque eisdem tuendis sunt bellatores: dum & pacem æquis legibus attemperant, & B sæpenumero non desunt propulsandæ eruptioni hostium. Hostes enim quum continenter suboriantur ab radice peccatorũ, non difficile est legum custodes ac eos qui præsident iuri dicundo omni cum diligentia plura è medio tollere ac supprimere peccata, quæ occasionem præbent excitandis bellis. Qua igitur causa Deus eos à terra reuellit? quod iis superstitibus, vt oportuit, non sint vsi. Quemadmodum enim salutares eius doctrinæ plurimũ vtilitatis cõferebant iis qui se in disciplinã dabant: in cõcione verò apud Iudæos verba faciẽs, mul-C ta cautione quæ à se dicebãtur tegebat, quòd quæ dicebat, minùs attẽtè aduertebant: ita sanè & Deus dona etiã hæc eximia & multã salutem nobis cõferentia, plerumq. è medio tollit: si quãdo ij qui accipiũt, nihil per ea voluerint fructus vberioris adaugere. *& prophetam & coniectorem siue interpretem.* Non parua est species hæc indignationis diuinæ, quòd prophetarũ oracula defecerint: quandoquidẽ & Deus auersatus est Iudaicũ populum propter peccata filiorũ Holi, óbque populi nequitiam defecit prophecia. Verbum enim preciosum erat, D ait scriptura: & non erat visio distinguens: preciosum, hoc est perrarum, infrequẽs, eóq. preciosum, quod & contigit regnãte Ozia. Quòd si hi voluissent, vtique vel hinc poterãt non parum frugis bonæ decerpere. Doctrina enim eorum quæ prodeunt ex ore Dei, præparatio item ad excipiẽdos futuros graues euentus, déque incertis sedula percunctatio, vtq; conueniat quidem aliquando cum hostibus conserere manum & adoriri, nonnunquam bello abstinere & conquiescere, quo etiam pacto cuncta nobis ingerentia mœrorem ac tristitiam sint propulsanda. Horum prænotio multam attulisset eis parandæ saluti dexteritatem. Sed quando doctrinam quam perceperant auribus, nequaquam explebant opere: ob hoc horum disciplinam etiam eis ademit,

Proborum iudicum laus.

Quæstio.

Solutio.

1.Reg.3.

quod non mediocris est diuinę erga homines clementiæ argumentum, quòd eis præuidēs futura, & quòd non essent congruè ac decenter vsuri suis donis, tamen quæ sui muneris erant, præbuerit. Cùm propheta verò dicit se auferre & coniectorem, hîc meâ opinione σοχαστὴν coniectorem siue interpretem vocat, qui multa vi intelligentiæ præditus & ab ipsa rerum gestarū experientia, coniecturis futura colligit. Aliud quidem coniectura est, aliud item prophetia. Hic enim diuino afflatus spiritu loquitur, & ex sese nihil infert: ille vero materiam occasionésve prædicendi quiduis futurum, à rebus sumit prius gestis suámque extimulans intelligentiam multa futurorum euentuum præuidet, vt par est credere, posse hominem peracri intellectu præditum non pauca prænosse. Atqui inter hoc & illud adeò multum interest, tantúmque discriminis intercedit: quantò humanus intellectus inferior est gratia Dei. Vtque sententiam hāc reddam dilucidiorem collatione, ad mentem reuocemus Salomonem & Elisæum. Arcanas enim res & quę in abditis fuerant gestæ, vterque in medium produxit ac reuelauit occulta: ambo tamen non vsquequaque virtute eadem: sed ille quidem discursu humanæ prudentiæ & sagacitatis, arreptis ab ipsa natura argumentis circa meretrices illas mulieres: hic verò nulla vsus ratiocinatione. Cuiusmodi enim ratiocinationis discursu potuisset reuelare furtum Giezi? Dei autem gratia præuentus, quæ procul facta erant, præuidit: 3. *Et presbyterum & principem super quinquaginta.* Cum his etiam se ablaturum pronunciat & presbyterum & quinquagenarium principem. Presbyterum, id est seniorē, non eum dicit qui vtcumque consenuit, sed qui vna cum canicie maturā conseruat prudentiam. Pentecontarchum autem commemorans, non vnū aliquem, qui præsit quinquaginta, sed hoc nomine principes omnes insinuat. Nihil vsquam est, nihil est intractabilius Republica, quæ magistratibus caret, quemadmodum neque periculosius quicquam est naui suo destituta gubernatore. Neq; hic sistit oraculum: sed aliam magni momenti tutelam interminatur se ab eis ablaturum, nempe eos qui cōsiliis edendis præstarent, qui nihilominus beneficiū adferebant ciuitatibus atq; arma bellica. *Auferam enim, ait, admirabilem consiliariū & sapientem architectum.*

Attēde, quo coniectura differat à prophetia.

3. Reg. 3.

4. Reg. 4.

A ὃ πολλῆς τοῦ Θεοῦ φιλανθρωπίας δεῖγμα ἦν, ὅτι καὶ προειδότα τὰ μέλλοντα, καὶ ὡς οὐ χρήσονται εἰς δέον ταῖς παρ' αὐτοῦ δωρεαῖς, τὰ γοῦν παρ' αὐτοῦ ἅπαντα παρέχειν. μετὰ δὲ τοῦ προφήτου, καὶ στοχαστὴν φησὶν ἀναιρεῖν. ἐνταῦθά μοι δοκεῖ λέγειν στοχαστὴν, τὸν ἀπὸ συνέσεως πολλῆς τῶν μελλόντων στοχάζεσθαι, καὶ ἀπ' αὐτῆς τῶν πραγμάτων τῆς πείρας. ἕτερον μὲν γὰρ στοχασμὸς, καὶ προφητεία ἄλλο. ὁ μὲν γὰρ πνεύματι θείῳ φθέγγεται, οὐδὲν οἴκοθεν εἰσφέρων· ὁ δὲ τὰς ἀφορμὰς ἀπὸ τῶν ἤδη γεγενημένων λαμβάνων, καὶ τὴν οἰκείαν σύνεσιν διεγείρων, πολλὰ τῶν μελλόντων προορᾷ, ὡς εἰκὸς ἄνθρωπον ὄντα συνετὸν προϊδεῖν. ἀλλὰ B πολὺ τὸ μέσον τούτου κἀκείνου, καὶ τοσοῦτον, ὅσον συνέσεως ἀνθρωπίνης καὶ θείας χάριτος τὸ διαφορον. ἵνα δὲ καὶ ἐπὶ ὑποδείγματος τὸν λόγον ποιήσω φανερὸν, ἐννοήσωμεν τὸν Σολομῶντα καὶ τὸν Ἐλισσαῖον. ἀμφότεροι γὰρ κεκρυμμένα πράγματα εἰς μέσον ἤγαγον, καὶ κεκρυμμένα ἀνεκάλυψαν· ἀμφότεροι δὲ οὐ τῇ αὐτῇ δυνάμει. ἀλλ' ὁ μὲν ἀπὸ συνέσεως ἀνθρωπίνης παρὰ τῆς φύσεως λαβὼν ἀφορμὰς ἐπὶ τῶν πορνῶν γυναικῶν ἐκείνων· ὁ δὲ C λογισμῷ μὲν οὐδενὶ χρησάμενος (ποῖος γὰρ λογισμὸς ἀνακαλύψαι δυνατὸς ἦν τοῦ Γιεζῆ τὴν κλοπήν;) θείᾳ δὲ χάριτι τὰ πόῤῥωθεν γεγενημένα προειδώς. καὶ πρεσβύτερον καὶ πεντηκόνταρχον. μετὰ δὲ τούτων καὶ πρεσβύτερον καὶ πεντηκόνταρχόν φησιν ἀναιρεῖν, πρεσβύτερον οὐχ ἁπλῶς γεγηρακότα λέγων, ἀλλὰ τὸν μετὰ τῆς πολιᾶς τὴν προσήκουσαν τῇ πολιᾷ διατηροῦντα σύνεσιν. καὶ πεντηκόνταρχον δὲ ὅταν λέγῃ, οὐχ ἕνα τινὰ πεντηκόνταρχόν φη- D σιν, ἀλλὰ τῷ ὀνόματι τούτῳ τοὺς ἄρχοντας πάντας αἰνίττεται. οὐδὲν γὰρ, οὐδὲν ἀναρχίας χαλεπώτερον, ὥσπερ οὐδὲ πλοίου τι σφαλερώτερον γένοιτ' ἂν κυβερνήτην οὐκ ἔχοντος. καὶ οὐδὲ ἐνταῦθα ἵσταται, ἀλλὰ καὶ ἑτέραν μεγάλην ἀσφάλειαν ἀναιρήσειν ἀπειλεῖ, τοὺς τὰ ἄριστα βουλεύειν εἰδότας, οἳ τῶν ὅπλων οὐκ ἐλάττονα εἰσφέρουσιν εὐεργεσίαν ταῖς πόλεσιν. ἀφελῶ γὰρ, φησι, καὶ θαυμαστὸν σύμβουλον, καὶ σοφὸν ἀρχιτέκτονα.

οὐχὶ τὸν οἰκοδόμον λέγων, ἀλλὰ τὸν πραγμάτων ἔμπειρον, καὶ πολλὰ ἐπιστάμενον, καὶ μετὰ συνέσεως ἅπαντα τὰ τῆς πόλεως διαθεῖναι πράγματα εἰδότα, καὶ μετὰ τούτων, καὶ συνετὸν ἀκροατήν. ἂν γὰρ τοῦτο ἀπῇ, κἂν τἄλλα ἅπαντα παρῇ, πλέον οὐδὲν ἔσται ταῖς πόλεσι, κἂν προφῆται ὦσι, κἂν σύμβουλοι, κἂν δυνάσται, ὁ δὲ ἀκουσόμενος μηδεὶς ᾖ, πάντα εἰκῇ καὶ μάτην. ἐμοὶ δοκεῖ ἐνταῦθα τὸ ἀφελῶ λέγειν, τὸ ἐάσω καὶ ἀφήσω, ὥσπερ ὁ Παῦλός φησι· παρέδωκεν αὐτοὺς εἰς ἀδόκιμον νοῦν, οὐ τοῦτο δηλῶν, ὅτι ἐνέβαλεν εἰς ἄνοιαν, ἀλλ' ὅτι ἀφῆκε καὶ εἴασεν ἀνοήτους ὄντας. καὶ ἐπιστήσω νεανίσκους ἄρχοντας αὐτῶν. τοῦτο ἀναρχίας χεῖρον καὶ πολλῷ χαλεπώτερον. ὁ μὲν γὰρ οὐκ ἔχων ἄρχοντα, ἀπεστέρηται τοῦ χειραγωγοῦντος· ὁ δὲ πονηρὸν ἔχων, τὸν ἐμβάλλοντα εἰς κρημνοὺς ἔχει. νεανίσκους δὲ ἐνταῦθα, οὐχὶ ἁπλῶς τὴν ἡλικίαν διαβάλλων ἔφησεν, ἀλλ' ἀπὸ τοῦ πλεονάζοντος τὴν ἄνοιαν αὐτῶν ἐπιδείκνυται. ἔστι γὰρ καὶ νέους εἶναι συνετούς, καὶ γεγηρακότας ἀνοίᾳ συζῆν. ἀλλ' ἐπειδὴ τοῦτο μὲν σπανιάκις συμβαίνειν εἴωθε, τὸ δὲ πλεονάζον τοὐναντίον ἐστὶν, ἐξ ἐκείνου ἀνοήτους ὠνόμασεν. ἐπεὶ καὶ Τιμόθεος νέος ἦν, καὶ μυρίων γεγηρακότων σοφώτερος τὰς ἐκκλησίας διώρθωσε· καὶ Σολομὼν ἡνίκα μὲν δωδεκαέτης ἦν, τῷ Θεῷ διελέγετο, καὶ πολλῆς ἀπήλαυε παρρησίας, καὶ ἀνεκηρύττετο, καὶ ἐστεφανοῦτο, καὶ θεατὰς ἀπὸ τῶν βαρβάρων τῆς αὐτοῦ σοφίας ἐκάθιζε, καὶ οὐκ ἄνδρες μόνον, ἀλλὰ ἤδη καὶ γυναῖκες, πόῤῥωθεν ἐπιοῦσαι, ταύτην μόνην τῆς ἀποδημίας τὴν ὑπόθεσιν εἶχον τὸ μαθεῖν τι καὶ ἀκοῦσαι παρὰ τῆς ἐκείνου φωνῆς. ἐπειδὴ δὲ εἰς γῆρας ἦλθε, πολλῷ τῆς ἀρετῆς καθυφῆκε. καὶ ὁ τούτου δὲ πατὴρ ὁ μακάριος Δαβὶδ, τὴν χαλεπὴν ἁμαρτίαν ἐκείνην, οὐχ ἡνίκα παῖς καὶ μειράκιον ἦν, ἀλλ' ἡνίκα τὴν ἡλικίαν ὑπερέβη ταύτην, τότε ἥμαρτεν. ὅτε δὲ παιδίον μικρὸν ἐτύγχανεν ὂν, καὶ τρόπαιον ἀνέστησε θαυμαστὸν, καὶ τὸν βάρβαρον κατηνέγκε, καὶ πᾶσαν ἐπιδεῖξαι φιλοσοφίαν, καὶ οὐδὲν ἡ νεότης αὐτοῦ πρὸς τὰ κατορθώματα ταῦτα κώλυμα γέγονε.

A Non ædium substructorem aut cæmentarium intelligit: sed qui multa scit, & qui vsu didicit administrare Rempublicam, qui multa calleт, qui negocia omnia ciuitatis nouerit moderari solerti prudentia, cúmq; his etiam prudentem auditorem minatur se sublaturum. Hoc sanè si abfuerit, vt omnia alia adsint, nihilo plus vtilitatis accedit ciuitatibus: supersint licet prophetæ, quamuis consiliarij, vt superstites sint magistratus & optimates, auditurus tamē eos si nemo adsit, frustra omnia & incassū abierint. Hîc mea opinione per verbum ἀφελῶ auferam, quasi dicat, patiar ac permittam

B & relinquam: sicuti est illud Pauli, Tradidit eos in reprobum sensum, non hoc sensu quasi amentiā ac stoliditatem eis inseruerit: sed quòd passus sit sic esse parū cordatos ac sanæ mētis inopes. 3. *Et instituam adolescentulos, principes eorum.* Hoc malum vtique est molestius ac toleratu atrocius publica licētia, quæ oriri solet per vacationem magistratus. Qui enim non habet principē, præduce viæ à quo regatur, priuatus est: qui verò malignū sortitus est ac reprobæ vitæ, habetà quo

C in præcipitia protrudatur. Per adolescentulos præsenti loco non est intelligendus eam ætatulam subijcere vlli calumniæ simpliciter: sed ex redundanti ostēdit principum amentiā. Contingit enim iuuenes esse cordatos ac prudentes: cōtra, videre licet, qui vna cum stoliditate cōsenuerint. Cæterū quoniam consueuit hoc quidē rarius contingere, illud autē diuersum in vsu est frequēti, idcirco mēte captos principes nominauit adolescētulos. Nam & Timotheus iuuenis erat: is tamē ecclesias innumeris, qui senio incanuerāt, sapientiùs mo-

D deratus est. Salomō quoq. annos natus duodecim cum Deo sermocinabatur, multa fretus dicēdi fiducia: & præconis voce celebratus regali corona insignitus est, & barbaros habuit sapientiæ suę spectatores: neque viri tantum, sed & mulieres hac occasione lōginquas peregrinationes susceperūt, vt ab eo docerentur, eiúsque vocē audirent. Et is iam senio cōfectus, plurimū detraxit de pristina virtute. Sed hui⁹ etiā pater, beatus ille Dauid graue illud cōmisit peccatū, nō puer quidem & adolescentulus: verùm eam supergressus ætatē peccauit: quū alioqui pusio adhuc esset, admirabile illud trophæū erexit, barbaro illo in terram deiecto, omnémque exhibuit philosophiam: nec ætas iuuenilis fuit impedimento, quo minus cum laude præclaras hasce actiones conficeret.

Rom. 1. 28.

Memorabilis locus de magistratu.

Probat exemplis. Timotheus. Salomon.

Hier. Hieremiç insuper munus propheticum deprecanti, obtentu tenerioris ætatulç, non consensit neque approbauit Deus: sed emisit ad Iudæorum plebem, pronunciãs hinc nihil illi esse impedimento teneritudinem ætatis, modò mens fuerit sana & cõfirmatus animus. Hanc agens ætatem, quin potius etiam illa inferiorem, Daniel in seniores illos sententiam ferebat damnationis. *Dan. 13.* Sed & Iosias nondũ decem ad plenum annos natus ad regale soliũ conscendit. *Iosias.* Is iam tum quàm optimè audiebat, omnium ore celeber: post hæc, in socordiam aliquãtum delapsus, corrupit pristinã animæ virtutẽ. Quid verò Ioseph? *Ioseph.* Nónne iuuenis & admodũ iuuenis durissimum illud strenuè depugnauit bellum, non quidem aduersus homines, sed aduersus ipsam naturæ tyrannidẽ pugnãs, & è medio camini ac flãmç Persica illa multò vehementioris exiliuit illæsus & incorruptus, grauem alioqui vitæ perpessus iacturã nihilo inferiorem tribus illis pueris? Quemadmodum enim illi corpora vnà cum capillis suis incorrupta ostenderunt tunc educti è fornace, tanquam exeuntes è fontes veriùs quàm ex camino: sic sanè & hic medio in certamine è manibus ereptus Ægyptiæ se explicuit, nihil noxæ cõtrahens ab eius attactu, neque à verbis, neq; ab aspectu, neque à vestiũ splendore, nõ deniq. ab aliis innumeris quæ accẽdere solent cõcupiscentiæ flãmam tantò molestiorem sarmẽtis siue malleolis ac pice. *Allusio ad fornacem Babylonicam.* Ab ipsa demũ iuuenili ætate ne tãtillum quidẽ passus est eorũ, cuiusmodi verisimile est pati potuisse cũ qui sit homo. Quin & hi tres pueri in ætatis flore cõsistentes iam euaserãt superiores ventris ingluuie, & à se excusserant mortis timorẽ, qui multò est fortior, tanto licet exercitu, rege, ipsa etiam fornace. Denique regem vicerunt aduersum se erumpẽtem ad vindictam, nihílque eos exterruit: sed assiduè perseuerarunt, mentis constantiam minimè seruilẽ retinentes. Non igitur çtatem ipsam traducẽs hçc dicit Esaias. Nam Paulus cùm dicat, Nõ neophytũ, vt ne inflatus in iudicium incidat diaboli: *1. Tim. 3. 6.* non ætate iuuenem intelligit, sed eum qui quasi plantula, sit recens insitus, hoc est, instructus. Etenim plantare seu conserere, capitur & pro instruere & docere, ad quem sensum est illud, Ego plantaui, Apollo rigauit. *1. Cor. 3. 6.* Quinetiam tale quiddam vocat hoc nomine plantationem, ipse Christus dicens: Omnis plantatio quam non plantauit pater meus, eradicabitur. *Matt. 15. 13*

Καὶ τὸν Ἱερεμίαν δὲ τὴν ἀπὸ τῆς ἡλικίας προβαλλόμενον παραίτησιν οὐκ ἀπεδέξατο ὁ Θεὸς, ἀλλ' ἐξέπεμψεν ἐπὶ τὸν τῶν Ἰουδαίων δῆμον, οὐδὲν ἐντεῦθεν αὐτὸν κωλύεσθαι λέγων, εἰ τὰ τῆς διανοίας ἐρρωμένα εἴη. Ταύτην ἄγων τὴν ἡλικίαν, μᾶλλον δὲ καὶ ταύτης ἐλάττονα πολλῷ, τοὺς πρεσβυτέρους ἔκρινεν ὁ Δανιήλ. Καὶ Ἰωσίας δὲ οὐδὲ δέκα ἔτη γεγονὼς ὅλα, ἐπὶ τὸν τῆς βασιλείας ἀνέβη θρόνον· καὶ τότε μὲν εὐδοκίμει, μετὰ δὲ ταῦτα καταλιγωρήσας μικρὸν, ἐλυμήνατο τὴν τῆς ψυχῆς ἀρετήν. Τί δὲ ὁ Ἰωσήφ; οὐχὶ νέος ὤν, καὶ σφόδρα νέος, τὸν χαλεπὸν ἐκεῖνον ἀνείλετο πόλεμον, οὐχὶ πρὸς ἀνθρώπους, ἀλλὰ πρὸς αὐτὴν τῆς φύσεως τὴν τυραννίδα μαχόμενος, καὶ ἐκ μέσου καμίνου καὶ φλογὸς πολὺ τῆς Περσικῆς χαλεπωτέρας ἐξεπήδησεν ἀσινής; τῶν τριῶν παίδων οὐκ ἔλαττον ἀβλαβὴς διαμείνας; ὥσπερ γὰρ ἐκεῖνοι τὰ σώματα μετ' αὐτῶν τῶν τριχῶν ἀκέραια τότε ἐξαγαγόντες ἔδειξαν, ὡς ἀπὸ πηγῆς μᾶλλον ἢ καμίνου ἐξιόντες· οὕτω δὴ καὶ οὗτος τὴν ἐν ἀγῶνι τῆς Αἰγυπτίας χειρῶν ἀπαλλαγεὶς, ἐξῄει, μήτε ἀπὸ τῆς ἁφῆς, μήτε ἀπὸ τῶν ῥημάτων, μήτε ἀπὸ τῆς ὄψεως, μήτε ἀπὸ τῶν ἱματίων, μήτε ἀπὸ τῶν μύρων, ἃ κληματίδος καὶ πίσσης χαλεπωτέραν ἀνῆπτε τῆς ἐπιθυμίας τὴν φλόγα, μήτε ἀπ' αὐτῆς τῆς ἡλικίας παθών τι τοιοῦτον, οἷον εἰκὸς ἄνθρωπον ὄντα παθεῖν. Καὶ αὐτοὶ δὲ οἱ παῖδες οἱ τρεῖς οὗτοι ἐν αὐτῷ τῆς ἡλικίας ὄντες τῷ ἄνθει, καὶ γαστρὸς ἐκράτησαν, καὶ θανάτου φόβον ἐπάτησαν, καὶ στρατοπέδου τοσούτου, καὶ βασιλέως αὐτῆς τῆς καμίνου σφοδρότερον ἀφιέντος θυμὸν περιεγίνοντο, καὶ οὐδὲν αὐτοὺς κατέπληξεν, ἀλλ' ἔμενον διηνεκῶς ἀδούλωτον τὸ φρόνημα ἔχοντες. Οὐ τοίνυν τὴν ἡλικίαν διαβάλλων ταῦτά φησιν· ἐπεὶ καὶ ὁ Παῦλος, ὅταν λέγῃ, μὴ νεόφυτον, ἵνα μὴ τυφωθεὶς εἰς κρίμα ἐμπέσῃ τοῦ διαβόλου, οὐ τὸν νέον τὴν ἡλικίαν φησὶν, ἀλλὰ τὸν νεωστὶ φυτευθέντα, τουτέστι κατηχηθέντα. Φυτεῦσαι γὰρ τὸ κατηχῆσαί φησι καὶ διδάξαι, ὥσπερ ὅταν λέγῃ· ἐγὼ ἐφύτευσα, Ἀπολλῶς ἐπότισε. Καὶ Χριστὸς φυτείαν τὸ τοιοῦτο καλεῖ λέγων· πᾶσα φυτεία, ἣν οὐκ ἐφύτευσεν ὁ πατήρ μου ὁ οὐράνιος, ἐκριζωθήσεται.

ἐπεὶ εἰ νεόφυτον τὸν νέον ἔλεγεν, οὐκ ἂν Τιμόθεον σφόδρα νέον ὄντα, καὶ οὕτω νέον, ὡς λέγειν, μηδείς σου τῆς νεότητος καταφρονείτω, πρὸς τοσοῦτον ὄγκον ἀρχῆς ἀνήγαγεν ἄν, καὶ τοσαύτας φέρειν ἐπέτρεψεν ἐκκλησίας. καὶ ἐμπαῖκται κυριεύσουσιν αὐτῶν. ὁρᾷς, ὡς οὐ τὴν ἡλικίαν διαβάλλει ἁπλῶς, ἀλλὰ τὴν διεφθαρμένην γνώμην; τῇ γὰρ ἐπαγωγῇ τοῦτο σαφέστερον ἐποίησεν. ἐμπαίκτας δὲ ἐνταῦθά φησι, τοὺς ἀπατεῶνας, τοὺς εἴρωνας, τοὺς κόλακας, τοὺς διὰ τῆς τῶν ῥημάτων χάριτος προπίνοντας αὐτοὺς τῷ διαβόλῳ. καὶ συμπεσεῖται ὁ λαός, ἄνθρωπος πρὸς ἄνθρωπον, καὶ ἄνθρωπος πρὸς τὸν πλησίον αὐτοῦ. ὥσπερ γὰρ τῶν τὰς οἰκοδομὰς συνεχόντων ξύλων διαφθαρέντων, ἢ καὶ ἀναιρεθέντων, τοὺς τοίχους ἀνάγκη συῤῥήγνυσθαι, οὐδενὸς ὄντος τοῦ κατέχοντος· οὕτω καὶ τούτων τῶν ἔμπροσθεν εἰρημένων, ἀναιρεθέντων ἀρχόντων, συμβούλων, δικαστῶν, προφητῶν, οὐδὲν τὸ κωλῦον ἦν, τὸν δῆμον ἑαυτῷ συῤῥαγῆναι, καὶ πολλὴν γενέσθαι τὴν σύγχυσιν· προσκόψει τὸ παιδάριον πρὸς τὸν πρεσβύτην, καὶ ὁ ἄτιμος πρὸς τὸν ἔντιμον. ἐναντιώσεται, φησιν, ὁ νέος τῷ γεγηρακότι, ὑπερόψεται, καταφρονήσει. ταῦτα καὶ πρὸ τῆς τῶν πολεμίων ἐφόδου, πολέμου παντὸς ἦν χαλεπώτερα. ὅταν γὰρ ἀτιμάζηται μὲν γῆρας παρὰ νεότητος, οὐδ' ἀτελεῖς καὶ ἀποῤῥιμμένοι τοὺς πρότερον αἰδεσίμους καταπατῶσιν, οὐδενὸς ἔλαττον κληδονιζομένης ἡ τοιαύτη διακείσεται πόλις. ὅτι ἐπιλήψεται ἄνθρωπος τοῦ ἀδελφοῦ αὐτοῦ, ἢ τοῦ οἰκείου τοῦ πατρὸς αὐτοῦ, λέγων· ἱμάτιον ἔχεις, ἀρχηγὸς ἡμῶν γενοῦ, καὶ τὸ βρῶμα τὸ ἐμὸν ὑπό σε ἔστω. καὶ ἀποκριθεὶς ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐρεῖ. οὐκ ἔσομαι ἀρχηγός, οὐ γάρ ἐστιν ἐν τῷ οἴκῳ μου ἄρτος, οὐδὲ ἱμάτιον. οὐκ ἔσομαι ἀρχηγὸς τοῦ λαοῦ τούτου. ἐνταῦθά μοι δοκεῖ, ἢ πολιορκίαν τινὰ χαλεπωτάτην αἰνίττεσθαι, εἰς τὴν ἐσχάτην στενοχωρίαν αὐτοὺς κατενεγκοῦσαν, ἢ χωρὶς πολιορκίας λιμὸν τινὰ ἀφόρητον, καὶ πολλὴν τῶν ἀναγκαίων σπάνιν. κέχρηνται δὲ κοινῇ συνηθείᾳ· καὶ πολλοί φασιν, εἰ συνέβη τὴν πόλιν ἅπασαν ὀβολοῦ πωλεῖσθαι, οὐκ ἂν [illegible] αὐτὴν πρίασθαι, τὴν ἐσχάτην πενίαν ἐνδεικνύμενος·

A Nam si Paulus neophyti nomine intellexisset ætate iuuenẽ, Timotheum vtique apprimè iuuenem, & sic iuuenem, vt diceret: Nemo adolescentiam tuam contemnat, nunquã sustulisset ad tantam amplitudinẽ, tantúmve fastigiũ dignitatis ecclesiasticæ, nõ item permisisset tot onera ferre amplissimarũ ecclesiarum. *Et illusores dominabuntur eis.* Vides, vt non simpliciter traducit ætatem, sed mentem corruptelis vitiorum cõtaminatã? Hac enim illatione reddidit sententiã dilucidiorem. Atqui hic illusores dicit malesuados impostores, cauillato- B res siue dissimulatores, perfidiosos quoque assentatores qui ad captandam gratiam lenociniis verborum vsi produnt auditores diabolo. 5. *Et corruet populus, homo ad hominẽ, & homo ad proximũ suum.* Quemadmodum enim ligna quæ ædificiorũ substructiones suffulciunt & cõtinent, quum senserint putredinem, aut certè sublata illinc fuerint, necesse est etiã illidi parietes & perrumpi, quòd nihil supersit quo fulciãtur: sic & iuxtã formulã prius dictorum, sublatis è medio principibus, consiliariis, iudicibus, prophetis: nihil iam reliquum sit, quod C prohibeat populũ inter se collidi, multámque suboriri confusionẽ. *Irruet puerulus aduersus senem, & ignobilis cõtra nobilem.* Aduersabitur, ait, iuuenis ei qui senio incanuit, cõtemptim fastidiet, aspernabitur. Hæc etiam ante hostium incursionem, bello omni erant atrociora. Si quãdo enim senectus quidẽ à iuuẽtute exhonoratur, vilésq. & abiecti eos proculcant ac deprimunt, qui prius honori fuerant & venerabiles: ea ciuitas nihilo habẽda est inferior, nec in meliore constituẽda loco atque ea, quę hariolos habet. 6. *Quia apprehendet homo fratrẽ suum,* D *aut domesticum patris sui dicens: Vestimentum habes, princeps noster esto, & epulæ meæ sub te sint.* 7. *Et respõdens in die illa dicet: Non ero princeps: non enim est in domo mea panis, neque vestimentum. Non ero princeps populi huius.* Hic (vti opinor) aut obsidionem quandam subobscurè innuit atrocissimam, quæ esset Iudæos deductura ad extremam anxietatem, aut certè, quòd citra obsidionem euentura illis esset intoleranda fames, & oppidò quammulta raritas alimentorum transigendæ vitæ necessariorum eosdem oppressura. Vsus autem est communi loquendi consuetudine, ac sicut plerique assolent: Si contingeret ciuitatem vniuersam distrahi obolo, non possem illam redimere, per hoc, extremam indicans paupertatem,

Sic & propheta ait, quia si principatus A proponendi essent venales vestimento vno, vnóque pane, nemo alioqui esset, qui emeret. Tanta illos apprehensura est & tā rara parcitas necessariorū. 8. *Quia dissoluta est Hierusalem.* Hoc significat, Derelicta est & habitatore destituta, Dei prouidentia spoliata est. *Et Iudæa concidit.* Turbellis tumultuationéq. impleta est, & confusione: nihilque in ea quod sui status tenorem cōseruet. *Et linguæ eorum cum iniquitate, nec his quæ Domini sunt, obtemperant.* Dein causa subnectitur malorū, nempe linguæ peruicax incontinentia. Id quod Ozee coarguit dicēs: Ephraim in interitum abierūt in diebus coargutionis: in tribubus Israël ostendi fide digna. Malachias eadem repetēs, Prophetæ maledicentes eis qui prouocauerunt Deū in sermonibus. Et dixistis, In quo prouocauimus eum? In eo quod dicitis vos, Omnis qui facit malū, bonus est in cōspectu Domini, & in eis ipsi bene cōplacuit. Et vbi est Deus iustitię? Equidē hoc insimulat ipse, duplex prodens crimen: quòd non modo cōtumaces sunt & increduli: sed & legē præuaricantur. Siquidem quū debuissent ob hoc verecundia ac rubore suffundi, præ pudore C manum admouere ori, ac deiectis in terrā oculis incedere: ex aduerso, isti prioribus peccatis adijcere contēdunt, vt ne expleant quę iussi sunt facere, mandata, & verba insuper intolerāda ac plena cōtumaciæ loquātur, perinde atque si famulus quispiam vernaculus & idem ingratus, sui domini mandata prætermittat, ad hæc etiā aduersus eum efferatur animo & insolescat: 9. *Idcirco nunc humiliata est gloria eorū, & confusio vultus eorum restitit eis.* Iuxta legem prophetis familiarem & consuetā, futura tanquam præterita pronunciat. Humiliationē glorię D vocat captiuitatem. Non enim fortuitæ aut vulgaris infamiæ erat, eos cogi in ordinem qui in aliquāta orbis parte, in dignitate constiterant regnantium, & sub iugum mitti à prophanis ac barbaris. Confusionē verò vultus siue infamiam dicit eum ruborē, qui oboriri solet consideratione admissi peccati. Talis enim erat vitæ eorum ratio. Quum igitur se prius dignos reddidissent omni genere dedecoris, per flagitia quæ admiserant: sanè hanc ob causam Deus eos deiecit à splendore prioris gloriæ, eos addicens minori vindictæ, quam ipsi sibi intulerant. Terram enim incolentes alienam, non vsque

Malach. 2. 17.

Simile.

Metropolim vocat Hierusalem.

A οὕτω καὶ ὁ προφήτης φησὶν, ὅτι εἰ ἱματίου ἑνὸς καὶ ἄρτου μόνου γένοιντ' ἂν αἱ ἀρχαὶ ὠνηταὶ, οὐδεὶς ἔσται ὁ ὠνούμενος. τοσαύτη αὐτοὺς ἔσται τῶν ἀναγκαίων. ὅτι ἀνεῖται Ἱερουσαλήμ. τουτέστιν ἐγκαταλέλειπται, ἠρήμωται, τῆς τοῦ Θεοῦ προνοίας γεγύμνωται. καὶ ἡ Ἰουδαία συμπέπτωκε. ταραχῆς, φησὶν, ἐμπέπλησται καὶ θορύβου, συγχύσεως καὶ ἀταξίας. καὶ αἱ γλῶσσαι αὐτῶν μετὰ ἀνομίας, τὰ πρὸς τὸν κύριον ἀπειθοῦσιν. εἶτα καὶ ἡ αἰτία τῶν κακῶν, τῆς γλώττης ἡ ἀκρασία, ὃ καὶ Ὠσηὲ ἐγκαλεῖ λέγων, Ἐφραῒμ εἰς ἀφανισμὸν ἐγένοντο ἐν ἡμέραις ἐλέγχου, ἐν ταῖς φυλαῖς τοῦ Ἰσραὴλ ἔδειξα πιστά. B καὶ ὁ Μαλαχίας τὰ αὐτὰ πάλιν λέγων· οἱ προφῆται ὀνειδίζοντες τοὺς παροξύναντας τὸν Θεὸν ἐν λόγοις· καὶ εἴπατε, ἐν τίνι παρωξύναμεν αὐτόν; ἐν τῷ λέγειν ὑμᾶς, πᾶς ποιῶν πονηρὸν, καλὸν ἐνώπιον κυρίου, καὶ ἐν αὐτοῖς αὐτὸς εὐδόκησε. καὶ ποῦ ἐστιν ὁ Θεὸς τῆς δικαιοσύνης; τοῦτο δὴ καὶ αὐτὸς αἰτιᾶται, διπλοῦν προφέρων ἔγκλημα, ὅτι οὐ μόνον ἀπειθοῦσιν, ἀλλὰ οὐ μόνον παραβαίνουσι τὸν νόμον, ὀφείλοντες γοῦν αἰσχύνεσθαι ἐπὶ τούτῳ καὶ ἐρυθριᾶν, ἐγκαλύπτεσθαι καὶ κάτω κύπτειν, οἱ δὲ καὶ ἐπαγωνίζονται τοῖς C προτέροις, μετὰ τοῦ μὴ ποιεῖν τὰ ἐπιτεταγμένα καὶ φορτικὰ φθεγγόμενοι ῥήματα· ὡσανεὶ οἰκέτης τις ἀγνώμων ἐγκαταλιμπάνων τὰ ἐπιτάγματα δεσπότου, ἔτι καὶ θρασύνοιτο. διὰ τοῦ νῦν ἐταπεινώθη ἡ δόξα αὐτῶν, καὶ ἡ αἰσχύνη τοῦ προσώπου αὐτῶν ἀντέστη αὐτοῖς. πάλιν τὰ μέλλοντα ὡς παρεληλυθότα λέγει, τῷ συνήθει κεχρημένος νόμῳ τῆς προφητείας. ταπείνωσιν δὲ δόξης, τὴν αἰχμαλωσίαν καλεῖ. οὐ γὰρ τῆς τυχούσης αἰσχύνης ἦν, τοὺς ἐν τάξει τῶν βασιλευόντων τῆς οἰκουμένης ὄντας, τούτους ἀλD λοτρίοις βεβήλοις καὶ βαρβάροις ὑποτετάχθαι. αἰσχύνην δὲ προσώπου ἐνταῦθα τὴν ἀπὸ τῆς ἁμαρτίας ἐγγινομένην φησί. τοιοῦτος γὰρ ἦν αὐτῶν ὁ βίος. ἐπεὶ οὖν προλαβόντες ἑαυτοὺς κατῄσχυναν, δι' ὧν ἔπραττον, διὰ δὴ τοῦτο ὁ Θεὸς τῆς δόξης αὐτοὺς ἐξέβαλεν, ἐλάττονι παραδιδοὺς τιμωρίᾳ τῆς ὑπ' αὐτῶν ἐπενεχθείσης αὐτοῖς. οὐ γὰρ οὕτως ἧσσον ἐπονείδι-

στι τὴν ἀλλοτρίαν οἰκοῦντες, ὡς ὅτε τὴν μητρόπολιν ἔχοντες παρενομοῦν. τότε μὲν γὰρ καὶ ἐνεκόπτετο αὐτοῖς τὰ τῆς κακίας· ἐπὶ δὲ τῆς πατρίδος καὶ πρὸς τὸ μεῖζον ἤρετο. μέγα τοίνυν αὐτοῖς ὁ προφήτης ἐπαφίησι δόγμα, πανταχοῦ πείθων πρὸ τῆς κολάσεως τὴν πονηρίαν φεύγειν, καὶ ἐγκαλύπτεσθαι καὶ αἰσχύνεσθαι, οὐχ ὅταν βάρβαροι λαβόντες δούλους ἀπάγωσιν, ἀλλ' ὅταν ἡ τῆς ἁμαρτίας τυραννὶς αἰχμαλώτους ἔχῃ. τὴν δὲ ἁμαρτίαν αὐτῶν, ὡς Σοδόμων, ἀνήγγειλαν καὶ ἐνεφάνισαν. ὃ πολλάκις εἶπον, λέγω καὶ νῦν· ὅτι δεικνὺς τοῦ Θεοῦ τὴν φιλανθρωπίαν ὁ προφήτης, οὐχ ἃ μέλλουσι πάσχειν προλέγει, ἀλλὰ καὶ ἃ παθεῖν ἦσαν ἄξιοι. τὰ μὲν γὰρ ἡμαρτημένα αὐτοῖς, ἴσα Σοδόμοις ἦν, τὰ δὲ τῆς τιμωρίας καταδεέστερα. οὐ γὰρ προρρίζους αὐτοὺς ἀνήρπασεν, οὐδὲ ἐκ βάθρων τὴν πόλιν ἀνέσπασεν, οὐδὲ λείψανα τοῦ γένους ἠφάνισε. τὸ δὲ ἀνήγγειλαν καὶ ἐνεφάνισαν ἀνθρωπινώτερον εἴρηται. οὐ γὰρ τότε μανθάνει ὁ Θεὸς τὰ γινόμενα, ὅταν γένηται. πῶς γὰρ, ὁ πάντα εἰδὼς πρὶν γενέσεως αὐτῶν; ἀλλ' ἵνα δείξῃ τὸ μέγεθος τῆς συμφορᾶς, οὕτως εἶπεν. ὥσπερ γὰρ ἀλλαχοῦ φησιν, ἀνέβη ἡ κραυγὴ τῆς κακίας αὐτῶν πρός με, οὐχὶ τὸν Θεὸν ἀποικίζων που πόῤῥω, καὶ εἰς τὸν οὐρανὸν περικλείων, ταῦτά φησιν, ἀλλὰ τὸ μέγεθος τῆς ἁμαρτίας δηλῶν· οὕτω δὴ καὶ ἐνταῦθα, ἀνήγγειλαν, τὴν ὑπερβολὴν τῆς πονηρίας δεικνύμενος λέγει. τὰ μὲν γὰρ καταδεέστερα τῶν ἁμαρτημάτων καὶ μαθεῖν δυναίμεθ' ἄν· τὰ δὲ ὑπερβάλλοντα καὶ μεγάλα πᾶσίν ἐστι γνώριμα καὶ καταφανῆ, κἂν μηδεὶς ὁ κατηγορῶν ᾖ, μηδὲ ἐλέγχων. αὐτὰ γὰρ ἑαυτὰ καταγγέλλει καὶ δῆλα ποιεῖ. βουλόμενος ὁ προφήτης ἐνταῦθα δείξασθαι τὸ μέγεθος τῶν κακῶν, φησιν, ἀνήγγειλαν καὶ ἐνεφάνισαν, τουτέστι, μετὰ πολλῆς τῆς ὑπερβολῆς, μετὰ πολλῆς τῆς ὑπερηφανίας τὰ κακὰ ἔπραττον, οὐδὲ αἰσχυνόμενοι, οὐδὲ ἐγκαλυπτόμενοι, ἀλλὰ μελέτην τὴν πονηρίαν ποιούμενοι. οὐαὶ τῇ ψυχῇ αὐτῶν, διότι βεβούλευνται βουλὴν πονηρὰν καθ' ἑαυτῶν, εἰπόντες· δήσωμεν τὸν δίκαιον, ὅτι δύσχρηστος ἡμῖν

A adeò flagitiosè degebant & infames, vt quum metropolin suã inhabitarẽt, præscripta legis transgredientes. In captiuitate enim degentibus excisæ erant radices malitiæ: in patria verò maiorem in modũ se efferebant. Vehementer itaque eos propheta coarguebat suã vbiq. inferens sententiã, qua suadebat, vt vitata omni improbitate & nequitia pœnam imminentem euaderent, prius admissa obuelarent, & eorum contemplatione suppudescerent tunc, non quum barbari iam captos abriperẽt in seruos, nimirum priusquam violenta peccandi B cõsuetudo eos detineret captiuos. *Peccatum autem suum perinde ac Sodomitæ, prodiderunt nec absconderũt.* Quod à me plerisq; in locis dictũ est, id ipsum repeto etiam nunc. Propheta namque Dei erga illos clementiam declarans, non quæ passuri erant, prædicit: sed quæ digni fuerant, vt paterentur. Eorũ enim peccata quædam erant Sodomitarũ peccatis æqualia, quædã minore vltione vindicanda. Non enim ab radice eos prorsus abripuit aut sustulit, neque funditus vrbem deleuit, neque reliquias gentis ad nihilum vsque perduxit. Quod autem di-C xit: Annũciauerunt, & palam fecerunt siue nõ abscõderunt, expressius dictum est hominũ more. Tunc enim quæcumque fieri contigerit, non discit primum Deus. quo enim pacto, is qui nouit omnia, priusquam fiant? sed vt ostenderet futuræ calamitatis magnitudinẽ, sic est loquutus. Quemadmodũ enim alio loco ait, Ascẽdit clamor nequitiæ eorum ad me. Hæc quidẽ dicit, nõ in vnum aliquẽ locũ procul Deum velut in coloniã relegans, & intra cœli ambitum cõclu-D dens: sed peccati magnitudinẽ luculenter edisserẽs. Ita planè etiã hic, annũciauerunt, prodiderũt, dicit: indicãs flagitij grauitatẽ, vt hinc ediscere posset inflicta supplicia longè esse suis peccatis minora. Nã quòd modũ exuperarẽt, essentq. nimisquã grauia, vtpote omnib. explorata omniũ oculis subiecta, etiãsi nemo coargueret, quãuis nemo reprehenderet. Satis enim superq. eorũ flagitia seipsa prodebant ac manifestabant, eóque Propheta volens hic palã euulgare malorũ exuperantiam, ait, annunciauerunt, & publicitus spectanda præbuerunt siue prodiderunt. Hoc est, multa cum redundantia, cum immodico fastu sua perficiebant flagitia, ne sic quidẽ illos pudebat, nec abscõdebant: sed de industria nequitiam perpetrabant. *Væ animæ eorum, quia inierunt consilium malignum contra semetipsos dicentes.* 9. *Alligemus iustum, quia inutilis est nobis,*

Gen. 18. 20

Exaggeratio fit nequitiæ, quum non modo peccauerint, neque cum securitate solùm ac licenter peccauerint: sed quando eos à se propellunt qui possunt talia flagitia emendando supprimere, & ad rectitudinē reuocare. Quemadmodum enim, phrenitide correpti plerumque medicum pulsarunt verberibus: ita planè isti se morbo immedicabili laborare ostendebant, hoc argumento vel maximo, quòd iustos à se abigebant. Sic enim comparatum est natura, vt virtus vel solum in vno aliquo se visendam exhibens sufficiat ei ingerere tristitiam ac mœrorem, qui vitæ est flagitiosæ. Tale quid est malitia, vt ne verbo quidem increpita, sæpenumero etiam certa destinatione affligetur, & grauatim ferat eorum præsentiam qui in māsuetudine & æquitate suam instituunt vitam. Hic duplex scribitur reprehensio, quòd alligant iustū, & quia vt inutilem. Si quando igitur vnus aliquis ingrata habet, nec admittit ea quæ vehementer conferunt, sed quæ sibi vsui esse possent, censet noxia esse & detrimentosa: quæ deinceps relinquitur occasio vel prætextus futuræ correctionis? Quàobrem Propheta quum vidisset populum iam ad extremum malorū appulisse, sermonem rursus orditur à lugubribus lamentis, non item ab increpatione & criminum obiectione, dicens: Væ animæ eorum, quódque ordine sequitur, multā requirit intelligentiam: Quia inierunt consilium malum aduersum se. Etiamsi quæ facta sunt, in speciem videatur aduersus iustum temerario ausu aggressi: tamen siquis exitū accuratiùs excutiat, nimirum intelliget rem totam non in patientem, sed in consultores esse detortam. Hic docemur quidem, quia bonus innumeris licet afficiatur malis, nihil noxæ aut detrimenti ab ingerentib. accipit: sed contrà, qui iusto nectunt insidias, hi aduersum se potius exerunt ensem, quemadmodū & isti. Iustum enim adstringendo vinculis, illum quidem nihil lędebant, seipsos verò densioribus inuoluebant tenebris, & in vastitatem ac desolationem redigebant, lucernam à conspectu suo amouentes. *Igitur fructus operum suorum comedent.* Eiusmodi est malitiæ natura: ipsa in se pœnam continet sui vltricem. Quod autem hic ait, hoc est: Recipient fructus suos, in maiori desolatione & vastitate seipsos constituentes, multáque præcipitia in quæ corruant, adornantes.

10. *Væ iniquo, mala enim cōtingent ei secundū opera manuū eius.* Vides, vt semper à nobis dimen-

Cōfirmatio à simili ducta.

Nihil nocēt iusto mala.

A ἐστιν. ἐπίτασις πονηρίας, ὅταν μὴ μόνον ἁμαρτάνωσι, μηδὲ μὴ μόνον μετὰ παρρησίας ἁμαρτάνωσιν, ἀλλ' ὅταν καὶ τοὺς δυναμένους τὰ τοιαῦτα διορθοῦν ἀπελαύνωσιν. ὥσπερ γὰρ οἱ φρενίτιδι κατεχόμενοι τὸν ἰατρὸν πολλάκις συνέκοψαν. οὕτω δὴ καὶ οὗτοι τῆς νόσου ἀνίατα μέγιστον δεῖγμα τοῦτο ἐξέφερον τὸ τοὺς δικαίους ἐκβάλλειν. τοιοῦτον γὰρ ἡ ἀρετὴ, καὶ φαινομένη μόνον, ἀρκεῖ λυπῆσαι τὸν ἐν κακίᾳ ζῶντα. τοιοῦτον ἡ κακία, οὐδὲ ἐλεγχομένη πολλάκις, καὶ τὴν παρουσίαν αὐτῶν βαρύνεται τῶν ἐν ἐπιεικείᾳ προαιρουμένων. διπλῆ δὲ ἐνταῦθα ἡ κατηγορία, B καὶ τὸ δεσμεῖν τὸν δίκαιον, καὶ τὸ ὡς ἄχρηστον δεσμεῖν. ὅταν γὰρ τις τὰ ὠφελοῦντα μὴ μόνον οὐ παραδέχεται, ἀλλὰ καὶ βλαβερὰ αὐτὰ νομίζῃ εἶναι, ποία λείπεται λοιπὸν διορθώσεως πρόφασις; διὰ τοῦτο ὁ προφήτης ἰδὼν εἰς ἔσχατον ἐξοκείλαντας ἀπὸ θρήνων ἄρχεται πάλιν, οὐκ ἀπὸ κατηγορίας καὶ ἐγκλημάτων, λέγων· οὐαὶ τῇ ψυχῇ αὐτῶν, καὶ τὸ ἑξῆς μετὰ πολλῆς συνέσεως· ὅτι βεβούλευνται βουλὴν πονηρὰν καθ' ἑαυτῶν. καί τοι τὰ γινόμενα δοκεῖ κατὰ τοῦ δικαίου τολμᾶσθαι, ἀλλ' εἴ τις ἀκριβῶς C ἐξετάσειε, οὐ κατὰ τοῦ πάσχοντος, ἀλλὰ τῶν ποιούντων ἡ βουλὴ τέτραπται. ἐνταῦθα μανθάνομεν, ὅτι ὁ μὲν καλὸς, κἂν μυρία πάσχῃ δεινὰ, οὐδὲν βεβλάψεται παρὰ τῶν ποιούντων· οἱ δὲ ἐπιβουλεύοντες, οὗτοι μᾶλλόν εἰσιν οἱ καθ' ἑαυτῶν τὸ ξίφος ὠθοῦντες, καθάπερ καὶ οὗτοι. τὸν μὲν γὰρ δίκαιον οὐδὲν ἔβλαπτον δεσμοῦντες, ἑαυτοὺς δὲ ἐν πλείονι ζόφῳ καὶ ἐρημίᾳ καθίστων, τὸν λύχνον ἐκποδὼν ἁρπάζοντες. τοίνυν τὰ γεννήματα τῶν ἔργων αὐτῶν φάγονται. τοιοῦτον γὰρ ἡ κακία· αὐτὴ ἐν ἑαυτῇ τὴν τι- D μωρίαν ἔχει, καὶ ὃ ἐνταῦθά φησι, τοῦτ' ἔστιν, ἀπολαύσονται τῶν καρπῶν αὐτῶν, ἐν πλείονι καθιστῶντες αὐτοὺς ἐρημίᾳ, καὶ πολλοὺς κατασκευάζοντες τοὺς κρημνούς. οὐαὶ τῷ ἀνόμῳ. πονηρὰ γὰρ συμβήσεται αὐτῷ κατὰ τὰ ἔργα τῶν χειρῶν αὐτοῦ. ὁρᾷς παρ' ἡμῶν τὰ μέτρα

τῆς τιμωρίας ἀεὶ καὶ τοῖς ἀρχαῖς γινομένας. διὰ δὴ τοῦτο πάλιν ὁ προφήτης θρηνεῖ καὶ ὀδύρεται καὶ διακόπτεται, ὅτι αὐτοὶ ἑαυτοῖς ἐπιβούλευον οἱ Ἰουδαῖοι, καὶ πολεμίου παντὸς χαλεπώτερον τὴν ἑαυτῶν ἐλυμήναντο σωτηρίαν· οὗ τί γένοιτ' ἂν ἀθλιώτερον; λαός μου, οἱ πράκτορες ὑμῶν καλαμῶνται ὑμᾶς. τοῦτο ἀρίστου διδασκάλου, ποικίλλειν τὸν λόγον, καὶ μήτε τραχύνειν μόνον, μήτε προσηνῆ ποιεῖν, ἀλλὰ νῦν μὲν τοῦτο, νῦν δὲ ἐκεῖνο μεταχειρίζειν τὸ εἶδος, ὥστε πολλὴν ἐκ τῆς μίξεως γίνεσθαι τὴν ὠφέλειαν. διὰ δὴ τοῦτο καὶ ὁ προφήτης οὐκ ἐγκαλεῖ μόνον, ἀλλὰ καὶ θρηνεῖ, ὃ βαρύτερον μέν ἐστι τῶν ἐγκλημάτων, ἐλάττονα δὲ παρέχει τὴν ὀδύνην· καὶ τὸ θαυμαστὸν τοῦτο, ὅτι ἐν βαθυτέρᾳ τῇ τομῇ προσηνεστέρα ἡ ἀλγηδών· καὶ οὐ θρηνεῖ μόνον, ἀλλὰ καὶ θεραπεύει, καὶ ἕτερον πάλιν θαυμαστὸν διδασκαλίας ἀνακινεῖ τρόπον. τίνα δὴ τοῦτον; τὸ μὴ πᾶσιν ὑφ' ἓν ἐπιτιμᾷν, ἀλλὰ ἀποστῆσαι τὸν δῆμον τῶν ἀρχόντων, καὶ εἰς τὴν ἐκείνων περιτρέψαι κεφαλὴν τὰ ἐγκλήματα. τοσοῦτον γάρ ἐστι τούτου τοῦ εἴδους τὸ κέρδος, ὡς τὸν Μωϋσέα καὶ μετὰ πλείονος αὐτὸ ποιῆσαι τῆς ὑπερβολῆς. ἐνταῦθα μὲν γάρ, πάντων ὄντων ὑπευθύνων τοῖς ἐγκλήμασιν, ἐπὶ τοὺς ἄρχοντας τρέπει τὸν λόγον· ὁ δὲ Μωϋσῆς εὑρὼν τὸν δῆμον τότε μάλιστα ὄντα τὸν τὴν παρανομίαν ἐργασάμενον ἐκείνην, τὸν δὲ Ἀαρὼν οὐ τοσαύτης ὄντα κατηγορίας ἄξιον, ἀφεὶς τοὺς σφόδρα ὑπευθύνους, ἐπὶ τὸν οὐχ οὕτως ὑπεύθυνον τρέπει τὴν κατηγορίαν, τοῖς ἐγκλήμασι τοῖς κατ' ἐκείνου διδοὺς τῷ συνειδότι τούτων μείζονα ἑαυτῶν καταψηφίσασθαι τιμωρίαν· ὃ δὴ καὶ ἐγένετο. οὐ γὰρ ἐδεήθη λοιπὸν λόγων πρὸς τὸν δῆμον ἑτέρων· ἀλλ' ἤρκεσε τὰ ψιλὰ ἐκεῖνα ῥήματα τὰ πρὸς τὸν Ἀαρὼν εἰρημένα χιλιάδας τοσαύτας, ὡς ἕνα ἄνθρωπον, καταστεῖλαι, καὶ ἀπὸ τοσαύτης θρασύτητος εἰς δειλίαν καὶ ἀγωνίαν κατενεγκεῖν τὴν ἐσχάτην. ἃ δὴ προορῶν ὁ Μωϋσῆς, καταβὰς εὐθέως, τάς τε πλάκας ἔρριψε, καὶ πρὸς τὸν Ἀαρὼν ἔλεγε· τί ἐποίησέ σοι ὁ λαὸς οὗτος, ὅτι ἐποίησας αὐτὸν ἐπίχαρμα τοῖς ἐχθροῖς; τοῦτο καὶ ὁ προφήτης ἐνταῦθα ποιεῖ, τὸν ἅγιον ἐκεῖνον μιμούμενος δι-

A fiones proueniant pœnæ vindicis peccatorum, & principes causæ. Hanc ob causam in luctus ac lamenta Propheta iterum erumpit, séque excruciat ac pertundit, quòd Iudęos præuideret aduersum seipsos arcana inituros consilia, & atrocius omni hoste suammet salutem ad perniciem deducturos: qua vnà re quid vsquam calamitosius? II. *Popule meus exactores vestri cöcerpunt ac demetiit vos.* Longè optimi doctoris argumẽtum est, quando sermonem suum distinguit varietate sentẽtiarum, quibus auditorem non exasperat solùm, nõ item iusto placidiorem B reddit orationem: sed nunc sermonem tractat secundum speciem hanc docendi, nunc verò iuxta illam, ita vt permistione vtriusque nõ mediocris vtilitas accedat auditoribus. Eam ob rem Propheta nõ exprobrat & coarguit solùm, sed & luget ac lamentatur, quòd quidem obiectione criminum est etiam grauius: minorem verò adhibet dolorem, & quod admiratione dignum est, in profundiore sectione cruciatus per hoc infertur placidior. Nec luget modò, sed & medetur, & rursus alterum C promouet doctrinæ modũ, eumq; sanè quàm admirabilem. Quémnam hunc? Quòd non simul collectis omnibus intendit crimina: sed seorsim populum dirimit à principum senatu, & in illorum caput deflectit criminũ obiurgationes. Ex ea enim docendi formula tantum lucri resilit, vt & Moses ipsâ obseruarit plenius. Hic enim, quum omnes essent rei criminũ, in principes detorquet sermonem. Moses autem quum deprehendisset, tum maximè populum esse transgressum legẽ illam, Aaronem verò nequaquam tanta dignum increpatione, D omissa Iudæorũ multitudine, rea alioqui, in ipsum Aaronẽ non vsq. adeò reũ commissi criminis detorsit reprehensionem: suaque in illum criminatione directa commouit ipsorum conscietiam, vt maiori pœnæ se obnoxios declararent: quod quidẽ factum est. Non enim opus fuit deinceps aliis sermonibus ad populum: sed abundè suffecerũt nuda verba illa ad Aaronẽ dicta, per quæ tot millia quasi vnũ hominẽ ad officium reuocauit ac repressit, & à tãta rebellione ad pauorẽ, extremámq; anxietatem delapsi sunt, quę vtiq. præuidens Moses cõfestim, vt descẽdit, & tabulas perfregit, & Aaroni dicebat: Quid fecit tibi populus hic, quia fecisti eũ esse gaudiũ & insultationẽ inimicis? Quin & hic Propheta quiddã simile facit sanctũ illũ imitatus, modo quidẽ du-

Varietas sententiarũ in oratione.

Legem de colendo solo Deo. Exod. 19.

plici. Neque enim Moses tunc obiurgauit solum, sed & assumpta persona, quæ cum populo lamentaretur, ad eum modũ intendit in illos criminationem. Ita & hic vtrunque imitatus est, dicens: Populę meus, exactores vestri demetũt vos. Etenim quũ illos coarguisset commissæ impietatis, & quasi vnà cum populo collugeret, hæc dicebat. Hic autem ἀπαιτοῦντες appellare videtur exactores, repetentes: ego alioqui ea dictione innui raptores etiã existimo, & eos qui per immodicam cupiditatem aliena extorquent: quod si hoc non est, certè tributorum exactores siue collectores designat. Hîc quoque eius agnosce prudentiam. Non enim rem ipsam ablegat, sed redundantem mensuram excludit. Non enim dixit, repetunt, exigunt: sed demetũt, spoliant, ac priuãt vos facultatibus vniuersis, obtentu exactionis tributorum. Dictionem proinde hanc dixit, ducta metaphora ab his qui remanentes spicas & culmos in agro colligebant. Καλαμᾶσθαι enim dicitur post messorum terga spicas colligere, quæ metentiũ manus fugerint, ita vt in aruo prorsus nihil supersit residui: quod equidem tum exactores isti faciebant, fortunulas omnes per rapinam extorquebant, sinentes nudos abire ipsos. *Et exactores dominantur vestri.* Equidem etiam hoc atrocius, quia ne eò quidem immodicæ cupiditatis prouecti, persititerunt: sed & suam tyrannidem amplius multò promouebant, cuius tuendæ gratia eos qui liberi essent, in seruorum ordinem redigebant. *Populę meus, qui vos dicunt beatos, decipiunt vos.* Meo quidem arbitratu, hîc tacitè innuit pseudoprophetas, aut certè eos qui sermones suos componunt & adornant ad captandam vulgi gratiam, id quod nullo non loco causam præstat extremæ corruptelæ. Quid vtique detrimenti contingat per hanc iniquitatem, volens indicare, intulit: *Et semitam pedum vestrorum conturbant.* Hoc est, Auocantes vos de via, dissoluentes, & relaxantes animos, non sinunt vos rectà ingredi.

12. *Sed nunc constituetur ad iudicium Dominus: & statuet populum suum ad iudicium.* 13. *Ipse Dominus ad iudicium veniet cum senioribus populi & cum principibus suis.* Perstat adhuc in eadem correctionis formula, à populo deflectens increpationem ad seniores principésque ciuitatis, & formidabiliorem sermonem aggrediens. Ipsum porrò introducit Deum

A πλῷ τῷ τρόπῳ. οὐ γὰρ δὴ μόνον ἐνεκάλεσε τότε ὁ Μωϋσῆς, ἀλλὰ καὶ συναλγοῦντος προσωπεῖον λαβὼν, οὕτως ἐποιεῖτο τὴν κατηγορίαν ἐκείνην. οὕτω καὶ οὗτος ἀμφότερα ἐμιμήσατο λέγων, λαός μου, οἱ πράκτορες ὑμῶν καλαμῶνται ὑμᾶς. καὶ γὰρ κατηγόρησεν ἐκείνων, καὶ ὡς συναλγῶν τῷ δήμῳ ταῦτα ἔλεγε. πράκτορας δὲ ἐνταῦθα δοκεῖ μοι τοὺς ἀπαιτοῦντας λέγειν· ἐγὼ δὲ οἶμαι τοὺς ἅρπαγας, τοὺς πλεονέκτας αὐτῶν αἰνίττεσθαι· εἰ δὲ μὴ τοῦτο, ἀλλὰ τοὺς φορολογοῦντας. ὅρα αὐτοῦ καὶ ἐνταῦθα τὴν σύνεσιν. οὐ γὰρ τὸ πρᾶγ-B μα ἐκβάλλει, ἀλλὰ τὴν ἀμετρίαν. οὐ γὰρ εἶπεν, ἀπαιτοῦσιν, ἀλλὰ καλαμῶνται, τουτέστι, γυμνοῦσι τῶν ὄντων, ἀποστεροῦσιν ἁπάντων προσχήματι τῆς ἀπαιτήσεως. ταύτην δὲ εἴρηκε τὴν λέξιν ἀπὸ μεταφορᾶς τῶν καλαμώντων. καλαμᾶσθαι γὰρ λέγεται τὸ μετὰ τὸν ἀμητὸν τοὺς ἐκπεσόντας ἐκ τῶν θεριζόντων ἀστάχυας διαλέγεσθαι, καὶ μηδὲν ὅλως ἐπὶ τῆς ἀρούρας ἀφιέναι. ὃ δὴ καὶ τότε οὗτοι ἐποίουν, ὁλόκληρα τὰ ὄντα ἁρπάζοντες, καὶ γυμνοὺς ἀφιέντες αὐτούς. καὶ οἱ ἀπαιτοῦντες C κυριεύουσιν ὑμῶν. καὶ τὸ δὴ χαλεπώτερον, ὅτι οὐδὲ ἐνταῦθα τῆς πλεονεξίας ἵσταντο, ἀλλὰ καὶ περαιτέρω προῆγον τὴν τυραννίδα, δούλους τοὺς ἐλευθέρους ποιοῦντες. λαός μου, οἱ μακαρίζοντες ὑμᾶς πλανῶσιν ὑμᾶς. ἐνταῦθά μοι τοὺς ψευδοπροφήτας αἰνίττεσθαι δοκεῖ, ἢ τοὺς πρὸς χάριν αὐτοὺς διαλεγομένους, ὃ τῆς ἐσχάτης διαφθορᾶς αἴτιον γίνεται πανταχοῦ. τὴν γοῦν ἐκ τούτου βλάβην δηλῶν ἐπήγαγε, καὶ τὴν τρίβον τῶν ποδῶν ὑμῶν ταράσσουσι· τουτέστιν, οὐκ ἐῶσιν ὀρθὰ βαδίζειν, διαστρέφοντες, ἐκλύοντες, ῥαθυμοτέρους ποιοῦν-D τες. ἀλλὰ νῦν καταστήσεται εἰς κρίσιν κύριος, καὶ στήσει εἰς κρίσιν τὸν λαὸν αὐτοῦ. αὐτὸς κύριος εἰς κρίσιν ἥξει μετὰ τῶν πρεσβυτέρων τοῦ λαοῦ, καὶ μετὰ τῶν ἀρχόντων αὐτῶν. ἔτι τῷ αὐτῷ εἴδει ἐπιμένει τῆς διορθώσεως, ἀπὸ τοῦ δήμου πρὸς τοὺς γεγηρακότας καὶ τοὺς ἄρχοντας τρέπων τὴν ἐπιτίμησιν, καὶ φοβερώτερον μεταχειρίζων τὸν λόγον. αὐτὸν δὲ εἰσάγει τὸν Θεὸν

δικαζόμενον καὶ καταδικάζοντα, καὶ ὑπὲρ τῶν εἰς τὸν δῆμον ἁμαρτημάτων ἐγκαλοῦντα τοῖς τὸν δῆμον ἀδικοῦσι. διὸ καὶ ἔλεγεν, ἀλλὰ νῦν καταστήσεται εἰς κρίσιν κύριος. ἐπειδὴ γὰρ εἰς ἐγκλήματα τὸν λόγον ἀνήλωσε, τοῖς δὲ ἀναισθήτως διακειμένοις τὸ μὲν ἐγκαλεῖσθαι οὐ σφόδρα βαρὺ, τὸ δὲ κολάζεσθαι φοβερόν, φησὶν, ὅτι οὐ μέχρι κατηγορίας τὰ πράγματα στήσεται, ἀλλὰ καὶ δίκη τοῖς ἁμαρτήμασιν ἕψεται, αὐτοῦ τοῦ μέλλοντος καταδικάζειν εὐθύνας λοιπὸν ἀπαιτοῦντος καὶ κρινομένου πρὸς τοὺς πεπλημμεληκότας· ὃ καὶ τὴν συγκατάβασιν τοῦ Θεοῦ πολλὴν δείκνυσιν, ἀνεχομένου δικάζεσθαι μετ' ἐκείνων, καὶ ἐντρεπτικὸν ποιεῖ τὸν λόγον, ὃ καὶ τοὺς νοῦν ἔχοντας εἰς μεγάλην ἀγωνίαν ἐμβαλεῖν εἴωθεν. οὐκ ἐκείνης δὲ μόνον ἕνεκεν τῆς αἰτίας, ἧς ἔμπροσθεν εἶπον, πρὸς τοὺς ἄρχοντας καὶ τοὺς γεγηρακότας τρέπει τὸν λόγον, ἀλλὰ καὶ διδάσκων ἅπαντας, ὅτι βαρύτεραι τῶν ἀρχομένων τοῖς ἄρχουσιν αἱ εὐθῦναι. ὁ μὲν γὰρ ὑπὲρ ἑαυτοῦ μόνου, ὁ δὲ ὑπὲρ ἑαυτοῦ καὶ τοῦ δήμου, οὗ τὴν ἀρχὴν ἐγκεχειρισμένος τυγχάνει, παρέχει τὸν λόγον· καὶ οἱ πρεσβύτεροι δὲ οὐκ ἀπεικότως τοσαύτην ἀπαιτοῦνται τὴν ἀκρίβειαν. ὅπερ γὰρ ἐκείνοις ἡ ἀρχὴ, τοῦτο τούτοις ἡ ἡλικία. ἄξιος μὲν γὰρ καὶ ὁ νέος ἐπιτιμήσεως δεινὰ ἁμαρτάνων· ὁ δὲ τὴν ἀπὸ τῆς ἡλικίας ἀτέλειαν ἔχων, καὶ τοσούτοις παθῶν οὐ πολιορκούμενος κύμασιν, ἀλλὰ καὶ σωφρονεῖν εὐκολώτερον, καὶ τῶν ἄλλων ἀνέχεσθαι τῶν βιωτικῶν ῥᾷον δυνάμενος, καὶ πλείονα κεκτημένος σύνεσιν ἀπὸ τῆς τῶν πραγμάτων ἐμπειρίας, δικαίως ἂν μᾶλλον ἀπολύτων καταδικάζοιτο, τὰ τῶν ἀκολάστων νέων ἐν γήρᾳ ἐπιδεικνύμενος. ὑμεῖς δὲ τί ἐνεπυρίσατε τὸν ἀμπελῶνά μου, καὶ ἡ ἁρπαγὴ τοῦ πτωχοῦ ἐν τοῖς οἴκοις ὑμῶν; πανταχοῦ τῷ Θεῷ πολλὴ τῶν ἀδικουμένων ἡ πρόνοια· καὶ τὸ εἰς αὐτὸν ἁμάρτημα οὐκ ἔλαττον, ἀλλ' ἔστιν ὅπου καὶ πλέον προξενεῖται ὑπὲρ τῶν εἰς τοὺς ὁμοδούλους πλημμελημάτων. καὶ γὰρ τὸν μὲν πόρνην ἔχοντα γυναῖκα ἐκβάλλειν ἐπέτρεψε, τὸν δὲ Ἑλληνίδα οὐκέτι·

A iudicio disceptantem simul & condemnantem, eósque acriter increpãtem pro peccatis in populũ cõmissis, quibus populum ipsum exacerbarunt, eóq; dicebat: Et nunc cõsidebit siue constituetur ad iudicium Dominus. Sermone enim cõsumpto in expostulatione criminum, illis tamen nihilo melius affectis, sed veluti omni sensu captis & quidẽ tales criminari & in ius vocare nõ admodũ graue est: in tales autẽ animaduertere, terribilius, idcirco ait, quia & res ipsæ non accusatione tenus cõsistent, sed & pœna sequetur cõsentaneè respõdens peccatis, B ipso sententiã damnationis pronunciante, ac deinceps supplicia de eis exigẽte, qui aduersus peccatores est disceptaturus, id quod etiã ostendit quàm se demittat Deus longè infra suam dignitatẽ, vt qui sustineat cum illis subire iudiciũ, ac disceptare, & texere sermonem quo eos obiurget & suffũdat pudore, id quod consueuit in magnam protrudere anxietatem eos qui intellectu præditi sunt. Nec solum ob illã quàm prius dixi, causam, aduersus principes & senio grauatos deflectit sermonẽ: sed vt vniuersos doceat, quia atrociores pœnæ prin- C cipibus imminẽt, quàm subditis. Subditus enim pro se & solo, princeps autem pro se & pro populo suę fidei commisso redditurus est rationẽ. Atqui à senioribus nõ immeritò tantumdẽ exactæ discussionis exigetur. Quod enim illis fuit principatus, hoc & senioribus ætas. Etenim iuuenis si qua in re grauiter deliquerit, dignus planè obiurgatione est: senex verò qui per ætatem tantam immunitatem adeptus est, nec tantis æstibus perturbationum obsidetur, sed D potest non magno negocio se recipere ad meliorem vitæ frugem, & alia temporariæ huius vitæ incommoda ferre tolerabilius, quando per rerum doctricem experientiam sibi comparauit prudentiam longè ampliorem: is senio iam confectus si opere exhibeat, quæ lasciuientium sunt iuuenum, meritò iis omnibus debet atrociorem excipere sententiam. *Vos autem cur incendistis vineam meam, & rapina pauperis est in domibus vestris?* Nullo non loco scripturæ declaratur esse Deo multã prouidẽtiam de iniuria affectis, nec minus eorum curam ipsum gerere, quàm eorum quæ in ipsum iniquè admittuntur: imò etiam inuenire liceat, vbi etiam grauius exasperatur, pro iniuriis in conseruos admissis. Etenim ei qui haberet vxorem compertam fornicationis, permisit à se expellere, ei verò qui Gentilem coniugem haberet, non item concessit:

etiamsi peccatum perfidiæ Gentilis in A ipsum redūdet, illud verò resiliat in hominem. Et proposito sacrificio, iussit relinqui munus, nec prius offerri illud: quàm is qui proximū cōtristauit, cūcta, quæ fratrē concernerēt, rectè disposuisset. Et quādo illum qui decies mille talenta deuorauerat, addixit restituendæ summæ, coarguēs eum in se cōmissorū, ne tunc quidem seruū vocauit improbum aut nequā: sed & illi exempto pœnis debitum omne dimisit, pro centum autem denariis à conseruo debitis eundem seruum nequam vocauit, & tortoribus tradidit cruciandum, nec prius dimissurum se dixit, quàm debitū omne B resoluisset. Quin & Christus quum ipse quidē in faciem colaphis cæderetur, in seruum qui colaphum impegerat, nihil durius fecit: sed tantum respondit clementer: Si quidem malè loquutus sum, testimonium perhibe de malo: si autem bene, cur me cædis? Hieroboam insuper quum extenta manu conaretur apprehendere Prophetam, à quo coarguebatur, manus illi exaruit: per hæc te erudiens, vt quæ tibi quidem ipsi inuehuntur, cum mansuetudine feras: quæ verò in Dominum ingerūtur, multa cum ve- C hemētia vlciscaris. Ob hoc & legislator etiamsi secundā dixit esse speciem charitatis siue dilectionis quæ est erga proximum, tamen similem dixit priori: & quemadmodum priorem exactè obseruari vult, ita & hanc. In illa enim ait, Ex toto corde tuo & ex tota anima tua: In hac verò, Sicut teipsum. E diuerso scire quidem aliquis possit ex locis scripturæ aliquammultis, quantam Deus, quámque exactam diligentiā exigat, vt si iusti esse velimus, nosipsos complectamur amore mutuo. Obserua igitur quàm acriter instet hic Propheta, vtque verbis D acerbissimis exaugeat obiectionem criminum: Vos autem ait, cur igne succēdistis vineam meam? Quas hostes & immanes quidam barbari inuexissent, his calamitatib. propinquos ac familiares affecistis. Vineam autē vocat populum, quòd pro eo tuendo & promouendo plurimum studij ac diligentiæ impenderit abusque prima origine gentis. Expostulationem proinde exaggerat. Non enim dixit, Cur cōseruos, proximos, fratres: sed ait, quæ erāt mei peculij perdidistis, corrupistis, quæ mei iuris fuerāt? Dein ostēdens quę species fuerit istius incendij, ait: Rapina pauperis in domib. vestris.

Matt. 5. 23.

Ioan. 18.

3. Reg. 13.

A καί τοι τὸ μὲν εἰς αὐτόν, τὸ δὲ εἰς ἄνθρωπον τὸ ἁμάρτημα. καὶ τῆς θυσίας προκειμένης, καταλιμπάνειν τὸ δῶρον ἐκέλευσε, καὶ μὴ πρότερον αὐτὸ προσάγειν, ἕως ἂν τὰ πρὸς τὸν ἀδελφὸν εὖ διαθῆται ὁ τὸν πλησίον λελυπηκώς. καὶ ἡνίκα τὸν τὰ μυρία τάλαντα κατεδηδοκότα ἔκρινεν, ὑπὲρ μὲν τῶν εἰς αὐτὸν ἐγκαλῶν ἁμαρτημάτων, οὔτε πονηρὸν ἐκάλεσεν, ἀλλὰ καὶ κατηλλάγη ταχέως, καὶ τὸ δάνειον ἅπαν ἀφῆκεν· ὑπὲρ δὲ τῶν ἑκατὸν δηναρίων καὶ πονηρὸν δοῦλον καλεῖ, καὶ τοῖς βασανισταῖς παραδίδωσι, καὶ οὐ πρότερον ἔφησεν ἀφήσειν, B ἕως ἂν ἅπαν ἀποδῷ τὸ χρέος. καὶ ἡνίκα μὲν αὐτὸς ἐρραπίζετο ὁ Χριστός, οὐδὲν τὸν δοῦλον εἰργάσατο τὸν τὴν πληγὴν ἐπαγαγόντα, ἀλλὰ καὶ πρᾴως ἀπεκρίνατο λέγων· εἰ μὲν κακῶς ἐλάλησα, μαρτύρησον περὶ τοῦ κακοῦ· εἰ δὲ καλῶς, τί με δέρεις; ὅτε δὲ ὁ Ἱεροβοὰμ τὴν χεῖρα ἐκτείνας ἐπιλαβέσθαι τοῦ προφήτου τοῦ τότε ἐλέγξαντος αὐτὸν ἐπεχείρησε, ξηρὰν τὴν χεῖρα εἰργάσατο, παιδεύων καὶ σὲ τὰ μὲν ἑαυτοῦ πρᾴως φέρειν, τὰ δὲ εἰς τὸν δε- C σπότην μετὰ πολλῆς ἐκδικεῖν τῆς σφοδρότητος. διὰ τοῦτο καὶ νομοθετῶν, εἰ καὶ δευτέραν ἔφησε τὴν εἰς τὸν πλησίον ἀγάπην εἶναι, ἀλλ' ὁμοίαν τῇ προτέρᾳ· καὶ ὥσπερ ἐκείνην μετὰ πάσης ἀπαιτεῖ τῆς ὑπερβολῆς, οὕτω καὶ ταύτην. ἐπ' ἐκείνου μὲν γάρ φησιν, ἐξ ὅλης τῆς καρδίας σου, καὶ ἐξ ὅλης τῆς ψυχῆς σου· ἐπὶ δὲ ταύτης, ὡς ἑαυτόν. καὶ ἑτέρωθεν μὲν πολλαχόθεν ἴδοι τις ἄν, ὅσην ἀκρίβειαν ὑπὲρ τῶν πρὸς ἀλλήλους ἡμᾶς ἀπαιτεῖ δικαίων ὁ Θεός. ὅρα γοῦν αὐτὸν καὶ ἐνταῦθα σφοδρῶς ἐπικείμενον καὶ αὔξοντα τὴν κατηγορίαν βαρυ- D τάτοις ῥήμασιν. ὑμεῖς δέ, φησι, τί ἐνεπυρίσατε τὸν ἀμπελῶνά μου; ὅπερ ἂν εἰργάσαντο πολέμιοι βάρβαροί τινες ἀπηνεῖς, ταῦτα ὑμεῖς τοὺς οἰκείους διεθήκατε. ἀμπελῶνα δὲ καλεῖ τὸν λαὸν διὰ τὴν πολλὴν περὶ αὐτῶν σπουδὴν καὶ τὴν ἄνωθεν ἐπιμέλειαν. καὶ αὔξων τὸ ἔγκλημα, οὐκ εἶπε, τί τοὺς ὁμοδούλους, τοὺς πλησίον, τοὺς ἀδελφούς, ἀλλὰ τὰ ἐμά, φησιν, ἀπωλέσατε, τὰ ἐμὰ διεφθείρατε; εἶτα δηλῶν τοῦ ἐμπρησμοῦ τὸ εἶδος, φησίν, ἡ ἁρπαγὴ τοῦ πτωχοῦ ἐν τοῖς οἴκοις ὑμῶν.

οὐ γὰρ

οὐ γὰρ οὕτω λυμαίνεσθαι τὰς ἀμπέλους εἴωθε χάλαζα, ὡς ἡ ἀδικία τοῦ πτωχοῦ καὶ πένητος ἐμπεσοῦσα πέφυκε τὴν ψυχήν, θανάτου παντὸς χαλεπωτέρα καταστείουσα αὐτὴν ἀθυμία. πανταχοῦ μὲν οὖν τὸ ἁρπάζειν κακόν· μάλιστα δὲ ὅταν ὁ ἐπηρεαζόμενος ἐν ἐσχάτῃ πτωχείᾳ ᾖ. οὐκ ἐπιτιμᾷ δὲ τοῦτο μόνον λέγων, ἀλλὰ καὶ διορθοῦται, πρὸς τὴν θεωρίαν αὐτοὺς παραπέμπων τῆς ἁρπαγῆς. ἱκανὴ μὲν γὰρ μετὰ τὴν ῥῆσιν αὐτὴν ἡ ὄψις πρὸ τῶν ὀφθαλμῶν κειμένη κατανύξαι τὸν μὴ σφόδρα ἀναισθήτως διακείμενον. τί ὑμεῖς ἀδικεῖτε τὸν λαόν μου; τοῦ αὐτοῦ πάλιν ἐπέμεινε τρόπου, ὥσπερ ἐκεῖ τὸν ἀμπελῶνά μου, οὕτω καὶ ἐνταῦθα τὸν λαόν μου λέγων, καὶ τὰ πρόσωπα τῶν ταπεινῶν καταισχύνετε. οὓς ὀρθοῦν ἔδει, τούτους ὠθοῦντες, οὓς ἀνιστᾶν, τούτους καταρρηγνῦντες· μετὰ γὰρ τῆς ἁρπαγῆς, καὶ διέπτυον τοὺς εὐτελεστέρους, καὶ ἀνδραπόδων χαλεπώτερον αὐτοῖς ἐχρῶντο, πρὸς τῇ πλεονεξίᾳ καὶ τὴν ἀλαζονείαν ἐπιτείνοντες, καὶ ἀπὸ τῆς ἀδικίας τοῦ πλούτου τούτου πολλὴν τὴν ἀπόνοιαν κτώμενοι. συνέζευκται γὰρ τῇ πλεονεξίᾳ τὸ τῆς ὑπερηφανίας νόσημα, καὶ ὅσῳ δή τις ἐπιτείνῃ τὸν πλοῦτον, τοσοῦτον καὶ τὸ νόσημα ἐπιτείνει. τοῦτό φησι κύριος, κύριος, κύριος σαβαώθ. τί δέ ἐστι σαβαώθ; τῶν ἀγγέλων λέγει, τῶν ἀρχαγγέλων, τῶν ἄνω δυνάμεων, ἀπὸ τῆς γῆς ἐπὶ τὸν οὐρανὸν τὸν ἀκροατὴν ἀνάγων, εἰς ἔννοιαν τῆς μεγάλης αὐτοῦ βασιλείας αὐτὸν ἐμβάλλων· ἵνα τούτῳ γοῦν καταπλήξας, σωφρονέστερον ἐργάσηται, καὶ δείξῃ τὴν τοσαύτην ἀνοχὴν οὐκ ἀσθενείας, ἀλλὰ μακροθυμίας οὖσαν. τάδε λέγει κύριος· ἀνθ' ὧν ὑψώθησαν αἱ θυγατέρες Σιών, καὶ ἐπορεύθησαν ὑψηλῷ τραχήλῳ, καὶ νεύμασιν ὀφθαλμῶν, καὶ τῇ πορείᾳ τῶν ποδῶν σύρουσαι ἅμα τοὺς χιτῶνας, καὶ τοῖς ποσὶν ἅμα παίζουσαι· καὶ ταπεινώσει ὁ Θεὸς ἀρχούσας θυγατέρας Σιών, καὶ κύριος ἀνακαλύψει τὸ σχῆμα αὐτῶν. ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, καὶ ἀφελεῖ κύριος τὴν δόξαν τοῦ ἱματισμοῦ αὐτῶν, καὶ τὸν κόσμον αὐτῶν, καὶ τὰ ἐμπλόκια, καὶ τοὺς κορύμβους, καὶ τοὺς μηνίσκους, καὶ τὸ κάθεμα, καὶ τὸν κόσμον τοῦ προσώπου αὐτῶν, καὶ τὴν σύνθεσιν τοῦ κόσμου τῆς δόξης,

A Neque enim tanta calamitate euertere vineas consueuit grando, vt animam pauperis mendici & inopis vrere solet iniustitia, quæ anxietate ipsam & ægritudine morte omni acerbiore diuexat. Equidem per rapinam extorquere aliena, nullo non tempore malum est, maximè verò tum, quando is qui incessitur iniuria, ad extremam fuerit deuolutus paupertatẽ. Nec solo sermone facinus hoc increpat: sed & corrigit, eos transmittens ad contemplationem rapinæ. Pronunciata sententia hac, abundè sufficiebat ipse pauperũ aspectus ob oculos positus eum compungere, cui sensus aliquantulum superesset. 14. *Cur vos iniuria afficitis populum meum?* In eodem rursus perseuerat dicendi genere. Vt enim illic dicebat, Vineam meam, ita & hic, populum meum. *Et facies humilium confunditis?* Quos conueniebat vt afflictos, erigere: hos impressione facta deturbatis. Quos debueratis in integrum restituere, hos in frusta conscinditis & disrumpitis. Præterquam enim, quòd per rapinam eos spoliabãt, etiam despiciebant ceu vilissimos, & auersabantur, ipsosque diuexabant crudelius quam mancipia quælibet, ad cumulum suæ inexplebilis auaritię iactantiam adijcientes, & per diuitias iniquè partas multam insuper sibi vendicantes superbiam. Superbiæ enim vitiũ inexplebili auaritiæ coniũctum & affine est. Quantò enim cumulatiùs quis diuitias adauxerit, tãtò fixius cordi impresserit morbum superbiæ. *Hoc dicit Dominus, Dominus, Dominus, inquam, exercituum.* Quidnam indicat vox σαβαώθ exercituum? Angelos vtique, Archangelos, supernas illas virtutes. Cupiens auditorem à terra ad cœlum vsq; sustollere, menti eius inserit magni illius regni cogitationem atque intelligẽtiam. Equidem eo facit, vt auditore admiratione perterrito, rem ipsam cõficiat moderatius, doceatque tantam Dei sustinentiam non infirmitatis esse, sed longanimitatis.

Incendium dominicæ vineæ, est rapina pauperis. Collatio.

Hebraica habent, dicit Dominus Deus exercituũ.

15. *Hæc dicit Dominus: Pro eo quòd exaltatæ sunt filiæ Sion, & ambulauerũt elato collo, & nutibus oculorum, & incessu pedum trahentes simul tunicas, simúlque pedibus ludentes.* 16. *Et humiliabit Deus dominatrices filias Sion, & Dominus denudabit habitũ earum in die illa.* 17. *Et auferet Dominus gloriam vestimenti earum, & ornatum earum, & decentem contexturam crinium ac plexilem earum comam.* 18. *Et lunulas, & gemmatum monile, ornatúmque faciei earum, & compositionem, quæ spectet ad ornamentum gloriæ.*

19. *Et brachia & armillas & reticulum & annulos & dextrocheria & inaures.* 20. *Vestes item vndique purpura prætextas, vestémque diuersicolorem per domum dispositam.* 21. *Perspicua Laconica, indumenta bissina, hyacinthina.* 22. *Coccina, byssum quoque auro & hyacintho contextam, subtilia palliola & auro astricta.* 23. *Et erit pro suaui odore, puluis: & pro zona, funiculo cingeris. Et pro ornatu capitis tui aureo, caluicium habebis propter opera tua: & pro tunica mediè purpurea circumcingeris sacco. Hæc erunt tibi pro studio te adornandi.* 24. *Et filius tuus pulcherrimus quem diligis, gladio cadet: & fortes vestri gladio cadent & humiliabuntur.* 25. *Et lugebunt thecæ ornatus vestri, & derelinqueris sola & ad terram prosterneris.* Nouum planè hoc & præter consuetudinem fecit ipse Propheta. Aduersus mulieres enim inuectus sermonem reddidit solito prolixiorem, id quod nullo scripturarum loco perspicimus sic contigisse. Quæ igitur causa est nouæ istius rei? Existimo id esse factum ob immodicam mollitiem vxorum ac luxum profusiorem: per quem viros maxima ex parte inducebant ad rapinæ nequitiam. Ob hoc sanè aduersus eas etiam seorsim ab increpatione coniugum inuehitur, grauissima impingens eis crimina. Sermonem initio statim promouet ex persona Dei: quem in hunc repetit modum: Hæc autem dicit Dominus, Propterea quòd exaltatæ sunt filiæ Sion, & ambulauerunt collo in sublime erecto. Cardinem totius mali summámve eis impingit, nempe superbiam & insolentiam. Et quidem hoc in nullo non sexu graue esse deprehenditur: maximè si quando se inserit naturæ muliebri. Mulier enim mirè turget redundanti fastu atque pertinacia: siquidem suapte natura & leuior est viro, & minus quàm vir habet rationis: quare leui ex causa vacillat, & in errorem inducitur, submergitur ac patitur naufragium, instigante quouis maligno spiritu, nempe fastu superbiáve eam demergente. Videtur verò intendere sermonem in Hierosolymitanas, quare eas vocauit filias Sion. Et ambularunt elato collo. Hic quoque easdem perstringit ac fastum muliebrem omnibus reddit conspicuum, quando earum elatio nequit in sola cogitatione se continere, sed in publicum erumpit per corporis motus se ostentans. Nec modò propter superbiam,

A καὶ τοὺς χλιδῶνας, καὶ τὰ ψέλλια, καὶ τὸ ἐμπλόκιον, καὶ τοὺς δακτυλίους, καὶ τὰ περιδέξια, καὶ τὰ ἐνώτια, καὶ τὰ περιπόρφυρα, καὶ τὰ ἐπιβλήματα τὰ κατὰ τὴν οἰκίαν, καὶ τὰ διαφανῆ Λακωνικὰ, καὶ τὰ βύσσινα, καὶ τὰ ὑακίνθινα, καὶ τὰ κόκκινα, καὶ τὴν βύσσον σὺν χρυσῷ καὶ ὑακίνθῳ συγκαθυφασμένην, καὶ θέριστρα κατάκλιτα τοῦ χρυσίου. καὶ ἔσται ἀντὶ ὀσμῆς ἡδείας, κονιορτὸς, καὶ ἀντὶ ζώνης, σχοινίῳ ζώσῃ, καὶ ἀντὶ τοῦ κόσμου τῆς κεφαλῆς σου, φαλάκρωμα ἕξεις διὰ τὰ ἔργα σου, καὶ ἀντὶ τοῦ χιτῶνος τοῦ μεσοπορφύρου, B περιζώσῃ σάκκον· ταῦτά σοι ἀντὶ καλλωπισμοῦ. καὶ ὁ υἱός σου ὁ κάλλιστος, ὃν ἀγαπᾷς, μαχαίρᾳ πεσεῖται· καὶ οἱ ἰσχύοντες ὑμῶν μαχαίρᾳ πεσοῦνται, καὶ ταπεινωθήσονται. καὶ πενθήσουσιν αἱ θῆκαι τοῦ κόσμου ὑμῶν, καὶ καταλειφθήσῃ μόνη, καὶ εἰς τὴν γῆν ἐδαφισθήσῃ. ξένον τοῦτο ὁ προφήτης αὐτοὺς πεποίηκε, μακρὸν πρὸς τὰς γυναῖκας ἀποτείνας λόγον, ὅπερ οὐδαμοῦ τῶν γραφῶν ὁρῶμεν γεγενημένον οὕτω. τί οὖν τὸ αἴτιον τοῦ ξένου; ἐμοὶ δοκεῖ πολλὴν τότε τὴν βλακείαν τῶν γυναικῶν γεγενῆσθαι, C καὶ τὸ πλέον εἰς τὴν τῶν ἀνδρῶν κακίαν εἰσφέρειν μέρος αὐτάς. διὸ δὴ καὶ ἰδιαζόντως πρὸς αὐτὰς ἀποτείνεται, τὰ χαλεπώτατα αὐταῖς ἐγκαλῶν ἐγκλήματα, καὶ εἰς ἀρχὴν ἀνάγει τὸν λόγον, ἐκ προσώπου τοῦ Θεοῦ πάλιν φθεγγόμενος· τάδε λέγει κύριος. ἀνθ' ὧν ὑψώθησαν αἱ θυγατέρες Σιὼν, καὶ ἐπορεύθησαν ὑψηλῷ τραχήλῳ. τὸ κεφάλαιον τῶν κακῶν αὐταῖς ἐγκαλεῖ, ἀπόνοιαν καὶ ἀλαζονείαν. τοῦτο γὰρ πανταχοῦ μὲν χαλεπὸν, μάλιστα δὲ ἐπὶ τῆς γυναικείας ἐκτιθέμενον φύσεως. φρονή- D ματος γὰρ ἐμπλησθεῖσα γυνὴ, ἅτε κουφοτέρα καὶ ἀλογωτέρα οὖσα, εὐκόλως περιτρέπεται, καὶ βαπτίζεται, καὶ ναυάγιον ὑπομένει ὑπὸ τοῦ πονηροῦ πνεύματος, τοῦ τύφου καὶ τῆς ἀλαζονείας αὐτὴν βαπτιζούσης. δοκεῖ δὲ πρὸς τὰς ἐν Ἱεροσολύμοις ἀποτείνεσθαι· διὸ καὶ θυγατέρας Σιὼν ἐκάλεσε. καὶ ἐπορεύθησαν ὑψηλῷ τραχήλῳ. ἐνταῦθα αὐτὰς καὶ κωμῳδεῖ, καὶ τὸ γυναικεῖον δείκνυσι φρόνημα, οὐδὲ ἐν διανοίαις τε γενέσθαι δυνάμενον, ἀλλ' ἐκρηγνύμενον, καὶ διὰ τῶν τοῦ σώματος ἐπιδεικνύμενον κινήσεων. οὐκ εἰς ἀπόνοιαν δὲ μόνον,

ἀλλὰ καὶ εἰς ἀσέλγειαν αὐτὰς διαβάλλει, τοῦτο λέγων καὶ δηλῶν ἐκ τῶν ἑξῆς. ἐπήγαγεν οὖν· καὶ νεύμασιν ὀφθαλμῶν, ὃ τῶν ἑταιριζομένων ἐστὶ γυναικῶν, διαστρέφειν τὰς κόρας, καὶ τὴν πολλὴν βλακείαν καὶ τὸν μαλακισμὸν ἐντεῦθεν ἐμφαίνειν. τοῦ δὲ θρύπτεσθαι καὶ μαλακίζεσθαι, οὐδὲν οὕτω σημεῖόν ἐστιν, ὡς τοῦτο. καὶ τῇ πορείᾳ τῶν ποδῶν σύρουσαι ἅμα τοὺς χιτῶνας. οὐ μικρὸν τοῦτο ἔγκλημα, κἂν μικρὸν εἶναι δοκῇ, ἀλλ' ἐξωλείας τῆς ἐσχάτης ἔλεγχος, καὶ τοῦ μαλακίζεσθαι, καὶ κατακλᾶσθαι, καὶ διαλύεσθαι, τὸ τοὺς χιτῶνας σύρειν. τοῦτο γοῦν τις καὶ τῶν ἔξωθεν κωμῳδῶν τὸν ἀντίδικον τὸν αὐτοῦ τέθεικε λέγων, θοἰμάτιον καθεὶς ἄχρι τῶν σφυρῶν. καὶ τοῖς ποσὶν ἅμα παίζουσαι. καὶ τοῦτο τῆς αὐτῆς πάλιν ἀσχημοσύνης ἀπόδειξις. διὰ γὰρ πάντων, δι' ὀφθαλμῶν, δι' ἱματίων, διὰ ποδῶν, διὰ βαδίσεως ἥ τε σωφροσύνη καὶ ἡ ἀσέλγεια φαίνεται. τῆς γὰρ ἔνδον καθημένης ψυχῆς ὥσπερ κήρυκές τινές εἰσι τῶν αἰσθητηρίων αἱ κινήσεις. καὶ καθάπερ οἱ ζωγράφοι τὰ χρώματα κεραννῦντες, τὰς εἰκόνας ἃς βούλονται χαρακτηρίζουσιν, οὕτω δὴ καὶ τὰ κινήματα τῶν μελῶν τοῦ σώματος, τοὺς χαρακτῆρας ἔξω τῆς ψυχῆς ἄγει, καὶ πρὸ τῶν ὀφθαλμῶν τίθησι τῶν ἡμετέρων. διὸ καὶ ἕτερός τις σοφὸς ἔλεγε· στολισμὸς ἀνδρὸς, καὶ γέλως ὀδόντων, καὶ βῆμα ποδὸς ἀναγγελεῖ τὰ περὶ αὐτοῦ. καὶ ταπεινώσει ὁ Θεὸς ἀρχούσας θυγατέρας Σιὼν, καὶ κύριος ἀνακαλύψει τὸ σχῆμα αὐτῶν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, καὶ ἀφελεῖ κύριος τὴν δόξαν τοῦ ἱματισμοῦ αὐτῶν. δύο θεὶς ἐγκλήματα, ἀπόνοιαν καὶ ἀσέλγειαν, ἑκάστῳ κατάλληλον ἐπάγει φάρμακον, καὶ προτέρῳ τὸ πρότερον, τῷ δευτέρῳ τὸ ἐχόμενον· τῇ μὲν ἀπονοίᾳ, τὴν ταπείνωσιν, τῷ δὲ καλλωπισμῷ τοῦ σχήματος, τὴν ἀφαίρεσιν ἐκείνου. πολέμου γὰρ καταλαβόντος τότε τὰ πάντα οἰχήσεται, φησίν. αἵ τε γὰρ φλεγμαίνουσαι καὶ ἀπονενοημέναι, τῷ φόβῳ κατασταλεῖσαι, τοῦ νοσήματος ἀπαλλαγήσονται· αἵ τε μαλακιζόμεναι καὶ διὰ πάντων θρυπτόμεναι εἰς τὸν τῆς αἰχμαλωσίας ἐμπεσοῦσαι ζυγὸν, πάσης ἐκείνης ἐλευθερωθήσονται τῆς βλακείας. ὥστε δὲ ποιῆσαι τὸν λόγον αὐτοῖς φορτικώτερον,

A sed & per effrænam lasciuiam eas traducit, hoc dicens, ac manifestans per consequentia. Adiecit igitur, nutibus oculorum, quod est mulierum procacium, scilicet pupillam oculi in obliquũ deflectere, & per eam obliquationem oculi exprimere mollitiem, & ad lasciuiam procliuitatẽ. Nec vllum aliud indicium est, æquè atque istud, certius: quo se declarent illices esse ac propẽsas ad voluptatem captandam ac lubricam mollitiem. Et incessu pedum simul trahentes tunicas. Crimen hoc nõ mediocre, quamlibet videatur leuis esse mo- B menti: imò argumentũ extremę est perditionis, ad eum modũ delicias facere, peruertere decorum naturę, ac dissolui, dum conuerrunt humũ circumactu vestium. Certè vnus aliquis ex profanis, cum aduersarium subsannaret suũ, hoc illi obiecit, dicens: Et tunicã demittens vsque ad talos. Et pedibus simul ludentes. Rursus & hoc specimen exhibet obscœnæ istius turpitudinis. Per hæc enim omnia, puta per oculos, per vestimenta, per pedes, per incessum ipsa vel castitas, vel certè impudicitia se conspicuam exhibet. Hę enim motiones organorũ sen- C silium residentis animæ sunt quasi fœciales ac præcones. Et quemadmodum pictores qui tẽperata ac permista varietate colorum, quas volunt, exprimunt imagines: ad hunc sanè modum motiones etiã membrorũ corporis formas animæ impressas prodũt, extrinsecus, & palàm exerunt, óbque oculos nostros exponunt. Ob id alter quidam sapiens dicebat: Amictus viri & risus dentiũ & incessus pedis renũciant quæ de eo sunt: Et humiliabit Deus dominatrices filias Sion: &, Dominus denudabit habitum earum in die illa: & auferet Dominus D gloriã vestimẽti earum. Constituta obiectione duorum criminum, superbiæ & luxuriæ, suum cuique congruens adhibet remedium: priori, quod prius est: alteri, quod ei curando consentaneum est. Et quidem curandę superbiæ medelam opponit humiliationis: immodico studio exornandi habitus, ipsius ablationem admouet. Ait enim hæc omnia disperitura, simul atque ingruerit bellum. Quæ enim intumuerant superbia, & quæ in contumaciam rebellem prolapsæ erant, timore hostium suppresso tumore ab hoc affectu vitioso sunt exemptæ: quæ item iugiter lasciuiebant priùs & profusiore luxu deliciarum diffluebant, quum in id iugum inciderint captiuitatis, omni illa inerti mollitie à se excussa liberabuntur. Sermonem itaque vt redderet asperiorem,

Molliũ est hominum vestes trahere.

Eccli. 19. 26.

auditorúmq. mentes perstringeret acriùs: singula enarrat per suas quæque species, superuacaneã curam vestimentorum, puta aureorũ, quæ itẽ ab aspectu essent, quæ rursus ad corporis reliqui ornatũ pertinerent. Is etiã cultus tansit ad decorãdam familiã. Etenim hæ non modò corpora superfluo cultu exornabant, sed & extendebant profusiorẽ luxum ad parietes vsque expoliendos superuacaneis sumptib. præter decorum, capillos obtorquebant, & pennas eiusmodi fallaciæ quaquauersũ tendebant. Siquidem etiam hoc coarguit, dicens: Quia auferet gloriã vestimenti earũ & ornatum earum, & cincinnos intortos, plexilésq. mulierum comas. Κορύμβους autem dicit ornatum quendã circa caput muliebre, aut frõtalis speciem quãdam, reticulum, siue vittã, lunulas quoq. aliũ cultum in speciẽ lunę semiplenæ ad cohonestandã ceruicem, torquem seu monile ad pectus demissum, subtilem & æstiuam vestem, ornatũ deniq. faciei earum. Hic mihi innuere videtur delibutiones & delineationes instar artis pictoriæ, compositionẽ totius ornamenti gloriæ, quod & dicit aureis bracteolis circumquaq. detextum, armillas aureas ad decorẽ brachiorũ circũpositas, aliud item genus brachialis, alia itẽ ornamenta circa manuũ iuncturas, textile illud crinibus implicandis accõmodum, cultum aureũ ornãdo capiti circũpositum, annulos item & dextrocheria, quæ & dexiaria vocant. Inaures insuper & prætextatas tunicas ac purpura circũtextas siue particulis purpuræ intertextas & assutas, vestes quoque extimas sparsim domo tota disiectas, transparentia denique & pellucida Laconica. Tantum superfluæ curæ adhibebãt exercendæ suæ vni petulantissimæ libidini, vt non indigenis solùm vterentur vestibus: sed & è longinquo, ex aliena regione aducctas sibi eas asciscerẽt, próq. eis cõparandis transadirent maria. Longo enim à se inuicẽ dissidẽt interuallo Palæstina & Lacedæmon. Pelagus siquidẽ immensum interiacet. Nõ temerè igitur eam appofuit patriã omissa nomenclatura vestimentorũ: sed vt palàm traduceret ipsarum exuberantem lasciuiam, ceu sunt byssina, hyacinthina, coccina, quódque byssum vnà cum auro & hyacintho assutam limbo & fimbriis attextam gestarent: theristra quoque ferrent velut incrustata & inclusa bracteolis aureis. Nullam enim speciem in vestimentis, non in reliquo cultu intentatam reliquerunt: sed omnem

Laconica vestes luxuriarum.

A καὶ καθάψασθαι τῆς τῶν ἀκροωμένων διανοίας, καὶ κατ' εἶδος διηγεῖται τὸν καλλωπισμὸν τῶν ἱματίων τῶν γυναικῶν ἐκείνων, τῶν χρυσίων, τὸν ἐπὶ τῆς ὄψεως, τὸν ἐπὶ τοῦ λοιποῦ σώματος, καὶ πρόεισι καὶ ἐπὶ τὸν τῆς οἰκίας κόσμον. οὐ γὰρ δὴ μόνον τὰ σώματα ἐνεκαλλώπιζον, ἀλλὰ τὴν ὕβριν ταύτην καὶ μέχρι τῶν τοίχων ἐξῆγον, εἰς οὐδὲν δέον δαπανώμεναι· καὶ τὰς τρίχας δὲ ἐστρεβλοῦσαι, τὰ πτερὰ τῆς τοιαύτης ἀπάτης πανταχόθεν ἐτείνοντο. καὶ τοῦτο γοῦν ἐγκαλεῖ λέγων, ὅτι ἀφελεῖ τὴν δόξαν τοῦ ἱματισμοῦ αὐτῶν, καὶ τὸν κόσμον αὐτῶν, καὶ τὰ

B ἐμπλόκια αὐτῶν, καὶ τοὺς κορύμβους. κορύμβους δὲ λέγει, ἢ κόσμον τινὰ περὶ τὴν κεφαλὴν, ἢ αὐτοῦ τοῦ κεφαλοδέσμου τὸ σχῆμα. καὶ τοὺς μηνίσκους· κόσμον περὶ τὸν τράχηλον σεληνοειδῆ. καὶ τὸ κάθεμα τάχα, τὸ θέριστρον λέγει, καὶ τὸν κόσμον τοῦ προσώπου αὐτῶν. ἐνταῦθά μοι δοκεῖ ἐπιτρίμματα καὶ ὑπογραφὰς αἰνίττεσθαι. καὶ τὴν σύνθεσιν τοῦ κόσμου τῆς δόξης· τοῦτο περιχρύσιόν φησι. καὶ τοὺς χλιδῶνας· τὰ περὶ τοὺς βραχίονας χρυσία. καὶ τὰ ψέλλια· τὰ περὶ τοὺς καρποὺς. καὶ τὸ ἐμπλόκιον· κόσ-

C μον χρυσοῦν περὶ τὴν κεφαλήν. καὶ τοὺς δακτύλους, καὶ τὰ περιδέξια· ἃ λέγουσι δεξιάρια. καὶ τὰ ἐνώτια, καὶ τὰ περιπόρφυρα, καὶ τὰ μεσοπόρφυρα, καὶ τὰ ἐπιβλήματα τὰ κατὰ τὴν οἰκίαν, καὶ τὰ διαφανῆ Λακωνικά. τοσαύτη γὰρ ἦν αὐτῶν ἡ περὶ τὴν ἀσέλγειαν σπουδὴ, ὡς μὴ μόνον τοῖς ἐγχωρίοις κεχρῆσθαι, ἀλλὰ καὶ πόῤῥωθεν ἐκ τῆς ἀλλοτρίας αὐτὰ συλλέγειν, καὶ διαποντίους ἀποδημίας ὑπὲρ αὐτῶν στέλλεσθαι. πολὺ γὰρ τὸ μέσον τῆς Παλαιστίνης καὶ τῆς Λακεδαίμονος, καὶ πέλαγος ἄπει-

D ρον. οὐχ ἁπλῶς τοίνυν τὴν πατρίδα τέθεικεν ἀφεὶς τὰ ἐσθήματα, ἀλλ' ὥστε τὴν ὑπερβάλλουσαν αὐτῶν ἀκολασίαν ἐμφῆναι, καὶ τὰ βύσσινα, καὶ τὰ ὑακίνθινα, καὶ τὰ κόκκινα, καὶ τὴν βύσσον σὺν χρυσῷ καὶ ὑακίνθῳ συγκαθυφασμένην, καὶ θέριστρα κατάκλειστα τῷ χρυσίῳ. οὐδὲν γὰρ εἶδος, οὐκ ἐν ἱματίοις, οὐκ ἐν τῷ λοιπῷ κόσμῳ κατέλιπον, ἀλλὰ πᾶσαν

ἐπῆλθον πολυτελείας ὁδὸν, τῇ τῆς ἀσελγείας ἐκβακχευθεῖσαι τυραννίδι. Ταῦτα δὲ εἰ τότε ἐγκλήματα ἦν πρὸ τῆς χάριτος καὶ τῆς τοσαύτης φιλοσοφίας, ποίας ἂν τύχοιεν συγγνώμης αἱ πρὸς τὸν οὐρανὸν κληθεῖσαι νῦν, καὶ εἰς μακρότερα σκάμματα, καὶ πρὸς τὸν τῶν ἀγγέλων ἑλκόμεναι ζῆλον, καὶ μετὰ πλείονος τῆς ὑπερβολῆς ταύτην νικῶσαι τὴν ἀσέλγειαν, καὶ τὰς ἐπὶ τῆς σκηνῆς ἀποκρύπτουσαι; καὶ τὸ δὴ χαλεπώτερον, ὅτι οὐδὲ ἁμαρτάνειν ἡγοῦνται. διὸ καὶ πρὸς αὐτὰς ἀνάγκη τὴν τοῦ προφήτου φωνὴν ὁπλίσαι. οὐ γὰρ δὴ μόνον πρὸς ἐκείνας, ἀλλὰ καὶ πρὸς ταύτας εἰρήσεται τὸ ἐπαγόμενον· ὅτι ἔσται ἀντὶ ὀσμῆς ἡδείας, κονιορτός. ὁρᾷς πῶς καὶ τὴν τῶν μύρων ἄλειψιν ἐκβάλλει, καὶ μεγάλην αὐτῇ τίθησι τιμωρίαν; κονιορτὸν γὰρ ἐνταῦθά φησι, τὸν αἰρόμενον μετὰ τὴν τῆς πόλεως κατασκαφὴν καὶ τὴν τῶν βαρβάρων ἔφοδον. καὶ γὰρ καὶ πυρὶ καὶ σιδήρῳ τότε αὐτὴν διενείμαντο, τὸ μὲν αὐτῆς κατασκάψαντες, τὸ δὲ ἐμπρησμῷ παραδόντες. Ταῦτα οὖν προλέγων ἔλεγεν, ὅτι ἀντὶ ὀσμῆς ἡδείας ἔσται κονιορτὸς, καὶ ἀντὶ ζώνης, σχοινίῳ ζώσῃ, ὑπ᾽ ὄψιν ἄγων τῆς αἰχμαλωσίας τὸ σχῆμα, καὶ τὴν ἐπὶ τὴν βαρβάρων χώραν ἀπαγωγήν. καὶ ἀντὶ τοῦ κόσμου τῆς κεφαλῆς σου, φαλάκρωμα ἕξεις, ἢ τῶν τριχῶν ἀπὸ τῆς ταλαιπωρίας ἀπορρυεισῶν, ἢ τῶν πολεμίων τοῦτο ἐργαζομένων, ἢ αὐτῶν ἑαυτάς. ἔθος γὰρ ἦν τὸ παλαιὸν ἐν πένθει καὶ συμφορᾷ ἀποκείρεσθαι καὶ ξυρᾶσθαι. καὶ γὰρ ὁ Ἰὼβ ἀπεκείρατο τὴν κεφαλὴν, ἀκούσας τῶν παίδων τὴν συμφοράν· καὶ προϊὼν ὁ προφήτης μετὰ σάκκου καὶ κοπετοῦ καὶ ξύρησιν ἔφησε γίνεσθαι. καὶ ἄλλος πάλιν φησὶ, καὶ ξυρῆσαι καὶ κεῖραι ἐπὶ τὰ τέκνα σου τὰ τρυφερά. καὶ ἀντὶ τοῦ χιτῶνος τοῦ μεσοπορφύρου περιζώσῃ σάκκον. ἆρα οὐ δοκεῖ φοβερὰ εἶναι ταῦτα καὶ ἀφόρητα; ἀλλ᾽ ἐφ᾽ ἡμῶν οὐ μέχρι τούτων στήσεται τὰ τῆς τιμωρίας, ἀλλὰ σκώληξ ἰοβόλος καὶ σκότος ἀτελεύτητον διαδέξεται. εἰ γὰρ ἐκείνοις αἰχμαλωσία καὶ δουλεία καὶ τὰ ἔσχατα ἀνέμενε κακὰ ἀντὶ τοῦ καλλωπισμοῦ (ὅτι γὰρ τοῦτο ἀπῄτει δίκην,

viam rationémve profundēdarũ opum sunt aggressæ, velut debachantes tyrannide libidinis ac petulãtiæ. Porrò si crimina hæc tanti fiebãt tum, ante aduentum gratię ac tantæ cognitionis sapientiæ: quam hæ sperent se consequuturas veniã, quæ ad cœlos inuitatæ iam sunt, & ad productiora certamina? Vocatæ, inquam, & attractæ ad imitationem angelicæ puritatis, &, vt pleniore cũ exuberantia animi, victoriam reportent ex deuicta hac petulanti lasciuia, dum eas superant, quæ in scena & theatro versantur? Iam planè quod grauius est, ne se quidẽ existimant peccare: quãobrem necesse erat, vt aduersus istas distringeret propheta sententiã, quę adiungitur. Neque enim in illas solùm cõpetit: imò magis aduersus has quæ dicetur, hæc quadrat inductio, Quia erit pro odore suaui, puluis. vides, vt ab illis excludat delibutionẽ liniturám ve vnguẽtorum? proinde & illi statuit non mediocrem pœnam? Κονιορτὸν, hoc est excitatum puluerem hoc loco dicit eum, qui in aërem sublatus est ab effossa & solo adæquata ciuitate post impressionẽ à barbaris factam. Eam enim tunc & igni & ferro expugnarunt atque euerterunt, partem hanc quidem suffossione demolientes, illam verò tradentes incendio. futura igitur hæc præcinẽs dicebat: Quia pro odore suaui, erit puluis: & pro zona funiculo cingeris. Videlicet sub eorum aspectum ponẽs habitũ figurám ve captiuitatis, atque ipsorum abreptionem in regionem barbarorũ. Et pro ornamẽto capitis tui habebis caluitium. Aut defluentibus capillis per inopiã victus necessarij, siue etiam id in eas admiserint hostes, aut certè sibi ipsæ crines auulserint. Etenim apud veteres mos hic inoleuerat: vt luctu & calamitate quapiam oppressi tonderẽtur, séq. glabros redderent & recaluastros. Iob enim audita liberorũ calamitate, sibi totondit caput, & paulò post Propheta, ait: Cum sacco & planctu. Rasuram illam & glabriciem capitum quæ facta est, intelligit. Alter item ait, Radere, & tondêre super filios tuos delicatos. Et pro tunica purpuræ intertextæ præcingeris sacco. Hæcne quæso terribilia esse & intoleranda videntur? Atqui cruciatus nobis infligendus, non ad hanc vsque mensuram subsistet: sed virulentus ille vermis & circumfusæ tenebræ nos excipient. Si enim illis captiuitas, seruitus & extrema pernicies reposita erant, pro immoderato ornatu corporis (quòd enim hoc exigebat pœnam,

Iob 1. 20

Mich. 1. 16

& peculiari quadã pœna hanc ſpeciem A peccati puniebat, audi, quo pacto enumeratis criminibus illis, ſubiecit & cauſam: Hæc eadem te manent pro exquiſito ornatu) ſi igitur Iudaicæ illæ mulieres ob immoderatũ cultum tantam pœnam ſubire, vt patria à fundamentis exciſa, & eædem multis perfruitæ deliciis poſteà ſeruæ, captiuæ & extorres, ac patria orbatæ in alienã deportatæ ſunt regionem, fami inſuper ac peſti innumeriſque mortibus traditæ: nunquid non perſpicuũ eſt nos multò atrociora paſſuros, ſi in eadẽ peccata reuoluimur? B Honores enim vt ſunt cumulatiores: ita & pœnæ grauiores accedunt. Quòd ſi nulla mulierũ in hanc vſque horam ſimile aliquid paſſa eſt ob immodicum ſe adornandi ſtudiũ, nolim nimium confidat. Cõſueuit enim Deus præſtituere pœnas peccatis debitas in vnoquopiam & altero item, & per illos legem ſancire in vniuerſum omnib. de his quæ & illos apprehenſura ſunt, ſuppliciis. Vt autem quod dico, reddã dilucidius: peccatum nimiſquam graue cõmiſerunt qui tum Sodoma incolebãt. Hi delapſis è nubib. violẽtis fulminibus, extremã dederunt C pœnã, vnà cũ ciuitatib. & populis, terra ipſa cœleſti igne deflagrauit cũ vniuerſis corporib⁹. Quid igitur eſt? Nemo ad illorum exẽplum, poſteà ſimilia quædã aus⁹ eſt admittere? Equidẽ multi adeò, & pleriſq. in locis terræ habitabilis. qua igitur ratione nihil tale paſſi ſunt? Quia alteri longè atrociori ſupplicio, aſſeruãtur. Ob hoc enim ſemel inflicta eiuſmodi pœna, deſtitit Deus: vt qui eadẽ flagitia perpetrare auſi fuerint, etiamſi hic nullã luant pœnã, nihil tamen obſcurè nouerint ſe nunquã effugituros. Quomodo enim conſentaneum rationi eſſe D poſſit talia perpeſſos, qui peccarunt quidem, ſed ante aduentum gratiæ, ante legis promulgationem, qui neque Prophetas audierant, neque vllum alium qui prohiberet: illis verò poſteriores qui poſt perfruitionem tantæ Dei prouidentiæ, ne ſic quidem tali exemplo facti ſunt continentiores (id quod multò maximè intendit grauitatem peccati) quis hos, inquam, ſperet pœnam huic facinori impoſitam euaſuros? Quidni igitur adhuc & in hodiernum vſque diem hi pœnas dederunt? vt intelligas eos reſeruari ſupplicio longè atrociori ac multò grauiora paſſuros. Sodomitis illis audi Chriſtum pronunciantem, Tolerabilius erit terræ Sodomorum & Gomorrhæ in die iudicij, quam ciuitati huic.

Canon iuſtitiæ diuinæ.

Matth. 10.

καὶ ἰδικῶς τὴν ἁμαρτίαν ταύτην ἐκόλαζεν, ἄκουσον πῶς καταλέξας ἐκεῖνα, ἐπήγαγε καὶ τὴν αἰτίαν· ταῦτα (εἰ ἀντὶ καλλωπισμοῦ) εἰ τοίνυν Ἰουδαῖαι γυναῖκες κεκαλλωπισμέναι τοσαύτην ὑπέμειναν τιμωρίαν, τῆς πατρίδος ἐκ βάθρων ἀνασπασθείσης, καὶ μετὰ τὴν πολλὴν τρυφὴν, δοῦλαι καὶ αἰχμάλωτοι καὶ ἀπόλιδες εἰς τὴν ἀλλοτρίαν ἀπενεχθεῖσαι χώραν, καὶ λιμῷ καὶ λοιμῷ καὶ θανάτοις παραδοθεῖσαι μυρίοις, πῶς οὐκ εὔδηλον, ὅτι χαλεπώτερα ἡμεῖς πεισόμεθα τοῖς αὐτοῖς περιπίπτοντες; ὥσπερ γὰρ αἱ τιμαὶ μείζους, οὕτω καὶ αἱ τιμωρίαι βαρύτεραι. Εἰ δὲ μή τις οὐδέπω τὸ τοιοῦτον ἔπαθε γυνὴ καλλωπιζομένη, μὴ θαρρείτω. ἔθος γὰρ τῷ Θεῷ τοῦτο, τὰς τιμωρίας ὁρίζειν ἐφ' ἑνὸς καὶ δευτέρου, καὶ δι' ἐκείνων νομοθετεῖν τοῖς λοιποῖς ἅπασι τὰ καταληψόμενα αὐτοὺς δεινά. ἵνα δὲ καὶ σαφέστερον ὃ λέγω ποιήσω, ἥμαρτον ἁμαρτίαν χαλεπὴν οἱ τὰ Σόδομα οἰκοῦντές ποτε, ἔδοσαν δίκην τὴν ἐσχάτην, τῶν σκηπτῶν ἐκείνων κατενεχθέντων, καὶ τῶν πόλεων καὶ τῶν δήμων καὶ τῆς γῆς αὐτοῖς σώμασιν ἐμπρησθέντων ἀπολωλότων. τί οὖν; οὐδεὶς μετ' ἐκείνους τὰ ἐκείνων ἐτόλμησε; πολλοὶ μὲν οὖν, καὶ πολλαχοῦ τῆς οἰκουμένης. πῶς οὖν οὐδὲν τοιοῦτον ἔπαθον; ὅτι ἑτέρα χαλεπωτέρα τηροῦνται τιμωρίᾳ. διὰ γὰρ τοῦτο ἅπαξ αὐτὸ ποιήσας ὁ Θεὸς ἀπέστη, ἵνα οἱ τὰ αὐτὰ τολμῶντες, κἂν μὴ δῶσιν ἐνταῦθα δίκην, εἰδότες ὦσι σαφῶς, ὅτι οὐδέποτε διαφεύξονται. πῶς γὰρ ἂν ἔχοι λόγον, πρὸ μὲν τῆς χάριτος καὶ τοῦ νόμου, καὶ μήτε προφητῶν, μήτε ἄλλου τινὸς ἀκηκοότας, ἁμαρτόντας τοιαῦτα παθεῖν, τοὺς δὲ μετ' ἐκείνους τοσαύτης ἀπολαύσαντας προνοίας, καὶ μηδὲ τῷ παραδείγματι γενομένους σωφρονεστέρους (ὃ πολλῷ χαλεπωτέραν ποιεῖ τὴν ἁμαρτίαν) διαφυγεῖν τὴν ἐπὶ τοῦτο κειμένην δίκην; πῶς οὖν οὐκ ἔδοσαν οὐδέπω καὶ σήμερον; ἵνα μάθῃς ὅτι πολὺ χαλεπωτέρᾳ τηροῦνται τιμωρίᾳ. ὅτι γὰρ ἔστι χαλεπώτερα Σοδόμων παθεῖν, ἄκουσον τοῦ Χριστοῦ λέγοντος· ἀνεκτότερον ἔσται γῇ Σοδόμων καὶ Γομόρρας ἐν ἡμέρᾳ κρίσεως, ἢ τῇ πόλει ταύτῃ.

ὥστε κἂν καλλωπιζόμεναι νῦν γυναῖκες μὴ A πάθωσιν, ἅπερ ἔπαθον αἱ τότε καλλωπιζόμεναι, μὴ θαῤῥείτωσαν. εἰ γὰρ αἰσχρὰ αὐτὴ καὶ ἡ μακροθυμία χαλεπωτέραν ἐργάζεται τοῦ πυρὸς τὴν κάμινον, καὶ μείζονα τὴν φλόγα ἐργάζεται. τοῦτο καὶ ἐπὶ Ἀνανίου καὶ Σαπφείρας γέγονε. καὶ γὰρ ἐκεῖνοι ἐν ἀρχῇ καὶ προοιμίῳ τοῦ κηρύγματος ὑφελόμενοι τῶν χρημάτων ἐκείνων, ἀθρόον ἀνηρπάσθησαν· μετὰ δὲ ἐκείνους πολλοὶ τοιαῦτα τολμήσαντες, οὐδὲν ἔπαθον. πῶς οὖν ἄν ἔχοι λόγον, τὸν δίκαιον κριτὴν καὶ πᾶσι τὰ ἴσα νέμοντα, τοὺς μὲν ἧτ-B τον ἡμαρτηκότας κολάσαι, τοὺς δὲ χαλεπώτερα ποιήσαντας ἀφεῖναι; οὐκ εὔδηλον, ὅτι ἐπειδὴ ἔστησεν ἡμέραν, ἐν ᾗ μέλλει κρίνειν τὴν οἰκουμένην, διὰ τοῦτο ἀνεβάλλετο τὴν τιμωρίαν; ἵνα ἢ τῇ μακροθυμίᾳ γένωνται βελτίους, ἢ τοῖς αὐτοῖς ἐπιμένοντες χαλεπώτερα πάθωσιν; ὅταν τοίνυν ἁμαρτάνοντες τὰ αὐτὰ τοῖς ἤδη πεπλημμεληκόσι καὶ κολασθεῖσι, μὴ τὰ αὐτὰ πάθωμεν, μὴ θαῤῥῶμεν, ἀλλὰ μᾶλλον φοβώμεθα. ὥσπερ γὰρ νόμον, τὴν ἐπ' ἐκείνων τιμωρίαν ἐξενήνοχεν ὁ Θεός, πᾶσι παραινῶν, C καὶ λέγων, ὅτι διὰ τοῦτο τὸν ἐξ ἀρχῆς ἁμαρτόντα ἐκόλασα, ἵνα καὶ σὺ ὁ μετ' ἐκείνους πλημμελῶν, τὰ αὐτὰ ἀναμένῃς, ἵνα μεταβάλλῃ καὶ γένῃ βελτίων. τοῖς γὰρ τοιούτοις ἁμαρτήμασι τοιαῦται κεῖνται τιμωρίαι, κἂν μὴ παραχρῆμα ἔρχωνται. τούτοις δὲ οὐχ ἁπλῶς ἐνδιέτριψα, ἀλλ' ἐπειδὴ πονηρὸν νόσημα εἰς τὰς τῶν ἀνθρώπων εἰσῆλθεν οἰκίας διὰ τῆς τῶν γυναικῶν βλακείας, ὁ τῆς φιλοκοσμίας ἔρως, ὃς καὶ τὴν τῶν χρημάτων ἐπίτεινε ῥαθυμίαν, εἰς ἀκαίρους δαπάνας τοὺς ἄνδρας ἐκβαλών, καὶ πολέμου καὶ στάσεως καὶ φιλονεικίας ὑποθέσεις γινόμενος καθημερινῆς, καὶ τὰς τῶν D πενήτων κατατείνων γαστέρας. ὅταν γὰρ ἅπασαν τὴν οὐσίαν γυνή, ἢ καὶ τὸ πλέον τῶν ὄντων, εἰς τὴν τοῦ σώματος ὕβριν ἀναγκάζῃ τὸν ἄνδρα δαπανᾷν (ὕβρις γὰρ σώματος, τὸ περικείμενον χρυσίον) ἀνάγκη τὴν χεῖρα συστέλλεσθαι πρὸς τὴν τῆς ἐλεημοσύνης φιλοτιμίαν. καὶ πολλὰ δὲ ἕτερα ἐκ τούτου τικτό-

Mulieres igitur immodico studio se componendi deditæ, si non eadem nunc patiantur quæ & illæ ob immoderatum sui corporis cultũ passæ sunt, ne hinc sumant audaciam. Ipsa enim tolerantia & Dei longanimitas fornacem illam quotidiano cumulo reddit acerbiorem, efficitque maiorem flammam. Quin & hoc in Anania contigit & Sapphira. Illi enim initio ac in prooemio prædicationis sublata parte pecuniarum, repentina morte prærepti sunt. Quàm multi post illos talia ausi, nihil perpessi sunt? Qua igitur ratione dixeris iustum iudicem & omnibus quæ æqua sunt, distribuentem, plectere eos quidem plectit qui minùs deliquerunt, eos autem qui grauiora admiserunt, sinere abire impunes? Satisne liquet, quando Dominus diem constituit in qua iudicaturus est orbem terræ, ob hoc pœnã eum cuique decernẽdam in illum reiecisse diẽ, vt vel per eius longanimitatẽ meliores efficiantur, aut certè si in iisdem facinoribus permaneant, atrociora sustineant tormenta? Nos igitur si quando eadem cum illis admittimus qui priùs deliquerunt, & pœnas luerunt commissorum, nec tamen eadem atque illi, patiamur: ne hinc vllam præsumamus fiduciam: imò tantò magis nobis malè metuamus. Pœna enim illis inflicta, Deus quasi legem cęteris obseruandam promulgauit, omnes in commune admonens ac dicens, quia eum, qui initio peccauit, ob hoc scelus puniui, vt tu quoque qui illis posterior delinquis, eadem expectes, aut certè muteris fiasque melior. Istiusmodi enim peccatis tales constituuntur pœnæ, etiamsi non mox à commisso peccato contingant. Nec frustrà hisce rebus sum immoratus: sed quia vitium istud planè noxium domos hominum penetrauit per eneruem mollitiem vxorum, ipse nimius amor corporis ornandi (qui iusto vehementiùs dispergebat opes in intempestiuos hosce sumptus) viros impellens, occasionem suggerebat belli, seditionis & controuersiarum, quæ quotidie exoriebantur, & ventres pauperum atterebant. Si quando enim vxor substantiam omnem, aut certè plus facultatum (quàm suppetebat) cogebat virum insumere ad proprij corporis contumeliam (planè contumelia fit corpori, dum auro vndique conuestitur) necesse tum fuit manum contrahere à benignitate eleemosynæ in pauperes erogandæ. Quàm multæ hinc oriantur

Sententia.

Act. 5.

Solutio quæstionis.

ſpecies peccatorum, cuius noſſe liceat. Cæterum omiſſis his quæ norunt hi qui doctrice experientia perſpicuè norunt, quid hac cauſa patiatur, ea attingamus, quæ ſequuntur proximè. futuræ enim captiuitatis repræſentato habitu, dixit, quia eam illis inferret pro nimio cultu, ſimul & acriter intendit imminentem calamitatem, dicens: *Et filius tuus pulcherrimus, quem diligis, gladio cadet. Et fortes veſtri gladio concident.* Eſt & hoc captiuitate atrocius. Etenim vita ipſa eſt morte amarulentior. Namque cum iugo ſeruitutis, etiam lamentari quum acerbo funere elatos lugere cogantur, tecum reputa quanta iſtius afflictionis ſit magnitudo, quum videant aduerſum ſe tot calamitates plenas amaritudinis, continuata ſerie vnam alteri ſuccedere. Etenim, vt ſola adſit captiuitas, moleſtum tamen fuerit & vix tolerabile malum. Quòd ſi in libertate viuentibus luctus eiuſmodi contingant: ipſa morte fuerit vita acerbior: nunc verò pronunciat vtraque hæc coniunctim affore. Hanc proinde calamitatem meliùs conuenit dicere duplam, imò triplã, adde & quadruplam: quando & filius & is præſtantia formæ inſigniter conſpicuus, eóque deſiderabilis & hic à barbaris cæſus, neque iuxta communem naturæ legem, finem accepit vitæ. Cum hoc, reliqui ad vnum omnes qui in ætatis flore erant conſtituti: ita vt nihil ſuperſit bonæ & vtilis ſpei, quod ad humanam opem atque præſidium attinet: *Et humiliabuntur & lugebunt thecæ ornatus veſtri: & relinqueris ſola, & ad terram proſterneris.* Per hæc omnia amplificat luctum, timorem vehementiùs intendit, efficit vt animorũ inualeſcat ſollicitudo, ſub oculos exponit quæ illas manerent grauia, enarrationẽ venturæ calamitatis amplificat, quoquouerſum recurrẽs, vndequaque cogens, quæ auditoribus mœrorem ingererent, ob eorum ſtoliditatẽ. Abundè enim ſufficiebat, vt hæ tantis concuſſæ comminationibus reſipiſcerent, ſenſúq. perciperent in quas venturæ eſſent anxietates. Ob hoc ſanè ſubtexuit, quod illis commiſeratione dignum videri queat, nempe videre ſe thecam auro exhauſtã, in monimentum ſuperioris fortunæ, ipſo aſpectu conſiſtentem, vbiq. eas retinens, in mœrore. Etenim tunc vel maximè perſtringere nos cõſueuerunt, & acrius extimulare afflictiones, quãdo eas conferimus cũ priore fœlicitate. Collatio enim eiuſmodi vlcus ipſum efficit moleſtius. Siquidẽ &

μνημα ἐστὶν ἰδεῖν ἁμαρτημάτων εἴδη. ἀλλὰ ταῦτα ἀφέντες τῇ πείρᾳ τῶν παρόντων εἰδέναι σαφῶς, τῶν ἐχομένων ἁπτώμεθα. μετὰ γὰρ τὸ παραστῆσαι τῆς αἰχμαλωσίας τὸ σχῆμα, καὶ εἰπεῖν, ὅτι ἀντὶ τοῦ καλλωπισμοῦ ταύτην ἐπάγω, ἐπιτείνει τὴν συμφορὰν, λέγων· καὶ ὁ υἱός σου ὁ κάλλιστος, ὃν ἀγαπᾷς, μαχαίρᾳ πεσεῖται, καὶ οἱ ἰσχύοντες ὑμῶν μαχαίρᾳ πεσοῦνται. τοῦτο γὰρ αἰχμαλωσίας χαλεπώτερον. καὶ γὰρ ἐστι ζωὴ θανάτου πικροτέρα. ὅταν γὰρ μετὰ τῆς δουλείας καὶ ἄωρα πένθη θρηνεῖν ἀναγκάζωνται, ἐννόησον ὅσον τῆς συμφορᾶς τὸ μέγεθος, τῶν καθ' ἑαυτὰ πικρῶν ὄντων συναπτομένων ἀλλήλοις. καὶ γὰρ εἰ αἰχμαλωσία μόνη ἦν, ἀφόρητον ἦν τὸ δεινόν· καὶ εἰ ἐν ἐλευθερίᾳ ζώντων τοιαῦτα συνέβαινε πένθη, θανάτου πικροτέρα ἦν ἡ ζωή. ἀλλὰ νῦν ἀμφότερα ἔσται, φησὶ, συνημμένα ἀλλήλοις. μᾶλλον δὲ διπλῆν δεῖ ταύτην καλεῖν συμφορὰν, καὶ τριπλῆν, καὶ τετραπλῆν, ὅταν καὶ υἱὸς, καὶ κάλλιστος, καὶ ποθούμενος, καὶ ὑπὸ βαρβάρων, ἀλλὰ μὴ τῷ κοινῷ τῆς φύσεως καταλύῃ νόμῳ τὸν βίον· καὶ μετὰ τούτου, καὶ οἱ ἐν ἡλικίᾳ πάντες, ὥστε μηδὲ ἐλπίδα αὐτοῖς εἶναι χρηστὴν, ὅσον εἰς ἀνθρωπίνην ἧκε βοήθειαν καὶ συμμαχίαν. καὶ ταπεινωθήσεται· καὶ πενθήσουσιν αἱ θῆκαι τοῦ κόσμου ὑμῶν, καὶ καταλειφθήσῃ μόνη, καὶ εἰς τὴν γῆν ἐδαφισθήσῃ. διὰ πάντων αὔξει τὸν θρῆνον, ἐπιτείνει τὸν φόβον, ἀκμάζουσαν τὴν ἀγωνίαν ἐργάζεται, ὑπ' ὄψιν ἄγει τὰ δεινὰ, εὐρύνει τῆς συμφορᾶς τὴν διήγησιν, πανταχοῦ περιτρέχων, πάντοθεν συνάγων τὰ λυπηρὰ διὰ τὴν τῶν ἀκουόντων ἀναισθησίαν. ἀγαπητὸν γὰρ ἦν τοσαύταις καταστομένας αὐτὰς ἀπειλαῖς ἀνενεγκεῖν, καὶ λαβεῖν αἴσθησιν τῶν μελλόντων συμβήσεσθαι λυπηρῶν. διὰ δὴ τοῦτο καὶ ἐπήγαγεν, ὃ σφόδρα ἐλεεινὸν εἶναι δοκεῖ, τὸ χρυσίου θήκην ὁρᾷν κεκενωμένην, ὑπόμνημα τῆς παλαιᾶς εὐπραγίας, διὰ τῆς ὄψεως ἀκμάζουσαν διατηροῦν τὴν ἀλγηδόνα. καὶ γὰρ τότε μάλιστα δάκνειν ἡμᾶς εἰώθασιν αἱ συμφοραὶ, ὅταν αὐτὰς ταῖς προτέραις παραβάλλωμεν εὐημερίαις, καὶ ἡ σύγκρισις χαλεπώτερον τὸ ἕλκος ἐργάζεται. τοῦτο γοῦν ποτε καὶ ὁ

Ἰὼβ θρηνῶν ἔλεγε, τίς ἄν με θείη κατὰ μῆνα ἡμερῶν τῶν ἔμπροσθεν; καὶ διηγεῖται τὸν πλοῦτον ἅπαντα, καὶ τὰ ὥσπερ ἐκ πηγῶν ἐπιῤῥέοντα ἀγαθὰ, τὰς τιμὰς, τὰς προσόδους, τὴν περιφάνειαν ἅπασαν, ὥστε τῇ συγκρίσει τούτων πολλῷ χαλεπώτερα δεῖξαι τὰ παρόντα καὶ κατειληφότα αὐτὸν δεινά· ὃ δὴ καὶ ὁ προφήτης νῦν ἐποίησε, τὴν θήκην ἀναμνήσας, καὶ οὐδὲ τούτοις ἀρκεσθεὶς, ἀλλὰ καὶ εἰσαγαγὼν αὐτὰς πενθούσας. ἐμφαντικώτερον γὰρ τοῦτο τοῦ λόγου τὸ εἶδος, ὅταν τινὰς ἐργάζηται προσωποποιίας. ἤδη γοῦν καὶ ἀμπέλους θρηνούσας εἰσάγει, καὶ οἶνον, ὥστε μᾶλλον καθικέσθαι τῶν ἀκροωμένων, καὶ τῆς παχύτητος αὐτῶν καθάψασθαι. τί δέ ἐστι, καταλειφθήσῃ μόνη; καὶ συμμάχων, φησὶ, καὶ τῆς τοῦ Θεοῦ προνοίας ἐρημωθεῖσα, καὶ τῆς ἄλλης περιφανείας γυμνωθεῖσα πάσης, καὶ πανταχόθεν ὑπὸ τῶν πολεμίων κυκλουμένη, καὶ ἐν μέσοις ἀπειλημμένη βαρβάροις. Εἶτα τὴν ὑπερβολὴν τῆς ταπεινώσεως παραστῆσαι θέλων, φησὶ καὶ εἰς τὴν γῆν ἐδαφισθήσῃ. οὐδὲ πεσῇ εἶπεν, οὐδὲ κατενεχθήσῃ, ἀλλ' ἑτέρᾳ λέξει σαφέστερον ἐνδεικνυμένῃ τὴν εὐτέλειαν αὐτῆς ἅπασαν ἀπεχρήσατο.

A Iob eximius dicebat hoc, lugens: Quis me ponat iuxta mensem pristinorum dierum? Et suas opes vniuersas enarrat ac bona quasi è fontibus vbertim affluentia, honores, annuos prouentus, omnem denique generis splendorem, ita vt collatione eorum doceret præsentem afflictionem multò esse molestiorem, & ea quibus oppressus erat mala. Quod equidem nunc etiam fecit Propheta cõmemoratione thecarum. Nec his fuit contentus, sed & eas introduxit lamentantes. Hæc enim docendi formula euidentior redditur & significan- B tior, siquando fiat per eiusmodi prosopopœias, hoc est, confictis personis. Et quidem prius vineas induxit lugentes, vinum item, vt auditorũ animos acriùs percelleret, eorúmque stupidam crassitiem attingeret pressiùs. Quid autem est, Derelinqueris sola? Nullos habitura es qui tibi auxilientur, prouidentia Dei destituta, & alio omni splendore gratiæ spoliata, & parte omni cincta hostium exercitu, insultantibus tibi vndique barbaris. Sub hæc volens conspicuam reddere magnitudinem humiliationis earum, ait: Et ad terram prosterneris. C Neque enim ait, cades, nõ itẽ deijcieris: sed alia vsus dictione est quæ omnẽ eius imbecillitatem lucidiùs exprimat.

Iob cap. 29.

ΚΕΦΑΛ. Δ.

Καὶ ἐπιλήψονται ἑπτὰ γυναῖκες ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἀνθρώπου ἑνὸς λέγουσαι, τὸν ἄρτον ἡμῶν φαγόμεθα, καὶ τὰ ἱμάτια ἡμῶν περιβαλώμεθα· πλὴν τὸ ὄνομά σου κεκλήσθω ἐφ' ἡμᾶς, ἄφελε τὸν ὀνειδισμὸν ἡμῶν. D

IN CAP. IV.

Et apprehendent septem mulieres in die illa, virum vnum, dicentes, Panem nostrum comedemus, & vestimentis nostris, operiemur: tantùm, nomen tuum inuocetur super nos. Aufer opprobrium nostrum.

ΤΗΝ ἐκ τοῦ πολέμου συμβᾶσαν ὀλιγανθρωπίαν ἐμφῆναι βούλεται, καὶ πῶς εἰς ἐλάχιστον περιέστη ὁ δῆμος τῶν Ἰουδαίων. οὐδὲ γὰρ προστασίας ἔφησαν δεῖσθαι, ταῖς γυναιξὶ προσηκούσης ὑπὸ ἀνδρῶν παρέχεσθαι, ἀλλὰ ἀτελῆ τῆς λειτουργίας αὐτὸν ἀφεῖναι ταύτης, καὶ στέργειν καὶ ἀγαπᾷν, εἰ ἁπλῶς γοῦν καὶ ὡς ἔτυχε τοῦ τῆς χηρείας ἀπαλλαγεῖεν ὀνόματος. τοῦτο γάρ ἐστιν, ἄφελε τὸν ὀνειδισμὸν ἡμῶν· ἐπεὶ τὸ παλαιὸν ὄνειδος τοῦτο εἶναι ἐδόκει. τῇ δὲ ἡμέρᾳ ἐκείνῃ ἐπιλάμ-

EAM hominum raritatem inuehere vult quæ contingit atrocitate belli, quóve pacto ad minimũ numerum redactus Iudaïcus populus superstes fuit. Neque enim sibi opus esse subsidio dixerũt, quod mulieribus à viris ferri conuenit, sed ab hoc illum officio immunem eas esse velle, abunde sibi fore satisfactum, dummodo quacunque ratione & vtcunque viduitatis nomine liberentur. Sensum enim hunc indicat illud: Aufer opprobrium nostrum, quandoquidem in vetere testamento opprobrium esse videbatur. 2. *In die illa splen-*

Principium cap 4 enarratur.

Deut. 7.

descet Deus in consilio cum gloria super terram, vt exaltet & glorificet quod reliquũ est Israelis. Mente istarum concussa peracri cõminatione impendẽtium eis anxietatum, simul etiam atque satis instantem calamitatem tragicè deplorauit, enarránsq. plena terroris, sermonem etiam fusius extendit, quod reliquum est assumens conuertit ad humaniora. Medicinæ enim multò optimæ ea est ratio ac modus, vt non sola sectione, nõ item vstione tantum vtaris: sed dolores illinc inuectos soleris ac leues lenioribus pharmacis, quod etiã hic obseruat Propheta. Neque enim sermonem integrum consumere voluit in his quæ inamœna sunt, & ingerũt mœrorem: sed & sublatis è medio malis tradit benigniora. Neque enim prædicit eximendos solùm perplexis istiusmodi molestiis: sed & multa perfruituros celebritate nominis & eximiæ dignitatis splendore, id quod vocat illustrationem siue splendorem Dei, tenebras dispellẽtem totius anxietatis, lucémque diurnam exhilarantem, eos etiam per hæc illustriores reddentem. Proinde additur & illud: In consilio, ac si diceret, circumspectè & intelligenter cuncta peraget, cúmq. ea, qua ipsum decet sapientia. 3. *Et erit quod residuũ fuerit Israelis, in Sion: & quod relictum fuerit in Hierusalem, sancti vocabuntur omnes qui scripti sunt ad vitam in Hierusalem.* Vt discas nõ fuisse vllius fortuiti casus, quòd reliqui istius belli discrimen effugerint conseruati, sed cœlestis sentẽtiæ decreto quasi muro communiti: quòd quum alioqui in mediis cõsisterẽt malis, capti non sunt, eóque ait, Sancti vocabuntur omnes qui scripti sunt ad vitam in Hierusalẽ. Designati (ait) siue definiti, certa morum exploratione commendati, vt nihil aduersi paterentur. Nec abs re eos vocat sanctos. Per hoc enim ostendit non fortuita sepositione distinctos fuisse atque exemptos communi aliorum internecioni, nec simplici ex causa Deum eis præsentem atque propitium: sed per aspectatam morum probitatem illos nonnihil contulisse, siue ea præcesserit, siue posteriùs subsecuta fuerit. Vt enim fuerint probi quidam & æqui, attamen per eas calamitates quæ contigerunt, effecti sunt meliores & magis strenui. Quemadmodum enim aurum igni traditum scoriam omnem deponit: ita studiosi admodum & solertes in mediis tentationum procellis solertiores redduntur omnemque socordiam abstergunt, & à se depellunt. 4. *Quia abluet Do-*

Maledicta seriis.

Simile elegans.

Confirmat collatione.

A ψει ὁ Θεὸς ἐν βουλῇ μετὰ δόξης ἐπὶ τῆς γῆς, τοῦ ὑψῶσαι καὶ τοῦ δοξάσαι τὸ καταλειφθὲν τοῦ Ισραήλ. ἐπειδὴ σφόδρα κατέσεισε τὴν διάνοιαν αὐτῶν τῇ τῶν λυπηρῶν ἀπειλῇ, καὶ τὴν συμφορὰν ἱκανῶς ἐτραγῴδησε, καὶ μακρὸν ἀπέτεινε λόγον τὰ φοβερὰ διηγούμενος, μεταβάλλει λοιπὸν ἐπὶ τὰ χρηστότερα. τοῦτο γὰρ ἰατρείας ἀρίστης τρόπος, μὴ τέμνειν μηδὲ καίειν μόνον, ἀλλὰ καὶ τὰς ἐκεῖθεν γινομένας ὀδύνας προσηνέσι παραμυθεῖσθαι φαρμάκοις. τοῦτο δὴ καὶ αὐτὸς ποιεῖ. οὐ γὰρ δὴ εἰς τὰ σκυθρωπὰ κατ- B αλύσας ἔφησε τὸν λόγον· ἀλλὰ τῶν πονηρῶν ἐκ μέσου ληφθέντων, διαδέχεσθαι τὰ χρηστότερα, καὶ οὐκ ἀπαλλαγὴν ἔσεσθαι μόνον τῶν ἀηδῶν, ἀλλὰ καὶ πολλὴν τὴν περιφάνειαν καὶ μεγάλην τὴν λαμπρότητα. τοῦτο γὰρ ἐπίλαμψιν Θεοῦ καλεῖ, τὸ σκότος τῆς ἀθυμίας λύουσαν, καὶ φαιδρὰν ποιοῦσαν ἡμέραν, καὶ περιφανεῖς καθιστῶσαν. τὸ δὲ ἐν βουλῇ, ὅτι συνετῶς, φησι, πάντα ἐργάσεται, καὶ μετὰ τῆς προσηκούσης αὐτῷ σοφίας. καὶ ἔσται τὸ καταλειφθὲν τοῦ Ισραὴλ ἐν Σιών, καὶ τὸ καταλειφθὲν ἐν Ιερουσαλήμ· ἅγιοι κληθήσονται πάν- C τες οἱ γραφέντες εἰς ζωὴν ἐν Ιερουσαλήμ. ἵνα μάθῃς ὅτι οὐ συντυχίας τινὸς ἡ σωτηρία γέγονε τῶν διαφυγόντων τὸν κίνδυνον, ἀλλ' ἐκ τῆς ἄνωθεν ψήφου τειχισθέντες, καὶ ἐν μέσοις τοῖς δεινοῖς ὄντες οὐχ ἑάλωσαν, διὰ τοῦτό φησιν, ἅγιοι κληθήσονται πάντες οἱ γραφέντες εἰς ζωὴν ἐν Ιερουσαλήμ· οἱ ἀφορισθέντες, φησὶν, οἱ δοκιμασθέντες οἱ τοῦ παθόντες μηδὲν παθεῖν δεινόν. εἰκότως δὲ αὐτοὺς ἁγίους καλεῖ, δεικνὺς, ὅτι οὐχ ἁπλῶς ὁ ἀφορισμὸς αὐτοὺς ἀπήλλαξεν, οὐδὲ ἁπλῶς ἡ τοῦ Θεοῦ D ψῆφος· ἀλλά τι καὶ οἱ τῶν τρόπων εἰσήνεγκεν ἀρετὴ, εἴτε μετὰ πρότερα, εἴτε μετὰ ταῦτα. εἰ γὰρ καὶ χρηστοί τινες ἦσαν καὶ ἐπιεικεῖς, ἀλλ' ὅμως ὑπὸ τῶν συμβάντων βελτίους ἐγένοντο καὶ ἀκριβέστεροι. καθάπερ γὰρ τὸ χρυσίον τῷ πυρὶ παραδιδόμενον πᾶσαν ἀποτίθεται κηλῖδα, οὕτω καὶ οἱ σπουδαῖοι σπουδαιότεροι καθίστανται ἐν τοῖς πειρασμοῖς πᾶσαν ἀποτιθέμενοι ῥαθυμίαν. ὅτι ἐκπλυνεῖ κύ-

ριος τὸν ῥύπον τῶν υἱῶν καὶ τῶν θυγατέρων Σιών, καὶ τὸ αἷμα ἐκκαθαριεῖ ἐκ μέσου αὐτῶν πνεύματι κρίσεως καὶ πνεύματι καύσεως. διπλοῦν ἐνταῦθά μοι δοκεῖ λέγειν καθαρμόν, καὶ τὸ δοῦναι δίκην ὧν ἥμαρτον, καὶ τὸ σπουδαιοτέρους γενέσθαι πρὸς τὸ μέλλον ἐντεῦθεν. αἷμα δὲ Ἱερουσαλὴμ τοὺς φόνους λέγει, τὰς σφαγὰς τὰς ἀδίκους. εἶτα αὔξων τὸ ἔγκλημά φησιν, ἐκ μέσου αὐτῶν. οὐδὲ γὰρ λανθάνοντες καὶ κρυπτόμενοι τὰς ἀνδροφονίας ἐτόλμων, ἀλλὰ τῶν λῃστῶν καὶ τῶν τὰς λεωφόρους ἐφεδρευόντων χεῖρον. ἐκεῖνοι μὲν γὰρ καὶ τῷ σκότῳ κρυπτόμενοι καὶ ταῖς ἐρημίαις τολμῶσι τὰ εἰωθότα· οὗτοι δὲ ἐν μέσαις ταῖς ἀγοραῖς, ἐν μέσῃ τῇ πόλει, ἐν αὐτοῖς τοῖς δικαστηρίοις τὰ ἐκείνων παρισούμενοι. ἀλλὰ καὶ τὴν ἐκεῖθεν, φησι, γινομένην κηλῖδα ἐπελθὼν ὁ πόλεμος ἀναλώσει. καὶ γὰρ ἐν τῷ καιρῷ τῶν χρηστῶν ὑπὲρ τῶν προτέρων ἀπολογεῖται λυπηρῶν, ὅτι καὶ αὐτὰ ἐκεῖνα τὰ συμβάντα διὰ τοῦτο συνέβη, ἵνα ἐκπλυθῶσιν, ἵνα καθαρθῶσιν, ἵνα πυρωθῶσιν, ἵνα πᾶσαν ἀποθῶνται κηλῖδα, ἵνα τὸ ἐκ τῶν ἁμαρτημάτων καὶ τῶν σφαγῶν ἀπονίψωνται ὄνειδος. τί δέ ἐστιν ὅ φησι, πνεύματι κρίσεως καὶ πνεύματι καύσεως; τῇ μεταφορᾷ τῶν χωνευομένων ὑλῶν ἐπέμεινεν. ὥσπερ γὰρ ἐκεῖ τὸ πνεῦμα εἰς τὸ χωνευτήριον ἐμπῖπτον καὶ τὴν φλόγα ἀναρριπίζον, καὶ θερμοτέρους ποιοῦν τοὺς ἄνθρακας, ἅπαντα δαπανᾷ ῥύπον· οὕτω καὶ ἐνταῦθα ἡ θεήλατος ὀργὴ καὶ ἡ τῶν πολεμίων ἔφοδος ἐμπεσοῦσα, αὕτη πυρὸς τῇ πόλει γέγονε, πυρὸς οὐκ ἀπολλύντος, ἀλλὰ καίοντος, καὶ καθαίροντος, καὶ κολάζοντος, καὶ διορθουμένου. τὸ γὰρ πνεύματι κρίσεως, τοῦτ᾽ ἔστι, κολάσεως, τιμωρίας, ἐκδικήσεως. καὶ ἥξει κύριος. παρουσίαν αὐτοῦ τὴν ἐνέργειαν καλεῖ. καὶ ἔσται πᾶς τόπος τοῦ ὄρους Σιών, καὶ πάντα τὰ περικύκλῳ αὐτῆς σκιάσει νεφέλη ἡμέρας, καὶ ὡς καπνοῦ, καὶ ὡς φωτὸς πυρὸς καιομένου νυκτός, πάσῃ τῇ δόξῃ σκεπασθήσεται, καὶ ἔσται εἰς σκιὰν ἡμέρας ἀπὸ καύματος, καὶ ἐν σκέπῃ καὶ ἐν ἀποκρύφῳ ἀπὸ σκληρότητος καὶ ὑετοῦ. νεφέλην ἐνταῦθα τὴν ἐκ τῶν κακῶν ἐγγινομένην παραψυχήν φησι· πυρὸς δὲ τὴν μετὰ τῆς περιλαμψίας

minus sordem filiorum & filiarum Sion, & sanguinem expurgabit de medio earum, spiritu iudicij & spiritu ardoris. Mihi hic videtur duplicem dicere expurgationẽ, & quòd pœnam luerent eorum quæ perperam commiserant, & quia in futurum illinc euasuri essẽt strenui magis. Sanguinem verò Hierusalem homicidia dicit, cædésque iniustas. Deinde intẽdens atrocitatem criminis ait: De medio earum. Neque enim hominum cędes quas scelaratè sunt ausi perpetrare, clàm abscõderunt: sed quàm sicarij aut publicorum itinerum obsessores sceleratiùs. Etenim hi in tenebris & solitudinibus cõsueta facinora aggrediuntur: Iudæi autem medio in foro, media in ciuitate, in ipsis conciliis & tribunalibus quæ prædonum sunt, flagitia præter ius fásque admittebant. Sed & notam hanc illinc exortam (ait) bellũ & inopinato irruens abolebit & consumet. Etenim in tempore bonorum respondet pro molestiis priùs illatis: quia illi ipsi euentus qui acciderunt, ob hoc contigere eis, vt abluerentur, vt expurgarentur, vt sordes à se omnes reijcerent, vt denique probrum quod ex admissis peccatis cædibúsque iniustis contraxerant, abstergerent. Quid autem est, quod ait: In spiritu iudicij & spiritu ardoris? Vtique in metaphora persistit ab his deriuata, qui cõflant metallicas materias. Quemadmodum enim illic aspiratio venti incidens in conflatoriam fornacem, & flammam ipso afflatu excitans, carbonésque redaccendens scoriam omnem absumit, itidem & hic vindicta à Deo emissa. Vt enim hostium impressio semel adorta est ciuitatem, instar ignis in eam grassatur, ignis, inquam, non in totum disperdentis, sed incendentis, sed expurgantis, punientis & ad rectitudinem reuocantis. Hunc enim sensum habet illud: Spiritu iudicij & spiritu ardoris. Hoc est, punitionis, vindictæ, vltionis. 5. *Et veniet Dominus.* Aduentum eius vocat ipsius vim operatoriam. *Et erit omnis locus montis Sion, & omnia quæ in circuitu eius sunt, obumbrabit nubes per diem; & quasi fumo & quasi luce ignis ardentis in nocte, omni gloria protegetur.* 6. *Et erit in vmbraculum diei ab æstu, & in protectione & absconditio, ab asperitate & pluuia:* Per nubem præsenti loco eam innuit cõsolationem, quæ ex tolerantia aduersitatis se inserit patienti animæ: per struem verò lignorũ accensam, eum insinuat splendorem qui vnà

cum consolatione interuenit. Quod enim in æstu est nubes, hoc in tenebris & profundissima nocte accensa ignis splendore pyra. Etenim nubes situm terræ æstúmque retundit & propellit: accensa autem pyra discutit caliginem. Porrò illustrem eius aduentum splendori accensæ pyræ: liberationem verò eorum comparauit nebulæ vmbratili. Docens deinde mala hæc dissoluenda non quidem sensim, sed derepente, quia in ipso infligendæ aduersitatis articulo, mutatio fieret: vt illinc discerent illam status publici repétinam in melius permutationem non esse factam ex rerum reuolutione & fortuito euétu siue fato, sed totum id superna virtute esse confectum, ait instar ignis flãmatis in nocte, hãc affore mutationẽ. Et erit in vmbraculum diei. Quæ hæc erit vmbra? Dei auxilium, ait, & in sustinendo conflictu subsidium. Nam quemadmodum in æstu vmbra, & vt hiatus absorptæ terræ aut certè latibulum sub excelsa rupe ac spelunca, quam disrupit vis pluuiæ vehementioris, cum illic in tuto cõseruat qui ad se confugit: ita sanè Dei auxiliũ, nihil sinet pati intolerabile, etiam tantò erumpente bello, quos à principio seruare statuerit.

A simili petita collatio.

A περιφάνειαν προσγινομένην. ὅπερ γάρ ἐστιν ἐν καύματι νεφέλη, τοῦτο ἐν σκότῳ καὶ νυκτὶ βαθυτάτῃ πυρὰ λαμπρῶς ἀναπτομένη. ἡ μὲν γὰρ τὸν αὐχμὸν ἀποκρούεται, ἡ δὲ διαλύει τὸν ζόφον. τὴν μὲν οὖν περιφάνειαν τῇ λαμπρότητι τῆς πυρᾶς, τὴν δὲ ἄνεσιν τῇ σκιᾷ τῆς νεφέλης παρέβαλεν. εἶτα δεικνὺς ὡς οὐ κατὰ μικρὸν τῶν δεινῶν λυομένων ταῦτα ἔσται, ἀλλὰ ἀθρόον ἐν αὐτῇ τῇ λυπηρᾷ ἀκμῇ ἡ μεταβολὴ γενήσεται, ἵνα καὶ ἐντεῦθεν μάθωσιν, ὅτι οὐχὶ ἐκ περιφορᾶς τινος καὶ συντυχίας ἡ B πρὸς τὸ βέλτιον γέγονε μετάστασις, ἀλλ' ἐκ τῆς ἄνωθεν δυνάμεως τὸ πᾶν κατώρθωται, ὡς πυρὸς καιομένου νυκτὸς φησιν, οὕτως ἡ μεταβολὴ γενήσεται, καὶ ἔσται εἰς σκιὰν ἡμέρας. τίς ἔσται; ἡ τοῦ Θεοῦ βοήθεια, φησι, καὶ ἡ συμμαχία ὥσπερ σκιὰ ἐν καύματι· καὶ ὥσπερ ὄρυγος ἢ καταδύσις τις σπηλαίου, ὄμβρου καταρρηγνυμένου σφοδροῦ, ἐν ἀσφαλείᾳ τὸν ἐκεῖ καταφυγόντα διατηρεῖ· οὕτω δὴ καὶ ἡ τοῦ Θεοῦ συμμαχία οὐκ ἀφήσει δεινὸν οὐδὲν παθεῖν, καὶ τοσούτου καταρρηγνυμένου πολέμου, οὓς ἂν ἕληται ἐξ ἀρχῆς διασῶσαι. C

In Cap. V.

Cantabo dilecto canticum dilecti mei vineæ meæ.

PROPHETA simulátque eos exterruit tristium comminatione, bonorum atque vtilium promissione exhilarauit, denique operatus multiformem medelam, rursus sermonem reducit ad alterũ principium, principium, inquam, consentiens procemio suæ huius prophetiæ. Quemadmodum enim in initio statim recensuit beneficia à Deo in eos collata dicens, Filios genui & exaltaui, trãsgressiones insuper legis temerè & per contumaciam ab eis commissas inferens & in medium proponens, quia ipsi spreuerũt me. Et Israel autẽ me non cognouit, & populus me[9] me nõ intellexit: sic sanè etiã hîc, aliis quidem dicẽdi formulis, at iisdẽ sensib. eadẽ consentaneè antè dictis edocet. Cæterùm quam ob causã eos reprehẽsurus, eã reprehensionem vocat canticũ? Et quidẽ Moses cũ Maria hoc fecit iure optimo, vtpote

Esa. 1. 2.

Exod. 15.

ΚΕΦΑΛ. Ε.

Ἄσω δὴ τῷ ἠγαπημένῳ ᾆσμα τοῦ ἀγαπητοῦ μου τῷ ἀμπελῶνί μου.

ΦΟβήσας τοῖς λυπηροῖς, εὐφράνας τοῖς χρηστοῖς, ποικίλην τὴν θεραπείαν ἐργασάμενος, εἰς ἀρχὴν πάλιν ἑτέραν ἀνάγει τὸν λόγον, ἀρχὴν ἐοικυῖαν τῷ προοιμίῳ τῆς προφητείας. καθάπερ γὰρ ἀρχόμενος τὰς D εὐεργεσίας ἀπήγγειλε τοῦ Θεοῦ τὰς εἰς αὐτοὺς γεγενημένας, λέγων, υἱοὺς ἐγέννησα καὶ ὕψωσα, καὶ τὰς παρανομίας τὰς ὑπ' αὐτῶν τολμηθείσας ἐπάγων καὶ προτιθεὶς, ὅτι αὐτοί με ἠθέτησαν, καὶ ὅτι Ἰσραὴλ δέ με οὐκ ἔγνω, καὶ ὁ λαός μου ἐμὲ οὐ συνῆκεν· οὕτω δὴ καὶ ἐνταῦθα λέξεσι μὲν ἑτέραις, νοήμασι δὲ τοῖς αὐτοῖς τὰ αὐτὰ τοῖς προτέροις ἐνδείκνυται. δῆλα τίνος ἕνεκεν κατηγορεῖν μέλλων, ᾆσμα τὴν κατηγορίας καλεῖ; Μωϋσῆς μὲν γὰρ εἰκότως τοῦτο ἐποίησε μετὰ τῆς Μαρίας, ἅτε τὴν ἐπινίκιον

ἐπινίκιον μέλλων ᾄδειν ᾠδὴν, καὶ εἰκότως οὕτως A ἀρχόμενος ἔλεγεν· ᾄσωμεν τῷ κυρίῳ. ἐνδόξως γὰρ δεδόξασται, ἵππον καὶ ἀναβάτην ἔρριψεν εἰς θάλασσαν. καὶ ἡ Δεβόρρα δὲ μετὰ τὸ θαυμαστὸν ἐκεῖνο τρόπαιον, καὶ τὴν παράδοξον νίκην, εἰκότως ᾠδὴν ὑφαίνει τὴν ἐπινίκιον ἐκείνην, εὐφημίαν ἀναφέρουσα τῷ Θεῷ. οὗτος δὲ κατηγορεῖν μέλλων, καὶ συντόνου λόγου δεόμενος, καὶ ψυχῆς οὐκ ἀνειμένης, ἀλλὰ συντεταμένης, ᾄσειν ἡμῖν ἐπαγγέλλεται, καὶ ᾆσμα τὰ ἐγκλήματα καλεῖ. οὐκ αὐτὸς δὲ μόνος, ἀλλὰ καὶ ὁ μέγας ἐκεῖνος Μωϋσῆς τὴν ἐπινίκιον τότε B ᾄσας ᾠδὴν, κατηγορῶν τῶν Ἰουδαίων, μακρὰν ᾠδὴν τὰ ἐγκλήματα πεποίηκε, λέγων· ταῦτα τῷ κυρίῳ ἀνταποδίδοτε; οὗτος ὁ λαὸς μωρὸς, καὶ οὐχὶ σοφός· καὶ πολλὰς συνθεὶς κατηγορίας, ᾄδοντας αὐτοὺς ταῦτα λέγειν ἐνομοθέτει· καὶ ἔτι καὶ νῦν ᾄδοντες ταῦτα λέγομεν καὶ ἡμεῖς. τίνος οὖν ἕνεκεν τὰς κατηγορίας ᾠδὴν ποιοῦσι; σοφίᾳ κεχρημένοι πνευματικῇ καὶ πολὺ τὸ κέρδος ἐνθεῖναι ταῖς τῶν ἀκουόντων βουλόμενοι ψυχαῖς. ἐπειδὴ γὰρ οὐδὲν οὕτω χρήσιμον, ὡς τὸ πλημμελημάτων μεμνῆσθαι διηνεκῶς, μνήμην δὲ οὐ- C δὲν οὕτω μόνιμον ὡς μελῳδία ποιεῖ· ἵνα μὴ διὰ τὴν ὑπερβολὴν τῶν κατηγοριῶν ὀκνοῦντες καὶ ἀναδυόμενοι, φεύγωσι τὸ συνεχῶς μεμνῆσθαι τῶν οἰκείων ἁμαρτημάτων, τῷ μέλει τῆς ᾠδῆς ὑποκλέπτων τὴν ἀπὸ τῆς μνήμης αἰσχύνην, καὶ τὴν ἀφόρητον ἀθυμίαν παραμυθούμενος, ᾄσματα αὐτὰ πεποίηκεν, ἵνα τῷ πόθῳ μελῳδίας ἀναγκαζόμενοι συνεχῶς αὐτὰ φθέγγεσθαι, συνεχῶς αὐτῶν ὦσι μεμνημένοι, καὶ διηνεκῶς ἔχωσί τινα διδασκαλίαν ἀρετῆς τὴν διηνεκῆ τῶν ἁμαρτημάτων μνήμην. D ἴστε γοῦν ὅτι καὶ νῦν τὰ μὲν ἄλλα οὐδὲ ἐξ ὀνόματος τοῖς πολλοῖς ἐστὶ βιβλία γνώριμα, τὴν δὲ τῶν ψαλμῶν πραγματείαν, ἐπὶ στόματος ἅπαντες φέρουσι, καὶ αὐτὰς ταύτας τὰς ᾠδάς, οὕτω δι' αὐτῶν τῶν πραγμάτων δείκνυται, πόσον ἀπὸ τῆς μελῳδίας τὸ κέρδος ἐστί. διὰ δὴ τοῦτο καὶ αὐτός φησιν· ᾄσω δὴ τῷ ἠγαπημένῳ ᾆσμα τοῦ ἀγαπητοῦ μου τῷ ἀμπελῶνί μου. ᾆσμα τῷ ἠγαπημένῳ φησὶν ἀμπελῶνι· ᾄσω περὶ αὐτοῦ τοῦ ἠγαπημένου.

carmen illud victoriæ modulaturus: Nec ab re sic exorsus dicebat: Cãtemus Domino, gloriosè enim glorificatus est: equum & ascensorem deiecit in mare. Quin & Debora erecto illo admirabili trophæo, partáque præter omnium opinionẽ victoria meritò pertexuit triumphale canticum, laudẽ totius vni Deo ascribẽs. *Iudic.4.* Hic ex diuerso, crimina eis obiecturus, quum ad hoc præstandũ foret opus vehementi verborum acrimonia, & animo nequaquã lentescente aut remisso, pollicetur nobis modulaturũ se canticum, idq. vocat criminũ obiectionem. Atqui nõ hic solus, sed & eximius ille Moses tunc quũ triũphale carmen cecinit, suggillationẽ Iudæorum prolixum carmen appellat cõmemorans eorum crimina, ac dicens: Hæccine domino redditis? Hic populus stultus & non sapiens. *Deut.32.6.* Et conscripta multorum criminum obiurgatione sanxit lege, vt iidem in posterũ cum cantu hæc depromerẽt, quin & eadẽ nos etiã nunc cantu prosequimur. Qua igitur causa, criminum obiectiones eiusmodi describũt sub cãtici nomine? nimirũ quia vsu spiritualis sapiẽtiæ didicissent & cuperẽt multum inferre emolumenti animabus auditorum. Nam quãdo aliud nihil est tã frugiferũ, & adeò vtile: vt est eorũ iugiter meminisse quę nequiter cõmiseris, eam autem memoriã nihil ita stabilẽ ac firmam reddit, vt melodia: hinc ne per acrimoniam obiurgationũ vehementiorem isti effecti cunctatiores renuerent audire, vitauit illã continentẽ memoriã peccatorũ, modulatione cantici tegens interim, & suffurans à memoria metum infamiæ & intolerandã animi deiectionem releuans, eóq. cantica hæc scripsit, vt desiderio cõcinnæ modulationis inducti continẽter eadẽ proferrent, iugiter eorũ meminissent, & penes se perpetuò retinerẽt doctrinã quandã ad opera virtutis promouentẽ, nempe assiduam peccatorum memoriam. Nostis quippe alios quidem libros ne de nomine quidem ipso esse permultis familiariter notos: *Laus psalterij Dauidici.* Psalmorum verò opus ad vnum omnes vel ore circumferunt: & per ea cantica ipsis etiam operibus declaratur hactenus, quantum ex eorum melico concentu resiliat lucri. Sanè ob hoc hic quoque: Cantabo iam dilecto meo canticum dilecti mei vineæ meæ. Canticum dilecto ait, vineæ. De dilecto ipso canam.

Etenim ipſum cantu proſequar ac celebrabo. De ipſo argumentum cantici ſe mihi exhibet, déque rebus ab eo geſtis. quòd ſi inſimulaturus eũ & crimina obiecturus, amabilẽ tamẽ vocet & dilectũ, ne mireris. Siquidẽ hoc vel maximum eſt compendium, viámque præſtruit ad obiurgationem: quando dilecti & tam munifica benignitate à DEO collata perfruiti, ne ſic quidẽ meliores effecti ſunt. Simile quiddam Propheta alter, ſed obſcuriùs innuens, dicebat: Quaſi vuam in deſerto inueni Iſrael, quaſi ſcopũ in ficu præcocem noui patres eorum. Per horum fructus oſtendens quid in ipſorum patribus ſibi charũ fuerit & cumprimis amabile. Charum quidẽ ſeu deſiderabilem & prçamabilem vocat, non ob propriam virtutem, ſed propter Dei benignitatem. Quod autem dicit, hoc eſt: Quia ego quidem ad hunc modum dilexi, quaſi ſi quis vuam inueneri in deſerto, aut quaſi ſi quis offenderit ſcopum in ficu. Vt enim hæ ſimilitudines prorſus indignæ ſint, quæ Deo accommodentur, at certè illorum ingluuiei cõſentaneè reſpondebãt. Ipſi verò (ait) tantam conſequuti dilectionem abalienati ſunt, ingreſsíque ſunt ad Beelphegor. Sanè ad eundem ſenſum etiam hic ipſum vocat dilectum & amabilem, oſtendens, quia Deus quidem reipſa exhibuit omnia quæ ſuam decebant erga illos dilectionem, non quòd priores dilexiſſet, ſed quia ipſe dilexit: illi autem poſt hæc non exhibuerunt ſe eius beneficentia dignos: ſed opere ipſo omnia exhibuere cõtraria. *Vinea facta eſt dilecto, in cornu, in loco vberi.* Nomine vineæ, omnem inſinuauit prouidentiam, diligentiam omnem excolendis eis exhibitam repræſentauit. Nec tamẽ eò vſque prouectus reſtitit, ſed & alia in eos prærogata beneficia recenſet. Orditur imprimis id à ſitu loci, quod indicat illud: In conu, in loco vberi ſiue pingui. Et hoc quidem dicit approbans natiuam terræ indolem: per illud verò cõmendat loci ſitum, quod & Dauid pſallens dixit: Hieruſalem, montes in circuitu eius: & Dominus in circuitu populi ſui. Ait etenim Dominũ eam præmuniſſe & loci poſitura. Nec tamen eo dicto abiit contentus: ſed adiecit quia Dominus factus ſit ei murus vel fortiſſimus, quòd certè etiam obſcurè quidem innuit, dicens: In cornu, hoſtili manu capi non poſſe ciuitatem indicans & inexpugnabilem eſſe locum;

Oſee 9. 12.

Pſ. 105. 28.

Beelphegor idolũ Moabitarum.

Mare creditur.

Deut. 4.

Num. 25.

Oſee 9. 12.

Pſal. 124.

A καὶ αὐτῷ γὰρ ᾄδω, φησί, καὶ ἡ ὑπόθεσις τῆς ᾠδῆς περὶ αὐτοῦ καὶ τῶν αὐτοῦ πραγμάτων ἐστίν. Εἰ δὲ μέλλων κατηγορεῖν, ἀγαπητὸν καλεῖ καὶ ἠγαπημένον, μὴ θαυμάσῃς. καὶ τοῦτο γὰρ μέγιστον κατηγορίας ἐφόδιον, ὅτι δὴ ἀγαπηθέντες, καὶ τοσαύτης ἀπολαύσαντες παρὰ Θεοῦ τῆς εὐνοίας, οὐδὲ οὕτω βελτίους ἐγένοντο. τοῦτο δηλῶν καὶ ἕτερος προφήτης αἰνιττόμενος ἔλεγεν· ὡς σταφυλὴν ἐν ἐρήμῳ εὗρον τὸν Ἰσραήλ, ὡς σκοπὸν ἐν συκῇ πρόϊμον εἶδον πατέρας αὐτῶν, τὸ ποθεινὸν αὐτῶν καὶ ἐπέραστον διὰ τῆς καρπῶν τούτων ἐνδεικνύμενος· B ποθεινὸν δὲ αὐτὸν καὶ ἐπέραστον, οὐ παρὰ τὴν οἰκείαν ἀρετήν, ἀλλὰ παρὰ τὴν τοῦ Θεοῦ ἀγαθότητα. ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· ὅτι ἐγὼ μὲν οὕτως ἠγάπησα, ὡς ἄν τις σταφυλὴν εὑρὼν ἐν ἐρήμῳ, ἢ ὡς αὖ τις σκοπὸν ἐν συκῇ. Εἰ γὰρ καὶ ἀνάξια τοῦ Θεοῦ τὰ παραδείγματα, ἀλλὰ κατάλληλα τῆς ἐκείνων γαστριμαργίας. αὐτοὶ δέ, φησι, τοσαύτης ἀπολαύσαντες τῆς ἀγάπης, ἀπηλλοτριώθησαν, καὶ εἰσῆλθον πρὸς τὸν Βεελφεγώρ. οὕτω δὴ καὶ ἐνταῦθα ἠγαπημένον αὐτὸν καλεῖ καὶ ἀγαπητόν, C δεικνύς, ὅτι ὁ μὲν Θεὸς τὰ παρ' ἑαυτοῦ πάντα ἐπεδείξατο, οὐκ αὐτῶν ἀρξαμένων, ἀλλὰ τοῦ Θεοῦ ἀγαπήσαντος· ἐκεῖνοι δὲ οὐδὲ μετὰ ταῦτα ἀξίους ἑαυτοὺς τῆς εὐεργεσίας ἔδειξαν, ἀλλὰ τὰ ἐναντία ἐπεδείξαντο ἅπαντα. ἀμπελὼν ἐγενήθη τῷ ἠγαπημένῳ, ἐν κέρατι, ἐν τόπῳ πίονι. τῷ ὀνόματι τοῦ ἀμπελῶνος πᾶσαν ἐνέφηνε τὴν πρόνοιαν, καὶ τὴν περὶ αὐτῶν ἐπιμέλειαν. οὐ μὴν ἵσταται μέχρι τούτου, ἀλλὰ καὶ τὰ ἕτερα ἀπαριθμεῖται εὐεργετήματα· καὶ πρότερον ἀπὸ τῆς θέσεως τοῦ τόπου τοῦτο D ποιεῖ. τὸ γὰρ ἐν κέρατι, ἐν τόπῳ πίονι, τὸ μὲν τὴν φύσιν τῆς γῆς ἐπαινῶν ἔλεγε, τὸ δὲ τὴν θέσιν. ὅπερ καὶ ὁ Δαβὶδ ψάλλων ἔφησεν· ὅτι Ἱερουσαλήμ, ὄρη κύκλῳ αὐτῆς, καὶ Κύριος κύκλῳ τοῦ λαοῦ αὐτοῦ. ἐτείχισε μὲν γὰρ αὐτήν, φησι, καὶ τῇ θέσει τοῦ τόπου· πλὴν οὐκ ἠρκέσθη τούτῳ, ἀλλὰ τὸ μέγιστον τεῖχος αὐτὸς αὐτῇ γέγονεν. ὃ δὴ καὶ τοῦτο αἰνίττεται λέγων, ἐν κέρατι, τό τε ἀχείρωτον καὶ τὸ ἀκαταγώνιστον τοῦ τόπου.

καὶ παρ' τούτου, τὴν παρὰ τοῦ Θεοῦ βοήθειαν δηλαδή, ἀπὸ μεταφορᾶς τοῦ κέρως τοῦ βοός. καὶ γὰρ καὶ παροιμία τοιαύτη δημώδης ἐξενίκηται περὶ τῶν εἰς ἀσφαλές τι χωρίον καταφευγόντων. ἐπεὶ γὰρ ἰσχυρότατον πάντων ὁ ταῦρος, αὐτοῦ δὲ τοῦ ζώου τὸ ἰσχυρότερον τὸ κέρας (ὅπλῳ γὰρ αὐτῷ κέχρηται) διὰ τὸ διαφέρειν τοῦτο εἰώθασι λέγειν οἱ πολλοί. καὶ ἡ γραφὴ δὲ πολλάκις κέρας μονοκέρωτος καλεῖ τοὺς ἐν ἀσφαλείᾳ ὄντας. ἐν κέρατι οὖν ἐνταῦθά φησιν, ἐν ἀσφαλείᾳ, ἐν ὕψει, ὅπερ ἀρχόμενος ἔλεγεν· υἱοὺς ἐγέννησα καὶ ὕψωσα. ἐν τόπῳ πίονι. ὅπερ ὁ Μωϋσῆς εἶπε γῆν ῥέουσαν γάλα καὶ μέλι. καὶ φραγμὸν περιέθηκα, καὶ ἐχαράκωσα. φραγμόν, ἢ τὸ τεῖχός φησιν, ἢ τὸν νόμον, ἢ τὴν αὐτοῦ πρόνοιαν. καὶ γὰρ ὁ νόμος τείχους ἀσφαλέστερον αὐτοῖς περιέκειτο. καὶ ἐχαράκωσα, τουτέστιν, ἰσχυρὰν τὴν ἀσφάλειαν ἐποιησάμην. ἐπειδὴ γὰρ πολλάκις φραγμὸς εὐεπιχείρητος, καὶ ἑτέραν, φησί, περιέβαλον αὐτοῖς συμμαχίαν. καὶ ἐφύτευσα ἄμπελον σωρήχ. ἐπιμένει τῇ μεταφορᾷ, ἣν οὐ δεῖ κατὰ λέξιν ἑρμηνεύειν, ἀλλὰ τὸν σκοπὸν εἰδότας ἀρκεῖσθαι τούτῳ. σωρὴχ δὲ ἐνταῦθα, ἀληθινήν φησιν, εὐγενῆ, οὐχὶ τῶν φαύλων φυτῶν, οὐδὲ τῶν καταδεεστέρων, ἀλλὰ τῶν δοκίμων καὶ περιόντων. πολλὰ γὰρ ἀμπέλων γένη. καὶ ᾠκοδόμησα πύργον καὶ προλήνιον ἐν μέσῳ αὐτοῦ. τινὲς τὸν ναόν φασι, καὶ προλήνιον τὸ θυσιαστήριον, ἅτε τῶν καρπῶν ἐκεῖ συναγομένων τῆς ἀρετῆς τῆς ἑκάστου, καὶ τῶν προσφορῶν, καὶ τῶν θυσιῶν ἁπασῶν· ἐγὼ μέντοι τοῦτο, ὅπερ ἔφθην εἰπών, καὶ νῦν ἐρῶ, ὅτι τῷ σκοπῷ δεῖ προσέχειν τῆς μεταφορᾶς. διὰ γὰρ πάντων τοῦτο βούλεται εἰπεῖν, ὅτι τὰ παρ' ἐμαυτοῦ πάντα ἐπλήρωσα, πᾶσαν ἐπιμέλειαν ἐπεδειξάμην, οὐ κατέτεινα καμάτοις, οὐ συνέτριψα πόνοις, οὐκ αὐτοὺς οἰκοδομῆσαι ἐκέλευσα, οὐκ αὐτοὺς σκάψαι, οὐκ αὐτοὺς φυτεῦσαι, ἀλλ' ἀπηρτισμένον τὸ ἔργον παρέδωκα· καὶ οὐδὲ μέχρι τούτου τὰ τῆς φιλανθρωπίας ἔστησα μόνον, ἀλλὰ καὶ ἔμεινα τοῦ ποιῆσαι σταφυλήν, καὶ ἀνέμεινα τὸν προσήκοντα καιρὸν τῆς καρποφορίας, μακροθυμίᾳ πολλῇ χρησάμενος. τὸ γὰρ ἔμεινα, τοῦτο δηλοῖ. ἐποίησε δὲ ἀκάνθας. τὸν ἄκαρπον αὐτῶν βίον

A ac præ cæteris opem à Deo illis fuisse auxiliarem, à cornu bubulo ducta metaphora. Etenim talis adagio in vulgus exiit de his, qui ad tutum aliquē locum confugiunt. Nam quando iumētorum omnium fortissimus est taurus, id quod fortius est eo animali cōsueuerunt plerique appellare, nempe cornu. Sed & scriptura plerumq. eos qui in tuto consistunt, vocat cornu monocerotis. Itaq; in cornu perinde est hîc, atque in securitate, in fastigioso ac sublimi loco, in quem sensum initiò dicebat: Filios genui & exaltaui: In loco vberi siue pin-

Cornu bubuli, inde fortitudinis.

B gui, quod sanè Moses cōfirmauit: Terram fluentem lac & mel. 2. *Et sepem circumposui & circumuallaui*. Sepem siue maceriam dicit seu munitionem mœnium, aut legem, aut certè Dei prouidentiam. Lex enim muro quouis tutiùs eos vndique cingebat. Et vallo circumdedi. Hoc est, fortem illi custodiam imposui. Quando enim maceriæ facile inuaduntur, & plerunque deijciuntur, ait se altero forti præsidio illos cinxisse. *Et plantaui vineam Sorek*. In eadem persistit metaphora, quam verbo tenus enarrari nihil est necesse: tantum quæritur vt

Exod. 3. 8.

C nouerimus mentem Prophetæ. Sorek præsenti loco veram fuisse confirmat & generosam, non item ex illegitimis & inferioris notæ propaginib. prognatam vineam: sed ex probatis & quę cum primis commendantur. Siquidem vinearum quammulta sunt genera. *Et ædificaui turrim & torcular in medio eius*. Quidam turrim interpretantur templum: torcular verò altare, nimirum quia illic offerebantur fructus pro vniuscuiusque virtute, collecti ab vniuersis item

D oblationibus & sacrificiis. Ego vtique quod dicere cœperam, etiam nunc confirmo, oportere animum adhibere intentioni istius metaphoræ. Per hæc enim omnia significare vult, quia quæ meam vnius operam desiderabant, impleui omnia, omnem exhibui diligentiam. Non attriui eos molestis fatigationibus, non laboribus confregi & collisi. Nequaquam iussi, vt exædificarent, vt foderent, non vt vineam plantarent: sed opus ipsum omni sua parte absolutum eorum manibus tradidi. Neque eatenus solùm stiti metas

meæ erga illos benignitatis: sed, *Expectaui, donec faceret vuam*, & præstolatus sum accommodum tempus & opportunum fructificationi, multa vsus longanimitate. Illud enim, sustinui, hunc exprimit sensum. *Fecit autem spinas*. Et hoc luculenter osten-

ſtendit vitam illorum nullius fuiſſe bonæ frugis, ſed ſpinis aculeatam ac præduram. Qua igitur venia digni eſſe cenſeantur, qui poſt tantam agricolationis diligentiam, hoſce fructus ſuos rependunt agricolæ? 3. *Et nunc homo Iuda & habitatores Hieruſalem iudicate inter me & inter vineam meam.* Vt multiplex ſuperſit copia allegationum tuendo iuri ſuo neceſſe eſt: ſi quis demum aliquando eos iudices cõſtituit de rebus à ſe & ab illis geſtis eos qui obnoxij erant reddendæ rationi de malè cõmiſſis. Nec iam commemoro vetera, ait, quin etiã hodie paratus ſum iudiciũ ſubire. Quum adeò nũquã deſtiterim explere quæ meã decebant clemẽtiã, vos ex diuerſo quę debuiſtis, nunquã impleſtis. 4. *Quid faciã amplius vineæ meæ? Quoniam expectaui, vt faceret vuam, fecit autem ſpinas.* Orationis ſtructura videtur paulo obſcurior; quocirca neceſſe eſt illã dilucidiorem reddamus. quod autem dicit, hoc ſibi vult. Quid faciendũ fuit, nec à me factũ eſt? nimirũ vt tã multa peccarẽt. quid vero poſſũt objicere? an quod aliqua fuerint prætermiſſa tã multis ſe criminibus obſtrinxerũt? Quid faciam amplius vineæ meæ, & nõ feci ei? Hæc quidẽ ſunt, quę præſtiti, inquit, verũtamẽ his quæ facta ſunt nõ ſum contẽtus, neque beneficia quæ à me ſunt collata cõmemoro: ſed num à me cuncta ſint facta, quibus peractis, nihil planè reliquũ fuit, hoc à vobis dici poſtulo, à vobis in quos iſta collata ſunt, qui teſtes fuiſtis eorũ quę contigerũt, qui experimẽto iſta cõperiſtis, nõ ab alienis aliquibus, aut peregrinis. 5. *Nunc autẽ annũtiabo vobis, quid faciã vineæ meæ.* ſanè reportata de illis victoria ſimul atq. illos oſtẽdit cõuictos ingratitudinis & perfidiæ: tũc deinceps in mediũ profert ſentẽtiam, & quæ factur⁹ ſit ei pronũciat, nõ quidẽ vt cõdẽnet, ſed vt timore intẽtatæ cõminationis perculſos moderatiores reddat. 5. *Auferam ſepem eius, & erit in direptionẽ: & deſtruã murũ eius, & erit in conculcationẽ.* Dirimã & auocabo ab ea auxiliũ meũ, ope mea omni nudabo eã, efficiã vt tanta hac mea prouidẽtia deſtituatur, vt doctrice experientia cõtrariæ aduerſitatis agnoſcant, quibus antè bonis ſint perfruiti, quũ fuerint ad rapinã expoſiti omnibus. 6. *Et dimittã vineam meam & non putabitur, neque omnino fodietur.* Rurſus dico eum eſſe vſum metaphora, ſi quis tamen accuratiùs voluerit eam expendere quæ à doctrina pendet, quæ itẽ ab executione mandatorũ proficiſcitur, ait.

ἐνδείκνυται, τὴν τραχεῖαν, τὴν σκληράν. τίνος οὖν ἂν εἶεν συγγνώμης ἄξιοι μετὰ τοσαύτην ἐπιμέλειαν τοιούτους ἀποδόντες τῷ γεωργῷ τοὺς καρπούς; καὶ νῦν ἄνθρωπος τοῦ Ἰούδα καὶ οἱ κατοικοῦντες ἐν Ἱερουσαλήμ, κρίνατε ἐν ἐμοὶ καὶ ἀνὰ μέσον τοῦ ἀμπελῶνός μου. πολλὴ τῶν δικαιωμάτων ἡ περιουσία, ὅταν αὐτοὺς τοὺς ὑπευθύνους δικαστὰς καθίζῃ τοῖς ὑπ' αὐτοῦ γεγενημένοις καὶ τοῖς ὑπ' ἐκείνων. καὶ νῦν οὐ λέγω τὰ παλαιά, φησίν, ἀλλὰ καὶ σήμερον ἕτοιμός εἰμι δικάζεσθαι. οὕτως οὐδέποτε διέλειπον τὰ ἐμαυτοῦ πληρῶν, οὐδὲ ὑμεῖς τὰ ἑαυτῶν πληροῦτε. τί ποιήσω ἔτι τῷ ἀμπελῶνί μου; διότι ἔμεινα, ἵνα ποιήσῃ σταφυλήν, ἐποίησε δὲ ἀκάνθας. ἡ συνθήκη δοκεῖ ἀσαφεστέρα εἶναι· διόπερ αὐτὴν σαφεστέραν ἀνάγκη ποιῆσαι. ὃ γὰρ λέγει, τοῦτό ἐστι. τί ἔδει ποιῆσαι, καὶ οὐκ ἐποίησα; δῆλον ὅτι τοιαῦτα ἥμαρτον. τί δὲ ἔχοντες αἰτιᾶσθαι; ἢ ὥς τινων παραλελειμμένων τοιαῦτα καὶ ἐπλημμελήσατε; τί ποιήσω ἔτι τῷ ἀμπελῶνί μου, καὶ οὐκ ἐποίησα αὐτῷ; ἃ μὲν ἐποίησα, ταῦτά ἐστι, φησί· πλὴν οὐκ ἀρκοῦμαι τοῖς γεγενημένοις, οὐδὲ λέγω, ὅτι πολλὰ εὐηργέτησα· ἀλλ' εἰ μὴ πάντα ἐποίησα, μεθ' ἃ ποιῆσαι λοιπὸν οὐδὲν ἦν, τοῦτο ὑμᾶς εἰπεῖν ἀπαιτῶ, ὑμᾶς τοὺς ἀπολελαυκότας, καὶ μάρτυρας τῶν γεγενημένων ὄντας, καὶ τῇ πείρᾳ ταῦτα μαθόντας, οὐκ ἀλλοτρίους τινὰς καὶ ξένους. νῦν οὖν ἀναγγελῶ ὑμῖν, τί ποιήσω τῷ ἀμπελῶνί μου. ἐπειδὴ τὴν νίκην ἤρατο, καὶ τὴν ἀγνωμοσύνην ἔδειξε τὴν ἐκείνων, τότε λοιπὸν ἐπάγει καὶ τὴν ψῆφον, καὶ λέγει ταῦτα ἃ μέλλει ποιεῖν, οὐχ ἵνα καταδικάσῃ, ἀλλ' ἵνα τῷ φόβῳ τῆς ἀπειλῆς ἐπιεικεστέρους ποιήσῃ. ἀφελῶ τὸν φραγμὸν αὐτοῦ, καὶ ἔσται εἰς διαρπαγήν· καὶ καθελῶ τὸν τοῖχον αὐτοῦ, καὶ ἔσται εἰς καταπάτημα. ἀποστήσω, φησί, τὴν ἐμὴν συμμαχίαν, γυμνώσω τῆς βοηθείας, ἐρήμους καταστήσω τῆς τοσαύτης προνοίας, καὶ εἴσονται διὰ τῶν ἐναντίων ὧν ἀπήλαυον ἔμπροσθεν, ὅταν ὦσι πᾶσιν εἰς ἁρπαγὴν προκείμενοι. καὶ ἀνήσω τὸν ἀμπελῶνά μου, καὶ οὐ μὴ τμηθῇ, οὐδὲ μὴ σκαφῇ. πάλιν λέγω, ὅτι τῇ μεταφορᾷ κέχρηνται. εἰ δὲ τις καὶ θερμότερον ἐξετάζειν βούλοιτο, τὴν ἀπὸ τῆς διδασκαλίας, τὴν ἀπὸ τῶν ἐντολῶν ἐπιμέλειαν, φησίν.

οὐ γὰρ ἀπολαύσονται τῶν αὐτῶν, ὧν καὶ ἔμπροσθεν, οὐ διδασκάλους ἕξουσιν, οὐκ ἄρχοντας, οὐ προφήτας ὁμοίως τοὺς διορθουμένους αὐτοὺς, τοὺς ἐπιμελουμένους αὐτῶν. ὥσπερ γὰρ οἱ τὴν ἄμπελον θεραπεύοντες σκάπτουσι, τέμνουσιν, οὕτως οἱ ψυχὰς διορθούμενοι ἀπειλοῦσι, φοβοῦσι, διδάσκουσι, ἐγκαλοῦσιν· ἀλλ' ἐν ἐρημίᾳ τούτων ἔσονται, φησὶν, εἰς τὴν ἀλλοτρίαν ἀπενεχθέντες. καὶ ἀναβήσεται εἰς αὐτὸν ὡς εἰς χέρσον ἄκανθα· καὶ ταῖς νεφέλαις ἐντελοῦμαι, τοῦ μὴ βρέξαι εἰς αὐτὸν ὑετόν. ἢ τὴν ἐρημίαν τῆς πόλεώς φησιν, ἢ τὴν ἐρημίαν τὴν ἑαυτῶν, καὶ τῆς ἑκάστου ψυχῆς· νεφέλας δὲ ἐνταῦθα τοὺς προφήτας τινὲς λέγουσιν, ἅτε ἄνωθεν τὸν ὑετὸν δεχομένους καὶ παραπέμποντας τῷ δήμῳ τὰ λεγόμενα· ἀλλ' οὐδὲ οὗτοί φησι, τὰ συνήθη ποιήσουσιν. εἰ γὰρ καὶ εἷς που καὶ δεύτερος συναπῆλθεν, ἀλλ' ὁ δῆμος τῶν προφητῶν τότε ἐσίγα. ὁ γὰρ ἀμπελὼν κυρίου σαβαὼθ, οἶκος τοῦ Ἰσραὴλ ἐστὶν, καὶ ἄνθρωπος τοῦ Ἰούδα νεόφυτος ἠγαπημένος. ἔμεινα, ἵνα ποιήσῃ κρίσιν, ἐποίησε δὲ ἀνομίαν, καὶ οὐ δικαιοσύνην, ἀλλὰ κραυγήν. ἐπειδὴ πολλῇ τῇ μεταφορᾷ διὰ τῶν ὀνομάτων ἐχρήσατο, ἀμπελῶνα, καὶ πύργον, καὶ προλήνιον, καὶ φραγμὸν, καὶ σκαφητὸν, καὶ τμῆσιν ἀμπέλου λέγων, ἵνα μὴ περὶ ἀμπελῶνός τις τῶν τότε ἀνοήτων νομίσῃ εἶναι τὰ λεγόμενα, ταχέως πρὸς τῷ τέλει τὸ πᾶν ἡρμήνευσεν. ὁ γὰρ ἀμπελὼν κυρίου σαβαὼθ, οἶκος τοῦ Ἰσραὴλ ἐστίν. οὐ γὰρ περὶ φυτῶν ὁ λόγος μοι, φησὶν, οὐδὲ περὶ ψυχῆς ἀψύχου, οὐδὲ περὶ λίθων καὶ τοίχων, ἀλλὰ περὶ δήμου τοῦ ἡμετέρου. διὸ καὶ ἐπήγαγε, καὶ ἄνθρωπος τοῦ Ἰούδα, νεόφυτον ἠγαπημένον· ἐπειδὴ πλέον τι εἶχε τῶν δέκα φυλῶν, καὶ ὁ ναὸς αὐτόθι πλησίον ἦν, καὶ ἡ λοιπὴ θεραπεία, καὶ τῶν ἄλλων μᾶλλον ηὔθει, καὶ βασιλικωτέρα ἦν ἡ φυλὴ καὶ δυνατωτέρα. ἠγαπημένον δὲ εἶπε, πάλιν αὐτῶν καθαπτόμενος, ὅτι περὶ τὸν σφοδρὸν ἐραστὴν τοιοῦτοι γεγόνασι. τοιοῦτος γὰρ τῶν φιλούντων ὁ νόμος, μηδὲ ἐν αὐτοῖς τοῖς ἐγκλήμασι κρύπτειν τῆς οἰκείας ἀγάπης τὴν ὑπερβολήν. ἐντεῦθεν οὐ μικρὸν καὶ ἕτερον μανθάνομεν. ποῖον δὴ τοῦτο; ὅτι πότε καὶ τινα ἀναγωγῇ χρὴ τῶν γραφῶν

Non enim in posterum iisdem sunt perfruituri bonis, quæ priùs sunt consequuti, non habituri doctores, non principes, non Prophetas, qui itidem vt antè, eos reuocent ad rectitudinem vitæ, qui perçquè solertem obeant curam ipsorum. Quemadmodum enim ij quibus cura est excolendæ vineæ, pastino eam fodicant, palmites succidunt inutiles: ita & qui collapsas animas erigunt & moderantur, comminationes intentant, terrore percellunt, docent: verùm his destituti erunt illi in alienam delati regionem. *Et ascendet per eam, quasi per incultam terram spina: & nubibus mandabo ne pluant in eam imbrem.* Aut ciuitatis innuit futuram desolationem, aut certè suorum & vniuscuiusque animæ desertionem. Nubes autem hoc loco quidam interpretantur Prophetas, quippe qui excepta è supernis pluuia oraculorum; eam quæ sibi dicitur, doctrinam, in populum transmittunt. At neque hi (ait) facturi sunt, quæ consueuerant. quanquam enim vnus & alter simul commigrarat: tamen reliqua multitudo prophetarum conticescebat. 7. *Vinea enim Domini Sabaoth, domus Israel est; & homo Iuda nouella plantatio dilecta. Expectaui, vt faceret iudicium, fecit autem iniquitatem: & non iustitiam, sed clamorem.* Multa quum sit vsus tralatitia comparatione nominum, commemorans nunc vineam, turrim, torcular, sepem siue maceriam, vineæ pastinationem & putationem: vt ne quis eorum, qui ea ætate erant, intelligentiæ expertium, existimaret ad literam dici, sub finem sententiæ totius summam continuò interpretatus est: Vinea enim Domini exercituũ; domus Israëlis est. Non enim vlla initur mihi ratio plantarum, neque sermo est de natura inanimata, non item de lapidibus & muris: sed de populo vestro. cóque intulit, & homo Iuda, nouella plantatio dilecta. Quòd videlicet tribus Iudæ quiddam obtineret præ cæteris decem. Erat enim illic è vicino situm templum & reliqua supplex diuini cultus, prçque aliis florebat, quare regalior, proinde & viribus præstantior. Dilectum autem dixit, eos rúrsus perstringens quod se tales exhibuissent erga eum qui ipsos amasset vehementer. Planè lex ea est diligentium, vt ne in ipsis quidem obiectionibus criminum, tegant suæ dilectionis vehementiam. Hinc aliud nec mediocre documentum elicimus. Quale, obsecro, est hoc? Nimirum oportere nonnunquã aliquot scripturæ diuinæ loca allegoricè interpretari,

Canon memorabilis de allegoria.

& quòd earum quidem legum ipsi nequaquam auctores sumus: quin potiùs conuenit nos more pedario subsequi mentem scripturæ & ad eum modum vti allegoriæ tropo. Quod autem dico, tale est. Commeminit scriptura nunc vineæ, sepis item siue maceriæ & torcularis. Non alioqui permisit, vt penes auauditorem esset authoritas accommodandi à se dicta, quibus vellet, rebus, aut personis: sed scriptura ipsa præuertens seipsam interpretata est, dicens: Vinea enim Domini exercituū, domus Israel est. Ezechiel item aquilam vocat magnam & magnarum alarum quæ ingressa Libanum auulsit summum verticem Cedri. Is interpretationem istius allegoriæ neutiquā sinit suspensam esse ad libidinem auditorum: sed ipse edisserit, quem per Aquilā intelligat, quem rursus per Cedrum. Idem hic rursus progrediens, fluuium quendam violentum educit in Iudæā. Atqui ne liceret vni cuipiam auditori pro suo captu & voluntate quod dictum est, personę adaptare, cui liberet, addidit quem fluuiū vocarat, esse regem. Proinde hæc lex vbicunque locorum diuinæ scripturæ est, si quando allegorico sensu quiduis tegit, subnectere consueuit & interpretationem allegoriæ: vt ne qui volunt pro sua intemperanti libidine, citra delectum, & vt ferè contigit, trahere omnia ad allegoriā, in errore versentur, & quaquauersum ferantur præcipites. Ecquid miraris, si Prophetæ cum & ipse Prouerbiorū auctor id obseruet? quum enim dixisset, Cerua amicitiæ & pullus equi tuarū gratiarū cōuersetur tecum: Et, fons aquæ tuæ sit tibi soli, mox interpretatus est, qua gratia hæc dixisset, nimirum de legitima ac libera vxore, te prorsus auocans à contactu fornicariæ & alienæ. Sanè pari modo & hic loco præsenti expressit, quam dixisset esse vineā. Ad hæc prolatis eorū criminibus, attexuit & pœnas. Demū causam sub finem reddit hanc: Expectaui, vt faceret iudicium, fecit autem iniquitatem, & nō iustitiā, sed clamorem. Quamobrem (ait) iustè reposco de sic ingratis pœnā. Expectaui enim, vt faceret iudiciū, hoc est, iustitiam. Ipsi è diuerso exhibuerunt contraria, iniquitatem, iniustitiam & clamorem. Clamorem hîc innuit auaram & immodicam acquirendi cupiditatem, iniustam indignationē, iram sensus rationisve expertem, pugnas, contentiones.

Ezech. 17. 3.

Origeni id volunt contigisse Græco penè omnes.

Prou. 5. 19. iuxta 70.

A καὶ ὡς οὐκ ἐσμὲν κύριοι τῶν νόμων τούτων αὐτοί, ἀλλὰ δεῖ αὐτῇ τῇ διανοίᾳ τῆς γραφῆς ἑπομένους, οὕτω τῷ τῆς ἀλληγορίας κεχρῆσθαι τρόπῳ. ὃ δὲ λέγω, τοιοῦτόν ἐστιν· εἶπεν ἀμπελῶνα νῦν ἡ γραφὴ, φραγμὸν, προλήνιον· οὐκ ἀφῆκε κύριον γενέσθαι τὸν ἀκροατὴν ἁρμόσαι τὰ εἰρημένα οἷς ἐβούλετο πράγμασιν, ἢ προσώποις, ἀλλὰ προλαβοῦσα ἑαυτὴν ἡρμήνευσεν, εἰποῦσα· ὁ γὰρ ἀμπελὼν κυρίου Σαβαὼθ, οἶκος τοῦ Ἰσραήλ ἐστι. καὶ ὁ Ἰεζεκιὴλ δὲ πάλιν ἀετὸν καλῶν μέγαν καὶ μεγαλοπτέρυγον εἰσιόντα εἰς τὸν Λίβανον, καὶ ἀπο- B κνίζοντα τὸ ἄκρον τῆς κέδρου, οὐδὲ οὗτος ἀφίησιν ἐπὶ τῇ γνώμῃ τῶν ἀκροατῶν κεῖσθαι τῆς ἀλληγορίας τὴν ἑρμηνείαν, ἀλλὰ καὶ αὐτὸς λέγει, τίνα μὲν τὸν ἀετόν φησι, τίνα δὲ τὴν κέδρον. καὶ οὗτος δὲ πάλιν προϊὼν, ποταμόν τινα σφοδρὸν ἀνάγει, λέγων, ἐπὶ τὴν Ἰουδαίαν, ἵνα μὴ ἐξῇ τῷ ἀκούοντι κατὰ τὴν οἰκείαν γνώμην ἁρμόζειν τὸ εἰρημένον προσώπῳ ᾧ βούλεται, εἶπε καὶ τὸν βασιλέα τοῦτον, ὃν ποταμὸν ἐκάλεσε. καὶ πανταχοῦ τῆς γραφῆς οὗτος ὁ νόμος, ἐπειδὰν ἀλληγορεῖ, λέγει καὶ τῆς C ἀλληγορίας τὴν ἑρμηνείαν, ὥστε μὴ ἁπλῶς, μηδὲ ὡς ἔτυχε, τὴν ἀκόλαστον ἐπιθυμίαν τῶν ἀλληγορεῖν βουλομένων πλανᾶσθαι καὶ πανταχοῦ φέρεσθαι. καὶ τί θαυμάζεις, εἰ οἱ προφῆται; καὶ ὁ παροιμιαστὴς δὲ οὕτω ποιεῖ. εἰπὼν γὰρ, ἔλαφος φιλίας, καὶ πῶλος σῶν χαρίτων ὁμιλείτω σοι, καὶ ἡ πηγὴ τοῦ ὕδατός σου ἔστω σοι μόνῳ, ἡρμήνευσε τίνος ἕνεκεν ταῦτα ἔλεγεν, ὅτι περὶ γυναικὸς ἐννόμου καὶ ἐλευθέρας, ἀποτρέπων πόρνης καὶ ἀλλοτρίας ἅπτεσθαι· οὕτω δὴ καὶ οὗτος ἐνταῦθα εἶπε τί- D να ἔφησε τὸν ἀμπελῶνα εἶναι. εἶτα ἐπειδὴ εἶπεν αὐτῶν τὰ ἐγκλήματα, εἶπε καὶ τιμωρίας. πάλιν πρὸς τῷ τέλει τὴν ἀπολογίαν τίθησι λέγων, ἔμεινα ἵνα ποιήσῃ κρίσιν, ἐποίησε δὲ ἀνομίαν, καὶ οὐ δικαιοσύνην, ἀλλὰ κραυγήν. ὅτι δικαίως, φησὶν, ἀπαιτῶ δίκην. ἀνέμεινα γὰρ, ἵνα ποιήσῃ κρίσιν, τουτέστι δικαιοσύνην, αὐτοὶ δὲ τὰ ἐναντία ἐπεδείξαντο, ἀνομίαν, ἀδικίαν καὶ κραυγήν. κραυγὴν ἐνταῦθα τὴν πλεονεξίαν λέγει, τὸν ἄδικον θυμὸν, τὴν ὀργὴν τὴν ἀλόγιστον, τὰς μάχας, τὰς φιλονει-

κίας. οὐαὶ οἱ συνάπτοντες οἰκίαν πρὸς οἰκίαν, καὶ ἀγρὸν πρὸς ἀγρὸν ἐγγίζοντες, ἵνα τοῦ πλησίον ἀφέλωνταί τι. εἰπὼν ὅτι κραυγὴν ἐποίησε, τουτέστι πλεονεξίαν, ἁρπαγάς, λέγει καὶ τὸ εἶδος τῆς ἀδικίας, πολλῆς ἐμπεπλησμένον τῆς κακουργίας. καὶ πάλιν ἀπ' ἀπανθρωποτάτων ἄρχεται, τὸ μέγεθος τῶν ἁμαρτημάτων ἐνδεικνύμενος, καὶ τοὺς τὰ ἀνίατα νοσοῦντας ἐμφαίνων. ταῦτα δὲ καὶ νῦν τολμώμενα ἴδοι τις ἂν παρὰ τῶν κακῶς τῷ πλούτῳ κεχρημένων, οἳ τὰς γειτνιάσεις ἐπινοοῦσιν, οὐκ εἰς ἀσφάλειαν, ἀλλ' εἰς ἐπιβουλὴν τῶν πλησίον, καθάπερ πῦρ ὁδῷ βαδίζον, οὕτω τοὺς ἐκ γειτόνων πάντας ἐπινεμόμενοι. μὴ οἰκήσετε μόνοι ἐπὶ τῆς γῆς; ἠκούσθη γὰρ νῦν εἰς τὰ ὦτα κυρίου σαβαὼθ ταῦτα. δείκνυσιν ἀνόητα κάμνοντας καὶ εἰκῇ καὶ μάτην. ἐπειδὴ γὰρ οὐχ οὕτως αἱ κολάσεις καὶ αἱ τιμωρίαι τοὺς τοιούτους ἀπάγειν εἰώθασιν, ὡς τὸ μαθεῖν ἀκριβῶς, ὅτι οὐκ ἀπολαύσονται τῆς ἁρπαγῆς, ταύτην αὐτοῖς ἐπάγει τὴν ἀπειλὴν λέγων, ὅτι καμοῦνται μὲν καὶ ταλαιπωρήσουσι καὶ τὴν ἁμαρτίαν καρπώσονται, τῆς δὲ ἀπολαύσεως ἐκπεσοῦνται. οὐκ ἐφησυχάζει γάρ, φησι, τοῖς γινομένοις ὁ ἀκοίμητος ὀφθαλμός. τὸ δὲ ἠκούσθη νῦν, οὐχ ὡς τότε τῶν πραγμάτων γνωρίμων γενομένων αὐτῷ ταῦτά φησιν, ἀλλ' ὡς τῆς δίκης κατὰ πόδας ἰούσης λοιπὸν καὶ τῆς ἀνταποδόσεως γινομένης. ἐὰν γὰρ γένωνται οἰκίαι πολλαί, εἰς ἔρημον ἔσονται μεγάλαι καὶ καλαί, καὶ οὐκ ἔσονται οἱ κατοικοῦντες ἐν αὐταῖς. τοιοῦτον γὰρ ἡ πλεονεξία, ὅταν πλείονα περιβάλλῃ τοῖς ἔχουσι, καὶ τῶν προτέρων αὐτοὺς ἐξήγαγεν. ὃ δὴ καὶ ἐνταῦθα αἰνίττεται λέγων, ὅτι ὅταν οἰκοδομήσητε λαμπρῶς, καὶ τὰ πάντων ὑμῶν αὐτῶν ποιήσητε, καὶ στήσονται αἱ οἰκίαι οἰκήτορας μὲν οὐκ ἔχουσαι, σάλπιγγος δὲ πάσης λαμπροτέραν ἀφιεῖσαι φωνὴν κατὰ τῶν παρὰ τὴν ἀρχὴν ἡρπακότων αὐτάς, τῆς ἐρημώσεως τῆς ἐπιτεταμένης ἀντὶ τροπαίου τινὸς φαινομένης. οὗ γὰρ ἐργῶνται δέκα ζεύγη βοῶν, ποιήσει κεράμιον ἕν· καὶ ὁ σπείρων ἀρτάβας ἕξ, ποιήσει μέτρα

A 8. *Væ qui coniungunt domum ad domum, & proximè agrum agro copulant, vt à proximo auferant aliquid.* Dicto, quia clamorem fecit, hoc est, inexplebilem acquirendi aliena auiditatem, rapinas: subijcit & ipsam speciem iniustitiæ vtique plenam multis facinoribus & maleficiis. Ab his item reorditur quę ab humanitate abhorrēt, magnitudinem ostentans peccatorum, eos interim insinuans qui immedicabili morbo ægrotabant. Quæ autem narrat, temerario ausu ab istis tentata esse iam nosse quis potest ab istis, qui opes suas prodigunt in profusiores & improbos B vsus, qui animum adijciunt ad inuadendam loci propinquitatem: non quidem ad tutelare patrocinium, sed vt insidias proximis moliantur, instar ignis semel arreptam viam obambulantis: ita & hi vicinos omnes depascuntur. *Nunquid habitabitis soli super terram?* 9. *Audita sunt enim nunc in auribus Domini exercituum hæc.* Ostendit illos parum fuisse cordatos qui anxiè laborarūt nullo suo fructu & incassum. Quod enim consuetudo prorsus obtinuisset tales non statim rapi ad supplicium luendum, ab- C duci ad exoluēdam pœnam: vt exactiùs nossent se nequaquam perfruituros rapina, hanc in eos infert comminationem, dicens, quia succumbent labori, insignem aliquam accipient cladem, fructúsque percipient suæ rapinæ debitos, & excident sperata fruitione. Non enim (ait) insomnis ille & peruigil oculus acquiescit talibus factis. Illud proinde, Audita sunt nunc, non vtique eò dicit, quasi tunc primum ei innotuerint quæ fiebant: sed quòd pœna deinceps sensim & quasi vestigiatim esset subsequutura, instarétque retributio. *Si enim* D *fuerint domus multæ, in solitudinem erunt, magnæ & pulchræ, & non erunt qui habitent in eis.* Tale quid operatur inexplebilis cupiditas congerendarum opum. Mox enim vt cumulatiores diuitias comparauit iam habentibus, etiam ab his quas priùs possederant, eos depellit & exigit, quem sanè sensum etiam hîc innuit, dicens: Si quando enim magnificè ædificaueritis, etiā eæ ædes quas vestro iure construxeratis, stabunt quidem nullos incolas habituræ, vocem autem edent tuba omni clariùs intonantem aduersus eos qui illas initiò per rapinam extorserant, ídque desolatione in longum tempus exporrecta, vt vice trophæi cuiusdam, omnium oculis conspicuæ sint. 10. *Vbi enim cooperantur decem iuga boum, facient laguncülam vnam: & qui seminat artabas sex, faciet mensuras tres,*

Sermonem è ciuitate educit ad exprimendā impendentem regionis vastitatem, vt auditoris animū prorsus terrore cōpleat. Neque enim domus (ait) habiturę sunt inhabitatores, sed neque terra suā vim operatoriā exeret. Etenim initio conditi orbis propter peccatū Adæ, spinas & tribulos protulit: Secundū hoc etiam, propter Caini scelus in fratrem, multò exhibuit prouentum minorem quàm exigebat agricolatio illius, aut natiuæ virtutis vbertas. Sed enim aliàs etiā nosse potest quis plerūque cōtigisse, vt propter hominum peccata, sua fœcunditate orbata sit terra. Ecquid miravim eius genitalē oblæsam fuisse & fœcunditate fœtus sui imminutā, iniquitate hominū id exigente, quando etiam propter nos subiacuit corruptelę, ad incorruptionē alioqui demū etiā propter nos perducenda? Ex quo enim semel accepit, vt esset nostri causā & ad nostrum in cōmune ministeriū: & reuera eadem rursus hinc etiam suæ corruptionis mutuatur & originē & radicem. Sanè nihil diuersum cōtigit per ætate Noë, quum humana natura ad extremā vsque malitiam appulisset, nec quicquam superesset in rebus non confusaneum & permistum, semina, plantæ, bestiarum genera, terra ipsa, mare, aër, montes, saltus syluosi, colles, ciuitates, muri siue parietes, domus, turres: denique vt semel finiam, omnia illa formidabili inundatione adopetta sunt. Humanum tandem genus ad tantam raritatem redactum quum opus haberet incremento, terra tunc sui status ordinisq́. elegantiam resumpsit, & pristino decori restituta est. Intelligere possit quiuis aliqua ex parte id factum, vt hominum honori consuleretur. Etenim pelagus à conspectu se subtraxit, idem rursum se palàm spectandum exhibuit. Sol & luna se represserunt, & suum deseruere cursum. Ignis, quæ propria aquæ erant, opere ipso præstitit. Terra officio pelagi, & pelagus munere perfunctum est terræ. Vtque semel dicam, omnia se transformant & immutantur ad hominum vtilitatem. Quum igitur homo omnem creaturam visibilem exuperet honore, propter quē vniuersa hæc condita sunt, hinc factum, vt nunc quoque populus Iudaicus quòd grauiter deliquisset, cohibeat Deus ac reprimat vliginosam illam terræ fertilitatem: imò ne post quidē exhaustos labores multos ac sudores permittit, vt eius viscera consuetam proferant annonæ copiam: nimirum vt vel hinc discant,

Administerium hominū creaturæ referuntur.

A τεία. ἀπὸ τῆς πόλεως ἐπὶ τὴν τῆς χώρας ἐρημίαν ἐξάγει τὸν λόγον, ὥστε παντόθεν καταπλῆξαι τὸν ἀκροατήν. οὔτε γὰρ αἱ οἰκίαι, φησὶ, καθέξουσι τοὺς ἐνοικοῦντας, οὔτε ἡ γῆ τὴν αὐτῆς ἐπιδείξεται δύναμιν. καὶ γὰρ ἐξ ἀρχῆς διὰ τὴν τοῦ Ἀδὰμ ἁμαρτίαν ἀκάνθας καὶ τριβόλους ἐξήνεγκε, καὶ μετ᾽ ἐκεῖνον διὰ τὴν τοῦ Κάϊν παρανομίαν, ἐλάττονα πολλῷ τὸν πόνον τὸν ἐκείνου καὶ τῆς οἰκείας ἰσχύος τὴν φορὰν ἐπεδείκνυτο. καὶ πολλαχοῦ δὲ ἀλλαχοῦ ἴδοι τις ἂν διὰ τὰς τῶν ἀνθρώπων ἁ-
B μαρτίας αὐτὴν κολαζομένην. καὶ τί θαυμάζεις, εἰ περὶ τὰς γονὰς αὐτῆς καὶ τὰς ὠδῖνας τῶν ἀνθρώπων ἡ παρανομία, ὅπου γε καὶ φθαρτὴ δι᾽ ἡμᾶς ἐγένετο, καὶ ἄφθαρτος πάλιν δι᾽ ἡμᾶς γίνεται; ἐπειδὴ γὰρ ὅλως τὸ εἶναι δι᾽ ἡμᾶς ἔλαβε καὶ τὴν ἡμετέραν διακονίαν, καὶ τὸ οὕτως ἢ ἐκείνως εἶναι πάλιν ἐντεῦθεν λαμβάνει τὴν ἀρχὴν καὶ τὴν ῥίζαν. οὕτω γοῦν καὶ ἐπὶ τοῦ Νῶε. ἐπειδὴ πρὸς κακίαν ἐσχάτην ἐξώκειλε τῶν ἀνθρώπων ἡ φύσις, πάντα ἐφύρετο τὰ πράγματα, καὶ σπέρματα καὶ φυτὰ, καὶ ἀλόγων γένη, καὶ ἡ γῆ, καὶ θάλαττα, καὶ
C ἀὴρ, καὶ ὄρη, καὶ νάπαι, καὶ βουνοὶ, καὶ πόλεις καὶ τείχη, καὶ οἰκίαι καὶ πύργοι· καὶ πάντα ἁπλῶς ἐκείνῳ τῷ φοβερῷ τότε ἐκρύπτετο πελάγει· καὶ ἐπειδὴ πάλιν ἐπιδοῦναι τὸ γένος ἔδει, τὴν οἰκείαν εὐταξίαν ἀπελάμβανεν ἡ γῆ, καὶ εἰς τὴν προτέραν εὐμορφίαν ἐπανῄει πάλιν. ἴδοι δ᾽ ἄν τις τοῦτο καὶ ἐπὶ μέρους γινόμενον διὰ τὴν εἰς ἀνθρώπους τιμήν. καὶ γὰρ πέλαγος ἠφανίσθη, καὶ πάλιν ἐφάνη, καὶ ἥλιος ἐχαλινώθη μετὰ σελήνης, καὶ τὸν οἰκεῖον δρόμον ἐπέλιπε, καὶ πῦρ τὰ ὕδατος ἐπεδείξατο, καὶ γῆ τὰ πελάγους,
D καὶ πέλαγος τὰ τῆς γῆς· καὶ πάντα, ὡς εἰπεῖν ἁπλῶς, πρὸς τὴν τῶν ἀνθρώπων μετασχηματίζεται λυσιτέλειαν. καὶ ἐπειδὴ πάντων τιμιώτερος ἄνθρωπος, καὶ δι᾽ αὐτὸν τὰ γινόμενα ἅπαντα, διά τοι τοῦτο καὶ νῦν, ἐπειδὴ ἥμαρτεν ὁ τῶν Ἰουδαίων δῆμος, ἐπέχει τῆς γῆς τὰς ὠδῖνας ὁ Θεὸς, καὶ μετὰ πολλοὺς πόνους καὶ ἱδρῶτας οὐκ ἀφίησι τὰς ἐκείνης λαγόνας τὴν εἰωθυῖαν φορὰν ἐκβλύσαι (?), ἵνα κἀντεῦθεν μάθωσιν,

ὅτι οὐ γεωργικῶν χειρῶν τέχνη, οὐδὲ βόες καὶ ἄ- A ροτρον, οὐδὲ γῆς φύσις, οὐκ ἄλλο τῶν τοιούτων οὐδὲν, ἀλλ' ὁ τούτων ἁπάντων δεσπότης ἐστὶν, ὁ καὶ δαψιλεῖ τῇ χειρὶ πάντα ἐκχέων, καὶ πάλιν ἐπειδὰν βούληται, συστέλλων ἅπαντα. οὐαὶ οἱ ἐγειρόμενοι τὸ πρωῒ, καὶ τὸ σίκερα διώκοντες, οἱ μένοντες τὸ ὀψέ. ὁ γὰρ οἶνος αὐτοὺς συγκαύσει. μετὰ γὰρ κιθάρας καὶ ψαλτηρίου καὶ τυμπάνων καὶ αὐλῶν τὸν οἶνον πίνουσι, τὰ δὲ ἔργα τοῦ Θεοῦ οὐκ ἐμβλέπουσι, καὶ τὰ ἔργα τῶν χειρῶν αὐτοῦ οὐ κατανοοῦσι. κατηγορήσας αὐτῶν πλεονεξίαν πολλὴν, καὶ τὴν ῥίζαν τοῦ κακοῦ B τίθησιν. αὕτη δὲ ἦν ἡ μέθη μυρίων γινομένη κακῶν ὑπόθεσις, καὶ μάλιστα ὅταν μετὰ τοσαύτης τολμᾶται τῆς ὑπερβολῆς. σκόπει γοῦν, πῶς μετὰ ἀκριβείας αὐτοὺς κωμῳδεῖ. πᾶσαν γὰρ τὴν ἡμέραν εἰς τοῦτο δαπανᾶσθαί φησιν. οὐ γὰρ ὅταν ἀριστοποιεῖσθαι δέῃ, τοῦτο πράττουσί, φησιν, ἀλλὰ πάντα τὸν καιρὸν μέθης ποιοῦντες καιρὸν, καὶ ἐκ προοιμίων τῆς ἡμέρας, ὅτε μάλιστα αὐτοῖς προσέχειν ἐχρῆν, πολλῷ τῷ ἀκράτῳ διδόντες ἑαυτοὺς, καὶ ἄγοντες λοιπὸν καὶ μέχρι τῆς ἑσπέρας ἐναπομένοντες τῷ νο- C σήματι. ἐπειδὰν γὰρ ἅπαξ φθάσωσι καταποντισθῆναι εἰς τὸν τῆς ἀκρασίας βυθὸν, καὶ τῶν κατὰ φύσιν ἐκπέσωσι φρενῶν, καὶ τὴν ψυχὴν αἰχμάλωτον τῇ πονηρᾷ τῆς μέθης παραδιδῶσι τυραννίδι, καθάπερ πλοῖον ἀνερμάτιστον καὶ κυβερνήτου καὶ ναυτῶν ἀπεστερημένον ἁπλῶς καὶ εἰκῆ φέρεται τῇ τῶν ὑδάτων ἀτάκτῳ ῥύμῃ πανταχοῦ περιαγόμενον, τὸν αὐτὸν δὴ τρόπον καὶ οὗτοι ὑπὸ τῆς μέθης ὑποβρύχιοι γενόμενοι. διό φησιν, οὐαὶ οἱ ἐγειρόμενοι τὸ πρωῒ, καὶ τὸ σίκερα διώκοντες. οὐ γὰρ τὴν χρείαν ἐπλή- D ρουν, οὐδὲ ἀνάγκην ἐπιθυμίας γενομένης πληρῶσαι τὴν ἔνδειαν, ἀλλ' ἔργον ἐποιοῦντο τοῦτο καὶ μελέτην, τὸ διηνεκῶς μεθύειν. διό φησιν, οἱ διώκοντες σίκερα. σίκερα δὲ ἐνταῦθά φησι τῶν φοινίκων τὸν ὀπὸν, ὃν ἐπετήδευον, συντρίβοντες τὸν καρπὸν καὶ καταθλῶντες, εἰς οἴνου μετασχηματίζειν φύσιν. καρωτικὸν δέ ἐστι τὸ τοιοῦτο, καὶ μέθης ἐργαστικόν. ἀλλ' οὐδὲν ὑφαιροῦντο

quia non ars ipsa agricolãdi, non boues & aratrum, non ipsa terræ natura, non denique quicquã tale aliud, sed vniuersorum dominator, ipse est, qui cuncta hæc benigna & liberali manu effundit. Idem è diuerso, siquãdo voluerit, in angustum contrahit vniuersa. 11. *Væ qui surgunt mane & siceram persequuntur, qui manent vsque ad vesperam. Vinum enim succendet eos.* 12. *Etenim cum cithara & psalterio & tympanis, & tibiis, vinũ bibunt: opera autẽ Domini non respiciunt, & opera manuum eius non considerant.* Immodicam istorũ auaritiam qua per vim aliena extorquebant, simul atque palàm perstrinxit, eamq. esse censet radicem totius malitiæ: superat & ebrietas traducenda, innumerabilium malorum fons ac fundamentũ, præsertim quoniã præter omnẽ modum, nullum non sustinet aggredi facinus. Obserua igitur, qua ratione, quámq. diligenter eos increpet. Diem enim totum asserit eos cõsumpsisse in hoc. Nec enim quum esset prandendũ, hoc faciebant, ait: sed omnẽ temporis particulam arripiebant ceu opportunã sectandæ ebrietati, idq. ab initio diurni diluculi. Quo præsertim tẽpore suæ saluti attenti esse debuerant: tunc vino meraciori se dedebant & quidẽ immodico, vltrò etiam exigentes reliquũ temporis adusq. vesperam, vitio huic pestilẽti immanẽtes. Siquãdo enim semel ad id peruenissẽt, vt in profundam voraginem istius intemperantiæ ruerent præcipites, proinde & exciderent de naturali mentis intelligentia: vtique animam suam in captiuitatem abducẽdam exponebant intolerandæ istius temulentiæ tyrannidi: quemadmodum nauis non saburrata, gubernatore itẽ destituta & nautis, quoquouersum circumacta confusaneo aquę impetu temerè fertur & fortuitò. Eundem in modũ & isti se gerebant, qui se gurgiti ebrietatis immergebant, eóque dicit: Væ qui consurgunt mane, & siceră persequũtur. Non enim necessitatẽ ipsam explebant, neque sustinebant eatenus, vt supplerent inopiam excitati appetitus: sed in vnũ hoc opus incumbebant, vnam hanc curam exercebant: vt ad ebrietatem vsque se iugiter vino proluerent. Idcirco addit,

Cõfirmatio à simili.

Qui siceram persequuntur. Nomine Siceræ hîc indicat succum ex palmis expressum, quem conficiebant & studiosè accurabant, contrito primum fructu & confracto minutim, vt in vini naturam transformarent, quod genus potionis tentat caput sopore vehementi deprimens, & ad excitãdam ebrietatem est mirè efficax. Sed enim illi nihil

Sicera hîc, succus ex palmulis expressus.

horum obseruabant, voluptatem nullo non loco persequẽtes, manentes vsque sub serum diei. Vinum enim succendet eos. Ebrietatis enim natura eiusmodi est, aliquãtum progressa exauget sitim, eámque reddit minùs tolerabilem. His deinde adnectit & aliud crimen nõ minoris notæ quàm erat priùs, dicẽs: Cum cithara & psalterio & tympanis & tibiis vinũ bibunt. Hoc & alter Propheta dat crimini, dicens: qui bibunt defæcatum vinum, primis vnguentis delibuti: qui plaudunt ad vocem organorum, quasi stantia reputauerunt, & non quasi fugientia. Etenim hoc index est extremæ indolentiæ, & quod tales nullo tangantur sensu suæ miseriæ, quódque anima sint languenti & dissoluta, si ædes suas publicum theatrum efficiant, seque talibus cantilenis addicant. Quod enim ebrietas designat offusa caligine: hoc & musica vigorem mentis emolliens perfringénsq. virile robur animi, & ad maiores abducens lasciuiæ petulantis species. Opera autẽ Dei non respiciunt: & opera manuum eius non considerant. Aut mirabilia eius designat opera, aut certè contemplationem conditæ creaturæ. Quomodo enim cõtemplari talia potuissent qui diem vertebant in noctem, noctu verò nihilo melius afficiebantur quàm mortui? Quónam pacto potuissent isti solem spectare exorientem, illustre ac splendescẽs decus cœli, chorúmq. multiformem astrorum sub vesperam, reliquam insuper dispositionem cõditæ creaturæ pulcherrimo ordine digestã, ac ministeriũ eius, qui acie destituebãtur oculorũ & exteriorum & interiorũ? Non igitur mediocris culpæ fuerat & in Deum iniuriæ, quòd è præsenti vita emigrarint nulla cõsideratione habita admirabiliũ Dei operum, sed tempus omne defodissent & obruissent tenebris temulentiæ. 13. *Propterea ductus est populus meus in captiuitatem, quia ipsi non cognouerunt Dominum.* Quod futurum erat rursus exponit, quasi iam sit factum, símulque pœnam delicto huic impendentem infert. Siquidem ipsa sibi abundè sufficit pro omni supplicio, per hoc quòd obstreperam ac turbulentam intemperiem inserit animæ, tetra caligine circumfundit mentem, eam in captiuitatem redigens, & innumeris morbis internis pariter & externis istos adimplens ebrios. Nouerat & hoc Paulus, nempe malitiam hanc sibiipsi abundè satisfacere, vice supplicij. Idcirco ait: Et mercedem (quam oportebat) erroris sui in

Amos 6. 6.

A τούτων ἐκεῖνοι, τὴν ἡδονὴν πανταχοῦ διώκοντες. μεθύοντες δὲ ὀψέ. ὁ γὰρ οἶνος αὐτοὺς συγκαύσει. τοιαύτη γὰρ τῆς μέθης ἡ φύσις, προϊοῦσα αὔξεται, καὶ χαλεπώτερον τὸ δίψος ποιεῖ. εἶτα καὶ ἕτερον οὐκ ἔλαττον ἔγκλημα τοῦ προτέρου προστίθησι, λέγων· μετὰ γὰρ κιθάρας καὶ ψαλτηρίου καὶ τυμπάνων καὶ αὐλῶν τὸν οἶνον πίνουσι. τοῦτο καὶ ἕτερος ἐγκαλεῖ προφήτης λέγων, οἱ πίνοντες τὸν διϋλισμένον οἶνον, καὶ τὰ πρῶτα μύρα χριόμενοι, οἱ κροτοῦντες πρὸς τὴν φωνὴν τῶν ὀργάνων. ὡς ἑστῶτα ἐ-
B λογίσαντο, καὶ οὐχ ὡς φεύγοντα. καὶ γὰρ ἐσχάτης ἀναλγησίας τοῦτο τὸ σημεῖον, καὶ ψυχῆς ἐκλελυμένης, τὸ θέατρον ποιεῖν τὴν οἰκίαν τὴν ἑαυτοῦ, καὶ τοιούτοις ᾄσμασιν ἑαυτοὺς ἐκδιδόναι. ὅπερ γὰρ ἡ μέθη ποιεῖ σκοτοῦσα, τοῦτο ἡ μουσικὴ μαλάττουσα τὸ εὔτονον τῆς διανοίας, καὶ κατακλῶσα τῆς ψυχῆς τὴν ἀνδρείαν, καὶ ἐπὶ μείζονας ἐξάγουσα ἀσελγείας. τὰ δὲ ἔργα τοῦ Θεοῦ οὐκ ἐμβλέπουσι, καὶ τὰ ἔργα τῶν χειρῶν αὐτοῦ οὐ κατανοοῦσιν. ἢ τὰ θαύματα αὐτοῦ φησιν, ἢ τῆς κτίσεως τὴν θεωρίαν. πῶς δὲ ἂν δύναιντο θεάσασθαι ταῦτα, τὴν μὲν ἡμέραν
C νύκτα ἐργαζόμενοι, τὴν δὲ νύκτα τῶν νεκρῶν οὐδὲν ἄμεινον διακείμενοι; πῶς δυνήσονται ἥλιον ἰδεῖν ἀνατέλλοντα, καὶ οὐρανοῦ κάλλος λάμπον, καὶ τὸν ποικίλον τῶν ἄστρων ἐν ἑσπέρᾳ χορόν, καὶ τὴν ἄλλην τῆς κτίσεως εὐταξίαν τε καὶ διακονίαν, τῶν ἔξωθεν καὶ τῶν ἔνδοθεν ὀφθαλμῶν ἀπεστερημένοι; οὐ μικρὸν οὖν τοῦτο ἠδίκηνται, τὸ ἀθέατοι τῶν τοῦ Θεοῦ θαυμάτων ἐκ τοῦ παρόντος ἀπελθεῖν βίου, πάντα τὸν χρόνον ἐν τῷ σκότει τῆς μέθης κατορωρυγμένοι. τοίνυν αἰχμάλωτος ἐγενήθη ὁ λαός μου, διὰ τὸ μὴ εἰδέναι αὐτοὺς τὸν κύριον. πάλιν τὸ μέλλον ὡς
D γεγενημένον ἀπαγγέλλει, καὶ τιμωρίαν ἐπάγει τῇ πλημμελείᾳ ταύτῃ. ἱκανὴ μὲν γὰρ καὶ αὐτὴ ἡ μέθη ἀντὶ πάσης γενέσθαι κολάσεως, θορύβους ἐμποιοῦσα τῇ ψυχῇ, ζόφου πληροῦσα τὴν διάνοιαν, αἰχμάλωτον καθιστῶσα αὐτήν, μυρίων αὐτοὺς ἐμπιπλῶσα νοσημάτων, τῶν ἔνδοθεν, τῶν ἔξωθεν. οἶδε τοῦτο καὶ Παῦλος, ὅτι κακία αὐτὴ τιμωρίας γίνεται. διό φησι, καὶ τὴν ἀντιμισθίαν, ἣν ἔδει τῆς πλάνης αὐτῶν, ἐν

ἑαυτοῖς ἀπολαμβάνοντες. ἀλλ' ἐπειδὴ καὶ τοῦτο τῆς ἀναισθησίας αὐτῶν, τὸ κολάζεσθαι, καὶ μηδὲ αἰσθάνεσθαι· τὸ νοσεῖν, καὶ μὴ εἰδέναι ὅτι νοσοῦσιν, ἐπάγει καὶ τὴν ἔξωθεν τιμωρίαν λέγων· τοίνυν αἰχμάλωτος ἐγενήθη ὁ λαός μου, διὰ τὸ μὴ εἰδέναι αὐτοὺς τὸν κύριον· καὶ πλῆθος ἐγενήθη νεκρῶν διὰ λιμὸν καὶ δίψαν ὕδατος. ὅρα καὶ ἐν τῇ τιμωρίᾳ πολλὴν τὴν νουθεσίαν, καὶ οὐκ ἀθρόον τὴν βαρυτάτην ἐπαγγέλλειν τόλμαν. οὐ γὰρ εὐθέως τὴν αἰχμαλωσίαν ἐπήγαγεν, ἀλλὰ λιμὸν πρότερον καὶ αὐχμὸν, ἵνα οἴκοι μένοντες γένωνται βελτίους, μηδὲ ἀνίατα νοσοῦντες ἐφελκύσωνται τὸ τῶν βαρβάρων στρατόπεδον. ἐπεὶ δὲ οὐκ εἶξαν, οὐδὲ ἐκέρδανάν τι ἐντεῦθεν, ἐπάγει λοιπὸν τὴν ἐσχάτην τιμωρίαν αὐτοῖς. ἀλλ' ὅμως παρ' ἐκείνων ταύτην ἐπαίρει καὶ ἐξογκοῖ τῷ λόγῳ τὴν τοῦ λιμοῦ, λέγων· ἐπλάτυνεν ὁ ᾅδης τὴν ψυχὴν αὐτοῦ· οὐχ ὡς ψυχὴν τοῦ ᾅδου ἔχοντος, ἀλλὰ προσωποποιεῖ τὴν ἀπειλὴν, ἐμφατικώτερον τὸν λόγον ποιῆσαι βουλόμενος, καὶ φόβον ἀκμάζοντα ἐναποθέσθαι τῇ διανοίᾳ τῶν ἀκουόντων. διὸ καὶ ἐπιμένει λέγων· καὶ διήνοιξε τὸ στόμα αὐτοῦ, τοῦ μὴ διαλιπεῖν· ὡς περὶ θηρίου τινὸς διηγούμενος, καὶ ἐγγὺς αὐτῶν τὴν εἰκόνα τῶν πραγμάτων ἄγων. καὶ τὸ δὴ χαλεπώτερον, ὅτι οὐκ ἤνοιξε τὸ στόμα μόνον, ἀλλὰ καὶ μένει κεχηνὼς, καὶ κόρον οὐ λαμβάνων τῶν ἐν αὐτῷ κατορυττομένων. καὶ καταβήσονται εἰς αὐτὸν οἱ ἔνδοξοι, καὶ οἱ μεγάλοι, καὶ οἱ πλούσιοι, καὶ λοιμοὶ αὐτῆς. εἶτα ἵνα μάθῃς, ὅτι οὐ κατὰ φύσεως ἀκολουθίαν τὸ γινόμενον ἦν, ἀλλὰ θεήλατος ἦν ἡ πληγὴ, καὶ ψῆφος ἐκ τῶν οὐρανῶν κατενεχθεῖσα, τοὺς ἐν περιφανείᾳ, τοὺς ἐν δυναστείᾳ, τοὺς πάντα συγχέοντας, καὶ ἄνω καὶ κάτω τὰ τῶν Ἰουδαίων ποιοῦντας πράγματα, τούτους ἐκεῖ καταβήσεσθαι ἔφησε. λοιμοὺς δὲ εἰκότως αὐτοὺς καλεῖ, ἅτε οὐ μέχρι ἑαυτῶν τὴν κακίαν διατηροῦντας, ἀλλὰ καὶ εἰς ἄλλους τὴν νόσον διαβιβάζοντας. τοιαύτη γὰρ ἡ τοῦ λοιμοῦ φύσις·

A ſemetipſis recipientes. Cæterum quando hoc etiam erat ſtolidæ cuiuſdam & torpentis naturæ eorum, quòd animaduerſione in ipſos facta ne intelligebant quidem ſe ægros eſſe, neque nouerant vllo ſe tentari morbo: quare inducit etiam non defore externã vltionem, dicens: Propterea captiuus factus eſt populus meus: quia ipſi non cognouerunt Dominum, & multitudo facta eſt mortuorum propter famem & ſitim aquæ. Vide, quàm multa correptio inſerta ſit intentatæ huic vltioni. Non enim derepente audet illam quę grauiſſima inſta- B bat, in medium adducere pœnam: non item confeſtim futuram captiuitatem intulit: ſed famem præmiſit & terram ſitu ſqualoréq. exhauriendam, vt in ſua quiq. domo manentes ad melioris vitæ frugem ſe reciperent, neque ita immedicabiliter ęgrotantes in ſuã perniciem barbarorum exercitum accerſerẽt. Denique quum ne ſic quidẽ cederent admonitioni, nec proinde quidpiam emolumenti caperent ex ea comminatione, demum inducit in eos extremam vltionem. Attamen præ illis hanc effert & C degrauat ſermone, eam commemorans euenturam vehementia famis. 14. *Dilatauit infernus animam ſuam*. Non quòd infernus animam habeat: ſed cupiens ſermonem reddere ſignificantiorem, ad exprimendam comminationẽ euidentiùs tali vtitur aſſimilatione perſonæ: ídque etiam facit volens timorem in auditorum animis inualeſcẽtem fixiùs imprimere. Idcirco in proſopopœia perſiſtit, dicens: *Et aperuit os ſuum, vt non ceſſet.* Narrationem ſuam texit perinde atque de fera quapiam loquuturus, & è vicinio eorum ſimilitudinem rerum D quas geſſerant producit. Quódque his atrocius eſt, quia os non modò aperuit: ſed & manet exerto ore, prędæ inhians, nec ſatietate expletur eorum, quos iam penes ſe detinet conditos. *Et deſcendent ad eum glorioſi & magnates & diuites & peſtilentes eius.* Ad hæc, vt noueris quæ fiebant, non eueniſſe conſequentia & ordine naturæ, ſed quòd ea plaga à Deo immiſſa eſſet, & decreto cœlitus delato: eos qui ſplendore nominis inclaruerant, qui pro poteſtate agebant, qui permiſcebant omnia, rempublicam Iudæorum ſurſum deorſum ſubuertentes, hos confirmauit illò eſſe deſcenſuros. λοιμοὺς peſtem autẽ ſiue contagium ciuitatis meritò eos vocat, quippe qui non ad ſuam ſolùm perniciem tuentur malitioſam nequitiam, ſed ad alios quoque eum tranſmittunt peſtilentem morbum. Talis vtique eſt peſtilentiæ natura.

Ad Rom. 1. 27.

Ab vno corpore vt cœpit primum, rectà pergens, reliquam depascitur multitudinem. *Et exultans in ea.* Qui deliciis vacat, lasciuit, suáque bona, immobilia deputat: is in laqueum cadet & capietur. 15. *Et humiliabitur homo & contemptui habebitur vir, & oculi sublimes deprimentur. Et exaltabitur Dominus solus Sabaoth in iudicio.* Vide rursus Dei prouidam curam. Non enim perducit ad extremam interne cionem, ita vt nihil supersit: neque populum eorum vniuersum è medio abripiendum permittit, sed quosdam, vt emigrantium timore perculsi resipiscant, finit superesse. Hoc equidem insinuat illud: Quia humiliabuntur. Hoc est, manentes, derelicti. *Et exaltabitur Dominus Sabaoth in iudicio: & Deus sanctus glorificabitur in iustitia.* Duo bona proponit, quia illi essent à tumore superbiæ releuandi & proinde futuri meliores: quódque Deus omnibus foret habendus admirationi ac prædicandus. Hunc enim sensum illa indicant: Exaltabitur & glorificabitur, animaduersione in eos facta & sumpta de peccatoribus vltione. Quid porrò est, in iudicio? Per iustam malorum retributionem. 17. *Et pascent dispersi, quasi tauri, & deserta eorum qui relicti sunt, agni comedent.* Paucitatem eorum qui derelicti sunt, hîc obscurè quidem innuit, simul & effusam atque exporrectam solitudinem regionis. 18. *Væ qui attrahunt peccata sua, quasi funiculo longo, quasi iugi corrigia vitulæ iniquitates suas.* 19. *Qui dicunt, citò appropinquent quæ faciet Deus, vt videamus: & veniat consilium sancti Israel, vt sciamus.* Quo tempore continuò intentabant comminationes Prophetæ & afflictiones plenas horroris prædicebàt venturas, ex contrario pseudoprophetæ ad captandam vulgi gratiam concionantes, diuini timoris robur quod supererat populo, dissoluebant, cõminationes prophetarum quidem asserentes mera esse mendacia, suas verò ipsorum conciones asseuerantes veritate niti. Multi proinde seducti suspecta habebãt, quæ à Prophetis prædicabantur, oracula. Dein quia prophetiæ non vno tempore edebantur, & eueniebant. Ea enim natura prophetiæ est, multò antè tempore prædicere, quæ certò euentura sunt. Prophetæ igitur continenter quidem dicebant fames, pestes, bella euentura, nec tamen ea demonstrabant operibus ipsis: quare ex fera cunctatione temporis,

Vide Hieronym.

Pseudoprophetæ quid prædicerẽt.

A ἐπειδὰν ἀφ' ἑνὸς ἄρξηται σώματος, ὁδῷ βαδίζουσα τὸ λοιπὸν ἐπινέμεται πλῆθος. καὶ ὁ ἀγαλλιώμενος ἐν αὐτῇ. ὁ τρυφῶν, ὁ σκιρτῶν, ὁ νομίζων ἀκίνητα ἔχειν τὰ ἀγαθὰ, καὶ αὐτὸς ἐμπεσεῖται καὶ ἁλώσεται. καὶ ταπεινωθήσεται ἄνθρωπος, καὶ ἀτιμασθήσεται ἀνήρ· καὶ οἱ ὀφθαλμοὶ οἱ μετέωροι ταπεινωθήσονται, καὶ ὑψωθήσεται κύριος μόνος σαβαὼθ ἐν κρίματι. ὅρα πάλιν Θεοῦ κηδεμονίαν. οὐ γὰρ πανωλεθρίαν ἐργάζεται. οὐδὲ ὅλον ἐκ μέσου τὸν δῆμον αὐτῶν ἀνάρπαστον ποιεῖ, ἀλλ' ἀφίησί τινας, ὥστε τῇ ἀγωνίᾳ τῶν ἀπελθόντων γενέσθαι βελτίους.
B τοῦτο γοῦν αἰνιττόμενος ἔφησεν, ὅτι ταπεινωθήσονται, τουτέστιν οἱ μένοντες, οἱ ὑπολιμπανόμενοι. καὶ ὑψωθήσεται κύριος σαβαὼθ ἐν κρίματι, καὶ ὁ Θεὸς ὁ ἅγιος δοξασθήσεται ἐν δικαιοσύνῃ. δύο τίθησιν ἀγαθὰ, ὅτι κἀκεῖνοι τῆς φλεγμονῆς ἀπαλλαγήσονται, καὶ ἔσονται βελτίους, καὶ ὁ Θεὸς θαυμασθήσεται παρὰ πᾶσι (τοῦτο γάρ ἐστιν, ὑψωθήσεται καὶ δοξασθήσεται) διὰ τῆς κολάσεως. καὶ βοσκηθήσονται οἱ διεσπαρμένοι ὡς ταῦροι, καὶ τὰς ἐρήμους τῶν ἀπειλημμένων ἄρνες φάγονται. τὴν ὀλιγότητα
C ἐνταῦθα αἰνίττεται τῶν ὑπολειφθέντων, καὶ τὴν ἐπιτεταμένην ἐρημίαν τῆς χώρας. οὐαὶ οἱ ἐπισπώμενοι τὰς ἁμαρτίας αὐτῶν ὡς σχοινίῳ μακρῷ, καὶ ὡς ζυγοῦ ἱμάντι δαμάλεως τὰς ἀνομίας αὐτῶν· οἱ λέγοντες, τὸ τάχος ἐγγισάτω, ἃ ποιήσει ὁ Θεὸς, ἵνα ἴδωμεν· καὶ ἐλθέτω ἡ βουλὴ τοῦ ἁγίου Ισραὴλ, ἵνα γνῶμεν. τῶν προφητῶν ἀπειλούντων συνεχῶς, καὶ τὰ φοβερὰ προαναφωνούντων, οἱ ψευδοπροφῆται πρὸς χάριν διαλεγόμενοι, καὶ τοῦ δήμου τὸν τόνον ἐκλύοντες, τὰ μὲν ἐκείνων ἔφασκον εἶναι ψευ-
D δῆ, τὰ δὲ αὐτῶν ἀληθῆ. πολλοὶ τοίνυν ἀπατώμενοι ἠπίστουν καὶ αὐτοῖς τοῖς ῥήμασιν. εἶτα ἐπειδὴ αἱ προφητεῖαι οὐχ ὁμοῦ τε ἐλέγοντο καὶ ἐξέβαινον (προφητείας γὰρ αὕτη ἡ φύσις, τὸ πρὸ πολλοῦ χρόνου τὰ μέλλοντα ἐκβήσεσθαι προαναφωνεῖν) ἐπεὶ οὖν συνεχῶς μὲν ἔλεγον οἱ προφῆται τοὺς λιμοὺς, τοὺς λοιμοὺς, τοὺς πολέμους, ἐπὶ δὲ τῶν ἔργων αὐτὰ οὐκ ἐδείκνυον,

τέως τὴν τοῦ χρόνου μέλλησιν ἀφορμὴν εἰς ἀπιστίαν λαμβάνοντες οἱ πολλοὶ τῶν ἠπατημένων ἔλεγον· ἐλθέτω τὰ λεγόμενα, εἰ ἀληθεύετε, ἐγγισάτω τὰ πράγματα, δείξατε ἡμῖν ἐπὶ τῶν ἔργων τὴν βουλὴν τοῦ Θεοῦ. ἐπεὶ οὖν τὴν αὐτοῦ μακροθυμίαν ὑπόθεσιν ἀπιστίας ἐποιοῦντο, καὶ ἐντεῦθεν προσετίθεσαν αὐτοῖς τοῖς ἁμαρτήμασι τό τε ἀπιστεῖν, τό τε διὰ τὴν ἀπιστίαν ῥαθυμότεροι γίνεσθαι, εἰκότως αὐτοὺς ὁ προφήτης θρηνεῖ λέγων· ὅτι καθάπερ σχοινίῳ μακρῷ, οὕτως ἕλκετε καθ' ἑαυτῶν τὴν ὀργὴν τοῦ Θεοῦ, καὶ αὔξετε ὑμῖν τὴν πονηρίαν. ἐπειδὴ γὰρ ἀπιστεῖτε τοῖς λεγομένοις ῥήμασι, λείπεται λοιπὸν τὴν διὰ τῶν ἔργων ἐπεισελθοῦσαν πεῖραν ὑμῖν. ὥστε οἱ τὰ κακὰ ἐπισπώμενοι, ὑμεῖς ἐστε, οἱ τοῖς λεγομένοις ἀπιστοῦντες. διὰ τοῦτό φησιν, οὐαὶ οἱ ἐπισπώμενοι τὰς ἁμαρτίας αὐτῶν, τουτέστι τὴν ἀντίδοσιν τῶν ἁμαρτημάτων. ὡς σχοινίῳ μακρῷ πόρρωθεν ἕλκετε, φησι, τὴν ὡρισμένην τοῖς ἁμαρτήμασιν ὑμῶν δίκην, καὶ ὡς ζυγοῦ ἱμάντι δαμάλεως ὑπὸ ζυγὸν οὔσης· ἵνα εἴπῃ τὸ εὔτονον, τὸ μετὰ σπουδῆς. ὡς ἐάν τις ἱμάντι εὐτόνῳ ἐφελκύσαιτό τι, οὕτως ὑμεῖς διὰ τῆς ἀπιστίας ἐφέλκετε καθ' ὑμῶν τοῦ Θεοῦ τὴν ὀργήν. εἶτα λέγει καὶ πῶς ἐφέλκονται. οἱ λέγοντες, τὸ τάχος ἐγγισάτω, ἃ ποιήσει ὁ Θεός, ἵνα ἴδωμεν. ὃ καὶ ἕτερος προφήτης ἐγκαλεῖ λέγων· οὐαὶ οἱ ἐπιθυμοῦντες τὴν ἡμέραν κυρίου. καὶ ἵνα τί ὑμῖν ἡ ἡμέρα αὕτη, καὶ αὕτη ἐστὶ σκότος καὶ οὐ φῶς, καὶ γνόφος οὐκ ἔχων φέγγος αὐτῆς; καὶ γὰρ καὶ ἐκεῖνοι ἀπιστοῦντες ἔλεγον, πότε ἥξει ἡ ἡμέρα τῆς κολάσεως καὶ τῆς τιμωρίας; οὐαὶ οἱ λέγοντες τὸ πονηρὸν καλὸν, καὶ τὸ καλὸν πονηρόν· οἱ τιθέντες τὸ φῶς σκότος, καὶ τὸ σκότος φῶς· οἱ τιθέντες τὸ γλυκὺ πικρὸν, καὶ τὸ πικρὸν γλυκύ. πάλιν περὶ τῶν αὐτῶν διαλέγεται. ἐπειδὴ τοὺς μὲν προφήτας ὕβριζον καὶ ἀπατεῶνας ἔλεγον, τοὺς δὲ ψευδοπροφήτας ἐτίμων, καὶ διέστρεφον τῶν πραγμάτων τὴν τάξιν, ταλανίζει αὐτοὺς ἐπὶ τῇ κρίσει τῇ διεφθαρμένῃ· οὐαὶ, φησιν, οἱ λέγοντες τὸ πονηρὸν καλὸν, τουτέστι, τὴν ψευδοπροφητείαν, καὶ τὸ καλὸν πονηρὸν, τὴν προφητείαν· οἱ τιθέντες τὸ φῶς σκότος, καὶ τὸ σκότος φῶς·

A arrepta quadamtenus occasione deflectendi ad perfidiam isti aliquammulti & dolo circumuenti dicebant: Veniant quæ dicuntur, si quidem vera dicitis: Propius adsint res ipsæ. Exhibitote nobis ipsis operibus consiliũ Dei. Posteaquam igitur isti Dei longanimitatem, materiã efficiebant perfidię, atque hinc adijciebant suis prioribus peccatis, vt increduli essent, & per eam incredulitatem ad virtutẽ obeundam fierent segniores, meritò eos deplorat Propheta, dicens: Quia quasi funiculo longo, sic aduersum vosmet attrahitis iram Dei, B cumulum nequitiæ vobis exaggerãtes. Quum enim his quæ dicuntur, minimè fidem commodetis: deinceps superest, vt subsequens experientia operum vos erudiat. Itaque vobis mala hæc accersitis & conciliatis malè creduli respõsis Prophetarum. quare ait: Væ qui attrahunt peccata sua. Hoc est, retributionem peccatorũ. Quasi funiculo longo, à longiore initio pertrahitis, ait, definitam peccatis vestram pœnam. Et quasi iugi corrigia vitulæ seu vaccæ subiugalis: vt exprimeret eorũ pertinaciam, & C quia studio atque industria peccarent, quasi si quis ad se quiduis pertrahat tenaci loro ac forti: ita & vos vestra ipsorum incredulitate iram Dei concitatis & attrahitis aduersum vos. Deinde addit etiam rationẽ, qua indignationem sibi ascissunt, dicentes: Citò appropinquent quæ facturus est Deus, vt videamus. Idipsum & Propheta alter eis vitio vertit & insimulat: Væ (ait) desiderantibus diem Domini: Vt quid vobis etiam ipsa dies? Ipsa est tenebræ & non lux, & caligo non habens splendorem. Etenim illi quoq; peruersè creduli diD cebant: quãdo veniet dies ille animaduersionis & vltionis? 20. *Væ qui dicunt quod malũ est, bonũ: & quod bonũ est, malum: qui ponũt lucẽ ipsam, tenebras: & tenebras ipsas, lucem. qui ponunt quod dulce est, amarum: & quod amarum est, dulce.* Rursus de iisdem edisserit. Quum enim Prophetas quidem incesserent contumeliis, eósque vocarent perfidiosos impostores, è diuerso pseudoprophetas honore prosequerentur: vtique tenorem rerum ordinémque peruertebãt. quare miseros eos prædicat ob iudiciũ corruptum, dicens: Væ iis qui dicũt quod malum est, bonum: hoc est, commẽtitiam & falsò excogitatam prophetiam. Et quod bonum est, malum prophetiã scilicet. Qui ponunt lucem ipsam, tenebras: & tenebras ipsas lucem.

Amos 5.18

Qui ponũt quod dulce est, amarum: & quod amarum est, dulce. Etiam si verba Prophetarum, ait, toleratu sint difficilia & auditores onerent, tamen his nihil vspiam inuenitur suauius. Per hoc enim quod verbis minantur, ipsam propellũt & auertunt rerũ experientiã. E diuerso conciones pseudoprophetarum, quamlibet sint in speciem dulces, nihil tamen illis amarulentius, quòd ij ad fauorem gratiámq. popularem sermocinantes, ipsis operibus vobis cõciliẽt & inferãt intẽtata supplicia. En Prophetæ sapientiam, vt eorum conuertit ac permutat mentes. Quum enim Prophetis attenderent minimùm, quòd pronunciarent acerbiora & plena amaritudinis, pseudoprophetis essent attentiores, vt qui verba depromerent multò iucundiora, multúmque habẽtia dulcoris, ait: quia totum id in diuersum abiret: nimirum à prophetarum sermonibus multum dependere mellitæ dulcedinis, contrà ab assentationib. pseudoprophetarũ multum scaturire fellitæ amaritudinis. De luce ac tenebris ad eundem sensum nobis tractandus venit sermo. Siquidem pseudoprophetæ ad complexum veritatis quasi manu deducebãt. Et illi quidẽ eos tantùm non manibus obuinctos tradiderunt tenebris osæ captiuitati: hi autem nihil non moliebantur ac tentabant, quo isti acquiescerent degere in luce suæ libertatis. Quum igitur de his contrarias sectarẽtur opiniones nec sibi consentientes, meritò ad rectitudinem eos reuocat, dicẽs: Qui ponunt lucem tenebras, & tenebras lucem. 21. *Væ qui intelligentes sunt apud semetipsos, & coram se scientes.* Et hoc vtique vitium nõ est exigui momenti, quo vnus aliquis se existimat esse sapientẽ, & suismet cogitationibus nihil non permittit. Nam ex illo istud oritur, vt nimirum malum dicant bonum, & bonum malum, & cætera. Hoc & Paulus dicebat cum externis à fide philosophis expostulans, illisque vitio vertẽs, quia dicẽtes se esse sapientes, stulti facti sũt. Sed & sermo ille prouerbialis rursus huic sententiæ cõcinit: Vidi hominem qui apud se videbatur esse sapiens: spem tamen habet stultus magis quàm ipse. Hoc ipsũ coarguit & Paulus dicens, Nolite esse sapiẽtes apud vosmetipsos. Rursus, Si quis sapiens videtur esse inter vos, in hoc seculo stultus fiat, vt fi sapiens: non se permittens arbitrio propriæ sapientiæ, neque acquiescens suis cogitationibus: sed consopitis illis ac repressis, spirituali doctrinæ addicat animam. Quum igitur tales apud Iudæos essent quidam,

Rom.1.22. Prou.26.12

Rom.11. 1.Cor.3.18

A οἱ τιθέντες τὸ γλυκὺ πικρὸν, καὶ τὸ πικρὸν γλυκύ. εἰ γὰρ καὶ φορτικά, φησι, τὰ ῥήματα, ἀλλ' οὐδὲν γλυκύτερον τῶν προφητῶν, τῇ τῶν ῥημάτων ἀπειλῇ τὴν διὰ τῶν πραγμάτων ἀποκρουομένων πεῖραν. εἰ καὶ γλυκέα τὰ τῶν ψευδοπροφητῶν, ἀλλ' οὐδὲν αὐτῶν πικρότερον, τῇ χάριτι τῶν λόγων τὴν διὰ τῶν ἔργων ἐπαγόντων ἀπειλήν. ἰδοὺ προφήτου σοφίαν, πῶς ἀντέστρεψεν αὐτῶν τὴν διάνοιαν. ἐπειδὴ γὰρ τοῖς μὲν ὡς πικρότατα φθεγγομένοις οὐ προσεῖχον, τοῖς δὲ ὡς προσηνεστάτοις, καὶ γλυ- B κύτητα πολλὴν ἔχουσι, ἔφησεν, ὅτι τοὐναντίον μὲν οὖν ἐστι· πολὺ τῶν προφητῶν τὸ μέλι, πολλὴ δὲ τῶν ψευδοπροφητῶν ἡ πικρία. οὕτω καὶ ἐπὶ τοῦ φωτὸς καὶ τοῦ σκότους τὸν λόγον μεταχειριστέον ἡμῖν. οἱ μὲν γὰρ πρὸς τὴν πλάνην ἦγαγον, οἱ δὲ καὶ πρὸς τὴν ἀλήθειαν ἐχειραγώγουν· καὶ οἱ μὲν τῷ ζόφῳ τῆς αἰχμαλωσίας μονονουχὶ τὰς χεῖρας δήσαντες παρεδίδοσαν, οἱ δὲ ὅπως ἐν τῷ φωτὶ τῆς ἐλευθερίας ἀγάγωσι, πάντα ἔπραττον. ἐπεὶ οὖν τὰς ἐναντίας περὶ τούτων δόξας εἶχον καὶ τὰς οὐ προσηκούσας, εἰκότως αὐτοὺς διορθοῦται λέγων, οἱ τιθέν- C τες τὸ φῶς σκότος, καὶ τὸ σκότος φῶς. οὐαὶ οἱ συνετοὶ ἐν ἑαυτοῖς, καὶ ἐνώπιον αὐτῶν ἐπιστήμονες. οὐ μικρὸν καὶ τοῦτο ἐλάττωμα, τὸ σοφόν τινα νομίζειν ἑαυτὸν, καὶ τοῖς ἑαυτοῦ λογισμοῖς τὸ πᾶν ἐπιτρέπειν. καὶ γὰρ ἐντεῦθεν ἐκεῖνο γίνεται. λέγω δὴ τὸ φάσκειν τὸ πονηρὸν καλὸν, καὶ τὸ καλὸν πονηρὸν καὶ τὰ ἑξῆς. τοῦτο καὶ ὁ Παῦλος τοῖς ἔξω φιλοσόφοις ἐγκαλῶν ἔλεγεν, ὅτι φάσκοντες εἶναι σοφοί, ἐμωράνθησαν· καὶ ὁ παροιμιώδης λόγος πάλιν φησίν, εἶδον ἄνθρωπον δοκοῦντα εἶναι σοφὸν παρ' ἑαυτῷ, ἐλπίδα δὲ ἔχει μᾶλλον ἄφρων αὐτοῦ. τοῦτο καὶ Παῦλος ἐγκαλεῖ πάλιν λέγων, μὴ D γίνεσθε φρόνιμοι παρ' ἑαυτοῖς. καὶ πάλιν, εἴ τις δοκεῖ σοφὸς εἶναι ἐν ὑμῖν, ἐν τῷ αἰῶνι τούτῳ γενέσθω μωρὸς, ἵνα γένηται σοφός. μὴ τῇ οἰκείᾳ σοφίᾳ, φησί, μηδὲ τοῖς ἑαυτοῦ ἐπιτρεπέτω λογισμοῖς, ἀλλ' ἐκείνους κατευνάσας, ἐκδιδότω τὴν ψυχὴν τῇ τοῦ πνεύματος διδασκαλίᾳ. ἐπεὶ οὖν καὶ παρὰ Ἰουδαίοις τοιοῦτοί τινες ἦσαν,

ὑπερορῶντες μὲν τῶν προφητῶν ὡς ποιμένων A καὶ αἰπόλων, βουλόμενοι δὲ σοφίζεσθαι οἴκοθεν, ὃ καὶ ἀπονοίας αὐτοῖς ὑπόθεσις ἐγίνετο, καὶ τοῦ καταφρονεῖν τῶν λεγομένων, εἰκότως αὐτοὺς θρηνεῖ λέγων· οὐαὶ οἱ συνετοὶ ἐν ἑαυτοῖς, καὶ ἐνώπιον αὐτῶν ἐπιστήμονες. οὐαὶ οἱ ἰσχύοντες ὑμῶν, οἱ τὸν οἶνον πίνοντες, καὶ οἱ δυνάσται οἱ κιρνῶντες τὸ σίκερα. μὴ θαυμάσῃς, εἰ πρὸ μικροῦ τοσαῦτα κατὰ μέθης εἰπὼν, πάλιν τὸν αὐτὸν ἐπαναλαμβάνει λόγον. ἐπεὶ γὰρ χαλεπὸν τὸ ἕλκος καὶ δύσληκτον, διὰ τοῦτο καὶ συνεχῶς ἐπαντλεῖν ἔδει· χαλεπὸν δὲ καὶ δύσληκτον, B τὸ μὴ δοκεῖν παρὰ τοῖς πολλοῖς ἁμάρτημα εἶναι, πάντων ἁμαρτημάτων χαλεπώτερον ὂν, καὶ μυρία βλαστάνον νοσήματα. διό φησιν· οἱ τὸν οἶνον πίνοντες, καὶ οἱ δυνάσται οἱ κιρνῶντες τὸ σίκερα. διπλοῦς ὁ κρημνὸς, τυραννὶς μέθης, καὶ δυναστείας ὑπερβολή. πᾶσι μὲν γὰρ ἀνθρώποις λογισμοῦ χρεία, μάλιστα δὲ τοῖς ἐν ἀξιώμασι καὶ δυναστείαις οὖσιν, ὥστε μὴ καθάπερ ἀτάκτων ὑδάτων ῥύμῃ τινὶ, τῷ τῆς ἀρχῆς ἐκφερομένους ὄγκῳ κατακρημνίζεσθαι. οἱ δικαιοῦντες τὸν ἀσεβῆ ἕνεκεν δώρων, καὶ τὸ δί- C καιον τοῦ δικαίου αἴροντες ἀπ' αὐτοῦ. διπλοῦν τὸ ἔγκλημα πάλιν, τὸ τὸν ὑπεύθυνον ἀφιέναι, καὶ τὸν ἀνεύθυνον καταδικάζειν. ἑκατέρου ἁμαρτήματος ἡ ῥίζα, δωροδοκία. διὰ τοῦτο ὃν τρόπον καυθήσεται καλάμη ὑπὸ ἄνθρακος πυρὸς, καὶ συγκαυθήσεται ὑπὸ φλογὸς ἀνειμένης. τὸ τῆς τιμωρίας ταχὺ, τὸ εὔκολον τῆς κολάσεως παρίστησι, διὰ τῆς εἰκόνος τὴν πανωλεθρίαν αὐτῶν δηλῶν. ἀπόλυτα γὰρ ταῦτα ἡ φλὸξ καὶ οἱ ἄνθρακες καὶ ἡ καλάμη καὶ τὰ ἑξῆς ἡμῖν προεδήλωσεν. ἡ ῥίζα αὐτῶν ὡς χνοῦς D ἔσται, καὶ τὸ ἄνθος αὐτῶν ὡς κονιορτὸς ἀναβήσεται: τὰ πεπηγότα καὶ τὰ βέβαια ἀπολεῖται, καὶ διαχυθήσεται τὰ λαμπρὰ, καὶ τὰ φαιδρὰ οἰχήσεται καὶ διαῤῥυήσεται. οὐ γὰρ ἠθέλησαν τὸν νόμον κυρίου σαβαὼθ ποιεῖν, ἀλλὰ τὸ λόγιον τοῦ ἁγίου παρώξυναν. λόγιον τὸν νόμον λέγει. καὶ ἐθυμώθη κύριος σαβαὼθ ὀργῇ ἐπὶ τὸν λαὸν αὐτοῦ, καὶ ἐπέβαλε τὴν χεῖρα αὐτοῦ ἐπ' αὐτοὺς,

Prophetas ceu ouium pastores & caprarios illi quidem fastidientes, & contemptim eos transmittentes: cupientes alioqui videri sua ipsorum industria sapientes, quod planè superbię indicium, eis fiebat occasio aspernandi prophetica oracula: quare meritò eos deplorat dicens, Væ qui prudentes sunt apud semetipsos, & coram semetipsis scientes. 22. *Væ qui potentes sunt inter vos, qui vinum bibunt, qui dominantur & hi miscent siceram.* Ne mireris, si quum paulò antè tanta de ebrietate dixerit, rursus inculcet sermonem eadem de re. Nam quando vlcus id perplexum est, nec facilè vlli medelæ cedit, ob hoc conueniebat ipsum iugi aspergine mitigare. Equidem eapropter est permolestum nec facilè cedens, quòd plerisque videatur minimè esse peccatum, quum sit cęteris omnibus difficilius toleratu, & ex se innumerabilium vitiorũ germina propaget. Ob id ait, Væ qui vinum bibunt, & qui dominantur miscentes siceram. Duplex enim est præcipitium, violentia ebrietatis & potentatus magnitudo. Quum enim nulli non mortalium circumspecta rerũ ratiocinatione sit opus, iis vel maximè necessaria est, qui amplitudine dignitatis præcellunt, & agunt cuncta pro potestate. Ne tumore sui principatus, ceu impetu quodam inundantium aquarum elati in præcipitium ruant. 23. *Qui iustificant impium pro muneribus, & quod erat ius iusti, auferunt ab eo.* Duplex rursus illis intendit crimen, quod obnoxium culpæ absoluerent, & insontem condemnarent. Vtriusque peccati radix, corruptela erat & acceptio numerum: 24. *Propter hoc quemadmodum succendetur stipula à carbone ignis, & succendetur à flamma remissa.* Hac similitudine celeritatem exigendę vltionis, & facilitatem sumendi de eis supplicij demonstrat, perspicuè docens eos ad extremam perniciem esse deducendos. vniuersa enim hæc flamma, carbones, stipula & quæ sequuntur, nobis subindicarunt. *Radix eorum quasi lanugo erit: & flos eorum quasi puluis ascendet.* Quæ fixa sunt & firma, disperibunt & resoluentur: quæ splendidè & magnificè substructa, ibunt pessum ac defluent. *Non enim voluerunt legem Domini Sabaoth facere, sed eloquium sancti exasperauerunt.* Eloquium siue responsum diuinum dicit legem. 25. *Et iratus est furore Dominus Sabaoth aduersus populum suũ: & iniecit manum suã in eos, & percussit eos,*

Collatio ab vlcere ducta.

& exacerbatus est aduersus montes. Et facta sunt morticinia eorum quasi stercus in medio viæ. Et in omnibus his non est auersus furor eius: sed adhuc manus eius excelsa. Hoc loco bellum adeo graue futurum innuit, vt ne eorum quidē corpora permissurum sit tradi sepulturæ: non vt illi pœnas luant, sed vt futuri superstites nonnihil saltem ex sua malitia præciderent, contemplatione alienæ calamitatis. Mihi nunc vide, vt atrociorē reddiderit sermonem. Non enim dixit, quia non sunt mandati sepulturæ: sed quia vilissimo quolibet stercore ignominiosiùs erant disiecti qui præmortui erant, quod & præ cęteris omnibus, horrorem viuis incutere posse videbatur, imò morte ipsa atrocius apparebat. Adde etiā his, quod suapte malitia omnia vincit. ne his quidem gestis resipuerūt aut facti sunt moderatiores: sed in iisdem pertinaciter hæserunt peccatis. Quòd igitur nihilo essent meliores effecti, rursus eis intētat grauissimam illam plagam, nempe impressionem barbarorum, eóque infert, dicens: 26. *Quapropter leuabit signum in nationibus procul.* Vt ne interim tepescerent, séque dederent ignauiæ propter viæ prolixitudinē, addit quia Deo tam esset facile adducere eos, quàm est leuare signum, & ad ineundū conflictum milites procinctos & instructos iam educere, quod vtique fit equitibus ad decertandum instructis. Simul enim atque signū emissionis in sublime erigitur, è repagulis confestim & carceribus exiliunt. Propheta igitur duo hîc insinuat, quia Deo eos inuitāte, nullus illis labor supersit vt veniāt, iámq. venissent pridē, nisi eorū animos repressisset multa Dei lōganimitas. Deinde inter enarrandum pleniorem ostēdit facilitatem, dicens: *Et sibilabit ad eos ab extremitate terræ.* Ne mireris autem, si de Deo edisserens sic sit vsus istis crassissimis dictionibus. Verba enim ipsa figuratè attēperat stolidæ ruditati auditorum, per hęc omnia vnū volēs indicare, nimirū id perquam facile esse Deo, & quod omnino aduenient. Idcirco subiecit, dicēs: *Et ecce citò velociter venient.* 27. *Non esurient, neq; laborabunt, neque dormitabūt.* Hæc hyperbolicè sunt dicta. quî enim fieri poterat, vt qui homines erāt, nō sentirent famem, non item dormirēt, cōmunem ceteris sortiti naturæ cōditionē? Cæterū hisce omnibus verbis exprimit venturi exercitus velocitatē, alacrem & expromptam facilitatem,

Signū, symbolum commutationis datum.

A καὶ ἐπάταξεν αὐτούς. καὶ παρωξύνθη ἐπὶ τὰ ὄρη, καὶ ἐγένετο τὰ θνησιμαῖα αὐτῶν, ὡς κοπρία ἐν μέσῳ ὁδοῦ, καὶ ἐν πᾶσι τούτοις οὐκ ἀπεστράφη ὁ θυμὸς αὐτοῦ, ἀλλ' ἔτι ἡ χεὶρ αὐτοῦ ὑψηλή. ἐνταῦθα πόλεμον αἰνίττεται χαλεπὸν, ὃς οὐδὲ ταφῇ τὰ σώματα συγχωρήσει παραδοθῆναι, οὐχ ἵνα ἐκεῖνοι κόλασιν δῶσιν, ἀλλ' ἵνα οἱ ζῶντες ἐν ταῖς ἀλλοτρίαις συμφοραῖς τῆς οἰκείας ἀποτέμνωνταί τι κακίας. καὶ ὅρα πῶς χαλεπώτερον τὸν λόγον ἐποίησεν. οὐ γὰρ εἶπεν, ὅτι οὐκ ἐτάφησαν, ἀλλ' ὅτι κόπρου πάσης ἀτιμότερον ἐῤῥιμμένοι ἦσαν οἱ τετελευτηκότες, ὃ
B τοῖς ζῶσι φρικωδέστερον ἁπάντων εἶναι δοκεῖ, καὶ τῆς τελευτῆς αὐτῆς χαλεπώτερον. καὶ τὸ δὴ χεῖρον, ὅτι οὐδὲ τούτων γινομένων, φησὶν, ἐπιεικέστεροι γεγόνασιν, ἀλλὰ τοῖς αὐτοῖς ἐπιμένουσιν. ἐπεὶ οὖν οὐδὲν βελτίους ἐγένοντο, ἀπειλεῖ πάλιν αὐτοῖς τὴν χαλεπωτάτην ἐκείνην πληγὴν τὴν τῶν βαρβάρων. διὸ καὶ ἐπάγει λέγων· τοιγαροῦν ἀρεῖ σύσσημον ἐν τοῖς ἔθνεσι τοῖς μακράν. ἵνα μὴ τῆς ὁδοῦ τὸ μῆκος εἰς ῥαθυμίαν αὐτοὺς ἐμβάλλῃ, φησὶν, ὅτι οὕτω τῷ Θεῷ ῥᾴδιον ἀγαγεῖν αὐτοὺς, ὡς τὸ σύσσημον ἆραι, καὶ τοὺς
C παρεσκευασμένους καὶ ἑτοίμους ἐξάγειν πρὸς παράταξιν, ὅπερ καὶ ἐπὶ τῶν ἵππων γίνεται τῶν ἁμιλλητηρίων. ὁμοῦ τε γὰρ τὸ σύμβολον τῆς ἀφέσεως αἴρεται, κἀκεῖνοι τῶν βαλβίδων ἐκπηδῶσιν εὐθέως. δύο τοίνυν ἐνταῦθα ὁ προφήτης αἰνίττεται, ὅτι καὶ εὔκολον αὐτοὺς ἐλθεῖν, τοῦ Θεοῦ καλοῦντος, καὶ πάλαι ἂν ἦλθον, εἰ μὴ ἡ πολλὴ κατεῖχεν αὐτοὺς μακροθυμία. εἶτα τῇ ἐπεξηγήσει πλείονα τὴν εὐκολίαν ἐνδείκνυται λέγων· καὶ συριεῖ αὐτοὺς ἀπ' ἄκρου τῆς γῆς. μὴ θαυμάσῃς δὲ, εἰ περὶ Θεοῦ δια-
D λεγόμενος, οὕτω παχυτάταις κέχρηται λέξεσι. πρὸς γὰρ τὴν ἄνοιαν τῶν ἀκουόντων σχηματίζει τὰ ῥήματα, ἓν βουλόμενος δεῖξαι διὰ πάντων, ὅτι καὶ τῷ Θεῷ ῥᾴδιον τοῦτο, καὶ ὅτι πάντως ἀπαντήσονται. διὸ καὶ ἐπήγαγε λέγων· καὶ ἰδοὺ ταχὺ κούφως ἔρχονται. οὐ πεινάσουσιν, οὐδὲ κοπιάσουσιν, οὐδὲ νυστάξουσι. ταῦτα ὑπερβολικῶς εἴρηται. πῶς γὰρ οἷόν τε μήτε πεινῆν μήτε καθεύδειν ἀνθρώπους ὄντας, καὶ τὴν κοινὴν λαχόντας λῆξιν; ἀλλὰ τὸ τάχος τῆς στρατιᾶς, τὴν εὐκολίαν, τὴν ταχύτητα,

ὅπερ ἔφθην εἰπών, διὰ πάντων ἐνδείκνυται. οὐδὲ λύσουσι τὰς ζώνας αὐτῶν ἀπὸ τῆς ὀσφύος αὐτῶν· οὐδὲ μὴ ῥαγῶσιν οἱ ἱμάντες τῶν ὑποδημάτων αὐτῶν· ὧν τὰ βέλη ὀξέα ἐστί, καὶ τὰ τόξα αὐτῶν ἐντεταμένα· οἱ πόδες τῶν ἵππων αὐτῶν ὡς στερεὰ πέτρα ἐλογίσθησαν, οἱ τροχοὶ τῶν ἁρμάτων αὐτῶν ὡς καταιγίδες. ὁρμήσουσιν ὡς λέοντες, καὶ παρεστήκασιν ὡς σκύμνοι λεόντων. καὶ ἐπιλήψεται, καὶ βοήσει ὡς θηρίον, καὶ ἐκβαλεῖ, καὶ οὐκ ἔστιν ὁ ῥυόμενος αὐτούς. καὶ βοήσεται δι' αὐτοὺς τῇ ἡμέρᾳ ἐκείνῃ, ὡς φωνὴ θαλάσσης κυμαινούσης, καὶ ἐμβλέψονται εἰς τὸν οὐρανὸν ἄνω, καὶ εἰς τὴν γῆν κάτω· καὶ ἰδοὺ σκότος σκληρὸν, σκότος ἐν τῇ ἀπορίᾳ αὐτῶν. διὰ πάντων τὸν λόγον ἐξώγκωσε, καὶ τὸν φόβον ἐπῆρε, κατὰ μικρὸν ἕκαστα διηγούμενος, τὰ περὶ τῆς γνώμης, τὰ περὶ τῆς ἰσχύος, τὰ περὶ τῶν ὅπλων, τὰ περὶ τῶν ἵππων, τὰ περὶ τῶν ἁρμάτων, ὥστε τὸ πλῆθος τῶν λεγομένων πολλὴν ποιῆσαι τὴν ἀγωνίαν, καὶ τῇ σαφηνείᾳ τῶν εἰκόνων ἐγγὺς τὰ πράγματα αὐτοῖς ἀγαγεῖν. διὸ καὶ λέουσι αὐτοὺς παραβάλλει, καὶ οὐδὲ ἐνταῦθα ἔστη τοῦ παραδείγματος, ἀλλὰ καὶ φωνὴν ἀναπλάττει καὶ ὁρμὴν τοῦ θηρίου, καὶ ἐπιμένει τῇ μεταφορᾷ, καὶ πολλὴν ποιεῖται τὴν τροπήν. καὶ ἐντεῦθεν ἐπὶ θάλατταν ἐξάγει τὸν λόγον, λέγων, ὅτι τοσοῦτος ἔσται ὁ θόρυβος, τοσαύτη ἡ ταραχὴ, ὅση ἂν γένοιτο μαινομένης θαλάσσης καὶ κύματα διεγειρούσης· καὶ πάντα κινῶν τρόπον, αὔξων τὸν φόβον, ὥστε μὴ δεηθῆναι αὐτοὺς τῆς διὰ τῶν πραγμάτων πείρας. καὶ τὸ δὴ χαλεπώτερον, ὅτι οὐδεὶς ὁ παραστησόμενος ἔσται, φησὶν, οὐκ ἀπὸ τῆς γῆς, οὐκ ἀπὸ τῶν οὐρανίων· ἀλλ' ἔρημοι καὶ τῆς ἄνωθεν συμμαχίας, καὶ τῆς κάτωθεν βοηθείας, ἐκδοθήσονται τοῖς πολεμίοις. σκότος δὲ ἐνταῦθά φησι, τὸ ἀπὸ τῆς συμφορᾶς αὐτοῖς, ἐγγινόμενον, οὐχ ὡς τῆς ἀκτῖνος ἀφανιζομένης, ἀλλὰ τῆς διαθέσεως τῶν πασχόντων ἐν τῇ μέσῃ τῇ μεσημβρίᾳ ἀντὶ φωτὸς σκότος ὁρώντων· ὅπερ τοῖς ὀδυνωμένοις καὶ θλιβομένοις συμβαίνειν εἴωθε. καὶ ἵνα μάθῃς, ὅτι οὐ τῆς φύσεως τοῦ ἀέρος τὸ σκότος ἦν, ἀλλὰ τῆς ἐκείνων διαθέσεως, ἐπήγαγε· σκληρὸν σκότος ἐν τῇ ἀπορίᾳ αὐτῶν.

A quod & anteuerti vt dicerē: *Neque soluēt zonas suas à lumbis suis, neque disrumpentur corrigiæ calceamentorum eorum.* 28. *Quorum sagittæ acutæ sunt, & arcus eorū extenti. Pedes equorum eorum, vt solida petra reputati sunt: rotæ curruum eorum, quasi procellosa tempestas.*

29. *Impetum concitant, vt leones: & adstiterunt, vt catuli leonum.* 30. *Et apprehendet, & clamabit quasi fera, & eyciet, & non erit qui liberet eos. Et vociferabitur propter eos die illo, sicut vox maris fluctibus exæstuātis. Et aspicient in cœlum sursum, & in terram deorsum, & ecce tenebræ duræ, tenebræ in desperatione eorum.*

Hisce omnibus sermonē suum exaggeB rauit, & sensim vnicuiq. eorum incussit timorem, ea enarrās quæ decreta erant, quæ de fortitudine, de armis, de equis, de currib⁹, adeò vt eorū multitudo, quæ intulit, abundè sufficeret multam illis inferre anxietatem: vtque perspicuitatate inductarum similitudinū res ipsas è propinquo affuturas eis repræsētaret. Quare hostes etiam ipsos confert cum leonibus. Neque in hoc conquieuit exemplo, sed vocem quoque affingit, & peracrem impetum feræ, inque metaphora perstat, & multiplici vtitur figurata locutione. Hinc deniq; sermonem C educit ad mare, dicens: quia tumultus tantus erit, támque turbulenta infestatio, quanta fieri cōsueuit vesaniente & exasperato mari, fluctúsque ciente; ac modis omnibus adnititur, vt timorem adaugeat, ad hoc vt ne intētatas pœnas rebus ipsis cogantur experiri: quodque his grauius, quia nemo (ait) affuturus est auxilio, non à terra, non item à cœlis: sed destituti superno præsidio simul & inferiorum ope spoliati dedentur hostibus. Tenebras aut̄ præsenti loco dicit D quæ illis essent euenturæ per magnitudinē futuræ calamitatis, non item quòd ex eorum conspectu tollendus esset radiosus splendor Solis: sed quia pro affectu miserè patientium, medio etiam die tenebras pro luce se videre arbitraturi essent, id quod contingere consueuit his, qui miserè anguntur doloribus & afflictantur. Vtque nosses istiusmodi tenebras non ab aëris natura esse obortas, sed ab illorum miserabili affectu, subiecit: tenebras duras, rudes, asperas, strigosas siue callosas, per inopiam consilij ac desperationem ipsorum.

& exacerbatus eſt aduerſus montes. Et facta ſunt morticinia eorum quaſi ſtercus in medio viæ. Et in omnibus his non eſt auerſus furor eius: ſed adhuc manus eius excelſa. Hoc loco bellum adeo graue futurum innuit, vt ne eorum quidē corpora permiſſurum ſit tradi ſepulturæ: non vt illi pœnas luant, ſed vt futuri ſuperſtites nonnihil ſaltem ex ſua malitia præciderent, contemplatione alienæ calamitatis. Mihi nunc vide, vt atrociorē reddiderit ſermonem. Non enim dixit, quia non ſunt mandati ſepulturæ: ſed quia viliſſimo quolibet ſtercore ignominioſiùs erant diſiecti qui præmortui erant, quod & prę cęteris omnibus, horrorem viuis incutere poſſe videbatur, imò morte ipſa atrocius apparebat. Adde etiā his, quod ſuapte malitia omnia vincit. ne his quidem geſtis reſipuerūt aut facti ſunt moderatiores: ſed in iiſdem pertinaciter hæſerunt peccatis. Quòd igitur nihilo eſſent meliores effecti, rurſus eis intētat grauiſſimam illam plagam, nempe impreſſionem barbarorum, eóque infert, dicens: 26. *Quapropter leuabit ſignum in nationibus procul.* Vt ne interim tepeſcerent, ſéque dederent ignauiæ propter viæ prolixitudinē, addit quia Deo tam eſſet facile adducere eos, quàm eſt leuare ſignum, & ad ineundū conflictum milites procinctos & inſtructos iam educere, quod vtique fit equitibus ad decertandum inſtructis. Simul enim atque ſignū emiſſionis in ſublime erigitur, è repagulis confeſtim & carceribus exiliunt. Propheta igitur duo hîc inſinuat, quia Deo eos inuitāte, nullus illis labor ſuperſit vt veniāt, iámq. veniſſent pridē, niſi eorū animos repreſſiſſet multa Dei lōganimitas. Deinde inter enarrandum pleniorem oſtēdit facilitatem, dicens: *Et ſibilabit ad eos ab extremitate terræ.* Ne mireris autem, ſi de Deo ediſſerens ſic ſit vſus iſtis craſſiſſimis dictionibus. Verba enim ipſa figuratè attēperat ſtolidæ ruditati auditorum, per hęc omnia vnū volēs indicare, nimirū id perquam facile eſſe Deo, & quod omnino aduenient. Idcirco ſubiecit, dicēs: *Et ecce citò velociter veniūt. 27. Non eſurient, neq; laborabunt, neque dormitabūt.* Hæc hyperbolicè ſunt dicta. quî enim fieri poterat, vt qui homines erāt, nō ſentirent famem, non item dormirēt, cōmunem cęteris ſortiti naturæ cōditionē? Cæterū hiſce omnibus verbis exprimit venturi exercitus velocitatē, alacrem & exprōmptam facilitatem,

Signū, ſymbolum communitēſpiratione datum.

καὶ ἐπάταξεν αὐτούς. καὶ παρωξύνθη ἐπὶ τὰ ὄρη, καὶ ἐγένετο τὰ θνησιμαῖα αὐτῶν, ὡς κοπρία ἐν μέσῳ ὁδοῦ, καὶ ἐν πᾶσι τούτοις οὐκ ἀπεστράφη ὁ θυμὸς αὐτοῦ, ἀλλ' ἔτι ἡ χεὶρ αὐτοῦ ὑψηλή. ἐνταῦθα πόλεμον αἰνίττεται χαλεπὸν, ὃς οὐδὲ ταφῇ τὰ σώματα συγχωρήσει παραδοθῆναι, οὐχ ἵνα ἐκεῖνοι κόλασιν δῶσιν, ἀλλ' ἵνα οἱ ζῶντες ἐν ταῖς ἀλλοτρίαις συμφοραῖς τῆς οἰκείας ἀποτέμνωνταί τι κακίας. καὶ ὅρα πῶς χαλεπώτερον τὸν λόγον ἐποίησεν. οὐ γὰρ εἶπεν, ὅτι οὐκ ἐτάφησαν, ἀλλ' ὅτι κόπρου πάσης ἀτιμότερον ἐῤῥιμμένοι ἦσαν οἱ τετελευτηκότες, ὃ τοῖς ζῶσι φρικωδέστερον ἁπάντων εἶναι δοκεῖ, καὶ τῆς τελευτῆς αὐτῆς χαλεπώτερον. καὶ τὸ δὴ χεῖρον, ὅτι οὐδὲ τούτων γινομένων, φησὶν, ἐπιεικέστεροι γεγόνασιν, ἀλλὰ τοῖς αὐτοῖς ἐπιμένουσιν. ἐπεὶ οὖν οὐδὲν βελτίους ἐγένοντο, ἀπειλεῖ πάλιν αὐτοῖς τὴν χαλεπωτάτην ἐκείνην πληγὴν τὴν τῶν βαρβάρων. διὸ καὶ ἐπάγει λέγων· τοιγαροῦν ἀρεῖ σύσσημον ἐν τοῖς ἔθνεσι τοῖς μακράν. ἵνα μὴ τῆς ὁδοῦ τὸ μῆκος εἰς ῥαθυμίαν αὐτοὺς ἐμβάλλῃ, φησὶν, ὅτι οὕτω τῷ Θεῷ ῥᾴδιον ἀγαγεῖν αὐτοὺς, ὡς τὸ σύσσημον αἴροντι, καὶ τοὺς παρεσκευασμένους καὶ ἑτοίμους ἐξάγοντι πρὸς παράταξιν, ὅπερ καὶ ἐπὶ τῶν ἵππων γίνεται τῶν ἁμιλλητηρίων. ὁμοῦ τε γὰρ τὸ σύμβολον τῆς ἀφέσεως αἴρεται, κἀκεῖνοι τῶν βαλβίδων ἐκπηδῶσιν εὐθέως. δύο τοίνυν ἐνταῦθα ὁ προφήτης αἰνίττεται, ὅτι καὶ εὔκολον αὐτοὺς ἐλθεῖν, τοῦ Θεοῦ καλοῦντος, καὶ πάλαι ἂν ἦλθον, εἰ μὴ ἡ πολλὴ κατεῖχεν αὐτοὺς μακροθυμία. εἶτα τῇ ἐπεξηγήσει πλείονα τὴν εὐκολίαν ἐνδείκνυται λέγων· καὶ συριεῖ αὐτοὺς ἀπ' ἄκρου τῆς γῆς. μὴ θαυμάσῃς δὲ, εἰ περὶ Θεοῦ διαλεγόμενος, οὕτω παχυτάταις κέχρηται λέξεσι. πρὸς γὰρ τὴν ἄνοιαν τῶν ἀκουόντων σχηματίζει τὰ ῥήματα, ἓν βουλόμενος δεῖξαι διὰ πάντων, ὅτι καὶ τῷ Θεῷ ῥᾴδιον τοῦτο, καὶ ὅτι πάντως ἀπαντήσονται. διὸ καὶ ἐπήγαγε λέγων· καὶ ἰδοὺ ταχὺ κούφως ἔρχονται. οὐ πεινάσουσιν, οὐδὲ κοπιάσουσιν, οὐδὲ νυστάξουσι. ταῦτα ὑπερβολικῶς εἴρηται. πῶς γὰρ οἷόν τε μήτε πεινῆν μήτε καθεύδειν ἀνθρώπους ὄντας, καὶ τὴν κοινὴν λαχόντας λῆξιν; ἀλλὰ τὸ τάχος τῆς στρατιᾶς, τὴν εὐκολίαν, τὴν ταχύτητα,

ὅπερ ἔφθην εἰπὼν, διὰ πάντων ἐνδείκνυται. οὐδὲ λύσουσι τὰς ζώνας αὐτῶν ἀπὸ τῆς ὀσφύος αὐτῶν οὐδὲ μὴ ῥαγῶσιν οἱ ἱμάντες τῶν ὑποδημάτων αὐτῶν· ὧν τὰ βέλη ὀξέα ἐστὶ, καὶ τὰ τόξα αὐτῶν ἐντεταμένα· οἱ πόδες τῶν ἵππων αὐτῶν ὡς στερεὰ πέτρα ἐλογίσθησαν, οἱ τροχοὶ τῶν ἁρμάτων αὐτῶν ὡς καταιγίδες. ὁρμήσουσιν ὡς λέοντες, καὶ παρεστήκασιν ὡς σκύμνοι λεόντων. καὶ ἐπιλήψεται, καὶ βοήσει ὡς θηρίον, καὶ ἐκβαλεῖ, καὶ οὐκ ἔστιν ὁ ῥυόμενος αὐτούς. καὶ βοήσεται δι' αὐτοὺς τῇ ἡμέρᾳ ἐκείνῃ, ὡς φωνὴ θαλάσσης κυμαινούσης, καὶ ἐμβλέψονται εἰς τὸν οὐρανὸν ἄνω, καὶ εἰς τὴν γῆν κάτω· καὶ ἰδοὺ σκότος σκληρὸν, σκότος ἐν τῇ ἀπορίᾳ αὐτῶν. διὰ πάντων τὸν λόγον ἐξώγκωσε, καὶ τὸν φόβον ἐπῆρε, κατὰ μικρὸν ἕκαστα διηγούμενος, τὰ περὶ τῆς γνώμης, τὰ περὶ τῆς ἰσχύος, τὰ περὶ τῶν ὅπλων, τὰ περὶ τῶν ἵππων, τὰ περὶ τῶν ἁρμάτων, ὥστε τὸ πλῆθος τῶν λεγομένων πολλὴν ποιῆσαι τὴν ἀγωνίαν, καὶ τῇ σαφηνείᾳ τῶν εἰκόνων ἐγγὺς τὰ πράγματα αὐτοῖς ἀγαγεῖν. διὸ καὶ λέουσι αὐτοὺς παραβάλλει, καὶ οὐδὲ ἐνταῦθα ἔστη τοῦ παραδείγματος, ἀλλὰ καὶ φωνὴν ἀναπλάττει καὶ ὁρμὴν τοῦ θηρίου, καὶ ἐπιμένει τῇ μεταφορᾷ, καὶ πολλὴν ποιεῖται τὴν τροπήν. καὶ ἐντεῦθεν ἐπὶ θάλατταν ἐξάγει τὸν λόγον, λέγων, ὅτι τοσοῦτος ἔσται ὁ θόρυβος, τοσαύτη ἡ ταραχὴ, ὅση ἂν γένοιτο μαινομένης θαλάσσης καὶ κύματα διεγειρούσης· καὶ πάντα κινεῖ τρόπον, αὔξων τὸν φόβον, ὥστε μὴ δεηθῆναι αὐτοὺς τῆς διὰ τῶν πραγμάτων πείρας. καὶ τὸ δὴ χαλεπώτερον, ὅτι οὐδὲ ὁ παραστησόμενος ἔσται, φησὶν, οὐκ ἀπὸ τῆς γῆς, οὐκ ἀπὸ τῶν οὐρανίων· ἀλλ' ἔρημοι καὶ τῆς ἄνωθεν συμμαχίας, καὶ τῆς κάτωθεν βοηθείας, ἐκδοθήσονται τοῖς πολεμίοις. σκότος δὲ ἐνταῦθά φησι, τὸ ἀπὸ τῆς συμφορᾶς αὐτοῖς, ἐγγινόμενον, οὐχ ὡς τῆς ἀκτῖνος ἀφανιζομένης, ἀλλὰ τῆς διαθέσεως τῶν πασχόντων ἐν τῇ μέσῃ τῇ μεσημβρίᾳ ἀντὶ φωτὸς σκότος ὁρώντων· ὅπερ τοῖς ὀδυνωμένοις καὶ θλιβομένοις συμβαίνειν εἴωθε. καὶ ἵνα μάθῃς, ὅτι οὐ τῆς φύσεως τοῦ ἀέρος τὸ σκότος ἦν, ἀλλὰ τῆς ἐκείνων διαθέσεως, ἐπήγαγε· σκληρὸν σκότος ἐν τῇ ἀπορίᾳ αὐτῶν.

A quod & anteuerti vt dicerē: *Neque soluēt zonas suas à lumbis suis, neque disrumpentur corrigiæ calceamentorum eorum.* 28. *Quorum sagittæ acutæ sunt, & arcus eorū extenti. Pedes equorum eorum, vt solida petra reputati sunt: rotæ curruum eorum, quasi procellosa tempestas.*

29. *Impetum concitant, vt leones: & adstiterunt, vt catuli leonum.* 30. *Et apprehendet, & clamabit quasi fera, & eijciet, & non erit qui liberet eos. Et vociferabitur propter eos die illo, sicut vox maris fluctibus exæstuātis. Et aspicient in cœlum sursum, & in terram deorsum, & ecce tenebræ duræ, tenebræ in desperatione eorum.*

Hisce omnibus sermonē suum exaggerauit, B & sensim vnicuiq. eorum incussit timorem, ea enarrās quæ decreta erant, quæ de fortitudine, de armis, de equis, de curribus, adeò vt eorū multitudo, quæ intulit, abundè sufficeret multam illis inferre anxietatem: vtque perspicuitate inductarum similitudinū res ipsas è propinquo affuturas eis repræsētaret. Quare hostes etiam ipsos confert cum leonibus. Neque in hoc conquieuit exemplo, sed vocem quoque affingit, & peracrem impetum feræ, inque metaphora perstat, & multiplici vtitur figurata locutione. Hinc deniq; sermonem C educit ad mare, dicens: quia tumultus tantus erit, támque turbulenta infestatio, quanta fieri cōsueuit vesaniente & exasperato mari, fluctúsque ciente, ac modis omnibus adnititur, vt timorem adaugeat, ad hoc vt ne intētatas pœnas rebus ipsis cogantur experiri: quodque his grauius, quia nemo (ait) affuturus est auxilio, non à terra, non item à cœlis: sed destituti superno præsidio simul & inferiorum ope spoliati dedentur hostibus. Tenebras aut̄ præsenti loco dicit D quæ illis essent euenturæ per magnitudinē futuræ calamitatis, non item quòd ex eorum conspectu tollendus esset radiosus splendor Solis: sed quia pro affectu miserè patientium, medio etiam die tenebras pro luce se videre arbitraturi essent, id quod contingere consueuit his, qui miserè anguntur doloribus & afflictantur. Vtque nosses istiusmodi tenebras non ab aëris natura esse obortas, sed ab illorum miserabili affectu, subiecit: tenebras duras, rudes, asperas, strigosas siue callosas, per inopiam consilij ac desperationem ipsorum.

A

IN CAP. VI.

Factum est anno, quo mortuus est Ozias rex.

ECQVA tandem ratione Propheta quum dimensiones aliorum temporum describat à vita cuiusque regis, hoc verò à morte nunc designat? Non enim ait: factum est in diebus Oziæ, nō item regnante Ozia: sed, factum est quo tempore mortuus est Ozias. Id cur tandem in hoc vno faciat, non simplex est & qualiscunque ratio: sed nobis innuit quiddam arcanæ & latentis energiæ. Quid tandē est hoc? Ozias hic prosperiore rerū quas gesserat, successu ebrius, ac tumidus commodiore temporis, quiddam affectauit sua dignitate augustius. Quódque rex esset, arbitratus est sui iuris esse fungi etiam sacerdotio, proinde irruit in adytum templi, & sancta sanctorum ingressus est, sacerdote licet prohibente, & ne eò ingrederetur, interdicente. Is non cessit sacerdotis imperio: sed præconceptæ insaniæ acquieuit pertinaciter, parui ducens sermonem sacerdotis. Istius temeritatis causa immisit ei Deus lepram in fronte. Quum enim voluisset honorem sua dignitate ampliorem arripere, ea etiā ipsa regia administratione, quā obtinebat, excidit. Etenim non modò est adeptus sacerdotium: sed & coopertus immunditie lepræ exactus est regia, inque domo seorsim habitauit, delitescens toto vitæ tempore, dedecus & infamiam non ferens. Populus insuper vniuersus vnà cum eo non leuem iacturam sensit indignante Deo, quòd leges eius parui pēdisset, nec vltionem expetiuisset de contumelia sacerdotio irrogata. Quo igitur pacto incommodum cepit ex ea indignatione? Donum prophetiæ retractum est & repressum. Iratus enim eis Deus nulla de re omninò respondit. Hoc verò non vsquequaque fecit, sed tantisper dū vixit rex, modum isti vindictæ imposuit. Igitur ille simul vt transegit vitam rex, & Deus conceptam in eos indignationē præcidit, & rursus, fores adaperuit prophetiæ. Itaque Propheta hoc innuens, memoriam renouauit temporis quo suū diem obiit rex, eóq. sic orditur prophetiā, dicens: Factum est anno quo mortuus est Ozias rex, *vidi*

Ozias qui & Azarias.

Quæstio.

Solutio.

4 Reg. 15. & 2. Paralip. 26.

Ioan. 1. 18.

ΚΕΦΑΛ. ϛ.

Καὶ ἐγένετο τοῦ ἐνιαυτοῦ, οὗ ἀπέθανεν Ὀζίας ὁ βασιλεύς.

ΤΙ δήποτε τοὺς μὲν ἄλλους χρόνους ἀπὸ τῆς ζωῆς τῶν βασιλέων, τοῦτον δὲ ἀπὸ τῆς τελευτῆς χαρακτηρίζει νῦν ὁ προφήτης; οὐ γὰρ εἶπεν, ἐγένετο ἐν ταῖς ἡμέραις Ὀζίου, οὐδὲ ἐν τῇ βασιλείᾳ Ὀζίου, ἀλλ' ἐγένετο, ἡνίκα ἀπέθανε. τί δήποτε ἐν τούτῳ ποιεῖ; οὐχ ἁπλῶς, οὐδ' ὡς ἔτυχεν, ἀλλά τι ἀπόρρητον ἡμῖν αἰνίττεται. τί δὲ τοῦτό ἐστιν; Ὀζίας οὗτος τῇ τῶν γεγενημένων εὐπραγίᾳ μεθύων, καὶ ὑπὸ τῆς εὐημερίας ὀγκούμενος, μεῖζον τῆς ἀξίας ἐφρόνησε· καὶ ἐπειδὴ βασιλεὺς ἦν, ἐνόμισεν αὐτῷ προσήκειν ἱερᾶσθαι, καὶ ἐπεπήδησε τῷ ναῷ, καὶ εἰς τὰ ἅγια τῶν ἁγίων εἰσῆλθε, καὶ τοῦ ἱερέως κωλύοντος καὶ ἀπαγορεύοντος αὐτῷ τὴν ἐκεῖσε εἴσοδον, οὐκ ἠνέσχετο, ἀλλ' ἐνέμεινε τῇ μανίᾳ, ὀλίγον τοῦ ἱερέως ποιούμενος λόγον. ταύτης ἕνεκεν τῆς ἀναισχυντίας ἐπαφῆκεν αὐτῷ λέπραν ὁ Θεὸς κατὰ τοῦ μετώπου. βουληθεὶς γὰρ πλείονα τῆς οὔσης τιμὴν λαβεῖν, καὶ ἧς εἶχεν, ἐξέπεσεν. οὐ γὰρ δὴ μόνον ἱερωσύνην οὐ προσέλαβεν, ἀλλὰ καὶ γενόμενος ἀκάθαρτος, τῶν βασιλείων ἐξεβάλλετο, καὶ τὸν ἅπαντα χρόνον ἐν οἴκῳ τινὶ κεκρυμμένος κατῴκει, τὴν αἰσχύνην οὐ φέρων. καὶ ὁ λαὸς δὲ συναπήλαυσεν ἅπας τῆς τοιαύτης ὀργῆς, ὅτι τοὺς τοῦ Θεοῦ νόμους περιεῖδον, καὶ τὴν ἱερωσύνην ὑβριζομένην οὐκ ἐξεδίκησαν. πῶς οὖν συναπήλαυσε τῆς ὀργῆς; τῷ τὴν προφητείαν ἀνασταλῆναι. ὀργιζόμενος γὰρ αὐτοῖς ὁ Θεὸς περὶ οὐδενὸς οὐδὲν ἀπεκρίνατο. ἀλλ' οὐ μέχρι παντὸς τοῦτο ἐποίησεν, ἀλλὰ τῷ μέτρῳ τῆς ζωῆς τοῦ βασιλέως καὶ μέτρον τῆς τιμωρίας ὥρισεν. ὁμοῦ γοῦν ἐκείνου καταλύσαντος τὴν ζωήν, καὶ ὁ Θεὸς τὴν ὀργὴν κατέλυσε, καὶ τὰς θύρας πάλιν τῆς προφητείας ἀνέῳξε. τοῦτο γοῦν αἰνιττόμενος ὁ προφήτης ἀνέμνησεν ἡμᾶς τοῦ καιροῦ τῆς τελευτῆς τοῦ βασιλέως. διόπερ οὕτως ἄρχεται τῆς προφητείας, λέγων· ἐγένετο τοῦ ἔτους, οὗ ἀπέθανεν Ὀζίας ὁ βασιλεύς, εἶδον

B

C

D

τὸν κύριον καθήμενον. καί τοι γε ὁ Χριστός φησι, Θεὸν οὐδεὶς ἑώρακε πώποτε· ὁ μονογενὴς υἱός, ὁ ὢν εἰς τὸν κόλπον τοῦ πατρὸς, ἐκεῖνος ἐξηγήσατο. καὶ πάλιν, οὐχ ὅτι τὸν πατέρα τις ἑώρακεν, εἰ μὴ ὁ ὢν παρὰ τοῦ Θεοῦ, οὗτος ἑώρακε τὸν πατέρα. καὶ πρὸς τὸν Μωϋσέα αὐτός φησιν, οὐδεὶς ὄψεται τὸ πρόσωπόν μου, καὶ ζήσεται. πῶς οὖν οὗτος φησιν ἑωρακέναι τὸν κύριον; εἶδον γάρ, φησι, τὸν κύριον. οὐκ ἐναντία τοῖς τοῦ Χριστοῦ λέγων, ἀλλὰ καὶ σφόδρα συνῳδά. ὁ μὲν γὰρ Χριστὸς τὴν ἀκριβῆ κατανόησιν φησιν, ἣν οὐδεὶς εἶδε (γυμνὴν γὰρ τὴν θεότητα καὶ ἀκραιφνῆ τὴν οὐσίαν οὐδεὶς ἐθεάσατο, πλὴν τοῦ μονογενοῦς) ὁ δὲ προφήτης τὴν αὐτῷ δυνατὴν ἰδεῖν ἀπαγγέλλει. οὐδὲ γὰρ αὐτός, ὅπερ ἐστὶν ὁ Θεός, ἰδεῖν ἠδυνήθη, ἀλλὰ σχηματισθέντα αὐτὸν θεωρεῖ, καὶ τοσοῦτον καταβαίνοντα, ὅσον ἀναβῆναι ἡ τοῦ θεωροῦντος ἀσθένεια ἐχώρει. ὅτι γὰρ οὐ γυμνὴν εἶδε τὴν θεότητα, οὔτε αὐτός, οὔτε ἄλλος οὐδείς, ἀπ' αὐτῶν, ὧν ἀπαγγέλλουσιν, εὔδηλον. εἶδον γάρ, φησι, τὸν κύριον καθήμενον. Θεὸς δὲ οὐ κάθηται. σωμάτων γὰρ ὁ σχηματισμός. καὶ οὐχ ἁπλῶς καθήμενον, ἀλλ' ἐπὶ θρόνου. Θεὸς δὲ οὐ περιέχεται. πῶς γὰρ ὁ πανταχοῦ παρών, καὶ τὰ πάντα πληρῶν, οὗ ἐν τῇ χειρὶ τὰ πέρατα τῆς γῆς; ὅθεν δῆλον ὅτι συγκατάβασις ἦν τὸ ὁρώμενον. οὕτω γοῦν ἕτερος προφήτης αἰνιττόμενος ἔλεγεν ἐκ προσώπου τοῦ Θεοῦ, ἐγὼ ὁράσεις ἐπλήθυνα, τουτέστι, διαφόρως ὤφθην. εἰ δὲ αὐτὴ ἡ οὐσία γυμνὴ ἐφαίνετο, οὐκ ἂν διαφόρως ἐφάνη. ἀλλ' ἐπειδὴ οὖν καταβαίνων, νῦν μὲν τούτῳ τῷ τρόπῳ, νῦν δὲ ἐκείνῳ τοῖς προφήταις ἑαυτὸν ἐδείκνυε, καταλλήλως τοῖς ὑποκειμένοις καιροῖς σχηματίζων τὰς ὄψεις, διὰ τοῦτό φησιν, ὁράσεις ἐπλήθυνα, καὶ ἐν χερσὶ προφητῶν ὡμοιώθην. οὐχ, ὥσπερ ἤμην, ἐφάνην, φησίν, ἀλλ' ὡμοιώθην πρὸς ὅπερ ἰδεῖν ἠδύναντο οἱ θεωροῦντες. ὁρᾷς γοῦν αὐτὸν νῦν μὲν καθήμενον, νῦν δὲ ὡπλισμένον, νῦν δὲ τρίχα πολιὰν ἔχοντα, νῦν δὲ ἐν αὔρᾳ, νῦν δὲ ἐν πυρί, νῦν δὲ ἐκ τῶν ὄπισθεν φαινόμενον, νῦν δὲ ἐπὶ τῶν Χερουβίμ, καὶ πρὸς

A *Dominum sedentem.* Atqui Christus ait, Deum nemo vidit vnquã. Vnigenitus filius qui est in sinu Patris, ille enarrauit. Rursus, Non quia Patrem quis vidit, nisi qui est à Deo, hic vidit Patrem. Idémque dixit Moysi, Nemo videbit faciem meã & viuet. Quo igitur sensu hic asseuerat se vidisse Dominum? Ait enim, Vidi Dominũ. Vtique hoc dicens nihil ait quod cũ dictis Christi ex cõtrario pugnet, sed quę magnopere eis consentiant. Etenim Christus de absoluta Dei cognitione loquitur, quã nemo vidit: nudã enim Dei maiestatẽ essẽtiámque B syncerã nemo exactè perspexit, præter vnigenitum: Propheta verò profitetur se vidisse, quatenus eam videre poterat. quod enim est Deus, is nequaquam videre potuit: sed velamine quopiam & inuolucro decẽti opertum contemplatus est, & eatenus se demittentem, quatenus infirmitas contemplantis poterat eousque assurgere spirituali ascensu. Nam quòd diuinitatem nudam non viderit, ex iis perspicuè elicitur, quæ etiã hoc exprimunt. Vidi enim (ait) Dominum sedentẽ. Neque enim sedet Deus. Habitus enim talis corporum est. Nec C vtcunque sedẽtem describit, sed super solium, Deus verò nullis circumscribitur locis. Qui enim posset, qui nusquã non præsens est, adimplens, quæ sunt, omnia? In cuius etiam manu fines terrę consistũt? Prorsus quod videbatur, erat Dei eousque se demittentis. Hanc eandem loquendi formulam obscuriùs insinuans Propheta alter, ex Dei persona dicebat: Ego visiones multiplicaui. hoc est multifariã multisq. modis me exhibui conspicuum. Sin autem ipsa Dei nuda essentia apparuisset, nequaquam sub diuersis formis cuipiam se spectan- D dam præbuisset. Cæterum, quando quidem se demittebat, nunc quidem hoc modo, nunc autem illo seipsum ostendebat Prophetis consentaneè assimilãs subiectæ qualitati temporum figuram & imaginem. Et in hunc sensum dixit: Visiones multiplicaui: & in manibus prophetarum assimilatus sum. Non quemadmodum eram, inquit, exhibui me spectandũ: sed assimilatus ei formæ, quam contemplantes ipso visu agnoscere poterant. Vides igitur ipsum quidem nunc sedentem, armis nunc accinctum, nunc autem cano admodum capillitio aspersum, nunc item in aura se exhibentem, nunc rursus in igne, nunc verò ab auersa & posteriori parte conspicuum, denique ipsis Cherubinis spiritibus insidentem, & ad

Quæstio. Quomodo viderit Dominum.

Ioan 6.40. Exo.33.20

Solutio.

Osee 12.10

splendorem metallicatum materiarum (quæ omnium maximè tralucidæ sunt & transparentes) radiosam oculorum aciem conformantem. Quam sanè ob causam nũc quidẽ apparet armis communitus, & cruore conspersus, nunc autem in igne, nunc partem tantum exhibens visendam posteriorẽ, nunc rursus in cœlo, nunc in throno, denique nunc ipsis insidẽs Cherubinis: causas reddere harum assimilationum intempestiuum est, vt ne corollariũ fiat opere ipso maius. Quadamtenus tamẽ profuerit, hac de re sermonem texuisse pro intelligentia præsentis visionis. qua igitur ex causa, sic se nunc exhibet conspicuum, in solio sedens & cum Seraphim? Quandoquidem illi sermo erat ad homines, morẽ imitatur humanũ. Quia enim sententiã prolaturus erat de rebus magnis, de vniuerso terrarum orbe, déq. etiam Hierosolymis: duplex ponit decretum Dei. Vnum quidẽ quo pœnam irrogat ciuitati & genti vniuersæ: altero autem pollicetur non mediocre beneficium, cuius aduentu orbis erigatur in spem amplissimã, & honorem immortalem. mos proinde obtinuit apud iudices, vt de quauis controuersia pronunciaturi non hæc faciant clàm: sed pro sublimi & eleuato tribunali considentes, astantibus vniuersis: & cortinis vndiq. contractis, iudicia exercent. Hos imitatus scribit adstitisse Deo Seraphinos spiritus: & quia in sublimi solio considet, & ita ex eminenti loco hanc profert sententiam: & vt discas rem istam non suspicione tantum niti. Sed quòd hæc consuetudo fuerit ei familiaris, adnitar & hoc reddere perspicuum ex alio Propheta. Etenim apud Danielem, quo etiam tempore ibi erat sentẽtiam magni certè mom̃eti pronũciaturus de pœnis & cruciatibus populo Iudæorum irrogandis, déque bonis vniuerso orbi impertiendis, etiam illic conspicitur thronus splendidus sanè & circumquaque spectabilis, multitudo item adsistẽtium Angelorum, socia agmina Archangelorum, simul & vnigenitus considens. Adaperientur libri, tractu vario decurrunt igniti fluuij, habitus formáque tribunalis omni ex parte & quæ constituitur, illic describuntur, in vniuersum affinia sunt & cognata iis quæ hic dicuntur: aut etiam apertius ille ea denunciat, quippe qui viciniortempori erat quo hæc gesta sunt, iámq. deinceps propheria ipsas pulsabat fores. Cæterum hæc solerti industriæ studiosorum reliquimus, vt in vnum colligant,

Confirmat prius dicta, anadiplosi.

Quæstio.

Solutio.

Dan. 7. 9.

A μεταλλικῶν ὑλῶν λαμπρότητα τῶν διαφανεστάτων τὴν ὄψιν ἐξεικονιζόμενον. τίνος μὲν οὖν ἕνεκεν νῦν μὲν ὡπλισμένος φαίνεται καὶ ᾑμαγμένος, νῦν δὲ ἐν τῷ πυρὶ, νῦν δὲ τὰ ὀπίσθια δεικνὺς, νῦν δὲ ἐν οὐρανῷ, νῦν δὲ ἐν θρόνῳ, νῦν δὲ ἐπὶ τῶν Χερουβὶμ, οὐ τοῦ παρόντος ἂν εἴη λέγειν καιροῦ, ὥστε μὴ τὸ πάρεργον τοῦ ἔργου γενέσθαι μεῖζον· τέως δὲ ἀναγκαῖον ὑπὲρ τῆς παρούσης ὄψεως διαλεχθῆναι. τίνος ἕνεκεν οὕτω φαίνεται νῦν ἐπὶ θρόνου καθήμενος, καὶ μετὰ τῶν Σεραφίμ; ἀνθρώπινον ἔθος μιμεῖται, ἐπειδὴ καὶ πρὸς ἀνθρώπους ἦν ὁ λόγος αὐτῷ. ἐπειδὴ γὰρ ἀπόφασιν ἐκφέρειν μέλλει, ὑπὲρ μεγάλων πραγμάτων καὶ τῆς οἰκουμένης ἁπάσης, ἔτι δὲ καὶ περὶ τῶν Ἱεροσολύμων, καὶ διπλῆν τίθησι ψῆφον, τὴν μὲν κόλασιν τῇ πόλει φέρουσαν καὶ τῷ ἔθνει παντὶ, τὴν δὲ εὐεργεσίαν τῇ οἰκουμένῃ, καὶ μεγάλας ἐπαγγελλομένην ἐλπίδας καὶ τιμὰς ἀθανάτους· ἔθος δὲ τοῖς δικάζουσι ταῦτα ποιεῖν μὴ λάθρα, ἀλλ' ἐφ' ὑψηλοῦ τοῦ βήματος καθημένους, παρεστώτων ἁπάντων, καὶ τῶν παραπετασμάτων συνελκομένων τοῦτο ποιεῖν· τούτους καὶ αὐτὸς μιμούμενος, παρέστησιν αὐτῷ τὰ Σεραφὶμ, καὶ ἐφ' ὑψηλοῦ κάθηται θρόνου, καὶ οὕτω τὴν ἀπόφασιν ταύτην ἐκφέρει. καὶ ἵνα μάθῃς, ὅτι οὐκ ὑποψία τὸ πρᾶγμα, ἀλλὰ τοῦτο ἔθος αὐτῷ, καὶ ἐξ ἑτέρου προφήτου τοῦτο πειράσομαι ποιῆσαι φανερόν. καὶ γὰρ ἐπὶ τοῦ Δανιὴλ, ἐπειδὴ καὶ ἐκεῖ ψῆφόν τινα μεγάλην ἐκφέρειν ἔμελλε περὶ κολάσεων καὶ τιμωριῶν Ἰουδαϊκῶν, καὶ τῶν ἀγαθῶν τῶν μελλόντων τῇ οἰκουμένῃ δίδοσθαι, κἀκεῖ θρόνος φαίνεται λαμπρὸς καὶ περιφανὴς, καὶ δῆμος ἀγγέλων παρεστηκὼς, καὶ ἔθνη ἀρχαγγέλων, καὶ ὁ μονογενὴς συγκαθήμενος, καὶ βίβλοι ἀνοίγονται, καὶ ποταμοὶ πυρὸς ἕλκονται, καὶ πάντοθεν σχῆμα δικαστηρίου συνίσταται. καὶ ἔστι κἀκεῖνα συγγενῆ τοῖς ἐνταῦθα λεγομένοις ἅπαντα, ἢ καὶ σαφέστερον ἐκεῖνος αὐτὰ ἀπαγγέλει, ἅτε τῶν χρόνων ἐγγύτερον γενομένων, καὶ πρὸς αὐτὰς λοιπὸν τὰς θύρας τῆς προφητείας ἀφικνουμένης. ἀλλὰ ταῦτα τοῖς φιλοπόνοις ἀφέντες συναγαγεῖν καὶ παραθεῖναι,

καὶ τὴν ἑκατέρας τῆς προφητείας κοινωνίαν καταμανθάνειν, ὅπερ ἔφην, τῆς προκειμένης ἡμεῖς ἁψώμεθα μετὰ ἀκριβείας, ὡς ἂν οἷοί τε ᾖ, ῥῆσιν ἑκάστην ἐξηγούμενοι. οὕτω γὰρ καὶ ἡμῖν καὶ ὑμῖν σαφέστερα ἔσται τὰ εἰρημένα. τί οὖν φησιν; εἶδον τὸν κύριον καθήμενον. τὸ καθῆσθαι ἐπὶ θρόνου, σύμβολον ἀεὶ κρίσεώς ἐστιν, ὥσπερ ὁ Δαβὶδ φησιν, ἐκάθισας ἐπὶ θρόνου ὁ κρίνων δικαιοσύνην· καὶ ὁ Δανιὴλ, θρόνοι ἐτέθησαν, καὶ κριτήριον ἐκάθισε. τὸ δὲ ἁπλῶς καθῆσθαι, ἑτέρου σύμβολον εἶναι φησὶν ὁ προφήτης. τίνος δὴ τούτου; τοῦ παγίου, τοῦ μονίμου, τοῦ βεβηκότος, τοῦ ἀτρέπτου, τοῦ ἀτελευτήτου, τῆς ζωῆς τῆς ἀπεράντου. διὰ τοῦτό φησι· σὺ καθήμενος εἰς τὸν αἰῶνα, καὶ ἡμεῖς ἀπολλύμενοι εἰς τὸν αἰῶνα. σὺ, φησι, μένων, ὢν, ζῶν, ἀεὶ ὡσαύτως ὤν. ὅτι γὰρ οὐ περὶ καθέδρας ἔλεγεν, ἡ ἀντιδιαστολὴ δῆλον ἐποίησεν. οὐ γὰρ εἶπεν, ἡμεῖς ἑστῶτες, ἀλλὰ ἀπολλύμενοι. τὸ δὲ ἐπὶ θρόνου καθῆσθαι, τὸ κρίνειν ἐστί. διὰ τοῦτο αὐτὸν οὕτως ὁρᾷ καθήμενον ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου. ἢ ἕτερον μὲν τοῦτο, ἕτερον δὲ ἐκεῖνο αἰνίττεται. καὶ γὰρ ὑψηλὸς ἦν ὁ θρόνος· τουτέστι, μέγας καὶ ὑπερμήκης· καὶ ἐπηρμένος, τουτέστι καὶ ἐν ὕψει φαινόμενος ἀφάτῳ, καὶ μετέωρος. καὶ πλήρης ὁ οἶκος τῆς δόξης αὐτοῦ. ποῖος οἶκος, εἰπέ μοι; ὁ ναός. ἐπειδὴ γὰρ ἐκεῖθεν ἡ ἔχθρα, εἰκότως καὶ ἐν τῇ ὄψει τῇ θαυμασίᾳ ταύτῃ ἐκεῖ καθήμενος φαίνεται. δόξαν δὲ ἐνταῦθά φησι λαμπρότητα, φῶς ἀπρόσιτον, ὅπερ ἑρμηνεῦσαι τῷ λόγῳ μὴ δυνάμενος, δόξαν ἐκάλεσε, καὶ οὐχ ἁπλῶς δόξαν, ἀλλὰ Θεοῦ δόξαν. καὶ Σεραφὶμ εἱστήκεισαν κύκλῳ αὐτοῦ. τίνα λέγει ταῦτα τὰ Σεραφίμ; δυνάμεις ἀσωμάτους τῶν ἄνω δήμων, ὧν τὴν ἀρετὴν καὶ τὴν μακαριότητα καὶ ἀπὸ τῆς προσηγορίας ἐστὶν ἰδεῖν. τῇ γὰρ Ἑβραίων γλώττῃ ἔμπυρα στόματα ἑρμηνεύεται τὰ Σεραφίμ. τί οὖν ἐκ τούτου μανθάνομεν; τὸ καθαρὸν τῆς οὐσίας, τὸ ἄγρυπνον, τὸ διεγηγερμένον, τὸ γοργὸν, τὸ ἐνεργητικὸν, τὸ ἀκηλίδωτον. οὕτω γοῦν καὶ ὁ προφήτης Δαβὶδ

A & ex collatione edifcant quàm fit vtriufque prophetiæ confentanea communio. Vti cœperam dicere, exactè iam propofitum nobis argumentum attingamus, ac fi fieri poteft, vnamquamque dictionem edifferamus. Ita enim & nobis & vobis quæ dicuntur, fient dilucidiora. Quid igitur eft, quod ait, Vidi Dominum fedentem? Sedere fuper thronum, fymbolum eft vbique iudicij, quemadmodum & Dauid ait: Sedifti fuper thronum qui iudicas iuftitiam. *Psal. 9. 4.* Et Daniel, Throni pofiti funt, & iudicium fedit. *Dan. 7. 9.* Illa autem feffio abfoluté B accepta alterius iudicij fymbolum eft, iuxta Prophetam. Cuiúfnam eius? ftabiliter fixi, permanentis, confirmati, immutabilis, nullum fortituri finem, vitæ interminæ & perenniter duraturę. Ob hoc ait, Tu fedens in æternum, & nos pereuntes in feculum. Ait enim, Tu autem manens viuis, femper eodem modo exiftens. Nam quòd non dixiffet de cathedra, ipfa diftinctio perfpicuè docet. Non enim dixit, nos erecti & ftabiles, fed qui perimus. Illa proinde feffio fuper thronum, iudicium infinuant. C Ob id videt Deum ita confidentem fuper folium excelfum & eleuatum. Aut hoc innuit aliud quiddam, aut certè illud. Etenim thronus erat excelfus, hoc eft, eximiæ magnitudinis, & in amplifsimam longitudinem exporrectus: & eleuatus, hoc eft, ineffabili altitudine confpicuus ac eminens, & fublimis. *Et plena erat domus gloria eius.* Quænam domus quæfo? Templum. Nam ex quo illinc exoriebantur inimicitiæ, meritò etiam in hac admirabili vifione ibi confpicitur feffitans. Sed enim gloriam hîc vocat fplendorem ac lucem inac- D ceffibilem: quam quum non poffet verbis enarrare, hanc gloriam appellauit, nec vtcunque dixit gloriam, fed gloriam Dei. 2. *Et Seraphim ftabant in circuitu eius.* Quófnam hos infinuat effe Seraphinos fpiritus? Virtutes vtique incorporeas fupernæ illius ac numerofiffimæ multitudinis, quarum virtutem, & beatitudinem per eorum nomenclaturam noffe quis poffit. Seraphim enim iuxta interpretationem Hebraïcæ linguæ dicuntur, Ora ignita fiue ardentia. Quid igitur doctrinæ ex hac interpretatione colligimus? nimirum puriffimam effe eorum fpirituum fubftantiam, peruigilem, mirè excitatam, perniciffimam & agilem maximè, vim habere operatoriam, omnis maculæ immunem effe. Confimili ratione Propheta etiam Dauid

cupiens nobis ob oculos exhibere eorum superiorum virtutum aministrationem impedimenti omnis esse liberam, quantáve agilitate polleat in obeunda sui officij functione, quàm item efficax sit, dicebat: Qui facit angelos suos, spiritus: & ministros suos, ignis flammam. Hisce verbis indicat nobis eorum velocitatem, leuitatem, industriam efficacem ex elementorum moderatione. Talibus virtutes hæ vacantes, labiis purissimis hymnos concinunt dominatori, opus hoc vnum iugiter prosequentes, faustas acclamationes gloriæ ad Deum transcribentes, ministerium sibi impositum citra interruptionem explentes. Eorum proinde dignitatem per hoc declarat, quia proximè adsistunt throno. Quemadmodum enim apud reges terræ, qui dignitate præpollent, proximè adsistunt regali throno: ad eundem sanè modum Seraphicæ virtutes propter præeminentiam virtutis, sublime illud solium vndequaque cingunt, assiduè perfruentes ineffabili illa beatitudine, inque beata illa sorte delegatæ sibi functionis acquiescentes. *Sex alæ vni, & sex alæ vni. Et quidem duabus velabant pedes suos, duabus autem velabant facies suas, & duabus volabant.* 3. *Et clamabant alter ad alterum, & dicebant, Sanctus, Sanctus, Dominus Sabaoth. Plena est omnis terra gloria eius.* Quid alæ istæ nobis innuere volunt, quid quid item alarum volatus? Sanè enim non putem alas attribuendas esse incorporeis illis virtutibus. Verumenimuerò per eiusmodi rudes & crassas descriptiones Propheta rursus nobis subindicat arcana quædam & reconditæ intelligentiæ, se quidem demittens & attemperãs eorũ infirmitati, qui ipsum tunc temporis audiebant. Vtcunque tamen se demittit, omnem alioqui sensum transcẽdentes sententias exhibet, attentiore studio nobis excutiendas. Quid tandem isti alarũ volatus innuũt? Nimirum præcelsam ac sublimẽ earum virtutum naturã. Ad hunc modum & Gabriel volans cõspicitur, & è cœlo labens: vt discas eius velocitatem atque alacrem agilitatem. Ecquid miraris, si in explicãdis hisce administratoriis virtutibus, verbis eiusmodi sit vsus: quandoquidẽ & de ipso vniuersorum Deo, non refugit tractare consimili dicendi formula hanc demissionem erga nos? Volens enim exprimere eius siue incorpoream naturam, siue etiam eius quocunque in loco

Psal.103.4.

Hebr.1.7.

Confirmat comparatione.

Quæstio.

Solutio.

A τῶν ἄνω δυνάμεων τὴν ἀπαραπόδιστον διακονίαν βουλόμενος ἡμῖν ἐνδείξασθαι, καὶ τὸ ταχὺ τῆς ὑπηρεσίας καὶ σφόδρα ἐνεργὲς ἔλεγεν, ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα, τὸ ταχὺ, τὸ κοῦφον, τὸ δραστήριον ἡμῖν διὰ τῶν στοιχείων τούτων ἐνδεικνύμενος. τοιαῦται καὶ αἱ δυνάμεις αὐταὶ, καθαροῖς στόμασιν ἀνυμνοῦσαι τὸν δεσπότην, ἔργον τοῦτο ἔχουσαι διηνεκῶς, εὐφημίας ἀναφέρουσαι, λειτουργίαν ἀδιάλειπτον. δείκνυσι δὲ αὐτῶν τὸ ἀξίωμα καὶ τὸ πλησίον εἶναι τοῦ θρόνου. καθάπερ γὰρ ἐπὶ τῶν βασιλέων τῶν B ἐπὶ γῆς οἱ ἐν μείζοσιν ἀξιώμασιν ὄντες, παρ' αὐτὸν ἑστήκασι τὸν θρόνον τὸν βασιλικόν· οὕτω δὴ καὶ αὗται αἱ δυνάμεις διὰ τὴν ὑπερβάλλουσαν ἀρετὴν, τὸν ἄνω θρόνον κυκλοῦσι, τῆς ἀπορρήτου μακαριότητος ἀπολαύουσαι διηνεκῶς, καὶ ἐντρυφῶσαι τῇ μακαρίᾳ λήξει τῆς λειτουργίας ταύτης. ἓξ πτέρυγες τῷ ἑνὶ, καὶ ἓξ πτέρυγες τῷ ἑνί. καὶ ταῖς μὲν δυσὶ κατεκάλυπτον τοὺς πόδας ἑαυτῶν, ταῖς δὲ δυσὶ κατεκάλυπτον τὰ πρόσωπα ἑαυτῶν, καὶ ταῖς δυσὶν ἐπέτοντο. καὶ ἐκέκραγον ἕτερος πρὸς τὸν C ἕτερον, καὶ ἔλεγον· ἅγιος, ἅγιος, ἅγιος, κύριος σαβαώθ, πλήρης πᾶσα ἡ γῆ τῆς δόξης αὐτοῦ. τί βούλεται ἡμῖν ταῦτα τὰ πτερὰ, καὶ τί αἰνίττονται ἡμῖν αἱ πτέρυγες; οὐ γὰρ δὴ πτερὰ ἐπὶ τὰς ἀσωμάτους δυνάμεις ἐκείνας. ἀλλὰ πάλιν διὰ παχυτέρων ῥημάτων ἀπόρρητά τινα ἡμῖν ὁ προφήτης παραδηλοῖ, συγκαταβαίνων μὲν τῇ ἀσθενείᾳ τῶν τότε ἀκροωμένων, ὅμως δὲ καὶ διὰ τῆς συγκαταβάσεως πᾶσαν διάνοιαν ὑπερβαίνοντα νοήματα μετὰ ἀκριβείας ἡμῖν ἐνδεικνύμενος. τί οὖν αἰνίττονται αἱ πτέ- D ρυγες; τὸ ὑψηλὸν καὶ μετάρσιον τῶν δυνάμεων τούτων. οὕτω καὶ ὁ Γαβριὴλ πετόμενος, καὶ ἐκ τῶν οὐρανῶν καταβαίνων φαίνεται, ἵνα μάθῃς τὸ ταχὺ καὶ κοῦφον. καὶ τί θαυμάζεις, εἰ ἐπὶ τῶν λειτουργικῶν δυνάμεων ταύταις ταῖς λέξεσι κέχρηται, ὅπουγε καὶ ἐπ' αὐτοῦ τοῦ τῶν ὅλων Θεοῦ οὐ παρῃτήσατο ταύτην μεταχειρίσασθαι τὴν συγκατάβασιν; βουλόμενος γὰρ αὐτοῦ δεῖξαι ἢ τὸ ἀσώματον, ἢ τὸ ταχὺ τῆς πανταχοῦ

A παρρησίας, φησὶν ὁ Δαβίδ· ὁ περιπατῶν ἐπὶ πτερύγων ἀνέμων. καί τοί γε οὔτε ἄνεμοι πτέρυγας ἔχουσιν, οὔτε αὐτὸς ἐπὶ πτερύγων περιπατεῖ. πῶς γάρ, ὁ πανταχοῦ παρών; ἀλλ', ὅπερ ἔφθην εἰπών, τῇ ἀσθενείᾳ τῶν ἀκουόντων συγκαταβαίνων, ἀπὸ τῶν ἐγχωρούντων αὐτῶν αὐτῶν τὴν διάνοιαν. καὶ πάλιν τὴν βοήθειαν αὐτοῦ βουλόμενος, καὶ τὴν ἐκ ταύτης ἀσφάλειαν ἐνδείξασθαι, ταῖς αὐταῖς κέχρηται λέξεσιν, οὕτω λέγων· ἐν σκέπῃ τῶν πτερύγων σου σκεπάσεις με. ἐνταῦθα μέν τοι οὐ τὸ μετάρσιον καὶ κοῦφον ἡμῖν αἰνίττεται μόνον ὁ προφήτης B διὰ τῶν πτερύγων τούτων, ἀλλὰ καὶ ἕτερόν τι φρικῶδες. δείκνυσι γάρ, ὅτι εἰ καὶ συγκατάβασις ἦν τὸ ὁρώμενον, ὥσπερ οὖν καὶ ἦν, οὐδὲ αἱ ἄνω δυνάμεις πρὸς τὸ μέτρον τοῦτο χωρῆσαι ἠδυνάσαντο. τὸ γὰρ καλύπτειν τοὺς πόδας, καὶ καλύπτειν τὰ νῶτα, ἐκπληττομένων ἦν, τρεμουσῶν τὴν ἀστραπήν, οὐ φερουσῶν τὴν ἀπὸ τοῦ θρόνου πηδῶσαν ἀστραπήν. διὰ τοῦτο καθάπερ ἐνὶ τειχίῳ, τῇ τῶν πτερύγων προβολῇ συνεσκίαζον τὰς ἑαυτῶν ὄψεις. καὶ ὅπερ ἡμεῖς πάσχειν εἰώθαμεν, ἢ βροντῶν καταρρηγνυμένων, ἢ ἀστραπῶν φαινομένων, ἐπὶ τὸ C ἔδαφος κλινόμενοι, τοῦτο δὴ καὶ ἐκεῖναι ἔπαθον. Εἰ δὲ τὰ Σεραφίμ, αἱ μεγάλαι καὶ θαυμάσιαι δυνάμεις ἐκεῖναι, Θεὸν καθήμενον, καὶ ἐπὶ θρόνου καθήμενον ἰδεῖν ἀδεῶς οὐκ ἠδυνήθησαν, ἀλλὰ καὶ τὰς ὄψεις καὶ τοὺς πόδας ἐκάλυπτον, τίς ἂν παραστήσειε λόγος τὴν μανίαν τῶν αὐτὸν τὸν Θεὸν εἰδέναι σαφῶς λεγόντων, καὶ τὴν ἀκήρατον ἐκείνην περιεργαζομένων οὐσίαν; ταῖς δυσὶν ἐπέτοντο, καὶ ἐκέκραγον. τί ποτέ ἐστι τοῦτο, τὸ ἐπέτοντο, καὶ τί παρασημαίνειν βούλεται; ὅτι διηνεκῶς περὶ τὸν D Θεόν εἰσι, καὶ παρ' αὐτοῦ οὐκ ἀφίστανται, ἀλλ' αὕτη αὐτοῖς ἡ πολιτεία, τὸ διηνεκῶς εἰς αὐτὸν ᾄδειν, τὸ διαπαντὸς εὐφημεῖν τὸν ποιήσαντα. οὐ γὰρ εἶπεν, ἐκέκραξαν, ἀλλ' ἐκέκραγον, τουτέστι, διηνεκῶς τοῦτο ἔργον ἔχουσιν ἕτερος πρὸς τὸν ἕτερον, καὶ ἔλεγον· ἅγιος, ἅγιος, ἅγιος. τοῦτο τὴν παράσημον αὐτῶν συμφωνίαν δηλοῖ, καὶ τὴν μετὰ πολλῆς ὁμονοίας εὐφημίαν.

præsentiam Dauid ait: Qui ambulas super pennas ventorum, quamuis venti pennas nō habeant, neque ambulet super pennas. Quomodo enim iis qui nusquam non adest? Sed quod præuerti dicere, ad imbecillitatem auditorum se demittens, ad ea erigebat mentes auditorum, quorum capaces eosdem videbat esse. Rursus idem volens ostendere auxilium à Domino pendere, & per id tutelam ac securitatem, iisdem dictionibus vsus sic ait: In tegmine alarum tuarū proteges me. Hoc sanè loco Propheta per hasce alas siue collisionem alarum non solùm nobis insinuat sublimitatem ac velocitatem: sed & aliud quiddam terroris plenum. Declarat enim, quia id quod videbatur etiam si esset Dei ad nos se demittentis, sicuti certè erat, neque tamen supernæ illæ virtutes ad eam vsque mensurā pertingere poterant quantalibet sua capacitate. Nam quòd velabāt pedes, quódque operiebant terga, vtrúque indicat eos admiratione fuisse perculsos, & ad fulgorem tantæ maiestatis intremuisse, non ferētes eiaculationem tanti splendoris è throno prosilientis. Quamobrem facies suas obtentu alarum, quasi pariete quodam siue tegumento obumbrabant, id quod pro more sustinemus facere, cùm aut tonitru cum vehemēti fragore decidit, aut fulgetris erumpentibus, terram versus prono vultu inclinati. Tale quid sustinebant & illę virtutes. Quòd si Seraphim, eximiæ & admirabiles illę potestates Deum sedentē & super thronum sedentē intrepidè & citra tremorē contueri non poterant, sed & facies & pedes obuelabant: quis tandem sermo satis superque repræsentet illorum insaniam qui se profitētur manifestè ipsum vidisse Deum, quiq. illam Dei immortalem essentiā casso labore explorant & perscrutantur curiosius? *Duabus volabant & clamabant.* quid tandē insinuat per hoc, volabant? quid item designat ille volatus? Quia nimirum iugiter adstant Deo, nec quoquā ab eo secedunt: sed hæc eis est viuendi ratio & institutū, nempe ad Dei laudem assiduè hymnos emodulari, suúmq. creatorem lætis acclamationib. iugiter benedicere. Non enim dixit, clamauerūt, sed clamabant: ac si diceret, functio hæc, hoc opus est perenne illis; *alter ad alterum, & dicebant: Sanctus, Sanctus, Sanctus.* Hoc planè indicat concinnam numerisque omnibus moderatam ipsorum symphoniam, laudémque multa cum concordia attributam conditori.

Psal. 103. 3.

Psal. 16. 8.

Quæstio. Solutio.

Hymnus hic non solum complectitur laudem, sed est & prophetia eorum, quę apprehensura erant orbem terrę, bonorum, simul & exacta dogmatum traditio. Rursus quamobrem non dixerunt semel duntaxat, & tacuerunt, non item secundo & steterunt: sed & tertium adiecerunt? non satis liquet, eos id fecisse vt ad Trinitatẽ hymnum referrent? Ob hoc Ioannes quidem asserit dictum esse de filio: Lucas autem de spiritu sancto, Propheta verò de patre. Equidem hanc nobis insinuant intelligentiam aquę sequuntur. Ab hymno enim mox subiecerũt, Plena est omnis terra gloria eius, id quod proprium erat prophetiæ diligenter conscriptæ, nimirum vt prædicerent futuram de Deo cognitioẽ, per quam impleta est terra habitabilis gloria Dei. Nam tunc etiam olim & quo tempore hæc dicebãtur, non solum reliqua pars orbis terræ, sed ipsa quoque Iudææ regio multa flagrabat plenitudine impietatis, & nemo vsquã erat qui Deum glorificaret. Testis hic idem Propheta dicens, Quia propter vos nomen meũ blasphematur in gentibus. Quando igitur impleta est terra gloria eius? Quo scilicet tempore hymnus hic in terra est delatus, & homines infimæ regionis incolę cum illis virtutibus supernis vnum & eundem constituere chorum, vnam melodiã, retulerunt in sublime, & in cõmune deũ celebrarũt. quòd si Iudæus aduersum hæc impudẽti ore oblatret, doceat quo olim tẽpore terra omnis impleta fuerit Domini gloria, gloria, inquã, quæ ab ipsius cognitione proficiscitur. Cæterũ ne id quidẽ docere potuerit, etiã si millies respõderit impudentissimè. 4. *Et eleuatũ est superliminare à voce, qua clamabant.* Vidisti expromptam prophetiæ facilitatẽ, nimirum res ipsas sibi inuicẽ cõsentaneẽ respõdentes? Dicto enim hoc hymno & quia impleta est terra omnis gloria eius, ceremonię Iudæorũ omnes & victimæ desierunt, quod luculenter expressit per eleuatũ superliminare. Erat enim hoc desolationis & euersionis templi signum. Templo autẽ à fundamẽtis euerso, alia insuper pessũ ierunt omnia. Vtque intelligas nouũ testamentum obliterasse vetus, ait: A voce clamantium, eleuatum est superliminare. Hoc est, Mox vt hymni istius glorificatio aduenit & affulsit orbi gratia, Deique gloria toto terrarum orbe effusa est, vmbræ Iudaicæ procul submotæ sunt. *Et domus impleta est fumo.*

Quæstio. *Esa. 5. 5.* *Quæstio.* *Solutio.* *Tempus sanè intelligendum.*

A Οὗτος ὁ ὕμνος οὐκ εὐφημία μόνον ἐστὶν, ἀλλὰ καὶ προφητεία τῶν καταληψομένων τὴν οἰκουμένην ἀγαθῶν, καὶ δογμάτων ἀκρίβεια. τίνος δὲ ἕνεκεν, οὐκ εἶπον ἅπαξ, καὶ ἐσίγησαν, οὐδὲ δεύτερον, καὶ ἔστησαν, ἀλλὰ τρίτον καὶ προσέθηκαν; οὐκ εὔδηλον, ὅτι τῇ τριάδι τὸν ὕμνον ἀναφέρουσαι τοῦτο ἐποίουν; διά τοι τοῦτο ὁ μὲν Ἰωάννης περὶ τοῦ υἱοῦ φησιν εἰρῆσθαι, ὁ δὲ Λουκᾶς περὶ τοῦ πνεύματος, ὁ δὲ προφήτης περὶ τοῦ πατρός. καὶ τὰ ἑξῆς δὲ ταύτην ἡμῖν ἐμφαίνει τὴν ἔννοιαν. μετὰ γὰρ τὸν ὕμνον ἐπήγαγον· πλήρης πᾶσα ἡ γῆ τῆς δόξης B αὐτοῦ. ὅπερ ἦν προφητείας ἀκριβοῦς, τὴν μέλλουσαν γνῶσιν προαναφωνοῦσι, δι᾽ ἧς ἡ οἰκουμένη τῆς δόξης ἐνεπλήσθη τοῦ Θεοῦ. ὡς τόγε παλαιὸν, καὶ ἡνίκα ταῦτα ἐλέγετο, οὐ μόνον τὸ λοιπὸν τῆς οἰκουμένης μέρος, ἀλλὰ καὶ αὐτὴ τῆς Ἰουδαίας ἡ χώρα πολλῆς ἀσεβείας ἦν ἐμπεπλησμένη, καὶ οὐδεὶς οὐδαμοῦ τὸν Θεὸν ἐδόξαζε. καὶ μάρτυς αὐτὸς ὁ προφήτης λέγων, ὅτι δι᾽ ὑμᾶς τὸ ὄνομά μου βλασφημεῖται ἐν τοῖς ἔθνεσι. πότε οὖν πλήρης ἐγένετο ἡ γῆ τῆς C δόξης αὐτοῦ; ὅτε ὁ ὕμνος οὗτος εἰς τὴν γῆν κατενέχθη, καὶ συγχορευταὶ τῶν ἄνω δυνάμεων οἱ κάτω γεγόνασιν ἄνθρωποι, καὶ μίαν τὴν μελῳδίαν ἀνήγαγον, καὶ κοινὴν τὴν εὐφημίαν ἐποιήσαντο. εἰ δὲ ἀναισχυντεῖ πρὸς ταῦτα Ἰουδαῖος, δειξάτω, πότε πᾶσα ἡ γῆ τῆς δόξης αὐτοῦ πλήρης ἐγένετο, ταύτης τῆς ἀπὸ τῆς γνώσεως; ἀλλ᾽ οὐκ ἂν ἔχοι δεῖξαι, κἂν μυριάκις ἀναισχυντῇ. καὶ ἐπήρθη τὸ ὑπέρθυρον ἀπὸ τῆς φωνῆς, ἧς ἐκέκραγον. εἶδες προφητείας εὐκολίαν, τὰ πράγματα ἀλλήλων ἐχόμενα; μετὰ D γὰρ τὸν ὕμνον τοῦτον, καὶ τὸ πληρωθῆναι τὴν γῆν τῆς δόξης αὐτοῦ, ἐπαύσατο τὰ Ἰουδαϊκὰ ἅπαντα, ὅπερ καὶ αὐτὸ διὰ τοῦ ἐπαρθῆναι τὸ ὑπέρθυρον ἐδήλωσεν. ἐρημώσεως γὰρ τοῦτο τὸ σημεῖον ἦν, καὶ ἀνατροπῆς τοῦ ναοῦ. τοῦ ναοῦ δὲ ἀφανισθέντος, καὶ τἄλλα κατελύοντο πάντα. καὶ ἵνα μάθῃς, ὅτι ἡ καινὴ τὴν παλαιὰν ἔπαυσεν, ἀπὸ τῆς φωνῆς, φησιν, ἐπήρθη τὸ ὑπέρθυρον, τουτέστιν ἀπὸ τοῦ παραγενέσθαι τὴν δοξολογίαν ταύτην, καὶ λάμψαι τὴν χάριν, καὶ τὴν δόξαν ἐκχυθῆναι πανταχοῦ τῆς οἰκουμένης, τὰ τῆς σκιᾶς ἐκποδὼν γέγονε. καὶ ὁ οἶκος ἐνεπλήσθη καπνοῦ.

ἐμοὶ δὲ τοῦτο δοκεῖ σημεῖον εἶναι τῆς ἁλώσεως τῆς αὐτὸν καταληψομένης, καὶ τοῦ βαρβαρικοῦ πυρὸς, καὶ τοῦ χαλεπωτάτου ἐμπρησμοῦ. καὶ εἶπον· ὦ τάλας ἐγὼ, ὅτι κατανένυγμαι, ὅτι ἄνθρωπος ὢν, καὶ ἀκάθαρτα χείλη ἔχων, καὶ ἐν μέσῳ λαοῦ ἀκάθαρτα χείλη ἔχοντος ἐγὼ οἰκῶ· καὶ τὸν κύριον Σαβαὼθ εἶδον τοῖς ὀφθαλμοῖς μου. ἐξέπληξε τὸν προφήτην ἡ ὄψις, διανέστησεν, εἰς πολλὴν τὸν φόβον ἐνέβαλε, πρὸς ἐξομολόγησιν ἐκίνησεν, ἀκριβέστερον τὴν εὐτέλειαν τῆς οἰκείας οὐσίας ἐπιγνῶναι παρεσκεύασε. τοιοῦτοι γὰρ οἱ ἅγιοι πάντες· ἐπειδὰν μείζονος B ἀπολαύσωσι τιμῆς, τότε ταπεινοῦνται μειζόνως. οὕτω καὶ ὁ Ἀβραὰμ τῷ Θεῷ διαλεγόμενος, γῆν καὶ σποδὸν ἑαυτὸν ἐκάλει· οὕτω καὶ Παῦλος, ὅτε τῆς ὄψεως ἐκείνης κατηξιώθη, τότε ἔκτρωμα ἑαυτὸν ὠνόμασεν· οὕτω δὴ καὶ οὗτος ταλανίζει ἑαυτὸν, πρότερον ἀπὸ τῆς φύσεως, λέγων· ὦ τάλας ἐγὼ, ὅτι κατανένυγμαι, ὅτι ἄνθρωπος ὤν. εἶτα ἀπὸ τῆς γνώμης, καὶ ἀκάθαρτα χείλη ἔχων. ἀκάθαρτα αὐτοῦ τὰ χείλη ἐκάλεσεν, ὡς ἔγωγε οἶμαι, πρὸς τὴν παράθεσιν τῶν ἐμπύρων στομάτων ἐκείνων, τῶν καθαρῶν δυνάμεων, τῆς ἀκριβεστάτης λει- C τουργίας ἐκείνης. καὶ οὐδὲ ἐνταῦθα ἵσταται, ἀλλὰ καὶ ὑπὲρ τοῦ λαοῦ παντὸς ἐξομολογεῖται, ἐπάγων καὶ λέγων, ἐν μέσῳ λαοῦ ἀκάθαρτα χείλη ἔχοντος ἐγὼ οἰκῶ. καὶ τίνος ἕνεκεν χείλη ἐνταῦθα αἰτιᾶται; τὸ ἀπαρρησίαστον ἐμφαίνων. ἐπεὶ καὶ οἱ παῖδες οἱ τρεῖς τοῦτο αὐτὸ ἔλεγον σχεδὸν ἐν τῇ καμίνῳ ὄντες· οὐκ ἔστιν ἡμῖν ἀνοῖξαι τὸ στόμα. καὶ νῦν, ἐπειδὴ ὑμνῳδίας ἦν καιρὸς καὶ εὐφημίας, καὶ τὰς ἄνω δυνάμεις ἑώρα τοῦτο ποιούσας, εἰκότως ἐπὶ τὰ χείλη τρέπει τὸν λόγον, τὰ μάλιστα πρὸς τὴν τοιαύτην διακονίαν κεκλημένα. ἀλλὰ τὰ D μὲν αὐτοῦ διὰ τοῦτο ἀκάθαρτα ἐκάλεσε, τὰ δὲ τοῦ λαοῦ οὐχ οὕτως, ἀλλ' ἐπειδὴ πολλῆς ἀνομίας ἦσαν ἐμπεπλησμένοι. καὶ τὸν βασιλέα κύριον εἶδον τοῖς ὀφθαλμοῖς μου. διὰ τοῦτο στένω καὶ θρηνῶ, φησὶν, ὅτι τοσαύτης ἠξιώθην τιμῆς ἀνάξιος ὢν, ὑπερβαινούσης μου τὴν ἀξίαν, ἀναβεβηκυίας μου τὴν φύσιν. ὅταν δὲ λέγῃ, εἶδον,

A Hoc insuper videtur mihi etiã signum preferre captiuitatis, quæ eos apprehensura erat, & ignis barbarici atque omnium atrocissimi incendij: *Et dixi, O me miserum! quia sum cõpunctus, quia homo quum sim & immunda labia habeam, & in medio populi immunda labia habentis ego habitẽ, etiam Dominum Sabaoth vidi oculis meis.* Visio hæc immodica admiratione perculit Prophetam, eius animũ expergefecit, perterrefecit, ad cõfessionem suæ indignitatis perpulit, vtque vilitatem propriæ materiæ agnosceret, effecit. Etenim tales sunt sancti omnes. Si quando quopiam cumulatiore potiuntur honore, tunc demissiùs se deijciunt. Ad hunc modum se gessit Abraham, sermonem enim faciens cum Deo, se vocabat terram & cinerem. Hoc pacto & Paulus; quo tempore dignus est habitus insigni illa visione, tunc se nominauit abortiuum. Sic sanè etiã hic miserum se profitetur prius à naturæ conditione, dicens: O miserum me! quia compũctus sum, quia homo quum sim. Deinde à propria destinatione & voluntate: Et immunda labia habeam. Sua autem labia polluta siue immunda vocauit (vt ego sanè arbitror) ad comparationem ignitorum siue ardentiũ labiorum illorum eximiæ puritatis virtutum & absolutissimi illius apud Deum famulatus atque obsequij. Sed enim non hic perstitit, verum & pro populo vniuersò confitetur hac vsus inductione, ac dicens: In medio populi immunda labia habẽtis ego habito. Qua tandem causa hîc expostulat cum labiis eàque vocat in ius? Nimirum, vt insinuet se destitutum fiducia loquendi. Namque tres illi etiam dum pueri quũ in medio fornacis consisterent, idem propemodum dicebant: Non est nobis aperire os. Et nunc quando instabat articulus depromendæ hymnodiæ ac laudis, videbatq; supernas virtutes hoc facientes, meritò ad labia deflectit sermonem quando ad eam obeundam functionem inuitantur vel maximè. Sed sua quidem labia eam ob rem vocauit immũda, populi autem labia non eadem ratione; sed quoniam immodica onerabantur transgressione legis & iniquitate multiplici: Et regem Dominum vidi oculis meis. Ob hoc (ait) ingemisco & lamentor, quia tantò sum honore cohonestatus, alioqui eo indignus, honore, inquam, meum meritum transcendente, naturæ meæ conditionem prætergrediẽte. Quando autem dicit, Vidi;

Gen. 13. 27

1 Cor. 15. 8.

Quæstio.

Solutio.

Daniel 3. iuxta 70.

nolim existimes insinuare voluisse abluisse absolutã illam Dei cognitionem siue contẽplationem, sed quatenus fuit eius capax. Tecum reputa quantũ lucri resiliat ex confessione. Seipsum accusauit, & confestim expurgatus est. Simul enim atq; verba hæc protulit, subiecit.

Vis quanta sit confessionis.

6. *Missus est ad me vnus ex Seraphim, & in manu sua habebat carbonẽ, quem forcipe tulerat de altari, & tetigit os meum, & dixit:* 7. *Ecce tetigit hoc labia tua & auferet iniquitates tuas, & peccata tua perpurgabit.* Nonnulli quidem hæc etiam asserũt symbola esse futurorum sacramentorum, puta, Altare, ignem altari impositum, virtutem administratoriam, quódque admotum est ori ad expiationem peccatorum. Nos porrò historiæ interea acquiescimus, dicentes cuius gratia sit hoc factum. Mittendus enim erat ad populum Iudæorum, vt quædam renunciaret plena terroris & permolesta. Itaq; Seraphim mittuntur, vt ipsum timore, ac præsenti loquẽdi fiducia compleant. Et ne Mosen imitatus excuset esse se exilis & gracilis vocis, & exemplo Hieremiæ causetur se esse iuniorem, quanquam hic pariter obtẽdit se habere labia immunda, quare minimè etiam se posse his inseruire quæ dicebantur: veniunt Seraphim vt expurgent eius peccata, nec id propria virtute: (Hoc enim soli Deo, Patri, Filio & Spiritui sancto competit.) sed imperio & admonitione carbonum. Non enim dixit, Ecce auferam ego: sed, ecce hoc auferet iniquitates tuas, & peccata tua perpurgabit, eius nimirum imperio qui misit. Cæterum quamobrem vnus ille è Seraphim carbonem accepit forcipe? Siquidem incorporea virtus nullam à carbonibus sensura erat exustionem. Quam igitur ob causam hoc tenore res gestæ sunt? Vt doceret, quàm se demitteret Deus. Ob hoc etiam & ab altari accepit, super quo hostiæ offerebantur, & expiationes fiebant peccatorum. Quod si obijcias, Quî factum est vt os Prophetæ non conflagrarit incendio? Maximè quidem, quòd ignis ille qui Esaiæ fuerat conspicuus, non subiacebat sensui corporis. Aliàs autem, si quando Deus quidpiam operis cõfecerit, de ratione ne curiosius inquiras, aut superfluã sumas operã. Actiu° enim iste ignis & sensibus subiacens, qui circa corpora versatur, ea non efficit, quæ competunt igni. quòd si vbi sarmenta & pix iniecta sunt igni, flamma tamen oblita est propriæ naturæ:

Hoc scilicet carbone.

Quæstio.

Responsio.

Quæstio.

Solutio.

A μὴ τὴν ἀκριβῆ κατανόησιν νόμιζε, ἀλλὰ τὴν αὐτῷ δυνατήν. καὶ σκόπει, πόσον τῆς ἐξομολογήσεως τὸ κέρδος. κατηγόρησεν ἑαυτοῦ, καὶ οὕτως ἐκαθάρθη. ἐπειδὴ γὰρ ταῦτα εἶπε τὰ ῥήματα. ἀπεστάλη πρός με, φησὶν, ἓν τῶν Σεραφὶμ, καὶ ἐν τῇ χειρὶ αὐτοῦ εἶχεν ἄνθρακα, ὃν τῇ λαβίδι ἔλαβεν ἀπὸ τοῦ θυσιαστηρίου. καὶ ἥψατο τοῦ στόματός μου, καὶ εἶπεν, ἰδοὺ ἥψατο τοῦτο τῶν χειλέων σου, καὶ ἀφελεῖ τὰς ἀνομίας σου, καὶ τὰς ἁμαρτίας σου περικαθαριεῖ. τινὲς μὲν καὶ τῶν μυστηρίων τῶν μελλόντων σύμβολα ταῦτα εἶναί φασι, τὸ θυσιαστήριον, τὸ πῦρ τὸ ἐπικείμενον, τὴν διακονουμένην δύναμιν, τὸ ἐν τῷ στόματι δίδοσθαι, τὸ καθαίρειν τὰ ἁμαρτήματα. B ἡμεῖς δὲ τέως τῆς ἱστορίας ἐχόμεθα, καὶ λέγομεν, τίνος ἕνεκεν τοῦτο γέγονεν. μέλλει πέμπεσθαι πρὸς τὸν δῆμον τὸν Ἰουδαϊκὸν, φοβερά τινα ἀπαγγέλλων καὶ ἀφόρητα. πέμπεται τοίνυν τὰ Σεραφὶμ, ὥστε φόβου καὶ παρρησίας αὐτὸν ἐμπλῆσαι. καὶ ἵνα μὴ προβάλληται, καθάπερ Μωϋσῆς, λέγων ἰσχνόφωνος εἶναι, καὶ Ἱερεμίας, νεώτερος εἶναι, οὕτω καὶ οὗτος ἀκάθαρτα χείλη ἔχει, καὶ μὴ δύνασθαι διακονῆσαι τοῖς λεγομένοις, ἔρχεται C τὰ Σεραφὶμ ἐκκαθαίροντα αὐτοῦ τὰ ἁμαρτήματα, οὐκ οἰκείᾳ δυνάμει (τοῦτο γὰρ πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος μόνον) ἀλλ' ἐπιτάγματι καὶ δόσει τῶν ἀνθράκων. οὐ γὰρ εἶπεν, ἰδοὺ ἀφαιρῶ ἐγώ· ἀλλ' ἰδοὺ τοῦτο ἀφαιρεῖται τὰς ἀνομίας σου, καὶ τὰς ἁμαρτίας σου περικαθαριεῖ διὰ τὸ ἐπίταγμα τοῦ πέμψαντος. τίνος δὲ ἕνεκεν ἐν τῇ λαβίδι τὰ Σεραφὶμ ἔλαβε τὸν ἄνθρακα; οὐ γὰρ δὴ ἡ ἀσώματος δύναμις ἐγκατακαίεσθαι ἔμελλεν ὑπὸ τῶν ἀνθράκων. D τίνος ἕνεκεν ταῦτα γέγονεν; διὰ πολλὴν συγκατάβασιν. διὰ δὴ τοῦτο καὶ ἀπὸ τοῦ θυσιαστηρίου λαμβάνει, ἔνθα αἱ θυσίαι προσεφέροντο, καὶ οἱ καθαρμοὶ τῶν ἁμαρτημάτων. εἰ δὲ λέγοις, πῶς τὸ στόμα οὐ κατεκάη τοῦ προφήτου; μάλιστα μὲν ὅτι οὐδὲ πῦρ αἰσθητὸν ἦν τὸ φαινόμενον· ἄλλως δὲ ὅταν ὁ Θεὸς ἐργάζηταί τι, μὴ πολυπραγμόνει, μηδὲ περιεργάζου. καὶ γὰρ ἐνεργοῦν καὶ αἰσθητὸν πῦρ σώμασιν ὁμιλῆσαν, τὰ τοῦ πυρὸς οὐκ ἐπεδείξατο. εἰ δὲ ἔνθα κληματίδες καὶ πίσσα, τῆς οἰκείας ἐπελάθετο φύσεως ἡ φλὸξ,

τί θαυμάζεις, εἰ νῦν τοσαύτης παραδοξοποιίας γενομένης ἐκάθηρεν, ἀλλ' οὐκ ἔκαυσε τότε τὸ πῦρ; καὶ ἤκουσα τῆς φωνῆς κυρίου λέγοντος, τίνα ἀποστείλω; καὶ τίς πορεύσεται πρὸς τὸν λαὸν τοῦτον; ὁρᾷς πόσον ὤνησεν ἡ ὄψις, πόσον κατώρθωσεν ὁ φόβος. καί τοί γε καὶ ἐπὶ Μωϋσέως τοιοῦτόν τι γέγονε. εἰ γὰρ μὴ Σεραφὶμ ἐφάνη, μηδὲ αὐτὸς ἐπὶ θρόνου καθήμενος, ἀλλ' ὅμως ἕτερον παράδοξον θέαμα τότε ἐδείχθη τῷ προφήτῃ, καὶ τοιοῦτον, ὡς μηδένα ἀντιβλέψαι δυνηθῆναι τῷ φαινομένῳ. ἡ γὰρ βάτος ἐκαίετο, φησι, καὶ οὐ κατεκαίετο. ἀλλ' ὅμως καὶ μετ' ἐκεῖνα καὶ τὴν πολλὴν τοῦ Θεοῦ παραίνεσιν ὁ μέγας ἀναδύεται Μωϋσῆς, καὶ σκήπτεται, καὶ μυρίας ἐπινοεῖ προφάσεις παραιτήσεως, λέγων· ἰσχνόφωνός εἰμι καὶ βραδύγλωσσος, καὶ προχείρισαι σὺ ἄλλον, ὃν ἐξαποστελεῖς. καὶ Ἱερεμίας δὲ τὴν ἡλικίαν προβάλλεται· καὶ Ἰεζεκιὴλ δὲ μετὰ τὸ κελευσθῆναι, ἑπτὰ διατρίβει περὶ τὸν ποταμὸν ἡμέρας ἀναδυόμενος καὶ ὀκνῶν. διὸ καὶ τὴν παραβολὴν ἐκείνην προσέθηκεν ὁ Θεὸς λέγων· σκοπὸν δέδωκά σε τῷ οἴκῳ Ἰσραὴλ, καὶ ὅτι τὴν ψυχὴν αὐτῶν ἐκ χειρός σου ἐκζητήσω. Ἰωνᾶς δὲ οὐ μόνον παρῃτήσατο, ἀλλὰ καὶ ἐδραπέτευσε. τί οὖν, τολμηρότερος πάντων ὁ Ἡσαΐας, καὶ Μωϋσέως τοῦ μεγάλου; καὶ τίς ἂν τοῦτο εἴποι; πόθεν οὖν κελευόμενος ἐκεῖνος ἀνεδύετο, οὗτος δὲ μὴ φανερῶς ἐπιταγεὶς ἐπήδησεν; οὐδὲ γὰρ εἶπεν, ἄπελθε· ἀλλὰ τοῦ Θεοῦ λέγοντος, τίνα ἀποστείλω, ἥρπασε τὸ ἐπίταγμα. τινὲς μὲν οὖν φασιν, ὅτι ἐπειδὴ ἥμαρτε, τὸν Ὀζίαν οὐκ ἐλέγξας κατατολμήσαντα τῶν ἀδύτων, ὑπὲρ ἐκείνης βουλόμενος ἀπολογήσασθαι τῆς ἁμαρτίας, τῇ μετὰ ταῦτα προθυμίᾳ τῆς ὑπακοῆς ἐπεπήδησε ταχέως, ὥστε ἐξιλεώσασθαι τὸν Θεόν. διὰ γὰρ τοῦτο καὶ ἀκάθαρτα τὰ χείλη αὐτοῦ ἔλεγεν εἶναι, διὰ τὸ ἀπαρρησίαστον. ἀλλ' οὐκ ἂν ἀνασχοίμην τῶν ταῦτα λεγόντων. ἀξιοπιστότερος γὰρ αὐτῶν ὁ Παῦλος, ὁ τολμητὴν αὐτὸν καλῶν καὶ λέγων, Ἡσαΐας δὲ ἀποτολμᾷ καὶ λέγει. διὰ γοῦν τοῦτο οὐδὲ τῷ κοινῷ, ὥς φασι, νόμῳ τὴν ζωὴν κατέλυσεν, ἀλλὰ χαλεπωτάτην ὑπέστη τιμωρίαν,

ecquid miraris, si nunc quoque rebus tantis pręter hominum opinionẽ gestis, eos expurgauit, nec tamen exussit ignis ille? *Et audiui vocem Domini dicentis hoc:* 8. *Quem mittam, & quis ibit ad populũ hunc?* Vides quãtum visio hæc attulerit commodi, quantũ valuerit timor? quãquam circa Mosen tale aliquid gestũ sit. Licet enim Seraphim non apparuerint, neq. Deus insidens throno: attamẽ aliud spectaculum etiã tunc demonstratum est Prophetæ, sanè quàm admiratione dignum, & tale, vt nemo posset aciẽ fixiùs intendere in id quod apparebat. Ardebat enim rubus (ait) & non comburebatur. Attamẽ tantus ille Moses post signa illa, multámque Dei admonitionem cunctatur ac subterfugit, causificatur, & perquam multos colores excogitat reijciendę legationi idoneos, puta dum dicit: Gracilioris sum linguæ & tardiloquus. Et, Delige tu alium quem cum mandatis emittas. Quin & Hieremias excusat teneritudinem ætatis. Ezechiel quoque post acceptum mãdatum, dies septem consumit circa fluuiũ, deprecãs legationem & ob id extrahens tempus, quo factum, vt Deus adiecerit illam parabolam: Speculatorem dedi te domui Israel. Et, Quia animã eorum de manu tua requiram. Ionas insuper non modò excusauit legationem, sed & se constituit refugam dominici mandati. Quid igitur? his ne omnibus confidentia maiore pollebat Esaias? Num eximio etiã Moyse? Ecquis hoc dicat? Qua igitur ratione contigit, vt Moses quidem recusarit delegatam sibi prouinciam: hic autẽ non apertè iussus prosilierit? Neque enim dixit, Abi: sed Deo dicente, Quem mittam? iste verbum rapuit vice mandati. Porrò quidam asserunt ipsum peccasse, quòd Oziam temerè ausum irrumpere in adyta templi non coarguerit: cupiens verò idem pro illo peccato satisfacere, post hæc multa cum alacritate prosiliuit vltroneus ad obedientiam, vt Deum sibi hac animi propensione redderet placabilem. Propter hoc enim dicebat labia sua esse immunda, quod non libertate loquendi vsus esset. Atqui talia effutientes nequeam tolerare. Est enim Paulus tantò illis fide dignior, qui hunc ipsum vocans audacem dicit: Esaias autẽ audet & dicit. Sanè eam ob rem, vti aiunt, neque iuxta communem naturæ legem, vitæ finem accepit, sed cruciatũ sustinuit multò acerbissimum,

Exod. 4. 10

Hiere 1. 6. Quia puer ego sum.

Ezech. 3. 17.

Rom. 10. 20.

Iudæis non ferentibus ipsius in increpando libertatem. Exceptis hisce nugacibus, nusquam scriptura cōmeminit, quia vel præsens tum fuisset, quo tempore hæc præter dignitatem Oziæ tentata sunt, & quòd præsens siluerit. Sed talia proferentes, ex propriis & suamet commentatione collegerunt coniecturam. Quid igitur ad hæc liceat respondere? Quia Moysi & huius dispar erat conditio. Moses enim in barbaram regionem mittebatur, & ad tyrānum vecordi insania ac rabie percitum: hic ad domesticè notos, & qui eum audierant subinde docentem, quique ab ipso fuerant non exiguo tempore eruditi. Quibus de causis, vtriusque obedientia hic & illic non requirebat virilem constantiam & ex æquo patrē. Quidam autem dicunt aliud quidpiam intercessisse, quod ipsius animo hanc insseuerit alacritatem. Quum enim pro suis, próque populi peccatis esset confessus, ac vidisset Seraphim ad se mitti, & ex eis vnum, qui sua expurgaret labia, spē etiam præsumpsisset eadem euētura esse populo, & hęc abiret renū ciaturus, ex prompto & alacri animo dictum verbum rapuit ex ore Dei loquentis. Etenim sancti illi quàm erāt præ cæteris hominib. amantes Dei, tam erāt bene cupiētes populo, quasi filiis. Is igitur quum sperasset se renunciaturum populo aliqua ex parte abolitionē malorū, incunctanter in medium prosiliuit & ait: Ecce ego sum. Mitte me. Aliàs verò animam profectò habebat mirè propensam & expositam subeūdis periculis. Morem hunc fuisse Esaiæ, vel ex lectione totius ei⁹ prophetiæ manifestū est. Quum igitur spopondisset se abiturum, nec iam deinceps auderet pactum abnuere, tunc audit quæ essent allatura populo peracrem molestiam & anxietatem. Siquidem Deus ipsum moderatus sapiēter direxit. Non enim initio statim dixit: Abi & dic populo, sed prius suspendit mandatū, & incertum reliquit modū suæ missionis. Ex quo iussis tam facilè paruit, ea prænunciat populo Iudæorum quæ eos apprehensura essent mala. Quæ porrò hæc erāt. 9. *Vade* (inquit) *& dic populo huic: Auditu audietis & non intelligetis: & videntes videbitis, & non perspicietis.* 10. *Incrassatum est enim cor populi huius, & auribus suis grauiter audierunt, & oculos suos compresserunt, ne fortè videant oculis & auribus audiant, & corde intelligant, & conuertantur & sanem eos.* Quod ad eos attinet qui exactè callent scripturas, arbitror hæc enarratione nulla egere,

Esa.6.8.

Act.28.25

A τῶν Ἰουδαίων οὐκ ἀνεχόντων αὐτοῦ τὴν παῤῥησίαν. χωρὶς δὲ τούτων οὐδέ φησιν ἡ γραφή που, ὅτι παρῆν, ἡνίκα τὰ κατὰ τὸν Ὀζίαν ἐγένετο, καὶ παρὼν ἐσίγα, ἀλλ' οἴκοθεν καὶ παρ' ἑαυτῶν ταῦτα οἱ λέγοντες στοχάζονται. τί οὖν ἔστιν εἰπεῖν; ὅτι οὐκ ἦν ἴσον τὸ Μωϋσέως, καὶ τοῦτο. ὁ μὲν γὰρ εἰς ἀλλοτρίαν ἐπέμπετο καὶ εἰς βάρβαρον χώραν, καὶ πρὸς τύραννον, καὶ μαινόμενον, καὶ λυττῶντα· οὗτος δὲ πρὸς τοὺς οἰκείους, καὶ πολλάκις ἀκηκοότας, καὶ ἐν πολλῷ παιδευθέντας χρόνῳ. καὶ οὐ τῆς αὐτῆς ἀνδρείας ἦν τὸ ὑπακοῦσαι ἐκεῖ τε καὶ ἐνταῦθα. B τινὲς δέ φασιν, ὅτι καὶ ἕτερόν τι αὐτῷ τὴν προθυμίαν ἐποίησε ταύτην. ἐπειδὴ γὰρ ὑπέρ τε ἑαυτοῦ καὶ τοῦ λαοῦ ἐξωμολογήσατο, καὶ τὰ Σεραφὶμ εἶδεν ἀποσταλέντα, καὶ ἐκκαθάραντα αὐτοῦ τὰ χείλη, προσδοκήσας, ὅτι καὶ τῷ λαῷ ταῦτα συμβήσεται, καὶ ταῦτα ἀπελεύσεται ἀπαγγέλλων, προθύμως ἥρπασε τὸ λεχθέν. ὥσπερ γὰρ ἦσαν φιλόθεοι, οὕτω καὶ φιλόστοργοι μάλιστα πάντων ἀνθρώπων οἱ ἅγιοι. ἐλπίσας οὖν λύσιν τινὰ τῶν κακῶν ἀπαγγέλλειν, ἐπεπήδησε ταχέως, καί φησιν· ἰδοὺ ἐγώ εἰμι, ἀπόστειλόν με. ἄλλως δὲ καὶ C ψυχὴν σφόδρα πρὸς κινδύνους παρατεταγμένην εἶχε· καὶ δηλοῖ αὐτοῦ τοῦτο τὸ ἦθος διὰ πάσης τῆς προφητείας ὄν. ἐπεὶ οὖν ὑπέσχετο ἀπελεύσεσθαι, καὶ οὐκ ἐτόλμα λοιπὸν ἀναδύεσθαι, τότε ἀκούει τὰ λυπηρά. καὶ γὰρ καὶ ὁ Θεὸς αὐτὸν σοφῶς μετεχείρισεν. οὐ γὰρ ἐξ ἀρχῆς εἶπε, πορεύθητι, καὶ εἰπέ· ἀλλὰ πρότερον μετέωρον ποιήσας τὸ ἐπίταγμα, καὶ ἄδηλον τῆς ἀποστολῆς τὸν τρόπον, ἐπειδὴ ῥᾳδίως ὑπήκουσε, λέγει τὰ καταληψόμενα τοὺς Ἰουδαίους κακά. τίνα δὲ ταῦτα ἦν; πορεύθητι, φησί, καὶ εἰπὲ τῷ D λαῷ τούτῳ· ἀκοῇ ἀκούσετε, καὶ οὐ μὴ συνῆτε, καὶ βλέποντες βλέψετε, καὶ οὐ μὴ ἴδητε. ἐπαχύνθη γὰρ ἡ καρδία τοῦ λαοῦ τούτου, καὶ τοῖς ὠσὶν αὐτῶν βαρέως ἤκουσαν, καὶ τοὺς ὀφθαλμοὺς αὐτῶν ἐκάμμυσαν, μήποτε ἴδωσι τοῖς ὀφθαλμοῖς, καὶ τοῖς ὠσὶν ἀκούσωσι, καὶ τῇ καρδίᾳ συνῶσι, καὶ ἐπιστρέψωσι, καὶ ἰάσωμαι αὐτούς. ταῦτα οὐδὲ ἑρμηνείας οἶμαι δεῖσθαι, τῶν ἀκριβῶς ταῦτα ἐπισταμένων προλαβόντων καὶ ἐξηγησαμένων αὐτά,

Ἰωάννου τε τοῦ υἱοῦ τῆς βροντῆς, καὶ Παύλου τοῦ τὰ παλαιὰ καὶ τὰ καινὰ μετὰ ἀκριβείας εἰδότος. ὁ μὲν γὰρ ἐν τῇ Ῥώμῃ πρὸς τοὺς συνελθόντας μὲν, ἀποπηδήσαντας δὲ, καὶ οὐκ ἀναχομένους τῶν λεγομένων, δημηγορῶν ἔλεγε, καλῶς εἶπε τὸ πνεῦμα τὸ ἅγιον· ἀκοῇ ἀκούσετε, καὶ οὐ μὴ συνῆτε. ὁ δὲ τῆς βροντῆς υἱὸς, ἐπεὶ θαύματα ἑώρων, καὶ οὐκ ἐπίστευον, καὶ δογμάτων ἤκουον, καὶ οὐ προσεῖχον (ἀνέστησε γὰρ Λάζαρον ὁ Χριστὸς, καὶ ἀνελεῖν αὐτὸν ἐπεχείρησαν, δαίμονας ἤλαυνε, καὶ δαιμονῶντα ἐκάλουν, τῷ πατρὶ προσῆγε, καὶ πλάνον ὠνόμαζον, καὶ τὰς ἐναντίας ἐδέχοντο δόξας) μνημονεύει τῆς προφητείας ταύτης λέγων· καλῶς εἶπεν Ἡσαΐας ὁ προφήτης, ὅτι ἀκοῇ ἀκούσετε, καὶ οὐ μὴ συνῆτε, καὶ βλέποντες βλέψετε, καὶ οὐ μὴ ἴδητε. ἐπειδὴ γὰρ τὰ ἔνδον ὄμματα τῆς διανοίας πεπήρωντο, οὐδὲν ὄφελος ἦν αὐτοῖς τῶν ἔξωθεν ὀφθαλμῶν, τοῦ κριτηρίου τῆς διανοίας διεφθαρμένου. διὰ τοῦτο βλέποντες οὐκ ἔβλεπον, καὶ ἀκούοντες οὐκ ἤκουον. καὶ τὴν αἰτίαν προστέθεισιν· ὅτι οὐχὶ τὰ αἰσθητήρια ἦν διεφθαρμένα, οὐδὲ ἡ φύσις λελωβημένη, ἀλλὰ ἡ καρδία πεπηρωμένη. ἐπαχύνθη γὰρ ἡ καρδία τοῦ λαοῦ τούτου, φησί· πάχος δὲ διανοίας γίνεται, ἀπό τε ἁμαρτημάτων, ἀπό τε βιωτικῆς ἐπιθυμίας. καὶ ταύτην ἐξηγούμενος τὴν παχύτητα ὁ Παῦλος ἔλεγεν, οὐκ ἠδυνήθην ὑμῖν λαλῆσαι ὡς πνευματικοῖς. οὔπω γὰρ ἠδύνασθε, ἀλλ' οὐδὲ ἔτι δύνασθε. καὶ τὴν αἰτίαν προστίθησι λέγων· ὅπου γὰρ ἐν ὑμῖν ἔρεις καὶ ζῆλοι καὶ διχοστασίαι, οὐχὶ σαρκικοί ἐστε; ἐπεὶ οὖν κἀκεῖνοι φθόνῳ πολλῷ, καὶ βασκανίᾳ τηκόμενοι, καὶ ἑτέροις μυρίοις πολιορκούμενοι πάθεσι, παχὺ τὸ ὄμμα τῆς διανοίας εἰργάσαντο, καθαρῶς βλέπειν οὐκ ἔτι λοιπὸν ἠδύναντο, ἀλλὰ ἑτέρας παρὰ τῶν ὁρωμένων δόξας ἐλάμβανον, καὶ τὰς ἐναντίας. ταῦτα οὖν μετὰ ἀκριβείας ὁρῶν ὁ προφήτης, προανεφώνησε καὶ τοῦ νοσήματος τὴν αἰτίαν. σὺ δέ μοι σκόπει, ὡς δυοῖν προφητειῶν οὐσῶν, τὴν μὲν περὶ τῆς ἐκκλησίας καὶ τῶν τῆς οἰκουμένης ἀγαθῶν τὰ Σεραφὶμ ἐδέξαντο λέγοντα, ἅγιος, ἅγιος, ἅγιος, κύριος σαβαὼθ, πλήρης πᾶσα ἡ γῆ τῆς δόξης αὐτοῦ· τὴν δὲ περὶ τῆς ἁλώσεως,

quando præsertim eadem & Ioannes tonitrui filius, Paulus item nouæ iuxtà ac veteris scripturæ exquisitè conscius præuerterunt edisserere. Hic enim Romæ quidem quum esset inter concionandum apud eos qui conuenerant, & illi resilirent, nec sustinerent quæ dicebantur, dicebat: Bene dixit Spiritus sanctus, Aure audietis & non intelligetis. Tonitrui item filius, quũ illi ne visis quidem miraculis persuadebantur, vt crederent, dogmata item audiebãt, nec eis aures adhibebãt attentas. Lazarum excitauit ad vitã Christus: & ecce eundem moliebantur è medio auferre. Dæmones abigebat, & dæmoniacum appellabant. Eos conciliabat Patri, & seductorem nominabant. Ioannes enim, quum illi contrarias de Christo opiniones cõcepissent, huius cõmeminit prophetiæ dicens, Bene dixit Esaias, Aure audietis, & non intelligetis: videntes videbitis, & non perspicietis. Nam quum interiores oculos mentis haberent oblæsos ac deprauatos, nulla iam eis supererat vtilitas ex sensorio organo exteriorum oculorũ, corrupta mente. Ob hoc videntes non videbant, & audientes non audiebant. Simul adiungit & causam, Non enim ipsa sensuum organa erant corrupta, non natura oblæsa erat, aut vlla sui parte mutila: sed cor excæcatum. Incrassatũ est enim cor populi huius, ait. Ista mentis crassities concrescit multitudine peccatorum, à concupiscentia gignitur rerum temporalium. Hanc crassitiem enarrans Paulus dicebat: Non potui vobis loqui quasi spiritualibus. Nondum enim poteratis: sed neque adhuc potestis. Causam annectit dicẽs, Cum enim sint inter vos zelus & cõtẽtio, nónne carnales estis? Itaq; illi quũ inuidia non modica & liuore intabescerẽt, aliisq. innumeris perturbationibus obsessi essent: oculum vtiq. mentis impinguabãt crassitudine ignorãtiæ & inscitiæ, nec iã deinceps valebãt quæ syncera sunt, rectã contueri: eóq. de his quæ in omni cõspectu à Christo edebãtur, miraculis, diuersas & secũ pugnãtes sentẽtias cõcipiebant. Hæc igitur Propheta acie mẽtis nõ inscitè contemplatus prędicit, & causã tanti istius morbi. Mihi iam animum adhibe, quũ duæ hic assignentur Prophetiæ, vnam quidem quæ de ecclesia est, déque bonis orbi terrarum affuturis, ipsi spiritus Seraphini in se receperunt, dicentes: Sanctus, Sanctus, Sanctus Dominus Sabaoth. Plena est omnis terra gloria eius: alterã verò quę de captiuitate est,

Act. 28. 25
Ioannem Euangelistam intelligit.

Ioan. 12. 38
Hæc non vsquequaque respondent textui Ioannis.

1. Cor. 3. 1.

Duæ prophetia de ecclesia, & de bonis futuris.

& pœnis Iudæorum populo irrogandis, reliquerunt Prophetę promulgandam; vt hinc etiã discas quanta amplitudine, quámq; excellẽti prærogatiua ecclesia polleat. 11. *Et dixi, Vsquequo Domine?* Vides nos non frustra, sed certis coniecturis collegisse, quãta cum alacritate Propheta paruerit diuinæ voci? Ipse enim quũ audiisset contraria his quæ se auditurum sperauerat, nempe desolationem regionis, extremam hominum cladem, rogat saltem se edoceri modum mensurámve pœnæ populo irrogãdæ, non ausus precari, vt ab omni prorsus seueritate vindictę eruerentur, quod prius eum docuisset Deus populũ admisisse flagitia, quæ nullam promererẽtur veniam. Quę enim sustinuerant committere facinora non à direptione solum, neque à voluntate nequiter insultãdi proximis, profecta erant, sed ab animo data opera inobedienti, & ab ingenio ad cõtentiones nato & quasi præmeditatò obluctãte his quæ à Deo fiebãt. Et quidem hoc tacitè innuẽs, dicebat: Ne fortè videãt oculis, & corde intelligant, & conuertantur, & sanem eos: Quasi nimirum timerent, ne forte quippiã discerent eorum quę decentia sunt ac suæ saluti opportuna, ita mentem suam excæcarant studio peruersitatis. Quũ igitur superesset acerbissima increpatio, simul & vltrix facinorum pœna planè inexorabilis, etiam affectat doceri, sed ordine discendi infert supplicationem. Ex quo autem neque palam audebat pro hoc offerre supplicationem: ob hoc sub colore disciplinæ, excogitat interrogationem, dicens: *Vsquequo Domine? Et dixit, Donec desolentur ciuitates, vt non habitẽtur: & domus, vt non sint homines. Et terra relinquetur deserta. 12. Et post hæc longè faciet Deus homines. Et multiplicabuntur qui derelicti fuerint super terram. 13. Et adhuc in ea est decimatio. Et rursus erit in deprædationẽ, sicut terebinthus: & sicut glans, quãdo exciderit ex theca sua. Semen sanctum erit stabilimentũ eius.* Absoluta superiore prophetia, sermonem rursus educit ad historiam: & captiuitatem decem tribuum prædicens commemorat longanimitatem Dei exhibitam esse duabus tribubus per illam decem tribuũ captiuitatem. Tandem hos etiam ipsos in captiuitatem prçcinit abducendos, quod minimè essent vsi Dei longanimitate ad id quod ex officio conueniebat, prosperitatem insuper temporis successuram eis qui relicti fuerint. Nam quando dicit: Donec desolentur ciuitates vt non

καὶ τὴν τιμωρίαν τὴν Ἰουδαϊκὴν τῷ προφήτῃ κατέλειπον, ἵνα κἀντεῦθεν μάθῃς τῆς ἐκκλησίας τὴν ὑπεροχήν. καὶ εἶπον, ἕως πότε, κύριε; ὁρᾷς ὡς οὐ μάτην, οὐδὲ εἰκῇ ἐστοχασάμεθα τῆς ὑπακοῆς τοῦ προφήτου τῆς μετὰ πολλῆς προθυμίας γεγενημένης. ἐπειδὴ γοῦν τἀναντία ὧν προσεδόκησεν ἤκουσεν, ἐρημίαν, πανωλεθρίαν, ἀξιοῖ τέως γοῦν μέτρον μαθεῖν τῆς τιμωρίας. οὐδὲ γὰρ ἐτόλμα ὁλοκλήρου τῆς ὀργῆς αὐτοὺς ἐξαρπάσαι, διὰ τὸ προλαβόντα τὸν Θεὸν δεῖξαι ἀσύγγνωστα ἁμαρτάνοντας. οὐ γὰρ συναρπαγῆς ἦν αὐτῶν τὰ τολμήματα, οὐδὲ γνώμης ἐπηρεαζομένης, ἀλλὰ ψυχῆς ἔργον ποιουμένης τὴν παρακοήν, καὶ διανοίας φιλονείκου, καθάπερ ἐκ μελέτης τινὸς καὶ σπουδῆς, ἀνθισταμένης τοῖς ὑπὸ τοῦ Θεοῦ γινομένοις. τοῦτο γοῦν αἰνιττόμενος ἔλεγε, μήποτε ἴδωσι τοῖς ὀφθαλμοῖς, καὶ τῇ καρδίᾳ συνῶσι, καὶ ἐπιστρέψωσι καὶ ἰάσωμαι αὐτούς. ὡσανεὶ δεδοικότες γάρ, φησι, μήποτέ τι τῶν δεόντων μάθωσιν, οὕτω μετὰ πολλῆς τῆς σπουδῆς τὴν διάνοιαν αὐτῶν ἐπήρωσαν. ἐπεὶ οὖν καὶ ἡ κατηγορία βαρυτάτη καὶ ἡ τιμωρία ἀπαραίτητος, ὅπερ ἦν λειπόμενον, τοῦτο ζητεῖ μαθεῖν. ἀλλ' ἐν τάξει τοῦ μαθεῖν, ἱκετηρίαν εἰσάγει. ἐπειδὴ δὲ οὐδὲ ὑπὲρ τούτου φανερῶς ἱκετεῦσαι ἐτόλμα, διὰ τοῦτο μαθήσεως προσχήματι ἐρώτησιν ἐπινοεῖ λέγων· ἕως πότε, κύριε; καὶ εἶπεν· ἕως ἂν ἐρημωθῶσι πόλεις παρὰ τὸ μὴ κατοικεῖσθαι, καὶ οἶκοι παρὰ τὸ μὴ εἶναι ἀνθρώπους· καὶ ἡ γῆ καταλειφθήσεται ἔρημος. καὶ μετὰ ταῦτα μακρυνεῖ ὁ Θεὸς τοὺς ἀνθρώπους, καὶ πληθυνθήσονται οἱ καταλειφθέντες ἐπὶ τῆς γῆς, καὶ ἔτι ἐπ' αὐτῆς ἐστι τὸ ἐπιδέκατον, καὶ πάλιν ἔσται εἰς προνομὴν ὡς τερέβινθος, καὶ ὡς βάλανος, ὅταν ἐκπέσῃ ἐκ τῆς θήκης αὐτῆς. σπέρμα ἅγιον τὸ στήλωμα αὐτῆς. τὴν προφητείαν ἀπαρτίσας ἐκείνην, ἐπὶ τὴν ἱστορίαν πάλιν ἐξάγει τὸν λόγον, τήν τε αἰχμαλωσίαν τῶν δέκα φυλῶν προαναφωνῶν, τήν τε διὰ τῆς αἰχμαλωσίας ἐκείνης ἐπὶ ταῖς δύο φυλαῖς μακροθυμίαν γεγενημένην, εἶτα καὶ τὴν τούτων αὐτῶν ἀπαγωγήν (ἐπειδὴ εἰς οὐδὲν δέον ἐχρήσαντο τῇ μακροθυμίᾳ) καὶ τὴν ἐκ τοῦ λειψάνου πάλιν ἀναφυησομένην αὐτοῖς εὐημερίαν. ὅταν μὲν γὰρ λέγῃ, ἕως ἂν ἐρημωθῶσι πόλεις παρὰ

τὸ μὴ κατοικεῖσθαι, τὴν τῶν δέκα φυλῶν τὴν αἰχμαλωσίαν αἰνίττεται. καὶ γὰρ ἄρδην ἠφανίσθησαν ἅπαντες, καὶ μετὰ πολλῆς τῆς σφοδρότητος ἀνάρπαστοι γενόμενοι, πάντες εἰς τὴν ἀλλοτρίαν ἀπῳκίσθησαν, ὡς καὶ τὰς πόλεις ἁπάσας ἑστάναι κενὰς ἀνθρώπων, καὶ τὴν γῆν ἔρημον τῶν γεωργησόντων αὐτὴν, εἰς ὠφέλειαν τῶν ὑπολειφθησομένων. ὅταν μὲν οὖν λέγῃ, ἕως ἐρημωθῶσι πόλεις παρὰ τὸ μὴ κατοικεῖσθαι, καὶ οἶκοι παρὰ τὸ μὴ εἶναι ἀνθρώπους, τότε λέγει καὶ τὴν αἰχμαλωσίαν. ὅταν δὲ λέγῃ, ὅτι καὶ μετὰ ταῦτα μακρυνεῖ ὁ Θεὸς τοὺς ἀνθρώπους, ἢ τὴν ὁλοσχερῆ πάντων εὐπραγίαν αἰνίττεται, ἢ τὴν μετὰ τὴν ἀπαγωγὴν τῶν δέκα φυλῶν γενομένην ταῖς δύο φυλαῖς εὐημερίαν. ἀπαλλαγέντες γὰρ τοῦ Σενναχηρὶμ καὶ τοῦ βαρβαρικοῦ στρατοπέδου, καὶ τῆς παραδόξου νίκης ἀπολαύσαντες, εἰς πλῆθος πάλιν ἐπέδοσαν, καὶ εἰς βίου μῆκος, οὐδενὸς πολέμου θορυβοῦντος αὐτούς. ὅταν δὲ εἴπῃ, ὅτι μακρυνεῖ, ἢ τὸ πλῆθος τῶν ἀνθρώπων, ἢ τὸ μῆκος τῶν ἐτῶν αἰνίττεται. καὶ ἵνα μάθῃς, ὅτι περὶ τῶν δύο φυλῶν ταῦτά φησιν, ἐπήγαγεν· ὅτι ἐπ᾽ αὐτῆς ἐστι τὸ ἐπιδέκατον, ἐπιδέκατον λέγων τὸ ἐπάνω τῶν δέκα, τὸ περιττὸν τῶν δέκα, ὅπερ ἦσαν αἱ δύο φυλαί. ταύτῃ καὶ Παῦλος τῇ λέξει κέχρηται λέγων, ἐπάνω πεντακοσίοις ἀδελφοῖς, τουτέστι πλείοσι πεντακοσίων. καὶ πάλιν ἔσται εἰς προνομὴν, ὡς τερέβινθος· τουτέστιν αἱ δύο φυλαί. καὶ ὡς βάλανος, ὅταν ἐκπέσῃ τῆς θήκης αὐτῆς. ὥσπερ γὰρ ἀτερπὴς ἐκεῖνος ὁ καρπὸς ἐκπεσὼν τῆς θήκης, οὕτω καὶ οὗτοι καταγέλαστοι καὶ ἐπονείδιστοι ἔσονται τῆς πόλεως ἐκπεσόντες, καὶ τῆς δόξης ἐκείνης γυμνωθέντες ἅπαντες. σπέρμα ἅγιον τὸ στήλωμα αὐτῆς. οὐ μὴν ἀνίατα τὰ κακὰ ἔσται, φησὶν, οὐδὲ ἀτελεύτητα, ἀλλὰ τὸ σπέρμα αὐτῆς ἅγιον ἔσται, καὶ στήλωμα, τουτέστι βέβαιον, πεπηγὸς, ἀκίνητον, ἀναμένον τὴν τῶν πραγμάτων μεταβολήν. τῆς μὲν γὰρ εὐπραγίας ἐκπεσοῦνται, αὐτοὶ δὲ οὐ πανωλεθρίαν ὑποστήσονται, ἀλλὰ μενοῦσι καὶ στήσονται, ἕως ἂν ἀπολάβωσι τὴν προτέραν πολιτείαν πάλιν, καὶ ἐπὶ τὴν προτέραν ἐπανέλθωσιν ἁγιστείαν.

A habitentur, verbis his innuit captiuitatem decem tribuum. Etenim ad vnum omnes penitus exterminati sunt, ac multa cum immanitate abrepti omnes in alienam sunt abacti regionem, sic vt ciuitates etiã vniuersæ starent quidem, sed vacuæ hominum, terra quoque ipsã destitueretur cultoribus ad eorum vtilitatẽ, qui relinquẽdi erant. Et quidem quando dicit: Donec desolentur ciuitates, vt non habitentur: & domus, vt non sint homines, vtique insinuat captiuitatem: quũ verò addit, quia post hæc longè faciet Deus homines, aut omni- B modam omnium fœlicitatẽ innuit, aut certè prosperrimum temporis cursum, qui successit duabus tribubus, aliis decem in captiuitatem abactis. Liberati enim à Sennacherib & eius barbarico exercitu, proinde & illã consequuti admirabilem victoriã, rursus succreuerũt in numerosam multitudinẽ, & ad vitæ longitudinẽ progressi sunt, nullo eos interturbante bello. Quando autẽ dicit, quia longè faciet, aut copiosam indicat hominũ multitudinẽ, aut certè prolixitudinem innuit annorũ. Vtque intelligas, quia de duabus tribubus dicit hęc, C subintulit: quia in ea est decimatio, decimationẽ dicens id quod supra decem tribus excresceret, quod præter decem esset reliquum & amplius, quod vtique duæ illæ tribus erãt. Dictione hac vsus est, & Paulus dicens: Plusquã quingentis fratribus, hoc est, Pluribus quàm sint quingenti. Et rursus erit in deprædationem, sicut terebinthus. Hoc est, Duæ istæ tribus. Et sicut glans, quũ exciderit è theca sua. Nam quẽadmodum fructus ille dum è sua theca siue loculo excidit, inamœnus cõspicitur, tristis, ac tetricus: Ita & hi erunt deridiculi probrisq. passim exponẽtur, mox vt exciderint ciui- D tate, & priore gloria nudati omnes fuerint. Semen sanctum, stabilimentũ eius. At nõ insanabiles erunt, quę in illos deuoluẽtur, calamitates, ait, neque æternum duraturæ: sed semen eius sanctum erit. Et erit stabilimentũ hoc est, stabile, quid cõpactum, immobile & adusque rerum permutationem perseuerans. Siquidem ea etiam rerum fœlicitate demum excident: ipsi tamen nõ omnimodam rerũ perniciẽ sustinebunt: sed manebunt, & constabilẽtur, quousque ad priorẽ redeant conuersationẽ, & ad pristinam redintegerentur sanctimoniam.

4. Reg. 18.

1. Cor. 15. 6.

A

IN CAP. VII.

Et factum est in diebus Achaz, filij Ioathan, filij Oziæ regis Iuda.

Canon pro intelligētia propheta-rum.

QVOD à me crebrò dictum est, id ipsum nunc repetā: éstq. hoc pro more veteri, Prophetica oracula non in hoc edebantur, vt Iudæi futura vtcunque prænoſſent: ſed vt per ea quæ didiciſſent, lucrum luculētum reportarent, ac proinde redderentur modeſtiores timore perculſi propheticæ cōminationis, & pollicitatione bonorū ad obeundam virtutem efficerētur alacriores, & vt vtraque ex parte edocerentur, & potentiā Dei, & erga eos ipſius prouidentiam. quæ enim ſuperiùs dicta ſunt, hac vtraque ratione dicuntur. Et ne exiſtimarent quæ adfutura prædicebantur, ea temerè aut fortuito caſu euentura iuxta naturæ curſum, aut cōmunem rerum permutationem: ſed vt certiſſimè ſcirent, quia supernè, Dei ſcilicet decreto vtraq. hæc fierent, quod quidem vtrumque maximopere erat eis conducibile ac plurimum adferebat emolumenti ad Dei cognitionem. Sed enim quia, vti ſuperiùs dixerā, prophétia quo tempore proferebatur, nullum exhibebat ſpecimen rei futuræ, ſed verba quidem tunc edebantur, res autem ipſæ in longum poſtea tempus extrahebantur: hinc nonnulli auditorum, è vita migrabant, nec hi poterant de rei euentu iudicare: vide quid faciat Deus, quámve adhibeat curam. Prophetiam cōnectit prophetiis in longius tempus euenturis viciniorem, quæ & in generatione auditorum facta ſit, vt hoc argumento arroget fidem vel maximam his quæ poſt longum tempus euētura ſunt. In euangelis verò ſpeciem hanc vtilitatis tradendæ auditori aliter quidē proſequitur, ſed ſolertiori artificio. Etenim connectit miracula prophetiis & hac copula alterutrum confirmat probatione alterius. Tale eſt, quod dico: Adiit Ieſum leproſus aliquando, is purgatus eſt. Secundū hunc, rurſus filius Centurionis liberatus eſt à graui illa infirmitate. Et quidem ſigna vtique magna erant, attamen non his vſque inſtitit ſignis, ſed & propheticū adiecit oraculum. Poſtquam enim Centurio fidem illam ſingulari magnitudine & admiratione dignam ex-

Canon pro intelligētia euangelicæ doctrinæ.

Matth. 8. 11

ΚΕΦΑΛ. Ζ.

Καὶ ἐγένετο ἐν ταῖς ἡμέραις Ἀχαζ τοῦ Ἰωαθὰν τοῦ Ὀζίου, βασιλέως Ἰούδα.

ΟΠΕΡ πολλάκις εἶπον, τοῦτο καὶ νῦν ἐρῶ, ὅτι τὸ παλαιὸν αἱ προφητεῖαι οὐ διὰ τοῦτο ἐγίνοντο, ἵνα ἁπλῶς οἱ Ἰουδαῖοι τὰ μέλλοντα μάθωσιν, ἀλλ' ἵνα μαθόντες ἐντεῦθεν κερδάνωσι, καὶ τῷ φόβῳ τῆς ἀπειλῆς γένωνται σωφρονέστεροι, καὶ τῇ τῶν ἀγαθῶν ὑποσχέσει προθυμότεροι περὶ τὴν τῆς ἀρετῆς ἐργασίαν, ἑκατέρωθεν μανθάνοντες τοῦ Θεοῦ τήν τε δύναμιν, καὶ τὴν περὶ αὐτοὺς κηδεμονίαν. καὶ γὰρ ταύτης ἕνεκεν τῆς αἰτίας προελέγετο τὰ λεγόμενα· καὶ ἵνα μὴ νομίσωσιν ἁπλῶς καὶ ὡς ἔτυχε, τὰ συμβαίνοντα ἐπιέναι κατά τινα ἀκολουθίαν φύσεως, ἢ πραγμάτων φοράν, ἀλλὰ ἴδωσιν, ὅτι ἄνωθεν καὶ ἐκ τῆς τοῦ Θεοῦ ψήφου ταῦτα ἑκάτερα γίγνεται· ὅπερ αὐτοὺς τὰ μέγιστα εἰς θεογνωσίαν ὠφέλει. ἀλλ' ἐπειδή, καθάπερ καὶ ἔμπροσθεν ἔφθην εἰπών, ἡ προφητεία οὐκ ἐν αὐτῷ τῷ καιρῷ τὴν ἀπόδειξιν εἶχεν, ἀλλὰ τὰ μὲν ῥήματα τότε ἐλέγετο, τὰ δὲ πράγματα μακροῖς ὕστερον ἔμελλον ἐκβήσεσθαι χρόνοις, ἐνίων τῶν ἀκουόντων πολλάκις καὶ προαπερχομένων, καὶ οὐ δυναμένων δικάσαι τῇ τῶν λεγομένων ἀκολουθίᾳ, ὅρα τί ποιεῖ καὶ πραγματεύεται ὁ Θεός. προφητείας προφητείαις συνάπτει μακροτέραις ἐγγυτέραν, τὴν ἐπὶ τῆς γενεᾶς αὐτῶν γινομένην τῶν μακρὸν ὕστερον ἐσομένων μεγίστην ἀπόδειξιν παρεχόμενος. ἐπὶ δὲ τῶν εὐαγγελίων καὶ ἑτέρως μεθοδεύει τουτὶ τῆς ὠφελείας τὸ εἶδος, θαύματα προφητείαις συνάπτων, καὶ θάτερον θατέρῳ κατασκευάζων. οἷον τί λέγω. προσῆλθεν αὐτῷ ὁ λεπρός ποτε καὶ ἐκαθάρθη, καὶ μετ' ἐκεῖνον πάλιν ὁ τοῦ ἑκατοντάρχου παῖς ἀπηλλάγη τῆς χαλεπῆς ἀρρωστίας ἐκείνης, καὶ σημεῖα ταῦτα μεγάλα ἦν, ἀλλ' ὅμως οὐκ ἔστη μέχρι τῶν σημείων, ἀλλὰ καὶ προφητείαν προσέθηκεν. ἐπειδὴ γὰρ ὁ ἑκατόνταρχος τὴν θαυμαστὴν ἐκείνην καὶ μεγάλην ἐπεδείξατο πίστιν, δι' ἧς τὸν

παῖδα ἀπήλλαξε τῆς ἀῤῥωστίας, ἐπήγαγεν ὁ Χριστὸς λέγων, πολλοὶ ἀπὸ ἀνατολῶν καὶ δυσμῶν ἥξουσι, καὶ ἀνακλιθήσονται μετὰ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ, οἱ δὲ υἱοὶ τῆς βασιλείας ἐκβληθήσονται ἔξω. Ταῦτα δὲ ἔλεγε, καὶ τὴν τῶν ἐθνῶν ἐκκλησίαν, καὶ τὴν τῶν Ἰουδαίων ἀποβολὴν προαναφωνῶν, ὃ δὴ νῦν ἐπὶ τῶν ἔργων ἐξέβη, καὶ τοῦ ἡλίου φανερώτερον ἅπασι δείκνυται. ἀλλὰ τότε τέως ἄδηλον ἦν, καὶ τοῖς ἀπίστοις οὐκ εὐπαράδεκτον. διὰ δὴ τοῦτο σημεῖον προέλαβε τὸ τότε ἐκβάν, τῷ μετὰ ταῦτα συμβησομένῳ πολλὴν προαποτιθέμενον τὴν πίστιν· ὥσπερ οὖν καὶ αὐτὴ ἡ προφητεία ἐπὶ τῶν ἔργων φαινομένη νῦν, τῷ σημείῳ τῷ τότε γινομένῳ πολλὴν παρέχει τὴν βεβαίωσιν. τί γὰρ ἂν εἴποι ὁ ἄπιστος; ὅτι οὐκ ἐκαθάρθη ὁ λεπρός; βλεπέτω τῆς προφητείας τὴν ἀλήθειαν, καὶ ἀπὸ ταύτης καὶ τῷ σημείῳ πιστευέτω. τί δὲ ἂν εἴποιεν οἱ τότε Ἰουδαῖοι; ὅτι ἃ προλέγει οὐκ ἔστιν ἀληθῆ; ὁράτωσαν τὸν λεπρὸν καθαιρόμενον, καὶ ἀπὸ τῶν ἐπ' ἐκείνου γινομένων, καὶ περὶ τῶν μελλόντων μὴ ἀπιστείτωσαν, μέγιστον λαμβάνοντες ἐνέχυρον ἐκεῖνοι μὲν τῆς προφητείας τὸ σημεῖον, οἱ δὲ νῦν τοῦ σημείου τὴν προφητείαν. εἶδες πῶς θάτερον διὰ θατέρου κατασκευάζεται; τοῦτο καὶ ἐπὶ τῆς παλαιᾶς γινόμενον ἴδοι τις ἄν. ἐπεὶ γὰρ καὶ ὁ Ἱεροβοὰμ τὴν χαλεπὴν ἐκείνην ἐμάνη μανίαν, καὶ δαμάλεις ἔστησε χρυσᾶς, ἐλθὼν ὁ προφήτης τά τε μέλλοντα προανεφώνησε, καὶ σημεῖον εὐθέως ἔδωκεν. ἵνα γὰρ μηδεὶς ἀπιστῇ τοῖς μετὰ τριακόσια συμβησομένοις ἔτη, τὸν βωμὸν ἔρρηξε, καὶ τὴν πιότητα ἐξέχεε, καὶ τὴν χεῖρα τοῦ βασιλέως ἐξήρανε, ἀπὸ τῶν περὶ τῶν ὀφθαλμῶν γινομένων, τῶν μετὰ πολὺν χρόνον συμβησομένων σαφῆ παρεχόμενος τὴν ἀπόδειξιν. καὶ πολλὰ τοιαῦτα ἴδοι τις ἂν καὶ ἐν τῇ καινῇ καὶ ἐν τῇ παλαιᾷ γινόμενα, τοῦ Θεοῦ διαφόρως τὴν ἡμετέραν οἰκονομοῦντος σωτηρίαν· ὃ δὴ καὶ ἐνταῦθα γέγονε, καὶ μετὰ πλείονος τῆς περιουσίας. οὐ γὰρ δὴ σημεῖον μόνον, ἀλλὰ καὶ προφητείαν ὁμοῦ καὶ σημεῖον συνέπλεξεν. ἀλλ' ὥστε σαφέστερα γενέσθαι τὰ λεγόμενα, αὐτὴν μετὰ ἀκριβείας τὴν ἱστορίαν διέλθωμεν. Καὶ ἐγένετο

A hibuit (cuius merito puer ab ægrotatione ereptus est) intulit Christus: Multi ab oriente & occidente venient, & recumbent cum Abraham & Isaac & Iacob: filij autem regni eijcientur foras. His dictis futuram insinuabit ecclesiam ex gentibus colligendam, simul etiam præcinebat Iudæos regno cœlorum excludendos, quod sanè reipsa euenisse videmus nunc, vniuersisq. nobis Sole ipso illustriùs declaratur. Et quidē tunc id erat quadamtenus obscurū, nec multis compertum quid diceret, neque infideles illi facilè admisissent. Sanè signo B isto (quod tunc accidit) assumpsit, vnde nobis ipsi de re aliquādo futura cumulatiorem fidem asciseremus: quemadmodum ipsa etiam prophetia quæ ipsis nunc operibus vera conspicitur, signo illo quod tunc gestū est, in fide magnopere nos cōstabilit ac firmat. Quid enim opponat iam infidelis? Non emūdatum esse leprosum? Vel ipsis oculis cernat Christi prophetiam de futura ecclesia fuisse veram, & ea intellecta fidem commodet signis. Quid porrò dicere poterant illius ætatis Iudæi? Quòd quæ fu- C tura prædicebat, non sint vera? Cernant expurgatum leprosum, & ab eis quæ gesta in illo sunt, fidem mutuentur qua credāt, & his quæ prædixit futura, tam insigni accepto pignore: illi quidē prophetiæ signo: qui verò nunc, prophetia signi. Vidisti quo pacto alterutrum confirmatur probatione alterutrius? Hoc & in vetere testamento videat quis obseruatum esse. Quo enim tempore Hieroboam perditissimā illam insaniuit insaniā, & vitulas aureas erexit, Propheta eò profectus prænunciauit futura, simul & confestim dedit signū. Ne quis enim D diffideret his, quæ post trecentos annos euentura erant, altare medium perfregit, opimámq. sacrificij pinguitudinem effudit, arefecit insuper regis manum: per ea quæ tum fiebant, ob oculos omninm exhibēs specimen nulli non conspicuum eorum quæ tanto pòst tempore euentura erant. Permulta eius generis & in nouo & in vetere testamento facta esse quis videre possit, deo singula diuersis modis dispensante ad nostram omnium salutem: quod sanè etiam hîc factum est, idque pleniore cum redundantia. Signum namq. non solùm consignatum fuit, sed & vnà cum signo coniunxit & prophetiam. Cæterùm vt quæ dicuntur, perspectiora fiant, exactā cum diligentia ipsam percurramus historiam. *Et factum*

Matt.8.11.

Ieroboam idololatra. 3.Reg.13.

est in diebus Achaz filij Ionathan, filij Oziæ regis Iuda, ascendit Razin Rex Aram & Phacee filius Romeliæ Israel, in Hierusalem, vt oppugnarent eam, nec potuerũt expugnare. 2. *Et nunciatum est in domo Dauid dicentibus: Consensit Aram ad Ephraim.* Quæ proxime dicta sunt, planè historia sunt & rei gestæ narratio. Cæterùm qui dexteritate intellectus præditus est, & acriter eam introspicit, haud mediocre emolumentũ est etiam illinc decerpturus, hinc ediscens multam Dei esse sapientiam, quantáq. fuerit eius prouidentia pro salute Iudæorum. Neque enim statim initio repressit bellum, neque cominus ingruẽs siuit præualere aduersus ciuitatem: sed verbotenus permittens fieri comminationem, eius experimentũ vetuit, simul quidem expergefaciens illos, & iisdem adimens socordiam, simul etiam suam declarãs potentiã, nimirum quia possit eos eripere qui iam prouecti sunt ad extremum finẽ malorum, perinde atque eos qui nihil dum sensére quiduis mali, sic & eos qui iam in periculum prolapsi sunt integros conseruare potest & incolumes: quòd & eum subinde fecisse videre liceat, cuiusmodi fecit in fornace Babylonica, in lacu leonum, idque aliis rebus gestis innumeris. Etenim venerũt reges isti, ciuitatem obsidione cinxerunt, attigerunt mœnia, proinde cõcussis timore incolẽtium ciuitatem animis nihil præterea eualuerunt. Vel hinc etiam liceat perpendere, quanta fuerit illarum decem tribuũ iniquitas. Neque enim intestinum modò delegerant bellum, neque quia aduersus fratres conscíuerãt seditiones: sed quòd viris alienæ tribus & gentis se coniunxissent, & ij, quibus permissum non erat, vt cum illis vllam communionem venirent, & cõmilitiones eos vocabant, & cum illis castrametabantur, atq. aduersus ciuitatem consistebant. Etenim Razin solicitarant aduersus metropolim suam, quũ esset externæ gentis: erátq. pugnæ inæqualitas. Apud illos enim multitudo erat infinita, & ciuitates & gentes & populi: Hierosolymis verò nihil horum tale suppetebat, sed ciuitas vna, Metropolis quidem, ita vt Dei fortitudo exuberãtius enitesceret. Nullo enim arma mouente, neque aduersus illos exeunte aut accincto ad conflictum, victoria ex hostium manibus elapsa est, eorũmq. maligni conatus in nihilum abierunt. Ait enim: Non potuerunt expugnare eã. Iam verò quid intercedebat impedimenti? Aliud nihil,

ἐν ταῖς ἡμέραις Αχαζ, τοῦ Ιωαθὰν, τοῦ Οζίου βασιλέως Ιούδα, ἀνέβη Ρασὴμ βασιλεὺς Αρὰμ, καὶ Φακὲς υἱὸς Ρωμελίου βασιλεὺς Ισραὴλ ἐπὶ Ιερουσαλὴμ πολεμῆσαι αὐτὴν, καὶ οὐκ ἠδυνήθησαν πολιορκῆσαι αὐτήν. καὶ ἀνηγγέλη εἰς τὸν οἶκον Δαβὶδ, λεγόντων· συνεφώνησεν Αρὰμ πρὸς τὸν Εφραίμ. ἔστι μὲν ἱστορία τὰ εἰρημένα, καὶ πραγμάτων διήγησις. ἀλλ᾽ ὁ νοῦν ἔχων, καὶ ὀξὺ βλέπων, πολὺ καὶ ἐντεῦθεν καρπώσεται τὸ κέρδος, τοῦ Θεοῦ τὴν πολλὴν σοφίαν, καὶ τὴν ὑπὲρ τῆς Ιουδαίων κηδεμονίας καταμανθάνων. οὔτε γὰρ ἐκ προοιμίων τὸν πόλεμον ἀνεχαίτισεν, οὔτε ἐπελθόντα κρατῆσαι τῆς πόλεως συνεχώρησεν, ἀλλὰ τὴν ἀπειλὴν ἀφεὶς γενέσθαι τὴν διὰ τῶν ῥημάτων, τὴν πεῖραν ἐκώλυσεν, ὁμοῦ μὲν ἐκείνους ἀφυπνίζων καὶ τῆς ῥαθυμίας ἀπαλλάττων, ὁμοῦ δὲ τὴν ἑαυτοῦ δύναμιν ἐνδεικνύμενος, ὅτι δυνατὸν αὐτῷ καὶ πρὸς αὐτὸ τῶν δεινῶν τὸ τέλος ἐλθόντων, ὥσπερ οὐδὲ ἀρχὴν εἰληφότων, οὕτω τοὺς ἐμπίπτοντας ἀκεραίους διατηρῆσαι, ὃ πολλαχοῦ ποιοῦντα αὐτὸν ἔστιν ἰδεῖν· οἷον ἐπὶ τῆς καμίνου τῆς Βαβυλωνίας, ἐπὶ τοῦ λάκκου τῶν λεόντων, καὶ ἐφ᾽ ἑτέρων μυρίων πραγμάτων. καὶ γὰρ ἦλθον οὗτοι, καὶ ἐπολιόρκησαν, καὶ τῶν τειχῶν ἀνήψαντο, καὶ τὰς διανοίας τῶν ἔνδον οἰκούντων κατασείσαντες, οὐδὲν ἴσχυσαν περαιτέρω. ἔστι δὲ κἀντεῦθεν ἰδεῖν τῶν δέκα φυλῶν τὴν παρανομίαν, ὅτι οὐ μόνον ἐμφύλιον εἵλοντο πόλεμον, οὐδ᾽ ὅτι πρὸς τοὺς ἀδελφοὺς ἐστασίασαν, ἀλλ᾽ ὅτι καὶ ἀλλοφύλοις καὶ ἀλλογενέσιν ἑαυτοὺς συνῆψαν, καὶ οἷς μηδὲ ἁπλῶς κοινωνεῖν αὐτοῖς ἐπιτραπέντες, καὶ συμμάχους ἐκάλουν, καὶ συνεστρατεύοντο, καὶ κατὰ τῆς πόλεως ἵσταντο. τὸν γὰρ Ρασὴν ἀλλόφυλον ὄντα κατὰ τῆς μητροπόλεως ἤγειρον· καὶ ἦν τὰ τῆς μάχης ἀνώμαλα. παρὰ μὲν γὰρ ἐκείνοις πλῆθος ἄπειρον, καὶ πόλεις, καὶ ἔθνη, καὶ δῆμοι· ἐνταῦθα δὲ τούτων οὐδὲν, ἀλλὰ πόλις μία ἡ μητρόπολις, ὥστε ἐκ περιουσίας φαίνεσθαι τοῦ Θεοῦ τὴν ἰσχύν. οὐδενὸς γὰρ ὅπλα κινοῦντος, οὐδὲ ἐξιόντος καὶ παρατασσομένου, διέπεσεν ἐκ χειρῶν τῶν πονηρῶν τούτων ἐγχείρημα. οὐ γὰρ ἠδυνήθησαν, φησὶ, πολιορκῆσαι αὐτήν. καί τοι τί τὸ κωλῦον ἦν; οὐδὲν ἕτερον,

ἀλλ' ἡ τοῦ Θεοῦ χεὶρ ἀοράτως αὐτοὺς ἀποκρουομένη. πλὴν ἀλλ' ὅπερ εἶπον, τὸν μὲν πόλεμον ἀπεκρούσατο, τὸν δὲ φόβον οὐκ εὐθέως ἀνεῖλεν. ἀπηγγέλη γάρ, φησιν, εἰς τὸν οἶκον Δαβίδ, ὅτι συνεφώνησεν Ἀρὰμ πρὸς τὸν Ἐφραίμ, καὶ ἐξέστη ἡ ψυχὴ αὐτοῦ, καὶ ἡ ψυχὴ τοῦ λαοῦ αὐτοῦ. ὅταν μέλλῃ τι παράδοξον ὁ Θεὸς ποιεῖν, οὐκ εὐθέως ἐπάγει τὸ θαῦμα· ἀλλὰ πρότερον τοὺς μέλλοντας ἀπολαύειν, ἐν αἰσθήσει τῶν δεινῶν ἀφίησι γενέσθαι, ἵνα μετὰ τὴν ἀπαλλαγὴν τῶν δεινῶν μηδεμίαν ἀγνωμοσύνην ἐπιδείξωνται. ἐπειδὴ γὰρ οἱ πολλοὶ τῶν ἀνθρώπων, τὰ μὲν ὑπὸ τύφου, τὰ δὲ ὑπὸ ῥαθυμίας ἐπιλανθάνονται τῶν δεινῶν μετὰ τὴν ἀπαλλαγὴν τῶν δεινῶν, ἢ μὴ ἐπιλανθανόμενοι ἑαυτοῖς λογίζεσθαι βούλονται τὰ κατορθώματα, πρότερον ἀφεὶς αὐτοὺς ὑπὸ τῶν λυπηρῶν κατασεισθῆναι, τότε τὴν ἐλευθερίαν δίδωσι τῶν ἐνοχλούντων, ὃ δὴ καὶ ἐνταῦθα πεποίηκεν. ἀφῆκεν αὐτῶν τὰς καρδίας ἐκστῆναι, ἀφῆκεν εἰς ἀγωνίαν γενέσθαι πολλήν, καὶ τότε τὴν λύσιν ἐπήγαγε. τοῦτο καὶ ἐπὶ τοῦ μεγάλου πεποίηκε Δαβίδ. ἐπειδὴ γὰρ ἤμελλεν αὐτὸν εἰς τὴν παράταξιν ἐξαγαγεῖν, καὶ τὸ λαμπρὸν ἐκεῖνο τρόπαιον ἐγείρειν διὰ τῆς ἐκείνου χειρός, οὐκ ἐν προοιμίοις τοῦ πολέμου τοῦτο ἐποίησεν, ἀλλ' ἀφεὶς τεσσαράκοντα ἡμέρας αὐτοὺς κατεργασθῆναι τῷ φόβῳ, ὅτε τὴν οἰκείαν ἀπέγνωσαν σωτηρίαν, καὶ μυρία ὀνειδίζοντος τοῦ βαρβάρου, οὐδὲ οὕτω τις ἐτόλμησε διεγερθῆναι, καὶ δέξασθαι τὸν ἀντίπαλον, τότε δή, τότε τῆς ἥττης αὐτῶν ὁμολογηθείσης, καὶ τῆς ἀσθενείας φανερᾶς γενομένης, ἤγαγε τὸ μειράκιον ἐπὶ τὸν πόλεμον, καὶ τὴν παράδοξον ἐκείνην νίκην εἰργάσατο. εἰ γὰρ καὶ μετὰ ταῦτα καὶ τὴν τοσαύτην τῆς ἀσθενείας αὐτῶν ἀπόδειξιν, ὁ Σαοὺλ βασιλεὺς ὑπὸ φθόνου καὶ βασκανίας νικώμενος, ἐπεβούλευε τῷ Δαβίδ, τοῦ πάθους γενόμενος ὅλος, καὶ ἀγνώμων περὶ τὸν εὐεργέτην ἐφαίνετο· εἰ μὴ τοσοῦτον ἔδωκεν ἔλεγχον καὶ τῆς αὐτοῦ καὶ τοῦ στρατοπέδου παντὸς ἀνανδρίας, τί οὐκ ἂν ἐποίησε; τοῦτο αὐτὸ καὶ ἀλλαχοῦ πολλαχοῦ τὸν Θεὸν

præterquam manus Dei quæ inuisibili fortitudine propulsabat illos. Attamen quod cœperam dicere, bellum quidem profligatum est, incussum verò illis timorem non cõfestim ademit. Ait enim, Annũciatum est in domo Dauid, quòd conspirasset Aram cum Ephraim, & emota est anima eius & anima populi eius. Deus enim quidpiam operis confecturus quod stupendum sit & admiratione dignum, nõ statim initio inducit admirationem, sed eos qui ex eo opere decerpturi sunt emolumentum, finit tangi prius sensu malorum: vt exempti impendentibus malis, omnem erga assertorem suæ liberationis declarent animi gratitudinem. quum enim plerique hominũ mox vt sunt defuncti ingruentibus malis, non iam meminerint, quibus fuissent obnoxij periculis, partim quidem per superbiam, partim verò incogitantia quadam huc prouecti, aut certè non obliti quidem, siqua præclarè gesserunt, sibi ea volunt adscribi: prius idcirco finit eos cõcuti eorũ sensu quæ infesta sunt & ingerunt mœrorem, tum demum ab his vindicat, & asserit quæ obturbabant, quod sanè etiam hic effecit. Siuit eorum cor emoueri, permisit in agoniam prolabi nec modicam, tum denique infert absolutionem. Hoc & in admirabili Dauide fecit. quum enim ipsum esset educturus in aciem ad prælium accinctum, & splendidum illud & cumprimis illustre trophæum excitaturus per manus illius, non in ipso belli præludio hoc fecit, sed quadragenario excursu dierum siuit eos cõfici timore, donec de spe propriæ salutis deciderẽt. Et quum innumera exprobraret barbarus ille, & ne sic quidem vllus auderet insurgere in aduersarium, & excipere aduersariũ: tunc sanè, tunc quum exercitus confessus esset se inferiorem, suámque infirmitatẽ palàm euulgaret, produxit Deus in medium hunc adolescentulum ad confligẽdum cum hoste, & eo vsus illam perfecit sanè quàm admirabilem victoriam. Rex ipse etiamsi huius opera consequutus salutẽ, victus tamen fascino inuidiæ ac liuoris post hæc & tamen apertam suam suíque exercitus vniuersi infirmitatem, subseruiebat ipsi Dauid, totus in mentis perturbatione constitutus, & planè ingratus erga tam bene de se meritum. quòd si non exhibuisset tam insigne argumentum & suæ & totius sui exercitus infirmitatis, quid non fecisset? Videre quid possit Deum se-

Quo pacto soleat Deus homines liberare.

1. Reg. 17.

est in diebus Achaz filij Ionathan, filij Oziæ regis Iuda, ascendit Razin Rex Aram & Phacee filius Romeliæ Israel, in Hierusalem, vt oppugnarent eam, nec potuerũt expugnare. 2. *Et nunciatum est in domo Dauid a dicentibus: Consensit Aram ad Ephraim.* Quæ proxime dicta sunt, planè historia sunt & rei gestæ narratio. Cæterùm qui dexteritate intellectus præditus est, & acriter eam introspicit, haud mediocre emolumentũ est etiam illinc decerpturus, hinc ediscens multam Dei esse sapientiam, quantáq; fuerit eius prouidentia pro salute Iudæorum. Neque enim statim initio repressit bellum, neque cominus ingruẽs siuit præualere aduersus ciuitatem: sed verbotenus permittens fieri comminationem, eius experimentũ vetuit, simul quidem expergefaciens illos, & iisdem adimens socordiam, simul etiam suam declarãs potentiã, nimirum quia possit eos eripere qui iam prouecti sunt ad extremum finẽ malorum, perinde atque eos qui nihil dum sensẽre quiduis mali, sic & eos qui iam in periculum prolapsi sunt integros conseruare potest & incolumes: quòd & eum subinde fecisse videre liceat, cuiusmodi fecit in fornace Babylonica, in lacu leonum, idque aliis rebus gestis innumeris. Etenim venerũt reges isti, ciuitatem obsidione cinxerunt, attigerunt mœnia, proinde cõcussis timore incolẽtium ciuitatem animis nihil præterea eualuerunt. Vel hinc etiam liceat perpendere, quanta fuerit illarum decem tribuũ iniquitas. Neque enim intestinum modò delegerant bellum, neque quia aduersus fratres conscierãt seditiones: sed quòd viris alienæ tribus & gentis se coniunxissent, & ij, quibus permissum non erat, vt cum illis vllam communionem venirent, & cõmilitiones eos vocabant, & cum illis castrametabantur, atq; aduersus ciuitatem consistebant. Etenim Razin solicitarant aduersus metropolim suam, quũ esset externæ gentis: erátq; pugnæ inæqualitas. Apud illos enim multitudo erat infinita, & ciuitates & gentes & populi: Hierosolymis verò nihil horum tale suppetebat, sed ciuitas vna, Metropolis quidem, ita vt Dei fortitudo exuberãtius eniteſceret. Nullo enim arma mouente, neque aduersus illos exeunte aut accincto ad conflictum, victoria ex hostium manibus elapsa est, eorúmq; maligni conatus in nihilum abierunt. Ait enim: Non potuerunt expugnare eã. Iam verò quid intercedebat impedimenti? Aliud nihil,

A ἐν ταῖς ἡμέραις Ἀχαζ, τοῦ Ἰωαθάν, τοῦ Ὀζίου βασιλέως Ἰούδα, ἀνέβη Ῥασὴμ βασιλεὺς Ἀράμ, καὶ Φακὲς υἱὸς Ῥομελίου βασιλεὺς Ἰσραὴλ ἐπὶ Ἱερουσαλὴμ πολεμῆσαι αὐτήν, καὶ οὐκ ἠδυνήθησαν πολιορκῆσαι αὐτήν. καὶ ἀνηγγέλη εἰς τὸν οἶκον Δαβὶδ, λεγόντων· συνεφώνησεν Ἀρὰμ πρὸς τὸν Ἐφραίμ. ἔστι μὲν ἱστορία τὰ εἰρημένα, καὶ πραγμάτων διήγησις. ἀλλ' ὁ νοῦν ἔχων, καὶ ὀξὺ βλέπων, πολὺ καὶ ἐντεῦθεν καρπώσεται τὸ κέρδος, τοῦ Θεοῦ τὴν πολλὴν σοφίαν, καὶ τὴν ὑπὲρ τῆς Ἰουδαίων κηδεμονίας καταμανθάνων. οὔτε γὰρ ἐκ προοιμίων τὸν πόλεμον ἀνεχαίτισεν, οὔτε ἐπελ- B θόντα κρατῆσαι τῆς πόλεως συνεχώρησεν, ἀλλὰ τὴν ἀπειλὴν ἀφεὶς γενέσθαι τὴν διὰ τῶν ῥημάτων, τὴν πεῖραν ἐκώλυσεν, ὁμοῦ μὲν ἐκείνους ἀφυπνίζων καὶ τῆς ῥαθυμίας ἀπαλλάττων, ὁμοῦ δὲ τὴν ἑαυτοῦ δύναμιν ἐνδεικνύμενος, ὅτι δυνατὸν αὐτῷ καὶ πρὸς αὐτὸ τὸ τέλος ἐλθόντων, ὥσπερ οὐδὲ ἀρχὴν εἰληφότων, οὕτω τοὺς ἐμπίπτοντας ἀκεραίους διατηρῆσαι, ὃ πολλαχοῦ ποιοῦντα αὐτὸν ἔστιν ἰδεῖν· οἷον ἐπὶ τῆς καμίνου τῆς Βαβυλωνίας, ἐπὶ τοῦ λάκκου τῶν λεόντων, καὶ ἐφ' ἑτέρων μυρίων πραγμάτων. C καὶ γὰρ ἦλθον οὗτοι, καὶ ἐπολιόρκησαν, καὶ τῶν τειχῶν ἀψάμενοι, καὶ τὴν διάνοιαν τῶν ἔνδον οἰκούντων κατασείσαντες, οὐδὲν ἴσχυσαν περαιτέρω. ἔστι δὲ κἀντεῦθεν ἰδεῖν τῶν δέκα φυλῶν τὴν παρανομίαν, ὅτι οὐ μόνον ἐμφύλιον εἵλοντο πόλεμον, οὐδ' ὅτι πρὸς τοὺς ἀδελφοὺς ἐστασίασαν, ἀλλ' ὅτι καὶ ἀλλοφύλοις καὶ ἀλλογενέσιν ἑαυτοὺς συνῆψαν, καὶ οἷς μηδὲ ἁπλῶς κοινωνεῖν αὐτοῖς ἐπιτραπέντες, καὶ συμμάχους ἐκάλουν, καὶ συνεφράττοντο, καὶ κατὰ τῆς πόλεως ἵσταντο. τὸν γὰρ Ῥασὴν ἀλλόφυλον ὄντα κατὰ τῆς μητροπόλεως ἤγειρον· D καὶ ἦν τὰ τῆς μάχης ἀνώμαλα. παρὰ μὲν γὰρ ἐκείνοις πλῆθος ἄπειρον, καὶ πόλεις, καὶ ἔθνη, καὶ δῆμοι· ἐνταῦθα δὲ τούτων οὐδὲν, ἀλλὰ πόλις μία ἡ μητρόπολις, ὥστε ἐκ περιουσίας φανῆναι τοῦ Θεοῦ τὴν ἰσχύν. οὐδενὸς γὰρ ὅπλα κινοῦντος, οὐδὲ ἐξιόντος καὶ παραταττομένου, ἐξέπιπτον ἐκ χειρῶν τῶν πονηρῶν τούτων ἐγχειρημάτων. οὐ γὰρ ἠδυνήθησαν, φησὶ, πολιορκῆσαι αὐτήν. καίτοι τί τὸ κωλῦον ἦν; οὐδὲν ἕτερον,

ἀλλ' ἡ τοῦ Θεοῦ χεὶρ ἀοράτως αὐτοὺς ἀποκρουομένη. πλὴν ἀλλ' ὅπερ εἶπον, τὸν μὲν πόλεμον ἀπεκρούσατο, τὸν δὲ φόβον οὐκ εὐθέως ἀφεῖλεν. ἀπηγγέλη γάρ, φησιν, εἰς τὸν οἶκον Δαβίδ, ὅτι συνεφώνησεν Ἀρὰμ πρὸς τὸν Ἐφραΐμ, καὶ ἐξέστη ἡ ψυχὴ αὐτοῦ, καὶ ἡ ψυχὴ τοῦ λαοῦ αὐτοῦ. ὅταν μέλλῃ τι παράδοξον ὁ Θεὸς ποιεῖν, οὐκ εὐθέως ἐπάγει τὸ θαῦμα· ἀλλὰ πρότερον τοὺς μέλλοντας ἀπολαύειν, ἐν αἰσθήσει τῶν δεινῶν ἀφίησι γενέσθαι, ἵνα μετὰ τὴν ἀπαλλαγὴν τῶν δεινῶν μηδεμίαν ἀγνωμοσύνην ἐπιδείξωνται. ἐπειδὴ γὰρ οἱ πολλοὶ τῶν ἀνθρώπων, τὰ μὲν ὑπὸ τύφου, τὰ δὲ ὑπὸ ῥᾳθυμίας ἐπιλανθάνονται τῶν δεινῶν μετὰ τὴν ἀπαλλαγὴν τῶν δεινῶν, ἢ μὴ ἐπιλανθανόμενοι ἑαυτοῖς λογίζεσθαι βούλονται τὰ κατορθώματα, πρότερον ἀφεὶς αὐτοὺς ὑπὸ τῶν λυπηρῶν κατασείεσθαι, τότε τὴν ἐλευθερίαν δίδωσι τῶν ἐνοχλούντων, ὃ δὴ καὶ ἐνταῦθα πεποίηκεν. ἀφῆκεν αὐτῶν τὰς καρδίας ἐκστῆναι, ἀφῆκεν εἰς ἀγωνίαν γενέσθαι πολλήν, καὶ τότε τὴν λύσιν ἐπήγαγε. τοῦτο καὶ ἐπὶ τοῦ μεγάλου πεποίηκε Δαβίδ. ἐπειδὴ γὰρ ἤμελλεν αὐτὸν εἰς τὴν παράταξιν ἐξαγαγεῖν, καὶ τὸ λαμπρὸν ἐκεῖνο τρόπαιον ἐγείρειν διὰ τῶν ἐκείνου χειρῶν, οὐκ ἐκ προοιμίων τοῦ πολέμου τοῦτο ἐποίησεν, ἀλλ' ἀφεὶς τεσσαράκοντα ἡμέρας αὐτοὺς κατεργασθῆναι τῷ φόβῳ, ὅτε τὴν οἰκείαν ἀπέγνωσαν σωτηρίαν, καὶ μυρία ὀνειδίζοντος τοῦ βαρβάρου, οὐδ' οὕτω τις ἐτόλμησε διεγερθῆναι, καὶ δέξασθαι τὸν ἀντίπαλον, τότε δή, τότε τῆς ἥττης αὐτῶν ὁμολογηθείσης, καὶ τῆς ἀσθενείας φανερᾶς γενομένης, ἤγαγε τὸ μειράκιον ἐπὶ τὸν πόλεμον, καὶ τὴν παράδοξον ἐκείνην νίκην εἰργάσατο. Εἰ γὰρ καὶ μετὰ ταῦτα καὶ τὴν τοσαύτην τῆς ἀσθενείας αὐτῶν ἀπόδειξιν, ὁ σωθεὶς βασιλεὺς ὑπὸ φθόνου καὶ βασκανίας νικώμενος, ἐπεβούλευε τῷ Δαβίδ, τοῦ πάθους γενόμενος ὅλος, καὶ ἀγνώμων περὶ τὸν εὐεργέτην ἐφαίνετο· εἰ μὴ τοσοῦτον ἔδωκεν ἔλεγχον καὶ τῆς αὐτοῦ καὶ τοῦ στρατοπέδου παντὸς ἀνανδρίας, τί οὐκ ἂν ἐποίησε; τοῦτο αὐτὸ καὶ ἀλλαχοῦ πολλαχοῦ τὸν Θεὸν

A præterquam manus Dei quæ inuisibili fortitudine propulsabat illos. Attamen quod cœperam dicere, bellum quidem profligatum est, incussum verò illis timorem non cōfestim ademit. Ait enim, Annūciatum est in domo Dauid, quòd conspirasset Aram cum Ephraim, & emota est anima eius & anima populi eius. Deus enim quidpiam operis confecturus quod stupendum sit & admiratione dignum, nō statim initio inducit admirationem, sed eos qui ex eo opere decerpturi sunt emolumentum, finit tangi prius sensu malorum: vt exempti B impendentibus malis, omnem erga assertorem suę liberationis declarent animi gratitudinem. Quum enim plerique hominū mox vt sunt defuncti ingruentibus malis, non iam meminerint, quibus fuissent obnoxij periculis, partim quidem per superbiam, partim verò incogitantia quadam huc prouecti, aut certè non obliti quidem, si qua preclarè gesserunt, sibi ea volunt adscribi: prius idcirco finit eos cōcuti eorū sensu quæ infesta sunt & ingerunt mœrorem, tum demum ab his vindicat, & asserit quæ obturbabant, quod sanè etiam hîc effe- C cit. Siuit eorum cor emoueri, permisit in agoniam prolabi nec modicam, tum denique infert absolutionem. Hoc & in admirabili Dauide fecit. Quum enim ipsum esset educturus in aciem ad prælium accinctum, & splendidum illud & cumprimis illustre trophæum excitaturus per manus illius, non in ipso belli præludio hoc fecit, sed quadragenario excursu dierum siuit eos cōfici timore, donec de spe propriæ salutis deciderēt. Et quum innumera exprobraret barbarus ille, & ne sic quidem vllus auderet insurgere in aduersarium, & exci- D pere aduersariū: tunc sanè, tunc quum exercitus confessus esset se inferiorem, suámque infirmitatē palàm euulgaret, produxit Deus in medium hunc adolescentulum ad confligēdum cum hoste, & eo vsus illam perfecit sanè quam admirabilem victoriam. Rex ipse etiamsi huius opera consequutus salutē, victus tamen fascino inuidiæ ac liuoris post hæc & tamen apertam suam suíque exercitus vniuersi infirmitatem, subseruiebat ipsi Dauid, totus in mentis perturbatione constitutus, & planè ingratus erga tam bene de se meritum. Quòd si non exhibuisset tam insigne argumentum & suæ & totius sui exercitus infirmitatis, quid non fecisset? Videre quid possit Deum se-

Quo pacto soleat Deus homines liberare.

1. Reg. 17.

cundũ ſuperius dicta ſæpe alibi hoc ipsũ A facere, quod in præſenti hiſtoria factũ legitur. Soluturus enim bellum, eóſq. exempturus iſtis mœroribus ingenti-bus, ſinit prius tangi ſenſu grauium & imminentium periculorum. Ait enim: *Emota eſt anima eius & populi ipſius, quemadmodum in ſyluis condenſis lignum à vento moueri ſolet.* Et hoc prophetiæ propriũ erat, vt eorum regum arcana conſilia in medium produceret. Nobis enim enarrat quo cuiuſq. animus tangeretur affectu. Et quo res ipſa fieret omnibus dilucidior, addit ſimilitudinẽ: vtque doceret B quanta fuerit anxietas, ait: Emota eſt enim anima eorum. Illa prior eorum ſuperbia deiecta erat, planè animum deſponderant abiecta ſpe ſalutis, in extremo vitæ periculo teneri arbitrabantur, nihil iam clementiæ opperiebantur, ſua quiſq. cogitatione ceſſebat ſe eſſe hoſti proditum. Quid tandem Deus? Liberationem prædicit, eámque cõficit momento, vt ne cupiam alij poſthac adſcriberent ciuitatis liberationem. Delegat prophetam, qui prænunciet futura. Ait enim, 3. *Dixit Dominus ad Eſaiam. Egredere in occurſum Achaz, tu & qui dereli-* C *ctus eſt Iaſub filius tuus ad natatoriam aſcenſus agri fullonis.* 4. *Et dices ad eum: Obſerua, vt ſileas, & ne timeas, neque anima tua elangueſcat aut conſternetur, neque formidet à duobus lignis titionum fumigantium horum. Cùm enim ira furoris mei facta fuerit, medebor.* Quid eſt, Egredere in occurſum? Præ timore & anxietate rex quietẽ non agebat, nec ſuſtinebat domi vt maneret: ſed iuxta morem obſeſſis familiarẽ, egrediebatur iugiter, muros circumſpectans, iuxta item portas deerrans, ſingula quæque curioſius diſquirens, animúmque maD cerans anxiis & ſuperuacaneis quæſtionibus, quo in ſtatu ſint res hoſtiũ: quare ait: Egredere in occurſum. Quid porrò eſt, Tu & relictus Iaſub filius tuus? Iaſub Hebræa lingua eſt conuerſatio & formula inſtituendæ vitæ. Eam ob rem & Ieſſe mittens Dauidem, dicebat: Et, Iaſub eorum accipies. Hoc eſt, Eorum conuerſationem renunciabis mihi, ecquid agentes degant. Mihi itaque hîc videtur propheta mandatum accepiſſe, vt ſecum aſſumeret multitudinem adſiſtentium, ne qua regi relinqueretur occaſio excuſandæ immemoriæ aut ingratitudinis, quaſi nihil horum quæ euenissent, audiſſet à propheta. Quod igitur ait, hoc eſt: Egredere in occur-

1. Reg. 17. 18.

A ποιοῦντα ἴδοι τις ἄν· ὃ δὴ καὶ ἐνταῦθα γίνεται. ἐπειδὴ γὰρ μέλλει λύειν τὸν πόλεμον, καὶ ἀπαλλάττειν αὐτοὺς τῆς λυπηρᾶς, ἀφίησι πρότερον τῶν δεινῶν αἰσθέσθαι. ἐξέστη γάρ, φησιν, ἡ ψυχὴ αὐτοῦ, καὶ ἡ ψυχὴ τοῦ λαοῦ αὐτοῦ, ὃν τρόπον ἐν δρυμῷ ξύλον ὑπὸ πνεύματος σαλευθῇ. καὶ τοῦτο προφητείας ἴδιον, τὸ τὰ ἀπόρρητα αὐτῶν εἰς μέσον ἀγαγεῖν. τὸ γὰρ πάθος ἡμῖν ἑρμηνεύει τῆς ἑκάστου διανοίας, καὶ σαφηνείας ἕνεκεν καὶ εἰκόνα προστίθησιν, ὥστε δεῖξαι τὴν ἐπίτασιν τῆς ἀγωνίας. ἐξεστάθη γὰρ αὐτῶν, B φησιν, ἡ ψυχή, κατεβλήθη τὸ φρόνημα, ἀπέγνωσαν τῆς σωτηρίας, ἐν ἐσχάτοις ἐνόμιζον εἶναι, οὐδὲν χρηστὸν προσεδόκων, ἕκαστος ὑπὸ τῶν οἰκείων λογισμῶν προδεδομένος ἦν. τί οὖν ὁ Θεός; προλέγει τὴν ἀπαλλαγήν, καὶ τότε αὐτὴν ἐργάζεται, ἵνα μὴ ἄλλῳ τινὶ λογίσωνται πάλιν τῆς πόλεως ἐλευθερίαν, καὶ πέμπει τὸν προφήτην προαναφωνοῦντα τὰ μέλλοντα. εἶπε γάρ, φησι, κύριος πρὸς Ἡσαΐαν· ἔξελθε εἰς συνάντησιν τοῦ Ἀχαζ, σὺ καὶ ὁ καταλειφθεὶς Ἰασοὺβ ὁ υἱός σου πρὸς κολυμβήθραν C τῆς ἀνόδου τοῦ ἀγροῦ τοῦ γναφέως, καὶ ἐρεῖς αὐτῷ· φύλαξαι τοῦ ἡσυχάσαι, καὶ μὴ φοβοῦ, μηδὲ ἡ ψυχή σου ἀσθενείτω· μηδὲ φοβηθῇς ἀπὸ τῶν δύο ξύλων τῶν δαλῶν τῶν καπνιζομένων τούτων. ὅταν γὰρ ὀργὴ τοῦ θυμοῦ μου γένηται, πάλιν ἰάσομαι. τί ἐστιν, ἔξελθε εἰς συνάντησιν; ἀπὸ τοῦ φόβου καὶ τῆς ἀγωνίας οὐχ ἡσύχαζεν ὁ βασιλεύς, οὐδὲ οἴκοι μένειν εἵλετο, ἀλλ' ὅπερ ἔθος τοῖς πολιορκουμένοις ὑπομένειν, συνεχῶς ἐξῄει, τὰ τείχη περισκοπῶν, πρὸς ταῖς πύλαις γινόμενος, περιεργαζόμενος καὶ πολυπραγμονῶν, πῶς τὰ τῶν πολεμίων διά- D κειται πράγματα· διὰ τοῦτό φησιν, ἔξελθε εἰς συνάντησιν. τί δέ ἐστι, σὺ καὶ ὁ καταλειφθεὶς Ἰασοὺβ ὁ υἱός σου; Ἰασοὺβ τῇ Ἑβραίων γλώττῃ, ἡ ἀναστροφὴ λέγεται, καὶ ἡ διαγωγή. διὰ τοῦτο καὶ ὁ Ἰεσσαὶ πέμπων τὸν Δαβὶδ ἔλεγε, καὶ τὸ Ἐσοὺβ αὐτῶν λήψῃ, τουτέστι, τὴν ἀναστροφὴν αὐτῶν ἀπαγγελεῖς μοι, καὶ τί διάγουσι πράττοντες. καὶ ἐνταῦθα τοίνυν, ἐμοὶ δοκεῖ, ὁ προφήτης κελεύεται πλῆθος μεθ' ἑαυτοῦ λαβεῖν, ἵν', ὅταν εἴπῃ τὰ γεγενημένα, μὴ ἔχῃ ἀγνωμονεῖν ὁ βασιλεύς, ὡς οὐδὲν τούτων ἀκηκοὼς παρὰ τοῦ προφήτου. ὃ οὖν φησι, τοῦτό ἐστιν· ἔξελθε

εἰς

εἰς συναύξησιν σὺ καὶ οἱ ἀναστρεφόμενοι μετὰ σοῦ, οἱ καταλειφθέντες τοῦ λαοῦ. μὴ θαυμάσῃς δὲ, εἰ υἱὸν αὐτοῦ καλεῖ τὸν λαόν. καὶ γὰρ προϊὼν φησιν, ἰδοὺ ἐγὼ, καὶ τὰ παιδία, ἅ μοι ἔδωκεν ὁ Θεός. καὶ γὰρ πατέρων τάξιν ἐπεῖχον οἱ ἅγιοι, τῇ ἀγάπῃ καὶ τῇ κηδεμονίᾳ τῇ περὶ τὸν δῆμον ἐκεῖνον πάντας τοὺς τῆς φύσεως ἀποκρύπτοντες πατέρας. καταλειφθέντας δέ φησι, διὰ τὸ πολλοὺς ἀπενεχθῆναι ὑπὸ τῶν πολεμίων. ἐν τῇ ὁδῷ τοῦ ἀγροῦ τοῦ γναφέως. πολλῆς μοι ἀπορίας καὶ τοῦτο εἶναι δοκεῖ, εἴγε οἱ συγκεκλεισμένοι, καὶ πολιορκούμενοι, καὶ μηδὲ προκύψαι τολμῶντες, ἔξω πυλῶν ἐφαίνοντο. καὶ γὰρ ἔξω τειχῶν ἡ ὁδὸς αὕτη φαίνεται νῦν οὖσα. τίς οὖν ἡ λύσις τῆς ἀπορίας ταύτης; ὅτι τὸ παλαιὸν ἕτερον περιεβέβλητο τεῖχος. καὶ γὰρ διπλᾶ τὰ τείχη τῇ πόλει ἦν. καὶ τοῦτο ῥᾴδιον ἐξ ἑτέρου προφήτου καταιδεῖν ἐπὶ τοῖς βουλομένοις προσέχειν. ἐξελθὼν τοίνυν ἀνίστησιν αὐτῶν τὰ φρονήματα καταπεπτωκότα, καὶ κελεύει θαρσεῖν ὑπὲρ τῶν μελλόντων. ἡσύχασον γὰρ, φησι, καὶ μὴ φοβοῦ, καὶ δαλοὺς ξύλων καλεῖ τοὺς βασιλέας, ὁμοῦ μὲν αὐτῶν τὸ σφοδρὸν, ὁμοῦ δὲ τὸ εὐχείρωτον ἐνδεικνύμενος. καὶ γὰρ τὸ καπνιζομένων διὰ τοῦτο προστέθηκε, τουτέστιν ἐγγὺς ὄντων τοῦ σβεσθῆναι λοιπόν. εἶτα δηλῶν, ὡς οὐ τῆς ἐκείνων δυνάμεως, ἀλλὰ τῆς αὐτοῦ συγχωρήσεως ἡ ἔφοδος ἦν, φησιν· ὅταν γὰρ ὀργὴ τοῦ θυμοῦ μου γένηται, πάλιν ἰάσομαι. καὶ ὁ υἱὸς τοῦ Αρὰμ, καὶ ὁ υἱὸς τοῦ Ρωμελίου, ὅτι ἐβουλεύσαντο βουλὴν πονηρὰν, Εφραὶμ, καὶ ὁ υἱὸς τοῦ Ρωμελίου κατὰ σοῦ λέγοντες· ἀναβησόμεθα εἰς τὴν Ιουδαίαν, καὶ κακώσομεν αὐτὴν, καὶ συλλαλήσαντες ἀποστρέψομεν αὐτοὺς πρὸς ἡμᾶς, καὶ βασιλεύσομεν αὐτῆς τὸν υἱὸν Ταβεήλ. τάδε λέγει κύριος σαβαὼθ, οὐ μὴ μείνῃ ἡ βουλὴ αὕτη, οὐδὲ ἔσται, ἀλλ' ἡ κεφαλὴ Αρὰμ Δαμασκὸς, καὶ ἡ κεφαλὴ Δαμασκοῦ Ρασὶν, καὶ ἔτι ἑξήκοντα καὶ πέντε ἔτη, καὶ ἐκλείψει ἡ βασιλεία Εφραὶμ ἀπὸ λαοῦ, καὶ ἡ κεφαλὴ Εφραὶμ Σομόρων, καὶ ἡ κεφαλὴ Σομόρων ὁ υἱὸς τοῦ Ρωμελίου. καὶ ἐὰν μὴ πιστεύσητε, οὐδὲ μὴ συνῆτε. πάλιν ὁ προφήτης μεγίστην ἀπόδειξιν παρέχεται τῆς προφητείας. ἐπειδὴ γὰρ ὁ φόβος κατέσεισε,

A ſum tu & qui tecum familiariter verſantur, qui relicti ſunt ex populo. Quòd autem ſcriptura filium ipſius vocat populum, non eſt quod mireris. In progreſſu enim operis ait: Ecce ego & pueri, quos mihi dedit Deus. Etenim ſancti illi charitate & ſolerti prouidentia, officium ordinémve patrum ſuſtinebant, imò ſuperiores erant his omnibus, qui naturâ vocantur patres. Relictos verò dicit, quòd non pauci ab hoſtibus fuiſſent abducti. In via agri fullonis. Et hæc particula non paruum ſcrupulum inieciſſe mihi videtur. Si- B quidem concluſi quum eſſent, vallati & obſidione cincti, ita vt ne auderent quidem terram verſus reſpicere, quónam pacto conſpici poterant extra portas? Etenim via eadem extra muros eſſe etiam nunc conſpicitur. Quæ igitur eſt iſtius ambiguitatis ſolutio? Nimirum hæc: ea ciuitas altero vetuſtiore muro ambiebatur. Duplici ſiquidem muro muniebatur, id quod ex alio propheta facilè quis perſpiciat, modò attentus eſſe velit. Egreſſus igitur propheta vires animorum populi collapſas & deiectas erigit, iubétque bono vt eſ- C ſent animo de futuris. Quietem, ait, age & noli timere. Reges illos vocat torres ſiue titiones lignorum, per hoc oſtendens ſimul quidem peracrem eorum vehementiam & intentionem, ſimul verò declarãs quàm facilè poſſent opprimi. Ob hoc enim adiecit, fumigantium: hoc eſt, qui in proximo erant deinceps extinguendi. Ad hæc manifeſtans, quia non illorum virtute: ſed indulgente Dei prouidentia, excurſio hæc contigit, ait: Quum enim ira furoris mei facta fuerit, rurſus medebor. *Et filius Aram & filius Romeliæ. 5. Quia inie-* D *runt conſilium malum Ephraim, & filius Romeliæ contra te, dicẽtes: Aſcendemus ad Iudæam, & affligemus eam, & colloquuti auertemus eos ad nos, & præficiemus ei regem filium Tabeel.*

7. Hæc dicit Dominus Sabaoth: Non manebit conſilium hoc, neque erit. 8. Sed caput Aram, Damaſcus: & caput Damaſci Raſin. Et adhuc ſexaginta & quinque anni, & deficiet regnum Ephraim à populo. 9. Et caput Ephraim Samaria: & caput Samariæ, filius Romeliæ. Si non credideritis, neque intelligetis. Validiſſimum ſuæ prophetiæ argumentum rurſus exhibet propheta. Timore enim concuſſis eorum animis,

Quæſtio: quomodo obſeſſi extra portas viſi.

Solutio.

RRR

ac periculis impendentibus ob oculos positis, quæ tandẽ bona sperari debuerant? Atqui omnem transcendebant ea expectationem, nec satis erant creduli auditores. Vide nunc, quid faciat. Maximum consignat signum eorum quæ euẽtura erant. Consultationes hostium in medium profert. Eorum enim molitionem & commune decretum aperit, quibus aduersum ciuitatẽ acies instruxerant, quid item inter se conseruissent sermonum, cur rursus conspiratione ex pacto inita redierint, quódque fiebat ostendit vel aliud non esse quàm proditionẽ (colloquuti enim dixerũt: Auertemus eos ad nos) vel certè magno eos fastu ebrios esse, atque existimare ad parãdam victoriam nullis sibi esse opus armis, non item vllo apparatu exercitus aut consultatione ad occupandam ciuitatem. Abundè enim fuerit nobis, aiũt, si modò nos in illorum prospectum venerimus, nósque viderint colloquentes. Eis enim in captiuitatem omnibus abductis illinc abibimus. Præterea, quod arrogantibus euenire solet, hac spe tumidi de constituendo rege consultant, quasi iam capta esset ciuitas, & quem præficere metropoli oporteat. Et illorum quidem molitiones sic se habebant, quas omnes ad perniciem Dei prouidentia erat perductura, eóque subiunxit: Hæc dicit Dominus. Nec in dicto hoc substitit, sed adiecit, Sabaoth. Denunciaturus enim propheta insigne quiddam & eximiæ virtutis, meminisse solet Dei, ac regni cœlestis, illius item admirãdi principatus quique omnem omnium transcendit existimationem. Quid igitur ait Deus? Non manebit consilium hoc, neque erit: sed caput Aram Damascus. Principatus eius (ait) & potestas in Damasco consistituetur, nec vltra progredietur. Et caput Damasci, Rasin. Et princeps (ait) atque dominator Damasci Rasin erit: hoc est, in his quæ iuris sui sunt, manebit, nec ampliorem sibi adsciscet potestatem. Et adhuc sexaginta & quinque anni, & deficiet regnum Ephraim à populo. Maximè euidens est veritatis demonstratio, quando prophetæ etiam articulum temporis prædicunt, per hoc declarantes quãta sit vis prophetiæ, his qui eam sedulò exquirere velint. Et nunc quidem ait, quia è ciuitate retrocedent: post verò annos quinq. & sexaginta, de integro ea gens disperibit, pessũmque ibit regnũ Israel, hostésq. ad vnum eos omnes intercipient.

καὶ πρὸ ὀφθαλμῶν ἦν τὰ δεινά, τὰ δὲ χρηστὰ ἐν ἐλπίσι, καὶ προσδοκίαν ὑπερβαίνοντα πᾶσαν, καὶ οἱ ἀκροώμενοι οὐ σφόδρα πιστοί, ὅρα τί ποιεῖ. δίδωσι σημεῖον μέγιστον τῶν ἐκβησομένων, τὰ βουλεύματα τῶν πολεμίων εἰς μέσον ἐκφέρων. λέγει γὰρ αὐτῶν τὴν γνώμην, μεθ' ἧς ἐπεστράτευσαν τῇ πόλει, καὶ τί πρὸς ἀλλήλους διελέχθησαν, καὶ τί συνθέντες ἐπανῆλθον, καὶ δείκνυσιν ἢ προδοσίαν τὸ πρᾶγμα ὂν (συλλεγέντες γάρ, φησιν, αὐτοῖς, ἀποστρέψομεν αὐτοὺς πρὸς ἡμᾶς) ἢ πολλῇ τῇ ἀπονοίᾳ μεθύοντας, καὶ νομίζοντας μηδὲ ὅπλων αὐτοῖς δεῖν, μηδὲ παρατάξεως καὶ συμβολῆς εἰς τὸ τὴν πόλιν λαβεῖν. ἀρκεῖ γὰρ ἡμῖν φανῆναι, φησι, μόνον καὶ διαλεχθῆναι, καὶ πάντας αἰχμαλώτους λαβόντας ἀπελθεῖν. εἶτα, ὅπερ πάσχουσιν οἱ ἀλαζόνες, ὑπὸ τῆς ἐλπίδος ταύτης φυσηθέντες, καὶ περὶ βασιλέως βουλεύονται, ὡς ἤδη τῆς πόλεως ἁλούσης, καὶ τίνα ἐπιστῆσαι δεῖ τῇ μητροπόλει. καὶ τὰ μὲν ἐκείνων τοιαῦτα, φησι· τὰ δὲ τοῦ Θεοῦ, πάντων ἐκείνων ἀναιρετικά. διὸ καὶ ἐπήγαγε· τάδε λέγει κύριος· καὶ οὐκ ἔστη, ἀλλὰ προσέθηκε, Σαβαώθ. ὅταν γάρ τι μέγα ἀπαγγέλλειν μέλλῃ, τῆς δυνάμεως ἀναμιμνήσκει τοῦ Θεοῦ, καὶ τῆς βασιλείας τῆς ἄνω, καὶ θαυμαστῆς ἐκείνης ἀρχῆς καὶ παραδόξου. τί οὖν φησιν ὁ Θεός; οὐ μὴ μείνῃ ἡ βουλὴ αὕτη, οὐδὲ ἔσται· ἀλλ' ἡ κεφαλὴ Ἀρὰμ Δαμασκός. ἡ ἀρχὴ αὐτοῦ, φησιν, ἡ ἐξουσία αὐτοῦ ἐν Δαμασκῷ στήσεται, καὶ περαιτέρω οὐ προβήσεται. καὶ ἡ κεφαλὴ Δαμασκοῦ Ῥασίν. καὶ ὁ ἄρχων Δαμασκοῦ, φησι, καὶ ὁ κρατῶν Ῥασὶν ἔσται· τουτέστιν, ἐν τοῖς αὐτοῦ μενεῖ, καὶ πλείονα οὐ προσθήσει δύναμιν αὐτῷ. καὶ ἔτι ἑξήκοντα καὶ πέντε ἔτη, καὶ ἐκλείψει ἡ βασιλεία Ἐφραὶμ ἀπὸ λαοῦ. μεγίστη τῆς ἀληθείας ἀπόδειξις, ὅταν καὶ τοὺς καιροὺς προλέγωσιν οἱ προφῆται, παρέχοντες τοῖς βουλομένοις ἐξετάζειν μετ' ἀκριβείας τῆς προφητείας τὴν δύναμιν. νῦν μὲν γάρ φησιν, ἀποστήσονται τῆς πόλεως· μετὰ δὲ πέντε καὶ ἑξήκοντα ἔτη, ὁλόκληρον ἀπολεῖται τὸ ἔθνος, καὶ ἡ βασιλεία τοῦ Ἰσραὴλ οἰχήσεται, καὶ οἱ πολέμιοι λαβόντες αὐτοὺς ἀπελάσονται πάντας.

νῦν μὲν τοι περὶ τῆς ἁλώσεως ἐκείνης, οὐδὲν πλέον τῶν οἰκείων λήψονται. ἵνα γὰρ μὴ ἀκούσας ὁ βασιλεὺς, ὅτι μετὰ ἑξήκοντα πέντε ἔτη ἀπολοῦνται, λέγῃ πρὸς ἑαυτὸν, τί οὖν; ἐὰν νῦν ἡμᾶς λαβόντες, τότε ἀπολοῦνται, τί τὸ ὄφελος ἡμῖν; θάρρει, φησὶ, καὶ περὶ τῶν παρόντων. ἁλώσονται γὰρ τότε παντελῶς. νῦν μὲν τοι πλέον οὐδὲν τῶν οἰκείων ἕξουσιν· ἀλλ' ἔσται ἡ κεφαλὴ Ἐφραὶμ, τουτέστι τῶν δέκα φυλῶν, ἡ Σαμάρεια (ἐκεῖ γὰρ ἦν αὐτοῖς ἡ βασιλεία) καὶ οὐκ ἐκταθήσεται περαιτέρω· καὶ ἡ κεφαλὴ Σαμαρείας ὁ βασιλεὺς τοῦ Ἰσραήλ· ὅπερ ἐπὶ τοῦ Δαμασκηνοῦ ἔλεγε, τοῦτο καὶ ἐνταῦθα δηλοῖ, ὅτι οὐδὲν πλέον ἕξουσιν, ἢ ταῦτα ἃ νῦν κατέχουσιν. εἶτα ἐπειδὴ πράγματα εἶπεν ὑπερβαίνοντα λόγον ἀνθρώπινον, καὶ ἀνώτερα τῆς τῶν λογισμῶν ἀκολουθίας, καὶ προφητεία τὸ λεγόμενον ἦν, εἰκότως ἐπήγαγεν· ἐὰν μὴ πιστεύσητε, οὐδὲ μὴ συνῆτε. μὴ ζήτει, φησὶ, πῶς καὶ τίνι τρόπῳ ταῦτα ἔσται. Θεὸς γάρ ἐστιν ὁ ἐργαζόμενος, καὶ πίστεώς σοι δεῖ μόνης, καὶ εἰσονήσῃς τοῦ ποιοῦντος τὴν δύναμιν. πᾶσαν ἔλαβες τῶν εἰρημένων τὴν ἀπόδειξιν. διὸ καὶ ὁ προφήτης Δαβὶδ ἔλεγεν· ἐπίστευσα, διὸ ἐλάλησα. καὶ ὁ Παῦλος εἰκότως ἐπιλαβόμενος τῆς ῥήσεως ταύτης, ἐπὶ μείζονα αὐτὴν εἵλκυσε πράγματα λέγων· ἔχοντες δὲ τὸ αὐτὸ πνεῦμα τῆς πίστεως, κατὰ τὸ γεγραμμένον, ἐπίστευσα, διὸ καὶ ἐλάλησα, καὶ ἡμεῖς πιστεύομεν, διὸ καὶ λαλοῦμεν. εἰ γὰρ τὰ παλαιὰ πίστεως ἐχρῆζε, τοσοῦτον ἀπέχοντα τῶν ἐν τῇ καινῇ, ὅσον ἡ γῆ τῶν οὐρανῶν, πολλῷ μᾶλλον ἡ τῶν οὕτως ὑψηλῶν δογμάτων γνῶσις καὶ οὐδεὶς εἰς νοῦν ἐλθόντων τινί ποτε. ὅπερ οὖν καὶ αὐτὸς δηλῶν ἔλεγεν· ἃ ὀφθαλμὸς οὐκ εἶδεν, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ἃ ἡτοίμασεν ὁ Θεὸς ἀγαπῶσιν αὐτόν. καὶ προσέθετο κύριος λαλῆσαι τῷ Ἄχαζ λέγων· αἴτησαι σεαυτῷ σημεῖον παρὰ κυρίου τοῦ Θεοῦ σου, εἰς βάθος ἢ εἰς ὕψος. καὶ εἶπεν Ἄχαζ, οὐ μὴ αἰτήσω, οὐδὲ μὴ πειράσω κύριον. καὶ εἶπεν Ἡσαΐας, ἀκούσατε δὴ οἶκος Δαβίδ· μὴ μικρὸν ὑμῖν ἀγῶνα παρέχειν ἀνθρώποις; καὶ πῶς κυρίῳ παρέχετε ἀγῶνα; διὰ τοῦτο δώσει κύριος αὐτὸς ὑμῖν σημεῖον· ἰδοὺ, ἡ παρθένος ἐν γαστρὶ λήψεται, καὶ τέξεται υἱὸν, καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ.

Et quidem nunc Israëlitæ ad illã vsque suam captiuitatem, nihil præter ea quæ iuris sunt sui, acquirent. Id attexuit, ne rex audito quia post sexaginta quinque annos dispersituri essent, secũ reputaret: Quid igitur, si nobis nunc abreptis in captiuitatem, illi tunc sunt disperdendi, quid hinc in nos emolumenti resilíet? Spem bonam sume (ait) & de præsentibus. Omnino enim tunc emigrabunt in captiuitatem. Et nunc quidem nihil interim habituri sunt, præter ea quæ suo iure possident: sed erit caput Ephraim (hoc est, decem tribuum) Samaria. Regia enim illic eis posita erat, nec iam vlterius regnũ exporrigetur. Et caput Samariæ rex Israel. Quod de Damasceno dicebat, idẽ & hîc indicat, nimirum amplius nihil sibi vendicaturos, quàm quæ nũc obtinet. Ad hæc, quando res eas dixit quę sermonẽ humanum transcendebant, & quauis serie ratiocinationum erant superiores (quod enim dicebatur, prophetia erat) haud abs re intulit: Nisi credideritis, neque intelligetis. Ne quæras, (ait) quo pacto quóve modo fiet hæc: Deus enim est, qui operatur. Tu quæso, tantum fidem præsta dictis: & quæ sit opificis virt⁹ intelliges. Enarrationem eorum quæ dicta sunt, omnem accepisti. Eóque Dauid propheta ait: Credidi, propter quod locutus sum. Et Paulus assumptâ hanc sententiam ad maiora non ab re pertraxit, dicens: Habentes autem eundem spiritum fidei, sicut scriptũ est: Credidi propter quod & loquutus sum. Et nos credimus, propter quod & loquimur. quãuis enim testimonia astruendæ fidei, sit mutuatus è vetere testamento, ipsa tamen tantum ab his quæ in nouo, distãt, quantò inferior cœlo est terra. Pręcellit enim multò magis cognitio dogmatum sic sublimium, vt nulli vnquam contigerit ea intellectu assequi, quod equidem, idẽ manifestãs, dicebat. Quæ oculus non vidit, nec auris audiuit, & in cor hominis non ascenderũt, quæ præparauit Deus diligentibus se. 10. *Et adiecit Dominus loqui Achaz dicẽs.* 11. *Pete tibi signũ à Domino Deo tuo in profundũ siue in excelsum.* 12. *Et dixit Achaz, Non petam, & non tentabo Dominũ.* 13. *Et dixit Esaias. Audite ergo domus Dauid. Nunquid parum est vobis agonem exhibere hominibus? Qua ratione etiam Domino exhibetis agonem?* 14. *Propter hoc dabit Dominus ipse vobis signum. Ecce virgo in vtero accipiet & pariet filium: & vocabunt nomen eius Emmanuel.*

Psal. 115. 2. Cor. 4.

Iudæis non ferentibus ipsius in increpando libertatem. Exceptis hisce nugacibus, nusquam scriptura cõmeminit, quia vel præsens tum fuisset, quo tempore hæc præter dignitatem Oziæ tentata sunt, & quòd præsens siluerit. Sed talia proferentes, ex propriis & suamet commentatione collegerunt coniecturam. Quid igitur ad hæc liceat respondere? Quia Moysi & huius dispar erat conditio. Moses enim in barbaram regionem mittebatur, & ad tyrãnum vecordi insania ac rabie percitum: hic ad domesticè notos, & qui eum audierant subinde docentem, quique ab ipso fuerant non exiguo tempore eruditi. Quibus de causis, vtriusque obedientia hic & illic non requirebat virilem constantiam & ex æquo parẽ. Quidam autem dicunt aliud quidpiam intercessisse, quod ipsius animo hanc inseuerit alacritatem. Quum enim pro suis, proque populi peccatis esset confessus, ac vidisset Seraphim ad se mitti, & ex eis vnum, qui sua expurgaret labia, spe etiam præsumpsisset eadem euẽtura esse populo, & hęc abiret renũciaturus, ex prompto & alacri animo dictum verbum rapuit ex ore Dei loquentis. Etenim sancti illi quàm erãt præ cæteris hominib. amantes Dei, tam erãt bene cupiẽtes populo, quasi filiis. Is igitur quum sperasset se renunciaturum populo aliqua ex parte abolitionẽ malorũ, incunctanter in medium prosiliuit & ait: Ecce ego sum. Mitte me. Aliàs verò animam profectò habebat mirè propensam & expositam subeũdis periculis. Morem hunc fuisse Esaiæ, vel ex lectione totius ei⁹ prophetiæ manifestũ est. Quum igitur spopondisset se abiturum, nec iam deinceps auderet pactum abnuere, tunc audit quæ essent allatura populo peracrem molestiam & anxietatem. Siquidem Deus ipsum moderatus sapiẽter direxit. Non enim initio statim dixit: Abi & dic populo, sed prius suspendit mandatũ, & incertum reliquit modũ suæ missionis. Ex quo iussis tam facilè paruit, ea prænunciat populo Iudæorum quæ eos apprehensura essent mala. Quæ porrò hæc erãt. 9. *Vade* (inquit) *& dic populo huic: Auditu audietis & non intelligetis: & videntes videbitis, & non perspicietis.* 10. *Incrassatum est enim cor populi huius, & auribus suis grauiter audierunt, & oculos suos compresserunt, ne fortè videant oculis & auribus audiant, & corde intelligant, & conuertantur & sanem eos.* Quod ad eos attinet qui exactè callent scripturas, arbitror hæc enarratione nulla egere,

Esa. 6. 8.

Act. 28. 25

A τῶν Ἰουδαίων οὐκ ἀνεχόντων αὐτοῦ τὴν παρρησίαν. χωρὶς δὲ τούτων οὐδέ φησιν ἡ γραφή που, ὅτι παρῆν, ἡνίκα τὰ κατὰ τὸν Ὀζίαν ἐγίνετο, καὶ παρὼν ἐσίγα, ἀλλ᾽ οἴκοθεν καὶ παρ᾽ ἑαυτῶν ταῦτα οἱ λέγοντες στοχάζονται. τί οὖν ἔστιν εἰπεῖν; ὅτι οὐκ ἦν ἴσον τὸ Μωϋσέως, καὶ τοῦτο. ὁ μὲν γὰρ εἰς ἀλλοτρίαν ἐπέμπετο καὶ εἰς βάρβαρον χώραν, καὶ πρὸς τύραννον, καὶ μεμηνότα, καὶ λυττῶντα· οὗτος δὲ πρὸς τοὺς οἰκείους, καὶ πολλάκις ἀκηκοότας, καὶ ἐν πολλῷ παιδευθέντας χρόνῳ. καὶ οὐ τῆς αὐτῆς ἀνδρείας ἦν τὸ ὑπακοῦσαι ἐκεῖ B τε καὶ ἐνταῦθα. τινὲς δέ φασιν, ὅτι καὶ ἕτερόν τι αὐτῷ τὴν προθυμίαν ἐποίησε ταύτην. ἐπειδὴ γὰρ ὑπέρ τε ἑαυτοῦ καὶ τοῦ λαοῦ ἐξωμολογήσατο, καὶ τὰ Σεραφὶμ εἶδεν ἀποσταλέντα, καὶ ἐκκαθάραντα αὐτοῦ τὰ χείλη, προσδοκήσας, ὅτι καὶ τῷ λαῷ ταῦτα συμβήσεται, καὶ ταῦτα ἀπελεύσεται ἀπαγγέλλων, προθύμως ἥρπασε τὸ λεχθέν. ὥσπερ γὰρ ἦσαν φιλόθεοι, οὕτω καὶ φιλόστοργοι μάλιστα πάντων ἀνθρώπων οἱ ἅγιοι. ἐλπίσας οὖν λύσιν τινὰ τῶν κακῶν ἀπαγγέλλειν, ἐπεπήδησε ταχέως, καί φησιν· ἰδοὺ ἐγώ εἰμι, ἀπόστειλόν με. ἄλλως δὲ καὶ C ψυχὴν σφόδρα πρὸς κινδύνους παρατεταγμένην εἶχε· καὶ δηλοῖ αὐτοῦ τοῦτο τὸ ἦθος διὰ πάσης τῆς προφητείας ὄν. ἐπεὶ οὖν ὑπέσχετο ἀπελεύσεσθαι, καὶ οὐκ ἐτόλμα λοιπὸν ἀνανεῦσαι, τότε ἀκούει τὰ λυπηρά. καὶ γὰρ καὶ ὁ Θεὸς αὐτὸν σοφῶς μεταχειρίζεται. οὐ γὰρ ἐξ ἀρχῆς εἶπε, πορεύθητι, καὶ εἰπέ· ἀλλὰ πρότερον μετέωρον ποιήσας τὸ ἐπίταγμα, καὶ ἄδηλον τῆς ἀποστολῆς τὸν τρόπον, ἐπειδὴ ῥᾳδίως ὑπήκουσε, λέγει τὰ καταληψόμενα τοὺς Ἰουδαίους κακά. τίνα δὲ ταῦτα ἦν; πορεύθητι, φησί, καὶ εἰπὲ τῷ D λαῷ τούτῳ· ἀκοῇ ἀκούσετε, καὶ οὐ μὴ συνῆτε, καὶ βλέποντες βλέψετε, καὶ οὐ μὴ ἴδητε. ἐπαχύνθη γὰρ ἡ καρδία τοῦ λαοῦ τούτου, καὶ τοῖς ὠσὶν αὐτῶν βαρέως ἤκουσαν, καὶ τοὺς ὀφθαλμοὺς αὐτῶν ἐκάμμυσαν, μήποτε ἴδωσι τοῖς ὀφθαλμοῖς, καὶ τοῖς ὠσὶν ἀκούσωσι, καὶ τῇ καρδίᾳ συνῶσι, καὶ ἐπιστρέψωσι, καὶ ἰάσωμαι αὐτούς. ταῦτα οὐδὲ ἑρμηνείας οἶμαι δεῖσθαι, τῶν ἀκριβῶς ταῦτα ἐπισταμένων προλαβόντων καὶ ἐξηγησαμένων αὐτά,

Ἰωάννου τε τοῦ υἱοῦ τῆς βροντῆς, καὶ Παύλου τοῦ τὰ παλαιὰ καὶ τὰ καινὰ μετ᾽ ἀκριβείας εἰδότος. ὁ μὲν γὰρ ἐν τῇ Ῥώμῃ πρὸς τοὺς συνελθόντας μὲν, ἀποπηδήσαντας δὲ, καὶ οὐκ ἀναχομένους τῶν λεγομένων, δημηγορῶν ἔλεγε, καλῶς εἶπε τὸ πνεῦμα τὸ ἅγιον· ἀκοῇ ἀκούσετε, καὶ οὐ μὴ συνῆτε. ὁ δὲ τῆς βροντῆς υἱὸς, ἐπὶ θαύματα ἑώρων, καὶ οὐκ ἐπίστευον, καὶ δογμάτων ἤκουον, καὶ οὐ προσεῖχον (ἀνέστησε γὰρ Λάζαρον ὁ Χριστὸς, καὶ ἀνελεῖν αὐτὸν ἐπεχείρουν, δαίμονας ἤλαυνε, καὶ δαιμονῶντα ἐκάλουν, τὸν πατέρα προσῆγε, καὶ πλάνον ὠνόμαζον, καὶ τὰς ἐναντίας ἐδέχοντο δόξας) μνημονεύει τῆς προφητείας ταύτης λέγων· καλῶς εἶπεν Ἡσαΐας ὁ προφήτης, ὅτι ἀκοῇ ἀκούσετε, καὶ οὐ μὴ συνῆτε, καὶ βλέποντες βλέψετε, καὶ οὐ μὴ ἴδητε. ἐπειδὴ γὰρ τὰ ἔνδον ὄμματα τῆς διανοίας πεπήρωντο, οὐδὲν ὄφελος ἦν αὐτοῖς τῶν ἔξωθεν ὀφθαλμῶν, τοῦ κριτηρίου τῆς διανοίας διεφθαρμένου. διὰ τοῦτο βλέποντες οὐκ ἔβλεπον, καὶ ἀκούοντες οὐκ ἤκουον. καὶ τὴν αἰτίαν προστέθεισιν· ὅτι οὐχὶ τὰ αἰσθητήρια ἦν διεφθαρμένα, οὐδὲ ἡ φύσις λελωβημένη, ἀλλὰ ἡ καρδία πεπηρωμένη. ἐπαχύνθη γὰρ ἡ καρδία τοῦ λαοῦ τούτου, φησί· πάχος δὲ διανοίας γίνεται, ἀπό τε ἁμαρτημάτων, ἀπό τε βιωτικῆς ἐπιθυμίας. καὶ τοῦτο ἐξηγούμενος τὴν παχύτητα ὁ Παῦλος ἔλεγεν, οὐκ ἠδυνήθην ὑμῖν λαλῆσαι ὡς πνευματικοῖς. οὔπω γὰρ ἠδύνασθε, ἀλλ᾽ οὐδ᾽ ἔτι δύνασθε. καὶ τὴν αἰτίαν προστέθησι λέγων· ὅπου γὰρ ἐν ὑμῖν ἔρεις καὶ ζῆλοι καὶ διχοστασίαι, οὐχὶ σαρκικοί ἐστε; ἐπεὶ οὖν κἀκεῖνοι φθόνῳ πολλῷ καὶ βασκανίᾳ τηκόμενοι, καὶ ἑτέροις μυρίοις πολιορκούμενοι πάθεσι, παχὺ τὸ ὄμμα τῆς διανοίας εἰργάσαντο, καθαρῶς βλέπειν οὐκ ἔτι λοιπὸν ἠδύναντο, διὰ ἑτέρας περὶ τῶν ὁρωμένων δόξας ἐλάμβανον, καὶ τὰς ἐναντίας. ταῦτα οὖν μετὰ ἀκριβείας ὁρῶν ὁ προφήτης, προανεφώνησε καὶ τοῦ νοσήματος τὴν αἰτίαν. σὺ δέ μοι σκόπει, ὡς δυοῖν προφητειῶν οὐσῶν, τὴν μὲν περὶ τῆς ἐκκλησίας καὶ τῶν τῆς οἰκουμένης ἀγαθῶν τὰ Σεραφὶμ ἐδέξαντο λέγοντα, ἅγιος, ἅγιος, ἅγιος, κύριος σαβαώθ, πλήρης πᾶσα ἡ γῆ τῆς δόξης αὐτοῦ· τὴν δὲ περὶ τῆς ἁλώσεως,

A quando præsertim eadem & Ioannes tonitrui filius, Paulus item nouæ iuxtà ac veteris scripturæ exquisitè conscius præuerterunt edisserere. Hic enim Romæ quidem quum esset inter concionandum apud eos qui conuenerant, & illi resilirent, nec sustinerent quæ dicebantur, dicebat: Bene dixit Spiritus sanctus, Aure audietis & non intelligetis. Tonitrui item filius, quũ illi ne visis quidem miraculis persuadebantur, vt crederent, dogmata item audiebãt, nec eis aures adhibebãt attentas. Lazarum excitauit ad vitã Christus: & ecce eun- B dem moliebantur è medio auferre. Dæmones abigebat, & dæmoniacum appellabant. Eos conciliabat Patri, & seductorem nominabant. Ioannes enim, quum illi contrarias de Christo opiniones cõcepissent, huius cõmeminit prophetiæ dicens, Bene dixit Esaias, Aure audietis, & non intelligetis: videntes videbitis, & non perspicietis. Nam quum interiores oculos mentis haberent oblæsos ac deprauatos, nulla iam eis supererat vtilitas ex sensorio organo exteriorum oculorũ, corrupta mente. Ob hoc videntes non videbant, & audientes C non audiebant. Simul adiungit & causam, Non enim ipsa sensuum organa erant corrupta, non natura oblæsa erat, aut vlla sui parte mutila: sed cor excæcatum. Incrassatũ est enim cor populi huius, ait. Ista mentis crassities concrescit multitudine peccatorum, à concupiscentia gignitur rerum temporalium. Hanc crassitiem enarrans Paulus dicebat: Non potui vobis loqui quasi spiritualibus. Nondum enim poteratis: sed neque adhuc potestis. Causam annectit D dicẽs, Cum enim sint inter vos zelus & contẽtio, nónne carnales estis? Itaq; illi quũ inuidia non modica & liuore intabescerẽt, aliisq. innumeris perturbationibus obsessi essent: oculum vtiq. mentis impinguabãt crassitudine ignorãtiæ & inscitiæ, nec iã deinceps valebãt quæ syncera sunt, rectà contueri: eóq. de his quæ in omni cõspectũ à Christo edebãtur, miraculis, diuersas & secũ pugnãtes sentẽtias cõcipiebant. Hæc igitur Propheta acie mẽtis nõ inscitè contemplatus prędicit, & causã tanti istius morbi. Mihi iam animum adhibe, quũ duæ hîc assignentur Prophetiæ, vnam quidem quæ de ecclesia est, déque bonis orbi terrarum affuturis, ipsi spiritus Seraphini in se receperunt, dicentes: Sanctus, Sanctus, Sanctus Dominus Sabaoth. Plena est omnis terra gloria eius: alterã verò quę de captiuitate est,

Act. 28. 25 Ioannem Euangelistam intelligit.

Ioan. 12. 38 Hæc non vsquequaque respondent textui Ioannis.

1. Cor. 3. 1.

Dua prophetia de ecclesia, & de bonis futuris.

& pœnis Iudæorum populo irrogandis, reliquerunt Prophetę promulgandam, vt hinc etiã discas quanta amplitudine, quámq; excelléti prærogatiua ecclesia polleat. 11. *Et dixi, Vsquequo Domine?* Vides nos non frustra, sed certis coniecturis collegisse, quãta cum alacritate Propheta paruerit diuinæ voci? Ipse enim quũ audiisset contraria his quæ se auditurum sperauerat, nempe desolationem regionis, extremam hominum cladem, rogat saltem se edoceri modum mensurámve pœnæ populo irrogãdæ, non ausus precari, vt ab omni prorsus seueritate vindictę eruerentur, quod prius cum docuisset Deus populũ admisisse flagitia, quæ nullam promererẽtur veniam. Quę enim sustinuerant committere facinora non à direptione solum, neque à voluntate nequiter insultãdi proximis, profecta erant, sed ab animo data opera inobedienti, & ab ingenio ad cõtentiones nato & quasi præmeditatò obluctãte his quæ à Deo fiebãt. Et quidem hoc tacitè innuẽs, dicebat: Ne fortè videãt oculis, & corde intelligant, & conuertantur, & sanem eos: Quasi nimirum timerent, ne forte quippiã discerent eorum quę decentia sunt ac suæ saluti opportuna, ita mentem suam excæcarant studio peruersitatis. Quũ igitur superesset acerbissima increpatio, simul & vltrix facinorum pœna planè inexorabilis, etiam affectat doceri, sed ordine discendi infert supplicationem. Ex quo autem neque palam audebat pro hoc offerre supplicationem: ob hoc sub colore disciplinæ, excogitat interrogationem, dicens: *Vsquequo Domine? Et dixit, Donec desolentur ciuitates, vt non habitẽtur: & domus, vt non sint homines. Et terra relinquetur deserta.* 12. *Et post hæc longè faciet Deus homines. Et multiplicabuntur qui derelicti fuerint super terram.* 13. *Et adhuc in ea est decimatio. Et rursus erit in deprædationẽ, sicut terebinthus: & sicut glans, quãdo exciderit ex theca sua. Semen sanctum erit stabilimentũ eius.* Absoluta superiore prophetia, sermonem rursus educit, ad historiam: & captiuitatem decem tribuum prædicens commemorat longanimitatem Dei exhibitam esse duabus tribubus per illam decem tribuũ captiuitatem. Tandem hos etiam ipsos in captiuitatem pręcinit abducendos, quod minimè essent vsi Dei longanimitate ad id quod ex officio conueniebat, prosperitatem insuper temporis successuram eis qui relicti fuerint. Nam quando dicit: Donec desolentur ciuitates vt non

καὶ τὴν τιμωρίαν τὴν Ἰουδαϊκὴν τῷ προφήτῃ κατέλειπον, ἵνα κἀντεῦθεν μάθῃς τῆς ἐκκλησίας τὴν ὑπεροχήν. καὶ εἶπον, ἕως πότε, κύριε; ὁρᾷς ὡς οὐ μάτην, οὐδὲ εἰκῆ ἐστοχασάμεθα τῆς ὑπακοῆς τοῦ προφήτου τῆς μετὰ πολλῆς προθυμίας γεγενημένης. ἐπειδὴ γοῦν τἀναντία ὧν προσεδόκησεν ἤκουσεν, ἐρημίαν, πανωλεθρίαν, ἀξιοῖ τὸ γοῦν μέτρον μαθεῖν τῆς τιμωρίας. οὐδὲ γὰρ ἐτόλμα ὁλοκλήρου τῆς ὀργῆς αὐτοὺς ἐξαρπάσαι, διὰ τὸ προλαβόντα τὸν Θεὸν δεῖξαι ἀσύγγνωστα ἁμαρτάνοντας. οὐ γὰρ συναρπαγῆς ἦν αὐτῶν τὰ τολμήματα, οὐδὲ γνώμης ἐπηρεαζομένης, ἀλλὰ ψυχῆς ἔργον ποιουμένης τὴν παρακοήν, καὶ διανοίας φιλονείκου, καθάπερ ἐκ μελέτης τινὸς καὶ σπουδῆς, ἀνθισταμένης τοῖς ὑπὸ τοῦ Θεοῦ γινομένοις. τοῦτο γοῦν αἰνιττόμενος ἔλεγε, μήποτε ἴδωσι τοῖς ὀφθαλμοῖς, καὶ τῇ καρδίᾳ συνῶσι, καὶ ἐπιστρέψωσι καὶ ἰάσωμαι αὐτούς. ὡσπερεὶ δεδοικότες γάρ, φησι, μήποτέ τι τῶν δεόντων μάθωσιν, οὕτω μετὰ πολλῆς τῆς σπουδῆς τὴν διάνοιαν αὐτῶν ἐπήρωσαν. ἐπεὶ οὖν καὶ ἡ κατηγορία βαρυτάτη καὶ ἡ τιμωρία ἀπαραίτητος, ὅπερ ἦν λειπόμενον, τοῦτο ζητεῖ μαθεῖν. ἀλλ' ἐν τάξει τοῦ μαθεῖν, ἱκετηρίαν εἰσάγει. ἐπειδὴ δὲ οὐδὲ ὑπὲρ τούτου φανερῶς ἱκετεῦσαι ἐτόλμα, διὰ τοῦτο μαθήσεως προσχήματι ἐρώτησιν ἐπινοεῖ λέγων· ἕως πότε, κύριε; καὶ εἶπεν· ἕως ἂν ἐρημωθῶσι πόλεις παρὰ τὸ μὴ κατοικεῖσθαι, καὶ οἶκοι παρὰ τὸ μὴ εἶναι ἀνθρώπους· καὶ ἡ γῆ καταλειφθήσεται ἔρημος. καὶ μετὰ ταῦτα μακρυνεῖ ὁ Θεὸς τοὺς ἀνθρώπους, καὶ πληθυνθήσονται οἱ καταλειφθέντες ἐπὶ τῆς γῆς, καὶ ἔτι ἐπ' αὐτῆς ἐστι τὸ ἐπιδέκατον, καὶ πάλιν ἔσται εἰς προνομὴν ὡς τερέβινθος, καὶ ὡς βάλανος, ὅταν ἐκπέσῃ ἐκ τῆς θήκης αὐτῆς. σπέρμα ἅγιον τὸ στήλωμα αὐτῆς. τὴν προφητείαν ἀπαρτίσας ἐκείνην, ἐπὶ τὴν ἱστορίαν πάλιν ἐξάγει τὸν λόγον, τήν τε ἀγωγὴν τῶν δέκα φυλῶν προαναφωνῶν, τήν τε διὰ τῆς αἰχμαλωσίας ἐκείνης ἐπὶ ταῖς δύο φυλαῖς μακροθυμίαν γεγενημένην, εἶτα καὶ τὴν τούτων αὐτῶν ἀγωγὴν (ἐπειδὴ εἰς οὐδὲν δέον ἐχρήσαντο τῇ μακροθυμίᾳ) καὶ τὴν ἐκ τοῦ λειψάνου πάλιν ἀναφθησομένην αὐτοῖς εὐημερίαν. ὅταν μὲν γὰρ λέγῃ, ἕως ἂν ἐρημωθῶσι πόλεις παρὰ

τὸ μὴ κατοικεῖσθαι, τὴν δέκα φυλῶν τὴν αἰχμαλωσίαν αἰνίττεται. ἄρδην γὰρ ἠφανίσθησαν ἅπαντες, καὶ μετὰ πολλῆς τῆς σφοδρότητος ἀνάρπαστοι γενόμενοι, πάντες εἰς τὴν ἀλλοτρίαν ἀπηνέχθησαν, ὡς καὶ τὰς πόλεις ἁπάσας ἑστάναι κενὰς ἀνθρώπων, καὶ τὴν γῆν ἔρημον τῶν γεωργούντων αὐτήν, εἰς ὠφέλειαν τῶν ὑπολειφθησομένων. ὅταν μὲν οὖν λέγῃ, ἕως ἐρημωθῶσι πόλεις παρὰ τὸ μὴ κατοικεῖσθαι, καὶ οἶκοι παρὰ τὸ μὴ εἶναι ἀνθρώπους, τότε λέγει καὶ τὴν αἰχμαλωσίαν. ὅταν δὲ λέγῃ, ὅτι καὶ μετὰ ταῦτα μακρυνεῖ ὁ Θεὸς τοὺς ἀνθρώπους, ἢ τὴν ὁλοσχερῆ πάντων εὐπραγίαν αἰνίττεται, ἢ τὴν μετὰ τὴν ἀπαγωγὴν τῶν δέκα φυλῶν γενομένην ταῖς δύο φυλαῖς εὐημερίαν. ἀπαλλαγέντες γὰρ τοῦ Σενναχηρεὶμ καὶ τοῦ βαρβαρικοῦ στρατοπέδου, καὶ τῆς παραδόξου νίκης ἀπολαύσαντες, εἰς πλῆθος πάλιν ἐπέδωσαν, καὶ εἰς βίου μῆκος, οὐδενὸς πολέμου θορυβοῦντος αὐτούς. ὅταν δὲ εἴπῃ, ὅτι μακρυνεῖ, ἢ τὸ πλῆθος τῶν ἀνθρώπων, ἢ τὸ μῆκος τῶν ἐτῶν αἰνίττεται. καὶ ἵνα μάθῃς, ὅτι περὶ τῶν δύο φυλῶν ταῦτά φησιν, ἐπήγαγεν· ὅτι ἐπ' αὐτῆς ἐστὶ τὸ ἐπιδέκατον, ἐπιδέκατον λέγων τὸ ἐπέκεινα τῶν δέκα, τὸ περισσὸν τῶν δέκα, ὅπερ ἦσαν αἱ δύο φυλαί. ταύτῃ καὶ Παῦλος τῇ λέξει κέχρηται λέγων, ἐπάνω πεντακοσίοις ἀδελφοῖς, τουτέστι πλείοσι πεντακοσίων. καὶ πάλιν ἔσται εἰς προνομήν, ὡς τερέβινθος· τουτέστιν αἱ δύο φυλαί. καὶ ὡς βάλανος, ὅταν ἐκπέσῃ τῆς θήκης αὐτῆς. ὥσπερ γὰρ ἄτερπνής ἐκεῖνος ὁ καρπὸς ἐκπεσὼν τῆς θήκης, οὕτω καὶ οὗτοι καταγέλαστοι καὶ ἐπονείδιστοι ἔσονται τῆς πόλεως ἐκπεσόντες, καὶ τῆς δόξης ἐκείνης γυμνωθέντες ἅπαντες. σπέρμα ἅγιον τὸ στήλωμα αὐτῆς. οὐ μὴν ἀνίατα τὰ κακὰ ἔσται, φησίν, οὐδὲ ἀτελεύτητα, ἀλλὰ τὸ σπέρμα αὐτῆς ἅγιον ἔσται, καὶ στήλωμα, τουτέστι βέβαιον, πεπηγός, ἀκίνητον, ἀναμένον τὴν τῶν πραγμάτων μεταβολήν. τῆς μὲν γὰρ εὐπραγίας ἐκπεσοῦνται, αὐτοὶ δὲ οὐ πανωλεθρίαν ὑποστήσονται, ἀλλὰ μενοῦσι καὶ στήσονται, ἕως ἂν ἀπολάβωσι τὴν προτέραν πολιτείαν πάλιν, καὶ ἐπὶ τὴν προτέραν ἐπανέλθωσιν ἀγιστείαν.

habitentur, verbis his innuit captiuitatem decem tribuum. Etenim ad vnum omnes penitus exterminati sunt, ac multa cum immanitate abrepti omnes in alienam sunt abacti regionem, sic vt ciuitates etiã vniuersæ starent quidem, sed vacuæ hominum, terra quoque ipsã destitueretur cultoribus ad eorum vtilitatẽ, qui relinquẽdi erant. Et quidem quando dicit: Donec desolentur ciuitates, vt non habitentur: & domus, vt non sint homines, vtique insinuat captiuitatem: quũ verò addit, quia post hæc longè faciet Deus homines, aut omnimodam omnium fœlicitatẽ innuit, aut certè prosperrimum temporis cursum, qui successit duabus tribubus, aliis decem in captiuitatem abactis. Liberati enim à Sennacherib & eius barbarico exercitu, proinde & illã consequuti admirabilem victoriã, rursus succreuerũt in numerosam multitudinẽ, & ad vitæ longitudinẽ progressi sunt, nullo eos interturbante bello. Quando autẽ dicit, quia longè faciet, aut copiosam indicat hominũ multitudinẽ, aut certè prolixitudinem innuit annorũ. Vtque intelligas, quia de duabus tribubus dicit hæc, subintulit: quia in ea est decimatio, decimationẽ dicens id quod supra decem tribus excresceret, quod præter decem esset reliquum & amplius, quod vtique duæ illæ tribus erãt. Dictione hac vsus est, & Paulus dicens: Plusquã quingentis fratribus, hoc est, Pluribus quàm sint quingenti. Et rursus erit in deprædationem, sicut terebinthus. Hoc est, Duæ istæ tribus. Et sicut glans, quũ exciderit è theca sua. Nam queãdmodum fructus ille dum è sua theca siue loculo excidit, inamœnus cõspicitur, tristis, ac tetricus: Ita & hi erunt deridiculi probrisq; passim exponẽtur, mox vt exciderint ciuitate, & priore gloria nudati omnes fuerint. Semen sanctum, stabilimentũ eius. At nõ insanabiles erunt, quę in illos deuoluẽtur, calamitates, ait, neque æternum duraturæ: sed semen eius sanctum erit. Et erit stabilimentũ hoc est, stabile, quid cõpactum, immobile & adusque rerum permutationem perseuerans. Siquidem ea etiam rerum fœlicitate demum excident: ipsi tamen nõ omnimodam rerũ perniciẽ sustinebunt: sed manebunt, & constabilẽtur, quousque ad priorẽ redeant conuersationẽ, & ad pristinam redintegerentur sanctimoniam.

4. Reg. 18.

1. Corint. 15.

A

IN CAP. VII.

Et factum est in diebus Achaz, filij Ioathan, filij Oziæ regis Iuda.

Canon pro intelligentia propheta-rum.

QVOD à me crebrò dictum est, id ipsum nunc repetã: estq. hoc pro more veteri, Prophetica oracula non in hoc edebantur, vt Iudæi futura vtcunque prænoscent: sed vt per ea quæ didicissent, lucrum luculẽtum reportarent, ac proinde redderentur modestiores timore perculsi propheticæ cõminationis, & pollicitatione bonorũ ad obeundam virtutem efficerẽtur alacriores, & vt vtraque ex parte edocerentur, & potentiã Dei, & erga eos ipsius prouidentiam. quæ enim superiùs dicta sunt, hac vtraque ratione dicuntur. Et ne existimarent quæ adfutura prædicebantur, ea temerè aut fortuito casu euentura iuxta naturæ cursum, aut cõmunem rerum permutationem: sed vt certissimè scirent, quia supernè, Dei scilicet decreto vtraq. hæc fierent, quod quidem vtrumque maximopere erat eis conducibile ac plurimum adferebat emolumenti ad Dei cognitionem. Sed enim quia, vti superiùs dixerã, prophétia quo tempore proferebatur, nullum exhibebat specimen rei futuræ, sed verba quidem tunc edebantur, res autem ipsæ in longum postea tempus extrahebantur: hinc nonnulli auditorum, è vita migrabant, nec hi poterant de rei euentu iudicare: vide quid faciat Deus, quámve adhibeat curam. Prophetiam cõnectit prophetiis in longius tempus eueturis viciniorem, quæ & in generatione auditorum facta sit, vt hoc argumento arroget fidem vel maximam his quæ post longum tempus euẽtura sunt. In euangelijs verò speciem hanc vtilitatis tradendæ auditori aliter quidẽ prosequitur, sed solertiori artificio. Etenim connectit miracula prophetiis & hac copula alterutrum confirmat probatione alterius. Tale est, quod dico: Adiit Iesum leprosus aliquando, is purgatus est. Secundũ hunc, rursus filius Centurionis liberatus est à graui illa infirmitate. Et quidem signa vtique magna erant, attamen non his vsque institit signis, sed & propheticũ adiecit oraculum. Postquam enim Centurio fidem illam singulari magnitudine & admiratione dignam ex-

Canon pro intelligentia euangelica doctrina.

Matth. 8. a

ΚΕΦΑΛ. Ζ.

Καὶ ἐγένετο ἐν ταῖς ἡμέραις Αχαζ τοῦ Ιωαθὰν τοῦ Οζίου, βασιλέως Ιούδα.

ΟΠΕΡ πολλάκις εἶπον, τοῦτο καὶ νῦν ἐρῶ, ὅτι τὸ παλαιὸν αἱ προφητεῖαι οὐ διὰ τοῦτο ἐγίνοντο, ἵνα ἁπλῶς οἱ Ιουδαῖοι τὰ μέλλοντα μάθωσιν, ἀλλ' ἵνα μαθόντες ἐντεῦθεν κερδήσωσι, καὶ τῷ φόβῳ τῆς ἀπειλῆς γένωνται σωφρονέστεροι, καὶ τῇ τῶν ἀγαθῶν ὑποσχέσει B προθυμότεροι περὶ τὴν τῆς ἀρετῆς ἐργασίαν, ἑκατέρωθεν μανθάνοντες τοῦ Θεοῦ τήν τε δύναμιν, καὶ τὴν περὶ αὐτοὺς κηδεμονίαν. καὶ γὰρ ταύτης ἕνεκεν τῆς αἰτίας προελέγετο τὰ λεγόμενα· καὶ ἵνα μὴ νομίσωσιν ἁπλῶς καὶ ὡς ἔτυχε, τὰ συμβαίνοντα ἐπιέναι κατά τινα ἀκολουθίαν φύσεως, ἢ πραγμάτων φορὰν, ἀλλὰ ἴδωσιν, ὅτι ἄνωθεν καὶ ἐκ τῆς τοῦ Θεοῦ ψήφου ταῦτα ἑκάτερα γίγνεται· ὅπερ αὐτοὺς τὰ μέγιστα εἰς θεογνωσίαν ὠφέλει. ἀλλ' ἐπειδὴ, καθάπερ καὶ ἔμπροσθεν ἔφθην εἰπὼν, ἡ προφητεία οὐκ ἐν C αὐτῷ τῷ καιρῷ τὴν ἀπόδειξιν εἶχεν, ἀλλὰ τὰ μὲν ῥήματα τότε ἐλέγετο, τὰ δὲ πράγματα μακροῖς ὕστερον ἔμελλον ἐκβήσεσθαι χρόνοις, ἐνίων τῶν ἀκουόντων πολλάκις καὶ προαπερχομένων, καὶ οὐ δυναμένων δικάσαι τῇ τῶν λεγομένων ἀκολουθίᾳ, ὅρα τί ποιεῖ καὶ πραγματεύεται ὁ Θεός. προφητείαν προφητείαις συνάπτει μακροτέραις ἐγγυτέραν, τὴν ἐπὶ τῆς γενεᾶς αὐτῶν γινομένην τῶν μακρὰν ὕστερον ἐσομένων μεγίστην ἀπόδειξιν παρεχόμενος. ἐπὶ δὲ τῶν εὐαγγελίων καὶ ἑτέρως μεθοδεύει τουτὶ D τῆς ὠφελείας τὸ εἶδος, θαύματα προφητείαις συνάπτων, καὶ θάτερον θατέρῳ κατασκευάζων. οἷόν τι λέγω. προσῆλθεν αὐτῷ ὁ λεπρὸς ποτὲ καὶ ἐκαθάρθη, καὶ μετ' ἐκεῖνον πάλιν ὁ τοῦ ἑκατοντάρχου παῖς ἀπηλλάγη τῆς χαλεπῆς ἀῤῥωστίας ἐκείνης, καὶ σημεῖα ταῦτα μεγάλα ἦν, ἀλλ' ὅμως οὐκ ἔστη μέχρι τῶν σημείων, ἀλλὰ καὶ προφητείαν προσέθηκεν. ἐπειδὴ γὰρ ὁ ἑκατόνταρχος τὴν θαυμαστὴν ἐκείνην καὶ μεγάλην ἐπεδείξατο πίστιν, δι' ἧς τὸν

παῖδα ἀπήλλαξε τῆς ἀρρωστίας, ἐπήγαγεν ὁ Χριστὸς λέγων, πολλοὶ ἀπὸ ἀνατολῶν καὶ δυσμῶν ἥξουσι, καὶ ἀνακλιθήσονται μετὰ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ, οἱ δὲ υἱοὶ τῆς βασιλείας ἐκβληθήσονται ἔξω. Ταῦτα δὲ ἔλεγε, καὶ τὴν τῶν ἐθνῶν ἐκκλησίαν, καὶ τὴν τῶν Ἰουδαίων ἀποβολὴν προαναφωνῶν, ὃ δὴ νῦν ἐπὶ τῶν ἔργων ἐξέβη, καὶ τοῦ ἡλίου φανερώτερον ἅπασι δείκνυται. ἀλλὰ τότε τέως ἄδηλον ἦν, καὶ τοῖς ἀπίστοις οὐκ εὐπαράδεκτον. διὰ δὴ τοῦτο σημεῖον προέλαβε τὸ τότε ἐκβάν, τῷ μετὰ ταῦτα συμβησομένῳ πολλὴν παρατιθέμενον τὴν πίστιν· ὥσπερ οὖν καὶ αὐτὴ ἡ προφητεία ἐπὶ τῶν ἔργων φαινομένη νῦν, τῷ σημείῳ τῷ τότε γενομένῳ πολλὴν παρέχει τὴν βεβαίωσιν. τί γὰρ ἂν εἴποι ὁ ἄπιστος; ὅτι οὐκ ἐκαθάρθη ὁ λεπρός; βλεπέτω τῆς προφητείας τὴν ἀλήθειαν, καὶ ἀπὸ ταύτης καὶ τῷ σημείῳ πιστευέτω. τί δὲ ἂν εἴποιεν οἱ τότε Ἰουδαῖοι; ὅτι ἃ προλέγει οὐκ ἔστιν ἀληθῆ; ὁράτωσαν τὸν λεπρὸν καθαιρόμενον, καὶ ἀπὸ τῶν ἐπ' ἐκείνου γενομένων, καὶ περὶ τῶν μελλόντων μὴ ἀπιστείτωσαν, μέγιστον λαμβάνοντες ἐνέχυρον ἐκεῖνοι μὲν τῆς προφητείας τὸ σημεῖον, οἱ δὲ νῦν τοῦ σημείου τὴν προφητείαν. εἶδες πῶς θάτερον διὰ θατέρου κατασκευάζεται; τοῦτο καὶ ἐπὶ τῆς παλαιᾶς γινόμενον ἴδοι τις ἄν. ἐπεὶ γὰρ καὶ ὁ Ἱεροβοὰμ τὴν χαλεπὴν ἐκείνην ἐμάνη μανίαν, καὶ δαμάλεις ἔστησε χρυσᾶς, ἐλθὼν ὁ προφήτης τά τε μέλλοντα προανεφώνησε, καὶ σημεῖον εὐθέως ἔδωκεν. ἵνα γὰρ μηδεὶς ἀπιστῇ τοῖς μετὰ τριακόσια συμβησομένοις ἔτη, τὸν βωμὸν ἔρρηξε, καὶ τὴν πιότητα ἐξέχεε, καὶ τὴν χεῖρα τοῦ βασιλέως ἐξήρανεν, ἀπὸ τῶν περὶ τῶν ὀφθαλμῶν γινομένων, τῶν μετὰ πολὺν χρόνον συμβησομένων σαφῆ παρεχόμενος τὴν ἀπόδειξιν. καὶ πολλὰ τοιαῦτα ἴδοι τις ἂν καὶ ἐν τῇ καινῇ καὶ ἐν τῇ παλαιᾷ γινόμενα, τοῦ Θεοῦ διαφόρως τὴν ἡμετέραν οἰκονομοῦντος σωτηρίαν· ὃ δὴ καὶ ἐνταῦθα γέγονε, καὶ μετὰ πλείονος τῆς περιουσίας. οὐ γὰρ δὴ σημεῖον μόνον, ἀλλὰ καὶ προφητείαν ὁμοῦ καὶ σημεῖον συνέπλεξεν. ἀλλ' ὥστε σαφέστερα γενέσθαι τὰ λεγόμενα, αὐτὴν μετὰ ἀκριβείας τὴν ἱστορίαν διέλθωμεν. καὶ ἐγένετο

A hibuit (cuius merito puer ab ægrotatione ereptus est) intulit Christus: Multi ab oriente & occidente venient, & recumbent cum Abraham & Isaac & Iacob: filij autem regni eijcientur foras. His dictis futuram insinuabit ecclesiam ex gentibus colligendam, simul etiam præcinebat Iudæos regno cœlorum excludendos, quod sanè reipsa euenisse videmus nunc, vniuersisq. nobis Sole ipso illustrius declaratur. Et quidē tunc id erat quadamtenus obscurū, nec multis compertum quid diceret, neque infideles illi facilè admisissent. Sanè signo B isto (quod tunc accidit) assumpsit, vnde nobis ipsi de re aliquādo futura cumulatiorem fidem asciceremus: quemadmodum ipsa etiam prophetia quæ ipsis nunc operibus vera conspicitur, signo illo quod tunc gestū est, in fide magnopere nos cōstabilit ac firmat. Quid enim opponat iam infidelis? Non emūdatum esse leprosum? Vel ipsis oculis cernat Christi prophetiam de futura ecclesia fuisse veram, & ea intellecta fidem commodet signis. Quid porrò dicere poterant illius ætatis Iudæi? Quòd quæ fu- C tura prædicebat, non sint vera? Cernant expurgatum leprosum, & ab eis quæ gesta in illo sunt, fidem mutuentur quæ credāt, & his quæ prædixit futura, tam insigni accepto pignore: illi quidē prophetiæ signo: qui verò nunc, prophetia signi. Vidisti quo pacto alterutrum confirmatur probatione alterutrius? Hoc & in vetere testamento videat quis obseruatum esse. Quo enim tempore Hieroboam perditissimā illam insaniuit insaniā, & vitulas aureas erexit, Propheta eò profectus prænunciauit futura, simul & confestim dedit signū. Ne quis enim D diffideret his, quæ post trecentos annos euentura erant, altare medium perfregit, opimámq. sacrificij pinguitudinem effudit, arefecit insuper regis manum: per ea quæ tum fiebant, ob oculos omninm exhibēs specimen nulli non conspicuum eorum quæ tanto pòst tempore euentura erant. Permulta eius generis & in nouo & in vetere testamento facta esse quis videre possit, Deo singula diuersis modis dispensante ad nostram omnium salutem: quod sanè etiam hîc factum est, idque pleniore cum redundantia. Signum namq. non solùm consignatum fuit, sed & vnà cum signo coniunxit & prophetiam. Cæterùm vt quæ dicuntur, perspectiora fiant, exactā cum diligentia ipsam percurramus historiam. *Et factum*

Matt. 8. 11.

Ieroboam idololatra. 3. Reg. 13.

est in diebus Achaz filij Ionathan, filij Oziæ regis Iuda, ascendit Razin Rex Aram & Phacee filius Romeliæ Israel, in Hierusalem, vt oppugnarent eam, nec potuerūt expugnare. 2. *Et nunciatum est in domo Dauid a dicentibus: Consensit Aram ad Ephraim.* Quæ proximè dicta sunt, planè historia sunt & rei gestæ narratio. Cæterùm qui dexteritate intellectus præditus est, & acriter eam introspicit, haud mediocre emolumentū est etiam illinc decerpturus, hinc ediscens multam Dei esse sapientiam, quantáq. fuerit eius prouidentia pro salute Iudæorum. Neque enim statim initio repressit bellum, neque cominus ingruēs siuit præualere aduersus ciuitatem: sed verbotenus permittens fieri comminationem, eius experimentū vetuit, simul quidem expergefaciens illos, & iisdem adimens socordiam, simul etiam suam declarās potentiā, nimirum quia possit eos eripere qui iam prouecti sunt ad extremum finē malorum, perinde atque eos qui nihil dum sensēre quiduis mali, sic & eos qui iam in periculum prolapsi sunt integros conseruare potest & incolumes: quòd & eum subinde fecisse videre liceat, cuiusmodi fecit in fornace Babylonica, in lacu leonum, idque aliis rebus gestis innumeris. Etenim venerūt reges isti, ciuitatem obsidione cinxerunt, attigerunt mœnia, proinde cōcussis timore incolētium ciuitatem animis nihil præterea eualuerunt. Vel hinc etiam liceat perpendere, quanta fuerit illarum decem tribuū iniquitas. Neque enim intestinum modò delegerant bellum, neque quia aduersus fratres conscieuerāt seditiones: sed quòd viris alienæ tribus & gentis se coniunxissent, & ij, quibus permissum non erat, vt cum illis vllam communionem venirent, & cōmilitiones eos vocabant, & cum illis castrametabantur, atq. aduersus ciuitatem consistebant. Etenim Razin solicitarant aduersus metropolim suam, quū esset externæ gentis: erátq. pugnæ inæqualitas. Apud illos enim multitudo erat infinita, & ciuitates & gentes & populi: Hierosolymis verò nihil horum tale suppetebat, sed ciuitas vna, Metropolis quidem, ita vt Dei fortitudo exuberātius enitesceret. Nullo enim arma mouente, neque aduersus illos exeunte aut accincto ad conflictum, victoria ex hostium manibus elapsa est, eorúmq. maligni conatus in nihilum abierunt. Ait enim: Non potuerunt expugnare eā. Iam verò quid intercedebat impedimenti? Aliud nihil,

ἐν ταῖς ἡμέραις Ἄχαζ, τοῦ Ἰωαθὰμ, τοῦ Ὀζίου βασιλέως Ἰούδα, ἀνέβη Ῥασὴμ βασιλεὺς Ἀρὰμ, καὶ Φακὲς υἱὸς Ῥωμελίου βασιλεὺς Ἰσραὴλ ἐπὶ Ἱερουσαλὴμ πολεμῆσαι αὐτὴν, καὶ οὐκ ἠδυνήθησαν πολιορκῆσαι αὐτήν. καὶ ἀνηγγέλη εἰς τὸν οἶκον Δαβὶδ, λεγόντων· συνεφώνησεν Ἀρὰμ πρὸς τὸν Ἐφραΐμ. ἔστι μὲν ἱστορία τὰ εἰρημένα, καὶ πραγμάτων διήγησις. ἀλλ' ὁ νοῦν ἔχων, καὶ ὀξὺ βλέπων, πολὺ καὶ ἐντεῦθεν καρπώσεται τὸ κέρδος, τοῦ Θεοῦ τὴν πολλὴν σοφίαν, καὶ τὴν ὑπὲρ τῆς Ἰουδαίων κηδεμονίας καταμανθάνων. οὔτε γὰρ ἐκ προοιμίων τὸν πόλεμον ἀνεχαίτισεν, οὔτε ἐπελθόντα κρατῆσαι τῆς πόλεως συνεχώρησεν, ἀλλὰ τὴν ἀπειλὴν ἀφεὶς γενέσθαι τὴν διὰ τῶν ῥημάτων, τὴν πεῖραν ἐκώλυσεν, ὁμοῦ μὲν ἐκείνους ἀφυπνίζων καὶ τῆς ῥαθυμίας ἀπαλλάττων, ὁμοῦ δὲ τὴν ἑαυτοῦ δύναμιν ἐνδεικνύμενος, ὅτι δυνατὸν αὐτῷ καὶ πρὸς αὐτὸ τῶν δεινῶν τὸ τέλος ἐλθόντων, ὥσπερ οὐδὲ ἀρχὴν εἰληφότων, οὕτω τοὺς ἐμπίπτοντας ἀκεραίους διατηρῆσαι, ὃ πολλαχοῦ ποιοῦντα αὐτὸν ἐστὶν ἰδεῖν· οἷον ἐπὶ τῆς καμίνου τῆς Βαβυλωνίας, ἐπὶ τοῦ λάκκου τῶν λεόντων, καὶ ἐφ' ἑτέρων μυρίων πραγμάτων. καὶ γὰρ ἦλθον οὗτοι, καὶ ἐπολιόρκησαν, καὶ τῶν τειχῶν ἀψάμενοι, καὶ τὴν διάνοιαν τῶν ἔνδον οἰκούντων κατασείσαντες, οὐδὲν ἴσχυσαν περαιτέρω. ἔστι δὲ κἀντεῦθεν ἰδεῖν τῶν δέκα φυλῶν τὴν παρανομίαν, ὅτι οὐ μόνον ἐμφύλιον εἵλοντο πόλεμον, οὐδ' ὅτι πρὸς τοὺς ἀδελφοὺς ἐστασίασαν, ἀλλ' ὅτι καὶ ἀλλοφύλοις καὶ ἀλλογενέσιν ἑαυτοὺς συνῆψαν, καὶ οἷς μηδὲ ἁπλῶς κοινωνεῖν αὐτοῖς ἐπιτραπέντες, καὶ συμμάχους ἐκάλουν, καὶ συνεφράττοντο, καὶ κατὰ τῆς πόλεως ἵσταντο. τὸν γὰρ Ῥασὴν ἀλλόφυλον ὄντα κατὰ τῆς μητροπόλεως ἤγειρον· καὶ ἦν τὰ τῆς μάχης ἀνώμαλα. παρὰ μὲν γὰρ ἐκείνοις πλῆθος ἄπειρον, καὶ πόλεις, καὶ ἔθνη, καὶ δῆμοι· ἐνταῦθα δὲ τούτων οὐδὲν, ἀλλὰ πόλις μία ἡ μητρόπολις, ὥστε ἐκ περιουσίας φανῆναι τοῦ Θεοῦ τὴν ἰσχύν. οὐδενὸς γὰρ ὅπλα κινοῦντος, οὐδὲ ἐξιόντος καὶ παραταττομένου, ἐξέπιπτον ἐκεῖνοι τῶν πονηρῶν τούτων ἐγχειρημάτων. οὐ γὰρ ἠδυνήθησαν, φησὶ, πολιορκῆσαι αὐτήν. καί τοι τί τὸ κωλῦον ἦν; οὐδὲν ἕτερον,

ἀλλ' ἡ τοῦ Θεοῦ χεὶρ ἀοράτως αὐτοὺς ἀποκρουομένη. πλὴν ἀλλ' ὅπερ εἶπον, τὸν μὲν πόλεμον ἀπεκρούσατο, τὸν δὲ φόβον οὐκ εὐθέως ἀνεῖλεν. ἀπηγγέλη γάρ, φησιν, εἰς τὸν οἶκον Δαβίδ, ὅτι συνεφώνησεν Ἀρὰμ πρὸς τὸν Ἐφραίμ, καὶ ἐξέστη ἡ ψυχὴ αὐτοῦ, καὶ ἡ ψυχὴ τοῦ λαοῦ αὐτοῦ. ὅταν μέλλῃ τι παράδοξον ὁ Θεὸς ποιεῖν, οὐκ εὐθέως ἐπάγει τὸ θαῦμα· ἀλλὰ πρότερον τοὺς μέλλοντας ἀπολαύειν, ἐν αἰσθήσει τῶν δεινῶν ἀφίησι γενέσθαι, ἵνα μετὰ τὴν ἀπαλλαγὴν τῶν δεινῶν μηδεμίαν ἀγνωμοσύνην ἐπιδείξωνται. ἐπεὶ γὰρ οἱ πολλοὶ τῶν ἀνθρώπων, τὰ μὲν ὑπὸ τύφου, τὰ δὲ ὑπὸ ῥαθυμίας ἐπιλανθάνονται τῶν δεινῶν μετὰ τὴν ἀπαλλαγὴν τῶν δεινῶν, ἢ μὴ ἐπιλανθανόμενοι ἑαυτοῖς λογίζεσθαι βούλονται τὰ κατορθώματα, πρότερον ἀφεὶς αὐτοὺς ὑπὸ τῶν λυπηρῶν κατασεισθῆναι, τότε τὴν ἐλευθερίαν δίδωσι τῶν ἐνοχλούντων, ὃ δὴ καὶ ἐνταῦθα πεποίηκεν. ἀφῆκεν αὐτῶν τὰς καρδίας ἐκστῆναι, ἀφῆκεν εἰς ἀγωνίαν γενέσθαι πολλήν, καὶ τότε τὴν λύσιν ἐπήγαγε. τοῦτο καὶ ἐπὶ τοῦ μεγάλου πεποίηκε Δαβίδ. ἐπεὶ γὰρ ἤμελλεν αὐτὸν εἰς τὴν παράταξιν ἐξαγαγεῖν, καὶ τὸ λαμπρὸν ἐκεῖνο τρόπαιον ἐγείρειν διὰ τῶν ἐκείνου χειρῶν, οὐκ ἐν προοιμίοις τοῦ πολέμου τοῦτο ἐποίησεν, ἀλλ' ἀφεὶς τεσσαράκοντα ἡμέρας αὐτοὺς κατεργασθῆναι τῷ φόβῳ, ὅτε τὴν οἰκείαν ἀπέγνωσαν σωτηρίαν, καὶ μυρία ὀνειδίζοντος τοῦ βαρβάρου, οὐδὲ οὕτως ἐτόλμησε διεγερθῆναι, καὶ δέξασθαι τὸν ἀντίπαλον, τότε δή, τότε τῆς ἥττης αὐτῶν ὁμολογηθείσης, καὶ τῆς ἀσθενείας φανερᾶς γενομένης, ἤγαγε τὸ μειράκιον ἐπὶ τὸν πόλεμον, καὶ τὴν παράδοξον ἐκείνην νίκην εἰργάσατο. εἰ γὰρ καὶ μετὰ ταῦτα καὶ τὴν τοσαύτην τῆς ἀσθενείας αὐτῶν ἀπόδειξιν, ὁ σωθεὶς βασιλεύς, ὑπὸ φθόνου καὶ βασκανίας νικώμενος, ἐπεβούλευε τῷ Δαβίδ, τοῦ πάθους γενόμενος ὅλος, καὶ ἀγνώμων περὶ τὸν εὐεργέτην ἐφαίνετο· εἰ μὴ τοσοῦτον ἔδωκεν ἔλεγχον καὶ τῆς αὐτοῦ καὶ τοῦ στρατοπέδου παντὸς ἀνανδρίας, τί οὐκ ἂν ἐποίησε; τοῦτο αὐτὸ καὶ ἀλλαχοῦ πολλαχοῦ τὸν Θεὸν

A præterquam manus Dei quæ inuisibili fortitudine propulsabat illos. Attamen quod cœperam dicere, bellum quidem profligatum est, incussum verò illis timorem non cōfestim ademit. Ait enim, Annūciatum est in domo Dauid, quòd conspirasset Aram cum Ephraim, & emota est anima eius & anima populi eius. Deus enim quidpiam operis confecturus quod stupendum sit & admiratione dignum, nō statim initio inducit admirationem, sed eos qui ex eo opere decerpturi sunt emolumentum, finit tangi prius sensu malorum: vt exempti B impendentibus malis, omnem erga assertorem suę liberationis declarent animi gratitudinem. quum enim plerique hominū mox vt sunt defuncti ingruentibus malis, non iam meminerint, quibus fuissent obnoxij periculis, partim quidem per superbiam, partim verò incogitantia quadam huc prouecti, aut certè non obliti quidem, siqua preclarè gesserunt, sibi ea volunt adscribi: prius idcirco finit eos cōcuti eorū sensu quæ infesta sunt & ingerunt mœrorem, tum demum ab his vindicat, & asserit quæ obturbabant, quod sanè etiam hic effe-C cit. Siuit eorum cor emoueri, permisit in agoniam prolabi nec modicam, tum denique infert absolutionem. Hoc & in admirabili Dauide fecit. quum enim ipsum esset educturus in aciem ad prælium accinctum, & splendidum illud & cumprimis illustre trophæum excitaturus per manus illius, non in ipso belli præludio hoc fecit, sed quadragenario excursu dierum siuit eos cōfici timore, donec de spe propriæ salutis deciderêt. Et quum innumera exprobraret barbarus ille, & ne sic quidem vllus auderet insurgere in aduersarium, & exci-D pere aduersariū: tunc sanè, tunc quum exercitus confessus esset se inferiorem, suámque infirmitatē palàm euulgaret, produxit Deus in medium hunc adolescentulum ad confligēdum cum hoste, & eo vsus illam perfecit sanè quam admirabilem victoriam. Rex ipse etiamsi huius opera consequutus salutē, victus tamen fascino inuidiæ ac liuoris post hæc & tamen apertam suam suíque exercitus vniuersi infirmitatem, subseruiebat ipsi Dauid, totus in mentis perturbatione constitutus, & planè ingratus erga tam bene de se meritum. quòd si non exhibuisset tam insigne argumentum & suæ & totius sui exercitus infirmitatis, quid non fecisset? Videre quid possit Deum se-

Quo pacto soleat Deus homines liberare.

1. Reg 17.

cundũ superius dicta sæpe alibi hoc ipsũ facere, quod in præsenti historia factũ legitur. Soluturus enim bellum, eósq. exempturus istis mœrorem ingerentibus, sinit prius tangi sensu grauium & imminentium periculorum. Ait enim: *Emota est anima eius & populi ipsius, quemadmodum in syluis condensis lignum à vento moueri solet.* Et hoc prophetiæ propriũ erat, vt eorum regum arcana consilia in medium produceret. Nobis enim enarrat quo cuiusq. animus tangeretur affectu. Et quo res ipsa fieret omnibus dilucidior, addit similitudinẽ: vtque doceret B quanta fuerit anxietas, ait: Emota est enim anima eorum. Illa prior eorum superbia deiecta erat, planè animum desponderant abiecta spe salutis, in extremo vitæ periculo teneri arbitrabantur, nihil iam clementiæ opperiebantur, sua quisq. cogitatione censebat se esse hosti proditum. Quid tandem Deus? Liberationem prædicit, eámque cõficit momento, vt ne cuipiam alij posthac adscriberent ciuitatis liberationem. Delegat prophetam, qui prænunciet futura. Ait enim, 3. *Dixit Dominus ad Esaiam. Egredere in occursum Achaz tu & qui derelictus est Iasub filius tuus ad natatoriam ascensus agri fullonis.* C 4. *Et dices ad eum: Obserua, vt sileas, & ne timeas, neque anima tua elanguescat aut consternetur, neque formidet à duobus lignis titionum fumigantium horum. Cùm enim ira furoris mei facta fuerit; medebor.* Quid est, Egredere in occursum? Præ timore & anxietate rex quietè non agebat, nec sustinebat domi vt maneret: sed iuxta morem obsessis familiarẽ, egrediebatur iugiter, muros circumspectans, iuxta item portas deerrans, singula quæque curiosius disquirens, animumque macerans anxiis & superuacaneis quæstio- D nibus, quo in statu sint res hostiũ: quare ait: Egredere in occursum. Quid porrò est, tu & relictus Iasub filius tuus? Iasub Hebræa lingua est conuersatio & formula instituendæ vitæ. Eam ob rem & Iesse mittens Dauidem, dicebat: Et Iasub eorum accipies. Hoc est, Eorum conuersationem renunciabis mihi, ecquid agentes degant. Mihi itaque hic videtur propheta mandatum accepisse, vt secum assumeret multitudinem adsistentium, ne qua regi relinqueretur occasio excusandæ immemoriæ aut ingratitudinis, quasi nihil horum quæ euenissent, audisset à propheta. Quod igitur ait, hoc est: Egredere in occur-

1. Reg. 17. 18.

A ποιοῦντα ἴδοι τις ἄν· ὃ δὴ καὶ ἐνταῦθα γίνεται. ἐπειδὴ γὰρ μέλλει λύειν τὸν πόλεμον, καὶ ἀπαλλάττειν αὐτοὺς τῆς λυπηρᾶς, ἀφίησι πρότερον τῶν δεινῶν αἰσθέσθαι. ἐξέστη γὰρ, φησιν, ἡ ψυχὴ αὐτοῦ, καὶ ἡ ψυχὴ τοῦ λαοῦ αὐτοῦ, ὃν τρόπον ἐν δρυμῷ ξύλον ὑπὸ πνεύματος σαλευθῇ. καὶ τοῦτο προφητείας ἴδιον, τὸ τὰ ἀπόρρητα αὐτῶν εἰς μέσον ἀγαγεῖν. τὸ γὰρ πάθος ἡμῖν ἑρμηνεύει τῆς ἑκάστου διανοίας, καὶ σαφηνείας ἕνεκεν καὶ εἰκόνα προστίθησιν, ὥστε δεῖξαι τὴν ἐπίτασιν τῆς ἀγωνίας. διεσείσθη γὰρ αὐτῶν, B φησιν, ἡ ψυχή, κατεβλήθη τὸ φρόνημα, ἀπεγνώσθη τῆς σωτηρίας, ἐν ἐσχάτοις ἐνόμιζον εἶναι, οὐδὲν χρηστὸν προσεδόκων, ἕκαστος ὑπὸ τῶν οἰκείων λογισμῶν προδιδόμενος ἦν. τί οὖν ὁ Θεός; προλέγει τὴν ἀπαλλαγὴν, καὶ τότε αὐτὴν ἐργάζεται, ἵνα μὴ ἄλλῳ τινὶ λογίσωνται πάλιν τῆς πόλεως ἐλευθερίαν, καὶ πέμπει τὸν προφήτην προαναφωνοῦντα τὰ μέλλοντα. εἶπε γὰρ, φησι, κύριος πρὸς Ησαΐαν· ἔξελθε εἰς συνάντησιν τοῦ Αχαζ, σὺ καὶ ὁ καταλειφθεὶς Ιασοὺβ ὁ υἱός σου πρὸς κολυμβήθραν C τῆς ἀνόδου τοῦ ἀγροῦ τοῦ γναφέως, καὶ ἐρεῖς αὐτῷ· φύλαξαι τοῦ ἡσυχάσαι, καὶ μὴ φοβοῦ, μηδὲ ἡ ψυχή σου ἀσθενείτω· μηδὲ φοβηθῇς ἀπὸ τῶν δύο ξύλων τῶν δαλῶν τῶν καπνιζομένων τούτων. ὅταν γὰρ ὀργὴ τοῦ θυμοῦ μου γένηται, πάλιν ἰάσομαι. τί ἐστιν, ἔξελθε εἰς συνάντησιν; ἀπὸ τοῦ φόβου καὶ τῆς ἀγωνίας οὐχ ἡσύχαζεν ὁ βασιλεὺς, οὐδὲ οἴκοι μένειν εἴχετο, ἀλλ' ὅπερ ἔθος τοῖς πολιορκουμένοις ὑπομένειν, συνεχῶς ἐξῄει, τὰ τείχη περισκοπῶν, πρὸς ταῖς πύλαις γινόμενος, περιεργαζόμενος καὶ πολυπραγμονῶν, πῶς τὰ τῶν πολεμίων διά- D κειται πράγματα· διὰ τοῦτό φησιν, ἔξελθε εἰς συνάντησιν. τί δέ ἐστι, σὺ καὶ ὁ καταλειφθεὶς Ιασοὺβ ὁ υἱός σου; Ιασοὺβ τῇ Εβραίων γλώττῃ, ἡ ἀναστροφὴ λέγεται, καὶ ἡ διαγωγή. διὰ τοῦτο καὶ ὁ Ιεσσαὶ πέμπων τὸν Δαβὶδ ἔλεγε, καὶ τὸ Εσοὺβ αὐτῶν λήψῃ, τουτέστι, τὴν ἀναστροφὴν αὐτῶν ἀπαγγελεῖς μοι, καὶ τί διάγουσι πράττοντες. καὶ ἐνταῦθα τοίνυν, ἐμοὶ δοκεῖ, ὁ προφήτης κελευσθῆναι πλῆθος μεθ' ἑαυτοῦ λαβεῖν, ἵν', ὅταν ἐκβῇ τὰ γεγενημένα, μὴ ἔχῃ ἀγνωμοσύνης ὁ βασιλεὺς, ὡς οὐδὲν τούτων ἀκηκοὼς παρὰ τοῦ προφήτου. ὃ οὖν φησι, τοῦτό ἐστιν· ἔξελθε

Εἰς

εἰς συναύτησιν σὺ καὶ οἱ ἀναστρεφόμενοι μετὰ σοῦ, οἱ καταλειφθέντες τοῦ λαοῦ. μὴ θαυμάσῃς δὲ, εἰ υἱὸν αὐτοῦ καλεῖ τὸν λαόν. καὶ γὰρ προϊὼν φησιν, ἰδοὺ ἐγὼ, καὶ τὰ παιδία, ἅ μοι ἔδωκεν ὁ Θεός. καὶ γὰρ πατέρων τάξιν ἐπεῖχον οἱ ἅγιοι, τῇ ἀγάπῃ καὶ τῇ κηδεμονίᾳ τῇ περὶ τὸν δῆμον ἐκεῖνον πάντας τοὺς τῆς φύσεως ἀποκρύπτοντες πατέρας. καταλειφθέντας δέ φησι, διὰ τὸ πολλοὺς ἀπενεχθῆναι ὑπὸ τῶν πολεμίων. ἐν τῇ ὁδῷ τοῦ ἀγροῦ τοῦ γναφέως. πολλῆς μοι ἀπορίας καὶ τοῦτο εἶναι δοκεῖ, εἴγε οἱ συγκεκλεισμένοι, καὶ πολιορκούμενοι, καὶ μηδὲ προκύψαι τολμῶντες, ἔξω πυλῶν ἐφαίνοντο. καὶ γὰρ ἔξω τειχῶν ἡ ὁδὸς αὕτη φαίνεται νῦν οὖσα. τίς οὖν ἡ λύσις τῆς ἀπορίας ταύτης; ὅτι τὸ παλαιὸν ἕτερον περιεβέβλητο τεῖχος. καὶ γὰρ διπλᾶ τὰ τείχη τῇ πόλει ἦν. καὶ τοῦτο ῥᾴδιον ἐξ ἑτέρου προφήτου καταμαθεῖν τοῖς βουλομένοις προσέχειν. ἐξελθὼν τοίνυν ἀνίστησιν αὐτῶν τὰ φρονήματα καταπεπτωκότα, καὶ κελεύει θαρσεῖν ὑπὲρ τῶν μελλόντων. ἡσύχασον γάρ, φησι, καὶ μὴ φοβοῦ, καὶ δαλοὺς ξύλων καλεῖ τοὺς βασιλέας, ὁμοῦ μὲν αὐτῶν τὸ σφοδρὸν, ὁμοῦ δὲ τὸ εὐχείρωτον ἐνδεικνύμενος. καὶ γὰρ τὸ καπνιζόμενον διὰ τοῦτο προσέθηκε, τουτέστιν ἐγγὺς ὄντων τοῦ σβεσθῆναι λοιπόν. εἶτα δηλῶν, ὡς οὐ τῆς ἐκείνων δυνάμεως, ἀλλὰ τῆς αὐτοῦ συγχωρήσεως ἡ ἔφοδος ἦν, φησιν· ὅταν γὰρ ὀργὴ τοῦ θυμοῦ μου γένηται, πάλιν ἰάσομαι. καὶ ὁ υἱὸς τοῦ Ἀρὰμ, καὶ ὁ υἱὸς τοῦ Ρωμελίου, ὅτι ἐβουλεύσαντο βουλὴν πονηρὰν, Ἐφραὶμ, καὶ ὁ υἱὸς τοῦ Ρωμελίου κατὰ σοῦ λέγοντες· ἀναβησόμεθα εἰς τὴν Ἰουδαίαν, καὶ κακώσομεν αὐτὴν, καὶ συλλαλήσαντες ἀποστρέψομεν αὐτοὺς πρὸς ἡμᾶς, καὶ βασιλεύσομεν αὐτῆς τὸν υἱὸν Ταβεήλ. τάδε λέγει κύριος Σαβαὼθ, οὐ μὴ μείνῃ ἡ βουλὴ αὕτη, οὐδὲ ἔσται, ἀλλ' ἡ κεφαλὴ Ἀρὰμ Δαμασκὸς, καὶ ἡ κεφαλὴ Δαμασκοῦ Ρασὶν, καὶ ἔτι ἑξήκοντα καὶ πέντε ἔτη, καὶ ἐκλείψει ἡ βασιλεία Ἐφραὶμ ἀπὸ λαοῦ, καὶ ἡ κεφαλὴ Ἐφραὶμ Σομόρων, καὶ ἡ κεφαλὴ Σομόρων ὁ υἱὸς τοῦ Ρωμελίου. καὶ ἐὰν μὴ πιστεύσητε, οὐδὲ μὴ συνῆτε. πάλιν ὁ προφήτης μεγίστην ἀπόδειξιν παρέχεται τῆς προφητείας. ἐπειδὴ γὰρ ὁ φόβος κατέσεισε,

A sum tu & qui tecum familiariter versantur, qui relicti sunt ex populo. Quòd autem scriptura filium ipsius vocat populum, non est quod mireris. In progressu enim operis ait: Ecce ego & pueri, quos mihi dedit Deus. Etenim sancti illi charitate & solerti prouidentia, officium ordinémve patrum sustinebant, imò superiores erant his omnibus, qui naturâ vocantur patres. Relictos verò dicit, quòd non pauci ab hostibus fuissent abducti. In via agri fullonis. Et hæc particula non parum scrupulum iniecisse mihi videtur. Si-B quidem conclusi quum essent, vallati & obsidione cincti, ita vt ne auderent quidem terram versus respicere, quónam pacto conspici poterant extra portas? Etenim via eadem extra muros esse etiam nunc conspicitur. Quæ igitur est istius ambiguitatis solutio? Nimirum hæc: ea ciuitas altero vetustiore muro ambiebatur. Duplici siquidem muro muniebatur, id quod ex alio propheta facilè quis perspiciat, modò attentus esse velit. Egressus igitur propheta vires animorum populi collapsas & deiectas erigit, iubétque bono vt es-C sent animo de futuris. Quietem, ait, age & noli timere. Reges illos vocat torres siue titiones lignorum, per hoc ostendens simul quidem peracrem eorum vehementiam & intentionem, simul verò declarās quàm facilè possent opprimi. Ob hoc enim adiecit, fumigantium: hoc est, qui in proximo erant deinceps extinguendi. Ad hæc manifestans, quia non illorum virtute: sed indulgente Dei prouidentia, excursio hæc contigit, ait: Quum enim ira furoris mei facta fuerit, rursus medebor. *Et filius Aram & filius Romeliæ. 5. Quia ine-D runt consilium malum Ephraim, & filius Romeliæ contra te, dicētes: Ascendemus ad Iudæam, & affligemus eam, & colloquuti auertemus eos ad nos, & præficiemus ei regem filium Tabeel.*

7. Hæc dicit Dominus Sabaoth: Non manebit consilium hoc, neque erit. 8. Sed caput Aram, Damascus: & caput Damasci Rasin. Et adhuc sexaginta & quinque anni, & deficiet regnum Ephraim à populo. 9. Et caput Ephraim Samaria: & caput Samariæ, filius Romeliæ. Si non credideritis, neque intelligetis. Validissimum suæ prophetiæ argumentum rursus exhibet propheta. Timore enim concussis eorum animis,

Quæstio, quomodo obsessi extra portas visi.

Solutio.

RRR

νῦν μέν τοι πρὸ τῆς ἁλώσεως ἐκείνης, οὐδὲν A πλέον τῶν οἰκείων λήψονται. ἵνα γὰρ μὴ ἀκούσας ὁ βασιλεὺς, ὅτι μετὰ ἑξήκοντα πέντε ἔτη ἀπολοῦνται, λέγῃ πρὸς ἑαυτὸν, τί οὖν; ἐὰν νῦν ἡμᾶς λαβόντες, τότε ἀπολοῦνται, τί τὸ ὄφελος ἡμῖν; θάῤῥει, φησὶ, καὶ περὶ τῶν παρόντων. ἁλώσονται γὰρ τότε παντελῶς. νῦν μέν τοι πλέον οὐδὲν τῶν οἰκείων ἕξουσιν· ἀλλ' ἔσται ἡ κεφαλὴ Εφραὶμ, τουτέστι τῶν δέκα φυλῶν, ἡ Σαμάρεια (ἐκεῖ γὰρ ἦν αὐτοῖς ἡ βασιλεία) καὶ οὐκ ἐκταθήσεται περαιτέρω· καὶ ἡ κεφαλὴ Σαμαρείας ὁ βασιλεὺς τοῦ Ισραήλ· ὅπερ ἐπὶ τοῦ B Δαμασκηνοῦ ἔλεγε, τοῦτο καὶ ἐνταῦθα δηλοῖ, ὅτι οὐδὲν πλέον ἕξουσι, ἢ ταῦτα ἃ νῦν κατέχουσι. εἶτα ἐπειδὴ πράγματα εἶπεν ὑπερβαίνοντα λόγον ἀνθρώπινον, καὶ ἀνώτερα τῆς τῶν λογισμῶν ἀκολουθίας, καὶ προφητεία τὸ λεγόμενον ἦν, εἰκότως ἐπήγαγεν· ἐὰν μὴ πιστεύσητε, οὐδὲ μὴ συνῆτε. μὴ ζήτει, φησὶ, πῶς καὶ τίνι τρόπῳ ταῦτα ἔσται. Θεὸς γάρ ἐστιν ὁ ἐργαζόμενος, καὶ πίστεώς σοι δεῖ μόνης, καὶ ἐννοήσεις τοῦ ποιοῦντος τὴν δύναμιν. πᾶσαν ἔλαβες τῶν εἰρημένων τὴν ἀπόδειξιν. διὸ καὶ ὁ προφήτης Δαβὶδ ἔλεγεν· ἐπίστευσα, διὸ ἐλάλησα. καὶ ὁ Παῦλος C εἰκότως ἐπιλαβόμενος τῆς ῥήσεως ταύτης, ἐπὶ μείζονα αὐτὴν εἵλκυσε πράγματα λέγων· ἔχοντες δὲ τὸ αὐτὸ πνεῦμα τῆς πίστεως, κατὰ τὸ γεγραμμένον, ἐπίστευσα, διὸ καὶ ἐλάλησα, καὶ ἡμεῖς πιστεύομεν, διὸ καὶ λαλοῦμεν. εἰ γὰρ τὰ παλαιὰ πίστεως ἔχρῃζε, τοσοῦτον ἀπέχοντα τῶν ἐν τῇ καινῇ, ὅσον ἡ γῆ τῶν οὐρανῶν, πολλῷ μᾶλλον ἡ τῶν οὕτως ὑψηλῶν δογμάτων γνῶσις καὶ οὐδὲ εἰς νοῦν ἐλθόντων τινί ποτε. ὅπερ οὖν καὶ αὐτὸς δηλῶν ἔλεγεν· ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ἃ ἡτοίμασεν ὁ Θεὸς ἀγαπῶσιν αὐτόν. καὶ προσέθετο D κύριος λαλῆσαι τῷ Αχαζ λέγων· αἴτησαι σεαυτῷ σημεῖον παρὰ κυρίου τοῦ Θεοῦ σου, εἰς βάθος ἢ εἰς ὕψος. καὶ εἶπεν Αχαζ, οὐ μὴ αἰτήσω, οὐδὲ μὴ πειράσω κύριον. καὶ εἶπεν Ησαΐας, ἀκούσατε δὴ οἶκος Δαβίδ· μὴ μικρὸν ὑμῖν ἀγῶνα παρέχειν ἀνθρώποις; καὶ πῶς κυρίῳ παρέχετε ἀγῶνα; διὰ τοῦτο δώσει κύριος αὐτὸς ὑμῖν σημεῖον· ἰδοὺ, ἡ παρθένος ἐν γαστρὶ λήψεται, καὶ τέξεται υἱὸν, καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ Εμμανουήλ.

A Et quidem nunc Israëlitæ ad illã vsque suam captiuitatem, nihil præter ea quæ iuris sunt sui, acquirent. Id attexuit, ne rex audito quia post sexaginta quinque annos disperituri essent, secũ reputaret: Quid igitur, si nobis nunc abreptis in captiuitatem, illi tunc sunt disperdendi, quid hinc in nos emolumenti resiliet? Spem bonam sume (ait) & de præsentibus. Omnino enim tunc emigrabunt in captiuitatem. Et nunc quidem nihil interim habituri sunt, præter ea quæ suo iure possident: sed erit caput Ephraim (hoc est, decem tribuum) Sa- B maria. Regia enim illic eis posita erat, nec iam vlterius regnũ exporrigetur. Et caput Samariæ rex Israel. Quod de Damasceno dicebat, idẽ & hîc indicat, nimirum amplius nihil sibi vendicaturos, quàm quæ nũc obtinẽt. Ad hæc, quando res eas dixit quę sermonẽ humanum transcendebant, & quauis serie ratiocinationum erant superiores (quod enim dicebatur, prophetia erat) haud abs re intulit: Nisi credideritis, neque intelligetis. Ne quæras, (ait) quo pacto quóve modo fiẽt hæc? Deus enim est, qui operatur. Tu quæso, tantum fidem præsta C dictis: & quæ sit opificis virt⁹ intelliges. Enarrationem eorum quæ dicta sunt, omnem accepisti. Eóque Dauid propheta ait: Credidi, propter quod locutus sum. Et Paulus assumptã hanc sententiam ad maiora non ab re pertraxit, dicens: Habentes autem eundem spiritum fidei, sicut scriptũ est: Credidi propter quod & loquutus sum. Et nos credimus, propter quod & loquimur. quáuis enim testimonia astruendæ fidei, sit mutuatus è vetere testamento, ipsa tamen tantum ab his quæ in nouo, distãt, quantò inferior cœlo est terra. Pręcellit enim multò magis cognitio dogmatum D sic sublimium, vt nulli vnquam contigerit ea intellectu assequi, quod equidem, idẽ manifestãs, dicebat. Quæ oculus non vidit, nec auris audiuit, & in cor hominis non ascenderũt, quæ præparauit Deus diligentibus se. 10. *Et adiecit Dominus loqui Achaz dicẽs.* 11. *Pete tibi signũ à Domino Deo tuo in profundũ siue in excelsum.* 12. *Et dixit Achaz, Non petam, & non tentabo Dominũ.* 13. *Et dixit Esaias. Audite ergo domus Dauid. Nunquid parum est vobis agonem exhibere hominibus? Qua ratione etiam Domino exhibetis agonem?* 14. *Propter hoc dabit Dominus ipse vobis signum. Ecce virgo in vtero accipiet & pariet filium: & vocabunt nomen eius Emmanuel.*

Psal. 115.
2. Cor. 4.

Multa hîc ostenditur Dei ad nos demissio, simul & ingrata atque cõtumax perfidia regis. Cõueniebat enim audito propheta, nihil addubitare de his quæ ab eo dicta essent. Quòd si dubitabat, saltem credere debuerat signo accepto, quod & plerique Iudæorum fecerunt. Deus enim erga homines benignus quum sit, ne hoc quidem plerunque renuit exhibere istis crassiori sensu & humi repentibus, affixísque materiæ terrestri, cuiusmodi fecit in Gedeone. Is enim minor quã esset omnibus, & per omnẽ modũ rudis: vide quo se Deus demiserit. Ipse ad se pollicitatione Achaz allicit, hortatur, signum vt petat: quanquam hoc non exiguũ signum fuit eius secreta prodere, inque medium producere omnem ipsius volũtatem, simul & detegere fucatã illius hypocrisin. Quũ enim dixisset propheta: Pete tibi signũ, ille autem ementitus se ac simulans vehemẽter fidelem, dixisset, Non petam, neque tentabo Dominum: vide, quo nunc pacto propheta, quámque acriter plagam infligit isti hypocritæ, idq. merito: præostẽsa eius hypocrisi, acriorem imprimit obiurgationem. Sanè ob hoc, ne vllo quidem dignatur eum respõso. Ad populum enim conuersus ait: Audite domus Dauid, num parum vobis est molestiam laborémque perplexum exhibere hominibus? Et quomodo domino molestum etiã labore exhibetis? Quod dictũ est, obscurũ est admodum: quare ipsa perpetua oratio diligẽter explicanda venit. Quod autem dicit, hoc est. Namque verba hæc, non sunt mea: sententia hæc, non est mea. Porrò si graue est omnino nolle commodare fidem hominibus, & obiurgatione dignum: quantò magis nolle credere Deo? Illud igitur agonem & molestiam præbere, aliud nihil est, quàm nolle credere & suspectum habere. Num igitur hoc paruum est crimen, aut qualiscunque reprehensio ei debetur, qui fidem nolit præbere hominibus? quòd si hoc molestum & graue est: multò magis Deo. Atqui secundũ hoc, dicebat: Vt nouerint omnes prophetã falli nõ posse, nec vllis verborum imposturis circũueniri: quin potius suffragiũ veritatis reportabat per ea quæ in animo reuoluebat Achaz. Hoc & Christus fecisse identidem legitur in Euangeliis. Priùs enim quàm exhiberet vllam demonstrationem signorum,

A πολλὴ τοῦ Θεοῦ συγκατάβασις, καὶ τοῦ βασιλέως ἡ ἀγνωμοσύνη. ἔδει μὲν γὰρ αὐτὸν ἀκούσαντα τοῦ προφήτου, μηδὲν ἀμφιβάλλειν περὶ τῶν εἰρημένων. Εἰ δὲ καὶ ἀμφέβαλλε, κἂν σημεῖον λαβόντα πιστεῦσαι, ὅπερ πολλοὶ τῶν παρὰ Ἰουδαίοις πεποιήκασι. καὶ γὰρ ὁ Θεὸς φιλάνθρωπος ὤν, οὐδὲ τοῦτο παρῃτήσατο παρασχεῖν πολλάκις τοῖς παχυτέροις καὶ χαμαὶ συρομένοις, καὶ τῇ γῇ προσηλωμένοις, οἷον ἐποίησεν ἐπὶ τοῦ Γεδεών. ἐπειδὴ γὰρ πάντων καταδεέστερος ἦν καὶ παχύτατος, ὅρα πῶς καταβαίνει πάλιν ὁ B Θεός. αὐτὸς αὐτὸν ἐφέλκεται, καὶ προτρέπει πρὸς τὸ σημεῖον αἰτῆσαι. καί τοί γε οὐδὲ μικρὸν τοῦτο σημεῖον ἦν, τὸ ἐλέγξαι αὐτοῦ τὰ ἀπόρρητα, καὶ εἰς μέσον ἀγαγεῖν αὐτοῦ τὴν γνώμην ἅπασαν, καὶ τὴν ὑπόκρισιν διελέγξαι πᾶσαν. ἐπειδὴ γὰρ ὁ μὲν προφήτης εἶπεν, αἴτησαι σεαυτῷ σημεῖον, ἐκεῖνος δὲ τὸν σφόδρα πιστὸν ὑποκρινόμενος ἔλεγεν, οὐ μὴ αἰτήσω, οὐδὲ μὴ πειράσω κύριον, ὅρα πῶς μετὰ πολλῆς τῆς σφοδρότητος ἐπάγει τὴν τομὴν ὁ προφήτης, εἰκότως μετὰ τὴν ἀπόδειξιν τῆς ὑποκρίσεως βαρυτέραν ποιούμενος τὴν C κατηγορίαν. διὰ δὴ τοῦτο ἐκεῖνον μὲν οὐδὲ ἀποκρίσεως ἀξιοῖ, πρὸς δὲ τὸν δῆμον ἀποστρέφεται λέγων· ἀκούσατε οἶκος Δαβίδ· μὴ μικρὸν ὑμῖν ἀγῶνα παρέχειν ἀνθρώποις; καὶ πῶς κυρίῳ παρέχετε ἀγῶνα; ἀσαφὲς τὸ εἰρημένον· διὸ δὴ δεῖ τὴν ῥῆσιν διαπτύξαι μετὰ ἀκριβείας. ὃ γὰρ λέγει, τοῦτό ἐστι· μὴ γὰρ ἐμὰ τὰ ῥήματά ἐστι; μὴ γὰρ ἐμὴ ἡ ἀπόφασις; εἰ δὲ ἀνθρώποις ἀπιστεῖν ἁπλῶς καὶ διὰ λόγου, βαρὺ καὶ ἐγκλημάτων ἄξιον, πολλῷ μᾶλλον D Θεῷ. τὸ οὖν ἀγῶνα παρέχειν, οὐδὲν ἕτερόν ἐστιν, ἢ ἀπιστεῖν. τοῦτο οὖν, φησι, μὴ μικρόν ἐστιν ἔγκλημα, μὴ ἡ τυχοῦσα κατηγορία τοῖς ἀνθρώποις ἀπιστεῖν; Εἰ δὲ τοῦτο βαρὺ, πολλῷ μᾶλλον τῷ Θεῷ. καὶ τοῦτο δὲ ἔλεγεν, ἵνα μάθωσι πάντες, ὅτι ἀνεξαπάτητος ἔμεινεν ὁ προφήτης, οὐκ ἀπὸ τῶν ῥημάτων στοχαζόμενος τῶν εἰρημένων, ἀλλ' ἀπὸ τῶν ἐν τῇ διανοίᾳ τοῦ Ἀχαζ φέρων τὴν ψῆφον. τοῦτο καὶ ὁ Χριστὸς πολλάκις ἐπὶ τῶν εὐαγγελίων ἐποίησε. πρὶν ἢ γὰρ τὴν ἀπὸ τῶν σημείων παρασχεῖν ἀπόδειξιν,

τὴν κακίαν τῶν Ἰουδαίων εἰς μέσον ἄγων τὴν ἐν διανοίᾳ συρρυομένην, οὐ μικρὸν τοῦτο παρεῖχε τὸ σημεῖον· ὃ ἐπὶ τοῦ παραλυτικοῦ πεποίηκεν. ἐπειδὴ γὰρ Εἶπε πρὸς αὐτὸν, θάρσει τέκνον· ἀφέωνταί σου αἱ ἁμαρτίαι, ἐκεῖνοι δὲ ἔλεγον ἐν ἑαυτοῖς, βλασφημεῖ, φησί· πρὶν ἢ σφίγξαι τὸν παραλελυμένον, τί βουλεύεσθε πονηρὰ ἐν ταῖς καρδίαις ὑμῶν; μέγιστον θεότητος τοῦτο παρέχων τεκμήριον, τὸ τὰ ἀπόρρητα εἰδέναι τῆς διανοίας. σὺ γὰρ ἐπίστασαι, φησι, καρδίας μόνος πάντων· καὶ ὁ Δαβὶδ πάλιν φησὶν, ἐτάζων καρδίας καὶ νεφροὺς ὁ Θεός. τοῦτο καὶ τοῖς προφήταις ἐδίδου πολλάκις ὁ Θεὸς εἰδέναι, ἵν' οἱ ἀκούοντες μανθάνωσιν, ὅτι οὐδὲν ἀνθρώπινον τῶν εἰρημένων, ἀλλ' ἄνωθεν, καὶ ἐκ τῶν οὐρανῶν ἡ ψῆφος ἅπασα κατενήνεκται. διὰ τοῦτο καὶ ὁ μεγαλοφωνότατος οὗτος Ἡσαΐας, ἐπειδὴ μετὰ πολλῆς τῆς ἐπιεικείας διελέχθη τῷ βασιλεῖ, καὶ τῶν δεινῶν ἀπήλλαξε, καὶ θαρρεῖν ἐκέλευσεν ὑπὲρ τῶν παρόντων, καὶ τεκμήρια τούτου παρέχειν αὐτῷ, τὸ τὴν βουλὴν ἐξαγγεῖλαι τῶν ἐπιστρατευσαμένων, καὶ τὴν προδοσίαν ἐλέγξαι, καὶ τὴν ἅλωσιν τοῦ Ἰσραὴλ προειπεῖν τὴν παντελῆ καὶ ὁλόκληρον, καὶ τὸν χρόνον προσθεῖναι, οὐκ ἠρκέσθη τούτοις, καὶ περαιτέρω πρόεισι, καὶ οὐκ ἀναμένει σημεῖον αὐτὸν αἰτῆσαι, ἀλλὰ καὶ μὴ βουλόμενον δι' ὑπερβολὴν ἀπιστίας προτρέπει). καὶ οὐδὲ ἁπλῶς, ἀλλὰ καὶ κύριον τῆς αἱρέσεως ποιεῖ. οὐδὲ γάρ φησι, τὸ καὶ τὸ σημεῖον, ἀλλ' ὅπου βούλει, φησί, πλούσιος ὁ δεσπότης, παμμεγέθης ἡ δύναμις, ἄφατος ἡ ἐξουσία. ἂν ἐκ τῶν οὐρανῶν βουληθῇς, οὐδὲν τὸ κωλῦον, ἂν ἐκ τῆς γῆς, οὐδὲν τὸ ἐμποδίζον. τοῦτο γάρ ἐστιν, ἢ εἰς βάθος, ἢ εἰς ὕψος. ἐπειδὴ δὲ οὐδὲ οὕτως αὐτὸν ἐπεσπάσατο, οὐδὲ αἰτεῖσθαι ἐσίγησεν, ἀλλ' ἔλεγχον ἐπαγαγὼν, καὶ τοῦτον ὑπὲρ διορθώσεως τοῦ ἀκούοντος, καὶ τοῦ δεῖξαι, ὡς οὐκ ἠπάτησεν, οὐδὲ παρελογίσατο, ἀνακαλύπτει προφητείαν ἀπόρρητον, τὴν ἐπὶ σωτηρίᾳ τῆς οἰκουμένης ἐσομένην, καὶ ἐπὶ διορθώσει τῶν πραγμάτων ἁπάντων· καί φησι τὸ σημεῖον οὐχὶ τῷ Ἄχαζ δίδοσθαι λοιπὸν,

A in medium proferebat malitiam in Iudæorũ mente obambulantem. Vtique hoc facto signũ nec mediocre edebat, cuiusmodi fecit in cura paralytici. huic enim quũ dixisset: Confide fili, remittuntur tibi peccata tua, Illi apud semetipsos dicebant, Blasphemat. Qui & priusquã resolutos neruos astringeret, ait illis: Vt quid cogitatis mala in cordibus vestris? Quòd enim arcana animorum nouerat, vel hoc argumēto maximo diuinam suam maiestatem ostendebat. Ait enim scriptura, Tu nosti corda vel maximè solus. Rursum Paulus, Qui scrutatur corda & renes Deus. B Plerunque etiã Deus id gratiæ suis impertiebatur prophetis, vt & ea nossent in hoc, vt auditores ediscerent eorum quæ dicebantur, nihil esse humanum: sed supernè & è cœlis delatum esse hoc omne decretũ. Eam ob rem hic Esaias maximè omnium canorus simul atque regem est multa cum moderatione alloquutus, eundem exemit metu impendentium malorum, ac iussit animo esse præsenti & confirmato pro præsentibus periculis; ad hæc argumenta istius liberationis non vulgaria eidem præbuit: C nimirum denunciando eorum consultationem qui aduersus ciuitatē copias eduxerant, argumentis docendo proditionem, prædicendo futuram captiuitatem Israëlitici populi, omni vtique ex parte & ad cõsummationem vsque perducendã, quo item euentura esset tempore, adijciendo: non his tamen abiit cõtentus, sed vlterius progreditur. Non iam in hoc cunctatur, vt is signum postulet, quin etiam illum nolentem per exuperãtem perfidiam adhortatur, nec vtcunque: sed illi permittit liberam eligendi signi potestatē. Neque enim ait: D hoc signum pete, aut illud: sed vndecunque vis fieri. Diues enim est Dominus inquit. Nihil non præualet eius potentia. Eius potestas inexplicabilis. Id è cœlis postules, licet, dari, nihil eum cohibet: è terra si flagites, quo minus id faciat, nihil intercedere potest impedimēti. Hunc enim indicat sensum, Siue in profundum, siue in excelsum. Quum autem ne sic quidem adduceretur ad petendum, non hîc iam siluit propheta: sed acriter reprehēdit eum ad auditoris emendationem, vtque ostenderet se nequaquam in fraudem impulisse, neque decepisse, arcanam prophetiam patefacit, quæ pro totius orbis salute euentura erat, próque moderandis rebus vniuersis. Negat deinceps signum vllum reddi ipsi Achaz,

Matt. 9.

1. Paral. 6. 30.

Rom. 8. 27

sed in commune populo Iudæorum. Nam in principio quidē sermonem ad eum direxit: postquā autem seipsum indignum declarauit, ad populū conuersus in cōmune texit sermonem. Quamobrem ait: Dabit, non tibi: sed vobis signum. Vobis. Quibus? Vobis qui estis ex domo Dauid. Etenim illinc exortū est signi istius prænobile germen. Ecquod tandē istud est signum? Ecce hæc virgo in vtero accipiet & pariet filium, & vocabunt nomen eius Emmanuel. Obseruandum quod & superius dixi, nullū deinceps reddi signū ipsi Achaz. Neque ad id coniectura ducor, quando & ipse propheta id illi criminis loco intendit, & palàm obiecit dicens: Non parum vobis est molestiā exhibere hominibus? Adiecit insuper, Propter hoc dabit Dominus vobis signum. Ecce hæc virgo in vtero habebit. Quòd si virgo non fuisset, vtique non fuisset signum. Signum enim vt sit quiduis, cōuenit, vt cōmunem rerum seriem prætergrediatur, simul & consuetudinē transcendat naturę, nouúmq. sit nec priùs auditum, ita vt illud singuli quiq. & spectatores & auditores approbent suo applausu ac fauore. Hac enim ratione dicitur Signū, quòd à cæteris insigni nota distinctum sit. Insigne autem id non fuerit, si delituerit intra cōmunitatem aliarū rerum. Itaque si de muliere iuxta communem naturæ legē pariente, fuisset sermo hic, qua gratia id propheta vocasset signū, quod quotidie videmus fieri? Sanè ob hoc sermonem exorsus non simpliciter dixit, Ecce virgo: sed ecce hæc virgo, cum adiuncto articulo; hæc, nobis insinuans rem eiusmodi esse factam, quæ insignis sit & eadē sola. Nam quòd eadem accessio articuli hoc indicet, nec obscurè, potest quis lectione Euāgeliorum edoceri. Ad Ioannem enim Iudæi quum misissent, vt eum interrogarent, Quis es? non dicebant: Tu es Christus? sed, si tu es ille Christus? Neq; dicebāt, Tu es propheta? Sed, si tu es ille propheta: quorum vnumquodq. eximium per se erat & prærogatiuæ singularis. Ad id consignandum etiam Ioannes exorsus Euangelium non dicebat, In principio erat Verbū: sed illud singulare Verbū, & hoc Verbum erat apud Deum. Planè etiam hîc eadem loquendi formula seruata est. Non dixit, Ecce virgo, sed ecce hæc virgo, idque cum adiuncto, quod nihil dedecebat prophetam, nimirum, Ecce, quod vtique erat propemodum perspicientis ea quæ fierent, & cogitatione informantis,

Signi ratio & finitio.

Ioan. 1.

A ἀλλ' τῷ κοινῷ τῶν Ἰουδαίων δήμῳ. παρὰ μὲν γὰρ τὴν ἀρχὴν πρὸς αὐτὸν τὸν λόγον ἀπέτεινεν· ἐπειδὴ δὲ ἀνάξιον ἐκεῖνος ἑαυτὸν ἀπέφηνε, τῷ κοινῷ τοῦ λαοῦ διαλέγεται. διὰ τοῦτο γάρ φησι, δώσει, οὐχί σοι, ἀλλ' ὑμῖν σημεῖον. ὑμῖν; τίσι; τοῖς ἐν τῷ οἴκῳ Δαβίδ. καὶ γὰρ ἐκεῖθεν ἐβλάστησε τὸ σημεῖον. τί οὖν τὸ σημεῖόν ἐστιν; ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ λήψεται, καὶ τέξεται υἱὸν, καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ. παρατηρητέον, ὅπερ καὶ ἔμπροσθεν εἶπον, ὅτι οὐ τῷ Ἀχαζ δίδοται λοιπὸν τὸ σημεῖον. καὶ ὅτι οὐ B στοχασμὸς, αὐτὸς ὁ προφήτης καὶ ἐνεκάλεσε, καὶ κατηγόρησε λέγων, μὴ μικρὸν ὑμῖν ἀγῶνα παρέχειν ἀνθρώποις; καὶ προσέθηκε· διὰ τοῦτο δώσει κύριος ὑμῖν σημεῖον, ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ ἕξει. εἰ δὲ μὴ παρθένος ἦν, οὐδὲ σημεῖον ἦν. τὸ γὰρ σημεῖον ἐκβαίνειν δεῖ τὴν κοινὴν ἀκολουθίαν, καὶ τὴν τῆς φύσεως ὑπερβαίνειν συνήθειαν, καὶ ξένον εἶναι καὶ παράδοξον, ὥστε ἕκαστον ἐπισημαίνεσθαι τῶν ὁρώντων καὶ ἀκουόντων. διὰ γὰρ τοῦτο καὶ σημεῖον λέγεται, διὰ τὸ ἐπίσημον. ἐπίσημον δὲ οὐκ ἂν γένοιτο, C εἰ μέλλοι κρύπτεσθαι τῇ κοινωνίᾳ τῶν ἄλλων πραγμάτων. ὥστε εἰ περὶ γυναικὸς ὁ λόγος ἦν νόμῳ φύσεως τικτούσης, τίνος ἕνεκεν σημεῖον καλεῖ τὸ καθ' ἑκάστην γινόμενον ἡμέραν. διὰ δὲ τοῦτο καὶ ἀρχόμενος, οὐχ ἁπλῶς εἶπεν, ἰδοὺ παρθένος, ἀλλ' ἰδοὺ ἡ παρθένος, τῇ προσθήκῃ τοῦ ἄρθρου ἐπίσημόν τινα καὶ μόνην τοιαύτην γεγενημένην ἡμῖν αἰνιττόμενος. ὅτι γὰρ ἡ προσθήκη αὕτη τοῦτο ἐνδείκνυται, δυνατὸν καὶ ἀπὸ τῶν εὐαγγελίων μαθεῖν. ἐπειδὴ γὰρ ἔπεμψαν πρὸς τὸν Ἰωάννην οἱ Ἰουδαῖοι D ἐρωτῶντες, τίς εἶ; οὐκ ἔλεγον, σὺ εἶ Χριστὸς, ἀλλ' εἰ σὺ εἶ ὁ Χριστός. οὐδὲ ἔλεγον, σὺ εἶ προφήτης, ἀλλ' εἰ σὺ ὁ προφήτης, ὧν ἕκαστον ἐξαίρετον ἦν. διὰ τοῦτο καὶ ἀρχόμενος ὁ Ἰωάννης οὐκ ἔλεγεν· ἐν ἀρχῇ ἦν λόγος, ἀλλ' ἐν ἀρχῇ ἦν ὁ λόγος, καὶ ὁ λόγος ἦν πρὸς τὸν Θεόν. οὕτω δὴ καὶ ἐνταῦθα, οὐκ εἶπεν, ἰδοὺ παρθένος, ἀλλ' ἰδοὺ ἡ παρθένος· καὶ μετ' ἀξιώματος προφήτῃ πρέποντος, τὸ ἰδού. μόνον γὰρ οὐχὶ ὁρῶντος ἦν τὰ γινόμενα, καὶ φανταζομένου,

καὶ πολλὴν ἔχοντος παρὰ τῶν εἰρημένων πληροφορίαν. τῶν γὰρ ἡμετέρων ὀφθαλμῶν ἐκεῖνοι σαφέστερον τὰ μὴ ὁρώμενα ἔβλεπον. τὴν μὲν γὰρ αἴσθησιν εἰκὸς καὶ ἀπατηθῆναι· ἡ δὲ τοῦ πνεύματος χάρις ἀνεξαπάτητον παρείχετο τὴν ἀπόφασιν. Καὶ τίνος ἕνεκεν οὐ προσέθηκε, φησὶν, ὅτι ἐκ πνεύματος ἁγίου ὁ τόκος ἔσται; προφητεία ἦν τὸ λεγόμενον, καὶ συνεσκιασμένως ἀπαγγεῖλαι ἔδει· ὃ πολλάκις εἶπον, διὰ τὴν τῶν ἀκουόντων ἀγνωμοσύνην, ἵνα μὴ σαφῶς πάντα μανθάνοντες, καὶ τὰ βιβλία πάντα κατακαύσωσιν. Εἰ γὰρ τῶν προφητῶν οὐκ ἐφείσαντο, πολλῷ μᾶλλον τῶν γραμμάτων οὐκ ἂν ἀπέσχοντο. καὶ ὅτι οὐ στοχασμὸς τὸ εἰρημένον, ἕτερός τις βασιλεὺς ἐπὶ τοῦ Ἱερεμίου αὐτὰ τὰ βιβλία λαβὼν κατέτεμε, καὶ πυρὶ παρεδίδου. εἶδες μανίαν ἀφόρητον, εἶδες ὀργὴν ἀλόγιστον. οὐκ ἤρκεσεν αὐτῷ τὸ ἀφανίσαι τὰ γράμματα, ἀλλὰ καὶ ἐνεπύρησε, τὸ ἀλόγιστον αὐτοῦ πάθος πληρῶσαι βουλόμενος. Ἀλλ' ὅμως καὶ ἀσαφῶς εἰπὼν ὁ θαυμάσιος οὗτος προφήτης, τὸ πᾶν ἐνεδείξατο. παρθένος γὰρ, ἕως ἂν μένῃ παρθένος, πόθεν ἄλλοθεν κυήσειεν, εἰ μὴ ἀπὸ πνεύματος ἁγίου; τὸ γὰρ νόμον λῦσαι φύσεως, οὐδενὸς ἑτέρου ἦν, ἀλλ' ἢ τοῦ δημιουργοῦ τῆς φύσεως. ὥστε εἰπὼν, ὅτι τέξεται ἡ παρθένος, τὸ πᾶν ἐνέφηνεν. Εἰπὼν τοίνυν τὸν τόκον, λέγει καὶ τὸ ὄνομα τοῦ τικτομένου, οὐ τὸ τεθὲν, ἀλλὰ τὸ ἀπὸ τῶν πραγμάτων· ὥσπερ γὰρ τὴν Ἱερουσαλὴμ καλεῖ πόλιν δικαιοσύνης, καί τοι γε οὐδαμοῦ δικαιοσύνης ἐκλήθη πόλις, ἀλλὰ ἀπὸ τῶν πραγμάτων ταύτην εἶχε τὴν προσηγορίαν, διὰ τὸ πολλὴν γενέσθαι τὴν ἐπὶ τὸ βέλτιον αὐτῆς μεταβολὴν, καὶ τὴν τοῦ δικαίου προστασίαν. καὶ γὰρ ὅταν πόρνην καλῇ, οὐχ ὡς τῆς πόλεως οὕτω ποτὲ κληθείσης, ἀλλὰ ἀπὸ τῆς κακίας τὸ ὄνομα τίθησιν· οὕτω δὴ καὶ μετὰ ταῦτα ἀπὸ τῆς ἀρετῆς. τὸ αὐτὸ τοίνυν καὶ ἐπὶ τοῦ Χριστοῦ λεκτέον, ὅτι τὸ ἀπὸ τῶν πραγμάτων αὐτῷ ὄνομα τέθεικε. τότε γὰρ μάλιστα μεθ' ἡμῶν ὁ Θεὸς γέγονεν, ἐπὶ τῆς γῆς ὀφθεὶς, καὶ τοῖς ἀνθρώποις συναναστρεφόμενος, καὶ τὴν πολλὴν

A plenámque fidem retinẽtis eorum quæ à ſe diſcerentur. Illi etenim quæ non videbantur, noſtris hiſce oculis perſpicaciùs cernebant. Senſili enim iſti organo viſus nonnunquam imponi, probabile eſt: ſancti autem Spiritus gratia illis ſuggerebat vim nullis impoſturis obnoxiã qua de rebus pronũciarent. *Quæſtio.* Quærſierit aliquis, Qua tandem cauſa non appoſuit partum virginis, opificio Spiritus ſancti affuturũ? *Solutio.* Quod dicebatur, propheticum erat oraculũ, quare conueniebat illud enunciari adumbratè, & id (quod à me non ſemel dictum eſt) B propter perfidiam & ingratitudinẽ audientium: vt ne quum cuncta lucidiùs didiciſſent, Biblia etiam omnia igni exurenda contraderent. Si enim ne ipſis quidem prophetis pepercerunt, multò magis non ſibi temperaſſent ab eorum ſcripturis. Quod autem dicimus, non vtique eſt coniectura. Ætate Hieremiæ alius quidam rex arreptos in manum libros diſcidit, & minutim cõſciſſos igni tradidit. *Sedechias. Hier. 36.* Vidiſti intolerabilẽ inſaniam? Vidiſti iram totius rationis expertem? Illius vecordi iræ non ſatis fuit obliteraſſe ſcripturam, niſi etiam incẽdio diſ- C perderet, cupiens exatiare preconceptã perturbationem omni prorſus ratione vacantem. Verumtamen propheta hic ſanè quàm admirãdus per hæc obſcurè dicta, rei totius in futurum gerendæ ſpecimen edidit. Etenim virgo, quandiu virgo permanet, vndénam poteſt aliunde concipere, niſi obumbrãte Spiritu ſancto? Soluere enim naturæ legẽ, nullius vtique eſt alterius, quàm eius qui condidit naturã. Dicto igitur quia virgo foret paritura, oraculi totius ſummam indicauit. Proinde dicto partu, adijcit & eius nomen, quem erat virgo D editura, non quod poſteà natus accepit, ſed quod à rebus ipſis ſortitus eſt. *Chriſtus à rebus ipſis prænominatus eſt Emmanuel.* Quemadmodum enim Hieruſalem vocat ciuitatem iuſtitiæ, tametſi nuſquam legatur hanc eam ſortitã eſſe nomẽclaturã, ſed à rebus hanc ſibi aſciuit appellationem, quod in futurum foret in melius permutanda, idque propter iuſti defenſionem. Etenim quando eandem vocat fornicariam, ſiue meretricem, non vtique quod fuerit aliquando hoc nomine vocatur, ſed à malitia acceptam nomenclaturam ei imponit. Sanè ad eandem dicendi formulam poſt hæc à virtute vocata eſt. Et de Chriſto igitur idipſum dicendum, quòd à rebus nomen ipſum illi impoſuerit. Tunc enim maximè nobiſcum fuit Deus, quando ſuper terram viſus & cum hominibus conuerſatus, multam

A nostræ salutis prouidentiam declarauit. Non enim iam Angelus, non item Archangelus nobiscũ, sed ipse suo descensu dominus omnem in se recepit medelam & correctionẽ. Cum meretricibus loquitur familiariter, cum publicanis recumbit, domos ingreditur peccatorũ, latronibus se conueniẽdi liberam concedit fiduciam: ad se Magos aduocat & pertrahit, perlustrat omnia, nihil non in melius reformans. Denique nostram hanc naturam sibiipsi coniunxit. Planè cuncta hęc propheta pręcinit: vnà enim cum partu, vtilitatẽ etiam aperit ex eo B partu prouenturam, inenarrabilem & immensam. Deo enim hominibus adsistente, nihil iam relinquitur homini formidandum, & quod illi incutiat tremorem: magis verò, vt de vniuersis fiduciã sumat, quod & reipsa cõtigit. Illa enim mala à progenitoribus inuecta, & quæ immota videbãtur, dissoluta sunt. Sententia aduersus cõmune hominum genus prolata, submota est. Quin & nerui illorum peccati resecti sunt, & diaboli tyrannis deperiit. Paradisus omni humano generi eatenus inaccessus, homicidæ & latroni primum nunc patuit. Illi C cœlorum conuexi orbes reserati sunt, & angelorum choris permistim homo interseritur. Ad illũ vsque regalem thronum natura nostra subuecta est. Inferni carcer nulli iam vsui est futurus. Mors, nomẽ quidẽ retinet deinceps, ipsa vero re spoliata est. Martyrũ chori & fœminę etiam spicula inferni perfregerunt. Idcirco propheta omnia hæc prævidens, præ gaudio exultabat agens chorum ac tripudiãs. Quæ omnia nobis vnico verbo repręsentauit, dum ipsum nobis prædicit affore Emmanuelem. 15. *Butyrum & mel comedet.* 16. *Antequam sciat ipse vel* D *præeligere mala, eliget bonũ. Propter quod antequã sciat puer bonũ aut malum, non obtemperat malitiæ, vt eligat bonũ.* Puerulus iste recens natus quandoquidẽ neque simplex aut nudus homo erat, neque item Deus solum, sed Deus in homine delitescens: meritò etiam propheta artifici varietate ob id exornat sermonem, nunc quidem hoc, nunc verò illud commemorans, dúmque proponit quæ hominum opinionem exuperant, nõ finit interim dispensationem carnis à Verbo assumendæ vlla aspergi perfidia, propter exuperantiam miraculi. Dicto enim, quia virgo esset paritura, id quod naturæ tenorem transcendebat, & quia esset vocandus Emmanuel, quod & ipsum erat hominũ expectatione maius: vt ne quis audito Emmanuelis

Hoc de pie in Christo vnientibus intelligendum est.

Lege Epiphanium.

A ἐπιδεικνύμενος περὶ ἡμᾶς κηδεμονίαν. οὐκέτι γὰρ ἄγγελος, οὐδὲ ἀρχάγγελος μεθ' ἡμῶν· ἀλλ' αὐτὸς αὐτὸς καταβὰς ὁ δεσπότης, τὴν πᾶσαν ἀνεδέξατο διόρθωσιν, πόρναις διαλεγόμενος, τελώναις συνανακείμενος, εἰς ἁμαρτωλῶν οἰκίας εἰσιών, λῃσταῖς παῤῥησίαν διδοὺς, μάγους ἐφελκόμενος, πάντα περιιὼν καὶ διορθούμενος, καὶ αὐτὴν τὴν φύσιν ἑνῶν πρὸς ἑαυτόν. Ταῦτα οὖν πάντα ὁ προφήτης προαναφωνεῖ, ὁμοῦ καὶ τὸν τόκον λέγων, καὶ τὸ κέρδος τῶν ὠδίνων τὸ ἄφατον ἐκεῖνο καὶ ἄπειρον. ὅταν γὰρ B ὁ Θεὸς μετὰ ἀνθρώπων ᾖ, οὐδὲν δεῖ λοιπὸν δεδοικέναι οὐδὲ τρέμειν, ἀλλ' ὑπὲρ ἁπάντων θαῤῥεῖν· ὅπερ δὴ καὶ ἐγένετο. καὶ γὰρ τὰ ἀρχαῖα ἐκεῖνα καὶ ἀκίνητα ἐλύθη κακὰ, καὶ ἡ κατὰ τοῦ κοινοῦ γένους ἀπόφασις ἀνῄρειτο, καὶ τῆς ἁμαρτίας τὰ νεῦρα ἐξεκόπτετο, καὶ διαβόλου τυραννὶς κατελύετο, καὶ ὁ πᾶσιν ἄβατος παράδεισος ἀνδροφόνῳ καὶ λῃστῇ πρῶτον ἠνοίγετο, καὶ οὐράνιοι ἁψῖδες ἀνεπετάννυντο, καὶ ἀγγέλοις ἄνθρωπος συνανεμίγνυτο, καὶ πρὸς τὸν βασιλικὸν θρόνον ἡ φύσις ἡ ἡμετέρα ἀνήγετο, καὶ τοῦ ᾅδου τὸ δεσμωτήριον ἄχρηστον ἦν, C καὶ ὁ θάνατος ὄνομα λοιπὸν ἔμενεν ὤν, πραγμάτων ἀπεστερημένον, καὶ μαρτύρων χοροὶ, καὶ γυναῖκες κατακλάσασαι τοῦ ᾅδου τὰ κέντρα. Ταῦτα οὖν πάντα προορῶν ὁ προφήτης ἐσκίρτα καὶ ἐχόρευε, καὶ δι' ἑνὸς ῥήματος ἡμῖν αὐτὰ ἐνεδείκνυτο, προφητεύων ἡμῖν τὸν Εμμανουήλ. βούτυρον καὶ μέλι φάγεται, πρὶν ἢ γνῶναι αὐτὸν ἢ προελέσθαι πονηρὰ, ἐκλέξεται τὸ ἀγαθόν. διότι πρὶν ἢ γνῶναι τὸ παιδίον ἀγαθὸν, ἢ κακὸν, ἀπειθεῖ πονηρίᾳ, τοῦ ἐκλέξασθαι τὸ ἀγαθόν. ἐπειδὴ τὸ τικτόμενον παιδίον οὔτε ἄν- D θρωπος ἦν ψιλὸς, οὔτε Θεὸς μόνον, ἀλλὰ Θεὸς ἐν ἀνθρώπῳ, εἰκότως καὶ ὁ προφήτης ποικίλλει τὸν λόγον, νῦν μὲν τοῦτο, νῦν δὲ ἐκεῖνο λέγων, καὶ τὰ παράδοξα τιθεὶς, καὶ οὐκ ἀφιεὶς ἀπιστηθῆναι τὴν οἰκονομίαν διὰ τὴν τοῦ θαύματος ὑπερβολήν. εἰπὼν γὰρ ὅτι τέξεται ἡ παρθένος, ὅπερ ἦν ἀνώτερον φύσεως, καὶ ὅτι κληθήσεται Εμμανουὴλ, ὃ καὶ αὐτὸ μεῖζον προσδοκίας ἦν, ἵνα μή τις τὸν Εμμανουὴλ

ἀκούσας, τὰ Μαρκίωνος πάθη, καὶ νοσήσῃ τὰ τοῦ Οὐαλεντίνου, διὰ τὴν οἰκονομίαν διαῤῥήδην ἐπήγαγε καὶ τῆς οἰκονομίας σαφεστάτην ἀπόδειξιν, ἀπὸ τῆς τραπέζης αὐτὴν πιστούμενος. τί γάρ φησι; βούτυρον καὶ μέλι φάγεται. τοῦτο δὲ οὐκ ἂν εἴη θεότητος, ἀλλὰ τῆς φύσεως τῆς ἡμετέρας. διὰ γὰρ τοῦτο οὐδὲ ἄνθρωπον ἁπλῶς πλάσας ἐνῴκησεν αὐτῷ, ἀλλὰ καὶ τῆς κυήσεως ἠνέσχετο, καὶ ταύτης ἐννεαμηνιαίου, καὶ ὠδίνων καὶ σπαργάνων, καὶ τῆς ἐκ πρώτης ἡλικίας τροφῆς, ἵνα διὰ πάντων ἐμφράξῃ τὰ στόματα τῶν ἀρνεῖσθαι τὴν οἰκονομίαν ἐπιχειρούντων. ταῦτα οὖν ἄνωθεν προορῶν ὁ προφήτης, οὐχὶ τὰς ὠδῖνας λέγει, καὶ τὸν θαυμαστὸν τόκον μόνον, ἀλλὰ καὶ τὴν ἐν πρώτῃ ἡλικίᾳ τροφὴν, τὴν ἐν αὐτοῖς τοῖς σπαργάνοις, οὐδὲν τῶν λοιπῶν ἐξαλλάττουσαν ἀνθρώπων, οὐδὲ τι ξένον κατὰ τοῦτο ἔχουσαν. οὔτε γὰρ ἅπαντα ἐξηλλαγμένα ἦν αὐτῷ, οὔτε πάντα κοινά. τὸ μὲν γὰρ ἐκ γυναικὸς τεχθῆναι, κοινόν, τὸ δὲ ἀπὸ παρθένου, μεῖζον ἢ καθ' ἡμᾶς. τὸ τραφῆναι πάλιν τῷ κοινῷ τῆς φύσεως νόμῳ καὶ τῷ αὐτῷ τοῖς πολλοῖς, κοινόν· τὸ δὲ ἄβατον γενέσθαι πονηρίᾳ τὸν ναὸν ἐκεῖνον, καὶ μηδὲ εἰς πεῖραν ἐλθεῖν πονηρίας, τοῦτο ξένον καὶ παράδοξον, καὶ αὐτοῦ μόνου. διὰ δὴ κἀκεῖνο, καὶ τοῦτο τέθεικεν. οὐ γὰρ μετὰ τὴν πεῖραν τῆς κακίας ἀπέστη τῆς κακίας, φησίν, ἀλλὰ ἄνωθεν καὶ ἐκ προοιμίων αὐτῶν πᾶσαν ἀρετὴν ἐπεδείκνυτο. ὃ καὶ αὐτὸς ἔλεγε, τίς ἐξ αὐτῶν ἐλέγχει με περὶ ἁμαρτίας; καὶ, ἔρχεται ὁ ἄρχων τοῦ κόσμου τούτου, καὶ ἐν ἐμοὶ ἔχει οὐδέν. καὶ αὐτὸς οὖν προϊὼν ὁ προφήτης λέγει, ὅτι ἁμαρτίαν οὐκ ἐποίησεν, οὐδὲ δόλος εὑρέθη ἐν τῷ στόματι αὐτοῦ. τοῦτο δὴ καὶ ἐνταῦθά φησιν· ὅτι πρὶν ἢ γνῶναι αὐτὸν ἢ προελέσθαι πονηρά, ἀπὸ τῆς ἡλικίας ἐκείνης τῆς ἀπειροκάκου, ἀπ' αὐτῶν τῶν προοιμίων τὴν ἀρετὴν ἐπιδείξεται, καὶ οὐδὲν ἕξει πρὸς τὴν κακίαν κοινόν. διότι πρὶν ἢ γνῶναι τὸ παιδίον ἀγαθὸν ἢ κακόν, ἀπειθεῖ πονηρίᾳ, τοῦ ἐκλέξασθαι τὸ ἀγαθόν. πάλιν ταῖς αὐταῖς λέξεσι τὸ αὐτὸ νόημα αἰνίττεται, καὶ

A nomine, cum Marcione malè afficeretur, pérque Valentini delira dogmata morbum perfidiæ contraheret, propter carnis dispẽsatione, palàm induxit manifestissimum assumptæ dispensationis argumentum, id ipsum confirmans à mensa. Quid enim ait? Butyrum & mel comedet. Neque enim hoc est opus diuinitatis, sed naturę nostræ. Ob hoc neque simpliciter hominẽ formatum inhabitauit, sed & tolerauit conceptionẽ, eámque excursu mensiũ nouem voluit parturiri, pannis inuolui sustinuit, eámque sumpsit alimoniam quę illi tenellæ B ætati cõgruebat: vt per hæc omnia, oppilaret ora his qui conantur abnegare dispensationem assumptæ carnis. Propheta igitur gratia cœlesti inspirante præuidẽs hanc multiplicem perfidiam, non ipsam modò dicit parturitionem, non illum admirabilem partum solùm commemorat: sed & alimoniã edisserit illi primæ ætati conuenientem, quæ & ipsis fasciis inuoluta est, nihil euarians à reliquis hominibus, neque quiduis admittẽs peregrinum aut nouũ quatenus attinebat ad humanę naturę veritatem. Neque enim in eo singula quęque euariabant, & neq. in eodẽ omnia erant nobiscum cõmunia. Nam quod ex muliere natus sit, cõmune est omnibus: quòd autẽ ex virgine, id nostra omnium conditione est augustius. Rursus quòd adoleuerit, educatúsq. sit iuxta communem naturæ legem, & hoc permultis cõmune est: templum autẽ illud quod nulli malitiæ peruium fuerit, nec vllius nequitiæ ceperit experimentum, hoc planè nouũ est & admirabile, & ei soli competit. Sanè ea de causa & illam adiecit & hanc particulam. Non enim ait, quia sumpto semel experimento mali-D tie, à malitia desciuerit, sed quòd ab initio & primigenia prælusione cõceptionis suæ omnẽ exhibuerit virtutẽ, quod & ipse dicebat. Quis ex ipsis arguet me de peccato? Et, Venit princeps mundi huius, & in me nõ habet quidquã. Quin & hic ipse propheta in progressu operis ait: quia peccatũ nõ fecit, neq. dolus inuẽtus est in ore eius. Planè & hoc cõfirmat præsẽti loco dicẽs, quia priusquam sciat puer assumere aut præligere mala, quòd nimirũ nullius vnquã malitiæ experimẽtum ceperit, ab illa ætate prima, & quia ab ipsis ineuntis vitæ primordiis aduersus peccatũ esset prævaliturus, nihilque habiturus cõmune cum malitia. Quamobrem priusquam sciat puer bonum aut malum, auersatus malitiam, eliget quod bonum est. Rursus iisdem verbis eandẽ innuit sententiam,

Ioan. 8.48
Ioan. 14.30
Esa. 53. 9.

& in eodem versatur sermone. Quod enim dicebatur, quum arduā requireret & vehementer sublimē intelligentiam, fidem ei arrogat & astruit cōtinuatione narrationis. Quod enim superiùs manifestauit dicēs, Antequam sciat ipse præeligere mala, id ipsum in progressu innuit his verbis: Antequā sciat puer ille. Et rursus enarratione vsus est, dicens: bonum aut malum, vitata malitia eliget bonum. Hæc ipsi & soli congruebat peculiaris prærogatiua. Quare & Paulus idipsum continenti sermone obuersat. Ioannes rursus eo mox viso pronunciauit & hoc: Ecce agnus Dei, qui tollit peccatum mundi. Nam qui aliorū tollit peccata, vtiq. immunis est ab omni peccato, nec potest peccare. Et Paul⁹ quod & antè dixi, ipsum cōtinenter inclamat. Morti enim quum propinquaret, vt ne quis infidelium censeret per eam mortem ipsum luere pœnā proprio peccato debitam, iugiter cōmemorat Christi liberrimam immunitatē peccati omnis, & (siquidem dicere liceat) impeccabilitatem, vt ostēderet eius mortem nostri esse peccati purgatoriam. Quare & dicebat: Christus resurgens ex mortuis non iam moritur. Etenim quod mortuus est, peccato mortuus est. Neque ait, quòd sit mortuus quasi obnoxius esset morti quia peccasset, sed in commune pro delicto vniuersorū. Si igitur per hoc nostrum delictum neutiquam erat priori, quam sustinuit, morti obnoxius, ex abundanti demonstratum est, quia amplius non morietur. *Et derelinquetur terra quam tu times à facie duorum regum.* Quod perpetuò facit propheta, hîc quoque fecit: Enarrata prophetia, ad historiam educit sermonē. Hoc etiā eum instituisse in explicandis Seraphim perspicuè ostendimus, quod & hic fecit. Enarratis enim bonis quæ superuentura erant vniuerso orbi, sermonē deinceps ad personam regis reflectit, eóque inductione hac vsus est, dicēs: Et derelinquetur terra. Quid est, derelinquetur? intacta erit, & libertate donabitur, nihil iam patietur inamœnum sibíve molestum, nullam sustinebit belli impressionem. Et derelinquetur terra quam tu times. nimirum à qua malè tibi metuis, pro qua intremiscis. A facie duorum regum, Damasceni & Israëlitæ. Ad hæc, ne Achaz illectus spe bonorum quæ prophetia pollicebatur, torpesceret à

Ioan. 1.

Rom. 6. 10.

A ἐνδιατρίβει τῷ λόγῳ. ἐπειδὴ γὰρ σφόδρα ἦν ὑψηλὸν τὸ εἰρημένον, τῇ συνεχείᾳ τῆς διηγήσεως αὐτὸ πιστοῦται. ὅπερ γὰρ ἀνωτέρω ἐδήλωσεν εἰπών, πρὶν ἢ γνῶναι αὐτὸν ἢ προελέσθαι πονηρά, τοῦτο προϊὼν ᾐνίξατο, εἰπών· πρὶν ἢ γνῶναι τὸ παιδίον. καὶ ἐπεξηγήσει κέχρηται πάλιν λέγων· ἀγαθὸν ἢ κακόν, ἀπειθεῖ πονηρίᾳ, τοῦ ἐκλέξασθαι τὸ ἀγαθόν. τούτου γὰρ αὐτὸ μόνον ἦν τὸ ἐξαίρετον. διὸ καὶ ὁ Παῦλος αὐτὸ στρέφει συνεχῶς, καὶ Ἰωάννης δὲ ἰδὼν αὐτόν, τοῦτο ἀνεκήρυξε λέγων· ἴδε ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ αἴρων B τὴν ἁμαρτίαν τοῦ κόσμου. ὁ δὲ τὴν ἑτέρων αἴρων, πολλῷ μᾶλλον αὐτὸς ἀναμάρτητος ἦν. καὶ ὁ Παῦλος, ὅπερ ἔφθην εἰπών, συνεχῶς αὐτὸ ἀναβοᾷ. ἐπειδὴ γὰρ ἔμελλεν ἀποθνήσκειν, ἵνα μή τις νομίσῃ τῶν ἀπίστων, ὅτι οἰκείας ἁμαρτίας τίνει δίκην, συνεχῶς αὐτοῦ τὸ ἀναμάρτητον εἰς μέσον ἄγει, ἵνα τὸν θάνατον αὐτοῦ τῆς ἡμετέρας ἁμαρτίας λυτήριον ὄντα δείξῃ. διὸ καὶ ἔλεγε, Χριστὸς ἐγερθεὶς ἐκ νεκρῶν οὐκέτι ἀποθνήσκει. καὶ γὰρ ὃ ἀπέθανε, τῇ ἁμαρτίᾳ ἀπέθανεν. οὐδὲ ἐκεῖνον τὸν θάνατον, ὡς ὑπεύ-C θυνος ὤν, φησι, κατὰ τὸν τῆς ἁμαρτίας λόγον ἀπέθανεν, ἀλλ' ὑπὲρ τῆς κοινῆς ἁπάντων πλημμελείας. εἰ τοίνυν τῷ προτέρῳ κατὰ τοῦ ὑπεύθυνος οὐκ ἦν, ἐκ περιουσίας ἀποδέδεικται, ὅτι οὐκέτι ἀποθανεῖται. καὶ καταλειφθήσεται ἡ γῆ, ἣν σὺ φοβῇ, ἀπὸ προσώπου τῶν δύο βασιλέων. ὅπερ συνεχῶς ὁ προφήτης ποιεῖ, τοῦτο καὶ ἐνταῦθα πεποίηκε. μετὰ τὴν προφητείαν ἐπὶ τὴν ἱστορίαν ἐξάγει τὸν λόγον. τοῦτο καὶ ἐπὶ τῶν Σεραφὶμ κατασκευάσοντα σαφῶς ἀπεδείξαμεν, ὃ καὶ ἐνταῦθα εἰρ-D γάσατο. εἰπὼν γὰρ τὰ μέλλοντα ἔσεσθαι τῆς οἰκουμένης ἀγαθά, εἰς τὸν βασιλέα λοιπὸν τρέπει τὸν λόγον. διὸ καὶ ἐπήγαγε λέγων· καταλειφθήσεται ἡ γῆ. τί ἐστι, καταλειφθήσεται; ἀνέπαφος ἔσται, ἐλευθέρα ἔσται, οὐδὲν πείσεται ἀηδές, τὰ τοῦ πολέμου οὐχ ὑποστήσεται. καὶ καταλειφθήσεται ἡ γῆ, ἣν σὺ φοβῇ, ὑπὲρ ἧς δέδοικας, ὑπὲρ ἧς τρέμεις, ἀπὸ προσώπου τῶν δύο βασιλέων, τοῦ τε Δαμασκηνοῦ, καὶ τοῦ Ἰσραηλίτου. εἶτα ἵνα μὴ τῇ τῶν ἀγαθῶν προφητείᾳ ῥαθυμότερος γένηται, μηδὲ ὑπὸ

τῆς εἰρήνης χαυνότερος, ἐπιστρίψει πάλιν αὐτοῦ τὴν ψυχὴν λέγων· ἀλλὰ ἐπάξει ὁ Θεὸς ἐπὶ σὲ, καὶ ἐπὶ τὸν λαόν σου, καὶ ἐπὶ τὸν οἶκον τοῦ πατρός σου ἡμέρας, αἳ οὔπω ἥκασιν, ἀφ' ἧς ἡμέρας ἀφεῖλεν Ἐφραὶμ ἀπὸ Ἰούδα τὸν βασιλέα τῶν Ἀσσυρίων. Διὰ γὰρ τούτων, τὴν βαρβάρων τὴν ἔφοδον δηλοῖ, δι' ἧς τὴν πόλιν πρόρριζον ἀνέτρεψαν, καὶ λαβόντες αὐτοὺς αἰχμαλώτους ἀπῆλθον. καὶ προλέγει ταῦτα, οὐχ ἵνα γένηται, ἀλλ' ἵνα τῷ φόβῳ γενόμενοι σωφρονέστεροι, τὴν ἀπειλὴν ἀποκρούσωνται. ἐπεὶ δὲ οὔτε ὑπὸ τῶν χρηστῶν, ὧν παρ' ἀξίαν ἀπηλαύσαμεν, ἐγένοντο βελτίους (ὅτι δὲ παρ' ἀξίαν ἀπηλαύσαμεν, ἔδειξεν ἡ γνώμη τοῦ βασιλέως καὶ ἡ ὑπερβάλλουσα ἀπιστία) οὔτε τῇ ἀπειλῇ τῶν φοβερῶν μετεβάλλοντο, ἀλλὰ πρὸς ἑκάτερα τῆς ὠφελείας τὸ φάρμακον ἀντέστησαν χαλεπῶς, ἐπάγει λοιπὸν βαθυτέραν τὴν τομὴν, τὴν σηπεδόνα ἐκτέμνων καὶ τοὺς ἀνιάτως νοσοῦντας ἐκκόπτων. τί δέ ἐστιν, ἀφ' ἧς ἡμέρας ἀφεῖλεν Ἐφραὶμ ἀπὸ Ἰούδα τὸν βασιλέα τῶν Ἀσσυρίων; ἐπῆλθον οἱ βάρβαροι, πάντας αὐτοὺς ἀναρπασόμενοι· ἀλλ' ἀφέντες τὸν Ἰούδα καὶ τὰς δύο φυλὰς, ἐτράπησαν κατὰ τοῦ Ἰσραήλ. ὃ τοίνυν λέγει, τοῦτό ἐστιν· ἀπὸ τῆς ἡμέρας ἐκείνης, ἀφ' ἧς αἱ δέκα φυλαὶ πρὸς ἑαυτὰς ἐφελκύσονται τὸ τῶν βαρβάρων στρατόπεδον, ὑμῶν ἀποστήσαντες, τῇ τῆς οἰκείας ἁμαρτίας ὑπερβολῇ, καὶ καθ' ἑαυτῶν καλέσαντες αὐτοὺς ἀπενεχθῶσιν, ἀπ' ἐκείνης χρὴ δεδοικέναι καὶ φοβεῖσθαι λοιπόν. ὁδῷ γὰρ προβαίνοντες, καὶ ἐφ' ὑμᾶς ἥξουσιν, εἰ μὴ μεταβάλλοισθε. καί φησιν, ἀπὸ τῆς ἡμέρας ἐκείνης ἐπάξει αὐτούς. οὐ γὰρ ὁμοῦ τῶν Ἰσραηλιτῶν ἀπενεχθέντων, κἀκεῖνοι ἑάλωσαν, ἀλλὰ βραχὺς μεταξὺ γέγονε χρόνος. ὃ τοίνυν λέγει, τοῦτό ἐστιν· ὅτι τῇ ψήφῳ ἐκ τότε ἐπήγαγεν ἂν τὰς ἡμέρας· ἀλλ' ἀνέμεινεν ὁ Θεὸς, καὶ ἐμακροθύμει, καί τοι τῆς ἀξίας τῶν ἁμαρτημάτων ἐκ τότε ἀπαιτούσης τὴν τιμωρίαν· ὅπερ πολλαχοῦ ποιεῖν εἴωθε, τῆς κυρίας παραγινομένης ἡμέρας, ἀναβάλλεσθαι καὶ ἀναδύεσθαι, ὃ καὶ τῆς αὐτοῦ φιλανθρωπίας τεκμήριον μέγι-

bono opere, intumeſcerétque ſuperbia expectatione pacis certò promiſſæ, rurſum animum eius perſtringit, dicens:

17. *Sed & adducet Deus ſuper te, & ſuper populum tuum, & ſuper domum patris tui dies, qui nondũ venerunt, ex quo die abſtulit Ephraim à Iuda, regem Aſſyriorum.* Hiſce verbis indicat affuturam barbarorum impreſſionem, per quam à fundamentis ciuitatem ac radicitus ſunt demoliti, eíſque in captiuitatẽ abreptis, illinc abierunt. Et hæc quidem non eo animo prædicit futura, vt fiãt: ſed vt eorum timore moderatiores facti ac reſipiſcentes, à ceruicibus ſuis eam propulſarent comminationem. Quoniam autem gratuita collatione bonorum, quæ præter ſuum meritum acceperãt, non erant meliores affecti: (Nam quòd præter ſuũ meritum indultis ſibi bonis perfruiti ſint, luculẽter docuit ferox animus regis & eiuſdẽ redundans perfidia) & neque exterritus terribilium cõminatione à ſua prauitate immutatus fuerat populus, ſed aduerſus vtramq. ſalutarem medelam pertinaci rebellione reſtiterant: deniq. inducit inciſionem prioribus atrociorem, exſcindens purulentum vlcus ac prorſus interſecans immedicabili morbo laborãtes. Quídnam iſtud eſt? A die qua abſtulit Ephraim à Iuda, regem Aſſyriorum. Adorti ſunt Ephraimitas barbari, omnes in captiuitatem abducturi: ſed & hi omiſſo Iuda, duabus nimirum tribubus, cõuerſi ſunt aduerſus regnum Iſrael. Quod igitur dicit, hoc eſt. Ex qua die decem tribus aduerſum ſe pertraxerint barbarorum exercitum (vobis relictis) propter exceſſum ſuæ iniquitatatis, quúmque eos conciuerint contra ſe, è medio ſublatæ fuerint: ab illa ergo die & deinceps oportuit vos timore cõcuti vobíſque malè metuere. Eadem enim via progreſſi aduerſum vos coorientur, niſi tranſmutemini ab inolita prauitate. Et ait, A die illa adducet eos. Non enim vnà cum Iſraëlitis è terra ſua abductis, etiam illi capti ſunt: ſed aliquantum intermedij temporis interceſſit. Quod igitur dicit, hoc eſt, quòd ex eo tum tempore, ſuo decreto dies superadduxiſſet, verum expectauit Deus, ſuſtinens eorum emẽdationem, & longanimiter egit, tametſi ex eo iam tum vindictam repoſceret peccatorum magnitudo, id quod ſubinde facere conſueuit, cunctando & retractando aduenientem proprium diem, id quod vel maximum erat ipſius in illos clementiæ argumentum,

simul & euidentissima declaratio illorũ ingratitudinis ac perfidiæ, qui noluerãt vti Dei longanimitate ad id quod decuerat. Idem etiã hîc ait, quia ab eo tum tempore cõminatio, à quo & sententia data est, tunc tẽporis etiã cœlitus excitata est indignatio, vt vltione peccatorum proximè & in ianuis proposita eos ad pœnitentiã excitaret, redderétq; meliores, & post Israelitarũ captiuitatẽ eos constitueret in sollicitudine vitæ melioris: neq; ex quo illi quidẽ ablati è medio erant, hi verò effugerãt, eatenus vitę discrimen, hac ratione fierent segniores. 18. *Et erit in die illa, sibilabit Dominus muscis, quæ dominabũtur parti fluminis Aegypti.* Vides nõ abs re à me esse dictũ, quia is cupiens cumulatiùs intẽdere timorẽ, ab illa die addet cõminationem? Quæ enim deinceps sequũtur, hoc manifestãt, per quæ exacuit & cõcitat timorẽ acrimonia sermonis, simul & castra exterorũ eis reddens manifesta, quæ maximopere formidabant, indicans insuper quàm illis esset in prõptu excurrere aduersũ eos, quod vtiq; eis timorẽ & vehementẽ incutere poterat, gladiũmq; exercitus insinuãs id quod eis mentẽ sufficiebat eripere. Hæc autẽ vniuersa per ea quæ sequũtur, innuit. Quę autẽ dicit, animaduerte. Et erit in die illa, sibilabit domin' muscis. Muscas hoc loco vocauit Ægyptios, quippe qui pudorẽ omnẽ & verecundiã à se depulerint, quódq; cõtinẽter summoti, continẽter etiã redirẽt, ita vt ne vel tantillũ respirare permitterẽt, sed molestias nulli numerandas crebrò inferrẽt eis, perinde ac muscę vulnerib. imminẽtes, ita & illi assiduè Iudæorum calamitatib. insidẽtes. Hos igitur habiturus est Deus, ait. Nõ dixit, augebit: sed sibilabit, insinuãs facilitatẽ ascensus eorum, simul & innuẽs inexpugnabilẽ esse Dei potentiã, quódq; satis superq; sit ad se accersere vel solo annutu, & omnia succedãt prosperè. Et meritò ab his pri' orditur sermonẽ cõminatoriũ, à quibus iam præceperat qualecunq; rudimentũ. *Et api, quæ est in regione Assyriorũ.* Syrus & Hebræus, vt aiunt, non dicunt apes, sed vespas siue fucos & crabrones. Nam quòd eatenus non admodũ multo vsu cepissent eorum experientiam multam illis incutiebat anxietatem cõparatione illius animalculi, qua declarat Assyriorũ vehementẽ acrimoniã, qui dũ aculei instar mordicus pungebant, erant eis dati ad vltionem perfidiæ, ingerebant peracrem amaritudinẽ eorum vulneribus vel momento adessent: quod festinatò imminerent eis, nec nisi ægrè admodum vitari possent. 19. *Et*

Muscarum sibilationes.

σον, καὶ τὸ ἀγνωμοσύνης τῶν οὐκ ἐθελόντων εἰς δέον αὐτοῦ χρήσασθαι τῇ μακροθυμίᾳ ἀπόδειξις σαφεστάτη. τοῦτο οὖν καὶ ἐνταῦθά φησιν, ὅτι ἀπὸ τότε ἡ ἀπειλὴ, ἀπὸ τότε ἡ ἀπόφασις, ἐκ τότε ἡ ἄνωθεν ὀργὴ, ἵνα ἐπὶ θύραις ἀγαγὼν τὴν τιμωρίαν, παρασκευάσῃ πρὸς μετάνοιαν, βελτίους ἐργάσηται, καὶ μετὰ τὴν ἐκείνων ἅλωσιν ἐν ἀγωνίᾳ καταστήσῃ, μηδὲ, ἐπειδὴ οἱ μὲν ἀπηνέχθησαν, οἱ δὲ διέφυγον, ῥᾳθυμότεροι ταύτῃ γένωνται. καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, συριεῖ κύριος μυίαις, αἳ κυριεύσουσι μέρους ποταμοῦ Αἰγύπτου. ὁρᾷς ὡς οὐ μάτην ἔλεγον, ὅτι τὸν φόβον αὐξῆσαι βουλόμενος, ἀπὸ τῆς ἡμέρας ἐκείνης ἐπιστέλλει τὴν ἀπειλήν. τὰ γοῦν ἑξῆς τοῦτο δηλοῖ, δι' ὧν ἐπαίρει τὸν φόβον τοῦ λόγου, καὶ τὰ στρατόπεδα αὐτοῖς δῆλα ποιῶν, ἅπερ ἦν αὐτοῖς φοβερώτατα, καὶ τὴν εὐκολίαν τῆς ἐφόδου δηλῶν, ὃ μετ' ὑπερβολῆς αὐτοὺς κατέσεισε, καὶ τὸ πλῆθος τῆς στρατιᾶς ἐμφαίνων, ὃ μάλιστα αὐτῶν ἐξέστησε τὴν διάνοιαν. ταῦτα δὲ ἅπαντα διὰ τῶν ἑξῆς ᾐνίξατο. σκόπει δέ. καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, φησὶ, συριεῖ κύριος μυίαις. ἐνταῦθα μυίας τοὺς Αἰγυπτίους ἐκάλεσε διὰ τὸ ἀναιδὲς καὶ ἀναίσχυντον, καὶ ὅτι συνεχῶς διακρουόμενοι συνεχῶς ἐπέκειντο, καὶ οὐδὲ μικρὸν ἀναπνεῖν συνεχώρουν, ἀλλὰ μυρία παρεῖχον αὐτοῖς πράγματα πολλάκις, καθάπερ αἱ μυῖαι τοῖς τραύμασιν, οὕτω διηνεκῶς ταῖς τούτων ἐφιζάνοντες συμφοραῖς. τούτους οὖν ἔξει, φησὶν, ὁ Θεός. ἀλλ' οὐκ εἶπεν, αὔξει, ἀλλὰ συριεῖ, τὴν εὐκολίαν ἐμφαίνων τῆς ἀνόδου, καὶ τὸ ἄμαχον τῆς τοῦ Θεοῦ δυνάμεως, καὶ ὅτι ἀρκεῖ νεῦσαι μόνον, καὶ πάντα ἕπεται. καὶ εἰκότως ἀπὸ τούτων προτέρων ἄρχεται τῆς ἀπειλῆς, ὧν ἤδη πεῖραν εἰλήφασι. καὶ τῇ μελίσσῃ, ἥ ἐστιν ἐν χώρᾳ Ἀσσυρίων. ὁ Σύρος καὶ ὁ Ἑβραῖος, ὥς φασιν, οὐ λέγουσι μελίσσας, ἀλλὰ σφῆκας. ἐπειδὴ γὰρ οὐ σφόδρα αὐτῶν ἦσαν ἐν πείρᾳ, τῇ εἰκόνι τοῦ ζώου εἰς πολλὴν αὐτοὺς ἐνέβαλεν ἀγωνίαν, τὸ σφοδρὸν αὐτῶν, τὸ πληκτικὸν, τὸ ἀμυντικὸν, τὸ πικρὸν τῶν τραυμάτων, τὸ ταχὺ τῆς παρουσίας, τὸ δυσφύλακτον διὰ τοῦ ζώου τούτου δηλῶν. καὶ ἐλεύσονται

ἐλεύσονται, καὶ ἀναπαύσονται πάντες ἐν ταῖς φάραγξι τῆς χώρας, καὶ ἐν ταῖς τρώγλαις τῶν πετρῶν, καὶ εἰς τὰ σπήλαια, καὶ εἰς πᾶσαν ῥαγάδα, καὶ ἐν παντὶ ξύλῳ. εἰπὼν δὲ φοβερὸν τῶν ἐθνῶν, καὶ τὸ τάχιστον τῆς στρατείας, λέγει καὶ τὸ πλῆθος λοιπόν. καὶ οὐκ εἶπε στρατοπεδεύσονται, ἀλλὰ ἀναπαύσονται, οὐδὲ ὡς εἰς πολεμίαν ἀφικνούμενοι χώραν, ἀλλ' ὡς τῇ οἰκείᾳ ἐντρυφῶντες, οὐδὲ ὡς καμάτου δεόμενοι καὶ πόνου, ἀλλ' ὡς ἐπὶ φανερὰν ἀπαντήσοντες νίκην, καὶ ἑτοίμην ληψόμενοι τὴν ἁρπαγήν. διὰ τοῦτό φησιν, ἐλεύσονται, καὶ ἀναπαύσονται, ὃ τῶν νενικηκότων ἐστὶ, καὶ τρόπαιον στησάντων, καὶ μετὰ τὸν πολὺν ἱδρῶτα καὶ τὰς σφαγὰς ἀναπαυομένων. καὶ οὐκ ἀναπαύσονται ἐν πεδίοις μόνον ἀλλ' ἐπειδὴ τὸ πλῆθος ἄπειρον, καὶ οὐχ ἱκανὴ ἡ χώρα δέξασθαι τῶν σωμάτων τὸν ἀριθμὸν, καὶ φάραγγες καὶ πέτραι καὶ ὄρη καὶ νάπαι, καὶ πάντα καλυφθήσεται τοῖς βαρβαρικοῖς σώμασι. καίτοι εἰ καὶ μὴ σφοδροὶ ἦσαν, μηδὲ οὕτω ῥάδιοι, ἤρκει τὸ πλῆθος αὐτοὺς καταπλῆξαι· ὅταν δὲ ἀμφότερα ᾖ, καὶ πλῆθος τοσοῦτον, καὶ δύναμις τηλικαύτη, καὶ, τὸ πάντων χαλεπώτερον, ἡ τοῦ Θεοῦ ὀργὴ στρατηγοῦσα; ποία λοιπὸν ἐστὶ σωτηρίας ἐλπίς; τὸ δὲ εἰς πᾶσαν ῥαγάδα, καὶ ἐν παντὶ ξύλῳ, ὑπερβολικῶς εἴρηται. οὐ γὰρ δὴ ἐπὶ τῶν δένδρων ἔμελλον ἀναπαύεσθαι, ἀλλ' ὅμως, καθάπερ εἶπον, καὶ τὴν ὑπερβολὴν ἠνίξατο, καὶ τῇ μεταφορᾷ τῶν σφηκῶν ἐνέμεινεν. ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ξυρήσει κύριος τῷ μεμεθυσμένῳ. αὐξήσας τὸν φόβον ἀπὸ τῶν στρατοπέδων, ἐπιτείνει πάλιν αὐτὸν, ἐπὶ τὸν οὐρανὸν τὸν λόγον ἀνάγων, δηλῶν ὅτι οὐ βάρβαροί τινες Αἰγύπτιοι καὶ Πέρσαι, ἀλλ' ὁ Θεός ἐστιν ὁ πολεμῶν τοῖς Ἰουδαίοις. ξυρὸν δὲ ἐνταῦθα τὴν ἀφόρητον ὀργὴν αὐτοῦ φησι, καὶ ἣν οὐδεὶς ὑποστῆναι δυνήσεται, μετ' εὐκολίας ἐπιοῦσαν καὶ ἀναλίσκουσαν. ὥσπερ γὰρ αἱ τρίχες τοῦ σώματος τοῦ ξυροῦ τὴν ἀκμὴν οὐκ ἂν ἐνέγκοιεν, ἀλλ' εἴκουσιν εὐθέως καὶ παραχωροῦσιν· οὕτω δὴ καὶ τὰ Ἰουδαϊκὰ πράγματα τὴν ἄπλατον ὀργὴν ἐκείνην οὐκ ἂν ὑποσταίη ποτέ φησι.

A *venient & requiescent omnes in vallibus regionis, & in cauernis atq. foraminibus petrarum, & intra speluncas, & intra omnẽ terræ fissuram, & in omni ligno.* Terrore qui à gentibus imminebat, explicato, quódque ea barbarorum expeditio proximè esset adfutura, deinceps dicit quàm esset numerosæ multitudinis. Nõ dixit eos statiua habituros aut castra metaturos, neque venturos quasi in regionem hostilẽ: sed tanquã in propria consistẽtes vacaturos esse deliciis indigenísque insultaturos, nec quasi vlla opus sit fatigatione aut B labore, sed velut ad apertam victoriam prodeant sumpturi rapinã sibi paratam. His de causis ait: veniẽt & requiescent: quod eorum est, qui parta iam de profligatis hostibus victoria trophæũ sibi statuunt, quíque exhausto non mediocri sudore, sedibus etiam hostium editis se ad ocium & quietem recipiũt. Nec iam in campestri solùm planicie, sed (quòd aduentura esset immẽsa multitudo, nec suffectura regio excipiẽdis tanti numeri corporibus) valles, petræ, montes, saltus ác syluosa loca: denique omnia operienda essent barbarorum corporibus. C Quinetiam vt demus illos non futuros fuisse vehemẽter atroces, neque ad pugnam adeò expeditos: ipsa tamen multitudo abunde sufficiebat ad incutiendum eis terrorẽ. Iam quando suppetebant ambo hæc, tanta nimirum multitudo, támq. præstans virtus velli, quódque omnibus his atrocius erat indignatio Dei præuia ac prædux exercitus hostilis; quæ demũ poterat Iudæis superesse spes salutis consequẽdæ? Illud proinde, Intra omnem terræ fissuram & in omni ligno, hyperbolicè dictum est. Neque enim in arboribus erãt requieturi: D sed vtrunque coniunctim, ceu dixi, per hyperbolem adumbratè dixit, & in metaphora à vespis ducta perseuerauit.

20. *Indie illa radet Dominus nouacula inebriata.* Timore aucto à numerosa multitudine hostium, rursus terrorẽ intendit ac vehementiorẽ reddit, ad cœlum vsq. sermonẽ prouehẽs. Declarat enim quia non barbari quidã Ægyptij aut Persæ: sed Deus ipse est aduersum Iudæos pugnans. Nouaculam autem hoc loco intolerandam dicit esse Dei iram & quam nemo poterit sustinere, omni cum facilitate & adorientem & consumentem. *Simile.* Quemadmodum enim pili corporis nequeunt sustinere nouaculæ aciem, sed cedunt momento atque abeunt: ad eundem planè modum, res ipsæ Iudæorum nunquam sustinere potuissent iram illam à Deo immissam.

Itaque per nouaculam inebriatam nobis indicat inualescētem & inebriatam Dei iram, iámque completam eius sententiam. Quod autē ait, Trans flumen regis Assyriorum, Trans scilicet Euphratem, vt erat Iudæa ipsa & Palæstina omnis à Perside redeuntibus. Itaque vniuersa hæc (ait) prorsus concident, & ad internecionem deducentur. Capitis autem pilorúmque nomine, barbæ ac pedum, totam illorum regionem dicit, parabolica vsus collatione corporis, hac loquendi formula circumplectens vniuersam eorum gentem, queādmodum & initio operis dicebat: Omne caput ad laborem, & omne cor ad dolorem. A pedibus vsque ad caput, non est in eo sanitas. Et hæc quidem non de vno aliquo homine dicit, sed regionem ipsam omni sua parte confert vnius hominis corpori. Idipsum profectò ait etiā hic, quòd nimirū terra omnis subitura esset atrocem vindictam. Et hoc quidem innuit per nouaculam: quod verò per corporis imaginem insinuauit, declarat eam vltionem fore multò acerbiorem acie omni nouaculæ, quódque sententia à Deo lata consumptura esset homines, pariter & quę ex terra gignūtur, & quia nudam ipsam atque habitatoribus destitutam esset derelictura. Ad hæc, eandem terræ vastitatem fore, altera similitudine edocet. Eò autē hoc facit, vt ne timor qui in eis vtcunque inualescebat, inaresceret: & extingueretur ipsa anxietas ac solicitudo, prolixitate sermonis. Et quidem sermo hic parum attentis lectoribus videtur bona quædā polliceri: qui autem accuratiùs singula excutiūt, vtique norunt hinc elici argumentum indictæ desolationis. Quid enim ait?

21\. *Et erit in die illa, nutriet homo vaccā boum & duas oues.* 22. *Et erit ex plurima potione lactis, comedet butyrum. Quia butyrum & mel comedet omnis relictus super terram.* Vti anteuerteram dicere, verba hæc multam indicant futuram terræ desolationem. Terra enim hæc, quæ vberem prouentum proferre solebat frumenti & hordei, destituta incolatu hominum, ouibus effusam & abundantem pabulationem suppeditatura est: & adeò copiosam, vt per fœcunditatem mensæ sic apparatæ, vel duæ oues & vacca vna abundè sufficiant suo possessori exhibere copiosum fontem lactis. Itaque exuberans & præfertilis pabulatio iumentorum propria est vel maximè nota solitudinis hominum. Quinetiam hoc coarguit nempe mel.

A ξυρὸν τοίνυν μεμεθυσμένον, τὴν ἀκμάζουσαν, τὴν μεμεστωμένην τοῦ Θεοῦ ὀργὴν, τὴν πεπληρωμένην ἀπόφασιν ἡμῖν ἐνδείκνυται. πέραν δὲ τοῦ ποταμοῦ βασιλέως Ἀσσυρίων, τὰ πέραν τοῦ Εὐφράτου, φησίν· ἅπερ ἦν ἡ Ἰουδαία, καὶ ἡ Παλαιστίνη πᾶσα ἀπὸ Περσίδος ἐπανιοῦσι. ταῦτα οὖν ἅπαντα ἀφανιεῖ, φησιν, ἄρδην. κεφαλὴν δὲ καὶ τρίχας καὶ πώγωνα καὶ πόδας, ὁλόκληρον τὴν χώραν φησὶ τῇ παραβολῇ τοῦ σώματος, πᾶσαν αὐτῶν τὴν χώραν περιλαμβάνων τῷ λόγῳ, ὥσπερ καὶ ἀρχόμενος ἔλεγε· B πᾶσα κεφαλὴ εἰς πόνον, καὶ πᾶσα καρδία εἰς λύπην· ἀπὸ ποδῶν ἕως κεφαλῆς οὐκ ἔστιν ἐν αὐτῷ ὁλοκληρία. οὐ περὶ ἑνὸς ἀνθρώπου λέγων, ἀλλ᾽ ὁλόκληρον τὴν χώραν ἑνὶ σώματι παραβάλλων. τοῦτο δὴ καὶ ἐνταῦθά φησιν, ὅτι καὶ χαλεπὴν ὑποστήσεται τιμωρίαν πᾶσα ἡ γῆ. καὶ τὸ μὲν διὰ τοῦ ξυροῦ, τὸ δὲ διὰ τῆς τοῦ σώματος εἰκόνος ἐνέφηνε, δηλῶν ὅτι ξυροῦ παντὸς χαλεπώτερον καὶ τοὺς ἀνθρώπους καὶ τὰ ἀπὸ τῆς γῆς ἀναλώσει ἡ παρὰ τοῦ Θεοῦ φερομένη ψῆφος, καὶ γυμνὴν αὐτὴν καὶ ἔρημον καταλείψει. εἶτα τὴν ἐρημίαν ταύτην δι᾽ ἑτέρας εἰκόνος ἐνδείκνυται. C ποιεῖ δὲ αὐτὸ, ὥστε διὰ πάντων ἀκμάζοντα μένειν τὸν φόβον, καὶ μὴ καταμαραίνεσθαι τῷ μήκει τοῦ λόγου τὴν ἀγωνίαν. καὶ δοκεῖ μὲν τοῖς οὐ προσέχουσι χρηστῶν τινων ἐπαγγελίας εἶναι τὸ λεγόμενον· οἱ δὲ ἀκριβῶς ἐξετάζοντες, ἴσασιν ὅτι ἐπιτεταμένης ἐρημίας ἐστὶν ἀπόδειξις. τί γάρ φησι; καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, θρέψει ἄνθρωπος δάμαλιν βοῶν, καὶ δύο πρόβατα. καὶ ἔσται ἀπὸ τοῦ πλεῖστον πιεῖν γάλα, φάγεται βούτυρον, ὅτι βούτυρον καὶ μέλι D φάγεται πᾶς ὁ καταλειφθεὶς ἐπὶ τῆς γῆς. ταῦτα πολλὴν, ὡς ἔφθην εἰπὼν, ἐρημίαν ἐνδείκνυται. ἡ γὰρ πυροὺς καὶ κριθὰς φέρουσα γῆ, τῶν ἀνθρώπων ἐρημωθεῖσα, δαψιλῆ παρέξει νομὴν τοῖς προβάτοις, καὶ οὕτω δαψιλῆ, ὡς διὰ τὴν εὐθηνίαν τῆς τοιαύτης τραπέζης ἀρκεῖν καὶ δύο πρόβατα καὶ δάμαλιν μίαν πηγὰς ὡς κεκτημένῳ παρέχειν γάλακτος. ὥστε ἡ εὐθηνία τῆς βοσκίας τῶν ἀλόγων τῆς τῶν ἀνθρώπων ἐρημίας μέγιστόν ἐστι τεκμήριον. καὶ τὸ μέλι δὲ τοῦτο αἰνίττεται.

εἰώθασι γὰρ ταῖς ἐρήμοις ἐμφιλοχωρεῖν αἱ μέλιτται, καὶ ἔνθα μὲν πολλῆς νομῆς ἀπολαύωσι, καὶ ἔνθα μηδεὶς ὁ ἐνοχλῶν ᾖ. καὶ ἵνα μάθῃς ὅτι τὴν ἐπιτεταμένην ἐρημίαν αἰνίττεται, τὰ ἑξῆς δηλοῖ. καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, οὗ ἐὰν ὦσι χίλιαι ἄμπελοι χιλίων σίκλων, εἰς χέρσον ἔσονται, καὶ εἰς ἄκανθαν· μετὰ βέλους καὶ τοξεύματος εἰσελεύσονται ἐκεῖ, ὅτι χέρσος καὶ ἄκανθα ἔσται πᾶσα ἡ γῆ. πολλῆς καὶ τοῦτο δυσπραγίας σημεῖον, ὅτι μὴ ὄρη καὶ νάπαι, ἀλλ' αὐτὴ ἡ βαθύγεος καὶ πολλῆς ἀπολαύουσα τῆς ἐπιμελείας, ἀκάνθας φέρει. οὐδὲ γὰρ ἁπλῶς τὸ τίμημα τῶν ἀμπέλων τέθεικεν, ἀλλ' ἵνα καὶ τὴν φύσιν τῆς γῆς ἐπιδείξηται, καὶ τὴν πολλὴν τῶν γεωργῶν ἐπιμέλειαν. ἀλλ' ὅμως ἐκεῖνα τὰ οὕτως εὐθηνούμενα, φησί, καὶ γεωργικῶν ἀπολαύοντα χειρῶν, εἰς τοσαύτην καταστρέψει τὴν ἐρημίαν, ὡς ἀκάνθας μὲν ἀντὶ ἀμπέλων φέρειν, τοσοῦτον δὲ παρέχειν τοῖς εἰσιοῦσι τὸν φόβον, ὡς μηδένα τολμᾶν γυμνὸν καὶ ἄοπλον εἰσιέναι. τοῦτο δὲ λέγει, τὴν ἐρημίαν ἐμφαίνων τοῦ τόπου, καὶ τὴν πολλὴν αὐτόθι τῶν θηρίων διατριβήν. καταστείσας τοίνυν αὐτῶν τὴν διάνοιαν, καὶ μετὰ ἀκριβείας κατεργασάμενος αὐτοὺς τῷ φόβῳ, πάλιν ἀνίησιν ὀλίγον, τὰ χρηστὰ ἀναμίξας, καὶ τὴν ἐπὶ τὸ βέλτιον μεταβολήν, ἵνα ἑκατέρωθεν μάθωσι τοῦ Θεοῦ τὴν ἰσχύν. ἀλλὰ τοῖς μὲν φοβεροῖς ἐνδιατρίβει, τὰ δὲ χρηστὰ εὐθέως εἰπὼν ἀπαλλάττεται. τί δήποτε; ὅτι μάλιστα τούτου ἐδέοντο τοῦ τῆς ἐπιτιμήσεως φαρμάκου τότε. διὰ δὲ αὐτὸ μετὰ δαψιλείας ἐπιθεὶς, ὥστε ἐνδοῦναι μικρὸν ἀναπνεῦσαι, καὶ ταύτῃ πάλιν εἰς ἀρετὴν ἐκκαλέσασθαι, καὶ τὰ χρηστὰ ἀναμίγνυσι, λέγων· πᾶν ὄρος ἀροτριούμενον ἀροτριωθήσεται. ὥσπερ γὰρ ἐν τῇ ὀργῇ τοῦ Θεοῦ καὶ ἡ βαθύγεος ἔρημος ἔσται, οὕτω καὶ ἐν τῇ καταλλαγῇ πάλιν καὶ ἡ τραχεῖα τὰ τῆς λιπαρᾶς ἐπιδείξεται γῆς, ἀροτρον δεχομένη καὶ σπέρμα. τούτων δὲ γενομένων, καὶ τὰ ἐκ τούτων ἅπαντα ἔσται, εἰρήνη καὶ ἄδεια, καὶ τὸ θαρσεῖν, καὶ μὴ δεδοικέναι, καθάπερ ἔμπροσθεν. οὐ γὰρ μὴ ἐπέλθῃ, φησίν, ἐκεῖ φόβος. ἔσται δὲ ἀπὸ τῆς χέρσου καὶ ἀπὸ τῆς ἀκάνθης εἰς βόσκημα προβάτων καὶ πάτημα βοός.

A Apes enim in desertis locis naturali quadam cõsuetudine perlibenter commorantur, quòd illic multa perfruítur pabulatione, illic quoq. interstrepit aut obturbat nemo. Vtque docearis, quia summam vastitatem hæc innuunt, declarant sequentia: 23. *Et erit in die illa, erit omnis locus vbi fuerint mille vites, mille siclis, in terram incultam erunt & in spinam.* 24. *Cum sagitta & arcu ingredientur illuc, quia terra inarata & spina erit omnis terra.* Et hoc futuræ calamitatis nec mediocris erat insigne. quia non mõtes, non saltus siue loca syluosa, sed & ipsa tellus profundior ac fœcunda, priusq. culta diligenter B spinas proferet. Neque enim temerè vinearum æstimationem adiecit, sed vt naturā terræ demonstraret, simul & doceret, quāta fuerit agricolarum sedulitas. Verumtamen quæ priùs tanta frugum fœcunditate exuberabant (ait) manibúsq. agricolarum excolebantur, in tantam desinent vastitatem, vt spinas quidem pro vineis progignant: tantum verò ingredientib. incutiant horrorem, vt nemo nudus & inermis ausit eò ingredi. Hoc autē dicit insinuare volens loci solitudinem, ac numerosam illis in C locis futuram commorationem ferarum. Itaque eorū animis horrore concussis, quum subiecisset timori, posthac sermonis acrimoniã sensim remittit, intermiscens humaniora, & mutationem in melius, vt vtrinque doceãtur, quanta sit Dei virtus. Cæterùm in his potissimum versatur, quę formidinē ingerunt auditoribus, ab his autē quæ benigniora sunt, sibi temperat, mox vt enarrauit.

Cur ęstimaretur, quę timorē incutiunt;

Qua id tandem ratione? quod istis opus fuerit peracri medicamēto obiurgationis, vel tunc maximè. Sanè eam ob causam mox vt ampliter & abundè eis admouit D acrimoniam istius medicamenti, sensim remittit acerbitatem, ac sinit aliquantum respirare, & hac demum ratione inuitat ad virtutē, permiscétque humaniora, dicens: 25. *Omnis mons proscissus aratro, arabitur.* Quemadmodum enim irato Deo, tellus (ceu dictum est) vliginosa ac profundior in solitudinem redigetur: ita eodem propicio & in pristinam gratiam redeunte, rursus & quæ salebrosa fuerat & aspera, opimam terræ vliginem exhibebit, proscissa aratro simul & accepto semine. Hæc verò simul atque facta fuerint & quæ per hæc, vniuersa obtingent, pax erit, securitas, confidentia, nec iam vllus timor, sicut antè. *Non veniet enim illuc terror. Erit autem ab inculta terra & à spina in pascua ouis & conculcationem bouis.*

Esa. 32. 20 Hisce verbis rursus affore opimã terræ A fœcunditatem innuit, queãdmodum & in vlteriore progressu operis dicit: Beatus qui seminat super omnẽ aquam, vbi bos & asinus calcant. Quemadmodum enim si quando voluerit solitudinẽ veluti spectandã ob oculos ponere, sua loquendi formula in mediũ producit Sirenas & Onocẽtauros: sic pacem & securitatem repræsentaturus, animalia inducit quæ manu cõtrectari se sinant cicuria, & quæ etiam subleuent operosos labores agricolarũ, vbiq. nobis exhibet conspicua, ab his etiã innuens tacitè ea quę horũ sedulitate conficiũtur, nempe B agricolationẽ, & alia insuper ex eis ministeria insinuans.

IN CAP. VIII.

Et dixit Dominus ad me. Sume tibi chartæ volumen nouum & magnum, & scribe in eo stylo hominis, vt velociter deprædationem faciat spoliorum. 2. *Adest enim, & testes mihi fac fideles homines, Vriam sacerdotem & Zachariam filium Barachiæ.* 3. *Et* C *accessi ad prophetissam, & in vtero accepi & peperit filium. Et dixit mihi Dominus, voca nomen eius: Cito spolia, velociter prædare.* 4. *Quia antequam sciat puer vocare patrem aut matrem, accipiet fortitudinem Damasci, & spolia Samariæ coram rege Assyriorum.*

QVATENVS attinet ad istius sentẽtiæ tenorem, duo quæ hic iubentur, in D speciem à se videtur distrahi, nec quicquã habere quod cõmune sit vtrique. E diuerso, si quis vim sententiarum expenderit accuratiùs, is vtiq. perspiciet, quàm consentaneè vnũ alteri cooperetur, inq. vnũ conspirẽt scopũ. In primis tamẽ operæpreciũ fuerit differere, quãnam de causa species hæc prophetiæ in- *Prophetia cur introducta.* ucta sit in hominũ vitã. Sanè profuerit enarrare causam, qua sit introducta. Ad reposcendam de peccantibus meritam vltionem consueuit Deus esse cunctantior, moras nectere & extrahere tẽpus, sicuti est expromptus & alacer ad conferẽda in eos beneficia, qui quiduis operis conficiunt virtute & laude dignum. Illud quidem eos qui toti desident, plerunque facit, vt per ignauiã concidant animis, quòd pœna vindex delictorum non è vestigio sequatur.

A καὶ διὰ τούτων πάλιν τὴν εὐθηνίαν αἰνίττεται, ὥσπερ καὶ ἔμπροσθεν προϊὼν λέγει· μακάριος ὁ σπείρων ἐπὶ πᾶν ὕδωρ, οὗ βοῦς καὶ ὄνος πατεῖ. ὥσπερ γὰρ, ὅταν ἐρημίαν παραστῆσαι βούληται, σειρῆνας καὶ ὀνοκενταύρους εἰς μέσον ἄγει τῷ λόγῳ· οὕτως, ὅταν εἰρήνην καὶ ἀσφάλειαν, τὰ χειροήθη καὶ ἤθαστα τῶν ζώων καὶ συνεφαπτόμενα τῶν γεωργικῶν ἔργων ἡμῖν ταῦτα πανταχοῦ δείκνυσι φαινόμενα, ἀπὸ τούτων τὰ ἐκ τούτων ἐμφαίνων, γεωργίαν καὶ τὴν ἄλλην αὐτῶν διακονίαν.

B

ΚΕΦΑΛ. Η.

Καὶ εἶπε κύριος πρός με· λάβε σεαυτῷ τόμον χάρτου καινὸν μέγαν, καὶ γράψον εἰς αὐτὸν γραφίδι ἀνθρώπου, τοῦ ὀξέως προνομὴν ποιῆσαι σκύλων. πάρεστι γάρ· καὶ μάρτυράς μοι ποίησον πιστοὺς ἀνθρώπους, τὸν Οὐρίαν τὸν ἱερέα, καὶ Ζαχαρίαν υἱὸν Βαραχίου. καὶ προσῆλθον πρὸς τὴν προφῆτιν, καὶ ἐν γαστρὶ ἔλαβε, καὶ ἔτεκεν υἱόν. καὶ εἶπέ μοι κύριος, κάλεσον τὸ ὄνομα αὐτοῦ, Ταχέως C σκύλευσον, ὀξέως προνόμευσον. διότι πρὶν ἢ γνῶναι τὸ παιδίον καλεῖν πατέρα ἢ μητέρα, λήψεται δύναμιν Δαμασκοῦ, καὶ τὰ σκῦλα Σαμαρείας ἐναντίον βασιλέως Ασσυρίων.

ΔΟκεῖ μὲν ἀπηρτῆσθαι κατὰ τὴν λέξιν ταῦτα τὰ δύο προστάγματα, καὶ μηδὲν κοινὸν ἔχειν πρὸς ἄλληλα. Εἰ δέ τις ἀκριβῶς ἐξετάσειε τῶν νοημάτων τὴν δύναμιν, πολλὴν ὄψεται τὴν συνέργειαν, καὶ τὸν D σκοπὸν ἕνα. ἀναγκαῖον δὲ πρότερον εἰπεῖν, τίνος ἕνεκεν τὸ τῆς προφητείας εἶδος εἰς τὸν ἀνθρώπων εἰσηνέχθη βίον. τίνος οὖν ἕνεκεν εἰσηνέχθη, ἀναγκαῖον εἰπεῖν. μέλλειν εἴωθεν ὁ Θεὸς καὶ βραδύνειν πρὸς τὰς τῶν ἁμαρτανόντων τιμωρίας, ὥσπερ οὖν ταχύς ἐστι καὶ ὀξὺς εἰς τὰς τῶν κατορθούντων εὐεργεσίας. τοῦτο τοὺς ῥαθυμοτέρους ἀναπίπτειν παρασκευάζει, τὸ μὴ μὴ καταπόδας ἕπεσθαι τῶν πλημμελημάτων τὴν δί-

κλῶν. ἵνα οὖν καὶ ὁ Θεὸς τὴν μακροθυμίαν ἐπιδείξηται τὴν ἑαυτοῦ, καὶ μηδὲν ἐντεῦθεν ἐκεῖνοι γένωνται ῥαθυμότεροι, τὸ τῆς προφητείας κατασκευάζει φάρμακον, οὐ τῇ πείρᾳ τῶν κολάσεων, ἀλλὰ τῇ προγνώσει παιδεύων τοὺς ἁμαρτάνοντας πρὸς ἵνα· ἂν μὲν βελτίους γένωνται τὰς ἀπειλὰς ἀκούοντες, τὴν διὰ τῆς πείρας κόλασιν διακρούσωνται· ἂν δὲ ἐπιμείνωσιν ἀναισθητοῦντες, τότε δὴ καὶ τὴν τιμωρίαν αὐτοῖς ἐπαγάγῃ. τοῦτο συνιδὼν ὁ διάβολος, καὶ τὸ κέρδος ἡλίκον ἐστὶν ἐννοῶν, τοὺς ψευδοπροφήτας ἀνῆκεν, οἳ τοῖς προφήταις ἀπειλοῦσι λιμοὺς, λοιμοὺς, πολέμους, βαρβάρων ἐφόδους, ἀντέλεγον χρηστὰ ἀπαγγέλλοντες. ὥσπερ γὰρ ὁ Θεὸς τῷ φόβῳ τῶν ῥημάτων ἐβούλετο τὴν διὰ τῆς πείρας ἀποκρούεσθαι τιμωρίαν, οὕτω καὶ ὁ διάβολος τὸ ἐναντίον εἰργάζετο· τῇ χάριτι τῶν λόγων ἐκλύων καὶ ῥαθυμοτέρους ποιῶν, εἰς ἀνάγκην καθίστησι τοῦ τὴν διὰ τῶν πραγμάτων ὑπομεῖναι τιμωρίαν. εἶτα, ἐπειδὴ μετὰ ταῦτα τοῖς ψευδοπροφήταις πιστεύοντες, καὶ ἀρετῆς οὐδένα ποιούμενοι λόγον, ἀλλὰ ταῖς ἑαυτῶν ἁμαρτίαις ἐμμένοντες, ἐφείλκοντο καὶ τὴν κόλασιν, καὶ ἀπὸ τοῦ τέλους καὶ ἡ τῶν προφητῶν ἀλήθεια ἐδείκνυτο, καὶ τὸ τῶν ψευδοπροφητῶν ψεῦδος διηλέγχετο, ἕτερον πάλιν κατασκευάζει μηχάνημα πρὸς ἀπώλειαν τῶν ἁλισκομένων. ἀνέπειθε γὰρ αὐτοὺς εὐεξαπατήτους ὄντας, ὅτι δὴ ταῦτα τὰ δεινὰ τὰ συμβαίνοντα ἀπὸ τῆς τῶν δαιμόνων ὀργῆς ἐγίνετο ἀμελουμένων παρ' αὐτῶν καὶ καταφρονουμένων. τοῦτο τοίνυν τὸ δέλεαρ ἀναιρῶν ὁ Θεὸς, πρὸ πολλῶν ἄνωθεν χρόνων τὰ μέλλοντα αὐτοὺς καταλήψεσθαι δεινὰ προλέγει, ἵνα μὴ ἐξῇ τοῖς ἐξαπατῶσιν αὐτοὺς τῇ τῶν δαιμόνων ὀργῇ λογίζεσθαι τὰ συμβαίνοντα. καὶ ὅτι οὐ στοχαζόμενος ταῦτα λέγω, ἄκουσον Ἡσαΐου λέγοντος· ἔγνων ὅτι σκληρὸς εἶ, καὶ νευρὰ σιδηρᾶ ὁ τράχηλός σου, καὶ τὸ μέτωπόν σου χαλκοῦν. διὰ τοῦτο ἐξ ἀρχῆς ἀνήγγειλά σοι, ἵνα μὴ εἴπῃς, ὅτι τὰ εἴδωλά μοι ἐποίησε, καὶ τὰ γλυπτὰ, καὶ τὰ χωνευτά μοι ἐποίησεν. οὔτε ἠπίστω, οὔτε ἀκουστά σοι ἐγένετο. ἐπεὶ οὖν, ὅπερ ἔφην, ὡς καὶ ἐκ τῆς μαρτυρίας ἐστὶν ἰδεῖν, ἐκείνοις ταῦτα ἀνετί-

A Vt igitur Deus suam quoque longanimitate ostenderet, nihilo tamen hinc illi segniores redderentur, hoc confecit medicamentum prophetię, delinquentes erudiens quadamtenus præscientia pœnarum, non item doctrinę experientia earũ: vt si quidem resipiscerent comminationibus auditis, experimentum euitarent intentati supplicij: quòd si velut sensus omnis vacui pertinaciter in consuetis sceleribus perdurarent: tunc demum eis pœnam inferret. Istius medicamenti non nescius diabolus, secúmque reputans quàm ingens lucrum B hinc resiliret, immisit pseudoprophetas, qui Prophetis minantibus famem, pestem, bella, barbarorum excursiones, bona populo annunciantes in faciem contradicerent. Quemadmodum enim Deus cupiebat terrore verborum propulsare pœnã, quæ ipsa experientia sentitur: ita & diabolus operabatur ordine præpostero, vim dissoluens prophetici sermonis blanda quadam illecebra voluptatis: & segniores reddẽs ad eam redigit necessitatẽ, vt opere ipso pœnam cogantur sustinere. His cõfectis vbi illi qui fidem cõmodant pseudopropheta- C rum mendaciis, nullámq. ineunt rationem virtutis obeundæ, sed in suis persistentes peccatis supplicium tibi accersiuerint, & per hunc rei exitum veritas Prophetarũ inclaruerit, è diuerso pseudoprophetę palã fuerint conuicti mendacij, aliã rursus ille artifex molitur & adornat machinã ad eorum perniciem qui sinũt intercipi se ab illo & expugnari. Eos enim quibus facilè imponitur, instigat, denique & persuadet grauia hæc, quæ contigere, illata esse dæmonũ ira, quòd ab eis neglectui sint habiti & contẽptui. Hanc sanè illecebram è me- D dio auferẽs Deus, iampridẽ ante multa tempora quę populos apprehẽsura sunt mala, prædicit: vt ne locus istis qui eos in errorem pertrahebant, relinqueretur secum cogitandi hæc accidere per iram dæmonum. Quod hæc dicam, nullã secutus coniecturam, audi Esaiam dicentem: Scio, quia durus es: & neruus ferreus collum tuum, & frons tua ænea. Et annunciaui tibi olim, antequam venirent super te, auditum feci tibi ne diceres, quia idola mihi hæc fecerunt, & sculptilia & conflatilia mihi fecerunt, neque nosti, neque exaudibilia facta sunt tibi. Quando igitur (quod cœperam dicere, vti etiam videre licet inductione testimonij) dæmonibus adscribebant suas calami-

Pseudoprophetarum mos.

Esa. 48. 4.

A tates, per prophetiam præuertit hunc ab eis errorem è medio auferre, quæ vetaret multis antè temporibus eam dæmonum culturam. Sed quando etiam sic præmonitos verisimile erat malè memores pacti fidei, dicturos: Non prædixistis, & hac de re nihil prius audiuimus: Nunc quiduis dissimulando post euentum rei. Non enim nostis quæ euentura fuerant. Vnde igitur hoc liquet, quia dictum est? Vide, quo pacto aduersus eos perspicuè adornat ineuitabilem reprehensionem, eorumdem ora impudentia consuens. Non enim B sinit Prophetam tantùm, vt dicat: sed & quæ dicuntur, iubet inscribi chartæ, nec vtcunque scribi, vt ne vllus eis relinqueretur locus obijciẽdi, quòd postea secum confinxisset hæc, sed & testes scripturæ aduocat viros fide dignos, quum à dignitate, tum ab integritate morum. Ait enim, Fac mihi testes fideles homines, Vriam sacerdotem & Zachariam. Vt quando exitus rerum contigerit ac dixerint, Quia multis ante temporibus non sunt præostensa, ori sic impudentium silentium imponant & C liber in medium prolatus & qui adsunt, testes. Ob hoc ait, Sume volumen chartæ nouum, vt ne si vetus iam sit, literæ depereant: sed tempore multo duret interim efficax ad reuincendos eos per eiusmodi scripturam. Et scribe stylo hominis, hoc est calamo scriptorio, quæ futura sunt. Quænam tandem sunt futura? Bellum, barbarorum victoria, distributio prædarum è viuis, exuuiarum è mortuis rapina. Sanè ait, Hæc vniuersa scribe, vt velociter deprædationem faciat spoliorum. Adest enim. Quid istud indicat, Adest enim? Sen-D tentia hæc duo notat, quòd iam tum pœnam reposcebat peccatorum magnitudo, erátque in ianuis exigenda de eis vindicta. Cupiens alioqui Deus sua longanimitate eos reddere meliores, cunctabatur, vt ab eis modestioribus factis depelleret supplicium. Et quia facile ei esset & exprompteum cuncta vel solo annutu ad fœlicẽ exitum prouehere. Quum enim sermo esset exortus de barbaris copiosum exercitum aduersus eos educturis, ne (ait) existimetis eos affore cunctantius ob longiorem viæ tractum, atque numerosam multitudinem educendi exercitus, quod vtrumque consueuit nectere moras apud homines. Adstat enim Deo etiam is qui dissitus & disparatus ab eo longiùs videtur. Perçquè enim facile est Deo & ad manũ illi obuium,

θεσιν, φθάνει ἡ προφητεία ταύτην ἀναιροῦσα τὴν ἀπάτην, καὶ πρὸ πολλῶν αὐτὰ διαγορεύουσα χρόνων. ἀλλ' ἐπειδὴ καὶ οὕτως εἰκὸς ἦν αὐτοὺς ἀγνωμονοῦντας λέγειν, οὐ προείπετε, οὐ προηκούσαμεν, νῦν πλάττεσθε μετὰ τὴν ἔκβασιν, οὐ γὰρ εἴδετε τὰ συμβησόμενα· πόθεν οὖν τοῦτο δῆλον, ὅτι εἴρηται; ὅρα πῶς σαφῶς ἄφυκτον αὐτοῖς κατασκευάζει τὸν ἔλεγχον, καὶ τὰ ἀναίσχυντα ἀπορράπτων στόματα. οὐ γὰρ ἀφίησιν εἰπεῖν μόνον, ἀλλὰ κελεύει καὶ ἐν χάρτῃ γράφεσθαι τὰ λεγόμενα, καὶ οὐδὲ ἁπλῶς γράφεσθαι, ἵνα μὴ ἔξῃ αὐτοῖς λέγειν, ὅτι μετὰ ταῦτα ἔπλασεν, ἀλλὰ καὶ μάρτυρας τῶν γραμμάτων καλεῖ ἄνδρας ἀξιοπίστους καὶ ἀπὸ τοῦ ἀξιώματος, καὶ ἀπὸ τοῦ τρόπου. ποίησον γάρ μοι, φησὶ, μάρτυρας πιστοὺς ἀνθρώπους, τὸν Οὐρίαν τὸν ἱερέα, καὶ Ζαχαρίαν· ἵνα ὅταν ἐξέλθῃ, καὶ λέγωσιν, ὅτι οὐκ ἐλέχθη ταῦτα πρὸ πολλῶν χρόνων, τὸ βιβλίον ἐξενεχθὲν, καὶ οἱ μάρτυρες οἱ παρόντες καὶ ἀναισχυντοῦντας αὐτοὺς ἐπιστομίσωσι. διὰ τοῦτό φησι, λάβε χάρτου τόμον καινὸν, ἵνα μὴ παλαιωθεὶς ἀπόληται, ἀλλὰ μένῃ τῷ χρόνῳ παρεκτεινόμενος, καὶ κατηγορῇ διὰ τῶν γραμμάτων αὐτῶν· καὶ γράψον γραφίδι ἀνθρώπου, τουτέστι καλάμῳ, τὰ μέλλοντα ἔσεσθαι. τίνα δὲ τὰ μέλλοντα; πόλεμος, νίκη βαρβαρικὴ, λαφύρων διανομὴ, σκύλων ἁρπαγή. ταῦτα τοίνυν, φησὶν, ἅπαντα γράψον, τοῦ ταχέως προνομὴν ποιῆσαι σκύλων. πάρεστι γάρ· τί ἐστι, πάρεστι γάρ; δύο ταῦτα δηλοῖ αὕτη ἡ ῥῆσις· ὅτι τότε ἤδη τῶν ἁμαρτημάτων αὐτῶν τὸ μέγεθος ἀπῄτει τὴν δίκην, καὶ ἐπὶ θύραις ἦν ἡ τιμωρία, αὐτὸς δὲ ἀναβάλλεται, τῇ μακροθυμίᾳ βουλόμενος αὐτοὺς βελτίους ποιῆσαι καὶ ἀποκρούεσθαι τὴν τιμωρίαν· καὶ ὅτι ῥᾴδιον αὐτῷ καὶ εὔκολον νεῦσαι μόνον, καὶ πάντα εἰς πέρας ἀγαγεῖν. ἐπειδὴ γὰρ περὶ βαρβάρων ὁ λόγος ἦν τῶν μελλόντων ἐπιστρατεύειν, μὴ νομίσητε, φησὶν, ὅτι τῆς ὁδοῦ μῆκος, καὶ τὸ τῆς στρατείας τὸ πλῆθος μέλλησίν τινα ποιεῖ, ἅπερ ἐπ' ἀνθρώπων ἔσεσθαι πέφυκε. τῷ γὰρ Θεῷ πάρεστι καὶ ὁ πόῤῥωθεν

ὤν. οὕτως αὐτῷ ῥᾴδιον καὶ εὔκολον ἐν μιᾷ καιροῦ ῥοπῇ, τοὺς ἐν ἀκρωρείαις, ἀπὸ τῶν ἐσχάτων τῆς γῆς, κἂν πλείους ὦσιν, ἀγαγεῖν εὐθέως καὶ ἐπιστῆσαι. καὶ μάρτυράς μοι ποίησον πιστοὺς ἀνθρώπους, τὸν Οὐρίαν τὸν ἱερέα, καὶ Ζαχαρίαν υἱὸν Βαραχίου. μάρτυρας τίνος; τοῦ χρόνου· ἵνα κἂν τὰ γράμματα συκοφαντῆται, οἱ ζῶντες ἄνθρωποι καὶ παρόντες ἡνίκα ἐγράφετο, καὶ τὸν χρόνον σαφῶς εἰδότες, πότε ταῦτα ἐλέγετο, δυνηθῶσιν ἐπιστομίζειν τοὺς ἀναισχυντεῖν ἐπιχειροῦντας. τῆς αὐτῆς ὑποθέσεως ἔχεται καὶ τὸ ἑξῆς, σαφέστερον ἐπάγον τὸν ἔλεγχον. πῶς καὶ τίνι τρόπῳ, τῶν ῥημάτων αὐτῶν ἀκούσωμεν. προσῆλθον γάρ, φησι, πρὸς τὴν προφῆτιν. τὴν γυναῖκα τὴν ἰδίαν οὕτως ἐκάλεσεν ἴσως, διὰ τὸ καὶ αὐτὴν πνεύματος ἠξιῶσθαι προφητικοῦ. οὐ γὰρ ἐν ἀνδράσι τὰ τῶν χαρισμάτων εἱστήκει μόνον, ἀλλὰ καὶ εἰς τὸ γυναικεῖον διέβαινε φῦλον. οὐ γὰρ ὥσπερ ἐν ταῖς βιωτικαῖς χρείαις διῄρηται τὰ γένη, καὶ ἄλλα μὲν ἀνδρῶν, ἄλλα δὲ γυναικῶν τὰ ἐπιτηδεύματα, καὶ οὐκ ἂν δυνηθείη τὰ ἀλλήλων ἀνταλλάξασθαι, οὕτω δὴ καὶ ἐπὶ τῶν πνευματικῶν· ἀλλ' ἴσοι οἱ ἀγῶνες καὶ κοινοὶ οἱ στέφανοι. καὶ τοῦτο καὶ ἐν τῇ παλαιᾷ καὶ ἐν τῇ καινῇ μετὰ ἀκριβείας ἴδοι τις ἄν, καὶ παρὰ πάντα τὸν βίον συμβαῖνον. ταύτῃ πρώτῃ ὁμιλήσας νόμῳ γάμου, κύειν παρεσκεύασε· καὶ ἐπειδὴ τὸ παιδίον ἐτέχθη, ἐπιτίθησιν αὐτῷ ὄνομα καινὸν καὶ παράδοξον, τὴν ἱστορίαν τῶν ἐσομένων ἔχον. τί γάρ φησι; κάλεσον τὸ ὄνομα αὐτοῦ, ταχέως σκύλευσον, ὀξέως προνόμευσον· ἵνα κἂν τὰ γράμματα ἀπιστηθῇ τὰ ἐν τῷ τόμῳ κείμενα, ἡ προσηγορία τοῦ παιδίου τὴν ἱστορίαν τῶν ἐκβησομένων ἔχουσα, καὶ περὶ τῆς ἐκβάσεως τῶν γινομένων τεθεῖσα, καὶ συνεχῶς παρὰ πάντα καλουμένη τὸν χρόνον, καὶ τῶν σφόδρα ἀναισχυντεῖν ἐπιχειρούντων ἀπορράψῃ τὰ στόματα. ὅτι γὰρ οὐ μετὰ τὴν ἔκβασιν ἔπλασε ταῦτα ὁ προφήτης, ἀλλ' ἄνωθεν αὐτὰ προεῖδε, καὶ οἱ σφόδρα ἀγνωμονεῖν ἐπιχειροῦντες ἠδύναντο πεισθῆναι, εἰ πρὸ τῆς τῶν πραγμάτων ἐκβάσεως αὐτὸ τὸ παιδίον ὁρῶντες καλούμενον, καὶ τὴν διδασκαλίαν τῶν ἐσομένων συμφορῶν ἀνακηρύττον. διά τοι τοῦτο καὶ ἑρμηνεύει τῆς προφητείας τὴν δύναμιν,

A vno codémque minimo temporis momento ab extremis terrę limitib. (quantolibet numero plures fuerint) cõfestim adducere ac sistere, præstò vt sint: Et testes mihi fac fideles homines, Vriam sacerdotem, & Zachariã filium Barachię. Testes, inquã, quo tempore scriptæ sint literæ: vt si quam patiãtur calumniam, qui viuũt homines, & quũ scriberentur, præsentes aderãt, & tẽpus quo hęc dicebantur, perspicuè sciũt: possint os obturare istis qui sic impudẽter loqui conantur. Quódq; sequitur, cõsentaneè huic argumẽto ac proposito obiurgationem infert tantò manifestiorẽ: quo pacto & B sub quánam dicẽdi formula? verba ipsa audire possumus. Accessi enim (ait) ad prophetissam. Hoc forsan nomine suã vxorẽ vocauit, quòd spiritu prophetico habita esset digna. Nõ enim in viris modò se stiterant eiusmodi gratiarũ dona: sed ad genus vsque mulierũ transierat; Non enim queádmodũ in administrandis secularibus negociis, sexus distincti sunt, vt alia sint studia quæ viris peculiariter cõpetũt, alia exercitia quæ solas decent mulieres; ita vt hæ functiones discretæ nullã inter se permittere pos- C sint permutationẽ: itidem & in spiritualibus sit: sed æquales agones, cõmunes proponũtur coronæ. idque nosse possit quis, modò diligenter excutiat & nouũ & vetus testamẽtum; quod & cõtingit per vitã hanc omnẽ. Hac igitur ratione iuxta legem coniugij cõgressus fecit, vt illa conciperet. Pueruło recẽs in lucem edito nomen imposuere nouum & admirabile, quod in se historiam complectebatur futurorum euentuum. Quid igitur ait Dominus? Voca nomen eius, Citò spolia detrahe, velociter prædare: Vt siquidem literis in volumine positis D tanquam suspectis noluerint fidem habere, ipsa tamen pueruli appellatio futurorum euentuum continens historiam, & ante rerum exitum ei imposita ac nullo non tempore repetita, abundè sufficiet ora cõsuere quálibet impudenter loqui conantiũ. Nam quòd propheta hæc minimè confinxerit, post rerum euentum, sed cœlesti aspiratione ea præuiderit, hi etiam qui vehementer pergunt esse ingrati & pactæ fidei immemores, vtique persuaderi potuerũt, quum videant puerum ante rerum exitum sic vocari, suíque nominis præconio futuras calamitates docentem. Eam ob rem interpretatur vim ipsam prophetię,

tempúsque ipsum cum diligentia consignat, sic dicens: Quia antequam sciat puer vocare patrem aut matrẽ, accipiet fortitudinẽ Damasci, & spolia Samariæ coram rege Assyriorũ. Quod autem dicit, tale est: In tempore ætatis puerilis, nec adhuc maturæ & necdum cõpotis loquendi, quę ad victoriam & trophæorum erectionẽ spectãt, fient. Non quod puer possit aduersum hostes aciem instruere & bella dirimere: sed quòd ea ætate infantis, hoc est illo tẽpore, priusquam scilicet puer disertè loquatur, vniuersa tradentur manibus hostium.

5. *Et adiecit Dominus loqui ad me adhuc, dicens:* 6. *Pro eo quòd nõ vult populus hic aquam Siloë quæ vadit cum silentio: sed vult habere Rasin & filiũ Romeliæ regem super vos.* 7. *Propter hoc, ecce adducit Dominus super vos aquam fluminis fortem & multam, regem Assyriorum.* Deus pro more suo, non pœnas solùm prædicit, sed & annectit causas, vt hac ratione auditores castiget & erudiat, quod & loco præsenti facit. Simul enim atque intimauit, alienigenas disperituros inter se spolia eorum, & prædixit non defore barbarorum excursiones, istius belli causam reddit. Quænam hæc? Nimirum ingratitudo ac perfidia incolentium ciuitatem. Quum enim regem haberent, ait, placabilem, humanum ac mitem, ab eo resilierunt, prælegerunt tyrãnos, & occasionem quæsierunt transfugiẽdi ad externum principatum, suam in rebus agendis non ferentes fœlicitatem. Quare ego pleniore cum affluentia, cupiditatem adimplebo eorum, barbaro quopiam & immiti homine ad eos adductõ. Porrò metaphoricè vsus est dictionibus quibus exprimeret & mores regis indigenæ, simul barbari potentiam. Hoc autem eò facit (quod & semper dicebam) vt sermonem reddat euidẽtiorem. Huiusce rei gratia ait: Pro eo, quòd ipsi noluerunt aquam Siloë. Non de aqua loquens: sed quia fons sensim & citra strepitum, submissè progreditur, tranquillitatem morésque placabiles eius qui tum regnabat, confert requieto decursui aquarum, eóque Siloam ipsum vocat, quòd citra vllius molestiã tranquillus ac mitis degeret. Hoc planè maximam inurebat notã subditis & multa reprehensione dignam, qui quum nullo graui premerentur iugo, animũ adiecerunt ad tentandas res nouas, séque vt

Pœnas, & causas pœnarum prædicit Deus.

Ioan. 9.

A καὶ τὸν χρόνον ἐπισημαίνεται μετὰ ἀκριβείας, οὕτω λέγων· διότι πρὶν ἢ γνῶναι τὸ παιδίον καλεῖν πατέρα ἢ μητέρα, λήψεται δύναμιν Δαμασκοῦ, καὶ τὰ σκῦλα Σαμαρείας ἔναντι βασιλέως Ἀσσυρίων. ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· ἐν τῷ χρόνῳ, φησὶ, τῆς ἡλικίας τῆς ἀώρου, καὶ μηδέπω φθέγγεσθαι δυναμένης, τὰ τῆς νίκης ἔσται καὶ τῶν τροπαίων, οὐχ ὡς τοῦ παιδίου δυναμένου παρατάξασθαι, καὶ καθελεῖν τοὺς πολεμίους, ἀλλ᾽ ὡς τῆς ἡλικίας ἐκείνης, τουτέστι, τοῦ χρόνου τοῦ περὶ τῆς τοῦ παιδίου διαλέ- B ξεως παραδιδόντος ἅπαντα τοῖς πολεμίοις. καὶ προσέθετο κύριος λαλῆσαί μοι ἔτι. διὰ τὸ μὴ βούλεσθαι τὸν λαὸν τοῦτον τὸ ὕδωρ τοῦ σιλωὰμ τὸ πορευόμενον ἡσυχῇ, ἀλλὰ βούλεσθαι ἔχειν τὸν Ῥασὶν, καὶ τὸν υἱὸν τοῦ Ῥωμελίου βασιλέα ἐφ᾽ ὑμῶν. διὰ τοῦτο ἰδοὺ ἀνάγει κύριος ἐφ᾽ ὑμᾶς τὸ ὕδωρ τοῦ ποταμοῦ, τὸ ἰσχυρὸν καὶ τὸ πολὺ, τὸν βασιλέα Ἀσσυρίων. ὅπερ ἔθος ἐστὶ τῷ Θεῷ, μὴ μόνον τὰς τιμωρίας προλέγειν, ἀλλὰ καὶ τὰς αἰτίας τιθέναι, ὥστε καὶ ταύτῃ παιδεύσαι τοὺς ἀκούοντας, τοῦτο καὶ ἐνταῦθα ποιεῖ. εἰπὼν γὰρ τὴν C τῶν ἀλλοφύλων διαφθειρομένην, καὶ τὰ σκῦλα, καὶ προλέγων τὴν τῶν βαρβάρων ἔφοδον, λέγει καὶ τὴν αἰτίαν τοῦ πολέμου. τίς δὲ ἐστιν αὕτη; ἡ ἀγνωμοσύνη τῶν τὴν πόλιν οἰκούντων. ἐπεὶ γὰρ βασιλέα ἔχοντες, φησὶν, ἐπιεικῆ καὶ πρᾶον καὶ ἥμερον, ἀπεσκίρτησαν, καὶ τυράννων ἐπεθύμησαν, καὶ πρὸς ἀλλοτρίαν ἀρχὴν αὐτομολῆσαι ἐπεχείρησαν, τὴν οἰκείαν εὐπραγίαν οὐ φέροντες, μετὰ πολλῆς τῆς περιουσίας πληρώσω τὴν ἐπιθυμίαν αὐτῶν, βάρβαρόν τινα καὶ ἀνήμερον ἄγων ἄνθρωπον. κέχρηται D δὲ μεταφορικῶς ταῖς λέξεσι, τό τε ἦθος τοῦ ἐγχωρίου δηλῶν βασιλέως, καὶ τὴν δύναμιν τοῦ βαρβάρου. ποιεῖ δὲ αὐτὸ, ὅπερ ἔφην ἀεὶ, τὸν λόγον ἐμφατικώτερον κατασκευάζων. διὰ τοῦτό φησι, διὰ τὸ μὴ βούλεσθαι αὐτοὺς τὸ ὕδωρ τοῦ Σιλωὰμ, οὐ περὶ ὕδατος λέγων· ἀλλ᾽ ἐπειδὴ ἡ πηγὴ ἠρέμα καὶ ἀψοφητὶ πρόεισι, τὸ ἀπράγμον καὶ ἐπιεικῆ τὸν τρόπον τοῦ τότε βασιλεύοντος τῇ ἠρεμίᾳ τῶν ὑδάτων διεξόδου παραβάλλει, καὶ Σιλωὰμ αὐτὸν καλεῖ, διὰ τὸ ἀνεπαχθὲς καὶ ἤρεμον· ὃ μεγίστην φέρει τοῖς ἀρχομένοις κατηγορίαν, ὅτι μὴ βαρὺν ἔχοντες ζυγὸν, νεωτερίζειν ἐπεχείρησαν, καὶ ἀλλοτρίοις ἑαυτοὺς

διδόναι βασιλεῦσι. ἐπεὶ οὖν οὐ βούλονταί, φησι, τὸν ἥμερον καὶ ἐπιεικῆ, ἀλλὰ τὸν Ρασὶν καὶ τὸν υἱὸν τοῦ Ρομελίου, ἐπάγω, φησὶ, τὸν Βαβυλώνιον· καὶ τὸ ῥαγδαῖον αὐτοῦ τῆς στρατιᾶς, ὕδωρ ποταμοῦ φησι πολὺ καὶ ἰσχυρόν. εἶτα ἑρμηνεύων τὴν μεταφορὰν φησι, τὸν βασιλέα τῶν Ασσυρίων. ὁρᾷς πῶς ἀδιάπλωτος ὁ λόγος ὁ ἔμπροσθεν ἡμῖν λεχθεὶς φαίνεται, ὅτι πανταχοῦ ἐν ταῖς μεταφοραῖς ἑαυτὴν ἑρμηνεύειν εἴωθεν ἡ γραφή· ὃ δὴ καὶ ἐνταῦθα πεποίηκεν. εἰποῦσα γὰρ ποταμὸν, οὐκ ἐναπέμεινε τῇ μεταφορᾷ, ἀλλ' εἶπε, τίνα φησὶ ποταμὸν, τὸν βασιλέα τῶν Ασσυρίων, καὶ πᾶσαν τὴν δόξαν αὐτοῦ. καὶ ἀναβήσεται ἐπὶ πᾶσαν φάραγγα ὑμῶν, καὶ περιπατήσει ἐπὶ πᾶν τεῖχος ὑμῶν, καὶ ἀφελεῖ ἀπὸ τῆς Ιουδαίας ἄνθρωπον, ὃς δυνήσεται κεφαλὴν ἆραι, ἢ δυνατὸν συντελέσασθαί τι. καὶ ἔσται ἡ παρεμβολὴ αὐτοῦ, ὥστε πληρῶσαι τὸ πλάτος τῆς χώρας σου. δεικνὺς ὅτι οὐκ ἀνθρωπίνῃ δυνάμει, ἀλλ' ὀργῇ θεηλάτῳ συμβήσεται τὰ λεγόμενα, οὐχ ὡς πολέμιον αὐτὸν παραταττόμενον ὑπογράφει, ἀλλ' ὡς ἐπὶ παρεσκευασμένην ἁρπαγὴν ἥκοντα. οὐ γὰρ στήσεται, φησι, καὶ παρατάξεται, ἀλλὰ τῷ πλήθει τῶν σωμάτων καλύψει τῆς γῆς τὴν ὄψιν, καὶ μετ' εὐκολίας περιέσται. εἶτα καὶ ἐν τῇ ὀργῇ πολὺ τὸ τῆς φιλανθρωπίας. οὐ γὰρ ἀνασπάσασθαι αὐτῶν τὴν πόλιν ἀναπειλεῖ, ἀλλ' αἰχμαλωσίαν τινὰ καὶ ἀπαγωγὴν προλέγει, τοὺς λειπομένους βουλόμενος τῇ τῶν ληφθέντων τιμωρίᾳ σωφρονεστέρους ποιῆσαι. ἀφελεῖ γὰρ ἀπὸ τῆς Ιουδαίας, φησὶν, ἄνθρωπον, ὃς δυνήσεται κεφαλὴν ἆραι, τοὺς ἐν δυναστείᾳ φησὶ, τοὺς πάντα ἄγοντας καὶ φέροντας, τοὺς τὰ πλήθη λυμαινομένους, αἰχμαλώτους ποιήσει καὶ δούλους· ὥστε τέως τοὺς καταδεεστέρους ἀναπνεῦσαι μικρὸν, καὶ τῷ φόβῳ τῶν ἀπαχθέντων, καὶ τῆς οἰκείας ἐλευθερίας ἀδείᾳ γενέσθαι βελτίους. διὰ τοῦτό φησι, δυνατὸν συντελέσασθαί τι; τουτέστι, τὸν ἰσχυρὸν, τὸν ἐνεργεῖν δυνάμενον, τὸν ὁτιοῦν πρᾶξαι ἰσχύοντα. καὶ πρὸ τῆς ἀπαγωγῆς δὲ, δι' αὐτῆς τῆς ὄψεως ἱκανῶς ὑμᾶς καταπλήξει, φησὶν, ὁ βάρβαρος, πᾶσαν

Ait igitur, Quādo isti regem repudiant mansuetum & clementem, sed Rasin & filium Romeliæ præponunt: inducā eis Babylonium. Eiúsque violentiam exercitus confert aquæ fluminis, multam dicens & fortem. Ad hæc, ipsam interpretans metaphoram, indicat regem esse Assyriorū. Vides, vt formula sermonis incorrupta nec vspiā intercisa appareat, quod & superiùs à nobis indicatum est. Scriptura enim quoties in tralationib. versatur, cōsueuit seipsā dilucidius explanare, quod sanè etiā hîc fecit. Inducto enim in mediū fluuio, nō perstitit in metaphora, sed adiecit quēmnā subindicaret fluuiū, nempe regē Assyriorum & omnem gloriā eius: *Et ascendet super omnem valle vestrā, & deambulabit super omnem murum vestrum.* 8. *Et auferet à Iudæa hominem qui posset leuare caput, qui ve moliri possit & perficere aliquid. Et erit series tentoriorū eius conserta, sic vt impleat latitudinem regionis tuæ.* Docens quia quæ prænunciātur, euentura essent non vlla humana virtute, sed ira Dei in eos desæuiente. Non quòd eum tanquam hostem copiis in acie instructis accinctum ad pugnam describeret, sed quasi prodeūtem ad paratam sibi rapinā. Non enim, ait, certo in loco consistet & aduersum te pugnaturus instruet aciem: sed numerosa multitudine corporum terræ faciem adoperiet, atque omni cum facilitate potietur victoria. Ad hęc, etiam si eis indignaretur, locum tamē relinquit nec mediocrem suæ erga illos clementiæ. Non enim exterminatur iam se eorū ciuitatem à fundamentis demoliturum: sed nōnullam speciem captiuitatis & à patrio solo ablegationē prædicit passuros, vt animaduersa eorum pœna qui abducti fuerant, qui relicti erant ad meliorem vitæ frugem se reciperent. Auferet enim à Iudæa (ait) hominem qui posset leuare caput. Eos indicat in captiuitatem abducendos, qui publica potestate fungebantur, cunctáve Reipublicæ moderabantur negotia, qui multitudinem populi corrumpebant, quosque in captiuitatem abreptos erat Assyrius redacturus in seruitutem, ad hoc vt tum inferiores possent nonnihil respirare, & timore eorum qui erant abducti, ac securitate ruendæ propriæ libertatis fierent meliores. Ad hoc innuendum ait, Et qui moliri quidpiam posset & perficere, hoc est, validum, potentem aliquid efficere, valentem exequi quiduis operis. Quin & ante illorum abductionem poterat satis superque barbarus deterrere vos, vel solo aspectu,

quum terram omnem vestram cõpleret tot corporibus barbarorum. Quamobrem intulit: Et erit series castrorum eius conserta: ita vt impleat latitudinem regionis tuæ, *Nobiscũ Deus.* 9. *Scitote gẽtes, & vincimini: exaudite vsque ad extremũ terræ; & pollẽtes viribus vincimini. Si enim iterũ præualueritis, iterũ vincemini.* 10. *Et quodcũq. cõsiliũ inieritis consultãdo, dissipabit Dominus: & verbum quodcunque loquuti fueritis, nõ manebit in vobis, Quia nobiscum Deus.* Præsenti loco, mea quidem sententia, eam prædicit victoriam quæ contigit regnãte Ezechia, simul & splendidum illud ac spectabile trophæum: causam insuper promit habitæ insignis victoriæ. Vt donemus (ait) arma suppetere apud illos, numerosam atque adeò infinitã militum multitudinem, quamplurimam belli peritiam: his tamen omnibus longè potentius subsidium nobiscũ est, hoc est, Deus. Venit enim barbarus ille, quasi in prospectum insultaturus, & multis ciuitatib. captis abiit. Secũdum hæc, is educto aduersus ciuitatem militari procinctu, contraria præsumptæ spei perpessus est. Itaque hæc prædicit Propheta, idémque suo præconio authorem celebrat istius victoriæ, & aduersus hosce barbaros fusiùs intendit sermonẽ. Ne enim fiducia freti ob priorem victoriã, & hanc etiam spe præsumatis. In hodierna enim excursione nobis suppetit validissimum & auxiliare subsidium. Hoc ipso igitur cognito retrocedite, vtpote qui ea, quæ fieri nequeunt, aggrediamini. Ad hæc, auctorem admirabilis illius victoriæ repræsentare cupiens, & quia fama euulgans quę preclarè gesta essent, ad extremas vsque terræ plagas peruasura erat, ait: Exaudite vsque ad extremũ terræ. Ea enim quæ tunc euenerunt Hierosolymis, nemo non exaudiuit. Quamobrem ait: Exaudite vsque ad extremum terræ. Et qui viribus valetis, vincimini. Insignem enim gloriã ob validũ robur exercitus barbarus ille tum obtinuit. Validos autẽ ac fortes hîc appellat, non eos qui præcellerent solùm bona habitudine corporis: sed & eos qui insigni pollerent opulentia facultatum, & illustri splendore gloriæ essent spectabiles. Si enim rursus præualueritis, ait, rursus vincemini: & quodcunque consilium captaueritis, dissipabit Dominus, & quodcunque verbũ loquuti fueritis, non manebit in vobis, quia nobiscum Deus. Hi enim quũ praua inter se agitassent consilia, spéque præsumpsissent ciuitatem à fundamentis esse demolituros, & ita ad propria redituros:

Prædicitur victoria Ezechiæ.

τὴν γῆν πληρῶν τῶν βαρβαρικῶν σωμάτων. διὰ τοῦτο ἐπήγαγε· καὶ ἔσται ἡ παρεμβολὴ αὐτοῦ, ὥστε πληρῶσαι τὸ πλάτος τῆς χώρας σου. μεθ' ἡμῶν ὁ Θεός. γνῶτε ἔθνη, καὶ ἡττᾶσθε, ἐπακούσατε ἕως ἐσχάτου τῆς γῆς, καὶ ἰσχύοντες ἡττᾶσθε. ἐὰν γὰρ πάλιν ἰσχύσητε, πάλιν ἡττηθήσεσθε· καὶ ἣν ἂν βουλὴν βουλεύσησθε, διασκεδάσει κύριος· καὶ λόγον ὃν ἐὰν λαλήσητε, οὐ μὴ ἐμμείνῃ ἐν ὑμῖν, ὅτι μεθ' ἡμῶν ὁ Θεός. ἐμοὶ δοκεῖ τὴν τοῦ Ἐζεκίου νίκην ἐνταῦθα προλέγειν, καὶ τὸ λαμπρὸν ἐκεῖνο τρόπαιον καὶ τῆς νίκης αὐτῆς τὴν αἰτίαν. εἰ γὰρ καὶ ὅπλα παρ' ἐκείνοις, φησὶ, καὶ στρατόπεδα ἄπειρα, καὶ ἐμπειρία πολεμικὴ, ἀλλ' ἡ πάντων δυνατωτέρα συμμαχία μεθ' ἡμῶν, τουτέστιν ὁ Θεός. ἦλθε μὲν γὰρ ὁ βάρβαρος, καθὼς ἠπείλησεν ἔμπροσθεν, καὶ πολλὰς λαβὼν πόλεις ἀπῆλθε. μετὰ δὲ ταῦτα ἐπιστρατεύσας, τἀναντία ἔπαθε. καὶ ταῦτα τοίνυν ὁ προφήτης προλέγει, καὶ τὸν τῆς νίκης αἴτιον διακηρύττει, καὶ πρὸς αὐτοὺς τοὺς βαρβάρους ἀποτείνει τὸν λόγον. μὴ γὰρ δὴ τῇ προτέρᾳ νίκῃ θαῤῥήσητε, φησίν. ἐν γὰρ τῇ νῦν ἐφόδῳ μεγίστη παρ' ἡμῖν ἡ συμμαχία. γνῶτε τοίνυν τοῦτο αὐτὸ, καὶ ἀπόστητε, ὡς ἀδυνάτοις ἐπιχειροῦντες. εἶτα τὸν αἴτιον τῆς νίκης ἐκείνης ἐμφαίνων, καὶ ὅτι πρὸς τὰς ἐσχατιὰς ἀφίξεται τῆς γῆς ἡ φήμη τὰ κατορθώματα φέρουσα, φησίν· ἐπακούσατε ἕως ἐσχάτου τῆς γῆς. οὐδεὶς γὰρ ἀνήκοος τῶν τότε συμβάντων ἐν Ἱεροσολύμοις γέγονε. διὰ τοῦτό φησιν, ἐπακούσατε ἕως ἐσχάτου τῆς γῆς, καὶ οἱ ἰσχύοντες ἡττᾶσθε. μεγάλην γὰρ ἐπὶ ῥώμῃ δόξαν ὁ βάρβαρος τότε ἐκέκτητο. ἰσχυροὺς δὲ ἐνταῦθα οὐ τοὺς ἐν τῇ τοῦ σώματος εὐεξίᾳ μεγάλους φησὶν, ἀλλὰ καὶ τοὺς ἐν τῇ τῶν χρημάτων περιουσίᾳ, καὶ τῇ τῆς δόξης περιφανείᾳ. ἐὰν γὰρ πάλιν ἰσχύσητε, φησὶ, πάλιν ἡττηθήσεσθε, καὶ ἣν ἂν βουλεύσησθε βουλὴν, διασκεδάσει κύριος, καὶ λόγον ὃν ἐὰν λαλήσητε, οὐ μὴ ἐμμείνῃ ἐν ὑμῖν, ὅτι μεθ' ἡμῶν ὁ Θεός. ἐπειδὴ πονηρὰ παρ' αὐτοῖς ἦν βουλεύματα, καὶ προσεδόκων τὴν πόλιν αὐτὴν ἐκ βάθρων ἀνασπᾶσθαι, καὶ οὕτως οἴκαδε ἀπελεύσεσθαι,

καὶ τὰ βουλεύματα αὐτῶν ὁ προφήτης εἰς μέσον ἄγει, καί φησι, μέχρι τῶν ῥημάτων ἄπρακτα στήσεται. εἶτα ἐπειδὴ πράγματα ἀπήγγελε φύσιν ἀνθρωπίνην ὑπερβαίνοντα, ἀξιόπιστον ποιῶν τὸν λόγον, ἐπὶ τὸ ἀξίωμα τοῦ κατορθοῦντος καταφεύγει συνεχῶς, λέγων, ὅτι μεθ' ἡμῶν ὁ Θεός, καὶ ὅτι αὐτὸς ἅπαντα ταῦτα διασκεδάσει τὰ μηχανήματα. ὅτι αὐτῷ ἡ δόξα.

A horum clancularias consultationes detegens Propheta, in medium adducit, ac dicit: Verbo tenus vniuersa hæc consilia subsistent. Deinde expositis hisce rebus quæ humanam transcenderent naturam, texit sermonē dignum planè cui fides habeatur: & ad magnificentiam eius amplitudinémque confugit, qui nihil non prouehit ad fœlicem exitum: continenter repetens, Quia nobiscum Deus, & quia vniuersas hasce molitiones idem ad nihilum esset redacturus. Quoniam ipsi gloria.

Hactenus excurrit exemplar corrogatum, nobisque precariò exhibitum è regia Fontis-Eblaudi bibliotheca.

Sancti patris nostri

IOANNIS CHRYSOSTOMI ARCHIEPISCOPI Constantinopolitani, Homilia habita quo tempore extra Ecclesiam deprehensus est Eutropius, déque paradiso siue horto & scripturis, in illud item: Adstitit Regina à dextris tuis.

Psal. 44.10

Godefrido Tilmanno Cartusiæ Parisiensis monacho, interprete.

A SVAVE quidem est pratum & hortus, vtroq. tamen suauius multò spirat diuinæ scripturæ lectio. Illic siquidē flores inuenire est, sed qui tempore marcescunt: hîc autē occurrunt sententiæ in natiuo vigore perennantes. Illic aspirat Fauonius: hîc afflat aura Spiritus sancti. Illic spinę pro muro obsępiūt hortum, hîc Dei prouidētia tutum reddit lectorem. Illic cicadæ stridore suo B obstreperæ: hîc prophetæ suaui iubilo personantes. Illic ex ipso aspectu quiddam oblectationis cōcipitur: hic autem ex ipsa mox lectione plurimum decerpitur vtilitatis. Hortus vno quopiā circūscribitur loco diuinæ autem scripturæ nullo non loco terræ habitabilis circumferuntur. Hortus pro temporum qualitate seruit necessitatib⁹: scripturæ autē perinde hyberno atq. æstiuo tempore perēnant comātibus vndiq. foliis, & fructuū pondere degrauātur. Attenti C itaq. simus lectioni scripturarū. Ad hanc etenim attentus si fueris, anxietatē à te depellet, cordi tuo inseret incredibilem voluptatē: sublata malitia, radices virtutis affiget animæ, intérque turbelas istas negociorū quæ ritu vndarum sese agitantium fluctuant, non te sinet vlla conflictari perturbatione. Insanis licet agitetur mare procellis, tu in tranquillo nauigas. Habes enim quæ te moderetur ac gubernet, scripturarum lectionem. Neque enim funiculum hunc interrumpit vlla tentatio negociationum. Quòd sanè nihil affingam veris, res ipsæ sunt testimonio.

Cōparatio per quàm elegans.

Lectionis scripturarū vtilitas.

Abruptio.

Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν

ΙΩΑΝΝΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ τοῦ Χρυσοστόμου ὁμιλία, ὅτε τῆς ἐκκλησίας ἔξω εὑρέθη ΕΥΤΡΟΠΙΟΣ, καὶ περὶ παραδείσου καὶ γραφῶν, καὶ εἰς τό, παρέστη ἡ βασίλισσα ἐκ δεξιῶν σου.

A ἩΔΥΣ μὲν ὁ λειμὼν καὶ ὁ παράδεισος, πολὺ δὲ ἡδύτερον τῶν θείων γραφῶν ἡ ἀνάγνωσις. ἐκεῖ μὲν γάρ ἐστιν ἄνθη μαραινόμενα· ἐνταῦθα δὲ νοήματα ἀκμάζοντα. ἐκεῖ Ζέφυρος πνέων, ἐνταῦθα δὲ πνεύματος αὔρα. ἐκεῖ ἄκανθαι αἱ τειχίζουσαι, ἐνταῦθα δὲ πρόνοια Θεοῦ ἡ ἀσφαλιζομένη. ἐκεῖ τέττιγες ᾄδοντες, ἐνταῦθα δὲ προφῆται κελαδοῦν- B τες. ἐκεῖ τέρψις ἀπὸ τῆς ὄψεως, ἐνταῦθα δὲ ὠφέλεια ἀπὸ τῆς ἀναγνώσεως. ὁ παράδεισος ἐν ἑνὶ χωρίῳ, αἱ δὲ γραφαὶ πανταχοῦ τῆς οἰκουμένης. ὁ παράδεισος δουλεύει καιρῶν ἀνάγκαις, αἱ δὲ γραφαὶ καὶ ἐν χειμῶνι καὶ ἐν θέρει κομῶσι, τοῖς φύλλοις βρίθουσι καὶ τοῖς καρποῖς. προσέχωμεν τοίνυν τῇ τῶν γραφῶν ἀναγνώσει. ἐὰν γὰρ τῇ γραφῇ προσέχῃς, ἐκβάλλει σου τὴν ἀθυμίαν, φυτεύει σου τὴν ἡδονήν, ἀναιρεῖ τὴν κακίαν, ῥιζοῖ τὴν ἀρετήν, οὐκ ἀφίησιν C ἐν θορύβῳ πραγμάτων τὰ τῶν κλυδωνιζομένων παθεῖν. ἡ θάλασσα μαίνεται, σὺ δὲ μετὰ γαλήνης πλέεις· ἔχεις γὰρ κυβερνήτην τῶν γραφῶν τὴν ἀνάγνωσιν. τοῦτο γὰρ τὸ σχοινίον οὐ διαρρήγνυσι τῶν πραγμάτων ὁ πειρασμός. καὶ ὅτι οὐ ψεύδομαι, μαρτυρεῖ τὰ πράγματα αὐτά. ἐπολιορ-

ἐπολιορκήθη ἡ ἐκκλησία πρὸ ὀλίγων ἡμερῶν. ἦλθε στρατόπεδον, καὶ πῦρ ἀπὸ τῶν ὀφθαλμῶν ἠφίει, καὶ τὴν ἐλαίαν οὐκ ἐμάρανε. ξίφη γεγύμνωντο, καὶ τραύματα οὐδεὶς ἐδέξατο. αἱ βασιλικαὶ πύλαι ἐν ἀγωνίᾳ, καὶ ἡ ἐκκλησία ἐν ἀσφαλείᾳ. καί τοι γε ὁ πόλεμος ἐνταῦθ' ἐρρύη· ἐνταῦθα γὰρ ἐζητεῖτο ὁ καταφυγών, καὶ παρεστάμεθα μὴ δεδοικότες τὸν ἐκείνων θυμόν. τί δήποτε; εἴχομεν ἐνέχυρον ἀσφαλὲς τὸ, σὺ εἶ Πέτρος, καὶ ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομήσω μου τὴν ἐκκλησίαν· καὶ πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς. ἐκκλησίαν δὲ λέγω, οὐ τόπον μόνον, ἀλλὰ καὶ τρόπον· οὐ τοίχους ἐκκλησίας, ἀλλὰ νόμους ἐκκλησίας. ὅταν καταφύγῃς ἐν ἐκκλησίᾳ, μὴ τόπῳ καταφύγῃς, ἀλλὰ γνώμῃ. ἐκκλησία γὰρ οὐ τοῖχος καὶ ὄροφος, ἀλλὰ πίστις καὶ βίος. μὴ λέγε, ὅτι προεδόθη ἀπὸ ἐκκλησίας ὁ προδοθείς, εἰ μὴ ἀφῆκε τὴν ἐκκλησίαν, οὐκ ἂν παρεδίδοτο. μὴ λέγε, ὅτι καὶ κατέφυγε καὶ παρεδόθη. οὐχ ἡ ἐκκλησία αὐτὸν ἀφῆκεν, ἀλλ' αὐτὸς αὐτὴν ἀφῆκεν. οὐκ ἔνδοθεν προεδόθη, ἀλλ' ἔξωθεν. διὰ τί κατέλιπε τὴν ἐκκλησίαν; ἐβούλου σώζεσθαι; ὤφειλες κατέχειν τὸ θυσιαστήριον. οὐκ ἦσαν ἐνταῦθα τοῖχοι, ἀλλὰ Θεοῦ πρόνοια ἡ ἀσφαλιζομένη. ἁμαρτωλὸς εἶ; οὐκ ἀποπέμπεταί σε ὁ Θεός. οὐκ ἦλθε γὰρ καλέσαι δικαίους, ἀλλὰ ἁμαρτωλοὺς εἰς μετάνοιαν. πόρνη ἐσώθη, ὅτε τοὺς πόδας κατέσχεν. ἠκούσατε τοῦ σήμερον ἀνεγνωσμένου; ταῦτα δὲ λέγω, ἵνα μηδέποτε εἰς ἐκκλησίαν καταφεύγων ἀμφιβάλλῃς. μένε εἰς ἐκκλησίαν, καὶ οὐ προδίδω σε ἀπὸ τῆς ἐκκλησίας. ἐὰν δὲ φύγῃς ἀπὸ ἐκκλησίας, οὐκ αἰτία ἡ ἐκκλησία. ἐὰν μὲν γὰρ ᾖς ἔσω, ὁ λύκος οὐκ εἰσέρχεται· ἐὰν δὲ ἐξέλθῃς ἔξω, θηριάλωτος γίνῃ. ἀλλ' οὐ παρὰ τὴν μάνδραν τοῦτο, ἀλλὰ παρὰ τὴν σὴν μικροψυχίαν. ἐκκλησίας οὐδὲν ἴσον. μή μοι λέγε, τείχη καὶ ὅπλα. τείχη μὲν γὰρ τῷ χρόνῳ παλαιοῦται· ἡ ἐκκλησία δὲ οὐδέποτε γηρᾷ. τείχη βάρβαροι καταλύουσιν, ἐκκλησίας δὲ οὐδὲ δαίμονες περιγίνονται). καὶ ὅτι οὐ κόμπος τὰ ῥήματα, μαρτυρεῖ τὰ πράγματα. πόσοι ἐπολέμησαν τὴν ἐκκλησίαν, καὶ οἱ πολεμήσαντες ἀπώλοντο; αὕτη δὲ ὑπὲρ τὸν οὐρανὸν ἀναβέβηκε. τοιοῦτον ἔχει μέγεθος ἡ ἐκκλησία. πολεμουμένη νικᾷ· ἐπιβουλευομένη

A Ante dies aliquot, oppugnata est ecclesia, venit militaris exercitus, ex ipsa oculorum acie ignem eiaculabatur: ne sic quidem vel oliuam vllam marcescere fecit. Nudabantur enses, nemo proinde vulnus accepit. Regiis foribus in angore cõstitutis, ecclesia in tuto collocata est. Et quidem defluxit hic bellum. Qui enim huc confugerat, quærebatur: sed & ipsi adstitimus nihil veriti illorum furorem. Quid ita tandem? Habebamus tutelarem ac firmum arrhabonẽ, nimirum hunc: Tu es Petrus, & super hanc petram ædificabo ecclesiam meam, & *Matth. 16. 18.* B portæ inferi non præualebunt aduersus eam. Ecclesiam sanè dico non locum modò, sed & statum siue formulam viuendi: non ecclesiæ parietes, sed leges ecclesiæ. Quando sub asylum cõfugeris ecclesiæ, non loco sed mente eò capesse fugam. Ecclesia enim non paries, nec conuexum tecti siue fastigium, sed fides ac vitæ ratio. Ne mihi dicas, quia qui proditus est, proditione ecclesiæ est abreptus. Nisi deseruisset ecclesiam, non esset proditus. Ne dixeris, quia eò confugit & proditus est. Non deseruit eum C ecclesia, sed ipse ecclesiam. Non in intimis ecclesiæ est proditus, sed extra ecclesiam. Quamobrem se subduxit ab ecclesia? Volebas seruari incolumis? Debueras vtraque manu complecti altare. Non hic erant muri, sed tutelaris Dei prouidentia. Peccator eras? Ne sic quidem te auersatur Deus. Non enim venit vocare iustos, sed peccatores ad pœnitentiam. Consequuta est salutem *Confirmat exemplo.* etiam meretrix, pedibus Iesu apprehensis. Quid hodie lectum sit, audistis. Hęc eò dixerim, vt nunquã hæreas dubius, dum sub Ecclesiæ asylum confugis. D Mane in ecclesia, & non prodêris ab ecclesia. Quod si ab ecclesia transfugeris, iam ecclesia non est tuæ proditionis author. Introrsum enim si es, lupus non ingreditur. Foras es egressus? capi potes à bellua: Sed non à caula, verum à tua pusillanimitate manat huius mali caussa. Nihil vsquam est, quod cum Ecclesia conferatur. Ne mihi cõmemores muros & arma. Muri quidem temporis prolixitate veterascunt: ecclesia verò nunquam senescit. Muros barbari demoliuntur: ecclesiã ne dęmones quidẽ vincunt. Et has non esse iactantiũ se voces, res ipsæ testãtur. Quot quantiq. oppugnarunt ecclesiam, & inter oppugnandum disperierunt? Quin eadem ipsa cœlos transcendit. Talem obtinet ecclesia amplitudinem: oppugnatur, euincit: Appetita insidiis,

euadit superior: iniuriis contumeliisve lacessita, illustrior constituitur: sauciatur, nec cedit impressioni vulnerum: vtcunque fluctuet, non submergitur: immanes sustinet procellas, ne sic quidem patitur naufragiũ: luctatur, sed nõ succumbit: pugillatu exercetur, sed nõ vincitur. Cur itaq; bellũ permissum est ei? Vt trophæũ reportaret splendidius. Illa die præstò fuistis ac cernebatis, quot quantáve arma mouebãtur, ciebatúrq. militaris indignatio igne vehementior, nos etiã tum properabamus ad aulã imperialem. Sed quid? Dei gratia, illorum minæ nihil nobis terroris incusserunt. Hæc eò dixerim, vt vos quoq. hanc imitemini constantiã. Qua autem ex causa nullo terrore sum⁹ perculsi? quòd nihil præsentiũ malorũ timuerimus perpeti. Quid enim graue est? an mors? Nihil intolerabile adfert mors. Actutũ enim per eã ad portum prouehimur prorsus tranquillum. Sed meo me peculio mulctabis? Nudus egressus sum de ventre matris, nudus hinc etiam abibo. Sed in exiliũ extrudes me? Domini est terra, & plenitudo eius. Sed aduersum me calumniæ cõcinnabuntur? Gaudete & exultate, quũ dixerint omne malũ verbũ aduersum vos mentientes, quoniã merces vestra multa est in cœlis. Enses cernebã, & cœlũ intenta mente agitabam. Mortem expectabã, & tacitus resurrectionem meditabar. Videbam hîc infrà mihi paratas afflictiones, & supernæ ciuitatis præmia mecũ enumerabam. Adornatas aduersum me insidias obseruabam, & mẽte tacita supernã meditabar coronã. Certamen mihi propositum abundè sufficiebat ad exhortationẽ simul, & consolationem. Atqui abducebar ad carcerẽ: sed quod fiebat, nihil mihi inuexit cõtumeliæ. Vnum idq; solũ quod infert homini dedecus atque contumeliam, peccatũ. Vt enim vniuersus orbis te malè tractet contumeliis, modò ne fueris tibi cõtumeliosus, nulla afficiêre iniuria aut dedecore. Proditio tantum est à conscientia pendens. Caue prodas tuã consciẽtiam, & nemo te prodit. Rapiebar ad iudicis tribunal, & quæ gerebantur, videbam, imò verius cernebam mihi eas obtigisse molestias ex sermonibus meis, nempe ex homilia mea quæ rebus ipsis in foro verbis præconis denunciabatur. Quam intelligis homiliam? Eam qua consueueram dicere semper, ventus afflauit & deiecit folia. Exaruit fœnum, & flos decidit. Abiit nox, & dies inclaruit: reiecta est vmbra, eluxit veritas.

Inuitat ad constantiã, ab exẽplo.

Attẽde fortitudinem plusquam heroicam.

Iob 1. 21.

Psal. 23. 1.

Matt. 5. 12.

A περιγίνεται· ὑβριζομένη, λαμπροτέρα καθίσταται· δέχεται τραύματα, καὶ οὐ καταπίπτει ὑπὸ τῶν ἑλκῶν· κλυδωνίζεται, ἀλλ' οὐ καταποντίζεται· χειμάζεται, ἀλλὰ ναυάγιον οὐχ ὑπομένει· παλαίει, ἀλλ' οὐχ ἡττᾶται· πυκτεύει, ἀλλ' οὐ νικᾶται. διὰ τί οὖν συνεχώρησε τὸν πόλεμον; ἵνα δείξῃ λαμπρότερον τὸ τρόπαιον. παρῆτε κατ' ἐκείνην τὴν ἡμέραν ἐκείνην, καὶ ἐβλέπετε ὅσα ἐκινεῖτο ὅπλα, καὶ θυμὸς στρατιωτικὸς πυρὸς σφοδρότερος, καὶ ἡμεῖς ἐπὶ τὰς βασιλικὰς αὐλὰς ἐπειγόμεθα. ἀλλὰ τί; τοῦ Θεοῦ χάριτι οὐδὲν ἡμᾶς ἐκείνων κατέπληξε. ταῦτα δὲ λέγω, ἵνα καὶ ὑμεῖς μιμῆσθε.
B διὰ τί δὲ οὐ κατεπλάγημεν; ὅτι οὐδὲν τῶν παρόντων δεινῶν ἐδεδοίκαμεν. τί γάρ ἐστι δεινόν; θάνατος; οὐκ ἔστι τοῦτο δεινόν. ταχέως γὰρ ἐπὶ τὸν λιμένα ἀπερχόμεθα τὸν ἀκύμαντον. ἀλλὰ δημεύσεις; γυμνὸς ἐξῆλθον ἐκ κοιλίας μητρός μου, γυμνὸς καὶ ἀπελεύσομαι. ἀλλ' ἐξορίαις; τοῦ κυρίου ἡ γῆ καὶ τὸ πλήρωμα αὐτῆς. ἀλλὰ συκοφαντίαις; χαίρετε καὶ ἀγαλλιᾶσθε, ὅταν εἴπωσι πᾶν πονηρὸν ῥῆμα καθ' ὑμῶν ψευδόμενοι, ὅτι ὁ μισθὸς ὑμῶν πολὺς ἐν τοῖς οὐρανοῖς. ἑώρων τὰ ξίφη, καὶ τὸν οὐρανὸν ἐλογιζόμην.
C προσεδόκων τὸν θάνατον, καὶ τὴν ἀνάστασιν ἐνενόουν. ἑώρων τὰ κάτω πάθη, καὶ ἠρίθμουν τὰ ἄνω βραβεῖα. ἔβλεπον τὰς ἐπιβουλάς, καὶ ἐλογιζόμην τὸν ἄνω στέφανον. ἡ γὰρ ὑπόθεσις τῶν ἀγώνων ἀρκοῦσα ἦν εἰς παράκλησιν καὶ παραμυθίαν. ἀπηγόμην δέ, ἀλλ' οὐκ ἦν ὕβρις ἐμοὶ τὸ γινόμενον. ὕβρις γὰρ ἓν μόνον ἐστίν, ἡ ἁμαρτία. κἂν γὰρ ἡ οἰκουμένη πᾶσά σε ὑβρίζῃ, σὺ δὲ σαυτὸν μὴ ὑβρίσῃς, οὐχ ὑβρίσθης. προδοσία μόνη ἡ τοῦ συνειδότος. μὴ προδῷς σου τὸ συνειδός, καὶ οὐδείς σε προ-
D δίδωσιν. ἀπηγόμην καὶ ἑώρων τὰ πράγματα, μᾶλλον δὲ τὰ ῥήματά μου πράγματα γινόμενα, τὴν ὁμιλίαν μου, τὴν διὰ τῶν ῥημάτων, ἐπὶ τῆς ἀγορᾶς διὰ τῶν πραγμάτων κηρυττομένην. ποίαν ὁμιλίαν; ἣν ἔλεγον ἀεί. ἄνεμος ἐπνευσε, καὶ τὰ φύλλα κατέβαλεν. ἐξηράνθη ὁ χόρτος, καὶ τὸ ἄνθος ἐξέπεσεν. ἀπῆλθεν ἡ νύξ, καὶ ἐφάνη ἡ ἡμέρα· ἠλέγχθη ἡ σκιά, καὶ ἐφάνη ἡ ἀλήθεια.

ἀνέβησαν ἕως τῶν οὐρανῶν καὶ κατέβησαν ἕως τῶν πεδίων. τὰ κύματα γὰρ ἄνω κατεστάλη διὰ τῶν ἀνθρωπίνων πραγμάτων. πῶς; διδασκαλία ἦν τὰ γινόμενα. καὶ ἔλεγον πρὸς ἐμαυτόν· ἆρα σωφρονίσονται οἱ μετὰ ταῦτα; ἆρα οὐ παρέρχονται δύο ἡμέραι, καὶ λήθῃ τὰ γινόμενα παραδίδοται; ἔναυλα τὰ ὑπομνήματα ἦν. πάλιν εἴπω, πάλιν λαλήσω. τί ὄφελος; μᾶλλον δὲ ὄφελος. κἂν γὰρ μὴ πάντες ἀκούσωσι, οἱ ἡμίσεις ἀκούσονται. κἂν μὴ οἱ ἡμίσεις ἀκούσωσι, τοῦτον τρίτον μέρος· κἂν μὴ τὸ τρίτον, τὸ τέταρτον. κἂν μὴ τὸ τέταρτον, κἂν δέκα, κἂν μὴ δέκα, κἂν πέντε, κἂν μὴ πέντε, κἂν εἷς, κἂν μὴ εἷς, ἐγὼ τὸν μισθὸν ἀπηρτισμένον ἔχω. ἐξηράνθη ὁ χόρτος, καὶ τὸ ἄνθος ἐξέπεσε. τὸ δὲ ῥῆμα τοῦ Θεοῦ μένει εἰς τὸν αἰῶνα. εἴδετε τῶν ἀνθρωπίνων πραγμάτων τὴν εὐτέλειαν; εἴδετε τῆς δυναστείας τὸ ἐπίκηρον; εἴδετε τὸν πλοῦτον, ὃν ἀεὶ δραπέτην ἐκάλουν, οὐ δραπέτην δὲ μόνον, ἀλλὰ καὶ ἀνδροφόνον; οὐ γὰρ καταλιμπάνει τοὺς ἔχοντας μόνον, ἀλλὰ καὶ σφάζει αὐτούς. ὅταν γάρ τις αὐτὸν θεραπεύῃ, τότε μάλιστα αὐτὸν παραδίδωσι. τί θεραπεύεις τὸν πλοῦτον, τὸν σήμερον πρὸς σέ, καὶ αὔριον πρὸς ἄλλον; τί θεραπεύεις πλοῦτον, τὸν μηδέποτε καταδεθῆναι δυνάμενον; βούλει θεραπεῦσαι αὐτόν; βούλει αὐτὸν κατασχεῖν; μὴ κατορύξῃς αὐτόν, ἀλλὰ δὸς αὐτὸν εἰς τὰς χεῖρας τῶν πενήτων. θηρίον ἐστὶν ὁ πλοῦτος. ἂν μὲν κατέχηται, φεύγει· ἂν δὲ σκορπίζηται, μένει. ἐσκόρπισε γάρ, φησιν, ἔδωκε τοῖς πένησιν. ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα. σκόρπισον, ἵνα μείνῃ. μὴ κατορύξῃς, ἵνα μὴ φύγῃ. ποῦ ὁ πλοῦτος; ἡδέως ἂν ἐροίμην τοὺς ἀπελθόντας. λέγω δὲ ταῦτα οὐκ ὀνειδίζων, μὴ γένοιτο, οὐδὲ ἀναξαίνων τὰ ἕλκη, ἀλλὰ τὰ ἑτέρων ναυάγια ὑμῖν λιμένα κατασκευάζων. ὅτε οἱ στρατιῶται, καὶ τὰ ξίφη; ὅτε πόλις ἐκαίετο, ὅτε διάδημα οὐκ ἴσχυεν, ὅτε πορφύρα ὑβρίζετο, ὅτε μανίας πάντα ἔγεμε. ποῦ ὁ πλοῦτος; ποῦ τὰ ἀργυρώματα; ποῦ αἱ κλῖναι αἱ ἀργυραῖ; ποῦ οἱ οἰκέται;

A Aſcenderũt vſque ad cœlos, & deſcenderunt vſque ad imam terræ planitiem. Qui enim in ſublime ſe ſuſtulerant fluctus, pro fragili rerũ humanarum cõditione ad temperiẽ reuocati ſunt ac repreſſi. Quo id pacto? quæ enim fiebant tum, doctrinã ſuggerebant. Apud meipſum dicebã, Iſtine tandẽ his geſtis ſe recipient ad ſaniorẽ mentem? Hæccine quæ geſta ſunt diebus nõ plenè exactis duobus, ſunt tradita obliuioni? Ob omnium oculos expoſita erant de his commentaria. Dicam rurſus: iterũ loquar. B Quid hinc emolumenti? Immo verò, multũ emolumẽti. Licet enim non omnes audiant, pars ſaltẽ dimidia audiet. quòd ſi ne dimidia quidẽ portio audierit ſermonẽ hunc, vel tertia pars. Etiã ſi nec tertia, vel quarta: quod ſi nec quarta, ſint vel decẽ. Quõd ſi non decẽ, ſaltẽ quinque. Quòd ſi nec quinque, vnus ſaltẽ. Etiamſi continget vel vnũ audire: mercedẽ accepturus ſum ego nihilominus perfectam. Exaruit fœnũ & flos decidit: verbum autẽ Dei manet in æternum. Videtis humanarũ rerum quanta ſit abiectio. Videtis, quàm fluxa ſit ac C fragilis terrena potẽtia. Videtis diuitias, quas ſemper vocabã ſeruũ fugitiuum: nec fugacem modò dixerim, ſed & homicidã. Non enim ſe poſſidẽtes deſerit ſolùm, ſed & ipſos iugulat. Quum enim eas qui ſolerti ſtudio coluerit, tunc vel maximè proditionẽ moliuntur in ſuum cultorem. Cur diuitias tot captas obſequiis, quæ hodie penes te ſunt, emigraturæ craſtino ad aliũ? cur tantopere demereri ſtudes diuitias, quę detineri non queunt? Vis eas obſequẽtiùs tibi conciliare? vis eas detinere? Ne eas defoderis, quin potius diſperti in manus pauperũ. D Bellua immanis diuitiæ ſunt. Si ipſas quidẽ detinueris, fuga elabuntur: contrà, ſi diſperſæ fuerint manent. Dicit enim ſcriptura, Diſperſit, dedit pauperibus: iuſtitia eius manet in ſeculum. Diſpergito & tu, vt æternùm durent. Ne eas defoderis, vt ne effugiant. Libenter rogauerim eos, qui è vita hac abierunt, in quónã conditorio congeſtę ſint diuitiæ illorum. Non hæc dixerim exprobrans (auertat Deus) neque vlcera concerpens: ſed portum vobis adornans, contemplatione eorum qui naufragio interciderunt. Quum milites cogerentur, ac diſtringerentur enſes, quum ciuitas flamma furoris eſſet accẽſa, quũ imperiale diadema nullis iam virib. polleret, ſimul & vulgi conuiciis pateret purpura, quum plena inſaniæ eſſent omnia: quo in loco cõditæ erant diuitiæ? vbi argẽtea vaſa? vbi lecticæ ex argẽto affabrè factæ? Quò ſe proripuerũt famuli?

Attende exaggeratiõe Chryſoſtomo dignam.

Iac. 1. 11.

Pſ. 111. 9.

in fuga omnes. quo in loco Eunuchi? A fugerunt ad vnum omnes. quo in statu amici illi erant? Abiecerunt laruas. quo item domus? Occlusæ sunt. quò rursus opes illæ? qui eas habet, fuga se proripuit. Ecquo tandem in loco ipsæ defossæ sunt pecuniæ? Vbi ipsa omnis congeries opum recôdita est? Videórne vobis onerosus ac molestus, qui semper inculcem, quia diuitiæ proditionem moliuntur aduersus eos qui abutuntur ipsis? aduenit temporis articulus, in quo eluxit veritas verborum meorum. quid eas detines, quæ in tentationis B periculo vsui esse non poterunt, nec tibi conferent quiduis emolumenti? Si quid habent virium, quum te inuaserit afflictio quæpiam, adsint tibi. quòd si tunc abs te se subducût, in quem vsum sunt tibi necessariæ? quæ recens facta sunt, abundè testantur, quid adferant vtilitatis. quum enses exacuerentur, intentaretur mors, militaris exercitus ferociret: per metum expectationémque tantæ istius comminationis nusquam se ostentabant diuitiæ. quò aufugit ille transfuga seruus? Ipse qui tibi hæc omnia adornauit, téque in necessitatis C articulo deseruit, fuga elapsus. Etiam si me multi accusent & obijciant, quòd semper dicendo, sermonem accommodem diuitibus. Illi namque semper imminêt pauperibus: quare etiam ego sermonem accommodaui diuitibus: non eo quòd diuites sint, sed quia diuitiis minus probè vtūtur. Semper enim profiteor me nullum traducere aut criminari vt diuitem, sed vt raptorem. Aliud enim est esse diuitē, & aliud raptorem: aliud abundè esse locupletem, & aliud per vim extorquere aliena. Res ipsas distingue: & quę impermixta sunt, ne con- D fundas. Diues es? Nihil veto. Rapax es? hoc do crimini. quæ tui sunt iuris possides? iis fruere. Occupas aliena? Hoc nolim silentio trāsigere. Ob hoc vis me obruere lapidibus? Paratus sum sanguinē profundere. Tantùm est, peccatū tuum prohibeo. Mihi curæ non est odium, non vlla dissensio. Vnum alioqui & id solum me solicitū reddit; nempe auditorum profectus. Et vos ô diuites, mei

A πάντες ἐν φυγῇ. ποῦ οἱ Εὐνοῦχοι; πάντες ἐδραπέτευσαν. ποῦ οἱ φίλοι; τὰ προσωπεῖα ἤλλαξαν. ποῦ αἱ οἰκίαι; ἀπεκλείοντο. ποῦ τὰ χρήματα; ἔφυγεν ὁ ἔχων αὐτά. καὶ τὰ χρήματα ποῦ; κατωρύγη. ποῦ ἐκρύβη τοῦτο ὅλον; μὴ φορτικός εἰμι; μὴ ἐπαχθὴς ἀεὶ λέγων, ὅτι ὁ πλοῦτος τοὺς κακῶς κεχρημένους προδίδωσιν; ἦλθεν ὁ καιρὸς δεικνὺς τῶν ῥημάτων τὴν ἀλήθειαν. τί κατέχεις αὐτὸν, ἐν πειρασμῷ σε μηδὲν ὠφελοῦντα; εἰ ἔχει ἰσχὺν, ὅταν ἐμπέσῃς εἰς ἀνάγκην, παρέστω σοι. εἰ δὲ τότε φεύγει, τί B χρείαν αὐτοῦ ἔχεις; αὐτὰ τὰ πράγματα μαρτυρεῖ. τί τὸ ὄφελος; ξίφη ἠκονημένα, θάνατος ἀπειλούμενος, στρατόπεδον μαινόμενον, προσδοκία ἀπειλῆς τοσαύτης· καὶ ὁ πλοῦτος οὐδαμοῦ. ποῦ ἔφυγεν ὁ δραπέτης; αὐτός σοι κατεσκεύασε ταῦτα πάντα, καὶ ἐν καιρῷ ἀνάγκης φεύγει. καί τοι πολλοὶ ἐγκαλοῦσί μοι ἀεὶ λέγοντες, κεκόλληται τοῖς πλουσίοις· καὶ γὰρ καὶ ἐκεῖνοι ἀεὶ κεκόλληνται τοῖς πένησιν. ἐγὼ δὲ κεκόλλημαι τοῖς πλουσίοις· οὐ τοῖς πλουσίοις δὲ, ἀλλὰ τοῖς κακῶς τῷ πλούτῳ κεχρημένοις. ἀεὶ γὰρ C λέγω, ὅτι οὐ τὸν πλούσιον διαβάλλω, ἀλλὰ τὸν ἅρπαγα. ἄλλο δὲ πλούσιος, καὶ ἄλλο ἅρπαξ· ἄλλο εὔπορος, καὶ ἄλλο πλεονέκτης. διαίρει τὰ πράγματα, καὶ μὴ σύγχεε τὰ ἄμικτα. πλούσιος εἶ; οὐ κωλύω. ἅρπαξ εἶ; κατηγορῶ. ἔχεις τὰ σά; ἀπόλαυε. λαμβάνεις τὰ ἀλλότρια; οὐ σιγῶ. θέλεις με λιθάσαι; ἕτοιμός εἰμι τὸ αἷμά μου ἐκχέειν, μόνον τὴν ἁμαρτίαν σου κωλύω. ἐμοὶ οὐ μέλει μῖσος, οὐ μέλει μοι πόλεμος. ἑνὸς δέ μοι μόνον μέλει, τῆς προκοπῆς τῶν ἀκουόντων. καὶ οἱ πλούσιοι ἐμὰ D τέκνα, καὶ οἱ πένητες ἐμὰ τέκνα. ἡ αὐτὴ γαστὴρ ἀμφοτέρους ὤδινεν· αἱ αὐταὶ ὠδῖνες ἀμφοτέρους ἔτεκον. ἂν τοίνυν κεκόλληται τῷ πένητι, κατηγορῶ σου, οὐ τοῦ πένητος δὲ τοσοῦτον, ὅσον τοῦ πλουσίου τὸ ἀδίκημα. ὁ μὲν γὰρ πένης οὐδὲν μέγα ἀδικεῖται. εἰς χρήματα γὰρ βλάπτεται, σὺ δὲ εἰς ψυχὴν βλάπτῃ.

estis filij: & vos ô paupere, mei estis filij. Ambos enim eadem parturiuit aluus: eædem parturigines ambos sunt enixę. Ipse igitur te coarguo, quòd immineas pauperi. Iniquitas namque, si qua angeretur pauper, nô tanta est grauitatis, quāta fuerit, si par irrogetur pauperi à diuite. Etenim pauper nullam infert diuiti iniustitiā, quæ magni sit momenti. Fraudem enim patitur in facultatibus: tu verò noxam non leuem infers animę.

ὁ βουλόμενος ἀποτεμνέτω, ὁ βουλόμενος λιθαζέτω, ὁ βουλόμενος μισείτω· ὑποθῆκαι γὰρ ἐμοὶ στεφάνων αἱ ἐπιβουλαί, καὶ ἀριθμὸς βραβείων τὰ τραύματα. οὐ δέδοικα ταύτην ἐπιβουλήν· ἓν δέδοικα μόνον, ἁμαρτίαν. μή με τις ἐλέγξῃ ἁμαρτάνοντα, καὶ ἡ οἰκουμένη πᾶσα πολεμείτω μοι. ὁ γὰρ πόλεμος οὗτος λαμπρότερόν με ἐργάζεται. οὕτω καὶ ὑμᾶς παιδεῦσαι βούλομαι. ποῦ οἱ ἀπελθόντες εἰπέ μοι; οὐχὶ πάντες ὑπέκυπτον; οὐχὶ οἱ ἐν ἀρχῇ ὄντες μεῖζον ἔτρεμον αὐτούς; οὐκ ἐθεράπευον; ἀλλ' ἦλθεν ἡ ἁμαρτία, καὶ πάντα ἠλέγχθη, καὶ οἱ θεράποντες δικασταὶ ἐγένοντο, οἱ κολακεύοντες δήμιοι, οἱ τὰς χεῖρας καταφιλοῦντες αὐτοὶ εἷλκον ἀπὸ τῆς ἐκκλησίας. καὶ ὁ χθὲς τὴν χεῖρα καταφιλῶν, σήμερον πολέμιος. διὰ τί; ὅτι οὔτε χθὲς μετὰ ἀληθείας ἐφίλει. ἦλθε γὰρ ὁ καιρὸς, καὶ ἠλέγχθη τὰ προσωπεῖα. οὐ χθὲς τὰς χεῖρας κατεφίλεις, καὶ σωτῆρα ὠνόμαζες καὶ κηδεμόνα καὶ εὐεργέτην; οὐκ ἐγκώμια ὕφαινες μυρία; διὰ τί σήμερον κατηγορεῖς; χθὲς ἐπαινέτης, καὶ σήμερον κατήγορος; χθὲς ἐγκώμια, καὶ σήμερον ἐγκλήματα μιγνύεις; τίς ἡ μεταβολή; τίς ἡ μετάστασις; ἀλλ' οὐκ ἐγὼ τοιοῦτος. ἀλλ' ἐγὼ ἐπιβουλευόμενος, προστάτης ἐγενόμην. μυρία ἔπαθον δεινὰ, καὶ οὐκ ἠμειψάμην. τὸν γὰρ δεσπότην τὸν ἐμαυτοῦ μιμοῦμαι, ὃς ἐν τῷ σταυρῷ ἔλεγεν, ἄφες αὐτοῖς· οὐ γὰρ οἴδασι τί ποιοῦσιν. ταῦτα δὲ λέγω, ἵνα μὴ τῇ ὑπονοίᾳ τῶν πονηρῶν διαφθείρησθε. πόσαι μεταβολαὶ γεγόνασιν, ἐξ οὗ τῆς πόλεως ἐπέστην, καὶ οὐδεὶς σωφρονίζεται; οὐδεὶς δὲ ὅταν εἴπω, οὐ πάντων καταγινώσκω. μὴ γένοιτο. οὐ γὰρ ἔστι τὴν ἄρουραν ταύτην τὴν λιπαρὰν δεξαμένην σπέρματα, μὴ καὶ στάχυν ἐνεγκεῖν, ἀλλ' ἐγὼ ἀκόρεστός εἰμι, οὐ βούλομαι ὀλίγους σωθῆναι, ἀλλὰ πάντας. κἂν εἷς ἀπολειφθῇ ἀπολλύμενος, ἐγὼ ἀπόλλυμαι, καὶ οἶμαι τὸν ποιμένα ἐκεῖνον μιμεῖσθαι, ὃς ἐνενήκοντα ἐννέα εἶχε πρόβατα, καὶ ἐπὶ τὸ ἓν πεπλανημένον ἔδραμεν. μέχρι πότε χρήματα; μέχρι πότε

A Qui vult, ceruicem desecet: qui vult, lapidum iactu adobruat me: qui volet, oderit. Insidiæ istæ materiam mihi suppeditant coronarum: quæ mihi infliguntur vulnera, numerum augent præmiorum. Itaque non mihi sunt timori adornatæ insidiæ. Vnum est & id solum quod metuo, nēpe peccatū. Ne me quis coarguat quasi aberrē à veritate, etiam si aduersum me bellum promoueat orbis vniuersus. Bellum enim hoc me reddit multò splendidiorem. Ita enim vos cupio erudire. Vbinam sunt qui abierunt hinc? dic mihi. Nónne oculos de-B mittebant omnes? Nónne qui in magistratu erant, timore correpti coram illis tremebant? Nónne illos demulcebant ac venerabantur? Sed venit peccatum, & deprehensa est omnium vanitas. Qui colebant, iudices facti erant: qui adulabantur, carnifices euaserant: qui manus deosculabantur, ipsos ab ecclesia abripiebant. Hostis est hodie ei, cuius die hesterno deosculabatur manū. Quamobrem? Quia ne heri quidem verè diligebat. Se occasio obtulit, & personatæ laruæ sunt deprehēsæ. Nónne heri osculabaris manus istius, cui & C acceptam salutem tuam afferebas, nominabas patronum, ac de te quamoptimè meritum? Nónne innumeras ordiebaris illi laudes? Qua de causa eundem insimulas hodie? Heri laudator, & hodie accusator. Heri recitabas laudes, & hodie crimina permisces. Quæ est hæc status tui variatio? At non ego talis. Ego nāq. cui insidiæ struebātur, adiutor factus sū. Innumera mala sum perpessus, nec tamē par pari retuli. Etenim meum ipsius dominum imitor, qui pendens à cruce dicebat, Dimitte eis: non enim D sciunt quid faciunt. *Luc. 23. 34.* Hæc eo dixerim, ne qua vos malignantium suspicio corrumpat. Quot & quantæ mutationes contigerunt, ex quo ciuitati huic præfui? Et nemo se recipit ad meliorem vitæ frugem. Quum dicam, quia nemo: non condemno omnes. Absit. Neque enim fieri potest, vt aruū hoc opimum ac fertile, susceptis seminibus non proferat etiam segetem: sed ego non queo exatiari: cupio non paucos ad salutis portū prouehi, sed omnes. Quòd si vnus aliquis perditus desideretur: ego perij. Arbitror etiam imitari me pastorē illum, qui nonagintanouem possidebat oues, & ad requirendam vnam erraticā cursu contendit. *Luc. 15. 7.* Quousque tandem pecuniæ? Quousque

argentum, aurum, superflua vini effusio, famulorum blanditiæ, coronati crateres, conuiuia Satanica, & quæ diabolica redundant operatione? Non nosti quia vita præsẽs, peregrinatio est? Numnam tu ciuis? viator es. Intellexisti, quid dixerim? Non es ciuis, sed viator & peregrinus. Ne dixeris, Ego habeo ciuitatem, ciuitatem inquam hanc possideo. Nemo nostrum hic habet ciuitatem. Sursum est nostra ciuitas. Præsentia, via sunt. Quotidie iter facimus, tantisper dum naturæ ratio vitalem cursum permetietur. Est vnus aliquis qui in via recondit pecunias? est qui in via aurum defodit? Dic mihi, Ingressus diuersorium, illúdne adornas superuacaneo cultu? Non vtique, sed comedis ac bibis, illinc quoque egrederis festinus. Taberna meritoria est vita præsens. Ingressi sumus vitam hanc, & simul finimus vitã. Festinemus egredi bona cum spe. Nihil hic manere sinamus, vt nequid illic nobis depereat. Ingressus cauponam meritoriam, quid dicis puero? Vide quo loco recõdas omnia, ne quid uis hic relinquas, vt ne quid dispereat, quamlibet fuerit exiguum id, aut leuis momenti, vt in domum exportemus omnia. Ad eundem modum nos quoque in vita præsenti, ipsi vitam cernimus quasi hospitium meritorium esse. Quare nihil hic relinquamus in hospitio, sed bona cuncta ad metropolim conuasemus. Viatores & peregrinus: verius etiam viatore abiectior. Qua id ratione dicam, attende. Viator vtique nouit, quando ingreditur hospitium, simul & quãdo egreditur: in eius enim arbitrio est egressus, quemadmodum & ingressus: ego autem tabernam meritoriam hoc est vitã præsentẽ semel ingressus, quando hinc abeam, ignoro. Interdum temporis permultum detero, dum escas apparo, & e uestigio me euocat dominus iuxta scripturam. Stulte quæ præparasti, cui erunt? Nocte enim hac accipiunt animam tuam. Incertus est exitus, nec secum constat rerum possessio, innumera occurrunt præcipitia, nulla non parte fluctus oboriuntur. Cur circa vmbras plusquam desipis? Cur omissa veritate recurris ad vmbras? Hæc dico, nec desinam dicere, continuum dolorem inurens, ac supprimens vulnera. Idque non in eorum gratiam qui iam è vita migrarunt, sed qui

Luc. 12. 20

A ἄργυρος; μέχρι πότε χρυσός; μέχρι πότε οἶνος ἐκχεόμενος; μέχρι πότε κολακεία οἰκετῶν; μέχρι πότε κρατῆρες ἐστεμμένοι; μέχρι πότε συμπόσια Σατανικὰ, καὶ διαβολικῆς γέμοντα ἐνεργείας; οὐκ οἶδας, ὅτι ἀποδημία ὁ παρὼν βίος; μὴ γὰρ πολίτης εἶ; ὁδίτης εἶ. συνῆκας τί εἶπον; οὐκ εἶ πολίτης, ἀλλ' ὁδίτης εἶ καὶ ὁδοιπόρος. μὴ εἴπῃς, ἔχω τήνδε τὴν πόλιν, καὶ ἔχω τήνδε. οὐκ ἔχει οὐδεὶς πόλιν ὧδε. ἡ πόλις ἄνω ἐστί· τὰ παρόντα ὁδός ἐστιν. ὁδεύομεν τοίνυν καθ' ἡμέραν, ἕως ἡ φύσις ἐπιτρέχει. ἔστι τις ἐν ὁδῷ χρήματα ἀποτιθέμενος; B ἔστι τις ἐν ὁδῷ χρυσίον κατορύττων; ὅταν οὖν εἰσέλθῃς εἰς πανδοχεῖον, εἰπέ μοι, τὸ πανδοχεῖον καλλωπίζεις; οὐχὶ, ἀλλ' ἐσθίεις καὶ πίνεις, καὶ ἐπείγῃ ἐξελθεῖν. πανδοχεῖόν ἐστιν ὁ παρὼν βίος. εἰσήλθομεν, καταλύομεν τὸν παρόντα βίον. σπουδάζωμεν ἐξελθεῖν μετὰ καλῆς ἐλπίδος, μηδὲν ἀφῶμεν ὧδε, ἵνα μὴ ἀπολέσωμεν ἐκεῖ. ὅταν εἰσέλθῃς εἰς τὸ πανδοχεῖον, τί λέγεις τῷ παιδί; βλέπε ποῦ ἀποτίθης τὰ πράγματα, μή τι καταλείπῃς ἐνταῦθα, ἵνα μή τι ἀπόληται, μήτε μικρὸν, μήτε εὐτελὲς, ἵνα C πάντα εἰς τὴν οἰκίαν ἀπενέγκωμεν. οὕτω καὶ ἡμεῖς ἐν τῷ παρόντι βίῳ, βλέπωμεν ὥσπερ πανδοχεῖον τὸν βίον, καὶ μηδὲν ὧδε καταλείπωμεν ἐν τῷ πανδοχείῳ, ἀλλὰ πάντα εἰς τὴν μητρόπολιν ἀπενέγκωμεν. ὁδίτης εἶ καὶ ὁδοιπόρος, μᾶλλον δὲ καὶ ὁδίτου εὐτελέστερος. καὶ πῶς; ἐγὼ λέγω· ὁ ὁδίτης οἶδε τὸ πότε εἰσέρχεται εἰς τὸ πανδοχεῖον, καὶ πότε ἐκβαίνει· κύριος γάρ ἐστι τοῦ ἐξελθεῖν, ὥσπερ καὶ τοῦ εἰσελθεῖν. ἐγὼ δὲ εἰσερχόμενος εἰς τὸ πανδοχεῖον, τουτέστιν εἰς τὸν παρόντα βίον, πότε ἐξέρχομαι οὐκ οἶδα. καὶ ἐνίοτε παρασκευάζομαι D πολλοῦ χρόνου διατροφὰς, καὶ ὁ δεσπότης παραχρῆμα καλεῖ με· ἄφρων, ἃ ἡτοίμασας, τίνι ἔσται; τῇ νυκτὶ γὰρ ταύτῃ λαμβάνουσι τὴν ψυχήν σου. ἄδηλος ἡ ἔξοδος, ἄστατος ἡ κτῆσις, μυρίοι κρημνοὶ, πανταχόθεν κύματα. τί μαίνῃ περὶ τὰς σκιάς; τί ἀφεὶς τὴν ἀλήθειαν κατατρέχεις ἐπὶ τὰς σκιάς; ταῦτα λέγω, καὶ λέγων οὐ παύσομαι συνεχῆ τὴν ὀδύνην ἐργαζόμενος, καὶ τὰ τραύματα καταστέλλων. καὶ οὐ διὰ τοὺς τεθνεῶτας, ἀλλὰ διὰ

τοὺς ἑστῶτας. ἐκεῖνοι γὰρ ἀπῆλθον, καὶ τέλος ἔλαβον· οἱ δὲ ἑστῶτες ἐν ταῖς ἐκείνων συμφοραῖς, ἀσφαλέστεροι γεγόνασι. καὶ τί φησι, ποιήσομεν; ἓν μόνον ποίησον, μίσησον χρήματα, καὶ φίλει σου τὴν ζωήν. ῥίψον τὰ ὄντα, οὐ λέγω τὰ πάντα, ἀλλὰ τὰ περιττὰ περίκοψον. τῶν ἀλλοτρίων μὴ ἐπιθύμει, τὴν χήραν μὴ γυμνώσῃς, τὸν ὀρφανὸν μὴ ἁρπάσῃς, τὴν οἰκίαν μὴ λάβῃς. οὐ λέγω πρόσωπα, ἀλλὰ πράγματα. εἴ τινος δὲ ἐπιλαμβάνεται τὸ συνειδὸς, αὐτὸς αἴτιος, οὐχ ὁ ἐμὸς λόγος. τί ἁρπάζεις, ὅπου φθόνος; ἅρπασον, ὅπου στέφανος. μὴ ἅρπαζε τὴν γῆν, ἀλλὰ τὸν οὐρανόν· βιαστῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν, καὶ βιασταὶ ἁρπάζουσιν αὐτήν. τί ἁρπάζεις τὸν πένητα, τὸν ἐγκαλοῦντα; ἅρπασον τὸν Χριστὸν τὸν ἐπαινοῦντα. εἶδες ἀγνωμοσύνην καὶ μανίαν; ἁρπάζεις πένητα τὸν ἔχοντα ὀλίγον; ὁ Χριστὸς λέγει· ἐμὲ ἅρπασον, χάριν σοι ἔχω τῆς ἁρπαγῆς. τὴν ἐμὴν βασιλείαν ἅρπασον καὶ βίασαι. τὴν κάτω βασιλείαν ἐὰν θελήσῃς ἁρπάσαι, μᾶλλον δὲ κἂν θελήσῃς ἐννοῆσαι, κολάζῃ· τὴν ἄνω δὲ ἐὰν μὴ ἁρπάσῃς, τότε κολάσῃ. ὅπου τὰ βιωτικὰ, φθόνος· ὅπου δὲ τὰ πνευματικὰ, ἀγάπη. ταῦτα μελέτα καθ' ἑκάστην ἡμέραν, καὶ μὴ πάλιν ἰδὼν μετὰ δύο ἡμέρας, ἄλλον ὀχήματι φερόμενον, σηρικὸν περιβεβλημένον ἱμάτιον, κρυφούμενον θορυβηθῇς, ταραχθῇς, καὶ ἐπαίνει πλούσιον, ἀλλὰ τὸν ἐν δικαιοσύνῃ μόνον. μὴ κάκιζε πένητα, ἀλλὰ μάθε τῶν πραγμάτων τὴν κρίσιν ἔχειν ὀρθὴν καὶ ἀδιάφθορον. μὴ ἀπέχου ἐκκλησίας. οὐδὲν γὰρ ἐκκλησίας ἰσχυρότερον. ἡ ἐλπίς σου ἡ ἐκκλησία, ἡ σωτηρία σου ἡ ἐκκλησία· ἡ καταφυγή σου ἡ ἐκκλησία· τοῦ οὐρανοῦ ὑψηλοτέρα ἐστὶ, τῆς γῆς πλατυτέρα ἐστίν. οὐδέποτε γηρᾷ, ἀεὶ δὲ ἀκμάζει. διὰ τοῦτο τὸ στερρὸν αὐτῆς καὶ ἀσάλευτον δηλοῦσα ἡ γραφὴ ὄρος αὐτὴν καλεῖ, τὸ ἄφθορον αὐτὴν καλεῖ, παρθένον. τὸ πολυτελὲς, βασίλισσαν αὐτὴν καλεῖ, τὸ συγγενὲς τὸ πρὸς τὸν Θεὸν, θυγατέρα αὐτὴν καλεῖ. τὸ πολύγονον, στεῖραν αὐτὴν καλεῖ, τίκτουσαν ἑπτά· μυρία ὀνόματα, ἵνα παραστήσῃ αὐτῆς τὴν εὐγένειαν. ὥσπερ γὰρ ὁ δεσπότης αὐτῆς

hîc sunt. Illi enim abierunt è vita suúmque finẽ acceperunt. Qui autem astant, animaduersa illorum calamitate, redditi sunt cautiores. Dixerit quispiam, Quid faciemus? vnum hoc solùm facito. Pecunias odio prosequitor, vitam tuam dilige, facultates à te excutito, nõ dico, omnes, sed eas imminue quæ superfluunt, & accide: aliena ne concupiscas, ne spoliaueris viduam, per rapinam ne interuertas facultates pupilli: eius domum ne accipias, non personas dico, sed res. Si quem verò remordet conscientia, se nouerit authorem esse, non meum sermonem. Quid rapto extorques alienum, vbi inuidia? Rapito, vbi proponitur corona. Ne rape terram, sed cœlum. Cœlorum regnum eorum est qui vim faciunt: & violenti rapiunt illud. Quid rapinam exerces in pauperem vt te criminetur? rapito Christum, hoc rapinæ genus approbantem. Vidisti malignitatem & insaniam? Rapis pauperẽm, exiguum quid possidentem? Christus dicit, Me rapito, & gratiam tibi habeo rapinæ istius. Regnum meum rapito, & vim facito. Inferius regnum hoc si volueris rapere, imò potius si vel mente tacita reputare volueris, vtique dabis pœnas: regnum verò supernum nisi rapueris, tunc lues pœnam. Vbi mundana, ibi inuidia: vbi spiritualia, ibi charitas. Hæc singulis diebus meditare, vt ne interim post biduum intuitus alium qui vehiculo gestetur, qui amiciatur veste serica, qui fastu turgeat, ipse animo consterneris, aut vllam patiare turbellam. Diuitem lauda, sed eum & solum qui iustè viuit. Pauperi ne conuicieris aut afflictes: sed disce de rebus quibuslibet iudicium habere rectum & incorruptum. Ab ingressu ecclesiæ ne abstineto. Nihil enim fortius ecclesia. Ecclesia spes tua sit: ecclesia salus tua: perfugiũ tuũ ecclesia: cœlo est sublimior, & latior terra. Nunquam sentit senectutem, adolescit semper ac viget. Quare scriptura ostendens eius inconcussam stabilitatẽ, montem eam vocat. Quódque incorrupta perseueret, appellat virginem. Reginam nuncupat, ob magnificentiam ac splendorem. Ob necessitudinem & cognationem quam ad Deum habet, filiam nominat: propter numerosam prolem sterilem eam vocat, quæ peperit septem. Innumera illi indita sunt nomina, vt ipsius generositatem scriptura repræsentaret. Vt enim dominus eius

Quis est hic, & laudabimus eum?

Matth. 11. 12

Ecclesia mons, virgo, regina, filia, vidua.

multa sortitur nomina) vocatur namque pater, via, vita, lux, brachium, propitiatio, fundamentum, venatio: & qui ne peccare quidem potest, thesaurus, dominus Deus, filius vnigenitus, forma Dei, imago Dei. Num nomen vnum satis esse possit vniuersis repræsentãdis filij Dei proprietatibus? Nullo modo. Ob hoc sanè nomenclaturas vix vlli numerandas scriptura continet, vt non nihil de Deo doceamur, quamlibet id sit pusillum. Sic planè etiam ecclesia multis nuncupatur nominibus. Virgo dicitur. Atqui prius fornicata fuerat. Admirari enim libeat in sponso hoc, quia accepit meretricẽ & reddidit virginem. O rem nouam & admirabilem. Nuptiæ apud nos missam faciunt virginitatem: nuptiæ apud Deum perditam exuscitant virginitatem. Apud nos quę virgo est, nupta nõ est virgo: apud Christum quæ erat meretrix, nupta mox virgo facta est. Hoc solùm velim mihi interpretetur hæreticus, qui curiosiùs inquirit supernã generationem, dicitque, quónam modo pater genuit? Dic tu ei, quomodo ecclesia, meretrix quũ esset, facta est virgo? Rursus: quónam pacto quæ genuit, permansit virgo? Æmulor enim vos Dei æmulatione, ait Paulus. Despondi enim vos vni viro virginem castam exhibere Christo. O sapientiam & intelligentiam! Æmulor enim vos Dei æmulatione. Quid est hoc? Æmulor dicit: qui spiritualis es, æmularis? Respondet, Æmulor quemadmodum Deus æmulatur. Ergóne Deus æmulatur? Ita est, non perturbatione, sed charitate, & zelotypia. Æmulor enim vos Dei æmulatione. Dicam tibi quo pacto æmuletur. Vidit terram dæmonum suggestione corruptam, eóque filium suum tradidit. Verba enim quando de Deo dicuntur, non eandem habent vim. Exempli gratia, quòd æmulatur Deus, quòd irascitur, quòd pœnitet, quòd odit, verba hæc ad humanos affectus pertinent: sed sententię nihil continent Deo indignum. Quomodo æmulatur Deus? Æmulor vos Dei æmulatione. Irascitur Deus? Domine ne in furore tuo arguas me. Itaque etiam dormit? Exurge, quare obdormis domine? Deúmne pœnitet alicuius? Pœnitet me, quia feci hominem. Odit Deus? Festiuitates vestras & neomenias odit anima mea. Cæterùm ne spectes vilitatem dictionum, sed sen-

Arius & illius complices.

2. Cor. 11. b

A πολλὰ ὀνόματα ἔχει, καὶ πατὴρ καλεῖται, καὶ ὁδὸς καλεῖται, καὶ ζωὴ καλεῖται, καὶ φῶς καλεῖται, καὶ βραχίων καλεῖται, καὶ ἱλασμὸς καλεῖται, καὶ θεμέλιος καλεῖται, καὶ θύρα καλεῖται, καὶ ἀναμάρτητος καλεῖται, καὶ θησαυρὸς καλεῖται, καὶ κύριος καλεῖται, καὶ Θεὸς καλεῖται, καὶ υἱὸς καλεῖται, καὶ μονογενὴς καλεῖται, καὶ μορφὴ Θεοῦ, καὶ εἰκὼν Θεοῦ καλεῖται. μὴ ἀρκεῖ ἓν ὄνομα παραστῆσαι τὸ ὅλον; οὐδαμῶς. ἀλλὰ διὰ τοῦτο μυρία ὀνόματα, ἵνα μάθωμέν τι περὶ Θεοῦ, κἂν μικρόν. οὕτω δὴ καὶ ἡ ἐκκλησία πολλὰ καλεῖται. παρθένος λέγεται, καὶ μὲν B πόρνη ἦν πρὸ τούτου. τὸ γὰρ θαυμαστὸν τοῦ νυμφίου, ὅτι ἔλαβε πόρνην, καὶ ἐποίησε παρθένον. ὢ καινῶν καὶ παραδόξων πραγμάτων. γάμος παρ' ἡμῖν παρθενίαν λύει, γάμος παρὰ Θεῷ παρθενίαν ἀνέστησεν. παρ' ἡμῖν ἡ οὖσα παρθένος, γαμουμένη οὐκ ἔστι παρθένος· παρὰ Χριστῷ ἡ οὖσα πόρνη, γαμουμένη, παρθένος γέγονεν. ἑρμηνευέτω ὁ αἱρετικὸς τοῦτο μόνον, ὁ περιεργαζόμενος τὴν ἄνω γέννησιν, καὶ λέγων· πῶς ἐγέννησεν ὁ πατήρ; εἰπὲ αὐτῷ. πῶς ἡ ἐκκλησία πόρνη οὖσα, παρθένος ἐγένετο; πῶς δὲ ἡ C γεννήσασα, παρθένος ἔμεινε; ζηλῶ γὰρ ὑμᾶς Θεοῦ ζήλῳ. ὁ Παῦλος φησίν· ἡρμοσάμην γὰρ ὑμᾶς ἑνὶ ἀνδρὶ παρθένον ἁγνὴν παραστῆσαι τῷ Χριστῷ. ὢ σοφία καὶ σύνεσις. ζηλῶ γὰρ ὑμᾶς Θεοῦ ζήλῳ. τί ἐστι τοῦτο; ζηλῶ, λέγει. ζηλοῖς ὁ πνευματικός; ζηλῶ γάρ, λέγει, ὡς ὁ Θεός. καὶ Θεὸς ζηλοῖ; ναὶ ζηλοῖ, οὐ πάθει, ἀλλ' ἀγάπῃ καὶ ζηλοτυπίᾳ; ζηλῶ γὰρ ὑμᾶς Θεοῦ ζήλῳ. εἴπω σοι, πῶς ζηλοῖ; εἶδεν ὑπὸ δαιμόνων διαφθειρομένην τὴν γῆν, καὶ τὸν υἱὸν D αὐτοῦ ἐξέδωκε. τὰ γὰρ ῥήματα ἐπὶ τοῦ Θεοῦ λεγόμενα, οὐ τὴν αὐτὴν ἔχει ἰσχύν. οἷον, ζηλεύει Θεός, ὀργίζεται Θεός, μεταμελεῖ Θεός, μισεῖ Θεός, τὰ ῥήματα ταῦτα ἀνθρώπινα, ἀλλὰ τὰ νοήματα θεοπρεπῆ. πῶς ζηλεύει Θεός; ζηλῶ γὰρ ὑμᾶς Θεοῦ ζήλῳ. ὀργίζεται Θεός; κύριε μὴ τῷ θυμῷ σου ἐλέγξῃς με. ὥστε καὶ καθεύδει Θεός. ἀνάστηθι, ἵνα τί ὑπνοῖς κύριε; μεταμελεῖ Θεός; μετενόησα, ὅτι ἐποίησα τὸν ἄνθρωπον. μισεῖ ὁ Θεός; τὰς ἑορτὰς ὑμῶν καὶ τὰς νεομηνίας μισεῖ ἡ ψυχή μου. ἀλλὰ μὴ πρόσεχε τῇ εὐτελείᾳ τῶν λέξεων· ἀλλὰ λά-

βε θεοπρεπῆ τὰ νοήματα. ζηλοῖ ὁ Θεός, ἀγαπᾷ γάρ. ὀργίζεται ὁ Θεός, οὐ πάθει, ἀλλὰ τιμωρία καὶ κολάσει. ὑπνοῖ Θεός, οὐ καθεύδων, ἀλλὰ μακροθυμῶν. ἔκλεγε τὰς λέξεις. οὕτω καὶ ὅταν ἀκούσῃς, ὅτι γεννᾷ Θεός, μὴ τμῆσιν νόμιζε, ἀλλὰ τὸ ὁμοούσιον. τὰ γὰρ ῥήματα ταῦτα, πολλὰ παρ' ἡμῶν ἐχρήσατο ὁ Θεός· καὶ ἡμεῖς παρ' αὐτοῦ, ἵνα τιμηθῶμεν. συνῆκας τί εἶπον; πρόσεχε μετὰ ἀκριβείας ἀγαπητέ. ὀνόματά ἐστι θεῖα, καὶ ὀνόματα ἀνθρώπινα. ἔλαβε παρ' ἐμοῦ, καὶ ἔδωκέ μοι αὐτός. δός μοι τὰ σά, καὶ λάβε τὰ ἐμά, λέγει. τὴν ἐμὴν χρείαν ἔχεις· οὐκ ἐγὼ χρείαν ἔχω, ἀλλὰ σύ. ἐπεὶ γὰρ ἡ οὐσία μου ἀκήρατός ἐστιν· σὺ δὲ ἄνθρωπος εἶ σώματι συμπεπλεγμένος, σωματικὰς ζητεῖς καὶ λέξεις, ἵνα σὺ ὁ σώματι συμπεπλεγμένος λαβὼν ἀπὸ τῶν σοὶ γνωρίμων ῥημάτων, νοήσῃς τὰ ὑπερβαίνοντά σε νοήματα, ποῖα ἔλαβε παρ' ἐμοῦ, ποῖα δὲ ἔδωκέ μοι ὀνόματα· αὐτὸς Θεός ἐστι, καὶ ἐμὲ Θεὸν ἐκάλεσεν. ἐκεῖ φύσις πράγματος, ἐνταῦθα τιμὴ ὀνόματος. ἐγὼ εἶπα· θεοί ἐστε, καὶ υἱοὶ ὑψίστου πάντες. ῥήματά ἐστιν ἐνταῦθα, ἐκεῖ δὲ πραγμάτων φύσις. ἐκάλεσέ με Θεόν, ἐτιμήθην γάρ. ἐκλήθη αὐτὸς ἄνθρωπος, ἐκλήθη αὐτὸς υἱὸς ἀνθρώπου, ἐκλήθη αὐτὸς ὁδός, ἐκλήθη αὐτὸς θύρα, ἐκλήθη αὐτὸς πέτρα. ταῦτα παρ' ἐμοῦ ἔλαβεν, ἐκεῖνα παρ' ἑαυτοῦ τὰ ῥήματά μοι ἔδωκε. διὰ τί ἐκλήθη ὁδός; ἵνα μάθῃς, ὅτι δι' αὐτοῦ πρὸς τὸν πατέρα ἀνερχόμεθα. διὰ τί ἐκλήθη πέτρα; ἵνα μάθῃς, τὸ ἐπιτήδειον καὶ ἀσάλευτον τῆς πίστεως. διὰ τί ἐκλήθη θεμέλιος; ἵνα μάθῃς, ὅτι πάντα βαστάζει. διὰ τί ἐκλήθη ῥίζα; ἵνα μάθῃς, ὅτι ἐν αὐτῷ ἀνθοῦμεν. διὰ τί ἐκλήθη ποιμήν; ὅτι ἡμᾶς νέμει. διὰ τί ἐκλήθη πρόβατον; ὅτι ὑπὲρ ἡμῶν ἐθύθη, καὶ ἱλασμὸς ἐγένετο. διὰ τί ἐκλήθη ζωή; ὅτι νεκροὺς ὄντας ἡμᾶς ἀνέστησε. διὰ τί ἐκλήθη φῶς; ὅτι σκότους ἡμᾶς ἀπήλλαξε. διὰ τί ἐκλήθη βραχίων; ὅτι ὁμοούσιός ἐστι τῷ πατρί. διὰ τί ἐκλήθη λόγος; ὅτι ἀπὸ τοῦ πατρὸς ἐτέχθη. ὥσπερ γὰρ ὁ λόγος ὁ ἐμὸς ἀπὸ τῆς ψυχῆς μου γεννᾶται, οὕτω καὶ ὁ υἱὸς ἀπὸ τοῦ πατρὸς ἐτέχθη. διὰ τί ἐκ-

A tentias interpretare vti Deum addecent. Æmulatur Deus, diligit enim. Irascitur Deus, non odij affectu, sed per hoc quòd vlciscitur ac punit. Somnum capere dicitur Deus, non quidem dormiens, sed longanimiter tolerans peccatorem. Delige dictiones, & ad eum modum quando audieris quia generat Deus, nullam putes intercedere sectionem, sed eandem prorsus intelligas essentiam. Deus enim legitur plerumque vsus nostris hisce verbis: nos quoque ab ipso desumptis vtimur, honoris emerendi gratia. Intellexisti, quid dixerim? B Animum huc cum exacta diligentia aduertito dilectissime. Nomina sunt & diuina & humana. Accepit à me ipse Dominus, & dedit mihi. Dicit perinde, Da mihi tua, & accipe mea: meorum indigentiam habes: nullius ego rei sum indigus, sed tu. Substantia siquidem mea incorrupta, nec vllo æuo labefactanda perseuerat: tu autem homo es corpori consertus, propterea dictiones inquiris consentaneas corpori: vt tu qui coniunctus es corpori, dum eam perceperis per verba tibi cognoscibilia, intelligere possis sententias scripturæ quæ te trans- C cendunt. Cuiusmodi sunt, quæ à me accepit, quales item assimilationes. Ipse Deus quum sit, me etiam vocauit Deum. Illic natura rei, hic honore nominis. Ego dixi, dij estis: & filij excelsi omnes. Verba quidem sunt hic: illic verò rerum natura. Vocauit me Deum: hoc enim me dignatus honore est. Vocatus est ipse homo, vocatus est idem filius hominis, Via, Ianua, Petra. Hæc à me accepit: quæ autem verba mihi dedit, illa à sua ipsius natura est mutuatus. Qua ratione vocatus est via? Vt discas quia per eum nobis vnà hinc D emigrandum est ad patrem. Cur petra? vt discas fidei accommodam simul & inconcussam proprietatem. Quare fundamentum? vt docearis, quia is portat omnia. Radix cur dicitur? vt noueris, quia in ipso flores proferimus. Qua de causa pastor? Nos siquidem pascit. Ouis quare? quia nostræ salutis causa immolatus est, & est factus propitiatio. Cur vita? quòd nos qui mortui eramus, excitarit ad vitam. Vt quid lux? quia nos à tenebris subduxit. Quare brachium? quod patri sit coëssentialis. Verbum quare dicitur? quia ex patre genitus est. Quemadmodum enim verbum meum generatur ab anima, ita & filius à patre genitus est. Quamobrem vocatus

est vestimentum? quòd eum sim indutus in susceptione baptismatis. Cur mēsa? quia ipsum edo, dum perfruor mysteriis. cur domus? quoniam in ipso habito. Qua de causa inquilinus? quòd ipsius efficimur templum. Caput quare? quia mēbrū eius cōstitutus sum. quamobrē spōsus? quia spōsam me sibi adiunxit. qua ex causa dictus est castus? quia virginē me accepit. Cur vocatus est dominus? quòd sim eius ancilla. Vide enim ecclesiam esse, quod dicebā. Siquidem spōsa est aliquando, nonnūquam filia, quandoq; virgo, quādoq; ancilla, interdū regina, interdū sterilis est, interdum mōs, sed & hortus est; interdū fœcunda, interdū lilium, interdū fons est: deniq; oīa est. Quocirca quū hæc exaudieris, te hortor, ne existimes corporalia esse: mentem tuā potius intende ad scopum. Neq; enim hęc corporalia esse possunt. Exēpli gratia sit quod dico, mons virgo non est, virgo non est sponsa, regina ancilla nō est. Omnia ecclesia est. Cur ita? quia hæc non in corpore, sed in anima sunt. Hæc etenim in corpore, loco angustiore stricta fuerint: in animo autem multam capacitatē obtinent, instar pelagi. Adstitit regina à dextris tuis. Regina vtique conculcata & pauper, quānam ratione effecta est regina? quò ascēdit? Sursum adstitit regina hæc. Quo pacto? quandoquidem rex factus est seruus. Non erat, sed factus est. Disce igitur quæ sunt diuinitatis, & sapienter intellige quæ humanæ sunt dispēsationis: nimirum vt scias quis erat, & quis factus fuerit tui causa, & ne res ipsas confuderis, neque materiam tantę erga nos benignitatis vertas in occasionem blasphemię. Sublimis erat, & ista humilis. Sublimis non loco, sed natura, nulla poterat labefactari violētia mortis. Essentia erat nulli obnoxia interneccioni, aut corruptelæ patens natura, incogitabilis, inuisibilis, incōprehensibilis, sēper existens, codē modo, eius transcendens angelos, supernis illis virtutib. superior. Cogitationem vincit, intelligentiam transgreditur, videri non potest, fide tantum potest apprehendi. Cernebant angeli & contremiscebant. Cherubim agmina omnia cum timore alas suas submittebant. super terram ipsam aspiciebat: & eam tremore concutiebat: minas intentabat mari, & exiccabat eam, fluuios ex deserta terra educebat, montes statuit in pondere, & colles in statera. Quōnam modo singula eloquar? qua loquendi formula omnia repræsentabo? Maiestas

Ecclesia Regina.

Esaia textus Seraphim habet.

A λήθη ἱμάτιον; ὅτι ἐνδέδυμαι αὐτὸν βαπτισθείς. διὰ τί ἐκλήθη τράπεζα; ὅτι ἐσθίω αὐτὸν ἀπολαύσας τῶν μυστηρίων. διὰ τί ἐκλήθη οἶκος; ὅτι οἰκῶ ἐν αὐτῷ. διὰ τί ἔνοικος; ὅτι ναὸς αὐτοῦ γινόμεθα. διὰ τί ἐκλήθη κεφαλή; ὅτι μέλος αὐτοῦ κατέστην. διὰ τί ἐκλήθη νυμφίος; ὅτι νύμφην με ἡρμόσατο. διὰ τί ἐκλήθη ἁγνός; ὅτι παρθένον με ἔλαβε. διὰ τί ἐκλήθη δεσπότης; ὅτι δούλη αὐτοῦ εἰμι. ὅρα γὰρ τὴν ἐκκλησίαν ὅπερ ἔλεγον, ὅτι ποτὲ νύμφη ἐστὶ, ποτὲ θυγάτηρ ἐστὶ, ποτὲ παρθένος ἐστὶ, ποτὲ δούλη ἐστὶ, ποτὲ βασί- B λισσά ἐστι, ποτὲ στεῖρά ἐστι, ποτὲ ὄρος ἐστὶ, ποτὲ παράδεισός ἐστι, ποτὲ πολύτοκός ἐστι, ποτὲ κρίνον ἐστὶ, ποτὲ πηγή ἐστι, πάντα ἐστί. διὰ τοῦτο ἀκούσας ταῦτα, μὴ νόμιζε σωματικὰ εἶναι παρακαλῶ, ἀλλὰ στεῖνόν σου τὴν διάνοιαν, τὰ γὰρ σωματικὰ τοιαῦτα εἶναι οὐ δύναται. οἷόν τι λέγω· τὸ ὄρος παρθένος οὐκ ἔστιν. ἡ παρθένος, νύμφη οὐκ ἔστιν. ἡ βασίλισσα, δούλη οὐκ ἔστιν. ἡ ἐκκλησία πάντα ἐστί. διὰ τί, ὅτι οὐκ ἐν σώματι ταῦτα, ἀλλ' ἐν ψυχῇ. ἐν μὲν γὰρ σώματι ταῦτα ἐστενοχώρηται· ἐν δὲ ψυχῇ, πολὺ ἔχει τὸ πέλαγος. παρέστη ἡ βασίλισσα ἐκ δεξιῶν σου. βασίλισσα ἡ C πεπατημένη, ἡ πτωχὴ, πῶς βασίλισσα ἐγένετο; καὶ ποῦ ἀνέβη; ἄνω παρέστη ἡ βασίλισσα αὕτη. πῶς; ἐπειδὴ ὁ βασιλεὺς ἐγένετο δοῦλος. οὐκ ἦν, ἀλλ' ἐγένετο. μάθε οὖν τὰ τῆς θεότητος, καὶ σόφιζε τὰ τῆς οἰκονομίας. μάθε τίς ἦν, καὶ τίς ἐγένετο διὰ σὲ, καὶ μὴ σύγχεε τὰ πράγματα, μηδὲ τὴν ὑπόθεσιν τῆς φιλανθρωπίας, ἀφορμὴν ποιοῦ βλασφημίας. ὑψηλὸς ἦν, καὶ αὕτη ταπεινή. ὑψηλὸς οὐ τόπῳ, ἀλλὰ φύσει. ἀκήρατος ἦν, ἀνώλεθρος ἡ οὐσία, ἄφθαρτος ἦν ἡ φύσις, ἀπερινόητος, ἀόρατος, ἀ- D κατάληπτος, ἀεὶ ὢν, ὡσαύτως ὢν, ὑπερβαίνων ἀγγέλους, ἀνώτερος τῶν ἄνω δυνάμεων, νικῶν λογισμὸν, ὑπερβαίνων διάνοιαν, ὀφθῆναι μὴ δυνάμενος, πιστευθῆναι δὲ μόνον. ἄγγελοι ἔβλεπον καὶ ἔτρεμον, τὰ Χερουβὶμ τὰς πτέρυγας ἐπίβοηγοι πάντα ἐν φόβῳ. ἐπέβλεπεν ἐπὶ τὴν γῆν, καὶ ἐποίει αὐτὴν τρέμειν· ἠπείλει τῇ θαλάσσῃ, καὶ ἐξήραινεν αὐτήν. ποταμοὺς ἐξ ἐρήμου. τὰ ὄρη ἔστησε σταθμῷ, καὶ τὰς νάπας ζυγῷ. πῶς εἴπω; πῶς παραστήσω; ἡ μεγαλωσύνη

αὐτοῦ πέρας οὐκ ἔχει, ἡ σοφία αὐτοῦ ἀριθμὸν οὐκ ἔχει, τὰ κρίματα αὐτοῦ ἀνεξιχνίαστα, αἱ ὁδοὶ αὐτοῦ ἀνεξερεύνητοι. ἀλλ᾽ ὅτε ὁ τοσοῦτος καὶ τηλικοῦτος, εἰ ἀσφαλὲς καὶ τοῦτο εἰπεῖν, τοσοῦτος καὶ τηλικοῦτος. ἀλλὰ τί πάθω; ἄνθρωπός εἰμι, καὶ ἀνθρωπικῶς διαλέγομαι. τηλικαύτην κέκτημαι γλῶτταν, συγγνώμην αἰτῶ παρὰ τοῦ δεσπότου. οὐ γὰρ ἐξ ἀπονοίας ταῖς λέξεσι ταύταις κέχρημαι, ἀλλὰ δι᾽ ἀπορίαν τῆς ἀσθενείας, καὶ τῆς φύσεως τῆς γλώττης τῆς ἡμετέρας. ἵλεως ἔσο δέσποτα, οὐ γὰρ ἀπονοίᾳ κεχρημένος, ταύτας λέγω τὰς λέξεις, ἀλλ᾽ οὐκ ἔχω ἄλλας. οὐ μὴν οὐδὲ ἵσταμαι ἐν τῇ εὐτελείᾳ τῆς λέξεως, ἀλλὰ διαβαίνω τῷ πτερῷ τοῦ νοήματος. ὁ τοσοῦτος καὶ τηλικοῦτος. ταῦτα λέγω, ἵνα μὴ ταῖς λέξεσι παραμένων, μηδὲ τῇ πτωχείᾳ τῶν λεγομένων, μάθῃς καὶ αὐτὸς τοῦτο ποιεῖν. τί θαυμάζεις, εἰ ἐγὼ τοῦτο ποιῶ, ὅπουγε καὶ αὐτὸς, ὅταν βούληταί τι παραστῆσαι ὑπερβαῖνον τὰ ἀνθρώπινα, ἐπεὶ ἀνθρώποις διαλέγεται, καὶ ἀνθρωπίναις κέχρηται εἰκόσιν, οὐκ ἀρκούσαις μὲν παραστῆσαι τὸ λεγόμενον, οὐδὲ δυναμέναις ὅλον τὸ μέγεθος ἀγαγεῖν εἰς τὸ μέσον, ἀρκούσαις δὲ τῇ ἀσθενείᾳ τῶν ἀκουόντων. συντείνον σαυτὸν, μὴ ἀπόκαμνε δὲ τοῦ λόγου μηκυνομένου. ὥσπερ γὰρ ὅταν φαίνηται, οὐχ ὅπερ ἐστὶ φαίνεται, οὐδὲ γυμνὴ ἡ οὐσία φαίνεται. οὐδεὶς γὰρ εἶδε Θεὸν, αὐτὸ ὅ ἐστιν. τῇ γὰρ συγκαταβάσει καὶ τὰ Χερουβὶμ ἔτρεμον. συγκατέβη, καὶ τὰ ὄρη καπνίζεται. συγκατέβη, καὶ ἡ θάλασσα ξηραίνεται. συγκατέβη, καὶ ὁ οὐρανὸς σαλεύεται. καὶ εἰ μὴ συγκατέβη, τίς ἂν ἤνεγκεν; ὥσπερ οὖν οὐ φαίνεται, ὅπερ ἐστὶν, ἀλλ᾽ ὃ δύναται ὁ ὁρῶν ἰδεῖν. διὰ τοῦτό ποτε μὲν παλαιὸς φαίνεται, ποτὲ δὲ νέος· ποτὲ δὲ ἐν πυρὶ, ποτὲ δὲ ἐν αὔρᾳ, ποτὲ δὲ ἐν ὕδατι, ποτὲ δὲ ἐν ὅπλοις. οὐ μεταβάλλων τὴν οὐσίαν, ἀλλὰ σχηματίζων τὴν ὄψιν πρὸς τὴν ποικιλίαν τῶν ὑποκειμένων. οὕτω δὲ καὶ ὅταν βούληταί τι περὶ αὐτοῦ εἰπεῖν, ἀνθρωπίνοις εἰκόσι κέχρηται. οἷόν τι λέγω, ἀνέβη εἰς τὸ ὄρος, καὶ μετεμορφώθη ἔμπρο-

eius finem non habet, sapientia eius nullo concluditur numero, iudicia eius imperuestigabilia, viæ eius inscrutabiles. Atqui hic tantæ, immò immensæ maiestatis, (siquidem hoc citra periculum dici potest) tantus talisque est. Sed quid tandem faciã? Homo sum & hominum more eloquor. Tantillam possideo linguam. Ignosci mihi efflagito à domini benignitate. Neque enim hisce dicendi formulis vsus sum per arrogantiam, sed eò sum adductus perplexitate infirmitatis & ingenitæ hebetudinis linguæ nostræ. Propitius mihi esto domine. Non enim insolentia animi vsus, has pronuncio sententias. Atqui alias non habeo. Verùmtamen non acquiesco isti qualicunq. elocutioni, sed præpete ala intelligentiæ ad superiora conscendo, tantus ac tantæ amplitudinis. Hæc eo dixerim, vt ne dictionibus immorari videar, neque inopia eorum quę dicuntur laborare: ipse item discas hoc facere. Quid miraris, si hoc ipse facio, quòd vtique ipse fecit, quãdo voluit quæ humana sunt transcendere? Vbi cum hominibus fecit sermonẽ, similitudinibus etiam vsus est humanis, nõ quidem quę pares essent repræsentandis his quæ ab eo dicebantur, aut quæ possent omnimodam rerum ipsarum proportionem perducere in medium, sed quæ abundè satisfacerent imbecillo captui auditorum. Huc mentem tuam intende. Vt sit sermo meus expectatione tua productior, nolim tamen animo fatiscas aut delasseris. Verbi enim gratia, Deus cùm cupiam apparet, non id quod est apparet, neque nuda eius apparet essentia. Nemo enim vidit Deum secundum id quod est. Condescẽsione quidem Cherubim agmina intremiscebant. Condescensione seu demissione montes quoque fumigant. Condescensione etiam mare exiccabatur. Quin etiam cœlum ipsum cõmouetur. Nisi enim ipse condescendens se demisisset, quis ferre poterat? Non itaque conspicitur numen illud quod est: sed quod potest is cui se exhibet conspicuum. Quare aliquando quidem vt vetus & qui incanuerit, apparet: aliquando vt iuuenis, nonnunquam in igne, rursus sub spetie lenis auræ: interdum in aqua, quandoque armis conspicuus, non quidem mutans essentiam, sed pro varietate subiectorum, figuram sui exhibet visibilem. Sanè quoties voluit de se pronunciare, humanis vsus est similitudinibus: cuiusmodi est quod dico, Ascendit in montem & transfiguratus est

ante eos, & splenduit facies eius sicut lux, vestimenta autẽ eius facta sunt alba sicut nix. Ac si diceret, Insinuauit eis quadamtenus suam diuinitatem seque inhabitantẽ Deum. Et trãsfiguratus est ante eos. Aures attentas huic adhibete sermoni, & trãsfiguratus est ante eos, & vestimẽta eius facta sunt alba sicut nix, & splenduit facies eius sicut sol. Quãdo dixi, Tantus ac tantæ amplitudinis, etiã adieci, Propitius mihi esto domine: non enim persto in hac locutione, sed hæreo anxius. Non enim ad manum habeo aliam loquendi compositam formulam. Eò me ducit animus, vt nouerim, quia hoc sum edoctus per sacrã scripturam. Voluit igitur Euangelista qualemcunque scintillam claritatis eius declarare. Et dixit, Resplenduit. Quónam modo resplenduit? dic mihi. Multa cum vehementia. Quánam ratione? adijcis, Sicut Sol? Sicut sol, dicis? certè. vt quid? Quod inter alia astra nullum occurrat splendidius. Et albus erat quasi nix. Cur, quasi nix? quia inter materias nulla vincit huius albedinẽ. Nam quòd non ad eum modũ splenduerit, sequentis sententiæ contextu declaratur, Et ceciderunt in terram discipuli. Si quasi sol splenduit, non ideo ceciderunt. Solem enim nullo non die cernebant, neque ob id in humum decidebant. Cæterùm quando supra solis splendorem longè præfulserat, supráque candorem niuis albicarat, ob hoc non ferentes discipuli tanti splendoris radios, corruerunt. Dic igitur tu mihi (ô Euangelista) Supra solem enituit, & tu dicis, sicut sol? Certè, vt qui cupiam tantæ lucis splendorem reddere tibi cognitu facilem. Non enim aliud sydus occurrit sole illustrius. Non alia similitudo, quippe quid sol inter astra regnum obtineat. Hæc eò dixi, vt ne fixiùs hæreas in tenuitate loquutionis. Ostendi tibi lapsum discipulorum. In terram collapsi sunt, vehementi sopore depressi & aggrauati. Surgite, ait: & excitauit eos, & erant degrauati. Neque enim ferebant splendoris exuperantiam, sed intercepit grauedo soporis eorum oculos. Vsque adeò lux illa eis conspicua, multò erat sole ipso illustrior. Dixit namque Euangelista, Super solem, quando sydus hoc nulli nõ nostrum notissimũ est, idque præ cæteris astris omnibus. Sed vt dicebam, Tantus tantæque amplitudinis quum esset, concupiuit fornicariam. Concupiscebat Deus fornicariam? Certè fornicariam, naturam dico nostram.

A ἔμπροσθεν αὐτῶν, καὶ ἔλαμψεν τὸ πρόσωπον αὐτοῦ ὡς τὸ φῶς, τὰ δὲ ἱμάτια αὐτοῦ ἐγένοντο λευκὰ, ὡσεὶ χιών. παρήνοιξε φησὶν, ὀλίγον τῆς θεότητος, ἔδειξεν αὐτοῖς τὸν ἐνοικοῦντα Θεὸν, καὶ μετεμορφώθη ἔμπροσθεν αὐτῶν, πρόσεχέ τι μετὰ ἀκριβείας τῷ λόγῳ. λέγει, καὶ μετεμορφώθη ἔμπροσθεν αὐτῶν, καὶ ἔλαμψε τὰ ἱμάτια αὐτοῦ ὡς τὸ φῶς, καὶ ἡ ὄψις ὡς ὁ ἥλιος. ὅτε εἶπον, ἵλεώς μοι γενοῦ δέσποτα· οὐ γὰρ ἐναπομένω τῇ λέξει, ἀλλ' ἀπορῶ, καὶ οὐκ ἔχω ἄλλην λέξιν συντεθειμένην. θέλωσε μαθεῖν, ὅτι ἀπὸ τῆς γραφῆς τοῦτο ἐπαιδεύθην. ἠθέλησεν οὖν B δεῖξαι τὴν λαμπηδόνα αὐτοῦ ὁ εὐαγγελιστὴς, καὶ λέγει ἔλαμψε. πῶς ἔλαμψεν, εἰπέ μοι; σφοδρῶς; καὶ πῶς λέγεις; ὡς ὁ ἥλιος. ὡς ὁ ἥλιος, λέγεις; ναί. διὰ τί; διότι οὐκ ἔχω ἄλλο ἄστρον φαιδρότερον. καὶ λευκὸς ἦν ὡς χιών. διὰ τί ὡς χιών; διότι οὐχ ἔχω ἄλλην ὕλην λευκοτέραν. ὅτι γὰρ οὐχ οὕτως ἔλαμψεν, ἀπὸ τῶν ἑξῆς δείκνυται, καὶ ἔπεσον χαμαὶ οἱ μαθηταί. εἰ ὡς ὁ ἥλιος ἔλαμψεν, οὐκ ἂν ἔπιπτον οἱ μαθηταί. ἥλιον γὰρ ἔβλεπον καθ' ἡμέραν, καὶ οὐκ ἔπιπτον, ἀλλ' ἐπειδὴ ὑπὲρ τὸν ἥλιον ἔλαμψε, C καὶ ὑπὲρ τὴν χιόνα, διὰ τοῦτο μὴ φέροντες τὴν λαμπηδόνα, κατέπεσον. εἰπέ μοι οὖν ὦ εὐαγγελιστὰ, ὑπὲρ τὸν ἥλιον ἔλαμψε; καὶ σὺ λέγεις, ὡς ὁ ἥλιος; ναί. γνώριμόν σοι θέλων ποιῆσαι τὸ φῶς, οὐχ ἔχω ἄλλο ἄστρον μεῖζον, οὐκ ἔχω ἄλλην εἰκόνα τὴν ἐν τοῖς ἄστροις βασιλεύουσαν. ταῦτα εἶπον, ἵνα μὴ τῇ εὐτελείᾳ τῆς λέξεως ἐναπομείνῃς. ἔδειξά σοι τὸ πτῶμα τῶν μαθητῶν. ἔπεσον χαμαὶ, καὶ ἐκαρώθησαν καὶ κατεχαύνωντο. ἀνάστητε, λέγει, καὶ ἤγειρεν αὐ- D τοὺς, καὶ ἦσαν βεβαρημένοι. τὴν γὰρ ὑπερβολὴν τῆς λαμπηδόνος οὐκ ἤνεγκαν, ἀλλὰ κάρος ἔλαβεν τοὺς ὀφθαλμοὺς αὐτῶν, οὕτω τὸ φαινόμενον φῶς ὑπὲρ τὸν ἥλιον ἦν. εἶπε δὲ ὁ εὐαγγελιστὴς ὑπὲρ τὸν ἥλιον, ἐπειδὴ τὸ ἄστρον τοῦτο γνώριμον ἡμῖν ἐστι, καὶ ἐν ὑπερβολῇ τῶν λοιπῶν ἄστρων ἀπάντων. ἀλλ' ὅπερ ἔλεγον, ὁ τοσοῦτος καὶ τηλικοῦτος, ἐπεθύμησε πόρνης. πόρνης ἐπιθυμεῖ ὁ Θεός; ναὶ, πόρνης. τῆς φύσεως ἡμετέρας λέγω.

πόρνης

πόρνης ἐπεθύμει ὁ Θεός; καὶ ἄνθρωπος μὲν, ἐὰν ἐπιθυμήσῃ πόρνης, καταδικάζεται· Θεὸς δὲ πόρνης ἐπιθυμεῖ; καὶ πάνυ. πάλιν ἄνθρωπος ἐπιθυμεῖ πόρνης, ἵνα γένηται πόρνος· Θεὸς δὲ ἐπιθυμεῖ πόρνης, ἵνα τὴν πόρνην παρθένον ἐργάσηται. ὥστε ἡ ἐπιθυμία τοῦ ἀνθρώπου ἀπώλεια τῆς ἐπιθυμουμένης· ἡ δὲ ἐπιθυμία τοῦ Θεοῦ, σωτηρία τῇ ἐπιθυμουμένῃ. ὁ τοσοῦτος καὶ τηλικοῦτος ἐπεθύμησε πόρνης; καὶ τί; ἵνα γένηται ὁ νυμφίος. τί ποιεῖ; οὐ πέμπει πρὸς αὐτὴν οὐδένα τῶν δούλων, οὐ πέμπει τὸν ἄγγελον πρὸς τὴν πόρνην, οὐ πέμπει ἀρχάγγελον, οὐ πέμπει τὰ Χερουβὶμ, οὐ πέμπει τὰ Σεραφίμ· ἀλλ' αὐτὸς παραγίνεται ὁ ἐρῶν. πάλιν ἔρωτα ἀκούσας, μὴ αἰσθητὸν νόμιζε. ἔκλεγε τὰ νοήματα ἀπὸ τῶν λέξεων, καθάπερ ἀρίστη μέλιττα ἐφιπταμένη τοῖς ἄνθεσι, καὶ τὸ κηρίον λαμβάνουσα, τὰς δὲ βοτάνας ἐῶσα. ἐπεθύμησε πόρνης. καὶ τί ποιεῖ; οὐκ ἀνάγει αὐτὴν ἄνω. οὐ γὰρ ἐβούλετο πόρνην, εἰς τὸν οὐρανὸν ἀναγαγεῖν, ἀλλὰ καταβαίνει αὐτὸς κάτω. ἐπειδὴ αὐτὴ οὐκ ἠδύνατο ἀναβῆναι ἄνω, αὐτὸς κατέβη κάτω. πρὸς τὴν πόρνην ἔρχεται καὶ οὐκ αἰσχύνεται, ἔρχεται εἰς τὴν καλύβην αὐτῆς. ὁρᾷ αὐτὴν μεθύουσαν. καὶ πῶς ἔρχεται; οὐ γυμνῇ τῇ οὐσίᾳ, ἀλλὰ γίνεται, ὅπερ ἦν ἡ πόρνη, οὐ τῇ γνώμῃ, ἀλλὰ τῇ φύσει γίνεται τοῦτο, ἵνα μὴ ἰδοῦσα αὐτὸν πτοηθῇ, ἵνα μὴ ἀποπηδήσῃ, ἵνα μὴ φύγῃ. ἔρχεται πρὸς τὴν πόρνην, καὶ γίνεται ἄνθρωπος. καὶ πῶς γίνεται; εἰς μήτραν κυοφορεῖται, αὔξεται κατὰ μικρὸν, καὶ ἔρχεται τὴν ὁδὸν τῆς ἡλικίας τῆς ἐμῆς. τίς; ἡ οἰκονομία, οὐχ ἡ θεότης. ἡ τοῦ δούλου μορφὴ, οὐχ ἡ τοῦ δεσπότου. ἡ σάρξ ἡ ἐμὴ, οὐχ ἡ οὐσία ἐκείνου, αὔξεται κατὰ μικρὸν, καὶ μίγνυται ἀνθρώποις. καί τοι εὑρίσκει αὐτὴν ἑλκῶν γέμουσαν, ἐκτεθηριωμένην, ὑπὸ δαιμόνων πεφορτισμένην, καὶ τί ποιεῖ; προσέρχεται αὐτῇ. εἶδεν ἐκείνη καὶ ἔφυγε. καλεῖ μάγους; τί φοβεῖσθε; οὐκ εἰμὶ κριτὴς, ἀλλ' ἰατρός· οὐκ ἦλθον, ἵνα κρίνω τὸν κόσμον, ἀλλ' ἵνα σώσω τὸν κόσμον. καλεῖ εὐθέως μάγους. ὢ καινῶν καὶ παραδόξων πραγμάτων. αἱ ἀπαρχαὶ εὐθέως μάγοι. κεῖται ἐν φάτνῃ ὁ τὴν οἰκουμένην βαστάζων, καὶ ἐσπαργάνωται ὁ πάντα περιέπων.

A Concupiscebat Deus meretricem? Et homo quidē si concupierit meretricem, condemnatur: Deus autē fornicariam concupiscit? Quammaximè. Homo fornicariam concupiscit, vt fiat fornicator: Deus verò fornicariam concupiscit, vt eam reddat virginem. Itaque concupiscentia hominis, concupitæ meretricis est perditio: concupiscentia verò Dei, concupitæ adfert salutē. Tantus ac tantæ dignitatis concupiuit fornicariā? Ad quid? Vt eā sibi despondeat: sicque eius sponsus. quid facit? Ad eam neminem mittit seruorū, ad fornicariam non B Angelum mittit, non destinat Archangelum, non ipsis Cherubim aut Seraphim munus hoc delegat: sed ipse amator aduenit. Rursus quum audieris eum esse amatorē, nolim tecū reputes quiddam hîc subesse sensibile. Ex ipsis dictionib. collige sententias, longè optimā imitatus apiculā quæ inuolat atq. insidet floribus eliciēs inde, quo fauum cōcinnet ac cerā, herbas interim sinēs incolumes. Concupiuit meretricem. Ecquid fecit? Non sursum mox eam perducit. Non enim volebat in cœlum eam, quòd esset C nus fornicabatur, prouehere: sed in inferiores partes terræ descendit. Nam quando non poterat ipsa sursum ascendere, ipse deorsum descēdit, ad meretricem. Venit ad eam, ne sic quidē suppuduit. Ad eius venit prostibulum. Videt eam inebriatam. Quōnam pacto venit? non nuda essentia, sed fit quod erat fornicaria, nō voluntate aut cōsilio, sed natura fit hoc, ne eius aspectu ipsa cōsternaretur, ne resiliret ab eo, ne se fuga proriperet: venit ad meretricē, & fit homo. quōnā pacto? gestatur in vtero, adolescit sensim & ad plenitudinē ęquè ætatis D prouehitur. Quis? dispēsatio assumptæ carnis, nō ipsa diuinitas: serui forma, nō domini: caro mea, non essentia illa: paulatim ad iustū incremētum perducitur, & permistim cum hominibus conuersatur, etiāsi eam inuenit vlceribus scaturientem, bellua quauis plus efferatam, dæmonū præstigiis oppressam. Ecquid facit? Ad eā propius accedit. Vidit illa, seque in fugam dedit. Auocat ad se dominus magos. quid timetis? Nō sum iudex, sed medicus. Non veni, vt iudicem mundū, sed vt saluem mundum. Magos confestim ad se acciuit. O rem nouam atque admirabilem. Magi mox primitiæ nascentis fidei efficiuntur. In præsepi iacet, qui totum baiulat orbem: & pannis inuoluitur, qui complectitur & exornat vniuersa.

Collatio.

Conditum est templum & inhabitat Deus. Veniunt magi, móxq. procidunt ac venerantur. Venit publicanus, & fit Euágelista. Venit meretrix, & fit virgo. Venit Chananæa, & clementiam sentit atque adipiscitur. Amantis vtique erat, quòd non reposcebat pœnas peccatis debitas, quódque condonabat præuaricationes delictorum. Quid facit? Accipit eam. Sibi eam desponder. Quid dat ei? Annulum. Quemnam? Spiritum sanctum. dicit Paulus, Qui autem confirmat nos vobiscum Deus, qui & signauit nos ac dedit arrhabonem Spiritus sancti. Spiritum ei dat. Deinde addit, Nónne in paradiso te plantaui? Respóder, Certè. Quónam pacto illinc excidisti? Venit diabolus & è paradiso me arripuit. Plantata eras in paradiso, & te à paradiso extrusit. Ecce in meipso planto te. Porto ego te. Quónam modo? Non audet is propius ad me accedere. Te autē non iam velim subuehere in cœlum: sed tibi confero quiddam ipso cœlo præstantius. In meipso te porto qui sum Dominus cœli. Portat pastor, nec lupus iam venit: immò vero permitto etiam illi vt accedat. Portat nostram naturam, & accedit diabolus, sed vincitur. Conserui te in meipso. Et hac ratione dicit, Ego radix. vos palmites. Et plantauit eam in seipso. Ecquid reliquum est? Sed peccator sum. & immundus. Ne sis sollicitus: Medicus sum ego. Noui vas quod meum est. Noui planè, quibus suadelis deprauatum est. Prius erat vas luteum, & peruersum est. Refingo vas per lauacrum regenerationis, & trado illud igni. Vide namque: Accepit puluerem à terra & fecit hominem ac formauit eum. Venit diabolus & peruertit eum. Venit ipse & rursus accepit, eúmque formauit, conflauit ipsum in baptismate, neque siuit præterea vt esset luteus corpore, sed corpus ipsum fecit, vt esset testaceum. Tradidit lutum igni spiritus. Ipse vos baptizabit in Spiritu sancto & igne. In aqua, vt reformetur: in igne, vt cōsolidetur. Ob hoc Propheta olim prænuncians dicebat, Quasi vasa figuli conteres nos. Non dixit, Quasi testacea quæ singuli quique possident. Sunt enim vasa figuli quæ effingit ille per rotam. sed vasa figuli sunt lutea, nostra autē sūt testacea. Prędicés igitur

2.Cor.1.21

κεῖται ὁ ναός, καὶ ἐνοικεῖ ὁ Θεός. καὶ ἔρχονται μάγοι, καὶ προσκυνοῦσιν εὐθέως. ἔρχεται τελώνης, καὶ γίνεται εὐαγγελιστής. ἔρχεται πόρνη, καὶ γίνεται παρθένος. ἔρχεται Χαναναία, καὶ ἀπολαύει φιλανθρωπίας. τοῦτο ἐρῶντος τὸ μὴ ἀπαιτῆσαι εὐθύνας ἁμαρτημάτων, ἀλλὰ συγχωρῆσαι παρανομήματα πλημμελημάτων. καὶ τί ποιεῖ; λαμβάνει αὐτήν, ἁρμόζεται αὐτήν. καὶ τί αὐτῇ δίδωσι; δακτύλιον. ποῖον; τὸ πνεῦμα τὸ ἅγιον. λέγει Παῦλος, ὁ δὲ βεβαιῶν ἡμᾶς σὺν ὑμῖν Θεός, ὁ καὶ σφραγισάμενος ἡμᾶς, καὶ δοὺς τὸν ἀρραβῶνα τοῦ πνεύματος. πνεῦμα αὐτῇ δίδωσιν. εἶτα φησίν· οὐκ εἰς παράδεισόν σε ἐφύτευσα; λέγει, ναί. καὶ πῶς ἐξέπεσες ἐκεῖθεν; ἦλθεν ὁ διάβολος, καὶ ἔλαβέ με ἀπὸ τοῦ παραδείσου. ἐφυτεύθης ἐν τῷ παραδείσῳ, καὶ ἔβαλέ σε ἔξω. ἰδοὺ φυτεύω σε ἐν ἐμαυτῷ, ἐγώ σε βαστάζω. πῶς; οὐ τολμᾷ ἐμοὶ προσελθεῖν. οὐδὲ εἰς τὸν οὐρανόν σε ἀνάγω, ἀλλὰ μεῖζον ἐκείνου τοῦ οὐρανοῦ· ἐν ἐμαυτῷ τῷ δεσπότῃ τοῦ οὐρανοῦ βαστάζω σε. ποιμὴν βαστάζει, καὶ ὁ λύκος οὐκέτι ἔρχεται, μᾶλλον δὲ ἀφῶ αὐτὸν καὶ προσελθεῖν. καὶ βαστάζει τὴν ἡμετέραν φύσιν· καὶ προσέρχεται ὁ διάβολος, καὶ ἡττᾶται. ἐφύτευσά σε ἐν ἐμαυτῷ. διὰ τοῦτο λέγει· ἐγώ ἡ ῥίζα, ὑμεῖς τὰ κλήματα. καὶ ἐφύτευσεν αὐτὴν ἐν ἑαυτῷ. καὶ τί λοιπόν; ἀλλὰ ἁμαρτωλός εἰμι φησί. καὶ ἀκάθαρτος. μή σοι μελέτω, ἰατρός εἰμι. οἶδα τὸ σκεῦος τὸ ἐμόν; οἶδα πῶς διεστράφη. πήλινον ἦν πρὸ τούτου, καὶ διεστράφη. ἀναπλάττω αὐτὸ διὰ λουτροῦ παλιγγενεσίας, καὶ παραδίδωμι αὐτὸ τῷ πυρί. ὅρα γάρ· ἔλαβε χοῦν ἀπὸ τῆς γῆς, καὶ ἐποίησε τὸν ἄνθρωπον. ἔπλασεν αὐτόν. ἦλθεν ὁ διάβολος, διέστρεψεν αὐτόν. ἦλθεν αὐτός, ἔλαβε πάλιν, ἀνεφύρασεν αὐτόν, ἀνεχώνευσεν αὐτὸν ἐν τῷ βαπτίσματι, ἀλλ' οὐκ ἀφῆκεν αὐτὸ πήλινον εἶναι τὸ σῶμα, ἀλλ' ἐποίησεν αὐτὸ ὀστράκινον. παρέδωκε τὸν πηλὸν τῷ πυρὶ τοῦ πνεύματος. αὐτὸς ὑμᾶς βαπτίσει ἐν πνεύματι ἁγίῳ, καὶ πυρί· ἐν ὕδατι, ἵνα ἀναπλασθῇ· ἐν πυρί, ἵνα στερεωθῇ. διὰ τοῦτο ὁ προφήτης ἄνωθεν προαναφωνῶν ἔλεγε, ὡς σκεύη κεραμέως συντρίψεις αὐτούς. οὐκ εἶπεν, ὡς σκεύη ὀστράκινα, ἃ ἕκαστος κέκτηται. ἔστι γὰρ σκεύη κεραμέως ἐκεῖνα, ἃ ἐργάζεται ὁ κεραμεὺς ἐν τῷ ἔργῳ. ἀλλὰ τὰ σκεύη τοῦ κεραμέως πήλινα· τὰ δὲ ἡμέτερα ὀστράκινα. προαναφωνῶν οὖν

τὴν διὰ τοῦ βαπτίσματος ἀναχώνευσιν, ὡς σκεῦη, φησὶ, κεραμέως συντρίψεις αὐτούς. ἀναπλάττει, λέγει, καὶ χωνεύει. καταβαίνω εἰς τὸ βάπτισμα, καὶ ἀναπλάττεταί μου τὸ σχῆμα, καὶ ἀναχωνεύει τοῦ πνεύματος τὸ πῦρ, καὶ γίνεται ὀστράκινον. ὅτι δὲ οὐ κόμπος τὰ ῥήματα, ἄκουσον τοῦ Ἰὼβ· ἐποίησε δὲ ἡμᾶς πηλόν. ὁ δὲ Παῦλος· ἔχοντες δὲ τὸν θησαυρὸν τοῦτον ἐν ὀστρακίνοις σκεύεσιν. ἀλλὰ βλέπε ὀστράκου ἰσχύν. οὐ γὰρ πυρὶ ὤπτηται, ἀλλὰ πνεύματι. πῶς ὀστράκινον; πεντάκις τεσσαράκοντα παρὰ μίαν ἔλαβον, τρὶς ἐῤῥαβδίσθην, ἅπαξ ἐλιθάσθην, καὶ τὸ ὀστράκινον σκεῦος οὐ κατεκλάσθη. νυχθήμερον ἐν τῷ βυθῷ πεποίηκα. ἐν τῷ βυθῷ πεποίηκε, καὶ τὸ ὀστράκινον οὐ διελύθη. ἐναυάγησε, καὶ ὁ θησαυρὸς οὐκ ἀπώλετο. τὸ πλοῖον ὑποβρύχιον, καὶ ὁ φόρτος ἔπλευσεν. ἔχοντες δὲ τὸν θησαυρόν. ποῖον θησαυρόν; πνεύματος χορηγίαν, δικαιοσύνην, ἁγιασμὸν, ἀπολύτρωσιν. ποῖον; εἰπέ μοι. ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ, ἔγειραι καὶ περιπάτει. Αἰνέα ἰᾶταί σε Ἰησοῦς ὁ Χριστός. σοὶ λέγω τὸ πονηρὸν πνεῦμα, ἄπελθε ἀπ' αὐτοῦ. εἶδες θησαυρὸν βασιλικῶν θησαυρῶν λαμπρότερον; τί γὰρ τοιοῦτον δύναται ποιῆσαι μαργαρίτης βασιλέως, οἷα ῥήματα ἀποστόλου; ἐπίθες μυρία διαδήματα νεκρῷ, καὶ οὐκ ἐγείρεται, ἓν δὲ ῥῆμα ἐξῆλθεν ἀποστόλου καὶ στασιάζουσαν τὴν φύσιν ἐπανήγαγε, καὶ πρὸς τὸ ἀρχαῖον ἀποκατέστησεν. ἔχοντες δὲ τὸν θησαυρὸν τοῦτον. ὦ θησαυρὸς οὐ τηρούμενος μόνον, ἀλλὰ καὶ τηρῶν τὸν οἶκον, ἔνθα ἀπόκειται. συνῆκας τί εἶπον; οἱ βασιλεῖς τῆς γῆς καὶ οἱ ἄρχοντες, ὅταν ἔχωσι θησαυροὺς, μεγάλους οἴκους κατασκευάζουσιν, οἷον τοίχους, μοχλοὺς, θύρας, φύλακας, κλεῖθρα, ἵνα τηρηθῇ ὁ θησαυρός· ὁ Χριστὸς δὲ, τοὐναντίον ἐποίησεν. οὐκ ἐν λιθίνῳ, ἀλλ' ἐν ὀστρακίνῳ σκεύει τὸν θησαυρὸν ἔθηκεν. εἰ μέγας ὁ θησαυρὸς, διὰ τί τὸ σκεῦος ἀσθενές; ἀλλὰ μὴν διὰ τοῦτο ἀσθενὲς τὸ σκεῦος, ἐπειδὴ μέγας ὁ θησαυρός. οὐ γὰρ τηρεῖται ὑπὸ τοῦ σκεύους, ἀλλ' αὐτὸς τηρεῖ τὸ σκεῦος. τίθημι ἐγὼ τὸν θησαυρὸν, τίς δύναται λοιπὸν κλέψαι; ἦλθεν ὁ διάβολος,

A conflationem nostram per baptisma repetitam, Quasi vasa figuli (ait) conteres eos. Dicit, Reformat & cōflat. Descendo in fonte baptismatis, & reformatur mea figura, conflatque eam igni Spiritus sancti, & fit testaceum. Verba hæc quòd neutiquam prodeant ex arrogantia & animi elatione, audi Iob, Fecit autem nos lutum. Paulus insuper, Habentes autem thesaurum hunc in testaceis vasis. [2. Cor. 4. 7] Atque aspice quæ sit testæ istius virtus. Non enim igni concocta est, sed spiritu. Quonā pacto testaceum? Quinquies quadraginta vna minus accepi, ter virgis cæsus sum, semel lapidatus sum: [2. Cor. 11. 24.] B ne sic quidem vas illud testaceum perfractum est. Nocte & die in profundo maris egi. In profundo egit, nec tamen vas illud testaceum dissolutum est. Naufragium est passus, non tamen disperiit thesaurus: nauigium submersum est, & onus nauigij cursū suum tenuit atque enauigauit. Habentes autem thesaurum. Quémnam thesaurum? Suppeditationem spiritus, iustitiam, sanctificationem, redemptionis precium. Cuiusmodi thesaurum? dic C mihi. In nomine Iesu Christi surge & ambula. Ænea sanet te Iesus Christus. [Act. 3. 6. & 9. 14.] Tibi dico maligne spiritus, Exi ab eo. Vidisti thesaurū istis regalibus thesauris illustriorem? Quid enim tale facere vnquam poterit quamlibet preciosum ac regale margaritum, cuiusmodi ediderunt verba Apostoli? Licet apponas innumera diademata defunctis corporibus, ne sic quidem excitantur: ab ore autem Apostoli egressum verbum, idque vnum, & redintegrauit naturam ab integritate dissidentem, ac pristinæ integritati restituit. Habentes autem D thesaurum hunc. O thesaurus non seruatus solùm, sed & domum asseruans in qua reconditur. Intellexistíne quid dixerim? Reges terræ ac principes congestis thesauris, ædes amplas admodum ædificant & apparant, videlicet muros, repagula, fores, custodes, ac clathra seu vectes adijcientes, vt tutò thesaurus conseruetur: Christus quod cum hac consuetudine pugnat, fecit. Non in lapideo, sed in testaceo vase thesaurū posuit. Si tam multæ molis est thesaurus, cur imbecille vas? Atqui vas istud ob eam causā fragile est, quòd magnus sit thesaurus. Non enim thesaurus iste à vase conseruatur, quin potius thesaurus conseruat vas. Expono ergo thesaurum, quis deinceps potest eum suppilare? Venit diabolus,

venit orbis terræ, innumeri venerunt, nec suffurati sunt thesaurum. Flagris concisum est vas, ne sic quidem proditus est thesaurus. Præceps vndis inuolutum est marinis, nec tamen naufragio periit. Mortuus denique est, thesauro incolumi. Dedit igitur arrhabonem. Vbinam sunt, qui Spiritus sancti blasphemant maiestatem? Huc mentem adhibete. Qui confirmat vos nobiscum Deus, qui etiam dedit arrham Spiritus sancti. Scitis omnes vos, quòd arrha pars est totius debitæ summæ perexigua. Abit quis coëmpturus domum precij permulti? dicitur, Da mihi arrhabonem, vt certa spe confirmer. Abit quis ducturus vxorem? De dote paciscitur, de rebus ipsis init rationem, ac dicit: Da mihi arrhabonem. Quinetiam in auctione serui, & cæteris ad vnum omnibus commerciis intellige dari solere arrhabonem. Quum igitur Christus nobiscum conuenta quædam iniret (me etenim velut sponsam erat assumpturus) dotem mihi vt decerneret, dotis nomine non facultates aut pecunias mihi præstituit, sed sui precium sanguinis. Dotem verò hanc mihi constituit, nempe largitionem bonorum quæ non vidit oculus, non auris audiuit, nec in cor hominis ascenderũt. Statuit igitur se daturum dotis nomine immortalitatem, gloriam cum angelis, mortis interitum, immunitatem peccati, hæreditariam possessionem regni (multæ enim sunt eius diuitiæ) iustitiã, sanctificationem, præsentium malorum defunctionem, obtentionem futurorum bonorum. Eximia mihi dos proposita erat. Huc aures adhibe sedulò. Quidnam facit? vide. Venit accepturus scortum, dico autem meretricem (sicut erat) obscœnam & conspurcatam, vt discas quantus fuerit istius sponsi amor. Venit, accepit, mihi quoque decernit dotẽ. Dicit, Tibi impertior opes meas. Addit, Quónam pacto paradisum perdidisti? Recipe eum. Perdidisti speciem? eam ipsam accipe. Hæc denique omnia accipe. Atque ea dos non est hîc mihi exhibita. Aduerte huc animum. In dotem hanc prædicit ob id daturum se mihi in resurrectione corporum, incorruptionem. Non enim omnes in resurrectione comitatur ea incorruptio: sed duo erant hæc. Etenim resurrexerunt permulti, & iidem reciderunt in mortem, quemadmodum Lazarus, & corpora sanctorum. Atqui hîc non ita, sed

2. Cor. 1. 21

Dotis nomine quid Deus det.

A ἦλθεν ἡ οἰκουμένη, ἦλθον μυρίοι, καὶ τὸν θησαυρὸν οὐκ ἔκλεψαν. ἐμαστίχθη, καὶ ὁ θησαυρὸς οὐ προεδόθη. κατεποντίσθη εἰς θάλασσαν, καὶ ναυάγιον οὐκ ἐποίησε. ἀπέθανε, καὶ ὁ θησαυρὸς μένει. ἔδωκε τοίνυν τὸν ἀῤῥαβῶνα. ποῦ εἰσιν οἱ τοῦ πνεύματος τὴν ἀξίαν βλασφημοῦντες; προσέχετε, ὁ δὲ βεβαιῶν ἡμᾶς σὺν ὑμῖν εἰς Χριστὸν, Θεὸς, ὁ καὶ δοὺς τὸν ἀῤῥαβῶνα τοῦ πνεύματος. ἴστε πάντες ὑμεῖς, ὅτι ὁ ἀῤῥαβὼν, μέρος ἐστὶ μικρὸν τοῦ παντός. ὅπως ἄκουε. ἀπέρχεταί τις ἀγοράσαι οἰκίαν πολλῆς τιμῆς, καὶ λέγει. δός μοι ἀῤῥαβῶνα, ἵνα θαῤῥῶ. ἀ-

B πέρχεταί τις γυναῖκα ἀγαγέσθαι, προῖκα συντίθησι καὶ πράγματα, καὶ λέγει, δός μοι ἀῤῥαβῶνα. πρόσεχε καὶ ἐν πράσει δούλου ἀῤῥαβὼν, καὶ ἐν πᾶσι τοῖς συναλλάγμασιν, ἀῤῥαβών. ἐπεὶ οὖν ὁ Χριστὸς συνάλλαγμα μεθ' ἡμῶν ἐποίει. καὶ γὰρ ὡς νύμφην με ἔμελλε λαμβάνειν, καὶ προῖκά μοι γράφει, οὐ χρημάτων, ἀλλ' αἵματος. προῖκα δέ μοι ταύτην γράφει τῶν ἀγαθῶν τὴν ἀντίδοσιν, ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη. ἔγραψε τοίνυν εἰς

C τὴν προῖκα, ἀθανασίαν, αἶνον μετὰ ἀγγέλων, ἀπαλλαγὴν θανάτου, ἐλευθερίαν ἁμαρτίας, κληρονομίαν βασιλείας (πολὺς ὁ πλοῦτος) δικαιοσύνην, ἁγιασμὸν, ἀπαλλαγὴν τῶν παρόντων, εὕρεσιν τῶν μελλόντων. μεγάλη μοι ἦν ἡ προίξ. πρόσεχε μετὰ ἀκριβείας, βλέπε τί ποιεῖ. ἦλθε λαβεῖν τὴν πόρνην, λέγω γὰρ αὐτὴν, ὡς ἦν ἀκάθαρτος, ἵνα μάθῃς τοῦ νυμφίου τὸν ἔρωτα. ἦλθεν, ἔλαβέ με, γράφει μοι προῖκα. λέγει, δίδωμί σοι πλοῦτον τὸν ἐμόν. πῶς; ἀπώλεσας, λέγει, παράδεισον; λάβε αὐτόν. ἀ-

D πώλεσας, λέγει, τὸ εὐειδὲς, λάβε αὐτό. λάβε ταῦτα πάντα. ἀλλ' ἡ προίξ μου οὐκ ἐδόθη μοι ὧδε. πρόσεχε, διὰ τοῦτο εἰς τὴν προῖκα ταύτην προλέγει. ἅπερ ἔγραψέ μοι ἐν τῇ προικὶ ἀνάστασιν σωμάτων, ἀφθαρσίαν. οὐ γὰρ ἀκολουθεῖ πάντως τῇ ἀναστάσει ἡ ἀφθαρσία, ἀλλὰ δύο ἦν ταῦτα. καὶ γὰρ πολλοὶ ἀνέστησαν, καὶ πάλιν ἔπεσον, ὥσπερ ὁ Λάζαρος, καὶ τὰ σώματα τῶν ἁγίων· ἀλλ' ἔστιν οὐχ οὕτως, ἀλλ'

ἀνάστασιν, ἀφθαρσίαν, τὴν μετὰ ἀγγέλων χορείαν, τὴν τοῦ υἱοῦ ἀπάντησιν ἐν νεφέλαις, καὶ τὸ οὕτω πάντοτε σὺν κυρίῳ ἐσόμεθα, τὴν ἀπαλλαγὴν τοῦ θανάτου, τὴν ἐλευθερίαν τῆς ἁμαρτίας, τὸν καταποντισμὸν τῆς τελευτῆς. ποῖον ἐκεῖνον; ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσεν, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν. ἀγαθά μοι δίδως, ἃ οὐκ οἶδα; λέγει, ναὶ, ὧδε ἁρμόζω, ὧδέ με φίλει. εἰς τί οὐ δίδως μοι τὴν προῖκα ὧδε; ὅταν ἔλθῃς πρὸς τὸν πατέρα μου. ὅταν ἔλθῃς εἰς τὰς βασιλικὰς αὐλάς. ἐγὼ πρὸς σὲ ἦλθον, μὴ γὰρ σὺ πρὸς μέ; ἦλθον οὐχ ἵνα μείνῃς, ἀλλ' ἵνα λάβω σε καὶ ἀνέλθω. μὴ ζήτει ὧδε τὴν προῖκα. πάντα ἐν ἐλπίδι, πάντα ἐν πίστει, καὶ οὐδέν μοι δίδως ἐνταῦθα; λέγει. λάβε ἀῤῥαβῶνα, ἵνα μοι πιστεύσῃς περὶ τοῦ μέλλοντος. λάβε ὑπόβολα, λάβε καὶ μνῆστρα. διὰ τοῦτο Παῦλος λέγει, ἡρμοσάμην γὰρ ὑμᾶς. ὡς μνῆστρα ἔδωκεν ἡμῖν τὰ παρόντα ὁ Θεὸς, μνῆστρά ἐστι τὰ παρόντα, ἀῤῥαβών ἐστιν. ἡ προῖξ ὅλη ἐκεῖ ἀπόκειται. πῶς; ἐγὼ λέγω. ὧδε γηρῶ, ἐκεῖ οὐ γηρῶ· ὧδε θνήσκω, ἐκεῖ οὐ θνήσκω. ὧδε λυποῦμαι, ἐκεῖ οὐ λυποῦμαι. ὧδε πενία καὶ νόσος καὶ ἐπιβουλαί, ἐκεῖ οὐδὲν τοιοῦτον. ὧδε σκότος, καὶ φῶς, ἐκεῖ φῶς μόνον. ὧδε ἐπιβουλὴ, ἐκεῖ ἐλευθερία. ὧδε νόσος, ἐκεῖ ὑγιεία. ὧδε ζωὴ ἔχουσα τέλος, ἐκεῖ ζωὴ οὐκ ἔχουσα τέλος. ὧδε ἁμαρτία, ἐκεῖ δικαιοσύνη, ἁμαρτία δὲ οὐδαμοῦ. ὧδε φθόνος, ἐκεῖ οὐδὲν τοιοῦτον. δός μοι, φησὶ, ταῦτα. ἀνάμενε, ἵνα καὶ οἱ σύνδουλοί σου σωθῶσιν, ἀνάμενε. ὁ δὲ βεβαιῶν ἡμᾶς, καὶ δοὺς ἡμῖν τὸν ἀῤῥαβῶνα. ποῖον ἀῤῥαβῶνα; τὸ πνεῦμα τὸ ἅγιον, τοῦ πνεύματος τὴν χορηγίαν. ἀλλὰ λέγω περὶ τοῦ πνεύματος. ἔδωκε τοῖς ἀποστόλοις τὸν δακτύλιον, εἰπών· λάβετε καὶ δότε πᾶσιν. ὁ δακτύλιος μερίζεται; μερίζεται καὶ οὐ διαιρεῖται, μερίζεται καὶ οὐκ ἀναλίσκεται. μάθε πνεύματος χορηγίαν. ἔλαβε Πέτρος, ἔλαβε καὶ Παῦλος πνεῦμα ἅγιον. περιῆλθε τὴν οἰκουμένην,

A resurrectionem hanc largietur & immortalitatem, vnà cum angelis tripudium, occursum filij in nubibus. Et semper cum Domino erimus. Confert manumissionem à morte, peccati libertatem, finem imponet extremæ consummationi. Qualem illum? Eorum quæ oculus non vidit, non item auris audiuit, nec in cor hominis ascenderunt quæ præparauit Deus diligentibus se. Bona mihi das quæ non noui? Certè ait, Hic ea præparo, hic me ama. Cur non hic mihi dilargiris dotem? Quum ad patrem meum veneris, B quum prouehêris ad atrium regale. Egò ad te veni. Indignúmne censes, vt ad me venias? Veni, non vt hîc maneas, sed vt te assumam & ascendas. Ne hîc dotem quæsieris, Omnia in spe reposita sunt, omnia in fide. Nihilne hîc das mihi? Respondet, Accipe arrhabonem, vt certa fide quod futurum est, speres. Accipe ineundi mecum coniugij pignus. Arrham accipe confirmandis nuptiis accommodam. Ob hoc Paulus dicit, Despondi enim vos. Deus enim præsentia dona, vice C sponsalium munerum nobis contulit. Quæ enim in præsenti gratuitò exhibentur, vicem obtinent sponsalium, arrhabo sunt futurarum nuptiarum. Tota onim dos illic reposita est. quod id pacto? Dico, Hîc sentio incommoda senectutis, illic nō item. Morte hîc mihi finienda est vita, nō item illic. Hîc mœrore conficior, nullus me illic dolor reddet anxium aut solicitum. Mihi hic occurrunt paupertas, morbus, insidiæ: illic nihil tale. Hîc tenebræ, & lux: illic vero lux tantum. Hîc insidiæ, illic mera libertas. Hîc morbus, illic sanitas. Hîc D vita, sed quæ fine claudatur: illic etiam vita, sed quę nullum habitura est finem. Hîc peccatum, illic iustitia, peccatum illic nusquam. Hîc inuidia: nihil illic tale. Mihi, ait, hæc dato. Aliquantum temporis præstolator: vt conserui tui ad salutem pertingant, sustine. qui autem nos confirmat, & dedit nobis arrhabonem. quémnā dedit arrhabonē? Spiritū sanctum, spiritus erogationē. Atqui de eo spiritu loquor qui Apostolis annulū dedit, dicēs: Accipite & date omnibus. Annulúsne in partes scinditur? Vtique in partes scinditur, quæ tamen non distrahuntur: partitionem sentit, nec consumitur. Disce quàm benigna sit sancti Spiritus erogatio. Accepit Petrus, accepit & Paulus Spiritū sanctum: Terrarum orbē obambulauit:

1\. Theß. 4. 17.

1\. Cor. 2. 9.

2\. Cor. 11. 2.

peccatores à suis absoluebat peccatis. Claudos erigebat. Induebat nudos. Mortuos excitabat ad vitam. Mundabat leprosos. Diabolo os obturabat. Præfocabat dæmonas. Cum Deo verba faciebat. Plantauit Ecclesiam. Templa Gentiliũ demoliebatur & æquabat solo. Altaria euertebat. Aboleuit malitiam: virtutem plantauit. Homines reddidit angelos. Hæc omnia eramus. Vniuersum terrarum orbem compleuit arrha hæc. Cæterùm ipse quum dico, vniuersum: quatenus scilicet sol suo splẽdore obseruat terram, mare, insulas, montes, nemora, loca item inaccessa & inhospita, obambulauit, perinde atque pernicibus alis peruolãs Paulus, vno tantum ore decertans, qui peritia excelluit texẽdorum tabernaculorum, qui concinnandis coriis scalprum cõtrectauit manu, & pelles consuit. At neq. sic id artificij impedimento fuit, quominus virtute inclaresceret: quin potius iste tentorij artifex dæmonibus extitit fortior, is imperitus sermone quãtoslibet euicit philosophos. Vndenam? Accepit arrhabonem, annulum exportabat secum & circumferebat. Perspiciebant omnes Regem sibi connubio copulasse naturam nostram. Obseruauit id dæmon, sēque ab eo procul submouit. Vidit arrhabonem, & tremuit, ac recessit. Indumenta vidit & fuga dilapsus est. O spiritus potentiam. Non animæ, non item corpori eam contulit facultatem, sed vestimento, verius vmbræ. Pertransibat Petrus, & morbos profligagat vmbra eius, propellebat dæmonas, mortuósque excitabat. Perambulabat Paulus orbem terræ, spinas resecans ex vniuerso terrarũ orbe, spargens semen pietatis, haud secus atque peritia aratoriæ artis longè experientissimus, vt qui aratrum doctrinæ obtineret. Ecquò peruenit? Ad Thraces, ad Scythas, ad Indos, ad Mauros, ad Sardonios, ad Gothos, ad belluas agrestes illas, nihilque non conuertebat. Vndenam illi hæc? Ab arrhabone. Cum sua virtute, vnus satis esse potuit? Aderat illi spiritus gratia, ei qui nullo munere publico fungebatur, qui nudipes ac nudus erat. Qui & dedit arrhabonẽ spiritus. Qua de re his addit, Et ad hæc quis idoneus? Verùm isthæc nostra idoneitas pendet à Deo, qui & idoneos nos fecit ministros noui Testamenti, nõ literæ, sed spiritus. Quid Spiritus sanctus fecerit, vel nunc vide. Inuenit terram adopertã dæmonibus, & cœlũ ex ea cõstituit. Nolim quæ præsẽtia sunt cogitetis:

2.Cor.2. 16.

2.Cor.3.6.

A ἁμαρτωλοὺς ἀπήλλαττεν ἁμαρτημάτων, χωλοὺς διώρθου, γυμνοὺς ἐνέδυε, νεκροὺς ἤγειρε, λεπροὺς ἐκαθάριζε, διαβόλου ἐπεστόμιζε, δαίμονας ἀπέπνιγε, τῷ Θεῷ διελέγετο, ἐκκλησίας ἐφύτευσε, ναοὺς κατέσκαψε, βωμοὺς ἀνέτρεψε, τὴν κακίαν ἔλυσε, τὴν ἀρετὴν ἐφύτευσε, τοὺς ἀνθρώπους ἀγγέλους ἐποίησε, ταῦτα πάντα ἦμεν. ἀρραβὼν ἐπλήρωσε τὴν οἰκουμένην ἅπασαν. ἅπασαν δὲ ὅταν εἴπω, λέγω, ὅσην ἥλιος ἐφορᾷ γῆν, θαλάσσας, νήσους, ὄρη, νάπας, καὶ βουνούς. περιῆλθε καθάπερ ὑπόπτερος ὁ Παῦλος ἐνὶ στόματι παλαίων, B ὁ σκηνοποιός, ὁ σμίλην μεταχειριζόμενος, καὶ δέρματα ῥάπτων, καὶ αὕτη ἡ τέχνη κώλυμα τῇ ἀρετῇ οὐκ ἐγένετο, ἀλλ' ὁ σκηνοποιὸς δαιμόνων ἰσχυρότερος, ὁ ἄστομος φιλοσόφων φιλοσοφώτερος. πόθεν; ἔλαβε τὸν ἀρραβῶνα, ἐβάσταζε τὸν δακτύλιον καὶ περιέφερεν. ἔβλεπον πάντες, ὅτι βασιλεὺς ἡρμόσατο τὴν φύσιν ἡμῶν. εἶδεν ὁ δαίμων, καὶ ἀνεχώρει. εἶδε τὸν ἀρραβῶνα, καὶ ἔτρεμε, καὶ ὑπεχώρει. ἱμάτια ἔβλεπε, καὶ ἐδραπέτευσε. ὦ δύναμις πνεύματος. C οὐ ψυχῇ ἔδωκε τὴν ἐξουσίαν, οὐ σώματι ἀλλὰ καὶ ἱματίῳ· οὐχ ἱματίῳ, ἀλλὰ καὶ σκιᾷ. περιῄει ὁ Πέτρος, καὶ ἡ σκιὰ αὐτοῦ νόσους ἐφυγάδευε, καὶ δαίμονας ἀπήλαυνε, καὶ νεκροὺς ἤγειρε. περιῄει Παῦλος τὴν οἰκουμένην, τὰς ἀκάνθας ἀνατέμνων τῆς ἀσεβείας, τὰ σπέρματα καταβάλλων τῆς εὐσεβείας. καθάπερ ἀροτὴρ ἄριστος τὸ ἄροτρον ἔχων τῆς διδασκαλίας. καὶ πρὸς τίνας ἦλθε; πρὸς Θρᾷκας, πρὸς Σκύθας, πρὸς Ἰνδούς, πρὸς Μαύρους, πρὸς Σαρδονίους, πρὸς Γότθους, πρὸς θηρία ἄγρια, καὶ μετέβαλλε πάντα. πόθεν; ἀπὸ τοῦ ἀρραβῶ-D νος. πῶς διήρκεσεν; ἀπὸ τῆς τοῦ πνεύματος χάριτος. ἰδιώτης, γυμνός, ἀνυπόδητος. ὁ καὶ δοὺς τὸν ἀρραβῶνα τοῦ πνεύματος. διὰ τοῦτο λέγει, καὶ πρὸς ταῦτα τίς ἱκανός; ἀλλ' ἡ ἱκανότης ἡμῶν ἐκ τοῦ Θεοῦ, ὃς καὶ ἱκάνωσεν ἡμᾶς διακόνους καινῆς διαθήκης, οὐ γράμματος, ἀλλὰ πνεύματος; ἴδε τί τὸ πνεῦμα ἐποίησεν. εὗρε τὴν γῆν δαιμόνων γέμουσαν, καὶ ἐποίησεν αὐτὴν οὐρανόν. μὴ γὰρ τὰ παρόντα ἐννοήτε

ἀλλὰ ἀναλάβετε τῷ λογισμῷ αὐτά. τότε ἦν θρῆνος, τότε πανταχοῦ βωμοὶ, πανταχοῦ καπνὸς, πανταχοῦ κνίσσαι, πανταχοῦ πορνεῖαι, πανταχοῦ τελεταὶ, πανταχοῦ θυσίαι, πανταχοῦ δαίμονες βακχεύοντες, πανταχοῦ ἀκρόπολις τοῦ διαβόλου, πανταχοῦ πορνεία στεφανουμένη· καὶ εἷς ἦν ὁ Παῦλος. πῶς οὐ κατεποντίσθη; πῶς οὐ διεσπάσθη; πῶς ἤνοιξε τὸ στόμα; εἰσῆλθεν εἰς Θηβαΐδα, καὶ αἰχμαλώτους ἔλαβεν. εἰσῆλθεν εἰς τὰς βασιλικὰς αὐλὰς, καὶ τὸν βασιλέα μαθητὴν ἐποίησεν. εἰσῆλθεν εἰς τὸ δικαστήριον, καὶ λέγει αὐτῷ ὁ δικαστὴς, παρ' ὀλίγον με πείθεις Χριστιανὸν γενέσθαι, καὶ ὁ δικαστὴς, μαθητὴς ἐγένετο. εἰσῆλθεν εἰς τὸ δεσμωτήριον, καὶ τὸν δεσμοφύλακα ἔλαβεν. ἀπῆλθεν εἰς βαρβάρων νῆσον, καὶ τὴν ἔχιν διδάσκαλον ἐποίησεν. ἀπῆλθεν εἰς τὸν δῆμον τῶν Ῥωμαίων, καὶ τὴν σύγκλητον ἀπέσπασεν. ἀπῆλθεν εἰς ποταμοὺς, ἀπῆλθεν εἰς ἐρήμους τόπους πανταχοῦ τῆς οἰκουμένης. οὐ γῆ, οὐ θάλασσα ἄμοιρος αὐτοῦ ἐστι τῶν κατορθωμάτων. ἔδωκε γὰρ τὸν ἀῤῥαβῶνα τοῦ δακτυλίου, καὶ δοὺς τὸν ἀῤῥαβῶνα, λέγει· τὰ μὲν ἤδη δίδωμί σοι, τὰ δὲ ἐπαγγέλλομαι. διὰ τοῦτο λέγει αὐτῇ ὁ προφήτης· παρέστη ἡ βασίλισσα ἐκ δεξιῶν σου, ἐν ἱματισμῷ διαχρύσῳ. οὐχ ἱμάτιον λέγει, ἀλλ' ἀρετήν. διὰ τοῦτο ἡ γραφὴ ἀλλαχοῦ λέγει, πῶς εἰσῆλθες ὧδε μὴ ἔχων ἔνδυμα γάμου; ὥστε οὐκ ἔνδυμα λέγει, ἀλλὰ τὴν πορνείαν, καὶ τὴν ῥυπαρὰν πρᾶξιν καὶ ἀκάθαρτον. ὥσπερ οὖν τὰ ῥυπαρὰ ἱμάτια, ἁμαρτία· οὕτω τὰ διάχρυσα, ἀρετή. ἀλλὰ τὸ ἱμάτιον τοῦτο τοῦ βασιλέως ἦν. αὐτὸς αὐτῇ καὶ ἱμάτιον ἔδωκεν. γυμνὴ γὰρ ἦν, γυμνὴ καὶ ἀσχημονοῦσα. παρέστη ἡ βασίλισσα ἐκ δεξιῶν σου, ἐν ἱματισμῷ διαχρύσῳ. οὐχ ἱμάτια λέγει, ἀλλ' ἀρετήν, οὐκ εἶπεν ἐν χρυσῷ. πρόσεχε καὶ αὐτὴ ἡ λέξις πολλὴν ἔχει εὐγένειαν νοημάτων. οὐκ εἶπεν, ἐν χρυσῷ, ἀλλὰ διαχρύσῳ. ἄκουε σπουδαίως. τὸ χρυσοῦν ἱμάτιον, ὅλον ἐστὶ χρυσοῦν· τὸ δὲ διάχρυσον, μέρη μὲν ἔχει χρυσᾶ, μέρη δὲ σηρικά. διὰ τί οὖν μὴ χρυσοῦν ἱμάτιον εἶπε φορεῖν τὴν νύμφην, ἀλλὰ διάχρυσον; πρόσεχε ἀκριβῶς. τὴν πολιτείαν λέ-

A sed quæ tum erant, ad memoriam reuocetis. Tunc erant lamenta, tunc nullo non loco altaria, omni in loco fumi, nusquã non nidores. Scortationes vbique locorum exercebantur, vbicunque terrarum hostię sacrificiáve Gentilium. In quibus non terris debacchabantur dæmones? Vbique gentium arx summa diabolo consecrata erat. Nulla non regio palmam tribuebat impudicitiæ: Et vnus erat Paulus. Quo is pacto non est tot immersus fluctibus? Quomodo non interruptus & membratim distractus? Qua fiducia fretus, os aperuit? Ingressus B est Thebaïdem & eos in captiuitatem abduxit. Aulam intrauit regalem, & ex rege fecit discipulum. Forum iudiciale introiuit, & ei iudex dicit, In modico suades me Christianum fieri. iudex nihilominus illius se dedidit disciplinæ. Carcerem ingressus est, & ad se pertraxit carcerarium. Ad insulam barbarorum se contulit, & viperam doctorem effecit. Illinc concessit ad Romanum populum, illúmque ad se pertraxit senatorium ordinẽ. Peragrauit flumina, ad deserta secessit loca. Quocunque tandem habitati orbis, non terra, non C mare expers fuit eorũ quæ ab ipso multa cum laude gesta sunt. Arrham enim annuli dedit; hac data subijcit, Hæc quidem prius tibi do, cætera autem pollicеor me daturum. Et hac ratione dicit Propheta, Adstitit regina à dextris tuis, in vestitu deaurato. Non vestimentũ dicit, sed virtutem. qua ex causa alio loco dicit scriptura, Quomodo intrasti huc non habens vestẽ nuptialem? Non itaq; vestimentum indicat, sed vtique scortationem & quamlibet obscœnam impurámque actionem. Sanè vestimenta sordida vti exprimunt peccatum: ita & deaurata D virtutem insinuant. Quare hoc genus vestimenti quod erat regis, is suæ sponsæ dedit? Nuda enim erat, nuda & squalens sordibus ac deformis. Adstitit regina à dextris tuis in vestitu deaurato. Non indicat vestimenta ipsa, sed virtutem. Non dixit, Aureo. Aduerte animũ; nam ipsa dictio multiplicem continet sententiarum vim, & eam sanè generosam. Non dixit, Aureo, sed deaurato. Solerter audi, vestimentum quodaureum est, filis contexitur prorsus aureis: quod verò deauratũ, particulis aliquot aureis, aliquot sericis intertexitur. Qua igitur ratione non dixit sponsam ferre aureum vestimentum, sed deauratum? Causam aduerte exactius. Conuersationem subindi-

Act. 26. 28.

Adstitit regina.

Matth. 22. 12.

Vt sordida vestis, peccatum: sic deaurata virtutem insinuat.

cat Ecclesiæ, quæ diuersa est & multiformis. Nam quando non vnius eiusdémque propositi sumus omnes: sed hic quidem virginitatẽ exercet, iste autem sectatur viduitatẽ, ille verò religiosam pietatẽ meditatur & excolit: ob id multiplex ac variegata dicitur vestis Ecclesiæ. Quum igitur certissimè nosset dominus noster quòd si vna & eadem via inciderent omnes, permulti animi lentore fatiscerent & lassarentur, eóq; vias nobis secuit distincti ac diuersi instituti. Non potes per virginalẽ statũ regnum introire? per nuptias ingredere. Non potes vnico coniugio contentus viuere? Per alteras nuptias ingreditor. Non potes per temperantiã frugalitatémve ingredi? intra per eleemosynã. Non potes per eleemosynam? introi per ieiunium. At ne hoc quidem potes? illam age, fac, hoc age, exerceto. Ob hoc vestem non prodidit esse auream, sed deauratam. Aut enim serica est, aut purpurea, aut certè aurea. Non potes esse aureus? Esto sericus. Suscipio te, tantùm inueniaris in vestiméto. Hac ratione dixit Paulus, (1. Cor. 3. 12) Si quis ædificat super fundamentum hoc, aurum, argẽtum, lapides preciosos. Non potes preciosus esse lapis? esto aurum. Non potes esse aurum? esto argentum. Solùm persiste in fundamento. Rursus alio loco, (1. Cor. 15. 41.) Alia claritas solis, & alia claritas lunæ, & alia claritas stellarum. Non potes esse sol? Esto luna. Non potes esse luna? Esto stella. Non potes esse eximia quædam ac prelustris stella? Esto vel vna de minoribus, tantùm sis in cœlo. Non potes esse virgo? Ducito vxorẽ cum continẽtia coniugali, modo in ecclesia perseueres. Non potes expers viuere prædiorũ ac facultatum? facito eleemosynã: tantùm permane in ecclesia, in vestimento, sub regina. Deaurata vestis, variegata est ac versicolor. Viam nolim tibi occludere. Virtutũ enim copia facilem reddidit regiæ istius domus dispensationem. Deaurato vestimento circumdata: versicolor est vestis spõsæ. Quòd si malis, interpretare sermonis istius profunditatem iuxta id quod dictum iam est, ac vide quænã sit illa, quæ deaurata est. Hic etenim solitarij quidã degunt: isti autẽ nuptias exercent, sed temperãter ac pudicè, qui & illis nõ adeò sunt longè inferiores. Et hi quidẽ vnico contenti coniugio, hæ autẽ viduæ etiã dum ætate florentes. Vt quid hortus? vt quid & sic diuersicolor? Quòd flores habeat differentes, arbores insuper, nec paucas margaritas.

A γὰρ τῆς ἐκκλησίας, τὴν ποικίλην. ἐπειδὴ γὰρ οὐ πάντες βίου ἑνός ἐσμεν, ἀλλ' ὁ μὲν παρθενίαν, ὁ δὲ χηρείαν, ὁ δὲ εὐσέβειαν ἀσκεῖ, ἱμάτιον τῆς ἐκκλησίας ἡ πολιτεία τῆς ἐκκλησίας. ἐπειδὴ οὖν ᾔδει ὁ δεσπότης ἡμῶν, ὅτι ἂν μίαν ὁδὸν τέμῃ, πολλοὶ ἔχουσιν ὀκνῆσαι, ποικίλας ἔτεμεν ὁδούς. οὐ δύνασαι διὰ παρθενίας εἰσελθεῖν; εἴσελθε διὰ μονογαμίας. οὐ δύνασαι διὰ μονογαμίας; κἂν διὰ δευτερογαμίας. οὐ δύνασαι διὰ σωφροσύνης εἰσελθεῖν; εἴσελθε δι' ἐλεημοσύνης. οὐ δύνασαι δι' ἐλεημοσύνης; εἴσελθε B διὰ νηστείας. οὐ δύνασαι ταύτην; δεῦρο ἐκείνην, οὐ δύνασαι ἐκείνην; δεῦρο ταύτην. διὰ τοῦτο οὐκ ἔδειξε τὸ ἱμάτιον χρυσοῦν, ἀλλὰ διάχρυσον. ἢ σηρική ἐστι, ἢ πορφυρᾶ ἐστιν, ἢ χρυσᾶ ἐστιν. οὐ δύνασαι εἶναι χρυσοῦς; γενοῦ σηρικός. δέχομαί σε, μόνον ἐν τῷ ἱματίῳ. διὰ τοῦτο καὶ ὁ Παῦλος, εἴ τις ἐποικοδομεῖ ἐπὶ τὸν θεμέλιον τοῦτον, χρυσόν, ἄργυρον, λίθους τιμίους. οὐ δύνασαι εἶναι ὁ λίθος τίμιος; γενοῦ χρυσός. οὐ δύνασαι εἶναι χρυσός; γενοῦ ἄργυρος. μόνον ἐν τῷ θεμελίῳ. καὶ πάλιν ἀλλαχοῦ· ἄλλη δόξα ἡλίου, καὶ ἄλλη δόξα σελήνης, καὶ ἄλλη δόξα C ἀστέρων. οὐ δύνασαι εἶναι ἥλιος, γενοῦ σελήνη. οὐ δύνασαι εἶναι σελήνη; γενοῦ ἀστήρ. οὐ δύνασαι εἶναι μέγας ἀστήρ; γενοῦ κἂν μικρός, μόνον ἐν τῷ οὐρανῷ. οὐ δύνασαι εἶναι παρθένος; γάμησον μετὰ σωφροσύνης, μόνον ἐν τῇ ἐκκλησίᾳ. οὐ δύνασαι εἶναι ἀκτήμων; ἐλέησον, μόνον ἐν τῇ ἐκκλησίᾳ, μόνον ἐν τῷ ἱματίῳ, μόνον ὑπὸ τὴν βασίλισσαν. διάχρυσον τὸ ἱμάτιον, ποικίλον τὸ ἱμάτιον. οὐκ ἀποκλείω σοι τὴν ὁδόν. ἡ ἀφθονία γὰρ τῆς ἀρετῆς, εὔκολον ἐποίησε τὴν οἰκονομίαν τοῦ βασιλέως. ἐν ἱματισμῷ διαχρύσῳ D περιβεβλημένη πεποικιλμένη. ποικίλον ἐστὶν αὐτῆς τὸ ἱμάτιον. καὶ εἰ βούλει, ἀνάπτυξον τὸ βάθος τοῦ λόγου τοῦ εἰρημένου, καὶ βλέπε τὸ ἱμάτιον διάχρυσον. ἐνταῦθα μὲν γὰρ οἱ μὲν μονάζοντές εἰσιν, οἱ δὲ γάμον σεμνὸν ἀσκοῦσιν, οὐ πολὺ ἐκείνων ἀπολιμπανόμενοι. καὶ οἱ μὲν μονόγαμοι, αἱ δὲ χῆραι ἀνθοῦσαι. διὰ τί παράδεισος; διὰ τί ποικίλος; ἔχων ἄνθη διάφορα, καὶ δένδρα, καὶ πολλοὺς τοὺς μαργαρίτας. πολ-

λοὶ οἱ ἀστέρες, ἀλλὰ εἷς ὁ ἥλιος. πολλοὶ οἱ βίοι, ἀλλὰ εἷς ὁ παράδεισος. πολλοὶ οἱ ναοὶ, ἀλλὰ εἷς ὁ παράδεισος. πολλοὶ οἱ ναοὶ, ἀλλὰ μία ἡ μήτηρ. τὸ μὲν, σῶμα, τὸ δὲ, ὀφθαλμοὶ, τὸ δὲ, δάκτυλος, ἀλλὰ πάντες εἷς. τὸ αὐτὸ γὰρ τὸ μικρὸν, καὶ τὸ μέγα, καὶ τὸ ἧττον. ἡ παρθένος τῆς γεγαμημένης χρείαν ἔχει, καὶ γὰρ ἡ παρθένος, ἀπὸ γάμου, ἵνα μὴ καταφρονῇ γάμου, ἡ παρθένος ῥίζα τοῦ γάμου. πάντα συνδεδεμένα, τὰ μικρὰ τοῖς μεγάλοις, καὶ τὰ μεγάλα τοῖς μικροῖς. παρέστη ἡ βασίλισσα ἐκ δεξιῶν σου, ἐν ἱματισμῷ διαχρύσῳ περιβεβλημένη, πεποικιλμένη. τὸ λοιπὸν, ἄκουσον θύγατερ. ἣν νυμφαγωγὸς ὡς μέλλεις ἐξέρχεσθαι πρὸς τὸν νυμφίον, ὑπερβαίνοντά σου τὴν οὐσίαν, ὑπερβαίνοντά σου τὴν φύσιν. ἐγὼ νυμφαγωγός. ἄκουσον θύγατερ. εὐθέως ἐγένετο ἡ γυνή; ναί. οὐδὲν γὰρ σωματικόν. καὶ γὰρ ὡς γυναῖκα ἡρμόσατο, καὶ ὡς θυγατέρα φιλεῖ, καὶ ὡς δούλης προνοεῖ, καὶ ὡς παρθένον τηρεῖ, καὶ ὡς παράδεισον τειχίζει, καὶ ὡς μέλος περιέπει, καὶ ὡς κεφαλῆς προνοεῖ, καὶ ὡς ῥίζα φυτεύει, καὶ ὡς ποιμὴν βόσκει, καὶ ὡς νυμφίος ἁρμόζεται, καὶ ὡς ἱλαστήριον συγχωρεῖ, καὶ ὡς πρόβατον θύεται, καὶ ὡς νυμφίος διατηρεῖ ἐν κάλλει, καὶ ὡς ἀνὴρ προνοεῖ τῆς κηδεμονίας. πολλὰ τὰ νοήματα, ἵνα κἂν μικροῦ μέρους τῆς οἰκονομίας ἀπολαύσωμεν. ἄκουσον θύγατερ, καὶ ἴδε, καὶ βλέπε τὰ γαμικὰ πράγματα, καὶ πνευματικά. ἄκουσον θύγατερ. θυγάτηρ ἦν τῶν δαιμόνων αὕτη πρότερον, θυγάτηρ τῆς γῆς, ἀναξία τῆς γῆς, καὶ νῦν γέγονε θυγάτηρ τοῦ βασιλέως. τοῦτο δὲ ἠθέλησεν ὁ ἐρῶν αὐτῆς. ὁ γὰρ ἐρῶν οὐκ ἐξετάζει τρόπον. ὁ ἔρως οὐ βλέπει ἀμορφίαν. διὰ τοῦτο δὲ καλεῖται ἔρως, ὅτι πολλάκις καὶ ἄμορφον φιλεῖ, οὕτω καὶ ὁ Χριστὸς ἐποίησεν. ἄμορφον εἶδεν. οὐ γὰρ ἂν αὐτὴν εἴποιμι εὔμορφον, καὶ ἠράσθη. καὶ ποιεῖ αὐτὴν νέαν, μὴ ἔχουσαν σπίλον ἢ ῥυτίδα. ὦ νυμφίου καλλωπίζοντος ἀμορφίαν νύμφης. ἄκουσον θύγατερ, ἄκουσον, καὶ ἴδε. δύο λέγει, ἄκουσον, καὶ βλέπε, τὰ δύο ἀπὸ σοῦ τὰ μὲν τοῖς ὀφθαλμοῖς, τὰ δὲ τῇ ἀκοῇ. ἐπειδὴ οὖν ἡ πρᾶξις αὐτῆς ἐν ἀκοῇ ἦν, εἰ καί τινες ὀξύτεροι προεῖδον, ἀναμένε-

A Stellæ quàm multæ ſunt: vnus tamen ſol eſt. Multiplex viuendi propoſitũ ac formula, ſed vnus paradiſus. Multa templa, ſed vnus paradiſus. Multa templa, ſed templorũ vnica mater. Et hoc quidem corpus, iſtud verò oculi, illud verò digitus. Cæterùm ſumus omnes vnus: vnum & idem ſumus, perinde paruum atque magnũ, & quod vtroque inferius eſt. Indiga enim virgo eſt eius quæ viro iuncta eſt. Etenim virgini prouidẽdum eſt, ne nuptias aſpernetur, quum per nuptias prognata ſit. Virgo radix eſt nuptiarum. Copulata ſunt omnia & con- B ſerta, parua magnis, magna paruis. Adſtitit regina à dextris tuis in veſtitu deaurato, circumdata verſicolore amiculo. Ad eius quod reliquum eſt, accingor interpretationem. Audi filia, quam pronuba tanquã deductura ſit ad ſponſum, qui ſit eſſentia ſuperior, qui naturę conditione præcellat ſponſam. Ego pronubus, audi igitur filia. Actutũ ne illi facta eſt vxor? ita ſanè. Nihil enim hîc quod ſit corporale. Etenim quaſi vxorem ſibi eam deſpondit, & vt filiam diligit, ac veluti ancillæ prouidet, ſeruátque perinde ac virginem, & ſicut hortum cingit C muro, ceu etiam membrum fouet & adornat, ac velut capiti prouidet: inſtar radicis progignit fructum: ſicut paſtor oues paſcit, & tanquam ſpõſus deſpondet, vtque propitiatoriũ, peccata condonat, ſicut ouis immolatur, qua ſponſus ſe conſeruat in decore ac decenti ornatu, & tanquã vir quæ officij ſui ſunt, ſatagit ac prouidet. Multæ ſunt intelligentiæ è quibus ſaltem aliqua ex parte perfruamur earum diſpenſatione. Audi filia & vide & reſpice ad connubialia ac ſpiritualia. Audi filia. Hæc prius filia erat dæmonum, filia terræ, ipſa tellure indigna: eadẽ nunc facta eſt filia regis. D Hoc vt eſſet, voluit, qui flagrabat eius amore. qui enim amat, non magnopere obſeruat modum. qui amat, nõ perſpicit deformitatem. Ob hoc planè dicitur ἔρως, quòd plerunque amat rem quamlibet deformem. Sic & Christus fecit: deformem vidit, non enim eam poſſum formoſam dicere: atq. adamauit, eámque innouat & inſtaurat non habẽtem maculã aut rugam. O ſponſum, qui tam bellè exornat deformitatem ſuæ ſponſæ. Audito ô filia & vide. Duo dicit: Audi & vide. Duo hæc à te pendent, vnum ab oculis alterum ab auribus: quoniã ergo dos ſponſæ in auditu ſita erat, quamuis nonnulli acrioribus oculis præuideant, to-

cat Ecclesiæ, quæ diuersa est & multiformis. Nam quando non vnius eiusdémque propositi sumus omnes: sed hic quidem virginitatẽ exercet, iste autem sectatur viduitatẽ, ille verò religiosam pietatẽ meditatur & excolit: ob id multiplex ac variegata dicitur vestis Ecclesiæ. Quum igitur certissimè nosset dominus noster quòd si vna & eadem via incederent omnes, permulti animi lentore fatiscerent & lassarentur, eóq. vias nobis secuit distincti ac diuersi instituti. Non potes per virginalẽ statũ regnum introire? per nuptias ingredere. Non potes vnico coniugio contentus viuere? Per alteras nuptias ingreditor. Non potes per temperantiã frugalitatémve ingredi? intra per eleemosynã. Non potes per eleemosynam? introi per ieiunium. At ne hoc quidem potes? illam age, fac, hoc age, exerceto. Ob hoc vestem non prodidit esse auream, sed deauratam. Aut enim serica est, aut purpurea, aut certè aurea. Non potes esse aureus? Esto sericus. Suscipio te, tantùm inueniaris in vestimẽto. Hac ratione dixit Paulus, Si quis ædificat super fundamentum hoc, aurum, argẽtum, lapides preciosos. Non potes preciosus esse lapis? esto aurum. Non potes esse aurum? esto argentum. Solùm persiste in fundamento. Rursus alio loco, Alia claritas solis, & alia claritas lunæ, & alia claritas stellarum. Non potes esse sol? Esto luna. Non potes esse luna? Esto stella. Non potes esse eximia quædam ac prælustris stella? Esto vel vna de minoribus, tantùm sis in cœlo. Non potes esse virgo? Ducito vxorẽ cum continẽtia coniugali, modo in ecclesia perseueres. Non potes expers viuere prædiorũ ac facultatum? facito eleemosynã: tantùm permane in ecclesia, in vestimento, sub regina. Deaurata vestis, variegata est ac versicolor. Viam nolim tibi occludere. Virtutũ enim copia facilem reddidit regiæ istius domus dispensationem. Deaurato vestimento circumdata: versicolor est vestis spõsæ. Quòd si malis, interpretare sermonis istius profunditatem iuxta id quod dictum iam est, ac vide quænã sit illa, quæ deaurata est. Hic etenim solitarij quidã degunt: isti autẽ nuptias exercent, sed temperãter ac pudicè, qui & illis nõ adeò sunt longè inferiores. Et hi quidẽ vnico contenti coniugio hæ autẽ viduæ etiã dum ætate florentes. Vt quid hortus? vt quid & sic diuersicolor? Quòd flores habeat differentes, arbores insuper, nec paucas margaritas.

1. Cor. 3. 12

1. Cor. 15. 41.

A γὰρ τῆς ἐκκλησίας, τὴν ποικίλην. ἐπειδὴ γὰρ οὐ πάντες βίου ἑνός ἐσμεν, ἀλλ' ὁ μὲν παρθενίαν, ὁ δὲ χηρείαν, ὁ δὲ εὐσέβειαν ἀσκεῖ, ἱμάτιον τῆς ἐκκλησίας ἡ πολιτεία τῆς ἐκκλησίας. ἐπειδὴ οὖν ᾔδει ὁ δεσπότης ἡμῶν, ὅτι εἰ μίαν ὁδὸν τέμῃ, πολλοὶ ἔχουσιν ὀκνῆσαι, ποικίλας ἔτεμεν ὁδούς. οὐ δύνασαι διὰ παρθενίας εἰσελθεῖν; εἴσελθε διὰ μονογαμίας. οὐ δύνασαι διὰ μονογαμίας; κἂν διὰ δευτερογαμίας. οὐ δύνασαι διὰ σωφροσύνης εἰσελθεῖν; εἴσελθε δι' ἐλεημοσύνης. οὐ δύνασαι δι' ἐλεημοσύνης; εἴσελθε B διὰ νηστείας. οὐ δύνασαι ταύτην; δεῦρο ἐκείνην, οὐ δύνασαι ἐκείνην; δεῦρο ταύτην. διὰ τοῦτο οὐκ ἔδειξε τὸ ἱμάτιον χρυσοῦν, ἀλλὰ διάχρυσον. ἢ σηρική ἐστι, ἢ πορφυρᾶ ἐστιν, ἢ χρυσᾶ ἐστιν. οὐ δύνασαι εἶναι χρυσοῦς; γενοῦ σηρικός. δέχομαί σε, μόνον ἐν τῷ ἱματίῳ. διὰ τοῦτο καὶ ὁ Παῦλος, εἴ τις ἐποικοδομεῖ, ἐπὶ τὸν θεμέλιον τοῦτον, χρυσὸν, ἄργυρον, λίθους τιμίους. οὐ δύνασαι εἶναι ὁ λίθος τίμιος; γενοῦ χρυσός. οὐ δύνασαι εἶναι χρυσός; γενοῦ ἄργυρος. μόνον ἐν θεμελίῳ. καὶ πάλιν ἀλλαχοῦ· ἄλλη δόξα ἡλίου, καὶ ἄλλη δόξα σελήνης, καὶ ἄλλη δόξα C ἀστέρων. οὐ δύνασαι εἶναι ἥλιος, γενοῦ σελήνη. οὐ δύνασαι εἶναι σελήνη; γενοῦ ἀστήρ. οὐ δύνασαι εἶναι μέγας ἀστήρ; γενοῦ κἂν μικρὸς, μόνον ἐν τῷ οὐρανῷ. οὐ δύνασαι εἶναι παρθένος; γάμησον μετὰ σωφροσύνης, μόνον ἐν τῇ ἐκκλησίᾳ. οὐ δύνασαι εἶναι ἀκτήμων; ἐλέησον, μόνον ἐν τῇ ἐκκλησίᾳ, μόνον ἐν τῷ ἱματίῳ, μόνον ὑπὸ τὴν βασίλισσαν. διάχρυσον τὸ ἱμάτιον, ποικίλον τὸ ἱμάτιον. οὐκ ἀποκλείω σοι τὴν ὁδόν. ἡ ἀφθονία γὰρ τῆς ἀρετῆς, εὔκολον ἐποίησε τὴν οἰκονομίαν τοῦ βασιλέως. ἐν ἱματισμῷ διαχρύσῳ D περιβεβλημένη πεποικιλμένη. ποικίλον ἐστὶν αὐτῆς τὸ ἱμάτιον. καὶ εἰ βούλει, ἀνάπτυξον τὸ βάθος τοῦ λόγου τοῦ εἰρημένου, καὶ βλέπε τὸ ἱμάτιον τὸ διάχρυσον. ἐνταῦθα μὲν γὰρ οἱ μὲν μονάζοντές εἰσιν, οἱ δὲ γάμον σεμνὸν ἀσκοῦσιν, οὐ πολὺ ἐκείνων ἀπολιμπανόμενοι. καὶ οἱ μὲν μονόγαμοι, αἱ δὲ χῆραι ἀνθοῦσαι. διὰ τί παράδεισος; διὰ τί ποικίλος; ἔχων ἄνθη διάφορα, καὶ δένδρα, καὶ πολλοὺς τοὺς μαργαρίτας. πολ-

λοὶ οἱ ἀστέρες, ἀλλὰ εἷς ὁ ἥλιος. πολλοὶ οἱ βίοι, ἀλλὰ εἷς ὁ παράδεισος. πολλοὶ οἱ ναοὶ, ἀλλὰ εἷς ὁ παράδεισος. πολλοὶ οἱ ναοὶ, ἀλλὰ μία ἡ μήτηρ. τὸ μὲν, σῶμα, τὸ δὲ, ὀφθαλμοὶ, τὸ δὲ, δάκτυλος, ἀλλὰ πάντες εἷς. τὸ αὐτὸ γὰρ τὸ μικρὸν, καὶ τὸ μέγα, καὶ τὸ ἧττον. ἡ παρθένος τῆς γεγαμημένης χρείαν ἔχει, καὶ γὰρ ἡ παρθένος, ἀπὸ γάμου, ἵνα μὴ καταφρονῇ γάμου, ἡ παρθένος ῥίζα τοῦ γάμου. πάντα συνδεδεμένα, τὰ μικρὰ τοῖς μεγάλοις, καὶ τὰ μεγάλα τοῖς μικροῖς. παρέστη ἡ βασίλισσα ἐκ δεξιῶν σου, ἐν ἱματισμῷ διαχρύσῳ περιβεβλημένη, πεποικιλμένη. τὸ λοιπὸν, ἄκουσον θύγατερ. ἐγὼ νυμφαγωγὸς ὡς μέλλεις ἐξέρχεσθαι πρὸς τὸν νυμφίον, ὑπερβαίνοντά σου τὴν οὐσίαν, ὑπερβαίνοντά σου τὴν φύσιν. ἐγὼ νυμφαγωγός. ἄκουσον θύγατερ. εὐθέως ἐγίνετο ἡ γυνή; ναί. οὐδὲν γὰρ σωματικόν. καὶ γὰρ ὡς γυναῖκα ἡρμόσατο, καὶ ὡς θυγατέρα φιλεῖ, καὶ ὡς δούλης προνοεῖ, καὶ ὡς παρθένον τηρεῖ, καὶ ὡς παράδεισον τειχίζει, καὶ ὡς μέλος περιέπει, καὶ ὡς κεφαλῆς προνοεῖ, καὶ ὡς ῥίζα φυτεύει, καὶ ὡς ποιμὴν βόσκει, καὶ ὡς νυμφίος ἁρμόζεται, καὶ ὡς ἱλαστήριον συγχωρεῖ, καὶ ὡς πρόβατον θύεται, καὶ ὡς νυμφίος διατηρεῖ ἐν κάλλει, καὶ ὡς ἀνὴρ προνοεῖ τῆς κηδεμονίας. πολλὰ τὰ νοήματα, ἵνα κἂν μικροῦ μέρους τῆς οἰκονομίας ἀπολαύσωμεν. ἄκουσον θύγατερ, καὶ ἴδε, καὶ βλέπε τὰ γαμικὰ πράγματα, καὶ πνευματικά. ἄκουσον θύγατερ. θυγάτηρ ἦν τῶν δαιμόνων αὕτη πρότερον, θυγάτηρ τῆς γῆς, ἀναξία τῆς γῆς, καὶ νῦν γέγονε θυγάτηρ τοῦ βασιλέως. τοῦτο δὲ ἠθέλησεν ὁ ἐρῶν αὐτῆς. ὁ γὰρ ἐρῶν οὐκ ἐξετάζει τρόπον. ὁ ἔρως οὐ βλέπει ἀμορφίαν. διὰ τοῦτο δὲ καλεῖται ἔρως, ὅτι πολλάκις καὶ ἄμορφον φιλεῖ, οὕτω καὶ ὁ Χριστὸς ἐποίησεν. ἄμορφον εἶδεν. οὐ γὰρ ἂν αὐτὴν εἴποιμι εὔμορφον, καὶ ἠράσθη. καὶ ποιεῖ αὐτὴν νέαν, μὴ ἔχουσαν σπίλον ἢ ῥυτίδα. ὦ νυμφίου καλλωπίζοντος ἀμορφίαν νύμφης. ἄκουσον θύγατερ, ἄκουσον, καὶ ἴδε. δύο λέγει, ἄκουσον, καὶ βλέπε, τὰ δύο ἀπὸ σοῦ τὰ μὲν τοῖς ὀφθαλμοῖς, τὰ δὲ τῇ ἀκοῇ. ἐπειδὴ οὖν ἡ πρᾶξις αὐτῆς ἐν ἀκοῇ ἦν, εἰ καὶ τινες ὀξύτερον προεῖδον, ἀναμιμνή-

Stellæ quàm multæ sunt: vnus tamen sol est. Multiplex viuendi propositū ac formula, sed vnus paradisus. Multa templa, sed vnus paradisus. Multa templa, sed templorū vnica mater. Et hoc quidem corpus, istud verò oculi, illud verò digitus. Cæterùm sumus omnes vnus: vnum & idem sumus, perinde paruum atque magnū, & quod vtroque inferius est. Indiga enim virgo est eius quæ viro iuncta est. Etenim virgini prouidēdum est, ne nuptias aspernetur, quum per nuptias prognata sit. Virgo radix est nuptiarum. Copulata sunt omnia & conserta, parua magnis, magna paruis. Adstitit regina à dextris tuis in vestitu deaurato, circumdata versicolore amiculo. Ad eius quod reliquum est, accingor interpretationem. Audi filia, quam pronuba tanquā deductura sit ad sponsum, qui est essentia superior, qui naturę conditione præcellat sponsam. Ego pronubus, audi igitur filia. Actutū ne illi facta est vxor? ita sanè. Nihil enim hic quod sit corporale. Etenim quasi vxorem sibi eam despondit, & vt filiam diligit, ac veluti ancillæ prouidet, seruátque perinde ac virginem, & sicut hortum cingit muro, ceu etiam membrum fouet & adornat, ac velut capiti prouidet: instar radicis progignit fructum: sicut pastor oues pascit, & tanquam spōsus despondet, vtque propitiatoriū, peccata condonat, sicut ouis immolatur, qua sponsus se conseruat in decore ac decenti ornatu, & tanquā vir quæ officij sui sunt, satagit ac prouidet. Multæ sunt intelligentiæ è quibus saltem aliqua ex parte perfruamur earum dispensatione. Audi filia & vide & respice ad connubialia ac spiritualia. Audi filia. Hæc prius filia erat dæmonum, filia terræ, ipsa tellure indigna: eadē nunc facta est filia regis. Hoc vt esset, voluit, qui flagrabat eius amore. qui enim amat, non magnopere obseruat modum. qui amat, nō perspicit deformitatem. Ob hoc planè dicitur ἔρως, quòd plerunque amat rem quamlibet deformem. Sic & Christus fecit: deformem vidit, non enim eam possum formosam dicere: atq. adamauit, eámque innouat & instaurat non habētem maculā aut rugam. O sponsum, qui tam bellè exornat deformitatem suæ sponsæ. Audito ô filia & vide. Duo dicit.

Audi & vide. Duo hæc à te pendent, vnum ab oculis alterum ab auribus: quoniā ergo dos sponsæ in auditu sita erat, quamuis nonnulli acrioribus oculis præuideant, to-

lerent interim ac præſtolētur infirmiores: vóſque commendo qui præoccupaſtis, illis etiam ignoſco qui poſterius aſſectantur, quoniam dos ſponſæ in auditu erat. Quid eſt, in auditu? in fide: ſiquidem fides ex auditu. In fide, non in fruitione, nondum in experiētia vſquequaque. Superius dixi, quia dotē ſponſæ in duas diſtinxit partes. Et quidem illa iam ei contulit vice arrhabonis: hæc verò daturum ſe pollicitus eſt futuro tempore. Quid ſponſæ dedit? Gratuitò indulſit peccata, abſoluit à debitis pœnis, dedit iuſtitiam, ſanctificationem, dependit precium redēptionis, nempe corpus dominicum, menſam diuinam ac ſpiritualem, mortuorum reſurrectionem. Hæc omnia habebant Apoſtoli. Itaque dedit quidem hæc: illa verò eſt pollicitus. Illa quidem in experientia erant & fruitione: hæc verò in ſpe & fide. Audi rurſus: Quid dedit? Baptiſma, ſacrificium. Et hæc in experientia. Vide autem. Quid eſt pollicitus? Reſurrectionem mortuorum, incorruptionem, vnionem cum Angelis, cum Archangelis tripudium, familiarem cum ipſo ſponſo congreſſum: denique vitam immortalem cum perrenni fruitione bonorum, quæ non oculus vidit, non auris audiuit, nec in cor hominis aſcenderunt, quæ præparauit Deus iis, qui diligunt eum. Dictum hoc meum intelligite, ne hoc ipſum per obliuionem ſinatis deperire. Ob hoc delaſſor ac laboro, vt intelligatis. Dos igitur ſponſæ in duo partita erat, in præſentia & in futura: in ea quæ videntur, & in ea quæ ſolo auditu percipiūtur: in ea quæ dantur, & in ea quæ creduntur datū iri: in ea quæ doctrice experientia accipimus, & in ea quibus ſperamus nos perfruituros: in ea quæ in præſenti vita cōferuntur, & in ea quæ ſperamus nos adepturos poſt reſurrectionem. Illa vides, hæc audis. Vide igitur quid dicat ſponſæ, vt ne putet quia hæc ſolùm accepit, etiā ſi eximia erāt dona, licet ineffabilia, quamuis mentē tranſcendentia. Audi filia & vide. Audi illa, nēpe futura: vide hæc præsētia. Vide, ne dicas: rurſus in ſpe, rurſus in fide, rurſus in futuro. Etiamnū vide, hæc quidem do: illa verò me daturum polliceor. Quæ polliceor, in ſpe repoſita ſunt: interim pignora hæc accipe, hæc accipe vice arrhabonis, hæc cape in ſpecimen & argumentum. Promitto tibi regnum, certiſſimam fidem ſume ex præſentibus donis, mihi crede. Regnum mihi

A τοσοῦτο τοῖς ἀσθενεστέροις. καὶ ὑμᾶς ἐπαινῶ προλαβόντας, καὶ ἐκείνοις συγγινώσκω ἀκολουθοῦσιν. ἐπεὶ ἡ προῖξ αὐτῆς ἐν ἀκοῇ ἦν. τί ἐστιν ἐν ἀκοῇ; ἐν πίστει, ἡ γὰρ πίστις ἐξ ἀκοῆς· ἐν πίστει, οὐκ ἐν ἀπολαύσει, οὐκ ἐν πείρᾳ πάσῃ. προεῖπον, ὅτι εἰς δύο μέρη διεῖλε τὴν προῖκα αὐτῆς, καὶ τὰ μὲν ἔδωκεν αὐτῇ ἀντὶ ἀῤῥαβῶνος, τὰ δὲ ἐπηγγείλατο αὐτῇ εἰς τὸ μέλλον. τί αὐτῇ ἔδωκεν; ἔδωκεν αὐτῇ ἁμαρτημάτων συγχώρησιν, κολάσεως ἄφεσιν, δικαιοσύνην, ἁγιασμόν, ἀπολύτρωσιν, σῶμα B δεσποτικόν, τράπεζαν θείαν, πνευματικήν, νεκρῶν ἀνάστασιν. ταῦτα γὰρ πάντα εἶχον οἱ ἀπόστολοι. οὐκοῦν τὰ μὲν ἔδωκεν, τὰ δὲ ἐπηγγείλατο. καὶ τὰ μὲν ἐν πείρᾳ ἦν καὶ ἀπολαύσει, τὰ δὲ ἐν ἐλπίδι καὶ ἐν πίστει. καὶ ἄκουε. τί ἔδωκε; τὸ βάπτισμα, τὴν θυσίαν. ταῦτα ἐν πείρᾳ. βλέπε δέ. τί ἐπηγγείλατο; ἀνάστασιν, σωμάτων ἀφθαρσίαν, τὴν μετὰ ἀγγέλων ἕνωσιν, τὴν μετὰ ἀρχαγγέλων χορείαν, τὴν μετ' αὐτοῦ πολιτείαν, τὴν ζωὴν τὴν ἀκήρατον, τὰ ἀγαθά, ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου C οὐκ ἀνέβη, ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν. συνίετε τὸ λεγόμενον, μὴ ἀπολέσητε αὐτό. διὰ τοῦτο κάμνω, ἵνα νοήσητε. εἰς δύο οὖν ἦν αὐτῆς ἡ προῖξ διηρημένη, εἰς τὰ παρόντα, καὶ εἰς τὰ μέλλοντα· εἰς τὰ ὁρώμενα, καὶ εἰς τὰ ἀκουόμενα· εἰς τὰ διδόμενα, καὶ εἰς τὰ πιστευόμενα· εἰς τὰ ἐν πείρᾳ, καὶ εἰς τὰ ἐν ἀπολαύσει· εἰς τὰ ἐν τῇ παρούσῃ ζωῇ, καὶ εἰς τὰ μετὰ τὴν ἀνάστασιν. D ταῦτα βλέπεις, ἐκεῖνα ἀκούεις. βλέπε οὖν, τί λέγει αὐτῇ, ἵνα μὴ νομίσῃ, ὅτι ταῦτα μόνον ἔλαβε, καί τοι μεγάλα ἦν καὶ ἀπόῤῥητα καὶ πᾶσαν διάνοιαν ὑπερβαίνοντα. ἄκουσον θύγατερ, καὶ ἴδε, ἄκουσον ἐκεῖνα, καὶ βλέπε ταῦτα, ἵνα μὴ λέγῃς, πάλιν ἐπ' ἐλπίδι, πάλιν ἐν πίστει, πάλιν ἐν τῷ μέλλοντι. καὶ βλέπε, τὰ μὲν δίδωμι, τὰ δὲ ἐπαγγέλλομαι· ἐκεῖνα μὲν οὖν ἐν ἐλπίδι, ταῦτα δὲ λάβε ἐνέχυρα, ταῦτα λάβε ἀῤῥαβῶνα, ταῦτα λάβε εἰς ἀπόδειξιν. ἐπαγγέλλομαί σοι βασιλείαν, πίστευε ἀπὸ τῶν παρόντων, πίστευέ μοι. βασιλείαν μοι

ἐπαγγέλλῃ; ναί. ὃ μεῖζόν σοι ἔδωκα, τὸν δεσπότην τῆς βασιλείας, ὅς γε τοῦ ἰδίου υἱοῦ οὐκ ἐφείσατο, ἀλλ' ὑπὲρ ἡμῶν πάντων παρέδωκεν αὐτὸν, πῶς οὐχὶ καὶ σὺν αὐτῷ τὰ πάντα ἡμῖν χαρίσηται; ἀνάστασιν δίδως σωμάτων; ναί. ὃ μεῖζόν σοι ἔδωκα. ποῖον; ἀπαλλαγὴν ἁμαρτίας. πῶς ὃ μεῖζον; ὅτι τὸν θάνατον ἡ ἁμαρτία ἔτεκεν. τὴν μητέρα ἔσφαξα, καὶ τὸν υἱὸν οὐ σφάξω; τὴν ῥίζαν ἐξήρανα, καὶ τὸν καρπὸν οὐκ αἰρῶ; ἄκουσον θύγατερ καὶ ἴδε. τί ἴδω; νεκροὺς ἐγειρομένους, λεπροὺς καθαιρομένους, χαλινουμένην θάλασσαν, παραλυτικὸν σφιγγόμενον, παράδεισον ἀνοιγόμενον, ἄρτους πηγάζοντας, ἁμαρτήματα λυόμενα, χωλὸν πηδῶντα, λῃστὴν παραδείσου πολίτην γινόμενον, τελώνην εὐαγγελιστὴν γινόμενον, παρθένου σεμνοτέραν τὴν πόρνην. ἄκουσον, καὶ ἴδε. ἄκουσον ἐκεῖνα καὶ βλέπε ταῦτα. ἀπὸ τῶν παρόντων λάβε ἀπόδειξιν. καὶ περὶ ἐκείνων ἔδωκά σοι ἐνέχυρα ταῦτα ἐκείνων ἀμείνω. καὶ τί θέλεις λέγειν; ταῦτα ἐμά. ἄκουσον θύγατερ, καὶ ἴδε· ταῦτα ἡ προίξ. τί εἰσφέρει ἡ νύμφη, ἴδωμεν. καὶ σὺ εἰσένεγκε. τί ποτε; ἵνα μὴ ἧς ἀπροίκος; ἐγὼ τί ἔχω, φησὶν, εἰσενεγκεῖν ἀπὸ βωμῶν; ἀπὸ κνίσης; ἀπὸ δαιμόνων; τί ἔχω εἰσενεγκεῖν; τί; γνώμην καὶ πίστιν. ἄκουσον θύγατερ, καὶ ἴδε. καὶ τί θέλεις, ποιήσω; ἐπιλάθου τοῦ λαοῦ σου. ποίου λαοῦ; τῶν δαιμόνων, τῶν εἰδώλων, τοῦ καπνοῦ, τῆς κνίσης, τοῦ αἵματος. καὶ ἴδε, καὶ ἐπιλάθου τοῦ λαοῦ σου, καὶ τοῦ οἴκου πατρός σου. ἄφες τὸν πατέρα σου, καὶ δεῦρο πρὸς μέ. ἐγὼ τὸν πατέρα ἀφῆκα, καὶ ἦλθον πρὸς σέ, καὶ σὺ οὐκ ἀφίης τὸν σὸν πατέρα; ἀλλὰ ὃ ἀφῆκα ἐπὶ τοῦ υἱοῦ, μὴ ἐγκαταλελοιπέναι νόμιζε. συγκατέβην, οἰκονόμησα, σάρκα ἀνέλαβον. τοῦτο νυμφίου, τοῦτο νύμφης, ἵνα καταλείψῃ τοὺς γονέας, καὶ ἀλλήλοις ἁρμοσώμεθα. ἄκουσον θύγατερ, καὶ ἴδε, καὶ ἐπιλάθου τοῦ λαοῦ σου, καὶ τοῦ οἴκου τοῦ πατρός σου. καὶ τί μοι δίδως, ἐὰν ἐπιλάθωμαι; καὶ ἐπιθυμήσει ὁ βασιλεὺς τοῦ κάλλους σου. ἔχεις ἐραστὴν τὸν δεσπότην. ἂν ἐκεῖνον ἐραστὴν ἔχῃς, τὰ ἐκείνου; καὶ ἔχεις, ἐὰν δυνηθῆτε συνιδεῖν ὃ λεγόμενον. λεπτὸν γάρ ἐστι

polliceris? Certè. Tibi quidem quod maius est, dedi: nempe regni dominatorem, qui proprio filio non pepercit, sed pro nobis omnibus tradidit ipsum: quomodo non etiam cum eo omnia nobis donabit? Resurrectionémne das corporum? Certè. Quod maius est, dedi tibi. cuiusmodi est illud? exemptio à peccato. Id doni qua ratione est maius? quia peccatum mortem peperit. Iugulaui matrem, non occidam filium? Radicem arefeci, fructum non tollam? Audito ô filia & vide. Quid visura sum? Mortuos excitatos ad vitam, leprosos mundatos, suffrenatam maris intemperiem, in paralyticis astrictam neruorum resolutionem, apertum paradisum, panes velut è fonte effusos, absoluta peccata, claudum subsilientem, latronem ius municipale ciuitatis illius paradisi obtinentem, publicanum euangelistam factum, meretricem virgine pudiciorem. Audi & vide. Audito illa, & vide hæc. A præsentibus tibi sume argumentum totius. Et quidem de futuris iam pignora contuli. Hæc illis potiora sunt. Ecquid tandem dictura es? Mea hæc sunt. Audi filia & vide. Hæc tua dos sunt. Quid infert sponsa? Videamus. Subiecit sponsus, Ecquid tu tandem, vt ne maneas indotata? Ait, Ego quid possim inferre ab altaribus, à nidore immolatitiæ carnis, à dæmonibus? quid, inquam, inferre possim? Quid? vtique voluntatem ac fidem. Audi filia & vide. Ecquid vis faciam? Obliuiscere populum tuum. quémnam populum? Dæmonum inquam populum, idolorum, nidoris immolatitij ac vaporis & sanguinis. Et vide & obliuiscere populum tuum & domum patris tui. Sine valere patrem tuum, & ad me venito. Ego patrem dimisi & veni ad te, tu nō derelinques patrē tuū? Cæterū illud dimisi de filio dictū, nolim sic interpretêre, quasi desciuerit à patre aut deseruerit. Demisi me siue condescendi, & arcana dispensatione assumpsi carnem. Dicitur hoc à sponso ad sponsam, vt suos relinquat parentes, & inuicem nexu coniugali copulentur. Audi filia & vide, & obliuiscere populum tuum & domum patris tui. Ecquid mihi das, siquidem oblita fuero? Et cōcupiscet rex decorē tuum. Habes Dominū tui amantem. Si illum tui decoris habeas amatorem, quæ illius sunt vtique possidebis. Quæ illius sunt, accipe: & ea iam possides: si quidē potueritis percipere quod dictum est. Subtilis enim est

Aduersus Iudaeos dissserit.

sententiæ intelligentia, Atqui volo Iudæis istis oppilare os consuendo linguam. Quare huc aduertite mentem. Siue enim quis audiat, siue non: ego defodio terram, ego deduco manu aratrum. Audi filia, & vide, & obliuiscere populum tuum & domum patris tui, & concupiscet rex speciem tuam. Formæ præstantiam præsenti loco cõtẽdit Iudæus accipi pro ea quæ percipitur sensu. non eam intelligit quę intellectu apprehenditur, sed corporalem istam. Animum aduerte huc, discamus quænam sit corporis pulchritudo, quæ item abstractæ mẽtis siue intellectus. Est anima, est & corpus. Duæ sunt essentiæ. Est pulchritudo corporis, est & pulchritudo animæ. Quæ est corporis pulchritudo? Supercilium porrectum, oculus suauiter & gratiosè arridens, genæ rubore purpureo suffusæ, labia coloris phœnicei, collum erectum, coma vltrò se vibrans ac motitans, digiti in longum producti, statura arrecta, candor efflorescens. Hæc corporis pulchritudo ab ipsa prouenit natura potiùs quàm à studio aut destinata volũtate: quod ipsum in confesso est, quoniam naturæ beneficio obtingere solet. Attentus esto, vt noueris sententias commentationésve philosophorum. Pulchritudo hæc, tam quæ aspectus est siue oculorum, quàm quæ frontis & comæ, suapte natura oboritur. Quæ etiã studio & electione voluntatis acquiritur, liquet à natura eam prouenire. Fœda enim ac deformis facies si est: licet innumera pigmẽta adhibeat quis parandæ formæ ac venustati, operam suã luserit, quod ad corpus attinet. Quæ enim naturæ sunt, nõ violãda manent. nã ratis certisq; finib. cõpedita sunt & adstricta, nõ transcẽdẽtia sibi præscriptos fines. quę igitur pulchra est, pulchra est semper: etiã si studiũ nõ accõmodet conciliãdę sibi pulchritudini. Quæ autem deformis, nullo se studio potest reddere formosam: at nec formosa deformem. Cur id? Si quidem naturæ sunt hæc. Vidisti tandem quæ sit pulchritudo corporis? Eam ipsam introrsum reuocemus ad animam, citetur ad dominam ancilla. Eam adducamus ad animam. Vide, quin potius audi illam. Neque enim videre illam potes. Inuisibilis enim est. Audi illam, nempe pulchritudinem. Quæ igitur est animæ pulchritudo? Temperantia, æqualis morũ moderatio siue placabilitas, misericordia in indigos, charitas, mutuus amor fratrum, erga filios pietas, morigera & obsequens erga Deum obedientia, legis plena obseruatio, iustitia, animæ contritio. Hæc decora sunt, hæ sunt animæ pulchritudines. Atqui non sunt hæc

Descriptio pulchritudinis corporis.

A τὸ νόημα, καὶ βούλομαι ἀποῤῥάψαι Ἰουδαίων τὴν γλῶτταν, ἀλλὰ συντείνατέ μοι τὴν διάνοιαν· ἄν τε γὰρ ἀκούῃ τις, ἄν τε μὴ ἀκούῃ, ἐγὼ σκάπτω, ἐγὼ ἀροτριῶ. ἄκουσον θύγατερ, καὶ ἴδε, καὶ ἐπιλάθου τοῦ λαοῦ σου, καὶ τοῦ οἴκου τοῦ πατρός σου, καὶ ἐπιθυμήσει ὁ βασιλεὺς τοῦ κάλλους σου. κάλλος ἐνταῦθα τὸ αἰσθητὸν λέγει ὁ Ἰουδαῖος, οὐχὶ τὸ νοητὸν, ἀλλὰ τὸ σωματικόν. πρόσεχε, μάθωμεν τί ἐστι σωματικὸν κάλλος, καὶ τί ἐστι νοητόν. ἔστι ψυχὴ, ἔστι σῶμα, δύο οὐσίαι εἰσίν. ἔστι κάλλος σώματος, καὶ ἔστι B κάλλος ψυχῆς. τί ἐστι κάλλος σώματος; ὀφρὺς ἐκτεταμένη, ὀφθαλμὸς μειδιῶν, παρειὰ ἐρυθραινομένη, χείλη φοινικίζοντα, τράχηλος ὀρθὸς, κόμη κραδαινομένη, δάκτυλοι εὐμήκεις, ἡλικία ἀνεστηκυῖα, λευκότης ἐπανθοῦσα. τοῦτο κάλλος τὸ σωματικὸν, ἀπὸ φύσεως γίνεται ἢ ἀπὸ προαιρέσεως. ὡμολόγηται, ὅτι ἀπὸ φύσεως. πρόσεχε ἵνα μάθῃς φιλοσόφων νοήματα. τοῦτο τὸ κάλλος, τὸ τῆς ὄψεως, τὸ τοῦ ὀφθαλμοῦ, τὸ τῆς κόμης, τὸ τοῦ μετώπου, ἀπὸ φύσεως γίνεται, ἢ ἀπὸ C προαιρέσεως, εὔδηλον ὅτι ἀπὸ φύσεως γίνεται. ἡ γὰρ ἄμορφος κἂν μυρία φιλοκαλήσῃ, εὔμορφος γενέσθαι οὐ δύναται, κατὰ τὸ σῶμα. τὰ γὰρ τῆς φύσεως ἀκίνητα, ὅροις πεπέδηται, μὴ μεταβαίνοντα. ἡ τοίνυν καλὴ, ἀεὶ καλὴ, κἂν μὴ ἔχῃ φιλοκαλίαν· ἡ δὲ ἄμορφος εὔμορφον ποιῆσαι οὐ δύναται, οὐδὲ ἡ εὔμορφος, ἄμορφον. διὰ τί; ἐπειδὴ φύσεώς ἐστι ταῦτα. εἶδες οὖν σωματικὸν κάλλος; ἀγάγωμεν ἔσω εἰς τὴν ψυχήν. ἡ δούλη πρὸς τὴν δέσποιναν. πρὸς τὴν ψυχὴν ἀγάγωμεν. βλέπε D ἐκεῖνο κάλλος, μᾶλλον δὲ ἄκουε ἐκείνου. οὐ γὰρ δύνασαι αὐτὸ ἰδεῖν. ἀόρατον γάρ ἐστιν. ἄκουε ἐκεῖνο τὸ κάλλος. τί οὖν ἐστι κάλλος ψυχῆς; σωφροσύνη, ἐπιείκεια, ἐλεημοσύνη, ἀγάπη, φιλαδελφία, φιλοστοργία, ὑπακοὴ Θεοῦ, νόμου πλήρωσις, δικαιοσύνη, συντετριμμένη διανοίας. ταῦτα κάλλη ψυχῆς. ταῦτα τοίνυν οὐκ

ἔστι

ἐστι φύσεως, ἀλλὰ προαιρέσεως. καὶ ὁ μὴ ἔχων, δύναται ταῦτα λαβεῖν, ὁ δὲ ἔχων, ἐὰν ῥαθυμήσῃ, ἀπώλεσεν. ὥσπερ γὰρ ἔλεγον ἐπὶ τοῦ σώματος, ὅτι ἡ ἄμορφος εὔμορφος γενέσθαι οὐ δύναται· οὕτω καὶ ἐπὶ τῆς ψυχῆς τὸ ἐναντίον λέγω, ὅτι ἡ ἄμορφος ψυχὴ, εὔμορφος γενέσθαι δύναται. τί γὰρ ἀμορφότερον τῆς ψυχῆς Παύλου, ὅτε βλάσφημος ἦν καὶ ὑβριστής; τί δὲ εὐμορφότερον αὐτοῦ, ὅτε ἔλεγε, τὸν ἀγῶνα τὸν καλὸν ἠγώνισμαι, τὸν δρόμον τετέλεκα, τὴν πίστιν τετήρηκα; τί ἀμορφότερον τῆς ψυχῆς τοῦ λῃστοῦ; τί δὲ εὐμορφότερον αὐτοῦ ἐγένετο, ὅτε ὑπήκουσεν, ἀμὴν λέγω σοι, σήμερον μετ' ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ; τί ἀμορφότερον τοῦ τελώνου, ὅτε ἥρπασε; τί δὲ εὐμορφότερον, ὅτε τὴν οἰκείαν ἔδωκε γνώμην; ὁρᾷς, ὅτι τὴν εὐμορφίαν τοῦ σώματος οὐ δύνασαι μεταλλάσσειν (οὐ γάρ ἐστι προαιρέσεως, ἀλλὰ φύσεως) ἡ δὲ τῆς ψυχῆς εὐμορφία ἐκ τῆς προαιρέσεως ἡμῖν πορίζεται; ἔλαβες τοὺς ὅρους. ποίους; ὅτι τὸ κάλλος τῆς ψυχῆς ἀπὸ ὑπακοῆς τοῦ Θεοῦ. ἐὰν γὰρ ὑπακούσῃ τῷ Θεῷ ἡ ἄμορφος ψυχὴ, ἀποτίθεται τὴν ἀμορφίαν, καὶ γίνεται εὔμορφος. Σαοὺλ, Σαοὺλ, τί με διώκεις; ὁ δὲ, καὶ τίς εἶ, κύριε; ἐγώ εἰμι Ἰησοῦς. καὶ ὑπήκουσε, καὶ ἡ ὑπακοὴ τὴν ἄμορφον ψυχὴν εὔμορφον ἐποίησε. πάλιν τῷ τελώνῃ λέγει, δεῦρο, ἀκολούθει μοι· καὶ ἀνέστη ὁ τελώνης, καὶ ἐγένετο ἀπόστολος. ἡ ἄμορφος ψυχὴ ἐγένετο εὔμορφος. πόθεν; ἀπὸ ὑπακοῆς. πάλιν τοῖς ἁλιεῦσι λέγει, δεῦτε ὀπίσω μου, καὶ ποιήσω ὑμᾶς γενέσθαι ἁλιεῖς ἀνθρώπων· καὶ ἀπὸ τῆς ὑπακοῆς ἐγένετο εὔμορφος αὐτῶν ἡ διάνοια. ἴδωμεν ὧδε ποῖον λέγει κάλλος. ἄκουσον θύγατερ, καὶ ἴδε, καὶ ἐπιλάθου τοῦ λαοῦ σου, καὶ τοῦ οἴκου τοῦ πατρός σου, καὶ ἐπιθυμήσει ὁ βασιλεὺς τοῦ κάλλους σου. ποῖον κάλλος ἐπιθυμήσει; τὸ ψυχικόν. πόθεν; ὅτι ἐπελάθετο. λέγει, ἄκουσον οὖν, καὶ ἐπιλάθου. ταῦτα προαιρέσεώς ἐστιν. ἄκουσον εἶπεν, ἄμορφος ἀκούει, καὶ ἡ ἀμορφία αὕτη οὐ λύεται ἡ τοῦ σώματος. εἰπὲ τῇ ἁμαρτωλῷ, ἄκουσον, καὶ εἰ ὑπακούσει, βλέπε οἵα ἡ εὐμορφία. ἐπεὶ οὖν ἡ ἀμορφία τῆς νύμφης οὐκ ἦν φυσική, ἀλλὰ προαιρετική

A naturæ, sed propensioris studij ac liberæ voluntatis. Quem penes hæc non sunt animæ ornamenta, potest is suo iure sibi sumere: qui autem ea iam habet, si solutiùs ac supinè se gesserit, ea vtriq. iam perdidit. Quemadmodum enim dicebam de corpore, quia qui turpitudine laborat corporis, ad formam reuocari non potest liberalem ac venustam: ratione ex cõtrario sumpta, de anima sentio. Potest siquidem anima deformis vt sit, ad formã de integro instaurari planè egregiam. Quid enim anima Pauli deformius, quum blasphemus adhuc & B contumeliosus esset? Quid è diuerso eiusdem anima formosius, quo tempore dicebat, Certamen bonum certaui, cursum consummaui, fidem seruaui? *2. Tim. 4. 7.* Quid vsquam occurrit turpius anima latronis? Contrà, quid venustius, quàm quando eadem exaudiuit, Hodie mecum eris in paradiso? Publicano quid deformius? Quid è regione illo pulchrius, quando propria voluntate se dedidit Domino? Vides, quia excellentem corporis formam transmouere non potes (id enim non liberæ est voluntatis, sed naturæ) animæ verò formositas C ab electione & animi destinatione nobis comparatur? Accepisti quid sit pulchritudo? Pulchritudo enim animæ pendet ab obedientia erga Deum. Anima enim quamlibet deformis, si quidem obtemperauerit Deo, deponit peccatum, & speciosa redditur. Saule, Saule, quid me persequeris? *Act. 9.* Ille verò, Quis es Domine? Ego sum Iesus. *Ab exẽplo.* Obediuit, & obediẽtia ipsa deformem priùs animam, apprimè formosam reddidit. Rursus Publicano dicit: Veni, sequere me. Et surrexit Publicanus, & factus est Apostolus. Vtique anima deformis priùs venustatem recepit formæ. Vnde? D Ab obedientia. Rursum, piscatoribus dicit: Venite post me, & faciam vos fieri piscatores hominum. *Matt. 4. 19* Eorum proinde mens nitore formæ irradiauit, virtute obedientiæ. Quam hîc dicat pulchritudinem, perspiciamus: Audi filia, & vide, & obliuiscere populum tuũ & domum patris tui. Et concupiscet rex decorem tuum. Cuiusmodi decorem siue pulchritudinem concupiscet? nimirum animæ. Vndénam? quia oblita est. Audi igitur & obliuiscere. Vtique hæc liberæ sunt voluntatis. Audi, inquit: deformis audit, & deformitas hæc corporis non tollitur. Dic peccatrici animæ, Audi. Quòd si obaudierit, mox vide quali decore exornanda est. Quoniam ergo sponsæ turpitudo non naturalis erat, sed voluntaria:

Desiderabantur hic quædam in exemplari Henrici 2. quæ ex altero Henrici 4. supplenda sunt.

non enim morem gesserat Dei præceptis, sed prævaricata est: idcirco eam revocat, alteram admouendo medelam. Igitur deformis effecta es, non conditione naturæ, sed voluntaria electione: nunc apprimè decora facta es, merito obedientiæ. Audi filia, & vide, & obliuiscere populū tuum & domum patris tui: & concupiscet rex decorem tuum. Denique vt discas, quia nihil hic dicit, quod subiaceat sensuum organis, quum hæc audis, ne interpreteris insinuari oculos, non nasum, non os, neque collum seu ceruicem: sed pietatem siue religionem, fidem, charitatem, quæ interna sunt. Omnis enim gloria filiæ regis abintus. Porrò nos pro omnibus debitam Deo rependamus gratiarum actionem. Ipsum siquidem & solum addecet gloria, honor & imperium, in secula seculorum, Amen.

A (οὐ γὰρ ἤκουσε τοῦ Θεοῦ, ἀλλὰ παρέβη) διὰ τοῦτο ἑτέρῳ φαρμάκῳ ἄγει αὐτήν. ἄμορφος τοίνυν ἐγένου, οὐκ ἀπὸ φύσεως, ἀλλὰ προαιρέσεως, καὶ εὔμορφος ἐγένου ἀπὸ ὑπακοῆς. ἄκουσον θύγατερ, καὶ ἴδε, καὶ ἐπιλάθου τοῦ λαοῦ σου, καὶ τοῦ οἴκου τοῦ πατρός σου, καὶ ἐπιθυμήσει ὁ βασιλεὺς τοῦ κάλλους σου. εἶτα ἵνα μάθῃς, ὅτι οὐδὲν λέγει αἰσθητὸν, ἀκούων σὺ κάλλος, μὴ ὀφθαλμὸν νομίσῃς, μὴ ῥῖνα, μὴ στόμα, μηδὲ B τράχηλον, ἀλλ' εὐλάβειαν, πίστιν, ἀγάπην, τὰ ἔνδον. πᾶσα γὰρ ἡ δόξα τῆς θυγατρὸς τοῦ βασιλέως ἔσωθεν. ὑπὲρ δὲ τούτων ἁπάντων εὐχαριστήσωμεν τῷ Θεῷ, τῷ δόντι, ὅτι αὐτῷ πρέπει μόνῳ δόξα, τιμὴ, κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

A

ΕΙΣ ΤΟ ΡΗΤΟΝ ΤΟΥ ΠΡΟΦΗΤΟΥ ΔΑΒΙΔ ΤΟ λέγον, μὴ φοβοῦ, ὅταν πλουτήσῃ ἄνθρωπος, ἢ ὅταν πληθυνθῇ ἡ δόξα τοῦ οἴκου αὐτοῦ, καὶ περὶ φιλοξενίας.

B

ΗΔΥ μὲν γηπόνῳ, τὸ ἄροτρον ἑλκῦσαι εἰς καθαρισμὸν τῆς ἀρούρας, καὶ τὴν αὔλακα ἀνατεμεῖν, καὶ τὰς ἀκάνθας ἀνασπάσαι, καὶ οὕτω τὰ σπέρματα καταβαλεῖν, ἀκάνθης οὐκ οὔσης τῆς λυμαινομένης τὸν σπόρον· πολὺ δὲ ἥδιον τῷ λέγοντι, ὅταν εἰς ἀκοὴν καταβάλλῃ τὰ θεῖα νοήματα θόρυβον οὐκ ἔχουσαν. Διὰ δὴ τοῦτο μετὰ ἡδονῆς ἁπτόμεθα τῶν λόγων, ὅτι τὴν ἄρουραν ταύτην ἐκκεκαθαρμένην ὁρῶμεν. C Εἰ γὰρ καὶ τὴν διάνοιαν ὑμῶν οὐ βλέπομεν, ἀλλὰ τὰ ὄμματα ὑμῶν διηνοιγμένα καὶ παρεσκευασμένη ἡ ἀκοὴ σημεῖά μοι δίδωσι τῆς ἔνδοθεν γαλήνης. εἰς μὲν γὰρ τὸ συνειδὸς ὑμῶν εἰσελθεῖν οὐ δύναμαι· τὰ δὲ ὄμματα ἑστηκότα καὶ μετέωρα γινόμενα φωνὴν ἀφίησιν, ὅτι θόρυβος οὐδεὶς ἔνδον ἐστὶν, ἀλλὰ μᾶλλον βοᾷ μετὰ προθυμίας, κατάβαλλε τὰ σπέρματα, ὑποδεχόμεθα, ὅσαπερ ἂν καταβάλῃς, διὰ τὴν ἐλπίδα τοῦ καρποῦ· πᾶσαν γὰρ φροντίδα βιωτικὴν ἐξεώσαμεν τῆς D διανοίας. Διὰ δὲ τοῦτο καὶ βαθυτέρων ἀεὶ ἁπτόμεθα νοημάτων, θαῤῥῶν τῇ εὐγενείᾳ τῆς ἀρούρας. οὐ γὰρ δὴ σοφὸν διδάσκαλον ἡ γραφὴ ζητεῖ μόνον, ἀλλὰ καὶ συνετὸν ἀκροατήν. Διὰ τοῦτο μακαρίζω μὲν ὑμᾶς, μακαρίζω δὲ καὶ ἐμαυτόν. μακάριος γάρ, φησιν, ὁ λέγων εἰς ὦτα ἀκουόντων· καὶ, μακάριοι οἱ πεινῶντες καὶ διψῶντες τὴν δικαιοσύνην. οὐκοῦν εἰς ὑμᾶς τοὺς μετὰ προθυμίας παραγινομένους καταβαλοῦμεν τὰ νοήματα. οἱ μὲν γὰρ

DE ILLO PROPHETÆ loco, Noli timere cum diues factus fuerit homo, aut cùm multiplicata fuerit domus eius gloria: & de amore hoſpitalitatis.

Pſ.48.16.

AGRICOLÆ quidem iucundum eſt in arua, quæ purgata ſint, vomerem trahere, & ſentes ſpináſque reſecare & euellere, & ita ſemina iacere, cùm euulſa eſt ſpina, quæ ſemen corrumperet: multò verò iucundius eſt dicenti, cùm in auribus ſenſa animi & ſententiam quaſi ſemen iacit ſublato tumultu. Itaque ſumma cum voluptate ad dicendum aggredior, quòd hoc aruum purgatum eſſe videamus. Etſi enim mentem veſtram minimè intuemur, tamē ſenſa animi aperta cernimus: auréſque veſtræ arrectæ mihi animorum veſtrorum tranquillitatem ſignificant. Vt enim in animorum veſtrorum conſcientiam venire non poſſim, tamen oculi veſtri in ſublime erecti quaſi vocem mittunt, & loquuntur, nullam in animis veſtris ineſſe perturbationem, ſed clamatis ſtudioſè potius, Sparge ſemina: accipiemus ſi iacias, quòd fructum nos percepturos eſſe ſperamus: omni enim cura mentem excoluimus. Proinde altiorem ego intelligentiam attingo, quòd generoſum ac nobile aruum videam. Neque enim ſcriptura ſapientem doctorem tantum quærit, ſed etiam intelligentem auditorem. Ob eámque cauſam beatos vos duco, beatúmque me quoque exiſtimo. Beatus, inquit, is eſt, qui apud audientes & attentos verba facit: &, Beati qui eſuriunt & ſitiunt iuſtitiam. Ergo in vos qui magno cum ſtudio & vltrò hîc adeſtis, intelligentiam iaciemus. Omnis enim

Sap.25.12. Matt.5.6.

populus nunc in foro & curis ad mundum pertinẽtibus marcescit: vos autem superiores terra facti, intelligentiam à materia distractam & diuulsam excipitis. Et illi quidem quibus curæ est caro, seruæ obsequuntur: vos autem liberum nobilémque animum ornantes conseruatis. Vbi nunc homo versaris? in foro. Quid vt congeras? cœnum & lutum. Veni, apud me vnguentum accipe. Cur congeris cogísque pecunias quæ pereunt: auaritiam quæ tyrannus est quidam: magistratus qui abeunt & cedũt: negociorum ad mundum pertinẽtium abundantiam, quæ hodie est, & cras non est? Cur flores decerpis, & fructum omittis? Cur vmbram sequeris, nec veritatem assequeris? Cur ea quæ pereunt persequeris, & ea quæ stabilia certáque sunt non quæris? cùm omnis caro fœnum sit, hominísque gloria omnis fœni florem imitetur, exiccatóque fœno flos decidat, verbum autem Domini in perpetuum maneat? Tibi magna vis pecuniæ suppetit: quid hoc ad animum? pecuniis locupletior, pauperior animo: foliis abundas, & fructu eges. Quid quæso vtilitatis capis? pecunias accepisti, quas hic relicturus es. Magistratũ atque imperium accepisti, ex quo tibi insidiæ parantur. Veni, fructum verborum philosophicorum, sapientúmque percipe: dele peccata tua, consume tua delicta: consciẽtiam expia, erige cogitationem atque rationem: euade homo & angelus, linque carnis naturã, & leuem pennam vitæ sume: liberum solutúmque te redde ab iis quæ videntur, & ad ea, quæ sub aspectum non cadunt, te excita: ascende in cœlos, versare cum angelis, siste te pro tribunali excelso: fumum & vmbram, fœnum, araneorúmque telam abijce. Neque enim possum satis aptum nomen huic vilitati imponere. Hæc autẽ dico, nec dicendi finem faciam. Veni, téque hominẽ præsta, ne naturalis tua falsa sit appellatio. An quod dictum est, vobiscum considerastis? homo est, sed homo quidem nomine plerunque: verum homo non est prudentia. Cùm enim te vitam à ratione alienam agentem videro, quónam modo te hominem nominabo, non bouem? Cùm rapientem te animaduerto, quomodo te hominem, non lupum vocabo? Cùm stuprantem te video, cur te hominẽ appellabo, nõ suem?

Esa. 4. 6.

A ἄλλοι πάντες νῦν ἐν ἀγοραῖς καὶ βιωτικαῖς φροντίσι κατασήπονται, ὑμεῖς δὲ τῆς γῆς ὑψηλότεροι γινόμενοι, τὰ νοήματα καθαρὰ δέχεσθε. κἀκεῖνοι μὲν τῇ δούλῃ δουλεύουσι, τῆς σαρκὸς ἐπιμελούμενοι, ὑμεῖς δὲ τὴν εὐγενῆ καὶ ἐλευθέραν ψυχὴν καλλωπίζοντες, διατηρεῖτε. ποῦ γὰρ διατρίβεις, ἄνθρωπε, νῦν; ἐν ἀγορᾷ; ἵνα τί συναγάγῃς; βόρβορον καὶ πηλόν; ἐλθὲ, λάβε μύρον παρ' ἐμοῦ. τί συνάγεις χρήματα ἀπολλύμενα, φιλαργυρίαν τὴν τύραννον, ἀρχὰς τὰς ἀπολλυμένας, περιουσίαν τῶν βιωτικῶν φροντίδων, τὴν νῦν οὖσαν, καὶ αὔριον οὐκ οὖσαν; τί

B δρέπῃ τὰ ἄνθη, καὶ ἀφίης τὸν καρπόν; τί τρέχεις ὀπίσω τῆς σκιᾶς, καὶ οὐ καταλαμβάνεις τὴν ἀλήθειαν; τί διώκεις τὰ ἀπολλύμενα, καὶ οὐ ζητεῖς τὰ μένοντα; ὅτι πᾶσα σὰρξ χόρτος, καὶ πᾶσα δόξα ἀνθρώπου ὡς ἄνθος χόρτου· ἐξηράνθη ὁ χόρτος, καὶ τὸ ἄνθος ἐξέπεσε· τὸ δὲ ῥῆμα κυρίου μένει εἰς τὸν αἰῶνα. γέγονας εὔπορος χρήμασι; καὶ τί τοῦτο πρὸς τὴν ψυχήν; εὐπορώτερος χρήμασι, καὶ πενέστερος τῇ ψυχῇ, κομᾷς τοῖς φύλλοις, καὶ πένῃ τοῦ καρποῦ. τί ὄφελος, εἰπέ μοι; ἔλαβες χρήματα, ἃ μέλλεις ἐνταῦθα καταλιμ-

C πάνειν· ἔλαβες ἀρχὴν, ἐξ ἧς ἐπιβουλὴ τίκτεται. ἐλθὲ, καὶ ἀπόλαυσον λόγων φιλοσόφων, δαπάνησόν σου τὰ ἁμαρτήματα, ἀνάλωσόν σου τὰ πλημμελήματα, καθαρόν σου τὸ συνειδὸς, μετάρσιον ποίησον τὸν λογισμὸν, γενοῦ ἄγγελος καὶ ἄνθρωπος, κατάλιπε τῆς σαρκὸς τὴν φύσιν, καὶ λάβε κοῦφον τὸ πτερὸν τῆς ζωῆς, ἀπάλλαξον σαυτὸν τῶν ὁρατῶν, καὶ κρέμασον σεαυτὸν ἐν τοῖς ἀοράτοις, ἀνάβα εἰς τοὺς οὐρανοὺς, χόρευε μετὰ τῶν ἀγγέλων, παράστηθι τοῦ βήματος τοῦ ἄνω,

D τοῦ ὑψηλοῦ· κατάλιπε τὸν καπνὸν, καὶ τὴν σκιὰν, καὶ τὸν χόρτον, καὶ τὴν ἀράχνην. οὐδὲ γὰρ ὄνομα οἶδα ἄξιον τῆς εὐτελείας ταύτης ἐπιθεῖναι. ταῦτα δὲ λέγω, καὶ λέγων οὐ παύσομαι. ἐλθὲ, καὶ γενοῦ ἄνθρωπος, ἵνα μὴ ἐπιψεύδηταί σου ἡ προσηγορία τῆς φύσεως. ἆρα συνήκατε τὸ λεχθὲν πρὸς ὑμᾶς; ἄνθρωπός ἐστι, φησὶν, ἀλλ' ἄνθρωπος μὲν τὸ ὄνομα πολλάκις, οὐκ ἄνθρωπος δὲ τὸ φρόνημα. ὅταν γὰρ ἴδω σε ἀλόγως βιοῦντα, πῶς σε καλέσω ἄνθρωπον, ἀλλ' οὐχὶ βοῦν; ὅταν ἴδω σε ἁρπάζοντα, πῶς σε καλέσω ἄνθρωπον, ἀλλ' οὐχὶ λύκον; ὅταν ἴδω σε πορνεύοντα, πῶς σε καλέσω ἄνθρωπον, ἀλλ' οὐχὶ χοῖρον;

ὅταν ἴδω σε δολερὸν, πῶς σε καλέσω ἄνθρωπον, ἀλλ' οὐχὶ ὄφιν; ὅταν ἴδω σε ἰὸν ἔχοντα, πῶς σε καλέσω ἄνθρωπον, ἀλλ' οὐχὶ ἀσπίδα; ὅταν ἴδω σε ἀνόητον, πῶς σε καλέσω ἄνθρωπον, ἀλλ' οὐχὶ ὄνον; ὅταν ἴδω σε μοιχεύοντα, πῶς σε καλέσω ἄνθρωπον, ἀλλ' οὐχὶ ἵππον θηλυμανῆ; ὅταν ἴδω σε ἀπειθῆ καὶ ἀσύνετον, πῶς σε καλέσω ἄνθρωπον, ἀλλ' οὐχὶ λίθον; ἔλαβες εὐγένειαν παρὰ τοῦ Θεοῦ, τί προδίδως τὴν ἀρετὴν τῆς φύσεως; τί ποιεῖς, εἰπέ μοι; ἕτεροι τέχνην ἔχοντες ἄνθρωποι, τὰ ἄλογα, κατὰ τὸ ἐγχωροῦν, εἰς ἀνθρώπων εὐγένειαν μετατιθέασι· ψιττακοὺς παιδεύουσι φωνῇ ἀνθρωπίνῃ φθέγγεσθαι, καὶ τῇ τέχνῃ τὴν φύσιν βιάζονται· λέοντας ἡμέρους ἐργάζονται, διὰ τῆς ἀγορᾶς ἕλκοντες. τὸν λέοντα ἥμερον ποιεῖς ζῶον ἀτιθάσευτον, καὶ σαυτὸν λύκου ἀγριώτερον καθιστᾷς; καὶ τὸ δὴ χαλεπώτερον, ὅτι τῶν μὲν ἀλόγων ἕκαστον ἓν ἐλάττωμα ἔχει, ὁ λύκος εἰς τὸ ἁρπακτικὸν, ὁ ὄφις εἰς τὸ δολερὸν, ἡ ἀσπὶς εἰς τὸ ἰῶδες· ἐπὶ δὲ ἀνθρώπου πονηροῦ, οὐκ ἔνι τοῦτο. οὐδὲ γὰρ ἓν ἐλάττωμα πολλάκις κέκτηται ὁ ἄνθρωπος, ἀλλὰ καὶ ἁρπακτικὸς γίνεται, καὶ δολερὸς, καὶ ἰώδης, καὶ τὰς τῶν ἀλόγων κακίας εἰς τὴν ἑαυτοῦ συνάγει ψυχήν. πῶς οὖν σε καλέσω ἄνθρωπον, ὃς οὐκ ἔχεις τῆς βασιλείας τὸ σύνθημα, οὐκ ἔχεις τὸ διάδημα, οὐκ ἔχεις τὴν πορφύραν; ποιήσωμεν, φησὶν, ἄνθρωπον κατ' εἰκόνα καὶ ὁμοίωσιν ἡμετέραν. ἐννόησον κατὰ τίνος εἰκόνα ἐγένου ἄνθρωπε, καὶ μὴ κατενεχθῇς εἰς τὴν τῶν ἀλόγων εὐτέλειαν. ἐὰν ἴδῃς βασιλέα πορφύραν ῥίψαντα καὶ διάδημα, καὶ μετὰ τῶν στρατιωτῶν συναγελαζόμενον, καὶ προδιδόντα τὴν ἀρχὴν τὴν ἑαυτοῦ, πῶς καλέσεις τὸν τοιοῦτον βασιλέα; καὶ σὺ ἄνθρωπος εἶ. μή μοι οὖν δείξῃς, ὅτι ψυχὴν ἀνθρώπου ἔχεις, ἀλλ' εἰ τὸ φρόνημα ἄνθρωπος εἶ. ἄρχων εἶ τῶν ἀλόγων, καὶ ἐν τοῖς ἀλόγων παθῶν δοῦλος ἐγένου. καὶ πῶς γένωμαι ἄνθρωπος, φησίν; εἰ κρατεῖς τῶν λογισμῶν τῆς σαρκὸς, ἐκείνων τῶν ἀλόγων, εἰ ἐξέβαλες πορνείαν, εἰ ἐξέβαλες ἐπιθυμίαν χρημάτων ἄκαιρον, εἰ ἐξέβαλες τὸν πονηρὸν ἐκεῖνον τύραννον, εἰ καθαρὸν σαυτοῦ τὸ χωρίον εἰργάσω. ἀλλὰ πῶς γένῃ ἄνθρωπος; ἐὰν ἔλθῃς ὧδε, ὅπου δημιουργοῦνται ἄνθρωποι. ἐὰν λάβω σε ἵππον, ποιῶ σε ἄνθρωπον·

Cùm ex dolo & insidiis agere te videro, quonam pacto hominẽ te, non anguem ac serpẽtem nũcupabo? Cùm venenum tibi videro, quid est quamobrem hominem te, non aspidem nominem? Cùm stultum te animaduertam, cum hominem te, non asinum vocabo? Cùm te cum aliena muliere concũbere cernam, qui te hominẽ, nõ in fœminas insanientem equum appellabo? Cùm incredulum & stupidum te videro, cur te hominem potius quàm lapidem, aut saxum nuncupabo? Accepisti à Deo nobilitatẽ: cur naturæ vim prodis? quid queso, facis? Alij homines ea arte prædití sunt, vt ea quæ rationis sunt expertia quoad eius fieri potest, in hominis nobilitatem transferant: psittacos hominis disciplina docet, & vocem hominis mittere, artéq. naturam cogunt: & leones cicures reddunt, dum eos per forum trahunt. Leonẽ animal immane ac ferũ, tamen cicurem facis: & te magis ferum quàm lupus est, præstas? idque eò grauius est, quòd vnaquæq. bellua vna conditione prędita est, veluti lupus ad rapinã natus est, anguis ad dolum, aspis ad venenum dandum, in homine autẽ improbo hoc non inest: nõ enim vna varietas naturæ sæpe inest in homine, sed simul & rapax est, & dolo agit, & virus spargit, vitiáq. bestiarum in animũ suũ cõcludit. Quo igitur pacto hominẽ te nominabo, cùm regni insigne non habeas, diadema non habeas, non purpuram? Faciamus enim hominem ad imaginẽ & similitudinem nostram. *Gen. 1.* Cognosce, cuius ad simulachrũ effectus sis homo, nec te ad bestiarum humilitatem abijce. Si regem videris purpuram abijcientem & coronam, ac militibus commixtum, prodentémque imperium: quo tandem modo illum talem regẽ vocabis? Tu homo es, noli ergo mihi demonstrare aut exponere, in te hominis animũ inesse, sed an in te hominis insit prudentia. Præes tu animãtibus quæ sunt expertia rationis & perturbationũ, quæ in te sunt auersæ à ratione, factus es seruus. Quo autem modo hominem me præstabo, inquies? Si cogitationes carnis quæ alienæ sunt à ratione, vincas: si stuprum abieceris, si pecuniarum alieno tempore cupiditatem expuleris, si improbũ illum tyrannum eicceris, si purum & mundũ agrum tuum reddideris. Sed quî hominem te præstabis? Si huc veneris, vbi homines fiunt. Si te equum accipiam, hominẽ te reddo:

si lupum te nactus fuero, hominẽ reddo, si te accipiã serpentẽ, hominẽ reddo, nõ naturæ quidẽ, sed volũtatis mutatione. Sed quid ais? Liberos habeo, domui ac familiæ præsũ: vxor mihi curæ est: paupertate premor, ad necessariũ victũ propero. Excusationes hęc sunt atque prætextus. si enim te omnino hîc detinerẽ, nec te exiguũ punctũ temporis in rebus ac negotiis domesticis ac familiaribus versari sinerent, te mihi purgare posses, atq. hoc afferre: Liberos habeo, familięque presũ, idq. pręclarẽ ac rectẽ diceres: aut potius hæc tibi cõmemoranda non essẽt. Potest enim Deus hîc tibi occupato, res oẽs tuas maiore abũdãtia augere. Nunc autem nullius horum tibi impono necessitatem: nec moneo, vt quotidie vaces, sed bis in hebdomada. Quid in eo graue est? quid importunum ac difficile? non totum diem, sed exiguum punctum temporis veni ad concionẽ, & intelligẽtiam menti atque animo consentaneã accipe, ne vulnera accipias: nõ vt alios deijcias, sed vt ex foro templum facias. Veni, arma sume, vt armatus noxiã plagã ne accipias. Sta in acie, solũm armat⁹ sta in loco expiato, oculis animi præditus. Incurre in fluctus, tantũmque cum diligẽtia nauẽ cõmoue. Hæc potes hoc in loco discere: Verũ recusas, & nudus etiã in aciem secularẽ Dei mãdatis carens progrederis. Intellige quantũ sit ex Ecclesia exire omnes humanos casus despicientem, molestiãsque calcantem, & rebus vtilibus superiorem altiorémq. factum, sic vt illarũ rerum sit nulla, quæ eum labefactet, aut deprimat, qualis Iob ille fuit, quem nec paupertas deijciebat, nec diuitiæ efferebant, sed in æquabili rerum statu æquabilem conseruabat mentem & sententiam. Accede, sume apud me arma. Quæ autem arma? Quæ tibi sæpe salutem pollicentur. Exis & vides hominem, cui animos tollit equus aureo freno insignis, multique stipatores: rursum tenuem aliquem & abiectum: te inflammat inuidia ob diuitem: pauperem contemnis: Accedit ad te Dauid, præstò est, & monet, Ne time, cùm diues homo euaserit. egredere cum Propheta, ne time: abi quo tibi præscribo cum Propheta, cum magistro, cum bacillo, cum præcone:

A ἐὰν λάβω σε λύκον, ποιῶ σε ἄνθρωπον· ἐὰν λάβω σε ὄφιν, ποιῶ σε ἄνθρωπον, οὐ μεταβάλλων τὴν φύσιν, ἀλλὰ μετατιθεὶς τὴν προαίρεσιν. ἀλλὰ τί, φησί; τέκνα ἔχω, οἰκίας προΐσταμαι, γυναικὸς ἐπιμελοῦμαι, πενίᾳ κατεχόμεθα, ἐπὶ τὴν ἀναγκαίαν σπεύδω τροφήν. σκήψεις ταῦτα καὶ προφάσεις. εἰ μὲν γὰρ δι' ὅλου σε κατεῖχον ἐνταῦθα, καὶ οὐδὲ μικρὰν καιροῦ ῥοπὴν τοῖς ἔξω σε συνεχώρουν ἐκδιδόναι πράγμασιν, εἶχες ἂν ἀπολογήσασθαί μοι καὶ εἰπεῖν, ὅτι τέκνα ἔχω, καὶ οἰκίας προΐσταμαι. καὶ καλῶς ἂν ταῦτα ἔλεγες· μᾶλλον δὲ οὐδὲ B τότε ταῦτα λέγειν ἐχρῆν. ἱκανὸς γάρ σοι ὁ Θεὸς ἐνταῦθα ἀσχολουμένῳ πλείονος εὐπορίας τὰ σὰ πάντα διατυπῶσαι. νῦν δὲ οὐδὲν τούτων σε ἀναγκάζω, οὐδὲ λέγω, καθ' ἑκάστην ἡμέραν σχόλαζε, ἀλλὰ δεύτερον τῆς ἑβδομάδος. τί βαρύ, τί φορτικόν; οὐδὲ ὅλην τὴν ἡμέραν, ἀλλὰ μικρὰν καιροῦ ῥοπὴν ἐλθὲ εἰς τὴν ἐκκλησίαν, δέξαι νοερὰ νοήματα, ἵνα μὴ δέξῃ τραύματα· οὐχ ἵνα ἄλλους καταβάλλῃς, ἀλλ' ἵνα ποιήσῃς τὴν ἀγορὰν ἐκκλησίαν. ἐλθέ, λάβε ὅπλον, ἵνα ἐν τῷ ὅπλῳ μὴ δέξῃ τὴν πληγὴν βλαβεράν. στῆθι ἐπὶ τῆς παρατάξεως, μόνον ὡ- C πλισμένος· στῆθι ἐν τόπῳ ἁγίῳ, μόνον καθαρὰ ἔχων τὰ ὄμματα· ἔμβηθι εἰς τὸν λιμένα, μόνον μετ' ἀκριβείας ταλεύων τὸ πλοῖον. ταῦτα ἐνταῦθα δυνάσαι μαθεῖν· καὶ οὐ θέλεις, ἀλλ' ἐξέρχῃ ἐν παρατάξει κοσμικῇ γυμνὸς τῶν τοῦ Θεοῦ ἐντολῶν. ἐννόησον ἡλίκον ἐστὶν ἐξιέναι ἀπὸ ἐκκλησίας πάντων τῶν ἀνθρωπίνων ὑπερορῶντα, καὶ τὰ λυπηρὰ πατοῦντα, καὶ χρηστῶν ὑψηλότερον γινόμενον, οὔτε ἐν ἐκείνοις ἐπαιρόμενον, οὔτε ἐν τούτοις πιεζόμενον· οἷος ἦν ὁ Ἰώβ, οὔτε ὑ- D πὸ τῆς πενίας βαπτιζόμενος, οὔτε ὑπὸ τοῦ πλούτου ἐπαιρόμενος, ἀλλ' ἐν τῇ ἀνωμαλίᾳ τῶν πραγμάτων ἴσην τὴν ἑαυτοῦ γνώμην διατηρῶν. ἐλθέ, λάβε ὅπλον παρ' ἐμοῦ. ποῖον δὲ ὅπλον; ὃ πολλάκις σοι ἐγγυᾶται τὴν σωτηρίαν. ἐξέρχῃ, καὶ βλέπεις ἄνθρωπον ἐφ' ἵππου ἐπαιρόμενον χρυσοχαλινώτου, καὶ πολλοὺς περὶ αὐτὸν τοὺς δορυφόρους· πάλιν εὐτελῆ τινα καὶ ἀπερριμμένον. εἶτα εἰσέρχεταί σοι φθόνος διὰ τὸν πλούσιον, κατέχει σε βασκανία τοῦ πένητος. παρεισέρχεταί σοι ὁ Δαβίδ, παρίσταταί σοι καὶ λέγει· μὴ φοβοῦ, ὅταν πλουτήσῃ ἄνθρωπος. ἔξελθε μετὰ τοῦ προφήτου, καὶ μὴ φοβοῦ. ἄπελθε ὅπου λέγω σοι μετὰ τοῦ προφήτου, μετὰ τοῦ διδασκάλου, μετὰ τῆς βακτηρίας, μετὰ τοῦ κήρυκος,

μὴ φοβοῦ, ὅταν πλουτήσῃ ἄνθρωπος. ἀλλ' ἐρεῖς, τοῦτο παραινοῦντός ἐστι καὶ συμβουλεύοντος, καὶ τὰ δέοντα ἀποφαινομένου· εἰπέ μοι καὶ τὸν τρόπον, δι' ὃν οὐκ ὀφείλω φοβηθῆναι τὸν ἄνθρωπον. ὅτι μιμεῖται τὴν φύσιν τοῦ ἀνθρώπου ἡ φύσις τοῦ πλούτου. καὶ πῶς, ἐγὼ λέγω. τί ἄνθρωπος; ζῶον εὐτελές, ἐπίκηρον, ὀλιγοχρόνιον. τοιοῦτον καὶ ὁ πλοῦτος, μᾶλλον δὲ οὐ τοιοῦτον, ἀλλὰ καὶ ἀσθενέστερον. οὐ γὰρ μετὰ τοῦ ἀνθρώπου τελευτᾷ πολλάκις, ἀλλὰ καὶ πρὸ τοῦ ἀνθρώπου τελευτᾷ. καὶ ἴστε ὑμεῖς μυρία ἐπὶ τῇ πόλει ταύτῃ ὑποδείγματα τῆς τελευτῆς τοῦ ἀώρου πλούτου, καὶ μεμαθήκατε, ὅτι ὁ μὲν κεκτημένος ζῇ, τὸ δὲ κτῆμα ἀπώλετο. τελευτὴ γὰρ πλούτου μεταβολὴ πενίας. ἐνόησον οὖν πῶς ὀλιγοχρόνιον τὸ κτῆμα. ὁ μὲν γὰρ κεκτημένος ζῇ, τὸ δὲ κτῆμα ἀπώλετο, καὶ εἴθε ἀπώλετο μόνον, καὶ μὴ συναπώλεσε τὸν κεκτημένον. οὐκοῦν οὐκ ἂν ἁμάρτοις τὸν πλοῦτον ἀγνώμονα οἰκέτην καλέσας, οἰκέτην αἱμοβόρον καὶ ἀνδροφόνον, οἰκέτην ἀμοιβὰς ἀποδιδόντα τῷ δεσπότῃ τὴν σφαγήν, καὶ τὸ δὴ χαλεπώτερον, οὐχ ὅταν αὐτὸν καταλίπῃ, περιβάλλει κινδύνοις, ἀλλὰ καὶ πρὶν ἢ καταλίπῃ αὐτόν, θορυβεῖ αὐτὸν καὶ ταράττει. μὴ γάρ μοι ἴδῃς τὰ σηρικὰ περιβεβλημένον ἱμάτια, καὶ μύρον πνέοντα, καὶ θεραπευόμενον ἔξωθεν. ἀλλ' ἀνάπτυξον αὐτοῦ τὸ συνειδός, γύμνωσον αὐτοῦ τὴν διάνοιαν ἔτι πλουτοῦντος, καὶ ὄψει ἔνδοθεν θορύβους καὶ ταραχάς. ὅταν ἴδῃς ἕτερον πίπτοντα, ἐν τῷ ἐκείνου πτώματι τὴν οἰκείαν συμφορὰν καταμάνθανε. τί γὰρ σφαλερώτερον τῶν ἀνθρωπίνων πραγμάτων; ὃ πολλάκις εἶπον, ὅτι ποταμίων ῥευμάτων μιμεῖται φύσιν, ὁμοῦ τε φαίνεται καὶ παρατρέχει, ὁμοῦ κατέχεται καὶ ἀποπηδᾷ. μὴ φοβοῦ, ὅταν πλουτήσῃ ἄνθρωπος. τοῦτον λάβε τὸν λόγον, τὴν ᾠδὴν τὴν πνευματικήν. ὅταν γὰρ εἰσέλθῃ ὁ φθόνος, ἐπεισελθέτω δὲ καὶ ὁ στίχος, ἀπαλλάττει τὸ ῥῆμα τὸ πάθος. μὴ φοβοῦ, ὅταν πλουτήσῃ ἄνθρωπος. ταῦτά μου τὰ φάρμακα οὐ χρημάτων δεόμενα, ἀλλὰ οὐρανῶν. οὐ γὰρ σῶμα θεραπεύω, ἀλλὰ ψυχὴν ἰατρεύω· οὐ τὴν ὑμετέραν δὲ λέγω μόνον, ἀλλὰ καὶ τὴν ἐμαυτοῦ. εἰ γὰρ καὶ διδάσκαλός εἰμι, ἀλλ' ἄνθρωπός εἰμι, τῇ κοινῇ φύσει ὑποκείμενος, κοινὴν καὶ τὴν διδασκαλίαν παρέχων, μὴ φοβοῦ, ὅταν πλουτήσῃ ἄνθρωπος. λάβε τοῦτον τὸν στίχον, θησαυρὸν καὶ ὑπόθεσιν· λάβε τὸν στίχον ῥίζαν πλούτου καὶ εὐπορείας. οὐ γὰρ τὸ πλουτεῖν, ἀλλὰ τὸ μὴ βού-

A Ne time cùm diues factus fuerit homo. Sed hoc monẽtis est, & dantis, cõsiliũ, & dicentis sententiã. Expone mihi quid ita hominem timere non debeam. Quia hominum natura diuitiarum naturam imitatur. Quo tandem modo? Quid est homo? animal abiectum, caducum, exigui temporis. Tales sunt diuitiæ, aut potiùs non sunt eiusmodi, sed multò instabiliores. Neque enim cum homine plerunque desinunt, sed etiam ante hominem. Scitis enim vos innumerabilia in hac vrbe incertarum diuitiarum documenta & exempla: compertúmque B habetis, eũ qui opes nactus est, viuere, & ipsas periisse: atq. vtinã possessio periisset, neque possessorẽ simul perdidisset. Itaque non errabit, qui diuitias ingratum seruum dixerit, sanguinis deuoratorem & parricidam, quippe quæ domino pro gratia cædem referant. quódque grauius est, non quãdo eas linquit, hominem in discrimen deducunt, sed antè quàm deserat, eum conturbant. Noli enim cernere eum qui sericis vestibus fulgeat, vnguentúmque spiret & redoleat, atque extrinsecus obseruetur: C sed eius conscientiam aperi, mentémq. ipsius locupletis explica, ac videbis in animo eius tumultum & perturbationes. Cùm autem altum eius casum periclitantem videris, tuam calamitatem casúmque considera. Quid enim humanis rebus instabilius? id quod sæpe commemoraui, fluuialiũ vndarum naturam diuitiæ imitantur, quæ simul & videntur, & labuntur: vno eodémque puncto temporis & tenẽtur & effluunt. Ne time, cùm diues factus fuerit homo. Eius rationem sume, & spiritale canticum. Cùm incessit inuidia, accedat etiã D versus, perturbationem delet verbum, Ne time, cùm homo locuples fuerit. Hæc sunt remedia mea, quę non pecunias, sed cœlòs quęrunt. Non enim corpus curo, sed animum sano: nec vestrum tantùm dico, sed etiã meum. Etsi enim magister sum, tamen communi naturæ obnoxius & parens, communem quoque doctrinam eruditionémque præbeo, Noli timere, cùm diues factus est homo. Sume hunc versum thesaurum & argumentum, accipe versum stirpem diuitiarum atque copiæ. Non enim diuitiis abundare, sed nolle opibus flore-

re, ex demum diuitiæ sunt. Num illud quod vobis est dictum intellexistis? Qui vult diues esse, possessionibus eget & pecuniis. Qui autem locuples esse non cupit, semper est in abundantia. Noli timere cùm diues factus fuerit homo, aut cùm multiplicata fuerit domus eius gloria. Noli timere: quid ita? quia enim metuendi sunt diuites, vitam propheta profert. Cur times hominem qui luxuriat foliis, fructu destituitur? Cur hominem metuis qui semper in tremore viuit? Seruus enim tuus te absentem metuit: ille autem dominum intus circumfert: & quocunque se verterit, cum pecuniæ amor & studiū sequitur: & propinquos & seruos, & amicos, & inuidos, & eos qui in eum beneficia cōtulerunt, hostes habet. magnam enim inuidiam excitat: pauper enim sine vllius metu viuit, quoniam patientia & tolerantia tantùm diues est. At diues, quoniam in maiore studio plura habendi viuit, in odium omnium incurrit, & in publicis cœtibus inimicus incedit, ita tamen vt vultu ei homines assententur, animo eum oderint. Hæc autem ita se habere hinc intelligi potest, quòd cùm ventus incubuerit, foliáq. deiecerit, id est, cùm rerum fit mutatio, tum denique ficti amici deprehenduntur, tum assentatorū vultus deprehenditur, tum cœtus eorum qui amicitias fictas colunt, inuenitur, reliq. fictio: aperiuntur ora omnium dicentium, iste sceleſtus est, improbus, summáque improbitate præditus. quid ais? an non heri ei assentabaris? nónne in eius manuum oscula ruebas? simulatio hæc erant omnia: venit tempus, & simulationem deposui, dixique quod animo sentiebam. Cur ergo quæso times eum, qui à tot accusatur? Sed quid hoc est, nisi se ipse accuset? Hac quidem oratione vtor charissimi, non quòd diuites (millies dixi) criminari velim, sed eos qui diuitiis & opibus abutuntur. Pecuniæ enim cum actionibus honestæ sunt, si paupertatis onus subleuent, si inopiæ mala corrigāt. Audi, Iob dicentem: Ego fui cæcorum oculus, pes claudorum, & pater ægrorum. En tibi diuitias, sine peccato: sed cum amore ac studio pauperes subleuandi. Domus mea omnibus venientibus patuit. Hoc est ministerium & vsus diuitiarū, quæ non

Iob 29. 15. Iob exemplum diuitis haud iniqui.

A λέσθαι πλουτεῖν, τοῦτό ἐστι πλοῦτος. ἆρα συνήκατε τὸ λεχθὲν πρὸς ὑμᾶς; ὁ βουλόμενος πλουτεῖν, χρείαν ἔχει χρημάτων, ὁ δὲ μὴ βουλόμενος πλουτεῖν, ἀεί ἐστιν ἐν εὐπορίᾳ. μὴ φοβοῦ, ὅταν πλουτήσῃ ἄνθρωπος, ἢ ὅταν πληθυνθῇ ἡ δόξα τοῦ οἴκου αὐτοῦ. μὴ φοβοῦ, εἰπέ μοι, διὰ τί; ἐπειδὴ γὰρ φοβεροί εἰσιν οἱ πλουτοῦντες, ἐκλέγει τὴν ζωὴν ὁ προφήτης. τί δέδοικας ἄνθρωπον, φύλλοις κομῶντα, καρποῦ δὲ ἀπεστερημένον; τί δέδοικας ἄνθρωπον εἰς πικρίαν βαδίζοντα; τί δέδοικας ἄνθρωπον ἀεὶ τρέμοντα; τί δέδοικας ἄνθρωπον διηνεκεῖ φόβῳ συζῶντα; ὁ μὲν B γὰρ δοῦλός σου οὐ δέδοικέ σε ἀπόντα, ἐκεῖνος δὲ τὸν δεσπότην ἔνδοθεν περιφέρει. ὅπου ἐὰν ἀπέλθῃ, ὁ ἔρως τῆς φιλοχρηματίας ἕπεται· καὶ πλησίους, καὶ οἰκέτας, καὶ φίλους, καὶ βασκάνους, καὶ εὐεργέτας, ἅπαντας ὁμοῦ ἐχθροὺς ἔχει. φθόνον γὰρ ἐγείρει μέγαν. ὁ μὲν γὰρ πένης οὐδένα δεδοικὼς διάγει, ἐπειδὴ πλουτεῖ μόνον τῇ φιλοσοφίᾳ καὶ ὑπομονῇ· ὁ δὲ πλούσιος, ἐπειδὴ πλεονεξίᾳ συζῇ, μισεῖται παρὰ πάντων, καὶ ἐν κοινοῖς συλλόγοις πολέμιος περιέρχεται, κολακευόμενος μὲν τῷ προσώπῳ, μισούμενος δὲ τῇ διανοίᾳ. C ὅτι δὲ ταῦτα τοῦτον ἔχει τὸν τρόπον, ὅταν ἔλθῃ ἄνεμος, καὶ ῥίψῃ τὰ φύλλα, ὅταν μεταβολὴ τῶν πραγμάτων γένηται, τότε εὑρίσκονται οἱ πεπλασμένοι φίλοι, τότε γνωρίζεται τὰ προσωπεῖα τῶν κολάκων, τότε φανεροῦται ὁ χορὸς τῶν ὑποκριτῶν, καὶ ἡ σκῆψις τοῦ δράματος. ἀνοίγεται τὰ στόματα πάντων λεγόντων, ὁ μιαρὸς, ὁ πονηρὸς, ὁ παμπόνηρος. τί λέγεις; οὐχὶ χθὲς αὐτὸν ἐκολάκευες; οὐχὶ τὰς χεῖρας αὐτοῦ κατεφίλεις; προσωπεῖον ἦν ἐκεῖνα· ἦλθεν ὁ καιρὸς, καὶ περιεῖλον τὸ προσωπεῖον, καὶ ἀπεφηνάμην τῇ διανοίᾳ. τί οὖν δέδοικας, εἰπέ μοι, D τὸν ὑπὸ τοσούτων κατηγορούμενον; καὶ τί τοῦτο; εἰ δὲ μὴ αὐτὸς ἑαυτοῦ κατηγορεῖ. ταῦτα λέγω οὐ πλοῦτον διαβάλλων (μυριάκις εἶπον) ἀλλὰ τοὺς κακῶς τῷ καλῷ κεχρημένους πράγματι. τὰ γὰρ χρήματα σὺν ταῖς πράξεσι καλά. πῶς καλὰ δέ; ἐὰν παραμυθῶνται τὴν πενίαν, ἐὰν διορθῶνται πτωχείαν. ἄκουσον πῶς λέγει ὁ Ἰώβ· ἐγὼ ἤμην ὀφθαλμὸς τυφλῶν, ποὺς δὲ χωλῶν, ἐγὼ ἤμην πατὴρ ἀδυνάτων. ἰδοὺ πλοῦτος, καὶ ἁμαρτία οὐκ ἦν, ἀλλὰ φιλοπτωχεία. ἡ οἰκία μου παντὶ ἐλθόντι ἀνέῳκτο. οὗτος πλούτου διακονία, πλου-

οὐκ ὀνόματι, ἀλλὰ πράγματι. οὗτος ὁ πλοῦ-
τος δοῦλος ἐκείνου τοῦ πλούτου. οὗτος μὲν γὰρ ὄνομα
ἔρημον πραγμάτων, ἐκεῖνος δὲ ὀνόματος
καὶ πράγματος ἔχει τὴν ἀλήθειαν. ποῖος; ὁ τῆς ἀρε-
τῆς, ὁ τῆς ἐλεημοσύνης. πῶς, ἐγὼ λέγω. ἔστι πλού-
σιος τὰ πάντων ἁρπάζων, καὶ ἔστι πλούσιος τὰ ἑαυτοῦ
τοῖς πένησι παρέχων· ὁ μὲν ἐν τῷ συνάγειν, ὁ δὲ
ἐν τῷ ἀναλίσκειν πλουτῶν· καὶ ὁ μὲν σπείρει τὴν
γῆν, ὁ δὲ γεωργεῖ τὸν οὐρανόν. ὅσον ὁ οὐρανὸς τῆς
γῆς βελτίων, τοσοῦτον ἐκείνου ἡ εὐφορία τούτου ἀ-
σθενεστέρα. οὗτος μυρίους ἔχει τοὺς ἐραστάς, ἐκεῖνος
δὲ πάντας κατηγόρους· καὶ τὸ δὴ θαυμαστόν, ὅτι μὲν
τὸν ἅρπαγα καὶ πλεονέκτην, οὐ μόνον οἱ ἠδικημένοι,
ἀλλὰ καὶ οἱ μηδὲν παθόντες κακὸν μισοῦσιν ἐ-
κεῖνον, συναλγοῦντες τοῖς κακῶς πεπονθόσι· ἐ-
πὶ δὲ τοῦ ἐλεήμονος, οὐ μόνον οἱ ἐλεηθέντες, ἀλ-
λὰ καὶ οἱ μὴ ἐλεηθέντες φιλοῦσιν αὐτόν. βέλτιον
ἡ ἀρετὴ τῆς κακίας, ἀδελφοί. ἡ κακία καὶ τοὺς μὴ
ἀδικηθέντας πολεμίους ἔχει, ἡ δὲ ἐλεημοσύνη καὶ
τοὺς μὴ εὐεργετηθέντας ἐραστὰς κέκτηται. λέγουσι
γὰρ πάντες, καλῶς αὐτῷ ὁ Θεὸς ποιήσει. τί γὰρ
εὐεργετήθης; οὐκ ἐγώ, ἀλλ' ὁ ἀδελφὸς ὁ ἐμός·
οὐκ ἐγώ, ἀλλὰ τὸ μέλος τὸ ἐμόν. τὴν γὰρ εἰς ἐκεῖνον
γενομένην εὐποιίαν εἰς ἐμαυτὸν λογίζομαι. εἶδες
ἡλίκον ἡ ἀρετή; πῶς ποθεινόν; πῶς ἐπέραστον;
πῶς καλόν; ὁ ἐλεήμων ὁ κοινὸς λιμήν, ὁ πατὴρ
πάντων, ἡ βακτηρία τῶν γεγηρακότων. καὶ ὅτε
μὲν τῷ ἐλεήμονι, ἐάν τι ἀηδὲς πάθῃ, εὔχονται πάν-
τες, ὁ Θεὸς αὐτὸν ἐλεήσαι, ποιήσαι αὐτῷ καλῶς,
διαμείναι αὐτῷ τὰ ἀγαθά· ἐὰν δὲ ἔλθῃς ἐπὶ
τὸν ἅρπαγα, ἀκούσῃ λεγόντων, ὁ μιαρός, ὁ πον-
ηρός, ὁ βέβηλος. τί ἠδίκησαι; ἐγὼ μὲν οὐδέν, ἀλλ' ὁ
ἀδελφὸς ὁ ἐμός. βοαὶ μυρίαι καθ' ἑκάστην ἡμέραν·
ἐὰν πέσῃ, πάντες ἐπεμβαίνουσι τούτῳ. τοῦτο ζωή;
τοῦτο πλοῦτος; τοῦτο οὐ χαλεπώτερον καταδίκου; ὁ κατά-
δικος δέδεται τὸ σῶμα, οὗτος δὲ τὴν ψυχήν. ὁρᾷς αὐτὸν
δεσμώτην, καὶ οὐκ ἐλεεῖς αὐτόν. διὰ τοῦτο αὐτὸν μισῶ,
ὅτι δέδεται, οὐκ ἀνάγκῃ, ἀλλὰ προαιρέσει· διότι τὴν δου-
λείαν ἐπεσπάσατο. πάλιν σὺ πρὸς τοὺς πλουσίους, ἐ-
ροῦσί μοι; πάλιν ὑμεῖς κατὰ τῶν πενήτων. πάλιν σὺ κατὰ
τῶν ἁρπαζόντων; πάλιν ὑμεῖς κατὰ τῶν ἁρπαζομένων. ὑ-
μεῖς οὐ κορέννυσθε ἐσθίοντες καὶ καταδάκνοντες τοὺς
πένητας, καὶ ἐγὼ οὐ κορέννυμαι διορθούμενος ὑμᾶς. ἀεὶ
σὺ τούτοις κεκόλλησαι; ἀεὶ σὺ τῷ πένητι κεκόλλησαι;

A nomine sed re sunt diuitiæ. Hæ diuitiæ seruæ sunt diuitiarum illarum: nam istæ nomen sunt re destitutum, illæ autem & nominis & rei veritatem obtinent. Quænam? Ex quæ virtutum, ex quæ sunt eleemosynæ. Quo pacto, ego dicam? Est diues, qui res omnium rapit: & est diues, qui sua egentibus erogat, quorum ille congerendo, hic consumendo est locuples: atque ille quidem in terra serit, hic cœlum colit. Quò cœlum terræ præstat, eò illius vbertas hac infirmior est. Hic ab innumerabilibus B amatur, ille ab omnibus accusatur: quódque mirum est, raptorem & auarum non solùm ij qui iniuriam acceperunt, magno clamore accusant, verùm etiam ij qui ab illis nulla iniuria affecti sunt, illos oderunt, vicem eorum dolentes, de quibus illi malè meriti sunt. Eum autem qui aliis subuenit, non ij modò, quorum misertus est, sed ij etiam quibus opem nõ tulit, charum habent: virtus enim vitio est præstantior fratres: quippe cùm vitium eos etiam hostes & inimicos habeat, quos non læsit: eleemosyna autem eos etiam amicos nacta C sit, quorum calamitates minimè subleuauit. Omnes enim ita loquuntur, Ei Deus gratiam referat. Quo tandem bono ab eo affectus es? equidem nullo, sed frater meus: non ego, sed membrum meum. Beneficium enim quod in illum extitit, in me collatum iudico. Vidisti quanta sit virtus? quàm optanda? quàm pulchra & honesta? Vir qui miseris aliorum subuenit, communis est portus, cõmune perfugium, omniũ parens, baculus senum. Ac si quid ei aduersi acciderit, precantur omnes, Deus eius misereatur: bonis eũ afficiat: bona apud eum D permaneant. Si verò ad raptorẽ veneris, omnes his verbis vtuntur, Impurus ille, improbus, sceleſtus. Quã tibi iniuriam intulit? mihi nullã, sed meo fratri. aliequi sexcentæ voces ac clamores quotidie: si ceciderit, omnes in illum irruunt. Hoccine vita? Hoc diuitiæ? nonne conditio deterior, quàm reorum? Nam reo corpus vincitur, diuitię verò animũ vinciunt. Vides eũ vinctũ, nec illius te miseret. Eum propterea odi, quòd vinctus est, non necessitate, sed consulto, quòd catenam attraxit. Rursus aduersus diuites: dicent mihi. Rursus vos contra pauperes. Rursus tu contra eos qui rapiunt? Rursus vos contra eos, quorum bona rapiuntur. Vos pauperum deuorationum satietas nulla capit, & ego corrigendis vobis non defatigor. Semper tu pauperi adhæres?

discede tu ab oue mea, abi à meo grege, ne ipsum corrumpe. Si verò labefactas & corrumpis gregem meum, noli mihi crimini dare quòd te persequar. Si pastor ouium essem, num mihi crimini verteres, quod lupum impetum facientem in gregem non abigerem? Pastor sum, pecudum ratione præditarum, non lapide peto & persequor, sed oratione: atque adeò non persequor, sed voco. Sis ouis, veni, esto gregis mei. Cur gregem corrumpis, cùm augere gregem debeas? non te persequor, sed lupum: si lupus non sis, te non persequor. Quòd si lupus factus sis, teipsum accusa. Non sum locupletũ oppugnator, sed eorum propugnator. Nam te defendit & tuetur hæc mea oratio, etiamsi minimè sentias. Quomodo me defendis? quia culpæ te eximo, à rapina te libero: amicum te reddo omnibus, facio vt omnes te optent, & desiderio tui teneantur. Semper tibi denuncio & omnibus, Rapuisti, auxisti nimio studio pecuniæ res tuas: veni, te mutabo, inimicitias in amicitiam mutabo, periculum in securitatem: Hæc quidem in hoc æuo: in illo autem regnum tibi cœlorum do, ne ad æterna supplicia rapiaris, vt bona percipias, quæ oculus non vidit, nec auris audiuit, nec hominis in cor mentémque ascenderunt. Hæccine exagitantis sunt, an consulentis? amicitia tecum coniuncti, an tecum inimicitias gerentis? At me odisti, inquis. Imò verò te amo. Præceptum enim habeo domini mei, Diligite inimicos vestros. non discedo à te, cùm tibi medeor. Dominus noster in cruce dicebat, Pater ignosce illis: non enim sciunt quid faciãt. Num enim te exagito? immò animi tui morbum perturbationémq; profligo. Num enim tecum inimicitias exerceo? immò cum vitiis tuis. Num me in te beneficia conferre ducis? num mihi te cu ræ esse ducis? num me potiùs patronum propugnatorémque omnium esse ducis? Quis te alius de his rebus commonefaciet? Num iudex? non de re vlla harum verba faciet, sed de accusationibus & criminibus. An mulier? de auro, de ornamentis. An filius? de hæreditate, de testamento, de parte hæreditatis. An minister & famulus? immò de ministerio, de seruitute, de libertate, de iis in quibus agendis occupatur. An is qui conuiuia sequitur? at de cœnis loquetur, de prandiis. An is qui ludos spectat? At de

1. Cor. 2. 9.

Matth. 5. 44.

Luc. 23. 34

A ἀπόστηθι σὺ τοῦ προβάτου μου, ἀπόστηθι τῆς ποίμνης μου, μὴ αὐτὴν λυμαίνου. εἰ δὲ λυμαίνῃ μου τὴν ποίμνην, ἐγκαλεῖς ὅτι διώκω σε; ποιμὴν εἰ ἤμην προβάτων, ἐνεκάλεις ἄν μοι, ὅτι οὐ διώκω ἐπερχόμενον τῇ ποίμνῃ λύκον; ποιμήν εἰμι λογικῶν θρεμμάτων· οὐ λίθοις διώκω, ἀλλὰ λόγῳ· μᾶλλον δὲ οὐδὲ διώκω σε, ἀλλὰ καλῶ σε. γενοῦ πρόβατον, ἐλθέ, γενοῦ τῆς ἀγέλης μου. τί λυμαίνῃ τὴν ποίμνην ὁ ὀφείλων αὐξῆσαι τὴν ἀγέλην; οὐ διώκω σε, ἀλλὰ λύκον διώκω. εἰ μὴ λύκος εἶ, οὐ
B διώκω σε. Εἰ δὲ λύκος ἐγένου, σεαυτὸν αἰτιῶ. οὐκ εἰμὶ κατὰ τῶν πλουτούντων, ἀλλ' ὑπὲρ τῶν πλουτούντων. ταῦτα γὰρ λέγων, ὑπὲρ σοῦ λέγω, κἂν μὴ αἰσθάνῃ. πῶς ὑπὲρ ἐμοῦ λέγεις; ὅτι ἀπαλλάττω σε ἁμαρτίας, ἐλευθερῶ σε ἁρπαγῆς, πᾶσι ποιῶ φίλον, πᾶσι ποθεινόν. ἀεί σοι λέγω, ἥρπασας; ἐπλεονέκτησας; ἐλθέ, καὶ μεταβάλλω σε, μεταβάλλω τὴν ἔχθραν εἰς φιλίαν, τὸν κίνδυνον εἰς ἀσφάλειαν. ταῦτα ἐνταῦθα, καὶ ἐκεῖ δίδωμί σοι πάλιν τὴν βασιλείαν τῶν οὐρανῶν, ἵνα μὴ εἰς τὰς ἀπεράντους κολάσεις ἀπέλθῃς, ἵνα ἀπολαύσῃς τὰ ἀγαθά, ἃ ὀφ-
C θαλμὸς οὐκ εἶδεν, οὔτε οὖς ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη. ταῦτα τοίνυν διώκοντός ἐστιν, ἢ συμβουλεύοντος; φιλοῦντός ἐστιν, ἢ μισοῦντός σε; ἀλλὰ σὺ μισεῖς με; ἀλλ' ἐγὼ φιλῶ σε. ἐπίταγμα ἔχω τοῦ δεσπότου μου, ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν. οὐκ ἀφίσταμαί σου ἰατρεύων σε. ὁ δεσπότης ἡμῶν ἐσταυροῦτο, καὶ ἔλεγεν, ἄφες αὐτοῖς, πάτερ· οὐ γὰρ οἴδασι τί ποιοῦσι. μὴ γὰρ σε διώκω; τὸ πάθος σου ἐλαύνω. μὴ γὰρ σοι πολεμῶ; τῇ κακίᾳ σου. καὶ οὐχ ἡγῇ με εὐεργέτην; οὐχ ἡγῇ με κηδεμόνα; οὐχ
D ἡγῇ με προστάτην πάντων μᾶλλον; τίς σοι περὶ τούτων ἄλλος ἐρεῖ; ὁ ἄρχων; οὐδὲν τούτων· ἀλλὰ περὶ ἐγκλημάτων, περὶ κατηγορίας. ἀλλ' ἡ γυνή; περὶ κοσμίων, περὶ χρυσοῦ. ἀλλ' ὁ παῖς; περὶ κληρονομίας, περὶ διαθήκης, περὶ κλήρου. ἀλλ' ὁ οἰκέτης; περὶ ὑπηρεσίας, περὶ δουλείας, περὶ ἐλευθερίας. ἀλλὰ παράσιτος; περὶ συμποσίων, περὶ δείπνων, περὶ ἀρίστων. ἀλλ' οἱ ἐν τῷ θεάτρῳ; περὶ γέλωτος ἀτάκτου, περὶ ἐπιθυμίας ἀκολάστου. ἀλλ' ὁ ἐν

τοῖς δικαστηρίοις; περὶ διαθηκῶν, περὶ κληρονομίας, περὶ ἐλευθερίας, ἃ φθέγγεται. πόθεν ἔχεις ἀκοῦσαι ταῦτα, εἰ μὴ παρ' ἐμοῦ; πάντες σε φοβοῦνται, ἐγὼ δέ σου καταφρονῶ. ἕως ἂν ἧς τοιοῦτος, καταφρονῶ σου, ὑπερορῶ σε, καταφρονῶ τοῦ πάθους. ἐγὼ τέμνω, σὺ κράζεις· ἀλλ' οὐ φοβοῦμαί σου τὴν φωνὴν, ποθῶ δέ σου τὴν σωτηρίαν. ἰατρὸς γάρ εἰμι. ἆρα εἰ ἕλκος ἔχων ἰατρὸν μετεκάλεις, καὶ εἶδες ὅτι ἠκόνησε τὸ σιδήριον, οὐκ ἔλεγες, τέμε, εἰ καὶ ὀδυνῶμαι, τὴν ἀπὸ τῆς τομῆς σωτηρίαν ἐκδεχόμενος; ἐμὲ δὲ φεύγεις μὴ τέμνοντα, ἀλλὰ λόγῳ τὴν διάνοιάν σου καθαίροντα; καί τοι ὁ ἰατρὸς τί ποιεῖ; τέμνει πολλάκις, καὶ χεῖρον ποιεῖ τὸ ἕλκος· ἐγὼ δὲ οὐ ποιῶ χεῖρον, ἀλλὰ βέλτιον. ἐκεῖ μὲν γὰρ φύσις ἐστὶν ἡ ἀποδυσαμένη, καὶ φαρμάκων ἀδυναμία, ἐνταῦθα δὲ λόγων δύναμις. ἰατρὸς οὐκ ἐγγυᾶταί σοι τὴν σωτηρίαν, ἐγὼ δὲ ἐγγυῶμαί σοι τὴν σωτηρίαν, ἄκουέ μου. διὰ τοῦτο ὁ μονογενὴς υἱὸς τοῦ Θεοῦ κατῆλθεν, ἵνα ἡμᾶς ἀναγάγῃ, καὶ τῶν οὐρανῶν ὑψηλοτέρους ἐργάσηται. ἓν φοβοῦμαι μόνον, ἁμαρτίαν· τὰ δὲ ἄλλα ἅπαντα οἰχέσθω, κἂν πλοῦτος, κἂν πενία, κἂν δυναστεία, κἂν ὁτιοῦν. ταῦτα λέγω, καὶ λέγων οὐ παύσομαι. οὐδένα γὰρ βούλομαι ἀπολέσαι τῆς ἀγέλης τῆς ἐμῆς. τί οὖν; δυνατόν ἐστι πλούσιον σωθῆναι; καὶ πάνυ. ὁ Ἰὼβ πλούσιος ἦν, ὁ Ἀβραὰμ πλούσιος ἦν. εἶδες αὐτοῦ τὸν πλοῦτον; βλέπε αὐτοῦ καὶ τὴν φιλοξενίαν. εἶδες αὐτοῦ τὴν τράπεζαν; βλέπε αὐτοῦ καὶ τὴν φιλοφροσύνην. τί οὖν ὁ Ἀβραάμ; πλούσιος ἦν. μὴ ἐφιλονείκησά σοι; πλούσιος ἦν ὁ Ἀβραάμ; ναί, πλούσιος ἦν. εἶδες αὐτοῦ τὸν πλοῦτον; βλέπε αὐτοῦ καὶ τὴν διαγωγήν. κατὰ δὲ τὸ μεσημβρινὸν ὤφθη αὐτῷ ὁ κύριος πρὸς τῇ δρυῒ τῇ Μαμβρῇ καθημένῳ· καὶ ἰδοὺ τρεῖς ἄνδρες. καὶ ἀναστὰς (οὐ γὰρ ἐνόμιζεν, ὅτι Θεὸς ἦν ὁ ὁρώμενος. πῶς γάρ;) προσεκύνησε, καὶ λέγει, εἰ κεκρίκατέ με ἄξιον, ἵνα εἰσέλθητε εἰς τὴν σκηνὴν τοῦ δούλου μου. Εἶδες τί ἐποίει ἐν μεσημβρίᾳ ὁ γέρων; οὐχ ὑπὸ στέγην καθήμενος, ἀλλὰ ξένους, καὶ ὁδοιπόρους οὐδαμόθεν γνωρίμους ἐπισπώμενος, καὶ ἀναστὰς προσεκύνησεν ὁ πλούσιος καὶ εὐγενής. ὁ χρήματα περικείμενος, καταλιπὼν οἰκίαν, γυναῖκα, παῖδας, οἰκέτας, καί τοι τριακοσίους δέκα καὶ ὀκτὼ ἔχων, καταλιπὼν

A indecoro obscœnóque risu, de libidine intemperanti & incontinenti. An is qui in foro versatur? At de testamentis, de hæreditate, de libertate verba faciet. de his audire potes, si à me non audias? Te omnes metuunt: ego te contemno. quamdiu eris eiusmodi, te contemno, te despicio: contemno motum, & perturbationem tuam. Ego seco, tu clamas: sed non metuo vocem tuam. Ego verò salutem tuam cupio. Sum enim medicus. An non si vlcus haberes, medicum accerseres: ac si ferrum acutum esse videres, nónne diceres, Præcide? etsi enim B ægroto & ægre fero, tamen salutem, quam ferrum procurat, excipio. Me autem non præcidẽtem fugis, sed sola oratione expiantem mentem tuam. Atqui medicus quid facit? præcidit sæpe vlcus, ac deterius facit: ego deterius non facio, sed melius. Illic enim est natura viribus destituta, & remediorũ imbecillitas: hîc autẽ vis orationis. Medicus tibi salutem non pollicetur, ego tibi salutem polliceor: audi me. Vnigenitus Dei filius ideo descendit, vt nos reducat, & cœlis excelsiores nos faciat. Vnum mo- C dò pertimesco, culpam: cætera valeant omnia, etiam diuitiæ, paupertas, dominatus & quiduis aliud. Hæc dico, nec finem dicendi faciam. Neque enim quemquã gregis mei perire volo. Quid ergo? potéstne fieri vt diues salutem assequatur? certè. Iob admodum diues erat, Abraham diues. Eius diuitias vidisti, at eiusdem hospitalitatem considera. Eius mensam vidisti: at vide eiusdem comitatem & benignitatem. quid? Abrahamus diues erat? non concertaui tecum. diues erat Abrahamus? certè diues fuit. Vidisti eius diuitias? Quid D tibi vis? Vides etiam eius vitæ genus. Meridie cùm ad ilicẽ Mambre sederet, Dominus ei apparuit, & ecce tres viri, surgénsq. (neque enim eum qui aderat Deũ esse existimabat: quo enim pacto?) adorauit, & dicit, Si iudicastis me dignum, vt in tabernaculũ trabium meorum ingrederemini. Vidisti quid senex meridie faceret? non domi sedebat, sed peregrinos viatores nulla ex parte sibi notos, inuitabat, & consurgens adorauit opulentus vir ille ac nobilis. Is sublatis diuitiis, domo, vxore, liberis, seruísque relictis, quos trecentos decem & octo habebat, relictis, inquam, omni-

Gen. 18. 1.

bus, piscatum hospitalitatis rete explicato exiit, num alicubi esset viator, num peregrinus, & domum præteriret. Vide quid senex faciat: non famulo hoc onus imponit, quanquam trecentos decem & octo haberet. Intellexit negligens & iners esse seruorum genus, ne fortè famulus somno opprimeretur, & interim peregrinus præteriret, ac prædam amitteret. En Abrahamum, en diuitem. Grauaris tu etiam videre pauperem, etiam ei respondere, etiam cum eo loqui: quòd si fortè aliquando ei das, hoc tu per famulum facis. At non ita vir iustus, sed calidos radios excipiens sedebat: vmbræ autem ei vicem præbebat hospitalitatis studium, sedénsque hospitalitatis fructum percipiebat: atque hoc quidem diues. Confer mihi huius ætatis diuites. In meridie, Vbi sedent? In inferis. Vbi sedent? in morte ebrietatis. Vbi sedent? In publico dispersi ac dissipati, ebrij, cæci animo, à ratione alienores quàm belluæ. Sed iustus hic non ita. Vis tu Abrahamum imitari? Imitare hoc modo, non prohibeo, sed suadeo. Quanquam maiora quàm ab Abrahamo exigũtur à nobis. Nisi enim maior sit, inquit, iustitia vestra, quàm iustitia Scribarum & Pharisæorum, vobis in regnum cœlorum minimè aditus patebit. Interea verò tu saltem Abrahamum assequere. Quid autem habebat Abraham? hospitalis erat, surrexit, & veneratus est, cùm ignoraret quinam essent qui præterirent. Si enim sciebat, nihil admiratione dignũ faciebat, quòd Deum colebat, sed eorum qui aderant, ignoratio maius eius hospitalitatis studium declarat. Et sedebat, eósque excepit. Quónam modo? largè & comiter: vitulum immolauit & occidit: Sarrámque accersit, hospitalitatis participem vxorem facit, neque eam in cubiculo abstrusam, sed sub ilice sedentem. Illa enim mensa aperuit eius vterum, naturæque imbecillitatem correxit. Occidit vitulum, & Isacum accepit. Conspersit farinam, & semen vt cœli astra accepit, atque vt arenam quæ est in maris littore. Sed planè dices, Da etiam mihi fructum tot carissimorum liberorum. Infoelix, miser, & abiectissime, terrena quæris? tibi do cœlum, angelorum comitatum & societatem, voluptatem æternam, & mortem interitui obnoxiam quæris? tibi vitam do,

Matt. 5. 20

A ἀπόμαχας, ἐξῆλθεν ἁλιεῦσαι, σαγήνην ἥπλωσε φιλοξενίας, μήπου ὁδοιπόρος, μήπου ξένος, καὶ παραδράμῃ τὴν οἰκίαν. βλέπε τί ποιεῖ ὁ γέρων. οὐκ ἐπιτρέπει οἰκέτῃ, καί τοι τριακοσίους δέκα καὶ ὀκτὼ ἔχων (ᾔδει γὰρ ὅτι ῥάθυμόν ἐστι τὸ γένος τῶν οἰκετῶν) μήπου ἀπονυστάξῃ ὁ οἰκέτης, καὶ παραδράμῃ ὁ ξένος, καὶ ἀπολέσῃ τὴν ἄγραν. ἴδε, ὁ Ἀβραάμ, ἴδε, ὁ πλούσιος. καταξιοῖς σὺ κἂν ἰδεῖν πένητα; κἂν ἀποκριθῆναι; κἂν διαλεχθῆναι; ἀλλὰ κἂν ποτε δῷς, διὰ δούλου. ἀλλ' οὐκ ἦν ὁ δίκαιος οὕτως· ἀλλὰ ἐκάθητο θερμὴν τὴν ἀκτῖνα δεχόμενος, δρόσον

B ἐν καύματι σταζόμενος. σκιὰ ἦν αὐτῷ ἡ ἐπιθυμία τῆς φιλοξενίας· ἐκάθητο τρυγῶν τὸν καρπὸν τῆς φιλοξενίας, καὶ τοῦτο πλούσιος. παράβαλέ μοι τοὺς πλουσίους τοὺς νῦν. ἐν μεσημβρίᾳ ποῦ κάθηνται; ἐν τῷ ᾅδῃ. ποῦ κάθηνται; ἐν τῷ θανάτῳ τῆς μέθης. ποῦ κάθηνται; ἐπὶ τῆς δημοσίας ἐρριμμένοι, μεθύοντες, πεπωρωμένοι τὴν καρδίαν, ἀλόγων ἀλογώτεροι. ἀλλ' οὐχ ὁ δίκαιος οὕτω. θέλεις μιμήσασθαι τὸν Ἀβραάμ; μίμησαι οὕτως, οὐ κωλύω, ἀλλὰ καὶ συμβουλεύω· καί τοι μείζονα τοῦ Ἀβραὰμ ἀπαιτούμεθα. ἐὰν

C γάρ, φησι, μὴ περισσεύσῃ ἡ δικαιοσύνη ὑμῶν πλέον τῶν γραμματέων καὶ Φαρισαίων, οὐκ εἰσελεύσεσθε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. τέως δὲ σὺ κἂν τὸν Ἀβραὰμ φθάσον. καὶ τί εἶχεν ὁ Ἀβραάμ; φιλόξενος ἦν, καὶ ἀνέστη, καὶ προσεκύνησεν, οὐδὲ εἰδὼς τίνες ἦσαν οἱ παριόντες. εἰ γὰρ ᾔδει, οὐδὲν θαυμαστὸν ἐποίει, ὅτι Θεὸν ἐθεράπευσεν· ἀλλ' ἡ ἄγνοια τῶν παραγινομένων μείζονα αὐτοῦ δείκνυσι τῆς φιλοξενίας τὴν προθυμίαν. καὶ ἐκάθητο καὶ ὑπεδέχετο. καὶ πῶς; δαψιλῶς, μόσχον ἔθυσε, καὶ καλεῖ καὶ τὴν Σάῤῥαν, καὶ κοινωνὸν ποιεῖ

D τῆς φιλοξενίας τὴν γυναῖκα, καὶ οὐκ ἐν θαλάμῳ κρυπτομένην, ἀλλ' ὑπὸ τὴν δρῦν ἑστηκυῖαν. ἡ γὰρ τράπεζα ἐκείνη λοιπὸν διήνοιξεν αὐτῆς τὴν μήτραν, καὶ τὴν πήρωσιν τῆς φύσεως διώρθωσεν. ἔθυσε μόσχον, καὶ ἔλαβε τὸν Ἰσαάκ· ἐφύρασεν ἄλευρα, καὶ ἔλαβε τὸ σπέρμα αὐτῆς, ὡς τὰ ἄστρα τοῦ οὐρανοῦ, καὶ ὡς τὴν ψάμμον τῆς θαλάσσης. ἀλλὰ πάντως ἐρεῖς· δὸς καὶ ἐμοὶ τὸν καρπὸν τοσούτων γνησίων υἱῶν. ἄθλιε, καὶ ταλαίπωρε, καὶ εὐτελέστατε, τὰ ἐν τῇ γῇ ζητεῖς; τὸν οὐρανόν σοι δίδωμι, τὴν μετ' ἀγγέλων χορείαν, τὴν δι' αἰῶνος ἀπόλαυσιν, καὶ θάνατον φθαρτὸν ζητεῖς; ζωήν σοι δίδω-

σοι δίδωμι τέλος οὐκ ἔχουσαν. μείζων ἡ ἀμοιβή, πλείων ἡ ἀντίδοσις. πρόσεχε μετ' ἀκριβείας ὃ λέγω, ἵνα ἴδῃς ἀντιστροφὴν πραγμάτων. ὅτε ἔδει φιλοξενίαν ἐπιδείξασθαι, ὁ Ἀβραὰμ τί λέγει τῇ γυναικὶ αὐτοῦ Σάρρᾳ; σπεῦσον, καὶ φύρασον τρία μέτρα σεμιδάλεως. ἀκουέτωσαν γυναῖκες τῶν λεγομένων. σπεῦσον, καὶ φύρασον τρία μέτρα σεμιδάλεως. κοινὸν γὰρ ἡμῖν τὸ θέατρον, ἑκατέρᾳ τῇ φύσει τὸ διδασκαλεῖον πρόκειται. ἀκουέτωσαν γυναῖκες τῶν λεγομένων, ἀκουέτωσαν καὶ ἄνδρες, καὶ μιμείσθωσαν. σπεῦσον, φησί, καὶ φύρασον τρία μέτρα σεμιδάλεως, καὶ αὐτὸς ἔδραμεν ἐπὶ τὴν ἀγέλην τῶν βοῶν. μερίζονται τὸν πόνον, ἵνα μερίσωνται καὶ τὸν στέφανον. κοινὰ τὰ τοῦ γάμου, ἔστω κοινὰ καὶ τὰ τῆς ἀρετῆς. βοηθόν σε ἔλαβον, γενοῦ μοι βοηθὸς καὶ ἐν τοῖς ὑψηλοτέροις πράγμασι. σπεῦσον, σπεῦσον. ἐπείγει τὴν γυναῖκα, καὶ ἵνα μὴ ἡ μέλλησις εἰς ἀθυμίαν ἐμβάλλῃ τοὺς ξένους. σπεῦσον, καὶ φύρασον τρία μέτρα σεμιδάλεως· ἐπίπονον τὸ ἐπίταγμα, φορτικὸν τὸ κέλευσμα· φύρασον τρία μέτρα σεμιδάλεως. καὶ οὐκ εἶπε, τί τοῦτο; ἐπὶ ταύταις ταῖς ἐλπίσιν ἐνυμφεύθην σοι, ἵνα με μυλωθρίδα καὶ ἀρτοποιὸν ποιήσῃς, γυναῖκα τὴν πλοῦτον ἔχουσαν τοσοῦτον; τριακοσίους δέκα καὶ ὀκτὼ δούλους ἔχεις, καὶ ἐκείνοις ἐπιτάξαι οὐχ εἵλου, ἀλλά με εἰς τὴν διακονίαν ταύτην ἐπείγεις; οὐκ εἶπέ τι τοιοῦτο, οὐκ ἐνενόησεν· ἀλλ' ἐπειδὴ γυνὴ ἦν τοῦ Ἀβραάμ, οὐ συνουσία μόνον σώματος, ἀλλὰ καὶ κοινωνία ἀρετῆς, διὰ τοῦτο λέγει, σπεῦσον. καὶ ἁρπάζει τὸ ἐπίταγμα ἐκείνη μετὰ προθυμίας· ἤδει γὰρ τὸν καρπὸν βρύοντα τῆς φιλοξενίας. σπεῦσον, φύρασον. ἤδει γὰρ τῆς γυναικὸς τὸ ἐπιμελές. ποῦ αἱ νῦν γυναῖκες; παραβάλωμεν αὐτὰς τῇ Σάρρᾳ. ἆρα τοιαῦτα ἐπιτάγματα δέχονται; τοιαῦτα ἔργα; ἔκβαλέ μοι τῆς φιλοκόσμου γυναικὸς τὴν χεῖρα, καὶ ὁρᾷς αὐτὴν κεχρυσωμένην ἔξωθεν, ἔνδοθεν δὲ πολιορκίας κεκτημένην. πόσων πενήτων, εἰπέ μοι, πλεονεξίας ἡ χείρ σου βαστάζει; ἔκβαλέ μοι τὴν χεῖρά σου, δεῖξον αὐτήν· τί ἐνδέδυται; πλεονεξίαν. ἔκβαλε τὴν χεῖρα τῆς Σάρρας· τί ἐνδέδυται; φιλοξενίαν, ἐλεημοσύνην, ἀγάπην, φιλοπτωχείαν. ὢ καλῆς δεξιᾶς. βλέπε δεξιὰν καὶ δεξιάν. ἀλλὰ μία μὲν μορφὴ δεξιᾶς, πολλὴ δὲ διαφορά. ἐκεῖ πηγαὶ δακρύων,

quæ finem non habet, nec terminum: maior est remuneratio, maior retributio. Audi studiosè, quæ dico, vt rerum conuersionem videas. Cùm enim Abrahamum hospitalitatis studium declarare, atque ostendere oportuit, quid Sarræ vxori suæ dixit? Fac properè tria sata similæ commisceas. Cõmune enim nobis spectaculũ, & vtriq. naturæ ac sexui schola proponitur. Audiant mulieres ea quæ commemorantur, audiant etiam viri, & sibi hęc proponant ad imitandũ. Propera, inquit, tria sata similæ fac cõmisceas. Ac ipse quidem ad armentum bonum abiit: ambo inter se laborẽ partiuntur, vt etiam coronam diuidant: Communia sunt iura & fœdera nuptiarum: sint etiam virtutum officia communia. Adiutorem te accepi: sis etiam mihi pręsidio & adiumento in rebus altioribus. Propera, propera: vrget vxorem, ne sit negligentior, & tædium peregrinis afferat. Fac properes, & tria similæ sata permisceas. Præceptum laboris plenum est, graue & importunum id, quod imperatur. Tria sata similæ. Non quæsiuit, quid hoc sibi vellet: eóne ipsa illi nupsisset, vt eam ad pistrinum & panificiũ condemnaret, mulierẽ præsertim tot diuitiis abundantẽ: nec ipse qui trecentos decẽ & octo seruos haberet, eis onus illud imponeret, sed se ad illud ministeriũ adigeret. Nõ, inquã, tale quicquã dixit, aut in animũ induxit dicere: sed quoniam Abrahami vxor erat, nõ ad corporis solùm cõiunctionẽ, sed ad virtutis officiorúmq. cõmunionem: idcirco dicit, Fac properes; statímque illa præceptum arripuit: fructũ enim hospitalitatis erumpentẽ sentiebat. Propera, permisce. Nouerat etiã vxoris curã & diligentiã. Vbi sunt huius ætatis vxores? Eas cum Sarra comparemus. nũ talia excipiunt mandata? nũ talia sunt earum opera? porrige mihi mũdum diligẽtis mulieris manũ, & extrinsecus eã inauratam vides, sed in intimis partibus obsidionẽ & oppugnationẽ ferentẽ. quot, quæso, pauperũ prædã manus tua portat? porrige mihi manũ tuã, eã ostende, cur pręda & fraudatione induta est? Profer mihi Sarræ manũ: qua re amicta est? hospitalitate, eleemosyna, charitate, paupertatis studio. O præclarã dextram! vide dexterã & dexterã. Sed vna quidem est forma dextera, multũ vero discrimẽ. Illic fontes lachrymarũ,

Abrahami hospitalitas.

Gen. 18. 6.

hîc coronæ & præmia. Hæc eò commemoro, vt nec vxores talia à viris quærãt, nec viri vxores hęc petentes sustineant. En tibi Sarra, en diues tres similæ modios permiscebat. Quantus labor? at laborem, spe fructus & lucri freta non sensit. Propera, permisce tres similæ modios. Quid agis mulier? Te comis & ornas. Quãobrem? an vt viro tuo omni ex parte placeas & grata sis? Malum studium, si ita viro placitura es: si ita studes viro placere. quanam igitur ratione placebo? continentia. sed qua ratione placebo? modestia temperantia mansuetudine charitate concordia & consensu. Hic enim ornatus & mundus est tuus, mulier: hæ virtutes tuæ concordiam efficiunt. Illa autem ornamenta non probant te viro, sed potius ei te ingratam importunámque reddunt. Cùm enim dixeris, Rape & mihi affer, exiguo quidem tempore places, in posterum autem hostem eum habes. Sed vt intelligas, te ne viro quidem placere, domi ea exuis, & in templo eadem profers. Quòd si viro placeres, gratáque esses, domi eadem ferres. Quod dixi, Intras in templa inauratis manibus & collo, si venerit Paulus terribilis ille, atque amabilis: terribilis peccantibus, amabilis autem piis atque religiosis, & clamet & dicat, Non in auro neque in margaritis, nec in vestitu precioso. Deinde venerit etiam Græcus ac Barbarus, & videat in superiore quidem parte illas ista ferentes, infrà autem Paulum hæc dicentem, nónne hæc fabulam & simulationem esse dicet? Non enim nostra ad simulationem spectant, etiamsi hæc ita fiant, sed Barbarus læditur & offenditur. Itaque hoc dicit Barbarus, Ingressus sum in templum Christianorum, audiuíque Paulum dicentem, Non in auro, nõ in margaritis, sed ibi huius cõtraria facta vidi. Quis tibi vsus est auri mulier? num vt honesta pulchráque videare? At nihil ad animi pulchritudinem pertinet. Fac sis animo pulchra, & corpore etiam eris amabilis. Sapientia hominis vultum eius illustrabit, tametsi animi eius est sapientia. nihil adeò desiderium vel amorem parit, vt charitas. Si enim chara sis viro tuo, etiãsi deformis sis, tamẽ amabilis videbere. Sin autẽ te oderit, quamuis honesta facie sis, te equo animo videre nõ potest.

1. Ti. 2. 9. *Eccl. 8. 1.* *Insectatur in mundũ muliebrem.*

A ἐνταῦθα στέφανοι καὶ βραβεῖα. Ταῦτα λέγω, ἵνα μήτε γυναῖκες τοιαῦτα παρὰ ἀνδρῶν ζητῶσι, μήτε ἄνδρες ἀνέχωνται γυναικῶν τοιαῦτα ἀπαιτουσῶν. ἴδε, ἡ Σάῤῥα, ἴδε, ἡ πλουσία ἐφύρασε τρία μέτρα σεμιδάλεως. πόσος ὁ πόνος; ἀλλ' οὐκ ᾔσθετο πόνου διὰ τὴν ἐλπίδα τοῦ καρποῦ καὶ τοῦ κέρδους. σπεῦσον, φύρασον τρία μέτρα σεμιδάλεως. τί μοι καλλωπίζῃ, γύναι; ἵνα τί; ἀρέσῃς τῷ ἀνδρί; κακὴ μελέτη, εἰ οὕτω μέλλεις ἀρέσκειν τῷ ἀνδρί, εἰ οὕτω σπεύδεις ἀρέσκειν σου τῷ ἀνδρί. πῶς οὖν ἀρέσω; τῇ σω-

B φροσύνῃ. ἀλλὰ πῶς ἀρέσω; τῇ ἐπιεικείᾳ, τῇ φιλοσοφίᾳ, τῇ πραότητι καὶ τῇ ἀγάπῃ, τῇ ὁμονοίᾳ, καὶ τῇ συμφωνίᾳ. Ταῦτά σου τὰ κόσμα, γύναι· αὗταί σου αἱ ἀρεταὶ ὁμόνοιαν ἐργάζονται· ἐκεῖνα τὰ κόσμα ἀρέσκειν οὐ ποιεῖ, ἀλλὰ καὶ τῷ ἀνδρί σε φορτικὴν παρασκευάζει γίνεσθαι. ὅταν γὰρ εἴπῃς, ἅρπασον καὶ φέρε μοι, ἐν ὀλίγῳ μὲν σὺ ἀρέσκεις, ὕστερον δὲ πολέμιον ἔχεις. ἵνα δὲ μάθῃς, ὅτι οὐκ ἀνδρὶ ἀρέσκεις· ἐν τῇ οἰκίᾳ γὰρ αὐτὰ ἀποτίθεσαι, καὶ ἐν τῇ ἐκκλησίᾳ αὐτὰ περιβάλλῃ. εἰ τῷ ἀνδρὶ ἤρεσκες, ἐν τῇ οἰκίᾳ ἂν αὐτὰ ἐφόρεις. ἀλλ' ὅπερ εἶπον, εἰσέρχῃ εἰς τὴν

C ἐκκλησίαν, κεχρυσωμένη τὰς χεῖρας, καὶ τὸν τράχηλον. ἐὰν ἔλθῃ Παῦλος, ὁ φοβερὸς ἐκεῖνος καὶ ποθεινὸς, φοβερὸς τοῖς ἁμαρτάνουσι, καὶ ποθεινὸς τοῖς εὐσεβοῦσι, βοᾷ καὶ λέγει ὡσαύτως· τὰς γυναῖκας κοσμεῖν ἑαυτὰς χρὴ μὴ ἐν χρυσῷ, μὴ ἐν μαργαρίταις, μὴ ἐν ἱματισμῷ πολυτελεῖ. εἶτα ἂν εἰσέλθῃ ὁ Ἕλλην, καὶ ἴδῃ ἄνω μὲν φορούσας ταῦτα ἐκείνας, κάτω δὲ Παῦλον ταῦτα λέγοντα, οὐκ ἐρεῖ, ὅτι σκηνὴ καὶ μῦθος ταῦτά ἐστιν, οὐκ ἔστι μὲν σκηνὴ τὰ ἡμέτερα, κἂν οὕτω ταῦτα γίνηται· ὁ δὲ Ἕλλην βλάπτεται καὶ λέγει, εἰσῆλθον

D εἰς ἐκκλησίαν Χριστιανῶν, καὶ ἤκουσα τοῦ Παύλου λέγοντος, μὴ ἐν χρυσῷ, μηδὲ ἐν μαργαρίταις, τὴν δὲ διὰ τῶν ἔργων ἐναντία ἐπιδεικνυμένων. τί σοι ὄφελος τοῦ χρυσίου, γύναι; ἵνα καλὴ φανῇς καὶ ὡραία; ἀλλ' οὐδέν σοι τοῦτο εἰς τὸ κάλλος τῆς ψυχῆς συντελεῖ. γενοῦ τὴν ψυχὴν εὔμορφος, καὶ ἔσῃ καὶ τὸ σῶμα ποθεινή. σοφία ἀνθρώπου φωτιεῖ τὸ πρόσωπον αὐτοῦ. καίτοι ἡ σοφία, τῆς ψυχῆς αὐτοῦ. οὐδὲν ποιεῖ πόθον καὶ ἔρωτα, ὡς ἀγάπη. ἐὰν γὰρ φιλῇ σε ὁ ἀνὴρ σου, κἂν ἄμορφος ᾖς, ποθεινὴ αὐτῷ φανῇ· ἐὰν δὲ μισήσῃ σε, κἂν εὔμορφος ᾖς, οὐ θέλει σε ὁρᾷν.

τὸ γὰρ μῖσος τῆς ψυχῆς οὐκ ἀφίησι τὴν εὐμορφίαν τῆς ὄψεως φαίνεσθαι. ὅταν γὰρ μέλλῃς αὐτὸν ἀπαιτεῖν κόσμια, καὶ χρυσὸν, τότε μέλλει σε καὶ αὐτὸς μισεῖν καὶ φεύγειν, ὡς τὸν ἀπαιτητὴν ἐν ἀγορᾷ φανέντα. ἀλλ' ἐκεῖνον μὲν δύναται φυγεῖν, σὲ δὲ οὐ δύναται, ἔνδον οὖσαν διηνεκῶς καὶ ἀπαιτοῦσαν λειτουργίας λόγον οὐκ ἐχούσας. ταῦτα μὴ μόνον ἀκουέτω ἡ ἀκοή σου, ὦ γύναι, ἀλλὰ καὶ μεταβαλλέσθω σου ἡ διάνοια· φάρμακά ἐστι δάκνοντα, τὰ ῥήματα τὰ ἐμά· δάκνοντα πρὸς καιρὸν καὶ εὐφραίνοντα διηνεκῶς. ἰατρός εἰμι, σκαλεύω τὰ τραύματα, ἵνα μὴ παλαιότερα γινόμενα, χείρονα τὴν νομὴν ἐργάσηται. ἐγὼ μὲν γὰρ ἰατρεύω, τὴν διὰ λόγου ὑγείαν χαριζόμενος, οἱ δὲ τοῦ παρόντος βίου τὸ ἐπίκαιρον καὶ σφαλερὸν καὶ εὐκαταφρόνητον ἐπιδείκνυνται. ἀλλ' ὅπερ ἔλεγον περὶ τοῦ Ἀβραὰμ (οὐ γὰρ ἐπιλήσομαι τῆς ὑποσχέσεως) σπεῦσον, καὶ φύρασον, ταῦτα ἑκάστη γυνὴ ἐγγραφέτω τῇ διανοίᾳ, ταῦτα ἕκαστος ἀνὴρ ἐχέτω ἐν τῷ συνειδότι. τί μοι φέρεις σηρικὰ ἱμάτια, καὶ ἵππους χρυσοχαλινώτους, καὶ ἡμιόνους καλλωπιζομένας; ἡμίονος κάτω καλλωπίζεται, ὁ χρυσὸς ἐν στέγῃ κατέχεται· τὰ χρήματα ἡμίονοι ἄλογοι περιφέρουσι, χρυσοῦς ἔχουσαι χαλινούς· ἡμίονοι ἄλογοι καλλωπίζονται, ὁ δὲ πένης ἐν λιμῷ τηκόμενος τῇ θύρᾳ σου προσεδρεύει, καὶ ὁ Χριστὸς λιμῷ τήκεται. ὦ τῆς ἐσχάτης ἀνοίας. ποία ἀπολογία; ποία συγγνώμη, ὅταν ὁ Χριστὸς ἕστηκε παρὰ τὴν θύραν σου ἐν σχήματι πτωχοῦ, σὺ δὲ μηδὲ ὅλως εἶ ἐπικαμπτόμενος; τίς σε ἐξαιρήσεται τῆς ἐκεῖθεν τιμωρίας; δέδωκα, φησίν, ἔλεον. ἀλλὰ μὴ δῷς μόνον ὅσον θέλει ἐκεῖνος, ἀλλ' ὅσον δύνασαι. τί τότε ἐρεῖς, εἰπέ μοι, ὅταν αἱ κολάσεις αἱ ἀφόρητοι, ὅταν αἱ τιμωρίαι ἐκεῖναι, καὶ αἱ ἀπειλαὶ, καὶ αἱ φοβεραὶ δυνάμεις, ὅταν ὁ ποταμὸς τοῦ πυρὸς κοχλάζῃ, ὅταν τὸ βῆμα τὸ φοβερὸν, ὅταν τὸ κριτήριον τὸ ἀδέκαστον, ὅταν ἡ φύσις ἡ ἄναρχος, ὅταν ἐρημία τῶν ἀνθρωπίνων πραγμάτων, ὅταν μήτε πατὴρ, μήτε μήτηρ, μήτε γείτων, μήτε βασιλεὺς, μήτε παροδίτης, μήτε ξένος δύναταί σε ὠφελῆσαι, ἀλλὰ στήκει μόνος ὁ ἄνθρωπος μετὰ τῶν ἔργων αὐτοῦ, κατακρινόμενος ὑπ' ἐκείνων, ἢ καὶ στεφανούμενος ὑπ' αὐτῶν; τί τότε ἐρεῖς; τότε ἀναμνησθήσῃ μου τῶν λόγων. ἀλλὰ τί σοι τὸ ὄφελος;

Animi enim tui odium, tui vultus pulchritudinem videri nõ sinit. Cùm enim ab eo ornatum & aurum petitura es, tum ipse etiam te osurus est atque auersaturus, nec tam mendicum importunũ in foro occurrentem osurus est, & declinaturus, quàm te quæ petis, quandoquidem illum fugere potest, te non potest, quam semper domi procacẽ habet, repetentẽ officium, nec ratione ductam ad petendum. Hæc quidẽ omnia, non solùm aures tuę mulier audiant, sed etiã mens tua mutetur: verba mea remedia sunt, quæ ad tempus illa quidem mordent, & pungunt, sed perpetuã voluptatem afferunt. Medicus sum, vulneráque fodico, ne si nimiã vetustatẽ nacta sint, deterius vlcus efficiant. Ego enim medeor, sanitatem concedens, ac tribuens eam, quæ oratione procuratur. Alij id quod in hac vita ad tempus manet, incertúmque est, & contemnendum est, ostentant & iactãt: sed id quod de Abrahamo cõmemorabam (neq. enim promissionis aut propositi mei obliuiscar) propera, & permisce: hæc vnaquæque mulier in animo insculpat: hæc vnusquisque vir in conscientia habeat condita. Nolim mihi sericis vestib. fulgeas: nolim equos frænis inauratis, & mulos phaleratos habeas. Mulus enim infrà ornatur, aurum autem in tecto tenetur: Itaque pecunias muli rationis expertes portant, frænis aureis comũtur: pauper autem fame confectus pro foribus tuis sedet, Christúsque fame enecatur. O summam & singularem amentiã! Quæ tibi reliqua defensio est? quæ venia debetur, cùm Christus stet pro foribus tuis mendici figura & habitu, tu verò nullo modo flectaris? Quis te ex ijs suppliciis quæ illic te manent, eripiet? Dedj, inquit, eleemosynam: sed non solùm da quantum ille vult, sed quantum potes. Quid quæso tum dices, cùm supplicia, quę ferri nõ possunt, manebũt? cùm pœnæ illæ ac minæ eædémq. terribiles virtutes? cùm fluuius ignis feruebit, cùm tribunal horribile, cùm iudiciũ incorruptũ, cùm natura quę principio caret, cùm requies humanorum negotiorum: cùm nec parentes, nec vicinus, neque rex, neque viator, nec hospes præsidio esse poterit, sed homo solus cum suis factis vel condemnabitur vel corona donabitur? Tũ dices, tum in mentẽ mea veniet oratio: sed quis tibi vsus erit?

nullus: quandoquidem diues etiam ille recordatus est, quærebátque pœnitendi tempus, sed nihil profecit: verùm dicebat, Mitte Lazarum, vt summum digitum suum intingat in aqua, & refrigeret linguam meam, quia vehementer excrucior. Nec tamen Lazarum misit: non quod vna gutta de magno paradisi fonte deducta detrimentum afferret: sed quod nullo modo possit misericordiæ stilla cum inhumanitate misceri. Quoniam enim tempore stadij ac certaminis contemptus fuerat, coronæ tempore nulla eum consolatione dignum iudicauit. Hæc autem commemoro, vt nec pauper grauiter ferat cum lachrymis paupertatis incommoda, nec diues ex diuitiis voluptatem percipiat & gaudeat. Es tu diues? planè diuitiæ interibunt, nisi in medium veras debitásque diuitias conferas. Fac properè tres similæ modios admisceas: deinde cucurrit ad boues ipse, vitulúmque mactauit. Simul cursor fuit senex: neque enim ei soluta & remissa est carnis contentio, sed magis corroborata est studij sapientiæ ratio: studiúmque naturam longè multúmque superabat. Trecentorum decem & octo seruorum dominus, vitulum portabat, nec onere opprimebatur, sed studio orationem mentémque leuabat cursus seni propositus erat & magnum ministerium, vxorique labor: non enim liberalitas modò pecuniæ aderat, verumetiam mensę largitas, & frequens ministerium non à seruis procuratum, sed eorum manibus atque membris, quum ipsi ministrarent. Deinde præstò erat vxor ancillæ habitu, & accubuerunt ignoti peregrini: (neque enim ab hoc exemplo discedam:) eos enim pauperes aliquos existimabant: nec verò hoc attenderunt, sed quia peregrinos receperunt, & vterque illo in tempore præstò fuit, fructum hospitalitatis perceperunt sententia, philosophia, adminstratione, laborum susceptione, seruitio, charitate, procuratione, diligẽtia, rei nullius prætermissione. Et stabat vxor ad arborẽ, quę & arbore pro cubiculo vsa est, & foliorũ vmbram pro tecto habebat, nec indecorum duxit in publico versari. Suum enim ornatũ atq. splendorem ostentabat, fructúmque decerpebat administrationis. quid ergo is qui aduenerat? Secundum hoc tempus, inquit, veniam, & erit Sarræ filius.

Esa.4.6.

Gen.18.1.

οὐδέν. ἐπεὶ καὶ ὁ πλούσιος ἐκεῖνος ἀνεμνήσθη καὶ ἐζήτει καιρὸν μετανοίας, ἀλλ' οὐδὲν ἦν αὐτῷ κέρδος. πλὴν ἔλεγε, πέμψον Λάζαρον, ἵνα βάψῃ τὸ ἄκρον τοῦ δακτύλου αὐτοῦ ὕδατι, καὶ καταψύξῃ μου τὴν γλῶσσαν, ὅτι πάνυ ὀδυνῶμαι. ἀλλ' οὐκ ἔπεμψε Λάζαρον, οὐχ ὅτι ζημίαν ἔφερε μία ῥανὶς εἰς τὴν μεγάλην τοῦ παραδείσου πηγήν, ἀλλ' ὅτι ἡ τῆς ἐλεημοσύνης σταγὼν ἀμίκτως ἔχει πρὸς τὴν ἀπήνειαν. ἐπειδὴ γὰρ ἐν τῷ καιρῷ τοῦ σταδίου κατεφρονήθη, ἐν τῷ καιρῷ τοῦ στεφάνου οὐδεμιᾶς παραμυθίας αὐτὸν ἠξίωσε. ταῦτα λέγω, ἵνα μήτε ὁ πένης δακρύῃ διὰ τὴν πενίαν, μήτε ὁ πλούσιος χαίρῃ διὰ τὸν πλοῦτον. εὔπορος εἶ; ἀπώλετο ὁ πλοῦτος, ἐὰν μὴ εἰς μέσον φέρῃς τὸν προσήκοντα πλοῦτον. σπεῦσον, καὶ φύρασον τρία μέτρα σεμιδάλεως. εἶτα ἔδραμεν αὐτὸς εἰς τὰς βόας, καὶ ἔθυσε μόσχον. δρομεὺς ἐγένετο ὁ γέρων· οὐ γὰρ ἐνεποδίζετο αὐτῷ τῆς σαρκὸς ὁ τόνος, ἀλλ' ἐπενεύρου τῆς φιλοσοφίας ἡ διάνοια, ἐνίκησε τὴν φύσιν ἡ προθυμία. ὁ δεσπότης τριακοσίων δέκα καὶ ὀκτὼ οἰκετῶν, μόσχον βαστάζει, οὐ κατεβαρεῖτο τῷ ἄχθει, ἀλλ' ἐκουφίζετο τὴν διάνοιαν τῇ προθυμίᾳ. ὁ δρόμος τῷ γέροντι προκείμενος, καὶ ὑπηρεσία πολλή, καὶ τῇ γυναικὶ πόνος καὶ κάματος. οὐ γὰρ μόνον φιλοτιμία χρημάτων, καὶ δαψιλεία τραπέζης, ἀλλὰ καὶ διακονία καὶ ὑπηρεσία πολλὴ τοὺς ξένους ἐδεξιοῦντο, οὐ δι' οἰκετῶν, ἀλλὰ διὰ τῶν χειρῶν καὶ τῶν μελῶν τῶν ἑαυτῶν ὑπηρετοῦντες. εἶτα παρειστήκει ἡ γυνὴ θεραπαίνης λαβοῦσα σχῆμα, καὶ οἱ ξένοι ἀνέκειντο, οἱ ἀγνῶτες. οὐ γὰρ παύσομαι τοῦτο λέγων. ἐνόμιζον γὰρ αὐτοὺς πένητας εἶναί τινας. ἀλλ' οὐ προσεῖχον τούτῳ, ἀλλ' ὅτι ξένους ὑπεδέχοντο. καὶ παρειστήκεισαν ἀμφότεροι ἐν τῷ καιρῷ ἐκείνῳ, τὸν βότρυν τῆς φιλοξενίας τρυγῶντες τῇ γνώμῃ, τῇ φιλοσοφίᾳ, τῇ διακονίᾳ, τῇ ὑποδοχῇ, τῷ πόνῳ, τῇ ὑπηρεσίᾳ, τῇ ἀγάπῃ, τῇ οἰκονομίᾳ, τῇ ἀκριβείᾳ, τῷ μηδὲν παραλιπεῖν. καὶ εἱστήκει παρὰ τὸ δένδρον ἡ γυνή, ἀντὶ θαλάμου τῷ δένδρῳ χρησαμένη, καὶ τὴν σκιὰν τῶν φύλλων ἔχουσα στέγην, καὶ οὐκ ᾐδεῖτο δημοσιεύεσθαι. εἱστήκει γὰρ τὴν οἰκείαν κοσμιότητα ἐπιδεικνυμένη, καὶ τῆς διακονίας τὸν καρπὸν τρυγῶσα. τί οὖν ὁ παραγενόμενος; κατὰ τὸν καιρὸν τοῦτον ἐλεύσομαι, καὶ ἔσται τῇ Σάρρᾳ υἱός.

ὅθεν καρπὸν ἐβλάστησεν ἡ τράπεζα; πῶς καλόν; πῶς ταχύν; πῶς ὥριμον; πῶς ὁ βότρυς ὑποκάτω καὶ ἀπηρτισμένος; τὸ γὰρ τὸ ῥῆμα ἐκεῖνο εἰσῆλθεν εἰς τὴν μήτραν, καὶ ἐδημιούργησε τὸ παιδίον. τοιοῦτοι τῆς φιλοξενίας οἱ καρποί. πρόσεχε ὃ μέλλω λέγειν. μετὰ ταῦτα δὲ, τὸ παιδίον ἐπειδὴ ηὐξήθη, τὸ ἀπὸ τῆς τραπέζης τεχθὲν, ἐπειδὴ ἀνὴρ ἐγένετο ὁ τῆς φιλοξενίας καρπὸς (οὐ γὰρ οὕτως αὐτὸν ἡ μήτρα ἐγέννησεν ἐκείνη, ὡς ἐγέννησεν ἡ τράπεζα, μᾶλλον δὲ πρὸ τούτων τὸ ῥῆμα τοῦ Θεοῦ) ἐπειδὴ ηὐξήθη καὶ ἀνὴρ ἐγένετο, καὶ ὥρα γάμου λοιπὸν ἦν (πρόσεχε μετ' ἀκριβείας ὃ λέγω) ἔμελλε λοιπὸν τελευτᾶν ὁ γέρων, ὁ μακάριος Ἀβραὰμ ἐκεῖνος, ὁ πατριάρχης, συνῴκει δὲ γυναιξὶ διεφθαρμέναις καὶ ἔθνει πονηροτάτῳ, καλέσας τὸν οἰκέτην τὸν ἑαυτοῦ, φησίν· ὧδε πονηραί εἰσιν αἱ γυναῖκες τῶν Χαναναίων. τί οὖν θέλεις; ἄπελθε εἰς τὴν γῆν, ὅθεν ἐξῆλθον ἐγὼ, καὶ ἄγαγε γυναῖκα ἐκεῖθεν τῷ υἱῷ μου. καινὰ πράγματα· ἴστε ὑμεῖς, καὶ σφόδρα ἐπίστασθε. ὅταν μὲν γὰρ γυναῖκα βούληταί τις ἀγαγεῖν τῷ υἱῷ, καὶ ὁ πατὴρ διαλέγεται καὶ ἡ μήτηρ, καὶ εἰς ἀλλοτρίας οἰκίας παραγίνονται, καὶ οὗτοι κολακεύουσι, καὶ ἐκεῖνοι θεραπεύουσι, καὶ προμνήστριαι πολλαὶ, καὶ νυμφαγωγοὶ γίνονται πολλοὶ, καὶ χρημάτων ὑποσχέσεις, καὶ πᾶσα σπουδὴ τῷ πατρὶ καὶ τῇ μητρὶ δι' ἑαυτῶν διαλεχθῆναι, καὶ οὐκ αἰσχύνονται, οὐδὲ ἐρυθριῶσιν, οὐδὲ ἐπιτάττουσιν οἰκέταις· ὅταν δὲ ἔλθῃ ξένος, ἄπελθε σὺ, κατένεγκε αὐτὸν κάτω, δέξαι αὐτόν. ὁ Ἀβραὰμ ἀντιστρόφως· ὅταν μὲν ἔδει ποιῆσαι πρᾶγμα ὑψηλὸν καὶ φιλόσοφον, δι' ἑαυτοῦ ποιεῖ· τὴν φιλοξενίαν οὐκ ἐπέτρεψεν οἰκέτῃ, ἀλλὰ τῇ γυναικὶ καὶ ἑαυτῷ· ὅτε δὲ γυνὴ καὶ γάμος ὑποφαίνεται, ἄπελθε, λέγει τῷ οἰκέτῃ. ὧδε τὸ ἐναντίον ποιοῦσιν αἱ γυναῖκες. ἐὰν μὲν θέλωσι χρυσοχόῳ διαλεχθῆναι, οὐκ αἰσχύνονται, ἀλλ' ἐξέρχονται αὐταὶ δι' ἑαυτῶν, καὶ παρακαθέζονται, ἵνα μὴ ὁ χρυσὸς κλαπῇ, καὶ ἡ ἐπιθυμία τῶν χρημάτων ἀφίησιν αὐτὰς καταφρονῆσαι τῆς εὐσχημοσύνης καὶ τῆς σεμνότητος. ἀλλ' ὁ Ἀβραὰμ οὐχ οὕτως, ἀλλ' ὅτε ξένους ἤθελεν ὑποδέχεσθαι, δι' ἑαυτοῦ καὶ τῆς γυναικὸς αὐτοῦ· ὅτε δὲ τὸν γάμον, διὰ τοῦ οἰκέτου. τί οὖν μέμνησαι τοῦ Ἀβραὰμ, ὅτι πλούσιος ἦν; ταῦτα καὶ σὺ ἐννόει τοῦ Ἀβραὰμ, καὶ οὐδέποτε καταφρονήσεις τινός. ἀλλὰ πόθεν ἐξέβην ταῦτα εἰπεῖν; τὸν προφήτην λαβὼν καὶ τὴν βακτηρίαν ἐκείνην,

A O qualem fructum mensa protulit! quàm præclarum, quã cerè quàm pulchrum! vt vua maturitatem nacta est! verbum illud in vterum ingressum est, & infantem effecit. Huiusmodi sunt hospitalitatis fructus. Postea, attende diligenter, audi quod sum dicturus. Postquam creuit, sed à mensa ostensus; posteaquam vir esse cœpit hospitalitatis fructus (neque enim eum ita genuit vterus, vt mensa illa procreauit, in primis autem Dei verbum) postquam creuit, & vir factus est, & tempus nuptiarum appetebat, & deinceps moriturus B erat senex, beatus ille patriarcha, qui cum mulieribus deprauatis improbissimáque gente habitabat. Itaque accersito seruo suo, ita eum allocutus est, Hoc in loco improbæ sunt Chananæorum mulieres. Quid ergo placet? Abi in terram vnde abductus sum, atque illinc vxorem adduc filio meo. Noua res est, & inusitata. Scitis vos, & planè nostis, cùm quispiam filium suum vxorem vult ducere, tum & parentes solitos de eo inter se agere ac videre, & ad alienas domos ac familias se conferre, eisque C assentari, pronubásque permultas, & multos coniugij ineundi internuncios intercedere, pecuniarúmque promissiones, parentésque omni studio per se colloqui & agere omnia, nec eos pudore affectos seruis suis præcipere, vt cùm hospes vel peregrinus venerit, abeant, eúmque in cubiculum inferius ducant & excipiant. Abrahamus autem contrà facit, cùm res grauis magnóque studio & cura digna tractanda est, ipse per se hospitalitatis ius & munus executus est, nec seruo id oneris imposuit, sed sibi atque vxori. Cùm autem vxor & D nuptiæ appetiuerunt, seruo vt abeat, præcipit. Hîc mulieres contrà faciunt. Si enim cum aurifice agere velint, nullo pudore prohibentur, sed per se ipsæ exeunt & assident, ne aurum surripiatur: nec pecuniarum auiditas finit eas dignitatis & grauitatis rationem ducere. Sed non ita Abrahamus, verùm cùm peregrinos & viatores vellet excipere, per se atque vxorem hoc officium præstabat: cùm autem nuptias factu^s fuit, seruum adhibuit. Cur ergo meministi Abrahami, quòd diues esset? ad hæc tu quoq. de Abrahamo cogita, nec vllum vnquã aspernabere. Sed vnde tandè ad hęc dicenda digressus sum? Quod ad prophetã me cõuerterim, & ad illum scipionem.

Ne timeas, cùm diues factus fuerit homo. Ille enim versus hęc peperit omnia: inuenimúsq. thesaurum auro refertum. Ne timeas, cùm diues factus fuerit homo. Scipionem hunc sume, qui tremula corpora erigere & excitare possit. Non enim ita scipio tremula veterum atque senum corpora erigere solet natura sua, vt adolescentum & eorum qui in libidine consenuerunt, & peccatis oppugnătur tremulam mentem atque rationem hic versus excitat: Ne time, cùm locuples homo fuerit. Cur hominem metuis, qui nō homo sed lupus est? Cur hominē metuis sceleribus scatentē, & auro circūseptum? Cur hominem, qui diuitiis iniuria quęsitis res suas perdit, & intus bellū sæpe circumfert, metuis? Sed mihi quid sentiret Propheta, exposuit his verbis, Ne time, cùm diues homo euadet. Mihi quoque modum expone, propter quem diuitem timere nō debeo. Aut cùm aucta fuerit domus eius gloria. O egregiā sententiam: quam rectè hac narratione ac doctrina Philosophiā introduxit. Nō dixit, & cū aucta fuerit eius gloria, sed cū aucta fuerit domus ei⁹ gloria. Cùm enim domū diuitis alicuius intrabis, & columnas mira magnitudine cernes, adiūctis aut insculptis aureis capitellis, & marmore incrustatos parietes, & muros: fontes manantes & aquęductus, ambulationes, arbores quę vento flectantur, plenáque gemmarum omnia, gregémq. spadonū auro fulgentium, magnum comitatum, stragulam vestem solo instratam, splendescentem & fulgentem auro mensam, ornata cubilia: hæc, inquam, domus gloria sunt omnia, non hominis gloria: sed gloria hominis est religio, bonitas, eleemosyna, mansuetudo, animi demissio, pax, iustitia, minimè simulata cum omnibus charitas. Cur diuitem metuis? Itaque domū potius eius time. Illa enim diues est, non is qui habitat. Sed inquies, Non eam metuo, quòd aurum materia sit animi expers. At hominem metuis? Quamobrem? Non enim eius opes & diuitiæ sunt, splendor domus marmora sunt annexa muris. Quid hæc ad dominum? Aurea laquearia? Quid ad dominum? aurea columnarum capitella? Quid ad illius caput, quod in peccato-

A μὴ φοβοῦ, ὅταν πλουτήσῃ ἄνθρωπος; ἐκεῖνος γὰρ ὁ στίχος ἅπαντα ταῦτα ἔτικτε. καὶ ἰδοὺ θησαυρὸν εὑρήκαμεν χρυσοῦ γέμοντα. μὴ φοβοῦ, ὅταν πλουτήσῃ ἄνθρωπος. λάβε τὴν βακτηρίαν ταύτην τὴν δυναμένην ὑποτρέμοντα τὰ σώματα ἀνορθοῦσθαι. οὐδὲ γὰρ οὕτω βακτηρία ὑποτρέμοντα τὰ σώματα τῶν παλαιῶν καὶ γεγηρακότων ἀνορθοῦν πέφυκεν, ὡς ὁ στίχος οὗτος τῶν νέων καὶ γεγηρακότων ἐν τῇ ἐπιθυμίᾳ καὶ ὑπὸ τῆς ἁμαρτίας πολιορκουμένων ὑποτρέμουσαν τὴν διάνοιαν ἐγείρει. μὴ φοβοῦ, B ὅταν πλουτήσῃ ἄνθρωπος. τί δέδοικας ἄνθρωπον, οὐκ ὄντα ἄνθρωπον, ἀλλὰ λύκον; τί δέδοικας ἄνθρωπον ἀσεβημάτων γέμοντα, καὶ χρυσῷ πολιορκούμενον; τί δέδοικας ἄνθρωπον ἀπὸ τῆς ἀδικίας τὰ ἑαυτοῦ προδεδωκότα, καὶ τὸν πολέμιον ἔνδοθεν πολλάκις ἔχοντα; ἀλλ' ἀπεφήνατό μοι ὁ προφήτης λέγων, μὴ φοβοῦ, ὅταν πλουτήσῃ ἄνθρωπος. εἰπέ μοι λοιπὸν καὶ τὸν τρόπον, δι' ὃν οὐκ ὀφείλω φοβεῖσθαι τὸν πλούσιον. ἢ ὅταν πληθυνθῇ ἡ δόξα τοῦ οἴκου αὐτοῦ. ὢ εὐγένεια λέξεως. πῶς ἐν διηγήσει καὶ διδασκαλίᾳ φιλοσοφίαν εἰσήγαγε; μὴ φοβοῦ, ὅταν πλουτήσῃ ἄνθρωπος, ἢ C ὅταν πληθυνθῇ ἡ δόξα τοῦ οἴκου αὐτοῦ. οὐκ εἶπε, καὶ ὅταν πληθυνθῇ ἡ δόξα αὐτοῦ, ἀλλ', ἡ δόξα τοῦ οἴκου αὐτοῦ. ὅταν γὰρ εἰσέλθῃς εἰς οἰκίαν τινὸς πλουσίου, καὶ ἴδῃς ἐν τῷ οἴκῳ αὐτοῦ κίονας ὑπεραίροντας τῷ μεγέθει, καὶ χρυσᾶς κεφαλίδας, καὶ μάρμαρα τῷ τοίχῳ προσαπεπηγότα, καὶ κρήνας ῥεούσας, καὶ πηγὰς καὶ περιπάτους, καὶ δένδρα τῷ ἀνέμῳ καμπτόμενα, καὶ πάντα ψηφίδων γέμοντα, καὶ εὐνούχων χρυσοφορούντων ἀγέλην, καὶ οἰκετῶν πλῆθος, καὶ τάπητας ἐπὶ τοῦ ἐδάφους κειμένους, καὶ τράπεζαν ἐκλάμπουσαν τῷ χρυσῷ, καὶ D κοιτῶνας κεκοσμημένους· ταῦτα πάντα δόξα οἴκου ἐστὶν, οὐ δόξα ἀνθρώπου. δόξα γὰρ ἀνθρώπου, εὐλάβεια, ἐπιείκεια, ἐλεημοσύνη, πρᾳότης, ταπεινοφροσύνη, εἰρήνη, δικαιοσύνη, ἀγάπη ἀνυπόκριτος πρὸς πάντας. ταῦτα πάντα δόξα ἀνθρώπου. τί φοβῇ τὸν πλούσιον; οὐκοῦν τὴν οἰκίαν αὐτοῦ μᾶλλον φοβοῦ. ἐκείνη γάρ ἐστιν ἡ πλουτοῦσα, οὐχ ὁ οἰκῶν. ἀλλ' οὐ φοβοῦμαι ταύτην, φησί. διὰ τί; ὅτι ὁ χρυσὸς ἄψυχός ἐστιν ὕλη. ἀλλὰ τὸν ἄνθρωπον φοβῇ; ναί. διὰ τί; μὴ γὰρ αὐτοῦ ἐστιν ὁ πλοῦτος; τῆς οἰκίας ἡ περιφάνεια. μάρμαρα ἔχει ὁ τοῖχος. τί οὖν πρὸς τὸν οἰκοῦντα; χρυσοῦς ὁ ὄροφος. τί οὖν πρὸς τὸν κεκτημένον; αἱ κεφαλίδες τῶν κιόνων χρυσαῖ. τί οὖν πρὸς τὴν κεφαλὴν

ἐκείνου τὴν ἁμαρτίαις βεβορβορωμένην; ἀλλὰ καθαρὸν τὸ ἔδαφος; ἀλλὰ ἀκάθαρτον τὸ συνειδός. ἀλλὰ σηρικὰ τὰ ἱμάτια; ἀλλὰ ῥακίων γέμουσα ἡ ψυχή. ἡ οἰκία πλουσία, ἀλλ' ὁ κεκτημένος τὴν οἰκίαν, πένης. ὅταν πληθυνθῇ ἡ δόξα τοῦ οἴκου αὐτοῦ. καὶ ἵνα μάθητε, ὅτι τοῦ οἴκου ἐστὶν ἡ δόξα, καὶ οὐχὶ τοῦ ἀνθρώπου, ἀπὸ τῶν ῥημάτων ὑμῶν ἐλέγχω ὑμᾶς. εἰσερχόμενος πολλάκις εἰς οἰκίαν τινὸς ὡραίαν οὖσαν, ἐξερχόμενος τί λέγεις; ὡραῖα εἶδον μάρμαρα. μὴ λέγεις, ὡραῖον εἶδον ἄνθρωπον; θαυμαστοὶ οἱ κίονες, θυρίδες καλαί. μὴ λέγεις, θαυμαστὸς ὁ οἰκῶν; πολὺς ὁ χρυσὸς ἐν τῷ ὀρόφῳ. μὴ λέγεις, πολλὴ ἡ ἐλεημοσύνη; πολλαὶ αἱ κρῆναι καὶ δαψιλῆ πολλή. μὴ λέγεις, πολλὴ ἡ δαψίλεια ἐκείνου τοῦ κεκτημένου; πανταχοῦ περὶ τοὺς τοίχους, πανταχοῦ περὶ τὰ μάρμαρα, πανταχοῦ περὶ τὰς κρήνας, πανταχοῦ περὶ τὰς πηγὰς διαλέγῃ. πάλιν ὁρᾷς ἵππον ἔχοντα χρυσοῦν χαλινὸν, καὶ λέγεις, καλὸς ὁ χαλινός. οὐκοῦν τοῦ χρυσοχόου τὸ ἐγκώμιον. θαυμαστὸν τὸ ἱμάτιον· οὐκοῦν τοῦ ὑφάντου ὁ ἔπαινος. καλοὶ οἱ οἰκέται· οὐκοῦν τοῦ πεπωληκότος ὁ ἔπαινος. καὶ μένει μὲν ἐκεῖνος ἀστεφάνωτος, τὰ δὲ περὶ αὐτὸν ἐγκωμίων ἀπολαύουσιν. ἀλλ' ὅταν ἴδῃς ἄνθρωπον καλὸν, λέγεις, καλὸς ἄνθρωπος, ὡραῖος, ἐπιεικής, θαυμαστὸς, ἐλεήμων, φιλόφρων, συντετριμμένος, ἀεὶ ἐν εὐχαῖς προσέχων, ἀεὶ ἐν νηστείαις παραμένων, ἀεὶ ἐν τῇ ἐκκλησίᾳ σχολάζων, ἀεὶ ἀχώριστός ἐστι τῆς θείας διδασκαλίας. ταῦτα ἐγκώμια περὶ ἐκεῖνον, ταῦτα στέφανοι. μάθε οὖν τί πλοῦτος ἀνθρώπου, καὶ τί πλοῦτος οἰκίας, καὶ μὴ φοβοῦ. ἐὰν γὰρ μάθῃς διαιρεῖν τὸν πλοῦτον καλῶς, οὐκέτι φοβηθήσῃ. ὁρᾷς δὲ τὸν νομιζόμενον πλούσιον παρὰ σοὶ πένητα ὄντα καὶ πτωχόν; μὴ φοβοῦ, ὅταν πλουτήσῃ ἄνθρωπος. καὶ ἵνα μάθῃς, ὅτι ταῦτα τοῦτον ἔχει τὸν τρόπον, εἰ καὶ ἐνταῦθά σε ἀπατᾷ, ἐν καιρῷ τῆς τελευτῆς αὐτοῦ βλέπε αὐτόν. μὴ λαμβάνει τι ἐκεῖ ἐκ τούτων ἁπάντων, καὶ ἀπέρχεται; εἶτα ἀπέθανε, καὶ κεῖται γυμνὸς ὁ τὰ σηρικὰ περιβεβλημένος ἱμάτια. κεῖται γυμνὸς ἐπὶ τοῦ βάθρου, καὶ οἱ οἰκέται ἀπέρχονται καὶ ἔρχονται, καὶ οὐδεὶς αὐτοῦ φροντίζει· οὐ γὰρ ἦσαν αὐτοῦ οἱ οἰκέται. ἀπεδήμησε, καὶ οὐδὲν αὐτοῦ λοιπὸν κεῖται. ἡ γυνὴ κατακόπτεται, τὰς τρίχας λύει, παρακαλοῦσι πάντες, οὐχ ὑπακούει· τὰ παιδία ἐν ὀρφανίᾳ, ἡ γυνὴ ἐν χηρείᾳ, πάν-

A rum fæce immersum est? Sed mundum est solum & pauimentum? at immunda est conscientia. Sed sericæ sunt vestes? at vilibus incultísque vestibus animus refertus est. Domus est diues, sed domus dominus pauper. Cùm aucta fuerit domus eius gloria. Atque vt intelligatis hanc esse domus dignitatem, non hominis, vos vestra oratione refello. Ingressus præsepe in pulchras ædes alicuius, quid ais? Vidi pulchra marmora: non ais, Vidi forma præstāti hominem: miri artificij columnæ sunt, venustæ fenestræ: non ais, admirationem sui excitat dominus. B Aurum est in illis laquearibus: non ais, Eleemosyna magna est. multi sunt fontes, magna copia & abundantia: non ais, Magna est domini largitas. Vbique de muris, vbique de marmoribus, de fontibus, & aquæductibus disseris. Vides rursus equum fræno aureo fulgentem, & ais, Præclarum est frænum. an non aurificis ista laus est? Egregia tunica. an non textoris est laus propria? insignes atque egregij serui. nónne laus est eius qui emit illos? Ac ille quidem sine corona manet, res autem eius laudibus potiuntur. C At cùm videris hominem clarum, ais, Vir est clarus & facie honesta, bonus, egregius, ad subueniendum calamitosis & egentibus propensus, comis, semper precibus occupatus, semper ieiunium seruat, semper in templo versatur, nunquam à diuina doctrina se remouet: hæ sunt hominis laudes propriæ, hæ coronæ. Disce ergo quæ sint hominis diuitiæ, quæ domus, nec time. Si enim diuitias à diuitiis distinguere probè noris ac planè didiceris, nullus metui relictus erit locus. Vides eum qui tibi habetur diues, inopem & egentem esse: ne time, D cùm homo diues euadet. Atque vt hæc ita esse intelligas, etsi hîc decipit & captat, tamen eum in morte considera: num quid ex his, quæ hîc sunt, sumit & abit? Deinde excessit è vita, nudus sepelitur, qui serico vestitu amictus erat, & nud^9 in fossa humatur: seruíq; abeunt, curæ est iam nemini: neque enim eius serui erant: profectus est, & nihil, quod ad eum pertinebat, deinceps iacet. Rursus vxor eius laniatur ac discerpitur, crines soluit: orphani sunt liberi, vxor vidua, demissi abiectique omnes sunt, pincer-

næ, crateres, parasiti, assentatores, eunuchi in animum inducunt aliquod illorum vasorum accipere, & abire. Sed quid? solus effertur: omnes laudi tribuunt. Sed quid hæc rursus ad illum? At inanis falsaque gloria eum celebrat. An vero aliquid ab ea sumere potest? Nihil eorũ potest illi adesse illo die Tũ ad sepulchrum abit is, qui rapiebat oĩa: intra cubitos tres sepelitur, nec eò amplius: terra operit vultum eius, ac loculi operculum, & vxor discedit. Vbi sunt diuitiæ? vbi serui? vbi pompa? vbi domus magna & nobilis? te omnes deserunt: te etiam vxor deserit, velit, nolit: fœtor enim ipsam abigit, fontes enim vermium eam repellunt. Abiit enim nihil suũ secum portans. Atque vt scias nihil eum secum abstulisse eterũ suarum, martyres beati sunt, quia sua accipiunt: ab eorũ sepulchris nõ discedimus. Atq; hoc quidem in loco ne vxor quidem manere vult: illic autem rex & imperator diadema regium abiicit, atque in martyris sepulchro permanet, orans & rogans, vt sibi à periculis liberatio concedatur, & contra hostes victoria. Ne time, cùm diues fuerit homo. Hoc sumpto versu, canere incipiamus Domino, & pro his omnibus gratias agamus Patri, Filio, Sanctóque spiritu, nunc, & semper & in secula seculorum. Amen.

A τες ταπεινοὶ, οἰνοχόοι, κρατῆρες, παράσιτοι, κόλακες, εὐνοῦχοι· λαβεῖν τι ἐξ ἐκείνων τῶν σκευῶν, καὶ ἀπελθεῖν οὐ δύναται. ἀλλὰ τί; ἀποφέρεται μόνος· εὐφημίαις βάλλουσι. καὶ τί πρὸς αὐτὸν πάλιν; ἀλλ' ἡ κενοδοξία αὐτὸν εὐφημεῖ. διὰ τί; μὴ γὰρ δύναταί τι λαβεῖν ἀπ' αὐτῆς; οὐ δύναται οὐδὲν ἐξ αὐτῶν παραστῆναι αὐτῷ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ. ἀπέρχεται εἰς τὸν τάφον ὁ πάντα ἁρπάζων, εἰς τρεῖς πήχεις θάπτεται, καὶ πλέον οὐδέν· καὶ γῆ ἐπάνω τῆς ὄψεως, καὶ τὸ κάλυμμα τῆς θήκης, καὶ ἀναχωρεῖ ἡ γυνή. B ποῦ ὁ πλοῦτος; ποῦ οἱ δοῦλοι; ποῦ ἡ φαντασία; ποῦ ἡ οἰκία ἡ μεγάλη καὶ περικαλλής; καταλιμπάνουσιν αὐτόν. ἀφίησιν αὐτὸν καὶ ἡ γυνὴ, κἂν μὴ βούληται. ἡ δυσωδία γὰρ αὐτὴν ἐλαύνει, αἱ πηγαὶ τῶν σκωλήκων αὐτὴν διώκουσι. τοῦτο ὅλον; ναί. οὐδὲν γὰρ ἔχων ἀπῆλθε τῶν αὐτοῦ. καὶ ἵνα μάθῃς, ὅτι οὐδὲν ἔχων τῶν αὐτοῦ ἀπῆλθεν, οἱ μακάριοι μάρτυρες ὅτι τὰ ἑαυτῶν λαμβάνουσιν, οὐκ ἀναχωροῦμεν τοῦ τάφου αὐτῶν. καὶ ὧδε μὲν οὐδὲ γυνὴ ἀνέχεται παραμεῖναι· ἐκεῖ δὲ ὁ βασιλεὺς ῥίπτει τὸ διάδημα, C καὶ παραμένει τῷ τάφῳ τοῦ μάρτυρος, δυσωπῶν καὶ δεόμενος δοθῆναι αὐτῷ λύσιν τῶν δεινῶν, καὶ νίκην κατ' ἐχθρῶν. μὴ οὖν φοβοῦ, ὅταν πλουτήσῃ ἄνθρωπος. τοῦτον λαβόντες τὸν στίχον, ἐξάρξωμεν τῷ κυρίῳ, ὑπὲρ τούτων ἁπάντων εὐχαριστοῦντες αὐτῷ τῷ πατρὶ, καὶ τῷ υἱῷ, καὶ τῷ ἁγίῳ πνεύματι, ὅτι αὐτῷ ἡ δόξα καὶ τὸ κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

EIVSDEM CVM ALIVS ANTE PERORASSET SERMO Constantinopoli habitus, in magna Ecclesia, cum pauci conuenissent, in illud, *Ne timueris, cum diues factus fuerit homo*, & de eleemosyna.

Ps. 48. 17.

Frontone Ducæo interprete.

PARVVS est fructus eius, qui præclarè dixit, sed maturus: tenuis est chorda, sed ingens sonus: pauca verba, sed magni pretij sunt sententiæ. Nam & vniuersum populum laudibus excitauit, eosq; præ-

D ΤΟΥ ΑΥΤΟΥ ΠΡΟΕΙΡΗΚΟΤΟΣ ἑτέρου ὁμιλία λεχθεῖσα ἐν Κωνσταντινουπόλει ἐν τῇ ἐκκλησίᾳ μεγάλῃ, ὀλίγων συνελθόντων εἰς τὸ, μὴ φοβοῦ, ὅταν πλουτήσῃ ἄνθρωπος, καὶ περὶ ἐλεημοσύνης.

ΒΡΑΧΥΣ ὁ καρπὸς τοῦ καλῶς εἰρηκότος, ἀλλ' ὥριμος· λεπτὴ ἡ νευρὰ, ἀλλὰ μεγάλη ἡ ἠχή· ὀλίγα τὰ ῥήματα, ἀλλὰ πολυτελῆ τὰ νοήματα. καὶ γὰρ δῆμον ὁλόκληρον τοῖς ἐπαίνοις ἀνεπτέρωσε, καὶ σπουδαιοτέρους τοῖς ἐγκω-

μίοις εἰργάσατο, καὶ τὸν αἴτιον τῆς γεωργίας ἐδήλωσεν, ὕμνοις τε στεφθεὶς αὐτῷ, καὶ εὐχαριστήσας, κατὰ τὸν ἀποστολικὸν νόμον εἰς δοξολογίαν τὸν λόγον κατέλυσεν. εἰ δὲ ταχέως τὴν τράπεζαν συνέστειλεν, οὐ διὰ πτωχείαν, ἀλλὰ διὰ ταπεινοφροσύνην. οὐ γὰρ ἀπορῶν πλείονα εἰπεῖν εἰς σιγὴν τὸν λόγον κατέκλεισεν, ἀλλ' ἡμῖν τῆς διδασκαλίας παραχωρῶν. Φέρε οὖν καὶ ἡμεῖς τῆς ζάλης τῆς ἤδη γεγενημένης, θορύβων ἀπαλλαγέντες, ὥσπερ τισὶ ποταμίοις ὕδασι τῇ τῶν γραφῶν ἀναγνώσει τὴν ἀκοὴν ἀποπλυνώμεθα. οὕτω καὶ ναῦται ποιοῦσιν· ἐπειδὰν χειμῶνα διαδραμόντες καὶ πολὺ διαβάντες πέλαγος εἰς λιμένα καταντήσωσι γαληνόν· ἱστία χαλάσαντες, καὶ κώπην ἀποθέμενοι, καὶ τῆς νηὸς ἀποβάντες, βαλανείοις, καὶ σιτίοις, καὶ πότοις, καὶ ὕπνῳ καὶ ἀνέσει τὸ σῶμα ἀνακτησάμενοι, ἀκμαιότερον αὐτὸ πρὸς τὴν λοιπὴν ναυτιλίαν παρασκευάζουσι. Τούτους δὴ καὶ ἡμεῖς μιμησώμεθα καὶ τῆς πρώην γενομένης ταραχῆς ἀπαλλαγέντες, καὶ τοῦ θορύβου, καὶ τῶν κυμάτων, ὥσπερ εἰς τινα λιμένα εὔδιον, τὴν τῶν γραφῶν τὴν ἀνάγνωσιν τὴν ψυχὴν τὴν ἡμετέραν ὁρμίσωμεν. καὶ γὰρ λιμήν ἐστιν ἀκύμαντος, καὶ τεῖχος ἀρραγές, καὶ πύργος ἄσειστος, καὶ δόξα ἀναφαίρετος, καὶ ὅπλον ἄτρωτον, καὶ εὐθυμία ἀμάραντος, καὶ ἡδονὴ διηνεκής, καὶ πάντα ὅσα ἂν εἴποι τις καλά, τῶν θείων γραφῶν ἡ συνουσία. αὕτη καὶ ἀθυμίαν ἀποκρούεται, καὶ εὐθυμίαν διατηρεῖ, καὶ τὸν πένητα τῶν εὐπόρων πλουσιώτερον κατασκευάζει, καὶ τοῖς πλουτοῦσιν ἀσφάλειαν περιτίθησι, καὶ τὸν ἁμαρτωλὸν δίκαιον ποιεῖ, καὶ τὸν δίκαιον ἐν ἀσφαλεῖ καθίστησι φυλακῇ, καὶ τὰ ὄντα κακὰ ἀνασπᾷ, καὶ τὰ οὐκ ὄντα ἀγαθὰ καταφυτεύει, ἀπελαύνει πονηρίαν, πρὸς ἀρετὴν ἐπανάγει, οὐκ ἐπανάγει δὲ μόνον, ἀλλὰ καὶ ῥιζοῖ, καὶ διηνεκῆ μένειν ποιεῖ, φάρμακον οὖσα πνευματικόν, ἐπῳδή τις θεία καὶ ἀπόρρητος, παθῶν ἀναιρετική. καὶ γὰρ τὰς ἀκάνθας ἀνασπᾷ τῶν ἁμαρτημάτων, καὶ καθαρὰν τὴν ἄρουραν ἐργάζεται, καὶ τὰ σπέρματα καταβάλλει τῆς εὐσεβείας, καὶ πρὸς ἀκμὴν τὸν καρπὸν ἄγει. μὴ δὴ τοσούτων παραμελῶμεν ἀγαθῶν, μηδὲ ἀπολιμπανώμεθα συνάξεων, ἀλλὰ συνεχῶς ἐνταῦθα παρέχωμεν, ἵνα διηνεκῶς θεραπευώμεθα, καὶ μηδεὶς μήτε φθόνῳ βάλληται πλουτοῦντα ὁρῶν, μήτε πενίᾳ πιέζηται· ἀλλὰ καταμαθὼν τὴν ἀληθῆ τῶν πραγμάτων φύσιν, παρατρέχῃ τὰ

A coniis diligentiores effecit, & auctorem agriculturæ indicauit, atque compositis in eius laudem hymnis, postquam ex Apostoli præcepto gratias egit, orationem glorificatione conclusit. Quòd si mensam cito remouit, non ob egestatē, sed ob humilitatem id egit. Non enim, quod dicere plura non posset, orationi finem tacendo imposuit, sed vt docendi munere nobis cederet. Age ergo nos quoque tumultuum, qui jam contigerunt, procella liberati, tanquam fluuialibus quibusdam aquis aures nostras lectione scripturarum abluamus. B Ita faciunt & nautæ: postquam tempestatem euaserunt, & multum pelagus emensi ad tranquillum portum peruenerunt, demissis velis, deposito remo, & exscensu è naui facto balneis, cibo, potu, somno ac deliciis corpus refocillant, vt vegetius illud & aptius ad reliquam nauigationem reddant. Hos imitemur nos quoque, ac nupera illa perturbatione, tumultu, fluctibúsque perfuncti tanquam ad quietum quendam portum animam nostram ad scripturarum lectionem appellamus. Etenim portus C est nullis fluctibus agitatus, murus inexpugnabilis, inconcussa turris, gloria quæ nequit eripi, armatura impenetrabilis, animi tranquillitas inuicta, voluptas continua, & quæcunque bona dixeris, diuinarum congressus scripturarum. Hic & mœrorem abigit, & animi tranquillitatem tuetur, pauperem ditiorem reddit opulentis, & diuitibus securitatem acquirit, peccatorem iustum efficit, tuto præsidio iustum munit, mala quæ insunt euellit, bona quæ desunt inserit, malitiam fugat, ad virtutem reducit, nec reducit modo, sed D radicibus etiam, firmat, &, vt perpetuo maneat, efficit, cum spiritualis medicina sit, ac diuina quædam & ineffabilis incantatio, quæ passiones exterminat. Nam & spinas peccatorum extirpat, & aruum expurgat, & pietatis iacit semina, & fructum ad vigorem perducit. Nequaquam igitur tot aspernemur bona, neque à collectis absimus, sed huc nos assiduè conferamus, vt continuè sanemur, nec vllus diuitem cernēs inuidia saucietur, aut inopia grauetur: sed vera cognita rerum natura, prętereat vmbras, veritatem amplectatur.

Lectio scripturæ sacræ quàm utilis.

Siquidem vmbra licet corpore maior A apparcat, est tamen vmbra: certe enim maior eo non est alioqui, sed tum videtur, cum à solis radiis remotiores fuerimus: sic nimirum circa meridiem dum feruentis solis radij capiti imminent, vndique in angustum redigitur, & contrahitur, ac breuior fit, quod vtique in rebus etiam humanis cernitur. Nam quandiu quidem se longius quis à virtute seiungit, magnæ illi res videntur humanæ: vbi vero se in clarissimo scripturarum lumine collocarit, tum vero quam viles, quam breues, quàm nullius momenti sint res caducæ animad- B uertit, ac probè intelligit nihilo eas meliori conditione, quàm fluuiales vndas esse, quòd simul appareant, & dilabantur. Quam ob causam cum propheta philosopharetur, & pusillanimes istos & infelices, castigaret, qui humi reptāt, & diuitiarum pompam obstupescunt, qui reformidant ac tremunt eos, qui eiusmodi rebus circumfluunt, & nos ab hoc pauore abduceret, ac suaderet, vt eas tanquam res nihili cōtemneremus, dicebat: *Ne timueris, cum diues factus fuerit homo, aut cum multiplicata fuerit gloria domus eius. Quoniam cum interierit non sumet omnia.* Vides quàm accurata oratione fuerit vsus, & clarissimè cuncta distinxerit? non enim dixit cum multiplicata fuerit eius gloria, sed gloria dom^9 eius, indicans aliud esse gloriam hominis, & aliud gloriam domus. Quid igitur est hominis gloria, & quid gloria domus? Hæc enim clarè dignoscenda sunt, vt ne somnia potiùs, quàm veritatem amplectamur. Sunt igitur domus gloria porticus, ambulacra, laqueare aureum, pauimentum lapillis ornatum, prata, horti, seruorum greges, supellex sumptuosa, quorum nihil ad hominem per- D tinet. Hominis gloria, recta est fides, zelus in Deum, caritas, mansuetudo, lenitas, assiduitas in precibus, in eleemosynis impertiendis liberalitas, castitas, modestia, cęterę omnes virtutis species. Atque vt hæc ita se habere intelligas, is quidem qui illa possidet, gloriam ex illis nullam colligit, neque idcirco præclarus aliquis appellabitur, quod præclaras ædes habeat, vel hortum vel pratum, vel seruorum turbam, vel multam vestem pretiosam. Laus enim omnis in possessione subsistit,

Comparatio veri humanarū cū vmbra.

Psal. 48.17

A μὲν τὰς σκιάς, ἀντιποιῶνται δὲ τῆς ἀληθείας. καὶ γὰρ σκιά, εἰ καὶ μείζων τοῦ σώματος εἶναι δοκεῖ, ἀλλ' ὅμως σκιὰ τυγχάνει· ἄλλως δὲ οὐδὲ ἔστι μείζων, ἀλλὰ δοκεῖ, καὶ τότε δοκεῖ, ὅταν μακροτέρω τῆς ἀκτῖνος γενώμεθα. οὕτω γοῦν, ἡνίκα περὶ σταθερὰν μεσημβρίαν τῆς ἀκτῖνος ὑπὲρ κεφαλῆς ἱσταμένης συνελαύνεται πάντοθεν, καὶ συστέλλεται καὶ βραχυτέρα γίνεται. ὃ δὴ καὶ ἐπὶ τῶν ἀνθρωπίνων ἔστιν ἰδεῖν. ἕως μὲν γάρ τις μακροτέρω τῆς ἀρετῆς καθίστησιν ἑαυτόν, μεγάλα φαίνεται τὰ τοῦ παρόντος βίου πράγματα· ὅταν δὲ ἐν αὐτῷ τῷ φανοτάτῳ φωτὶ τῶν θείων ἑαυ- B τὸν καταστήσῃ γραφῶν, τότε καὶ τὸ εὐτελὲς καὶ τὸ βραχὺ καὶ τὸ οὐδαμινὸν τῶν ἐπικήρων τούτων ὁρᾷ πραγμάτων, καὶ μανθάνει σαφῶς, ὅτι ποταμίων ὑδάτων οὐδὲν ἄμεινον ταῦτα διάκειται, ὁμοῦ τε φαινόμενα καὶ παρατρέχοντα. διά τε τοῦτο ὁ προφήτης φιλοσοφῶν, τοὺς μικροψύχους, καὶ ταλαιπώρους, καὶ χαμαὶ συρομένους, καὶ κεχηνότας πρὸς τὴν τοῦ πλούτου φαντασίαν, καὶ δεδοικότας, καὶ τρέμοντας τοὺς ἐν τούτοις κομῶντας διορθούμενος, καὶ τῆς τοιαύτης ἀπάγων ἀγωνίας ἡμᾶς, καὶ πείθων ὡς οὐδὲν ὄντων καταφρονεῖν, ἔ- C λεγε· μὴ φοβοῦ, ὅταν πλουτήσῃ ἄνθρωπος, ἢ ὅταν πληθυνθῇ ἡ δόξα τοῦ οἴκου αὐτοῦ. ὅτι οὐκ ἐν τῷ ἀποθνήσκειν αὐτὸν λήψεται τὰ πάντα. εἶδες ἀκρίβειαν λέξεως καὶ διαίρεσιν σαφεστάτην; οὐδὲ γὰρ εἶπεν, ὅταν πληθυνθῇ ἡ δόξα αὐτοῦ, ἀλλ', ἡ δόξα τοῦ οἴκου αὐτοῦ, δηλῶν ὅτι ἕτερον δόξα ἀνθρώπου, καὶ ἕτερον δόξα οἴκου. τί τοίνυν δόξα ἀνθρώπου; καὶ τί δόξα οἴκου; δεῖ γὰρ ταῦτα εἰδέναι σαφῶς, ὥστε μὴ τὰ ὀνείρατα πρὸ τῆς ἀληθείας ἀσπάσασθαι. οἴκου μὲν οὖν δόξα στοαί, περίπατοι, χρυσοῦς ὄροφος, ἔδαφος ψηφῖσι καλλωπισθέν, λειμῶνες, D παράδεισοι, ἀνδραπόδων ἀγέλαι, τὰ ἔπιπλα τὰ πολυτελῆ, ὧν οὐδὲν πρὸς τὸν ἄνθρωπον. ἀνθρώπου δόξα, πίστις ὀρθή, ζῆλος ὁ κατὰ Θεόν, ἀγάπη, πρᾳότης, ἐπιείκεια, ἡ ἐν εὐχαῖς ἐκτένεια, ἡ τῆς ἐλεημοσύνης φιλοσοφία, σωφροσύνη, κοσμιότης, τὰ λοιπὰ ἅπαντα τῆς ἀρετῆς μέλη. καὶ ἵνα μάθῃς ὅτι ταῦτα τοῦτον ἔχει τὸν τρόπον, ὁ μὲν ἐκεῖνα κεκτημένος οὐ καρποῦται τὴν ἐξ αὐτῶν δόξαν, οὐδ' ἂν κληθείη τις καλός, ἐπειδὴ οἰκίαν ἔχει καλήν, ἢ παράδεισον, ἢ λειμῶνα, ἢ πλῆθος ἀνδραπόδων, ἢ ἱματίων πολυτέλειαν. τὸ γὰρ θαυμαστὸν ἅπαν περὶ τὸ κτῆμα ἵσταται, οὐ

διαβαῖνον πρὸς τὸν ἔχοντα. τὴν γὰρ οἰκίαν θαυμάζομεν, καὶ τὸν παράδεισον, καὶ τὸν λειμῶνα, καὶ τῶν ἱματίων τὸ κάλλος, ἃ τῶν ἐργασαμένων τῆς τέχνης ἐστὶν ἐγκώμιον, οὐ τῆς τῶν κεκτημένων ἀρετῆς, ἀλλὰ καὶ τοὐναντίον ἅπαν τῆς κακίας ἀπόδειξις. τοσοῦτον γοῦν ἀπέχει τούτων ἡ φύσις τῶν κτημάτων τοὺς ἔχοντας δόξῃ περιβαλεῖν, ὅτι καὶ λυμαίνεται αὐτὴν μεθ' ὑπερβολῆς. καὶ γὰρ ὡς ὠμοὺς, καὶ ἀπανθρώπους, καὶ βασκάνους, καὶ φιλοσοφίας ἀλλοτρίους, οὕτως ἅπαντες κωμῳδοῦσι τοὺς ἐν τούτοις τὴν περιουσίαν ἐπιδεικνυμένους. οὐ γάρ ἐστιν ἀνθρώπου δόξα ταῦτα, καθὼς εἶπον, ἀλλὰ τοῦ οἴκου. τοὺς μέντοι ἐν σωφροσύνῃ ζῶντας, κοσμιότητι, πρᾳότητι, ἐπιεικείᾳ, τῷ Θεῷ μετ' ἀκριβείας ἀνακειμένους, αὐτοὺς θαυμάζομεν, ἐπαινοῦμεν, ἀνακηρύττομεν· ἐπειδήπερ αὕτη ἀνθρώπου μάλιστά ἐστιν ἡ δόξα. ταῦτα γοῦν εἰδότες, μηδένα ζηλωτὸν εἶναι νομίζετε τῶν ἐκεῖνα περιβεβλημένων, ἃ μηδὲν πρὸς αὐτὸν ἔχει κοινόν. κἂν ἴδῃς ἐπὶ ὀχήματός τινα καθήμενον, τὰς ὀφρῦς ἀνασπῶντα, ἀνατεινόμενον, αὐτῶν ἁπτόμενον τῶν νεφελῶν, οὐ τῇ φύσει τοῦ πράγματος (οὐ γὰρ δυνατὸν) ἀλλὰ τῇ ἀπονοίᾳ τῆς ψυχῆς, μᾶλλον δὲ τῇ ἀνοίᾳ, μὴ νόμιζε τοῦτον ἔνδοξον, μηδὲ ὑψηλὸν καὶ μέγαν. ὑψηλὸν γὰρ οὐχ ἡμίονοι ποιοῦσιν ἕλκουσαι, ἀλλ' ἀρετῆς κορυφὴ πρὸς τὰς ἁψῖδας ἀνάγουσα τῶν οὐρανῶν. κἂν ἄλλον θεάσῃ ἐφ' ἵππου καθήμενον, πολλοὺς ἔχοντα τοὺς ῥαβδούχους, καὶ σοβοῦντα ἐπὶ τῆς ἀγορᾶς, μηδὲ τοῦτον μακαρίζῃς διὰ ταῦτα· ἀλλ' ἀνάπτυξον αὐτοῦ τὴν ψυχὴν, καὶ τότε περὶ αὐτοῦ ψηφίζου ταῦτα, ἅπερ ἡ ἐκείνης ὄψις ὑποβάλλει. ὡς τά γε νῦν ὁρώμενα καταγέλαστα. τί γὰρ σοβεῖς ἐπὶ τῆς ἀγορᾶς, εἰπέ μοι; τί δὲ ἐλαύνεις τοὺς ἀπαντῶντας, καὶ φυγαδεύεις, ἄνθρωπος ὢν, ἀνθρώπους; τίς ὁ τῦφος; τίς ἡ ἀπόνοια; μὴ γὰρ λύκος γέγονας, ἢ λέων, ὡς εἰσιὼν εἰς πόλιν ἅπαντας εἰς φυγὴν τρέπειν; μᾶλλον δὲ λύκος μὲν λύκον οὐκ ἄν ποτε ἐλάσῃ, οὐδὲ λέων λέοντα· ἀλλὰ συναγελάζονται, τὴν κοινωνίαν τῆς φύσεως αἰδούμενοι· σὺ δὲ, ὁ μετὰ τῆς φύσεως καὶ ἕτερα πολλὰ δικαιώματα ἔχων ἡμερότητος, ταπεινοφροσύνης, ἰσονομίας, τί γίνῃ τῶν θηρίων θηριωδέστερος, καὶ διὰ τὸ ἄλογον τῶν λογικῶν

A neque transit ad possessorem. Domum enim laudamus & hortum, pratum, ac vestium pulchritudinem, quæ commendatio est artis eorum, à quibus elaborata sunt illa non virtutis eius, qui sibi illa comparauerit, sed contra planè improbitatis argumentum. Tantum ergo abest vt eiusmodi possessionum conditio gloriam possessoribus vllam concilier, vt eam summopere imminuat. Eos enim, qui in eiusmodi rebus suas ostentant diuitias, tanquam crudeles, inhumanos, sordidos, & à philosophia penitus alienos traducunt omnes: neque enim hominis gloria sunt B ista, vt dixi, sed domus: verum eos qui in castitate, modestia, mansuetudine, clementia, vitam degunt, qui totos Deo se deuouerunt, admiramur, laudamus, prædicamus, quandoquidem hæc præsertim est hominis gloria. His ergo perspectis neminem beatum esse existimate, qui rebus illis abundet, quæ nihil cum illo commune habent: licet quempiam videris in curru sedentem, supercilio sublato se se erigentem, & ipsas nubes attingentem, non quidem reipsa (neque enim fieri potest) sed C mentis arrogantia, vel potius væcordia, ne gloriosum istum, neue sublimem ac magnum arbitreris. Nam sublimem reddunt non muli currum trahentes, sed culmen virtutis, quod ad cælorum sedes nos subuehit: licet aliū videas equo insidentem, multis stipatum lictoribus, ac fastuose per forum incedentem, ne hunc quidem propterea beatum prædices, sed animum eius excute & explica, tumque sententiam de eo ferto, quam forma illius conspecta suggesserit. Ita sunt ridicula quæcunque cernuntur. Cur enim quæso D fastuose per forum incedis? aut cur obuios quosque submoues, & homo cum sis, homines fugas? Eius hic fastus? quænam arrogantia? num enim lupus es factus aut leo, vt, dum in vrbem ingrederis, omnes in fugam vertas? Immo vero lupus quidem lupum nunquā abiget, nec leonem leo, sed inter se congregantur, ac naturæ communionem reuerentur: tu vero cui præter naturam aliæ multæ suppetūt occasiones & causæ mansuetudinis humilitatis, lenitatis, cur feris ipsis ferocior euadis, & propter hoc rationis expers animal ratione præ-

Quæ propria sit hominis gloria.

ditos temnis? Ac dominus quidem tuus A hominem in cœlum euexit: tu vero nec forum cum illo communicas. quid dico in cœlum? in ipso regio solio collocauit, at tu ex vrbe illum eijcis. Quid autem sibi vult aureum frænum, quo equus ornatur? quam vero excusationem, aut quam veniam obtinebis, qui iumentũ, quod nullum istius liberalitatis sensum capit, vltra necessarium vsum exornas: perinde namque aurum est illi ac plumbum; Christum autem cernis fame confectum, neque necessarium illi suppeditas alimentum? Cur B item homo cum sis, cum hominibus misceri dedignaris, sed in mediis vrbibus solitudinem quæris, nec tibi venit in mentem dominum tuum cum publicanis cibum sumpsisse, cum meretrice collocutum, cum latronib⁹ crucifixum, & cum hominibus fuisse commixtum, sed fastu ac superbia efferatus humanam ipsam naturam amittis? Hinc magnus in nobis oritur misericordię cõtemptus, hinc auaritiæ studium, hinc crudelitas, & inhumanitas. Cum enim aureum frænum equo adhibes, cum auream famulo armillam, & au- C reas lapidi bracteas, cum pelles apud te sunt aureæ, vestes aureæ, cingulus aureus, itemque calcei, tantamque tibi huius nequitiæ necessitatẽ imponis, vt insatiabilem cupiditatem explere contendas, & omniũ sæuissimã belluã pascere, auaritiam dico: tum & orphanos spolias, & viduas nudas, & communis omnium hostis incedis, vanoque labore suscepto cursum inis qui nullo bono fine claudetur. Quid enim hoc sibi vult, quòd barbarum seruum tuum torquibus ornas aureis? quod lucrum, quæ vtilitas animæ oritur, quod com- D modum corpori, quis domui reditus? Immo vero planè contrarium, sumptus intempestiuus, alienæ à ratione impensæ, materia luxuriæ, malitiæ documenta, prodigæ ac dissolutæ vitę occasio, animæ corruptela, via, quæ ad innumera mala deducit. Lecti verò argento nexi, auróque fulgentes, scabella & lebetes inde conflati, multúsque risus, quid ad emendationem vitæ conferre possunt; aut quid te iuuerunt vt melior fieres, vel coniugem tuam, vel aliũ quempiã domesticorũ? Nónne hinc

A καταφρονεῖς; καὶ ὁ μὲν δεσπότης σου εἰς οὐρανὸν ἀνήγαγε τὸν ἄνθρωπον, σὺ δὲ οὐδὲ ἀγορᾶς αὐτῷ μεταδίδως; τί δὲ λέγω εἰς οὐρανόν; εἰς θρόνον ἐκάθισε βασιλικόν, σὺ δὲ καὶ τῆς πόλεως ἐξελαύνεις; τί δέ σοι καὶ ὁ χαλινὸς εἰ βούλεται ὁ χρυσοῦς ὁ τὸν ἵππον κατακοσμῶν; ποίας δὲ ἀπολογίας τεύξῃ, ἢ τίνος συγγνώμης, τὸ μὲν ἄλογον καὶ οὐδὲ τῆς φιλοτιμίας αἰσθανόμενον ὑπὲρ τὴν χρείαν καλλωπίζων (ταὐτὸν γὰρ ἐκείνῳ καὶ χρυσός, καὶ μόλιβδος) τὸν δὲ Χριστὸν λιμῷ τηκόμενον ὁρῶν, καὶ οὐδὲ τῆς ἀναγκαίας B ποιῶν ἀπολαύειν τροφῆς; τί δὲ οὐκ ἀνέχῃ, ἄνθρωπος ὤν, ἀνθρώποις ἀναμίγνυσθαι, ἀλλ' ἐρημίαν ἐπιζητεῖς ἐν μέσαις ταῖς πόλεσι, καὶ οὐκ ἐννοεῖς ὅτι καὶ ὁ δεσπότης σου μετὰ τελωνῶν ἤσθιε, καὶ μετὰ πόρνης διελέγετο, καὶ μετὰ λῃστῶν ἐσταυροῦτο, καὶ τοῖς ἀνθρώποις συνανεμίγνυτο· ἀλλὰ τῷ τύφῳ καὶ τῇ ἀπονοίᾳ τυραννούμενος, ἀπολλύεις καὶ τὸ ἄνθρωπος εἶναι; ἐντεῦθεν ἡμῖν ἡ πολλὴ τῆς ἐλεημοσύνης ὑπεροψία, ἐντεῦθεν ὁ τῆς πλεονεξίας ἔρως, ἐντεῦθεν ἡ ὠμότης καὶ ἀπανθρωπία. ὅταν γὰρ καὶ χαλινὸν χρυσοῦν τοῦ C ἵππου περιθῇς, καὶ μανιάκιον χρυσοῦν τοῦ οἰκέτῃ, καὶ πέταλα χρυσᾶ τοῦ λίθου, καὶ δέρματα χρυσᾶ παρά σοι, καὶ ἱμάτια χρυσᾶ, καὶ ζώνη χρυσῆ, καὶ ὑποδήματα, καὶ τοσαύτας τῆς πονηρίας ταύτης σαυτῷ περιθῇς ἀνάγκας, βουλόμενος τὴν ἀκόρεστον ἐπιθυμίαν πληρῶσαι, καὶ τρέφειν τὸ πάντων ὠμότατον θηρίον περιέχειν, τῇ φιλαργυρίᾳ λέγω, τότε καὶ ὀρφανοὺς ἀποδύεις, καὶ χήρας γυμνοῖς, καὶ κοινὸς περιέρχῃ πολέμιος ἅπασι, μάταιόν τινα ἀνελίττων πόνον, καὶ δρόμον οὐδὲν ἔχοντα πέρας χρηστόν. τί γάρ σοι D βούλεται τὸ τὸν οἰκέτην σου τὸν βάρβαρον χρυσοφορεῖν; τί τὸ κέρδος; τίς ἡ ὠφέλεια τῆς ψυχῆς; τίς ὄνησις σώματος; ποία πρόσοδος οἰκίας; τοὐναντίον μὲν ἅπαν, ἄκαιρος δαπάνη, ἀνάλωμα ἀλογίας γέμον, ἀσελγείας ὑπόθεσις, διδασκαλεῖον κακίας, βαναύσου βίου καὶ διαφρέοντος ἀφορμή, φθορὰ ψυχῆς, ὁδὸς ἐπὶ μυρία φέρουσα κακά. αἱ δὲ κλῖναι αἱ ἀργυρένδετοι, αἱ χρυσόπαστοι, καὶ τὰ ὑποπόδια, καὶ οἱ λέβητες οἱ ἐντεῦθεν κατεσκευασμένοι, καὶ ὁ πολὺς γέλως, τί σοι τὸν βίον ὀρθῶσαι δύναται; τί δὲ ἀμείνω σε ἐποίησεν, ἢ τὴν σύνοικον, ἢ ἄλλον τινὰ τῶν κατὰ τὴν οἰκίαν; οὐκ ἐντεῦθεν

λῃσταὶ

λῃσταὶ δὲ τοιχωρύχοι πολλοί; οὐκ ἐντεῦθεν οἰκέται δραπετεύουσιν; ὅταν γὰρ πανταχοῦ βλέποντες, ἄργυρον ἴδωσι στίλβοντα, τρέφεται ἐν αὐτοῖς τὸ νόσημα τῆς κλοπῆς. εἰ γάρ σε τὸν ἐλεύθερον, καὶ ἐπ' εὐγενείᾳ μέγα φρονοῦντα ἄργυρος ἐν ἀγορᾷ λάμπων ἐφέλκεται πρὸς τὴν ἐπιθυμίαν, πολλῷ μᾶλλον τὸν οἰκέτην. καὶ ταῦτα λέγω οὐκ ἀπαλλάττων ἐγκλημάτων τοὺς δραπέτας τῶν οἰκετῶν, καὶ τοὺς τὰ τοιαῦτα κεχειρουργοῦντας, ἀλλὰ παραινῶν ὑμῖν μὴ παραθεῖναι τῶν τοιούτων νοσημάτων αὐτοῖς τὴν τροφήν. ἀλλὰ ποῦ καταθώμεθα αὐτά, φησίν; εἰς γῆν κατορύξωμεν; ἄπαγε. ἀλλ', εἰ βούλει τῆς ἐμῆς ἀνασχέσθαι συμβουλῆς, ἐρῶ σοι τρόπον, δι' οὗ τὸν δραπέτην εὐγνώμονα δυνήσῃ ποιῆσαι. καὶ γὰρ δραπέτης ἐστὶν ὁ πλοῦτος, σήμερον πρὸς τοῦτον, αὔριον πρὸς τὸν ἕτερον μεταπηδῶν· οὐ δραπέτης δὲ μόνον, ἀλλὰ καὶ δραπετοποιός, τοὺς φυλάττοντας αὐτὸν πολλάκις φυγάδας ποιῶν. πῶς ἂν οὖν ὁ δραπέτης οὗτος κατασχεθείη; ἀπ' ἐναντίας τοῖς ἄλλοις δραπέταις. οἱ μὲν γὰρ ἄλλοι τηρούμενοι μένουσιν, οὗτος δὲ τηρούμενος φεύγει, σκορπιζόμενος μένει. εἰ δὲ καινὸν τὸ εἰρημένον εἶναί σοι δοκεῖ, μάνθανε τοῦτο παρὰ τῶν γηπόνων. καὶ γὰρ ἐκεῖνοι τὸν σῖτον ἐὰν μὲν ἐν οἴκῳ κατακλείσαντες χώσωσι, σητὶ καὶ σκώληκι παραδόντες ἀπώλεσαν· ἐὰν δὲ σκορπίσωσιν εἰς τὰς ἀρούρας, οὐ μόνον φυλάττουσιν, ἀλλὰ καὶ πλείονα ἐργάζονται. οὕτω καὶ ὁ πλοῦτος, μένων μὲν ἐν κιβωτίοις, καὶ ὑπὸ θύραις ὢν καὶ μοχλοῖς, καὶ εἰς γῆν κατορυττόμενος, δραπετεύει ταχέως· ἐὰν δὲ αὐτόν, ὡς ὁ γηπόνος τὸν σῖτον εἰς τὴν ἄρουραν, οὕτως εἰς τὰς τῶν πενήτων σκορπίσῃς γαστέρας, οὐ μόνον οὐ δραπετεύει, ἀλλὰ καὶ πλείων ἐκεῖθεν γίνεται. ταῦτα τοίνυν εἰδώς, μὴ παραδῷς αὐτὸν οἰκέτῃ, ἀλλὰ μυρίαις αὐτὸν ποίησον κατέχεσθαι χερσί, ταῖς τῶν χηρῶν, ταῖς τῶν ὀρφανῶν, ταῖς τῶν τὰ σώματα λελωβημένων, ταῖς τῶν τὸ δεσμωτήριον οἰκούντων. οὐ γὰρ ἂν δυνηθείη διαδρᾶναι τοσαύτας λαβάς, ἀλλὰ κατέχεται μετ' ἀσφαλείας, καὶ πλείων γίνεται. καὶ τί καταλείψω τοῖς παιδίοις, φησί; μάλιστα μὲν οὖν οὐ πάντα σοι ἀναγκάζω κενοῦν. εἰ δὲ καὶ πάντα, ταύτῃ μᾶλλον τοὺς παῖδας εὐπορωτέρους

potius fures, ac multi parietum perfossores? nónne inde fugitiui famuli fiunt? Cum enim quocunque oculos suos conuertant, argentum fulgere conspexerint, furacitatis in eis morbus alitur. Nam si te liberum hominem, & qui propter nobilitatem magnificè de te sentis, quod in foro refulget argentum, ad cupiditatem allicit, multo magis famulum. Atque hæc à me non ideo dicuntur, vt fugitiuos seruos crimine liberem, eósque qui talia scelera perpetrent: sed vt vos cohorter ne talium illis morborum alimenta subministretis. At enim, eas opes vbi deponemus? inquiunt. num in terram defodiemus? Absit, sed meis consilijs acquiescere si volueris, modum te docebo, quo fugitiuum hunc seruum probum ac fidelem efficere poteris. Sunt enim planè fugitiuæ diuitiæ, hodierno die transeuntes ad hunc, cras ad illum: neque fugitiuæ sunt tantum, sed alios reddunt etiam fugitiuos, dum efficiunt vt ij quibus custodiendæ commissæ sunt, sæpe fugam arripiant. Quo tandem igitur pacto fieri potest, vt fugitiuus iste teneatur? Contrario penitus modo cæteris fugitiuis. Nam alij quidem dum retinentur manent, hic si detineantur aufugiet: si dispergatur manebit. Quod si forte nouum tibi, quod dico, videatur, hoc ex agricolis disce. Siquidem illi cum inclusum triticum domi defoderint, tineis ac vermibus rodendum illud exponunt ac perdunt; sin autem in arua dispergant, non illud modo conseruant, sed etiam multiplicant: ita quoque diuitiæ dum in arculis manent, & sub ianuis vectibúsque vel in terram defossę confestim aufugiunt: sin autē vt agricolæ triticum in agros, sic in pauperum ventres illas disperseris, non modo non aufugiunt, sed copiosiores inde redduntur. Hæc ergo cum scias ne famulis eas trade, sed innumeris manibus tenendas committe viduarum scilicet, pupillorum, corpore mutilatorum, eorumque qui carcere sunt conclusi. Non enim poterunt tot manibus detentæ diffugere, sed firmiter tenebuntur, & auctiores fient. Sed quid liberis meis derelinquam? inquit. Enimuero non omnia te cogo profundere: quanquam si omnia profundas, hac ratione liberos amplius

ditabis, dum pro pecunia Deum illis propitium, & opes eleemosynæ recte factis, & inter homines adiutores innumeros ac benefactores derelinques. Vt enim raptores, tametsi nulla læsi simus iniuria, odio prosequimur: sic eos qui misereri, & egenis succurrere nouerunt, tametsi nihil ad nos ex illorum liberalitate dimanauit, reueremur & amamus: nec illos tantum, sed illorum etiam liberos. Cogita ergo quantum sit illud ornamentum, vt ab innumeris hominibus filij tui videantur adamari, cum omnes ista verba pronuntient, si in sustentationem egenorũ opes impendantur: Ille benigni hominis, ille misericordis est filius. At tu rem quidem sensu carentem exornas (quippe cum sensus expers sit lapis, quantumuis innumeris eum talentis auri contegas) ei vero, qui sensu præditus est, & enecatur fame, ne necessarium quidem alimentum impertis. Quando igitur tremendum illud tribunal apparuerit, & ignei fluuij, quandò à nobis rerum gestarum rationes exigentur, qua defensione tantam ignauiam tantamque væcordiam & immanitatem tueberis? quam legitimam excusationem afferes? Vt enim aliorum vnusquisque propositum scopum habet, atque rationem, qua suas dirigat actiones, & agricola, si rationem ab illo exigas, dicet, quam ob causam boues iunxerit, sulcum duxerit, aratrum traxerit, & mercator quam ob causam nauem in mare deduxerit, & operarios conduxerit, ac pecunias deposuerit, & architectus & calceorum sutor, & faber ærarius, & pistor & singuli quarumuis artium opifices rationem reddũt & caussam: ita tu quoque dum lectum argento sic operis, dum equum & lapidem deauras, ac pelles eiusmodi conficis, si à te ratio exigatur, quam caussam dices, quem modum? An verò ex eiusmodi lecto dulcior tibi somnus obrepit? ac hoc dicere minimè potes: quin potius si quid præter opinionem dicendum est, etiam iniucundior: maior enim est sollicitudo, & anxietas maior. An verò firmior est propter aurum structura? ne hoc quidem verùm est. an melior equus ob tale ræ num? an vero seruus? planè cõtrariũ hîc quoq. cernitur. Cur igitur tam ineptos in his omnibus vos ostenditis? Omnino

A ποιήσεις, ἀντὶ χρημάτων τὸν Θεὸν αὐτοῖς καταλιμπάνων ἵλεω, τὴν ἀπὸ τῆς ἐλεημοσύνης εὐπορίαν, μυρίους προστάτας, καὶ εὐεργέτας ἐν ἀνθρώποις. ὥσπερ γὰρ τοὺς πλεονέκτας, κἂν μὴ ἀδικηθῶμεν, μισοῦμεν· οὕτω τοὺς ἐλεεῖν εἰδότας, κἂν μὴ αὐτοὶ τῆς φιλοτιμίας ἀπολαύσωμεν, αἰδούμεθα, καὶ ποθοῦμεν, οὐκ ἐκείνους μόνον, ἀλλὰ καὶ τοὺς ἐκείνων παῖδας. ἐννόησον τοίνυν ἡλίκος κόσμος τοὺς παῖδας ὁρωμένους μυρίους ἔχειν ἐραστὰς, καὶ πάντας ταῦτα λέγειν τὰ ῥήματα, εἰ εἰς τὴν τῶν δεομένων διατροφὴν ἀναλίσκοιτο ὁ πλοῦτος, ὁ
B τοῦ φιλανθρώπου, ὁ τοῦ ἐλεήμονος υἱός. ἀλλὰ σὺ τὸν μὲν ἀναίσθητον καλλωπίζεις εἰκῆ καὶ μάτην (ἀναίσθητος γάρ ἐστιν ὁ λίθος, κἂν μυρία τάλαντα αὐτῷ περιθῇς χρυσίου) τὸν δὲ αἰσθανόμενοι καὶ λιμῷ τηκόμενον οὐδὲ τῆς ἀναγκαίας ποιεῖς μεταλαμβάνειν τροφῆς. ὅταν οὖν τὸ φοβερὸν βῆμα φανῇ, καὶ οἱ τοῦ πυρὸς ποταμοὶ, καὶ τῶν πεπραγμένων τὰς εὐθύνας ἀπαιτώμεθα, τί ἐρεῖς ὑπὲρ τῆς τοσαύτης βλακείας, ὑπὲρ τῆς τοσαύτης ἀνοίας, καὶ ὠμότητος καὶ ἀπανθρωπίας; ποίαν πρόφασιν
C εὔλογον; ὥσπερ γὰρ ἑκάστου τῶν ἄλλων σκοπός τίς ἐστι καὶ λόγος, καὶ ὁ γεωργὸς, ἐὰν ἀπαιτήσῃς αὐτὸν εὐθύνας, ἐρεῖ τίνος ἕνεκεν καὶ βόας ἔζευξε, καὶ αὔλακας ἔτεμε, καὶ ἄροτρον εἵλκυσε· καὶ ὁ ἔμπορος, τίνος ἕνεκεν τὸ πλοῖον καθείλκυσε, καὶ ἐργάτας ἐμισθώσατο, καὶ χρήματα ἐναπέθετο· καὶ ὁ οἰκοδόμος, καὶ ὁ ὑποδηματοῤῥάφος, καὶ ὁ χαλκοτύπος, καὶ ὁ ἀρτοποιὸς, καὶ ἕκαστος τῶν ὁντινοσοῦν μετιόντων τέχνην, ἀποδίδωσι τὸν λόγον καὶ τὴν αἰτίαν· οὕτω καὶ σὺ, ὁ τὴν κλίνην τῷ ἀργύρῳ περιβάλλων, ὁ τὸν ἵππον καὶ τὸν
D λίθον χρυσῶν, ὁ τὰ δέρματα τοιαῦτα κατασκευάζων, ἂν ἀπαιτηθῇς εὐθύνας καὶ λόγον, ποίαν ἐρεῖς αἰτίαν; ποῖον τρόπον; ἡδίων ὁ ὕπνος ἐκ τῆς τοιαύτης γίνεται κλίνης; ἀλλ' οὐκ ἂν ἔχοις εἰπεῖν· ἀλλ', εἰ χρή τι καὶ παράδοξον εἰπεῖν, καὶ ἀηδέστερος. φροντὶς γὰρ πλείων, καὶ ἀγωνία μείζων. ἀλλ' ἀσφαλεστέρα ἡ οἰκοδομὴ ἀπὸ τοῦ χρυσοῦ; ἀλλ' οὐδὲ τοῦτο. ἀλλ' ἀμείνων ὁ ἵππος ἀπὸ τοῦ χαλινοῦ; ἀλλ' ὁ οἰκέτης; τοὐναντίον μὲν ἅπαν καὶ ἐνταῦθα. τίνος οὖν ἕνεκα τοσαύτην ἀπειροκαλίαν ἐπιδείκνυσθε διὰ πάντων τούτων; πάντως

ἐρεῖτε, ὅτι δόξαν ὑμῖν λαμπροτέραν κατασκευάζοντες. Εἶτα οὐκ ἤκουσας καὶ ἐν προοιμίῳ τοῦ λόγου, ὅτι ταῦτα οὐκ ἔστιν ἀνθρώπου δόξα, ἀλλὰ τοὐναντίον ἅπαν, ἀτιμία καὶ ὄνειδος, καὶ κατηγορία καὶ γέλως; οὐκ τούτων τίκτεται φθόνος καὶ βασκανία, καὶ τὰ μυρία δεινά. καὶ ὅσῳ μονιμώτερα τὰ κτήματα, τοσούτῳ καὶ ἡ κατηγορία διαρκής, καὶ αἱ μεγάλαι αὗται λαμπραὶ οἰκίαι ἑστήκασι φωνὴν ἀφιεῖσαι, καὶ μετὰ τελευτὴν τῶν κτησαμένων, κατηγόρων πικροτάτων. καὶ τὸ μὲν σῶμα τῇ γῇ παραδίδοται, ἡ δὲ ὄψις τῶν οἰκημάτων οὐκ ἀφίησι συγκαταχωσθῆναι τῇ σαρκὶ τῆς πλεονεξίας τὴν μνήμην· ἀλλ' ἕκαστος παριών, καὶ πρὸς τὸ ὕψος καὶ μέγεθος ἀφορῶν τῆς λαμπρᾶς καὶ μεγάλης οἰκίας, ἢ πρὸς ἑαυτόν, ἢ πρὸς τὸν πλησίον ἐρεῖ, οὐκ πόσων δακρύων αὕτη ᾠκοδομήθη ἡ οἰκία; πόσων ὀρφανῶν γυμνωθέντων; πόσων χηρῶν ἀδικηθεισῶν; πόσων τὸν μισθὸν στερηθέντων; ὥστε τοὐναντίον σοι συμβαίνει. βουλόμενος δόξης ἀπολαῦσαι ἐν τῷ ζῆν, οὐδὲ μετὰ τὸ καταλῦσαι τὸ ζῆν, ἀπαλλάττῃ τῶν κατηγόρων, ἀλλ' ὥσπερ ἐν στήλῃ χαλκῇ τὸ ὄνομά σου περιφέρουσα ἡ οἰκία, καὶ τοὺς οὐδὲ ζῶντά σε ἑωρακότας παρασκευάζει μυρίοις βάλλειν ὀνείδεσιν. ἐπεὶ οὖν οὐδὲ τοῦτο ἔχει τὸ κέρδος ἡ περιττὴ αὕτη φιλοτιμία, φεύγωμεν, ἀγαπητοί, φεύγωμεν τὸ νόσημα, καὶ μὴ γινώμεθα τῶν ἀλόγων θηριωδέστεροι. ἐκείνοις πάντα κοινά, καὶ γῆ, καὶ πηγαί, καὶ νομαί, καὶ ὄρη, καὶ νάπαι, καὶ οὐδὲν θάτερον θατέρου πλέον ἔχει· σὺ δὲ ἄνθρωπος ὤν, τὸ ἡμερώτατον ζῷον, θηρίου γίνῃ χαλεπώτερος, μυρίων πενήτων τροφάς, καὶ πολλάκις μυρίων μιᾷ κατακλείων οἰκίᾳ. καίτοι γε οὐχ ἡ φύσις ἡμῖν μόνη κοινή, ἀλλὰ καὶ ἕτερα πολλῷ τῆς φύσεως πλείονα· οὐρανὸς κοινός, καὶ ἥλιος, καὶ σελήνη, καὶ ὁ τῶν ἀστέρων χορός, καὶ ἀήρ, καὶ θάλασσα, καὶ πῦρ, καὶ ὕδωρ, καὶ γῆ, καὶ ζωή, καὶ τελευτή, καὶ αὔξησις, καὶ γῆρας, καὶ νόσος, καὶ ὑγεία, καὶ χρεία τροφῆς καὶ ἐνδυμάτων· καὶ τὰ πνευματικὰ πάλιν κοινά, καὶ ἡ τράπεζα αὕτη ἡ ἱερά, τὸ σῶμα τὸ δεσποτικόν, τὸ αἷμα τὸ τίμιον, τῆς βασιλείας ἡ ἐπαγγελία, τὸ λουτρὸν τῆς παλιγγενεσίας, ὁ καθαρμὸς τῶν ἁμαρτημάτων, ἡ δικαιοσύνη, ὁ ἁγιασμός, ἡ ἀπολύτρωσις, τὰ ἀπόρρητα ἀγαθά, ἃ ὀφθαλμὸς οὐκ εἶδε,

A dicetis inde vos gloriam vobis illustriorem comparare. Quid? nonne iam inde ab exordio sermonis audiuisti, hæc hominis nõ esse gloriam, sed planè cõtrarium, ignominiã & dedecus, vituperium & risum? ex his liuor & inuidia, & innumera oriuntur mala, quantóq; stabiliores sunt possessiones, tantò magis constans ac perennis est accusatio, atque ingentes istæ ac magnificæ domus stant instar grauissimorum quorũdam accusatorum vocẽ mittentes etiam post obitum possessorum, & corpus quidẽ terræ mandatur, at conspectus ædificiorum B auaritiæ memoriã vna cum corpore sepeliri non patitur: sed prætereuntium vnusquisque dum altitudinem, amplitudinemq; splendidæ ac magnæ domus intuetur, vel secum ipse vel proximum alloquens dicet: Quam multis ex lacrymis domus ista constructa est? quot spoliatis pupillis, quot viduis iniuria affectis, quot operariis mercede priuatis? Itaque tibi contrarium planè cõtingit: cum gloriam cõsequi viuendo cuperes, ne post ipsum quidem vitæ finem ab accusatoribus liber es: sed tanquã in ærea columna tuum nomen domus circum- C ferẽs efficit, vt mille conuiciis proscindaris ab iis, qui te viuentem ne quidem vnquam viderunt. Quando igitur ne hoc quidem lucrum ex ista superflua liberalitate colligitur, fugiamus, dilectissimi, fugiamus hunc morbum, neque feris ipsis ferociores euadamus. Illis communia sunt omnia, terra, fontes, pascua, montes & saltus, nec altera quidquam amplius habet quàm altera: tu verò cum homo sis, mitissimum animal, bellua sæuior euadis, dum D mille pauperum cibos, atque adeò multorum millium vna domo tua concludis. Quanquam non sola nobis est natura communis, sed alia multò plura quam natura: commune cœlum, sol, luna, cœtus astrorum, aër, mare, ignis, aqua, terra, vita, mors, adolescentia, senectus, morbus, sanitas, ciborum ac vestium necessitas. Spiritualia rursus communia sunt hæc, sacra mensa, corpus dominicum, pretiosus sanguis, regni promissio, lauacrum regenerationis, purgatio peccatorum, iustitia, sanctificatio, redemptio, arcana bona, quæ oculus non vidit,

nec auris audiuit, nec in cor hominis ascenderunt. An non igitur absurdum est, qui tot tantisque mutuo communicamus, natura, gratia, promissionibus ac legibus, eos in pecuniis adeò violentos esse ac rapaces, nec eandem iuris æquabilitatem seruare, sed brutorum immanitatem excedere, idque cum non ita multò post ista deserturi simus, neque deserturi tantum, sed & horum causa summum salutis discrimen adituri? Nam mors quidem ab eorum vsu nos abducit, ad pœnas verò deinceps, & ad supplicia æterna deducit. Ne igitur nobis hoc accidat, multam exhibeamus misericordiam: hæc enim est regina virtutum, quæ nobis in futura vita multa cum fiducia succurret, atque à pœna suppliciòque vindicabit, nec vllus ei se opponet, qui cum ipsa cœlum intrauerit. Leues quippe sunt eius alæ, multáque valet apud Deum gratia, atque ad ipsum regium thronum ascendit, ad quem intrepidè suos alumnos introducit: Orationes enim, inquit, tuæ & eleemosynæ ascenderunt in memoriam in conspectu Dei. Vt igitur nos quoque ad illam altitudinem ascendamus, ab intempestiua illa auaritia, inutili luxuria, & ambitione liberati, superflua reddamus vtilia: multas illas opes profundamus, easque iudicis dexteræ committamus, qui & illas custodire tutò poterit, & inde nobis in die iudicij benignus, propiciusq. fiet, licet innumeris nos sceleribus astrinxerimus, indulgentiam nobis ac veniam largietur. quam omnes vtinam consequamur gratia & benignitate domini nostri Iesu Christi, cui gloria, & imperium in secula seculorum, Amen.

Act. 10. 4.

καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη. πῶς οὐκ ἄτοπον τοὺς ἐν τοσούτοις κοινωνοῦντας ἀλλήλοις, καὶ φύσει, καὶ χάριτι, καὶ ἐπαγγελίαις, καὶ νομοθεσίαις, τούτους ἐν τοῖς χρήμασιν οὕτως εἶναι πλεονέκτας, καὶ τὴν αὐτὴν μὴ διατηρεῖν ἰσονομίαν, ἀλλὰ τὴν ἀλόγων παρέρχεσθαι τὴν θηριωδίαν, καὶ ταῦτα, μέλλοντας αὐτῶν μικρὸν ὕστερον ἀφίστασθαι, καὶ οὐκ ἀφίστασθαι μόνον, ἀλλὰ καὶ περὶ τῶν ἐσχάτων, τούτων ἕνεκεν, κινδυνεύειν; ὁ γὰρ θάνατος τῆς μὲν ἀπολαύσεως ἀπάγει, πρὸς δὲ τὰς εὐθύνας ἄγει λοιπὸν, καὶ τὰς ἀθανάτους κολάσεις. ἵν' οὖν μὴ τοῦτο γένηται, πολλῇ χρησώμεθα τῇ ἐλεημοσύνῃ. αὕτη γάρ ἐστιν ἡ βασίλισσα τῶν ἀρετῶν, ἣ καὶ παραστήσεται μετὰ παῤῥησίας ἐκεῖσε, καὶ ἐξαιρήσεται τῆς κολάσεως καὶ τῆς τιμωρίας, καὶ οὐδεὶς ἀντιστήσεται τῷ μετὰ ταύτης εἰς τὸν οὐρανὸν εἰσιόντι. καὶ γὰρ κοῦφον αὐτῆς τὸ πτερὸν, καὶ πολλὴ τῆς παῤῥησίας αὐτῆς ἡ ὑπερβολὴ, καὶ πρὸς αὐτὸν ἀναβαίνει τὸν βασιλικὸν θρόνον, τοὺς αὐτῆς τροφίμους μετ' ἀδείας εἰσάγουσα. αἱ εὐχαὶ γάρ σου, φησι, καὶ αἱ ἐλεημοσύναι ἀνέβησαν εἰς μνημόσυνον ἐνώπιον τοῦ Θεοῦ. ἵν' οὖν μὴ καὶ ἡμεῖς πρὸς τὸ ὕψος ἀναβῶμεν ἐκεῖνο, ἀπαλλαγέντες τῆς ἀκαίρου ταύτης πλεονεξίας καὶ ἀχρήστου τρυφῆς καὶ φιλοτιμίας; τὰ περιττὰ ποιήσωμεν χρήσιμα, τὸν πολὺν ἐκεῖνον προϊέμενοι πλοῦτον, καὶ τῇ δεξιᾷ τοῦ δικαστοῦ τοῦτον ἐγχειρίσαντες, ὃς καὶ φυλάξαι δυνήσεται μετ' ἀκριβείας, καὶ ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως ἐντεῦθεν ἥμερος γενήσεται καὶ ἵλεως· κἂν μυρία ὦμεν πεπλημμεληκότες, μεταδώσει συγγνώμης ἡμῖν καὶ ἀπολογίας· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

A

ΟΜΙΛΙΑ ΡΗΘΕΙΣΑ ΕΙΣ τὴν μεγάλην ἑβδομάδα, ἐν ᾗ διδασκαλία, τίνος χάριν καλεῖται μεγάλη ἑβδομάς, καὶ εἰς τὸ, αἴνει ψυχή μου τὸν κύριον, καὶ εἰς τὸν ἐν ταῖς πράξεσι δεσμοφύλακα.

ΔΙΗΝΥΣΑΜΕΝ τῆς νηστείας τὸν πλοῦν, καὶ πρὸς τὸν λιμένα τῇ τοῦ Θεοῦ χάριτι λοιπὸν κατηντήσαμεν· ἀλλὰ μὴ διὰ τοῦτο ῥαθυμῶμεν, ἐπειδὴ πρὸς τὸν λιμένα κατηντήσαμεν, ἀλλὰ διὰ τοῦτο σπουδάζωμεν μᾶλλον, ἐπειδὴ πρὸς τὸ τέλος ἐφθάσαμεν. οὕτω γὰρ καὶ κυβερνῆται ποιοῦσιν· ἐπειδὰν μυριοφόρον ὁλκάδα πεπληρωμένην τῶν σίτων, καὶ τῶν φορτίων εἰς ὕψος συγκειμένων εἰς στόμα λιμένος εἰσάγειν μέλλωσιν, ἐναγώνιοι καὶ περιδεεῖς εἰσι, μήποτε μετὰ τὰ μακρὰ πελάγη πέτρᾳ τινὶ προσρήξαν τὸ πλοῖον ἐκεῖ τὴν ἐμπορίαν καταδύσῃ πᾶσαν. οὕτω δὴ καὶ ἡμᾶς δεδοικέναι χρὴ καὶ ἐναγωνίους εἶναι, μὴ πρὸς τῷ τέλει τῆς ἀμοιβῆς τῶν πόνων ἐκπέσωμεν. διὸ καὶ ἐπιτεῖναι χρὴ τὴν σπουδήν. οὕτω καὶ οἱ δρομεῖς ποιοῦσιν· ὅταν ἴδωσιν ἑαυτοὺς ἐγγὺς τῶν βραβείων γινομένους, τότε μᾶλλον ἐπιτείνουσι τὸν δρόμον. οὕτω καὶ ἀθληταὶ, μετὰ μυρία παλαίσματα καὶ μυρίας νίκας, ὅταν περὶ τοὺς στεφάνους παλαίωσι, τότε μᾶλλον διαγωνίζονται, καὶ συντείνουσιν αὐτῶν τὴν προθυμίαν. οὕτω δὴ καὶ ἡμεῖς ποιήσωμεν νῦν. ὅπερ γὰρ κυβερνήταις λιμὴν, καὶ δρομεῦσι βραβεῖα, καὶ ἀθληταῖς στέφανοι, τοῦτο ἡμῖν ἡ παροῦσα ἑβδομὰς, τὸ κεφάλαιον τῶν ἀγαθῶν, καὶ τὰ περὶ τοὺς στεφάνους παλαίσματα νῦν. διὸ καὶ μεγάλην καλοῦμεν αὐτήν· οὐκ ἐπειδὴ μεῖζον ἔχουσι μῆκος τῶν ἄλλων ἁπασῶν αἱ ταύτης ἡμέραι (καὶ γὰρ εἰσὶν ἕτεραι μείζους) οὐδ' ἐπειδὴ πλείους τὸν ἀριθμὸν (καὶ γὰρ ἴσαι ταῖς ἄλλαις εἰσὶν) ἀλλ' ἐπειδὴ μεγάλα ἡμῖν γέγονεν ἐν αὐτῇ παρὰ τοῦ δεσπότου κατορθώματα. καὶ γὰρ ἐν ταύτῃ τῇ ἑβδομάδι τῇ μεγάλῃ ἡ χρονία τοῦ διαβόλου κατελύθη τυραννὶς, ὁ θάνατος ἐσβέσθη, ὁ ἰσχυρὸς ἐδέθη, τὰ σκεύη αὐτοῦ διηρπάγη, ἁμαρτία ἀνῃ-

ORATIO HABITA IN MAGNAM HEBDOMADAM, IN qua docetur, cur istud vocabulum huic hebdomadæ sit inditum, vna cum expositione huius dicti, Lauda anima mea Dominum, & de custode carceris in Actis. *Ps. 145. 1.*

Petro Nannio interprete.

B CONFECIMVS ieiunij nauigationem, & ad portũ Dei gratia iam peruenimus: non tamen ideo inertiæ indulgendum, quod ad portum peruenimus, imo ob hoc ipsum cura intendenda est: solent enim gubernatores imprimis esse solliciti, cum portui appropinquant, ne post ingentia transmissa maria, nauem quam omni genere mercium suffarcinatam habent, scopulo impingant, atque ibi iacturam omnium suarum rerum faciant: ita & nos in timore & anxietate esse oportet, ne sub finem decursõ spatio laborũ mercede priuemur. C Quamobrem nunc maior adhibenda diligentia est: faciunt hoc idem cursores quoque, hi enim cum se vident brauiis appropinquare, magis ac magis cursum accelerant: faciunt illud ipsum & athletæ, qui post sexcentas in palæstra luctas, sexcentasque victorias, sub ipsam coronationem acrius insurgunt, ac neruos intendunt. Eodem modo & nos faciamus. Quod enim gubernatoribus est portus, cursoribus brauium, athle- D tis corona, id nobis præsens hebdomada, quæ scopus est bonorum, & iuxta coronas iam lucta versatur. Ideo magnam eam appellamus hebdomadam, non quod illius dies magnitudine exuberent, quippe cum alij longiores sint, aut quod plures numero sint, cum hac in parte nihil ab aliis diebus varient, sed quod hoc tempore egregiæ res gestæ sunt in ea à domino Iesu. In hac enim quæ magna dicitur, diuturna illa diaboli tyrannis dissoluta est, mors extincta est, fortis ille vinctus est, vasa eius direpta sunt, peccatum deletum, execratio abolita est,

Edita primum in lucem Latinè à P. Nânio Alcmariano ex autographo Romano Antuerp. an. 1542.

paradisus reclusus, cœlum in accessum esse desiit, homines Angelis permixti sunt, medius paries maceriæ sublatus est, cancellæ subductæ sunt. Deus ille pacis, cœlestia simul & terrestria pacificauit, ideo magna vocatur hebdomada, & vt ipsa caput est hebdomadarum reliquarum, ita huius hebdomadæ caput sabbatum magnum, quod que est in corpore caput, id est in hebdomada sabbatum: quapropter in ea multi studia intendunt; alij ieiunia maiora faciunt, alij sacras vigilationes, nonnulli eleemosynas largiores exercent: alij bonorum operum studiis, maioréque viuendi pietate, beneficentiæ diuinæ magnitudinem, quasi contestatam faciunt. Quemadmodum enim cum Lazarum excitauerat Iesus, omnes qui in Hierusalem erant illi occurrerunt, multitudinique testificati sunt, mortuum ab eo ad vitam reuocatum, officiositásque ipsa occurrentium quasi assertio miraculi fuit, ita vestra quoque studiosa sedulitas in hac hebdomada magna, quasi testis est, quam magna ipsa, & quam multa bona in ea Christus fecerit. Non enim hodie ex vna ciuitate egredimur occurrentes Christo, neque ex Hierosolymis solum, sed ex vniuerso orbe, innumerabiles vndique ecclesiæ prodeunt, vt occurrant Iesu, non ramis palmarum, vt eos in manibus teneant, ac vibrent, sed cum eleemosyna, humanitate, virtute, ieiunio, precibus, peruigiliis, ac omni denique pietate, vt ea Christo domino offerant. Non nos solum hanc hebdomadam veneramur, sed & imperatores nostri orbis. Neque id leuiter & perfunctorie, sed vacationem ciuitatum magistratibus concedunt, vt liberi iis curis, omnes istos dies in spirituali cultu absumant, ideo & tribunalium ianuas concluserunt, cesset inquiunt, omnis controuersia, & contentionis & pœnæ species, ferientur aliquãtisper carnificum manus, in cõmune ad omnes pertinent bona, quæ Dominus fecit, fiat & aliquid boni à nobis seruis. Neque hoc solum honore eã venerati sunt, sed & alio ne-

Ephes. 2.

Vacatio tempore Paschatis.

A ῥέθη, ἡ κατάρα κατελύθη, ὁ παράδεισος ἀνεῴχθη, ὁ οὐρανὸς βάσιμος γέγονεν· ἄνθρωποι τοῖς ἀγγέλοις ἀνεμίγησαν, τὸ μεσότοιχον τοῦ φραγμοῦ ἤρθη, τὸ θριγκίον περιῃρέθη, ὁ τῆς εἰρήνης Θεὸς εἰρηνοποίησε τὰ ἄνω καὶ τὰ ἐπὶ τῆς γῆς. Διὰ τοῦτο μεγάλη καλεῖται ἑβδομάς. καὶ ὥσπερ αὐτὴ κεφάλαιον τῶν λοιπῶν ἑβδομάδων, οὕτω ταύτης κεφαλὴ τὸ σάββατον τὸ μέγα. καὶ καθάπερ ἐν σώματι κεφαλὴ, οὕτως ἐν τῇ ἑβδομάδι τὸ σάββατον. Διὰ τοῦτο ἐν αὐτῇ πολλοὶ τὴν σπουδὴν ἐπιτείνουσι. καὶ οἱ μὲν τὴν B νηστείαν αὔξουσιν, οἱ δὲ τὰς ἀγρυπνίας τὰς ἱερὰς, οἱ δὲ ἐλεημοσύνην δαψιλεστέραν ἐργάζονται, τῇ περὶ τὰς ἀγαθὰς πράξεις σπουδῇ καὶ τῇ σωτηριώδη περὶ τὸν βίον εὐλαβείᾳ τὸ μέγεθος τῆς εὐεργεσίας τῆς εἰς ἡμᾶς γεγενημένης παρὰ τοῦ Θεοῦ μαρτυροῦντες. καθάπερ γὰρ, ὅτε τὸν Λάζαρον ἀνέστησεν ὁ Κύριος, ἀπήντων αὐτῷ πάντες οἱ ἐν Ἱεροσολύμοις, καὶ τῷ πλήθει ἐμαρτύρουν, ὅτι ἀνέστησε τὸν νεκρὸν (ἡ γὰρ σπουδὴ τῶν ἐξελθόντων, τοῦ θαύματος ἦν ἀπόδειξις) οὕτω δὲ καὶ ἡ νῦν σπουδὴ ἡ περὶ τὴν μεγάλην ἑβδομάδα ταύτην, τοῦ μεγέθους τῶν κατορθωμάτων C τῶν ἐν αὐτῇ τεκμήριον ἐστὶ καὶ ἀπόδειξις. οὐδὲ γὰρ ἐκ μιᾶς πόλεως ἐξερχόμεθα ἀπαντῶντες τῷ Χριστῷ σήμερον· οὐδὲ ἐξ Ἱεροσολύμων μόνον, ἀλλ' ἀπὸ τῆς οἰκουμένης ἁπάσης μυρίανδροι πανταχόθεν ἐκκλησίαι ἐξέρχονται ἀπαντῶσαι τῷ Ἰησοῦ, οὐ βάϊα φοινίκων κατέχουσαι καὶ ἐπισείουσαι, ἀλλ' ἐλεημοσύνην καὶ φιλανθρωπίαν καὶ ἀρετὴν καὶ νηστείας καὶ δάκρυα καὶ εὐχὰς καὶ ἀγρυπνίας καὶ πᾶσαν εὐλάβειαν προσφέρουσαι τῷ δεσπότῃ Χριστῷ. οὐχ ἡμεῖς δὲ μόνοι ταύτην τιμῶμεν τὴν ἑβδομάδα, ἀλλὰ καὶ οἱ βασιλεῖς τῆς D καθ' ἡμᾶς οἰκουμένης, οὐχ ὡς ἔτυχεν, αὐτὴν τετιμήκασιν, ἐκεχειρίαν πᾶσι δόντες τοῖς τὰ κοινὰ τῶν πόλεων πράττουσι πράγματα, ἵνα τῆς ἐκεῖθεν ἀπαλλαγέντες φροντίδος, τὰς ἡμέρας ταύτας ἁπάσας τῇ πνευματικῇ προσσχῶσι θεραπείᾳ. Διὰ τοῦτο καὶ τῶν δικαστηρίων τὰς θύρας ἀπέκλεισαν. ἀργείτω, φησὶ, πᾶσα ἀμφισβήτησις καὶ μάχης εἶδος καὶ τιμωρίας, ἀναπαυσάσθωσαν μικρὸν τῶν δημίων αἱ χεῖρες. κοινὰ τὰ κατορθώματα τοῦ δεσπότου γέγονε· γενέσθω δή τι καὶ παρ' ἡμῶν τῶν δούλων ἀγαθόν. οὐ ταύτῃ δὲ μόνον αὐτὴν τετιμήκασι τῇ σπουδῇ καὶ τιμῇ,

Ἀλλὰ καὶ ἑτέρα οὐκ ἐλάττων ταύτης. βασιλικὰ καταπέμπονται γράμματα λέγοντα, τοὺς τὸ δεσμωτήριον οἰκοῦντας ἀφίεσθαι τῶν δεσμῶν. καθάπερ γὰρ ὁ δεσπότης ἡμῶν ἐν ᾅδου γενόμενος, τοὺς κατεχομένους ὑπὸ τοῦ θανάτου πάντας ἀπέλυσεν· οὕτω δὴ καὶ οἱ δοῦλοι τὰ κατὰ δύναμιν εἰσφέροντες, καὶ τὴν δεσποτικὴν μιμούμενοι φιλανθρωπίαν, δεσμῶν ἀπολύουσι τῶν αἰσθητῶν, ἐπειδὴ τῶν νοητῶν οὐκ ἰσχύουσι. ταύτην καὶ ἡμεῖς τιμῶμεν τὴν ἑβδομάδα, καὶ ἀντὶ φοινίκων ἐξῆλθον κἀγὼ μεθ' ὑμῶν διδασκαλίας λόγον προτεινόμενος, τὰ δύο καταβάλλων λεπτὰ, καθάπερ ἡ χήρα. ἐξῆλθον τότε ἐκεῖνοι βάϊα φοινίκων ἔχοντες, καὶ ἐπεβόων καὶ ἔλεγον· ὡσαννὰ ἐν τοῖς ὑψίστοις, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου· ἐξέλθωμεν καὶ ἡμεῖς, καὶ ἀντὶ τῶν φοινίκων βαΐων προαίρεσιν θάλλουσαν ἐπιδεικνύμενοι βοήσωμεν, καθάπερ σήμερον ὑπεψάλλομεν· αἴνει ἡ ψυχή μου τὸν κύριον, αἰνέσω κύριον ἐν ζωῇ. κἀκεῖνο τὸ ῥῆμα Δαβιδικὸν, καὶ τοῦτο· μᾶλλον δὲ οὐδὲ ἐκεῖνο Δαβιδικὸν, οὐδὲ τοῦτο· ἀλλ' ἀμφότερα τῆς τοῦ πνεύματος χάριτος. ἐφθέγξατο μὲν γὰρ ὁ προφήτης γλῶτταν ὁ παράκλητος. διὰ τοῦτό φησιν, ἡ γλῶσσά μου κάλαμος γραμματέως ὀξυγράφου. καθάπερ ὁ κάλαμος οὐκ ἀφ' ἑαυτοῦ γράφει, ἀλλ' ἀπὸ τῆς ἐξουσίας τῆς κινούσης αὐτὸν χειρὸς, οὕτω δὴ καὶ ἡ γλῶττα τῶν προφητῶν οὐκ ἀφ' ἑαυτῆς ἐφθέγγετο, ἀλλ' ἀπὸ τῆς τοῦ Θεοῦ χάριτος. ἀλλὰ τίνος ἕνεκεν οὐκ εἶπεν, ἡ γλῶσσά μου κάλαμος γραμματέως ἁπλῶς, ἀλλὰ, κάλαμος γραμματέως ὀξυγράφου; ἵνα μάθῃς, ὅτι πνευματικὴ ἡ σοφία. διὸ καὶ πολλὴ ἡ εὐκολία, καὶ πολὺς ὁ δρόμος. ἄνθρωποι μὲν γὰρ ἀφ' ἑαυτῶν φθεγγόμενοι, συντιθέασι, βουλεύονται, βραδύνουσι, πολὺν παρέλκουσι χρόνον. ἐκεῖ δὲ, ἐπειδὴ καθάπερ ἀπὸ πηγῆς ἀνέβλυζε τὰ ῥήματα καὶ οὐδὲν ἐμπόδιον ἦν, ἀλλὰ τὸν δρόμον τῆς γλώττης ἐνίκα τῶν νοημάτων ἡ ἐπιρροὴ, διὰ τοῦτο ἔλεγεν, ἡ γλῶσσά μου κάλαμος γραμματέως ὀξυγράφου. ἀναβλύζει κάτω τὰ νάματα μετὰ πολλῆς δαψιλείας, φησί· διὸ πολλὴ ἡ ὀξύτης. οὐ δεῖ σκέψεως ἡμῖν, οὐδὲ μελέτης καὶ πόνου. ἀλλ' ἴδωμεν τί φησιν. αἴνει ἡ ψυχή μου τὸν κύριον.

A quaquam hoc inferiore. Imperatoriæ literæ emittuntur, quibus edicitur, vt incolæ carceris cathenis exoluantur, vt quemadmodum dominus noster cum apud inferos esset omnes detentos à morte liberauit, ita & serui pro viribus quod possunt conferentes quo imitatores sint misericordiæ dominicæ, eximunt detentos è vinculis sensibilibus, cum spiritualibus nequeant. hanc quoque hebdomadam & nos veneremur, & ego quoque in hoc procursu quem vobiscum facio prætendam non ramos palmarum, sed doctrinam, vt sicuti B vidua illa duo minuta offeram. Egressi sunt id temporis illis cum ramis palmarum, & acclamarunt dicentes, osanna in altissimis, benedictus qui venit in nomine Domini. Egrediamur & nos pro ramis palmarum, voluntatem animi florentem exhibeamus, & clamemus quemadmodum hodie in Psalmis succinuimus: Lauda anima mea dominũ, laudabo dominum in vita mea, quod & ipsum Dauidicum verbum est: imò neque illud superius Dauidicum habendum, nam vtrumque est verbum C gratiæ spiritus. Locutus quidem est propheta, sed motu & concitatione paracleti: atque inde originem trahit quod dicit, lingua mea calamus scribæ velociter scribentis. Quemadmodum enim calamus non suapte opera scribit, sed viribus eius manus, quæ ipsam mouet., ita quoque lingua prophetarum non per se sonuit, sed ex gratia Dei. Verum qua de causa non dixit, lingua mea calamus scribæ, idque simpliciter: sed calamus scribæ velociter scribentis. Vt discas hanc esse spiritualem sapientiam, ideo addita est multa illa fa- D cilitas, & ingens festinatio scribentis. Homines enim cum per se componunt, loquuntur, deliberant, cunctantur, multúmque temporis absumunt, illic vero quandoquidem veluti è fonte scaturiunt verba, nec vllum est impedimentum ipse sententiarum affluxus linguæ cursum exuperat, ac ideo à propheta dicitur, lingua mea calamus scribæ velociter scribentis. Scaturiunt fluenta deorsum versus cum magna copia, atque inde est illa aeris velocitas, quippe vbi nec consideratio, aut labor, aut meditatio requiratur. Cæterum videamus quid illud sit, quod ait, lauda anima mea Dominum.

Luc. 21. 1.

Marc. 11. 9.

Psal. 145. 1.

Psal. 44. 2.

Hæc tum temporis à Dauide dicta sunt: eadem & nos quoque cum Dauide hodie succinamus, qui licet corpore non adsit, spiritu tamen est præsens. Vt autem cognoscas iustos nobis adesse, pariterque nobiscum conuersari, vnámque Psalmos concinere, audi quid dicat Abraham ad diuitem. Dicente autem illo, mitte Lazarum, vt fratres mei edocti eorum, quæ apud inferos fiunt, seipsos emendent: respondit ei, habent Moysen & prophetas. Atqui Moyses & prophetæ iampridem corpore perierant, quos scriptis tamen retinebant. Si enim posita imagine inanimata filij, aut amici eum adesse existimas, licet absit, persuadésq; tibi eum in eo simulachro inanimato quasi præsentē intueri, multò magis picturis literarū sanctorum consuetudine frui licet, in quibus non corporum, sed animarum lineamenta retinemus: ex dictis enim illorum, quasi contemplari licet, quos animos habuerint. Vis cognoscere quod iusti viuunt & adsunt nobis. Nullus mortuos in testes vocat, Christus autem in testes vocauit suæ diuinitatis Moysen & Heliam, & ante illos ipsum Dauid, vt discas eum viuere. Iudæis enim de se ambigentibus dicit. Quid vobis videtur de Christo, cuius filius est? Dicunt ei Dauid. Respondit illis, quomodo igitur Dauid in spiritu dominum eum vocat dicens, Dixit Dominus domino meo, sede à dextris meis? Vides, vt viuat Dauid? nisi enim viueret, testem illum suæ diuinitatis non aduenisset. Neque dixit, Quomodo ergo Dauid in spiritu dominum eum vocauit? sed, dominum eum vocat? hoc autem ille dixit, vt docearis illum adesse, & per scripta sua loqui. Cecinit aliquando Dauid Psalmum, & nos cum eo hodie canamus: ille habuit cytharam neruis inanimitatis intentam, Ecclesia citharam habet animatis neruis intentam: linguæ nostræ nerui rationalis cytharæ sunt diuersos quidem sonos emittentes, sed tamen qui pietatis concentum faciant. Nam & fœminæ, & viri, & senes, & iuuenes distincti sunt & sexu & ætate, non tamen distincti sunt ratione concentus. Vniuscuiusque enim vocem spiritus temperans, vnam ex omnibus conficit melodiam, quemadmodum & ipse significat Dauid, omnem ætatem, vtrun-

Iusti nobis adsunt canentibus.

Matt. 22. 43.

A ταῦτα καὶ ἡμεῖς μετὰ τοῦ Δαβὶδ ψάλλωμεν σήμερον. εἰ γὰρ καὶ μὴ τῷ σώματι πάρεστιν, ἀλλὰ τῷ πνεύματι πάρεστι. καὶ ὅτι πάρεισιν ἡμῖν οἱ δίκαιοι, καὶ μεθ' ἡμῶν ψάλλουσιν, ἄκουσον τί φησιν ὁ Ἀβραὰμ πρὸς τὸν πλούσιον. λέγοντος γὰρ ἐκείνου. πέμψον Λάζαρον, ἵνα οἱ ἀδελφοί μου μαθόντες τὰ ἐν ᾅδου, διορθώσωνται τὰ καθ' ἑαυτούς, λέγει πρὸς αὐτόν· ἔχουσι Μωϋσέα καὶ τοὺς προφήτας. καὶ μὴν Μωϋσῆς καὶ οἱ προφῆται πάντες πάλαι τεθνήκασιν τῷ σώματι, διὰ τῶν γραμμάτων δὲ εἶχον αὐτούς. εἰ γὰρ εἰκόνα τις ἄψυχον ἀναθεὶς παιδὸς ἢ φίλου, νομίζει παρεῖναι ἐκεῖνον τὸν ἀπελθόντα, καὶ διὰ τῆς εἰκόνος B αὐτὸν φαντάζεται τῆς ἀψύχου· πολλῷ μᾶλλον ἡμεῖς διὰ τῶν θείων γραφῶν τῆς τῶν ἁγίων ἀπολαύομεν συνουσίας, οὐχὶ τῶν σωμάτων αὐτῶν, ἀλλὰ τῶν ψυχῶν τὰς εἰκόνας ἔχοντες. τὰ γὰρ παρ' αὐτῶν εἰρημένα, τῶν ψυχῶν αὐτῶν εἰκόνες εἰσί. βούλει μαθεῖν, ὅτι ζῶσιν οἱ δίκαιοι καὶ πάρεισιν; οὐδεὶς τοὺς τεθνεῶτας μάρτυρας καλεῖ· ὁ δὲ Χριστὸς μάρτυρας αὐτοὺς ἐκάλεσε τῆς οἰκείας θεότητος, καὶ πρὸ τούτων αὐτὸν τὸν Δαβὶδ, ἵνα C σε διδάξῃ ὅτι ζῇ. τῶν γὰρ Ἰουδαίων ἀμφισβητούντων περὶ αὐτοῦ, λέγει πρὸς αὐτούς· τί ὑμῖν δοκεῖ περὶ τοῦ Χριστοῦ; τίνος ἐστὶν υἱός; λέγουσιν αὐτῷ, τοῦ Δαβίδ. λέγει αὐτοῖς· πῶς οὖν Δαβὶδ ἐν πνεύματι κύριον αὐτὸν καλεῖ λέγων· εἶπεν ὁ κύριος τῷ κυρίῳ μου, κάθου ἐκ δεξιῶν μου; εἶδες πῶς ζῇ ὁ Δαβίδ; εἰ γὰρ μὴ ἔζη, οὐκ ἂν ἐκάλεσεν αὐτὸν μάρτυρα τῆς θεότητος αὐτοῦ. καὶ οὐκ εἶπε, πῶς οὖν ὁ Δαβὶδ ἐν πνεύματι κύριον αὐτὸν ἐκάλεσεν; ἀλλὰ, κύριον αὐτὸν καλεῖ; ἵνα δείξῃ ὅτι πάρεστιν ἔτι, καὶ διὰ τῶν γραμμάτων φθέγγεται. ἔψαλλέ ποτε ὁ Δαβὶδ ἐν D ψαλμοῖς, καὶ ἡμεῖς μετὰ τοῦ Δαβὶδ σήμερον· ἐκεῖνος κιθάραν εἶχεν ἀπὸ νευρῶν ἀψύχων, ἡ ἐκκλησία κιθάραν ἔχει ἀπὸ νευρῶν ἐμψύχων συντεθειμένην. αἱ γλῶτται ἡμῶν νευραὶ τῆς κιθάρας εἰσὶ, διάφορον μὲν ἀφιεῖσαι τὸν φθόγγον, σύμφωνον δὲ τὴν εὐσέβειαν. καὶ γὰρ καὶ γυναῖκες, καὶ ἄνδρες, καὶ πρεσβῦται καὶ νέοι διῄρηνται μὲν κατὰ τὴν ἡλικίαν, οὐ διῄρηνται δὲ κατὰ τὸν τῆς ὑμνῳδίας λόγον. τὴν γὰρ ἑκάστου φωνὴν τὸ πνεῦμα κεράσαν, μίαν ἐν ἅπασιν ἐργάζεται τὴν μελῳδίαν· καθὼς καὶ αὐτὸς ἐδήλωσεν ὁ Δαβίδ, πᾶσαν μὲν ἡλικίαν, ἑκατέραν δὲ φύσιν πρὸς

τὴν συμφωνίαν ταύτην καλῶς καὶ λέγων, πᾶσα πνοὴ αἰνεσάτω τὸν κύριον. αἴνει ἡ ψυχή μου τὸν κύριον. τίνος ἕνεκεν τὴν σάρκα κατέλιπε; τίνος ἕνεκεν πρὸς τὸ σῶμα οὐδὲν διαλέγεται; ἆρα ἔσχισεν εἰς δύο τὸ ζῶον; οὐδαμῶς· ἀλλὰ τὸν τεχνίτην πρῶτον διεγείρει. ὅτι δὲ οὐκ ἀπέσχισε τὴν σάρκα ἀπὸ τῆς ψυχῆς, ἄκουσον ἀλλαχοῦ πῶς φησιν· ὁ Θεός, ὁ Θεός μου, πρὸς σὲ ὀρθρίζω, ἐδίψησέ σε ἡ ψυχή μου, ποσαπλῶς σοι ἡ σάρξ μου, ἐν γῇ. ἀλλ' ἐν ὕμνοις δεῖξόν μοι καὶ τὴν σάρκα καλουμένην, φησίν. εὐλόγει ἡ ψυχή μου τὸν κύριον, καὶ πάντα τὰ ἐντός μου τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ. εἶδες καὶ τὴν σάρκα κοινωνοῦσαν τῆς συμφωνίας; τί ποτέ ἐστι, καὶ πάντα τὰ ἐντός μου τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ; τὰ νεῦρά φησι, τὰ ὀστᾶ, τὰς φλέβας, τὰς ἀρτηρίας, καὶ πάντα τὰ ἔνδον μέρη. καὶ πῶς δύναται τὰ ἐντὸς ἡμῶν τὸν Θεὸν εὐλογεῖν; φωνὴν οὐκ ἔχει, γλῶτταν οὐκ ἔχει. ἡ μὲν γὰρ ψυχὴ δύναται· τὰ δὲ ἐντὸς πῶς δύναται, μήτε φωνήν, μήτε γλῶτταν, μήτε στόμα ἔχοντα, εὐλογεῖν τὸν Θεόν; ὥσπερ οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ. καθάπερ γὰρ οἱ οὐρανοὶ οὐ γλῶτταν, οὐ χείλη ἔχουσιν, ἀλλὰ τῷ κάλλει τῆς ὄψεως ἐκπλήττοντες τοὺς θεατὰς παραπέμπουσι τῷ θαύματι πρὸς τὴν εὐφημίαν τοῦ πεποιηκότος αὐτούς· οὕτω δὴ καὶ τὰ ἐντὸς ἡμῶν ἐὰν ἐπέλθῃς ἅπαντα τῷ λογισμῷ, ἐὰν ἴδῃς τὴν διαφορὰν τῆς ποιότητος, τῆς ἐνεργείας, τῆς δυνάμεως, τῆς συμφωνίας, τῆς διαπλάσεως, τῆς θέσεως, τοῦ ἀριθμοῦ, τῆς ἁρμονίας, ἐκεῖνο τὸ προφητικὸν ἀναφθέγξῃ ῥῆμα, ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, κύριε· πάντα ἐν σοφίᾳ ἐποίησας. εἶδες πῶς εὐλογεῖ τὰ ἔγκατα τὸν Θεὸν χωρὶς φωνῆς καὶ στόματος καὶ γλώττης; τίνος οὖν ἕνεκεν πρὸς τὴν ψυχὴν διαλέγεται; ἵνα μὴ τῆς γλώττης φθεγγομένης ἐκείνη ῥέμβηται, ὃ πολλάκις καὶ ἐν ταῖς εὐχαῖς πάσχομεν καὶ ἐν ταῖς ὑμνῳδίαις· ἵν' ἑκατέρωθεν ἡ συμφωνία ᾖ. ὅταν γὰρ εὐχόμενος μὴ ἀκούσῃς τῶν ῥημάτων τοῦ Θεοῦ, πῶς ὁ Θεὸς ἀκούσεταί σου τῆς ἐντεύξεως; ὅταν οὖν λέγῃ, αἴνει ἡ ψυχή μου τὸν κύριον, τοῦτο λέγει, ἔνδοθεν ἐκ βάθους τῆς καρδίας ἀναφερέσθωσαν αἱ ἱκετηρίαι. καὶ γὰρ ὁ Παῦλός φησι· ψαλῶ τῷ πνεύματι, ψαλῶ δὲ καὶ τῷ νοΐ μου. μουσικός τις ἄριστός ἐστιν ἡ ψυχή, τεχνίτης ἐστίν· ὄργανόν ἐστι τὸ

A que sexum aduocans ad consonantiam, cum dicit: Omnis spiritus laudet dominum. Lauda anima mea dominum: qua de causa carnem reliquit? cur nulla verba ad corpus facit? nunquid bipartiuit hoc animal? nequaquam, sed prius artificem excitat, quod autem non segregauit carnem ab anima, ausculta quid alibi dicit. Deus, qui es Deus meus, ad te de mane vigilo, sitiuit in te anima mea: quàm multipliciter tibi caro mea: sed in hymnis ostende num & carnem vocarit? Benedic anima mea Dominum, & omnia interiora mea nomē sanctum eius. Vides carnem par-B ticipem symphoniæ? verùm quid illud sibi vult, & omnia interiora mea nomen sanctum eius? De neruis, de ossibus, de venis loquitur, de arteriis, deque omnibus intestinis, quomodo queunt interiora nostra Deum benedicere, vocem non habent, os non habent, linguam non habent, anima quidem potest, viscera autem quomodo possunt, cum nec vocem, nec linguam, nec os habeant, quomodo poterunt intestina nostra Deum benedicere? eodem modo quo cœli enarrant gloriam C Dei. Quemadmodum isti nec linguam habent, nec os, nec labra, sed pulchritudine sui conspectus obstupefacientes contemplatores suos, ipsa admiratione transmittunt ad laudem creatoris. ita quoque interiora nostra, si plenus cogitatione & ratiocinandi sagacitate videris diuersitatem qualitatum, efficacia potentiæ, consonantiæ, configurationis, dispositionis, numeri, harmoniæ, eloqueris illud propheticum verbum: Quàm magnifica sunt opera tua domine, omnia in sapientia fecisti. vide quomodo laudent intestina dominum D absque voce, ore & lingua. Lauda anima mea dominum. Qua de causa animam alloquitur, ne lingua loquente illa oscitet, quod subinde & in precibus patimur & in hymnorum decantationibus: vt vtrinque consonantia fit. cùm enim qui precatur, non audierit sua verba, qui fieri potest vt Deus audiat eum sermonem. Cùm igitur dicit, Lauda anima mea dominum: hoc dicit intus, & ex profundo cordis egerantur ipsæ supplicationes. Nam & Paulus dicit, Psallam spiritu, psallam mente. Musicus est quidam præstantissimus anima, artifex est: organum autem cor-

Ps.150.5
Ps.62.1
Ps.102.1
Ps.18.1
Ps.103.24

1. Cor. 14. 15.

pus, cytharæ, & tibiæ, & lyræ vicem præstans. Alij quidem musici non per omnia tempora sua instrumenta habent, verum nunc ea capiunt, nunc reponunt, non enim perpetuum tempus illis est cantionum. Quapropter neque perpetuo sua instrumeta tractant. Deus autem volens te docere, quod eum semper debeas hymnis & benedictionibus celebrare, coadunit ipsi artifici instrumentum suum, idque perpetuo. Quod autem te oporteat semper laudare, audi quid dicat Apostolus, incessanter orate, vbique gratias agite. quoniam igitur incessanter orate oportet, incessanter est organum cum artifice coniunctum. Lauda anima mea Dominum. Prius vna lingua hæc dixit Dauid, nunc vbi mortuus est, per innumerabiles linguas eadem loquitur, non solum nostris vocabulis, sed totius orbis. Audisti quod non mortuus sit, sed viuat? qui enim mortuus esse possit, qui tot linguas habet, tot oribus loquitur? Magna planè res est laus: expurgat enim nostram animam & multam religionem nobis inserit. Vis cognoscere, quanta sit hymnorum erga Deum vis? hymnos canentes tres pueri Babylonicam fornacem extinxerunt, imò quod magis est, non extinxerunt, sed quod admirabilius erat ardentem flammam, quasi lutum pedibus conculcauerunt. Hymnus iste in carcerē ingressus Pauli vincula resoluit, ianuas carceris aperuit, fundamenta quassauit, magno stupore præfectū carceris exterruit. Media enim nocte Paulus & Silas hymnis orabāt, vt ait scriptura, deinde quid factum est? nouū quiddam & maximè inopinatum: omnes catenæ effusæ sunt, qui vincti fuerant, solutos ligauerunt: atqui vinculorum natura est, ligatum grauiter astringere, alienæque potestatis facere. Nunc autem carceris custos solutus ad pedes Pauli ligati venit, vinculorum quidem natura simpliciter talis est, vt detineat vinctum: vinculorum autem ob Christum tanta vis est, vt solutos ligatis obnoxios faciant. In interiorem carcerem coniecti erant, & cum in penitis locis essent, foris ianuas aperuerunt, pedes eorum firmiter in syphone seruabantur, pedes tamen illi syphonibus inserti aliorum manus dis-

1. Thess. 5. 17.

Quanta sit vis hymnorum Dei.

Act. 16. 25. De custode carceris agit.

A σῶμα, κιθάρας, καὶ αὐλοῦ, καὶ λύρας χώραν ἐπέχον. οἱ μὲν οὖν ἄλλοι μουσικοὶ οὐ διὰ παντὸς μετὰ πάντων τῶν ὀργάνων εἰσὶν, ἀλλὰ ποτὲ μὲν ἀναλαμβάνουσιν αὐτὰ, ποτὲ δὲ ἀποτίθενται. οὐ γὰρ διηνεκὴς ὁ καιρὸς αὐτοῖς τῆς μελῳδίας ἐστί· διόπερ οὐδὲ διηνεκῶς τὰ ὄργανα μεταχειρίζουσι. σὲ δὲ βουλόμενος ὁ Θεὸς διδάξαι ὅτι διὰ παντὸς ὀφείλεις αὐτὸν ὑμνεῖν τε καὶ εὐλογεῖν, ἥνωσε τῷ τεχνίτῃ τὸ ὄργανον διηνεκῶς. ὅτι γὰρ διὰ παντὸς αἰνεῖν δεῖ, ἄκουσον τί φησιν ὁ ἀπόστολος· ἀδιαλείπτως προσεύχεσθε, ἐν παντὶ εὐχαριστεῖτε. ἐπεὶ οὖν ἀδιαλείπτως
B προσεύχεσθαι δεῖ, ἀδιαλείπτως ἐστὶ τὸ ὄργανον μετὰ τοῦ τεχνίτου. αἴνει ἡ ψυχή μου τὸν κύριον. τὸ πρότερον μιᾷ γλώττῃ ἔλεγε ταῦτα ὁ Δαβίδ· νυνὶ δὲ, ἐπειδὴ ἐτελεύτησε, μυρίαις γλώσσαις ταῦτα φθέγγεται, οὐ ταῖς παρ' ἡμῖν μόνον, ἀλλὰ καὶ ταῖς πανταχοῦ τῆς οἰκουμένης. εἶδες ὅτι οὐ τέθνηκεν, ἀλλὰ ζῇ; πῶς γὰρ τέθνηκεν ὁ τοσαύτας ἔχων γλώττας, καὶ διὰ τοσούτων στομάτων φθεγγόμενος; μέγα ἀληθῶς αἶνος. ἐκκαθαίρει γὰρ τὴν ἡμετέραν ψυχὴν, καὶ πολλὴν ἡμῖν ἐντίθησι τὴν εὐλάβειαν. βούλει μα-
C θεῖν, πόση τῶν εἰς Θεὸν ὕμνων ἡ δύναμις; ὑμνοῦντες οἱ τρεῖς παῖδες οὕτω τὴν κάμινον ἔσβεσαν τὴν Βαβυλωνίαν· μᾶλλον δὲ οὐκ ἔσβεσαν, ἀλλ' ὃ πολλῷ θαυμαστότερον ἦν, καιομένην τὴν φλόγα, ὥσπερ πηλὸν, κατεπάτησαν τοῖς ποσίν. οὗτος ὁ ὕμνος εἰς δεσμωτήριον εἰσελθὼν ἐπὶ τοῦ Παύλου τὰ δεσμὰ ἔλυσε, τὰς θύρας ἀνέῳξε τοῦ δεσμωτηρίου, τὰ θεμέλια διέσεισε, καταπλήξει πολλῇ τὸν δεσμοφύλακα ἐφόβησε. κατὰ γὰρ τὸ μεσονύκτιον ὕμνουν, φησὶν, ὁ Παῦλος καὶ ὁ Σίλας. εἶτα τί γέγονε; τί; τὸ καινὸν
D καὶ παράδοξον πάντων· τὰ δεσμὰ ἐλύθη, οἱ δεδεμένοι τοὺς λελυμένους ἔδησαν. καὶ μὴν δεσμῶν φύσις ἐστὶ, τὸ δεδεμένον ἐν ἀκριβείᾳ πολλῇ κατέχειν καὶ ὑποχείριον ποιεῖν. νυνὶ δὲ ὁ δεσμοφύλαξ λελυμένος πρὸς τοὺς πόδας ἦλθε τοῦ δεδεμένου Παύλου. δεσμῶν μὲν γὰρ τῶν αἰσθητῶν φύσις ἐστὶ κατέχειν τὸν δεδεμένον· δεσμῶν δὲ τῶν διὰ Χριστὸν τοσαύτη ἡ δύναμις, ὥστε τοὺς λελυμένους τοῖς δεδεμένοις ὑποχειρίους ποιεῖν. εἰς τὴν ἐσωτέραν αὐτοὺς ἔβαλε φυλακὴν, καὶ ἔνδον ὄντες τὰς ἔξω θύρας ἀνέῳξαν. τοὺς πόδας αὐτῶν ἠσφαλίσατο τῷ ξύλῳ, καὶ οἱ πόδες αὐτοὶ οἱ ἠσφαλισμένοι τὰς ἄλλων

τὰς χεῖρας ἔλυσεν. εἶτα προσέπεσεν αὐτῷ, φησὶν, ὁ δεσμοφύλαξ, δεδοικὼς, τρέμων, στένων, ἀγωνιῶν, δακρύων. τί ποτε γέγονεν; οὐ σὺ ἐν ἀσφαλείᾳ κατεῖχες; καὶ τί θαυμάζεις, ἄνθρωπε, εἰ τὸ δεσμωτήριον ἀνέῳξεν, ὅπου γε καὶ τοὺς οὐρανοὺς ἀνοίγειν ἔλαβεν ἐξουσίαν. ὅσα ἂν δήσητε, φησὶν, ἐπὶ τῆς γῆς, ἔσται δεδεμένα ἐν τοῖς οὐρανοῖς· καὶ ὅσα ἂν λύσητε ἐπὶ τῆς γῆς, ἔσται λελυμένα ἐν τοῖς οὐρανοῖς. ἁμαρτημάτων ἔλυσε δεσμά· τί θαυμάζεις, εἰ σιδήρου λύει δεσμά; δαιμόνων ἔλυσε δεσμὰ, ψυχὰς δεδεμένας ὑπ' αὐτοῖς ἀπήλλαξε· καὶ τί θαυμάζεις, εἰ τὰς τῶν δεσμωτῶν ἁλύσεις ἀνῆκε; καὶ ὅρα διπλοῦν τὸ θαῦμα. ἔλυσε πάλιν, καὶ ἔδησεν. ἔλυσε μὲν γὰρ τὰ δεσμὰ, ἔδησε δὲ αὐτῶν τὴν καρδίαν. ὅτι γὰρ λελυμένοι ἦσαν, οὐκ ᾔδεσαν. ἀνέῳξε καὶ ἔκλεισεν· ἀνέῳξε μὲν γὰρ τὰς τοῦ δεσμωτηρίου θύρας, ἔκλεισε δὲ τοὺς ὀφθαλμοὺς τῆς καρδίας δεσμωτῶν, ὥστε μὴ αἰσθάνεσθαι τῶν θυρῶν ἐκείνων ἀνεῳγμένων, ἵνα μὴ καὶ τῇ ἀδείᾳ ἀποχρησάμενοι εἰς φυγὴν ἀποπηδήσωσιν. εἶδες καὶ δεσμοῦντα καὶ λύοντα, καὶ ἀνοίγοντα καὶ κλείοντα; διὰ τοῦτο ἐν νυκτὶ ταῦτα ἐγένετο, ἵνα ἀθορύβως τὸ πρᾶγμα γένηται καὶ χωρὶς ταραχῆς πάσης. οὐδὲν γὰρ πρὸς ἐπίδειξιν, οὐδὲ φιλοτιμίαν ἐποίουν οἱ ἀπόστολοι. προσέπεσεν αὐτῷ ὁ ἀρχιδεσμοφύλαξ. τί οὖν ὁ Παῦλος; εἶδες αὐτοῦ τὸ θαῦμα; εἶδες αὐτοῦ τὰ παράδοξα ἔργα; θέασαι αὐτοῦ καὶ τὴν κηδεμονίαν, θέασαι αὐτοῦ τὴν φιλανθρωπίαν. ἀνεβόησε, φησὶ, καὶ εἶπε, μηδὲν ποιήσῃς σεαυτῷ κακόν. ἅπαντες γάρ ἐσμεν ἐνθάδε. τὸν δήσαντα πικρῶς οὐκ ἀφῆκεν ἀποθανεῖν πικρῶς, οὐκ ἐμνησικάκησε. πάντες γὰρ ἐσμὲν ἐνθάδε, φησίν. ὅρα τὸ ἄτυφον. οὐκ εἶπε, ταῦτα τὰ παράδοξα ἐγὼ ἐποίησα, ἀλλὰ τί; πάντες γάρ ἐσμεν ἐνθάδε. μετὰ τῶν δεσμωτῶν ἑαυτὸν ἠρίθμησεν ὁ Παῦλος. ἰδὼν δὲ ἐκεῖνος ἐθαύμασε τὸ γεγονὸς, ἐξεπλάγη ἐπὶ τῷ θαύματι, ηὐχαρίστησε τῷ Θεῷ. ἄξιος ὄντως πολλῆς κηδεμονίας καὶ φιλανθρωπίας ὁ δεσμοφύλαξ. οὐκ ἐνόμισεν εἶναι γοητείαν τὰ γεγενημένα. τίνος οὖν ἕνεκα οὐκ ἐνόμισεν εἶναι γοητείας τὰ γινόμενα; ἤκουσεν αὐτῶν ὑμνούντων τὸν Θεόν· γόης δὲ οὐδέποτε ὑμνεῖ τὸν Θεόν. πολλοὺς γόητας ἐδέξατο, ἐπεὶ δεσμοφύλαξ ἦν· ἀλλ' οὐδέποτε ἐκείνων οὐδεὶς τοιοῦτον ἐπεδείξατο ἔργον, οὐκ ἔλυσε δεσμὰ, οὐκ ἐπεδείξατο κηδεμονίαν

A soluerunt. Verum unde id fit, vt ad genua Pauli te aduoluas carcerarie pauidus, tremens, gemens, anxius, lachrymans. Quid an non ligaueras? an non in tutissimo loco cum recluseras, an non idem iste quem vinclis astrinxeras? cæterum quid miraris, si carcerem aperuit, qui aperiendorum cœlorum potestatem acceperat? quæcunque enim in terra ligaueritis, erunt & ligata in cœlis, & quæcunque solueritis in terra, erunt & soluta in cœlis. Peccatorum vincula resoluit, quid mirare, si ferrea vincula ab eodem soluantur? B Dæmonum catenas reclusit, animásque inde liberas dimisit. Quid miraris, si incarceratorum vincla laxet? ecce tibi duplex miraculum soluit, & ligat: quos enim catenis expediuit, horum corda obligauit. Quot autem soluti erant, ignorabant. Aperuit, & clausit: aperuit quidem carceris ianuas, clausit autem oculos cordis vinctorum: adeo vt non senserint ianuas patere, ne libertate abutentes fugam prosilirent. Vides & ligantem & soluentem, & aperientem & claudentem. Ideo in C nocte ista perpetrata sunt, ne in tumultum res exiret, aut perturbatio concitarentur. Nihil enim ad ostentationem, nihil ad ambitionem faciebant Apostoli. Aduoluit se ad genua carceris custos, quid hic Paulus? vidisti miraculum? vidisti illius incredibilia opera? contemplare nunc eiusdem solicitudinem, contemplare humanitatem, exclamauit & dixit: Nihil tibi facias mali, omnes enim hîc sumus, acerbum illum colligatorem, non permisit acerbè mori. Immemor fuit iniuriarum, omnes hîc sumus, inquit. Vide, quàm sit D à fastu alienus: non dixit: ego ista feci miracula, nec dixit, ego ista admiranda perpetraui, sed, omnes enim hîc sumus: cum reliquis vinctis seipsum adnumerat Paulus. Ille illud videns admiratione & stupore plenus Deo gratias egit, dignus profectò, qui apostolo tantæ curæ esset, & cui tanta misericordia impenderetur, non præstigias suspicatus est, audiuit eos hymnos Deo canentes, præstigiator autem nunquam Deum hymnis celebrat. multos præstigiatores susceperat, erat enim præfectus custodiæ publicæ: cæterum nullus eorũ vincula dissoluit, aut tantã

Matth. 18. 18.

ipsius curam habuit. Paulus enim vinciri optauit, neque fugit, vt cum à morte liberaret, irruit cum gladio, facem gestans, studebat Diabolus vt ei consciscenda nece pœnitentiam præriperet, sed diaboli consilium celeri & salutari voce anteuertit Paulus. Non enim simpliciter clamauit, sed cum ingenti voce dixit. Omnes hîc sumus. Admiratus est illius solicitudinem carcerarius, accedit ad pedes vincti solutus, age audiamus quid dicat: Domini quid me oportet facere, vt saluus fiam? Tu vinxisti, tu inopia consilij animi pendes? tu communiisti syphone, & tu quæris modum potentiæ & salutis? en feruorem, en studium carcerarij, non procrastinationes quæsiuit, sed cum solutus à metu esset, non oblitus est beneficij accepti, sed statim ad salutem animæ accelerat. Nox erat atque adeo intempesta nox, & non dixit, deliberemus, dispiciamus, dies fiat, sed statim ad initiationem sacrorum perrexit, hoc secum loquens, Maximus est hic Paulus, & mortalium naturam transcendit. vidi illius potentiam & admiror illius humanitatem, post mille à me acceptas iniurias, in extremis suis casibus colligatorem suum in ipsius manum adductum, cum possit occidere, non solum non occidit, sed meditantem sibi mortem, ac iamiam gladium iugulo immergentem, ab exitio destinato reuocauit, merito ergo dicit, Domini quid oportet me facere, vt saluus fiam? non enim solum miracula, sed vita Apostolorum miracula præcedens, ad fidem trahebat, ac inde est quod dicit, sic luceat lux vestra coram hominibus, vt videant bona opera vestra, & glorificent patrem vestrum qui in cœlis est. Vidisti feruorem carcerarij, vide nunc & feruorem Pauli, non distulit, non neglexit, sed cum in vinculis esset, in catasta esset, in plagis esset, statim eum cum vniuersa domo mysteriis imbuit, & post spirituale lauacrum, post mensam spiritualem, apposuit illi & carnalem. Cæterum qua de causa concussus fuit carcer? expergefacere carcerarium voluit ad rerum spectationem, resoluit sensibilia vincula ligatorum, vt solueret spiritualia vincla carcerarij. His contrariam quandam viam sequutus est Christus. Accessit ad eum para-

Act. 16. 30 · *Matth. 5. 16.*

A τοιαύτην. καὶ γὰρ εἵλετο δεδέσθαι ὁ Παῦλος καὶ μὴ φυγεῖν, ὥστε ἐκεῖνον ἀπαλλάξαι τῆς τελευτῆς· εἰσεπήδησε γὰρ ξίφος ἔχων ἐν ταῖς χερσὶ καὶ λαμπάδα. καὶ γὰρ ἐβούλετο ὁ διάβολος διὰ τῆς σφαγῆς προεξαρπάσαι αὐτὸν τῆς μετανοίας, ἀλλ' εὐτονωτέρᾳ φωνῇ τὴν σωτηρίαν αὐτοῦ τῆς ψυχῆς ὀξύτερον ἐκέρδανεν ὁ Παῦλος. οὐ γὰρ ἁπλῶς ἐβόησεν, ἀλλὰ μεγάλῃ φωνῇ, λέγων· πάντες ἐσμὲν ἐνταῦθα. ἐθαύμασε τὴν κηδεμονίαν ὁ δεσμοφύλαξ, προσέπεσε τῷ δεδεμένῳ ὁ λελυμένος, καὶ τί φησι; κύριοι, τί με δεῖ ποιεῖν, ἵνα σωθῶ; σὺ ἔδησας, καὶ σὺ ἐν ἀπορίᾳ εἶ; σὺ ἠσφαλίσω τῷ ξύλῳ, καὶ σὺ ζητεῖς τρόπον μετανοίας καὶ σωτηρίας; εἶδες θερμότητα; εἶδες σπουδήν; οὐκ ἀνεβάλετο, ἀλλ' ἐπειδὴ ἀπελύθη τοῦ φόβου, οὐκ ἀπελύθη τῆς εὐεργεσίας, ἀλλὰ εὐθέως ἐπὶ τὴν σωτηρίαν τῆς ψυχῆς ὁρμᾷ τῆς ἑαυτοῦ. νὺξ ἦν, καὶ μέση νύξ. οὐκ εἶπε, σκεψώμεθα, ἡμέρα γενέσθω· ἀλλ' εὐθέως ἐπὶ τὴν σωτηρίαν ἔδραμε. μέγας τίς ἐστιν οὗτος ὁ ἀνήρ, φησιν· ὑπερβαίνει τὴν φύσιν τὴν ἀνθρωπίνην. εἶδον αὐτοῦ τὸ θαῦμα, ἐθαύμασα τὴν φιλανθρωπίαν. μυρία κακὰ ὑπ' ἐμοῦ παθών, ἐν τοῖς ἐσχάτοις ὢν ἐμὲ τὸν δήσαντα εἰς χεῖρας λαβών, δυνάμενος διαχειρίσασθαι, οὐ μόνον οὐδὲν ἐποίησεν, ἀλλὰ καὶ μέλλοντα σφάττειν ἑαυτὸν καὶ τὸ ξίφος ὠθεῖν διὰ τοῦ λαιμοῦ, ἐκώλυσεν. εἰκότως φησί, κύριοι, τί με δεῖ ποιεῖν ἵνα σωθῶ. οὐ γὰρ δὴ τὰ θαύματα μόνον ἐπὶ τῶν ἀποστόλων ἐπεσπάσατο τοὺς πιστεύοντας, ἀλλὰ πρὸ τῶν θαυμάτων ὁ βίος. διὰ τοῦτό φησι, λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσι τὰ καλὰ ἔργα ὑμῶν, καὶ δοξάσωσι τὸν πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς; εἶδες θερμότητα τοῦ δεσμοφύλακος· βλέπε καὶ τοῦ Παύλου θερμότητα. οὐκ ἀνεβάλλετο, οὐχ ὑπερέθετο· ἀλλ' ἐν τοῖς δεσμοῖς ὤν, ἐν τῷ ξύλῳ ὤν, ἐν ταῖς πληγαῖς, εὐθέως αὐτὸν ἐμυσταγώγησε, καὶ μετ' ἐκείνου τὴν οἰκίαν ἅπασαν καὶ μετὰ τὸ πνευματικὸν λουτρὸν καὶ μετὰ τὴν τράπεζαν τὴν πνευματικήν, παρέθηκεν αὐτῷ καὶ τὴν σαρκικήν. ἀλλὰ τίνος ἕνεκεν ἐσείσθη τὸ δεσμωτήριον; διεγεῖραι τὸν δεσμοφύλακα ἐβούλετο πρὸς τὴν θέαν τῶν γινομένων· ἔλυσε τὰ αἰσθητὰ δεσμὰ τῶν συνδεσμωτῶν, ἵνα λύσῃ τὰ νοητὰ δεσμὰ τοῦ δεσμοφύλακος. ἀπεναντίας τούτων ἐποίησεν ὁ Χριστός. προσῆλθεν αὐτῷ παραλελυμένος

λυόμενος ἄνθρωπος διπλῆν τινα πάρεσιν ἔχων, τὴν μὲν ἀπὸ τῶν ἁμαρτημάτων, τὴν δὲ ἀπὸ τοῦ σώματος. πρότερον τὴν ἀπὸ τῶν ἁμαρτημάτων πάρεσιν ἔλυσεν, οὕτως εἰπών· τέκνον, ἀφέωνταί σου αἱ ἁμαρτίαι. εἶτα ἐπειδὴ ἀμφέβαλλον ἐκεῖνοι καὶ ἐβλασφήμουν καὶ ἔλεγον, οὐδεὶς δύναται ἀφιέναι ἁμαρτίας, εἰ μὴ μόνος ὁ Θεός, βουλόμενος αὐτοῖς δεῖξαι ὅτι Θεός ἐστιν ἀληθῶς, βουλόμενος αὐτοὺς κρῖναι ἐκ τοῦ στόματος αὐτῶν, ἵνα μέλλη λέγειν, ἐκ τοῦ στόματός σου κρινῶ σε· σὺ εἶπας, ὅτι οὐδεὶς δύναται ἀφιέναι ἁμαρτίας, εἰ μὴ μόνος ὁ Θεός, ἰδοὺ ἀφίημι, φησιν, ἁμαρτίας, καὶ ὁμολόγησόν μου τὴν θεότητα. ἀπὸ τῆς σῆς κρίσεως ἐκφέρω τὴν ψῆφον. ἀλλ' ἐκεῖ μὲν προτέρα ἡ νοητή, ὑστέρα δὲ ἡ αἰσθητή· ἐνταῦθα δὲ τὸ ἐναντίον, πρότερον τὰ αἰσθητὰ δεσμά, καὶ τότε τὰ νοητὰ διῄρητο. εἶδες πόση τῶν ὕμνων ἡ δύναμις; πόσον ἰσχύει αἶνος; πόσον ἰσχύει εὐχή; ἀεὶ μὲν οὖν μεγάλη τῆς εὐχῆς ἡ δύναμις· ὅταν δὲ μετὰ νηστείας ᾖ εὐχή, δυνατωτέραν ποιεῖ τὴν ψυχήν. νοῦν σωφρονέστερον λογισμῶν, πολὺ ἡμῶν πολλὴ νοῦν διεγείρεται διάνοια, καὶ τὰ ἄνω περιβλέπει πάντα ἡ ψυχή. διὰ τοῦτο ἀεὶ τῇ νηστείᾳ τὴν προσευχὴν συνέζευξεν ἡ γραφή. πῶς καὶ πότε; μὴ ἀποστερεῖτε ἀλλήλους, φησίν, εἰ μή τι ἂν ἐκ συμφώνου, ἵνα σχολάζητε τῇ νηστείᾳ καὶ τῇ προσευχῇ. καὶ πάλιν ἀλλαχοῦ, τὸ γένος τοῦτο οὐκ ἐξέρχεται, εἰ μὴ ἐν προσευχῇ καὶ νηστείᾳ. πάλιν δὲ ἀλλαχοῦ, προσευξάμενοι, φησι, καὶ νηστεύσαντες ἐπέθηκαν αὐτοῖς τὰς χεῖρας. ὁρᾷς πανταχοῦ μετὰ τῆς νηστείας τὴν προσευχήν; τότε γὰρ καὶ τερπνοτέρα καὶ δοκιμωτέρα ἀπὸ τῆς λύρας ἀναπέμπεται μελῳδία. οὐκ εἰσὶ διάβροχοι αἱ νευραὶ τῇ πλεονεξίᾳ τῆς μέθης διαλυθεῖσαι, ἀλλ' εὔτονος ὁ λογισμός, διεγηγερμένος ὁ νοῦς, νήφουσα ἡ ψυχή. οὕτω προσιέναι τῷ Θεῷ καὶ διαλέγεσθαι χρὴ μόνον πρὸς μόνον. εἰ γὰρ πρὸς φίλους ἔχοντές τι τῶν ἀναγκαίων εἰπεῖν, κατὰ μόνας αὐτοὺς λαμβάνοντες, οὕτω διαλεγόμεθα, πολλῷ μᾶλλον ἐπὶ τοῦ Θεοῦ τοῦτο ποιεῖν χρή, εἰσελθόντας εἰς τὸ ταμιεῖον μεθ' ἡσυχίας πολλῆς, καὶ πάντως ἐπιτευξόμεθα πάντων, ἂν συμφερόντως τὴν αἴτησιν ποιησώμεθα. καὶ γὰρ μέγα ἀγαθὸν εὐχή, ὅταν μετὰ διανοίας εὐχαρίστου γίνηται καὶ νηφούσης. πῶς δὲ καὶ εὐχάριστος ἔσται; ἂν παιδεύσωμεν ἑαυτούς, μὴ μόνον λαμβάνοντας

A duplici correptus paralysi, vna quidem à peccatis, altera vero à corporis infirmitate. Ac prius quidem peccatorum paralysin sustulit, hæc dicens, fili dimittuntur tibi peccata. Deinde quoniam dubitabant illi, & blasphemabant, aiebantque. Nemo potest dimittere peccata nisi solus Deus: cum vellet illis demonstrare se verè Deum esse, atque eos ex ipsorum ore iudicare, vt postea dicturus sit, Ex ore tuo te iudico: Tu dixisti neminem posse dimittere peccata nisi solum Deum, ecce dimitto peccata: Tum tu ergo meam diuinitatem confi- B tere: Ex tuis calculis tabellisque sententiam fero. Verum illic quidem prior spiritalis, posterior vero sensilis & corporea: Hic vero contra prius sensilia & corporea vincula, ac demum spiritalia sunt soluta. Vidisti quanta sit hymnorum vis? quid valeat laus? quid possit precatio? semper quidem magna vis precationis, ieiunio tamen addita reddit animam vegetiorem, inde enim puritas, nunc multa cogitationum & animi vigilantia, adeo, vt mens, nihil nisi cœleste contempletur. Hinc est quod semper ieiunio oratio comes ad- C ditur in sacris scripturis: quid ais? vbi, & quando id scriptura dicit. Ne fraudetis inuicem, ait, nisi vt ex consensu, vt ieiunio & precibus vacetis, & rursus alibi, Hoc genus non eijcitur, nisi in oratione & ieiunio. & rursus alibi, orationibus & ieiuniis habitis, imposuerunt illis manus, vides vbique cum ieiunio precationem coniunctam? tunc enim delectabilior & probatior è lyra effunditur cantus, cum non sunt vuidi nerui, & abundantia ebrietatis dissoluti, sed potius intenta est ratio, erecta mens, vigil anima. Ita D Deum adire, & cum eo colloquium habere decet, solum cum solo, si enim aliquid necessarium habemus, quod amicis indicetur, seorsum illos conuenimus & alloquimur, multò magis erga Deum hoc ipsum fieri oportet, quamobrem si in interiori cubiculo cum multo silentio preces fundamus, omnia omnino assequemur, si vtilia petamus. Ingens enim bonum precatio, quando è mente grata & vigilante proficiscitur, rectè, sed quomodo fiet, vt mens grata habeatur? si ita instituti fuerimus, vt non in adeptione,

1. Cor. 7. 5

Matth. 17. 21.
Act. 13. 3.

sed in repulsa quoque Deo gratias agimus. Nam tametsi Deus nunc petita concedat, nunc neget, vtrumque tamen vtiliter facit, adeo vt in non accipiendo accipias: & ex ipsa frustratione lucreris; est enim vtilius aliquando voto destitui quam potiri. Nam si persæpe nobis non esset vtile, vt non acciperemus, omnino semper daret: verum vtiliter voto destitui, est voto potiri, atque ideo nonnunquam petita differt, non vt nos inani spe lactet, sed vt nos assiduos magis & acriores precatores faciat: fit enim non raro, vt votis potiti precandi sedulitatem omittamus: volens ergo intendere precum nostrarum vigilantiam, donandi officium comperendinat. Itidem quoque & pij patres faciunt, qui segnes pueros suos, lusibus quos illa ætas amat deditos, magnis pollicitationibus apud se detinent, & nunc promissa è vestigio donant, nunc procrastinationes faciunt. Nonnunquam enim noxia petimus: Deus autem, cui plusquam nobis nostra vtilitas perspecta est, difficilem se reddit nostris precibus, quod tamen ex re nostra est, etiam insciis nobis instituit atque procurat: neque mirum videri debet si nos non exaudimur, cum id Paulo acciderit. Ille enim sæpe precationibus factis sæpe frustratus est, atque adeo non doluit, vt & gratias egerit. Super hoc inquit, ter dominum rogaui, ter autem idem est quod sæpe. Si Paulus cum frequens in orationibus fuisset, non impetrauit, multò magis par est nos in frequentia precum perseuerare. Age, videamus iam quo affectu fuerit, post tot frustrationes. Non solum non doluit, sed & gloriatus est de suis repulsis. Dicit enim ad hunc modum, super hoc ter Dominum rogaui, & dixit mihi, sufficit tibi gratia mea: nam fortitudo mea in infirmitate perficitur: subintulit deinde, libentissime igitur gloriabor in infirmitatibus meis. En gratitudinem serui petentis frustra ab infirmitate liberari, atque tantum hic abest à dolore vt etiam glorietur. Eodem quoque modo nostros animos affectos habeamus, siue petita obtineamus, siue frustremur, vtráque in parte gratias agamus,

2. Cor. 12.

ἀλλὰ καὶ ἀποτυγχάνοντες εὐχαριστεῖν τῷ Θεῷ. καὶ γὰρ ποτὲ μὲν δίδωσιν ὁ Θεός, ποτὲ δὲ οὐ δίδωσιν· ἀμφότερα δὲ χρησίμως ποιεῖ. ὥστε, κἂν λάβῃς, κἂν μὴ λάβῃς, ἔλαβες ἐν τῷ μὴ λαβεῖν. κἂν ἐπιτύχῃς, κἂν μὴ ἐπιτύχῃς, ἐπέτυχες ἐν τῷ μὴ ἐπιτυχεῖν. ἔστι γὰρ ὅτε τὸ μὴ λαβεῖν ὅπερ αἰτοῦμεν, τοῦ λαβεῖν λυσιτελέστερον γίνεται. εἰ γὰρ μὴ συμφέρον ἡμῖν πολλάκις ἦν τὸ μὴ λαβεῖν, πάντως ἂν ἔδωκεν ἀεί. τὸ δὲ συμφερόντως ἀποτυχεῖν, ἐπιτυχεῖν ἐστι. διὰ τοῦτο καὶ ἀναβάλλεται τὴν αἴτησιν ἡμῶν πολλάκις, οὐ βουλόμενος ἡμᾶς παρελκῦσαι, ἀλλὰ τῇ μελλήσει τῆς δόσεως τὴν διηνεκῆ προσεδρείαν σοφιζόμενος. ἐπειδὴ γὰρ λαβόντες πολλάκις ὅπερ αἰτοῦμεν, μετὰ τὸ λαβεῖν τὴν περὶ τὰς εὐχὰς καταλύομεν σπουδὴν, βουλόμενος ἐπιτεῖναι τὴν ἐν ταῖς ἱκετηρίαις ἡμῶν ἀγρυπνίαν, παρέλκει τὴν δόσιν. οὕτω καὶ φιλόστοργοι πατέρες ποιοῦσι· τὰ ῥᾴθυμα τῶν παίδων, καὶ περὶ τὰ παιδικὰ παίγνια κατατρέχοντα πολλάκις ὑποσχέσει δώρου μεγίστου κατέχουσι παρ' ἑαυτοῖς· διὰ τοῦτο ποτὲ μὲν ἀναβάλλονται, ποτὲ δὲ οὐ διδόασιν. ἔστι γὰρ ὅτε βλαβερὰν αἰτοῦμεν αἴτησιν· ὁ δὲ τὰ συμφέροντα ἡμῖν μᾶλλον εἰδὼς ὁ Θεὸς οὐκ ἐπινεύει ταῖς ἡμετέραις εὐχαῖς, τὸ λυσιτελὲς ἡμῖν καὶ ἀγνοούντων ἡμῶν οἰκονομῶν. καὶ τί θαυμαστὸν, εἰ ἡμεῖς οὐκ ἀκουόμεθα, ὅπου γε καὶ ἐπὶ Παύλου τοῦτο γέγονε; καὶ γὰρ ἐκεῖνος πολλάκις αἰτήσας ἀπέτυχε· καὶ οὐ μόνον οὐκ ἤλγησεν, ἀλλὰ καὶ εὐχαρίστησε τῷ Θεῷ, ὑπὲρ τούτου γὰρ, φησι, τὸν κύριον τρὶς παρεκάλεσα· τὸ δὲ τρὶς, τὸ πολλάκις σημαίνει. εἰ δὲ Παῦλος πολλάκις αἰτήσας οὐκ ἐπέτυχε, πολλῷ δὴ μᾶλλον ὑμᾶς ἐπιμένειν χρή. ἀλλ' ἴδωμεν πῶς, ἐπειδὴ πολλάκις αἰτήσας οὐκ ἔλαβε, διετέθη πρὸς τὸ μὴ λαβεῖν. οὐ γὰρ μόνον οὐκ ἤλγησεν, ἀλλὰ καὶ καυχᾶται, ἐπειδὴ μὴ ἔλαβεν. εἰπὼν γὰρ, ὅτι ὑπὲρ τούτου τρὶς τὸν κύριον παρεκάλεσα, καὶ εἶπέ μοι, ἀρκεῖ σοι ἡ χάρις μου, ἡ γὰρ δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦται, ἐπήγαγεν· ὅτι ἥδιστα οὖν καυχήσομαι ἐν ταῖς ἀσθενείαις μου. εἶδες εὐγνωμοσύνην οἰκέτου; ᾔτησε τῆς ἀσθενείας ἀπαλλαγῆναι, καὶ οὐκ ἐπένευσεν ὁ Θεός· καὶ οὐ μόνον οὐκ ἤλγησεν ὁ Παῦλος, ἀλλὰ καὶ καυχᾶται ἐπὶ τῇ ἀσθενείᾳ. οὕτω καὶ ἡμεῖς παρασκευάσωμεν τὰς ἑαυτῶν ψυχὰς, κἂν δῷ ὁ Θεὸς, κἂν μὴ δῷ ταῦτα ἅπερ αἰτοῦμεν, ἵνα ἡμεῖς ὑπὲρ ἀμφοτέρων εὐχαριστήσωμεν τῷ Θεῷ.

ἀμφότερα γὰρ ἡμῖν συμφερόντως ποιεῖ. εἰ τοῦ δοῦναι κύριός ἐστι, οὐκοῦν καὶ τοῦ πότε δοῦναι, καὶ τοῦ τί δοῦναι, καὶ τοῦ μὴ δοῦναι. οὐκ οἶδας σὺ τὰ συμφέροντα, ὡς αὐτὸς οἶδε σαφῶς. πολλάκις αἰτεῖς ἐπιβλαβῆ καὶ σφαλερά· ὁ δὲ μᾶλλον κηδόμενός σου τῆς σωτηρίας, οὐ τῇ αἰτήσει προσέχει, ἀλλὰ παρὰ ταύτης τὸ συμφέρον σοι πανταχοῦ σκοπεῖ. εἰ γὰρ οἱ κατὰ σάρκα πατέρες οὐ πάντα αἰτοῦσι τοῖς παιδίοις παρέχουσιν, οὐκ ἐπειδὴ καταφρονοῦσιν αὐτῶν, ἀλλ' ἐπειδὴ μάλιστα κήδονται αὐτῶν· πολλῷ μᾶλλον ὁ Θεὸς καὶ μᾶλλον φιλῶν, καὶ πλέονα ἁπάντων καὶ τὸ συμφέρον εἰδὼς, τοῦτο ποιεῖ. προσκαρτερῶμεν οὖν ταῖς εὐχαῖς διηνεκῶς, μὴ μόνον δι' ἡμέρας, ἀλλὰ καὶ διὰ νυκτός. ἄκουσον γὰρ τί φησιν αὐτὸς ὁ προφήτης· μεσονύκτιον ἐξηγειρόμην τοῦ ἐξομολογεῖσθαί σοι ἐπὶ τὰ κρίματα τῆς δικαιοσύνης σου. ἄνθρωπος βασιλεὺς ἐν φροντίσι τοσαύταις ὢν, δήμων καὶ πόλεων καὶ ἐθνῶν ἀρχὴν ἐγκεχειρισμένος, εἰρήνης φροντίζων, πολέμους καταλύων, πραγμάτων ἄφατον ὄχλον ὁρῶν περὶ αὐτὸν ἀεὶ περιεστῶτα, οὐδὲ μικρὰν ἀνάπαυσιν ἔχων, οὐ μόνον τὰς ἡμέρας, ἀλλὰ καὶ τὰς νύκτας προσετίθει ταῖς εὐχαῖς. Εἰ δὲ ὁ βασιλεὺς ὁ ἐν τοσαύτῃ τρυφῇ ζῶν, ὁ τοσαύτας ἔχων φροντίδας, ὁ τοσούτοις πράγμασι περικυκλούμενος, οὐδὲ τὴν νύκτα ἠρέμει, ἀλλὰ τῶν ἐν ὄρεσι καθημένων μοναχῶν ἀκριβέστερον τὰς εὐχὰς ποιούμενος διετέλει, ποίας, εἰπέ μοι, τευξόμεθα συγγνώμης ἡμεῖς, ἐν ἀδείᾳ μὲν ζῶντες πολλῇ, καὶ τὸν ἰδιωτικὸν καὶ ἀπράγμονα ἐπανῃρημένοι βίον, οὐ μόνον δὲ τὰς νύκτας καθεύδοντες ἁπάσας, ἀλλ' οὐδὲ ἐν τῇ ἡμέρᾳ μετὰ τῆς προσηκούσης ἀγρυπνίας τὰς νενομισμένας ἐπιτελοῦντες εὐχάς; μέγα ὅπλον προσευχὴ, μέγας κόσμος εὐχὴ, καὶ ἀσφάλεια καὶ λιμὴν καὶ θησαυρὸς ἀγαθῶν, καὶ ἄσυλος πλοῦτος. ἀνθρώπων μὲν οὖν δεόμενοι, καὶ δαπάνης χρημάτων δεόμεθα, καὶ κολακείας δουλοπρεποῦς, καὶ πολλῆς περιόδου καὶ πραγματείας. οὐ γὰρ ἐξ εὐθείας αὐτοῖς τοῖς κυρίοις δοῦναι τὴν χάριν ἔνι διαλεχθῆναι πολλάκις, ἀλλ' ἀνάγκη πρότερον διακόνους καὶ οἰκονόμους αὐτῶν, καὶ ἐπιτρόπους, καὶ χρήμασι, καὶ ῥήμασι καὶ παντὶ θεραπεύσαι τρόπῳ, καὶ τότε δι' ἐκείνων δυνηθῆναι τὴν αἴτησιν λαβεῖν· ἐπὶ δὲ τοῦ Θεοῦ οὐκ ἔστιν οὕτως.

A utrumque enim fit ad nostrum commodum, ut illi libera potestas est elargiendi, ita non inuidendum est, quin ut velit & quandocunque & quomodocunque velit donationes faciat. Non æque tibi tua commoda, ut illi perspecta sunt. Sæpe postulas damnosa, & periculosissima vota concipis, quocirca ille ut anxius de tua salute istiusmodi flagitationibus aurem non præbet, & solummodo quid tibi utile sit ubique spectat. Si enim patres carnales non omnia præbent ad votum filiorum, non quod eos viles habeant, sed præcipua cura foueat: multo iustius id à Deo B fit, cui & acrior amor, & intentior sollicitudo est nostri commodi. Vacemus igitur precibus sine intermissione, idque non diurno tempore solum, sed etiam nocturno, audi quid dicit idem propheta, media nocte euigilabam, ut confiterer tibi de iudiciis iustitiæ tuæ. Homo Rex tantis in curis, cui populorum & urbium & gentium imperium commissum erat, in componenda pace, in bellis gerendis solicitus, tam ineffabili mole negotiorum obrutus, adeò ut ne respirare quidem C posset, non solum dies, sed etiam noctes precibus adiunxit: Quod si Rex in tantis deliciis, in tot curis, tot negotiis, ne noctes quidem quieti dedit, sed diligentius quam ipsi monachi, qui montes incolunt, preces obibat, quam quæso nobis veniam sperare poterimus, qui in multa ista securitate, quiete, ac vita priuata, non solum noctes omnes dormimus, sed ne diurno quidem tempore, vigilanti animo & debitis rationibus preces obimus? Magna armatura precatio, magnum ornamentum precatio, tutela & portus, D & thesaurus bonorum, qui compilari minimè potest. In orandis hominibus & sumptu opus est, & seruili adulatione, multoque & molesto ambitu. Non enim solum recta ipsos dominos adire licet, & appellare de munere, sed frequenter necessum est, ministros, dispensatores, curatores eorum, & pecuniis, & verbis, ac omni denique pacto demulcere, quo vel ita tandem postulata accipias. Nihil istiusmodi in orando Deo, non ibi opus est interpretibus, neque tam ab intercessoribus,

Psal. 118. 62.

quam noſtris ipſorum precibus, in impetrandis muneribus exoratur, & quod magis hîc ſiue obtineas, ſiue non obtineas, lucrari licet. In rebus humanis ex alterutra parte plerumque lædimur. Cum igitur maius lucrum, maiórque facilitas ſit in orando Deo, ne preces vt vt rem vilem negligamus. Tum tecum Deus in gratiam redibit, tum poſtulata concedet, cum tu tua & ipſius opera oraueris, cum puram adhibueris mentem, cum ſobriam rationem, cum non perfunctoriè aut obiter oraueris, quod multi faciunt, quibus lingua ſubinde verba precationis blaterat, mens interim per ædes, per forum, per vias diſcurrit, quod totum fit vafricie diaboli. Ille enim cum ſciat, quod eo tempore obtinere poſſumus remiſſionem peccatorum, optans nos in ipſo portu orationis impingere, tempus illud adoritur, mentémque ab intellectu verborum auertit, quo auctiores damno quam lucro ex precibus abeamus. His igitur cognitionis cum ad Deum accedis, cogita ad quem accedas, & ſufficiet ad diſcutiendam ſomnolentiam authoritas eius, vnde gratiã expectas. Suſpice ad cœlum, & cogita cum quibus tibi ſit ſermo. Si enim homini loquaris, vel pauxillulum humanis honoribus ſublimi, etſi omnium ſis inertiſſimus, omnino tamen temetipſum excitas, ſomnum animo excutis. Quod ſi id facit hominis vtcunque honeſti reuerentia, multò magis in nobis cura precandi acuetur, ſi cogitauerimus nos cum angelorum Domino colloquuturos. Quod ſi & alia ratio dicenda ſit, perquam iſtam orandi ſegnitiem excutere poterimus: illud ego libenter dixero: ſæpe fit vt preces ſine intellectu finiantur, id ſi in nobis animaduerterimus, ſuadeo vt iterum atque iterum, tertio ac quarto repetantur: nec prius ab iſta replicatione abſiſtamus, quàm vbi ſenſerimus eas animo vigilante, & intento à nobis perfectas eſſe: nam ſi deprehenderit diabolus, non prius à nobis intermitti aſſiduitatem orandi, quam preces noſtras vigilanti animi intentione perfecerimus, in poſterũ deſinet inſidiari, certus ſe nihil hac ratione proficere poſſe amplius, ex eo quod nobis torporem iniiciat,

A οὐδὲ οὕτω δι᾽ ἑτέρων παρακαλούμενος, ὡς δι᾽ ἡμῶν αὐτῶν δεομένων ἐπιδίδωσι τὴν χάριν. καὶ ἐνταῦθα μὲν καὶ λαμβάνοντα, καὶ μὴ λαμβάνοντα ἔστι κερδαίνειν, ἐπὶ δὲ τῶν ἀνθρώπων ἐν ἑκατέρῳ πολλάκις ἐβλάβημεν. ἐπεὶ οὖν μεῖζον τὸ κέρδος, καὶ μείζων ἡ εὐκολία τοῖς τῷ Θεῷ προσιοῦσι, μὴ καταφρονῶμεν εὐχῆς. τότε γὰρ σοι μᾶλλον καταλλαγήσεται, τότε σοι μᾶλλον δίδωσιν ὅπερ αἰτεῖς, ὅταν σὺ διὰ σαυτοῦ παρακαλῇς, ὅταν καθαρὰν παρέχῃς διάνοιαν, ὅταν νήφοντα λογισμὸν, ὅταν μὴ παρέργως B αἰτῇς, ὅπερ ποιοῦσι πολλοὶ, καὶ ἡ γλῶττα μὲν αὐτοῖς λέγει τὰ ῥήματα τῆς εὐχῆς, ἡ δὲ ψυχὴ πολλαχοῦ τῆς οἰκίας, τῆς ἀγορᾶς, τῶν ὁδῶν περιέρχεται. τοῦτο ὅλον τοῦ διαβόλου τὸ μηχάνημα. ἐπεὶ γὰρ οἶδεν, ὅτι κατ᾽ ἐκεῖνον τὸν καιρὸν δυνάμεθα ἀφέσεως τυχεῖν ἁμαρτιῶν, βουλόμενος ἡμῖν τὸν τῆς εὐχῆς προσχῶσαι λιμένα, καὶ αὐτὸν ἀνίσταται ἐκκρούων ἡμῶν τὴν διάνοιαν τῶν λεγομένων, ὥστε ζημιωθέντας μᾶλλον, ἢ κερδήσαντας ἀπελθεῖν. ταῦτα οὖν εἰδὼς, ἄνθρωπε, ὅταν προσέρχῃ τῷ Θεῷ, ἐννόησον τίνι προσέρχῃ· καὶ ἀρκεῖ σοι C εἰς νῆψιν τὸ ἀξιόπιστον τοῦ μέλλοντός σοι διδόναι τὴν χάριν. ἀνάβλεψον εἰς τὸν οὐρανὸν, καὶ διανοοῦ πρὸς τίνα σοι ὁ λόγος ἐστίν. εἰ γὰρ ἀνθρώπῳ τις διαλεγόμενος ὀλίγον ἀναβεβηκότι ταῖς ἀνθρωπίναις τιμαῖς, κἂν ἁπάντων ῥαθυμότερος ᾖ, πάντως ἑαυτὸν διανίστησι καὶ νήφειν παρακελεύεται τῇ ψυχῇ· πολλῷ μᾶλλον ἂν νοήσωμεν ἡμεῖς, ὅτι τῷ τῶν ἀγγέλων δεσπότῃ διαλεγόμεθα, ἱκανὴν εἰς τὸ προσέχειν ἑαυτοῖς ἐκ τούτου ληψόμεθα. εἰ δὲ δεῖ τινα καὶ ἑτέραν μέθοδον εἰπεῖν, δι᾽ ἧς δυνησό- D μεθα τὴν ῥαθυμίαν ἐκφυγεῖν ταύτην, ἐκεῖνο ἂν εἴποιμι. πολλάκις πληρώσαντες τὴν εὐχὴν, μηδὲν ἀκούσαντες ὧν εἰρήκαμεν, ἀπήλθομεν. ἂν οὖν ἐννοήσωμεν τοῦτο, εὐθέως πάλιν αὐτὴν ἀναλάβωμεν κἂν τὸ αὐτὸ πάθωμεν πάλιν, καὶ τρίτον καὶ τέταρτον αὐτὴν εἴπωμεν, καὶ μὴ πρότερον ἀποστῶμεν εὐχόμενοι, ἕως ἂν ἅπασαν αὐτὴν μετὰ διανοίας νηφούσης εἴπωμεν. (ἂν αἴσθηται) ὁ διάβολος, ὅτι οὐ πρότερον ἀφιστάμεθα, ἕως ἂν μετὰ σπουδῆς αὐτὴν καὶ διανοίας νηφούσης εἴπωμεν, ἀποστήσεται) λοιπὸν ὁ ἐνεδρεύων, εἰδὼς ὅτι οὐδὲν ἔσται πλέον αὐτῷ τῆς ἐπιβουλῆς

ἢ τὸ πολλάκις ἀναγκάζειν τὴν αὐτὴν ἡμᾶς ἀναλαμβάνειν εὐχήν. πολλὰ μὲν ἡμέραν, ἀγαπητοί, λαμβάνομεν τραύματα ἐκ τῶν οἰκείων, ἐκ τῶν ἀλλοτρίων, ἐν ἀγορᾷ, ἐν οἰκίᾳ, ἀπὸ τῶν δημοσίων πραγμάτων, ἀπὸ τῶν ἰδιωτικῶν, ἀπὸ τῶν γειτόνων, ἀπὸ τῶν φίλων· πάντων ἐκείνων τῶν τραυμάτων φάρμακα ἐπιθῶμεν τῷ καιρῷ τῆς εὐχῆς. δυνατὸς γὰρ ὁ Θεός, εἰ μετὰ νηφούσης διανοίας καὶ πεπυρωμένης ψυχῆς καὶ θερμοῦ συνειδότος αὐτῷ προσέλθωμεν, καὶ συγγνώμην αἰτήσωμεν, πάντων ἡμῖν δοῦναι τῶν πεπλημμελημένων ἄφεσιν· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἡ δόξα σὺν τῷ ἁγίῳ πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

A quàm vt cogat nos sæpius eandem orationem resumere. Multis quotidie, dilectissimi, vulneribus confodimur, à domesticis, ab externis, in foro, domi, à publicis rebus, à priuatis, ab amicis, à vicinis, omnibus illis vulneribus remedia adhibeamus tempore orationis. Potens est enim Deus, si vigilanti mente, animóque purgato atque ardenti conscientia accedamus, veniámque nobis dari postulemus, omnium criminum ac delictorum remissionem concedere: cuius nos compotes fieri B contingat, gratia & benignitate domini nostri Iesu Christi, cum quo Patri gloria vna cum sancto Spiritu in secula seculorum. Amen.

ΕΠΑΙΝΟΣ ΤΩΝ ΑΠΑΝΤΗΣΑΝΤΩΝ ἐν τῇ ἐκκλησίᾳ, καὶ περὶ εὐταξίας τῆς ἐν ταῖς δοξολογίαις, καὶ εἰς τό, Εἶδον τὸν κύριον καθήμενον ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου.

C

ΠΟΛΛΗΝ ὁρῶ τὴν σπουδὴν ἐνδεικνυμένους ὑμᾶς εἰς ἔργον ἀγαγεῖν τὰ πρῴην ἡμῖν εἰρημένα· διὰ τοῦτο πάνυ ἀόκνως τὰ τῆς διδασκαλίας κἀγὼ καταβάλλομαι σπέρματα, χρησταῖς ἐντεῦθεν ταῖς ἐλπίσι τρεφόμενος. καὶ γὰρ ὁ γεωργὸς ὁπόταν πόνῳ μὲν τὰ σπέρματα καταβάλῃ, εὐφοροῦσαν δὲ τὴν γῆν καὶ τὰ λήϊα κομῶντα θεάσηται, τῶν πρώην ἐπιλανθάνεται κόπων, καὶ πρὸς τὴν ἑξῆς ἐργασίαν D τε καὶ συντήρησιν τῶν προσδοκωμένων διεγείρεται κερδῶν. καί τοι πόσον πλεονεκτέρα, καὶ ἐπικερδὴς αὕτη καθέστηκεν ἡ γεωργία; ἐκείνη μὲν γὰρ τῶν καρπῶν τῶν αἰσθητῶν περιποιουμένη τὴν ἀφθονίαν, σώμασιν ἐναποτίθεται τροφήν· αὕτη δὲ τὴν τῶν λόγων καταβαλλομένη διδασκαλίαν, καὶ τὰ τοῦ πνεύματος πλεονάζουσα χαρίσματα, τὸν ψυχικὸν ἐναποτίθεται πλοῦτον, τὴν ἀδαπάνητον καὶ ἀκήρατον τροφήν, τὴν μὴ διαλυομένην, μηδὲ φθειρομένην ἀκολουθίαν, ἀλλὰ ἀῤῥήτῳ τινὶ συντηρουμένην προνοίᾳ, καὶ νοητὴν τὴν ἀπόλαυσιν ἔχουσαν. αὕτη τῶν ἐμῶν

HOMILIA IN LAVDEM EORVM, QVI COMPARVERVNT in Ecclesia, quæque moderatio sit seruanda in diuinis laudibus. Item de hoc quod scripsit Esaias: Vidi Dominum sedentem in throno excelso, &c.

Esa. 6. 1.

Des. Erasmo Roterod. interprete.

CONSPICIO vos multo studio adnitentes, vt ad effectum perducatis, quę heri à nobis dicta sunt, eóque nunc haud grauatè semen doctrinæ iacimus, quòd hinc bona spes alit animum nostrum. Nam & agricola, quum non sine labore quidem semina deposuit, sed videt terram feracem segetémque prouentu exuberantem, superiorum laborum obliuiscitur, atque ad reliquum operæ conseruationémque priorum, lucri expectatione excitatur. Verùm hæc agricolatio quantò feracior quantóque lucrosior est? Nam illa quidem frugum sensibilium copiam adferens, corporibus reponit alimoniam: hæc verò dum sermonum deponit doctrinam, spiritualiúmque donorum abundãtiam adfert, animi diuitias recõdit, alimoniam quæ nec consumi, nec vitiari potest, reditus qui neque pereunt, neque corrũpuntur, sed arcana quadam & ineffabili prouidentia conseruãtur, quorum vsusfructus mente percipitur. Hic est meorũ

simili

laborum prouentus, hæ sunt opes, quas vestræ charitati recondimus. Has itaque quum considero in vobis augescere, gaudeo semper, vt qui non frustra sementem fecerim, vt qui non incassum labores pertulerim, vt qui frugiferam pinguémque terram, & ad fructificandum idoneam, semen iecerim. Vnde igitur hoc lucrum fore coniecto? vnde perspicio sermones ad opus proficere? Nimirum ex hoc concursu, ex eo quòd ecclesiam omnium matrem studiosè occupatis, ex hac pernocte perpetuáque statione, ex eo quòd angelicorum ordinum stationem imitantes, sine cessatione laudes & hymnos offertis conditori. O mira Christi dona! In supernis exercitus angelorum canunt gloriam: in terris homines in ecclesiis choros agentes ad illorum exemplum eandem canunt gloriam. In supernis Seraphim ter sanctum illum hymnum resonant: in terris eundem hominum promit multitudo, communitérque tum cœlestium, tum terrestrium festiuus conuentus congregatur: vna gratiarum actio, vna exultatio, vna gaudentis choreæ statio. Hanc enim ineffabilis Domini sese ad nos demittentis bonitas constituit, hanc electam spiritus congregauit sanctus: huius vocum concentus paterno beneplacito congruit: è cœlis habet modulorum consonantiam, dum à trinitate velut à plectro quopiam mouetur, delectabile illud ac fœlix resonat melos, illam angelicam cantionem, illum desinere nescium concentum: hic est studij præsentis finis, hic conuentus nostri fructus, eóque gaudeo talem conspiciens in vobis probabilem affectum: gaudeo dum animorum vestrorum beneuolentiam alacritatémque considero, dum gaudium spirituale, dum iuxta Deum exultationem. Neque enim vlla res tantum adfert gaudij vitæ nostræ, quantum hoc quod ex animo gaudetis in ecclesia congregari. In ecclesia gaudentium conseruatur gaudium, in ecclesia animo deiectorum est recreatio. In ecclesia dolentium est voluptas, in ecclesia defatigatorum respiratio, in ecclesia laborantium requies. Venite enim, inquit, post me, qui laboratis & onerati estis, & ego reficiā vos. Quid hac voce possit esse desiderabilius? quid hac inuitatione iucundius? Ad epulū te vo-

Ecclesiastici conuentus laus.

Matth. 11. 28.

A πόνων ἡ ἐπικαρπία, οὗτος ὁ ἐναποτιθέμενος τῇ ὑμῶν ἀγάπῃ πλοῦτος. τοῦτον ὅταν αὐξανόμενον ἐν ὑμῖν κατίδω, χαίρω διὰ παντός, ὡς μὴ εἰκῆ τὰ σπέρματα καταβαλλόμενος, ὡς μὴ μάτην τοὺς πόνους ὑπομείνας, ὡς εἰς εὔφορον καὶ λιπαρὰν ἐπισπείρων γῆν, καὶ πρὸς καρποφορίαν ἐπιτηδείαν. πόθεν δὲ τὸ τοιοῦτον καταστοχάζομαι κέρδος; πόθεν εἰς ἔργον τοὺς λόγους προκόπτοντας κατίδω; ἐκ τῆς παρούσης δηλονότι συνδρομῆς, ἐκ τοῦ τὴν μητέρα πάντων τὴν ἐκκλησίαν μετὰ σπουδῆς ὑμᾶς καταλαβεῖν, ἐκ τῆς παννύχου B ταύτης καὶ διηνεκοῦς στάσεως, ἐκ τοῦ τὴν ἀγγελικὴν χοροστασίαν μιμουμένους, ἀκαταπαύστως τῷ κτίσῃ τὴν ὑμνολογίαν προσφέρειν. ὢ τῶν τοῦ Χριστοῦ δωρημάτων. ἄνω στρατιαὶ δοξολογοῦσιν ἀγγέλων· κάτω ἐν ἐκκλησίαις χοροστατοῦντες ἄνθρωποι, τὴν αὐτὴν ἐκείνοις ἐκμιμοῦνται δοξολογίαν. ἄνω τὰ Σεραφὶμ τὸν τρισάγιον ὕμνον ἀναβοᾷ· κάτω τὸν αὐτὸν ἡ τῶν ἀνθρώπων ἀναπέμπει πληθύς. κοινὴ τῶν ἐπουρανίων, καὶ ἐπιγείων συγκροτεῖται πανήγυρις· μία εὐχαριστία, ἓν ἀγαλλίαμα, μία εὐφρόσυνος C χοροστασία. ταύτην γὰρ ἡ ἄφραστος τοῦ δεσπότου συγκατάβασις ἐκρότησε, ταύτην τὸ πνεῦμα συνέπλεξε τὸ ἅγιον, ταύτης ἡ ἁρμονία τῶν φθόγγων τῇ πατρικῇ εὐδοκίᾳ συνηρμόσθη. ἄνωθεν ἔχει τὴν τῶν μελῳδιῶν εὐρυθμίαν, καὶ ὑπὸ τῆς τριάδος, καθάπερ ὑπὸ πλήκτρου τινός, κινουμένη τὸ τερπνὸν καὶ μακάριον ἐνηχεῖ μέλος, τὸ ἀγγελικὸν ᾆσμα, τῆς ἀλήκτου συμφωνίας. τοῦτο τῆς ἐνταῦθα σπουδῆς τὸ πέρας, τοῦτό ἐστιν ὁ τῆς συνελεύσεως ἡμῶν καρπός. διὰ τοῦτο χαίρω τὴν τοιαύτην καθορῶν εὐδοκίμησιν· χαίρω τὴν ἐν D ταῖς ψυχαῖς ὑμῶν εὐφροσύνην κατιδών, τὴν χαρὰν τὴν πνευματικήν, τὴν κατὰ Θεὸν ἀγαλλίασιν. οὐδὲν γὰρ οὕτω παρέχει τὴν ἡμετέραν διατίθησι ζωήν, ὡς ἐν ἐκκλησίᾳ θυμηδία. ἐν ἐκκλησίᾳ ἡ τῶν χαιρόντων συντηρεῖται χαρά, ἐν ἐκκλησίᾳ ἡ τῶν ἀθυμούντων εὐθυμία, ἐν ἐκκλησίᾳ ἡ τῶν λυπουμένων εὐφροσύνη, ἐν ἐκκλησίᾳ ἡ τῶν καταπονουμένων ἀνάψυξις, ἐν ἐκκλησίᾳ ἡ τῶν κοπιώντων ἀνάπαυσις. δεῦτε γάρ, φησι, πρὸς μὲ πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι· κἀγὼ ἀναπαύσω ὑμᾶς. τί ταύτης τῆς φωνῆς γένοιτ᾽ ἂν ποθεινότερον; τί τῆς κλήσεως ταύτης ἡδύτερον; πρὸς εὐωχίαν σε καλῶ

ἐν ἐκκλησίᾳ σε καλῶν ὁ δεσπότης, εἰς ἀνάπαυσιν αὐτὴν τῶν κόπων προτρέπεται, εἰς ἄνεσιν ἐκ τῶν ὀδυνηρῶν μετατίθησι, τὸ βάρος τῶν ἁμαρτημάτων κουφίζων. τρυφῇ τὴν ἀθυμίαν, καὶ εὐφροσύνῃ τὴν λύπην ἰᾶται. ὢ τῆς ἀφάτου κηδεμονίας, ὢ κλήσεως ἐπουρανίου. σπεύσωμεν τοίνυν, ἀγαπητοί, αὐτὴν μὲν ἐπιτεινομένην ἐνδείκνυσθαι τὴν σπουδήν· μετὰ δὲ τῆς προσηκούσης εὐταξίας καὶ τοῦ πρέποντος σχήματος ταύτην ἀποπληρῶμεν. καὶ γὰρ τὸν περὶ τούτου λόγον ὑμῖν σήμερον κινῆσαι βούλομαι, φορτικὸν μὲν ἴσως δοκοῦντα, ἀνεπαχθῆ δὲ καὶ ὠφέλιμον ὄντα τῇ ἀληθείᾳ. οὕτω γὰρ καὶ φιλόστοργοι πατέρες ποιοῦσιν. οὐ μόνον τὰ πρὸς ὀλίγον ψυχαγωγοῦντα, ἀλλὰ καὶ τὰ λυποῦντα παρεισφέρουσι τοῖς τέκνοις· καὶ οὐ τὰ αὐτόθεν ἐνδεικνύμενα τὴν ὠφέλειαν παραινοῦσιν αὐτοῖς, ἀλλὰ καὶ ὅσα δοκοῦσι μὲν εἶναι φορτικά, σωτήρια δέ ἐστιν ἀποπληρούμενα, καὶ ταῦτα μετὰ πολλῆς τῆς ἐπιμελείας διδάσκουσι, καὶ ἀσφαλῆ τὴν αὐτῶν ἀπαιτοῦσι συντήρησιν. καὶ τοῦτον παρατείνομεν τὸν λόγον, ἵνα μὴ μάτην τὸν ἐνταῦθα καταβαλλώμεθα πόνον, ἵνα μὴ τὴν τῆς ἀγρυπνίας ὑπομένοντες ἀνάγκην, ἀσκόπως πυκτεύωμεν, ἵνα μὴ εἰς ἀέρα διαλυόμεναι αἱ φωναὶ, ἐπὶ ζημίᾳ μᾶλλον ἐκχέοιντο, καὶ οὐκ ἐπὶ κέρδει. οὐδὲ γὰρ ἔμπορος μακρὰς μὲν ἐμπορείας στελλόμενος, πολλὴν δὲ τὴν τῶν πνευμάτων ἐμβολὴν, καὶ τὴν τῶν κυμάτων ἐπανάστασιν ὑπομένων, καταδέξαιτο ἂν εἰκῇ καὶ μάτην τοὺς τοιούτους ὑπομένειν κόπους· ἀλλὰ διὰ τοῦτο καὶ πελάγη τέμνει, καὶ κινδύνων κατατολμᾷ, καὶ τόπους ἐκ τόπων μεταμείβει, καὶ αὔπνους πάσας διατελεῖ νύκτας, ἵνα τὰ τῆς ἐμπορείας αὐτῷ πλεονάζῃ. ὡς εἴγε τοῦτο μὴ προσῇ, ἀλλὰ σὺν τῷ κέρδει καὶ ἡ τῶν κεφαλαίων αὐτῷ ἐπιγένηται ζημία, οὐδὲ ἀπαίρειν ἔξεστιν αὐτῷ, οὐδὲ τοὺς πολυπλόκους ἐκείνους ὑπομένειν κινδύνους. τοῦτο τοίνυν εἰδότες, μετὰ τῆς προσηκούσης εὐλαβείας ἐνταῦθα παραγινώμεθα, ὅπως μὴ ἀντὶ ἁμαρτημάτων ἀφέσεως, προσθήκην τούτων ποιούμενοι, οἴκαδε πορευώμεθα. τί δέ ἐστι τὸ ζητούμενον, καὶ ὃ παρ' ἡμῶν ἀπαιτεῖται; τὸ τοὺς θείους ἀναπέμποντας ὕμνους, φόβῳ πολλῷ συνεσταλμένους, καὶ εὐλαβείᾳ κεκοσμημένους, οὕτω προσφέρειν τούτους. καὶ γάρ εἰσί τινες τῶν ἐνταῦθα,

A cat qui in ecclesiam te vocat Dominus: ad releuationem pro laboribus adhortatur, ad relaxationem à molestiis transfert, pondus peccatorum alleuans, deliciis animi molestiam, gaudio mœrorem sanat. O ineffabilem curam! ô vocationem cœlestem! Festinemus itaque dilecti, vt eandem summam alacritatem exhibeamus, & cum conuenienti modestia, considerationéque decente hanc consummemus. Etenim de hoc vobis hodiernum sermonem mouere volo, in speciem quidem molestum, cæterum leuem, vtilémque veritate. Sic enim & amantes liberorum patres faciunt, non solùm ea quæ ad breue tempus delectant, verumetiam quæ molestiam adferunt filiis adhibent: nec ea modò præcipiunt eis, quæ statim ostendunt vtilitatem: sed quæcunque videntur quidem esse molesta, salutaria tamen sunt, si perficiantur: & hæc multa cura docent, diligentérque flagitant ab eis vt conseruentur. Atque hunc sermonem in longum producimus, ne præsentem laborem frustra insumamus, ne sustinentes vigiliæ necessitatem inutiliter in pugilum certamine versemur, ne voces in aërem dissolutæ, ad detrimentum sonent potius, quàm ad lucrum. Neque enim negociator è longinquo merces importans, vehementem ventorum incursum, vndarúmque exorientium procellas sustinens, frustra & incassum susciperet eiusmodi labores: verum ideò maria secat, & audax est aduersus pericula, locáque locis commutat, totásque noctes ducit insomnes, vt negociatione ditescat. Quod si non contingat, sed cum lucro etiam sortis iacturam faciat, ne soluere quidem ancoram poterit, nec illa varia perferre discrimina. Hoc itaque scientes cum decente circumspectione huc accedamus, ne pro peccatorum remissione, etiam accessionem peccatis adiunctam domum referamus. Quid autem est quod quæritur, quódque à nobis reposcitur? Vt dum diuinos hymnos resonamus, multo tremore contracti multáq. religione ornati, ita demum eos offeramus. Nam sunt quidam inter hos qui hîc adsunt,

Molesta esse non debent quæ prosunt.

Simile.

Acclamationes indecoræ.

quos ne vestræ quidem charitati arbitror esse ignotos, qui contemnentes Deum, ac spiritus eloquia pro vulgaribus ac prophanis ducentes, incompositas voces emittunt, nihilóque melius se gerunt his quos habet insania, toto corpore tumultuantes ac circumacti, moréſque præ ſe ferentes à ſpirituali ſtatione alienos. Miser & infœlix! Oportebat te cum tremore ac reuerentia angelicam glorificationem reſonare, cúmque terrore confeſſionem reddere conditori, ac per hanc delictorum veniam poſtulare: tu verò mimorum & ſaltatorum mores huc inducis, dum indecenter manus iactas, pedibus ſubſultas, totóque circumageris corpore. Et quî fit, vt non metuas, neque horreſcas hæc audens aduerſus talia eloqui? Non cogitas ipſum hîc inuiſibiliter adeſſe dominum, qui vniuſcuiuſque motum metitur, & conſcientiæ rationem habet? Non cogitas quòd angeli huic ſtupendæ aſſiſtunt menſæ, cúmque reuerẽtia hanc circumuallant? Verùm tu iſta non cogitas, quoniam ea quæ in theatris audiuntur, quæque ſpectantur, mentem tuam obſcurarunt: & ideo quæ illic geruntur, in Eccleſiæ ritus inducis: ideo clamoribus nihil certi ſignificantibus animum incompoſitum euulgas. Quomodo ergo veniam poſtulabis tuorum delictorum? Quomodo ad miſericordiam Dominum inflectes, qui vſque adeò, contemptim offeras precationem? Miſerere mei Deus, inquis, ac mores à miſericordia alienos declaras. Clamas, ſerua me, & corporis ſpeciem à ſalute alienam exprimis: Quid ad ſupplicandum conferunt manus, quæ ſemper in ſublime iactantur, & indecorè circumaguntur, quid clamor vehemens, qui cum violento ſpiritus impulſu ſtrepitum habet nihil certi declarantem? An non iſta quidẽ partim ſunt mulierum in triuiis meretriciam artem exercentium: partim verò eorum, qui in theatris vociferantur ſunt exempla? Quomodo igitur audes angelorum Deum glorificãtium hymnis, dæmonum admiſcere ludicra? Quomodo autem non vereris hanc vocem, quam illic profers, dicens: Seruite domino in timore, & exultate ei cum tremore? Hoccine eſt cum tremore, ſeruire, ſic diffundi diſtendique, vt nec ipſe ſcias, quæ loquaris incompoſito vo-

Tetrici mores in eccleſia.

Pſal. 2.

A οἷς οὐδὲ τὴν ὑμετέραν ἀγάπην ἀγνοεῖν οἶμαι, οἵτινες καταφρονοῦντες μὲν τοῦ Θεοῦ, τὰ δὲ τοῦ πνεύματος λόγια, ὡς κοινὰ ἡγούμενοι, φωνὰς ἀτάκτους ἀφιᾶσι, καὶ τῶν μαινομένων οὐδὲν ἄμεινον διάκεινται, ὅλῳ τῷ σώματι δονούμενοι, καὶ περιφερόμενοι, καὶ ἀλλότρια τῆς πνευματικῆς καταστάσεως ἐπιδεικνύμενοι τὰ ἤθη. ἄθλιε καὶ ταλαίπωρε, ἔδει σε δεδοικότα καὶ τρέμοντα τὴν ἀγγελικὴν δοξολογίαν ἐκπέμπειν, φόβῳ τε τὴν ἐξομολόγησιν τῷ κτίστῃ ποιεῖσθαι, καὶ διὰ ταύτης συγγνώμην τῶν ἐπλημμελημένων αἰτεῖσθαι· σὺ δὲ τὰ μίμων καὶ ὀρχηστῶν ἐνταῦθα B παράγεις, ἀτάκτως μὲν τὰς χεῖρας ἐπαρματίζων, καὶ τοῖς ποσὶν ἐφαλλόμενος, καὶ ὅλῳ περικλώμενος τῷ σώματι. καὶ πῶς οὐ δέδοικας, οὐδὲ φρίττεις τοιούτων κατατολμῶν λογίων; οὐκ ἐννοεῖς, ὅτι αὐτὸς ἀοράτως ἐνταῦθα πάρεστιν ὁ δεσπότης, καὶ ἑκάστου τὴν κίνησιν ἀναμετρεῖ, καὶ τὸ συνειδὸς ἐξετάζει; οὐκ ἐννοεῖς, ὅτι ἄγγελοι ταύτῃ τῇ φρικτῇ παρίστανται τραπέζῃ, καὶ φόβῳ ταύτην περιέπουσιν; ἀλλὰ σὺ ταῦτα οὐ κατανοεῖς, ἐπειδὴ ὑπὸ τῶν ἐν τοῖς θεάτροις ἀκουσμάτων τε καὶ θεαμάτων τὸν νοῦν συνεσχέθης, C καὶ διὰ τοῦτο τὰ ἐκεῖ πραττόμενα τοῖς τῆς ἐκκλησίας ἀναφέρεις τύποις. διὰ τοῦτο ταῖς ἀσήμοις κραυγαῖς τὸ τῆς ψυχῆς ἄτακτον δημοσιεύεις. πῶς οὖν συγγνώμην ἐξαιτήσῃ τῶν οἰκείων ἁμαρτημάτων; πῶς εἰς οἶκτον ἐπισπάσῃ τὸν δεσπότην, οὕτω καταπεφρονημένως τὴν δέησιν προτεινόμενος; ἐλέησόν με ὁ Θεός, λέγεις, καὶ τοῦ ἐλέους ἀλλότριον τὸ ἦθος ἐπιδείκνυσαι· σῶσόν με βοᾷς, καὶ ξένον τῆς σωτηρίας τὸ σχῆμα διατυποῖς. τί συντείνουσι πρὸς ἱκεσίαν χεῖρες ἐπὶ μετεωρισμῷ συνεχῶς ἐπαιρόμεναι καὶ ἀ- D τάκτως περιφερόμεναι, κραυγή τε σφοδρὰ, καὶ τῇ βίᾳ τοῦ πνεύματος ὠθοῦσα τὸ ἄσημον φέρουσα; οὐχὶ τὰ μὲν αὐτῶν τῶν ἐν ταῖς τριόδοις ἑταιριζομένων γυναικῶν, τὰ δὲ τῶν ἐν τοῖς θεάτροις φωνούντων ἐστὶν ἔργα; πῶς οὖν τολμᾷς τῇ ἀγγελικῇ ταύτῃ δοξολογίᾳ τὰ τῶν δαιμόνων ἀναμιγνύειν παίγνια; πῶς δὲ οὐκ αἰδῇ ταύτην τὴν φωνὴν, ἣν ἐκεῖ ἐκφέρεις, δουλεύσατε τῷ κυρίῳ ἐν φόβῳ, λέγων, καὶ ἀγαλλιᾶσθε αὐτῷ ἐν τρόμῳ; τοῦτό ἐστιν, ἐν φόβῳ δουλεύειν, τὸ διακεχύσθαι τε καὶ διατείνεσθαι, καὶ μηδὲ σεαυτὸν ἐπίστασθαι περὶ τίνων διαλέγῃ τῇ ἀτάκτῳ τῇ

φωνῆς ἐνηχήσει; τοῦτο καταφρονήσεώς ἐστιν, οὐ φόβου, ἀλαζονείας, οὐ ταπεινώσεως· τοῦτο παιζόντων μᾶλλον, ἢ δοξολογούντων. τί οὖν ἐστι τὸ δουλεύειν τῷ κυρίῳ ἐν φόβῳ; τὸ πᾶσαν ἐντολὴν ἀποπληροῦντας, φόβῳ καὶ συστολῇ ταύτην κατεργάζεσθαι, τὸ συντετριμμένῃ καρδίᾳ, καὶ τεταπεινωμένῳ νοῒ τὰς ἱκεσίας προσβάλλεσθαι. καὶ οὐ μόνον δουλεύειν ἐν φόβῳ, ἀλλὰ καὶ ἀγαλλιᾶσθαι ἐν τρόμῳ τὸ πνεῦμα τὸ ἅγιον διὰ τοῦ προφήτου παρακελεύεται. ἐπειδὴ γὰρ ἡ τῆς ἐντολῆς πλήρωσις χαρὰν εἴωθεν ἐμποιεῖν τῷ τὴν ἀρετὴν ἀσκοῦντι, καὶ ταύτην, φησὶ, τρόμῳ καὶ δέει ποιεῖσθαι προσήκει· ἵνα μὴ τῇ ἀφοβίᾳ συγχεόμενοι, πρός τε πόνους ζημιωθῶμεν, καὶ τὸν Θεὸν παροξυνώμεν. πῶς δὲ ἔσται, φησὶν, ἀγάλλεσθαι ἐν τρόμῳ; καὶ γὰρ οὐδὲ δυνατὸν κατὰ ταὐτὸν τὰ δύο συμβαίνειν, πολλῆς οὔσης τῆς μεταξὺ αὐτῶν διαφορᾶς. χαρὰ γάρ ἐστι καταθυμίων πλήρωσις, καὶ ἡδέων ἀπόλαυσις, καὶ ἀνιαρῶν λήθη· φόβος δὲ, ἐλπιζομένων κακῶν ἐπίτασις, ἐπὶ κατεγνωσμένῳ συνιστάμενος συνειδότι. πῶς οὖν ἐστιν ἀγάλλεσθαι ἐν φόβῳ, καὶ οὐχ ἁπλῶς ἐν φόβῳ, ἀλλ' ἐν τρόμῳ, ὅπερ ἐπίτασίς ἐστι τοῦ φόβου, καὶ πολλῆς ἀγωνίας σημεῖον; πῶς δὲ, φησι, τοῦτο γενήσεται; αὐτά σε τὰ Σεραφὶμ διδασκέτωσαν, ἔργῳ τὴν τοιαύτην ἀποπληροῦντα διακονίαν. καὶ γὰρ ἐκεῖνα τῆς ἀφάτου δόξης ἀπολαύοντα τοῦ κτίστου, καὶ τὸ ἀμήχανον ἐνοπτριζόμενα κάλλος· οὐ λέγω αὐτὸ ἐκεῖνο, ὅπερ ἐστὶ τῇ φύσει (ἀκατάληπτον γὰρ τοῦτο, καὶ ἀθεώρητον, καὶ ἀσχημάτιστον, καὶ ἄτοπόν ἐστι τὸ οὕτω περὶ αὐτοῦ ὑπολαμβάνειν) ἀλλ' ὅσον ἐχώρησαν, ὅσον ὑπὸ τῆς ἀκτῖνος ἐκείνης ἰσχύουσι καταλάμπεσθαι. ἐπειδὴ γὰρ διηνεκῶς λειτουργοῦσι κύκλῳ τοῦ βασιλικοῦ θρόνου, ἐν διηνεκεῖ χαρᾷ διατελοῦσιν, ἐν ἀϊδίῳ εὐφροσύνῃ, ἐν ἀγαλλιάσει ἀκαταπαύστῳ, χαίροντα, σκιρτῶντα, ἀσιγήτως δοξολογοῦντα. τὸ γὰρ ἐνώπιον ἑστάναι τῆς δόξης ἐκείνης, καὶ ἀπὸ τῆς ἐξ αὐτῆς ἀπαστραπτούσης καταφωτίζεσθαι αἴγλης, τοῦτο αὐτοῖς καὶ χαρὰ, τοῦτο καὶ ἀγαλλίασις, τοῦτο καὶ εὐφροσύνη, τοῦτο καὶ δόξα. τάχα τι πρὸς ἡδονὴν ἐπάθετε, καὶ ἐν ἐπιθυμίᾳ τῆς δόξης ἐκείνης γεγόνατε. ἀλλ' εἴγε βουληθείητε παραινοῦντος ἀκοῦσαι, καὶ μετ' εὐ-

cis boatu? Istud verò contẽptus est non timoris, arrogantiæ nõ humilitatis, istud ludẽtium est potius quàm diuinas laudes celebrantium. quid est ergo seruire Domino in timore? quum omne præceptum perfecerimus, cum tremore contractionéque hanc confessionem facere, corde contrito mentéque submissa preces offerre. Nec solùm seruire in timore, verumetiam exultare cum tremore, spiritus sanctus per prophetam iubet. Nam quoniam præcepti impletio gaudium gignere solet in animo virtutem exercentis, & hanc, inquit, confessionem cum tremore facere conuenit, ne si deposito metu confundamur ac dissoluamur, simul & laborum iacturam faciamus, & Deum in nos prouocemus. Sed quomodo, inquis, fieri potest, vt quis exultet cum tremore? nam impossibile est simul hæc duo accidere, quum inter hæc plurima sit differentia. Gaudium enim est eorum quæ desiderat animus, expletio, rerúmque iucundarum fruitio, ac molestiarum obliuio. Metus autem expectatorum malorum incursus, cooriens aduersus condemnatam conscientiam. Quomodo igitur licet exultare cum timore, nec simpliciter cum timore, sed etiam cum tremore, qui est timoris vehementia, & immodicæ cuiusdam anxietatis signum? Quomodo igitur, inquis, hoc fiet? Ipsa te Seraphim docent, quæ re ipsa tali ministerio funguntur. Nam illa ineffabili gloria conditoris fruuntur dum, incomprehensibilem eius pulchritudinem contemplantur. Non dico illam vt est natura, hæc enim incogitabilis est, nec spectari potest, nec figura exprimi, absurdúmque est sic de illa opinari: sed quantum concessum est, quantum ex illo splendore possunt comprehendere. Quoniam enim assiduè famulantur in circuitu throni regalis, in iugi gaudio perseuerant, in sempiterna delectatione, in exultatione finem non habitura, gaudentia, saltantia, citra vllum silentium gloriam canentia. Nam stare in conspectu maiestatis illius, déque splendore illinc refulgente illuminari, hoc illis est gaudiũ, hoc illis exultatio, hoc illis voluptas, hoc denique gloria. Fortassis sensistis aliquid voluptatis, & cupiditas quædã illius gloriæ vos cœpit. Age, vtinam velitis adhortantem auscultare, præsentémque

Fruitio visionis diuinæ.

gloriæ diuinæ celebrationem religiosè peragere. Nam non destituet vos huiusmodi gaudium, siquidem ipse est ille Dominus, qui & in cœlis & in terris glorificatur, plenique sunt cœli & terra gloria eius. Quomodo fit igitur, vt illa Seraphim, quum eiusmodi voluptate fruantur, hanc cum timore misceant? Audi quid dicit Propheta: Vidi Dominum sedentem in throno excelso & eleuato. Quam ob causam, quum dixisset, excelsum: adiecit, eleuatum? An non satis erat per celsitudinem rem totam significare, declaréque dignitatis eminentiam? Quapropter ergo addidit, eleuatum? Vt cathedram incomprehensibilem demonstraret: quandoquidem apud nos quod excelsum est, cogitationem quandam præbet comparationis ad ea quæ humilia sunt ac submissiora. Veluti excelsi sunt montes ad campestria locáque terræ concaua comparati: excelsum autem cœlum super omnia terrena sublatum est. Cæterum hæc eleuatio sublatióque solius est illius naturæ incomprehensibilis, quam neque cogitatione concipere, verbis eloqui quisquam potest, eóque dicit: Vidi Dominum sedentem in throno excelso & eleuato. Sed quid præterea vidisti, ô Propheta? Quid circa illum spectasti? Et Seraphim stabant, inquit, in circuitu eius. Quid faciebant & quid dicebant, qua fiducia fruebantur? Fiducia quidem, inquit, nulla, verùm timoris ac stuporis erant plena, ipsa etiam specie metum ineffabilem declarantia. Duabus enim alis velabant faciem, simul excludentia radium è throno prodeuntem, eo quòd ferre non possent immensam illius gloriam, simul autem & suam religionem ac reuerentiam significantia quam habent erga Dominum. Tali gaudio gaudent illa, tali lætitia exultant, nec solùm facies velant, verum & pedes. Quamobrem hoc faciunt? Facies quidem meritò velant, propter metuendum spectaculum, quódque non possint inaccessam gloriam obtueri. Verùm pedes quare simul velant? Ac volebam quidem vobis hoc relinquere, vt ipsi circa huius solutionem laboraretis, circáque spiritualium rerum vestigationem vigilaretis: cæterùm ne vestram cogitationem

Cur throni dicat eleuatum.

A λαβείας τὴν περὶ αὐτὸν δοξολογίαν ποιεῖσθαι, οὐκ ἀπολειφθήσεσθε τῆς τοιαύτης χαρᾶς. αὐτὸς γάρ ἐστιν ἐκεῖνος ὁ δεσπότης, ὁ καὶ ἐν οὐρανοῖς, καὶ ἐπὶ γῆς δοξαζόμενος. πλήρης γὰρ ὁ οὐρανός, φησι, καὶ ἡ γῆ τῆς δόξης αὐτοῦ. πῶς οὖν ἐκεῖνα τῆς τοσαύτης εὐφροσύνης ἀπολαύοντα, φόβον ταύτην ἀναμιγνύουσι; ἄκουσον τί φησιν ὁ προφήτης. εἶδον τὸν κύριον καθήμενον ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου. τίνος ἕνεκεν τὸ ὑψηλὸν εἰπὼν, καὶ τὸ ἐπηρμένον προσέθηκε; μὴ γὰρ οὐκ ἤρκει διὰ τοῦ ὑψηλοῦ τὸ πᾶν σημαίνειν τοῦ πράγματος, καὶ δεῖξαι τὸ τῆς ἀξίας ὑπερανεστηκός; B διὰ τί οὖν τὸ ἐπηρμένον ἐπήγαγεν; ἵνα τὸ τῆς καθέδρας ἀκατάληπτον ἐνδείξηται. ἐπειδὴ γὰρ παρ' ἡμῖν τὸ ὑψηλὸν ἔννοιάν τινα παρέχεται συγκρίσεως πρὸς τὰ χαμηλά τε, καὶ ταπεινότερα (οἷον, ὑψηλὰ μὲν τὰ ὄρη πρὸς τὰ πεδιάδας καὶ τὰ κοῖλα τῆς γῆς, ὑψηλὸς δὲ ὁ οὐρανὸς ὁ πάντων ὑπεραρθεὶς τῶν γηΐνων) τὸ δὲ ἐπηρμένον καὶ ἐξηρμένον μόνης ἐστὶν ἐκείνης τῆς ἀκαταλήπτου φύσεως, ἣν μήτε ἐννοῆσαι, μήτε ἑρμηνεῦσαί ἐστι δυνατόν· διὰ τοῦτό φησιν, εἶδον τὸν κύριον καθήμενον ἐπὶ θρόνου ὑψηλοῦ C καὶ ἐπηρμένου. καὶ τί ἕτερον εἶδες, ὦ προφῆτα; τί περὶ αὐτὸν ἐθεάσω; καὶ τὰ Σεραφὶμ εἱστήκεισαν, φησι, κύκλῳ αὐτοῦ. τί ποιοῦντα, καὶ τί λέγοντα, ποίας παρρησίας ἀπολαύοντα; παρρησίας μὲν, φησιν, οὐδεμιᾶς, φόβου δὲ καὶ καταπλήξεως γέμοντα, καὶ δι' αὐτοῦ τοῦ σχήματος τὸ ἄφατον ἐπιδεικνύμενα τοῦ δέους. ταῖς γὰρ δυσὶ πτέρυξι κατεκάλυπτον τὰ πρόσωπα, ὁμοῦ μὲν ἀποτειχίζοντα τὴν ἐκπεμπομένην ἀκτῖνα τοῦ θρόνου διὰ τὸ μὴ δύνασθαι φέρειν D τὴν ἄσχετον αὐτῆς δόξαν, ὁμοῦ δὲ καὶ τὴν οἰκείαν εὐλάβειαν ὑποφαίνοντα, ἣν ἔχουσι πρὸς τὸν δεσπότην. τοιαύτῃ χαρᾷ χαίρουσιν ἐκεῖνα, τοιαύτῃ εὐφροσύνῃ ἀγάλλονται. καὶ οὐ μόνον τὰ πρόσωπα καλύπτουσιν, ἀλλὰ καὶ τοὺς πόδας. τίνος ἕνεκεν τοῦτο ποιοῦσι; τὰς μὲν γὰρ ὄψεις εἰκότως διὰ τὸ φοβερὸν τοῦ θεάματος, καὶ τὸ μὴ δύνασθαι ἀντοφθαλμεῖν τῇ ἀπροσίτῳ δόξῃ. τοὺς πόδας δὲ διὰ τί συγκαλύπτουσι; καὶ ἐβουλόμην μὲν ὑμῖν τοῦτο καταλιπεῖν, ὥστε πονεῖν ὑμᾶς περὶ τὴν αὐτοῦ λύσιν, καὶ ἐγρηγορέναι πρὸς τὴν τῶν πνευματικῶν ἔρευναν. ἵνα δὲ μὴ ἀλγουμένην τὴν ὑμετέραν διάνοιαν

εἰς τὴν αὐτοῦ ζήτησιν καταλιπών, ἀμελῶ τῆς παραινέσεως παρασκευάσω, ἀναγκαῖον αὐτὸ ἐπιλύσασθαι. διὰ τί οὖν τοὺς πόδας κατακαλύπτουσιν; ἄπληστον τὴν πρὸς τὸν κτίστην εὐλάβειαν ἐνδείκνυσθαι σπεύδουσι, πολλὴν τὴν ἀγωνίαν καὶ διὰ τοῦ σχήματος, καὶ διὰ τῆς φωνῆς, καὶ διὰ τῆς ὄψεως, καὶ δι' αὐτῆς τῆς στάσεως πειρώμενα δεικνῦναι. ἐπειδή γε καὶ οὕτω τοῦ ἐπιθυμουμένου καὶ τοῦ προσήκοντος ἀποτυγχάνουσι, τῷ συγκαλύπτεσθαι πανταχόθεν, τὸ ἐλλεῖπον περικρύπτουσιν. ἆρα ἐνοήσατε τὸ εἰρημένον, ἢ πάλιν ἀναλαβεῖν αὐτὸ δίκαιον; ἀλλ' ἵνα σαφέστερον τοῦτο γένηται, ἐκ τῶν παρ' ἡμῖν παραδειγμάτων φανερὸν αὐτὸ ποιῆσαι πειράσομαι. παρίσταταί τις τῷ ἐπιγείῳ βασιλεῖ, καὶ διὰ πάντων μηχανᾶται, ὥστε πολλὴν τὴν πρὸς αὐτὸν εὐλάβειαν ἐπιδείξασθαι, ἵνα διὰ τούτου πλείονα τὴν ἐξ αὐτοῦ ἐπισπάσηται εὔνοιαν. τούτου χάριν καὶ διὰ τοῦ τῆς κεφαλῆς σχήματος, καὶ διὰ τῆς φωνῆς, καὶ διὰ τοῦ δεσμοῦ τῶν χειρῶν, καὶ τῆς τῶν ποδῶν συζεύξεως, καὶ τῆς συστολῆς τοῦ ὅλου σώματος τὴν τοιαύτην εὐλάβειαν ἐπιτηδεύει. τοῦτο καὶ ἐπὶ τῶν ἀσωμάτων ἐκείνων γίνεται δυνάμεων. καὶ γὰρ πολλὴν ἔχοντα τὴν πρὸς τὸν κτίστην εὐλαβείας τὴν ἐπιθυμίαν, καὶ ταύτην πανταχόθεν μηχανώμενα περιποιεῖσθαι, εἶτα τῆς ἐφέσεως ἀποτυγχάνοντα, τὸ ὑστεροῦν τῆς ἐπιθυμίας τῷ καλύμματι ἐπικρύπτουσι. διὰ τοῦτο τήν τε ὄψιν καὶ τοὺς πόδας κατακαλύπτεσθαι λέγονται. εἰ καὶ ἄλλη τίς ἐστι μυστικωτέρα θεωρία ἡ περὶ τούτου θεωρουμένη· οὐχ ὅτι πόδας καὶ πρόσωπα ἔχουσιν (ἀσώματα γάρ ἐστιν, ὥσπερ καὶ τὸ θεῖον) ἀλλ' ἵνα διὰ τούτων ὁ λόγος ἐπιδείξῃ πανταχόθεν αὐτὰ συνεστάλθαι, φόβῳ τε καὶ εὐλαβείᾳ λειτουργεῖν τῷ δεσπότῃ. οὕτω δεῖ καὶ ἡμᾶς παρίστασθαι τὴν τοιαύτην αὐτῷ δοξολογίαν προσφέροντας, δεδοικότας καὶ τρέμοντας, καὶ ὡς αὐτὸν ἐκεῖνον τοῖς τῆς διανοίας ὁρῶντας ὀφθαλμοῖς. πάρεστι γὰρ ἐνταῦθα πάντως ὁ μηδενὶ τόπῳ περιγραφόμενος, καὶ τὰς φωνὰς ἁπάντων ἀπογράφεται. οὕτω τοίνυν συντετριμμένῃ καρδίᾳ καὶ τεταπεινωμένῃ τὴν αἴνεσιν ἀναπέμποντες, εὐπρόσδεκτον αὐτὴν ποιήσωμεν, καὶ ὡς εὐώδες θυμίαμα πρὸς οὐρανὸν ἀναπέμψωμεν. καρδίαν γάρ, φησι, συντετριμμένην, καὶ τετα-

A circa huius inquisitionem intentam relinquens, incipiam admonitionem negligere, necesse est vt hoc obiter dissoluam. Quare igitur pedes velant? Inexplicabilem erga conditorem reuerentiam exhibere student, multámque anxietatem tum ipso habitu, tum voce, tum aspectu, denique ipsa statione. Quoniam igitur id quod desiderant, quódque conueniebat non assequuntur, declarant idcirco vndique defectum circumtegunt. Vtrum intelligitis quod dictum est, an operæpretium est, vt idem denuò repetam? Age, vt B hoc faciam dilucidius, ex rerum nostrarum exemplis manifestum facere conabor. Assistit aliquis terreno regi omnibúsque modis molitur, vt quamplurimam erga illum reuerentiam exhibeat, quò per hoc maiorem illius erga se conciliet beneuolentiam. Cuius gratia non solùm specie capitis, verùm etiam ipsa voce, ipsa manuum compositione, ipsa pedum coniunctione, totiúsque corporis contractione, talem reuerentiam conatur ostendere. Hoc & ab illis incorporeis virtutibus fit. Quum enim plurimam habeant erga conditorem C reuerentiam, & hanc vndiquaque conantur præstare: deinde quoniam non assequuntur quod expetunt, quod cupiditati deest, hoc velo obtegunt. Hanc ob causam igitur facies ac pedes tegere dicuntur. Quanquam est & alia quædam magis mystica speculatio quæ circa hoc consideratur, non quòd pedes ac facies habent: sunt enim incorporea quemadmodum ipsum numen, sed vt hoc humanus sermo declaret, ea vndiquaque metu ac reuerentia contracta seruire Domino. Sic oportet nos quoque assistere, talem Deo glorificationem offerentes, metuentes, ac tre- D mentes, ac tanquam illum ipsum mentis oculis intuentes. Adest enim hîc omnino, nec tamen vllo modo circumscribitur, vocésque nostras recenset. Sic igitur contrito corde & submisso, laudem depromentes reddamus eam acceptam, & velut incensum boni odoris ad cœlum submittamus. Cor enim, inquit, contritum & hu-

Simile.

Gestus aulici.

miliatum Deus non despiciet. Verùm Propheta, inquis, exhortatur vt cum iubilo glorificationem peragamus: Iubilate, inquit, Domino omnis terra. Verùm neque nos talem iubilationem prohibemus, sed vocem prohibemus nihil significātem. Neque prohibemus vocem laudis, sed vocem absurditatis & inconditam, ac mutuas inter vos contentiones, manus incassum temeréque sublatas in aërem, pedes supplodentes, indecoros effœminatósque mores, quæ sunt eorum, qui in theatris ac circensibus ludis versantur, ludicra & delitiæ. Illinc nobis perniciosa inuehuntur exempla, illinc irreligiosæ vulgarésque voces, illinc manuum ineptæ gesticulationes, contentiones, concertationes, ac mores incōpositi. Nulla res enim æquè eloquia Dei adducit in contēptum, atque spectaculorum quæ illic proponuntur admiratio. Proinde frequenter vos hortatus sum, ne quis eorum qui huc adueniunt, diuináque doctrina fruuntur, quíque tremendi ac mystici participes sunt sacrificij, ad illa iret spectacula, neu diuina cum dæmoniacis commisceret mysteria. Attamen nonnulli vsque adeò insaniunt, vt etiam quum speciem grauitatis ac reuerentiæ plenam circūferant, & ad profundā canitiem peruenerint, nihilo secus currāt ad illa, neque nostris sermonib. auscultantes, neque propriā reueriti speciem. Verùm quoties eis hunc sermonē ingerimus, & vt caniciē grauitatémq. suam reuereātur adhortamur, quàm friuolus illorum, quàm ridiculus sermo? Exemplum, inquiunt, victoriæ quæ in futuro seculo erit & coronarum sunt illa, plurimámq. illinc vtilitatē referimus. Quid ais homo? obsoletus iste sermo est ac fallaciæ plenus. Vnde vtilitatem isthinc ferre licet? Ex innumeris contentionibus, ex temerè factis deierationibus, malè loquentium? An ex contumeliis, conuitiis, scommatibúsque, quibus spectatores eiusmodi rerum se mutuò conspergunt? Verùm ex his nihil vtilitatis ad te redit: an verò, vllam omnino ex incompositis vocibus, & nihil significante clamore, éque puluere qui submittitur, tum ex his qui impellunt, qui vim faciunt, qui coram mulieribus delicias faciunt, vtilitatem colligis? Atqui hîc quidem ipsum dominum

Psal. 50. — *Psal. 65.* — *Spectacula perniciosa.*

A πεινωμένων ὁ Θεὸς οὐκ ἐξουδενώσει. Ἀλλ' ὁ προφήτης, φησὶν, ἀλαλαγμῷ ποιεῖσθαι τὴν δοξολογίαν παρεγγυᾷ· ἀλαλάξατε γὰρ τῷ κυρίῳ πᾶσα ἡ γῆ. Ἀλλ' οὐδὲ ἡμεῖς τὸν τοιοῦτον διακωλύομεν ἀλαλαγμὸν, ἀλλὰ τὴν ἄσημον βοήν· οὐδὲ τὴν φωνὴν τῆς αἰνέσεως, ἀλλὰ τὴν φωνὴν τῆς ἀταξίας, τὰς πρὸς ἀλλήλους φιλονεικίας, τὰς εἰκῇ καὶ μάτην ἐπαιρομένας χεῖρας ἐν τῷ ἀέρι, τοὺς ἱππαζομένους πόδας, τὰ ἄσχημα καὶ διακεκλασμένα ἤθη, ἅπερ τῶν ἐν τοῖς θεάτροις καὶ ταῖς ἱππο- B δρομίαις σχολαζόντων ἐστὶ παίγνια· ἐκεῖθεν ἡμῖν τὰ ὀλέθρια ταῦτα παρεισφέρονται διδάγματα· ἐκεῖθεν αἱ ἀσελγεῖς αὗται καὶ δημοτικαὶ φωναί· ἐκεῖθεν αἱ τῶν χειρῶν ἀταξίαι, αἱ ἔριδες, αἱ φιλονεικίαι, τὰ ἄτακτα ἤθη. Οὐδὲν γὰρ οὕτω καταφρονεῖν τῶν τοῦ Θεοῦ παρασκευάζει λογίων, ὡς οἱ τῶν τῆς ἐκεῖ θεαμάτων μετεωρισμοί. Διὰ τοῦτο παρεκάλεσα πολλάκις μηδένα τῶν ἐνταῦθα παραγινομένων, καὶ τῆς θείας διδασκαλίας ἀπολαυόντων, καὶ τῆς φρικτῆς καὶ μυστικῆς μετεχόντων θυσίας, πρὸς ἐκεῖνα βαδίζειν τὰ θέατρα, καὶ τὰ θεῖα τοῖς δαιμονικοῖς ἀ- C ναμιγνύειν μυστήρια. Ἀλλ' οὕτω τινὲς μεμήνασιν, ὥστε καὶ σχῆμα εὐλαβείας ἐπιφερόμενοι, καὶ εἰς πολιὰν ἐληλακότες βαθεῖαν, ὅμως αὐτομολοῦσι πρὸς ἐκεῖνα, μήτε τοῖς ἡμετέροις προσέχοντες λόγοις, μήτε τὴν οἰκείαν αἰσχυνόμενοι μόρφωσιν. Ἀλλ' ὅταν αὐτοῖς τοῦτο προτείνωμεν, καὶ τὴν πολιὰν καὶ τὴν εὐλάβειαν αἰδεῖσθαι παραινῶμεν, τίς αὐτῶν ὁ ψυχρὸς καὶ καταγέλαστος λόγος; Παράδειγμά, φησι, τῆς ἐκεῖ νίκης, καὶ τῶν στεφάνων εἰσὶ, καὶ πλείστην ἐντεῦθεν καρπούμεθα τὴν ὠφέλειαν. Τί λέγεις, ἄν- D θρωπε; ἕωλος ἐστὶν ὁ λόγος, καὶ ἀπάτης ἀνάμεστος. Πόθεν τὴν ὠφέλειαν καρποῦσθαι; Ἐκ τῶν μυρίων ἐκείνων φιλονεικιῶν, καὶ τῶν εἰκῇ καὶ μάτην καταβαλλομένων ὅρκων ἐπὶ κακῷ τῶν λεγόντων, ἢ ἐκ τῶν ὕβρεων, καὶ βλασφημιῶν, καὶ σκωμμάτων, οἷς ἀλλήλους καταντλοῦσιν οἱ θεαταὶ τῶν τοιούτων; Ἀλλ' ἐκ τούτων μὲν οὐχί· ἐκ δὲ τῶν ἀτάκτων πάντως φωνῶν, καὶ τῆς ἀσήμου βοῆς, καὶ τῆς κόνεως ἀναπεμπομένης, καὶ τῶν ὠθούντων, καὶ βιαζομένων, καὶ τῶν ἀκκιζομένων κατέναντι γυναικῶν τὰ τῆς ὠφελείας συλλέγεις; Καὶ ἐνταῦθα μὲν αὐτὸν τὸν δεσπότην τῶν ἀγγέλων,

ἀγγέλων, προφῆται πάντες καὶ διδάσκαλοι ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου καθήμενον ὑποδεικνύουσι, καὶ τοῖς μὲν ἀξίοις τὰ βραβεῖα καὶ τοὺς στεφάνους ἀπονέμοντα, τοῖς δὲ ἀναξίοις γέενναν καὶ πῦρ ἀποκληροῦντα, καὶ αὐτὸς δὲ ὁ κύριος τοῦτο διαβεβαιοῖ. εἶτα τούτων μὲν καταφρονεῖς, ἐν οἷς καὶ ὁ τοῦ συνειδότος φόβος, καὶ ὁ τῶν πεπραγμένων ἔλεγχος, καὶ ἡ τῶν εὐθυνῶν ἀγωνία, καὶ τὸ τῆς κολάσεως ἀπαραίτητον· ἵνα δὲ πρόφασιν ἄλογον τῶν σῶν εὕρῃς μετεωρισμῶν, ὠφελεῖσθαι λέγεις, ἐν οἷς τὴν ἀπαραμύθητον ὑπομένεις ζημίαν; μή, δέομαι καὶ ἀντιβολῶ, μὴ προφασιζώμεθα προφάσεις ἐν ἁμαρτίαις. σκῆψις γὰρ ταῦτα, καὶ ἀπάτη ἡμῖν αὐτοῖς τὸ ἐπιζήμιον προξενοῦσα. ἀλλὰ περὶ τούτου μὲν τοσαῦτα· ὥρα δὲ λοιπὸν εἰς τὴν προτέραν ἀναδραμεῖν παραίνεσιν, καὶ βραχέα περὶ ταύτης εἰπόντα, τὸ προσῆκον τέλος ἐπιθεῖναι τῷ λόγῳ. καὶ γὰρ οὐ μόνον τὰ τῆς ἀταξίας ἐνταῦθα, ἀλλὰ καὶ ἕτερόν τι χαλεπὸν παρενοχλεῖ νόσημα. ποῖον δὴ τοῦτο; τὸ πρὸς Θεὸν τὴν διάλεξιν ποιεῖσθαι προθεμένους, καὶ αὐτῷ τὴν δοξολογίαν ἀναπέμποντας, εἶτα ἀφέντας τοῦτον, τὸν πλησίον ἕκαστον ἀπολαβεῖν, καὶ τὰ κατ' οἶκον διηγεῖσθαι, τὰ ἐν ταῖς ἀγοραῖς, τὰ ἐν τῷ δήμῳ, τὰ ἐν τοῖς θεάτροις, τὰ ἐν τῷ στρατῷ, καὶ πῶς μὲν ταῦτα διῳκήθη, πῶς δὲ ἐκεῖνα παρεωράθη, καὶ τί τὸ πλεονάζον ἐν ταῖς πραγματείαις, τί δὲ τὸ ἐλλεῖπον· καὶ ἁπλῶς περὶ πάντων τῶν κοινῶν καὶ ἰδίων ἐνταῦθα διαλέγονται. καὶ ποίας ταῦτα συγγνώμης ἄξια; καὶ βασιλεῖ μέν τις τῷ ἐπιγείῳ διαλεγόμενος, περὶ ἐκείνων μόνων ποιεῖται τὸν λόγον, περὶ ὧν ἂν ἐκεῖνος βουληθείη, καὶ ὧν προτείνῃ τὰς ἐρωτήσεις· εἰ δὲ καὶ ἕτερόν τι παρὰ τὴν ἐκείνου γνώμην ὑποβαλεῖν τολμήσειε, τὴν ἐσχάτην τιμωρίαν ὑποστήσεται· σὺ δὲ τῷ βασιλεῖ τῶν βασιλευόντων προσομιλῶν, ᾧ φρίττοντες λειτουργοῦσιν ἄγγελοι, ἀφεὶς τὴν πρὸς αὐτὸν διάλεξιν, περὶ πηλοῦ, καὶ κόνεως, καὶ ἀράχνης διαλέγῃ; (ταῦτα γάρ ἐστι τὰ παρόντα πράγματα) καὶ πῶς οἴσεις τὴν τῆς καταφρονήσεως δίκην; τίς δέ σε τῆς τοιαύτης ἐξαιρήσεται τιμωρίας; ἀλλὰ κακῶς, φησι, τὰ τῶν πραγμάτων, καὶ τὰ τῆς πολιτείας διάκειται, καὶ πολὺς ἡμῖν περὶ τούτου ὁ λόγος, πολὺς ὁ ἀγών. καὶ τίς ἡ αἰτία;

A Angelorum, omnes Prophetæ doctorésque super thronum excelsum & eleuatum ostendunt, iísque qui digni sunt brauia & coronas distribuunt, indignis verò gehennam assignant: atque ipse etiam Dominus hoc confirmat. Deinde hæc quidem contemnis, in quibus etiam conscientiæ terror est, & factorum redargutio & pœnarum accusationúmque anxietas, & supplicium ineuitabile. Verùm vt absurdam inuenias tuorum spectaculorum, quibus suspensus inhias, excusationem, dicis te vtilitatem capere ex his, ex quibus iacturam B pateris irrecuperabilem. Rogo etiam atque etiam, obsecróque, ne excusationes excusemus in peccatis. Prætextus enim ista sunt ac deceptio, quibus nobis ipsis damnum accersimus. Verùm de his quidem hactenus: tempus autem est vt iam ad priorem recurramus admonitionem, atque vt paucis de ea loquuti debitum orationi finem imponamus. Neque enim hoc solùm peccatur, quòd quæ hic fiunt parum pro dignitate peraguntur, verùm etiam alius quidam grauis obambulat morbus. Quis C tandem iste? Quòd qui proposuerunt cum Deo colloqui, eíque seruitium exhibent, mox hoc omisso suum quisque vicinum arripiunt, ordinántque res domesticas, quæque fiunt in foris, quæque in populo, quæque in theatris, quæque in exercitu, & quomodo alia quidem sunt administrata, alia rursus neglecta, & quid in gerendis rebus plus satis fuerit, quid diminutum: in summa, de rebus omnibus vel publicis, vel priuatis hîc colloquuntur. Et qua tandem venia digna sunt ista? Atqui is qui cum rege terreno colloqui- D tur, de his tantùm verba facit de quibus ille voluerit audire, & de quibus rex fuerit percontatus. Quòd si quis ausit aliquid inijcere secus quàm ille velit, extremo supplicio afficietur. Tu verò cum rege regum colloquens, cui cum tremore seruiunt Angeli, omisso cum illo cœpto sermone, de luto, de puluere, de telis aranearum loqueris. Nihil enim aliud sunt huius vitæ negotia. Et quomodo sustinebis istius contemptus pœnam? quis autem te ab hac vindicta liberabit? Verùm haud rectè se habent, inquiunt, reipublicæ negotia, de his plerunque loquimur, & ingens periculum imminet. Quid autem in causa?

Simile.

Principum negligentia saepe nascitur ex culpa populi.

Eorum, inquiunt, qui magistratum gerunt, incogitantia. Non est magistratuũ incogitantia, sed nostra iniustitia, & pœna est pro nostris sceleribus exacta. Illa cuncta sursum deorsum miscuit, illa quidquid est calamitatum inuexit, illa armauit hostes, illa fecit vt victi discederemus, non aliunde nobis malorum examen inundauit, quàm ex hac causa. Proinde quamuis Abraham quispiam esset qui imperaret, quamuis Moses, quamuis Dauid, quamuis Solomon ille sapientissimus, quamuis omnium hominum flagitiosissimus: si nos malè viuimus, nihil interest qualis ille sit, quãtum ad causam malorum. Quî sic, inquis, aut quo pacto? Quoniam si transgressor legum fuerit, si temerè nullóq. consilio feratur, nostra incogitantia nostráque temeritas effecit, vt talem magistratum haberemus, nostra commissa plagam accersierunt. Nam quòd iuxta corda nostra accipimus magistratus, nihil aliud est nisi quòd praeterita peccata nostra talem nobis dedere praefectum, siue quis fuerit ex ordine sacerdotali, siue ex eorum numero qui mundanas administrant dignitates. Quamuis autem iustus fuerit, adeóque iustus, vt vsque ad Mosis virtutem pertingat, haud tamẽ illius vnius iustitia, immensa rebellium peccata valebit obtegere, ídque poterit quis ex ipso Mose certò cognoscere. Quum enim ille multis modis afflictus fuisset pro Israel, instantérque apud Deum supplicasset, vt terram repromissam in sortem illis traderet, tamen quoniam se populus suis peccatis reddiderat ab hac promissione alienum, non potuit Mosis deprecatio iustam Dei sententiam immutare, quò minus totus ille populus in deserto prosterneretur. Attamen quis Mose iustior, aut quis plus valuit apud Deum? Dictum est, valere iusti deprecationem, sed efficacem: hoc est, pœnitentia cõuersionéque adiutam eorum, pro quibus funditur. His verò quibus mores manent sine pœnitentia citráque bonam conuersionem, quomodo possit auxiliari iusti deprecatio, quum illi ipsi suis factis obsistant? Et quid commemoramus hoc accidisse toti populo peccanti, quum & paucorum inobedientium peccata, imò vnius, iustè imperantium gratiam superent? Atque hoc rursus ex eodem

Num. 10. et Deut. 1. & 3.

Iacob. 5.

A ἡ τῶν κρατούντων, φησὶν, ἀβουλία. οὐχ ἡ τῶν κρατούντων ἀβουλία, ἀλλὰ ἡ ἡμῶν ἁμαρτία, ἡ τῶν πλημμελημάτων εἴσπραξις, ἐκείνη τὰ ἄνω κάτω πεποίηκεν, ἐκείνη πάντα τὰ δεινὰ εἰσήγαγεν, ἐκείνη τοὺς πολεμίους ἐξώπλισεν, ἐκείνη τὴν ἧτταν ἐνήργησεν. οὐκ ἄλλοθεν ἡμῖν ὁ τῶν δεινῶν ἑσμὸς ἐπερχέθη, ἀλλ' ἢ ἐκ ταύτης τῆς αἰτίας. ὥστε κἂν Ἀβραάμ τις ᾖ ὁ κρατῶν, κἂν Μωϋσῆς, κἂν Δαβὶδ, κἂν Σολομὼν ὁ σοφώτατος, κἂν ἁπάντων δικαιότερος ἀνθρώπων, ἡμῶν κακῶς διακειμένων, οὐδὲν διαφέρει ἔχει τὴν πρὸς τὰ κακὰ αἰτίαν. πῶς καὶ B τίνι τρόπῳ; ὅτι εἰ μὲν τῶν παρανομωτάτων εἴη, καὶ τῶν ἀβουλήτως καὶ ἀτάκτως φερομένων, ἡ ἡμῶν ἀβουλία καὶ ἀταξία τὸν τοιοῦτον ἐκαρποφόρησε, τὰ ἡμέτερα ἁμαρτήματα τὴν πληγὴν παρεξένησε. τὸ γὰρ κατὰ τὰς καρδίας ἡμῶν λαμβάνειν ἄρχοντας, οὐδὲν ἕτερόν ἐστιν, ἀλλ' ἢ τοῦτο, ὅτι προημαρτηκότες, τοιούτου τοῦ προεστηκότος ἐτύχομεν, κἄν τε τῶν ἱερωμένων ᾖ τις, κἄν τε τῶν τὰς κοσμικὰς διεπόντων ἐξουσίας. εἰ δὲ καὶ λίαν δίκαιος ᾖ, καὶ οὕτω δίκαιος, ὥστε C μέχρι τῆς Μωϋσέως ἀρετῆς ἐληλακέναι, οὐχ ἡ αὐτοῦ μόνου δικαιοσύνη τὰ ἄμετρα τῶν ἀπηκόων συγκαλύψαι δυνήσεται πλαίσματα. καὶ τοῦτο ἐξ αὐτοῦ ἄν τις ἀκριβῶς καταμάθοι τοῦ Μωϋσέως, τοῦ πολλὰ μὲν κακοπαθήσαντος ὑπὲρ τοῦ Ἰσραὴλ, πολλὴν δὲ τὴν ὑπὲρ αὐτοῦ ἱκεσίαν πρὸς τὸν Θεὸν ἐνστησαμένου, ὥστε τὴν ἐπηγγελμένην αὐτοῖς κατακληρονομῆσαι γῆν. ἀλλ' ἐπεὶ ξένον ἑαυτὸν ἀπὸ τῆς καταλήσεως ταῖς οἰκείαις κατέστησε παρανομίαις, οὐκ ἴσχυσεν ἡ αὐτοῦ δέησις τὴν τοῦ Θεοῦ δικαίαν ψῆ- D φον μεταποιῆσαι, παντὸς τοῦ λαοῦ ἐν τῇ ἐρήμῳ κατεστρωμένου. καίτοι τίς τοῦ Μωϋσέως δικαιότερος; ἢ τίς παρρησιαστικώτερος πρὸς τὸν Θεόν; ἰσχύειν μὲν λέγεται δικαίου δέησις, ἀλλ' ἐνεργουμένη, τουτέστι, βοηθουμένη τῇ μεταμελείᾳ καὶ ἐπιστροφῇ, ὑπὲρ ὧν καταβάλλεται. οἷς δὲ ἀμετανόητος, καὶ ἀνεπίστροφός ἐστιν ὁ τρόπος, πῶς ἂν ἐπαμῦναι δυνήσεται αὐτῶν ἐκείνων τοῖς ἔργοις ἀντικρουόντων; καὶ τί λέγομεν ἐπὶ ὁλοκλήρου λαοῦ παρανομοῦντος τοῦτο συμβαίνειν, ὅπου καὶ ἡ τῶν ὀλίγων ἀπηκόων ἁμαρτία, ἢ πολλάκις καὶ τοῦ ἑνὸς, τὴν τῶν δικαίως κρατούντων ὑπερακοντίζει παρρησίαν; καὶ τοῦτο πάλιν ἐξ αὐτοῦ

δῆμος κατεθυμώσατο τοῦ Ἰσραήλ, ἐπὶ τοῦ Μωϋσέως δημαγωγουμένου, ἡνίκα πρὸς τὴν τῶν ἀλλοφύλων ἐνέβαλε γῆν, καὶ τὴν πρὸς αὐτοὺς συνέρρηξε μάχην, πῶς τινες αὐτῶν μανέντες εἰς τὰς ἐκείνων γυναῖκας, τὸν πανδημεὶ ἐκείνων ἐθράσυναν, καὶ τὸν ὄλεθρον κατειργάσαντο. ἐπὶ ἑνὸς δὲ τὸ τοιοῦτο συμβέβηκεν, ὡς ἐπὶ Ἀχαρ τοῦ τὴν ποικίλην στολὴν ἀφελομένου τοῦ ἀναθέματος, καὶ κατὰ τοῦ λαοῦ πάντος τοῦ Θεοῦ ἐκκαύσαντος ὀργήν. ἀλλ' ἴσως τινὲς τῶν παρόντων τὰ τῆς ἱστορίας ταύτης ἀγνοοῦσι. διὰ τοῦτο δεῖ βραχέα περὶ ταύτης εἰπόντα ὑπομνῆσαι μὲν τοὺς εἰδότας, διδάξαι δὲ τοὺς ἀγνοοῦντας. ἔστι τοίνυν ὁ Ἀχαρ εἷς ἐτύγχανε τῶν μετὰ Ἰησοῦ τοῦ Ναυὴ διαβάντων τὸν Ἰορδάνην, Ἰησοῦ ἐκείνου τῇ ψήφῳ Θεοῦ διαδόχου Μωϋσέως προκεκριμένου, τοῦ εἰκόνα καὶ τύπον ἐπέχοντος τοῦ ἀληθινοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. ὥσπερ γὰρ ἐκεῖνος ἐκ τῆς ἐρήμου διὰ τοῦ Ἰορδάνου εἰς τὴν γῆν τῆς ἐπαγγελίας τὸν λαὸν διεβίβασεν, οὕτω καὶ ὁ σωτὴρ ἡμῶν ἐκ τῆς ἐρήμου τῆς ἀγνωσίας καὶ τῆς εἰδωλολατρείας, διὰ τοῦ ἁγίου καὶ σωτηριώδους βαπτίσματος εἰς τὴν ἄνω Ἱερουσαλὴμ ἡμᾶς μετεποίησεν, εἰς τὴν μητέρα τῶν πρωτοτόκων, ἐν ᾗ τῆς ἀληθινῆς καταπαύσεως ηὐτρεπίσθησαν αἱ μοναί· ἔνθα ἡ ἀστασίαστος καὶ εἰρηνικὴ διατριβή. ἐπεὶ τοίνυν τῇ τοῦ προστάττοντος δυνάμει τὸν λαὸν διαβιβάσας, προσέβαλε τῇ Ἱεριχῷ, καὶ τὴν ξένην ἐκείνην πολιορκίαν ἐνεργῶν, ἤδη τῶν τειχῶν καταπίπτειν μελλόντων, τί φησι πρὸς τὸν λαόν; ἔσται ἀνάθημα ἡ πόλις αὕτη, καὶ πάντα ὅσα ἐστὶν ἐν αὐτῇ, κυρίῳ Σαβαώθ· πλὴν Ῥαὰβ τὴν πόρνην περιποιήσασθε αὐτήν. φυλάξασθε οὖν ἀπὸ τοῦ ἀναθέματος, μήποτε ἐνθυμηθέντες ὑμεῖς λάβητε ἀπ' αὐτοῦ, καὶ ἐκτρίψητε ἡμᾶς. ἀφιερώθη, φησίν, ἅπαντα τὰ ἐν τῇ πόλει (τοῦτο γὰρ τὸ ἀνάθημα δηλοῖ) μή τις οὖν νοσφίσηται τῶν ἀνατεθέντων κυρίῳ τῷ Θεῷ, καὶ ἐξολοθρεύσῃ ἡμᾶς ἐκ τῆς γῆς. ἐπικίνδυνος ἡ ἐντολή, πολὺ τὸ τῆς ἀκριβείας τοῦ τε προστάξαντος Θεοῦ, καὶ τοῦ νομοθετοῦντος Ἰησοῦ. πῶς γὰρ οὐκ ἦν ἐν τοσούτῳ πλήθει μὴ παραβαθῆναι τὸν νόμον τοῦτον, πολλῶν ὄντων τῶν συνωθούντων πρὸς τοῦτο; ἢ γὰρ τὸ ἀστάθμητον καὶ τὸ φιλοκερδὲς τοῦ δήμου, ἢ τὸ μὴ πάντας κατηκόους γενέσθαι τῆς προστεθείσης ἐντολῆς, ἢ

populi Israëlitico perspicias licebit, qui Mose rempublicam administrante, quum in terram alienigenarum irrupissent, pugnámque cum illis commisissent, quomodo quidam illorum insanientes in illorum mulieres, totius populi cladem exitiúmque inuexerint. Hoc autem quod dicam, in vno accidit, videlicet Achar, qui quum variam ex anathemate stolam sustulisset, etiam aduersus populum iram Dei succendit. Verùm, vt conijcio, nonnullis præsentium ignota est hæc historia. Quam ob rem necesse est, vt paucis de hac loquutus, & scientes commonefaciam, & nescientes doceam. Achar itaque fuit vnus ex eorum numero, qui cum Iesu Naue transiere Iordanem, qui Iesus fuerat antè Dei iudicio delectus, vt Moysi succederet, quique typum ac figuram gerebat veri seruatoris nostri Iesu Christi. Quemadmodum enim ille è deserto per Iordanem in terram repromissam perduxit populum: sic & seruator noster, ex ignorantiæ & idololatriæ deserto per sanctum ac salutiferum baptismum in cœlestem Hierosolymam nos traduxit, ad matrem primogenitorum, in qua veræ quietis paratæ sunt mansiones, vbi vita seditionis nescia, pacificáque. Hic itaque quum eius virtute qui iusserat, Israëlitas transmisisset, iámque admouisset exercitum Hiericho, nouam illam & admirandam obsidionem moliens, mox ruituris mœnibus, quid loquitur apud populum? Erit anathema hæc ciuitas, & quicquid est in ea, Domino Sabaoth, excepta Raab meretrice, hanc seruabitis: Cauete igitur ab anathemate, ne quando cogitantes sumatis ex eo, ac perdatis nos. Consecrata sunt, inquit, omnia quæ sunt in ciuitate: nam id sonat anathema. Ne quis igitur suffuretur ex his quę consecrata sunt Domino Deo, nósque disperdat è terra. Periculosum erat pręceptum, multa diligentia tum Dei pręcipientis, tum legem ferentis Iesu. Vix enim fieri potuit, vt in tanta multitudine non violaretur hæc lex, quum multæ res essent, quæ huc impellerent. Nam vel instabilitas eius populi lucríque cupiditas, quòd non omnes audissent edici præceptum, vel

2. Esdræ 10.

Iesus Naue figura Iesu Christi. *Iosue 3.*

Iosue 6.

Anathema quid.

spoliorum varietas velut esca obiecta, habendique auidos illectans, facilè ad legis transgressionem perpulisset. Et tamen ea lex erat lata: ac transgressoris capiti periculum imminebat. Quid igitur post hæc? Conciderunt mœnia, & quicquid erat in ciuitate venit in manus obsidentium. Itaque quum vniuersus populus seruaret hoc præceptum, vnius præuaricatio in vniuersam multitudinem concitauit iram Dei. Peccauerunt, inquit, filij Israel peccatum magnum, & suffurati sunt, & sumpserunt ex anathemate, & sumpsit Achar filius Charmi ex anathemate, & indignata est ira Domini filiis Israel. Atqui vnus erat qui peccauerat. Quomodo igitur peccauerunt filij Israel, ac Deus iratus est filiis Israel? Vides quomodo vnius peccatum toti populo vindictam accersit? Quomodo Deum aduersus multitudinem hostem reddidit? Quoniam igitur fuerat perpetrata legis trāsgressio, neque quisquam erat conscius, præter solum Deum qui nouit occulta, vltio quidem differebatur: cæterùm qui hoc perpetrarat, tametsi videbatur latere, tamen à conscientia velut ab igni vrebatur. Venit igitur tempus quo fieret quod comminatus fuerat Deus, quóque peccatum veniret in propatulum. Misit, inquit, Iesus viros ab Hiericho in Gai. Et ascendernt illuc viri ferè ter mille, fugerúntque à facie virorum Gai, & occiderunt ex illis viros triginta sex, & persequuti sunt eos, & conciderunt illos, & expauit cor populi, factúmque est velut aqua. Vide vnius peccati pœnam, vide plagam acerbissimam, vnus peccarat, & in populum vniuersum mors ac trepidatio irruit. Quid hoc ô bone domine? Tu solus iustus, & recta iudicia tua. Tu cuique iuxta propria facta reddis iudicium. Tu humani generis amator, dixeras in suo quemque peccato moriturum, nec alium pro alio daturum pœnas. Quod igitur hoc est tuum iustum iudicium? Bona sunt tua omnia, Domine, & valde bona, & ad nostram vtilitatem dispensata. Lues quædam, inquit, est peccatū: ergo per vltionem euulgetur ac traducatur apud omnes, ne corrūpat omnes,

Ibidem.

Psal. 118. Rom. 2. 4. Reg. 14.

A ἡ ποικιλία τῶν σκύλων, καθάπερ δέλεαρ, προκειμένη, καὶ τοὺς φιλοκτήμονας δελεάζουσα, ἀκόλως δὲ πρὸς τὴν παράβασιν παρώρμησεν· ἀλλ' ὅμως ὁ νόμος ἐτέθη, καὶ ὑπὲρ κεφαλῆς ὁ τῆς παραβάσεως αὐτοῖς κίνδυνος ἐπεκρέματο. τί οὖν μετὰ τοῦτο; κατέπεσον τὰ τείχη, καὶ ἐν χερσὶ τῶν πολιορκούντων τὰ τῆς πόλεως ἐγένετο πάντα. πάντες τοίνυν τοῦ λαοῦ τὴν ἐντολὴν ταύτην διατηρούντος, ἡ τοῦ ἑνὸς παράβασις εἰς ἅπαν τὸ πλῆθος τὴν τοῦ Θεοῦ ἀνῆψεν ὀργήν. ἐπλημμέλησαν γάρ, φησιν, οἱ
B υἱοὶ Ἰσραὴλ πλημμέλειαν μεγάλην, καὶ ἐνοσφίσαντο, καὶ ἔλαβον ἀπὸ τοῦ ἀναθέματος, καὶ ἔλαβεν Ἀχὰρ υἱὸς Χαρμεὶ ἀπὸ τοῦ ἀναθέματος, καὶ ἐθυμώθη ὀργῇ κύριος τοῖς υἱοῖς Ἰσραήλ. καὶ μὴν εἷς ἦν ὁ πλημμελήσας· πῶς οὖν ἐπλημμέλησαν οἱ υἱοὶ Ἰσραήλ, καὶ ἐθυμώθη κύριος τοῖς υἱοῖς Ἰσραήλ; ὁρᾷς πῶς ἡ τοῦ ἑνὸς ἁμαρτία παντὶ τῷ λαῷ τὴν τιμωρίαν προεξένησε; πῶς πρὸς τὸ πλῆθος τὸν Θεὸν ἐξεπολέμωσεν; ἐπεὶ δὲ τὸ παράνομον ἐπράχθη, καὶ οὐδεὶς ἦν ὁ συνειδώς, πλὴν μόνου τοῦ τὰ κρύφια γινώσκοντος Θεοῦ, ἡ μὲν τιμωρία
C ἤμελλεν, ὁ δὲ πράξας τοῦτο, κἂν ἐδόκει λανθάνειν, ἀλλ' ὅμως ὑπὸ τοῦ συνειδότος, ὡς ὑπὸ πυρὸς κατεκαίετο. ἦλθε τοίνυν καὶ τῆς ἀπειλῆς ὁ καιρός, καὶ τοῦ φανερὸν γενέσθαι τὸ ἁμάρτημα. ἀπέστειλε γάρ, φησιν, Ἰησοῦς ἄνδρας ἀπὸ Ἱεριχὼ εἰς Γαΐ, καὶ ἀνέβησαν ἐκεῖ ὡσεὶ τρισχίλιοι ἄνδρες, καὶ ἔφυγον ἀπὸ προσώπου τῶν ἀνδρῶν Γαΐ, καὶ ἀπέκτειναν ἀπ' αὐτῶν τριάκοντα καὶ ἓξ ἄνδρας, καὶ ἀπεδίωξαν αὐτούς, καὶ συνέτριψαν αὐτούς, καὶ ἐπτοήθη ἡ καρδία τοῦ λαοῦ, καὶ ἐγένετο ὥσπερ ὕδωρ. ὅρα μιᾶς ἁμαρτίας εἰσ-
D πράξιν, ὅρα πληγὴν ἀπαραμύθητον. εἷς ἐπλημμέλησε, καὶ εἰς ἅπαντα τὸν δῆμον ὁ θάνατος καὶ ἡ δειλία ἐπέπεσε. τί τοῦτο, ὦ φιλάγαθε δέσποτα; σὺ εἶ μόνος δίκαιος, καὶ εὐθεῖς αἱ κρίσεις σου· σὺ ἑκάστῳ κατὰ τὰ οἰκεῖα ἔργα ἀπονέμεις τὴν κρίσιν, σὺ ἔφης, φιλάνθρωπε, ἐν τῇ ἰδίᾳ ἕκαστον ἀποθανεῖσθαι ἁμαρτίᾳ, καὶ μὴ ἄλλον ἀντὶ ἄλλου τιμωρηθήσεσθαι. τίς οὖν αὕτη ἡ δικαία σου ψῆφος; καλὰ σου τὰ πάντα, κύριε, καὶ λίαν καλά, καὶ πρὸς τὸ συμφέρον ἡμῖν οἰκονομούμενα. λύμη τίς ἐστι, φησιν, ἡ ἁμαρτία· ἐν κοινῷ ἐκπομπευέσθω διὰ τῆς τιμωρίας εἰς πάντας, ἵνα μὴ τοὺς πάντας καταλυμαίνηται,

ἵνα γνόντες πόσην ἀπειλὴν μία παράβασις ἔτεκε, φύγωσι τὴν ἐκ πλειόνων ἀτελεύτητον κόλασιν. ἰδὼν οὖν, φησὶν, ὁ Ἰησοῦς τὴν ἀνυπόστατον φυγὴν, διέῤῥηξε τὰ ἱμάτια αὐτοῦ, καὶ ἔπεσεν ἐπὶ τὴν γῆν, ἐκείνους τοὺς θρήνους τραγῳδῶν, οὓς ἡ θεία σημαίνει γραφή. τί οὖν πρὸς αὐτὸν ὁ δεσπότης; ἀνάστηθι· ἵνα τί οὕτω συμπέπτωκας; ἡμάρτηκεν ὁ λαός σου, καὶ παρέβη τὴν διαθήκην μου, καὶ οὐ μὴ δυνήσονται οἱ υἱοὶ Ἰσραὴλ στῆναι κατὰ πρόσωπον τῶν ἐχθρῶν αὐτῶν, ἕως ἂν ἐξάρητε τὸ ἀνάθημα ἐξ ὑμῶν αὐτῶν. ἐκηρύχθη τοίνυν ἐν τῷ λαῷ τοῦτο, καὶ μηνύεται ὑπὸ Θεοῦ ὁ τὴν παράβασιν πράξας· συγκατατίθεται δέ. ἀπεκρίθη γὰρ, φησὶν, Ἀχὰρ τῷ Ἰησοῦ, καὶ εἶπεν· ἀληθῶς ἥμαρτον ἐναντίον τοῦ κυρίου Θεοῦ Ἰσραὴλ· οὕτω, καὶ οὕτως ἐποίησα. εἶδον ἐν τῇ προνομῇ στολὴν ψιλὴν, ποικίλην, λίαν καλὴν, καὶ διακόσια δίδραχμα ἀργυρίου, καὶ γλῶσσαν μίαν χρυσῆν πεντήκοντα διδράχμων, καὶ ἐνθυμηθεὶς ἔλαβον, καὶ ἰδοὺ ταῦτα ἐγκέκρυπται ἐν τῇ γῇ ἐν τῇ σκηνῇ μου. πάντα λοιπὸν εἰς φανερὸν ἄγει, ἐπειδὴ ἀψευδῆ τὸν ταῦτα καταμηνύσαντα εὗρε. σφοδρόν τε εἶχε τὸν ἐλέγχοντα μάρτυρα. ὅρα δὲ τὸν ἐπονείδιστον καὶ ὀλέθριον αὐτοῦ θάνατον. ἀνήνεγκε, φησὶν, αὐτὸν Ἰησοῦς εἰς φάραγγα Ἀχὰρ, καὶ τοὺς υἱοὺς αὐτοῦ, καὶ τὰς θυγατέρας αὐτοῦ, καὶ τοὺς μόσχους αὐτοῦ, καὶ τὰ ὑποζύγια αὐτοῦ, καὶ πάντα τὰ πρόβατα αὐτοῦ, καὶ τὴν σκηνὴν αὐτοῦ, καὶ πάντα ὅσα ὑπῆρχεν αὐτῷ· καὶ ἐλιθοβόλησαν αὐτὰ πᾶς Ἰσραὴλ ἐν λίθοις. αὕτη τῆς παρανομίας ἡ ἀνταπόδοσις· οὕτως ἡ τοῦ Θεοῦ ἀδέκαστός ἐστι δίκη. τοῦτο τοίνυν εἰδότες, οἰκείων ἁμαρτημάτων εἰσπράξιν, τὴν τῶν ἀνιαρῶν ἔφοδον λογιζώμεθα, καὶ καθ' ἑκάστην τὰ ἑαυτῶν ἐξετάζοντες ἐγκλήματα, μὴ ἑτέροις, ἀλλ' ἡμῖν αὐτοῖς τὴν τούτων περιάπτωμεν αἰτίαν. οὐ γὰρ ἡ τῶν ἀρχόντων μόνον ἀπροσεξία, ἀλλὰ πολλῷ μᾶλλον τὰ ἡμέτερα πλαίσματα τὰ κακὰ συνεισήγαγεν. οὕτω τοίνυν ἐνταῦθα παραγινόμενος ἕκαστος, καὶ τὰ οἰκεῖα λογιζόμενος παραπτώματα, οὔτε ἕτερον μέμψοιτο, καὶ μετὰ τῆς προσηκούσης εὐταξίας τὴν παροῦσαν ἀναπέμψοι δοξολογίαν. ἔστι δὲ ἡ παρ' ἡμῶν ἀπαιτουμένη εὐταξία τοιαύτη. πρῶτον μὲν συντετριμμένῃ καρδίᾳ προσέρχεσθαι τῷ Θεῷ, ἔπειτα καὶ τὸ τῆς καρδίας ἦθος διὰ τοῦ φαινομένου σχήματος ὑποδεικνύειν, διὰ τῆς στάσεως, διὰ τῆς τῶν χειρῶν εὐταξίας,

A vt vbi cognorint quantas minas vna peperit transgressio, fugiant vltionem, grauiorem alioqui sumendam ęternam vindictam. Videns igitur, inquit, Iesus fugam sisti non posse, discidit vestimenta sua ac prostratus est in terram, ea lugubriter lamenta proferens, quę narrat diuina scriptura. Quid igitur illi respondit Dominus? Surge, cur ita prostratus iaces? Peccauit populus tuus, transgressus est pactum meum, nec poterunt stare filij Israel contra faciem hostium suorum, donec sustuleritis anathema ex vobis ipsis. Prædicatur igitur hoc in B populo, & à Deo proditur, qui hoc perpetrarat, ille fatetur. Respondit enim, inquit, Achar Iesu dicens: Verè peccaui in conspectu Dei Israel, sic & sic feci: Videbam in præda stolam variegatam vnam pulchram, ducentaque argenti didrachma, & linguam vnam auream quinquaginta didrachmorum, & concupiscens cepi, & ecce hæc defossa sunt humi in tabernaculo meo. Omnia iam in apertū profert, posteaquam perspexit illum omnia sine mendacio indicasse, nec diffisus est testi seipsum prodenti. C Vide autem probrosam ac perniciosam illā mortem: Subduxit, inquit, Iesus Achar in conuallem, filios & filias eius, & vitulos eius & iumenta eius, & omnes oues eius, & tentorium eius, & omnia quęcunque possidebat, & lapidibus obruit ea omnis populus Israel. Hoc transgressionis præmium, talis Dei vindicta, quæ per corruptelam euitari non potest. Hæc itaque scientes, cogitemus molestias à nostris peccatis inuehi, singulisque diebus nostra examinantes crimina, non aliis, sed nobisipsis causam adscribamus. Nec enim magistratuum D modo negligentia, sed multò magis nostra delicta, mala accersierunt. Proinde si huc adueniens sua quisque examinet delicta, nec alium incusabit, & præsentem glorificationem resonabit. Quod autem exigitur ad decentē modestiam, hoc est primum, corde contrito accedere ad Deum: proximum, cordis affectum ipso visibili habitu declarare, statu, manuum decora compositione,

Ios. 7. | Ibidem. | Ibidem.

placida contractaque voce: Nam id facile est, & potest quisquis voluerit. Quî fiet igitur, vt omnes suo fungantur officio? Ponamus nobis ipsis legem, dicamúsque, In publicam vtilitatem lex prodita est, & huius vtilitatis oportet nos omnes esse participes. Quapropter & indecoras voces premamus, manuúmque gesticulationes corripiamus, has coniunctas exhibentes Deo, nec incompositis motibus attollantur. Odit enim hoc Deus & auersatur, sicut contrà, compositum ac modestum amat, expetitque: Ad quem, inquit, respiciam, nisi ad mansuetum & quietum & trementem verba mea? Dicamus aliis alij, non vult Deus, vt simul cum ipso loquamur, & inter nos fabulemur, nec patitur, vt omisso cum ipso colloquio, præsentium colloquia suscitemus, cœnóque margaritas contaminemus. Siquidem hoc suam contumeliam esse ducit, non glorificationem. Quòd si quis voluerit hoc præceptum præterire, obturemus illi os, tanquam nostræ salutis insidiatorem expellamus, ex ecclesiæ sanctæ septis eijciamus. Hoc si fecerimus, nostra quidem peccata superiora facilè diluemus, ipsum autem dominũ habebimus in medio nostrum vnà cum sanctis Angelis choros agentem, & cuique modestiæ coronas distribuentem. Quoniam enim est humanus ac munificus, gaudens nostra salute, oblectans sese bonis nostris, propterea & cœlorum regnum promisit, & vitæ incorruptibilis consortium, omniáque bona præparauit, volens nos in his habere tabernacula. Quæ nobis omnibus contingat assequi, gratia & humanitate domini nostri Iesu Christi, quem decet gloria, imperium, honor, & adoratio cum Patre & sancto Spiritu, nunc & semper, & in secula seculorum, Amen.

Esa. 66. 2.

διὰ τῆς πραείας καὶ συνεσταλμένης φωνῆς. εὔκολον γὰρ τοῦτο, καὶ παντὶ τῷ βουλομένῳ δυνατόν. πῶς οὖν εἰς πάντας κατορθωθήσεται; θῶμεν ἑαυτοῖς νόμον, καὶ εἴπωμεν ὅτι κοινωφελὴς ἐντολὴ κατεβλήθη, καὶ δεῖ πάντας ἡμᾶς τῆς τοιαύτης μεταλαχεῖν ὠφελείας. διὰ τοῦτο καὶ τὰς ἀτάκτους κατασιγάσωμεν φωνάς, καὶ τὰ τῶν χειρῶν καταστείλωμεν ἤθη, δεδεμένας ταύτας παριστάνοντες τῷ Θεῷ, καὶ μὴ τοῖς ἀκόσμοις ἐπαιρομένας νεύμασι. μισεῖ γὰρ τοῦτο, καὶ ἀποστρέφεται ὁ Θεός, ὥσπερ τὸν συνεσταλμένον ἀγαπᾷ καὶ προσίεται. ἐπὶ τίνα γάρ, φησιν, ἐπιβλέψω, ἀλλ' ἢ ἐπὶ τὸν πρᾶον καὶ ἡσύχιον καὶ τρέμοντά μου τοὺς λόγους; εἴπωμεν ἀλλήλοις, ὅτι οὐ βούλεται αὐτῷ προσδιαλεγομένους ἡμᾶς καὶ ἑαυτοῖς προσομιλεῖν, οὐδὲ ἀφέντας τὴν πρὸς αὐτὸν διάλεξιν τὰς τῶν παρόντων ἀνακινεῖν συντυχίας, καὶ τῷ βορβόρῳ τοὺς μαργαρίτας ἀναφύρειν. ὕβριν γὰρ οἰκείαν, καὶ οὐ δοξολογίαν τὸ τοιοῦτον ἡγεῖται. κἄν τις βουληθείη ταύτην παραβῆναι τὴν ἐντολήν, ἐπιστομίσωμεν, ὡς ἐπίβουλον τῆς ἡμετέρας σωτηρίας, ἀποδιώξωμεν, ἔξω τῶν περιβόλων τῆς ἁγίας ἐκκλησίας ἐκβάλλωμεν. οὕτω γὰρ ποιοῦντες, τὰ μὲν πρότερα ἁμαρτήματα ῥᾳδίως ἀπονιψόμεθα, αὐτὸν δὲ τὸν δεσπότην εἰς μέσον ἕξομεν μετὰ τῶν ἁγίων ἀγγέλων συγχορεύοντα, καὶ ἑκάστῳ τοὺς τῆς εὐταξίας ἀπονέμοντα στεφάνους. ἐπεὶ γάρ ἐστι φιλάνθρωπος, καὶ μεγαλόδωρος, καὶ χαίρει ἐπὶ τῇ ἡμετέρᾳ σωτηρίᾳ, διὰ τοῦτο ἐπιτερπόμενος τοῖς ἡμῶν καλοῖς καὶ βασιλείαν οὐρανῶν ἐπηγγείλατο, καὶ ζωῆς ἀκηράτου μέθεξιν, καὶ πάντα τὰ ἀγαθὰ προητοίμασε, βουλόμενος ἡμᾶς ἐν τούτοις κατασκηνῶσαι· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ πρέπει δόξα, κράτος, τιμή, καὶ προσκύνησις τῷ πατρί, καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

A

ΤΟΥ ΑΥΤΟΥ ΟΜΙΛΙΑ Β.

εἰς τὸ ῥητὸν τοῦ προφήτου Ἡσαΐου τὸ λέγον· καὶ ἐγένετο τοῦ ἐνιαυτοῦ, οὗ ἀπέθανεν Ὀζίας ὁ βασιλεὺς, εἶδον τὸν κύριον καθήμενον ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου· καὶ ὅτι οὐ δεῖ χρόνον, οὐδὲ στοιχεῖον ἓν παρατρέχειν τῶν θείων γραφῶν.

Χ ΑΙΡΩ συντρέχοντας ὑμᾶς ὁρῶν πρὸς τὴν ἀκρόασιν τῶν θείων λογίων, καὶ τεκμήριον μέγιστον τοῦτο ποιοῦμαι τῆς κατὰ Θεὸν ὑμῶν προκοπῆς. ὥσπερ γὰρ ἡ πεῖνα σωματικῆς ἐστιν εὐεξίας σημεῖον, οὕτω ὁ λόγων ἔρως πνευματικῶν ψυχικῆς ὑγιείας σημεῖόν ἐστι. χαίρομεν οὖν διὰ τοῦτο. δέδοικα δὲ μήποτε τῆς ἐπιθυμίας ταύτης οὐδὲν ἄξιον δυνηθῶ παρασχεῖν. οὕτω που καὶ μήτηρ ὀδυνᾶται φιλόστοργος, ὅταν ὑπομάζιον ἔχουσα παιδίον τὰς τοῦ γάλακτος πηγὰς μὴ δύνηται ἀφθόνως παρασχεῖν αὐτῷ· ἀλλ' ὅμως καὶ ἐνδεεῖς ἔχουσα τὸν μαστὸν ἐπιδίδωσι, ὁ δὲ λαβὼν ἕλκει καὶ κατατείνει, καὶ τῷ στόματι κατεψυγμένην θερμαίνων τὴν θηλὴν, πλείω τῆς οὔσης ἐκκαλεῖται τὴν τροφήν· ἡ δὲ μήτηρ ἀλγεῖ μὲν κατατεινομένων αὐτῆς τῶν μαζῶν, οὐκ ἀπωθεῖται δὲ τὸ παιδίον. μήτηρ γάρ ἐστι, καὶ πάντα ἂν ἕλοιτο παθεῖν μᾶλλον, ἢ λυπῆσαι τὸ τεχθέν. εἰ δὲ μητέρες περὶ τὰ ἔγγονα οὕτως εἰσὶ φιλόστοργοι, πολλῷ μᾶλλον ἡμᾶς περὶ τὴν ὑμετέραν ἀγάπην οὕτω διακεῖσθαι χρή. τῶν γὰρ τῆς φύσεως θερμότεραι αἱ τοῦ πνεύματος ὠδῖνές εἰσιν. ὥστε εἰ καὶ πολλῆς ἡμῖν πενίας ἡ τράπεζα γέμει, οὐδὲ οὕτως αὐτὴν ἀποκρυψόμεθα, ἀλλὰ πάντα εἰς μέσον τὰ παρ' ἡμῶν φέροντες, καταθήσομεν ὑμῖν. εἰ δὲ μικρὰ ταῦτα καὶ εὐτελῆ, ἀλλ' ὅμως παρέχομεν. ἐπεὶ κἀκεῖνος ὁ τὸ τάλαντον ἐμπιστευθεὶς, οὐχ ὅτι μὴ πέντε προσήνεγκε τάλαντα, διὰ τοῦτο ἐνεκαλεῖτο, ἀλλ' ὅτι καὶ τὸ ἓν κατέχωσεν ὅπερ ἔλαβε, διὰ τοῦτο δίκην ἐδίδου. τὸ γὰρ ζητούμενον παρὰ τῷ Θεῷ καὶ ἀνθρώποις οὐκ ὀλίγα ἢ πολλὰ καταθεῖναι, ἀλλὰ

EIVSDEM HOMILIA II.

DE EO QVOD DIXIT ESAIAS, Factum est anno quo mortuus est Ozias rex, vidi Dominum sedentem in throno excelso & eleuato, & quòd neque tempus, neque vnm elementum diuinarum scripturarum oporteat præterire.

Esa. 6. 1.

GAVDEO conspiciens vos ad audienda sacra eloquia concurrentes, idq; indicium esse iudico vestri in DEI cultu ac pietate progressus. Quemadmodum enim appetentia cibi corporis bonam valetudinem declarat, sic & sermones appetere spirituales, animæ sanitatem arguit. Gaudeo quidem igitur propter hoc : cæterùm vereor ne fortè non possim aliquid adferre dignum isto vestro desiderio. Sic & mater amans quoties lactantem habens puerum, non potest illi largiter præbere lactis fontem, attamen quãquam lacte caret mammam tamen dat : ille verò acceptá trahit sugitque, & ore papillam refrigescentem calfaciens, plus quàm erat elicit alimenti : mater verò dolet quidem dum ipsius distenduntur vbera, nec tamen repellit puerum, mater enim est, & omnia præoptat perpeti potius, quàm vt partum suum contristet. Itaque si matres erga fœtus suos tanta charitate afficiuntur, multò magis oportet nos erga vestram charitatem similiter affectos esse. Nam spiritus nixus flagrantiores vehementioresque sunt quàm naturæ. Itaque tametsi nobis mensa multam habet penuriam, ne sic quidem tamen eam occultabimus, sed omnia in medium proferentes apponemus vobis. Quòd si paucula hæc sunt, viliáque, præbebimus tamen. Nam & ille cui talentum erat creditum, non quia quinque talenta non tulit, ob id incusatus est, sed quòd vnum illud defoderit, quod acceperat, dedit pœnas. Siquidem hoc est quod quæritur apud DEUM & apud homines, non multáne aut pauca deponas, sed

Simile sumptum.

Math. 25. 15.

ne oblationem offeras facultatibus inferiorem. Audistis heri quum nobis datum esset hoc honoris, vt apud charitatem vestram dissereremus, psalmum illum legentibus nobis qui peccatorem è sacris septis eijciens, angelos supernásque virtutes hortabatur ad laudandum vniuersorum Deum: vultis igitur & hodie, idem mysticum melos audiamus, propè illic alicubi astantes? Mihi videtur. Nam si homines scelerati dum

Simile.

choreas agunt in foro, in profunda caligine, noctéque intempesta meretricias cantilenas, molléque canentes cantiones, totam ciuitatem nobis excitant, & ad sese conuertunt: nos cœlestium populorũ supernis choris regem vniuersi celebrantibus nõ occurremus, non audiemus diuinam illam ac beatam vocem? Et quæ nobis dabitur venia? Sed quomodo inquis licet audire? Si in ipsum ascenderimus cœlũ, modò fieri possit: etsi non corpore, certè mente licet: etsi minus præsentia, certè cogitatione. Nam corpus quoniam terrestre est ac graue, natura manet in terris: anima verò ab hac necessitate est, facilliméq. ad altissima longissiméque semota loca aduolat, etiam si velit ad extremos orbis terminos peruenire, aut in cœlum ascendere, nihil est quod vetet, adeò ipsi leues cogitationum alas

Anima vis.

dedit Deus. Nec tantum alas leues dedit, verùm & oculos largitus est, multò quàm corporis perspicaciores. Nam corporis aspectus siquidem per vacuum aërem feratur, ad longum interuallum progreditur: quòd si in exiguum corpus impegerit, non aliter quàm fluxus qui ferebatur, obstaculo repulsus, denuò retrorsum auertitur: verum animi oculi etiamsi parietes, etiamsi mœnia, etiamsi montium moles, etiamsi cœlorum corpora compererint obstantia, omnia facilè prætercurrunt. Attamen quum tantam habeat celeritatem, & oculorum aciem anima, non est ex sese sufficiens ad intelligentiam rerum spiritualium, sed opus habet qui ipsam manu porrecta deducat. Faciamus igitur quod in regũ palatiis facere solent,

Similitudo ab inspectione palatij regij.

qui cupiunt ea videre. Quid autem illi faciunt? Vbi quæsierint eum cui claues

μηδαμῶς τῆς ὑπαρχούσης δυνάμεως ἐλάττω τὴν εἰσφορὰν ἐνεγκεῖν. ἠκούσατε πρώην, ὅτι πρὸς τὴν ὑμετέραν ἀγάπην διαλεχθῆναι κατηξιώθημεν, τὸν ψαλμὸν ἐκεῖνον ἀναγινωσκόντων ἡμῶν, ὃς τὸν ἁμαρτωλὸν τῶν ἱερῶν περιβόλων ἐκβαλὼν, ἀγγέλοις καὶ ταῖς ἄνω δυνάμεσιν εὐφημεῖν παρεκελεύετο τὸν τῶν ὅλων Θεόν. βούλεσθε οὖν καὶ σήμερον αὐτοῦ τοῦ ἀγγελικοῦ μέλους ἀκούσωμεν ἐγγύς που παρεστάντες ἐκεῖ; ἐμοί γε δοκεῖ. εἰ γὰρ ἄνθρωποι μιαροὶ χορεὺς ἱστάντες ἐπὶ τῆς ἀγορᾶς, ἐν σκότει βαθεῖ καὶ ἀωρεὶ τῶν νυκτῶν πορνικὰ ᾄσματα καὶ κεκλασμένα ᾄδοντες μέλη, πᾶσαν ἀναπείθουσι τὴν πόλιν ἡμῶν, καὶ πρὸς ἑαυτοὺς ἐπιστρέφουσιν, ἡμεῖς τῶν ἐπουρανίων δήμων, τῶν ἄνω χορῶν τὸν βασιλέα τοῦδε τοῦ παντὸς ὑμνούντων οὐ συνδραμούμεθα, ὥστε ἀκοῦσαι τῆς θείας ἐκείνης καὶ μακαρίας φωνῆς; καὶ τίς ἂν ἡμῖν γένοιτο συγγνώμη; καὶ πῶς ἔστιν ἀκοῦσαι, φησιν; εἰς αὐτὸν ἀνελθόντας τὸν οὐρανὸν, εἰ καὶ μὴ τῷ σώματι, ἀλλὰ τῷ φρονήματι· εἰ καὶ μὴ τῇ παρουσίᾳ, ἀλλὰ τῇ διανοίᾳ. τὸ μὲν γὰρ σῶμα γεῶδες ὂν καὶ βαρὺ, κάτω πέφυκε μένειν, ἡ δὲ ψυχὴ τῆς ἀνάγκης ταύτης ἀπήλλακται, καὶ τοῖς ὑψηλοτάτοις καὶ μετεωροτάτοις χωρίοις ῥᾳδίως ἐφίπταται· ὥστε κἂν εἰς αὐτὰ θελήσῃ τῆς οἰκουμένης τὰ ἔσχατα ἐλθεῖν, καὶ εἰς τὸν οὐρανὸν ἀναβῆναι, τὸ κωλῦον οὐδέν. οὕτως αὐτῇ κοῦφα τὰ πτερὰ τῶν λογισμῶν δέδωκεν ὁ Θεός. οὐ πτερὰ δὲ κοῦφα δέδωκε μόνον, ἀλλὰ καὶ ὀφθαλμοὺς ἐχαρίσατο πολλῷ τοῦ σώματος ὀξύτερον βλέποντας. ἡ μὲν γὰρ τοῦ σώματος ὄψις, ἂν μὲν διὰ κενοῦ φέρηται τοῦ ἀέρος, μέχρι πολλοῦ τοῦ διαστήματος πρόεισιν· ἂν δὲ μικρῷ προσπταίσῃ σώματι, καθάπερ ῥεῦμα φερόμενον ἀνακαμφθὲν, εἰς τοὐπίσω πάλιν ἀποστρέφεται· οἱ δὲ τῆς ψυχῆς ὀφθαλμοὶ, κἂν τοίχοις, κἂν τείχη, κἂν ὀρῶν μεγέθη, κἂν αὐτὰ τῶν οὐρανῶν εὕρωσιν αὐτοῖς ἀντικείμενα τὰ σώματα, πάντα παραδραμοῦνται ῥᾳδίως. ἀλλ' ὅμως οὕτω καὶ ταχυτῆτος καὶ ὀξυωπίας ἔχουσα ἡ ψυχὴ, οὐκ ἔστιν αὐτάρκης πρὸς τὴν τῶν οὐρανίων κατάληψιν αὐτὴ καθ' ἑαυτὴν, ἀλλὰ τοῦ χειραγωγήσοντος αὐτὴν δεῖται. ποιήσωμεν οὖν ὃ περὶ τὰς βασιλικὰς αὐλὰς οἱ ἐπιθυμοῦντες ἰδεῖν ποιοῦσι. τί δαὶ ἐκεῖνοι ποιοῦσι; ζητήσαντες τὸν

τὰ κλεῖθρα τῶν θυρῶν ἐγκεκλεισμένων, ἐκείνῳ προσέρχονται καὶ διαλέγονται καὶ ἱκετεύουσι, πολλάκις δὲ καὶ ἀργύριον καταβάλλουσιν, ὥστε δοῦναι αὐτοῖς τὴν χάριν. προσέλθωμεν οὖν καὶ ἡμεῖς τινι τῶν τὰς πύλας ἐπιτεταγμένων τὰς οὐρανίους, καὶ διαλεχθῶμεν, ἱκετεύσωμεν, ἀντὶ ἀργυρίου προαίρεσιν ἐπιδειξώμεθα καὶ διάθεσιν εἰλικρινῆ. κἂν τοῦτον ἐκεῖνος λάβῃ τὸν μισθόν, τῆς χειρὸς ἡμῶν λαβόμενος, πανταχοῦ περιηγήσεται, οὐκ αὐτὰ δεικνὺς τὰ βασίλεια, ἀλλ' αὐτὸν καθήμενον τὸν βασιλέα, τῶν στρατιωτῶν παρόντων, καὶ τῶν ἀρχιστρατήγων περιεστώτων, τῶν μυριάδων τῶν ἀγγελικῶν, τῶν χιλιάδων τῶν ἀρχαγγελικῶν· πάντα ἡμῖν ἐπιδείξει μετ' ἀκριβείας, ὡς ἡμῖν ἰδεῖν δυνατόν. τίς οὖν ἐστιν οὗτος; τίς ὁ τὸ μέρος τοῦτο ἐμπεπιστευμένος, καθ' ὃ βουλόμεθα νῦν εἰσελθεῖν; Ἡσαΐας, ὁ τῶν προφητῶν μεγαλοφωνότατος. οὐκοῦν ἀνάγκη τούτῳ διαλεχθῆναι. ἀλλ' ἕπεσθε κατεσταλμένῳ ῥυθμῷ βαδίζοντες μετὰ ἡσυχίας πολλῆς. μηδεὶς φροντίδας ἔχων βιωτικὰς εἰσίτω, μηδεὶς μετέωρος, μήτε ἐπτοημένος, ἀλλὰ ταῦτα πάντα ἔξω πρὸ τῶν θυρῶν ἀποθέμενοι, πάντες οὕτως εἰσίωμεν. εἰς βασίλεια γὰρ εἰσερχόμεθα τῶν οὐρανῶν, ἀστραπτόντων ἐπιβαίνομεν χωρίων, πολλῆς τὰ ἔνδον γέμει σιγῆς καὶ μυστηρίων ἀπορρήτων. ἀλλὰ προσέχετε μετ' ἀκριβείας. ἡ γὰρ τῶν γραφῶν ἀνάγνωσις τῶν οὐρανῶν ἐστιν ἄνοιξις. καὶ ἐγένετο, φησι, τοῦ ἐνιαυτοῦ, οὗ ἀπέθανεν Ὀζίας ὁ βασιλεύς, εἶδον τὸν κύριον καθήμενον ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου. εἶδες εὐγνώμονος οἰκέτου φιλοφροσύνην; εὐθέως ἡμᾶς πρὸς τὸν θρόνον εἰσήγαγε τὸν βασιλικόν, οὐ μακρὰς πρότερον περιαγαγὼν εἰσόδους, ἀλλ' ὁμοῦ τε τὰς πύλας ἀνέῳξε, καὶ κατάντικρυ τὸν βασιλέα καθήμενον ἔδειξε. καὶ τὰ Σεραφείμ, φησιν, εἱστήκεισαν κύκλῳ αὐτοῦ· ἓξ πτέρυγες τῷ ἑνί, καὶ ἓξ πτέρυγες τῷ ἑνί· καὶ ταῖς μὲν δυσὶ κατεκάλυπτον τὸ πρόσωπον, καὶ ταῖς δυσὶ τοὺς πόδας, καὶ ταῖς δυσὶν ἐπέταντο. καὶ ἐκέκραγον ἕτερος πρὸς τὸν ἕτερον, καὶ ἔλεγον· ἅγιος, ἅγιος, ἅγιος κύριος Σαβαώθ. ὄντως ἅγιος, ὅτι τοσούτων καὶ τηλικούτων μυστηρίων κατηξίωσε τὴν ἡμετέραν φύσιν, ὅτι τούτων ἡμᾶς ἐποίησεν ἀπορρήτων κοινωνούς. φρίκη με καὶ τρόμος μεταξὺ ἔλαβε τῆς ᾠδῆς ταύτης. καὶ τί θαυμαστόν, εἰ ἐμὲ τὸν πηλινὸν καὶ τὸν ἀπὸ γῆς,

A commissæ sunt, illum adeunt, alloquuntur & supplicant, frequenter & pecuniam numerant, vt ipsis gratificetur. Adeamus ergo & nos vnum eorum, quibus cœlestes portæ commissæ sunt, appellemus, supplicemus, pro pecunia promptam voluntatem, syncerumque affectum exhibeamus. Et si ille mercedem hanc acceperit, manu nostra apprehensa per omnia circumducet, non ad istam supellectilē regiam, sed ipsum regem in throno sedentem astantibus exercitibus exercituúmque ducibus, assistentibus innumerabilium Angelorum & Archangelorum millibus, B breuiter omnia diligenter nobis ostendet, quatenus nobis videre fas est. Quis igitur est iste cui hæc functio commissa est, quam sequentes nunc volumus ingredi? Esaias Prophetarum vocalissimus. Ergo necesse est, vt hunc alloquamur. Agite, sequamini composito gradu incedentes, multo cum silentio: ne quis ingrediatur curis onustus mundanis, ne quis animi dubius, ne quis attonitus: verum hæc omnia foris ante ostium deponamus omnes, atque ita demum ingrediamur. Ingredimur enim C in regnum cœlorum, conscendimus in in regiones stellis fulgurantes. Quæ intus sunt miro silentio plena sunt, mysteriisque non efferendis referta. Sed animaduertite diligenter: nam scripturarum lectio, cœlorum est reseratio. Et factum est anno quo mortuus est Ozias rex, vidi Dominum sedentem in throno excelso & elato. Vidisti probi famuli beneuolentiam humanitatémque. Illico nos ad thronum induxit regium, nec prius circumegit post longos ambitus, sed simul atque portas aperuit, è regione sedentem Dominum ostendit. D Et Seraphim, inquit, stabant in circuitu eius, sex alæ vni, & sex alæ alteri, ac duabus quidem velabant faciem, duabus pedes, & duabus volabant, & clamabant alter ad alterum dicentes: Sanctus, sanctus, sanctus Dominus Sabaoth. Verè sanctus qui nostram naturam tantis ac talibus mysteriis dignatus est, qui nos talium secretorum consortes fecit. Atque interim me horror ac tremor corripuit huius cantilenæ gratia. Et quid mirum si me corripuit luteum ac terrenum, quum etiam ipsas

Scriptura quomodo audienda.

Esa. 6.1.

supernas virtutes semper maximus obtineat stupor, ea propter auertunt facies alasque vice murorum obijciunt, non ferentes radios illinc proficiscentes, & tamen id quod apparebat, ad nostram imbecillitatem sese demittebat. Cur igitur non tulerunt? Mihi ista dicis? Dic istis qui curiosè scrutantur ineffabilem ac beatam naturam, his, qui audent non audenda. Ipsa Seraphim demissionem quidem Dei sustinuerunt intueri: & homo ausus est dicere, imò potius homo ausus est animo concipere, quòd naturam ipsam syncaram, & Cherubinis minimè conspicuã, possit ad plenum claréque videre. Horresce cœlum, obstupesce terra: hoc audere maius est iis, quæ ausi sunt illi. Nam quæ tum illi per impietatem audebãt, eadem nunc per impietatem audent isti. Nam creaturam similiter adorant: quod autem nunc isti commenti sunt, nullus eius ætatis hominum neque dicere, neq. audire sustinuit. Quid ais? Demissio erat quod videbatur? Erat, sed Dei. Etenim si Daniel cui multum erat familiaritatis ac fiduciæ apud Deum, non sustinuit Angelum sese ipsi demittentem videre, sed cecidit iacuitque pronus, ob illam gloriam vinculis oculorũ illius dissolutis: quid mirum si Seraphim expauefacta sunt non sustinentia maiestatem illam intueri? Neque enim tantum discriminis est inter Danielem & Angelum, quantum inter Deũ & virtutes illas. Verùm ne nos plus quàm sat est his miraculis immorantes vestros animos in stuporem adigamus, age ad initium historiæ conuertamur, humilioribus enarrationibus vestros animos ad eius intelligentiam adducentes. *Et factum est anno quo mortuus est Ozias rex.* Operæprecium est inquirere primum, qua gratia Propheta nobis tempus designarit: Neque enim hoc fortuitò temeréve facit. Nam Prophetarum ora, Dei sunt os. Tale verò os nihil dixerit obiter & extra rem. Ne igitur nos obiter & aliud agentes audiamus. Etenim si ij qui qui fodiunt metalla, ne minima quidem frustula prætereunt, verùm vbi nacti fuerint aliquam venam auri, meatus omnes exactè circumspiciunt: multò magis hoc facere nos oportet in scripturis. Et tamen in metallis difficile est inuenire quod venantur. Etenim quum &

Diuina natura nec angelis cõprehensibilis.

Daniel. 8.

ὅπου γε καὶ αὐταὶ αἱ ἄνω δυνάμεις διηνεκῶς τὴν μεγίστην ἔκπληξιν κατέχει. διὰ τοῦτο γοῦν ἀποστρέφουσι τὰς ὄψεις, καὶ τὰς πτέρυγας ἀντὶ τειχῶν προβάλλονται, τὰς ἐκεῖθεν ἀκτῖνας μὴ φέρουσαι. καίτοι, φησί, συγκατάβασις ἦν τὸ φαινόμενον. πῶς οὖν οὐκ ἴσχυσαν; ἐμοὶ ταῦτα λέγεις; εἰπὲ τοῖς τὴν ἀπόρρητον καὶ μακαρίαν περιεργαζομένοις φύσιν, τοῖς τὰ ἀτόλμητα τολμῶσι. τὰ Σεραφεὶμ οὐδὲ συγκατάβασιν ἐτόλμησαν ἰδεῖν, ἄνθρωπος δὲ κατετόλμησεν εἰπεῖν, μᾶλλον δὲ ἄνθρωπος εἰς νοῦν λαβεῖν ἐτόλμησεν, ὅτι τὴν φύσιν τὴν ἀκραιφνῆ τὴν καὶ τοῖς Χερουβεὶμ ἀθεώρητον δύναται μετ᾽ ἀκριβείας ἰδεῖν. καὶ φρῖξον οὐρανέ, ἔκστηθι γῆ· μείζονα ταῦτα ἐκείνων τὰ τολμήματα. ἃ μὲν γὰρ τότε ἠσέβουν ἐκεῖνοι, καὶ νῦν ἀσεβοῦσιν οὗτοι· τὴν γὰρ κτίσιν προσκυνοῦσιν ὁμοίως, ὃ δὲ ἐπενόησαν οὗτοι νῦν, οὐδεὶς τῶν τότε ἀνθρώπων οὔτε εἰπεῖν, οὔτε ἀκοῦσαι ἐτόλμησε. τί λέγεις; συγκατάβασις ἦν τὸ φαινόμενον; ναί, ἀλλὰ Θεοῦ συγκατάβασις. εἰ γὰρ ὁ πολλὴν παρρησίαν ἔχων πρὸς τὸν Θεὸν Δανιὴλ ἄγγελον συγκαταβαίνοντα αὐτῷ ἰδεῖν οὐχ ὑπέμεινεν, ἀλλ᾽ ἔπεσε καὶ πρηνὴς ἔκειτο, τῶν συνδέσμων τῆς ὄψεως αὐτοῦ λυθέντων ὑπὸ τῆς δόξης ἐκείνης, τί θαυμαστόν, εἰ τὰ Σεραφεὶμ ἐξεπλάγη, οὐκ ἀνέχοντα τὴν δόξαν ἐκείνην ὁρᾷν; οὐ γὰρ τοσοῦτον τοῦ Δανιὴλ πρὸς τὸν ἄγγελον τὸ μέσον, ὅσον τοῦ Θεοῦ πρὸς τὰς δυνάμεις ἐκείνας. ἀλλ᾽ ἵνα μὴ καὶ ἡμεῖς ἐπὶ πλέον τοῖς θαύμασι τούτοις ἐνδιατρίβοντες, εἰς θάμβος ἐμβάλωμεν ὑμῶν τὴν ψυχήν, φέρε ἐπὶ τὴν ἀρχὴν τῆς ἱστορίας τὸν λόγον ἐπιστρέψαντες, ταπεινοτέροις αὐτὴν ψυχαγωγήσωμεν διηγήμασι. καὶ ἐγένετο τοῦ ἐνιαυτοῦ, οὗ ἀπέθανεν Ὀζίας ὁ βασιλεύς. ἄξιον πρότερον ἐπιζητῆσαι, τίνος ἕνεκεν τὸν χρόνον ἡμῖν ὁ προφήτης ἐπισημαίνεται. οὐ γὰρ ἁπλῶς, οὐδὲ εἰκῆ τοῦτο ποιεῖ. τὰ γὰρ τῶν προφητῶν στόματα τοῦ Θεοῦ ἐστι στόμα· τὸ δὲ τοιοῦτον στόμα οὐδὲν ἂν εἴποι παρέργως. μὴ τοίνυν μηδὲ ἡμεῖς παρέργως ἀκούωμεν. εἰ γὰρ οἱ τὰ μέταλλα ἀνορύττοντες, οὐδὲ τὰ μικρὰ ψήγματα παρατρέχουσιν, ἀλλ᾽, ὅταν χρυσίτιδος ἐπιλάβωνται φλεβός, τὰς ἶνας ἀκριβῶς περισκοποῦσι, πόσῳ μᾶλλον ἐπὶ τῶν γραφῶν τοῦτο ποιεῖν ἡμᾶς χρή; καίτοι γε ἐπὶ τῶν μετάλλων σφόδρα δυσθήρατος ἡ τῶν ζητουμένων ἐστὶν εὕρεσις. ἐπεὶ γὰρ καὶ

τὰ μέταλλα γῆ, καὶ τὸ χρυσίον οὐδὲν ἕτερόν ἐστιν, ἢ γῆ, καὶ ἡ κοινωνία τῆς φύσεως τῶν ζητουμένων κλέπτει τὰς ὄψεις, ἀλλ' ὅμως οὐδὲ οὕτως ἀφίστανται ἐκεῖνοι, ἀλλὰ πᾶσαν ἀκρίβειαν ἐπιδείκνυνται· καί τοι ὁρῶντες ἴσασι, τί μὲν ὄντως γῆ, τί δὲ ὄντως χρυσίον. ἐπὶ δὲ τῆς γραφῆς οὐκ ἔστιν οὕτως. οὐ γὰρ μετὰ τῆς γῆς ἀναμεμιγμένον πρόκειται τὸ χρυσίον, ἀλλὰ καθαρὸν χρυσίον ἐστί. τὰ λόγια γάρ, φησι, κυρίου ἁγνά, ἀργύριον πεπυρωμένον δοκίμιον τῇ γῇ. οὐ γάρ ἐστι μέταλλα κατεργασίας δεόμενα αἱ γραφαί, ἀλλὰ θησαυρὸν ἕτοιμον παρέχουσι τοῖς ζητοῦσι τὸν πλοῦτον τὸν ἐξ αὐτῶν. ἀρκεῖ γὰρ παρακύψαι μόνον, καὶ πάσης ἐμπλησθέντας ὠφελείας ἀπελθεῖν. ἀρκεῖ μόνον ἀνοῖξαι, καὶ τῶν λίθων εὐθέως θεωρῆσαι τὰς μαρμαρυγάς. ταῦτα δέ μοι οὐχ ἁπλῶς εἴρηται, οὐδὲ εἰκῇ ἐξέτεινα τὸν λόγον· ἀλλ' ἐπειδή τινές εἰσιν ἄνθρωποι βάναυσοι, οἳ, ἐπειδὰν τὰς θείας μετὰ χεῖρας λάβωσι βίβλους, εἶτα ἀριθμὸν χρόνων ἢ κατάλογον εὕρωσι κείμενον ὀνομάτων, εὐθέως παρατρέχουσι, καὶ πρὸς τοὺς ἐγκαλοῦντας λέγουσιν· ὀνόματά μόνον ἐστί, καὶ οὐδὲν χρήσιμον ἔχει. τί λέγεις; ὁ Θεὸς φθέγγεται, καὶ σὺ τολμᾷς εἰπεῖν, οὐδὲν χρήσιμον τῶν εἰρημένων ἐστίν; εἰ γὰρ ἐπιγραφὴν μόνον ἴδοις ψιλήν, οὐ στήσῃ μετὰ σπουδῆς, εἰπέ μοι, καὶ τὸν κείμενον ἀνερευνήσεις πλοῦτον; καὶ τί λέγω χρόνους καὶ ὀνόματα καὶ ἐπιγραφάς; μάθε ὅσον ἰσχύει καὶ στοιχείου προσθήκη ἑνὸς μόνου, καὶ παῦσαι ὁλοκλήρων καταφρονῶν ὀνομάτων. ὁ πατριάρχης ἡμῶν Ἀβραὰμ (ἡμῶν γὰρ μᾶλλον, ἢ τοῖς Ἰουδαίοις προσῆκεν οὗτος) Ἀβρὰμ τὸ πρότερον ἐκαλεῖτο, ὅπερ ἑρμηνευόμενόν ἐστι περάτης· μετὰ δὲ ταῦτα, Ἀβραὰμ μετονομασθεὶς πατὴρ ἐγένετο πάντων τῶν ἐθνῶν, καὶ ἑνὸς προσθήκη στοιχείου τοσαύτην τῷ δικαίῳ τὴν ἀρχὴν ἐνεχείρισεν. καθάπερ γὰρ οἱ βασιλεῖς τοῖς ἑαυτῶν ὑπάρχοις χρυσᾶς ὀρέγουσι δέλτους, σύμβολον τῆς ἀρχῆς· οὕτω καὶ ὁ Θεὸς τότε τῷ δικαίῳ ἐκείνῳ σύμβολον τῆς τιμῆς δέδωκε τὸ στοιχεῖον. ἀλλὰ περὶ μὲν ὀνομάτων ἐν ἑτέρῳ καιρῷ διηγησόμεθα· ὅσον δὲ τῶν χρόνων τὸ κέρδος ἐστὶ γινωσκομένων, καὶ ὅσον τὸ βλάβος ἀγνοουμένων, ἀναγκαῖον εἰπεῖν. καὶ πρότερόν γε ἀπὸ τῶν βιωτικῶν τοῦτο ἐπιδείξομαι πραγμάτων. αἱ διαθῆκαι καὶ τὰ γραμματεῖα τὰ περὶ γάμων, τὰ περὶ ὀφλημάτων, τὰ περὶ τῶν ἄλλων συμβολαίων,

metalla sint terra, & aurum nihil aliud sit quàm terra, ipsa quoque naturæ communio similitudóque eorum, quæ quæruntur, oculos fallit? Attamen ne sic quidem desistunt illi, sed omnem adhibent diligentiam, etiamsi posteaquam inspexerint, sciant quid verè sit terra, quid verè aurum: in scripturis autem non est eadem ratio: Neque enim proponitur aurum terræ commixtum, sed purum est aurum: Eloquia, inquit, Dei pura, argentum igni exploratum, probatum terræ. Siquidem scripturæ non sunt metalla quæ indigeant operariis, sed thesaurum præbent paratum iis, qui quærunt opes in ipsis reconditas. Satis est enim introspexisse, vt omni expleti fructu discedatis, satis est tantum aperuisse, vt illicò videas gemmarum splendorem. Hæc autem mihi non temerè dicta sunt, neque fortuitò produxi sermonem, sed ob id quòd sunt homines quidam opifices, qui posteaquam sacros libros in manus sumpserint, deinde repererint vel annorum numerum positum, vel nominum recensionem, illicò prætercurrunt, & incusantibus respondent, Nomina tantùm sunt, neque quicquam habent vtilitatis. Quid ais? Deus loquitur, & tu audes dicere, Nulla est dictorum vtilitas? Etenim si ad nudam inscriptionem aspexeris tantùm, dic mihi, nónne resistes cum studio, repositásque scrutaberis opes? Sed quid loquor de temporibus & nominibus titulísque? disce quantùm valeat vnius tantùm literulæ adiectio, ac desine tota contemnere nomina. Patriarcha noster Abr[illegible]am (noster enim potius est quàm Iudæorum) hic prius dictus est Abram, quod interpretatum sonat, transitorem: post hæc verò nomine commutato dictus, Abraham, pater factus omnium gentium, & vnicum elementum adiectum, tantum principatum vindicauit iusto. Quemadmodum enim reges præfectis suis aureas porrigunt tabellas magistratus signum, sic & Deus iusto illi honoris signum dedit literam. Verùm de nominibus alio tempore disseram: quantus autem sit fructus si cognoscatur: rursum quantum damnum si ignoretur, aperiendum est. Ac primùm quidem id à rebus temporariis demonstrabo. Testamenta tabulæque de nuptiis, de debitis, déque reliquis contractibus,

Psal. 11. 7.

Scripturâ nihil habet superuacuum.

Aurea tabella data magistratibus.

Simile.

nisi in frontispicio Cõsulum annos habeant præscriptos, nullam ex sese vim habent. Hoc est enim quod illis robur addit, hoc est quod controuersias dirimit, hoc quod à lite liberat, hoc quod ex inimicis facit amicos. Proinde qui talia describunt, non aliter quàm lucerna in candelabro poni solet, sic in frontispicio literarum, addunt Consulum nomina, vt omnibus quæ subijciuntur præluceant. Quæ si sustuleris, lumen sustuleris, omniaque tenebris multaq; turbatione compleueris. Propterea, omne dati acceptique negotiũ siue cum amicis siue cum inimicis, siue cum famulis, siue cũ procuratoribus & œconomis agatur: hac eget cautione, & vbique menses, annos ac dies subscribimus. Quòd si tantum valet ea res in negociis temporalibus, in spiritualibus multò amplius profuerit. Siquidẽ hoc declarat prophetias esse prophetias. neque enim aliud quicquã est prophetia, quàm rerum futurarum enarratio. Proinde qui nescit tempora eorũ quæ dicta sunt, quæve euenerunt, qui poterit homini contentioso demonstrare prophetiæ certitudinem? Hinc nobis & aduersus gentes certamina contentionésque, quum nostra demonstramus antiquiora, quàm quæ apud illos habentur: hinc nobis aduersus Iudæos infœlices multis opus est demonstrationibus ad euincendam veritatem. Aduersus Iudæos, inquam, infœlices ac miseros, qui ob temporum ignorantiam in grauissimum errorem prolapsi sunt. Nam si audissent patriarcham dicentem, Non deficiet princeps ex Iuda, neque dux de fœmoribus eius, donec venerit, cui repositum est: Sique obseruassent exacta diligentia aduentus dominici tempora, futurum non esset, vt incidant in Antichristum à Christo dilapsi. Quemadmodum & ipse Christus eis prædixit, Ego veni in nomine patris mei, & non recepistis me: Si venerit alius in nomine suo, illum recipietis. Vidisti quantus error inciderit ex inscitia temporum. Tantam igitur vtilitatem ne negligas. Quemadmodum enim in agris termini columnæque non sinunt arua confundi, sic tempora non sinunt confundi res gestas, sed dum dirimunt alias ab aliis, &

Iudæi obstinati.

Gen. 49. 10.

Ioan. 5. 43.

Simile à terminis agrorum.

A ἐὰν μὴ τὰς ὑπατείας τοῖς χρόνοις αὐτῶν ἔχῃ προγεγραμμένοις, πάσης ἔρημα τῆς οἰκείας ἐστὶ δυνάμεως. τοῦτο γάρ ἐστιν ἐν ἐκείνοις τὸ ἰσχυρὸν, τοῦτο τὰς ἀμφισβητήσεις αἰαιρεῖ, τοῦτο δικαστηρίων ἀπαλλάττει, καὶ τοὺς ἐχθροὺς φίλους ποιεῖ. διὰ τοῦτο οἱ ταῦτα γράφοντες, ὥσπερ λύχνον ἐπὶ λυχνίας, οὕτως ἐπὶ τοῦ μετώπου τῶν γραμμάτων προτιθέασι τὴν ὑπατείαν, ἵνα πᾶσι τοῖς κάτω φαίνῃ. κἂν ταῦτα ἀνέλῃς, ἀνεῖλες τὸ φῶς, καὶ πάντα σκότους καὶ πολλῆς ἐνέπλησας ταραχῆς. διὰ τοῦτο πᾶσα δόσις καὶ λῆψις, κἂν πρὸς φίλους, κἂν πρὸς ἐχθροὺς, κἂν πρὸς οἰκέτας, κἂν B πρὸς ἐπιτρόπους καὶ οἰκονόμους γίγνηται, ταύτης δεῖται τῆς ἀσφαλείας, καὶ πανταχοῦ καὶ μῆνας καὶ ἐνιαυτοὺς καὶ ἡμέρας κάτωθεν παραγράφομεν. εἰ δὲ ἐπὶ τῶν βιωτικῶν τοσαύτη τοῦ πράγματος ἡ ἰσχὺς, ἐπὶ τῶν πνευματικῶν πολλῷ μείζων καὶ χρησιμωτέρα. τὰς γὰρ προφητείας τοῦτο δείκνυσι προφητείας. οὐδὲ γὰρ ἄλλο τί ποτέ ἐστι προφητεία, ἀλλ᾽ ἢ τῶν μελλόντων πραγμάτων προαναφώνησις. ὁ τοίνυν τοὺς καιροὺς ἀγνοῶν τῶν εἰρημένων πραγμάτων ἢ τῶν ἐκβαίντων, πῶς δυνήσεται δεῖξαι τῷ φιλονεικοῦντι C τὸ τῆς προφητείας ἀξίωμα; ἐντεῦθεν ἡμῖν καὶ οἱ πρὸς Ἕλληνας ἀγῶνες καὶ νῖκαι, ὅταν πρεσβύτερα ἀποφαίνωμεν τὰ ἡμέτερα τῶν παρ᾽ ἐκείνοις. ἐντεῦθεν ἡμῖν καὶ πρὸς Ἰουδαίους ἀποδείξεις περὶ τῆς ἀληθείας εἰσί· πρὸς Ἰουδαίους τοὺς ἀθλίους καὶ ταλαιπώρους, οἳ διὰ τὴν τῶν χρόνων ἄγνοιαν τὸ μέγιστον σφάλμα ἐσφάλησαν. εἰ γὰρ ἤκουσαν τοῦ πατριάρχου λέγοντος, Οὐκ ἐκλείψει ἄρχων ἐξ Ἰούδα, οὐδὲ ἡγούμενος ἐκ τῶν μηρῶν αὐτοῦ, ἕως ἂν ἔλθῃ ᾧ ἀπόκειται, καὶ εἰ D παρετήρησαν μετ᾽ ἀκριβείας τοὺς τῆς παρουσίας καιροὺς, οὐκ ἔμελλον, ἐκπεσόντες τοῦ Χριστοῦ, τῷ ἀντιχρίστῳ περιπίπτειν· καθάπερ οὖν καὶ αὐτὸς ὁ Χριστὸς τοῦτο αὐτοῖς αἰνιττόμενος εἶπεν· ὅτι ἐγὼ ἦλθον ἐν τῷ ὀνόματι τοῦ πατρός μου, καὶ οὐκ ἐδέξασθέ με· ἐὰν ἄλλος ἔλθῃ ἐν τῷ ὀνόματι τῷ ἰδίῳ, ἐκεῖνον λήψεσθε. εἶδες πόσον παράπτωμα ἀπὸ τῆς τῶν χρόνων γέγονεν ἀγνοίας; μὴ τοίνυν ἀμελήσῃς ὠφελείας τοσαύτης. καθάπερ γὰρ ὅροι καὶ στῆλαι ἐν τοῖς ἀγροῖς τὰς ἀρούρας οὐκ ἐῶσι συγχεῖσθαι· οὕτως οἱ χρόνοι καὶ οἱ καιροὶ τὰ πράγματα οὐκ ἐῶσιν ἀλλήλοις συμπίπτειν, ἀλλὰ διείργουσιν ἀπ᾽ ἀλλήλων αὐτὰ, καὶ

καθ

κατὰ τὴν προσήκουσαν ἕκαστα διαθέντες τάξιν, πολλῆς ἀπαλλάττουσιν ἡμᾶς ταραχῆς. ἄξιον τοίνυν εἰπεῖν πρὸς ὑμᾶς, τίς ἦν οὗτος ὁ Ὀζίας, καὶ πότε ἐβασίλευσε, καὶ τίνων ἐβασίλευσε, καὶ πόσος αὐτῷ γέγονεν ὁ τῆς ἀρχῆς χρόνος, καὶ πῶς τὸν βίον κατέλυσε· μᾶλλον δὲ ἄξιον σιγῆσαι λοιπόν· ἀνάγκη γὰρ εἰς ἄπειρον πέλαγος ἱστοριῶν ἀφιέναι τὸν λόγον· τοὺς δὲ τοιοῦτον μέλλοντας πορεύεσθαι πέλαγος, οὐ κεκμηκότων τῶν πλωτήρων, ἀλλ' ἀκμαζόντων, ἅπτεσθαι χρὴ τῆς ὁδοῦ. Διὰ τοῦτο καὶ λιμένες, καὶ νῆσοι πανταχοῦ τῆς θαλάσσης εἰσὶ πεφυτευμέναι, ἵνα καὶ κυβερνήτης καὶ ναύτης διαναπαύηται, ὁ μὲν τὴν κώπην ἀποτιθέμενος, ὁ δὲ τῶν οἰάκων ἐξανιστάμενος. Διὰ τοῦτο καὶ πανδοχεῖα καὶ καταγώγια πανταχοῦ τῶν ὁδῶν ἐπινενόηται, ἵνα καὶ ὑποζύγια καὶ ὁδοιπόροι τῶν πόνων λήγωσι. Διὰ τοῦτο καὶ τῷ λόγῳ τῆς διδασκαλίας καιρὸς σιωπῆς ὥρισται, ἵνα μήτε ἑαυτοὺς καταστείβωμεν τῷ πλήθει τῶν λεγομένων, μήτε ὑμᾶς ἀποκναίωμεν. καὶ τούτους οἶδε τοὺς καιροὺς καὶ Σολομῶν, οὕτω λέγων· καιρὸς τοῦ σιγῆσαι, καὶ καιρὸς τοῦ λαλῆσαι. γενέσθω οὖν ἡμῖν καιρὸς τοῦ σιγῆσαι, ἵνα γένηται καιρὸς τῷ διδασκάλῳ τοῦ λαλῆσαι. τὰ μὲν γὰρ ἡμέτερα ἔοικεν οἴνῳ προσφάτως τῶν ὑποληνίων ἐξαντληθέντι, τὰ δὲ τούτου προσέοικεν οἴνῳ πεπαλαιωμένῳ καὶ γεγηρακότι πολλὴν παρέχοντι καὶ τὴν ὠφέλειαν καὶ τὴν ἰσχὺν τοῖς δεομένοις. καὶ τὸ τοῦ εὐαγγελίου ἐκεῖνο γέγονε σήμερον. μετὰ τὸν ἐλάττονα γὰρ οἶνον ὁ βελτίων εἰσκομίζεται. καὶ καθάπερ ἐκεῖνον οὐκ ἄμπελος ἔτεκε τότε, ἀλλ' ἡ δύναμις ἐποίησε τοῦ Χριστοῦ· οὕτω καὶ τούτου τὸν λόγον οὐκ ἀνθρωπίνη προχέει διάνοια, ἀλλ' ἡ τοῦ πνεύματος χάρις. ἐπεὶ οὖν δαψιλῆ καὶ πνευματικὰ τὰ νάματα, μετὰ σπουδῆς ὑποδεξώμεθα, μετ' ἀσφαλείας τηρήσωμεν, ἵνα τούτοις ἀρδόμενοι διηνεκῶς, ὡραῖον φέρωμεν τὸν καρπὸν τῷ ταῦτα χαρισαμένῳ Θεῷ· ᾧ πρέπει πᾶσα δόξα καὶ τιμὴ σὺν τῷ μονογενεῖ αὐτοῦ υἱῷ καὶ τῷ παναγίῳ πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

A in ordinem congruentem digerunt, multa nos liberant turbatione. Operæprecium igitur est exponere vobis quis fuerit hic Ozias, & quo tempore regnarit, & quibus imperarit, & quanto tempore durarit illius principatus, postremò quomodo vitam finierit. Imò potius iam silendum est, eò quod necesse sit in immensum historiarum pelagus orationem soluere. Qui verò per tale mare sunt iter facturi, necesse est non fatigatis, sed integris remigibus viam capessant. Nam hanc ob causam passim per mare portus insulæque positæ sunt, B vt & gubernator & vector refocillentur, hic quidem remo deposito, ille verò exurgens à clauo. His de causis & diuersoria cauponęque vbique per vias excogitatæ sunt, vt iumenta simul cum viatoribus à labore recreentur. Eóque & doctrinæ sermoni, silentij tempus præfinitum est, vt neque nos ipsos deterreamus verborum multitudine, neque vos delassemus. Atque hæc tempora nouit Solomon dicens, Tempus tacendi & tempus loquendi. Sit igitur nobis tempus tacendi, quo detur & præceptori tempus loquendi. Nam quę C nos afferimus, similia sunt vino quod recens è lacu haustum est: quæ verò dicuntur ab illo, similia sunt vino, quod quoniam vetustatem seniúmque collegit, multam adfert tum vtilitatem tum vim iis, qui opus habent: nobisque accidit hodie illud euangelij, Post deterius vinum id quod melius est infertur. Et quemadmodum illud vinum vinum non vitis genuerat, sed virtus Iesu Christi fecerat: ita & huius sermonem non humana profundit cogitatio, sed Spiritus sancti gratia. Quoniam igitur huius liquoris fluxus co- D piosus est & spiritualis, studiosè excipiamus, cautè seruemus, vt assiduè irrigati tempestiuum adferamus fructum Deo, qui hæc largitus est, quem decet omnis gloria, honor & imperium cum domino nostro Iesu Christo sanctóque Spiritu, nunc, & semper, & in secula seculorum, Amen.

Eccles. 3.7. Chrysost. dixit præsente episcopo.

Ioan. 2.10.

CCCC

A

EIVSDEM IN SECVNDVM LIBRVM PARALIPOMENON, vbi dicitur: Elatum est cor Oziæ, déque humilitate: tum quòd hominem virtute præditum non oporteat esse confidentem denique quantum malum sit arrogantia.

2. Paral. 26 & 4. Reg. 15.

HOMILIA III.

BENEDICTVS Deus, & nostra quoque ætas progerminat martyres, & nobis hoc honoris contulit Dei dignatio, vt conspiceremus homines occidi pro Christo, homines qui sacro sanguine distillant, ecclesiam vniuersam irrigante: sanguine, inquam, distillantes, dæmonibus quidem terrifico, Angelis verò desiderabili, nobis porrò salutari. Largita est nobis hoc Dei dignatio, vt spectaremus pro pietate belligerantes, vincentes, coronatos, Neque verò solùm contigit hæc spectare, verumetiam ipsa athletarum corpora accipere. Ac nunc quidem victores illos, & corona insignes apud nos habemus: sed in præsentia de martyribus sermonem reseruemus martyrum æmulatori, mihique vobiscum communi doctori. Ipsi verò nunc de Ozia disseremus, iam pridem debitum ęs alienum dinumerantes, diuturnósque audiendi nixus soluentes. Nam parturit sat scio, vnusquisque vestrum, cupiens illam audirē historiam: atque parturitionem nixúmque nos interim distulimus, non ob id quòd cuperemus vobis intendere cruciatum, sed quòd studeremus vestrum accendere desiderium, vt vobis à me conuiuio acceptis, meus apparatus quàm lautissimus ac suauissimus videretur. Nam opulentis conuiuatoribus, si conuiuas acceperint saturos, licet apparatus lautitia, & eduliis opiparis, illorum appetentiam excitare: cæterum pauperem mensam non alia res æquè facit videri splendidam lautámque, quàm si, qui ad illam accubituri sunt, obtingant famelici. Quis igitur est Ozias, & ex quibus ortus maioribus, & quorum rex, & quanto tempore regnauit, & quid cum laude gessit, quid secus, postremò quo pacto vitam absoluit?

Episcopo defert Chrysostom. sibi cum populo cōmunem vocane doctorem.

Homœosis.

ΕΙΣ ΤΟ, ΥΨΩΘΗ Η ΚΑΡΔΙΑ Οζίου, καὶ περὶ ταπεινοφροσύνης, καὶ ὅτι χρὴ μὴ θαῤῥεῖν τὸν ἐνάρετον, καὶ ὅσον κακὸν ἡ ἀπόνοια.

B

ΕΥΛΟΓΗΤΟΣ ὁ Θεὸς, καὶ ἐπὶ τῆς γενεᾶς τῆς ἡμετέρας ἐβλάστησεν μάρτυρας. κατηξιώθημεν καὶ ἡμεῖς ἀνθρώπους ἰδεῖν ὑπὲρ Χριστοῦ σφαττομένους, ἀνθρώπους αἷμα στάζοντας ἅγιον, τὴν ἐκκλησίαν ἅπασαν ἄρδον, αἷμα στάζοντας, δαίμοσι μὲν φοβερὸν, ἀγγέλοις δὲ ποθεινὸν, ἡμῖν δὲ σωτήριον. κατηξιώθημεν ἰδεῖν ἀνθρώπους ὑπὲρ εὐσεβείας πολεμοῦντας, νικῶντας, ἐστεφανωμένους· οὐκ ἰδεῖν δὲ κατηξιώθημεν μόνον, ἀλλὰ καὶ αὐτὰ τὰ σώματα τῶν ἀθλητῶν δέξασθαι, καὶ παρ' ἑαυτοῖς τοὺς στεφανίτας ἔχομεν νῦν. ἀλλὰ τὸν μὲν περὶ τῶν μαρτύρων λόγον ἀφήσωμεν νῦν τῷ τῶν μαρτύρων ζηλωτῇ, τῷ κοινῷ διδασκάλῳ· αὐτοὶ δὲ τὰ κατὰ τὸν Οζίαν πρὸς ὑμᾶς ἐροῦμεν νῦν, παλαιὸν καταβάλλοντες χρέος, καὶ χρονίους ὠδῖνας ἀκροάσεως λύοντες. ὠδίνει γὰρ ἕκαστος ὑμῶν, εὖ οἶδ' ὅτι, τῆς ἱστορίας ἀκοῦσαι ἐκείνης· καὶ τὴν ὠδῖνα ταύτην ἡμεῖς παρετείναμεν, οὐ τὴν ὀδύνην ὑμῖν ἐπιτεῖναι βουλόμενοι, ἀλλὰ τὴν ἐπιθυμίαν αὐξῆσαι σπουδάζοντες, ὥστε ἡδίστην ὑμῖν φανῆναι τὴν ἡμετέραν ἑστίασιν. οἱ μὲν γὰρ εὔποροι τῶν ἑστιατόρων, ἐὰν ἐμπεπλησμένους λάβωσι τοὺς δαιτυμόνας, δύναιντ' ἂν τῇ πολυτελείᾳ τῶν παρασκευασθέντων διεγεῖραι τὴν ἐπιθυμίαν αὐτοῖς· τὴν δὲ τῶν πενήτων τράπεζαν οὐδὲν οὕτω ποιεῖ φαίνεσθαι λαμπρὰν, ὡς τὸ πεινῶντας ἀπολαῦσαι τοὺς μέλλοντας μετέχειν αὐτῆς. τίς οὖν ἐστιν Οζίας, καὶ τίνων ἀπόγονος, καὶ τίνων βασιλεὺς, καὶ πόσον ἐβασίλευσε χρόνον, καὶ τί μὲν κατώρθωσε, τί δὲ διήμαρτε, πῶς δὲ τὸν βίον κατέλυσεν,

ἅπαντα ταῦτα πρὸς ὑμᾶς ἐροῦμεν νῦν, μᾶλλον δὲ ὅσα δυνατὸν εἰπεῖν, ὥστε μὴ τῷ πλήθει ταράξαι τὴν μνήμην ὑμῶν· ὃ γίνεται καὶ ἐπὶ τοῦ λυχνιαίου πυρός. ἂν μὲν γὰρ κατὰ μικρὸν ἐπιστάξῃς τῇ θρυαλλίδι τὸ ἔλαιον, ἱκανὴν ἔδωκας τῷ πυρὶ τὴν τροφήν· ἂν δὲ ἀθρόον καταχέῃς, καὶ τὴν οὖσαν φλόγα κατέσβεσας. ἦν τοίνυν ὁ Οζίας ἀπόγονος μὲν τοῦ Δαβίδ, βασιλεὺς δὲ τῶν Ἰουδαίων· ἐβασίλευσε δὲ δύο καὶ πεντήκοντα ἔτη. καὶ τὰ πρῶτα εὐδόκιμος ὤν, ὕστερον εἰς ἁμαρτίαν κατέπεσε. μείζονα γὰρ τῆς οἰκείας φρονήσας ἀξίας, ἐπεπήδησε τῇ τῆς ἱερωσύνης ἀρχῇ. τοσοῦτόν ἐστιν ἀπόνοια κακόν. καὶ γὰρ ἑαυτὸν τινα ἕκαστον ἀγνοεῖν ἀναπείθει, καὶ μετὰ πολλοὺς πόνους ἅπαντα κενοῖ τῆς ἀρετῆς τὸν θησαυρόν. καὶ τὰ μὲν ἄλλα κακὰ ῥᾳθυμούντων ἡμῶν περιγίνεσθαι πέφυκεν, αὕτη δὲ κατορθοῦσιν ἡμῖν ἐπιφύεται. οὐδὲν γὰρ οὕτως ἀπόνοιαν τίκτειν εἴωθεν, ὡς συνειδὸς ἀγαθόν, ἐὰν μὴ προσέχωμεν. διὰ τοῦτο καὶ ὁ Χριστὸς εἰδώς, ὅτι μετὰ τὰ κατορθώματα ἐπεισέρχεται τοῦτο τὸ πάθος ἡμῖν, τοῖς μαθηταῖς ἔλεγεν, ὅταν πάντα ποιήσητε, λέγετε ὅτι ἀχρεῖοι δοῦλοί ἐσμεν. ὅταν γὰρ μέλλῃ ἐπεισιέναι τὸ θηρίον ὑμῖν, τότε διὰ τῶν ῥημάτων τούτων, φησίν, ἀποκλείετε τὰς θύρας αὐτῷ. καὶ οὐκ εἶπεν, ὅταν πάντα ποιήσητε, ἀχρεῖοί ἐστε, ἀλλ', ὑμεῖς λέγετε, ὅτι ἀχρεῖοί ἐσμεν. εἰπέ, μὴ φοβηθῇς, οὐκ ἀπὸ τῆς κρίσεως τῆς σῆς φέρω τὴν ψῆφον ἐγώ. ἂν γὰρ σὺ σαυτὸν εἴπῃς ἀχρεῖον, ἐγώ σε ὡς χρήσιμον στεφανῶ. οὕτω καὶ ἀλλαχοῦ φησι, λέγε σὺ πρῶτος τὰς ἀνομίας σου, ἵνα δικαιωθῇς. ἐπὶ μὲν γὰρ τῶν ἔξωθεν δικαστηρίων, μετὰ τὴν κατηγορίαν τῶν ἁμαρτημάτων, θάνατος· ἐπὶ δὲ τοῦ θείου δικαστηρίου, μετὰ τὴν κατηγορίαν στέφανος. διὸ καὶ ὁ Σολομῶν ἔλεγε, μὴ δικαίου σαυτὸν ἐνώπιον κυρίου. ἀλλ' οὐδενὸς τούτων ἤκουσεν Ὀζίας, ἀλλ' ἐπεισῆλθεν εἰς τὸν ναόν, καὶ θυμιᾶν ἐβούλετο· καὶ τοῦ ἱερέως κωλύοντος, οὐκ ἠνείχετο. τί οὖν ὁ Θεός; ἐπαφῆκεν αὐτῷ λέπραν κατὰ τοῦ μετώπου, τὴν ἀναίσχυντον κολάζων ὄψιν, καὶ παιδεύων αὐτόν, ὅτι θεῖόν ἐστι τὸ δικαστήριον, καὶ οὐ πρὸς ἀνθρώπους ὁ πόλεμος ἦν. καὶ τὰ μὲν κατὰ τὸν Ὀζίαν, ταῦτα. φέρε δή, καὶ ἄνωθεν τὴν ἱστορίαν αὐτὴν ἐπέλθωμεν.

A De his omnibus in præsentia apud vos disseremus, imò potius quantùm de his dicere licebit, sic vt multitudine non confundamus vestram memoriam; id quod in lucernis accensis accidere solet. Nam si paulatim ellychnio instillaris oleum, satis alimoniæ dederis igni: sin simul totum infuderis oleum, non solùm non alueris ignem, verumetiã flammam, quæ erat, extinxeris. Hic igitur Ozias è stirpe Dauid duxit genus: Rex autem erat Iudæorum. Regnauit annis quinquaginta duobus: qui ùmque initio cum laude gessisset principatum, post B in scelera prolapsus est. Quum enim altiores spiritus sustulisset quàm pro suâ dignitate, principatum inuasit sacerdotij. Tantum malum est arrogantia, quæ persuadet, vt quisque semet ignoret, pòstque multos labores virtutis thesaurum exhaurit. Ac cætera quidem mala nobis negligenter agentibus solent exuberare, hæc autem ipsis rectè factis nostris adnascitur. Nihil enim perinde gignit superbiam, vt bona conscientia, nisi aduigilemus. Vnde & Christus sciens quòd post benefacta nos hic morbus adoritur, dicebat discipulis C suis: Quum omnia feceritis, dicite, inutiles serui sumus. Quum enim hæc noxia bestia parat inuadere nos: tunc, inquit, per hæc verba fores illi occludite. Neque dixit: Quum omnia feceritis, inutiles estis: sed, vos dicite, inutiles sumus. Dic, ne metuas, non ex tuo iudicio fero sententiam. Nam si tu teipsum dixeris inutilem, ego te vt vtilem coronabo. Sic & aliàs loquitur, Dic tu prior peccata tua, vt iustificeris. In mundanis siquidem ac forensibus iudiciis, post accusationem, & criminum confessionem restat mors: cæterum apud diuinum D tribunal, post accusationem & confessionem criminum datur corona. Vnde & Solomon dicit: Ne iustificaueris teipsum in conspectu Domini. Verùm nihil horum audiuit Ozias, sed irruit in templum, vt thymiama incenderet, ac ne sacerdote quidem prohibente abstinuit. Quid igitur Deus? Immisit illi lepram in fronte, hoc modo impudentem faciem puniens, docénsque illum, quòd hoc esset Dei tribunal, & quòd illi bellum esset, non aduersus homines, sed aduersus Deum. Ac de Ozia quidem hactenus. Agedum iam ab integro historiam hanc percurramus.

Luc. 17. 10

Esa. 43. 26

Eccli. 7. 5.

Nam hac de causa & ipse preoccupans, A compendio vobis exposui, quæ Oziæ acciderunt omnia: vt quum audieritis scripturam, hæc eadem narrantem, rerum seriem summo cum animi studio consectemini. Sed attendite. Et fecit, inquit, Ozias quod rectum est in conspectu Domini. Hoc testimonio magnam illius virtutem declarauit. Non enim modò fecit quod rectum erat, verumetiam fecit in conspectu Domini, non apud homines ostentans, quemadmodum apud Iudæos faciebant illi, qui ante eleemosynam tuba canebant, & in ieiuniis facies suas obscurabant, B qui precabantur in compitis, quibus rebus quid potest esse miserius, vbi post toleratos labores, omni præmio frustrantur? Quid facis homo? Alij redditurus es rationem factorum tuorum, & alium testem citas eorum quæ facis? Alium habes iudicem, & alium adhibes spectatorem? Non vides aurigas qui prætercurrentes totam illam stadij partem qua vniuersa ciuitas è sublimi spectat sedens in equestri certamine, ibi contendunt concertatorum currus subuertere: vbi Cæsarem viderint se- C dentem, & vnum oculum digniorem, cui fidant, ducunt, quàm tot hominum vultus? At tu quum videas ipsum Angelorum regem tuo cursui agonothetham, hoc est certaminis iudicem, & præmiatorem præsidere, eo prætermisso ad conseruorum fugis oculos? Atque ideo sanè post innumeras luctas incoronatus recedis, post sudores plurimos absque præmiis venis ad agonothetam. At non talis erat Ozias, sed in conspectu Domini faciebat quod rectum est. Qui factum est igitur, vt post vitam tam perfectam supplanatus sit, D conciderit que? Nam hoc & ipse demirans hæsito. Quin potius nihil hic esse debet hæsitatione dignum, quandoquidem homo erat, res ad peccandum lubrica, & ad malitiam propensa. Neque id solum est difficile, verùetiam illud quod incedere iussi sumus per viã angustam, & vtrinque præcipitio minacem. Proinde quoties & voluntatis facilitas, & viæ difficultas in vnum coëunt, ne postea mirare de lapsu. Quemadmodum enim in spectaculis qui per funem ab imo in altum tensum ascendere ac descendere meditantur,

2. Paral. 26

Matt. 6. 16

Quo animo studiu bono operi persequare, ex simili docet.

Διὰ γὰρ τοῦτο καὶ αὐτὸς προλαβὼν ἐν βραχεῖ διηγησάμην ὑμῖν τὰ συμβεβηκότα πάντα, ἵν' ὅταν ἀκούητε τῆς γραφῆς ταῦτα ἀπαγγελλούσης, παρακολουθῆτε μετὰ ἀκριβείας αὐτοῖς. Ἀλλὰ προσέχετε. Καὶ ἐποίησε, φησιν, Ὀζίας τὸ εὐθὲς ἐνώπιον κυρίου. Μεγάλην αὐτῷ διὰ τούτων ἐμαρτύρησεν ἀρετήν. Οὐ γὰρ τὸ εὐθὲς ἐποίει μόνον, ἀλλὰ καὶ ἐνώπιον κυρίου, οὐ πρὸς ἐπίδειξιν ἀνθρώπων, καθάπερ ἐκεῖνοι οἱ παρὰ τοῖς Ἰουδαίοις περὶ τῆς ἐλεημοσύνης σαλπίζοντες, οἱ ἐν ταῖς νηστείαις τὰ πρόσωπα ἀφανίζοντες, οἱ τὰς εὐχὰς ἐν τοῖς ἀμφόδοις ποιούμενοι· ὧν τί γένοιτ' ἂν ἀθλιώτερον, ὅταν τοὺς μετὰ πόνους ὑποσυλῶσι, τῆς δὲ ἀμοιβῆς ἀποστερῶνται ἁπάσης; τί ποιεῖς, ἄνθρωπε; ἑτέρῳ μέλλεις εὐθύνας διδόναι τῶν πεπραγμένων, καὶ ἕτερον μάρτυρα καλεῖς τῶν γινομένων; ἕτερον ἔχεις δικαστὴν, καὶ ἕτερον καθίζεις θεατήν; οὐχ ὁρᾷς τοὺς ἡνιόχους, οἱ τῆς πόλεως ἁπάσης ἄνω καθημένης ἐν ταῖς τῶν ἵππων ἁμίλλαις ἀπὸ τοῦ σταδίου παρατρέχοντες τὸ μέρος, ἐκεῖ φιλονεικοῦσι τὰ τῶν ἀντιπάλων ἅρματα καταστρέφειν, ἔνθα ἂν ἴδωσι τὸν βασιλέα καθήμενον, καὶ τοσούτων ὄψεων ἕνα νομίζουσιν ἀξιοπιστότερον ὀφθαλμόν; σὺ δὲ αὐτὸν τὸν τῶν ἀγγέλων αὐτῶν βασιλέα τοῖς σοῖς δρόμοις ἀγωνοθετοῦντα ὁρῶν, ἐκεῖνον ἀφεὶς ἐπὶ τὰς τῶν ὁμοδούλων καταφεύγεις ὄψεις; Διά τοι τοῦτο μετὰ τὰς μυρίας πάλας ἀστεφάνωτος ἀναχωρεῖς, μετὰ τοὺς πολλοὺς ἱδρῶτας χωρὶς βραβείων ἀπέρχῃ πρὸς τὸν ἀγωνοθέτην. Ἀλλ' οὐκ Ὀζίας τοιοῦτος ἦν, ἀλλ' ἐνώπιον κυρίου τὸ εὐθὲς ἐποίει. Πῶς οὖν οὕτω μετὰ ἀκριβείας πολιτευόμενος, ὑπεσκελίσθη καὶ κατέπεσε; Τοῦτο γὰρ κἀγὼ θαυμάζω καὶ διαπορῶ, μᾶλλον δὲ οὐκ ἂν εἴη τοῦτο διαπορήσεως ἄξιον. Ἄνθρωπος γὰρ ἦν, πρᾶγμα πρὸς ἁμαρτίαν εὐόλισθον, καὶ πρὸς κακίαν ὀξύρροπον. Καὶ οὐ τοῦτο μόνον ἐστὶ τὸ χαλεπὸν, ἀλλ' ὅτι καὶ ὁδὸν στενὴν καὶ τεθλιμμένην ὁδεύειν ἐπετάγημεν ὑπὸ κρημνῶν ἑκατέρωθεν ἀπειλημμένην. Ὅταν οὖν καὶ προαιρέσεως εὐκολία, καὶ ὁδοῦ δυσκολία συνέλθωσιν εἰς ταὐτὸν, μὴ θαύμαζε λοιπὸν ὑπὲρ τῶν παραπτωμάτων. Καθάπερ γὰρ ἐν τοῖς θεάτροις οἱ τὸν σχοῖνον τὸν κάτωθεν ἄνω τεταμένον ἀναβαίνειν καὶ καταβαίνειν μελετῶντες,

ἂν μικρὸν παραβλέψωσι, παραπεσόντες καταπεσοῦνται εἰς τὴν ὀρχήστραν καὶ ἀπολοῦνται· οὕτω δὲ οἱ τὴν ὁδὸν ταύτην ὁδεύοντες, ἂν μικρὸν ῥαθυμήσωσι, καταχρημνίζονται. καὶ γὰρ ἐκείνης τῆς σχοίνου ἡ ὁδὸς αὕτη καὶ στενωτέρα καὶ ὄρθιος καὶ προσάντης μᾶλλόν ἐστι καὶ ὑψηλοτέρα πολλῷ. πρὸς γὰρ αὐτὸν ἄνω τελευτᾷ τὸν οὐρανόν, καὶ τότε ἡμῖν σφοδρότερα ἔσται τὰ διαβήματα, ὅταν ἄνω καὶ πρὸς αὐτῇ γινώμεθα τῇ κορυφῇ. τοῖς γὰρ ἐφ' ὕψους ἑστῶσι πολὺς ὁ τρόμος, καὶ μία μόνη ἀσφάλεια λείπεται, καὶ μὴ κατακύψαι κάτω, μηδὲ εἰς γῆν ἰδεῖν. καὶ γὰρ χαλεπὸς ἐντεῦθεν ὁ σκοτόδινος γίνεται. Διά τοι τοῦτο συνεχῶς ἡμῖν ὁ προφήτης ἐπιβοᾷ λέγων, εἰς τὸ τέλος μὴ διαφθείρῃς, ῥαθυμοῦσαν ἡμῶν τὴν ψυχὴν ἀναστέλλων, καὶ μέλλουσαν καταπίπτειν ἀνέχων καὶ διακρατῶν. ἐν ἀρχῇ μὲν γὰρ οὐ πολλῆς δεόμεθα τῆς παρακλήσεως. τί δήποτε; ὅτι πᾶς ἄνθρωπος, κἂν ἁπάντων νωθέστατος ᾖ, μέλλων ἅπτεσθαι πράγματος, πολλὴν ἐν τοῖς προοιμίοις ἐπιδείκνυται τὴν σπουδήν, καὶ τῆς προθυμίας ἀκμαζούσης, καὶ τῆς δυνάμεως νεαρᾶς οὔσης ἔτι, ῥᾳδίως πρὸς τὸ προκείμενον ἐπιβαίνει. ὅταν δὲ τὸ πλέον τῆς ὁδοῦ παρέλθωμεν, καὶ μαρανθῇ τὰ τῆς προθυμίας ἡμῖν, τὰ δὲ τῆς δυνάμεως ἐκλύηται, μέλλωμεν δὲ καταπίπτειν, τότε ἡμῖν ὁ προφήτης εὐκαίρως παρίσταται, καθάπερ βακτηρίαν τινὰ τὸ ἐπίφθεγμα τοῦτο ὀρέγων, καὶ λέγων, εἰς τὸ τέλος μὴ διαφθείρῃς. καὶ γὰρ ὁ διάβολος τότε σφοδρότερον πνεῖ· καὶ καθάπερ οἱ τὴν θάλατταν πλέοντες πειραταί, οὐχ ὅταν ἴδωσιν ἐξιόντα τοῦ λιμένος τὰ πλοῖα, τότε ἐπιτίθενται (τί γὰρ αὐτοῖς ὄφελος κενὸν καταδῦσαι τὸ σκάφος;) ἀλλ' ὅταν ἐπανίῃ πλήρη τὸν φόρτον ἔχοντα, τότε πᾶσαν κινοῦσι μηχανήν· οὕτω καὶ ὁ πονηρὸς δαίμων ἐκεῖνος, ὅταν ἴδῃ πολλὰ συνηγοχότας, νηστείαν, εὐχάς, ἐλεημοσύνην, σωφροσύνην, τὴν ἄλλην ἅπασαν ἀρετήν· ὅταν ἴδῃ γέμον ἡμῶν τὸ πλοῖον τῶν πολυτελῶν τῆς εὐσεβείας λίθων, τότε προσβάλλει, πάντοθεν διορύττων τὸν θησαυρόν, ὥστε παρ' αὐτὰ τοῦ λιμένος τὰ στόματα καταδῦσαι τὸ σκάφος, καὶ γυμνοὺς παραπέμψαι πρὸς ἐκεῖνον τὸν λιμένα λοιπόν. Διὰ τοῦτο ὁ προφήτης παραινεῖ πᾶσι λέγων, Εἰς τὸ τέλος μὴ διαφθείρῃς.

A si paululum deflexerint oculos, inuerso corpore deferuntur in orchestram, pereúntque: itidem qui per hanc incedunt viam, si vel paululum cessarint præcipitantur. Et tamen hæc via tum angustior est, tum magis ardua ac prærupta, multóque excelsior, quàm illa per funem, vt quæ sursum ad ipsum vsque cœlum protensa est: ac tum nobis maiore cum periculo ponuntur vestigia, quum ad summum & ad ipsum vsque fastigium accesserimus, eo quòd in sublimi stantes multus occupat tremor. Atque vna tantùm via tuti sunt à lapsu, ne deorsum aspiciant, néve in B terram demittant oculos. Nam inde multa & grauis exoritur tenebricosa vertigo. Hanc quidem ob causam Propheta nobis assiduè inclamat, dicens: In finem ne corrumpas: animæ nostræ socordiam retrahens, iámque collapsuram suffulciens ac retinens. In initio quidem non egemus multa exhortatione. Quur ita tandem? eò quòd quilibet homo etiamsi fuerit omnium pigerrimus, aggressurus negotium plurimam in principio adhibet diligētiam, dúmque & animi viget alacritas, & vi- C res integræ sunt ac recentes, facilè ad id quod propositum est pertingit: cæterum vbi maior viæ pars nobis peracta est, iámque alacritatis vigor emarcuit, virésque nostræ defecerunt, nec aliud superest, quàm vt decidamus: tunc nobis in tempore adest Propheta, veluti pro baculo quopiam alloquium suum nobis porrigens ac dicens, In finem ne corrumpas: Tunc enim diabolus spirat vehementius. Et quemadmodum piratæ qui mare nauigiis infestant, non tum vbi conspexerint naues è portu exeuntes, inuadunt: quid D enim hinc fructus caperent si scapham inanem demergerent? sed vbi redierit onusta plenáque sarcinis, tum demum omnes expediunt artes: ita sceleratus ille dæmon, simul atque videt aliquas multa collegisse, videlicet, ieiunia, preces, eleemosynam, castitatem, reliquásque virtutes omnes, vbi videt nauigium nostrum esse plenum preciosis pietatis lapidibus, tunc irrumpit vndique, thesaurum perfodiens, vt in ipsis portus ostiis scapham demergat: iámque nudos nos ad eum portum eijciat: eóque Propheta cunctos admonet, dicens, In finem ne corrumpas:

Psal. 56. 1.

Homœosi probat finē religiosi operis nixū animi maiorem desiderare quā ingressum.

quòd ab eiusmodi ruina, non facilè se quis reflexerit, vt surgat, propterea quòd qui in profundum malorum venerit, contemnit. Tum in principio lapsis venia datur ab omnibus ob imperitiam, sed eum qui post multos cursus conciderit, nemo venia dignum iudicauerit, eò quòd tum cadere, non tribuitur imperitiæ, sed negligentiæ. Nec id solùm hic est mali, verùetiam quòd complures talium ruinis offenduntur, & ad lapsum sollicitantur, vt rursus hoc quoque nomine peccatum reddatur irremissibile. Hæc quum sciamus, auscultemus Prophetæ, & in finem ne corrumpamus. Nam hac de causa, & Ezechiel clamat, dicens: Si quis fuerit iustus, deinde lapsus peccauerit, non proderit illi recordatio iustitiarũ eius, sed in peccato suo morietur. Nam & hic Propheta metuit de fine: Neque hinc modo, verumetiam ex contrariis declarat in fine plurimum esse momenti. Si quis, inquit, fuerit peccator, ac postea mutatus factus fuerit iustus: non nocebit illi memoria iniustitiarũ illius, in iustitia sua viuet. Vides & hic Prophetam de fine vehementer solicitum. Siquidem vt neque iustitiæ suæ confidens iustus ad socordiam versus pereat, per finem incutit illi terrorem: neque peccator ob delicta despondens animum, iugiter perseueret in ruina, erigit illum vsque ad finem. Peccasti, inquit, multa, ne desperes: est enim vnde resurgas, si finem initio contrarium exhibueris. Rursus ad iustum: Multa, inquit, rectè fecisti, verùm ne fidas: subindicans illum casurum, nisi ad finem vsque eandem adhibeat curam. Vides vt alterius quidem socordiam, alterius verò desperationem sustulerit. Nihil horum audiuit Ozias, ideóque per confidentiam decidit ruina periculosa & insanabili. Neque enim quiuis lapsus eandem adfert ruinam: sed quædam peccata condemnationi tantùm obnoxia sunt, quædam grauissimo supplicio puniuntur. Proinde Paulus increpans eos qui in communibus cœnis non expectabant fratres, ita loquitur: Hoc denuncians non laudo. Vides peccatum intra reprehensionem consistere, nec aliud habere præmium, quàm probrum obiurgationis. At vbi de incesto loquitur, non itidem facit. Sed quo pacto? Si quis templum Dei

Prou. 18.

Ezech. 3. 20.

1. Cor. 11. 22.

A Καὶ γὰρ μετὰ τὴν τοιαύτην πτῶσιν δυσμάχητος πάλιν ἡ ἀνάστασις. ὁ γὰρ ἐλθὼν εἰς βάθος κακῶν, καταφρονεῖ. καὶ τῷ μὲν ἐν ἀρχῇ πεσόντι συγγινώσκομεν ἅπαντες διὰ τὴν ἀπειρίαν, τὸν δὲ μετὰ πολλοὺς δρόμους ὑποσκελισθέντα οὐκ ἄν τις ῥᾳδίως ἀξιώσειε συγγνώμης ἢ ἀπολογίας· ῥᾳθυμίας γὰρ τότε τὸ πτῶμα εἶναι δοκεῖ. καὶ οὐ τοῦτο μόνον ἐστὶ τὸ δεινὸν, ἀλλ' ὅτι καὶ πολλοὶ οἱ σκανδαλιζόμενοι τοῖς τῶν τοιούτων πτώμασίν εἰσιν, ὥστε καὶ ταύτῃ πάλιν ἀσύγγνωστον τὸ ἁμάρτημα γίνεται. ταῦτ' οὖν εἰδότες ἀκούωμεν τοῦ προφήτου, καὶ εἰς τὸ τέλος μὴ διαφθείρωμεν. διὰ γὰρ τοῦτο καὶ ὁ Ἰεζεκιὴλ ἐβόα λέγων· ἐὰν γένηταί τις δίκαιος, εἶτα μεταπεσὼν ἁμάρτῃ, οὐ μὴ μνησθῶσιν αὐτοῦ αἱ δικαιοσύναι αὐτοῦ, ἀλλ' ἐν τῇ ἁμαρτίᾳ αὐτοῦ ἀποθανεῖται. καὶ γὰρ καὶ οὗτος ἐδεδοίκει ὑπὲρ τοῦ τέλους. καὶ οὐκ ἐντεῦθεν μόνον, ἀλλὰ καὶ διὰ τῶν ἐναντίων δείκνυσι πολλὴν τοῦ πράγματος τὴν ἰσχὺν οὖσαν. ἂν γὰρ γένηταί τις ἁμαρτωλὸς, φησὶν, εἶτα μεταβαλόμενος γένηται δίκαιος, οὐ μὴ μνησθῶσιν αἱ ἁμαρτίαι αὐτοῦ· ἐν τῇ δικαιοσύνῃ αὐτοῦ ζήσεται. ὁρᾷς καὶ ἐνταῦθα πολλὴν τοῦ τέλους C αὐτὸν ποιούμενον πρόνοιαν. ἵνα γὰρ μήτε ὁ δίκαιος τῇ δικαιοσύνῃ αὐτοῦ θαῤῥῶν, εἰς ῥᾳθυμίαν ἀποκλίνας ἀπόληται, φοβεῖ διὰ τοῦ τέλους αὐτόν· μήτε ὁ ἁμαρτωλὸς ἀπογνοὺς ἐπὶ τοῖς παραπτώμασι, μένῃ διαπαντὸς ἐν τοῖς πτώμασιν, ἀνίστησι διὰ τοῦ τέλους αὐτόν. ἥμαρτες πολλὰ, φησὶν, ἀλλὰ μὴ ἀπελπίσῃς. ἔστι γὰρ ἐπάνοδος, ἐὰν ἐναντίον τῆς ἀρχῆς δείξῃς τὸ τέλος. πάλιν πρὸς τὸν δίκαιον, κατώρθωσας πολλὰ, φησὶν, ἀλλὰ μὴ θαρσήσῃς. συμβαίνει γὰρ καὶ πεσεῖν, ἂν μὴ διὰ τέλους τὴν ἴσην ἔχῃς σπουδήν. εἶδες πῶς τὴν μὲν τὴν D ῥᾳθυμίαν, τὴν δὲ τὴν ἀπόγνωσιν ἀνεῖλεν; οὐδενὸς τούτων ἤκουσεν Ὀζίας· διὸ καὶ θαρσήσας, κατέπεσε πτῶμα χαλεπὸν καὶ ἀνίατον. οὐδὲ γὰρ πᾶν πτῶμα ἴσον ἡμῖν ἐργάζεται τὸ τραῦμα, ἀλλὰ τῶν ἁμαρτιῶν, τὰ μὲν ὑπὸ κατάγνωσιν κεῖται μόνον, τὰ δὲ χαλεπωτάτην δίκην τιμωρίαν. τοῖς γοῦν οὐκ ἀναμένουσι τοὺς ἀδελφοὺς ἐν τοῖς κοινοῖς δείπνοις ὁ Παῦλος ἐπιτιμῶν, οὕτως ἔλεγε· τοῦτο δὲ παραγγέλλων, οὐκ ἐπαινῶ. ὁρᾷς μέχρι καταγνώσεως ἱστάμενον τὸ ἁμάρτημα, καὶ ψόγον ἔχον τὸ ἐπιτίμιον. ἀλλ' οὐχ, ὅταν περὶ πορνείας διαλέγηται, οὕτω ποιεῖ, ἀλλὰ πῶς; εἴ τις τὸν ναὸν τοῦ Θεοῦ

φθείρει, φθερεῖ τοῦτον ὁ Θεός. ἐνταῦθα γὰρ οὐκ ἔστι ψόγος, οὐδὲ κατάγνωσις, ἀλλ' ἡ χαλεπωτάτη τιμωρία. οἶδε καὶ ὁ Σολομὼν ἁμαρτημάτων διαφοράς. τὴν γοῦν κλοπὴν τῇ μοιχείᾳ συγκρίνων, οὑτωσί πως φησίν· οὐ θαυμαστόν, ἐὰν ἁλῷ τις κλέπτων (κλέπτει γὰρ, ἵνα ἐμπλήσῃ ψυχὴν αὐτοῦ πεινῶσαν) ὁ δὲ μοιχὸς δι' ἔνδειαν φρενῶν, ἀπώλειαν τῇ ἑαυτοῦ ψυχῇ περιποιεῖται. ἁμάρτημα καὶ τοῦτο, κἀκεῖνό, φησιν, ἀλλὰ τὸ μὲν ἔλαττον, τὸ δὲ μεῖζον. ὁ μὲν γὰρ ἔχει τὴν ἀπὸ τῆς πενίας πρόφασιν· οὗτος δὲ πάσης ἀπολογίας ἐστέρηται. ἀλλὰ καὶ οὗτος ἔχει, φησί, τὴν ἀπὸ τῆς φυσικῆς ἐπιθυμίας ἀνάγκην. ἀλλ' οὐκ ἀφίησιν ἡ κληρωθεῖσα αὐτῷ γυνή, ἀλλ' ἐφέστηκεν ἀποστεροῦσα τῆς συγγνώμης αὐτόν. διὰ γὰρ τοῦτο γάμος καὶ ἀπόλαυσις ἔνθεσμος, ἵνα μηδὲν ἔχῃ τούτων λέγειν ὁ ἀνήρ. διὰ τοῦτο αὐτῷ βοηθὸς ἐδόθη ἡ γυνή, ἵνα μαινομένην καταστέλλῃ τὴν φύσιν, ἵνα στορέσῃ τῆς ἐπιθυμίας τὰ κύματα. ὥσπερ οὖν κυβερνήτης ἐν λιμένι ναυάγιον ἐργαζόμενος, οὐκ ἂν τύχοι συγγνώμης τινός· οὕτω καὶ ὁ ἄνθρωπος μετὰ τὴν ἀσφάλειαν τὴν ἀπὸ τοῦ γάμου, τοὺς ἑτέρων διορύττων γάμους, ἢ γυναῖκα εὐπρόσωπον περιέργως ὁρῶν, οὐκ ἂν τύχοι τινὸς ἀπολογίας, οὐ παρὰ ἀνθρώποις, οὐ παρὰ Θεῷ, κἂν μυριάκις λέγῃ τὴν τῆς φύσεως ἡδονήν. μᾶλλον δὲ ποία γένοιτ' ἂν ἡδονή, ὅπου φόβος καὶ ἀγωνία καὶ κίνδυνος καὶ προσδοκία τοσούτων δεινῶν, ὅπου δικαστήρια καὶ εὔθυναι, καὶ δικαστοῦ θυμὸς καὶ ξίφος καὶ δήμιος καὶ βάραθρον καὶ ἀπαγωγή; πάντα τρέμει καὶ δέδοικεν ὁ τοιοῦτος, τὰς σκιάς, τοὺς τοίχους, τοὺς λίθους αὐτούς, καθάπερ φωνὴν ἀφιέντας· πάντας ὑφορᾶται καὶ ὑποπτεύει, τοὺς οἰκέτας, τοὺς γείτονας, τοὺς φίλους, τοὺς ἐχθρούς, τοὺς πάντα εἰδότας, τοὺς οὐδὲν εἰδότας. μᾶλλον δέ, εἰ βούλει, καὶ ταῦτα ἀναιρείσθω, καὶ μηδεὶς ἴστω τὰ πεπλημμελημένα, ἀλλ' ἢ μόνος αὐτὸς μετὰ τῆς ὑβριζομένης γυναικός· πῶς οἴσει τὸν ἀπὸ τῆς συνειδήσεως ἔλεγχον, πικρὸν πανταχοῦ περιφέρων κατήγορον; ὥσπερ γὰρ ἑαυτὸν οὐκ ἄν ποτέ τις φύγοι, οὕτως οὐδὲ τὴν ἀπὸ τοῦ κριτηρίου ψῆφον ἐκείνου· τοῦτο τὸ δικαστήριον οὐ χρήμασι διαφθείρεται, οὐ κολακείαις ἐνδίδωσι. θεῖον γάρ ἐστι, καὶ παρὰ Θεοῦ ταῖς ἡμετέραις ἐνιδρυμένον ψυχαῖς. ὄντως ὁ μοιχὸς δι' ἔνδειαν φρενῶν, ἀπώ-

A violat, perdet hunc Deus. Hic non est probrum aut reprehensio, sed pœna grauissima. Nouit & Solomon peccatorum discrimen, qui furtum cum adulterio conferens sic alicubi loquitur: Non est mirum si quis deprehendatur in furto: Furatur enim, vt animam expleat esurientem: sed adulter, ob inopiam sensus, exitium animæ suæ conciliat. Et illud, inquit, peccatum est, sed alterum minus, alterum maius: quòd alteri præbuerit occasionem peccandi, penuria, alteri omnis adempta sit excusatio. B Verùm hic quoque, dixerit aliquis, compellitur naturali concupiscentia. At non permittit elabi vxor quæ illi sorte obtigit, sed instat eripiens illi veniam. Ob id enim matrimonium & huius legitimus vsus permittitur, ne quid horum excusare possit maritus. Hanc ob causam data est illi mulier adiutrix, vt efferuescentem naturam coërceat, vt concupiscentiæ fluctus sedet. Itaque quemadmodum gubernator in portu faciens naufragiũ, haudquaquam vllam impetraret veniam: sic nec is cui quum per coniugium concessum sit, vt lapsum effugiat: C tamen aliena perfodit matrimonia, aut qui quamcunque fœminam curiosis aspicit oculis, habere quicquam posset quo semet excuset, nec apud homines nec apud Deum, etiamsi millies allegarit naturæ voluptatem. Imò quæ possit illic esse voluptas, vbi metus, vbi discrimen, vbi periculum, vbi tantorum malorum expectatio, vbi tribunalia, vbi accusationes, vbi iudicis ira, vbi gladius & carnifex, vbi barathrum, ac deportatio? Omnia pauet metuitque qui talis est, vmbras, parietes, ipsos lapides, tanquam vocem emittentes: omnia obseruat, omnes habet suspectos, famu- D los, vicinos, amicos, hostes, eos qui norunt omnia, eos qui nihil norunt. Quin potius si voles, tollantur hæc omnia: ponamus nulli notum esse flagitium præterquam ipsi vni, & mulieri, quam adulterauit: quomodo feret conscientiam redarguẽtem, acerbam & amarulentam accusatricem illã vbique secum ferens? Quemadmodum enim seipsum nemo potest effugere, ita nec illam eius curiæ sententiam. Hoc enim tribunal non pecunia corrumpitur, non adulationibus acquiescit, eo quòd diuinum est, & à Deo nostris impositum mentibus. Verè adulter, per inopiam sensus,

1. Cor. 3.17.

Prou. 6.30.

A simili.

Prou. 6.32.

exitium suæ ipsius animæ conciliat. Tametsi ne fur quidem immunis est à supplicio, qui dat quidem pœnam, sed minorem. Nec enim iudicia in diuersum ordinem extrudunt ea quæ comparantur, sed permittentia suo quæque manere loco, diminutionem inducunt aut exuperantiam. Fortasse non intelligitis quod dictum est, itaque necesse est idem explanatius dicere: Bonum est coniugium, sed melior est virginitas: nec quoniam melior est virginitas, ideo malum est coniugium, sed illud quidem inferius, alioqui bonum & ipsum. Similiter & hîc: Malum est furtum, sed adulterio minus, quanquam & ipsum est malum. Vides peccatorum differentias? Consideremus itaque quale peccatum hic peccauerit. Elatum est, inquit, cor illius. Periculosum vulnus: est enim arrogantia arrogātia inquam, malorum omnium fons. Et vt compendio discas morbi malitiam, illud audi: cætera quidem peccata circa nostram versantur naturam, at superbia virtutem incorpoream è sublimi detraxit ac deiecit, eò quòd diabolum quum diabolus non esset, vt hoc esset effecit, nimirum diabolus. Quòd si testem adducam Esaiam ita de illo loquentem, In cœlum ascendam, & ero similis altissimo: qui non libenter recipiunt allegorias, calumniabuntur nostrum testimonium. Sin verò Paulum illi adhibuerimus accusatorem, nemo iam habiturus est quod contradicat. Quid igitur ait Paulus? Timotheo scribens, quòd qui nuper professus est euangelium, eum non oportet ad summam episcopi dignitatem eueh: ita fermè loquitur, Non neophytum, ne inflatus incidat in condemnationem, & in laqueum diaboli, ne eadem, inquit, peccans cum illo, eadem cum illo patiatur. Hoc verò non hinc solum est perspicuum, verumetiam ex his quæ scelestus ille dæmon consuluit homini, qui primus omnium factus est. Quemadmodum bonis hic mos est, per quæ ipsi facti sunt boni, ad eadem exhortari proximos: ita & malis hic est mos, per quæ ipsi facti sunt improbi, ad eadem vicinis inuehere. Nam vna hæc est illorum malitiæ species, vt solatium existiment sui supplicij, si alios in exitium attraxerint. Quid igitur diabolus suasit Adamo? vt conciperet cogitationem sua condi-

Bonũ quidem coniugium, sed melior est virginitas.

Esa.14.13.

1.Tim 3.6.

Alienam improbitatem solatio esse improbis.

Genes.3.

A λείαν τῇ ἑαυτοῦ ψυχῇ περιποιεῖται. οὐ μὴν οὐδὲ ὁ κλέπτης κολάσεως ἀπεστέρηται· ἀλλὰ δίδωσι μὲν δίκην, ἐλάττονα δέ. αἱ γὰρ συγκρίσεις, οὐκ εἰς τὴν ἐναντίαν ἐξωθοῦσι τάξιν τὰ συγκρινόμενα, ἀλλ᾽ ἀφιεῖσαι μένειν ἐπὶ τῆς οἰκείας χώρας αὐτὰ, ἐλάττωσιν εἰσάγουσι καὶ ὑπεροχήν. τάχα οὐ συνήκατε τὸ λεχθέν· οὐκοῦν ἀνάγκη σαφέστερον εἰπεῖν. καλὸν ὁ γάμος, ἀλλὰ κρείττων ἡ παρθενία· οὐκ ἐπειδὴ κρείττων ἡ παρθενία, διὰ τοῦτο κακὸν ὁ γάμος, ἀλλ᾽ ἔλαττον μὲν ἐκείνου, καλὸν δὲ καὶ αὐτό. οὕτω καὶ

B ἐνταῦθα, κακὸν ἡ κλοπὴ, ἀλλ᾽ ἔλαττον μὲν ἐκείνου, κακὸν δὲ καὶ αὐτό. εἶδες ἁμαρτημάτων διαφοράς. ἴδωμεν οὖν ποίαν οὗτος ἁμαρτίαν ἥμαρτεν. ὑψώθη, φησὶν, ἡ καρδία αὐτοῦ. χαλεπὸν τὸ τραῦμα. ἀπόνοια γάρ ἐστιν, ἀπόνοια ἡ πηγὴ πάντων τῶν κακῶν. καὶ ἵνα συντόμως μάθῃς τοῦ νοσήματος τὴν κακίαν, ἐκεῖνο ἄκουσον. τὰ μὲν ἄλλα ἁμαρτήματα περὶ τὴν ἡμετέραν στρέφεται φύσιν, ἡ δὲ ὑπερηφανία δύναμιν ἀσώματον κατέσπασε. καὶ κατέβαλεν ἄνωθεν. τὸν γὰρ διάβολον οὐκ ὄντα πρότερον διάβολον, τοῦτο εἶ[ναι]

C διάβολον ἐποίησε. κἂν μὲν τὸν Ἡσαΐαν παραγάγωμεν μάρτυρα λέγοντα οὕτω περὶ αὐτοῦ· εἰς τὸν οὐρανὸν ἀναβήσομαι, καὶ ἔσομαι ὅμοιος τῷ ὑψίστῳ. οἱ τὰς ἀλληγορίας οὐχ ἡδέως δεχόμενοι, παραγράψονται τὴν μαρτυρίαν ἡμῶν· ἂν δὲ τὸν Παῦλον ἐπιστήσωμεν αὐτῷ κατήγορον, οὐδεὶς οὐκέτι λοιπὸν ἀντερεῖ. τί οὖν ὁ Παῦλος Τιμοθέῳ γράφων; ὅτι τὸν ἄρτι τοῦ κηρύγματος ἁψάμενον οὐ δεῖ πρὸς τὸ μέγα τῆς ἐπισκοπῆς ἄγειν ἀξίωμα, εἰπὼν οὕτω· μὴ νεόφυτον, ἵνα μὴ τυφωθεὶς, εἰς κρίμα ἐμπέσῃ καὶ πα-

D γίδα τοῦ διαβόλου· ἵνα μὴ τὰ αὐτὰ ἁμαρτὼν ἐκείνῳ, φησὶ, τὰ αὐτὰ αὐτῷ πείσηται. καὶ οὐκ ἐντεῦθεν δὲ μόνον δῆλόν ἐστιν, ἀλλὰ καὶ ἐξ ὧν τῷ πρώτῳ πλασθέντι ἀνθρώπῳ γνώμην συνεβούλευσεν ὁ πονηρὸς δαίμων ἐκεῖνος. ὥσπερ γὰρ τοῖς ἀγαθοῖς ἔθος ταῦτα τοῖς πλησίον παραινεῖν, δι᾽ ὧν αὐτοὶ γεγόνασιν ἀγαθοί· οὕτω καὶ τοῖς πονηροῖς ἔθος τοιαῦτα εἰσηγεῖσθαι τοῖς πλησίον, δι᾽ ὧν αὐτοὶ γεγόνασι φαῦλοι. ἓν γὰρ καὶ τοῦτο τῆς πονηρίας εἶδός ἐστι, καὶ παραμυθίαν ἡγοῦνται τῆς οἰκείας κολάσεως τὴν ἑτέρων ἀπώλειαν. τί οὖν ὁ διάβολος συνεβούλευσε τῷ Ἀδάμ; μείζονα τῆς οἰκείας φύσεως λαβεῖν ἔννοιαν, καὶ

ἰσοθείαν ἐλπίσαι. Εἰ γὰρ ἐμὲ τοῦ οὐρανοῦ τοῦτο, φησὶν, ἐξέβαλε, πολλῷ μᾶλλον τοῦτον τοῦ παραδείσου τὸ αὐτὸ τοῦτο ἐκβαλεῖ. Διὰ τοῦτο καὶ ὁ Σολομῶν ἔλεγεν· ὁ Θεὸς ὑπερηφάνοις ἀντιτάσσεται. Οὐκ εἶπεν, ὅτι ὁ Θεὸς ὑπερηφάνους ἀφίησι, καὶ ἐγκαταλιμπάνει, καὶ τῆς οἰκείας βοηθείας γυμνοῖ, ἀλλ', ἀντιτάσσεται, φησίν· οὐχ ὅτι παρατάξεως αὐτῷ καὶ μάχης ἔδει πρὸς τὸν ὑπερήφανον. τί γὰρ ὑπερηφάνου γένοιτ' ἂν ἀσθενέστερον; ὥσπερ γὰρ ὁ τὰς ὄψεις ἀπολέσας, ἅπασι πρόκειται πρὸς τὸ κακῶς παθεῖν, οὕτως ὁ ὑπερήφανος, ὁ μὴ εἰδὼς τὸν κύριον (ἀρχὴ γάρ, φησιν, ὑπερηφανίας, τὸ μὴ εἰδέναι τὸν κύριον) καὶ ἀνθρώποις εὐάλωτός ἐστι, τοῦ φωτὸς ἐκπεσὼν ἐκείνου. εἰ δὲ καὶ ἰσχυρὸς εἴη, οὐκ ἂν παρατάξεως ἐδέησε τῷ Θεῷ πρὸς αὐτόν. ᾧ γὰρ ἡ βούλησις ἤρκεσε πρὸς τὸ πάντα παραγαγεῖν, πολλῷ μᾶλλον καὶ πρὸς τὴν ἀναίρεσιν αὐτῶν ἀρκεῖ. τίνος οὖν ἕνεκεν φησὶν, ἀντιτάσσεται; ἵνα τὸ σφοδρὸν τῆς ἀπεχθείας ἐνδείξηται τῆς πρὸς τὸν ὑπερήφανον. ὅτι μὲν οὖν χαλεπὸν τὸ τραῦμα τὸ τῆς ὑπερηφανίας, καὶ ἐκ τούτων, καὶ ἀλλαχόθεν δῆλον. εἰ δὲ βούλεσθε, καὶ ἀλλαχόθεν τὴν αἰτίαν αὐτοῦ μάθωμεν, ἀφ' ἧς τὸ ἕλκος ἐγένετο. καὶ γὰρ ἔθος τῇ γραφῇ, ἐπειδὰν μέλλῃ τινὸς κατηγορεῖν, μὴ τὴν ἁμαρτίαν αὐτοῦ λέγειν μόνον, ἀλλὰ καὶ αἰτίαν τῆς ἁμαρτίας διδάσκειν ἡμᾶς. ποιεῖ δὲ τοῦτο, τοὺς ὑγιαίνοντας ἀσφαλεστέρους κατασκευάζουσα πρὸς τὸ μὴ τοῖς αὐτοῖς περιπεσεῖν. οὕτω καὶ ἰατροὶ πρὸς τοὺς κάμνοντας εἰσιόντες, πρότερον νοσημάτων ἀνιχνεύουσι τὰς πηγάς, ὥστε ἄνωθεν ἀναστεῖλαι τὸ κακόν. ὁ γὰρ, τῆς ῥίζης μενούσης, τὰ βλαστήματα ἐκτέμνων μόνον, οὐδὲν ἕτερον, ἢ ματαιοπονεῖ. ποῦ οὖν ἡ γραφὴ καὶ τὴν ἁμαρτίαν καὶ τὴν αἰτίαν τῆς ἁμαρτίας εἶπε; κατηγορεῖ τῶν πρὸ τοῦ κατακλυσμοῦ γενομένων ἐπὶ ταῖς οὐ προσηκούσαις ἐπιμιξίαις, καὶ ἄκουσον πῶς τίθησι τὴν αἰτίαν. ἰδόντες οἱ υἱοὶ τοῦ Θεοῦ τὰς θυγατέρας τῶν ἀνθρώπων, ὅτι καλαί εἰσιν, ἔλαβον αὐτὰς ἑαυτοῖς εἰς γυναῖκας. τί οὖν; τὸ κάλλος τῆς ἁμαρτίας αἴτιον; μὴ γένοιτο. τῆς γὰρ Θεοῦ σοφίας ἔργον ἐστί· Θεοῦ δὲ ἔργον οὐκ ἄν ποτε γένοιτο πονηρίας αἴτιον. ἀλλὰ τὸ ἰδεῖν; οὐδὲ τοῦτο. καὶ γὰρ καὶ τοῦτο τῆς φύσεως ἔργον ἐστίν. ἀλλὰ τί; τὸ κακῶς ἰδεῖν. τοῦτο γὰρ προαιρέσεως διεφθαρμένης ἐστί. Διὰ τοῦτο καί τις σοφὸς [illegible]-

A tione maiorem, sibique cum Deo sperarent æqualitatem: Si enim, inquit, hæc res me cœlo expulit, multò magis eadem hunc eijciet è paradiso. Quapropter & Salomon dixit, Deus superbis resistit: non dixit, Deus superbos dimittit, & in peccatis deserit, suóque nudat auxilio: sed, aduersatur, inquit: non quòd instructa acie aut pugna Deo sit opus aduersus superbum. Quid enim esse possit superbo infirmius? Nam vt qui orbatus est oculis, omnium oppositus est iniuriæ, ita & superbus qui non videt Dominum: B Nam initium superbiæ, vt inquit scriptura, est non nosse Dominum: etiam ab hominibus facilè superatur, posteaquam excidit ab illa luce. Quòd si etiam validus ac potens esset superbus, nihil opus esset Deo exercitu aduersus illum, quandoquidem & voluntas illi sufficiebat ad inuertenda omnia, multò magis sufficeret ad tollendos illos. Qur igitur, inquit, resistit? Quò vehemens odium declaret erga superbum. Itaque superbiam esse vulnus periculosum, tum ex his quæ diximus, tum ex aliis perspicuum est. Quòd si vultis, etiam causam ipsam C vnde vulnus hoc accidit, discamus. Si quidem hic scripturæ mos est, si quando parat accusare quempiam, non modò peccatū illius narrare, verumetiam docere nos quæ fuerit peccati causa. Id autem eò facit, vt qui sani sunt, eos reddat tutiores cautioresque, ne in eadem incidant mala. Similiter & medici ad ægrotantes ingressi, antequam curent morbum, inquirunt vestigántque vnde morbus sit inflictus, vt ab origine coërceāt malum: propterea quòd qui manente radice, ramos tantum execat, nihil aliud quàm inanem sumit D operam. Vbi igitur scriptura & peccatum & peccati causam eloquitur? Reprehendit eos qui præcesserunt diluuium, ob illicitos congressus. Atque audi quomodo causā exprimat. Quum vidissent filij Dei filias hominum esse formosas, acceperunt illas sibi in vxores. Quid igitur? Num pulchritudo causa est peccati? Absit. Est enim diuinæ sapientiæ opus, opus autem Dei nunquam possit esse causa peccati. Sed videre fuit causa peccati? Ne id quidem. Nam & hoc naturæ opus est. Sed quid tandem? Malè videre, nam hoc est deprauatæ voluntatis. Eoque fa-

Prou. 3. 34.

1. Petr. 5. & Iacob. 4. non dissimile apud Sirach. c. 10. 14.

Modū omnibus fugiendā esse superbia occasionem à simili.

piens quidam admonet, dicens, ne cognoscas pulchritudinem alienam. Non dixit, ne videas. Id enim nonnunquam casu fit, sed ne consideres, inquit, illud tollens ne studio animaduertamus, ne curiosè intueare, ne vitiosæ contemplationi immoreris, quæ ab animo corrupto concupiscentia proficiscitur. Sed quid, inquiet aliquis, hinc mali possit oriri? Ex hoc, inquit, amor velut ignis excitatur. Vt enim ignis, vbi fœnum aliquod aut culmum arripuerit, nihil moratur, sed simul vt attigit materiam, lucidam accendit flammam: Itidem & ignis concupiscentiæ qui est in nobis, simul atque per oculorum intuitum elegantem ac venustā attigerit formam, protinus exurit animum. Proinde ne spectes temporariam illam, quæ ex aspectu proficiscitur voluptatem, sed perpetuum dolorem considera, qui nascitur ex concupiscentia. Nam illa inflicto vulnere plerunque celeriter auolat, at vulnus non auolat, sed plerunque manet & interficit. Et quemadmodum cerua confixa iaculo in vitali corporis parte, etiamsi venatorum effugiat manus, nihil inde fert lucri: Sic & anima accepto cōcupiscentiæ iaculo è lasciuo curiosóque aspectu, etiamsi cum iaculo permittatur abire, tamen ipsa per se corrumpitur ac perit, vbique videns hostem, & insequentem habens. Sed quod dicere cœperam: (neque enim committendum est vt in hoc tam longas sermonis digressiones faciamus) quòd scriptura cum peccatis simul & peccatorum causas soleat commemorare: Audi & hîc quid dicat de Ozia. Neque enim hoc modo nos docuit, quòd fuit elatum cor eius, verùm addidit vnde fuit elatum. Quū potens esset, inquit, elatum est cor eius. Non ferebat principatus magnitudinem, sed quemadmodum ex edacitate nascitur ignea inflatio, ex inflatione gignitur febris, deinde ex febri plerunque mors: itidem & hîc, ex rerum abundantia nata est superbia. Nam quod in corporibus est inflatio, hoc in animis est superbia, mox ex superbia nata est appetentia rerum ipsi non congruentium. Hæc non temerè producimus in longum, sed ne vnquam existimetis hos esse suspiciendos, neque fœlices ducatis qui principatum gerunt, quum sciatis, quàm lubrico in statu versentur.

Prov. 6.

Homerici probat à specie mulierum oculos esse aucupandos.

A cerua iaculo confixa.

Quod in corporibus inflatio, hoc in animu superbia.

A ἐραιῆς λέγων, μὴ καταμάνθανε κάλλος ἀλλότριον. οὐκ εἶπε, μὴ ἴδῃς (συμβαίνει γὰρ καὶ ἀπὸ τοῦ αὐτομάτου τοῦτο γίνεσθαι) ἀλλὰ, μὴ καταμάνθανε, φησὶ, τὴν ἐκ μελέτης κατανόησιν, τὴν περίεργον ὄψιν, τὴν μετὰ διατεταμένης προσοχῆς θεωρίαν, τὴν ἀπὸ ψυχῆς διεφθαρμένης καὶ ἐπιθυμούσης ἀναιρεῖν. καὶ τί, φησὶν, ἐκ τούτου γένοιτ' ἂν βλάβος; ἐκ τούτου, φησὶ, φιλία ὡς πῦρ ἀνακαίεται. καθάπερ γὰρ τὸ πῦρ, ἐπειδὰν χόρτου τινὸς ἢ καλάμης ἐπιλάβηται, οὐκ ἀναμένει χρόνον τινὰ, ἀλλ' ὁμοῦ τε ἥψατο τῆς ὕ-

B λης, καὶ λαμπρὰν ἀνῆψε τὴν φλόγα· οὕτω καὶ τὸ πῦρ τῆς ἐπιθυμίας τῆς ἐν ἡμῖν, ἐπειδὰν διὰ τῆς τῶν ὀφθαλμῶν ὄψεως, εὐειδοῦς καὶ λαμπροῦ κάλλους ἅψηται, εὐθέως ἐμπίπρησι τὴν ψυχήν. μὴ τοίνυν τὴν πρόσκαιρον ἴδῃς ἡδονὴν τὴν ἀπὸ τῆς θεωρίας, ἀλλὰ τὴν διηνεκῆ σκόπησον ὀδύνην τὴν ἀπὸ τῆς ἐπιθυμίας. ἡ μὲν γὰρ τὸ τραῦμα ἐνθεῖσα, ἀπεπήδησε πολλάκις· τὸ δὲ τραῦμα οὐκ ἀποπηδᾷ, ἀλλὰ μένει πολλάκις καὶ ἀπόλλυσι. καὶ καθάπερ ἔλαφος δεξαμένη βέλος ἐν καιρίῳ τοῦ σώματος, κἂν ἐκφύγῃ τὰς τῶν θηρατῶν χεῖρας, οὐδὲν κερ-

C δαίνει λοιπόν· οὕτω καὶ ψυχὴ δεξαμένη βέλος ἐπιθυμίας ἐξ ἀκολάστου καὶ περιέργου θεωρίας, κἂν τὸ βέλος ἀφεῖσα ἀπέλθῃ, αὐτὴ διαφθείρεται καὶ ἀπόλλυται, πανταχοῦ τὸν πολέμιον ὁρῶσα καὶ ἑπόμενον ἔχουσα. ἀλλ' ὅπερ ἔλεγον (οὐ γὰρ ἔδει μακρὰς συνεχῶς τοῦ λόγου ποιεῖσθαι τὰς ἐκτροπάς) ὅτι ἡ γραφὴ καὶ τὰ ἁμαρτήματα καὶ τὰς αἰτίας αὐτῶν λέγειν εἴωθεν, ἄκουε γοῦν καὶ ἐνταῦθα τί φησι περὶ τοῦ Ὀζία. οὐ γὰρ ὅτι ὑψώθη ἡ καρδία αὐτοῦ, τοῦτο μόνον ἡμᾶς ἐδίδαξεν,

D ἀλλὰ καὶ πόθεν ὑψώθη προσέθηκε. πόθεν οὖν ὑψώθη; ἡνίκα ἴσχυσε, φησὶν, ὑψώθη ἡ καρδία αὐτοῦ. οὐκ ἤνεγκε τῆς δυναστείας τὸ μέγεθος, ἀλλ' ὥσπερ ἐξ ἀδηφαγίας μὲν γίνεται φλεγμονὴ, ἐκ φλεγμονῆς δὲ τίκτεται πυρετὸς, εἶτα ἐκεῖθεν θάνατος πολλάκις· οὕτω καὶ ἐνταῦθα ἀπὸ τῆς πολλῆς τῶν πραγμάτων περιβολῆς ἀπόνοια γέγονεν. ὅπερ γὰρ ἐπὶ τῶν σωμάτων φλεγμονὴ, τοῦτο ἐπὶ τῶν ψυχῶν ἀπόνοια. εἶτα ἐξ ἀπονοίας ἐπιθυμία τῶν οὐ προσηκόντων αὐτῷ πραγμάτων. ταῦτα οὐχ ἁπλῶς μηκύνομεν, ἀλλ' ἵνα μηδέποτε ζηλωτοὺς εἶναι νομίζητε, μηδὲ μακαρίζητε τοὺς ἐν δυναστείαις ὄντας,

εἰδότες ὅσον τοῦ πράγματος τὸ ἐπισφαλές, ἵνα μηδέποτε τοὺς ἐν πενίᾳ καὶ εὐτελείᾳ ἀθλίους ἡγῆσθε, εἰδότες ὅτι πλείων ἐντεῦθεν ἡ ἀσφάλεια. διὸ καὶ ὁ προφήτης ἐβόα λέγων· ἀγαθόν μοι, κύριε, ὅτι ἐταπείνωσάς με. ὁρᾷς γοῦν ὅσον ἐκ τοῦ ὕψους γέγονε τὸ κακόν. ὑψώθη ἡ καρδία αὐτοῦ ἕως τοῦ διαφθεῖραι, φησί. τί ἐστιν, ἕως τοῦ διαφθεῖραι; τῶν πονηρῶν λογισμῶν οἱ μὲν οὐδὲ ὅλως ἡμῶν ἐπιβαίνουσι τῇ ψυχῇ, ἂν πολλῇ περιφράξωμεν ἑαυτοὺς ἀσφαλείᾳ· οἱ δὲ τίκτονται μὲν ἔνδον, ῥαθυμησάντων δὲ ἡμῶν καὶ βλαστάνουσιν· ἂν δὲ προληφθῶσιν, ἀποπνίγονται ταχέως καὶ καταχώννυνται· ἄλλοι καὶ τίκτονται, καὶ αὐξάνονται, καὶ πρὸς τὰς πονηρὰς ἐκβαίνουσι πράξεις, καὶ πᾶσαν ἡμῶν τῆς ψυχῆς τὴν ὑγίειαν διαφθείρουσιν, ὅταν ἐν πολλῇ γενώμεθα ῥαθυμίᾳ. τοῦτο οὖν φησιν, ὅτι ὑψώθη ἡ καρδία αὐτοῦ, καὶ οὐκ ἔμεινεν ἔνδον ἡ ἀπόνοια, οὐδὲ κατεσβέσθη, ἀλλ' ἐξεπήδησε, καὶ πρὸς ἔργον ἐλθοῦσα πονηρὸν, πᾶσαν αὐτοῦ διέφθειρε τὴν ἀρετήν. τὸ μὲν οὖν μακάριον μήτε ὅλως δέξασθαι τὸν πονηρὸν λογισμόν· ὅπερ οὖν καὶ ὁ προφήτης ἔλεγε, κύριε, οὐχ ὑψώθη ἡ καρδία μου. οὐκ εἶπεν, ὑψώθη μὲν, κατέστειλα δὲ αὐτήν, ἀλλ' οὐδὲ τὴν ἀρχὴν ὑψώθη, τουτέστιν, ἄβατον διὰ παντὸς ἐτήρησα τῇ κακίᾳ τὴν ψυχήν. τὸ μὲν οὖν μακάριον τοῦτο· τὸ δὲ μετ' ἐκεῖνο, ἐπεισελθόντας τοὺς λογισμοὺς ταχέως ἀπώσασθαι, καὶ μὴ συγχωρῆσαι ἐνδιατρίψαι πλέον, ὥστε μὴ πονηρὰν ἐν ἡμῖν ἐργάσασθαι τὴν νομήν. εἰ δὲ καὶ μέχρι τούτου ῥαθυμήσαιμεν, ἔστι διὰ τὴν τοῦ Θεοῦ φιλανθρωπίαν καὶ ταύτης τῆς ῥαθυμίας παραμυθία, καὶ πολλὰ παρὰ τῆς ἀγαθότητος ἐκείνης τῆς ἀφάτου καὶ μεγάλης τοῖς τοιούτοις τραύμασι κατεσκεύασται τὰ φάρμακα. ἀλλὰ φέρε λοιπὸν τὸν λόγον καταπαύσωμεν, ἵνα μὴ τοῦτο, ὅπερ ἐδείσαμεν ἐν ἀρχῇ, γένηται νῦν, καὶ τὸ πλῆθος λυμήνηται τὴν μνήμην ὑμῶν. διὸ καὶ διὰ βραχέων ἀνακεφαλαιώσασθαι τὰ εἰρημένα ἀναγκαῖόν ἐστιν. οὕτω γὰρ αἱ μητέρες ποιοῦσιν. ἐπειδὰν ὀπώρας ἢ τραγήματα, ἢ τι τοιοῦτον εἰς τὸν παιδικὸν ἐμβάλλωσι κόλπον, ὥστε μὴ τῇ ῥαθυμίᾳ τοῦ παιδίου ἐκπεσεῖν τι τῶν δοθέντων αὐτοῖς, περισφίγξασαι πάντοθεν τὸν χιτωνίσκον περισφίγγουσι τῇ τῆς ζώνης ἀσφαλείᾳ. τοῦτο καὶ ἡμεῖς ποιήσωμεν,

A nec vnquam illos iudicetis miseros, qui in egestate & afflictionibus viuunt, scientes hanc vitam esse multò tutiorem. Vnde & Propheta clamat, dicens: *Ps. 118.* Bonum est mihi Domine quòd humiliasti me. Vide igitur quantum ex eminentia natum sit malum. Elatum *2. Paral. 26.* est, inquit, cor eius vsque ad corruptionem. Quid est vsque ad corruptionem? Vsque ad prauas cogitationes, quæ prorsus non ascendunt in animum nostrum, si nos ipsos multo tutamento circumsepiamus: sed eadem si negli-B genter egerimus, nascuntur in nobis, germinántque: sin occupentur, protinus præfocantur & obruuntur. Aliæ simul & gignuntur & adolescunt, atque ad prauas actiones euadunt, omnémque mentis nostræ sanitatem corrumpunt, si quando vehementer cessauerimus. Hoc itaque dicit, Elatum est cor eius, neque se intus continuit arrogantia, neque extincta est: sed vt prorupit, & ad opus vsque prauum *Ps. 130.* progressa, totam illius virtutem corrupit. Beatitudo est igitur cogitationem improbam prorsus non admittere, quod & à Propheta dictum est, C Domine non est elatum cor meum: non dixit, elatum quidem est, sed illud cohibui: verùm non est omnino elatum: hoc est, iugiter seruaui animam meam inaccessam malitiæ. Hoc igitur est fœlicitatis: huic proximum illud est, malas cogitationes iam ingressas celeriter repellere, neque sinere, vt illic diutius immorentur, ne in nobis mala pascua, malámque sibi gignant alimoniam. Quòd si & huc vsque cessauerimus, est per Dei bonitatem & huius socordiæ solatium, multáque ab illa summa bonitate talibus vulneribus pa-D rata sunt remedia. Sed age sermonem hunc missum faciamus, ne quod in initio verebamur, nunc accidat nobis, rerúmque turba vestram perdat memoriam. Quapropter necessum est vt quæ *Memoriæ confirmatio à pueris sumpta similitudine.* dicta sunt, sũmatim paucis repetamus: Sic & matres facere solent quum poma, aut bellaria, aut aliud simile quippiā in puerilem immittũt sinum: ne per puerorum negligentiam excidat aliquid eorum quæ data sunt, contractam vndique tunicular cingulo subijciunt, quò sint in tuto. Idem nos faciamus,

orationem in longum porrectam contrahamus memoriæque custodiæ deponamus. Audistis quomodo nihil agendum sit ad ostentationem apud homines, quantúmque sit malum socordia, vt etiam in perfecta vita versantem facilè supplantarit. Didicistis quanta nobis opus sit cura, potissimum sub vitæ finem, vtque nec desperandum sit de eo qui cum incidisset in peccata mutatus est, neque qui bene vixit, eum oporteat per socordiam in rectè factis confidere. Disseruimus vobis de differentiis peccatorum, ne simus vehementer intenti ad eximias corporum formas, quantúmque hinc oriatur mali demonstrauimus. Quæ de superbia vobis diximus meministis, quæque de prauis cogitationibus. Hæc seruantes redeamus domum, quin potius hæc seruantes excipiamus perfectiorem doctoris exhortationem. Nam nostra quidem qualiacunque sunt, habent iuuentutis ostentationem: huius autem qualiacunque fuerint, cana quadam prudentia sunt ornata. Ac nostra quidem similia sunt torrenti, qui cum strepitu fertur, illius autem oratio similis est fonti magna tranquillitate fluuios effundenti, qui olei magis quàm aquarum cursum imitentur. Excipiamus igitur ea fluenta, vt fiant in nobis fons aquæ salientis in vitam æternam: quam nobis omnibus contingat assequi, gratia & bonitate domini nostri Iesu Christi, per quem, & cum quo Patri, simul cum sancto Spiritu, gloria nunc & semper, & in secula seculorum, Amen.

Vel hinc etiamnum collige qualium sit non ita pridem delatū episcopis, Lutheri discipule, dicere volui Luciferi imitator.

A εἰς μῆκος ἐκταθέντα τὸν λόγον περιστείλωμεν, καὶ τῇ τῆς μνήμης παρακαταθώμεθα φυλακῇ. ἠκούσατε πῶς οὐδὲν ἡμᾶς πρὸς ἐπίδειξιν χρὴ ποιεῖν, καὶ πόσον ῥαθυμία κακὸν, πῶς καὶ τὸν ἐν ἀκριβεῖ ζῶντα βίῳ ῥᾳδίως ὑποσκελίσαι· ἔγνωτε πόσης ἡμῖν δεῖ τῆς σπουδῆς, καὶ μάλιστα πρὸς αὐτὰ τοῦ βίου τὰ τέλη, καὶ πῶς οὔτε ἀπογινώσκειν ἐπὶ τοῖς παραπτώμασι τὸν μεταβαλλόμενον, οὔτε θαῤῥεῖν ἐπὶ τοῖς κατορθώμασι τὸν ῥαθυμήσοντα χρή. διελέχθημεν περὶ διαφορᾶς ἁμαρτημάτων ὑμῖν, περὶ τοῦ μὴ B κεχηνέναι πρὸς τὰ λαμπρὰ τῶν σωμάτων, καὶ πόσον ἐκ τούτου κακὸν, ἐδείξαμεν· τὰ περὶ ἀπονοίας εἰρημένα ὑμῖν μέμνησθε, τὰ περὶ τῶν πονηρῶν λογισμῶν. ταῦτα φυλάσσοντες, ἀναχωρήσωμεν οἴκαδε· μᾶλλον δὲ ταῦτα φυλάσσοντες, δεξώμεθα καὶ τὴν τελειοτέραν τοῦ καλοῦ διδασκάλου παραίνεσιν. τὰ μὲν γὰρ ἡμέτερα, οἷα ἂν εἴη, ἔχει τὰ τῆς νεότητος δείγματα· τὰ δὲ τούτου, οἷα ἂν ᾖ, πλείονι κεκόσμηται τῷ φρονήματι. καὶ τὰ μὲν ἡμέτερα προσέοικε ῥύακι ῥοιζηδὸν φερομένῳ· τὰ δὲ τούτου C προσέοικε πηγῇ ποταμοὺς ἀφιείσῃ μεθ' ἡσυχίας πολλῆς, ἐλαίου μᾶλλον ἢ ὑδάτων μιμουμένῃ τὸν δρόμον. δεξώμεθα οὖν τὰ νάματα, ἵνα γένηται ἐν ἡμῖν πηγὴ ὕδατος ἁλλομένου εἰς ζωὴν αἰώνιον· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

EIVSDEM DE EO QVOD SCRIPSIT ESAIAS, FACTVM est anno quo mortuus est Ozias rex, vidi Dominum, & laus ciuitatis Antiochiæ, atque & aduersus eos qui prohibent nuptias demonstratio diuina.

Esa. 6. 1.

HOMILIA IV.

PRÆCLARVM nobis theatrum obtigit, magnificus alacrisque concursus. Quid tandem est in causa? Sementis heri factæ fructus, hoierna messis est. Heri plantauimus, hodie colli-

D ΕΙΣ ΤΟΝ ΡΗΤΟΝ ΤΟΥ προφήτου Ἡσαΐου τὸ λέγον· ἐγένετο τοῦ ἐνιαυτοῦ, οὗ ἀπέθανεν Ὀζίας ὁ βασιλεὺς, εἶδον τὸν κύριον καθήμενον ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου· καὶ ἔπαινος τῆς πόλεως τῆς Ἀντιοχείας, καὶ κατὰ κωλυόντων τὸν γάμον εὐθὺς ἀπόδειξις.

ΛΑΜΠΡΟΝ ἡμῖν σήμερον τὸ θέατρον γέγονε, καὶ φαιδρὸς ὁ σύλλογος. τί ποτε ἄρα τὸ αἴτιον; τῶν χθὲς σπερμάτων καρπὸς ὁ σήμερον θερισμός· χθὲς ἐφυτεύσαμεν, τὸ σήμερον

μερον τρυγῶμεν. οὐ γὰρ γῆν ἄψυχον γεωργοῦμεν, ἵνα βραδύνῃ, ἀλλὰ ψυχὰς λογικάς· οὐκ ἔστι φύσις ἡ μέλλουσα, ἀλλὰ χάρις ἡ ταχύνουσα. εὔτακτος ἡμῖν ὁ λαὸς, φιλήκοος ὁ δῆμος· χθὲς ἐκλήθησαν, καὶ σήμερον στεφανοῦνται· τῆς χθὲς παραινέσεως ὁ καρπὸς, ἡ σήμερον ὑπακοή. διὰ τοῦτο καὶ ἡμεῖς μετὰ προθυμίας τὰ σπέρματα καταβάλλομεν, ὅτι καθαρὰν ὁρῶμεν τὴν ἄρουραν, οὐδαμοῦ ἀκάνθας ἀποπνιγούσας, οὐδὲ ὁδὸν πατουμένην, οὐδὲ πέτραν ἄγονον· ἀλλὰ βαθεῖάν τινα καὶ λιπαρὰν χώραν, ὁμοῦ δεχομένην τὰ σπέρματα, καὶ τὸν στάχυν ἡμῖν παρέχουσαν. Ταῦτα λέγω ἀεὶ, καὶ λέγων οὐ παύσομαι· ὅτι ἐγκώμιον τῆς πόλεως τῆς ἡμετέρας, οὐχ ὅτι σύγκλητον ἔχει, καὶ ὑπάτους ἀριθμεῖν ἔχομεν, οὐδ' ὅτι ἀνδριάντας πολλοὺς, οὐδ' ὅτι ὠνίων ἀφθονίαν, οὐδ' ὅτι θέσεως ἐπιτηδειότητα· ἀλλ' ὅτι δῆμον ἔχει φιλήκοον, καὶ ναοὺς Θεοῦ πεπληρωμένους· καὶ ἡ ἐκκλησία μᾶλλον τρυφᾷ καθ' ἑκάστην ἡμέραν λόγον ῥέοντα, καὶ πόθον οὐδέποτε κορεννύμενον. ἡ γὰρ πόλις οὐκ ἀπὸ τῶν οἰκοδομῶν, ἀλλὰ ἀπὸ τῶν ἐνοίκων θαυμάζεται. μή μοι λέγε, ὅτι ἡ Ῥωμαίων πόλις μεγάλη τῷ μεγέθει· ἀλλὰ δεῖξόν μοι ἐκεῖ οὕτω λαὸν φιλήκοον. ἐπεὶ καὶ τὰ Σόδομα πύργους εἶχεν, ἡ δὲ καλύβη τὸν Ἀβραάμ. ἀλλ' ἐλθόντες οἱ ἄγγελοι, τὰ μὲν Σόδομα παρέδραμον, ἐπὶ δὲ τὴν καλύβην κατήχθησαν. οὐ γὰρ οἴκων περιφάνειαν ἐζήτουν, ἀλλὰ ψυχῆς ἀρετὴν περιῄεσαν ζητοῦντες καὶ κάλλος. οὕτω δὲ καὶ ἄλλως ἡ ἔρημος εἶχε τὸν Ἰωάννην, ἡ δὲ πόλις τὸν Ἡρώδην. διὰ τοῦτο ἦν ἔρημος πόλεως εὐγνωμονεστέρα. τί δήποτε; ὅτι οὐκ ἐν τοῖς κτίσμασιν ἡ προφητεία. Ταῦτα δὲ λέγω, ἵνα μηδέποτε πόλιν ἐγκωμιάσωμεν, ἀπὸ τρόπων καταλυομένην. τί μοι λέγεις οἰκοδομήματα καὶ κίονας; ταῦτα τῷ παρόντι συγκαταλύεται βίῳ. εἴσελθε εἰς ἐκκλησίαν, καὶ βλέπε τῆς πόλεως τὴν εὐγένειαν, εἴσελθε, ἰδὲ πένητας ἐκ μεσονυκτίων μέχρι τῆς ἡμέρας παραμένοντας, βλέπε παννυχίδας ἱερὰς ἡμέρᾳ καὶ νυκτὶ συναφθείσας, οὔτε ἐν ἡμέρᾳ, οὔτε ἐν νυκτὶ τὴν τυραννίδα τοῦ ὕπνου, οὔτε τὴν ἀνάγκην τῆς πενίας φοβουμένους. μεγάλη πόλις, καὶ μητρόπολις τῆς οἰκουμένης.

gimus vindemiam. Non enim terram inanimam colimus, vt tardè fructificet; ſed animas ratione prædītas. Non eſt natura, quæ cunctatur, ſed gratia, quæ accelerat. Compoſitus ac tractabilis eſt nobis populus, audiendi ſtudioſa plebs eſt. Heri vocati ſunt, hodie coronantur. Admonitionis heſternæ fructus, hodiernum eſt obſequiū. Vnde nos quoque libenter ſemina iacimus, quia purum videmus aruum, haudquaquam ſpinam quæ ſuffocat, neque viam quæ calcatur, neque petram ſterilem, ſed profundum ac pinguē agrum, qui ſimul & ſemen recipit, & mox ariſtam nobis exhibet. Hæc eò ſemper loquor, nec loqui deſino, quoniam hæc noſtræ ciuitatis laus eſt, non quòd ſenatum habet, non quòd Conſules numerare poſſumus, neque quod ſtatuas complures, neque quòd mercium copiam, neque quòd ſitum habet cōmodum: ſed quòd populum habet audiendi ſtudioſum, quòd templa Dei differta, quódque Eccleſiæ deliciç magis creſcunt in dies, quódque ſermonē habet profluentem, deſideriúmque nunquam ſatiabile. Siquidem ciuitas non ab ædificiis, ſed ab inhabitantibus admirāda redditur. Ne mihi narres, quòd Romanorum vrbs magnitudine ſpacioſa eſt, ſed oſtende mihi illic populum æquè cupidum audiendi. Nam Sodoma turres habebant, quum Abraham in tugurio moraretur. Attamen venientes Angeli, Sodoma præteribant, ad tugurium diuertebant. Non enim ædificiorū ſplendorem quærebant, ſed animæ virtutem quærentes circumibant. Ita ſanè aliàs deſertum habebat Ioannē, ciuitas Herodem: eóque deſertum nobilius erat ciuitate. Quur ita tandem? Quoniam non in ſtructuris ſita eſt prophetia. Hæc dico ne quando ciuitatem prædicemus, quæ moribus diſſoluta dirutáque eſt. Quid mihi narras ædificiorum ſtructuras, quid columnas? Hæc vna cum pręſenti vita diruuntur. Eccleſiam ingreditor, vt ciuitatis videas claritudinē. Ingreditor, inquam, vide pauperes à medio noctis vſque ad lucem perſeuerantes, vide ſacra peruigilia diem cum nocte copulantia: vide populum Chriſti amantem neque noctu neque interdiu vel ſomni tyrānidem, ac violentiā metuentes, vel inopię neceſſitudinem formidantes. Magna re vera ciuitas ac totius orbis metropolis.

Ciuitatis præcipua laus.

Roma præfert ſuam ciuitatem.

Gen. 18.
Ibid. 19.

Quot episcopi, quot doctores huc venerunt, & à populo docti discedunt, ac legem illam non scriptam sed cordibus insitam, hic discunt? Quòd si mihi narres dignitates & opum abundantiam, à foliis, non à fructibus arborem laudas. Hæc autem loquor haudquaquam assentans charitati vestræ, sed virtutem vestram prædicans. Beatus ego propter vos, beati vos propter vos ipsos, beatus qui loquitur ad aures audientium, sic ego beatus factus sum. Beati qui esuriunt & sitiunt iustitiam. Vides quomodo vos beati propter vos ipsos estis facti? maximè verò beatus est vir amans sermonum spiritualium. Hoc nos distinguit à brutis. Non enim nos ab illis separat corporis ratio, neque quòd alimur aut bibimus, neque quod pascimus aut viuimus: hæc enim omnia nobis cum brutis sunt cōmunia. Sed qua re distinguitur à brutis homo? Sermone, & ob id animal dicitur λογικόν: hoc est, sermonis particeps. Vt enim aluntur corpora, sic aluntur & animæ: sed corpus pane, anima sermone. Proinde si videas hominem vescentem lapide, num illum dixeris esse hominem? Itidem si quem videris qui non alatur sermone, sed sermonis ac rationis inopia, nimirum hic & hominis naturam amisit, siquidem educatio declarat hominis nobilitatem. Quoniam igitur theatrum nobis differtum est, itémque mare positis vndis tranquillitatis plenum, ac rursum pelagus sedata tempestate quietum ac placidum: age iam nauem detrahamus, veli loco expandentes linguam, pro Zephyro spiritus gratiam inuocantes, pro temone clauóque cruce gubernatrice vtentes. Nam mare quidem illud habet aquam salsam, hoc autem aquam viuam. Illic enim sunt animalia rationis expertia, hic verò animæ rationales. Illic qui nauigant è mari in terram, hic verò qui nauigant è terra in cœlum appellunt. Illic nauigia, hic eloquia spiritualia. Illic in naui tabulæ compositiones, hic sermonum. Illic velum, hic lingua. Illic Zephyri flatus, hic spiritus præsentia. Illic homo gubernator, hîc verò gubernator Christus. Eóque sanè iactatur quidem nauis, at non mergitur. Poterat quidem & in tranquillo nauigare,

Eccli. 25. 10. — *Matt. 5. 6.* — *Metaphora.* — *Nauem ecclesiæ demergi non posse.*

A πόσοι ἐπίσκοποι, πόσοι διδάσκαλοι ἦλθον ἐνταῦθα, καὶ παιδευθέντες παρὰ τοῦ λαοῦ ἀναχωροῦσι, καὶ τὸν νόμον τὸν ἔμφυτον ἐντεθέντα μεταφυτεῦσαι παρασκευάζονται; ἐὰν λέγῃς μοι ἀξιώματα, καὶ χρημάτων περιουσίαν, ἀπὸ τῶν φύλλων τὸ δένδρον ἐπαινεῖς, καὶ οὐκ ἀπὸ τοῦ καρποῦ. Ταῦτα δὲ λέγω, οὐ κολακεύων ὑμῶν τὴν ἀγάπην, ἀλλὰ τὴν ἀρετὴν ὑμῶν ἀνακηρύττων. μακάριος ἐγὼ δι' ὑμᾶς, μακάριοι ὑμεῖς δι' ἑαυτούς. Μακάριος ὁ λέγων εἰς ὦτα ἀκουόντων· οὕτως ἐγὼ μακάριος ἐγενόμην. μακάριοι οἱ πεινῶντες καὶ διψῶντες τὴν δικαιοσύνην· εἶδες πῶς ὑμεῖς B δι' ἑαυτοὺς μακάριοι ἐγένεσθε; μακάριος ἀνὴρ λόγων ἐρῶν πνευματικῶν· τοῦτο διΐστησιν ἡμᾶς τῶν ἀλόγων. οὐ γὰρ δὴ ἡ τοῦ σώματος ἀναλογία, οὐδὲ τὸ τρέφεσθαι, οὐδὲ τὸ πίνειν, οὐδὲ τὸ νέμεσθαι, οὐδὲ τὸ ζῆν. ταῦτα γὰρ ἡμῖν ἅπαντα κοινὰ πρὸς τὰ ἄλογα. ἀλλὰ τί διέστηκεν ἄνθρωπος τῶν ἀλόγων; τῷ λόγῳ. διὰ τοῦτο καὶ λογικὸν ζῶόν ἐστιν ὁ ἄνθρωπος. ὥσπερ γὰρ τρέφεται τὰ σώματα, οὕτω τρέφεται καὶ ἡ ψυχή· ἀλλὰ τὸ μὲν σῶμα, ἄρτῳ, ἡ δὲ ψυχή, λόγῳ. ἂν οὖν ἴδῃς ἄνθρωπον λίθον ἐσθίοντα, ἆρα ἂν εἴπῃς ἄν- C θρωπον εἶναι; οὕτως ἂν ἴδῃς μὴ λόγῳ τρεφόμενον, ἀλλ' ἀλογίᾳ, ἐρεῖς, ὅτι καὶ τὸ εἶναι ἄνθρωπος ἀπώλεσεν. ἡ γὰρ ἀνατροφὴ δείκνυσι τοῦ ἀνθρώπου τὴν εὐγένειαν. ἐπεὶ τοίνυν τὸ θέατρον ἡμῖν πεπλήρωται, καὶ πάλιν ἡ θάλασσα ἡ κυμαινομένη, καὶ γαλήνης γέμουσα, καὶ πάλιν τὸ πέλαγος τὸ χειμαζόμενον, καὶ ἑστηκός· φέρε δὴ τὸ πλοῖον ἑλκύσωμεν, ἀντὶ τοῦ ἱστίου, τὴν γλῶτταν ἀναπετάσαντες, ἀντὶ τοῦ ζεφύρου, τοῦ πνεύματος τὴν χάριν καλέσαντες, ἀντὶ τοῦ αὐχένος καὶ πηδαλίου, τῷ σταυρῷ χρώμενοι κυβερ- D νήτῃ. ἡ θάλασσα μὲν γὰρ ἔχει ἁλμυρὰ ὕδατα, ἐνταῦθα δὲ ὕδωρ ζῶν· ἐκεῖ ἄλογα ζῶα, ἐνταῦθα δὲ ψυχαὶ λογικαί· ἐκεῖ οἱ πλέοντες ἀπὸ θαλάσσης εἰς γῆν, ἐνταῦθα δὲ οἱ πλέοντες ἀπὸ γῆς εἰς οὐρανὸν ὁρμίζονται· ἐκεῖ πλοῖα, ἐνταῦθα δὲ λόγοι πνευματικοί· ἐκεῖ σανίδες ἐν τῷ πλοίῳ, ἐνταῦθα δὲ λόγων συγκροτήματα· ἐκεῖ ἱστίον, ἐνταῦθα δὲ γλῶττα· ἐκεῖ ζεφύρου ἀὴρ, ἐνταῦθα πνεύματος ἐπιδημία· ἐκεῖ ἄνθρωπος κυβερνήτης, ἐνταῦθα δὲ κυβερνήτης ὁ Χριστός. διὰ δὴ τοῦτο τὸ πλοῖον χειμάζεται, ἀλλ' ὑποβρύχιον οὐ γίνεται. ἠδύνατο μὲν γὰρ καὶ ἐν γαλήνῃ πλεῖν,

ἀλλ' οὐκ ἀφῆκεν ὁ κυβερνήτης, ἵνα καὶ τῶν A πλεόντων τὴν ὑπομονὴν ἴδῃς, καὶ τοῦ κυβερνοῦντος τὴν σύνεσιν ἀκριβῶς καταμάθῃς. ἀκουέτωσαν Ἕλληνες, ἀκουέτωσαν Ἰουδαῖοι τὰ κατορθώματα ἡμῶν, καὶ τὴν προεδρίαν τῆς ἐκκλησίας. ὑπὸ πόσων ἐπολεμήθη ἡ ἐκκλησία, ἀλλ' οὐδέποτε ἐνικήθη; πόσοι τύραννοι; πόσοι βασιλεῖς; Αὔγουστος, Τιβέριος, Γάϊος, Κλαύδιος, Νέρων, ἄνθρωποι λόγοις τετιμημένοι, δυνατοί, τοσαῦτα ἐπολέμησαν ἀκμὴν νεάζουσαν, ἀλλ' οὐκ ἐξερρίζωσαν· ἀλλ' οἱ μὲν πολεμήσαντες σεσίγηνται καὶ λήθῃ παραδίδονται, B ἡ δὲ πολεμηθεῖσα τὸν οὐρανὸν ὑπεραίρει. μὴ γάρ μοι τοῦτο ἴδῃς, ὅτι ἐν γῇ ἔστηκεν ἡ ἐκκλησία, ἀλλ' ὅτι ἐν οὐρανῷ πολιτεύεται. πόθεν τοῦτο δῆλον; δείκνυσι τῶν πραγμάτων ἡ ἀπόδειξις. ἐπολεμήθησαν ἕνδεκα μαθηταί, καὶ ἡ οἰκουμένη ἐπολέμει· οἱ δὲ πολεμηθέντες ἐνίκησαν, καὶ οἱ πολεμήσαντες ἀνῃρέθησαν· τὰ πρόβατα τῶν λύκων περιεγένοντο. εἶδες ποιμένα τὰ πρόβατα ἐν μέσῳ τῶν λύκων ἀποστέλλοντα, ἵνα μηδὲ τῇ φυγῇ τὴν σωτηρίαν ποιήσωνται; ποῖος ποιμὴν τοῦτο ἐργάζεται; ἀλλ' ὁ Χριστὸς τοῦτο ἐποίησεν· ἵνα σοι δείξῃ, ὅτι οὐ κατὰ C ἀκολουθίαν τῶν πραγμάτων, ἀλλ' ὑπὲρ φύσιν καὶ ἀκολουθίαν τὰ κατορθώματα γίνεται. ἡ γὰρ ἐκκλησία οὐρανοῦ μᾶλλον ἐρρίζωται. ἀλλ' ἴσως ἀπόνοιάν μου καταγινώσκει ὁ Ἕλλην. ἀλλ' ἀναμενέτω τῶν πραγμάτων τὴν ἀπόδειξιν, καὶ μανθανέτω τῆς ἀληθείας τὴν ἰσχύν, πῶς εὐκολώτερον τὸν ἥλιον σβεσθῆναι, ἢ τὴν ἐκκλησίαν ἀφανισθῆναι. τίς ταῦτά φησιν; ὁ κηρύξας, ὁ θεμελιώσας αὐτήν· ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσονται, οἱ δὲ λόγοι μου οὐ μὴ παρέλθωσι. ταῦτα οὐ μόνον εἶπεν, ἀλλὰ καὶ ἐπλήρωσε. διὰ τί γὰρ μᾶλλον οὐρανοῦ μείζονα αὐτὴν ἐθεμελίωσε; τιμιωτέρα γὰρ οὐρανοῦ ἡ D ἐκκλησία. διὰ τί οὐρανός; διὰ τὴν ἐκκλησίαν, οὐχ ἡ ἐκκλησία διὰ τὸν οὐρανόν. ὁ οὐρανὸς δὲ διὰ τὸν ἄνθρωπον, οὐκ ἄνθρωπος διὰ τὸν οὐρανόν. καὶ ἐξ ὧν αὐτὸς ἐποίησε δῆλον. οὐρανοῦ γὰρ σῶμα οὐκ ἀνέλαβεν ὁ Χριστός. ἀλλ' ἵνα μὴ μηκύνοντες τὸν λόγον, πάλιν χρεωσταὶ ἀναχωρήσωμεν σήμερον (ἴστε γὰρ ὅσα πρὸ χθὲς ὑπεσχόμεθα) καταβολὴν ἑτοιμάσωμεν. διὰ γὰρ τοὺς ἀπολειφθέντας ἀνεβαλόμεθα.

verùm non passus est gubernator, quò simul & nauigantium perspicias tolerantiam, & gubernatoris prudentiam plenius cognoscas. Audiant gentes, audiant Iudæi benefacta nostra, audiant instans ac feruens ecclesiæ studium. A quàm multis oppugnata est ecclesia, nec vnquam tamen victa? Quot tyranni? quot duces? quot imperatores? Augustus, Tiberius, Caius, Claudius, Nero, homines literis ornati, potentes, tot modis oppugnarunt recentem ac teneram, at non deiecerunt. Quin potius ij qui oppugnarunt silentur obliuione traditi, illa verò oppugnata cœlum transcendit. Neque enim illud mihi spectato, quòd in terris sita est ecclesia, sed quòd in cœlo versatur. Vnde hoc dilucidum est? Nimirum ipsæ res demonstrant. Oppugnati sunt vndecim discipuli, totus orbis oppugnabat: verùm qui oppugnabantur vicerunt, qui oppugnabant sublati sunt. Oues deuicere lupos. Vidisti pastorem oues in medium luporum emittentem, vt ne fuga quidem salutem consequerentur? Quis pastor hoc fecit? Christus hoc fecit, quò tibi demonstraret quæ rectè geruntur non accedere iuxta nostrarum actionum tenorem, sed præter naturam, prætérque rerum tenorem. Nam ecclesia firmioribus quam cœlum ipsum radicibus defixa hæret. Verùm fortassis ethnicus arrogantiæ me cōdemnat: sed maneat donec harum rerum probationem attulero discátque vim veritatis, quomodo facilius est Solem extingui quàm ecclesiam deleri. quis, inquis, ista prædicat? Is qui eam fundauit. Cœlum & terra transibunt, sed verba mea non transibunt. Hæc non modò dixit, sed & compleuit: siquidem latius illam fundauit quàm cœlum. Est enim cœlo honoratior ecclesia. Quare conditum est cœlum? propter ecclesiam. Ecclesia non est condita propter cœlum: cœlum conditum est propter hominem, non homo propter cœlum. Id perspicuum est ex his, quæ fecit Christus. Non enim cœli corpus assumpsit, sed hominis. Verùm ne in longum producto sermone, rursus hodie vobis debitores discedamus (scitis enim quàm multa simus heri polliciti nos exhibituros) persoluere parati sumus. Nam propter eos qui non aderant, distuleram.

Christianorum conuersatio quomodò in cœlis.

Ecclesia radix in cœlis.

Matth. 24. 35.

Quoniam igitur qui fuerant, suo sunt officio perfuncti, suaque præsentia nobis mensam exhibuerunt sumptuosam, age sanè, apponamus obsonia, obsonia quidem haud putria quamuis hesterna sint: sed hæc obsonia non putrescunt. Quamobrem tandem? Non sunt carnes vt corrumpi queant, sed sententiæ semper florentes. Carnes enim quoniam corpus sunt, corrumpuntur: contrà sententiæ si maneant, redduntur fragrantiores. Quid igitur erat quod heri diximus? Siquidem & ita nos heri participes mensæ fuimus, vt qui non adfuerunt, nihil detrimenti sint passi. Et factum est in anno quo mortuus est Ozias rex, vidi Dominum sedentem in throno excelso & elato. Quis hæc loquitur? Esaias ille spectator cœlestium Seraphim, qui cum coniugio commercium habuit, nec tamen extinxit gratiam. Auscultastis Prophetam, & audistis Prophetam, hodie, Exi tu & Iasub filius tuus. Nec ista oportet prætercurrere, Exi tu & filius tuus. Itáne filium habebat Propheta? Si filium habebat, habebat & vxorem, vt intelligas non esse malas nuptias, sed malam esse scortationem. Sed quoties cum quibusdam de vulgo disserimus dicentes, Cur non rectè viuis? Quam ob rem non præstas mores absolutos? Qui possum, inquiunt, nisi diuertam ab vxore, nisi vale dixero liberis, nisi valere iussero negocia? Quamobrem? Num obstat matrimonium? Adiutrix tibi data est vxor, non insidiatrix. An non habebat vxorem Propheta? Neque tamen spiritus gratiæ obstabat coniugium, sed cum vxore conuictum habebat, & erat nihilominus Propheta. Moyses nónne vxorem habebat? Et tamen is petram dirupit, aërem immutauit, cum Deo colloquebatur, diuinam iram cohibuit. Abraham nónne habebat vxorem? Et tamen pater factus est gentium & ecclesiæ: typum sustulit filium Isaac, & hic illi fuit egregiorum facinorum materia. Nónne obtulit filium, coniugij fructum? Nónne fuit pater & idem amans Dei? Nónne licuit videre sacrificium è suis visceribus fieri? Sacrificium, inquam, simul & patrem, vinci naturam, vincere pietatem, viscera conculcari, piaque facta superare, patrem deijci, Dei amantem coronari? An non vidisti totum, & filij amantem & Dei?

Dissimile.

Esa. 3.

Esaias vxorem habuit.

Matrimonij laus.

ἐπεὶ οὖν οἱ ἀπολειφθέντες τὰ ἑαυτῶν ἐπλήρωσαν, καὶ τῇ παρουσίᾳ ἡμῖν τῇ ἑαυτῶν ἐχαρίσαντο τράπεζαν πεπληρωμένην τῶν ἀναλωμάτων. φέρε δὴ, τὰ ὄψα παραθῶμεν, ὄψα οὐχ ἕωλα. εἰ γὰρ καὶ χθεσινά ἐστιν, ἀλλ' οὐ γίνονται ἕωλα. τί δήποτε; οὐκ ἔστι κρέα, ἵνα διαφθαρῇ, ἀλλὰ νοήματα διηνεκῶς ἀνθοῦντα. τὰ μὲν γὰρ κρέα φθείρεται (σῶμα γάρ ἐστι) τὰ δὲ νοήματα μένοντα, εὐωδέστερα καθίσταται. τί οὖν ἐστιν, ἃ χθὲς εἰρήκαμεν; καὶ γὰρ καὶ ἡμεῖς χθὲς ἀπηλαύσαμεν τραπέζης, καὶ οἱ ἀπολειφθέντες οὐκ ἐζημιώθησαν. καὶ ἐγένετο τοῦ ἐνιαυτοῦ, οὗ ἀπέθανεν Ὀζίας ὁ βασιλεὺς, εἶδον τὸν κύριον καθήμενον ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου. τίς ταῦτά φησιν; Ἡσαΐας, ὁ θεωρὸς τῶν Σεραφεὶμ, ὁ γάμῳ ὁμιλήσας, καὶ τὴν χάριν μὴ σβέσας. καὶ προσεσχήκατε τῷ προφήτῃ, καὶ ἠκούσατε τοῦ προφήτου σήμερον· ἔξελθε σὺ, καὶ Ἰασοὺβ ὁ υἱός σου. ἀναγκαῖον καὶ ταῦτα μὴ παραδραμεῖν. ἔξελθε σὺ, καὶ ὁ υἱός σου. υἱὸν εἶχεν ὁ προφήτης; οὐκοῦν εἰ υἱὸν, καὶ γυναῖκα· ἵνα μάθῃς, ὅτι οὐ φαῦλος ὁ γάμος, ἀλλὰ κακὸν ἡ πορνεία. ἀλλ' ἐπειδὴ πολλοῖς ἡμεῖς διαλεγόμεθα, καὶ λέγομεν, διὰ τί μὴ ὀρθῶς ζῇς, διὰ τί μὴ βίον ἀκριβῆ ἐπιδείκνυσαι; πῶς δυνάμεθα, φησιν, ἐὰν μὴ ἀποτάξωμεν γυναικὶ, ἐὰν μὴ ἀποτάξωμεν παιδίοις, ἐὰν μὴ ἀποτάξωμεν πράγμασι; διὰ τί; μὴ κώλυμα ὁ γάμος; βοηθός σοι δέδοται ἡ γυνή· μὴ ἐπίβουλος; ὁ προφήτης οὐ γυναῖκα εἶχε, καὶ οὐκ ἐγένετο κώλυμα τοῦ πνεύματος ὁ γάμος· ἀλλὰ καὶ ὡμίλει τῇ γυναικὶ, καὶ προφήτης ἦν. ὁ Μωϋσῆς οὐ γυναῖκα εἶχε, καὶ πέτρας ἔρρηξε, καὶ ἀέρα μετέβαλε, καὶ Θεῷ διελέγετο, καὶ θεήλατον ὀργὴν ἀνέστειλεν; ὁ Ἀβραὰμ οὐχὶ γυναῖκα εἶχε, καὶ πατὴρ ἐγένετο ἐθνῶν, καὶ τῆς ἐκκλησίας; τὸν γὰρ Ἰσαὰκ υἱὸν εἶχε, καὶ αὐτὸς ἐγένετο κατορθωμάτων ὑπόθεσις. οὐκ ἀνήνεγκε τὸ παιδίον, τὸν καρπὸν τοῦ γάμου; οὐχ ἐγένετο καὶ πατὴρ καὶ φιλόθεος; οὐκ ἦν ἰδεῖν ἱερεῖα ἐξ οἰκείων σπλάγχνων γενόμενον; ἱερεῖα καὶ πατέρα; φύσιν νικωμένην, καὶ εὐλάβειαν κρατοῦσαν; σπλάγχνα πατούμενα, καὶ κατορθώματα εὐσεβῆ περιγινόμενα; καὶ τὸν πατέρα λυόμενον, καὶ φιλόθεον στεφανούμενον; οὐκ εἶδες ὅλον φιλόπαιδα καὶ φιλόθεον;

μήτι ἐκώλυσεν ὁ γάμος; τί δαὶ ἡ μήτηρ τῶν Μακκαβαίων, οὐχὶ γυνὴ ἦν; οὐχὶ ἑπτὰ δέδωκε παῖδας τῷ χορῷ τῶν ἁγίων; οὐκ εἶδεν αὐτοὺς μαρτυρήσοντας; οὐχ εἱστήκει καθάπερ ὄρος μὴ σαλευομένη; οὐχ εἱστήκει καθ' ἕκαστον αὐτοῖς μαρτυροῦσα, καὶ μήτηρ μαρτύρων, καὶ ἑπτάκις ἐμαρτύρησε; βασανιζομένων γὰρ ἐκείνων, αὐτὴ τὴν πληγὴν ἐδέχετο. οὐδὲ γὰρ ἀπαθῶς οὕτω τὰ γινόμενα ἐδέχετο. μήτηρ γὰρ ἦν, καὶ τῆς φύσεως ἡ ὕβρις τὴν οἰκείαν δύναμιν ἐπεδείκνυτο. ἀλλ' οὐκ ἐνικᾶτο. θάλασσα γὰρ ἦν καὶ κύματα· ἀλλ' ὥσπερ ἡ θάλασσα μαινομένη καταλύεται, οὕτω καὶ ἡ φύσις ἐγειρομένη τῷ φόβῳ τοῦ Θεοῦ ἐχαλινοῦτο. πῶς αὐτοὺς ἤλειψε; πῶς αὐτοὺς ἔθρεψε; πῶς ἑπτὰ ναοὺς τῷ Θεῷ παρέστησεν, ἀνδριάντας χρυσοῦς, μᾶλλον δὲ καὶ χρυσοῦ τιμιωτέρους; ὅτι γὰρ οὐ τοιοῦτον χρυσὸς, οἵα ψυχὴ μαρτύρων, πρόσεχε, εἱστήκει ὁ τύραννος, καὶ ὑπὸ μιᾶς γυναικὸς ἡττώμενος ἀνεχώρει. ἐκεῖνος ὅπλοις ἐπολιόρκει, καὶ αὕτη προθυμίᾳ περιεγίνετο· ἐκεῖνος κάμινον ἀνῆπτε, καὶ αὕτη τὴν ἀρετὴν τοῦ πνεύματος· ἐκεῖνος στρατόπεδον ἐκίνει, καὶ αὕτη πρὸς ἀγγέλους μετεωρίζετο. ἑώρα κάτω τὸν τύραννον, καὶ ἐνενόει τὸν ἄνω βασιλεύοντα· ἑώρα τὰς κάτω βασάνους, καὶ ἠρίθμει τὰ ἄνω βραβεῖα· ἑώρα τὴν παροῦσαν κόλασιν, καὶ ἐνενόει τὴν μέλλουσαν ἀθανασίαν. διὸ καὶ ὁ Παῦλος ἔλεγε· μὴ σκοπούντων ἡμῶν τὰ βλεπόμενα, ἀλλὰ τὰ μὴ βλεπόμενα. μή τι κώλυμα ὁ γάμος ἐγένετο; τί δὲ ὁ Πέτρος, ἡ κρηπὶς τῆς ἐκκλησίας, ὁ μανικὸς ἐραστὴς τοῦ Χριστοῦ, ὁ ἀπαίδευτος τῷ λόγῳ, καὶ ῥητόρων περιγενόμενος, ὁ ἀμαθὴς, καὶ φιλοσόφων ἀποφράξας στόματα, ὁ τὴν Ἑλληνικὴν σοφίαν, καθάπερ ἀράχνην, διαλύσας, ὁ τὴν οἰκουμένην περιδραμὼν, ὁ σαγηνεύσας τὴν θάλασσαν, καὶ ἁλιεύσας τὴν οἰκουμένην; οὐκ εἶχε καὶ οὗτος γυναῖκα; ναὶ εἶχεν· ὅτι δὲ εἶχεν, ἄκουσον τοῦ εὐαγγελιστοῦ. τί δέ φησιν; εἰσῆλθεν ὁ Ἰησοῦς πρὸς τὴν πενθερὰν Πέτρου πυρέσσουσαν. ὅπου πενθερὰ, ἐκεῖ καὶ γυνὴ, ἐκεῖ καὶ γάμος. τί δὲ ὁ Φίλιππος; οὐ τέσσαρας θυγατέρας εἶχεν; ὅπου δὲ τέσσαρες θυγατέρες, ἐκεῖ καὶ γυνὴ, καὶ γάμος. τί οὖν ὁ Χριστός; ἀπὸ παρθένου μὲν· ἀλλ' εἰς γάμον παρεγένετο,

A Nunquid hic obfuit matrimoniũ? quid autem Machabæorũ mater, nónne vxor fuit? nónne septẽ filios addidit sanctorũ choro? Nónne vidit illos martyrio coronatos? Nónne veluti spectatrix astabat, nihil animo labascens, tanquam mons quidam immobilis. Nónne astabat in vno quoque illorum martyrium passa, & mater martyrum, septies ipsa martyrium præstitit? Dum enim illi torquebantur, illa plagam accipiebat. Neque enim adeò sine affectionibus quæ gerebantur, spectabat: mater erat & naturæ illata vis propriam virtutem B declarabat, at illa non vincebatur. Mare quidem erat & vndæ. Cæterùm sicut mare quum insanit, sedatur: ita & natura commota, metu Dei refrænatur. Quomodo eos aluit? quomodo eos vnxit? quomodo septem templa Deo exhibuit? statuas aureas, imò potius auro preciosiores? Vt enim scias non tale quippiam esse aurum, qualis est anima martyrum attende. Stabat tyrannus, atque ab vna muliere superatus discedebat. Ille armis oppugnabat; hæc animi promptitudine superabat: ille fornacem incedebat, hæc virtutem C spiritus: ille exercitum mouebat, hæc ad angelos applicabat animum. Videbat infernè tyrannum, & in animo versabat illum in supernis regnantem: videbat infra se tormenta, ac numerabat superna brauia: videbat præsentem cruciatum, & cogitabat futuram immortalitatem. Quapropter & Paulus dicebat, Non contemplantibus nobis quæ videntur, sed ea quæ non videntur: num quid obstaculi adferebat matrimoniũ? Quid autem Petrus basis ecclesiæ, ille vehemens amator Christi, ille sermone indoctus & rhetorum victor, ille imperitus qui tamen philosophis obturauit D os, ille qui Græcanicam sapientiam non aliter quàm aranearum telam dissoluit, qui terrarum orbem peragrauit, qui sagenam misit in mare & piscatus est orbem, non habuit hic quoque vxorem? Sanè habuit. Quod autem habuerit, audi euangelistam testantem. Quid autem ait? Ingressus est Iesus ad socrum Petri febricitantem: Vbi socrus, ibi & vxor, ibi & coniugium. Quid autem Philippus, nónne quatuor habebat filias? Vbi verò quatuor filiæ, illic & vxor & matrimonium. Quid igitur Christus? Ex virgine quidẽ natus est, verùm ad nuptias accessit, ac donum attulit.

Laus Machabæorum matris.

Petrus vxorem habuit.

Matt. 8.

Philippus vxorem habuit.

Ioan. 2.

Non habent, inquit, vinum: & aquam vertit in vinum, virginitate nuptias honorans, dono id quod fiebat commendans: vt ne abomineris nuptias, sed oderis scortationem, meo periculo, nam ego spondeo tibi salutem, etiamsi vxorem habueris. Prospice tibi ipsi. Mulier si proba fuerit, adiutrix tibi est. Quid igitur si non fuerit commoda? Fac illam commodam. An non fuerunt vxores bonæ simul ac malæ, ne haberes excusationem? Qualis erat illa Iob? Sed Sarra erat bona. Ostendam tibi mulierem & malam & improbam, neque tamen nocuit viro. Vxor Iob praua erat & improba, suasit illi vt blasphemias proferret. Quid igitur? Labefactauit turrim? Deiecit adamantem? Superauit petram? Depulit militem? Comminuit scapham? Eradicauit arborem? Nihil horum, sed illa impellebat, & arbor reddebatur stabilior: illa fluctus excitabat, & nauis non submergebatur, sed secundo nauigabat vento: fructus eius decerpebatur, & arbor commota non est: folia deciderunt, & radix mansit immota. Hæc loquor, ne quis excuset vxoris improbitatem. Mala est, corrige eam. Sed ais, è Paradiso me expulit: Verùm eadem te in cœlos induxit. Eadem quidem natura, mens tamen diuersa. Sed illa Iob erat mala, verùm Susanna bona: sed illa Ægyptia erat impudica, verùm Sarra erat modesta. Vidisti illam, vide & hanc: quandoquidem etiam inter viros, hi quidem mali sunt, illi verò boni. Bonus erat Ioseph, seniores autem impudici. Vidisti omnibus in rebus vitium ac virtutem, nan natura dijudicari, sed animo distingui. Ne mihi prætexas accusationes. Sed ad eorum, quæ debemus, solutionem properemus: Et factum est anno quo mortuus est Ozias rex. Dicturus sum quam ob causam quum Propheta designet tempus: siquidem quærebamus heri, quam tandem ob causam quum omnes Prophetæ atque in his aliàs hîc quoque tempus regum enarrare soleant quo vixerint, hoc loco ea consuetudo prætermissa sit: Nec enim dicit, in diebus Oziæ: sed, in morte Oziæ, hanc quæstionem hodie soluere volo. Quanquam enim ingens est æstus, tamen maior est sermonis refrigeratio: quanquam vis fit corpori fathiscenti, tamen anima vigens delectatur.

Vxor mala corrigenda, aut ferenda.

Iob 2.

Esaias cur de morte Oziæ meminit.

καὶ δῶρον εἰσήνεγκεν. Οὐκ ἔχουσι γάρ, φησιν, οἶνον· καὶ τὸ ὕδωρ οἶνον ἐποίησε, τῇ παρθενίᾳ τὸν γάμον τιμῶν, τῇ δωρεᾷ τὸ πρᾶγμα θαυμάζων. ἵνα μὴ βδελύσσῃ τὸν γάμον, ἀλλὰ μισῇς τὴν πορνείαν, τῷ ἐμῷ κινδύνῳ ἐγὼ ἐγγυῶμαί σοι τὴν σωτηρίαν, κἂν γυναῖκα ἔχῃς. πρόσεχε σεαυτῷ· γυνὴ ἐὰν εὔχρηστός ἐστι, βοηθός σοί ἐστι. τί οὖν ἂν μὴ ᾖ εὔχρηστος; ποίησον αὐτὴν εὔχρηστον. μὴ οὐκ ἐγένοντο καλαὶ γυναῖκες καὶ κακαί, ἵνα μὴ ἔχῃς πρόφασιν; ποταπὴ ἡ τοῦ Ἰὼβ ἦν; ἡ δὲ Σάρρα καλὴ ἦν· δείξω σοι γυναῖκα φαύλην καὶ πονηράν. οὐκ ἔβλαψε τὸν ἄνδρα ἡ γυνὴ τοῦ Ἰώβ. πονηρὰ ἦν καὶ φαύλη, καὶ βλασφημεῖν αὐτῷ συνεβούλευσε. τί οὖν; ἔσεισε τὸν πύργον; κατέσεισε τὸν ἀδάμαντα; περιεγένετο τῆς πέτρας; ἔχωσε τὸν στρατιώτην; διέτρησε τὸ σκάφος; ἐξερρίζωσε τὸ δένδρον; οὐδὲν τούτων· ἀλλ' ἐκείνη προσέκρουσε, καὶ ὁ πύργος ἀσφαλέστερος ἐγίνετο. αὕτη τὰ κύματα ἤγειρε, καὶ τὸ πλοῖον οὐ κατεποντίζετο, ἀλλ' ἐξ οὐρίας ἔπλεεν· ὁ καρπὸς αὐτοῦ ἐτρυγήθη, καὶ τὸ δένδρον οὐκ ἐσαλεύθη· τὰ φύλλα ἔπεσε, καὶ ἡ ῥίζα ἔμεινεν ἀσάλευτος. Ταῦτα λέγω, ἵνα μηδεὶς προφασίζηται κακίαν γυναικός. Φαύλη ἐστί; διόρθωσον αὐτήν. ἀλλά, φησιν, ἀπὸ παραδείσου με ἐξέβαλεν· ἀλλὰ καὶ εἰς οὐρανούς σε ἐξώσεκεν· ἡ αὐτὴ μὲν φύσις, διάφορος δὲ ἡ γνώμη. ἀλλ' ἡ τοῦ Ἰὼβ φαύλη; ἀλλ' ἡ Σωσάννα καλή. ἀλλ' ἡ Αἰγυπτία ἀκόλαστος; ἀλλ' ἡ Σάρρα κοσμία. εἶδες ἐκείνην; βλέπε καὶ ταύτην· ἐπεὶ καὶ ἐν ἀνδράσιν, οἱ μὲν φαῦλοι, οἱ δὲ σπουδαῖοι. καλὸς ὁ Ἰωσήφ, οἱ δὲ πρεσβύτεροι ἀκόλαστοι. εἶδες πανταχοῦ κακίαν καὶ ἀρετήν, μὴ τῇ φύσει ταῦτα κρινόμενα, ἀλλὰ τῇ γνώμῃ διαιρούμενα. μή μοι προφάσεις προφασίζου. ἀλλ' ἐπὶ τὰ χρέα καὶ τὴν καταβολὴν σπεύδωμεν. καὶ ἐγένετο τοῦ ἐνιαυτοῦ, οὗ ἀπέθανεν Ὀζίας ὁ βασιλεύς. μέλλω λέγειν διὰ τί ὁ προφήτης ἐπισημαίνεται τὸν καιρόν. ἐζητοῦμεν γὰρ χθές, τί δήποτε τῶν προφητῶν ἁπάντων τὸν καιρὸν τῆς ζωῆς τῶν βασιλέων ἱστορούντων, καὶ αὐτοῦ τούτου, ἐνταῦθα τὸ ἔθος ἐλύθη· καὶ οὐ λέγει, ἐν ταῖς ἡμέραις Ὀζίου, ἀλλ', ἐν τῇ τελευτῇ Ὀζίου. τοῦτο λῦσαι βούλομαι σήμερον. εἰ γὰρ καὶ πολὺ τὸ καῦμα, ἀλλὰ μείζων ἡ δρόσος τοῦ λόγου· εἰ καὶ βιάζεται τὸ σῶμα μαλακιζόμενον, ἀλλ' ἀκμάζουσα ἡ ψυχὴ εὐφραίνεται.

μή μοι λέγε καῦμα καὶ ἱδρῶτα. ἐὰν ἱδρώσῃς τῷ σώματι, σμῆξον σου τὴν ψυχήν. οἱ παῖδες οἱ τρεῖς ἐν καμίνῳ ἦσαν, καὶ οὐδὲν ἔπαθον, ἀλλ' ἡ κάμινος δρόσος ἐγένετο. ὅταν ἐννοήσῃς ἱδρῶτα, ἐννόει καὶ τὸν μισθὸν καὶ τὴν ἀμοιβήν. καὶ γὰρ κολυμβητὴς ἄνθρωπος, δι' οὐδὲν ἄλλο τολμᾷ εἰς τὸ βάθος ἑαυτὸν καταδῦσαι τῶν ὑδάτων, ἢ διὰ μαργαρίτας, τὴν τοῦ πολέμου ὑπόθεσιν. ἀλλ' οὐ τὴν ὕλην διαβάλλω, ἀλλὰ τὴν ἀκόλαστον γνώμην. καὶ σύ, ἵνα λάβῃς θησαυρὸν ἀνέλλιπῆ, καὶ φυτεύσῃς ἀμπέλους ἐν τῇ ψυχῇ σου, οὐκ ἀνέχῃ καύματος, οὐδὲ ἱδρῶτος; οὐχ ὁρᾷς τοὺς ἐν θεάτρῳ καθημένους, πῶς ἱδροῦσι, καὶ γυμνῇ τῇ κεφαλῇ τὴν ἀκτῖνα δέχονται, ἵνα γένωνται θανάτου αἰχμάλωτοι, ἵνα πόρνης δοῦλοι; εἰς ἀπώλειαν ἐκεῖνοι κάμνουσι, καὶ σὺ εἰς σωτηρίαν ὀκνεῖς; ἀθλητὴς εἶ, καὶ στρατιώτης. τίς οὖν ἐστιν ὁ Ὀζίας ἐκεῖνος; καὶ διὰ τί τὴν τελευτὴν αὐτοῦ ταύτην εἶπεν; οὗτος ὁ Ὀζίας βασιλεὺς ἦν, καὶ ἀνὴρ δίκαιος, καὶ πολλοῖς κομῶν τοῖς κατορθώμασιν· ἀλλ' ὕστερόν ποτε εἰς ἀπόνοιαν ἦλθεν, εἰς ἀπόνοιαν τὴν μητέρα τῶν κακῶν, εἰς ἀλαζονείαν τὴν θορύβων γέμουσαν, εἰς ὑπερηφανίαν, τὴν ἀπώλειαν τοῦ διαβόλου. οὐδὲν γὰρ ἀπονοίας χεῖρον. διὰ τοῦτο καὶ τὸν λόγον ἅπαντα εἰς τοῦτο κατηναλώσαμεν χθές, τὴν ἀπόνοιαν καθαιροῦντες καὶ ταπεινοφροσύνην διδάσκοντες. εἴπω σοι, πόσον ἀγαθὸν ταπεινοφροσύνη, καὶ πόσον κακὸν ἀπόνοια; ἁμαρτωλὸς δίκαιον ἐνίκησεν, ὁ τελώνης τὸν Φαρισαῖον, καὶ ῥήματα ἔργων περιεγένοντο. πῶς ῥήματα; ὁ τελώνης λέγει· ὁ Θεὸς ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ· ὁ Φαρισαῖος λέγει, οὐκ εἰμί, ὡς οἱ λοιποὶ τῶν ἀνθρώπων, ἅρπαξ, ἢ πλεονέκτης. ἀλλὰ τί; νηστεύω δὶς τῆς ἑβδομάδος, ἀποδεκατῶ μου τὰ ὑπάρχοντα. ὁ Φαρισαῖος ἔργα ἔδειξε δικαιοσύνης· ὁ τελώνης ῥήματα εἶπε ταπεινοφροσύνης, καὶ λόγοι ἔργων περιεγένοντο, καὶ ὁ τοσοῦτος θησαυρὸς ἐξεφυσήθη, καὶ ἡ τοσαύτη πενία εἰς πλοῦτον μετεβλήθη. ἦλθον δύο πλοῖα ἔχοντα γόμον· εἰσῆλθον ἀμφότερα εἰς τὸν λιμένα. ἀλλ' ὁ τελώνης καλῶς τῷ λιμένι προσωρμίσθη, ὁ δὲ Φαρισαῖος ναυάγιον ὑπέμεινεν· ἵνα μάθῃς πόσον κακὸν ἡ ἀπόνοια. δίκαιος εἶ; μὴ ταπεινώσῃς τὸν ἀδελφόν σου. κομᾷς κατορθώμασι; μὴ ὀνειδίσῃς τῷ πλησίον, καὶ ὑποτέμῃς σου τὸ ἐγκώμιον. ὅσον

A Ne mihi narres æstum ac sudorem. Si sudaueris corpore, abstergis animam tuam. Tres illi pueri qui erant in fornace nihil detrimenti perpessi sunt, sed fornax illis fuit refrigerio. Quum cogitas sudorem, cogita simul & mercedem & præmium. Etenim homo vrinator nullam aliam ob causam audet seipsum in profundum aquarũ demittere quàm propter margaritas, bellorum causam. Quanquam non materiam reprehẽdo, sed mentem intemperantem. Et tu, vt accipias thesaurum deficere nescium, plantésque vitem in anima tua, non sustines æstum neque sudorẽ? Non vides B istos qui sedent in theatro, quomodo sudent, nudóque capite Solis radium excipiant, quò fiant captiui mortis, quò scorti mancipia? Ad exitium illi laborant, & tu ad salutem segnis ac remissus es? Athleta es, miles es. ne igitur laboribus defatigeris; sed bono animo certamina tolera. Quis igitur est ille Ozias, & quam ob causam mortem hanc illius expressit Propheta? Hic Ozias rex erat, ac vir iustus, multis florens egregiis factis: verùm postea tandẽ ad superbiam venit, ad superbiam, inquam, malorum C matrem, ad arrogantiam tumultibus plenam, ad elationem, qua diabolus in exitium ruit. Nihil enim arrogantia peius, eóque totum sermonem in hoc heri consumpsimus, superbiam eximentes, & humilitatem docẽtes. Vis tibi dicam quantum bonum sit humilitas, & quantum malum arrogãtia? Peccator iustum superauit, publicanus Pharisæum, & verba factis fuere superiora. Quomodo verba? Publicanus dicit: Deus propitius esto mihi peccatori. Pharisæus dicit: Non sum sicut ceteri homines, raptores iniusti, adulteri, velut etiã hic Publica- D nus: sed quid? Ieiunio bis in sabbato, decimas do de facultatib. meis. Pharisæus opera iustitiæ præstabat: publicanus verba dicebat humilitatis, & verba plus potuerunt quàm facta, tantúq. thesaurus cum contumelia reijcitur, & tanta inopia in diuitias cõmutata est. Venerunt duæ naues habẽtes onus, ambæ portum ingressæ sunt, sed publicanus pulchrè in portum appulit. Pharisæus autem naufragium perpessus est, vt disceres, quantum mali sit animi tumor. Iustus es, ne deijcias fratrẽ tuum. Flores rectè factis, ne probra iacias in proximum, tuásque laudes contrahe. Quantò

Dan. 3.

Simile.

Exemplum.

Superbia quantum malum.

Luc. 18. 11.

In portu naufragium.

maior es, tantò magis submitte teipsum. Attende quod dicitur charissime: magis iustus metuere debet arrogantiam quàm peccator: hoc heri dicebam, & hodie dico, propter eos qui heri aberant, eo quòd peccator habet conscientiam accusantem ipsum & humilem esse illum necesse est: iustus autem ob benefacta extollitur. Quemadmodum igitur fit in nauigiis, qui vacuam habent nauem, non metuunt piratarum insultum. Non enim veniunt vt conterant nauem nihil vehentem: ceterùm ij qui nauem habent onustam, metuunt piratas. Nam pirata illuc properat, vbi aurum, vbi argentum, vbi lapides preciosi: Sic & diabolus non facilè persequitur peccatorē, sed iustum potius, vbi multæ sunt opes. Quoniam igitur frequenter per arrogantiam insidiatur diabolus, vigilandum est. Quantò maior es, tantò magis submitte teipsum. Quum ascenderis in altum, opus est vt tibi prospicias ne cadas. Quāobrem & dominus noster dicit: Quum omnia feceritis, dicite: Inutiles serui sumus. Quid efferris animo quum sis homo, cognatus terræ, eiusdem substantiæ cum cinere, tum natura, tum animo, tum actionum delectu? Hodie diues, cras pauper: hodie sanus, cras ægrotus: hodie gaudes, cras doles: hodie in gloria, cras in ignominia: hodie iuuenis, cras senex. Num aliquid in rebus humanis consistit, ac non potius amnium præterfluentium cursum imitantur omnia, simul atque apparuerunt, citius nos quàm vmbra relinquunt? Quid igitur cristas erigis homo, fumus & vanitas? Homo enim vanitati similis factus est, veluti fumus dies eius. Exaruit gramen & flos decidit. Hæc dico non vt substantiam deijciam, sed vt arrogantiam refrænem. Alioqui & magna res est homo, & preciosa res vir misericors. Verùm hic Ozias quum esset rex cinctus diademate, quoniam erat iustus, elatus est animo, maiore spiritu concepto quàm pro dignitate, ingressus est templum. Et quid dicit Scriptura? ingressus est sancta sanctorum, aitque volo adolere incensum. Rex quum sis, sacerdotij principatum vsurpas: Volo, inquit, adolere incensum: quia dignus sum. Sed mane intra tuos terminos, alij sunt termini regni, alij termini sacerdotij,

Superbia maximè cauenda iusto.

Simile.

Eccli. 3. 20

Luc. 17. 10

Stabile nihil in rebus humanis.

Prou. 16. 6

Rex sacerdotis vsurpans dignitatem.

2. Paral. 26. 19.

μέγας εἶ, τοσούτῳ ταπείνου σεαυτόν. καὶ πρόσεχε μετ' ἀκριβείας τῷ λόγῳ, ἀγαπητέ. μᾶλλον ὁ δίκαιος ὀφείλει φοβεῖσθαι τὴν ἀπόνοιαν, ἢ ὁ ἁμαρτωλὸς (τοῦτο καὶ χθὲς εἶπον, καὶ τήμερον λέγω διὰ τοὺς χθὲς ἀπολειφθέντας) διότι ὁ ἁμαρτωλὸς ἔχει τὸ συνειδὸς ἀνάγκῃ ταπεινόν, ὁ δὲ δίκαιος ἐπαίρεται κατορθώμασιν. ὥσπερ οὖν ἐπὶ τῶν πλοίων, οἱ μὲν ἔχοντες κενὸν πλοῖον, οὐ δεδοίκασι πειρατῶν σύστημα (οὐ γὰρ ἔρχονται διαρπάσαι τὸ πλοῖον τὸ μηδὲν ἔχον) οἱ δὲ φόρτου γέμον ἔχοντες πλοῖον, δεδοίκασι πειρατάς (ὁ γὰρ πειρατὴς ἐκεῖ ἀπέρχεται, ὅπου χρυσός, ὅπου ἄργυρος, ὅπου λίθοι τίμιοι) οὕτω καὶ ὁ διάβολος, οὐκ εὐκόλως ἐπηρεάζει τῷ ἁμαρτωλῷ, ἀλλὰ τῷ δικαίῳ, ὅπου πλοῦτος πολύς. ἐπειδὴ πολλάκις ἡ ἀπόνοια ἐξ ἐπιβουλῆς τοῦ διαβόλου, νήφειν ἀναγκαῖον. ὅσον μέγας εἶ, τοσοῦτον ταπείνου σεαυτόν. ὅταν ἀναβῇς εἰς τὸ ὕψος, ἀσφαλισθῆναι χρείαν ἔχεις, ἵνα μὴ πέσῃς. διὸ καὶ ὁ κύριος ἡμῶν λέγει· ὅταν πάντα ποιήσητε, λέγετε ὅτι ἀχρεῖοι δοῦλοί ἐσμεν. τί μέγα φρονεῖς, ἄνθρωπος ὤν, τῆς γῆς συγγενής, ὁμοούσιος τῇ τέφρᾳ, ἔν τε τῇ φύσει, ἔν τε τῇ γνώμῃ, καὶ τῇ προαιρέσει τῶν πραγμάτων; σήμερον πλούσιος, αὔριον πένης, σήμερον ὑγιαίνων, αὔριον νοσῶν, σήμερον χαίρων, αὔριον λυπούμενος, σήμερον ἐν δόξῃ, αὔριον ἐν ἀτιμίᾳ, σήμερον ἐν νεότητι, αὔριον ἐν γήρᾳ; μὴ ἵσταταί τι τῶν ἀνθρωπίνων, ἀλλ' ὥσπερ τῶν ποταμίων ῥευμάτων μιμεῖται τὸν δρόμον; ὁμοῦ τε γὰρ ἐφάνη, καὶ σκιᾶς ταχύτερον ἡμᾶς καταλιμπάνει. τί οὖν μέγα φρονεῖς, ἄνθρωπε, ὁ καπνός, ἡ ματαιότης; ἄνθρωπος γὰρ ματαιότητι ὡμοιώθη· ὡσεὶ χόρτος αἱ ἡμέραι αὐτοῦ· ἐξηράνθη ὁ χόρτος, καὶ τὸ ἄνθος αὐτοῦ ἐξέπεσε. ταῦτα λέγω, οὐχ ὡς τὴν οὐσίαν ἐξευτελίζων, ἀλλὰ τὴν ἀπόνοιαν χαλινῶν. καὶ γὰρ μέγα ἄνθρωπος, καὶ τίμιον ἀνὴρ ἐλεήμων. ἀλλ' ὁ Ὀζίας οὗτος βασιλεὺς ὤν, καὶ τὸ διάδημα περικείμενος, ἐπειδὴ δίκαιος ἦν, ἐφρόνησέ ποτε μέγα. καὶ φρονήσας μέγα, καὶ μεῖζον τῆς ἀξίας, εἰσῆλθεν εἰς τὸ ἱερόν. καὶ τί φησιν; εἰσῆλθεν εἰς τὰ ἅγια τῶν ἁγίων, καὶ λέγει, βούλομαι θυμιάσαι. βασιλεὺς ὢν ἱερωσύνης ἀρχὴν ἁρπάζει. βούλομαι, φησί, θυμιάσαι, ἐπειδὴ δίκαιός εἰμι. ἀλλὰ μένε ἔσω τῶν οἰκείων ὅρων· ἄλλοι ὅροι βασιλείας, καὶ ἄλλοι ὅροι ἱερωσύνης· ἀλλ'

αὕτη μείζων ἐκείνης. οὐ γὰρ ἀπὸ τῶν φαινομένων φαίνεται βασιλεύς, οὐδὲ ἀπὸ τῶν πεπηγμένων αὐτῷ λίθων, καὶ ὧν περίκειται χρυσίων, ὀφείλει κρίνεσθαι ὁ βασιλεύς. ἐστὶ μὲν γὰρ τὰ ἐπὶ τῆς γῆς ἔλαχεν οἰκονομεῖν· ὁ δὲ τῆς ἱερωσύνης θεσμὸς, ἄνω κάθηται. ὅσα ἂν δήσητε ἐπὶ τῆς γῆς, ἔσται δεδεμένα ἐν τῷ οὐρανῷ. ὁ βασιλεὺς τὰ ἐνταῦθα πεπίστευται, ἐγὼ τὰ οὐράνια. ἐγὼ ὅταν εἴπω, τὸν ἱερέα λέγω. μὴ οὖν, ἂν ἴδῃς ἱερέα ἀνάξιον, τὴν ἱερωσύνην διάβαλε. οὐ γὰρ τὸ πρᾶγμα διαβάλλειν δεῖ, ἀλλὰ τὸν κακῶς τῷ καλῷ κεχρημένον (ἐπεὶ καὶ ὁ Ἰούδας προδότης ἐγένετο, ἀλλ' οὐ κατηγορία τῆς ἀποστολῆς τοῦτο, ἀλλὰ τῆς ἐκείνου γνώμης) οὐ τὸ ἔγκλημα τῆς ἱερωσύνης, ἀλλὰ τὸ κακὸν τῆς γνώμης. καὶ σὺ τοίνυν μὴ τὴν ἱερωσύνην διάβαλε, ἀλλὰ τὸν ἱερέα τὸν κακῶς τῷ καλῷ κεχρημένον. ἐπεὶ ὅταν σοί τις διαλέγηται, καὶ λέγῃ, εἶδες τόνδε τὸν Χριστιανόν; εἰπὲ, ἀλλ' ἐγὼ οὐ περὶ προσώπων, ἀλλὰ περὶ πραγμάτων σοι διαλέγομαι. ἐπεὶ πόσοι ἰατροὶ δήμιοι ἐγένοντο, καὶ δηλητήρια δεδώκασιν ἀντὶ φαρμάκων; ἀλλ' οὐ τὴν τέχνην διαβάλλω, ἀλλὰ τὸν κακῶς τῇ τέχνῃ χρησάμενον. πόσοι ναῦται κατεπόντισαν πλοῖα; ἀλλ' οὐχ ἡ ναυτιλία, ἀλλ' ἡ κακὴ γνώμη ἐκείνων. κἂν ᾖ Χριστιανὸς φαῦλος, μὴ τοῦ δόγματος κατηγόρει καὶ τῆς ἱερωσύνης, ἀλλὰ τὸν κακῶς τῷ καλῷ κεχρημένον. ὁ βασιλεὺς σώματα ἐμπιστεύεται, ὁ δὲ ἱερεὺς ψυχάς· ὁ βασιλεὺς λοιπάδας χρημάτων ἀφίησιν, ὁ δὲ ἱερεὺς λοιπάδας ἁμαρτημάτων· ἐκεῖνος ἀναγκάζει, οὗτος παρακαλεῖ· ἐκεῖνος ἀνάγκῃ, οὗτος γνώμῃ· ἐκεῖνος ὅπλα ἔχει αἰσθητά, οὗτος ὅπλα πνευματικά· ἐκεῖνος πολεμεῖ πρὸς βαρβάρους, ἐμοὶ πόλεμος πρὸς δαίμονας. μείζων ἡ ἀρχὴ αὕτη· διὰ τοῦτο ὁ βασιλεὺς τὴν κεφαλὴν ὑπὸ χεῖρας τοῦ ἱερέως ἄγει, καὶ πανταχοῦ ἐν τῇ παλαιᾷ ἱερεῖς βασιλέας ἔχριον. ἀλλ' ὁ βασιλεὺς ἐκεῖνος τὰ ἴδια σκάμματα ὑπερβάς, καὶ τὸ μέτρον τῆς βασιλείας διαπηδήσας, προσθεῖναι ἐπεχείρησε, καὶ εἰσελθεῖν εἰς τὸ ἱερὸν μετ' αὐθεντίας, θυμιᾶσαι θέλων. τί οὖν ὁ ἱερεύς; οὐκ ἔξεστί σοι, Ὀζία, θυμιᾶσαι. ὅρα παῤῥησίαν, φρόνημα ἀδούλωτον, γλῶσσαν οὐρανοῦ ἁπτομένην, ἐλευθερίαν ἀχείρωτον, ἀνθρώπου τὸ σῶμα, καὶ ἀγγέλου τὸ

A hoc illo maius est. Neque enim ex his quæ videntur hic declaratur rex, neque è gemmis illi affixis, neque ex auro quo amictus est, debet æstimari rex. Ille quidem ea quæ sunt in terris sortitus erat administranda, cæterùm sacerdotij ius è supernis descendit: Quæcunque enim ligaueritis super terram, erunt ligata & in cœlo. Regi ea quæ hic sunt, commissa sunt, mihi cœlestia: mihi quum dico, sacerdotem intelligo. Itaque quum videris sacerdotem indignum, ne traducas sacerdotium. Non enim oportet damnare res, sed eum qui re bona malè B vtitur. Quandoquidem & Iudas proditor fuit, verùm non ob id accusatur ordo Apostolicus, sed illius animus: nec crimen est sacerdotij, sed malum animi. Et tu igitur ne sacerdotium vituperes, sed sacerdotem malè re bona vtentem. Etenim si quis tecum disputet, dicátque: Vidisti illum Christianum, respondeto: at ego non de personis, sed de rebus tibi loquor. Alioqui quot medici facti sunt carnifices, ac venena pro pharmacis dederunt? Non tamen artem vitupero, sed malè vtentem arte. Quot nautæ malè rexerunt nauigia? C Verùm non ars nauigandi mala est, sed illorum animus. Si Christianus fuerit improbus, ne incuses professionem ac sacerdotium, sed re bona vtentem malè. Regi corpora commissa sunt, sacerdoti animæ. Rex maculas corporum remittit, sacerdos autem maculas peccatorum. Ille cogit, hic exhortatur. Ille necessitate, hic consilio. Ille habet arma sensibilia, hic arma spiritualia. Ille bellum gerit cum barbaris, mihi bellum est aduersus dæmones. Maior hic prin- D cipatus, propterea rex caput submittit manui sacerdotis, & vbique in veteri scriptura, sacerdotes inungebant reges. Verùm rex ille sua transiliens septa, modúmque regni transgressus, conatus est aliquid addere, atque ingressus est templum, cum authoritate incensum adolere volens. Quid igitur sacerdos? Non licet tibi Ozia adolere incensum. Vide libertatem, vide mentem seruire nesciam, vide linguam cœlos attingentem, vide libertatem incoercibilem, vide hominis corpus, & Angeli

Similia.

Officium sacerdotis.

Sacerdotii maior dignitas quã regis.

Sacerdotis libera vox.

mentem: vide humi ingredientem, & A in cœlo versantem. Vidit regem, non vidit purpuram. Vidit regem, nec vidit diadema. Ne mihi dixeris esse regnum, vbi est legum transgressio. Non licet tibi rex adolere incensum, non est fas venire in sancta sanctorum, transcendis septa tua, quæris tibi non concessa, eòque quæ accepisti perdes. Non licet tibi adolere incensum, sed sacerdotibus istud datum est. Non tuum est hoc, sed meum. Num mihi tuam vsurpaui purpuram? ne vsurpes meum sacerdotium. Non licet tibi adolere incensum, B sed tantùm sacerdotibus filiis Aaron. Post multum temporis iam defuncto Aarone hoc accidit. Et quam ob rem non dixit sacerdotibus tantùm, sed & patris mentionem fecit? Accidit in illo tempore, vt tale quippiam fieret: Dathan enim, Abiron & Core insurrexerant aduersus Aaron, aperta est terra, ac deuorauit illos: venit ignis è cœlo, & exussit eos. Volens igitur eum commonefacere illius historiæ, quòd olim quoque per vim inuaserint sacerdotium, verùm haudquaquam succubuerit, sed adorta est multitudo, & Deus C illam vltus est. Non licet tibi adolere incensum, sed solis sacerdotibus filiis Aaron. Non dixit cogita quid passi sint qui tunc illa patrarunt, sed nominato Aarone cuius vicem vltus est Deus, eum ad historiæ recordationem adduxit, his propemodum verbis vtens: Noli audere quæ ausus est Dathan, ne patiaris eadem, quæ tempore Aaron acciderunt. Rex autem Ozias non sustinuit admonitionem, sed arrogantia inflatus ingressus est templum, aperuit sancta sanctorum, volens adolere incensum. Quid autem Deus? Vbi igitur D sacerdos contemptus est, dignitásque sacerdotij conculcata, nec quicquam præterea potuit sacerdos: (Nam sacerdotis tantum est arguere, liberámque præstare admonitionem, non mouere arma, non clypeos vsurpare, non vibrare lanceam, nec arcum tendere, nec iacula mittere, sed tantùm arguere ac liberam præstare admonitionem:) Postea quam igitur arguisset sacerdos, rex autem non cessisset, sed arma moueret, clypeos & hastas, suáque vteretur potentia, ibi sacerdos Deo: Ego, inquit, quod erat mei officij præstiti, nihil amplius possum, succurre sacerdotio, quod conculcatur, leges violantur, fas sub-

Rex absq. diadémate sacerdos.

Num. 16. & Psal. 105.

Sacerdos nihil aliud quàm monet.

A φρόνημα, χαμαὶ βαδίζοντα, καὶ ἐν οὐρανῷ πολιτευόμενον. εἶδε τὸν βασιλέα, καὶ οὐκ εἶδε τὴν πορφύραν· εἶδε τὸν βασιλέα, καὶ οὐκ εἶδε τὸ διάδημα. μή μοι λέγε τὴν βασιλείαν, ὅπου παρανομία. οὐκ ἔξεστί σοι, βασιλεῦ, θυμιάσαι εἰς τὰ ἅγια τῶν ἁγίων, ὑπερβαίνεις τὰ σκάμματα, τὰ μὴ δεδομένα ζητεῖς· διὰ τοῦτο καὶ ἃ ἔλαβες, ἀπολεῖς. οὐκ ἔξεστί σοι θυμιάσαι, ἀλλὰ τοῖς ἱερεῦσιν· οὐκ ἔστι σὸν τοῦτο, ἀλλ' ἐμόν. μὴ ἥρπασά σου τὴν πορφυρίδα; μὴ ἁρπάσῃς μου τὴν ἱερωσύνην. οὐκ ἔξεστί σοι θυμιάσαι, B ἀλλ' ἢ τοῖς υἱοῖς Ἀαρών. μετὰ πολὺν χρόνον, μετὰ τὴν τελευτὴν Ἀαρὼν τοῦτο ἐγένετο. καὶ διὰ τί οὐκ εἶπε, τοῖς ἱερεῦσι μόνον, ἀλλ' ἐμνημόνευσε καὶ τοῦ πατρός; ἐπειδὴ ἐν ἐκείνῳ τῷ χρόνῳ τοιοῦτόν τι γενέσθαι. Δαθὰν γὰρ καὶ Ἀβειρὼν καὶ Κορὲ κατεπανέστησαν τοῦ Ἀαρών. ἠνοίχθη ἡ γῆ, καὶ κατέπιεν αὐτούς· ἦλθε πῦρ ἄνωθεν, καὶ κατέκαυσεν αὐτούς. βουλόμενος οὖν αὐτὸν ἀναμνῆσαι τῆς ἱστορίας ἐκείνης, ὅτι καί ποτε ἐπηρέασαν τὴν ἱερωσύνην, ἀλλ' οὐχ ἡττήθη, ἀλλ' ἐπῆλθε πλῆθος, καὶ ὁ Θεὸς αὐτῷ ἠμύνατο. οὐκ ἔξεστί C σοι θυμιᾶν, ἀλλ' ἢ τοῖς ἱερεῦσι τοῖς υἱοῖς Ἀαρών. οὐκ εἶπεν, ἐννόησον τί ὑπέμειναν οἱ τότε ταῦτα ποιήσαντες· οὐκ εἶπεν, ἐννόησον ὅτι ἐκαύθησαν οἱ ἐπηρεάσαντες, ἀλλ' εἶπε τὸν ἐκδικηθέντα Ἀαρών, καὶ εἰς ἀνάμνησιν αὐτὸν τῆς ἱστορίας ἐνέβαλε, μονονουχὶ τοῦτο λέγων· μὴ τόλμα τὰ τοῦ Δαθάν, ἵνα μὴ πάθῃς τοιαῦτα, οἷα ἐπὶ τοῦ Ἀαρών. ὁ δὲ βασιλεὺς Ὀζίας οὐκ ἠνέσχετο, ἀλλὰ τῇ ἀπονοίᾳ φυσιούμενος, ἐπεισῆλθεν εἰς τὸ ἱερόν, ἀνεπέτασε τὰ ἅγια τῶν ἁγίων, θέλων θυμιάσαι. τί οὖν ὁ Θεός; ἐπεὶ οὖν ὁ καλὸς ὁ D ἱερεὺς κατεφρονήθη, καὶ λόγος ἱερωσύνης ἐπατεῖτο, καὶ οὐδὲν ἠδυνήθη οὐκέτι ὁ ἱερεὺς (ἱερέως γὰρ ἐλέγχειν ἐστὶ μόνον, καὶ παρρησίαν ἐπιδείκνυσθαι, οὐχ ὅπλα κινεῖν, οὐδὲ ἀσπίδας ἁρπάζειν, οὐδὲ τόξον τείνειν, οὐδὲ βέλος πέμπειν, ἀλλὰ μόνον ἐλέγχειν καὶ παρρησίαν ἐπιδείκνυσθαι) ἐπειδὴ οὖν ἤλεγχεν ὁ ἱερεύς, οὐκ εἶξε δὲ ὁ βασιλεύς, ἀλλὰ ὅπλα ἐκίνει, καὶ ἀσπίδας, καὶ δόρατα, καὶ τῇ ἐξουσίᾳ ἐκέχρητο τῇ ἑαυτοῦ, ὁ ἱερεύς φησιν· ἐγὼ τὸ ἐμαυτοῦ ἐποίησα, οὐδὲν πλέον δύναμαι, βοήθησον ἱερωσύνῃ πατουμένῃ, νόμοι ἀδικοῦνται, θεσμοὶ

ἀνατρέπονται. τί οὖν ὁ φιλάνθρωπος; κολά-
ζει τὸν τολμητήν. καὶ εὐθέως ἐξηνθήσε λέ-
πρα εἰς τὸ μέτωπον αὐτοῦ. ὅπου ἡ ἀναι-
σχυντία, ἐκεῖ καὶ ἡ τιμωρία. εἶδες φιλαν-
θρωπίαν τῆς τοῦ Θεοῦ τιμωρίας; οὐ κεραυνὸν
ἀφῆκεν, οὐ γῆν ἔσεισεν, οὐ συνετάραξε τὸν οὐ-
ρανὸν, ἀλλὰ ἐξηνθήσεν ἡ λέπρα, οὐκ ἐν ἄλ-
λῳ τόπῳ, ἀλλ' ἐπὶ τοῦ μετώπου, ἵνα τὴν κό-
λασιν τὸ πρόσωπον φέρῃ, ἵνα ὡς στήλη γράμ-
ματα ᾖ κείμενα. οὐδὲ γὰρ δι' αὐτὸν ἐγένετο, ἀλ-
λὰ διὰ τοὺς μετὰ ταῦτα. δυνάμενος γὰρ ἀξίως
τὴν τιμωρίαν ἐπαγαγεῖν, οὐκ ἐπήνεγκεν· ἀλ-
λὰ καθάπερ νόμος ἔκειτο ἐν ὑψηλῷ τόπῳ τινὶ
λέγων· μὴ ποιῆτε τοιαῦτα, ἵνα μὴ πάθητε τοι-
αῦτα. ἐξῆλθε νόμος ἔμψυχος, καὶ μέτωπον φωνὴν ἠφίει
σάλπιγγος λαμπροτέραν. γράμματα ἦν ἀναγε-
γραμμένα ἐν τῷ μετώπῳ, γράμματα ἐξαλειφ-
θῆναι μὴ δυνάμενα. οὐ γὰρ ἦν μέλανι, ἵνα τις
ἐξαλείψῃ. ἀλλ' ἀπὸ φύσεως ἡ λέπρα, καὶ ἀ-
κάθαρτον ἐποίει τοῦτον, ἵνα τοὺς ἄλλους καθαροὺς
ποιήσῃ. καὶ καθάπερ τοὺς καταδίκους, ἐπειδὰν
σπαρτίον λάβωσιν, ἐξάγουσιν αὐτοὶ τὸ σπαρ-
τίον ἐπὶ τοῦ στόματος ἔχοντες· οὕτω καὶ οὗτος ἀντὶ
σπαρτίου ἐπὶ τοῦ μετώπου εἶχε τὴν λέπραν
ἀπαγόμενος, ἐπειδὴ τὴν ἱερωσύνην ὕβρισε. ταῦ-
τα λέγω, οὐχὶ βασιλέας διαβάλλων, ἀλλὰ
τοὺς τῇ ἀπονοίᾳ καὶ τῷ θυμῷ μεθύοντας, ἵνα
μάθητε ὅτι ἡ ἱερωσύνη βασιλείας μείζων. ἀεὶ
γὰρ ὁ Θεὸς, ὅταν ἁμάρτῃ ἡ ψυχὴ, τὸ σῶμα κο-
λάζει. οὕτω καὶ ἐπὶ τοῦ Κάϊν ἐποίησεν· ἡ ψυχὴ
ἥμαρτε φόνον ἐργασαμένη, καὶ τὸ σῶμα αὐτοῦ πα-
ρελύθη, καὶ μάλα εἰκότως. διὰ τί, στένων καὶ τρέμων,
φησὶν, ἔσῃ ἐπὶ τῆς γῆς· καὶ περιῄει ὁ Κάϊν πᾶσι
διαλεγόμενος, σιγῇ φωνὴν ἀφιεὶς, ἀφωνίᾳ παι-
δεύων. ἡ γλῶσσα ἐσίγα, καὶ τὰ μέλη ἐβόα, καὶ
πᾶσι διελέγετο διὰ τί στένει, διὰ τί τρέμει· ἀδελ-
φὸν ἀπέκτεινα, φόνον εἰργασάμην. ὁ Μωϋσῆς
μετὰ ταῦτα ἔλεγε διὰ γραμμάτων, ἐκεῖνος διὰ
πραγμάτων περιῄει πᾶσι λέγων, οὐ φονεύσεις. εἶδες
στόμα σιγῶν, καὶ πρᾶγμα βοῶν; εἶδες νόμον ἔμ-
ψυχον περιφερόμενον; εἶδες στήλην περιερχομέ-
νην; εἶδες τιμωρίαν τιμωρίας ἀναίρεσιν; εἶδες κό-
λασιν παιδεύσεως ὑπόθεσιν γενομένην; εἶδες
ψυχὴν ἁμαρτοῦσαν, καὶ τὴν σάρκα κολαζομένην; καὶ
μάλα εἰκότως. οὕτω δὲ καὶ ἐπὶ Ζαχαρίου. ἡ ψυχὴ
ἥμαρτε, καὶ ἡ γλῶσσα ἐδέθη, τὸ γὰρ ὄργανον τῆς

A uertitur. Quid igitur ille hominum amator? virum audacem vlciſcitur. Et continuò effloruit lepra in fronte illius. Vbicunque eſt impudentia, illic eſt vltio. Vidiſti humanitatem vltionis diuinæ? non fulmen emiſit, non terram concuſſit, non commouit cœlum, ſed effloruit lepra, non in alio loco quàm in fronte, vt facies præ ſe ferret vindictam, vt tanquam in columna literæ eſſent impreſſæ. Non enim propter illum factum eſt, ſed propter eos qui in poſterum ſunt futuri. Quum enim poſſet pro meritis pœnam infligere, non B inflixit, ſed in fronte quaſi lex poſita eſt, velut in loco ſublimi, dicens: Nolite facere talia, ne patiamini ſimilia. Exiit lex viua lepra, & frons vocem edidit tuba clariorem: literæ erant inſcriptæ fronti, literæ quæ deleri non poterant. Non enim erant atramento inſcriptæ, vt aliquis poſſet delere, ſed naturalis erat lepra, eúmque reddidit immũdum vt alios faceret mundos. Et quemadmodum iure damnatos poſteaquam funem acceperint, educũt funem ore geſtantes ſic & hic abducebatur, pro fune lepram in fronte geſtans, eò quòd ſacerC dotium affeciſſet contumelia. Hæc loquor non inceſſens reges, ſed eos qui arrogantia iráque ſunt ebrij, vt intelligatis ſacerdotium regno maius eſſe. Semper enim Deus vbi peccauit anima punit corpus. Itidem fecit & in Cain. Anima peccauerat admiſſo parricidio, & corpus illius paralyſi tactum eſt, ídq. iure optimo. Quamobrem? Gemens ac tremens eris ſuper terram. Et circumibat Cain, omnibus loquens, ſilentio vocem edens, ſilentióque erudiens. Lingua tacebat, & cætera membra clamabant, cunctíſque exponebant, cur D gemeret, cur tremeret: Fratrem occidi, parricidium admiſi. Quod poſtea Moyſes ſcripto narrauit, ille rebus ipſis omnibus loquens obambulabat: Non occides. Vidiſti os ſilens, & rem vociferantem? vidiſti legem viuam ferri? vidiſti columnam obambulantem? vidiſti vindictam vindicta tolli? vidiſti ſupplicium verſum in eruditionis materiam? vidiſti peccantem animam, & carnem dantem pœnas, ídque admodum congruenter? Itidem accidit in Zacharia, anima peccarat & lingua vincta eſt. nam inutile redditum eſſet orga-

Vltio Dei clemens.

Simile.

Cain vltio.

Gen. 4.

Luc. 1. Baptiſtæ pater.

num linguæ, ille qui genuit vocem. Zacharias punitus est: sic nimirũ & Ozias lepra in fronte correptus est, cum peccasset. Et egressus est rex, omnibus exemplum factus, purgatúmque est templum, & eiectus est nemine propellente, quúmque sacerdotium sibi vellet sumere, & hoc quod habebat perdidit. Et exiuit è templo. Vetus erat mos omnem leprosum è ciuitate eijcere, nunc verò non idem fit. Cur ita? Nam quum Deus veluti pueris leges ferebat, tum lepra erat corporis. Nunc autem animæ lepra quæritur. Exiuit igitur rex cum lepra, nec tamen eiecerunt eum è ciuitate, diadema illius regiámque dignitatem reueriti: sed consedit in throno rursus legem transgrediens. Quid ergo Deus? irascens Iudæis interrupit prophetiam. Hæc autem omnia dicta sunt propter verbum Prophetæ, vt exoluam quod debeo. sed ad propositum redeamus. Egressus est è templo Rex lepra correptus: cum igitur etiam ex vrbe illum eijci de more oporteret vt immundum, intus illũ populus sedere permittit: nec vllum vel exiguũ vel magnum verbum emittit, quod libertatem loquendi præ se ferret. Quando igitur illum sinebant, auersatus est illos Deus, & gratiam interrupit prophetiæ; ac meritò sanè: nam quoniam legem ipsius violarant, & eijcere immundum timuerant propheticum sistit donum: quod & Esaias indicans sic ait; Verbum erat preciosum tunc, nec erat sermo vaticinans: hoc est, Non alloquebatur illos per prophetas Deus, nec inspirabat in eos spiritus per quẽ loquebantur, quandoquidem immundum habebant: neque enim solet immundos afflare Spiritus gratia. Propterea non aderat, non apparebat prophetis, sed silet & occultat. Vt autem quod dico manifestum reddatur, illud exemplo declarabo. Perinde quasi quispiam erga alterum benè affectus ab eo furiosè fuerit offensus in re aliqua, & dicat illi: Non amplius me videbis: non loquar tecum: sic tum egit Deus. Quandoquidem enim non eijcientes Oziam illum irritarant: Non amplius, inquit, prophetis vestris loquor, non amplius Spi-

A γλώττης ἀχρήστου λοιπὸν γεγονότης ἐκεῖνος ὁ τὴν φωνὴν γεννήσας Ζαχαρίας ἐτιμωρεῖτο δή, καὶ Ὀζίας ἐλεπροῦτο τὸ μέτωπον ἁμαρτών, ἵνα ἐκεῖνος παιδευθῇ, καὶ ἐξῄει ὁ βασιλεὺς πᾶσιν ὑπόδειγμα γενόμενος, καὶ ἐκαθαίρετο τὸ ἱερόν, καὶ ἐξεβάλλετο, οὐδενὸς ὠθοῦντος, καὶ θέλων τὴν ἱερωσύνην προσλαβεῖν, καὶ ὃ εἶχεν ἀπώλεσε. καὶ ἐξῄει ἀπὸ τοῦ ἱεροῦ. τὸ μὲν παλαιὸν πάντα λεπρὸν ὁ νόμος ἔξω τῆς πόλεως ἐκβάλλεσθαι· νυνὶ δὲ οὐκέτι. διὰ τί; ἐπειδὴ ὡς παιδίοις προσεῖχεν ὁ Θεός. B τότε λέπρα ἡ τοῦ σώματος, νῦν ἡ λέπρα τῆς ψυχῆς ζητεῖται. ἐξῄει τοίνυν ὁ βασιλεὺς ἐν λεπρότητι, καὶ οὐκ ἐξέβαλον αὐτὸν ἐκ τῆς πόλεως, αἰδούμενοι τὸ διάδημα αὐτοῦ καὶ τὴν βασιλείαν, ἀλλ' ἐκάθητο πάλιν παρανομῶν. τί οὖν ὁ Θεός; ὀργιζόμενος τοῖς Ἰουδαίοις ἔστησε τὴν προφητείαν. ταῦτα οὖν ἅπαντα διὰ τὸ ῥῆμα τοῦ προφήτου, ἵνα καταβάλω τὸ χρέος. ἀλλ' ἐπὶ τὸ προκείμενον ἐπανέλθωμεν. ἐξῆλθεν ἐκ τοῦ ἱεροῦ ὁ βασιλεὺς λεπρωθείς. δέον οὖν καὶ ἀπὸ τῆς πόλεως αὐτὸν ἐκβληθῆναι κατὰ τὸ C ἔθος ὡς ἀκάθαρτον, ὁ δῆμος ἔνδον αὐτοῦ καθεζομένου ἀνέχεται, καὶ οὐδὲν τῶν ὀφειλόντων, οὐ μικρὸν οὐ μέγα εἰς λόγον παρρησίας ποιεῖ. ἐπεὶ οὖν ἀφῆκαν αὐτόν, ἀποστρέφεται αὐτοὺς ὁ Θεός, καὶ τὴν χάριν παύει τῆς προφητείας, καὶ μάλα εἰκότως. ἀνθ' ὧν γὰρ τὸν αὐτοῦ νόμον ἠθέτησαν, καὶ ἐκβληθῆναι ἀκάθαρτον ὑπεστάλησαν, τὸ προφητικὸν ἔστησε χάρισμα. ὃ καὶ δηλῶν Ἡσαΐας, οὕτω πως φησί. καὶ τὸ ῥῆμα τίμιον τότε, καὶ οὐκ ἦν ῥῆσις προφητεύουσα, τουτέστιν, οὐ διελέγετο αὐτοῖς διὰ προφητῶν ὁ D Θεός. οὐ γὰρ ἐνέπνει τὸ πνεῦμα αὐτοῖς δι' οὗ ἐφθέγγοντο. ἐπεὶ τὸν ἀκάθαρτον εἶχον. ἐπεὶ δὲ τῶν ἀκαθάρτων οὐκ ἐνεργεῖ τοῦ πνεύματος ἡ χάρις. διὰ τοῦτο οὐ παρῆν, οὐκ ἐφαίνετο τοῖς προφήταις, ἀλλὰ σιγᾷ καὶ κρύπτει. ἵνα δὲ τὸ λεγόμενον σαφὲς γένηται, ἐπὶ ὑποδείγματος ποιήσω αὐτὸ φανερόν· ὥσπερ ἄνθρωπος πρός τινα διακείμενος τῇ στοργῇ, μανικῶς λυπήσαντα αὐτόν, ἐπί τι πράγματι πρὸς αὐτὸν λέγει. οὐκέτι ὄψομαί σε, οὐ λαλῶ σοι. οὕτω καὶ ὁ Θεὸς τότε ἐποίησεν. ἐπεὶ γὰρ αὐτὸν παρώργισαν τὸν Ὀζίαν μὴ ἐκβαλόντες, οὐκέτι φησὶ λαλῶ τοῖς προφήταις ὑμῶν· οὐκέτι πέμπω πνεύ-

ματος

μαῖος χάριν, ὅρα κόλασιν ἡμερότητος γέμουσαν. οὐ γὰρ κεραυνοὺς ἀφῆκεν, οὐδὲ ἐκ θεμελίων κατέστρεψε τὴν πόλιν. ἀλλὰ τί; οὐ θέλετέ με ἐκδικῆσαι φησίν; οὐχ ὁμιλῶ ὑμῖν. μὴ γὰρ οὐκ ἠδυνάμην αὐτὸν ἐκβαλεῖν; ἀλλ' ἐβουλήθην ὑμῖν καταλείπειν. οὐ βούλεσθε; οὐδὲ ἐγὼ ὁμιλῶ ὑμῖν, οὐδὲ κινῶ τῶν προφητῶν τὴν ψυχήν. οὐκ ἐνεργεῖ τοῦ πνεύματος ἡ χάρις, σιγὴ ἦν, ἔχθρα Θεοῦ καὶ ἀνθρώπων. ἐπεὶ οὖν ἐκεῖνος μετὰ ταῦτα ἀπέθανε, καὶ ἐλύθη τῶν ἀκαθάρτων ἡ ὑπόθεσις. ἐπειδὴ οὖν χρόνον πολὺν εἶχεν ὁ προφήτης, μὴ προφητεύσας, ἐκείνου δὲ μὴ προφητεύοντος ἐλύθη ἡ ὀργή, καὶ ἡ προφητεία ἐπανῆλθε, λοιπὸν ἀναγκαίως ὁ προφήτης ἐπισημαίνεται τὸν καιρόν, καὶ λέγει· καὶ ἐγένετο ἐν τῷ ἐνιαυτῷ, οὗ ἀπέθανεν Ὀζίας ὁ βασιλεύς, εἶδον τὸν κύριον καθήμενον ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου. ὅτε ἀπέθανε, τότε εἶδον τὸν κύριον. πρὶν γὰρ τὸν Θεὸν οὐχ ἑώρων ὀργιζόμενον ἡμῖν. ἦλθε γὰρ ὁ θάνατος τοῦ ἀκαθάρτου, καὶ ἔλυσε τὴν ὀργήν. διὰ τοῦτο, πανταχοῦ τῶν βασιλέων τὴν ζωὴν λέγων, ἐνταῦθα τελευτὴν εἶπε τοῦ Ὀζίου· ἐγένετο, φησι, τοῦ ἐνιαυτοῦ, οὗ ἀπέθανεν Ὀζίας ὁ βασιλεύς, εἶδον τὸν κύριον καθήμενον ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου. ἀλλὰ πάλιν τοῦ Θεοῦ τὴν φιλανθρωπίαν ἐνταῦθα ἰδεῖν ἐστιν. ἀπέθανεν ὁ ἀκάθαρτος, καὶ κατηλλάγη Θεὸς τοῖς ἀνθρώποις. διὰ τί, μὴ ὄντων κατορθωμάτων ἐγένετο, ἀλλὰ τῷ ἀποθανεῖν αὐτόν; ὅτι φιλάνθρωπός ἐστι, καὶ οὐκ ἀκριβολογεῖται ἐν τοῖς τοιούτοις· ἓν ἐζήτει μόνον ὁ φιλάνθρωπος καὶ ἀγαθὸς Θεός, ἵνα ὁ ἀκάθαρτος ἐξέλθῃ. ταῦτα τοίνυν εἰδότες, ἀπόνοιαν διώξωμεν, ταπεινοφροσύνην ἀσπασώμεθα, τὴν εἰωθυῖαν δόξαν ἀναπέμψωμεν τῷ πατρί, καὶ τῷ υἱῷ, καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

A ritus gratiã mitto. Vide supplicium benignitate refertum. Non enim fulmina immisit, neque funditus vrbem teme fecit, sed quid? Non vultis me vlcisci, inquit, non colloquor vobiscum. Neque enim non poteram illum eijcere, verùm quod restabat, vobis relictum esse volui. Non vultis? Neque ego colloquor vobiscum, neque excito Prophetarum animum. Non agebat in eis spiritus gratia, silentium erat, simultas inter Deum & hominem. Quum igitur ille pòst esset mortuus, sublata est & impurorum occasio. Ergo vbi Pro-B pheta multo tempore desiisset prædicere, illóque silentio soluta fuisset ira Dei, rediit prophetia. Hinc Propheta necessariò designat mortis tempus, dicens: Et factum est anno quo mortuus est Ozias rex, videbam Dominum sedentem in throno excelso & elato. Quum ille mortuus esset, tum vidi Dominum. Nam antea Deum non videbam nobis iratum. Venit mors impuri, & soluit iram. Hanc ob causam quum vbique regum vitam commemoret, hîc mortem dixit Oziæ: Fa-C ctum est in anno quo mortuus Ozias rex, vidi Dominum sedentem in throno excelso & eleuato. Ac rursus hic contemplare Dei bonitatem. Mortuus est impurus, & Deus reconciliatus est hominibus. Quam ob rem hoc factum est, quum nihil esset rectè factorum, sed tantùm ille mortuus esset. Quoniam humanus est Dominus, nec talibus agit seuerius, tantùm quærebat, vt exiret impurus. Hæc itaque quum sciamus, arrogantiam abijciamus, hu-militatem amplectamur, solitam glo-D riam offeramus Patri & Filio & Spiritui sancto, nunc & semper, & in secula seculorum, Amen.

Mortuo impuro reconciliatur Dominus. Peccatis.

EEEE

A

DE EISDEM ESAIÆ VERBIS, FACTVM EST IN ANNO quo mortuus est Ozias Rex, vidi dominum, & demonstratio quòd Ozias iure fuerit affectus lepra, quòd præter dignitatem incensum obtulisset, quod non licet Regibus, sed Sacerdotibus.

HOMILIA V.

AGE expositioni de Ozia cœptæ, hodie finem imponamus, fastigium sermoni iam addamus, ne quãdo nos quoque derideamur, quemadmodum euangelicus ille, qui aggressus ædificare turrim, perficere non potuit: ne quis aliquando prætereuntium de nobis quoque dicat: Hic homo cœpit ædificare, nec potuit perficere. Verum quò vobis dilucidiora fiant quæ dicentur, ex his quæ dicta sunt nuper operæ pretium erit pauca repetere: ne capite truncatus sermo noster prodeat in spirituale theatrum, sed recuperata facie sua facile à spectatoribus possit agnosci. Id enim pariter & iis qui audierũt, erit memoriç renouatio, & his qui nõ audierũt, eruditio. Heri igitur diximus quàm fuerit impius Ozias, & quàm vir improbus, & vnde orsus, & quo superbiæ prolapsus sit: hodie verò dicendum erit, quomodo templum ingressus sit, quomodo tentarit adolere incensum, quomodo prohibuerit illum sacerdos, quomodo ille non cesserit, quomodo in se prouocauerit iram Dei, quomodo lepræ obnoxius vitam finierit, & quam ob causam Propheta prætermissis vitæ illius diebus, mortis fecerit mentionẽ ita loquens: Anno quo mortuus est Ozias rex. Hoc est enim, ob quod totã ab exordio mouimus historiam, sed auscultate diligẽter. Quum inualuisset Ozias rex, elatum est cor eius, vsque ad corruptionem, & iniuriam fecit in Domino Deo suo. Quis iniuriæ modus? Ingressus est, inquit, in templum Domini, vt adoleret incensum super altare thymiamatis. O audaciam! ô impudentiam! Aduersus ipsa sacra adyta sumpsit audaciam, in sancta sanctorum irrupit,

Luc. 14. *Repetitio utilis.* *Transitio.* *2. Paralip. 26.*

ΕΙΣ ΤΟΝ ΡΗΤΟΝ ΤΟΥ προφήτου Ἡσαΐου τὸ λέγον· ἐγένετο τοῦ ἐνιαυτοῦ, οὗ ἀπέθανεν Ὀζίας ὁ βασιλεὺς, εἶδον τὸν κύριον· καὶ ἡ ἀπόδειξις, ὅτι δικαίως ἐλεπρώθη Ὀζίας ἀναξίως θυμιάσας, ὅπερ οὐκ ἔξεστι βασιλεῦσιν, ἀλλ' ἱερεῦσι.

B

ΦΕΡΕ, τήμερον τοῖς κατὰ τὸν Ὀζίαν διηγήμασιν ἀποδῶμεν τὸ τέλος, καὶ τὴν ὀροφὴν λοιπὸν ἐπιθῶμεν τῷ λόγῳ, μήποτε καὶ ἡμεῖς καταγελασθῶμεν, καθάπερ ἐκεῖνος, ὁ τὸν πύργον ἐν τοῖς εὐαγγελίοις ἐπιχειρήσας μὲν οἰκοδομῆσαι, μὴ δυνηθεὶς δέ· μήποτέ τις τῶν παριόντων καὶ περὶ ἡμῶν εἴπῃ, ὅτι οὗτος ὁ ἄνθρωπος ἤρξατο μὲν οἰκοδομῆσαι, οὐκ ἴσχυσε δὲ ἐκτελέσαι. ὥστε δὲ σαφέστερα ὑμῖν γενέσθαι τὰ λεγόμενα, μικρὰ τῶν πρότερον εἰρημένων ἀναλαβεῖν ἀναγκαῖον, ἵνα μὴ χωρὶς κεφαλῆς ἡμῖν ὁ λόγος εἰς τὸ θέατρον εἰσέλθῃ τὸ πνευματικὸν, ἀλλὰ τὴν οἰκείαν ὄψιν ἀπολαβὼν γνώριμος γένηται τοῖς θεαταῖς. ἔσται γὰρ τὰ αὐτὰ, τοῖς μὲν ἀκηκοόσιν ὑπόμνησις, τοῖς δὲ μὴ ἀκηκοόσι διδασκαλία. πρώην μὲν οὖν εἰρήκαμεν, πῶς ἦν εὐσεβὴς ὁ Ὀζίας, πῶς δὲ γέγονε φαῦλος, καὶ πόθεν, καὶ μέχρι ποῦ τῆς ἀπονοίας ὠλίσθησε. σήμερον δὲ ἀναγκαῖον εἰπεῖν, πῶς εἰσῆλθεν εἰς τὸ ἱερὸν, πῶς ἐπεχείρησε θυμιάσαι, πῶς ἐκώλυσεν ὁ ἱερεὺς, πῶς οὐκ εἶξεν ἐκεῖνος, πῶς ἐπεσπάσατο τοῦ Θεοῦ τὴν ὀργὴν, πῶς ἐν τῇ λέπρᾳ τὸν βίον κατέλυσε· καὶ τίνος ἕνεκεν ὁ προφήτης τὰς ἡμέρας τῆς ζωῆς αὐτοῦ παρεὶς, τῆς τελευτῆς ἐμνημόνευσεν, οὑτωσὶ λέγων· τοῦ ἐνιαυτοῦ, οὗ ἀπέθανεν Ὀζίας ὁ βασιλεύς. τοῦτο γάρ ἐστι, δι' ὃ πᾶσαν ἐξ ἀρχῆς τὴν ἱστορίαν ἐκινήσαμεν. ἀλλὰ προσέχετε ἀκριβῶς. καὶ ἐγένετο, φησὶν, ἡνίκα ἴσχυσεν ὁ Ὀζίας ὁ βασιλεὺς, ὑψώθη ἡ καρδία αὐτοῦ ἕως τοῦ διαφθεῖραι, καὶ ἠδίκησεν ἐν κυρίῳ Θεῷ αὐτοῦ. τίς ὁ τρόπος τῆς ἀδικίας; εἰσῆλθε, φησὶν, εἰς τὸν ναὸν κυρίου θυμιάσαι ἐπὶ τὸ θυσιαστήριον τοῦ θυμιάματος. ὢ τῆς τόλμης, ὢ τῆς ἀναισχυντίας· αὐτῶν τῶν ἱερῶν ἀδύτων κατετόλμησεν, εἰς τὰ ἅγια τῶν ἁγίων εἰσεπήδησεν,

C D

ὃ πᾶσιν ἄβατον ἦν χωρίον, πλὴν τοῦ ἀρχιερέως, τοῦτο βεβηλῶσαι ἐπεχείρησε. τοιοῦτόν ἐστιν εἰς ἀπόνοιαν ἐπαρθεῖσα ψυχή. καθάπαξ γὰρ τῆς οἰκείας ἀπογνοῦσα σωτηρίας, οὐδαμοῦ τῆς μανίας ἵσταται· ἀλλὰ τὰς ἡνίας τῆς σωτηρίας αὐτῆς ἐνδιδοῦσα ταῖς ἀλόγοις ἐπιθυμίαις πανταχοῦ φέρεται. καὶ καθάπερ ἵππος δυσήνιος, τὸν χαλινὸν ἀπὸ τοῦ στόματος ἐκβαλών, καὶ τὸν ἀναβάτην ῥίψας ἀπὸ τοῦ νώτου, παντὸς ἀνέμου σφοδρότερον φέρεται, καὶ τοῖς ἀπαντῶσίν ἐστιν ἀφόρητος, ἀποφευγόντων ἁπάντων, κατασχεῖν δὲ τολμῶντος οὐδενός· οὕτω καὶ ψυχή, τὸν χαλινοῦντα αὐτὴν τοῦ Θεοῦ φόβον ἐκβαλοῦσα, καὶ τὸν ἡνιοχοῦντα ῥίψασα λογισμὸν ἅπαντα, τὰ τῆς κακίας ἐπιτρέχει χωρία, ἕως ἂν εἰς τὰ τῆς ἀπωλείας βάραθρα φέρουσα καταχρημνίσῃ τῆς ἑαυτῆς σωτηρίας. διὸ χρὴ συνεχῶς αὐτὴν ἀνακρούεσθαι, καὶ καθάπερ τινὶ χαλινῷ, τῷ τῆς εὐσεβείας λογισμῷ, τὴν ἄλογον αὐτῆς ἀναχαιτίζειν ὁρμήν· ὅπερ ὁ Ὀζίας οὐκ ἐποίησεν, ἀλλ' εἰς αὐτὴν τὴν ἀνωτάτω πάντων ἀρχὴν παρενόμησεν. ἱερωσύνη γὰρ καὶ αὐτῆς τῆς βασιλείας σεμνοτέρα, καὶ μείζων ἐστὶν ἀρχή. μὴ γάρ μοι τὴν ἁλουργίδα εἴπῃς, μηδὲ τὸ διάδημα, μηδὲ τὰ ἱμάτια τὰ χρυσᾶ. σκιὰ πάντα ἐκεῖνα, καὶ τῶν ἐαρινῶν ἀνθῶν εὐτελέστερα. πᾶσα γὰρ δόξα ἀνθρώπου, φησίν, ὡς ἄνθος χόρτου, κἂν αὐτὴν λέγῃς τὴν βασιλικήν. μηδὲ ταῦτά μοι λέγε, ἀλλ' εἰ βούλει ἱερέως πρὸς βασιλέα τὸ διάφορον ἰδεῖν, τῆς ἑκάστῳ δεδομένης ἐξουσίας τὸ μέτρον ἐξέτασον, καὶ πολλῷ τοῦ βασιλέως ὑψηλότερον ὄψει τὸν ἱερέα καθήμενον. εἰ γὰρ καὶ σεμνὸς ἡμῖν ὁ θρόνος φαίνεται ὁ βασιλικὸς ἀπὸ τῶν προσπεπηγότων αὐτῷ λίθων, καὶ τοῦ περισφίγγοντος αὐτὸν χρυσίου, ἀλλ' ὅμως τὰ ἐπὶ τῆς γῆς ἔλαχεν οἰκονομεῖν, πλέον ἔχει τῆς ἐξουσίας ταύτης οὐδέν· ὁ δὲ τῆς ἱερωσύνης θρόνος ἐν τοῖς οὐρανοῖς ἵδρυται, καὶ τὰ ἐκεῖ διέπειν ἐπιτέτραπται. τίς ταῦτά φησιν; αὐτὸς ὁ τῶν οὐρανῶν βασιλεύς. ὅσα γὰρ ἂν δήσητε, φησιν, ἐπὶ τῆς γῆς, ἔσται δεδεμένα ἐν τοῖς οὐρανοῖς· καὶ ὅσα ἂν λύσητε ἐπὶ τῆς γῆς, ἔσται λελυμένα ἐν τοῖς οὐρανοῖς. τί ταύτης ἴσον γένοιτ' ἂν τῆς τιμῆς; ἀπὸ τῆς γῆς τὴν ἀρχὴν τῆς κρίσεως λαμβάνει ὁ οὐρανός. ἐπειδὴ ὁ κριτὴς ἐν τῇ γῇ κάθηται, ὁ δεσπότης ἕπεται τῷ δούλῳ· καὶ ἅπερ ἂν οὗτος κάτω κρίνει, ταῦτα ἐκεῖνος ἄνω κυροῖ.

qui locus omnibus erat inaccessus, præterquam primario sacerdoti, hunc prophanare conatus est. Tale monstrum est anima in arrogantiam sublata. Semel enim desperata salute nequaquam desinit furere: verùm habenas salutis suæ laxans irrationalibus cupiditatibus quouis rapitur, nec aliter quàm equus ferociens, vbi frænum ore, sessorem tergo excussit, fertur quouis vento velocius, omnibus obuiis intolerabilis, diffugiẽtibus cunctis, neque quoquam audente cohibere: Sic & anima vbi Dei timorem ipsam refrænantem excussit, & rationem habenas moderantem eiecit, ad quæuis malitiæ loca decurrit, donec in exitij barathrum delata, præcipitarit suam ipsius salutem. Quapropter oportet illam refrænare semper, ac pietatis ratione ceu fræno quodam irrationabilem illius impetum inhibere: quod non fecit Ozias, sed aduersus ipsum omnium supremum principatum, legem transgressus est. Siquidem sacerdotium, principatus est, ipso etiam regno venerabilius ac maius. Ne mihi narres purpuram, neque diadema, neque vestes aureas, vmbræ sunt isthæc omnia, vernísque flosculis leuiora. Omnis enim, inquit, hominis gloria sicut flos graminis, etiam si ipsam gloriam regalem dixeris. Ne, inquam, mihi narres ista, sed si vis videre discrimen, quantum absit rex à sacerdote, expende modum potestatis vtrique traditæ, videbis sacerdotem multò sublimius rege sedentem. Quanquam enim nobis admirandus videtur thronus regius ob gemmas ei affixas, & aurum quo obcinctus est: tamen rerum terrenarum administrationem sortitus est, nec vltra potestatem hanc præterea quicquam habet authoritatis: verùm sacerdoti thronus in cœlis collocatus est, & de cœlestibus negotiis pronunciandi habet authoritatem. Quis hæc dicit? Ipse cœlorum rex: Quæcunque enim ligaueritis super terram, erunt ligata & in cœlis: & quæcunque solueritis super terram, erunt soluta & in cœlis. Quid cum hoc honore conferri possit? A terra iudicãdi principalem authoritatem sumit cœlum. Nam iudex sedet in terra, dominus sequitur seruũ, & quicquid hic in inferioribus iudicarit, hoc ille in supernis comprobat.

Simile.

Sacerdotiũ regno sublimius.

Esa. 40. 6.

Matth. 18. 18.

DE EISDEM ESAIÆ VERBIS, FACTVM EST IN ANNO quo mortuus est Ozias Rex, vidi dominum, & demonstratio quòd Ozias iure fuerit affectus lepra, quòd præter dignitatem incensum obtulisset, quod non licet Regibus, sed Sacerdotibus.

HOMILIA V.

AGE expositioni de Ozia cœptæ, hodie finem imponamus, fastigium sermoni iam addamus, ne quãdo nos quoque derideamur, quemadmodum euangelicus ille, qui aggressus ædificare turrim, perficere non potuit: ne quis aliquando prætereuntium de nobis quoque dicat: Hic homo cœpit ædificare, nec potuit perficere. Verùm quò vobis dilucidiora fiant quæ dicentur, ex his quæ dicta sunt nuper operæ pretium erit pauca repetere: ne capite truncatus sermo noster prodeat in spirituale theatrum, sed recuperata facie sua facile à spectatoribus possit agnosci. Id enim pariter & iis qui audierũt, erit memoriæ renouatio, & his qui nõ audierũt, eruditio. Heri igitur diximus quàm fuerit impius Ozias, & quàm vir improbus, & vnde orsus, & quo superbiæ prolapsus sit: hodie verò dicendum erit, quomodo templum ingressus sit, quomodo tentarit adolere incensum, quomodo prohibuerit illum sacerdos, quomodo ille non cesserit, quomodo in se prouocauerit iram DEI, quomodo lepræ obnoxius vitam finierit, & quam ob causam Propheta prætermissis vitæ illius diebus, mortis fecerit mentionẽ ita loquens: Anno quo mortuus est Ozias rex. Hoc est enim, ob quod totã ab exordio mouimus historiam, sed auscultate diligẽter. Quum inualuisset Ozias rex, elatum est cor eius, vsque ad corruptionem, & iniuriam fecit in Domino Deo suo. Quis iniuriæ modus? Ingressus est, inquit, in templum Domini, vt adoleret incensum super altare thymiamatis. O audaciam! ô impudentiam! Aduersus ipsa sacra adyta sumpsit audaciam, in sancta sanctorum irrupit,

Luc. 14.
Repetitio utilis.
Transitio.
2. Paralip. 26.

ΕΙΣ ΤΟΝ ΡΗΤΟΝ ΤΟΥ προφήτου Ἡσαΐου τὸ λέγον· ἐγένετο τοῦ ἐνιαυτοῦ, οὗ ἀπέθανεν Ὀζίας ὁ βασιλεύς, εἶδον τὸν κύριον· καὶ ἡ ἀπόδειξις, ὅτι δικαίως ἐλεπρώθη Ὀζίας ἀναξίως θυμιάσας, ὅπερ οὐκ ἔξεστι βασιλεῦσιν, ἀλλ' ἱερεῦσι.

ΦΕΡΕ, τήμερον τοῖς κατὰ τὸν Ὀζίαν διηγήμασιν ἀποδῶμεν τὸ τέλος, καὶ τὴν ὀροφὴν λοιπὸν ἐπιθῶμεν τῷ λόγῳ, μήποτε καὶ ἡμεῖς καταγελασθῶμεν, καθάπερ ἐκεῖνος, ὁ τὸν πύργον ἐν τοῖς εὐαγγελίοις ἐπιχειρήσας μὲν οἰκοδομῆσαι, μὴ δυνηθεὶς δέ· μήποτέ τις τῶν παριόντων καὶ περὶ ἡμῶν εἴπῃ, οὗτος ὁ ἄνθρωπος ἤρξατο μὲν οἰκοδομῆσαι, οὐκ ἴσχυσε δὲ ἐκτελέσαι. ὥστε δὲ σαφέστερα ὑμῖν γενέσθαι τὰ λεγόμενα, μικρὰ τῶν πρότερον εἰρημένων ἀναλαβεῖν ἀναγκαῖον, ἵνα μὴ χωρὶς κεφαλῆς ἡμῖν ὁ λόγος εἰς τὸ θέατρον εἰσέλθῃ τὸ πνευματικόν, ἀλλὰ τὴν οἰκείαν ὄψιν ἀπολαβὼν γνώριμος γένηται τοῖς θεαταῖς. ἔσται γὰρ τὰ αὐτά, τοῖς μὲν ἀκηκοόσιν ὑπόμνησις, τοῖς δὲ μὴ ἀκηκοόσι διδασκαλία. πρῴην μὲν οὖν εἰρήκαμεν, πῶς ἦν εὐσεβὴς ὁ Ὀζίας, πῶς δὲ γέγονε φαῦλος, καὶ πόθεν, καὶ μέχρι ποῦ τῆς ἀπονοίας ὠλίσθησε. σήμερον δὲ ἀναγκαῖον εἰπεῖν, πῶς εἰσῆλθεν εἰς τὸ ἱερόν, πῶς ἐπεχείρησε θυμιάσαι, πῶς ἐκώλυσεν ὁ ἱερεύς, πῶς οὐκ εἶξεν ἐκεῖνος, πῶς ἐπεσπάσατο τοῦ Θεοῦ τὴν ὀργήν, πῶς ἐν τῇ λέπρᾳ τὸν βίον κατέλυσε· καὶ τίνος ἕνεκεν ὁ προφήτης τὰς ἡμέρας τῆς ζωῆς αὐτοῦ παρείς, τῆς τελευτῆς ἐμνημόνευσεν, οὑτωσὶ λέγων· τοῦ ἐνιαυτοῦ, οὗ ἀπέθανεν Ὀζίας ὁ βασιλεύς. τοῦτο γάρ ἐστι, δι' ὃ πᾶσαν ἐξ ἀρχῆς τὴν ἱστορίαν ἐκινήσαμεν. ἀλλὰ προσέχετε ἀκριβῶς. καὶ ἐγένετο, φησίν, ἡνίκα ἴσχυσεν ὁ Ὀζίας ὁ βασιλεύς, ὑψώθη ἡ καρδία αὐτοῦ ἕως τοῦ διαφθεῖραι, καὶ ἠδίκησεν ἐν κυρίῳ Θεῷ αὐτοῦ. τίς ὁ τρόπος τῆς ἀδικίας; εἰσῆλθε, φησίν, εἰς τὸν ναὸν κυρίου θυμιάσαι ἐπὶ τὸ θυσιαστήριον τοῦ θυμιάματος. ὢ τῆς τόλμης, ὢ τῆς ἀναισχυντίας· αὐτῶν τῶν ἱερῶν ἀδύτων κατετόλμησεν, εἰς τὰ ἅγια τῶν ἁγίων εἰσεπήδησεν,

ὃ πᾶσιν ἄβατον ἦν χωρίον, πλὴν τοῦ ἀρχιερέως, τοῦτο βεβηλῶσαι ἐπεχείρησε. τοιοῦτον ἐστὶν εἰς ἀπόνοιαν ἐπαρθεῖσα ψυχή. καθάπαξ γὰρ τῆς οἰκείας ἀπογνοῦσα σωτηρίας, οὐδαμοῦ τῆς μανίας ἵσταται· ἀλλὰ τὰς ἡνίας τῆς σωτηρίας αὐτῆς ἐνδιδοῦσα ταῖς ἀλόγοις ἐπιθυμίαις πανταχοῦ φέρεται. καὶ καθάπερ ἵππος δυσήνιος, τὸν χαλινὸν ἀπὸ τοῦ στόματος ἐκβαλών, καὶ τὸν ἀναβάτην ῥίψας ἀπὸ τοῦ νώτου, παντὸς ἀνέμου σφοδρότερον φέρεται, καὶ τοῖς ἀπαντῶσιν ἐστὶν ἀφόρητος, ὑποφευγόντων ἁπάντων, κατασχεῖν δὲ τολμῶντος οὐδενός· οὕτω καὶ ψυχή, τὸν χαλινοῦντα αὐτὴν τὸν Θεοῦ φόβον ἐκβαλοῦσα, καὶ τὸν ἡνιοχοῦντα ῥίψασα λογισμὸν ἅπαντα, τὰ τῆς κακίας ἐπιτρέχει χωρία, ἕως ἂν εἰς τὰ τῆς ἀπωλείας βάραθρα φέρουσα κατακρημνίσῃ τὴν ἑαυτῆς σωτηρίαν. διὸ χρὴ συνεχῶς αὐτὴν ἀνακρούεσθαι, καὶ καθάπερ τινὶ χαλινῷ, τῷ τῆς εὐσεβείας λογισμῷ, τὴν ἄλογον αὐτῆς ἀναχαιτίζειν ὁρμήν· ὅπερ ὁ Ὀζίας οὐκ ἐποίησεν, ἀλλ' εἰς αὐτὴν τὴν ἀνωτάτω πάντων ἀρχὴν παρῳνόμησεν. ἱερωσύνη γὰρ καὶ αὐτῆς τῆς βασιλείας σεμνοτέρα, καὶ μείζων ἐστὶν ἀρχή. μὴ γάρ μοι τὴν ἁλουργίδα εἴπῃς, μηδὲ τὸ διάδημα, μηδὲ τὰ ἱμάτια τὰ χρυσᾶ. σκιὰ πάντα ἐκεῖνα, καὶ τῶν ἐαρινῶν ἀνθῶν εὐτελέστερα. πᾶσα γὰρ δόξα ἀνθρώπου, φησίν, ὡς ἄνθος χόρτου, κἂν αὐτὴν λέγῃς τὴν βασιλικήν. μηδὲ ταῦτά μοι λέγε, ἀλλ' εἰ βούλει ἱερέως πρὸς βασιλέα τὸ διάφορον ἰδεῖν, τῆς ἑκάστῳ δεδομένης ἐξουσίας τὸ μέτρον ἐξέτασον, καὶ πολλῷ τοῦ βασιλέως ὑψηλότερον ὄψει τὸν ἱερέα καθήμενον. εἰ γὰρ καὶ σεμνὸς ἡμῖν ὁ θρόνος φαίνεται ὁ βασιλικὸς ἀπὸ τῶν προσπεπηγότων αὐτῷ λίθων, καὶ τοῦ περισφίγγοντος αὐτὸν χρυσίου, ἀλλ' ὅμως τὰ ἐπὶ τῆς γῆς ἔλαχεν οἰκονομεῖν, πλέον ἔχει τῆς ἐξουσίας ταύτης οὐδέν· ὁ δὲ τῆς ἱερωσύνης θρόνος ἐν τοῖς οὐρανοῖς ἵδρυται, καὶ τὰ ἐκεῖ διέπειν ἐπιτέτραπται. τίς ταῦτά φησιν; αὐτὸς ὁ τῶν οὐρανῶν βασιλεύς. ὅσα γὰρ ἂν δήσητε, φησίν, ἐπὶ τῆς γῆς, ἔσται δεδεμένα ἐν τοῖς οὐρανοῖς· καὶ ὅσα ἂν λύσητε ἐπὶ τῆς γῆς, ἔσται λελυμένα ἐν τοῖς οὐρανοῖς. τί ταύτης ἴσον γένοιτ' ἂν τῆς τιμῆς; ἀπὸ τῆς γῆς τὴν ἀρχὴν τῆς κρίσεως λαμβάνει ὁ οὐρανός. ἐπειδὴ ὁ κριτὴς ἐν τῇ γῇ κάθηται, ὁ δεσπότης ἕπεται τῷ δούλῳ· καὶ ἅπερ ἂν οὗτος κάτω κρίνει, ταῦτα ἐκεῖνος ἄνω κυροῖ.

A qui locus omnibus erat inaccessus, præterquam primario sacerdoti, hunc prophanare conatus est. Tale monstrum est anima in arrogantiam sublata. Semel enim desperata salute nequaquam desinit furere: verùm habenas salutis suæ laxans irrationalibus cupiditatibus quouis rapitur, nec aliter quàm equus ferociens, vbi frænum ore, sessorem tergo excussit, fertur quouis vento velocius, omnibus obuiis intolerabilis, diffugientibus cunctis, neque quoquam audente cohibere: Sic & anima vbi Dei timorem ipsam refrænantem excussit, B & rationem habenas moderantem eiecit, ad quæuis malitiæ loca decurrit, donec in exitij barathrum delata, praecipitarit suam ipsius salutem. Quapropter oportet illam refrænare semper, ac pietatis ratione ceu fræno quodam irrationabilem illius impetum inhibere: quod non fecit Ozias, sed aduersus ipsum omnium supremum principatum, legem transgressus est. Siquidem sacerdotium, principatus est, ipso etiam regno venerabilius ac maius. Ne mihi narres purpuram, neque diadema, neque vestes aureas, vmbræ sunt isthæc C omnia, vernísque flosculis leuiora. Omnis enim, inquit, hominis gloria sicut flos graminis, etiam si ipsam gloriam regalem dixeris. Ne, inquam, mihi narres ista, sed si vis videre discrimen, quantum absit rex à sacerdote, expende modum potestatis vtrique traditæ, videbis sacerdotem multò sublimius rege sedentem. Quanquam enim nobis admirandus videtur thronus regius ob gemmas ei affixas, & aurum quo obcinctus est: tamen rerum terrenarum administrationem sortitus est, nec vltra potestatem hanc præterea D quicquam habet authoritatis: verùm sacerdoti thronus in cœlis collocatus est, & de cœlestibus negotiis pronunciandi habet authoritatem. Quis hæc dicit? Ipse cœlorum rex: Quæcunque enim ligaueritis super terram, erunt ligata & in cœlis: & quæcunque solueritis super terram, erunt soluta & in cœlis. Quid cum hoc honore conferri possit? A terra iudicādi principalem authoritatem sumit cœlum. Nam iudex sedet in terra, dominus sequitur seruū, & quicquid hic in inferioribus iudicarit, hoc ille in supernis comprobat.

Simile.

Sacerdotiū regno sublimius.

Esa. 40. 6.

Matth. 18. 18.

Iraque medius stat sacerdos inter Deum & naturam humanam, illinc venientia beneficia ad nos deferens, & nostras petitiones illuc perferens, Dominum iratum reconcilians vtrique naturæ, nos qui offendimus eripiens ex illius manibus. Eóque Deus ipsum regale caput sacerdotis manibus subiecit, nos erudiens quòd hic princeps est illo maior. Siquidem id quod minus est, benedictionem accipit ab eo quod præstantius est. Verùm de sacerdotio quantáque sit illius dignitas, alio tempore declarabimus. Interim consideremus quanta sit regis vel tyranni potius iniquitas. Ingressus est in templum Domini, ingressus est & Azarias sacerdos post eum. Non temerè dicebam sacerdotem rege maiorem esse. Neque enim vt regem eiecturus, sed vt profugum, & ingratum famulum expulsurus cum austeritate ingressus est, nō aliter quàm generosus canis incurrit ad impuram bestiam, vt illam exigat ad ædibus herilibus. Vidisti sacerdotis animum multa fiducia plenum, excelsique spiritus? Non aspiciebat principatus fastum, non expendebat quanta res esset animum cupiditate temulētum cohibere. Non audiebat illud Salomonis: Minæ regis sicut ira leonis, sed sublatis oculis ad verum regem cœlorum, átque illud tribunal, eásque pœnas considerans, & his cogitationibus sese muniens, impetum fecit in tyrannum. Nouerat enim, nouerat, inquam, certè, quòd comminatio regis similis sit iræ leonis duntaxat iis qui terram spectarent. Verùm homini qui cœlum haberet præ oculis, quique sic induxerat animum, vt vitam citius in ipsis sacrificiis deponeret, quàm sacras leges sineret violari, quóuis cane vilior est ille. Nihil enim eo imbecillius qui diuinas conculcat leges, vt contrà nihil potentius eo qui leges diuinas defendit. Nam qui peccatum cōmittit, seruus est peccati, etiamsi decem millia coronarum habeat in capite. Rursus si quis facit iustitiam, ipso rege regalior est, etiamsi fuerit omnium infimus. Hæc ille præclarus apud sese philosophabatur: adortus est regem. Ingrediamur & nos, si videtur, cū illo, vt videamus quid loquatur regi.

Prou. 19.12

Timida impietas.

Ioan. 8.34.

A καὶ μέσος τοῦ Θεοῦ καὶ τῆς τῶν ἀνθρώπων φύσεως ἕστηκεν ὁ ἱερεύς, τὰς ἐκεῖθεν τιμὰς κατάγων πρὸς ἡμᾶς, καὶ τὰς παρ' ἡμῶν ἱκετηρίας ἀνάγων ἐκεῖ, ὀργιζόμενον αὐτὸν τῇ κοινῇ καταλλάττων φύσει, προσκεκρουκότας ἡμᾶς ἐξαρπάζων τῶν ἐκείνου χειρῶν. διὰ τοῦτο καὶ αὐτὴν τὴν βασιλικὴν κεφαλὴν ὑπὸ τὰς τοῦ ἱερέως χεῖρας φέρων τίθησιν ὁ Θεός, παιδεύων ἡμᾶς, ὅτι οὗτος ἐκείνου μείζων ὁ ἄρχων. τὸ γὰρ ἔλαττον ὑπὸ τοῦ κρείττονος εὐλογεῖται. ἀλλὰ περὶ ἱερωσύνης, καὶ ὅσον τῆς ἀξίας τὸ μέγεθος, B ἐν ἑτέρῳ καιρῷ δηλώσομεν. τέως δὲ ἴδωμεν τῆς ἀδικίας τὸ μέγεθος τοῦ βασιλέως, μᾶλλον δὲ τοῦ τυράννου. εἰσῆλθεν εἰς τὸν ναὸν κυρίου, εἰσῆλθε καὶ Ἀζαρίας ὁ ἱερεὺς ὀπίσω αὐτοῦ. ἆρα μὴ μάτην ἔλεγον, ὅτι μείζων τοῦ βασιλέως ὁ ἱερεύς; οὐ γὰρ ὡς βασιλέα μέλλων ἐξελαύνειν, ἀλλ' ὡς δραπέτην καὶ οἰκέτην ἀγνώμονα, οὕτως ἐπεισῆλθε μετὰ σφοδρότητος, ὥσπερ τις σκύλαξ γενναῖος ἐπιδραμὼν τῷ ἀκαθάρτῳ θηρίῳ, ὥστε αὐτὸ τῆς δεσποτικῆς ἐξαγαγεῖν οἰκίας. εἶδες ψυχὴν ἱερέως παρρησίας C γέμουσαν πολλῆς, καὶ φρονήματος ὑψηλοῦ; οὐκ εἶδεν εἰς τὸν τῆς ἀρχῆς ὄγκον, οὐκ ἐνενόησεν, ὅσον ἐστὶ ψυχὴν ἐπιθυμίᾳ μεθύουσαν καταστεῖλαι, οὐκ ἤκουσε τοῦ Σολομῶντος λέγοντος· ἀπειλὴ βασιλέως ὁμοία θυμῷ λέοντος· ἀλλὰ πρὸς τὸν ἀληθῆ βασιλέα τῶν οὐρανῶν ἰδών, καὶ τὸ βῆμα ἐννοήσας ἐκεῖνο καὶ τὰς εὐθύνας, καὶ τούτοις ἑαυτὸν τοῖς λογισμοῖς ὀχυρώσας, οὕτως ἐπεπήδησε τῷ τυράννῳ. ᾔδει γάρ, ᾔδει σαφῶς, ὅτι ἀπειλὴ βασιλέως ὁμοία θυμῷ λέοντος τοῖς πρὸς τὴν γῆν βλέπουσιν· ἀνθρώπῳ δὲ D τὸν οὐρανὸν φανταζομένῳ, καὶ παρεσκευασμένῳ τὴν ψυχὴν ἔνδον ἐν τοῖς ἀδύτοις ἀφεῖναι, ἢ τοὺς ἱεροὺς νόμους ὑβριζομένους περιϊδεῖν, κυνὸς παντὸς εὐτελέστερος ἦν ἐκεῖνος. οὐδὲν γὰρ ἀσθενέστερον τοῦ τοὺς θείους παραβαίνοντος νόμους· ὥσπερ οὖν οὐδὲν ἰσχυρότερον τοῦ τοὺς θείους ἐκδικοῦντος νόμους. ὁ μὲν γὰρ τὴν ἁμαρτίαν ποιῶν, δοῦλός ἐστι τῆς ἁμαρτίας, κἂν μυρίους ἐπὶ τῆς κεφαλῆς ἔχῃ στεφάνους· ὁ δὲ τὴν δικαιοσύνην ἐργαζόμενος, καὶ αὐτοῦ τοῦ βασιλέως βασιλικώτερός ἐστι, κἂν πάντων ἔσχατος ᾖ. ταῦτα πρὸς ἑαυτὸν φιλοσοφήσας ὁ γενναῖος ἐκεῖνος, ἐπεισῆλθε τῷ βασιλεῖ. συνεισέλθωμεν οὖν καὶ ἡμεῖς, εἰ δοκεῖ, ἵνα ἴδωμεν τί πρὸς τὸν βασιλέα διαλέγεται.

ἔξεστι γὰρ, οὐ μικρὸν δὲ εἰς ὠφελείας λόγον, ἐλεγχόμενον ἰδεῖν ὑπὸ ἱερέως βασιλέα. τί οὖν φησιν ὁ ἱερεύς; Οὐκ ἔξεστί σοι, Ὀζία, θυμιάσαι τῷ κυρίῳ. Οὐκ ὠνόμασεν αὐτὸν βασιλέα, οὐδὲ ἀπὸ τοῦ τῆς ἀρχῆς ἐκάλεσεν ὀνόματος, ἐπειδὴ ἑαυτὸν προλαβὼν ἐξέβαλε τῆς τιμῆς. εἶδες παρρησίαν ἱερέως; Οὐκοῦν καὶ μάθε καὶ πρᾳότητα. οὐ γὰρ παρρησίας ἡμῖν δεῖ μόνον, ὅταν ἐλέγχειν μέλλωμεν, ἀλλὰ καὶ πρᾳότητος μᾶλλον, ἢ παρρησίας. ἐπεὶ γὰρ οὐδένα τῶν ἀνθρώπων οὕτως ἀποστρέφονται καὶ μισοῦσιν οἱ ἁμαρτάνοντες, ὡς τὸν ἐλέγχειν μέλλοντα· B καὶ προφάσεις ἐπιλαβέσθαι ἐπιθυμοῦσιν, ὥστε ἀποπηδῆσαι, καὶ τὴν ἐπιτιμίαν διαφυγεῖν. δεῖ οὖν κατέχειν αὐτοὺς τῇ πρᾳότητι καὶ τῇ ἐπιεικείᾳ. οὐ γὰρ φωνὴν μόνον ἀφεὶς ὁ τοιοῦτος, ἀλλὰ καὶ βλεπόμενος, βαρύς ἐστι τοῖς ἁμαρτάνουσι. βαρὺς γὰρ ἡμῖν, φησὶν, ἐστὶ καὶ βλεπόμενος. διὰ ταῦτα πολλὴν χρὴ τὴν πρᾳότητα ἐπιδείκνυσθαι. διὰ ταῦτα ἡμῖν καὶ ὁ λόγος ὑπ' ὄψιν ἤγαγε καὶ τὸν ἡμαρτηκότα, καὶ τὸν διορθοῦν αὐτὸν μέλλοντα. καὶ γὰρ οἱ σοφοὶ τῶν ἰατρῶν, ὅταν μέλλωσι σεσηπότα τέμνειν μέλη, ἢ λίθους C τοῖς πόροις ἐναπεσφηνωμένους ἐξέλκειν, ἢ ἄλλο τι τῆς φύσεως ἁμάρτημα διορθοῦν, οὐκ εἰς γωνίαν λαβόντες τὸν κάμνοντα, τοῦτο ποιοῦσιν, ἀλλ' ἐν μέσαις αὐτὸν θέντες ταῖς ἀγοραῖς, καὶ θέατρον ἐκ τῶν παριόντων περιστήσαντες, οὕτως ἐπάγουσι τὴν τομήν. ποιοῦσι δὲ τοῦτο, οὐχὶ ταῖς ἀνθρωπίναις ἐμπομπεύειν βουλόμενοι συμφοραῖς, ἀλλ' ὥστε πολλὴν τῆς οἰκείας ὑγιείας ἕκαστον ποιεῖσθαι τὴν πρόνοιαν. οὕτω καὶ ἡ γραφὴ ποιεῖ· ἐπειδὰν γάρ τινα λάβῃ τῶν ἁμαρτανόντων, ἐφ' ὑψηλοῦ τοῦ κηρύγματος αὐτὸν περιτίθησιν, οὐκ ἐν μέσαις ἀγοραῖς, ἀλλ' D ἐν μέσῃ τῇ γῇ· καὶ τὸ τῆς οἰκουμένης περιστήσασα θέατρον, οὕτω τὴν ἰατρείαν ἐπιδείκνυται, παιδεύουσα ἡμᾶς ἀσφαλεστέρους περὶ τὴν οἰκείαν εἶναι σωτηρίαν. ἴδωμεν οὖν πῶς ἐπεχείρει τοῦτον ὁ ἱερεὺς διορθώσασθαι τότε. οὐκ εἶπεν, ὦ μιαρὲ καὶ παμμίαρε, πάντα ἀνατρέψας καὶ συγχέας, εἰς ἔσχατον ἀσεβείας ἐξεπήδησας, οὐδὲ μακροὺς ἐξέτεινε κατηγορίας λόγους· ἀλλ' ὥσπερ οἱ τέμνοντες τοῦτο ποιεῖν συντόμως σπουδάζουσι, τῷ τάχει τῆς τομῆς κλέπτοντες τῆς ὀδύνης τὴν αἴσθησιν· οὕτω καὶ οὗτος

A licet enim, neque mediocrem adferet vtilitatem, spectare regem à sacerdote redargui. Quid igitur dicit sacerdos? Non licet tibi Ozia adolere incensum Domino. Non appellauit eum regem, neque titulo principatus appellauit, propterea quòd ipse præueniens sese dignitate deiecerat. Vidisti fiduciam sacerdotis? proinde disce & mansuetudinem. Non enim fiducia nobis tantùm opus est in reprehendendo, verùm multò magis opus est mansuetudine quàm fiducia. Neminem enim mortalium sic B auersantur oderúntque hi qui peccant, atque eum qui parat redarguere; cupiuntque occasionem arripere, vt elabantur, & effugiant reprehensionem. Necesse est igitur vt eos mansuetudine humanitatéque retineamus. Obiurgator enim non solùm quum vocem promit, verùm etiam quum videtur, grauis est peccantibus: Grauis enim, inquit, nobis est etiam aspectu. Quapropter plurimam mansuetudinem præstare oportet, eóque nobis sermo propheticus ob oculos posuit, & eum qui peccarat, & eum qui corrigere parabat. Etenim sapientes medici quoties mem-C bra putrefacta secturi sunt, aut lapides in meatibus affixos extracturi, aut aliud aliquod naturæ vitium correcturi, non id faciunt eo qui laborat in angulum abducto, sed eo in mediis foris deposito, conglomeratóque prætereuntium spectaculo, ita demum admouent sectionem. Hoc autem faciunt non quòd velint humanas traducere calamitates, sed vt vnicuique propriæ sanitatis commendent curam. Itidem & scriptura facit, vbi quem arripuit peccantium, proponit eum in sublimi suggesto, non in mediis foris, sed in media terra: & posteaquam totius D orbis circumstetterit theatrum, tum curationem adhibet, erudiens nos, vt circa propriam salutem cautiores simus. Videamus igitur quo pacto sacerdos tunc illum corrigere sit aggressus. Non dixit, ô impie, ô sceleratissime! omnia subuertisti confudistique, ad extremam impietatem prorupisti: neque sermonem accusationis in longum produxit, sed quemadmodum hi qui secant, hoc breuiter facere student, celeritate sectionis cruciatus sensum fallentes: Itidem & hic

2. Paral. 26

Sacerdos quomodo debeat corripere principem.

Sacerdotū mansuetudo.

Sap. 2. 15.

Simile à sectionibus medicorū.

Simile.

asperitatem obiurgationis paucis verbis constringens, regis iracundiam cohibuit. Quod enim est in his qui laborant sectio, hoc est in his qui peccant redargutio. Denique præter alia etiam ipsa breuiloquentia declarat nobis humanitatem. Quòd si cupis verborum quoque sectionem videre, & vbi ferrum occultarit audi. Non licet, inquit, tibi adolere incensum Domino, sed solis sacerdotibus filiis Aaron consecratis. Hic inflixit vulnus. Quomodo? Ego dicam: Eo quòd non simpliciter dixit, sacerdotibus: sed addidit, Aaron. Is primus fuit pontifex, similéque facinus illius temporibus quidam ausi sunt. Dathan enim & Core & Abiron, coniurati aduersus illum cum aliis aliquot, voluerunt ipsi præripere sacerdotium: sed alios quidem terra dehiscens absorbuit, alios verò cœlitus emissus ignis exussit. Huius ergo historiæ volens illum commonefacere, mentionem fecit Aaron, qui tunc erat iniuria affectus, vt ad calamitatem eorum qui fecerant iniuriam, huius cogitationem transmitteret. Quanquam nihil iis profectum est, non propter sacerdotem, sed ob regis asperitatem. Quum enim deberet laudare sacerdotem, próque consilio gratias agere: ille, inquit, indignatus est, & vulnus reddidit acerbius. Neque enim perinde mala res est peccatum, atque post peccatum impudentia. Atqui non eodem modo Dauid, sed quomodo? Postquam à Nathan incusatus esset de Bersabee, Peccaui, inquit, Domino. Vidisti cor contritum? vidisti submissam animam? vidisti vt etiam lapsus sanctorum sint egregij? Quemadmodum enim præclara corpora etiam in aduersa valetudine, multa nobis formæ vestigia ostendunt: sic & sanctorum animæ in ipsis etiam erratis suæ virtutis signa præ se ferunt. Et tamen ille in media regia accusabatur à Propheta multis præsentibus, hic verò intus in adytis nullo teste redargutus est: verùm ne sic quidem tulit increpationem. Quid igitur? insanabilis permansit? Nequaquam, propter Dei humanitatem, quemadmodum de lunatico quum discipuli non valerent eiicere dæmonium, dicit Christus: Adducite mihi eum huc:

Num.16. — *Impatientis animus.* — *2.Reg.12.* — *Peccata iustorū cedūt in bonum.* — *Matth.17. 16.*

A τῇ βραχυλογίᾳ, τῆς θρασύτητος τοῦ βασιλέως τὴν φλεγμονὴν ἔστησεν. ὅπερ γάρ ἐπὶ τῶν καμνόντων τομή, τοῦτο ἐπὶ τῶν ἁμαρτανόντων ἔλεγχος. καὶ τὴν μὲν ἐπιείκειαν μετὰ τῶν ἄλλων καὶ διὰ τῆς βραχυλογίας ἡμῖν ἐπιδείκνυται. εἰ δὲ βούλει καὶ τὸν τόμον τῶν ῥημάτων ἰδεῖν, καὶ ποῦ τὸ σίδηρον ἔκρυψεν, ἄκουσον. οὐκ ἔξεστί σοι, φησί, θυμιάσαι κυρίῳ, ἀλλ' ἢ τοῖς ἱερεῦσι τοῖς υἱοῖς Ἀαρὼν, τοῖς ἡγιασμένοις. ἐνταῦθα ἔδωκε τὴν πληγήν. καὶ πῶς, ἐγὼ λέγω. διὰ τί γὰρ οὐκ εἶπε, τοῖς ἱερεῦσιν ἁπλῶς, ἀλλὰ προσέθηκε τὸν Ἀαρών; ἀρχιερεὺς ἐγένετο πρῶτος, καὶ ἐτολμήθη κατὰ τοὺς ἐκείνου χρόνους τοιοῦτον τόλμημα. Δαθὰν γὰρ καὶ Κορὲ καὶ Ἀβειρὼν συστάντες κατ' αὐτοῦ μετὰ καὶ ἑτέρων τινῶν ἐβούλοντο αὐτοὶ ἱερατεύειν. ἀλλὰ τοὺς μὲν ἡ γῆ διαρραγεῖσα κατέπιε, τοὺς δὲ πῦρ ἄνωθεν κατενεχθὲν κατέφλεξε. ταύτης οὖν αὐτὸν τῆς ἱστορίας ὑπομνῆσαι βουλόμενος, ἀνέμνησεν αὐτὸν τοῦ Ἀαρὼν τοῦ τότε ἀδικηθέντος, ὥστε πρὸς τὴν τῶν ἠδικηκότων συμφορὰν παραπέμψαι τὴν τούτου διάνοιαν. πλὴν ἀλλ' οὐδὲν ἐγένετο πλέον· ἀλλ' οὐ παρὰ τὸν ἱερέα, ἀλλὰ παρὰ τὴν τοῦ βασιλέως θρασύτητα. δέον γὰρ ἐπαινέσαι τὸν ἱερέα, καὶ χάριν ὁμολογῆσαι τῆς συμβουλῆς· ὁ δὲ ἐθυμώθη, φησί, καὶ τὸ ἕλκος εἰργάσατο χαλεπώτερον. οὐ γὰρ οὕτως ἁμαρτία κακὸν, ὡς ἡ μετὰ τὴν ἁμαρτίαν ἀναισχυντία. ἀλλ' οὐχ ὁ Δαβὶδ οὕτως· ἀλλὰ πῶς; μετὰ τὸ ὑπὸ τοῦ Ναθὰν γυμνωθῆναι κατηγορίαν τὴν ἐπὶ τῇ Βηρσαβεὲ, ἡμάρτηκα τῷ κυρίῳ, φησίν. εἶδες συντετριμμένην καρδίαν; εἶδες τεταπεινωμένην ψυχήν; εἶδες πῶς καὶ τὰ πταίσματα τῶν ἁγίων λαμπρά; καθάπερ γὰρ τὰ λαμπρὰ τῶν σωμάτων, καὶ ἐπὶ τῆς ἀρρωστίας πολλὰ τῆς εὐμορφίας ἡμῖν ἐνδείκνυται τὰ ἴχνη· οὕτω καὶ τῶν ἁγίων αἱ ψυχαί, καὶ ἐν αὐτοῖς τοῖς παραπτώμασι τῆς οἰκείας ἀρετῆς τὰ σύμβολα φέρουσι. καί τοι γε ἐκεῖνος μὲν ἐν μέσοις τοῖς βασιλείοις κατηγορεῖτο παρὰ τοῦ προφήτου, παρόντων πολλῶν· οὗτος δὲ ἔνδον ἐν τοῖς ἀδύτοις, καὶ ἀμάρτυρον εἶχε τὸν ἔλεγχον. ἀλλ' οὐδὲ οὕτως ἤνεγκε τὴν ἐπιτίμησιν. τί οὖν; ἀνίατος ἔμεινε; οὐδαμῶς, διὰ τὴν τοῦ Θεοῦ φιλανθρωπίαν. ἀλλ' ὥσπερ ἐπὶ τοῦ σεληνιαζομένου, τῶν μαθητῶν οὐκ ἰσχυσάντων τὸν δαίμονα ἐκβαλεῖν, ὁ Χριστός φησι, φέρετέ μοι αὐτὸν ὧδε·

οὕτω καὶ ἐνταῦθα, τοῦ ἱερέως μὴ δυνηθέντος παμπολὺ τοῦ δαίμονος χαλεπώτερον νόσημα, τὴν ἁμαρτίαν ἐκβαλεῖν, αὐτὸς λοιπὸν ὁ Θεὸς τὸν κάμνοντα μεταχειρίζεται. καὶ τί ποιεῖ; λέπραν ἐπαφίησιν αὐτοῦ τῷ μετώπῳ. ἐξήνθει γάρ, φησιν, ἐν τῷ ἀπειλῆσαι αὐτὸν τῷ ἱερεῖ, λέπρα ἀνέτειλεν ἐπὶ τοῦ μετώπου αὐτοῦ, καὶ ἐξῄει λοιπόν, καθάπερ οἱ πρὸς ἐπὶ θάνατον ἀπαγόμενοι, ἀπαρτίον ἐπὶ τοῦ στόματος ἔχοντες, τῆς καταδικαζούσης σύμβολον ψήφου· οὕτω καὶ αὐτὸς τῆς ἀτιμίας τὸ σύμβολον ἐπὶ τοῦ μετώπου φέρων, οὐ δημίων αὐτὸν ἑλκόντων, ἀλλὰ αὐτῆς τῆς λέπρας ἀντὶ δημίων ἐπὶ κεφαλὴν ὠθούσης. εἰσῆλθεν ἱερωσύνην λαβεῖν, ὁ δὲ καὶ τὴν βασιλείαν ἀπώλεσεν. εἰσῆλθε γενέσθαι σεμνότερος, καὶ γέγονεν ἐναγέστερος. καὶ γὰρ ἰδιώτου παντὸς λοιπὸν ἀτιμότερος ἦν ἀκάθαρτος ὤν. τοσοῦτόν ἐστι κακὸν, τὸ μὴ μένειν ἔνδον ἐπὶ τῶν δοθέντων ἡμῖν παρὰ τοῦ Θεοῦ μέτρων, ἄν τε ἐπὶ τιμῆς, ἄν τε ἐπὶ γνώσεως τοῦτο ᾖ. οὐχ ὁρᾷς ταύτην τὴν θάλατταν, πῶς ἐστι ταῖς βίαις ἀφόρητος, πόσοις κορυφοῦται τοῖς κύμασιν; ἀλλ' ὅμως πρὸς ὕψος διανισταμένη μέγα, καὶ μετὰ πολλοῦ προϊοῦσα τοῦ θυμοῦ, ἐπειδὰν ἔλθῃ πρὸς τὸ τεθὲν ὅριον αὐτῇ παρὰ τοῦ Θεοῦ, τὰ κύματα εἰς ἀφρὸν διαλύσασα, πρὸς ἑαυτὴν ἐπάνεισι. καί τοι γε τί ψάμμου γένοιτ' ἂν ἀσθενέστερον; ἀλλ' οὐκ ἐκεῖνό ἐστι τὸ κωλῦον, ἀλλ' ὁ τοῦ θέντος φόβος. εἰ δὲ οὐ σωφρονίζει σε τοῦτο τὸ παράδειγμα, τὰ κατὰ τὸν Ὀζίαν σε παιδευέτω, τὰ νῦν ἡμῖν εἰρημένα. ἀλλ' ἐπειδὴ τὴν ὀργὴν εἴδομεν τοῦ Θεοῦ καὶ τὴν ἀξίαν ἀνταπόδοσιν, φέρε καὶ τὴν φιλανθρωπίαν αὐτοῦ καὶ τὴν πολλὴν ἐπιείκειαν ἐπιδείξωμεν. οὐ γὰρ μόνους τοὺς περὶ τῆς ὀργῆς δεῖ κινεῖν λόγους, ἀλλὰ καὶ τοὺς περὶ τῆς χρηστότητος· ἵνα μήτε εἰς ἀπόγνωσιν ἐμβάλωμεν τοὺς ἀκούοντας, μήτε εἰς ῥαθυμίαν. οὕτω καὶ Παῦλος ποιεῖ, καὶ τούτοις ἀμφοτέροις κιρνᾷ τὴν παραίνεσιν, οὑτωσὶ λέγων· ἴδε οὖν τὴν χρηστότητα, καὶ ἀποτομίαν Θεοῦ· ἵνα καὶ τῷ φόβῳ καὶ ταῖς χρησταῖς ἀναστήσῃ τὸν πεπτωκότα. εἶδες ἀποτομίαν Θεοῦ; ἴδε καὶ χρηστότητα. πῶς οὖν ὀψόμεθα τὴν χρηστότητα; ἂν μάθωμεν τίνος ἄξιος ἦν ὁ Ὀζίας. τίνων οὖν ἄξιος ἦν; ἅμα τῶν προθύρων ἐπιβὰς τῶν ἱερῶν μετὰ τοσαύτης ἀναισχυντίας, μυρίων σκηπτῶν, καὶ τῆς ἐσχάτης κολάσεως καὶ τιμωρίας.

A sic & hic, quum sacerdos non posset morbum quouis dæmonio sæuiorem nempe peccatum eijcere, ipse Deus laborantem aggreditur: & quid facit? Lepram immittit fronti ipsius. Factum est, inquit, quum ille minaretur sacerdoti, lepra effloruit in fronte eius, iámque exibat sicut hi qui ad mortem abducuntur funem ore gestantes damnationis signum, sic & ille ignominiæ signum in fronte gestans, non carnificibus ipsum trahentibus, sed lepra loco carnificis ipsum præcipitem agente. Ingressus vt sacerdotium vsurparet, B etiam regnum perdidit. Ingressus est vt fieret venerabilior, & factus est execrabilior. Nam cum immundus esset, quouis homine priuato posthac erat execrabilior: adeò res est mala non manere intra fines nobis à Deo præscriptos, siue honoris, siue cognitionis res fuerit. Nónne vides hoc mare quàm est ob violentiam intolerabile, quantis insurgat vndis, attamen posteaquam vehementer insurrexit, multóque cum tumore progressum est, vbi venerit ad terminum ipsi à Deo præscriptum, fluctibus in spumam solutis, C in sese redit. Et tamen quid arena possit esse infirmius? verum non illa est quæ prohibet, sed Dei metus terminum posuit. Quòd si hoc exemplum non te reuocat ad moderationem, quæ Oziæ acciderunt erudiant te, quæ nunc à nobis dicta sunt. Verùm quoniam iram Dei vidimus, dignámque vltionem, age & humanitatem eius multámque æquitatem commonstremus. Neque enim ea tantùm dicenda sunt, quæ pertinent ad iram, verùm etiam quæ ad moderationem, vt neque in desperationem conijciamus auD ditores, neque in socordiam. Sic & Paulus facit, ex vtraque temperans admonitionem, hunc in modum loquens: Vide igitur bonitatem ac seueritatem Dei, quò simul & terrore & bona spe excitet eum qui lapsus est. Vidisti seueritatem Dei, vide & bonitatem. Quomodo igitur videbimus bonitatem? Si cognouerimus qua re dignus fuerit Ozias. Quibus igitur erat dignus? vt simul atque intra sacrorum vestibulum tanta cum impudentia irrupisset, mille fulminis ictibus, extremo supplicio cruciatúque afficeretur.

Vindicta mansuetudine temperata.

Rom. 11. 22

Quandoquidem illi qui hæc primùm sunt ausi, hanc dedere pœnam, videlicet Dathan, Core, & Abiron, multò magis hunc ad eum modum puniri oportuit, qui ne illorum quidem calamitatibus fuerit castigatus. Verùm hoc non fecit Deus, sed priùs illi sermones admouit per sacerdotem, multa plenos humanitate: quódque Christus adhortatus est, vt facerent homines quoties in se inuicem peccauerint, hoc Deus fecit erga hominem. Quoties enim, inquit, peccauerit in te frater tuus, abi, argue eum inter te & ipsum solum. Sic & regem hunc redarguit Deus. Et Christus quidem dicit: Si te non audierit, sit tibi velut ethnicus & publicanus: at Deus humanitate proprias supergrediens leges, nec sic quidẽ illum resecuit, nec audire nolentem, indignantémque deiecit, sed iterum aggreditur castigatque, modo correctionem habente potius quàm vltionem. Neque enim fulmen vibrauit è sublimi, neque exussit impudens caput, sed tantùm lepra castigauit. Atque ea quidem quæ Oziæ acciderunt, sic habent: ego verò si vnum quiddã adhuc addidero, dicendi finem faciam. Quid autem hoc est? Quod pridem ab initio quærebamus, quamobrem in rebus externis inque prophetiis, quum omnes soleant designare tempora, quibus reges vixerint, hic eo prætermisso tempus sumat quo mortuus sit Ozias, ad hunc loquens modum: Et factum est anno quo mortuus est Ozias rex. Et tamen poterat regis tum regnantis tempus exprimere, quemadmodum omnibus Prophetis mos erat. Verùm id non fecit. Quam ob causam igitur non fecit? Mos erat vetus leprosum è ciuitate expellere, vt & hi qui in ciuitate viuebant melius haberent, & ipse leprosus non obijceretur promptis ad inferendam contumeliam, scommatum, ac derisionis occasio: sed vt extra ciuitatem commorans, solitudinem veli loco haberet obtentam aduersus iniuriam calamitatis. Hoc & regem hunc perpeti oportuit post lepram, sed non perpessus est, his qui in ciuitate erant illum ob principatum reuerentibus, verùm manebat domi suæ clanculum. Hoc ad iracundiam prouocauit Deum, hoc prophetiam inhibuit, quódque tempore Heli factum est, verbum preciosum erat, nec erat visio distinguens.

Num. 16. | Monitio Christiana. | Matth. 18. 15. | Ibidem. | Esa. 6. | 1.Reg.3.1.

εἰ γὰρ οἱ πρότεροι ταῦτα τολμήσαντες ταύτην ἔδοσαν τὴν δίκην, οἱ περὶ Δαθὰν καὶ Κορὲ καὶ Ἀβειρών· πολλῷ μᾶλλον τοῦτον οὕτω κολάζεσθαι ἔδει, τὸν μηδὲ ταῖς ἐκείνων σωφρονισθέντα συμφοραῖς. ἀλλ' οὐκ ἐποίησε τοῦτο ὁ Θεὸς, ἀλλὰ πρότερον αὐτῷ λόγους προσήγαγε πολλῆς ἐπιεικείας γέμοντας διὰ τοῦ ἱερέως. καὶ ἅπερ ὁ Χριστὸς παρῄνεσεν ἀνθρώποις ποιεῖν, ὅταν εἰς ἀλλήλους ἁμαρτάνωσι, τοῦτο ὁ Θεὸς πρὸς τὸν ἄνθρωπον ἐποίησεν. ὅταν γὰρ, φησιν, ἁμάρτῃ εἰς σὲ ὁ ἀδελφός σου, ὕπαγε, ἔλεγξον αὐτὸν μεταξὺ σοῦ καὶ αὐτοῦ μόνου· οὕτω καὶ τὸν βασιλέα τοῦτον ἤλεγξεν ὁ Θεός. καὶ ὁ μὲν Χριστός φησιν· ἐὰν μὴ ἀκούσῃ σου, ἔστω σοι ὡς ὁ ἐθνικὸς καὶ ὁ τελώνης· ὁ δὲ Θεὸς φιλανθρωπίᾳ τοὺς οἰκείους ὑπερβαίνων νόμους, οὐδὲ οὕτως αὐτὸν ἐξέκοψεν, ἀλλὰ παρακούσαντα καὶ ἀγανακτήσαντα οὐκ ἀπέρριψεν, ἀλλὰ πάλιν προσίεται, καὶ παιδεύει τρόπῳ διόρθωσιν ἔχοντι μᾶλλον, ἢ τιμωρίαν. οὐδὲ γὰρ σκηπτὸν ἀφῆκεν ἄνωθεν, οὐδὲ κατέφλεξε τὴν ἀναίσχυντον κεφαλὴν, ἀλλὰ τῇ λέπρᾳ μόνον ἐπαίδευσε. καὶ τὰ μὲν κατὰ τὸν Ὀζίαν τοιαῦτα· ἐγὼ δὲ ἓν ἔτι μόνον προσθεὶς, καταπαύσω τὸν λόγον. τί δὲ τοῦτό ἐστιν; ὃ πάλαι καὶ ἐξ ἀρχῆς ἐζητήσαμεν· τίνος ἕνεκεν ἐν τοῖς ἔξω πράγμασι, καὶ ἐν ταῖς προφητείαις, ἁπάντων εἰωθότων τῆς ζωῆς τῶν βασιλέων τοὺς χρόνους ἐπισημαίνεσθαι, ἐνταῦθα τοῦτο ἀφεὶς, τοῦ χρόνου τῆς τελευτῆς μέμνηται τοῦ Ὀζίου, οὑτωσὶ λέγων· καὶ ἐγένετο τοῦ ἐνιαυτοῦ, οὗ ἀπέθανεν Ὀζίας ὁ βασιλεύς. καί τοι γε ἐνῆν τὸν τοῦ βασιλεύοντος χρόνον εἰπεῖν, ὥσπερ ἔθος ἅπασι τοῖς προφήταις ἦν· ἀλλ' οὐκ ἐποίησε τοῦτο. τίνος οὖν ἕνεκεν οὐκ ἐποίησε; νόμος ἦν παλαιὸς τὸν λεπρὸν τῆς πόλεως ἐξελαύνεσθαι, ὥστε καὶ τοὺς ἐν τῇ πόλει βελτίους γίνεσθαι, καὶ αὐτὸν μὴ προκεῖσθαι, τοῖς βουλομένοις ὑβρίζειν, σκωμμάτων καὶ χλευασίας ἀφορμὴν, ἀλλ' ἔξω τῆς πόλεως μένοντα, παραπέτασμα τῆς συμφορᾶς ἔχειν, τὴν ἐρημίαν. τοῦτο καὶ τὸν βασιλέα τοῦτον ὑπομένειν ἐχρῆν μετὰ τὴν λέπραν. ἀλλ' οὐχ ὑπέμεινε, τῶν ἐν τῇ πόλει διὰ τὴν ἀρχὴν αὐτὸν αἰδεσθέντων· ἀλλ' ἔμενεν ἐν τῷ οἴκῳ αὐτοῦ κρυφίως. τοῦτο παρώξυνε τὸν Θεὸν, τοῦτο τὴν προφητείαν ἐκώλυσε· καὶ ὅπερ ἐπὶ τοῦ Ἠλὶ γέγονε, ῥῆμα τίμιον ἦν, καὶ οὐκ ἦν ὅρασις διαστέλλουσα.

σὺ δέ μοι καὶ ἐνταῦθα σκόπει τοῦ Θεοῦ τὴν φιλανθρωπίαν. οὐ γὰρ ἀνέτρεψε τὴν πόλιν, οὐδὲ ἀπώλεσε τοὺς ἐνοικοῦντας· ἀλλ' ὅπερ φίλοι ποιοῦσι πρὸς τοὺς ὁμοτίμους τῶν φίλων, ἐπειδὰν ἔχωσί τι δίκαιον ἐγκαλεῖν, ἐν παρασιωπήσει μένοντες, τοῦτο καὶ ὁ Θεὸς πρὸς τὸ ἔθνος ἐποίησε, μείζονος ὂν ἄξιον κολάσεως καὶ τιμωρίας. ἐγὼ μὲν γὰρ ἐξέβαλον αὐτὸν, φησι, τοῦ ἱεροῦ, ὑμεῖς δὲ οὐδὲ τῆς πόλεως· ἐγὼ δήσας αὐτὸν διὰ τῆς λέπρας, ἰδιώτην παρέδωκα, ὑμεῖς δὲ οὐδὲ οὕτω παρεχωρήσατε, ἀλλὰ τὸν ὑπ' ἐμοῦ καταδικασθέντα οὐκ ἠνέσχεσθε τῆς πόλεως ἐκβαλεῖν. καί τι ποῖος ἂν τοῦτο βασιλεὺς πρᾴως ἤνεγκεν, ἀλλ' οὐκ ἂν ἐκ βάθρων τὴν πόλιν ἀνέτρεψε, τὸν εἰς τὴν ὑπερορίαν μετοικισθῆναι κελευσθέντα, ἐνδιατρίβοντα τῇ πόλει ὁρῶν; ἀλλ' οὐχ ὁ Θεὸς τοῦτο ἐποίησε. Θεὸς γὰρ ἦν, καὶ οὐκ ἄνθρωπος. ἐπειδὴ δὲ ἐτελεύτησε, τῇ ζωῇ τούτου καὶ τὴν πρὸς ἐκείνους ὀργὴν συγκατέλυσε, καὶ τῆς προφητείας τὰς θύρας ἀνέῳξε, καὶ πάλιν πρὸς αὐτοὺς ἐπανῆλθε. σὺ δὲ ἐκ τοῦ τρόπου τῆς καταλλαγῆς σκόπει τοῦ Θεοῦ τὴν φιλανθρωπίαν. εἰ γάρ τις ἐξετάζοιτο τὸν τοῦ δικαίου λόγον, οὐδὲ τότε καταλλαγῆναι ἐχρῆν. τίνος ἕνεκεν; ὅτι οὐκ αὐτῶν κατόρθωμα γέγονε τὸ τὸν Ὀζίαν ἐκβαλεῖν. οὐ γὰρ αὐτοὶ λαβόντες ἀπήλασαν, ἀλλ' ἡ τελευτὴ νόμῳ φύσεως ἐπελθοῦσα τῆς πόλεως αὐτὸν ἐξέβαλε τότε. ἀλλ' οὐκ ἀκριβολογεῖται μέχρι τούτων πρὸς ἡμᾶς ὁ Θεὸς, ἀλλ' ἓν μόνον ζητεῖ, σχῆμα τῆς πρὸς ἡμᾶς καταλλαγῆς. ὑπὲρ δὲ τούτων ἁπάντων εὐχαριστήσωμεν αὐτῷ, δοξάσωμεν τὴν ἄφατον αὐτοῦ φιλανθρωπίαν· ἧς γένοιτο πάντας ἡμᾶς ἀξίους φανῆναι, χάριτι καὶ οἰκτιρμοῖς τοῦ μονογενοῦς αὐτοῦ υἱοῦ, κυρίου δὲ ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ δόξα, κράτος, τιμὴ, ἅμα τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

A Tu verò mihi hîc quoque considera Dei humanitatem. Non enim subuertit ciuitatem, neque perdidit inhabitantes, sed quod amici faciunt erga æquales amicos, quoties habent aliquid quod meritò expostulent, obiter silentio ferunt expectantes: hoc & Deus erga gentem fecit maiore pœna supplicióque dignam. Nam ego quidem, inquit, eieci illum è templo, vos autem ne è ciuitate quidem: ego illum vinctum lepra è rege priuatum reddidi, vos autem ne sic quidem superastis, sed à me condemnatum non sustinui- B stis è ciuitate propellere: tametsi quis rex factum hoc patienter tulisset, neque ciuitatem funditus subuertisset, quum videret, eum, qui in exilium ire iussus esset, in ciuitate commorari? Verùm Deus hoc non fecit, Deus enim erat, non homo. Vbi verò finita est huius vita, simul & iram aduersus illos deposuit, prophetiæque fores aperuit, ac rursus ad eos rediit. Tu verò ex reconciliationis modo considera Dei humanitatem. Nam si Deus expendisset iustitiæ rationem, ne tum quidem reconciliari debuit. Quam ob C causam? Quia non illorum erat rectè factum, quod eiectus est Ozias. Neque enim illi arreptum abegerant, sed mors naturæ lege superueniens, eum tunc è ciuitate eiecit. Verum non huc vsque Deus minutias excutit erga nos, sed tantùm hoc quærit, speciem & occasionem reconciliationis erga nos. Proinde super his omnibus gratias agamus illi, glorificemus illius humanitatem, qua nos omnes dignos haberi contingat, gratia & misericordia vnigeniti fi- D lij eius domini nostri Iesu Christi, cui cum patre gloria, honor simul cum Spiritu sancto, nunc & semper, & in secula seculorum, Amen.

1.Reg.3.1.

HOMILIA IN SERAPHIM.

Frontone Ducæo interprete.

Vix tandem Oziæ pelagus emensi sumus. Vix autem sumus emensi, non propter itineris lõgitudinẽ, sed propter vestram, qui nobiscum nauigatis, discendi cupiditatem. Ita gubernator etiam vectores nactus curiosos & magnificarum rerum auidos, quique peregrinas videre gestiunt ciuitates, non vno die viam conficit, licet vnius diei fuerit interuallum, sed longe plus temporis terere cogitur, dum ad singulos portus nauim appellit, & singulas ingredi vrbes finit vt eorum qui secum nauigant cupiditati quippiam largiatur. Hoc à nobis quoque factum est, dum non circum insulas nauigamus, nec emporia, portus, vrbesque monstramus, sed virorum, qui præclare se gessere, virtutem, & eorum, qui lapsi sunt, negligentiam, Regis impudentia, sacerdotis in loquendo libertatem, iram Dei ac benignitatem, quarum vtraque ad emendationem tendebat. Iam vero cum ad regiam ciuitatem peruenerimus, ne cunctemur amplius, sed nos ipsos tanquam in vrbem ingressuri componamus, vt sic ad cœlestem metropolim ascendamus, Hierusalem omnium nostrum matrem, quæ libera est, in qua Seraphim, in qua Cherubim, in qua multa millia Archangelorum, & innumera millia Angelorum, vbi thronus est regius. Nemo igitur profanus, adsit, nemo piacularis, (mysticæ quippe nobis suscipiendæ sunt narrationes) immundus nemo, & hac auditione adsit indignus: immo vero profanus & piacularis adsit quiuis, sed omni foris impuritate atque improbitate deposita sic ingrediatur. Illum enim, qui vestes habebat sordidas, sponsi pater è sponsi conclaui sacróque thalamo expulit, non quod sordidas vestes haberet, sed quod eas habens, esset ingressus. Neque enim illi dixit, Cur vestem nuptialem non habes? sed, Cur non habens vestem nuptialem huc intrasti? Stabas,

Gal. 4. 26.

Matth. 22. 11.

ΕΙΣ ΤΑ ΣΕΡΑΦΕΙΜ.

Μόλις ποτὲ τὸ κατὰ τὸν Ὀζίαν διεπλεύσαμεν πέλαγος· μόλις δὲ διεπλεύσαμεν, οὐ διὰ τὸ τῆς ὁδοῦ μῆκος, ἀλλὰ διὰ τὸ φιλομαθὲς ὑμῶν τῶν συμπλεόντων ἡμῖν. B οὕτω καὶ κυβερνήτης ἐπιβάτας ἔχων φιλοτίμους, καὶ πόλεις ξένας ἐπιθυμοῦντας ἰδεῖν, οὐκ ἐν ἡμέρᾳ μιᾷ διανύει τὴν ὁδὸν, κἂν μιᾶς ἡμέρας τὸ διάστημα εἴη, ἀλλὰ πλείονα διατρίβειν ἀναγκάζεται χρόνον, καθ' ἕκαστον λιμένα τὸ σκάφος ὁρμίζων, καθ' ἑκάστην πόλιν ἐπιβαίνειν ἐπιτρέπων, ὥστε χαρίσασθαί τι τῇ τῶν συμπλεόντων ἐπιθυμίᾳ. τοῦτο καὶ ἡμεῖς ἐποιήσαμεν, οὐ νήσους πλέοντες, οὐδὲ ἐπίνεια καὶ λιμένας καὶ πόλεις ἐπιδεικνῦντες, ἀλλ' ἀνδρῶν κατωρθωκότων ἀ- C ρετὴν, καὶ διημαρτηκότων ῥαθυμίαν, βασιλέως ἀναισχυντίαν, καὶ παρρησίαν ἱερέως, ὀργὴν Θεοῦ καὶ φιλανθρωπίαν, ἀμφότερα πρὸς διόρθωσιν γεγενημένα. ἀλλ' ἐπειδὴ λοιπὸν εἰς τὴν βασιλικὴν ἀπηντήσαμεν πόλιν, μηκέτι μέλλωμεν, ἀλλὰ καταστείλαντες ἑαυτοὺς, ὡς εἰς πόλιν εἰσιέναι μέλλοντες, οὕτως ἀναβαίνωμεν εἰς τὴν ἄνω μητρόπολιν, τὴν Ἱερουσαλὴμ, τὴν μητέρα πάντων ἡμῶν, τὴν ἐλευθέραν, ἔνθα τὰ Σεραφεὶμ, ἔνθα τὰ Χερουβεὶμ, ἔνθα χιλιάδες ἀρχαγγέλων, ἔνθα μυριάδες ἀγγέλων, ἔνθα ὁ θρό- D νος ὁ βασιλικός. μηδεὶς τοίνυν παρέστω βέβηλος, μηδὲ ἐναγὴς (μυστικῶν γὰρ μέλλομεν καταλαμβάνειν διηγημάτων) μηδεὶς ἀκάθαρτος καὶ τῆς ἀκροάσεως ταύτης ἀνάξιος· μᾶλλον δὲ καὶ βέβηλος καὶ ἐναγὴς παρέστω πᾶς, ἀλλὰ τὴν ἀκαθαρσίαν καὶ τὴν πονηρίαν ἀποθέμενος ἔξω πᾶσαν, οὕτως εἰσίτω. καὶ γὰρ ἐκεῖνον τὸν τὰ ῥυπαρὰ ἱμάτια ἔχοντα διὰ τοῦτο ἐξήλασε τοῦ νυμφῶνος καὶ τῆς ἱερᾶς παστάδος ὁ τοῦ νυμφίου πατὴρ, οὐκ ἐπειδὴ εἶχεν ἱμάτια ῥυπαρὰ, ἀλλ' ἐπειδὴ ἔχων αὐτὰ, οὕτως εἰσῄει. οὐδὲ γὰρ εἶπε πρὸς αὐτὸν, διὰ τί οὐκ ἔχεις ἔνδυμα γάμου; ἀλλὰ, διὰ τί οὐκ ἔχων ἔνδυμα γάμου οὕτως εἰσῆλθες;

ἐπὶ τῶν τριόδων, φησίν, εἰστήκεις προσαιτῶν, καὶ οὐκ ἐπῃσχύνθην σου τὴν πενίαν, οὐκ ἐβδελυξάμην σου τὴν ἀτιμίαν, ἀλλὰ πάσης ἐκείνης ἀπαλλάξας σε τῆς εὐτελείας, εἰσήγαγον εἰς τὸν νυμφῶνα τὸν ἱερὸν, καὶ δείπνων ἠξίωσα βασιλικῶν, καὶ πρὸς τὴν ἄνω τιμὴν ἤγαγον, τὸν ἐσχάτης ὄντα κολάσεως ἄξιον· σὺ δὲ οὐδὲ ταῖς εὐεργεσίαις ἐγένου βελτίων, ἀλλ' ἐπὶ τῆς συνήθους ἔμεινας κακίας, ὑβρίσας μὲν εἰς τοὺς γάμους, ὑβρίσας δὲ εἰς τὸν νυμφίον. ἄπιθι τοίνυν λοιπὸν, καὶ δίδου τὴν ὀφειλομένην τῆς τοιαύτης ἀναισθησίας τιμωρίαν. σκοπείτω τοίνυν καὶ ἡμῶν ἕκαστος, μή τις ταύτην ἀκούσῃ τὴν φωνὴν, καὶ πάντα λογισμὸν ἀποβαλὼν τῆς πνευματικῆς διδασκαλίας ἀνάξιον, οὕτω τῆς ἱερᾶς μετεχέτω τραπέζης. καὶ ἐγένετο, φησί, τοῦ ἐνιαυτοῦ, οὗ ἀπέθανεν Ὀζίας ὁ βασιλεὺς, εἶδον τὸν κύριον καθήμενον ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου. πῶς εἶδεν, οὐκ οἶδα. ὅτι μὲν γὰρ εἶδεν, εἶπεν, τὸ δὲ πῶς εἶδεν, ἐσιώπησε· δέχομαι τὰ εἰρημένα, οὐ πολυπραγμονῶ τὰ σεσιγημένα· καταμανθάνω τὰ ἀποκαλυφθέντα, οὐ περιεργάζομαι τὰ συγκεκαλυμμένα. διὰ τοῦτο γὰρ συγκεκάλυπται. πέπλος χρυσοῦς ἐστι τῶν γραφῶν ἡ διήγησις, ὁ στήμων χρυσὸς, ἡ κρόκη χρυσός. οὐ προσυφαίνω τῶν ἀραχνῶν τὰ ὑφάσματα· τῶν ἐμῶν λογισμῶν τὴν ἀσθένειαν οἶδα. μὴ μέταιρε ὅρια αἰώνια, φησίν, ἃ ἔθεντο οἱ πατέρες σου. ὅρια κινεῖν οὐκ ἀσφαλές· καὶ πῶς, ἅπερ ἡμῖν ὁ Θεὸς ἔθηκε, μεταθήσομεν; βούλει μαθεῖν πῶς εἶδε τὸν Θεόν; γενοῦ καὶ αὐτὸς προφήτης. καὶ πῶς δυνατὸν τοῦτο, φησί, γυναῖκα ἔχοντα, καὶ παιδοτροφίας ἐπιμελούμενον; δυνατὸν μὲν, ἐὰν ἐθέλῃς, ἀγαπητέ. καὶ γὰρ καὶ αὐτὸς γυναῖκα εἶχε, καὶ παίδων δύο πατὴρ ἦν, ἀλλ' οὐδὲν τούτων αὐτὸν ἐκώλυσεν. οὐ γάρ ἐστι κώλυμα τῆς πρὸς τὸν οὐρανὸν ἀποδημίας ὁ γάμος. ἐπεὶ εἰ κώλυμα ἦν, καὶ ἐπιβουλεύειν ἡμῖν ἔμελλεν ἡ γυνὴ, οὐκ ἂν αὐτὴν ἐξ ἀρχῆς ποιῶν ὁ Θεὸς, ἐκάλεσε βοηθόν. ἐβουλόμην μὲν οὖν εἰπεῖν τί ποτέ ἐστι τὸ καθῆσθαι τὸν Θεόν. οὐ γὰρ δὴ κάθηται ὁ Θεός. σωμάτων γὰρ ὁ σχηματισμός· τὸ θεῖον δὲ ἀσώματον. ἐβουλόμην εἰπεῖν τί ποτέ ἐστι θρόνος Θεοῦ. οὐ γὰρ δὴ θρόνῳ ὁ Θεὸς ἐμπεριείληπται. ἀπερίγραπτον γὰρ τὸ θεῖον. ἀλλὰ δέδοικα, μὴ τῇ περὶ τούτων ἐνδιατρίβων διδασκαλίᾳ, παρελκύσω τὸ ὄφλημα. καὶ γὰρ πάντας ὁρῶ

A inquit, mendicans in triuiis, neque tuæ paupertatis me puduit, ignominiam tuam non exhorrui, sed ab illa omni vilitate liberatũ in sacrum te thalamum introduxi, regia cœna sum dignatus, & extremo supplicio dignum ad supremam prouexi dignitatem: at tu ne beneficiis quidem factus es melior, sed in solita peruersitate mansisti, & cum in nuptias, tùm in sponsum ipsum contumeliosus fuisti. Abi ergo deinceps, & debitas tanto stupori pœnas dato. Videat igitur vnusquisque nostrum, ne forte talem vocem audiat, & omni ab-B iecta cogitatione, quæ spirituali sit indigna doctrina, ita sacræ mensæ particeps fiat. *Et factum est*, inquit, *in anno, quo mortuus est Ozias Rex, vidi Dominum sedentem in throno excelso & eleuato.* (Esa. 6. a.) Quomodo viderit, minimè noui. Se enim vidisse dixit, quomodo autem viderit, tacuit: excipio quæ dicta sunt, quæ silentio suppressa sunt, curiosè non inquiro: quæ reuelata sunt, intelligo: quæ sunt occultata, non scrutor: idcirco namque sunt occultata. Peplus est aureus expositio Scripturæ, stamen est aurum, subtemen aurum, aranearum C telas non attexo: noui cogitationum mearum imbecillitatem. Noli transferre terminos, inquit, quos posuerunt patres tui. (Prou. 22. 28.) Terminos mouere tutum non est, & quo pacto, quæ Deus posuit, transferemus? Vis discere, quomodo viderit Deum? fias tu quoque propheta. Quî fieri potest, hoc inquies, cum vxorem habeam, cum mihi curæ sit educatio liberorũ? Fieri quidem potest, si velis charissime. Nam & ipse vxorem habuit, & duorum pater extitit liberorum, nihil tamen horum impedimento illi fuit. Neque enim nobis impedimen-D tum est itineris ad regnum cœlorum coniugium: quoniam si impedimentum esset, & insidias nobis paratura fuisset vxor, cum eam à principio crearet Deus, adiutorem non appellasset. Vellem equidem dicere, quidnam sit Deum sedere: neque enim Deus sedet: cum hic sit corporũ situs, Deus autem sit incorporeus. Vellem dicere quid sit thronus Dei: neque enim vtique throno Deus comprehenditur, cum circumscribi minimè possit numen: sed vereor, ne si docendis istis immorer, protraham debiti solutionem. Omnes enim video

narrationi de Seraphim inhiare, non solum hodie, sed iam inde à primo die: quapropter multitudinem sententiarum tanquam hominū cœtum magno cum impetu occurrentem perrumpens ad expositionem illam nostra festinat oratio. *Et Seraphim stabant in circuitu eius*, inquit. Ecce Seraphim, quæ videre olim cupiebatis omnes: contemplamini ergo, & cupiditatem explere: sed non cum tumultu, neque properanti cogitatione, sicut fit in Imperatorum ingressu. Nam illic quidem istud ipsum meritò accidit: neque enim expectant satellites, vt spectatores oculis cuncta lustrent, sed, antequam rectè viderint, præterire illos cogunt: hîc verò non ita: sed cōtemplationem nostram sistit oratio, quousque omnia percurreritis, quæ percurri à vobis possunt. *Et Seraphim stabant in circuitu eius.* Ante naturæ dignitatem nos docuit istam ex loci vicinia dignitatem. Non enim dixit primùm, quænam Seraphim essent, sed vbi starent dixit. Hæc enim dignitas maior est illa. quo tandem pacto? quod nimirum haud ita demonstret magnas illas esse virtutes, quod sint Seraphim, quàm quod prope thronum stent regium. Nam & nos illos nobiliores esse satellites arbitramur, qui iuxta iugum regij currus incedunt. ita quoque virtutum illarum incorporearum illustriores sunt illæ, quæ throno Dei sunt proximæ. Idcirco etiam propheta de naturali eorum dignitate differere omittēs, prius nobis de loci prærogatiua differit, quod hunc maiorem esse sciat ornatum, & ab hoc naturæ illorum pulchritudinem dimanare. Hoc enim gloria est, honor, & securitas omnis, vt in circuitu throni illius appareant. Hoc & in Angelis cernere licet: nam & illos esse magnos volens Christus ostendere, non eos Angelos esse dixit, & tacuit: sed, Quia Angeli eorum semper vident faciem patris mei. Nam quemadmodum illic Angelica dignitate maius est faciem patris videre: sic & dignitate Seraphim maius est in circuitu stare throni, atque in eorum medio ipsum esse. Sed & hoc magnum fieri potest vt adipiscaris si velis: Non enim est in medio Seraphim tantùm, sed & in medio nostri ipsorū, si velimus. Vbi enim sunt duo vel tres cōgregati, inquit,

Seraphim dignitas quæ maxima.

Matth. 18. 20.

A περὶ τὰ Σεραφεὶμ κεχηνότας, οὐχὶ τήμερον μόνον, ἀλλὰ καὶ ἐκ πρώτης ἡμέρας. διὰ τοῦτο, καθάπερ πλῆθος ἀνθρώπων, πολλῇ τῇ ῥύμῃ διακόπτων ὁ λόγος τῶν ἀπαντώντων νοημάτων τὸ πλῆθος, πρὸς ἐκείνην ἐπείγεται τὴν ἐξήγησιν. καὶ τὰ Σεραφεὶμ εἱστήκεισαν κύκλῳ αὐτοῦ, φησίν. ἰδοὺ τὰ Σεραφεὶμ, ἃ πάλαι ἐπεθυμεῖτε πάντες ἰδεῖν. θεάσασθε τοίνυν, καὶ τὴν ἐπιθυμίαν ἐμπλήσατε, ἀλλὰ μὴ μετὰ θορύβου, μηδὲ σπεύδοντι τῷ λογισμῷ, ὅσαπερ ἐπὶ τῶν βασιλικῶν εἰσόδων γίνεται. ἐκεῖ μὲν γὰρ εἰκότως τοῦτο αὐτὸ συμβαίνει. οὐ γὰρ ἀναμένουσιν οἱ δορυφόροι τῶν ὁρώντων τὰς ὄψεις, ἀλλὰ πρὶν ἢ πάντα αὐτοὺς ὀφθῆναι καλῶς, ἀναγκάζουσι παρατρέχειν. ἐνταῦθα δὲ οὐχ οὕτως, ἀλλ' ἵστησιν ἡμῖν ὁ λόγος τὴν θεωρίαν, ἕως οὗ πάντα ἐπέλθητε, ὅσα δυνατὸν ἐπελθεῖν. καὶ τὰ Σεραφεὶμ εἱστήκεισαν κύκλῳ αὐτοῦ. πρὸ τοῦ τῆς φύσεως ἀξιώματος, ἐδίδαξεν ἡμᾶς τὸ ἀπὸ τῆς ἐγγύτητος τῆς κατὰ τὸν τόπον ἀξίωμα. οὐ γὰρ εἶπε πρότερον τίνα ἦν τὰ Σεραφεὶμ, ἀλλ' εἶπεν ἔνθα ἑστήκασι. τοῦτο γὰρ ἐκείνου τὸ ἀξίωμα μεῖζον. πῶς; ὅτι οὐχ οὕτω δείκνυσι τὰς δυνάμεις ἐκείνας μεγάλας οὔσας, τὸ Σεραφεὶμ εἶναι, ὡς τὸ ἐγγὺς ἑστάναι τοῦ θρόνου βασιλικοῦ. καὶ γὰρ καὶ ἡμεῖς τῶν δορυφόρων ἐκείνους ἐπισημοτέρους εἶναι νομίζομεν, οὓς ἂν ἴδωμεν ἐγγὺς τῶν ζευγῶν ἐλαυνόντας τοῦ βασιλικοῦ ὀχήματος. οὕτω καὶ τῶν δυνάμεων τῶν ἀσωμάτων ἐκεῖναί εἰσι λαμπρότεραι, ὅσαιπερ ἂν ὦσιν ἔγγιστα τοῦ θρόνου. διὰ τοῦτο καὶ ὁ προφήτης ἀφεὶς διαλεχθῆναι περὶ τοῦ τῆς φύσεως αὐτῶν ἀξιώματος, πρότερον ἡμῖν διαλέγεται περὶ τῆς τοῦ τόπου προεδρίας, εἰδὼς ὅτι τοῦτο μείζων ὁ κόσμος ἐστὶ, καὶ ὅτι τοῦτο τῶν φύσεων ἐκείνων τὸ κάλλος. καὶ γὰρ τοῦτο ἡ δόξα καὶ ἡ τιμὴ καὶ ἡ πᾶσα ἀσφάλεια, τὸ κύκλῳ τοῦ θρόνου ἐκεί-
D νου φαίνεσθαι. τοῦτο καὶ ἐπὶ τῶν ἀγγέλων ἐστὶν ἰδεῖν. καὶ γὰρ ἐκείνους βουλόμενος δεῖξαι μεγάλους ὁ Χριστὸς, οὐκ εἶπεν, ὅτι ἄγγελοί εἰσι, καὶ ἐσίγησεν· ἀλλ', ὅτι οἱ ἄγγελοι αὐτῶν διαπαντὸς βλέπουσι τὸ πρόσωπον τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς. ὥσπερ γὰρ ἐκεῖ μεῖζον ἐστὶ τῆς ἀγγελικῆς ἀξίας τὸ βλέπειν τὸ πρόσωπον τοῦ πατρὸς· οὕτω τῆς τῶν Σεραφεὶμ ἀξίας μεῖζον τὸ ἑστάναι κύκλῳ τοῦ θρόνου, καὶ μέσον ἔχειν αὐτόν. ἀλλὰ τοῦτο τὸ μέγα καί σοι δυνατόν ἐστιν, ἂν ἐθέλῃς, λαβεῖν. οὐ γὰρ δὴ τῶν Σεραφεὶμ μόνον μέσος ἐστὶν, ἀλλὰ καὶ ἡμῶν αὐτῶν, ἂν ἐθέλωμεν. οὗ γάρ εἰσι δύο ἢ τρεῖς, φησι, συνηγ-

συνηγμένοι εἰς τὸ ἐμὸν ὄνομα, ἐκεῖ εἰμι ἐν μέσῳ αὐτῶν· καί, Κύριος ἐγγὺς τοῖς συντετριμμένοις τὴν καρδίαν, καὶ τοὺς ταπεινοὺς τῷ πνεύματι σώσει. Διὰ τοῦτο καὶ ὁ Παῦλος βοᾷ· τὰ ἄνω φρονεῖτε, οὗ ὁ Χριστός ἐστιν ἐν δεξιᾷ τοῦ Θεοῦ καθήμενος. εἶδες πῶς ἡμᾶς ἔστησε μετὰ τῶν Σεραφείμ, ἐγγὺς ἀγαγὼν τοῦ θρόνου τοῦ βασιλικοῦ; εἶτά φησιν, ἓξ πτέρυγες τῷ ἑνί, καὶ ἓξ πτέρυγες τῷ ἑνί. τί ἡμῖν αἱ ἓξ πτέρυγες ἐνδείκνυνται αὗται; τὸ ὑψηλὸν καὶ μετάρσιον καὶ κοῦφον καὶ τὸ ταχὺ ἐκείνων τῶν φύσεων. διὰ τοῦτο καὶ ὁ Γαβριὴλ ὑπόπτερος κάτεισιν, οὐχ ὅτι πτερὰ περὶ τὴν ἀσώματον ἐκείνην δύναμιν, ἀλλ' ὅτι ἐκ τῶν ὑψηλοτάτων κατῆλθε χωρίων, καὶ τὰς ἄνω διατριβὰς ἀφεὶς, ἀφῖκται. τί δὲ καὶ ὁ ἀριθμὸς βούλεται τῶν πτερύγων; ἐνταῦθα οὐ δεῖ τῆς παρ' ἡμῶν ἑρμηνείας. αὐτὸς γὰρ ἑαυτὸν ὁ λόγος ἐπέλυσε, τὴν χρείαν ἡμῖν αὐτῶν ἐξηγησάμενος. ταῖς γὰρ δυσί, φησι, ἐκάλυπτον τὰ πρόσωπα ἑαυτῶν· εἰκότως, ὥσπερ τινὶ διπλῷ διαφράγματι τὰς ὄψεις τειχίζουσαι, διὰ τὸ μὴ φέρειν τὴν ἐκ τῆς δόξης ἐκείνης ἐκπηδῶσαν ἀστραπήν. καὶ ταῖς δυσὶ τοὺς πόδας ἐκάλυπτον, τάχα διὰ τὴν αὐτὴν ἔκπληξιν. εἰώθαμεν γὰρ καὶ ἡμεῖς, ὅτε ὑπό τινος θάμβους καταληφθῶμεν, πανταχόθεν περιστέλλειν τὸ σῶμα. καὶ τί λέγω τὸ σῶμα, ὅπουγε καὶ αὐτὴ ἡ ψυχὴ τοῦτο παθοῦσα, ἐν ταῖς ὑπερβαλλούσαις ἐπιφανείαις, καὶ τὰς ἐνεργείας ἑαυτῆς συνέλκουσα, πρὸς τὸ βάθος καταφεύγει, καθάπερ τινὶ περιβολαίῳ τῷ σώματι ἑαυτὴν πανταχόθεν περιστέλλουσα; ἀλλὰ μή τις ἔκπληξιν καὶ θάμβος ἀκούων, ἀηδῆ τινα ἀγωνίαν αὐταῖς ἐγγίνεσθαι νομιζέτω. καὶ γὰρ μετὰ τῆς ἐκπλήξεως ταύτης καὶ ἡδονή τις ἀφόρητος κεκραμένη ἐστί. ταῖς δὲ δυσὶν ἐπέτοντο. καὶ τοῦτο σημεῖον τοῦ τῶν ὑψηλῶν ἐφίεσθαι συνεχῶς, καὶ μηδέποτε κάτω βλέπειν. καὶ ἐκέκραγεν ἕτερος πρὸς τὸν ἕτερον· ἅγιος, ἅγιος, ἅγιος. καὶ ἡ κραυγὴ πάλιν τοῦ θαύματος ἡμῖν δεῖγμα μέγιστον. οὐδὲ γὰρ ἁπλῶς ὑμνοῦσιν, ἀλλὰ μετὰ κραυγῆς ἰσχυρᾶς· καὶ οὐδὲ μετὰ κραυγῆς ἁπλῶς, ἀλλὰ καὶ διηνεκῶς τοῦτο ποιοῦσι. τὰ μὲν γὰρ λαμπρὰ τῶν σωμάτων, κἂν μεθ' ὑπερβολῆς ᾖ λαμπρά, τότε ἡμᾶς μόνον ἐκπλήττειν εἴωθεν, ὅταν πρῶτον αὐτῶν τῇ ὄψει ἀντιλαμβανώμεθα· ἐπειδὰν δὲ πλέον αὐτῶν ἐνδιατρίψωμεν τῇ θεωρίᾳ, τῇ συνηθείᾳ τὸ θαῦμα καταλύομεν, τῶν ὀφθαλμῶν ἡμῶν ἐμμελετησάντων λοιπὸν τοῖς σώμασι.

A in nomine meo, ibi ſum in medio eorum, & Dominus iuxta eſt iis, qui contrito ſunt corde, & humiles ſpiritu ſaluabit. Propterea clamat etiam Paulus: Quæ ſurſum ſunt ſapite, vbi Chriſtus eſt in dextera Dei ſedens. Vides, vt nos cũ Seraphim ſtatuerit, & iuxta regium thronum deduxerit? Deinde ſubijcit: *Sex alæ vni, & ſex alæ alteri.* Quid nobis hæ ſex alæ deſignant? altitudinem, ſublimitatem, leuitatem, celeritatem naturarum illarum. Propterea Gabriel quoq. deſcendit alatus, non quod alis inſtructa ſit incorporea illa natura, ſed quod B ab altiſſimis locis illis deſcenderit, ac ſupernis illis conuenientibus relictis aduenerit. Quid autem ſibi vult alarum numerus? Hoc loco noſtra interpretatione nihil eſt opus: ſeipſam enim oratio ſatis expoſuit, cum illarum nobis vſum indicauit: *Duabus enim, inquit, operiebant faciem ſuam;* meritò, tanquam oculos duplici quodam ſepto munientes, quod exilientem ab illa gloria fulgorem minimè ferrent. *Et duabus pedes obtegebant,* ob eandem fortè conſternationem. Solemus quippe nos etiam cum ſtupor C aliquis nos inuaſerit, corpus omni ex parte contegere. Quid corpus dico? cum & ipſi animæ hoc contingat in apparitionibus quæ modum excedunt, & repreſſis actionibus ſuis ad inferiora confugiat, ſeque corpore tanquam pallio quodam obuoluat? Verumtamen nemo cum ſtuporem & conſternationem audit, triſtem aliquem illis ingenerari timorem arbitretur: ſiquidem huic conſternationi immenſa quædam voluptas eſt admixta. Duabus autem volabant. Et hoc indicium eſt eos ſublimia ſemper appetere, nec vnquam de- D orſum reſpicere. *Et clamat alter ad alterum, Sanctus, ſanctus, ſanctus.* Et ipſe clamor rurſus admirationis indicium nobis eſt maximum: nõ enim quouis modo concinunt hymnum, ſed cum clamore valido, neque cum clamore ſimpliciter, ſed & ſemper hoc factitant. Nam ſplendida quidẽ corpora, quamuis ſupra modum ſint ſplendida, tum ſolum nos ad admirationem ſolent traducere, cum ea primum oculis vſurpauerimus: cum verò multoties contemplandis illis immorati fuerimus, admiratio conſuetudine tollitur vbi ſe ſpectandis illis corporibus oculi deinceps exercuerint.

Matth. 18. 20.

Pſ 33. 18.

Col. 3. 1.

Eſa. 6. 2.

Propterea cum regiam imaginē recens positam multóque colorum splendore fulgentem intuemur, obstupescimus: post vnum autem & alterum diem non iam amplius admiramur. Et quid dico regiam imaginem? cum in aspectu radiorum Solis hoc ipsum nobis accidat, quibus nullum corpus splendidius inueniri potest? Sic omnium corporum admirationem tollit cōsuetudo: sed in Dei gloria non ita fit, at planè contrarium. quantò enim magis illius gloriæ contemplationi virtutes immorantur istæ, tantò magis obstupescunt, & admirationem suam intendunt: quam ob causam, ex quo esse cœperunt, ad hunc vsque diem gloriam illam intuentes, cum stupore clamare non cessant: sed quod in exiguo temporis spatio nobis contingit, dum fulgor in oculos fertur nostros, hoc illæ perpetuò patiuntur, & continua admiratione cum voluptate quadam afficiūtur. Neque verò solùm clamant, sed ad inuicem id agunt, quòd intensæ cuiusdam admirationis est signum. Ita nos quoque, dum erumpit tonitru cum fragore, vel terra mouetur, non modo resilimus, & clamamus, sed ad inuicem in ædibus nostris confugimus. Hoc & Seraphim agunt: ideóque alter ad alterū clamabat, Sanctus, sanctus, sanctus. Nunquid hanc vocem agnouistis? nunquid nostra est, an vero Seraphim? & nostra & Seraphim beneficio Christi, qui medium parietem maceriæ sustulit, & pacificauit omnia quæ in cœlis sunt, & quę in terris, & eius beneficio, qui vtraq. fecit vnū. Nam antea quidē in cœlis tantū hymnus iste canebatur: postquā autē in terrā, venire dignatus est Dominus hunc etiā concentū ad nos detulit. Propterea quoq. magnus hic Pōtifex cum iuxta sacrā hanc mensam cōstiterit, vt rationalē cultum exhibeat, & sacrificiū offerat incruētū, nō simpliciter nos ad hanc faustā acclamationē inuitat, sed vbi prius Cherubim nominauit, & Seraphim mentionē fecit, tum demū ad hanc tremendā vocem mittendā omnes adhortatur, & dū eorum nos admonet, qui nobiscū choros agitant, mentem nostrā à terra subducit, vnumquemque nostrum his propemodū verbis excitans: Vna cum Seraphim canis, vna cū Seraphim sta, cum illis alas extende, cum illis regium thronum circumuola. Quid verò mirum,

Diuina semper stupenda. — *Ephes. 2. 14* — *Hymnus Seraphicus in sacra Liturgia.*

A διὰ τοῦτο καὶ εἰκόνα βασιλικὴν ἄρτι μὲν ἀνατεθεῖσαν καὶ φαιδρὸν ἀπὸ τῶν χρωμάτων στίλβουσαν ἰδόντες, ἐκπληττόμεθα· μετὰ δὲ μίαν καὶ δευτέραν ἡμέραν, οὐκέτι θαυμάζομεν. καὶ τί λέγω εἰκόνα βασιλικήν, ὅπουγε καὶ ἐπ' αὐτῶν τῶν ἀκτίνων τοῦ ἡλίου τοῦτο αὐτὸ πεπόνθαμεν, ὧν οὐδὲν γένοιτ' ἂν φαιδρότερον σῶμα, οὕτως ἐπὶ τῶν σωμάτων ἁπάντων ἡ συνήθεια καταλύει τὸ θαῦμα· ἐπὶ δὲ τῆς τοῦ Θεοῦ δόξης οὐχ οὕτως, ἀλλὰ πᾶν τοὐναντίον. ὅσοι γὰρ ἐνδιατρίβουσι τῇ θεωρίᾳ τῆς δόξης ἐκείνης αἱ δυνάμεις αὗται, τοσοῦτον μᾶλλον ἐκ- B πλήττονται καὶ ἐπιτείνουσι τὸ θαῦμα. διά τοι τοῦτο καὶ ἐξ οὗ γεγόνασι μέχρι νῦν ὁρῶσαι τὴν δόξαν ἐκείνην, μηδέποτε ἐπαύσαντο μετ' ἐκπλήξεως βοῶσαι· ἀλλ' ὅπερ ἡμεῖς πάσχομεν ἐν βραχεῖ καιρῷ κατὰ τῶν ὄψεων ἡμῶν ἀστραπῆς φερομένης, τοῦτο ἐκεῖναι διηνεκῶς ὑπομένουσι, καὶ ἀπαύστως μετά τινος ἡδονῆς τὸ θαῦμα ἔχουσι. καὶ γὰρ οὐ μόνον κεκράγασιν, ἀλλὰ καὶ πρὸς ἀλλήλους τοῦτο ποιοῦσιν· ὃ τῆς ἐπιτεταμένης ἐκπλήξεως σημεῖόν ἐστιν. οὕτω καὶ ἡμεῖς, βροντῆς καταρρηγνυμένης, ἢ τῆς γῆς σειομένης, οὐ μόνον ἀναπηδῶμεν C καὶ βοῶμεν, ἀλλὰ καὶ πρὸς ἀλλήλους καταφεύγομεν ἐν ταῖς οἰκίαις. οὕτω καὶ τὰ Σεραφεὶμ ποιεῖ· καὶ διὰ τοῦτο ἕτερος πρὸς τὸν ἕτερον κέκραγεν, ἅγιος, ἅγιος, ἅγιος. ἆρα ἐπέγνωτε τὴν φωνὴν ταύτην; ἆρα ἡμετέρα ἐστίν, ἢ τῶν Σεραφείμ; καὶ ἡμετέρα καὶ τῶν Σεραφείμ, διὰ τὸν Χριστὸν τὸν ἀνελόντα τὸ μεσότοιχον τοῦ φραγμοῦ, καὶ εἰρηνοποιήσαντα τὰ ἐν οὐρανοῖς, καὶ τὰ ἐπὶ τῆς γῆς, διὰ τὸν ποιήσαντα τὰ ἀμφότερα ἕν. πρότερον μὲν γὰρ ἐν τοῖς οὐρανοῖς οὗτος ᾔδετο μόνος ὁ ὕμνος. ἐπειδὴ δὲ ἐπιβῆναι τῆς γῆς κατηξίωσεν ὁ δεσπότης, καὶ τὴν D μελῳδίαν ταύτην κατήνεγκε πρὸς ἡμᾶς. διὰ τοῦτο καὶ ὁ μέγας οὗτος ἀρχιερεύς, ἐπειδὰν ἐπὶ τῆς ἁγίας ταύτης ἑστήκῃ τραπέζης, τὴν λογικὴν ἀναφέρων λατρείαν, τὴν ἀναίμακτον προσφέρων θυσίαν, οὐχ ἁπλῶς ἡμᾶς ἐπὶ τὴν εὐφημίαν ταύτην καλεῖ, ἀλλὰ πρότερον τὰ Χερουβεὶμ εἰπών, καὶ τῶν Σεραφεὶμ ἀναμνήσας, οὕτω παρακελεύεται πᾶσιν ἀναπέμψαι τὴν φρικωδεστάτην φωνήν, τῇ τῶν συγχορευόντων μνήμῃ τὴν διάνοιαν ἡμῶν ἀπὸ τῆς γῆς ἀνασπῶν, καὶ μονονουχὶ βοῶν πρὸς ἕκαστον ἡμῶν, καὶ λέγων, μετὰ τῶν Σεραφεὶμ ᾄδεις, μετὰ τῶν Σεραφεὶμ στῆθι, μετ' ἐκείνων τὰς πτέρυγας πέτασον, μετ' ἐκείνων περιΐπτασο τὸν θρόνον τὸν βασιλικόν. καὶ τί θαυμαστόν,

εἰ μετὰ τῶν Σεραφεὶμ ἕστηκας, ὅπουγε ὢν οὐκ ἐτόλμησαν ἅψασθαι τὰ Σεραφεὶμ, ταῦτά σοι μετὰ ἀδείας ἔδωκεν ὁ Θεός. ἀπεστάλη γὰρ πρός με, φησὶν, ἓν τῶν Σεραφεὶμ, καὶ εἶχεν ἄνθρακα πυρὸς, ὃν τῇ λαβίδι ἔλαβεν ἀπὸ τοῦ θυσιαστηρίου. ἐκεῖνο τὸ θυσιαστήριον, τοῦ θυσιαστηρίου τούτου τύπος ἐστὶ καὶ εἰκών· ἐκεῖνο τὸ πῦρ, τούτου τοῦ πυρὸς τοῦ πνευματικοῦ. ἀλλ' οὐκ ἐτόλμησαν ἅψασθαι τῇ χειρὶ τὰ Σεραφεὶμ, ἀλλὰ τῇ λαβίδι· σὺ δὲ τῇ χειρὶ λαμβάνεις. ἂν μὲν οὖν πρὸς τὴν ἀξίαν ἴδῃς τῶν προκειμένων, καὶ τῆς τῶν Σεραφεὶμ ἀφῆς ταῦτα μείζω πολλῷ· ἂν δὲ τὴν τοῦ δεσπότου σου φιλανθρωπίαν ἐννοήσῃς, οὐδὲ πρὸς τὴν ἡμετέραν εὐτέλειαν ἐπαισχυνθήσεται κατελθεῖν τῶν προκειμένων ἡ χάρις. ταῦτ' οὖν ἐννοῶν, ἄνθρωπε, καὶ τὸ μέγεθος τῆς δωρεᾶς λογιζόμενος, ἀνάστηθί ποτε, καὶ τῆς γῆς ἀποστὰς, πρὸς τὸν οὐρανὸν ἀνάβηθι. ἀλλ' ἕλκει τὸ σῶμα καὶ βιάζεται κάτω; ἀλλ' ἰδοὺ προσεπλησιάσασι νηστεῖαι, κοῦφα μὲν τῆς ψυχῆς ἐργαζόμεναι τὰ πτερὰ, κοῦφον δὲ τῆς σαρκὸς κατασκευάζουσαι τὸ φορτίον, κἂν μολύβδου παντὸς βαρύτερον λάβωσι σῶμα. ἀλλ' ὁ μὲν τῆς νηστείας ἀναμενέτω λόγος, ὁ δὲ τῶν μυστηρίων ἤδη κινείσθω, δι' ἃ καὶ αἱ νηστεῖαι. καθάπερ γὰρ τῶν ἐν τοῖς Ὀλυμπιακοῖς ἀγῶσι παλαισμάτων τέλος ὁ στέφανος, οὕτω καὶ τῆς νηστείας τέλος ἡ καθαρὰ κοινωνία. ὡς ἐὰν μὴ τοῦτο κατορθώσωμεν διὰ τῶν ἡμερῶν τούτων, εἰκῇ καὶ μάτην κατακόψαντες ἑαυτοὺς, ἀστεφάνωτοι καὶ χωρὶς βραβείων ἀπὸ τοῦ σκάμματος τῆς νηστείας ἀναχωρήσομεν. διὰ τοῦτο καὶ οἱ πατέρες ἐξέτειναν τῆς νηστείας τὸ στάδιον, προθεσμίαν μετανοίας διδόντες ἡμῖν, ἵνα καθηράμενοι καὶ ἀποσμήξαντες ἑαυτοὺς, οὕτω προσίωμεν. διὰ τοῦτο καὶ αὐτὸς ἐντεῦθεν ἤδη βοῶ λαμπρᾷ τῇ φωνῇ, καὶ διαμαρτύρομαι καὶ ἱκετεύω καὶ ἀντιβολῶ, μὴ μετὰ κηλῖδος, μηδὲ μετὰ πονηροῦ συνειδότος τῇ ἱερᾷ ταύτῃ προσιέναι τραπέζῃ. οὐ γὰρ ἂν εἴη τοῦτο πρόσοδος, οὐδὲ κοινωνία, κἂν μυριάκις ἁψώμεθα τοῦ ἁγίου σώματος ἐκείνου, ἀλλὰ καταδίκη καὶ κόλασις καὶ τιμωρίας προσθήκη. μηδεὶς τοίνυν ἁμαρτωλὸς προσίτω, μᾶλλον δὲ οὐ λέγω, μηδεὶς ἁμαρτωλὸς, ἐπεὶ πρότερον ἐμαυτὸν ἀπείργω τῆς θείας τραπέζης, ἀλλὰ μηδεὶς μένων ἁμαρτωλὸς προσίτω. διὰ τοῦτο ἐντεῦθεν ἤδη προλέγω, ἵνα μὴ τῶν βασιλικῶν καταλαβόντων δείπνων,

A si cum Seraphim steteris, cum ea quæ Seraphim non audent contingere, tibi confidenter Deus concesserit? *Missus est enim ad me*, inquit, *unus de Seraphim, & habebat carbonem ignis, quem forcipe sumpserat de altari*. Illud altare figura est & imago istius altaris: ignis ille spiritualis ignis istius. At non est ausus Seraphim manu contingere, sed forcipe: tu verò manu accipis. Enimuero si eorum quæ proposita sunt, dignitatem spectes, ipso contactu Seraphim, multo maiora sunt ista: sin autem Domini benignitatem consideres, ne ad nostram quidem descendere B vilitatem eorum gratia quæ proposita sunt erubescit. Hæc igitur cogitans mi homo, & quāta doni sit magnitudo tecū reputans aliquando tandem exurge, atque auulsus à terra in cœlum ascende. Verùm trahit nos corpus, & deorsum ferri cogit? Sed ecce aduētant ieiunia, quæ pennas animæ leues reddunt, & leuem sarcinā carnis efficiunt, licet plumbo quouis grauius corpus acceperint. Verumtamen sermonem de ieiunio tantisper differamus, hunc autem de mysteriis iam instituamus, quorum gratia & ipsa ieiunia sunt statuta. C Nam quemadmodū in Olympicis certaminibus luctationum finis est corona, sic & ieiunij finis est mūda communio. Itaque nisi dieb. istis fuerit à nobis hoc præstitum, vbi temerè ac frustra nos ipsos afflixerimus expertes corona ac sine præmio ex ieiunij scammate discedemus. Propterea maiores etiam nostri ieiunij stadium extenderunt, ac pœnitentiæ certum nobis tempus assignarunt, vt vbi nos expurgauerimus, omnésque sordes absterserimus, ita demum accedamus. Propterea nunc etiam ex hoc tempore clara voce denun- D tio, obtestor, precor, & obsecro, ne cum macula, ne cum praua conscientia ad sacram hanc mensam accedamus: neque enim hoc accessus, neque communio dici potest, quamuis millies sanctum illud corpus attingamus, sed condemnatio, supplicium & pœnarum accessio. Nullus igitur peccator accedat: imò verò non dico, nullus peccator, quādoquidem meipsum priorem à diuina mensa repellerem, sed qui perseueret peccator, nullus accedat. Idcirco iam ex hoc tempore predico, ne cum dies regiarum epularum aduenerint,

Altare cœleste figurâ altaris Ecclesiæ.

Cur ieiunia ante cōmunionem.

cum illa adfuerit sacra vespera dicere queat aliquis, Imparatus intraui ac nudus, & hæc olim prædici oportuit. Si enim olim hæc audiuissẽ, omnino mutatus essem, omnino postquã meipsum expurgassem, ita demũ accessissem. Ne igitur vllus has prætexere possit excusationes, iam ex hoc tempore prius obtestor & cohortor, vt magnam exhibeamus pœnitentiam. Scio nos omnes reos esse supplicij, nec vllum posse gloriari mundum se habere cor: sed non hoc malũ est grauissimũ, quod mundũ cor non habeamus, sed quod mundum non habentes cor, nec ad eũ accedamus, qui mundum potest illud reddere. Potest enim si velit: vel potius multò magis quã nos, puros nos esse vult, sed expectat, vt exiguam à nobis occasionẽ accipiat, vt confidenter nos coronet. Quis maior fuit peccator quàm publicanus? sed vt dixit tantum, Deus propitius esto mihi peccatori, plus quàm Pharisæus iustificatus descendit. Tametsi quantam vim habuit dictum illud? verum non dictum ipsum purgauit, sed affectus cum quo dictum illud protulit: imò verò ne solus quidem affectus, sed ante ipsum Dei benignitas. Quod enim quæso tam egregium est facinus, quis labor, quis sudor peccatori vt se peccatorem esse persuadeat sibi, & hoc apud Deum profiteatur? Vides haud frustra dixisse me Deũ velle perexiguam à nobis occasionem arripere, tum ipsum deinde ad salutem nostram cuncta cõferre? Pœnitentiam igitur agamus, ploremus, lamentemur. Sæpenumero cum filiam quis amiserit, maiorẽ vitæ suę partẽ in luctu ac mœrore traducit: nos animã perdidimus, nec tamen lugemus? excidimus à salute, nec plangimus? Quid de anima & salute loquor? dominum adeò mitem ac benignum irritauimus, neque terræ specubus nos abscõdimus? Non enim tantùm prouidi ac soliciti domini, sed & patris indulgentis, & liberorũ amantissimæ matris omnẽ beneuolentiam exuperat ea, qua nos cõplectitur, solicitudine. Nunquid enim obliuiscetur, inquit, mulier paruuli sui, vt non misereatur fœtuũ vteri sui? Licet autem & mulier oblita fuerit, ego tamen non obliuiscar tui, dicit Dominus. Enimuero ante demonstrationem fide digna vel sola fuerit affirmatio: quippe quæ Dei sit; nihilominus tamẽ age rebus ipsis expressam demonstrationem exhibeamus.

Prou. 20. 9 · *Luc. 18. 10* · *Esai. 49. 14*

A καὶ τῆς ἱερᾶς ἑσπέρας παραγενομένης ἐκείνης, ἔχῃ τις λέγειν, ἀπαρασκεύαστος εἰσῆλθον καὶ ἔρημος, καὶ ὅτι πάλαι ταῦτα προειπεῖν ἐχρῆν. εἰ γὰρ πάλαι ταῦτα ἤκουσα, πάντως ἂν μετεβαλόμην, πάντως ἂν ἐμαυτὸν καθάρας, οὕτω προσῆλθον. ἵν' οὖν μηδεὶς ταῦτα προφασίζεσθαι ἔχῃ, ἐντεῦθεν ἤδη προδιαμαρτύρομαι καὶ παρακαλῶ πολλὴν ἐπιδείξασθαι τὴν μετάνοιαν. οἶδα ὅτι πάντες ἐσμὲν ἐν ἐπιτιμίοις, καὶ ὅτι οὐδεὶς καυχήσεται ἁγνὴν ἔχειν τὴν καρδίαν. ἀλλ' οὐ τοῦτό ἐστι τὸ δεινόν, ὅτι ἁγνὴν καρδίαν οὐκ ἔχομεν, ἀλλ' ὅτι μὴ ἔχοντες καρδίαν ἁγνήν, οὐδὲ τὸν δυνάμενον ποιῆσαι ταύτην ἁγνὴν προστρεχόμεθα. B δύναται γάρ, ἐὰν ἐθέλῃ· μᾶλλον δὲ καὶ πλέον ἡμῶν καθαροὺς ἡμᾶς εἶναι θέλει, ἀλλὰ ἀναμένει μικρὰν παρ' ἡμῶν ἀφορμὴν λαβεῖν, ἵνα μετὰ παρρησίας ἡμᾶς στεφανώσῃ. τίς τοῦ τελώνου γέγονεν ἁμαρτωλότερος; ἀλλ' ἵνα μόνον εἴπῃ, ὁ Θεὸς ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ, κατῆλθεν ὑπὲρ τὸν Φαρισαῖον δεδικαιωμένος. καίτοι πόσην δύναμιν εἶχεν ἡ λέξις ἐκείνη; ἀλλ' οὐχ ἡ λέξις αὐτὸν ἐκάθηρεν, ἀλλ' ἡ διάθεσις, μεθ' ἧς καὶ τὴν λέξιν ἐκείνην εἶπε· μᾶλλον δὲ οὐδὲ ἡ διάθεσις μόνη, ἀλλὰ πρὸ ταύτης C ἡ τοῦ Θεοῦ φιλανθρωπία. ποῖον γάρ, εἰπέ μοι, κατόρθωμα, ποῖος πόνος, ποῖος ἱδρὼς τῷ ἁμαρτωλῷ, πεῖσαι ἑαυτὸν ὅτι ἐστὶν ἁμαρτωλός, καὶ πρὸς τὸν Θεὸν τοῦτο εἰπεῖν; ὁρᾷς ὡς οὐ μάτην ἔλεγον, ὅτι μικρᾶς παρ' ἡμῶν ἐπιλαβέσθαι προφάσεως βούλεται, καὶ τὸ πᾶν αὐτὸς εἰσφέρει λοιπὸν εἰς τὴν σωτηρίαν ἡμῶν; μετανοήσωμεν τοίνυν, κλαύσωμεν, θρηνήσωμεν. θυγατέρα τις πολλάκις ἀποβαλών, τὸ πλεῖον διατελεῖ τῆς ζωῆς αὐτοῦ χρόνον ἐν θρήνοις καὶ ὀδυρμοῖς· ἡμεῖς ψυχὴν ἀπολέσαντες, καὶ οὐ θρηνοῦμεν; σωτηρίας D ἐξεπέσομεν, καὶ οὐ κατακοπτόμεθα; καὶ τί λέγω ψυχῆς καὶ σωτηρίας; δεσπότην παροξύνομεν οὕτω πρᾶον καὶ ἥμερον, καὶ οὐ κατορύττομεν ἑαυτούς; καὶ γὰρ οὐχὶ δεσπότου κηδεμονικοῦ μόνον, ἀλλὰ καὶ πατρὸς φιλοστόργου καὶ μητρὸς φιλοπαίδου πᾶσαν εὔνοιαν ὑπερβαίνει τῇ περὶ ἡμᾶς κηδεμονίᾳ. μὴ ἐπιλήσεται γάρ, φησι, γυνὴ τοῦ παιδίου αὐτῆς, ἢ τοῦ μὴ ἐλεῆσαι τὰ ἔκγονα τῆς κοιλίας αὐτῆς; εἰ δὲ καὶ ἐπιλάθοιτο γυνή, ἀλλ' ἐγὼ οὐκ ἐπιλήσομαί σου, λέγει Κύριος. πιστὴ μὲν οὖν καὶ πρὸ ἀποδείξεως ἡ ἀπόφασις· Θεοῦ γάρ ἐστι· πλὴν ἀλλὰ καὶ διὰ τῶν πραγμάτων, φέρε, παράσχωμεν τὴν ἀπόδειξιν

ἡ Ῥεβέκκα ποτὲ κελεύουσα τῷ παιδὶ τὸ κατὰ τὴν κλοπὴν τῆς εὐλογίας ὑποκρίνασθαι δρᾶμα, καὶ περιστείλασα αὐτὸν πάντοθεν καλῶς, καὶ τὸ προσωπεῖον ἐπιθεῖσα τοῦ ἀδελφοῦ, ἐπειδὴ εἶδεν οὐδὲ οὕτω θαρροῦντα, βουλομένη πάντα φόβον τοῦ παιδὸς ἐξελεῖν, ἐπ' ἐμὲ ἡ κατάρα σου τέκνον, φησί. μητρὸς ὄντως τὸ ῥῆμα καὶ ἐκκαιομένης τοῦ παιδός. ἀλλ' ὁ Χριστὸς τοῦτο οὐκ εἶπε μόνον, ἀλλὰ καὶ ἐποίησεν· οὐκ ἐπηγγείλατο μόνον, ἀλλὰ καὶ ἔργῳ ἔδειξε. καὶ βοᾷ Παῦλος λέγων· Χριστὸς ἡμᾶς ἐξηγόρασεν ἐκ τῆς κατάρας τοῦ νόμου, γενόμενος ὑπὲρ ἡμῶν κατάρα. τοῦτον οὖν παροξυνοῦμεν, εἰπέ μοι; καὶ πῶς οὐ γεέννης αὐτῆς τοῦτο χαλεπώτερον, καὶ τοῦ ἀτελευτήτου σκώληκος καὶ τοῦ ἀσβέστου πυρός; ὅταν οὖν τῇ ἱερᾷ τραπέζῃ προσιέναι μέλλῃς, νόμιζε ἐκεῖ καὶ τὸν βασιλέα τῶν ἁπάντων παρεῖναι. καὶ γὰρ πάρεστιν ὄντως, τὴν ἑκάστου καταμανθάνων γνώμην· καὶ ὁρᾷ τίς μὲν μετὰ προσηκούσης ἁγιωσύνης, τίς δὲ μετὰ πονηροῦ προσέρχεται συνειδότος, μετὰ λογισμῶν ἀκαθάρτων καὶ ῥυπαρῶν, μετὰ πράξεων μιαρῶν. κἂν μὲν εὕρῃ τινὰ τοιοῦτον, τέως μὲν αὐτὸν τῷ δικαστηρίῳ τοῦ συνειδότος παραδίδωσιν. εἶτα ἂν μὲν λαβὼν ἐκεῖνος μαστίξῃ τοῖς λογισμοῖς, καὶ βελτίω κατασκευάσῃ, προσίεται πάλιν αὐτόν· ἂν δὲ ἀδιόρθωτος μείνῃ, καὶ οὕτω τότε λοιπὸν εἰς τὰς αὐτοῦ χεῖρας ἐμπίπτει, ὡς ἀχάριστος καὶ ἀγνώμων. ὅσον δὲ τοῦτό ἐστιν, ἄκουε Παύλου λέγοντος, φοβερὸν ἐμπεσεῖν εἰς χεῖρας Θεοῦ ζῶντος. οἶδα ὅτι δάκνει τὰ ῥήματα· ἀλλὰ τί πάθω; εἰ μὴ πικρὰ ἐπιθῶμεν τὰ φάρμακα, τὰ τραύματα οὐκ ἀφαιρεθήσεται· ἂν πικρὰ ἐπιθῶμεν, ὑμεῖς τὴν ὀδύνην οὐ φέρετε. στενά μοι πάντοθεν· πλὴν ἀλλ' ἀναγκαῖον ἐπισχεῖν τὴν χεῖρα λοιπόν. καὶ γὰρ ἱκανὰ τὰ εἰρημένα πρὸς διόρθωσιν τῶν προσεχόντων. ἀλλ' ἵνα μὴ μόνοις ὑμῖν, ἀλλὰ καὶ ἑτέροις δι' ὑμῶν γένηται χρήσιμα, φέρε αὐτὰ πάλιν ἀνακεφαλαιωσώμεθα. διελέχθημεν περὶ τῶν Σεραφείμ, ἐδείξαμεν ὅσον ἐστὶν ἀξίωμα, πλησίον ἑστάναι τοῦ θρόνου τοῦ βασιλικοῦ, καὶ ὅτι καὶ ἀνθρώποις τὸ ἀξίωμα τοῦτο κεκτῆσθαι δυνατόν. εἴπομεν περὶ τῶν πτερύγων, καὶ τῆς ἀπροσίτου δυνάμεως τοῦ Θεοῦ, καὶ περὶ τῆς πρὸς ἡμᾶς αὐτοῦ συγκαταβάσεως γενομένης· προσεθήκαμεν τὴν αἰτίαν τῆς κραυγῆς καὶ τοῦ διηνεκοῦς θαύματος, καὶ

A Cum imperasset aliquando filio Rebecca, vt illam de furto benedictionis fabulam ageret; postquam omni ex parte præclarè ipsum adornauit, eique fratris personam imposuit: quandoquidem ne sic quidem illum fiducia præditum vidit, omnẽ ex animo filij metum volens eximere; Super me sit, ait, tua maledictio fili. Matris reuera vox, & quæ amore filij esset incensa. Christus autem non hoc dixit tantùm, sed etiam fecit: non promisit tantum, sed & opere exhibuit, quod & Paulus clara voce pronunciat dicens: Christus nos redemit de maledicto legis factus pro nobis maledictum. Hunc igitur num quæso irritabimus? an nõ est hoc ipsa gehenna grauius, & immortali, verme, & igne qui nunquam extinguitur? Quando igitur ad sacram mensam es accessurus illic adesse dominum omnium arbitrare: siquidem adest reuera, & quæ sit mens cuiusque cognoscit, ac videt quis cum ea qua par est sanctitate, quis cum consciẽtia deprauata accedat, cum immundis & sordidis cogitationibus, cum nefariis actionibus. Quod si quempiam talem offenderit, primùm quidem ipsum iudicio conscientiæ tradit: deinde vero si forte seipsum cogitationibus castiger, reddátque meliorem, rursus illum admittit: quod si maneat incorrectus, tum demum in eius manus incidit tanquam ingratus & scelestus. Quantum verò sit istud ex Paulo disce, qui sic ait: Horrendum incidere in manus Dei viuentis. Scio mordere vos hæc verba: sed quid faciam? nisi acerba medicamenta adhibeam, vulnera non tollentur: sin adhibeam acerba, vos dolorem non sustinetis. Angustiæ mihi sunt vndique: sed operæprecium fuerit manum deinceps cohibere: sufficiunt enim dicta ad eorum, qui attenti fuerint, emendationem. Verumtamen vt non solum vobis, sed & cæteris vtilia vestra opera fiant, age rursus ea summatim collecta repetamus. Disseruimus de Seraphim, ostendimus quanta sit dignitas iuxta regium thronum stare, & in hominum potestate situm esse, vt dignitatem illam adipiscantur. Diximus de aliis, & de inaccessibili Dei virtute: déque condescensione, qua se nobis attemperauit: adiecimus & causam clamoris, ac perpetuæ admirationis, &

Gen.17.13

Gal.3.13.

Hebr.10.31

qui fiat, vt dum Seraphim indesinenter Deum contemplantur, eum indesinenter quoque glorificent: commonefecimus vos cuinam choro accenseamur, & cum quibus communem dominum collaudemus: adiecimus & de pœnitentia sermones, ac demum, quam graue sit malum cum praua conscientia ad sacra mysteria accedere, demonstrauimus, & quo pacto fieri nequeat, vt qui manet incorrectus, pœnam euitet. Hæc & vxor à viro discat, & filius à patre, & seruus à domino, & vicinus à vicino, & amicus ab amico: immo etiam inimicis ista narremus: nam & illorum salutis nobis est ratio reddenda. Si enim illorum erigere iumenta quæ ceciderint, & quæ aberrauerint, conseruare ac reducere iubemur: multò magis errantem eorum animam nos reducere, & collapsam oportet erigere. Si hoc pacto nostras, & proximorum res dispensauerimus, ante tribunal Christi cum fiducia stare poterimus, cum quo Patri gloria, honor, imperium vna cum sancto ac viuifico Spiritu, nunc & semper, & in secula seculorum, Amen.

Exod. 23. 5.

Si videris asinum odientis te &c.

A πῶς ἐν ἀκαταπαύστῳ θεωρίᾳ ἀκατάπαυστος ἐστὶ ἡ δοξολογία τῶν Σεραφείμ· ἀνεμνήσαμεν ὑμᾶς εἰς ποῖον ἐτελέσαμεν χορὸν, καὶ μετὰ τίνων τὸν κοινὸν ἀνυμνήσαμεν δεσπότην· τοὺς περὶ μετανοίας προσεθήκαμεν λόγους. καὶ τέλος, ὅσον ἐστὶ κακὸν προσιέναι τοῖς μυστηρίοις μετὰ πονηροῦ συνειδότος ἀπεδείξαμεν, καὶ πῶς οὐκ ἔστι διαφυγεῖν τὸν ἀδιόρθωτον μένοντα. Ταῦτα καὶ γυνὴ παρὰ ἀνδρὸς μανθανέτω, καὶ παῖς παρὰ πατρὸς, καὶ οἰκέτης παρὰ δεσπότου, καὶ γείτων παρὰ γείτονος, καὶ φίλος παρὰ φίλου, μᾶλλον δὲ
B καὶ πρὸς τοὺς ἐχθροὺς ταῦτα διαλεγώμεθα. καὶ γὰρ καὶ τῆς ἐκείνων σωτηρίας ἡμεῖς ἐσμεν ὑπεύθυνοι. εἰ γὰρ καὶ τὰ ὑποζύγια αὐτῶν, πεπτωκότα διαναστῆσαι καὶ πεπλανημένα διασῶσαι καὶ ἐπαναγαγεῖν κελευόμεθα, πολλῷ μᾶλλον τὴν ψυχὴν αὐτῶν πλανωμένην ἐπαναγαγεῖν χρὴ, καὶ πεπτωκυῖαν διαναστῆσαι. ἂν οὕτω τὰ καθ᾽ ἑαυτοὺς, καὶ τὰ κατὰ τοὺς πλησίον οἰκονομῶμεν, δυνησόμεθα μετὰ παῤῥησίας στῆναι ἔμπροσθεν τοῦ βήματος τοῦ Χριστοῦ, μεθ᾽ οὗ τῷ πατρὶ δόξα, τιμὴ, κράτος σὺν τῷ ἁγίῳ καὶ ζωοποιῷ πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώ-
C νων, ἀμήν.

IN PROPHETICVM DICTVM ILLVD: EGO DOMINVS Deus feci lumen, & tenebras: faciens pacem, & creans mala.

Esai. 45. 7.

Eodem interprete.

PAVCA sunt quidem dicta, sed dulcis fons mellis est, mellis, quod fastidium minimè parit. Nam hoc quidem mel sensile voluptatem in lingua finit, & in corruptionem abit: mel verò doctrinæ conscientiam afficit, eámque perpetua lætitia perfundit, & ad immortalitatem nos deducit. Atque illud quidem ex herbis componitur, hoc autem ex diuinis scripturis texitur: hoc vos hodierno die compleuit is, qui præclarè dixit, & obedientiæ præmium reportauit, ac vim charitatis, & fidei nobilitatem osten-

ΕΙΣ ΤΗΝ ΠΡΟΦΗΤΙΚΗΝ ῥῆσιν, τὴν λέγουσαν· ἐγὼ κύριος ὁ Θεὸς ἐποίησα φῶς, καὶ σκότος· ποιῶν εἰρήνην, καὶ κτίζων κακά.

D ΟΛΙΓΑ μὲν τὰ εἰρημένα, γλυκεῖα δὲ τοῦ μέλιτος ἡ πηγὴ, μέλιτος κόρον οὐκ ἔχοντος. τοῦτο μὲν γὰρ τὸ αἰσθητὸν μέλι ἐν τῇ γλώττῃ καταλύει τὴν ἡδονὴν, καὶ εἰς φθορὰν χωρεῖ· τὸ δὲ τῆς διδασκαλίας μέλι ἐγχεῦται τῷ συνειδότι, διηνεκῆ τὴν εὐφροσύνην παρέχον, καὶ πρὸς ἀφθαρσίαν ἡμᾶς χειραγωγοῦν. καὶ τὸ μὲν ἀπὸ βοτανῶν συντίθεται, τὸ δὲ ἀπὸ τῶν θείων γραφῶν ὑφαίνεται. τούτου σήμερον ὑμᾶς ἐνέπλησεν ὁ καλῶς εἰρηκὼς, καὶ τῆς ὑπακοῆς τὸ βραβεῖον ἡρπακὼς, καὶ τῆς ἀγάπης τὴν ἰσχὺν ἐπιδείξας καὶ τῆς πίστεως τὴν εὐγέ-

νείαν. φέρε δὴ καὶ ἡμεῖς τὴν εἰωθυῖαν πάλιν ὑμῖν παραθῶμεν τράπεζαν μετὰ πολλῆς τῆς προθυμίας. καὶ γὰρ σφόδρα χαίρομεν, ὅτι ἱπποδρομίας οὔσης οὕτω λαμπρᾶς, τοσοῦτον ὑμῶν πλῆθος ἀφῖκται τῆς ἐκεῖ καταφρονῆσαν διατριβῆς. διὸ δὴ καὶ αὐτοὶ μετὰ πολλῆς τῆς δαψιλείας τὸν κρατῆρα ἱστῶμεν, κρατῆρα, οὐ μέθην ποιοῦντα, ἀλλὰ σωφροσύνην κατασκευάζοντα. τοιοῦτος γὰρ ὁ τῶν γραφῶν οἶνος, τοιαῦτα τῆς τραπέζης ταύτης τὰ ὄψα· οὐ πιαίνει σάρκα. καὶ ταῦτα λέγομεν οὐκ ἀτιμάζοντες τὴν σαρκὸς τὴν φύσιν, ἀλλὰ προτιμῶντες τῆς ψυχῆς τὴν εὐγένειαν· οὐδὲ τὴν χρῆσιν ἐκβάλλοντες, ἀλλὰ τὴν ἀμετρίαν κολάζοντες. κἂν γὰρ φιλοσοφῶμεν, οὕτω δεῖ φιλοσοφεῖν, ὥστε μὴ διδόναι τοῖς τῶν αἱρετικῶν στόμασι λαβήν. καὶ γὰρ τὸ σῶμα τοῦτο ἔλαττον μὲν τῆς ψυχῆς, οὐκ ἐναντίον δὲ τῇ ψυχῇ· ἀλλ' ἁπλῆ μὲν αὕτη, διακονεῖται δὲ ταῖς ἐπιθυμίαις ταῖς ἐκείνου. ὁ γὰρ ἀριστοτέχνης Θεὸς οὐκ ἐκ μιᾶς καὶ δύο καὶ τριῶν οὐσιῶν τόδε τὸ πᾶν συνεστήσατο, ἀλλὰ ποικίλας καὶ διαφόρους φύσεις εἰσήγαγε, τῆς οἰκείας σοφίας τὴν περιουσίαν ἐν τῇ διαφορᾷ τῶν γινομένων ἐπιδεικνύμενος. οὐ γὰρ οὐρανὸν ἐποίησε μόνον, ἀλλὰ καὶ γῆν· οὐ γῆν μόνον, ἀλλὰ καὶ ἥλιον· οὐχ ἥλιον μόνον, ἀλλὰ καὶ σελήνην· οὐ σελήνην μόνον, ἀλλὰ καὶ ἀστέρας· οὐκ ἀστέρας μόνον, ἀλλὰ καὶ ἀέρα· οὐκ ἀέρα μόνον, ἀλλὰ καὶ νεφέλας· οὐ νεφέλας μόνον, ἀλλὰ καὶ αἰθέρα· οὐκ αἰθέρα μόνον, ἀλλὰ καὶ λίμνας, καὶ πηγάς, καὶ ποταμούς, καὶ ὄρη, καὶ νάπας, καὶ βουνούς, καὶ λειμῶνας, καὶ παραδείσους, καὶ σπέρματα, καὶ φυτά, καὶ βοτανῶν εἴδη ποικίλα, καὶ διάφορα σχήματα, καὶ διαφόρους ἐνεργείας, καὶ διαφόρους φύσεις; ἃ πανταχοῦ τῷ κόσμῳ περιιὼν ἴδοι τις ἄν· καὶ τὸ σῶμα τῆς οἰκουμένης ἐπιτρέχων τῷ λογισμῷ, ἐρεῖ μετὰ τοῦ προφήτου· ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, κύριε; πάντα ἐν σοφίᾳ ἐποίησας. ὥστε εἰ βούλει θέατρον ἰδεῖν, καταλιπὼν ἐκεῖνο τὸ Σατανικόν, ἐλθὲ ἐπὶ τοῦτο τὸ πνευματικόν· εἰ βούλει λύρας ἀκοῦσαι, ἀφεὶς ἐκείνην τὴν μελῳδίαν, καὶ τὸ εὔτονον τῆς διανοίας συντείνας, ἐλθὲ ἐπὶ ταύτην τὴν διεγείρουσάν σου τὸ φρόνημα, καὶ νευροῦσάν σου τὴν διάνοιαν. ὅρα φθόγγους διαφόρους καὶ νευρὰς ἐνηλλαγμένας, μίαν καὶ παναρμόνιον τῷ ἀριστοτέχνῃ Θεῷ πανταχόθεν ἀναπεμπούσας * * λείπει * * γάρ τις * * λείπει * * τις ἐκ διαφόρων φθόγγων συγκεί-

A dit. Age ergo nos quoque multa cum alacritate solitam mensam vobis apponamus: non enim mediocriter gaudemus, quòd cum adeò celebres sint ludi Circenses, illa ludicra occupatione contempta huc tanta multitudo confluxerit. Quocirca nos etiam multa cum liberalitate craterem statuimus, craterem qui ebrietatē minimè gignit, sed temperantiam parit. Tale namque scripturarum est vinum, talia mensæ sunt istius obsonia, pinguem & obesam carnem non reddunt. Et hæc dicimus, B non vt ignominia carnem afficiamus, sed quod animæ nobilitatem pluris æstimamus: neque verò vsum reijcimus, sed excessum reprimimus. si enim philosophemur, ita philosophandum est, vt hæreticorum linguis ansam non demus. Nam hoc quidem corpus, minus est anima, contrarium verò non est animæ: sed simplex est quidem illa, verum corporis cupiditatibus famulatur. Deus enim artifex præstantissimus non ex vna & duabus & tribus substantiis hoc vniuersum constituit, sed varias ac distinctas inuexit naturas, vt abundan- C tiam sapientiæ suæ in diuersitate rerum ostenderet. Non enim cœlum condidit solum, sed & terram: non terram solum, sed & solem: non solem modo, sed & lunam: non lunam solum, sed & stellas: non stellas solum sed & aërem: non aërem solum, sed & nubes: non nubes solum, sed etiā æthera: non æthera solum, sed etiam lacus, fontes, fluuios, montes, valles, colles, prata, hortos, semina plantas, herbarum varia genera, formásque diuersas, vires diuersas, ac diuersas naturas cernere poterit, si quis mundum vndiquaque lustrarit, & si totum or- D bem terrarum cogitatione percurrerit, cum propheta in has voces erumpet: Quam magnificata sunt opera tua Domine? omnia in sapientia fecisti. Itaque si theatrum spectare cupis, ad hoc spirituale Satanico illo derelicto veni: si lyram cupis audire, illo concentu dimisso, & excitato mentis tuæ robore ad hanc veni, quæ animum tuum erigit, mentemque confirmat. Vide vt soni diuersi, chordæque distinctæ, summo opifici Deo vnum & suauissimum vndique concentum emittant. *

Manichæos intelligit.

Psal.103.24.

Desunt nonnulla.

* ex differentibus sonis con-

flatus vnum habet concentum glorificationem, qua celebrat conditorem, & sonant quidem separatim chordæ singulæ, sonant autem & inter se coniunctæ. Atque vt intelligas, quo pacto separatim sonent cœli, chordam cogitatione pulsato, tum ingenti edito sono audies eam Deo laudem offerre. Quod cum animaduertisset propheta dixit: Cœli enarrant gloriam Dei, opus autem manuum eius annunciat firmamentum. Ab illa chorda ad diei noctisque chordam descende, tum & hos lyra quauis & cythara suauiores emitti sonos videbis, præsertim vero, cum adfuerit qui chordas istas pulsare nouerit. Quonam autem pacto sonant? dicet aliquis. Cœlum non os mouet, neque linguam, neque palatum, neque dentes, neque labra: quomodo ergo vox oritur? Quomodo autem dies loquitur? neque enim hæc vocalia sunt instrumenta: sed cursus solis & lunæ dies est & nox, temporisque progressus. Ne igitur ex crassioribus aliquis his auditis commoueatur, ac perturbetur, audi quo pacto his quæ dicta sunt, addere maiora contendit. Cùm enim cœlos Dei gloriam enarrare dixisset, & diem diei verbum eructare, noctémque nocti scientiam indicare, non hic substitit, sed adiecit: Non sunt loquelæ, neque sermones, quorum non audiantur voces eorum. Horum autem verborum hic sensus est: Non solum vocem habent dies, & nox, & cœlum, sed & vocem eiusmodi, quæ insignior, clarior, & acrior sit humana. Quo tandem pacto? audi ipsa eius verba. Non sunt loquelæ, neque sermones, quorum non audiantur voces eorum. Quid igitur hoc est? encomium vocis, laus soni huius. Vox enim mea nota est illi, qui eadem mecum lingua loquatur, ei verò qui diuersa, non item. Exempli causa, si Græca lingua loquar. Si ergo vocem hanc nouerit aliquis, ille me audiet: Scytha vero, Thrax, Maurus, aut Indus non item: quippe quod linguæ discrimen impediat, ne illi sermo meus innotescat. Rursus ego, si loquatur Scytha vel Thrax, audire non potero, neque alter linguam alterius: in cœlo autem, in nocte ac die locum id non habet: sed eiusmodi vox illorum est, vt ab omni lingua, ab omni loquela possit audiri, eique clara sit & perspicua.

Psal. 18. 1.

A μένως μίαν ἔχει μελῳδίαν, τὴν εἰς τὸν ποιήσαντα δοξολογίαν. καὶ ἠχοῦσι μὲν καθ' ἑαυτὰς αἱ νευραί, ἠχοῦσι δὲ καὶ μετ' ἀλλήλων. καὶ ἵνα μάθῃς πῶς καθ' ἑαυτὰς ἠχοῦσι, κρούσαντος τοῦ λογισμοῦ τὴν νευρὰν τοῦ οὐρανοῦ, καὶ ἀκούσῃ μεγάλα ἠχούσης, καὶ τοῦ Θεοῦ δόξαν ἀναπεμπούσης. ὅπερ οὖν καὶ ὁ προφήτης συνιδὼν, ἔλεγεν· οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ, ποίησιν δὲ χειρῶν αὐτοῦ ἀναγγέλλει τὸ στερέωμα. ἀπὸ τῆς νευρᾶς ἐκείνης μετάβηθι ἐπὶ τὴν νευρὰν τῆς ἡμέρας καὶ τῆς νυκτὸς, καὶ ὄψει καὶ τούτους τοὺς φθόγγους λύρας ἁπάσης B καὶ κιθάρας ἡδίω φθεγγομένους· καὶ μάλιστα, ὅταν ᾖ τις ὁ τὰς νευρὰς ταύτας ἀνακρούσασθαι ἐπιστάμενος. καὶ πῶς ἠχοῦσι, φησί; στόμα οὐρανὸς οὐκ ἔχει, οὔτε γλῶτταν, οὐδὲ ὑπερῴαν, οὐδὲ ὀδόντας, οὐδὲ χείλη. πῶς οὖν ἡ φωνὴ πρόεισι; πῶς δὲ ἡ ἡμέρα φθέγγεται; οὐδὲ γὰρ ταῦτα ὄργανα φωνητικά ἐστιν, ἀλλὰ δρόμος ἐστὶν ἡλίου καὶ σελήνης, ἡμέρα καὶ νὺξ, καιροῦ πάροδος. ἵν' οὖν μή τις τῶν παχυτέρων ταῦτα ἀκούων θορυβῆται καὶ ταράττηται, ἄκουσον πῶς ὁ προφήτης ἐπαγωνίζεται τοῖς εἰρημένοις. εἰπὼν γὰρ, ὅτι οἱ οὐρανοὶ διηγοῦνται δό- C ξαν Θεοῦ, καὶ ὅτι ἡμέρα τῇ ἡμέρᾳ ἐρεύγεται ῥῆμα, καὶ νὺξ νυκτὶ ἀναγγέλλει γνῶσιν, οὐκ ἔστη μέχρι τούτου, ἀλλ' ἐπήγαγεν· οὐκ εἰσὶ λαλιαὶ, οὐδὲ λόγοι, ὧν οὐχὶ ἀκούονται αἱ φωναὶ αὐτῶν. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· οὐ μόνον φωνὴν ἔχουσιν ἡμέρα καὶ νὺξ, καὶ οὐρανὸς, ἀλλὰ καὶ τοιαύτην φωνὴν, ἣ τῆς ἀνθρωπίνης ἐστὶν ἐπισημοτέρα, καὶ σαφεστέρα, καὶ εὐτονωτέρα. πῶς καὶ τίνι τρόπῳ; ἄκουσον τῆς ῥήσεως αὐτῆς. οὐκ εἰσὶ λαλιαὶ, οὐδὲ λόγοι, ὧν οὐχὶ ἀκούονται αἱ φωναὶ αὐτῶν. τί ποτ' οὖν τοῦτό ἐστιν; ἐγκώμιον τῆς φωνῆς, ἔπαινος τῆς D ἠχῆς. ἡ μὲν γὰρ ἐμὴ φωνὴ τῷ ἐμῷ ὁμοφώνῳ γνώριμος, ἑτερογλώσσῳ δὲ οὐκέτι· οἷόν τι λέγω, Ἑλλάδι διαλεγομένῳ μοι γλώττῃ. ὁ τοίνυν τὴν φωνὴν εἰδῇ τις, ἐκεῖνος ἀκούσεταί μου· ὁ δὲ Σκύθης, καὶ ὁ Θρᾷξ, καὶ ὁ Μαῦρος, καὶ ὁ Ἰνδὸς οὐκέτι. ἡ γὰρ διαφορὰ τῆς γλώττης οὐκ ἀφίησιν εὔσημον αὐτοῖς γενέσθαι τὴν ἐμὴν διάλεξιν. πάλιν ἐγὼ τοῦ Σκύθου καὶ τοῦ Θρᾳκὸς διαλεγομένου οὐ δυνήσομαι ἀκούειν, οὐδὲ ἕτερος τῆς ἑτέρου γλώττης· ἐπὶ δὲ τοῦ οὐρανοῦ, καὶ τῆς νυκτὸς, καὶ τῆς ἡμέρας οὐκ ἔστι τοῦτο· ἀλλὰ τοιαύτη αὐτῶν ἐστιν ἡ φωνὴ, ὡς πάσῃ γλώττῃ, πάσῃ λαλιᾷ, παντὶ ἔθνει ἀκούεσθαι, καὶ εὔδηλον εἶναι καὶ σα-

φησί. Διὰ τοῦτο εἰπὼν, ὅτι οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ, καὶ ἡμέρα τῇ ἡμέρᾳ ἐρεύγεται ῥῆμα, ἐπήγαγεν· οὐκ εἰσὶ λαλιαὶ, οὐδὲ λόγοι, ὧν οὐχὶ ἀκούονται αἱ φωναὶ αὐτῶν. ὃ δὲ λέγει τοιοῦτόν ἐστι· τοιαύτην ἔχουσι λαλιὰν, καὶ τοιαύτην ἔχουσι φωνὴν ἡ ἡμέρα, καὶ ἡ νὺξ, καὶ ὁ οὐρανὸς, καὶ τὰ κτίσματα ἅπαντα, ὡς πάσαις ταῖς λαλιαῖς, τουτέστι, πάσαις ταῖς γλώτταις, πᾶσι τοῖς ἔθνεσιν ἀκούεσθαι αὐτῶν τὴν φωνήν. οὐ γάρ ἐστι λαλιά, φησι, τουτέστιν, οὐκ ἔστιν ἔθνος, οὐκ ἔστι φωνὴ, ἔνθα μὴ ἀκούεται ἡ φωνὴ τοῦ οὐρανοῦ· ἀλλὰ καὶ ὁ Σκύθης, καὶ ὁ Θρᾷξ, καὶ ὁ Μαῦρος, καὶ ὁ Ἰνδὸς, καὶ ὁ Σαυρομάτης, καὶ πᾶσα λαλιὰ, καὶ πᾶσα γλῶττα, καὶ πᾶν ἔθνος δυνήσεται ταύτης ἐπακοῦσαι τῆς φωνῆς. πῶς καὶ τίνι τρόπῳ; τοῦτο λοιπὸν ἄκουε, ἵνα μάθῃς πῶς σιγῶν ὁ οὐρανὸς φθέγγεται. ὅταν γὰρ ἴδῃς αὐτοῦ τὸ κάλλος, τὸ μέγεθος, τὴν θέσιν, τὸ διαρκὲς, τὴν φαιδρότητα, καὶ ταῦτα πάντα συναγαγὼν παρὰ σαυτῷ, δοξάσῃς τὸν δημιουργὸν, εὐφημήσῃς τὸν ποιήσαντα, ὁ οὐρανὸς φωνὴν ἀφῆκε, διὰ τῆς γλώττης ἀναπέμψας τοῦ Θεοῦ δόξαν. καὶ τοῦτό ἐστι τὸ εἰρημένον, ὅτι οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ. πῶς καὶ τίνι τρόπῳ; τὸν θεατὴν τῷ κάλλει τῆς οἰκείας φαιδρότητος εἰς θαῦμα παραπέμποντες τοῦ δημιουργοῦ. ὅταν γὰρ ἰδὼν τὸ τοιοῦτον ἔργον, εἴπῃς, δόξα σοι ὁ Θεὸς, ἡλίκον σῶμα εἰργάσω, καὶ ἐν τῷ μέσῳ τέθεικας; οἱ οὐρανοὶ τὴν δόξαν ταύτην ἀνήνεγκαν, τῇ σῇ γλώττῃ χρησάμενοι, καὶ διὰ τῆς ὄψεως τὸ θαῦμα παραπέμποντες. οὕτω σιγῶντες ἀναφέρουσι δόξαν τῷ Θεῷ, καὶ ταύτης τῆς φωνῆς πάντες ἀκούουσιν. ἐπειδὴ γὰρ οὐκ ἔστιν ἀκοῇ ταῦτα μαθεῖν, ἀλλ' ὄψει καὶ θεωρίᾳ, ὄψις δὲ πᾶσι μία, εἰ καὶ ἡ γλῶττα διάφορος, καὶ βάρβαροι, καὶ Σκύθαι, καὶ Θρᾷκες, καὶ Μαῦροι, καὶ Ἰνδοὶ ταύτης ἀκούουσι τῆς φωνῆς· τουτέστι, τὸ θαῦμα βλέποντες, τὸ κάλλος ἐκπληττόμενοι, τὴν φαιδρότητα, τὸ μέγεθος, τὰ ἄλλα ἅπαντα τὰ περὶ τὸν οὐρανὸν, δόξαν ἀναφέρουσι τῷ δημιουργῷ οἱ καλῶς φρονοῦντες. τὸ αὐτὸ καὶ περὶ τῆς ἡμέρας καὶ τῆς νυκτός ἐστιν εἰπεῖν. ὥσπερ γὰρ οὗτος τῷ κάλλει, τῇ θέσει, τῷ μεγέθει, τῇ φαιδρότητι, τῷ διαρκεῖ τοῦ χρόνου, τῇ χρείᾳ, τῇ ἐνεργείᾳ, τοῖς ἄλλοις ἅπασιν εἰς θαῦμα παραπέμπων τὸν θεατὴν, ποιεῖ δόξαν ἀναφέρειν τῷ δημιουργῷ· οὕτω νὺξ καὶ ἡμέρα. ὅταν γὰρ ἴδῃς τὴν

Propterea cum cœlos Dei gloriam enarrare dixisset, & diem diei verbum eructare, adiecit: Non sunt loquelæ, neque sermones, quorum non audiantur voces eorum. Quæ verba talem sententiam habent: Talem habent loquelam, talémque vocem habent dies nox & cœlum, omnésque creaturæ, vt ab omnibus loquelis, hoc est ab omnibus linguis, ab omnibus gentibus vox eorum audiatur. Non enim est loquela, inquit, hoc est, non est, gens non est vox, vbi vox cœli non audiatur: sed & Scytha, & Thrax, & Maurus, & Indus, & Sauromata, & loquela omnis, & lingua omnis, & gens omnis hanc vocem poterit exaudire. Quo tandem pacto? Hoc iam audi, vt intelligas qua ratione cœlum tacendo loquatur. Cum enim videris eius pulchritudinem, magnitudinem, situm, perpetuitatem, splendorem, & hæc omnia colligens apud te conditorem glorificaueris, creatorem laudaris, tum vocem emisit cœlum, & per linguam Deo gloriam laudémque detulit. Atque hoc illud est quod dixit, Cœli enarrant gloriam Dei. Quo tandem modo? dum sui splendoris pulchritudine spectatorem in admirationem traducunt conditoris. Cùm enim conspecto tanto opere dixeris, Gloria tibi Deus, quale corpus condidisti, & in medio constituisti! cœli gloriam istam detulerunt, & tua lingua vtentes per aspectum admirationem exhibuerunt. Ita silentes gloriam & honorem Deo deferunt, & hanc vocem audiunt omnes. Quando enim hæc percipi auditu non possunt, sed aspectu & contemplatione, aspectus porro vnus est omnibus, tametsi lingua sit differens, & barbarus, Scythæ, Thraces, Mauri, & Indi vocem istam audiunt, hoc est miraculum cernentes, pulchritudinem obstupescentes, splendorem, magnitudinem, alia omnia, quæ ad cœlum pertinent, qui recta sapiunt, gloriam & laudem offerunt Deo. Idipsum & de die, ádque nocte dici potest. Vt enim hoc pulchritudine situ magnitudine splendore, temporis perpetuitate, vsu efficacitate, cæteris omnibus spectatorem ad admirationem traducens efficit, vt gloriam & honorem conditori deferamus: ita nox & dies. Cùm enim rectum

horum temporum ordinem videris, & A quo pacto penso suo absoluto dies noctem è suis propellere limitibus non contendit, nec vllam præ se fert res alienas vsurpandi cupiditatem: neque propterea quod ipsa splendidior est, totum occupare tempus conatur, sed recedit: eodémque modo rursus nox suo confecto cursu diei cedit, & hoc per tot annos factum est, nec vlla confusio vel perturbatio visa est, & nec ista illam eiecit, neque illa per auaritiam hanc fraudauit (tametsi splendidior vna, & obscurior est altera) rursus rectum ordinem miratus non Deo glo- B riam & honorem offeres? Et quemadmodum sorores duæ beneuolè erga se inuicem affectæ, paternam hæreditatem in libra & bilance partiuntur, & ne minima quidem re vlla altera alteram fraudat: sic nimirum & nox & dies toto tempore inter se diuiso, dum ne minima quidem eius parte se inuicem fraudant, tanquam æqualitatem obseruant, quantam vsu & experientia didicistis. Audiant auari, & qui hæreditate spoliant fratres: rectum ordinem temporum reuereantur, ac noctis & diei concordiam, & suum vi- C tium corrigant. Sic igitur dies diei verbum eructat, & scientiam nocti nox indicat, non vocem mittentes, sed dum recto suo ordine ac dispositione, & æquabilitate, ac mensura ab omni obstaculo libera tuba clarius prædicant creatorem, non in vno terrarum orbis angulo, sed in omnibus, quas sol aspicit, regionibus. Hæ siquidem vocem per vniuersum mundum feruntur, quandoquidem vbique cœlum est, vbique dies, vbique nox, suámque doctrinam & in D terra explicāt & in mari. Quocirca non dixit propheta simpliciter cœli loquuntur gloriam Dei, sed enarrant, hoc est alios etiam instruunt, ac pro discipulis habent vniuersum genus humanū, & in medio proposita maxima schola librorum ac literarum loco naturæ suæ pulchritudinem idiotis, sapientibus, & omnibus contemplandam præbent, & tanquam in libro insidentem ipsis de Dei sapientia ac virtute doctrinam. Sic etiam homines non loquentes, sed vel tacentes per alios Deum glorificant, ideóque dicebat Christus: *Matt.5.16.* Luceat lux vestra coram hominibus,

A ταξίαν τῶν καιρῶν τούτων, καὶ πῶς τὸ οἰκεῖον ἀπαρτίσασα μέτρον ἡ ἡμέρα, οὐ φιλονεικεῖ τὴν νύκτα ἐξῶσαι τῶν οἰκείων ὅρων, οὐδὲ πλεονεξίαν τινὰ ἐπιδείκνυται, οὐδὲ, ἐπειδὴ φαιδροτέρα ἐστὶν αὐτῆς, τὸν ἅπαντα βιάζεται κατασχεῖν χρόνον, ἀλλ' ἀναχωρεῖ· καὶ ἡ νὺξ τὸ αὐτὸ πάλιν, ἀπαρτίσασα τὸν αὐτῆς δρόμον, παραχωρεῖ τῇ ἡμέρᾳ, καὶ τοῦτο ἐπὶ τοσούτοις ἔτεσι γέγονε, καὶ οὐδεμία σύγχυσις, οὐδὲ ταραχὴ, καὶ οὔτε αὕτη ἐξώθησεν ἐκείνην, οὔτε ἐκείνη ἐπλεονέκτησε ταύτην (καίτοι ἡ μὲν φαιδροτέρα, ἡ δὲ ζοφωδεστέρα) πάλιν B τὴν εὐταξίαν θαυμάσας, οὐ δόξαν ἀναπέμψεις Θεῷ; καὶ καθάπερ ἀδελφαὶ δύο οἰκείως πρὸς ἀλλήλας διακείμεναι, πατρῷον διανειμάμεναι κλῆρον ἐν σταθμοῖς καὶ ζυγοῖς, οὐδὲ τὸ τυχὸν ἑτέρα τὴν ἑτέραν πλεονεκτεῖ· οὕτω δὴ καὶ νὺξ καὶ ἡμέρα τὸν χρόνον ἅπαντα διελόμεναι, τοσαύτην διατηροῦσι ἰσότητα, οὐδὲ τὸ τυχὸν ἀλλήλας πλεονεκτοῦσαι, ὅσην ἴστε διὰ τῆς πείρας αὐτῆς μαθόντες. ἀκουέτωσαν οἱ πλεονέκται, καὶ τοὺς ἀδελφοὺς ἐξωθούμενοι τοῦ κλήρου. αἰδείσθωσαν τῶν καιρῶν τὴν εὐταξίαν, νυκτὸς καὶ ἡμέρας τὴν ἰσηγορίαν, καὶ καταλυέτωσαν τὸ ἑαυτῶν νόσημα. C οὕτω τοίνυν ἡμέρα τῇ ἡμέρᾳ ἐρεύγεται ῥῆμα, καὶ νὺξ νυκτὶ ἀναγγέλλει γνῶσιν, οὐ φωνὴν ἀφιεῖσαι, ἀλλὰ διὰ τῆς εὐταξίας, καὶ τοῦ ῥυθμοῦ, καὶ τῆς ἰσότητος, καὶ τῶν ἀπαρεμποδίστων μέτρων, σάλπιγγος λαμπρότερον, τὸν δημιουργὸν ἀνακηρύττουσαι· οὐκ ἐν μιᾷ τῆς οἰκουμένης γωνίᾳ, ἀλλ' ὅσην ὁ ἥλιος ἐφορᾷ γῆν. αὗται γὰρ αἱ φωναὶ πανταχοῦ τῆς οἰκουμένης φέρονται, ἐπειδὴ πανταχοῦ ὁ οὐρανὸς, καὶ πανταχοῦ ἡμέρα, καὶ πανταχοῦ νὺξ, καὶ τὴν διδασκαλίαν αὐτῶν ἐκτείνουσι, καὶ ἐν γῇ, D καὶ ἐν θαλάττῃ. διὰ τοῦτο ὁ προφήτης οὐκ εἶπεν ἁπλῶς, ὅτι οἱ οὐρανοὶ φθέγγονται δόξαν Θεοῦ, ἀλλὰ διηγοῦνται· τουτέστι, καὶ ἑτέρους παιδεύουσι, καὶ μαθητὰς ἔχουσι, τὸ τῶν ἀνθρώπων γένος· καὶ διδασκαλεῖον μέγιστον εἰς τὸ μέσον εἰσὶ προβαλλόμενοι, ἀντὶ βιβλίων καὶ γραμμάτων, τῆς οἰκείας φύσεως τὸ κάλλος, καὶ ἰδιώταις, καὶ σοφοῖς, καὶ πᾶσι παρέχοντες ἐπιέναι, καθάπερ ἐν βιβλίῳ, τὴν ἐγκειμένην αὐτοῖς περὶ τῆς τοῦ Θεοῦ σοφίας καὶ δυνάμεως διδασκαλίαν. οὕτω καὶ ἄνθρωποι οὐχὶ φθεγγόμενοι, ἀλλὰ καὶ σιγῶντες δι' ἑτέρων δοξάζουσι τὸν Θεόν. διὸ καὶ ὁ Χριστὸς ἔλεγε, λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων,

ὅπως ἴδωσι τὰ καλὰ ἔργα ὑμῶν, καὶ δοξάσωσι τὸν πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς. ὥσπερ οὖν τις ὁρῶν βίον λάμποντα, καὶ σιγῶντος τοῦ βιοῦντος, δόξαν ἀναφέρει τῷ Θεῷ· οὕτω δὴ καὶ ὁ κάλλος ὁρῶν τοῦ οὐρανοῦ, δοξάζει τὸν ποιήσαντα. διὸ τοῦτο ἔλεγεν, οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ, διὰ τῶν θεατῶν. ἡμέρα τῇ ἡμέρᾳ ἐρεύγεται ῥῆμα, καὶ νὺξ νυκτὶ ἀναγγέλλει γνῶσιν. γνῶσιν; ποίαν; τὴν περὶ τοῦ ποιήσαντος. ὥσπερ γὰρ ἡ ἡμέρα εἰς ἐργασίαν ἐξάγει τὸν ἄνθρωπον, οὕτως ἡ νὺξ διαδεχομένη, ἀπὸ τῶν μυρίων ἀναπαύει μόχθων, καὶ τῶν φροντίδων ἀφίησι καὶ κάμνουσαν τὴν κόρην κοιμίζουσα, καὶ τὰ βλέφαρα καταστέλλουσα, ἀκμαζούσῃ τῇ δυνάμει παρασκευάζει τῆς ἀκτῖνα δέχεσθαι πάλιν. ὥστε καὶ ταύτης οὐκ ὀλίγον τὸ χρήσιμον, ἀλλὰ καὶ σφόδρα πολύ. εἰ γὰρ μὴ διανέπαυε τὸν ἄνθρωπον ἀπὸ τῶν μυρίων μόχθων ὑποδεχομένη, οὐδὲν ὄφελος ἦν τῆς ἡμέρας εἰς ἐργασίαν αὐτὸν εἰσαγαγούσης. τῆς γὰρ φύσεως ἀπαγορευούσης τῷ διηνεκεῖ πόνῳ διεφθάρη ἄν, καὶ ἀπώλετο τὸ ζῶον, καὶ οὐδὲν αὐτῷ πλέον ἐκ τῆς ἀκτῖνος ἐγένετο. ἡ τοίνυν ποιοῦσα τὴν ἡμέραν χρήσιμον τῷ ἀνθρώπῳ, αὕτη μάλιστά ἐστιν, ἡ διὰ τῆς οἰκείας διακονίας τὸν ἀπολαύοντα τῆς χορείας αὐτῆς πρὸς τὴν τοῦ Θεοῦ γνῶσιν χειραγωγοῦσα. ὅταν γὰρ ἐννοήσῃ τις, πόσον μὲν τὸ χρήσιμον τῆς ἡμέρας, πόσον δὲ τὸ τῆς νυκτός, καὶ πῶς αὕτη διαδέχεται ἐκείνην, καὶ ἐναλλάξ, ὥσπερ ἐν τινὶ χορῷ, τὸ γένος ἡμῶν ἀμοιβαδὸν διαδεχόμεναι διατηροῦσι, κἂν ἁπάντων ἀνθρώπων νωθέστερος ᾖ, δυνήσεται τὸν οἰκεῖον λογισμὸν ἀνακινῶν, εἰδέναι τοῦ ἀριστοτέχνου Θεοῦ τὴν σοφίαν, ἣν διὰ τῆς ἡμέρας καὶ τῆς νυκτὸς ἐπεδείξατο, ἐκείνην μὲν εἰς ἐργασίαν, ταύτην δὲ εἰς ἄνεσιν τῶν πόνων ἀποκληρώσας ἡμῖν. ἀλλὰ ταῦτα μὲν ἐκ τῶν προοιμίων ἅπαντα εἰπεῖν ἐξέβημεν· ἐπειδὴ δὲ τῶν σήμερον ἡμῖν ἀναγνωσθέντων τινὰ πολλοὺς τῶν οὐ προσεχόντων ἴσως ἐθορύβησε, καὶ τῶν ἀπείρως γραφὰς ἐχόντων, φέρε δή, πολλῇ τῇ ῥύμῃ πρὸς ταῦτα χωρήσωμεν. ἀνεγνώσθη μὲν γὰρ καὶ ἡ αἱμορροοῦσα ἡ τῇ ἁφῇ τὰς πηγὰς τῶν αἱμάτων στήσασα, καὶ τῇ τῆς πίστεως δυνάμει τοσοῦτον συλήσασα θησαυρὸν (καὶ γὰρ ἦν κλοπὴ τὸ γινόμενον· ἀλλὰ καὶ κλοπὴ εὐδοκιμοῦσα, καὶ ἡ συλήσασα μετὰ τὸν ἔλεγχον ἐπαινουμένη. αὐτὸς γὰρ ὁ συληθεὶς Ἰησοῦς ἀνακηρύττει

A vt videant opera vestra bona, & glorificent patrem vestrũ, qui in cœlis est. Vt igitur cum quis vitam lucentem videt, etiam illo tacente qui viuit, gloriam & laudem offert Deo: sic nimirum & is qui cœli pulchritudinem intuetur, glorificat conditorem. Propterea dicebat: Cœli enarrant gloriam Dei, per spectatores: Dies diei eructat verbum, & nox nocti indicat scientiam. Scientiam, quamnam? illam nimirum de cõditore. Vt enim dies ad operationẽ hominem educit, ita succedens nox ab innumeris illi requiem dat laboribus, curis eum B leuat, oculos fatiscentes consopit, palpebras comprimit, efficitque vt instauratis viribus radios Solis rursus excipiat. Itaque non exigua huius quoque est vtilitas, immò etiam magna. Nisi enim succedens innumeris à laboribus homini requiem aliquam daret, nihil dies illi prodesset, quæ ad operationem illum eduxit: quippe natura deficiente, laborum continuitate confectũ animal istud periret, nec vllam ei lucis vsura commoditatem afferret. Ea igitur est præsertim, quæ diem homini vtilem reddit, quæ ministerio suo ad cognitio- C nem Dei prouehit eũ, qui chorea ipsius perfruitur. Cum enim apud se perpenderit, quanta diei sit vtilitas, quanta noctis, & quo pacto hæc illi succedit, & variatis vicibus velut in choro quopiam alternatim sibi succedentes nostrum genus conseruant, quamuis omnium hominum stupidissimus fuerit, excitata sua ratione summi opificis Dei sapientiã nosse poterit, quàm per diem ac noctem ostendit, dum illam nobis ad operationem, hanc ab laborum relaxationem attribuit. Verumenimuero ad hæc omnia dicenda iam inde aborationis exordio digressi sumus: quoniam D autem ex his quæ hodierno die lecta sunt, nonnulla multos ex iis qui minus animũ attẽdunt forte perturbauerunt, cósque qui in Scripturis parum versati sunt: age magna animi propensione ac studio gradũ ad ista faciamus. Lecta enim est etiam naratio de muliere, quæ sanguinis fluxum patiebatur, quæque fontem sanguinis tactu repressit, ac fidei virtute tantum thesaurum deprædata est, furtum enim fuit illud factum, sed laude dignum, & vbi deprehensa est, quæ rapuerat, commendata est: quippe Iesus, ipse qui furtũ passus erat,

[Psal. 18. 3.]

[Matth. 9. 20.]

mulierculam collaudauit: lecta sunt etiam stigmata Pauli, vulnera, carceres, abductiones ad iudicia, naufragia, vincula, catenæ, insidiæ diuersæ ac concinuæ, quotidianęque mortes, fames, sitis, nuditas, instantia quotidiana. Sed quid faciam? magno cum impetu me proripiens hinc aufugiam necesse est, ne rursus nos detinens Paulus à proposito argumento nos abducat. Nam vt scitis sæpenumero alibi me incedentem & conuersum occurrens in medio sermone detinuit, & ita cepit, vt in ipso finire sermonem suaderet. Ne igitur id hodie quoque nobis accidat, tanquam violenter iniecto fræno illuc tendenti orationi, sic illam trahamus & ad hoc dictum propheticũ reducamus. Quódnam igitur illud est? *Ego Dominus*, inquit, *qui feci lucem & tenebras, faciens pacem, & creans mala.* Videtis non temerè neque frustra nos ad hunc locum instituisse cursum, verùm omnibus prætermissis huc peruenire studuisse? Neque enim mediocrem ei qui minus attentus fuerit, perturbationem afferunt ista verba. Quamobrem attendite quæso animum, & aures erigite, ac seculari omni reiecta sollicitudine, quæ dicuntur, aduertite. Hanc enim iam vobis cupio mercedem vestri huc aduentus persoluere, ac spiritualibus exaturatos eduliis ita domum vos remittere, vt qui abfuerunt, quantam iacturam fecerint, reipsa discant. Scient autem si cum attentione quæ dicemus exceperitis, atque ad illos transmittere potueritis. *Ego Dominus Deus, qui feci lucem, & tenebras, faciens pacem, & creans mala.* Assidue dictum istud repeto, vt in vestris animis defigatur, ac deinde solutio adhibeatur. Neque verò solus hoc iste dicit, sed & alius concinens huic propheta dicebat: Si est malitia in ciuitate, quàm non fecit Dominus. Quid ergo sibi vult quod dictum est? vnam enim omnibus oportet solutionem adhibere. Quænam igitur est solutio? Si vim dictionum illarum didicerimus. Verùm attendite diligenter: non enim temerè, nec frustra vos ad hoc assidue cohortamur, sed quoniam iam ad abstrusas grauésque sententias gradum facimus. Rerum aliæ quidem bonæ sunt, aliæ malæ, aliæ mediæ siue indifferentes: quarum nonnullæ multis malæ videntur,

Gal. 6.17. Esa. 45.7. Amos 3.6.

A τὸ γενναῖον) ἀνεγνώσθη καὶ τὰ στίγματα Παύλου, τὰ τραύματα, τὰ δεσμωτήρια, αἱ ἀπαγωγαί, τὰ ναυάγια, τὰ δεσμά, αἱ ἁλύσεις, αἱ ἐπιβουλαί, αἱ ποικίλαι καὶ διηνεκεῖς, οἱ θάνατοι οἱ καθημερινοί, ὁ λιμός, τὸ δίψος, ἡ γυμνότης, ἡ ἐπισύστασις ἡ καθημέραν. ἀλλὰ τί πάθω; ἀνάγκη φυγεῖν πολλῇ τῇ σφοδρότητι χρησάμενον, μὴ πάλιν ὁ Παῦλος κατασχὼν, ἀπαγάγῃ τοῦ προκειμένου. καὶ γὰρ ἴστε, πολλάκις ἑτέρωσε με βαδίζοντα καὶ τετραμμένον ἀπαντήσας ἐν μέσῳ τοῦ λόγου κατέσχε, καὶ οὕτως εἷλεν, ὡς ἐν αὐτῷ πεῖσαι καταλῦσαι τὸν λόγον. ἵν' οὖν μὴ καὶ σήμερον τοῦτο B πάθωμεν, καθάπερ χαλινὸν ἐκφέρει φερομένῳ τῷ λόγῳ μετὰ πολλῆς τῆς σφοδρότητος ἐμβαλόντες, οὕτως αὐτὸν ἑλκύσωμεν, καὶ ἐπὶ τὴν προφητικὴν ἀγάγωμεν ῥῆσιν. τίς οὖν ἐστιν ἡ ῥῆσις; ἐγὼ κύριος, φησὶν, ὁ ποιήσας φῶς καὶ σκότος, ὁ ποιῶν εἰρήνην, καὶ κτίζων κακά. ὁρᾶτε ὡς οὐκ εἰκῇ οὐδὲ μάτην ἐπὶ τὸ χωρίον τοῦτο τὸν δρόμον ἐποιησάμεθα· ἀλλὰ πάντα τὰ ἄλλα παρατρέχοντες, ἐν τούτῳ ἀπαντῆσαι ἐσπουδάζομεν. καὶ γὰρ πολὺν τῷ μὴ προσέχοντι τὸν θόρυβον ἐμποιεῖ τὸ εἰρημένον. διαναστῆτε τοίνυν καὶ συντείνατε C τὴν ἀκοὴν, καὶ πᾶσαν βιωτικὴν φροντίδα ἐκβαλόντες, προσέχετε τοῖς λεγομένοις. καὶ γὰρ βούλομαι τοῦτον νῦν ὑμῖν τῆς ἐνταῦθα προεδρίας τὸν μισθὸν ἀποδοῦναι, καὶ τῶν πνευματικῶν ἐμπλήσας ἐδεσμάτων, οὕτως ἐκπέμψαι· ὥστε καὶ τοὺς ἀπολειφθέντας ἔργῳ μαθεῖν ἡλίκην ὑπέμειναν ζημίαν. εἴσονται δὲ, εἰ μετὰ ἀκριβείας ὑποδεξάμενοι τὰ λεγόμενα, καὶ πρὸς ἐκείνους διαβιβάσαι δυνηθείητε. ἐγὼ κύριος ὁ Θεὸς ὁ ποιήσας φῶς καὶ σκότος, ὁ ποιῶν εἰρήνην, καὶ κτίζων κακά. συνεχῶς αὐτὸ περιστρέφω, ὥστε ἐντεθῆναι ὑμῶν D τῇ διανοίᾳ, καὶ τότε τὴν λύσιν ἐπαγαγεῖν. οὐδὲ γὰρ οὗτος μόνος τοῦτό φησιν, ἀλλὰ καὶ ἕτερος προφήτης συνῳδὰ ἀποφθεγγόμενος ἔλεγεν· εἰ ἔστι κακία ἐν πόλει, ἣν κύριος οὐκ ἐποίησε; τί οὖν ἐστι τὸ εἰρημένον; ἅπασι γὰρ δεῖ μίαν λύσιν ἐπαγαγεῖν. τίς οὖν ἐστιν ἡ λύσις; εἰ μάθοιμεν τῶν λέξεων τούτων τὴν δύναμιν. ἀλλὰ προσέχετε μετὰ ἀκριβείας. οὐ γὰρ εἰκῇ, οὐδὲ μάτην συνεχῶς τοῦτο ὑμῖν παραγγέλλομεν, ἀλλ' ἐπειδὴ πρὸς τὸ βάθος τῶν νοημάτων λοιπὸν χωροῦμεν. τῶν πραγμάτων τὰ μέν ἐστι καλὰ, τὰ δὲ κακὰ, τὰ δὲ μέσα· ὧν ἔνια πολλοῖς μὲν εἶναι δοκεῖ κακὰ, οὐκ

οὐκ ἔστι δὲ, ἀλλὰ λέγεται μόνον καὶ ὑποπτεύεται. ἀλλ' ἵνα σαφέστερον ὃ λέγω ποιήσω, φέρε καὶ ἐπὶ παραδειγμάτων τὸν λόγον γυμνάσωμεν. ἡ πενία δοκεῖ μὲν πολλοῖς εἶναι κακὸν, οὐκ ἔστι δέ· ἀλλ' εἴ τις νήφοι καὶ φιλοσοφῇ, καὶ κακῶν ἀναιρετικήν. ὁ πλοῦτος πάλιν δοκεῖ μὲν πολλοῖς εἶναι καλὸν, οὐκ ἔστι δὲ ἁπλῶς καλὸν, εἰ μή τις εἰς δέον αὐτῷ κεχρημένος εἴη. εἰ γὰρ ἁπλῶς καλὸν ἦν ὁ πλοῦτος, ἔδει καὶ τοὺς ἔχοντας αὐτὸν εἶναι καλούς. εἰ δὲ οὐ πάντες οἱ πλουτοῦντες ἐνάρετοι, ἀλλ' οἱ καλῶς τῷ πλούτῳ κεχρημένοι, εὔδηλον ὅτι οὐχ ἁπλῶς αὐτὸ καθ' ἑαυτὸ ὁ πλοῦτος καλὸν, ἀλλ' ὕλη τίς ἐστιν ἀρετῆς ἐν τῷ μέσῳ κειμένη. σκόπει δέ· εἰσὶν ἐν τῷ σώματι ποιότητες, ἃς οἱ ἔχοντες ἀπ' αὐτῶν καλοῦνται. οἷόν τι λέγω· τὸ λευκὸν οὐκ ἔστιν οὐσία, ἀλλὰ ποιότης, καὶ συμβεβηκὸς ἐπιγινόμενον τῇ οὐσίᾳ. ᾧ οὖν τινι προσγένηται τοῦτο, λευκὸν τὸν τοιοῦτον καλοῦμεν. ἔστιν ἀρρωστία πάλιν καὶ αὐτὴ ποιότης τις οὖσα καὶ συμβεβηκός· κἄν τινι προσγένηται, ἄρρωστον τὸν τοιοῦτον καλοῦμεν. εἰ τοίνυν καὶ ὁ πλοῦτος ἦν ἀρετὴ, ἔδει τὸν ἔχοντα τὸν πλοῦτον ἐνάρετον εἶναι καὶ λέγεσθαι. εἰ δὲ οὐ πάντως ὁ πλούσιος ἐνάρετος, οὐκ ἀρετὴ, οὐδὲ καλὸν ὁ πλοῦτος ἁπλῶς, ἀλλὰ κατὰ τὴν γνώμην τοῦ χρωμένου τοῦτο γίνεται. πάλιν ἡ πενία εἰ κακὸν ἦν, ἔδει τοὺς ἐν πενίᾳ ἅπαντας εἶναι κακούς. εἰ δὲ πολλοὶ τῶν ἐν πενίᾳ ὄντων, τῶν οὐρανῶν ἐπελάβοντο, οὐκ ἄρα ἡ πενία κακόν. τί οὖν ὅτι πολλοὶ βλασφημοῦσι διὰ τὴν πενίαν, φησίν; οὐ διὰ τὴν πενίαν, ἀλλὰ διὰ τὴν οἰκείαν ἀφροσύνην τε καὶ μικροψυχίαν τοῦτο ποιοῦσι. καὶ τούτων ἀπόδειξις ὁ μακάριος Ἰὼβ, ὃς ἐν ἐσχάτῃ πενίᾳ ὢν, καὶ πρὸς αὐτὸ τῆς πενίας κατενεχθεὶς τὸ βάραθρον, οὐ μόνον οὐκ ἐβλασφήμησεν, ἀλλ' εὐλογῶν τὸν Θεὸν διετέλει, λέγων· ὁ κύριος ἔδωκεν, ὁ κύριος ἀφείλετο· ὡς τῷ κυρίῳ ἔδοξεν, οὕτω καὶ ἐγένετο· εἴη τὸ ὄνομα κυρίου εὐλογημένον εἰς τοὺς αἰῶνας. ἀλλὰ καὶ διὰ τὸν πλοῦτον πολλοί, φησιν, ἁρπάζουσι καὶ πλεονεκτοῦσιν. ἀλλ' οὐ διὰ τὸν πλοῦτον, ἀλλὰ διὰ τὴν οἰκείαν ἀφροσύνην. καὶ τούτου μάρτυς πάλιν ὁ αὐτὸς ἄνθρωπος ἐστὶν, ὃς ἐν τοσούτῳ πλούτῳ οὐ μόνον οὐχ ἥρπασε τὰ ἑτέρων, ἀλλὰ καὶ τὰ οἰκεῖα * * λείπει * * καὶ λιμένα τοῖς ξένοις κατεσκεύαζεν, οὕτω λέγων·

licet non sint, aliæ dicuntur tantum & existimantur. Sed vt quod à me dicitur dilucidius fiat, age firmatũ exẽplis sermonem instituamus. Paupertas multis quidẽ malũ videtur, verum nõ est: quin etiã si quis prouidus sit & sibi attentus mala tollẽdi vim habet. Diuitiæ rursus bonũ quidem videntur esse, tamen absolutè bonum minimè sunt, nisi quis vt oportet iis vtatur. Nam si absolutè bonum essent diuitiæ, bonos esse oporteret qui eas possidet: sin autem non omnes diuites virtute sunt præditi, liquet diuitias simpliciter ac per se bonas non esse, verum in medio positam materiam quandã esse virtutis. Sic autem rem expende. Sunt in corpore qualitates, quas qui habent tales ab iis appellantur. Exempli causa: Candor substantia non est, sed qualitas, & accidens quod aduenit substantiæ. Ergo si cui adnascatur hoc, candidum eiusmodi hominem appellamus. Est præterea ægritudo & ipsa qualitas quædam & accidens, ac si cui adueniat talem ægrotum vocamus. Si ergo diuitiæ virtus essent, eum qui diuitias possidet, virtute præditum esse oporteret ac dici: quod si non omnino virtute prẽditus est diues, nõ simpliciter aut virtus aut bonũ sunt diuitiæ, sed id fiunt, prout affectus fuerit eius animus qui eis vtitur. Rursus paupertas si malũ esset, omnes qui in paupertate degunt, oporteret esse malos: sin autẽ multi eorum qui paupertate premuntur, cœlum occuparunt, nõ est vtique malum paupertas. Quid quod multi propter paupertatem blasphemant? dicet aliquis. Non propter paupertatẽ, sed propter inscitã suam & pusillanimitatẽ ad agunt. Atque hoc ex beati Iob exẽplo patet, qui cũ ad extremã paupertatẽ redactus esset, & ad ipsum paupertatis barathrũ deuolutus non solum minimè blasphemauit, sed Deũ benedicere nõ cessauit, his verbis vtens: Dominus dedit, Dominus abstulit: sicut Domino placuit ita factum est: sit nomen Domini benedictũ in secula. *Iob I.a.* Atenim ob diuitias etiã multi rapiũt & aliena inuadunt: verum nequaquã id ob diuitias fit, sed ob ipsorum stultitiã: atque huius rei testis nobis erit hic ipse vir, qui cùm tot opibus abundaret, non modo res aliorum non rapuit, sed etiam propria.

Desunt nonnulla. * &

peregrinis portum parabat, sic dicens:

Iob.31.32.

Domus mea omni peregrino patuit. Abrahã quoq; cum eiusmodi opes possideret in prætereũtes omnia expendebat, & neq; hunc neque illũ fraudatorẽ aut auarũ diuitiæ reddiderunt, vt neque blasphemũ paupertas aut illũ aut Lazarum: sed cum neque necessaria vtrique suppeterent alimenta, sic illustres fuerunt, vt alter Dei testimonio commendaretur, quasi manifestè nosset arcana: alter autẽ ab Angelis antecedentibus hinc auferretur, & contubernalis fieret patriarchæ, iisdémq; bonis quibus ille frueretur. Itaque mediæ res sunt & indifferẽtes istæ, paupertas & diuitiæ, sanitas & morbus, vita & mors, gloria & honor, seruitus & libertas, & quæcunque sunt eiusmodi: nõ enim omnia sunt percurrẽda, ne prolixior fiat oratio, sed vobis ex his data occasione, ad ea quæ nos vrgent, dicenda pergendũ est. Da enim, inquit, sapienti occasionẽ, & sapientior erit.

Prou.9.9.

Igitur res mediæ sunt hæc omnia: sic vt his in bonũ & in malũ homines vti possint. Quod enim hæ res sint mediæ vt diuitiæ, ostendit Abrahã, qui vt opus erat ipsis est vsus: ostẽdit & ille qui Lazari vixit ætate diues, qui in capitis sui perniciẽ facultates impẽdit. Neque bonum igitur absolutè sunt diuitiæ neque malum. Si absolutè malum essẽt, neque res mediæ, diues ille qui ætate Lazari vixit, tã graui supplicio punitus nõ esset. Si malum essent, Abrahã, qui diues fuit, tantã gloriã consequutus nõ esset. Tale quid est etiã morbus. Nam si malũ esset morbus, oporteret & malũ esse, qui correptus eo esset. Itaq; Timotheus: quoq; malus esse debuisset, qui morbo grauissimo cõflictabatur.

1.Tim.5.23

Vino enim modico vtere, inquit, propter stomachũ, & frequẽtes tuas infirmitates. quod si nõ modo malus idcirco nõ fuit, sed & mercedis nõ mediocris accessionẽ accepit, vbi patiẽter ĩfirmitatẽ illã tulit, morbũ vtiq; malũ nõ esse manifestũ est. Alius quoq; propheta oculis perpetuò laborabat: nec tamẽ propter hoc malus erat, sed & prophetabat, & futura præuidebat, neq; morbus illi aliquid ad virtutẽ impedimẽtum afferebat. At neq; sanitas absolutè bonũ est, nisi quis ea vt oportet, nõ ad improbum facinus vel ad inutile otium vtatur: neq; enim crimine hoc ipsum vacat. Quocirca Paulus etiã dicebat: Si quis non vult operari, nec manducet.

2.Thess.3.10.

Verum hæc media sunt & indifferentia, & pro ratione eorum qui eis vtuntur

A ἡ οἰκία μου παντὶ ξένῳ ἐλθόντι ἀνέῳκτο. καὶ ὁ Ἀβραὰμ πλοῦτον τοσοῦτον ἔχων, τοῖς παριοῦσι πάντα ἐδαπάνα· καὶ οὔτε τοῦτον, οὔτε ἐκεῖνον πλεονέκτην ὁ πλοῦτος ἐποίησεν, ὥσπερ οὐδὲ βλάσφημον οὔτε ἐκεῖνον, οὔτε τὸν Λάζαρον ἡ πενία· ἀλλ' οὕτω διέλαμψαν ἑκάτεροι, μηδὲ τῆς ἀναγκαίας εὐποροῦντες τροφῆς, ὡς τὸν μὲν παρὰ τοῦ Θεοῦ δέξασθαι τὴν μαρτυρίαν, ὅτι τὰ ἀπόρρητα σαφῶς εἰδότος, τὸν δὲ ὑπὸ τῶν ἀγγέλων προηγουμένων οὕτως ἐντεῦθεν ἀπενεχθῆναι, καὶ ὁμόσκηνον τῷ πατριάρχῃ γενέσθαι, καὶ τῶν ἀγαθῶν ἀπολαύειν, ὧν ἐκεῖνος. B ἄρα τῶν μέσων ταῦτά ἐστι, πενία καὶ πλοῦτος, ὑγίεια καὶ νόσος, καὶ ζωὴ καὶ θάνατος, δόξα καὶ τιμὴ, δουλεία καὶ ἐλευθερία, καὶ ὅσα τοιαῦτα. οὐ γὰρ δεῖ πάντα ἐπιέναι, ὥστε μὴ μηκύνειν τὸν λόγον· ἀλλὰ ἐν τούτοις παρέχοντα ὑμῖν ἀφορμὰς ἐπὶ τὰ κατεπείγοντα βαδίζειν. δίδου γὰρ, φησι, σοφῷ ἀφορμὴν, καὶ σοφώτερος ἔσται. ἄρα τῶν μέσων ταῦτα ἐστὶ πάντα, ὡς τούτοις καὶ εἰς καλὸν, καὶ εἰς κακὸν, οἱ χρώμενοι δύναιντ' ἄν. ὅτι γὰρ τῶν μέσων ἐστὶ ταῦτα, ὧν ὁ πλοῦτος, ἔδειξεν ὁ Ἀβραὰμ, εἰς δέον αὐτῷ χρη- C σάμενος· ἔδειξε δὲ καὶ ἐπὶ τοῦ Λαζάρου ὁ πλούσιος, ἐπὶ ἀπωλείᾳ τῆς ἑαυτοῦ κεφαλῆς τὰ ὄντα δαπανήσας. οὔτε οὖν καλὸν ἁπλῶς ὁ πλοῦτος, οὔτε κακόν. εἰ καλὸν ἦν ἁπλῶς, ἀλλ' οὐχὶ μέσον, οὐκ ἂν ὁ ἐπὶ τοῦ Λαζάρου πλούσιος τοιαῦτα ἐκολάζετο· εἰ κακὸν ἦν, οὐκ ἂν Ἀβραὰμ οὕτως εὐδοκίμησε πλούσιος ὤν. τοιοῦτόν τι καὶ ἡ νόσος ἐστίν. εἰ γὰρ κακὸν ἦν ἡ νόσος, ἔδει καὶ τοῦτον κακὸν εἶναι τὸν ἔχοντα. ἄρα καὶ Τιμόθεος ἔμελλεν εἶναι κατὰ τοῦτο κακὸς, ἐσχάτῃ νόσῳ παλαίων. οἴνῳ γὰρ ὀλίγῳ χρῶ, φησι, διὰ τὸν στόμαχόν σου, καὶ τὰς πυκνάς σου ἀσθενείας. εἰ δὲ οὐ D μόνον κακὸς οὐκ ἦν ἐντεῦθεν, ἀλλὰ καὶ πολλοῦ μισθοῦ προσθήκην ἐλάμβανε, γενναίως τὴν ἀρρωστίαν ἐνέγκας, εὔδηλον ὅτι οὐ κακὸν ἡ νόσος, καὶ ἕτερος δὲ προφήτης τοὺς ὀφθαλμοὺς νοσῶν διετέλει· ἀλλ' οὐ κατὰ τοῦτο κακὸς, ἀλλὰ καὶ προεφήτευε, καὶ τὰ μέλλοντα προεώρα, καὶ οὐδὲν ἡ νόσος εἰς τὴν ἀρετὴν ἐγένετο κώλυμα. ἀλλ' οὐδὲ ἡ ὑγίεια ἁπλῶς καλὸν, ἂν μή τις εἰς δέον κεχρημένος αὐτῇ εἴη, ἀλλ' εἰς ἐργασίαν πονηρὰν, ἢ εἰς ἀργίαν ἀνόνητον. οὐδὲ γὰρ τοῦτο ἀθῷον. διὸ καὶ ὁ Παῦλος ἔλεγεν, εἴ τις οὐ θέλει ἐργάζεσθαι, μηδὲ ἐσθιέτω. ἀλλὰ ταῦτα τῶν μέσων ἐστὶ, παρὰ τοὺς χρωμένους

ποτὲ μὲν τοῦτο, ποτὲ δὲ ἐκεῖνο γινόμενα. καὶ τί δεῖ λέγειν ὑγίειαν, καὶ νόσον, καὶ πλοῦτον, καὶ πενίαν; αὐτὸ γὰρ τοῦτο, ὃ δοκεῖ τοῖς πολλοῖς εἶναι τῶν ἀγαθῶν κεφάλαιον, καὶ τῶν κακῶν ὁ κολοφὼν, ὁ θάνατος λέγω καὶ ἡ ζωὴ, οὐδὲ ταῦτα ἁπλῶς ἐστιν, ἀλλὰ καὶ ταῦτα τῶν μέσων, παρὰ τὴν γνώμην τῶν χρωμένων ἑκάτερα ταῦτα γινόμενα. οἷόν τι λέγω· τὸ ζῆν καλὸν, ὅταν εἰς δέον χρώμενος αὐτῷ τις εἴη· ὅταν δὲ εἰς ἁμαρτήματα καὶ παρανομίας, οὐκέτι ἂν εἴη καλὸν, ἀλλὰ βέλτιον τὸν τοιοῦτον τελευτῆσαι. πάλιν ὃ τοῖς πολλοῖς φρικτὸν εἶναι δοκεῖ, μυρίων ἀγαθῶν γένοιτ' ἂν αἴτιον, ὅταν αἰτίαν ἔχῃ τὴν προσήκουσαν. καὶ δηλοῦσιν οἱ μάρτυρες, οἳ πάντων εἰσὶ διὰ τὴν τελευτὴν μακαριώτεροι. διὰ δὴ τοῦτο ὁ Παῦλος οὐχ ἁπλῶς ἐπεθύμει ζῆν ἐν Χριστῷ, ἀλλ' ἐπειδὴ τοῦτο αὐτῷ καρπὸς ἔργου. καὶ τί αἱρήσομαι γὰρ, φησὶν, οὐ γνωρίζω· συνέχομαι δὲ ἐκ τῶν δύο, τὴν ἐπιθυμίαν ἔχων τὸ ἀναλῦσαι καὶ σὺν Χριστῷ εἶναι (πολλῷ γὰρ μᾶλλον κρεῖσσον) τὸ δὲ ἐπιμεῖναι τῇ σαρκὶ ἀναγκαιότερον δι' ὑμᾶς. διὰ δὴ τοῦτο καὶ ὁ προφήτης, τίμιος ἐναντίον κυρίου ὁ θάνατος τῶν ὁσίων αὐτοῦ. οὐχ ἁπλῶς ὁ θάνατος, ἀλλ' ὁ τοιόσδε θάνατος. καὶ πάλιν ἀλλαχοῦ, θάνατος ἁμαρτωλῶν πονηρός. ὁρᾷς καὶ τοῦτο τῶν μέσων, οὐχ ἁπλῶς καλὸν, οὐδὲ ἁπλῶς κακὸν, ἀλλ' ἀπὸ τῆς γνώμης τῶν ὑποδεχομένων αὐτό. διὰ δὴ τοῦτο καὶ ὁ σοφώτατος Σολομὼν, τὸ μέσον τούτων τὸ χρήσιμον καταλέγων, καὶ φιλοσοφῶν περὶ αὐτῶν, καὶ δεικνὺς ὅτι οὐχ ἁπλῶς τοῦτο καλὸν, κἀκεῖνο κακὸν, ἀλλὰ μετὰ καιροῦ τοῦ προσήκοντος γίνεται καλὰ, κἂν φορτικὰ εἶναι δοκῇ, ὅταν τὸν καιρὸν μὴ ἔχῃ τὸν προσήκοντα, καιρὸς τοῦ κλαῦσαι, καὶ καιρὸς τοῦ γελάσαι, ἔλεγε, καιρὸς τοῦ ζῆσαι, καὶ καιρὸς τοῦ ἀποθανεῖν. οὐδὲ γὰρ πανταχοῦ τὸ χαίρειν καλὸν, ἀλλ' ἔστιν ὅπου καὶ βλαβερόν· οὔτε πανταχοῦ τὸ ἀλγεῖν καλὸν, ἀλλ' ἔστιν ὅπου καὶ θανάσιμον, καὶ ὀλέθριον. καὶ τοῦτο αὐτὸ πάλιν δεικνὺς ὁ Παῦλος ἔλεγεν· ἡ κατὰ Θεὸν λύπη μετάνοιαν εἰς σωτηρίαν ἀμεταμέλητον κατεργάζεται· ἡ δὲ τοῦ κόσμου λύπη θάνατον κατεργάζεται. ὁρᾷς καὶ τοῦτο τῶν μέσων ὄν; οὐκοῦν καὶ τὸ ἐναντίον αὐτοῦ τῶν μέσων, τὸ χαίρειν λέγω. διὰ τοῦτο οὐχ ἁπλῶς χαίρειν ἐκέλευσεν, ἀλλὰ χαίρειν ἐν κυρίῳ. ἀλλ' ὁ μὲν τῶν μέσων λόγος ἱκανῶς ἡμῖν διευκρίνηται,

A aliquando hoc, aliquando illud fiunt. Quid verò attinet sanitatem commemorare ac morbum, diuitias & paupertatem? hoc enim ipsum, quod vulgo bonorum omnium caput censetur, & malorum Colophon, mors inquam & vita, neque sunt hęc absolutè, sed & ipsa media sunt, & prout eorũ fert animus, qui eis vtuntur, alterutra fiũt. Exempli causa: bonũ est viuere, si quis eo vt oportet vtatur: cum verò ad peccata vel iniquitates, nõ iam bonum est, sed multò melius fuerit, vt qui eiusmodi est, moriatur. Rursus illud, quod fugiendũ multi censent, innumera nobis bona cõciliat, dũ conuenientē causam habet adiunctam. B Argumento sunt Martyres, qui propter mortē omnium sunt felicissimi. Propter hoc nimirum Paulus nõ simpliciter viuere in Christo cupiebat, sed quoniam hoc illi operis fruct⁹ erat, Etenim quid, eligam, inquit, ignoro: Coarctor autem è duobus: desiderium enim habens dissolui, & esse cum Christo, (valde enim multò melius) permanere autē in carne magis necessarium propter vos: ob hoc ipsum quoque dicebat Propheta, Preciosa in cõspectu Domini mors sanctorum eius: nõ simpliciter mors, sed mors eiusmodi. Et rursus alibi, Mors peccatorũ pessima. Vides hoc quoque medium C esse, nec absolutè bonum, nec item absolutè malum, sed pro ratione animi & affectus eorũ à quibus illud excipitur? Idcirco nimirũ & sapientissimus Salomon, dum vtilitatem cõmemorat, quæ in medio istorũ est posita, & de his philosophatur, ostenditque non hoc absolutè bonũ esse, & illud malum, sed cõuenięti cum tempore fieri bona, licet molesta esse videantur; & mala, licet iucunda esse videantur, cùm minimè conuenienti fiunt tempore, dicebat: Tempus flendi, & tempus ridēdi: tempus viuendi, & tēpus moriendi. Neque enim semper gaudere bonũ est, sed aliquãdo etiã D noxiũ, neq. semper dolere bonũ est, sed aliquando etiã lethale ac perniciosum, Atque hoc ipsum rursus indicãs Paulus dicebat: Nam quæ secundũ Deum tristitia est, pœnitentiã in salutē stabilem operatur: seculi autē tristitia mortem operatur. Vides hoc quoq. mediũ atq. indifferēs esse? igitur & cõtrariũ eius est mediũ, nimirũ gaudere. quē ob causã nõ simpliciter gaudere iussit, sed in Domino gaudere. Verùmenimuero satis iã sermonē hunc de rebus mediis enucleauimus,

Phil.1.22. Psal.115.5. Psal.33.22. Eccles.3.4. 2.Cor.7.10. Phil.4.4.

si quidem attentos nacti fuerimus auditores, restat vt ad ea progrediamur, quæ non sunt media, sed bona, quæ fieri mala non possunt, & ad mala, quæ nunquam fieri possunt bona. Nam ea quidem quæ diximus, nonnunquam hoc, nonnunquam illud fiunt, quemadmodum diuitiæ nonnunquam malum sunt, cum ad aliena bona vsurpanda insumuntur: nonnunquam bonum, cum in eleemosynã expenduntur, & alia huiusmodi iuxta hanc regulã. Sunt autem nonnulla, quæ nunquam fieri possunt mala: quæ verò sunt his contraria, semper mala sunt, nec vnquam fieri bona possunt: cuiusmodi censentur impietas, blasphemia, lasciuia, crudelitas, inhumanitas, ingluuies, & alia eiusmodi. Non dico malum hominem nunquam fieri posse bonum, neque bonum, fieri malum haud vnquã posse: sed res ipsas fieri tales non posse. Enimuero hæ in suo manentes ordine aliæ bonæ sunt, aliæ malæ: homo verò, quando illa quidem elegerit, bonus: quando verò contraria, malus erit. Igitur tres sunt isti rerum ordines: bona quidem nunquam fieri possunt mala, cuiusmodi sunt, temperantia, misericordia in egenos, & talia eiusmodi: mala verò nunquam fieri possunt bona, vt lasciuia, inhumanitas, & crudelitas: quędã autem aliquando hoc, aliquãdo illud fiunt pro ratione animi & affectus eorum, qui eis vtuntur. Diuitiæ nonnunquã ad aliena bona inuadēda inseruiũt, nonnunquã ad eleemosynã impertiendã: verùm id fit ex animo & affectu eius, qui eis vtitur. Paupertas nonnunquã ad blasphemiã, nonnunquã ad benedictionē ac patientiam inseruit. Quoniam igitur insipientiores nõ pauci (iã enim ab solutionē veniendũ est) nõ solũ mala, quæ nunquã bona fieri posũt, sed etiã ex iis quæ media sũt nõnulla vocãt mala, queãdmodũ paupertatē, captiuitatē, seruitutē, quęq; nõ inter mala, sed inter media esse numerãda demonstrauimus: multi vero, vt ante dixi hæc appellant mala, quæ mala non sunt: de istis loquitur propheta, quæ secundũ vulgi existimationē mala vocantur, nõ reuera sunt mala: de captiuitate, de seruitute, de fame, & aliis eiusmodi. Quod enim hæc nõ modo mala nõ sint, sed etiã ad mala depellēda sint vsui, primũ in mediũ prolata fame doceamus, quę tremēda omnibus ac terribilis videtur esse. Disce igitur, quo pacto mala nõ sit, & ad philosophandũ instruere. Cùm populus Hebræorũ ad summã improbitatē deuenisset, tum nimirũ magnus Elias, & cœlo dignus,

Tria genera rerum: bona mala, media.

3.Reg.17.1

A εἴημεν ἀκροατὰς ἔχειν προσέχοντας. ἴτέον δὲ λοιπὸν ἐπὶ τὰ μὴ μέσα, ἀλλ᾽ ἐπὶ τὰ καλά, ἃ οὐκ ἂν γένοιτο κακά, καὶ ἐπὶ τὰ κακά, ἃ οὐκ ἂν γένοιτο καλά. ταῦτα μὲν γὰρ τὰ εἰρημένα, ποτὲ μὲν τοῦτο, ποτὲ δὲ ἐκεῖνο γίνεται· οἷον ὁ πλοῦτος, ποτὲ μὲν κακὸν, ὅταν εἰς πλεονεξίαν δαπανᾶται, ποτὲ δὲ καλὸν, ὅταν εἰς ἐλεημοσύνην ἀναλίσκηται· καὶ τὰ ἄλλα τοιαῦτα κατὰ τὸν κανόνα τοῦτον. ἔστι δέ τινα, ἃ οὐκ ἂν ποτε γένοιτο κακά· τὰ δὲ, ἐναντία τούτοις, ἀεὶ κακά, καὶ οὐκ ἂν ποτε γένοιτο καλά· οἷον, ἀσέβεια, βλασφημία, ἀσέλγεια, ὠμό-
B της, ἀπανθρωπία, γαστριμαργία, καὶ ὅσα τοιαῦτα. οὐ λέγω ὅτι ἄνθρωπος κακὸς οὐκ ἂν ποτε γένοιτο καλὸς, οὔτε καλὸς οὐκ ἂν ποτε γένοιτο κακός· ἀλλ᾽ ὅτι αὐτὰ τὰ πράγματα οὐκ ἂν ποτε γένοιτο. ταῦτα μὲν γὰρ ἐπὶ τῆς οἰκείας τάξεως, τά τε καλά, καὶ τὰ κακά· ὁ δὲ ἄνθρωπος, ὅταν μὲν ἐκεῖνα ἕληται, καλὸς, ὅταν δὲ ἐναντία, κακός. οὐκοῦν τρεῖς αὗται μοῖραι. τὰ μὲν γὰρ καλά, οὐκ ἂν γένοιτο κακά, οἷον, σωφροσύνη, ἐλεημοσύνη, καὶ ὅσα τοιαῦτα· τὰ δὲ κακά, οὐκ ἂν ποτε γένοιτο καλά, οἷον, ἀσέλγεια, ἀπανθρωπία, ὠμότης· τὰ δὲ, ποτὲ μὲν τοῦτο, ποτὲ δὲ ἐκεῖνο
C γινόμενα, παρὰ τὴν γνώμην τῶν χρωμένων· ὁ πλοῦτος, ποτὲ μὲν γὰρ εἰς πλεονεξίαν ὑπηρετεῖται, ποτὲ δὲ εἰς ἐλεημοσύνην; ἀλλὰ παρὰ τὴν γνώμην τοῦ χρωμένου. πενία ποτὲ μὲν εἰς βλασφημίαν, ποτὲ δὲ εἰς εὐφημίαν καὶ φιλοσοφίαν ὑπηρετεῖται. ἐπεὶ οὖν πολλοὶ τῶν ἀλογωτέρων (ἐπὶ γὰρ τὴν λύσιν ἴτέον λοιπὸν) οὐ τὰ κακὰ μόνον, ἃ οὐκ ἂν ποτε γένοιτο καλά, ἀλλὰ καὶ τῶν μέσων ἔνια, κακὰ καλοῦσιν, οἷον, πενίαν, αἰχμαλωσίαν, δουλείαν, ἅπερ ἐδείξαμεν οὐ τῶν κακῶν, ἀλλὰ τῶν μέσων ὄντα· πολλοὶ δὲ, ὅπερ ἔφ-
D θην εἰπὼν, ταῦτα κακὰ καλοῦσιν, οὐκ ὄντα κακά, περὶ ὧν προφήτης φησὶ, τῶν κατὰ τὴν τῶν πολλῶν ὑπόνοιαν καλουμένων, οὐ τῶν ὄντως κακῶν, περὶ αἰχμαλωσίας, περὶ δουλείας, περὶ λιμοῦ, καὶ ὅσα τοιαῦτα. ὅτι γὰρ ταῦτα οὐ κακά, ἀλλὰ καὶ κακῶν ἀναιρετικά, τὸν λιμὸν πρότερον εἰς μέσον ἀγάγωμεν, τὸν πᾶσι φρικτὸν καὶ φοβερὸν εἶναι δοκοῦντα. πῶς οὖν οὐ κακὸν, μάνθανε, καὶ παιδεύου φιλοσοφεῖν. ἡνίκα τῶν Ἑβραίων ὁ δῆμος εἰς ἔσχατον ἐξώκειλε παρανομίας; τότε δὴ ὁ μέγας Ἠλίας, καὶ τῶν οὐρανῶν ἄξιος, ὁ βυλό-

μένος τὴν ἐκ τῆς ῥαθυμίας νόσον ἀνελεῖν, καὶ διορθῶσαι ταύτην, ἐπήγαγε λέγων· ζῇ κύριος, ᾧ παρέστην ἐνώπιον αὐτοῦ, εἰ ἔσται ὑετὸς, εἰ μὴ διὰ στόματός μου· καὶ ὁ μηλωτὴν μόνην κεκτημένος, τὸν οὐρανὸν ἀπέκλεισε· τοσαύτη παῤῥησία αὐτῷ πρὸς τὸν Θεόν. ὁρᾷς ὅτι οὐ κακὸν ἡ πενία; οὐκ ἂν ὁ πάντων ἀνθρώπων πενέστερος τοσαύτης ἀπέλαυσε παῤῥησίας, ὡς χαμαὶ βαδίζων, ἑνὶ μόνῳ λόγῳ τοσαύτην ἰσχὺν ἐπιδείξασθαι. εἰπὼν τοίνυν τοῦτο, ἐπήγαγε λιμὸν, καθάπερ παιδαγωγόν ἄριστον, καὶ διορθωτὴν τῶν γινομένων κακῶν· καὶ καθάπερ πυρετοῦ λάβρου εἰς σῶμα ἐμπεσόντος, καὶ αὐταὶ τῆς γῆς αἱ φλέβες ἀνεξηράνθησαν, καὶ χείμαῤῥοι ἐπέλιπον, καὶ βοτάναι, καὶ τῆς γῆς αἱ λαγόνες ἄγονοι λοιπὸν ἦσαν. καὶ οὐ μικρὰ τότε ὁ δῆμος ἐκαρπώσατο, τῆς ῥύμης τῆς ἐπὶ τὴν παρανομίαν ἀπαλλαγεὶς, καὶ συσταλεὶς, καὶ γενόμενος ἐπιεικέστερος, καὶ τῷ προφήτῃ χρησάμενος. οἱ γὰρ πρὸς τὰ εἴδωλα τρέχοντες, καὶ τοὺς υἱεῖς αὐτῶν καταστφάττοντες τοῖς δαιμονίοις, οὗτοι, τοσούτων ἱερέων τοῦ Βάαλ ἀναιρουμένων, οὐκ ἐδυσχέραναν, οὐκ ἠγανάκτησαν· ἀλλ' ἤνεγκαν σιγῇ καὶ φόβῳ δὲ γενόμενοι, ἀπὸ τοῦ λιμοῦ βελτίους γενόμενοι. ὁρᾷς ὡς οὐ μόνον κακὸν ὁ λιμὸς, ἀλλὰ καὶ κακῶν ἀναιρετικὸς, ἐν τάξει φαρμάκου τὰ νοσήματα διορθωσάμενος; εἰ καὶ τὴν αἰχμαλωσίαν αὐτὴν βούλει ἰδεῖν οὐκ οὖσαν κακὸν, ἐννόησον τίνες μὲν ἦσαν οἱ Ἰουδαῖοι πρὸ τῆς αἰχμαλωσίας, τίνες δὲ ἐν τῇ αἰχμαλωσίᾳ· ἵνα μάθῃς ὅτι οὔτε ἡ ἐλευθερία ἁπλῶς καλὸν, οὔτε ἡ αἰχμαλωσία κακόν. ὅτε μὲν γὰρ ἦσαν ἐν ἐλευθερίᾳ, καὶ τὴν πατρίδα εἶχον τὴν ἑαυτῶν, τοιαῦτα ἔπραττον, ὡς καθ' ἑκάστην ἡμέραν τοὺς προφήτας αὐτῶν καταβοᾷν, τῶν νόμων πατουμένων, καὶ τῶν εἰδώλων προσκυνουμένων, καὶ τῶν ἐντολῶν τοῦ Θεοῦ παραβαινομένων· ἐπεὶ δὲ ἀπηνέχθησαν εἰς γῆν ἀλλοτρίαν, καὶ ἐν τῇ τῶν βαρβάρων χώρᾳ διέτριβον, οὕτω συνεστάλησαν, καὶ βελτίους ἐγένοντο, καὶ τοῦ νόμου φύλακες, ὡς ἔστιν ἐκ τοῦ ψαλμοῦ τούτου μαθεῖν, ὃν ἀναγκαῖον εἰς μέσον ἀγαγεῖν σήμερον, ἵνα μάθητε τῆς αἰχμαλωσίας τὸν καρπόν. τίς δὲ ἐστιν ὁ ψαλμός; ἐπὶ τῶν ποταμῶν Βαβυλῶνος ἐκεῖ ἐκαθίσαμεν, καὶ ἐκλαύσαμεν ἐν τῷ μνησθῆναι ἡμᾶς τῆς Σιών· ἐπὶ ταῖς ἰτέαις ἐν μέσῳ αὐτῆς ἐκρεμάσαμεν τὰ ὄργανα ἡμῶν· ὅτι ἐκεῖ ἐπηρώτησαν ἡμᾶς οἱ αἰχμαλωτεύσαντες ἡμᾶς λόγους ᾠδῶν, λέγοντες· ᾄσατε ἡμῖν ἐκ τῶν ᾠδῶν Σιών. πῶς

A cúmque corrigere adiecit dicens: Viuit Dominus, cui astiti coram eo, si erit pluuia, nisi per os meum: & qui meloten solã possidebat, cœlũ clausit: tanta apud Deũ gratia valuit. Vides, paupertatem malum nõ esse? non enim tanta gratia valuisset mortalium cunctorũ pauperrimus, vt cum in terris versaretur, tantam virtutem vno solo verbo præ se ferret. Hoc ergo dicto famẽ immisit tanquã optimum quendã pædagogũ & malorũ, quæ acciderant, emẽdatorẽ, atque vt sic cum vehemens quædã febris corpus inuasit, venæ ipsæ terræ exarescebãt, B torrentes deficiebant, & herbæ, & terræ viscera sterilia penit° deinceps erãt. Neq; verò mediocriter id populo fuit vtile, cũ repressus impetus fuerit, quo ad iniquitatẽ ferebatur, & castigatus, modestiórque sit factus, & ad obtẽperandum prophetæ mãsuetior. Nam qui ad idola currebãt, & dæmoniis filios suos mactabant, hi tot occisis sacerdotibus Baal, non indignati sunt, nõ indoluerunt, sed famis opera redditi meliores, tacẽtes ac metu correpti rem patienter tulerunt. Vides non modo malũ non esse famem, C sed ad mala etiã tollenda prodesse, & ad sanãdas ægritudines remedij locum obtinere? quod si captiuitatẽ ipsam etiam videre velis malũ nõ esse, cogita quales ante captiuitatẽ essent Iudæi, & quales in captiuitate, vt intelligas neq. libertatem absolutè bonũ, neq. captiuitatem malum esse. Quando enim libertate, fruebãtur, & in patria sua degebant, ita se gerebant, vt singulis diebus aduersus illos vociferarẽtur prophetæ, dum leges conculcarentur, adorarentur idola, & Dei mandata violarẽtur: postquam autem in alienam delati sunt terram, & in D barbarorũ regione versati, sic depressi sunt, ac meliores euaserunt, legémq. seruarunt, vt ex ipso psalmo colligi potest, quẽ operæprecium est hodierno die in mediũ afferre, vt ex eo captiuitatis fructũ agnoscatis. quis ille porrò psalmus est? Super flumina Babylonis illic sedimus, & fleuimus, dum recordaremur Sion. In salicibus in medio eius suspendimus organa nostra, Quoniam illic interrogauerunt nos, qui captiuos duxerunt nos, verba cantionum, dicentes: Cantate nobis de canticis Sion. Quo-

Psal.136.a.

modo cantabimus cãticum Domini in terra aliena? Vides vt ipsos depresserit captiuitas? Nam ante illam quidẽ prophetas non ferebant, à quibus admonebantur, vt ne legem transgrederentur: post illam autem etiam instantibus barbaris, & dominis cogentibus atque vrgentibus, vt eã transgrederentur, minimè parebant, sed dicebant: Non cantabimus cãticum Domini in terra aliena, quoniam id lex non permittebat. Vide autem & tres pueros, qui non solum à captiuitate læsi non sunt, sed etiam eius opera illustriores euaserunt, codémque modo Danielem. Quid vero Ioseph? quid mali passus est, cum & peregrinus, seruus, & captiuus est factus? nónne hoc vnum illi celebritatem ac splendorem comparauit? Quid verò mulier illa barbara, quæ in mediis opibus, superbia, & libertate degebat, inde lucrata est? nónne omnium fuit miserrima, postquam istis vt oportebat, vti noluit? Hæc igitur euidenter à nobis sunt demonstrata, quænam sint mala, quænam bona, quænam media, & de mediis loqui prophetam, quæ reipsa mala nõ sunt, sed vulgo mala videntur, de captiuitate, seruitute, abductione: quàm verò ob causam hæc dicta sint, operæprecium fuerit nunc docere. Benignus cum sit Deus, & ad miserandum promptus, ad castigandũ ac puniẽdum cunctator & tardus, ne Iudæos suppliciis mulctaret prophetas misit, vt verbis eos terreret, neque rebus ipsis puniret: quod & erga Niniuitas præstitit. Nam & illic olim vrbem se euersurum minatus est, non vt euerteret, sed vt non euerteret, quod vtique cõtigit. Hoc nimirum & tũc agebat, ac prophetas mittebat ac barbarorum incursiones, bella, captiuitates, abductionẽ, & in aliena regione cõmorationẽ minabatur. Et quẽadmodũ pater indulgẽs, cui filius est libidinosus ac negligens, ad sanam mentem volẽs eum reducere flagella requirit, funes minatur dicens: Vinciã, flagellis cædã, interficiam, fitq. verbis terribilis, vt hac ratione iuuenis improbitatẽ compescat: ita nimirũ Deus continuè minabatur, cum eos iniecto metu reddere meliores vellet. Hæc cernens diabolus, volẽsq. emendationẽ, quæ consequebatur has minas, impedire, pseudoprophetas immisit, & prophetis captiuitatem seruitutẽ famẽmq. minan-

Qua de causa dixerit hæc Esaias.

ᾄσωμεν τὴν ᾠδὴν Κυρίου ἐπὶ γῆς ἀλλοτρίας; Εἶδες πῶς αὐτοὺς συνέστειλεν ἡ αἰχμαλωσία; πρὸ μὲν γὰρ ταύτης καὶ τῶν προφητῶν ἐνηχούντων μὴ παραβαίνειν τὸν νόμον, οὐκ ἠνείχοντο· μετὰ δὲ ταύτην, καὶ τῶν βαρβάρων ἐπικειμένων, καὶ τῶν κυριευόντων καταναγκαζόντων καὶ κατεπειγόντων παραβαίνειν, οὐχ ὑπήκουον· ἀλλ' ἔλεγον, οὐκ ᾄσομεν τὴν ᾠδὴν Κυρίου ἐπὶ γῆς ἀλλοτρίας, ἐπειδὴ ὁ νόμος τοῦτο οὐκ ἐπέτρεπεν. ὅρα δὲ καὶ τοὺς παῖδας τοὺς τρεῖς, οὐ μόνον οὐδὲν βλαπτομένους ἀπὸ τῆς αἰχμαλωσίας, ἀλλὰ καὶ λαμπροτέρους ἀπ' αὐτῆς γινομένους, καὶ τὸν Δανιὴλ ὁμοίως. τί δὲ ὁ Ἰωσήφ; τί κακὸν ἔπαθε, καὶ ξένος, καὶ δοῦλος, καὶ δέσμιος γενόμενος; οὐχὶ διὰ τοῦτο μᾶλλον εὐδοκίμει καὶ ἔλαμπε; τί δὲ ἡ βάρβαρος ἐκείνη γυνὴ, καὶ ἐν πλούτῳ καὶ ὑπερηφανείᾳ καὶ ἐν ἐλευθερίᾳ διατρίβουσα, ἐντεῦθεν ἀπώνατο; οὐχὶ πάντων ἦν ἀθλιωτέρα, ἐπειδὴ τούτοις εἰς δέον χρήσασθαι οὐκ ἠθέλησεν; Ἱκανῶς ταῦτα μὲν ἡμῖν ἀποδέδεικται σαφῶς, τίνα μὲν κακὰ, τίνα δὲ καλὰ, τίνα δὲ μέσα· καὶ ὅτι περὶ τῶν μέσων ὁ προφήτης φησὶν, οὐ τῶν ὄντως κακῶν, ἀλλὰ τῶν δοκούντων εἶναι τοῖς πολλοῖς, αἰχμαλωσίας, δουλείας, ἀπαγωγῆς. τίνος δὲ ἕνεκεν ταῦτα εἴρηται, ἀναγκαῖον εἰπεῖν. Φιλάνθρωπος ὢν ὁ Θεὸς, καὶ περὶ τὸ ἐλεεῖν ὀξὺς, πρὸς δὲ τὸ τιμωρεῖσθαι καὶ κολάζειν ἀναδυόμενος, ὥστε μὴ τοὺς Ἰουδαίους παραδοῦναι τιμωρίαις, προφήτας ἔπεμψε, φοβῶν αὐτοὺς διὰ τῶν ῥημάτων, ὥστε μὴ κολάσαι διὰ τῶν πραγμάτων. ὅπερ καὶ ἐπὶ τῶν Νινευϊτῶν ἐποίει. καὶ γὰρ ἐκεῖ τότε τὴν πόλιν καταστρέψαι ἠπείλησεν, οὐχ ἵνα καταστρέψῃ, ἀλλ' ἵνα μὴ καταστρέψῃ· ὅπερ οὖν καὶ ἐγένετο. τοῦτο δὴ καὶ τότε ἔπραττε, καὶ προφήτας ἔπεμπεν, ἀπειλῶν βαρβάρων ἐφόδους, πολέμους, αἰχμαλωσίας, δουλείας, ἀπαγωγὴν, τὴν ἐν ἀλλοτρίᾳ διατριβήν. καὶ καθάπερ πατὴρ φιλόστοργος παῖδα ἀκόλαστον ἔχων καὶ ῥᾴθυμον, σωφρονίσαι θέλων, ἱμάντας ἐπιζητεῖ, σχοίνους ἀπειλεῖ, λέγων· δήσω, μαστίξω, ἀναιρήσω, καὶ γίνεται ἐν τοῖς ῥήμασι φοβερὸς, ὥστε ταύτῃ τὴν κακίαν ἀναστεῖλαι τοῦ νέου· οὕτω δὴ καὶ ὁ Θεὸς ἠπείλει συνεχῶς, τῷ φόβῳ ποιῆσαι βελτίους βουλόμενος. Ταῦτα ὁρῶν ὁ διάβολος, καὶ βουλόμενος ἐκλῦσαι τὴν ἐκ τῆς τοιαύτης ἀπειλῆς διόρθωσιν γινομένην, καθῆκε ψευδοπροφήτας, καὶ τῶν προφητῶν ἀπειλούντων αἰχμαλωσίαν, καὶ δουλείαν,

καὶ λιμούς, ἐκεῖνοι τὰ ἐναντία ἔλεγον, εἰρήνην, εὐετηρίαν, καὶ μυρίων ἀγαθῶν ἀπόλαυσιν. διὸ καὶ ὀνειδίζοντες αὐτοὺς οἱ προφῆται ἔλεγον· εἰρήνη, εἰρήνη, καὶ ποῦ ἐστιν εἰρήνη; καὶ ὅσοι τῶν φιλολόγων, τοῦτο ἴσασιν, ὡς ἅπαντα κατὰ τῶν, ἃ τοῖς προφήταις πρὸς τοὺς ψευδοπροφήτας ἐγένοντο, ἐκλύοντα τοῦ λαοῦ τὴν σπουδήν. ἐπεὶ οὖν οὕτως ἐκλύοντες διέφθειρον τὸν λαόν, φησὶν ὁ Θεὸς διὰ τῶν προφητῶν· ἐγὼ ὁ Θεὸς ποιῶν εἰρήνην, καὶ κτίζων κακά. καὶ ποῖα κακά; ταῦτα τὰ εἰρημένα, αἰχμαλωσίαν, δουλείαν, καὶ ὅσα τοιαῦτα· οὐ πορνείαν, καὶ ἀσέλγειαν, καὶ πλεονεξίαν, οὐδὲ ἄλλο τῶν τοιούτων οὐδέν. διὰ τοῦτο καὶ ὁ ἕτερος προφήτης εἰπών, εἰ ἔστι κακία ἐν πόλει, ἣν κύριος οὐκ ἐποίησε, ταύτην λέγει τὴν κακίαν, τοὺς λιμούς, τὰς νόσους, τὰς θεηλάτους πληγάς. οὕτω καὶ ὁ Χριστός, ὅταν λέγῃ· ἀρκετὸν τῇ ἡμέρᾳ ἡ κακία αὐτῆς, τοὺς ἱδρῶτας, τὸν μόχθον, τὴν ταλαιπωρίαν φησί. τοῦτο οὖν φησιν ὁ προφήτης· μὴ ὑμᾶς ἐκλυέτωσαν οἱ ψευδοπροφῆται. ὁ γὰρ Θεὸς ὑμῖν εἰρήνην δοῦναι δύναται, καὶ αἰχμαλωσίᾳ παραδοῦναι· τουτέστιν, ὁ ποιῶν εἰρήνην, καὶ κτίζων κακά. καὶ ἵνα μάθῃς ὅτι τοῦτό ἐστιν ἀληθές, αὐτὰς τὰς λέξεις βασανίσωμεν μετὰ ἀκριβείας. εἰπὼν γὰρ ἄνω, ἐγώ εἰμι ὁ ποιήσας φῶς, καὶ σκότος, τότε ἐπήγαγε, ποιῶν εἰρήνην, καὶ κτίζων κακά. δύο ἐναντία ἄνω τέθεικε, καὶ δύο ἐναντία μετὰ ταῦτα, ἵνα μάθῃς ὅτι οὐ περὶ πορνείας λέγει, ἀλλὰ περὶ συμφορῶν. τί γὰρ ἀντιδιαστέλλεται τῇ εἰρήνῃ; εὔδηλον ὅτι αἰχμαλωσία· οὐκ ἀσέλγεια, οὐδὲ πορνεία, οὐδὲ πλεονεξία. ὥσπερ οὖν ἀνωτέρω ἐναντία δύο τέθεικεν, οὕτω δὴ καὶ ἐνταῦθα. ἐναντίον δὲ τῇ εἰρήνῃ οὐ πορνεία, οὐδὲ μοιχεία, οὐδὲ ἀσέλγεια, οὐδὲ αἱ λοιπαὶ κακίαι· ἀλλ' αἰχμαλωσία καὶ δουλεία. ἀλλ' ὅπερ ἐπὶ τῶν στοιχείων πάσχουσι, τοῦτο καὶ ἐπὶ τῶν πραγμάτων. οἷόν τι λέγω· ὥσπερ ἐποίησε φῶς καὶ σκότος, καὶ πολλοῖς τὸ μὲν φῶς ἡδὺ δοκεῖ εἶναι, τὸ δὲ σκότος ἐπαχθές, καὶ διαβάλλουσι τὴν νύκτα ὡς πονηράν τινα οὖσαν· οὕτω δὴ καὶ ἐπὶ τῶν πραγμάτων. ἀλλ' οὔτε τὴν νύκτα διαβλητέον, οὐδὲ τὸ σκότος, οὐδὲ ἁπλῶς τὴν δουλείαν, καὶ τὴν αἰχμαλωσίαν. τί γάρ, εἰπέ μοι, φαῦλον ἔχει τὸ σκότος; οὐχὶ πόνων ἐστὶν ἀνάπαυσις; οὐχὶ φροντίδων λύσις; οὐχὶ λύπης ἀναίρεσις; οὐχὶ ἰσχύος προσθήκη; εἰ δὲ μὴ σκότος ἦν καὶ νύξ, πότε ἂν ἀπηλαύσαμεν τοῦ φωτός; οὐκ ἂν διεφθάρη

A tibus, illi contraria pacem, terræ fertilitatem, innumerorum bonorum copiam prædicebant. Idcirco exprobrantes illis prophetæ dicebant: Pax, pax, & vbi est pax? & sciunt omnes, qui sacrarum literarum sunt studiosi, cũcta euenisse, quæ prophetæ prædixerãt aduersus pseudoprophetas, qui populi studium debilitabant ac frangebãt. Quoniam igitur populum ita dissolutũ corrumpebant per prophetas ait Deus: Ego Deus faciens pacẽ, & creãs mala. Et quęnã mala? hæc quæ cõmemorata sunt, captiuitatẽ, seruitutem, & alia eiusmodi: non fornicationẽ & lasciuiã, & auaritiã, neq. aliud quidquã eiusmodi. Idcirco etiã quãdo
B alius propheta dixit. Si est malitia in ciuitate, quàm non fecit Dominus, hanc dixit malitiã, famem, morbum, inflictas à Deo plagas: sic & Christus cum dicit, Sufficit diei malicia sua, sudores dicit, laborẽ, afflictionẽ. Hoc igitur dicit propheta. Ne debiles ac remissos vos reddant pseudoprophetæ. Deus enim vobis pacem largiri potest, & captiuitati vos tradere: hoc est, faciens pacẽ, & creans mala. Atq; vt hoc verum esse intelligas, ipsas dictiones accuratius examinemus. Cùm enim ante dixisset ego sũ qui feci lucẽ, & tenebras, tunc addidit, faciens pacẽ, & creans mala. Duo cõtraria supra
C supra posuit, ac deinde duo cõtraria, vt intelligas eum non de fornicatione sed de calamitatibus loqui. Quid enim est quod paci opponitur? clarum est quod nõ lasciuia, neq. fornicatio neq. auaritia. Vt igitur superius duo contraria posuit, sic nimirũ & hoc loco, cõtraria vero paci res est non fornicatio, neq. adulterium, neque lasciuia, neq. reliqua vitia, sed captiuitas & seruitus. Sed quemadmodum erga elementa, sic erga res ipsas homines afficiuntur. Exempli causa: queãdmodum fecit lucẽ & tenebras, & multis esse iucũda lux videtur, tenebræ
D verò molestæ, ac noctẽ quidã tanquam malam accusãt: sic nimirum & in rebus ipsis: at neq. nox est accusanda, neq. tenebræ, neq. omnino seruitus & captiuitas. Quid enim quæso mali habẽt tenebræ? nõnne sunt à laboribus relaxatio, nõnne remissio curarum, nõnne doloris exterminatio? nõnne virium accretio? Quod si tenebrę nõ fuissẽt & nox, quando luce potiti essemus? nõnne corru-

Amos 3.6.

Matt 6.34

ptum fuisset atq. interemptum istud animal homo? Vt autē videntur quidem insipientibus tenebræ malum esse quiddam, tametsi non sunt, verum ad ipsam diem nobis sunt vsui, & ad opera, quę in ipsa suscipimus, quiete recreatos reddit aptiores: ita neque malum quid est captiuitas, (de qua disserebat propheta cū diceret, Faciens pacem & creans mala) sed res vtilior est iis qui vt oportet ea fuerint vsi: tēperantiores autē ac modestiores eos efficit, dum arrogantiam retundit. Non enim in seruitutem redigi potest virtus, neq. ab vllo superari, non à seruitute, nō à captiuitate, non à paupertate, nō ab ipsa morte quæ omnium est potētissima. Ostendūt id omnes, qui hæc omnia sunt perpessi, & eorū opera clariores euaserūt. Quid enim Iosepho seruitus nocuit? (nihil enim vetat quo minus eundē virū iterū in mediū adducamus) quid autē vincula? quid catenæ? quid calumnia? quid insidiæ? quid in aliena regione cōmoratio? quid Iobum læsit armentorum ac gregum abactus, violenta & immatura mors liberorum, plaga corporis, vermium fontes, dolor intolerabilis, in fimo sessio, vxoris insidiæ, amicorum opprobria, famulorum cōuitia? quid verò Lazaro nocuit, quod in vestibulo iaceret, & canum linguis lingeretur, quod continua fame premeretur, quod à diuite contēneretur, quod vulneribus scateret, quod intolerando morbo vexaretur, quod desertus ab omnibus esset, qui iuuare possent, quod ab iis qui auxiliari possent, cōtemneretur? Quid verò Paulo nocuerunt illa malorum examina, carcerum, acvinculorum, abductionum, mortium, submersionum ac reliquarum afflictionum, quas nemo poterit oratione numerando percensere? Hæc omnia considerantes malitiam fugiamus, virtutē sectemur, & oremus, ne in tentationem intremus: quod si quando inciderimus, ne ægrè feramus, néve indignemur: siquidem arma virtutis hæc sunt iis, qui vt oportet vsi fuerint, & horum omnium opera celebritatem nobis poterimus comparare, si vigiles & attenti fuerimus, ac bonis perfrui sempiternis: quę nobis vtinam contingant vniuersis, in Christo Iesu domino nostro, cui gloria in secula seculorum, Amen.

καὶ ἀπώλετο τοῦτο τὸ ζῶον ὁ ἄνθρωπος; ὥσπερ γὰρ τὸ σκότος δοκεῖ μὲν τοῖς ἀνοήτοις εἶναι κακὸν, οὐκ ἔστι δὲ, ἀλλὰ πρὸς τὴν ἡμέραν ἡμῖν συντελεῖ, καὶ πρὸς τὰς ἐργασίας τὰς ἐν αὐτῇ τοὺς ἀναπαυσαμένους ἐπιτηδειοτέρους κατασκευάζει· οὕτως οὐδὲ αἰχμαλωσία φαῦλον (περὶ ἧς ὁ προφήτης διελέγετο λέγων, ὁ ποιῶν εἰρήνην, καὶ κτίζων κακά) ἀλλὰ χρησιμώτερον τοῖς εἰς δέον χρωμένοις· σωφρονεστέρους δὲ καὶ ἐπιεικεστέρους ποιεῖ περικόπτουσα ἀπόνοιαν. ἀδούλωτον γὰρ ἡ ἀρετὴ, καὶ οὐδὲν αὐτῆς περιγενέσθαι δυνάιτ' ἂν, οὐ δουλεία, οὐκ αἰχμαλωσία, οὐ πενία, οὐ νόσος, οὐκ αὐτὸς ὁ πάντων τυραννικώτερος, ὁ θάνατος. καὶ δηλοῦσιν ἅπαντες οἱ ταῦτα ὑπομείναντες ἅπαντα, καὶ δι' αὐτῶν μειζόνως λάμψαντες. τί γὰρ τὸν Ἰωσὴφ ἔβλαψεν ἡ δουλεία; (οὐδὲν γὰρ κωλύει πάλιν τὸν αὐτὸν ἄνδρα εἰς μέσον ἀγαγεῖν) τί δὲ τὰ δεσμά; τί δὲ αἱ ἁλύσεις; τί δὲ ἡ συκοφαντία; τί δὲ ἡ ἐπιβουλή; τί δὲ ἡ ἐπὶ τῆς ἀλλοτρίας διατριβή; τί τὸν Ἰὼβ ἡ τῶν βουκολίων καὶ τῶν ποιμνίων ἀναίρεσις; ὁ βίαιος καὶ ἄωρος τῶν παίδων θάνατος; ἡ πληγὴ τοῦ σώματος; αἱ πηγαὶ τῶν σκωλήκων; ἡ ὀδύνη ἡ ἀκαρτέρητος; ἡ ἐπὶ τῆς κοπρίας καθέδρα; ἡ ἐπιβουλὴ τῆς γυναικός; τὰ ὀνείδη τῶν φίλων; αἱ λοιδορίαι τῶν οἰκετῶν; τί δὲ τὸν Λάζαρον τὸ ἐν τῷ πυλῶνι κεῖσθαι, καὶ ταῖς γλώσσαις τῶν κυνῶν περιλείχεσθαι, καὶ ὁ λιμὸς ὁ διηνεκὴς, καὶ ἡ ὑπεροψία τοῦ πλουσίου, καὶ τὰ τραύματα, καὶ ἡ νόσος ἡ ἀφόρητος, καὶ ἡ ἐρημία τῶν προϊσταμένων, καὶ ἡ ὑπεροψία τῶν βοηθούντων; τί δὲ τὸν Παῦλον αἱ νιφάδες ἐκεῖναι τῶν δεσμωτηρίων, τῶν ἀπαγωγῶν, τῶν θανάτων, τῶν καταποντισμῶν, τῶν λοιπῶν πειρασμῶν, ἃς οὐδὲ λόγῳ ἐξαριθμήσασθαι ἔνι; ταῦτα ἅπαντα ἀναλογισάμενοι κακίαν φεύγωμεν, ἀρετὴν διώκωμεν· καὶ εὐχώμεθα μὲν μὴ εἰσελθεῖν εἰς πειρασμόν· εἰ δέ ποτε ἐμπέσωμεν, μὴ ἀλύωμεν, μηδὲ δυσχεραίνωμεν. καὶ γὰρ ὅπλα ἐστὶ ταῦτα ἀρετῆς τοῖς εἰς δέον χρωμένοις, καὶ δυνησόμεθα διὰ πάντων εὐδοκιμεῖν, ἐὰν νήφωμεν, καὶ τῶν αἰωνίων ἀγαθῶν ἀπολαῦσαι· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

ΕΙΣ ΤΟ ΡΗΤΟΝ ΤΟΥ προφήτου Ἱερεμίου, κύριε, οὐχὶ τοῦ ἀνθρώπου ἡ ὁδὸς αὐτοῦ, οὐδὲ ἄνθρωπος πορεύσεται καὶ κατορθώσει τὴν πορείαν αὐτοῦ.

ΤΗΣ ὁδοῦ ταύτης τῆς αἰσθητῆς καὶ λεωφόρου τὰ μέν ἐστιν ὕπτια καὶ λεῖα, τὰ δὲ προσάντη καὶ τραχύτερα· οὕτω δὴ καὶ τῶν θείων γραφῶν τὰ μέν ἐστιν αὐτόθεν πᾶσιν εὐσύνοπτα, τὰ δὲ πλείονος ἐξεργασίας καὶ πόνου δεόμενα. ἀλλ' ὅταν μὲν ἰσόπεδον καὶ λείαν ὁδεύωμεν ὁδὸν, οὐ πολλῆς ἡμῖν δεῖ ἀκριβείας· ὅταν δὲ ὑπτίαν καὶ στενὴν καὶ πρὸς αὐτὴν ἀνατεινομένην τὴν ἀκρώρειαν, καὶ ἀπὸ κρημνῶν ἑκατέρωθεν ἀπειλημμένην, νηφούσης ἡμῖν δεῖ ψυχῆς καὶ διεγηγερμένης, τῆς δυσχωρίας ῥαθυμεῖν οὐκ ἐπιτρεπούσης. κἂν γὰρ μικρόν τις παραβλέψῃ, μόνου τοῦ ποδὸς ὀλισθήσαντος, ἅπαν τὸ σῶμα κατακρημνίζεται, κἂν εἰς φάραγγας κατακύψῃ κάτω, σκοτοδίνῳ κατεχόμενος καταφέρεται. οὕτω δὴ καὶ ἐπὶ τῶν θείων γραφῶν, τὰ μὲν εὔκολα καὶ ῥᾴδια τῶν νοημάτων καὶ ἀπονητὶ διαδεῦσαι ἔνι, τὰ δὲ τραχύτερα καὶ προσάντη οὐχ ὁμοίως εὔπορον διαβῆναι. διὸ νήφειν ἅπαντας δεῖ καὶ ἐγρηγορέναι, ὅταν τοιαῦτα διαβαίνωμεν χωρία, ὥστε μὴ περὶ τῶν ἐσχάτων ἡμῖν γενέσθαι τὸν κίνδυνον. διὰ γὰρ τοῦτο καὶ ἡμεῖς ποτὲ μὲν ἐν τοῖς εὐκολωτέροις ὑμᾶς ἐγυμνάζομεν, ποτὲ δὲ ἐπὶ τὰ δυσκολώτερα ἄγομεν, ἵνα καὶ τὸν πόνον ὑμῖν παραμυθησώμεθα, καὶ τὴν ῥαθυμίαν ἐκβάλωμεν. ὥσπερ γὰρ οἱ διαπαντὸς εὐκολίας ἀπολαύοντες, χαυνότεροι γίνονται, οὕτως οἱ διηνεκῶς πρὸς τραχύτερα ἑλκόμενοι, πρὸς τὸν πόνον ἀπογινώσκουσι. δεῖ τοίνυν ἀναμεμίχθαι τὸ τῆς διδασκαλίας εἶδος, καὶ νῦν μὲν τοῦτο, νῦν δὲ ἐκεῖνο μεταχειρίζειν, ὥστε μήτε χαλᾶσθαι πέρα τοῦ μέτρου τὴν διάνοιαν ἡμῶν, μήτε διατεινομένην ὑπὲρ τὸ δέον διαρρήγνυσθαι, πάλιν πρὸς τὸν πόνον ἀπαγορεύουσαν. διὰ τοῦτο πρῴην ὑμῖν περὶ Παύλου καὶ Πέ-

IN LOCVM ILLVM PROPHETÆ HIEREMIÆ, DOMINE non est in homine via eius, neque homo ibit, & diriget gressum suum.

Hier. 10. 23.

HVIVS sensibilis publicæq. viæ partes quædam planæ quidem sunt ac læues, quædam verò præruptæ atque asperæ: Sic nimirũ & Scripturæ sacræ partes aliæ sunt ex se omnibus intellectu faciles, aliæ maiorem diligentiam ac laborem requirunt. Ac nos quidem cum per planiciem læuémque viam incedimus, necesse non est, vt admodum attenti simus: cum verò per asperam & angustam, quæque se ad ipsum montis cacumen extendat, & præcipitiis vndique circumclusa sit, tum vigili & attenta mente nobis opus est, cum loci difficultas torpere non sinat. Quantumuis enim modicè quis negligenter aspiciat, si solum pes prolabatur, totum corpus in præceps ruit, & si in vallem capite inclinato despexerit, tenebricosa correptus vertigine deturbatur. Sic & in Scriptura diuina quædam faciles sunt, ac planæ sententiæ, quas sine labore licet percurrere: quædam asperiores & præruptæ, quas non ita facile fuerit permeare. Propterea vigiles & attentos esse cunctos oportet, dum eiusmodi loca percurrimus, ne in summum salutis discrimen veniamus. Idcirco namque nos quoque nonnunquam in facilioribus vos exercemus, nonnunquam ad difficiliora deducimus, vt & laborem leuemus, & negligentiam excutiamus. Vt enim qui semper facilitatem experiuntur, remissiores fiunt: ita qui perpetuò ad asperiora pertrahuntur, animum labore defatigati despondent. Quocirca mixtum esse oportet doctrinæ genus, & nunc quidem hoc, nunc autem illud tractare, vt neque mens vltra modum relaxetur, neque rursus plus quam par est contenta frangatur, & laboribus defatigata deficiat. Propterea nuper cum de Petro & Paulo

disseruissemus, & de exorta inter ipsos Antiochiæ controuersia, pugnámque illam quæ inter eos esse videbatur, pace quauis vtiliorem vobis ostendissemus, cúmque ad præruptam & asperam vos illam viam deduxissemus: quoniã defatigatos vidimus, ad aliud argumentum vos traduximus, dum beati Eustathij preconia sermone complexi sumus, & post illum generosi martyris Romani laudes percurrimus, cum illustrius nobis factum est theatrũ, amplior applausus, ac maior strepitus acclamantium. Vt enim si quis vbi defessus fuerit, deinde in pratum ingrediatur, gaudet, ac delectatur, dum nihil asperum, nihil asperum, nihil molestum intuetur, sed recreationem, voluptatem, ac delicias multas, sic & vos tum temporis affecti eratis, dum post labores illos ac difficultates auditionis illius, tanquam in pratum quoddam in Martyrum laudes ingressi multa cum securitate illis vos deliciis expleuistis. Non enim tum erant prehensiones ac mutui nexus, neque luctæ ac declinationes, sed nemine obluctante sola expedita, soluta & libera oratio decertabat. Idcirco autem & illustrior erat, & sacris conuentibus aptior, maiorémque laudem reportabat. Cùm enim ea quæ dicuntur, cum facilitate mens auditorum assequitur, multa voluptate perfusa, ad acclamationem & laudem oratoris excitatur. Quando igitur abundè vos his diebus recreauimus, neque molestum aut graue quidquam vestræ obiecimus charitati, age rursus hodie vos ad priorem exercitationem traducamus, & ad illa Scripturæ difficilia loca, quæ multa indigent animaduersione, transferamus: non vt labore vos affligamus, sed vt exerceamus, quò possitis hæc etiã loca cum securitate percurrere. Vt ergo tum temporis initio quidem pugna quædam esse ac contentio videbatur Apostolorum, postquam autem scopulos illos conscendimus, sursum deinde spiritus fructum aspeximus, charitatem, gaudium, pacem, & neque inanis, neque superuacaneus fuit labor noster, sed in lætitiam desiit: sic & hodie vestrarum precũ subsidio fretus futurum confido, si patienter & multa cum tole-

Panegyrici de S. Eustathio, & de S. Romano sermones 1. parte tomi 5.

A ἔναγχος διαλεχθέντες καὶ ἐν τῇ Ἀντιοχείᾳ γενομένης αὐτοῖς πρὸς ἀλλήλους ἀμφισβητήσεως, καὶ τὴν δοκοῦσαν ἐκείνων εἶναι μάχην πάσης εἰρήνης χρησιμωτέραν ὑμῖν ἀποδείξαντες, καὶ ἐπὶ τὴν ἀπότομον ἐκείνην καὶ τραχεῖαν ἀγαγόντες ὁδὸν, ἐπειδὴ πεπονηκότας εἴδομεν, τῇ μὲν ἐκείνην ἡμέρᾳ πρὸς ἑτέραν εὐκολωτέραν ἐχειραγωγήσαμεν ὑπόθεσιν, τοῦ μακαρίου ΕΥσταθίου τὰ ἐγκώμια διηγούμενοι, καὶ μετ' ἐκεῖνον τοῦ γενναίου μάρτυρος Ῥωμανοῦ τοὺς ἐπαίνους διεξιόντες· ὅτε δὴ καὶ λαμπρότερον ἡμῖν τὸ θέατρον γέγονε, καὶ B πλείων ὁ κρότος, καὶ μείζων ὁ θόρυβος. καθάπερ γάρ τις καμὼν, εἶτα εἰς λειμῶνα εἰσελθὼν, γάννυται καὶ διαχεῖται, τραχὺ μὲν ὁρῶν οὐδὲν οὐδὲ ἐπίπονον, ἄνεσιν δὲ καὶ τέρψιν καὶ ψυχαγωγίαν πολλήν· οὕτω καὶ ὑμεῖς μοι διέκεισθε τότε. ἀπὸ γὰρ τῶν πόνων καὶ τῶν δυσκολιῶν τῆς ἀκροάσεως ἐκείνης, ὥσπερ εἰς λειμῶνα, εἰσελθόντες τῶν μαρτύρων τὰ ἐγκώμια, μετὰ πολλῆς τῆς ἀδείας τῆς τέρψεως ἐνεφορεῖσθε ἐκείνης. οὐδὲ γὰρ λαβαὶ καὶ ἀντιλαβαὶ ἦσαν τότε, οὐδὲ παλαίσματα καὶ διαδύσεις, ἀλλ', οὐδενὸς ἀντικρούοντος, ἄφετος καθ' ἑαυτὸν ὁ λόγος ἠγω- C νίζετο, ἀπολελυμένος καὶ ἐλεύθερος ὤν. διὰ τοῦτο δὲ καὶ λαμπρότερος ἦν καὶ πανηγυρικώτερος καὶ πλειόνων ἀπέλαυεν ἐπαίνων. ἡ γὰρ διάνοια τῶν ἀκροατῶν, ὅταν μὲν εὐκολίας τοῖς λεγομένοις παρακολουθῇ, πολλῆς ἀνέσεως ἀπολαύουσα, προθυμότερον πρὸς τὸν ἔπαινον τοῦ λέγοντος διεγείρεται. ἐπεὶ οὖν ἱκανῶς ὑμᾶς ἀνεκτησάμεθα ἐν ταῖς ἡμέραις ταύταις, οὐδὲν ἐπίπονον καὶ τραχὺ πρὸς τὴν ὑμετέραν κινήσαντες ἀγάπην, φέρε δὴ τήμερον ὑμᾶς πάλιν D ἐπὶ τὴν προτέραν ἀγάγωμεν γυμνασίαν, πρὸς τὰ ἐπιπονώτερα τῶν γραφῶν καὶ πολλῆς δεόμενα συνέσεως χειραγωγοῦντες ὑμᾶς· οὐχ ἵνα συντρίψωμεν τῷ καμάτῳ, ἀλλ' ἵνα γυμνάσωμεν εἰς τὸ δύνασθαι καὶ ταῦτα μετὰ ἀσφαλείας διαβαίνειν τὰ χωρία. ὥσπερ οὖν τότε παρὰ μὲν τὴν ἀρχὴν ἐδόκει μάχη τις εἶναι καὶ φιλονεικία τῶν ἀποστόλων· ἐπειδὴ δὲ ἀνέβημεν τοὺς σκοπέλους ἐκείνους, εἴδομεν ἄνω λοιπὸν τὸν καρπὸν τοῦ πνεύματος, ἀγάπην, χαρὰν, εἰρήνην, καὶ οὐ μάταιος ἡμῖν οὐδὲ περιττὸς ὁ πόνος ἐγένετο, ἀλλ' εἰς εὐφροσύνην κατέληξεν· οὕτω καὶ σήμερον προσδοκῶ ταῖς εὐχαῖς ταῖς ὑμετέραις, ἂν μετὰ καρτερίας καὶ πολλῆς

τῆς ὑπομονῆς τὴν προκειμένην ἡμῖν διανύσωμεν ὁδόν, καὶ ἐπὶ τὴν κορυφὴν αὐτὴν ἀναβῆναι δυνηθῶμεν, ἰσόπεδα καὶ λεῖα καὶ ὕπτια πάντα εὑρήσετε ἐκεῖ. τί ποτ' οὖν ἐστι τὸ προκείμενον ἡμῖν νῦν; τὸ παρὰ τοῦ προφήτου σήμερον ἀναγνωσθέν· κύριε, οὐκ ἐν τῷ ἀνθρώπῳ ἡ ὁδὸς αὐτοῦ, οὐδὲ ἄνθρωπος πορεύσεται καὶ κατορθώσει τὴν πορείαν αὐτοῦ. τὸ μὲν ζήτημα, τοῦτο· ὑμεῖς δέ, ὥσπερ τότε παρέσχετε τὴν σπουδήν, καὶ νῦν συντείνατε ἑαυτούς. οὐδὲ γὰρ τοῦτο ἔλαττον ἐκείνου τὸ ζήτημα, ἀλλὰ καὶ πλείονος δεῖται φροντίδος. τί δήποτε; ὅτι ἡ μὲν Παύλου καὶ Πέτρου δοκοῦσα μὲν εἶναι διαφορά, οὐκ οὖσα δέ, οὐ πολλοῖς γνώριμος ἦν, ὅθεν οὐδὲ πολλὴν ἐκ τῆς ἀγνοίας εἰκὸς ἦν ἐργάσασθαι τὴν βλάβην· αὕτη δὲ ἡ ῥῆσις πανταχοῦ περιφέρεται, ἐν οἰκίαις, ἐν ἀγοραῖς, ἐν χώραις, ἐν πόλεσιν, ἐν γῇ καὶ θαλάττῃ καὶ νήσοις· καὶ ὅπου γὰρ ἂν ἀπέλθοις, ἀκούσῃ ταῦτα λεγόντων πολλῶν· γέγραπται, οὐκ ἐν τῷ ἀνθρώπῳ ἡ ὁδὸς αὐτοῦ. οὐ ταύτην δὲ μόνον μεμελετήκασι τὴν ῥῆσιν, ἀλλὰ καὶ ἑτέρας πρὸς ταύτην συνείρουσι τοιαύτας· ὅτι οὐ τοῦ θέλοντος, οὐδὲ τοῦ τρέχοντος· καὶ μετ' ἐκεῖνο πάλιν, ἐὰν μὴ κύριος οἰκοδομήσῃ οἶκον, εἰς μάτην ἐκοπίασαν οἱ οἰκοδομοῦντες αὐτόν. τοῦτο δὲ ποιοῦσι, τῆς οἰκείας ῥαθυμίας προκαλύμματα τὰς θείας γραφὰς προβαλλόμενοι, καὶ τὴν σωτηρίαν ἡμῶν καὶ τὴν ἐλπίδα διὰ τούτων διαρρίπτειν ἐπιχειροῦντες τῶν ῥημάτων. οὐδὲν γὰρ ἕτερον κατασκευάσαι βούλονται διὰ τούτων, ἀλλ' ἢ ὅτι οὐδενός ἐσμεν κύριοι. πάντα οἴχεται τὰ καθ' ἡμᾶς· εἰκῇ βασιλείας ὑπόσχεσις, εἰκῇ γεέννης ἀπειλή· εἰκῇ νόμοι καὶ τιμωρίαι καὶ κολάσεις καὶ συμβουλαί. τί γὰρ ἄν τις παραινέσειε τῷ μηδενὸς ὄντι κυρίῳ; τί δ' ἄν τις ὑπόσχοιτο τῷ πάσης ἐξουσίας ἀπεστερημένῳ; οὔτε ὁ κατορθώσας ἄξιός ἐστιν ἐπαίνου, οὔτε ὁ διαμαρτὼν ὑπεύθυνος κολάσεως καὶ τιμωρίας, ἂν μὴ ἐφ' ἡμῖν ᾖ τὰ πρακτέα. εἰ δὲ τοῦτο πεισθεῖεν ἄνθρωποι, οὐδεὶς οὐκέτι λοιπὸν οὐκ ἀρετῆς ἀνθέξεται, οὐ κακίαν φεύξεται. εἰ γὰρ νῦν καθ' ἑκάστην ἡμέραν περὶ γεέννης ἐνηχούντων ἡμῶν, περὶ βασιλείας διαλεγομένων, καὶ τὰς κολάσεις τὰς ἀφορήτους, καὶ τὰ ἔπαθλα τὰ ὑπερβαίνοντα διάνοιαν ἀνθρωπίνην προτιθέντων, συμβουλευόντων, παρακαλούντων, πάντα κινούντων λόγον, μόλις τινὲς ὑπομέ-

A rantia propositum nobis iter conficiamus, atque ad ipsum cacumen ascendere possimus, illic omnia plana, læuia, pronáque reperiamus. Quid igitur iam nobis est propositum? quod hodie ex propheta recitatum est, Domine non est in homine via eius, neque ibit homo, & diriget gressum suum. Quæstio quidem hæc est, vos verò vt studium tunc adhibuistis, ita nunc diligenter attendite: neque enim illa minor est hæc quæstio, sed maiorem curam requirit. Quid ita? quoniam illa quidem Petri & Pauli, quæ videbatur esse con- B trouersia, nec tamen erat, non ita multis nota erat, vnde nec illam ignorantiam verisimile fuit multũ inuecturam detrimentum: hæc autem sententia circumfertur vbique, in domibus, in foris, in pagis, in vrbibus, in terra in mari, in insulis, & quocunque te contuleris multos audies, qui hæc dicunt: Scriptum est, Non est in homine via eius: neque solùm hanc sententiam didicerunt, sed alias etiam similes huic annectunt, Non est volentis, neque currentis, & post illud rursus, Nisi Dominus C ædificauerit domum, in vanum laborauerunt, qui ædificant eam: id porrò faciunt, quòd ex Scriptura diuina depromptum negligenter suæ velamen obtendãt, & salutem spémque nostram his verbis conentur infringere. Nihil enim aliud per hæc volunt efficere, nisi in potestate nostra nihil situm esse. Actum est de rebus nostris: frustra regni cœlorum promissio, frustra minæ gehennæ, frustra leges, pœnæ, supplicia, & consilia. Quid enim attinet alicui consulere, cum nihil in eius situm sit potestate? aut quid opus est ei pro- D mittere, qui omni sit rerum gerẽdarum facultate priuatus? Neque is qui rectè se gesserit, dignus est laude, neque qui deliquerit, pœnæ obnoxius, ac supplicio, nisi arbitrij nostri fuerint, quæ sunt agenda. Quod si fuerit hoc hominibus persuasum, nemo iam amplius virtutem amplectetur, nemo à vitio declinabit. Nam si, dum singulis diebus personant aures hominum vocibus nostris de gehenna, dum verba facimus de regno cœlorũ, dum intolerabiles pœnas, & premia, quæ humanum excedunt intellectum, proponimus, dum consulimus, dum cohortamur, dum omnem orationem admouemus, ægrè tamen

[Margin: Hier. 1. 23.]

[Margin: Abusus loci istius cõtra liberum arbitrium.]

[Margin: Rom. 9. 16.]

[Margin: Ps. 126. 1.]

disseruissemus, & de exorta inter ipsos Antiochiæ controuersia, pugnámque illam quæ inter eos esse videbatur, pace quauis vtiliorem vobis ostendissemus, cúmque ad præruptam & asperam vos illam viam deduxissemus: quoniã defatigatos vidimus, ad aliud argumentum vos traduximus, dum beati Eustathij præconia sermone complexi sumus, & post illum generosi martyris Romani laudes percurrimus, cum illustrius nobis factum est theatrũ, amplior applausus, ac maior strepitus acclamantium. Vt enim si quis vbi defessus fuerit, deinde in pratum ingrediatur, gaudet, ac delectatur, dum nihil asperum, nihil asperum, nihil molestum intuetur, sed recreationem, voluptatem, ac delicias multas, sic & vos tum temporis affecti eratis, dum post labores illos ac difficultates auditionis illius, tanquam in pratum quoddam in Martyrum laudes ingressi multa cum securitate illis vos deliciis expleuistis. Non enim tum erant prehensiones ac mutui nexus, neque luctæ ac declinationes, sed nemine obluctante sola expedita, soluta & libera oratio decurrebat. Idcirco autem & illustrior erat, & sacris conuentibus aptior, maiorémque laudem reportabat. Cùm enim ea quæ dicuntur, cum facilitate mens auditorum assequitur, multa voluptate perfusa, ad acclamationem & laudem oratoris excitatur. Quando igitur abundè vos his diebus recreauimus, neque molestum aut graue quidquam vestræ obiecimus charitati, age rursus hodie vos ad priorem exercitationem traducamus, & ad illa Scripturæ difficilia loca, quæ multa indigent animaduersione, transferamus: non vt labore vos affligamus, sed vt exerceamus, quò possitis hæc etiã loca cum securitate percurrere. Vt ergo tum temporis initio quidem pugna quædam esse ac contentio videbatur Apostolorum, postquam autem scopulos illos conscendimus, sursum deinde spiritus fructum aspeximus, charitatem, gaudium, pacem, & neque inanis, neque superuacaneus fuit labor noster, sed in lætitiam desiit: sic & hodie vestrarum precũ subsidio fretus futurum confido, si patienter & multa cum tole-

Panegyrici de S. Eustathio, & de S. Romano sermones 1. parte tomi 5.

A τῶν διαλεχθέντες καὶ ἐν τῇ Ἀντιοχείᾳ γινομένης αὐτοῖς πρὸς ἀλλήλους ἀμφισβητήσεως, καὶ τὴν δοκοῦσαν ἐκείνων εἶναι μάχην πάσης εἰρήνης χρησιμωτέραν ὑμῖν ἀποδείξαντες, καὶ ἐπὶ τὴν ἀπότομον ἐκείνην καὶ τραχεῖαν ἀγαγόντες ὁδὸν, ἐπειδὴ πεπονηκότας εἴδομεν, τῇ μετ' ἐκείνην ἡμέρᾳ πρὸς ἑτέραν εὐκολωτέραν ἐχειραγωγοῦμεν ὑπόθεσιν, τοῦ μακαρίου ΕΥσταθίου τὰ ἐγκώμια διηγούμενοι, καὶ μετ' ἐκεῖνον τοῦ γενναίου μάρτυρος Ῥωμανοῦ τοὺς ἐπαίνους διεξιόντες· ὅτε δὴ καὶ λαμπρότερον ἡμῖν τὸ θέατρον γέγονε, καὶ B πλείων ὁ κρότος, καὶ μείζων ὁ θόρυβος. καθάπερ γάρ τις καμὼν, εἶτα εἰς λειμῶνα εἰσελθὼν, γάννυται καὶ διαχεῖται, τραχὺ μὲν ὁρῶν οὐδὲν οὐδὲ ἐπίπονον, ἄνεσιν δὲ καὶ τέρψιν καὶ ψυχαγωγίαν πολλήν· οὕτω καὶ ὑμεῖς μοι διέκεισθε τότε. ἀπὸ γὰρ τῶν πόνων καὶ τῶν δυσκολιῶν τῆς ἀκροάσεως ἐκείνης, ὥσπερ εἰς λειμῶνα, εἰσελθόντες τῶν μαρτύρων τὰ ἐγκώμια, μετὰ πολλῆς τῆς ἀδείας τῆς τέρψεως ἐνεφορεῖσθε ἐκείνης. οὐδὲ γὰρ λαβαὶ καὶ ἀντιλαβαὶ ἦσαν τότε, οὐδὲ παλαίσματα καὶ διαδύσεις, ἀλλ', οὐδενὸς ἀντικρούοντος, ἄφετος καθ' ἑαυτὸν ὁ λόγος ἠγω-C νίζετο, ἀπολελυμένος καὶ ἐλεύθερος ὤν. διὰ τοῦτο δὴ καὶ λαμπρότερος ἦν καὶ πανηγυρικώτερος καὶ πλείονα ἀπέλαυεν ἐπαίνων. ἡ γὰρ διάνοια τῶν ἀκροατῶν, ὅταν μετ' εὐκολίας τοῖς λεγομένοις παρακολουθῇ, πολλῆς ἀνέσεως ἀπολαύουσα, προθυμότερον πρὸς τὸν ἔπαινον τοῦ λέγοντος διεγείρεται. ἐπεὶ οὖν ἱκανῶς ὑμᾶς ἀνεκτησάμεθα ἐν ταῖς ἡμέραις ταύταις, οὐδὲν ἐπίπονον καὶ τραχὺ πρὸς τὴν ὑμετέραν κινήσαντες ἀγάπην, φέρε δὴ τήμερον ὑμᾶς πάλιν D ἐπὶ τὴν προτέραν ἀγάγωμεν γυμνασίαν, πρὸς τὰ ἐπιπονώτερα τῆς γραφῆς καὶ πολλῆς δεόμενα συνέσεως χειραγωγοῦντες ὑμᾶς· οὐχ ἵνα συντρίψωμεν τῷ καμάτῳ, ἀλλ' ἵνα γυμνάσωμεν εἰς τὸ δύνασθαι καὶ ταῦτα μετ' ἀσφαλείας διαβαίνειν τὰ χωρία. ὥσπερ οὖν τότε παρὰ μὲν τὴν ἀρχὴν ἐδόκει μάχη τις εἶναι καὶ φιλονεικία τῶν ἀποστόλων· ἐπειδὴ δὲ ἀνέβημεν τοὺς σκοπέλους ἐκείνους, εἴδομεν ἄνω λοιπὸν τὸν καρπὸν τοῦ πνεύματος, ἀγάπην, χαρὰν, εἰρήνην, καὶ οὐ μάταιος ἡμῖν οὐδὲ περιττὸς ὁ πόνος ἐγένετο, ἀλλ' εἰς εὐφροσύνην κατέληξεν· οὕτω καὶ σήμερον προσδοκῶ ταῖς εὐχαῖς ταῖς ὑμετέραις, ἂν μετὰ καρτερίας καὶ πολλῆς

τῆς ὑπομονῆς τὴν προκειμένην ἡμῖν διανύσωμεν ὁδόν, καὶ ἐπὶ τὴν κορυφὴν αὐτὴν ἀναβῆναι δυνηθῶμεν, ἰσόπεδα καὶ λεῖα καὶ ὕπτια πάντα εὑρήσομεν ἐκεῖ. τί ποτ' οὖν ἐστὶ τὸ προκείμενον ἡμῖν νῦν; τὸ παρὰ τοῦ προφήτου σήμερον ἀναγνωσθέν· κύριε, οὐκ ἐν τῷ ἀνθρώπῳ ἡ ὁδὸς αὐτοῦ, οὐδὲ ἄνθρωπος πορεύσεται καὶ κατορθώσει τὴν πορείαν αὐτοῦ. τὸ μὲν ζήτημα, τοῦτο· ὑμεῖς δέ, ὥσπερ τότε παρέσχετε τὴν σπουδήν, καὶ νῦν συντείνατε ἑαυτούς. οὐδὲ γὰρ οὕτω ἔλαττον ἐκείνου τὸ ζήτημα, ἀλλὰ καὶ πλείονος δεῖται φροντίδος. τί δήποτε; ὅτι ἡ μὲν Παύλου καὶ Πέτρου δοκοῦσα μὲν εἶναι διαφορά, οὐκ οὖσα δέ, οὐ πολλοῖς γνώριμος ἦν, ὅθεν οὐδὲ πολλὴν ἐκ τῆς ἀγνοίας εἰκὸς ἦν γενέσθαι τὴν βλάβην· αὕτη δὲ ἡ ῥῆσις πανταχοῦ περιφέρεται, ἐν οἰκίαις, ἐν ἀγοραῖς, ἐν χώραις, ἐν πόλεσιν, ἐν γῇ καὶ θαλάττῃ καὶ νήσοις· καὶ ὅπου ἂν ἀπέλθοις, ἀκούσῃ ταῦτα λεγόντων πολλῶν· γέγραπται, οὐκ ἐν τῷ ἀνθρώπῳ ἡ ὁδὸς αὐτοῦ. οὐ ταύτην δὲ μόνον μεμελετήκασι τὴν ῥῆσιν, ἀλλὰ καὶ ἑτέρας πρὸς ταύτην συνείρουσι τοιαύτας· ὅτι οὐ τοῦ θέλοντος, οὐδὲ τοῦ τρέχοντος· καὶ μετ' ἐκεῖνο πάλιν, ἐὰν μὴ κύριος οἰκοδομήσῃ οἶκον, εἰς μάτην ἐκοπίασαν οἱ οἰκοδομοῦντες αὐτόν. τοῦτο δὲ ποιοῦσι, τῆς οἰκείας ῥᾳθυμίας προκαλύμματα τὰς τὰς θείας γραφὰς προβαλλόμενοι, καὶ τὴν σωτηρίαν ἡμῶν καὶ τὴν ἐλπίδα διὰ τούτων διορύττειν ἐπιχειροῦντες τῶν ῥημάτων. οὐδὲν γὰρ ἕτερον κατασκευάσαι βούλονται διὰ τούτων, ἀλλ' ἢ ὅτι οὐδενός ἐσμεν κύριοι. πάντα οἴχεται τὰ καθ' ἡμᾶς· εἰκῆ βασιλείας ὑπόσχεσις, εἰκῆ γεέννης ἀπειλή· εἰκῆ νόμοι καὶ τιμωρίαι καὶ κολάσεις καὶ συμβουλαί. τί γὰρ ἄν τις παραινέσειε τῷ μηδενὸς ὄντι κυρίῳ; τί δὲ ἄν τις ὑπόσχοιτο τῷ πάσης ἐξουσίας ἀπεστερημένῳ; οὔτε ὁ κατορθώσας ἄξιός ἐστιν ἐπαίνου, οὔτε ὁ διαμαρτὼν ὑπεύθυνος κολάσεως καὶ τιμωρίας, ἂν μὴ ἐφ' ἡμῖν ᾖ τὰ πρακτέα. εἰ δὲ τοῦτο πεισθεῖεν ἄνθρωποι, οὐδεὶς οὐκέτι λοιπὸν οὐκ ἀρετῆς ἀνθέξεται, οὐ κακίαν φεύξεται. εἰ γὰρ νῦν καθ' ἑκάστην ἡμέραν περὶ γεέννης ἐνηχούντων ἡμῶν, περὶ βασιλείας διαλεγομένων, καὶ τὰς κολάσεις τὰς ἀφορήτους, καὶ τὰ ἔπαθλα τὰ ὑπερβαίνοντα διάνοιαν ἀνθρωπίνην προτιθέντων, συμβουλευόντων, παρακαλούντων, πάντα κινούντων λόγον, μόλις τινὲς ὑπομέ-

A rantia propositum nobis iter conficiamus, atque ad ipsum cacumen ascendere possimus, illic omnia plana, læuia, pronaque reperiamus. Quid igitur iam nobis est propositum? quod hodie ex propheta recitatum est, Domine non est in homine via eius, neque ibit homo, & diriget gressum suum. Quæstio quidem hæc est, vos verò vt studium tunc adhibuistis, ita nunc diligenter attẽdite: neque enim illa minor est hæc quæstio, sed maiorem curam requirit. Quid ita? quoniam illa quidem Petri & Pauli, quæ videbatur esse controuersia, nec tamen erat, non ita B multis nota erat, vnde nec illam ignorantiam verisimile fuit multũ inuecturam detrimentum: hæc autem sententia circumfertur vbique, in domibus, in foris, in pagis, in vrbibus, in terra in mari, in insulis, & quocunque te contuleris multos audies, qui hæc dicunt: Scriptum est, Non est in homine via eius: neque solùm hanc sententiam didicerunt, sed alias etiam similes huic annectunt, Non est volentis, neque currentis, & post illud rursus, Nisi Dominus C ædificauerit domum, in vanum laborauerunt, qui ædificant eam: id porrò faciunt, quòd ex Scriptura diuina depromptum negligenter suæ velamen obtendãt, & salutem spémque nostram his verbis conentur infringere. Nihil enim aliud per hæc volunt efficere, nisi in potestate nostra nihil situm esse. Actum est de rebus nostris: frustra regni cœlorum promissio, frustra minæ gehennæ, frustra leges, pœnæ, supplicia, & consilia. Quid enim attinet alicui consulere, cum nihil in eius situm sit potestate? aut quid opus est ei pro- D mittere, qui omni sit rerum gerẽdarum facultate priuatus? Neque is qui rectè se gesserit, dignus est laude, neque qui deliquerit, pœnæ obnoxius, ac supplicio, nisi arbitrij nostri fuerint, quæ sunt agenda. Quod si fuerit hoc hominibus persuasum, nemo iam amplius virtutem amplectetur, nemo à vitio declinabit. Nam si, dum singulis diebus personant aures hominum vocibus nostris de gehenna, dum verba facimus de regno cœlorũ, dum intolerabiles pœnas, & premia, quæ humanum excedunt intellectum, proponimus, dum consulimus, dum cohortamur, dum omnem orationem admouemus, ægrè tamen

Hier.1.23.

Abusus loci istius cōtra liberum arbitrium.

Rom.9.16.

Ps.106.1,

adducuntur quidam, vt sudores pro virtute suscipiant, ægrè à peccatorum voluptatibus auocantur: si hanc etiam sacram abruperis anchoram nónne integra nauis submergetur, & omnes penitus fluctibus absorpti peribunt, multáque quotidie fient naufragia? Nihil enim planè, nihil ita contendit diabolus, vt animæ humanæ persuadere, neque in peccatis eam suppliciis obnoxiam, neque laudibus & coronis esse dignam in rectè factis, vt & studiosorum manus dissoluat, & animi alacritatem ardorémque restinguat, & eorum qui animum despondent incuriam foueat, ac negligentiam augeat. Quocirca diligenter iis, quæ dicuntur attendendum est. Præcipitium est vtrinque ac fouea locus iste, nisi cautè legatur. Quid enim dicemus? an prophetam esse mentitum? at periculosum est; non enim mentitur propheta, vtpote, qui Dei voces proloquatur. Non ergo mentitus est propheta? proinde non sunt in nostra potestate, quæ agere debemus? Immò & in nostra potestate sita sunt quæ agere debemus, & propheta mentitus non est & horum vtrumque probabimus, si attentas aureis præbueritis. Propterea namque præcipitiū vtrinque obiectum ostendi, vt vigiles & attenti propositum nobis iter conficiamus: non enim hunc locum tantum excutiemus, Non est in homine via eius; sed & contextus omnem seriem, & pro quibus dicta sint illa, à quo, vel ad quem, quam ob causam, quando, & quomodo. Non enim dicere sufficit aliquid in Scriptura scriptum reperiri, neque temerè auulsa ac discerpta diuinitus inspiratæ scripturæ membra nuda & à reliquo textu serieq. sermonis seiuncta sumere, ac nimia licentia confidentiáque ipsis illudere. Sic enim praua dogmata multa in nostram hanc ætatem inuecta sunt, dum negligentioribus persuasit diabolus, vt obliquè distorta testimonia Scripturæ proferrēt, vel additis subtractísve nōnullis tenebras veritati offunderēt. Non ergo sufficit dicere scriptum esse in Scriptura, sed totam seriem textúmque sermonis legi oportet: quandoquidem si continuitatem & cognationem, qua inter se connexa sunt, interrumpere vellemus, ita multa praua dogmata proseminarentur. Enimuero in Scriptura scriptum est, Non est Deus, & Auertit faciem suam ne videat in finem, & Deus

Libertas actionū humanarum.

Psal. 13. 1. Psal. 10. 11. Psal. 9. 33.

νουσι τοὺς ὑπὲρ τῆς ἀρετῆς ἱδρῶτας, μόλις ἀφίστανται τῆς ἐν τοῖς ἁμαρτήμασιν ἡδονῆς· ἂν δὲ καὶ ταύτην ἐκκόψῃς τὴν ἄγκυραν τὴν ἱεράν, οὐχ ὁλόκληρον βαπτισθήσεται τὸ σκάφος, καὶ πάντες οἱ πλέοντες ἀπόλεθροι τέλεον ὑποβρύχιοι, καὶ πολλὰ ἔσται καθ' ἡμέραν τὰ ναυάγια; οὐδὲν γάρ, οὐδὲν οὕτως ἐσπούδακεν ὁ διάβολος, ὡς τοῦτο πεῖσαι τὴν ἀνθρωπίνην ψυχήν, ὅτι οὔτε ἐν τοῖς ἁμαρτήμασίν ἐστιν ὑπεύθυνος κολάσεως, οὔτε ἐν τοῖς κατορθώμασιν ἐπαίνων ἄξιος καὶ στεφάνων· ἵνα καὶ τῶν σπουδαίων ἐκλύσῃ τὰς χεῖρας, καὶ σβέσῃ τὴν προθυμίαν, καὶ τῶν ἀναπεπτωκότων ἐπιτείνῃ τὴν ὀλιγωρίαν καὶ αὐξήσῃ τὴν ῥαθυμίαν. διὸ χρὴ προσέχειν μετὰ ἀκριβείας τοῖς λεγομένοις. κρημνὸς ἑκατέρωθέν ἐστι καὶ βόθρος, ἂν μὴ νηφόντως ἀναγνῶμεν τὸ ῥητόν. τί γὰρ εἴπωμεν; ὅτι ἐψεύσατο ὁ προφήτης; ἀλλ' ἐπικίνδυνον. προφήτης γὰρ οὐ ψεύδεται· τὰ γὰρ τοῦ Θεοῦ φθέγγεται ῥήματα. ἀλλ' οὐκ ἐψεύσατο ὁ προφήτης; οὐκοῦν οὐκ ἐφ' ἡμῖν τὰ πρακτέα; ἀλλὰ καὶ ἐφ' ἡμῖν τὰ πρακτέα, καὶ ὁ προφήτης οὐκ ἐψεύσατο· καὶ ἀμφότερα ταῦτα παραστήσομεν, ἐὰν προσέχητε. διὰ γὰρ τοῦτο ἑκατέρωθεν ἔδειξα τὸν κρημνόν, ἵνα νήφοντες διανύσωμεν τὴν προκειμένην ἡμῖν ὁδόν. μὴ γὰρ δὴ τοῦτο μόνον ἐξετάσωμεν, τό, οὐκ ἐν τῷ ἀνθρώπῳ ἡ ὁδὸς αὐτοῦ, ἀλλὰ καὶ τὴν ἀκολουθίαν ἅπασαν, καὶ ὑπὸ τίνων εἴρηται, καὶ παρὰ τίνος, καὶ πρὸς τίνα, καὶ διὰ τί, καὶ πότε, καὶ πῶς. οὐ γὰρ ἀρκεῖ τὸ λέγειν, ὅτι ἐν ταῖς γραφαῖς γέγραπται, οὐδὲ ἁπλῶς παρασπῶντας ῥήματα καὶ ἀποσπῶντας τὰ μέλη τοῦ σώματος τῶν θεοπνεύστων γραφῶν, ἔρημα καὶ γυμνὰ τῆς οἰκείας αὐτῶν συναφείας λαβόντας, ἐπ' ἐξουσίας καὶ ἀδείας ἐπηρεάζειν αὐτοῖς. οὕτω γὰρ πολλὰ δόγματα διεφθαρμένα εἰς τὸν βίον εἰσενήνεκται τὸν ἡμέτερον, τοῦ διαβόλου πείθοντος τοὺς ῥαθυμοτέρους διεστραμμένως ἀπαγγέλλειν τὰ ἐν ταῖς γραφαῖς κείμενα, ἢ προστιθέντας, ἢ ὑφαιροῦντας ἐπισκοτοῦν τῇ ἀληθείᾳ. οὐ τοίνυν ἀρκεῖ τὸ εἰπεῖν, ὅτι ἐν τῇ γραφῇ γέγραπται, ἀλλὰ χρὴ καὶ τὴν ἀκολουθίαν ἀναγνῶναι πᾶσαν. ἐπεὶ εἰ μέλλοιμεν διακόπτειν τὴν πρὸς ἄλληλα συνέχειαν αὐτῶν καὶ συγγένειαν, πολλὰ οὕτω τεχθήσεται πονηρὰ δόγματα. καὶ γὰρ ἐν τῇ γραφῇ γέγραπται, ὅτι οὐκ ἔστι Θεός, καὶ ὅτι ἀπέστρεψε τὸ πρόσωπον αὐτοῦ τοῦ μὴ βλέπειν εἰς τέλος, καὶ ὅτι οὐκ

οὐκ ἐκζητήσει ὁ Θεός. τί οὖν, εἰπέ μοι; οὐκ ἔστι Θεός; οὐδὲ ἐφορᾷ τὰ κατὰ γῆν πράγματα; καὶ τίς τοῦτο ἀνάσχοιτο εἰπεῖν, ἢ ἀκοῦσαι, καίτοι γε ἐν τῇ γραφῇ γέγραπται; ἀλλὰ μάθε πῶς γέγραπται. εἶπε, φησὶν, ἄφρων ἐν καρδίᾳ αὐτοῦ, οὐκ ἔστι Θεός. οὐ τῆς γραφῆς ἐστιν ἡ γνώμη καὶ ἡ ψῆφος, ἀλλὰ τῆς τοῦ ἄφρονος διανοίας· οὐ τὰ ἑαυτῆς εἶπεν ἡ γραφὴ, ἀλλὰ τὰ ἑτέρου ἀπήγγειλε. καὶ πάλιν· ἕως τίνος παρώξυνεν ὁ ἀσεβὴς τὸν Θεόν; εἶπε γὰρ ἐν καρδίᾳ αὐτοῦ, οὐκ ἐκζητήσει· ἀπέστρεψε τὸ πρόσωπον αὐτοῦ, τοῦ μὴ βλέπειν εἰς τέλος. καὶ ἐνταῦθα πάλιν ἀσεβοῦς ἀνθρώπου καὶ διεφθαρμένου κρίσιν καὶ ψῆφον ἐκτίθεται. οὕτω καὶ ἰατροῖς ἔθος ἐστὶ τοῖς ὑγιαίνουσι διαλεγομένοις τὰ τῶν παραπαιόντων καὶ ἐξεστηκότων ἁμαρτήματα λέγειν, ἵνα τούτους ἀσφαλεστέρους ἐργάσωνται. ἐπεὶ οὖν ὑγεία μὲν ψυχῆς εὐσέβεια, νόσος δὲ ἐσχάτη καὶ ἀρρωστία, τὸ τὸν Θεὸν μὴ εἰδέναι, λέγει τὰ ῥήματα τῶν ἀσεβούντων, οὐχ ἵνα ἀκούωμεν ἁπλῶς, ἀλλ' ἵνα φυλαξώμεθα· λέγει τί εἶπεν ὁ ἄφρων, ἵνα σὺ γένῃ φρόνιμος, καὶ μὴ δέξῃ τὸ ῥῆμα· λέγει τί εἶπεν ὁ ἀσεβὴς, ἵνα σὺ φύγῃς τὴν ἀσέβειαν. οὐ μόνον δὲ τῆς ἀκολουθίας ἐκκόπτειν οὐ χρὴ, ἀλλὰ καὶ ὑγιῆ προφέρειν αὐτὰ, καὶ μηδὲν προστιθέναι. πολλοὶ γοῦν καὶ ἕτερά τινα ἀπὸ τῶν γραφῶν περιφέρουσι, διεστραμμένως ἀπαγγέλλοντες. γέγραπται γάρ, φησιν, εἰ πυροῦσαι, γάμησον. οὐδαμοῦ δὲ τοῦτο οὕτως ἐστὶ γεγραμμένον. ἀλλὰ πῶς εἴρηται, σκόπησον· λέγω δὲ τοῖς ἀγάμοις καὶ ταῖς χήραις, καλὸν αὐτοῖς ἐστιν, ἐὰν μείνωσιν ὡς κἀγώ· εἰ δὲ οὐκ ἐγκρατεύονται, γαμησάτωσαν· κρεῖσσον γάρ ἐστι γαμῆσαι, ἢ πυροῦσθαι. οὐκ ἔστιν οὖν ταὐτόν, φησὶ, τὸ εἰ πυροῦσαι, γάμησον; μάλιστα μὲν, εἰ καὶ ταὐτὸν ἦν, τὸ εἰ πυροῦσαι, γάμησον, οὐκ ἐχρῆν ἀφέντας αὐτοὺς τὴν ὑγιῆ τῆς γραφῆς ἀπαγγελίαν, διαστρέφειν, καὶ οἰκείοις ῥήμασι προφέρειν τὰ τῆς γραφῆς νοήματα· νυνὶ δὲ καὶ πολὺ τὸ μέσον εὑρήσομεν. ἂν μὲν γὰρ ἁπλῶς εἴπῃς, Εἰ πυροῦσαι, γάμησον, πᾶσιν ἔδωκας ἐξουσίαν τοῖς παρθενίαν προῃρημένοις, ἡνίκα ἂν ὑπὸ ἐπιθυμίας ὀχληθεῖεν, τὰς πρὸς τὸν Θεὸν διαλῦσαι συνθήκας, καὶ πρὸς τὸν γάμον αὐτομολῆσαι, καὶ τῆς προτέρας ὑποσχέσεως ἐπιλαθέσθαι. εἰ δὲ μάθοις τίσιν ὁ Παῦλος διαλέγεται, ὅτι οὐχ ἅπασιν ἁπλῶς, ἀλλὰ τοῖς οὐδέπω γεγαμημένοις ἐν ὑποσχέσει,

non requiret. Num igitur, dic quæso, non est Deus? neque respicit ea quæ in terris fiunt? quis hoc ausit dicere vel audire? Scriptum tamen est in Scriptura: sed disce, quo pacto sit scriptum. Dixit insipiens, inquit, in corde suo; Non est Deus. Non scripturæ suffragium est & sententia, sed animi insipientis; non dixit quæ sua sunt Scriptura, sed quæ sunt alterius denunciauit. Et rursus, Propter quid irritauit impius Deum? dixit enim in corde suo non requiret. Auertit faciem suam, ne videat in finem. Et hic rursus hominis impij ac scelesti iudicium & sententiam proponit. Ita quoque Medici facere solent, insanorum & amentium peccata sanis, ac valentibus narrant, vt cautiores istos reddant. Cùm igitur sanitas animæ sit pietas, morbus autem & infirmitas summa Deum minimè nosse, impiorum verba commemorat, non vt ea temerè audiamus, sed vt ab iis abstineamus. Quid insipiens dixerit, narrat, vt tu sapiens fias, & dictum eius minimè probes: quid impius dixerit, narrat, vt tu impietatem fugias.

Psal. 10 11.

Neque verò solum à contextu serieque sermonis auellenda loca non sunt, sed etiam sana & integra sunt proferenda nihilque addendum. Multi certè quædam etiã alia circumferunt ex scripturis quæ deprauatè allegãt. Scriptum est enim, inquiunt: Si vraris, vxorem ducito? nullibi tamen hoc ita scriptum est, sed quo pacto sit scriptum considera. Dico autem non nuptis & viduis, bonum illis est, si maneant, sicut & ego. Quod si non se continent, nubant: melius enim est nubere quàm vri. An non igitur idem est, Si vraris, vxorem ducito? Enimuero licet idem foret, non oportebat tamen, vt omissa recta Scripturæ allegatione ipsi eam peruerterent, suísque verbis Scripturæ sensa proferrent: iam vero multum offendimus inesse discrimen. Si enim absolutè dixeris: Si vraris vxorem ducito, cunctis qui virginitatem seruare vltro statuerunt potestatem facis, quum primum libido illis negotium facesset, inita cum Deo pacta conuenta violandi, atque ad nuptias transfugæ more transeundi, ac promissi prioris obliuiscendi: quòd si intelligas, quos alloquatur Paulus, hoc est, non omnes passim, verũ eos, qui nondũ promissione se obstrinxerint,

Abusus loci Paulini ex Epist. ad Corinth. 1.

poteris noxiam ac perniciosam tollere facultatem. Dico enim, inquit, non nuptis & viduis, non iis quæ viduitatem promisere, sed iis quæ neque hoc, neque illud decreuerunt: sed tanquam in medio quodam interstitio cōsilij vtriusque versantur. Exempli causa: mulier quæpiam virum suum amisit, neque dum apud se statuit, neque decreuit, an à se oporteat eligi viduitatem, an verò alterum maritū induci: hanc ego admoneo inquit, bonū esse vt ita permaneat: quod si onus ferre non possit, nubat: eas verò quę iam aggressæ sunt, & in earum album sunt relatæ, quæ viduitatē tolerant, & cum Deo pactum inierunt, non iā vult ad alterum posse matrimonium reuerti. Propterea de illis ad Timotheum scribens sic ait: Adolescentiores autem viduas deuita. Cùm enim luxuriatæ fuerint in Christo, nubere volunt habentes damnationem, quia primam fidem irritam fecerunt. Vides vt eas hic castiget, ac puniat, & obnoxias pœnæ ac iudicio esse dicat, quod inita cum Deo pacta violarint, & promissis non steterint? Itaque ex hoc loco manifestum est dictum illud non ad eas quæ promiserant, esse directum: idcirco non esse illud temerè proferendum, sed noscendas esse personas, quas scripturæ verbis illis alloquuntur. Rursus alium locum circumferunt, cuius non illi quidem structuram peruertunt, sed aliud illi, quod in Scriptura non reperitur, adijciunt. Talis enim est diaboli malitia, vt vel additione vel subtractione, vel deprauatione aut immutatione contextus perniciosa dogmata introducat. Quis ille porro locus est? Meum est inquit argentum, & meū aurum, & cui voluero, dabo illud. Huius loci pars quidem est ita dicta, pars vero dicta non est, sed alicunde adiecta. Nam illud quidem Meum est argētum, & meum est aurum dixit propheta: illud autem, Cui voluero, dabo illud, non item sequitur in scriptura, sed ex inscitia vulgi natū circumfertur. Quódnam porro inde exoritur detrimentum? multi scelerati, & impostores, atque intemperantes, qui ne digni quidem sunt, qui solis huius conspectu fruantur, aut viuant, aut huius cœli spiritū ducant, multis opibus abūdant, dum viduarum domos subuertunt, orphanos spoliāt, aduersus inferiores efferuntur. volēs ergo diabolus hominibus

1.Tim.5. 10.

Abusus alterius loci Scripturæ ex Aggæo.

Agg.2.9.

A δυνήσῃ ταύτην τὴν ἐπιβλαβῆ καὶ ὀλέθριον ἀφελεῖν ἐξουσίαν. λέγω γάρ, φησι, τοῖς ἀγάμοις καὶ ταῖς χήραις, οὐ ταῖς ὑποσχομέναις χηρείαν, ἀλλὰ ταῖς μήτε τοῦτο, μήτε ἐκεῖνο μηδέπω ψηφισαμέναις, ἀλλ' ἐν μεταιχμίῳ τινὶ τῆς γνώμης ἑκατέρας οὔσαις. οἷον, ἀπέβαλέ τις ἄνδρα, φησίν· οὔπω κέκρικε παρ' ἑαυτῇ, οὔτε ἐκύρωσεν, εἴτε χηρείαν ἑλέσθαι δέοι, εἴτε δεύτερον ἐπεισαγαγεῖν νυμφίον. ταύτῃ παραινῶ, φησιν, ὅτι καλὸν τὸ οὕτως εἶναι. εἰ δὲ μὴ δύναιτο φέρειν τὸ φορτίον, γαμείτω. τὰς μέντοι ἐπιβαλλομένας ἤδη καὶ ἀπογραψαμένας εἰς τὴν τῆς χηρείας B ὑπομονήν, καὶ πρὸς τὸν Θεὸν θεμένας συνθήκας οὔ φησι λοιπὸν εἶναι κυρίας τοῦ πρὸς δεύτερον γάμον ἐπανελθεῖν. διὰ τοῦτο Τιμοθέῳ γράφων περὶ αὐτῶν, οὕτω πως φησί· νεωτέρας δὲ χήρας παραιτοῦ. ὅταν γὰρ καταστρηνιάσωσι τοῦ Χριστοῦ, γαμεῖν θέλουσιν, ἔχουσαι κρίμα, ὅτι τὴν πρώτην πίστιν ἠθέτησαν. ὁρᾷς πῶς αὐτὰς ἐνταῦθα κολάζει καὶ τιμωρεῖται, καί φησιν ὑπευθύνους εἶναι δίκῃ καὶ κρίματι, ὅτι τὰς πρὸς τὸν Θεὸν συνθήκας ἠθέτησαν, καὶ τὴν ὑπόσχεσιν διεψεύσαντο. ὥστε ἐκ τούτου δῆλον, C ὅτι ἐκεῖνο τὸ ῥητὸν οὐ πρὸς τὰς ὑποσχομένας εἴρηται. διὰ τοῦτο οὐχ ἁπλῶς αὐτὸ χρὴ προφέρειν, ἀλλ' εἰδέναι καὶ τὰ πρόσωπα, πρὸς ἃ διαλέγονται αἱ γραφαί· πάλιν ἑτέραν περιφέρουσι ῥῆσιν, οὐχὶ διαστρέφοντες αὐτῆς τὴν συνθήκην, ἀλλ' ἕτερον οὐκ ἐγγεγραμμένον προστιθέντες. τοιαύτη γὰρ ἡ τοῦ διαβόλου κακουργία, ἢ πλεονασμῷ, ἢ ὑφαιρέσει, ἢ διαστροφῇ, ἢ μεταβολῇ τῶν κειμένων τὰ ὀλέθρια εἰσάγειν δόγματα. τί δὲ τοῦτό ἐστι τὸ ῥῆμα; ἐμόν D ἐστι, φησι, τὸ ἀργύριον, καὶ ἐμὸν τὸ χρυσίον· καὶ ᾧ ἐὰν θέλω, δώσω αὐτά. τούτου τὸ μὲν εἴρηται, τὸ δὲ οὐκ εἴρηται, ἀλλ' ἔξωθέν ποθεν προσέρριπται. τὸ μὲν γάρ, ἐμὸν τὸ ἀργύριον, καὶ ἐμὸν τὸ χρυσίον, εἶπεν ὁ προφήτης· τὸ δέ, ᾧ ἐὰν θέλω, δίδωμι αὐτά, οὐκέτι πρόσκειται, ἀλλ' ἐκ τῆς τῶν πολλῶν ἀμαθίας περιφέρεται. τίς δὲ καὶ ἐκ τούτου γίνεται βλάβη; πολλοὶ μιαροὶ καὶ γόητες καὶ ἀκόλαστοι, καὶ οὐδὲ τὸν ἥλιον τοῦτον ὁρᾶν ἄξιοι ὄντες ζῆν οὕτω αἰσχρῶς, πολλῆς ἀπολαύουσιν εὐπορίας, ἀναστρέποντες πάντα, οἰκίας χηρῶν ἁρπάζοντες, ὀρφανοὺς λυμαινόμενοι, τῶν καταδεεστέρων ἐπαιρόμενοι. βουλόμενος τοίνυν ὁ διάβολος πεῖσαι τοὺς ἀνθρώπους,

ὅτι πᾶς πλοῦτος ἄνωθέν ἐστι καὶ ἐκ τῆς τοῦ Θεοῦ δωρεᾶς, ἵν' ἐκ τούτου πολλὴν βλασφημίαν προστρίψηται τῷ δεσπότῃ, ῥῆσιν ἀπὸ τῆς γραφῆς λαβὼν τὴν λέγουσαν, ἐμὸν τὸ ἀργύριον, καὶ ἐμὸν τὸ χρυσίον, ἑτέραν τὴν οὐκ οὖσαν ἐν τῇ γραφῇ προστέθεικε λέγων· καὶ ᾧ ἐὰν θέλω, δώσω αὐτά. ὁ δὲ προφήτης Ἀγγαῖος οὐχ οὕτω φησίν· ἀλλ' ἡνίκα ἐπανῆλθον ἐκ τῆς βαρβάρου γῆς οἱ Ἰουδαῖοι, καὶ τὸν ναὸν ἔμελλον ἀνιστᾶν καὶ εἰς τὴν προτέραν ἄγειν εὐπρέπειαν, ἐπειδὴ δὴ πολεμίων περιεστώτων, πενίας οὔσης πολλῆς, οὐδεμιᾶς οὐδαμόθεν εὐπορίας φαινομένης, βουλόμενος εἰς χρηστὰς ἀγαγεῖν αὐτοὺς ἐλπίδας καὶ πεῖσαι θαρρεῖν περὶ τοῦ τέλους, φησὶν ἐκ προσώπου τοῦ Θεοῦ· ἐμόν ἐστι τὸ ἀργύριον, καὶ ἐμὸν τὸ χρυσίον· καὶ ἔσται ἡ δόξα τοῦ οἴκου τούτου ἡ ἐσχάτη ὑπὲρ τὴν πρώτην. καὶ τί τοῦτο πρὸς τὸ προκείμενον, φησίν; ὅτι οὐ δεῖ ἁπλῶς τὰς τῶν γραφῶν ῥήσεις περιφέρειν, οὐδὲ ἐκκόπτοντας τῆς ἀκολουθίας, οὐδὲ τῆς συγγενείας ἀποσπῶντας, οὐδὲ ἔρημα καὶ γυμνὰ τὰ ῥήματα τῶν ἑπομένων ἢ προλαβόντων βοηθείας λαμβάνοντας συκοφαντεῖν ἁπλῶς καὶ ἐπηρεάζειν. πῶς γὰρ οὐκ ἄτοπον, ἐν δικαστηρίῳ μὲν περὶ βιωτικῶν δικαζομένους πραγμάτων ἅπαντα εἰς μέσον προτιθέναι τὰ δικαιώματα, καὶ τόπους καὶ καιροὺς καὶ αἰτίας καὶ πρόσωπα καὶ μυρία παρ' ἄλλα ἕτερα, περὶ δὲ ζωῆς αἰωνίου προκειμένων ἡμῖν ἀγώνων, ἁπλῶς καὶ ὡς ἔτυχε τὰ ἀπὸ τῶν γραφῶν περιφέρειν; καὶ νόμον μὲν οὐδεὶς ἀναγνώσεται βασιλικὸν ἁπλῶς καὶ ὡς ἔτυχεν, ἀλλ' ἂν μὴ τὸν χρόνον εἴπῃ, καὶ τὸν θέντα ἐπιδείξῃ, καὶ ὑγιῆ καὶ ὁλόκληρον αὐτὸν παράσχηται, κολάζεται καὶ δίκην δίδωσι τὴν ἐσχάτην· ἡμεῖς δὲ οὐκ ἀνθρώπων νόμον, ἀλλὰ τὸν ἄνωθεν ἐκ τῶν οὐρανῶν ἐνεχθέντα ἀναγινώσκοντες, τοσαύτῃ ῥᾳθυμίᾳ χρησόμεθα, ὡς μέλη καὶ μέρη περισπᾶν; καὶ ποῦ ταῦτα ἀπολογίας ἄξια καὶ συγγνώμης; τάχα πέρα τοῦ μέτρου ἐξέτεινα τὸν λόγον· ἀλλ' οὐχ ἁπλῶς, ἀλλ' ἵνα τῆς πονηρᾶς ὑμᾶς ἀπαγάγω συνηθείας. μὴ τοίνυν ἀποκάμωμεν, ἕως ἂν τὸ τέλος εὕρωμεν. διὰ γὰρ τοῦτο ἐγενόμεθα, οὐχ ἵνα φάγωμεν καὶ πίωμεν καὶ περιβαλώμεθα, ἀλλ' ἵνα φύγωμεν κακίαν, ἑλώμεθα δὲ ἀρετήν, τῆς θείας ἐπιλαβόμενοι φιλοσοφίας. ὅτι γὰρ οὐχ ἵνα φάγωμεν καὶ πίωμεν ἐγενόμεθα, ἀλλ' ἐφ' ἑτέροις πολλῷ μείζοσι καὶ βελτίοσιν, ἄκουσον τοῦ Θεοῦ καὶ τὴν αἰτίαν λέγοντος, ἐφ' ᾗ τὸν ἄνθρωπον ἐποίησε.

A persuadere diuitias desuper, atque ex Dei largitione manare, vt ex hoc magnam blasphemiam Domino impingere sumpta hac Scripturæ sententia quæ sic habet: Meum est argentum & meũ est aurum, aliam quæ in Scriptura non est adiecit dicens: Et cui voluero dabo illud. At non ita dicit propheta: sed cùm ex barbarorum regione rediissẽt Iudæi, & instauraturi templum essent, atq. ad pristinum splendorem euecturi, propterea quod egeni erãt, & ab hostib. circũfusis obsessi multa premente paupertate, nec vllæ facultates alicũdè apparebãt: cum B in meliorem spem illos vellet erigere, ac persuadere vt desine cõfiderent, ex persona Dei dicit, Meum est argentum, & meũ est aurũ, & erit gloriã domus istius nouissima super primam. Sed quid hoc ad propositũ? dicet aliquis. Quod non oportet Scripturæ sẽtẽtias temerè arripere, atque à serie cõtextúque sermonis & argumenti affinitate diuellere, neque nuda verba sumẽda sint, eorúmque subsidio destituta quæ sequuntur aut præcedũt, vt per ea temerè calũniam struamus, & cauillemur. An nõ enim absurdum est, vt in iudiciis quidem, vbi de C rebus secularibus disceptamus, omnia iura nostra in mediũ proferamus, & loca, tẽpora, caussas, personas, aliáq. innumera producamus: cum vero nobis de vita ęterna propositũ sit certamen temerè & incõsideratè scripturę loca proferamus. Ac legem quidẽ regiam nemo temerè & incõsideratè recitabit, nisi tẽpus notet, ac legislatorẽ designet, & integrã illam atq. illibatã proponat, castigatur grauissimáq. pœna mulctatur: nos verò dum nõ legẽ humanã, sed supernã ac de cœlo delapsam recitamus, tantã pręnobis negligentiã feremus: vt eius partes ac mẽ D bra discerpamus? quis hoc venia dignũ cẽseat? Fortasse vltra modũ orationem produxi; at non sine caussa, verum vt à praua consuetudinẽ vos abducam. Ne igitur defatigemur, donec ad finem peruenerimus: propterea namq. nati sumus non vt edamus ac bibamus, & induamur, sed vt vitiũ fugiamus, ac diuinam amplexi philosophiã virtutẽ sectemur. Natos enim esse nos non vt edamus ac bibamus, sed ad alia quędam multo maiora melioráque præstanda, quo pacto Deus doceat audi & quam afferat caussam, propter quam hominẽ procrearit.

Scripturæ verba quomodo citanda.

ἐν θυμῷ. ἀλλ' ἐπειδὴ τινὲς πρὸς τοῦτο ἀντιλέγουσι, καὶ οὐχὶ περὶ τοῦ βαρβάρου φασὶν εἰρῆσθαι, ἀλλὰ περὶ τῆς κοινῆς φύσεως τῶν ἀνθρώπων, ἀνάγκη καὶ πρὸς τούτους ἀπομαχέσασθαι. τί οὖν ἔστι πρὸς τούτους εἰπεῖν; ὅτι ὑπὲρ ἀνθρώπων ἡμαρτηκότων ἠξίου, ὑπὲρ ὧν ἐκωλύθη πολλάκις ἀξιοῦν· διὰ τοῦτο τὴν πόλιν παρασκευάζει θρηνῆσαι πρότερον. ἐπειδὴ γὰρ συνεχῶς ἔλεγε, μὴ ἀξίου ὑπὲρ αὐτῶν, τὴν δεομένην αὐτὴν τῆς φιλανθρωπίας καθίησι πρότερον, ἵνα ἐκ τούτου ἀφορμήν τινα καὶ πρόφασιν εὔλογον λάβῃ τῆς πρὸς τὸν Θεὸν ὑπὲρ αὐτῶν ἱκετηρίας, καὶ πρὸς αὐτὴν ἀποτείνει τὸν λόγον, καί φησιν· οὐαὶ τῷ συντρίμματί σου, ἀλγηρὰ ἡ πληγή σου. εἶτα ἐκείνη φησίν· ὄντως τοῦτό μου τὸ τραῦμά ἐστιν, ἡ σκηνή μου ὤλετο, αἱ δέρρεις μου διεσπάσθησαν, οἱ υἱοί μου καὶ τὰ πρόβατά μου ἐξῆλθον ἀπ' ἐμοῦ, καὶ οὐκ εἰσίν· οἱ ποιμένες μου ἠφρονεύσαντο, καὶ τὸν κύριον οὐκ ἐξεζήτησαν· φωνὴ ἀκοῆς ἔρχεται καὶ σεισμοῦ μεγάλου ἀπὸ βορρᾶ, τοῦ τάξαι τὰς πόλεις Ἰούδα εἰς ἀφανισμὸν καὶ κοίτην στρουθῶν. εἶτα ἐπειδὴ ἐτραγῴδησε τὴν οἰκείαν συμφορὰν ἐκείνη, φησί· κύριε, οὐχὶ τοῦ ἀνθρώπου ἡ ὁδὸς αὐτοῦ. τί οὖν, ἐπειδὴ θρηνεῖ, φησι, δόγμα ὀλέθριον εἰσήγαγεν εἰς τὴν οἰκουμένην, τὴν ἐξουσίαν ἡμῶν ἀφαιρούμενος, καὶ λέγων οὐκ ἐφ' ἡμῖν εἶναι τὰ πρακτέα; οὐδαμῶς, ἀλλὰ καὶ θρηνῶν ἀσφαλίζεται. εἰπὼν γάρ, ὅτι οὐχὶ τοῦ ἀνθρώπου ἡ ὁδὸς αὐτοῦ, οὐκ ἐσιώπησεν, ἀλλ' ἐπήγαγεν οὐδὲ ἄνθρωπος πορεύσεται καὶ κατορθώσει τὴν πορείαν αὐτοῦ. ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· οὐκ ἐφ' ἡμῖν ἐστι τὸ πᾶν· ἀλλὰ τὸ μὲν ἐφ' ἡμῖν, τὸ δὲ ἐπὶ τῷ Θεῷ. τὸ μὲν γὰρ ἑλέσθαι τὰ κάλλιστα, καὶ βουληθῆναι, καὶ σπουδάσαι, καὶ πάντα ὑπομεῖναι πόνον, τῆς ἡμετέρας ἐστὶ προθέσεως· τὸ δὲ εἰς τέλος ἀγαγεῖν αὐτά, καὶ μὴ συγχωρῆσαι διαπεσεῖν, καὶ πρὸς αὐτὸ τὸ πέρας ἐλθεῖν τῶν κατορθωμάτων, τῆς ἄνωθέν ἐστι χάριτος. ἐμερίσατο γὰρ πρὸς ἡμᾶς τὴν ἀρετὴν ὁ Θεός, καὶ οὔτε ἐφ' ἡμῖν ἀφῆκε τὸ πᾶν εἶναι, ἵνα μὴ εἰς ἀπόνοιαν ἐπαιρώμεθα, οὔτε αὐτὸς τὸ πᾶν ἔλαβεν, ἵνα μὴ εἰς ῥαθυμίαν ἀποκλινώμεθα· ἀλλ' ὀλίγον ἀφεὶς ἐπὶ τοῖς ἡμετέροις πόνοις, τὸ πλέον αὐτὸς κατορθοῖ. ὅτι γὰρ εἰ τὸ πᾶν ἦν ἐφ' ἡμῖν, πολλοὺς ἂν τοῦτο εἰς ἀπόνοιαν ἐπῆρε καὶ ἐξετραχήλισεν, ἀκούωμεν τοῦ Φαρισαίου, τί φησιν, εἰς

A in furore. Sed quoniam huic expositioni contradicunt nonnulli, neque barbari caussa dictum hoc esse volunt, sed de communi hominum natura, necessarium est, vt cum istis decertemus. Quid ergo possumus his opponere? Quoniam pro hominibus orabat, qui peccauerant, pro quibus orare sæpe prohibitus erat: propterea curat, vt ciuitas prior lugeat: nam quoniam assiduè dicebat, Noli orate pro illis, eam ipsam quæ benignitate indigebat priorem submittit, vt ansam inde aliquam & speciosam occasionem arripiat pro illis B Deo preces offerendi, atque ad ipsam dirigit orationem, aitque, Væ contritioni tuæ: doloris plena est plaga tua. *Hier. 10.18* Tum infit illa: Planè hoc est vulnus meum, tabernaculum meum periit, pelles meæ conscissæ sunt, Filij mei & oues meæ exierunt à me, & non sunt. Pastores mei stultè egerunt, & Dominum non exquisierunt. Vox auditionis venit, & cõmotionis magnæ ab Aquilone, vt ponat ciuitates Iuda in desolationem, & cubile passerum. Deinde postquam illa suam calamitatem deplorauit, adiecit: Domine non est hoC minis via eius. Num igitur lamentatur, dicet aliquis, perniciosum dogma in mundum inuexit nostra potestate nos priuans, & affirmans non esse arbitrij nostri res gerendas? Nequaquam, sed & dum lamentatur id confirmat. Cùm enim dixisset, Non est hominis via eius, minimè tacuit, sed adiecit, Neque homo ibit, & diriget gressum suum. Quod autem dicit, hanc sententiam habet: Non totum est in nostra potestate, sed aliud quidem in nostra, aliud vero in Dei situm est potestate. Nam vt optima quæque eligamus, velimus, & agere contendamus, omnémque laborem exD antlemus, nostri est arbitrij: vt autem ad exitum ea perducamus, neque intercidere sinamus, vtque ad finem rectè factorum perueniamus, id verò cœlestis est gratiæ. Partitus enim est nobiscum virtutem Deus, & neque rem totam in nostra sitã esse voluit potestate, ne in superbiã efferamur, neque totum sibi ipse sũpsit, ne nos inertiæ dedamus: sed exiguũ quid laborib. nostris relinquẽs, maiorẽ partẽ ipse cõficit. Vt enim sciamus, quo pacto si res tota in potestate nostra fuisset, multos id in superbiã egisset, & extulisset, audiamus quid Phariseus dicat,

in quantam insolentiã elatus esset, quo pacto magnificè loqueretur, seque toti orbi terrarũ fastuosè præferret. Propter ea non vt totũ à nobis penderet, effecit, quinimo permisit, vt in nostra potestate aliquid esset, vt nos iure ac meritò coronandi speciosam occasionẽ arriperet. Atque hoc illa parabola declarauit, in qua dicit homines circa vndecimam horam inuẽtos se in vineam ad operandum misisse. Tametsi quid operari vndecima hora potuerunt? At nihilominus ad integrã illis dandam mercedem breue momentum Deo suffecit. Atque vt intelligas hoc prophetam verè dicere, neque nos arbitrij libertate priuare, sed de rerum exitu philosophari, audi quid adjiciat. Nam cum dixisset, *Non est in homine via eius*, statim adiungit: *Corripe nos Domine, verumtamen in iudicio, & non in furore*. Si enim arbitrij nostri nihil esset, frustra diceret, Corripe nos Domine, veruntamen in iudicio. Quid enim fieri potest iniustius, quàm vt illi plectantur, quorum ex arbitrio non pendent res gerendæ, aut vt homines illi pœnas sustineant, quorum via vitáque non sit in eorum posita potestate? Itaque cum Deum videtur orare, ne grauiori pœna mulctentur, nihil aliud præter hoc indicat, dignos eos nimirum esse qui plectantur, ac pœnã sustineant. Hoc autem nihil aliud quam libertatem arbitrij commendat. Si enim res gerendæ illorum iuris & arbitrij non essent, non iam vt mitiori supplicio afficerentur peti oporteret, sed nec vllo modo puniri: immo verò neq. precibus opus esset, Non enim deprecatore indiget Deus, vt innocentes non puniat. Et quid dico, Deus, quum nec vllus homo prudens? Quando igitur pro Iudæis orare prophetam videmus, satis liquet eum pro hominibus orare qui peccarint: tùm verò cernitur peccatum, cum penes nos est, vt legem non transgrediamur, & tamen eam transgredimur. Ergo vndique nobis manifestũ est, cum in nostra, tum in Dei potestate situm esse rectè facta. Simile illud est etiam, Non volentis, neque currentis, sed miserentis est Dei. Et quam ob caussam curro, inquit, vel quam ob caussam volo, nisi tota res in meo sit arbitrio sita? vt nimirum dum vis, & dum curris, diuinum auxilium & beneuolentiam tibi concilies, sic vt te adiuuet ? ac manum porrigat, atque ad

Matt. 20. 6.

Libertatem arbitrij non eripit Hierem.

Rom. 9. 16.

A ὅσην ἀλαζονείας ἐπήρετο, πῶς ἐμεγαληγόρει, καὶ τῆς οἰκουμένης ἁπάσης ἑαυτὸν ἔφησε μείζονα. διὰ τοῦτο οὐ τὸ πᾶν ἡμέτερον ἐποίησεν, ἀλλ' ἀφῆκέ τι ἐφ' ἡμῖν εἶναι, ἵνα εὐπρόσωπον λάβῃ πρόφασιν τοῦ δικαίως ἡμᾶς στεφανοῦν. καὶ τοῦτο ἐδήλωσε διὰ τῆς παραβολῆς ἐκείνης, καθ' ἣν φησιν, ὅτι περὶ τὴν ἑνδεκάτην ὥραν εὑρὼν ἀνθρώπους, ἔπεμψεν εἰς τὸν ἀμπελῶνα ἐργάζεσθαι. καίτοι τί ἐν τῇ ἑνδεκάτῃ ὥρᾳ εἰργάσαντο; ἀλλ' ὅμως ἤρκεσε τῷ Θεῷ καὶ ἡ βραχεῖα τοῦ καιροῦ ῥοπὴ πρὸς τὸ δοῦναι τὸν μισθὸν αὐτοῖς ἀπηρτισμένον. B καὶ ἵνα μάθῃς ὅτι τοῦτο ἀληθῶς ὁ προφήτης φησὶ, καὶ οὐκ ἀφαιρεῖται τὴν ἐξουσίαν ἡμᾶς, ἀλλὰ περὶ τοῦ τέλους τῶν πραγμάτων οὗτος φιλοσοφεῖ, ἄκουσον τῆς ἐπαγωγῆς. εἰπὼν γὰρ, οὐκ ἐν ἀνθρώπῳ ἡ ὁδὸς αὐτοῦ, εὐθὺς ἐπιφέρει, παίδευσον ἡμᾶς, κύριε, πλὴν ἐν κρίσει, καὶ μὴ ἐν θυμῷ. εἰ γὰρ μηδὲν ὅλως ἐφ' ἡμῖν ἦν, περιττῶς ἔλεγε, παίδευσον ἡμᾶς, πλὴν ἐν κρίσει. τί γὰρ ἂν ἀδικώτερον γένοιτο τοῦ κολάζεσθαί τινας οὐκ ὄντας κυρίους τῶν πρακτέων, καὶ τιμωρίαν ὑπέχειν ἀνθρώπους, ὧν ἡ ὁδὸς καὶ ὁ βίος οὐκ ἐπὶ τῇ αὐτῶν ἐξουσίᾳ κεῖται; ὥστε ὅταν φαίνηται τὸν Θεὸν C παρακαλῶν ὑπὲρ τοῦ μὴ σφοδροτέραν γενέσθαι τὴν τιμωρίαν κατ' αὐτῶν, οὐδὲν ἕτερον, ἢ τοῦτο ἐμφαίνει, ὅτι ἄξιοι τοῦ κολάζεσθαι καὶ τιμωρίαν ὑπέχειν εἰσί. τοῦτο δὲ οὐδὲν ἕτερον, ἢ τὸ αὐτεξούσιον συνίστησιν. εἰ γὰρ μὴ κύριοι τῶν πρακτέων ἦσαν, οὐχὶ πραοτέραν ἔδει τὴν τιμωρίαν ἀξιοῦν αὐτοὺς ὑποσχεῖν, ἀλλὰ μηδὲ ὅλως κολάζεσθαι· μᾶλλον δὲ οὐδὲ ἀξιώσεως ἔδει. ὁ γὰρ Θεὸς οὐ δεῖται τοῦ παρακαλοῦντος αὐτὸν, ὥστε μὴ κολάσαι τινὰς ἀνευθύνους. καὶ τί λέγω, ὁ Θεὸς, D ὅπουγε οὐδὲ ἄνθρωπος νοῦν ἔχων; ὅταν οὖν φαίνηται παρακαλῶν ὁ προφήτης ὑπὲρ Ἰουδαίων, ὡς ὑπὲρ ἡμαρτηκότων εὔδηλον ὅτι παρακαλεῖ. ἁμαρτία δὲ τότε φαίνεται, ὅταν ἡμεῖς, ὄντες κύριοι τοῦ μὴ παραβαίνειν τὸν νόμον, παραβαίνωμεν. ὥστε πανταχόθεν δῆλον ἡμῖν ὅτι καὶ ἐφ' ἡμῖν, καὶ ἐπὶ τῷ Θεῷ τὰ ἡμέτερα κεῖται κατορθώματα. τοιοῦτόν ἐστι καὶ τὸ, οὐ τοῦ θέλοντος, οὐδὲ τοῦ τρέχοντος, ἀλλὰ τοῦ ἐλεοῦντος Θεοῦ. καὶ τίνος ἕνεκεν τρέχω, φησί; τίνος δὲ ἕνεκεν θέλω, εἰ μὴ τὸ πᾶν ἐν ἐμοὶ κεῖται; ἵνα διὰ τοῦ θέλειν καὶ τοῦ τρέχειν ἐπισπάσῃ τοῦ Θεοῦ τὴν ῥοπὴν καὶ τὴν εὔνοιαν, ὥστε συμπρᾶξαι καὶ χεῖρα ὀρέξαι καὶ πρὸς

τὸ τέλος ἀγαγεῖν. ἐὰν γὰρ ἀνέλῃς τοῦτο, καὶ παύσῃ τρέχων καὶ θέλων, οὔτε ὁ Θεὸς ὀρέξει χεῖρα, ἀλλ' ἀποστήσεται καὶ αὐτός. πόθεν τοῦτο δῆλον; ἄκουσον τί φησι τῇ Ἱερουσαλήμ. ποσάκις ἠθέλησα ἐπισυναγαγεῖν τὰ τέκνα σου, καὶ οὐκ ἠθελήσατε; ἰδοὺ, ἀφίεται ὁ οἶκος ὑμῶν ἔρημος. ὁρᾷς, ὅτι ἐπειδὴ οὐκ ἠθέλησαν, πῶς ἀπέστη καὶ ὁ Θεός; διὰ τοῦτο χρεία ἡμῖν καὶ τοῦ θέλειν καὶ τοῦ τρέχειν, ἵνα καὶ τὸν Θεὸν ἐπισπασώμεθα. τοῦτο οὖν φησι καὶ ὁ προφήτης, ὅτι τὸ κατορθῶσαι, οὐκ ἐν ἡμῖν, ἀλλ' ἐν τῇ τοῦ Θεοῦ βοηθείᾳ· τὸ δὲ ἑλέσθαι, ἐν ἡμῖν καὶ ἐν τῇ ἡμετέρᾳ προαιρέσει. οὐκοῦν εἰ ἐν τῇ τοῦ Θεοῦ βοηθείᾳ τὸ κατορθῶσαι, φησι, κἂν μὴ κατορθώσω, οὐδεμίαν ἂν εἴην δίκαιος ὑπομένειν αἰτίαν. ὅταν γὰρ τὰ παρ' ἐμαυτοῦ παράσχω πάντα, καὶ θελήσω, καὶ προέλωμαι, καὶ τῶν πραγμάτων ἅψωμαι, ὁ δὲ τοῦ τέλους κύριος ὢν μὴ συμπράξῃ, μηδὲ χεῖρα ὀρέξῃ, πάντος ἀπήλλαγμαι ἐγκλήματος. ἀλλ' οὐκ ἔστι ταῦτα, οὐκ ἔστιν. ἀμήχανον γὰρ, θελησάντων ἡμῶν καὶ προελομένων καὶ βουληθέντων, τὸν Θεὸν ἐγκαταλιπεῖν. εἰ γὰρ τοῖς μὴ βουλομένοις παραινεῖ καὶ συμβουλεύει, ἵνα θελήσωσι καὶ βουληθῶσι, πολλῷ μᾶλλον τοὺς αἱρουμένους οὐκ ἐγκαταλιμπάνει. ἐμβλέψατε γάρ, φησιν, εἰς ἀρχαίας γενεάς, καὶ ἴδετε, τίς ἤλπισεν ἐπὶ κύριον, καὶ κατῃσχύνθη; ἢ τίς ἐνέμεινε ταῖς ἐντολαῖς αὐτοῦ, καὶ ὑπερεῖδεν αὐτόν; καὶ πάλιν ὁ Παῦλός φησιν· ἡ δὲ ἐλπὶς οὐ καταισχύνει, ἡ ἐλπὶς ἡ εἰς τὸν Θεόν. ἀμήχανον γὰρ τοῦ τέλους ἐκπεσεῖν τὸν ὅλῃ διανοίᾳ ἐπὶ τὸν Θεὸν ἐλπίζοντα, καὶ τὰ παρ' ἑαυτοῦ πάντα εἰσφέροντα. καὶ πάλιν, πιστὸς δὲ ὁ Θεός, ὃς οὐκ ἐάσει ὑμᾶς πειρασθῆναι ὑπὲρ ὃ δύνασθε, ἀλλὰ ποιήσει σὺν τῷ πειρασμῷ καὶ τὴν ἔκβασιν τοῦ δύνασθαι ὑμᾶς ὑπενεγκεῖν. διὰ τοῦτο παραινεῖ σοφός τις ἀνήρ, λέγων· τέκνον, εἰ προσέρχῃ δουλεύειν κυρίῳ, ἑτοίμασον τὴν ψυχήν σου εἰς πειρασμόν· εὔθυνον τὴν καρδίαν σου, καὶ καρτέρησον, καὶ μὴ σπεύσῃς ἐν καιρῷ ἐπαγωγῆς· κολλήθητι αὐτῷ, καὶ μὴ ἀποστῇς. καὶ ἕτερος παραινεῖ λέγων· ὁ δὲ ὑπομείνας εἰς τέλος, οὗτος σωθήσεται. ταῦτα δὲ πάντα κανόνες εἰσὶ καὶ ὅροι καὶ δόγματα ἀκίνητα. καὶ δεῖ τοῦτο πεπηγέναι ἐν τῇ ψυχῇ τῇ ἡμετέρᾳ, ὅτι ἀμήχανον ἵνα σπουδῇ χρώμενον καὶ μεριμνῶντα ὑπὲρ τῆς ἑαυτοῦ σωτηρίας, καὶ τὰ παρ' ἑαυτοῦ πάντα ἐπιδεικνύμενον, ἐγκαταλειφθῆναί

A ad finem vsque perducat. Si enim hoc sustuleris, & currere simul & velle desieris, neque manum porriget Deus, sed & ipse abscedet. Vnde autẽ id constat? Audi quid dicat Hierusalem: Quoties volui cõgregare filios tuos, & noluistis? Ecce relinquitur domus vestra deserta. Vides, quoniam illi noluerunt, quo pacto etiam Deus abscessit? propterea nobis quoque opus est vt velimus, & curramus quò Deum nobis etiam conciliemus. Hoc igitur est, quod ait propheta, fœlicem exitum rerum in potestate nostra situm non esse, verum ab auxilio pendere diuino: vt autem eligamus, in nobis & in arbitrio nostro situm est. B Enimuero si rerum prosper aut sinister exitus ab auxilio diuino pendet, dicet aliquis, nulli obnoxius crimini censeri debeo. cum enim omnia, quæ mearum partium sunt, præstitero, & voluero, & elegero, & rem ipsam aggressus fuero, is vero à cuius potestate pendet euentus, me non adiuuerit, neque manum porrexerit, omni sum crimine liberatus. Verum non ita est, planè non est ita. neque enim fieri potest, vt si nos voluerimus, elegerimus, ac statuerimus, Deus non derelinquat. Si enim eos qui nolunt hortatur & consulit eis, vt velint & statuant, multò magis eos qui vltro C eligent, nõ derelinquet. Respicite namque, inquit, in generationes antiquas, & videte, quis sperauit in Dominum, & confusus est, aut quis permansit in mandatis, & despexit eum? & rursus ait Paulus, Spes non confundit. spes nimirum in Deum. Impossibile enim est, vt finem propositum non adipiscatur, is qui tota mẽte in Deum sperat, & quæ suarũ sunt partium, præstat omnia. Et rursus, Fidelis autem Deus, qui non patietur vos tentari supra id, quod potestis, sed faciet cum tentatione prouentũ, vt possitis sustinere. Idcirco admonet sapiẽs vir qui- D dam dicẽs: Fili si accedas ad seruitutem Domini, prepara animã tuã ad tentationem. Dirige cor tuũ, & sustine, & ne festines in tẽpore obductionis. Coniũgere illi, & ne recedas. Alius quoque sermo nos admonet: Qui autẽ perseuerauerit vsq. in finem, hic saluus erit. Porro hæc oĩa regulæ sunt, leges, ac decreta immutabilia, & hoc in mente vestra sit fixum oportet, fieri nõ posse, vt qui studiũ adhibeat, & de sua salute sit sollicitus, & oĩa quæ suarũ sunt partiũ, exequatur, is

Matth. 23. 37.

Eccli. 2. 10

Rom. 5. 5.

1. Cor. 10. 13.

Eccli. 2. 1.

Matth. 10. 22.

vnquam à Deo deseratur. Non audis A quid Petro dicat? Simon, Simon, quoties expetiuit Satanas, vt cribraret vos *Luc. 22. 31.* sicut triticum: ego autem oraui pro te, vt non deficiat fides tua. Nam cum viribus nostris esse maius viderit onus, manum porrigit, ac tentationem reddit leuiorem: cum vero nos ex propria negligentia viderit ac desidia propriam salutem prodere, neque velle saluari, tunc derelinquit ac deserit. Neq; enim vim affert aut cogit, quodque dum doctrinam traderet, agebat, id etiam hic fit. Vt enim illic eos, qui audire nolebãt, sed discedebant non trahebat, neque B vim afferebat: sed iis, qui attendebant, obscura soluebat, & ænigmata manifesta reddebat, ita nimirum & in rebus ipsis: eos qui stupidi sunt, & minimè volunt, non cogit neque vim illis affert: eos autem qui vltro eligunt, summo studio sibi conciliat. Propterea dicit *Act. 10. 34.* etiam Petrus; In veritate comperi, quia in omni gente, qui timet Deum, & operatur iustitiam, acceptus est illi: & *Esa. 1. 19.* propheta istud ipsum admonet his verbis: Si volueritis, & audieritis me, bona terræ comedetis. Si autem nolueritis, C neque exaudieritis me, gladius deuorabit vos. Quæ cum ita nota & explorata sint nobis, atque in nostra potestate situm esse vt velimus & curramus, nosque, dum volumus currimúsque, Deum nobis conciliaturos ad eius auxilium obtinendum, eo porrò nobis conciliato, nos rerum exitum assequuturos, excitemus nos, dilectissimi, atque ad salutem nostram omne studium conferamus, vt cum modicum in hac vita laborem exantlauerimus, in æterno & immortali æuo illo bonis immortalibus perfruamur. Quæ nobis omni- D bus vt contingant, faxit gratia & benignitas domini nostri Iesu Christi, cum quo Patri gloria, simúlque sancto Spiritui, nunc & semper & in secula seculorum, Amen.

A ποτε παρὰ τοῦ Θεοῦ. οὐκ ἀκούεις τί φησι πρὸς τὸν Πέτρον; Σίμων, Σίμων, ποσάκις ἠτήσατο ὁ Σατανᾶς σινιάσαι ὑμᾶς ὡς τὸν σῖτον· κἀγὼ ἐδεήθην περὶ σοῦ, ἵνα μὴ ἐκλείπῃ ἡ πίστις σου. ὅταν μὲν γὰρ ἴδῃ τὸν φόρτον μείζω τῆς ἡμετέρας δυνάμεως ὄντα, ὀρέγει χεῖρα, καὶ ἐπικουφίζει τὸν πειρασμόν· ὅταν δὲ ἴδῃ ἐξ οἰκείας ῥαθυμίας καὶ ὀλιγωρίας τὴν οἰκείαν προδιδόντας σωτηρίαν, καὶ μὴ βουλομένους σωθῆναι, ἀφίησι καὶ ἐγκαταλιμπάνει. οὐ γὰρ βιάζεται, οὐδὲ ἀναγκάζει. καὶ ὅπερ ἐπὶ τῆς διδασκαλίας ἐποίει, τοῦτο B καὶ ἐνταῦθα γίνεται. καθάπερ γὰρ ἐκεῖ τοὺς μὴ θέλοντας ἀκούειν, ἀλλ' ἀποπηδῶντας, οὐκ εἷλκεν οὐδὲ ἐβιάζετο, τοῖς δὲ προσέχουσι διέλυε τὰ ἀσαφῆ, καὶ τὰ αἰνίγματα ἐποίει φανερά· οὕτω δὴ καὶ ἐπὶ τῶν πραγμάτων· τοὺς μὲν ἀναλγήτους καὶ οὐκ ἐθέλοντας οὐκ ἀναγκάζει οὐδὲ βιάζεται, τοὺς δὲ προαιρουμένους ἐπισπᾶται μετὰ πολλῆς τῆς σφοδρότητος. διὰ τοῦτο καὶ ὁ Πέτρος φησίν· ἐπ' ἀληθείας καταλαμβάνομαι, ὅτι ἐν παντὶ ἔθνει ὁ φοβούμενος τὸν Θεὸν καὶ ἐργαζόμενος δικαιοσύνην, δεκτὸς αὐτῷ ἐστι. καὶ ὁ C προφήτης αὐτὸ τοῦτο παραινεῖ λέγων· ἐὰν θέλητε, καὶ εἰσακούσητέ μου, τὰ ἀγαθὰ τῆς γῆς φάγεσθε· ἐὰν δὲ μὴ θέλητε, μηδὲ εἰσακούσητέ μου, μάχαιρα ὑμᾶς κατέδεται. Ταῦτα οὖν εἰδότες, καὶ ὅτι καὶ τὸ θέλειν καὶ τὸ τρέχειν ἐν ἡμῖν ἐστι, καὶ διὰ τοῦ θέλειν καὶ τοῦ τρέχειν τὸν Θεὸν ἐπισπώμεθα πρὸς τὴν ἡμετέραν βοήθειαν, ἐπισπασάμενοι δὲ αὐτὸν, πρὸς τὸ τέλος ἥξομεν τῶν πραγμάτων, διαναστῶμεν, ἀγαπητοὶ, καὶ πᾶσαν σπουδὴν ἐπιδειξώμεθα ἐν τῇ τῆς ψυχῆς σωτηρίᾳ τῆς ἡμετέρας· ἵνα μικρὸν ἐνταῦθα D πονήσαντες χρόνον, κατὰ τὸν ἀγήρω καὶ ἀθάνατον αἰῶνα τῶν ἀθανάτων ἀπολαύσωμεν ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

A

ΑΠΟΔΕΙΞΙΣ ΤΟΥ ΧΡΗσίμως τὰς περὶ Χριστοῦ καὶ ἐθνῶν καὶ τῆς ἐκπτώσεως Ἰουδαίων προφητείας ἀσαφεῖς εἶναι.

ΠΡΟΦΗΤΙΚΗΝ σήμερον ὑμῖν παραθεῖναι βούλομαι τράπεζαν, καὶ πρὸς τὸ πέλαγος τῆς Ἡσαΐου σοφίας ἐπαφεῖναι τὸν λόγον παρασκευάζομαι. ἀλλὰ τί πάθω; ὀκνῶ καὶ δέδοικα, μή ποτε τὸν λιμένα ἐξελθόντες, καὶ πρὸς τὸ βάθος καταντήσαντες τῶν προφητικῶν νοημάτων, ἰλιγγιάσωμεν· ὅπερ πάσχουσιν οἱ τῶν πλωτήρων ἄπειροι. καὶ γὰρ ἐκεῖνοι, ἐπειδὰν τὴν γῆν ἀφέντες, ἐξ ἑκατέρου μέρους τῆς νεὼς πέλαγος ἴδωσι, καὶ οὐδὲν ἕτερον, ἀλλ' ἢ θάλατταν καὶ οὐρανὸν σκοτοδινίῳ κατέχονται, καὶ περιφέρεσθαι τὸ πλοῖον αὐτοῖς κύκλῳ νομίζουσι μετὰ τῆς θαλάττης. ἀλλ' οὐ παρὰ τὴν φύσιν τῆς θαλάττης, ἀλλὰ παρὰ τὴν ἀπειρίαν τῶν πλεόντων οἱ ἴλιγγοι γίνονται. ἕτεροι γοῦν τῶν ναυτῶν γυμνοῖς τοῖς σώμασι κυβιστῶσι κατὰ τῶν κυμάτων, καὶ οὐδὲν πάσχουσι τοιοῦτον· ἀλλὰ πρὸς τὸ βάθος καταβάντες αὐτὸ, τῶν ἐν ἐδάφει διατριβόντων ἀσφαλέστερον διατελοῦσι· καὶ τῷ στόματι, καὶ τοῖς ὀφθαλμοῖς, καὶ παντὶ τῷ σώματι δεχόμενοι τὴν ἅλμην, οὐ δυσχεραίνουσι. τοσοῦτόν ἐστι μελέτη καλόν· τοιοῦτόν ἐστιν ἀπειρία κακόν. οὕτως αὕτη καὶ τῶν φοβερῶν καταφρονεῖν ποιεῖ, ἐκείνη δὲ καὶ τὰ ἀσφαλῆ ὑποπτεύειν καὶ δεδοικέναι παρασκευάζει. οἱ μὲν γὰρ ἐφ' ὑψηλῶν τῶν ἰκρίων καθήμενοι τῆς νεὼς, καὶ πρὸς τὴν θέαν ἰλιγγιῶσιν, οἱ δὲ οὐδὲ ἐν μέσοις θορυβοῦνται τοῖς κύμασι. τοῦτο καὶ ἐπὶ τῆς διανοίας γίνεται τῆς ἡμετέρας. καὶ γὰρ καὶ ταύτην πολλάκις καταλαμβάνει κύματα παθῶν τῶν θαλαττίων ἀγριώτερα, ἃ ζάλη θυμοῦ κάτωθεν στρέφουσα τὴν καρδίαν, πνεύματα ἐπιθυμίας πονηρᾶς πολλὴν ποιοῦντα τῇ διανοίᾳ τὴν σύγχυσιν. ἀλλ' ὁ μὲν ἄπειρος καὶ ἀμελέτητος, ἀρχομένου τοῦ χειμῶνος τῆς ὀρ-

VTILITER ET PERCOMMODE FACTVM, VT PROphetiæ de Christo, & Gentibus, deque Iudæorum reprobatione obscuræ essent, demonstratio.

Eodem interprete.

PROPHETICAM vobis hodie volo mensam instruere, atque in pelagus sapientiæ Esaiæ meditor orationē immittere. Sed quid faciam? dubito ac metuo, ne cum è portu egressi fuerimus, atque ad profundum sententiarum prophetæ peruenerimus, quod nautis contingit, qui nauigationi assueti non sunt, vertigine laboremus. Nam & illi cum relicta terra ex vtraque parte nauis, pelagus viderint, nec aliud quicquam præter mare ac cœlum, tenebricosa vertigine corripiuntur, & vna cum mari nauigium in orbem existimant circumferri. Non tamen ex natura maris, sed quòd inexperti sint qui nauigant, oboriuntur vertigines: cæteri quidem certè nautæ nudis corporibus & in mediis fluctibus in caput se deijciunt, neque tale quicquam patiuntur, sed cum ad ipsum profundum descenderint, tutius quam qui in pauimento degunt, illic versantur, & licet ore, oculis, ac toto corpore salsuginem excipiant, non ægrè ferunt. Tantum bonum est exercitatio, tantum malum est imperitia: sic ista persuadet, vt etiam quæ formidabilia sunt, contemnamus; illa verò efficit, vt etiam tuta suspecta sint nobis, ac re formidanda videantur. Nam hi quidem in sublimibus sedentes nauis tabulatis etiam ipso ex aspectu vertigine corripiuntur: illi verò nec in mediis fluctibus perturbantur. Hoc & in mente nostra euenit: siquidem & ipsam fluctus perturbationum inuadunt multò marinis sæuiores, veluti procella iracundiæ, quæ deorsum cor detorquet, & prauæ cupiditatis venti, qui multam excitant in mente conturbationem. Atque is quidem qui expertus est & inexercitatus, incipiente iræ tempestate continuò tur-

Experientia & exercitationis cōmoda.

batur, commouetur, agitatur, animam finit à perturbationibus submergi, ac naufragium pati: qui vero expertus & exercitatus est ad hæc omnia patienter ferenda, tanquam gubernatorem ad clauum sedentem, ita rationem supra perturbationes istas collocat, neque prius absistit omnibus tentatis, quàm nauigium ad tranquillum philosophiæ portum dixerit. Quod igitur fit in mari, & quod in mente accidit, hoc & in expositione Scripturarum euenit. commoueri necesse est ac turbari, postquam in pelagus egressi fuerimus, non quod formidabile sit pelagus, sed quod inexperti simus nos, qui nauigamus. Nam orationem, quæ sua natura sit facilis, ob imperitiam auditorum difficilem fieri, Paulum vobis testem proferam. Cum enim Christum dixisset Pontificem fuisse secundum ordinem Melchisedec, quæsiuisset que quis Melchisedec esset, adiecit: De quo grandis nobis sermo, & interpretatu difficilis. Quid ais beate Paule? Tibine difficilis est interpretatu, qui spirituali polles sapientia, qui arcana verba audiuisti, qui ad tertiū raptus es cœlum? Si tibi difficilis est interpretatu, à quo poterit comprehendi? Mihi difficilis est interpretatu, inquit, non ob suam difficultatem sed ob auditorum infirmitatem. Postquam enim dixit, interpretatu difficilis, adiunxit: Quoniam imbecilles facti estis ad audiendum. Vides non naturam sermonis, sed auditorum imperitiam difficilem eum reddidisse, qui difficilis minimè fuit? Neque verò difficilem tantum, sed & grandem efficit eum, qui breuis sit eadem causa: quapropter non modo difficilem interpretatu eum esse dixit, verum etiam grandem, & prolixitatis, & difficultatis caussam adscribens aurium imbecillitati. Nam quemadmodum dum ægros curamus nō oportet subitaneam & paratu facilē mensam illis apponere, sed varia sunt illis edulia paranda, vt si ægrotus hoc gustare noluerit, alterum sumat: quod si illud non admittat aliud acceptet: aut si hoc repudiet, alteri manum injiciat, & ciborum varietate fastidium vincamus, ac diuersitate mensæ animi eius morositatem mitigemus: ita sæpenumero

Hebr.5.6. *Psal.109.4.* *Hebr.5.11.*

A γῆς, εὐθέως θορυβεῖται, ταράττεται, κλονεῖται, περιφορᾷ γινομένην ὑποβρύχιον τὴν ψυχὴν ὑπὸ τῶν παθῶν καὶ ναυάγιον ὑπομένουσαν· ὁ δὲ ἔμπειρος καὶ μεμελετηκὼς τὰ τοιαῦτα φέρειν γενναίως, καθάπερ κυβερνήτην ἐπὶ τῶν οἰάκων, οὕτω τὸν λογισμὸν ἐπάνω τῶν παθῶν καθίσας, οὐ πρότερον ἀφίσταται πάντα ποιῶν, ἕως ἂν κατευθύνῃ τὸ σκάφος πρὸς τὸν εὔδιον τῆς φιλοσοφίας λιμένα. ὅπερ οὖν ἐπὶ τῆς θαλάττης γίνεται, καὶ ἐπὶ τῆς διανοίας συμβαίνει, τοῦτο καὶ ἐν τῇ ἐξηγήσει τῶν γραφῶν συμπίπτει. B ἀνάγκη θορυβεῖσθαι, ταράττεσθαι, ἐπειδὰν ἐξέλθωμεν εἰς τὸ πέλαγος· οὐκ ἐπειδὴ τὸ πέλαγος φοβερὸν, ἀλλ' ἐπειδὴ ἡμεῖς οἱ πλέοντες ἄπειροι. ὅτι γάρ ἐστιν εὔκολον φύσει λόγον ὄντα, δύσκολον γίνεσθαι παρὰ τὴν ἀπειρίαν τῶν ἀκουόντων, Παῦλον ὑμῖν παραστήσομαι μάρτυρα. εἰπὼν γὰρ ὅτι Χριστὸς ἐγένετο ἀρχιερεὺς κατὰ τὴν τάξιν Μελχισεδὲκ, καὶ ζητῶν τίς ἐστιν ὁ Μελχισεδὲκ, ἐπήγαγε· περὶ οὗ πολὺς ἡμῖν ὁ λόγος καὶ δυσερμήνευτος. τί λέγεις, ὦ μακάριε Παῦλε; δυσερμήνευτός C σοι τῷ πνευματικὴν ἔχοντι σοφίαν; τῷ τὰ ἀπόρρητα ῥήματα ἀκούσαντι; τῷ πρὸς τρίτον ἁρπαγέντι οὐρανόν; εἴ σοι δυσερμήνευτος, τίνι καταληπτός; ἐμοί, φησι, δυσερμήνευτος, οὐ παρὰ τὴν οἰκείαν δυσκολίαν, ἀλλὰ παρὰ τὴν ἀσθένειαν τῶν ἀκουόντων. εἰπὼν γὰρ, δυσερμήνευτος, ἐπήγαγεν, ἐπειδὴ νωθροὶ γεγόνατε ταῖς ἀκοαῖς. ὁρᾷς ὅτι οὐχ ἡ φύσις τοῦ λόγου, ἀλλ' ἡ ἀπειρία τῶν ἀκουόντων, δύσκολον τὸν οὐ δύσκολον ἐποίησεν; οὐ μόνον δὲ δύσκολον, ἀλλὰ καὶ πολὺν ποιεῖ τὸν βραχὺν ἡ αὐτὴ αἰτία. διόπερ οὐχὶ δυσερμήνευτον D ἔφησεν εἶναι μόνον, ἀλλὰ καὶ πολὺν, καὶ τοῦ μήκους, καὶ τῆς δυσκολίας ἀναθεὶς τὴν αἰτίαν τῇ νωθρότητι τῆς ἀκοῆς. καθάπερ γὰρ ἐπὶ τῶν ἀρρωστούντων οὐκ ἀναγκαῖον σύντομον καὶ ἐσχεδιασμένην παραθεῖναι τράπεζαν, ἀλλὰ δεῖ παρασκευάσαι τὰ σιτία διάφορα, ἵνα ἂν τοῦτο ὁ κάμνων μὴ βουληθῇ μεταλαβεῖν, τὸ ἕτερον λάβῃ· κἂν ἐκεῖνο μὴ προσίηται, τὸ ἄλλο δέξηται· κἂν τοῦτο διακρούσηται, ἐπιλάβηται θατέρου, καὶ τῇ ποικιλίᾳ τῶν βρωμάτων τὴν δυσκολίαν νικήσωμεν, καὶ τῷ πολυτρόπῳ τῆς τραπέζης τὸ δυσάρεστον τῆς γνώμης θεραπεύσωμεν· οὕτω πολλάκις καὶ

ἐπὶ τῆς πνευματικῆς ἑστιάσεως χρὴ ποιεῖν. ὅταν ἀσθενεῖς ὦμεν, πολὺν παρασκευάσασθαι χρὴ τὸν λόγον καὶ ποικίλον, παραβολὰς καὶ παραδείγματα ἔχοντα, κατασκευὰς καὶ περιόδους, καὶ ἕτερα πολλὰ τοιαῦτα, ἵνα ἐκ πάντων ῥᾳδία γένηται ἡμῖν τῶν συμφερόντων ἡ αἵρεσις. πλὴν ἀλλ' εἰ καὶ πολὺς ὁ λόγος καὶ δυσερμήνευτος, οὐκ ἀπεστέρησεν αὐτοὺς τῆς διδασκαλίας τοῦ Μελχισεδὲκ, τῷ μὲν γὰρ εἰπεῖν, πολὺς καὶ δυσερμήνευτος, ἀναστήσας αὐτῶν τὴν σπουδὴν, ἵνα προθυμότεροι γένωνται περὶ τὴν ἀκρόασιν· τῷ δὲ παραθεῖν τὴν τράπεζαν, χαρισάμενος αὐτῶν τῇ ἐπιθυμίᾳ. τοῦτο δὴ καὶ ἡμεῖς ποιήσωμεν. εἰ καὶ ἄπειρον τὸ πέλαγος τῶν προφητῶν, καὶ πολλὰ ἐκεῖ τὰ βάθη, καταστολμήσωμεν τῆς θαλάττης κατὰ τὴν ἡμετέραν δύναμιν· μᾶλλον δὲ μὴ κατὰ τὴν ἡμετέραν δύναμιν, ἀλλὰ κατὰ τὴν ἄνωθεν δεδομένην ἡμῖν χάριν, οὐ διὰ τὴν ἡμετέραν παρρησίαν, ἀλλὰ διὰ τὴν ὑμετέραν ὠφέλειαν καταστολμήσωμεν τῆς θαλάττης, κἀν τούτῳ Παῦλον μιμούμενοι. ὅτι γὰρ οὐκ ἀπεστέρησεν αὐτοὺς τοῦ λόγου τοῦ κατὰ τὸν Μελχισεδὲκ, ἄκουσον τῶν ἑξῆς. εἰπὼν γοῦν, περὶ οὗ πολὺς ὁ λόγος καὶ δυσερμήνευτος, ἐπήγαγεν· οὗτος γὰρ ὁ Μελχισεδὲκ, βασιλεὺς δικαιοσύνης· ἔπειτα δὲ καὶ βασιλεὺς Σαλὴμ, ὅ ἐστι βασιλεὺς εἰρήνης, ἀπάτωρ, ἀμήτωρ, ἀγενεαλόγητος, μήτε ἀρχὴν ἡμερῶν, μήτε ζωῆς τέλος ἔχων· ἀφωμοιωμένος δὲ τῷ υἱῷ τοῦ Θεοῦ, μένει ἱερεὺς εἰς τὸ διηνεκές. ἆρα οὐκ ἐτάραξεν ὑμῶν τὰς ἀκοὰς, περὶ ἀνθρώπου διαλεγόμενος ὁ Παῦλος καὶ λέγων, ἀπάτωρ, ἀμήτωρ; καὶ τί λέγω περὶ ἀνθρώπου; εἰ γὰρ περὶ τοῦ Χριστοῦ λέγοιτο τοῦτο, οὐκ ἂν πολλὴν καὶ οὕτως ἡμῖν παρέχοι ζήτησιν; εἰ γὰρ ἀπάτωρ, πῶς υἱός; εἰ ἀπάτωρ, πῶς μονογενής; ὁ γὰρ υἱὸς ὀφείλει πατέρα ἔχειν, ἐπεὶ οὐκ ἂν εἴη υἱός. ἀλλὰ καὶ ἀπάτωρ ἐστὶν ὁ υἱὸς τοῦ Θεοῦ, καὶ ἀμήτωρ. πῶς; ἀπάτωρ τὴν κάτω γέννησιν, ἀμήτωρ τὴν ἄνω. οὔτε γὰρ ἐπὶ γῆς ἔσχε πατέρα, οὔτε ἐν οὐρανῷ μητέρα. ἀγενεαλόγητος. ἀκουέτωσαν οἱ τὴν οὐσίαν αὐτοῦ πολυπραγμονοῦντες· καίτοι τινὲς νομίζουσιν, ὅτι τὸ ἀγενεαλόγητος τοῦτο, περὶ τῆς ἄνω γεννήσεως εἴρηται. οἱ μὲν γὰρ αἱρετικοὶ οὐδὲ τοῦτο βούλονται. καὶ γὰρ ἐκείνην πολυπρα-

in spiritualibus conuiuiis est agendum cùm infirmi sumus, prolixa & varia instituenda est oratio, quę comparationes habeat, exempla, demonstrationes, verborum circuitus, aliáque multa eiusmodi, vt ex omnibus facilis sit nobis eorũ, quæ sint profutura, delectus. Enimuero licet grandis esset atque interpretatu difficilis ille sermo, nequaquã illos doctrina de Melchisedec priuauit, cum & dicendo grandem illum esse, atque interpretatu difficilẽ illorum studium excitarit, vt alacriores fierẽt ad audiendum: & dum illis mensam instruxit, eorum cupiditati fuerit obsequutus. Hoc nos quoque faciamus: zametsi prophetarum immensum est pelagus, multæq; insunt illic voragines, audacter pro nostra virili parte mare ingrediamur, imò verò, nõ pro nostra virili parte, sed pro ut nobis superna gratia concessum fuerit, non fiducia freti nostra, sed procurandæ vtilitatis vestræ caussa mare audacter ingrediamur, & in hoc quoque Paulũ imitemur. Quòd enim oratione de Melchisedec illos minimè priuarit, ex iis, quæ sequuntur, intelliges. Sane cum dixisset, De quo grandis sermo, & interpretatu difficilis, adiecit: Hic enim Melchisedech rex iustitiæ, deinde autem & rex Salem, quod est rex pacis, sine patre, sine matre, sine genealogia, neque initium dierum, neq. vitæ finem habens; assimilatus autem filio Dei manet sacerdos in perpetuum. An non vestras aures perturbauit de homine verba faciens Paulus, ac dicens, Sine patre, sine matre? quid dico de homine? Nam si hoc de Christo etiã diceretur, nonne sic etiam multam quęrendi occasionem præberet? Si enim est sine patre, quomodo filius? si sine patre, quomodo vnigenitus? Filius enim patrem habere debet, alioqui filius non erit. Veruntamen & sine patre filius Dei est, & sine matre. Quo tandem modo? sine patre secundum terrenam generationem: sine matre secundum cœlestem: nam neque in terris habuit patrem, neque matrem in cœlis. Sine genealogia. Audiant, qui eius essentiam curiosè scrutantur. tametsi arbitrantur quidam, quod hic dicitur sine genealogia, ad cœlestem generationem pertinere. Nam hæretici quidem ne hoc quidem volunt: etenim illam quoque curiosè scrutantur

Hebr. 7. a.

Exponitur locus Pauli ad Hebræos

& inquirunt: qui verò sunt inter illos modestiores, illi quidem generationi hoc concedunt, de terrena vero non item dictum existimant illud, sine genealogia. Ostendamus igitur hoc de vtraque Paulum generatione dixisse, de terrena simul & de cœlesti: nam & illa tremenda est, & hæc mystica maximè. Propterea dicebat etiam Esaias, Generationem eius quis enarrabit? Atqui de illa cœlesti, inquit, hoc dixit: Quid ergo Paulo dicemus, qui vtramque generationem commemorauit, ac deinde illud, sine genealogia, subiunxit? Cum enim ante dixisset sine patre, sine matre, post adiunxit, sine genealogia, vt non modo secundum illam generationem, secundum quam est sine matre, sed etiam secundum hanc, secundum quam est sine patre, terrenam, sine genealogia ipsum esse credas. Idcirco enim hæc terrena comprehendi non potest, vt in illam ne introspicere quidem audeamus. Nam si templi vestibula sunt adeò terribilia & inaccessa, quo pacto in ipsa adyta penetrare quis audebit? Genitum enim ex patre fuisse scio: quo verò pacto, nescio. Ex virgine illum fuisse natum noui, modum autem, ne hic quidem assequor. Nam vtriusque naturæ generationem confitemur, & vtriusque modum tacemus. Et quemadmodum cum de virgine agitur, etsi nescio, quo pacto sit ex virgine generatus, tamen eum generatum fuisse confiteor, ita fac tu quoque, cum de patre agitur: licet nescias quomodo sit genitus, eum fuisse genitum confitere. Quod si dixerit tibi hæreticus, Quomodo genitus est ex Patre Filius? spiritus eius in terram deprime, atque illi dicito: Descende de cœlis, ac mihi demonstra, quo modo ex virgine fuerit generatus, túmque illa me roga: retine illum, & obsessum vrge, neque resilire finito aut in labyrinthum ratiocinationum se proripere: verum retine, & strangula non manu, sed oratione, ne distinctiones illi & effugia concedas, quæ cupit: hinc fit, vt eos perturbent & commoueant, qui cum ipsis disputant, quòd nos illis obsequamur, neque eos ad sacrarum scripturarum leges adigamus. Vndiq; igitur, illi murum ex testi-

Esa. 53. 8.

Aduersus hæreticos de æterna Christi generatione agit.

γκμονοῦσι καὶ περιεργάζονται. οἱ δὲ ἐπιεικέστεροι τούτων, ἐκείνην μὲν παραχωροῦσι· οὐκέτι δὲ καὶ περὶ ταύτης τῆς κάτω νομίζουσιν εἰρῆσθαι τὸ, ἀγενεαλόγητος. δείξωμεν οὖν ὅτι περὶ ἑκατέρας γεννήσεως τοῦτο ὁ Παῦλος εἶπε, καὶ περὶ τῆς ἄνω, καὶ περὶ τῆς κάτω. καὶ γὰρ καὶ ἐκείνη φρικτὴ, καὶ αὕτη μυστικωτάτη. διὰ τοῦτο καὶ Ἡσαΐας φησὶ, τὴν γενεὰν αὐτοῦ τίς διηγήσεται; ἀλλὰ περὶ ἐκείνης, φησὶν, εἶπε τῆς ἄνω. τί οὖν ἐροῦμεν Παύλῳ ἀμφοτέρας εἰπόντι τὰς γεννήσεις, καὶ τότε ἐπαγαγόντι τὸ, ἀγενεαλόγητος; πρότερον γὰρ εἰπὼν, ἀπάτωρ, ἀμήτωρ, τότε ἐπήγαγε τὸ, ἀγενεαλόγητος· ἵνα μὴ μόνον κατ' ἐκείνην τὴν γέννησιν, καθ' ἣν ἀμήτωρ ἐστὶν, ἀλλὰ καὶ κατὰ ταύτην, καθ' ἣν ἀπάτωρ ἦν, τὴν κάτω λέγω, ἀγενεαλόγητον εἶναι πιστεύσῃς. διὰ τοῦτο ἀμφοτέρας θεὶς, τότε εἶπε τὸ, ἀγενεαλόγητος. καὶ γὰρ καὶ αὕτη ἡ κάτω, ἀκατάληπτος, ἵνα πρὸς ἐκείνην μηδὲ παρακύψαι τολμήσωμεν. εἰ γὰρ τὰ προπύλαια τοῦ ναοῦ οὕτω φοβερὰ καὶ ἀπρόσιτα, πῶς εἰς τὰ ἄδυτά τις εἰσελθεῖν ἐπιχειρήσει; ὅτι μὲν γὰρ ἐγεννήθη ἐκ τοῦ πατρὸς, οἶδα· τὸ δὲ πῶς, οὐκ οἶδα. ὅτι ἐτέχθη ἐκ τῆς παρθένου, ἐπίσταμαι· τὸν δὲ τρόπον οὐδὲ ἐνταῦθα καταλαμβάνω. ἑκατέρας γὰρ φύσεως ἡ γέννησις ὁμολογεῖται, καὶ ἑκατέρας ὁ τρόπος σεσίγηται. καὶ ὥσπερ ἐνταῦθα ἐπὶ τῆς παρθένου, οὐκ εἰδὼς ἐγὼ πῶς ἐκ παρθένου ἐγεννήθη, ὁμολογῶ ὅτι ἐγεννήθη, καὶ οὐκ ἀναιρῶ τὸ πρᾶγμα διὰ τὴν ἄγνοιαν τοῦ τρόπου· οὕτω καὶ σὺ ποίησον ἐπὶ τοῦ πατρός· εἰ καὶ οὐκ οἶδας πῶς ἐγεννήθη, τὸ, ἐγεννήθη, ὁμολόγησον. κἂν λέγῃ σοι ὁ αἱρετικὸς, πῶς ἐγεννήθη ἐκ τοῦ πατρὸς ὁ υἱός; κατάσπασον αὐτοῦ τὸ φρόνημα εἰς τὴν γῆν, καὶ εἰπὲ πρὸς αὐτόν· κατάβηθι ἐκ τῶν οὐρανῶν, καὶ δεῖξον πῶς ἐγεννήθη ἐκ τῆς παρθένου, καὶ τότε ἐκεῖνα ἐρώτα. κάτασχε αὐτὸν, καὶ περίστηθι, καὶ μὴ ἀφῇς ἀποπηδῆσαι, μηδὲ ἀναχωρῆσαι εἰς τὸν λαβύρινθον τῶν λογισμῶν· ἀλλὰ κάταγχε, καὶ ἀπόπνιξον, μὴ τῇ χειρὶ, ἀλλὰ τῷ ῥήματι· μὴ δῷς αὐτῷ διαστολὰς καὶ διαφυγὰς, ἃς βούλεται. ἐκεῖθεν θόρυβον ἐμποιοῦσι τοῖς διαλεγομένοις, ἐπειδὴ ἡμεῖς αὐτοῖς ἀκολουθοῦμεν, καὶ οὐκ ἄγομεν ὑπὸ τοὺς νόμους τῶν θείων γραφῶν. περίθες τοίνυν αὐτῷ τεῖχος πάντοθεν,

τὰς

περὶ ἀπὸ τῶν γραφῶν μαρτυρίας, καὶ οὐδὲ χάνειν δυνήσεται. Εἰπὲ πρὸς αὐτόν, πῶς ἐγεννήθη ἐκ τῆς παρθένου; οὐκ ἀφίσταμαι οὐδὲ ἀναχωρῶ. ἀλλ' οὐκ ἂν ἔχοι τὸν τρόπον εἰπεῖν, κἂν μυρία φιλονεικῇ. ὅταν γὰρ ὁ Θεὸς ἀποκλείσῃ, τίς ἀνοίξει λοιπόν; πίστει παραδεκτέα τὰ τοιαῦτα μόνῃ. Εἰ δὲ οὐκ ἀνέχῃ, ἀλλὰ λογισμοὺς ἐπιζητεῖς, ἐρῶ πρὸς σέ, ὃ πρὸς τὸν Νικόδημον ὁ Χριστός· εἰ τὰ ἐπίγεια εἶπον ὑμῖν, καὶ οὐ πιστεύετε, πῶς, ἐὰν τὰ ἐπουράνια εἴπω, πιστεύσετε; περὶ τῆς ἐκ παρθένου γεννήσεως εἶπον, καὶ οὐκ οἶδας, οὐδὲ χάναι τολμᾷς, καὶ τὸν οὐρανὸν περιεργάζῃ; Εἴθε μὲν οὖν τὸν οὐρανόν, καὶ μὴ τὸν δεσπότην τῶν οὐρανῶν ἐπολυπραγμόνεις. Εἰ τὰ ἐπίγεια εἶπον ὑμῖν, καὶ οὐ πιστεύετε. οὐκ εἶπεν, οὐ πείθεσθε, ἀλλ', οὐ πιστεύετε, δεικνὺς ἡμῖν, ὅτι καὶ τὰ ἐπίγεια πίστεως δεῖται. εἰ δὲ τὰ ἐπίγεια πίστεως δεῖται, πολλῷ μᾶλλον τὰ οὐράνια. καίτοι τότε πρὸς Νικόδημον περὶ τόκου διελέγετο πολὺ ἐλάττονος. περὶ τοῦ βαπτίσματος γὰρ ὁ λόγος ἦν, καὶ τῆς ἀναγεννήσεως τῆς πνευματικῆς· ἀλλ' ἔλεγεν, ὅτι καὶ ταῦτα πίστει ἐστὶ καταληπτά. ἐπίγεια δὲ αὐτὰ ἐκάλεσεν, οὐκ ἐπειδὴ ἐπίγειά ἐστιν, ἀλλ' ἐπειδὴ ἐν τῇ γῇ τελεῖται· καὶ τῇ συγκρίσει τῆς ἄνω γεννήσεως τῆς ἀπορρήτου καὶ πάντα ὑπερβαινούσης νοῦν, ἐπίγεια ταῦτά ἐστιν. Εἰ τοίνυν, πῶς ἀναγεννώμεθα ἐκ τῶν ὑδάτων, οὐ δυνατὸν εἰδέναι, ἀλλὰ πίστει μόνῃ παραδέχεσθαι δεῖ τὸ γινόμενον, καὶ τὸν τρόπον μὴ περιεργάζεσθαι, πόσης ἂν εἴη μανίας, ἐπὶ τῆς ἄνω γεννήσεως τοῦ μονογενοῦς υἱοῦ λογισμοὺς ἀνθρωπίνους κινεῖν, καὶ τρόπου γεννήσεως εὐθύνας ἀπαιτεῖν; πῶς μὲν οὖν ἀπάτωρ καὶ ἀμήτωρ ὁ μονογενὴς υἱὸς τοῦ Θεοῦ, ἱκανῶς ἀποδέδεικται, καὶ πῶς ἀγενεαλόγητος ἑκατέραν τὴν γέννησιν. λοιπὸν δὲ πρὸς τὸ ἐπεῖγον ἀπαγάγωμεν, τὸν λόγον τὸν περὶ τοῦ Μελχισεδὲκ εἰς ἑτέραν ἡμέραν ἀναβαλλόμενοι, καὶ διαναστήσωμεν τὴν ἀκοήν, προφητικῶν μέλλοντες ἀκούειν αἰνιγμάτων. αἰνίγμασι γὰρ ἔοικε τὰ προφητικά, καὶ πολλὴ δυσκολία ἐν τῇ παλαιᾷ διαθήκῃ, καὶ δυσπερίληπτα τὰ βιβλία· ἡ δὲ καινὴ σαφεστέρα καὶ εὐκολωτέρα. Καὶ τίνος ἕνεκεν, φησί, ταῦτα οὕτω διατετύπωται, καὶ τί ἡ καινὴ περὶ μειζόνων διαλέγεται πραγμάτων, περὶ βασιλείας οὐρανῶν, καὶ σωμάτων ἀναστάσεως,

A moniis scripturarum oppone, ac ne hiscere quidem poterit. Dic illi, Quo pacto ex virgine generatus est? non absistam, neque recedam. Atqui modum effari non poterit, tametsi omni ope conatúque contendat. Cùm enim Deus occluserit, quis iam reserabit? Sola fide percipi possunt talia. Quod si non acquiescas, sed rationes disquiras, iisdem te verbis, quibus Nicodemum Christus, affabor: Si terrena dixi vobis, & non creditis, quomodo si dixero vobis cœlestia credetis? De natiuitate dixi ex B virgine, neque nosti, neque hiscere audes, & cœlum curiosè scrutaris? Atque vtinam in cœlum, & non in dominum cœli curiosè inquireres. Si terrena dixi vobis, & non creditis. Non dixit, & non persuademini, sed non creditis, quo verbo significat terrena etiã fide indigere. Quod si terrena fide indigent, multo magis cœlestia. Quamquam tum Nicodemo de partu multo minori loquebatur: siquidem de baptismo sermo erat, & de spirituali regeneratione: sed hæc quoque fide comprehendenda dicebat. C Cæterùm terrena illa vocauit, nõ quod terrena sint, sed quod perficiantur in terra, & quod si comparentur cum superna illa & ineffabili natiuitate, quæq; mentem omnem exuperat, hæc terrena sint. Si ergo fieri nõ potest, vt sciam quo pacto renascar ex aquis, sed fide sola res illa capienda est, neque modus curiosè scrutandus, quantæ fuerit hoc insaniæ ad inuestigandam cœlestem vnigeniti Filij generationem cogitationes humanas admittere, ac modi, quo facta sit, rationem exigere? Satis igitur demonstratum est quo pacto sine patre ac sine ma- D tre sit vnigenitus Dei filius, & quo pacto sine genealogia secundùm vtramque generationem: reliquũ est vt ad id quod instat redeamus, postquã sermonem de Melchisedec in alterũ diem reiecimus, ac prophetica ænigmata audituri nostrã attentionem excitemus. Similes enim sunt ænigmatibus sermones prophetici, multísque difficultatibus obseptum est vetus Testamentum, neque faciles intellectu sunt libri: nouum autem dilucidius est & facilius. Ecquã tandem ob causam, dicet aliquis, hæc ita sunt constituta: licet de rebus maioris momenti agatur in nouo, de regno cœlorum, de resurrectione corporum,

Ioan. 3. 12.

Vetus testam. obscurum.

& ineffabilibus illis bonis, quæ & humanam mentem excedunt? quid tandem igitur est in causa, vt obscuræ sint prophetiæ? Multa Iudæis istæ mala prædicunt, ac fore vt eijciantur illi, nos recipiamur, templum euertatur, nec amplius excitetur, vt concidant Hierosolyma, & omnibus sint peruia: tum verò Iudæi errones ac vagi facti, per vniuersum orbem terrarum dispergantur, ac ciuitate destituti, ne veteres quidem ritus ac ceremonias retineant, sed omnes illis res ipsorum priores auferantur, & prophetiæ, & sacrificia, & sacerdotium, & regnum. Neque verò tantum ista, sed & alia multa eiusmodi prædicebant prophetæ, dum innumeras suis libris tragœdias immiscerent. Ne igitur ab initio Iudæi manifestè hæc audientes, eos interficerent qui hæc dicebant, interpretationis difficultate prædictiones occultarunt, ac multa obscuritate rebus offusa, per eorum quæ dicebantur obscuritatem prophetarum saluti & incolumitati consuluerunt. Vnde verò id constat? rationes enim à nobis reddendæ sunt, tametsi inter amicos verba facimus: siquidem multi fortassis adsunt non amici. Discent igitur hæc etiam illi, vt & amici ipsi fiant. Dixi, si Iudæi audiuissent mala, quæ comprehensura illos erant, ac fore, vt propter Christum exscindantur Hierosolyma in perpetuum, nec vnquam amplius instaurentur, hæc si perspicuè à prophetis audiuissent, confestim eos qui hæc loquebantur, occidissent. Vnde igitur id liquet? Primum quidem ex ipsorum moribus: furiosi enim erant ac belluini. Populus est semper sitiens sanguinem prophetarum, manus eorum cædibus se sanctorum exercuerant. Hæc aduersus illos magnus Elias vociferatur dicens: Domine prophetas tuos occiderunt, altaria tua diruerunt. Christus iterum, Hierusalem, Hierusalem, quæ occidit prophetas, & lapidat eos, qui ad ipsam missi sunt: & Esaias eosdem accusans his consonam vocem mittens ait: Manus vestræ plenæ sunt sanguine. Et rursus Christus: Patres vestri occiderunt prophetas, vos autem ipsorum ædificatis monumenta: implete mensuram patrum vestrorum.

Interfuerunt tum concioni Gentiles, & alij non fideles.

3.Reg.19.10.

Matth.23.37.

Esa.1.15.

Matth.23.31.

καὶ τῶν ἀπορρήτων ἀγαθῶν, ἃ καὶ ἀνθρώπινον ὑπερβαίνει νοῦν; τίς οὖν ἡ αἰτία τοῦ τὰς προφητείας ἀσαφεῖς εἶναι; πολλὰ προλέγουσιν Ἰουδαίοις αὗται κακά· καὶ ὅτι ἐκβληθήσονται μὲν ἐκεῖνοι, ἡμεῖς δὲ εἰσδεχθησόμεθα· καὶ ὅτι καταλυθήσεται μὲν ὁ ναός, καὶ οὐκέτι λοιπὸν ἀναστήσεται· πεσεῖται δὲ τὰ Ἱεροσόλυμα, καὶ πᾶσιν ἔσται βατά· Ἰουδαῖοί τε πλανῆται γινόμενοι, πανταχοῦ τῆς οἰκουμένης διασπαρήσονται, καὶ τῆς πόλεως ἐκπεσόντες, οὐδὲ τὴν πολιτείαν ἕξουσι λοιπὸν τὴν ἀρχαίαν· ἀλλὰ πάντα αὐτῶν ἀφαιρεθήσεται τὰ πρότερα, καὶ προφητεία, καὶ θυσία, καὶ ἱερωσύνη, καὶ βασιλεία. οὐ μόνον δὲ ταῦτα, ἀλλὰ καὶ ἄλλα πολλὰ τοιαῦτα προέλεγον οἱ προφῆται, μυρίας τραγῳδίας τοῖς οἰκείοις ἐγκαταμιγνύντες βιβλίοις. ἵν' οὖν οἱ Ἰουδαῖοι μὴ σαφῶς ἀκούσαντες παρὰ τὴν ἀρχὴν, διαχειρίσωνται τοὺς λέγοντας ταῦτα, τῇ δυσκολίᾳ τῆς ἑρμηνείας ἀπέκρυψαν τὰς προρρήσεις, καὶ πολλὴν ἀσάφειαν κατέχεαν τῶν πραγμάτων, τῇ ἀσαφείᾳ τῶν λεγομένων τοῖς λέγουσι παρασκευάζοντες ἀσφάλειαν. καὶ πόθεν δῆλον τοῦτο; δεῖ γὰρ καὶ εὐθύνας ἡμᾶς ἀπαιτεῖσθαι, εἰ καὶ ἐν φίλοις λεγόμεθα. καὶ γὰρ πολλοὶ ἴσως καὶ τῶν οὐ φίλων πάρεισι. μανθανέτωσαν τοίνυν ταῦτα κἀκεῖνοι, ἵνα καὶ αὐτοὶ φίλοι γένωνται. εἶπον, ὅτι εἰ ἤκουσαν οἱ Ἰουδαῖοι τὰ μέλλοντα αὐτοὺς καταλήψεσθαι κακά, καὶ ὅτι τὰ Ἱεροσόλυμα ἁλώσεται διὰ τὸν Χριστὸν τὴν ἅλωσιν ταύτην τὴν ἀθάνατον, καὶ οὐκ ἔχουσαν μεταβολήν· εἰ ἤκουσαν φανερῶς παρὰ τῶν προφητῶν ταῦτα, εὐθέως ἂν τοὺς ταῦτα λέγοντας ἀπέκτειναν. πόθεν οὖν τοῦτο δῆλον; πρῶτον μὲν ἀπὸ τῶν τρόπων αὐτῶν. μανικοὶ γὰρ καὶ θηριώδεις ἦσαν. δῆμός ἐστιν αἱμάτων ἀεὶ διψῶν προφητικῶν, αἱ χεῖρες αὐτῶν ἐμελέτησαν ἐν ταῖς σφαγαῖς τῶν ἁγίων. ταῦτα ὁ μέγας Ἠλίας αὐτῶν καταβοᾷ λέγων· κύριε, τοὺς προφήτας σου ἀπέκτειναν, τὰ θυσιαστήριά σου κατέσκαψαν. ὁ Χριστὸς πάλιν, Ἱερουσαλήμ, Ἱερουσαλήμ, ἡ ἀποκτείνασα τοὺς προφήτας, καὶ λιθοβολοῦσα τοὺς ἀπεσταλμένους πρὸς αὐτήν. καὶ ὁ Ἡσαΐας σύνῳδα τούτοις, αὐτῶν κατηγορῶν, ἐβόα· αἱ χεῖρες ὑμῶν αἵματος πλήρεις. καὶ πάλιν ὁ Χριστός· οἱ πατέρες ὑμῶν ἀπέκτειναν τοὺς προφήτας, ὑμεῖς δὲ οἰκοδομεῖτε τὰ μνήματα αὐτῶν· πληρώσατε τὸ μέτρον τῶν πατέρων ὑμῶν.

ὁρᾷς πῶς καὶ ὁ δεσπότης καὶ οἱ δοῦλοι μιαιφόνους αὐτοὺς μαρτυροῦσι; τί δέ ἐστι, πληρώσατε τὸ μέτρον τῶν πατέρων ὑμῶν; ἀποκτείνατε, φησι, κἀμέ· προσθήσετε τοῖς δουλικοῖς αἵμασι τὴν δεσποτικὴν σφαγήν. εἰ γὰρ μυρίους ἔσφαξαν ἀνθρώπους, ἀλλὰ συνδούλους πάντας· ὅτε δὲ κατὰ τοῦ δεσπότου τὰς χεῖρας ἐξέτειναν, τότε ἐπληρώθη τὸ μέτρον· καὶ εἰκότως. ἕως μὲν γὰρ οὐκ ἀπέκτειναν τὸν δεσπότην, εἶχον ἐλπίδα σωτηρίας, καὶ προσεδόκων ὅτι ὁ ἀμνὸς τοῦ Θεοῦ ἐλθὼν, ἀρεῖ τὴν ἁμαρτίαν τοῦ κόσμου· ἐπειδὴ δὲ τὸν ἰατρὸν διεχειρίσαντο, καὶ εἰς αὐτὸ τὸ ἱλαστήριον ὕβρισαν, καὶ τὸν ἐλθόντα ἀφεῖναι τὰ ἁμαρτήματα ἀπεστράφησαν, πάσης λοιπὸν ἐλπίδος ἐξέπεσον. διὰ τοῦτο λέγει, πληρώσατε τὸ μέτρον τῶν πατέρων ὑμῶν. ναί, φησιν· ἀλλ᾽ ὅτι μὲν μιαιφόνοι καὶ ἐναγεῖς, ἀποδέδεικται ἐκ πολλῶν μαρτυριῶν· πόθεν δὲ δῆλον, ὅτι τῶν προφητῶν οὐκ ἂν ἐφείσαντο, εἰ ἤκουσαν ὅτι τὰ Ἱεροσόλυμα καταστραφήσονται, ὅτι ὁ νόμος παυθήσεται, ὅτι ἡ παλαιὰ ἀλλαγήσεται; μάλιστα μὲν καὶ ἐκ τῶν εἰρημένων δῆλον. πλὴν ἀλλ᾽ ἐξ αὐτῶν τῶν γραφῶν πάλιν ποιήσομαι τὴν ἀπόδειξιν σαφεστέραν. εἰ γάρ ποτε ἤκουσαν προφήτου λέγοντος, ὅτι τὰ Ἱεροσόλυμα καταστραφήσεται καταστροφὴν πρόσκαιρον, δέον αὐτοὺς μεταβάλλεσθαι καὶ ἀποκρούεσθαι τοῦ Θεοῦ τὴν ὀργὴν, εἰς τὸν προφήτην ἠφίεσαν τὸν θυμόν. καὶ ὅτι τοῦτό ἐστιν ἀληθὲς, αὐτῶν ἀκούσατε τῶν ἱστοριῶν. ἐπολιόρκουν τὴν πόλιν αὐτῶν οἱ Πέρσαι ποτὲ, καὶ βαρβαρικὸν στρατόπεδον ἔξω περιεκάθητο· καὶ τὰ τῶν κινδύνων οὐκ ἦν ἄδηλα, ἀλλ᾽ ἐν μέσῃ παγίδι ἡ πόλις ἦν τότε Ἱερουσαλὴμ, ὡπλισμένων ἁπάντων καὶ περιεστώτων ἔξωθεν. ἀλλ᾽ ὅμως οὕτω φανερῶν ὄντων τῶν δεινῶν, ἐπειδὴ Ἱερεμίας ἐλθὼν εἶπε πρὸς αὐτοὺς, ὅτι ἡ πόλις παραδοθήσεται εἰς χεῖρας Χαλδαίων (καίτοι τοῦτο οὐδὲ προφητεία ἦν· οἱ γὰρ ὀφθαλμοὶ αὐτῶν ἑώρων τὰ συμβησόμενα) ἀλλ᾽ ὅμως ἐπειδὴ τὰ φανερὰ καὶ παρὰ τῶν ὀφθαλμῶν εἶπεν, οἱ μιαροὶ καὶ ἀναίσθητοι καὶ περὶ τοὺς εὐεργέτας ἀγνώμονες οὕτως ἐμάνησαν, ὡς προδότην αὐτὸν καὶ λυμεῶνα τῆς πόλεως νομίσαι, καὶ εἰπεῖν, ὅτι ἐκλύει τὰς χεῖρας τοῦ λαοῦ τούτου. καὶ μὴν ἐστερέου, καὶ μὴν διήγειρε τὴν προθυμίαν αὐτῶν, καὶ πρὸς Θεὸν ἦγε, τὸ ἀρραγὲς καὶ ἀκαταμάχητον αὐτοῖς περιτιθεὶς τεῖχος.

A Vides vt & dominus & serui homicidas illos esse testentur? Quid est autem, Implete mensuram patrum vestrorum? Me quoque, inquit, occidite: adijcite seruorum cædibus necem domini. Licet enim mille occiderint homines, at conseruos omnes: cum verò contra Dominum manus extenderunt, tunc impleta mensura est: & meritò. Quamdiu enim dominum non occiderunt, spem salutis habuerunt, & vt adueniens agnus Dei peccata mundi tolleret, expectarūt: postquam autem medicum interfecerunt, & in propitiatorium ipsum contumeliosi fuerunt, cúmque qui venerat, vt peccata dimitteret, B auersati sunt, omni spe deinceps exciderunt. Propterea dicit: Implete mensuram patrum vestrorum. Certè, inquit, & multis quidem ostensum est testimoniis, homicidas illos ac nefarios fuisse, vnde verò constat illos prophetis minimè parcituros, si Hierosolyma euersum iri audiuissent, & cessaturam legem, ac fore vt vetus testamentum immutetur? Id quidem ex iis quæ dicta sunt, maximè apparet; verumtamen ex ipsis scripturis manifestiorem subijciam demonstrationem. Nam si quando prophetam dicentem audierūt fore, vt Hierusalem temporario excidio ex-C cinderetur, cùm illos mutare mentem oportuisset, & iram Dei depellere, in prophetam furorem effuderunt. Atque hoc verum esse, ex historiis ipsis intelligetis. Obsidebant aliquando ciuitatem ipsorum Persæ, atque ipsam foris barbaricus exercitus circumuallabat, nec obscurum erat periculū quod imminebat, sed in medijs tum laqueis vrbs Hierusalem, armatis omnibus & illam foris circumsidentibus, versabatur: attamē cum tam certa mala eos premerent, quoniā D progressus in medium dixit illis Hieremias, fore vt in manus Chaldæorū ciuitas traderetur (tametsi neque prophetia fuit hoc, cum ipsorū oculi quæ euētura essent intuerentur) quia tamen ea quæ manifesta erant, & eorum oculis obuersabātur dicebat, scelesti illi ac stupidi, & erga benefactores ingrati sic insanierūt, vt proditorē illum & euersorē vrbis arbitrarētur, ac dicerent: Hic dissoluit manus populi huius: attamen cōfirmabat, attamē ipsorum alacritatem excitabat, & ad Deum ducebat, eósque inuicto & inexpugnabili muro circumuallabat.

Hier. 38. 4.

Sed illi nihil horum intelligentes, interfici eum iubebant. Talia quippe bene de se meritis præmia rependebant, & cùm Rex ignouisset, ne sic quidem cesserunt; sed quoniam necare non poterant in luti lacum proiecerunt. Quòd si temporariæ captiuitatis mentionem fieri non tulerunt, quo tandem pacto perpetuæ seruitutis prædictionem audituri fuissent? Si cùm dixisset Hieremias, In Babylonem abibitis, neque potuerunt audire, sed eum qui dixerat punierunt; si prophetas audiissent dicentes fore, vt non in Babylonem, sed quoquouersum per orbem terrarum dispergamini, nec amplius reuertamini, nònne talia dicentium sanguinem ebibissent. Quod si vobis istud adhuc coniectura videtur esse, manifesta demonstratione comprobabo, minimè tutum fuisse futura illis denuntiare, nostrum inquam honorem, & reprobationem illorum. Cur enim, quæso, Stephanum primitias martyrum lapidarunt? nònne quod hoc illi crimini verterent, dicerentque, Vir iste loquitur verba blasphemiæ? Dixit, inquiunt, quoniam Iesus destruet templum istud, & mutabit mores, quos tradidit Moyses, atque idcirco illum lapidibus obruerunt. Si tum hæc audire non potuerunt, idque cùm res ipsæ fidem ipsis deinceps facerent, quomodo prophetas hæc prænuntiantes tulissent? Audiuisti, dilectissime, propter templum, & propter religionis mutationem ab illis eum fuisse lapidatum: audi, quo pacto Christo etiam istud ipsum crimen objiciant. Dixit enim, inquit, iste, Soluite templum hoc, & in tribus diebus excitabo illud. Vides vbique templi destructionem, ac religionis mutationem bilem illis mouisse? propterea dicebant hæc quidem prophetæ, sed euidenter non dicebant: propterea Paulum etiam interficere voluerunt, quòd illis persuaderet, vt religionem mutarent. Vnde hoc liquet? Vides frater, inquit, quot millia sunt in Iudæis, qui crediderunt, & omnes isti audierunt de te, quod discessionem doceas à lege. Fideles doceri se discessionem à lege non patiebantur, & qui nondum crediderant, quomodo audire potuissent, fore vt lex aliquando cessaret? Ac Iudæos quidem interfecturos fuisse prophetas,

Stephanus cur occisus.

Act. 6. 11.

Ioan. 2. 19.

Matth. 26. 61.

Act. 21. 20.

A ἀλλ' οὐδὲν τούτων ἐννοήσαντες ἐκεῖνοι, ἐκέλευον αὐτὸν ἀναιρεῖσθαι. τοιαύτας γὰρ τοῖς εὐεργέταις ἀεὶ τὰς ἀμοιβὰς ἀπεδίδοσαν, καὶ τοῦ βασιλέως συγγνόντος, οὐδὲ οὕτως ἐνέδωκαν· ἀλλ' ἐπειδὴ ἀνελεῖν οὐκ ἴσχυσαν, εἰς τὸν τοῦ βορβόρου λάκκον ἐνέβαλον. εἰ δὲ προσκαίρου αἰχμαλωσίας ἀκοὴν οὐκ ἤνεγκαν, πῶς τὴν πρόῤῥησιν τῆς διηνεκοῦς δουλείας ἔμελλον εἰσδέξασθαι; εἰ Ἱερεμίας εἰπὼν, ὅτι ἀπελεύσεσθε εἰς Βαβυλῶνα, καὶ οὐχ ὑπήνεγκαν ἀκοῦσαι, ἀλλ' ἐτιμωρήσαντο τὸν εἰπόντα· εἰ ἤκουσαν τῶν προφητῶν εἰπόντων, ὅτι οὐκ εἰς
B Βαβυλῶνα, ἀλλὰ πανταχοῦ τῆς οἰκουμένης διασπαρήσεσθε, καὶ οὐκέτι λοιπὸν ἐπανήξετε, οὐκ ἂν καὶ τὸ αἷμα τῶν λεγόντων ἐξέπιον; εἰ δὲ δοκεῖ τοῦτο ἔτι στοχασμὸς εἶναι, φανερὰν ὑμῖν ἀπόδειξιν παρέχω, ὅτι οὐκ ἦν ἀσφαλὲς αὐτοῖς λέγειν τὰ μέλλοντα, τὴν ἡμετέραν τιμὴν λέγω, τὴν ἔκπτωσιν τὴν ἐκείνων. Στέφανον γὰρ, εἰπέ μοι, τὴν ἀπαρχὴν τῶν μαρτύρων, διὰ τί ἐλίθασαν; οὐ ταῦτα ἐγκαλοῦντες αὐτῷ καὶ λέγοντες, ὅτι ὁ ἀνὴρ οὗτος λαλεῖ βλάσφημα ῥήματα; εἶπε, φησὶν, ὅτι Ἰησοῦς καταλύσει τὸν
C ναὸν τοῦτον, καὶ ἀλλάξει τὰ ἔθη, ἃ παρέδωκε Μωϋσῆς, καὶ διὰ τοῦτο αὐτὸν ἐλίθασαν. εἰ δὲ τότε οὐκ ἠνείχοντο ταῦτα ἀκούειν, καὶ ταῦτα τῶν πραγμάτων αὐτοὺς πειθόντων λοιπὸν, πῶς ἂν τῶν προφητῶν ἠνέσχοντο ταῦτα προαναφωνούντων; ἤκουσας, ἀγαπητὲ, ὅτι διὰ τὸν ναὸν καὶ τὴν μετάθεσιν τῆς πολιτείας αὐτὸν ἐλίθασαν· ἄκουσον πῶς καὶ τῷ Χριστῷ τοῦτο αὐτὸ προφέρουσιν ἔγκλημα. εἶπε γὰρ, φησὶν, οὗτος· λύσατε τὸν ναὸν τοῦτον, καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐ-
D τόν. εἶδες πῶς πανταχοῦ ἡ κατάλυσις τοῦ ναοῦ, καὶ ἡ μετάθεσις τῆς πολιτείας τὴν ὀργὴν αὐτοῖς ἐνεποίει; διὰ τοῦτο ἔλεγον μὲν οἱ προφῆται ταῦτα, οὐκ ἔλεγον δὲ φανερῶς. διὰ τοῦτο καὶ Παῦλον ἐβούλοντο ἀνελεῖν, ὅτι ἔπειθεν αὐτοὺς μετατίθεσθαι ἀπὸ τῆς πολιτείας. πόθεν τοῦτο δῆλον; θεωρεῖς, φησὶν, ἀδελφὲ, πόσαι μυριάδες εἰσὶν Ἰουδαίων τῶν πεπιστευκότων; καὶ οὗτοι πάντες κατηχήθησαν περὶ σοῦ, ὅτι ἀποστασίαν τοῦ νόμου διδάσκεις. εἰ πιστοὶ οὐκ ἠνείχοντο διδάσκεσθαι ἀποστασίαν τοῦ νόμου· καὶ οἱ οὐδέπω πιστεύσαντες πῶς ἂν ἠνέσχοντο ἀκοῦσαι, ὅτι παυθήσεται ὁ νόμος ποτέ; ὅτι μὲν οὖν τοὺς προφήτας ἀπέκτειναν ἂν οἱ Ἰουδαῖοι,

εἰ τι τοιοῦτον σαφῶς προεῖπον, ἐδείξαμεν ἀπὸ τῶν μαρτυριῶν, ἀπό τε τοῦ μακαρίου Ἱερεμίου, καὶ τοῦ πρωτομάρτυρος Στεφάνου, ἀπ᾽ αὐτοῦ τοῦ Χριστοῦ, καὶ τοῦ ἀποστόλου Παύλου. πᾶσι γὰρ τὰ αὐτὰ ἐγκαλοῦντες, οὕτως αὐτοὺς ἀνεῖλον. ὅτι δὲ καὶ αὐτὰ τὰ βιβλία κατέκαυσαν ἂν τὰ προφητικὰ, εἰ συνῄδεσαν τὰ λεγόμενα, καὶ τοῦτο πειράσομαι ποιῆσαι ἀπό τινος ἱστορίας, κεκρυμμένης μὲν ὑμῖν, δήλης δὲ ἐσομένης αὐτίκα δὴ μάλα. οὕτω γὰρ αὐτὴν ἀπαγγεῖλαι πειράσομαι. τίς οὖν ἡ ἱστορία, ἀκούσατε. καὶ ἐγένετο ἐν τῷ τετάρτῳ ἔτει Ἰωακεὶμ υἱοῦ Ἰωσίου βασιλέως Ἰούδα, εἶπε κύριος πρὸς Ἱερεμίαν· γράψον πάντας τοὺς λόγους, οὓς ἐχρημάτισα πρὸς σὲ ἀπὸ τῆς ἡμέρας Ἰωσίου, ἕως τῆς ἡμέρας ταύτης· τουτέστι, πάντα τὰ κακὰ, ἃ λογίζομαι ποιῆσαι αὐτοῖς. ὅρα τί φιλάνθρωπος ὁ Θεὸς καὶ κηδεμονικός. ἐπειδὴ γὰρ κατὰ μέρος ἀκούειν οὐκ ἠνείχοντο, συνάγαγε, φησὶν, αὐτὰ πάντα, καὶ αὔξησον τὸν φόβον, ἵνα καὶ οὕτω βελτίους γένωνται. μνημονεύετε τῆς ὑποσχέσεως. ὃ ζητούμενον δεῖξαι, ὅτι καὶ τὰ βιβλία ἂν αὐτὰ κατέκαυσαν, εἰ ἐνόησαν τὰ σήμερον ἐκβαίνοντα πάντα. ἴσως ἀκούσονται κακὰ (δεῖ γὰρ ἔχεσθαι τῆς ἱστορίας) ἃ λογίζομαι ποιῆσαι αὐτοῖς, καὶ ἀποστραφήσονται ἀπὸ τῆς ὁδοῦ αὐτῶν τῆς πονηρᾶς. ἴσως ὁ Θεὸς λέγει; ἀγνοεῖ, εἰπέ μοι, τὰ ἐσόμενα; οὐκ οἶδεν εἰ ἀκούσονται, ὁ εἰδὼς πάντα πρὶν γενέσεως; ὁ ἐτάζων καρδίας καὶ νεφρούς; ὁ κριτικὸς ἐνθυμήσεων καὶ ἐννοιῶν; ᾧ πάντα γυμνὰ καὶ τετραχηλισμένα τοῖς ὀφθαλμοῖς αὐτοῦ; τίνος δὲ ἕνεκεν ἔλεγεν, ἴσως ἀκούσονται; καὶ γὰρ καὶ ταῦτα ἀναγκαῖον ὑμᾶς μανθάνειν, διὰ τοὺς ἐγκαλοῦντας ἄγνοιαν τῷ μονογενεῖ. ἰδοὺ γὰρ καὶ ὁ πατὴρ ἀγνοοῦντος φθέγγεται ῥήματα. τὸ γὰρ, ἴσως, ἀγνοοῦντός ἐστιν· ἀλλ᾽ οὐκ ἀγνοεῖ. ὁπόταν οὖν καὶ περὶ τοῦ υἱοῦ ἀκούσῃς τι τοιοῦτον λέγοντος, τὴν αὐτὴν κατάδεξαι ψῆφον. υἱὸς γὰρ ὢν, πανταχοῦ τὸν πατέρα μιμεῖται. ἀλλ᾽ οἱ μὲν τῶν ἀγώνων καιροὶ τούτων ἀναμενέτωσαν, ἵνα μὴ τῆς προκειμένης ὑποθέσεως ἐκπέσωμεν· εἴπωμεν δὲ, τίνος ἕνεκεν λέγει, ἴσως ἀκούσονται. εἰ εἶπεν, ὅτι ἀκούσονται, χωρὶς τοῦ ἴσως, ψευδὲς ἦν· οὐ γὰρ ἔμελλον ἀκούσεσθαι. εἰ εἶπε τὸ ἀληθὲς, ὅτι οὐκ ἀκούσονται, περιττῶς ἔπεμπε τὸν προφήτην τοῖς οὐκ ἀκουσομένοις. καὶ οὐ διὰ τοῦτο μόνον, ἀλλὰ

A si quid tale manifestè prædixissent testimoniis allatis ostendimus, ex ipso beato Hieremia, ac protomartyre Stephano, ex ipso Christo, & Apostolo Paulo. Omnibus enim eadem crimini dantes eos de medio sustulerunt: ipsos autem propheticos etiam libros combusturos eos fuisse, si quæ dicta fuerant cognouissent, hoc quoque per historiam quamdam probare conabor vobis occultam, sed quæ manifesta continuò fiet: ita conabor illam exponere. Quænam igitur illa historia sit audite. Et factum est in anno quarto Ioacim filij Iosiæ Regis Iuda, dixit Dominus ad Hieremiam: Scribe omnia verba, quæ lo-B quutus sum ad te, à diebus Iosiæ vsque ad diem hanc: hoc est, omnia mala, quæ cogito facere eis. Vide, quid benignus ac prouidus dicat Deus. Nam quoniam singula nolebant audire, collige, inquit, illa omnia, ac metum auge, vt vel hac ratione resipiscant. Recordamini promissi nostri, in quæstione positum est, vt ostendamus eos libros ipsos laceraturos fuisse, si cuncta quæ hodie contigerunt, illis in mentem venissent. Fortè audient mala, (adhærendum enim est historiæ) quæ cogito facere eis, & auertentur à via sua praua. Fortè dicit Deus? num C igitur, quæso, futura ignorat? non nouit, an audituri sint, is qui nouit omnia antequam fiant? qui corda scrutantur & renes? qui discretor est cogitationum & intentionum cordis? cuius oculis nuda & aperta sunt omnia? Cur autem dixit, Fortè audient? Nam & hæc operæpretium fuerit vos didicisse, propter eos qui vnigenito Dei filio ignorantiam obijciunt. Ecce enim Pater quoque ignorantis verbis vtitur: siquidem, fortè, vox est ignorantis: D verumtamen nequaquam ignorat. Quando igitur & Filium tale quid dicentem audieris, eamdem sententiam suscipe. Nam cum filius sit, vbique Patrem imitatur. Sed differamus tantisper has concertationum occasiones, ne à proposito argumento discedamus: dicamus potius, cur dicat, Fortè audient. Si dixisset, Audient, absque fortè, falsum fuisset: non enim erant audituri. Si verum dixisset, Non audient, frustra minimè audituris prophetam misisset. Neque verò idcirco tantum, sed

Historia de Hieremia.

Hier. 36. 1.

Ibid. 3.

Dan. 13. 42.

Hebr. 4. 13.

A ne ad vim ac necessitatem aliquam ad non parendum afferre ipsius præscientia putaretur, propterea cum dubitatione quadam hæc verba protulit, ne fortè dicerent aliqui, Prædixit Deus, & omninò vt eueniret, oportebat: quod de Iuda solent dicere. Prædixit, inquiunt, eum proditorem futurum, & idcirco proditor factus est. O dementiam! ô impudentiam! Neque enim præscientia malitiæ causa fuit, mi homo: absit. non enim rebus futuris adfert necessitatem: sed præuidet tantum. Non quia prædixit Christus, factus est proditor ille, sed quia B proditor futurus erat, Christus idcirco prædixit. Ne igitur hîc etiam dicant eum non audituros illos dixisse, ac pœnitentiæ viam illis præclusisse, præuenit, atque omnem occasionem illis præripuit, dum prophetæ dixit: fortè audient. Recordamini promissi: nam idcirco assiduè vobis in memoriam illud reuoco, ne cùm solutionem attulero, quæstionis initio disputationis propositæ sitis immemores. Quódnam igitur illud fuit? Si sciuissent Iu- C dæi euentura illis fuisse mala, quæ comprehenderunt illos, hæc inquam mala quæ nunc eos detinent, ipsos libros dilacerassent, neque sacris literis pepercissent. Sed ad historiam redeamus. His auditis vocat Hieremias discipulum suum Baruch filium Neriæ, & ait illi: Scribe in libro mala omnia, quæ illis euentura sunt. Quid hoc rei est? tibi à Deo mandatum est, & discipulum mittis? Num refugis præ timore? num vereris? num reformidas? si tu reformidas, quo pacto discipulus audebit? D At nihil horum est: additur enim caussa. nam cum dixisset, Scribe ac lege, subiunxit: Ego enim detineor in carcere. O magnanimitatem: in vinculis erat, & à prophetia non abstinebat. Attendamus iusti fortitudinem, eiusque animi patientiam. Non dixit apud se: Tam multa mihi propter hanc loquẽdi libertatem mala cõtigerunt: innumera profudi verba nec quicquam profeci, neque pretium vllum operæ fuit aliud quàm vt in vincula conijcerer: neque dum me Deus à vinculis liberauit, & me rursus ad illas belluas mittit? nihil horum aut dixit, aut cogitauit, sed id vnum spectabat, vt Domini præ-

Præscientia nõ est causa peccati.

Hier 36 4.

A καὶ ἵνα μὴ ἡ πρόγνωσις αὐτοῦ νομισθείη ἀναγκαστική τις εἶναι τῆς παρακοῆς, διὰ τοῦτο ἐπαμφιβόλως τέθεικε τὰ ῥήματα· ἵνα μὴ λέγωσί τινες, ὅτι προεῖπεν ὁ Θεὸς, καὶ πάντως ἔδει γενέσθαι· ὃ περὶ τοῦ Ἰούδα λέγουσι. προεῖπε, φησὶν, ὅτι προδότης ἔσται, καὶ διὰ τοῦτο προδότης ἐγένετο. ὢ τῆς ἀνοίας, ὢ τῆς ἀναισχυντίας. οὐδὲ γὰρ ἡ πρόγνωσις, ἄπαγε, τῆς πονηρίας αἰτία· μὴ γένοιτο. οὐ γάρ ἐστιν ἀναγκαστικὴ τῶν μελλόντων ἔσεσθαι, ἀλλὰ προγνωστικὴ μόνον. οὐκ ἐπειδὴ προεῖπεν ὁ Χριστὸς, διὰ B τοῦτο ἐγένετο ἐκεῖνος προδότης· ἀλλ' ἐπειδὴ προδότης ἔμελλε γενέσθαι, διὰ τοῦτο προεῖπεν ὁ Χριστός. ἵνα οὖν μὴ καὶ ἐνταῦθα λέγωσιν, ὅτι εἶπεν ὅτι οὐκ ἀκούσονται, καὶ ἀπέκλεισεν αὐτοῖς τὴν μετανοίας τὴν ὁδὸν, προλαβὼν ἀνέσπασεν αὐτῶν τὴν πρόφασιν, εἰπὼν τῷ προφήτῃ, ἴσως ἀκούσονται. μνημονεύετε τῆς ὑποσχέσεως. διὰ γὰρ τοῦτο συνεχῶς ὑμᾶς ὑπομιμνήσκω, ἵν', ὅταν ἐπαγάγω τὸ συμπέρασμα, μὴ ἐπιλάθησθε τοῦ ζητηθέντος ἡμῖν ἐν ἀρχῇ κεφαλαίου. τί δὲ ἦν τοῦτο; ὅτι εἰ ᾔσθοντο οἱ Ἰουδαῖοι, ὅτι ἔμελλεν αὐ- C τοῖς συμβήσεσθαι τὰ κατειληφότα αὐτοὺς δεινὰ, ταῦτα δὴ λέγω τὰ νῦν κατέχοντα αὐτοὺς, αὐτὰ τὰ βιβλία ἂν κατέκοψαν, καὶ οὐκ ἂν ἐφείσαντο οὐδὲ τῶν θείων γραμμάτων. ἀλλ' ἐπὶ τὴν ἱστορίαν ἔλθωμεν. ταῦτα ἀκούσας ὁ Ἱερεμίας, καλεῖ τὸν μαθητὴν αὐτοῦ Βαροὺχ υἱὸν Νηρίου, καὶ λέγει πρὸς αὐτόν· γράψον εἰς βιβλίον πάντα τὰ μέλλοντα αὐτοῖς ἔσεσθαι δεινά. τί γέγονε; σὺ ἐπιταγὴς παρὰ τοῦ Θεοῦ, καὶ τὸν μαθητὴν πέμπεις; ἆρα μὴ δειλιᾷς; ἆρα μὴ ἀγωνιᾷς; ἆρα μὴ δέδοι- D κας; εἰ σὺ δέδοικας, πῶς ὁ μαθητὴς τολμήσει; ἀλλ' οὐδὲν τούτων. πρόσκειται γὰρ ἡ αἰτία. εἰπὼν γὰρ, γράψον καὶ ἀνάγνωθι, ἐπήγαγεν· ἐγὼ γὰρ κατέχομαι ἐν τῇ φυλακῇ. ὢ μεγαλοψυχίας· ἐν τῷ δεσμωτηρίῳ ἦν, καὶ τῆς προφητείας οὐκ ἀφίστατο. προσέχωμεν τῇ ἀνδρείᾳ τοῦ δικαίου, καὶ τῇ τῆς διανοίας φιλοσοφίᾳ. οὐκ εἶπε πρὸς ἑαυτόν· τοσαῦτά μοι δεινὰ συμβέβηκε διὰ τὴν παρρησίαν ταύτην· μυρίους ἀνήλωσα λόγους, καὶ οὐδὲν ὤνησα, οὐδὲ ἐγένετό μοί τι πλέον, ἀλλ' ἢ τὸ δεδέσθαι μόνον· καὶ οὔπω με τῶν δεσμῶν ἀπέλυσεν ὁ Θεὸς, καὶ πάλιν πέμπει με πρὸς τοὺς θῆρας ἐκείνους; οὐδὲν τούτων οὐκ εἶπεν, οὐδὲ ἐνενόησεν· ἀλλ' ἓν μόνον ἐσκόπει, ὅπως

ἀμυνθῆ τὸ ἐπίταγμα τοῦ δεσπότου. καὶ ἐπεὶ δι' ἑαυτοῦ οὐκ ἴσχυσε, διὰ τοῦ μαθητοῦ κατεσκεύασεν αὐτό. ἀνάγνωθι γάρ, φησιν, αὐτοῖς, καὶ εἰπὲ πάντα τὰ κακά. ἐγὼ γὰρ κατέχομαι ἐν τῇ φυλακῇ. καὶ ἔλεγεν Ἱερεμίας, καὶ ἔγραφεν ὁ Βαρούχ ἐν βιβλίῳ. νηστείας καιρὸς ἦν, ὅτε ταῦτα ἐγένετο· ἑορτὴ ἐφειστήκει, πάντας καλοῦσα πρὸς τὴν μητρόπολιν. ἔδει γὰρ κοινὸν γενέσθαι τὸν σύλλογον, ἐπειδὴ περὶ ἀναγκαίων πραγμάτων ἔμελλεν ἡ ἐκκλησία ἔσεσθαι. εἰσῆλθε πρὸς τοὺς ἄρχοντας ὁ Βαρούχ. καὶ ἀνέγνω εἰς τὰ ὦτα τῶν ἀρχόντων πάντας τοὺς λόγους τούτους· καὶ εἶπε καὶ τὴν αἰτίαν. ἴσως γάρ, φησι, πεσεῖται τὸ ἔλεος ὑμῶν ἐνώπιον κυρίου· ἵνα μὴ νομίσωσιν ὅτι ὡς κατήγορος ἔλεγεν, ἀλλὰ μαθόντες ὅτι θεραπεῦσαι αὐτοὺς ἀφῖκται, ἐπιεικέστεροι γένωνται. τί οὖν ἐκεῖνοι; δέον χάριτας ὁμολογῆσαι, δέον ἐπαινέσαι, δέον θαυμάσαι, οὐδὲν τούτων ποιοῦσιν· ἀλλ' ἀπελθόντες, ἀπήγγειλαν τῷ βασιλεῖ τὰ γεγραμμένα ἐν τῷ βιβλίῳ, καὶ τὸ βιβλίον ἀπέθεντο ἐν τῷ οἴκῳ Ἐλισαμά. καὶ πέμψας, φησίν, ὁ βασιλεὺς τῶν Ἰουδαίων ἕνα τινὰ τῶν παρεστηκότων αὐτῷ, ἐκέλευσε κομισθῆναι τὸ βιβλίον. καὶ ἐκάθητο ὁ βασιλεὺς ἐν οἴκῳ χειμερινῷ· μὴν γὰρ ἔνατος ἦν, τουτέστι, νοέμβριος. ἔνατον ἀπὸ τοῦ ξανθικοῦ ἀριθμῶν λέγει. δεῖ γὰρ καὶ ταῦτα ἀκριβῶς εἰδέναι. εἰ γὰρ ἀπὸ τοῦ Δίου ἠρίθμει, οὐκ ἔμελλεν ἔσεσθαι τότε χειμών. τίνος οὖν ἕνεκεν καὶ τοῦτο πρόσκειται; ἐκ τῶν μετὰ ταῦτα εἴσῃ σαφῶς. καὶ ἐσχάρα πυρὸς ἔμπροσθεν αὐτοῦ (ἀνθρακιά, φησι) διότι ψῦχος ἦν. ὁρᾶτε πῶς οὐδὲν παραλιμπάνεται τῇ θείᾳ γραφῇ; καὶ ἀνθρακιὰ πυρὸς ἔμπροσθεν αὐτοῦ· καὶ παρειστήκεισαν οἱ σατράπαι· ἐκομίσθη τὸ βιβλίον μυρίων γέμον κακῶν (ἡ γὰρ τῶν κακῶν προφητεία, κακῶν ἀνάρρησις ἦν) καὶ ἀνεγινώσκετο. μνημονεύετέ μοι, παρακαλῶ, τῆς ὑποσχέσεως. καὶ ἐν τῷ ἀναγινώσκειν αὐτὸν τρεῖς σελίδας, λαβὼν τὴν σμίλην ἔκοψεν, καὶ ἔβαλεν εἰς τὴν ἐσχάραν τοῦ πυρός, ἕως ἐξέλιπε τὸ βιβλίον ἅπαν. εἶδες πῶς οὐ φείδονται οὐδὲ τῶν βιβλίων; πῶς οὐδὲ τῶν γραμμάτων τῶν θείων ἀπέχονται; ἐπειδὴ αἰχμαλωσίαν εἶχε τῆς Ἱερουσαλήμ, κατέκοψε· καὶ οὐχ εὑρὼν τὸν προφήτην, εἰς τὰ γράμματα τὴν ὀργὴν ἀφῆκεν. ὁ τοῖς οὕτως ἀψύχοις οὕτω πολεμῶν, εἰ τὴν ψυχὴν

ceptum perficeret. Et quoniam per seipsum non poterat, per discipulum illud impleuit. Lege namque illis, inquit, & dic omnia mala. Ego enim detineor in carcere. Et dicebat Hieremias, & Baruch scribebat in libro. Ieiunij tempus fuit, cùm hæc fierent: festum instabat, quod ad metropolim omnes vocabat. communes quippe conuenientus agi oportuit, quandoquidem de necessariis rebus deliberandum in comitiis fuit. Ingressus est ad Principes Baruch, & legit in auribus Principum omnia verba hæc, & causam etiam dixit: Fortasse namque, inquit, cadet misericordia vestra ante faciem Domini: ne existimarent eum tamquam accusatorem hæc dicere, sed cum ad eos sanandos venisse ipsum intellexissent, æquiores ac benigniores redderentur. Quid ergo illi? cùm gratias agere oportuisset, cùm eum laudare, cùm efferre, nihil horum agunt, sed abeuntes annuntiauerunt Regi, quæ scripta erant in libro, & deposuerunt librum in domo Elisama. Et cùm misisset, inquit, Rex Iuden vnum ex apparitoribus suis, librum iussit afferri. Et sedebat Rex in domo hyemali: mensis quippe nonus erat, hoc est Nouember, & nonum appellat à Martio numerando: nam & hoc diligenter obseruandum est. Si enim à Ianuario numerasset, hyems tum temporis esse non debuisset. Cur igitur hoc etiam adiungitur? Ex iis quæ sequuntur, aperte cognosces? Et focus ignis ante illum: carbones, inquit, quoniam frigus erat. Videtis vt nihil à scriptura sacra omittatur? Et carbones ignis ante ipsum: & circumsistebant eum Satrapæ: allatus est liber innumeris redundans malis: malorum quippe prophetia malorum erat propullatio: & legebatur. Memores mihi quæso estote promissi, & cùm legisset ille tres pagellas, & sumpto scalpello scidit, & in focum ignis proiecit, donec totum volumen defecit. Vides, vt ne libris quidem parcant? vt ne à litteris quidem sacris abstineant? Quoniam captiuitatem Hierusalem continebat, eum conscidit, & cùm prophetam non inuenisset, in litteras iram effudit. Qui ergo res inanimatas ita persequitur, si anima præ-

Hier. 36. 22

Ne libri quidē parcunt Iudæi.

ditum, quid non fecisset? Nam quemadmodum sæuæ belluæ, cùm eos arripuerint, qui cum ipsis decertant, & illi deinde relictis in ore belluarum pellibus, quibus amiciuntur, aufugerint, illas deinde discerpunt dentibus, vt ita furorem suum consolentur: ita nimirum & Rex fecit. Non offendit eum, qui librum tenebat, & librum conscidit: neque conscidit solum, sed & in focum ignis iniecit, vt ne reliquiæ quidem ex literis illis restarent. Sed nondum omnem eius amentiam perspectam habetis: probè verò scietis, si narrationi diligenter attenderitis. Non enim dixit eum toto lecto libro deinde ipsum exussisse: quinimo cùm tres quatuórve pagellas legisset, ipsum conscidit. Ne ipsum quidē lectionis finē expectauit, sed ab ipso procemio confestim exasperatus est. Propterea tutum non erat prophetis futura omnia mala Iudæis apertè dicere. Nam si captiuitatem ad tempus futuram audire minimè potuit, quomodo perpetuam discere sustinuisset? Neque contentus hoc fuit Rex: sed misit, inquit, ad quærendum vbique prophetam, sed non inuenit eum: occultauit enim illū Deus. Illum quidem tum loco, cæteros autē prophetas eorum obscuritate quę dicebantur, occultauit. Neque verò tantum ex his nobis liquebit, apud Iudęos audax illud facinus extitisse, animíque periculis temerè sese obijcientis, euenturum gentibus honorē & gloriā, & quæ illos exceptura esset ignominiā narrare, sed etiam ipsis Pauli verbis. Hic itaque cum prophetam quendā videret paulunum quid prædictionis huius referantem, & apertius, quàm alij tū bona nostra, tum illorum mala dicentem, obstupuit, & audaciam illius miratus est, his verbis vtens: Esaias autem audet, & dicit, Inuentus sum à non quærentibus me: palam apparui iis, qui me non interrogabāt. Dixi, Ecce ego genti, qui non vocauerunt nomen meum. Quamquam, si nullum ex prædictione periculum impendebat, cur dixit Paulus, Esaias autem audet, & dicit: Inuentus sum à non quærentibus me? Maxima reuera Iudæorum accusatio. Qui non quærebant, inuenerunt; & qui quærebant, spe frustrati sunt. Qui non audierunt, crediderunt; & qui audierunt, in crucem sustulerunt. Propterea audacem ap-

Rom. 10. 20. Esa. 65.

A ἔχοντα εὗρε, τί οὐκ ἂν εἰργάσατο; καθάπερ γὰρ τὰ χαλεπὰ τῶν θηρίων, ἐπειδὰν ἐπιλάβωνται τῶν πυκτευόντων αὐτοῖς, εἶτα ἐκεῖνοι διαφύγωσι καταλιπόντες ἐν τῷ στόματι τῶν θηρίων ἃ περίκεινται δέρματα, λοιπὸν αὐτὰ περιεργάζεσι παραμυθούμενα τὸν θυμόν· οὕτω δὴ καὶ ὁ βασιλεὺς ἐποίησεν. οὐχ εὗρε τὸν ἔχοντα τὸ βιβλίον, καὶ αὐτὸ τὸ βιβλίον κατέκοψε· καὶ οὐ κατέκοψε μόνον, ἀλλὰ καὶ ἐνέβαλεν εἰς τὴν ἐσχάραν τοῦ πυρός· ἵνα μηδὲ λείψανον μείνῃ τῶν γραμμάτων ἐκείνων. ἀλλ' οὐδέπω πᾶσαν ἔγνωτε αὐτοῦ τὴν B μανίαν· εἴσεσθε δὲ σαφῶς, ἐὰν μετ' ἀκριβείας τῷ διηγήματι προσέχητε. οὐ γὰρ εἶπεν, ὅτι ἀναγνοὺς τὸ βιβλίον ἅπαν, οὕτως ἔκαυσεν· ἀλλ' ἐν τῷ ἀναγινώσκειν αὐτὸν τρεῖς σελίδας ἢ τέσσαρας, ἐξέτεμεν αὐτό. οὐκ ἀνέμεινεν οὐδὲ τὸ τέλος τῆς ἀναγνώσεως, ἀλλ' ἐξ αὐτοῦ τοῦ προοιμίου εὐθέως ἐξηγριώθη. διὰ ταῦτα οὐκ ἦν ἀσφαλὲς τοῖς προφήταις, Ἰουδαίοις λέγειν μετὰ σαφηνείας πάντα τὰ ἐσόμενα δεινά. εἰ γὰρ πρόσκαιρον οὐκ ἤνεγκεν αἰχμαλωσίαν ἀκοῦσαι, τὴν διηνεκῆ πῶς ἂν ὑπέμεινε μαθεῖν; καὶ οὐδὲ μέχρι τούτου C ἔστη ὁ βασιλεύς· ἀλλ' ἔπεμψε, φησι, ζητεῖν πανταχοῦ τὸν προφήτην, ἀλλ' οὐχ εὗρεν αὐτόν. ἔκρυψε γὰρ αὐτὸν ὁ Θεός. ἐκεῖνον μὲν τόπῳ τότε ἔκρυψε, τοὺς δὲ ἄλλους προφήτας τῇ ἀσαφείᾳ τῶν λεγομένων. οὐκ ἀπὸ τούτων δὲ μόνον ἡμῖν ἔσται φανερόν, ὅτι τολμηρὸν ἦν παρὰ Ἰουδαίοις καὶ ψυχῆς ῥιψοκινδύνου, τὴν ἐσομένην τοῖς ἔθνεσι τιμὴν καὶ δόξαν, καὶ τὴν διαδεξομένην ἐκείνους ἀτιμίαν λέγειν, ἀλλὰ καὶ ἐκ τῶν Παύλου ῥημάτων. οὗτος γοῦν ἰδὼν ἕνα προφήτην μικρὸν παρανοίξαντά τι τῆς προρρήσεως ταύτης, καὶ σαφέστερον τῶν ἄλλων εἰπόντα καὶ τὰ ἡμέτερα ἀ- D γαθά, καὶ τὰ ἐκείνων κακά, ἐξεπλάγη καὶ ἐθαύμασε τῆς τόλμης αὐτόν, οὕτως εἰπών· Ἡσαΐας δὲ ἀποτολμᾷ καὶ λέγει, εὑρέθην τοῖς ἐμὲ μὴ ζητοῦσιν, ἐμφανὴς ἐγενόμην τοῖς ἐμὲ μὴ ἐπερωτῶσιν. εἶπον, ἰδού εἰμι, τῷ ἔθνει, οἳ οὐκ ἐκάλεσαν τὸ ὄνομά μου. καί τοι, εἰ μὴ κίνδυνος ἐκ τῆς προρρήσεως ἠκολούθει, τίνος ἕνεκεν εἶπε Παῦλος, Ἡσαΐας δὲ ἀποτολμᾷ καὶ λέγει· εὑρέθην τοῖς ἐμὲ μὴ ζητοῦσι; μεγίστη ὄντως κατηγορία Ἰουδαίων. οἱ μὴ ζητοῦντες εὗρον, καὶ οἱ ζητοῦντες ἀπέτυχον· οἱ μὴ ἀκούσαντες ἐπίστευσαν, καὶ οἱ ἀκούσαντες ἐσταύρωσαν. διὰ ταῦτα τολμητικὸν

ἐκάλεσε τὸν Ἡσαΐαν. καὶ γὰρ ὄντως μεγίστης τόλμης ἦν, ἐν μέσῳ τῶν κατηγορουμένων ἑστῶτα, ἀφειδῶς ποιεῖσθαι τὰς κατηγορίας, καὶ ἐκείνους μὲν τῆς τιμῆς φανερῶς ἐκβάλλειν διὰ τῆς προφητείας, ἑτέρους δὲ εἰσάγειν εἰς τὴν ὀφειλομένην ἐκείνοις δόξαν. τὸ δικαστήριον τῶν ἀκουόντων κατηγόρους εἶχε πάντας. τίς δὲ ἐν δικασταῖς ἐχθροῖς διαφεύγειν δυνάσεται κίνδυνον; διὰ τοῦτο, φησὶν, ἀποτολμᾷ καὶ λέγει. ἀλλ' ἔτι τοῦτο ὑμῖν σαφέστερον ἀποδεῖξαι βούλομαι. διὰ τοῦτο περὶ Ἰουδαίων καὶ ἡμῶν ἀσαφῶς ἐν ταῖς γραφαῖς εἴρηται, ἵνα μὴ πρὸ καιροῦ συνῶσι τῶν λεγομένων Ἰουδαῖοι. καὶ τούτου παράγω μάρτυρα τὸν μεγαλοφωνότατον Παῦλον, τὸν ἄνωθεν φθεγγόμενον, τὴν σάλπιγγα τῶν οὐρανῶν, τὸ σκεῦος τῆς ἐκλογῆς, τὸν νυμφαγωγὸν τοῦ Χριστοῦ. ἡρμοσάμην γὰρ ὑμᾶς, φησὶν, ἑνὶ ἀνδρὶ παρθένον ἁγνὴν παραστῆσαι τῷ Χριστῷ. τοῦτον ὑμῖν παράγω μάρτυρα φανερῶς λέγοντα, ὅτι διὰ τοῦτο συνεσκίασταί τινα τῶν ἐν τῇ παλαιᾷ, οὐχὶ πάντα. εἰ γὰρ πάντα ἀσαφῆ ἔμελλεν εἶναι, περιττῶς εἴρητο τοῖς τότε. αἱ γὰρ προφητεῖαι ἔχουσι καὶ πολέμους προσκαίρους τοὺς τότε, καὶ λοιμοὺς, καὶ λιμοὺς· ἔχουσι δὲ καὶ τὰ σήμερον ἐκβαίνοντα, τῆς ἐκκλησίας τὴν κλῆσιν, τῆς συναγωγῆς τὴν ἀποβολὴν, τοῦ νόμου τὴν κατάργησιν. ταῦτα δὲ οὐκ ἐβούλετο αὐτοὺς εἰδέναι· ἐκεῖνα δὲ ἤθελε τὰ ἐν τοῖς καιροῖς συμβαίνοντα τοῖς αὐτῶν. καὶ τοῦτο αὐτὸ ἀποδεῖξαι πειράσομαι, ὅτι ταῦτα μόνα ἀσαφῆ ἐποίησε γενέσθαι, τὰ περὶ ἡμῶν καὶ τῆς συναγωγῆς τὰ νῦν ἐκβαίνοντα, καὶ τὴν τοῦ νόμου κατάργησιν. τοῦτο δὲ αὐτοὺς οὐκ ἔδει εἰδέναι ἐκ τότε. εἰ γὰρ ἐξ ἀρχῆς ἔμαθον, ὅτι πρόσκαιρος ὁ νόμος, πάντως ἂν αὐτοῦ κατεφρόνησαν. διὰ τοῦτο αὐτὸν συνεσκίασε μόνον. ὅτι γὰρ οὐ πᾶσα προφητεία ἀσαφὴς ἦν, ἀλλὰ τοῦτο μόνον περιέσταλτο τὸ μέρος, ἄκουσον τοῦ Παύλου σαφῶς ἀμφότερα ταῦτα ἡμῖν ἐνδεικνυμένου, καὶ ὅτι συνεσκίαστο ὁ νόμος, καὶ ὅτι κατὰ τοῦτο μόνον τὸ μέρος. Κορινθίοις γὰρ ἐπιστέλλων, οὕτω πως φησίν· ἔχοντες οὖν τοιαύτην ἐλπίδα, πολλῇ παρρησίᾳ χρώμεθα, καὶ οὐ καθάπερ Μωϋσῆς ἐτίθει κάλυμμα ἐπὶ τὸ πρόσωπον αὐτοῦ, ὥστε μὴ ἀτενίσαι τοὺς υἱοὺς Ἰσραὴλ εἰς τὸ τέλος τοῦ καταργουμένου, ἀλλ' ἐπωρώθη τὰ νοήματα αὐτῶν. ἄχρι γὰρ σήμερον κάλυμμα ἐπὶ τῇ

A pellauit Esaiam: maximæ quippe reuera fuit audaciæ, in medio eorum quos accusabat stantem, nemini parcēdo accusationem intentare, & illos quidem per prophetiam apertè honore priuare, alios verò ad debitā illis gloriam introducere. Accusatores eius erant omnes qui in iudicio audiebant, quis autem dum iudicium exercent inimici, periculum poterit euitare? Propterea, inquit, Audet & dicit: Verum hoc ipsum volo clarius demonstrare. Idcirco de Iudæis ac nobis obscurè pronuntiatum B est in Scripturis, ne ante tempus intelligerent, quæ dicebantur Iudæi. Atque huius rei produco testem magna voce clamantem Paulum, ex alto vociferantem tubam cœlestem, vas electionis, Christi Paranymphum. Despondi enim vos, inquit, vni viro, virginem castam exhibere Christo. Hunc vobis testem produco dicentem apertè, propterea nonnulla in veteri testamento fuisse occultata, non omnia. Si enim omnia fuissent obscura, frustra illius seculi hominibus fuissent dicta: Siquidem prophetiæ bella continent, quæ ad tempus C tum gesta sunt, & fames & pestes: continent & quæ hodie contigerunt, vocationem Ecclesiæ, repudiationem Synagogæ, Legis abrogationem. Hæc autem ipsos nosse nolebat, sed illa quæ ipsorum temporibus accidebant. Atque istud ipsum conabor ostendere, hæc sola fieri obscura voluisse, quæ nunc de nobis & de synagoga contigerunt, ac legis abrogationem: hoc verò non oportuit ex illo tempore cognitum illis fuisse. Nam si à principio didicissent legem ad tempus duraturam, illam omnino contempsissent: propter D hoc solum occultam illam esse voluit. Non enim omnem prophetiam occultam fuisse, verùm hanc tantum partem fuisse velatam, audi quo pacto nobis vtrumque manifestè Paulus ostendat, & occultatam fuisse legem, & hac in parte tantùm. Cùm enim scriberet ad Corinthios, his verbis est vsus: Habentes igitur talem spem multa fiducia vtimur: & non sicut Moyses ponebat velamen super faciem suam, vt non intenderent filij Israel in finem eius quod euacuatur, sed obtusi sunt sensus eorum. Vsque in hodiernum enim

Ne ante tempus intelligerent futura Iudæi obscura fuerūt prophetiæ.

2. Cor. 11. 2.

2. Cor. 3. 13.

diem idipsum velamen in lectione veteris testamenti manet non reuelatum, quoniam in Christo euacuatur. Obscurum est fortasse, quod legimus; itaque dilucidius illud reddamus necesse est, & ipsam historiam vobis in memoriam reuocemus. Nam cùm acceptis in monte tabulis descensurus esset Moyses, ineffabilis quædam & mirabilis ex illa sancta facie gloria talis emicabat, vt nullus è vulgo ad illum accedere & cum illo colloqui auderet. Ne igitur populo semper inaccessus esset, imposito faciei suæ velamine, permittebat vt cum eo venire in colloquium possent. Ac cùm populo quidem dum versaretur, velamen gerebat; ad Deum autem se conuertens, rursus illud deponebat. Id verò fiebat, vt simul maior fides legislatori conciliaretur, apud eos qui per ipsum allatam accepturi legem erant, & simul in ipso prius adumbraretur figura veritatis, & incarnationis Christi causa multo ante præsignificaretur. Nam quoniam dicturi erant nonnulli, Quare non in nuda diuinitate Christus aduenit, sed carnem induit: multo ante per faciem serui obiectionibus istis occurrit. Si enim serui gloriam quæ illi postea obuenit, cernere non potuere Iudæi, quò pacto nudam postea diuinitatem videre potuissent. Neque verò tantum hoc nobis velamen illud designat, sed eadem nunc Iudæis lecta lege contingere, quæ tum visa Moysis facie contingebant. Vt enim faciei legislatoris gloriam non cernebant, quod medium illud velum interiectum esset: sic neque nunc legis possunt gloriam intueri. Hoc verò etiam aduersus hæreticos vsui esse potest. Nam quia putant criminationem legis præ se ferre quæ dicta sunt, hunc locum epistolæ receperunt: & cùm legem habere velamen audiuissent, & euacuari, quod illam arbitrarentur accusari, literas deseruerunt, vt suis ratiocinationibus caperentur. Istud enim ipsum magnam esse legem ostendit. Nam quemadmodum tum crimini verti Moysi non poterat, quod super faciem velamen haberet, sed illud erat indicium infirmitatis Iudæorum, Moysis verò laus maxima, quod tanta gloria facies illius refulgeret, vt apud conseruos velamine indigeret: ita quoque legi accidit. Nisi enim lex gloriam habuisset inaccessam, vela-

ἀναγνώσει τῆς παλαιᾶς διαθήκης μένει, μὴ ἀνακαλυπτόμενον, ὅ,τι ἐν Χριστῷ καταργεῖται. τάχα ἀσαφὲς τὸ εἰρημένον. οὐκοῦν ἀναγκαῖον αὐτὸ ποιῆσαι σαφέστερον, τῆς ἱστορίας αὐτῆς ὑμᾶς ἀναμνήσας. ἐπειδὴ γὰρ λαβὼν τὰς πλάκας ἐκ τοῦ ὄρους ἔμελλε καταβαίνειν ὁ Μωϋσῆς, δόξα τις ἀπόρρητος καὶ θαυμαστὴ τῆς ἁγίας ἐκείνης ἐξέλαμψεν ὄψεως τοιαύτη, ὡς μηδένα τῶν πολλῶν αὐτῷ δύνασθαι προσιέναι καὶ διαλέγεσθαι. ἵνα οὖν μὴ διὰ παντὸς ἀπρόσιτος ᾖ τῷ δήμῳ, κάλυμμα ἐπὶ τῆς ὄψεως ἐπιτιθεὶς, παρεῖχε μετ' ἀδείας τοῖς Ἰουδαίοις αὐτῷ συγγίνεσθαι. καὶ τῷ δήμῳ μὲν ὁμιλῶν εἶχε τὸ κάλυμμα, πρὸς δὲ τὸν Θεὸν ἐπιστρέφων ἀπετίθει τοῦτο πάλιν. τοῦτο δὲ συνέβαινεν, ὁμοῦ μὲν ἵνα ἀξιόπιστος ὁ νομοθέτης φαίνηται τοῖς μέλλουσι τὸν δι' αὐτοῦ κομιζόμενον δέχεσθαι νόμον, ὁμοῦ δὲ ἵνα καὶ ὁ τῆς ἀληθείας ἐν αὐτῷ προδιαχαραχθῇ τύπος, καὶ διαγραφῇ τῆς κατὰ Χριστὸν οἰκονομίας ἄνωθεν ἡ αἰτία. ἐπειδὴ γὰρ ἔμελλόν τινες λέγειν, τίνος ἕνεκεν οὐ γυμνῇ τῇ θεότητι παρεγένετο ὁ Χριστὸς, ἀλλὰ σάρκα περιεβάλλετο, ἄνωθεν διὰ τῆς ὄψεως τοῦ δούλου πάσας ταύτας ἀπελογήσατο. εἰ γὰρ τὴν τοῦ δούλου δόξαν οὐκ ἠνέσχοντο ἰδεῖν τὴν ἐπιγινομένην ὕστερον Ἰουδαῖοι, πῶς ἂν γυμνὴν τὴν θεότητα μετὰ ταῦτα ἰδεῖν ὑπέμειναν; οὐ τοῦτο δὲ μόνον τὸ κάλυμμα ἡμῖν ἐνδείκνυται ἐκεῖνο, ἀλλ' ὅτι καὶ ταῦτα πάσχουσιν οἱ Ἰουδαῖοι ἐπὶ τοῦ νόμου, ἅπερ ἔπασχον ἐπὶ τῆς ὄψεως Μωϋσέως τότε. καθάπερ γὰρ οὐχ ἑώρων τῆς ὄψεως τοῦ νομοθέτου τὴν δόξαν, τοῦ παραπετάσματος ἐκείνου παρεμβεβλημένου μέσου, οὕτως οὐδὲ τὴν τοῦ νόμου δόξαν δύνανται νῦν καθιδεῖν. τοῦτο δὲ καὶ πρὸς αἱρετικοὺς ἀναγκαῖον ἡμῖν. ἐπεὶ γὰρ νομίσαντες κατηγορίαν εἶναι τοῦ νόμου τὰ εἰρημένα, κατεδέξαντο τῆς ἐπιστολῆς τὸ χωρίον τοῦτο· καὶ ἐπειδὴ ἤκουσαν, ὅτι κάλυμμα ἔχει ὁ νόμος, καὶ ὅτι καταργεῖται, νομίσαντες εἶναι διαβολὴν, ἀφῆκαν τὰ γράμματα, ἵνα τοῖς οἰκείοις ἁλῶσιν ἐπιχειρήμασιν. αὐτὸ γὰρ τοῦτο δείκνυσι μέγαν ὄντα τὸν νόμον. ὥσπερ γάρ ποτε οὐκ ἦν κατηγορία Μωϋσέως τὸ κάλυμμα ἔχειν ἐπὶ τῆς ὄψεως, ἀλλ' ἀσθένεια τῶν Ἰουδαίων, Μωϋσέως δὲ καὶ ἐγκώμιον μέγιστον ἦν, ὅτι τοιαύτην εἶχεν ἐπὶ τῆς ὄψεως δόξαν, ὡς καὶ παραπετάσματος δεηθῆναι πρὸς τοὺς ὁμοδούλους, οὕτω καὶ ἐπὶ τοῦ νόμου συνέβη. εἰ γὰρ μὴ δόξαν εἶχεν ἀπρόσιτον

ὁ νόμος, οὐκ ἂν ἐδεήθη καλύμματος. ὅταν οὖν λέγῃ, ὅτι κάλυμμα ἐπὶ τῇ ἀναγνώσει τῆς παλαιᾶς διαθήκης μένει, τὴν ἀσάφειαν αὐτῆς φησιν· ὅταν δὲ λέγῃ, μὴ ἀνακαλυπτόμενον, ὅ, τι ἐν Χριστῷ καταργεῖται, τὸ μέρος, ὅπερ ἐστὶν ἀσαφὲς, ὁ νόμος ἡμῖν ἐπιδείξει. οὐ γὰρ ἐκεῖνο ἀσαφὲς ἦν τοῦ νόμου τὸ μέρος, ὅπερ εἰς βίον ἡμῖν συνετέλει καὶ πολιτείαν (ἐπεὶ περιττῶς ἂν ἐδόθη) ἀλλ' ἐκεῖνα μόνα συνεσκίαστο τὰ μέρη, δι' ὧν ἐδυνάμεθα μαθεῖν, ὅτι διὰ τοῦ Χριστοῦ καταργεῖται. καὶ γὰρ καὶ τοῦτο τῆς τοῦ Θεοῦ σοφίας ἔργον, τὸ τὸν νόμον αὐτὸν εἰσαγαγεῖν λέγοντα περὶ αὐτοῦ, ὅτι Χριστὸς ἐλθὼν αὐτὸν καταργήσει, καὶ ὅ, τι ἐν αὐτῷ παυθήσεται. αὐτὸ οὖν τοῦτο τὸ μέρος τοῦ νόμου τὸ λέγον, ὅτι ἐν Χριστῷ καταργεῖται ὁ νόμος, τοῦτο ἀσαφὲς μόνον ἦν. ἐκεῖνο αὐτὸ δηλῶν ὁ μέγας Παῦλος, ἐπήγαγε· μὴ ἀνακαλυπτόμενον, ὅτι ἐν Χριστῷ καταργεῖται. ἵνα γὰρ μὴ ἀκούσας, ὅτι κάλυμμα ἐπὶ τῇ ἀναγνώσει τῆς παλαιᾶς διαθήκης μένει, ὅλην αὐτὴν ἀσαφῆ καὶ συνεσκιασμένην εἶναι νομίσῃς, τῇ ἐπαγωγῇ ταύτην διορθοῦται τὴν ὑπόνοιαν. εἰπὼν γὰρ, κάλυμμα ἐπὶ τῇ ἀναγνώσει τῆς παλαιᾶς διαθήκης μένει, ἐπήγαγε, μὴ ἀνακαλυπτόμενον, ὅ, τι ἐν Χριστῷ καταργεῖται. τοῦτο αὐτό, φησιν, οὐκ ἀνεκαλύφθη, ὅτι μέλλει ἐν Χριστῷ καταργεῖσθαι· οὐκ ἀνεκαλύφθη δὲ τοῖς μὴ προσελθοῦσι τῇ πίστει. ὡς ὅγε προσελθὼν, καὶ τῆς τοῦ ἁγίου πνεύματος χάριτος ἀπολαύσας, οὐκέτι μετὰ παραπετάσματος βλέπει τὸν νόμον, ἀλλὰ γυμνὴν αὐτοῦ καθορᾷ τὴν δόξαν. δόξα δὲ νόμου, τὸ δυνηθῆναι διδάξαι, ὅτι ἐν Χριστῷ καταργεῖται, ἵνα καὶ τοῦτο μάθῃς. εἶδες τοῦ νόμου τὴν δόξαν; δόξα δέ ἐστιν ἀληθὴς ἐκείνου, ὅταν σε πρὸς τὸν Χριστὸν παιδαγωγῆσαι δυνηθῇ· παιδαγωγεῖ δὲ, ἐπειδὰν δείξῃ αὐτὸν καταργούμενον. ὥστε καὶ ἐντεῦθεν καιρία τοῖς αἱρετικοῖς ἡ πληγὴ γέγονεν. εἰ γὰρ ἐναντίος ἦν ὁ νόμος καὶ πολέμιος τοῦ Χριστοῦ, καὶ μὴ παρ' ἐκείνου δοθεὶς, οὐκ ἔδει Παῦλον δόξαν αὐτοῦ καλέσαι, τὸ δυνηθῆναι παιδεῦσαι τοὺς προσιόντας αὐτῷ, ὅτι διὰ Χριστοῦ καταργεῖται. εἰ πονηρὸς ἦν ὁ νόμος πάλιν, οὐκ ἔδει τὸ κάλυμμα αὐτοῦ ἀφαιρεθῆναι, ἀλλὰ μένειν αὐτὸν καὶ μετὰ τὴν χάριν συνεσκιασμένον. εἰ δὲ τοῦτο τῆς χάριτος ἔργον, τὸ διορατικωτέρους ποιῆσαι τοὺς προσιόντας

mine non indiguisset. Quando igitur manere velamen dicit in lectione veteris Testamenti, obscuritatem eius dicit. quando verò non reuelatum dicit quod in Christo euacuatur, partem eam legis nobis indicat, ratione cuius obscura lex est. Non enim obscura pars, ea legis fuit quæ nobis ad vitam & conuersationem instituendam conferebat, alioqui superfluè data fuisset: sed ex solum partes obscuratæ sunt, ex quibus nosse poteramus illam euacuari per Christum. Nam & hoc opus est sapientiæ diuinæ, legē ab ipso introduci, qui de ea diceret fore, vt Christus, cùm venerit, legem euacuet, & fore vt in ipso esse desinat. Hæc igitur ipsa pars legis, quæ legem in Christo dicit euacuari, sola fuit obscura: atque hoc ipsum indicans magnus Paulus adiunxit dicens, Non reuelatum, quod in Christo euacuatur. Etenim ne fortè cum audisses in lectione veteris Testamenti, manere velamen, totam ipsam obscuram & obtectam esse existimares, hanc suspicionem additione correxit. Cùm enim dixisset, velamen in lectione veteris Testamenti manere, adiecit, Non reuelatum, quod in Christo euacuatur. Hoc ipsum, inquit, reuelatum non est, quod in Christo est euacuanda: porrò iis reuelatum non est, qui non accedunt ad fidem: itaque is qui ad fidem accessit, & sancti Spiritus gratiam consequutus est, non iam cum velamine legem intuetur, sed nudam eius gloriam spectat. Gloria verò legis est, vt docere possit seipsam in Christo euacuari, vt hoc quoque tibi sit cognitum. Vides quæ sit legis gloria? vera quippe gloria eius est, quando instruere te potuerit, & ad Christum deducere: tum verò instruit, cum euacuari se ostendit. Itaque hinc etiam hæreticis lethale vulnus infligitur. Nam si contraria lex & aduersaria Christo esset, nec ab illo tradita, non oportuisset Paulum eius gloriam id appellare, quod accedentes ad se posset instruere, per Christum ipsam euacuari. Si mala esset lex rursus, non oportuisset velamen eius auferri, sed illam etiam post gratiam obscuratam manere. Quòd si hoc munus est gratiæ, vt accedentes ad se perspicaciores ad comprehendendam

legem efficiat, sic ut inde initium & A occasio ducatur omnis fidei in Christum exhibendæ: quódnam proferre maius posset ullus argumentum cognationis legis cum gratia, quam cum oculos Christus aperit eorum, qui ad ipsum accedunt, ut institutionem percipere legis possint, illa verò cum apparuerit, & facta fuerit manifesta, poterit multa cum facilitate transmittere illos, qui ea quæ Christi sunt intelligunt? Hæc enim ostendunt neque Christum cum lege pugnare, neque cum Iesu legem bellum gerere, sed B contrario planè modo rem se habere, cum illa quidem ad magnam hanc philosophiam viam sternat, hic autem inde assumptos ad summum pietatis culmen adducat. Pro his autem omnibus benigno Deo gratias agamus, qui pro convenienti tempore singula disponit, variisq. modis salutem nostram procurat, & dignã ipsius benignitate, ac tanta prouidentia conuersationem pro viribus exhibeamus, ut futura etiam bona consequamur: quæ nobis omnibus utinam contingant gratia, & benignitate domini nostri Iesu Christi. per quem & cum quo Patri simul cum Spiritu sancto gloria, honor, imperium, in secula seculorum, Amen.

πρὸς τὴν τοῦ νόμου κατάληψιν, ὥστε ἐκεῖθεν τὰς ἀρχὰς καὶ τὰς ἀφορμὰς πάσας λαμβάνειν τῆς πρὸς τὸν Χριστὸν πίστεως· τί μεῖζον τούτου τεκμήριον τῆς τοῦ νόμου συγγενείας τῆς πρὸς τὴν χάριν εἴποι τις ἄν, ἀλλ' ἢ ὅταν μὲν Χριστὸς ἀνοίγῃ τοὺς ὀφθαλμοὺς τῶν αὐτῷ προσιόντων, ὥστε δυνηθῆναι κατιδεῖν τοῦ νόμου τὴν ἀγωγήν, ἐκείνη δὲ φανεῖσα καὶ γνωρίμη δήλη παραπέμψαι μετὰ πολλῆς τῆς εὐκολίας δυνήσεται τοὺς συνιέντας τὰ Χριστοῦ. Ταῦτα γὰρ οὔτε τὸν Χριστὸν τῷ νόμῳ μαχόμενον δείκνυσιν, οὔτε τὸν νόμον πολεμοῦντα τῷ Ἰησοῦ· ἀλλὰ τοὐναντίον ἅπαν, τὸν μὲν προοδοποιοῦντα τῇ μεγάλῃ ταύτῃ φιλοσοφίᾳ, τὸν δὲ ἐκεῖθεν αὐτοὺς παραλαμβάνοντα καὶ πρὸς ἄκραν ἄγοντα κορυφήν. Ὑπὲρ δὲ τούτων ἁπάντων εὐχαριστήσωμεν τῷ φιλανθρώπῳ Θεῷ, τῷ κατὰ τὸν προσήκοντα καιρὸν ἕκαστα οἰκονομοῦντι, καὶ πολυτρόπως τὴν ἡμετέραν πραγματευομένῳ σωτηρίαν, καὶ τῆς αὐτοῦ φιλανθρωπίας καὶ τῆς τοσαύτης προνοίας ἀξίαν κατὰ δύναμιν ἐπιδειξώμεθα πολιτείαν, ἵνα καὶ τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ τῷ πατρί, ἅμα τῷ ἁγίῳ πνεύματι, δόξα, τιμή, κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

ΕΤΙ ΕΙΣ ΤΗΝ ΑΣΑΦΕΙΑΝ τῆς παλαιᾶς διαθήκης, καὶ εἰς τὴν τοῦ Θεοῦ φιλανθρωπίαν, καὶ περὶ τοῦ μὴ κατηγορεῖν ἀλλήλων.

ΧΑΙΡΕΙ μὲν βουκόλος, ἐπειδὰν εὐπαθοῦσαν αὐτοῦ καὶ σφριγῶσαν ἴδῃ τῶν βοῶν τὴν ἀγέλην· χαίρει δὲ καὶ γηπόνος, θεωρῶν κομῶντα τὰ λήϊα. ἀλλ' οὔτε γηπόνος ἐπὶ τοῖς ληΐοις, οὔτε βουκόλος ἐπὶ ταῖς βουσὶν οὕτω χαίρουσιν, ὡς ἐγὼ χαίρω νῦν καὶ ἀγάλλομαι, τὴν καλὴν ταύτην ἅλω τῶν πνευματικῶν τούτων δραγμάτων πεπληρωμένην ὁρῶν. ὅταν γὰρ εἰς ἀκοὰς τοσαύτας καὶ τοιαύτας σπείρηται τῆς εὐσεβείας ὁ λόγος, ἀνάγκη ταχέως πολλοὺς καὶ ὡρίμους βλαστῆσαι τῆς ὑπακοῆς τοὺς ἀστάχυας. καὶ γὰρ ὅταν τις εἰς βαθύγειον καὶ λιπαρὰν ἄρουραν αὔλακα τέμῃ, κἂν μὴ δαψιλεῖ τῇ χειρὶ καταβάλῃ τὰ σπέρματα, πολλὴν δέξεται τὴν φορὰν, τῆς φύσεως τοῦ χωρίου τὴν ὀλιγότητα τῶν σπερμάτων διὰ τῆς οἰκείας δυνάμεως πλεοναζούσης· οὕτω καὶ ὅταν τις εἰς ψυχὰς σπείρῃ καταπειθεῖς καὶ εὐλαβείας γεμούσας, κἂν ὀλίγα καταβάλῃ τὰ τῆς διδασκαλίας σπέρματα, πλούσιον ὄψεται τὸν ἄμητον, τῆς τῶν ἀκουόντων σοφίας τὴν τοῦ λέγοντος πενίαν ἀποκρυπτούσης. τοῦτο καὶ ἐπὶ τῆς ἁλιείας γίνεται τῶν ἰχθύων. κἂν γὰρ ἄπειροι τυγχάνωσιν ὄντες οἱ ἁλιεῖς, εἰς κόλπον δὲ βάλωσι τὰ δίκτυα πολλοὺς ἔχοντα τοὺς ἰχθύας, ῥᾳδίως τῆς θήρας ἐπιτυγχάνουσι, τοῦ πλήθους τῶν συντρεχόντων ἰχθύων συσκιάζοντος ἐκείνων τὴν ἀπειρίαν. εἰ δὲ ἐπὶ τῆς ἄγρας ἐκείνης τῶν ἁλιευομένων τὸ πλῆθος τοῦ σαγηνεύοντος πολλάκις παραμυθεῖται τὴν ἀμαθίαν, πολλῷ μᾶλλον ἐπὶ τῆς ἁλιείας ταύτης τῆς πνευματικῆς τοῦτο συμβήσεται. καὶ γὰρ ἐκεῖνοι μὲν οἱ ἰχθύες, ὅταν ἴδωσιν ἐμβληθέντα τὰ θήρατρα, εὐθέως ἀποπηδῶσι καὶ ἐξάλλονται· ὑμεῖς δὲ τὸ ἐναντίον ποιεῖτε· ὅταν ἴδητε ἀναστάντα καὶ τὴν σαγήνην ἁπλώσαντα τῆς διδασκαλίας, οὐ μόνον οὐκ ἀποπηδᾶτε καὶ ἐξάλλεσθε, ἀλλὰ καὶ

ADHVC IN OBSCVRItatem veteris Testamenti, & in Dei clementiam, & quod alij alios non debeant accusare.

Eodem interprete.

GAVDET quidem bubulcus, dum bene valere ac vegetum esse videt armentum suum: gaudet etiam agricola, dum vernantem segetem cernit: sed nec ob segetem agricola, nec ob suas boues bubulcus adeò gaudent, vt ego nunc gaudeo & exulto, dum pulchram hanc aream spiritualibus repletam manipulis cerno. Cùm enim in tot ac tales aures sparsum fuerit verbum pietatis, confestim necesse est, vt copiosæ ac maturæ obedientiæ spicæ nascantur. Nam si quis sulcis fertilem ac pinguem agrum proscinderit, quamuis semina larga manu non iecerit, multum prouentum colliget, dum loci natura seminum exiguum numerum propria virtute multiplicabit: sic cùm in animas obsequentes ac pietatis plenas aliquis sparserit, licet exigua doctrinæ semina iecerit, messem vberem cernet, dum per auditorum sapientiam, concionatoris egestas occultabitur. Hoc & in piscium piscatione contingit. Quamuis enim piscatores sint imperiti, si tamen in sinum maris piscibus abundantem retia miserint, facilè præda potiuntur: dum illorum abscondit imperitiam concurrentium piscium multitudo. Quòd si in illa captura multitudo illorum qui piscaturi sunt, sæpenumero eius qui rete mittit, imperitiæ defectum sarcit, multò magis istud ipsum in hac spirituali piscatione continget. Nam illi quidem pisces vbi nassas & hamos immitti viderint, confestim & aufugiunt, & exiliunt: vos verò contrarium agitis: cùm surgentē & doctrinæ sagenam videritis expandētem, non solum non aufugitis & exilitis, sed &

interius pergitis vndique concurrentes, A & proximum vnusquisque protrudens ac premens, prior ipse insilire & in retia delabi festinat. Quo factum est, vt nunquam vacuam sagenam extraxerimus, non iam ob nostram peritiã, sed ob vestram cupiditatem. Satis itaque nos nuper dapibus expleuit, quę probato puróque manat auro, lingua & mellis fontes ore profundit, (lingua inquam beati Pauli) vel potius, quæ faui cuiusuis suauitati spiritualis doctrinę dulcedine antecellit. Quia verò pro ea quæ vos decet modestia & patientia, ne mei quidem pauperis & mendici res contemnitis, sed B ea quidem quæ sunt eximia & summa miramini, nostrę verò humilitatis verba non improbatis, alacriter ad dicendum surrexi, vt debitũ vobis redderem quod nuper sum pollicitus, nec tamen persolui, dum prolixitate doctrinæ prohibiti sumus ad finẽ vsque pertingere. Quódnam igitur debitum illud fuit? necesse est enim, vt initium mutui vobis in memoriam reuocetur, vt argumento ipso cognito vobis enarratio dilucidior fiat. Quęsiuimus tum temporis qua de causa vetus Testamentum sit obscurius, quàm C nouum (fortasse namque meministis) & vnam hactenus causam diximus, auditorum immanitatem, testémque produximus Paulum dicẽtem, Istud ipsum velamen in lectione veteris Testamenti manet non reuelatũ, quoniã in Christo reuelatur. Ostendimus queadmodum velamen habuit legislator Moyses, ita quoque legẽ velamen habuisse, obscuritatem: sed neq. Legislatori vitio vertendum, neque legi crimini vertẽdum fuit velamen, sed auditorum infirmitati tribuendum. Non enim propter seipsum velamen habuit Moyses, sed quia gloD riam vultus eius ferre non poterant. Quando verò se conuertebat ad Dominum, velamen auferebat. Sic etiam lex quoniam nondum perfecta documenta multæque philosophiæ plena de Christo nouóque Testamento percipere minimè poterat (siquidem illa omnia tanquam in thesauro quodam in' veteri Testamento reposita erant, velamen habebat, dum illis quidem se attemperabat, nobis autem diuitias omnes reseruabat, vt cum Christus aduenerit, & ad ipsum nos conuertterimus, velamen tollatur. Videtis ergo

2. Cor. 3. 14.

A ἐνδοτέρω βαδίζετε πανταχόθεν συντρέχοντες, καὶ τὸν πλησίον ἕκαστος ὠθῶν καὶ θλίβων, πρότερος αὐτὸς ἐπείγεται ἐμπηδῆσαι καὶ ἐμπεσεῖν εἰς τὰ δίκτυα. διὰ τοῦτο οὐδέποτε κενὴν ἀνεσπάσαμεν τὴν σαγήνην, οὐ διὰ τὴν ἡμετέραν ἐμπειρίαν, ἀλλὰ διὰ τὴν ὑμετέραν ἐπιθυμίαν. ἱκανῶς μὲν οὖν ἡμᾶς καὶ πρῴην εἱστίασεν ἡ χρυσὸν δόκιμον καὶ καθαρὸν ῥέουσα γλῶττα καὶ πηγὰς ἔχουσα μέλιτος ἐν τῷ στόματι (ἡ τοῦ μακαρίου, λέγω, Παύλου) μᾶλλον δὲ καὶ κηρίου παντὸς ἀποκρύπτουσα τὴν ἡδονὴν, τῇ τῆς πνευματικῆς διδασκαλίας γλυκύτητι. B ἐπειδὴ δὲ κατὰ τὴν πρέπουσαν ὑμῖν φιλοσοφίαν οὐδὲ τὰ τοῦ πένητος ἐμοῦ καὶ πτωχεύοντος ἀτιμάζετε, ἀλλὰ θαυμάζετε μὲν τὰ πολλὴν ἔχοντα ὑπεροχὴν, προσίεσθε δὲ καὶ τὰ τῆς ἡμετέρας εὐτελείας ῥήματα, ἀνέστην μετὰ προθυμίας ἀποδώσων ὑμῖν τὸ ὄφλημα, ὃ πρῴην ὑπεσχόμην μὲν, οὐ κατέβαλον δὲ, τοῦ μήκους τῆς διδασκαλίας ἐκκρούσαντος ἡμᾶς τοῦ τέλους. τί οὖν ἦν τὸ ὄφλημα ἐκεῖνο; ἀνάγκη γὰρ ἀναμνῆσαι ὑμᾶς τὴν ἀρχὴν τοῦ δανείσματος, ὥστε σαφεστέραν ὑμῖν C ἀπὸ τῆς ὑποθέσεως γενέσθαι τὴν ἐξήγησιν. ἐζητήσαμεν τότε τίνος ἕνεκεν ἀσαφεστέρα τῆς καινῆς ἡ παλαιὰ διαθήκη (τάχα γὰρ μέμνησθε) καὶ μίαν τέως εἰρήκαμεν αἰτίαν, τὴν θηριωδίαν τῶν ἀκουόντων, καὶ μάρτυρα παρηγάγομεν τὸν Παῦλον λέγοντα· ὅτι τὸ αὐτὸ κάλυμμα ἐπὶ τῇ ἀναγνώσει τῆς παλαιᾶς διαθήκης μένει, μὴ ἀνακαλυπτόμενον, ὅ,τι ἐν Χριστῷ καταργεῖται. ἐδείξαμεν ὅτι καθάπερ Μωϋσῆς εἶχε κάλυμμα ὁ νομοθέτης, οὕτω καὶ ὁ νόμος εἶχε κάλυμμα, τὴν ἀσάφειαν· ἀλλ' οὔτε τοῦ νομοθέτου ἔγκλημα, οὔτε τοῦ νόμου κατηγορία τὸ κάλυμμα, ἀλλὰ τῆς D ἀσθενείας τῶν ἀκουόντων. οὐδὲ γὰρ δι' ἑαυτὸν εἶχε κάλυμμα ὁ Μωϋσῆς, ἀλλ' ἐπειδὴ οὐκ ἠδύναντο ὑπενεγκεῖν τὴν δόξαν τοῦ προσώπου αὐτοῦ. ὅτε γοῦν ἐπέστρεφε πρὸς κύριον, περιῄρητο τὸ κάλυμμα. οὕτω καὶ ὁ νόμος, ἐπεὶ οὐδέπω ἠδύναντο μαθεῖν τὰ τέλεια διδάγματα καὶ φιλοσοφίας γέμοντα, τά τε περὶ Χριστοῦ καὶ τῆς καινῆς διαθήκης (πάντα γὰρ ἐκεῖνα ἐναπέκειτο, καθάπερ ἐν θησαυρῷ, τῇ παλαιᾷ γραφῇ) κάλυμμα εἶχεν, ἐκείνοις μὲν συγκαταβαίνων, ἡμῖν δὲ τηρῶν τὸν πλοῦτον ἅπαντα· ἵν', ὅταν παραγένηται ὁ Χριστὸς, καὶ ἐπιστρέψωμεν πρὸς αὐτὸν, περιαιρεθῇ τὸ κάλυμμα.

ὁρᾶτε τοίνυν εἰς ὅσην ἡμᾶς ἀξίαν ἤγαγεν ἡ τοῦ Χριστοῦ παρουσία, εἰς τὴν τάξιν ἀνάγουσα Μωϋσέως. ἀλλ' ἴσως ἐρεῖ τις, καὶ τίνος ἕνεκεν ἐλέγετο τότε, εἰ μὴ ἔμελλεν αὐτοῖς σαφῆ εἶναι τὰ λεγόμενα; ἵνα τοῖς μετὰ ταῦτα γένηται χρήσιμα. προφητείας γὰρ ἀξίωμα τοῦτό ἐστιν, οὐχ ὅταν τὰ παρόντα ἀπαγγείλῃ πράγματα, ἀλλ' ὅταν τὰ μέλλοντα προαναφωνήσῃ. προφητεία δέ, ὅταν συνεσκιασμένως λέγηται, μετὰ τὴν τῶν πραγμάτων ἔκβασιν γίνεται σαφεστέρα· πρὸ δὲ τῆς ἐκβάσεως, οὐδαμῶς. ὥστε, ὅπερ τότε μὲν ἐλέγετο συνεσκιασμένως, ἀσαφὲς ἦν· ὅτε δὲ ἐκβέβηκε τὰ πράγματα, διὰ τοῦτο σαφέστερα ἦν τὰ λεγόμενα, καὶ ἵνα μάθητε, ὅτι προφητεία, κἂν πρὸ πολλοῦ λέγηται τοῦ χρόνου, συνεσκιασμένως δὲ λέγηται, ἀσαφεστέρα γίνεται ἀναμένουσα τὴν ἐκ τῶν πραγμάτων ἔκβασιν, ἀπ' αὐτῶν τῶν μαθητῶν ὑμῖν τοῦτο ποιήσω φανερόν. λύσατε τὸν ναὸν τοῦτον τοῖς Ἰουδαίοις ἔλεγεν ὁ Χριστός. ἐπειδὴ γὰρ ἐδίωκε τοὺς διὰ τῆς καπηλείας εἰς τὸν ναὸν ἐνυβρίζοντας, λέγουσιν ἐκεῖνοι· τί σημεῖον δεικνύεις ἡμῖν, ὅτι ταῦτα ποιεῖς; καὶ πρὸς τοῦτό φησι· λύσατε τὸν ναὸν τοῦτον, καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν. ἐκεῖνος δὲ ἔλεγε περὶ τοῦ ναοῦ τοῦ σώματος αὐτοῦ. τοῦτο προφητεία τίς ἐστιν. οὔπω γὰρ ἦν ἐκβεβηκὼς ὁ σταυρός, οὐδὲ ἡ λύσις τοῦ ναοῦ, οὐδὲ ἡ τριήμερος ἀνάστασις, ἣν αὐτὸς ἐποιήσατο. καὶ ὅρα πῶς τὰ ἀμφότερα μετὰ ἀκριβείας ᾐνίξατο, καὶ τὴν τόλμαν τὴν ἐκείνων, καὶ τὴν οἰκείαν αὐτοῦ δύναμιν. ἀλλ' ὅμως οὐκ ᾔδεισαν τὰ λεγόμενα. καὶ τὸ μὲν Ἰουδαίους ἀγνοεῖν, οὐδὲν θαυμαστόν· λέγει δέ, ὅτι οὐδὲ οἱ μαθηταὶ αὐτοῦ συνῆκαν, ἕως ἀνέστη ἐκ τῶν νεκρῶν· καὶ τότε ἐπίστευσαν τῇ γραφῇ, καὶ τῷ λόγῳ, ᾧ εἶπεν ὁ Ἰησοῦς. ὁρᾷς ὅτι ἐδεήθησαν τῆς διὰ τῶν πραγμάτων ἐκβάσεως, ἵνα σαφεστέρα γένηται ἡ προφητεία· καὶ ὅτι ἔγκλημα οὐκ εἶχον οἱ Ἰουδαῖοι μὴ συνιέντες τὰς προφητείας ἐκείνας τὰς περὶ Χριστοῦ πρὸ τῆς τοῦ Χριστοῦ παρουσίας; τῇ γὰρ παρουσίᾳ δῆλαι ἔμελλον γίνεσθαι καὶ σαφεῖς. ἄκουσον αὐτοῦ τοῦ Χριστοῦ λέγοντος, εἰ μὴ ἦλθον καὶ ἐλάλησα αὐτοῖς, ἁμαρτίαν οὐκ εἶχον. διὰ τί οὐκ εἶχον ἁμαρτίαν, εἰ αἱ προφητεῖαι προέλεγον; ὅτι προέλεγον μέν, οὐκ ἦσαν δὲ σαφεῖς, οὐδὲ δῆλαι πρὸ τῆς παρουσίας τοῦ προλεγομένου.

A in quantam nos aduentus Christi prouexerit dignitatem, qui Moysis in ordinem nos euexerit. At enim fortasse dicet aliquis: Cur igitur tum temporis dicebantur illa, si manifesta non erant futura quæ dicebantur? Vt posteris nimirum vtilia fierent. Hæc enim est dignitas prophetiæ non vt res præsentes denuntiet, sed vt futuras prænuntiet. Prophetia porro cùm occultè prolata fuerit, post rerum euentum fit manifestior: ante euentum verò minimè. Itaque quandoquidem tum obscurè dicebantur, ignotæ erant: B quum autem res contigerant, propterea manifesta erant, quæ dicta fuerant. Atque vt prophetiam intelligatis, licet multo ante tempore dicta sit, sed tamen occultè dicta, obscuram esse, ac rerum euentum expectare, discipulorum ipsorum id testimonio comprobabo. Soluite templum hoc aiebat Christus discipulis. Nam quum eos eiecisset, qui negotiatione sua templi sanctitatem violarant, dixerunt illi: Quod signum ostendis nobis, quia hæc facis? Tum ad hoc respondet: Soluite C templum hoc, & in tribus diebus excitabo illud. Ille autem dicebat de templo corporis sui. Hoc autem prophetia quædam est: nondum quippe crux euenerat; neque templi solutio, neque trium dierum resurrectio, quam ipse fecit. Ac vide quàm exactè vtraque designarit, & illorum audax facinus, & suam ipsius virtutem. Non tamen ea quæ dicebantur agnouerunt. Ac Iudæos quidem ignorasse, minimè mirum: at ne discipu- D los quidem eius intellexisse dicit, quousque à mortuis resurrexit, túmque crediderunt Scripturæ ac sermoni, quem dixit Iesus. Vides euentu illos indiguisse rerum, vt dilucidior fieret prophetia, neque crimini vertendum fuisse Iudæis, quod prophetias illas de Christo ante Christi aduentum non intelligerent? Siquidem per eius aduentum claræ reddendæ fuerant & apertæ. Audi Christum hoc dicentem: Si non venissem, & loquutus fuissem eis, peccatum non haberent. Quare peccatum non habebant, si prophetiæ prædixerāt? Quia prædixerant quidem, sed manifestæ non erant neque claræ ante illius aduentū qui prædictus fuerat.

Ioan. 2. 19.

Ioan. 15. 22.

Nam si tum quoque manifestæ illis & A claræ fuissent, haud dubiũ quin etiam ante ipsius aduẽtum peccatum habuissent: quod si peccatum non habuerunt, dubium nõ est, quin propter earum obscuritatem, & quoniam obtecta fuerant quæ dicebantur. Neque enim ante Christi aduentum fides in Christum ab illis exigebatur. quam igitur ob causam tum prædicebatur? vt cum aduenisset, domesticos doctores haberent à quibus incitarentur, & intelligerent rem nouam non esse quæ gerebantur, neque recentem dispensationem, sed hęc olim & ante multos annos ea fuisse prænun- B tiata: id quod non mediocriter valuit ad illos ad fidem alliciendos. Hæc igitur vna est causa obscuritatis, quam pluribus testimoniis in præcedenti tractatu demonstrauimus: ne vero fastidium vobis rursus pariamus, si eadem dicamus, operæpretium fuerit ab ea discedere, atque alteram proferre, quæ non iam obscurũ & ignotum, sed difficilius Testamentum vetus efficit. Aliud enim est nihil omnino eorum nosse, quæ insunt, & velamen impositum cernere: aliud autem inuenire quæ dicuntur, sed cum labore inuenire. Quænam igitur C est secunda causa, propter quam difficilius vetus est Testamentum quàm nouum? Non habemus natiuo nostro idiomate scriptum apud nos vetus Testamentum: sed alia quidem lingua compositum est, alia verò nos illud legendum habemus: siquidem à principio Hebraico conscriptum est idiomate: nos autem Græca lingua expressum accepimus: cum verò in alteram linguam interpretatione trãslatum fuerit, maximam habet difficultatem. Atque hoc probè sciunt, quicumque multas linguas callent, fieri non posse, D vt pari perspicuitate sententias omnes ex natiua sua lingua in alterã interpretando transferamus. Hæc igitur causa difficultatis extitit in veteri Testamento. Nam ante Christi aduentum trecentis annis, Ægyptiorum Rege Ptolemæo in Græcam linguã translatum est Testamẽtum vetus, valde vtiliter & fructuosè. Quamdiu enim cum vna gente loquebatur, in Hebraica lingua manebat. Nullus quippe tunc animum illi adhibiturus erat, cum reliquũ genus humanum ad summã immanitatem peruenisset. Vbi verò Christus venturus fuit,

Secunda causa obscuritatis veter. Test.

Εἰ γὰρ καὶ τότε σαφεῖς ἦσαν αὗται καὶ δῆλαι, δῆλον ὅτι καὶ πρὸ τῆς παρουσίας αὐτοῦ ἁμαρτίαν εἶχον· εἰ δὲ ἁμαρτίαν οὐκ εἶχον, εὔδηλον ὅτι διὰ τὴν ἀσάφειαν αὐτῶν καὶ τὸ συνεσκιάσθαι τὰ λεγόμενα. οὐδὲ γὰρ ἀπῃτοῦντο τὴν εἰς τὸν Χριστὸν πίστιν πρὸ τῆς τοῦ Χριστοῦ παρουσίας. τίνος οὖν ἕνεκεν προελέγετο τότε; ἵν', ὅταν παραγένηται, οἴκοθεν ἔχωσι τοὺς διδασκάλους ἐνάγοντας αὐτοὺς, καὶ εἰδῶσιν ὅτι οὐ καινοτομία τὰ γινόμενα, οὐδὲ πρόσφατος ἡ οἰκονομία, ἀλλ' ἄνωθεν ταῦτα καὶ πρὸ πολλῶν προανεκηρύττετο χρόνων. οὐ μικρὸν δὲ τοῦτο εἰς τὸ ἐπισπάσασθαι πρὸς τὴν πίστιν αὐτούς. μία μὲν οὖν αὕτη τῆς ἀσαφείας αἰτία, ἣν καὶ διὰ πλειόνων ἀπεδείξαμεν μαρτυριῶν ἐν τῇ προτέρᾳ διαλέξει. ἵν' οὖν μὴ πάλιν ὑμᾶς ἐνοχλῶμεν τὰ αὐτὰ λέγοντες, ἀναγκαῖον μὲν ταύτης ἀποστῆναι, ἑτέραν δὲ εἰπεῖν τὴν οὐκ ἀσαφῆ καὶ ἄγνωστον, ἀλλὰ δυσκολωτέραν ἡμῖν ποιοῦσαν τὴν παλαιὰν διαθήκην. ἄλλο γάρ ἐστι μηδὲν ὅλως εἰδέναι τῶν ἐγκειμένων, καὶ ὁρᾶν κάλυμμα ἐπικείμενον, ἄλλο δὲ εὑρεῖν μὲν τὰ λεγόμενα, μετὰ πόνου δὲ εὑρεῖν. τίς οὖν ἐστιν ἡ δευτέρα αἰτία, δι' ἣν δυσκολωτέρα ἡ παλαιὰ διαθήκη τῆς νέας ἐστίν; οὐχὶ τῇ ἐγχωρίῳ φωνῇ ἔχομεν τὴν παλαιὰν διαθήκην παρ' ἡμῖν γεγραμμένην· ἀλλ' ἑτέρᾳ μὲν συνετέθη γλώττῃ, ἑτέρᾳ δὲ ἔχομεν αὐτὴν ἀναγινωσκομένην ἡμεῖς. τῇ γὰρ Ἑβραίων φωνῇ παρὰ τὴν ἀρχὴν συνεγράφη· ἡμεῖς δὲ αὐτὴν τῇ Ἑλλήνων παραλαμβάνομεν γλώττῃ. ὅταν δὲ γλῶττα ἑρμηνευθῇ εἰς ἑτέραν γλῶτταν, πολλὴν ἔχει τὴν δυσκολίαν. καὶ ἴσασιν ἀκριβῶς, ὅσοι πολλῶν γλωσσῶν εἰσιν ἔμπειροι, πῶς οὐ δυνατὸν πᾶσαν τὴν σαφήνειαν τῆς φωνῆς τῆς ἐν τῇ οἰκείᾳ φύσει κειμένης μετενεγκεῖν εἰς τὴν ἑτέραν μεταβάλλοντας γλῶσσαν. τοῦτο οὖν αἴτιον τῆς δυσκολίας τῆς ἐν τῇ παλαιᾷ διαθήκῃ γέγονε. πρὸ γὰρ τριακοσίων ἐτῶν τῆς τοῦ Χριστοῦ παρουσίας, ἐπὶ Πτολεμαίου τοῦ βασιλέως τῶν Αἰγυπτίων, πρὸς τὴν Ἑλλάδα μετηνέχθη γλῶσσαν ἡ παλαιὰ διαθήκη, χρησίμως σφόδρα καὶ ἀναγκαίως. ἕως μὲν γὰρ ἑνὶ ἔθνει τῶν Ἰουδαίων διελέγετο, ἔμενεν ἐν τῇ Ἑβραΐδι φωνῇ. οὐδεὶς γὰρ τότε ἔμελλεν αὐτῇ προσέχειν, τοῦ λοιποῦ τῶν ἀνθρώπων γένους εἰς θηριωδίαν ἐσχάτην ἐξεληλακότος. ἐπεὶ δὲ ἔμελλεν ὁ Χριστὸς παραγίνεσθαι,

καὶ τὴν οἰκουμένην πᾶσαν πρὸς ἑαυτὸν καλῶν, οὐχὶ διὰ τῶν ἀποστόλων μόνον, ἀλλὰ καὶ διὰ τῶν προφητῶν (καὶ γὰρ κἀκεῖνοι πρὸς τὴν πίστιν ἡμᾶς χειραγωγοῦσι τῆς τοῦ Χριστοῦ γνώσεως) τηνικαῦτα λοιπὸν ὡσπερεί τινας εἰσόδους καὶ ὁδοὺς τὰς προφητείας πρότερον ἀποκεκλεισμένας τῇ τῆς γλώττης ἀσαφείᾳ, πανταχόθεν ἀνοιγῆναι παρεσκεύασε διὰ τῆς ἑρμηνείας· ἵνα πάντες οἱ ἐκ τῶν ἐθνῶν πανταχόθεν συρρέοντες, καὶ μετὰ πολλῆς τῆς εὐκολίας ταύτας ὁδεύοντες τὰς ὁδούς, δι' αὐτῶν δυνηθῶσι πρὸς τὸν βασιλέα τῶν προφητῶν ἐλθεῖν, καὶ προσκυνῆσαι τὸν μονογενῆ τοῦ Θεοῦ υἱόν. διὰ τοῦτο πρὸ γε τοῦ χρόνου τῆς παρουσίας τοῦ Χριστοῦ ἡρμηνεύθησαν ἅπασαι· ἐπεὶ εἰ ἔμενον ἐν τῇ Ἑβραΐδι διαλέκτῳ μόνον, ἔλεγε δὲ ὁ Δαβίδ, αἴτησαι παρ' ἐμοῦ, καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου, καὶ τὴν κατάσχεσίν σου τὰ πέρατα τῆς γῆς, πόθεν ἔμελλεν εἰδέναι τὸ λεγόμενον ὁ Σύρος, ἢ ὁ Γαλάτης, ἢ ὁ Μακεδών, ἢ ὁ Ἀθηναῖος, ἐν ἀσαφείᾳ μενούσης τῆς γραφῆς; πάλιν ὁ Ἡσαΐας ἐβόα· ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη. καὶ ὡς ἀμνὸς ἐναντίον τοῦ κείροντος αὐτὸν ἄφωνος. καὶ πάλιν, ἔσται ἡ ῥίζα τοῦ Ἰεσσαί, καὶ ὁ ἀνιστάμενος ἄρχειν ἐθνῶν· ἐπ' αὐτῷ ἔθνη ἐλπιοῦσι. καὶ πάλιν, πλησθήσεται ἡ γῆ τοῦ γνῶναι τὸν κύριον, ὡς ὕδωρ πολὺ κατακαλύψαι θαλάσσας. καὶ ὁ Δαβὶδ πάλιν ἔλεγεν, ἀνέβη ὁ Θεὸς ἐν ἀλαλαγμῷ, κύριος ἐν φωνῇ σάλπιγγος. καὶ πάλιν, εἶπεν ὁ κύριος τῷ κυρίῳ μου, κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου. ἐπεὶ οὖν καὶ περὶ τοῦ πάθους, καὶ περὶ τῆς ἀναστάσεως, καὶ περὶ τῆς ἀναλήψεως, καὶ περὶ τῆς ἐκ δεξιῶν καθέδρας, καὶ περὶ τῆς δευτέρας αὐτοῦ παρουσίας, καὶ περὶ πάντων τούτων ἁπλῶς τῶν ἐν τῇ καινῇ κειμένων προεῖπεν ἡ παλαιὰ διαθήκη, ἵνα μὴ ἄγνωστα μείνῃ ταῦτα τοῖς ἔθνεσι τοῖς μετὰ ταῦτα μέλλουσιν ἔσεσθαι, καὶ ἀγνοῶσι τῆς προφητείας τὴν ἰσχύν, οἰκονόμησεν ἡ τοῦ Θεοῦ χάρις πρὸ τῆς παρουσίας τοῦ Χριστοῦ ἑρμηνευθῆναι τὰς γραφάς, οὐ τοῖς ἐξ ἐθνῶν μόνον, ἀλλὰ καὶ Ἰουδαίων τοῖς πανταχοῦ τῆς οἰκουμένης διεσπαρμένοις, καὶ τὴν Ἑβραΐδα λοιπὸν ἀποβαλοῦσι γλῶσσαν χρησίμους αὐτὰς ποιῶν. ἰδοὺ γάρ, ἐπίστευσεν ὁ ἐξ ἐθνῶν, βλέπων τὰ σημεῖα τῶν Ἰουδαίων· πῶς εἶχον πάλιν ἐπαγαγέσθαι τὸν Ἰουδαῖον οἱ ἀπόστολοι, εἰ μὴ ἔμελλον αὐτοῖς διδάσκαλον οἰκεῖον παρέχειν τὸν προφήτην;

A & vniuersum orbem terrarum ad se vocaturus, non per Apostolos tantum, sed per prophetas quoque (nam & illi nos ad fidem cognitionis Christi deducunt) tum temporis tanquam aditus & vias quasdam prophetias antea linguæ obscuritate clausas & obstructas, omni ex parte curauit interpretatione reserari: vt omnes ex gentibus vndiq. confluentes, & multa cum facilitate per has vias incedentes, possent ad Regem ipsum prophetarum venire, atque vnigenitum Dei filium adorare. Ob hanc cau-B sam vtique ante Christi aduentum omnes interpretatione sunt expressæ: quoniam si in Hebraico idiomate solum relictæ essent, Dauid autem dixisset, Postula à me, & dabo tibi gentes hæreditatem tuam, & possessionem tuam terminos terræ, vnde potuisset nosse quod dictum fuerat Syrus, vel Galata, vel Macedo, vel Atheniensis, cum obscuritate inuoluta scriptura mansisset? Rursus clamabat Esaias, Sicut ouis ad occisionem ductus est, & sicut agnus coram tondente se mutus: & rursus: Erit radix Iessæ, & qui con-C surgit, vt princeps sit gentium, in ipso gentes sperabunt: & rursus, Replebitur terra cognitione Domini, quasi aqua multa cooperiat maria. Et Dauid rursus dicebat: Ascendit Deus in iubilatione, Dominus in voce tubæ. Et rursus, Dixit Dominus domino meo sede à dextris meis, donec ponam inimicos tuos scabellum pedum tuorum. Cùm igitur de passione, de resurrectione, de ascensione, de sessione ad dexteram, de secundo eius aduentu, ac de omnibus istis in vniuersum quę in nouo sunt, testamentum vetus prædixe-D rit, ne ista gentibus mox futuris ignota remanerent, ac vim prophetiæ ignorarent, ante Christi aduentum vt conuerterentur Scripturæ, gratia diuina prouidit, easque non modo conuersis ex gentibus, sed etiam Iudæis vtiles reddidit, qui vbique terrarum dispersi fuerant, nec amplius Hebraicam linguam tenebant. Ecce enim credidit, qui conuersus est ex gentibus, dum Iudæorum signa videt. quomodo potuissent rursus Apostoli Iudæū adducere, nisi domesticum illi doctorem prophetā dedissent?

Psal. 2. 8.

Esa. 53.

Esa. 11. 10.

Esa. 11. 9.

Psal. 46. 5.

Psal. 109. 1.

Act. 17. 23. Nam si Athenas ingressus Paulus inscriptione indiguit, altari inscripta, & ad eorum instructionem illam traduxit, quod se facilius propriis ipsorum armis eos expugnaturũ speraret, quod etiam accidit, multò magis cum Iudæis agens auxilio prophetarum indigebat, ne ab illis etiam accusaretur, quod noua quædam ac peregrina illorum auribus inferret. Et cur, inquit, vna lingua non erat? vt omni difficultate liberaremur? vna lingua erat antiquitus mi homo, & queadmodum vna hominũ est natura, sic & vna cunctorũ lingua erat. Nõ erat ab initio vir vllus alienæ linguæ, nõ erat alterius loquelæ, non erat Indus, neque Thrax, neq. Scytha, sed omnes vna lingua loquebantur. Quid igitur in caussa fuit? indigni hac vna lingua visi sumus nos semper erga benefactorem ingrati. Quid ais? lingua nos indigni visi sumus? Ac brutæ quidem animantes propriā vocem habent omnes: balant oues & capræ, mugit taurus, hinnit equus, rugit leo, lupus vlulat, sibilat draco. Vnaquæque bestia proprium sonũ conseruauit, ego vero solus propria sum voce priuatus? Et syluestria & mansueta, & cicurata, & non cicurata animalia singula tributam sibi à principio vocem retinuerunt: ego verò princeps illorum ignominia sum notatus? illis honores erepti aut mutati non sunt, ego vero sum diuinis muneribus spoliatus. quod tantum est in me scelus? non sufficiebant priores illæ pœnæ? Paradisum mihi concesserat, & ex paradiso me eiecit: vitam doloribus expertem laborúmque traducebam sudore me ac labore damnauit: citra sementem & inarata tellus omnia præbebat, imperauit illi vt spinas & tribulos ferret, & in ipsam rursus me conuertit: morte me mulctauit, mulierum sexum mulctauit partus doloribus laboribúsque subiectum: non sufficiebant hæc ad pœnam sed vocem quoque mihi eripuit, & hoc me honore priuauit vt tribules ac gentiles meos tanquam feros auerser, cum me linguæ diuersitas separet ab illorum congressu? Propterea obiectionem amplificaui, vt cum solutionem adiecero, illustrior fiat victoria. Si his omnibus, inquit, pri-

A Εἰ γὰρ εἰς Ἀθήνας εἰσελθὼν ὁ Παῦλος ἐπιγράμματος ἐδεήθη ἐγκεχαραγμένου βωμῷ, καὶ τὴν διδασκαλίαν ἐξ ἐκείνου πρὸς αὐτοὺς ἐποιήσατο, τοῖς οἰκείοις αὐτῶν ὅπλοις εὐχολώτερον αἱρήσειν προσδοκῶν, ὅπερ καὶ ἐγένετο, πολλῷ μᾶλλον Ἰουδαίοις διαλεγόμενος ἐδεῖτο συμμαχίας τῆς ἀπὸ τῶν προφητῶν, ὥστε μὴ καὶ ἐκείνους ἐγκαλεῖν, ὅτι καινά τινα καὶ ξενίζοντα εἰσφέρει εἰς τὰς ἀκοὰς αὐτῶν. καὶ διὰ τί, φησιν, οὐκ ἦν μία φωνή, καὶ πάσης ἦμεν ἀπηλλαγμένοι τῆς δυσκολίας; μία φωνὴ τὸ παλαιὸν ἦν, ὦ ἄνθρωπε, καὶ ὥσπερ μία φύσις ἀνθρώπων, οὕτω μία φωνὴ πάν-

B των ἦν. οὐκ ἦν ἑτερόγλωσσος ἀπ᾽ ἀρχῆς, οὐκ ἦν ἑτερόφωνος, οὐκ ἦν Ἰνδὸς, οὔτε Θρᾴξ, οὔτε Σκύθης· ἀλλὰ πάντες μιᾷ διελέγοντο γλώσσῃ. τί οὖν γέγονε τὸ αἴτιον, φησιν; ἀνάξιοι τῆς μιᾶς ταύτης φωνῆς ἐφάνημεν ἡμεῖς, οἱ ἀγνώμονες ἀεὶ περὶ τὸν εὐεργέτην. τί λέγεις; φωνῆς ἀνάξιοι ἐφάνημεν; καὶ τὰ μὲν ἄλογα τὴν οἰκείαν φωνὴν ἔχει πάντα· βληχᾶται πρόβατα, μηκῶνται αἶγες, μυκᾶται ταῦροι, χρεμετίζει ἵππος, βρύχεται λέων, ὠρύεται λύκος, συρίζει

C δράκων. ἕκαστον τῶν ἀλόγων τὸν οἰκεῖον φθόγγον διετήρησεν, ἐγὼ δὲ μόνος τῆς οἰκείας ἀπεστέρημαι φωνῆς; καὶ τὰ ἄγρια καὶ τὰ ἥμερα, καὶ τὰ χειροήθη καὶ τὰ ἀτιθάσευτα ζῶα ἔμεινεν ἕκαστον ἔχοντα τὴν ἐξ ἀρχῆς συγκληρωθεῖσαν αὐτοῖς φωνήν· ἐγὼ δὲ ὁ ἄρχων αὐτῶν ἠτίμωμαι; κἀκείνοις ἀκίνητοι αἱ τιμαί· ἐγὼ δὲ ἐξέπεσον τῆς δωρεᾶς τοῦ Θεοῦ; καὶ τί τοσοῦτον ἡμάρτηταί μοι; οὐκ ἤρκουν αἱ πρότεραι τιμωρίαι; ἔδωκέ μοι τὸν παράδεισον, καὶ ἐξέβαλέ με τοῦ παραδείσου· ἔζων βίον ἀταλαίπωρον καὶ πόνων ἀπηλλαγμένον, κατεδίκασέ με ἱδρῶτι καὶ μόχθῳ· ἄσπαρ-

D τα καὶ ἀνήροτα πάντα μοι παρεῖχεν ἡ γῆ, ἐκέλευσεν αὐτῇ ἀκάνθας καὶ τριβόλους ἀνενεγκεῖν, καὶ εἰς αὐτὴν με πάλιν ἀπέστρεψε· θανάτῳ με ἐκόλασε· τὸ τῶν γυναικῶν γένος ἐκόλασεν ὑποβαλὼν ὠδῖσι καὶ πόνοις. οὐκ ἤρκει ταῦτα εἰς τιμωρίαν, ἀλλὰ καὶ τῆς φωνῆς με ἐξέβαλε, καὶ ταύτης ἀπεστέρησε τῆς τιμῆς· ἵνα τοὺς ὁμοφύλους καὶ ὁμογενεῖς, καθάπερ θηριώδεις, ἀποστρέφωμαι, τῆς φωνῆς διατειχιζούσης μοι τὴν συνουσίαν; διὰ τοῦτο ηὔξησα τὴν ἀντίθεσιν, ἵν᾽, ὅταν ἐπαγάγω

τὴν λύσιν, λαμπροτέρα γίνηται ἡ νίκη. Εἰ ἐβούλετό με, φησιν, ἐκβαλεῖν τούτων ἁπάντων,

τίνος ἕνεκεν μοι αὐτὰ παρὰ τὴν ἀρχὴν ἐδίδου; βούλεσθε ἀπ' αὐτοῦ τούτου ἐπαγάγω τὴν λύσιν, ἀπ' αὐτῆς τῆς ἀντιρρήσεως τῆς ψιλῆς; τοσαύτη γὰρ τῶν ὑπὲρ τοῦ Θεοῦ δικαιωμάτων ἡ περιουσία, ὡς αὐτὴν τοῦ ἀντιλέγοντος τὴν ἀντίρρησιν, μηδὲν παρ' ἡμῶν προσλαμβάνουσαν, ἀρκέσαι πρὸς τὴν τῶν ἐγκλημάτων λύσιν. εἰ ἐβούλετό με ἐκβαλεῖν πάντων τούτων, τίνος ἕνεκεν αὐτά μοι παρὰ τὴν ἀρχὴν ἐδίδου; καὶ γὰρ κἀγὼ τὸ αὐτὸ λέγω. εἰ ἐβούλετό σε ἐκβαλεῖν πάντων τούτων, τίνος ἕνεκεν ἐδίδου; ὥστε ἐπειδὴ οὐκ ἐβούλετό σε ἐκβαλεῖν, διὰ τοῦτο ἔδωκέ σοι ταῦτα παρὰ τὴν ἀρχήν. τί οὖν ἐγένετο; οὐχ ὁ Θεός σε ἐξέβαλεν, ἀλλὰ σὺ ἀπώλεσας τὰ δοθέντα. ἐκεῖνον θαύμαζε τῆς φιλανθρωπίας, ὅτι ἐχαρίσατο· σαυτῷ μέμφου τῆς ῥαθυμίας, ὅτι τὸ δῶρον οὐκ ἐφύλαξας. ὥστε δῆλον, ὅτι οὐχ ὁ παρακαταθέμενος, αἴτιος, ἀλλ' ὁ τὴν παρακαταθήκην προδοὺς, ἐγκλημάτων ὑπεύθυνος. ὅτι γὰρ ἐφίλει, καὶ φιλάνθρωπος ἦν, καὶ ἐβούλετο χαρίσασθαι, ἔδειξεν, οὐδενὸς δὲ ἀναγκάζοντος οὐδὲ βίαν ἐπιτιθέντος, οὐ τὰ κατορθώματά σου θαυμάσας, οὐκ ἔχων σοι ποίαν ἀμοιβὴν ἀποδοῦναι· ἀλλ' εὐθέως πλάσας, εὐθέως εἰς τὴν ἀρχὴν μετήγαγε ταύτην, ἵνα δείξῃ ὅτι οὐκ ἀντίδοσις ἀμοιβῆς ἡ δωρεά, ἀλλὰ γυμνὴ ἡ χάρις ἦν. Εἰ δὲ οὐκ ἐφύλαξας τὰ δοθέντα, σαυτὸν αἰτιῶ, μὴ τὸν δεδωκότα τὴν δωρεάν. ἆρ' οὖν τοῦτο μόνον ἔχομεν εἰπεῖν ὑπὲρ τοῦ δεσπότου; ἱκανὴ μὲν οὖν καὶ αὕτη ἡ ἀπολογία. ἀλλ' ἡ ἄπειρος αὐτοῦ ἀγαθότης καὶ ἡ ἄρρητος φιλανθρωπία καὶ ἑτέραν ἡμῖν περιουσίαν δικαιωμάτων παρέχει. οὐδὲ γὰρ τοῦτο μόνον ἔστιν εἰπεῖν, ὅτι αὐτὸς μὲν ἔδωκε, σὺ δὲ ἀπώλεσας (ἀπήλλακται μὲν γὰρ καὶ οὕτω τῶν ἐγκλημάτων ὁ δούς· μᾶλλον δὲ καὶ μεγίστου θαύματός ἐστιν ἄξιος, ὅτι καὶ προειδὼς ὅτι ἀπολεῖς, οὐκ ἀπεστέρησέ σε τῆς δωρεᾶς) πλὴν ἀλλὰ καὶ ἕτερον πολλῷ μεῖζον ἔχω τούτων εἰπεῖν. τί δὲ τοῦτό ἐστιν; ὅτι καὶ μετὰ τὸ ἀπολέσαι ἐξ οἰκείας ῥαθυμίας, πάλιν ἀποδέδωκέ σοι τὰ ἀπολωλότα· μᾶλλον δὲ οὐ τὰ ἀπολωλότα μόνον, ἀλλὰ καὶ πολλῷ μείζονα τούτων. ἀπώλεσας μὲν γὰρ παράδεισον, ἔδωκε δέ σοι τὸν οὐρανόν. ὁρᾷς πῶς μείζων ἡ ἐμπορεία τῆς ζημίας, πῶς πλείων ὁ πλοῦτος; ἔδωκέ σοι τὸν οὐρανὸν, ἵνα καὶ τὴν οἰκείαν φιλαν-

uatum volebat, qua de causa illa mihi iam à principio concedebat? Vultis ex hoc vno solutionem adijciam, ab hac ipsa simplici obiectione? Tanta quippe sunt causæ diuinæ firmamenta, vt vel ipsa contra dicentis obiectio nullo nostro corroborata subsidio ad crimina sufficiat refellenda. Si me his omnibus priuare volebat, cur ea mihi iam inde à principio concedebat? Nam & ego istud ipsum dicam: Si te his omnibus priuare volebat, quam ob causam concedebat? Itaque quoniam te priuare nolebat, propterea tibi iam inde à principio ista concessit. Quid ergo accidit? Non te Deus his bonis eiecit: sed tu quæ data fuerant amisisti. Tu illum propter benignitatem lauda, quod largitus sit, teipsum propter ignauiam accusa, qui donum minimè conseruaueris. Liquet igitur non eum qui deposuit reum esse, verùm eum qui depositum perdidit, crimini obnoxium esse. Nam se diligere ac benignum esse, & largiri voluisse declarauit, cum nemine cogente aut vim afferente, cum nulla in te rectè facta miratus esset, neque laborum retribuere mercedem deberet: sed confestim vbi formauit, confestim ad hunc principatum euexit, vt hoc donum non retributionem mercedis, sed meram gratiam fuisse ostenderet. Quod si quæ data fuerant non conseruasti, teipsum accusa, non eum qui donum contulit. Num igitur hoc vnum pro domino dicere possumus? sufficit quidem hæc defensio, sed immensa bonitas eius, & benignitas ineffabilis alia nobis ad eius causam tuendam firmamenta copiosè suppeditat. Neque enim hoc solum dicere licet, ipsum quidem dedisse, te verò perdidisse, (nam & hoc pacto qui dedit, crimine liberatur: vel potius maxima laude dignus censetur, quòd etiam præuidens te perditurum minimè te dono priuarit) verumtamen aliud quiddam maius istis dicere possumus. Quódnam autem illud est? quod postquam ex propria negligentia perdidisti, rursus ea tibi quæ perdideras restituerit: immo verò non ea tantùm quæ perdideras, sed his multò maiora. Nam paradisum quidem perdideras, at ille cœlum tibi dedit. Vides quo pacto lucrum maius est quàm iactura? quo pacto plures sunt opes? cœlum tibi largitus est, vt benignita-

A tem suam præ se ferret, diabolo dolorem inureret, & ostenderet, licet innumeras generi nostro tendat insidias, nihil hoc illi profuturum, cùm ad maiorem Deus honorẽ nos euehat. Amisisti ergo paradisum, & tibi Deus aperuit cœlum : ad temporarium damnatus es laborem, & vita æterna ditatus es. Imperauit terræ, vt spinas ac tribulos tibi produceret, & fructum tibi spiritus anima germinauit. Ac vide quanta sit Dei benignitas, quousq; se demiserit. Si quando nonnulli suas aliquas facultates amiserint, licet maiores ac pretiosiores acceperint, illa ipsa quæ amiserant quærere cupiunt, neque prius acquiescere, quàm ipsa recuperauerint. Quoniam igitur paradisum perdideras, nõ cœlum tibi tantum largitus est, sed & paradisum & cœlum. Hodie mecum eris in paradiso, inquit : vt non modo additione maiorum, sed etiam rerum amissarum recuperatione dolentẽ animam consoletur. Sed ad hoc ipsum propositum si placet veniamus, ac videamus, quo pacto linguam perdiderimus. Non enim mediocriter conferet ad securitatem historia. Nam qui pristinæ securitatis modum cognouit, in reliquis cautior erit & securior. Operæpretiũ est autem vt omnia vobis dicantur, quale est, vnam fuisse quondam omnium hominum linguam, atque in multas postea diuisam esse : ad quod tempus vsque vna fuerit, & quando in multas diuisa fuerit : & num illa deleta fuerit, atque aliæ introductæ an verò manente illa reliqua sint introductæ. Quare confusa fuerit, & qua de causa. Deinde quanam ex multis hisce linguis vetus Testamentum conscriptum fuerit (eius enim gratia de his omnibus sermonem instituimus) vtrum illa antiquiori ac seniori, an verò illis quæ postea sunt inuectæ. Sed nolite timere : quamuis enim hodie cuncta reddere non possimus, omnino tamen vobis postea reddemus. Cur igitur cùm hodie cuncta reddituri non essemus, omnium vobis debitorum argumentum recitauimus? vt restitutionem expectantes nos semper mente versetis. Nam qui pecunias alicui mutuatus est, & obnoxium habet debitorem, in mensa, in ædibus, in foro, in lecto, & vbique locorum de suo debitore vigilans cogitat & in somnis : & pecuniarum amor efficit,

A θερμότητα ἐπιδείξηται, καὶ τὸν διάβολον δάκῃ, δείκνυσι, ὅτι κἂν μυρία ὁ τῷ τῶν ἀνθρώπων ἐπιβουλεύσῃ γένει, οὐδὲν ἔσται πλέον αὐτῷ, τοῦ Θεοῦ πρὸς μείζονα ἀεὶ τιμὴν ἡμᾶς ἀνάγοντος. ἀπώλεσας ἐκεῖνον παράδεισον, καὶ ἀνέῳξέ σοι ὁ Θεὸς τὸν οὐρανόν· κατεδικάσθης πόνῳ προσκαίρῳ, καὶ ἐτιμήθης ζωῇ αἰωνίῳ· ἐκέλευσε τῇ γῇ ἀκάνθας καὶ τριβόλους ἀνιέναι, καὶ ἐβλάστησέ σοι καρπὸν πνεύματος ἡ ψυχή. καὶ σκόπει μοι τὴν φιλανθρωπίαν τοῦ Θεοῦ, μέχρι πόσου κατέβη. ἐν τοῖς ἀπολλύουσί τινα τῶν οἰκείων κτημάτων, κἂν B μείζονα λάβωσι καὶ πολυτελέστερα, ἐκεῖνα τὰ ἀπολωλότα ζητεῖν ἐφίενται, καὶ μὴ πρότερον πληροφοροῦνται, ἕως ἂν αὐτὰ ἀπολάβωσιν. ἐπεὶ οὖν ἀπώλεσας παράδεισον, οὐχὶ τὸν οὐρανόν σοι δέδωκε μόνον, ἀλλὰ καὶ παράδεισον καὶ οὐρανόν. σήμερον μετ' ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ, φησίν· ἵνα μὴ μόνον τῇ τῶν μειζόνων προσθήκῃ, ἀλλὰ καὶ τῇ τῶν ἀπολωλότων ἀνακτήσει παραμυθήσηται τὴν ὀδυνωμένην ψυχήν. ἀλλ', εἰ δοκεῖ, καὶ ἐπ' αὐτὸ τοῦτο ἔλθωμεν τὸ προκείμενον, καὶ ἴδωμεν πῶς ἀπωλέσαμεν τὴν φωνήν. οὐδὲ γὰρ μικρὸν εἰς ἀσφαλείας λόγον ἡ ἱστορία. C ὁ γὰρ μαθὼν τὸν τρόπον τῆς προτέρας ἀσφαλείας, πρὸς τὰ λοιπὰ ἀσφαλέστερος ἔσται. ἀναγκαῖον δὲ πάντα πρὸς ὑμᾶς εἰπεῖν· οἷον, ὅτι μία φωνὴ τὸ παλαιὸν πάντων ἀνθρώπων ἦν, ὅτι εἰς πολλὰς ὕστερον μετέπεσε. μέχρι πότε μία ἦν; καὶ πότε μετέπεσεν εἰς πολλάς; καὶ πότερον αὐτὴ ἐκείνη ἠφανίσθη, καὶ ἕτεραι εἰσηνέχθησαν, ἢ μενούσης ἐκείνης ἐπεισηνέχθησαν αἱ λοιπαί; διὰ τί συνεχύθη, καὶ ἐκ ποίας αἰτίας; εἶτα, ποίᾳ τούτων τῶν πολλῶν φωνῶν ἡ παλαιὰ συνέκειτο διαθήκη (διὰ γὰρ ἐκείνην πάντα ταῦτα ἐκινήσαμεν) πότερον τῇ ἀρχαίᾳ καὶ πρεσβυτέρᾳ, ἢ ταῖς ὕστερον D ἐπεισενεχθείσαις; ἀλλὰ μὴ δείσητε. κἂν γὰρ μὴ τήμερον ἅπαντα δυνηθῶμεν ἀποδοῦναι, ἀλλὰ πάντως ὑμῖν ἀποδώσομεν ὕστερον. τίνος οὖν ἕνεκεν μὴ μέλλοντες ἅπαντα τήμερον ἀποδιδόναι, ἁπάντων τῶν ὀφλημάτων τὴν ὑπόθεσιν ὑμῖν ἀνέγνωμεν; ἵνα προσδοκῶντες τὴν ἀπόδοσιν, διαπαντὸς μεθ' ἡμᾶς ἔχητε. καὶ γὰρ ὁ χρυσίον τινὶ δανείσας καὶ ὑπεύθυνον ἔχων τοῦ ὀφλήματος, καὶ ἐν τραπέζῃ, καὶ ἐν οἰκίᾳ, καὶ ἐν ἀγορᾷ, καὶ ἐν κλίνῃ, καὶ πανταχοῦ τὸν ὀφείλοντα αὐτῷ φαντάζεται καὶ ὀνειροπολεῖ· καὶ ὁ τῶν χρημάτων ἔρως μετὰ τῶν

χρημάτων κἀκεῖνον ἐπὶ τῆς τοῦ δεδανεικότος ποιεῖ διαπαντὸς περιφέρεσθαι ψυχῆς. ἵνα οὖν καὶ ἡμεῖς τῇ ἐλπίδι τῆς ἀποδόσεως ἐσώμεθα διαπαντὸς ἐν ταῖς ὑμετέραις διανοίαις, καὶ ἐν οἰκίᾳ, καὶ ἐν ἀγορᾷ, καὶ ὅπου δ' ἂν ἦτε, διὰ τοῦτο τὰ μὲν ὀφλήματα ὡμολογήσαμεν, τὴν δὲ ἀπόδοσιν ἅπασαν οὐ ποιούμεθα σήμερον, ἵνα τῇ προσδοκίᾳ τῶν λειπομένων ὑπόθεσιν τῆς περὶ ἡμῶν μνήμης παρ' ὑμῖν καταλείψωμεν. μεγάλη γὰρ ἡμῖν ἀσφάλεια τὸ ὑμετέρας ἀγάπης ἀπολαύειν διηνεκῶς, δήμου τοιούτου καὶ τοσούτου. ὁ γὰρ ἀγάπης ἀπολαύων, καὶ εὐχῆς ἀπολαύσεται πάντως. τοῦτο δὲ ἡλίκον ἐστὶν ἀγαθὸν, δῆλον ἐντεῦθεν. Παῦλος ἐκεῖνος, ὁ εἰς τρίτον ἁρπαγεὶς οὐρανὸν, ὁ ῥήματα ἀκούσας ἄρρητα, ὁ πάσας καταπατήσας τὰς ἀνάγκας τῆς φύσεως, ὁ ἐν ἀσφαλείᾳ τελείᾳ λοιπὸν ὤν, ἐδεῖτο καὶ εὐχῆς τῶν μαθητῶν, καὶ ἔλεγε· προσεύχεσθε ὑπὲρ ἐμοῦ, ἵνα ῥυσθῶ ἀπὸ τῶν ἀπειθούντων. καὶ πάλιν, προσεύχεσθε, ἵνα μοι δοθῇ λόγος ἐν ἀνοίξει τοῦ στόματός μου. καὶ πανταχοῦ ὁρᾶτε αὐτὸν καὶ αἰτοῦντα τὰς εὐχὰς τῶν μαθητῶν, καὶ εὐχαριστοῦντα αὐτοῖς μετὰ τὸ λαβεῖν. ἵνα γὰρ μὴ λέγῃ τις, ὅτι διὰ ταπεινοφροσύνην καταφεύγει ἐπὶ τὰς εὐχὰς τῶν μαθητῶν, δείκνυσιν αὐτῶν καὶ τὴν δύναμιν, οὕτω λέγων· ὃς ἐκ τηλικούτων θανάτων ἐρρύσατο ἡμᾶς· ἠλπίκαμεν δὲ ὅτι καὶ ῥύσεται, συνυπουργούντων καὶ ὑμῶν τῇ δεήσει ὑπὲρ ἡμῶν, ἵνα τὸ εἰς ἡμᾶς χάρισμα διὰ πολλῶν εὐχαριστηθῇ ὑπὲρ ἡμῶν. εἰ δὲ Παῦλον κινδύνων ἀπήλλαξεν ἡ τοῦ πλήθους εὐχὴ, πῶς οὐ μεγάλα δεῖ προσδοκᾷν καὶ ἡμᾶς ἀπὸ ταύτης καρπώσασθαι τῆς προστασίας; ἐπεὶ γὰρ καθ' ἑαυτοὺς εὐχόμενοι ἀσθενεῖς ἐσμεν, ὅταν δὲ συλλεγώμεθα, ἰσχυροὶ γινόμεθα μᾶλλον, δυσωποῦμεν τὸν Θεὸν τῷ πλήθει καὶ τῇ συμμαχίᾳ. οὕτω καὶ βασιλεὺς πολλάκις τινὰ παραπέμψας θανάτῳ, ἑνὶ μὲν οὐκ ἐπένευσε δεομένῳ περὶ τοῦ καταδικασθέντος, πόλιν δὲ ὁλόκληρον παρακαλοῦσαν ἐδυσωπήθη, καὶ τὸν ἐπὶ τὸ βάραθρον ἀπαγόμενον διὰ τὸ πλῆθος τῶν παρακαλούντων ἐξήρπασε τῆς καταδίκης, καὶ πρὸς ζωὴν ἐπανήγαγε. τοσαύτη ἡ δύναμις τῆς τοῦ πλήθους ἱκετηρίας ἐστί. διὰ τοῦτο καὶ ἐνταῦθα συλλεγόμεθα πάντες, ἵνα μειζόνως εἰς οἶκτον ἐπισπασώμεθα τὸν Θεόν. ἐπεὶ γὰρ καθ' ἑαυτοὺς εὐχόμενοι, καθὼς ἔφθην εἰπὼν, ἀσθενεῖς ἐσμεν, ἀπὸ τοῦ συνδέσμου τῆς ἀγάπης δυσωποῦμεν τὸν Θεὸν δοῦναι ἡμῖν τὰ αἰ-

A vt ille cum pecuniis creditoris in anima circũferatur. Vt igitur nos quoque redditionis spe semper in vestris mentibus versemur, in ædibus, in foro, & vbicumque fueritis, idcirco debita quidem vobis spopondimus, hodie verò non omnia persoluemus, vt eorum quæ residua fuerint, expectationem vobis tanquam memoriæ nostri occasionem relinquamus. Hæc enim magna est nostra securitas, vt charitate vestra perpetuo fruamur, tali populo ac tanto. Nam qui fruitur charitate, precibus etiam B omnino fruetur. Hoc verò quantum sit bonum, inde licet colligere. Paulus ille, qui tertiũ in cœlum raptus fuerat, qui audiuerat arcana verba, qui omnes naturæ necessitates subegerat, qui perfecta deinceps in securitate permanebat, precibus etiam discipulorum indigebat, ac dicebat, Orate pro me, vt liberer ab infidelibus: Et rursus, Orate pro me, vt detur mihi sermo in apertione oris mei. Et vbique videtis ipsum & discipulorum orationes postulare, & cum obtinuerit, gratias illis agere. Nam ne fortè dicat aliquis eum præ C nimia humilitate ad discipulorum preces confugere, virtutem illarum ostendit, cum ita loquitur: Qui de tantis mortibus nos eripuit, speramus autem, quoniam & adhuc eripiet adiuuantibus & vobis in oratione pro nobis, vt ob donationem, quæ in nobis est, per multos gratiæ pro nobis agantur. Quòd si Paulum à periculis oratio multitudinis liberauit, an non etiam à nobis expectari par est, vt ex hoc subsidio magna commoda consequamur? Cùm enim infirmi simus, dum soli precamur, vbi D vero congregati fuerimus robustiores, multitudine ac societate inita Deum exoramus. Sic etiam Rex sæpenumero cum aliquem ad mortem damnarit, vni quidem oranti pro damnato nõ annuit, ab integra vero ciuitate deprecante facilè exoratur, cúmq. qui ad barathrũ abducebatur, ob deprecatorũ multitudinẽ supplicio eximit, atq. ad vitam reducit. Tanta vis est orationis multitudinis. Idcirco etiam colligimur & conuenimus hic omnes, vt vehemẽtius Deũ ad misericordiam flectamus. Nam cum orãtes soli, vt ante dixi, imbecilles simus, per coniunctionem charitatis Deum exoramus, vt nobis postulata concedat.

Rom. 15. 31
Ephe. 6. 19.
2. Cor. 1. 10.
Oratio multitudinis quantũ valeat.

Hæc verò non temerè à me proferuntur, neq. propter meipsum tantum, sed vt semper ad collectas properetis, nec dicatis: Annon enim orare domi possum? Potes tu quidem orare, sed tantam virtutem non habet oratio, quàm vbi cum propriis mẽbris fit, quàm cum totum corpus ecclesiæ vnanimiter & vna voce preces fundit sacerdotibus præsentibus, ac verba communis cœtus offerentibus. Vis ne discere quanta sit virtus orationis, quæ in ecclesia fit? Vinctus erat aliquando Petrus in carcere, ac multis catenis circumdatus, oratio autẽ fiebat sine intermissione ab ecclesia pro eo, & confestim illum eduxit è carcere. Quid igitur hac potentius fieri queat oratione, quæ de columnis ac turribus Ecclesiæ bene merita est? Paulus enim & Petrus turres erant & columnæ Ecclesiæ, atque huius quidem vincula soluit, illius autem os aperuit: sed vt non solum ex iis quæ tum acciderunt, sed etiam ex iis quæ singulis diebus perficiuntur, duplicem eius virtutem demõstremus, orationis ipsius quæ à populo fit vobis memoriam refricemus. Quamquam si quis è vulgo vobis imperaret, vt singuli ac soli pro Episcopi salute oraretis, vnusquisque sese excusaret, atque hoc tanquam onus viribus suis maius à se amoliretur: dum vero comuniter omnes Diaconi vocem auditis id imperantis ac dicentis, Oremus pro Episcopo, & senectute, ac defensione, atque vt rectè tractet verbum veritatis, & pro iis qui hic sunt, & vbique terrarum, quod imperatum est agere non recusatis, sed magna animi contentione preces offertis quòd quanta sit vis concursus vestri probè intelligatis: Sciunt, quid dicam, ij qui mysterijs sunt initiati, nam orationi Catechumenorum nondũ est illud permissum, quandoquidem nondum ad hanc loquendi licentiam peruenerunt, vos autẽ vt pro toto terrarum orbe, pro Ecclesia quę ad terræ fines vsque protenditur, & pro Episcopis omnibus, qui eam regunt preces offeratis, cohortatur is, qui ministrat illis, & obsequimini summo studio, ac reipsa testamini magnam orationis esse virtutem quæ à populo in ecclesia communi consensu offeratur. Verumenimuerò ad propositum redeamus, quod antiquitus vna fuerit lingua

Act. 12. 5.

Diaconi vox in Liturgia Græca.

A τούμενα. Ταῦτα δὲ οὐχ ἁπλῶς λέγω, οὐδὲ δι' ἐμαυτὸν μόνον, ἀλλ' ἵνα ἀεὶ σπουδάζητε εἰς τὰς συνάξεις, ἵνα μὴ λέγητε· τί γὰρ ἐν τῇ οἰκίᾳ οὐ δύναμαι εὔξασθαι; δύνασαι μὲν εὔξασθαι, οὐ τοσαύτην δὲ δύναμιν ἔχει ἡ εὐχὴ, ὡς ὅταν μετὰ τῶν μελῶν τῶν οἰκείων γίνηται, ὡς ὅταν ὁλόκληρον τὸ σῶμα τῆς ἐκκλησίας ὁμοθυμαδὸν ἀναπέμπῃ τὴν δέησιν μιᾷ φωνῇ, ἱερέων παρόντων καὶ τὰς εὐχὰς τοῦ κοινοῦ πλήθους ἀναφερόντων. Βούλει μαθεῖν πόση ἐστὶν ἡ δύναμις τῆς εὐχῆς τῆς ἐν τῇ ἐκκλησίᾳ γινομένης; ἐδέδετο ὁ B Πέτρος ποτὲ ἐν τῷ δεσμωτηρίῳ, καὶ ἁλύσεις περιέκειτο πολλάς· προσευχὴ δὲ ἦν ἐκτενὴς ὑπὸ τῆς ἐκκλησίας περὶ αὐτοῦ γινομένη, καὶ εὐθέως αὐτὸν ἀπήλλαξε τοῦ δεσμωτηρίου. τί τοίνυν δυνατώτερον ταύτης γένοιτ' ἂν τῆς εὐχῆς, ἢ τοὺς στύλους καὶ πύργους τῆς ἐκκλησίας ὠφέλησε; Παῦλος γὰρ καὶ Πέτρος πύργοι καὶ στύλοι τῆς ἐκκλησίας· καὶ τοῦ μὲν τὰ δεσμὰ ἔλυσε, τοῦ δὲ τὸ στόμα ἀνέῳξεν. ἵνα δὲ μὴ μόνον ἀπὸ τῶν τότε συμβάντων, ἀλλὰ καὶ ἀπὸ τῶν καθ' ἑκάστην τελουμένων τὴν ἡμέραν, διπλῆν τὴν δύναμιν ἐπιδείξωμεν C αὐτῆς, τῆς ὑπὸ τοῦ δήμου γινομένης εὐχῆς ὑμᾶς ἀναμνήσωμεν. καί τοί γε εἴ τις τῶν πολλῶν ὑμῶν ἐπιτάξειεν εὔχεσθαι καθ' ἑαυτὸν ὑπὲρ τῆς τοῦ ἐπισκόπου σωτηρίας, ἕκαστος ἂν παρῃτήσατο, ὡς μεῖζον τὸ φορτίον τῆς αὐτοῦ δυνάμεως ὄν· κοινῇ δὲ πάντες ἀκούοντες τοῦ διακόνου τοῦτο κελεύοντος καὶ λέγοντος, δεηθῶμεν ὑπὲρ τοῦ ἐπισκόπου καὶ τοῦ γήρως καὶ τῆς ἀντιλήψεως, καὶ ἵνα ὀρθοτομῇ τὸν λόγον τῆς ἀληθείας, καὶ ὑπὲρ τῶν ἐνταῦθα, καὶ ὑπὲρ τῶν ἁπανταχοῦ, οὐ παραιτεῖσθε ποιεῖν τὸ ἐπίταγμα· ἀλλὰ μετ' ἐκτενείας ἀναφέρετε τὴν εὐχὴν, εἰδότες τῆς ὑμετέρας συνόδου τὴν δύναμιν. ἴσασιν D οἱ μεμυημένοι τὰ λεγόμενα. τῇ γὰρ εὐχῇ τῶν κατηχουμένων οὐδέπω τοῦτο ἐπιτέτραπται· ἐπειδὴ οὐδέπω πρὸς τὴν παῤῥησίαν ἔφθασαν ταύτην. ὑμῖν δὲ καὶ ὑπὲρ τῆς οἰκουμένης, καὶ ὑπὲρ τῆς ἐκκλησίας τῆς μέχρι περάτων τῆς γῆς ἐκτεταμένης, καὶ ὑπὲρ τῶν διοικούντων αὐτὴν ἐπισκόπων ἁπάντων παρακελεύεται ποιεῖσθαι τὰς δεήσεις ὁ ταύταις διακονῶν, καὶ ὑπακούετε μετὰ προθυμίας, ἔργῳ μαρτυροῦντες, ὅτι μεγάλη τῆς εὐχῆς ἡ δύναμις τῆς ἐν ἐκκλησίᾳ ἀπὸ τοῦ δήμου συμφώνως ἀναφερομένης ἐστί. ἀλλὰ γὰρ ἐπὶ τὸ προκείμενον ἐπανίωμεν, ὅτι μία φωνὴ ἦν τὸ παλαιόν.

πόθεν οὖν δῆλον, ὅτι μία φωνὴ ἦν; καὶ ἦν πᾶσα ἡ γῆ, φησί, χεῖλος ἕν. ἀσαφὲς τὸ εἰρημένον. ἡ γῆ χεῖλος ἔχει; οὐδαμῶς. τί οὖν, φησί, καὶ περί τινος; οὐ περὶ ταύτης λέγει τῆς γῆς τῆς ἀναισθήτου, τῆς ἀκινήτου· ἀλλὰ τὸ κοινὸν τῶν ἀνθρώπων γένος οὕτως ἐκάλεσε, τῆς οἰκείας αὐτοὺς ἀναμιμνήσκων φύσεως, τῆς μητρὸς εἰς ὑπόμνησιν ἄγων, ὅθεν ἐγένοντο. διπλοῦν γὰρ τοῦτο τὸ ζῶον, ὁ ἄνθρωπος λέγω, ἐκ δύο συγκείμενος οὐσιῶν, τῆς μὲν αἰσθητῆς, τῆς δὲ νοητῆς, ψυχῆς λέγω καὶ σώματος, καὶ ἐν οὐρανῷ καὶ ἐν γῇ συγγένειαν ἔχων. διὰ μὲν γὰρ τῆς νοητῆς οὐσίας, κοινωνεῖ ταῖς ἄνω δυνάμεσι· διὰ δὲ τῆς αἰσθητῆς, τοῖς τῆς γῆς συμπλέκεται πράγμασι, σύνδεσμός τις ὢν ἀκριβὴς ἑκατέρας τῆς κτίσεως. ὅταν μὲν οὖν πράττῃ τι τῶν τῷ Θεῷ δοκούντων, πνευματικὸς λέγεται, καὶ οὐδὲ ἀπὸ τῆς ψυχῆς ὀνομάζεται, ἀλλ' ἀφ' ἑτέρας μείζονος τιμῆς, ἀπὸ τῆς τοῦ πνεύματος ἐνεργείας. οὐδὲ γὰρ ἀρκεῖ ἡ ψυχὴ ἡμῖν εἰς κατορθώματα, ἐὰν μὴ ἀπολαύσωμεν τῆς βοηθείας ἐκείνης. καὶ ἵνα μάθητε, ὅτι οὐδὲ ἡ ψυχὴ ἀρκεῖ ἡμῖν εἰς κατορθώματα, οὐδὲ εἰς τὸ δυνηθῆναι συνιέναι τῶν λεγομένων, ψυχικὸς, φησὶν, ἄνθρωπος οὐ δέχεται τὰ τοῦ πνεύματος. ὥσπερ γὰρ σαρκικὸν καλεῖ τὸν τῇ σαρκὶ δουλεύοντα, οὕτω ψυχικὸν καλεῖ τὸν τοῖς λογισμοῖς τοῖς ἀνθρωπίνοις τὰ πράγματα ἐπιτρέποντα, καὶ μὴ δεχόμενον τοῦ πνεύματος τὴν ἐνέργειαν. ἀλλ' ὅπερ ἔλεγον, ὅτι κατορθοῦντες μὲν πνευματικοὶ λεγόμεθα· ὅταν δὲ ἁμαρτάνωμεν καὶ ὑποσκελιζώμεθα καὶ πράξωμέν τι ἀνάξιον τῆς ἡμετέρας εὐγενείας, ἀπὸ τῆς εὐτελοῦς ἡμᾶς καλεῖ φύσεως, γῆν ἡμᾶς ὀνομάζων. ἐπεὶ οὖν καὶ ἐνταῦθα μέλλει τινῶν κατηγορήσειν τῶν τὸν πύργον οἰκοδομησάντων, τῶν εἰς ἀπόνοιαν ἐπαρθέντων, τῶν μείζονα ἔννοιαν λαβόντων τῆς οἰκείας ἀξίας, μέλλει δὲ αὐτῶν κατηγορεῖν ἀπονοίας, διὰ τοῦτο ἀπὸ τῆς εὐτελοῦς αὐτοὺς ἐκάλεσεν οὐσίας, εἰπών· καὶ ἦν πᾶσα ἡ γῆ χεῖλος ἕν. καὶ ἵνα μάθητε, ὅτι οὕτω καλεῖ ἡμᾶς, ὅταν ἁμαρτάνωμεν, τὸν Ἀδὰμ μετὰ τὴν ἁμαρτίαν οὕτως ἐκάλεσεν, εἰπών· γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ. καίτοι μὲν οὐκ ἦν γῆ μόνον, ἀλλὰ καὶ ἀθάνατον εἶχε ψυχήν. τίνος οὖν ἕνεκεν γῆν αὐτὸν ἐκάλεσεν; ἐπειδὴ ἥμαρτεν. ὅτε γοῦν ἔπλαττεν αὐτὸν, οὐκ ἐκάλεσεν αὐτὸν οὕτως· ἀλλὰ τί; ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα καὶ ὁμοίωσιν

A Vnde igitur vnam linguã fuisse constat? Et erat omnis terra labium vnum. (Gen. 11. 1.) Obscurum est hoc dictũ: an labium habet terra? nequaquam: quid ergo dicit & de quo? non de hac terra loquitur quæ sensu caret & immobilis est; sed vniuersum genus humanum sic appellauit, eos admonens propriæ naturæ, matrem, ex qua orti sunt, illis in memoriam reuocauit. Duplex enim est hoc animal, homo inquam, ex duabus substantiis conflatus, vna sensibili, spirituali altera, hoc est ex anima & corpore, cui cum cœlestibus & cum terrestrib. cognatio quæ-B dam intercedit. Nam per spiritualem quidẽ substantiã cum virtutibus supernis participat: per sensibilem cum rebus terrenis copulatur, & est quidam veluti nexus firmissimus vtriusque creaturæ. Cùm igitur aliquid agit eorũ quæ Deo sunt placita, spiritualis dicitur, & ne ab ipsa quidem anima nomen accipit, sed ab alio quodam honore maiori, quem spiritus conciliat afflatus. Neque enim ad rectè facta sufficit anima, nisi illo potiamur auxilio. Atque vt intelligatis animã nobis ad rectè facta non sufficere, C ne ad hoc quidem vt ea quæ dicuntur, percipere possimus, Animalis, inquit, homo non percipit ea, quę sunt spiritus. (1. Cor. 2. 14.) Nam vt carnalẽ appellat eum, qui carni seruit, sic animalem appellat eũ, qui ratiocinationib. humanis cuncta permittit, neque spiritus afflatũ recipit. Sed vt dicebã, nos dũ rectè agimus, spirituales dicimur: cũ verò peccamus, & supplantamur, & quippiã indignum nobilitate nostra peragimus, nobis à vili & abiecta natura nomen imponit, & nos terrã ap-D pellat. Quoniã igitur hic quoque nonnullos accusaturus est, qui turrim ædificauerant, qui in superbiã elati erant, qui maiores dignitate sua spiritus sibi sũpserant, illos autẽ accusaturus est superbię, idcirco à vili substãtia duxit appellationem cũ dixit, Et erat omnis terra labiũ vnum. Atq; vt discatis sic eũ nos appellare cum peccauerimus, Adamũ ita post (Gen. 3. 19.) peccatum appellauit, dicens, Terra es, & in terram reuerteris: tametsi non terra tantum erat, sed & animam habebat immortalem. Cur igitur terram ipsum appellauit? Quia peccauit. Sanè quidem cum ipsum formaret, non ita illum appellauit: quid ergo? Faciamus ho- (Gen. 1. 26.) minem ad imaginem & similitudinem

nostram, & dominentur piscibus maris, & bestiis terræ: & erit timor eorum, & tremor super omnem terram. Vides qualis esset naturæ prærogatiua? quales honores? qualia præconia? verumtamen ante peccatum: post peccatum autem deinceps: Terra es, & in terram reuerteris. Audi verò Malachiam quoque idipsum innuentem, vel potius Deum per prophetam: Ecce enim mitto vobis, inquit, Eliam Thesbiten. Cur igitur mittit? Vt conuertat cor patris ad filium. Nam quia futurum est, vt tremendum illud & horrendum adueniat iudicium, ne inexcusabiles ac pœnis obnoxios deprehensos aliquos damnet iudex: vt cum venerit ille, ac prædixerit appropinquare, ac pro foribus esse aduentum eius, ad meliorem frugem reuocet homines, (solent quippe quæ ante multos annos dicta sunt in contemptum venire) nostram igitur memoriam renouans ad nos ille propheta venit. Sed appellari terram eos qui peccant, id verò non nobis est demonstrandum. Cùm ergo dixisset vt conuertat cor patris ad filium, adiecit, Ne fortè veniens percutiam terram penitus: percutit autem illos qui peccant. Vides eos qui peccant terram appellari? Alibi rursus de Christo narrans propheta sic aiebat: Erit iustitia cinctus lumbum suum, & veritate inuolutus costas suas: non quod in Deo sit costa vel lumbus (quippe cum incorporeum sit numen) sed per hæc incorruptum esse iudicis istius, neque decipi posse iudicium declarat: neque iam amplius calumniatoribus, neque maledicis, nec corruptioni per pecunias, nec iuris inscitiæ locum fore. Nam in his quidem iudiciis & innocens plectitur, & reus absoluitur: quia persæpe ius labefactatur: cum verò iustus iudex & qui decipi minime potest aduenerit, qui iustitia cinctus est lumbum suum, & veritate inuolutus costas suas, omnes exactissimè ius suum obtinebunt. Et percutiet terram verbo oris tui. Atque vt cognoscas non de terra, sed de peccatoribus eum loqui, adiunxit, Et in spiritu per labia interficiet impium. Vides hic etiam peccatores esse terram appellatos? His ergo cognitis cum audieris omnem terram labium vnum fuisse, humanam rursus naturam intellige: propriam enim vti-

Mal. 4. 6.

Esa. 11. 5.

Peccatores dicti terra.

A ἡμετέραν, καὶ ἀρχέτωσαν τῶν ἰχθύων τῆς θαλάσσης, καὶ τῶν θηρίων τῆς γῆς· καὶ ἔσται ὁ φόβος αὐτῶν καὶ ὁ τρόμος ἐπὶ πᾶσαν τὴν γῆν. ὁρᾷς οἷα τὰ προεδρεῖα τῆς φύσεως; οἷαι αἱ τιμαί; οἷα τὰ ἐγκώμια; ἀλλὰ πρὸ τῆς ἁμαρτίας· μετὰ δὲ τὴν ἁμαρτίαν λοιπὸν, γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ. ἄκουσον δὲ καὶ τοῦ Μαλαχίου τοῦτο αἰνιττομένου, μᾶλλον δὲ τοῦ Θεοῦ διὰ τοῦ προφήτου. ἰδοὺ γὰρ ἀποστέλλω ὑμῖν, φησὶν, Ἡλίαν τὸν Θεσβίτην. τίνος οὖν ἕνεκεν ἀποστέλλει; ὥστε ἐπιστρέψαι καρδίαν πατρὸς πρὸς υἱόν. ἐπεὶ γὰρ μέλλει τὸ δι-

B καστήριον ἐφίστασθαι τὸ φοβερὸν ἐκεῖνο καὶ φρικῶδες· ἵνα μὴ ἀναπολογήτους λαβὼν ὑπὸ τὰς εὐθύνας ὁ δικαστὴς κατακρίνῃ τινάς· ἵνα ἐλθὼν μὲν ἐκεῖνος καὶ προειπὼν, ὅτι ἐγγύς ἐπὶ θύραις ἡ παρουσία, σωφρονεστέρους ποιήσῃ τοὺς ἀνθρώπους (καὶ γὰρ τὰ πρὸ πολλῶν χρόνων εἰρημένα εἰς ὀλιγωρίαν ἐμπίπτειν εἴωθεν) ἀνανεῶν τοίνυν τὴν μνήμην ἡμῶν, ἔρχεται ἐκεῖνος ὁ προφήτης. ἀλλ' ὅτι γῆ καλοῦνται οἱ ἁμαρτάνοντες, τοῦτο ἀποδεῖξαι χρὴ νῦν. εἰπὼν τοίνυν, ὅπως ἐπιστρέψῃ καρδίαν πατρὸς πρὸς υἱὸν, ἐπήγαγε· μή ποτε ἐλθὼν πα-

C τάξω τὴν γῆν ἄρδην. πατάσσει δὲ τοὺς ἁμαρτάνοντας. ὁρᾷς τοὺς ἁμαρτάνοντας γῆν καλουμένους; πάλιν ἀλλαχοῦ περὶ τοῦ Χριστοῦ διηγούμενος ὁ προφήτης, οὕτως ἔλεγεν· ἔσται δικαιοσύνῃ περιεζωσμένος τὴν ὀσφὺν αὐτοῦ, καὶ ἀληθείᾳ εἰλημμένος τὰς πλευρὰς αὐτοῦ· οὐχ ὅτι πλευρὰ καὶ ὀσφὺς περὶ τὸν Θεὸν (ἀσώματον γὰρ τὸ θεῖον) ἀλλὰ τὸ ἀδέκαστον καὶ ἀπαραλόγιστον τῆς τοῦ δικαστοῦ κρίσεως διὰ τούτων ἡμῖν ἐμφαίνει· καὶ ὅτι οὐδαμοῦ συκοφάνται λοιπὸν, οὐδὲ οἱ ἐπηρεάζοντες, οὐδὲ ἡ διὰ τῶν χρημάτων διαφθορὰ, οὐδὲ ἄγνοια τοῦ δικάζειν. ἐν τούτοις μὲν γὰρ τοῖς δικαστηρίοις καὶ ἀνεύθυ-

D νος κολάζεται, καὶ ὑπεύθυνος διαφεύγει. διέφθαρται γὰρ πολλαχοῦ τὸ δίκαιον. ἐπειδὰν δὲ ὁ δίκαιος κριτὴς καὶ ἀπαραλόγιστος παραγένηται, ὁ δικαιοσύνῃ ἐζωσμένος τὴν ὀσφὺν αὐτοῦ, καὶ ἀληθείᾳ περιειλημμένος τὰς πλευρὰς αὐτοῦ, τῶν δικαίων μετὰ ἀκριβείας ἅπαντες τεύξονται. καὶ πατάξει τὴν γῆν τῷ λόγῳ τοῦ στόματος αὐτοῦ. καὶ ἵνα μάθῃς, ὅτι οὐ περὶ τῆς γῆς λέγει, ἀλλὰ περὶ ἁμαρτωλῶν, ἐπήγαγεν· ὅτι καὶ πνεύματι διὰ χειλέων ἀνελεῖ ἀσεβῆ. ὁρᾷς ὅτι καὶ ἐνταῦθα τοὺς ἁμαρτωλοὺς ἐκάλεσε γῆν; ταῦτ' οὖν εἰδὼς, ὅταν ἀκούσῃς, ὅτι ἡ γῆ πᾶσα ἦν χεῖλος ἓν, τὴν ἀνθρωπίνην πάλιν ἐννόει φύσιν. ἀναμιμνήσκει

μιμνήσκει γὰρ τῆς οἰκείας εὐτελείας ἡμᾶς. καὶ γὰρ μέγα ἀγαθὸν τὴν οἰκείαν ἐπισκέπτεσθαι συγγένειαν, καὶ εἰδέναι πόθεν συνεστήκαμεν. ἀρκοῦσα αὕτη διδασκαλία ταπεινοφροσύνης, ἡ τῆς φύσεως ἐπίσκεψις· πάντα τὰ πάθη καταστεῖλαι δύναται, καὶ ποιῆσαι γαλήνην ἐν διανοίᾳ. διὰ τοῦτο παρῄνει τις λέγων· πρόσεχε σεαυτῷ, ἀναλόγισαι τὴν φύσιν σου καὶ τὴν κατασκευὴν, καὶ ἀρκεῖ σοι τοῦτο πρὸς τὸ κατεστάλθαι διηνεκῶς. διὰ τοῦτο ὁ δίκαιος ἐκεῖνος Ἀβραὰμ διαπαντὸς τοῦτον εἶχε τὸν λογισμὸν ἐν ἑαυτῷ, καὶ οὐδέποτε μέγα ἐφρόνει. ὁ γοῦν Θεῷ διαλεγόμενος, καὶ παρρησίας τοσαύτης ἀπολαύων, καὶ μαρτυρηθεὶς παρ' αὐτοῦ ἐπὶ ἀρετῇ, ἔλεγεν· ἐγὼ δέ εἰμι γῆ καὶ σποδός. καὶ ἄλλος βουλόμενος πάλιν τὸν πεφυσιωμένον ἄνθρωπον καταστεῖλαι, οὐ μακροὺς κινεῖ λόγους, ἀλλ' ἀναμιμνήσκει αὐτὸν τῆς φύσεως μόνον, καὶ ἐπιτιμᾷ σφοδρῶς, οὑτωσὶ λέγων· τί ὑπερηφανεύεται γῆ καὶ σποδός; τὰ μετὰ τὸν θάνατόν μοι φαινόμενα λέγεις; κατάστειλον αὐτὸν ζῶντα· οὐκ οἶδε νῦν, ὅτι γῆ καὶ σποδός ἐστιν. ὁρᾷ τὴν εὐπρέπειαν τοῦ σώματος, ὁρᾷ τὴν δυναστείαν, τὴν θεραπείαν τῶν κολάκων, τοὺς παρασίτους ἀκολουθοῦντας. ἱμάτια περίκειται πολυτελῆ, ὄγκον ἀρχῆς περιβέβληται μέγαν, ἡ φαντασία αὐτὸν ἀπατᾷ καὶ ἐπιλαθέσθαι ποιεῖ τῆς φύσεως. οἴδαμεν, ὅτι γῆ ἐσμεν καὶ σποδός· ἀλλ' ἡμεῖς οἱ σωφρονοῦντες· ἐκεῖνος δὲ οὐκ ἀναμένει τὴν ἀπὸ τοῦ τέλους ἀπόδειξιν, οὐδὲ ἔρχεται πρὸς τοὺς τάφους καὶ τὰς θήκας τῶν προγόνων, ἀλλὰ πρὸς τὰ παρόντα βλέπει, οὐδὲν τῶν μελλόντων ἐννοεῖ. δίδαξον αὐτὸν ἐντεῦθεν ἤδη, ὅτι γῆ καὶ σποδός ἐστιν. ἀνάμεινον μὲν, φησι, καὶ οὐ διδάσκω τοῦτο, ἀλλὰ πολλῷ ἄλλο εὐτελέστερον· ἵν', ὅταν φαντάζηται, ἐπιγινώσκῃ τὴν ἑαυτοῦ εὐτέλειαν· ἵνα ζῶν λάβῃ τὸ φάρμακον. εἰπὼν γὰρ, τί ὑπερηφανεύεται γῆ καὶ σποδός; ἐπήγαγεν· ὅτι καὶ ἐν τῇ ζωῇ αὐτοῦ ἐξουδένωται τὰ ἐνδόσθια αὐτοῦ. τί ἐστιν, ὅτι καὶ ἐν τῇ ζωῇ αὐτοῦ ἐξουδένωται τὰ ἐνδόσθια αὐτοῦ; τάχα ἀσαφὲς τὸ εἰρημένον. ἐνδόσθια, τὰ ἔγκατα λέγει, τὰ σπλάγχνα λέγει, τὴν γαστέρα τὴν γέμουσαν σκυβάλων καὶ πολλῆς ἀκαθαρσίας καὶ δυσωδίας, οὐ κατηγορῶν τῆς φύσεως, ἀλλ' εἰς ταπεινοφροσύνην ἐνάγων. ὅτι καὶ ἐν τῇ ζωῇ αὐτοῦ ἐξουδένωται. εἶδες τὸ εὐτελὲς καὶ ἐπίχειρα τῆς οὐσίας; μὴ ἀναμείνῃς τὴν ἡ-

vilitatem nobis in memoriam reuocat: magnum quippe bonum est cognationem suam cognoscere, ac scire, quibus ex rebus compacti simus. Hęc sufficiens est humilitatis doctrina, cõsideratio naturæ: omnes potest perturbationes sedare & tranquillitatem animo parere. Propterea monebat quidam, Attende tibi ipsi, recogita naturã & creationem tuam, & sufficiet hoc tibi vt modestus perpetuò sis & humilis. Propterea iustus ille Abraham continuò cogitationem hanc mente versabat, nec vnquam de se magnificè sentiebat. Certè cum Deum alloqueretur, ac tanta apud eum gratia valeret, atque ab ipso testimonium suæ virtutis accepisset, dicebat: Ego autem sum terra & cinis. Alius rursus hominem arrogantia inflatum cum vellet reprimere, non longum sermonem instituit, sed animum eius tantum ad naturæ suæ memoriam reuocat, eúmque acriter castigat his verbis: Quid superbit terra & cinis? Tu mihi quæ post mortem apparent commemoras? reprime ipsum viuentem: nunc se terram ac cinerem esse non agnoscit. Videt corporis formam; videt potentiam, assentatorum obsequia, parasitos sectantes. Vestibus pretiosis indutus est, magno magistratus apparatu decoratur, illum hæc pompa decipit, & vt naturæ obliuiscatur, efficit. Scimus terram esse nos ac cinerem: sed nos qui temperantes ac modesti sumus: at ille demonstrationem hanc à fine ductum non expectat, neque ad loculos tumulósque maiorum pergit, sed præsentia respicit, neque quicquam cogitat de futuris. Iam ex hoc illum doce terrã ac cinerem ipsum esse. Mane tantisper, inquit, neque hoc docebo, sed aliud multo abiectius: vt cum fastu intumuerit, suam ipsius vilitatem agnoscat: vt viuens accipiat medicinam. Cùm enim dixisset, Quid superbit terra & cinis? adiecit: Quoniam in vita ad nihilum redacta sunt intima eius. Quid hoc est, Quoniam in vita ad nihilum redacta sunt intestina eius? Obscurum est fortasse dictum istud. Intima dicit intestina, dicit viscera, ventrem stercoribus plenum, ac multis sordibus & fœtore: non quod naturã damnet, sed vt ad humilitatem adducat. Quoniam in vita ad nihilum redacta sunt. Vides quàm vilis & fluxa sit nostra substantia? noli diem obitus ex-

Deut. 15. 9.

Gen. 18. 27.

Eccli. 10. 9.

Humanæ naturæ vilitas.

pectare, vt infirmitatem tuam discas: adhuc viuentem hominem scrutare, atque in eius viscera cogitatione descende, tum videbis, quàm nihili sit & abiectus. Verumtamen noli animum despondere: neque enim quod nos odio prosequeretur, sed quod mitius nobiscum ageret, id fecit Deus, magnámque nobis humilitatis occasionem præberet. Nam si homo cum terra sit & cinis, dicere ausus est, In cœlum ascendam: nisi frænum iniectum esset naturæ, quo non eius animus prouectus esset? Quando igitur quempiam videris superbientem, erecta ceruice, sublatis superciliis, curru vectum, minantem, mittentem in carcerem, morti tradentem, iniuriam inferentem, dic illi: quid superbit terra & cinis? Quoniam & in vita eius ad nihilum redacta sunt intima eius. Hæc non de homine tantum priuato, sed etiam de illo ipso, qui in throno sedet regio, dici possunt. Noli enim purpuram, neque diadema, neque aurea vestiméta respicere, sed in ipsam inquire naturã, neq. quicquam illã habere amplius quàm vnum è vulgo videbis: immò vero si placet & purpurã, & diadema, & vestes, & omnẽ illam percurre pompam, atque hæc ipsa rursus ob terram parata esse cognosces. Omnis enim gloria hominis vt flos fœni. Ecce vel ipsa etiam terra vilior totus ille apparuit ornatus. Vides vt fastũ reprimat? vt arrogantiã omnẽ ipsius naturæ recordatio retundat? Sufficit tantum vt cogitemus, quinã simus, & quibus ex rebus cõpacti, tum omnis superbia cogitationũ euanescet. Propterea namque duabus nos ex substãtiis cõpegit Deus, vt si quãdo in superbiã efferaris, vilitas carnis te deprimat: si quãdo autem tibi quiddam veniat in mentẽ indignum, & quod ab honore à Deo collato degeneret, animæ nobilitas ad cœlestium virtutum æmulationem te prouehat. Neque verò tantum ad tollendam superbiam est idonea cõsideratio naturæ, sed etsi alia quęuis cupiditas obturbet, siue pecuniarum, siue corporum ista turpis, & quæ ad lasciuiã prouocat, ad perturbationẽ sedandã hoc sufficit. Cum ergo formosam mulierem videris, cui micantes oculi sunt & hilares, cui nitentes genæ, cuius in vultu eximia quædam appareat pulchritudo, quæ mentem tuam inflammet, & libidinem augeat, cogita terram illud esse quod miraris,

Esa. 14. 13.

Esa. 40. 7.

A μέραν τῆς τελευτῆς, ἵνα μάθῃς σὺ τὴν ἀσθένειαν. ἔτι μὲν ζῶντα τὸν ἄνθρωπον διερεύνησον, καὶ εἰς τὰ ἔγκατα αὐτοῦ διάβηθι τῷ λόγῳ, καὶ πᾶσαν αὐτοῦ τὴν οὐδένειαν ὄψει. ἀλλὰ μὴ καταπέσῃς. οὐδὲ γὰρ μισῶν ἡμᾶς, ἀλλὰ φειδόμενος οὕτως ἐποίησεν ὁ Θεός, προφάσεις ἡμῖν ταπεινοφροσύνης παρέχων μεγάλας. εἰ γὰρ ἄνθρωπος, γῆ ὢν καὶ σποδὸς, ἐτόλμησεν εἰπεῖν, ὅτι εἰς τὸν οὐρανὸν ἀναβήσομαι· εἰ μὴ τὸν τῆς φύσεως χαλινὸν εἶχε, ποῦ οὐκ ἂν ἐξέπεσε τῇ διανοίᾳ; ὅταν οὖν ἴδῃς τινὰ πεφυσιωμένον, τὸν αὐχένα ἀνατείνοντα, τὰς ὀφρῦς ἀνασπῶντα, B ἐπὶ τοῦ ὀχήματος φερόμενον, ἀπειλοῦντα, εἰς δεσμωτήριον ἐμβάλλοντα, θανάτῳ παραδιδόντα, ἐπηρεάζοντα, εἰπὲ πρὸς αὐτόν· τί ὑπερηφανεύεται γῆ καὶ σποδός; ὅτι καὶ ἐν τῇ ζωῇ αὐτοῦ ἐξουδένωνται τὰ ἐνδόσθια αὐτοῦ. Ταῦτα οὐ περὶ ἀνθρώπου μόνον ἰδιώτου, ἀλλὰ καὶ περὶ αὐτοῦ τοῦ καθημένου ἐπὶ τοῦ θρόνου τοῦ βασιλικοῦ ἔστιν εἰπεῖν. μὴ γὰρ τὴν ἁλουργίδα ἴδῃς, μηδὲ τὸ διάδημα, μηδὲ τὰ ἱμάτια τὰ χρυσᾶ· ἀλλ' αὐτὴν τὴν φύσιν ἐρεύνησον, καὶ οὐδὲν ὄψει πλέον ἔχουσαν τῶν πολλῶν· μᾶλλον δὲ, εἰ βούλει, καὶ τὴν ἁλουργίδα, καὶ τὸ διάδη- C μα, καὶ τὰ ἱμάτια, καὶ πᾶσαν περίελθε τὴν φαντασίαν ἐκείνην, καὶ τούτων αὐτῶν ὄψει πάλιν τὴν γῆν οὖσαν ὑπόθεσιν. πᾶσα γὰρ δόξα ἀνθρώπου, ὡς ἄνθος χόρτου. ἰδοὺ καὶ γῆς εὐτελέστερος ἐφάνη ὁ καλλωπισμὸς ἐκεῖνος ἅπας. ὁρᾷς πῶς καταστέλλει τὸ φύσημα; πῶς καθαιρεῖ πᾶσαν ἀπόνοιαν ἡ ἔννοια τῆς φύσεως αὐτῆς; ἀρκεῖ μόνον λογίσασθαι τίνες ἐσμὲν, καὶ πόθεν συνεστήκαμεν, καὶ πᾶσα οἰχήσεται λογισμῶν ἀπόνοια. διὰ γὰρ τοῦτο ἐκ δύο οὐσιῶν κατεσκεύασεν ἡμᾶς ὁ Θεὸς, ἵν', ὅταν μὲν εἰς ἀπόνοιαν ἐπαρθῇς, καταστείλῃ σε τὸ εὐτελὲς τῆς D σαρκός· ὅταν δὲ ἀνάξιόν τι καὶ ἀγεννὲς τῆς δοθείσης σοι παρὰ τοῦ Θεοῦ τιμῆς ἐννοήσῃς, ἀνάγῃ σε πρὸς τὸν τῶν οὐρανίων δυνάμεων ζῆλον ἡ τῆς ψυχῆς εὐγένεια. οὐκ εἰς ἀναίρεσιν δὲ ἀπονοίας μόνον ἐπιτηδεία ἡ ἐπίσκεψις τῆς φύσεως, ἀλλὰ κἂν ἑτέρα τις ἐπιθυμία διενοχλῇ, κἂν ἡ τῶν χρημάτων, κἂν ἡ τῶν σωμάτων, ἡ ἄτοπος αὕτη καὶ εἰς ἀσέλγειαν ἐκκαλουμένη, ἀπόχρη τοῦτο εἰς παραμυθίαν τοῦ πάθους. ὅταν οὖν ἴδῃς γυναῖκα εὔμορφον, λάμποντα ἔχουσαν ὀφθαλμὸν, φαιδρὸν, στίλβουσαν ἀπὸ τῆς παρειᾶς, ἀμήχανόν τινα ὥραν ἐπὶ τῆς ὄψεως φέρουσαν, φλέγουσάν σου τὸν λογισμὸν καὶ τὴν ἐπιθυμίαν αὔξουσαν, ἐννόησον ὅτι γῆ τὸ θαυμαζόμενον,

ὅτι σποδὸς τὸ ἐγκείμενον, καὶ παύσεται λυττῶσα ἡ ψυχή· ἀνακάλυψον αὐτῆς τὸ δέρμα τῆς ὄψεως, καὶ τότε πᾶσαν αὐτὴν ὄψει τῆς ἀμορφίας τὴν εὐτέλειαν· μὴ στῇς μέχρι τῆς ἐπιφανείας, ἀλλ' ἐνδοτέρω διάβηθι τῷ λογισμῷ, καὶ οὐδὲν ἕτερον εὑρήσεις, ἀλλ' ἢ ὀστᾶ καὶ νεῦρα καὶ φλέβας. ἀλλ' οὐκ ἀρκεῖ ταῦτα; λόγισαί μοι ταύτην ἀλλοιουμένην, γηράσκουσαν, ἀῤῥωστοῦσαν, ὑφιζάνοντας ὀφθαλμοὺς, καὶ κοιλαινομένας παρειὰς, ἅπαν καταῤῥέον τὸ ἄνθος ἐκεῖνο· ἐννόησον τί θαυμάζεις, καὶ αἰσχύνθητί σου τὴν κρίσιν. πηλὸν θαυμάζεις καὶ σποδὸν· καὶ κόνις σε ἐκκαίει καὶ τέφρα. οὐ κατηγορῶν τῆς φύσεως ταῦτα λέγω (μὴ γένοιτο) οὐ κακίζων, οὐδὲ εἰς εὐτέλειαν ἐμβάλλων, ἀλλὰ φάρμακα τοῖς νοσοῦσι κατασκευάζων. διὰ τοῦτο ὁ Θεὸς τοιαύτην αὐτὴν ἐποίησεν, οὕτως εὐτελῆ, ἵνα καὶ τὴν οἰκείαν δύναμιν ἐπιδείξηται, καὶ τὴν κηδεμονίαν τὴν περὶ ἡμᾶς, τῇ τῆς φύσεως μὲν εὐτελείᾳ πρὸς ταπεινοφροσύνην ἐνάγων, καὶ πᾶσαν τὴν ἐπιθυμίαν ἡμῶν καταστέλλων, τὴν δὲ σοφίαν δεικνὺς τὴν ἑαυτοῦ, ὡς καὶ ἐν πηλῷ τοσοῦτον ἰσχύων ἐξασκῆσαι κάλλος. ὥστε ὅταν ἐξευτελίσω τὴν οὐσίαν, τότε ἐκκαλύπτω τὴν τέχνην τοῦ δημιουργοῦ. ὥσπερ γὰρ ἀνδριαντοποιὸν τότε μᾶλλον θαυμάζομεν, οὐχ ὅταν ἐκ χρυσοῦ καλὸν ἡμῖν δείξῃ τὸν ἀνδριάντα, ἀλλ' ὅταν ἐκ πηλοῦ τῆς ὕλης ὑποκειμένης ἀπηρτισμένην καὶ ἀκριβῆ τὴν εἰκόνα ἐργάζηται. οὕτω καὶ τὸν ἀριστοτέχνην Θεὸν ἐκπληττόμεθα καὶ δοξάζομεν, ὅτι ἐν σποδῷ καὶ πηλῷ κάλλος ἀμήχανον καὶ σοφίας ἀῤῥήτου πρὸς ἐπίδειξιν τοῖς σώμασιν ἡμῶν ἐναπέθετο. καὶ τοῦτο οὐκ ἐν τῷ σώματι μόνον τῷ ἡμετέρῳ, ἀλλὰ καὶ ἐν πάσῃ τῇ κτίσει ἐποίησεν. εὐτελεῖς γὰρ πολλαχοῦ παραγαγὼν τὰς οὐσίας, καὶ τῆς οἰκείας τέχνης δεῖγμα σαφὲς ἐγκατέθηκε, καὶ τῆς τῶν οὐσιῶν ἀσθενείας ἔλεγχόν τινα ἐγκατέμιξεν· ἵνα διὰ μὲν τὴν τέχνην καὶ τὸ κάλλος θαυμάζῃς τὸν δημιουργὸν, διὰ δὲ τὴν ἀσθένειαν καὶ τὴν εὐτέλειαν τῆς φύσεως καὶ τῆς οὐσίας, μὴ προσκυνήσῃς τὰ γινόμενα. φαιδρὸς ὁ ἥλιος, λάμπων, καὶ πᾶσαν καταυγάζει τὴν οἰκουμένην· ἀλλ', ἐπελθούσης τῆς νυκτὸς, ἐκλείπει. τί γὰρ, φησὶ, φωτεινότερον ἡλίου, ἀλλὰ καὶ οὗτος ἐκλείπει· οὐκ ἐν νυκτὶ δὲ μόνον, ἀλλὰ καὶ ἐν ἡμέρᾳ. καὶ διὰ τοῦτο πολλάκις καὶ ἐν ἡμέρᾳ ἥλιος ἐξέλιπεν· ἵνα θαυμάζῃς μὲν διὰ τὴν τέχνην τὸν δημιουργὸν, μὴ προσκυνήσῃς δὲ διὰ τὴν ἀσθένειαν τὸ γινόμενον. ὁρᾷς τὸν οὐρανὸν τοῦτον, ἡλίκον ἐστὶ σῶμα;

A cinerem esse quod te accendit, & insanire anima desinet: detege cutem vultus eius, tum ipsam omnem pulchritudinis vilitatem videbis: ne in superficie consistas, sed interiùs cogitatione progredere, nec aliud quidquam præter ossa, neruos, ac venas reperies. At non sufficiunt ista? Cogita mihi mutatã illã, senescentem, ægrotam, subsidentes oculos, excauatas genas, totum illum florẽ defluentem: cogita quid admireris, & tui iudicij te pudebit. Lutũ miraris & cinerem, puluis te incẽdit & fauilla. Non hæc eo dico, vt naturam accusem: absit, nec vt vituperem, aut tanquam vilem deprimam, sed vt ægrotantibus medicamen- B ta componam. Propterea talem ipsam Deus condidit, adeò vilem, vt & suam virtutem & curam de nobis ostendat, dum naturæ vilitate nos ad humilitatem inducit, omnémque nostram cupiditatem coërcet, ac sapientiæ suæ specimen edit, vt qui etiam in luto possit tantam pulchritudinem exhibere. Dum igitur substantiã parui facio: tum opificis artẽ detego. Nam vt statuarium tum magis admiramur, non cum præclaram ex auro statuam exhibuerit, sed cum ex subiecta luti materia perfectam & eximiam imaginem fuerit fabricatus: ita quoque summum artificem C Deum obstupescimus & glorificamus, quod in puluere ac luto pulchritudinem quandam immensam, & ineffabilis cuiusdam sapientiæ specimen in nostris corporibus collocarit. Atque hoc non in corpore solum nostro, sed & in omni præstitit creatura. Nam cum viles passim produxisset substantias, & artis suæ specimen in illis insigne posuit, & substantiarum infirmitatis indicium quoddam immiscuit, vt cum propter artem ac pulchritudinem lau- D des artificem, tum propter infirmitatem vilitatémque naturæ ac substantiæ, quæ creata sunt, non adores. Splendidus est sol, dum affulget, totúmque terrarum orbem illuminat: sed cum nox aduenerit, deficit. Quid enim, inquit, lucidius sole? sed & hoc deficit, neque vero noctu solum, sed & interdiu. Atque idcirco persæpe interdiu solis defectus interuenit, vt opificem quidem propter artificium laudes, sed propter imbecillitatem, quod creatũ est, non adores. Vides hoc cœlũ, quale sit corpus?

Eccli. 17. 15.

quam pulchrum? quam refulgẽs, quod, si speciem externã spectes, vel ipsis corporibus nostris est præstantius? at expers est animæ. Vides & artis specimen & indicium infirmitatis? vides vtrinque tibi parata præsidia? Nam vt opificem tanquam imbecillum nõ damnes, pulchras condidit creaturas: vt autem quæ condita sunt tanquam Deos non adores, ex parte infima illa fabricatus est. Hæc perpetuo memoria tenete. Propterea scripturas interpretamur, nõ vt scripturas tantum intelligatis, sed vt mores emendetis. Nisi enim hoc fiat, frustra legimus, frustra exponimus. Nam quemadmodum cum in palæstram ingressus athleta fuerit vnctus, & pædotribæ manu curâque instructus, si cum certaminis tempus aduenerit, artem illam inutilem esse ostenderit, frustra in palæstram introductus est: ita cum hic conueneritis, & luctas omnes, & in lucta nexus diaboli didiceritis, si cum certaminũ tempus inciderit, supplantemini, dum vel formosum vultum videritis, vel in superbiam elati fueritis, vel alia praua quapiam cogitatione subacti, frustra in hunc locum ingressi estis. Mementote igitur sermonum, quos non aduersus naturam nostram, sed aduersus lasciuam cupiditatem direximus; non vt naturam criminemur, hæc dicimus, sed sed vt cupiditatem insectemur. Hoc pacto iram reprimite, sic cupiditatem mitigate, sic arrogantiam retundite. Et erat omnis terra labium vnum & vox vna omnibus. Ecce adhuc propositam quæstionem. Non de hac est sermo, sed quod omnes homines eandem linguam haberent. Quare verò labium vnum linguam vocauit? Scripturæ mos est ita sermones linguam vocare. Id verò fuerit operæpretium nosse propter hæreticos, qui Dei opificium accusant, qui corpus malum esse dicunt. Nam quia prauos animi motus per corporis membra scriptura designat: exempli causa, Acuerunt linguam suam sicut serpentis: Lingua eorum gladius acutus: existimant quidam id de lingua dictum esse. Non est autem de lingua dictum: (absit, est enim lingua Dei opus) sed verbis homicidarum, quæ homines iugulant, quæ funestiùs quam ensis inuadunt. Lingua eorum gladius acutus: & rursus, Labia dolosa in corde, & corde locuta sunt mala: non de

Morũ correctio finis enarrationis scripturæ.

Psal. 139. 3. & 56. 6.

A πῶς καλόν; πῶς ἀποστίλβον, καὶ τὴν ἡμετέραν βέλτιον σωμάτων κατὰ τὴν ἐπιφάνειαν; ἀλλ' ἄψυχόν ἐστιν. εἶδες καὶ τῆς τέχνης τὴν ἐπίδειξιν, καὶ τῆς ἀσθενείας τὸν ἔλεγχον; ὁρᾷς ἑκατέρωθέν σοι τὰ ὀχυρώματα κείμενα; ἵνα γὰρ μὴ καταγινώσκῃς τοῦ δημιουργοῦ ὡς ἀσθενοῦς, καλὰ ἐποίησεν· ἵνα δὲ μὴ προσκυνῇς τὰ γινόμενα ὡς θεούς, ἀσθενῆ ταῦτα ἐκ μέρους εἰργάσατο. ταῦτα μέμνησθε διηνεκῶς. διὰ τοῦτο γραφὰς ἑρμηνεύομεν, οὐχ ἵνα γραφὰς μάθητε μόνον, ἀλλ' ἵνα καὶ τὰ ἤθη διορθώσητε. ἂν γὰρ τοῦτο μὴ B γένηται, περιττῶς ἀναγινώσκομεν, περιττῶς ἐξηγούμεθα. ὥσπερ γὰρ ἀθλητὴς εἰς παλαίστραν εἰσιὼν ἀλειφόμενος καὶ ἀπολαύων τῶν χειρῶν τοῦ παιδοτρίβου, ἂν τοῦ ἀγῶνος παραγινομένου ἐλέγξῃ ἐκείνην τὴν τέχνην, περιττῶς εἰσῆλθεν εἰς τὴν παλαίστραν· οὕτως ἂν ἐνταῦθα παραγινόμενοι, καὶ μανθάνοντες τὰ παλαίσματα πάντα καὶ τὰς λαβὰς τοῦ διαβόλου, τοῦ καιροῦ τῶν ἀγώνων ἐλθόντος, ὑποσκελισθῆτε, ἢ εὔμορφον ὄψιν ἰδόντες, ἢ πρὸς ἀπόνοιαν ἐπαρθέντες, ἢ ἑτέρῳ τινὶ πονηρῷ χειρωθέντες λογισμῷ, μάτην ἐνταῦθα εἰσήλθετε. μέμνησθε τοίνυν τὸν λόγον, οὐ τὸν C κατὰ τῆς φύσεως τῆς ἡμετέρας, ἀλλὰ τὸν κατὰ τῆς ἐπιθυμίας τῆς ἀκολάστου. οὐ φύσεως ἔγκλημα τὰ εἰρημένα, ἀλλ' ἐπιθυμίας τὰ λεγόμενα. ταύτῃ καταστέλλετε θυμόν, οὕτω σβέσατε ἐπιθυμίαν, οὕτω καθαιρεῖτε ἀπόνοιαν. καὶ ἦν πᾶσα ἡ γῆ χεῖλος ἕν, καὶ φωνὴ μία πᾶσιν. ἰδοὺ τὸ ζητούμενον ἔτι. οὐ περὶ ταύτης ὁ λόγος, ἀλλ' ὅτι πάντες οἱ ἄνθρωποι φωνὴν εἶχον μίαν. διὰ τί δὲ χεῖλος ἓν ἐκάλεσε τὴν φωνήν; ἔθος τῇ γραφῇ οὕτω καλεῖν τὰ ῥήματα, γλῶσσαν. ἀναγκαῖον δὲ καὶ τοῦτο εἰδέναι διὰ τοὺς αἱρετικούς, τοὺς κατηγοροῦντας τῆς δημιουργίας τοῦ Θεοῦ, τοὺς λέγοντας ὅτι πο- D νηρὸν τὸ σῶμα. ἐπειδὴ γὰρ τὰ πονηρὰ κινήματα τῆς διανοίας τοῖς μέλεσι τοῦ σώματος ἡ γραφὴ καλεῖ· οἷον τί λέγω· ἠκόνησαν γλῶσσαν αὐτῶν, ὡσεὶ ὄφεως· ἡ γλῶσσα αὐτῶν μάχαιρα ὀξεῖα· νομίζουσιν οὖν τινες, ὅτι περὶ τῆς γλώττης εἴρηται. οὐκ εἴρηται δὲ περὶ τῆς γλώττης (μὴ γένοιτο· ἔργον γάρ ἐστι τοῦ Θεοῦ) ἀλλὰ περὶ τῶν ῥημάτων τῶν φονικῶν, τῶν ἀποκτεινόντων ἀνθρώπους, τῶν ἐμπιπτόντων ξίφους χαλεπώτερον, ἡ γλῶσσα αὐτῶν μάχαιρα ὀξεῖα. καὶ πάλιν· χείλη δόλια ἐν καρδίᾳ, καὶ ἐν καρδίᾳ ἐλάλησε κακά· οὐ περὶ

τοῦ μέλους λέγων τοῦ σώματος, ἀλλὰ περὶ τῶν ὑπούλων ῥημάτων. οὕτω καὶ ἐνταῦθα εἰπών, καὶ ἦν πᾶσα ἡ γῆ χεῖλος ἕν, οὐ τοῦτο ἐδίδαξεν, ὅτι πάντες ἄνθρωποι εἶχον ἓν χεῖλος, ἀλλὰ χεῖλος τὴν φωνὴν ἐκάλεσεν. εἰπὼν γάρ, ἦν πᾶσα ἡ γῆ χεῖλος ἕν, ἐπήγαγε, καὶ φωνὴ μία πᾶσιν. οὕτως ὅταν λέγῃ, τάφος ἀνεῳγμένος ὁ λάρυγξ αὐτῶν, οὐ τοῦ λάρυγγος κατηγορεῖ, ἀλλὰ τῶν κακῶν ῥημάτων τῶν ἀναβαινόντων ἐκεῖθεν, τῶν νεκρῶν δογμάτων. τάφος γάρ τοῦτό ἐστι, νεκρῶν δοχεῖον ὀστῶν καὶ σωμάτων. τοιαῦτα κἀκείνων τὰ στόματα τῶν κατηγορούντων τοῦ δημιουργοῦ· τοιαῦτα τὰ στόματα τῶν αἰσχρὰ φθεγγομένων ἀνθρώπων, τῶν λοιδορουμένων, τῶν δυσώδη καὶ πονηρὰ ῥήματα ἐκ τῆς οἰκείας φάρυγγος ἐκβαλλόντων. εὐωδίας αὐτὴν ἔμπλησον, ἄνθρωπε, μὴ δυσωδίας· θησαυρὸν ποίησον βασιλικόν, μὴ τάφον σατανικόν. εἰ δὲ τάφος ἐστί, κἂν ἀπόκλεισον, ἵνα μὴ προβαίνῃ ἡ δυσωδία. πονηρὰ ἔχεις ἐνθυμήματα; μὴ προενέγκῃς αὐτὰ διὰ ῥημάτων· ἔασον κάτω κεῖσθαι, καὶ ταχέως ἀποπνίγονται. ἄνθρωποί ἐσμεν, πολλὰ πολλάκις πονηρὰ βουλευόμενοι, καὶ ἄτοπα καὶ αἰσχρὰ βουλεύματα· ἀλλὰ μὴ συγχωρῶμεν εἰς ῥήματα τὰ νοήματα προελθεῖν, ἵνα πιεζόμενα κάτω, ἀσθενέστερα γίνηται καὶ ἀπολλύηται. καθάπερ γὰρ θηρία τις παντοδαπὰ καὶ ἀνήμερα εἰς λάκκον ἐμβαλών, ἂν μὲν ἐμφράξῃ τὸν λάκκον ἄνωθεν, ἀποπνίγει ῥᾳδίως· ἂν δὲ διέξοδόν τινα καὶ ἀναπνοὴν παράσχῃ μικράν, πολλὴν αὐτοῖς δίδωσι τὴν παραμυθίαν, καὶ οὐκ ἀφίησιν ἀπολέσθαι, ἀλλ' ἐκθηριοῖ μειζόνως· οὕτω καὶ ἐπὶ τῶν λογισμῶν γίνεται τῶν πονηρῶν, ὅταν τεχθῶσιν ἔνδον. ἂν μὲν ἀποκλείσωμεν αὐτοῖς τὴν εἰς τὰ ἔξω πρόοδον, ταχέως αὐτοὺς ἀφανίζομεν· ἂν δὲ διὰ τῶν ῥημάτων αὐτοὺς ἐξενέγκωμεν, κἀκείνους ἰσχυροτέρους εἰργασάμεθα, δόντες ἀναπνεῦσαι διὰ τῆς γλώττης αὐτοῖς, καὶ πρὸς τὰ τῶν ἀτόπων πράξεων βάραθρα ταχέως ἀπὸ τῆς τῶν αἰσχρῶν ῥημάτων μελέτης καταπίπτομεν. διὰ τοῦτο ὁ προφήτης οὐχ ἁπλῶς τάφον ἐκάλεσεν, ἀλλὰ τάφον ἀνεῳγμένον, αὐτὸ τοῦτο ἐγκαλῶν ὅπερ εἶπον. οὐ γὰρ ἑαυτὸν αἰσχύνει μόνον ὁ τὰ αἰσχρὰ φθεγγόμενος ῥήματα, ἀλλὰ καὶ τοὺς πλησίον, καὶ τοὺς συγγινομένους αὐτῷ πολλῆς ἀναπίμπλησι τῆς λύμης. καὶ καθάπερ εἴ τις τάφους ἀνοίξωμεν, λοιμοῦ τὰς πόλεις ἐμπλήσομεν·

A membro corporis loquens, sed de subdolis verbis. Ita cum hoc loco dixisset, Et erat omnis terra labium vnum, non hoc docuit, omnes homines vnum labium habere, sed labium vocem appellauit. Cùm enim dixisset, Erat omnis terra labium vnum, subiunxit, & vox vna omnibus. Ita cū dicit, Sepulchrum patens est guttur eorum, non guttur accusat, sed mala verba, quæ inde ascendunt: mortua dogmata. Hoc enim sepulchrum est, mortuorum ossium corporúmque receptaculum: talia sunt & B illorum ora, qui creatorem accusant, talia sunt eorum, hominum ora, qui turpia verba proferunt, qui conuitiantur, qui ex suo gutture fœtida prauaque verba profundunt. Bono illud odore cōple, mi homo, nō fœtore: thesaurum illud regium non Satanicū sepulchrum effice. Quòd si sepulchrum sit, saltem occlude, ne fœtor exeat. Prauæ tibi sunt cogitationes? ne verbis illas proferas: sine deorsum iacere, tum citò suffocabuntur. Homines sumus, sæpe multa praua, fœda, turpiáque consilia mente versamus, sed ne cogitationes in verba C progredi sinamus, vt deorsum cōpressæ imbecilliores reddātur & pereant. Nam quemadmodū vbi quis diuersi generis ac feroces bestias in lacum immiserit, si fortè supernè lacum obturauerit, facile illas suffocat: sin autem illis exeundi vel respirandi facultatem vllam concesserit, multum illis præbet solatij, néque sinit interire, sed efferatiores multo reddit: ita fit in malis cogitationibus, cum exortæ intus fuerint: si omnē illis viam, ne foras prodeant, intercluserimus, ce- D leriter illas opprimemus: sin autem illas verbis in lucem protulerimus, cùm validiores illas reddemus, & quasi per linguam respirandi facultatem illis concedemus, tum ab illa turpium verborum exercitatione in fœdarum actionum barathrum quam celerrimè deuoluemur. Idcirco nō simpliciter sepulchrum vocauit propheta, sed sepulchrum patens, istud ipsum quod dixi vitio vertens. Non enim seipsum tantum afficit ignominia, qui turpia verba profert, sed & proximos suos, & eos qui cum ipso versantur, multis sordibus opplet. Et quemadmodum si sepulchra reseremus, ciuitates peste complebimus:

Psal. 5. 11.

ita si turpia licenter aperiantur ora, cunctos, qui cum illis congrediuntur, grauissimis morbis inficiet. Idcirco ianuam oportet, vectem, ac frenum ori imponere. Vnam itaque tum fuisse linguam, satis à nobis per hæc demõstratum est, reliquum est, vt quam ob causam multæ fuerint inuectæ dicamus. Sed interim sermonem ad mores instruendos pertinentem inferamus: doceamus linguam nostram frænum gerere, nec omnia temerè proferre, quæ in mẽtem venerint, nõ fratres accusare, nõ mutuò nos mordere ac deuorare: peiores sunt illis, qui corpora mordẽt illi, qui verbis id agunt. Illi corpus dentibus mordent, hi animam verbis mordent, existimationẽ vulnerat, immedicabile vulnꝰ infligit: quapropter tãto grauiori supplicio plectetur, quanto grauiori morsu inuadit. Neque vero tantum idcirco veniam non impetrabit is qui accusat, sed etiam quod neque iustum nec iniustũ possit improbitati suæ prætextum obtẽdere. Nam alia quidem peccata licet causas habeant à ratione alienas, habent tamen: vtpotè scortator libidinem explet, fur paupertatem, homicida iracundiam sedat, maledicus nullam eum potest occasionẽ afferre. Quam enim quæso pecuniarũ copiam acquirit? quam libidinem explet? nihil aliud est, quã inuidiæ materia, cui nulla suppetit iusta causa nec iniusta: propterea nulla venia digna censetur. Vis accusare? vtilem tibi materiam præbeo: vis maledicere? maledic tuis peccatis. Dic enim, inquit, tu peccata tua prior, vt iustificeris. Vides maledicentiam, quæ coronam, & laudem, & testimonium iustitiæ refert? Rursus, Iustus in principio sermonis accusator est sui, non alterius. Si alterius fueris accusator, punieris: si tuiipsius, coronaberis. Atque vt intelligas, quantum sit bonum delictũ suum accusare, iustus in principio sermonis, inquit, accusator est sui. Verũenimuerò si iustus est, quomodo accusator? si accusator, quomodo iustus? iustus accusationi nõ est obnoxius. Sed vt scias, licet peccator sit aliquis, si accuset peccata sua, iustũ eum accusatione sua fieri, propterea dixit, Iustus in principio sermonis accusator est sui. Quid porro est in principio sermonis? Diligenter attende. In iudiciis duæ sunt partes, vna eorum qui deferunt, altera eorum, qui defe-

Esa. 43. 26 — *Prou. 18. 17.*

οὕτω τὰ αἰσχρὰ στόματα εἰ μετ' ἀδείας ἀνοίγοιτο, τοὺς συνδιατρίβοντας ἅπαντας νόσου χαλεπωτάτης ἐμπλήσει. διὰ τοῦτο χρὴ θύραν καὶ μοχλὸν καὶ χαλινὸν ἐπιθεῖναι τῷ στόματι. ὅτι μὲν οὖν μία φωνὴ ἦν τότε, ἱκανῶς ἐκ τούτων ἡμῖν ἀποδέδεικται· λοιπὸν δὲ ἀναγκαῖον εἰπεῖν, τίνος ἕνεκεν αἱ πολλαὶ ἐπεισήχθησαν. ἀλλὰ τέως τὸν ἠθικώτερον γυμνάσωμεν λόγον· παιδεύσωμεν τὴν ἡμετέραν γλῶτταν χαλινὸν ἔχειν, καὶ μὴ πάντα ἁπλῶς ἐκφέρειν τὰ ἀπὸ τῆς διανοίας· μὴ κατηγορεῖν τοὺς ἀδελφούς, μὴ ἀλλήλους δάκνειν καὶ κατεσθίειν. τῶν δακνόντων τὰ σώματα χείρους εἰσὶν οἱ διὰ λόγων τοῦτο ποιοῦντες. ἐκεῖνοι τοῖς ὀδοῦσι δάκνουσι τὸ σῶμα, οὗτοι τοῖς λόγοις δάκνουσι τὴν ψυχὴν, τιτρώσκουσι τὴν ὑπόληψιν, ἀνίατον ποιοῦσι τὸ τραῦμα. διόπερ μείζονα ἐκδέξονται κόλασιν καὶ τιμωρίαν, ὅσον χαλεπώτερον ἐντιθέασι τὸ δῆγμα. οὐ διὰ τοῦτο δὲ μόνον ἐκπεσεῖται συγγνώμης ὁ κατηγορῶν, ἀλλ' ὅτι οὔτε δικαίαν, οὔτε ἄδικον ἔχει πρόφασιν εἰπεῖν τῆς πονηρίας τῆς ἑαυτοῦ. αἱ μὲν γὰρ ἄλλαι ἁμαρτίαι κἂν ἀλόγους ἔχωσιν αἰτίας, ἀλλ' ὅμως ἔχουσιν· οἷον, ὁ πόρνος ἐπιθυμίαν πληροῖ, ὁ κλέπτης τὴν πενίαν, ὁ ἀνδροφόνος τὸν θυμὸν παύει· ὁ κακηγορῶν οὐδεμίαν ἔχει πρόφασιν εἰπεῖν. ποίαν γὰρ, εἰπέ μοι, χρημάτων περιουσίαν περιβάλλεται; ποίαν ἐπιθυμίαν πληροῖ; οὐδὲν ἕτερόν ἐστιν, ἀλλ' ἢ βασκανίας ὑπόθεσις, οὔτε δικαίαν, οὔτε ἄδικον ἔχουσα αἰτίαν. διὰ τοῦτο ἀπεστέρηται συγγνώμης ἁπάσης. βούλει κατηγορεῖν; δίδωμί σοι χρησίμην ὑπόθεσιν. βούλει κακῶς λέγειν; εἰπὲ τὰς ἁμαρτίας σου κακῶς. λέγε γὰρ σὺ, φησὶ, τὰς ἁμαρτίας σου πρῶτος, ἵνα δικαιωθῇς. εἶδες κακηγορίαν στέφανον ἔχουσαν καὶ ἐγκώμιον καὶ δικαιοσύνην; πάλιν, δίκαιος ἑαυτοῦ κατήγορος ἐν πρωτολογίᾳ· ἑαυτοῦ, οὐκ ἄλλου. ἐὰν ἄλλου κατήγορος γένῃ, ἐκολάσθης· ἐὰν ἑαυτοῦ, ἐστεφανώθης. καὶ ἵνα μάθῃς πόσον ἐστὶ καλὸν τὸ κατηγορεῖν τὸ ἑαυτοῦ παράπτωμα, δίκαιος ἑαυτοῦ κατήγορος ἐν πρωτολογίᾳ, φησί. καὶ μὴν εἰ δίκαιος, πῶς κατήγορος; εἰ κατήγορος, πῶς δίκαιος; ὁ δίκαιος οὐκ ἔστι κατηγορίας ὑπεύθυνος. ἀλλ' ἵνα μάθῃς, ὅτι κἂν ἁμαρτωλός ᾖ τις, κατηγορῶν δὲ τῶν ἁμαρτημάτων, διὰ τῆς κατηγορίας δίκαιος γίνεται, διὰ τοῦτο εἶπε, δίκαιος ἑαυτοῦ κατήγορος ἐν πρωτολογίᾳ. τί δέ ἐστιν ἐν πρωτολογίᾳ; πρόσεχε ἀκριβῶς. ἐν τοῖς δικαστηρίοις δύο μέρη ἐστὶ, τῶν μὲν ἐγκαλούντων, τῶν δὲ ἐγκαλουμένων· τῶν μὲν κατη-

γορουμένων, τῶν δὲ κατηγορουμένων· τῶν μὲν ὑπευθύνων, τῶν δὲ ἀνευθύνων. καὶ ἡ προηγορία τῷ κατηγόρῳ δίδοται, τῷ ἀνευθύνῳ. ἐνταῦθα δὲ, τοὐναντίον. σὺ ὁ ὑπεύθυνος ἅρπασον τὴν προηγορίαν, ἵνα ἀνεύθυνος γένῃ· μὴ ἀναμείνῃς τὸν κατήγορον. εἰ καὶ τῶν ὑπευθύνων εἶ, ἀλλὰ πρὶν ἢ παρ' ἐκείνου τι τοιοῦτον ἀκούσῃς, αὐτὸς κατηγόρησον τῶν ἡμαρτημένων. μάχαιρά ἐστιν ἡ γλῶσσα ἠκονημένη· ἀλλὰ μὴ ἑτέροις ἐπάγωμεν τραύματα, ἀλλὰ τὰς ἡμετέρας σηπεδόνας ἀποτέμνωμεν. βούλει μαθεῖν ὅτι ἔθος ἦν τοῖς δικαίοις μὴ ἄλλους κακῶς λέγειν, ἀλλ' ἑαυτούς; ἄκουσον τοῦ Παύλου βοῶντος· χάριν ἔχω τῷ ἐνδυναμώσαντί με Χριστῷ, ὅτι πιστόν με ἡγήσατο θέμενος εἰς διακονίαν, τὸν πρότερον βλάσφημον ὄντα, καὶ διώκτην, καὶ ὑβριστήν. ὁρᾷς πῶς ἑαυτὸν κακῶς λέγει; καὶ πάλιν, Χριστὸς ἦλθεν εἰς τὸν κόσμον ἁμαρτωλοὺς, (σῶσαι, ὧν πρῶτός εἰμι ἐγώ. καὶ πάλιν ἀλλαχοῦ, οὐκ εἰμὶ ἱκανός, φησι, καλεῖσθαι ἀπόστολος, διότι ἐδίωξα τὴν ἐκκλησίαν τοῦ Θεοῦ. εἶδες πῶς πανταχοῦ ἑαυτὸν κακῶς λέγει; οἶδε γὰρ τῆς κατηγορίας ταύτης τὸ κέρδος, ὅτι δικαιοσύνην ἐργάζεται). ὅταν μὲν οὖν αὐτὸν ἑαυτοῦ κατηγορεῖν δέῃ, ἀφειδῶς κέχρηται τῇ κατηγορίᾳ· ὅταν δὲ καὶ ἑτέρους ἴδῃ τοῖς ἀλλοτρίοις δικάζοντας κακοῖς, ὅρα μεθ' ὅσης αὐτοὺς ἐπιστομίζει τῆς αὐστηρότητος, οὑτωσὶ λέγων· ὥστε μὴ πρὸ καιροῦ τι κρίνετε, ἕως ἂν ἔλθῃ ὁ κύριος, ὃς καὶ φωτίσει τὰ κρυπτὰ τοῦ σκότους, καὶ φανερώσει τὰς βουλὰς τῶν καρδιῶν. ἐκείνῳ τήρησον τὸ δικαστήριον, τῷ τὰ ἀπόρρητα εἰδότι τῆς διανοίας. κἂν ἀκριβῶς νομίζῃς εἰδέναι τὰ τοῦ πλησίον, ἔσφαλταί σου ἡ κρίσις. τίς γὰρ οἶδε, φησι, τὰ τοῦ ἀνθρώπου, εἰ μὴ τὸ πνεῦμα τοῦ ἀνθρώπου τὸ ἐν αὐτῷ; πόσοι τῶν ἀπερριμμένων καὶ εὐτελῶν ἡλίου φαιδρότερον ἐκλάμπειν ἔχουσι; πόσοι τῶν μεγάλων καὶ περιφανῶν σποδὸς ὄντες καὶ τάφος κεκονιαμένος εὑρεθήσονται); ἤκουσας πῶς ὁ Παῦλος ἑαυτὸν κακῶς λέγει μετὰ σφοδρότητος καὶ ὑπερβολῆς ἁμαρτημάτων, ὧν οὐκ ἔμελλεν εὐθύνας ὑπέχειν, συνεχῶς μεμνημένος; βλάσφημος γὰρ καὶ διώκτης καὶ ὑβριστὴς πρὸ τοῦ βαπτίσματος ἦν, ἐκεῖνα δὲ τὰ ἁμαρτήματα ἔλυσε τὸ βάπτισμα· ἀλλ' ὅμως αὐτῶν μέμνηται· οὐκ ἐπειδὴ λόγον ἔμελλεν ὑπὲρ αὐτῶν ὑπέχειν, ἀλλ' ἵνα δείξῃ τοῦ Θεοῦ τὴν φιλανθρωπίαν, καὶ τίνα ὄντα, οἷον κατεσκεύασεν, ἀπὸ

A runtur: vna eorum qui accusant, altera eorum qui accusantur: hi rei sunt, illi non sunt rei: principiũ sermonis accusatori conceditur, qui reus non est. Hic vero contrarium est agendum. Tu qui reus es, sermonis initium praeripe, vt reus esse desinas: ne accusatorem expectes. Tametsi es inter reos, prius tamẽ, quam ab illo tale quippiam audias, ipse quae à te peccata sunt defer. Machaera quaedam acuta est lingua: verumtamen caeteris vulnera non infligamus, sed vlcera nostra resecemus. Vis scire morem fuisse B iustorum, vt aliis non maledicerent, sed sibiipsis? audi Paulum clamantem: Gratias ago ei, qui me cõfortauit, Christo, quia fidelem me existimauit, ponens in ministerio: qui prius blasphemus fui, & persecutor, & contumeliosus. Vides quo pacto in seipsum maledicta conijciat? & rursus: Christus venit in mundum peccatores saluos facere, quorum primus ego sum. Et alibi rursus, Non sum dignus vocari Apostolus, quoniam persecutus sum Ecclesiam Dei. Vides quo pacto vbique sibi maledicat? Nouit quippe quae huius maledicentiae sit vtiC litas, quod iustitiã pariat. Quando igitur vt seipsum accuset, opus fuerit, tum copiosè accusationem instituit: quãdo autem viderit de alienis malis iudicantes, vide quanta cum seueritate os illis occludat his verbis vtens: Itaque nolite ante tempus quid iudicare, quoadusque veniat Dominus, & illuminabit abscondita tenebrarum, & manifestabit consilia cordium. Illi iudicium reserua, qui secreta mentis nouit: quamuis accuratè nouisse te res proximi arbitreris, fallitur iudicium tuum. Quis enim scit, D inquit, quae sunt hominis, nisi spiritus hominis, qui in ipso est? Quam multi ex hominibus abiectis ac vilibus sole clarius refulsuri sunt? quam multi ex magnis & illustribus nihil aliud quam puluis esse ac sepulchrum dealbatum reperientur? Audiuisti, qua ratione maledicta in se conijceret Paulus, qui tam vehementer & copiosè peccatorum, quorum rationem nullam redditurus erat, assiduè meminisset? Nam ante baptismum blasphemus, & persequutor, & cõtumeliosus fuit, illa vero peccata deleuit baptismus: attamen eorum meminit: non quod eorum rationẽm sit redditurus, sed vt Dei benignitatem ostendat, & qualis esset, cum ab ea fuit in

1.Tim.1.12.

1.Tim.1.15.

1.Cor.15.9.

1.Cor.4.5.

1.Cor.2.11.

alium transmutatus & ex persequutore factus Apostolus. Quod si peccatorum ille quę deleta fuerant, meminit, multò magis post baptismum nos oportet meminisse. Qua enim poterimus excusatione vti? qua digni videri, cum ille assiduè meminerit eorum, quæ iudicio non sunt obnoxia, nos vero quorum rationem reddituri sumus, ea nec in memoriam nobis reuocemus, sed propriis neglectis in aliena mala curiosius inquiramus? Audi quo pacto Mattheus quoque priorem suam vitam accuset, & se publicanũ appellet, neque diuulgare priorem suam vitam erubescat. Nam cum post baptismum nullius se criminis accusare possent, eorum quæ ante patrarant, meminerunt, vt nos docerent alienorum malorum nullam habere rationem, sed propria curare, ac semper in animo voluere. Nullũ enim est, nullum planè aliud tale ad peccata tollenda remediũ, atq. illorum assidua recordatio, ac perpetua eorumdem accusatio. Ita publicanus innumera potuit abijcere mala, vt diceret, Deus propitius esto mihi peccatori: ita Pharisæus omni iustitia excidit, quod omittens secum animo reputare quæ peccasset, totum orbem terrarum condemnaret dicens, Non sum sicut cæteri hominum, raptores, iniusti, adulteri, neq. vt hic publicanus. Idcirco Paulus admonebat dicẽs: Opus autẽ suũ vnusquisq. probet, & sic in semetipso tantũ gloriã habebit, & nõ in altero. Vis discere, quo pacto in veteri quoque Testamẽto iusti seipsos accusarint? audi etiam istos illis cõsentanea loquẽtes. Nam Dauid quidẽ dicebat: Iniquitates meę supergressę sunt caput meũ, quasi onus graue grauatæ sũt super me. Esaias verò clamat: Hei mihi, quia homo cum sim, & immunda labia habens: & tres pueri cũ in fornace versarentur, & propter Deũ morti corpora tradidissent, inter vltimos peccatores seipsos numerabãt dicentes, Peccauimus, iniquè egimus: tamersi quid illustrius illis, quid mundius fuit? quauis enim peccata nõnulla cõmisissẽt, omnia tamen absterserat flãmæ natura. Verum ad propria rectè facta nõ respiciebat, sed peccata secum reputabãt. Sic & Daniel post lacum leonum, post innumera supplicia quę sustinuerat, ipse quoq. seipsũ accusabat, proximum verò nemo. Quid

Peccatorũ recordatio remedium.

Luc. 18. 13.

Gal. 6. 4.

Psal. 37. 4.

Esa. 6. 5.

Dan. 3. 29.

A διώκτου ποιήσας ἀπόστολον. εἰ δὲ ἐκεῖνος τῶν ἀφανισθέντων ἁμαρτημάτων μέμνηται, πολλῷ μᾶλλον ἡμᾶς τῶν μετὰ τὸ βάπτισμα μεμνῆσθαι χρή. τίς γὰρ ἡμῖν ἀπολογία ἔσται, ἢ ποία συγγνώμη, ὅταν ἐκεῖνος μὲν τῶν ἀφεθέντων μνημονεύῃ συνεχῶς, ἡμεῖς δὲ μηδὲ ὧν μέλλομεν λόγον ὑπέχειν, μηδὲ τούτων ἑαυτοὺς ὑπομιμνήσκωμεν, ἀλλ' ἀφέντες τὰ οἰκεῖα, τὰ ἀλλότρια περιεργαζώμεθα κακά; ἄκουσον πῶς καὶ Ματθαῖος τῆς προτέρας ἑαυτοῦ κατηγορεῖ ζωῆς, καὶ τελώνην ἑαυτὸν καλεῖ, καὶ οὐδὲ αἰσχύνεται τὸν πρότερον ἐκπομπεύων B βίον. ἐπειδὴ γὰρ οὐδὲν εἶχον κατηγορεῖν ἑαυτῶν μετὰ τὸ βάπτισμα, τῶν προτέρων ἐμέμνηντο, παιδεύοντες ἡμᾶς τῶν μὲν ἀλλοτρίων κακῶν μηδένα ποιεῖσθαι λόγον, τὰ δὲ οἰκεῖα μεριμνᾷν καὶ συνεχῶς ἀναστρέφειν. οὐ γάρ ἐστιν, οὐκ ἔστιν οὐδὲν ἕτερον φάρμακον τοιοῦτον πρὸς τὴν τῶν ἁμαρτημάτων ἀναίρεσιν, ὡς ἡ συνεχὴς αὐτῶν ἀνάμνησις, καὶ ἡ διηνεκὴς αὐτῶν κατηγορία. οὕτως ὁ τελώνης τὰ μυρία ἠδυνήθη κακὰ ἀποθέσθαι, ἵνα εἴπῃ, ὁ Θεὸς, ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ· οὕτως ὁ Φαρισαῖος τῆς δικαιοσύνης ἁπάσης ἐξέπεσεν, ὅτι ἀφεὶς λογί- C ζεσθαι τὰ αὐτῷ πεπλημμελημένα, τὴν οἰκουμένην κατεδίκαζε, λέγων· οὐκ εἰμὶ ὡς οἱ λοιποὶ τῶν ἀνθρώπων, ἅρπαγες καὶ πλεονέκται, οὐδὲ ὡς οὗτος ὁ τελώνης. διὰ τοῦτο καὶ ὁ Παῦλος παρῄνει λέγων· ἕκαστος δὲ δοκιμαζέτω τὸ ἑαυτοῦ ἔργον, καὶ τότε εἰς ἑαυτὸν μόνον τὸ καύχημα ἕξει, καὶ οὐκ εἰς τὸν ἕτερον. βούλει μαθεῖν καὶ ἐν τῇ παλαιᾷ πῶς οἱ δίκαιοι κατηγόρησαν ἑαυτῶν; ἄκουε καὶ τούτων ἐκείνοις συνῳδὰ φθεγγομένων. ὁ μὲν γὰρ Δαβὶδ ἔλεγεν· αἱ ἀνομίαι μου ὑπερῆραν τὴν κεφαλήν μου· ὡσεὶ φορτίον βαρὺ ἐβαρύνθησαν ἐπ' ἐμέ. ὁ δὲ Ἡσαΐας ἐβόα· οἴμοι ὁ τάλας ἐγὼ, ὅτι ἄνθρωπος D ὢν καὶ ἀκάθαρτα χείλη ἔχων. καὶ οἱ τρεῖς παῖδες ἐν καμίνῳ διατελοῦντες, καὶ τὰ σώματα θανάτῳ διὰ τὸν Θεὸν παραδόντες, ἐν τοῖς ἐσχάτοις τῶν ἁμαρτωλῶν ἑαυτοὺς ἠρίθμουν, ἡμάρτομεν, ἠνομήσαμεν, λέγοντες. καίτοι τί λαμπρότερον ἐκείνων, τί καθαρώτερον ἦν; καὶ γὰρ εἰ καί τινας ἔσχον ἁμαρτίας πεποιηκότες, πάσας ἀπέσμηξε τῆς φλογὸς ἐκείνης ἡ φύσις. ἀλλ' οὐ πρὸς τὰ κατορθώματα ἑώρων τὰ οἰκεῖα, ἀλλὰ τὰ ἁμαρτήματα ἀνελογίζοντο. οὕτω καὶ Δανιὴλ μετὰ τὸν λάκκον τῶν λεόντων, μετὰ τὰς μυρίας τιμωρίας ἃς ὑπέμεινε, καὶ αὐτὸς ἑαυτοῦ κατηγορεῖ, τοῦ δὲ πλησίον οὐδείς. τί

διὰ τί ποτε; ὅτι ὁ μὲν ἑτέρους λέγων κακῶς, παροξύνει τὸν δεσπότην· ὁ δὲ ἑαυτὸν λέγων κακῶς, ἐξιλεοῖ καὶ καταλλάττει· καὶ τὸν δίκαιον δικαιότερον ἀπεργάζεται, καὶ τὸν ἁμαρτωλὸν ἐξαρπάζει τῶν ἐγκλημάτων καὶ συγγνώμης ἄξιον ποιεῖ. ταῦτ' οὖν εἰδότες, μὴ τὰ ἀλλότρια, ἀλλὰ τὰ οἰκεῖα πολυπραγμονῶμεν κακά· ἀναπτύξωμεν ἡμῶν τὸ συνειδός· ἀναμνησθῶμεν ἡμῶν τὴν ζωὴν ἅπασαν, ἕκαστον τῶν ἡμαρτημένων ἡμῖν περιεργασώμεθα· καὶ μὴ μόνον μὴ λέγωμεν κακῶς ἑτέρους, ἀλλὰ μηδὲ ἀκούωμεν ἑτέρων λεγόντων κακῶς. καὶ γὰρ καὶ τούτου ἔγκλημα κεῖται καὶ τιμωρία μεγίστη. ἀκοὴν γάρ, φησι, ματαίαν μὴ παραδέξῃ. οὐκ εἶπεν, ἀκοῇ ματαίᾳ μὴ πιστεύσῃς, ἀλλὰ μηδὲ δέξῃ αὐτήν. ἀπόφραξον τὰ ὦτα, ἀποτείχισον τῇ κατηγορίᾳ τὴν εἴσοδον· δεῖξον ὅτι τοῦ κατηγορουμένου οὐκ ἔλαττον αὐτὸς ὁ ἀκούων ἐχθρός εἶ καὶ πολέμιος τῷ κακῶς λέγοντι· μίμησαι τὸν προφήτην οὕτω λέγοντα, τὸν καταλαλοῦντα λάθρα τοῦ πλησίον αὐτοῦ, τοῦτον ἐξεδίωκον. οὐκ εἶπεν, ὅτι οὐκ ἐπίστευον, οὐδὲ ὅτι οὐ παρεδεχόμην τὰ λεγόμενα, ἀλλὰ καὶ ἀπήλαυνον, ὡς ἐχθρὸν καὶ πολέμιον. ἀλλ' εἰσί τινες, οἳ ψυχρᾷ παραμυθίᾳ ἑαυτοὺς παραμυθοῦνται, οὑτωσὶ λέγοντες· κύριε, μὴ στήσῃς μοι τὴν ἁμαρτίαν ταύτην, ὅτι ἀκοῆς λόγον ὀφείλω. τίς χρεία τῆς ἀπολογίας; τίς χρεία τῆς συγγνώμης ταύτης; σίγησον, καὶ ἀπήλλαξαι τῶν ἐγκλημάτων· μηδὲν εἴπῃς, καὶ καθαρὸς εἶ τῆς ἀγωνίας. τί σαυτῷ πράγματα πλέκεις, καὶ παρὰ Θεῷ, καὶ παρὰ ἀνθρώποις; τί ποιεῖς ὑπεύθυνον ἑαυτὸν ἐγκλημάτων; τί δὲ φορτίον βαρύτερον δεσμεῖς; οὐκ ἀρκεῖ σοι περὶ τῶν οἰκείων κακῶν εὐθύνας ὑπέχειν, ἀλλὰ καὶ ἑτέρας ἁμαρτίας ἐπισωρεύεις σαυτῷ; περιττὴ αὕτη ἡ ἀπολογία· οὐκ ἀκοῆς λόγον ὀφείλεις, ἀλλὰ κατηγορίας λόγον χρεωστεῖς. ὅταν γὰρ ἀκούσας, οὐ σιγήσῃς, οὐ τῆς ἀκοῆς λόγον μόνον ὀφείλεις, ἀλλὰ καὶ κατηγορίας. ἐκ γὰρ τῶν λόγων σου δικαιωθήσῃ, φησί, καὶ ἐκ τῶν λόγων σου κατακριθήσῃ. ταῦτα οὐχ ὑπὲρ τῶν κακῶς ἀκουόντων, ἀλλ' ὑπὲρ τῶν κακῶς λεγόντων δεδοικὼς λέγω καὶ διαμαρτύρομαι. ὁ μὲν γὰρ κακῶς ἀκούσας, οὐδὲν ἐπηρέασται, οὐδὲ ἐβλάβη· ἀλλ' ἂν μὲν ψευδῆ ᾖ τὰ περὶ αὐτοῦ λεγόμενα, καὶ μισθὸν ἔχει· ἂν δὲ ἀληθῆ, οὐδὲν οὐδὲ οὕτως ἐπηρέασται παρὰ τὴν σὴν κατηγορίαν. οὐδὲ γὰρ ἀπὸ τῆς σῆς λοιδορίας οἴσει τότε τὴν ψῆφον αὐτῷ ὁ δικάζων.

ita? quia nimirum is, qui cæteros maledictis incessit, dominum offendit: qui verò maledicta conijcit in seipsum, placat illum ac reconciliat sibi; & iustiorem reddit iustum, & peccatorem crimine liberat, ac venia dignum reddit. Quæ cum ita nota sint nobis, ne in aliena, sed in nostra mala curiosius inquiramus, excutiamus conscientiam nostram: vitam omnem nostram reminiscendo recognoscamus, quæ à nobis peccata sunt accuratè scrutemur, & non modo cæteros maledictis non incessamus, sed neque cæteros maledictis incessentes audiamus. Nam & huic rei crimen ac supplicium maximum est paratum: Auditionem enim, inquit, vanam non suscipies. Non dixit, auditioni vanæ minimè credes, sed ne suscipies quidem illam: aures obtura, criminationi aditum omnem interclude, neque minus inimicum & hostem esse te illius qui maledicit, quam sit ipse, qui accusatur, ostēde. Imitare prophetam, qui sic infit: Detrahentem secretò proximo suo hunc persequebar. Non dixit, non credebam, neque, non approbabam quæ dicebantur, sed etiam tanquā inimicum & hostem repellebam. Sed sunt nonnulli qui friuola quadam consolatione se consolantur dicentes: Domine ne statuas mihi hoc peccatum, quia rationem reddere auditionis debeo. Quid hac accusatione? quid hac venia est opus. Tace modò, & omni crimine liberaris: nihil dicas, & ab omni trepidatione immunis eris: cur tibi & apud Deum & apud homines negotium facessis? cur teipsum criminibus obnoxium reddis? Cur sarcinam grauiorem imponis? non sufficit tibi, de propriis delictis rationē reddas, sed & alia peccata tibi accumulas? superuacanea est hæc excusatio: non auditionis reddere rationem debes, sed accusationis reddēdæ rationi es obnoxius. Cū enim postquā audieras, nō silueris; non auditionis solum, sed etiā accusationis reddere rationē debes. Ex verbis enim tuis iustificaberis, inquit, & ex verbis tuis condēnaberis. Hæc ego non propterea dico ac denuntio, quod propter eos timeam, qui male audiūt, sed propter eos qui maledicunt. Nam qui male audiuit nulla cōtumelia, neq. dāno est affectus; sed si quidē falsa sint, quæ de illo dicuntur, etiā mercedē referet: sin autē vera, ne sic quidē accusatio tua notā ignominiæ vllam inussit. Neque enim ex vituperio tuo tum iudex in illum sententiam feret.

Exod. 23. 1.

Ps. 100. 6.

Matth. 12. 37.

Quod si mirum quid & insolitũ dicendum est, maximum etiã quęstum faciet, si cõuitia patienter ferat, queadmodum fecit publicanus. At is qui maledicit, seu vera sint, seu falsa, quę in proximum conijcit maledicta, maximo damno afficitur. Et calumniatorem quidem periisse, nulla est opus demonstratione: sibi vero illum grauius ac seuerius iudicium accersere, licet vera dicat, dum miserias proximi diuulgat, & scandalorum causam præbet, omnibus ea detegens, quæ occultanda potius fuerant, & proximi peccata prædicat, omnibus vtique manifestum est. Nam si qui vnum scandalizauerit, ineuitabiles pœnas dabit, is qui innumeros rumore malo sparso scandalizat, quo non supplicio plectetur? Pharisæus enim non mentiebatur, sed vera dicebat, dum publicanum vocabat publicanum, attamen pœnas dedit. Hæc igitur scientes, dilectissimi, maledicentiam fugiamus: neque enim grauius est isto nec facilius ac procliuius peccatum. Quid ita? quod nimirum celerius, quam vllum aliud peccatum feratur, & confestim eũ qui non attendit abripiat. Nam alia quidẽ peccata tempore indigent, & impensa, & dilatione, & adiutoribus, ac sępenumero intercedẽti aliqua temporis mora interrũpuntur. Exempli causa: statuit aliquis interficere, statuit aliquis furari, & aliena rapere: multa necesse est moliatur, & sæpe dũ differt, irã sedat, à prauo conatu resilit, sceleratã illã sententiã abijcit, neque consilium ad opus exitumq; perducit. At in maledicendo nõ ita fit, sed nisi attenti valde simus ac vigiles, facile abripimur: & neque tempore, neque dilatione, neq; impensa, neque molitione nobis vlla est opus, vt maledicamus: sed sufficit vt tantum velimus, & statim voluntas in opus exit. Sola quippe lingua est quæ inseruit. Quando igitur velox est malum, & facile nos circũstans peccatum, & pœna grauis ac suppliciũ, nec lucrum vllum, non paruũ, non magnũ, diligenter hunc morbum fugiamus, & aliena mala tegamus, neque propalemus; admoneamus peccantes, sicut & dicit Dominus; Si peccauerit in te frater tuus, vade, & corripe eum inter te, & ipsum solum. Itaq; quanto minus fuerit publica reprehensio, tanto facilius medicinam adhibebis. Ne mordeamus, neque arrodamus aliena vulnera, ne muscas imitemur,

Hebr. 12. 1. — *Matth. 18. 15.*

A εἰ δὲ χρή τι καὶ θαυμαστὸν εἰπεῖν, καὶ τὰ μέγιστα κερδανεῖ γενναίως φέρων τὴν βλασφημίαν, ὥσπερ οὖν καὶ ὁ τελώνης. ὁ δὲ κακῶς λέγων, ἄν τε ψευδῆ, ἄν τε ἀληθῆ κακῶς εἴπῃ τὸν πλησίον, τὰ μέγιστα ἠδίκηται. καὶ ὅτι μὲν ὁ συκοφαντῶν ἀπόλωλεν, οὐδὲ ἀποδείξεως χρεία· ὅτι δὲ, κἂν ἀληθῆ λέγῃ, φορτικώτερον ἑαυτῷ ποιεῖ τὸ δικαστήριον, ἐκπομπεύων τὰς τοῦ πλησίον συμφοράς, καὶ σκανδάλων αἴτιος γινόμενος, ἃ κρύπτειν δέον, ἐκκαλύπτων ἅπασι, καὶ κηρύττων τὰ ἁμαρτήματα τοῦ πλησίον, παντί που δῆλόν ἐστιν. εἰ γὰρ ἕνα B τις σκανδαλίσας ἀπαραίτητον δώσει τιμωρίαν, ὁ μυρίους σκανδαλίζων διὰ τῆς πονηρᾶς φήμης, πόσην οὐχ ὑποστήσεται κόλασιν; καὶ γὰρ ὁ Φαρισαῖος οὐκ ἐψεύδετο, ἀλλ' ἀληθῆ ἔλεγε, τελώνην καλῶν τὸν τελώνην, ἀλλ' ὅμως δίκην ἔδωκε. ταῦτ' οὖν εἰδότες, ἀγαπητοί, φεύγωμεν τὸ κακηγορεῖν· οὔτε γὰρ ταύτης χαλεπωτέρα, οὔτε εὐκολωτέρα ἐστὶν ἁμαρτία. τίνος ἕνεκεν; ὅτι πάσης παρανομίας ὀξύτερον δρᾶται, καὶ ταχέως συναρπάζει τὸν μὴ προσέχοντα. αἱ μὲν γὰρ ἄλλαι καὶ χρόνου δέονται, καὶ δαπάνης, καὶ μελλήσεως, C καὶ συνεργῶν, καὶ πολλάκις ἐν τῇ τοῦ χρόνου διατριβῇ διακόπτονται. οἷόν τι λέγω· εἵλετό τις φονεῦσαι, εἵλετό τις ἁρπάσαι καὶ πλεονεκτῆσαι. πολλῆς αὐτῷ δεῖ τῆς πραγματείας, καὶ ἐν τῷ μέλλειν πολλάκις ἐξέλυσε τὸν θυμὸν, ἀπέστη τῆς πονηρᾶς ὁρμῆς, κατέλυσε τὴν διεφθαρμένην γνώμην, οὐ προσέθηκε τὸ ἔργον τῇ βουλῇ. ἐπὶ δὲ τοῦ κακῶς λέγειν οὐχ οὕτως· ἀλλ' ἐὰν μὴ σφόδρα ὦμεν νήφοντες, συναρπαζόμεθα ῥαδίως· καὶ οὔτε χρόνου, οὔτε μελλήσεως, οὔτε δαπάνης, οὔτε πραγματείας ἡμῖν δεῖ τινος, ὥστε κακῶς εἰπεῖν· ἀλλ' ἀρκεῖ μόνον ἐθελῆσαι, καὶ εὐθέως εἰς ἔργον ἐξῆλθε D τὸ βούλημα. γλῶσσα γάρ ἐστιν ἡ ὑπηρετουμένη μόνον. ἐπεὶ οὖν καὶ ὀξύρροπον τὸ κακὸν, καὶ εὐπερίστατος ἡ ἁμαρτία, καὶ χαλεπὴ ἡ κόλασις καὶ ἡ ζημία, καὶ κέρδος οὐδὲν, οὐ μικρὸν, οὐ μέγα, μετὰ πολλῆς τῆς ἀκριβείας φεύγωμεν τὸ νόσημα· καὶ τὰ ἀλλότρια περιστέλλωμεν κακὰ, καὶ μὴ ἐκπομπεύωμεν· παραινῶμεν τοῖς ἁμαρτάνουσι, καθὼς καὶ ὁ κύριός φησιν· ἐὰν ἁμαρτήσῃ εἰς σὲ ὁ ἀδελφός σου, ὕπαγε, ἔλεγξον αὐτὸν μεταξὺ σοῦ καὶ αὐτοῦ μόνου. ὥστε τὸ ἀδημοσίευτον τοῦ ἐλέγχου εὐκολωτέραν ποιήσει τὴν θεραπείαν. μὴ δάκνωμεν, μηδὲ κατεσθίωμεν τὰ ἀλλότρια τραύματα· μὴ τὰς μυίας μιμησώμεθα,

ἀλλὰ τὰς μελίττας ζηλώσωμεν. αἱ μυῖαι τοῖς τραύμασιν ἐγκαθίζονται καὶ δάκνουσιν, αἱ μέλιτται τοῖς ἄνθεσιν ἐφίπτανται. διὰ τοῦτο αὗται μὲν κηρία πηγνύουσιν, ἐκεῖναι δὲ νοσήματα ἐπάγουσιν, οἷς ἂν ἐπικαθίσωσι σώμασι· καὶ αἱ μὲν εἰσὶ βδελυκταί, αἱ δὲ ποθειναὶ καὶ ἐπίδοξοι. καὶ ἡμεῖς τοίνυν τὸν λειμῶνα τῆς ἀρετῆς τῶν ἁγίων ἐπιπτῆναι τὴν ψυχὴν παρασκευάσωμεν, καὶ συνεχῶς τὴν εὐωδίαν τῶν παρ' ἐκείνοις κατορθωμάτων ἀνακινῶμεν, τὰ δὲ τραύματα μὴ δάκνωμεν τῶν πλησίον· ἀλλ' εἰ καί τινας ἴδωμεν τοῦτο ποιοῦντας, ἐπιστομίζωμεν, τὸν φόβον αὐτοῖς τῆς κολάσεως ἐπιτειχίζοντες, τῆς συγγενείας αὐτοὺς ἀναμιμνήσκοντες τῆς πρὸς τοὺς ἀδελφούς. Εἰ δὲ μηδενὶ τούτων εἴκοιεν, μυίας αὐτοὺς καλῶμεν, ἵνα κἂν τὸ ὄνειδος τῆς προσηγορίας ταύτης ἀποστήσῃ τῆς πονηρᾶς μελέτης αὐτούς· ἵνα τῆς κακοσχολίας ταύτης ἀπαλλαγέντες, πᾶσαν τὴν σχολὴν εἰς τὴν ἔρευναν τῶν οἰκείων ἀναλίσκωσι κακῶν. οὕτω γὰρ οἵ τε πεπτωκότες ἀναστήσονται τῇ μνήμῃ τῶν ἡμαρτημένων αὐτοῖς οὐκ ἐκπομπευομένων, οἵ τε τὰ οἰκεῖα ἀναλογιζόμενοι συνεχῶς κακά, ῥᾳδίως αὐτὰ ἀποθήσονται, τῇ μνήμῃ τῶν ἡμαρτημένων πρὸς τὴν τῶν λοιπῶν πρᾶξιν ὀκνηρότεροι γινόμενοι, οἵ τε τὴν ἀρετὴν τῶν ἁγίων ἐπισκοποῦντες συνεχῶς μείζονα λήψονται ζῆλον πρὸς τὴν τῶν αὐτῶν μίμησιν· καὶ διὰ τούτων ἁπάντων ὁλοκλήρου τοῦ σώματος τῆς ἐκκλησίας ἡμῖν κατορθωθέντος, δυνησόμεθα μετὰ τοῦ πληρώματος τούτου εἰς τὴν βασιλείαν τῶν οὐρανῶν εἰσελθεῖν· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ, καὶ μεθ' οὗ τῷ πατρὶ ἡ δόξα, ἅμα τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς ἀϊδίους τῶν αἰώνων, ἀμήν.

A sed apes æmulemur. Muscæ vulneribus insident, eaque mordent: apes in flores inuolant. idcirco istæ fauos cõcinnant, illæ morbos corporibus inuehunt, quibus insederint, atque hæ quidem detestandæ sunt, illæ vero amabiles sunt & nobiles. Et nos igitur faciamus vt in pratum virtutis sanctorum anima nostra inuolet, & suauem rectè factorum odorem ab illis effusum excitemus, proximorum verò vulnera ne vellicemus: quinimò si quos id agentes viderimus, os illis occludamus, supplicij metum illis obijciamus, & cognationis illis memoriam refricemus, quæ illis cum fratribus intercedit. Quod si nihil hoB rum illos moueat, muscas illos appellemus, vt huius saltem appellationis probro à prauo hoc instituto reuocentur: vt ab hoc inutili otio abducti malorum suorum inquisitioni otium omne impendant. Sic enim fiet, vt & qui lapsi sunt resurgant excitati memoria suorum criminum, quæ nequaquam fuerint diuulgata, & qui propria mala semper animo secum reputauerint, facile illa deponant, ac peccatorum suorum recordatione ad alia patranda tardiores reddantur, & qui sanctorum virtutem perpetuò fuerint contemplati, maiori zelo ad eorum imitationem C incendentur: atque his omnibus efficietur, vt toto Ecclesiæ corpore à nobis feliciter instaurato, cum hoc cœtu in regnum cœlorum intrare possimus. Quod vtinam nobis omnibus assequi contingat, gratia & benignitate domini nostri Iesu Christi, per quem & cum quo gloria vna cum Spiritu sancto, nunc & semper, & in secula seculorum, Amen.

D

A

Sancti Patris nostri

IOANNIS CHRYSOSTOMI ARCHIEPISCOPI Constantinopolitani, in Psalmum XIII.

Gentiano Herueto interprete.

Dixit insipiens in corde suo: Non est Deus.

A simili orditur.

QVEMADMODVM cùm dominus iniuria afficitur, bonus seruus, vt qui sit in primis beneuolus, ægrè fert & indignatur: ita etiam dum Deus nihili ducitur, Dei Propheta impium corrigit, dicens, vt audisti: Dixit insipiens in corde suo, non est Deus. Quemadmodum enim seruus qui amat dominum, postquam intellexit suos conseruos habere dominum despicatui, vt ostendat suam in eum beneuolentiam, ad eum vlciscendum se comparat, & vel manibus suis vlciscitur eum qui illum affecit iniuria, vel traducit reddens omnibus exosum, vel ad correctionem & metum aliorum, domino renunciat, & vt grauioribus plagis afficiatur, procurat, in eum qui seditionem excitauit, tanquam in proteruum & rebellem bellum gerens: ita etiam Propheta cùm intellexit creatorem ignominia affici à creatura, & figulum à luto contumeliis incessi, & Deum ab impio ludibrio haberi ac nihili pendi, perinde ac si lapidis ictum in corde accepisset, & dolorem non ferret, exclamauit, Dixit insipiẽs in corde suo: Non est Deus. Vide autem quàm aptè Psalmo qui præcedit coniungitur. Quia enim in illo ægrè ferens dixerat, Vsquequo Domine obliuisceris me in finem: & paulò post, Vsquequo exaltabitur inimicus meus super me, insipiens dicens non esse Deum (qui enim aduersus Deum extollitur, multò magis extolletur aduersus Dei Prophetas:

Altero confirmat.

Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν

ΙΩΑΝΝΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΚΩΝΣΤΑΝτινουπόλεως τοῦ Χρυσοστόμου εἰς τὸν ιγʹ. ψαλμόν.

B

Εἶπεν ἄφρων ἐν καρδίᾳ αὐτοῦ· οὐκ ἔστι Θεός.

ΩΣΠΕΡ ὑβριζομένου δεσπότου, ὁ καλὸς οἰκέτης, ὡς εὐνούστατος ἀγανακτεῖ, οὕτω καὶ ἀθετουμένου Θεοῦ, ὁ προφήτης τοῦ Θεοῦ τὸν ἄθεον παιδαγωγεῖ λέγων, ὡς ἤκουσας· εἶπεν ἄφρων ἐν καρδίᾳ αὐτοῦ, οὐκ ἔστι Θεός. ὥσπερ γὰρ δοῦλος φιλοδέσποτος μαθὼν, ὅτι οἱ σύνδουλοι αὐτοῦ, ἀθετοῦσιν αὐτῶν τὸν κύριον, εἰς ἀπόδειξιν εὐνοίας πρὸς C ἐκδικίαν παρασκευάζεται, καὶ ἢ χερσὶν ἰδίαις τὸν ὑβριστὴν ἀμύνεται, ἢ πᾶσιν ἐκπομπεύει μισητὸν αὐτὸν ποιῶν, ἢ εἰς σωφρονισμὸν καὶ φόβον τῶν ἄλλων, ἀπαγγέλλει τῷ δεσπότῃ καὶ βαρυτέραις πληγαῖς ἔκδοτον ἐργάζεται τὸν στασιάσαντα πολεμῶν, ὡς ἀντάρτην δεύτερον· οὕτως ὁ προφήτης μαθὼν τὸν κτίστην ὑπὸ τοῦ κτίσματος ἀτιμαζόμενον, καὶ τὸν κεραμέα ὑπὸ τοῦ πηλοῦ ὑβριζόμενον, καὶ τὸν Θεὸν ὑπὸ τοῦ ἀθέου ἀθετούμενον, ὡς λίθου πληγὴν εἰς τὴν καρ- D δίαν λαβὼν, καὶ τὸν πόνον μὴ φέρων ἀνεβόα· εἶπεν ἄφρων ἐν καρδίᾳ αὐτοῦ, οὐκ ἔστι Θεός. ἴδε γὰρ πῶς ἁρμονίαν ἀσπάζεται πρὸς τὸν πρὸ αὐτοῦ ψαλμόν. ἐπειδὴ ἐν ἐκείνῳ ἀγανακτῶν ἔλεγεν· ἕως πότε κύριε ἐπιλήσῃ μου εἰς τέλος· καὶ μετ' ὀλίγον, ἕως πότε ὑψωθήσεται ὁ ἐχθρός μου ἐπ' ἐμέ· ὁ ἄφρων λέγων μὴ εἶναι Θεόν· ὁ γὰρ κατὰ τοῦ Θεοῦ ὑψούμενος, πολλῷ μᾶλλον καὶ κατὰ τῶν τοῦ Θεοῦ προφητῶν ὑψωθήσεται), καὶ ὁ

καὶ ὁ κατὰ τοῦ δεσπότου ἐπαιρόμενος, καὶ κατὰ τῶν συνδούλων ἐπαρθήσεται. ὃς ἐρωτηθεὶς, καὶ διὰ τί ὀδυνᾶσαι τὴν καρδίαν ἡμέρας, καὶ νυκτός; τὰ δὲ νῦν ἀποκρίνεται· διὰ τί ὀδυνῶμαι; ὅτι εἶπεν ἄφρων ἐν καρδίᾳ αὐτοῦ· οὐκ ἔστι Θεός. ἀποστροφὴν Θεοῦ νομίζω, τὴν μετὰ τοῦ ἀθέου συναναστροφήν· λήθην αὐτοῦ περὶ ἐμοῦ ὑποπτεύω, τὴν μετ' αὐτοῦ ζωήν. ὀδύνη γὰρ καὶ παροξυσμὸς τῷ ἁγίῳ ἡ τῶν ἀθέων ἀσέβεια. οὕτω καὶ περὶ τοῦ Παύλου εἴρηται. ἐν δὲ ταῖς Ἀθήναις ἐκδεχομένου τοῦ Παύλου τοὺς περὶ τὸν Τιμόθεον, παρωξύνετο τὸ πνεῦμα αὐτοῦ, θεωροῦντι κατείδωλον οὖσαν τὴν πόλιν. διὰ τί ἀσεβεῖς ζῶσι; ταῦτα ὁ Δαβὶδ καθ' ἱστορίαν περὶ τοῦ Σαούλ, διὰ τὴν ἐγγαστρίμυθον. εἶπεν, ὡς καὶ τὸν νβ' διὰ τὸν Δωήκ, τὰ αὐτὰ περιέχοντα. εἶπεν ἄφρων Σαούλ· ζητήσατέ μοι γυναῖκα ἐγγαστρίμυθον, καὶ ζητήσατε. ἄλλος Ἀδὰμ γέγονεν ὑπὸ γυναικὸς ἀπατώμενος. λέγει αὐτῇ· μάντευσαί μοι ἐν τῇ ἐγγαστριμύθῳ· καὶ καταλιπὼν τὴν προφητείαν, εἰς μαντείαν ἐκτραχηλιάζεται. εἶπεν ἄφρων ἐν καρδίᾳ αὐτοῦ, οὐκ ἔστι Θεός. ἀσφαλισώμεθα ἀδελφοὶ, μὴ εἰς τὸ τοῦ ἄφρονος ἐμπέσωμεν ναυάγιον, λόγοις αὐτὸν ὁμολογοῦντες, ἔργοις δὲ ἀρνούμενοι· ἀγαθὸν, καὶ ἐλεήμονα λέγοντες, μὴ ἐλεοῦντες δὲ νοσοῦντα, ἢ πένητα, ἢ θλιβόμενον· καὶ ὅτι οὐ μόνον διὰ λόγων, ἀλλὰ καὶ δι' ἔργων τις ἀρνεῖται Θεόν· καὶ Χριστιανὸς ὀνομαζόμενος ἴσα τῷ ἄφρονι λέγει, οὐκ ἔστι Θεός. μάρτυς ὁ ἀπόστολος εἰπών. Θεὸν ὁμολογοῦσιν εἰδέναι, τοῖς δὲ ἔργοις ἀρνοῦνται. ὅσῳ δὲ τὰ ἔργα τῶν λόγων πρὸς πεισμονὴν ἰσχυρότερα, τοσοῦτον τὸ ἔργοις ἀρνεῖσθαι τὸν Θεὸν ὑπὲρ τὸ εἰπεῖν ἐν στόματι, ἢ καρδίᾳ, βαρύτερον. εἶπεν ἄφρων. ὁ ἐν τῷ στόματι λέγων ἀγαπήσω σε κύριε, καὶ ἐν τῇ καρδίᾳ μισῶν τὸν ἀδελφὸν αὐτοῦ, πῶς τὸν Θεὸν ἀγαπᾷ; παρακούων τοῦ εἰπόντος· ἀγαπήσεις κύριον τὸν Θεόν σου, καὶ τὸν πλησίον σου ὡς σεαυτόν; ὁ δεσπότης λέγει. ὅτι ὁ ἀγαπῶν με, τοὺς λόγους μου τηρεῖ. οὐκοῦν ὁ μὴ τηρῶν, οὐκ ἀγαπᾷ. στόματι λέγει Θεὸν, τῇ δὲ καρδίᾳ λέγει· οὐκ ἔστι Θεός. μάρτυς ὁ κύριος λέγων· ὁ λαὸς οὗτος τῷ στόματί με τιμᾷ. τῇ δὲ καρδίᾳ αὐτοῦ πόρρω ἀπέχει ἀπ' ἐμοῦ. εἶπεν ἄφρων ἐν καρδίᾳ αὐτοῦ· οὐκ ἔστι Θεός. ὅτι δὲ ὁ μισῶν τὸν ἀδελφὸν αὐτοῦ οὗτος καὶ τὸν Θεὸν μισεῖ, κἂν τῷ στόματι βοᾷ καὶ κράζῃ, ὅτι ἀγαπᾷ Θεὸν λέγει ὁ εὐαγγελιστὴς Ἰωάννης ἐν τῇ ἐπιστολῇ·

& qui contra dominum erigitur, etiam aduersus conseruos erigetur) quasi interrogatus curnam die & nocte excruciatur, hæc nunc respondet: Cur excrucior rogas? Quoniam dixit insipiẽs in corde suo: Non est Deus. Cum impio cõuersationem existimo esse à Deo auersionem. Deum mei esse oblitum suspicor, quòd vnà cum ipso viuam. Sancto enim est cruciatus, & ad iram prouocatio impiorum impietas. Ita etiam de Paulo dictum est. Athenis autem cùm Paulus expectaret Timotheũ, incitabatur spiritus eius, videns idololatriæ deditam ciuitatem, Cur, ait, viuunt impij? Hoc Dauid dixit de Saule vt secundum historiã, propter ventriloquam, quemadmodum etiam 52. Psal. propter Doëc, qui eadem continet: Dixit insipiens Saul: Videte mihi mulierem ventriloquam, & quærite. Alius Adam à muliere deceptus est. Dicit autem ei: Diuina mihi in Pythone, & relicta prophetia deturbatur ad diuinationem. Dixit insipiens in corde suo: Non est Deus. Muniamus nos fratres, ne in insipiẽtis naufragium incidamus, verbis ipsum fatentes, factis autem negantes: bonum & misericordem vocantes, eius autem qui ægrotat, vel pauper est, aut affligitur, non miserentes. Et quod non solum verbis, sed etiam factis quis neget Deum, & qui Christianus nominatur, eadem dicat, quæ insipiens, Non est Deus: testis est Apostolus, qui dicit: Deũ fatentur se scire, factis autem negant. Quantò sunt autẽ facta potentiora verbis ad persuadendum, tantò factis quàm dictis Deũ negare ore vel corde grauius. Dixit insipiens in corde suo: Nõ est Deus. Qui in ore dicit, Diligam te Domine, & in corde fratrem habet odio, quomodo Deum diligit, non obediens ei qui dicit, Diliges Dominum Deum tuum, & proximum tuum sicut teipsum? Dominus dicit: Qui diligit me, sermones meos seruat. Qui ergo non seruat, nõ diligit. Ore dicit Deum, & corde dicit: Non est Deus. Testis est Dominus, qui dicit: Populus hic ore me honorat, cor autem eorum longè est à me. Dixit insipiens in corde suo: Non est Deus. Quod autem qui fratrẽ suum habet odio, is etiã Deum odit, licet ore clamet ac vociferetur se Deum amare, dicit Ioannes Euangelista in Epistola:

Act. 7.
Iob. 21.
1. Reg. 28.
Tit. 1.
Factis quã dictis Deũ negare grauius est.
Deut. 6.
Ioan. 14.
Esa. 29.
Matth. 15.
Marc. 3.
1. Ioan. 4.

Qui dicit se Deum amare, & fratrem suum odit, mendax est. Si enim fratrem suum quem videt, non diligit: Deum quem nō videt, quomodo diliget? Cùm ergo qui talis est, se Deum scire fatetur, & non apertè negat, is impietatem in corde fabricatur. Dixit insipiens in corde suo: Non est Deus. Vnde hanc sententiam confirmans propheta dicit inferius: Nónne cognoscent omnes qui operantur iniquitatem, qui Deum confitentur verbis, factis autem negant? Qui deuorant plebem meam in cibum panis: Dominum non inuocauerunt. Deū enim fatentur scire: sed quoniam factis negarunt, inuocantes non inuocarunt. ipse dominus dicit: Cur me vocatis domine, domine, & non facitis quæ dico? Omnis, inquit, qui peccat, non agnouit dominum: dicit Ioannes. Cùm enim vitiū virtutes persequatur, pietas quoque vnà cedit ac religio, vt quæ ideo adsint, quòd id non adsit. Ita etiam filij Heli, filij pestilentes Dominum quoque nesciebant, non eò quod Dominum ore negarent, sed quòd turpia facerēt in tabernaculo. Et qui dant fœnori pecuniam, Deum non nouerunt. Ipse dicit: Vsura super vsuram, dolus super dolum, noluerunt me nosse (dicit dominus) qui dixi, Si fratri tuo pauperi dederis mutuò pecuniam, non eum vrgebis, non impones ei vsuram. Non est Deus. Et quomodo quæ sunt post Deum? Non est Deus. Et quomodo quæ sunt per Deum? Non est Deus. Et quomodo omnis lingua hominis Deum nominat? Falluntur ergo omnes hominū myriades quę Deū esse dicunt, & solus insipiens se putat verum dicere, qui solus ita mentitur? Et qui quinque quidem vel septem testimonia vult in testamentis euertere, per consensum reprobatur ac reijcitur quando iudicat veritas; publicam autem totius orbis & vniuersam mūdi linguam solus vult insipiens euertere? Et quomodo non est verè reprobus insipiens, & seipso insipientior? Insipiens in negando, in se impudenter gerendo insipientior. Quamuis enim mundi homines de Deo diuersas sententias germinauerint, nominis tamen fundamentum nemo labefactauit. Dixit insipiēs in corde suo: Non est Deus. Non est fundamentum, & quonam modo stat ędificiū? Non est carina,

Psal. 13. 4. — Luc. 6. 46. — 1. Ioan. 3. 6. — 1. Reg. 2. 12. — Ezech. 22. 12. — Exod. 22. 25.

Elidit hæresim de Deo metaphoris. Vt densa est ac vehemens exaggeratio.

A ὁ λέγων τὸν Θεὸν ἀγαπᾷν, καὶ τὸν ἀδελφὸν αὐτοῦ μισῶν, ψεύστης ἐστίν. εἰ γὰρ τὸν ἀδελφὸν αὐτοῦ, ὃν ἑώρακεν οὐκ ἀγαπᾷ, τὸν Θεὸν, ὃν οὐχ ἑώρακε, πῶς ἀγαπήσει; ἐπεὶ οὖν Θεὸν ὁμολογεῖ εἰδέναι ὁ τοιοῦτος, καὶ μὴ φανερῶς ἀρνούμενος ἐν τῇ καρδίᾳ τὴν ἀσέβειαν χαλκεύει. εἶπεν ἄφρων ἐν καρδίᾳ αὐτοῦ· οὐκ ἔστι Θεός. ὅθεν ταύτην τὴν ἔννοιαν βεβαιῶν ὁ προφήτης ὑποκατιὼν λέγει· οὐχὶ γνώσονται πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν. οἱ Θεὸν ὁμολογοῦντες τοῖς λόγοις, τοῖς δὲ ἔργοις ἀρνούμενοι. οἱ κατεσθίοντες τὸν λαόν μου ἐν βρώσει ἄρτου· B τὸν κύριον οὐκ ἐπεκαλέσαντο. Θεὸν γὰρ ὁμολογοῦσιν εἰδέναι· ἐπειδὴ τοῖς ἔργοις ἠρνήσαντο, ἐπικαλούμενοι οὐκ ἐπεκαλέσαντο. αὐτὸς ὁ κύριος λέγει· τί με καλεῖτε κύριε, κύριε, καὶ οὐ ποιεῖτε ἃ λέγω; πᾶς, φησιν, ὁ ἁμαρτάνων, οὐκ ἐπέγνωκε τὸν Θεόν· ὁ Ἰωάννης λέγει. διωκομένων γὰρ ὑπὸ τῆς ἁμαρτίας τῶν ἀρετῶν, καὶ ἡ εὐσέβεια συναναχωρεῖ. τῷ παρεῖναι ἐν τῷ μὴ παρεῖναι ἔχουσα. οὕτως οἱ υἱοὶ Ἠλεὶ, υἱοὶ λοιμοὶ, καὶ οὐκ εἰδότες τὸν κύριον οὐκ ἐν τῷ ἀρνεῖσθαι αὐτὸν διὰ στόματος, ἀλλ' ἐν τῷ τὰς αἰσχρουργίας αὐτῶν τελεῖν ἐν τῇ σκηνῇ. C καὶ οἱ τοκίζοντες τὸν Θεὸν οὐκ οἴδασιν. αὐτὸς λέγει· τόκος ἐπὶ τόκῳ, καὶ δόλος ἐπὶ δόλῳ, οὐκ ἠθέλησαν εἰδέναι με, λέγει κύριος· τὸν εἰπόντα ἐὰν ἐκδανείσῃς ἀργύριον τῷ ἀδελφῷ τῷ πενιχρῷ, οὐκ ἔσῃ αὐτὸν κατεπείγων, οὐκ ἐπιθήσεις αὐτῷ τόκον. οὐκ ἔστι Θεός. καὶ πῶς μετὰ Θεόν; οὐκ ἔστι Θεός; καὶ πῶς τὰ διὰ Θεὸν, οὐκ ἔστι Θεός; καὶ πῶς πᾶσα γλῶσσα ἀνθρώπου ὀνομάζει τὸν Θεόν; ἆρα πᾶσαι αἱ μυριάδες τῶν ἀνθρώπων σφάλλονται λέγουσαι εἶναι Θεὸν, καὶ μόνος ὁ ἄφρων νομίζει ἀληθεύειν, ὁ μόνος οὕτως ψευδόμενος; καὶ D ὁ μὲν πέντε, ἢ ἑπτὰ μαρτυρίας ἐν διαθήκαις ἀνατρέψαι θέλων, συγκαταθέσει ἀποδοκιμάζεται. ὅταν δικάζῃ ἡ ἀλήθεια· τὴν δὲ οἰκουμενικὴν, καὶ πάνδημον γλῶσσαν τοῦ κόσμου, μόνος ὁ ἄφρων ἀνατρέψαι βούλεται. καὶ πῶς οὐκ ἀδόκιμος ὄντως ἄφρων, καὶ ἑαυτοῦ ἀφρονέστερος; ἄφρων ἐν τῷ ἀρνεῖσθαι, ἀφρονέστερος ἐν τῷ ἀναιδεύεσθαι. κἂν γὰρ οἱ τοῦ κόσμου ἄνθρωποι διάφορον περὶ Θεοῦ ἐβλάστησαν ἔννοιαν, ἀλλ' ὅμως τὸν θεμέλιον τοῦ ὀνόματος, οὐδεὶς περιεσάλευσεν. Εἶπεν ἄφρων ἐν καρδίᾳ αὐτοῦ· οὐκ ἔστι Θεός. οὐκ ἔστιν ὁ θεμέλιος, καὶ πῶς ἕστηκεν ἡ οἰκοδομή; οὐκ ἔστιν ἡ τρόπις,

καὶ πῶς τὸ πλοῖον συνέστηκεν; οὐκ ἔστιν ὁ ναυπηγὸς, καὶ πῶς ἡ ναῦς ἡρμολόγηται; οὐκ ἔστιν ὁ οἰκοδόμος, καὶ πῶς ἡ οἰκία γέγονεν; οὐκ ἔστιν ὁ ἀρχιτέκτων, καὶ τίς τὴν πόλιν ἔκτισεν; οὐκ ἔστιν ὁ γεωργὸς, καὶ πῶς αἱ χῶραι τὰ δράγματα ἤνεγκαν; οὐκ ἔστιν ὁ μουσικὸς, καὶ πῶς ἐν τῇ λύρᾳ τοῦ κόσμου τὸ μέλος ὑφαίνεται; οὐκ ἔστιν ὁ προνοητὴς, καὶ πῶς διὰ πάντων ὁδεύει ἡ πρόνοια. οὐκ ἔστιν ὁ ἡνίοχος, καὶ πῶς τὰ ἅρματα τῶν τεσσάρων στοιχείων ἐλαύνεται; οὐκ ἔστιν ὁ ἀνδριαντοποιὸς, καὶ πῶς οἱ ἄνθρωποι ὡς ἀνδριάντες ἐν τῷ κόσμῳ γεγόνασιν; οὐκ ἔστιν ὁ καμαροποιὸς, καὶ τίς σοι τὸν οὐρανὸν ἐκαμάρωσεν; οὐκ ἔστιν ὁ χρυσοχόος, καὶ τίς σοι ὡς ὁλόχρυσον δίσκον, ὡς ἐν τραπέζῃ τὸν ἥλιον ἐν οὐρανῷ ἔθηκεν; οὐκ ἔστιν ὁ λαμπαδοῦχος, καὶ τίς σοι ὡς ἀργυρᾶν λαμπάδα ἐν νυκτὶ τὴν σελήνην δέδωκεν; οὐκ ἔστιν ὁ φωτίζων, καὶ τίς σοι φωταγωγοὺς, καὶ φεγγίτας τοὺς φωστῆρας ἔδωκεν; οὐκ ἔστιν ὁ ποιῶν φῶτα μεγάλα μόνος, καὶ τίς σοι τὴν λυχναψίαν τῶν ἀστέρων εἰς τὸ ὕψος ἔθηκε, κατὰ τὸν προφήτην τὸν λέγοντα, Τῷ ποιοῦντι φῶτα μεγάλα μόνῳ, τὸν ἥλιον εἰς τὰς ἀρχὰς τῆς ἡμέρας, καὶ τὴν σελήνην εἰς τὰς ἀρχὰς τῆς νυκτός; οὐκ ἔστιν ὁ δημιουργὸς, καὶ πῶς ἡ καλλονὴ τῶν κτισμάτων, τὸν κτίστην μαρτύρεται; ἐκ γὰρ μεγέθους, καὶ καλλονῆς κτισμάτων, ἀναλόγως ὁ δημιουργὸς αὐτῶν θεωρεῖται. εἶπεν ἄφρων ἐν καρδίᾳ αὐτοῦ· οὐκ ἔστι Θεός. πάντα τὰ ἐν τῷ κόσμῳ γινόμενα, καὶ πραττόμενα, καὶ ἐνεργούμενα, ἔχει τὸν ἐφεστῶτα, καὶ ἀνύοντα, καὶ μόνος ὁ κόσμος· οὐκ ἔχει τὸν κοσμοῦντα; εἰ οὐκ ἔστι Θεός. τί ποιεῖς ἐν τοῖς τοῦ Θεοῦ; ἐν τῇ οἰκίᾳ τοῦ Θεοῦ μένεις, καὶ τὸν δεσπότην τοῦ οἴκου ἀρνῇ; ἢ δὸς τὸ ἐνοίκιον τὴν εὐχαριστίαν, ἢ τοῦ οἴκου ἔξελθε. τί καὶ τὸν οἶκον καπνίζεις βλασφημίας ἐρυγῇ; ἄφρονα δὲ λέγει νῦν, οὐ τὸν ἔκφρονα, ἢ τὸν παράφρονα, ἢ λειπόφρονα, ἀλλὰ τὸν κακόφρονα. οὐ τὸν τῆς ἐμφύτου καὶ κοινῆς φρονήσεως τῶν ἀνθρώπων ἐστερημένον, ἀλλὰ τὸν τὴν μίαν τεσσάρων ἀρετῶν τὴν φρόνησιν ἀποστραφέντα, τὴν λαμπάδα τῆς ψυχῆς, τὴν βασιλίδα τῶν λογισμῶν, τὴν διδάσκαλον τῶν καλῶν· περὶ ἧς ὁ παροιμιαστὴς ἔλεγε, καὶ ὁ κτώμενος φρόνησιν ἀγαπᾷ ἑαυτόν. καὶ πάλιν· κτῆσαι σοφίαν, κτῆσαι σύνεσιν, μὴ ἐπιλάθῃ. οὐκ ἂν δὲ τῷ τὸ ἡγεμονικὸν βλαβέντι,

A & quomodo consistit nauigium? Non est fabricator nauis, & quonam modo nauis cōparata est? Non est ædificator, & quomodo domus facta est? Nō est architectus, & quis vrbem condidit? Non est agricola, & quomodo agri tulere manipulos? Non est musicus, & quomodo in mundi lyra apparet concentus? Non est qui prouideat, & quomodo per omnia peruadit prouidentia? Non est auriga, & quomodo elementorum quatuor currus agitur? Nō est statuarius, & quomodo homines veluti quædam statuæ in mundo facti sunt? Non est fornicis B constructor, & quis tibi cœli fornicem construxit? Non est aurifex, & quis veluti discum aureum tanquam in mensa solem in cœlo posuit? Non est qui ferat lampadē, & quis tibi veluti lampadem argenteam dedit lunam in nocte? Non est qui illuminet, & quis tibi clara & lucem præbētia dedit luminaria? Non est qui faciat solus magna lumina, & quis accensos astrorum lychnos tibi in cœlo posuit: quemadmodū dicit propheta: Qui facit luminaria magna solus, Solem, vt præsit diei: & Lunam, vt præsit nocti. Non est opifex, & quomodo pul- C chritudo creaturarum testatur creatorem? Ex magnitudine enim & pulchritudine creaturarum per proportionem earum opifex consideratur. Dixit insipiens in corde suo: Non est Deus. Quæcunque in mundo fiunt, aguntur, & exercentur, habent qui eis pręsit, eáq. perficiat: & solus mundus non habet qui eū administret? Si nō est Deus, quid facis in iis quę Dei sunt? In domo Dei manes, & domū Dei inficiaris? Vel da mercedem domus, gratiarum actionem, vel domo egredere: cur etiam fumo eructari maledicti ac blasphemiæ domum imples? Insipientem autem nunc dicit, D non eum qui est emotæ mentis, vel qui delirat, aut sensu minus valet, sed eum qui male sentit; non eum qui insita & cōmuni hominum prudentia priuatus est, sed eum cui prudentia, quæ vna est ex quatuor virtutibus, peruersa est, quæ quidē prudentia est lucerna animæ, regina cogitationū, magistra eorum quæ bona sunt & honesta: de qua dixit scriptor Prouerbiorū: Et qui possidet prudentiam, amat seipsum. Et rursus: Posside sapientiam, posside prudentiam, & intelligētiam, ne obliuiscaris. Ei autem cui læsa est principalis animæ facultas,

Ps. 135. 7.

Sap. 13. 5.

Reuincit argumentū à minori.

Insipiens quis intelligatur.

Prudentia.

Prou. 4. 5.

& insitam amisit prudentiam, intelligentiáque & mente priuatus est, non dicebat: Acquire sapientiam & scientiam. Nam etsi maximè velit, non potest, vt qui prudentiæ instrumentum perdidit. Et vt intelligas quòd qui nūc dicitur insipiens, non erat naturali priuatus intelligentia, vide quantum valebat prudentia. Neque enim lingua dixit, Non est Deus: neque per os locutus est, sed in corde celauit improbitatem. Sciebat enim se in periculo futurum, si id eructasset. Quoniam enim qui illis temporibus Deum blasphemabat, vel eum inficiabatur, lapidibus obruebatur (testis est Nabuthæ, qui tanquam blasphemus condemnatus est) ne huic improbè sentienti idipsum vsuueniret, in corde impietatem insculpsit, impietatis templum cor suum constituens. Dixit insipiens in corde suo: Non est Deus. Si enim fuisset emotæ mentis & naturali caruisset prudentia, non in corde solùm, sed ore etiam dixisset: Non est Deus: nec apud Deum, nec apud homines vocatus esset in periculum. Si enim imperator, (qui est totius orbis auriga) sæpe ab insipiente & stulto contumelia affectus, sustinet, naturæ ductus misericordia, quam transuersam rapit animi perturbatio: multò magis eum qui est natura insipens, blasphemantem nec Deus, nec homo vltus esset, sed vt hominem stulta loquentem dignum venia iudicasset. Et ideo qui sunt à dæmone correpti, vel furore perciti, non censentur blasphemare. Porrò autem quicunque multos deos adorat, dicit: Non est Deus. Quemadmodum enim maritorum multitudo efficit, vt non censeatur maritus (quinque enim viros habuisti, & nunc quē habes, non est vir tuus) ita etiam multorum deorum cultus est impietas, & perinde est ac si nullum colas. Multorum enim deorum admissio, est vnius negatio. Et quòd qui multos deos colunt, sint impij, & Deum non habent, audi Apostolum scribentem ad Ephesios: Vos aliquando gentes, quando eratis in illo tempore sine Christo, abalienati à cōuersatione Israël spem non habentes, & sine Deo in mundo. Et quomodo Ephesij sine Deo? Hinc simulachra: illinc imagines: illic neocoros Diana, illic Demetrius argentarius, qui faciebat templa Dianæ argentea: tantus est grex deorū, & quomodo sunt absque Deo Ephesij?

Exod. 24. 3. Reg. 21.

Mente captorū blasphemia nō vindicatur.

Ioan. 4. 18.

Ephes. 2. 4.

Act. 19.

A καὶ τὴν ἔμφυτον φρόνησιν ἀποβαλόντι, καὶ τὸν νοῦν πηρωθέντι, ἔλεγε· κτῆσαι σοφίαν, καὶ σύνεσιν. ἐπεὶ κἂν θέλῃ οὐ δύναται ἀπολέσας τὸ τῆς φύσεως ὄργανον. καὶ ὅτι ὁ λεγόμενος νῦν ἄφρων, οὐκ ἦν τὴν κατὰ φύσιν ἐστερημένος φρενῶν, βλέπε ὅπως δριμύτατος ἦν ἐν φρονήσει, ἀφ᾽ ὧν τὸ οὐκ ἔστι Θεὸς διὰ γλώττης οὐκ εἶπεν, οὐδὲ διὰ στόματος ἐξήλασεν, ἀλλ᾽ ἐν τῇ καρδίᾳ τὴν κακίαν ἔκρυψεν. ᾔδει γὰρ ὅτι κινδυνεύσει ταύτην ἐρευξάμενος. ἐπειδὴ γὰρ ἐν ἐκείνοις τοῖς καιροῖς, ὁ τὸν Θεὸν βλασφημῶν, ἢ τοῦτον ἀρνούμενος ἐλιθάζετο, καὶ μάρτυς ὁ Ναβουθαί, ὡς βλάσφημος κρινόμενος· ἵνα μὴ τοῦτο πάθῃ, ὁ πονηρόφρων ἐν καρδίᾳ τὴν ἀθεΐαν ἔγλυψε, ναὸν τῆς ἀσεβείας τὴν ἑαυτοῦ καρδίαν ποιησάμενος. εἶπεν ἄφρων ἐν καρδίᾳ αὐτοῦ, οὐκ ἔστι Θεός. εἰ γὰρ ἦν λειπόφρων, καὶ τὴν κατὰ φύσιν φρενῶν ἔρημος, οὐ λέγει ἐν καρδίᾳ μόνον, ἀλλὰ καὶ διὰ στόματος εἰρήκει, οὐκ ἔστι Θεός· οὔτε παρὰ τῷ Θεῷ, οὐκ ἂν οὔτε παρὰ ἀνθρώποις ἐκινδύνευσεν. εἰ γὰρ βασιλεὺς πολλάκις ὁ τῆς οἰκουμένης ἡνίοχος ὑπὸ ἄφρονος καὶ μωροῦ ὑβριζόμενος ἀνέχεται ἐλεῶν τὴν φύσιν, ἣν τὸ C πάθος ἐλῄστευσε, πολλῷ μᾶλλον τὸν κατὰ φύσιν ἄφρονα βλασφημοῦντα, οὐκ ἂν οὔτε Θεός, οὔτε ἄνθρωπος ἠμύνατο, ἀλλ᾽ ὡς ἄνθρωπον παραλαλοῦντα, συγγνώμης ἠξίωσε. διὸ καὶ οἱ δαιμονιῶντες, ἢ μανέντες, βλασφημοῦντες οὐ κρίνονται. καὶ πᾶς δὲ ὁ τὸ πολύθεον θρησκεύων, λέγει· οὐκ ἔστι Θεός. ὡς γὰρ ἡ πολυανδρία ἀνανδρία· πέντε γὰρ ἄνδρας ἔσχες, καὶ νῦν ὃν ἔχεις, οὐκ ἔστι σου ἀνήρ· οὕτω καὶ τὸ πολύθεον ἄθεον. ἡ γὰρ τῶν πολλῶν Θεῶν παρείσδυσις, τοῦ ἑνὸς ἀπόστασίς ἐστι· καὶ ὅτι οἱ πολύθεοι ἄθεοι D λέγονται, ἄκουσον τοῦ ἀποστόλου Ἐφεσίοις γράφοντος· ὑμεῖς ποτὲ τὰ ἔθνη, ὅτε ἦτε ἐν τῷ καιρῷ ἐκείνῳ χωρὶς Χριστοῦ ἀπηλλοτριωμένοι τῆς πολιτείας τοῦ Ἰσραήλ, ἐλπίδα μὴ ἔχοντες, καὶ ἄθεοι ἐν τῷ κόσμῳ. καὶ πῶς ἄθεοι Ἐφέσιοι; ἔνθεν εἴδωλα, ἐκεῖθεν ἀγάλματα, ἐκεῖ ἡ νεωκόρος Ἄρτεμις, ἐκεῖ Δημήτριος ἀργυροκόπος, ποιῶν ναοὺς ἀργυροῦς τῆς Ἀρτέμιδος, τοσαύτη Θεῶν ἀγέλη, καὶ πῶς Ἐφέσιοι ἄθεοι;

ἀλλὰ διὰ τοῦτο ἄθεοι, ὅτι πολλοὺς Θεοὺς χειροτονήσαντες, τοῦ ἑνὸς ἐξέπεσον. εἶπεν ἄφρων ἐν καρδίᾳ αὐτοῦ· οὐκ ἔστι Θεός. ἀπὸ τοῦ πρώτου ἄφρονος ἐπὶ τοὺς μαθητὰς αὐτοῦ διέβη. πρῶτος ἄφρων ὁ διάβολος, ὁ πρῶτος τῆς ἀφροσύνης πορθμεύς, ὁ πρῶτος τῆς πολυθείας κήρυξ· ἔσεσθε ὡς θεοί. ὁ δὲ πολλοὺς λέγων, τὸν ἕνα ἠρνήσατο. ἄφρων καὶ ὁ τῶν Ἰουδαίων λαός. ἄφρων παρώξυνε τὸ ὄνομα κυρίου, περὶ Χριστοῦ λέγων ὅτι οὐκ ἔστι Θεός. οὗτος εἰ ἦν προφήτης, ἐγίνωσκεν ἂν τίς, καὶ ποταπὴ ἡ γυνή, ἥτις ἅπτεται αὐτοῦ, ὅτι ἁμαρτωλός ἐστιν. οἱ δὲ μήτε προφήτην αὐτὸν λέγοντες εἶναι, πῶς Θεὸν εἶχον εἰπεῖν; οὐδεὶς δύναται ἀφιέναι ἁμαρτίας εἰ μὴ εἷς ὁ Θεός. ὁ δὲ Χριστός· τί διαλογίζεσθε ἐν ταῖς καρδίαις ὑμῶν. εἶπεν ἄφρων ἐν καρδίᾳ αὐτοῦ· οὐκ ἔστι Θεός. πανταχοῦ γάρ ἐστιν· ἐν δὲ τῇ καρδίᾳ τοῦ ἄφρονος οὐκ ἔστιν. ἔλεγεν ὁ Θεὸς τῇ συναγωγῇ· ἀνθ' ὧν οὐκ ἔλαβές με ἐν τῇ διανοίᾳ σου, ἀλλ' ἀπέρριψάς με ὀπίσω τοῦ νώτου σου. πρῶτος ἄφρων ἐξ ἑαυτοῦ ὁ τῆς ἀφροσύνης πορθμεὺς ὁ διάβολος, ὅτι φρόνιμος ὢν ἀφροσύνης πρᾶγμα ἐπετήδευσεν. ὁ δὲ ὄφις ἦν φρονιμώτερος, καὶ τί ἐπετήδευσεν; ἰσόθεος τοῦ Θεοῦ γενέσθαι ἠθέλησεν, εἰπών, θήσω τὸν θρόνον μου ἐπάνω τῶν νεφελῶν, καὶ ἔσομαι ὅμοιος τῷ ὑψίστῳ· ἦρε τό, Θεός, καὶ τὸ ὕψιστος ἔθηκεν, αἰδεσθεὶς ὀνομάσαι, ὃν ἠρνήσατο. οὕτω καὶ πᾶς αἱρετικὸς δεινότατος ἐν καιρῷ διωγμοῦ, τῷ ἀρχιερεῖ διαλεγόμενος, οὔτε ἀρχιερέα αὐτὸν καλεῖ, οὔτε ἀρχιεπίσκοπον, οὔτε θεοσεβέστατον, οὔτε ἅγιον. ἀλλὰ τί; ἡ τιμιότης σου, ἡ σύνεσίς σου, ἡ φρόνησίς σου, ἡ δικαιοσύνη σου, καὶ τὰ κοινὰ αὐτῷ προσφέρει ὀνόματα, τὰ τῆς ἀξίας αὐτοῦ ἀρνούμενος. τοῦτο ὁ διάβολος τότε ἐπὶ τοῦ Θεοῦ ἐποίησεν. ἔσομαι ὅμοιος τῷ ὑψίστῳ, οὐ τῷ Θεῷ, ἀλλὰ τῷ ὑψίστῳ. καὶ πρόσεχε ἀκριβῶς παρακαλῶ, ὅπως ὁ προφήτης ἀκριβὴς κατήγορος τοῦ διαβόλου γέγονεν. εἶπεν ἄφρων ἐν καρδίᾳ αὐτοῦ. οὐκ εἴρηκεν, ὅτι λέγει, ἀλλ' ὅτι εἶπεν. ἅπαξ ἐτόλμησε καὶ εἶπε. καὶ ἐπειδὴ εἰπών, ἀπερρίφη ὡς ἀποστάτης ἐκ τῶν οὐρανῶν, οὐκέτι δι' αὐτοῦ εἰπεῖν ἐτόλμησεν. ἐπειδὴ γὰρ ἅπαξ μόνον εἶπε, θήσω τὸν θρόνον μου ἐπάνω τῶν νεφελῶν, καὶ ἔσομαι ὅμοιος τῷ ὑψίστῳ· καὶ Θεὸν ἀρνούμενος πεῖραν ἔλαβε Θεοῦ, ἄνωθεν ῥιπτούμενος, καὶ κάτω ὑπὸ ἀνθρώπων καταπατούμενος, οὐκέτι λοιπὸν ἐτόλμησεν εἰπεῖν·

A Sed propterea sunt impij & sine Deo, quòd cum multos Deos elegerint, ab vno exciderunt. Dixit insipiens in corde suo: Non est Deus. A primo insipiente peruasit ad suos discipulos. Primus insipiens diabolus, qui insipientię fuit primus seminator: qui primus præco deorum multitudinis, Eritis, ait, sicut dij. Qui autem multos dicit, vnū negauit. Insipiens est etiam Iudæorum populus. Insipiens irritauit nomen Domini, dicens Christum non esse Deum. Hic si esset propheta, sciret quæ & qualis mulier est quæ eum tangit, quòd est pecca- B trix. Qui autem eum nec prophetam quidem esse dicebant, quomodo possent Deum dicere? Nemo potest remittere peccata, nisi solus Deus. Christus autem: Quid cogitatis in cordibus vestris? Dixit insipiens in corde suo: Non est Deus. Est enim vbique: sed nō est in corde insipientis. Dixit Deus synagogę: Propterea quòd non accepisti me in cogitatione tua, sed proiecisti me post tergum tuū. Primus ex seipso insipiens, insipientiæ seminator diabolus fuit, quòd cum esset prudens, imprudentię munus C executus est. Serpens autem erat prudentissimus. Et quódnam fuit eius studium? Voluit Deo esse æqualis, dicens: Ponam thronum meum super nubes, & ero similis altissimo. Sustulit, Deus, & posuit altissimus: erubescens eum nominare, quem iam negauerat. Ita etiam facit quilibet hæreticus vehementissimus in tempore persecutionis, loquens cum pontifice: nec eum vocat pontificem, nec Archiepiscopum, nec religiosissimum, nec sanctum. Sed quid? Reuerentia tua, sapientia tua, prudentia tua, iustitia tua, & nomina illi adducit com- D munia, eius negans authoritatem. Diabolus hoc tunc fecit in Deo. Ero similis altissimo, non Deo, sed altissimo. Et diligenter quæso attende, quàm solers & accuratus fuit diaboli accusator propheta. Dixit insipiens in corde suo Non dixit, dicit, sed dixit. Semel ausus est, & dixit. Et quoniam cùm dixisset, eiectus est è cœlis tanquam superbus insurrector, non amplius per se dicere ausus est. Quoniam enim semel tantùm dixit, Ponam thronum meum super nubes, & ero similis altissimo: & Deum negans, Deum expertus est: ex alto deturbatus, & in imo ab hominibus conculcatus, non amplius ausus est dicere;

Gentes cur sine Deo esse dicantur.

Gen. 3.

Luc. 7.

Ibidem.

3. Reg. 14.

Gen. 3.

Esa. 14.

Hæreticorum mos.

Non est Deus, sed per ironiam & simulatione Deum nominauit. Quare dixit Deus: ne comedatis de ligno? Noui te qui sis sanctus Dei. Hi homines sunt serui Dei altissimi. quia ergo semel dixit dogma impium, non audet amplius dicere. Scit enim quid passus sit. Non dicit insipiens, sed dixit insipiens in corde suo: Non est Deus. Non enim amplius hoc dicit per se, & nullo intermedio: sed dixit in corde suo. In quolibet, qui eadem cum eo sentit, & non discrepat ab eius moribus, & est impius. Dixit in Pharaone: Non noui Dominum, & curauit vt profundum maris esset ei sepulchrum. Dixit per Sennacherib Assyrium: Non potest Deus Ezechiam è meis manibus eripere, & effecit vt occideretur manibus filiorũ suorum. Dixit per Nabuchodonosor: Quis est Deus, qui eripiet vos à manibus meis? & qui sibi Deo potẽtior videbatur, & cunctis, visus est omnibus hominibus abiectior, fœnum vt bos comedens: vt disceret bouem suum cognouisse possessorem, quem ipse negauerat. Dei negatorem Iudam fecit perire laqueo, quòd Deum ipsum tanquam hominem tradendum curauerit. Cùm diabolus, inquit, iã misisset in cor Iudæ, vt ipsũ traderet. Dixit insipiens in corde suo: Non est Deus. Si enim Deum ipsum tunc dixisset nõ tradidisset ad mortẽ, nec Iudæos docuisset occidere dominũ, quoniã eis persuasit Iesum nõ esse Deũ. Hũc nescimus vnde sit. Quoniã ergo iis studebant quæ fieri nõ poterãt, traditi sunt corruptioni. Dicit propheta deflens. *Corrupti sunt & abominabiles facti sunt in studiis suis.* Cùm enim diaboli fuissent discipuli, in lapsum diaboli inciderunt: sicut ille de cœlis, ita hi è sedibus regalibus delapsi. Quem quis enim sequitur, eandẽ cum eo partẽ capit. Corrupti sunt, & abominabiles facti sunt. Corrupti sunt, quoniam eum conati sunt corrumpere, qui corrumpi non potest. Et mutauerunt gloriam incorruptibilis Dei in similitudinem imaginis hominis corruptibilis. Homines mente corrupti, corrupti sunt, sed & abominabiles facti sunt. Quare? Quoniam abominationem desolationis impietatem in templo cordis sui collocarunt. In studiis suis. Quamobrem? Quoniam quæ natura negauit, ea mala excogitauit affectio. Corrupti sunt vt Pharao, & Nabuchodonosor. Corrupti

Marg.: Genes 3. Luc. 4. Act. 16. Exod. 5. 4. Reg. 18. 2. Par. 1. 2. 4. Reg. 14. Dan 3. 15. Dan. 4. Esa. 1. Act. 1. Ioan. 13. Ioan. 9. Rom. 16. Rom. 1. 2. Tim. 3. Dan. 3. Marc. 13.

A οὐκ ἔστι Θεός, ἀλλ' εἰρωνείᾳ, καὶ ὑποκρίσει τὸν Θεὸν ὠνόμαζε. τί ὅτι εἶπεν ὁ Θεός, οὐ μὴ φάγητε ἀπὸ τοῦ ξύλου; οἶδά σε τίς εἶ ὁ ἅγιος τοῦ Θεοῦ. οὗτοι οἱ ἄνθρωποι δοῦλοι τοῦ Θεοῦ τοῦ ὑψίστου εἰσίν. ἐπεὶ οὖν ἅπαξ εἶπεν ἄθεον δόγμα, οὐκέτι τολμᾷ εἰπεῖν. οἶδε γὰρ τί ἔπαθεν. οὐ λέγει ἄφρων, ἀλλ' εἶπεν ἄφρων ἐν τῇ καρδίᾳ αὐτοῦ· οὐκ ἔστι Θεός. οὐκέτι γὰρ τοῦτο λέγει ἀμέσως, καὶ δι' ἑαυτοῦ· ἀλλ' ἐν καρδίᾳ αὐτοῦ εἶπεν. ἐν παντὶ τῷ ὁμόφρονι, καὶ ὁμοτρόπῳ, καὶ ἀσεβεῖ. εἶπεν ἐν τῷ Φαραώ· οὐκ οἶδα τὸν κύριον, καὶ βυθὸν αὐτῷ B θαλάσσης τάφον περιεξένησεν. εἶπε διὰ τοῦ Σεναχηρεὶμ τοῦ Ἀσσυρίου, ὅτι τὸν Ἐζεκίαν ὁ Θεὸς οὐ δύναται ῥύσασθαι ἐκ τῶν χειρῶν μου, καὶ ταῖς χερσὶ τῶν υἱῶν αὐτοῦ, σφαγῆναι αὐτὸν ἐποίησεν. εἶπε διὰ τοῦ Ναβουχοδονόσορ· τίς ἐστι Θεός, ὃς ἐξελεῖται ὑμᾶς ἐκ χειρός μου, τοῖς παισί, καὶ ὁ Θεὸς ἰσχυρότερος πάντων ἀνθρώπων, ὤφθη ἀτιμότερος, χόρτον ὡς βοῦς ψωμιζόμενος, ἵνα μάθῃ ὅτι ἔγνω βοῦς τὸν κτησάμενον αὐτόν, αὐτὸς δὲ ἠρνήσατο. τὸν προδότην Ἰούδαν ἀγχόνη ἀπώλεσεν, ὅτι τὸν Θεὸν αὐτόν, ὡς C ἄνθρωπον παραδοῦναι ἐποίησε. τοῦ διαβόλου, φησίν, ἤδη βεβληκότος εἰς τὴν καρδίαν Ἰούδα, ἵνα αὐτὸν παραδῷ. Εἶπεν ἄφρων ἐν καρδίᾳ αὐτοῦ· οὐκ ἔστι Θεός. εἰ γὰρ Θεὸν αὐτὸν τότε ἔλεγεν, οὐκ ἂν εἰς θάνατον παρέδωκε, καὶ τοὺς Ἰουδαίους κυριοκτονεῖν ἐδίδαξεν, ἐπειδὴ ἔπεισεν αὐτοὺς ὅτι Ἰησοῦς, οὐκ ἔστι Θεός, τοῦτον οὐκ οἴδαμεν πόθεν ἐστίν. ἐπεὶ οὖν ἀδύνατα ἐπετηδεύσαντο, φθορᾷ παρεδόθησαν. λέγει ὁ προφήτης πενθῶν· διεφθάρησαν, καὶ ἐβδελύχθησαν ἐν ἐπιτηδεύμασι. τῷ διαβόλῳ γὰρ μαθητεύσαν- D τες, τῷ πτώματι τοῦ διαβόλου ἔπεσον· ὡς ἐκεῖνος ἀπὸ τῶν οὐρανῶν, οὕτως οὗτοι ἀπὸ τῶν θρόνων τῶν βασιλικῶν. ᾧ γάρ τις ἀκολουθεῖ, τούτῳ καὶ συμμερίζεται. διεφθάρησαν, καὶ ἐβδελύχθησαν ἐν ἐπιτηδεύμασι. διεφθάρησαν ὅτι φθορὰν τῷ ἀφθάρτῳ ἐπεστράτευσαν, καὶ ἤλλαξαν τὴν δόξαν τοῦ ἀφθάρτου Θεοῦ, ἐν ὁμοιώματι εἰκόνος φθαρτοῦ ἀνθρώπου· ἄνθρωποι κατεφθαρμένοι τὸν νοῦν, διεφθάρησαν, ἀλλὰ καὶ ἐβδελύχθησαν. διὰ τί; ὅτι βδέλυγμα ἐρημώσεως τῆς ἀσεβείας ἐν τῷ ναῷ τῆς καρδίας ἔστησαν ἐν ἐπιτηδεύμασι. διὰ τί; ὅτι ἃ ἡ φύσις ἠρνήσατο, ταῦτα ἡ κακὴ διάθεσις ἐπενόησε. διεφθάρησαν ὡς Φαραώ, καὶ ὁ Ναβουχοδονόσορ.

διεφθάρησαν, ὅτι τραυματισθέντες, καὶ σηπόμενοι, καὶ ὄζοντες, καὶ εἰς ἰχῶρας αἰδυνόμενοι τὸν ἰατρὸν οὐκ ἐπεζήτησαν. ἐβδελύχθησαν ὅτι ὡς χοῖροι ταῖς ἁμαρτίαις βορβορούμενοι, καὶ ὡς κύνες ἐπὶ τὸν ἑαυτῶν ἔμετον ἀνακάμπτοντες, μισητοὶ γεγόνασιν. οὕτω γὰρ γέγραπται, βδέλυγμα ἁμαρτωλοῖς θεοσέβεια. ἐπεὶ οὖν τὴν θεογνωσίαν ἐβδελύξαντο, ὑπὸ τῶν θεοφιλῶν ἐβδελύχθησαν. διεφθάρησαν ὡς ὑπὸ σητῶν ἱμάτιον, ὡς ὑπὸ ἰοῦ ἀφανιζόμενος σίδηρος. ἐβδελύχθησαν ὡς οἱ νεκρῶν ὀστέων, καὶ ἀποθανόντων ἁψάμενοι. διὰ τοῦτο καὶ ὁ νόμος τὸν ἁψάμενον νεκροῦ, βδελυκτὸν ἐποίει· ἐπειδὴ Ἰουδαῖος νεκρὸν ἀεὶ τὸν Χριστὸν ψηλαφῶν, καὶ ζῶντα οὐ βλέπων, βδελυκτὸς ἐγένετο. τῇ διαφθορᾷ σου Ἰσραήλ, τίς βοηθήσει; εἶτα ἵνα δείξῃ τὸν τῆς ἀσεβείας, καὶ ἀθείας καρπόν, ἐπάγει· οὐκ ἔστι ποιῶν χρηστότητα. ὁ γὰρ τὸν Θεὸν ἀρνησάμενος, καὶ τὸν προνοητὴν μὴ λογιζόμενος· οὐ θάνατον, οὐ συντέλειαν, οὐκ ἀνάστασιν, οὐ κρίσιν, οὐκ ἀνταπόδοσιν ἐκδέχεται· διὸ οὐδὲ χρηστόν τι, ἢ ἀγαθὸν ἐργάζεται. ὥσπερ γὰρ ὁ βασιλέα τινὰ ἐπιγραφόμενος, τοῖς νόμοις αὐτοῦ στοιχεῖ, καὶ τοῖς διατάγμασιν· ὁ δὲ τυράννῳ ἀκολουθῶν οὐ ποιεῖ τὰ τοῦ βασιλέως διατάγματα, οὕτως ὁ Θεὸν ἀρνούμενος, τὰς τοῦ Θεοῦ ἐντολὰς ἀποστρέφεται, καὶ ἄχρηστος, καὶ ἐπιβλαβὴς τῇ πολιτείᾳ γίνεται. οὐκ ἔστι ποιῶν χρηστότητα· οὐχ Ἡρώδης τὰ ἄκακα νήπια τῆς Βηθλεὲμ ἀναιρῶν· οὐκ Ἰουδαῖος τὸν ἐκβάλλοντα τὰ δαιμόνια Βεελζεβοὺλ ἀποκαλῶν· οὐ νομικὸς πειράζων· οὐκ ἀρχιερεὺς ὑβρίζων· οὐ γραμματεὺς ἀθετῶν· οὐ Φαρισαῖος ὑβρίζων, ἢ ἐμπαίζων, οὐ Σαδδουκαῖος ἀντιλέγων· οὐκ Ἰούδας πωλῶν, καὶ ὑπηρέτης ῥαπίζων, οὐ Πιλᾶτος κατακρίνων· οὐ λαὸς κράζων, ἆρον, ἆρον, σταύρωσον αὐτόν· οὐ στρατιῶται δεσμοῦντες, οὐχ οἱ ὄχλοι ἐμπτύοντες, κολαφίζοντες, καλάμῳ τύπτοντες, ἀκάνθινον στέφανον πλέκοντες, σταυροῦντες, ὄξος καὶ χολὴν ποτίζοντες. οὐκ ἔστι ποιῶν χρηστότητα· ἐπιτήρει γὰρ ἀσφαλῶς ὅτι ἡ λέξις αὕτη ἐπὶ τῆς σταυρώσεως τοῦ Χριστοῦ, μάλιστα τὸ πέρας ἐδέξατο. ἐπὶ μὲν γὰρ τοῦ Δαβίδ, ὅτε ταῦτα ἐλέγετο, ἦσαν οἱ ποιοῦντες χρηστότητα· οἱ μακάριοι προφῆται, οἱ συνόντες τῷ Δαβίδ.

sunt, quoniam vulnerati, & putrefacti, & malè olentes, & tabo saniéque madentes, non quæsierũt medicum. Abominabiles facti sunt, quoniam tanquam porci in peccatorum cœno volutati, & tanquam canes ad suum ipsorum vomitum reuertentes, exosi euaserunt. Ita enim scriptum est: Abominatio peccatoribus est pietas & Dei cultus. Quoniam ergo abominati sunt Dei cognitionem, eos viri pij sunt abominati. Corrupti sunt tanquam vestis à tineis, tanquam ferrum quod exeditur à rubigine. Abominabiles facti sunt, vt qui ossa & mortuos tetigerunt. Propterea enim lex eum qui mortuum tetigerat, fecit abominabilem, quoniam Iudas Christum mortuum semper tangens, & viuentem non aspiciens, factus est abominabilis. Corruptioni tuæ Israël quis opem feret? Deinde vt impietatis fructum ostendat, subiungit: *Non est qui faciat bonum*. Qui enim Deum negauit, & de eo qui prouidet, & curam gerit, non cogitat: non mortem, non consummationem, non resurrectionem, non iudicium, non retributionem expectat, & ideo nihil boni facit. Quemadmodum enim qui alicui regi dat nomen, in eius legibus & præceptis ingreditur: qui autem tyrannum sequitur, non facit quæ Rex præcipit: ita etiam qui Deum negat, Dei mandata auersatur, & reipub. inutilis & perniciosus euadit. Nõ est qui faciat bonum: Non Herodes, Bethleemiticos infantes innocentes occidens: non Iudæus, eum qui dæmonia eijciebat, Beelzebub vocans: non legisperitus tentans: non pontifex cõtumelia afficiens: non scriba abrogans, & nihili ducens: non Pharisæus probra ingerens, aut insultans: non Sadducæus contradicens: non Iudas vendens, & minister alapam incutiens: non Pilatus condemnans: non populus clamans, Tolle, tolle, crucifige eum: non milites vincientes: non turbæ conspuentes, colaphos impingentes, arundine verberantes, spineam coronam contexentes, crucifigentes, aceto & felle potantes. Non est qui faciat bonum: diligenter enim obserua, quòd hoc dictum, quando Christus crucifixus est, maximè finem accepit. Tempore enim Dauidis, quando hæc dicebãtur, erant qui bonum faciebant, beati prophetæ, qui cum Dauid versa-

Metaphora. *2.Petr.2.* *Eccle.1.* *Iob.13.28.* *Num.19.14.* *Thren.2.* *A contrariis collatio.* *Matth.2.* *Luc.11.* *Luc.10.* *Matth.14.* *Matth.15.* *Luc.10.* *Matth.26.* *Ioan.18.* *Matth.20.*

Luc. 1. & 2. bantur. Sed quando natus est Christus, Ioseph, Zacharias, & Simeon, iusti, & Apostoli bona faciebant: hi quidem admirantes, illi verò in vlnis tenentes. Solummodo quādo crucifixus est, non fuit qui faceret bonum. Non dixit au- Marc. 15. Matth. 26. tem: Non est qui loquatur bonum. Nam & Centurio, & latro bona de eo Luc. 22. Luc. 2. dicebant. Meměto mei domine, quando veneris in regnum tuum. Verè hic Ioan. 19. homo filius Dei erat. Non est qui faciat bonum, quando & discipuli omnes éo relicto fugerunt. Ioannes nudus recedit, Petrus negat, discipuli fugiunt: ipsius Mariæ matris animam gladius dubitationis pertransit. Quoniam ergo in passione nullus fructūm charitatis exhibuit, Non est qui faciat bonum, *Non est vsque ad vnum.* Ne illum quidem vnum militem, qui etiam post mortem lancea latus eius pupugit. Et quamobrem, ô propheta, ante suum in carne aduentum & humanæ naturæ susceptionem, non visitauit tanquam medicus mundum laborantem? Visitauit certè, & opem ferre, ac seruare voluit, sed nullus sibi voluit adhiberi medicinam. 2. *Dominus de cœlo prospexit, vt videret si est intelligens, aut requirens Deum.* 3. *Sed omnes declinauerunt, simul inutiles facti sunt.* Et impletum est illud, Iustitia de Ps. 84. 12. cœlo prospexit. Ex patre Christus, veritas è terra orta est: Dominus ex virgine. *Prospicere Dei de cœlo, quid sit.* Cùm autem audis iustitiā de cœlo prospexisse, ne existimes diuinam & incorpoream naturam se flexisse & incuruasse, aut genui inclinasse, aut ceruice annuisse: sed eius demissionem, & humanitatem, & visitationē intellige. Quemadmodum enim caput, & oculos, & aures, & os, & manus habere dicitur, & sedere, & surgere, nec tamen omnino ex membris, partibus, & figuris constituitur: ita etiam prospicit, non ipse se inflectens, sed suam in nos benignitatem ostendens. Illud autem, E cœlo prospexit, non quòd in cœlo, quod cernitur, fenestras aut portas fecerit, & iis apertis respexerit: sed quòd è cœlestibus ordinibus, intelligentibus, incorporeis, & immortalibus humanitatem visitauerit. Quemadmodum enim homines terra dicuntur, Quia terra es, & in Gen. 3. terram reuerteris: &, Ego sum terra & Gen. 17. cinis: ita etiam dicuntur cœlum cœlestes ordines, ex quibus Deus terram &

A ἀλλ' ὅτε ἐτέχθη ὁ Χριστὸς, ἦσαν οἱ περὶ τὸν Ἰωσὴφ, τὸν Ζαχαρίαν, καὶ τὸν Συμεῶνα δίκαιοι, καὶ οἱ ἀπόστολοι ποιοῦντες χρηστότητα· οἱ μὲν θαυμάζοντες, οἱ δὲ ἐν ἀγκάλαις περιέποντες. μόνον δὲ ἐπὶ τῆς σταυρώσεως οὐκ ἦν ὁ ποιῶν χρηστότητα· καὶ οὐκ εἶπεν, οὐκ ἔστιν ὁ λαλῶν χρηστότητα, ὅτι ὁ Κεντυρίων, καὶ ὁ λῃστὴς χρηστὰ περὶ αὐτοῦ ἔλεγον· μνήσθητί μου κύριε, ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου. ἀληθῶς ὁ ἄνθρωπος οὗτος υἱὸς Θεοῦ ἦν. οὐκ ἔστι ποιῶν χρηστότητα, ὅτε καὶ οἱ μαθηταὶ πάντες, ἀφέντες αὐτὸν ἔφυγον. Ἰωάννης γυμνὸς ἀναχωρεῖ, Πέτρος ἀρνεῖται, οἱ B μαθηταὶ φεύγουσι, τῆς μητρὸς αὐτοῦ Μαρίας τὴν ψυχὴν ἡ ῥομφαία τῆς ἀμφιβολίας διέρχεται. ἐπεὶ οὖν ἐν τῷ πάθει, οὐδεὶς ἔδειξε τὸν τῆς ἀγάπης καρπόν· οὐκ ἔστι ποιῶν χρηστότητα· οὐκ ἔστιν ἕως ἑνός. οὐδὲ τοῦ ἑνὸς ἐκείνου τοῦ στρατιώτου, τοῦ καὶ μετὰ θάνατον τῇ λόγχῃ νύξαντος αὐτοῦ τὴν πλευράν. καὶ διὰ τί, ὦ προφῆτα, πρὸ τῆς ἐν σαρκὶ παρουσίας αὐτοῦ, καὶ τῆς ἐνανθρωπήσεως οὐκ ἐσκέψατο ὡς ἰατρὸς νοσοῦντα τὸν κόσμον; καὶ ἐπεσκέψατο, ἐπεζήτησε βοηθῆσαι, καὶ σῶσαι ἠθέλησεν, ἀλλ' οὐδεὶς ἰατρευθῆναι ἠθέλησε. κύριος ἐκ τοῦ C οὐρανοῦ διέκυψε, τοῦ ἰδεῖν, εἰ ἔστι συνιῶν, ἢ ἐκζητῶν τὸν Θεόν. ἀλλὰ πάντες ἐξέκλιναν, ἅμα ἠχρειώθησαν, καὶ ἐπληρώθη τὸ, δικαιοσύνη ἐκ τοῦ οὐρανοῦ διέκυψεν. ἐκ τοῦ πατρὸς ὁ Χριστὸς, ἀλήθεια ἐκ τῆς γῆς ἀνέτειλεν, ἐκ τῆς παρθένου ὁ κύριος. ἀκούων δὲ ὅτι κύριος ἐκ τοῦ οὐρανοῦ διέκυψε, μὴ τῆς ἀσωμάτου, καὶ θείας φύσεως σκύλευσιν, ἢ καμπυλότητα, ἢ γονυκλισίαν, ἢ αὐχένος ἐπίνευσιν νόμιζε, ἀλλὰ τὴν συγκατάβασιν, καὶ τὴν φιλανθρωπίαν αὐτοῦ, καὶ τὴν ἐποπτείαν μάνθανε. ὥσπερ γὰρ κεφαλὴν, καὶ ὀφθαλμοὺς, καὶ ὦτα, καὶ στόμα, D καὶ χεῖρας ἔχειν λέγεται, καὶ καθέζεσθαι, καὶ ἀνίστασθαι, καὶ οὐ πάντως ἐκ μελῶν, καὶ μερῶν, καὶ σχημάτων σύγκειται, οὕτω καὶ διακύπτει, οὐκ αὐτὸς καμπτόμενος, ἀλλ' ἡμᾶς φιλανθρώπως ὁρῶν. τὸ δὲ ἐκ τοῦ οὐρανοῦ διέκυψεν, οὐχ ὅτι ἐν τῷ φαινομένῳ οὐρανῷ θυρίδας, ἢ θύρας ἐποίησε, καὶ ἀνοίξας διέκυψεν, ἀλλ' ὅτι ἐκ τῶν οὐρανίων ταγμάτων, τῶν νοερῶν, καὶ ἀσωμάτων, καὶ ἀθανάτων, τὴν ἀνθρωπότητα ἐπεσκέψατο. ὥσπερ γὰρ γῆ οἱ ἄνθρωποι λέγονται, ὅτι γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ· καὶ, ἐγὼ δὲ εἰμὶ γῆ καὶ σποδὸς, οὕτω καὶ ὁ οὐρανὸς λέγεται τὰ ἐπουράνια τάγματα, ἀφ' ὧν Θεὸς τὴν γῆν, τὴν ἀνθρω-

A πάντα ἐφορᾷ κύριος ἐκ τοῦ οὐρανοῦ. ἐπὶ τὴν γῆν διέκυψε τοῦ ἰδεῖν. οὐχ ἵνα τότε ἴδῃ, ἀλλ᾽ ἵνα τότε σώσῃ, οὐχ ἵνα τότε μάθοι, ἀλλ᾽ ἵνα τότε βοηθήσοι, ἵνα ὡς φίλον ἀσπάσῃ), καὶ ὡς δίκαιον ἀγαπήσοι, ἵνα εἴποι ὡς εἶπε τῷ Νῶε, σὲ μόνον δίκαιον εἶδον ἐν τῇ γενεᾷ ταύτῃ, καὶ ἵνα ὡς πιστῷ ἐμφανίσῃ. ἐμφανίζε(ται) δὲ, τοῖς μὴ ἀπιστοῦσιν αὐτῷ. τοῦ ἰδεῖν εἰ ἔστιν ἄνθρωπος ἐπιζητῶν τὸν ἰατρόν· εἰ ἔστι πτωχὸς λαὸς ἐθνῶν ἐπιζητῶν τὸν Χριστὸν, τὸν θησαυρὸν τοῦ πατρὸς, τοῦ ἰδεῖν εἰ ἔστι συνιῶν, ἵνα τούτῳ ὡς φρονίμῳ, καὶ συνετῷ διαλεχθῇ. ἢ ζητῶν τὸν Θεὸν, ἵνα τοῦτο εὑρεθῇ. εἶτα ὡς εἶδον οἱ προφῆται, ὅτι κύριος ἐκ τοῦ οὐρανοῦ διέκυψε τοῦ ἰδεῖν, παρακαλοῦσιν αὐτὸν, οὐκ ἀρκεῖ B μόνον δι᾽ ἀπάντων τὸ διακύψαι σε ἐξ οὐρανοῦ, ὡς διέκυψας· καὶ κατάβηθι, κύριε κλῖνον οὐρανοὺς, καὶ κατάβηθι. ἐλθὲ ὁ υἱὸς τοῦ πατρὸς, ζήτησον τὸ κατ᾽ εἰκόνα. πάντες γὰρ ἐξέκλιναν, ἅμα ἠχρειώθησαν. τὸ τῶν ἀνθρώπων στρατόπεδον ὅλον πρὸς τὸν τύραννον ἔνευσε, τῶν στρατηγῶν, τῶν προφητῶν οὐκέτι ἀντέχονται. ἐλθὲ ὁ βασιλεὺς, καὶ φάνηθι, καὶ δυσωπηθήσονται τὸ ἀξίωμα. πάντες ἐξέκλιναν τὰς ὁδοὺς τῶν προφητῶν. ἐλθὲ ἡ ὁδὸς, καὶ οἱ πλανηθέντες, ἀνακάμψουσιν. εἰπὼν δὲ ἐξέκλιναν, ἔδειξεν ὅτι ἐκ φύσεως ὀρθὰ βαδίζειν ἔμαθον, ἀπὸ κακῆς δὲ C προαιρέσεως εἰς τὴν πλάνην ἐξέκλιναν, κατὰ τὸ γεγραμμένον ἐν τῷ ἐκκλησιαστῇ· ὅτι ὁ Θεὸς ἐποίησε τὸν ἄνθρωπον εὐθῆ, καὶ αὐτὸς εὗρεν ἑαυτῷ λογισμοὺς πολλούς. πάντες ἐξέκλιναν ὡς μόσχοι κατὰ φαράγγων φερόμενοι, καὶ ἅμα ἠχρειώθησαν ὡς πίθοι τετρημμένοι, καὶ ὡς ἀσκοὶ ῥεύματα ἔχοντες, καὶ πρὸς ὃ γεγόνασι μηκέτι χρησιμεύοντες. καὶ οὐ κατὰ μικρὸν, ἀλλὰ πάντες ὁμοῦ· ἅμα ἠχρειώθησαν ἐνὶ δικτύῳ ἀσεβείας, ἅμα συγκλειόμενοι. εἰ ἐξέκλιναν δηλονότι, εὐθεῖς ἦσαν ἐκ φύσεως. ὁ γὰρ Θεὸς ποιήσας τὸν ἄνθρωπον, εὐθῆ αὐτὸν ἐποίησε, καὶ οὐδὲν κακὸν φύσει. D καὶ ἐν ἄλλοις παραβαίνοντας ἐλογισάμην πάντας ἁμαρτωλοὺς τῆς γῆς. καὶ τῷ εἰπεῖν ἅμα ἠχρειώθησαν, ἔδειξεν ὅτι εὔχρηστοι ἐν φύσει γενόμενοι, ἄχρηστοι ἐξ ἰδίας προαιρέσεως τὸ παρὰ φύσιν γεγόνασι. διέκυψεν οὖν ὁ κύριος τοῦ ἰδεῖν ἐξ οὐρανοῦ, εἰ μετανοοῦσιν οἱ ἐκκλίνοντες, ἵνα σωτηρίας τύχωσιν· εἰ ἀμεταμέλητα ἁμαρτάνουσιν, ἵνα αὐτοκατάκριτοι γένωνται. καὶ

humanitatem aspexit. Dominus è cœlo in terram prospexit, vt videret. Non vt tunc videret, sed vt tunc seruaret, non vt tunc disceret, sed vt tunc opem ferret, vt tanquam amicum amplecteretur, & vt iustum amaret, vt diceret sicut dixit Noë: Te solum vidi iustum in hac generatione, & vt tanquam iusto ei appareret. Iis autem apparet, qui in eum fidem habent. Vt videat an sit ægrotus qui quærat medicum, an sit pauper gentium populus, qui requirit Christum, patris thesaurum. Vt videat si est intelligens, vt cum eo tanquam cum prudente & intelligente disserat. Vel requirens Deum, vt hoc inueniat. Deinde postquam viderunt prophetæ Dominum è cœlo prospexisse vt videret, eum rogant: Non satis est, ô domine, è cœlo solùm prospexisse, sicut prospexisti. Etiam descende. Domine inclina cœlos, & descende. Veni fili patris, quære quod factum est ad tuam imaginem. Omnes enim declinauerunt simul inutiles facti sunt. Vniuersus hominum exercitus deflexit ad tyrannum. Ducibus prophetis non amplius adhærent. Veni rex, & appare, & verebūtur tuam authoritatem. Omnes declinauerunt vias prophetarum. Veni via, & qui aberrarunt, reuertentur. Cùm autem dixit, Declinauerunt, ostendit eos didicisse à natura rectè ingredi, sed ex mala electione in errorem declinasse. quemadmodum scriptum est in Ecclesiaste: Deus fecit hominem rectum, & ipse sibi inuenit multas cogitationes. Omnes declinauerunt sicut vituli qui feruntur in voragines, & simul inutiles facti sunt, vt dolia perforata, vt vtres perfluentes, & ad id, ad quod facti sunt, non amplius vtiles. Et non paulatim, sed omnes simul inutiles facti sunt, vno impietatis reti simul conclusi. Si declinarunt, scilicet erant recti natura. Deus enim cùm hominem fecit, eum rectum creauit, & nihil est natura malum. Et alibi: Præuaricantes reputaui omnes peccatores terræ. Et eo quòd dixit, Simul inutiles facti sunt, ostendit quòd cùm natura facti essent vtiles, inutiles præter naturam propria animi electione facti sunt. Prospexit ergo Dominus vt videret è cœlo, an pœnitentiam agant qui declinant, vt salutem consequantur: an verò ita peccent, vt nulla ducantur pœnitentia, vt eo ipso condemnentur. Et

Gen. 7. 1.

Psal. 143. 5.

Ioan. 7.

Eccl. 7. 30.

Homo rectus à Deo creatus est.

Psal. 100. quòd ideo prospicit & descendit & visitat Dominus, vt vel seruet, vel condemnet, audi ipsum Dominum dicentem: *Gen. 18. 20* Clamor Sodomorum & Gomorrhæorum multiplicatus est apud me, & peccata eorum magna valde. Descendam ergo, & videbo an iuxta clamorem *Exemplum per antithesim.* eorum qui ad me venit, perficiant. Sin minus, vt sciam. Sodomitæ, quoniam omnes declinauerunt, propterea simul inutiles facti sunt. Ignis enim descendit, & eos tanquam materiam consumpsit: Niniuitæ declinarunt, sed quoniam citò venerunt ad pœnitentiam, propterea non facti sunt simul inutiles, sed simul seruati sunt. Vidisti quomodo *Ione 1. & 3.* visitat dominus, vel vt seruet, vel vt *Osee 4. 1.* condemnet? Et ideò dicebat etiã Osee propheta: Audite verbum domini filij Israel, quia iudicium Domino cum habitatoribus terræ, propterea quòd non est veritas, nec misericordia, nec cognitio Dei in terra. Maledictum, & mendacium, & homicidium, & furtum, & adulterium effusum est super terram, & miscent sanguines sanguinibus. Omnes declinauerunt, simul inutiles facti sunt. Et propterea Dominus de cœlo in terram prospexit. Quomodo prospexit? Vel terram quatiens, vel fulmina mittens, vel aliqua quæ terrorem incutiant faciens, & suam indignationem osten-*Psal. 103. 32.* dens, Qui respicit terram, & facit eam tremere. Dominus de cœlo in terram prospexit, vt videret terra, seu humanitas Dominum indignantem, & cessaret *A simili cõfirmatio.* peccare. Quemadmodum enim seruis inferius in atrio aut in platea se petulanter ac insolenter gerẽtibus, dominus aut rex ex alto prospicit, vt cùm eum serui viderint, timeant & desistant: ita etiam quoniã vniuersa terra prosiliebat ad impietatem, Dominus de cœlo in terram prospexit, vt terrore affecta terra *Psal. 75. 9.* peccare desisteret. Huius testis est propheta, qui dixit: Terra tremuit, & quieuit, dum exurgeret Deus ad iudicium. Et quoniam dixit, Omnes declinaue-*Omnes, maior pars.* runt: illud autem, Omnes, sæpe etiam de maiori parte accipitur, quemadmodum illud, Omnes me dereliquerunt, cùm tamẽ veri & synceri discipuli Paulum non reliquissent, vt ostenderet vniuersum mundi naufragium, subiungit: *2. Tim. 4.* *Non est qui faciat bonum, non est vsque ad vnum.* A pedibus vsque ad caput, ab vlti-*Esa. 1.* mo paupere vsque ad eum qui rerum

A

ὅτι διὰ τοῦτο ἐπικύπτει, καὶ καταβαίνει, καὶ ἐπισκέπτεται ὁ κύριος, ἢ ἵνα σώσῃ, ἢ ἵνα κατακρίνῃ, ἄκουσον αὐτοῦ τοῦ κυρίου λέγοντος· κραυγὴ Σοδόμων καὶ Γομόῤῥας πεπλήθυνται πρός με, καὶ αἱ ἁμαρτίαι αὐτῶν μεγάλαι σφόδρα. καταβὰς οὖν ὄψομαι εἰ κατὰ τὴν κραυγὴν αὐτῶν τὴν ἐρχομένην πρός με συντελοῦνται. εἰ δὲ μὴ, ἵνα γνῶ. Σοδομῖται, ἐπειδὴ πάντες ἐξέκλιναν, διὰ τοῦτο ἅμα ἠχρειώθησαν. κατέβη γὰρ τὸ πῦρ, καὶ ὡς ὕλην αὐτοὺς ἀνήλωσεν. Νινευῖται ἐξέκλιναν, ἀλλ' ἐπειδὴ ταχέως ἐπὶ μετάνοιαν ἦλθον, διὰ

B

τοῦτο ἅμα οὐκ ἠχρειώθησαν, ἀλλ' ἅμα ἐσώθησαν. εἶδες πῶς κύριος ἐπισκέπτεται, ἢ ἵνα σώσῃ, ἢ ἵνα κατακρίνῃ; διὰ τοῦτο καὶ ὁ προφήτης Ὠσηὲ ἔλεγεν· ἀκούσατε λόγον κυρίου οἱ υἱοὶ Ἰσραὴλ, ὅτι κρίσις τῷ κυρίῳ πρὸς τοὺς κατοικοῦντας τὴν γῆν, διότι οὐκ ἔστιν ἀλήθεια, οὐδὲ ἔλεος, οὐδὲ ἐπίγνωσις Θεοῦ ἐπὶ γῆς. ἀρὰ, καὶ ψεῦδος, καὶ φόνος, καὶ κλοπὴ, καὶ μοιχεία, κέχυται ἐπὶ τῆς γῆς, καὶ αἵματα ἐφ' αἵμασι μίσγουσι. πάντες ἐξέκλιναν, ἅμα ἠχρειώθησαν. καὶ διὰ τοῦτο κύριος ἐκ τοῦ οὐρανοῦ ἐπὶ τὴν γῆν διέκυψε. πῶς διέκυψεν; ἢ σείων τὸ πέδον, ἢ κεραυ-

C

νοὺς πέμπων, ἢ φόβητρα ποιῶν, καὶ δεικνύων τὴν ἑαυτοῦ ἀγανάκτησιν. ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν, καὶ ποιῶν αὐτὴν τρέμειν. κύριος ἐκ τοῦ οὐρανοῦ ἐπὶ τὴν γῆν διέκυψεν. ἵνα ἴδῃ ἡ γῆ, ἤτοι ἡ ἀνθρωπότης, ἀγανακτοῦντα δεσπότην, καὶ ἁμαρτάνουσα παύσηται. ὥσπερ γὰρ οἰκετῶν κάτω ἐν αὐλῇ, ἢ ἐν πλατείᾳ ἀτακτούντων ἀθρόως δεσπότης, ἢ βασιλεὺς παρακύπτει ἄνωθεν, ἵνα ἰδόντες αὐτὸν οἱ οἰκέται φοβηθῶσι, καὶ ἡσυχάσωσιν· οὕτως ἐπειδὴ πᾶσα ἡ γῆ ἐσκίρτα

D

πρὸς τὴν ἀσέβειαν, κύριος ἐκ τοῦ οὐρανοῦ ἐπὶ τὴν γῆν διέκυψεν, ἵνα φοβηθεῖσα ἡ γῆ ἡσυχάσῃ ἁμαρτάνουσα. τούτου μάρτυς ὁ προφήτης, εἰπών· γῆ ἐφοβήθη, καὶ ἡσύχασεν ἐν τῷ ἀναστῆναι εἰς κρίσιν τὸν Θεόν. καὶ ἐπειδὴ εἶπε πάντες ἐξέκλιναν, τὸ δὲ πάντες πολλάκις, καὶ ἐπὶ τοῦ πλείονος μέρους λαμβάνεται. ὡς τὸ πάντες με ἐγκατέλιπον· καὶ μὴν οἱ γνήσιοι μαθηταὶ, τὸν Παῦλον οὐκ ἐγκατέλιπον, καὶ ἵνα δείξῃ τὸ ὁλόκληρον τοῦ κόσμου ναυάγιον, ἐπάγει· οὐκ ἔστι ποιῶν χρηστότητα, οὐκ ἔστιν ἕως ἑνός. ἀπὸ ποδῶν ἕως κεφαλῆς, ἀπὸ τοῦ ἐσχάτου πένητος, ἕως τοῦ κρατοῦντος, ὁ κόσ-

μος ὅλος νοσεῖ. ἕνα ζητεῖ ὁ Θεὸς πιστὸν, καὶ δίκαιον, ὡς ἐν Χαλδαίοις τὸν Ἀβραὰμ, καὶ ἐν Σοδόμοις τὸν Λώτ. ἀλλ' οἱ μὲν οὔτε πίστιν, οὔτε πολιτείαν ἔχουσιν· οἱ δὲ πίστιν ἀληθῆ ἔχουσι, πολιτείαν δὲ καλὴν οὐκ ἔχουσι. Θεὸν ὁμολογοῦσιν εἰδέναι, τοῖς δὲ ἔργοις ἀρνοῦνται. περὶ Θεοῦ μεγάλα σαλπίζουσι, καὶ περὶ εὐποιίαν νυστάζουσιν. οὐκ ἔστι ποιῶν χρηστότητα, οὐκ ἔστιν ἕως ἑνός. εἶτα ἐπεὶ κύριος ἐκ τοῦ οὐρανοῦ διέκυψε, καὶ ἐπὶ τοῖς ἁμαρτάνουσιν ἠγανάκτησε, διδάσκει ἡμᾶς ὁ προφήτης, ὅτι οὐ μόνον διέκυψεν, ἀλλὰ καὶ ἀπειλὰς ἐλάλησεν. οὐχὶ γνώσονται πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν; καὶ τί γνώσονται; ὅτι Θεὸς ἐκδικήσεως κύριος. γνώσονται ὅτι κριτὴς ζώντων, καὶ νεκρῶν παραγίνεται. γνώσονται ὅτι ἀποδώσει ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ· οὐκ ἔγνωσαν νουθετούμενοι, γνώσονται ὀδυνώμενοι· οὕτω ποτὲ τὰ ὅμοια καὶ περὶ τῶν ἀθέων Αἰγυπτίων ἔλεγεν ὁ Θεός. καὶ γνώσονται πάντες οἱ Αἰγύπτιοι ὅτι ἐγώ εἰμι κύριος. ἐνδοξαζομένου μου ἐν Φαραὼ, καὶ ἐν τοῖς ἅρμασιν αὐτοῦ, γνώσονται τότε, ὅτε ἀπὸ τῆς γνώσεως οὐδὲν ὠφεληθήσονται· ὅτε διώκοντες ἅρμασι, καλυφθῶσι κύμασι. ἢ καὶ κατ' ἀπόφασιν ἀναγνωστέον. οὐχὶ γνώσονται πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν. καὶ τί οὐ γνώσονται; ὅτι κύριος ἐκ τοῦ οὐρανοῦ ἐπὶ τὴν γῆν διέκυψεν. τί οὐ γνώσονται; ὅτι τοῖς κακῶς γινομένοις ἀπαρέσκεται. τί οὐ γνώσονται; τὰς ὁδοὺς τοῦ Θεοῦ μαθεῖν οὐ θελήσουσι, τούτου μάρτυς ὁ Ἰὼβ φάσκων. λέγει γὰρ ὁ ἀσεβὴς τῷ κυρίῳ ἀπόστα ἀπ' ἐμοῦ. τὰς ὁδούς σου εἰδέναι οὐ βούλομαι. ἐν ᾧ γὰρ τὴν ἀνομίαν ἐργάζονται, τοὺς νόμους τοῦ Θεοῦ γνῶναι οὐκ ἀνέξουσι. καὶ νῦν γίνονται πόλεμοι, καὶ λοιμοὶ, καὶ σεισμοὶ, καὶ εἰς συναίσθησιν τῶν ἁμαρτιῶν οἱ πολλοὶ οὐκ ἔρχονται. οὐδὲ τοῖς ἐπικειμένοις κακοῖς οὐ σωφρονίζονται. τί οὐ γνώσονται; τὸ τοῦ Θεοῦ θέλημα, τὰς ἐπαγγελίας, τὰ ἐπουράνια ἀγαθὰ, τὸν θησαυρὸν τοῦ Θεοῦ, τὸν παράδεισον τῆς τρυφῆς, τὴν αἰώνιον ζωήν. οὐχὶ γνώσονται πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν, οἱ Ἰουδαῖοι, ὅτι ὁ νομοθέτης, καὶ κύριος τῆς δόξης ὑπ' αὐτῶν ἐσταύρωται. εἰ γὰρ ἔγνωσαν, οὐκ ἂν τὸν κύριον τῆς δόξης ἐσταύρωσαν. καὶ τίνες οὗτοι; οἱ κατεσθίοντες τὸν λαόν μου ἐν βρώσει ἄρτου. οἱ διὰ βασκανίαν πεινῶντες τὸν τῶν πιστῶν θάνατον.

potitur, vniuersus mundus ægrotat. Vnum quærit Deus fidelem & iustum, vt in Chaldæis Abraham, & Lot in Sodomis. Sed illi quidem nec fidem, nec rectam habent vitam: illi verò veram habēt fidem, sed vitam rectam non habent. Deum confitentur scire, factis autem negant. De Deo præclarè & splendidè loquuntur, & veluti tuba canunt: in bene autem faciendo dormiunt. [Tit. 1. 16.] Non est qui faciat bonum, non est vsque ad vnum. Deinde quoniam dominus de cœlo prospexit, & propter eos qui peccabant, indignatus est, docet nos propheta eum non solùm prospexisse, sed etiam minātem esse locutum.

4. *Nonne cognoscent omnes qui operantur iniquitatem?* Et quid cognoscent? Quòd dominus est Deus vltionum. [Deu. 32. Psal. 93.] Cognoscent quòd aduenit iudex viuorum & mortuorum. [Act. 10. Rom. 2.] Cognoscent quòd reddet vnicuique secundum opera sua. Non cognouerunt, dum monerentur, cognoscent dum cruciabuntur. Ita etiam aliquando similia dixit Deus de impiis Ægyptiis: Et cognoscent omnes Ægyptij, quòd ego sum Dominus, dum ego glorificabor in Pharaone, & in curribus eius. [Exod. 14. 4.] Scient tunc, quando nihil eis proderit cognitio, quando persequentes curribus, obruti fuerint fluctibus. Vel etiam legendum est negatiuè: Non cognoscent omnes qui operantur iniquitatem. Et quid non cognoscent? Quòd dominus de cœlo in terram prospexit. Quid non cognoscēt? Quòd quæ malè fiunt, ei displicēt. Quid nō cognoscent? Nolent scire vias domini. Huius rei Iob testis est, qui dicit: Dicit autem impius Domino: Recede à me, vias tuas scire nolo. [Iob. 21.] Eo enim ipso quòd operātur iniquitatem, leges domini cognouisse non sustinebunt. Et nunc sunt bella, & pestes, & terræmotus: multi tamen peccata non sentiunt, & imminētibus malis non castigantur. Quid non cognoscent? Dei voluntatem, promissa bona cœlestia, Dei thesaurum, paradisum deliciarum, vitam æternam. Non cognoscent omnes qui operātur iniquitatem, Iudæi, quod legislator & dominus gloriæ ab eis est crucifixus. Si enim cognouissent, Dominum gloriæ non crucifixissent. [1. Cor. 2.] Et quinam ij sunt? *Qui deuorant plebem meam sicut escam panis.* Qui propter inuidiam, mortem fidelium esuriunt.

Et non dixit, Comedentes, sed deuorantes aut exedentes, feris crudeliores. Feræ enim cùm carnem humanam gustauerint, mox cessant, propter insuetum nutrimentum erubescentes. Improbi autem & inuidi fidelem perpetuò maledictis exedentes, non satiantur. Caueamus fratres, ne eos qui sunt eiusdem nobiscum fidei, maledictis & calumniis insectantes, cum iniquis inueniamur. Non cognoscent omnes qui operantur iniquitatem, siue sint hæretici, siue sint eiusdem fidei, qui deuorant populum meum. Quòd autem ij etiam qui sunt eiusdem fidei, eos deuorant, qui eandem habent cum eis fidem, dicit Apostolus: Si autem vos inuicem mordetis & exeditis, videte, ne à vobis inuicem consumamini. Alienigenis Gentibus, Syris & Græcis, eos qui populum deuorant, assimilans Esaias, dicebat: Ducam Syriam ab ortu, & Græcos ab occasu solis, qui deuorant populum meum toto ore. Sed etiam si propter peccata nostra ab inimicis tanquam à leonibus deuoremur, propter nostram tamen in Deum pietatem, vltionem assequemur. Audi Hieremiam dicentem: Sanctus Israël domino: omnes qui deuorant ipsum, delinquent, mala inducam super ipsos. Dicit dominus, quòd eos qui peccarunt exedentes, grauius peccarunt, quàm ij qui exeduntur, vt qui plus quàm Deus in animo haberet, populum suum flagellarunt, quemadmodum de eo dixit Dominus: Ego tradidi eum in manus tuas, tu autem non fecisti misericordiam cum ipso. Et rursus: Propterea quòd ego parum irascebar, ipsi autem in mala inuaserunt. Et quòd propter peccata populus Dei à Dei inimicis exeditur, dicit Hieremias, Ouis errans Israël, leones extruserunt ipsum. Primus deuorauit ipsum rex Assyriorum, & secundus rex Babylonis eius ossa contriuit. Si non errasset vt ouis, non deuoratus fuisset à leonibus. Intellige quæ dico. Qui deuorant populum meum sicut escam panis.

5. *Dominum non inuocauerunt*, Etsi putauerunt se inuocare. Quemadmodum enim qui ex rapina Deo aliquid offert, non offert, quandoquidem Deus ea non suscipit: ita qui fratrem deuorant, Deum inuocantes non inuocant.

Ferarum erubescentia in gustu carnis humanæ.

Galat. 5.

Esa. 9.

Hier. 2. 3.

Esa. 46. Partim iuxta veritatem hebraicam, & 70.

Zach. 1. Partim iuxta veritatem Hebraicam, & iuxta 70.

Hier. 50.

Ezel. 35.

A καὶ οὐκ εἶπεν, οἱ ἐσθίοντες, ἀλλὰ κατεσθίοντες οἱ θηρίων ἀγρίων χαλεπώτεροι. τὰ μὲν γὰρ θηρία αἰσθητῶς σαρκὸς γευσάμενα ταχέως παύονται, τὴν ἀηδῆ τροφὴν αἰσχυνόμενα. οἱ δὲ πονηροὶ καὶ βάσκανοι δι' ὅλου κατεσθίοντες ταῖς λοιδορίαις τὸν πιστὸν οὐ κορέννυνται. ἀσφαλισώμεθα ἀδελφοὶ, μήπως τοὺς ὁμοπίστους λοιδορήσαντες, καὶ συκοφαντήσαντες μετὰ τῶν ἀνόμων εὑρεθῶμεν. οὐχὶ γνώσονται πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν, κἂν αἱρετικοὶ κἂν ὁμόπιστοι, οἱ κατεσθίοντες τὸν λαόν μου. ὅτι δὲ καὶ ὁμόπιστοι ὁμοπίστους κατεσθίουσι, λέγει ὁ ἀπόστολος· εἰ δὲ B ἀλλήλους δάκνετε, καὶ κατεσθίετε, βλέπετε μὴ ὑπ' ἀλλήλων ἀναλωθῆτε. ἀλλοφύλοις ἔθνεσι, τοῖς Σύροις, καὶ τοῖς ἔθνεσι τοὺς κατεσθίοντας τὸν λαὸν παρεικάζων Ησαΐας, ἔλεγεν· ἄξω Συρίαν ἀπὸ ἀνατολῶν, καὶ τοὺς Ἕλληνας ἀπὸ ἡλίου δυσμῶν· τοὺς κατεσθίοντας τὸν λαόν μου ὅλῳ τῷ στόματι. ἀλλὰ κἂν διὰ τὰς ἁμαρτίας ἡμῶν ὑπὸ τῶν ἐχθρῶν, ὡς ὑπὸ λεόντων κατεσθιώμεθα, ἀλλὰ διὰ τὴν εἰς Θεὸν ἡμῶν εὐσέβειαν, ἐκδικίας τευξόμεθα. ἄκουσον Ἱερεμίου λέγοντος· ἅγιος Ἰσραὴλ τῷ κυρίῳ, πάντες C οἱ κατεσθίοντες αὐτὸν πλημμελήσουσι, κακὰ ἐπάξω ἐπ' αὐτούς. λέγει κύριος, ὅτι τοὺς ἁμαρτήσαντας κατεσθίοντες, βαρύτερα τῶν κατεσθιομένων ἡμάρτομεν, πλείονα τῆς τοῦ κυρίου γνώμης τὸν λαὸν αὐτοῦ μαστίξαντες, καθὼς εἶπε περὶ αὐτοῦ ὁ Θεός· ἐγὼ παρέδωκα αὐτὸν εἰς τὰς χεῖράς σου, σὺ δὲ οὐκ ἐποίησας ἔλεος μετ' αὐτοῦ. καὶ πάλιν· ἀνθ' ὧν μὲν ἐγὼ ὠργίσθην ὀλίγα, αὐτοὶ δὲ συνεπέθεντο εἰς κακά. καὶ ὅτι δι' ἁμαρτίας ὁ λαὸς τοῦ Θεοῦ, ὑπὸ τῶν ἐχθρῶν τοῦ Θεοῦ κατεσθίεται, Ἱε- D ρεμίας λέγει· πρόβατον πλανώμενον Ἰσραὴλ, λέοντες ἐξώσαν αὐτόν. ὁ πρῶτος κατέφαγεν αὐτὸν βασιλεὺς Ἀσσυρίας, καὶ δεύτερος βασιλεὺς Βαβυλῶνος τὰ ὀστᾶ αὐτοῦ συνέτριψεν. εἰ δὲ μὴ ὡς πρόβατα ἐπλανήθη, οὐκ ἂν ὑπὸ τῶν λεόντων κατεβρώθη· νόει ἃ λέγω. οἱ κατεσθίοντες τὸν λαόν μου ἐν βρώσει ἄρτου, τὸν κύριον οὐκ ἐπεκαλέσαντο. κἂν ἐπικαλεῖσθαι νομίσωσιν. ὥσπερ γὰρ ὁ ἐξ ἁρπαγῆς τῷ Θεῷ τι προσφέρων, οὐ προσφέρει, ἐπεὶ ὁ Θεὸς αὐτὰ οὐ προσδέχεται· οὕτως οἱ κατεσθίοντες τὸν ἀδελφὸν, ἐπικαλούμενοι Θεὸν οὐκ ἐπικαλοῦνται.

ἢ καὶ

ἢ καὶ τὸν κύριον οὐκ ἐπεκαλέσαντο, ἀντὶ τοῦ ἀπὸ τοῦ Χριστοῦ Χριστιανοὶ οὐκ ἐκλήθησαν· ἐπεὶ τῷ Χριστῷ ἐπολέμησαν. οὐδὲ γὰρ ἤκουσαν τοῦ εἰπόντος· ἐξομολογεῖσθε τῷ κυρίῳ, καὶ ἐπικαλεῖσθε τὸ ὄνομα αὐτοῦ. ὅμως κἂν ὡς θηρία ὥρμησαν, ἐκεῖ ἐδειλίασαν φόβῳ, οὗ οὐκ ἦν φόβος. ὡς λέοντες ἐθρασύνθησαν, καὶ ὡς λαγωοὶ ἐδειλίασαν. τοῦτο δὲ πρὸς τοὺς δειλοὺς ὁ προφήτης ἐν τοῖς διωγμοῖς λέγει, ὅτι ἀκούσαντες, μὴ φοβεῖσθε ἀπὸ τῶν ἀποκτενόντων τὸ σῶμα, τὴν δὲ ψυχὴν μὴ δυναμένων ἀποκτεῖναι, καὶ μὴ φοβεῖσθε ὀνειδισμοὺς ἀνθρώπων· ἐφοβήθησαν φόβον, οὗ οὐκ ἦν φόβος. τὸν Θεὸν γὰρ μὴ φοβηθέντες, ἀνθρώπους ἐφοβήθησαν. ἐκεῖ ἐφοβήθησαν φόβον, ἀσεβεῖς θεασάμενοι τοὺς εὐσεβεῖς βοηθηθέντας ὑπὸ Θεοῦ. ὡς γὰρ ἐρωτηθεὶς, καὶ διὰ τί ἐφοβήθησαν φόβον οἱ ἀσεβεῖς; ἀποκρίνεται ὅτι ὁ Θεὸς ἐν γενεᾷ δικαίων, ὡς ἐν στρατιώταις στρατηγὸς, ὡς ἐν συγκλήτῳ βασιλεὺς, ὁ Θεὸς ἐν γενεᾷ δικαίων. ὁ εἰπὼν ὅπου εἰσὶ δύο, ἢ τρεῖς συνηγμένοι εἰς τὸ ἐμὸν ὄνομα, ἐκεῖ εἰμι ἐν μέσῳ αὐτῶν. εἰ δὲ ἐν μέσῳ δύο, καὶ τριῶν ἁγίων ἔρχεται, πολλῷ μᾶλλον ἐν γενεᾷ δικαίων εὑρίσκεται. ὅπου ἡ ἄμαχος ζωὴ, ὅπου ἡ ἄλυπος διαγωγὴ, ὅπου ἡ ἀθάνατος ἀνάπαυσις, ἡ ἀμέριστος κληρονομία, ἀδιάδοχος βασιλεία, ἐφ' ἣν ὁ Χριστὸς καλεῖ λέγων· δεῦτε οἱ εὐλογημένοι τοῦ πατρός μου. * * * κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν, ὅτι κύριος ἐν γενεᾷ δικαίων, βουλὴν πτωχοῦ κατῃσχύνατε, ὁ δὲ κύριος ἐλπὶς αὐτοῦ. εἴρηται γὰρ, πλὴν Θεοῦ μὴ φοβοῦ ἄλλον. ἐλέγχει δὲ καὶ τὴν Ἱερουσαλὴμ λέγων· τίς οὖσα ἐφοβήθης ἀπὸ ἀνθρώπου θνητοῦ; ἢ καὶ ταῦτα πρὸς Σενναχηρεὶμ εἴρηται καὶ Ῥαψάκην νομίσαντας εὐάλωτον εἶναι τὸν λαὸν τοῦ Θεοῦ, καὶ τοῦ κυρίου καταφρονήσαντας, ὃν οὐκ ἐπεκαλέσαντο. διὸ φυγῇ ᾤχοντο μηδενὸς ἐκφοβοῦντος ἀνθρώπου. οὓς πάντας εὗρεν ἀσεβεῖς οἱονείπως διακύψας ἐξ οὐρανοῦ. κατεφρόνησαν γὰρ ὡς εὐτελοῦς ἀνθρώπου τοῦ Ἐζεκίου, καὶ τῆς ὑπ' αὐτὸν τῶν εὐσεβούντων γενεᾶς, ἣν δικαίως ἐποίμαινε. βουλὴν δὲ κέκληκε τὴν εἰς Θεὸν βεβαίαν πεποίθησιν. καὶ ἄλλως. καθάπερ δὲ ἐν συναλλάγμασιν οὐκ εἰς πρόσωπα βλεπτέον, οὕτως ἐν τοῖς βουλευομένοις, οὐκ εἰς ἀρχὴν, ἢ περιουσίαν,

A Vel etiam dominum nō inuocauerunt; pro eo quod est, A Christo non vocati sunt Christiani: quandoquidem cum Christo bellum gesserunt. Neque enim audiuerunt eum dicentem: Confitemini Domino, & inuocate nomen eius. *Psal. 104.* Quamuis autem tanquam feræ irruerunt, *Illic tamen trepidauerunt timore, vbi non erat timor.* *Antithesis.* Audaces fuerunt vt leones, & tanquam lepores trepidarunt. Hoc etiam dicit propheta aduersus timidos in persecutionibus, quòd cùm audiissent, *Matth. 10. 28.* Nolite timere eos qui occidunt corpus, animam autem non possunt occidere, *Ps. 13. 5.* B & ne timete hominum opprobria: *Esa. 51. 7.* trepidauerūt timore, vbi non erat timor. Cùm enim Deū non timuissent, homines timuerunt. Illic timore trepidarunt impij, cùm vidissent Deum piis ferre auxilium. Tanquam enim interrogatus, & cur timore trepidarunt impij? respondet, *6. Quoniam Dominus in generatione iustorum est.* Sicut inter milites imperator, sicut Rex in Senatu, Deus est in generatione iustorum: qui dixit: Vbi sunt duo vel tres congregati in nomine meo, illic sum in medio eorum: *Matth. 18. 20.* si autem venit in medium duorum vel C trium sanctorū, multò magis inuenitur in generatione iustorum, vbi est vita inexpugnabilis, vbi conuersatio quæ caret tristitia, vbi est quies immortalis, hæreditas inseparabilis, regnum quod caret successione, ad quod Christus vocat dicens: Venite benedicti patris mei, possidete paratum vobis regnum. * * * *Matth. 25. 34.*

6. Quoniam Dominus in generatione iustorum est, consilium inopis confudistis: Dominus autem spes eius est. *Dictum est enim: Præter Deum ne timeas alium. Reprehendit autem & Hierusalem dicens: Quænam cum esses, timuisti ab homine mortali?* *Esa. 51. 12.* *Atq. hæc dicta sunt ad Sennacherim & Rhapsacem,* D *qui populum Dei expugnatu facilem arbitrabantur & Dominum aspernabantur quem nō inuocabant, idcirco fuga sese proripuerunt nullo homine metum incutiente, quos omnes impios inuenit, cum è cœlo tanquam capite inclinato despexisset. Ezechiam enim tanquam vilem quēdam hominem contempserunt & piorum generationem illi subiectā, quam iustè regebat. Consilium autem constantem in Deum fiduciam appellauit. Aliter etiam. Quemadmodum autem in contractibus & commerciis personas respicere non oportet, ita dum consilium petimus, non ad dignitatem, neque ad opes respiciendum est,*

sed ad eum qui probæ ac bene sibi consciæ mentis sit. Atqui Iudæi consilium Saluatoris confundere studuerunt, cum pauperem esse quendam arbitrantes non diuinitatis diuitias. calumniabantur enim & doctrinam eius & miracula, quasi diuina non essent. Quis dabit ex Sion salutare Israel? cum conuerterit Dominus captiuitatem plebis suæ, exultabit Iacob, & lætabitur Israel. *Cum omnes ab eo declinassent, iam opus erat eo, qui peccata posset*

Esa.59.10

posset remittere ac saluare. Ex Sion vero dicitur, quod ex semine Dauidis esset, iuxta illud.

Psal.49.2.

Ex Sion veniet, qui liberet, & rursus, Ex Sion species eius. Potes etiam dicere ex Sion, quæ sursum est: spes quippe nostra regnum cælorum est. Cum vero saluæ factæ fuerint gentes, iusti qui verè sunt Israël ac Prophetæ exultabunt, nobisque congratulabuntur, quod ipsorum prophetia fuerit adimpleta. Nam & Simeon, cum lumen ad reuelationem gentium Saluatorem esse dixisset, adiungit, & gloriam plebis suæ Israël.

Luc.2.

Fit autem captiua per desidiam anima dum peccato subiicitur, ac diabolo, & excidit à virtute: conuertitur autem cum per pœnitentiam remißionem obtinet, quam per crucem largitus est Dominus. Porrò idem quatenus perturbationes supplantaturus est, Iacob dicitur, qui dum malignas virtutes vincit, quæ illas ingenerant, exultat: quatenus autem purgatus Deum videt, Israël appellatur. Mens enim est Deum videns. Aliter autem præter prophetiam de Christo, optat etiam, vt decem tribus, quæ in captiuitatem redactæ fuerant in libertatem vindicentur, quemadmodum Hierusalem obsidione liberata est. Tunc enim & ipsi lætabuntur, qui & Iacob sunt & Israël. Faxit autem Deus vt nos, vbi vitam ab omni titubatione, casu, & ruina immunem traduximus, ad regnum cælorum perueniamus Christi gratia, quem decet gloria & imperium, nunc & semper in secula seculorum, Amen.

A ἀλλ' εἰς τὸν εὐσυνείδητον. ἀλλὰ καὶ Ἰουδαῖοι τὴν τοῦ σωτῆρος ἐσπούδασαν καταισχῦναι βουλὴν, νομίσαντες πτωχὸν εἶναι τινὰ, καὶ οὐ πλοῦτον θεότητος. διέβαλλον γὰρ καὶ τὴν διδασκαλίαν, καὶ τὰ σημεῖα ὡς μὴ θεῖα τυγχάνοντα. τίς δώσει ἐκ Σιὼν τὸ σωτήριον τοῦ Ἰσραὴλ, ἐν τῷ ἐπιστρέψαι κύριον τὴν αἰχμαλωσίαν τοῦ λαοῦ αὐτοῦ, ἀγαλλιάσεται Ἰακὼβ, καὶ εὐφρανθήσεται Ἰσραήλ. πάντων ἐκκλινάντων αὐτοῦ· λοιπὸν χρεία δυναμένου τὰς ἁμαρτίας ἀφεῖναι, καὶ σῶσαι. ἐκ Σιὼν δὲ λέγεται, διὰ τὸ ἐκ σπέρματος εἶναι Δαβίδ· κατὰ τό· ἥξει ἐκ Σιὼν ὁ

B ῥυόμενος, καὶ πάλιν, ἐκ Σιὼν ἡ εὐπρέπεια αὐτοῦ. λέγοις δ' ἂν καὶ ἐκ τῆς ἄνω Σιὼν, καὶ ἡ ἐλπὶς δὲ ἡμῶν ἡ βασιλεία τῶν οὐρανῶν. τῶν δὲ ἐθνῶν σωζομένων οἱ ἀληθῶς Ἰσραὴλ δίκαιοι, καὶ προφῆται ἀγαλλιάσονται συγχαίροντες ἡμῖν, καὶ πληρουμένης αὐτῶν τῆς προφητείας. καὶ Συμεὼν γὰρ φῶς εἰς ἀποκάλυψιν ἐθνῶν τὸν σωτῆρα φήσας, ἐπάγει, καὶ δόξαν λαοῦ σου Ἰσραήλ. αἰχμαλωτίζεται δὲ ψυχὴ διὰ ῥαθυμίας ὑφ' ἁμαρτίαν γινομένη, καὶ τὸν διάβολον, καὶ ἐκπεσοῦσα τῆς ἀρετῆς. ἐπιστρέφει δὲ τυ-

C χοῦσα διὰ μετανοίας ἀφέσεως, ἣν διὰ τοῦ σταυροῦ παρέσχεν ὁ κύριος. ὁ αὐτὸς δὲ καθ' ὃ μέλλει πτερνίζειν τὰ πάθη λέγεται Ἰακὼβ ἀγαλλιώμενος ἐν τῷ νικῆσαι τὰς ἐνεργούσας ταῦτα δυνάμεις. καθ' ὃ δὲ καθαρθεὶς ὁρᾷ τὸν Θεὸν Ἰσραήλ. νοῦς γάρ ἐστιν ὁρῶν Θεόν. καὶ ἄλλως δὲ παρὰ τὴν κατὰ Χριστὸν προφητείαν εὔχεται, καὶ τὰς ἁλούσας δέκα φυλὰς ἐλευθερωθῆναι. καθάπερ Ἱερουσαλὴμ τῆς πολιορκίας ἐρρύσθη, οὕτω γὰρ εὐφρανθήσονται καὶ αὐτοὶ Ἰακὼβ καὶ Ἰσραὴλ χρηματίζοντες. γένοιτο δὲ

D πάντας ἡμᾶς ἀσάλευτον, καὶ ἀνόλισθον, καὶ ἀδιάπτωτον βίον ζῶντας φθάσαι τὴν τῶν οὐρανῶν βασιλείαν χάριτι Χριστοῦ, ᾧ πρέπει ἡ δόξα καὶ τὸ κράτος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

A

ΟΜΙΛΙΑ ΕΙΣ ΤΗΝ ΕΠΙΓΡΑΦΗΝ τοῦ ν. ψαλμοῦ. καὶ περὶ μετανοίας, εἰς τὸν βασιλέα Δαβὶδ, καὶ περὶ τῆς τοῦ Οὐρίου.

Οἱ ζωγράφοι μιμοῦνται τῇ τέχνῃ τὴν φύσιν, καὶ κεραννῦντες τὰ χρώματα γράφουσι τὰς εἰκόνας τῶν ὁρωμένων σωμάτων, καὶ ποιοῦσιν ἀνθρώπους, καὶ ἄλογα, B καὶ δένδρα, καὶ πολέμους, καὶ μάχας, καὶ αἱμάτων χειμάῤῥους, καὶ δόρατα, καὶ θώρακας, καὶ ἀσπίδας, καὶ βασιλεῖς, καὶ ἰδιώτας, καὶ θρόνον βασιλικὸν, καὶ βασιλέα καθήμενον, καὶ βάρβαρον ὑποκείμενον, καὶ αἰχμὴν ἠκονημένην, καὶ ποταμοὺς ῥέοντας, καὶ πεδία ποικίλα, καὶ ἁπλῶς ἅπαντα τὰ ὁρώμενα διὰ τῆς τέχνης μιμούμενοι, παρέχουσι θεωρίαν τοῖς βλέπουσιν· οὕτω δὴ καὶ οἱ προφῆται ζωγράφοι τινές εἰσιν ἀρετῆς καὶ κακίας. γράφουσι γὰρ καὶ οὗτοι τῷ λόγῳ τὸν ἁμαρτωλὸν, τὸν δίκαιον, τὸν μετανοοῦντα, τὸν ἑστῶτα, τὸν πίπτοντα, τὸν ἐγειρόμενον, C τὸν σαλευόμενον. καὶ καθάπερ ζωγράφοι ποιοῦσι πολέμους καὶ σφαγὰς, οὕτω καὶ οὗτοι ποιοῦσιν ἁμαρτίαν ποτὲ μὲν ἐπιτιθεμένην, ποτὲ δὲ καταβαλλομένην· καὶ δαίμονας πάλιν, νῦν μὲν πολεμοῦντας, νῦν δὲ πολεμουμένους· καὶ διάβολον ποτὲ μὲν ἐπιβουλεύοντα, ποτὲ δὲ καὶ νικώμενον. ἐπεὶ οὖν τοιαύτη αὐτῶν ἡ τέχνη, μετ᾽ ἀκριβείας αὐτὴν καταμάθωμεν. τοὺς μὲν γὰρ τῶν ζωγράφων πίνακας ὁρῶντες, οὐδὲν κερδαίνοντες ἀπερχόμεθα. τί γάρ μοι ὄφελος βασιλέως καὶ ὑπάτου εἰκόνα ἰδεῖν; βασιλεὺς γενέσθαι D οὔτε δύναμαι, οὔτε βούλομαι, τί μοι οὖν ὄφελος τῆς θεωρίας, ἧς τὴν ἐπιθυμίαν οὐκ ἔχω; ἧς κἂν ἐπιθυμήσω, κολάζομαι; τί μοι τὸ ὄφελος ἄνθρωπον ἰδεῖν πλουτοῦντα; κἂν πένης ὦ, φθονῶ· κἂν πλούσιος ὦ, βασκαίνομαι. πάλιν τὰ αὐτὰ πάσχων καὶ ὀδύρομαι. ἄφες ἐκείνας τὰς εἰκόνας, καὶ βλέπε ταύτην τὴν θεωρίαν. ἐὰν ἴδω ὕπατον, τί πρὸς ἐμέ;

IN TITVLVM PSALMI QVINQVAGESIMI, ET DE pœnitentia, de Rege Dauide & de ea, quæ fuit Vriæ, Homilia.

Iac. Billio Abbate S. Michaëlis in Eremo, interprete.

PICTORES naturam arte imitantur, ac colores miscentes, corporum, quæ in aspectum cadunt, imagines depingunt, atque homines, & bruta, & arbores, & bella, & pugnas, & cruoris torrentes, & lanceas, & loricas, & clypeos, & reges, & priuatos, & regium solium, & regem sedentem, & Barbarum infra eum iacentem, & peracutam cuspidem, & amnes fluentes, & varios campos effingunt, atque, vt summatim loquar, omnia ea, quæ oculis cernuntur, artis industria repræsentant. Ad eundem igitur modum Prophetæ quoque virtutis ac vitij pictores quodammodo sunt. Nam ipsi etiam sermonis penicillo peccatorem, iustum, pœnitentem, stantem, cadentem, resurgentem, vacillantē pingunt. Et quemadmodum pictores Barbaros & cædes efficiunt: sic etiam ipsi peccatum inducūt, nunc impetum faciens, nunc victum ac prostratum, dæmonesque rursus nunc bellum inferentes, nunc bello lacessitos, itémque diabolum nunc insidias struentem, nunc fractum & profligatum. Quoniam igitur eiusmodi ipsis ars est, summo studio & diligentia eā cognoscamus. Nam pictorum quidem tabulas dum intuemur, absque vllo fructu & commodo hinc recedimus. Quid enim vtilitatis ex regiæ aut consularis imaginis aspectu percipio? Rex enim fieri, nec possum, nec volo. Quid igitur mihi prodest id contemplari, cuius cupiditas animum non incessit, & quod si concupiscam pœna afficior? Quid iuuat hominem opibus affluentem conspicere? Siue pauper sim, inuideo: siue diues, aliorum inuidia premor. Ac rursum eadem patiens in luctu & lamentis versor. Missas igitur fac illas imagines, atque ad hanc contemplationem oculos conuerte. Si Consulem videro, quid mea refert?

Prophetæ, virtutis & vitij pictores.

At si peccatorem, qui lapsus sit, ac postea surrexerit, huiusmodi spectaculum doctrinæ argumentum mihi existit. Eodémque modo si iustum virum stantem conspexero, huiusmodi contemplatio ad virtutem me tanquã porrecta manu ducit. Ex hoc spectaculo pugnandi ac vincendi rationem addisco. Rursum si probum virum, qui in fraudem impulsus sit, video, ex huiusmodi conspectu cautior & sapientior fio. Hæc autem omnia non frustra temereq́. à me dicta sunt: verùm quia psalmi, qui hodierno die recitat⁹ est, imago ad hanc doctrinæ materiã nos ducit. Quid enim ait Propheta? *Miserere mei Deus secundum magnam misericordiã tuã. Et secundũ multitudinẽ miserationũ tuarũ dele iniquitatẽ meã.* Hæc est imago. Nam psalmũ hunc imaginem voco. Siquidẽ varias personas in eo cõspicio, nimirum peccatũ accedens & obtruncatum, pœnitentiam astantem, ac Deo suppetias ferentem, misericordiam desuper lucentem, philosophiam afferentem, ac multos lachrymarum fontes, à confessione promanantes, habentem. Hæ sunt huiusce picturæ personæ. Verum priusquam ad psalmum explanandum aggrediar, mihi necessariò faciendum est, vt vobis inscriptionem ipsam accuratius exponam. Vt enim statuæ inscriptiones quasdam continent: eodem modo in psalmis quoque se res habet. Nam statuæ superiore loco stantes, infrà miniatas quasdam tabellas habent, quibus indicetur quisnam rex sit, quoque patre natus, & quod bellum confecerit. At contrà in psalmis inscriptio supernè posita est, ex qua constet, quódnam psalmi argumentum sit, quæ ipsius doctrina, quæ radix, & qua de causa psalmus dictus sit. Quocirca perattentas quæso huic sermoni aures præbete. Neque enim de vulgaribus rebus exiguique momenti nobis oratio est. *Psalmus Dauidis cùm ingressus esset ad eum Nathan Propheta, postea quam ingressus ad Bersabee vxorem Vriæ.* Hæc est inscriptio. Discamus itaque quisnam sit hic Nathan: & quænam Bersabee. Quænam igitur est vxor Vriæ, & quónam tempore accessit Propheta, & qua de causa Dauid hunc psalmum literis prodidit? Neque enim omnes psalmi de Dauide dicti sunt. Nam omnes quidem ab eo dicti sunt: at non omnes de eo. Non enim suas tantummodo calamitates commemorauit:

Psalmi omnes à Dauide dicti, sed non omnes de eo.

A ἐὰν ἴδω ἁμαρτωλὸν καταπεσόντα καὶ πάλιν ἀναστάντα, ἡ θεωρία διδασκαλίας ὑπόθεσίς μοι γίνεται. ἐὰν ἴδω δίκαιον ἑστῶτα, ἡ θεωρία πρὸς φιλοσοφίαν χειραγωγεῖ με. ἀπὸ τῆς θεωρίας μανθάνω τὴν μάχην, καὶ παιδεύομαι τὴν νίκην. ἐὰν ἴδω δίκαιον ὑποσκελιζόμενον, πάλιν ἀσφαλέστερος ὑπὸ τῆς θεωρίας γίνομαι. ταῦτα δέ μοι πάντα οὐχ ἁπλῶς οὐδὲ εἰκῇ εἴρηται, ἀλλ' ἐπειδὴ τοῦ ψαλμοῦ τοῦ σήμερον ἀναγνωσθέντος ἡ εἰκὼν εἰς ταύτην ἡμᾶς ἄγει τῆς διδασκαλίας τὴν ὑπόθεσιν. τί γάρ φησιν ὁ προφήτης; B ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου. αὕτη ἡ εἰκών. τὸν γὰρ ψαλμὸν εἰκόνα καλῶ. βλέπω γὰρ διάφορα πρόσωπα ἐν τῷ ψαλμῷ· ἁμαρτίαν ἐπιοῦσαν καὶ στρατοπεδεύουσαν, μετάνοιαν παρεστῶσαν καὶ συμμαχοῦσαν Θεῷ, φιλανθρωπίαν ἄνωθεν λάμπουσαν, φιλοσοφίαν παρέχουσαν καὶ πολλὰς ἔχουσαν δακρύων πηγὰς ἐξ ὁμολογήσεως. ταῦτα τὰ πρόσωπα τῆς εἰκόνος· ἀλλὰ πρὶν τοῦ ψαλμοῦ ἀρξώμεθα, ἀναγκαῖον αὐτοῦ τὴν ἐπιγραφὴν ἀκριβέστερον ὑμῖν διηγήσασθαι. ὥσπερ C γὰρ αἱ εἰκόνες ἐπιγραφὰς ἔχουσιν, οὕτω καὶ ἐπὶ τῶν ψαλμῶν. καὶ γὰρ αἱ εἰκόνες ἄνω ἑστῶσαι, κάτω ἔχουσι φοινικίδας σανίδας, τίς ὁ βασιλεύς, καὶ τίνος, καὶ ποῖον πόλεμον κατώρθωσεν· ἐπὶ δὲ τοῦ ψαλμοῦ ἄνωθεν ἡ ἐπιγραφὴ ἔγκειται, τίς ἡ ὑπόθεσις, καὶ τίς ἡ διδασκαλία, καὶ τίς ἡ ῥίζα, καὶ τίνος ἕνεκεν ὁ ψαλμὸς εἴρηται. παράσχετέ μοι μετὰ ἀκριβείας τὴν ἀκοὴν τῷ λόγῳ. οὐ γὰρ περὶ τῶν τυχόντων ἡμῖν ἐστιν ἡ διήγησις. ψαλμὸς τοῦ Δαβίδ, ἐν τῷ εἰσελθεῖν πρὸς αὐτὸν D Νάθαν τὸν προφήτην, ὅτε εἰσῆλθε πρὸς Βηρσαβεὲ τὴν γυναῖκα τοῦ Οὐρίου. αὕτη ἡ ἐπιγραφή. μάθωμεν τοίνυν τίς ἐστιν ὁ Νάθαν, καὶ τίς Βηρσαβεέ. τίς ἄρα ἐστὶν ἡ γυνὴ τοῦ Οὐρίου; καὶ πότε εἰσῆλθε πρὸς αὐτὸν ὁ προφήτης; καὶ τίνος ἕνεκεν τὸν ψαλμὸν τοῦτον ἔγραψεν; οὐ γὰρ ἅπαντες οἱ ψαλμοὶ εἰς τὸν Δαβὶδ εἰρημένοι εἰσίν. ἅπαντες μὲν γὰρ παρ' αὐτοῦ, οὐ πάντες δὲ εἰς αὐτὸν εἴρηνται. οὐ γὰρ τὰ οἰκεῖα πάθη διηγήσατο μόνον,

ἀλλὰ καὶ τὰς ἀλλοτρίας συμφορὰς ἐτραγῴδησεν· οἷον, ἐπὶ τῶν ποταμῶν Βαβυλῶνος ἐκεῖ ἐκαθίσαμεν καὶ ἐκλαύσαμεν. εὔδηλον ὅτι οὐ περὶ αὐτοῦ ὁ ψαλμὸς εἴρηται (οὔτε γὰρ εἰς Βαβυλῶνα ἀπῆλθεν, οὔτε εἶδε τὴν βαρβάρων, οὔτε ἐκάθισεν εἰς ἀλλοτρίαν γῆν καὶ ἔκλαυσεν) ἀλλὰ τὰ πάθη τῶν Ἰουδαίων διηγεῖται. πάλιν ὅταν λέγῃ· ὤρυξαν χεῖράς μου καὶ πόδας μου, ἐξηρίθμησαν πάντα τὰ ὀστᾶ μου· οὐ τὸ ἑαυτοῦ πάθος ἐξηγεῖται, ἀλλὰ τὸν σταυρὸν, τὴν θυσίαν τὴν οἰκουμένης ἐκήρυττε, τὴν ἐπὶ σωτηρίᾳ τοῦ γένους τοῦ ἡμετέρου. εἰκὼν γάρ ἐστι ποικίλην ἔχουσα διδασκαλίας· ποτὲ μὲν οὖν τὰ ἑαυτοῦ, ποτὲ δὲ τὰ ἀλλότρια διηγεῖται, ἐπειδὴ οὖν ὁ ψαλμὸς οὗτος καὶ τὰ ἀλλότρια διηγεῖται, διὰ τοῦτο, ὅτε εἰσῆλθε πρὸς αὐτὸν Νάθαν ὁ προφήτης, ἐπιγέγραπται. ὥστε ἡ ἐπιγραφὴ οὐ συγχωρεῖ ἡμῖν ληθαργῆσαι, οὐδὲ ἀλλαχοῦ περιφέρει τὴν διάνοιαν· ἀλλ' ἕστηκε τὰ τοιαῦτα προστάττων καὶ διδάσκων, διδάσκει γὰρ καὶ ἕτερα νοήματα, ἅπερ ἡμῖν ἡ ἐπιγραφὴ λέγει. ἀλλὰ προσέχετε μετ' ἀκριβείας οἵ τε δίκαιοι, οἵ τε ἁμαρτωλοί, ἑκατέρῳ γὰρ τῷ μέρει χρήσιμος ὁ ψαλμός· τῷ μὲν δικαίῳ, ἵνα μὴ ῥαθυμῇ· τῷ δὲ ἁμαρτωλῷ, ἵνα μὴ ἀπογινώσκῃ τῆς ἑαυτοῦ σωτηρίας. ἀμφότερα γὰρ δυσεπίληπτα. ὅ, τε γὰρ δίκαιος ῥαθυμήσας καταβάλλεται, ὅ, τε ἁμαρτωλὸς ἀπογνοὺς οὐκ ἀνίσταται. ἵνα οὖν μήτε οὗτος ἐν πτώματι μείνῃ, μήτε ἐκεῖνος εἰς πτῶμα καταπέσῃ, ἑκατέρῳ τῷ μέρει σωτηριώδης αὕτη δίδοται τοῦ μελῳδοῦ τούτου ἡ ψαλμῳδία. μέλλω γοῦν λέγειν ἁμάρτημα τοῦ προφήτου μέγα καὶ χαλεπόν. ἀλλὰ μηδεὶς ἡμῶν καταγινωσκέτω· ἡ γὰρ τοῦ Θεοῦ φιλανθρωπία τοῦ κοινοῦ γένους τῶν ἀνθρώπων πρόνοιαν ποιουμένη, τά τε κατορθώματα τῶν ἁγίων ἐποίησε γραφῆναι, καὶ τὰ ἁμαρτήματα εἰς φάρμακα μετέβαλεν· ἵνα τὰ τῶν ἄλλων τραύματα ἑτέροις φάρμακα γένηται, καὶ τὸ τοῦ δικαίου ναυάγιον, τῶν ἁμαρτωλῶν λιμὴν καταστῇ. ὅταν γὰρ ὁ δίκαιος ἁμάρτῃ, οὐκέτι ἀπογινώσκω τῆς ἐμαυτοῦ σωτηρίας. ὅταν ἴδω, ὅτι ἀπὸ τῶν οὐρανῶν κατηνέχθη, τὸ ἐκείνου πτῶμα ἐμοὶ ὑπόθεσις ἀναστάσεως γίνεται. διὰ γὰρ τοῦτο καὶ ἡ τοῦ πνεύματος χάρις οὐ μόνον τὰ κατορθώματα τῶν δικαίων ἐμνημόνευσεν,

sed alienas etiam miserias tragicâ oratione complexus est. Velut cùm ait, Super flumina Babylonis illic sedimus & fleuimus, cuius perspicuum est hunc psalmum de eo minimè dictum fuisse. Nam nec in Babylonem abiit, nec Barbarorum regionem vidit, nec in aliena terra consedit, ac lachrymas fudit: verùm Iudæorum calamitates exponit. Rursum cùm ait, Foderũt manus meas & pedes meos, & dinumerauerunt omnia ossa mea, non peculiares suos dolores recensuit: sed crucem ac sacrificium illud, quod salutis nostri generis causa factum est, vniuerso terrarum orbi prædicabat. Pictura enim est, variam ac multiplicem doctrinam complectens. Itaq. nũc sua, nunc aliena narrat. Quoniam igitur psalmus hic aliena etiam exponit, propterea inscriptus est, Cùm ingressus esset ad eum Nathan Propheta. Quare inscriptio non finit nos torpere, atque alio mentem transferre: verùm stat psalmus, eiusmodi res iubens ac docens, atque alios etiam sensus subministrans, qui in inscriptione referuntur. Ac velim animum diligenter attendatis, tam iusti, quàm peccatores. Vtrique enim parti vtilis hic psalmus est: Iusto nimirum, vt ne ignauiæ ac socordiæ se dedat: peccatori autem, ne de sua salute desperet. Siquidem vtrumque graue ac periculosum est. Nam & iustus, cùm ignaue & negligenter se gerit, prosternitur: & peccator desperatione affectus non resurgit. Quocirca ne aut hic in lapsu hæreat, aut ille in lapsum incidat, vtrique parti salutaris hic psalmus à Psalte nostro datur. Iam autem Prophetæ peccata dicturus sum, & quidem grauia & atrocia. Nec verò me hoc nomine quisquam reprehendat. Dei quippe benignitas, communis hominum generis curam gerens, sanctorum virorum tum virtutes, tum vitia in medicamenta mutauit, vt aliorum vulnera aliis in remedium cedant, ac iusti naufragium peccatorum portus efficiatur. Nam cùm iustus peccet, salutem suam haudquaquam iam desspondet: atque cùm eum è cœlo prolapsum esse intueor, ipsius lapsus, resurrectionis occasionem mihi porrigit. Hinc enim factum est, vt Spiritus sancti gratia iustorum non modò rectè facta,

Ps.136.1.

Ps.21.18.

Sanctorum vitia in medicamenta mutata.

sed etiam peccata commemorarit. Non enim illorum duntaxat mentionem prius fecit: sed eorum etiam quæ postea geruntur. Libet igitur demonstrare quemadmodum hic egregius vir sauciatus sit, corruerit, surrexerit, quemadmodum decertarit, victus sit, vicerit, coronam obtinuerit. Non enim eum in lapsu tantum suo iacentem, sed etiam à lapsu reuocatum ostendo: vt tu vtraque ex parte fructum atque vtilitatem capias, vt cùm peccaris, in desperationem ne ruas, verùm ad resurrectionem properè curras, nec dicas, Me miserum, actum est de me: adulterium admisi, scortatus sum, cædē perpetraui. Habes enim salutis portum qui peccatum propulset. Nam cùm tantum virum vulneribus affectum ac dilaceratum esse conspicias, statim ad pœnitentiam curre, fiduciámque concipe, lachrymarum vim profundens. Vt ergo per illius pœnitentiam salutem tuam perfectiùs intelligas, quæ dicam audi. Multi persæpe, tum viri, tum mulieres, in grauem ac pene incurabilem morbum inciderunt. Lachrymæ fusæ sunt, pharmaca adhibita. Ars medica succubuit, pulchritudo exhausta est, corporis salus desperata. Obambulat deinceps vxor, aítque: quò me conferam? quid agam? Pecunias consumpsi, medicos acciui, pharmaca exhausta sūt: manet interim morbus: nec dolor solutus est, nec vulnus sanatum. Accidit hîc plerunque vt quidam ex iis, qui ad visendum ægrum perrexerunt, dicat: Ego quoque in eundem morbum aliquando incidi, ac Caius aut Caia pharmacum mihi adhibuit, méque dolore leuauit. Tum illa rogat: Indica mihi hanc mulierculam. Vade, inquit, ad hunc vicum. Ad eundem itaque modum, nunc quoque posteaquam adulterio sese deuinxit, ac cædem admisit, vulnúsque graue accepit, quânam ratione curatus sit, quódq. medicamentum imposuerit, tibi demonstro. Nec verò dico: Vade ad hunc vicum, interroga hunc aut illam. Non labore opus est, non ærumna: nec pedem quidem limine efferre necesse est, verum hîc stantem pharmacum accipere. Fac tantum, vt ad ea, quæ dicam, animum attendas. Operæpretium est enim sermonem inducere, ac tempus quo peccauit, referre, locúmque item, & personam, & pœnitentiam, & correctionem, & remedium: vt omnes re accuratè cognita, ita demum recedatis. Hic igitur

A ἀλλὰ καὶ τῶν ἁμαρτημάτων. οὐ γὰρ ἐκείνων προσενόησε μόνον, ἀλλὰ καὶ τῶν μετὰ ταῦτα γινομένων. θέλω τοίνυν δεῖξαι τοῦτον τὸν γενναῖον ἄνδρα τρωθέντα, πεσόντα, ἀναστάντα, παλαίσαντα, ἡττηθέντα, νικήσαντα, στεφανωθέντα. οὐ γὰρ δείκνυμι αὐτὸν κείμενον ἐν τῷ πτώματι μόνον, ἀλλὰ καὶ ἐγερθέντα· ἵνα ἑκατέρωθεν σὺ κερδάνῃς, ἵνα, ὅταν ἁμάρτῃς, μὴ ἀπογνῷς, ἀλλὰ ταχέως αὐτὸς ἐπὶ τὴν ἀνάστασιν δράμῃς· μηδὲ εἴπῃς, οἴμοι ἀπωλόμην, ἐμοίχευσα, ἐπόρνευσα, ἐφόνευσα. ἔχεις γὰρ σωτηρίας λιμένα διακρουόμενον τὴν ἁμαρτίαν. B ὅταν γὰρ ἴδῃς τὸν τοιοῦτον δεξάμενον τραύματα καὶ διασπαραττόμενον, εὐθέως ἐπὶ τὴν μετάνοιαν τρέχε, καὶ παρρησιάζου δακρύων πηγὰς ἐκχέων, ἵνα διὰ τῆς ἐκείνου μετανοίας, ἀκριβέστερον τὴν ἑαυτοῦ σωτηρίαν μάθῃς. ὃ δὲ λέγω. πολλοὶ πολλάκις περιέπεσον καὶ ἄνδρες, καὶ γυναῖκες, χαλεπῷ νοσήματι καὶ ἀνιάτῳ. δάκρυα ἐξεχύθη, φάρμακα ἐδαπανήθη, ἰατρικὴ ἠπόρησε τέχνη, κάλλος ἀνηλώθη, τὸ σῶμα ἀπηγόρευσε. περιέρχεται λοιπὸν ἡ γυνή· ποῦ ἀπέλθω; τί ποιήσω; χρήματα ἀνήλωσα, ἰατροὺς ἐκάλεσα, C φάρμακα ἀνηλώθη· μένει τὸ νόσημα, οὐκ ἰάθη τὸ ἕλκος. πολλάκις συνέβη τινὰ τῶν ἐπισκεπτομένων εἰπεῖν· κἀγὼ τοιούτῳ πάθει περιέπεσον, καὶ ὁ δεῖνα, ἢ ἡ δεῖνα προσέθηκέ μοι φάρμακον, καὶ ἀπήλλαξέ με τῆς ὀδύνης. εἶτα παρακαλεῖ, δεῖξόν μοι τὴν γυναῖκα. ἄπελθε ἐπὶ τὸν στενωπόν. οὕτω δὴ καὶ νῦν. ἐπειδὴ ἐμοίχευσε καὶ φόνον ἐποίησε, τὸ δὲ ἕλκος χαλεπόν, δείκνυμί σοι πῶς ἐθεραπεύθη, καὶ ποῖον φάρμακον ἐπέθηκεν. καὶ οὐ λέγω, ἄπελθε ἐπὶ τὸν στενωπόν, ἐρώτησον τόνδε, ἢ τήνδε· D οὐ χρεία καμάτου, οὐ χρεία πόνου, οὔτε ὑπερβῆναί σε προθύρων ἀναγκαῖον· ἀλλ' ἐνταῦθα ἑστῶτα δέξασθαί σε τὸ φάρμακον· μόνον πρόσεχε τοῖς λεγομένοις. ἀνάγκη γὰρ τὸν λόγον εἰσαγαγεῖν, καὶ τὸν χρόνον εἰπεῖν, καθ' ὃν ἥμαρτε, καὶ τὸν τόπον, καὶ τὸ πρόσωπον, καὶ τὴν μετάνοιαν, καὶ τὴν διόρθωσιν, καὶ τὸ φάρμακον, ἵνα πάντα μαθόντες μετὰ ἀκριβείας, οὕτως ἀπέλθητε. οὗτος τοίνυν ὁ Δα-

A βὶδ, νέος ὢν καὶ μειράκιον κομιδῆ, καὶ πατρὸς ἀσήμου, καὶ τῇ γῇ προσέχων καὶ τοῖς ποιμνίοις, πόλεις μὲν ἔφυγε καὶ χώρας καὶ θορύβους· ἐν δὲ τῇ ἐρημίᾳ τὴν φιλοσοφίαν ἐπεδείκνυτο, οὐδὲν κοινὸν ἔχων μετὰ τῶν βιωτικῶν πραγμάτων, ἀλλ' ἐκ πρώτης ἡλικίας τῇ συντρόφῳ τῆς ἀρετῆς ἡσυχίᾳ συζῶν, καὶ καθάπερ ἐν λιμένι ἐν τῇ ἐρημίᾳ καθήμενος, τῇ τῶν προβάτων ἐπιστασίᾳ τὴν βασιλείαν τῶν οὐρανῶν ἐμελέτησεν. Οὗτος τοίνυν νέος ἦν, κομιδῇ μειράκιον· νέος μὲν τῇ ἡλικίᾳ, πεπολιωμένος δὲ τῇ διανοίᾳ· καὶ τὸ ἀτελὲς τῆς ἡλικίας οὐδὲν ἐνεπόδιζε τῇ τοσαύτῃ ἀρετῇ· ἀλλὰ νέος ὢν σφόδρα ἐνίκα οὐ δυνάμει σώματος, ἀλλὰ δυνάμει πίστεως. B Ἀλλὰ πρόσεχε μετ' ἀκριβείας τῷ λόγῳ. ἐδέησέ ποτε γενέσθαι βασιλέα τοῖς Ἰουδαίοις, ἐπειδὴ ὁ πρῶτος γενόμενος ἀνάξιος ἦν. πέμπει ὁ Θεὸς τὸν Σαμουὴλ εὐθέως πρὸς τὸν πατέρα αὐτοῦ. ἐλθόντος τοίνυν τοῦ Σαμουὴλ πρὸς τὸν Ἰεσσαὶ τὸν πατέρα Δαβίδ, τὸ παιδίον ἦν ἐν τοῖς ποιμνίοις, μικρὸν πάνυ. οὐ παύομαι συνεχῶς τὴν νεότητα λέγων, ἵνα μηδεὶς μήτε νέον διαβάλλῃ, μήτε γέροντα ἐγκωμιάζῃ. οὔτε γὰρ ἡ πολιά, ἀρετή· οὔτε ἡ νεότης, κακία. πολλοὶ καὶ ἐν νεότητι φιλοσοφίαν ἐπεδείξαντο, καὶ πολλοὶ ἐν γήρει ὑπεσκελίσθησαν. C καὶ γὰρ οἱ τρεῖς παῖδες ἐν τῷ πυρὶ ἦσαν, καὶ τὴν φλόγα ἔσβεσαν. καὶ ὁ Δανιὴλ δωδεκαετὴς ὤν, τοὺς λέοντας πρόβατα ἐποίησεν, οὐ τὴν φύσιν αὐτῶν μεταβαλών, ἀλλὰ τὴν θηριωδίαν αὐτῶν τῇ πίστει χαλινώσας· καὶ τοὺς ἀσυνέτους πρεσβυτέρους διελέγξας, κριτὴς τοῦ Ἰσραὴλ ἀναδείκνυται. καὶ Στέφανος ὁ τῶν διακόνων πρόκριτος, πλήρης χάριτος, καὶ δυνάμεως ἐκ νεότητος πλησθείς, τῷ δήμῳ τῷ Ἑβραϊκῷ διελέγετο· Παῦλος δὲ γεγηρακὼς ἦν καὶ πεπολιωμένος, καὶ τὸ μὲν πρότερον σκυλευτὴς τῶν ἐκκλησιῶν γέγονε. ἀλλὰ μετὰ ταῦτα D τὸ βραβεῖον τῆς πίστεως ἥρπασε, καὶ πρόβατον γέγονεν ἀγαθότητος. μὴ οὖν τὸν νέον διάβαλλε, μηδὲ τὸν γεγηρακότα ἐπαίνει. οὔτε γάρ, ἐν τῇ διαφορᾷ τῆς ἡλικίας ἡ ἀρετὴ καὶ ἡ κακία, ἀλλ' ἐν τῇ διαφορᾷ τῆς γνώμης. κἂν ἦς νηφάλιος, οὐδέν σε καταβλάπτει τὸ ἄωρον τῆς ἡλικίας· κἂν ἦς ῥᾴθυμος, οὐδέν σε ὠφελήσει τὸ γῆρας. πολιὰ γάρ, οὐ τρίχες λευκαί, ἀλλὰ ψυχῆς ἀρετή.

A Dauid, cùm iuueniles annos ageret, ac ac perquam adolescens esset, obscurísq. natalibus, terræ, ac pascendis gregibus operam nauans, vrbes & regiones ac tumultus fugiebat, atque in locis incultis & desertis philosophiæ specimen edebat, nihil cum huius vitæ negotiis commune habens, verum ab ineunte ætate in solitudine, quæ virtutis collactanea est, vitam ducens, atque in desertis locis velut in portu sedens, per pecudum curam cœlorum regnum meditans. Hic igitur, inquam, admodum iuuenili ætate erat, iuuenili inquam ætate, sed cano animo. Neque enim ætatis immaturitas tantæ virtuti nocumen- B tum vllum afferebat, verum, cum iuuenis admodum esset, victoriam obtinebat, non ob corporis vires, sed ob fidei firmitatem. Verùm diligenter quæso, animum aduertite. Oportuit aliquando Iudæis regem creari: quandoquidem is qui primus rex institutus fuerat, eam dignitatem minimè promerebatur. Mittit itaque Deus Samuelem ad ipsius patrem. Cùm itaque venisset Samuel, adolescens perquam longè inter ouium greges versabatur. *1.Reg.16.1.* Nec verò adolescentię vocabulum subinde vsurpare desino: vt ne quis aut iuuenem criminetur, aut senem laudet. C Neque enim canities virtus est: nec iuuenilis ætas vitium. Multi quippe in iuuentute probitatis ac sapientiæ specimen ediderunt: ac contrà in senectute prostrati sunt. Nam tres pueri in igne erant, & flammam extinxerunt. Atque item Daniel, duodecimum ætatis annum agens, leones in oues conuertit, *Dan.3.24.* non natura eorum immutata, sed feritate fidei fræno compressa, atque ad *Dan.6.22.* Hebræorum populum sermonem habuit. At contrà Paulus, cùm iam senex & canus esset, Ecclesiarum prædonem *Act.8.3.* egit, ac postea fidei palmam arripuit, D probáque ouis extitit. Quamobrem, *Act.9.20* nec iuuenem vitupera, nec senectute affectum lauda. Neque enim in ætatis discrimine, sed in animi sententiæque differentia virtus & vitium sita sunt: ac siue sobrius ac prudens fueris, nihil tibi ætas immatura detrimenti adfert; siue segnitie ac socordia labores, nihil tibi vtilitatis senectus comparabit. Senectus quippe non in crinium candore, sed in animi virtute posita & constituta est. *In quo sita sit senectus.*

Hic igitur in iuuenili ætate maturum fructum ætatis obtinebat. *Venit porrò Samuel ad Iesse, non corporum abundantia circumseptus, verùm cornu, in quo sanctum oleum erat, habens. Quid autem ait? Misit me Deus vt vnum è filiis tuis regem efficiam. Ille autem maximum natu ad huiusmodi dignitatem aptiorem esse ratus, eum produxit. At ille: Amoue eum, inquit, Deo enim ipse minimè acceptus est. Secundum: sed ne hunc quidem admittit Propheta. Tertium, quartum, quintum. Deneque filiorum chorus consumptus est: nec tamen inueniebatur quem ille requirebat. Ait itaque ad eum: Estne tibi alius? Pudore suffusus est pater. Est mihi, inquit, paruus & abiectus. An tu paruum & abiectũ regem creare cupis? At ille: Homo aspernatur ac mihi dicit: Deus autem coronat. Non enim vt videt homo, ita etiã videt Deus. Homo etenim videt in faciem: Deus autem intuetur cor. Num enim obesitatem, ac non potius animæ nobilitatem exquirimus? Attende quæso quàm diligentissimè. Non dixit ad eum Deus, Vade, ac Dauidem mihi vnge: sed, Vade, vnge mihi vnum ex filiis Iesse. Cur autem ambiguè loquitur, nec nomen profert? Nimirum ne idem Dauidi accideret, quod Iosepho prius acciderat. Quemadmodum enim illius fratres, cùm eum regem suum fore intellexissent, insidias ipsi struxerunt, ac bellum intulerunt: eodem modo periculum erat, ne isti quoque idem facinus perpetrarent. Itaque ignoratio eum à periculo vindicauit. Ergo dubio ac perplexo animo stabat Propheta: da mihi vnum filiorum tuorum, inquiens. Non habeo, inquit, nisi paruum puerum pascentem oues. At non ita videt homo, vt videt Deus. Vbi sunt qui de formæ elegantia gloriantur? Ne mihi pulchritudinem narres: verùm animi pulchritudinem specta. Quid enim aliud est formosa mulier, quàm sepulchrum dealbatum, nisi pudicitia prædita sit? Nam si formæ quidem venustate præstet, verùm castitate ac morum probitate careat, est vorago & fossa, est venenum stolidis præparatũ. Corporis enim pulchritudo, & morbo marcessit, & morte extinguitur: animi autem elegantia immortalis, omnisq. maculæ expers manet. Ac tum deniq. ipsius decor magis elucet, cùm turbulẽtas permotiones cõpressit, ac mens in trãquillitate versatur. Quo-

1. Reg. 16. 4.

Quid mulier pulchra sine virtute.

A ἐστι τοίνυν νέος ὢν ὥριμον τὸν καρπὸν τῆς ἀρετῆς ἐκέκτητο. ἦλθεν ὁ Σαμουὴλ πρὸς τὸν Ιεσσαὶ, οὐ πλημμύραν σωμάτων περιβεβλημένος, ἀλλὰ τὸ κέρας, ἔνθα ἦν τὸ ἔλαιον τὸ ἅγιον, ἔχων. καὶ τί φησιν; ἔπεμψέ με ὁ Θεὸς ποιῆσαι βασιλέα ἐκ τῶν υἱῶν σου. ὁ Ιεσσαὶ ἀκούσας βασιλέα, νομίσας ἐκεῖνον ἐπιτήδειον εἶναι τὸ ἀξίωμα, ἄγει τὸν πρῶτον υἱόν. παράγει αὐτόν, φησιν· οὐκ εὐδόκησεν ὁ Θεὸς ἐν αὐτῷ. τὸν δεύτερον. οὐδὲ οὗτος. τὸν τρίτον, τὸν τέταρτον, τὸν πέμπτον. ἀνηλώθη ὁ χορὸς τῶν παίδων, καὶ ὁ ζητούμενος οὐχ εὑρίσκετο. B λέγει αὐτῷ· ἔχεις ἄλλον; ᾐσχύνθη ὁ πατήρ. ἔχω ἕνα, φησί, μικρότερον καὶ εὐτελῆ, ποιμαίνοντα. βασιλέα ζητεῖς μικρὸν καὶ εὐτελῆ ποιῆσαι; ἄνθρωπος ἐξουθενεῖ, ἀλλ' ὁ Θεὸς στεφανοῖ. οὐ γὰρ ὡς ὄψεται ἄνθρωπος, ὄψεται Θεός· ἄνθρωπος εἰς πρόσωπον, ὁ δὲ Θεὸς εἰς καρδίαν. μὴ γὰρ πολυσαρκίαν ζητοῦμεν; ψυχῆς εὐγένειαν ἐπιποθοῦμεν. πρόσεχε μετὰ ἀκριβείας τῷ λόγῳ. οὐκ εἶπεν αὐτῷ ὁ Θεός, ἄπελθε, χρῖσόν μοι τὸν Δαβίδ· ἀλλ' ἄπελθε, χρῖσόν μοι ἕνα τῶν υἱῶν Ιεσσαί. καὶ διὰ τί ἀ- C πορεῖ; καὶ διὰ τί οὐ λέγει τὸ ὄνομα; ἵνα μὴ πάθῃ Δαβίδ, ὅπερ ἔπαθεν Ιωσήφ. ὥσπερ γὰρ μαθόντες ἐκεῖνοι τὸν ζητούμενον αὐτῶν βασιλέα, ἐπεβούλευσαν, ἐπολέμησαν, ἐπώλησαν· οὕτω δέος ἦν μὴ καὶ οὗτοι τοῦτο ἐργάσωνται. ὥστε ἡ ἄγνοια ἀσφαλείας μήτηρ ἐγένετο. εἱστήκει ὁ προφήτης ἀπορούμενος, δός μοι ἕνα τῶν υἱῶν σου. οὐκ ἔχω, φησὶν, ἀλλὰ παιδίον μικρὸν ποιμαῖνον τὰ πρόβατα. οὐχ οὕτως ὄψεται ἄνθρωπος, ὡς ὄψεται Θεός. ποῦ εἰσιν οἱ καλλωπιζόμενοι ἐπ' εὐμορφίᾳ ὄψεως; μή μοι λέγε D εὐμορφίαν σώματος, ἀλλὰ βλέπε τὸ κάλλος τῆς διανοίας. τί γάρ ἐστιν εὔμορφος γυνή; τάφος κεκονιαμένος, ἐὰν μὴ σωφρονῇ. κάλλος δέ ἐστι βάραθρον ὀρωρυγμένον, ἑτέροις δὲ δηλητήριον κατεσκευασμένον, ἐὰν μὴ σωφρονῇ. ἡ νόσῳ μαραίνεται καὶ θανάτῳ διακόπτεται· τὸ δὲ κάλλος τῆς ψυχῆς ἀθάνατον μένει καὶ ἀκηλίδωτον, ἀλλὰ τότε μᾶλλον τὴν οἰκείαν ὡραιότητα ἐπιδείκνυται, ὅταν παύσῃ τὰ πάθη, καὶ ἐν γαλήνῃ γένηται ὁ νοῦς. ἐὰν οὖν

ἴδῃς ἄνδρα, ἢ γυναῖκα καλήν, μὴ θαυμάσῃς. ἐπεὶ καὶ αἱ δρύες εἰς ὕψος ἀνατεταμέναι καρπὸν οὐκ ἔχουσιν ἀνθρώποις χρήσιμον, ἀλόγοις δὲ μόνον· ἡ δὲ ἄμπελος χαμαὶ κειμένη ὥριμον ἔχει καρπὸν βοτρύων. τί οὖν βούλει, ἄμπελον ἔχειν, ἢ δρῦν; δῆλον ὅτι ἄμπελον. ἡ γὰρ δρῦς ἐν ὕψει ἑστῶσα, θηρίων ἀλόγων ἔχει τροφὴν, τὸν καρπόν. τί μελίττης εὐτελέστερον; τί δὲ ταῶνος ὡραιότερον; ἀλλὰ τί βέλτιον, μέλιττα, ἢ ταώς; δῆλον ὅτι μέλιττα. ἄνελε ταῶνα, καὶ οὐδὲν ἔβλαψας· ἄνελε μέλιτταν, καὶ χωλύει πολλά. ἦλθε ποτὲ ὁ Δαβίδ, ἐκχεῖται τὸ ἔλαιον καὶ χρίεται ψήφῳ Θεοῦ, διακονίᾳ δὲ ἀνθρώπου. ἐπέθηκαν αὐτῷ τὸ κέρας, καὶ ἀντὶ πορφυρίδος καὶ διαδήματος ἐγένετο αὐτῷ. καὶ ἀπῆλθεν ἔχων τὴν βασιλείαν, οὐ θώρακα, οὐκ ἀσπίδα περιβεβλημένος, οὐδὲ δόρατα· ἀλλ' ἔχων αὐτὴν τὴν τοῦ Θεοῦ ψῆφον, τὴν πάντων δυνατωτέραν. ἐπεὶ δὴ καὶ πολέμου καλοῦντος, καὶ τῶν πραγμάτων τεταραγμένων, καὶ τῶν βαρβάρων ἐπικειμένων τοῖς Ἰουδαίοις, ἀπῆλθεν ἰδεῖν τὴν παράταξιν· καὶ τὸν βάρβαρον προσκαλούμενον εἰς μονομαχίαν· καὶ οὐδεὶς ἐτόλμα προσπηδῆσαι καὶ ἐξελθεῖν. ἦλθεν ὁ Δαβίδ, εἶδεν ἀστράπτοντα, καὶ ἀφόρητον ὄντα τὸν πολέμιον, καὶ πάντας καταπεπληγότας· ὁ ποιμὴν ἐν τῷ πολέμῳ, καὶ οἱ ἐν πολέμῳ μεμελετηκότες οὐδὲ τὴν φωνὴν ἔφερον τοῦ πολεμίου· ὁ δὲ δένδρεσι καὶ σκιαῖς καὶ πηγαῖς προσομιλῶν, ἐπὶ ταῖς ὄψεσιν αὐτοῦ εἱστήκει, καὶ λέγει· τίς ὁ ἀπερίτμητος οὗτος, ὃς ὠνείδισε παράταξιν Θεοῦ ζῶντος; καὶ λέγουσι πρὸς αὐτόν· πόθεν σοι ἡ ἀπόνοια αὕτη; ὁ δὲ, οὐκ ἀπόνοια, ἀλλὰ πίστις· οὐχ ὑπερηφανίαν, ἀλλ' εὐσέβειαν κέκτημαι· θώρακα οὐχ ὁπλίζομαι, ἀλλὰ πίστιν ἐνδέδυμαι· οὐ σκοπῶ ἐκείνου τὸ μέγεθος, ἀλλὰ τὴν ἐρημίαν τῆς διανοίας. οὐ βλέπω ὅτι μέγα τὸ πλοῖον, ἀλλ' ὅτι κυβερνήτην οὐκ ἔχει. οὐ δέδοικα αὐτὸν (ἐχθρὸς γάρ ἐστι τοῦ Θεοῦ) κἂν μυριάκις δυνατὸς ᾖ. διὰ γὰρ τὴν ἄνωθεν ῥοπὴν πάντων ἀσθενέστερός ἐστιν ὁ ἀπερίτμητος οὗτος. ποίοις ὅπλοις θαρρεῖς, ὦ Δα-

A circa cum pulchrum virum, aut pulchram mulierem videris, ne te ea res in admiratiōe trahat. Nam etiam quercus tametsi procerae, atque in altum porrectae, fructum tamen non habent, qui quidem hominibus vsui sit, sed qui brutis conuenit duntaxat: vinea contrà, humi strata, maturum & vtilem vuarum fructum affert. Vtrum igitur habere mauis? vineam, an quercum? Vineam proculdubio. Etenim vinea ad hilaritatem animis comparandam vsui est: cùm cōtrà quercus in sublimi stans, eiusmodi duntaxat fructum habeat, qui B brutis pabulum subministret. Quid ape abiectius? ecquid pauone pulchrius? Vter autem praestantior? apis, an pauo? non dubium quin apis. Pauonem de medio tolle: & nihil detrimenti attuleris. Apem de medio tolle: & ingens vtilitas adempta erit. Venit itaque Dauid: ac Dei quidem suffragio, hominis autem ministerio vngitur. Cornu ipsi Propheta imposuit: idque purpurae ac diadematis instar illi fuit. Abiitque regnū consequutus, non lorica, aut clypeo, aut hasta, verùm Dei suffragio, quod omnia C robore ac potentia excedit, communitus. Hic igitur, cùm bellum vrgeret, ac rerum status immutatus esset, barbariq. Iudaeorum exitio imminerent, castrorum, bellique videndi studio profectus est: ac barbarum illum, qui cunctos ad singulare certamen prouocabat, conspicit. Nec quisquam erat, qui prosilire atque egredi auderet. Venit Dauid atque armis fulgentem, & intolerandа quadam audacia elatum hostem vidit, multósq. trepidos ac metu perterritos. Pastor in bello erat: ij contrà, qui rei bellicae assueuerant, ne hostis quidem D vocem ferre poterant: qui autem inter arbores & vmbras ac fontes aetatem agere solebat, in ipsorum oculis atque aspectu stabat, atque his verbis vtebatur: Quis est hic incircumcisus, qui in Dei exercitum probra coniecit? Ac dicunt ad eum: quaenam haec tua arrogantia est? Ille autem: Non arrogantia, sed fides est: non superbia, sed pietate praeditus sum. Non lorica instructus, sed fide indutus. Non illius magnitudinem specto, sed mentis inopiam. Ingentem nauim video: sed quae gubernatore careat. Non eum pertimesco (Dei enim hostis est) quantumuis millies potens ac robustus sit. Nam propter diuinū auxilium, quo caret, quouis homine imbecillior est hic incircūcisus. quibúsnā armis cōfidis ô Dauid?

1. Reg. 17. 22.

Dei hostis non timendus.

2. Cor. 2. 4.

non carnalibus, sed spiritualibus. Arma enim nostra non sunt carnalia, sed spiritualia. Quónam autem modo, cum hac imbecillitate sis? At magnus est dominus meus, inquit. Exigui momẽti arma sunt: sed qui me misit, fortis est. Mare in aridam cõuertit, rupes perfregit, elementa immutauit: multò magis virum vnum franget ac superabit. Venit igitur ad milites, aitque ad ipsos: Quid dabitur viro, qui caput ipsi sustulerit? De præmiis verba facit, nõ vt præmium accipiat, sed vt eos ad fidẽ adducat. Quid igitur, fratres? Rursus inuidia, rursum liuor: Quare, inquiũt, paucas illas ouiculas reliquisti? Superbiã tuam ac cordis peruersitatem cognitam & exploratam habemus. O inuidia perturbationis plena: ignis, qui nulla ratione extinguatur. Quemadmodum enim vermis lanam exest, ad eundem quoque modum inuidia eum quidem, qui inuidet, conficit: eum autẽ, cui inuidetur, illustriorem reddit. Id quod etiam in Iosepho & fratribus eius vsuuenit. Nam qui inuidia in eum affecti fuerant, è libertate in seruitutem redigebantur: is autem, cui illi inuiderant, rex extitit. Rursum igitur fratres: Nos superbiam tuam, ac tui cordis improbitatẽ nouimus, quòd videndi belli causa huc descenderis. quid tandem est, quamobrem liuore atque inuidia stimulati sint? Sermonem audierunt: verborum prosperitatẽ non tulerunt. At quídnam vir hic sapiens? Subduxit se ab ipsis, vt vulnus succideret: atque ad aliam exercitus partem se contulit, dixitque: Quid præmij huic erit, qui caput isti amputarit? Audierũt hæc verba nonnulli, atque eũ ad regem adduxerunt. Vidit itaque regem sedentem, trepidum, metu cõsternatum, trementem: aitque ad eum: Quare concidit vultus domini mei? Videte ipsius probitatem, animique ingenuitatem. In rebus suis secundis ac florentibus seruitutem confitetur. quis est, inquit, iste incircũcisus? Pergam, atque ipsi caput adimam? Quid autem rex? Quónam modo hoc facturus es, cùm tu puer paruus sis, hic autem vir bellator ab adolescentia sua? Ille verò: Ne ea spectes, quę in oculorum sensum cadunt, sed quæ animo & ratione intelliguntur. Ne illud consideres, quòd corporis specie paruus sim, sed quod animo ac fiducia magnus. Quorsum autem hæc? Diffidit rex. Quapropter iam Dauid egregia sua facinora

Inuidia, inuidi pœna.

Gen. 4. 2. 6.

A βίδ; οὐ σαρκικοῖς, ἀλλὰ πνευματικοῖς. τὰ γὰρ ὅπλα ἡμῶν, οὐ σαρκικὰ, ἀλλὰ πνευματικά. καὶ πῶς, ὅτι σὺ μικρὸς καὶ ἀσθενὴς εἶ; ἀλλὰ μέγας ὁ δεσπότης. εὐτελῆ τὰ ὅπλα· ἀλλ' ὁ πέμψας ἰσχυρός. θάλασσαν ἐποίησε ξηράν, πέτραν διέρρηξε, τὰ στοιχεῖα μετέβαλε· πολλῷ μᾶλλον ἑνὸς ἀνδρὸς περιγίνεται. ἦλθε τοίνυν πρὸς τοὺς ἄνδρας, καὶ λέγει αὐτοῖς· τί δοθήσεται τῷ ἀνδρὶ τῷ αἴροντι τὴν κεφαλὴν αὐτοῦ; περὶ μισθῶν διαλέγεται, οὐχ ἵνα λάβῃ μισθὸν, ἀλλ' ἵνα τούτους εἰς πίστιν ἀγάγῃ. τί οὖν B οἱ ἀδελφοί; πάλιν φθόνος, πάλιν βασκανία. ἐπὶ τί ἀφῆκας τὰ μικρὰ πρόβατα ἐκεῖνα; ἡμεῖς οἴδαμεν τὴν ὑπερηφανίαν καὶ τὴν κακίαν τῆς καρδίας σου. ὢ φθόνος παθῶν πεπληρωμένος, πῦρ μὴ σβεννύμενον. καὶ γὰρ καθάπερ σκώληξ τὸ ἔριον διεσθίει, οὕτω καὶ ὁ φθόνος τὸν μὲν φθονοῦντα διατήκει, τὸν δὲ φθονούμενον λαμπρότερον κατασκευάζει. οὕτω καὶ ἐπὶ τοῦ Ἰωσὴφ καὶ τῶν ἀδελφῶν αὐτοῦ ἐγένετο. οἱ μὲν γὰρ φθονήσαντες ἀπὸ ἐλευθερίας εἰς δουλείαν καθίσαντο· ὁ δὲ φθονηθεὶς βασιλεὺς ἐγένετο. πάλιν οὖν οἱ ἀδελφοί· ἡμεῖς οἴδαμεν τὴν ὑπερη- C φανίαν καὶ τὴν κακίαν τῆς καρδίας σου, ὅτι ἕνεκα τοῦ ἰδεῖν σε τὸν πόλεμον κατέβης. τί ἐφθόνησαν; τί ἐβάσκηναν; λόγων ἤκουσαν, ῥημάτων εὐημερίαν οὐκ ἤνεγκαν; ἀλλὰ τί ποιεῖ ὁ σοφὸς ἀνήρ; ἀπέστη ἀπ' αὐτῶν ὑποτεμνόμενος τὸ ἕλκος, καὶ ἀπῆλθεν εἰς τὸ ἕτερον μέρος τοῦ πολέμου, καὶ λέγει· τί ἔσται τῷ ἀνθρώπῳ τῷ αἴροντι τὴν κεφαλὴν αὐτοῦ; καὶ εἰσήγαγον αὐτὸν πρὸς τὸν βασιλέα. εἶδε τοίνυν τὸν βασιλέα καθήμενον, καταπεπληχότα, δεδοικότα, τρέμοντα, καὶ λέγει πρὸς αὐτόν· ἵνα τί συνέπεσε τὸ πρό- D σωπον τοῦ κυρίου μου; καὶ ἐν τῇ εὐημερίᾳ τὴν δουλείαν ὁμολογεῖ. τίς ἐστιν οὗτος; οὐχὶ πορεύσομαι, καὶ ἀφελῶ τὴν κεφαλὴν αὐτοῦ; τί οὖν ὁ βασιλεύς; καὶ πῶς δυνήσῃ, ὅτι παιδάριον εἶ μικρὸν, οὗτος δὲ ἀνὴρ πολεμιστὴς ἐκ νεότητος αὐτοῦ; μὴ βλέπε τὰ ὁρώμενα, ἀλλὰ τὰ νοούμενα· μὴ ἴδῃς, ὅτι μικρὸς τῷ εἴδει, ἀλλ' ὅτι μέγας τῷ φρονήματι. τί οὖν, ἵνα γίνεται; ἀπιστεῖ ὁ βασιλεύς· ἀναγκάζεται ὁ Δαβὶδ λοιπὸν αὐτῷ

τὰ κατορθώματα αὐτοῦ λέγειν. ἐγώ, φησι, παιδίον ἤμην μικρὸν παρὰ τὴν ποίμνην τοῦ πατρός μου. καὶ ὅτε ἦλθε λέων, ἢ ἄρκτος, καὶ ἐλάμβανον πρόβατα ἐκ τῆς ποίμνης, ἐξεπορευόμην ὀπίσω αὐτοῦ, καὶ ἐξέσπασα ἐκ τοῦ στόματος αὐτοῦ, καὶ ἀνεῖλον τὸν λέοντα καὶ τὴν ἄρκτον· καὶ ἔσται οὗτος ὡς ἓν τούτων τῶν θηρίων, ὅτι ὠνείδισε παράταξιν Θεοῦ ζῶντος. καὶ εἶπε ὁ Σαοὺλ πρὸς τὸν Δαβίδ, πορεύου, ὁ κύριος μετὰ σοῦ. καὶ ἔδωκεν αὐτῷ ὅπλα, καὶ οὐκ ἐδυνάσθη αὐτὰ ὁ Δαβὶδ βαστάσαι. διὰ τί; οὐ συγχωρεῖ τοῦτο ὁ Θεός, ἵνα γυμνὸς νικήσῃ· ἵνα μὴ τὰ ὅπλα μερίσηται τὴν νίκην τῶν κατορθωμάτων· ἵνα μὴ λέγῃ ὁ βασιλεὺς, ὅτι τὰ ὅπλα μου ἐνίκησεν. ῥίπτει τὰ ὅπλα, καὶ ἐνδύεται τὴν πίστιν· ἐξέρχεται γυμνός, καὶ τεθωρακισμένος τὴν εὐλάβειαν· ἐξέρχεται ποιμὴν, καὶ οὐ στρατιώτης. ἀφίησι βόλον. οὐ τῇ φύσει τοῦ σώματος θαρρῶν, ἀλλὰ τῇ δυνάμει τῆς πίστεως τὴν νίκην ἀπηνέγκατο. ἔδραμεν, ἔλαβεν αὐτοῦ τὸ ξίφος, ἀπέτεμεν αὐτοῦ τὴν κεφαλὴν, καὶ ἐπληρώθη τὸ γεγραμμένον· ἐν τοῖς ἔργοις τῶν χειρῶν αὐτοῦ συνελήφθη ὁ ἁμαρτωλός. πάλιν φθόνος, πάλιν βασκανία. συνεχῶς ἀνορύττω τὴν πηγὴν, ὥστε αὐτὴν εὑρεῖν τὸν ὀφθαλμόν. οὗτος τοίνυν ὁ τοιοῦτος καὶ τηλικοῦτος ἀνὴρ (περὶ οὗ φησιν ὁ Θεός· εὗρον Δαβὶδ τὸν τοῦ Ἰεσσαί, ἄνδρα κατὰ τὴν καρδίαν μου. ὢ ἐγκώμιον ὑψηλόν. ὢ ἀπόδειξις ἀρετῆς. ὁ δεσπότης αὐτοῦ λέγει· εὗρον Δαβὶδ τὸν τοῦ Ἰεσσαί, ἄνδρα κατὰ τὴν καρδίαν μου) οὗτος τοίνυν ὁ τῶν θηρίων περιγενόμενος, ὁ τὸν Γολιὰθ ἀποκτείνας, ὁ τὸν λέοντα πνίξας, ὁ τὴν ἄρκτον κρατήσας, ὁ ἐν νεότητι πεπολιωμένος, ὁ μικρὸς τῷ σώματι καὶ ὑψηλὸς τῷ πνεύματι, ὁ ἐν τῇ βασιλικῇ στολῇ ἀκρίβειαν μοναζόντων ἐπιδειξάμενος· ἔλουε γάρ, οὐκ ἀπὸ μαργαριτῶν, ἀλλ' ἀπὸ δακρύων καθ' ἑκάστην νύκτα βρέχων τὴν στρωμνὴν αὐτοῦ. οἱ μὲν γὰρ νῦν ἄνθρωποι καὶ ἐν ἡμέρᾳ καθεύδουσιν, ἐκεῖνος δὲ καὶ ἐν νυκτὶ ἐμμέριμνος ἦν. διὰ τί ἐν νυκτί; ἐπειδὴ ἐν ἡμέρᾳ βασιλεὺς ὢν ὑπὸ μυρίων περιηντλεῖτο πραγμάτων. ἐν δὲ νυκτὶ καθάπερ ἐν λιμένι διάγων, τότε μόνος μόνῳ τῷ Θεῷ διελέγετο, καὶ πηγὰς δακρύων ἐξέχεε, καὶ ἔλουε τὴν στρωμνὴν ἑαυτοῦ. οὗτος τοίνυν ὁ τοιοῦτος καὶ τηλικοῦτος ἀνὴρ, ὁ πνεύματος χάριν ἐπισπασάμενος, ὁ ἐν ἡλικίᾳ νεότητος πεπολιωμένος, ὁ τῆς

A referre cogitur. Ego puer paruus eram, pascens gregem patris mei, & egressus est leo, & eum interfeci. Atque item vrsum percussi. Iste itaque erit instar vnius harum belluarum. His auditis Saul arma ei porrexit. Verùm Dauid ea gestare minimè poterat. Quamobrem? nimirũ Deus id minimè permisit, id scilicet agens, vt nudus victoriam adipisceretur: ne arma rei fœliciter gestæ ac victoriæ partem sibi vindicarent, rexque victoriam armis suis ascriberet. Arma itaque abiicit, ac fide se induit. Nudus egreditur, pietate, tanquam lorica, instructus. B Egreditur pastor, nõ autem miles. Mittit lapidẽ, Philistæum ferit, ac non corporis natura & robore, sed fidei viribus victoriam tulit. Cucurrit, gladiũ ipsius accepit, eóque caput ipsi desecuit. Impletúmque est id quod ait Scriptura: In operibus manuum suarum comprehensus est peccator. Iterum inuidia, iterum liuor. Assiduè quippe fontem effodio, vt ipsam primam inueniam scaturiginem. Hic igitur vir tantus ac tam eximius, de quo dixerat Deus: Inueni Dauid filium Iesse, virum secundùm cor C meum: (ô sublime encomium! ô perspicuum virtutis argumentum! dominus eius ait: Inueni Dauid filium Iesse, virum secundum cor meum) hic inquam, qui feras superauerat, qui Goliath morte affecerat, qui leonem strangularat, qui vrsum oppresserat, qui in adolescentia senilem prudentiam exhibuerat, qui corpore quidem paruus, spiritu autem magnus erat, qui in regia veste monachorum austeritatem præstiterat: lauabat enim non margaritis, sed lachrymis per singulas noctes lectum suum. Nam huius quidem temporis ho- D mines diurno etiam tẽpore dormiunt: ille autem etiam noctu in cura & sollicitudine erat. Quî tandem istud? Quoniam cum rex esset, diurno tẽporis spatio innumeris negotiis obruebatur: noctu autem, tanquam in petra degens, tum denique solus cum solo Deo colloquebatur, lachrymarum fontes effundebat, lectúmque suum lauabat. Hic igitur vir tantus, ac tali virtute præditus, qui Spiritus gratiam attraxerat, qui in iuuenilli ætate senilem in modum se

1. Reg. 17. 34.

Psal. 9. 17.

Psal. 88. 21.

Act. 13. 22

Psal. 6. 6.

gesserat, qui cœlorum fornices attigerat, qui cœleste beneficium & gratiam consecutus fuerat, qui bella confecerat, qui infinitas aduersus diabolū palmas obtinuerat, post pudicitiā & temperantiam, post morum facilitatem & suauitatem, post grauitatē, & honestatem, postquam regnum obtinuit, postquam sexcenta bella fœliciter gessit, posteaquam plurimas nationes ditioni suæ atq; imperio subiecit, posteaquam vndecunque pax affulsit, negligentior factus est. (Ex quo nimirum intelligere vobis licet, quātum bonum sit afflictio, quæ virtutum omniū velut mater est.) Quando autem istud? meridiano tempore. Post prandium enim è thoro surgens inambulabat. Ac statim vidit mulierem se lauantem, pulchra, ac forma perquam eleganti, sed pulchritudo non est in culpa, quia pulchritudo Dei est donum. Vidit, inquā, mulierem lauantem in solario, summa in pulchritudine præditam, militis cuiusdam vxorem. Vidit, atque oculo vulneratus est, ac telum excepit. Audiāt curiosi, qui alienas formas contemplantur. Audiant qui insano spectaculorum studio tenentur. Qui dicunt: Spectamus quidē: sed sine detrimento. Quid audio? Dauid læsus est: & tu nō læderis? Ille læsus est: & ego tuę virtuti confidere queam? Is, qui tantam Spiritus gratiā habebat, spiculū excepit: & tu in absurdis spectaculis sauciari te negas? Atqui ille scortū nō vidit, sed honestā & pudicam fœminā, idque nō in theatro, sed domi: tu verò in theatro cernis, vbi etiam locus ipse animam supplicij ream efficit: nec tantum cernis, sed etiam audis improba verba, & meretricias atque obscœnas cantiones, omnique ex parte feritur mens tua: per aspectum nempe, ob ea quæ vides: per aurem, ob ea quæ audis: per olfactum, ob ea quæ odoraris. Et cùm tot præcipitia sint, tot corruptelæ, quî credere queam te à ferarum morsibus immunem esse? Num tu saxum es? num ferrum? Homo es, communi naturæ imbecillitati obnoxius. Ignem cernis, nec vreris? An istud rationi consentaneum est? Lucernam in fœnum pone: ac tum aude negare quòd fœnum exuratur. Quod porro fœnum est, hoc etiam natura nostra est. Vidit igitur eam lauantem nudam. Pulchritudine captus est, telū excepit, vulnere affectus est. Misit duntaxat ad eam. Venit illa, flagititiū perpe-

Afflictionis utilitas.

Humana natura fænum.

A ἁψῖδος τῶν οὐρανῶν ἐφαψάμενος, ὁ τῆς ἄνωθεν ἀπολαύσας δωρεᾶς καὶ χάριτος, ὁ πολέμους καταλύσας, ὁ μυρία κατορθώματα κατὰ τοῦ διαβόλου ἐπιδειξάμενος, μετὰ σωφροσύνην, μετὰ ἐπιείκειαν, μετὰ σεμνότητα, ὅτε κατέσχε τὴν βασιλείαν, ὅτε μυρίους ἐνίκησε πολέμους, ὅτε ἔθνη ὑπέταξεν, ὅτε εἰρήνη πανταχόθεν, ῥαθυμότερος ἐγένετο· ἵνα μάθητε πόσων ἀγαθῶν πρόξενος ἡ θλίψις, καὶ πόσων κακῶν ἡ ἄνεσις. καὶ πότε; ἐν μεσημβρίᾳ μέσῃ. μετὰ ἄριστον ἀναστὰς ἀπὸ τῆς στιβάδος περιεπάτει, καὶ εἶδε γυναῖκα γυμνὴν λουομένην, καλὴν καὶ εὔμορφον σφόδρα. ἀλλ᾽ οὐκ ἔγκλημα τὸ κάλλος. τὸ γὰρ κάλλος Θεοῦ δῶρον. εἶδε γυναῖκα λουομένην ἐν ὑπερῴῳ, γυναῖκα στρατιώτου, καλὴν, ὡραίαν. εἶδεν, ἐπτερώθη τῷ ὄμματι, ἐδέξατο τὸ βέλος. ἀκουέτωσαν οἱ περίεργοι, οἱ τὰ ἀλλότρια περιεργαζόμενοι καὶ καταμανθάνοντες κάλλη. ἀκουέτωσαν οἱ περὶ τὰ θέατρα μεμηνότες, οἱ λέγοντες· θεωροῦμεν μὲν, οὐδὲν δὲ βλαπτόμεθα. ὁ Δαβὶδ ἐβλάβη, καὶ σὺ οὐ βλάπτῃ; ἐκεῖνος ἐνικήθη, καὶ σοι ἔχω θαρρῆσαι; ὁ τοσαύτην ἔχων πνεύματος χάριν βέλος ἐδέξατο, καὶ σὺ ἄτρωτος διαμένεις ἐν τῇ τῶν ἀτόπων θεωρίᾳ; καί τοι ἐκεῖνος οὐκ εἶδε πόρνην, ἀλλὰ σώφρονα γυναῖκα καὶ σεμνὴν· καὶ οὐκ ἐν θεάτρῳ, ἀλλ᾽ ἐν οἰκίᾳ. σὺ δὲ ἐν θεάτρῳ, ὅπου καὶ ὁ τόπος κολάζει ψυχήν· ὅπου οὐ βλέπεις μόνον, ἀλλὰ καὶ ἀκούεις ῥημάτων αἰσχρῶν, καὶ βλέπεις στολὴν πορνικὴν καὶ ᾄσματα διαβολικά· καὶ πανταχόθεν πλήττεταί σου ἡ διάνοια, τῇ ὄψει, ἀφ᾽ ὧν εἶδες, τῇ ἀκοῇ, ἀφ᾽ ὧν ἀκούεις, τῇ ῥινὶ, ἀφ᾽ ὧν ὀσφραίD νῃ· τοσαῦται φθοραὶ, τοσαῦτα βάραθρα, καὶ ἔχω σοι θαρρῆσαι, ὅτι οὐ γίνῃ θηριάλωτος; μὴ γὰρ λίθος εἶ; μὴ γὰρ σίδηρος εἶ, ἄνθρωπος εἶ, τῇ κοινῇ τῆς φύσεως ἀσθενείᾳ ὑποκείμενος. πῦρ κρατεῖς, καὶ οὐ καίῃ; καὶ πῶς ἔχει λόγον; θὲς λύχνον εἰς χόρτον, καὶ δυνάσαι μοι εἰπεῖν, ὅτι οὐ καίεται ὁ χόρτος; ὅπερ ἐστὶν ὁ χόρτος, τοῦτο καὶ ἡ ἡμετέρα φύσις. εἶδεν αὐτὴν λουομένην γυμνὴν, ἑάλω τῷ κάλλει, ἐδέξατο τὸ βέλος, ἔλαβε τὸ τραῦμα, ἔπεμψεν ἐπ᾽ αὐτήν· καὶ ὡς μόνον ἦλθε πρὸς αὐτὸν, εἰργάσατο τὴν παρανομίαν,

νομίαν, ἐπλήρωσε τὴν ἐπιθυμίαν, καλεῖ αὐτὴν ἀπελθεῖν εἰς τὴν ἰδίαν οἰκίαν. Ταῦτα δὲ λέγων καὶ εἰς μέσον φέρω τὸν τετραυματισμένον, ἵνα οἱ περιεστῶτες ἴδητε πάντες, πῶς θεραπεύεται. καὶ γὰρ ἰατρὸς χειρουργῶν ἔχει τοὺς περιεστῶτας πάντας, ἵνα βλέπωσι πῶς τῇ τέχνῃ νικᾷ τὴν νόσον· πολλῷ μᾶλλον προφήτου χειρουργοῦντος πάντας χρὴ συνδραμεῖν, ἵνα ἴδωμεν πῶς ὀφείλομεν ἀπαλλαγῆναι τῆς σηπεδόνος καὶ τῶν σκωλήκων. χαλεπὸν τὸ ἁμάρτημα· ἐπιθυμία ἐπληρώθη, ἡ ἁμαρτία ἀπηρτίσθη, ὁ θεραπεύων οὐκ ἦν. συνέλαβεν ἡ γυνή· τέως ἐνόμιζε λανθάνειν τὸν ἄνδρα αὐτῆς ὁ βασιλεύς. εἰ γὰρ καὶ προφήτης ἦν, ἀλλ' ὅλως ἡ ἐπιθυμία αὐτὸν ἐσκότισε. συνέλαβεν ἡ γυνή, ἔγκυος ἐγένετο. δρομαία ἐπὶ τὸν βασιλέα ἔρχεται. βασιλεῦ, ἀπωλόμην. τί ἔχεις; ἔγκυός εἰμι· ὁ καρπὸς τῆς ἁμαρτίας ἐβλάστησε· τὴν κατηγορίαν ἐν τῇ μήτρᾳ βαστάζω· ὁ ἔλεγχος ηὐξήθη τοῦ ἁμαρτήματος· οἴκοθεν ἔχω τὴν ἀπόδειξιν. ἐὰν ἔλθῃ καὶ ἴδῃ ὁ ἀνήρ μου, τί ἔχω εἰπεῖν; ἢ τί λαλήσω; ἐννόησον πόσον κακὸν ἡ ἁμαρτία. ὁ βασιλεὺς τὸν στρατιώτην φοβεῖται. οὐ γάρ ἐστι δοῦλος, εἰ μὴ ὁ ποιῶν τὴν ἁμαρτίαν. διάδημα περιεβέβλητο, καὶ ἐδεδοίκει τὸ ὄνειδος. οὐχὶ σὺ βασιλεύς; οὐ ξίφους ἐξουσίαν ἔχεις; ναί, ἀλλὰ καὶ χαλεπὸν ἁμάρτημα ἐποίησα. ὦ ἁμαρτία δειλίας μήτηρ· ὦ ἀτιμίας ἔλεγχος· ὦ σιωπῆς ὑπόθεσις. δέδοικα, τρέμω, ὅτι με κατῄσχυνας· ἔνδον ἔχω τὸν ἔλεγχον. ἐὰν ἔλθῃ ὁ ἀνήρ μου, τί εἴπω; τί λαλήσω; εὑρήσει με ἔγκυον, καὶ φονεύει ἔνδον ἔχουσαν τὸν ἔλεγχον τῆς ἁμαρτίας. βλέπεις τὸ ναυάγιον μεμελετημένον; ὁρᾷς πόσον κακὸν ἡ ἁμαρτία; τί οὖν ὁ βασιλεύς; ἁμαρτίαν ἐπὶ ἁμαρτίας προστίθησι. δεῖ γὰρ πλατῦναι τὸν λόγον τοῦ διηγήματος. ἦλθεν Οὐρίας ὁ ἀνὴρ αὐτῆς ἀπὸ τοῦ πολέμου, καὶ εἰσῆλθεν ὁ Οὐρίας πρὸς τὸν βασιλέα. καὶ λέγει αὐτῷ ὁ βασιλεύς· τί ἐστιν, Οὐρία; πῶς ὁ πόλεμος; λέγει, καλῶς· νενικήκαμεν. ἤκουσεν ὁ βασιλεύς, ὅτι ὁ στρατιώτης ἐνίκησε, καὶ αὐτὸς ἡττήθη· ὁ στρατιώτης τὸν πόλεμον ὑπέταξε, καὶ ὁ βασιλεὺς ὑπὸ τῆς ἡδονῆς ἡττήθη· ὁ στρατιώτης τοῦ πολέμου περιεγένετο, αὐτὸς δὲ ὑπὸ τῆς ἁμαρτίας καταβέβλητο·

A trauit, libidinem expleuit. Iubet eam domum reuerti. Hæc autem eò dico, ac vulneratum in medium profero, vt vos omnes, qui circum astatis, quónam pacto ipsi medicina fiat, perspectum habeatis. Quemadmodum enim Chirurgus permultos habet qui se circumstēt, vt, quónam pacto artis viribus morbum vincat, perspiciant: eodem modo, & quidem multò magis, cùm Chirurgus Prophetæ manum adhibet, omnes nos spectare oportet, vt, quónam pacto saniе ac vermibus liberari debeamus, intueamur. Graue peccatum. Libido B expleta est: perfectum peccatum: nec medicus præsto erat. Concepit interim mulier. Nam prius id facinus marito incognitum fore rex existimabat. Quamuis enim Propheta esset: tamē libido tenebras ei prorsus offuderat. Concepit igitur mulier grauidáq. facta est: summa celeritate ad regem adit, aitque: O rex, perij. Ille autem: Quid habes? Verum gero, inquit illa. Peccati fructus emanauit: accusationem in vulua fero: peccati indicium existit: domi se prodit scelus. Si vir meus venerit, ac viderit, quid habebo quod dicam? Consideres C velim quantum malum sit peccatum. Rex militē timet. Non enim quisquam seruus est, nisi qui peccatum admittit. Diadema gerebat, & probrum metuebat. Quid? an non enim rex es? an non gladij penes te potestas est? Est, ita, inquit: verùm graue peccatum perpetraui. O peccatū, quod formidinem procreas! ô ignominia accusatrix! ô silentij occasio. Pertimesco, tremo: quia me ignominia perfudisti, atque habeo qui scelus meum prodat. Si venerit vir meus quid dicam, aut quid loquar? Prægnantem me offendet, vitámque mihi D eripiet, vt quæ intus habeam, qui flagitium meum coarguat. Cernísne meditatum naufragium? Cernísne quantum mali in peccato insit? Quid igitur rex? Peccatum peccato cumulat, ac scelus scelere obtegere molitur. Dilatanda enim est hæc narratio. Rediit Vrias vir ipsius è bello, atque apud regem ingressus est. Aitque rex ad eum: Quid est Vria? vt se habet res bellica? Pulchrè, inquit ille: vicimus. Audiuit rex quòd miles vicisset, cùm ipse victus fuisset: quòd miles fœliciter pugnasset, cùm rex voluptati succubuisset: quòd miles in bello victoriam obtinuisset, cùm ipse à peccato deiectus ac prostratus fuisset.

2. Reg. 11. 4

Peccatum quantum sit malum.

Miles victoriam commemorabat: ipse autem præ pudore ne cladem quidem acceptam referre audebat: Vicimus, inquit ille, ac superiores fuimus. Consilij inopia laborabat rex, nec propter cladis acceptæ dedecus, & ignominiam, belli victoriam sentiebat. Ait autem ad militem: Abi domum, balneúmque adhibe, ac mensæ da operã, tuáque vxore fruere. Cur istud? Vt vlcus obduceret, ac puer ex ipso editus esse censeretur. At insomnis ille oculus, vulnerati hominis saluti consulens, id fieri minimè passus est. Quid igitur ait miles? Quonã pacto istud facere queam? [Israëliticus populus in bello est: dux in acie: arca fœderis Domini in castris: & ego domum ibo, ac luxui & deliciis indulgebo?] Hæc aiebat miles, id, quod cõtigerat, ignorans. Hæc autẽ oratio regi probro fuit, quòd nimirum miles è bello rediens ne domum quidem suam cõspicere voluisset, cùm contrà rex tanto scelere sese constrinxisset, vt etiam militem ad vxorem suam cernendam necessitate adigeret: quò hac ratione vulnus suum obtegere posset. Abiit itaque rursum miles ad bellũ, ac puer in lucem editus est. Quid igitur rex facit? Posteaquã adumbrandi vulneris potestas nulla fuit, ad rei militaris ducem litteras dedit hoc exẽplo: Cùm hanc epistolam acceperis, pone Vriam ex aduerso belli, vbi fortissimum prælium est. Quorsum hoc? Vt ipse interficiatur. Atque ipsi hanc epistolam tradit. O petulantem libidinem! in quantam crudelitatem illum, alioqui lenissimum virum, scelus perduxit? Is qui iniuriam acceperat, gladium aduersum se gestabat, ac cruoris plenam epistolam ferẽs abibat. Est enim verborum compendio vtendũ. quid igitur factum est? Stetit in acie, ac mortem occubuit. En duo peccata, adulterium & homicidium. Cædes adulterij fructus extitit. Hæc autem ob peccatores, eósque, qui plurimorum scelerum sibi conscij sunt, commemoro: vt hæc audientes salutis suæ spem minimè abijciant. Scriptum est enim: Non occides, non mœchaberis. Hæc autem duo primaria præcepta violauit. Nam adulterium commisit: ac postea eum, quem iniuria affecerat, interemit. Graue hoc vlcus, ingens vulnus. Posteaquam igitur Vrias ad bellum profectus occubuit, ac statim peccatum quod occultatum erat, exiliit, tum denique Nathan Propheta ad Dauidem se contulit.

1. Reg 11. 7.

Hæc inclusa virgulis addita sunt à Billio ex veteri interpretatione.

A ὁ στρατιώτης ἔλεγε τὴν νίκην, αὐτὸς δὲ ὑπὸ τῆς αἰσχύνης οὐδὲ τὴν ἧτταν εἰπεῖν ἐτόλμα. νενικήκαμεν, φησὶ, καὶ περιεγενόμεθα. ἐν ἀπορίᾳ ἦν ὁ βασιλεὺς, οὐκ ᾔσθετο τῆς νίκης τοῦ πολέμου, διὰ τὴν αἰσχύνην τῆς ἥττης, ἧς αὐτὸς ἡττήθη. λέγει τῷ στρατιώτῃ· ὕπαγε εἰς τὸν οἶκόν σου· λοῦσαι, καὶ ἀπόλαυσον τραπέζης, καὶ ἀπόλαυσον τῆς γυναικός σου. διὰ τί; ἵνα συσκιάσῃ τὸ ἕλκος, ἵνα δόξῃ αὐτοῦ νομισθῇ τὸ παιδίον τίκτεσθαι. ὁ δὲ ἀκοίμητος ὀφθαλμὸς οὐ συνεχώρησε τοῦτο γενέσθαι, φειδόμενος τοῦ τετραυματισμένου. τί οὖν ὁ στρατιώτης φησί; καὶ B πῶς δυνάμαι καταλιπεῖν σε, καὶ τρυφᾶν; ταῦτα ἔλεγεν ἀγνοῶν ὁ στρατιώτης. ὄνειδος δὲ ἐγίνετο τῷ βασιλεῖ, ὅτι ὁ μὲν στρατιώτης οὐδὲ τὴν οἰκίαν αὐτοῦ ἠβουλήθη ἰδεῖν ἐλθὼν ἐκ τοῦ πολέμου· ὁ δὲ βασιλεὺς τοιαῦτα ἦν παρανομήσας, ὥστε ἀνάγκην ἐπιφέρειν τῷ ἰδίῳ στρατιώτῃ πρὸς τὸ θεάσασθαι τὴν ἰδίαν γυναῖκα, ἵνα δυνηθῇ τὸ ἴδιον τραῦμα καλύψαι. ἀπῆλθεν ἐπὶ τὸν πόλεμον, καὶ ἐτέχθη τὸ παιδίον. τί οὖν ποιεῖ; ἐπειδὴ οὐκ ἐδυνήθη συσκιάσαι τὸ ἕλκος, γράφει τῷ στρατηγῷ τοῦ πολέμου. λαβὼν τὸν C Οὐρίαν στῆσον εἰς τὸ κραταιὸν μέρος τοῦ πολέμου. διὰ τί; ὥστε αὐτὸν ἀναιρεθῆναι. καὶ ἐνεχείρισε αὐτῷ τὴν ἐπιστολήν. ὢ τῆς ἀσελγείας. εἰς ὅσην ὠμότητα τὸν πρᾳότατον ἐκεῖνον ἡ ἁμαρτία περιήγαγε; τὴν μάχαιραν καθ' ἑαυτοῦ ἐβάσταζεν ὁ ἠδικημένος, καὶ ἐπιστολὴν ἔφερεν αἵματος γέμουσαν, καὶ ἀπῄει. δεῖ γὰρ ἐπιτεμεῖν. τί οὖν γίνεται; ἐν τῷ πολέμῳ ἔπεσεν, ἐσφάγη. ἰδοὺ δύο ἁμαρτήματα, μοιχεία καὶ φόνος. ὁ φόνος καρπὸς τῆς μοιχείας ἐγένετο. ταῦτα δὲ λέγω διὰ τοὺς ἁμαρτωλοὺς καὶ πολλὰ D ἑαυτοῖς συνειδότας κακά· ἵνα ἀκούοντες μὴ ἀπογινώσκωσι τῆς ἑαυτῶν σωτηρίας. γέγραπται γὰρ, οὐ φονεύσεις, οὐ μοιχεύσεις. τὰς γοῦν δύο ταύτας πρώτας ἐντολὰς παρέβη. ἐμοίχευσε, καὶ τότε ἐφόνευσε τὸν ἠδικημένον. χαλεπὸν τὸ ἕλκος· μέγα τὸ τραῦμα. ἐπεὶ οὖν ὁ Οὐρίας ἀπελθὼν εἰς τὸν πόλεμον ἐσφάγη, καὶ εὐθέως ἐσκίρτησεν ἡ ἁμαρτία ἡ συνεσκιασμένη, τότε λοιπὸν ἀπῆλθε πρὸς αὐτὸν Νάθαν ὁ προφήτης.

ἀπηρτίσθη ἡ ἐπιθυμία· ἐπληρώθη ἡ παρανομία· ἀνῄρητο ὁ ἠδικημένος· καὶ τότε ὁ προφήτης ἐλέγχει. διὰ τί; καὶ τοι ὁ Δαβὶδ προφήτης ἦν. πῶς οὖν ἑαυτὸν οὐ θεραπεύει; ὥσπερ οὖν οἱ ἰατροὶ, ὅτε νοσοῦσι, χρήζουσιν ἑτέρων ἰατρῶν, καὶ ἡ ἀῤῥωστία τὴν τέχνην λυμαίνεται· οὕτω δὴ καὶ ἐνταῦθα προφήτης ἐκεῖνος, προφήτης ἐστί. ἀλλ' ἐκεῖνος οὐκ ἐν κλίνῃ κείμενος, ἀλλ' ἐν ἁμαρτίᾳ διαγινόμενος. λέγουσιν αὐτῷ· Νάθαν ὁ προφήτης ἔξω. λέγει, εἰσέλθῃ. εἰσέρχεται ὁ προφήτης. ὁρᾷ αὐτὸν καθεζόμενον μετὰ λαμπηδόνος πολλῆς καὶ τύφου βασιλικοῦ. καὶ τί φησι; δίκην ἔχω, βασιλεῦ, ἄκουσόν μου. ὦ σοφίας ἰατροῦ. εἰσῆλθε σιδήρειον λαβὼν, ἵνα τέμῃ τὸ ἕλκος· ἀλλ' οὐ δείκνυσι τῷ νοσοῦντι, ἵνα μὴ στερηθῇ τῆς ἰατρείας· κρύπτει ἔνδον, οὐχ ὑπὸ τὸ ἱμάτιον, ἀλλ' ὑπὸ τὸ δρᾶμα τῆς διηγήσεως. εὐθέως γὰρ εἰσελθὼν οὐκ εἶπεν αὐτῷ· ὦ παράνομε, ὦ βέβηλε, ὦ μοιχὲ, ὦ ἀνδροφόνε, οὐ γυμνοῖ τὸν ἔλεγχον, οὐδὲ χωρὶς προσωπείου τὴν παῤῥησίαν· ἀλλὰ τὸν σίδηρον ἐγκεκρυμμένον φέρει καὶ λέγει· δίκην ἔχω, βασιλεῦ, ἄκουσόν μου. τί οὖν ὁ βασιλεύς; εἰπὲ τὴν δίκην. ὁ δὲ λέγει· ἄνθρωπός τις ἦν πλούσιος, ἐστί. εἶχε ποίμνια καὶ βουκόλια πολλά· ἄνθρωπος δέ τις ἦν πένης. δύο ἄνθρωποι, Οὐρίας καὶ Δαβίδ. μάνθανε τὰ προσωπεῖα ἐν τῇ ἀληθείᾳ. ὁ μὲν πένης οὐκ εἶχεν, εἰ μὴ μίαν ἀμνάδα (τὴν μοιχευθεῖσαν γυναῖκα λέγει) ἥ τις ἀπὸ τῆς τραπέζης αὐτοῦ ἤσθιεν, καὶ ἀπὸ τοῦ ποτηρίου αὐτοῦ ἔπινε, καὶ ἐν τῷ κόλπῳ αὐτοῦ ἐκαθεύδεν. ὁρᾷς τὴν πενίαν φιλοστοργίας ὑπόθεσιν ἔχουσαν. ἐπὶ μὲν γὰρ τῶν πλουτούντων πολὺς ὁ τῦφος· ἐπὶ δὲ τῶν πενήτων ἡ γυνὴ ὑπηρέτις γίνεται καὶ διάκονος, καὶ τίκτει παιδίον, καὶ γίνεται αὐτὴ καὶ μήτηρ καὶ τροφός· ἐπὶ δὲ τῶν πλουτούντων οὐχ οὕτως. ἀλλὰ τίκτει παιδίον, καὶ δίδωσιν αὐτὸ ἔξω, καὶ τὴν φιλοστοργίαν διατέμνει ὁ τῦφος. τίκτει ἡ μήτηρ, καὶ οὐ γίνεται τροφός. αἰσχύνεται γὰρ γενέσθαι τροφὸς ἡ γενομένη μήτηρ. ὁ δὲ Χριστὸς οὐχ οὕτως. ἐγέννησε γὰρ ἡμᾶς, καὶ αὐτὸς τροφὸς ἡμῶν ἐγένετο. διὰ τοῦτο καὶ ἀντὶ βρωμάτων τὴν ἰδίαν σάρκα ἡμᾶς ἔθρεψε, καὶ ἀντὶ πόματος, τὸ ἴδιον αὐτοῦ αἷμα ἡμᾶς ἐπότισεν.

A Expleta erat libido, perfectum flagitium, de medio sublatus qui iniuriam acceperat. Propheta ad Prophetā proficiscitur. Quamobrem? Nam cùm Dauid Propheta esset, quin sibiipsi medetur? nimirum velut medici, cùm ægri sunt, medicis aliis opus habent, propterea quòd morbus artem labefactet: eodem etiam modo hoc quoque loco Propheta ille, & hic item Propheta. Verùm ille sanus erat: hic autem æger, non quidem in lectulo iacens, verùm in peccato degens. Aiunt itaque ad eum: En Nathan Propheta foris est. Respondet ille: Ingrediatur. Ingreditur itaque Propheta. Cernit eum cum B ingenti splendore ac regio fastu sedentem, aitque: Litem habeo, ô rex: audi me. O singularem medici sapientiam! Sumpto ferro ingressus est, vt vlcus secet. Verùm illud minimè ægroto indicat, ne curationem fastidiat. Occultat illud, non sub veste, sed sub cōfictæ narrationis inuolucro. Statim enim ingressus, non dixit, ô flagitiose, ô profane, ô adulter, ô carnifex! Non apertam reprehēsionem adhibet, nec sine persona quadam ac larua verborum libertate vtitur: verum obtectum ferrum gerit, ac dicit: Litem habeo, ô rex, audi me. Quid igitur rex? Litem narra. Tum ille: C Duo viri erant in ciuitate vna: vnus diues & alter pauper. diues habebat oues, & boues plurimos valde. Pauper autem nihil habebat omnino præter ouem vnam paruulā, quam emerat, & aluerat, & quæ creuerat apud eum, cum filiis eius simul, de pane illius comedens, & de calice bibens, & in sinu illius dormiens, erátque illi sicut filia. Vidésne quemadmodum paupertas amoris causa sit? Nam apud diuites & copiosos homines ingens fastus est: apud tenuiores autem, vxor ministræ ac velut ancillæ munere fungitur: ac quamprimum fi- D lium peperit, eadem & mater, & nutrix est. Apud locupletes autem secus res habet, verùm posteaquam vxor filium peperit, foras eum amandat, alendúmque alii tradit, atque charitatem erga liberos fastus interrumpit. Parit mater, nec nutrix efficitur. Pudet enim nutricem effici, quæ mater facta est. At non ita Christus. Nam vt nos progenuit, ita etiam alit: ac propterea ciborum loco carne sua nos pauit, ac poculi vice cruore suo nos potauit.

1. Reg. 12. a

Hæc igitur ouis in ipsius sinu dormiebat. Amplificata est tragœdia per charitatis narrationem. Venit peregrinus homo ad diuitem illum. Quisnam peregrinus hic est? Libido. Vt igitur ipsius castitatem Propheta demonstraret, arte quadam peregrinum libidinem appellauit. Neque enim alienum vnquam matrimonium perfoderat, nec sceleratis oculis mulierem cōspexerat: verùm in hac muliere sui dissimilis effectus, ob exiguam socordiam castitatem amisit. Venit peregrinus, hoc est, petulans & ferina libido. Venit ad eum peregrinus, venit, inquam, ad diuitem illum: & non accepit de gregibus & armētis suis, sed misit & sumpsit ouem illam quæ in pauperis sinu dormiebat, & de mensa eius comedebat. Quid igitur? Ita incensus est rex. Existimabat enim se alienam litem disceptare. Ira, inquam, incensus est rex: ac iustam sententiam admodum clarè pronunciauit. Neque enim animi propensio erat, quæ iustitiæ labem ferret. Gladio, inquit, morietur: atque ouem in quadruplum reddet. Nec verò hoc ex legis conscripto imperauit. Lex enim furem id quod surripuit in quadruplum reddere iubet: ipse autem legis terminos excessit. Iubet enim & ipsum morte affici, & damnum illatum in quadruplum restitui. Sententiam extulit, ac iudicium numeris omnibus absoluit. Ac tum laruam abijcit Propheta, ferrúmque detegit, & ait: Tu es, rex, qui hoc admisisti. O sectionem, non gladio, sed breui coargutione doloris sensum amputantem. Cùm enim oportebat, fabulam agebat: cùm autem coarguendus ille fuit, statim feriit, atque vlcus abscidit: sic tamen, vt haud magnum dolorem efficeret. Tu es, rex. Quid igitur ille? Peccaui Domino. Vidésne etiam in morbo generosi animi indolem? Non enim dixit ad eum: O miser & calamitose, vnde progressus, aut qua re fretus ita audacter ingressus es, atque arrogantia & fastu turgidus, regem vsqueadeo apertè coarguere atque insectari sustines? Verum quid ait? Peccaui Domino. Quid igitur Propheta? Etiam Dominus abstulit peccatum tuum. Celer pœnitentia: celerior venia. Dic tu prior, inquit ille, iniquitates tuas, vt iustificeris. Per opera Deum ad iracundiam concitasti: per verba te pœniteat. Hæc eò cōmemoro,

Exod.22.1

Esa.43.26.

A ἡ οὖν ἀμνὰς ἐν τῷ κόλπῳ αὐτοῦ ἐκάθευδεν. ηὐξήθη ἡ τραγῳδία τῇ διηγήσει τῆς φιλοστοργίας. ἦλθε τοίνυν ξένος ἄνθρωπος πρὸς τὸν πλούσιον ἐκεῖνον. τίς ὁ ξένος; ἡ ἐπιθυμία. ἵνα οὖν δείξῃ αὐτοῦ τὴν σεμνότητα, ξένον τῇ μεθόδῳ τὴν ἐπιθυμίαν ἐκάλεσεν. οὐδέποτε γὰρ ἀλλότριον γάμον διώρυξεν, οὐδὲ ἀδίκοις ἐθεάσατο τοῖς ὀφθαλμοῖς· ἀλλὰ πρώτως δὲ εἰς ἐκείνην τὴν γυναῖκα τὴν σεμνότητα ἀπώλεσε, καὶ μικρὸν ῥαθυμήσας ἐξέπεσε τοῦ προσήκοντος. ἦλθεν ὁ ξένος, ἡ ἐπιθυμία ἡ ἀσελγής, ἡ θηριώδης ἐκείνη ἦλθε πρὸς αὐτόν. B ξένος πρὸς τὸν πλούσιον ἐκεῖνον ἦλθε, καὶ οὐκ ἔλαβεν ἀπὸ τῶν ποιμνίων καὶ βουκολίων αὐτοῦ· ἀλλ' ἔπεμψε καὶ ἔλαβε τὴν ἀμνάδα ἐκείνην, τὴν ἐν τῷ κόλπῳ τοῦ πένητος καθεύδουσαν, καὶ ἀπὸ τῆς τραπέζης αὐτοῦ ἐσθίουσαν. τί οὖν; ὠργίσθη ὁ βασιλεύς. ἐνόμιζε γὰρ ἀλλοτρίαν δίκην δικάζειν. ὠργίσθη ὁ βασιλεύς, καὶ τὸ δίκαιον ἐξεφώνησε μετὰ πολλῆς τῆς λαμπρότητος. οὐ γὰρ ἦν φιλοστοργία ἡ λυμαινομένη τὸ δίκαιον. ῥομφαίᾳ, φησίν, ἀποθανεῖται, καὶ τὴν ἀμνάδα τετραπλάσιον ἀποτίσει. ὑπὲρ τὸν νόμον κελεύει. C ὁ γὰρ νόμος κελεύει τὸν κλέπτοντα τετραπλάσιονα ἀποδιδόναι, αὐτὸς δὲ ὑπερέβαινε τὸν νόμον. κελεύει γὰρ καὶ αὐτὸν ἀναιρεθῆναι, καὶ ἐν τετραπλῷ ἀποτίσαι. ἐξήνεγκε τὴν ψῆφον, καὶ τὴν καταδίκην ἀπήρτισε. ῥίπτει οὖν τὸ προσωπεῖον ὁ προφήτης, καὶ λέγει· σὺ εἶ, βασιλεῦ. ὢ τομὴ οὐ ξίφει τέμνουσα τὴν αἴσθησιν τῆς ὀδύνης, ἀλλ' ἐν τῇ συντομίᾳ τοῦ ἐλέγχου. ὅτε γὰρ ἔδει, ὑπεκρίνατο τὸ δρᾶμα· ὅτε δὲ χρεία ἦν τοῦ ἐλέγχου, εὐθέως ἔδωκε καὶ ἀπέτεμεν, οὐ πολ- D λὴν ὀδύνην ἐργασάμενος· σὺ εἶ, βασιλεῦ. τί οὖν αὐτός; ἡμάρτηκα τῷ κυρίῳ. ὁρᾷς καὶ ἐν τῇ νόσῳ τὴν εὐγένειαν τῆς ψυχῆς; οὐκ εἶπε πρὸς αὐτόν· ὦ ἄθλιε καὶ ταλαίπωρε, οὔτε φανερῶς ἐλέγξαι ἐβουλήθη. τί οὖν λέγει ὁ βασιλεύς; ἡμάρτηκα τῷ κυρίῳ. τί δὲ ὁ προφήτης; καὶ κύριος ἀφεῖλε τὸ ἁμάρτημά σου. ὀξεῖα ἡ μετάνοια· ἀλλ' ὀξυτέρα ἡ συγχώρησις. λέγε σὺ τὰς ἀνομίας σου, φησί, πρότερος, ἵνα δικαιωθῇς. διὰ πραγμάτων ἥμαρτες, καὶ διὰ ῥημάτων μετανόει. ταῦτα λέγω,

ἵνα ἀκούσωσιν οἱ ἁμαρτωλοὶ καὶ οἱ ἐμπεπτωκότες ἁμαρτήμασι, καὶ μὴ ἀπογινώσκωσι τῆς ἑαυτῶν σωτηρίας. ἡμάρτηκα, φησι, τῷ κυρίῳ· καὶ κύριος ἀφεῖλε τὸ ἁμάρτημά σου. σὺ μὲν εἶπας, ῥομφαίᾳ πεσεῖται ἐπ᾽ αὐτόν· ἀλλὰ ἐγώ, οὐκ ἀποθανῇ. εἶδες πῶς ἔλυσεν ὁ Θεὸς τὴν δίκην τοῦ προφήτου; λέγε σὺ τὰς ἀνομίας σου πρότερος, ἵνα δικαιωθῇς. ἀλλ᾽ ἐπὶ τὴν ἀρχὴν ἀναδράμωμεν. Ψαλμὸς τῷ Δαβίδ, ὅτε εἰσῆλθε πρὸς αὐτὸν Νάθαν ὁ προφήτης. ἐνταῦθα δείκνυται αὐτοῦ ἡ εὐγνωμοσύνη καὶ ἡ συγχώρησις. ἰδοὺ οὖν, ἔμαθες πῶς ἐθεραπεύθη, καὶ ποῖον φάρμακον ἐδέξατο. ὅταν δὲ ὁ Θεὸς δικαιοῖ, τίς ὁ κατακρίνει; οὐ γὰρ εἶπεν, ὅτι ἐγὼ συγχωρῶ, ἀλλ᾽ ὅτι κύριος ἀφεῖλε τὸ ἁμάρτημά σου· ἔτεμε τὸ ἕλκος, διωρθώσατο τὸ τραῦμα. οὐ μὴ ἀποθάνῃς, φησί. ταῦτα εἰπὼν ἀπῆλθε. θέλω δὲ δεῖξαι λοιπὸν καὶ τὴν τούτου εὐγνωμοσύνην, καὶ τὴν τῆς διανοίας διόρθωσιν, ποίαν ἔλαβε συγχώρησιν τοῦ ἁμαρτήματος, ποίαν εὗρεν ἄφεσιν τοῦ πλημμελήματος. καὶ γὰρ ὅτε ἦλθεν Οὐρίας ἀπὸ τῆς συμμαχίας, καὶ τὴν νίκην τοῦ πολέμου τῷ βασιλεῖ ἐμήνυσε, βουλόμενος ὁ βασιλεὺς τὸν ἄνδρα λαθεῖν τὸν ἠδικημένον, ὅτι ἐμοίχευσεν εἰς τὴν γυναῖκα αὐτοῦ, τοσαύτην εἶχε σπουδὴν τοῦ κρύψαι τὴν ἁμαρτίαν, ὅτι καὶ φόνον συνέπλεξε τῇ μοιχείᾳ. καὶ μετὰ ταῦτα γέγονε φιλόσοφος ἀπὸ τῆς μετανοίας. ὁ ἀποκρύπτων πρότερον τὸ ἁμάρτημα τὸ ἑαυτοῦ, εἰς μετάνοιαν ἦλθε· καὶ μετὰ τὴν συγχώρησιν τὴν ἀπὸ τῆς τοῦ Θεοῦ ἐπινεύσεως γενομένην, μετὰ τὸ ἐλθεῖν τὸν προφήτην, καὶ εἰπεῖν, ὅτι κύριος ἀφεῖλε τὸ ἁμάρτημά σου, οὐ μὴ ἀποθάνῃς, οὐ μόνον οὐ κρύπτει τὸ πάθος, ἀλλὰ καὶ μετὰ ταῦτα πάσαις ταῖς γενεαῖς εὔδηλον κατέστησε, καὶ ψαλμὸν ἔγραψεν ἵνα καὶ οἱ μετὰ ταῦτα μάθωσι, πόσην τραγῳδίαν ἔχει τὸ πάθος. ἐπειδὴ γὰρ ἦλθεν ἡ μετάνοια, ἐκόμισε τὴν παῤῥησίαν. ἐγὼ ἐσώθην, φησί. διὰ τί μὴ σώζονται καὶ ἄλλοι διὰ τοῦ ἐμοῦ διηγήματος; ὁ Θεός μοι συνεχώρησε· διὰ τοῦτο γράφω ταῦτα, ἵνα καὶ τὸ ἕλκος μάθωσι καὶ τὸ φάρμακον. οὐ φοβοῦμαι τὴν αἰσχύνην, ἐπειδὴ ἐπέτυχον τῆς ἐμαυτοῦ σωτηρίας. οὕτω καὶ Παῦλος ποιεῖ· τὰ ἀφεθέντα αὐτῷ ἁμαρτήματα στηλιτεύει, καὶ λέγει· χάριν ἔχω τῷ ἐνδυναμώσαντί με Χριστῷ, ὅτι με πιστὸν ἡγήσατο.

A vt audiant peccatores, & qui lapsi sunt, de sua salute non desperent, verùm ex animo ac non subdolè pœnitentiam agant. Peccaui, inquit, Domino. At ille: Etiam Dominus abstulit peccatum tuum. Tu quidem dixisti, Gladio interibit: at ego dico, non morieris. Vides quónam pacto Deus prophetæ sententiam rescidit? Dic tu itaque prior iniquitates tuas, vt iustificeris. (*Esa.43.26*) Sed ad initium recurramus. *Psalmus Dauidis, cùm ingressus est ad eum Nathan Propheta.* Hic demonstratur ipsius candor ac venia. B En igitur rationem, qua curatus est, didicisti, & quódnam pharmacum acceperit. Cùm autem Deus iustificat, quis est qui condemnet? (*Rom.8.33*) Non enim dixit: Ego ignosco: verum, Dominus abstulit peccatum tuum. Vlcus abscidit, vulnus persanauit. Non morieris, inquit. Atque his verbis habitis recessit. Iam igitur huius quoq; candorem animíque curationem ostendere cupio, quámque peccati veniam acceperit, & quam criminis remissionem inuenerit. Nam cùm Vrias è bello venisset, ac victoriam regi nunciasset, C rèxque cupiens ei obscurum atque incognitum esse, quòd ipsius vxorem adulterio contaminasset, tanto studio in hoc incumbebat, vt admissum scelus occultaret, vt etiam cædem adulterio copularet: at postea per pœnitentiam philosophus extitit, qui priùs flagitium suum obtegere nitebatur, ad pœnitentiã venit, & post veniã à Deo cõcessam, post aduẽtum Prophetæ, ac sermonem hunc, *Dominus abstulit peccatum tuũ, non morieris,* non modò iam scelus nõ occultat, verùm etiam omnibus nationibus conspicuũ facit, ac psalmum conscribit, quò D nimirum posteri quoque intelligant, quantam tragœdiam excitet libido. Posteaquam enim venit pœnitentia, sermonis libertatem secum aduexit. Ego, inquit, salutem consecutus sum. Quin igitur alij quoque per narrationem meam salutem item consequantur? Deus mihi veniam dedit. Propterea scribo, vt etiam alij vulnus meum ac remedium exploratum habeant. Infamiam minimè vereor: quandoquidem salutis meæ cupiditas me tenet. Sic etiam Paulus facit, dum peccata, quæ ipsi remissa fuerant, diuulgat, (*1.Tim.1.12*) atque: Gratias ago ei, qui me confortauit, Christo, quia me fidelem esse duxit,

qui priùs blasphemus eram, & persecutor, & contumeliosus. Propterea, inquam, meipsum confiteor ac traduco, vt si quis intoleranda quadam blasphemia laboret, tamē salutis spem sibi superesse videat. Eodem scilicet modo, tu quoque, ô Dauid, posteaquam adulterium ac cædem admisisti, veniámque à Deo accepisti, teipsum traducis. Certè, inquit, vt si quis adulter & homicida sit, quanam ratione salutem consequi possit, intelligat, propterea peccatum deposuit, ac pœnitentiam suscepit. Hoc igitur solum est quod quæritur, nempe quod omnibus perspicuum fecit se curatum fuisse. quónam autē modo istud iam expono. Quemadmodum enim audistis quòd pœnitētia magnam peccati condonationem habeat, magnámque ac multam fiduciam nobis afferat: sic illud quoque vos cognitum habere necesse est, quòd is etiam, qui multis sceleribus inuolutus est, ingenti probro ac dedecore perfunditur. nec satis sibi esse ducit pœnitentia duci: verùm etiam metuit ac tremit, ne in eadem rursum prolabatur. Illud igitur demonstrare animus est, quòd hic psalmus non modò peccantem indicat, sed etiam pœnitentem. Atque hoc vobis dico, vt ne quis post pœnitentiam sibiipsi confidat, verùm accuratiore studio salutem suam in portu constituat. Volo igitur illud palam facere, quòd ipse sanatus sit, melióque seipso ac potentior & robustior effectus. Cur igitur rursum post hanc concupiscentiam in aliud peccatum incidit? At queādmodum se correxerit, ac cupiditatē suam Deo obtulerit, exponam. Rursum bellum, rursum peccatū, rursum pugna, rursum victoria. Rursum eum inuasit concupiscētia. rursum bellum instructū est, bellum inquā graue: atque exercitus in acie steterūt. Contigit autē vt in illis locis fons esset. Cúmque acerrimū bellum gereretur, Dauid hunc vidit, atque grauissima siti affectus est. Incessit itaque eū bibendi cupido. Rursum itaq. concupiscentia exoritur. At non prohibita. Tunc enim corporis, nūc autē aquæ. Bibere enim appetebat, ac siti conflagrabat: cœpítq. dicere: siti enecor. Quidam igitur ei obsequi cupientes abierunt, ipsique aquam in sanguine suo attulerunt, ac per medios hostium globos asportarunt. Agnouit autem rex quidnam fecisset: nempe quod in bello illo sitim suam minimè compressisset.

1. Reg. 23. 15.

A τὸν πρότερον ὄντα βλάσφημον καὶ διώκτην καὶ ὑβριστὴν, νῦν πιστὸν ἡγήσατο. διὰ τοῦτο ἐμαυτὸν στηλιτεύω, ἵνα ἐάν τις ᾖ βλάσφημος ἀφόρητος, ἴδῃ ὅτι ἔχει ἐλπίδα σωτηρίας. καὶ σὺ, ὦ Δαβὶδ, ἐπειδὴ ἐμοίχευσας καὶ φόνον ἐποίησας καὶ συγχώρησιν παρὰ Θεοῦ ἔλαβες, διὰ τοῦτο στηλιτεύεις σεαυτόν; ναὶ, φησὶν, ἵνα ἐάν τις ᾖ μοιχὸς καὶ ἀνδροφόνος, μάθῃ πῶς δύναται σωτηρίας τυχεῖν. διὰ τοῦτο ἀπέθετο τὴν ἁμαρτίαν, καὶ τὴν μετάνοιαν ἐδέξατο. τοῦτο οὖν μόνον ἐστὶ τὸ ζητούμενον, ὅτι δῆλον πᾶσιν
B ἐποίησε τὸ διωρθῶσθαι, ἢ καὶ ἄλλο τι; ναὶ, καὶ ἄλλο. καὶ πῶς, ἐγὼ λέγω. ὥσπερ γὰρ ἠκούσατε, ὅτι ἡ μετάνοια πολλὴν ἔχει τὴν συγχώρησιν, καὶ μεγάλην καὶ πολλὴν κομίζει ἡμῖν τὴν παῤῥησίαν· οὕτω κἀκεῖνο ὑμᾶς μαθεῖν ἀναγκαῖον, ὅτι καὶ ὁ πολλαῖς ἁμαρτίαις περιβεβλημένος, πολλὴν αἰσχύνην κέκτηται· καὶ οὐ μόνον ἀρκεῖται τῇ μετανοίᾳ, ἀλλὰ δέδοικε καὶ τρέμει τὸ μηκέτι τοῖς αὐτοῖς περιπεσεῖν. θέλω τοίνυν δεῖξαι, ὅτι οὐ μόνον γνωρίζει σοι ὁ ψαλμὸς τὸν ἁμαρτάνοντα, ἀλλὰ καὶ τὸν μετανοοῦντα. καὶ τοῦτο ὑμῖν ἐρῶ, ἵνα μηδεὶς ἑαυτῷ μετὰ
C τὴν μετάνοιαν θαῤῥήσῃ· ἀλλὰ μᾶλλον ἀκριβέστερον τὴν ἑαυτοῦ σωτηρίαν ἐν τῷ λιμένι καταστήσῃ. θέλω οὖν δεῖξαι αὐτὸν, ὅτι ἰάθη, καὶ βελτίων ἑαυτοῦ ἐγένετο, καὶ δυνατώτερος καὶ ἰσχυρότερος. πῶς οὖν πάλιν μετὰ τὴν ἐπιθυμίαν ταύτην περιέπεσεν ἑτέρῳ νοσήματι; πάλιν πόλεμος, πάλιν ἁμαρτία, πάλιν μάχη, πάλιν παγκράτιον, πάλιν αὐτῷ ἐπῆλθεν ἡ ἐπιθυμία. πάλιν πόλεμος συγκεκρότηται, πόλεμος χαλεπὸς, καὶ στρατόπεδα ἔστηκε. πη-
D γὴ δὲ ἦν ἐν τοῖς τόποις ἐκείνοις. καὶ πολέμου ὄντος σφοδροῦ, εἶδεν αὐτὴν ὁ Δαβὶδ, καὶ εἰς δίψαν κατηνέχθη χαλεπωτάτην. ἐπεθύμησε τοίνυν πιεῖν. πάλιν ἐπιθυμία, ἀλλ' οὐ κεκωλυμένη· τότε μὲν σώματος, νῦν δὲ ὕδατος. ἐπεθύμησε πιεῖν, ἐφλέγετο ὑπὸ τῆς δίψης, καὶ λέγει· διψῶ, ἀπόλλυμαι. τινὲς οὖν τῶν βουλομένων αὐτὸν θεραπεῦσαι ἀπῆλθον, καὶ ἤνεγκαν αὐτῷ ὕδωρ, εἰς τὸ αἷμα αὐτῶν, καὶ διὰ τῶν πολεμίων ἐκόμισαν τὸ ὕδωρ. ὡς δὲ ἠνέχθη τὸ ὕδωρ, ἐνενόησεν ὁ βασιλεὺς, τί ἐποίησεν· ὅτι ἐν τῷ πολέμῳ ἐκείνῳ τὴν δίψαν αὐτοῦ οὐ κατέσχε.

καὶ τί ἐποίησε; λαβὼν τὸ ὕδωρ οὐκ ἔπιεν, ἀλλ' ἔσπεισε τῷ Θεῷ. οὐ γὰρ ὕδωρ ἐδόκει εἶναι, ἀλλ' αἷμα, οὐ τῇ φύσει παρεστηκὼς, ἀλλὰ τῇ γνώμῃ. ὁρᾷς οὖν πῶς παιδευθεὶς ὑπὸ τῆς προτέρας ἐπιθυμίας ὕστερον σωφρονέστερος ἐγένετο; ὁ σωμάτων ἐπιθυμῶν, ὕδατος οὐκ ἐπιθυμεῖ· μᾶλλον δὲ ἐπεθύμει, ἐκράτει δέ. οὐ γὰρ λέγω, ὅτι ἐκτὸς ἦν τῆς ἐπιθυμίας, ἀλλὰ τῇ φιλοσοφίᾳ περιεγένετο τῆς ἐπιθυμίας, καὶ οὐχ ἥψατο. Ταῦτα παραινῶ διὰ τοὺς πορνεύοντας. ἠράσθης πόρνης; ἐπόρνευσας; θέλεις μετανοῆσαι; μὴ προσθῇς τῇ ἁμαρτίᾳ ἁμαρτίαν. καὶ μή μοι εἴπῃς, πῶς δύναμαι μὴ πορνεῦσαι; ἐγώ σοι λέγω πῶς δυνήσῃ. ἡ ἐπιθυμία σε φλέγει, ἀλλ' ἔχεις γυναῖκα· καὶ εἰ οὐκ ἔχεις, λάβε, ἵνα ἔχῃς μετὰ ἀσφαλείας ἡδονήν. ἀλλ' οὐ δύναμαι κρατῆσαι. ἀλλὰ ῥᾳθυμίας ταῦτά ἐστιν. ὅταν γὰρ ἐνέγκω σοι ἄλλον μὴ ἔχοντα γυναῖκα, σωφρονοῦντα δὲ, ποίαν ἔχεις σὺ ἀπολογίαν, ἢ ποίαν συγγνώμην; ἐκεῖνος ἐν τῷ πελάγει οὐχ ὑπομένει ναυάγιον, καὶ σὺ ἐν τῷ λιμένι ὑπομένεις [illegible]; ἔχεις γυναῖκα, καὶ πορνεύεις, μᾶλλον δὲ μοιχεύεις; καὶ πῶς περιγένωμαι τῆς ἐλκύσεως, φησίν; ἀπόλαυε τῆς γυναικός σου. ἀπολαύσω τῆς γυναικός; πάνυ. ἐννόησον τί λέγει ὁ μακάριος Παῦλος· διὰ δὲ τὰς πορνείας ἕκαστος τὴν ἑαυτοῦ γυναῖκα ἐχέτω, καὶ ἑκάστη τὸν ἴδιον ἄνδρα. ἡ γυνὴ τοῦ ἰδίου σώματος οὐκ ἐξουσιάζει, ἀλλ' ὁ ἀνήρ· ὁμοίως δὲ καὶ ὁ ἀνὴρ τοῦ ἰδίου σώματος οὐκ ἐξουσιάζει, ἀλλ' ἡ γυνή. ἐὰν οὖν καλέσῃ σε πόρνη, ἐννόησον τὸ ῥῆμα κατὰ σεαυτὸν, καὶ εἰπὲ· ὅτι ὁ ἀνὴρ τοῦ ἰδίου σώματος οὐκ ἐξουσιάζει, ἀλλ' ἡ γυνή· καὶ τὸ ῥῆμα γράφε ἐν τῇ καρδίᾳ σου, καὶ εἰπὲ τῇ πόρνῃ· τί με καλεῖς; οὐκ ἔστι τὸ σῶμα ἐμὸν, ἀλλὰ τῆς γυναικός μου. οὐ τολμῶ οὖν τὸ ἀλλότριον προδοῦναι· τὴν προῖκα αὐτῆς οὐ τολμῶ μειῶσαι, οὐδὲ τὰ πράγματα αὐτῆς τολμῶ δαπανῆσαι, καὶ τὸ σῶμα τολμήσω ἐγὼ μιᾶναι; πῶς; οὐ δύναμαι. εἰπὲ τῇ πόρνῃ· τί με καλεῖς; οὐκ ἐγγίσεις αὐτῷ· τοῦτο γὰρ οὐκ ἔστιν ἐμόν· ἀλλότριόν ἐστι. μὴ γὰρ τῆς πόρνης ἐστὶ τὸ σῶμα; ἐγὼ σῶμα πόρνης

Qua re animaduersa, quid fecit? Sumptam aquam haudquaquã bibit, verùm Deo libauit. Non enim aqua erat, sed sanguis: sanguis, inquam, si non naturam, sed militum illorum voluntatem. animíque sententiam spectes. Vidésne igitur quo pacto à priore concupiscẽtia eruditus, prudentior in posterum factus sit? Nam qui corporum cupiditate prius flagrauerat, aquam iam minimè appetebat. Imò appetebat quidem, sed appetitionem frangebat. Neque enim hoc dico, quòd à concupiscentia alienus fuerit, sed quòd sapientiæ ope concupiscentia superiorem se præbuerit, nec aquam eam degustarit. Hæc admoneo propter eos qui libidini dediti sunt. Scortum adamasti? stuprum admisisti? pœnitentiã agere cupis? Ne committas vt peccatũ peccato adiungas, nec dicas: Quoniã pacto facere possum vt à scortatione abstineã? Ego tibi expono quanam ratione id possis. Ardet concupiscentia? At vxorem habes, & si nos habes, accipe, vt voluptatem cum securitate coniunctam habeas. At cupiditati dominari nequeo. Hæc verba ab animi socordia manant. Nam cùm alium tibi in medium protulero, qui, cùm vxorem non habeat, pudicitia tamen præster, quam tandem excusationem, aut quam veniam habere queas? Ille in mari naufragium non patitur: & tu in portu ipsum subis? Vxorem habes & scortaris, imò etiam adulterium perpetrasti? Et quánam ratione, inquis, hoc vulnus superabo? Fruere vxore tua. Fruar vxore mea? maximè. Animaduerte quid dicat beatus Paulus. Propter fornicationem vnusquisque vxorem suam habeat, & vnaquæque virum suum. Mulier corporis sui potestatem nõ habet, sed muier. (1. Cor. 7. 4) Quamobrẽ, cùm te acciuerit meretrix, hoc verbum cum animo tuo cogita, & dic: Vir corporis sui potestatem non habet, sed mulier: ac verbum istud in pectore tuo conscribe. Atque iis ad scortum verbis vtere: Quid me vocas? corpus non est meũ, sed vxoris meæ. Quare, id quod alienum est, prodere non audeo. An cùm ipsius dotem imminuere, aut ea, quæ ad eam spectant, cõsumere nequeam, corpus meum, quod in ipsius potestate est, contaminare audeã? Quonam pacto? Id planè nequeo. Dic ad scortum: Quid me vocas? Haudquaquam ad corpus meum accedes. Neque enim illud mei iuris est, sed alieni. Num enim meretricis corpus est? Ego profectò me-

retricis corpus haud accipio: hoc ad vxorem meam pertinet. Christum time ac dic: Corpus nostrum, mẽbrum Christi est. Audiant hoc etiam fœminæ, ac cogitatione quònam illas Christus duxerit: ac dicant. Mulier corporis sui potestatem non habet, sed maritus. Cogitent Pauli sapientiã, & quidnam dicat. Quandoquidem enim multi continentiæ student, & honestas & pudicas vxores habent, ac præter earum volũtatem continentiã colunt, corũmque Philosophia adulterij causam affert, proinde ait: Vnusquisque vxore sua fruatur. Nec verò propterea pudore suffũditur: verùm ingreditur, ac noctu & diu tanquam in geniali lecto sedet, ac maritum & vxorem retinet, sicque eos inter se copulat, atque alta voce clamat: Nolite fraudare inuicem, nisi ex cõsensu. Continentiæ studes, nec cum marito somnum capere vis, nec ille te fruitur? abscedit iam & peccat: ac deinceps illius peccatum continentiæ tuæ ascribitur. Satius est porro, vt tecũ ille, quàm cum scorto dormiat. Quin te fruatur, minimè prohibitum est: ne autem illa, diuinis legibus ipsi interdictũ est. Si tecum dormiat, nullum crimen est: si cum illa, membra tua perdidisti. Ita Paulus velut in viri atq. vxoris lecto sedet, ac clamat: Nolite fraudare inuicem, nisi ex consensu. Propterea virum accepisti, propterea vxorem tu quoque accepisti, vt pudicitiam colatis. Cupis à libidine te abstinere? hoc viro quoq. tuo persuade: vt duplex corona sit, nempe pudicitia & concordia: vt nõ pudicitia & pugna sit, vt non pax & bellum. Nam cùm tu continentiæ studes, ille autẽ libidinis igne deflagrat, vetat porrò Paulus, ne quis scortetur, statim ille perturbatur, ac velut fluctibus quibusdã agitatur. Nolite fraudare inuicem, nisi ex consensu. Vbi enim pax est, illic bona omnia sunt. Vbi pax est, etiam pudicitia splendet. Vbi concordia est, continentia coronã consequitur. Vbi autem bellum est, pudicitia succiditur. Nolite itaque fraudare inuicem, nisi forte ex consensu. Eadem enim repetere non desinam. Siquidem Paulus orbis terrarum pronubus quemlibet pronubum superat. Eàque de causa dicere non veretur: Honorabile connubium in omnibus & thorus immaculatus. Nam etiam ipsius dominus nuptiis interfuit, præsentiáq. sua eas cohonestauit,

1. Cor. 7. 5.

Pax is bona.

Hebr. 13. 4

A οὐ δέχομαι. τοῦτο τῆς γυναικός μού ἐστι. φοβήθητι τὸν Χριστὸν, καὶ εἰπὲ, ὅτι τὸ σῶμα ἡμῶν μέλη Χριστοῦ ἐστιν. ἀκουέτωσαν τοῦτο καὶ αἱ γυναῖκες, καὶ ἐννοείτωσαν, ποῦ αὐτὰς ἐκάλεσεν ὁ Χριστὸς, ὅτι πάντως ἐν ἁγιασμῷ, καὶ λεγέτωσαν, ὅτι ἡ γυνὴ τοῦ ἰδίου σώματος οὐκ ἐξουσιάζει, ἀλλ' ὁ ἀνήρ. ἐννόησον τὴν Παύλου σοφίαν τί λέγει. ἐπειδὴ πολλοὶ ἐγκρατεύονται, καὶ ἔχουσι σεμνὰς καὶ σώφρονας γυναῖκας, καὶ παρὰ τὸ δοκεῖν ἐγκρατεύονται, καὶ γίνεται ἡ τούτων φιλοσοφία μοιχείας ὑπόθεσις, διὰ τοῦτο λέγει· ἕκαστος ἀπολαυέτω τῆς ἰδίας γυναικός. καὶ οὐκ αἰσχύνεται, ἀλλ' εἰσέρχεται καὶ καB θέζεται εἰς τὴν εὐνὴν νύκτα καὶ ἡμέραν, καὶ κατέχει τὸν ἄνδρα καὶ τὴν γυναῖκα, καὶ οὕτω συνάπτει, καὶ κράζει καὶ βοᾷ· μὴ ἀποστερεῖτε ἀλλήλους, εἰ μή τι ἂν ἐκ συμφώνου. ἐγκρατεύῃ, καὶ οὐ θέλεις καθευδῆσαι μετὰ τοῦ ἀνδρός σου, ἐκεῖνος δὲ οὐκ ἀπολαύει σου; ἀπέρχεται καὶ ἁμαρτάνει, καὶ λοιπὸν ἡ ἁμαρτία ἐκείνου τῇ σῇ ἐγκρατείᾳ λογίζεται. βέλτιον μετὰ σοῦ αὐτὸν καθεύδειν, ἢ μετὰ τῆς πόρνης. ἡ ἀπόλαυσίς σου οὐ κεκώλυται· ἡ δὲ ἐκείνης κεκώλυται. μετὰ σοῦ ἐὰν καθευδήσῃ, οὐκ ἔστιν ἔγκλημα· μετ' ἐκείνης ἐὰν καθευδήσῃ, ἀπώλεσας σου C τὰ μέλη. καθέζεται οὕτω σχεδὸν εἰς τὴν εὐνὴν τοῦ ἀνδρὸς καὶ τῆς γυναικὸς, καὶ κράζει· μὴ ἀποστερεῖτε ἀλλήλους, εἰ μή τι ἂν ἐκ συμφώνου. διὰ τοῦτο ἔλαβες ἄνδρα, διὰ τοῦτο καὶ σὺ ἔλαβες γυναῖκα, ἵνα σωφρονῆτε. θέλεις ἐγκρατεύεσθαι; πεῖσον καὶ τὸν ἄνδρα σου, ἵνα δύο ὦσι στέφανοι, σωφροσύνη καὶ ὁμόνοια· ἵνα μὴ ᾖ σωφροσύνη καὶ μάχη· ἵνα μὴ ᾖ εἰρήνη καὶ πόλεμος. ὅταν γὰρ σὺ ἐγκρατεύῃ, ἐκεῖνος δὲ ὑπὸ ἐπιθυμίας φλέγηται, λέγει δὲ ὁ Παῦλος μὴ πορνεύσῃς, εὐθέως θορυβεῖται, κυματοῦται. μὴ ἀποστερεῖτε ἀλλήλους, εἰ μή τι ἂν D ἐκ συμφώνου. καὶ γὰρ ὅπου εἰρήνη, ἐκεῖ πάντα τὰ ἀγαθά· ὅπου εἰρήνη, καὶ σωφροσύνη λάμπει· ὅπου ὁμόνοια, καὶ ἐγκράτεια στεφανοῦται· ὅπου δὲ πόλεμος, καὶ ἡ σωφροσύνη ὑποτέμνεται. μὴ οὖν ἀποστερεῖτε ἀλλήλους, εἰ μή τι ἂν ἐκ συμφώνου. καὶ γὰρ πάντα νυμφαγωγὸν νικᾷ Παῦλος, ὁ νυμφαγωγὸς τῆς οἰκουμένης. διὰ τοῦτο οὐκ αἰσχύνεται λέγων, τίμιος ὁ γάμος ἐν πᾶσι, καὶ ἡ κοίτη ἀμίαντος. καὶ γὰρ ὁ δεσπότης αὐτοῦ εἰς γάμον παρεγένετο, τῇ ἑαυτοῦ παρουσίᾳ τὸν γάμον τιμῶν, καὶ δῶρα

παρεγρατεύεσχε. τὸ γὰρ ὕδωρ εἰς οἶνον μετέβαλε. ἀπόλαυε οὖν ὅσον βούλει. ὅταν δὲ ἀποκάμῃς, λάβε φάρμακον τὴν συνουσίαν, ἵνα μὴ πειράσῃ ὑμᾶς ὁ Σατανᾶς· ἕκαστος οὖν τὴν ἑαυτοῦ γυναῖκα ἐχέτω. τρία γάρ ἐστι ταῦτα· παρθενία, γάμος, πορνεία. ὁ γάμος μέσος, ἡ πορνεία κάτω, ἡ παρθενία ἄνω. παρθενία στέφανον ἔχει, ὁ γάμος ἔπαινον σύμμετρον, πορνεία κόλασιν καὶ τιμωρίας. βλέπε οὖν πῶς ἐγκρατεύῃ, εἰ δύνασαι τὴν ἀσθένειαν τοῦ σώματος ἐνεγκεῖν, καὶ μὴ θέλε ὑπὲρ τὸ μέτρον ἀναβῆναι, ἵνα μὴ ὑπὲρ τὸ μέτρον καταβῇς. ὥσπερ οὖν ὁ μέλλων κολυμβᾶν, εἰς τοσοῦτον εἰσέρχεται, ὅσον δύναται ἐξελθεῖν· ὅταν δὲ εἰσέρχηται, ἐννοεῖ πόσον ὀφείλει ἐξελθεῖν· οὕτω καὶ σὺ τοσοῦτον σωφρόνησον, ὅσον δυνῇ ὑπομεῖναι, ἵνα μὴ παρὰ τὸ μέτρον καταβῇς· καὶ ὑπὲρ τούτων ἁπάντων εὐχαριστήσωμεν τῷ Χριστῷ, ὅτι αὐτῷ ἡ δόξα καὶ τὸ κράτος, σὺν τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

A ac munera obtulit. Etenim aquam in vinum cõmutauit. Curre itaque quãtum voles: cùm autem defatigatus ac labore confectus fueris, cõcubitus remedium accipe, ne tentet vos Satanas. Vnusquifque igitur vxorẽ suã habeat. Tria enim hæc sunt, virginitas, matrimoniũ, fornicatio: matrimoniũ locum mediũ tenet, fornicatio infimũ, virginitas summum. Virginitas coronam habet: matrimonium laudem mediocrem: fornicatio pœnã & cruciatum. Vide itaque quemadmodum continentiam prestes, atque an corporis imbecillitatem ferre queas: B neque in animũ inducas supra modum ascendere, ne supra modum, descendas. Quẽadmodum enim is qui vrinaturus est, eo vsque in aquã ingreditur, in quãtum egredi potest, ac quãdo ingreditur, illud cogitat, quãtum egredi oporteat: eodem modo tu quoque, quãtum ferre queas, tecum reputa: ne alioqui præter modum descendas. Pro his omnibus rebus Christo gratias agamus, quoniam ipsi gloria & imperium cum Patre, & Spiritu sancto, nunc, & semper, & in secula seculorum, Amen.

C

ΕΙΣ ΤΑ ΥΠΟΛΟΙΠΑ ΤΟΥ πεντηκοστοῦ ψαλμοῦ, καὶ περὶ μετανοίας.

Τὰ λείψανα τῆς χθεσινῆς τραπέζης ἀποδοῦναι ὑμῖν βούλομαι σήμερον. ἀλλὰ λείψανα καὶ τράπεζαν ἀκούσας, ἀγαπητὲ, μηδὲν αἰσθητὸν ὑποπτεύσῃς. οὐ γὰρ κρέα κατακόπτομεν, ἀλλὰ νοήματα διδάσκομεν πνευματικά· οὐκ οἶνον ἄκρατον ἐκχέομεν, ἀλλὰ λόγον ἐνηχοῦμεν ὑμῶν τῇ διανοίᾳ. ἐπὶ μὲν γὰρ τῆς αἰσθητῆς τραπέζης ἐὰν μείνῃ μίαν ἢ δευτέραν ἡμέραν τὰ κρέα, διαφθείρεται καὶ ἀπόλλυται· ἐπὶ δὲ τῶν νοημάτων, ἐὰν ὅλον τὸν ἐνιαυτὸν παραμείνῃ, τὸ ἄνθος τὸ ἑαυτῶν καὶ τὴν εὐωδίαν ἀποδιδόασιν. ἔμεινε τὰ κρέα, καὶ διεφθάρη τῷ χρόνῳ· ἔμεινε τὰ νοήματα, καὶ μηδέποτε τὴν οἰκείαν εὐωδίαν ἀποδιδόντα· ἔφαγέ τις κρέα, καὶ εἰς διαφθορὰν ἐχώρησεν· ἔφαγέ τις νοήματα, καὶ εἰς ἀφθαρσίαν ἐχειραγωγήθη.

EIVSDEM IN EA QVAE superſunt ex quinquageſimo Pſalmo, & de pœnitentia.

HESTERNÆ mensæ reliquias vobis hodierno die reddere volo. Verùm cùm reliquias & mẽsam audis, charissime, caue sensibile quicquam suspiceris. Non enim carnes in frusta scindimus, sed spiritualia sensa præbe- D mus. Non vinum merum effundimus: verùm sermonem animis vestris instillamus. Nam in ea mensa, quę in sensum cadit, si carnes vno aut altero die asseruentur, corrumpuntur & intereunt: in animi autẽ sensis, si totum annum permaneãt, florem suum atque odoris suauitatem reddunt. Manserunt carnes, ac temporis tractu corruptæ sunt: manserunt sensa, fragrantiam suam nunquam reddere intermittunt. Si quis carnes comederit, in corruptionem abeunt: si quis sensa, ad incorruptionẽ deducitur.

Si quis carnes comederit, multum fœtorem eructat: si quis sensa, multam virtutem eructat, ac proximum voluptate afficit. Quocirca Propheta, quoniam eiusmodi cibos comederat, his verbis vtebatur: Eructauit cor meum verbum bonum. Rursum fluctus excitantur: sed mens stabilis maneat. Concutiuntur corpora: sed auris quieta & tranquilla sit. Perspicite igitur diligenter, atque animum ad ea, quæ dicam, attendite. Vidistis hesterna luce quemadmodum Rex & Propheta pugnaret, caderet, resurgeret, vinceret, corona donaretur, ac laude & prædicatione efferretur. Vidistis quemadmodum peccatum accederet, ac per pœnitentiam iugularetur. Peccatum enim tanquam vrsus impetum fecit, atque eum prostrauit: verùm ingressa est pœnitentia, eúmque à lapsu reuocauit. Vulnerũ scilicet remedium spes salutis erat. Vidistis quonam pacto Propheta ingrederetur, ac Prophetam corgueret. Vidistis regem sapienter atque æquo animo reprehensionem ferentem, sectionem excipientem, atque ita sanie liberatum. Vidistis elucentem Domini benignitatem, ac mortuum ad vitam reuocantem. Vidistis eum dicentem: Peccaui domino: rursúmque Prophetam: Etiam Dominus abstulit peccatum tuum. Compendiosa nimirum confessio: sed compendiosior medicina & morbi depulsio. Per verba peccauerat: per veaba confessus est. Annuit Deus: ac vulnus de medio sublatum est, redíitque sanitas. At id minimè sibi satis esse duxit Propheta: verùm post reprehensionem, post correctionem & sanationem, post verborum prolationem, in hoc argumentum psalmum quoque conscripsit, vt ipsius calamitas posteris quoque medicina fieret, eiúsque naufragium ipsis portus existeret, atque per ea, quæ ipse passus fuerat, ac sanitatem receperat, alij, qui in eundem morbum incidissent, eodem medicinæ atque curationis genere fruerentur. Quisnam igitur est hic psalmus, & quæ ipsius inscriptio? Audiamus, quæso, diligenter, *In finem, psalmus Dauidis.* Inscriptio ipsa, quódnam huius psalmi argumentum sit, perspicuè nobis tradit. Quin ipsa quoque psalmi verba mentis affectum ac morbum satis supérque indicant. Illud tamen scire attinet psalmum hunc etiam futurarum rerum prædictionem continere.

Psal. 44.

Vulnerum remedium spes salutis est.

A ἔφαγέ τις κρέα, καὶ ἠρεύξατο πολλὴν δυσωδίαν· ἔφαγέ τις νοήματα εὐωδίας πνευματικῆς, καὶ ἠρεύξατο πολλὴν ἀρετὴν, καὶ τὸν πλησίον εὔφρανε. ὁ προφήτης οὖν, ἐπειδὴ τοιαῦτα ἔτρωγεν, ἔλεγεν· ἐξηρεύξατο ἡ καρδία μου λόγον ἀγαθόν. ἐγείρεται τὰ κύματα πάλιν, ἀλλ' ἡ διάνοια ἑστηκέτω· σείεται τὰ σώματα, ἀλλ' ἡ ἀκοὴ ἀτρεμὴς ἔστω. βλέπετε τοίνυν, καὶ μετὰ ἀκριβείας προσέχετε τοῖς λεγομένοις. εἴδετε χθὲς τὸν βασιλέα καὶ προφήτην πολεμοῦντα, πίπτοντα, ἐγειρόμενον, νικῶντα, στεφα- B νούμενον, ἀνακηρυττόμενον. εἴδετε τὴν ἁμαρτίαν ὑπερχομένην καὶ σφαζομένην διὰ τῆς μετανοίας. ὡς ἄρκτος ἐπῆλθεν ἡ ἁμαρτία, καὶ κατέβαλεν· ἀλλ' εἰσῆλθεν ἡ μετάνοια, καὶ ἀνέστησε. τὸ φάρμακον τῶν τραυμάτων, ἡ τῆς σωτηρίας ἐλπίς. εἴδετε τὸν προφήτην εἰσιόντα καὶ ἐλέγχοντα τὸν προφήτην. εἴδετε τὸν βασιλέα μετὰ πάσης φιλοσοφίας φέροντα τὸν ἔλεγχον, δεχόμενον τὴν τομὴν, ἀπαλλαττόμενον τῆς σηπεδόνος. εἴδετε δεσπότου φιλανθρωπίαν λάμπουσαν, καὶ τὸν νεκρὸν ζωοποιοῦσαν. εἴδε- C τε λέγοντα αὐτὸν, ἡμάρτηκα τῷ κυρίῳ· καὶ τὸν προφήτην λέγοντα, καὶ κύριος ἀφῆκε τὸ ἁμάρτημά σου. σύντομος ἡ ἐξομολόγησις, συντομωτέρα δὲ ἡ ἰατρεία καὶ ἡ διόρθωσις. διὰ τῶν πραγμάτων ἥμαρτε, διὰ τῶν ῥημάτων ἐξωμολογήσατο. ἔνευσεν ὁ Θεὸς, καὶ τὸ ἕλκος ἠφανίσθη, τὸ τραῦμα διωρθώθη, καὶ ἡ ὑγεία ἐπανῆλθεν. ἀλλ' οὐκ ἠρκέσθη τούτῳ ὁ προφήτης, ἀλλὰ μετὰ τὸν ἔλεγχον, μετὰ τὴν διόρθωσιν, μετὰ τὴν τῶν τραυμάτων ἀπαλλαγὴν, καὶ ψαλμὸν ἔγραψεν εἰς τὴν ὑπόθεσιν· ὥστε καὶ D τῇ μετὰ ταῦτα γενεᾷ τὰ ἐκείνου πάθη γενέσθαι ἰατρεῖα, καὶ τὸ ἐκείνου ναυάγιον γενέσθαι λιμένα, καὶ ἐξ ὧν ἐκεῖνος ἔπαθε, καὶ διωρθώθη, ἑτέρους τοὺς αὐτοῖς περιπεσόντας τῆς αὐτῆς ἀπολαῦσαι ἰατρείας καὶ διορθώσεως. τίς οὖν ἐστιν ὁ ψαλμὸς, καὶ τίς ἡ ἐπιγραφὴ τοῦ ψαλμοῦ; ἀκούσωμεν μετὰ ἀκριβείας. εἰς τὸ τέλος, ψαλμὸς τῷ Δαβίδ. σαφῶς ἡμᾶς ἐδίδαξεν ἡ ἐπιγραφὴ τοῦ ψαλμοῦ τὴν ὑπόθεσιν· καὶ αὐτὰ δὲ τοῦ ψαλμοῦ τὰ ῥήματα ἱκανὰ διδάξαι τῆς διανοίας τὸ πάθος. εἰδέναι μέντοι προσήκει, ὡς καὶ μελλόντων ἔχει προαγόρευσιν ὁ ψαλμός·

διὸ καὶ εἰς τὸ τέλος ἐπιγέγραπται, τοῦ λόγου δηλοῦντος, ὡς ἕξει τέλος ἡ προφητεία. ἀλλὰ μηδεὶς ἀμφιβαλλέτω, εἰ κατὰ τὸν τῆς μετανοίας καιρὸν, προφητικῆς ἠξίωτο χάριτος ὁ μέγας Δαβίδ. τοῦτο γὰρ καὶ διὰ τῶν ἄλλων ψαλμῶν, δι' ὧν τὴν ἐξομολόγησιν ἐποιήσατο, καταμαθεῖν δυνατόν. καὶ γὰρ καὶ ἐν ἑτέροις ψαλμοῖς, καὶ μέντοι γε καὶ ἐν τῷ προκειμένῳ ψαλμῷ διαῤῥήδην ἡμᾶς ἐδίδαξεν, ὡς οὐκ ἐστέρητο τῆς τοῦ πνεύματος χάριτος. τὸ πνεῦμα γάρ σου, φησὶ, τὸ ἀγαθὸν μὴ ἀντανέλῃς ἀπ' ἐμοῦ. οὐ γὰρ ᾔτησεν αὐτῷ χορηγηθῆναι, ἀλλὰ μὴ ληφθῆναι ταύτην ἱκέτευσεν. ὑπὸ τούτου τοίνυν φωτιζόμενος, καὶ προορῶν ὡς καὶ ὁ λαὸς ὁ ὑπ' αὐτοῦ βασιλευόμενος πεσεῖται παρανομίαις, καὶ τινὰς ὑπὲρ τούτων εὐθύνας ὑφέξει, καὶ ὡς ἐξανδραποδισθήσεται, καὶ μέτοικος ἐν Βαβυλῶνι γενήσεται, συνέγραψε τὸν ψαλμὸν καὶ τὰ οἰκεῖα τραύματα θεραπεύων, καὶ τῷ λαῷ κατασκευάζων κατάλληλον φάρμακον. ἐλέησόν με ὁ Θεὸς, κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου. καὶ τῷ θειοτάτῳ Δαβὶδ, καὶ τῷ δορυαλώτῳ λαῷ, καὶ τοῖς ἐν ἡμῖν διακειμένοις κακῶς ἁρμόττει τὰ προκείμενα ῥήματα. τὰ γὰρ μεγάλα τῶν τραυμάτων ἰσομέτρων δεῖται φαρμάκων. οὗ δὴ χάριν καὶ ὁ μέγας ἱκετεύει Δαβὶδ ὅλον εἰς αὐτὸν ἐκχυθῆναι τὸν ἔλεον, πᾶσαν τῶν οἰκτιρμῶν τὴν πηγὴν καταχεῶσαι τῆς ἁμαρτίας τὰ ἴχνη. εἰκότως δὲ ἀνόμημα καλεῖ τὸ πλημμέλημα. διπλῆν γὰρ ἔχει τοῦ νόμου παράβασιν. ἐξάλειψον τὸ ἀνόμημά μου. ἤκουσας τοῦ προφήτου λέγοντος, καὶ κύριος ἀφεῖλε τὸ ἁμάρτημά σου· τί οὖν πλέον ζητεῖς; μένω εὐχαριστῶν, μένω δοξολογῶν. περιῃρέθη τὸ ἁμάρτημά μου, βούλομαι καὶ τὴν οὐλὴν ἀφανισθῆναι· περιῃρέθη τὸ ἕλκος, βούλομαι καὶ τὴν εὐμορφίαν ἀπολαβεῖν. προσέρχεται τοίνυν καὶ λέγει, ἐλέησόν με ὁ Θεός. οὐ λέγει τὰ κατορθώματα τοῦ βίου, ἀλλὰ τὴν φιλανθρωπίαν τοῦ δεσπότου, ἐπὶ τὸν ἔλεον καταφεύγων, τὸν κοινὸν τῶν ἁπάντων ἡμαρτηκότων λιμένα. ἐλέησόν με ὁ Θεός. ὁ γὰρ ἔλεός σου ἄφατος, καὶ λόγον ὑπερβαίνων, ἑρμηνευθῆναι μὴ δυνάμενος· ἁμαρτω-

A Vnde etiam, *In finem*, inscriptus est. Quibus verbis illud indicatur, Prophetiam hanc finem atque euentum habituram esse. Nec verò quisquam addubitet, an magnus Dauid eo tempore, quo in pœnitentia versabatur, prophetica gratia donatus sit. Nam istud per alios etiam psalmos, in quibus admissum scelus confitetur, perspici potest. Nam cùm in aliis, tum in hoc quoque psalmo perspicuè nos illud docuit, quòd Spiritus gratia minimè orbatus esset. Spiritum enim tuum bonum, inquit, ne auferas a B me. Neque enim petiit vt spiritualis gratia sibi præberetur: Atque illud fore prospiciens, vt populus, qui regio ipsius imperio suberat, in flagitia laberetur, ac quibusdam ob ea supplicijs plecteretur, atque captiuitate oppressus in Babyloniam migraret, psalmum hunc conscripsit, tum vt vulneribus suis medicinam afferret, tum vt consentaneum pharmacum popularibus suis conficeret. 1. *Miserere mei Deus secundum magnam misericordiam tuam.* 2. *Et cundum multitudinem miserationum tuarum, dele iniquitatem meam.* Et diuinissimo Da- C uidi, & captiuo populo, & ei, qui apud nos malè affectus est, hæc verba conueniunt. Nam ingentia vulnera consentaneis pharmacis opus habent. Quamobrem etiam magnus Dauid supplex orat, vt tota in se misericordia effundatur, atque vniuersus misericordiarum fons peccati vestigia obliteret. Meritò autem iniquitatem delictum vocat. Duplicem quippe legis transgressionem habet. *Dele iniquitatem meam.* Audisti Prophetam dicentem: Etiam Dominus abstulit peccatum D tuum. Quid igitur amplius poscis? Maneo, inquit, in gratiarum actione: maneo in diuinæ laudis prædicatione. Sublatum quidem est peccatū meum, at etiam tolli cicatricem cupio: sublatum est vlcus, at etiam pulchritudinem meam recipere cupio. Accedit igitur, atque ait: *Miserere mei Deus.* Vitæ suæ virtutes ac rectè facta non commemorat, sed Domini benignitatem ac misericordiam. Ad misericordiam, inquit, confugio: hoc est ad communem omnium, qui peccarunt portum. Miserere mei Deus. Nam misericordia tua ineffabilis est, nec vllis verbis explicari potest. Omnem enim sermonis vim excedit. Etenim ea, & peccatori

Dei misericordia peccantium portus.

solatiũ est, & iusto ingẽs securitas. Neq; enim peccatores duntaxat misericordia salutem consequuntur: sed etiam iusti misericordia muniuntur. Atque vt intelligas iustos misericordiæ præsidio muniri, audi quid Christus dicat Petro, columnę inquam illi, & basi, ac propterea Petro appellato, quia saxea fide præditus erat: Simon, Simon, sæpe expetiuit te Satanas vt cribraret te velut triticum: ego autẽ oraui pro te, vt non deficiat fides tua. Vidésne quemadmodũ iusti etiam misericordia indigeant, vt tum ex peccatoribus iusti fiãt, tum iusti effecti in iustitia perseuerent? Nam & Apostolus per misericordiã & benignitatẽ Dei effectus est talis. Gratias, inquit, [1. Tim. 1. 13] ago ei, qui me cõfortauit Christo, quando fidelem me existimauit, ponẽs in ministerio, qui priùs eram blasphemus & persecutor, & contumeliosus. Quónam igitur modo salutẽ adeptus es? Sed, inquit, propter hoc misericordiam consecutus sum. Vidésne quemadmodum hic quoque per misericordiam salute donetur? Ecclesiã insectabatur ac peruastabat, vineas euellebat, lupũ se præbebat. Prophetica scripta legebat, & Prophetas violabat. Legis patriæ patronus eum, de quo vaticinia edita fuerãt, ignorabat. Quónam igitur pacto misericordiam consecutus est? Saule, Saule, [Act. 9. 4] quid me persequeris? Papæ! quousque Dei misericordia sese demisit! Deus homini ait: Quid me persequeris? Nimirũ patris sui æmulum se præbebat. Nam etiam ille ad Hebræorum populum ait: [Mich. 6. 3] Popule me⁹ quid feci tibi, aut quid læsi te, aut quid molestus fui tibi, responde mihi? Eodẽ igitur modo ipsius filius ad Saulum ait: Saule, Saule, quid me persequeris? quid igitur ille? quisnam es Domine? Statim dominationem agnouit, atque confessus est. Vide animi probitatem & candorem. Quis es Domine? Ego sum Iesus Nazarenus, quem tu persequeris. O insignẽ Domini sapientiam! Cur non dixit, Ego sum Dei filius, ego sum qui ad dextram Patris sedeo, ego sum qui in forma Dei existo, ego sum qui cœlum extendi, ego sum qui terram constabiliui, ego sum qui mare exporrexi, ego sum qui angelos procreaui, ego sum qui vbique adsum, atque omnia impleo, ego sum qui existo ac genitus sum? Cur, inquam, & angusta ista, & magna, & sublimia non dixit, sed, Ego sum Iesus Nazarenus,

λῷ παραμυθία, δικαίῳ ἀσφάλεια πολλή. οὐ γὰρ ἁμαρτωλοὶ μόνοι ἐλέῳ σώζονται, ἀλλὰ καὶ δίκαιοι ἐλέῳ τειχίζονται. καὶ ἵνα μάθῃς ὅτι δίκαιοι ἐλέῳ τειχίζονται, ἄκουε τί φησι τῷ Πέτρῳ, τῷ στύλῳ, τῇ κρηπῖδι, τῷ διὰ τοῦτο κληθέντι Πέτρῳ, ἐπειδὴ τῇ πίστει πεπετρωμένος ἦν. Σίμων, Σίμων, πολλάκις ἠθέλησεν ὁ Σατανᾶς σινιάσαι σε ὡς τὸν σῖτον· ἐγὼ δὲ ἐδεήθην περὶ σοῦ, ἵνα μὴ ἐκλίπῃ ἡ πίστις σου. ὁρᾷς ὅτι καὶ οἱ δίκαιοι ἐλέους χρήζουσιν, ἵνα καὶ ἐξ ἁμαρτωλῶν δίκαιοι γένωνται, καὶ ἵνα δίκαιοι γενόμενοι, μείνωσι δίκαιοι. καὶ γὰρ ὁ ἀπόστολος ἐξ ἐλέους ἐγένετο τοιοῦτος. χάριν ἔχω τῷ ἐνδυναμώσαντί με Χριστῷ Ἰησοῦ, ὅτι πιστόν με ἡγήσατο, θέμενος εἰς διακονίαν, τὸν πρότερον ὄντα βλάσφημον καὶ διώκτην καὶ ὑβριστήν. πῶς οὖν ἐσώθης; ἀλλὰ διὰ τοῦτο ἠλεήθην. ὁρᾷς καὶ τοῦτον ἐλέῳ σωζόμενον; ἐδίωκεν, ἐλυμαίνετο τὴν ἐκκλησίαν, ἀνέσπα τὰς ἀμπέλους, λύκος ἐγένετο· προφήτας ἀνέγνω, καὶ τὰ προφητευόμενα παρελυμαίνετο· ὁ τοῦ πατρῴου νόμου ζηλωτὴς προφήτας ἀνέγνω, καὶ τὸν προφητευθέντα οὐκ ᾔδει. πῶς οὖν ἠλεήθη; Σαοῦλε, Σαοῦλε, τί με διώκεις; ὢ φιλανθρωπίας τοῦ δεσπότου, ποῦ κατέβη; Θεὸς ἀνθρώπῳ λέγει, τί με διώκεις; τὸν πατέρα τὸν ἑαυτοῦ μιμεῖται. καὶ γὰρ ἐκεῖνος τῷ δήμῳ τῷ Ἑβραϊκῷ λέγει· λαός μου, τί ἐποίησά σοι, ἢ τί ἠδίκησά σε, ἢ τί παρηνώχλησά σοι, ἀποκρίθητί μοι; καὶ ὁ υἱὸς αὐτοῦ τῷ Σαούλῳ λέγει· Σαοῦλε, Σαοῦλε, τί με διώκεις; τί οὖν ἐκεῖνος; τίς εἶ, κύριε; εὐθέως τὴν δεσποτείαν ὡμολόγησεν. εἶδες ψυχὴν εὐγνώμονα. τίς εἶ, κύριε; ἐγώ εἰμι Ἰησοῦς ὁ Ναζωραῖος, ὃν σὺ διώκεις. ὢ σοφίας δεσπότου. διὰ τί μὴ εἶπεν, ἐγώ εἰμι ὁ υἱὸς τοῦ Θεοῦ, ἐγώ εἰμι ὁ ἐν ἀρχῇ λόγος, ἐγώ εἰμι ὁ ἐν δεξιᾷ καθήμενος τοῦ πατρὸς, ἐγώ εἰμι ὁ ἐν μορφῇ Θεοῦ ὑπάρχων, ἐγώ εἰμι ὁ τὸν οὐρανὸν τείνας, ἐγώ εἰμι ὁ τὴν γῆν ἑδράσας, ἐγώ εἰμι ὁ τὴν θάλασσαν ἁπλώσας, ἐγώ εἰμι ὁ τοὺς ἀγγέλους ποιήσας, ἐγώ εἰμι ὁ πανταχοῦ παρὼν καὶ τὰ πάντα πληρῶν, ἐγώ εἰμι ὁ πρὸ αἰώνων ἐκ πατρὸς γεννηθείς; διὰ τί μὴ εἶπε τὰ σεμνὰ ἐκεῖνα καὶ ὑψηλὰ καὶ μεγάλα, ἀλλ' ἐγώ εἰμι ὁ Ναζωραῖος, ὁ ἀπὸ

ὁ ἀπὸ τῆς κάτω πόλεως; διὰ τί ἠγνόει αὐτὸν ὁ διώκων. εἰ γὰρ ᾔδει αὐτὸν, οὐκ ἂν ἐδίωκεν. ἠγνόει ὅτι ἐκ τοῦ πατρὸς ἦν γεννηθείς· ὅτι δὲ ἀπὸ Ναζαρὲτ ἦν, ᾔδει. Εἰ οὖν εἶπεν αὐτῷ, ὅτι υἱὸς τοῦ Θεοῦ εἰμι, ὁ ἐν ἀρχῇ λόγος, ὁ τὸν οὐρανὸν ποιήσας, εἶχεν εἰπεῖν· ὅτι ἄλλος ἐστὶν ἐκεῖνος, καὶ ἄλλος ὃν ἐγὼ διώκω. συνήκατε τί εἶπον; Εἰ εἶπεν αὐτῷ ἐκεῖνα τὰ μεγάλα καὶ ὑψηλὰ, εἶχεν εἰπεῖν· ἄλλος ἐστὶν, οὐκ ἔστιν οὗτος ὁ σταυρωθείς. ἀλλ᾽ ἵνα μάθῃ, ὅτι ἐκεῖνον διώκει τὸν σαρκωθέντα, τὸν μορφὴν δούλου ἀναλαβόντα, τὸν μεθ᾽ ἡμῶν ἀναστραφέντα, τὸν σταυρωθέντα, τὸν ἀποθανόντα, τὸν ταφέντα, τὸν ἀναστάντα, τὸν ἀπὸ τοῦ κάτω χωρίου, λέγει· ἐγώ εἰμι Ἰησοῦς Ναζωραῖος, ὃν σὺ διώκεις, ὃν εἶδες καὶ γνωρίζεις, τὸν μετὰ σοῦ ἀναστραφέντα. διὰ τοῦτο εὐθέως τὴν δεσποτείαν ὡμολόγησεν. κατέβη τοσοῦτον ὁ δεσπότης, ὅσον ὁ δοῦλος ἀναβῆναι ἠδύνατο· καὶ διὰ τοῦτο ἠλεήθη. ἐλέησόν με, ὁ Θεὸς, κατὰ τὸ μέγα ἔλεός σου. καὶ ἡ Χαναναία ἐπὶ τὸν λιμένα τοῦτον καταφεύγει· ἐλέησόν με· ἡ θυγάτηρ μου κακῶς δαιμονίζεται. ὅπου γὰρ ἔλεος, ἐξέτασις οὐκ ἔστιν· ὅπου ἔλεος, δικαστήριον οὐ κάθηται· ὅπου ἔλεος, εὐθύναι οὐκ ἀπαιτοῦνται· ὅπου ἔλεος, ἀνεξέταστος ἡ σωτηρία· ὅπου ἔλεος, συγχωρεῖται ἡ ἀπολογία. ἐλεηθῆναι ζητῶ μόνον. τίνος ἕνεκεν ἀπαιτεῖς με εὐθύνας; ἅπαξ ἔλεον ζητῶ, ἀπερίεργον σωτηρίαν. ἐλέησόν με ὁ Θεὸς, κατὰ τὸ μέγα σου ἔλεος. εἶπες μέγα, εἰπὲ πόσον; οὐκ οἶδα. ὅτι μέγα, οἶδα· καταμετρῆσαι οὐ δύναμαι, καταλαβεῖν οὐκ ἰσχύω. οὐκ οἶδα τὴν ποσότητα τοῦ μεγέθους, οὐ καταλαμβάνει ἡ διάνοια, οὐχ ἑρμηνεύει ἡ γλῶσσα. βλέπω τοῦ ἐλέους τὸν καρπὸν μέγαν. Εἰ μὴ γὰρ πολὺ ἦν μέγας, ὀλίγοι ἂν ἐσώθησαν. τοῦτον τὸν ἔλεον καὶ ὁ υἱὸς αὐτοῦ ἐπιδείκνυται. ἐλθὼν γὰρ ἐλέῳ πάντας ἔσωσεν. ἐλέησόν με, ὁ Θεὸς, ὁ λιμὴν ὁ ἀκύμαντος, ὁ γαλήνης γέμων. μέγας ὁ θόρυβος τῶν ἁμαρτημάτων μου, ἀλλὰ πολλὴ ἡ ἀσφάλεια τῆς τοῦ δεσπότου μου φιλανθρωπίας. ἐγένετο ἄνθρωπος· τοῦτο ἐλέους.

A qui ex infima ciuitate ortus sum? Nempe quia eum ignorabat persecutor. Nam si eum nosset, haudquaquam persequeretur. Ignorabat, inquam, quòd ex Patre genitus fuisset: quòd autem ex Nazareth extitisset, compertum habebat. Si ergo ad eum dixisset: Ego filius Dei sum, ego verbum illud quòd in principio erat, & quod cœlum fecit, dicere potuisset, Ille alius est, & alius quem persequor. Intellexistis quid dixerim? Si magna illa & excelsa locutus fuisset, respondere potuisset, Alius ille est, ac non crucifixus iste. Vt autem in- B telligeret, quòd eum, qui carnem induerat, qui serui formam sumpserat, qui nobiscũ versatus fuerat, qui in crucem actus fuerat, qui mortem oppetierat, qui sepultura affectus fuerat, qui resurrexerat, qui ex inferiori loco ortus fuerat, persequeretur, idcirco ait: Ego sum Iesus Nazarenus, quem tu persequeris, quem vidisti, quem nosti, qui tecum versatus est. Eáque de causa dominationem statim confessus est. Nimirum Dominus eò vsque se dimisit, quousque seruus ascẽdere poterat. Sed pro- C pter hoc misericordiã consecutus est. *Miserere mei Deus secundùm magnã misericordiam tuã.* Ad eundẽ modum Chananæa quoque ad istum portũ confugit. Miserere mei, filia mea malè a dæmonio torquetur. Vbi enim misericordia est, pœnæ nõ expetũtur. Vbi misericordia est, in salutẽ minimè inquiritur. Vbi misericordia est, excusationem afferre nihil necesse est. Misericordiam duntaxat quæro. Curã me, vt rationes referam, postulas? Misericordiam duntaxat peto, ac salutem curiosæ omnis inquisitionis expertem. *Miserere mei Deus secundùm ma-* D *gnam misericordiam tuam.* Dixisti magnam: dic quantam? Nescio. Nam quòd magna sit perspectum habeo: at eam metiri ac comprehendere nequeo. Magnitudinis quantitatem ignoro. Mens eam non percipit, lingua non explicat. Video quidem certè ingentem & vberem misericordiæ fructum. Nisi enim ingens ipsius magnitudo esset, pauci ad salutem peruenissent. Hanc misericordiam ipsius quoque filius indicat. Veniens enim salutem omnibus per misericordiam comparauit. *Miserere mei Deus.* Tu, inquam, portus ab omnibus fluctibus vacuus, ac tranquillitatis plenus. Magnus peccatorum meorum tumultus est: sed ingens benignitatis Domini mei securitas. Homo factus est: hoc misericordiæ est.

Matth. 15. 22.

In virgineam vuluam venit: hoc benignitatis est. Factus est id quod ipse eras, vt quod non eras efficiaris. Hoc rursum misericordiæ. Et cùm venisset, statim quosdã vocauit, Magos nempe. Quem autem post illos? Publicanum. Post hunc, meretricem: post illam, latronem: post eum, quem? Blasphemum. O res nouas & inauditas! Primitiæ vocationis ij fiunt, qui peccati tyrannidem tenebant. Quoniam enim orbis terrarum negotia misero in statu erant (alij enim ab impietatis tyrannide opprimebãtur, alij in Iudaismo & salutis desperatione à peccato tenebantur) proptereà cùm venisset, primitias eorum, qui peccauerant, statim vocauit, vt ne quis postea salutem suam desponderet. Impius es? Magos ob animum tibi propone. Raptor es? Publicanum cogita. Impurus es? animo tuo meretrix sese objiciat. Sicarius es? Latro ille ante oculos tibi versetur. Flagitiosus es? In mentem tibi veniat Pauli, qui priùs blasphemus erat, postea Apostolus: priùs persecutor, postea Euangelista: priùs adulter, postea pronubus: priùs zizanium, postea triticum: priùs lupus, postea pastor: priùs plumbum, postea aurum: priùs prædo ac pirata, postea gubernator: priùs Ecclesiam diripiebat, postea Ecclesiæ curam suscepit: priùs vineas excindebat, postea eas excolebat: priùs templum euertebat, postea extruebat. Vidisti singularem improbitatem? Vidisti rursus florentem ac vegetem virtutem? Vidisti serui contumaciam? Vidisti rursum Domini benignitatem? Ne mihi dicas, Blasphemus sum: Ne mihi dicas, Persecutor sum, impurus sum. Habes omnium horum exempla. Ad quem voles portũ confuge. Vis in veteri testamento? Dauidẽ habes. Vis in nouo? Paulum. Ne tergiuerseris, ne cunctèris. Peccasti? pœnitentiam age. Hæc pharmaca subinde adhibeo, ac tumorem reprimo. Non enim me fugit, quantus in eorum, qui peccarunt, conscientia cruciatus sit, quanta desperatio. Stat in procinctu diabolus, ensem acuens, atque his verbis vtens. Totam tuam iuuentutem probro ac dedecore affecisti,

Exempla pœnitentiæ in vtroque Testamẽto.

Diaboli tentatio.

A εἰς μήτραν ἦλθε παρθενικήν· τοῦτο φιλανθρωπίας. ἐγένετο ὅπερ ἦς σύ, ἵνα γένῃ σύ, ὅπερ οὐκ ἦς· τοῦτο ἐλέους. καὶ ἐλθὼν εὐθέως τινὰς ἐκάλεσε; μάγους. μετ' ἐκείνους τίνα; τελώνην. μετ' ἐκεῖνον; πόρνην. μετ' ἐκείνην; λῃστήν. μετ' ἐκεῖνον τίνα; βλάσφημον. ὢ καινῶν καὶ παραδόξων πραγμάτων. τὰ ἀκροθίνια τῆς κλήσεως, ἡ τυραννὶς τῆς ἁμαρτίας. διὰ τί; κακῶς διέκειτο τὰ τῆς οἰκουμένης πράγματα (οἱ μὲν γὰρ ὑπὸ ἀσεβείας ἐτυραννοῦντο, οἱ δὲ ἐν Ἰουδαϊσμῷ καὶ ἀπογνώσει ὑπὸ τῆς ἁ- B μαρτίας κατείχοντο) διὰ τοῦτο πρῶτον ἐλθὼν ἐκ προοιμίων τὰ ἀκροθίνια τῶν παρημαρτηκότων ἐκάλεσεν, ἵνα μηδεὶς μετὰ ταῦτα ἀπογινώσκῃ τῆς ἑαυτοῦ σωτηρίας. ἀσεβὴς εἶ; ἐννόησον τοὺς μάγους. ἅρπαξ εἶ; ἐννόησον τὸν τελώνην. ἀκάθαρτος εἶ; ἐννόησον τὴν πόρνην. ἀνδροφόνος εἶ; ἐννόησον τὸν λῃστήν. παράνομος εἶ; ἐννόησον τὸν βλάσφημον Παῦλον, καὶ μετὰ ταῦτα ἀπόστολον· πρότερον διώκτην, καὶ μετὰ ταῦτα εὐαγγελιστήν· πρότερον μοιχόν, καὶ μετὰ ταῦτα νυμφαγωγόν· πρότερον ζιζάνιον, C καὶ μετὰ ταῦτα σῖτον· πρότερον λύκον, καὶ μετὰ ταῦτα ποιμένα· πρότερον μόλυβδον, καὶ μετὰ ταῦτα χρυσόν· πρότερον πειρατὴν καὶ καταποντιστήν, καὶ μετὰ ταῦτα κυβερνήτην· πρότερον πορθοῦντα τὴν ἐκκλησίαν, καὶ μετὰ ταῦτα πιστευόμενον τὴν ἐκκλησίαν· πρότερον ἐκκόπτοντα τὰς ἀμπέλους, καὶ μετὰ ταῦτα φυτουργὸν γενόμενον· πρότερον καθαιροῦντα τὸν ναόν, καὶ μετὰ ταῦτα οἰκοδόμον γενόμενον. εἶδες ὑπερβάλλουσαν κακίαν; εἶδες ἀκμάζουσαν ἀρετήν; εἶδες ἀπόνοιαν δούλου; εἶδες φιλανθρω- D πίαν δεσπότου; μή μοι λέγε, βλάσφημός εἰμι· μή μοι λέγε, διώκτης εἰμί, ἀκάθαρτός εἰμι. ἔχεις πάντων τὰ ὑποδείγματα. Εἰς δὲ θέλεις λιμένα κατάφυγε. θέλεις ἐν τῇ καινῇ; θέλεις ἐν τῇ παλαιᾷ; ἐν τῇ καινῇ ὁ Παῦλος, ἐν τῇ παλαιᾷ ὁ Δαβίδ. μή μοι λέγε προφάσεις, μή μοι ὄκνον. ἥμαρτες; μετανόησον. μυριάκις ἥμαρτες; μυριάκις μετανόησον. ταῦτα συνεχῶς ἐπαλείφω τὰ φάρμακα, καὶ τὴν φλεγμονὴν καταστέλλω. οἶδα γὰρ ὅση τοῦ συνειδότος ἡ ἀτιμία τῶν ἡμαρτηκότων· οἶδα ὅση ἡ ἀπόγνωσις. ἐφέστηκεν ὁ διάβολος ξίφος ἀκονῶν, καὶ λέγων ταῦτα τὰ ῥήματα· ὅλην τὴν νεότητά σου κατῄσχυνας,

τὸν βίον σου ὅλον ἀπώλεσας. πρότερον ἦς πόρνος, μετὰ ταῦτα ἥρπασας, ἐπλεονέκτησας, ἐπιώρκησας, ἐβλασφήμησας. ποία σοι ἐλπὶς σωτηρίας; ἀπώλου· λοιπὸν ἀπόλαυε καὶ τοῦ παρόντος βίου. Ταῦτα τοῦ διαβόλου τὰ ῥήματα, ἀλλὰ τὰ ἐμὰ ἐναντία. ἀπώλου; ἀλλὰ δύνασαι σωθῆναι. ἐπόρνευσας; ἀλλὰ δύνασαι σωφρονῆσαι. ἐμοίχευσας; ἀλλὰ δύνασαι σωτηρίας τυχεῖν. ἔπεσας; ἀλλὰ δύνασαι ἀναστῆναι. μικρὰ ἡ μετάνοιά σου, ἀλλὰ μεγάλη ἡ τοῦ δεσπότου φιλανθρωπία. ἐφόνευσας; ἀλλὰ μετανόησον. ἐπλεονέκτησας; ἀλλὰ μετάγνωθι. ἐμοίχευσας; ἀλλὰ ἀπόστηθι. ἐτραυματίσθης; ἀλλὰ θεραπεύθητι. ἕως ὅτε ἐμπνέεις, ἐν ἐσχάτῃ ἡμέρᾳ, ἐπ᾽ αὐτῆς τῆς κλίνης, ἐὰν ἦς κείμενος ψυχορραγῶν, μέλλων ἐξιέναι τοῦ θεάτρου τούτου καὶ τοῦ βίου, τότε μετανόησον. τοῦ καιροῦ ἡ στενοχωρία οὐ κωλύει τὴν τοῦ Θεοῦ φιλανθρωπίαν. μή μοι λέγε, πῶς, καὶ ποίῳ τρόπῳ; ἑλκῶν γέμω καὶ τραυμάτων ἐμπέπλησμαι· ἐν ἐσχάτῃ ἡμέρᾳ δύναμαι ἐξομολογήσασθαι; δύνασαι, καὶ σφόδρα δύνασαι. εὖξαι, ἐλεημοσύνην ἔργασαι, ἐν διαθήκῃ καταλίμπανε πτωχοῖς. σὺ ἐκεῖ ἀπέρχῃ, καὶ τὸ ἔργον σου μένει. καὶ μή μοι τῶν αἱρετικῶν τὴν γνώμην εἴσαγε· μή μοι λέγε, πῶς σώζομαι; ὅταν ἐργάζηται Θεός, εὐθύνας μὴ ἀπαίτει· ἐπειδὰν ἐκεῖνος θεραπεύῃ, μὴ ἀπογίνωσκε. ἕστηκεν ἰατρὸς τέμνων καὶ μυρία ἐπάγων φάρμακα, καὶ οὐ λέγεις, πῶς θεραπεύεις, ἀλλὰ παραχωρεῖς τῇ τέχνῃ. τοῦ συνδούλου τῇ τέχνῃ παραχωρεῖς, καὶ οὐ περιεργάζῃ· καὶ τῇ τοῦ Θεοῦ φιλανθρωπίᾳ οὐ παραχωρεῖς; μὴ λέγε, πῶς; ἀλλὰ θαύμαζε, ἀλλ᾽ ἐκπλήττου, ἀλλὰ δόξαζε. ἐπεὶ ἐρωτῶ σε κἀγώ, πῶς ὁ λῃστὴς ἐσώθη; πάντα τὸν βίον αὐτοῦ ἐν φόνοις, ἐν σφαγαῖς, ἐν αἵμασιν ἐτέλεσε, τοίχους διώρυξεν, οὐσίας διήρπασεν, οὐ μετέγνω, οὐ μετενόησεν ἐν τῇ γῇ ὤν. παρὰ ἀνθρώποις κατεδικάσθη, καὶ παρὰ Θεοῦ ἐστεφανώθη. ζωῆς οὐκ ἦν κύριος, καὶ βασιλείας ἐγένετο κύριος. τὰ ἐνταῦθα ἀπώλεσε, καὶ τὰ ἐκεῖ ἔλαβε. πῶς ἔλαβεν, εἰπέ μοι; ἑνὶ ῥήματι. τί γὰρ εἶπε; μνήσθητί μου κύριε ἐν τῇ βασιλείᾳ σου.

A totum vitę tuæ tempus perdidisti. Priùs scortator eras, postea rapuisti ac suum alteri detraxisti, periurio & blasphemia te obstrinxisti. quænam tibi salutis spes esse queat? Actum est de te. Nihil aliud superest, quàm vt præsentis saltem vitæ voluptatibus fruaris. Hæc diaboli verba sunt. At mea contraria. Periisti? at salutem consequi potes. Stupris ac libidini operã dedisti? at pudicitiæ studere potes. Adulteriũ admisisti? at hac labe liberari potes. Cecidisti? at resurgere potes. Exigua pœnitentia tua est? at magna Domini benignitas. Cædem perpe- B trasti, at te pœniteat. suũ alteri ademisti? at meliorem mentem indue. Adulterio te deuinxisti? at ab eo te remoue. Sauciatus es? at medicinam admitte. Quandiu spiras, etiam in extremo die, etiam in lecto, si illic iaceas, etiamsi animam agas, ac iamiam ex hoc theatro, atque ex hac vita excessurus sis, tamen pœnitentiam age. Temporis quidem angustia premeris: at Dei benignitas multa est. Ne mihi dicas, qui istud, & quónam pacto? Vlceribus scateo, vulneribus plenus sum: an extremo vitæ die pœnitentiam agere possum? Tu verò potes, C & quidem vehementer potes. Ora: piis largitionibus egentium inopiam subleua: in testamento tuo ipsis aliquid relinque. Tu illuc abscedis: & opus tuum manet. Nec verò hæreticorum sentẽtiam mihi in medium adferas. Ne dicas: Quomodo salutem adipiscar? Cùm Deus operatur, rationes ne exposcas: cùm ille curat, ne spem abijcias. Stat medicus secans, ac sexcenta pharmaca adhibens: nec ais: quo pacto me curas? verùm arti te submittis. Cõserui tui arti te submittis, nec curiosum te præbes: & Dei benignitati minimè te submittis? Ne dicas: Quomodo? sed ad- D mirare atque obstupesce, ipsiúsque gloriam celebra. Alioqui enim ex te quæro, quónam modo latro ille salutem consecutus sit, qui omnem vitæ cursum in cædibus ac cruoris profusione confecerat, parietes effoderat, bona diripuerat. Non pœnitentia ductus est, non se ad meliorem mentem reuocauit, cùm in terra versaretur. Apud homines condemnatus est: & à Deo corona redimitus. Vitæ suæ arbitrium non habebat: & regni compos factus est. Res huius vitæ perdiderat: & res illius vitæ accepit. Quónam modo quæso? Vnico verbo. Quid enim dixit? Memento mei Domine, cùm veneris in regnum tuum.

Ratio non quærenda cum Deus operatur.

Luc. 23.42

Et hoc verbū valuit? Imò verbum non valuit solum, sed Dei misericordia cum pœnitentia coniuncta latronem paradisi ciuem effecit. quónam modo? Nescio quonam modo. Ne modum à me exquiras. Salutem tantū quæro. Sanitatis autē modum curiosius haudquaquam exquiro. Medicum oras, infirmitate me libera, nec audes dicere, Quomodo: Deus est, qui te saluum facit, & audes dicere, Quomodo? Quot adulteri, quot molles, quot pædicones, quot affectatæ tyrannidis conuicti in vinculis tenentur? Innumeræ accusationes, acerbi hostes, ingens potētia. Et tamen solo Regis nutu liberantur. Quid? Rex, conseruus meus (quamuis enim purpuram gerat, nihil tamen, quātum ad substantiam attinet, meliore, quàm ego, conditione est) rex, inquam, solùm annuit, & illi soluuntur, statimq; vt breue diploma cōscriptum est, reus liberatur. (Non præfectus repugnat, non carceris custos obsistit, non legum authoritas aduersatur: verùm regis amplitudo eū, qui vinctus tenetur, in libertatem asserit:) & Deus, qui Angelorum & Archangelorum dominus est, solo nutu salutem adferre non poterit? Et quidem rex, cùm eum missum facit, supplicio eum soluit, non autem peccato: at dominus meus peccata remittit. Dicit: nolo adulterum esse adulterum: & statim ipsius sermo in opus prodit. Dicit: Fornicator non iam sit fornicator: & statim ipsius sermo mores eius immutat, ac peccatum retundit. Atque vt hoc ita esse intelligas, dixit: Cœlum fieri volo: & cœlum factum est. Terram fieri volo: & substantia illa ex nihilo in ortum producta est. Angelos fieri volo: & Angelorum agmen confestim extitit. Quid? Substantias intelligentia præditas, & corpora quæ priùs non erant, ipsius sermo efficit: & peccata soluere non potest? Quid enim est peccatum, si cum Domini benignitate conferatur? Arcaneæ tela. Ventus flat, & araneæ tela disrumpitur: Deus vult, & peccatum non dissoluetur? Nec verò hæc eò dico, vt segniores vos reddam, verùm vt ad spei fiduciam adducam, atque, quominus vnquam desperetis, impediam. De eo demum difficile, ô homo, qui sibi ipsi diffidit. Hunc beatum Prophetam cogita, post Spiritus gratiam,

Peccatum respectu diuinæ misericordiæ, araneæ tela est.

καὶ τὸ ῥῆμα ἴσχυσεν; οὐ τὸ ῥῆμα ἴσχυσε μόνον, ἀλλὰ καὶ ἡ τοῦ Θεοῦ φιλανθρωπία κεραθεῖσα τῇ μετανοίᾳ τὸν λῃστὴν ἐποίησε παραδείσου πολίτην. πῶς; οὐκ οἶδα πῶς. μή με ἀπαίτει τὸν τρόπον. ὑγιᾶναι ζητῶ μόνον, οὐ περιεργάζομαι τὸν τρόπον τῆς ὑγείας. ἀπάλλαξόν με, παρακαλεῖς τὸν ἰατρὸν, τῆς ἀρρωστίας, καὶ οὐ τολμᾷς εἰπεῖν, πῶς· Θεός ἐστιν ὁ σώζων σε, καὶ τολμᾷς εἰπεῖν, πῶς; πόσοι μοιχοὶ, μαλακοὶ, ἀρσενοκοῖται, πόσοι ἐπὶ τυραννίδι ἁλισκόμενοι δεσμωτήριον οἰκοῦσι; μυρίαι κατηγορίαι, πικροὶ οἱ ἐχθροὶ, δυναστεία μεγάλη. νεύει ὁ βασιλεὺς μόνον, καὶ ἀφίενται. βασιλεὺς, ὁ σύνδουλός μου (τί γὰρ εἰ πορφυρίδα περιβέβληται; οὐδὲν πλέον ἔχει τῆς οὐσίας μου, τὸ αὐτό μοι φύλον ἐστί) νεύει, καὶ ἀφίενται· καὶ μικρὰ γραμματεῖα, καὶ ἀπολύεται ὁ καταδίκος. οὐκ ἄρχων ἀντιλέγει, οὐ δεσμοφύλαξ ἀντιπίπτει, οὐ νόμων αὐθεντία ἀντίκειται· ἀλλὰ τὸ ἀξίωμα τοῦ βασιλέως γίνεται ἀπαλλαγὴ τοῦ κατεχομένου. καὶ ὁ Θεὸς, ὁ τῶν ἀγγέλων καὶ ἀρχαγγέλων δεσπότης, ἐὰν νεύσῃ μόνον, σῶσαι οὐ δύναται; καὶ βασιλεὺς μὲν ἂν ἀφῇ, κολάσεως ἀφίησιν, οὐχ ἁμαρτίας· ὁ δὲ δεσπότης μου ἁμαρτίας ἀφίησι. λέγει, οὐ θέλω τὸν μοιχὸν εἶναι μοιχὸν, καὶ ὁ λόγος αὐτοῦ ἔργον ἐγένετο. λέγει, ὁ πόρνος μὴ ἔστω πόρνος, καὶ ὁ λόγος αὐτοῦ μετέβαλεν ἐκείνου τὸν τρόπον, καὶ ἤμβλωσε τὴν ἁμαρτίαν. καὶ ἵνα μάθῃς τοῦτο ἀκριβῶς, ἄκουε. εἶπε, θέλω γενέσθαι οὐρανὸν, καὶ ἐγένετο οὐρανός· θέλω γενέσθαι γῆν, καὶ ἐγένετο γῆ, καὶ μὴ οὖσα ἡ οὐσία ἐκείνη ὑπέστη· θέλω γενέσθαι ἀγγέλους, καὶ ὁ δῆμος τῶν ἀγγέλων ἐγένετο. οὐσίας νοερὰς καὶ σώματα μὴ ὑφεστηκότα ἐργάζεται ὁ λόγος αὐτοῦ, καὶ ἁμαρτήματα λῦσαι οὐ δύναται; τί γάρ ἐστιν ἁμαρτία πρὸς τὴν τοῦ δεσπότου φιλανθρωπίαν; ἀράχνη. ἄνεμος φυσᾷ, καὶ διασπᾶται ἀράχνη· Θεὸς βούλεται, καὶ οὐ παραλύεται ἁμαρτία; ταῦτα λέγω, οὐχ ἵνα ῥαθυμοτέρους ἐργάσωμαι, ἀλλ' ἵνα ὑμᾶς εἰς πίστιν ἀγάγω προσδοκίας μείζονος καὶ χρηστοτέρας ἐλπίδος. μηδέποτε ἀπογίνωσκε, ὦ ἄνθρωπε· ἐκείνου ἀπόγνωθι τοῦ ἀπογινώσκοντος ἑαυτόν. ἐννόησον τοίνυν τὸν μέγαν προφήτην τοῦτον, τὸν Δαβὶδ λέγω, μετὰ τὴν τοῦ πνεύματος χάριν,

μετὰ τὴν πρὸς Θεὸν παῤῥησίαν, μετὰ κατορθωμάτων πλῆθος, μετὰ τρόπαια τοσαῦτα, ἀνακηρύττοντα καὶ λέγοντα· ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου. ἐπὶ τὸ πέλαγος ἐμαυτὸν ἥπλωσα τῆς τοῦ δεσπότου φιλανθρωπίας. καὶ τί θέλεις, εἰπέ μοι; ἤκουσας τοῦ προφήτου λέγοντος· καὶ κύριος ἀφεῖλε τὸ ἁμάρτημά σου. τί πλέον ζητεῖς; οὐ ζητῶ τοῦτο μόνον, τὸ κάλλος μου ζητῶ, τὴν παῤῥησίαν μου ζητῶ. καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου. ὁρᾷς τί ζητεῖ. τί οὖν; οὐκ ἐξήλειπται; τί ἄλλο θέλεις; ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἁμαρτίας μου, καὶ ἀπὸ τῆς ἀνομίας μου καθάρισόν με. τί γάρ; πλείονα ζητῶ, μείζονα λαμπηδόνος καθαρότητα. ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἁμαρτίας μου. τί γὰρ ἐποίησας, ἵνα γένηται; πρόσεχε μετὰ ἀκριβείας τῷ λόγῳ· πρόσεχε, καὶ συντείνον σαυτόν. ὁ ἔλεος τοῦ Θεοῦ ἄφατος, ἀνερμήνευτος, καταληφθῆναι μὴ δυνάμενος, ὑπερβαίνων νοῦν, νικῶν λογισμόν. ἀλλ' εἰ καὶ τοιοῦτός ἐστιν ὁ ἔλεος τοῦ Θεοῦ, ἵνα μὴ οἱ ἄνθρωποι ἄχρηστοι γένωνται ἐλεούμενοι, χρείαν ἔχει καὶ τῶν παρ' ἡμῶν. πρόσχες ὃ λέγω. ὁ Θεὸς ἐλεεῖ, ἀλλ' οὐχ ἁπλῶς ἐλεεῖ, ἀλλὰ λέγει· δὸς καὶ σύ. τί ποτε; οἷόν τι λέγει. μυρία ἔχεις ἁμαρτημάτων φορτία, ἔχεις πλημμελήματα πολλά· θέλω αὐτὰ κουφίσαι. δὸς καὶ σὺ χεῖρα· οὐκ ἐπειδὴ ἐγώ σου χρείαν ἔχω, ἀλλ' ἐπειδὴ βούλομαι καί σέ τι συνεισενέγκασθαι εἰς τὴν σαυτοῦ σωτηρίαν. καὶ πῶς ἐγὼ λέγω. οἷον ὁ ληστὴς ἐσώθη, καὶ τοσαῦτα ἔλυσεν ἁμαρτήματα· ἀλλ' οὐκ ἐλέει μόνῳ, ἀλλὰ καὶ τῇ αὐτοῦ πίστει. τί γάρ φησι; μνήσθητί μου, κύριε, ἐν τῇ βασιλείᾳ σου. τί εἰσήνεγκεν ὁ Θεὸς εἰς τὴν σωτηρίαν τὴν ἐκείνου; λύσιν ἁμαρτημάτων. τί εἰσήνεγκεν ὁ ληστὴς εἰς τὴν σωτηρίαν τὴν ἑαυτοῦ; πίστιν. ποταπήν; μεγάλην, ὑψηλήν, τὸν οὐρανὸν ἁπτομένην. πῶς; ἐγὼ λέγω. Ἰουδαῖοι εἶδον νεκροὺς ἐγειρομένους, λεπροὺς καθαιρομένους, δαίμονας ἐλαυνομένους, θάλατταν χαλινουμένην, γῆν πηγάζουσαν, ἰχθὺν στατῆρα φέροντα, ἀστέρα ἄγοντα μάγους, τὴν ἄνω, τὴν κάτω κτίσιν δορυφοροῦσαν, καὶ μετὰ ταῦτα πάντα ἐσταύρωσαν αὐτὸν τὸν ἑαυτῶν καὶ πάντων δεσπότην. ὁ ληστὴς οὐδὲν τούτων εἶδεν, ἀλλ' ἐμπτυόμενον, ὑβριζόμενον, λοιδορούμενον· καὶ οὐκ ἐσκανδαλίσθη, ἀλλὰ βασιλέα ὡμολόγησεν.

post fiduciam ad Deum, post tam multas res ex virtute gestas, post tot palmas & triumphos prædicantem ac dicentem: 3. *Miserere mei Deus secundum magnā misericordiam tuam*. In benignitatis Domini mei pelagus me conieci. Et quid vis? Audisti Prophetam dicentem: Etiam Dominus abstulit peccatū tuum. Quid amplius quæris? Non hoc tantùm quæro, inquit: pulchritudinē meam posco, fiduciam meam requiro. *Et secundum multitudinem miserationum tuarū, dele iniquitatem meam*. Vidésne quid quærat? An non deleta est? 4. *Amplius laua me ab iniquitate mea, & à peccato meo munda me*. Plura, inquit, quæro: maiorem splendoris claritatem. Amplius laua me ab iniquitate mea. Quid enim fecisti? & cur id contingat? Animum quæso diligenter ad ea, quæ dicam, aduerte, atque animi neruos contende. Dei quidem misericordia tanta est, vt nulla oratione explicari, nulla cogitatione comprehendi possit, mentémque omnem excedat, ac rationem superet: verùm etiāsi ea talis sit, partes tamē etiam nostras desiderat, ne misericordiam consequuti, fiant inutiles. Attende quid dicam: Deus misericordiam impertit: at non id simpliciter, verùm ait: Da tu quoque aliquid. Verbi gratia: Infinitis peccatorū sarcinis premeris, delicta multa habes, ea leuare volo, manū tu quoq. porrige: non quòd ego te opus habeam, sed quia te etiam ad tuam salutem aliquid erogare volo. Et quónam pacto, dicam. latro ille salutē est consecutus, ac tot peccata dissoluit. Nimirū nō per misericordiā solā, sed etiā per suā fidē. quid enim ait? Memento mei, inquit, dum veneris in regnum tuū. Quidnam Deus ad ipsius salutem contulit? Peccatorū solutionem. Quid latro? Fidem. Qualem? magnam, sublimē, ac cœlum ipsum attingentem. Quonam modo? Ego exponam. Iudæi mortuos ad vitam reuocari, leprosos purgari, dæmones è corporibus pelli, maris furorem tanquam iniecto fræno reprimi, terram scaturire, piscem staterem afferre, stellam Magos ducere, cœlestes & terrenas creaturas velut satellitum officio fungi viderunt: & tamen eum in crucem sustulerunt. Latro nihil horum vidit, quin potius eum conspui, contumeliis affici, maledictis configi: nec tamen offendiculum subiit, verùm cœlorum regem confessus est.

Vidésne quemadmodũ misericordiam non simpliciter sit consecutus, verùm ipse etiam aliquid erogarit? Opus enim est vt is, qui misericordiam cõsequitur, ad salutem suã ipse quoque aliquid momenti adferat. Rursum publicanus ille, qui raptor & auarus erat, quónam modo salutem accepit? Transibat Christus, atque ad ipsum: Veni, sequere me: & surgens secutus est eum. Vt igitur latro verbum contulit, sic etiam publicanus hoc ipsi præbuit, vt eum sequeretur. Quemadmodũ enim in ægrotis ac periculosissimo morbo correptis, ingentisq; pretij pharmacis opus habentibus, si ingrediatur medicus, atque ęgrum admoneat, permultis ipsi medicamentorum generibus ad conficiẽdum pharmacum opus esse, ísque præbere se posse neget, quòd inopia laboret, dicátque medicus, Hoc & illud mihi da, & ego reliqua omnia de meo subministrabo: eodẽ modo Deus quoque facit. Confessionem, inquit, & lachrymas, & pœnitentiam mihi præbe: & ego alia pro mea benignitate tibi largiar. Hoc ergo etiã Dauid rogat, vt Deus videlicet peccata sua abluat, cùm ait: Miserere mei: &, Amplius laua me ab iniquitate mea, & à peccato meo munda me. Quasi diceret: Iam quidem per Nathan Prophetam remissionem mihi dedisti, atque omnis generis calamitates, tanquam vstiones quasdã mihi adhibuisti: verùm ablutionibus adhuc opus habeo, vt qui ingentem fœtorem ex peccato contraxerim. Quamobrem, ô here, rursum me ablue, vt omnes peccati sordes abradas. Quid igitur fecit Dauid? quid vicissim præbuit? homicidium quidem fecit, & adulterium: lachrymas autem præbuit & confessionem, & ait: *Quoniam iniquitatem meam ego cognosco*. Contractus quidam ac vicissitudo est. Dat Deus: dat itẽ ille cui salus affertur. Deus misericordiã dedit: confessionem vicissim is dedit, qui salutem accepit. Quid tribuis Dauid, vt salutem accipias, atque vt pharmacũ misceam? *Quoniam iniquitatem meã ego cognosco*. Hoccine tribuis? Estne quisquam qui peccatum suum minimè cognoscat? Est sanè. Quotnã enim sunt, qui peccant, & fidentem animum gerunt? Quotnam sunt, qui rapiunt, & se rapere ignorant? Quotnam sunt, qui suũ alteri detrahunt, nec id sentiunt? Quotnam sunt, qui viduas spoliant, atque alienas formas curiosius intuentur? Quotnam

Matth. 9. 9

A ὁρᾷς ὅτι οὐχ ἁπλῶς ἠλεήθη, ἀλλὰ καὶ αὐτὸς εἰσήνεγκε; δεῖ γὰρ τὸν ἐλεούμενον καὶ αὐτόν τι εἰσφέρειν εἰς τὴν οἰκείαν σωτηρίαν. πάλιν ὁ τελώνης ἅρπαξ ὤν, πλεονέκτης ὤν, πῶς ἐσώθη; παρῄει ὁ Χριστὸς, καὶ λέγει αὐτῷ· δεῦρο, ἀκολούθει μοι. καὶ ἀναστὰς ἠκολούθησεν αὐτῷ. ὥσπερ οὖν ὁ λῃστὴς τὸ ῥῆμα εἰσήνεγκεν, οὕτω καὶ ὁ τελώνης τὴν ἀκολούθησιν αὐτῷ παρέσχεν. ὥσπερ γὰρ ἐπὶ τῶν καμνόντων καὶ νοσήμασιν ἀνιάτοις κατεχομένων, καὶ πολυτελῶν δεομένων φαρμάκων, ἐὰν εἰσέλθῃ ὁ ἰατρὸς, καὶ εἴπῃ B πρὸς τὸν ἄῤῥωστον· πολλῶν χρεία ἐστὶν εἰδῶν πρὸς κατασκευὴν τοῦ φαρμάκου· λέγει ὁ νοσῶν, οὐκ ἔχω δοῦναι τοσοῦτον, πενίᾳ κατέχομαι· λέγει πρὸς αὐτὸν ὁ ἰατρὸς, τὸ καὶ τὸ δός μοι εἶδος, καὶ τὰ ἄλλα πάντα παρ' ἐμαυτοῦ παρέχω· οὕτω ποιεῖ καὶ ὁ Θεός. ἐξομολόγησίν μοι δὸς καὶ δάκρυα καὶ μετάνοιαν, καὶ τὰ ἄλλα ἀπὸ τῆς ἐμῆς φιλανθρωπίας δωροῦμαί σοι. τοῦτο παρακαλεῖ καὶ Δαβὶδ, τοῦ ἀποπλῦναι ταῦτα. τί οὖν ἐποίησεν ὁ Δαβίδ; τί παρέσχεν ὁ Δαβίδ; ἐλέησόν με, καὶ ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου, καὶ ἀπὸ τῆς ἁμαρ- C τίας μου καθάρισόν με. ἤδη γάρ, φησι, διὰ Νάθαν τοῦ προφήτου τὴν ἄφεσιν δέδωκας, καὶ συμφορὰς δὲ παντοδαπὰς, οἷον τινὰς καυτῆρας καὶ τομὰς, προσηνέγκας μοι· ἀλλ' ἔτι δέομαι ῥυμμάτων, πολλὴν τῆς ἁμαρτίας εἰσδεξάμενος τὴν δυσοσμίαν. καὶ αὖθίς με τοίνυν ἀπόνιψον, δέσποτα, ἵνα πάντα τῆς ἁμαρτίας ἀποξύσῃς τὸν ῥύπον. τί οὖν ἐποίησεν ὁ Δαβίδ, τί δὲ παρέσχεν; ἐποίησε μὲν οὖν φόνον, καὶ μοι- D χείαν· παρέσχε δὲ δάκρυα καὶ ἐξομολόγησιν, καὶ λέγει· ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω. συνάλλαγμά ἐστι. δίδωσιν ὁ Θεὸς, δίδωσιν ὁ σωζόμενος. ἔδωκεν ὁ Θεὸς ἔλεος, ἔδωκεν ὁ σωζόμενος ἐξομολόγησιν. τί δίδως, ὦ Δαβίδ, ἵνα σωθῇς; ἵνα κεράσω τὸ φάρμακον; ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω. τοῦτο δίδως; καὶ ἔστιν ἄνθρωπος ὁ μὴ γινώσκων τὴν ἁμαρτίαν αὐτοῦ; ναί. πόσοι εἰσὶν ἁμαρτάνοντες, καὶ παῤῥησιαζόμενοι; πόσοι ἁρπάζουσι, καὶ οὐδὲ οἴδασιν ὅτι ἁρπάζουσι; πόσοι πλεονεκτοῦσι, καὶ οὐδὲ αἰσθάνονται; πόσοι γυμνοῦσι χήρας, καὶ

ἀδικίας ἐξεργάζονται; πόσοι θλίβουσιν ὀρφανούς, καὶ οὐδὲ πενθοῦσιν, οὐδὲ δακρύουσιν, οὐδὲ ἐξομολογοῦνται; πῶς οὖν δύνανται σωθῆναι, μηδὲ εἰδότες ὅτι ἁμαρτάνουσιν; εἶδες τὸν προφήτην βοῶντα καὶ λέγοντα, ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω; οὐδὲ γὰρ μετὰ τὴν ἀπὸ σοῦ γενομένην ἄφεσιν λήθην ἐδέξαμην τῆς ἁμαρτίας, ἀλλὰ διηνεκῶς ὁρῶ τῶν ἐμῶν κακῶν τὰς εἰκόνας καὶ τὰς τολμηθείσας παρανομίας, καὶ νύκτωρ ὀνειροπολῶ, καὶ μεθ' ἡμέραν φαντάζομαι. ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διαπαντός. ὢ εὐγένεια ψυχῆς. οὐ παρέδωκε τῇ λήθῃ τὴν μνήμην τῆς ἁμαρτίας, ἀλλὰ καὶ συγχωρηθεῖσαν αὐτὴν ἔγραψε. καθάπερ ἐν εἰκόνι, τῷ συνειδότι καθ' ἑκάστην ἡμέραν ἔβλεπε τὴν μοιχευθεῖσαν, καθ' ἑκάστην ἡμέραν ἔβλεπε τὴν σηπεδόνα. καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διαπαντός. ἐγὼ αὐτὴν βλέπω, σὺ αὐτὴν μὴ ἴδῃς· ἐγὼ γράφω, σὺ αὐτὴν ἐξάλειψον. βλέπε γὰρ τί γίνεται. ἐὰν σὺ αὐτῆς μνημονεύσῃς, ὁ Θεὸς αὐτῆς οὐ μνημονεύσει· ἐὰν σὺ αὐτῆς ἐπιλάθῃ, ὁ Θεὸς αὐτῆς μνημονεύσει. ἐγὼ γάρ εἰμι, αὐτός φησι διὰ τοῦ προφήτου, ὁ ἐξαλείφων τὰς ἁμαρτίας σου, καὶ οὐ μὴ μνησθῶ ἔτι· σὺ δὲ μνήσθητι. διὰ τί ἐγὼ μνησθῶ; ἵνα εὐγνώμων ᾖς, ἵνα ἐπίστασαι τί σοι συνεχώρησα. ἐὰν γὰρ ἀεὶ μεμνημένος ᾖς τοῦ ὄγκου τῆς ἁμαρτίας, ἀεὶ καὶ τοῦ μεγέθους τῆς εὐεργεσίας μεμνημένος ἔσῃ. συνεχώρησά σοι, φησιν, ἀλλὰ μὴ ἐπιλάθῃ τῆς χάριτος, καὶ οὐ μὴ μνησθῶ τῆς ἁμαρτίας· σὺ δὲ μνήσθητι. τοιοῦτοι ἦσαν οἱ ἅγιοι· τῶν κατορθωμάτων ἐπελανθάνοντο, καὶ τῶν ἁμαρτημάτων ἐμέμνηντο. οὐχ ὡς οἱ νῦν ἄνθρωποι τῶν ἁμαρτημάτων ἐπιλανθάνονται. ἐὰν δέ τι πράξωσι χρηστόν, εἰς μέσον φέρουσιν αὐτό. ἐποίησας ἀγαθόν; λάθε, ἵνα ὁ δεσπότης σου αὐτὸ εἴπῃ. ἐποίησας κακόν; μνήσθητι, ἵνα ὁ δεσπότης σου αὐτὸ ἐπιλάθηται. παραχώρησον τῷ δεσπότῃ σου. μὴ γὰρ οὕτω λέγεις σὺ τὰ κατορθώματα, ὡς λέγει αὐτὰ ὁ δεσπότης σου; σὺ ἐὰν εἴπῃς, ἐλαττοῖς αὐτά· ὁ δεσπότης σου ἐὰν εἴπῃ, αὔξει αὐτά. πῶς; ἐγὼ λέγω. δίδως πτωχῷ. καὶ ἐὰν εἴπῃς ἐκεῖ ἐρωτώμενος, πῶς λέγεις; εἶδον πτωχὸν πεινῶντα,

A sunt, qui pupillos opprimunt, nec propterea plorant lachrymásque emittunt, nec pœnitentia ducutur? Quónam igitur pacto salutem assequi possunt, cùm ne id quidem sciant quòd peccent? Vidisti Prophetam dicentem: Quoniam iniquitatem meam ego cognosco; Nec enim post acceptam à te veniã, inquit, peccatum meum obliuione contriui: verùm, malorum meorum, ac flagitij perpetrati simulachrum sine vlla intermissione contemplor. Atque & noctu & interdiu eius species mẽtis meæ oculis sese objicit. 5. *Quoniam iniquitatem* B *meam ego cognosco, & peccatum meum contra me est semper.* O generosam animã! Adeò peccatum obliuioni minimè mandauit, vt etiam ipsum, tametsi condonatum, literis prodiderit. Siquidem in cõscientia, non secus atque in pictura, mulierem eam, quam adulterio subdiderat, singulis diebus saniem suam cernebat. *Et peccatum meum contra me est semper.* Ego illud video: tu illud ne videas. Ego literis mando: tu illud oblitera. Vide ẽnim quid fiat. Si tu illud memoria teneas, Deus è memoria abijcit. Si te illius obliuio capiat, Deus illius meminit. C Ego enim sum, ait ipse per Prophetam, qui deleo iniquitates tuas, & earũ non recordabor. Tu verò fac eas memineris. *Esa. 43. 25.* quánam autem de causa me peccatorum memorem esse vis? vt tu scilicet gratum animum præbeas, atque quidnam tibi condonarim, agnoscas. Nam si peccati timorem semper in memoria habeas, semper etiam beneficij magnitudinẽ in memoria habiturus es. Condonaui tibi: sed tu ne obliuiscaris, & ego contra ipsius memoriam deponam. Hunc nimirum animum sancti gestaD bant. Virtutum enim suarum obliti, peccata sola memoria retinebant: non vt huius tempestatis homines, qui peccatorum suorum memoriam exuunt; at contrà, si quid boni egerint, in medium illud proponunt, ac se insolenter iactant. Fecisti aliquid boni? Illud preme atque occulta, vt dominus tuus euulget. Mali aliquid perpetrasti? fac illius recorderis, vt dominus tuus illud obliuione deleat. Cede domino tuo. Num enim sic virtutes tuas referre potes, vt dominus tuus eas referet? Tu si exponas, eas imminuis. Si autem eam dominus tuus narret, eas auget atque amplificat. quî tandem istud? Ego dicam. Egentibus tribuis. Hoc si enuncias illic interrogatus, quónam pacto loqueris? Pauperem fame affectum vidi, & eum alui,

Ipse autem quomodo loquitur? Non ita hæc refert, verùm ad hunc modum: Fame laborãtem me vidistis, & aluistis. Sine igitur eum hæc dicere, qui magnificè atque copiosè loqui potest. Sine eũ hæc dicere, qui ea mirũ in modum amplificat. Peccata autem tua ipse commemora, vt ea deleas. At pudet te peccata confiteri? Dic ea quotidie in oratione. Num enim dico vt ea conseruo exponas, qui te probris imperat? Dic Deo, qui iis medetur. Neque enim, si non dixeris, ignorat ea Deus. Neque enim ex te ea scire vult. Nam cùm ea perpetrares, aderat: cùm ea admitteres, astabat, sciebat. Perpetrabas ea, nec pudore cõmouebaris. Ob ea quæ tibi probrum ac dedecus afferebant, non erubescebas: & nunc ob verba ea, quibus iustitia tibi comparatur, erubescis? Hîc narra, vt non illic narres. Dic, & lachrymas funde. Peccata tua in libro scripta sunt: spongiæ autem instar sunt lachrymæ tuæ. Lachrymas mitte: & obliterantur. Lachrymas mitte: & purus illic liber inuenitur. Magna peccatorum spongia sunt lachrymæ. Magna lachrymarum vis est. Vis dicam quantum lachrymæ valeant? Animum quæso diligenter attende. Quodnam ingens virtutis munus tibi esse videtur? Martyriũ dices? Maiorem enim hac charitatem nemo habet, quàm vt ponat quis animam suam pro amicis suis. Reuera maximum virtutis munus martyrium est: quandoquidem martyres sanguinem profundunt. Apertum enim est quod martyres agunt, martyres sanguinem fundũt, peccatores lachrymas fundunt. Atque vt, quanta lachrymarũ vis sit, intelligas, meretrix illa sanguinémne fudit? An nõ lachrymarum duntaxat fontes effudit, atque hac ratione peccata deleuit? Et quid meretricem atque impuram fœminã commemoro? Columna illa Ecclesiæ, illa fidei basis, illud Apostolici chori caput, Petrus, an nõ semel, & iterum, & tertiò Dominũ abiurauit? An verò propterea cruorem effudit, ac non potiùs lachrymarum fontes? Lachrymas fudit, ac plorauit: & peccatum suum abstersit. An non codicem domi habes, in quo quotidianas rationes scribas? Habe item codicem in conscientia & quotidiana peccata scribe. Verbi gratia: Cùm in lecto tuo iaces,

Matth. 25. 32.

Lachrymæ spongia sunt.

Ioan. 15. 13.

καὶ ἔθρεψα αὐτόν. αὐτὸς πῶς λέγει; οὐ λέγει αὐτὰ οὕτως· ἀλλὰ πῶς; πεινῶντά με εἴδετε καὶ ἐθρέψατε. ἄφες ἐκεῖνον τῷ δυναμένῳ εἰπεῖν μεγάλως· ἄφες εἰπεῖν αὐτὰ τῷ λέγοντι καὶ ἐξογκοῦντι. τὰ δὲ ἁμαρτήματά σου σὺ λέγε, ἵνα ἐξαλείψῃς αὐτά. ἀλλ' αἰσχύνῃ εἰπεῖν, διότι ἥμαρτες. λέγε αὐτὰ καθ' ἡμέραν ἐν τῇ εὐχῇ σου. καὶ τί; μὴ γὰρ λέγω, εἰπὲ τῷ συνδούλῳ τῷ ὀνειδίζοντί σε; εἰπὲ τῷ Θεῷ τῷ θεραπεύοντι αὐτά. οὐ γάρ, ἐὰν μὴ εἴπῃς, ἀγνοεῖ αὐτὰ ὁ Θεός. μὴ γὰρ παρὰ σοῦ βούλεται αὐτὰ μαθεῖν; ὅτε ἔπραττες αὐτά, παρῆν· ὅτε εἰργάζου αὐτά, παρίστατο, ἠπίστατο. εἰργάζου, καὶ οὐκ ᾐσχύνου; τὰ πράγματα τὰ καταισχύνοντά σε οὐκ ᾐσχύνθης, καὶ τὰ ῥήματα τὰ δικαιοῦντά σε αἰσχύνῃ; εἰπὲ ὧδε, ἵνα μὴ ἐκεῖ εἴπῃς. εἰπέ, καὶ δάκρυσον. ἐν βιβλίῳ γέγραπται τὰ ἁμαρτήματά σου· σπόγγος ἐστὶ τὰ δάκρυά σου. δάκρυσον, καὶ ἐξαλείφονται· δάκρυσον, καὶ εὑρίσκεται καθαρὸν ἐκεῖ τὸ βιβλίον. μέγας σπόγγος τὰ δάκρυα τῶν ἁμαρτιῶν· μεγάλη ἡ δύναμις τῶν δακρύων. εἴπω σοι, πόσον ἰσχύει τὰ δάκρυα; τί δοκεῖ σοι εἶναι μέγα κατόρθωμα; ἀλλὰ πρόσεχε μετὰ ἀκριβείας, ὃ λέγω. τί δοκεῖ σοι μέγα εἶναι τὸ κατόρθωμα; τὸ μαρτύριον ἐρεῖς· μείζονα γὰρ ταύτης ἀγάπην οὐδεὶς ἔχει, ἢ ἵνα τις τὴν ψυχὴν αὐτοῦ θῇ ὑπὲρ τῶν φίλων αὐτοῦ. μέγιστον κατόρθωμα τοῦ μαρτυρίου, ὅτι αἷμα ἐκχέουσιν οἱ μάρτυρες. φανερὰ γὰρ τὰ πράγματα τῶν μαρτύρων. οἱ μάρτυρες ἐκχέουσιν αἷμα, οἱ ἁμαρτωλοὶ ἐκχέουσι δάκρυα. καὶ ἵνα μάθῃς, ὅσην δύναμιν ἔχει τὰ δάκρυα, ἡ πόρνη μὴ αἷμα ἐξέχεεν; οὐ πηγὴν δακρύων ἐξέχεε, καὶ ἐξήλειψε τὰ ἁμαρτήματα; καὶ τί λέγω πόρνην, ἀκάθαρτον γυναῖκα; ὁ στῦλος τῆς ἐκκλησίας, ἡ κρηπὶς τῆς πίστεως, ἡ κεφαλὴ τοῦ χοροῦ τῶν ἀποστόλων ὁ Πέτρος, οὐκ ἠρνήσατο τὸν Χριστὸν καὶ ἅπαξ καὶ δὶς καὶ τρίς; μὴ αἷμα ἐξέχεεν; οὐ πηγὰς δακρύων ἐξέχεε, καὶ ἔκλαυσε, καὶ ἀπεσμήξατο αὐτοῦ τὸ ἁμάρτημα; καὶ τὴν ἀνομίαν μου ἐγὼ γινώσκω. οὐκ ἔχεις βιβλίον ἐν τῇ οἰκίᾳ, καὶ γράφεις τὸν λόγον τῶν καθημερινῶν; ἔχε βιβλίον ἐν τῷ συνειδότι, καὶ γράφε τὰ ἁμαρτήματα τὰ καθημερινά. οἷον τί λέγω· ὅταν ἀναπέσῃς εἰς τὴν κλίνην σου,

καὶ μηδείς σοι διενοχλῇ, πρὸ τοῦ ἐπελθεῖν τὸν ὕπνον ἄγαγε τὸ βιβλίον ἐν τῷ μέσῳ, καὶ ἀναλόγισαι σου τὰ ἁμαρτήματα, λέγων ἐν ἑαυτῷ· ἆρα μὴ ἥμαρτον σήμερον; μὴ ἐν λόγῳ, ἢ ἐν ἔργῳ; τοῦτο παραινεῖ καὶ ὁ προφήτης· ὀργίζεσθε, καὶ μὴ ἁμαρτάνετε. ἃ λέγετε ἐν ταῖς καρδίαις ὑμῶν, ἐπὶ ταῖς κοίταις ὑμῶν κατανύγητε. ἐν ἡμέρᾳ οὐκ ἄγεις σχολήν· ἀλλὰ καὶ ἀρχόντων φόβος, καὶ ἑταίρων ὁμιλία, καὶ πραγμάτων φροντὶς, καὶ παιδοτροφίας πρόνοια, καὶ γυναικὸς ἐπιμέλεια, καὶ φροντὶς τραπέζης, καὶ μυρία σε περιέλκει πράγματα. ὅταν δὲ ἐπὶ τὴν εὐνὴν ἔλθῃς, ἐπὶ τὸν λιμένα τὸν ἀκύμαντον, καὶ μηδείς σοι διενοχλῇ, εἰπὲ τῇ καρδίᾳ τῇ σῇ καὶ τῇ ψυχῇ· ἀνηλώσαμεν τὴν ἡμέραν σήμερον, ὦ ψυχή. τί ἀγαθὸν εἰργασάμεθα; ἢ τί πονηρὸν ἐπράξαμεν; καὶ μνήσθητι τῆς γεέννης, ἵνα τῷ φόβῳ προσθῇς τῷ ἀγαθῷ, καὶ τὸ πονηρὸν ἀνέλῃς. ἐὰν ᾖς ἐν τῇ κλίνῃ καὶ ἀναμνησθῇς σου τὰ ἁμαρτήματα, δάκρυσον, καὶ δυνήσῃ ἐν τῇ κλίνῃ ἐξαλεῖψαι αὐτά. παρακάλεσον τὸν Θεόν σου, καὶ οὕτω παράπεμψον τὴν ψυχήν σου τῷ ὕπνῳ, μαρτυράμενος τὰ ἁμαρτήματα. ποίησον αὐτῷ λόγον, καὶ ὁ Θεὸς σοὶ ποιήσει σοι λόγον. τί βαρὺ, τί ἐπαχθὲς, ἐπικείμενον ἐν τῇ κλίνῃ τὰ καθημερινὰ ἁμαρτήματα ἀναλογίζεσθαι; καὶ ὅταν ἀναλογίσῃ, κρέμασόν σου τὸν λογισμὸν, ξέσον αὐτὸν, ἄνοιγε αὐτὸν τῷ φόβῳ τῆς γεέννης, ἐπάγαγε αὐτῷ τομὴν οὐκ ἔχουσαν ὀδύνην, δικαστήριον ποίησον σεαυτῷ φοβερὸν, κουφότερον ποίησον τὸν λογισμὸν, ἵνα καὶ τῇ ἑξῆς ἡμέρᾳ ὀκνηρότερος γένῃ περὶ τὸ πράττειν τὰ ἁμαρτήματα. ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω· καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διὰ παντός. σοὶ μόνῳ ἥμαρτον, καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα. τί ἐστιν, ὃ λέγει; βασιλεὺς ἤμην, σὲ ἐφοβούμην μόνον. βασιλεὺς ἤμην, οὐκ ἐφοβούμην τὸν ἠδικημένον. στρατιώτης μου ἦν, κολάσαι με οὐκ ἐδύνατο· ἀλλὰ φροντίζω διὰ σὲ, μὴ σύ με ἀπαιτήσῃς εὐθύνας. σοὶ μόνῳ ἥμαρτον, καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα. πολλῶν, φησι, καὶ μεγάλων παρὰ σοῦ δωρεῶν ἀπολαύσας, τοῖς ἐναντίοις ἠμειψάμην τὰ δῶρα, τὰ ἀπειρημένα τῷ νόμῳ δρᾶσαι τολμήσας. οὐ γὰρ τοῦτό φησιν, ὅτι τὸν ΟΥρίαν οὐκ ἠδίκησα (ἠδίκησα

A nec quisquā est qui tibi negotiū facessat, antequam somnus irrepat, libellum in medium produc, & peccata tua tecum reputa, dicens apud teipsum: Nunquid hodierno die, vel sermone, vel opere peccaui. Hoc etiam vt faciamus monet Propheta, cùm ait: irascimini & nolite peccare: quæ dicitis in cordibus vestris, in cubilibus vestris compungimini. Diurno tempore id faciendi spacium non habes, verùm & præfectorum metus, & sodalium colloquia, & negotiorum cura, & alendæ prolis B studium, & vxoris procuratio, & parandæ mensæ sollicitudo, ac denique infinitæ res animum tuū distrahunt. Cùm autem in lectum, hoc est, ad tranquillum portum te conieciſti, nec vllus est, qui tibi molestiam exhibeat; dic cordi tuo, atque animæ tuæ: Exegimus hodiernam diem, ô anima: quid boni fecimus, aut quid mali admisimus? ac gehennæ recordare, vt metu affectus bonum augeas, malum autem de medio tollas. Si in lecto sis, atque in peccatorum tuorum memoriam venias, collachryma: atque hac ratione ea in lecto C delere potes. Deum tuum roga atque obsecra: sicque corpus somno trade, posteaquam priùs peccata tua confessus fueris, ac rationes à teipso exegeris. Sic enim requiem à Deo obtinebis. Molestúmne ac graue est in lecto iacentem quotidiana peccata supputare? Cùm autem ea supputas, animum tuum suspende, ipsum lancina, ipsum gehennæ metu aperi, ipsi sectionem, quæ dolore careat, adhibe. Horrendum tribunal tibi effice, animum leuiorem redde: vt postero die ad perpetranda peccata cunctantiùs accedas.

D *Quoniam iniquitatem meam ego cognosco: & peccatum meum contra me est semper. 6. Tibi soli peccaui, & malum coram te feci.* Quid est quod ait? Rex eram, inquit, ac propterea te vnum metuebam. Rex eram, ac propterea eum quem iniuria affeceram, non formidabam. Miles meus erat, nec de me supplicium sumere porat. At verò tua causa in cura sum, ne à me pœnas expetas. *Tibi soli peccaui, & malum coram te feci.* Multa, inquit, & ampla beneficia à te accepi: contrariis autem rebus vicem tibi rependi. Nam ea, quæ lege tua interdicta sunt, patrare minimè dubitaui. Nec verò hoc dicit, quòd Vriam non læserit (nam

Examinanda conscientia ante somnum.

Psal. 4.

Optimum consilium.

eum & eius vxorem læserat) at maxima iniquitas aduersus ipsummet Deum, à quo electus, ac rex effectus fuerat, rectè autem adiunxit, Malum coram te feci: huius enim historia meminit: Apparuit enim, inquit, quod commissum fuerat, malum coram Domino. Si autem ad captiuum populum hoc referatur, ad hunc modum hæc verba intelligenda sunt, Tibi soli peccaui: Tuis beneficiis, inquit, ingratum me præbui, legésque à te positas & constitutas violaui: multísque bonis à te acceptis, animum horum immemorem gessi, atque à Babyloniis, quibus à me nulla iniuria orta fuerat, magnis iniuriis affectus sum. *Vt iustificeris in sermonibus tuis, & vincas cum iudicaris.* Mihi ipsi, inquit, mala accersiui: tuáque iustitia sic quoq. elucet. Nam si res in iudicium veniat, eáque beneficia, quæ mihi abs te acciderunt, in medium proferantur, ac cum illis ea, quæ perpetraui, ex aduerso expendantur, tu quidem iustus ac benignus esse pronuntiaberis: me autem iniquum & ingratum esse constabit. Itaque hæc particula, vt, causam hoc loco non indicat. Neque enim propterea, aut ipse Dauid, aut populus peccauit, vt Deus iustificetur, verùm contrà, peccato ab ipsis admisso, Dei iustitia demonstratur. Nam & eius, & illorum curam omnem ac sollicitudinem gessit. *Vt iustificeris in sermonibus tuis, & vincas cùm iudicaris.* Quid est quod ait? Peccaui in te, inquit. Si iudicium instituatur, vincis: sin autem quispiam Iudicis partes obeat, rursum superas. quónam pacto? Quoniam videbat Deum cum hominibus iudicio contendere semper cupientem, audite conualles, inquit, fundamenta terræ, quia iudicium est Deo aduersus populum suum. Et rursum: Popule meus quid feci tibi, aut quid molestus fui tibi, responde mihi. Et alio loco: Audi cœlum, & auribus percipe terra, quia Dominus locutus est. Filios genui & exaltaui: ipsi autē spreuerunt me: ac denique Deum passim cum hominibus disceptantem videbat, idcirco ad eum ait: Victoria penes te est. *Vt iustificeris in sermonibus tuis, & vincas cùm iudicaris.* Nam me, cùm agricola essem, regem fecisti: Regem autem effectum, Prophetam constituisti: Ac Goliath

2. Reg. 11.

Mich. 6. 2.

Esa. 1. 2.

μετὰ γὰρ κἀκεῖνον καὶ τὴν ἐκείνου γυναῖκα.) ἡ δὲ μεγίστη παρανομία εἰς αὐτὸν τετόλμηται τὸν Θεὸν, τὸν ἐκλεξάμενον καὶ βασιλέα πεποιηκότα. καλῶς δὲ προσέθηκε, τὸ, πονηρὸν ἐνώπιόν σου ἐποίησα. τούτου γὰρ καὶ ἡ ἱστορία μέμνηται· ὤφθη γάρ, φησι, τὸ γεγονὸς πονηρὸν ἐνώπιον τοῦ κυρίου. εἰ δὲ μετά σοι τοῦ δορυαλώτου λαοῦ τοῦτο γενόμενον οὕτω νοητέον. σοὶ μόνῳ ἥμαρτον· περὶ τὰς σάς, φησι, δωρεὰς ἐγενόμην ἀχάριστος, καὶ τοὺς τεθέντας σοι παραβέβηκα νόμους, καὶ πολλῶν ἀγαθῶν ἀπολαύσας ἀγνώμων περὶ ταῦτα γεγένημαι· τοὺς δὲ Βαβυλωνίους οὐδὲν ἀδικήσας, μεγάλα παρ' ἐκείνων ἠδίκημαι. ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου, καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε. ἑαυτῷ, φησι, προξενὸς ἐγενόμην κακῶν· τὸ δὲ σὸν δίκαιον διαλάμπει καὶ οὕτω. κρίσεως γὰρ γενομένης, καὶ τῶν εἰς ἐμὲ παρὰ σοῦ γενομένων φερομένων εἰς μέσον, καὶ τῶν παρ' ἐμοῦ τετολμημένων παρεξεταζομένων ἐκείνοις, σὺ μὲν ἀποφανθήσῃ δίκαιος καὶ φιλάνθρωπος· ἐγὼ δὲ παράνομος ὀφθήσομαι καὶ ἀχάριστος. τὸ τοίνυν, ὅπως, οὐκ ἔστιν ἐνταῦθα αἰτίας δηλωτικόν. οὐ γὰρ διὰ τοῦτο ἥμαρτεν ἢ αὐτὸς ὁ Δαβίδ, ἢ ὁ λαός, ἵνα ὁ Θεὸς δικαιωθῇ· ἀλλὰ τοὐναντίον καὶ τῆς ἁμαρτίας ὑπὸ τούτων γενομένης τοῦ Θεοῦ τὸ δίκαιον ἀναδείκνυται. πᾶσαν γὰρ καὶ τούτου, κἀκείνων πεποίηται πρόνοιαν. ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου, καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε. τί ἐστιν, ὃ λέγει; ἥμαρτόν σοι· ἐὰν γένηται δικαστήριον, νικᾷς· ἐὰν δέ τις δικάζῃ, νικᾷς. πῶς; ἐπειδὴ ἑώρα τὸν Θεὸν ἀεὶ βουλόμενον κρίνεσθαι μετὰ ἀνθρώπων. ἀκούσατε φάραγγες, θεμέλια τῆς γῆς· ὅτι κρίσις τῷ Θεῷ πρὸς τὸν λαὸν αὐτοῦ. καὶ πάλιν, λαός μου, τί ἐποίησά σοι; ἢ τί παρηνώχλησά σοι; ἢ τί ἐλύπησά σε; ἀποκρίθητί μοι. καὶ ἀλλαχοῦ· ἄκουε οὐρανὲ καὶ ἐνωτίζου γῆ, ὅτι κύριος ἐλάλησεν. υἱοὺς ἐγέννησα καὶ ὕψωσα· αὐτοὶ δέ με ἠθέτησαν. καὶ πολλαχοῦ ἑώρα τὸν Θεὸν δικαζόμενον μετ' ἀνθρώπων. λέγει αὐτῷ, παρὰ σοὶ τὰ νικητήρια· ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου, καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε. ἄνθρωπόν με ὄντα γεωργόν, βασιλέα ἐποίησας· βασιλέα γενόμενον, προφήτην κατέστησας. τὸν Γολιὰθ

κατέβαλον οὐ φύσει σώματος, ἀλλὰ δυνάμει πίστεως. πορφυρίδα περιεβαλόμην· ἄλλον ἐξέβαλες, καὶ ἐμὲ εἰσήγαγες. πλοῦτόν μοι ἔδωκας τοσοῦτον· ὅπως δικαιωθῇς ἐν τοῖς λόγοις σου, καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε. ἐὰν εἴπῃς σὺ τὰ ἁμαρτήματά μου, καὶ μὴ ἐγὼ εἴπω, καταδικάζομαι. διὰ τοῦτο ἐλέους χρείαν ἔχω. ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου. ἄνωθέν, φησι, καὶ ἐξ ἀρχῆς τῆς φύσεως ἡ ἁμαρτία κεκράτηκε. προέλαβε γὰρ τῆς Εὔας τὴν σύλληψιν τῆς ἐντολῆς ἡ παράβασις. μετὰ γὰρ τὴν παράβασιν καὶ τὴν τοῦ παραδείσου στέρησιν ἔγνω Ἀδὰμ Εὔαν τὴν γυναῖκα αὐτοῦ, καὶ συλλαβοῦσα τέτοκε τὸν Κάϊν. τοῦτο τοίνυν εἰπεῖν βούλεται· ὅτι τῶν ἡμετέρων προγόνων κρατήσασα ἡ ἁμαρτία ὁδόν τινα καὶ τρίβον διὰ τοῦ γένους εἰργάσατο. διδασκόμεθα δὲ διὰ τούτων ἁπάντων, οὐχ ὅτι φυσικὴ τῆς ἁμαρτίας ἡ ἐνέργεια (οὐ γὰρ ἂν ἦμεν ἐλεύθεροι τιμωρίας) ἀλλ' ὅτι ῥέπει ἡ φύσις ἐπὶ τὸ πταίειν ὑπὸ τῶν παθημάτων ἐνοχλουμένη· νικᾷ δὲ ὅμως ἡ γνώμη πόνοις συνεργοῖς κεχρημένη. οὐ τοίνυν, ὥς τινες ἀνοήτως ὑπέλαβον, τοῦ γάμου κατηγορεῖ, οὕτω νενοηκότες τό, ἐν ἀνομίαις συνελήφθην· ἀλλὰ τὴν ἄνωθεν ὑπὸ τῶν προγόνων τολμηθεῖσαν παρανομίαν εἰς μέσον προφέρει, κἀκείνην λέγει γεγενῆσθαι τῶν ῥευμάτων τούτων πηγήν. εἰ γὰρ ἐκεῖνοι, φησι, μὴ ἥμαρτον, οὐκ ἂν ἐδέξαντο τοῦ θανάτου τὸ ἐπιτίμιον· θνητοὶ δὲ μὴ ὄντες, κρείττους ἂν ἦσαν φθορᾶς· τῇ δὲ ἀφθαρσίᾳ πάντως ἂν καὶ ἀπάθεια συνῆν· ἀπαθείας δὲ πολιτευομένης, χώραν οὐκ ἂν εἶχεν ἡ ἁμαρτία. ἐπειδὴ δὲ ἐξήμαρτον, φθορᾷ παρεδόθησαν· φθαρτοὶ γενόμενοι, τοιούτους καὶ γεγεννήκασι παῖδας· τοῖς δὲ τοιούτοις ἐπιθυμίαι καὶ φόβοι καὶ ἡδοναὶ συμπαρέπονται. πρὸς ταῦτα ὁ λογισμὸς ἀγωνίζεται, καὶ νενικηκὼς μὲν ἀνακηρύττεται, ἡττηθεὶς δὲ αἰσχύνας ὀφλισκάνει. ὁ δὲ Σύμμαχος, ἀντὶ τοῦ ἐκίσσησεν, ἐκύησε τέθεικεν. ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας. οὕτω δέ, φησι, κρίνεις, καὶ τοὺς μὲν κολάζεις, τοὺς δὲ στεφανοῖς, ἐπειδὴ τὴν ἀλήθειαν στέργεις. τὴν δὲ ἀλήθειαν στέργων, καὶ τῆς φύσεως εἰδὼς τὴν ἀσθένειαν, μεταδὸς συγγνώ-

A illum, non corporis robore, sed vi fidei prostraui. Purpuram gessi. Alterum eiecisti, ac me introduxisti. Amplissimas mihi diuitias dedisti. *vt iustificeris in sermonibus tuis, & vincas cùm iudicaris.* Si tu, inquit, peccata mea exponas, nō autem ipse exponam, condemnor. Propterea misericordia opus habeo. 6. *Ecce enim in iniquitatibus conceptus sum: & in peccatis concepit me mater mea.* Antiquitus, inquit, atque ab initio naturæ peccatum inualuit. Siquidē diuini mandati transgressio, Euæ conceptionem anteceßit. Nam Adamus posteaquam à diuino mandato receßit, ac paradiso priuatus est, tum denique vxorem suam Euam B cognouit: & concepit illa, & peperit Cain. Hoc igitur dicere vult: Peccatum, quod generis nostri principes atque auctores superauit, viam quandam ac semitam per generis successionem sibi fecit. Per hæc autem omnia illud edocemur, peccati operationem minimè naturalem esse (nam alioqui à pœna immunes essemus) verùm naturam ab animi perturbationibus & calamitatibus vexatam & infestatā ad lapsum pronam esse, mentem tamen laborum ope atque auxilio victoriam obtinere. Quamobrem non hoc loco coniugium accusat, vt quidam stultè existimarunt, C sic videlicet hæc verba intelligentes, *In iniquitatibus cōceptus sum:* verùm flagitium illud, quod à primis parentibus perpetratum est, in medium profert, illúdque harum profluxionum fontem extitisse ait. Nam nisi illi peccassent, inquit, mortis pœnam minimè subiissent. Nisi autem mortales fuissent, à corruptione alieni fuissent. Incorruptioni porrò perturbationum immunitas coniuncta fuisset: qua quidem vigente, peccato locus nullus extitisset. Posteaquam autem illi peccarunt, corruptioni mancipati sunt. Corruptibiles autem effe-D cti, tales quoque filios progenuerunt. Tales autem progenitos, & cupiditates, & metus, & voluptates comitantur. Aduersus quæ ratio depugnat: ac parta quidem victoria velut præconis voce celebratur: sin autem succumbat, dedecore atque ignominia perfunditur. Symmachus autem pro ἐκίσσησε, ἐκύησε posuit. 7. *Ecce enim veritatem dilexisti.* Ad hunc modum iudicas, atque alios quidem plectis, alios autem corona donas, quandoquidem veritatē amas. Veritatem autem amans, ac naturæ nostræ imbecillitatem perspectam habens, iis qui remedia

Hæc ad verbum ex Theodoreto descripta sunt.

Vtrumque verbū idem valet, quod concepit, vel vtero gestauit.

petunt, veniam tribuis. *Incerta & occulta sapientiæ tuæ manifestasti mihi.* Omissa regni commemoratione, Prophetiæ mentionem fecit. Ita me honore auxisti, inquit, vt filium tuum mihi detexeris, ac noscendum præbueris. Didici quòd filium habeas, quòd throni socium atque consortem habeas. Didici quòd homo futurus sit: Euangelia vniuerso terrarum orbi annunciaui, crucem, sepulturam, resurrectionem, ascensionem. Ipsius descensum dixi, ipsius ascensum dixi, Ecclesiæ vocationem dixi, Gentium salutẽ dixi, Iudæorum deiectionem dixi, Apostolorum electionem dixi. Hic enim horum verborum sensus est, Ecce enim 8. *Incerta & occulta sapientiæ tuæ manifestasti mihi.* Tanto me honore affecisti, inquit, tanto me amore complexus es, vt etiam maximum mysterium, hoc est, filium tuum mihi patefeceris. Et vbinam hæc ipsi indicauit? Audi ex ipso Propheta, quemadmodum illius è cœlo descensum narret. Descendet sicut pluuia in vellus. Quid hoc est? Quoniam cùm Dei filius venit, non ita venit, vt orbem terrarum concuteret, nec fulgura & tonitrua emitteret, nec denique cum nuda diuinitate accessit. Actum enim erat de omnibus rebus, si nuda diuinitate venisset. Ac ne montes quidem ipsi huiusmodi aduentum ferre potuissent, quandoquidem respicit terram & facit eam tremere, tangit montes & fumigant. Si nudam essentiam suam ostendisset, Sol extinctus, Luna obscurata, mare exsiccatum fuisset, terra periisset, natura nostra de medio sublata fuisset. Ob eam causam carnem induit, ac leniter, & sine strepitu, nemine, ne diabolo quidem ipso, nedum alio quodam sciente venit, atque in virgineo vtero habitauit. O res nouas & insuetatas! Lapis colliquescit, & vulua non colliquescit. Montes tabescunt, & virginis vterus Deum gestat! Quonam pacto id explicem? Quonam pacto declarem? ô hæreticorum peruicaciam & amentiam! Dicite quæso, quonam pacto ancilla Deum gestabat. Tu, qui superna inquiris, dic quæ inferiora sunt, quonam pacto is, qui vbique præsens est, in vulua erat, nec concludebatur. Nam & in vulua erat, & in throno sedebat.

Psal 71. 6. — *Psal. 103. 32.* — *Aduentus Christi qualis.*

A μης τοῖς αἰτοῦσι τὰ φάρμακα. Τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι. ἀφεὶς εἰπεῖν τὴν βασιλείαν, λέγει τὴν προφητείαν. οὕτω με ἐτίμησας, τὸν υἱόν σου ἀπεκάλυψάς μοι καὶ γνώριμον ἐποίησας, ἔμαθον ὅτι υἱὸν ἔχεις, ὅτι σύνθρονον ἔχεις, ἔμαθον ὅτι μέλλει γενέσθαι ἄνθρωπος. εὐηγγελισάμην τὰ εὐαγγέλια τῇ οἰκουμένῃ, τὸν σταυρὸν, τὸν τάφον, τὴν ἀνάστασιν, τὴν ἀνάληψιν· εἶπον αὐτοῦ τὴν κατάβασιν, εἶπον αὐτοῦ τὴν ἀνάβασιν, εἶπον αὐτοῦ τὴν ἐκ δεξιῶν καθέδραν, εἶπον τῆς ἐκκλησίας τὴν κλῆσιν, εἶπον B τῶν ἐθνῶν τὴν σωτηρίαν, εἶπον τῶν Ἰουδαίων τὴν ἐκβολὴν, εἶπον τῶν ἀποστόλων τὴν ἐκλογήν. ἰδοὺ γὰρ τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι. οὕτω με ἐτίμησας, οὕτω με ἐφίλησας, ὅτι καὶ τὸ μέγιστον μυστήριον, τὸν υἱόν σου ἀπεκάλυψάς μοι. καὶ ποῦ ταῦτα ἐδήλωσεν; ἄκουσον αὐτοῦ τοῦ προφήτου, πῶς λέγει αὐτοῦ τὴν ἐξ οὐρανοῦ κατάβασιν. καταβήσεται ὡς ὑετὸς ἐπὶ πόκον. τί ἐστι τοῦτο; ἐπειδὴ παραγενόμενος ὁ υἱὸς τοῦ Θεοῦ, οὐκ ἦλθε σείων τὴν οἰκουμένην, οὐδὲ ἀστραπὰς ἀφεὶς, οὐδὲ κεραυνοὺς πέμπων, οὐδὲ γυμνῇ τῇ θεότητι. C πάντα γὰρ ἂν ἀπώλετο, εἰ ἦλθε γυμνῇ τῇ θεότητι. οὐκ ἂν τὰ ὄρη ἤνεγκαν· ἐπειδὴ ἐπιβλέπει ἐπὶ τὴν γῆν, καὶ ποιεῖ αὐτὴν τρέμειν, ἅπτεται τῶν ὀρέων, καὶ καπνίζονται. εἰ γυμνὴν τὴν οὐσίαν ἔδειξεν, ὁ ἥλιος ἂν ἐσβέσθη, ἡ σελήνη ἂν ἠφανίσθη, θάλαττα ἂν ἐξηράνθη, γῆ ἂν ἀπώλετο, ἡ φύσις ἡμῶν παρελύθη. διὰ τοῦτο σάρκα περιεβάλετο, ἠρέμα καὶ ἀψοφητὶ ἐρχόμενος, οὐδενὸς ἐπισταμένου, οὐδὲ αὐτοῦ τοῦ διαβόλου· ἀλλ' ἦλθεν ἠρέμα, καὶ ᾤκησεν εἰς D μήτραν παρθενικήν. ὢ καινῶν καὶ παραδόξων πραγμάτων. λίθος τήκεται, καὶ μήτρα οὐ τήκεται· τὰ ὄρη διαφθείρεται, καὶ ἡ μήτρα Θεὸν βαστάζει. πῶς ἑρμηνεύσω; πῶς παραστήσω; ὢ ἀπόνοια τῶν αἱρετικῶν. πῶς ἡ δούλη τὸν δεσπότην ἐβάσταστεν; ὁ ἐξετάζων τὰ ἄνω, εἰπὲ τὰ κάτω. ὁ πανταχοῦ παρὼν πῶς ἐν τῇ μήτρᾳ ἦν, καὶ οὐ συνεκλείετο; καὶ γὰρ καὶ ἐν τῇ μήτρᾳ ἦν, καὶ ἐν τῷ θρόνῳ ἐκαθέζετο. τὸ δὲ πῶς, οὐκ οἶδα· πίστει δέχομαι, οὐ περιεργάζομαι λογισμῷ.

Quonam autem modo istud, haud noui, fide accipio: animo atque cogitatione haud

μοῦ, ἀλλ' ὅτι ἀψοφητὶ μέλλει παραγίνεσθαι, οὐ παράττων οὐδὲ θορυβῶν, καταβήσεται ὡς ὑετὸς ἐπὶ πόκον. οὐκ εἶπεν ἐπὶ τὴν γῆν, ἀλλ' ἐπὶ πόκον. ἐπὶ γὰρ τῆς γῆς καταβαίνων ὁ ὑετὸς ψόφον ποιεῖ· ἐπὶ δὲ ἔριον καὶ πόκον καταβαίνων ψόφον οὐ ποιεῖ. τὸ γὰρ ἁπαλὸν τοῦ ἐρίου ἐκλύει τὸ ῥαγδαῖον τῆς καταβολῆς τοῦ ὑετοῦ. καὶ ἵνα μάθῃς ὅτι ἀψοφητὶ ἦλθεν, οὐ ταράττων, οὐ θορυβῶν, οὐκ ἀπολλύων, οὐ λυμαινόμενος, καταβήσεται ὡς ὑετὸς ἐπὶ πόκον. εἶπες αὐτοῦ τὴν κατάβασιν τὴν ἀψοφητὶ γενομένην· λέγε αὐτοῦ καὶ τὴν προδοσίαν. ὁ ἐσθίων ἄρτους μου, ἐμεγάλυνεν ἐπ' ἐμὲ πτερνισμόν. λέγε τῶν Ἰουδαίων τὸν φθόνον· ἐμίσησάν με δωρεάν. λέγε αὐτοῦ καὶ τὸ δικαστήριον· ἵνα τί ἐφρύαξαν ἔθνη, καὶ λαοὶ ἐμελέτησαν κενά; παρέστησαν οἱ βασιλεῖς τῆς γῆς, καὶ οἱ ἄρχοντες συνήχθησαν ἐπὶ τὸ αὐτὸ κατὰ τοῦ κυρίου καὶ κατὰ τοῦ Χριστοῦ αὐτοῦ. λέγε αὐτοῦ καὶ τὸν σταυρόν· ὤρυξαν χεῖράς μου καὶ πόδας μου, ἐξηρίθμησαν πάντα τὰ ὀστᾶ μου. λέγε αὐτοῦ καὶ τὴν βρῶσιν, καὶ τὴν πόσιν· ἔδωκαν εἰς τὸ βρῶμά μου χολήν, καὶ εἰς τὴν δίψαν μου ἐπότισάν με ὄξος. λέγε καὶ τὴν ἐκβολὴν τῶν Ἰουδαίων· οὐ δέξομαι ἐκ τοῦ οἴκου σου μόσχους, οὐδὲ ἐκ τῶν ποιμνίων σου χιμάρους. λέγε καὶ τὴν κλῆσιν τῶν ἐθνῶν· πάντα τὰ ἔθνη κροτήσατε χεῖρας, ἀλαλάξατε τῷ Θεῷ ἐν φωνῇ ἀγαλλιάσεως· ὅτι κύριος ὕψιστος, φοβερός, βασιλεὺς μέγας ἐπὶ πᾶσαν τὴν γῆν. λέγε αὐτοῦ καὶ τὰς παρὰ Ἰουδαίων λοιδορίας· ἤλπισεν ἐπὶ κύριον, ῥυσάσθω αὐτόν, σωσάτω αὐτόν, ὅτι θέλει αὐτόν. λέγε αὐτοῦ καὶ τὸν τάφον· ἔθεντό με ἐν λάκκῳ κατωτάτῳ. λέγε αὐτοῦ καὶ τὴν ἀνάστασιν· ὅτι οὐκ ἐγκαταλείψεις τὴν ψυχήν μου εἰς ᾅδην, οὐδὲ δώσεις τὸν ὅσιόν σου ἰδεῖν διαφθοράν. λέγε αὐτοῦ καὶ τὴν ἀνάβασιν· ἀνέβη ὁ Θεὸς ἐν ἀλαλαγμῷ, κύριος ἐν φωνῇ σάλπιγγος. λέγε αὐτοῦ καὶ τὴν καθέδραν· εἶπεν ὁ κύριος τῷ κυρίῳ μου, κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου. λέγε αὐτοῦ καὶ τὴν δόξαν τῆς ἐκκλησίας· παρέστη ἡ βασίλισσα ἐκ δεξιῶν σου ἐν ἱματισμῷ διαχρύσῳ περιβεβλημένη, πεποικιλμένη. λέγε καὶ τὸν χορὸν τῶν παρθένων· ἀπενεχθήσονται παρθένοι ὀπίσω αὐτῆς. λέγε καὶ τῶν ἀποστόλων τὴν ἐκλογήν· ἀντὶ τῶν πατέρων σου ἐγεννήθησάν σοι υἱοί σου.

exquiro. Verùm quòd sine strepitu venturus sit, nullam perturbationem ac tumultum afferens. Descendet sicut pluuia in vellus. Non dixit, in terram, sed in vellus. Etenim pluuia, cum in terram delabitur, sonitum edit: in lanam autem & vellus delabens, strepitum nullum emittit. Quippe lanæ mollities labentis aquæ impetum ac vehementiam frangit. Atque vt intelligas quòd citra strepitum venturus sit, non turbans, non tumultum afferens, non perdens, non labefactans, descendet sicut pluuia in vellus. Dixisti descensum ipsius, qui omni strepitu caruit: dic etiam ipsius proditionem: qui manducabat panes meos, magnificauit super me supplantationem. [Psal. 39.] Dic Iudæorum inuidiam: Odio habuerunt me gratis. [Psal. 68. 5.] Dic ipsius iudicium: quare fremuerunt gentes, & populi meditati sunt inania? [Psal. 2.] Astiterunt reges terræ, & principes conuenerunt in vnum aduersus Dominum & aduersus Christum eius. Dic etiam ipsius crucem: Foderunt manus meas & pedes meos: dinumerauerunt omnia ossa mea. [Psal. 21. 8.] Dic ipsius cibum ac potionem: Dederunt in escam meam fel, & in siti mea potauerunt me aceto. [Psal. 68.] Dic Iudæorum eiectionem. Non accipiam de domo tua vitulos, neque de gregibus tuis hircos. [Psal. 49. 9.] Dic etiā Gentium vocationem. Omnes gentes plaudite manibus, iubilate Deo in voce exultationis. quoniam Dominus excelsus terribilis, Rex magnus super omnem terram. [Psal. 46.] Dic maledicta in ipsum à Iudæis coniecta: Sperauit in Domino, eripiat eum, saluum faciat eum, quoniam vult eum. [Psal. 21.] Dic ipsius sepulturam: Posuerunt me in lacu inferiori. [Psal. 87.] Dic ipsius resurrectionem: Non derelinques animam meam in inferno, nec dabis sanctum tuum videre corruptionem. [Psal. 15.] Dic item ipsius ascensum: Ascendit Deus in iubilo. [Psal. 46. 5.] Dic ipsius sessionem: Dixit Dominus Domino meo: sede à dextris meis, donec ponam inimicos tuos scabellum pedum tuorum. [Psal. 109.] Dic etiam Ecclesiæ ipsius gloriam: Astitit regina à dextris tuis in vestitu deaurato, circundata varietate. [Psal. 44. 11] Dic virginum chorum: Afferētur virgines post eam. Dic Apostolorum electionem: Pro patribus tuis nati sunt filij tui.

Dic Baptismum: Super aquam refectionis educauit me. Dic etiam mysteria: Parasti in conspectu meo mensam aduersus eos qui tribulant me. Dic etiam vnctionem: Impinguasti in oleo caput meum, & calix tuus inebrians me quàm præclarus est. Dic etiam Gentium petitionem: Postula à me, & dabo tibi gentes hæreditatem tuam, & possessionem tuam terminos terræ. Ecce enim sensus horum verborum, *Incerta & occulta sapientiæ tuæ manifestasti mihi*. Ego quidem, inquit, qui post tot beneficia ingrati animi vitio laboraui, nulla venia dignum me esse censeo. Neque enim me duntaxat in regiis thronis collocasti, verùm etiam ea, quæ diuturno post tēpore futura erant, mihi priùs indicasti: &, quæ aliis obscura erant, mihi conspicua fecisti, ita vt aliis etiam vnigeniti filij tui incarnationem ac salutiferam passionem & resurrectionem tradiderim. Hæc omnia à sancto tuo Spiritu priùs edoctus, supplex à te peto, vt illius gratiæ, quam aliis vaticinor, particeps efficiar. Ac proinde clamo. 8. *Asperges me Domine hyssopo, & mundabor: lauabis me, & super niuem dealbabor.* Solum enim Baptismi donum hanc purgationem efficere potest. Idcirco ait: Gratia ea, quæ omnibus mortalibus donabitur, opus habeo. Nam ea sola sordes meas perfectè abstergere, ac niuis candorem mihi conciliare potest. Quòd autem hyssopus nullam peccatorum remissionem afferret, ex Mosaicis scriptis facilè perspici potest. Quare alias res hòc loco hyssopus designat. Israëlitæ enim in Ægypto ædium postes hyssopo cruore tincto aspergentes, exterminatoris manus effugerunt. Typum autem illa, eorum, quæ saluator pertulit, gerebant. Nam hîc quoque sanguis est, & lignum salutare: ac salus iis, qui cum fide accedunt, subministratur. 9. *Auditui meo dabis gaudium & lætitiam: & exultabunt ossa humiliata.* Hac, inquit, voluptate aures meas imple, perfectam purgationem promittens, vt huiusmodi hilaritas ad omnes corporis partes dimanet, & ossa ea, quæ nunc ærumna & afflictione depressa sunt, rursum floreant, ac vim suam recuperent.

Psal. 22.

Psal. 2.

λέγει τὸ βάπτισμα· ἐπὶ ὕδατος ἀναπαύσεως ἐξέθρεψέ με. λέγει καὶ τὰ μυστήρια· ἡτοίμασας ἐνώπιόν μου τράπεζαν ἐξ ἐναντίας τῶν θλιβόντων με. λέγει καὶ τὸ χρίσμα· ἐλίπανας ἐν ἐλαίῳ τὴν κεφαλήν μου, καὶ τὸ ποτήριόν σου μεθύσκον με ὡσεὶ κράτιστον. λέγει καὶ τὴν αἴτησιν τῶν ἐθνῶν· αἴτησαι παρ' ἐμοῦ, καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου, καὶ τὴν κατάσχεσίν σου τὰ πέρατα τῆς γῆς. ἰδοὺ γὰρ τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι. ἐγὼ μέν τοι συγγνώμης οὐδεμιᾶς ἐμαυτὸν ἄξιον νομίζω, μετὰ τοσαύτας δωρεὰς γεγενημένος ἀχάριστος. οὐ γὰρ μόνον τοῖς βασιλικοῖς ἐνίδρυσας θρόνοις, ἀλλὰ καὶ τὰ μετὰ μακρὸν ἐσόμενα προδεδήλωκας χρόνον, καὶ τὰ τοῖς ἄλλοις ἄδηλα, ἐμοὶ δῆλα πεποίηκας· ὡς καὶ τοῖς ἄλλοις διδάξαι τὴν τοῦ μονογενοῦς σου υἱοῦ ἐνανθρώπησιν καὶ τὸ σωτήριον πάθος καὶ τὴν ἀνάστασιν. ταῦτα πάντα παρὰ τοῦ ἁγίου σου προδιδαχθεὶς πνεύματος, ἱκετεύω μεταλαχεῖν ἐκείνης τῆς χάριτος, ἣν προφητεύω τοῖς ἄλλοις. διὸ βοῶ, ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι· πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι. μόνη γὰρ ἡ τοῦ βαπτίσματος δωρεὰ ταύτην ἐργάσασθαι τὴν κάθαρσιν δύναται. διό φησιν, ὅτι τῆς δοθησομένης ἅπασιν ἀνθρώποις προσδέομαι χάριτος. ἐκείνη γὰρ ἀκριβῶς ἀπορρύψαι με δύναται μόνη, καὶ τῆς χιόνος μοι τὴν λευκότητα δοῦναι. ὅτι δὲ ὁ ὕσσωπος οὐδεμίαν ἄφεσιν ἁμαρτημάτων εἰργάζετο, ῥᾴδιον ἐκ τῶν Μωσαϊκῶν συγγραμμάτων καταμαθεῖν. ἑτέρων τοίνυν ἐστὶ πραγμάτων ὁ ὕσσωπος αἴνιγμα. ὑσσώπῳ γὰρ ἐν Αἰγύπτῳ τῷ αἵματι τοῦ προβάτου τὰς φλιὰς ἐπιρραίνοντες, τοῦ ὀλοθρεύοντος τὰς χεῖρας διέφυγον. τύπος δὲ ἐκεῖνα τῶν σωτηρίων παθημάτων. αἷμα γὰρ κἀνταῦθα, καὶ ξύλον σωτήριον, καὶ σωτηρία τοῖς μετὰ πίστεως προσιοῦσι χορηγουμένη. ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην· ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα. ταύτης, φησὶ, τῆς εὐφροσύνης τὰ ὦτα ἔμπλησον, τὴν τελείαν κάθαρσιν ὑπισχνούμενος, ἵνα εἰς ἅπαντα ἡ θυμηδία διαδράμῃ τὰ τοῦ σώματος μόρια, καὶ τὰ νῦν τεταπεινωμένα ὀστᾶ τῇ κακουχίᾳ, ἀνθήσῃ πάλιν καὶ ἀπολάβῃ τὴν οἰκείαν ἰσχύν.

μηδὲ ἴδῃς, φησὶ, τὰς ὑπ' ἐμοῦ πλημμεληθείσας ἀνομίας, ἀλλ' ἐμὲ τὸν ταύτας ὀλοφυρόμενον, καὶ τὴν ἀνομίαν μου ἐξάλειψον. τί θέλεις, ὦ προφῆτα; ἐλύθη σου τὸ ἁμάρτημα, ἠφανίσθη σοι ἡ τιμωρία. οὐκ ἀρκοῦμαι τούτοις· φιλάνθρωπον ἔχω δεσπότην, πλείονα διδόντα ὧν αἰτῶ. καὶ τί θέλεις; προφήτης ἤμην· θέλω προφήτης εἶναι πάλιν. τὴν παῤῥησίαν ἐκείνην ζητῶ, τὴν δωρεὰν τοῦ πνεύματος, τὴν χάριν τὴν μεγάλην. ἀπέστη ἀπ' ἐμοῦ ἡ χάρις, καθάπερ περιστερὰ βόρβορον βλέπουσα· καθάπερ μέλιτταν, βούλομαι αὐτὴν ἐπανελθεῖν. ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου· καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον. εἰπὲ τί θέλεις φανερῶς. καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ, ὁ Θεός. ἐπειδὴ δὲ γήρας ἐδεξάμην τῆς ἁμαρτίας, τῇ σῇ με φιλανθρωπίᾳ καινούργησον. ταῦτα καὶ δι' Ἰεζεκιὴλ τοῦ προφήτου τοῖς ἐν Βαβυλῶνι αἰχμαλώτοις ὑπέσχετο. δώσω γὰρ αὐτοῖς, φησι, καρδίαν καινὴν καὶ πνεῦμα καινόν. πνεῦμα δὲ οὐ τὸ πανάγιον λέγει, ἀλλὰ τοῦ λογικοῦ τὴν ὁρμήν· τουτέστι, τῇ μακρᾷ ταύτῃ παιδεύσας παιδείᾳ, καὶ διδάξας ὑμᾶς οἵους ἡ ἁμαρτία φύει καρποὺς, τὴν ἀρετὴν αἱρεῖσθαι παρασκευάσω. τοῦτο καὶ ἐνταῦθα ὁ μακάριος ᾔτησε Δαβὶδ, τήν τε βλαβεῖσαν αὐτοῦ νεουργηθῆναι καρδίαν, καὶ τὸ λογικὸν ῥωσθῆναι, ὥστε τὴν εὐθεῖαν τρέχειν ὁδόν. καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου. ὦ εὐγένεια ψυχῆς, ὦ ἔρως περὶ Θεὸν, ἵνα λαλῇς μοι πάλιν, καὶ ἐγώ σοι λαλῶ. τὴν φιλίαν ἐκείνην ζητῶ, τὴν συνουσίαν. τί γὰρ, ὅτι ἀπηλλάγην κολάσεως; ἐμοὶ κόλασις τὸ μὴ διαλέγεσθαί σοι. φιλῶ σε, καὶ μαίνομαι. οὐ δύναμαί σου τὴν οὐσίαν ἰδεῖν (ἀόρατος γάρ ἐστιν) ἀλλ' ἀπὸ τοῦ ἔρωτος τὰ ἔργα σου βλέπω, καὶ σκιρτῶ. οὐκ εἶδόν σε, ἀλλ' εἶδον τὸν οὐρανὸν, καὶ ἐσκίρτησα, καὶ εἶπον, οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ. εἶδον τὴν γῆν, καὶ εἶπον· τοῦ κυρίου ἡ γῆ καὶ τὸ πλήρωμα αὐτῆς. εἶδον τὴν θάλασσαν, καὶ ἐχάρην, καὶ εἶπον· αὕτη ἡ θάλασσα ἡ μεγάλη καὶ εὐρύχωρος. εἶδον τὴν ἡμέραν καὶ τὴν νύκτα, καὶ ἐκέκραξά σοι· σή ἐστιν ἡ ἡμέρα καὶ σή ἐστιν ἡ νύξ. σὺ κατηρτίσω φαῦσιν καὶ ἥλιον. εἶδον τὰ ὄρη, καὶ θαυμάσας εἶπον· ὄρη τὰ ὑψηλὰ ταῖς ἐλάφοις.

A Nec verò in ea flagitia, quæ perpetraui, oculos conijce: sed in me, qui ea luctu ac lamentis prosequor: atque iniquitatem meam dele. Quid tibi vis ô Propheta? Soluta sunt tua peccata, extincta tua pœna est. Non hoc satis esse duco, ait. Benignum dominum habeo, plura, quàm petam, largientem. Et quidnam vis? Propheta eram, inquit, rursum Propheta esse cupio, fiduciam illam requiro, Spiritus donum, ingentem gratiam. Abscessit à me gratia, quemadmodum columba cœnum videns. Instar apiculæ eam redire cupio. B 10. *Auerte faciem tuam à peccatis meis: & omnes iniquitates meas dele.* Dic planè quid vis? *Cor mundum crea in me Deus.* Quandoquidem peccati senium contraxi, benignitate tua me renoua. Hæc nimirum per Ezechielem quoque Prophetam, iis, qui in Babylone captiui tenebantur, promisit. Dabo enim eis, inquit, cor nouum, & spiritum nouum. Quo loco non Spiritum sanctum intelligit, verùm spiritus ratione præditi impetum: id est, Hoc ipso quòd longa disciplina vos erudiui, ac docui quales fructus C peccatum ferat, id à me fiet, vt virtutem amplectamini. Hoc etiam beatus Dauid postulauit, nempe vt & cor ipsius quòd labem ac detrimentum contraxerat, innouetur, atque ea animi pars, in qua ratio inest, roboretur: quò per rectam viam currat. *Et spiritum rectum innoua in visceribus meis.* O animi nobilitatem! O ingentem erga Deum amorem! Vt ad me rursum loquaris, inquit, atque ego vicissim loquar, hanc amicitiam & societatem quæro. Quid enim, quòd supplicio liberatus sim? Mihi supplicium est tecum non loqui. D Insano tui amore flagro. Essentiam quidem tuam videre nequeo, quòd ea sub sensum meum cadere nequeat: at præ amore opera tua conspicio, atque exulto. Non te vidi, at cœlum vidi, & exultaui, ac dixi: Cœli enarrant gloriam tuam. Terram vidi, ac dixi: Domini est terra, & plenitudo eius. Mare vidi, & voluntate affectus sum, ac dixi: Hoc mare magnum & spatiosum. Diem ac noctem vidi, atque ad te exclamaui: Tuus est dies, & tua est nox: Tu perfecisti auroram & solem. Montes vidi, & admiratione perculsus dixi: Montes excelsi ceruis.

Ezech. 11. 19.

Psal. 18. 1.

Psal. 23.

Ps. 103. 25.

Psal. 73. 17

Ps. 103. 18.

Et quemadmodum is qui amat, etsi eum, quem amat, non videat, si tamen eius vestimenta conspiciat, cum sibi videre videtur, atque exultat, ac velut quoddam solatium amoris capit. Eodem modo ipse quoque circa rerum conditarum corpus læto animo, ac velut furore percito obambulo, ac sine vlla intermissione his verbis ad te vtor: Quemadmodum desiderat ceruus ad fontes aquarum: ita desiderat anima mea ad te Deus. Sitiuit anima mea ad Deum fortem viuum, quando veniam & apparebo ante faciem Dei. Atqui rex es, diadema habes. Quid amplius vis? Facessant, inquam, ista: pulchritudinem illam requiro, prophetiam volo. Potentiam hanc contemno, cœnum hoc despicio. Folia sunt hæc, & nox, & insomnium ac fœnum. Pulchritudinem meam quæro, quando veniet? Moram ferre nequeo: quandoquidem fiduciam hanc perdidi, quam peccatum aduentu suo intercepit. 11. *Cor mundum crea in me Deus.* Nec verò cor mundum duntaxat quæro: sed etiam ipsius hospitem *Et Spiritum rectum innoua in visceribus meis.* Pulchrè dixit, *Innoua.* Priùs enim domus extructa fuerat. Hanc peccatum antiquauit: gratia autem tua renouabit. 12. *Ne proyicias me à facie tua: & Spiritum sanctum tuum ne auferas à me.* Perspicuè autem per hæc verba illud intelleximus, quod Spiritus sancti gratia minimè spoliatus sit. Neque enim tanquam spoliatus id supplex rogat, vt eam recipiat: verùm illud obsecrat, vt ne ea orbetur, nec à diuina cura & prouidentia remoueatur. Siquidem per faciem hoc loco curam ac sollicitudinem intellexit. 13. *Redde mihi lætitiam salutaris tui: & spiritu principali confirma me.* Quod non perdidit, hoc est Spiritus gratiam, id vt habeat rogat. Quod autem amisit, vt recipiat, obsecrat. Hoc autem erat, voluptas in Deo. Omni, inquit, lætitiæ genere fruebar, cùm ingentẽ apud te, ô Domine, fiduciam haberem. Nunc autem hac spoliatus, omni quoque animi voluptate atque hilaritate careo. Hac porro fiducia me voluptatis seruitus priuauit. Quamobrem supplex abs te peto, vt mens mea pristinum principatum, atque imperium turbulentas animi perturbationes recipiat. Rursum enim hoc loco per Spiritum

Psal. 41.

A καὶ καθάπερ ὁ φιλῶν, κἂν μὴ ἴδῃ τὸν φιλούμενον, ἱμάτιον δὲ αὐτοῦ ἴδῃ ἢ ὑποδήματα, ἀγάλλεται καὶ σκιρτᾷ, καὶ ὥσπερ τινὰ λαμβάνει παραμυθίαν τοῦ ἔρωτος· οὕτω δὴ καὶ ἐγὼ περιέρχομαι ἐπὶ τὸ σῶμα τῆς κτίσεως, ἀλύων καὶ ἐκμεμηνότος, ἀεί σοι λέγων, ὃν τρόπον ἐπιποθεῖ ἡ ἔλαφος ἐπὶ τὰς πηγὰς τῶν ὑδάτων, οὕτως ἐπιποθεῖ ἡ ψυχή μου πρὸς σὲ, ὁ Θεός. ἐδίψησεν ἡ ψυχή μου πρὸς τὸν Θεὸν, τὸν ἰσχυρὸν, τὸν ζῶντα. πότε ἥξω καὶ ὀφθήσομαι τῷ Θεῷ; βασιλεὺς εἶ, διάδημα ἔχεις·
B τί θέλεις; οἰχέσθω ταῦτα· τὸ κάλλος ἐκεῖνο ζητῶ, τὴν προφητείαν θέλω. καταφρονῶ τῆς ἐξουσίας ταύτης· ὑπερορῶ τοῦ βορβόρου· φύλλα ταῦτα καὶ νὺξ καὶ ὄναρ καὶ χόρτος· τὸ κάλλος μου ζητῶ. πότε ἥξει; οὐ δύναμαι ἐνεγκεῖν τὴν ἀναβολὴν, ἐπειδὴ τὴν παῤῥησίαν ταύτην ἀπώλεσα, ἣν ἡ ἁμαρτία διετείχισεν ἐπελθοῦσα. καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ, καὶ ὁ Θεός. καὶ οὐ ζητῶ καρδίαν καθαρὰν μόνον, ἀλλὰ καὶ τὸν ἔνοικον αὐτῆς. καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου. καλῶς εἶπεν, ἐγκαίνισον. ἄνωθεν γὰρ κατε-
C σκευάσθη ἡ οἰκία· ἐπαλαίωσεν ἡ ἁμαρτία, ἐγκαινίσει ἡ χάρις σου. μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου· καὶ τὸ πνεῦμά σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ' ἐμοῦ. σαφῶς τοίνυν διὰ τούτων μεμαθήκαμεν τῶν λόγων, ὡς οὐκ ἐγυμνώθη τῆς τοῦ πνεύματος χάριτος τοῦ ἁγίου. οὐ γὰρ, ὡς γυμνωθεὶς, ἀπολαβεῖν ἱκετεύει, ἀλλὰ μὴ στερηθῆναι ταύτης ἀντιβολεῖ, μηδὲ πόῤῥω γενέσθαι τῆς θείας κηδεμονίας. πρόσωπον γὰρ ἐνταῦθα τὴν κηδεμονίαν ἐκάλεσεν. ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου, καὶ
D πνεύματι ἡγεμονικῷ στήριξόν με. ὃ μὴ ἀπώλεσεν, ἔχειν ἀντιβολεῖ, τουτέστι τὴν χάριν τοῦ πνεύματος· ὃ δὲ ἀποβέβληκεν, ἀπολαβεῖν ἱκετεύει· τοῦτο δὲ ἦν ἡ ἐν Θεῷ εὐφροσύνη. πάσης, φησὶ, θυμηδίας ἀπήλαυον, ἡνίκα πολλὴν εἶχον πρὸς σὲ, δέσποτα, παῤῥησίαν· νῦν δὲ ταύτης γεγυμνωμένος, καὶ τῆς εὐθυμίας ἐστέρημαι. ἐγύμνωσε δέ με τῆς παῤῥησίας ἡ δουλεία τῆς ἡδονῆς. διὸ ἱκετεύω τὴν προτέραν ἡγεμονίαν ἀπολαβεῖν μου τὸν νοῦν, καὶ τὴν κατὰ τῶν παθῶν ἀπολαβεῖν ἐξουσίαν. πάλιν γὰρ ἐνταῦθα πνεῦμα

ἡγεμονικὸν ἐκάλεσε τὸν αὐτοκράτορα λογισμόν. Σὺ τί μοι δίδως, ὦ Δαβίδ, ἐὰν λάβῃς τὸ πνεῦμα; διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσιν· ἐὰν λάβω τὸ πνεῦμα, διαλέγομαι τῇ οἰκουμένῃ· πάντα τὰ ἔθνη κροτήσατε χεῖρας, ἀλαλάξατε τῷ Θεῷ ἐν φωνῇ ἀγαλλιάσεως· ὅτι κύριος ὕψιστος, φοβερὸς, βασιλεὺς μέγας ἐπὶ πᾶσαν τὴν γῆν. ἐὰν λάβω τὸ πνεῦμα, λέγω· κατακυρίευε ἐν μέσῳ τῶν ἐχθρῶν σου. ἐὰν λάβω τὸ πνεῦμα, λέγω· οὐ δώσει τῷ Θεῷ ἐξίλασμα ἑαυτοῦ, καὶ τὴν τιμὴν τῆς λυτρώσεως τῆς ψυχῆς αὐτοῦ. καὶ πάλιν λέγω· μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν, ὡς ἐν τῷ παραπικρασμῷ. καὶ πάλιν, πᾶσα ἀνομία ἐμφράξει τὸ στόμα αὐτῆς. ἐὰν λάβω τὸ πνεῦμα, λέγω· ἔκκλινον ἀπὸ κακοῦ, καὶ ποίησον ἀγαθόν· ζήτησον εἰρήνην, καὶ δίωξον αὐτήν. διηγήσομαι τὰς εὐεργεσίας σου τὰς εἰς ἐμὲ, καὶ ἐρῶ· δεῦτε, ἀκούσατε, καὶ διηγήσομαι ὑμῖν πάντες οἱ φοβούμενοι τὸν Θεὸν, ὅσα ἐποίησε τῇ ψυχῇ μου. διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι. καὶ τὰ Ἰουδαϊκὰ ποῦ εἰσιν; οὐ θύεις μοι πρόβατα οὐδὲ μόσχους; οὐ ζητεῖς ταῦτα. θυσίαν γὰρ καὶ προσφορὰν οὐκ ἠθέλησας· ὁλοκαυτώματα καὶ περὶ ἁμαρτίας οὐκ ἐζήτησας. σὺ εἶπας, οὐ δέξομαι ἐκ τοῦ οἴκου σου μόσχους, οὐδὲ ἐκ τῶν ποιμνίων σου χιμάρους. θῦσον τῷ Θεῷ θυσίαν αἰνέσεως. οὐ θέλεις ταῦτα, ἀλλὰ ζητεῖς τὰ τοῦ υἱοῦ σου. θέλεις τὴν ἐπιστροφὴν τῆς πλάνης, καὶ τὴν αἵρεσιν τῆς ἀληθείας· ἐκείνην θέλεις τὴν θυσίαν. ῥῦσαί με ἐξ αἱμάτων, ὁ Θεὸς, ὁ Θεὸς τῆς σωτηρίας μου· συνεχῶς ἐπὶ τῇ μνήμῃ περιστρέφει τοῦ Οὐρίου τὸν φόνον. τοῦτο γὰρ κἀν τῷ προοιμίῳ δεδήλωκεν, ὅτι ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διαπαντός. ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου. τοῦτο ὁ Σύμμαχος οὕτως ἡρμήνευσε, διαλαλήσει ἡ γλῶσσά μου τὴν ἐλεημοσύνην σου. οὐ γὰρ σιγήσω τῆς ἀφέσεως ἀπολαύσας, ἀλλ' ὑμνῶν σε διατελέσω, καὶ τὰς σὰς διηγούμενος χάριτας. κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου. ἡ γὰρ ἁμαρτία πέφυκε τὴν γλῶτταν δεσμεῖν, ἐμφράττειν τὸ στόμα. ἀντιβολεῖ τοίνυν ὁ προφήτης διὰ τῆς προτέρας παρρησίας μεταλαχεῖν, καὶ τὴν γλῶτταν εἰς ὑμνῳδίαν κι-

principalem, rationem, quæ principatum tenet, intellexit. Et quid tandem mihi dabis ô Dauid, si Spiritum acci- pias? 14. *Docebo iniquos vias tuas: & impij ad te conuertentur.* Si Spiritum accepero, ad vniuersum terrarum orbem hæc verba habebo. Omnes gentes plaudite manibus, Iubilate Deo in voce exultationis: quoniam Dominus excelsus, terribilis, rex magnus super omnem terram. Si Spiritum accepero, dicã: Dominare in medio inimicorum tuorum. Si Spiritum accepero, dicam: Non dabit Deo placationem suam, & pretium redẽptionis animæ suæ: ac rursum: Nolite obdurare corda vestra sicut in exacerbatione: ac rursum: Omnis iniquitas oppilabit os suum. Si Spiritum accepero, dicam: Declina à malo, & fac bonum: Inquire pacem, & persequere eám. Tua in me beneficia commemorabo, ac dicam: Venite, audite, & narrabo vobis, omnes qui timetis Deum, quanta fecit animæ meæ. *Docebo iniquos vias tuas, & impij ad te conuertentur.* Et vbinam sunt Iudaica? Oues & vitulos mihi non mactas? haudquaquam ista quæris. Sacrificium enim & oblationem noluisti: holocausta & pro peccato non postulasti. Tu dixisti: Non accipiam de domo tua vitulos, nec de gregibus tuis hircos. Immola Deo sacrificium laudis. Hæc non quæris, sed quæ filij tui sunt, quæris, reuocationem ab errore, ac veritatis electionem. Illud demum sacrificium quæris. 15. *Libera me de sanguibus Deus Deus salutis meæ.* Vriæ cædem subinde in memoria versat. Hoc enim etiam initio planum fecit, his verbis vtens: Peccatum meum contra me est semper. *Exultabit lingua mea iustitiam tuam.* Symmachus ad hunc modum hoc extulit: Loquetur lingua mea misericordiam tuam. Neque enim veniam consecutus tacebo: verùm laudes tuas sine intermissione vlla canam, ac beneficia tua commemorabo.

16. *Domine labia mea aperies: & os meum annunciabit laudem tuam.* Peccatum enim suapte natura linguam astringit, atque os obturat. Rogat itaque Propheta, vt per peccati remissionem priorem percipiat, ac linguam ad celebrandas Dei laudes moueat.

Psal.46. *Psal.109.* *Psal.48.* *Psal.94.* *Psal.106.* *Psal.33.* *Psal.65.* *Psal.39.* *Psal.49.*

Peccatum lingua vinculum est.

17. *Quoniam si voluisses sacrificium, dedissem vtique: holocaustis non delectaberis.* Consona sunt hæc iis, quæ superiore psalmo dicta sunt. Audiuimus enim illic Deum dicentem, non accipiam de domo tua vitulos. Quocirca his à diuina voce auditis, meritò dixit: Si voluisses sacrificium, dedissem vtique: & quæ deinceps sequuntur. Tu enim, inquit, brutorum sacrificia grata & accepta esse tibi negasti, eàque de causa gratum tibi sacrificium offeram. Quoniam igitur hæc nolo, quid mihi dabis? Habeo, inquit, aliud sacrificium, quod tibi cordi est. 18. *Sacrificium Deo, spiritus contribulatus: cor contritum & humiliatum Deus non despiciet.* Victima, inquit, tibi Deo nostro grata & iucunda est humilitas. Quocirca pectore meo apprime humiliato, ac velut extenuato, gratum tibi sacrificium offeram. Sacrificij loco animi submissionem tibi immolabo. Quoniam peccatum meum discute, ac mihi Spiritum sanctum largire. Nam quod hoc sacrificium, hoc est, animi summissio, Iudaico longè præstantius sit, non dubium est: idque non hunc duntaxat, sed etiam tum temporis. Etenim tres illi pueri, qui in Babylonica fornace erant, ac flammam in lutum commutarunt, iuuenes, inquam, illi & senes, pauci illi, & multis potentiores, captiui illi & rege fortiores: illi, inquam, qui patriam amiserant, & fidei iacturam non fecerant, nudi illi & vestiti, pauperes illi & locupletes, serui illi & liberis meliores, qui fornacem in rorem conuerterunt, & elementa immutarunt, qui ignis vim & facultatem extinxerunt, qui à tyranno constricti ab igne soluti sunt, supplicibus verbis ad hunc modum vtebantur: Peccauimus, iniustè egimus, iniquitatem fecimus, recedentes à te. Non est dux, nec Propheta, nec princeps, nec holocaustum, nec locus offerendi primitias coram te, vt possimus inuenire misericordiam: sed in animo contrito & spiritu humilitatis suscipiamur. *Sacrificium Deo spiritus contribulatus: cor contritum & humiliatum Deus non despiciet.* 19. *Benignè fac Domine, in bona voluntate tua Sion, vt ædificentur muri Hierusalem.* 20. *Tunc acceptabis sacrificium iustitiæ, oblationem & holocausta: tunc imponent super altare tuum vitulos.*

Psal. 49. 10

Dan. 3. 36.

A νῦσαι. ὅτι εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις. συνᾴδει δὲ ταῦτα τοῖς εἰρημένοις ἐν τῷ πρὸ τούτου ψαλμῷ. ἀκηκόαμεν γὰρ ἐκεῖ τοῦ Θεοῦ λέγοντος· οὐ δέξομαι ἐκ τοῦ οἴκου σου μόσχους. τοιγάρτοι τοῦτο παρὰ τῆς θείας ἀκούσας φωνῆς, εἰκότως ἔφη, ὅτι εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν, καὶ τὰ ἑξῆς. σὺ γὰρ, φησιν, εἴρηκας μὴ θυμήρεις εἶναί σοι τὰς τῶν ἀλόγων θυσίας· οὗ δὴ χάριν καὶ τὴν ἀρέσκουσάν σοι θυσίαν προσοίσω. ἐπεὶ οὖν οὐ θέλω ταῦτα, τί μοι δίδως; ἔχω δὲ ἄλλην θυσίαν, ἣν
B ηὐδόκησας. θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον, καρδίαν συντετριμμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει. ἱερεῖον, φησιν, ἀρεστὸν, καὶ θυμηρές σοι τῷ Θεῷ ἡμῶν, μετριότης φρονήματος. διὸ σφόδρα τὴν καρδίαν μου ταπεινώσας, καὶ οἱονεὶ λίαν αὐτὴν λεπτύνας, τὴν ἀρεστήν σοι θυσίαν προσοίσομαι. θύσω σοι θυσίαν, τὴν ταπεινοφροσύνην· μόνον λῦσόν μου τὸ ἁμάρτημα, δός μοι τὸ πνεῦμα τὸ ἅγιον. ὅτι γὰρ αὕτη ἡ θυσία πολὺ τῆς Ἰουδαϊκῆς οὐ μόνον ἐστὶ νῦν, ἀλλὰ καὶ τότε ἦν βελτίων, λέγω δὲ τὴν ταπεινοφροσύνην. οἱ παῖδες γὰρ ἐκεῖνοι οἱ τρεῖς οἱ ἐν
C τῇ Βαβυλωνίᾳ καμίνῳ τὴν φλόγα πηλὸν ἐργασάμενοι, οἱ νέοι καὶ γεγηρακότες, οἱ ὀλίγοι καὶ τῶν πολλῶν δυνατώτεροι, οἱ αἰχμάλωτοι καὶ τοῦ βασιλέως ἰσχυρότεροι, οἱ ἀπολέσαντες πατρίδα καὶ πίστιν μὴ ἀπολέσαντες, οἱ γυμνοὶ καὶ ἐνδεδυμένοι, οἱ πτωχοὶ καὶ εὔποροι, οἱ δοῦλοι καὶ ἐλευθέρων ἀμείνους, οἱ τὴν κάμινον δρόσον ἐργασάμενοι καὶ μεταβαλόντες τὰ στοιχεῖα, οἱ τοῦ πυρὸς τὴν ἐνέργειαν σβέσαντες, οὓς ἔδησεν ὁ τύραννος καὶ ἔλυσε τὸ πῦρ, ἐλιτάνευον, καὶ
D ἔλεγον· ἡμάρτομεν, ἠνομήσαμεν, ἠδικήσαμεν ἀποστάντες ἀπὸ σοῦ. οὐκ ἔστιν ἄρχων, οὐδὲ προφήτης, οὐδὲ ἡγούμενος, οὐδὲ τόπος τοῦ καρπῶσαι ἐνώπιόν σου καὶ εὑρεῖν ἔλεος· ἀλλ' ἐν ψυχῇ συντετριμμένῃ καὶ πνεύματι ταπεινώσεως προσδεχθείημεν. θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον, καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει. ἀγάθυνον, κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιὼν, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ. τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα, τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

σαφέστερον ἐκ τούτων ἐδιδάχθημεν τῶν ῥημάτων, ὅτι πλήρης ὁ ψαλμὸς προφητείας. τοῖς ἐν Βαβυλῶνι γὰρ ἠναγκασμένοις οἰκεῖν, καὶ ποθοῦσι τὴν τῆς δουλείας ἀπαλλαγὴν, ἁρμόττει ταῦτα τὰ ῥήματα. ἱκετεύουσι γὰρ οἴκτου τινὸς ἀξιωθῆναι τὴν πόλιν, τῶν περιβόλων ἀνορθουμένων, τῆς κατὰ νόμον τελουμένης λατρείας. νῦν μὲν γὰρ, φησι, τὴν ἀλλοτρίαν οἰκοῦντας τὰς ὡρισμένας θυσίας προσφέρειν οὐκ ἔξεστιν, ἐν ἐκείνῃ μόνῃ τῇ πόλει θύειν τοῦ νόμου διαγορεύοντος. εἰ δὲ τῆς ἐπανόδου τύχοιμεν, καὶ τὸν νεὼν ἀνορθώσαιμεν, τηνικαῦτά σοι τὰς ἐννόμους θυσίας προσοίσομεν. ἔχει δὲ καὶ ἑτέραν προφητείαν τοῦ ψαλμοῦ τοῦδε τὸ τέλος. ἐπειδὴ γὰρ τοῦ παναγίου πνεύματος ἄνω τὰ δῶρα τέθεικεν, εἶτα καὶ νῦν ἔδειξε τὸν Θεὸν ταῖς κατὰ νόμον θυσίαις μὴ ἀρεσκόμενον, ἱκετεύει τὴν νέαν ἀναφανῆναι Σιὼν, καὶ τὴν ἐπουράνιον Ἱερουσαλὴμ ἐπὶ γῆς πολισθῆναι, καὶ τάχιστα παραδειχθῆναι τὴν καινὴν πολιτείαν, τὴν οὐκ ἄλογα προσφέρουσαν θύματα, ἀλλὰ τὴν τῆς δικαιοσύνης διαφορὰν τὸ θυσίαν. τοίνυν ἐνταῦθα προσέχετε, παρακαλῶ. καὶ γὰρ πάντας ὑμᾶς διδασκάλους ποιῆσαι βούλομαι, πάντας μονάζοντας, οὐ τῷ μὴ ἔχειν γυναῖκας, ἀλλὰ τῷ εὐλάβειαν ἐνδείκνυσθαι, εὐλαβεῖς, πῦρ πνέοντας. τί οὖν ἐστι τὸ ζητούμενον; τοῦτό ἐστιν· ηὔξατο, ἐξωμολογήσατο, παρεκάλεσεν, ἐδεήθη, ἱκέτευσε, δάκρυα ἐξέχεε, ᾔτησε καρδίαν καθαρὰν, πίστιν ἔδωκε. τὸ ζητούμενον, εἰ ἐπέτυχε. πολλή με ἡδονὴ τοῦ σάλου· οὐχ οὕτω τέρπεται κυβερνήτης ὄπισθεν αὐτοῦ τῶν κυμάτων ἐγειρομένων, καὶ εἰς τὸ πρόσω συνωθούντων τὴν ὁλκάδα, κατὰ πρύμναν ἱσταμένου τοῦ πνεύματος, ὡς ἐγὼ τὴν θάλατταν ταύτην ὁρῶν ἀγάλλομαι καὶ σκιρτῶ. οὐ γὰρ βλέπω κύματα μόνον σαλευόμενα, ἀλλὰ τὸ πλῆθος πλεονάζον καὶ κινούμενον· σαλευομένους καὶ πνιγομένους, καὶ οὐκ ἀναχωροῦντας· βιαζομένους, καὶ οὐκ ἀποπηδῶντας· θλιβομένους, καὶ τὴν διάνοιαν στηρίζοντας. ἡ γὰρ ἐπιθυμία τοῦ λόγου διεγείρει τὴν προθυμίαν. τὸ οὖν ζητούμενον, τοῦτό ἐστιν. ηὔξατο, ἐδεήθη, παρεκάλεσεν, ἱκέτευσεν, ἀπέθετο τὴν κόλασιν, ἀνωρθώθη ἀπὸ τῆς τιμωρίας. τὸ ζητούμενον, εἰ εἰς τὴν προτέραν παρρησίαν ἐπανῆλθεν·

A Apertiùs his verbis didicimus hunc psalmum prophetia plenum esse. Nam iis, qui in Babylone habitare cogebantur, ac seruitute liberari cupiebant, hæc verba conueniunt. Supplices enim illi rogant, vt ciuitas misericordiam aliquam consequatur, hoc est, vt muri instaurentur, ac legalis cultus celebretur. Nunc enim, inquit, nobis alienam regionem incolentibus, ea, quæ lege sancita sunt, sacrificia offerre minimè licet: quippe cùm lege tua cautum sit, ne quis alibi vsquam, quàm in Hierosolymitana vrbe sacra faciat. Quòd si B reditum obtinuerimus, ac templum instaurauerimus, tum denique legalia sacrificia tibi offeremus. quanquam etiam alteram prophetiam extrema huiusce psalmi pars habet. Posteaquam enim Spiritus sancti munera superiùs posuit, ac postea Deum legalibus sacrificiis minimè delectari ostendit, rogat iam, vt noua Sion existat, ac cœlestis Hierusalem in terra condatur, nouáq. vitæ ratio quàm primùm præbeatur, quæ non rationis expertes victimas, sed iustitię sacrificium offerat. Hic igitur quæso C animum attendite: quippe vos omnes doctores, omnes monachos efficere cupio: non in eo, vt vxoribus careatis, sed vt pietatis specimen exhibeatis, ac veluti igneum quendam vultum præferatis. Quidnam est igitur quod quæritur? Hoc nimirum, confessus est, rogauit, obsecrauit, supplicauit, lachrymas profudit, cor mundum postulauit, fidem dedit. Quæstio in hoc sita est, an quod petiit consecutus sit. Magna ex hac iactatione voluptate afficior. Non ita nauclerus delectatur, cum à tergo fluctus excitari videt, ac nauim D vlterius propellere, dum ventus surgit à puppi; vt ego cum istud mare cerno, lætor & exulto. Non enim solùm fluctus agitatos video, sed multitudinem redundantem atque commotam. Video, inquam, vos iactari ac suffocari, nec tamen recedere: video vos vim perpeti, nec tamen resilire: vos opprimi, & tamen animum suffulcire. Siquidem vestra audiendi cupiditas alacritatem mihi excitat. Quæstio igitur in hoc sita est: Orauit, rogauit, obsecrauit, supplicauit, pœnam deposuit, à supplicio erectus est: quæritur iam, an ad pristinam fiduciam & libertatem redierit,

De Iudeis in Babylone captiuis psalmum intelligendum: & hoc ipsis Theodoretus est.

An obtinuerit Dauid quod petijt.

an Spiritus sancti gratiam acceperit, an quod postularit, hoc est, cor mundum ac spiritum rectum consecutus sit: an denique tantam pœnitentia vim habuerit, vt eum ad pristinam nobilitatem reduxerit. Attendite. Hic psalmus quinquagesimus est. qualis? Psalmus, inquam, de peccato, de confessione, de postulatione. Post hunc scripsit sexagesimum, septuagesimum, octuagesimum, nonagesimum, centesimum. Itaque ne quis dicat: Quid tum, si psalmos scripsit? Non enim Spiritus sancti instinctu hos scripsit (neque tantum Spiritum sanctum accepit) verum sequentes psalmos humano duntaxat ingenio atque prudentia conscripsit. Nam Spiritu sancto vacuus erat. Etenim peccatum quidem ipsi remissum est: at Spiritus sanctus non item ei datus est. Quamuis enim eum postularit, nusquam tamen responsum vllum inuenimus, quo cum ipsi datum esse constet. Attende quæso. Scripsit quinquagesimum, sexagesimum, septuagesimum, octuagesimum, nonagesimum, centesimum, Scripsit etiam alium psalmum post centesimum, ac post multos alios psalmos: Dixit Dominus domino meo, sede à dextris meis, donec ponam inimicos tuos scabellum pedum tuorum. Hunc igitur psalmum, qui post admissum scelus dictus est, in Spiritu sancto dictum esse reperimus. Vnde id liquet? Christus indicauit. Posteaquam enim omne miraculorum genus patrauit, omnia effecit (mari enim frænum iniecit, leprosos mundauit, dæmones in fugam vertit, vitium depulit, paralytici artus constrinxit, vox è cœlo descendit. Hic est filius meus dilectus, in quo mihi bene complacui, ipsum audite. Dominus ipsi testimonium dixit, res ipsæ clamarunt, Spiritus in columbæ specie ad eum venit, Ioannes ipsi testificatus est, Ecce agnus Dei, Ecce qui tollit peccata mundi.) tum denique cùm ad crucem ascensurus esset, omnibus ipsis accitis, ad eos inquit: Quid vobis videtur de Christo? Non initio vos interrogaui, non vos initio testes citaui: quoniam diuinitatis meæ argumentum nondum vobis præbueram. Posteaquam autem elementa omnia diuinitatem meam demonstrarunt, posteaquam Pater, posteaquam mea cum ipso concordia, posteaquam doctrina mea omnes vos velut manu duxit, posteaquam iam ne vmbram quidem vllam contradi-

Psal. 109.

Matt. 17. 5.

A εἰ τοῦ ἁγίου πνεύματος τὴν χάριν ἐδέξατο· εἰ, ὅπερ ᾔτησεν, ἔλαβε, καρδίαν καθαρὰν καὶ πνεῦμα εὐθές· εἰ τοσοῦτον ἴσχυσεν ἡ μετάνοια, ὥστε εἰς τὴν προτέραν εὐγένειαν ἀποκαταστῆσαι αὐτόν. προσέχετε μετ' ἀκριβείας. οὗτος ὁ ψαλμὸς ὁ πεντηκοστός ἐστι. ποῖος; ὁ περὶ τῆς ἁμαρτίας, ὁ περὶ τῆς ἐξομολογήσεως, ὁ περὶ τῆς αἰτήσεως, πεντηκοστός. μετὰ τοῦτον ἔγραψεν ἑξηκοστὸν, ἑβδομηκοστὸν, ὀγδοηκοστὸν, ἐνενηκοστὸν, ἑκατοστόν. ἵνα οὖν μή τις λέγῃ, τί γὰρ, ὅτι ἔγραψε ψαλμούς; οὐκ ἔγραψε δὲ αὐτοὺς πνεύματι ἁγίῳ (οὐ γὰρ ἔλαβε πνεῦμα

B ἅγιον) ἀλλ' ἁπλῶς ἔγραψε συνέσει ἀνθρωπίνῃ τοὺς μετὰ ταῦτα. ἔρημος γὰρ ἦν πνεύματος ἁγίου. ἡ μὲν γὰρ ἁμαρτία αὐτοῦ συνεχωρήθη. τὸ δὲ πνεῦμα αὐτοῦ οὐκ ἐδόθη. αὐτὸς μὲν γὰρ ᾔτησεν· οὐδαμοῦ δὲ εὑρίσκομεν ἀπόκρισιν λέγουσαν, ὅτι δέδωκά σοι. προσέχετε, παρακαλῶ. ἔγραψε πεντηκοστὸν, ἑξηκοστὸν, ἑβδομηκοστὸν, ὀγδοηκοστὸν, ἐνενηκοστὸν καὶ ἑκατοστόν. γράφει καὶ ἄλλον ψαλμὸν μετὰ τὸν ἑκατοστὸν, μετὰ καὶ ἄλλους πολλοὺς ψαλμοὺς λέγων, εἶπεν ὁ κύριος τῷ κυρίῳ μου, κάθου ἐκ δεξιῶν μου, ἕως ἂν

C θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου. τοῦτον οὖν τὸν ψαλμὸν μετὰ τὴν ἁμαρτίαν ῥηθέντα εὑρίσκομεν ἐν πνεύματι ἁγίῳ λεχθέντα. πόθεν δῆλον; ὁ Χριστὸς ἐδήλωσεν. ἐπειδὴ γὰρ πάντα εἰργάσατο, θάλατταν ἐχαλίνωσε, λεπροὺς ἐκάθηρε, δαίμονας ἐφυγάδευσε, κακίαν ἀπήλασε, παραλυτικὸν ἔσφιγξε, φωνὴ ἄνωθεν κατέβαινεν· οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητὸς, ἐν ᾧ εὐδόκησα, αὐτοῦ ἀκούετε· ὁ κύριος αὐτῷ ἐμαρτύρησε, τὰ πράγματα ἐβόα, τὸ πνεῦμα ἐν εἴδει περιστερᾶς ἦλθεν ἐπ' αὐτὸν, Ἰωάννης ἐ-

D μαρτύρησεν αὐτῷ, ἴδε ὁ ἀμνὸς τοῦ Θεοῦ ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου· λοιπὸν ὡς ἔμελλεν ἐπὶ τὸν σταυρὸν ἀναβαίνειν, καλέσας αὐτοὺς, λέγει αὐτοῖς· τί ὑμῖν δοκεῖ περὶ τοῦ Χριστοῦ; οὐκ ἠρώτησα ὑμᾶς ἐν ἀρχῇ. οὐκ ἐμαρτύρησα ἐν ἀρχῇ ὑμᾶς, ὅτι οὐδέπω ἀπόδειξιν ὑμῖν θεότητος παρέσχον. ὅτε δὲ τὰ στοιχεῖα πάντα ἔδειξαν μου τὴν θεότητα, ὅτε ὁ πατὴρ, ὅτε ἡ πρὸς αὐτὸν ὁμόνοια, ὅτε ἡ ἐμὴ διδασκαλία πάντας ὑμᾶς ἐχειραγώγησεν, ὅτε οὐδὲ σκιὰν

ἔχετε ἀντιλογίας, τί νῦν ὑμῖν δοκεῖ περὶ τοῦ Χριστοῦ; τίνος ἐστὶν υἱός; λέγουσιν ἐκεῖνοι οἱ ἀγνώμονες καὶ ἀναίσχυντοι, τοῦ Δαβὶδ, ἀρνούμενοι τὴν θεότητα, καὶ οὐ θέλοντες εἰπεῖν ὅτι τοῦ Θεοῦ ἐστι. τί οὖν αὐτός; πῶς οὖν Δαβὶδ ἐν πνεύματι ἁγίῳ κύριον με καλεῖ, λέγων· εἶπεν ὁ κύριος τῷ κυρίῳ μου, κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου. εἰ δὲ πνεῦμα εἶχεν ὁ Δαβὶδ, ἐλύθη ἡ ἁμαρτία· εἰ δὲ ἐλύθη ἡ ἁμαρτία, καὶ τὴν αἴτησιν ἔλαβε. λέγει γὰρ ὁ Δαβίδ· καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ, ὁ Θεὸς, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου. ὁρᾷς ὅτι πάλιν ἐπὶ τὸ ἀξίωμα τὸ ἑαυτοῦ ἐπανῆλθε; πάλιν προφήτης ἐγένετο, πάλιν περὶ Χριστοῦ διαλέγεται, πάλιν ἀπέλαβεν ἑαυτοῦ τὴν παῤῥησίαν, καὶ οὐδὲν ἐλυμήνατο αὐτὸν ἡ ἁμαρτία. εἶδες πόση τῆς μετανοίας ἡ δύναμις; τί λέγω; καὶ ζῶν καὶ τελευτῶν ἴσχυσεν. ἦλθόν ποτε βάρβαροι, καὶ τὴν πόλιν ἐπολιόρκουν· ὁ Ἐζεκίας δίκαιος ὢν παρεκάλει τὸν Θεὸν καὶ ἠξίου, λέγων, ἐλέησόν με, κύριε, καὶ φεῖσαι τῆς πόλεως ταύτης. ἔρχεται πρὸς αὐτὸν ὁ προφήτης Ἠσαΐας, καὶ λέγει, ἵνα μὴ νομίσῃ ἐκεῖνος, ὅτι ἡ δικαιοσύνη αὐτοῦ ἠκούσθη (καί τοι τελευτήσας ἦν ὁ Δαβὶδ καὶ εἶχεν χίλια ἔτη ἐν τῷ ᾅδῃ) τί οὖν λέγει; ὑπερασπιῶ σου καὶ τῆς πόλεως ταύτης δι' ἐμὲ καὶ διὰ Δαβὶδ τὸν παῖδά μου. ὁ Δαβὶδ ἀπέθανε, καὶ ἡ παῤῥησία αὐτοῦ ζῇ, καὶ ὁ τελευτήσας τοῦ ζῶντος περιΐστατο. ὦ δικαίου καὶ μετὰ τὴν τελευτὴν τειχομαχοῦντος. ἐνταῦθα δὲ καταπαύσω μου τὸν λόγον, ἱκανῶς, ὡς οἶμαι, τὴν λύσιν ἀποδοὺς τῶν ζητουμένων, ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν· ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

A ctionis habetis, quid vobis videtur de Christo? Cuius filius est? Respondent improbi illi, & impudentes, Dauidis, diuinitatem videlicet negantes, nec, quòd Dei filius esset, profiteri volentes. Quid igitur ipse? Quomodo igitur Dauid in Spiritu sancto Dominum me vocat, dicens? Dixit Dominus Domino meo: sede à dextris meis, donec ponam inimicos tuos scabellum pedum tuorum? Quòd si Dauid Spiritum habebat, solutum vtique peccatum erat. Si autem peccatum solutum erat, postulatum quoque suum acceperat. B Ait enim Dauid: Cor mundum crea in me Deus: & spiritum rectum innoua in visceribus meis. Vidésne quemadmodum ad pristinam dignitatem suam rursum rediit, rursum Propheta factus est, rursum de Christo sermonem habet, rursum fiduciam suam atque authoritatem recepit, nec peccatum labem vllam ac perniciem ipsi attulit? Vides quanta pœnitentiæ vis sit? Quid dico? Et viuus & mortuus viribus valuit. Venerunt enim aliquando Barbari, ac ciuitatem Hierosolymitanam obsidione cinxerunt. C Ezechias vir iustus Deum rogabat, atque obsecrabat dicens: Miserere mei Domine, ac parce huic ciuitati. Venit ad eum Propheta Esaias, ac ne ille iustitiam suam exauditam fuisse arbitraretur, (quanquam alioqui mille iam anni à Dauidis morte fluxissent,) quid ait? Protegam te & vrbem hanc propter me, & propter Dauid seruum meum. Mortuus erat Dauid, & fiducia ipsius ac libertas viuit, & qui è viuis excesserat, viuenti opem ferebat. Ita vir iustus etiam post mortem pro murorum defensione dimicabat. Atque hoc loco, satis vt opinor explicata quæstione, D finem dicendi faciemus, in Christo Iesu domino nostro, cui gloria & imperium in secula seculorum, Amen.

Luc. 20. 41.

Esai. 37.

A

IN PSALMVM LI.

IN FINEM, SCIENTIÆ DAVIDIS, CVM VENIT Doëg Idumæus, & annunciauit Sauli, dixítque ad eum, Venit Dauid in domum Abimelech.

Iacob. Billio Abbate S. Michaelis, interprete.

Quid gloriaris in malitia, qui potens es? iniquitatem tota die. 2. Iniustitiam cogitauit lingua tua, sicut nouacula acuta fecisti dolum. 3. Dilexisti malitiam super benignitatem, iniquitatem magis, quàm loqui æquitatem. 4. Dilexisti omnia verba præcipitationis, linguam dolosam.

PSALMVS tricesimus tertius à Dauide dictus est, postea quam faciem suã immutauit coram Abimelech, atque ab eo dimissus abscessit: hic autem, quantum ad historiam attinet, illum comitatur. Ait enim scriptura in libris Regum: Et erat quidam de seruis Saul in die illa. Significat autem tempus illud, in quo Dauid venit in domum Abimelech, ac panes propositionis à pontifice acceptos comedit. Quo etiam tempore faciẽ suam coram Abimelech immutauit, ab eóque dimissus abiit. Eodem enim tempore, inquit, erat vnus de seruis Saul, Doëg Idumæus, qui pascebat mulas Saulis. Qui postea ad Saulem profectus, dixit: Vidi filium Iesse, qui venit in Nobe ad Abimelech filium Achitob sacerdotem: & consuluit Deum pro eo, & cibaria dedit ei: sed & gladium Goliath Philistæi dedit ei. Misit ergo rex ad accersendum Abimelech sacerdotem, & omnem domum patris eius,

1.Reg.21.

Εἰς τὸν να' ψαλμόν.

ΕΙΣ ΤΟ ΤΕΛΟΣ ΣΥΝΕΣΕΩΣ ΤΩ ΔΑΒΙΔ, ΕΝ τῷ ἐλθεῖν Δωὴκ τὸν Ἰδουμαῖον, καὶ ἀναγγεῖλαι τῷ Σαοὺλ, καὶ εἰπεῖν αὐτῷ· ἦλθε Δαβὶδ εἰς τὸν

B

οἶκον Ἀβιμέλεχ.

Τί ἐγκαυχᾷ ἐν κακίᾳ ὁ δυνατός; ἀνομίαν ὅλην τὴν ἡμέραν, ἀδικίαν ἐλογίσατο ἡ γλῶσσά σου· ὡσεὶ ξυρὸν ἠκονημένον, ἐποίησας δόλον· ἠγάπησας κακίαν ὑπὲρ ἀγαθωσύνην, ἀδικίαν ὑπὲρ τὸ λαλῆσαι δικαιοσύνην. ἠγάπησας πάντα ῥήματα καταποντισμοῦ, γλῶσσαν δολίαν.

C

ΟΜΕΝ λγ' ψαλμὸς εἴρηται τῷ Δαβὶδ, ὁπότε ἠλλοίωσε τὸ πρόσωπον αὐτοῦ ἐναντίον Ἀβιμέλεχ, καὶ ἀπέλυσεν αὐτὸν, καὶ ἀπῆλθεν· οὗτος δὲ ἐκείνου ἀκόλουθος ἂν εἴη κατὰ τὴν ἱστορίαν. λέγει γὰρ ἡ γραφὴ τῶν βασιλειῶν· καὶ ἐκεῖ ἦν ἐν τῶν παιδαρίων τοῦ Σαοὺλ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ. ἐπισημαίνεται δὲ τὸν καιρὸν, ἐν ᾧ ἦλθε Δαβὶδ εἰς τὸν οἶκον Ἀβιμέλεχ, καὶ τοὺς ἄρτους τῆς προθέ-

D

σεως ἔφαγε λαβὼν παρὰ τοῦ ἀρχιερέως, ὅτε καὶ ἠλλοίωσε τὸ πρόσωπον αὐτοῦ ἐνώπιον Ἀβιμέλεχ, καὶ ἀπέλυσεν αὐτὸν, καὶ ἀπῆλθε. κατ' αὐτὸν γὰρ ἐκεῖνον τὸν καιρὸν ἐκεῖ ἦν, φησιν, ἓν τῶν παιδαρίων τοῦ Σαοὺλ Δωὴκ ὁ Σῦρος, νέμων τὰς ἡμιόνους Σαοὺλ, ὃς μετὰ ταῦτα ἐλθὼν πρὸς Σαοὺλ εἶπεν· ἑώρακα τὸν υἱὸν Ἰεσσαὶ παραγενόμενον εἰς Νομβὰ πρὸς Ἀβιμέλεχ υἱὸν Ἀχιτὼβ τὸν ἱερέα, καὶ ἠρώτα αὐτὸν διὰ τοῦ Θεοῦ, καὶ ἐπισιτισμὸν ἔδωκεν αὐτῷ, καὶ τὴν ῥομφαίαν Γολιὰθ τοῦ ἀλλοφύλου ἔδωκεν αὐτῷ. καὶ ἀπέστειλεν ὁ βασιλεὺς καλέσαι τὸν Ἀβιμέλεχ τὸν ἱερέα, καὶ πάντας τοὺς υἱοὺς

τοῦ πατρὸς αὐτοῦ, τοὺς ἱερεῖς τοῦ κυρίου τοὺς ἐν Νομβᾶ, καὶ προσεληλύθοντο πάντες πρὸς τὸν βασιλέα· ὅτι τε κολλώμενος τοῦ Σαοὺλ, αὐτὸς ἐκεῖνος ὁ Δωὴκ ἐθανάτωσε τοὺς ἱερεῖς τοῦ κυρίου τριακοσίους καὶ πέντε ἄνδρας φέροντας ἐφοὺδ, καὶ τὴν Νομβᾶ τὴν πόλιν τῶν ἱερέων ἐπάταξεν ἐν στόματι ῥομφαίας, ἀπὸ ἀνδρὸς ἕως γυναικὸς, ἀπὸ νηπίου ἕως θηλάζοντος, καὶ μόσχου, καὶ ὄνου, καὶ προβάτου ἐν στόματι ῥομφαίας. Ταῦτ᾽ οὖν μαθὼν ὁ Δαβὶδ τοῦτον πεπραγμένα τὸν τρόπον, τοὺς προκειμένους προφέρεται λόγους, οὔτε ᾠδὴν περιέχοντας, οὔτε ὕμνον, οὔτε ψαλμὸν, οὔτε τι τοιοῦτο. πῶς γὰρ καὶ οἷόν τε ἦν ἐπὶ συμφορᾷ τοιούτων ἱερέων ᾠδὰς αὐτὸν καὶ ψαλμοὺς ᾄδειν; διὸ οὐδὲν τοιοῦτον ἐπιγέγραπται· μόνον δὲ εἰς τὸ τέλος εἴρηται καὶ συνέσεως, ἐπεὶ τὰ τελευταῖα τῶν λόγων, ἀγαθῶν ἐστιν ἀπαγγελτικὰ, ἐν οἷς φησιν, ἐγὼ δὲ, ὡσεὶ ἐλαία κατάκαρπος, ἐν τῷ οἴκῳ τοῦ Θεοῦ ἤλπισα ἐπὶ τὸ ἔλεος τοῦ Θεοῦ εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. καὶ συνέσεως δὲ τῆς ἐκ Θεοῦ δεῖται ἡ τῶν ἐμφερομένων λόγων διάνοια. ὅτε μὲν οὖν παρὰ τῷ Ἀβιμέλεχ γενόμενος τῆς ἱερατικῆς ἀπεγεύσατο τροφῆς, ἀλλοιώσας τὴν γεῦσιν αὐτοῦ (ἢ τὸν τρόπον αὐτοῦ, κατὰ τὴν τῶν λοιπῶν ἑρμηνείαν) εὐλογίας καὶ εὐχαριστίας ἀνέπεμπε τῷ Θεῷ λέγων· εὐλογήσω τὸν κύριον ἐν παντὶ καιρῷ, διὰ παντὸς ἡ αἴνεσις αὐτοῦ ἐν τῷ στόματί μου, καὶ τὰ ἑξῆς. νυνὶ δὲ ὅτε τοῦ διαβόλου Δωὴκ τὴν πρᾶξιν ἔγνω, καὶ ὡς τοσούτους ἀνεῖλεν ἱερεῖς ἔργῳ διαβολικῷ χρησάμενος, πρὸς αὐτὸν συντάττει τοὺς προκειμένους λόγους φάσκων· τί ἐγκαυχᾷ ἐν κακίᾳ ὁ δυνατός; ἀνομίαν ὅλην τὴν ἡμέραν, ἀδικίαν ἐλογίσατο ἡ γλῶσσά σου. καλοῦνται μὲν τὰ μετὰ χεῖρας πολὺ πρότερον τοῖς χρόνοις τῆς ἱστορίας τοῦ πεντηκοστοῦ ψαλμοῦ. ἔτι γὰρ ζῶντος Σαοὺλ καὶ πρὸ τοῦ βασιλεῦσαι τὸν Δαβὶδ, ταῦτα καὶ πέπρακτο καὶ εἴρητο· μακροῖς δὲ ὕστερον χρόνοις μετὰ τὸν θάνατον Σαοὺλ, καὶ πρὸς τοῖς τελευταίοις τῆς ἑαυτοῦ βασιλείας ὁ Δαβὶδ τὴν ἐν τῷ πεντηκοστῷ ποιεῖται ἐξομολόγησιν· ἣν προσέταξε διὰ τὴν πρὸς τὸν μθ᾽ ψαλμὸν ἀκολουθίαν, ὥσπερ οὖν ἀποδέδεικται. οἱ δ᾽ ἀπὸ τοῦ προφήτου τε πεντηκοστοῦ τὸν ἀριθμὸν εἴκοσι τοῦ Δαβὶδ ἐπιγεγραμμένοι μέχρι τοῦ ἑβδομηκοστοῦ,

A & sacerdotes Domini qui erãt in Nobe, qui vniuersi venerunt ad regem. Quo etiã tempore Saulis iussu idẽ ille Doëg trucidauit trecentos & quinque viros sacerdotes accinctos Ephod, & Nobe sacerdotum ciuitatem percussit in ore gladij, viros & mulieres, paruulos & lactentes, bouem, & asinũ, & ouem in ore gladij. Cùm igitur Dauid rem ad hunc modum gestã esse comperisset, hos sermones pronunciat, qui nec cantionem, nec laudem, nec psalmum, nec eiusdem generis quicquã complectuntur. Quónam enim pacto ob tot sacerdotũ calamitatem cantica ipse, & psalmos canere potuisset? Ac propterea nihil eiusmodi B inscriptio continet: verùm duntaxat *in finem* dictum est: *& scientiæ*: quoniam postrema verba res lætas enũciant: cùm videlicet ait, *Ego autem sicut oliua fructifera in domo Dei, speraui in misericordia Dei in æternum, & in seculum seculi.* Atque etiam prudentiã, atque ingenij acumen requirit, eorum, quæ hoc psalmo continentur, sententia. Ac quidẽ cùm ad Abimelech profectus, sacerdotalẽ cibum degustauit, immutato gustu suo, vel, vt cæteri interpretes verterunt, *moribus suis*, Deo laudes, & gratiarum actiones offerebat, his verbis vtens: *Benedicam Dominum in omni tempore: semper laus eius in ore meo.* & C quæ sequũtur. Nunc autẽ, posteaquàm calumniatoris Doëg facinus intellexit, quódque diabolicum quoddam scelus perpetrans, tot sacerdotibus necem intulisset, hos sermones aduersus eũ condit, ad hunc modum loquens. *Quid gloriaris in malitia, qui potens es? iniquitatem tota die, iniustitiam cogitauit lingua tua.* Hi psalmi, quos præ manibus habemus, si ratio tẽporis habeatur, quinquagesimi psalmi historiã longè antecedũt. Etenim, apud viuos adhuc agẽte Saule, ac priusquam Dauid regnum obtineret, hæc, & gesta, & dicta erãt. Diuturno autẽ post Saulis D mortem tempore, ac sub regni sui finem Dauid confessionem eam, quæ quinquagesimo psalmo continentur, effecit. Quam tamen, propter seriem & consequentiã, quam cũ quadragesimo nono habet, priore loco copulauit, quemadmodum à nobis est demonstratum. At verò viginti illi psalmi, qui, vsque ad septuagesimum, Dauidi inscribuntur,

ab altero principio materiam acceperunt. Quamobrem, Saule adhuc vitæ vsura fruente, dicti esse videntur, priusquàm Dauid regnum obtinuisset. Nam & hic, quem manibus tenemus, viuente adhuc Saule dictus est, cùm Doëg Idumæus venit, nuntiauitque Sauli, quòd venisset Dauid in domum Abimelech. Et item quinquagesimus tertius, cùm venerunt Ziphæi, & dixerunt Sauli: Nónne ecce Dauid absconditus est apud nos? Atque item quinquagesimus quintus hanc inscriptionem habet, Cùm eum Philistæi tenuerunt in Geth. Erat porrò idem illud tempus Dauidis regno antiquius, Saule videlicet adhuc superstite. Ad hæc quinquagesimus sextus ita inscribitur: Dauidi, cùm fugeret à facie Saul in speluncam. Eodémque modo quinquagesimus octauus, cùm inquit: Quando, misit Saul, & custodiuit domum ipsius, vt inficeret eum. Nam quinquagesimus nonus, tametsi post Saulis mortem dictus est, Dauide iam regno potiente, tamen ipse quoque eo flagitio, quod aduersus Vriam perpetratum est, antiquior est. Quod etiam ex ipsa inscriptione significatur, quæ quidem tempus his verbis indicat, Quando incendit Mesopotamiam Syriæ, & Syriam Sobal, conuersus est Ioab, & percussit vallem Salinarum duodecim millia. Hæc porrò quinquagesimi psalmi confessionem præcedunt. Iam verò sexagesimus secundus psalmus à Dauide dictus est, cùm esset in deserto Iudææ, viuente adhuc Saule. Atque animaduertere est, quemadmodum omnes ferè psalmi secundæ partis huius voluminis, si quinquagesimum exceperis, eos, qui tempus id, quo facinus illud aduersus Vriam designatum est, longo antè interuallo dicti sunt. Sanè prima pars huiusce voluminis, à primo psalmo, vsque ad quadragesimum, contrarium ordinem habebat. Ipsa enim ea, quæ quinquagesimi psalmi confessionem sequebantur, continebat. Siquidem tertius psalmus à Dauide dictus est, cùm fugeret à facie Absalon filij sui. Fugiebat porrò filium post Vriæ historiam. Quinetiam in sexto psalmo, eiusdem sceleris causa, in luctu & lachrymis versabatur, dicens: Laboraui in gemitu meo, lauabo per singulas noctes lectum meum,

1.Reg.23.

A ἐξ ἑτέρας ἀρχῆς τὴν ὑπόθεσιν εἰλήφασιν. ἐοίκασιν οὖν ἔτι ζῶντος Σαοὺλ εἰρῆσθαι, πρὶν ἢ βασιλεῦσαι τὸν Δαβίδ. ὅτε γὰρ μετὰ χεῖρας, ἔτι ζῶντος Σαοὺλ ἐλέχθη, ἐν τῷ ἐλθεῖν Δωὴκ τὸν Ἰδουμαῖον καὶ ἀναγγεῖλαι τῷ Σαοὺλ, ὅτι ἦλθε Δαβὶδ εἰς τὸν οἶκον Ἀβιμέλεχ. ἀλλὰ καὶ ὁ πεντηκοστὸς τρίτος, ἐν τῷ ἐλθεῖν τοὺς Ζειφαίους καὶ εἰπεῖν τῷ Σαοὺλ, οὐκ ἰδοὺ Δαβὶδ κέκρυπται παρ' ἡμῖν, εἴρηται. καὶ ὁ πέμπτος δὲ καὶ πεντηκοστὸς, ὅτε ἐκράτησαν αὐτὸν οἱ ἀλλόφυλοι ἐν Γὲθ, ἐπιγέγραπται. ἦν δὲ καὶ B αὐτὸς ὁ χρόνος ὁ πρὸ τῆς βασιλείας Δαβὶδ, ἔτι τοῦ Σαοὺλ περιόντος τῷ βίῳ. καὶ ὁ πεντηκοστὸς ἕκτος ἐπιγράφει· τῷ Δαβὶδ, ἐν τῷ αὐτὸν ἀποδιδράσκειν ἀπὸ προσώπου Σαοὺλ εἰς τὸ σπήλαιον. ὡσαύτως καὶ ὁ πεντηκοστὸς ὄγδοος· ὁπότε, φησὶν, ἀπέστειλε Σαοὺλ καὶ ἐφύλαξε τὸν οἶκον αὐτοῦ, τοῦ θανατῶσαι αὐτόν. ὁ γε μὴν πεντηκοστὸς ἔνατος, εἰ καὶ μετὰ τὸν θάνατον Σαοὺλ εἴρητο, ἤδη βασιλεύοντος τοῦ Δαβὶδ, ἀλλὰ καὶ αὐτὸς πρὸ τῆς κατὰ τὸν Οὐρίαν πράξεως· ὃ δὴ σημαίνεται ἀπὸ τῆς ἐπιγραφῆς, ἥτις δηλοῖ C τὸν χρόνον φάσκουσα· ὁπότε ἐνεπύρισε τὴν Μεσοποταμίαν Συρίας καὶ τὴν Συρίαν Σωβαλ, καὶ ἐπέστρεψεν Ἰωὰβ, καὶ ἐπάταξε τὴν φάραγγα τῶν ἁλῶν, δώδεκα χιλιάδας. ταῦτα δὲ τοῖς χρόνοις προάγει τὴν ἐν τῷ πεντηκοστῷ ψαλμῷ ἐξομολόγησιν. ἔτι μὴν καὶ ὁ ἑξηκοστὸς δεύτερος ψαλμὸς ἐλέχθη τῷ Δαβὶδ, ἐν τῷ εἶναι αὐτὸν ἐν τῇ ἐρήμῳ τῆς Ἰουδαίας, ζῶντος ἔτι τοῦ Σαοὺλ. καὶ ἴδε ὅπως σχεδὸν οἱ πλεῖστοι τοῦ δευτέρου μέρους τῆς βίβλου τῶν ψαλμῶν τοῦ Δαβὶδ, παρεκτὸς τοῦ πεντηκοστοῦ, τοὺς D πρόπαλαι εἰρημένους αὐτῷ περὶ τῶν χρόνων τῆς κατὰ τὸν Οὐρίαν πράξεως περιειλήφασι. τὸ μὲν οὖν πρῶτον μέρος ἀπὸ τῆς αὐτῆς βίβλου, τὸ ἀπὸ πρώτου καὶ μέχρι τεσσαρακοστοῦ, τὴν ἐναντίαν εἶχε τάξιν. τὰ γὰρ μετὰ τὴν ἐξομολόγησιν τοῦ πεντηκοστοῦ ἐκφέρειν περιεῖχε τὸ μέρος. ὁ οὖν τρίτος ψαλμὸς λέλεκται τῷ Δαβὶδ, ὁπότε ἀπεδίδρασκεν ἀπὸ προσώπου Ἀβεσσαλὼμ τοῦ υἱοῦ αὐτοῦ· ἔφευγε δὲ τὸν υἱὸν μετὰ τὴν ἱστορίαν τοῦ Οὐρίου. ἀλλὰ καὶ ἐν τῷ ἕκτῳ τῆς αὐτῆς ἕνεκεν πράξεως ἀπεκλαίετο λέγων· ἐκοπίασα ἐν τῷ στεναγμῷ μου, λούσω καθ' ἑκάστην νύκτα τὴν κλίνην μου·

ἐν δα-

ἐν δάκρυσί μου τὴν στρωμνήν μου βρέξω. καὶ ὁ ἕβδομος δὲ ὑπὲρ τῶν λόγων Χουσὶ υἱοῦ Ἰεμενεὶ λεγόμενος τῶν αὐτῶν ἂν εἴη χρόνων. Χουσὶ γὰρ ἀρχιεταῖρος γεγονὼς τοῦ Δαβὶδ, τῷ Ἀβεσαλὼμ συνεγένετο. ἔτι μὴν καὶ ὁ ἑπτακαιδέκατος ἀποδέδεικται περὶ τὰ τελευταῖα τῆς ζωῆς Δαβὶδ λεγόμενος· ἀλλὰ καὶ ὁ τριακοστὸς ἕβδομος ἐπιγεγραμμένος εἰς ἀνάμνησιν, τὴν αὐτὴν ἔχων διάνοιαν τῷ ἕκτῳ, ἄρχεται μὲν ἀπὸ τῶν αὐτῶν ῥημάτων λέγων· κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με, μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς με· προϊὼν δὲ τὴν αὐτὴν ἐξομολόγησιν τὴν ἐν τῷ πεντηκοστῷ φερομένην ποιεῖται, ἔν τε τοῖς ἄλλοις, καὶ δι' ὧν φησιν, ὅτι αἱ ἀνομίαι μου ὑπερῆραν τὴν κεφαλήν μου· προσώζεσαν καὶ ἐσάπησαν οἱ μώλωπές μου ἀπὸ προσώπου τῆς ἀφροσύνης μου. καὶ σὺ δὲ ἂν κατὰ σαυτὸν συναγαγὼν εὕροις ἂν τὰ πλεῖστα τῶν ἐν τῷ πρώτῳ μέρει τῶν ψαλμῶν μετὰ τοὺς χρόνους τῆς κατὰ τὸν Οὐρίαν ἱστορίας εἰρημένα, τὰ δὲ μετὰ τὸν πεντηκοστὸν τοῖς χρόνοις παράγοντα τὴν κατὰ τὸν Οὐρίαν πρᾶξιν. τί δὲ ποτε, οὐ κατὰ τὴν τῶν χρόνων ἀκολουθίαν οἱ πρῶτοι τοῖς χρόνοις, πρῶτοι κατετάγησαν, καὶ οἱ δεύτεροι δεύτεροι, ἀλλ' οἱ μὲν πρῶτοι λελεγμένοι ἔτι ζῶντος Σαοὺλ, ἐν τῷ δευτέρῳ μέρει τῶν ψαλμῶν· ἐν δὲ τῷ πρώτῳ, οἱ τοῖς χρόνοις ὕστατοι; ἡγοῦμαι δὴ ταύτην εἰληφέναι τὴν τάξιν, ὡς ἂν μὴ ἀπὸ τῶν κρειττόνων ἐπὶ τὰ χείρω φέροιτο. ὀλιγοστοὶ γάρ, εἰς τὸ τέλος μὴ διαφθείρῃς, καὶ εἰς τὸ τῶν ψαλμῶν τάξεως πεφυλάχθαι ἔοικε. διὸ τὰ σκυθρωπότερα πρῶτα τέθειται, ἵνα ἐν δευτέροις τὰ χρηστότερα φυλαχθῇ, καλυπτομένων καὶ ἐξαφανιζομένων τῶν χειρόνων διὰ τῶν ἐν τοῖς δευτέροις κρειττόνων. εἰκὸς δὲ τὸν Δαβὶδ τὸ πλημμεληθὲν αὐτῷ ὕστερον διὰ τῶν προτέρων αὐτοῦ κατορθωμάτων ἐθέλειν καλύπτεσθαι. εἴποι δ' ἄν τις, ὅτι καθ' ὑπερβολὴν εὐλαβείας πρώτας ἔταττε τὰς ἐξομολογήσεις αὐτοῦ, ἐπεὶ δίκαιος ἑαυτοῦ κατήγορος ἐν πρωτολογίᾳ. ἀλλὰ γὰρ τούτων ἡμῖν εἰς τὸ ἀποδοθῆναι τὴν τάξιν γεγυμνασμένων, καιρὸς ἤδη καὶ ἐπὶ τὰς προκειμένας φωνὰς τοῦ πεντηκοστοῦ πρώτου μετελθεῖν.

A lachrymis meis ſtratum meum rigabo. Quin ſeptimus etiam, cùm pro ſermonibus Chuſi filij Iemini diceretur, ad eadem profectò tempora ſpectabat. Chuſi etenim, qui Dauidis princeps amicus erat, cum Abſalone conſuetudinem habuit. Inſuper demonſtratum eſt, decimum ſeptimum pſalmum extremo vitæ Dauidis tempore dictum eſſe. Sed & tricеſimus ſeptimus, qui inſcriptus eſt, *In remmiſcentiam*, eandem cum ſexto ſententiam habens, ab iiſdem quidem verbis auſpicatur, dicens: Domine ne in furore tuo arguas me, neB que in ira tua corripias me. Ac progrediens, eandem cum ea, quæ in quinquageſimo habetur, confeſſionem facit, tum in aliis verbis, tum præſertim cùm ait: Quoniam iniquitates meæ ſupergreſſæ ſunt caput meum. Putruerunt & corruptæ ſunt cicatrices meæ, à facie inſipientiæ meæ. Ac tu quoque per teipſum colligens, illud reperies, quamplurima eorum, quæ in prima Pſalmorum parte continentur, poſt Vriæ hiſtoriam dicta eſſe: contraque ea, quæ quinquageſimum C pſalmum ſequuntur, facinus illud aduerſus Vriam tempore anteire. Quid igitur cauſæ eſt, quòd non, vt temporum ſeries poſtulabat, qui tempore primi ſunt, primi collocati ſint, atque item poſteriores poſteriori loco: verùm primi, qui viuente adhuc Saule dicti ſunt, in ſecunda pſalmorum parte, contrà autem, qui tempore poſteriores ſunt, in prima? Mea quidem ſententia idcirco hôc ordine collocati ſunt, vt ne à melioribus ad deteriora ferrentur. (Perpauci enim, *In finem ne perdas*.) Quocirca triſtiora prius colD locata ſunt, vt lætiora in ſecundum locum reſeruarentur, coopertis nimirum, & extinctis deterioribus, ob lætiora que deinceps ſequuntur. Nec verò abludit à vero, Dauidem, id quod poſtea ab ipſo peccatum eſt, per ea, quæ prius ab ipſo rectè, atque ex virtute geſta ſunt, obtegere velle. Atque etiam illud quiſpiam afferre queat, quòd ob ſingularem pietatem confeſſiones prius collocabat, quoniam iuſtus in principio ſermonis accuſator eſt ſui. Verùm his de pſalmorum ordine, eiúſque ratione à nobis allatis, tempus iam eſt vt ad explanandas quinquageſimi primi Pſalmi voces accedamus.

1. Reg. 15. 31.

Cur Dauid temporum ordinem ſecutus non ſit.

Prou. 18.

Hæc igitur verba litteris mandauit, A posteaquam resciuit quænam Doëg Syrus per eas calumnias, quas aduersus se conflauerat, designasset. Quocirca tanquam ad eum orationem tendit, dicens: *Quid gloriaris in malitia, qui potens es?* Qui in vitio impotens est, & imbecillis ac paruus, exuberantibus in eo probis moribus, is nimirum tanquam in vitio infirmior, pudore afficitur, cùm peccat, atque conscientiæ stimulis exagitatus, resipiscere fortasse queat, ac per confessionem, & synceram pœnitentiam, vitio suo remedia comminisci. Qui autem in improbitate potens est, in ea su- B perbit, ac se iactat, velut ob insigne quoddam ac præclarum facinus glorians. Ac mihi videtur præsens oratio contrarios mores describere iis, qui in quinquagesimo psalmo commemorati sunt. Etenim in illo, is, qui in peccatum semel lapsus erat, pœnitentia ducebatur, pectúsque suum tundebat, scelus suum confitens, ac mala sua luctu & lamentis prosequens. Hic autem, vtpote in improbitate potens, ne externas quidem reprehensiones moratur, verùm in vitio, perinde atque in virtute, sibi placet, & gloriatur: ita videlicet affe- C ctus, vt ad ea, quæ ipsi conscientia obijcit, pudorem omnem absterserit. Deinde etiam iniquitatẽ tota die cogitat: vel vt Symmachus vertit, *singulis diebus*. Ad hæc cogitationes sceleris plenas in lingua gestat, non eas in intimis animæ promptuariis occultans: verùm exaudientibus cunctis exponẽs. Vnde etiam dictum est, *Iniustitiam cogitauit lingua tua*. Quo in genere sunt, qui sine vllo metu ac verborum integumento turpia proloquuntur, aut temerè impia verba proferunt, aut variis mendaciis, & per- D iuriis vtuntur, aut denique apertè calumnias aduersus alios promunt. Qualis etiam Doëg erat, vt qui tot aduersus Dauidẽ & Abimelech calumnias struxisset. Atque is quidem, qui in improbitate potens est, impias cogitationes in lingua sua gestat: qui autem in vitio inferior est, quamuis cogitationes minimè puras habeat, at eas tamen occultat, atque, quantùm potest, in seipso extinguere ac delere conatur. Ac præterea, qui in improbitate potens est, tanquam nouacula acuta dolum facit, vt qui mollibus quidem verbis eum, cui insidiæ parantur, in fraudem inducat,

A γράφει τοίνυν τοὺς προσκειμένους λόγους, μαθὼν ὁποίας ἐπλέξατο Δωὴκ ὁ Σύρος ἐν ταῖς κατ᾽ αὐτοῦ διαβολαῖς. διὸ ὡς πρὸς αὐτὸν ἀποτείνεται λέγων· τί ἐγκαυχᾷ ἐν κακίᾳ ὁ δυνατός; ὁ μὲν γὰρ ἀδύνατος καὶ ἥττων ἐστὶν ἐν κακίᾳ, πλεοναζόντων ἐν αὐτῷ τοῦ κρείττονος τρόπου, ὡς ἂν ἀσθενέστερος ἐν κακίᾳ ἐγκαλύπτεται ἁμαρτάνων, καὶ ὑπὸ τῆς συνειδήσεως κεντούμενος μετανοήσειεν ἄν, καὶ τῆς ἑαυτοῦ κακίας προξενήσειεν ἂν αὐτῷ φάρμακα δι᾽ ἐξομολογήσεως καὶ εἰλικρινοῦς μετανοίας· B ὁ δὲ δυνατὸς ἐν κακίᾳ, τυφοῦται ἐν αὐτῇ καὶ ἐγκαυχᾶται, ὡς ἐπὶ μεγάλῳ κατορθώματι σεμνυνόμενος. καί μοι δοκεῖ τὸν ἐναντίον τρόπον διαγράφειν ὁ παρὼν λόγος τῷ προηγησαμένῳ ἐν τῷ πεντηκοστῷ ψαλμῷ. ἐν ἐκείνῳ μὲν γὰρ ὀλισθήσας ἐν κακίᾳ ἅπαξ ποτὲ μετεγίνωσκε, καὶ ἑαυτὸν ἔκοπτεν ἐξομολογούμενος καὶ τὰ αὐτοῦ κακὰ ἀποκλαιόμενος· ὁ δὲ παρὼν, ἐν κακίᾳ ὢν δυνατὸς, οὔτε τοὺς ἔξωθεν προσμένει ἐλέγχους, ἀλλ᾽ ἐναβρυνόμενος, ὡς ἐν ἀρετῇ κακίᾳ σεμνύνεται, ἀπερυθριάσας πρὸς τὴν ἐν αὐτῷ συνείδησιν. εἶτα καὶ ἀνομίαν δι᾽ C ὅλης τῆς ἡμέρας βουλεύεται (ἢ καὶ καθ᾽ ἑκάστην ἡμέραν, κατὰ τὸν Σύμμαχον) ἀλλὰ καὶ τοὺς λογισμοὺς τῆς ἀδικίας πλήρεις ἐπὶ τῆς γλώττης φέρει, οὐ καλύπτων αὐτοὺς ἔνδον ἐν τῷ τῆς ψυχῆς ταμιείῳ, ἀλλ᾽ εἰς ἐξάκουστον τοῖς πᾶσιν αὐτοὺς διὰ τῆς γλώττης ἀπαγγέλλων. διὸ λέλεκται, ἀδικίαν ἐλογίσατο ἡ γλῶττά σου. ὁποῖοί εἰσιν οἱ ἀδεῶς καὶ ἀπαρακαλύπτως αἰσχρορρημονοῦντες, ἢ ἀφυλάκτως ῥήματα βλάσφημα φθεγγόμενοι, ἢ οἱ διαφόροις ψευδολογίαις καὶ ἐπιορκίαις χρώμενοι, οἵ τε ἐκ τοῦ D φανεροῦ κατὰ τῶν πέλας διαβολὰς προφερόμενοι· ὧν εἷς ἦν καὶ ὁ Δωὴκ, τοιαύτας κατὰ τοῦ Δαβὶδ καὶ κατὰ τοῦ Ἀβιμέλεχ χρησάμενος καταλαλιαῖς. καὶ ὁ μὲν δυνατὸς ἐν κακίᾳ, τοὺς ἀθέους λογισμοὺς ἐπὶ τῆς γλώττης ἑαυτοῦ φέρει· ὁ δὲ ἐλάττων ἐν κακίᾳ, εἰ μὴ κεκαθαρμένους γε λογισμοὺς, ἀλλ᾽ οὖν κρύπτει αὐτοὺς, καὶ, ὅση δύναμις, σβεννύειν καὶ ἀφανίζειν αὐτοὺς ἐν ἑαυτῷ πειρᾶται. ἔτι μὴν ὁ δυνατὸς ἐν κακίᾳ, ὥσπερ ξυρὸν ἠκονημένον, ἐποίησε δόλον, ἐξαπατῶν μὲν ἁπαλῷ λόγῳ τὸν ἐπιβουλευόμενον,

λαθραίως δὲ αὐτὸν συσκευαζόμενος. καὶ τοῦτο δὲ Δωὴκ ὁ Σύρος ἐποίει, παρὼν μὲν ἐν τῇ πόλει τῶν ἱερέων, ὁπηνίκα ἐπεδήμει τῷ Ἀβιμέλεχ ὁ Δαβὶδ, δολίως δὲ ἐπιτηρῶν τὰ πραττόμενα, καὶ μηδὲν μὲν εἰς φανερὸν τότε φθεγγόμενος, τάχα δέ που καὶ φιλίαν πρός αὐτόν τε τὸν Δαβὶδ, καὶ πρὸς τοὺς ἱερέας ὑποκρινόμενος, ὕστερον δὲ δείξας ἑαυτὸν ὅστις ἦν, καὶ τὸν ἐν αὐτῷ κρυπτόμενον δόλον, ὥσπερ ἰὸν, ἀποπτύσας. ὁ δὲ αὐτὸς, δύο προκειμένων, κακίας καὶ ἀγαθότητος, δέον ἑλέσθαι τὴν κρείττονα, ὁ δὲ τὴν κακίαν προὐτίμα· παρὸν δὲ αὐτῷ τὸ εἶναι ἐν ἀγαθωσύνῃ, τὴν ἀδικίαν εἵλετο. ἠδίκει γὰρ καταψευδόμενος τοῦ ἱερέως, καὶ τὰ μὴ πραχθέντα κατ' αὐτοῦ λέγων. τὸ γὰρ ἐπερωτῆσαι τὸν Θεὸν ὑπὲρ τοῦ Δαβὶδ, ψευδὸς ἦν καὶ οὐκ ἀλήθεια. οὐδὲν γοῦν τοιοῦτον μεμαρτύρηκεν ἡ γραφή. ἐξῆν δὲ αὐτῷ καὶ λαλῆσαι δικαιοσύνην, διδάξαντα τὸν Σαοὺλ, ὅτι τὴν μὲν αἰτίαν τῆς ἀναχωρήσεως τοῦ Δαβὶδ ἠγνόει ὁ ἱερεύς· ὡς φίλον δὲ αὐτὸν ὑπεδέχετο τοῦ βασιλέως, καὶ ἀπεσταλμένον ἐπὶ διακονίᾳ βασιλικῇ εἰς τιμὴν τοῦ πέμψαντος ἐδεξιοῦτο, καὶ οὐκ ἐδίδου μὲν ἐπισιτισμὸν (οὐδὲ γὰρ παρῆσαν αὐτῷ ἄρτοι δυνάμενοι ἐφοδιάσαι τὸν Δαβίδ. τοῦτο γοῦν αὐτῷ καὶ ἀπελογήσατο ὁ ἱερεὺς τῷ Δαβὶδ, εἰπὼν, οὐκ εἰσὶν ἄρτοι βέβηλοι, ἀλλ' ἢ μόνοι οἱ τῆς προθέσεως) οὐκοῦν οὐκ ἐδίδου ἐπισιτισμὸν, ἀνάγκης δὲ καλούσης καὶ πλέον τοῦ νενομοθετημένου τολμᾷ, τῶν τῆς προθέσεως μεταδιδοὺς ὡς ἀνδρὶ θεοφιλεῖ καὶ δικαίῳ. ταῦτα καὶ τὰ τοιαῦτα ἀναδιδάξας ὁ Δωὴκ ἐλάλησεν ἂν δικαιοσύνην, εἰ ἠβούλετο· ὁ δὲ ψευδέσι διαβολαῖς χρησάμενος ἠγάπησεν ἀδικίαν ὑπὲρ τὸ λαλῆσαι δικαιοσύνην. ἀλλὰ καὶ πάντα τὰ ῥήματα καταποντισμοῦ, γλῶσσαν δολίαν, ἠγάπησεν. πάντα γὰρ τὰ πρὸς ἐπιβουλὴν καὶ φόνον καὶ θάνατον τοῦ τε ἱερέως καὶ τῶν λοιπῶν ἁπάντων τῶν σὺν αὐτῷ τεθανατωμένων διεπράξατο. διὸ ῥήματα καταποντισμοῦ οἱ λόγοι τῆς τοῦ Δωὴκ ψευδολογίας εἴρηνται. ἀθρόως γὰρ πᾶσαν τὴν πόλιν τῶν ἱερέων, ὥσπερ ἐν βυθῷ, κατεπόντισε. τοῖς ἑαυτοῦ ῥήμασι. ἀλλὰ ταῦτα μὲν οὐ Δωὴκ μόνος,

A clam autem in ipsius perniciem incumbat. Quod etiam Syrus Doëg faciebat, vt qui præsens quidem tum esset in sacerdotum vrbe, cùm Dauid ad Abimelech sese contulerat, versutè autem ea, quæ gerebantur, obseruaret: ac nihil quidem tum apertè loqueretur, imò etiam fortasse amicitiā erga Dauidem, & sacerdotes simularet, pòst autem, quem animum gereret, ostenderit, fraudémque, quam in seipso premebat, tanquam virus emouerit. Idem autem, duabus rebus propositis, nempe iniquitate, ac probitate, pro eo atque præ- B stantiorem eligere debebat, iniquitatem pluris fecit: cùmque in probitate esse posset, iniustitiam potius amplexus est. Iniustitiam enim admittebat, cùm aduersus sacerdotē mentiretur, eáque, quæ minimè gesta fuerant, in ipsius exitium commemoraret. Nam quòd Dauidis causa Deum consuluisset, falsum erat. Nihil enim eiusmodi testata est scriptura. Licebat autem ei iustitiam quoque loqui, Saulem nimirum illud docendo, quòd sacerdos causam eam, cur Dauid secederet, minimè cognitam habebat, verùm ipsum tanquam regis C amicum, atque ad operam aliquam ipsi nauandam missum, illius, qui miserat, honoris causa benignè atque amanter excipiebat. Nec verò cibaria illi dabat. Neque enim panes ipsi præsto erant, quibus tanquā viatico quodam Dauid instrui posset. Nam hoc quoque ipsum Sacerdos respondit Dauidi, his verbis vtens: Non sunt hic panes profani, sed duntaxat panes propositionis. quocirca cibaria minimè dabat: verùm impellente necessitate, vltra id, quod legibus sancitum erat, progreditur, propositionis panes ipsi, tanquam probo, ac sancto viro, impertiens. Hæc igitur, D aliáque id generis, si Doëg docuisset, iustitiam sanè, si voluisset, locutus esset. At ille falsis calumniis vsus, dilexit iniustitiam magis quàm loqui æquitatem. Ac præterea, *dilexit omnia verba præcipitationis, linguam dolosam.* Cuncta etenim, quæ ad insidias, & ad cædem, tam sacerdotis, quàm reliquorum omnium, qui cum ipso morte affecti sunt, spectabant, perpetrauit. Quare verba præcipitationis, falsi sermones Doëg appellati sunt. Quippe vniuersam sacerdotum vrbem, per verba sua, tanquam in profundum demersit. Verùm hæc quidem non Doëg solùm,

1.Reg.21.6

verùm etiam, quisquis in iniquitate potens est, perpetrarit, vitij potentia liberè abutens. Quænam autem à diuino iudicio ipsum pœna persequatur, deinceps his verbis ostendit Propheta.

5. *Propterea Deus destruet te in finem, euellet te, & emigrabit te de tabernaculo tuo, & radicem tuam de terra viuentium. Diapsalma.*

6. *Videbunt iusti & timebunt, & super eum ridebunt, & dicent:* 7. *Ecce homo qui non posuit Deum adiutorem suum: sed sperauit in multitudine diuitiarum suarum, & præualuit in vanitate sua.* Quemadmodum veritatis præco sermone suo innumeris hominibus salutis causam præbet: eodem modo is quoque, qui in iniquitate potens est, eadem sermonis vi & facultate mortem plerisque ac perniciem accersit, præcipitationis verba proferens, ac sermonis gladio ad hominum exitium abutens. Ac præsertim, cùm per calumnias suas, non tantùm corpora, sed etiam ipsas animas interimit, nimirum per fraudulentam linguam suam ad falsas & impias opiniones eas deijciens. Vnde etiam quodam loco dictum est: filij hominum, dentes eorum arma & sagittæ, & lingua eorum gladius acutus. Qui quidem maiore studio ac diligentia cauendi sunt, quàm qui in calamitatibus inferendis scelerate ac fraudulenter se gerunt. Quorum scilicet numerum augebat Doëg, cùm falso sermone atque calumnia vsus, Dei sacerdotes obtruncauit. Verùm quænam diuinitus eum pœna consecutura sit, præsens sermo docet, velut ad eum, qui in iniquitate potens sit, loquens: *Propterea Deus destruet te in finem.* Quoniam enim iniquitatem dilexisti, propterea Deus, omnium iudex, primùm quidem te ex elatione atque iactantia detrahet, atque ex sublimi, & elato, humilem & abiectum reddet, ne iam in iniquitate glorieris. Deinde euellet te, & emigrabit te de tabernaculo tuo, & radicem tuam de terra viuentium. Iuxta Symmachum autem, *Destruet te, & abradet te de tentorio tuo, & eradicabit te de terra viuentium in perpetuum: Vt iusti hoc cernentes metuant, cúmque his verbis irrideant: Ecce homo qui non proposuit Deum robur suum, sed fiduciam suam collocauit in multitudine diuitiarum suarum, & calamitati suæ innixus est.* Hæc autem dicta sunt tanquam ad Doëg,

Psal. 56. 5.

Symmachi editio Græca citatur, cuius nomẽ nunquam exprimit Chrysostomus.

A ἀλλὰ καὶ πᾶς ὁ ἐν κακίᾳ δυνατὸς πράξειεν ἄν, δυνάμει κακίας χρώμενος ἀκωλύτως. ὁποῖα δὲ αὐτὸν τὰ ἐκ τῆς τοῦ Θεοῦ κρίσεως μετελεύσεται, ἑξῆς ὁ λόγος διδάσκει φάσκων· διὰ τοῦτο ὁ Θεὸς καθελεῖ σε εἰς τέλος, ἐκτίλαι σε καὶ μεταναστεύσαι σε ἀπὸ σκηνώματός σου, καὶ τὸ ῥίζωμά σου ἐκ γῆς ζώντων. διάψαλμα. ὄψονται δίκαιοι καὶ φοβηθήσονται, καὶ ἐπ' αὐτὸν γελάσονται καὶ ἐροῦσιν· ἰδοὺ ἄνθρωπος, ὃς οὐκ ἔθετο τὸν Θεὸν βοηθὸν αὐτοῦ, ἀλλ' ἐπήλπισεν ἐπὶ τὸ πλῆθος τοῦ πλούτου αὐτοῦ, καὶ ἐνεδυναμώθη ἐπὶ τῇ ματαιότητι αὐτοῦ.

B ὥσπερ ὁ κῆρυξ τῆς ἀληθείας λόγῳ χρώμενος μυρίοις αἴτιος ἐγίνετο σωτηρίας, τὸν αὐτὸν τρόπον καὶ ὁ δυνατὸς ἐν κακίᾳ τῷ αὐτῷ λόγῳ πολλοῖς προξενεῖ θάνατον καὶ ἀπώλειαν, ῥήματα καταποντισμοῦ προφέρων, καὶ ξίφει λογικῷ χρώμενος ἐπ' ἀνθρώπων ἀπωλείᾳ· καὶ μάλιστα, ὅτε μὴ μόνον σώματα ταῖς αὐτοῦ διαβολαῖς ἀναιρεῖ, ἀλλὰ καὶ ψυχὰς αὐτὰς γλώσσῃ δολίᾳ καταβαλὼν ἐπὶ ψευδεῖς καὶ ἀθέους δόξας. διὸ λέλεκταί που· οἱ υἱοὶ ἀνθρώπων, οἱ ὀδόντες αὐτῶν ὅπλα καὶ βέλη, καὶ ἡ

C γλῶσσα αὐτῶν μάχαιρα ὀξεῖα· οὓς δεῖ φυλάττεσθαι μᾶλλον, ἢ τοὺς ἐν ταῖς συμφοραῖς κακουργοῦντας· ὧν εἷς ἐστὶ καὶ ὁ Δωήκ, ὅτι ψευδεῖ λόγῳ καὶ διαβολῇ χρησάμενος τοὺς ἱερέας ἀνεῖλε τοῦ Θεοῦ. ἀλλ' ὁποία τὸν τοιοῦτον ἡ ἐκ Θεοῦ μετελεύσεται δίκη, ὁ παρὼν διδάσκει λόγος, ὡς πρὸς τὸν δυνατὸν ἐν κακίᾳ φάσκων· διὰ τοῦτο ὁ Θεὸς καθελεῖ σε εἰς τέλος. ἐπεὶ γὰρ ἠγάπησας κακίαν, τούτου χάριν αὐτὸς ὁ τῶν ἁπάντων κριτὴς Θεὸς πρότερον μὲν σε τῆς ἐπάρσεως καὶ τῆς μεγαλαυχίας

D καθελεῖ, καὶ ἀντὶ ὑψηλοῦ ταπεινὸν ποιήσει, ὡς ἂν μηκέτι καυχᾷ ἐν κακίᾳ· εἶτα δὲ, ἐκτίλαι σε καὶ μεταναστεύσαι σε ἀπὸ σκηνώματός σου, καὶ τὸ ῥίζωμά σου ἐκ γῆς ζώντων. κατὰ δὲ τὸν Σύμμαχον, καθελεῖ σε, φησι, καὶ ἀποξύσαι σε ἀπὸ τῆς σκηνῆς σου, καὶ ἐκριζώσαι σε ἐκ γῆς ζώντων εἰς ἀεί· ἵνα βλέποντες δίκαιοι φοβῶνται καὶ καταγελῶσιν αὐτοῦ λέγοντες· ἰδοὺ ἄνθρωπος, ὃς οὐ προέταξε τὸν Θεὸν ἰσχὺν αὐτοῦ, ἀλλ' ἐπεποίθησε τῷ πλήθει τοῦ πλούτου αὐτοῦ, καὶ ἐπηρείσατο τῇ συμφορᾷ αὐτοῦ. λέλεκται δὲ ταῦτα ὡς πρὸς τὸν Δωήκ,

ὄντα μὲν Σύρον τὸ γένος, ἀναγραφέντα δὲ ἐν μέσῳ τοῦ Ἰσραὴλ, καὶ που τάχα καὶ παρεμβάλλοντα μετὰ τοῦ πλήθους εἰς τὴν πόλιν τοῦ Θεοῦ, θεοσέβειάν τε προσποιούμενον· εἴρηται δὲ καὶ πρὸς πάντα τὸν ἐν κακίᾳ δυνατὸν, τῇ γλώττῃ χρώμενον ἀντὶ ξίφους ἐπὶ ψυχῶν ἀπωλείᾳ· ὃν ὥσπερ τινὰ πικρὰν καὶ λυμαντικὴν ῥίζαν ὁ τῶν ψυχῶν γεωργὸς ἐκτίλαι, κἂν δόξῃ πρὸς βραχὺ ἵνα χρόνον ἐν τῷ σκηνώματι τοῦ Θεοῦ, καὶ ἐν τῇ ἐκκλησίᾳ αὐτοῦ πεφυτεῦσθαι. ἐκτμηθεὶς δὲ ὁ τοιοῦτος καὶ μακρὰν ἀπορριφεὶς τοῦ τῶν ἁγίων σκηνώματος, θέαμα κείσεται οἰκτρὸν ἐπ' ὠφελείᾳ καὶ σωφρονισμῷ τῶν ὁρώντων, οἳ τὴν ἀπότομον τοῦ Θεοῦ κατὰ τοῦ τοιούτου κρίσιν ὀφθαλμοῖς παραβαλόντες, ἀγωνιάσουσι καὶ φυλάξονται μὴ τοῖς ὁμοίοις περιπεσεῖν. εἶτα ἀναφέροντες τῇ μνήμῃ τὴν πρότερον τοῦ δυνατοῦ ἐν κακίᾳ μεγαλαυχίαν, τό τε ὕψος, καὶ τὴν ὑπερηφανίαν αὐτοῦ, ὁρῶντες δὲ καὶ τὴν μετὰ ταῦτα μετελθοῦσαν αὐτὸν ταπείνωσίν τε καὶ ἀπώλειαν, καταγέλαστον αὐτὸν ἡγήσονται, ἐξ οἵων εἰς οἷα κακὰ ἐμπέπτωκε θεώμενοι· ἀποδέξονται δὲ τοῦ Θεοῦ τὴν κρίσιν, δικαίαν αὐτὴν εἶναι ὁμολογοῦντες. εἶτα καὶ τὰς αἰτίας διελεύσονται δι' ἃς ταῦτα πέπονθεν ὁ ἀσεβὴς, δικαιοῦντες τὴν τοῦ Θεοῦ κρίσιν. δέον γὰρ μὴ ἐπὶ πλούτῳ μεγαφρονεῖν, μηδὲ ἐπὶ τῇ ματαιότητι τοῦ παρόντος βίου ἐπαίρεσθαι, μόνον δὲ τὸν Θεὸν ἐλπίδα καὶ βοηθὸν αὐτοῦ τίθεσθαι, καὶ ἐπὶ ταύτῃ σαλεύειν τῇ ἐλπίδι, ὁ δὲ τὴν μὲν ἀγαθὴν ἐλπίδα τῆς ἑαυτοῦ σωτηρίας καταλέλοιπεν, ἐπὶ δὲ ματαίῳ πλούτῳ τὰς ἐλπίδας ἀναρτήσας, πλέον οὐδὲν ἢ γέλωτα ὀφλήσας ἐπὶ τῇ αὐτοῦ ματαίᾳ καὶ ἄφρονι μεγαλαυχίᾳ. ἐγὼ δὲ, ὡσεὶ ἐλαία κατάκαρπος ἐν τῷ οἴκῳ τοῦ Θεοῦ, ἤλπισα ἐπὶ τὸ ἔλεος τοῦ Θεοῦ εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. ἐξομολογήσομαί σοι εἰς τὸν αἰῶνα, ὅτι ἐποίησας, καὶ ὑπομενῶ τὸ ὄνομά σου, ὅτι χρηστὸν ἐναντίον τῶν ὁσίων σου. ὁ μὲν ἐν κακίᾳ δυνατὸς ὁποίου τέλους τεύξεται, διὰ τῶν εἰρημένων μεμαθήκαμεν· ἐγὼ δὲ, φησὶν, ὁ Δαβὶδ, ταῦτα παιδευθεὶς, πρὸς τοῦ ἁγίου πνεύματος, οὔτε ἐπὶ πλήθει πλούτου προσκαίρου ἐπαρθείην ἄν ποτε, οὔτε ἐπὶ ματαιότητι τοῦ θνητοῦ βίου (ματαιότης γὰρ ματαιοτήτων,

A qui, quanquam genere Syrus esset, tamen in Israelitici populi medio versabatur, atque etiam fortasse cum promiscua plebe in Dei ciuitatem ingrediebatur, diuini cultus speciem præ se ferens. Dicta sunt etiam ad quemlibet hominem, qui improbitate potens est, ac lingua loco gladij ad animarum perniciem abutitur: quem, velut amaram ac pestiferam quandã radicem, animarum agricola euellet, etiamsi ad breue aliquod temporis spatium in Dei tabernaculo, ipsiúsque Ecclesia consitus esse videatur. Excisus autem huiusmodi homo, procúlque à sanctorum tabernaculo abiectus, miserandum spectaculum B præbebit, ad intuentium vtilitatem, & castigationem, qui seuerum aduersus eiusmodi hominem iudicium oculis vsurpantes, in metu & sollicitudine versabuntur, cauebúntque ne in easdem calamitates incidant. Ac postea, priorem eius, qui in iniquitate potens erat, gloriam atque arrogantiam memoria recolentes, ipsiúsque sublimitatem, & superbiam, atque item depressionem eam, & exitium illud, quod eum postea persecutum est, conspicientes, eum risu ac ludibrio dignum existimabunt, nimirum ex quam florenti statu in quæ mala prolapsus sit, intuentes Dei etiam C iudicium comprobabunt, iustum videlicet ipsum esse confitentes. Ac postea causas etiam, ob quas ipsius hæc perpessus sit, exponent, Dei sententiam æquam esse asserentes. Nam cùm neminem ob diuitias magnificè de se sentire, nec ob præsentis vitæ vanitatem animis efferri, verùm spem suam, atque auxilium in Deo positum, & constitutum habere oporteat, hic contrà, bonam salutis suæ spem deseruit, atque in diuitiarum vanitate spe sua suspensa, nihil aliud quàm ob inanem suam, & stultam iactantiam, ridendum sese propinauit.

D 8. *Ego autem sicut oliua fructifera in domo Dei, speraui in misericordia Dei in æternum, & in seculum seculi.* 9. *Confitebor tibi in seculum, quia fecisti: & expectabo nomen tuum, quia bonum est in conspectu sanctorum tuorum.* Quemnam finem consecuturus sit, qui in iniquitate potens est, ex iis quæ dicta sunt, intelleximus. Ego autem, inquit Dauid, cùm hæc à Spiritu sancto didicerim, nec ob fluxarum opum copiam, nec ob mortalis vitæ vanitatem (vanitas enim vanitatum, *Eccl. 1.*

& omnia vanitas) vnquam animo efferar. Quin potius viam eius, qui in iniquitate potens est, fugiens, linguam meam ac verba, non ad aliorū pestem atque interitum, verùm ad animarum vtilitatem acuam, ac fructiferæ oliuæ instar, huiusmodi hominibus saluti ero. Atque in reliquis actionibus ita floridus ac fœcundus existam, vt anima mea plantæ perpetuò virenti ac maxima feracitate præditæ, in Dei domo plantatæ comparetur. Propterea dico: *Ego autem sicut oliua fructifera in domo Dei*. Vel, iuxta Symmachum, *Ego autem sicut oliua virens in domo Dei*. Neque enim à diuina domo oculos deieci: verum intus in ea, tanquam in Dei aruo, consitus, ac fontis illius, qui in diuina domo est, laticibus fruens, ferax, & virens redditus sum, ad exemplum videlicet oleæ, quæ de his rebus, quæ perpetuò virent, vsurpari solet. Illud autem obserua, quòd Dauid, cùm hæc verba haberet, neque in Hierusalem, quam Iudæi domum Dei esse existimabant, erat, (necdum enim ædificata erat) neque item in tabernaculo eo, quod à Mose constructum fuerat, quod etiam tum apud Iudæos erat: (siquidem Saulem fugiens, apud alios ætatem agebat:) nihilominus tamen haud nescius erat se in domo Dei plantatum esse, nimirum per domum Dei piam viuendi rationem intelligens. Ac quoniam ferax erat, non sterilis, nec caducos, verùm suaues, atque ingenti benignitate ac misericordia plenos fructus ferens, meritò proinde fructiferæ oleæ comparabatur. Quo videlicet exemplo misericordia erga proximos, atque humanitas erga omnes designatur. Quocirca, vt tot tantisque bonis abundans, deinceps subiungit, *Speraui in misericordia Dei in æternum, & in seculum seculi*. Siquidem eius, qui in iniquitate potens est, finem euulsionem & exitium fore dixerat. Futurum enim esse, vt radix illa, quæ amaros fructus afferebat, à summo illo agricola euelleretur: ipse autem, vt oliua fructifera in domo Dei, sperauit in misericordia Dei in æternum, & in seculum seculi: immortalitatem nempe ac sempiternam vitam à bona spe referens, à qua nunquam deijcietur. Spes enim, vt est apud Apostolum, non confundit.

Rom. 5.

τὰ πάντα ματαιότης) ἀλλὰ καὶ φεύγων τὴν ὁδὸν τοῦ δυνατοῦ ἐν κακίᾳ, τὴν ἐμαυτοῦ γλῶτταν καὶ τὰ ῥήματα οὐκ εἰς ἀπώλειαν ἑτέρων ἀκονήσω, ἀλλ' ἐπ' ὠφελείᾳ ψυχῶν· ἔσομαι ὡσεὶ ἐλαία κατάκαρπος, εἰς σωτηρίαν τῶν τοιούτων· καὶ ταῖς λοιπαῖς δὲ πράξεσιν οὕτως ἀνθηρὸς εὐθαλὴς καὶ εὔκαρπος, ὡς παραβάλλεσθαί μου τὴν ψυχὴν ἀειθαλεῖ καὶ πολυκάρπῳ φυτῷ ἐν οἴκῳ Θεοῦ πεφυτευμένῳ. διό φημι, ἐγὼ δὲ ὡσεὶ ἐλαία κατάκαρπος ἐν τῷ οἴκῳ τοῦ Θεοῦ· ἢ κατὰ τὸν Σύμμαχον, ἐγὼ δὲ ὡσεὶ ἐλαία εὐθαλὴς ἐν τῷ οἴκῳ τοῦ Θεοῦ. οὐδὲ γὰρ ἀπεῖδον τοῦ οἴκου τοῦ Θεοῦ, ἀλλ' ἔνδον ἐν αὐτῷ, ὥσπερ ἐν γεωργίῳ Θεοῦ πεφυτευμένος, καὶ τῶν ναμάτων τῆς ἐν τῷ οἴκῳ τοῦ Θεοῦ πηγῆς ἀπολαύων, πολύκαρπος ἐγενόμην καὶ εὐθαλής, κατὰ τὸ παράδειγμα τὸ τῆς ἐλαίας φυτοῦ, ὅπερ ἐν τοῖς ἀειθαλέσι παρείληπται. τήρει δὲ, ὅτι ταῦτα λέγων ὁ Δαβὶδ οὐκ ἐπὶ τῆς Ἱερουσαλὴμ ἐτύγχανεν, ἣν ἐνόμιζον οἱ Ἰουδαίων παῖδες οἶκον τοῦ Θεοῦ (οὐδὲ γὰρ ᾠκοδόμητο αὕτη) ἀλλ' οὐδὲ ἐν τῇ σκηνῇ τῇ ὑπὸ Μωϋσέως κατεσκευασμένῃ τῇ ἔτι τότε παρὰ Ἰουδαίοις οὔσῃ (φεύγων γὰρ τὸν Σαοὺλ περὶ ἑτέρους τόπους διατρίβειν ἐποιεῖτο) ὅμως δὲ οὕτως οὐκ ἠγνόει ἑαυτὸν ἐν τῷ οἴκῳ τοῦ Θεοῦ πεφυτεῦσθαι, οἶκον Θεοῦ νοῶν τὸ θεοσεβὲς πολίτευμα. καὶ ἐπειδήπερ κατάκαρπος ἦν, ἀλλ' οὐκ ἄκαρπος, οὐδὲ πικροὺς φέρων καρπούς, γλυκεῖς δὲ καὶ πολλῆς γέμοντας φιλανθρωπίας, εἰκότως ἐλαίας φυτῷ καλλικάρπῳ παρεβάλλετο, τὸν εἰς τοὺς πέλας ἔλεον σημαίνοντος καὶ τὴν εἰς ἅπαντας φιλανθρωπίαν τοῦ παραδείγματος. ὡς οὖν τοσούτοις βρύων ἀγαθοῖς ἀκολούθως ἐπιλέγει· ἤλπισα ἐπὶ τὸ ἔλεος τοῦ Θεοῦ εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. τοῦ μὲν γὰρ ἐν κακίᾳ δυνατοῦ τὸ τέλος, ἐκρίζωσιν αὐτοῦ, καὶ ἀφανισμὸν ἔλεγεν εὑρεῖν· ἢ γὰρ τὴν τῶν πικρῶν ποιητικὴν ῥίζαν καρπῶν, παρὰ τοῦ τῶν ὅλων Θεοῦ γεωργοῦ ἐκτίλλεσθαι. ὁ δὲ, ὡς ἐλαία κατάκαρπος ἐν τῷ οἴκῳ τοῦ Θεοῦ, ἤλπισεν ἐπὶ τὸ ἔλεος τοῦ Θεοῦ εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, ἀθανασίαν καὶ ζωὴν αἰώνιον προσδεχόμενος ἀπὸ τῆς ἀγαθῆς ἐλπίδος, ἧς οὔποτε ἐκπίπτει. ἡ γὰρ ἐλπὶς, κατὰ τὸν ἀπόστολον, οὐ καταισχύνει.

εἶθ', ὡς ἐπ' ἀγαθοῖς καρποῖς, ἀγαθὰς ἐλπίδας ἑαυτῷ ὑποτυπωσάμενος, τὴν αἰτίαν ἐξάπτει τῷ πάντων ἀγαθῶν χορηγῷ· ἐξομολογήσομαί σοι εἰς τὸν αἰῶνα, ὅτι ἐποίησας. οὐ γὰρ ἐγώ, φησιν, ἐποίησα ἐμαυτὸν ὡς ἐλαίαν κατάκαρπον, ἀλλὰ σὺ ἐποίησας· παρὰ σοῦ γὰρ ἡ χάρις. διὸ οὔποτε παύσομαί σοι τὴν χάριν εἰδὼς καὶ σοι ἐξομολογούμενος. ἅπαξ δὲ ἐλπίσας ὅτι τὸ ἔλεος τοῦ Θεοῦ, ὑπομενῶ τὸ ὄνομα αὐτοῦ. τῆς γὰρ ἀγαθῆς ἐλπίδος ὑποκειμένης, ὑπομονῆς ἡμῖν χρεία. διὸ ὑπομενῶ τὸ ὄνομά σου, φησιν, ὅτι χρηστὸν ἐναντίον τῶν ὁσίων σου· ἢ κατὰ τὸν Σύμμαχον, ὅτι ἀγαθὸν τὸ ὄνομά σου ἀντικρὺ τῶν ὁσίων σου. εἰδὼς οὖν, ὅτι ἀγαθόν ἐστι, καὶ ἀγαθῶν ποιητικὸν οὐ τοῖς δυνατοῖς ἐν κακίᾳ, οὐδὲ τοῖς ἀποβλήτοις τῶν ζώντων, ἀλλὰ τοῖς σοῖς ὁσίοις, εἰκότως ὑπομενῶ τὸ ὄνομά σου, εὔελπις ὢν μήποτε ἐκπεσεῖν τοῦ ἐλέους. οὕτως οὖν ἤλπισα ἐπ' αὐτὸν εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ πάντα πρὸς τὸ συμφέρον οἰκονομοῦντος Χριστοῦ τοῦ Θεοῦ ἡμῶν· ᾧ ἡ δόξα σὺν τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι, νῦν καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Deinde, vt qui ob bonos fructus, bonas spes animo sibi finxisset, causam bonorum omnium largitori ascribit. *Confitebor tibi in seculum, quia fecisti.* Non enim, inquit, ego meipsum tanquam oliuam fructiferam effeci: sed tu talem me reddidisti. Nam abs te gratia proficiscitur. Quare nunquam tibi gratias agere, tuásque laudes prædicare desinam. Cùm autem semel in Dei misericordia sperauerim, ipsius nomen expectabo. Nam cùm bona spes proposita sit, patientia nobis opus est. Quamobrem expectabo nomen tuum, inquit, quoniam bonum est in conspectu sanctorum tuorum, vel iuxta Symmachum, *Quia bonum est nomen tuum è regione sanctorum tuorum.* Cùm igitur mihi sit exploratum, illud bonum esse ac bonorum efficiens, non iis, qui iniquitatis opibus pollent, neque reiectaneis hominibus, sed sanctis tuis, idcirco nomen tuum meritò expectabo, bona spe fretus, fore, vt nunquam à misericordia tua excidam. Sic igitur in ea speraui in æternum, & in seculum seculi, per benignitatem Christi Dei nostri, omnia ad vtilitatem administrantis, cui gloria cum patre & Spiritu sancto, nunc, & semper, & in secula seculorum, Amen.

Εἰς τὸν ϟε' ψαλμόν.

Ἄσατε τῷ κυρίῳ ᾆσμα καινόν, ᾄσατε τῷ κυρίῳ πᾶσα ἡ γῆ.

ΚΑΛΟΝ ἡμῖν ὡς ἀληθῶς καὶ θαυμάσιον ὕμνον διὰ τῆς πνευματικῆς ἀνεκρούσατο λύρας ὁ ὑμνογράφος Δαβίδ, διὰ μὲν τῆς προφητικῆς γλώττης τὸν εὐαγγελικὸν ὑφαίνων λόγον, διὰ δὲ τῶν ἀρχαίων λόγων τὰ καινὰ πράγματα σημαίνων. τί γὰρ ἐβόησεν; ὡς ἀρτίως ἀκηκόαμεν, ᾄσατε τῷ κυρίῳ ᾆσμα καινόν, ᾄσατε τῷ κυρίῳ πᾶσα ἡ γῆ. σκόπησον, ἀγαπητέ, εὐσεβῶς, καὶ νόησον, ὅπως τὰ προφητικὰ τοῖς εὐαγγελικοῖς συναπτῶν ῥήμασι, μίαν ἐργάζεται τῶν δογμάτων τὴν συμφωνίαν. ᾄσατε, φησι, τῷ κυρίῳ ᾆσμα καινόν. ἴσμεν,

IN PSALMVM XCV.

Cantate Domino canticum nouum, cantate Domino omnis terra, & de eleemosyna, Homilia.

Des. Erasmo interprete.

EGREGIVM vereque mirandum hymnum spirituali lyra nobis resonuit hymnographus Dauid, dum prophetica lingua sermonem texuit euangelicum, & antiquis sermonibus nouas res significauit. Quid enim insonuit? Quemadmodum modò audiuimus. *Cantate Domino canticum nouum, cantate Domino omnis terra.* Considera charissime piéque contemplare, vt prophetiam verbis adaptans euangelicis, eundem reddat sententiarum dogmatúmque concentum. Cantate, inquit, Domino canticum nouum.

Scimus fratres, quòd nouum canticum à vetere distinguitur. Quærendum igitur quod sit argumentum cantici veteris, quod noui: hoc pacto ex rerum differentia consequi poterimus veritatis intellectum. Primum omniúmque vetustissimum canticum ad mare rubrum decantatum est: quo tempore admirandus ille Moyses virtute diuina transiit mare, ac pelagus vertit in terram, & canticum resonans dicebat: Cantemus Domino, gloriosè enim glorificatus est: equum & conscensorem proiecit in mare. Fuit & aliud vetus canticum à beata Debbora decantatum, quum prostratis in bello hostibus, pro maximo quopiam trophæo erexit hymnum victorialem. Inuenies & aliud canticum in deserto cantatum, quum puteum repetissent filij Israël, nouóque beneficio frui contigisset. Quin insuper multam veteris cantici mentionem inuenire licet iis qui verè syncerèque versantur in sacris literis. Oportet igitur iam & recens illud, & nouum quærere canticum, quam vim habeat, & quid proponat nobis contemplandum. Hic mihi diligenter attende. Vetus canticum vnius populi finibus circumscriptum erat, vnóque climate continebatur, videlicert Palæstinæ, neque fas erat populo extra illud clima vetus efferre canticum, sed quum populus esset vnus, vnáque gens, vno loco, vnóque climate tum canticum, tum religio vetus erat circumscripta. Testatur quod dico, etiam beatus Dauid, sic alicubi loquens sub persona Iudæorum, qui erant in Babylonem abducti: Quomodo cantabimus canticum Domini in terra aliena? Vides quòd non fuerit concessum veteri cantico per omnem ire terrā quæ sub cœlo est, sed hymnum quoque attributum fuisse nationi. Sed repetamus ea quæ dixerūt in Babylone versantes. Tunc interrogauerunt nos qui captiuos duxerunt nos, verba cantionum, & qui abduxerunt nos, hymnum cantate nobis de canticis Sion. Dein lege circumscripti, vetitique ne in terra peregrina canerent diuina cantica, respondent: Quomodo cantabimus canticum Domini in terra aliena? Vetus itaque canticum adeò angustis finibus circumscribebatur, quemadmodum modò dicebam, intra populum

Exod. 15. *Iudic. 5.* *Num. 21.* *Vetus canticum circūscriptum.* *Psal. 136. 5.* *Ibidem.*

A ἀδελφοί, ὅτι τὸ καινὸν ᾆσμα παρὰ τὸ παλαιὸν ἀντιδιαστέλλεται. ἀναγκαῖον δὲ ζητῆσαι τί μὲν ᾆσμα τὸ παλαιόν, τί δὲ τὸ καινὸν ὑποτίθεται. οὕτω γὰρ ἐκ τῆς τῶν πραγμάτων διαφορᾶς δυνησόμεθα καταλαβεῖν τῆς ἀληθείας τὴν ἔννοιαν. τὸ τοίνυν πρῶτον καὶ πάντων ἀρχαιότατον ᾆσμα ἐπὶ τῆς ἐρυθρᾶς θαλάσσης ᾔδετο, ὅτε Μωϋσῆς ἐκεῖνος ὁ θαυμάσιος θείᾳ δυνάμει τὴν θάλασσαν ἐπέρασε, καὶ γῆν ἐποίησε τὸ πέλαγος, καὶ ᾆσμα ἀνακρουσάμενος ἔλεγεν, ᾄσωμεν τῷ κυρίῳ· ἐνδόξως γὰρ δεδόξασται, ἵππον καὶ ἀναβάτην ἔρριψεν εἰς θάλασσαν. B ἐλέχθη καὶ ἄλλο παλαιὸν ᾆσμα ὑπὸ τῆς μακαρίας Δεβόρρας, ὁπηνίκα τροπωθέντων ἐν τῷ πολέμῳ τῶν ἐναντίων, οἷόν τι μέγιστον ἤγειρε τρόπαιον, τὸν ἐπινίκιον ὕμνον. εὑρήσεις καὶ ἄλλο παλαιὸν ᾆσμα ἐν τῇ ἐρήμῳ γινόμενον, ὅτε τὸ φρέαρ εὗρον οἱ υἱοὶ Ἰσραήλ, καὶ τῆς ξένης ἀπήλαυον χάριτος. καὶ πλείω ἔστιν εὑρεῖν λόγον τοῦ παλαιοῦ ᾄσματος τοῖς γνησίως καὶ εἰλικρινῶς ταῖς ἁγίαις ἐντυγχάνουσιν. ἀναγκαῖον δὲ λοιπὸν ζητῆσαι, τὸ νέον τοῦτο καὶ καινὸν ᾆσμα ποίαν ἔχει δύναμιν, καὶ ποίαν ὑποτίθεται θεωρίαν. καί C μοι πρόσεχε ἀκριβῶς. τὸ παλαιὸν ᾆσμα ἑνὶ περιωρίζετο λαῷ, καὶ εἰς ἓν περιεγέγραπτο κλίμα, τὸ τῆς Παλαιστίνης, καὶ οὐκ ἐπετέτραπτο τῷ λαῷ ἐκτὸς τοῦ κλίματος ἐκείνου τὸ παλαιὸν ᾆσμα προφέρειν. ἀλλ' ἐπειδὴ λαὸς εἷς ἦν, καὶ ἔθνος ἕν, ἑνὶ τόπῳ καὶ κλίματι καὶ τὸ ᾆσμα καὶ ἡ λατρεία ἡ παλαιὰ περιωρίζετο. μαρτυρεῖ δὲ τῷ λόγῳ καὶ ὁ μακάριος Δαβίδ, ὧδε ἐπιλέγων ἐκ προσώπου τῶν εἰς τὴν Βαβυλῶνα παραληφθέντων Ἰουδαίων· πῶς ᾄσωμεν τὴν ᾠδὴν κυρίου D ἐπὶ γῆς ἀλλοτρίας; ὁρᾷς ὡς οὐκ ἐπιτέτραπτο τῷ παλαιῷ ᾄσματι διὰ πάσης χωρεῖν τῆς ὑπ' οὐρανὸν, ἀλλὰ τῷ ἔθνει καὶ ὁ ὕμνος συνεπεγράφετο; ἀλλὰ πάλιν ἐπαναλάβωμεν τὰ λαληθέντα παρὰ τῇ Βαβυλῶνι. τότε ἠρώτησαν ἡμᾶς οἱ αἰχμαλωτεύσαντες ἡμᾶς λόγους ᾠδῶν, καὶ οἱ ἀπαγαγόντες ἡμᾶς ὕμνον· ᾄσατε ἡμῖν ἐκ τῶν ᾠδῶν Σιών. εἶτα τῷ νόμῳ περιγεγραμμένοι, καὶ κωλυόμενοι ἐπὶ τῆς ἀλλοδαπῆς τὰ θεῖα ᾄδειν, ἀποκρίνονται· πῶς ᾄσωμεν τὴν ᾠδὴν κυρίου ἐπὶ γῆς ἀλλοτρίας; τὸ μὲν οὖν παλαιὸν ᾆσμα οὕτω διαρρήδην περιεγέγραπτο, ὡς ἔφθην εἰπών, τῷ τε λαῷ καὶ

τῷ κλίματι· τὸ δὲ νέον ᾆσμα διὰ πάσης χώρας τῆς ὑπ' οὐρανὸν, καὶ ὑπὸ πάσης ᾄδεται τῆς οἰκουμένης. διὰ τοῦτο καὶ ὁ προφήτης εἰπὼν, ᾄσατε τῷ κυρίῳ ᾆσμα καινὸν, εὐθέως ἐπήγαγεν, ᾄσατε τῷ κυρίῳ πᾶσα ἡ γῆ. ὅρα πῶς δείκνυσιν ἀποδιαστελλόμενον τὸ ᾆσμα τὸ καινὸν πρὸς τὸ παλαιὸν ἐκεῖνο καὶ περιγεγραμμένον. καὶ ἵνα μή τις στοχασμοῖς ἀνθρωπίνοις ἀμβλυνὴ τὴν θεωρίαν, οὐκ ἐσιώπησεν οὔτε τῆς εὐαγγελικῆς χάριτος τὴν ἐνέργειαν· ἀλλ' εἰπὼν, ᾄσατε τῷ κυρίῳ πᾶσα ἡ γῆ, πάλιν ἐπήγαγεν, εὐαγγελίζεσθε ἡμέραν ἐξ ἡμέρας τὸ σωτήριον αὐτοῦ. ὁποῖον σωτήριον; ἢ δῆλον ὅτι τὴν πολυύμνητον τοῦ σωτῆρος οἰκονομίαν λέγει, ὅτι Θεὸς ἐν ἀνθρώποις ἐγένετο διὰ φιλανθρωπίαν, ὅτι τοῖς κάμνουσιν ἰατρὸς ἐπεδήμησεν, ὅτι τοῖς ἐσκοτισμένοις τὸ φῶς ἐπέλαμψεν, ὅτι τοῖς πεπλανημένοις ἡ ὁδὸς ἐπεφάνη, ἡ ὁδὸς ἐκείνη ἡ σήμερον βοῶσα διὰ τῶν εὐαγγελίων, ἐγώ εἰμι ἡ ὁδὸς, καὶ ἡ ἀλήθεια, καὶ ἡ ζωή. ἀναγκαῖον δὲ, ἀδελφοὶ, μαθεῖν τίνος ἕνεκεν τὸ παλαιὸν ὁ Θεὸς περιέγραφε τὸν λαὸν ἐν τόπῳ καὶ κλίματι. διὰ τί δὲ οὐκ ἐπέτρεπε τῷ λαῷ ἐκείνῳ ἀνὰ πᾶσαν τὴν γῆν ᾄδειν τὰ θεῖα; ἐκεῖνο γὰρ δεῖ πρότερον εἰδέναι καλῶς, ὅτι Θεὸς οὐ τρέπεται, οὐ μεταβάλλεται, οὐδ' ἀφ' ἑτέρας εἰς ἑτέραν μετατίθεται γνώμην. οὔ ποτε μὲν τοῦτο δοκιμάζει, ποτὲ δὲ ἕτερον· ἀλλ' αὐτὸς μὲν ὢν ἄτρεπτος καὶ ἀναλλοίωτος, ἁρμόζεται πρὸς τὴν ἀσθένειαν τὴν ἀνθρωπίνην. λαλεῖ Θεὸς, ἀδελφοὶ, καὶ νομοθετεῖ πολλάκις οὐχ ὡς αὐτὸς δύναται, ἀλλ' ὡς ἡμεῖς ἀκούειν δυνάμεθα. ἐδύνατο καὶ διὰ τοῦ παλαιοῦ ᾄσματος ἐξάψαι τὴν λαμπάδα τοῖς ἔθνεσιν, ἀλλ' οὐκ ἦσαν οἱ μεταχειριζόμενοι τὴν λαμπάδα εὔτονοι πρὸς τὸ τῆς εὐσεβείας κήρυγμα. εἰ γὰρ αὐτοὶ λαβόντες μὴ κατέσχον τὸν τῆς εὐσεβείας λόγον, πῶς εἰς ἄλλους διαδοῦναι τὸν τῆς εὐσεβείας νόμον ἠδύναντο; ἀλλ' ἐπειδὴ ὁ λαὸς νωθρὸς καὶ ἄπιστος ἦν, καὶ ταχέως τοῖς ἐθνικοῖς ὑπαγόμενος μιάσμασιν, ἐνὶ περιορίζεται τόπῳ, ἵνα δυνηθῇ τὸ καθ' ἑαυτὸν ἀσκεῖσθαι τὸν τῆς εὐσεβείας νόμον. τοῦτο ποιεῖ καὶ ἀνὴρ πολλάκις τῶν καθ' ἡμᾶς ἕκαστος. ἐπειδὰν ἔχῃ ὕποπτον γυναῖκα, περιορίζει αὐτὴν τόπῳ, καὶ θαλάμοις ἐναποκλείῃ, καὶ εὐνούχους περιίστησι, καὶ

A vnum, vnámque regionem, sed nouum per omnem terram incedit quæ sub cœlo est, & ab vniuerso decantatur orbe: eóque Propheta quum dixisset: Cantate Domino canticum nouum: protinus adiecit: Cantate Domino omnis terra. Vide quomodo explicat donum, vide quomodo dilatat theologiam, vide quomodo ostēdit discrimen inter canticum nouum, & vetus illud angustis finibus circumscriptum. Ac ne quis humanis coniecturis huius rei contemplationem debilitet, nec euangelicæ gratiæ vim tacuit: sed cùm dixis-B set: Cantate Domino omnis terra, rursum adiecit: *Annuntiate de die in diem salutare eius.* Quod salutare? profectò liquet, quòd de multis hymnis celebranda seruatoris dispensatione loquitur: quòd Deus amore generis humani, inter homines versatus est: quòd medicus ad ægrotantes aduenerit: quòd caligantibus lux affulserit: quòd errantibus apparuerit via, illa inquam via, quæ & hodie clamat in euangeliis, Ego sum via, veritas, & vita. Sed operæ pretium est fratres discere, quam ob causam Deus C olim populum illum loco & climate circumscripserit, tum cur illi non permiserit per vniuersam terrā canere laudes diuinas. Nam illud oportet in primis pulchrè nosse, quòd Deus non vertitur, nec immutatur, nec ab vna sententia in aliam dimouetur, vt nunc hoc decernat, nunc diuersum: sed quòd quum ipse maneat immotus & immutabilis, sese ad humanam attemperat imbecillitatem. Crebrò, fratres, loquitur Deus, ac leges præscribit, non vt ipse potest, sed vt nos capere valemus. Poterat & per vetus canticum accen-D dere lucernam gentibus: sed non erant qui lucernam manibus attingerent, validi ad pietatis prædicationem. Etenim si qui acceperunt, non obtinebant pietatis sermonem, quîpotuissent in alios pietatis legem transfundere? Verum quoniam populus ille segnis erat & incredulus, vt facilè gentium abominationibus seductus sese submitteret, vno loco septus est, quò posset solus apud se exercere pietatis legem. Id facit frequenter & maritorum hominum quisque, quoties vxorem habet suspectam, circumscribit illam vno loco, thalamísque includit, eunuchos adhibet, &

Ioan. 14. 6.

Deus nostrâ se attemperat imbecillitati.

Comparatio simili.

omnem apponit custodiam: in summa, A nihil non facit curátque eorum quæ seruant pudicitiam, eò quòd illa non habet verum amorem, pudicæ mentis custodiam, quæ castæ fœminæ solet esse familiaris. Atqui pudicam benéque moratam habet vxorem, à nulla eam progressione prohibet, quippe qui certum pignus habeat, vxoris affectum. Illa prodit in forum, & extinctus est zelus: congreditur cum multis viris, nec vsquam est zelotypiæ morbus, eò quòd pudica mulier secum habeat custodem ac pædagogum, morum integritatem. Quod igitur inter nos homi- B nes geritur, idem facit & Deus. *Deus ita populo, ut vir uxori copulatur.* Ac ne quis dicat incongruam esse similitudinem quam proposui, Deus hoc modo copulatur populo, quo vir vxori, non iuxta corporum vnionem, sed iuxta mentis affectum, ac beneuolentiam. Idem ergo etiam in vetere testamento synagogam alloquens per Prophetam *Osee.2.19.* manifestò dixit: Desponsaui te in iudicio & in misericordia, & in iustitia, & in agnitione. Interpretatus est Dei copulam: Ecquæ tandem est Dei copula? agnitio eius. Nam in humana quidem C copula corpora corporibus applicantur, verum in commistione Dei, anima Deo conglutinatur. Et quemadmodum illic dictum est, & adglutinabitur vxori suæ, & erunt duo in carne vna: sic anima quum Deo verbo vnitur, cla- *Psal.62.8.* mat: Adhæsit anima mea post te, me suscepit dextera tua. Habebat igitur vetus synagoga pro viro legem, quemadmodum hodie testatur Esaias per *Esa.45.* Apostolum loquens, nam prophetica *Galat.4.* voce Paulus vsus est, dicens, sicut scriptum est: Multi filij desertæ magis D quàm eius, quæ habet virum. quoniam igitur synagoga illum virum habuit, videlicet legem, (resumam enim quod dicebam) erat autem suspecta, quòd vbique charitatem Deo debitam proderet idolis, conscientiam habens illorum cultu pollutam: redarguit illam *Hier.3.9.* Deus ita loquens: Et mœchata es cum lapide & ligno, ac mei oblita es, dicit *Ezech.22.11.* Dominus. Quoniam suspectam habebat mentem synagogæ, meritò illam loco circumscribit, templóque veluti thalamo cuidam includit, nequaquam permittens vt quouis loco sibi constituat altare: sed vniuersa quidem Iudæa ac Palæstina erat populi, cæterùm vni-

A πᾶσαν φυλακὴν περιτίθησι, καὶ πάντα ποιεῖ καὶ πραγματεύεται τὰ φυλάττοντα τὴν σωφροσύνην· ἐπειδὴ οὐκ ἔχει τὴν ἀληθῆ φιλανθρωπίαν, καὶ φυλακὴν τὴν ἀπὸ τῆς σώφρονος διανοίας, τὴν σώφρονι συμπολιτευομένην. ὁ δὲ σώφρονα καὶ κοσμίαν ἔχων γυναῖκα, οὐδεμιᾶς αὐτὴν προόδου κωλύει. ἔχει γὰρ ἀσφαλὲς ἐνέχυρον, τὴν διάθεσιν. πρόεισιν ἐπ' ἀγοράς, καὶ ἔσβεσται ὁ ζῆλος· συντυγχάνει πολλοῖς ἀνδράσι, καὶ οὐδαμοῦ ζηλοτυπίας νόσος. ἡ γὰρ σώφρων ἔχει μεθ' ἑαυτῆς φύλακα καὶ παιδα- B γωγόν, τὸν τρόπον. ὅπερ τοίνυν ἐφ' ἡμῶν γίνεται τῶν ἀνθρώπων, τοῦτο ὁ Θεὸς ποιεῖ. καὶ μή τις ἀνάρμοστον εἶναι νομίσῃ τὴν εἰκόνα τῶν προκειμένων. ὁ γὰρ Θεὸς οὕτω προσφέρεται τῷ λαῷ, ὡς ἀνὴρ γυναικί, οὐ κατὰ τὴν τῶν σωμάτων ἕνωσιν, ἀλλὰ κατὰ τὴν διάθεσιν καὶ τὴν εὔνοιαν. ὁ αὐτὸς γοῦν καὶ τῇ παλαιᾷ διαλεγόμενος συναγωγῇ διὰ τοῦ προφήτου, σαφῶς ἔλεγεν· ἐμνηστευσάμην σε ἐν κρίματι, καὶ ἐν ἐλέῳ, καὶ ἐν δικαιοσύνῃ, καὶ ἐν ἐπιγνώσει. τοῦ Θεοῦ ἡρμήνευσε τὴν συνάφειαν. καὶ τίς ἡ συνάφεια Θεοῦ; ἡ ἐπίγνωσις. ἐπὶ μὲν C γὰρ τῆς ἀνθρωπίνης συναφείας σώματα σώμασι συνάπτεται, ἐπὶ δὲ τῆς κατὰ Θεὸν συναφείας, ψυχὴ τῷ Θεῷ κολλᾶται. καὶ ὥσπερ ἐκεῖ εἴρηται, καὶ προσκολληθήσεται πρὸς τὴν γυναῖκα αὐτοῦ, καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν· οὕτως ἡ ψυχὴ ἑνουμένη τῷ Θεῷ λόγῳ, βοᾷ· ἐκολλήθη ἡ ψυχή μου ὀπίσω σου, ἐμοῦ δὲ ἀντελάβετο ἡ δεξιά σου. εἶχεν οὖν ἡ παλαιὰ συναγωγὴ ἄνδρα τὸν νόμον, ὡς μαρτυρεῖ σήμερον Ἡσαΐας διὰ τοῦ ἀποστόλου φθεγξάμενος. τῇ γὰρ προφητικῇ κατεχρήσατο φωνῇ Παῦλος, λέ- D γων· καθὼς γέγραπται, ὅτι πολλὰ τὰ τέκνα τῆς ἐρήμου μᾶλλον, ἢ τῆς ἐχούσης τὸν ἄνδρα. ἐπεὶ οὖν εἶχεν ἐκείνη ἄνδρα τὸν νόμον (ἐπαναλήψομαι γὰρ τὸν λόγον) ὕποπτος δὲ ἦν ὡς πανταχοῦ προδιδοῦσα τὴν εἰς Θεὸν εὔνοιαν τῇ πρὸς τὰ εἴδωλα συνειδήσει, ἐλέγχει γὰρ αὐτὴν ὁ Θεός, λέγων· καὶ ἐμοίχευες τὸν λίθον καὶ τὸ ξύλον, καὶ ἐμοῦ ἐπελάθου λέγει κύριος. ἐπειδὴ ὕποπτον εἶχε τὴν γνώμην ἡ συναγωγή, εἰκότως αὐτὴν περιγράφει τόπῳ, καὶ περικλείει, οἷά τινι θαλάμῳ, τῷ ναῷ, οὐκ ἐπιτρέπων οὔτε θυσιαστήριον ἱστᾶν ἐν παντὶ τόπῳ, ἀλλὰ πᾶσα μὲν ἦν ἡ Ἰουδαία τοῦ λαοῦ καὶ Παλαιστίνη, εἷς δὲ ἦν ὁ τό-

πος ὁ ἔχων τὸ θυσιαστήριον. διὰ τοῦτο καὶ Μωϋσῆς ἰδὼν τὸ ὕποπτον τῆς γυναικός, γυναῖκα δέ πως λέγει τὴν συναγωγὴν ὁ λόγος, εἰδὼς τὸ ὕποπτον τῆς συναγωγῆς, προαναφωνεῖ λέγων. Πρόσεχε ἑαυτῷ Ἰσραήλ, μήποτε ἀνενέγκῃς τὰ ὁλοκαυτώματά σου, καὶ τὰς θυσίας ἐν παντὶ τόπῳ, οὗ ἂν εὕρῃς, ἀλλ' ἢ εἰς τὸν τόπον, ὃν ἂν ἐκλέξηται κύριος ὁ Θεός σου. ὁρᾶτε πῶς περιώρισται· καὶ εἰκότως, ἀδελφοί. Εἰ γὰρ ἐν ἑνὶ τόπῳ δεξαμένη θυσιαστήριον, πάντα τόπον τῆς εἰδωλολατρείας ἐπλήρωσε, καθὼς μαρτυρεῖ κράζων Ἱερεμίας· κατ' ἀριθμὸν τῶν πόλεων ἦσαν οἱ θεοί σου, Ἰούδα, καὶ κατ' ἀμφόδους Ἱερουσαλὴμ ἔθυες τῇ Βάαλ· εἰ τόπον ἕνα λαβοῦσα, πᾶσαν τὴν γῆν ἐπλήρωσε τῆς μοιχείας, εἰ εἰς πᾶσαν ἔλαβεν ἄδειαν, ἐννόησον ὅσην ἔλαβεν ἂν μετῆλθεν ἀκολασίαν. διὰ τοῦτο, ἀδελφοί, καὶ τὸ ᾆσμα περιώρισται τόπῳ, καὶ τὸ θυσιαστήριον τόπῳ, καὶ ὁ λαὸς [illegible] τόπῳ. ἡ δὲ ἐκκλησία ἡ σώφρων, καὶ κόσμιος, καὶ πανταχοῦ τὸν Χριστὸν ἐν αὐτῇ περιφέρουσα, καὶ μυρίους μάρτυρας προσβαλλομένη ὑπὲρ τῆς εἰς τὸν ἄνδρα εὐνοίας, οὐ κωλύεται ἀπὸ τόπων· ἀλλ' ἐν παντὶ θυσιαστήρια, ἐν παντὶ τόπῳ διδασκαλίαι. Ταῦτα προαναφωνεῖ ὁ Θεὸς διὰ τοῦ προφήτου. τὴν γὰρ ἐκκλησιαστικὴν εὐθένειαν σημαίνων, καὶ τὴν ἀγνωμοσύνην τοῦ λαοῦ στηλιτεύων, πρὸς ἐκείνους φησίν· Οὐκ ἔστι μου θέλημα ἐν ὑμῖν, λέγει κύριος παντοκράτωρ, καὶ θυσίας οὐ προσδέξομαι ἐκ τῶν χειρῶν ὑμῶν. διότι ἀπὸ ἀνατολῶν ἡλίου μέχρι δυσμῶν τὸ ὄνομά μου δεδόξασται ἐν τοῖς ἔθνεσι, καὶ ἐν παντὶ τόπῳ θυσία προσάγεται τῷ ὀνόματί μου, καὶ θυσία καθαρά. ὁρᾶτε πῶς λαμπρῶς καὶ περιφανῶς τὴν μυστικὴν ἑρμηνεύουσι τράπεζαν, τὴν ἀναίμακτον θυσίαν. θυμίαμα δὲ λέγει καθαρὸν τὴν προσευχὴν τὴν ἁγίαν τὴν μετὰ τῆς θυσίας ἀναφερομένην. ἐκεῖνο γὰρ Θεὸν ἀναπαύει τὸ θυμίαμα, οὐ τὸ ἀπὸ τῶν ῥιζῶν γηΐνων λαμβανόμενον, ἀλλὰ τὸ ἀπὸ καθαρᾶς καρδίας ἀναπεμπόμενον θυμίαμα. κατευθυνθήτω ἡ προσευχή μου ὡς θυμίαμα ἐνώπιόν σου. ὁρᾷς ὅπως πανταχοῦ διαλάμπειν ἐπετράπη τῇ λειτουργίᾳ ἀγγελικῇ, ὁρᾷς ὅπως μὴ περιώρισται οὔτε τὸ θυσιαστήριον, οὔτε τὸ ᾆσμα;

A cus erat locus habens altare. Eapropter & Moses quum sciret vxoris mores suspicioni obnoxios, (vxorem autem scriptura hactenus appellat synagogã) sciens igitur mentem synagogæ meritò suspectam, prius illam appellat, dicens: Attende tibi Israël, nequando offeras holocaustomata tua, & victimas tuas in omni loco, quemcunque inueneris, sed in loco quem elegerit Dominus Deus tuus. Videte quàm circumscripta sit, & quidem meritò fratres. Quum enim in vno loco accepisset altare, totum locum impleuit simulachrorum B cultu, sicuti clamans Hieremias testatur: Iuxta numerum ciuitatum erant dij tui Iuda, & iuxta compita Hierusalem sacrificabas Baal. Si ergo quum accepisset vnum locum, terram omnem impleuit adulterio: si plena libertas fuisset concessa, cogita in quàm enormem incidisset incontinentiam. Ob hanc causam, fratres, etiam canticum loco circumscriptum est, & altare loco definitum, & populus ille loco conclusus. At ecclesia pudica & honesta quæ vbique Christum in se circumfert, innumerósque martyres immolauit ob C charitatem quam gerit erga virum, à nullo prohibetur loco: sed in omni loco doctrina. Hæc prædixit Deus per Prophetam: nam & ecclesiasticam exprimens syncerítatem, & alterius populi ingratitudinem traducens, ad illos loquitur: Non est mea voluntas in vobis, dicit Dominus omnipotens, nec accipiam hostias de manibus vestris: quoniam ab exortu Solis vsque ad occasum, nomen meum glorificatum est inter gentes, & in omni loco sacrificium offertur nomini meo, & sacrificiũ purum. D Vide quàm luculenter, quámque dilucidè mysticam interpretatus est mensam, quæ est incruentum sacrificium. Thymiama verò purum appellat sacras preces, quæ cum sacrificio offeruntur: hic enim suffitus Deum refocillat, non is qui à terrenis radicibus sumitur, sed qui à puro corde exhalatur. Dirigatur igitur oratio mea tanquam incensum in conspectu tuo. Vides vt vbique locorum concessum est angelicum illud sacrificium inclarescere: vides nullis finibus circumscriptum neque altare, neque canticum?

Deut. 12. 13.

Hierem. 2. 28.

Ecclesia.

Malach. 1.

Thymiama purè sacræ preces.

Psal. 140. 2.

In omni loco thymiama offertur nomini meo. Est igitur sacrificium purum prima quidem mystica mensa, cœlestis summeque veneranda hostia. Est autem & in nobis varia sacrificiorum differentia. Posteaquam enim lex in veteri testamento multas habuit hostias, aliam pro peccatis, aliam quæ dicta est holocaustoma, aliam vocatam laudis, aliam salutaris, aliam pro leprosis mundandis, breuiter alias & multas & varias pro his qui innumeris expiationibus censebantur, omnino magnus erat & modo carens numerus sacrificiorum in lege: quę omnia noua gratia superueniens vno complectitur sacrificio, vnam ac veram statuens hostiam. Habemus autem & nos in nobisipsis varias immolationes, non quę iuxta legem incedunt, sed quę decent euangelicam gratiam. Visne has cognoscere victimas, quas habet ecclesia, quum sine sanguine, sine fumo, sine altari, cæterisque ceremoniis, munus euangelicum sursum ascẽdit ad Deum, quódque sit sacrificium mundum & immaculatum? audito sanctam scripturam tibi palam exprimentem hanc differentiam ac varietatem. Est igitur primum sacrificium, quod ante dixi, spirituale illud ac mysticum donum, de quo Paulus ait: Imitatores estote Dei, tanquam filij dilecti, & ambulate in dilectione, quemadmodum & Christus dilexit nos, tradiditque seipsum pro nobis Deo sacrificium & oblationem in odorem suauitatis. Alterum sacrificium est martyrum: & quæ testatur hoc scriptura? Audi Paulum: Obsecro vos fratres, vt exhibeatis corpora vestra hostiam viuam, sanctam, gratam Deo. Habes primam hostiam quæ dicitur salutaris, habes secundam martyrum, tertiam precationis: Dirigatur precatio mea tanquam incẽsum in conspectu tuo, sublatio manuum mearum sacrificium vespertinum. Quarta est quæ offertur laude, hoc est, per hymnos: Sacrifica Deo sacrificium laudis. Quinta est per iustitiam: Tunc acceptabis sacrificium iustitiæ. Sexta offertur per eleemosynam: Sacrificium, inquit, mundum & immaculatum, visitare pauperes & orphanos in afflictione ipsorum. Septima fit in iubilo. Iubilum autem est victorialis in bello applausus. Nam aliud est ololygmos, hoc est, clamor: aliud alalagmos, hoc est, iubilatio.

Hostiæ veteris legis multæ. — *Hostia gratiæ vna.* — *Victimæ seu hostiæ ecclesiæ.* — *Ephes. 5. 1.* — *Rom. 12. 1.* — *Psal. 140.* — *Psal. 106.* — *Ibid. 50.* — *Iacob. 1. 17* — *Iubilum quid.*

ἐν παντὶ τόπῳ θυμίαμα προσφέρεται τῷ ὀνόματί μου. ἔστι μὲν οὖν θυσία καθαρὰ, πρώτη μὲν ἡ μυστικὴ τράπεζα, τὸ οὐράνιον, τὸ ὑπερκόσμιον θῦμα. ἔστι δὲ καὶ ἐν ἡμῖν διαφορὰ πολλῶν θυσιῶν. ἐπειδὴ γὰρ ὁ νόμος εἶχε πολλὰς θυσίας ἐν τῇ παλαιᾷ, καὶ τὴν μὲν ὑπὲρ ἁμαρτιῶν, τὴν δὲ ὁλοκαύτωμα λεγομένην· καὶ τὴν μὲν αἰνέσεως, τὴν δὲ σωτηρίου, ἄλλην ὑπὲρ τῶν καθαιρομένων λεπρῶν, καὶ ἄλλας πολλὰς καὶ διαφόρους ὑπὲρ τῶν ἐν μυρίοις μιάσμασιν ἐξεταζομένων· καὶ πολὺς ἦν καὶ ἄπειρος ἀριθμὸς θυσιῶν τῶν κατὰ νόμον, ἡ νέα χάρις ἐλθοῦσα διὰ μιᾶς περιέγραψε πάσας, καὶ μίαν ἀληθινὴν ἔστησε θυσίαν. ἔχομεν δὲ καὶ ἡμεῖς ἐν ἑαυτοῖς ἑτέρας θυσίας, οὐ τῷ νόμῳ στοιχούσας, ἀλλὰ τῇ εὐαγγελικῇ χάριτι πρεπούσας. καὶ βούλει μαθεῖν τὰς θυσίας ταύτας, ἃς ἔχει ἡ ἐκκλησία, πῶς ἐκτὸς αἵματος, καὶ καπνοῦ, καὶ βωμοῦ, καὶ τῶν ἄλλων τὸ εὐαγγελικὸν δῶρον ἀναπέμπεται τῷ Θεῷ, καὶ ἡ θυσία καθαρὰ καὶ ἀμίαντος; ἄκουε τῆς ἁγίας γραφῆς σαφῶς σοι παριστώσης τὴν διαφορὰν ταύτης, καὶ τὴν ποικιλίαν. ἔστιν οὖν ἡ πρώτη θυσία, ἣν ἔφθην εἰπών, τὸ νοερὸν ἐκεῖνο καὶ μυστικὸν δῶρον, περὶ οὗ φησιν ὁ Παῦλος, μιμηταὶ γίνεσθε τοῦ Θεοῦ, ὡς τέκνα ἀγαπητὰ, καὶ περιπατεῖτε ἐν ἀγάπῃ, καθὼς καὶ ὁ Χριστὸς ἠγάπησεν ἡμᾶς, καὶ παρέδωκεν ἑαυτὸν ὑπὲρ ἡμῶν τῷ Θεῷ θυσίαν καὶ προσφορὰν εἰς ὀσμὴν εὐωδίας. δευτέρα θυσία, ἡ τῶν μαρτύρων. καὶ τίς μαρτυρεῖ λόγος; ἄκουε Παύλου· παρακαλῶ ὑμᾶς, ἀδελφοὶ, παραστῆσαι τὰ σώματα ὑμῶν θυσίαν ζῶσαν, ἁγίαν, εὐάρεστον τῷ Θεῷ. ἔχεις πρώτην σωτηρίας τὴν θυσίαν, δευτέραν τὴν τῶν μαρτύρων, τρίτην τὴν τῆς εὐχῆς. κατευθυνθήτω ἡ προσευχή μου, ὡς θυμίαμα ἐνώπιόν σου. ἔπαρσις τῶν χειρῶν μου, θυσία ἑσπερινή. τετάρτη ἡ δι᾽ αἰνέσεως, τουτέστι, δι᾽ ὕμνων. θῦσον τῷ Θεῷ θυσίαν αἰνέσεως. πέμπτη ἡ διὰ δικαιοσύνης· τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης. ἕκτη ἡ δι᾽ ἐλεημοσύνης· θυσία, φησὶ, καθαρὰ καὶ ἀμίαντος, ἐπισκέπτεσθαι πτωχοὺς καὶ ὀρφανοὺς ἐν τῇ θλίψει αὐτῶν. ἑβδόμη ἡ τοῦ ἀλαλαγμοῦ. ἀλαλαγμὸς δέ ἐστιν ἐπινίκιος ἐν πολέμῳ κρότος. ἄλλο γὰρ ὀλολυγμὸς, καὶ ἄλλο ἀλαλαγμός.

ὅταν

ὅταν γὰρ μετὰ νίκης ἐν πολέμῳ στρατιῶται βοῶσιν, ἀλαλαγμός ἐστιν ἐπινίκιος, καὶ σύμβολον νίκης. διὰ τοῦτο ὁ προφήτης τοὺς μέλλοντας εἰδέναι τὴν νίκην τοῦ Χριστοῦ, τὸν ὕμνον βοῶντας τὸν κατὰ τῶν πολεμίων, μακαρίζει λέγων· μακάριος ὁ λαός, ὁ γινώσκων ἀλαλαγμόν. ἀλαλαγμὸς τοίνυν ἐστὶν ἐπινίκιος ἐν πολέμῳ κρότος. ἐπεὶ οὖν τὴν νίκην ἔλαβεν ὁ σωτὴρ τὴν κατὰ πάντων, θαρσεῖτε, λέγων, ἐγὼ νενίκηκα τὸν κόσμον, τὸν ὕμνον ἀναπέμποντες τοῦτον τῷ τὴν νίκην ἐργασαμένῳ ἀναπληροῦμεν τὸν ἀλαλαγμόν, ὃν μακαρίζει ὁ προφήτης λέγων· ἐκύκλωσα, καὶ ἔθυσα ἐν τῇ σκηνῇ αὐτοῦ θυσίαν αἰνέσεως καὶ ἀλαλαγμοῦ. ὀγδόη ἐστὶν ἑτέρα θυσία τῷ Θεῷ, πνεῦμα συντετριμμένον, καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει. ὁρᾷς πηλίκαι θυσίαι παρ' ἡμῖν πολιτεύονται; ἔστι καὶ ἄλλη καινὴ θυσία ἡ διὰ τοῦ εὐαγγελικοῦ κηρύγματος πληρουμένη, ὁ λόγος ὁ διδακτικός, περὶ οὗ φησιν ὁ ἀπόστολος Παῦλος· ἱερουργοῦντες τὸ εὐαγγέλιον τοῦ Θεοῦ, ἵνα γένηται ἡ προσφορὰ τοῦ Θεοῦ εὐπρόσδεκτος, ἡγιασμένη ἐν πνεύματι ἁγίῳ. ὁρᾷς ὅπως ἔδειξεν, ὅτι καὶ τὸ κήρυγμα ἀντὶ θυσίας ἀναπέμπεται τῷ Θεῷ; ἔχεις οὖν πρώτην θυσίαν, τὸ σωτήριον δῶρον· δευτέραν, τὴν τῶν μαρτύρων· τρίτην, τὴν τῆς προσευχῆς· τετάρτην, τὴν τοῦ ἀλαλαγμοῦ· πέμπτην, τὴν τῆς δικαιοσύνης· ἕκτην, τὴν τῆς ἐλεημοσύνης· ἑβδόμην, τὴν τῆς αἰνέσεως· ὀγδόην, τὴν τῆς κατανύξεως· ἐννάτην, τὴν τῆς ταπεινοφροσύνης· δεκάτην, τὴν τοῦ κηρύγματος. εἰ καί τι παρέλιπον. ἐννέα γὰρ ἀπαριθμησάμενος, ἐνόμιστα δέκα παραδίδοσθαι. τίς οὖν ἡ παραλελειμμένη θυσία; ἔστι τοίνυν δεκάτη ἡ τῆς καρποφορίας, περὶ ἧς ὁ Παῦλός φησιν· ἐδεξάμην τὰ παρ' ὑμῶν ἀποσταλέντα δι' Ἐπαφροδίτου, θυσίαν δεκτὴν εἰς ὀσμὴν εὐωδίας. ὁρᾷς πῶς καὶ τὴν καρποφορίαν τὴν εἰς τοὺς ἁγίους θυσίαν καλεῖ Παῦλος; ἔχεις οὖν ποικιλίας θυμάτων. θῦσον τῷ Θεῷ θυσίαν αἰνέσεως. ἐπῄνεσα δὲ πάντας ὑμᾶς, ἀδελφοί, μᾶλλον δὲ πάντες ἐπῃνέσαμεν, καὶ πρὸ πάντων ὁ Θεός, τὴν θυσίαν, ἣν ἐνεδείξασθε, λέγω δὲ τὴν εἰς τοὺς πένητας καρποφορίαν. ἠλεήσατε γὰρ τοὺς ἐπὶ τῆς ἀγορᾶς πατουμένους, τοὺς πρὸς τὸν Θεὸν βοήσαντας, καὶ δι' ὑμῶν ἐπακουσθέντας· ἐμιμήσασθε τοῦ Θεοῦ τὴν φιλανθρωπίαν,

A Quum post victoriam in bello milites vociferantur, ea est iubilatio, victoriæ signum, eóque Propheta eos qui conspecturi erant Christi victoriam, hymnum vociferantes aduersus hostes, beatos appellat, dicens: Beatus populus qui scit iubilationem. Iubilatio igitur est victorialis in bello plausus. Posteaquam ergo seruator victoriam tulit deuictis omnibus inimicis, dicens: Confidite, ego vici mundum: hymnum hunc offerentes victori, perficimus iubilationem, quam Propheta beatam vocat, dicens: Circumiui & immolaui in tabernaculo eius sacrificium laudis & iubilationis. Est & octauum quoddam sa-B crificium Deo, spiritus contritus: Cor contritum & humiliatum, Deus non despiciet. Vides quales hostiæ à nobis tractentur? Est & aliud nouum sacrificium, quod peragitur per euangelij prædicationem, Id est sermo doctrinæ, de qua Paulus Apostolus ait: Administrantes euangelium Dei, vt fiat oblatio gentium accepta, & sanctificata in Spiritu sancto. Vides quam declarauit etiam euangelij prædicationem offerri Deo? Habes igitur primum sacrificium illud salutare donum, secundum martyrum, tertium deprecationis, quartum iubilationis, quintum iustitiæ, sextum elee-C mosynæ, septimum laudis, octauum compunctionis, nonum humilitatis, decimum prædicationis: tametsi quiddam prætermisi, quum animo nouem enumerarim, putaui me tradidisse decem. Quódnam igitur sacrificij genus prætermissum est? Est decimum sacrificium, fructificationis, de quo loquitur Paulus: Accepi quæ à vobis missa sunt per Epaphroditum, sacrificium acceptabile in odorem suauitatis. Vides beneficentiam in sanctos à Paulo vocari sacrificium? Habes igitur varias sacrificiorum formas. Sacrifica Deo sacrifi-D cium laudis. Laudaui vos omnes fratres, imò potius omnes laudauimus, & ante omnia Deus, sacrificium quod Domino exhibuistis, loquor de beneficentia in pauperes: vt qui miserti estis eorum qui in foro conculcabantur clamantes ad Deum, & per vos exauditi sunt, sunt, imitati estis Dei benignitatem,

Psal 88. 15

Ioan. 16. 33

Ps. 26. 6.

Psal. 50. 19

Rom. 15. 16

Epilogus sacrificiorum 10.

Philip. 4. 18.

depulistis à foro mendicitatis probrum, processit eleemosyna, & extinxit dedecus: dedecus enim diuitum erat clamor pauperum. Thesaurizastis thesaurum, diuitias iustitiæ. Nam hunc thesaurum oportet habere præ oculis, thesaurum veritatis, thesaurum iustitiæ, thesaurum benignitatis in pauperes. Siquidē duo, fratres, sunt thesauri, vnus qui reponitur malis, & alter qui bonis reconditur. Thesaurus malorum est inobedientia, & intractabilitas, & iniquitas, de qua dicit Paulus: Ignoras quòd bonitas Dei ad pœnitentiam te inuitat? sed iuxta duritiam tuam, & cor impœnitens, thesaurizas tibi iram in die iræ, & reuelationis, & iusti iudicij Dei? Vides thesaurum peccatorum reponi operantibus iniquitatem? nunc vide thesaurum qui ex humanitate erga pauperes, reponitur operantibus iustitiam. Audi Paulum Timotheo scribentem: Præcipe his qui diuites sunt in præsenti seculo, ne animis efferantur, neque spem ponant in incerto diuitiarum, sed vt benefaciant: diuites sint in operibus bonis: vt faciles sint ad impartiendum & communicandum, thesaurizantes sibi thesaurum in futurum, vt veram apprehendant vitam. Vides thesaurum bonorum, vides thesaurum malorum, & apud quem hic thesaurus deponitur? Clarum est quòd apud Deum: nam ille & malorum thesaurum reponit ad retributionem. Et alteros quidem vlciscitur, alteris verò rependit præmia. Vis videre, quam ipse thesaurorum horum perfectam habeat memoriam, custodiámque? Per Moysem loquitur de iis qui perpetrant mala. De vinea Sodomorum, vinea eorum, & palmes illorum ex Gomorrha: vua eorum vua fellis, botrus eorum botrus amaritudinis. Furor draconum vinum illorum, & venenum aspidis insanabile. Et posteaquam commemorauit opera iniquitatis, protinus adiunxit: Nónne hæc omnia condita sunt apud me, & signata in thesauris meis? In die vltionis retribuā, in tempore quum lapsus fuerit pes eorum. Ad hunc modum dispensat thesaurum iniquitatis his qui operantur iniustitiam. Dispensat & thesauros regni,

Clamor pauperum, diuitum dedecus.

Thesauri duo.

Rom. 2. 4.

1. Tim. 6. 17.

Deut. 32. 32.

Ibidem.

A ἀπεσυλήσατε τῆς ἀγορᾶς τὸ ὄνειδος τῆς πτωχείας. παρῆλθεν ἡ ἐλεημοσύνη, καὶ ἔσβεσε τὴν αἰσχύνην. αἰσχύνη γὰρ ἦν τῶν ἐχόντων ἡ κραυγὴ τῶν πενήτων. ἐθησαυρίσατε θησαυρὸν ζωῆς, ἀπεθησαυρίσατε θησαυρὸν πλούτου δικαιοσύνης. τοῦτον γὰρ δεῖ τὸν θησαυρὸν πρὸ ὀφθαλμῶν ἔχειν, τὸν τῆς ἀληθείας, τὸν τῆς δικαιοσύνης, τὸν τῆς φιλοπτωχείας ἐπιδείξεως. ἀδελφοί, δύο εἰσὶ θησαυροί, εἷς, ὁ τοῖς κακοῖς θησαυριζόμενος, καὶ εἷς ὁ τοῖς ἀγαθοῖς ταμιευόμενος. θησαυρὸς κακῶν ἡ παραβολή, ἡ
B ἀπείθεια, ἡ παρανομία· περὶ ἧς φησιν ὁ Παῦλος, ἀγνοεῖς ὅτι τὸ χρηστὸν τοῦ Θεοῦ εἰς μετάνοιάν σε ἄγει; κατὰ δὲ τὴν σκληρότητά σου, καὶ ἀμετανόητον καρδίαν, θησαυρίζεις σεαυτῷ ὀργὴν ἐν ἡμέρᾳ ὀργῆς, καὶ ἀποκαλύψεως τῆς δικαιοκρισίας τοῦ Θεοῦ. ὁρᾷς θησαυρὸν ἁμαρτημάτων ἀποτιθέμενον τοῖς ἐργάταις τῆς ἀνομίας; ἰδὲ καὶ τὸν θησαυρὸν τὸν ἀπὸ τῆς φιλοπτωχείας ἀποτιθέμενον τοῖς δικαιοσύνην ἐργαζομένοις. ἄκουε Παύλου Τιμοθέῳ γράφοντος· τοῖς πλουσίοις παράγγελλε τοῖς ἐν τῷ νῦν αἰῶνι, μὴ ὑψηλοφρονεῖν,
C μηδὲ ἠλπικέναι ἐπὶ πλούτου ἀδηλότητι, ἀλλ' ἀγαθοποιεῖν, πλουτεῖν ἐν ἔργοις ἀγαθοῖς, εὐμεταδότους εἶναι, κοινωνικούς, ἀποθησαυρίζοντας ἑαυτοῖς θησαυρὸν ἀγαθὸν εἰς τὸ μέλλον, ἵνα ἐπιλάβωνται τῆς αἰωνίου ζωῆς. ὁρᾷς θησαυρὸν ἀγαθῶν; ὁρᾷς θησαυρὸν κακῶν; καὶ παρὰ τίνι ὁ θησαυρὸς ἀποτίθεται; ἢ δῆλον ὅτι παρὰ τῷ Θεῷ. αὐτὸς καὶ τὸν τῶν κακῶν θησαυρὸν ταμιεύεται εἰς ἀντάμειψιν· καὶ τοὺς μὲν ἀμύνεται, τοὺς δὲ ἀμείβεται. θέλεις ἰδεῖν αὐτὸν ἀκριβῆ τὴν μνήμην ἔχοντα καὶ τὴν φυλακὴν τῶν θη-
D σαυρῶν τούτων; λέγει περὶ τῶν ἐργαζομένων τὰ φαῦλα διὰ Μωϋσέως· ἐκ γὰρ ἀμπέλου Σοδόμων ἡ ἄμπελος αὐτῶν, καὶ ἡ κληματὶς αὐτῶν ἐκ Γομόρρας· ἡ σταφυλὴ αὐτῶν, σταφυλὴ χολῆς, βότρυς πικρίας αὐτοῖς, θυμὸς δρακόντων ὁ οἶνος αὐτῶν καὶ θυμὸς ἀσπίδων ἀνίατος. καὶ ὡς ἀπηριθμήσατο τὰ ἔργα τῆς ἀνομίας, εὐθέως ἐπήγαγεν· οὐκ ἰδοὺ ταῦτα πάντα συνῆκται παρ' ἐμοί, καὶ ἐσφράγισται ἐν θησαυροῖς μου; ἐν ἡμέρᾳ ἐκδικήσεως ἀνταποδώσω, ἐν καιρῷ ὅταν σφαλῇ ὁ ποὺς αὐτῶν. οὕτω ταμιεύεται τὸν θησαυρὸν τῆς ἀνομίας τοῖς ἐργάταις τῆς ἀδικίας. ταμιεύεται δὲ καὶ τοὺς θησαυροὺς τῆς βασιλείας τοῖς ἐργάταις τῆς δικαιοσύνης·

περὶ ὧν φησιν Ἠσαΐας, ἥκει σοφία καὶ ἐπιστήμη καὶ εὐσέβεια παρὰ κυρίου. οὗτοί εἰσι θησαυροὶ δικαιοσύνης. ὅθεν καὶ ὁ σωτὴρ ἔλεγε τοῖς ἁγίοις αὐτοῦ μαθηταῖς· θησαυρίσατε ὑμῖν θησαυρὸν ἀνέκλειπτον, αἰώνιον ἐν τοῖς οὐρανοῖς. καὶ ὁ αὐτὸς τῷ πλουσίῳ διαλεγόμενος, δεῦρο ἀκολούθει μοι, καὶ ἕξεις θησαυρὸν ἐν οὐρανοῖς. φύγωμεν τοίνυν τὸν θησαυρὸν τῆς ἁμαρτίας, καὶ ἀποθησαυρίσωμεν τὸν θησαυρὸν τῆς ἐλεημοσύνης, ἔργον καλόν, καὶ ἱκανὸν σβέσαι πᾶσαν ἁμαρτίαν, ἱκανὸν λῦσαι πᾶσαν παρανομίαν. καὶ ἵνα ἀκριβῶς μάθῃς ὅσην ἰσχὺν ἔχει ἡ ἐλεημοσύνη, σκόπησον ἀκριβῶς τὰ λεγόμενα. τῶν ἁμαρτημάτων, τὰ μὲν εἰς ἀνθρώπους βλέπει, τὰ δὲ εἰς Θεόν· οἷον, τὸ ἀσεβῆσαι, καὶ βλασφημῆσαι, καὶ ναὸν Θεοῦ ὑβρίσαι, ἢ ἐκκλησίαν Θεοῦ διῶξαι, ἢ ἱερεῖς ἀτιμάσαι. ταῦτα πάντα εἰς Θεὸν τὴν ἀναφορὰν ἔχει. τὸ δὲ μοιχεῦσαι, καὶ κλέψαι, καὶ ἀδικῆσαι, ταῦτα ἐν τῇ περὶ τοὺς ὁμοδούλους στρέφεται καταστάσει. πολλὴ δὲ διαφορὰ τῶν εἰς Θεὸν ἁμαρτανομένων, καὶ τῶν εἰς ἀνθρώπους πλημμελουμένων. ἀσεβείας τοίνυν χεῖρον οὐδέν, οὐδὲν τῆς εἰς Θεὸν παρανομίας μοχθηρότερον, οὐδὲν ἀσεβέστερον τῆς κατὰ Θεοῦ βλασφημίας. ἀλλ' ὅμως καὶ τὴν τοσαύτην παρανομίαν ἐλεημοσύνη δύναται λύειν, οὐκ ἐὰν ἐπιμένῃ τῇ βλασφημίᾳ, ἀλλ' ἐὰν ἐν τῇ μετανοίᾳ τὴν ἁμαρτίαν ἀνακαλέσηται. μὴ γάρ τοί τις κατατρεχέτω τοῦ λόγου κακῶς ἀκούων· οὐ πρὸς τὴν ἄνοιαν τῶν ἀνοήτων, ἀλλὰ πρὸς τοὺς πιστοὺς ὑμᾶς ὁ λόγος, πρὸς τοὺς συντρόφους τῆς ἀληθείας. οὐδὲν δεινότερον τῆς ἀσεβείας, οὐδὲν μοχθηρότερον βλασφημίας. ἀλλ' ὅμως τοσοῦτον κακὸν δι' ἐλεημοσύνης λύεται, ἐὰν γνησίως τις προσέλθῃ τῇ ἀληθείᾳ. καί μοι λάβε πρὸς ἀπόδειξιν τὴν ἀρχαίαν ἱστορίαν τοῦ Δανιήλ. τοῦ Ναβουχοδονόσορ παῖς ὁ Βαλτάσαρ, ἐπικωμάσας ποτὲ τοῖς θείοις καὶ ὑβρίσας τὰ ἅγια, ἐτόλμησε κοινῷ συμποσίῳ μεθυόντων, καὶ ἀσεβούντων, καὶ βλασφημούντων, καὶ τὰ ἱερὰ σκεύη, ἃ ἀπὸ τῆς Ἱερουσαλὴμ ἔλαβε, ταῦτα παραγαγεῖν εἰς μέσον, καὶ χρήσασθαι τούτοις ὀργάνοις μέθης. καὶ ἐξήγαγέ, φησι, τὰ σκεύη τοῦ Θεοῦ τὰ ἐξ Ἱερουσαλήμ, τὰ ἅγια, καὶ ἔπινεν ἐν αὐτοῖς αὐτός, καὶ αἱ γυναῖκες αὐτοῦ, καὶ αἱ παλλακαί,

A de quibus loquitur & Esaias: Venit sapientia & scientia, & pietas à Deo. [*Esa. 33. 6.*] Hi sunt thesauri iustitiæ, de quibus & seruator sanctis discipulis suis loquebatur: [*Luc 12. 33.*] Thesaurizate vobis thesaurum [*Matth. 6. 20.*] indeficientem, æternum in cœlis. Atque idem diuiti loquens, Veni, inquit, [*Ibid. 18.*] sequere me, & habebis thesaurum in cœlis. Fugiamus itaque thesaurum iniquitatis, & recondamus thesaurum eleemosynæ bonum opus, quódque [*Eccles. 3.*] possit omne peccatũ extinguere, quod [*Luc. 11.*] idoneum sit ad soluendam omnem iniquitatem. Atque vt planè cognoscas B quantam habeat vim eleemosyna, attentius considera quæ dicuntur. Peccata quædam spectant ad Deum, quædam ad hominem: [*Peccatorũ quadam ad Deũ, quadam ad hominem spectant.*] veluti impietatem committere, blasphemias euomere, ac violare templum Dei, aut ecclesiam Dei persequi, aut sacerdotes afficere contumelia, hæc omnia referuntur ad Deum. Cæterùm mœchari, furari, iniuriam facere, hæc intra consuetudinem quæ nobis cum conseruis est, consistunt. Multiplex autem est differentia eorum quæ committuntur in Deum, & quæ in homines. Nihil itaque pe-C ius iniquitate, neque quicquam infœlicius iniquitate aduersus Deum, neque quicquam magis impium, quàm aduersus Deum blasphemia. Et tantam tamen impietatem eleemosyna valet diluere, non si perseueret in blasphemia, sed si per pœnitentiam peccatum reuocet. Ne quis mihi hic obstrepat dictis meis perperam intellectis: non enim mihi ad amentium amentiam, sed apud vos fideles sermo est, apud veritatis collactaneos. Nihil scelestius impietate, nihil scelestius blasphemia: & tamen tantum malum per eleemosynam diluitur, si quis D verè accesserit veritati. Sume mihi ad probationem veterem Danielis historiam. Balthasar Nabuchodono- [*Dan. 5.*] soris filius quum aliquando debaccharetur in res diuinas, ac sancta violaret, ausus est in profano conuiuio ebriorum, impiorum ac blasphemorum, sacra vasa, quæ Hierosolymis sustulerat, in medium afferre, iisque pro temulentiæ instrumentis abuti. Et exportauit, inquit, vasa Dei quæ erant Hierosolymis sancta, & bibit ex illis ipse, & vxores illius, & pellices,

& concubinæ illius. Violauit autem diuina, non tantùm per mensã profanam, verumetiam per intemperantiam. Atqui tantum etiam malum Deus lenitate sua tulit, illa malorum tolerans vis, illa opulenta gratia, illa benigna copiosáq; humanitas, quæ expectat pœnitentiam nostram, & vindictam prorogat. Debacchantem in sancta tolerat Deus, & sententiam aduersus illum proferre differt. Exiit, inquit, dum hæc fierent, in superficie parietis, hoc est, in incrustamento, articulus manus à vola vsque ad digitos, figura manus scripsitque in pariete, Mane, Thecel, Phares: & verba erant Hebraica, ac miraculi nouitas expauefecit tyrannum cum conuiuis suis. Requirebatur ænigmatum solutio, nec inueniebatur. Accersiuit complures interpretes, qui non habebant quod dicerent de eo quod videbatur. Vocatur Daniel in medium, oportet enim primùm consilio destitui mendacium, atque ita demum elucescere veritatem, quemadmodum in Ægypto, quum hærerent magi ac sapientes, móxque Ioseph interpretans aperuit veritatem: ita & in Babylonia, redarguta omni humana sapientia, mox Dei sapientia per fidelem famulum eluxit. Vocatus est Daniel, ingressus est sanctorum verborum Propheta, spiritualis scripturarũ liber, magni regis interpres. Atque vt cognoscas quid intersit inter hominem simplicem, & hominem Dei, qui natura quidem purus est homo, mente verò immortalis, introgressus ad illud conuiuium impietatis, aduocatur ab eius conuiuij principe, videlicet rege, qui ait ad illum: Scio quòd spiritus Dei sanctus sit in te. Explana nobis scripturam hanc, quid sibi velit. Honoras famulum, & cõtumelia afficis dominum? hominem reuereris, & Deum contemnis? Confiteris Spiritum sanctum, & sancta polluis? Scio quòd Spiritus Dei sanctus sit in te. Etenim sub patre meo copiosior spiritus erat in te. Si igitur hanc quæstionem dissolueris, purpuram indues, & torques aureus circa collum tuum erit. At beatus & admirandus ille, pro nihilo ducens hominum munera, sed super omnia veritatem honorans, ait:

Dan. 5.

id est, numerauit, ponderauit, diuisit.

Gen. 41.

Dan. 5.

καὶ αἱ παλλακῖδες αὐτοῦ. ὕβριζε τὰ θεῖα οὐ μόνον διὰ κοινῆς τραπέζης, ἀλλὰ καὶ διὰ τῆς ἀσελγείας. καὶ τοσοῦτον κακὸν καὶ ὁ Θεὸς μακροθυμεῖ, ἡ ἀνεξίκακος δύναμις, ἡ πλουσία χάρις, ἡ ἄφθονος φιλανθρωπία ἡ ἐκδεχομένη τὴν μετάνοιαν ἡμῶν, καὶ ὑπερτιθεμένη τὴν τιμωρίαν. ἐπικωμάζοντα τοῖς ἁγίοις φέρει Θεός, καὶ προφέρει κατ᾽ αὐτοῦ ἀπόφασιν. ἐξήνεγκε γάρ, φησιν, ἐν τῷ ταῦτα γίνεσθαι, ἐπὶ τοῦ κονιάματος τοῦ τοίχου, τουτέστιν, ἐπὶ τοῦ χρίσματος, ἐξῆλθεν ὡς ἀστράγαλος χειρὸς ἀπὸ τοῦ καρποῦ μέχρι τῶν δακτύλων, σχῆμα χειρός, καὶ ἔγραφεν ἐπὶ τοῦ τοίχου, μανή, θεκέλ, φαρές. καὶ τὰ ῥήματα ἦν Ἑβραϊκά, καὶ τὸ ξένον τοῦ θαύματος ἐξέπληττε τὸν τύραννον καὶ τοὺς συμπότας. καὶ ἐζητεῖτο τῶν ἀπορουμένων ἡ λύσις, καὶ οὐχ εὑρίσκετο. ἐκάλεσεν ἑρμηνέας πολλούς, καὶ ἠπόρουν πρὸς τὸ φαινόμενον. καλεῖται Δανιὴλ εἰς τὸ μέσον. δεῖ γὰρ πρότερον τὸ ψεῦδος ἀπορῆσαι, καὶ οὕτω τὴν ἀλήθειαν λάμψαι. καὶ ὥσπερ ἐν Αἰγύπτῳ ἠπόρησαν οἱ μάντεις καὶ οἱ σοφοί, καὶ τότε Ἰωσὴφ ἀνεκάλυψε τὴν ἀληθῆ ἑρμηνείαν. οὕτω καὶ ἐν Βαβυλῶνι, ἐλεγχθείσης πάσης σοφίας ἀνθρωπίνης, τότε ἡ τοῦ Θεοῦ σοφία διὰ τοῦ πιστοῦ θεράποντος ἔλαμψεν. ἐκλήθη Δανιήλ, εἰσῆλθεν ὁ τῶν ἁγίων λόγων προφήτης, ἡ ἱερὰ τῶν γραφῶν βίβλος, ὁ ἑρμηνευτὴς τοῦ μεγάλου βασιλέως. καὶ ἵνα μάθῃς διαφορὰν ἀνθρώπου ψιλοῦ, καὶ ἀνθρώπου τοῦ Θεοῦ, ψιλοῦ μὲν οὕτω τὴν φύσιν, ἀθανάτου δὲ τὴν γνώμην, εἰσελθὼν εἰς τὸ συμπόσιον ἐκεῖνο τῆς ἀσεβείας παρακαλεῖται παρὰ τοῦ ἀρχισυμπότου, λέγω δὴ τοῦ βασιλέως. φησὶ γὰρ πρὸς αὐτὸν ἐκεῖνος, οἶδα ὅτι πνεῦμα Θεοῦ ἅγιον ἐν σοί· ἐπίλυσον ἡμῖν τὴν γραφὴν ταύτην. τί βούλεται; τὸν ὑπηρέτην τιμᾷς, καὶ τὸν δεσπότην ὑβρίζεις; ἄνθρωπον σέβεις, καὶ τὸν Θεὸν ἀτιμάζεις; πνεῦμα ἅγιον ὁμολογεῖς, καὶ ἅγια μιαίνεις; οἶδα ὅτι πνεῦμα Θεοῦ ἅγιον ἐν σοί. καὶ γὰρ ἐπὶ τοῦ πατρός μου περισσότερον ἦν τὸ πνεῦμα ἐν σοί. ἐὰν τοίνυν ἐπιλύσῃς, φησί, τοῦτο τὸ ζητούμενον, πορφύραν ἐνδύσῃ, καὶ μανιάκην χρυσοῦν περὶ τὸν τράχηλόν σου. ὁ δὲ μακάριος ἐκεῖνος καὶ θαυμαστὸς ἐν οὐδενὶ τὰ παρὰ ἀνθρώπων τιθέμενος δῶρα, πρὸ δὲ πάντων τιμῶν τὴν ἀλήθειαν, λέγει·

A βασιλεῦ, τὰ δῶρά σου ἀνδρὶ ἑτέρῳ δὸς, καὶ τὰ δόματά σου δὸς ἑτέροις· ἐγὼ δὲ τὴν γραφὴν ἀπαγγελῶ. καὶ τίς σοι μισθὸς τῆς ἑρμηνείας; ἡ παρὰ τοῦ Θεοῦ μισθαποδοσία· μᾶλλον δὲ τὸ αὐτό μοι μισθὸς τῆς ἀληθείας, τὸ ἑρμηνεῦσαι αὐτὴν τὴν ἀλήθειαν, καὶ ἐκδικῆσαι δυσφημουμένην τὴν εὐσέβειαν. καὶ ὅρα τὸ θαυμαστὸν τοῦ δικαίου. οὐ πρότερον ἑρμηνεύει τὴν γραφὴν, ἀλλὰ πρότερον ἐλέγχει τὴν γνώμην. καὶ τί φησι; βασιλεῦ, ὁ Θεὸς τοῦ οὐρανοῦ ἔδωκε βασιλείαν καὶ κράτος τῷ πατρί σου Ναβουχοδονόσωρ, καὶ τιμὴν καὶ δόξαν προσέθηκεν αὐτῷ· B ὁμοίως καὶ σοὶ, ἵνα συντέμω. καὶ ἔδωκέ σοι ὁ Θεὸς τὴν βασιλείαν, καὶ τὴν ἰσχὺν, καὶ ἐπελάθου τοῦ Θεοῦ, καὶ ἐξήγαγες αὐτοῦ τὰ ἀργυρᾶ καὶ χρυσᾶ σκεύη, καὶ ἔπινες σὺ καὶ αἱ γυναῖκές σου, καὶ αἱ παλλακαί σου, καὶ αἱ παράκοιτοί σου· καὶ τὸν ἔχοντα ἐν τῇ χειρὶ αὐτοῦ τὴν πνοήν σου οὐκ εὐλόγησας. διὰ τοῦτο ἀπεστάλη ἀστράγαλος χειρὸς ἐκ προσώπου αὐτοῦ, καὶ ἔγραψεν ἐπὶ τοῦ κονιάματος τὴν ἰδίαν ἀπόφασιν, καὶ ταῦτα τὰ ῥήματα. μανή· ἠρίθμησεν ὁ Θεὸς τὴν βασιλείαν σου, καὶ ἐπληρώθη. τοῦτο γὰρ ἑρμηνεύει ἡ Σύρα γλῶσσα καὶ Ἑβραϊκὴ ὁμοίως. θεκέλ· ἐ- C στάθμησεν ὁ Θεὸς τὴν βασιλείαν σου, καὶ ηὑρέθη ὑστεροῦσα. Φαρές· διῄρηται ἡ βασιλεία σου, καὶ ἐδόθη Μήδοις καὶ Πέρσαις. τότε γὰρ ἦν μόνων Βαβυλωνίων ἡ βασιλεία. καὶ ὅρα τὸ θαυμαστὸν, πῶς ἔδειξεν ὅτι ὁ Θεὸς τὰ πάντα ἀριθμῷ καὶ σταθμῷ ποιεῖ. ἐστάθμησε, φησὶ, καὶ ἐμέτρησεν. οὐδὲν γὰρ παρ' αὐτοῦ ἄνευ μέτρου, οὐδὲ ἄνευ σταθμοῦ, οὐδὲν ἄνευ ἀκολουθίας, ἀλλὰ καὶ δικαίῳ μέτρῳ τὴν δίκην ἐπάγει, καὶ συμφερόμενος σταθμῷ, τὴν τιμωρίαν ἀνάλογον δίδωσι τῇ ἁμαρτίᾳ, οὐχ ὑπερβαίνουσαν τὴν ἁμαρτίαν, D ἀλλὰ σύμμετρον. διὰ τοῦτο ἀπειλῶν ποτε ὁ Θεὸς τῇ Ἰουδαίᾳ, προαναιρεθείσης τῆς Σαμαρείας καὶ προαφανισθείσης, λέγει· καὶ ἐκτενῶ ἐπὶ τὴν Ἱερουσαλὴμ τὰ μέτρα Σαμαρείας, καὶ τὰ στάθμια τοῦ οἴκου Ἐφραΐμ· ἀντὶ τοῦ, τὴν αὐτὴν ἐπιμετρῶ δίκην τούτοις, ἣν ἐπεμέτρησα ἐκείνοις. οὐ γὰρ ἄμετρος ἡ θεία δίκη. ἀλλὰ μέτρῳ, καὶ κανόνι, καὶ σταθμῷ κεκανόνισται· καθὼς ὁ Σωτὴρ ἔλεγεν ἐν τοῖς εὐαγγελίοις· ᾧ μέτρῳ μετρεῖς, ἀντιμετρηθήσεται. ἐμέτρησεν οὖν ὁ Θεὸς, καὶ ἐστάθμησε, καὶ διεῖλε, καὶ ἐπληρώθη ὁ ἀριθμὸς τῆς βασιλείας, φησὶ, πρὸς ἐκεῖνον.

A Rex, munera tua alteri da viro, ac dona tua aliis largire: ego tamen scripturam enarrabo. Et quod erit interpretationis præmium? A Deo merces veniet. quin potius hoc ipsum mihi veritatis præmium erit, interpetari veritatem, ac pietatem quæ infamatur, vindicare. Vide autem admirandam iusti sapientiam: non protinus interpretatur scripturam, sed prius redarguit mentem regis dicens: O rex, Deus cœli dedit regnum & potentiam patri tuo Nabuchodonosor, insuper honorem addidit illi, similiter & tibi, vt sermonem in B pauca conferam. Et dedit tibi Deus regnum & potentiam, & tu oblitus es Dei, & exportasti vasa illius aurea argenteáque, atque ex his potasti tu, cum vxoribus tuis, pellicibus, & concubinis: eum verò qui habet in manu spiritum tuum, non benedixisti: ideo missus est articulus manus à facie eius, scripsitque in superficie parietis sententiam ipsius. Atque hæc sunt verba: Mane, numerauit Deus regnum tuum, & compleuit: id enim sonat Mane, Syrorum lingua, atque itidem Hebraica. Thecel, C librauit Deus regnum tuum, & inuenuentum est minus habens. Phares, diuisum est regnum tuum, & datum Medis ac Persis. Nam id temporis tantùm erat regnum Babyloniorum. Considera illud admiratione dignum, quomodo declarauit Deum omnia numero & mensura facere. Librauit, inquit, ac mensus est: nihil enim ab illo fit absque mensura, nihil sine pondere, nihil sine congruentia: sed iusta mensura vindictam infligit: quúmque punit, trutina librat vltionem, pro delictorum modo eam rependens, ne maior D sit commissis, sed congruens. Eóque Deus aliquando comminans Iudææ, quum prius esset sublata atque extincta Samaria, dicit: Et extendam in Hierusalem mensuram Samariæ, & trutinas domus Ephraim: pro eo quod erat, eandem vindictam admetiar his, quàm illis sum admensus. Neque enim mensura caret diuina vindicta, sed mensura, & regula, & trutina mensurata est, sicut seruator loquitur in euangeliis: Qua mensura mensus fueris, remetietur tibi. Mensus igitur est Deus, librauit, ac diuisit, & impletus est numerus regni tui, ait ad illum.

Dan. 5.

Sap. 11.

4. Reg. 21.

Matth. 7. Marc. 4.

Quid autem accidit? post tam seueram sententiam mox induxit dicti solutionem. Et nunc rex consilium meum placeat tibi, ac peccata tua eleemosynis redime, & impietatem tuam commiserationibus pauperum, si fortè propitius fiat Deus delictis tuis. Vides quantam vim habeat eleemosyna, quantum valeat humanitas, quàm efficax iustitiæ opus operetur erga egenos misericordia? Admonuit Propheta, cui si obedisset ille legis transgressor, gratia fuisset consecuta promissum. Sed gratia quidem porrigebatur, mens verò non recipiebat correctionem. Adeò valida res est erga pauperes humanitas. Resecuit eleemosyna captiuorum speciem è foro: tolletur captiuitatis species ex vniuersa terra. Vidisti forum plenum captiuis, & correxisti iniquitatis spectaculum: contrahet Deus vltionem vindictæ suæ quæ peccatis infligitur. Neque enim iniustus est Deus, vt obliuiscatur animarum iniustè interfectarum, neque sanguinis iniustè effusi. Sublati sunt sancti, sed pro pietate mortui sunt. Ne mihi respicias ad captiuitatis bellique speciem, sed illud specta, quòd complures suscepto pro castitate certamine, mortem perpessi sunt, multæ virgines in tempore opportuno, videlicet in tempore persecutionis coronatæ sunt; quum animæ complures eodem tempore expugnarentur. Ac ne putes illos Deo indignos, quorum sanguis effusus est, istud est vetus historiarum exemplum. Semper Deus sanctos exponit periculis, quò per hæc declaretur pietatis vis, ne quis dicat: Cur si erant pij, sublati sunt? cur si erant pij, occisi sunt? cur si Deo erant curæ, tantam sustinuerunt oppugnationem? Audi Dauidem, per vetera decantantem noua Deus, venerunt gentes in hæreditatem tuam, polluerunt templum tuum: ac non simpliciter templum, sed templum sanctum tuum: posuerunt Hierusalem in pomorum custodiam, posuerunt morticina seruorum tuorum escas volatilibus cœli, carnes sanctorum bestiis terræ. Si hi tanquam indigni pietate traditi sunt, illi quomodo traditi sunt? Si hæc quidam patiuntur vt indigni Deo, quomodo eadem illa veteres sancti pertulerunt? Quòd si

Daniel. 4.

Sancti cur semper periculis expositi.

Psal. 78.

καὶ τί μετὰ τὴν τοσαύτην ἀπόφασιν; λύσιν εὐθέως ἐπήγαγε τῆς ἀποφάσεως. καὶ νῦν, βασιλεῦ, ἡ βουλή μου ἀρεσάτω σοι, καὶ τὰς ἁμαρτίας σου λύτρωσαι ἐν ἐλεημοσύνῃ, καὶ τὴν ἀσέβειάν σου οἰκτιρμοῖς πενήτων, μήποτε ἵλεως γένηται τοῖς παραπτώμασί σου. ὁρᾷς ὅσον ἰσχύει ἐλεημοσύνη; ὅσον δύναται φιλανθρωπία; ὅσον ἐργάζεται δικαιοσύνης ἔργον ὁ περὶ πένητας ἔλεος; παρῄνεσεν ὁ προφήτης, ὡς εἴγε ὑπήκουσεν ὁ παράνομος, ἠκολούθησεν ἂν τῇ ἐπαγγελίᾳ ἡ χάρις. ἀλλ' ἡ μὲν χάρις ἥπλωτο, ἡ δὲ γνώμη τὴν διόρθωσιν οὐκ ἐδέχετο. οὕτως ἰσχυρὰ περὶ τοὺς πένητας ἡ φιλανθρωπία. περιεῖλεν ἡ ἐλεημοσύνη σχῆμα αἰχμάλωτον ἐκ τῆς ἀγορᾶς, περιαιρεθήσεται σχῆμα αἰχμαλωσίας ἐκ πάσης τῆς γῆς. εἶδες τὴν ἀγορὰν γέμουσαν αἰχμαλώτων, καὶ συνέστειλας τὴν ὄψιν τῆς ἀηδίας· συστελεῖ ὁ Θεὸς τὴν δίκην τῆς τιμωρίας, τὴν κατὰ τῶν ἁμαρτημάτων ἐπαγομένην. οὐ γὰρ ἄδικος ὁ Θεὸς ἐπιλαθέσθαι τῶν ψυχῶν τῶν ἀδίκως ἀνῃρημένων, οὐδὲ τοῦ αἵματος τοῦ ἀδίκως ἐκκεχυμένου. ἀνῃρέθησαν οἱ ἅγιοι, ἀλλ' ὑπὲρ εὐσεβείας ἀπέθανον. μὴ γάρ μοι προσέχῃς τῷ σχήματι τῆς αἰχμαλωσίας καὶ τοῦ πολέμου, ἀλλ' ὅτι ὑπὲρ σωφροσύνης τὸν ἀγῶνα δεξάμενοι, πολλοὶ τὸν θάνατον ὑπέμειναν, πολλαὶ παρθένοι ἐν εὐκαίρῳ καιρῷ, ὡς ἐν καιρῷ διωγμοῦ ἐστέφθησαν, καὶ ψυχαὶ πολλαὶ δι' αὐτοῦ ἐπολεμήθησαν. καὶ μὴ νομίσῃς ἀναξίους εἶναι Θεοῦ, ὧν τὰ αἵματα ἐξεχύθη· ἀρχαῖον τοῦτο εἶδός ἐστιν ἱστορίας· ἀεὶ ὁ Θεὸς τοὺς ἁγίους τοῖς κινδύνοις ἐκδίδωσιν, ἵνα δι' ἐκείνων δειχθῇ τῆς εὐσεβείας ἡ δύναμις. μή τις λεγέτω, ἆρ' οὖν εἰ ἦσαν ὅσιοι, ἀνῃροῦντο; εἰ ἦσαν παρὰ Θεῷ μεμελετημένοι, τοσαύτην ὑπέμενον πόρθησιν; ἄκουε τοῦ Δαβὶδ διὰ τῶν παλαιῶν τὰ νέα ᾄδοντος. ὁ Θεός, εἰσήλθοσαν ἔθνη εἰς τὴν κληρονομίαν σου, ἐμίαναν τὸν ναόν· καὶ οὐχ ἁπλῶς τὸν ναόν, ἀλλὰ τὸν ἅγιόν σου. ἔθεντο Ἱερουσαλὴμ εἰς ὀπωροφυλάκιον· ἔθεντο τὰ θνησιμαῖα τῶν δούλων σου βρώματα τοῖς πετεινοῖς τοῦ οὐρανοῦ, τὰς σάρκας τῶν ὁσίων τοῖς θηρίοις τῆς γῆς. Εἰ οὗτοι ὡς ἀνάξιοι εὐσεβείας παρεδόθησαν, ἐκεῖνοι πῶς παρεδόθησαν; Εἰ ταῦτα νῦν πάσχουσί τινες ὡς ἀνάξιοι, πῶς τὰ αὐτὰ καὶ οἱ πρὶν ἔπασχον ἅγιοι; Εἰ δὲ ὁ

αὐτοὺς συγχωρεῖν, τὰ πάντα πρὸς τὸ συμφέρον οἰκονομεῖ, καὶ διὰ τῶν ἁγίων ἀναστέλλει τὴν ῥύπον τῆς ἁμαρτίας; οὐδὲν ἄδικον οὐδαμοῦ τῶν παρὰ τῆς θείας δυνάμεως συγχωρουμένων. ταῦτα συγχωρεῖ Θεὸς εἰς τὸ γυμνασθῆναι ἡμῶν τὰς γνώμας, καὶ ὑφίστανται δίκαιοι πολλάκις τὸν ὑπὲρ τῶν ἀδίκων θάνατον. ἔχεις παλαιὰν ἀκολουθίαν διὰ τῶν ἀρχαίων ἱστοριῶν. ἀποφαίνεται ὁ Θεὸς κατὰ τοῦ Ἀδὰμ λέγων· γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ. καὶ ὁ μὲν τὴν ἀπόφασιν δεξάμενος ἐν ζῶσιν ἐξητάζετο, ὁ δὲ μηδὲν ἡμαρτηκὼς Ἄβελ ἐσφάττετο· καὶ ὁ ὑπόδικος ζωῆς ἀπήλαυε, καὶ ὁ δίκαιος θανάτῳ ὑπεβάλετο. καὶ τοῦτο χρησίμως. ἐπειδὴ γὰρ ἀπεφήνατο ὁ Θεὸς κατὰ τοῦ Ἀδάμ, ὅτι ᾗ ἂν ἡμέρᾳ φάγῃς, θανάτῳ ἀποθανῇ· οὐκ ἔδωκε τῷ θανάτῳ ἐξουσίαν τοῦ ὑποδίκου πρότερον ἅψασθαι, ἵνα μὴ ἀληθεῖς καὶ ἀσφαλεῖς λάβῃ τὰς ὁρμὰς κατὰ τοῦ γένους ἡμῶν ὁ θάνατος. εἰ γὰρ τῶν παρανομησάντων πρότερον ἥψατο, ἦν ἂν ἀμετάστατος καὶ ἀμεταμέλητος ἡ τιμωρία. ἀλλ' εἰσῆλθεν ἀπ' ἀδικίας, ἵνα ἐξελαθῇ διὰ δικαιοσύνης. ἀνῃρέθησαν δίκαιοι, ἀλλ' οὐκ ἐσβέσθησαν. εἰς μνημόσυνον γὰρ αἰώνιον ἔσται δίκαιος. αἵματα ἐξεχύθη δικαίων, ἀλλ' ὁ Θεὸς τοὺς παραδοθέντας ὡς εὐτελεῖς, τούτους ὡς υἱοὺς καλεῖ, καὶ ὡς υἱοὺς ἐκδικεῖ. ὅτι δὲ οἱ ἀνῃρημένοι ἁπλῶς ὑπὸ ἐχθρῶν υἱοὶ Θεοῦ λέγονται, καὶ ὡς υἱοὶ τὴν ἐκδίκησιν δέχονται, ἐγγυᾶταί μου τὸν λόγον ὁ μακάριος Μωϋσῆς. τί γάρ φησι διὰ τῆς ᾠδῆς; εὐφράνθητε ἔθνη μετὰ τοῦ λαοῦ αὐτοῦ, καὶ προσκυνησάτωσαν αὐτῷ πάντες ἄγγελοι αὐτοῦ, ὅτι τὸ αἷμα τῶν υἱῶν αὐτοῦ ἐκδικεῖται. εἰ υἱοὶ Θεοῦ, πῶς ἀνῃρέθησαν ὑπὸ τῶν ἐναντίων; ὁρᾷς ὅτι συγχωρεῖ ὁ Θεὸς δικαίους ἀναιρεῖσθαι εἰς δόκησιν εὐσεβείας, καὶ οὐ βεβίασται τὸ ῥῆμα, ἵνα βεβαιώσῃ τὸ φρόνημα; εὐφράνθητε οὐρανοί, ὅτι τὸ αἷμα τῶν υἱῶν αὐτοῦ ἐκδικεῖται. παρεδόθησαν ὡς ἀλλότριοι, καὶ ἐκδικοῦνται ὡς υἱοί. τὸ γυμνάσιον τῆς εὐσεβείας, μαρτύριόν ἐστι προφανὲς καὶ ὡμολογημένον. καὶ ὅπως, ἄκουε καὶ σκόπησον, παρακαλῶ, βαθύνας πρὸς τὴν ἀκρόασιν τὴν ἔννοιαν. ἐπὶ βήματος ἑκάστου μαρτύρων τί ἕτερον προτείνεται, ἢ Θεὸν ἀρνήσασθαι, καὶ πρὸς ταύτην τὴν πρότασιν ἀγωνισάμενος, ὁμολογούμενον καὶ ἀναντίρρητον δέχεται τὸν στέφανον τοῦ μαρτυρίου;

idem Deus permittit, hæc omnia ad vtilitatem suorum dispensans, ac per sanctos emendans peccati maculam, nihil prorsus iniustum in his quę diuina potentia permittuntur. Hæc permittit Deus ad exercendas mentes nostras: ac frequenter iusti pro iniustis mortem perpetiuntur. Habes veterē congruentiam per antiquas historias. Pronuntiauit Deus aduersus Adam, dicens: Terra es, & in terram abibis. [Gen. 3. 19.] Atque is quidem accepta sententia, inter viuos censebatur: contrà, qui nihil peccarat Abel, interfectus est. [Ibid. 4.] Qui obnoxius erat culpæ, vita fruebatur, iustus morti subiectus est, idque vtiliter. Posteaquam enim Deus pronuntiarat sententiam aduersus Adam, Quocunque die comederis, morte morieris: [Ibid. 2.] non dedit morti potestatem illicò reum inuadendi, ne mors aduersus genus nostrum arriperet vera certáque congiaria. Etenim si transgressos protinus arripuisset, pœna fuisset irreparabilis, citráque pœnitentiæ remedium. Sed ingressa est mors per iniustitiam, vt eijceretur per iustitiam. Sublati sunt iusti, sed extincti non sunt: in memoria sempiterna erit iustus. [Psal. 111.] Sanguis iustorum effusus est, sed Deus eos, qui traditi sunt tanquam viles & abiecti, filios appellat, & tanquam filios vlciscitur. Porrò quòd qui simpliciter ab inimicis occisi sunt, filij Dei dicuntur, ac tanquam filij vindicantur, sermonem meum confirmat beatus Moyses. Quid autem ait in cantico? Exultate gentes cum populo eius, & adorent eum omnes filij Dei, quoniam sanguinem filiorum suorum vlcisceretur. [Deut. 32.] Si filij Dei, quomodo occisi sunt ab inimicis? Vides quòd Deus permittit iustos occidi, ad probationem pietatis: nec violatum est verbum, vt confirmaretur sensus. Lætamini cœli, quoniam sanguinem filiorum suorum vlciscetur. Traditi sunt tanquam alieni, & vindicantur tanquam filij. Exercitatio pietatis est martyrium, hoc est, testimonium euidens, & professum. Et quomodo? Audi & considera, obsecro, demitte cogitationem ad sermonis profunditatem. In omni tribunali quid aliud martyri proponitur, quàm vt abneget Deum? Ac dum aduersum hanc propositionem decertat, manifestam & irreprehensibilem accipit coronam martyrij. [Martyrij finis.]

Super his verò sanctis, qui nunc occisi A sunt, non erat iudex iudicans, sed conscientia. Complures enim interdum (neque enim condemno, sed humanas cogitationes excutio) trangressi sunt in cogitatione: veluti si quis aliquando in afflictione dixit: Vbi est Deus cui seruiui: vbi est Deus, quem professus sum? Ibi procella ac tempestas, ibi periclitabatur nauigium. Quòd si quis dum illis examinatur tempestatibus, denuò resipuit, ac dixit: Num hîc mihi vita circumscripta est? Nnm expectaui bona terræ? An non expectabam regnum? an non B expectaui resurrectionem mortuorum? an non magnificam Angelorum vitam? an non vitam illam senij nesciam? quid itaque me lædit mors, adferens bona æterna? Non perturbor têporariis, quum expectem æterna. Qui hæc expendit in animo, Deum habet suæ cogitationis iudicem, habet patronũ pium animum, habet tribunal metũ, habet testem conscientiam, quæ ipsi iustitiæ plectit coronam, & ante conscientiam Deum cœlitus præmia distribuentem operariis pietatis. Etenim qui videt occulta, coronat C in propatulo. Ora tu, inquit, patrẽ tuum in abscõdito: & pater qui est in abscondito, reddet tibi. Ergòne qui orat in occulto, coronatur? & qui in occulto contorquet mentem ad confessionem, non coronatur? Martyrium fratres nõ euentu tantùm æstimatur, sed etiam proposito. Non quum martyr decollatur, tum fit martyr, sed ex quo propositum ostendit profitendi, martyr est, etiamsi non patiatur quæ martyres solent. Et quis est qui hæc suo comprobat testimonio? Beatus ille Paulus, qui quum semel sit mortuus, tamen ostendit se quotidie D mori. Quid enim inquit? Quotidie morior propter vestrã gloriã, quam habeo in Christo. Quotidie morior. Quomodo moreris, qui viuis? Moriebar proposito, sed seruatus sum gratia Dei. Quantum erat in hominibus potentibus, & in me, quatenus meipsum exposui, quotidie morior: quod autem ad gratiam attinet diuinam, tanquam doctor reseruatus sum ecclesiæ. Dispensat enim Deus res ad vtilitatem hominum, & alios quidem tradit vt ostendatur probata fidelium mens: alios rursus reseruat, vt cu-

Tempestas martyrij.

Matt. 6. 6.

Est & martyrium propositi.

1. Cor. 15. 31.

ἐπὶ δὲ τῶν νῦν εἰρημένων ἁγίων, οὐκ ἦν δικαστὴς δικάζων, ἀλλ' ἡ συνείδησις. πολλοὶ γὰρ ὅτε (οὐ γὰρ καταχρίνω, ἀλλὰ τοὺς ἀνθρωπίνους λογισμοὺς ἀναξαίνω) παρέβησαν ἐν διανοίᾳ· οἷον εἴ τις ποτε ἐν θλίψει εἶπε· ποῦ ὁ Θεός, ᾧ ἐλάτρευον; ποῦ ὁ Θεός, ᾧ ἐξομολογούμην; ἐκεῖ κλυδὼν ἦν καὶ χειμὼν, καὶ τὸ σκάφος ἐκινδύνευεν. εἰ δέ τις ἐν τοῖς χειμῶσιν ἐξεταζόμενος ἐκείνοις, πάλιν ἀνένηψεν, καὶ εἶπεν· μὴ γὰρ ἐνταῦθά μοι περιώρισται τὰ τῆς ζωῆς; μὴ γὰρ τὰ τῆς γῆς ἀνέμενον ἀγαθά; οὐ βασιλείαν ἐξεδεχόμην; οὐκ ἀνάστασιν νεκρῶν προσεδόκων; οὐ τὴν μετ' ἀγγέλων διαγωγήν; οὐ τὴν ἀγήρω ζωήν; τί τοίνυν ἀδικεῖ με θάνατος ἔχοντα αἰώνια ἀγαθά; οὐ ταράττομαι πρὸς τὰ πρόσκαιρα· ἐκδέχομαι γὰρ τὰ αἰώνια. ὁ ταῦτα ἐν τῇ διανοίᾳ βασανίσας, ἔχει δικαστὴν τὸν Θεὸν τῆς διανοίας, ἔχει συνήγορον τὸν λογισμὸν τῆς εὐσεβείας, ἔχει βῆμα τὸν φόβον, ἔχει μάρτυρα τὴν συνείδησιν τὴν τῆς δικαιοσύνης αὐτῷ στέφανον πλέκουσαν, καὶ πρὸ τῆς συνειδήσεως τὸν Θεὸν ἄνωθεν βραβεύοντα τοῖς ἐργάταις τῆς εὐσεβείας. ὁ γὰρ τὰ κρυπτὰ ὁρῶν, ἐν τῷ φανερῷ στεφανοῖ· πρόσευξαι σύ, φησι, τῷ πατρί σου ἐν τῷ κρυπτῷ, καὶ ὁ πατήρ σου ὁ ἐν τῷ κρυπτῷ ἀποδώσει σοι. ἆρ' οὖν ὁ ἐν τῷ κρυπτῷ προσευχόμενος στεφανοῦται, ὁ δὲ ἐν τῷ κρυπτῷ βασανίζων τὴν διάνοιαν εἰς ὁμολογίαν οὐ στεφανοῦται; τὸ μαρτύριον, ἀδελφοί, οὐ τῇ ἀποβάσει κρίνεται μόνον, ἀλλὰ καὶ τῇ προθέσει. οὐκ ἐπειδὰν ἀποτμηθῇ ὁ μάρτυς, τότε γίνεται μάρτυς, ἀλλ' ἀφ' οὗ ἂν τὴν πρόθεσιν ἐπιδείξηται τῆς ὁμολογίας, μάρτυς ἐστί, κἂν μὴ πάθῃ τὰ μάρτυρος. καὶ τίς ὁ τούτοις μαρτυρῶν; ὁ μακάριος Παῦλος. ἅπαξ γὰρ ἀποθανὼν, καθ' ἡμέραν ἑαυτὸν ἀποθνήσκοντα δείκνυσι. τί γάρ φησι; καθ' ἡμέραν ἀποθνήσκω, διὰ τὴν ὑμετέραν καύχησιν ἣν ἔχω ἐν Χριστῷ. καθ' ἡμέραν ἀποθνήσκω. πῶς ἀποθνήσκεις ὁ ζῶν; ἀπέθανον τῇ προθέσει, ἀλλ' ἐσώθην τῇ χάριτι. ὅσον ἐπ' ἀνθρώποις τοῖς δοκοῦσι, καὶ ἐπ' ἐμοὶ ὅσον, ἐμαυτὸν ἐξέδωκα, καθ' ἡμέραν ἀποθνήσκω· ὅσον δὲ ἐπὶ τῇ θείᾳ χάριτι, ὡς διδάσκαλος ἐφυλάχθην τῇ ἐκκλησίᾳ. οἰκονομεῖ γὰρ ὁ Θεὸς τὰ πράγματα πρὸς τὸ συμφέρον, καὶ τοὺς μὲν ἐκδίδωσιν, ἵνα δειχθῇ τὸ δόκιμον τῆς τῶν πιστῶν διανοίας, τοὺς δὲ φυλάττει, ἵνα φυλάξῃ ζύμην

ταῖς ἐκκλησίαις. οὐκ ἐμιάνθησαν αἱ παρθένοι. ἡ γὰρ προαίρεσις ἄσπιλος καὶ ἡ γνώμη ἀμίαντος. καί μοι σκόπησον, ἀδελφέ· ἡ παρθενία δέχεται τοὺς στεφάνους ὡμολογημένους. ποία; ἡ ἐκ προθέσεως ἢ ἡ ἐξ ἀνάγκης; οὐκ οἶδας ὅτι μυριάδες παρθένων καὶ ἀμιάντων σωμάτων ἀπῆλθον; οὐ πολλαὶ θυγατέρες Ἑλλήνων καὶ μιαρῶν καὶ ἀσεβῶν, ὥραν ἐκδεχόμεναι γάμου, ἡρπάσθησαν; οὐ πολλοὶ νέοι ἄσπιλοι τὸ σῶμα ἀπὸ γάμου καὶ συζυγίας θανάτῳ παρεδόθησαν; νέοι λέγω, Ἑλλήνων υἱοὶ, Ἰουδαίων υἱοὶ, ἀσεβῶν υἱοὶ, αἱρετικῶν· καὶ ἀπῆλθον μυριάδες πολλαὶ παρθενίαν ἔχουσαι σώματος. ἆρα ἐπὶ τοῦ βήματος τοῦ Χριστοῦ στέφανοι δίδονται τῆς παρθενίας ἐκείνης, καὶ τὰ πλήθη ἐκεῖνα στέφανον δέχεται παρθενίας; οὐ δέχεται. εἰ μὲν οὖν δέχεται στέφανον παρθενίας, καρπὸν ἔχει ἡ ἀνάγκη. εἰ δὲ οὐδεὶς καρπὸς ἀνάγκης, ἀλλὰ πᾶς μισθὸς προαιρέσεως, ἀστεφάνωτοι μένουσιν αἱ μυριάδες ἐκεῖναι, παρθενίαν μὲν ἔχουσαι, προαίρεσιν δὲ παρθενίας οὐκ ἔχουσαι. οὐ γὰρ λογίζεται ὁ Θεὸς τὰ ἐξ ἀνάγκης, ἀλλὰ τὸ ἐκ προαιρέσεως κατορθούμενον. εἰ τοίνυν ἐκείναις ταῖς μυριάσιν ἡ παρθενία οὐ λογίζεται εἰς παρθενίαν, οὐδὲ ταῖς παρὰ προαίρεσιν μιανθείσαις. ἐμιάνθη τὸ σῶμα, ἀλλ' ὁ τῆς ψυχῆς ναὸς οὐκ ἐμιάνθη· ὑβρίσθη τὸ σῶμα, ἀλλ' οὐκ ἐφθάρη τὰ νοήματα. μηδεὶς τοίνυν ἀπαγορευέτω τὸ πλῆθος τῶν ἁγίων τῇ ὕβρει παραδιδομένων καὶ αἰχμαλωσίᾳ. ἰδεῖν ἁγίων πολλάκις πάσχει ὑπὲρ τῶν ἀσεβούντων. ὁ σωτὴρ μηδὲν ἡμαρτηκὼς, ὑπὲρ τῶν ἁμαρτωλῶν παραδίδοται. καὶ βοᾷ Ἡσαΐας, ἄνθρωπος τῇ ὁδῷ αὐτοῦ ἐπλανήθη, καὶ κύριος παρέδωκεν αὐτὸν ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν. καὶ πάλιν ὁ αὐτός· ἁμαρτίαν οὐκ ἐποίησεν, οὐδὲ δόλος εὑρέθη ἐν τῷ στόματι αὐτοῦ, καὶ κύριος παρέδωκεν αὐτὸν ταῖς ἁμαρτίαις ἡμῶν, καὶ ὑπὲρ τῶν ἁμαρτιῶν τοῦ λαοῦ ἦλθεν εἰς θάνατον. ὁρᾷς; μιμηταὶ τοῦ Χριστοῦ οἱ ὑπὲρ ἀδίκων πάσχοντες. συμβαίνει δὲ, ἀδελφοὶ, καὶ ἄλλως, ἵνα πλατύνω μικρὸν τὴν ἱστορίαν, συμβαίνει καὶ τῶν ἀναιρεθέντων τινὰς σφάλμασιν ὑποκεῖσθαι. ὁ δὲ Θεὸς διὰ τῆς προσκαίρου συμφορᾶς ἔλυσε τὴν ἁμαρτίαν, διὰ τῆς τῶν σωμάτων πληγῆς ἔπαυσε τὰ τραύματα τῆς ψυχῆς. λογίζεται δὲ καὶ ὁ θάνατος εἰς τιμωρίαν, λογίζεται δὲ καὶ νόσος τοῖς ἁμαρτάνουσι τῶν

A stodiat fermentum ecclesiis. Non sunt pollutæ virgines, quòd propositum sit immaculatū, & animus immarcessibilis. Et illud mihi cōsidera frater, virginitas citra controuersiam accipit coronas: vera virginitas, quę est propositi, an quę est necessitatis? An nescis quòd innumeræ virgines corporáque impolluta decesserunt ex hac vita? An non multæ filiæ gentium abominabilium & impiarum, tempus nuptiarum expectantes, raptæ sunt? An non multi iuuenes corpore incontaminato post coniugium & nuptias morti sunt traditi? Iuuenes, inquam, ethnicorum filij, Iudæorum filij, B impiorum hæreticorum filij, abierunt que innumeri corporis virginitatem habentes? An apud tribunal Christi, tali virginitati coronæ, dantur coronæ atq. illæ turbæ coronam accipiunt virginitatis? Non accipiunt. Enimuero si coronam accipiant, fructum aliquem habet necessitas. Quòd si nullus est necessitatis fructus, sed tota merces est propositi, numerus ille innumerabilis manet incoronatus, virginitatē quidem habens, sed virginitatis propositum nō habens. C Neque enim Deus acceptum fert quod fit ex necessitate, sed quod ex proposito rectè fit. Si igitur illis innumeris virginitas non imputetur ad virginitatem, nec his quæ præter propositum inquinationis corruptæ sunt. Pollutum est corpus, sed animi templum non est pollutum: violatum est corpus, sed mens corrupta non est. Ne quis igitur reijciat multitudinem sanctorū in contumeliā & captiuitatem traditorum. Sæpenumero sanctorum est pro impiis pati. Seruator, qui nihil peccauerat, pro peccatorib. traditur: & Esaias clamat: Homo D in via sua aberrauit, & Dominus tradidit eū pro peccatis nostris. Atque idem rursus: Qui peccatum non fecit, nec in inuentus est dolus in ore eius, & Dominus tradidit illum pro peccatis nostris, & pro peccatis populi venit ad mortem. Vides? Imitatores Christi sunt, qui pro iniustis patiuntur. Accidit autem, fratres, & alio modo, vt aliquantulum dilatem historiā: accidit vt etiam ex his qui occiduntur nōnulli peccatis obnoxij sint: Dominus autem per temporariam afflictionem diluit peccatum, per corporum plagas extinguit animæ vulnera. His mors imputatur pro supplicio. Quin & ægrotatio piis qui peccauerūt,

Virginitas propositi, & virginitatis necessitatis.

Propositio quod fit, Deo placet, non quod ex necessitate.

Esa. 53. 8.

Vt nescit desinere.

Super his verò sanctis, qui nunc occisi sunt, non erat iudex iudicans, sed conscientia. Complures enim interdum (neque enim condemno, sed humanas cogitationes excutio) transgressi sunt in cogitatione: veluti si quis aliquando in afflictione dixit: Vbi est Deus cui seruiui: vbi est Deus, quem professus sum? Ibi procella ac tempestas, ibi periclitabatur nauigium. Quòd si quis dum illis examinatur tempestatibus, denuò resipuit, ac dixit: Num hîc mihi vita circumscripta est? Nnm expectaui bona terræ? An non expectabam regnum? an non expectaui resurrectionem mortuorum? an non magnificam Angelorum vitam? an non vitam illam senij nesciam? quid itaque me lædit mors, adferens bona æterna? Non perturbor temporariis, quum expectem æterna. Qui hæc expendit in animo, Deum habet suæ cogitationis iudicem, habet patronũ pium animum, habet tribunal metũ, habet testem conscientiam, quæ ipsi iustitiæ plectit coronam, & ante conscientiam Deum cœlitus præmia distribuentem operariis pietatis. Etenim qui videt occulta, coronat in propatulo. Ora tu, inquit, patrẽ tuum in abscõdito: & pater qui est in abscondito, reddet tibi. Ergòne qui orat in occulto, coronatur? & qui in occulto contorquet mentem ad confessionem, non coronatur? Martyrium fratres nõ euentu tantùm æstimatur, sed etiam proposito. Non quum martyr decollatur, tum fit martyr, sed ex quo propositum ostendit profitendi, martyr est, etiamsi non patiatur quæ martyres solent. Et quis est qui hæc suo comprobat testimonio? Beatus ille Paulus, qui quum semel sit mortuus, tamen ostendit se quotidie mori. Quid enim inquit? Quotidie morior propter vestrã gloriã, quam habeo in Christo. Quotidie morior. Quomodo moreris, qui viuis? Moriebar proposito, sed seruatus sum gratia Dei. Quantum erat in hominibus potentibus, & in me, quatenus meipsum exposui, quotidie morior: quod autem ad gratiam attinet diuinam, tanquam doctor reseruatus sum ecclesiæ. Dispensat enim Deus res ad vtilitatem hominum, & alios quidem tradit vt ostendatur probata fidelium mens: alios rursus reseruat, vt cu-

Tempestas martyrij.

Matt. 6. 6.

Est & martyrium proposito.

1. Cor. 15. 31.

A ἐπὶ δὲ τῶν νῦν εἰρημένων ἁγίων, οὐκ ἦν ὁ δικαστὴς δικάζων, ἀλλ᾽ ἡ συνείδησις. πολλοὶ γὰρ ὅτε (οὐ γὰρ καταχρίνω, ἀλλὰ τοὺς ἀνθρωπίνους λογισμοὺς ἀνακξαίνω) παρέβησαν ἐν διανοίᾳ· οἷον εἴ τις ποτε ἐν θλίψει εἶπε· ποῦ ὁ Θεὸς, ᾧ ἐλάτρευον; ποῦ ὁ Θεὸς, ᾧ ἐξομολογούμην; ἐκεῖ κλυδὼν ἦν καὶ χειμὼν, καὶ τὸ σκάφος ἐκινδύνευεν. εἰ δέ τις ἐν τοῖς χειμῶσιν ἐξεταζόμενος ἐκείνοις, πάλιν ἀνένηψε, καὶ εἶπεν· μὴ γὰρ ἐνταῦθά μοι περιώρισται τὰ τῆς ζωῆς; μὴ γὰρ τὰ γῆς ἀνέμενον ἀγαθά; οὐ βασιλείαν ἐξεδεχόμην; οὐκ ἀνάστασιν νεκρῶν B προσεδόκων; οὐ τὴν μετ᾽ ἀγγέλων διαγωγήν; οὐ τὴν ἀγήρω ζωήν; τί τοίνυν ἀδικεῖ με θάνατος ἔχοντα αἰώνια ἀγαθά; οὐ ταράττομαι πρὸς τὰ πρόσκαιρα· ἐκδέχομαι γὰρ τὰ αἰώνια. ὁ ταῦτα ἐν τῇ διανοίᾳ βασανίσας, ἔχει δικαστὴν τὸν Θεὸν τῆς διανοίας, ἔχει συνήγορον τὸν λογισμὸν τῆς εὐσεβείας, ἔχει βῆμα τὸν φόβον, ἔχει μάρτυρα τὴν συνείδησιν τὴν τῆς δικαιοσύνης αὐτῷ στέφανον πλέκουσαν, καὶ πρὸ τῆς συνειδήσεως τὸν Θεὸν ἄνωθεν βραβεύοντα τοῖς ἐργάταις τῆς εὐσεβείας. ὁ γὰρ τὰ κρυπτὰ ὁρῶν, ἐν τῷ προφανεῖ στεC φανοῖ· πρόσευξαι σύ, φησι, τῷ πατρί σου ἐν τῷ κρυπτῷ, καὶ ὁ πατήρ σου ὁ ἐν τῷ κρυπτῷ ἀποδώσει σοι. ἆρ᾽ οὖν ὁ ἐν τῷ κρυπτῷ προσευχόμενος στεφανοῦται, ὁ δὲ ἐν τῷ κρυπτῷ βασανίζων τὴν διάνοιαν εἰς ὁμολογίαν οὐ στεφανοῦται; τὸ μαρτύριον, ἀδελφοὶ, οὐ τῇ ἀποβάσει κρίνεται μόνον, ἀλλὰ καὶ τῇ προθέσει. οὐκ ἐπειδὰν ἀποτμηθῇ ὁ μάρτυς, τότε γίνεται μάρτυς, ἀλλ᾽ ἀφ᾽ οὗ ἂν τὴν πρόθεσιν ἐπιδείξηται τῆς ὁμολογίας, μάρτυς ἐστὶ, κἂν μὴ πάθῃ τὰ μάρτυρος. D καὶ τίς ὁ τούτοις μαρτυρῶν; ὁ μακάριος Παῦλος. ἅπαξ γὰρ ἅπαξ ἀποθανὼν, καθ᾽ ἡμέραν ἑαυτὸν ἀποθνήσκοντα δείκνυσι. τί γάρ φησι; καθ᾽ ἡμέραν ἀποθνήσκω, διὰ τὴν ὑμετέραν καύχησιν ἣν ἔχω ἐν Χριστῷ. καθ᾽ ἡμέραν ἀποθνήσκω. πῶς ἀποθνήσκεις ὁ ζῶν; ἀπέθανον τῇ προθέσει, ἀλλ᾽ ἐσώθην τῇ χάριτι. ὅσον ἐπ᾽ ἀνθρώποις τοῖς δοκοῦσι, καὶ ἐπ᾽ ἐμοὶ ὅσον, ἐμαυτὸν ἐξέδωκα, καθ᾽ ἡμέραν ἀποθνήσκω· ὅσον δὲ ἐπὶ τῇ θείᾳ χάριτι, ὡς διδάσκαλος ἐφυλάχθην τῇ ἐκκλησίᾳ. οἰκονομεῖ γὰρ ὁ Θεὸς τὰ πράγματα πρὸς τὸ συμφέρον, καὶ τοὺς μὲν ἐκδίδωσιν, ἵνα δειχθῇ τὸ δόκιμον τῆς τῶν πιστῶν διανοίας, τοὺς δὲ φυλάττει, ἵνα φυλάξῃ ζύμην

ταῖς ἐκκλησίαις. οὐκ ἐμιάνθησαν αἱ παρθένοι. ἡ γὰρ προαίρεσις ἄσπιλος καὶ ἡ γνώμη ἀμίαντος. καί μοι σκόπησον, ἀδελφέ· ἡ παρθενία δέχεται τοὺς στεφάνους ὡμολογημένους. ποία; ἡ ἐκ προαιρέσεως ἢ ἡ ἐξ ἀνάγκης; οὐκ οἶδας ὅτι μυριάδες παρθένων καὶ ἀμιάντων σωμάτων ἀπῆλθον; οὐ πολλαὶ θυγατέρες Ἑλλήνων καὶ μιαρῶν καὶ ἀσεβῶν, ὥραν ἐκδεχόμεναι γάμου, ἡρπάσθησαν; οὐ πολλοὶ νέοι ἄσπιλοι τὸ σῶμα ἀπὸ γάμου καὶ συζυγίας θανάτῳ παρεδόθησαν; νέοι λέγω, Ἑλλήνων υἱοί, Ἰουδαίων υἱοί, ἀσεβῶν υἱοί, αἱρετικῶν· καὶ ἀπῆλθον μυριάδες πολλαὶ παρθενίαν ἔχουσαι σώματος. ἆρα ἐπὶ τοῦ βήματος τοῦ Χριστοῦ στέφανοι δίδονται τῆς παρθενίας ἐκείνης, καὶ τὰ πλήθη ἐκεῖνα στεφάνους δέχεται παρθενίας; οὐ δέχεται. εἰ μὲν οὖν δέχεται στέφανον παρθενίας, καρπὸν ἔχει ἡ ἀνάγκη. εἰ δὲ οὐδεὶς καρπὸς ἀνάγκης, ἀλλὰ πᾶς μισθὸς προαιρέσεως, ἀστεφάνωτοι μένουσιν αἱ μυριάδες ἐκεῖναι, παρθενίαν μὲν ἔχουσαι, προαίρεσιν δὲ παρθενίας οὐκ ἔχουσαι. οὐ γὰρ λογίζεται ὁ Θεὸς τὰ ἐξ ἀνάγκης, ἀλλὰ τὸ ἐκ προαιρέσεως κατορθούμενον. εἰ τοίνυν ἐκείναις ταῖς μυριάσιν ἡ παρθενία οὐ λογίζεται εἰς παρθενίαν, οὐδὲ ταῖς παρὰ προαίρεσιν μιανθείσαις. ἐμιάνθη τὸ σῶμα, ἀλλ' ὁ τῆς ψυχῆς ναὸς οὐκ ἐμιάνθη· ὑβρίσθη τὸ σῶμα, ἀλλ' οὐκ ἐφθάρη τὰ νοήματα. μηδεὶς τοίνυν ἀπαγορευέτω τὸ πλῆθος τῶν ἁγίων τῇ ὕβρει παραδιδομένων καὶ αἰχμαλωσίᾳ. ἴδετε ἁγίων πολλάκις πάσχει ὑπὲρ τῶν ἀσεβούντων. ὁ σωτὴρ μηδὲν ἡμαρτηκὼς, ὑπὲρ τῶν ἁμαρτωλῶν παραδίδοται. καὶ βοᾷ Ἠσαΐας, ἄνθρωπος τῇ ὁδῷ αὐτοῦ ἐπλανήθη, καὶ κύριος παρέδωκεν αὐτὸν ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν. καὶ πάλιν ὁ αὐτός· ἁμαρτίαν οὐκ ἐποίησεν, οὐδὲ δόλος εὑρέθη ἐν τῷ στόματι αὐτοῦ, καὶ κύριος παρέδωκεν αὐτὸν ταῖς ἁμαρτίαις ἡμῶν, καὶ ὑπὲρ τῶν ἁμαρτιῶν τοῦ λαοῦ ἦλθεν εἰς θάνατον. ὁρᾷς; μιμηταὶ τοῦ Χριστοῦ οἱ ὑπὲρ ἀδίκων πάσχοντες. συμβαίνει δὲ, ἀδελφοί, καὶ ἄλλως, ἵνα πλατύνω μικρὸν τὴν ἱστορίαν, συμβαίνει καὶ τῶν ἀναιρεθέντων τινὰς σφάλμασιν ὑποκεῖσθαι. ὁ δὲ Θεὸς διὰ τῆς προσκαίρου συμφορᾶς ἔλυσε τὴν ἁμαρτίαν, διὰ τῆς τῶν σωμάτων πληγῆς ἔπαυσε τὰ τραύματα τῆς ψυχῆς. λογίζεται δὲ καὶ ὁ θάνατος εἰς τιμωρίαν, λογίζεται δὲ καὶ νόσος τοῖς ἁμαρτάνουσι τῶν

A stodiat fermentum ecclesiis. Non sunt pollutæ virgines, quòd propositum sit immaculatū, & animus immaculatū, & animus immaculabilis. Et illud mihi cōsidera frater, virginitas citra controuersiam accipit coronas: vtra virginitas, quę est propositi, an quę est necessitatis? An nescis quòd innumeræ virgines corporáque impolluta decesserunt ex hac vita? An non multæ filiæ gentium abominabilium & impiarum, tempus nuptiarum expectantes, raptæ sunt? An non multi iuuenes corpore incontaminato post coniugium & nuptias morti sunt traditi? Iuuenes, inquam, ethnicorum filij, Iudæorum filij, B impiorum hæreticorum filij, abierúntque innumeri corporis virginitatem habentes? An apud tribunal Christi, tali virginitati coronæ, dantur coronæ atq. illæ turbæ coronam accipiunt virginitatis? Non accipiunt. Enimuero si coronam accipiant, fructum aliquem habet necessitas. Quòd si nullus est necessitatis fructus, sed tota merces est propositi, numerus ille innumerabilis manet incoronatus, virginitatē quidem habens, sed virginitatis propositum nō habens. C Neque enim Deus acceptum fert quod fit ex necessitate, sed quod ex proposito rectè fit. Si igitur illis innumeris virginitas non imputetur ad virginitatem, nec his quæ præter propositum inquinationis corruptæ sunt. Pollutum est corpus, sed animi templum non est pollutum: violatum est corpus, sed mens corrupta non est. Ne quis igitur reijciat multitudinem sanctorū in contumeliā & captiuitatem traditorum. Sæpenumero sanctorum est pro impiis pati. Seruator, qui nihil peccauerat, pro peccatorib. traditur: & Esaias clamat: Homo D in via sua aberrauit, & Dominus tradidit eū pro peccatis nostris. Atque idem rursus: Qui peccatum non fecit, nec in inuentus est dolus in ore eius, & Dominus tradidit illum pro peccatis nostris, & pro peccatis populi venit ad mortem. Vides? Imitatores Christi sunt, qui pro iniustis patiuntur. Accidit autem, fratres, & alio modo, vt aliquantulum dilatem historiam: accidit vt etiam ex iis qui occiduntur nōnulli peccatis obnoxij sint: Dominus autem per temporariam afflictionem diluit peccatum, per corporum plagas extinguit animæ vulnera. His mors imputatur pro supplicio. Quin & ægrotatio piis qui peccauerūt,

Virginitas propositi, & virginitas necessitatis.

Proposito quod fit, Deo placet, non quod ex necessitate.

Esa. 53. 8.

Vt nescit desinere.

imputatur pro supplicio. Et quis est qui ista promittit? Paulus neque enim oportet quicquam dicere sine testibus, solaque animi cogitatione. Nam si quid dicitur absque scriptura, auditorum cogitatio claudicat, nunc annuens, nunc hæsitans, & interdum sermonem vt friuolum auersans, interdum vt probabilem recipiens? verùm vbi è scriptura diuinæ vocis prodiit testimonium, & loquentis sermonē, & audientis animum confirmat. Quis igitur sermo nobis attestabitur, quòd afflictiones & flagella hominibus illata, imputantur ad peccatorum remissionem? Audi beatum Paulum loquentē de his, qui indignè accedunt ad mensam mysticā. An ignoratis quod qui edūt indignè, sibi edunt ac bibunt ad iudicium? Et quid continenter adiecit? Propterea inter vos multi infirmi, multi imbecilles quoniā indignè acceditis ad mensam: & dormiunt multi, pro eo quod erat, moriūtur, tāquā mors etiam pro peccato adueniat. His protinus annectit: Si enim nosipsos iudicaremus, nequaquam iudicaremur. Ergo Domini iudicium est, & morbus, & mors. Et quid mihi prodest post mortem? quis fructus post obitum? Si nosipsos iudicaremus, nequaquam iudicaremur. Cùm autem iudicamur, à Domino corripimur, ne cum mundo condemnemur. Deus enim iustificauit, ne iustos simul cum impiis perdat, néve simul condemnet sanctos cum profanis, idque valde conuenienter. Non enim par est, vt qui Deum adorat, simul puniatur cum eo qui Deū afficit blasphemiis: & eodem modo plectatur piè colens Deūmque glorificās, quo blasphemantes & despectui habētes veritatem. Propterea Deus occultis & inuisibilibus modis variè flagellat pios delinquentes, quò videlicet nos puros exhibeat magno illi tribunali: vt quum hîc corripuerit, illic imputet præmium. Denuo resumite sermonem apostolicæ intelligentiæ: Si nos ipsos iudicaremus, nequaquam iudicaremur. Cùm autem iudicamur, à Domino corripimur, ne cum mundo cōdemnemur. Huic dicto concordat & beatus Dauid: Beatus, inquit, homo, quemcunque corripueris Domine, & de lege tua docueris eum,

Scriptura sacra testimonium declaribus necessariū.

1. Cor. 11. 28.

Vt nescis desinere.

Psal. 93.

A εὐσέβειαν εἰς ἁμαρτίαν. Καὶ τίς ὁ ταῦτα ἐγγυώμενος; Παῦλος. οὐδὲν γὰρ δεῖ λέγειν ἀμάρτυρον, οὐδὲ ἀπὸ λογισμῶν μόνον. ἐὰν τι γὰρ ἄγραφον λέγηται, ἡ διάνοια τῶν ἀκροατῶν σκάζει, πῆ μὲν ἐπινεύουσα, πῆ δὲ παραγραφομένη, καὶ ποτὲ μὲν τὸν λόγον ὡς ἕωλον ἀποστρεφομένη, ποτὲ δὲ ὡς πιθανὸν παραδεχομένη. ὅταν δὲ ἔγγραφος ἡ μαρτυρία τῆς θείας φωνῆς προσέλθῃ, καὶ τοῦ λέγοντος τὸν λόγον, καὶ τοῦ ἀκούοντος τὴν διάνοιαν ἐβεβαίωσε. τίς οὖν ἡμῖν λόγος μαρτυρήσει, ὅτι αἱ συμφοραὶ καὶ αἱ παιδεῖαι ἐπαγόμεναι τοῖς ἀνθρώποις, εἰς λύσιν

B ἁμαρτημάτων λογίζονται; ἄκουε τοίνυν τοῦ μακαρίου Παύλου λέγοντος περὶ τῶν ἀναξίως προσιόντων τῇ τραπέζῃ τῇ μυστικῇ· οὐκ οἴδατε ὅτι οἱ ἀναξίως ἐσθίοντες, εἰς κρίμα ἑαυτοῖς ἐσθίουσι καὶ πίνουσι; καὶ τί εὐθέως ἐπήγαγε; διὰ τοῦτο ἐν ὑμῖν πολλοὶ ἄρρωστοι· διὰ τί, διὰ τὸ ἀναξίως προσέρχεσθαι τῇ τραπέζῃ. διὰ τοῦτο πολλοὶ ἄρρωστοι, πολλοὶ ἀσθενεῖς, καὶ κοιμῶνται ἱκανοί, ἀντὶ τοῦ, ἀποθνήσκουσιν, ὡς καὶ τοῦ θανάτου διὰ ἁμαρτίας ἐπερχομένου. τούτοις εὐθέως συνάπτει, εἰ γὰρ ἑαυτοὺς ἐκρίνομεν, οὐκ ἂν ἐκρι-

C νόμεθα ὑπὸ κυρίου. οὐκοῦν κρίσις Θεοῦ, καὶ νόσος καὶ θάνατος. καὶ τί ὄφελός μοι μετὰ τὴν τελευτήν; τί δὲ κέρδος μετὰ τὸν θάνατον; εἰ γὰρ ἑαυτοὺς ἐκρίνομεν, οὐκ ἂν ἐκρινόμεθα· κρινόμενοι δὲ ὑπὸ κυρίου παιδευόμεθα, ἵνα μὴ σὺν τῷ κόσμῳ κατακριθῶμεν. ἐδικαίωσε γὰρ ὁ Θεὸς μὴ συναπολέσαι τοὺς δικαίους τοῖς ἀσεβέσι, μηδὲ συγκατακρῖναι τοὺς βεβήλοις τοὺς ἁγίους. καὶ μάλα εἰκότως. οὐ γὰρ ἔχει λόγον, τὸν προσκυνοῦντα τὸν Χριστὸν κολάζεσθαι μετὰ τοῦ βλασφημοῦντος· ὡσαύτως τὸν εὐσεβοῦντα καὶ

D ὑμνοῦντα ὑποβαλέσθαι μετὰ τῶν βλασφημούντων καὶ ἀτιμαζόντων τὴν ἀλήθειαν. διὰ τοῦτο ὁ Θεὸς ἀποκρύφοις καὶ ἀοράτοις τρόποις διαφόρως μαστίζει τοὺς ἁμαρτάνοντας τῶν εὐσεβῶν, ἵνα ἀκεραίους παραστήσῃ τῷ μεγάλῳ βήματι, ἵνα ἐνταῦθα παιδεύσας, ἐκεῖ τὸν μισθὸν λογίσηται. ἐπαναλαμβάνετε τὸ ῥῆμα τῆς ἀποστολικῆς ἐννοίας· εἰ ἑαυτοὺς ἐκρίνομεν, οὐκ ἂν ἐκρινόμεθα· κρινόμενοι δὲ, ὑπὸ κυρίου παιδευόμεθα, ἵνα μὴ σὺν τῷ κόσμῳ κατακριθῶμεν. συμφωνεῖ τούτῳ καὶ ὁ μακάριος Δαβὶδ τῷ λόγῳ. μακάριος γὰρ, φησὶν, ἄνθρωπος, ὃν ἂν παιδεύσῃς, κύριε, καὶ ἐκ τοῦ νόμου σου διδάξῃς αὐτόν, τοῦ πραΰναι αὐτὸν ἀφ'

ἡμερῶν πονηρῶν. ὁ γὰρ ἐνταῦθα παιδευθεὶς ἐν ἀναπαύσει ἔσται, καὶ πραότερον πειραθήσεται τοῦ θείου κριτηρίου. καὶ μὴ θαυμάσῃς, εἰ τὸν εὐσεβῆ ἐνταῦθα παιδευθέντα ἐν τῷ μέλλοντι ἐλευθεροῖ. εὑρίσκεις γὰρ ἐν τῇ θείᾳ γραφῇ ἀσφαλέστερον ἔλεγχον Σοδομιτῶν οὐδὲν χεῖρον, καὶ τῶν τὰ Γόμορρα οἰκούντων οὐδὲν ἀσεβέστερον· ἀλλ' ὅμως ἐπεὶ ἐνταῦθα δίκην ὑπέσχον, πραοτέραν αὐτοῖς ποιῆσαι διεξέτασιν ὁ σωτὴρ ἐπαγγέλλεται. καὶ σὺ γὰρ, Καπερναοὺμ, ἡ ἕως τοῦ οὐρανοῦ ὑψωθεῖσα, ἕως ᾅδου κατενεχθήσῃ, ὅτι εἰ ἐν Σοδόμοις ἐγένοντο αἱ δυνάμεις αἱ γενόμεναι ἐν σοὶ, ἔμειναν ἂν ἕως σήμερον· πλὴν ἀνεκτότερον ἔσται γῇ Σοδόμων, καὶ γῇ Γομόρρας ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως, ἢ ὑμῖν. εἰ τοίνυν Σοδομίταις ἀνεκτοτέραν ποιεῖ τὴν κρίσιν ἡ ἐνταῦθα κόλασις, ἐννόησον ὅπως οἱ ἐνταῦθα κολαζόμενοι τῶν εὐσεβῶν τὴν μέλλουσαν διαφεύγουσι κρίσιν, ἣν γένοιτο ἡμᾶς διαφεύγοντας πάντας παραστῆναι μετὰ παρρησίας τῷ βήματι τοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

A vt mitiges eum à diebus malis. Qui enim hic correptus fuerit, in requie erit, ac minus experietur diuinum iudicium. Ne mireris, si pium hic castigatum, liberat in futuro seculo. Reperis enim in diuina scriptura certissimum argumentum Sodomitarum nihilo deterius & habitatorum Gomorrhæ nihil magis impium, & tamen quoniam hic pœnas dederunt, mitius illos in iudicio tractandos promittit Dominus. Et tu Capernaum, quæ vsque ad cœlum elata es, vsque ad infernum detraheris: B quoniam si in Sodomis factæ fuissent virtutes, quæ factæ sunt in te, mansissent ad hunc vsque diem: verumtamen tolerabilius erit terræ Sodomorum, & terræ Gomorrhæ in die iudicij, quàm vobis. Proinde si Sodomitis tolerabilius iudicium reddit, quòd in hac vita puniti sunt: cogita quomodo pij, qui hic castigantur, futurum effugiunt iudicium. Quod iudicium nobis omnibus contingat effugere, & cum fiducia sisti ad tribunal Christi: cui gloria & imperium, in secula seculorum, Amen.

Matth. 11.

C

Εἰς τὸν ρʹ ψαλμόν.

ΠΑΛΙΝ ἡμῖν, ἀγαπητοὶ, πνευματικῶς ᾄδειν ὁ μακάριος Δαβὶδ ὁ προφήτης παρακελεύεται· πάλιν τὸ καλὸν ᾆσμα μελῳδεῖν ἡμᾶς ὁμοφρόνως παρασκευάζει· πάλιν τὸ πνευματικὸν καὶ ἐπουράνιον μέλος προβαλλόμενος, πνευματικοὺς ἡμᾶς διὰ τῆς ᾠδῆς ἀπεργάζεται. πνεύματι γὰρ ἁγίῳ τὴν μελῳδίαν ποιούμενος, καὶ ὥσπερ κιθάρα ἔμψυχος καὶ λογικὴ ὑπὸ τοῦ ἁγίου πνεύματος ἀνακρουόμενος, πνευματικῶς καὶ ἡμᾶς ᾄδειν κατὰ πάντα διδάσκει. ᾄδει δὲ, οὐ τέρψαι καὶ ἡδῦναι τὰ ὦτα προθέμενος, ἀλλ' εὐφρᾶναι καὶ ὠφελῆσαι τὴν διάνοιαν βουλόμενος. οὐδὲ γὰρ ἕως ἀκοῆς μόνον ἵστησι τὰ ᾀδόμενα, ἀλλὰ καὶ ἕως ψυχῆς παραπέμπει τὰ λεγόμενα. ἀκοῇ μὲν γὰρ παραδίδωσι πρὸς παίδευσιν καὶ γνῶσιν τῆς ἀληθείας, ψυχῇ δὲ ἐντίθησι πρὸς ἀσφάλειαν καὶ βε-

IN PSALMVM C.

Interprete Iac. Billio S. Michaëlis, in Eremo Abbate.

RVRSVM nos, fratres in primis chari, ad spirituali modo canendum beatus Propheta Dauid hortatur. Rursum, vt præclarum carmen concordibus animis canamus, efficit. D Rursum spiritualem ac cœlestem cantilenam proferens, spirituales nos per cantionem reddit. Siquidem Spiritus sancti afflatu atque instinctu canens, ac, velut animata & ratione vtens cithara, à Spiritu sancto pulsatus, nos quoque spirituale in modum omnino canere docet. Canit autem non hoc animo, vt aures nostras oblectet, & deliniat: sed vt animis nostris voluptatem atque vtilitatem adferat. Neque enim in auribus dumtaxat cantus suos defigit: verùm sermones suos ad animum vsque transmittit. Etenim auribus quidem ad eruditionem, ac veritatis cognitionem eos tradit: animo autem eosdem ad salutis securitatem, & con-

Explanationem huius Psalmi, tibi, Lector, suppeditauit Regina matris bibliotheca.

firmationem inserit. Canit enim carmen, non nudis duntaxat verbis illud proferens, verùm vtilibus, ac fructuosis: atque hinc canentium vitam corrigens. Neque enim ad vitam, aut ad mundum pertinet hoc carmen: verùm diuinum ac spirituale est, omnique modestia refertum. Nam huius vitæ cantiones, ac mundi cantilenæ, auribus insonantes, atque animum in fraudem inducentes, procul ab vtilitate abducunt: nimirum ad exitiosas & pestiferas cupiditates cũ detorquentes. Siquidem, cùm turpibus verbis, ac nefariis appetitionibus plenę, sunt ad eorum, quæ canuntur, voluptatem; atque ad cantionis dissolutionem, animæ robur infringunt, ac tanquam effeminant, símulque corporis nobilitatem dissoluunt. Contrà spirituales, & qui à Spiritu sancto subministrantur, ad verborum modestiam, & sententiarum ornatum, mentem ducentes, modestam quoque animam reddunt. Etenim animus vnà cum iis, quæ proferuntur, se mouens, atque iis quæ per ea intelliguntur, obsecundans, illuc habitum fert, vbi etiam dictio organum illud, quod spiritualem cantum mouet, pertrahit. Cùm ergo tanta in cantu vis sit, tantáque in carminis modulamine facultas, age, consideremus quidnam illud prophetiæ carmen, quod hodierno die nobis recitatum est, cõtineat. Quid igitur ait? *Misericordiam & iudicium cantabo tibi Domine.* Cumprimis vtile, charissimi, ac salutare hoc carmen est: quippe quod à misericordia & iudicio initium sumat. Nam illa diuinæ benignitatis vbertatem demõstrat: hoc autem ingens ipsius in nos collatum beneficium. Quippe per misericordia beneplacitum illud, quod ad mortales ex Dei gratia factum est, significat. Gloria enim in altissimis Deo: & in terra pax, hominibus bona voluntas. At iudicij vox, salutem antiquitus præfinitam. Quos enim prædestinauit, hos & vocauit. Quos autem vocauit, hos & iustificauit. Decreuerat enim Deus, misericordia & benignitate iis, quibus peccatum exitium attulerat, salutem afferre. Hoc igitur animaduertens Propheta, prædicit, nos videlicet hoc carmine docens, sine vlla intermissione grati erga Deum animi officio fungi, dum ait: *Misericordiam & iudicium cantabo tibi Domine.* Quin aliud etiam

Cantus ad mouendum animum vis quanta.

Luc. 2.

Rom. 6.

A βαλοῦσι τῆς σωτηρίας. ᾄδει γὰρ τὸ ᾆσμα, οὐ ψιλοῖς ῥήμασι ταῖς λέξεσι προσφερόμενος, ἀλλ' ὠφελίμοις τῶν ᾀδόντων τὸν βίον ἐπανορθούμενος. οὐδὲ γὰρ βιωτικὸν ἢ κοσμικὸν τὸ ᾆσμα τοῦτο, ἀλλὰ θεῖον καὶ πνευματικὸν, καὶ πάσης κοσμιότητος πεπληρωμένον. τὰ μὲν γὰρ βιωτικὰ ᾄσματα, καὶ αἱ τοῦ κόσμου μελῳδίαι ἀπηχοῦσαι τὴν ἀκοὴν, καὶ ἀπατῶσαι τὴν διάνοιαν, μακρὰν ἀπάγουσι τῆς ὠφελείας εἰς ἐπιθυμίας καθέλκουσαι τῆς ἀπωλείας. αἰσχρῶν γὰρ ῥημάτων ἀνάπλεοι τυγχάνουσαι καὶ ἀθέσμων ὀρέξεων ἔμ- B πλεοι καθεστηκυῖαι, πρὸς τὴν τῶν ᾀδομένων ἡδυπάθειαν, καὶ πρὸς τὴν ἔκλυσιν τῆς μελῳδίας, ἐκθηλύνουσι τῆς ψυχῆς τὴν ἀνδρείαν, καὶ συνεκλύουσι τὴν τοῦ σώματος εὐγένειαν. τὰ δὲ ἐπουράνια, καὶ ἐκ πνεύματος ἁγίου ἔχοντα τὴν χορηγίαν, πρὸς τὴν τῶν ῥημάτων εὐταξίαν, καὶ πρὸς τὴν τῶν νοημάτων εὐκοσμίαν εἰς τάξιν ἄγοντα τὴν διάνοιαν, κοσμίαν καὶ τὴν ψυχὴν ἀπεργάζεται. συγκινουμένη γὰρ ἡ ψυχὴ τοῖς λαλουμένοις, καὶ συνεπινεύουσα τοῖς νοουμένοις, ἐκφέρει τὴν ἕξιν, ἔνθα καὶ λέξις ἐφέλκεται τὸ κινητικὸν ὄργανον τῆς τοῦ πνεύματος μελῳδίας. τοσαύτης C οὖν οὔσης τῆς ἐν τῷ ᾄσματι δυνάμεως, καὶ τηλικαύτης ὑπαρχούσης τῆς ἐν τῇ μελῳδίᾳ ἐνεργείας, φέρε δὴ θεασώμεθα, τί περιέχει καὶ τὸ σήμερον ἡμῖν ἀναγνωσθὲν μελῴδημα τῆς προφητείας. τί οὖν φησιν; ἔλεον καὶ κρίσιν ᾄσομαί σοι, κύριε. πάνυ ὠφέλιμον, ἀγαπητοὶ, καὶ σωτήριον τὸ ᾆσμα τοῦτο, ἐξ ἐλέους καὶ κρίσεως τὴν ἀρχὴν ποιούμενον. τὸ μὲν γὰρ ἐπιδείκνυσι τὴν ἀφθονίαν τῆς τοῦ Θεοῦ φιλανθρωπίας, τὸ δὲ τὴν μεγάλην αὐτοῦ εἰς ἡμᾶς γεγενημένην εὐεργεσίαν. σημαίνει μὲν γὰρ τὸ ἔλεος D τὴν ἐκ χάριτος εἰς ἀνθρώπους γεγενημένην εὐδοκίαν (δόξα γὰρ ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία) ἡ δὲ κρίσις τὴν ἄνωθεν προωρισμένην σωτηρίαν. οὓς γὰρ προώρισε, τούτους καὶ ἐκάλεσεν· οὓς δὲ ἐκάλεσε, τούτους καὶ ἐδικαίωσεν. ἔκρινε γὰρ ὁ ἀγαθὸς Θεὸς ἐλέει καὶ φιλανθρωπίᾳ σῶσαι τοὺς ὑπὸ τῆς ἁμαρτίας ἀπολλυμένους. τοῦτο οὖν κατανοήσας ὁ προφήτης, κηρύττει διδάσκων ἡμᾶς διὰ τοῦ ᾄσματος ἀδιάλειπτον ποιεῖσθαι τὴν εὐχαριστίαν, λέγων· ἔλεον καὶ κρίσιν ᾄσομαί σοι, κύριε. σημαίνει δὲ καὶ ἕτερον.

ἐπειδὴ καὶ κατὰ διάνοιαν προφητεύων, καὶ πνεύματι ἁγίῳ· τὰ μέλλοντα ὡς παρόντα ἐκδιηγούμενος. θεωρῶν γὰρ τὴν δικαίαν κρίσιν τοῦ Θεοῦ, τὴν ἐπὶ τὸν ἄπιστον λαὸν τῶν Ἰουδαίων γεγενημένην, τὸν μὴ δεξάμενον τὸν ὑπὸ τοῦ νόμου καὶ τῶν προφητῶν κηρυττόμενον, δικαίως μὲν δι' ἀπιστίαν τιμωρούμενον, δικαίως δὲ καὶ ἐκ τῆς τοῦ νόμου ἐπαγγελίας ἀποστερούμενον· ὁρῶν δὲ καὶ τὸν τῶν ἐθνῶν λαὸν ἐν ἐλέει σωζόμενον, διὰ τὸ εὐπειθὲς τῆς περὶ τὸν δεσπότην ὑπακοῆς τε καὶ πίστεως, προαναφωνεῖ ἡδείᾳ φωνῇ καὶ γλυκείᾳ τὴν ἀγαθότητα τοῦ δεσπότου τοῖς πᾶσι προβαλλόμενος· ἵν' ἕκαστος ἐπὶ γλώσσης φέρων τὸ ᾆσμα, καὶ ἡδυφώνως ἀναφθεγγόμενος τὴν ἐν τῷ ᾄσματι μελῳδίαν, ἀειμνημόνευτον ἔχῃ τῆς δεσποτικῆς εὐεργεσίας τὴν χάριν. ἔλεον, φησί, καὶ κρίσιν ᾄσομαί σοι, κύριε. καλὸν οὖν καὶ ἡμᾶς ᾄδειν ἀδιαλείπτως τὸ ᾆσμα τοῦτο, ἵν' ὁμοῦ ἐπὶ τὸ αὐτὸ εὐχάριστοι γενώμεθα περὶ τὸν εὐεργέτην Θεόν, καὶ τὸν ἑαυτῶν βίον διορθωσώμεθα, ἐλέει καὶ κρίσει τὰ πάντα διαπραττόμενοι. ποιεῖτε γάρ, φησιν, ἔλεον καὶ κρίσιν ἐν μέσῳ τῆς γῆς· διότι ἔλεον θέλω, καὶ οὐ θυσίαν, λέγει κύριος. ἀλλὰ καὶ ἔλεον, φησί, ποιεῖτε ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ, καὶ κρίμα δίκαιον κατευθύνετε, ὅτι ἐν τούτοις τὸ θέλημά μου, λέγει κύριος. ἐὰν γὰρ οὕτω πορευώμεθα, καὶ ἐν τούτοις ἀναστρεφώμεθα, λέξομεν καὶ ἡμεῖς μετὰ παρρησίας ᾄδοντες, ἔλεον καὶ κρίσιν ᾄσομαί σοι, κύριε. καὶ ἵνα μάθῃς, ἀγαπητέ, ὅτι ταῦτα τοῦτον ἔχει τὸν τρόπον, κατανόησον τὴν τῶν γεγραμμένων ἀκολουθίαν, καὶ εὑρήσεις τὴν τῶν εἰρημένων ἀλήθειαν. ἐπιφέρει γὰρ λέγων· ψαλῶ καὶ συνήσω ἐν ὁδῷ ἀμώμῳ· πότε ἥξεις πρός με; ὁρᾷς ὡς διορθωσάμενος τὸν ἑαυτοῦ βίον, καὶ πορευθεὶς πάσῃ ὁδῷ δικαιοσύνης, μηδένα δὲ μῶμον ἢ σπίλον θέμενος ταῖς ἑαυτοῦ ὁδοῖς, συνιείς τε πᾶσαν εὐθύτητα καὶ κρίσιν καὶ τὴν ἐν ἔργοις μαρτυρουμένην ἔννομον πολιτείαν, ᾄδει ἐν τῷ ᾄσματι ἱλαρῷ τῷ προσώπῳ τὰς πράξεις ἐκδιηγούμενος. ἔψαλλε δὲ ἐν συνέσει, ἀκαταγνώστῳ καρδίᾳ τὰ ἔργα καταριθμούμενος. ἑτοιμάσας γὰρ κατὰ τὸ γεγραμμένον τὰς ὁδοὺς κυρίου, καὶ

A significat, nimirum spirituali quoque sensu prophetans, ac per Spiritum sanctum futura, tanquam præsentia, cōmemorans. Perspiciens enim iustum Dei iudicium, quod aduersus perfidum Iudæorum populū extitit, qui eum, quem lex ac prophetæ prædicabant, minimè excepit, iustè quidem ob perfidiam supplicio affici, iustè item ea pollicitatione, quæ lege continebatur, spoliari, ac rursum gentilem populum per misericordiam, propter promptitudinem ad Domino obediendum, & fidem, salutem consequi perspiciens, vaticinatur, iu- B cunda & suaui voce Domini bonitatem cunctis proponens: quò vnusquisque carmen istud lingua gerens, ac modulata voce concentum eam, qui hoc carmine continetur, proloquens, diuini beneficij gratiam nunquam è memoria eijciat. Præclarum itaque fuerit nos nos quoque hoc carmen indesinenter canere, vt simul, & grati animi erga beneficij authorem Deum munus obeamus, & vitam nostram corrigamus, cum misericordia & iudicio omnia efficientes. Facite enim, inquit, misericordiam & iudicium in medio terræ: quia mise- C ricordiam volo, & non sacrificium, inquit Dominus. Atque etiam alio loco: Misericordiam facite vnusquisque cum proximo suo, & iustum iudicium dirigite: quoniam in his voluntas mea est, inquit Dominus. Nam si ad hunc modum ambulemus, & in eiusmodi rebus versemur, fidenti animo ipsi quoque canemus, *Misericordiam & iudicium cantabo tibi Domine.* Atque vt intelligas, charissime, hæc ad hunc modum se habere, in eorum quæ scripta sunt, seriem animum intende, atque hoc verum esse comperies. Subiungit enim hæc verba: 2. *Psallam, & intelligā in via maculata: quādo* D *venies ad me?* Vidésne quemadmodum, posteaquam vitam suam correxit, atque in omni iustitiæ via ambulauit, nec vllam in viis suis labem ac maculam posuit, omnémque integritatem & iudicium, ac legitimam viuendi rationem, quam opera testatam reddunt, intellexit, carmen hoc canit, in eóque hilari vultu actiones suas commemorat. Psallebat porrò in intellectu, cùm nulla criminis labe ipsius conscientiam lancinante, facta sua enumeraret. Atque cùm pro eo, ac diuinis literis consignatum est, vias Domini parasset, testásque

Ose 12. 6. Zach. 7. 9. Osee 6. 6.

Matth. 3. 3.

ipsius semitas effecisset, præsentiam A dominicam expectabat, eámque his verbis accersebat, *Quando venies ad me?* Quod perinde est, ac si ad hunc modum responderet: Animi mei vasculum præparaui, offendiculum omne proieci, quò nihil relinquerem, quod præsentiæ tuæ impedimentum afferret. Rectum feci animæ meæ iter, cordis mei sensus abstersi, cogitationes meas ab omni labe repurgaui. Iam ad excipiendam pręsentiam tuam paratus sum. *Quando venies ad me?* Accede liberè: in me vitij viam minimè offendes. Perambulabam enim in innocētia cordis mei, B in medio domus meæ. Atque vt exploratum habeas, quòd paratus erat, vtpote omnibus iustitiæ muneribus perfunctus, audi eum opera sua iucunda voce commemorantem. *Perambulabam in innocentia cordis mei, in medio domus meæ:*

3. Non proponebam ante oculos meos rem iniustam: facientes præuaricationes odiui.

4. Non adhæsit mihi cor prauum: cum declinaret à me malignus non cognoscebam.

5. Detrahentem secretò proximo suo, hunc persequebar. Superbo oculo, & insatiabili corde, cum hoc non edebam. 6. Oculi mei ad C *fideles terræ, vt sedeant mecum.* Vidésne, charissime, quot & quantarum virtutum cultor erat vir beatus, quóque pacto cū ingenti verborū libertate ac fiducia præclara sua facinora exponebat? Num igitur ea, quæ dicta sunt, explanabo? an potius vobis, eorum quæ scripta sunt, vim ac mentem ex dictionibus intelligendam relinquam? Quid enim his verbis clarius fingi & excogitari queat? Quid est, quod perinde seipsum exponat, atque ea, quæ nunc dicta sunt? Verùm vt hæc sigillatim D perpendamus, verba ipsa, vt se habent, proferentes, age rursum ipsa repetamus, atque in memoriam reuocemus, videamúsque quantam, si assiduè in memoria versentur, vtilitatem afferant. *Perambulabam in innocentia cordis mei, in medio domus meæ.* Primò magna & præclara virtus est innocentia, vt quæ non in eo, qui ea præditus est, gradum figat, sed etiam ad alios dimanet: quemadmodum ait sapientiæ au-

Prou. 9. 12. thor: Fili, si bonus fueris, tibiipsi, ac proximis eris: si autem malus euaseris,

A εὐθείας ποιήσας τὰς τρίβους τοῦ Θεοῦ, ἐξεδέχετο δὴ τὴν δεσποτικὴν παρουσίαν προσκαλούμενος καὶ λέγων, πότε ἥξεις πρός με; μονονουχὶ τοιαῦτα ἀποκρινόμενος ἔλεγεν· ἡτοίμασά μου τὸ δοχεῖον τῆς διανοίας, ἐξωμάλισά μου τὰ σκληρὰ τῆς καρδίας, πᾶν σκάνδαλον ἀπέρριψα μὴ ἐάσας ἐμπόδιόν τι τῆς σῆς παρουσίας. εὐθείαν ἐποίησα τὴν ὁδὸν τῆς ψυχῆς μου, ἀπέσμηξα τὰ αἰσθητήρια τῆς καρδίας μου, καθαροὺς ἀπειργασάμην τοὺς ἐν ἐμοὶ λογισμούς· ἕτοιμός εἰμι πρὸς ὑποδοχὴν τῆς B σῆς παρουσίας. πότε ἥξεις πρός με; ἐπίβαινε ἀκωλύτως, δέσποτά μου, οὐχ εὑρήσεις ἐν ἐμοὶ ὁδὸν κακίας. διεπορευόμην γὰρ ἐν ἀκακίᾳ καρδίας μου, ἐν μέσῳ τοῦ οἴκου μου. καὶ ἵνα γνῷς, ὡς ἕτοιμος ἦν πᾶσαν δικαιοσύνην κατεργαζόμενος, ἄκουε αὐτοῦ τὰ ἔργα μετὰ ἡδείας τῆς φωνῆς ἐξαγγέλλοντος. διεπορευόμην, φησὶν, ἐν ἀκακίᾳ καρδίας μου, ἐν μέσῳ τοῦ οἴκου μου· οὐ προεθέμην πρὸ ὀφθαλμῶν μου πρᾶγμα παράνομον, ποιοῦντας παραβάσεις ἐμίσησα. οὐκ ἐκολλήθη μοι καρδία σκαμβή. ἐκκλίνοντος ἀπ' ἐμοῦ τοῦ πονηροῦ C οὐκ ἐγίνωσκον. τὸν καταλαλοῦντα λάθρα τὸν πλησίον αὐτοῦ, τοῦτον ἐξεδίωκον. ὑπερηφάνῳ ὀφθαλμῷ καὶ ἀπλήστῳ καρδίᾳ, τούτῳ οὐ συνήσθιον. οἱ ὀφθαλμοί μου ἐπὶ τοὺς πιστοὺς τῆς γῆς, τοῦ συγκαθῆσθαι αὐτοὺς μετ' ἐμοῦ. βλέπεις, ἀγαπητὲ, πόσων καὶ πηλίκων ἐργάτης ἐτύγχανεν ὁ μακάριος; καὶ πῶς μετὰ πολλῆς τῆς παρρησίας καὶ πεποιθήσεως διεξῄει τῶν πράξεων τὰ κατορθώματα; ἆρ' οὖν ἑρμηνεύσω τὰ εἰρημένα, ἢ καταλείψω ὑμῖν ἐκ τῶν λέξεων γινώσκειν τὴν D δύναμιν τῶν γεγραμμένων; τί γὰρ φανερώτερον τῶν εἰρημένων; τί δὲ οὕτως αὐθερμηνεύτον τῶν νῦν καταλελεγμένων; ἀλλ' ἵνα καὶ κατὰ μέρος ἐξετάσωμεν αὐτὰς, ὡς ἔχει, τὰς λέξεις παραλαμβάνοντες, φέρε δὴ πάλιν αὐτὰ ἐπαναλαβόντες, μνημονεύσωμεν, καὶ ἴδωμεν πόσην ὠφέλειαν παρέχουσι συνεχῶς μνημονευόμενα. διεπορευόμην, φησὶν, ἐν ἀκακίᾳ καρδίας μου, ἐν μέσῳ τοῦ οἴκου μου. πρῶτον, μέγα τε καλὸν κατόρθωμα, ἡ ἀκακία, οὐχ ἕως δὲ τούτου μόνου ἱσταμένη τοῦ κεκτημένου, ἀλλὰ καὶ ἐπὶ τοὺς πλησίον διαπεμπομένη· καθὼς

ἔφη ἡ Σοφία· τέκνον, ἐὰν ἀγαθὸς ᾖς, σεαυτῷ σοφὸς ἔσῃ καὶ τοῖς πλησίον σου· ἐὰν δὲ κακὸς ἀποβῇς,

μόνος ἀπολαύσεις τὰ κακά. καλὴ οὖν ἀκακία· δεσποτικὴ ἡ μίμησις, θεϊκὴ ἡ ὁμοίωσις. ἄκακος γὰρ καὶ ὅσιος ὁ κύριος. αὕτη ἡ ἀκακία ψυχῆς ἐστι φυλακτήριον, διανοίας καθάρσιον, ἠθῶν κατάστολή, λογισμῶν ἡσυχία, προσώπου ἡμερότης, πραότης ὀφθαλμῶν, φιλίας καθηγεμών, μήτηρ ἀγάπης, πίστεως ὁμοδίαιτος, τελείωσις δικαιοσύνης, καὶ ἁπαξαπλῶς ῥίζα πάσης ἀρετῆς, καὶ θεμέλιος τῆς ὅλης ἀγαθότητος ὑπάρχει ἡ ἀκακία. οὐκ οἶδεν ἔχθρας τὴν ὑπόστασιν, οὐκ ἐπίσταται ὀργῆς τὴν ἀγριότητα, οὐ γινώσκει κακίας τὴν ἐνέργειαν· ἀλλ' ἔστιν ὥσπερ βασίλισσα ὑπὸ πασῶν τῶν ἀρετῶν δορυφορουμένη. καλὴ οὖν ἡ ἀκακία, τοσούτων ἀγαθῶν αἰτία τυγχάνουσα. ἐκ ταύτης κατάρχεται λέγων· διεπορευόμην ἐν ἀκακίᾳ καρδίας μου. καὶ οὐχ ἁπλῶς εἶπεν ἐν ἀκακίᾳ, ἀλλ' ἐν ἀκακίᾳ καρδίας μου, ἀντὶ τοῦ, οὐχ ἕτερα μὲν εἶχον ἐπὶ στόματος, ἕτερα δὲ ἐν καρδίᾳ· οὐδὲ τῷ μὲν στόματι ἐλάλουν εἰρηνικά, τῇ δὲ καρδίᾳ διελογιζόμην κακά· ἀλλ' οἷος ἤμην τῷ στόματι, τοιοῦτος καὶ τῇ καρδίᾳ διαλογιζόμενος. διεπορευόμην οὖν ἐν ἀκακίᾳ καρδίας μου, ἐν μέσῳ τοῦ οἴκου μου. ἐνταῦθα οἶκον, ἀγαπητοί, οὐ τὸν χειροποίητον τοῦτον ἐκ λίθων καὶ ξύλων συγκείμενον, οὐδὲ τὸν ἐξ ἀμόρφου ὕλης σκευαζόμενον, ἀλλὰ τὸν λογικὸν τῆς ψυχῆς ναόν, τὸν πρὸς τὴν ἔνδοθεν ἀόρατον εἰκόνα τὴν ἔξωθεν ἀποτυπούμενον, τὸν ὑπὸ τῆς νοερᾶς καὶ λογικῆς φύσεως μορφούμενον, τὸν ὑπὸ τοῦ θείου ἐμφυσήματος ζωοποιούμενον, τὸν φέροντα τὴν ψυχὴν καὶ ὑπὸ τῆς ψυχῆς φερόμενον, τὸν δεκτικὸν χαρισμάτων τῆς ἀκινήτου δυνάμεως, ἐν μέσῳ τούτου ἐπορευόμην. μέσον δὲ καλεῖ τὸ ἡγεμονικὸν τῆς καρδίας, ἐπειδὴ μέσον κεῖται τοῦ ὅλου σώματος τοῦ ἀνθρωπίνου. κακαὶ ὅθεν ὑπάρχουσιν οἱ διαλογισμοί, καὶ αἱ ἐνθυμήσεις, ὡς καὶ ὁ σωτήρ φησιν, ἐκ τῆς καρδίας ἐξέρχονται διαλογισμοὶ πονηροί. ἐν ταύτῃ γὰρ καὶ πᾶσα ἡ κίνησις τῆς φύσεως τῆς ἀνθρωπίνης. ὃ δὲ λέγει, τοιοῦτόν ἐστι· θόρυβος ἐὰν γένηται, ἡ καρδία κινεῖται· τάραχος ἐὰν συμβῇ, ἡ καρδία θορυβεῖται· ἐχθρῶν ἐπανάστασις ἐὰν τύχῃ, ἡ καρδία ταράσσεται· φόβος ἐὰν γένηται, ἡ καρδία παλμοῖς ἔνδοθεν πιαζομένη συντινάσσει καὶ τὸ παρακείμενον μέλος τοῦ σώματος,

solus hauries mala. Quocirca præclara res est innocentia, Domini imitatio, diuinæ similitudinis expressio. Innocens enim ac sanctus est Deus. Atque hæc innocentia, animæ est præsidium, mentis purgatio, morum sedatio, cogitationum quies, vultus suauitas, oculorum lenitas, amicitiæ dux, charitatis mater, fidei contubernalis, iustitiæ perfectio. Atque, vt vno verbo dicam, virtutis omnis radix, & omnis bonitatis fundamentum, innocentia est. Inimicitiæ conflationem nescit, iræ acerbitatem ignorat, improbitatis operationem haud nouit: verùm tanquam regina est, ab omnibus virtutibus semper stipata. Præclara itaque res est innocentia, cùm tot bonorum causa sit. Ab hac auspicatur Dauid, dicens: *Perambulabam in innocentia cordis mei.* Non simpliciter dixit, In innocentia, sed, In innocentia cordis mei. Perinde ac si dixisset: Non aliud in ore, aliud in pectore gerebam: nec ore quidem pacifica loquebar, corde autem mala cogitabam: verùm qualis ore, talis etiã pectore eram, cùm mecum aliquid cõsiderarem. Perambulabam igitur in innocentia cordis mei, in medio domus meæ. Domum hoc loco, charissimi, non manufactam, atque ex saxis & lignis constantem intelligit: verùm spirituale animæ templum, quod ad æternam & inuisibilem imaginem externam effingit. Illud, inquam, quod intelligente, ac ratione vtente natura informatur, quod à diuina insufflatione vitam excipit, quod animam fert, vicissimque ab anima fertur, quod beneficiorum virtutis illius ac potētiæ perpetuo motu præditæ capax est. In medio huius domus, inquit, ambulabam. Per medium autē eam cordis partem intelligit, quæ principatum obtinet: quandoquidem illud in media totius humani corporis parte situm est. Malæ porrò vix sunt cogitationes animíque agitationes, quemadmodum etiam Saluator ait, De corde exeunt cogitationes malæ. In eo enim omnis quoque humanæ naturæ motus est. Quod autem ait, hunc sensum habet: Si tumultus oriatur, cor incitatur: si perturbatio contingat, cor tumultuatur: si hostes impetum faciant, cor percellitur: si metus existat, cor intus tremore affectum, & concussum, vicinam quoque corporis partem simul cõcutit.

Innocentia virtutum omnium fundamentum.

Domus medium quid sit.

Matth. 15. 19.

ac deferens, rursumque attrahens, quiescere nos minimè permittit, verùm crebrius incitatum maiorem trepidationem affert, vniuersúmque corpus perturbat, colorem immutat, speciem ac gestum mutat, habitum inuertit, liuidam quoque faciem reddit, oculorum munus sistit, tremula labra efficit, genuum neruos infringit, linguam constringit, eámque, quæ alioqui omnia mouet, balbam, atque impeditam reddit: ac denique, vt ita loquar, ferum, & immanem, ac cadaueri similem, hominem reddit: atque exorto bello ad pugnam quidem properat, interim tamen anxia est, nec prius quiescit, quàm bellum confecerit. Hoc autem confecto, ac victoria comparata, ad priorem inclinationem rediês, ad voluptatem sese conuertit, ac quietem amplectitur, efficitque, vt is gaudeat, qui paulò ante in luctu & mœrore iacebat: eúmque ad priorem rursum statum reuocat, atque sua cuique membro munia reddens, oculis rursum splendorem affert, labra sedat, integrum atque incolume linguæ instrumentum efficit, aspectum mitigat: ac, velut probus quispiam auriga equum retorquens, hominem ad pristinum ordinem reducit. At nō eiusmodi vir iustus est: nec tumultum aut metum in corde excipit. Nam etiamsi hostes impetum facere contingat, intrepido animo ait, Si insurgant aduersum me castra, non timebit cor meum. Si insurgat aduersum me prœlium, in hoc ego sperabo. Propterea, inquit, ambulabam in innocentia cordis mei in medio domus meæ. Hoc est, Meipsum considerabam, ac perscrutabar, ne qua radix amaritudinis sursum germinans, molestiam mihi exhiberet, atque cordis mei sensus conspurcaret: verùm vt innocentia in me conseruata, virtutes omnes mihi conciliaret. Quocirca nō proponebam ante oculos meos rem iniustam. Non enim animus erat peccare, nec mihi propositum erat flagitiosè ac scelerate viuere, ea videlicet, quæ à salute aliena erant, perpetrando. Verùm mihi ante oculos versabatur Dei metus, mandatorum obseruatio, iustitiæ opera, ac denique omnis vitæ ratio diuinæ legi consentanea. *Non proponebam ante oculos meos rem iniustam.* Nam quicunque id sibi proponunt, vt peccent, iis etiam propositum est diuinam legem violare:

Psal. 25. 6.

Hebr. 12.

A καὶ ἀπολείπουσα, καὶ πάλιν ἐπιτασσομένη οὐ συγχωρεῖ ἡσυχάζειν, ἀλλὰ συχνότερον κινουμένη μείζονα τὸν ἀγῶνα παρέχει, καὶ ὅλον ταράσσει τὸ σῶμα, ἀλλοιοῖ καὶ τὸ χρῶμα, μεταβάλλει καὶ τὸ σχῆμα, μεταποιεῖ τε τὴν ἕξιν, πελιδνὸν καὶ τὸ πρόσωπον ἀπεργάζεται, ἵστησι τῶν ὀφθαλμῶν τὴν ἐνέργειαν, ὑπότρομα ποιεῖ τὰ χείλη, τῶν γονάτων παραλύει τὴν εὐτονίαν, καὶ τὴν τὰ πάντα κινοῦσαν γλῶτταν συνδήσασα, ψελλὴν ἀποδείκνυσι, καὶ ὅλον, ὡς ἔστιν εἰπεῖν, ἄγριον καὶ νεκροειδῆ ἀποτελεῖ τὸν ἄνθρωπον· B καὶ πολέμου συμβάντος, σπουδάζει μὲν ἐπείγουσα πρὸς τὴν μάχην· ἀγωνιᾷ δὲ μὴ ἠρεμοῦσα, ἕως ἂν καταγωνίσηται τὴν πάλην. Ταύτης δὲ παυσαμένης, καὶ νίκης γενομένης, ὑπὸ τὴν αὐτὴν ῥοπὴν μεταβληθεῖσα τρέπεται εἰς εὐφροσύνην, ἡσυχίαν ἀσπάζεται, καὶ χαίρειν ποιεῖ τὸν ἄρτι τεταραγμένον, καὶ πάλιν εἰς τὴν προτέραν ἐπανακαλεῖται κατάστασιν, ἑνὶ ἑκάστῳ μέλει ἀποδιδοῦσα τὴν χρῆσιν, πάλιν λαμπροποιεῖ τοὺς ὀφθαλμούς, καταστέλλει τὰ χείλη, ὑγιὲς ἀποτελεῖ τὸ τῆς γλώττης ὄργανον, ἡμεροῖ τὴν ὄψιν, καὶ ὥσπερ τις καλὸς ἡνίοχος ἐπαναστρέ- C φουσα εἰς τὴν ἀρχαίαν τάξιν φέρει τὸν ἄνθρωπον. ἀλλ' οὐ τοιοῦτος ὁ δίκαιος, οὐδὲ τάραχον ἢ φόβον δεχόμενος ἐν τῇ καρδίᾳ. κἂν γὰρ ἐχθρῶν συμβῇ ἐπανάστασις, λέγει θαρρῶν· ἐὰν παρατάξηται ἐπ' ἐμὲ παρεμβολή, οὐ φοβηθήσεται ἡ καρδία μου· ἐὰν ἐπαναστῇ ἐπ' ἐμὲ πόλεμος, ἐν τούτῳ ἐγὼ ἐλπίζω. διὰ τοῦτό φησι, διεπορευόμην ἐν ἀκακίᾳ καρδίας μου, ἐν μέσῳ τοῦ οἴκου μου· τουτέστι, διεσκόπουν, ἠρεύνων τὰ κατ' ἐμαυτόν, ἵνα μή τις ῥίζα πικρίας ἀναφύουσα ἐνοχλῇ, καὶ D μιάνῃ τὸ αἰσθητήριον τῆς καρδίας μου· ἀλλ' ἵνα ἡ ἀκακία ἐν ἐμοὶ σωζομένη πασῶν γένηταί μοι πρόξενος τῶν ἀρετῶν· ὅθεν οὐ προετιθέμην πρὸ ὀφθαλμῶν μου πρᾶγμα παράνομον. οὐ γὰρ εἶχον σκοπὸν τοῦ ἁμαρτάνειν, οὐδὲ προέκειτό μοι παρανομεῖν, ἀλλότρια τῆς σωτηρίας κατεργαζομένῳ· ἀλλ' ἦν πρὸ τῶν ὀφθαλμῶν μου φόβος Θεοῦ, τήρησις ἐντολῶν, ἔργα δικαιοσύνης, πᾶσα κατὰ νόμον πολιτεία. οὐ προετιθέμην πρὸ ὀφθαλμῶν μου πρᾶγμα παράνομον. ὅσοις γὰρ σκοπὸς τοῦ ἁμαρτάνειν, τούτοις πρόκειται καὶ τὸ παρανομεῖν,

καὶ ἔχουσιν ὥσπερ προηγουμένην τὴν ἁμαρτίαν, πρότερον ἐρειζόμενοι κατὰ καρδίαν, ἔπειτα καὶ ὅλον εἰς αὐτὴν ἀνατείναντες τὸ ὄμμα τῆς διανοίας, οὕτω τρέχουσιν ἐπὶ τὴν παρανομίαν. ἐγὼ δὲ τούτων ἀλλότριος ἤμην. οὐ γὰρ ἦν πρὸ ὀφθαλμῶν μου πρᾶγμα παράνομον, ἀλλ' ὅλος μοι ὁ σκοπὸς ἦν, τὸ κατὰ νόμον πολιτεύεσθαι. ἀλλὰ καὶ ποιοῦντας παραβάσεις ἐμίσησα. οὐ μόνον αὐτὸς ἐγὼ οὐδὲν παρὰ τὸν τοῦ Θεοῦ νόμον πράττειν ἐβουλόμην, ἀλλὰ καὶ τοὺς παραβαίνοντάς τι τῶν ἐντολῶν ἐμίσουν. ποιοῦντας γὰρ παραβάσεις ἐμίσησα. ἐνταῦθα δὲ διπλῶς νοητέον τὸ, ποιοῦντας παραβάσεις ἐμίσησα. οἱ μὲν γάρ εἰσι παραβαίνοντες τὰς τοῦ Θεοῦ ἐντολὰς, καὶ τὰ δικαιώματα, καὶ τὰ κρίματα· καί εἰσιν οὗτοι παραβάται νόμου. ἄλλοι πάλιν παραβαίνουσιν αὐτὴν τὴν σωτήριον τοῦ δεσπότου ὁμολογίαν, καί εἰσι παραβάται Θεοῦ. πολλὴ δὲ διαφορὰ μεταξὺ τῆς τῶν ἀμφοτέρων παραβάσεως. οἱ μὲν γὰρ ἔτι ἐλπίδα ἔχουσι σωτηρίας, τὴν ῥίζαν τῆς τοῦ Θεοῦ γνώσεως κεκτημένοι· οἱ δὲ παντάπασι τῆς σωτηρίας ἐκπεπτώκασιν, αὐτὸν τὸν αἴτιον τῆς σωτηρίας ἀρνησάμενοι. ἐγὼ οὖν, φησι, πάντας τοὺς ποιοῦντας παραβάσεις ἐμίσησα. ἀρχὴ γὰρ ἁμαρτίας, ἀφίστασθαι ἀπὸ τοῦ Θεοῦ, ὥς φησιν ὁ σοφώτατος. ἡμεῖς δὲ οὐ μόνον μισοῦμεν τοὺς παραβάτας, ἀλλὰ καὶ ὡς φίλους ἀσπαζόμεθα, δέον τοῖς τοιούτοις μηδὲ τὸ χαίρειν λέγειν (οὐκ ἔστι γὰρ εἰρήνη τοῖς ἀσεβέσι, λέγει κύριος) καὶ μετ' αὐτῶν ἐσθίομεν καὶ πίνομεν, ὧν καὶ τὴν ἀπάντησιν ἀποφεύγειν ὀφείλομεν, καὶ μηδὲ ἀνθρώπους ἡγεῖσθαι τοὺς δαίμοσιν ἑαυτοὺς παραδεδωκότας, καὶ ἀψύχοις λίθοις καὶ ξύλοις τὴν ἑαυτῶν ζωὴν ἀνατεθεικότας. ἢ οὐ διδάσκει ἡμᾶς ἀλλαχοῦ ὁ αὐτὸς προφήτης λέγων; οὐχὶ τοὺς μισοῦντάς σε, κύριε, ἐμίσησα, καὶ ἐπὶ τοὺς ἐχθρούς σου ἐξετηκόμην; τέλειον μῖσος ἐμίσουν αὐτοὺς, εἰς ἐχθροὺς ἐγένοντό μοι. μιμησώμεθα οὖν καὶ ἡμεῖς τὸν προφήτην, καὶ μισήσωμεν τοὺς ποιοῦντας τὰς παραβάσεις, ἵνα μὴ διὰ τῆς ἀδιαφόρου ἡμῶν κοινωνίας πρὸς αὐτοὺς συνεργοὶ τῆς παραβάσεως αὐτῶν εὑρεθῶμεν. κατὰ πάντα γὰρ μισητέον τὴν πρὸς αὐτοὺς κοινωνίαν, ὅτι τὸ φῶς ἀποστραφέντας,

A ac peccatum tanquam præcipuum aliquid habent, primum videlicet illud in pectore constituētes: ac deinde ad illud animi oculum omni ex parte intendentes, ita denique ad diuinæ legis transgressionem currunt. Ego autem ab eorum ratione alienus eram. Non enim ante oculos meos res iniusta versabatur: verùm in hoc vnum tendebam, vt ex diuinæ legis præscripto viuerem. *Facientes præuaricationes odiui.* Non modò ipse, inquit, nihil aduersus Dei legem facere in animum inducebam: verùm etiam in eos, qui diuinorum mandatorum aliquid violarent, conceptum odium habebam. *Facientes præuaricationes odiui.* B Duplici porrò modo intelligendū est illud, *Facientes præuaricationes odiui.* Sunt enim quidam, qui Dei mandata, & iustificationes, ac iudicia transgrediuntur: atq; isti legis præuaricatores sunt. Sunt rursus alij, qui ipsammet salutarem Domini confessionem violant: atque huiusmodi homines Dei præuaricatores sunt. Multùm autem interest inter amborum præuaricationem. Nam illi adhuc spem habent, vt qui diuinæ cognitionis radicem teneāt. Alij autem prorsus à salute prolapsi sunt, vt qui ipsum salutis authorem abiurarint. Ego itaque, inquit, facientes præuaricationes odiui. C Principium enim peccati, vt ait vir sapientissimus, est apostatare à Deo. Nos verò nō modò præuaricantes non odimus, sed etiam vt amicos amplectimur (cùm tamen ipsis ne salutem quidem dicere oporteat. Non enim est salus impiis, dicit Dominus) atque vnà cum ipsis edimus ac bibimus: cùm tamen eorum quoque occursum vitare debeamus, ac ne eos quidem pro hominibus agnoscere, qui Dæmonibus seipsos dediderunt, atque inanimatis lapidibus, & lignis vitā suam consecrarunt. An nō enim alio loco hic ipse Propheta nos his verbis docet: D Nónne eos qui te oderant, Domine oderam, & super inimicos tuos tabescebam? Perfecto odio oderam illos: inimici facti sunt mihi. Imitemur itaque nos etiam Prophetam, atque eos qui præuaricationes faciunt, odio insectemur: ne alioqui per indifferentem nostram ac promiscuam cum ipsis societatem, præuaricationis eorū socij esse inueniamur. Omni enim ratione societas eorum detestanda est: tum quia ipsi lucē auersati,

Duplex præuaricationis genus.

Eccli. 10. *Esa. 57.* *Psal. 138.*

in tenebris ambulant (quæ porrò societas luci cum tenebris?) tum quia abiurato Christi nomine, nomen Beliæ sibiipsis imposuerunt (quænam autem conuentio Christo cum Belial?) tum quia aditum ad hoc templum fugientes, insano idolorum amore deflagrarunt: quænam autem consensio est templo Dei cum idolis? *Facientes præuaricationes odiui:* 4. *Non adhæsit mihi cor prauũ, cùm declinaret à me malignus, non cognoscebam.* Rursum hoc loco, charissime, attento animo esto ad horum verborum vim ac sententiam. Non adhæsit mihi, inquit, cor prauum. Nihil in me erat obliquum, ac tortuosum: verùm, etiamsi sexcentis incommodis premerer, etiamsi sinistris casibus, atque calamitosis vrgerer, non tamen mihi adhæsit cor prauum, non improba cogitatio, non quia in angustias redigor, non quia peccatores abundantes, atque impios opibus affluentes, omnésque, qui à diuinis legibus recedunt, prosperis successibus vtentes conspicio, idcirco ego peruertor, improba quædam animo voluens, ac dicens: Quare impij viuunt, & confirmantur in diuitiis? semen eorum exanimi sententia est, domus eorum plenæ, boues eorũ crassæ. Horum nihil vnquam cogitaui: verùm, etsi illi omnibus rebus abundant, ego autem incommodis premor, illud tamen mihi exploratum est, quòd tribulatio patientiam operatur, patientia probationem, probatio spem, spes autem non confundit. *Non adhæsit mihi cor prauum.* Ad hunc modum rectè considerans, ac recto pede ambulans, hoste in cor meum ascendente, ac me locum ipsi minimè dante, in eo quòd locum aduersum me non habebat, nesciebam quando accessisset, quòd scilicet eum minimè exciperem. Atque ita fiebat, vt nec cognoscerem quando declinaret. Improbitas enim, vmbræ instar præteriens, sese subducebat, nullum in me detrimentum efficiens. Nos igitur hinc erudiamur, ac si quid nobis molesti atque aduersi contigerit, improbique spiritus cogitatio in nos insurrexerit, operam demus, ne ea principi animæ nostræ parti dominetur, verùm ita prætereat, vt cor nostrum illæsum seruet: vt nobis quoq; dicere liceat: Cùm declinaret à me malignus, non cognoscebam. 5. *Detrahentem secretò proximo suo,*

1.Cor.6.14. | Iob.21.8. | Psal.143.16. | Rom.5.3.

A ἐν τῷ σκότει πορεύονται (τίς δὲ κοινωνία φωτὶ πρὸς σκότος;) καὶ ὅτι τὸ Χριστοῦ ὄνομα ἀρνησάμενοι, τὸ τοῦ Βελίαρ ὄνομα ἑαυτοῖς περιτεθείκασι (τίς δὲ συμφώνησις Χριστοῦ πρὸς Βελίαρ;) καὶ ὅτι ἀποφυγόντες τὴν ἐνταῦθα εἴσοδον, ναοῖς εἰδώλων περιμεμήνασι τὴν ἑαυτῶν ζωὴν τοῖς μιάσμασι συμμιάναντες. τίς δὲ συγκατάθεσις ναῷ Θεοῦ μετὰ εἰδώλων; ποιοῦντας ὦν παραβάσεις ἐμίσησα. οὐκ ἐκολλήθη μοι καρδία σκαμβή, ἐκκλίνοντος ἀπ' ἐμοῦ τοῦ πονηροῦ οὐκ ἐγίνωσκον. πάλιν ἐνταῦθα, ἀγαπητὲ, πρόσεχε τὴν δύναμιν τῶν εἰρημένων. οὐκ ἐκολλήθη μοι καρ-
B δία σκαμβή. οὐδὲν ἦν ἐν ἐμοὶ σκολιὸν, οὐδὲ στραγγαλιῶδες, ἀλλὰ κἂν μυρία ᾖ τὰ θλίβοντα, κἂν πονηρὰ τὰ συμβαίνοντα, κἂν ἐναντία τὰ ἐμπίπτοντα, ἐμοὶ οὐκ ἐκολλήθη καρδία σκαμβή, οὐ διαλογισμὸς πονηρὸς, οὐκ ἐνθύμησις ἀλλοτρία. οὐχ ὅτι θλίβομαι, οὐχ ὅτι στενοχωροῦμαι, οὐκ ἐπειδὴ ὁρῶ ἁμαρτωλοὺς εὐθηνοῦντας, καὶ ἀσεβεῖς πλουτοῦντας, καὶ πάντας τοὺς παρανόμους κατευθυνομένους, ἐγὼ διαστρέφομαι τῇ καρδίᾳ πονηρὰ λογιζόμενος, καὶ λέγων· ἵνα τί ἀσεβεῖς ζῶσι, καὶ κραταιοῦνται ἐν πλούτῳ;
C ὁ σπόρος αὐτῶν κατὰ ψυχὴν, οἱ οἶκοι αὐτῶν εὐθηνοῦσιν, οἱ βόες αὐτῶν παχεῖς. οὐκ ἐλογισάμην περὶ τούτων οὐδαμοῦ, ἀλλὰ κἂν ἐκεῖνοι εὐθηνῶσιν, ἐγὼ δὲ θλίβωμαι, οἶδα ὅτι ἡ θλῖψις ὑπομονὴν κατεργάζεται, ἡ δὲ ὑπομονὴ δοκιμὴν, ἡ δὲ δοκιμὴ ἐλπίδα, ἡ δὲ ἐλπὶς οὐ καταισχύνει. οὐκ ἐκολλήθη μοι καρδία σκαμβή. οὕτω λογιζόμενος ὀρθῶς, καὶ κατ' εὐθὺ πορευόμενος, τοῦ πονηροῦ ἀναβαίνοντος ἐπὶ τὴν καρδίαν μου, καὶ μοῦ τόπον αὐτῷ μὴ διδόντος, ἐν τῷ μὴ ἔχειν χώραν κατ' ἐμοῦ, οὐκ ἐγίνωσκον πότε
D παρεγένετο, ἐμοῦ μὴ παραδεχομένου αὐτόν· οὕτως οὐδὲ ἐγίνωσκον, ὅτε ἐξέκλινε. ἡ πονηρία γὰρ ὡς σκιὰ παρατρέχουσα ὑπεχώρει, μηδεμίαν ἐν ἐμοὶ κατεργαζομένη βλάβην. καὶ ἡμεῖς οὖν παιδευώμεθα, ἐάν ποτε συμβῇ τινι ὑμῶν χαλεπὸν ἢ περιστατικὸν πρᾶγμα, καὶ ἐπέλθῃ λογισμὸς τοῦ πονηροῦ, μὴ κυριεύσῃ ἡμῶν τοῦ ἡγεμονικοῦ, ἀλλὰ παρέλθῃ ἀβλαβῆ τηρήσας ἡμῶν τὴν καρδίαν, ὥστε λέγειν καὶ ἡμᾶς, ἐκκλίνοντος ἀπ' ἐμοῦ τοῦ πονηροῦ οὐκ ἐγίνωσκον. τὸν καταλαλοῦντα λάθρα τὸν πλησίον αὐτοῦ, τοῦτον ἐξε-

διώκειν. μάθωμεν καλὸν μάθημα, ἀγαπητοί, μὴ μόνον μὴ καταλαλεῖν, ἀλλὰ μηδὲ ἀκούειν καταλαλιᾶς. δεινὸν γὰρ κακὸν ἡ καταλαλιά, ἀκατάστατον δαιμόνιον, μηδέποτε εἰρηνικὸν τὸν ἄνθρωπον ἀπεργαζόμενον. τί γὰρ οὐκ ἔστι κακὸν ἀπὸ καταλαλιᾶς; ἐξ αὐτῆς ἔχθραι ἀναφύονται, ἔρεις δι' αὐτῆς συνίστανται, διχοστασίαι ἀπ' αὐτῆς τὴν ἀρχὴν λαμβάνουσιν, ὑπόνοιαι πονηραὶ ἐκεῖθεν τικτόμεναι τῶν μυρίων κακῶν τὰς αἰτίας παρέχουσι, μῖσος ὥσπερ ἀπὸ πηγῆς ἐξ αὐτῆς βρύει, καὶ ὅσα ἄν τις λογισάμενος εὑρήσει κακά, ταῦτα πάντα ἐκ τῆς καταλαλιᾶς εὕρη προερχόμενα. πάντας εἰς κακίας ἑλκύουσα οἶδεν ἡ καταλαλιά, θυμῷ πληρώσασα τὸν ἄνθρωπον, καὶ φόνον ἐξ αὐτῆς μεταλαμβάνοντα, φονικὸν αὐτὸν κατὰ τοῦ πλησίον ἐργάζεσθαι. οἶδε καὶ τὴν ψυχὴν ἀγριανθεῖσαν ἀποστῆσαι τῆς ἀδελφικῆς κοινωνίας, καὶ ἐχθρὸν τὸν πρὸ ὀλίγου φίλον ἄνευ αἰτίας ἀποδεῖξαι. αὕτη καὶ Μαρίας τῆς ἀδελφῆς Μωϋσέως ἁψαμένη, λεπρώσασαν ἀφ' ἑαυτῆς παραχρῆμα ἀπέδειξεν, ὀργὴν δὲ κατ' αὐτῆς καὶ θυμὸν ἐπήγαγε παρὰ τοῦ δεσπότου. αὕτη καὶ ὅλους οἴκους ἀνατρέπει, καὶ πόλεις εἰρηνευούσας εἰς πόλεμον ἐξεγείρει. αὕτη καὶ τῆς καλῆς εἰρήνης τὰ δεσμὰ διαλύει, καὶ τῆς μεγάλης ἀγάπης τὸν σύνδεσμον διαῤῥήσσει. αὕτη καὶ τὴν ἐντολὴν τοῦ Θεοῦ ἀφιστῶσα παραβαίνειν ἐκδιδάσκει, καὶ τῆς τοῦ Θεοῦ φιλίας ἀποσπῶσα, μακρὰν τῆς ἀληθείας ἀπάγει. αὕτη παρὰ τὴν πρώτην καὶ τῆς ἀπωλείας τοῦ πρωτοπλάστου Αδὰμ αἰτία γεγένηται, καὶ τῆς ἐν τῷ παραδείσῳ διαίτης, καὶ τῆς ἐπουρανίου τρυφῆς ἀπεστέρησεν. εἰσελθοῦσα γὰρ εἰς τὸ στόμα τοῦ ὄφεως καὶ ψευδῆς ἐργασαμένη κατὰ τῆς ἀψευδοῦς τοῦ Θεοῦ ἀγαθότητος, καὶ εἰποῦσα, τί ὅτι εἶπεν ὁ Θεός, οὐ μὴ φάγητε ἀπὸ παντὸς ξύλου τοῦ ἐν τῷ παραδείσῳ; παράβασιν ἤγαγε τῆς ἐντολῆς ἀπὸ τῆς ἀληθείας διαστρέψασα τὸν ὑπήκοον· καὶ τὸν συνόμιλον ὄντα δεσπότῃ πρὸς ἑαυτὴν ἐπισπασαμένη, ἄρτι ἐχθρὸν διὰ τῆς ἀπάτης κατέστησε, καὶ ἀλλότριον εἰς ἅπαξ τῶν ἀγαθῶν ἀπέδειξε. φεισώμεθα τοίνυν τῆς καταλαλιᾶς, μακρὰν αὐτῆς γενώμεθα, ἵνα μὴ μάτην ἔχθραν πρὸς τὸν ἑαυτῶν δεσπότην κτησώμεθα. παυσώμεθα τῆς κακολογίας, ἵνα μὴ ἄδικοι κριταὶ τῆς ἀληθείας γενώμεθα, καὶ κατὰ τοῦ νόμου ὡς ψευδεῖς

A *hunc persequebatur.* Doctrinam pulchram hinc discamus, nempe vt non modo nemini detrahamus: sed ne detractioni quidē aurem præbeamus. Graue enim malum est detractio, turbulentus dæmon, nec vnquam pacatum hominem reddens. Quódnam enim mali genus est, quod non à detractione oriatur? Ex ea odia pullulant: ex ea iurgia conflantur: ex ea dissidia ortum trahunt: suspiciones malæ hinc procreantur, quæ innumeris malis causam præbent. Odium ab ea, tanquam à fonte manat, ac denique, B quæcunque mala quispiam cogitatione complecti possit, omnia ea à detractione proficisci reperiet. Nouit quippe detractio, posteaquā hominem furore perfudit, atq. occidit, funestum etiam eum ac sanguinatium aduersus proximum reddere. Nouit etiam exacerbatum à fraterna cōmunione auertere: atque eum, qui paulò ante amicus erat, sine vlla causa hostē reddere. Hæc, cùm Mariam quoque Mosis sororem attigisset, veneno suo leprosam eam confestim reddidit, ac vicissim Domini iracundiam & furorem aduersus eam C induxit. Hæc & vniuersas domos subuertit, & pacatas vrbes ad bellum excitat. Hæc & pulchræ pacis vincula dissoluit, & magnæ charitatis nodum infringit. Hæc & à diuinis mandatis abductum hominem legem transgredi docet, & à Dei amicitia auulsum, procul à veritate detorquet. Hæc primùm Adami quoque, generis nostri principis, exitio causam præbuit: eúmque & vita in paradiso, & cœlestibus diuitiis orbauit. Nam cùm in os serpentis intrasset, atque aduersus Dei bonitatē mentiens his verbis vsa esset, Quare prohibuit D Deus ne ex omni ligno, quod est in omni paradiso, comederetis? mandati transgressionem inuexit, eum, qui Deo subditus erat, à veritate auertens: atque eum, qui cum Domino familiares sermones conferebat, ad se attracturus, hostem per fraudem & imposturā suam reddidit, atque ab omnibus bonis prorsus alienum. Quæ cùm ita sint, à detractione abstineamus, longéque ab ea nos remoueamus: ne alioqui aduersus nostrum dominum inimicitiam incassum suscipiamus. Aliis obtrectandi finem faciamus: ne iniqui veritatis iudices simus, atque aduersus legem tanquam

Detractio innumerorum vitiorum causa.

Num. 12. 10.

Gen. 3. 1.

Iac. 4. 11.

falsi testes inueniamur. Qui enim detrahit fratri, inquit ille, aut iudicat fratrem, detrahit legi, & iudicat legem. Si autem iudicas legem, iam non es factor legis, sed iudex. Vnus est autem iudex, & legislator, qui potest perdere & liberare. Cernisne, charissime, quantum sit detractionis pondus? Finem itaque detrahendi faciamus, ne iudicium nobisipsis inuehamus. Propellamus etiam à nobis eos, qui detrahendi studio tenentur: ne alienis malis assentientes, nobisipsis exitium accersamus. Nec libenter detractores audiamus: ne diabolicis cogitationibus impleamur. Etenim ipsa detractio diabolica nominatur, naturalem videlicet à parentis sui detractione appellationem nacta. Quamobrem qui detractioni studet, diabolo seruit: vtpote qui calumniæ opera exequatur. qui autem detractorem minimè admittit, tum seipsum inani huiusmodi peccato liberat: tum detractorem hac ratione ab iniqua proximi accusatione dimouet: tum eum etiam, qui accusatur, crimine liberat: ac denique pacis arbiter, & amicitiæ dux existit, dum obtrectatoris animum & voluntatem odit, ac detestatur. Discamus igitur nos quoque scelus hoc odio ac detestatione prosequi, atque his verbis vti: Detrahentē proximo suo hunc persequebar. Vt autem intelligas, charissime, quemadmodū detractio nihil veri operetur, attende etiam ad ipsam nominis appellationem: atque ex hoc dicto, quod sequitur, rem distingue. Detractio enim accusationis magistra est. Vox autem hæc, *Secretò*, rei timiditatē, atque mendacium indicat. Nam si verum esset, quod objicitur, in faciem obiurgare operæpretium esset, ac libera & aperta oratione pacem sancire. Sin autē clam id facis, proculdubio falsum crimen intendis, vt qui improbam suspicionem aduersus proximum confles, nec ea, quę abs te objiciuntur, probare valeas. quocirca optimum factu est, detractorem, tanquam mendacem, & furem propellere: ne alioqui pacatum animum perturbantes, bellacem eum aduersus proximum per detractionem efficiamus. Detrahentem ergo, inquit, secretò proximo suo, hunc persequebar. *Superbo oculo, & insatiabili corde, cum hoc non edebam.* Quòd autem superbia ipsi quoque Deo inuisa sit, audi quid dicat Scriptura:

Detractio à diabolo nomen ducit.

Detractio ferè semper falsa.

A μάρτυρες εὑρεθῶμεν. ὁ γὰρ καταλαλῶν, ἔφη, ἀδελφοῦ, ἢ κρίνων τὸν ἀδελφὸν, καταλαλεῖ νόμου, καὶ κρίνει νόμον. εἰ δὲ νόμον κρίνεις, οὐκέτι ποιητὴς νόμου εἶ, ἀλλὰ κριτής. εἷς δέ ἐστιν ὁ κριτὴς καὶ νομοθέτης, ὁ δυνάμενος σῶσαι καὶ ἀπολέσαι. βλέπεις, ἀγαπητὲ, πόσον ἔχει βάρος ἡ καταλαλιά; παυσώμεθα ταύτης, ἵνα μὴ κρίσιν αὐτοῖς ἐπαγάγωμεν. ἀποδιώξωμεν ἀφ' ἡμῶν καὶ τοὺς καταλαλεῖν βουλομένους, ἵνα μὴ ἀλλοτρίοις κακοῖς συντιθέμενοι, ἑαυτοῖς ἀπώλειαν προξενήσωμεν· καὶ μὴ ἡδέως ἀκούωμεν τῶν καταλα-

B λούντων, ἵνα μὴ διαβολικῶν ἐνθυμημάτων πληρωθῶμεν. καὶ γὰρ αὕτη καταλαλιὰ διαβολικὴ ὀνομάζεται, φυσικὴν ἐκ τοῦ γεγεννηκότος δεξαμένη προσηγορίαν, ὅτι μὲν τῇ καταλαλιᾷ σχολάζων δουλεύει τῷ διαβόλῳ, τὰ τῆς διαβολῆς ἔργα διαπραττόμενος. ὁ δὲ τὸν τοιοῦτον μὴ προσιέμενος, ἑαυτὸν μὲν ἐλευθεροῖ τῆς διακένου ταύτης ἁμαρτίας. τὸν δὲ ἁμαρτάνοντα ἀνατρέπει μὴ ἄδικον ἐπιφέρειν κατὰ τοῦ πλησίον κατηγορίαν· ἐλεύθερον δὲ καὶ τὸν καταλαλούμενον τῆς κατηγορίας ἀπεργάζεται, εἰρήνης δὲ βραβευτὴς καὶ φιλίας κα-

C θηγητὴς γίνεται, τὴν τοῦ καταλάλου προαίρεσιν μυσαττόμενος. μάθωμεν καὶ ἡμεῖς τὸ ἔργον μυσαττόμενοι λέγειν, τὸν καταλαλοῦντα λάθρα τὸν πλησίον αὐτοῦ, τοῦτον ἐξεδίωκον. ἵνα δὲ μάθῃς, ἀγαπητὲ, πῶς ἡ καταλαλιὰ οὐδεμιᾶς ἀληθείας ἐστὶν ἐργάτις, πρόσεχε καὶ αὐτῇ τῇ τοῦ ὀνόματος προσηγορίᾳ καὶ τῷ ἐπακολουθοῦντι ῥητῷ τὴν διάκρισιν ποιούμενος. ἡ μὲν γὰρ καταλαλιὰ κατηγορίας ἐστὶ διδάσκαλος· τὸ δὲ λάθρα, τὸ ψευδὲς τοῦ πράγματος καὶ ἀπαρρησίαστον ἐπιδείκνυσι). εἰ γὰρ ἀληθὲς, καλὸν τὸ εἰς πρόσωπον ἐλέγχειν, καὶ

D μετὰ παρρησίας εἰρηνοποιεῖν. εἰ δὴ λάθρα, φέρεις τὴν κατηγορίαν ψευδῆ, κακὴν ὑπόνοιαν κατὰ τοῦ πλησίον ἐργαζόμενος, μηδὲ ἐλέγξαι τὰ ὑπὸ σοῦ προφερόμενα δυνάμενος. καλὸν οὖν ὡς ψεύστην καὶ λωποδύτην, τὸν κατάλαλον ἀποδιώκειν, ἵνα μὴ τὴν εἰρηνεύουσαν ψυχὴν ταράσσοντες, πολεμικὴν αὐτὴν πρὸς τὸν πλησίον διὰ τῆς καταλαλιᾶς ἐργαζώμεθα. τὸν καταλαλοῦντα οὖν λάθρα τοῦ πλησίον αὐτοῦ, τοῦτον ἐξεδίωκον. ὑπερηφάνῳ ὀφθαλμῷ καὶ ἀπλήστῳ καρδίᾳ, τούτῳ οὐ συνήσθιον. ὅτι δὲ ὑπερηφανία μισητὴ καὶ παρ' αὐτῷ τῷ Θεῷ, ἄκουε τῆς γραφῆς λεγούσης,

ὁ Θεὸς ὑπερηφάνοις ἀντιτάσσεται, ταπεινοῖς δὲ δίδωσι χάριν. καὶ πάλιν ἀλλαχοῦ· μισητὴ ὑπερηφανία ἐναντίον κυρίου καὶ ἀνθρώπων. καί, ἵνα τί ὑπερηφανεύεται γῆ καὶ σποδός; καὶ πολλαχοῦ εὑρήσεις τὴν ὑπερηφανίαν βδελυκτὴν, καὶ πάνυ μεμισημένην. οὕτως οὖν καὶ ἐνταῦθά φησιν, ὑπερηφάνῳ ὀφθαλμῷ καὶ ἀπλήστῳ καρδίᾳ, τούτῳ οὐ συνήσθιον, ὡς πάνυ βλαβερωτάτης καὶ ἐπιζημίου τῆς ὑπερηφανίας οὔσης, οὐ μόνον αὐτοῦ τοῦ ταύτην ἀνειληφότι, ἀλλὰ καὶ τοῦ πρὸς ὀλίγον αὐτὴν ὑποκρινομένου. ἐπισυνῆψε δὲ καὶ τὸν ἄπληστον τῇ καρδίᾳ τοῦ ὑπερηφάνου, ὡς μιᾶς οὔσης τῆς τῶν ἀμφοτέρων προαιρέσεως, τοῦ τε κατὰ τοῦ πλησίον ἐπαιρομένου, καὶ τοῦ ὁμοίως κατὰ τοῦ πλησίον ἀπληστευομένου. καλὸν οὖν, ἀγαπητοί, ἀποθέσθαι ἡμᾶς τὴν ὑπερηφανίαν, ἀναλαβεῖν δὲ τὴν ταπεινοφροσύνην, ἵνα μὴ ἀκούσωμεν, ὁ ὑψῶν ἑαυτὸν ταπεινωθήσεται, ἀλλ' ἀκούσωμεν, ὁ ταπεινῶν ἑαυτὸν ὑψωθήσεται· ἀρκεσθῆναι δὲ καὶ τῇ συμμέτρῳ αὐταρκείᾳ, καὶ μὴ τῇ ἀπληστίᾳ τῆς καρδίας ἐκκλῖναι τῆς δικαιοσύνης, ἵνα μὴ ἀκούσωμεν, διὰ τὸ πλῆθος τῆς ἀδικίας σου ἀνεκαλύφθη τὰ ὀπίσθιά σου, τοῦ παραδειγματισθῆναι τὰς πτέρνας σου. ἀποφύγωμεν οὖν καὶ τὴν δίαιταν τῶν ὑπερηφάνων καὶ τῶν ἀπλήστων τῇ καρδίᾳ, ἵνα μὴ τῇ συνηθείᾳ τῆς πρὸς αὐτοὺς κοινωνίας μιμηταὶ τῆς κακίας αὐτῶν γενώμεθα. ἀσκῶμεν οὖν τὸ πράττειν καὶ λέγειν· ὑπερηφάνῳ ὀφθαλμῷ καὶ ἀπλήστῳ καρδίᾳ, τούτῳ οὐ συνήσθιον. καὶ ταῦτα ὡς ἐκ προσώπου τοῦ δικαίου λέγεται. πάλιν δὲ ὡς ἐκ προσώπου τοῦ Θεοῦ τὸ πνεῦμα τὸ ἅγιον τὴν ἀπόκρισιν ποιούμενόν φησιν, οἱ ὀφθαλμοί μου ἐπὶ τοὺς πιστοὺς τῆς γῆς, τοῦ συγκαθῆσθαι αὐτοὺς μετ' ἐμοῦ. ἀληθῶς γὰρ οἱ ὀφθαλμοὶ τοῦ Θεοῦ ἐπὶ τοὺς πιστούς εἰσι, προσέχοντες αὐτοῖς, ἵνα μὴ ἔξω γένωνται τῆς ἀληθείας. εἰ δὲ βούλει μαθεῖν, ὡς ἀληθὲς τὸ εἰρημένον, κατανόησον τοὺς μακαρίους ἀποστόλους, καὶ βλέπε τούτους πιστοὺς ὄντας τῆς γῆς, τὸ καὶ διὰ τῆς αὐτῶν πίστεως ὅλην τὴν οἰκουμένην πεπληρῶσθαι τὸ κήρυγμα τῆς σωτηρίας. Εἰς πᾶσαν γὰρ τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν. καὶ γὰρ πᾶσα ἡ οἰκουμένη τῆς αὐτῶν πίστεως μεταλαβοῦσα πεπλήρωται, ἀκένωτον ἔχουσα τὸν πλοῦτον τῆς εὐσεβείας.

Deus superbis resistit: humilibus autem dat gratiam. (Iac. 4.) Ac rursum alio loco: Execrabilis est coram Deo & hominibus superbia. (Eccli. 10. 7) Et: Quid superbit terra, & cinis? (Ibid. 6.) Ac denique passim reperies superbiã execrationi atque immani odio esse. Sic igitur hoc etiam loco ait: 5. *Superbo oculo, & insatiabili corde, cum hoc non edebam:* tanquam videlicet superbia vehementer execranda, ac perniciosa sit, non modò ei, qui eam susceperit, sed huic etiam, qui eam ad breue tempus simulauit. Coniunxit autem eum, qui insatiabili corde est, cum superbo: propterea quòd vna atque eadem amborum voluntas sit, hoc est, & eius, qui aduersus proximum insolenter se effert, & eius item, qui aduersus proximum insatiabilem se præbet. Expedit itaque, charissimi, vt superbiã deponamus, ac modestiam assumamus: ne illud audiamus, Qui seipsum exaltat, humiliabitur, verùm illud potius, Qui se humiliat, exaltabitur: (Luc. 18. 14.) ac rursum, vt tenui ac moderato victu, cultúque contenti simus, ac non ob inexplebilem cordis cupiditatem de iustitiæ curriculo deflectamus: ne illud in nos cõijciatur, Propter multitudinem iniquitatis tuæ reuelata sunt posteriora tua, vt plantę tuę probri causa omnium oculis exponantur. (Hier. 13. 22.) Quæ cùm ita sint, superborum, & eorum, quorum pectus expleri, ac saturari nequit, vsum & cõsuetudinem fugiamus, ne per longam, ac diuturnã cum eis familiaritatem, eorũ vitia imitemur. Studeamus ergo, & facere, & dicere; *Superbo oculo, & insatiabili corde, cum hoc non edebam.* Atque hæc tanquam ex iusti viri persona dicta sunt. Rursum autem tanquam ex Dei persona Spiritus sanctus respõdens ait, 6. *Oculi mei ad fideles terræ, vt sedeant mecum.* Reuera enim Dei oculi ad fideles terræ sunt, in eos videlicet intenti, ne à veritate excidant. Quòd si scire cupis quàm verè hoc dictum sit, ad beatos Apostolos animum adijce. Nam ipsi terræ fideles erant, quippe cùm per eorum fidem vniuersus terrarum orbis salutis prædicatione completus sit. In omnem enim terram exiuit sonus eorum, & in fines orbis terræ verba eorum. (Psal. 18. 5.) Siquidem vniuersus orbis ipsorum fidei particeps factus, impletus est, eas videlicet pietatis opes habens, quę nullo pacto exhauriri queant,

Igitur hi fideles vnà cum Domino sedent, illud audientes: Vos autem duodecim sedebitis super sedes duodecim, iudicantes duodecim tribus Israël.

Matth.19. 28.

6. *Oculi mei ad fideles terræ, vt sedeant mecum.* O ingens miraculum! Lutei sedent: & corporis expertes astant. Quanquam per hæc verba Dei Angelos minimè despicio, (absit) verùm Dei misericordiam prædico, per quam humanam naturam honore affecit.

Hominis dignitas.

Quod si sancti Apostoli iudices sessuri sunt, vt de iis qui à fide abhorruerunt, sententiam ferant, necesse est, vt ij quoque, qui Apostolorum fidem habuerunt, atque eodem modo, quo ipsi, crediderunt, simul quoque cum ipsis Apostolis sedeant, sententiam de iis laturi, qui fidem repudiarunt, nec salutare verbum amplexi sunt. Fortassis enim, vt sic loquar, erunt duodecim fideles nationes, quæ ab Apostolis Christianæ fidei doctrina imbutæ sunt, quæ quidem vnà cum Apostolis duodecim Israëlis tribus iudicabunt, quæ nec Apostolicæ prædicationi paruerunt, nec Domini voluntati fidem adhibuerunt, vt ipsæ quoque, fide coniunctæ, illud audirent, *Oculi mei ad fideles terræ, vt sedeant mecum.* Videamus iam quæ sequuntur. *Ambulans in via immaculata, hic mihi ministrabat.* 7. *Non habitabat in medio domus meæ qui facit superbiam: qui loquitur iniqua, non direxit in conspectu oculorum meorum.* Ad id, de quo vir iustus gloriabatur, Deus quoque similiter respondet: atque illud proponit, tales eos esse debere, qui ad fidem accesserint. *Ambulans in via immaculata, hic mihi ministrabat.* Tales, inquit, ego ministros seligo, qui ambulant in via immaculata, nec ad dextram aut sinistram declinant, nec à iustitiæ & veritatis via digrediuntur. Beati enim immaculati in via, qui ambulant in lege Domini. Quamobrem ad superiorem hanc Prophetæ vocem, *Psallam & intelligam in via immaculata*, hoc loco ait, *Ambulans in via immaculata, hic mihi ministrabat.* Ac rursum quemadmodum priùs dicebat, *Perambulabam in innocentia cordis mei, in medio domus meæ.* Et, *Superbo oculo & insatiabili corde, cum hoc non edebam.* Vicissim ad hunc modum respondet, *Non habitabat in medio domus meæ, qui facit superbiam.*

Ps.118.1.

A οὕτω δὴ οἱ πιστοὶ συγκαθέζονται τῷ δεσπότῃ ἀκούοντες, ὑμεῖς δὲ οἱ δώδεκα καθίσεσθε ἐπὶ δώδεκα θρόνοις κρίνοντες τὰς δώδεκα φυλὰς τοῦ Ἰσραήλ. οἱ ὀφθαλμοί μου ἐπὶ τοὺς πιστοὺς τῆς γῆς, τοῦ συγκαθῆσθαι αὐτοὺς μετ' ἐμοῦ. ὢ τοῦ θαύματος. οἱ πήλινοι καθέζονται, καὶ οἱ ἀσώματοι παρεστήκασιν. ἀλλ' οὐ τοὺς ἀγγέλους τοῦ Θεοῦ ἐξουθενῶ (μὴ γένοιτο) ἀλλὰ τὴν φιλανθρωπίαν τοῦ Θεοῦ κηρύττω, δι' ἣν ἐτίμησε τὴν ἀνθρωπίνην φύσιν. εἰ δὲ ἅγιοι ἀπόστολοι καθίσονται κριταὶ γενόμενοι τῶν ἀπίστων, ἐπιμάχως καὶ τοὺς τῶν ἀποστόλων τὴν πίστιν ἐσχηκότας καὶ ὁ-

B μοίως αὐτοῖς πεπιστευκότας, καὶ αὐτοὺς συγκαθεσθῆναι τοῖς ἀποστόλοις, κριτὰς ἐσομένους τῶν μὴ παραδεξαμένων τὴν πίστιν, μηδὲ ὁμολογησάντων τὸν σωτήριον λόγον. τάχα γὰρ, ἵνα οὕτως εἴπω, ἔσονται δώδεκα ἔθνη πιστὰ, τὰ ὑπὸ τῶν ἀποστόλων κατηχηθέντα, ἅτινα κρινεῖ σὺν τοῖς ἀποστόλοις τὰς δώδεκα φυλὰς τοῦ Ἰσραὴλ, τὰς μηδὲ τῷ ἀποστολικῷ πεισθείσας κηρύγματι, μηδὲ τῷ δεσποτικῷ πεπιστευκυίας θελήματι, ὥστε καὶ αὐτὰς τῇ πίστει συναφθείσας ἀκοῦσαι, οἱ ὀφθαλμοί μου ἐπὶ τοὺς πιστοὺς τῆς γῆς, τοῦ συγ-

C καθῆσθαι αὐτοὺς μετ' ἐμοῦ. ἔπειτα ἴδωμεν τὰ ἑξῆς. τί φησι; πορευόμενος ἐν ὁδῷ ἀμώμῳ, οὗτός μοι ἐλειτούργει. οὐ κατῴκει ἐν μέσῳ τῆς οἰκίας μου ποιῶν ὑπερηφανίαν. ὁ λαλῶν ἄδικα οὐ κατεύθυνεν ἐνώπιον τῶν ὀφθαλμῶν μου. πρὸς τὴν καύχησιν τοῦ δικαίου καὶ ὁ Θεὸς ὁμοίως ἀνταποκρίνεται, καὶ παρατίθησιν ὡς τοιούτους εἶναι δεῖ, τοὺς τῇ πίστει διεληλυθότας. φησὶ, πορευόμενος ἐν ὁδῷ ἀμώμῳ, οὗτός μοι ἐλειτούργει. τοιούτους γὰρ ἐγὼ ἐκλέγομαι λειτουργοὺς, τοὺς πορευομένους ἐν ὁδῷ ἀμώμῳ, καὶ μήτε δεξιὰ ἐκ-

D κλίνοντας, μήτε ἀριστερὰ, μήτε διασφαλλομένους τὰ περὶ τὴν ὁδὸν τῆς δικαιοσύνης καὶ τῆς ἀληθείας. μακάριοι γὰρ οἱ ἄμωμοι ἐν ὁδῷ, οἱ πορευόμενοι ἐν νόμῳ κυρίου, πρὸς οὖν τὴν εἰρημένην φωνὴν ὑπὸ τοῦ προφήτου τὴν, ψαλῶ καὶ συνήσω ἐν ὁδῷ ἀμώμῳ, ἐνταῦθα λέγει, πορευόμενος ἐν ὁδῷ ἀμώμῳ, οὗτός μοι ἐλειτούργει. καὶ πάλιν, ὡς φησι, διεπορευόμην ἐν ἀκακίᾳ καρδίας μου, ἐν μέσῳ τοῦ οἴκου μου. καὶ, ὑπερηφάνῳ ὀφθαλμῷ καὶ ἀπλήστῳ καρδίᾳ, τούτῳ οὐ συνήσθιον, ἀνταποκρίνεται λέγων· οὐ κατῴκει ἐν μέσῳ τῆς οἰκίας μου ποιῶν ὑπερηφανίαν,

ἀλλὰ καὶ λαλῶν, φησὶν, ἄδικα οὐ κατηύθυνεν ἐνώπιον τῶν ὀφθαλμῶν μου. ὡς γὰρ ἐκεῖ φησι, τὸν καταλαλοῦντα λάθρα τὸν πλησίον αὐτοῦ, τοῦτον ἐξεδίωκον· οὕτως ἐνταῦθα, λαλῶν ἄδικα οὐ κατηύθυνεν ἐνώπιον τῶν ὀφθαλμῶν μου. εἶτα ὅρα τί φησιν· εἰς τὰς πρωΐας ἀπέκτεινον πάντας τοὺς ἁμαρτωλοὺς τῆς γῆς, τοῦ ἐξολοθρεῦσαι ἐκ πόλεως κυρίου πάντας τοὺς ἐργαζομένους τὴν ἀνομίαν. ἐνταῦθα λοιπὸν αἰνίττεται τὰ περὶ τοῦ μέλλοντος αἰῶνος. ὅτι γὰρ νὺξ ἐστὶν ὁ παρὼν αἰὼν, ἡμέρα δὲ ὁ μέλλων, ὡς φησιν ὁ σοφώτατος Παῦλος, ἡ νὺξ προέκοψεν, ἡ δὲ ἡμέρα ἤγγικε, πρωΐαν ὀνομάζει τὴν ἀνατολὴν τοῦ ἀϊδίου φωτὸς, οὗ μέλλουσιν οἱ δίκαιοι ἀπολαύειν. εἰς ταύτην οὖν τὴν πρωΐαν ἀποκτενεῖ τοὺς ἁμαρτωλοὺς, ἀποστέλλων αὐτοὺς εἰς τὸ πῦρ τὸ αἰώνιον. ἐστὶ γὰρ καὶ ὁ τῶν ἁμαρτωλῶν θάνατος, ὡς φησὶ καὶ αὐτὸς ὁ σωτήρ· φοβήθητε δὲ μᾶλλον τὸν δυνάμενον ἀποκτεῖναι καὶ ψυχὴν καὶ σῶμα ἐν γεέννῃ. εἰς τὰς πρωΐας οὖν ἀπέκτεινον πάντας τοὺς ἁμαρτωλοὺς τῆς γῆς, τοῦ ἐξολοθρεῦσαι ἐκ πόλεως κυρίου πάντας, τουτέστι, τῆς ἄνω Ἱερουσαλὴμ, τοὺς ἐργαζομένους τὴν ἀνομίαν. εἰς ἐκείνην γὰρ μόνοι οἱ δίκαιοι ἀναπαύονται, ἀπολαύοντες τῆς αἰωνίου βασιλείας, ἧς γένοιτο καὶ ἡμᾶς καὶ ὑμᾶς πάντας ἀπολαῦσαι εὐαρεστήσαντας αὐτῷ ὁσίως πολιτευσαμένους ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Atque etiam illud, *Qui loquitur iniqua, non direxit in conspectu oculorum meorum.* Vt enim illic ait, *Detrahentem secretò proximo suo, hunc persequebar:* Eodem modo hîc etiam, *Qui loquitur iniqua, non direxit in conspectu oculorum meorum.* Postea autem vide quid dicat: 10. *In matutino interficiebam omnes peccatores terræ, vt disperderem de ciuitate Domini omnes operantes iniquitatem.* Hîc iam futuri æui statum significat. Quandoquidem enim nox est præsens seculum, dies autem futurum, (quemadmodum etiam ait sapientissimus Paulus, Nox præcessit, dies autem appropinquauit) idcirco matutinum appellauit sempiterni luminis exortum, quo iusti viri fruentur. In hoc igitur matutino Deus peccatores interficiet, in æternum videlicet ignem eos mittens. Hæc enim peccatorum mors est, quemadmodum Saluator quoque ipse ait: Timete potius eum, qui potest perdere animam, & corpus in gehennam. In matutino itaque interficiebam omnes peccatores terræ, vt disperderem de ciuitate Domini, hoc est, de superna Hierusalem, omnes operantes iniquitatem. Nam in ea sola ciuitate iusti requiescunt, sempiterno regno fruentes. Quo vtinam nobis etiam, ac vobis omnibus frui contingat per sanctam vitæ rationem ipsi placentibus, in Christo Iesu domino nostro, per quem Patri sit gloria, & imperium cum Spiritu sancto, nunc, & semper, & in secula seculorum, Amen.

Præsens vita nox est.

Rom. 13. 12.

Matth. 10. 28.

Sequebantur in editione Latina expositiones Psalmi CI. & aliorum sex consequentium, itemque CXVIII. sed inspecto codice Græco, nihil aliud quàm Theodoreti commentarium, & allegorias quasdam, quæ Chrysostomi stylum non sapiunt, eas continere deprehendimus.

FINIS COMMENTARIORVM ET HOMILIARVM in Psalmos Dauidis & in alios Prophetas.

INDEX DICTIONVM GRAECARVM ET LOCVTIONVM, QVÆ IN hoc volumine in Psalmos notatu dignæ sunt.

VVVV ij

INDEX RERVM ET VERBORVM PRÆCIPVE MEMORABILIVM.

A.

B.

D

E.

F.

Fames

G.

H.

I.

L.

M.

N.

O.

P.

Q.

R.

S.

T.

V.

Z.

INDEX LOCORVM SACRAE SCRIPTVRÆ, QVÆ IN HIS Commentariis explicantur.

EX GENESI.

EX EXODO.

EX LEVITICO.

EX NVMERIS.

EX DEVTERONOM.

EX IOSVE.

EX LIB. REGVM.

EX LIB.

EX LIB. IOB.

EX PSALMIS.

EX PROVERBIIS.

EX ECCLESIASTE.

EX SAPIENTIA.

EX ECCLESIASTICO.

EX ESAIA.

EX HIEREMIA.

EX BARVCH.

EX EZECHIELE.

EX DANIELE.

EX OSEE.

EX AMOS.

EX MICHÆA.

EX ABACVC.

EX AGGÆO.

EX ZACHARIA.

EX MALACHIA.

EX MATTHÆO.

EX MARCO.

EX LVCA.

EX IOANNE.

EX ACTIS.

EX EPIST. AD ROMANOS.

EX 1. AD CORINTHIOS.

EX 2. AD CORINTH.

EX EPIST. AD GALAT.

AD EPHESIOS.

AD PHILIPPENS.

AD COLOSSENSES.

1. AD THESSALONIC.

2. AD THESSALONICENS.

1. AD TIMOTHEVM.

AD HEBRÆOS.

EX EPIST. IACOBI.

EX EPIST. I. IOANNIS.

ERRATA VEL OMISSA PARTIM A LIBRARIIS, DVM ex codicibus Mss. exscribunt, partim ab operis Typographicis, dum minus exactè correctoribus obsequuntur.

12.a.9. ἀφίας. 13.b.3. οἰκέτας. 19.d.1. hominum? 21.a.5. ὅπως ἐκεῖ. 23.d.7. etiam factorum. 24.c. 14. Tanquam inf. 30.c.10. ὑμᾶς. 31.a.5. τί δ' εἰ π. 40.b.4. καὶ γὰρ ἄπαν. 42.a.13. ducunt. 45.b.8. dele δῆλον. 65.d.11. χωρῆσαι. 71.b.7. πεσεῖν. 75.b.5. ὄντως. 79.b.7. πότον. 84.d.14 Et cur. 87.b.2. χαλεπόν. 98.c.7. εἰς τό. 106.c.15. obstruerentur. 107.c.11. διατάγμα. 114.c.8. dixit. 120.c.10. duxerit. 134.a.2. μόνον. a.12. λόγος ἢ ἀσφάλεια ἢ λόγου. 144.c.11. stultius. 156.b.4. ἀληθῶς. 160.d.2. corp. & incorporeor. 167.c.9. τὸ τῶν. 170.a.8 κατακεῖμαι. 171.d.1. ea tracta. 174.b.5. dilecti. 175.a.7. σώφρων. 179.d.1. κατ' ἐπαινῶ. 183.b.11. νικήσει. 186.c.5. τὰ φρονήματα. 191.d.10. ἐκφύγοι. 194.c.2. καὶ ἀρ. 195.a.11. ἴσως. 199.b.2. διευχόμενος. 202.c.2. μέθη. c.4. παιδίον. 204.b. 11. βασιλικῶ. 211.d.1. ἄποσιν. 216.c.10. punimus. 220.c.7. προσευχή. 225.b.10. κώδικας. 233.b.8. ἔχοντας. 243.c. 4. ἰσχυρόν. 245.a.8. ἀκούσας. 257.d.6. ταχύτερος. 259.a.2. ὅπως καὶ ἐπιγινώσκομεν νῦν. 261.a.8. Hebræus autem old. d. 12. iubet enim omnes. c.2. 276.b.8. τί δεῖ. 293.a.7. γὰρ αὐτοῖς. 296.c.7. dominus. 300.a.9. κατηγορία. 303.b. 5. & ad casum pron. 308.b.10. hirud. c.10. dele ὄντως. 311.d.12. ἀπήντησε. 317.a.13. quæ eos. 319.b.2. τῷ αὐτοῦ. 320.d.6. τὴν φάσιν. 325.c.9. εἰς αὐτό. 326.b.5. ὅπως. 328.c.6. Ego te. 330 d.1. ἀπειρία. 339.b.12. exhibeat. c.2. διδακτικός. 345.b.5. ἐργάτης. c.8. μακαρισμόν. 367.c.8. τῷ σῷ. 373.a.14. auditorum. 374.c.1. ἄφατον. 391.d.9. καλυμμάτια. 394.d.9. ἑαυτοῦ. 395.a.3. ἐν σαρκί. 400.a.4. διέλθωσι. 410.a.7. γὰρ ἐκεῖ. 412.b.9. συνέχεται. c.10. τίς. 414.c.7. ὅτι ὁ θεός. 415.a.10. volu. etiam sum. c.4 εἰργάσατο. 419.b.1. βάλλοντο. 423.b.10. incerta. 430.c.1 ἐξετάζει. 434.b. 6. πανταχοῦ. 438.b.8. χρημάτων. d.4. ἀκτῖνας. 444.a.3. non fuerit. 446.a.6. ἀφαιροῦμεν. 447.a.13. vocante. d.1. volupt. pariunt. d.9. vitam. 449.c.4 δίκης τῶν. 452.d.1. ἀπέστησαν. 454.c.6. & pro otio. 455.a.4. ἀχάριστον. 457.b.5. ἀλλὰ καὶ. 459.a.6. iis omnibus. 467.b.12. ἐν δίκαιον. 470.a.1. πικρ. b.6. ἴσον. 471.b.10. ἀκριβῶς. b.13. dele, vt qui legit. 474.b.4. πίστως. 477.b.8. χρυσοῦ. 478.c.6. ἐξελαύνομεν. 486.d.11. καὶ ὁμοφωνία. 488.a.4. σώματι. 490.a.7. dele διά. 491.c.3. αὐτοῦ. b.6. αὐτοῦ. d.1. ἔχοντας. 493.c.3. γίνεται. 494.a.8. κατάπαυσις. d.3. ἀπέστη. 495.b.13. Ita etiam. c.13. qui. 499.d.7. Quod enim. 500.d.2. δῆλον. 503.c.3. ἀξία. 511.a.9. δήλων. 516.a.4. παιδευόμενος. 517.c. 7. vos sæpe. 520.c.9. eis. 521.c.13. spiritum. 524.b.5. ἐπισπαμένου. 531.d.6. χωρ. ὄντων. 532.b.4. ἐξελθόντες. 534.b.6. πονηρός. 536.a.2. infligit, & qui aduersus stimulum calces impingit. 537.d.8. ἐξελθοῦσα. 538.c.5. verò. 543.b.1. maximè iustorũ perpetuo & in omnib. gratias agere. b.5. te nunquam. b. querentur. b.8.13. quis es. d.7. τοῦ δὲ. 544.b.10. ζῷον ζῳοφόρ. c.9. dele i. 546.c.5. oratione. 548.a.2. Ego adsum. 549.d.1. ἀκαθάρτων. 552.a.8. efferamus. b.5. ὑποκριτής. 557.b.5. ἀκούοντες. c.7. λέγει, μὴ ἀφῇς τὴν καρδίαν μου ἐκκλῖναι εἰς λόγους πονηρίας. μὴ. c.10. ergo hic quoque per ea, quæ sub. 561.b.2. περιέχεται. 562.b.5. ὅλον καὶ τὸ. 563.c.1. αὐτοῦ κατ. c.4. ἐκδιδόασι. 566.a.3. ἀχαρ. 567.a.7. αἰσχυντηλοί. c.8. mea in. d.1. ἐκκλίνεται. 572.a.1. hac via ven. 573.a.7. quam aquis. d.3. ὑμᾶς. d.3. λέγει. 576.d.1. τὰ φαρ. 588.a.9. αὐτοῦ. b.3. vsus. 590.c.9. μόνον. 594.c.11. οἰκείων. 601.c.3. ἔχει. 608.c.4. laudat: eos qui non habent defensores, conseruat. 623.d.9. ὅσα. 627.c.6. αἰωνίων. 631.b.9. verè. 632.c.5. exuentes. 638.a.2. αἰτιατέα. a.5. dele oi. 641.c.11 ἐπίνοια. 648.c.10. possent. 655.a.11. sordidus. 658.a.8. discepter. b.11. ὄντων. c.11. ἔρωτα. 659.a.4. cupidit. congeren. 662.b.4. exitum. 666.c.4. secedere. 668.a.11. turbæ. 672. a.14. vertantur. c.3. commemorati. 674.d.13. die tim. 680.d.2. agens. 683.a.3. si intestina bella oboriuntur, dum. 684.a.7. Nec. b.1. καὶ γὰρ. 693.a.7. πιπράσκει. 699.d.9. πάθος. 702.a.7. subiere. 703.a.9. ἀπορία. b.3. dele, plectit. 716.b.1. miraris. 725.c.12. autem. 734.c.6. admotione. 736.b.6. parem. 738.d.7. αἰσχυντηλοί. 741.a.6. insinuabat. 743.d.15. quis possit. 747.a.4. λέγει. b.4. περίεχει. 753.a.2. Οὐαλεντῖνος. 756.a.9. ῥᾳδίως μέτρον. 757.c.8. κυρ. τοῦ ξύλου. 760.c.3. accepit. 762.a.6. ἐκβάντι. 771.c.6. quis. 772.a.3. ἀνάπαυσιν. a.5. habebat. 780.a. 8. εἶναι, ὁσιότης καὶ πλεονεξία, καὶ ἄπιστ. 798.a.6 σκέψις τ. καὶ περιφράσεις. 814.a.12. se in ipso. 815.d.3. Quis. 818.a.2. opes ex el. b.14. vac. crudelitatem. d.12. frænum. 823.a.11. ἐξελθών. 827.a.3. λέγοντι; ποῦ ἰδιώτας; b.11. in fugam. 830.d.1. ὑμᾶς. 832.b.11. cognitis. 836.b.5. eloquia. 843.a.6. κατηγορίαν. 845.c.1. μάρτυρα. c.3. Αχάρ. 849.a.3. ἐπίγραμμα. 870.a.11. excusatione. c.3. μετ' ὀξείας. 875.a.9. εἰς ἐν. 878.a.1. εἴς τι. 881.d.4. ἐπιχείρει. 887.c.3. term. æternos. 893.d.12. alis. 897.c.14. & barbara. 898.b.10. tantam æq. c.10. voces. 900.a.4. καθημερινοί. 908.a.6. reddunt. 911.c.3. negligentiæ. 917.c.1. igitur, quia. 918.d.9. sita. 919.b.13. Deus nos det. 922.a.10. direxerit. d.8. sumat: aut si. 925.a.5. μωρία. 926.c.2. discant. 928.a.14. dicentes, Futurum est, vt. 930.a.1. ne vim. 932.c.10. ex ipsis. 933.a.11. ipsum vobis adhuc. 934.a.4. quod diximus. 935.a.5. dele ἐ. 937.d.2. piscandi sunt. 939.a.5. erant illis. 940.b.1. dele, ea. b.10. difficilius nobis. c.12. translata lingua fu. 944.a.5. semper nos. 952.d.10. sed de. 956.a.6. qua venia d. 957.c.6. hac excusatione. 961.a.7. κῦδος. 976.c.3. φοινικίδες. d.8. est ad. 977.c.1. τῆς μερ. 978.b.12. ἰατρός. 980.b.6. ac nihili ducit. 982.d.8. γίνεται; 987.a.2. adde, φησὶ πρὸς. 991.b.8. si non. 992.a.5. cogitent. d.5. συμφ. καὶ πάλιν τὰ αὐτὰ λέγω ἐν πνεύματι. 994.c.4. καὶ ἰατρ. 997.c.10. καταλαβεῖν. 1000.a.11. ἀλειφόμενοι. d.13. diffide. 1003.b.7. subdiderat, singulis diebus prospiciebat, singulis inquam d. 1014.b.9. dele, quoniam, & scribe, Tantum. 1015.b.1. πειθοῖ. 1021. b.10. περιάγειν. d.1. δεύτερ. 1028.b.9. ἀγ. χαρᾶς. d.5. τῶν. 1044.b.1. fint. c.13. dele, per. 1051.a.1. persequebat. a.3. ἄριστ.